τευθεὶς, καὶ ὑπ' αὐτῶν κατεστάθη ἐν Σμύρνῃ Ἐπίσκοπος, ταῦτα διδάξας ἀεὶ, ἃ καὶ παρὰ τῶν Ἀποστόλων ἔμαθεν, ἃ καὶ ἡ Ἐκκλησία παραδίδωσιν, ἃ καὶ μόνα ἐστὶν ἀληθῆ, καὶ μαρτυροῦσιν αἱ κατὰ τὴν Ἀσίαν Ἐκκλησίαι πᾶσαι, καὶ οἱ μέχρι νῦν διαδεδεγμένοι τὸν Πολυκάρπου θρόνον. καὶ, ὃς καὶ ἐπὶ Ἀνικήτου ἐπιδημήσας ἐν Ῥώμῃ, πολλοὺς ἀπὸ τῶν προειρημένων αἱρετικῶν ἐπέστρεψεν εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, μίαν καὶ μόνην ἀλήθειαν κηρύξας ὑπὸ τῶν Ἀποστόλων παρειληφέναι τὴν ὑπὸ Ἐκκλησίας παραδεδομένην, Εὐσέβιος βιβλίῳ τεταρτῷ, κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ. καὶ ἰδοὺ παρὰ τῶν Ἀποστόλων, καὶ οὐ παρὰ μόνου τοῦ Πέτρου ἡ πίστις. καὶ ὁ Πολύκαρπος παρὰ τῶν ἐν Ἀσίᾳ Ἀποστόλων ἐμαθητεύθη, καὶ οὐ παρὰ τοῦ Πέτρου, ἢ τοῦ Ῥώμης. καὶ, ὁ Πολύκαρπος τῶν Ἀποστόλων διάδοχος, καὶ τούτου ἕτεροι διάδοχοι. ὥστε οὐ παρὰ τοῦ Πέτρου πάντες οἱ Ἐπίσκοποι. καὶ, ὁ Πολύκαρπος ἐν Ῥώμῃ μᾶλλον ἴσχυσε κατὰ τῶν αἱρετικῶν ἢ ὁ Πάπας. καὶ, ὅτι ἐν πάσῃ τῇ Ἐκκκλησίᾳ παρεδόθη παρὰ πάντων τῶν Ἀποστόλων ἡ ἀλήθεια τῆς πίστεως, καὶ εἰ ἐν πάσῃ, καὶ παρὰ πάντων, οὐ παρὰ μόνου τοῦ Πέτρου ἐν Ῥώμῃ. ἔτι τὸ πλῆθος τῶν Ἰουδαίων καὶ τῶν ἐθνῶν, μαρτυροῦντος τοῦ Εἰρηναίου, ἔλεγε περὶ Πολυκάρπου, οὗτος ἐστὶν ὁ τῆς Ἀσίας διδάσκαλος, ὁ πατὴρ τῶν Χριστιανῶν. καὶ λοιπὸν εἰ ἐστὶ τῶν Χριστιανῶν πατὴρ ὁ Πολύκαρπος, ἐστὶ καὶ τοῦ Πάπα πατήρ. ἀλλ' ἐπεὶ τοῦτο οὐ προσάπτει τῷ Πολυκάρπῳ γενικὸν ἐν τῇ Ἐκκλησίᾳ ἀξίωμα, ἄρα οὐδὲ ὅταν λέγηται ὁ Πάπας, ἢ ἕτερος Ἐπίσκοπος πατὴρ, ἔχει τοιοῦτον ἐν τῇ Ἐκκλησίᾳ ἀξίωμα. ἔτι, ὡς φαίνεται παρ' Εὐσεβίῳ, περὶ τοῦ αὐτοῦ λέγει ὁ Εἰρηναῖος, ὅτι ἐστὶ διδάσκαλος, καὶ ἀποστολικὸς, καὶ προφητικὸς Ἐπίσκοπος, καὶ ἀποστολικὸς πρεσβύτερος. ἀλλ' ὥσπερ ταῦτα τὸν Πολύκαρπον οὐ ποιεῖ ἐν τῇ Ἐκκλησίᾳ μονάρχην, οὕτως οὐδὲ ὅταν λέγῃ ὁ Παχασῖνος ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ ἀποστολικὸν Πάπαν, καὶ ἀποστολικὸν Ἐπίσκοπον τὸν Ῥώμης, παρέχει αὐτῷ ἀξίωμά τι γενικὸν ἐν τῇ Ἐκκλησίᾳ. ἔτι ὁ Εἰρηναῖος λέγει, ὡς Εὐσέβιος βιβλίῳ πέμπτῳ, κεφαλαίῳ ἑβδόμῳ, θεμελιώσαντες οὖν οἱ μακάριοι Ἀπόστολοι τὴν Ἐκκλησίαν, Λίνῳ τὴν τῆς Ἐπισκοπῆς λειτουργίαν ἐνεχείρισαν. καὶ σημείωσαι, ὅτι ἡ ἐν Ῥώμῃ διαδοχὴ οὐ τοῦ Πέτρου ἐστὶν, ἀλλὰ τοῦ Παύλου, ὅπερ ἴδιόν ἐστι καὶ πάσῃ ἀποστολικῇ Ἐκκλησίᾳ. ἔτι δείκνυται ἡ κατὰ πάντα ἰσοτιμία τοῦ Πάπα καὶ τοῦ Πολυκάρπου, εἰσάγει γὰρ ὁ Εὐσέβιος, ὡς εἴρηται ἀνωτέρω, τὸν Εἰρηναῖον λέγοντα, τοῦ μακαριωτάτου Πολυκάρπου ἐπιδημήσαντος ἐν Ῥώμῃ ἐπὶ Ἀνικήτου, καὶ περὶ ἄλλων τινῶν μικρὰ σχόντες πρὸς ἀλλήλους, εὐθὺς εἰρήνευσαν, περὶ τούτου τοῦ κεφαλαίου μὴ φιλεριστήσαντες πρὸς ἑαυτοὺς, οὔτε γὰρ ὁ Ἀνίκητος τὸν Πολύκαρπον πεῖσαι ἐδύνατο μὴ τηρεῖν, ἅτε μετὰ Ἰωάννου τοῦ μαθητοῦ τοῦ Κυρίου ἡμῶν, καὶ τῶν λοιπῶν Ἀποστόλων, οἷς συνδιέτριψεν ἀεὶ τετηρηκότα, οὔτε μὴν ὁ Πολύκαρπος ἔπεισε τὸν Ἀνίκητον τηρεῖν, λέγοντα τὴν συνήθειαν τῶν πρὸ αὐτοῦ πρεσβυτέρων ὀφείλει κατέχειν. καὶ τούτων οὕτως ἐχόντων, ἐκοινώνησαν ἑαυτοῖς. καὶ ἐν τῇ Ἐκκλησίᾳ παρεσχώρησεν ὁ Ἀνίκητος τὴν εὐχαριστίαν τῷ Πολυκάρπῳ, κατ' ἐντροπὴν δηλονότι, καὶ μετ' εἰρήνης ἀπ' ἀλήλων ἀπηλλάγησαν, καὶ πάσης τῆς Ἐκκλησίας, εἰρήνην ἐχόντων τῶν τηρούντων καὶ μὴ τηρούντων, Εὐσέβιος βιβλίῳ πέμπτῳ, κεφαλαίῳ εἰκοστῷ ἕκτῳ. Καὶ λοιπὸν ἐνταῦθα σημειωτέον ἀπὸ τούτων τῶν ῥημάτων τοῦ Εἰρηναίου πρῶτον, τὴν ἰσοτιμίαν Πολυκάρπου καὶ Ἀνικήτου, ὅθεν καὶ ὡς ἔγραφεν ὁ Ἰούλιος τοῖς Εὐσεβιανοῖς, ἀπὸ μεγαλείου πόλεως οὐκ ἔστιν Ἐπίσκοπος Ἐπισκόπου μείζων, ὅθεν οὐκ ἔχει τὸ πρωτεῖον ὁ Πάπας παρὰ τοῦ Πέτρου, ἀλλ' ἀπὸ τῶν Κανόνων, καὶ τοῦτο οὐκ ἀξίας, ἀλλὰ τάξεως. δεύτερον, οὐκ ἔπεισεν ὁ Ἀνίκητος τὸν Πολύκαρπον, καὶ ποῦ ἐστι τὸ, ὁ μὴ πιστεύων, ἢ μὴ πειθόμενος τῷ Πάπᾳ, οὐκ ἔστι Χριστιανός; ἰδοὺ γὰρ ὁ Πολύκαρπος ἀντεῖπε τῷ Πάπᾳ, καὶ μάλιστα κατὰ πρόσωπον αὐτοῦ. ἰδοὺ ὁ Πολύκαρπος μᾶλλον πείθεται τῷ Ἰωάννῃ ᾧ συνδιέτριψεν, ἢ τῷ Πέτρῳ. ἰδοὺ ὁ Ἀνίκητος διαλεγόμενος μετὰ τοῦ Πολυκάρπου, οὐκ εἶπεν ὅτι ὁ Πέτρος ποιμὴν τῶν Ἀποστόλων, ὁ Πάπας ποιμὴν τῶν Χριστιανῶν κατὰ Πέτρον. τρίτον, ἐν τῇ Ἐκκλησίᾳ δέδωκεν ὁ Ἀνίκητος τὰ πρωτεῖα τῷ Πολυκάρπῳ, καὶ ποῦ τότε οἱ νῦν ἤδη θρόνοι οἱ ὑψηλοὶ, καὶ ἡ προπομπὴ τοῦ Πάπα Εὐγενίου ἀπὸ Φεράρρας εἰς Φλωρεντείαν; τέταρτον, μετ' εἰρήνης ἀπ' ἀλλήλων ἀπηλλάγησαν Ἀνίκητος καὶ Πολύκαρπος. ἰδοὺ ἰσοτιμία, ἰδοὺ ὡς οὐκ εἶχεν οὐδὲν πρωτεῖον τότε ἐν τῇ Ἐκκλησίᾳ ὁ Ῥώμης. πέμπτον, εἰρήνην εἶχον καὶ οἱ τηροῦντες καὶ οἱ μὴ τηροῦντες τὸ Πάσχα, ὅθεν αἱρέσει ὑποπέπτωκεν ὁ βίκτωρ, τὴν περὶ τοῦ Πάσχα διαφορὰν ἑτεροδοξίαν ἡγούμενος. καὶ λοιπὸν φανερόν ἐστιν ἐκ τούτων, ὅτι ὁ Εἰρηναῖος εἶπε τὴν Ῥώμην ἀρχαιοτάτην Ἐκκλησίαν, ἀλλ' οὐ μόνην, καὶ πᾶσαν αὐτῇ συνᾴδειν Ἐκκλησίαν, ἀλλὰ τὰς αὐτῇ ὑποκειμένας, εἰ δὲ καὶ πᾶσαν, ἀλλ' ὅταν ἀληθεύῃ, ὅπερ πάσῃ ἀληθευούσῃ Ἐκκλησίᾳ ἰδιαίτατόν ἐστιν. ὥσπερ γὰρ συνᾴδει, ἤτοι συμφωνεῖ καὶ κοινωνεῖ τῇ Ῥωμαίων Ἐκκλησίᾳ ὀρθοδοξούσῃ πᾶσα Ἐκκλησία, οὕτως ἡ Ῥωμαίων Ἐκκλησία κοινωνεῖ πάσῃ Ἐκκλησίᾳ, ὡς ἐροῦμεν ἐν πολλοῖς. ἕκτον, ὁ Εἰρηναῖος οὐδὲν ἐνταῦθα καθ' ἡμῶν λέγει, ἀλλὰ διαλεγόμενος περὶ τῶν Γνωστικῶν, ἐκ τῆς παλαιᾶς παραδόσεως διϊσχυρίζετο κατ' αὐτῶν, τῆς παρὰ τῶν Ἀποστόλων δηλονότι ἐν πάσαις ταῖς Ἐκκλησιαις, ἅστινας ὡς πολλὰς οὔσας διὰ τὴν πολυλογίαν ἀφεὶς, προεβάλετο μόνην τὴν ἐν Ῥώμῃ, ὑπὸ τὴν Ἐπαρχίαν αὐτῆς ὢν καὶ ἐπισκοπεύων. λέγει γοῦν ὅτι μακρόν ἐστιν ἵνα πάσας τὰς Ἐκκλησίας ἐπαριθμήσῃ, προσφέρει δὲ μόνον τὴν ῥωμαϊκὴν ὡς πᾶσι γνωστὴν διὰ τὴν κραταιοτέραν ἀρχὴν, τουτέστι διὰ τὸ βασίλειον, ὅπερ εἰπεῖν εἶχε καὶ περὶ τῆς ἐν Ἀντιοχείᾳ, ἢ ἐν Ἀλεξανδρείᾳ, εἴγε ἐν αὐταῖς ἦν τὸ Βασίλειον. οὐχ ἕπεται δὲ ἐκ τούτων τῶν ῥημάτων τοῦ Εἰρηναίου

ναίου ἢ τὸ μοναρχικὸν, ἢ τὸ ἀναμάρτητον τῆς ἐν Ῥώμῃ Ἐκκλησίας. λέγει δὲ τὴν Ῥώμην οἰκοδομηθῆναι οὐχ ὑπὸ τοῦ Πέτρου μόνον, ἀλλ' ὑπὸ τοῦ Πέτρου καὶ τοῦ Παύλου, ἐξίσου, καὶ οὐ κατὰ διαφοράν τινα. εἶτα ὁ αὐτὸς Εἰρηναῖος κατὰ τῶν αὐτῶν Γνωστικῶν ἐν τῷ αὐτῷ κεφαλαίῳ, οὐ μόνον τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν, ἀλλά γε καὶ τὴν ἐν Ἐφέσῳ καὶ τὴν ἐν Σμύρνῃ προσφέρει, ἐκ δὲ τούτου δῆλόν ἐστιν, ὅτι εἰ ὁ Ἐρηναῖος ἐγίνωσκε μοναρχίαν ἢ ἀναμαρτησίαν ἐν τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ. προσέφερεν ἂν αὐτὴν μόνην κατὰ τῶν Γνωστικῶν, ἄνευ τοῦ μνησθῆναι ἄλλης Ἐκκλησίας, καὶ εἶχεν εἰπεῖν ἀναγκαίως ἕκαστον δεῖ ἀκολουθεῖν τῇ παραδόσει μόνῃ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, ἀναμαρτήτου οὔσης, καὶ σφάλλεσθαι μὴ δυναμένης, ἀλλ' οὐκ εἶπεν, ἐπειδὴ ἐγίνωσκεν αὐτὴν ἴσην τε καὶ ἰσοδύναμον ταῖς λοιπαῖς, ἀλλ' οὐδ' ὅτι αὐτὴν μεγίστην εἶπε, παρέχει αὐτῇ προνομιόντι. ὥσπερ γὰρ ὁ Ἀλεξανδρείας Διονύσιος τὰς κατὰ μέρος Συνόδους μεγίστας εἶπεν (Εὐσέβιος βιβλίῳ πέμπτῳ, κεφαλαίῳ ἑβδόμῳ) οὕτως ὁ Εἰρηναῖος τὴν Ῥωμαϊκὴν, καίτοι μερικὴν οὖσαν, μεγίστην εἶπε. κοινὸν οὖν τὸ μέγιστον καὶ ταῖς ἄλλαις Ἐκκλησίαις, καὶ οὐ μόνον τῇ Ῥώμῃ.

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ ΙΑ΄. ΠΑΡΑΓΡΑΦΟΝ ϛ΄.

Περὶ ἐπιχειρήματος παπιστῶν ὑπὲρ μοναρχίας τοῦ Ῥώμης ἐκ τῆς τοῦ Πάπα Βίκτορος ἐπιστολῆς πρὸς τὸν Καισαρείας Παλαιστίνης Θεόφιλον, προτρέποντος αὐτῷ ὑπὲρ τοῦ Πάσχα Σύνοδον ἀθροῖσαι, ὃ καὶ ὁ Βέδας μαρτυρεῖ, καὶ περὶ ἀναιρέσεως τοῦ ἐπιχειρήματος αὐτῶν οὐκ ἐξ ὧν εἶπέ τις ἢ ἔγραψε περὶ ἑαυτοῦ, ἀλλ' ἐξ ὧν κατέχει κοινῶς ἡ καθολικὴ Ἐκκλησία, καὶ περὶ ἀρχαίων Παπῶν ἐπιστολῶν, διαφωνιῶν τε παπιστῶν πρὸς τὰς τῶν Παπῶν ἐπιστολὰς, καὶ βλασφημίας καὶ ψευμάτων ἐν ταύτῃ τῇ τοῦ Βίκτορος ἐπιστολῇ, ἐν ᾗ καὶ ῥῆσίς τις τοῦ προφήτου Ἡσαΐου βλασφήμως ἐκλαμβάνεται, καὶ ἕτερα διόλου ψευδῆ, ἃ προσφέρει ἀπὸ τῶν Διαταγῶν τῶν Ἀποστόλων, μὴ ὄντα δὲ, ἐξ ὧν δεικνυται μὴ τοῦ Βίκτορος ἐπιστολὴν, ψευδῆ δὲ καὶ ἐπίπλαστόν τινα καὶ ἀσεβεστάτην εἶναι.

Ἀλλ' ἐπιλέγουσιν οἱ αὐτοὶ, ὅτι ὁ Καισαρείας τῆς Παλαιστίνης Θεόφιλος Σύνοδον ἤθροισεν ὑπὲρ τοῦ Πάσχα προτροπῇ τοῦ Πάππα. καὶ γὰρ φαίνεται ἐπιστολὴ τοῦ Βίκτορος πρὸς αὐτὸν, προστάττοντος αὐτῷ ποιῆσαι τὴν Σύνοδον. ἄρα ὁ Ῥώμης Ἐπίσκοπος ἔχει ἐξουσίαν ἐπ' αὐτῶν τῶν Ἐκκλησιῶν. τοῦτο αὐτόφασι καὶ ὁ Βέδας διαλαμβάνων περὶ τῆς Συνόδου ταύτης μαρτυρεῖ, φησὶ γὰρ, ὅτι ὁ Πάπας Βίκτωρ Ἐπίσκοπος τῆς πόλεως Ῥώμης ἴθυνε τὴν ἐξουσιαστικὴν αὐτοῦ ὑπεροχὴν πρὸς τὸν Καισαρείας τῆς Παλαιστίνης Ἐπίσκοπον Θεόφιλον, ὅπως ἂν ἐν ἐκείνῃ τῇ χώρᾳ διδαχθείη ποίῳ τρόπῳ παρὰ πασῶν τῶν Ἐκκλησιῶν πανηγυρισθείη τὸ Πάσχα κανονικῶς, ἐν ᾗ ὁ Κύριος καὶ Σωτὴρ τοῦ κόσμου ἐν σαρκὶ συνανεστράφη, ὃς κατὰ τὴν ἐντολὴν τοῦ Πάπα ἤθροισε Σύνοδον διαφόρων Ἐπισκόπων, καὶ εἶπεν αὐτοῖς τὴν ἐντολὴν τοῦ Πάπα, ταῦτα οἱ παπισταί. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι καὶ ἄλλοι πολλοὶ, καὶ Πατριάρχαι καὶ Ἀρχιεπίσκοποι, καί τινες ἁπλῶς Ἐπίσκοποι εἶπόν τινα ὑπέρογκα περὶ ἑαυτῶν, ὡς δηλώσει ἡ παροῦσα συγγραφή. οὕτω καί τινες Πατριάρχαι τῆς Ῥώμης πολλά τινα βάρος καὶ ὄγκον ἔχοντα πολὺν, καὶ ἐν ἐπιστολαῖς καὶ ἄλλοις αὐτῶν συγγράμμασιν εἶπον περὶ ἑαυτῶν, ἡ καθολικὴ ὅμως Ἐκκλησία περὶ τούτων, ἤτοι περὶ Πατριαρχῶν καὶ Παπῶν καὶ τῶν λοιπῶν Ἐπισκόπων φρονεῖ ἔχειν αὐτοὺς μόνα ἐκεῖνα τὰ προνόμια, ὅσα δέδωκεν αὐτοῖς διὰ τῶν Οἰκουμενικῶν Συνόδων καὶ τῆς συνηθείας, καὶ οὐδέν τι πλέον, τὰ δὲ παρὰ κανόνας οἰκειούμενα παρὰ πάντων τῶν ὁπωσδήποτε Ἐπισκόπων, παράνομα ἡγεῖται καὶ ἄθεσμα. συνήθειαν δὲ λέγομεν ἐκείνην, ἥτις ἐν ταῖς Οἰκουμενικαῖς συνόδοις ἢ ἐνηργήθη, ἢ παρεδέχθη, ἢ ἐβεβαιώθη. ὅσα δὲ παρά τινων ἐρρέθη, ἢ ἐπράχθη, κἂν καὶ οἱ τινὲς οὗτοι Πατριάρχαι ὦσι καὶ Πάπαι, ὑπὲρ ἄλλων τινῶν ἢ φόβῳ, ἢ χάριτι, ἢ ἀγροικίᾳ, ἢ ἀμαθίᾳ, ἢ ἁπλότητι, ἢ προσληψει καὶ ἀνεξετάστῳ γνώμῃ, ἢ παραδρομῇ, ἢ ὑπὸ ἀπραξίας ὑπολήψει ὅτι οὕτως ἔχει, καὶ ὅσα ὑπὲρ ἑαυτῶν τινες εἶπον, ἢ νομίζοντες οὕτως ἔχειν, ἢ ἀπὸ δυναστείας καὶ τύφου τῶν κατ' αὐτοὺς ὑψηλῶν θρόνων, ἢ τὰ οἰκονομικῶς ἢ ἀγωνιστικῶς, ἢ ἐν καιρῷ ἀνάγκης ὑπὸ τῶν πατέρων εἰρημένα, ἢ γεγενημένα ἔχουσι πρὸς ἑαυτοὺς, καὶ τὰ ὑπό τινων γεγραμμένα, ἢ εἰρημένα εἴς τινα ὁποιαδήποτε πρόσωπα, ἢ Οἰκουμενικὰς Συνόδους, καὶ ταῦτα ἢ ἰδίως, ἢ οἱ ἅγιοι πατέρες, ἢ αἱ Οἰκουμενικαὶ Σύνοδοι διά τι ὑπονοούμενον σχίσμα, ἢ ὑποπτευόμενον σκάνδαλον, λαβὴν παρέχον τοῖς αἱρετικοῖς πρὸς καύχησιν, ἢ βοήθειαν, ἢ ἐπίδοσιν τῶν αἱρέσεων, ἐσιώπησαν, οὐ δὲ ἀποδεξάμενοι, οὐ δὲ ἀποβαλόμενοι, ταῦτα καὶ τὰ τοιαῦτα εἴτινες ἕλκουσι πρὸς ἑαυτοὺς προνομίου χάριν, οὐ παράδοσιν, ἢ συνήθειαν ἐκκλησιαστικὴν εἶναι λέγομεν, ἀλλὰ καινοτομήματα πλήρη παρανομίας, καὶ συνηθείας μεστὰς ἀσεβείας κρίνομεν, καὶ διαβεβαιοῦμεν, καὶ παντὶ Χριστιανῷ ἐπιτρέπομεν φεύγειν ἀπὸ τῶν τοιούτων ὡς ἀπὸ ὄφεως. δεύτερον, τινῶν ἀρχαίων Παπῶν Ῥώμης ἐπιστολὰς, ὧν καὶ Εὐσέβιος ἐν τῇ ἐκκλησιαστικῇ αὐτοῦ ἱστορίᾳ μέμνηται, καί τινες τῶν ἐγκρίτων καὶ κατὰ πάντα ἀναμφιβόλων πατέρων, οἳ καὶ ἐν τῷ κοινῷ τῆς καθολικῆς Ἐκκλησίας ἐγένοντο καταφανεῖς, δεχόμεθα ὡς ἀληθεῖς, εἰ καὶ μὴ δεχόμεθα ἔνια τῶν ἔν τισιν αὐτῶν φερομένων, τὰς δὲ λοιπὰς τὰς παρὰ παπιστῶν μὲν εὐφημιζομένας, πρὸς δὲ βεβαίωσιν ἐκκλησιαστικῶν δογμάτων προβαλλομένας, ὧν οὐκ ἐποίησαν οὐδεμίαν μνήμην

μνήμην οἰκοινοὶ ἐκκλησιαστικοὶ ἱστορικοὶ, οὐδὲ οἱ ἔγκριτοι πατέρες ἐχρήσαντο αὐταῖς ἐν ταῖς τῆς πίστεως διδασκαλίαις, ἢ ἐν ταῖς τῆς θείας γραφῆς ἑρμηνείαις, καὶ αἱ οἰκουμενικαὶ σύνοδοι οὐκ ἀντελάβοντο αὐτῶν εἰς μαρτυρίαν, καὶ οἱ Πάπαι γράφοντες εἰς τὰς οἰκουμενικὰς συνόδους, οὐδεμίαν αὐτῶν μνήμην ἐποιήσαντο, καὶ τέως ἡ καθόλου Ἐκκλησία ταύτας οὐκ ἔγνω ὡς τὰ λοιπὰ τῶν ἁγίων πατέρων συγγράμματα, ταύτας ἡμεῖς οὐπροσιέμεθα, ἀλλ' ἀποκρύφους, καὶ ὡς οὐδέποτε γραφείσας νομίζομεν. τρίτον, ὅτι οὐδὲ αὐτοὶ οἱ ἀρχαῖοι, καὶ μετὰ τὸ σχίσμα παπισταὶ ἐν ταῖς μετὰ τῶν τῆς Ἀνατολικῆς Ἐκκλησίας θεολόγων κοιναῖς διαλέξεσι καὶ συνόδοις, οὐδὲ ἐν αὐτῇ τῇ ἐν Φλωρεντείᾳ προσήγαγον αὐτὰς εἰς μαρτυρίαν, οὐδ' ἐμνήσθησαν αὐτῶν τὸ παράπαν. εἰ δὲ καί τινες ὑστερογενεῖς ἐμνήσθησαν αὐτῶν, ἀλλ' οἱ πατέρες ἡμῶν οὐπαρεδέξαντο, ὡς γὰρ νόθους ἀπεβάλοντο. τέταρτον, εἰ πρὸς τὴν ἕκτην οἰκουμενικὴν σύνοδον πέμψαντος τοῦ Πάπα Ἀγάθωνος μετὰ τῶν τοποτηρητῶν αὐτοῦ χρήσεις ἐγκρίτων πατέρων περὶ τῶν δύο ἐπὶ Χριστοῦ θελήσεων καὶ ἐνεργειῶν, ὧν τὰ συγγράμματα δεκτὰ καὶ γνώριμα τῇ Ἐκκλησίᾳ, ἡ σύνοδος οὐκ ἐπίστευσεν ἀνεξετάστως οὐδὲ τῷ Πάππᾳ, οὐδὲ τοῖς τοποτηρηταῖς αὐτοῦ, οὐδὲ τῇ κατ' αὐτὸν ἐν Ῥώμῃ συνόδῳ, ἀλλὰ παραβαλοῦσα τὰς χρήσεις μετὰ τῶν ἐν τῇ βιβλιοθήκῃ τοῦ Πατριαρχείου Κωνσταντινουπόλεως εὑρισκομένων συγγραμμάτων ἁγίων πατέρων, καὶ εὑροῦσα ἀληθεῖς ἐδέξατο, πῶς ἡμεῖς δεξόμεθα τὰς τοιαύτας ἐπιστολὰς τῶν Παπῶν Ῥώμης, μὴ γνωρίμους οὔσας οὐδὲ ἡμῖν, οὐδὲ τοῖς πατράσιν ἡμῶν, ἀλλὰ διόλου ἀγνοουμένας, καὶ ταῦτα, εἰς μαρτυρίαν οὐ τοῦ τυχόντος κατὰ τῆς Χριστοῦ Ἐκκλησίας ἀναφανέντος κακοῦ, καὶ πρὸς τούτοις, προβαλομένας ὑπὸ τῶν παπιστῶν, τῶν τὰ συγγράμματα τῶν ἁγίων πατέρων ἀπροσκριματίστως νοθευόντων, καὶ τὴν ἁγίαν γραφὴν φανερώτατα παρεξηγουμένων ἐπὶ συστάσει τοῦ παπισμοῦ; πέμπτον, καὶ οἱ θεολόγοι τῶν παπιστῶν περὶ αὐτῶν διαφωνοῦσιν, οἱ μὲν γὰρ αὐτῶν παραγράφονται ταύτας, καὶ ὡς ἀποκρύφους νομίζουσιν, οἱ δὲ λέγουσιν, ὅτι πλεῖσται τῶν Ῥώμης Ἀρχιερέων ἐπιστολαὶ δογματικαὶ ἄχρι Σιρικίου, Ἰσιδώρου τοῦ Ἰσπάλης Ἐπισκόπου εἰσὶν ἀποκυήματα, οἱ δὲ ὅτι οὐ τοῦ Ἰσιδώρου τούτου, ἀλλὰ νεωτέρου τινὸς εἰσὶν ἀποφυήματα. ἕκτον, εἴρηται ἀνωτέρω ὅτι ὁ Βίκτωρ οὐκ ἔλεγεν ἔχειν ἐπὶ τῆς καθόλου Ἐκκλησίας ἀξίωμα, ἀλλὰ κατὰ τὴν ἐκκλησιαστικὴν συνήθειαν τοὺς αὐτῷ μὴ συμφρονοῦντας ἀπέτεμε, τουτέστι τῆς αὐτοῦ κοινωνίας ἀπέβαλεν, ἤτοι οὐκ ἐκοινώνει ὡς ὁμοπίστοις αὐτοῖς, ἀλλ' εἶχεν ὡς ἑτεροδόξους, ὅπερ καὶ παντὶ Ἐπισκόπῳ ἴδιόν ἐστιν, ἐπειδὴ καὶ παρὰ παντὸς Ἐπισκόπου ἐξὸν γενέσθαι ὡς ἐν πολλοῖς ῥηθήσεται, καὶ ἤδη ῥητέον ᾧδε, Ἐπίσκοποί τινες Ἐπισκόπους τινὰς καὶ Πάπας νομιζομένους τῆς αὐτῶν κοινωνίας ἀπώσαντο, καὶ ὅρα τὸν μάρτυρα Μωϋσῆν, ὃς πρὸ τῆς μαρτυρίας κατιδὼν τὴν θρασύτητα καὶ τὴν ἀπόνοιαν τοῦ Ναυάτου, ἐποίησεν αὐτὸν ἀκοινώνητον σὺν τοῖς πέντε πρεσβυτέροις τοῖς ἅμα αὐτῷ ἀποσχισθεῖσιν ἐκτὸς τῆς Ἐκκλησίας, Εὐσέβιος βιβλίῳ ἕκτῳ, κεφαλαίῳ τεσσαρακοστῷ τρίτῳ. καὶ αὐτὸς ὁ Βίκτωρ ὑπὸ πολλῶν Ἐπισκόπων, ὡς εἴρηται ἀνωτέρω, τοὺς ὁμοδόξους ὡς ἑτεροδόξους νομίσας ἐπετιμήθη, καὶ κατεφρονήθη. τὸ γὰρ ἐπιπληκτικώτερον ἀντιπαρακελευσθῆναι εἰρηνεύειν μετὰ τῶν Ἐκκλησιῶν, καταφρόνησίς ἐστι. ταῦτα δὲ παθὼν ὁ Βίκτωρ, οὐκ εἶπεν ἑαυτὸν τοῦ Χριστοῦ τόπον ἐπὶ τῆς γῆς φέρειν, ἢ μόνον, ἢ ἐξαίρετον τοῦ Πέτρου διάδοχον εἶναι, οὐδὲ προὔτεινε ῥητὸν εὐαγγελικὸν περὶ ἰδικῆς ἐξουσίας ἢ τοῦ Πέτρου ἢ ἑαυτοῦ, ἀλλὰ σωφρόνως ἐδέξατο τὰς παρὰ τῶν Ἐπισκόπων ἐπιπλήξεις καὶ ἀντιπαρακελεύσεις. ἕβδομον, ἐν τῇ ἐπιστολῇ ταύτῃ φαίνονταί τινα διόλου ψευδῆ, καὶ ἐν ἄκρως βλάσφημον, καὶ πρῶτον μὲν ψεῦδος ἐστὶν ὃ λέγει, ὅτι παράδοσίς ἐστι καὶ διαταγὴ παρὰ τῶν Ἀποστόλων, ἥτις καὶ τοῖς μεταταῦτα ἤρεσεν, ἵνα ὁ Ἐπίσκοπος ὁ ἔχων μετὰ τῶν ἐπαρχιωτῶν αὐτοῦ διαφορὰν, δύνηται ἀπέρχεσθαι εἰς τὸν Ἀρχιερέα τῆς ἀποστολικῆς καθέδρας, καὶ ἐκεῖνος ἢ δι' ἑαυτοῦ, ἢ διὰ βικαρίου αὐτοῦ θεωρῇ τὰ κατ' αὐτοὺς, ὅπερ ψεῦδος ἐστὶν, οὐδεμία γὰρ ἀποστολικὴ διαταγὴ, ἢ ἀποστολικοῦ τινος παράδοσις τοιοῦτόν τι εἶπεν, ἢ ἐφρόνησέ ποτε, ὡς πᾶσι πρόδηλόν ἐστι. καὶ γὰρ καὶ αὐτοὶ οἱ ταῦτα προτιθέμενοι παπισταὶ οὐδύνανται Ἀπόστολόν τινα ἢ ἀποστολικὸν εἰπεῖν πρὸς βεβαίωσιν τοῦ λόγου, ἀλλ' ἢ παραγράφειν μόνον ἐν τῷ μέρει τούτῳ τῆς ἐπιστολῆς τὸν τέταρτον κανόνα τῆς ἐν Σαρδικῇ συνόδου, ἥτις ἠθροίσθη μετὰ τὴν τοῦ Βίκτορος ἀρχιερατείαν ἔτει ἑκατοστῷ πεντηκοστῷ τρίτῳ, ὁ δ' ἐν αὐτῇ ῥηθεὶς κανὼν οὐκ ἐβεβαίωσέ τι προγεγενημένον, ἀλλὰ καινά τινα τῷ Ῥώμης ἐχαρίσατο, εἰ καὶ ματαίως, καὶ μερικὴ ἦν καὶ δυτικὴ, ὡς ῥηθήσεται ἐν τῷ ἰδίῳ τόπῳ. ὄγδοον, λέγει δεύτερον, ὅτι ἡ τοῦ Πάπα ἀπόφασις οὐκ ἔχει ἀνάκρισιν, ὅπερ φανερόν ἐστι ψεῦδος. καὶ γὰρ ἀνεκρίθησαν αἱ τοῦ Ἀνικήτου ἀποφάσεις ὑπὸ τοῦ Πολυκάρπου, καὶ διόλου ἠθετήθησαν, ὡς καὶ αἱ τοῦ Βίκτορος ὑπὸ τῶν Ἀσιανῶν, καὶ ὑπὸ πάντων τῶν πρωτευόντων Ἐπισκόπων, ὡς εἴρηται ἀνωτέρω. καὶ τῶν μετα ταῦτα Παπῶν Ῥώμης αἱ ἀποφάσεις ἀνεκρίθησαν καὶ ἀπεβλήθησαν πολλάκις ἐν Καρθαγένῃ, καὶ ἐν τῇ Ἀνατολῇ, καὶ ἐν ταῖς οἰκουμενικαῖς συνόδοις, καὶ πλεισάκις ἐν αὐτῇ τῇ Ῥώμῃ Πάπαι Παπῶν κατέβαλον καὶ ἀπέβαλον ἀποφάσεις, καὶ εἰς οὐδὲν ἐλογίσαντο. ἔνατον, λέγει τρίτον, ὅτι αἱ Διαταγαὶ τῶν Ἀποστόλων λέγουσι, τὸν ἔχοντα βάρος ὑπὸ τοῦ Μητροπολίτου, κρίνεσθαι ἢ εἰς τὸν Πατριάρχην, ἢ εἰς τὸν Ἔξαρχον τῆς διοικήσεως, ἢ εἰς τὸν κοινὸν τῆς ἀποστολικῆς Ἐκκλησίας θρόνον. ὅτι δὲ τοῦτο ψευδέ-

ψευδέστατόν ἐστι, δῆλον. εἰ μὲν γὰρ ἐννοεῖ ἡ ἐπιστολὴ Διαταγὰς ἀποστολικὰς τοὺς τῶν Ἀποστόλων κανόνας, παντὶ Χριστιανῷ πρόδηλον, ὅτι οὐ γέγραπται τοιοῦτόν τι ἐν αὐτοῖς, οὐδὲ φέρεταί τι ἐν αὐτοῖς συστατικὸν τοῦ παπισμοῦ, ἀλλὰ μάλιστα καθαιροῦσι πᾶσαν μοναρχικὴν ἐξουσίαν οἱ ἀποστολικοὶ κανόνες. αὐτίκα γὰρ λέγει ὁ τριακοστὸς τέταρτος κανὼν, ἑκάστου ἔθνους εἶναι πρῶτόν τινα Ἐπίσκοπον, διὸ οὗ δείκνυσιν ὅτι οὐκ ἔστιν ἐν πᾶσι τοῖς ἔθνεσιν εἷς Ἐπίσκοπος κεφαλὴ, ἀλλὰ πολλὰ ἔθνη, καὶ πολλοὶ Ἐπίσκοποι κεφαλαὶ, καὶ οὐ λέγει τούτων τῶν κεφαλῶν εἶναί τινα ἑτέραν κεφαλὴν μείζονα. καὶ ὁ τριακοστὸς πέμπτος λέγει, μηδένα Ἐπίσκοπον ἔξω τῶν ὁρίων αὐτοῦ χειροτονίας ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις, καὶ οὐκ ἐξαιρεῖ τινὰ, ἀλλὰ πάντας κωλύει τοὺς Ἐπισκόπους ἐξίσου, ὅπερ ἀναιρετικώτατόν ἐστι τῆς τῶν σχισματικῶν Παπῶν Ῥώμης παρανομίας. ὁ δὲ τριακοστὸς ἕβδομος λέγει, δὶς τοῦ ἔτους γίνεσθαι συνόδους τῶν Ἐπισκόπων τῆς Ἐπαρχίας, καὶ ἀνακρινέτωσαν τὰ δόγματα τῆς εὐσεβείας, καὶ τὰς ἐμπιπτούσας ἀντιλογίας διαλυέτωσαν. οὐ λέγει δὲ ἵνα τὰς τοιαύτας συνόδους ἕτερός τις Ἐπίσκοπος διακρίνῃ, ἢ βεβαιοῖ. οἱ δὲ σχισματικοὶ Πάπαι λέγουσιν, ὅτι ἡ περὶ τῶν δογμάτων κρίσις καὶ τῶν ἀντιλογιῶν διάλυσις αὐτοῖς μόνοις προσήκει, ὅπερ ὡς ἀντικείμενον τῷ ἐκκλησιαστικῷ κανόνι, καὶ ταῖς μεταταῦτα συνόδοις ἀσεβέστατόν ἐστιν. εἰ δὲ ἡ ἐπιστολὴ λέγει ἀποστολικὰς Διαταγὰς τὴν ἐπιστολὴν τοῦ Κλήμεντος πρὸς Κορινθίους, ῥητέον, ὅτι οὐδὲν ἐν αὐτῇ γέγραπται περὶ μοναρχικοῦ ἀξιώματος, μάλιστα δὲ ῥητῶς παρ' αὐτῆς καθαιρεῖται ἀπὸ τῆς Ῥώμης πᾶν μοναρχικὸν ἀξίωμα, καὶ γὰρ οὐ μόνον οὐ λέγει περὶ τοῦ Πάππα περὶ μοναρχικῆς ἀξίας οὐδὲν, ἀλλ' ὅλως οὐδὲ τοὺς τίτλους ἐπιγράφεται, οὓς οἱ μεταταῦτα Πάπαι συνεργείᾳ τοῦ πονηροῦ πνεύματος ἐφεῦρον, φησὶ δὲ μόνον, ἡ Ἐκκλησία τοῦ Θεοῦ ἡ παροικοῦσα Ῥώμην, τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ παροικούσῃ Κόρινθον. εἰ δὲ λέγει ἀποστολικὰς Διαταγὰς τὰς οὕτως ἐπιγραφομένας, λέγομεν ὅτι καὶ αὗται οὐ συνιστῶσιν, ἀλλ' ἀναιροῦσιν ἀπὸ πασῶν τῶν Ἐκκλησιῶν τὸ μοναρχικὸν ἀξίωμα, καὶ ἄθρει ἐν ἑνδεκάτῳ κεφαλαίῳ τοῦ δευτέρου βιβλίου λεγούσας τῷ Ἐπισκόπῳ, γνώριζε τὴν ἀξίαν καὶ τὴν ἐξουσίαν σου ὡς Θεοῦ τύπον ἔχων ἐν ἀνθρώποις, τῷ πάντων ἄρχειν ἀνθρώπων, ἱερέων, βασιλέων, ἀρχόντων, πατέρων, υἱῶν, διδασκάλων, καὶ πάντων ὁμοῦ τῶν ὑπηκόων, καὶ οὕτως ἐν Ἐκκλησίᾳ καθέζου τὸν λόγον ποιούμενος, ὡς ἐξουσίαν ἔχων κρίνειν τοὺς ἡμαρτηκότας, ὅτι ὑμῖν τοῖς Ἐπισκόποις εἴρηται, ὃ ἐὰν δήσητε καὶ λύσητε καὶ τὰ ἑξῆς. καὶ σημείωσαι πρῶτον, ὅτι ἡ ἀξία καὶ ἡ ἐξουσία παντὸς Ἐπισκόπου ἐστὶν εἰς τύπον Θεοῦ, οὐκ ἔστι δὲ μείζων τῆς τοῦ Θεοῦ, ἀλλ' οὐδὲ τοῦ τύπου αὐτοῦ. καὶ γὰρ οὐκ εἴρηται τύπος τύπου, ἀλλ' οὐδὲ εἴρηταί τι μέσον τοῦ Θεοῦ καὶ τοῦ τύπου αὐτοῦ. δεύτερον, ὅτι ὁ Ἐπίσκοπος ἄρχει πάντων, καὶ τῶν βασιλέων, ἤτοι κατὰ τὸ Ἐκκλησιαστικὸν δίκαιον, ὡς ἐροῦμεν καὶ ἀλλαχοῦ. ποῦ δὲ καὶ πότε εὗρεν ὁ Πάπας, τὸ κατ' ἄλλον τρόπον ἄρχειν τῶν βασιλέων; ἢ ἐκ ποίας γραφῆς ἀποστολικῆς θεολογοῦσιν οἱ Πάπαι ἔχειν μαχαίρας μίαν ἐκκλησιαστικὴν καὶ ἑτέραν πολιτικήν; τρίτον, ὅτι πᾶς Ἐπίσκοπος ἀξίαν καὶ ἐξουσίαν ἔχει κρίνειν τοὺς ἡμαρτηκότας. ποῦ δὲ εὗρεν ὁ Πάπας τὸ διακρίνειν τὰ ὑπὸ τῶν ἄλλων Ἐπισκόπων κεκριμένα; ἐν ποίᾳ γραφῇ; ἐν ποίαις διαταγαῖς; τέταρτον, ὅτι ἐξίσου οἱ Ἐπίσκοποι ἔχουσιν ἀξίαν καὶ ἐξουσίαν λύειν καὶ δεσμεῖν, εἶναι δέ τινα τούτων μείζονα οὐ λέγουσιν, ὥστε τῶν ἄλλων Ἐπισκόπων μᾶλλον λύειν καὶ δεσμεῖν, ἢ τὰ ὑπὸ τῶν ἄλλων Ἐπισκόπων δύνασθαι λύειν δεσμευθέντα, ὡς λέγουσι καὶ νομοθετοῦσιν οἱ Πάπαι. καὶ ἐν τῷ δεκάτῳ ὀγδόῳ κεφαλαίῳ τοῦ αὐτοῦ βιβλίου φασὶ, γνώριζε ὦ Ἐπίσκοπε τὸ ἀξίωμά σου, ὅτι ὡς τοῦ δεσμεύειν ἐκληρώσω τὴν ἐξουσίαν, οὕτω καὶ τοῦ λύειν. καὶ σημείωσαι ὅτι πᾶς Ἐπίσκοπος ἐκληρώσατο τὴν ἐξουσίαν τοῦ δεσμεῖν καὶ λύειν, πόθεν δὲ ἔλαβον οἱ Πάπαι λύειν τὰ παρὰ τῶν ἄλλων δεσμευθέντα; ὑπὸ τῆς γραφῆς; οὔ. ὑπὸ τῶν Ἀποστόλων καὶ τῶν ἀποστολικῶν; οὔ. ἀλλ' ἀπὸ τίνος; φανερὸν ὅτι ἀπὸ τοῦ ἀντικειμένου πνεύματος. ἐν δὲ τῷ εἰκοστῷ ἕκτῳ κεφαλαίῳ πάλιν τοῦ δευτέρου βιβλίου, τὸν Ἐπίσκοπον λέγουσιν εἶναι πατέρα, ἄρχοντα, ἡγούμενον, βασιλέα καὶ δυνάστην τῶν Χριστιανῶν, διδάσκαλον τῆς εὐσεβείας, καὶ ἐπίγειον μετὰ Θεὸν θεόν. καὶ ἐν τῷ εἰκοστῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ αὐτοῦ βιβλίου λέγουσι τὸν Ἐπίσκοπον κρείττονα, καὶ παραβάλλουσιν αὐτὸν τῷ Σαμουὴλ, τῷ Μωϋσῇ καὶ τῷ Ἀαρών. καὶ σημείωσαι, ὅτι εἰ μετὰ Θεὸν πατὴρ καὶ ἄρχων καὶ ἡγούμενος καὶ βασιλεὺς καὶ δυνάστης πᾶς Ἐπίσκοπος, οὐκ ἔστι δὲ ἀνὰ μέσον Θεοῦ καὶ τοῦ Ἐπισκόπου τούτου ἕτερός τις, ἄρα οὐκ ἔστι τις ἕτερος Ἐπίσκοπος ἢ ὁ Πάπας μείζων τῶν λοιπῶν Ἐπισκόπων ἐν τῇ Ἐκκλησίᾳ βασιλεὺς, πατὴρ, δυνάστης, ἡγούμενος, καὶ ἄρχων. μάτην ἄρα οἴεται ὁ Πάπας εἶναι κατά τινα ἰδιάζοντα ἢ ἐξαίρετον λόγον Ἀρχιερεὺς καὶ βασιλεύς. μάτην ὁ Πάπας Εὐγένιος εἶπεν ἐν τῷ ὅρῳ τῷ φλωρεντινῷ εἶναι πατὴρ κοινὸς τῶν Χριστιανῶν. δεύτερον, ὅτι πᾶς Ἐπίσκοπος λέγεται Θεὸς, καθ' ὃν μέντοιγε τρόπον ἡ γραφὴ εἴρηκε, Θεοὺς οὐ κακολογήσεις, καὶ ἐγὼ εἶπα Θεοὶ ἐστὲ, οὐ μὴν καὶ ὡς ὁ Πάπας βούλεται λέγεσθαι Θεὸς ὡς πάντα δυνάμενος, καὶ τοῖς πᾶσι τὰ πάντα μερίζων, ὡς ἐφλυάρησεν ὁ Λειγαρίδης ἐν τῷ πρὸς τὸν Πάπαν Οὐρβανὸν προσφωνητικῷ, ἐν τῇ ἀρχῇ τοῦ κατὰ Βαρλαὰμ τοῦ Ἀρκουδίου συγγράμματος κειμένῳ, τοῦτο γὰρ προφανὴς ἀντιθεϊσμός ἐστι. καὶ ἐν τῷ τεσσαρακοστῷ πέμπτῳ κεφαλαίῳ τοῦ ἑβδόμου βιβλίου ἐν τῷ καταλέγειν τοὺς ὑπὸ τῶν Ἀποστόλων κεχειροτονημένους, πρῶτον εἶπον περὶ τῶν ἐν Ἱεροσολύμοις, δεύτερον περὶ τῶν ἐν Ἀντιοχείᾳ, τρίτον περὶ τῶν ἐν Ἀλεξανδρείᾳ, καὶ τέταρτον περὶ τῶν ἐν Ῥώμῃ. φασὶ δὲ περὶ τῶν ἐν Ῥώμῃ πρῶτος μὲν Λῖνος ὑπὸ τοῦ Παύλου,

δεύτε-

δεύτερος δὲ Κλήμης ὑπὸ τοῦ Πέτρου. ἐν οἷς σημείωσαι δύο, πρῶτον μὲν, ὅτι ἐπειδὴ ἡ Ἱερουσαλὴμ, ἡ Ἀντιόχεια, καὶ ἡ Ἀλεξανδρεια προτάσσονται τῆς Ῥώμης, οὐκ ἦν οὐδὲ καὶ πρῶτος ὁ Ῥώμης, οὔτε μὴν μονάρχης. δεύτερον δὲ, ὅτι οὐκ ἔστι διάδοχος τοῦ Πέτρου ὁ Ῥώμης, ἀλλὰ διάδοχος τοῦ Παύλου καὶ τοῦ Πέτρου, ὁ δὲ Παῦλος οὐκ ἦν οὐδὲ πρῶτος οὐδὲ μονάρχης, ἄρα οὐδὲ ὁ Ῥώμης. τέως, ἐν τῷ δεκάτῳ κεφαλαίῳ τοῦ ὀγδόου βιβλίου φασὶν, ὑπὲρ τοῦ Ἐπισκόπου ἡμῶν Ἰακώβου καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν. ὑπὲρ τοῦ Ἐπισκόπου ἡμῶν Κλήμεντος δεηθῶμεν. καὶ σημείωσαι ὅτι προτάττουσι τὸν Ἱροσολύμων τοῦ Ῥώμης, καὶ τὸ, ὁ Ἐπίσκοπος ἡμῶν Ἰάκωβος, καὶ ὁ Ἐπίσκοπος ἡμῶν Κλήμης, δι' ὧν ἁπάντων αἱ ἀποστολικαὶ Διαταγαὶ ἀδελφικὴν ἰσότητα δηλοῦσι, πᾶν δὲ μοναρχικὸν ἀξίωμα ἀπὸ πασῶν τῶν Ἐκκλησιῶν καθαιροῦσι. δέκατον, περὶ τοῦ Πατριάρχης ὀνόματος εἰπὼν ἀνωτέρω, οὐδὲ τὸν χρόνον τοῦ ψεύδους ἀπήλλαξε, τὸ γὰρ Πατριάρχης ὄνομα ὑστερογενές ἐστι, καὶ ὑπὸ τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου ἐπί τε Πατριαρχῶν, καί τινων Μητροπολιτῶν ἐῤῥέθη, ἥτις μετὰ ἑκατὸν ὀγδοήκοντα ἐννέα ἔτη ἀπὸ τῆς ἀρχιερατείας τοῦ Βίκτορος ἐγένετο. ἑνδέκατον, καὶ αὐτὸ τοῦτο τὸ ἀνακρίνεσθαι ἐπὶ τὸν Ἔξαρχον τῆς διοικήσεως, πρῶτον μὲν ἐῤῥέθη ὑπ' αὐτῆς, ἤτοι τῆς Οἰκουμενικῆς δευτέρας Συνόδου, κανόνι ἕκτῳ, μετὰ δὲ ταῦτα ἐῤῥέθη ὑπὸ τῆς ἐν Χαλκηδόνι τετάρτης Συνόδου ἐν τῷ ἐνάτῳ καὶ δεκάτῳ ἑβδόμῳ τοῖς κεφαλαίοις τῶν κανόνων αὐτῆς ἄνευ προσθήκης. ἡ μὲν γὰρ δευτέρα εἶπεν, εἰς τὴν Σύνοδον τῆς διοικήσεως. ἡ δὲ τετάρτη, εἰς τὸν Ἔξαρχον τῆς διοικήσεως. τὸ δὲ λεγόμενον ἐν τῇ ἐπιστολῇ ταύτῃ, ἢ εἰς τὸν κοινὸν τῆς ἐκκλησιαστικῆς καθέδρας θρόνον, προσθήκη ἐστίν. οὐδεὶς γὰρ ἀποστολικὸς, ἢ συνοδικὸς, ἢ πατρικὸς κανὼν, ἢ ἀποστολικὴ διαταγὴ τὸ τοιοῦτον πώποτε εἶπεν. ἡ δὲ παροῦσα ἐπιστολὴ τὸ μὲν μετὰ τοσαῦτα ἔτη ῥηθὲν, ἤτοι Πατριάρχην καὶ ἔξαρχον διοικήσεως, λέγει, τὸ δὲ ἢ εἰς τὸν Κωνσταντινουπόλεως θρόνον, ἀφῃρηκυῖα, τὸ εἰς τὸν κοινὸν τῆς ἀποστολικῆς Ἐκκλησίας θρόνον προστέθεικεν. ἀνθ' ὧν ψευδὴς καὶ πλασματώδης, καὶ δὴ καὶ ἀλλόκοτός ἐστιν. ὅθεν καὶ οἱ παπισταὶ ἀποστολικὴν Διαταγὴν εἰπόντες, καὶ τόπόν τινα ἀποστολικὸν ταῦτα λέγοντα δεῖξαι μὴ ἔχοντες, καὶ τὴν ἀπὸ τοῦ πλάσματος τούτου ἐπαγομένην αὐτοῖς κατάκρισιν προβλέποντες, παραγράφουσι λέγεσθαι ταῦτα ἐν τῇ τοῦ Κλήμεντος πρώτῃ ἐπιστολῇ, ἣ λέγεται γεγράφθαι πρὸς τὸν Ἀδελφόθεον Ἰάκωβον, καὶ ἐν τῷ δεκάτῳ ἑβδόμῳ κανόνι τῆς ἐν Χαλκηδόνι Συνόδου. ἀλλὰ περὶ μὲν τῆς τοῦ Κλήμεντος πρὸς τὸν Ἰάκωβον ἐπιστολῆς εἴρηται ἀνωτέρω κεφαλαίῳ δευτέρω. εἴρηται δὲ καὶ ἐνταῦθα ἱκανῶς περὶ τοῦ κανόνος τῆς ἐν Χαλκηδόνι Συνόδου, ἧς μετὰ διακόσια πεντήκοντα καὶ ἓξ ἔτη ἀπὸ τῆς τοῦ Βίκτορος ἀρχιερατείας ἀθροισθείσης, οὐκ αἰσχύνονται λέγειν οἱ τὴν ἐπιστολὴν ταύτην τοῦ Βίκτορος πλάσαντες ἐν αὐτῇ τῇ ἐπιστολῇ, ἅπερ εἴρηται ἐν τῷ κανόνι τῆς Συνόδου ταύτης πρὸ τοσούτων χρόνων. δωδέκατον, λέγει τέταρτον, ὅτι ὁμὴ τηρῶν τὰς ἀποφάσεις τοῦ Πάπα, παραβαίνει τοὺς ὅρους καὶ τὰς ἀποφάσεις τῶν Ἀποστόλων, ὅθεν καὶ ἁμαρτάνει ὁ ἄλλως βουλόμενος κρίνειν τοὺς Ἐπισκόπους παρὰ τὰ ἀρέσκοντα τῷ ἀποστολικῷ θρόνῳ, ὅπερ καὶ τοῦτο ψεῦδος ἐστίν. εἴρηται γὰρ ἀνωτέρω, ὅτι οἱ ὅροι καὶ αἱ ἀποφάσεις τῶν Ἀποστόλων κατὰ τοῦ μοναρχικοῦ πρωτείου φέρονται. εἰ δὲ ἄλλοι τινὲς ὅροι καὶ ἀποφάσεις τῶν Ἀποστόλων παρὰ τοὺς κανόνας καὶ τὰς Διαταγὰς αὐτῶν εἰσιν, ἔδει τὴν ἐπιστολὴν μνησθῆναι αὐτῶν, ἀλλ' οὐκ ἐμνήσθη, οὐκ εἰσὶ γὰρ, καὶ διατοῦτο ψευδὴς ἡ ἐπιστολὴ προδήλως, καὶ πλάσμα παντάπασίν ἐστι. καὶ ταῦτα μὲν περὶ τῶν ἐν αὐτῇ σεσωρευμένων ψευδῶν. περιέχεται δὲ ἐν αὐτῇ ὡς ἀνωτέρω εἴρηται καὶ ἄκρα βλασφημία. ἀπὸ γὰρ τοῦ ἑβδόμου ἐδαφίου τοῦ πεντηκοστοῦ κεφαλαίου ἕως τοῦ ἕκτου ἐδαφίου τοῦ πεντηκοστοῦ πρώτου κεφαλαίου τοῦ Προφήτου Ἡσαΐου, τὴν περικοπὴν τῆς γραφῆς τὴν περὶ τοῦ Θεοῦ Πατρὸς καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διαλαμβάνουσαν ἡ ἐπιστολὴ περὶ τοῦ Πάπα ἐκλαμβάνει. καὶ λοιπὸν δυοῖν θάτερον, εἰ μὲν οἱ ἅγιοι πατέρες ταύτην τὴν περικοπὴν τῆς ἁγίας γραφῆς ἑρμηνεύουσι περὶ τοῦ Πάπα καὶ τοῦ πρωτείου αὐτοῦ, ἁγία καὶ ἀληθὴς ἡ ἐπιστολὴ αὕτη τοῦ Βίκτορος πρὸς τὸν Θεόφιλον, εἰ δὲ περὶ τοῦ Θεοῦ ἐκλαμβάνουσι, ψευδὴς ἡ ἐπιστολὴ καὶ πλάσμα καὶ ἀσεβεστάτη ἐστὶν, ἀλλαμὴν οὐκ ἔστι τὸ πρῶτον, ἄρα τὸ δεύτερον.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ΙΑ'. ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ ἀποδείξεως ἐκ τῶν χρόνων σαφεστάτης, ὅτι τὰ τοῦ Βέδα εἰσὶ παπιστικῆς προσθήκης, καὶ περὶ τῆς λαμπρᾶς καταστροφῆς τῆς μοναρχίας τοῦ Ῥώμης ἐκ τῶν ἀνωτέρω εἰρημένων καὶ συναγομένων ἑνδεκαχῶς.

Πρὸς δὲ τὰ τοῦ Βέδα ῥητέον πρῶτον, ὅτι οὐκ εἰσὶν αὐτοῦ, ἀλλὰ προσθήκη καὶ ταῦτα παπιστική ἐστιν. ὁ γὰρ Βέδας ἤκμαζεν ἐν τῷ ἑπτακοσιοστῷ τριακοστῷ πρώτῳ ἔτει, σύγχρονος ὢν Ἰωάννῃ τῷ Δαμασκηνῷ, ὅτε περὶ τοῦ τοιούτου πομπηικοῦ πρωτείου οὐδὲ μία ἦν εἴδησις οὐδὲ λόγος ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ, καὶ πῶς ὁ Βέδας ἔγραφεν ὅπερ ἦν ἀνήκουστον τὸ παράπαν ἐν πάσαις ταῖς Ἐκκλησίαις; δεύτερον, περὶ τῶν ἀρχαίων μᾶλλον πιστεύομεν τοῖς ἀρχαιοτέροις, ὁ γὰρ Εὐσέβιος, ὡς εἴρηται ἀνωτέρω, φησὶ, Σύνοδοι δὴ καὶ συγκροτήσεις Ἐπισκόπων ἐπιταυτὸν ἐγένοντο, πάντες τε μιᾷ γνώμῃ δι' ἐπιστολῶν ἐκκλησιαστικὸν δόγμα τοῖς πανταχόσε

διε-

διετυπῶντο, βιβλίῳ πέμπτῳ, κεφαλαίῳ εἰκοστῷ τρίτῳ. καταλέγων δὲ ὁ Εὐσέβιος ἐν τῷ αὐτῷ τόπῳ τινὰς τῶν τότε γινομένων Συνόδων, λέγει, φέρεται δ' εἰσέτι νῦν τῶν κατὰ τὴν Παλαιστίνην τηνικάδε συγκεκροτημένων γραφὴ, ὧν προὐτέτακτο Θεόφιλος τῆς ἐν Καισαρείᾳ παροικίας Ἐπίσκοπος, καὶ Νάρκισσος τῆς ἐν Ἱεροσολύμοις, καὶ τῶν ἐπὶ Ῥώμης δ' ὁμοίως ἄλλη, περὶ τοῦ αὐτοῦ ζητήματος Ἐπίσκοπον Βίκτορα δηλοῦσα, τῶν τε κατὰ Πόντον Ἐπισκόπων, ὧν Πάλμας ὡς ἀρχαιότατος προὐτέτακτο, καὶ τῶν κατὰ Γαλλίαν δὲ παροικιῶν, ἃς Εἰρηναῖος ἐπεσκόπει, ἔτι τε τῶν κατὰ τὴν Ὀσροήνην, καὶ τὰς ἐκεῖσε πόλεις, καὶ ἰδίως Βακχύλου τῆς Κορινθίων Ἐκκλησίας Ἐπισκόπου, καὶ πλείστων ὅσων ἄλλων, οἱ μίαν καὶ τὴν αὐτὴν δόξαν τε καὶ κρίσιν ἐξενηνεγμένοι, τὴν αὐτὴν τέθεινται ψῆφον, καὶ τούτων μὲν ἦν ὅρος εἷς ὁ δεδηλωμένος ὧδε. ταῦτα ὁ Εὐσέβιος. ἐκ τούτων δὲ τῶν ῥημάτων γίνεται δῆλον, πρῶτον, ὅτι ζητήσεως ἀνακινηθείσης περὶ τοῦ Πάσχα, οὐκ ἠρωτήθη ὁ Πάπας περὶ αὐτῆς ἵνα κρίνῃ καὶ ψῆφον ἐξενέγκῃ. αἱ γὰρ Σύνοδοι καὶ συγκροτήσεις τῶν Ἐπισκόπων οὐκ ἐξεπιταγῆς τοῦ Πάπα ἐγένοντο, ἀλλ' ἀπὸ τῆς ἰδίας τῶν Ἐπισκόπων θελήσεως. δεύτερον, ὅτι οὐ μόνον αἱ ὀνομαστὶ εἰρημέναι Σύνοδοι ἠθροίσθησαν, ἀλλὰ καὶ ἄλλαι πλεῖσαι ἐν πολλαῖς παροικίαις. τρίτον· ὃν τρόπον τῆς ἐν Καισαρείᾳ Συνόδου πρωτεύων ἦν ὁ Θεόφιλος, καὶ τῆς ἐν Ἱεροσολύμοις ὁ Νάρκισσος, καὶ τῆς ἐν Πόντῳ ὁ Πάλμας, καὶ τῆς ἐν Γαλλίᾳ ὁ Εἰρηναῖος, καὶ τῆς ἐν Κορίνθῳ ὁ Βακχύλος, οὕτω καὶ τῶν ἐπὶ Ῥώμης Ἐπισκόπων προὐτέτακτο ὁ Βίκτωρ, καὶ γὰρ οὐδεμίαν ἐξαίρεσίν τινος Ἐπισκόπου ποιεῖται ὁ ταῦτα ἱστορῶν. τέταρτον, ὅτι προαριθμεῖται τῆς ἐν Ῥώμῃ Συνόδου καὶ τοῦ ταύτης προκαθημένου Βίκτορος ὁ Καισαρείας, καὶ ὁ Ἱεροσολύμων μετὰ τῶν ἰδίων Συνόδων. πέμπτον, ὅτι οὐκ ἐξηκολούθησαν τῷ Πάπᾳ αἱ Σύνοδοι, ἀλλὰ πᾶσαι μιᾷ γνώμῃ τὸ αὐτὸ ἐκκλησιαστικὸν δόγμα διετυπῶντο. ἕκτον, ὅτι οὐ μόνον ὁ Βίκτωρ ἔγραψεν ἐπιστολὴν περὶ τοῦ Πάσχα, ἀλλὰ καὶ αἱ λοιπαὶ Σύνοδοι. ἕβδομον, ὅτι ὁ Βίκτωρ οὐκ ἔγραψεν ἰδικὴν ἐπιστολὴν, ἀλλ' οἱ μετ' αὐτοῦ συνελθόντες ἐν Ῥώμῃ Ἐπίσκοποι, καθ' ὃν τρόπον ἔγραψε καὶ ὁ Καισαρείας Θεόφιλος μετὰ τῶν σὺν αὐτῷ Ἐπισκόπων. ὄγδοον, οὐκ ἔγραφεν ἕτερα ἡ τοῦ Καισαρείας, καὶ ἕτερα ἡ τοῦ Ῥώμης, ἀλλ' ὁμοίως περὶ τοῦ αὐτοῦ ζητήματος ἦν καὶ ἡ τοῦ Καισαρείας, καὶ ἡ τοῦ Ῥώμης, καὶ αἱ τῶν λοιπῶν Ἐπισκόπων ἐπιστολαί. ἔνατον, ὅτι οὐδεὶς ἔκρινεν ἰδίως περὶ τοῦ προκειμένου ζητήματος, ὡς ἔχοι αὐτῷ καὶ τοὺς λοιποὺς ἐξακολουθοῦντας, ἀλλὰ πάντες τὴν αὐτὴν δόξαν τε καὶ κρίσιν ὡσαύτως ἐξέθεντο, καὶ τὴν αὐτὴν ψῆφον, καὶ τὸν αὐτὸν ὅρον τέθεινται. δέκατον, ὅτι ὃν τρόπον αἱ λοιπαὶ πᾶσαι τῶν ἁπανταχοῦ Ἐπισκόπων Σύνοδοι ἄνευ τῆς ἐπιταγῆς καὶ ἐπιστολῆς τοῦ Βίκτορος συνῆλθον, οὕτως ἠθροίσθη καὶ ἡ ἐν Καισαρείᾳ ὑπὸ Θεοφίλου. ταῦτα δὲ πάντα καταστροφή ἐστι λαμπρὰ παντὸς μοναρχικοῦ ἀξιώματος. ἐνδέκατον, ὅτι οὐ μόνον ὁ Καισαρείας καὶ ὁ Ῥώμης, καὶ οἱ εἰρημένοι, ὅσοι τε ἄλλοι ἐπόιησαν Συνόδους, γεγράφασι περὶ τοῦ Πάσχα, ἀλλ' ἰδίως καὶ ὁ Εἰρηναῖος, ὃς οὐ μόνῳ τῷ Βίκτορι, ἀλλὰ καὶ διαφόροις ἄρχουσι τῶν Ἐκκλησιῶν τὰ κατάλληλα δι' ἐπιστολῶν περὶ τοῦ κεκινημένου ζητήματος ὡμίλει, Εὐσέβιος βιβλίῳ πέμπτῳ, κεφαλαίῳ εἰκοστῷ ἕκτῳ. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι τὰ κατάλληλα ὡμίλει, ἤτοι τὰ αὐτὰ, καὶ ὡσαύτως ἔγραφε περὶ τοῦ Πάσχα πρός τε τὸν Ῥώμης, καὶ πρὸς τοὺς πλείστους τῶν Ἐκκλησιῶν ἄρχοντας. δεύτερον, ὅτι πολλῶν ὄντων τῶν ἐκκλησιαστικῶν ἀρχόντων, εἷς αὐτῶν ἐστι κἀνταῦθα ὁ Ῥώμης, οὐ γὰρ ἐξαιρεῖ αὐτὸν τῶν λοιπῶν ἐκκλησιαστικῶν ἀρχόντων, ἅτε ἕνα καὶ αὐτὸν τούτων ὄντα, τουτέστιν ἰσότιμον καὶ ἰσοδύναμον τοῖς λοιποῖς ἄρχουσι.

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ ΙΑ΄. ΠΑΡΑΓΡΑΦΟΝ Η΄.

Περὶ τῶν λεχθέντων ὑπὸ τῆς ἐν Καισαρείᾳ τῆς Παλαιστίνης Συνόδου ἐν κοινῇ ἐπιστολῇ διὰ τὴν τοῦ Πάσχα ἡμέραν, ἐξ ἧς ἐπιστολῆς δείκνυται μὴ γεγραφέναι τὸν Βίκτορα εἰς Παλαιστίνην περὶ ἀθροίσεως Συνόδου, ὅθεν καὶ ἐκ τούτων οἴχεται τὸ μοναρχικὸν τοῦ Πάπα.

Ἔτι ὁ αὐτὸς Εὐσέβιος φησὶν, οἵ γε μὴν ἐπὶ Παλαιστίνης, οὓς ἀρτίως διεληλύθαμεν, ὅ, τε Νάρκισσος καὶ Θεόφιλος, καὶ σὺν αὐτοῖς Κάσσιος τῆς κατὰ Τύρον Ἐκκλησίας Ἐπίσκοπος, καὶ Κλάρος τῆς ἐν Πτολεμαΐδι, οἵ τε μετὰ τούτων συνεληλυθότες περὶ τῆς κατελθούσης εἰς αὐτοὺς ἐκ διαδοχῆς τῶν Ἀποστόλων περὶ τοῦ Πάσχα παραδόσεως πλεῖστα διειληφότες κατὰ τὸ τέλος τῆς γραφῆς, αὐτοῖς ῥήμασιν ἐπιλέγουσι ταῦτα, τῆς δ' ἐπιστολῆς ἡμῶν πειράθητε κατὰ πᾶσαν παροικίαν ἀντίγραφα διαπέμψασθαι, ὅπως μὴ ἔνοχοι ὦμεν τοῖς ῥᾳδίως πλανῶσιν ἑαυτῶν τὰς ψυχάς. δηλοῦμεν δὲ ὑμῖν ὅτι τῇ αὐτῇ ἡμέρᾳ καὶ ἐν Ἀλεξανδρείᾳ ἄγουσιν ᾗπερ καὶ ἡμεῖς, παρ' ἡμῶν δὲ τὰ γράμματα κομίζεται αὐτοῖς, καὶ ἡμῖν παρ' αὐτῶν, ὥστε συμφώνως καὶ ὁμοῦ ἄγειν ἡμᾶς τὴν ἁγίαν ἡμέραν, βιβλίῳ πέμπτῳ, κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ. ἐξ ὧν δῆλον γίνεται, ὅτι οἱ ἀπὸ Παλαιστίνης καὶ Φοινίκης πρωτεύοντες Ἐπίσκοποι, ἤτοι ὁ Ἱεροσολύμων, ὁ Καισαρείας, ὁ Τύρου, ὁ Πτολεμαΐδος, μετὰ καὶ ἄλλων Ἐπισκόπων πολλῶν συνῆλθον, οὐκ ἀπὸ προσταγῆς μείζονός τινος Ἐπισκόπου, οὐδὲ τῷ Βίκτορι, ἢ ἄλλῳ τινὶ Ἐπισκόπῳ ἐξηκολούθησαν, οὐδέγε παρέλαβον ἢ ἐδιδάχθησαν

40

χθησαν παρ' ἄλλα τινὸς περὶ τῦ Πάσχα, ἀλλὰ περὶ τῆς κατελθύσης εἰς αὐτὸς ἐκ Διαδοχῆς τῶν Ἀποστόλων περὶ τῦ Πάσχα παραδόσεως πλεῖσα διαληφότες, ἤτοι ἐξετάσαντες, ἐρμωδύσαντες, ψηφισάμβροι, ἔγραψαν τῷ ἀπόφασιν αὐτῶν ἐν ἐπιστολῇ κοινῇ. δβύτερον, ὅτι ἐκ εἶπον ἐν τῇ ἐπιστολῇ, ἴτως ὥρισεν ὁ Βίκτωρ, ἢ ἄλλο τι τῶν ὧν λέγει ὁ Βέδας, ἀδὲ ἔγραψεν τῷ ἐπιστολῷ πρὸς μόνας τὰς ἰδίας αὐτῶν παρθικίας, ἀλλὰ καὶ πρὸς ἃς ἐπέμφθη, ἵνα πέμψωσιν αὐτῷ γράφα καὶ πᾶσαν παρθικίαν. τέτρτον, εἰ μοναρχης ἦν ὁ Ῥώμης, καὶ εἰ ὡς μοναρχης ἔγραψε τῷ Καισαρείας, πῶς ἐκ ἔγραψε καὶ πᾶσαν παρθικίαν; ἀλλ' ἐπειδὴ αὕτη ἡ Παλαισινὴ Σύνοδος γράφει καὶ πᾶσαν παρθικίαν, δῆλον ὅτι ἐγέγραφεν ὁ Ῥώμης, καὶ λοιπὸν ἐν τῇ Ἐκκλησίᾳ ἐκ ἦν μοναρχία, ἀλλὰ συμφωνία καὶ ἰσότης. πέταρτον, ὅτι οἱ πατέρες τῆς Συνόδου ἐκ εἶπον παρθένια ἀπὸ τῦ Ῥώμης, ἤτοι τῆς Ῥωμαίων Ἐκκλησίας, ἀλλ' ἀπὸ τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας. πέμπτον, δείκνυται ἐκ ταύτης τῆς ὑποσολῆς, ὅτι ἀδ' ὅλως ὁ Βίκτωρ ἔγραψεν εἰς Παλαισίνην περὶ ἀθρίσεως Συνόδου, λέγει γὰρ, ὅτι παρ' ἡμῶν γράμματα κομίζονται εἰς Ἀλεξάνδρειαν, καὶ τῶν ἐν Ἀλεξανδρείᾳ κομίζονται γράμματα πρὸς ἡμᾶς. ἔκτον, ὅτι ἀ τῇ τῶν Ῥωμαίων Ἐκκλησίᾳ, ἀλλὰ τῇ ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίᾳ συμφώνως λέγουσιν ἑορτάζειν τὸ Πάσχα. ἕβδομον, ἐκ αὐτὸς γράφει τῷ ὑποσολὴν ὁ Θεόφιλος, ἀλλ' οἱ εἰρημβροι τῶν Ἐκκλησιῶν ἄρχοντες, καὶ μεθ' αὐτῶν Ἐπίσκοποι κοινῶς καὶ ἐξ ἰδίας αὐθεντείας. ὅγδοον, ἐκ τύτων πάντων δηλῦται ψεῦδος εἶναι ὃ λέγεται ὑπὸ τῦ Βέδα, ἢ ἐπ' ὀνόματι τῦ Βέδα, ἤτοι τὸν Θεόφιλον ἐκ διαφόρων Ἐπαρχιῶν τῇ τῦ Βίκτορος προσαγῇ Σύνοδον ἀθροίσαντα, προβαλεῖν τοῖς τῆς Συνόδου Ἐπισκόποις τῷ ἐπιστολὴν καὶ τὴν ἐντολὴν αὐτῦ, καὶ τὸ τὸν Βίκτορα πρὸς Θεόφιλον γράψαι περὶ τῦ διδαχθῆναι ἐν τῇ χώρᾳ, ἐν ᾗ σωματικῶς ὁ Κύριος διέτριψε, ἵνι τρόπῳ πανηγυρισέον τὸ Πάσχα, ἰδὲ γὰρ ὁ Εὐσέβιος λέγει, μὴ ἠγνοηκέναι τὰς ἐν τῇ Παλαισίνῃ τῷ ἁρμόζασαν τοῦ Πάσχα ἡμέραν, ἤτοι τῷ Κυριακὴν, ἀλλὰ συνελθόντας περὶ τῦ Πάσχα, ὅπερ κατῆλθε πρὸς αὐτὸς ἀπὸ τῆς τῶν Ἀποστόλων διαδοχῆς, γεγραφέναι δι' ὑποσολῆς, καὶ συμβεβληκέναι καὶ ἄλλοις ἵνα πέμψωσι τὰ τῆς ὑποσολῆς ἀντίγραφα κατὰ πᾶσαν παρθικίαν.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ΙΑ'. ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι καὶ ἐκ τῆς πράξεως ταύτης τῆς ἐν Καισαρείᾳ τῆς Παλαισίνης Συνόδου δείκνυται τὰ τῦ Βέδα, ἢ τὰ ἐπ' ὀνόματι τῦ Βέδα ψευδέσατα.

Τέτρ δὲ καὶ ἐκ τῆς πράξεως τῆς Συνόδου ταύτης, ἥτις κεῖται παρὰ τῷ Βέδᾳ δείκνυται, καὶ γὰρ τὰ μὲν πρεσβυτέρα τινα προγράφεται, ὡς εἰρῆναι, ὑπὸ τῦ Βέδα ἢ ἐπ' ὀνόματι τῦ Βέδα περὶ τῆς συνοδικῆς πράξεως, ψευδέσατα καὶ πλάσματα ἀπεδείχθη, ἡ δὲ συνοδικὴ πρᾶξις ἀληθής ἐσιν, ἐν αὐτῇ γὰρ οἱ Ἐπίσκοποι ἐνόμως ἀρξάμβροι, καὶ ζητήσαντες ἐν ποίᾳ ὁ Θεὸς ἡμέρᾳ ἤρξατο τῆς κοσμογενεσίας, καὶ ἄλλα τινὰ ἐπόντες πρόσφορα τῷ προκαμβύῳ ζητήματι, διώρισαν ἑορτάζεσθαι τὸ Πάσχα ἐν ἡμέρᾳ Κυριακῇ, μὴ μνησθύτες ἀδὲ τῦ Ῥώμης, ἀδὲ ἑτέρα τινὸς Ἐπισκόπα ὑπαγῆς, ἢ συμβυλῆς καὶ διδασκαλίας, ἀλλ' ὡς ἔλεγον ὁ Ταράσιος ἐν τῇ ἑβδόμῃ Συνόδῳ, γραφικῶς καὶ ἐρμηνικῶς, συλλογισικάς τε καὶ ἀποδεικικῶς ἐξετάσαντες, καὶ πρὸς τύτοις, τῇ ἀποσολικῇ παραδόσει ἀκολυθήσαντες, ἴτως ὡμολόγησαν, ἐστοίχησαν, καὶ ἐβεβαίωσαν.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ΙΑ'. ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ ἀνιθέσεων τῶν παπισῶν, καὶ πρῶτον περὶ τῆς πρώτης τῆς περὶ τῆς διαφωνίας τῦ Πάσχα, ἣς φασι μὴ ἐχέσης διαφορὰν περὶ τὴν πίσιν, ἀλλὰ νομίμων τινῶν ἕνεκα συμβεβηκύας ἐκκλησασικῶν, ἐκ ἔπεται τὰς τῆς Ἀσίας Ἐπισκόπας μὴ πειθύτας τῇ τῦ Πάπα διαταγῇ νομίζειν αὐτὸν ὑποκεῖσθαι σφάλματι, καὶ περὶ ἀπαντήσεως πρὸς αὐτὴν πρόσφορα.

Ἔτι Ἀντιθέσεως τῶν παπισῶν, καὶ πρώτη, αὕτη ἡ περὶ τῆς ἑορτῆς τῦ Πάσχα διαφωνία, ἣν φασι μὴ εἶναι διαφορὰν περὶ τὴν πίσιν, ἀλλὰ περὶ νομίμων τινῶν ἐκκλησασικῶν, ὅθεν ἐκ ἕπεται τὰς τῆς Ἀσίας Ἐπισκόπας τῇ τῦ Πάπα διαταγῇ μὴ πειθομβρας, νομίζειν αὐτὸν ὑποκεῖσθαι σφάλματι. Ἀλλὰ ῥητέον, πρῶτον, ὅτι ἀ νομίζεται παρὰ τῶν παπισῶν μικρτέρα ἡ ἐξυσία τῦ Πάπα, ἡ ἀναμαρτησία ἐν τοῖς νομίμοις, ἢ ἐν τοῖς τῆς πίσεως, ὁπότε αὐτὸς ἀποδοκιμάζει νόμιμόν τι ὡς ἐναντίον τῇ παραδόσει, ἢ ἄλλο τι ὡς τῇ παραδόσει σύμφωνον κυρῶ, καὶ προτάτοι τηρεῖσθαι, καὶ πρὸς διατήρησιν ἀσφαλῆ, ἐκτίθεται καὶ Κανόνα τινά. ἀναντίῤῥητόν ἐσιν, ὅτι θέλυσιν οἱ Ῥωμαῖοι πείθεσθαι ἡμᾶς ἐν τύτοις ὡσαύτως, ὥσπερ λύει διαφορὰν τινα περὶ θεωρητικῶν πραγμάτων, ἤτοι περὶ τὴν πίσιν ὁ Πάπας. δβύτερον, ὅτι πρὸ τῦ κινηθῆναι τὸ πρᾶγμα, ἤτοι πρὸ τῦ τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὰ Πάσχα εἰς ζήτησιν ἐλθεῖν, οὐκ ὀνόμιζον οἱ τε Ῥωμαῖοι καὶ οἱ Ἀσιανοὶ ἔχειν τὴν διαφορὰν περὶ τὴν πίστιν, ὅθεν κατὰ τὸν Εὐσέβιον Ἀνίκητος καὶ Πολύκαρπος οἱ θεοφόροι μὴ συμφωνήσαντες περὶ τούτου, ἀπηλλάγησαν ἀλλήλων μὴ φιλερισήσαντες, ἀλλ' ἔχοντες τὴν κοινωνίαν ἐν τῇ Ἐκκλησίᾳ. τὸ δὲ Λίκτορος ἀναιδῶς καθαψάμενος καὶ φανερῶς τῶν Ἀσιανῶν, καὶ ὥσπερ τὸ δέον φιλερισήσαντος, ἡ διαφωνία ἐνομίσθη διαφορὰ περὶ τὴν πίστιν. ὅτερ ἀληθὲς ἐστιν ἐκ τοῦ Εὐσεβίου, ῥητέον ὅμως καὶ κατὰ τὸν Βελλαρμῖνον τοῦτον ἐξαμαρτυρόμενον. λέγει γάρ, ἐπειδὴ ὁ Πάπας Βίκτωρ ἐθεώρει τὴν περὶ τὸ Πάσχα διαφορὰν μὴ εἶναι διαφορὰν μόνης διαταγῆς, ἀλλὰ φέρεσθαι μεθ' ἑαυτῆς αἵρεσιν, καὶ μέλλοντα αὐτὸν τὸν Ἰουδαϊσμὸν δικαίως ἀπαλλαῦ ὠήθη. ἦρξε δὲ ἡ γνώμη τοῦ Βίκτορος ἐκ τῆς ἐν Νικαίᾳ Συνόδου πατρόθεν, ὡς δηλοῖ Εὐσέβιος βιβλίῳ τρίτῳ εἰς τὸν βίον Κωνσταντίνου, καὶ μετέπειτα αἱρετικοὶ ἐνομίσθησαν οἱ Τεσσαρεσκαιδεκατῖται, ὡς δῆλον ἐστὶν ἐκ τοῦ Ἐπιφανίου αἱρέσει πεντηκοστῇ, καὶ τοῦ Αὐγουστίνου αἱρέσει ἑκατοστῇ ἑβδόμῃ. ταῦτα περὶ τοῦ Πάπα βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ. σημείωσαι δὲ ὅτι ὁ λόγος ὅτος τοῦ Βελλαρμίνου ἀντιῤῥητός ἐστιν, ὡς ἐκ τοῦ Αὐγουστίνου καὶ τοῦ Ἐπιφανίου καὶ τῆς ἐν Νικαίᾳ Συνόδου βεβαιούμενος. τέλειον, ἀλλὰ καὶ ἀπὸ τῆς γνώμης τῶν ἀνθικειμένων τῷ Βίκτορι Ἀσιανῶν τοῦτο δῆλον γίνεται. καὶ γὰρ ὁ Πολυκράτης ὥσπερ ἐγκαυχώμενος τῇ πρὸς τὸν Βίκτορα ἐπισολῇ εἰς τὴν μίμησιν τῶν προγενεστέρων αὐτοῦ, ἔτω φησὶν, ὅτι πάντες τὴν ἡμέραν τοῦ Πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ τῆς Σελήνης κατὰ τὸ Εὐαγγέλιον ἐτήρησαν, ὐδὸν παρεκβαίνοντες, ἀλλὰ κατὰ τὸν Κανόνα τῆς πίστεως ἀκολουθοῦντες. ἔλη δὲ ὁ μικρότερος πάντων ὑμῶν ὁ Πολυκράτης ἀπὸ γένους μου ἐστὶ τοῖς πληθομμοίοις, οἱ γὰρ ἐμοῦ μείζονες εἰρήκασι. πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις. Εὐσεβίου βιβλίῳ πέμπτῳ, κεφαλαίῳ εἰκοστῷ πέμπτῳ. ἐν οἷς σημείωσαι κατὰ τὸν Εὐγούνιον τὸν Λομπάρδον, ὅτι τὸ ἐθος τοῦτο κατὰ τὸν Πολυκράτην ἦν ἐξ εὐαγγελικῆς διαταγῆς καὶ θείας ἐντολῆς, καὶ κατὰ τὸν Κανόνα τῆς πίστεως. ὅθεν ἔπεται τὸν Λυκὸν καὶ τοῦτο πεφάσθαι ἐναντίον τῇ εὐαγγελικῇ διαταγῇ καὶ θείᾳ ἐντολῇ καὶ τῷ τῆς πίστεως Κανόνι. τέταρτον, ἔσω μάρτυς καὶ ὁ Καισαρείας Φιρμιλιανὸς τῇ πρὸς τὸν Κυπριανὸν ἐπισολῇ λέγων, τὰς ἐν Ῥώμῃ μητροπόλεσιν ἐν πᾶσι τὰ ἐξ ἀρχῆς παραδεδομένα, καὶ μάτην τὴν αὐθεντείαν τῶν Ἀποστόλων προτείνεσθαι. εἰδέναι καὶ ἐκ τούτων δύναταί τις, ὅτι περὶ τὰς ἑορτασίμους ἡμέρας τοῦ Πάσχα, καὶ περὶ πολλὰ ἄλλα μυστήρια θεῖα ἴδοιεν ἂν παρ' αὐτοῖς ἄνας διαφορὰς, ἅτε τηρεῖσθαι ἐκεῖ πάντα τὰ ἐν Ἱεροσολύμοις τηρήματα. πέμπτον, ἦν ὁ Εὐσέβιος ἐν τῷ αὐτῷ τόπῳ, ἤτοι κεφαλαίῳ εἰκοστῷ πέμπτῳ εἰρηκὼς τὰ ἀνωτέρω ἐκ μέρους τοῦ Πολυκράτους, ἐπήνεγκεν, ὁμῶ τῆς Ῥωμαίων προεστὼς Βίκτωρ ἀθρόως τῆς Ἀσίας πάσης ἅμα ταῖς ὁμόροις Ἐκκλησίαις τὰς παροικίας ἀποτέμνειν ὡς ἑτεροδοξούσας τῆς κοινῆς ἑνώσεως πειρᾶται. σημειωτέον ἂν ἐκ τούτου ὅτι τὸ πρᾶγμα ἦν ἁμάρτημα περὶ τὴν πίστιν, οἱ δὲ Ἀσιανοὶ νομίζοντες ἁμαρτάνειν περὶ τὴν πίστιν τὸν Βίκτορα, ἐκ ἐπείθοντο αὐτῷ. εἰ δέ τις εἴποι ὅτι ἐκ ἦν περὶ τὴν πίστιν, αὖθις τὸν Βίκτορα ἡμαρτηκέναι περὶ τὴν πίστιν ὁμολογήσα, ἐπειδὴ τὸ μὴ ὂν ἁμάρτημα περὶ τὴν πίστιν, ἁμάρτημα περὶ τὴν πίστιν ὀνόμιζον. εἶτα οἱ Ἀσιανοὶ ἀνθικείμενοι τῷ δόγματι τοῦ Βίκτορος, καὶ νενθετοῦντες αὐτὸν ἀποσπᾶναι τῆς οἰκείας δόξης, καίτοι συνήθως καὶ ἀρχαιοτάτης καὶ κεκυρωμένης ὅροις καὶ ἀναθεματισμοῖς, ἐκφαίνουσι μὴ μόνον δύνασθαι τηρεῖν τὰ ἀποσκιραζόμενα ὑπὸ τοῦ Πάπα, καὶ μᾶλλον διαφορισμόν, ἀλλὰ καὶ νομίζειν αὐτὸν δύνασθαι περὶ τὴν πίστιν ἁμαρτάνειν, Πάπαν καίτοιγε ὄντα, καὶ Ἐπίσκοπον τῆς ῥωμαϊκῆς Ἐκκλησίας, καὶ τῆς τοῦ Πέτρου καὶ τοῦ Παύλου καθέδρας διάδοχον.

ΒΙΒΛΙΟΥ Α' ΚΕΦΑΛΑΙΟΥ ΙΑ'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῆς δευτέρας ἀνθιθέσεως τοῦ Βαρωνίου, λέγοντος, τοὺς Ἀσιανοὺς διὰ τὸ Πάσχα μὴ πειθέντας τῷ Πάπᾳ, σχίσματι ὑποπεπτωκέναι, καὶ τῆς Ἐκκλησίας χωρισθῆναι, καὶ περὶ ἀπαντήσεως πρὸς ταύτην, ψευδεστάτην οὖσαν.

47 Δευτέρα δὲ Ἀντίθεσις ἡ Βαρωνίου, ὃς τῷ Πάπᾳ περὶ τοῦ Πάσχα τοὺς Ἀσιανοὺς μὴ πειθομένους, σχίσματι φησιν ὑποπεσεῖν, καὶ τῆς Ἐκκλησίας χωρισθῆναι. ἀλλὰ ῥητέον ὅτι καὶ τοῦτο ψευδός ἐστιν. οἱ γὰρ μὴ κοινωνήσαντες περὶ τοῦ Πάσχα τῷ Βίκτορι, ὀρθόδοξοί τε ἦσαν καὶ τῇ Ἐκκλησίᾳ κοινωνοῦντες. καὶ πρῶτον, ὁ Πολύκαρπος μὴ πειθεὶς τῷ Πάπᾳ Ἀνικήτῳ, ἦν μετὰ τοῦ Ἀνικήτου εἰρηνικὸς καὶ κοινωνικὸς, ὡς εἴρηται ἀνωτέρω. δεύτερον, ὁ Τερτυλλιανὸς ἑρμηνεύων τὸν τρόπον καθ' ὃν δύναταί τις γινώσκειν εἰ κατέχει τὴν ἀληθινὴν πίστιν, νενθετεῖ ἵνα συμβελευθῇ μετὰ τῶν ἀποστολικῶν Ἐκκλησιῶν, αἳ ἀριθμῶν, μέμνηται καὶ τῆς ἐν Ἐφέσῳ. ἄγε δή φησιν ὁ θέλων κρεῖττον περιεργάζεσθαι ἐν τῇ ὑποθέσει τῆς σωτηρίας σου, λάβῃ τὰς ἀποστολικὰς Ἐκκλησίας, ἐν αἷς αὐταὶ τῶν Ἀποστόλων αἱ καθέδραι μέχρι τοῦ νῦν προσατεύονται. ἐν αἷς αὐταὶ ἐκείνων αἱ ἐπιστολαὶ ἀναγινώσκονται, ἑκάστου ὑηχοῦσαι τὴν φωνὴν, καὶ τὸ πρόσωπον ὑνισοῦσαι. ἐγγύς σου ἐστὶν ἡ Ἀχαΐα, ἔχεις τὴν Κόρινθον, ἔχεις Φιλίππους, ἔχεις Θεσσαλονικεῖς, εἰ δύνασαι εἰς Ἀσίαν πορεύεσθαι, ἔχεις Ἔφεσον. ταῦτα ὁ Τερτυλλιανὸς

λλιανὸς βιβλίῳ προγνωστικῶν κεφαλαίῳ τριακοστῷ ἕκτῳ, ἐν ἔτει διακοσιοστῷ τρίτῳ, μετὰ δὲ τὴν ἀπόφασιν τοῦ Βίκτορος, ἔτει πέμπτῳ, ὅτε ὁ θρόνος τοῦ Πολυκράτους ἡ Ἔφεσος ἑώρταζε τὸ Πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ τῆς Σελήνης. τρίτον, ὁ Φιρμιλιανὸς ἑώρταζε καὶ αὐτὸς τῇ τεσσαρεσκαιδεκάτῃ, ὡς παρίστησι τὰ ῥήματα αὐτοῦ τὰ ἀνωτέρω τεθειμένα. ἦν δὲ ὁ Φιρμιλιανὸς, καὶ ἕτεροι ἔγκριτοι πατέρες ἑορτάζοντες τὸ Πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ τῆς Σελήνης μέρος τῆς κατὰ τοῦ Σαμοσατέως ἐν Ἀντιοχείᾳ ἁγίας Συνόδου. τέταρτον, ἡ ἐν Νικαίᾳ πρώτη Σύνοδος εἶχε μέρος αὐτῇ κεκοινωνηκότας τοὺς Ἀσιανοὺς καὶ Κίλικας καὶ Λυκάονας καὶ Σύρους, οἵτινες ἢ πάντες ἢ πλείους ἑώρταζον τῇ τεσσαρεσκαιδεκάτῃ τῆς Σελήνης. πέμπτον, ἀλλὰ δὴ καὶ αὐτοὶ οἱ διάδοχοι τοῦ βίκτορος Πάπαι εἶχον κοινωνικοὺς τοὺς ἑορτάζοντας τὸ Πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ τῆς Σελήνης, ἐξ ὧν ἦν καὶ Διονύσιος ὁ Πάπας. ὅθεν ὁ Αὐτοκράτωρ Αὐρηλιανὸς, ἀναχωροῦντος τοῦ Σαμοσατέως ἀπὸ τοῦ Ἐπισκοπείου τῆς Ἀντιοχείας προσέταξεν, ἵνα οἱ ἔχοντες τὴν αὐτὴν πίστιν μετὰ τῶν Ἰταλῶν Ἐπισκόπων καὶ τοῦ Ἐπισκόπου Ῥώμης, ἔχωσι τὸ Πατριαρχεῖον. ἦσαν δὲ κοινωνοῦντες τοῖς Ἰταλοῖς καὶ τῷ Ῥώμης οἱ τῆς Συνόδου πατέρες, ἐν οἷς καὶ ὁ μετὰ Παῦλον ἐν Ἀντιοχείᾳ Δόμνος, καὶ πολλοὶ τῶν Ἀσιανῶν καὶ Κιλίκων καὶ Λυκαόνων καὶ Σύρων Ἐπισκόπων, καὶ αὐτῶν τῶν Αἰγυπτίων, ὡς παρίστησιν ἡ πρὸς τὸν Ἀλεξανδρείας ἐπιστολὴ τῆς Συνόδου, ἀξιοῖ γὰρ αὐτὸν δέξασθαι τὴν περὶ τοῦ Πάσχα κρίσιν αὐτῆς. ἦν δὲ τότε Πάπας Ἀλεξανδρείας ὁ Διονύσιος κοινωνὸς τοῖς πᾶσιν, ὡς δηλοῖ ἡ ἐγκύκλιος ἐπιστολὴ τῆς Συνόδου, καὶ ἰδὲ τὸν τόπον εἰς τὸν Εὐσέβιον βιβλίῳ ἑβδόμῳ, κεφαλαίῳ τριακοστῷ. ἕκτον, τοῦ Ναυάτου ἀναφανέντος αἱρετικοῦ, ὁ Πάπας Κορνήλιος ἔγραψεν ἐπιστολὴν κατὰ τῆς αἱρέσεως πρὸς τὸν Ἀντιοχείας Φαύϊον, ὥς φησιν Εὐσέβιος βιβλίῳ ἕκτῳ, κεφαλαίῳ τεσσαρακοστῷ τρίτῳ. ἦν δὲ ὁ Φαύϊος Τεσσαρεσκαιδεκατίτης. δῆλον οὖν ἐκ τούτων, ὅτι ἐψεύσθη προφανῶς ὁ Βαρώνιος, εἰπὼν τοὺς Τεσσαρεσκαιδεκατίτας διὰ τὸ μὴ ὑπεῖξαι τῇ τοῦ Βίκτορος ἀποφάσει, ἀποβληθῆναι τῆς κοινωνίας τῆς καθολικῆς Ἐκκλησίας, καὶ σχισματικοὺς γεγονέναι.

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ ΙΑ΄. ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ΄.

Περὶ τῆς τρίτης ἀντιθέσεως τῶν περιεργοτέρων σοφιστῶν παπιστῶν, λεγόντων, μὴ κατακριθῆναι ὑπὸ τοῦ Πάπα τὸν Πολύκαρπον διὰ τὴν διαφορὰν τῆς ἡμέρας τοῦ Πάσχα, ἀλλὰ διὰ τὸ κατηγορεῖν τῶν ἐν Κυριακῇ αὐτὸ ἑορταζόντων, ἀφέντα δὲ τὴν ἰσχυρογνωμίαν, τυχεῖν ὑπὸ τοῦ Πάπα συγγνώμης ἑορτάζειν κατὰ τὸ προπατορικὸν ἔθος αὐτό. συνίστωσι δὲ τοῦτο ἀπότινος μαρτυρίας τοῦ Σωζομένου. καὶ περὶ ἀπαντήσεως πρὸς ταύτην δωδεκαχῶς, ἐν ᾗ καὶ ἡ τοῦ γενικοῦ ἀξιώματος τοῦ Πάπα καταστροφή.

Τρίτη δὲ ἀντίθεσις, ἡ τῶν περιεργοτέρων σοφῶν τῶν παπιστῶν, οἵτινες βλέποντες τὰ ἀνωτέρω προτεινόμενα παρά τινων σχολαστικῶν ὄντα ἀνίσχυρα καὶ ψευδῆ, μαχόμενοι αὐτοῖς, λέγουσι τὸν Πολυκράτην μὴ κατακριθῆναι ὑπὸ τοῦ Πάπα διὰ τὸ ἑορτάζειν τὸ Πάσχα τῇ τεσσαρεσκεδεκάτῃ τῆς Σελήνης, ἀλλὰ διὰ τὸ διϊσχυρίζεσθαι τότε μόνον τῇ δεκάτῃ τετάρτῃ τῆς Σελήνης δύνασθαι ἢ ἁρμόζειν ἑορτάζεσθαι, κατηγοροῦντα πάντων τῶν ἄλλῳ ἔθει ἀκολουθούντων, καὶ ῥητῶς τῶν τῇ Κυριακῇ ἑορταζόντων. ὅθεν ὁ Πάπας βίκτωρ αὐτὸν ἐνδίκως ἀφώρισεν, ὅστις βιασθεὶς ὑπὸ τοῦ ἀφορισμοῦ, ἀφῆκε τὴν ἰσχυρογνωμίαν, καὶ ἔκλινεν εἰς τὸ εὐσεβέστερον. ὅθεν δυσωπηθεὶς ὁ βίκτωρ, συνεχώρησεν αὐτῷ, καὶ δέδωκεν ἄδειαν κατέχειν τὸ προπατορικὸν αὐτοῦ ἔθος. ταῦτα οἱ παπισταί. συστῆσαι δὲ ταῦτα προθυμοῦνται ἀπότινος μαρτυρίας τοῦ Σωζομένου, καὶ ταύτης διεφθαρμένης. λέγει γὰρ ἐκεῖνος βιβλίῳ ἑβδόμῳ, κεφαλαίῳ δεκάτῳ ἐνάτῳ, αἵδε μέναι περὶ τῆς ἑορτῆς διαφοραί. σοφώτατα δέ πως οἶμαι καταλῦσαι τὴν συμβᾶσαν πάλαι περὶ ταύτης φιλονεικίαν τοὺς ἀμφὶ βίκτορα τὸν τότε Ῥώμης Ἐπίσκοπον καὶ Πολύκαρπον τὸν Σμυρναῖον. ἐπεὶ γὰρ οἱ πρὸς Δύσιν Ἱερεῖς οὐκ ᾤοντο δεῖν Παύλου καὶ Πέτρου τὴν παράδοσιν ἀτιμάζειν, οἱ δὲ ἐκ τῆς Ἀσίας Ἰωάννῃ τῷ εὐαγγελιστῇ ἀκολουθεῖν διϊσχυρίζοντο, τοῦτο κοινῇ δόξαν, ἕκαστοι ὡς εἰώθασιν ἑορτάζοντες τῆς πρὸς σφᾶς κοινωνίας οὐκ ἐχωρίσθησαν. λέγουσιν οὖν πρὸς ταῦτα οἱ παπισταί, ἐνταῦθα χρεία ἐστὶ διορθώσεως, ὥστε ἀντὶ Πολυκάρπου Σμύρνης εἰπεῖν Πολυκράτης Ἐφέσου. ἀλλὰ ῥητέον πρῶτον, μᾶλλον πιστεύομεν Εὐσεβίῳ ἀρχαιοτέρῳ ὄντι, ἢ τῷ παρ' Εὐσεβίου λαβόντι Σωζομένῳ. ὁ γὰρ Εὐσέβιος Ἀνίκητον εἶπε καὶ Πολύκαρπον, οὐ Βίκτορα καὶ Πολύκαρπον. δεύτερον, ὁ Εὐσέβιος εἶπε πεπλατυσμένως καὶ καθαρῶς, ὅτι ὁ Πολυκράτης ἀντέστη τῷ Βίκτορι, καὶ ὡς ἑτερόδοξον αὐτὸν εἶχε, καὶ τοὺς ἀφορισμοὺς, ἤτοι τὴν ἀκοινωνησίαν αὐτοῦ γενναίως ἀπέβαλε, καὶ συνηγωνίσθησαν αὐτῷ τοσούτων ἐθνῶν πατέρες, ἐλέγχοντες καὶ συνοδικῶς καὶ ἰδίως τὴν ἀποτομίαν καὶ τὸ θράσος αὐτοῦ τοῦ Βίκτορος, ἐν οἷς καὶ Εἰρηναῖος ὁ Λουγδούνων Ἐπίσκοπος. τρίτον, καὶ πάντα ὅσα εἶπεν Εἰρηναῖος καὶ Εὐσέβιος περὶ Βίκτορος καὶ τῶν Ἐκκλησιῶν τῆς Ἀσίας, ἐναντία ἐστὶ ταύτῃ τῇ θέσει τῶν Λατίνων, καὶ ἰδὲ τοὺς τόπους εἰς Εὐσέβιον βιβλίῳ πέμπτῳ, κεφαλαίῳ εἰκοστῷ πέμπτῳ.

τῶν. τέταρτον, εὐμαρέστερόν ἐστιν ἑνός τινος, ἢ δυοῖν διορθῶσιν γενέσθαι, καὶ πλέον ἐνδεχόμενόν ἐστι γεγονέναι σφάλμα εἰς τὸ Βίκτωρ, ὅπου ἔδει εἰπεῖν Ἀνίκητος, ὡς φαίνεται καὶ παρὰ Βαρωνίῳ ἐν ἔτει ἑκατοστῷ ἐννενηκοστῷ ὀγδόῳ, καὶ μάλιστα ἅπερ ὁ Σωζόμενος διηγεῖται μᾶλλον ἁρμόζουσιν Ἀνικήτῳ καὶ Πολυκάρπῳ, ἢ Βίκτορι καὶ Πολυκάρπῳ. πέμπτον, ἔστιν εἰπεῖν, εἰ μὴ διεφθαρμένος ἐστὶν ὁ τόπος οὗτος τοῦ Σωζομένου, τὸ ἁμάρτημα πάντως τῆς Διανοίας ἐστὶ τοῦ Σωζομένου, οὐμὴν δὲ τὸν Πολύκαρπον καὶ τὸν Βίκτορα φιλονεικῆσαί ποτε πρὸς ἀλλήλους, ἢ εἰρηνεῦσαι. ἕκτον, ἡ παροῦσα περίοδος τοῦ Σωζομένου ἀντίκειται μάλα γενναίως τῇ θέσει ταύτῃ τῶν Ῥωμαίων, καὶ γὰρ οὐ λέγει ὡς ὁ Πολυκράτης ἀφῆκέ τι τῆς ἑαυτοῦ γνώμης, ἢ ὁ Βίκτωρ αὐτῷ συνεχώρησεν, ἀλλ' ὅτι κοινῶς ἔδοξεν αὐτοῖς, ἵν' ἔχῃ ἕκαστος τὰ ἴδια, καὶ ἦσαν ἀλλήλοις κοινωνικοί. ἕβδομον, συνάγεται ἐκ τούτου, ὡς οἱ Δυτικοὶ εἶχον τὸν τῆς παραδόσεως Παύλου καὶ Πέτρου, οὕτως οἱ Ἀσιανοὶ τῆς τοῦ Ἰωάννου, καὶ ὡς εἶχον οἱ Δυτικοὶ τὸν Πέτρον, εἶχον καὶ τὸν Παῦλον, καὶ προτάττεται ὁ Παῦλος τοῦ Πέτρου, καὶ πῦ τὸ, ὁ Πάπας ἐστὶ μονάρχης; καὶ οἱ μὴ πειθόμενοι τῷ Πέτρῳ ἢ τῷ Πάπᾳ, ἁμάρτημα ποιοῦσι περὶ τὴν πίστιν; ὄγδοον, εἰ ὁ Βίκτωρ ἑτεροδοξίαν ἐνόμιζε ἑορτάσαι τὸ Πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ τῆς Σελήνης, καὶ τούτου ἕνεκεν ἀφώρισε τὰς τῆς Ἀσίας Ἐκκλησίας ὡς ἑτεροδοξούσας, πῶς συνεχώρησε τῷ Πολυκράτει τὴν ἑτεροδοξίαν; ἔνατον, οὐχ ὁ Πολυκράτης ἦν ἡ τοῦ σκανδάλου ἀρχὴ, ἵνα νομίσῃ τις αὐτὸν γνωμοδοτεῖν μὴ δύνασθαι, μὴ δὲ πρέπον εἶναι ἐν ἄλλῃ ἡμέρᾳ ἑορτάζεσθαι τὸ Πάσχα, κἀκτούτου κατακριθῆναι, ἀλλ' ὁ Βίκτωρ ἐγένετο ἀρχηγὸς τῆς φιλονεικίας, καὶ μάλιστα ἀποτόμως καὶ ἀναξίως τοῦ θρόνου τοῦ Πέτρου, καὶ τῆς σοφίας καὶ ἁγιότητος τοῦ πρὸ αὐτοῦ Ἀνικήτου. δέκατον, οἱ τοῦ Πολυκράτους διάδοχοι οὐχ ὡς ὑπὸ τοῦ Βίκτορος κατηλεημένοι, ἀλλ' ὡς Ἰωάννου καὶ Φιλίππου ἀκόλουθοι σφόδρα γενναίως τῆς ἰδίας δόξης ἀντείχοντο, καὶ ἑώρταζον τῇ τεσσαρεσκαιδεκάτῃ τῆς Σελήνης, τοῖς δὲ ἄλλως ἑορτάζουσιν ἐνεκάλουν, οὐδένα λόγον ποιούμενοι τοῦ χωρισμοῦ τῆς κοινωνίας αὐτῶν, ὡς ὁ Ἐπιφάνιος αἱρέσει ἑβδομηκοστῇ. ἐνδέκατον, ὁ Νικηφόρος βιβλίῳ τετάρτῳ κεφαλαίῳ ὑστάτῳ, διηγούμενος ὅσα διὰ σπουδῆς εἶχεν ὁ Εἰρηναῖος περὶ τῆς τῶν Ἐκκλησιῶν εἰρήνης, ἐπιφέρει, ὃ δὲ οὐκ ἔπεισεν ὁ λόγος, τοῦτο ὁ χρόνος μεταταῦτα ἀπετέλεσε, καὶ γὰρ ἐν τούτῳ μάλιστα ἡ Ἀσία τέως ἐπείσθη, ἵνα οὐχὶ μετὰ Ἰουδαίων, ἀλλ' αὐτῇ τῇ Κυριακῇ ἡμέρᾳ τὸ μυστήριον τοῦ Πάσχα ἑορτάζηται. δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅτι ἡ Ἀνικήτου καὶ Πολυκάρπου Συμφωνία ἐγένετο ἵνα ἔχῃ ἕκαστος τὰ ἴδια ἔθη, ἡ δὲ τελεία γέγονε μετὰ πολὺν χρόνον, ἤτοι ἐν τῇ κατὰ Νίκαιαν Συνόδῳ, καὶ ματαίως ἐκοπίασαν κἀνταῦθα οἱ σοφιστικώτατοι Λατῖνοι. δωδέκατον, ὥσπερ τινὰ κολοφῶνα τῶν σοφιστειῶν αὐτῶν προσφέρουσιν οἱ Ῥωμαῖοι τὴν ἐν Ἀρελάτῳ γενομένην Σύνοδον ἐν ἔτει τριακοσιοστῷ δεκάτῳ τετάρτῳ, λέγουσι γὰρ, ὅτι ὁ Πάπας Ῥώμης περὶ τοῦ Πάσχα διορίζει, μάρτυς ἡ ἐν Ἀρελάτῳ Σύνοδος, καὶ οὐδεὶς ὁ ἀντιλέγων. ἀλλὰ ῥητέον, ὅτι μάλιστα ἡ ἐν Ἀρελάτῳ Συνοδος καταστρέφει τὸ γενικὸν τοῦ Πάπα ἀξίωμα, καὶ γὰρ μαρτυρεῖ, ὅτι ἀπὸ τοῦ Βίκτορος ὃς ἔκρινε τῷ ἑκατοστῷ ἐννενηκοστῷ ὀγδόῳ ἔτει ἕως τῆς ἀθροίσεως αὐτῆς παρερρύησαν ἔτη ἑκατὸν εἰκοσιεπτὰ, καὶ ἔμενε καὶ ἡ διαφορὰ καὶ ἡ κοινωνία ἐν ταῖς Ἐκκλησίαις Δύσεως καὶ Ἀσίας. καὶ γενόμενοι Ἐπίσκοποι Ῥώμης ἀπὸ Βίκτορος ἕως Σιλβέστρου εἴκοσι, καὶ ἐνηχοῦντες καὶ λόγοις καὶ γράμμασιν εἰς πᾶσαν Ἐκκλησίαν ἑορτάζουσαν τῇ τεσσαρεσκαιδεκάτῃ τῆς Σελήνης, ἵνα ἑορτάζῃ τῇ Κυριακῇ, οὐδὲν εἰσηκούσθησαν, οὐδὲ οἱ μὴ εἰσακούοντες ἄπιστοι ἐνομίσθησαν. ὅθεν καὶ ἡ παροῦσα Σύνοδος γράψασα Κανόνα πρῶτον ὅπως γίνηται ἡ ἑορτὴ ἐν Κυριακῇ, καὶ πέμψασα αὐτὸν (ὡς ἰδίῳ Πατριάρχῃ) τῷ Πάπα Σιλβέστρῳ, ἵνα αὐτὸν διαδώσῃ εἰς τὰς Ἐκκλσίας, καὶ Ἀναστάσιον τὸν βιβλιοθηκάριον ἐν τῷ ἀρχιερατικῷ τοῦ Δαμάσου, οὐδὲν ἴσχυσεν οὐδὲ ἡ πολυάνθρωπος αὕτη Σύνοδος, οὐδὲ ὁ Ἐπίσκοπος τῆς Ῥωμαίων Ἐκκλησίας Σίλβεστρος, ἕως οὗ μετὰ δέκα ἔτη ἀθροισθεῖσα ἡ ἐν Νικαίᾳ Σύνοδος, λύσασα τὴν ἀμφιβολίαν, πέρας τέθεικε τῷ πράγματι, ᾗ τινι καὶ ἠκολούθησε πᾶσα ἡ οἰκουμένη, εἰ καί τινες νικώμενοι ὑπὸ τοῦ ἔθους τῆς τεσσαρεσκαιδεκατήσεως οὐκ ἐπείσθησαν εὐθὺς, ἀλλ' οὖν μετ' οὐ πολὺν καιρὸν πάντες τῷ ἀξιώματι καὶ τῇ ὑπεροχῇ τῆς Οἰκουμενικῆς Συνόδου πεισθέντες, ἔκλιναν εἰς τὴν κρίσιν καὶ εἰς τὴν ἀπόφασιν αὐτῆς.

ΒΙΒΛΙΟΥ. Α. ΚΕΦΑΛΑΙΟΥ. ΙΑ΄. ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ΄.

Περὶ τοῦ συμπεράσματος τῶν ἀνωτέρω λεχθέντων, ὅ ἐστιν, ὅτι ἡ κοινότης καὶ ἡ Οἰκουμενικὴ Σύνοδος ἐπὶ πάντων, Παπῶν φημι καὶ Ἐπισκόπων, καὶ ἀναμάρτητος, καὶ ὅτι παρεξηγηταὶ καὶ φθορεῖς οἱ παπισταὶ τῶν γραφῶν τῶν ἁγίων, ὁ δὲ Πάπας αὐτῶν εἷς τῶν πολλῶν Ἐπισκόπων.

Συμπεραίνομεν οὖν ὅτι ἡ κοινότης καὶ ἡ Οἰκουμενικὴ Σύνοδος καὶ τοὺς Πάπας καὶ πάντα Ἐπίσκοπον καὶ πᾶσαν μερικὴν Ἐκκλησίαν καὶ μερικὴν Σύνοδον κρίνει καὶ ἀνακρίνει, καὶ αὕτη μόνη ἐστὶν ἀναμάρτητος, καὶ αὕτη μόνη ἐξαιρέτως φυτεύει καὶ κατασκάπτει, βεβαιοῖ καὶ καθαίρει, καὶ διατοῦτο ἐπὶ πάντων ἐστί. καὶ Σύνο-

Σύνοδοι ἀθρόιζονται ἀνευ βουλῆς ἢ γνώμης τοῦ Πάπα, καὶ μάλιστα ἀναφανδὸν κατ' αὐτοῦ, καὶ παρεξηγηταὶ καὶ φθορεῖς εἰσιν οἱ παπισταὶ τῶν θείων συγγραμμάτων τῶν ἁγίων, καὶ πρὸς τούτοις, ὁ Πάπας εἷς ἐστι τῶν προεστώτων Ἐπισκόπων ἐν τῇ Ἐκκλησίᾳ, ἁμαρτάνων, καὶ κρινόμενος, καὶ ἀθετούμενος, καὶ ἐλεγχόμενος, καὶ ἀντιπαρακελευόμενος, καὶ ἡ νεωτερισθεῖσα μοναρχία αὐτοῦ ἔμεινεν εἶναι φυσηματίδιόν τι πρὶν ἢ συσταθῆναι διαλυόμενον.

ΒΙΒΛΙΟΝ Α'. ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῆς ἀποικίας τῶν Ἑβραίων ἀφ' ὅλης τῆς Παλαιστίνης, καὶ διασκεδασμοῦ αὐτῶν εἰς ὅλον τὸν κόσμον, καὶ Περὶ τῆς ἐλπιζομένης αὐτῶν βασιλείας, καὶ τοῦ Σαββατίου ποταμοῦ.

Παρὰ τοῦ ἀγαπητοῦ Ῥογατιανοῦ τοῦ ὑμετέρου Διακόνου τὴν σὴν ὑπερόλην κεκομίσμεθα ἀδελφὲ ποθεινότατε. μεγίστας ὑπερήμεθα τῷ Κυρίῳ τὰς χάριτας, ὅτι τοῖς σώμασι διϊσάμεθα, καὶ ἀπ' ἀλλήλων χωριζόμεθα, ἐπεὶ συνενώμεθα τῷ Πνεύματι, ὥστε ἐμοὶ τὴν αὐτὴν ἡμᾶς οἰκεῖν χώραν φαίνεσθαι, ἀλλ' ἐν μιᾷ οἰκίᾳ συνδιαιτᾶσθαι, ὅπερ εὐλόγως εἴποιμι. εἰς γὰρ ὁ τοῦ Θεοῦ πνευματικὸς οἶκος. καὶ ἔστιν ἐν ταῖς ἐσχάταις φησὶν ὁ Προφήτης ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐν ταῖς κορυφαῖς τῶν ὀρέων, ἐν ᾧ χαρμοσύνως συνέρχονται, ὡς ὁ Δαβὶδ ἐν τῷ ψαλτηρίῳ ζητεῖ κατοικεῖν ἐν οἰκῷ Κυρίου ἐν πάσαις ταῖς ἡμέραις τῆς ζωῆς. ὅθεν ἐν ἑτέρῳ ψαλμῷ δῆλον γέγονεν ἐφετὸν εἶναι τοῖς ἁγίοις αὐθράσι συνέρχεσθαι εἰς ταὐτὸ, φησὶ γὰρ, ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ὑπὸ ταὐτό. ἡ συνέλευσις γὰρ ἤτε εἰρήνη καὶ ὁμόνοια ἐμόνον τοῖς πιστοῖς τῶν ἀνθρώπων καὶ τοῖς τὴν ἀλήθειαν γινώσκουσιν, ἀλλὰ καὶ αὐτοῖς τοῖς ἐρανίοις Ἀγγέλοις μείζω ἡδονὴν ἐμποιεῖ, περὶ ὧν τὸ θεῖόν φησι λόγιον, ἰδοὺ χαρὰ γίνεται ὑπὲρ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, καὶ εἰς τὸν τῆς σωτηρίας δεσμὸν ὑπισρέφοντι, ὅπερ οὐκ ἐλέγετο περὶ τῶν Ἀγγέλων ἐν ἐρανῷ διατελούντων, εἰ μὴ κἀκεῖνοι ἡμῖν συνοῖντο. ἀλλ' ὥσπερ ἡμῶν συνερχομένων καὶ συναθροιζομένων, ἥδονται καὶ θυμηδίας ἐμπίπλανται, οὕτως ἐμπαλιν αὐτῶν ἀθροιζομένων, ὁρῶντες ἑνίους ταῖς διανοίαις διϊσταμένους, καὶ τὰς γνώμας διαιρουμένας, ὡς οὐκ ὑπακολουθοῦντος καὶ τοῦ αὐτοῦ Κυρίου ὁμοφρόνως παρ' αὐτῶν, ἀλλὰ κεχωρισμέναις καὶ διηρημέναις ταῖς γνώμαις, ὥστε μήτε τοὺς λόγους, μήτε τὰς διαλέξεις εἶναι κοινάς. ἐν τούτῳ δὲ καὶ μόνῳ χάριτας ἴσεον Στεφάνῳ, ὅτι διὰ τῆς ἀπανθρωπίας ἐκείνου, τῆς ὑμετέρας πίστεως καὶ σοφίας πεῖραν εἰλήφαμεν, ἀλλ' ἐχὶ τούτου ἕνεκα τῆς ὀὐεργεσίας ᾗ ἐλάβομεν, Στέφανος χάρι-

χάριτος πεποίηκεν ἄξια. ὁ δὲ γὰρ Ἰάδας τῇ ἐμφύτῳ δολιότητι τὸν Σωτῆρα ἡμῶν προδοὺς, ἀξίως φαίνεται (ἅτε δὴ τῶν τοσούτων ἀγαθῶν αἴτιον ἐργασάμενος) τῷ δι' αὐτὸν ἐλευθερωθῆναι τὰ ἔθνη, καὶ τὸν κόσμον ἅπαντα. ἀλλὰ παρεάσωμεν τόγε νῦν εἶναι τὰ παρὰ τὸ στεφάνωμα πραχθέντα, ἵνα μὴ ἡ τῆς ἀνοσιότητος ἐκείνης μνήμη μείζονος ἡμᾶς ἀθυμίας ἐμπλήσῃ σὺν ἑκάστοις τῶν αἰσχρῶς παρ' αὐτοῦ πεπραγμένων. γνόντες δὲ περὶ ὑμῶν ὅτι κατὰ τὸν τῆς ἀληθείας καὶ τὸν τῆς χριστοῦ σοφίας κανόνα τὰ περὶ τὸ στεφάνωμα διέθεσθε, ἀμυθήτου θυμηδίας ἐνεφορήθημεν, μεγάλως εὐχαριστήσαντες τῷ Κυρίῳ, ἐπείπερ ὃν τοῖς ἀδελφοῖς τοῖς ἀφ' ἡμῶν ὅτου μεμακρυσμένοις, ὃν τῇ πίστει καὶ τῇ ἀληθείᾳ τοιαύτῃ ὁμοφρονοῦντα εὕρομεν καὶ σύντονα. ἡγαλλιάσαμεν τοῦ Θεοῦ χάριτι καὶ τὰ λίαν ἀλλήλων τόπῳ διϊσάντα, τῷ τῆς ἀγάπης καὶ ἑνότητος συνδέσμῳ ζευγνύμενα καὶ σωζόμενα δυνάμενα. ὥσπερ ποτὲ Ἰεζεκιὴλ καὶ Δανιὴλ τοὺς προφήτας πολλῷ κατόπιν ἀπολειπομένους τῷ χρόνῳ τοῦ Ἰώβ καὶ τοῦ Νῶε, ἡ θεία δυνάμις τῷ τῆς ὁμοιοψυχίας δεσμῷ συνεζεύξατο, ὡς τε τῇ θείᾳ συμπνοίᾳ τὰ αὐτὰ φρονεῖν, καθάπερ μακρῷ χρόνῳ μήκει διϊσάντας ἀλλήλων, ὁ καὶ ἐν ὑμῖν γέγονε. καὶ γὰρ ὑμεῖς ἀπεχοινίσθε τῷ τοῦ τόπου διασήματι, τῇ δὲ διανοίᾳ καὶ τῷ πνεύματι ἀριδήλως συνδεδέμεθα, τοῦτο δὲ γίγνεται τῇ θείᾳ σοφίᾳ. εἷς γὰρ καὶ ὁ αὐτὸς ὢν ὁ ἐν ἡμῖν κατοικῶν Κύριος, τῷ τῆς σύντητος δεσμῷ παντοίως συζεύγνυσι τοὺς αὐτοῦ, ὅθεν εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. ἐπεὶπερ οἱ παρὰ τοῦ Κυρίου τῷ τῆς σύντητος πνεύματι πεμφθέντες παχυδερμοῦσι, καθάπερ ἐξανθίας πλησίον ὄντες καὶ σωζόμενοι τοῖς σώμασιν, οὐδ' ὅλως ὀνίνησι, τῶν ψυχῶν κεχωρισμένων ἤδη. οὐδὲ γὰρ δυνατὸν τοὺς ἀπὸ τῆς θείας ἑνότητος διαιρεθέντας σωσθῆναι. ἰδοὺ γάρ φησιν οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται. ἀλλ' οἱ γε ὄντες τῇ συδίκῳ τοῦ Θεοῦ δίκῃ δικαίως ὑποκείμενοι, τοῖς λόγοις αὐτοῦ οὐχ ὑπείκοντες, ὃς ὑπὲρ τῆς ἑνότητος προσκαλῶν τὸν πατέρα, φησὶ, πάτερ, ὥσπερ ἐγὼ καὶ σὺ ἐσμεν, ποίησον καὶ τούτους ἓν ἡμῖν εἶναι. ἡμεῖς δὲ τὰ παρ' ὑμῶν γραφόντα ἀποδεχόμεθα καθάπερ ἡμέτερα, καὶ οὐκ ἐκ παρέργου, ἔτι μὴν κατὰ παρόδον, ἀλλὰ πολλάκις ἀναλεξάμενοι τῇ μνήμῃ προσδεδώκαμεν. ὁ δὲ γὰρ τῷ ἐπαναλαμβάνειν πολλάκις ταῦτα πρὸς τῷ τῆς ἀληθείας βεβαίωσιν, ἢ καὶ προσεπιτίθησιν ἡμᾶς πρὸς ἀριδηλοτέραν ἀπόδειξιν τῆς αὐτῆς τοῦ σωτηριώδους ὠφέλειαν παραβλάπτομεν. εἰ γὰρ ἡμεῖς προσεπιθείημεν οὐχ ὡς ὑμῶν τοῦτο παραλειψάντων ἀναπληροῦντες, ἀλλ' ἐπειδήπερ ὁ θεῖος λόγος τοῦ τῶν ἀνθρώπων ὑποφαίρει φύσιν, ἅτε δυνάμενος ὁλοκληρῆ καὶ τελείαν καταλήψιν ἔχειν ἢ τοῦ ἀνθρώπου διάνοια. ὅθεν πολὺς ὁ τῶν προφητῶν ἀριθμὸς, ὅπως ἡ πολυποίκιλος θεία σοφία διὰ πολλῶν διανέμοιτο. ὅθεν ὁ πρῶτος λαλῶν ἐν τῇ προφητείᾳ, ἅπερ ἀποκαλυφθῆ τῷ ὑστέρῳ, σιωπᾷ εὐαγγελίζεται. οὗτοι ἡμῶν οἱ γηραιότεροι καὶ πρεσβύτατοι καθ' ἕκαστον χρόνον ἀναγκαίως ἐς ταὐτὸ συνερχόμεθα, ὅπως τὰ τῇ ἡμετέρᾳ ἐπιμελείᾳ εὐαδοθέντα διαληθεῖσαι ἔχοιμεν, καὶ ἵνα τὰ μείζονα σκέψιν ἅπαντα κοινῇ βουλῇ ἐθύνωμεν, καὶ τοὺς πεπτωκότας τῶν ἀδελφῶν καὶ μετὰ τὸ σωτήριον λουτρὸν παρὰ τοῦ Διαβόλου πλυνοῦντας, διὰ τῆς μετανοίας θεραπεύσωμεν. οὐχ ὅπως παρ' ἡμῶν τύχωσι τῆς τῶν ἁμαρτημάτων ἀφέσεως, ἀλλ' ὅπως δι' ἡμῶν πρὸς ἐπανόρθωσιν τῶν ἰδίων ἁμαρτημάτων ἐπισφαλῶσι, καὶ τῇ θείᾳ πληροφορίαν παρέχειν ἀναγκαίως. τοῦ δὲ παρ' ὑμῶν πεμφθέντος ταχέως ἐπανακάμπτειν ἐς ὑμᾶς βουλομένου, καὶ τῆς χειμερίου ὥρας ἐνισταμένης, κατὰ τὸ ἡμῖν ἐφικτὸν τοῖς παρ' ὑμῶν γραφεῖσιν ἀπεκρίθημεν. παύσομαι καλῶς ἀπεκρίθητε τῷ Στεφάνῳ, λέγοντι τοὺς Ἀποστόλους κωλῦσαι βαπτίζεσθαι τοὺς ἐπιστρεφομένους ἀπὸ αἱρέσεως, καὶ ὠφελοῦναι τοῖς ὕστερον φυλάττειν αὐτό. οὐδεὶς γὰρ ὅτου ἐνδεὴς φρενῶν, ὡς τοὺς Ἀποστόλους τοῦτο ὠφελοῦναι πιστεύσειεν, ἀριδήλου ὄντος τοὺς ὀλεθρίους αἱρέσεις μετὰ τοὺς Ἀποστόλους ἀναφανῆναι. ἦν δὲ καὶ Μαρκίων ὁ τοῦ Κέρδωνος φοιτητὴς πολλῶν ἐτῶν μετὰ τοὺς Ἀποστόλους ὠφελοῦντων ἀνεφάνη, καὶ πολὺ ὕστερον τῷ κατὰ τοῦ Θεοῦ ἱερόσυλον παράδοσιν εἰσήγαγον, ἐταῖς βλασφημίαις συγκαταθέμενος. Ἀπελλῆς, μυρίοις ἕτερα νέα καὶ δυσφόρητα τῇ τε ἀληθείᾳ καὶ πίστει ἀνθλέγοντα περισπερασώσυσον. ἀλλὰ καὶ Βαλεντῖνον καὶ Βασιλείδη μετὰ τὸ κοιμηθῆναι τοὺς Ἀποστόλους τῆς τοῦ Θεοῦ Ἐκκλησίας ὠφελούμενοι ψεύδεσιν ἀποστατῆσαι, δῆλόν ἐστι. τοὺς δὲ τῶν αἱρετικῶν ἐπιλοίπους τοὺς αἰσίους αὐτῶν καταλήψεις καὶ διεστραμμένας δόξας ἑνὸς δήπουθεν ἄλλως, καὶ ἑτέρου αὖ ἄλλως ἀπατηθέντων μετέπειτα εἰσαγαγεῖν, ἀναμφισβήτητόν ἐστι. ἅπερ ἅπαντες ἀφ' ἑαυτῶν καταδικασθέντες, καὶ περὶ τῆς ἡμέρας τῆς κρίσεως καὶ σφῶν αὐτῶν ἀδεχομένων σκῆψιν καὶ πρόφασιν γνώμῃ ἐνεγκόντες, κατεδικάσθησαν. ὅσοι τοίνυν τὸ ἐκείνων βάθισμα, βεβαιοῦσιν, ἑαυτοὺς τῆς ἐκείνων μοίρας ποιοῦσι, καὶ τῶν τοιούτων γνώμονες μέτοχοι, ἑαυτοὺς κατακρίνουσιν. ὅτι δὲ οἱ ἐν Ῥώμῃ ὄντες ἐφυλάττοντο ἐν πᾶσι τὰ ἐξ ἀρχῆς παραδοθέντα, μαθεῖν ἔστιν καὶ τῷ τῶν Ἀποστόλων περιβάλλοντα κύρωσιν, καὶ ἐξ ἐκείνου δυνατὸν καταλαβεῖν, ἐπείπερ ἑορτάζοντες τὰς τοῦ Πάσχα ἡμέρας, καὶ πολλὰ ἕτερα θεῖα μυστήρια ἐκτελοῦντες, οὐχ ὁμοίως παραφυλάττουσι πάντα τὰ ἐν Ἱεροσολύμοις παραδεδομένα, ἀλλὰ διαφόρως πως ποιοῦσιν, ὥσπερ καὶ ἐν ἑτέραις τῶν Ἐπαρχιῶν οὐκ ὀλίγα διὰ τὴν διαφορὰν τῶν τόπων καὶ τῶν ὀνομάτων μεταλλάσσοντα, ἀλλ' οὐκ ἐκτέτακε ποτὲ ἀπὸ τῆς εἰρήνης τῆς καθολικῆς Ἐκκλησίας καὶ σύντητος ἀποκεχωρηκότα

χωρήκασιν, ὅπερ νῦν Στέφανος ποιῆσαι τετόλμηκε, διαῤῥηγνὺς καθ' ὑμῶν τὴν εἰρήνην, ἣν οἱ πρὸ αὐτοῦ μεθ' ὑμῶν τῇ πρὸς ἀλλήλους τιμῇ καὶ ἀγάπῃ τετηρηκότες εἰσί. προσέτι δὲ Πέτρῳ καὶ Παύλῳ τοῖς ἱεροῖς Ἀποστόλοις ἀτιμίας προστρίβων κηλῖδα τῷ λέγειν, ἐκείνων εἶναι τὴν παράδοσιν ταύτην, οἳ ἐν ταῖς αὐτῶν ἐπιστολαῖς κατηράσαντο τοὺς αἱρετικοὺς, καὶ ἀποφεύγειν ἀπ' αὐτῶν ἡμῖν διετάξαντο. ἐντεῦθεν δῆλόν ἐστι παρὰ τῶν ἀνθρώπων λαβεῖν τὴν ἀρχὴν τὴν παράδοσιν ταύτην τὴν τοὺς αἱρετικοὺς διαβεβαιουμένην, καὶ βάπτισμα αὐτοὺς ἔχειν ἀποφαινομένην, ὃ μόνης τῆς Ἐκκλησίας ἐστί. καλῶς δὲ ἀπεκρίθετε τῷ Στεφάνῳ ἐν τῇ ἰδίᾳ ἐπιστολῇ λέγοντι, καὶ τοὺς αἱρετικοὺς αὐτοὺς περὶ τὸ βάπτισμα συμφωνεῖν, τούς τε πορευομένους πρὸς αὐτοὺς οὐ βαπτίζειν, ἀλλὰ κοινωνίας ἀξιοῦν μόνον, καὶ ἡμῶν δῆθεν ὁμοίως ἐκείνοις ποιεῖν ἀναγκαζομένων, καίπερ δι' ὑμῶν ἀποδειξάντων λίαν εἶναι γελοῖον ἕπεσθαι τοῖς πλανωμένοις, ἀλλ' ὅμως τοῖς παρ' ὑμῶν ῥηθεῖσιν ἐκεῖνο ἐκπεριστοῦ προστίθεμεν, οὐ θαυμαστὸν εἶναι τοὺς αἱρετικοὺς οὕτως ἄγειν, οἳ ἐν σμικροῖς τισι διαφέρονται, ἀλλ' ἐν τούτῳ ὃ μέγιστόν ἐστιν, ὁμογνωμονοῦσιν, ὅπως ἐνύπνιά τινα καὶ φαντάσματα μὴ γινωσκομένου Θεοῦ ἀναπλάττοντες, κατὰ τοῦ ποιητοῦ βλασφημεῖν ἔχωσι. τοὺς γὰρ τὴν ἀλήθειαν τῆς Θεότητος ὁμογνωμόνως ἀποδιοπομπουμένους, περὶ τὴν τοῦ βαπτίσματος ματαιότητα ὁμογνωμονεῖν ἕπεται. ἀλλ' ἵνα μὴ μακρολογοῦντες ἐπὶ λεπτοῦ τοῖς ἐκείνων ἀνοσίοις ἢ περιττοῖς ἀποκρινώμεθα δόγμασιν, ἀρκεῖ συντόμως ἐκεῖνο εἰπεῖν, τοὺς μὴ δοξάζοντας ἀληθῆ Κύριον τὸν Πατέρα, οὐ δύνασθαι ἔχειν τὴν ἀλήθειαν τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ὥσπερ οἱ ὀνομαζόμενοι Καταφρύγες, καὶ καιναῖς προφητείαις χρᾶσθαι βουλόμενοι, οὐ δύνανται ἔχειν τὸν Πατέρα, οὔτε τὸν Υἱὸν, οὔτε τὸ Πνεῦμα τὸ ἅγιον, παρ' ὧν εἰ ζητήσοιμεν τίνα Χριστὸν κηρύττουσι; τὸν πέμψαντα τὸ διὰ Μοντανοῦ καὶ Πρίσκου λαλῆσαν πνεῦμα κηρύττειν ἀποκριθήσονται. ἐν οἷς οὐ καταλαμβάνοντες τὸ Πνεῦμα τῆς ἀληθείας, ἀλλὰ τῆς πλάνης τοὺς τῆς ἐκείνων ψευδοῦς προφητείας κατὰ τῆς τοῦ Χριστοῦ πίστεως προϊσταμένους οὐκ ἔχειν μεθ' ἑαυτῶν τὸν Χριστὸν ἀποφαινόμεθα. ἀλλὰ καὶ οἱ λοιποὶ τῶν αἱρετικῶν, εἰ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἀποσχισθεῖεν, οὐδ' ὁτιοῦν ἐξουσίας καὶ χάριτος ἔχειν δύναιντο ἄν, ἡ γὰρ ἐξουσία καὶ χάρις ἐν τῇ Ἐκκλησίᾳ εἰσὶν ὅπου οἱ προβεβηκότες τῇ ἡλικίᾳ προΐστανται, οἵτινες τὴν τοῦ βαπτίζειν καὶ χειροτονεῖν καὶ διατάττειν ἐξουσίαν ἔχουσι, τῷ δὲ αἱρετικῷ οὐκ ἔξεστι διατάττειν οὔτε χειροτονεῖν, ὡσαύτως οὔτε βαπτίζειν, οὔτε ποιεῖν τι ἁγίως καὶ πνευματικῶς, ἀλλοτρίῳ ὄντι τῆς πνευματικῆς καὶ θεοποιοῦ ἁγιότητος, ὅπερ ἡμεῖς πάλαι ἐς Ἰκόνιον συναχθέντες, πρὸς δὲ καὶ τῶν ἐν Γαλατίᾳ καὶ Κιλικίᾳ, καὶ ἐν ταῖς πλησίον τῶν Ἐπαρχιῶν συνελθόντων κατὰ τῶν αἱρετικῶν, τηρητέον εἶναι μεθ' ὅσης πλείστης τῆς μονιμότητος ἐβεβαιωσάμεθα, καίπερ ἑτέρων τινῶν ἀμφισβητούντων περὶ τούτου. ἐπεὶ τοίνυν Στέφανος καὶ οἱ τῆς ἐκείνου γνώμης διϊσχυρίζονται τὴν τῶν ἁμαρτημάτων ἄφεσιν, καὶ τὴν ἀναγέννησιν ἐν τῷ τῶν αἱρετικῶν βαπτίσματι δυνατὸν εἶναι προχωρεῖν, καίπερ ὁμολογοῦντες κἀκεῖνοι μὴ εἶναι ἐν τοῖς αἱρετικοῖς Πνεῦμα ἅγιον, διανοηθῆναι αὐτοὺς καλῶς παρωτρύναμεν καὶ εἰς γνῶσιν ἐλθεῖν τοῦ τὴν πνευματικὴν γέννησιν οὐκ ἄνευ Πνεύματος εἶναι δύνασθαι. καὶ γὰρ ὁ μακάριος Παῦλος τοὺς παρὰ τοῦ Ἰωάννου βαπτισθέντας πρὸ τοῦ πεμφθῆναι παρὰ τοῦ Κυρίου τὸ Πνεῦμα τὸ ἅγιον, τῷ πνευματικῷ βαπτίσματι αὖθις ἐβάπτισε, καὶ τὴν χεῖρα αὐτοῖς ἐπέθηκεν ἵνα τὸ Πνεῦμα τὸ ἅγιον λάβωσι. πῶς τοίνυν τοῦ Παύλου μετὰ τὸ τοῦ Ἰωάννου βάπτισμα τοὺς αὐτοῦ μαθητὰς βαπτίσαντος, ἡμεῖς τοὺς ἀπὸ τῶν αἱρέσεων ἐς τὴν Ἐκκλησίαν ἐρχομένους μετὰ τὸ ἀθέμιτον καὶ παράνομον ἐκεῖνο βάπτισμα βαπτίζειν ἀμφισβητοῦμεν, εἰ μὴ μόνον μείζονες τοῦ Παύλου οἱ νῦν Ἐπίσκοποι εἶεν, ὥστε δύνασθαι διὰ μόνης τῆς τῶν χειρῶν ἐπιθέσεως τοῖς προσερχομένοις τῶν αἱρετικῶν διδόναι τὸ Πνεῦμα τὸ ἅγιον, ὅπερ ὁ Παῦλος οὐκ ἦν ἱκανὸς ποιῆσαι, καὶ γὰρ τοὺς παρὰ τοῦ Ἰωάννου βαπτισθέντας βαπτίσας πρῶτον τῷ τῆς Ἐκκλησίας βαπτίσματι, ἔπειτα διὰ τῆς τῶν χειρῶν ἐπιθέσεως δέδωκεν αὐτοῖς Πνεῦμα ἅγιον. κἀκεῖνο δὲ ἀτοπίας γέμον, τὸ οὐ ζητητέον εἶναι, τὶς ὁ βαπτίσας ὑπολαμβάνειν, ἅτε τῇ ἐπικλήσει τῆς Τριάδος ἐν τῷ ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος τοῦ βαπτιζομένου ἐπιτυχεῖν τῆς χάριτος δυναμένου, καὶ αὕτη ἔσται ἡ σοφία ἣν ὁ Παῦλος ἐν τοῖς τελείοις εἶναι γράφει. ἀλλὰ τίς ἐστιν ἐν τῇ Ἐκκλησίᾳ τελειότητος καὶ σοφίας εὖ ἥκων, ὅστις διϊσχυρίζοιτο, ἢ πιστεύοι γυμνὴν τὴν τῶν ὀνομάτων τούτων ἐπίκλησιν ἀρκούντως ἔχειν πρὸς ἄφεσιν τῶν πλημμελημάτων, καὶ πρὸς τὸν ἁγιασμὸν τοῦ βαπτίσματος; τότε γὰρ ὠφελοῦσι καὶ συνεισφέρουσι ταῦτα, ὁπηνίκα καὶ ὁ βαπτίζων ἔχοι Πνεῦμα ἅγιον, καὶ τὸ βάπτισμα οὐκ ἄνευ Πνεύματος γίγνοιτο, ἀλλὰ φασὶ, τὸν ὁπωσδήποτε βαπτιζόμενον τῇ οἰκείᾳ διανοίᾳ καὶ πίστει δύνασθαι τυχεῖν τῆς τοῦ βαπτίσματος χάριτος, ὅπερ ἀναμφιλέκτως γελοῖον ἐστίν. οὐ δὲ γὰρ πονηρὰ διάνοια, καὶ φαυλότητος ἔμπλεως δύναται ἐξουρανοῦ καταγαγεῖν τὸν ἁγιασμὸν τῶν δικαίων, οὔτε οἱ πιστοὶ τὴν τῶν οὐκ ὀρθῶς πιστευόντων ἀλήθειαν. ὅτι δὲ οὐκ ἐξακούονται πάντες οἱ τὸ τοῦ Χριστοῦ ἐπικαλούμενοι ὄνομα, οὔτε μὴν ἐπὶ τῆς ἐπικλήσεως χάριτός τινος ἐγκρατεῖς γίνονται, αὐτὸς ὁ Κύριος δηλοποιεῖ λέγων, πολλοὶ ἐλεύσονται ἐν τῷ ὀνόματι τῷ ἐμῷ λέγοντες, ἐγώ εἰμι ὁ Χριστὸς, καὶ πολλοὺς ἀπατήσουσιν. οὐδὲ μία δήπουθέν ἐστι διαφορὰ μεταξὺ

αἱρε-

αἱρετικοῦ καὶ ψευδοπροφήτου. καθὼς γὰρ ἐκεῖνος ἐν τῷ ὀνόματι τοῦ Θεοῦ, ἢ τοῦ Χριστοῦ, ὁμοιοτρόπως αὐτὸς ἐν τῷ μυστηρίῳ τοῦ βαπτίσματος δελεάζει, καὶ φενακίζει, ἀμφότεροι γὰρ ἐπὶ τῷ ψεύδει ἵδρυνται, τοὺς πολλοὺς παράγειν ὀρεγόμενοι. βούλομαι δὲ ὑμῖν ἱστορίαν διηγηθῆναι τὴν πάρ ἡμῶν γεγονυῖαν, τῷ παρόντι καιρῷ λίαν ἁρμόζουσαν. πρὸ δύο σχεδὸν πρὸς τοῖς εἴκοσιν ἐτῶν μετὰ Ἀλέξανδρον τὸν Αὐτοκράτορα, μυρία δυστυχημάτων εἴδη ἐνταῦθα συνέβησαν, τούς τε Χριστιανοὺς ἰδίως, καὶ ἅπαν τὸ τῶν ἀνθρώπων γένος κοινῶς ζημιοῦντα. ἔτι δὲ παμπληθεῖς καὶ συχνοὶ σεισμοὶ γεγόνασιν, ὥστε πολλὰς χώρας κατεδαφισθῆναι ἔν τε Καππαδοκίᾳ καὶ ἐν τῷ Πόντῳ, καὶ πολλὰς πόλεις ἐκ θεμελίων σχισθείσης τῆς γῆς καταβροχθῆναι, ἐξ οὗ καθ' ἡμῶν τῶν τῆς χριστωνύμου προσηγορίας βαρὺς ἠκολούθησε διωγμός. ταῦτα δὲ μετὰ τὴν διὰ πολλοῦ χρόνου ἀνθήσασαν εἰρήνην προχωρήσαντα, διὰ τὸ ἀσύνηθες καὶ αἰφνίδιον, τοῖς τῶν Χριστιανῶν πράγμασι πλεῖστον ὅσον ἐκομίσαντο θόρυβον. Σεβηριανὸς τότε τῆς ἡμῶν Ἐπαρχίας προΐστατο, διώκτης χαλεπὸς καὶ σκληρότητος γέμων. τῶν εὐσεβῶν τοίνυν τοσαύταις ταραχαῖς κυμαινομένων, καὶ τῇ διωγμοῦ πτοίᾳ καὶ ὀρρωδίᾳ ᾧδε κἀκεῖσε φευγόντων, καὶ τὰς ἐνεγκούσας ἀπολειπόντων, καὶ εἰς ἑτέρας τῶν πόλεων ἀναχωρούντων (τοπικῆς γὰρ οὔσης τῆς τότε διώξεως, πορεύεσθαι εἶχον ὅπῃ βούλοιντο) ἐξαίφνης γυνήτις ἀνεφάνη, ἥπερ ἐν ἐκστάσει οὖσα, προφήτιδα ἑαυτὴν ἔλεγεν εἶναι καὶ πνευματοφόρον. οὕτω δὴ τῇ τῶν ἀρχικῶν Δαιμόνων ὁρμῇ ἐφέρετο, ὥστε οὐκ ὀλίγον χρόνον πράγματα παρέχειν τῇ ἀδελφότητι καὶ ἀπαταῦ αὐτήν. ἐπὶ τούτοις δὲ τέρατά τινα καὶ θαυμάσια εἰργάζετο, καὶ τὴν γῆν αὐτὴν διακινῆσαι ἐπηγγέλετο, οὐχ ὡς τῇ τοῦ Δαίμονος προσταγῇ τῆς γῆς κινηθῆναι δυναμένης, ἀλλ' ἐπείπερ ἐνίοτε ὁ πονηρὸς Δαίμων σεισμὸν ἔσεσθαι προγινώσκει, τὸ γενησόμενον αὐτὸς ποιήσειν ὑποκρίνεται. ἀμέλει, τοῖς τοιούτοις ψεύδεσιν ἑλκύσας τὰς τῶν πολλῶν διανοίας, πέπεικεν αὐτῷ ὑποτάσσεσθαι καὶ πορεύεσθαι ὅπῃ ἂν αὐτοὺς ἀπαγάγοι. δεινοῦ δὲ χειμῶνος ἱσταμένου, ἐποίει φαίνεσθαι τὴν γυναῖκα ἐκείνην ἐπὶ χιόνος βαδίζουσαν καὶ οὐδ' ὁτιοῦν βλαπτομένην. ἔλεγε δὲ εἰς Ἰουδαίαν καὶ Ἱεροσόλυμα ταχύνειν τὸν δρόμον, πλάττων ἑαυτὸν ἐκεῖθεν ἐλθεῖν. ἀλλὰ καὶ ἐκ τῶν Πρεσβυτέρων ἕνα, καὶ Διάκονόν τινα παρήγαγεν ὥστε συμμίγνυσθαι αὐτοὺς τῇ γυναικὶ, ὅπερ ὕστερον καταφανὲς γέγονε τῷ λαῷ. παραυτίκα γὰρ τῶν Ἐξορκιστῶν εἷς αὐτῷ ἐνεφάνη, ἀνὴρ ἀγαθὸς τὸν βίον, καὶ τὰ περὶ τὴν ὀρθὴν πίστιν μεμυημένος καλῶς, ὃς πολλῶν ἀδελφῶν γενναίων ἐν τῇ πίστει παρόντων ἐκεῖ τῇ παραθήξει παροτρυνθεὶς, πρὸς καταπολέμησιν καὶ καταγωνισμὸν ἐκείνου τοῦ πονηροῦ πνεύματος διηγέρθη, καὶ τοῦτο δὲ ὀλίγον πρότερον ὁ Δαίμων προέγνω, ἔφη γὰρ ἐλεύσεσθαί τινα πειραστὴν ἄπιστον. ἀλλ' ὁ Ἐξορκιστὴς ἐκεῖνος τῇ τοῦ Θεοῦ ῥωννύμενος χάριτι, ἰσχυρῶς ἀντέτεινε, καὶ τὸν πρότερον ὑποτοπαζόμενον ἅγιον, πονηρότατον πνεῦμα εἶναι ἀπέδειξεν, ἡ δὲ γυνὴ ἐκείνη, ἥτις πρότερον διὰ τῶν μαγγανειῶν τοῦ Δαίμονος πρὸς ἐξαπάτην τῶν πιστῶν πολλά τινα εἰργάζετο, πρὸς τοῖς ἄλλοις οὐ καταφρονητέα ἐπικλήσει ἁγιάζειν τὸν ἄρτον, καὶ τὴν Εὐχαριστίαν ποιεῖν ὑπεκρίνετο, ἄνευ τοῦ μυστηρίου τῆς συνήθους προσευχῆς θυσίαν τῷ Κυρίῳ προσφέρουσα. ἔτι δὲ τοῖς ἐθίμοις καὶ νομίμοις ῥήμασι τῆς ἐρωτήσεως χρωμένη, ὥστε μηδαμῶς τῷ τῆς Ἐκκλησίας Κανόνι διαφωνεῖν φαίνεσθαι, οὐκ ὀλίγους ἐβάπτισε. τί φήσομεν οὖν περὶ τούτου τοῦ βαπτίσματος ᾧ ἐβάπτισεν ὁ Δαίμων χρώμενος ὀργάνῳ τῇ γυναικί; μήπου καὶ τοῦτο Στέφανος καὶ οἱ ὁμογνωμονοῦντες αὐτῷ ἀποδέχονται; μάλιστα οὔτε τοῦ Συμβόλου τῆς Τριάδος, οὔτε τῆς νομίμου καὶ ἐκκλησιαστικῆς ἐρωτήσεως ἀπούσης. πῶς δὲ δυνατόν ἐστι πιστεύειν τὴν τῶν ἁμαρτημάτων ἄφεσιν δοθῆναι, ἢ τὴν διὰ σωτηριώδους λουτροῦ ἀναγέννησιν νομίμως τελειωθῆναι, ὅπου καίπερ καθ' ὁμοιότητα τῆς ἀληθείας, ἀλλ' ὅμως πάντα διὰ τοῦ Δαίμονος γέγονεν, εἰ μὴ μόνον οἱ τὸ τῶν αἱρετικῶν ἀποδεχόμενοι βάπτισμα, καὶ τὸν Διάβολον ἐν τῷ ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος δοῦναι τὴν τοῦ βαπτίσματος χάριν διϊσχυρίζοιντο, παρ' οἷς ἀναμφιλέκτως ἡ αὐτή ἐστι πλάνη, καὶ ἡ παρὰ τοῖς Δαίμοσιν ἐξαπάτη, ἐπειδὴ οὐκ ἔχουσι Πνεῦμα ἅγιον. ἐκεῖνο δὲ πῶς οὐκ ἄτοπον, ὅπερ Στέφανος βούλεται, τοὺς παρὰ τῶν αἱρετικῶν βαπτιζομένους λαμβάνειν τὸν ἁγιασμὸν τοῦ Χριστοῦ, εἰ γὰρ οὐ ψεύδεται ὁ Ἀπόστολος λέγων, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε Χριστὸν ἐνεδύσασθε, ὁ ἐν Χριστῷ βαπτισθεὶς ἐκεῖ, τὸν Χριστὸν ἐνεδύσατο, εἰ δὲ τὸν Χριστὸν ἐνεδύσατο, εἴληφε καὶ Πνεῦμα ἅγιον τὸ πεμφθὲν παρὰ τοῦ Χριστοῦ, καὶ μάτην ἐπιστρεφομένῳ, τὰς χεῖρας ἐπιτιθέασιν ἵνα λάβῃ τὸ Πνεῦμα. εἰ μὴ, εἰ παρὰ τοῦ Χριστοῦ τὸ Πνεῦμα ἐνδύεται, ὁ Χριστὸς μὲν εἴη παρὰ τοῖς αἱρετικοῖς, τὸ δὲ Πνεῦμα τὸ ἅγιον οὔ. εἴπομεν δὲ βραχέως καὶ τὰ λοιπὰ ἃ παρ' ὑμῶν εἴρηται ἀφθόνως καὶ μετὰ δαψιλείας ῥημάτων, τοῦ ἀγαπητοῦ Διακόνου Ῥογατιανοῦ κατὰ τάχος πρὸς ὑμᾶς ἐπιστρέφειν βουλομένου. ἕπεται δὲ ἡμῖν ἐκεῖνο ζητῆσαι παρὰ τῶν τοῖς αἱρετικοῖς βοηθούντων, πότερον, τὸ ἐκείνων βάπτισμα σαρκικόν ἐστιν ἢ Πνευματικόν; εἰ μὲν γάρ ἐστι σαρκικὸν, οὐδὲν διαφέρει τοῦ τῶν Ἰουδαίων βαπτίσματος, ὅπερ ἐκεῖνοι χρῶνται καθάπερ κοινῷ λουτρῷ, μόνον τοὺς μολυσμοὺς ἀποπλύνοντες. εἰ δὲ πνευματικόν ἐστι, πῶς δύναται παρ' ἐκείνοις εἶναι βάπτισμα Πνευματικὸν, παρ' οἷς οὐκ ἔστι Πνεῦμα ἅγιον; ὅθεν τὸ ὕδωρ ᾧ βαπτίζονται οὐκ ἔστι μυστήριον βαπτίσματος, ἀλλὰ λουτρὸν μόνον σαρκικόν. εἰ δὲ τὸ τῶν αἱρετικῶν βάπτισμα δύναται ἔχειν τὴν ἀναγέννησιν τῆς δευτέρας γεννή-

σεως

σεως, ὡς οἱ παρὰ τῶν αἱρετικῶν ἀχὶ αἱρετικοὶ, ἀλλὰ υἱοὶ Θεοῦ ὀνομασέοι εἰσὶν, ἡγὰρ ἐν τῷ βαπτίσματι ἀναγέννησις υἱὸς Θεοῦ γοννᾷ. ἀλλ' εἰ μία ἐστὶν ἡ τοῦ Χριστοῦ Νύμφη, δῆλον ὅτι ἡ καθολικὴ Ἐκκλησία ἐκείνη μόνη ἐστὶν ἡ γοννῶσα υἱὸς Θεοῦ. ἡ δὲ γὰρ πολλαὶ Νύμφαι Χριστοῦ, λέγοντος τοῦ Ἀποστόλου, ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. καὶ ψαλμῷ τεσσαρακοστῷ τεταρτῳ, ἄκουσον θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. καὶ Ἅσμα ὠσμάτων κεφαλαίῳ τεταρτῳ. δοῦρε ἀπὸ Λιβάνου Νύμφη δοῦρε ἀπὸ Λιβάνου, ἐλεύσῃ καὶ διελεύσῃ ἀπὸ ἀρχῆς πίστεως. καὶ κεφαλαίῳ πέμπτῳ. εἰσῆλθον εἰς κῆπόν μου ἀδελφή μου Νύμφη. περὶ οὗ δὲ προσώπου ἐπενήνοχόσε ὁ λόγος ἐστὶ, μία γὰρ ἡ Νύμφη. ἐκ ἔστι τοίνυν μία καὶ ἡ αὐτὴ τῇ ἡμετέρᾳ ἡ τῶν αἱρετικῶν συναγωγὴ, ἐπειδὴ οὔτε Νύμφη ἐστὶν ἡ μοιχαλὶς καὶ πόρνη, ὅθεν ἡ δὲ δύναται γοννᾶν υἱὸς Θεοῦ, εἰ μὴ ἡ Στεφάνῳ δοκεῖ, ἡμῖν αἵρεσις τίκτει καὶ ἐκτίθησιν, ἡ δὲ Ἐκκλησία ἀναλαμβάνει τὰς ἐκτεθείσας, καὶ ὡς ἀγαπήσασα, τρέφει ὡς ἑαυτῆς, ἀλλοτρίων γὰρ τέκνων ἀδύνατον εἶναι μητέρα. διὸ Χριστὸς ὁ Σωτὴρ ἡμῶν μίαν εἶναι τῷ ἑαυτοῦ Νύμφην δηλοποιῶν, καὶ τὸ μυστήριον τοῦτο ἀναδεικνὺς, φησὶ Λευκὰ κεφαλαίῳ ἑνδεκάτῳ. ὁμοῦ ὦν μετ' ἐμοῦ, καὶ' ἐμοῦ ἐστι, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. εἰ γὰρ μεθ' ἡμῶν ἐστιν ὁ Χριστὸς, οἱ δὲ αἱρετικοὶ ἐκ εἰσὶ μεθ' ἡμῶν, πάντως οἱ αἱρετικοὶ κατὰ τοῦ Χριστοῦ εἰσι. καὶ εἰ ἡμεῖς συνάγομεν μετὰ τοῦ Χριστοῦ, οἱδὲ αἱρετικοὶ ἐ συνάγουσι μεθ' ἡμῶν, ἀναμφιλέκτως σκορπίζουσιν. ἀλλ' ἐ δ' ἐκεῖνο παραλειπτέον ἐστὶν ὃ παρ' ἡμῶν ἀναγκαίως εἴρηται ὅτι ἡ Ἐκκλησία κατὰ τὸ Ἅσμα τῶν ὠσμάτων, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη, παράδεισος ῥοῶν μετὰ καρποῦ ἀκροδρύων. οἱ δὲ ἐ δέποτε εἰσελθόντες εἰς τὸν κῆπον, ἐ δὲ ἑωρακότες τὸν παρὰ τοῦ ποιητοῦ Θεοῦ φυτευθέντα παράδεισον, πῶς δυνήσονται ἐκ τῆς σφόδρα κεκλεισμένης πηγῆς καὶ ἐσφραγισμένης τῇ θείᾳ σφραγῖδι ὕδωρ ζῶν τοῦ σωτηριώδους λουτροῦ παρέχειν τινί; τῆς δὲ Κιβωτοῦ τοῦ Νῶε ἐδὲ ἄλλο ἔστης, εἰ μὴ μυστήριον τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἥτις πάντων τῶν ἔξω ἀπολυμένων, τοὺς σφόδρα ὄντας ἔσωσεν, ἀληθῶς γινώσκομεν μίαν εἶναι καὶ μόνην τὴν Ἐκκλησίαν. ὥσπερ φησὶ καὶ Πέτρος ὁ Ἀπόστολος, οὕτω καὶ ὑμᾶς ὁμοίως σώσει τὸ βάπτισμα λέγων πρώτην ἐπιστολῆς, κεφαλαίῳ τρίτῳ. διὸ δείκνυσιν ὅτι καθάπερ οἱ μὴ ὄντες ἐν τῇ Κιβωτῷ μετὰ τοῦ Νῶε, ἐ γεγόνασι καθαροὶ, ὅτε ἐσώθησαν διὰ τοῦ ὕδατος, ἀλλὰ παραυτίκα ἐν τῷ κατακλυσμῷ διεφθάρησαν, οὕτω καὶ νῦν οἱ μὴ ὄντες ἐν τῇ Ἐκκλησίᾳ μετὰ τοῦ Χριστοῦ, ἀλλ' ἔξω αὐτῆς, ἀπολεσθήσονται, εἰ μὴ ἐπισφραγῖσι διὰ τῆς μετανοίας πρὸς τὸ σωτηριῶδες τῆς Ἐκκλησίας λουτρόν. ὁπόση δὲ πλάνη καὶ τυφλότης ἐστὶ τὸ λέγειν ἐν ταῖς τῶν αἱρετικῶν συναγωγαῖς δίδοσθαι τὴν τῶν ἁμαρτημάτων ἄφεσιν, ἣν λύει ἐν τῷ θεμελίῳ τῆς μιᾶς Ἐκκλησίας, ἣν Χριστὸς ἐπὶ τῇ πέτρᾳ ᾠκοδόμησεν, ἐκεῖθεν ῥᾴσα γινώσκεται, ὅτι μόνῳ τῷ Πέτρῳ εἶπεν ὁ Χριστὸς, ὅσα ἂν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ τὰ ἑξῆς. καὶ πάλιν ἐν Εὐαγγελίῳ, ὅταν μόνοις τοῖς Ἀποστόλοις ἐνεφύσησεν ὁ Χριστὸς λέγων, λάβετε Πνεῦμα ἅγιον, καὶ τὰ ἑξῆς, Ἰωάννου κεφαλαίῳ εἰκοστῷ. ἀμέλειται, ἡ τοῦ ἀφιέναι ἁμαρτίας ἐξουσία τοῖς Ἀποστόλοις δέδοται, καὶ ταῖς Ἐκκλησίαις, ἃς ἐκεῖνοι τῷ τοῦ Χριστοῦ ἀποσταλέντες κατέστησαν, καὶ τοῖς Ἐπισκόποις τοῖς ἐπιτροπίας λόγῳ ἐκείνοις διαδεξαμένοις. οἱ δὲ τῆς μιᾶς καθολικῆς Ἐκκλησίας, ἐν ᾗ ἡμεῖς ἐσμὲν καὶ ἡμῶν τῶν διαδόχων τῶν Ἀποστόλων ἐχθροὶ ἀθεμίτων ἱερατειῶν ἀντιλαμβανόμενοι καθ' ἡμῶν, καὶ βωμοὺς βεβήλους ποιοῦντες, τοῦ Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρὼν ἀδοὺ διαφέρουσιν, ἐφαμίλλως ἐκείνοις ἱερόσυλοι ὄντες, καὶ τοῖς ὁμοίοις ἐκείνοις τίσουσι ποιναὶς, οἷς ἀφόβηνται καὶ οἱ ὁμογνωμονοῦντες αὐτοῖς, καθάπερ καὶ τότε οἱ συμπήγοροι καὶ μέτοχοι τῆς κακίας ἐκείνων ὁμοίως ἐκείνοις ἀπωλέσθησαν. ἀλλ' ἐγὼ ἀδύναμαι φέρειν τὸ περὶ ταῦτα ἀρίδηλον αἶσχος τοῦ Στεφάνου. τοσοῦτον γὰρ περὶ τῆς ἰδίας Ἐπισκοπῆς καυχώμενος, καὶ Διαδοχὴ εἶναι τοῦ Πέτρου διϊσχυριζόμενος, ἐφ' ᾧ ἵδρυται τὰ τῆς Ἐκκλησίας θεμέλια, πολλὰς πέτρας εἰσάγει, καὶ πολλῶν Ἐκκλησιῶν κενὰς οἰκοδομὰς καθίστησι, τῇ ἰδίᾳ ἐξουσίᾳ εἶναι ἐν ἐκείναις βάπτισμα ἀποφαινόμενος. οἱ γὰρ βαπτιζόμενοι τὸν τῆς Ἐκκλησίας ἀριθμὸν ἀναμφιβόλως πληροῦσιν, ὁ δὲ τὸ βάπτισμα ἐκείνων ἀποδεχόμενος, ἐκ τῶν βαπτισθέντων Ἐκκλησίαν εἶναι ἑαυτοῦ βεβαιοῖ, ἐπ' ἐννοεῖ προθιδόντος αὐτοῦ καὶ παρεόντος τὴν μονότητα ἁμαυροῦσθαι, καὶ οἱονεὶ ἀπαλείφεσθαι τῆς χριστιανικῆς πέτρας τὴν ἀλήθειαν. ἀλλ' ὁ τοῦ Θεοῦ Ἀπόστολος ζῆλον ἔχειν τοὺς Ἰουδαίους ὁμολογεῖ, καὶτοι τυφλώττοντας τῇ ἀγνοίᾳ, καὶ ὑποδίκους ὄντας βαρυτάτῳ πλαίσματι. ὁ δὲ Στέφανος τῷ Διαδόχῳ τῷ τοῦ Πέτρου καθέδραν αὐχῶν, ἑδενὶ ζήλῳ κατὰ τῶν αἱρετικῶν διεγείρεται, δωρεμένου αὐτοῖς ἐ μετείαν, ἀλλὰ μείζονι χάριτος δωρεᾷ, ὥστε λέγειν αὐτοὺς τῷ μυστηρίῳ τοῦ βαπτίσματος τὸν μολυσμὸν τοῦ παλαιοῦ ἀνθρώπου ἀπονίπτειν δύνασθαι, τὰ ἀρχαῖα τοῦ θανάτου ἁμαρτήματα συγχωρεῖν, τῇ οὐρανίῳ ἀναγεννήσει υἱὸς Θεοῦ ποιεῖν, καὶ τῇ ἁγαθοποιΐᾳ τοῦ θείου λουτροῦ ἐστὶν ἀώνιον ζωὴν ἀναλαμβάνειν. ἀμέλειται, ὁ οὕτω μεγέθους ἔχων, τὰ θεῖα τῆς Ἐκκλησίας δωρήματα τοῖς αἱρετικοῖς παρεχόμενος, ἀληθῶς ἐκείνοις συγκοινωνεῖ, οἷς τοσαύτην προσποιεῖται χάριν, καὶ ματαίως ἐν τοῖς λοιποῖς ἐκείνοις ὁμογνωμονεῖν

μονεῖν ἀμφιβάλλει, ὥστε μετ' ἐκείνων συνέρχεσθαι, καὶ τὰς προσευχὰς ταῖς ἐκείνων ἀναμιγνῦναι, καὶ ἐστὸν αὐτὸν ἐκείνοις ἰέναι βωμόν. ἀλλὰ πολλὴν ἔχει φησὶ τὴν ἰσχὺν πρὸς τὴν πίστιν καὶ τὸν ἁγιασμὸν τοῦ βαπτίσματος τὸ τοῦ Χριστοῦ ὄνομα, καὶ ὁποιοσοῦν καὶ ἐν ὁποιῳοῦν βούλει τόπῳ ἐν τῷ τοῦ Χριστοῦ ὀνόματι βαπτισθείη, λαμβάνει τὴν τοῦ Χριστοῦ χάριν. ἀλλὰ μετὰ ῥᾳστώνης τὴν ἀπάντησιν ποιῆσαι δυνάμεθα. εἰ γὰρ ἐν τῷ τοῦ Χριστοῦ ὀνόματι ἐδυνήθη τὸ βάπτισμα ἔξωθεν καθᾶραι τὸν ἄνθρωπον, ἐν τῷ ἰδίῳ ὀνόματι τοῦ Χριστοῦ ἐδυνήθη ἐκεῖ ἡ τῶν χειρῶν ἐπίθεσις δοῦναι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὕτω καὶ τὰ λοιπὰ πάντα τὰ παρὰ τῶν αἱρετικῶν πραττόμενα δίκαια καὶ νόμιμα φανήσονται, ἅτε δὴ ἐν τῷ τοῦ Χριστοῦ ὀνόματι γιγνόμενα, καθάπερ ὑμεῖς ἐν τῇ ὑμετέρᾳ ἐπιστολῇ εἰρήκατε, ἐν μόνῃ τῇ Ἐκκλησίᾳ ἰσχύειν τὸ τοῦ Χριστοῦ ὄνομα, ᾗ παρὰ τοῦ Χριστοῦ ἡ οὐράνιος χάρις δεδώρηται. ἐκεῖνο δὲ ἱκανὸν πρὸς ἀποβολὴν τῆς συνηθείας ἢν ἐκεῖνοι τῇ ἀληθείᾳ ἀντιτιθέναι φαίνονται. τίς γὰρ οὕτω μάταιος ὅστις προφέροι τῇ ἀληθείᾳ τὴν συνήθειαν; τίς δὲ τοῦ φωτὸς φανέντος οὐ παραλείπει τὸ σκότος; εἰ μὴ καὶ τοὺς Ἰουδαίους, ἐλθόντος τοῦ Χριστοῦ, ἤτοι τῆς ἀληθείας, ὀνίνησι κατά τι ἡ ἀρχαία συνήθεια, ὅτι παραλιπόντες τὴν καινὴν τῆς ἀληθείας τρίβον, τῇ παλαιότητι προσεκαρτέρησαν, ὅπερ ὑμεῖς οἱ ἐκ τῆς Ἀφρικῆς δύνασθε εἰπεῖν κατὰ τοῦ Στεφάνου. ἐς γνῶσιν γὰρ ὑμεῖς ἐλθόντες τῆς ἀληθείας, τὴν πλάνην τῆς συνηθείας παρελείψατε. ἐπὶ τούτοις δὲ τῇ ἀληθείᾳ ἐπιζευγνῦντες τὴν συνήθειαν, τῇ τῶν Ῥωμαίων συνηθείᾳ τὴν τῆς ἀληθείας συνήθειαν ἀντιτίθεμεν, ἐξαρχῆς ἐκεῖνο φυλάττοντες, ὅπερ ὁ Χριστὸς καὶ ὁ Ἀπόστολος παραδέδωκεν. οὔτε μεμνήμεθα τοῦτο λαβεῖν ποτὲ τὴν ἀρχὴν παρ' ὑμῖν, πάντοτε γὰρ ἐνταῦθα παρατετήρηται, ὥστε μὴ γινώσκειν ἡμᾶς ἑτέραν παρὰ τὴν μίαν τοῦ Θεοῦ Ἐκκλησίαν, καὶ οὐκ ἔχειν ἕτερον βάπτισμα, εἰ μὴ τὸ τῆς ἁγίας Ἐκκλησίας. ὅθεν ἀμφιβαλλόντων τινῶν περὶ τοῦ ἐκείνων βαπτίσματος, οἳ καίπερ προφήτας νέους ἀποδεχόμενοι, ἀλλ' ὅμως τὸν αὐτὸν ἡμῖν Πατέρα καὶ Υἱὸν γινώσκειν φαίνονται, πολλοὶ ὁμοῦ συνελθόντες ἐς Ἰκόνιον, λίαν ἐπιμελῶς ἐξητακότες ἐσμὲν τὰ τοιαῦτα. ἔσχατον δὲ διωρισάμεθα ἀποβλητέον εἶναι πάντως πᾶν βάπτισμα τὸ ἔξω τῆς Ἐκκλησίας γιγνόμενον. ἐκεῖνο δὲ ὃ ὑπὲρ τῶν αἱρετικῶν ἐπιφέρειν φιλοῦσι, λέγοντες εἰπεῖν τὸν Ἀπόστολον ἐν τῇ πρὸς Φιλιππησίους πρώτῃ, ἢ προφάσει, ἢ ἀληθείᾳ, Χριστὸς καταγγέλλεται, οὐδὲ μιᾶς ἀποκρίσεως χρῄζει, ἀρίδηλον γάρ ἐστι τὸν Ἀπόστολον ἐν τῇ ἰδίᾳ ἐπιστολῇ, ἐν ᾗ τοῦτό φησι, μήτε τῶν αἱρετικῶν, μήτε τοῦ ἐκείνων βαπτίσματος μνείαν ποιῆσαι, ἀλλὰ μόνον περὶ τῶν ἀδελφῶν εἰπεῖν, ἢ ἀπίστως μεταξὺ αὐτῶν λαλούντων, ἢ ἐν καθαρᾷ πίστει διαμενόντων. ἀλλὰ τοῦτο οὐ μακροῖς λόγοις ἐξεταστέον, ἀρκεῖ γὰρ μόνον τὴν ἐπιστολὴν ἀναγνῶναι, καὶ τὸ παρὰ τοῦ Ἀποστόλου ῥηθὲν, ἐξ αὐτοῦ γνῶναι τοῦ Ἀποστόλου. τί γενήσεται οὖν φήσουσι τοῖς ἀπὸ τῶν αἱρετικῶν ἄνευ τοῦ τῆς Ἐκκλησίας βαπτίσματος ἐρχομένοις καὶ ἀποδεχομένοις; εἰ μὲν τὸ χρεὼν ἀπῄτησαν οἱ τοιοῦτοι, τοῖς παρ' ἡμῖν κατηχηθεῖσι μὲν, ἀλλὰ πρὸ τοῦ βαπτισθῆναι τεθνηκόσι, συναριθμοῦνται. οὐ λέγουσι δὲ ὠφέλειαν τῆς ἀληθείας καὶ πίστεως πρὸς ἣν παραλιπόντες τὴν πλάνην, ἦλθον, καὶ εἰ τῆς τελείας χάριτος οὐκ ἐπέτυχον ὑπὸ τοῦ θανάτου προκατελήφθησαν. οἱ δὲ ἐν τῷ παρόντι βίῳ ἔτι ὄντες, βαπτισθήτωσαν τῷ τῆς Ἐκκλησίας βαπτίσματι, ὅπως λάβωσι τὴν τῶν πλημμελημάτων ἄφεσιν, ἵνα μὴ τῇ τῶν ἄλλων προλήψει ἐν τῇ προτέρᾳ μένοντες πλάνῃ ἄνευ τῆς τελείας χάριτος τοῦ ζῆν στερηθῶσιν. ἀλλ' ὁποῖον ποιοῦσι πλημμέλημα οἵτε ἀποδεχόμενοι τοὺς τοιούτους, καὶ οἱ ἀποδέχεσθαι αὐτοὺς βουλόμενοι, καὶ γὰρ οὐκ ἀπονιψάμενοι τῷ τῆς Ἐκκλησίας λουτρῷ τοὺς μολυσμοὺς, οὔτε μὴν ἐξωμογησάμενοι τὰ οἰκεῖα ἁμαρτήματα, λίαν αὐθαδῶς μεταλαμβάνουσι τὸ Σῶμα καὶ Αἷμα τοῦ Κυρίου, καίτοι γράφοντος τοῦ Ἀποστόλου, ὅτι ὅστις ἂν φάγοι τὸν ἄρτον, καὶ πίοι τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ Σώματος καὶ Αἵματος τοῦ Κυρίου. καὶ ἡμεῖς δὲ ἐκείνους οὓς οἱ πρότερον ὄντες Ἐπίσκοποι ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ, καὶ μετέπειτα προσλαμβάνοντες τὴν τῆς κληρικῆς διατάξεως ἐξουσίαν, ἐβάπτισαν, οὐκ ἀριθμητέους εἶναι τοῖς βαπτισθεῖσιν ἐκρίνομεν. τόν τε παρ' ἐκείνων βαπτισθέντα καὶ πρὸς ἡμᾶς ἐλθόντα ὥσπερ ἀλλότριον καὶ οὐδενὸς μέτοχον τῷ μόνῳ καὶ ἀληθεῖ τῆς Ἐκκλησίας βαπτίσματι βαπτίζομεν, ὅπως ἐπιτεύξηται τοῦ ζωτικοῦ λουτροῦ τῆς ἀναγεννήσεως. ἀλλ' ὅμως πλεῖστον ὅσον διαφέρει ὁ ἄκων καὶ ὑπὸ τῆς ἀνάγκης τοῦ διωγμοῦ καταπεσὼν τοῦ ἱεροσύλῳ γνώμῃ αὐθαδῶς τῆς Ἐκκλησίας ἀποστατοῦντος, καὶ εἰς τὸν Πατέρα καὶ Θεὸν τοῦ Χριστοῦ, παντός τε τοῦ κόσμου δημιουργὸν ἀσεβέσι ῥήμασι βλασφημοῦντος. οὐκ αἰδεῖται δὲ τέφανος βεβαιοῦν τὴν τῶν ἁμαρτημάτων παρέχεσθαι ἄφεσιν τοὺς πᾶν εἶδος ἁμαρτημάτων ποιοῦντας, οὐδὲ γὰρ διαφέρει τοῦτο τοῦ λέγειν, ἐν οἴκῳ θανάτου δύνασθαι εἶναι λουτρὸν σωτηρίας. ποῦ τοίνυν ἔσται ὃ γέγραπται Παροιμιῶν κεφαλαίῳ πέμπτῳ. ἀπὸ ὕδατος ἀλλοτρίου ἀπέχου, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας οὐμὴ πίῃς. ἢ παρεάσας ἐσφραγισμένην τὴν τῆς Ἐκκλησίας πηγὴν, ξένον ὕδωρ ἀντὶ τοῦ ἰδίου λαμβάνεις, καὶ οὐχ ἱεραῖς πηγαῖς τὴν Ἐκκλησίαν μιαίνεις ὁπηνίκα γὰρ κοινωνεῖς τῷ τῶν αἱρετικῶν βαπτίσματι, ἀριδήλως ἐκ τοῦ πηλώδους ἐκείνων ὕδατος πίνεις. καὶ τῷ τῆς Ἐκκλησίας ἁγιασμῷ καθαρθεὶς, τῇ τῶν

ἀλλοτρίων

ἀλλοτρίων μολυσμῶν ἐπαφῇ μολύνῃ. καὶ τὴν κρίσιν τοῦ Θεοῦ μὴ δ' ὅλως φοβούμενος, τοῖς αἱρετικοῖς προσφέρεις σεαυτὸν μάρτυρα κατὰ τῆς Ἐκκλησίας. γέγραπται γὰρ μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται. Παροιμιῶν κεφαλαίῳ δεκάτῳ ἐνάτῳ. μᾶλλον δὲ πάντων τῶν αἱρετικῶν χείρων εἶ. καὶ γὰρ πολλοὶ ἐκείνων εἰς γνῶσιν ἐλθόντες τῆς οἰκείας πλάνης, σοὶ προσέρχονται ἵνα λάβωσι τὸ ἀληθὲς φῶς τῆς Ἐκκλησίας, σὺ δὲ ἐπίκουρος γίγνῃ τῆς πλάνης τῶν ἐρχομένων, καὶ ἀμαυρώσας τὸ τῆς ἐκκλησιαστικῆς ἀληθείας φῶς, τὸ τῆς αἱρετικῆς νυκτὸς σκότος ἐπισωρεύεις, καὶ ὁμολογούντων ἐκείνων ἐν ἁμαρτίαις αὐτοὺς εἶναι, καὶ οὐδ' ὁτιοῦν ἔχειν χάριτος, τούτου τε ἕνεκα ἐς τὴν Ἐκκλησίαν ἔρχεσθαι, σὺ τῆς τῶν ἁμαρτημάτων ἀφέσεως ἐκείνους ἀποστερεῖς, ἥτις ἐν τῷ βαπτίσματι δίδοται. λέγεις γὰρ αὐτοὺς ἤδη βεβαπτισμένους εἶναι, καὶ ἔξω τῆς Ἐκκλησίας τῆς χάριτος, τῆς Ἐκκλησίας ἐπιτυχεῖς γεγονέναι, οὐδ' ὅλως ἐννοῶν ὅτι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως αἱ ἐκείνων ψυχαὶ παρὰ σοῦ ζητηθήσονται, ὅστις τοῖς διψῶσι τὸ τῆς Ἐκκλησίας ὕδωρ οὐπαρέσχες, καὶ τοῖς ζῆν ὀρεγομένοις αἰτία θανάτου γέγονας, καὶ ἐπὶ τούτοις ὀργίζῃ. βλέπε ὡς ἀμαθῶς ψέγειν ἐπιχειρεῖς τοὺς κατὰ τοῦ ψεύδους πρὸ τῆς ἀληθείας ἱσταμένους. τίς γὰρ δικαιότερον κατὰ τοῦ ἑτέρου εἶχεν ὀργίζεσθαι; πότερον ὁ τῶν ἐχθρῶν τοῦ Θεοῦ ἐπίκουρος ὤν, ἢ ὁ ὑπὲρ τῆς ἀληθείας τῆς Ἐκκλησίας κατὰ τοῦ βοηθοῦ τῶν ἐχθρῶν τοῦ Θεοῦ μαχόμενος; ἀλλὰ τοὺς ἀμαθεῖς γενναίους εἶναι καὶ ὀργίλους, δῆλόν ἐστι. καὶ γὰρ, ἐνδεεῖς ὄντες βουλῆς καὶ λόγου, μάλα ῥᾳδίως ἐς ὀργὴν ἀποκλίνουσιν, ὥστε περὶ οὐδενὸς ἑτέρου μᾶλλον, ἢ περὶ σοῦ λέγειν τὴν θείαν γραφὴν, Παροιμιῶν κεφαλαίῳ δεκάτῳ ἐνάτῳ. ψευδὴς μάρτυς οὐκ ἀτιμώρητος ἔσται. μυρίας γὰρ ὅσας διχονοίας διὰ πασῶν τῶν Ἐκκλησιῶν τῆς οἰκουμένης παρενέσπειρας, ὁποίῳ δὲ ἁμαρτήματι ὑπέβαλες σεαυτὸν, τοσούτων ἀνθρώπων διασχισθεὶς, ἀπέσχισας γὰρ σεαυτὸν τῆς κοινωνίας τῆς ἐκκλησιαστικῆς ἑνώσεως, ἀποστάτης γενόμενος. καὶ γὰρ οὐδενὶ συνδιατρίβειν βουλομένουσου, πάντες τὴν σὴν ὁμιλίαν ἀποφεύγουσιν. ἀλλ' οὔτε τὰ τοῦ Ἀποστόλου παραγγέλματα ἑλκῦσαί σε εἰς τὸν τῆς ἀληθείας καὶ εἰρήνης κανόνα δεδύνηται, φησὶ γὰρ ἐν τῇ πρὸς Ἐφεσίους ὁ Παῦλος κεφαλαίῳ τετάρτῳ. παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, ἓν σῶμα καὶ ἓν πνεῦμα καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν, εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ὑμῖν. ταῦτα τὰ τοῦ Ἀποστόλου παραγγέλματα, καὶ τὰς σωτηριώδους ὑφηγήσεις καὶ παραινέσεις ὦ μεθ' ὅσης ἐπιμελείας ἐφύλαξε Στέφανος, τὴν ταπείνωσιν τῶν αἰσθήσεων καὶ τὴν ἠπιότητα φυλάττων ἐν πρώτοις. τί γὰρ ταπεινότερον ἢ ἡμερώτερον τοῦ μετὰ τοσούτων Ἐπισκόπων διόλου τοῦ κόσμου οὐχ ὁμογνωμονῆσαι ποικίλῳ διαφωνίας εἴδει μεθ' ἑκάστου τὴν εἰρήνην ῥηγνῦντα, ποτὲ μὲν μετὰ τῶν Ἀνατολικῶν, ὅπερ οὐδ' ὑμεῖς ἀγνοεῖτε. ποτὲ δὲ μεθ' ὑμῶν τῶν ἐν τῇ Μεσημβρίᾳ ὄντων, ὧν τοὺς Ἐπισκόπους μετὰ τοσαύτης ὑπομονῆς καὶ πραότητος προσήκατο, ὥστε οὐδὲ λόγου τούτους ἀξιῶσαι τοὐλάχιστον. ἐπεὶ δὲ μνήμων ὢν τῆς ἀγάπης, παρήγγειλε πάσῃ τῇ ἀδελφότητι ἵνα μηδεὶς αὐτοὺς δέξοιτο, καὶ τῆς αὐτῆς κοινωνοὺς ποιῆσαι ἑστίας, ὥστε τοὺς προσερχομένους οὐ μόνον εἰρήνης καὶ κοινωνίας, ἀλλὰ δὴ καὶ αὐτῆς οἰκίας ἀποστερεῖσθαι. οὕτω φυλάττεται ἡ ἑνότης τοῦ Πνεύματος ἐν τῇ τῆς εἰρήνης συζεύξει τῷ ἀποσχίζεσθαι δήπουθεν τῆς ἑνότητος τῆς ἀγάπης; καὶ ἀλλοτριοῦσθαι πάντῃ τῶν ἀδελφῶν; καὶ κατά τε τοῦ μυστηρίου καὶ τῆς πίστεως τῷ τῆς αὐθαδοῦς διαφωνίας οἴστρῳ ἀποστατεῖν; παρὰ τοιούτῳ ἀνθρώπῳ πῶς ἐστι δυνατὸν εἶναι ἓν σῶμα καὶ ἓν πνεῦμα, παρ' ᾧ οὐδ' αὐτὴ τυχὸν ἡ ψυχὴ μία ἐστίν, οὕτω ῥᾳδίως κινουμένη καὶ ἄστατος οὖσα. ἀλλὰ τὰ περὶ ἐκείνου παρεάσωμεν, ἐκεῖνο δὲ μᾶλλον ἐξεταστέον περὶ οὗ μεγίστη γίνεται ζήτησις. οἱ τοὺς παρὰ τῶν αἱρετικῶν βαπτισθέντας ἀναλαμβάνεσθαι χρῆναι λέγοντες, ἅτε τὴν χάριν τοῦ νομίμου βαπτίσματος εἰληφότας, ἓν βάπτισμα ἡμῖν τε κἀκείνοις λέγουσιν εἶναι, καὶ ἐν οὐδενὶ διαφέρειν. ἀλλὰ τί φησιν ὁ Ἀπόστολος Παῦλος, εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεός. εἰ ἓν καὶ τὸ αὐτό ἐστι τὸ παρ' ἡμῖν βάπτισμα τῷ τῶν αἱρετικῶν βαπτίσματι, πάντως καὶ ἡ πίστις μία ἐστίν. εἰ δὲ ἡ πίστις μία, καὶ ὁ Κύριος εἷς ἐστιν. εἰ δὲ ὁ Κύριος εἷς, ἀκόλουθόν ἐστιν εἰπεῖν ἑνότητα εἶναι. εἰ δὲ αὕτη ἡ ἑνότης ἥτις χωρίζεσθαι καὶ διαιρεῖσθαι οὐδύναται, καὶ παρὰ τοῖς αἱρετικοῖς ἐστι, πλέον οὐδ' ὁτιοῦν ζητεῖν ἔχομεν. διατὶ δὲ οὐ Χριστιανοὺς, ἀλλ' αἱρετικοὺς ὀνομάζομεν αὐτούς; ἐπεὶ τοίνυν οὐχ εἷς Θεὸς ἡμῶν καὶ τῶν αἱρετικῶν, οὐδὲ εἷς Κύριος, οὔτε μία Ἐκκλησία, οὔτε μία πίστις, οὔτε ἓν Πνεῦμα, οὔτε ἓν σῶμα, δῆλόν ἐστιν οὐ κοινὸν ἡμῖν τε κἀκείνοις εἶναι βάπτισμα, οἷς οὐδὲν ὅλως κοινόν. ἀλλ' οὐκ αἰδεῖται Στέφανος τῶν τοιούτων κατὰ τῆς Ἐκκλησίας ὑπερπολεμεῖν, καὶ τῶν αἱρετικῶν ἕνεκα σχίσμα ποιεῖν ἐν τῇ ἀδελφότητι. ἐπὶ τούτοις δὲ ψευδόχριστον καὶ ψευδαπόστολον καὶ δόλιον ἐργάτην τὸν Κυπριανὸν ἀποκαλεῖ. ὃς ἐκεῖνα τὰ πλημμελήματα τοὺς ἄλλους ἔχειν προλαμβάνων φησὶν, ὧν αὐτὸς ἑαυτῷ σύνοιδεν. ἐρρώμενόν τε εἶναι σὺν πᾶσι τοῖς ἐν Ἀφρικῇ Ἐπισκόποις καὶ κληρικοῖς μετὰ τῆς ἀδελφότητος πάντες ἐφιέμεθα, ὅπως ἐς ἀεὶ ὁμογνώμονες

μονες καὶ ὁμόψυχοι ὄντες, καίτοι διϊστάμενοι συνεῖναι ἔχωμεν. ταῦτα ὁ Φιρμιλιανός.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ιϛ'. ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ τῆς πρὸς Πομπήϊον ἐπιστολῆς Κυπριανοῦ φίλος αἱρετικῶν καὶ ἐχθρὸς Χριστιανῶν ὁ Στέφανος Ῥώμης δείκνυται.

Καὶ ὁ Κυπριανὸς πρὸς Πομπήϊον τὰ ὅμοια λέγει. νέμει, φησὶ, τιμὴν Θεῷ ὁ τῶν αἱρετικῶν φίλος καὶ τῶν Χριστιανῶν ἐχθρὸς ὢν, τοὺς Ἱερεῖς τοῦ Θεοῦ φυλάττοντας τὴν ἀλήθειαν τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας τὴν ἑνότητα ἀφορίσασθαι οἴεται, εἰ οὕτω νέμεται Θεῷ τιμὴ, εἰ οὕτω παρὰ τῶν λατρευτῶν αὐτοῦ καὶ Ἱερέων ὁ φόβος τοῦ Θεοῦ καὶ τὸ νόμιμον φυλάττεται, ῥίψωμεν τὰ ὅπλα, χεῖρας προτείνωμεν εἰς αἰχμαλωσίαν.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ιϛ'. ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῶν πρὸς τοὺς τῆς Ἀσίας Ἐπισκόπους ἐπιστολῶν Διονυσίου Ἀλεξανδρείας κατὰ τοῦ ἀναβαπτισμοῦ.

Καὶ Διονύσιος ὁ Ἀλεξανδρείας, ἀπεστάλκει μὲν οὖν πρότερον καὶ περὶ Ἑλένου, καὶ περὶ Φιρμιλιανοῦ, καὶ πάντων τῶν τε ἀπὸ τῆς Κιλικίας καὶ Καππαδοκίας καὶ δηλονότι Γαλατίας πάντων τῶν ἑξῆς ὁμορούντων ἐθνῶν, ὡς οὐδὲ ἐκείνοις κοινωνήσων διὰ τὴν αὐτὴν ταύτην αἰτίαν, ἐπειδὴ τοὺς αἱρετικοὺς φησιν ἀναβαπτίζουσι. καὶ σκόπει τὸ μέγεθος τοῦ πράγματος. ὄντως γὰρ δόγματα γέγονεν ἐν ταῖς μεγίσταις τῶν Ἐπισκόπων Συνόδοις ὡς πυνθάνομαι, ὥστε τοὺς προσιόντας ἀπὸ αἱρέσεως, προκατηχηθέντας, εἶτα ἀπολούεσθαι καὶ ἀποκαθαίρεσθαι τὸν τῆς παλαιᾶς καὶ ἀκαθάρτου ζύμης ῥύπον, καὶ περὶ τούτων αὐτῶν πάντων δεόμενος, ἀπέστειλα. Εὐσέβιος, βιβλίῳ ἑβδόμῳ, κεφαλαίῳ, πέμπτῳ.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ιϛ'. ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι Στέφανος ὁ Ῥώμης ὥς φησιν Αὐγουστῖνος ἀφώριζε τοὺς τὸν ἀναβαπτισμὸν τῶν αἱρετικῶν δεχομένους.

Καὶ ὁ Αὐγουστῖνος κατὰ Πελαγιανῶν φησιν, ἐπεὶ γὰρ ὁ Στέφανος οὐ μόνον οὐκ ἀνεβάπτιζε τοὺς αἱρετικοὺς, ἀλλ' ἔτι καὶ τοὺς τοῦτο ποιοῦντας ἢ προσποιεῖσθαι ὁρίζοντας, ἀφορίζεσθαι δεῖν ἔκρινεν, ὡς καὶ ἄλλων Ἐπισκόπων καὶ αὐτοῦ τοῦ Κυπριανοῦ αἱ ἐπιστολαὶ δηλοῦσιν. ὅμως μετ' ἐκείνου ὁ Κυπριανὸς ἐν ἑνότητος εἰρήνῃ διέμεινε.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ιϛ'. ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τοῦ ἴσου τῆς τοῦ Στεφάνου Ῥώμης ἐπιστολῆς ὃ ἔπεμψε Κυπριανὸς πρὸς Κοΐντον αἰτήσαντα, καὶ τῆς πρὸς αὐτὸν αὐτοῦ αὖθις ἐπιστολῆς κατὰ Στεφάνου Ῥώμης.

Πάλιν ὁ Κυπριανὸς πρὸς Κοΐντον. ἐπειδὴ ἐπεθύμησας πρὸς εἴδησίν σου πεμφθῆναι τὰ πρὸς τὰς ἡμετέρας ἐπιστολὰς ἀντὶ γεγραμμένα παρὰ τοῦ ἀδελφοῦ ἡμῶν Στεφάνου, ἔπεμψά σοι τοῦ ἀντιγράμματος ἐκείνου τὸ ἴσον. ὅπερ ἀναγνοὺς μᾶλλον σημειώσεις τὴν ἐκείνου πλάνην, τῶν αἱρετικῶν ὑπερασπίζεσθαι κατὰ τῶν Χριστιανῶν, καὶ κατὰ τῆς Ἐκκλησίας τοῦ Θεοῦ πειρωμένου. καὶ γὰρ ἐν τοῖς λοιποῖς, ἢ ὑπερηφάνοις, ἢ τῷ πράγματι ἥκιστα προσήκουσιν, ἢ ἑαυτῷ ἐναντίοις, ἅπερ ἀμαθῶς καὶ ἀπρονοήτως ἔγραψε. καὶ κατωτέρω. τί τοῦτο τὸ ἀνένδοτον καὶ ἐνστατικὸν, τὴν ἀνθρωπίνην παράδοσιν τῇ θείᾳ διαθέσει προτιθέναι. καὶ πάλιν, ὅταν τὸ βάπτισμα ἐκείνων (δηλαδὴ τῶν αἱρετικῶν) ἐπικουρῆται, ὅταν ἡ πίστις, ὅταν ἡ ἀλήθεια παραδιδῶται. ὅθεν ὁ Βελλαρμῖνος, ᾠήθη (φησὶ) τὸν Πάπαν ὀλεθρίως πλανᾶσθαι.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ιϛ'. ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ ἐρωτήσεως Κυπριανοῦ ἐκ προσώπου τῶν ἐν Ἀφρικῇ Ἐπισκόπων τὶ ἕκαστος αὐτῶν δοξάζει περὶ τοῦ ἀναβαπτισμοῦ τῶν αἱρετικῶν. καὶ ὅτι οὐδεὶς Ἐπίσκοπον ἑαυτὸν καθίστησιν Ἐπισκόπων. καὶ ὅτι κάκιστος τῶν αἱρετικῶν κατὰ Φιρμιλιανὸν ὁ Στέφανος Ῥώμης. καὶ ὅτι ὁ ἀναβαπτισμὸς ἐν Ἀσίᾳ καὶ Ἀφρικῇ ἔμεινεν ἕως τῆς ἐν Νικαίᾳ Συνόδου. καὶ περὶ Ἐγκρατιτῶν, Σακκοφόρων καὶ Ἀποτακτιτῶν καὶ Μαρκιωνιστῶν.

Ὁ αὐτὸς

Ὁ αὐτὸς ἐκ προσώπου τῶν ἐν Ἀφρικῇ Ἐπισκόπων, λοιπόν ἐστι (φησὶν) ἵνα περὶ αὐτοῦ τούτου τοῦ πράγματος τὶ ἕκαστος δοξάζομεν, εἴπωμεν. οὐδένα κρίνοντες καὶ ἀπὸ τοῦ δικαιώματος τῆς κοινωνίας, εἰ καὶ τοὐναντίον φρονεῖ, ἐκδιώκοντες. οὐδεὶς γὰρ ἡμῶν Ἐπίσκοπον εἶναι Ἐπισκόπων ἑαυτὸν καθίστησιν, ἢ τυραννικῷ φόβῳ εἰς τὴν τοῦ πείθεσθαι ἀνάγκην τοὺς ἀδελφοὺς βιάζεται, ἔχοντος παντὸς Ἐπισκόπου, ὡς ἀρέσκει, ἰδίας ἐλευθερίας καὶ ἐξουσίας τὸ αὐτεξούσιον, ὁμοίως τε μὴ δυναμένου παρ' ἑτέρου κρίνεσθαι, ἢ ἕτερον κρίνειν, ἀλλὰ προσδοκῶμεν πάντες τὴν κρίσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅστις εἷς καὶ μόνος ἔχει ἐξουσίαν καὶ τοῦ προβάλλειν ἡμᾶς ἐν τῇ κυβερνήσει τῆς Ἐκκλησίας αὐτοῦ, καὶ περὶ τῆς ἡμετέρας πράξεως κρίνειν. τούτοις τοῖς λόγοις τὶ ὁ Κυπριανὸς βούλεται, καὶ τοῖς τυφλώττουσι δῆλον, πρὸς τούτοις καὶ ὁ Ἀλεξανδρείας Διονύσιος, περὶ οὗ ὁ Ἱερώνυμος ἐν τῷ περὶ ἐκκλησιαστικῶν συγγραφέων φησὶν, οὗτος τῷ δόγματι τοῦ Κυπριανοῦ, καὶ τῆς ἐν Ἀφρικῇ Συνόδου ὁμοφρονῶν περὶ τοῦ ἀναβαπτισμοῦ τῶν αἱρετικῶν, πολλὰς πρὸς διαφόρους ἐπιστολὰς ἔπεμψεν, αἳ καὶ μέχρι τῆς σήμερον σώζονται. ἀλλὰ καὶ ὁ Φιρμιλιανὸς εἷς ὢν τῶν ἀντικειμένων τῷ Στεφάνῳ, γράφει, ὡς εἴρεται, ἡμαρτηκέναι τοὺς ἐν Ῥώμῃ, μὴ τηροῦντας τὰ παραδεδομένα, καὶ ἐγγὺς τοῦ τέλους τῆς ἐπιστολῆς λέγει πρὸς τὸν Στέφανον, οὐ φοβῇ τὴν κρίσιν τοῦ Θεοῦ, μαρτυρῶν τοὺς αἱρετικοὺς κατὰ τῆς Ἐκκλησίας, ἐπεὶ γέγραπται ψευδὴς μάρτυς οὐκ ἀθῳωθήσεται. μάλιστα σὺ τῶν αἱρετικῶν πάντων εἷς κάκιστος. τούτοις συναπτέον καὶ τοὺς Ἐπισκόπους τῆς Ἀσίας, ὡς γράφει Διονύσιος πρὸς Ξύστον τὸν πάπαν Ῥώμης. Εὐσέβιος βιβλίῳ δευτέρῳ, κεφαλαίῳ πέμπτῳ. οἵτινες καὶ ἕως τῆς ἐν Νικαίᾳ Συνόδου ἐνέμειναν ἐν τῇ γνώμῃ αὐτῶν, καὶ ὅρα τὸν μέγαν Βασίλειον Κανόνι πρώτῳ καὶ τεσσαρακοστῷ ἑβδόμῳ, ὅπου φησὶν, Ἐγκρατῖται, καὶ Σακκοφόροι, καὶ Ἀποτακτῖται τῷ αὐτῷ λόγῳ ὑπόκεινται, ᾧ καὶ Ναυατιανοὶ, ὅτι περὶ μὲν ἐκείνων Κανὼν ἐξεφωνήθη, εἰ καὶ διάφορος, τὰ δὲ κατὰ τούτους ἀποσεσιώπηται. ἡμεῖς μέντοι ἐνὶ λόγῳ βαπτίζομεν τοὺς τοιούτους, εἰ δὲ παρ' ἡμῖν ἀπηγόρευται τοῦτο τὸ τοῦ ἀναβαπτισμοῦ, ὥσπερ οὖν καὶ παρὰ Ῥωμαίοις, οἰκονομίας τινὸς ἕνεκα. ἀλλ' ὁ ἡμέτερος λόγος ἰσχὺν ἐχέτω, ὅτι ἐπειδὴ ὥσπερ Μαρκιωνιστῶν ἐστιν αὐτοβλάστημα ἡ κατ' αὐτοὺς αἵρεσις, βδελυσσομένων τὸν γαμον, καὶ ἀποστρεφομένων τὸν οἶνον, καὶ τὴν κτίσιν τοῦ Θεοῦ μεμιασμένην εἶναι λεγόντων, οὐ δεχόμεθα οὖν αὐτοὺς εἰς τὴν Ἐκκλησίαν, ἐὰν μὴ βαπτισθῶσιν εἰς τὸ ἡμέτερον βάπτισμα. ὅρα τὸν δεκάτον ἕνατον Κανόνα τῆς πρώτης Οἰκουμενικῆς, καὶ τὸν ἕβδομον τῆς δευτέρας Οἰκουμενικῆς, καὶ τὸν ὄγδοον Κανόνα τῆς ἐν Ἀρελάτῳ Συνόδου, ὃς ταῦτα ῥητῶς φησι περὶ τῶν Ἄφρων, οἵτινες ἰδίῳ Νομῷ κέχρηνται ἵνα ἀναβαπτίζωνται, ὅτι ἐάν τις ἀπὸ αἱρέσεως προσέλθῃ ἐν τῇ Ἐκκλησίᾳ ἐρωτᾶν αὐτὸν τὸ Σύμβολον, καὶ ἐὰν ἴδωσι τοῦτον βαπτισθέντα ἐν τῷ ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, χειροθεσία μόνον γενέσθω ἐν ἐκείνῳ πρὸς λῆψιν τοῦ ἁγίου Πνεύματος. εἰ δὲ ἐρωτηθεὶς οὐχ ὁμολογήσει ταύτην τὴν Τριάδα, βαπτιζέσθω. ἐψεύσθησαν ἄρα οἱ περὶ Βαρώνιον λέγοντες, ὅτι ἐν Ἀφρικῇ καὶ Ἀσίᾳ εὐθὺς μετὰ τὸν ὅρον τοῦ Στεφάνου ἠθέτησαν τὸ παλαιὸν αὐτῶν ἔθος.

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ Ιϛ΄. ΠΑΡΑΓΡΑΦΟΝ Ι΄.

Ὅτι ἐκ τῶν ἀνωτέρω λεχθέντων περὶ τοῦ Ῥώμης Στεφάνου δείκνυται ἐνταῦθα μὴ εἶναι τὸν Ῥώμης οὔτε μονάρχην οὔτε ἀναμάρτητον.

Ἐνταῦθα σημείωσαι πρῶτον, ὅτι ὁ Στέφανος Πάπας Ῥώμης ὢν, ἀπὸ καθέδρας ὥρισεν, ἔκρινε, καὶ διώρισε. δεύτερον, ὅτι οἱ ἐν Ἀφρικῇ καὶ οἱ ἐν Ἀνατολῇ Ἐπίσκοποι καὶ αἱ πολυάνθρωποι Σύνοδοι οὐ μόνον ἀντεῖπον αὐτῷ, ἀλλὰ καὶ μετὰ ὕβρεων καὶ ἐλέγχων. ὁμὲν γὰρ Φιρμιλιανὸς ἐν ὅλῃ τῇ ἐπιστολῇ κεκατηγόρηκεν αὐτοῦ μυρία ἀτοπήματα καὶ ἀσεβήματα, ἐν οἷς εἶπεν αὐτὸν ὅτι ἐστὶν ἀπάνθρωπος, αὐθάδης, ἐνδεὴς φρενῶν, ἡ μοῖρα αὐτοῦ ἐστι μετὰ Ἀπελλοῦ, Μαρκίωνος καὶ Βασιλείδου τῶν αἱρετικῶν, ψεύστης, ὡς λέγων ὅτι ἐν Ῥώμῃ φυλάττεται ἡ παράδοσις Πέτρου καὶ Παύλου, ἀτοπίας γέμει, γελοῖος, πεπλανημένος, τυφλὸς, βεβήλους βωμοὺς ποιῶν τοῦ Δαθὰν καὶ τοῦ ἀβειρὼν, ἱερόσυλος, κοινωνὸς αἱρετικῶν, μιαίνων τὴν Ἐκκλησίαν, τὴν κρίσιν τοῦ Θεοῦ οὐφοβούμενος, μάρτυς ψευδὴς, ἐπίκουρος τῆς πλάνης τῶν αἱρετικῶν, ἀμαυρῶν τὸ φῶς τῆς ἀληθείας, αἰτία θανάτου, ἐπίκουρος τῶν ἐχθρῶν τοῦ Θεοῦ, ἀμαθὴς γενναῖος, ὀργίλος, ἀποσχιστὴς τῆς ἐκκλησιαστικῆς ἑνώσεως, ψευδόχριστος, ψευδαπόστολος καὶ δόλιος ἐργάτης Ἰούδας, πάντων τῶν αἱρετικῶν χείρων, ἐπίκουρος τῶν ἐχθρῶν τοῦ Θεοῦ, σχισματικὸς καὶ ἀποστάτης. ταῦτα ὁ Φιρμιλιανός. ὁ δὲ Κυπριανὸς λέγει αὐτὸν, ὅτι ἐστὶ φίλος αἱρετικῶν, ἐχθρὸς τῶν Χριστιανῶν, καὶ ἀφορίζων τοὺς φυλάττοντας τὴν ἑνότητα, καὶ πεπλανημένος καὶ ὑπερασπιστὴς τῶν αἱρετικῶν, ἀμαθὴς, ἀπορνόητος, καὶ μήτε Ἐπίσκοπος μήτε κριτής. δείκνυται οὖν ἐκ τούτων, ὅτι ὁ Ῥώμης οὔτε μονάρχης, οὔτε ἀναμάρτητός ἐστιν, ἀλλὰ κακῶς διορίζων, αἱρετικός ἐστι, καὶ τῶν αἱρετικῶν χείριστος, ὅπερ ἔδει δεῖξαι.

ΒΙ-

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ ΙϛΊ. ΠΑΡΑΓΡΑΦΟΝ ΙΑΊ.

Ἀπάντησις εἰς τὰ ὑπὸ Λατίνων λεγόμενα ὅτι τὸ βαπτίζειν τοὺς αἱρετικοὺς ἐνομίσθη ὑπὸ τῶν τῷ Στεφάνῳ ἀνθεστηκότων μὴ ἀνήκειν εἰς τὴν πίστιν, ἀλλὰ εἰς τὰ ἐκκλησιστικὰ νόμιμα. καὶ περὶ βεβαιώσεως τοῦ ἀναβαπτισμοῦ τῶν αἱρετικῶν ἀπὸ τῶν ἐν Καρθαγένῃ πατέρων. καὶ περὶ ῥητῶν Αὐγουστίνου μετὰ τῆς σαφηνείας αὐτῶν περὶ Κυπριανοῦ. καὶ περὶ τῶν μὴ χρωμένων ἐν τῷ βαπτίζεσθαι τῷ ὁρισθέντι ὑπὸ τοῦ Κυρίου εἴδει, οὓς ὁ Στέφανος οὐκ ἀνεβάπτιζε δεχόμενος.

Τούτων οὕτω διωρισμένων, οἱ Λατῖνοι ἐπιλέγουσιν, ὅτι οἱ παλαιοὶ ἐκεῖνοι ἀντέστησαν τῷ ὅρῳ τοῦ Πάπα Στεφάνου, καθότι ἐνόμιζον τὸ βαπτίζειν τοὺς αἱρετικοὺς μὴ ἀνήκειν εἰς τὴν πίστιν, ἀλλ' εἰς τὰ ἐκκλησιαστικὰ νόμιμα, ἅτινα δι' εὐλόγους αἰτίας πολλάκις μεταβάλλονται. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι οὐ ζήτημα ἦν ἐκκλησιαστικοῦ νομίμου, ἀλλὰ ζήτημα πίστεως. ἐζητεῖτο γὰρ οὐμόνον πότερον ἐξῆν τοὺς βαπτιζομένους ὑπὸ τῶν αἱρετικῶν ἀναβαπτίζεσθαι, ἀλλὰ τοῦτο μάλιστα, πότερον τὸ βάπτισμα τῶν αἱρετικῶν παρεῖχεν ἄφεσιν ἁμαρτιῶν εἰς ἀναγέννησιν, καὶ ὅστις ἀναγνώσειε τὰς ἐπιστολὰς Φιρμιλιανοῦ, καὶ Κυπριανοῦ, καὶ Διονυσίου, καὶ τὰς πράξεις τῆς ἐν Καρθαγένῃ Συνόδου, εἴσεται πάσας τὰς διαλέξεις εἰς τοῦτο σκοπεύειν. οὕτω διελέγετο ἐν τῇ Συνόδῳ Βικτορῖνος ἀπὸ Θαβάκων, εἰ ἔξεστι τοῖς αἱρετικοῖς βαπτίζειν καὶ διδόναι ἄφεσιν ἁμαρτιῶν, ἵνα τὶ αὐτοὺς ἀτιμώμεν ὥστε αἱρετικοὺς καλεῖν. καὶ Σάτιος ἀπὸ Σικιλιβύης, εἰ τοῖς αἱρετικοῖς ἐν τῷ βαπτίσματι τὰ αὐτῶν ἁμαρτήματα ἀφίενται, ἀλόγως εἰς τὴν Ἐκκλησίαν εἰσέρχονται. τοιούτου γένους ζήτημα εἰ οἱ παλαιοὶ ἐνόμιζον ὅτι ἀνήκει μόνον εἰς ἐκκλησιαστικὸν νόμιμον, ἦσαν βεβαίως ἄγνωστοι καὶ μωροὶ, τοσούτους περὶ αὐτοῦ ἀγῶνας ποιοῦντες. πρὸς τούτοις, εἴπερ οἱ παλαιοὶ ἐνόμιζον τοιοῦτον ζήτημα ἀνήκειν εἰς νόμιμον ἐκκλησιαστικὸν, ἔδει κρίνειν αὐτὸ ἐκ τῆς συνηθείας καὶ παραδόσεως, τὰ γὰρ ἐκκλησιαστικὰ νόμιμα ἐκ τῆς ἀρχαίας συνηθείας καὶ παραδόσεως κρίνονται. ἀλλαμὴν οὗτοι (οἱ περὶ Κυπριανὸν) φανερὰ λέγουσιν ὅτι οὐδεῖ περὶ τούτου στοχάζεσθαι παράδοσίν τινα καὶ συνήθειαν, οὕτω Λίβυσος ἀπὸ Οὐργάσης, ὁ Κύριος, φησὶν, ἐγώ εἰμι ἡ ἀλήθεια, ὥστε ἀποκαλυφθείσης τῆς ἀληθείας, παραχωρείτω ἡ συνήθεια. καὶ Φίληξ Βουγλακηνῆς φησὶν, ἐν τῷ προσδέχεσθαι τοὺς αἱρετικοὺς ἄνευ τοῦ τῆς Ἐκκλησίας βαπτίσματος, μηδεὶς τὴν ἀλήθειαν λόγου καὶ τῆς συνηθείας προκρινέτω. καὶ Ὀνωρᾶτος Λούγκης, ὁπότε ὁ Χριστὸς ἀληθής ἐστι, μᾶλλον τῇ ἀληθείᾳ ἢ τῇ συνηθείᾳ ἕπεσθαι ὀφείλομεν. καὶ αὐτὸς ὁ Κυπριανὸς ἐν τῇ ἑβδομηκοστῇ ἐπιστολῇ φησὶν, οὐ χρὴ τῇ συνηθείᾳ διορίζειν, ἀλλὰ τῇ ἀληθείᾳ νικᾶν. εἶτα, τὰ ἐκκλησιαστικὰ νόμιμα εἰ συγχωρήσομεν, ὅτι μεταβάλλονται κατὰ καιροὺς δι' εὐλόγους αἰτίας, οὐκ ἐξήρτηται τοῦτο ἀπὸ θείας ἀποκαλύψεως, ἀλλ' ἐκ τῆς οἰκονομίας τῆς Ἐκκλησίας. οἱ δὲ περὶ τὸν Κυπριανὸν διϊσχυρίζοντο ὅτι τὸ ζήτημα αὐτῶν ἦν ἐκ θείας ἀποκαλύψεως, καὶ πῶς ἐνόμιζον αὐτὸ εἶναι καὶ νόμιμον ἐκκλησιαστικὸν, ὅρα τὸν Κυπριανὸν γράφοντα πρὸς Ἰοβιανὸν καὶ λέγοντα, μάτην τινὲς, οἳ τῷ λόγῳ ἡττῶνται, τὴν συνήθειαν ἡ μῖν ἀντιθεῖσιν, ὡς ἂν ἡ συνήθεια εἴη μείζων τῆς ἀληθείας. χρὴ ἐν τοῖς πνευματικοῖς τούτῳ ἕπεσθαι, ὅπερ παρὰ τοῦ ἁγίου Πνεύματος ἀπεκαλύφθη. συγγνώμη γὰρ δίδοσθαι δύναται τῷ ἁπλῶς ἁμαρτάνοντι, μετὰ δὲ ἐπίπνοιαν καὶ ἀποκάλυψιν γενομένην, ὁ μένων ἐν ᾧ ἥμαρτεν εἰδὼς ἄνευ συγγνώμης ἁμαρτάνει. πρὸς τούτοις, οὐκ ἐκαυχῶντο μόνον ὅτι ἦν ἐξ ἀποκαλύψεως οὕτω γενικῆς, ὅπερ συνείθιζον, ἀλλ' ὡμολόγουν ὅτι περιείχετο καὶ ἐν τῇ θείᾳ γραφῇ. ὅθεν ἐν αὐτῇ τῇ ἐν Καρθαγένῃ Συνόδῳ ἔλεγε Ναυᾶτος, πᾶσαι αἱ γραφαὶ μαρτυροῦσι περὶ ἑνὸς καὶ μόνου τοῦ ἐν τῇ Ἐκκλησίᾳ βαπτίσματος, καὶ ὀφείλομεν τὴν ἡμετέραν πίστιν ὁμολογῆσαι, ἵνα τοὺς αἱρετικοὺς καὶ σχισματικοὺς προσερχομένους τῇ Ἐκκλησίᾳ κατὰ τὸ ψευδὲς ἐκείνων βάπτισμα τῷ ἀληθεῖ βαπτίσωμεν, καὶ διατοῦτο ἐγὼ τοὺς ἐκεῖθεν πάντας ἐρχομένους ἐβάπτισα. καὶ Νεμεσιανὸς Ἐπίσκοπος Θουβάκων, βάπτισμα ὃ δίδωσιν αἱρετικὸς καὶ σχισματικὸς μὴ εἶναι ἀληθὲς, πᾶσαι αἱ γραφαὶ μαρτυροῦσι. καὶ Ἰαννουάριος ἀπὸ Λαβῆς, κατὰ τὰ προστάγματα τῶν ἁγίων γραφῶν κρίνω πάντας τοὺς αἱρετικοὺς βαπτίζεσθαι, καὶ οὕτως εἰς τὴν ἁγίαν Ἐκκλησίαν προσδέχεσθαι. καὶ ἄλλοι πολλοὶ τῶν λοιπῶν Ἐπισκόπων πολλὰ ῥητὰ προσέφερον ἀπὸ τῆς ἁγίας γραφῆς, ἐν οἷς καὶ ταῦτα, τὸν βαπτιζόμενον ὑπὸ νεκροῦ, τὶ ὠφελεῖ τὸ βάπτισμα αὐτόν; καὶ, ἀπὸ ὕδατος ἀλλοτρίου ἀπέχου. καὶ, ὧν ἅψηται ὁ ἀκάθαρτος, ἀκάθαρτά ἐστι. καὶ, μία πίστις. ἓν βάπτισμα. τούτων οὕτως εἰρημένων, ὁ Στέφανος οὐ προσέφερε τὴν ἄκραν ἐξουσίαν αὐτοῦ, ἢ τὴν παπιστικὴν παντοδυναμίαν, ὡς ἔδει ποιῆσαι, εἰ τὸ ζήτημα ἦν περὶ νομίμων ἐκκλησιαστικῶν, ἀλλὰ τὴν παράδοσιν, ἥτις νομίζεται Κανὼν οὐ τόσον τοῦ νομίμου, ἀλλὰ καὶ τῆς πίστεως. οὐδὲν κοινὸν ἔλεγεν, εἰ μὴ ὃ παραδέδοται. ὁ δὲ Κυπριανὸς ἔλεγε, δεῖ τὴν μαρτυρίαν τῆς ἁγίας γραφῆς προτιμᾶσθαι τῆς τοιαύτης παραδόσεως. ὅθεν ἔγραφε πρὸς Πομπήϊον, πόθεν αὕτη ἡ παράδοσις, ἆρά γε ἐκ κυριακῆς καὶ εὐαγγελικῆς μαρτυρίας καταγομένη, ἢ ἐκ τῶν ἀποστολικῶν διαταγῶν ἢ ἐπιστολῶν ἐρχομένη; τὶ τοῦτο τὸ ἀνένδοτον καὶ ἐνστατικὸν, τὴν ἀνθρωπίνην παράδοσιν τῇ θείᾳ διατάξει προτιθέναι,

θέναι, οὔτε προσέχειν ὀργίζεσθαι καὶ ἀγανακτεῖν τὸν Θεὸν, ὁσάκις τὰς θείας ἐντολὰς λύει καὶ παρατρέχει ἡ ἀνθρωπίνη παράδοσις, ὡς λέγει διὰ τοῦ Ἡσαΐου, ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ, ἐντολὰς καὶ διδασκαλίας ἀνθρώπων διδάσκοντες. ἐκ τούτων πάντων φανερόν ἐστιν, ὅτι τοῦτο τὸ ζήτημα οἱ πατέρες ἐκεῖνοι ἐνόμιζον ἀνήκειν οὐκ εἰς νόμιμον ἐκκλησιαστικὸν, ἀλλ' εἰς αὐτὴν τὴν πίστιν, καθ' ἧς ἐνόμιζον ἁμαρτάνειν τὸν Στέφανον. εἰ δὲ καὶ ἡμάρτανον ἐκεῖνοι οἱ πατέρες ἐν τούτοις κατὰ μέρος, οὐκ ἔξεστι κατὰ τὸ παρὸν ἀντιλέγειν, ἀρκεῖ ὅμως καὶ ἐκ τούτων γινώσκειν καλῶς, τοὺς παλαιοὺς μὴ εἰδέναι τοῦ Πάπα οὔτε τὴν αὐτοκρατορίαν, οὔτε τὴν ἀναμαρτησίαν. διαλεγόμενος ὁ Αὐγουστῖνος μετὰ τῶν Δονατιστῶν χρωμένων εἰς μαρτυρίαν τῆς αἱρέσεως αὐτῶν τινὰ τοῦ Κυπριανοῦ ῥητὰ, ὁ Αὐγουστῖνος ἀποκρινόμενος ἔλεγε περὶ τοῦ βαπτίσματος κατὰ Δονατιστῶν βιβλίῳ δευτέρῳ, κεφαλαίῳ τεταρτῷ, ὁ ἅγιος Κυπριανὸς ἀρκούντως ἀνέδειξεν ὡς ῥᾳδίως ἂν τὴν ἑαυτοῦ δόξαν διορθώσαιτο, εἴτις αὐτῷ ἐδήλωσεν, οὕτω δυνατὸν εἶναι δίδοσθαι τὸ βάπτισμα τοῦ Χριστοῦ παρὰ τῶν ἔξω εἰσελθόντων, ὥσπερ οὐκ ἦν δυνατὸν ἀπολέσθαι ὅτε ἔξω ἐξῆλθον. ὅθεν πολλὰ ἤδη εἴπομεν, οὐδὲ ἡμεῖς αὐτοὶ ἐτολμήσαμεν ἂν ὁμολογῆσαι, εἰ μὴ τῆς Ἐκκλησίας τὸ συμφωνότατον κῦρος ἡμᾶς ἐστερέωσεν, ᾧ καὶ αὐτὸς ὁ Κυπριανὸς ἀναμφιβόλως ἐπείσθη, εἰ τῷ καιρῷ ἐκείνῳ τούτου τοῦ ζητήματος ἡ ἀλήθεια δηλοποιηθεῖσα διὰ πλήρους Συνόδου ἐστερεώθη. εἰ γὰρ Πέτρον ἐπαινεῖ καὶ κηρύττει ὡς παρενὸς ὑστέρου συναδελφοῦ ἐν ὑπομονῇ καὶ συμφωνίᾳ διορθωθέντα, πόσῳ τάχιον αὐτὸς μετὰ τῆς Συνόδου τῆς Ἐπαρχίας αὐτοῦ τῆς Οἰκουμενικῆς τῇ μαρτυρίᾳ δηλωθείσης τῆς ἀληθείας ἐπειθάρχησεν. Ἐνταῦθα σημείωσαι πρῶτον, ὅτι ὁ Αὐγουστῖνος οὐκ ἔφη τὸν Κυπριανὸν ἡμαρτηκέναι μὴ πεισθέντα τῷ ὅρῳ τοῦ Στεφάνου, ἀλλ' ἀπολογεῖται αὐτοῦ ὅτι διορθώθη ἂν, εἰ ἦτο ἐν συλλογῇ Οἰκουμενικῆς Συνόδου, ἐν ᾗ δηλονότι τὸ ζήτημα προὐβάλετο εἰς ἐξέτασιν. δεύτερον, ὁμολογεῖ ὁ Αὐγουστῖνος ὅτι ὁ Κυπριανὸς διορθώσεως ἠξιοῦτο, εἴπερ τις ἐδίδασκεν αὐτὸν ὅτι ἔχει γνώμην σφαλεράν, ἀλλ' εἰ ὁ Στέφανος Πάπας εἶχε τὴν ἀναμαρτησίαν, πῶς ὁ Κυπριανὸς οὐκ ἐπείσθη τῷ Πάπᾳ Στεφάνῳ, ἀλλ' ἀντέλεγεν αὐτῷ, καὶ μάλιστα μετὰ περιφρονήσεως καὶ αἰτιαμάτων αἱρέσεως καὶ ἀσεβείας. τρίτον, λέγει ὅτι ὁ Κυπριανὸς μετέβαλεν ἂν τὴν γνώμην αὐτοῦ εἴγε ἡ ἀλήθεια ἐκείνου τοῦ ζητήματος διωρίσθη διὰ πλήρους Συνόδου, καὶ λοιπὸν ὁ Αὐγουστῖνος οὐνομίζει λύεσθαι τὰ ζητήματα διὰ κρίσεως τοῦ Πάπα, οὐνομίζει τὰς κρίσεις τοῦ Πάπα συγκρίνεσθαι μετὰ τῶν κρίσεων τῶν πληρεστάτων συνόδων. τέταρτον, ὁμολογεῖ ὁ Αὐγουστῖνος ὅτι εἰς τοῦτο οὐκ ἐναντιεῖτο τῷ Κυπριανῷ, εἰ μὴ ἐστερέωσεν αὐτὸν τὸ συμφωνότατον κῦρος πάσης τῆς Ἐκκλησίας. οὐκ εἶπε δὲ, εἰ μὴ ἐστερέωσεν αὐτὸν ὁ ὅρος τοῦ Πάπα τῆς Ῥώμης ἀναμαρτήτου ὄντος, τοιοῦτον οὐκ εἶπεν ὁ Αὐγουστῖνος, ἐπεὶ τοιαύτην ἐξουσίαν καὶ ἀναμαρτησίαν οὔτε ἤκουσεν οὔτε εἶδεν ἐν τοῖς καιροῖς αὐτοῦ. οἱ Δονατισταὶ διαλεγόμενοι μετὰ τοῦ Αὐγουστίνου προσέφερον πολλάκις τὴν ἐν Καρθαγένῃ Σύνοδον, γενομένην παρὰ τοῦ Κυπριανοῦ, ὁ δὲ Αὐγουστῖνος οὐκ ἀντέβαλεν αὐτοῖς τὸν ὅρον τοῦ Στεφάνου ἀποβάλλοντα τὴν Σύνοδον ταύτην, ἀλλὰ μᾶλλον τῇ τοπικῇ ἐκείνῃ Συνόδῳ ἀντιθεὶς τὴν πληρεστάτην ἐκείνης Σύνοδον, περὶ ἧς τοσάκις λέγει, καὶ γὰρ αἱ ὕστεραι Σύνοδοι τῶν προτέρων παρὰ τοῖς μεταγενεστέροις προτιμῶνται, καὶ τὸ Οἰκουμενικὸν τῶν μερικῶν δικαίως πάντοτε προτιμᾶται. Οὐ μόνον οἱ ἀντικείμενοι κατὰ διάμετρον τῷ Στεφάνῳ, ἀλλὰ καὶ οἱ μὴ βαπτίζεσθαι τοὺς αἱρετικοὺς βουλόμενοι ἠκολουθήκασι τῇ γνώμῃ τοῦ Στεφάνου τελείως, ἀλλὰ κατὰ μέρος. καὶ γὰρ αἱ τρεῖς Σύνοδοι, ἡ ἐν Ἀρελάτῳ, ἡ ἐν Νικαίᾳ, καὶ ἡ ἐν Κωνσταντινουπόλει, αἱ δύο Οἰκουμενικαὶ, ὧν τὸν ὅρον ἐδέξατο πᾶσα ἡ Ἐκκλησία, ὥρισαν τὸ βάπτισμα τῶν αἱρετικῶν εἶναι ἄκυρον, οἵτινες οὐκ ἐχρῶντο τὸ εἶδος ἐκεῖνο ὅπερ αὐτὸς ὁ Χριστὸς διετάξατο. ἐξ ὧν αἱρετικῶν, τῶν οὐκεχρημένων δηλονότι τὸ τοιοῦτον εἶδος, ἦσαν πολλοὶ ἐν τοῖς καιροῖς ἐκείνοις. ὁ δὲ Στέφανος ἐδέχετο τὸ βάπτισμα οὐ τινῶν, ἀλλ' ἁπαξαπλῶς πάντων τῶν αἱρετικῶν. τοῦτο δὲ ἀρνούμενοι οἱ σοφοὶ τῶν παπιστῶν λέγουσιν, ὅτι ὁ Στέφανος οὐκ ἐδέχετο ἀδιαφόρως πᾶν βάπτισμα, ἀλλὰ μόνον τὸ τελούμενον ἐν τῷ ὀνόματι τῆς ἁγίας Τριάδος. ἀποδεικτέον ὅμως ὅτι ἐδέχετο ἀδιαφόρως πᾶν βάπτισμα, πρῶτον, τῇ μαρτυρίᾳ αὐτοῦ τοῦ Στεφάνου. δεύτερον, ταῖς μαρτυρίαις Κυπριανοῦ καὶ Φιρμιλιανοῦ. τρίτον, ταῖς μαρτυρίαις πολλῶν συγγραφέων. σώζεται τοίνυν παρὰ τοῦ Κυπριανοῦ γράφοντος Πομπηΐῳ παραλειπόμενόν τι μιᾶς ἐπιστολῆς τοῦ Στεφάνου τοιοῦτον, εἴτις λοιπὸν ἐξ ὁποιασοῦν αἱρέσεως ἔλθοι πρὸς ἡμᾶς, οὐδὲν νεωτεριζέσθω, εἰ μὴ ὃ παραδέδοται, ἵνα αἱ χεῖρες αὐτῷ τεθῶσιν εἰς μετάνοιαν. ἐπεὶ καὶ αὐτοὶ οἱ αἱρετικοὶ ἑκάτερον πρὸς αὐτοὺς ἀφικόμενον, οὐ βαπτίζουσιν, ἀλλὰ κοινωνοῦσι μόνον. ταῦτα ὁ Στέφανος, ἐν οἷς οὔτε ἐξαιρεῖ, οὔτε διαιρεῖ, ἀλλὰ καθόλου φησὶν ἐξ ὁποιασοῦν αἱρέσεως, οὐ γράφει ἐκ ταύτης ἢ ἐκείνης, καθὼς ἔπρεπεν αὐτὸν εἰπεῖν, εἰ ἦν ἀληθινὴ ἡ γνώμη τῶν ἐναντίων, ὁ Πάπας ὁ καυχώμενος ὅτι ἐστὶν ἀναμάρτητος καὶ αὐτοδέσποτος, καὶ ἐκδίδωσι Νόμους, λύει τὰ δυσκολώτατα ζητήματα καὶ διορίζει, ζυγοστατεῖ, καὶ μετρᾷ τοὺς λόγους, ὁμιλεῖ καθαρῶς, καὶ ἐξαιρεῖ τὰ ἐξαιρέσεως ἄξια, πῶς διορίζει καθόλου κοινῶς καὶ ἀδιαιρέτως καὶ συγκεχυμένως; ὅθεν καὶ ὁ Στέφανος εἰ ἐνόει κατὰ τοὺς παπιστὰς τινὰς μόνον αἱρέσεις, εἶπε δὲ πάσας, οὐκ ἔστιν ἀλλότριος σφάλματος. τὸν γὰρ καιρὸν ἐκεῖνον ἢ οὐκ

οὐκ ἦσαν τινὲς παντελῶς, ἢ πάνυ ὀλίγοι οἱ τοῖς γνησίοις καὶ κανονικοῖς λόγοις βαπτίζοντες, ὁ δὲ Στέφανος ἐδύνατο γινώσκειν αὐτοὺς, καὶ ἀκολούθως ἐξαιρεῖν αὐτούς. ἀλλ' αὐτὸς ὁ Στέφανος γράφει περὶ τῶν αἱρετικῶν ἐκείνων, οὓς ἐνόει ὅτι ἑκάτερον πρὸς αὐτοὺς ἀφικόμενον οὐ βαπτίζουσιν, ἀλλὰ κοινωνοῦσι μόνον, καὶ τότε ἄρα ποῖοι ἦσαν; οὐχ οἱ Ναυατιανοὶ, οἵτινες ἀπὸ τῶν καθολικῶν εἰς μόνα νόμιμα ἐκκλησιαστικὰ διεφώνουν, καὶ μάλιστα εἰς ἓν καὶ μόνον, οὗτοι γὰρ καὶ τοὺς ἰδίους ὀρθοδόξους ἀνεβάπτιζον, πόσῳ μᾶλλον τοὺς αἱρετικοὺς, ἀλλὰ περὶ τῶν Γνωστικῶν, οἵτινες ἀληθῶς ἦσαν διῃρημένοι εἰς διαφόρους φατρίας. ἀλλ' ἐπειδὴ συνεφώνουν εἰς τὸ κύριον θεμέλιον τῆς πλάνης αὐτῶν, δηλαδὴ τῶν δύο Θεοτήτων, διεφώνουν δὲ εἴς τινα ἐλαφρὰ κεφάλαια, πιθανώτατόν ἐστιν ὅτι μία φατρία ἐδέχετο ἕνα ἐκ τῶν ἄλλων φατριῶν χωρὶς τοῦ ἀναβαπτίσαι, μόνῃ δὲ τῇ κοινωνίᾳ. οὕτως ἐνόησε τὸν σκοπὸν τοῦ Στεφάνου ὁ Φιρμιλιανὸς. λέγει γὰρ, ὡς εἴρηται ἀνωτέρω ἐν τῇ ἐπιστολῇ, ἀλλὰ καὶ εἰς ἐκεῖνο τὸ μέρος ὀρθῶς ὑμεῖς ἀπεκρίθητε, ὅπου ὁ Στέφανος λέγει τοὺς αἱρετικοὺς ὁμοίως ἐν τῷ βαπτίσματι συμφωνεῖν, καὶ ὅτι ἑκάτερον πρὸς αὐτοὺς ἀφικόμενον οὐ βαπτίζουσιν, ἀλλὰ κοινωνοῦσι μόνον, ὡς ἂν καὶ ἡμεῖς τὸ αὐτὸ ποιεῖν ὀφείλωμεν, ἐν ᾧ καὶ ὑμεῖς ἀρκούντως ἀπεδείξατε. λίαν γελοῖον εἶναι ἵνα τις ἀκολουθῇ τοῖς πλανωμένοις, τοῦτο ὅμως ἐκ περισσοῦ προτίθεμεν, οὐ θαυμαστὸν εἶναι εἴτι πράττουσιν οἱ αἱρετικοὶ, οἵτινες κἂν ἔν τισιν ἐλάττοσι διαφωνοῦσιν, ἐν δὲ τῷ μεγίστῳ καὶ ἄκρῳ ἕνα καὶ τὸν αὐτὸν σκοπὸν ἔχουσιν, ἵνα βλασφημῶσι τὸν ποιητὴν, ἐνύπνιά τινα καὶ φαντάσματα ἀγνώστου Θεοῦ πλάττοντες, οὓς ὁμοίως ἕπεται οὕτω συμφωνεῖν ἐν τῇ ἀληθείᾳ τοῦ βαπτίσματος, ὡς συμφωνοῦσιν ἐν τῷ ἀθετεῖν τὴν ἀλήθειαν τῆς Θεότητος. καὶ λοιπὸν καὶ τὴν ἀληθεστάτην μαρτυρίαν τοῦ Φιρμιλιανοῦ ὁ Στέφανος ἐνόει τοὺς Γνωστικοὺς, ὅτε ἔλεγεν ὅτι ἑκάτερον πρὸς αὐτοὺς ἀφικόμενον οὐ βαπτίζουσιν, ἀλλὰ κοινωνοῦσι μόνον. διότι οὗτοί εἰσιν ἐκεῖνοι οἱ ἐνύπνιά τινα καὶ φαντάσματα ἀγνώστου Θεοῦ πλάττοντες. εἰ λοιπὸν ὁ Στέφανος ἐνόμιζεν ἀληθινὸν βάπτισμα τῶν Γνωστικῶν, οὐδενὸς ἄλλου αἱρετικοῦ τὸ βάπτισμα ἐνόμιζεν ἄκυρον.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ΙΣ'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι ὁ Στέφανος Ῥώμης τοὺς ἐξ οἱασοῦν αἱρέσεως προσερχομένους τῇ Ἐκκλησίᾳ ἐκώλυε βαπτίζεσθαι, δεχόμενος τῶν τε Γνωστικῶν καὶ τῶν Μαρκιωνιστῶν τὸ βάπτισμα καὶ τῶν λοιπῶν αἱρετικῶν τῶν δεομένων βαπτίσματος.

Ἤδη θεωρήσωμεν τὶ περὶ τοῦ αὐτοῦ Στεφάνου λέγουσιν ὅ,τε Κυπριανὸς καὶ ὁ Φιρμιλιανὸς, ἀντικείμενοι μὲν τῷ Στεφάνῳ, ἄνθρωποι ὅμως ὡς ἀληθῶς ἁγιώτατοι καὶ δικαιότατοι. οἵτινες ἀναμφιβόλως ἦσαν ἀγχίνοες, ὥστε γνῶναι τὸν σκοπὸν τοῦ Στεφάνου, καὶ ἐκθέσθαι τὴν ἔννοιαν αὐτοῦ ἄνευ σφάλματος. λέγει γοῦν ὁ Κυπριανὸς γράφων πρὸς Πομπήϊον περὶ τοῦ Στεφάνου, τὸν ἐξ ὁποιασοῦν αἱρέσεως ἐρχόμενον βαπτίζεσθαι ἐν τῇ Ἐκκλησίᾳ ἐκώλυσε, τουτέστι πάντων τῶν αἱρετικῶν τὰ βαπτίσματα γνήσια εἶναι καὶ δίκαια ἔκρινεν. ἐπειδὴ δὲ ἑκάστη τῶν αἱρέσεων ἕκαστον ἔχει βάπτισμα, καὶ ἕκαστον ἁμάρτημα, οὗτος τῷ βαπτίσματι πάντων κοινωνῶν, πάντων τὰ πλημμελήματα εἰς τὸν κόλπον αὐτοῦ σωρεύσας συνήγαγε. σημείωσαι τὸ ἐξ ὁποιασοῦν αἱρέσεως, καὶ τὸ πάντων τῶν αἱρετικῶν, οὐδενὸς δηλαδὴ ἐξαιρουμένου. καὶ κατωτέρω, ἐπειδὴ οὐδὲ μία αἵρεσις, οὔτε οὐδὲν σχίσμα ἔχειν τοῦ σωτηρίου βαπτίσματος τὸν ἁγιασμὸν ἔξωθεν δύναται, διατὶ ἐς τοσοῦτον Στεφάνου τοῦ ἀδελφοῦ ἡμῶν ἡ ἰσχυρογνωμοσύνη ἐξῆλθεν, ἵνα προσέτι καὶ ἐκ τοῦ βαπτίσματος τοῦ Μαρκίωνος, τοῦ Βαλεντίνου καὶ τοῦ Ἀπελλοῦ καὶ τῶν λοιπῶν τῶν βλασφημούντων τὸν Θεὸν καὶ Πατέρα, νομίζῃ γίνεσθαι υἱοὺς Θεοῦ; οὐκ ἔστι λοιπὸν οὐδὲ μία ἀμφιβολία ὅτι ὁ Στέφανος ἐδέχετο τὸ βάπτισμα τῶν Γνωστικῶν καὶ τῶν Μαρκιωνιστῶν, ἐν ᾧ καὶ οἱ σοφοὶ τῶν παπιστῶν συγκατατίθενται ἐκ τῶν εἰρημένων, καὶ ἐκ τούτου, ὅτι ὁ Θεοδώριτος γράφει, ὡς ἐβάπτισε δέκα χιλιάδας ἀπὸ τῆς αἱρέσεως τοῦ Μαρκίωνος. ἐκαυχᾶτο ὁ Στέφανος ὅτι ἡ παράδοσις ἧς ἐκεῖνος προΐστατο ἦν ἀπὸ τῶν Ἀποστόλων, ὅθεν ἔλεγεν, ὅτι οἱ Ἀπόστολοι διέταξαν τοὺς ἐρχομένους εἰς τὴν Ἐκκλησίαν αἱρετικοὺς μὴ ἀναβαπτίζεσθαι. τοῦτο ὁ Κυπριανὸς καὶ ὁ Φιρμιλιανὸς ὡς τολμηρὸν ἀπορρίπτουσι λέγοντες, ὅτι οἱ αἱρετικοὶ περὶ ὧν ὁ λόγος πολλῷ ὕστερον μετὰ τὸν θάνατον τῶν Ἀποστόλων ἐφάνησαν, καὶ ὅτι περὶ τούτου οὐκ ἦν δυνατὸν τοὺς Ἀποστόλους διατάξαι τὶ περὶ τοῦ βαπτίσματος. ἰδὲ καὶ τὴν ἐπιστολὴν τοῦ Κυπριανοῦ πρὸς Πομπήϊον, ἐν ᾗ διαλαμβάνων περὶ τῶν ἄνωθεν αἱρετικῶν, ὀνομάζει αὐτοὺς Μαρκιωνίτας. ὁ δὲ Φιρμιλιανὸς τὰ αὐτὰ συμφώνως φησὶν, αἱρετικοὺς γὰρ καλεῖ τοὺς ἀπὸ τῆς μοίρας τοῦ Μαρκίωνος, τοῦ Ἀπελλοῦ, τοῦ Βαλεντίνου καὶ τοῦ Βασιλείδου, οὓς ἀναπολογήτους λέγει ἐν ὥρᾳ κρίσεως. ἐπιλέγει δὲ ἀναπολογήτους καὶ τοὺς στέργοντας τὸ βάπτισμα αὐτῶν, ἐν οἷς δύο σημείωσαι, πρῶτον, πῶς ἐν τούτοις πᾶσιν ὅ,τε Κυπριανὸς καὶ ὁ Φιρμιλιανὸς ἐννοοῦσι τὸν Στέφανον στέργοντα τὸ βάπτισμα τῶν αἱρετικῶν τούτων, δηλαδὴ τῶν Μαρκιωνιτῶν καὶ τῶν λοιπῶν

πῶν ἀνωτέρω εἰρημένων. δεύτερον, οἱ σοφοὶ τῶν παπιστῶν σφάλλουσι λέγοντες, ὅτι ὁ Φιρμιλιανὸς οὐ συνεφώνει τῷ Κυπριανῷ, ὅντινα ἡμεῖς βλέπομεν εἰς πάντα καὶ πάντοτε συμφωνοῦντα. καὶ ὅταν λέγωσιν, ὅτι ὁ Κυπριανὸς οὐκ ἔγνω τὴν ἔννοιαν τοῦ Στεφάνου, συκοφαντοῦσι τὸν τοσοῦτον διδάσκαλον τῆς Ἐκκλησίας τὸν ἀγχινούστατον, τὸν πολυμαθέστατον, τὸν ἔχοντα πάντοτε ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ τὰ γράμματα τοῦ Στεφάνου, καὶ γινώσκοντα τὰ τοῦ Στεφάνου, ὡς ἐγίνωσκεν αὐτὰ αὐτὸς ὁ ἴδιος Στέφανος. τέως θεωρείσθω τὶ εἶπον περὶ τούτων πάντων οἱ μετέπειτα συγγραφεῖς. τούτῳ δὴ τῷ Στεφάνῳ πρώτην ὁ Διονύσιος τῶν περὶ βαπτίσματος ἐπιστολῶν διατυποῦται, ζητήματος οὐ μικροῦ τηνικάδε ἀνακινηθέντος, τοὺς ἐξ οἰασοῦν αἱρέσεως ἐπιστρέφοντας διὰ λουτροῦ καθαίρεσθαι, παλαιοῦ γέτοι κεκρατηκότος ἔθους, ἐπὶ τῶν τοιούτων μόνῃ χρῆσθαι τῇ διὰ χειρῶν ἐπιθέσεως εὐχῇ. βλέπεις πῶς οὐκ ἐξαιρεῖ αἱρεσίν τινα, ἀλλ' ἁπλῶς λέγει ἐξ οἰασοῦν αἱρέσεως. ὅτι δὲ τοιαύτη συνήθεια ἐπεκράτει εἰς τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, μάρτυς ἐστὶν ἀναντίῤῥητος ὁ ἅγιος Ἱερώνυμος εἰς τὸν διάλογον κατὰ Λουκιφεριανῶν λέγων, πρὶν γενέσθαι τὴν ἐν Ἀριμίνῳ Σύνοδον, πρὶν ἐξορισθῆναι τὸν Λουκίφερα, Ἱλάριος τῆς ῥωμαϊκῆς Ἐκκλησίας Διάκονος τοὺς παρὰ τῶν αἱρετικῶν ἐρχομένους ἐδέχετο αὐτοὺς, καὶ τὸ βάπτισμα αὐτῶν. Διάκονος ὑπάρχεις ὦ Ἱλάριε, καὶ τοὺς παρὰ Μανιχαίων βαπτισθέντας ἐδέχου; Διάκονος ὑπῆρχες, καὶ τοῦ Ἐβίωνος τὸ βάπτισμα ἔστεργες; εὐθέως μετὰ τὸ ἐμφανισθῆναι τὸν Ἄρειον μόνος σὺν τῷ ἀπαρέσκειν ἤρξω; ὁ βουλόμενος ἀναγνώτω καὶ αὐτοῦ τοῦ Ἱλαρίου τὰ βιβλία, ἅπερ συνέγραψε καθ' ἡμῶν περὶ τοῦ ἀναβαπτισμοῦ τῶν αἱρετικῶν, καὶ ἐκεῖ εὑρίσκει ὁμολογοῦντα αὐτὸν τὸν Ἱλάριον, ὅτι καὶ Ἰούλιος, καὶ Μάρκος, καὶ Σίλβεστρος, καὶ οἱ λοιποὶ παλαιοὶ Ἐπίσκοποι Ῥώμης ὁμοίως εἰς μετάνοιαν πάντας τοὺς αἱρετικοὺς εἰσεδέξαντο. καὶ ὁ Αὐγουστῖνος περὶ ἑνὸς βαπτίσματος κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ, δύο ἦσαν ἐξοχώτατοι Ἐκκλησιῶν Ἐπίσκοποι τῆς ἐν ῥώμῃ καὶ τῆς ἐν Καρθαγένῃ Στέφανος καὶ Κυπριανὸς, ἀμφότεροι ἐν τῇ ἑνότητι τῆς πίστεως συνημμένοι, ὧν ὁ Στέφανος τὸ βάπτισμα τοῦ Χριστοῦ ἐν οὐδενὶ αἱρετικῷ μὴ τελεῖσθαι δεῖν ᾤετο, καὶ τοὺς τοῦτο μεταποιοῦντας δεινῶς ἐμέμφετο. ἐν οὐδενὶ λέγει ὁ Αὐγουστῖνος, ὥστε ὁ Στέφανος πάντων τῶν αἱρετικῶν τὸ βάπτισμα ἐδέχετο, καὶ ἀκολούθως ἐκεῖνοι οἱ ἀποδεχόμενοι τὴν γνώμην αὐτοῦ, ἵνα δηλαδὴ μὴ ἀναβαπτίζωνται οἱ αἱρετικοὶ, μετέπειτα οὐκ ἐνέμειναν τελείως εἰς τὴν γνώμην αὐτοῦ, ἀλλὰ κατὰ μέρος, ἐπειδὴ συνοδικῶς διώρισαν ἵνα ἀναβαπτίζηται μέρος τῶν αἱρετικῶν, καὶ μέρος οὐχὶ, καθὼς δηλονότι περὶ τῆς ἁγίας Τριάδος ἐδογμάτιζον.

ΒΙΒΛΙΟΥ Α. ΚΕΦΑΛΑΙΟΥ Ιϛ΄. ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ΄.

Ἐπεισαγωγὴ παπιστῶν ὅτι ὁ Στέφανος ἐν οἷς ἡ τῆς Τριάδος ἐπίκλησις ἐγένετο, τούτους ἐνόει μὴ δεῖν ἀναβαπτίζεσθαι. καὶ ἔλεγχος ἐκ τῶν ἀνωτέρω λεχθέντων, ὅτι ἀδιακρίτως καὶ ἐπταισμένως ἁπλῶς πάντας ἐδέχετο.

Ἐπεισάγουσιν οἱ παπισταὶ καὶ ἕτερα ἐπιχειρήματα σοφιστικὰ καθαρῶς, ἵνα ἀποδείξωσιν ὅτι ὁ Στέφανος ἐκείνους μόνον τοὺς αἱρετικοὺς ἐνόει μὴ ἀναβαπτίζεσθαι, ὧν τῷ βαπτίσματι ἐγίνετο ἡ τῆς ἁγίας Τριάδος ἐπίκλησις. Ἀλλὰ ῥητέον, ὅτι πᾶσαι αἱ προτάσεις ἃς ἂν προβάλλοιεν οἱ παπισταὶ, ψευδεῖς ἐκ τῶν ἀνωτέρω εἰρημένων ἀποδείκνυνται. καὶ γὰρ ἀπεδείξαμεν φανερῶς ὅτι ὁ Στέφανος ἐνόει πάντως τοὺς αἱρετικοὺς ἀδιακρίτως, καὶ γίνεται φανερὸν ἀναντιῤῥήτως ἐκ τοῦ κατ' ἐκεῖνον τὸν καιρὸν τὸν Φιρμιλιανὸν καὶ τὸν Κυπριανὸν, ταὐτὸν εἰπεῖν τὴν Ἀφρικὴν καὶ τὴν Ἀνατολὴν μὴ νενομικέναι εἶναι τὸν Πάπαν αὐτοκράτορα, ἢ ἀναμάρτητον, ἢ ἐπὶ τῶν Συνόδων ἐν τῇ Ἐκκλησίᾳ, ἀλλὰ πταίσαντα ἰσχυρῶς, ὅθεν καὶ μυρία πάντολμα ἀτοπήματα αὐτῷ ἐνεκάλουν.

ΒΙΒΛΙΥΟ Α΄. ΚΕΦΑΛΑΙΟΥ Ιϛ΄. ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ΄.

Περὶ ἐπιχειρημάτων παπιστῶν προσφερόντων αἰτίας τῆς μοναρχίας τοῦ Ῥώμης ὑποθέσεις Φουρτουνάτου, Φίληκος καὶ Μαρτιανοῦ τῶν Ἐπισκόπων, καὶ ἀναιρέσεως αὐτῶν τε καὶ τοῦ ὀλεθρίου ὕψους τῆς μοναρχίας τοῦ Ῥώμης.

Συναπτέον ἐνταῦθα τινὰ, ἅπερ οἱ παπισταὶ εἰς βοήθειαν τῆς τοῦ Πάπα μοναρχίας προσφέρουσι. Φασὶ γοῦν, ὅτι Φουρτουνᾶτος, καὶ Φίληξ ἀπὸ Ἀφρικῆς Ἐπίσκοποι, κατὰ τοῦ ἁγίου Κυπριανοῦ τὸν Πάπαν Κορνήλιον ἐπεκαλέσαντο. δεύτερον, Μαρτιανὸς Ἐπίσκοπος Ἀρελάτου ἐσπούδασε μετὰ Νοβατιανοῦ, καὶ ἔφερε πολλοὺς εἰς τὴν αἵρεσιν. ὁ δὲ ἅγιος Κυπριανὸς καὶ Φαυστῖνος Λουγδούνων Ἐπίσκοπος, καὶ οἱ λοιποὶ τῆς Γαλλίας Ἐπίσκοποι ἔγραψαν εἰς τὸν Πάπαν Στέφανον ἵνα διαστραφῇ

ςραφῇ ὁ συνεργὸς τοῦ αἱρεσιάρχου, καὶ χειροτονηθῇ ἀντ' αὐτοῦ ἄλλος. τρίτον, Βασιλείδης Ἐπίσκοπος ὑπὸ τῶν ἐν Ἱσπανίᾳ Ἐπισκόπων καθαιρεθεὶς, ἐπεκαλέσατο τὸν Πάπαν εἰς κρίσιν αὐτοῦ. δέδεικται δ' ἐκ τούτων ὅτι ὁ Πάπας καθόλου ἐςὶν Ἐπίσκοπος, ἐπειδὴ καὶ παρὰ πάντων ἐπικαλεῖται εἰς τὸ κρίνειν τὸ δίκαιον. Ἀλλὰ ῥητέον, πρὸς μὲν τὸ πρῶτον, ὅτι ὁ Κυπριανὸς περὶ τοῦ βαπτίσματος ἀντεῖπε τῷ Πάπᾳ Στεφάνῳ, καὶ κατέκρινεν αὐτὸν ὡς κοινωνοῦντα καὶ βοηθοῦντα τοῖς αἱρετικοῖς καὶ δι' ἐπιςολῶν καὶ διὰ συγγραμμάτων καὶ διὰ Συνόδων. καὶ λοιπὸν εἰς οὐδὲν ἐλογίζετο τὴν εἰς τὸν Ῥώμης κατ' αὐτοῦ ἔγκλησιν Φορτουνάτου καὶ Φίληκος τῶν κακοτρόπων. εἶτα Κυπριανός ἐςιν ὁ εἰπὼν κατὰ τοῦ Ῥώμης κρίνειν τοὺς ἐν Ἀφρικῇ βουληθέντος, οὐδεὶς ἡμῶν Ἐπίσκοπον εἶναι Ἐπικόπων ἑαυτὸν καθίςησιν, ἢ τυραννικῷ φόβῳ εἰς τὴν τοῦ πείθεσθαι ἀνάγκην τοὺς ἀδελφοὺς βιάζεται, καὶ τὰ ἑξῆς, καὶ ἰδὲ ἀνωτέρω Παράγραφον ὄγδοον. πρὸς δὲ τὸ δεύτερον ῥητέον, ὅτι ὁ Φαυςῖνος ἦν ὑπὸ τὴν ἐνορίαν τοῦ Πάπα, καὶ ὁ Κυπριανὸς, καὶ οἱ τῆς Γαλλίας Ἐπίσκοποι δικαίως ἔγραφον εἰς τὸν Ῥώμης ἵνα κρίνῃ τὸν ὑπ' αὐτὸν Ἐπίσκοπον, καθάπερ καὶ ἕκαςος τῶν Πατριαρχῶν κρίνει τοὺς ὑπ' αὐτὸν Ἐπισκόπους. πρὸς δὲ τὸ τρίτον, ἡ Ἱσπανία ἐςὶν Ἐπαρχία τοῦ Πάπα, ὁ δὲ Βασιλείδης καταδικασθεὶς ὑπὸ τῶν ἐν Ἱσπανίᾳ Ἐπισκόπων, δικαίως πρὸς τὸν Πατριάρχην αὐτοῦ ἔδραμε πρὸς ἀνάκρισιν. οὐδὲν οὖν καὶ ἐκ τούτων συνῆκται τοῖς παπιςαῖς πρὸς βεβαίωσιν τοῦ ὀλεθροποιοῦ ὕψους τῆς μονότητος τοῦ αὐτῶν Πάπα.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ Ιϛ'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ προφανοῦς ἀσεβείας τοῦ Πάπα Ῥώμης Ζεφυρίνου, ἢ Βίκτορος κατὰ Τερτουλλιανὸν, τὰς τοῦ Μοντανοῦ ψευδοπροφητείας διαβεβαιοῦντος.

Ὅτι δὲ ὁ Πάπας ἁμαρτάνει φανερῶς, δῆλόν ἐςι καὶ ἐξ ὧν γράφει ὁ Τερτουλλιανὸς κατὰ Πραξέου κεφαλαίῳ πέμπτῳ. λέγει γοῦν περίτινος Πάπα (ὅν τινες λέγουσιν ὅτι ἦν ὁ Ζεφυρῖνος, ἕτεροι δὲ ὅτι ὁ Βίκτωρ) ὁ Πραξέας δηλονότι, ὅτι ὁ τότε Ἐπίσκοπος Ῥώμης ἐπιγινώσκων ἤδη τὰς προφητείας τοῦ Μοντανοῦ, Πρίσκης, καὶ Μαξιμίλλης, καὶ ἐξ ἐκείνης τῆς ἐπιγνώσεως εἰρήνην ταῖς Ἐκκλησίαις τῆς Ἀσίας καὶ Φρυγίας προξενῶν, ψευδῆ περὶ αὐτῶν τῶν προφητῶν διαβεβαιούμενος, μεταταῦτα δὲ τῆς τοῦ πρὸ αὐτοῦ διδασκαλίας ὑπερμαχῶν, ἠνάγκασε τὰς ἤδη πεμφθείσας εἰρηνικὰς ἐπιςολὰς ἀνακαλέσαι. καὶ λοιπὸν σημείωσαι, ὅτι περιποιούμενος τὰς προφητείας τοῦ Μοντανοῦ, οὐχ ἥμαρτεν εἰς τὴν πίςιν ὁ Πάπας; καὶ ὃς ἀνεκαλέσατο τὰς ἰδίας ἐπιςολὰς ὡς ἐπισφαλεῖς, οὗτος οὐκ ἔγνω πρότερον ὅτι ἔσφαλε; φανερῶς γὰρ λέγει ὅτι ἠνάγκασε τὰς ἤδη πεμφθείσας ἐπιςολὰς ἀνακαλέσαι, καὶ τῆς γνώμης ἧς εἶχε τοῦ δέξασθαι τὰ χαρίσματα παρὰ τῶν ψευδοπροφητῶν παύσασθαι. ὅρα οὖν ὅτι προφανῶς ὁ Πάπας τῆς Ῥώμης ἀπὸ καθέδρας ἔγραψε σφαλερῶς, ἢ μᾶλλον εἰπεῖν ἀσεβῶς, ὀψέ ποτε δὲ καὶ μόλις ἐδυνήθη ἀνανῆψαι τῆς πλάνης.

ΒΙΒΛΙΟΝ Α'. ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ ἐπιχειρήματος παπιςῶν, μαρτυρίαν εἰς βεβαίωσιν τοῦ παπισμοῦ τὴν αἴτησιν τῆς περίτινος ἐκκλησιαςικῆς ὑποθέσεως πρὸς Ξύςον Ῥώμης συμβουλῆς τοῦ Ἀλεξανδρείας Διονυσίου προσφερόντων, καὶ περὶ ἀναιρέσεως τοῦ σαθροῦ ἐπιχειρήματος αὐτῶν διὰ πολλῶν, ἐξ ὧν δείκνυται μὴ εἰδέναι τὸν Διονύσιον τὸ νυνὶ θρηλλούμενον πρωτεῖον τοῦ Ῥώμης.

Προσφέρουσιν οἱ παπιςαὶ τὸν Ἀλεξανδρείας Διονύσιον μάρτυρα εἰς βεβαίωσιν τοῦ παπισμοῦ. λέγουσι γὰρ ὅτι ὁ Διονύσιος γράφων πρὸς Ξύςον τὸν Ῥώμης περίτινος βαπτισθέντος ὑπὸ αἰσχίςων αἱρετικῶν, καὶ ζητοῦντος ἀναβαπτισθῆναι ὑπ' αὐτοῦ, φησὶ, καὶ ὄντως ἀδελφὲ συμβουλῆς δέομαι, καὶ γνώμην αἰτῶ παρὰ σοῦ, τοσούτου τινός μοι προσελθόντος πράγματος, δεδιὼς μὴ καὶ σφάλλωμαι. καὶ λοιπὸν φασὶν οἱ αὐτοὶ, ἐπειδὴ γνώμην καὶ βουλὴν ζητεῖ ὁ Ἀλεξανδρείας παρὰ τοῦ Ῥώμης, φανερόν ἐςιν, ὅτι ὁ Ῥώμης ἐςὶ κριτὴς πάντων, καὶ ἀναμάρτητός ἐςιν ἐν τοῖς περὶ πίςεως. Ἀλλὰ ῥητέον πρῶτον, οὐ πάντοτε ὁ συμβουλεύων τοῦ συμβουλευομένου ἐςὶ μείζων, συμβουλεύεται γὰρ ἢ ὁ μείζων τῷ ἐλάττονι, ἢ ὁ ἐλάττων τῷ μείζονι, ἢ ὁ ἰδιώτης τῷ διδασκάλῳ, ἢ ὁ σοφὸς τῷ σοφῷ. καὶ ὁ βουλόμενος ἰδέτω τοὺς τόπους ἐν τῇ ἁγίᾳ γραφῇ. ἐνταῦθα δὲ ἡ συμβουλὴ ἐςὶ κατὰ τὸν ὕςερον τρόπον. ὁ γὰρ Διονύσιος καίτοι ἅγιος ὢν καὶ σοφὸς, συμβὰν ὅμως αὐτῷ πρᾶγμα καινὸν, οὐ γὰρ μόνον ὁ αὐ-

ὁ ἄνθρωπος ἐβαπτίσθη ὑπὸ βδελυρῶν αἱρετικῶν, ἀλλὰ καὶ πολλοὺς χρόνους ἐκοινώνει τῇ Ἐκκλησίᾳ, ὃν ὁ Διονύσιος ἐπειδὴ ἐδέξατο καὶ οὐκ ἀφῆκεν ἀναβαπτισθῆναι, τὸν Ξύστον ὡς συνεπίσκοπον καὶ σοφὸν ἠρώτησε, καὶ ἐζήτησε γνώμην, εἰ ἄρα καλῶς πεποίηκεν. ἀγαθοὶ γάρ φησιν οἱ δύο ὑπὲρ τὸν ἕνα, καὶ ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. τοῦτο δὲ καὶ ἔθος ἀρχαῖον ἐν τῇ Ἐκκλησίᾳ ἐστίν. ὁ γὰρ Παῦλος, καίτοι ἕως τρίτου οὐρανοῦ ἁρπαγεὶς, καὶ σκεῦος ἐκλογῆς μαρτυρηθεὶς ὑπὸ τοῦ Κυρίου, καὶ οὐκ ἀπ' ἀνθρώπων τὴν πίστιν καὶ τὴν διακονίαν τοῦ κηρύγματος, ἀλλ' ἀμέσως παρὰ Θεοῦ λαβὼν, ὁ πάντων ἀνθρώπων ἀμείνων, καὶ τῶν Ἀποστόλων μείζων, Χρυσόστομος τόμῳ πέμπτῳ, ὁμιλίᾳ τριακοστῇ τρίτῃ. ὁ μηδὲν Πέτρου δεόμενος, Χρυσόστομος εἰς τὸ, ὅτε ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, καίτοι τοιοῦτος ὤν, ὅμως ἀνῆλθεν εἰς Ἱεροσόλυμα κατὰ ἀποκάλυψιν, καὶ ἀνέθετο οὐ μόνῳ τῷ Πέτρῳ, ἀλλὰ τοῖς δοκοῦσι, δηλονότι τοῖς Ἀποστόλοις τὸ Εὐαγγέλιον ὃ ἐκήρυσσεν ἐν τοῖς ἔθνεσι, μήπως εἰς κενὸν τρέχει ἢ ἔδραμε, πρὸς Γαλάτας κεφαλαίῳ δευτέρῳ, ἀνεθέμην τὸ Εὐαγγέλιον τοῖς δοκοῦσι, μήπως εἰς κενὸν τρέχω, ἢ ἔδραμον, ὃ ταὐτόν ἐστι τῷ συμβουλὴν καὶ γνώμην αἰτῶ μήπως σφάλλωμαι. οὐκ εἶχον δὲ οἱ δοκοῦντες οἷς ἀνέθετο ὁ Παῦλος τὸ Εὐαγγέλιον ἐξουσίαν ἰδίαν ἕκαστος γενικὴν ἐπὶ τῆς καθόλου Ἐκκλησίας, ἄρα οὐδὲ ὁ Ξύστος ἐρωτηθεὶς εἶχε τοιαύτην ἐξουσίαν. τοῦτο καὶ ἐπὶ τῶν πρώτων ἐστὶν ἰδεῖν. ὁ Πάπας Κύριλλος γράφει Νεστορίῳ, ἄκουε δὲ καὶ παρ' ἡμῶν ἀδελφικὴν ὑπὲρ εὐσεβείας παραίνεσιν. καὶ ὁ Ἀντιοχείας Ἰωάννης γράφει Νεστορίῳ, πεπαρρησιασμένῃ λοιπὸν χρῶμαι πρὸς τὴν σὴν γνησιότητα συμβουλίᾳ, ἔξεστι δέ σοι ἐξ αὐτῶν ὧν συμβουλεύω ἐνέχυρα ἡμῶν λαβεῖν τῆς πρὸς σὲ γνησιότητος. καὶ, δέξαι με παρακαλῶ ἀγαθόν σοι ἐσόμενον σύμβουλον. ὁ Βασιλεὺς Θεοδόσιος γράφει Συμεὼν τῷ στυλίτῃ, ἵνα σπουδάσῃ τὸν Ἀντιοχείας Ἰωάννην μετὰ τοῦ ἁγίου Κυρίλλου εἰρηνοποιῆσαι. λέγει δὲ αὐτῷ οὐ συμβουλεῦσαι, ἀλλὰ καὶ περισσότερόν τι, δηλονότι ἵνα ἀνακαλέσῃ τὴν διεσπασμένην εἰρήνην ἐνστάσει καὶ προτροπῇ, ὅπερ ἐστὶ βίᾳ καὶ προσταγῇ. ὁ Γρηγόριος πρὸς Κληδόνιον ἐπιστολῇ δευτέρᾳ, ἐπειδὴ πολλοὶ προσελθόντες τῇ σῇ εὐλαβείᾳ, πληροφορίαν ζητοῦσι περὶ πίστεως, καὶ διατοῦτο ἀπήτηκας ἡμᾶς ἀγαπητικῶς σύντομον ὅρον καὶ Κανόνα τοῦ ἡμετέρου φρονήματος. ἡ ἐν Καισαρείᾳ Σύνοδος τὸν πατέρα τοῦ Γρηγορίου ἐβουλεύετο περὶ χειροτονίας Μητροπολίτου. ὡς οὖν ὁ Κύριλλος καὶ Ἰωάννης συμβουλεύοντες τῷ Νεστορίῳ, καὶ ὁ Γρηγόριος ὅρον καὶ Κανόνα ἐξέθετο πίστεως, καὶ ὁ Συμεὼν ἐπέτρεπε τῷ Ἰωάννῃ, οὐκ εἶχον ἐξουσίαν ἰδιάζουσαν ἐν τῇ Ἐκκλησίᾳ, οὕτως οὐδὲ ὁ Ξύστος ἐρωτηθεὶς εἶχε τοιοῦτον ἀξίωμα. οὐμὴν ἀλλὰ καὶ πάντα ὅσα οἱ Ἀπόστολοι καὶ οἱ ἅγιοι πατέρες ἢ ἐκθετικῶς, ἢ ἐρωτηθέντες εἶπον, ἐδίδαξαν, ἐκανόνισαν, ἡρμήνευσαν, ἤλεγξαν, ἐνουθέτησαν, συμβουλή ἐστι τοῖς ἀνθρώποις καὶ γνώμη διὰ τὸ αὐτὸ αἴτιον, δηλονότι ἵνα μὴ σφάλλωνται, ὧν τὸ κύριον κριτήριόν ἐστιν ἡ κοινότης τῶν Ἀποστόλων ὥσπερ αὐτὸς ὁ Χριστός. ὅθεν ὁ Παῦλος οὐκ ἀνέθετο τὸ Εὐαγγέλιον τῷ Πέτρῳ, ἀλλὰ τοῖς δοκοῦσιν, ἤτοι τοῖς Ἀποστόλοις, καθ' ὃν τρόπον γράφων πρὸς Ῥωσσοὺς ὁ Ἀντιοχείας Σεραπίων ἔλεγεν, ἡμεῖς γὰρ ἀδελφοὶ καὶ Πέτρον καὶ τοὺς ἄλλους Ἀποστόλους ἀποδεχόμεθα ὡς Χριστὸν, Εὐσέβιος βιβλίῳ ἕκτῳ, κεφαλαίῳ δωδεκάτῳ. μετὰ δὲ τοὺς Ἀποστόλους κριτήριον ἄκρον ἐν τῇ Ἐκκλησίᾳ ἐστὶν ἡ κοινότης τῆς Ἐκκλησίας, ὥσπερ αὐτὸς ὁ Χριστὸς, καὶ ἀρκεῖ εἰς μαρτυρίαν ὁ μέγας Κύριλλος ἐπιστολῇ πρὸς μονάζοντας λέγων, πειστέον δεῖ οὖν τοῖς τῆς ὀρθότητος ἐπιμεληταῖς πρὸς τὸ τοῖς ἱεροῖς κηρύγμασι δοκοῦν, ἃ καὶ διὰ Πνεύματος ἁγίου παρέδωκαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται γενόμενοι τοῦ Λόγου, ὧν τοῖς ἴχνεσιν ἀκολουθεῖν ἐσπούδασαν καὶ οἱ πανεύφημοι πατέρες ἡμῶν οἱ τὸ σεπτόν τε καὶ οἰκουμενικὸν τῆς πίστεως ὁρισάμενοι Σύμβολον ἐν τῇ Νικαέων γεγενημένοι κατὰ καιροὺς, ὃς δὴ καὶ αὐτὸς σύνεδρος ἦν ὁ Χριστός. ἔφη γὰρ ὅτι ὅπου ἐὰν ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. ὅτι γὰρ πρόεδρος ἦν ἀοράτως τῆς ἁγίας ἐκείνης καὶ μεγάλης Συνόδου ὁ Χριστὸς, πῶς ἐστιν ἀμφιβαλεῖν; ταῦτα ὁ Κύριλλος. ἰδὲ καὶ κατωτέρω τοὺς τόπους τῶν Συνόδων, καὶ ἰδίως βιβλίου δεκάτου μέρους δευτέρου κεφάλαιον τρίτον. ὅτι μὲν οὖν ἀδελφικῶς ἔγραψεν ὁ Διονύσιος τῷ Ξύστῳ, δῆλον, ὅτι δὲ τοῦτο τὸ νεοφανὲς τυραννικὸν τοῦ Ῥώμης ἀξίωμα οὐκ εἶδε, καὶ ὅτι τὸν Ῥώμης ἕνα Ἐπίσκοπον ἰσότιμον ἐνόμιζεν ὁ Διονύσιος, καὶ τοῦτο δῆλον. ἔγραφε γὰρ εἰς Ῥώμην τῷ Ναυάτῳ, ἵνα ἀφεὶς τὴν αἵρεσιν, ἐπιστρέψῃ καὶ τοὺς ὑπ' αὐτοῦ ἠπατημένους εἰς τὴν Ἐκκλησίαν, εἰ δὲ καὶ μὴ πείσει αὐτοὺς, ἵνα καὶ ἐκεῖνος σώσῃ τὴν ψυχὴν αὐτοῦ. τοῦτο δὲ τὸ ἵνα ὁ αἱρεσιάρχης ἐπιστρέψας μόνος σωθῇ εἰπεῖν τὸν Διονύσιον ἐξ ἰδίας αὐθεντείας, μάλιστα εἰς ἀλλοτρίαν Ἐπαρχίαν, καὶ ταύτην εἶναι τὴν Ῥώμην, ἔνθα ὁ Πάπας, σημεῖόν ἐστιν οὐχ ὑποτεταγμένου, ἀλλ' αὐτοδεσπότου Ἐπισκόπου. Εὐσέβιος, βιβλίῳ ἕκτῳ, κεφαλαίῳ τεσσαρακοστῷ πέμπτῳ. ὁ αὐτὸς ἔγραψε πρὸς Αἰγυπτίους περὶ μετανοίας ἐπιστολὴν, ἐν ᾗ τὰ δόξαντα αὐτῷ περὶ τῶν ὑποπεπτωκότων παρατίθεται, καὶ τάξεις παραπτωμάτων διέγραψεν. Εὐσέβιος βιβλίῳ ἕκτῳ, κεφαλαίῳ τεσσαρακοστῷ ἕκτῳ. καὶ ἰδοὺ ὁ Ἀλεξανδρείας ἐξ ἰδίας αὐθεντείας κανονίζει τὴν Ἐκκλησίαν. πῶς δὲ ὅτι μόνος ὁ Ῥώμης κανονίζει; εἰ δὲ καὶ βεβαιώσεως ἔχρη-

ἔχρηζον οἱ Κανόνες τοῦ Διονυσίου, ἀλλ' οὐχ ὁ Πάπας, αἱ δὲ Σύνοδοι αἱ Οἰκουμενικαὶ αὐτοὺς ἐβεβαίωσαν. ὁ αὐτὸς ἔγραψε περὶ μετανοίας εἰς διαφόρους παροικίας καὶ διάφορα ἔθνη, καὶ πρὸς Ἁρμενίους, διδάσκων καὶ παραινῶν εἰς ἀλλοτρίας ἐνορίας. καὶ πῦ ὅτι ὁ Ῥώμης μόνος ἐνεργεῖ εἰς ξένας ἐνορίας; ἔτι ὁ αὐτὸς πρὸς τὸν Ῥώμης Ξύστον γράφων, Εὐσέβιος βιβλίῳ ἑβδόμῳ, κεφαλαίῳ πέμπτῳ, τὴν γνώμην καὶ κρίσιν τοῦ Ῥώμης Στεφάνου καὶ τῶν ἐν τῇ Ἀνατολῇ Ἐπισκόπων περὶ ἀναβαπτισμοῦ, λέγει περὶ τοῦ Στεφάνου, ἀπεστάλκει μὲν οὖν πρότερον καὶ περὶ Ἑλένου, καὶ περὶ Φιρμιλιανοῦ, καὶ πάντων τῶν τε ἀπὸ τῆς Κιλικίας καὶ Καππαδοκίας δηλονότι Γαλατίας πάντων τῶν ἑξῆς ὁμορούντων ἐθνῶν, ὡς οὐδὲ ἐκείνοις κοινωνήσων διὰ τὴν αὐτὴν αἰτίαν, ἐπειδὴ τοὺς αἱρετικοὺς ἀναβαπτίζουσι. καὶ σκόπει τὸ μέγεθος τοῦ πράγματος, ὄντως γὰρ δόγματα γέγονεν ἐν ταῖς μεγίσταις τῶν Ἐπισκόπων Συνόδοις ὡς πυνθάνομαι, ὥστε τοὺς προσιόντας ἀπὸ αἱρέσεως προκατηχηθέντας, εἶτα ἀπολούεσθαι τὸν τῆς παλαιᾶς καὶ ἀκαθάρτου ζύμης ῥύπον. καὶ περὶ τούτων αὐτῶν πάντων δεόμενος ἀπέστειλα. καὶ λοιπὸν σημειωτέον ἐκ τῶν ῥημάτων τούτων, πρῶτον, ὅτι κρίσιν ἐποίησεν ὁ Στέφανος περὶ ἀναβαπτισμοῦ, καὶ ἀντικειμένην κρίσιν ἐποίησαν οἱ Ἀνατολικοί. δεύτερον, τοῦ Στεφάνου ἀκοινωνησίαν ἐπιστέλλοντος, οὐδὲν ἔμελλεν αὐτοῖς. ἐγίνωσκον γὰρ αὐτὸν Ἐπίσκοπον Ῥώμης ἰσότιμον αὐτοῖς, καὶ οὐδὲν πλέον. τρίτον, ὅτι ὁ Διονύσιος λέγει, ἐν ταῖς μεγίσταις Ἐκκλησίαις καὶ Συνόδοις ὡρίσθη ὁ ἀναβαπτισμός. καὶ λοιπὸν πῦ ἡ μοναρχία τοῦ Πάπα Ῥώμης; πῦ τὸ μὴ ἀθροίζεσθαι Σύνοδον ἄνευ τῆς αὐτοῦ γνώμης; πῦ τὸ κριτὴν εἶναι τῶν Συνόδων; πῦ τὸ μόνην τὴν Ῥωμαίων Ἐκκλησίαν εἶναι μεγίστην; τέταρτον, ὅτι λέγει, ἔγραψε τῷ Στεφάνῳ περὶ τούτων πάντων δεόμενος, οὐχ ὅτι ἐδέετο αὐτοῦ ὡς μοναρχοῦ, ἢ ἵνα συγγνώμην δῷ τοῖς προβάτοις τοῖς ἡμαρτηκόσιν, ὡς ἤδη τερατεύονται οἱ παπισταὶ λέγοντες τοιαῦτα περὶ τοῦ Πάπα, ἀλλ' ἵνα μὴ σχίζῃ τὴν Ἐκκλησίαν παραλόγως, ἑτεροδοξίαν δηλονότι ἡγούμενος τὸ ἐν πολλοῖς καὶ πρὸ πολλοῦ κρατῆσαν ἔθος. ὥσπερ δῆτα παρῄνει ὁ Εἰρηναῖος τὸν Βίκτορα μὴ σχίζειν τὰς Ἐκκλησίας, ἑτεροδοξίαν ἡγούμενον τὴν ἀδιαφορίαν τῆς ἡμέρας τοῦ Πάσχα, ὅπερ ἦν ἀρχαῖον καὶ ἐν πολλοῖς ἔθος ἐν τῇ Ἐκκλησίᾳ. Εὐσέβιος βιβλίῳ ἑβδόμῳ, κεφαλαίῳ πέμπτῳ. ὅτι δὲ ἡ τοῦ Διονυσίου δέησις πρὸς τὸν Στέφανον οὐκ ἦν ὡς ἐλάττονος πρὸς μείζονα, ἀλλὰ παραίνεσις καὶ συμβουλὴ πρὸς ἀδελφὸν, μάρτυς ὁ αὐτὸς Εὐσέβιος βιβλίῳ ἑβδόμῳ, κεφαλαίῳ ἑβδόμῳ. γράφων ὁ Διονύσιος δηλαδὴ πρὸς Φιλήμονα Πρεσβύτερον Ῥώμης, καὶ εἰπὼν περὶ τῶν αἱρετικῶν, ὅτι οὐδεῖ ἀναβαπτίζεσθαι, καὶ βεβαιῶν τὸν λόγον αὐτοῦ ἀπὸ θείου ὀνείρου, εἰπόντος αὐτῷ εἰς τὸ μὴ βδελύττεσθαι τοὺς ἀπὸ αἱρετικῶν ἐπιστρέφοντας, ταῦτα πᾶσιν ἐτύγχανε, οἷς ἂν εἰς χεῖρας λάβοις, διευθύνειν γὰρ ἕκαστα καὶ δοκιμάζειν ἱκανὸς εἶ. καὶ παρὰ μαρτυρίας τοῦ πρὸ αὐτοῦ Πάπα Ἡρακλᾶ, καὶ γυμνάζων τὸ πρόβλημα περὶ τῶν ἀναβαπτιζόντων, λέγει, μεμάθηκα καὶ τοῦτο, ὅτι μὴ νῦν οἱ ἐν Ἀφρικῇ μόνον τοῦτο ἐπεισήγαγον, ἀλλὰ καὶ πρὸ πολλοῦ κατὰ τοὺς πρὸ ἡμῶν Ἐπισκόπους ἐν ταῖς πολυανθρωποτάτοις Ἐκκλησίαις καὶ Συνόδοις τῶν ἀδελφῶν ἐν Ἰκονίῳ. καὶ Συνάδοις, καὶ παρὰ πολλοῖς τοῦτο ἔδοξεν, ὧν τὰς βουλὰς ἀνατρέπων, εἰς ἔριν καὶ φιλονεικίαν αὐτοὺς ἐμβαλεῖν οὐχ ὑπομένω, οὐ γὰρ μετακινήσεις φησὶν ὅρια τοῦ πλησίον σου, ἃ ἔθεντο οἱ πατέρες σου. ἅπερ δὲ γράφει ὁ Διονύσιος πρὸς Φιλήμονα κατὰ τοῦ Στεφάνου, τοιαῦτά ἐστιν. ὁ Καρθαγένης Κυπριανὸς καὶ οἱ περὶ αὐτὸν λέγουσι τὸν ἀναβαπτισμὸν, οὐκ ἔστι δὲ κριτὴς αὐτῶν ὁ Στέφανος, ἀλλὰ σύμβουλος. κριτὴς δὲ θέλων εἶναι, καταφρονεῖται. ὅτι ὁ Φιρμιλιανὸς καὶ ὁ Ἕλενος τοῦτο παρέλαβον παρὰ τῶν πρὸ αὐτῶν, οἵτινες καὶ ἐν ταῖς πολυανθρωποτάτοις Ἐκκλησίαις καὶ ἐν ταῖς Συνόδοις ὡρίσαντο τὸν ἀναβαπτισμόν. οὐδεῖ δὲ ἀκοινωνησίαν πέμπειν, ἵνα μὴ σχίζωνται αἱ Ἐκκλησίαι. καὶ γὰρ οὐ πείθονται τῷ Στεφάνῳ, καθότι οὐκ οἴδασιν αὐτὸν ἢ μείζονα, ἢ κριτὴν, ἢ ἀναμάρτητον, ἢ τινὰ ἔχοντα ἐξουσίαν ἐπ' αὐτῶν. οὐδεῖ ψέγειν τὸ ἔργον, ἐπειδὴ παρὰ πολλοῖς ἐνεργεῖται καὶ πάτριόν ἐστι, καὶ ψεγόμενον ὕβριν προξενεῖ τοσαύταις Ἐκκλησίαις, ἧν περ ὕβριν τῶν Ἐκκλησιῶν ἐκείνων ἀποδιοπομπουμένων, καὶ τῆς ἐπιταγῆς καταφρονουσῶν, σχίσμα προξενεῖται. οὐδεῖ τὸν Στέφανον ἑτεροδοξίαν ἡγούμενον τὸ παρὰ πολλοῖς κρατῆσαν ἔθος, σχίζειν τὰς Ἐκκλησίας. εἰ δὲ καὶ διορθώσεως χρεία, πολλῶν Ἐπισκόπων καὶ μάλιστα Συνόδου Οἰκουμενικῆς ἐστιν ἔργον, ὅπερ μόνῳ βουλομένῳ ποιεῖν τῷ Πάπᾳ ἔξεστιν ἀντιλέγειν κατὰ τὴν ἁγιωτάτην κρίσιν τοῦ ἁγιωτάτου Αὐγουστίνου. ἀντεῖπε λοιπὸν καὶ λόγοις καὶ γράμμασιν ὁ Διονύσιος ταῖς ἐπιταγαῖς τοῦ Πάπα, διότι οὐκ οἶδεν αὐτὸν ἡγούμενον εἶναι κοινὸν καὶ κριτὴν ἐπὶ τῆς καθόλου Ἐκκλησίας. σημειωτέον δὲ καὶ τὸ τοῦ ὀνείρου πρὸς τὸν Διονύσιον, διευθύνειν ἕκαστα καὶ δοκιμάζειν ἱκανὸς εἶ, καὶ πῦ ὅτι τῷ Ῥώμης ἐμπνεῖται ἡ ἀλήθεια τῆς πίστεως; καὶ αὐτὸς μόνος δοκιμάζει τὰ τῆς πίστεως; δεύτερον, ὁ Διονύσιος τὸν ἀναβαπτισμὸν μὴ εἶναι εὔλογον βεβαιοῖ παρὰ μαρτυρίας τοῦ Ἀλεξανδρείας Ἡρακλᾶ. ἔλεγε δὲ τοὺς δεχομένους αὐτὸν ὀρθοδόξους μὴ ἀποτόμως σχίζειν καὶ φιλονεικεῖν μετ' αὐτῶν. καὶ πῶς ὅτι ὁ Ῥώμης μόνος διακρίνει ἢ βεβαιοῖ τὰ τῆς πίστεως; ἔτι ὁ Διονύσιος παρακληθεὶς ὡς ἂν ἐπὶ τὴν Σύνοδον τὴν κατὰ τοῦ Παύλου εἰς Ἀντιόχειαν ἀφίκοιτο, γῆρας ὁμοῦ καὶ ἀσθένειαν τοῦ σώματος αἰτιασάμενος, ἀνατίθεται τὴν παρουσίαν, δι' ἐπιστολῆς αὐτοῦ γνώμην ἣν εἶχε περὶ τοῦ ζητουμένου παραστήσας. Εὐσέβιος βιβλίῳ ἑβδόμῳ, κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ. καὶ πῶς οὐκ εἶπε πρὸ αὐτοῦ μετακαλέσα-

σθαι

σθαι τὸν Πάπαν; πῶς οὐκ ἤλεγξεν αὐτοὺς Σύνοδον ἀγείροντας χωρὶς γνώμης τοῦ Πάπα; πῶς ἐπιστολὴν ἔγραψε πρὸς τὴν Σύνοδον χωρὶς προσταγῆς τοῦ Πάπα; ὁ Διονύσιος ἔγραψε τέσσαρας ἀποκρίσεις εἰς Βασιλείδην Ἐπίσκοπον, αἵτινες ὡς Κανόνες ἐδέχθησαν παρὰ τῆς Ἐκκλησίας. ὁ Διονύσιος ἔλυσε τὰς δέκα ἀντιθέσεις τοῦ Σαμοσατέως Παύλου. καὶ πῶς ὁ ταῦτα γράφων ἐξ οἰκείας αὐθεντείας καὶ σοφίας καὶ τῆς θείας χάριτος, μὴ ἐρωτήσας οὔτε τὸν Ῥώμης, οὔτε ἕτερόν τινα, περί τινος ἀνθρώπου ἠρώτησε τὸν Πάπαν τῆς Ῥώμης ὡς ἀναμάρτητον αὐτοκράτορα; ὁ Διονύσιος Σύνοδον ἤθροισεν ἐξ οἰκείας αὐθεντείας, καὶ ἔκρινε τὴν αἵρεσιν τοῦ Σαβελλίου, καὶ ἔγραψε κατ' αὐτῆς. Εὐσέβιος βιβλίῳ ἑβδόμῳ, κεφαλαίῳ ἕκτῳ. καὶ πῶς οὐκ αἰσχύνονται Λατῖνοι λέγειν τὸν Πάπαν εἶναι μόνον κριτὴν τῶν αἱρέσεων; ἀλλὰ καὶ Νέπωτός τινος αἱρεσιάρχου ἀναφυέντος ἐν Αἰγύπτῳ, ὁ Διονύσιος συγκαλέσας τοὺς Πρεσβυτέρους καὶ διδασκάλους καὶ λοιποὺς βουλομένους ἀδελφοὺς, Σύνοδον ἤθροισεν αὖθις ἐξ οἰκείας αὐθεντείας, καὶ δι' αὐτῆς τὴν αἵρεσιν κρίνας, κατέκρινεν. Εὐσέβιος βιβλίῳ ἑβδόμῳ, κεφαλαίῳ εἰκοστῷ τεταρτῷ. καὶ ποῦ πάλιν ὁ Πάπας μόνος κριτὴς τῶν αἱρέσεων; οὐκ οἶδεν ἄρα ὁ Διονύσιος τὸν Πάπαν μοναρχὴν τῆς Ἐκκλησίας, οὐ δὲ ἐζήτησε παρὰ τοῦ Ξύστου βουλὴν ὡς ἀπὸ κριτοῦ, ἀλλ' ὡς ἀπὸ συναδελφοῦ. ἐκ τούτων πορίζεται καί τι ἕτερον, ὅτι οὔτε ὁ Βίκτωρ, οὔτε ὁ Στέφανος εἶχον περὶ τῆς ἐν Ῥώμῃ Ἐκκλησίας τοιαύτην δόξαν, οἵαν ἔχουσιν οἱ μετὰ τὸ σχίσμα Ῥωμαῖοι, ὡς ἐροῦμεν μεταταῦτα. οὐ κατὰ σκοπὸν ἄρα προέβη Λατίνοις καὶ τοῦτο τὸ ἐπιχείρημα.

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ ΙΖ΄. ΠΑΡΑΓΡΑΦΟΝ Β΄.

Περὶ ἐπιχειρήματος παπιστῶν ἀπὸ τοῦ μεγάλου Ἀθανασίου λέγοντος περὶ τῶν κατειπόντων Διονυσίου Ἀλεξανδρείας πρὸς τὸν Ῥώμης, καὶ ἀπὸ τῆς ἀπολογίας Διονυσίου, ἐξ ἧς συνιστῶσιν οἱ παπισταὶ τὴν μοναρχίαν τοῦ Ῥώμης, καὶ περὶ ἀπαντήσεως εἰκοσιεπτάκις ἔκτε πατέρων καὶ Συνόδων καὶ παραθέσεων ὅτι οὐκ ἔστιν ὁ Ῥώμης μοναρχὴς τῆς καθόλου Ἐκκλησίας, μήτε ὁ Διονύσιος καὶ Ἀθανάσιος ἐγίνωσκον μοναρχικὸν ἀξίωμά τι τοῦ Ῥώμης ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἀλλὰ ἡ κοινότης ἔχει τὸ μέγιστον ἀξίωμα καὶ τὸ κῦρος ὡς πάντες μαρτυροῦσι.

Φανείσης τότε τῆς αἱρέσεως τοῦ Σαβελλίου, γράφει ὁ μέγας Ἀθανάσιος, ὅτι ἔχων ὁ παρὼν Ἀλεξανδρείας Διονύσιος τὴν μέριμναν τῶν Ἐκκλησιῶν ἐκείνων, τῆς Πενταπόλεως δηλονότι, πέμπει καὶ συμβουλεύει τοῖς αἰτίοις παύσασθαι τῆς κακοδοξίας. ἔγραψε δὲ ἐκεῖ καὶ πρὸς Εὐφράτορα καὶ Ἀμμώνιον περὶ τῶν ἰδιωμάτων τῆς ἀνθρωπίνης φύσεως, ἵνα δείξῃ ἕτερον εἶναι τὸν υἱὸν τοῦ Πατρός. τινὲς ὅμως τῶν ἀπὸ τῶν ἀδελφῶν τῆς Ἐκκλησίας φρονούντων μὲν ὀρθῶς, μὴ ἐρωτήσαντες δὲ αὐτὸν ὡς μάθωσι παρ' αὐτοῦ πῶς ἔγραψεν, ἀνῆλθον εἰς Ῥώμην καὶ κατειρήκασιν αὐτοῦ παρὰ τῷ ὁμωνύμῳ αὐτοῦ Διονυσίῳ τῷ Ἐπισκόπῳ Ῥώμης, κἀκεῖνος ἀκούσας ἔγραψεν ὁμοῦ κατά τε τῶν τὰ Σαβελλίου δοξαζόντων, καὶ κατὰ τῶν φρονούντων ταῦτα. καὶ, ἀπέστειλε δὲ Διονυσίῳ δηλῶσαι περὶ ὧν κατειρήκασιν αὐτοῦ, καὶ ἀντέγραψεν εὐθὺς αὐτὸς, καὶ ἐπέγραψε τὰ βιβλία, Ἐλέγχου καὶ ἀπολογίας. ἀλλ' ἐκ τῶν ῥημάτων τούτων τοῦ Ἀθανασίου οἱ παπισταὶ βουλόμενοι συστῆσαι μοναρχίαν τῷ Πάπᾳ, λέγουσιν, ἰδοὺ τὸν Ἀλεξανδρείας ἐνεκάλεσαν εἰς τὸν Ἐπίσκοπον Ῥώμης, καὶ ἐκεῖνος ὡς μοναρχὴς τῆς Ἐκκλησίας ἔγραψεν τῷ Ἀλεξανδρείας περὶ ὧν κατειρήκασιν αὐτοῦ, καὶ ὁ Ἀλεξανδρείας ἀντιγράφων αὐτῷ, ἀπολογεῖται, αἶα. Ἀλλὰ ῥητέον πρὸς ταῦτα πρῶτον, ὅτι οὐκ ἀπῆλθον οἱ ἐγκαλοῦντες ὡς πρὸς μοναρχὴν τὸν Ῥώμης κατὰ τοῦ Ἀλεξανδρείας, ἀλλ' ὡς πρὸς Μητροπολίτην τῆς Δύσεως, καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλὰ διότι ἦν ἅγιός τε καὶ σοφός. ὅθεν ἐκεῖνος κατὰ τὸ κοινὸν ἐκκλησιαστικὸν ἔθος, τῇ μὲν αἱρέσει μαχόμενος ἔγραψε κατ' αὐτῆς καὶ τῶν περιποιουμένων αὐτὴν, τῷ δὲ Ἀλεξανδρείας ἔγραψε περὶ ὧν κατηγόρουν αὐτοῦ, οὐ καλῶν εἰς κρίσιν, οὐ μεγαλορρημονῶν, ἀλλ' εἰς εἴδησιν πρὸς διόρθωσιν ἀδελφικήν. ὅθεν ὁ Ἀλεξανδρείας ἐλέγχων τὴν αἵρεσιν, ἔγραψε τῶν πρώην γεγραμμένων αὐτῷ πλατύτερον, καὶ δὴ καὶ ἀπολογούμενος ὅτι καλῶς ἐφρόνει, καὶ οὐ καθώς τινες κατειρήκασιν αὐτοῦ. ὅτι δὲ ἐν τῇ Ἐκκλησίᾳ ἐγκαλεῖ τις τὸν νομιζόμενον αἱρετικὸν καὶ πρὸς μείζονα καὶ πρὸς ἴσον, καὶ ἐλέγχει καὶ ὁ μείζων καὶ ὁ ἴσος καὶ ὁ ἐλάττων, καὶ ἀπολογεῖταί τις οὐ πρὸς μείζονα, ἀλλὰ καὶ πρὸς ἴσον καὶ πρὸς ἐλάττονα, εἴρηται καὶ ῥηθήσεται ἐν ταύτῃ τῇ συγγραφῇ πολλάκις. ῥητέον δεύτερον, ὅτι καὶ ἐκ τούτου καὶ ἐκ τῶν ἀνωτέρω Παραγράφων λαμπρῶς δείκνυται μὴ εἰδέναι τὸν Ἀλεξανδρείας Διονύσιον μοναρχικὸν ἀξίωμα ἐν τῇ Ῥώμῃ. τρίτον, ὅτι μήτε ὁ ταῦτα ἱστορῶν μέγας Ἀθανάσιος ἐνόμιζεν εἶναι ἀξίωμά τι μοναρχικὸν ἐν τῇ Ῥώμῃ, καὶ δῆλον, πρῶτον, ὅτι ἐν Τύρῳ καὶ Μαρεώτῃ κρινόμενος ὅτι ἐφόνευσε τὸν Ἀρσένιον, ὅτι συνέτριψεν ἅγιον ποτήριον, καὶ περὶ ἄλλων, καὶ δὴ καὶ καθαιρούμενος, εἰς μὲν τὸν μέγαν Κωνσταντῖνον κατέφυγε διαφόρως ἀπολογούμενος, οὐδέποτε δὲ ἐμνή-

ἐμνήσθη τοῦ Ῥώμης, ἢ τῆς Ἐκκλήτου αὐτοῦ. δεύτερον, ὑπὸ Κωνσταντίνου ἐξωρισθεὶς εἰς Τρίβεριν, καὶ διαμείνας ἐκεῖ τοσαῦτα ἔτη, οὐδέποτε ἐπεκαλέσατο τὴν Ἐκκλησίαν Ῥωμαίων, ἢ τὴν Ἔκκλητον τοῦ Ῥώμης. τρίτον, θανόντος τοῦ μεγάλου Κωνσταντίνου, οἱ υἱοὶ αὐτοῦ ἀνεκαλέσαντο τὸν ἅγιον τῆς ἐξορίας, καὶ τὸν θρόνον αὐτοῦ ἀποδεδώκασιν αὐτῷ, οὐχ ὁ Ῥώμης. καὶ ἰδὲ κατωτέρω βιβλίου δευτέρου, κεφάλαιον πέμπτον. τέταρτον, τὰ αὐτὰ μαρτυρεῖ καὶ ὅσα συνέβη αὐτῷ καὶ ἐπὶ Κωνσταντίου ἀπὸ μαρτυρίας Σωκράτους, Ἑρμείου, Θεοδωρίτου καὶ αὐτοῦ Ἀθανασίου, καὶ ἰδὲ κατωτέρω τὸν εἰρημένον τόπον. πέμπτον, ὅτι αὐτὸς ὁ Ἀθανάσιος ἐν τῇ συνοδικῇ αὐτοῦ ἐπιστολῇ πρὸς τοὺς κατ' Αἴγυπτον, καὶ Συρίαν, καὶ Κιλικίαν, καὶ Φοινίκην, καὶ Ἀραβίαν ὀρθοδόξους Ἐπισκόπους λέγει, ἀλλ' ὅμως ἔτι καὶ ἐν τοῖς πλείστοις τῶν λαῶν διαμένει τὸ τῆς ἀποστολικῆς πίστεως ἀγαθὸν, καὶ αὐτοῖς πλείστοις τῶν Ἐπισκόπων. ἰδοὺ λοιπὸν κατὰ τὸν Ἀθανάσιον ἡ πίστις ἐκ τῶν πολλῶν βεβαιοῦται καὶ οὐκ ἀπὸ τοῦ Ῥώμης. ἕκτον, ὅτι ὁ αὐτὸς ἐν τῇ πρὸς τοὺς Ἀντιοχεῖς συνοδικῇ ἐπιστολῇ νομοθετεῖ τοὺς ἀναθεματίζοντας τὴν Ἀρειανικὴν αἵρεσιν, δεχομένους δὲ τὴν ἐν Νικαίᾳ πίστιν, δέχεσθαι εἰς κοινωνίαν, καὶ μηδὲν πλέον ἀπαιτεῖν, ἥντινα γνώμην ἀποδέχεται καὶ ὁ μέγας Βασίλειος, καὶ ἰδοὺ πολλοὶ κανονίζουσιν ἐν τῇ Ἐκκλησίᾳ, ὥστε καὶ πολλαὶ ἐν αὐτῇ κεφαλαὶ, ὡς αὐτὸς ὁ Ἀθανάσιος κατωτέρω ἐρεῖ, καὶ πολλοὶ ἰσότιμοι ἡγεμόνες ὑφ' ἕνα ἀγόμενοι καθηγεμόνα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐν ᾗ Συνόδῳ Ἀστέριος Πετραίας Ἀραβίας Ἐπίσκοπος μέγαστις εἶναι δοκεῖ, καὶ ἰδὲ τὸν τόπον. ἕβδομον, ὅτι αὐτὸς γράφει Ἐπικτήτῳ, ὡς Σύνοδοι γεγόνασιν ἐν Γαλλίᾳ καὶ Ἱσπανίᾳ καὶ Ῥώμῃ πρὸς βεβαίωσιν τῆς ἐν Νικαίᾳ Συνόδου. καὶ λοιπὸν τὸ κῦρος τῶν ὁριζομένων ἐν τῇ Ἐκκλησίᾳ τῶν Συνόδων ἐστὶ καὶ οὐ τοῦ Πάπα. ἡ ἐσχάτη βεβαίωσις τῶν Συνόδων ἐστὶ καὶ οὐ τοῦ Πάπα. παρὰ τῶν πολλῶν βεβαιοῦται ἡ ἀλήθεια καὶ οὐκ ἐξ ἑνός. συναριθμεῖται ἡ Ῥώμη, καὶ μάλιστα ὑπαριθμεῖται Γαλλίας καὶ Ἱσπανίας. ὄγδοον, ἐν τῇ αὐτῇ πρὸς Ἐπίκτητον ἐπιστολῇ ἔκρινε καὶ κατέκρινε τὴν αἵρεσιν τοῦ Ἀπολιναρίου πρῶτος, ὡς μαρτυρεῖ ὁ Ἐπιφάνιος αἱρέσει ἑβδομηκοστῇ ἑβδόμῃ; καὶ πῦ λοιπὸν τὸ ἀξίωμα τῶν ἀνόμων, ὅτι ὁ Πάπας δηλαδὴ κρίνει τὰς αἱρέσεις; ἔνατον, ἐν ταύτῳ λέγει, οὐκ ἔστι ταῦτα τῆς καθολικῆς Ἐκκλησίας, οὔτε οἱ Πατέρες ἐφρόνησαν. καὶ σημείωσαι ὅτι οὐκ ἔστιν ἡ Ῥώμη ἡ καθολικὴ Ἐκκλησία, καὶ οὐδὲ μνήμη τοῦ Πάπα ἰδίως ἐν τοῖς τοιούτοις. δέκατον, ὁ αὐτὸς λέγει τῷ Βασιλεῖ Κωνσταντίῳ ἐν τῇ πρὸς αὐτὸν ἀπολογίᾳ, ὅτι Ἐπίσκοποι τινὲς ἀνελθόντες (πρὸς τὸν Βασιλέα τῆς Δύσεως Κώνσταντα) ἠξίωσαν αὐτὸν γράψαι τῇ σῇ εὐλαβείᾳ, ὥστε Σύνοδον γενέσθαι, καὶ πῦ λοιπὸν τὸ τὸν Πάπαν τὰς Συνόδους ἀθροίζειν; ἰδοὺ γὰρ καὶ διὰ πρεσβείας τινῶν Ἐπισκόπων ἡ ἐν Σαρδικῇ Σύνοδος παρὰ τῶν Βασιλέων ἠθροίσθη. ἑνδέκατον, ὁ αὐτὸς τῷ αὐτῷ, οἱ ἀμαθεῖς παρὰ τῶν Πατέρων μαθέτωσαν, ἀναγνώτωσαν δὲ καὶ γραφὰς, μᾶλλον δὲ παρὰ σοῦ μαθέτωσαν ὡς Ἰησοῦς καὶ Ζοροβάβελ. καὶ δὴ οὐ παρὰ τοῦ Πάπα ἡ πίστις, ἀλλὰ παρὰ τῶν Πατέρων καὶ τῆς γραφῆς. ἰδοὺ ὁ Βασιλεὺς Κωνσταντίος ὡς ὁ μέγας Ἀρχιερεὺς Ἰησοῦς, καὶ ὡς Ζοροβάβελ διδάσκαλος, καὶ πῦ ἡ τῶν παπιστῶν φλυαρία, τοὺς Βασιλεῖς μὴ ἔχειν τόπον ἐν ταῖς Συνόδοις λεγόντων; ἰδοὺ γὰρ ὁ μέγας Ἀθανάσιος συμφώνως ταῖς Οἰκουμενικαῖς Συνόδοις τὸν Βασιλέα λέγει καὶ Βασιλέα καὶ Ἀρχιερέα. δειξάτωσαν δὲ οἱ ἀσύνετοι παπισταὶ τίνες τῶν ἐγκρίτων Πατέρων καὶ τῶν ἁγίων Οἰκουμενικῶν Συνόδων εἶπον τὸν Πάπαν Βασιλέα, καὶ Ἀρχιερέα; δωδέκατον, ὁ αὐτὸς ἐν τῷ πρὸς τοὺς ὀνειδίζοντας τὴν ἑαυτοῦ φυγὴν λέγει, ἐπειδὴ δὲ ἄλλοις τοσούτοις καὶ τηλικούτοις Ἐπισκόποις, καὶ οὔτε τοῦ μεγάλου καὶ ὁμολογητοῦ Ὁσίου, οὔτε τοῦ Ἐπισκόπου Ῥώμης, οὔτε τοσούτων ἀπὸ τῶν Ἱσπανῶν καὶ Γαλλιῶν καὶ τῆς Αἰγύπτου καὶ Λιβύης καὶ τῶν ἄλλων μερῶν Ἐπισκόπων ἐφείσαντο. καὶ ἰδοὺ δὴ ὁ Ἐπίσκοπος Ὅσιος λέγεται μέγας, ὁ δὲ Πάπας μόνον Ἐπίσκοπος, ἰδοὺ οἱ ἁπλῶς Ἐπίσκοποι τῷ τῆς Ῥώμης Πάπᾳ συναριθμοῦνται, καὶ λέγονται ὁμοῦ οἱ πάντες τηλικοῦτοι, ἰδοὺ ὁ Κουδρουβῆς Ὅσιος προτάττεται τοῦ Ῥώμης Λιβερίου, καὶ πῦ τὸ ἄκρον μεγαλεῖον τοῦ Πάπα; δέκατον τρίτον, ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ γράφει, ἡ ἁγία Σύνοδος ἡ ἐν Ἀλεξανδείᾳ συναχθεῖσα ἀπό τε τῆς Αἰγύπτου καὶ Θηβαΐδος καὶ Λιβύης καὶ Πενταπόλεως τοῖς ἁπανταχοῦ καθολικοῖς Ἐπισκόποις, καὶ πρὸς Ἰούλιον Ῥώμης. καὶ λοιπὸν ἰδοὺ ἡ τῶν ἑκατὸν Ἐπισκόπων Σύνοδος οὐ πρὸς μόνον τὸν Ῥώμης γράφει, καίτοι μόνου τοῦ Ῥώμης Πατριάρχου ὄντος τότε ὀρθοδόξου, ἀλλὰ καὶ πρὸς πάντας τοὺς τῆς καθολικῆς Ἐκκλησίας Ἐπισκόπους, ὥστε ἄλλη ἡ Ἐκκλησία Ἰουλίου ἡ Ῥώμη, καὶ ἄλλη ἡ καθολικὴ Ἐκκλησία ἐστὶ, καὶ οὐ μόνος ὁ Ῥώμης, ἀλλὰ πολλοὶ κρίνουσι καὶ βεβαιοῦσιν. ἰδοὺ γὰρ ὥσπερ τὸν Ῥώμης, οὕτω καὶ πάντας τοὺς Ἐπισκόπους καλεῖ ἡ Σύνοδος πρὸς κρίσιν τῶν Ἀρειανῶν διὰ τὴν συμπάθειαν καὶ ὁμοψυχίαν, οἷον ἔγραφε καὶ ὁ Ἀλεξανδρείας Ἀλέξανδρος ἐν τῇ πρώτῃ ἐγκυκλίῳ αὐτοῦ ἐπιστολῇ κατὰ Ἀρείου, τὸ συμπάσχειν ἀλλήλοις τὰ μέλη προβάλλων, καθ' ὃν τρόπον κατειρήκασι καὶ τοῦ Ἀλεξανδρείας πρὸς τὸν Ῥώμης. δέκατον τέταρτον, ὁ αὐτὸς μετὰ τὴν καταγραφὴν τῆς ἐπιστολῆς Ἰουλίου ἐν τῇ ἀπολογίᾳ λέγει, ταῦτα τῆς ἐν Ῥώμῃ Συνόδου γραψάσης διὰ Ἰουλίου τοῦ Ἐπισκόπου Ῥώμης, ἐπειδὴ πάλιν ἠναισχύντουν οἱ περὶ Εὐσέβιον, τάς τε Ἐκκλησίας ἐτάραττον, καὶ πολλοῖς ἐπεβούλευον, μαθόντες

θόντες οἱ θεοφιλέστατοι Βασιλεῖς Κωνσταντίος καὶ Κώνστας, ἐκέλευσαν τοὺς ἀπὸ τῆς Δύσεως καὶ τῆς Ἀνατολῆς Ἐπισκόπους συνελθεῖν εἰς τὴν πόλιν Σαρδῶ. καὶ ἰδοὺ λοιπὸν ἡ ἐν Ῥώμῃ Τοπικὴ Σύνοδος προτάττεται τοῦ Πάπα, πόσῳ δὲ μᾶλλον ἡ Οἰκουμενική; ἰδοὺ τῆς ἐν Ῥώμῃ Συνόδου, ἧς ἐξῆρχεν ὁ Πάπας μηδὲν δυνηθείσης, μείζων Σύνοδος συγκροτεῖται οὐχ ὑπὸ τοῦ Πάπα, ἀλλ' ὑπὸ τῶν Βασιλέων, ὥστε οὐκ ἀγείρει τὰς Συνόδους ὁ Πάπας, οὐκ ἔστιν ἐπὶ τῶν Συνόδων, ἀνακρίνεται ὁ Πάπας καὶ ἡ Σύνοδος αὐτοῦ ὑπὸ τῆς ἐν Σαρδικῇ, καὶ ἰδὲ τὸν τόπον. δέκατον πέμπτον, ὁ αὐτὸς μετὰ τὴν καταγραφὴν τῆς δευτέρας ἐπιστολῆς τῆς ἐν Σαρδικῇ Συνόδου ἐν τῇ ἀπολογίᾳ φησὶ, ταῦτα γράψασα ἡ ἐν Σαρδικῇ Σύνοδος, ἀπέστειλε καὶ πρὸς τοὺς μὴ δυνηθέντας ἀπαντῆσαι, καὶ γεγόνασι καὶ αὐτοὶ σύμψηφοι τοῖς κριθεῖσι. καὶ λοιπὸν ἰδοὺ οἱ πολλοὶ Ἐπίσκοποι βεβαιοῦσι τὴν Σύνοδον, καὶ πῦ τὸ ἐνύπνιον τῶν παπιστῶν, ὅτι ὁ Πάπας δηλαδὴ ἐπὶ τῶν συνόδων; εἰ τὴν ἐν Σαρδικῇ ἐβεβαίωσεν ὁ Πάπας Ἰούλιος, πῶς Ἐπίσκοποι, καὶ μάλιστα τινὲς ἐπιβεβαιοῦσι τοῦ Πάπα τὴν ἀπόφασιν καὶ βεβαίωσιν; δέκατον ἕκτον, ὁ αὐτὸς λέγει, ὅτι μετὰ τὴν Σύνοδον ὄντος αὐτοῦ εἰς τὴν Ἀκυληΐαν, ὁ Κωνσταντίος διὰ γραμμάτων μετεπέμψατο αὐτὸν, οὗ ἀνελθόντος εἰς Ῥώμην συντάξασθαι τῇ Ἐκκλησίᾳ καὶ τῷ Ἐπισκόπῳ, ὁ Ἰούλιος ἔγραψε συγχαίρων Αἰγυπτίοις. καὶ λοιπὸν οὐκ ἀνῆλθεν εἰς Ῥώμην διὰ μόνον τὸν Ἰούλιον, μάλιστα δὲ διὰ τὴν Ἐκκλησίαν, ἤτοι διὰ τὴν κοινότητα. ὁ Κωνσταντίος ἔκραξε τὸν Ἀθανάσιον, οὐχ ὁ Ἰούλιος ἔπεμψεν. ὁ Ἰούλιος οὐκ ἔγραψε προστακτικῶς, ἀλλὰ συγχαίρων, οἷον ἔγραψε καὶ ὁ Ἱεροσολύμων Μάξιμος· οὐδὲ γὰρ ἐγίνωσκεν ὁ Ἰούλιος τὸ τήμερον ἤδη ἀντιχριστιανικὸν τῆς Ῥώμης ἀξίωμα. δέκατον ἕβδομον, ὁ Κωνσταντίος ἔγραψεν ὑπὲρ Ἀθανασίου πρεσβυτέροις καὶ λαοῖς, ὅτι ἀπέλαβεν (ὁ Ἀθανάσιος) τὸν θρόνον βουλήσει τοῦ κρείττονος καὶ κρίσει ἡμετέρᾳ, καὶ πῦ λοιπὸν ὅτι ὁ Πάπας ἐπὶ τῶν Βασιλέων; πῦ τὸ τὸν Πάπαν ἀποκαθιστάνειν τοὺς Πατριάρχας; οὗ τινος οὔτε καὶ μνήμη γίνεται ἐν τοῖς τοιούτοις μεγάλοις πράγμασιν. δέκατον ὄγδοον, ὁ αὐτὸς ἀπελθὼν εἰς τὸν Βασιλέα ἐν τῇ Ἀνατολῇ ὄντα, εἶτα δὲ εἰς Αἴγυπτον ἀπερχόμενος, ἀνῆλθε διὰ τῆς Συρίας εἰς τὴν Ἱερουσαλήμ. ὁ δὲ Ἱεροσολύμων Μάξιμος Σύνοδον συναθροίσας, ἔγραψεν εἰς Αἰγυπτίους καὶ Λιβύους ἐπιστολὴν συνοδικὴν συστατικὴν αὐτοῦ. ὥσπερ δὲ οὐκ ἔδωκε τῷ Ἱεροσολύμων ἡ τοιαύτη ἐπιστολὴ ἰδικὸν ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ, οὕτως οὐδὲ τῷ Ῥώμης ἡ ὑπὲρ Ἀθανασίου καὶ Παύλου Κωνσταντινουπόλεως ἐπιστολὴ δίδωσί τι ἀξίωμα ἰδικὸν ἐν τῇ Ἐκκλησίᾳ. δέκατον ἔνατον, λέγει ἡ ἐν Ἱεροσολύμοις αὕτη Σύνοδος ἐν τῇ αὐτῇ τοῖς Αἰγυπτίοις, οἱ Βασιλεῖς γνόντες τὸν πόθον ὑμῶν τὸν περὶ αὐτὸν καὶ τὴν αὐτοῦ καθαρότητα, ἀποκαταστῆσαι αὐτὸν ὑμῖν μετὰ πάσης τιμῆς κατηξίωσαν. καὶ λοιπὸν ἰδοὺ οἱ Βασιλεῖς ἀποκαθιστῶσι τὸν Ἀθανάσιον, οὐδὲ μία δὲ μνήμη τοῦ Πάπα, καὶ πῦ τὸ φυσημάτιον τῶν παπιστῶν τὸν Πάπαν ἄρχοντα τῆς Ἐκκλησίας διαφημιζόντων; ὅπουγε οὐδὲ συνάρχων ἀναφαίνεται. εἰκοστὸν, ὁ αὐτός φησι, Πέτρος τὸν Μελίτιον ἐν κοινῇ Συνόδῳ τῶν Ἐπισκόπων καθεῖλεν, ἀλλὰ Μελίτιος πρὸς ἑτέραν Σύνοδον οὐ κατέφυγεν, οὐδὲ ἐσπούδασεν ἀπολογήσασθαι αὐτοῖς διὰ ταῦτα, καὶ λοιπὸν ἰδοὺ οὐ λέγει ὅτι οὐκ ἐσπούδασεν εἰς τὸν Ῥώμης ἀπολογήσασθαι, ἀλλ' εἰς ἑτέραν Σύνοδον μείζονα, ἐκείνης δηλονότι ἣ καθεῖλεν αὐτόν. εἰκοστὸν πρῶτον, περὶ τῶν ὑπὸ Κωνσταντίου ἐξορισθέντων Ἐπισκόπων φησὶν ὁ ἅγιος, πάντα παθεῖν ὑπέμειναν νῦν, ἢ λυομένας ἰδεῖν τὰς τοσούτων ὑπὲρ Ἀθανασίου Ἐπισκόπων κρίσεις, οἳ ἦσαν κεφαλαὶ τοσούτων Ἐκκλησιῶν. καὶ σημείωσαι, ὅτι οὐχ ὁ Πάπας, ἀλλὰ πολλοὶ Ἐπίσκοποι κεφαλαὶ καὶ ἔγκριτοι τῶν Ἐκκλησιῶν. καὶ ὡς ὁ Πάπας ἐν τῇ Ῥώμῃ, οὕτως ἕκαστος τῶν Ἐπισκόπων ἐν τῇ ἰδίᾳ Ἐπαρχίᾳ. εἰκοστὸν δεύτερον, ὁ αὐτὸς γράφων πρὸς τοὺς τὸν μονήρη βίον ἀσκουῦντας λέγει, ὅτι ὁ Ῥώμης Λιβέριος διαλεγόμενος τῷ Βασιλεῖ Κωνσταντίῳ, περὶ αὐτοῦ ἔλεγε, γενέσθω Σύνοδος Ἐκκλησιαστικὴ μακρὰν τοῦ παλατίου. καὶ λοιπὸν ἰδοὺ καὶ ὁ Πάπας πρὸς διάκρισιν τῶν πραγμάτων Σύνοδον αἰτεῖται παρὰ τοῦ Βασιλέως, ὅθεν οὔτε ὁ Πάπας Λιβέριος ἐγίνωσκε τὴν παροῦσαν ἀντιχριστιανικὴν μοναρχίαν τοῦ Ῥώμης. εἰκοστὸν τρίτον, ὁ αὐτός φησιν ἐν ταὐτῷ, ὅτι ὁ Λιβέριος ἐξορισθεὶς, μετὰ διετῆ χρόνον ὤκλασε, καὶ φοβηθεὶς τὸν ἀπειλούμενον θάνατον, ὑπέγραψεν εἰς τὸν Ἀρειανισμόν. καὶ σημείωσαι, ὅτι ὁ Λιβέριος Πάπας Ῥώμης ἐγένετο Ἀρειανός. οὐ λέγει ὅτι ὑπέγραψεν ἐξηγηματικῶς ὡς σοφιστεύονται οἱ παπισταὶ, ἀλλ' ὅτι ὑπέγραψε, τουτέστιν ἀληθῶς. εἰκοστὸν τέταρτον, ἐν ταὐτῷ ὁ αὐτὸς, ὅτι οἱ Ἀρειανοὶ ἔλεγον Κωνσταντίῳ, πάντα πεποιήκαμεν, ἐξωρίσαμεν τὸν Ῥώμης Ἐπίσκοπον, ἐξορίσαμεν καὶ πρὸ αὐτοῦ πλείους ὅσους Ἐπισκόπους, ἀλλ' εἰς οὐδὲν ἡμῖν ἐστι τὰ τηλικαῦτά σου ἔργα, οὐδὲν κατώρθωται ὁτιοῦν ἡμῖν, ἕως οὗ ὁ Ὅσιος περιλείπεται. καὶ σημείωσαι, ὅτι μεῖζον εἶχεν ὄνομα καὶ φήμην καὶ δόξαν ὁ Κουδρούβης Ἐπίσκοπος τοῦ Πάπα, ὃν ἐν ταὐτῷ μέγαν καὶ πατέρα τῶν Ἐπισκόπων εἶπεν ὁ ἅγιος. καὶ πῦ λοιπὸν τοῦ Ῥώμης τὸ ἄκρον ἀξίωμα; καὶ τὸ Ἐπίσκοπος τῶν Ἐπισκόπων; καὶ ἐκεῖνο τὸ ἐν τῷ ὅρῳ τῆς Φλωρεντείας παγκάκιστον, ὅτι ὁ Πάπας μόνος κοινὸς πατὴρ πάντων τῶν Χριστιανῶν; εἰκοστὸν πέμπτον, ἐν ταὐτῷ, ὅτι ὁ Ὅσιος ἔλεγε τῷ Κωνσταντίῳ, σοὶ Βασιλείαν ὁ Θεὸς ἐνεχείρισεν, ἡμῖν τὰ τῆς Ἐκκλησίας ἐπίστευσε. καὶ ὥσπερ ὁ τὴν σὴν ἀρχὴν ὑποκλέπτων, ἀντιλέγει τῷ διαταξαμένῳ Θεῷ, οὕτω φοβήθητι μὴ καὶ σὺ τὰ τῆς Ἐκκλησίας εἰς ἑαυτὸν ἕλκων, ὑπόδικος ἐγκλήματι μεγάλῳ γένῃ. ἀπόδοτε γάρ φησι τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. καὶ σημείωσαι, ὅτι

ὅτι ἄλλα τὰ τῆς Βασιλείας, καὶ ἄλλα τὰ τῆς Ἐκκλησίας, καὶ ὅτι ὁ Πάπας ὁ κλέπτων τὰς βασιλικὰς ἀρχὰς, ἀντιλέγει τῷ Διαταξαμένῳ ταύτας Θεῷ. σημείωσαι δεύτερον, ὅτι ὁ Ὅσιος οὐκ εἶπεν ὅτι τὰ τῆς Ἐκκλησίας ἐπίστευσεν ὁ Θεὸς τῷ Πάπᾳ ἢ μόνῳ ἢ ἀμέσως, ἀλλὰ κοινῶς καὶ ἀμέσως ἡμῖν, ἤτοι τοῖς Ἐπισκόποις. εἰκοστὸν ἕκτον, ὁ αὐτὸς λέγει ἐν τῷ αὐτῷ, εἶτα βλέποντες (οἱ Ἀρειανοὶ) τὴν πρὸς τὸν Ἀθανάσιον τῶν Ἐπισκόπων συμφωνίαν καὶ εἰρήνην, πλείους γὰρ ἦσαν τῶν τετρακοσίων. Ὁ αὐτὸς γράφει, ὅτι οἱ ἀπ' Αἰγύπτου καὶ Λιβύης ἐννενήκοντα Ἐπίσκοποι ἔγραψαν πρὸς τοὺς ἐν Ἀφρικῇ Ἐπισκόπους ταῦτα, ἐπειδὴ ἱκανὰ τὰ γραφέντα παρὰ Δαμάσου καὶ τῶν σὺν αὐτῷ τοσούτων συνελθόντων Ἐπισκόπων, οὐδὲν δὲ ἧττον καὶ τὰ τῶν ἄλλων γενομένων Συνόδων ἔν τε Γαλλίᾳ καὶ Ἰταλίᾳ περὶ τῆς ὑγιαινούσης πίστεως, ἣν οἱ Ἀπόστολοι ἐδίδαξαν, καὶ οἱ ἐν Νικαίᾳ παρέδωκαν, ταύτῃ πᾶσα ἡ οἰκουμένη συμπεφώνηκε, καὶ νῦν μὲν πολλῶν Συνόδων γενομένων ὑπομνησθέντες πάντες οἵ τε κατὰ τὴν Δαλματίαν καὶ Δαρδανίαν καὶ Μακεδονίαν, Ἠπείρους τε καὶ Ἑλλάδα καὶ Κρήτην καὶ τὰς ἄλλας Νήσους. Σικελίαν τε καὶ Κύπρον καὶ Παμφυλίαν, Λυκίαν τε καὶ Ἰσαυρίαν καὶ πᾶσαν Αἴγυπτον, καὶ τὰς Λιβύας, καὶ πλείστας τῶν ἐν Ἀραβίᾳ ταῦτα ὑπέγραψαν. Ὁ αὐτὸς ἐν τῇ ἐγκυκλίῳ ἐν Λιβύῃ ἐπιστολῇ πρὸς σύστασιν πίστεως καταλέγει τοὺς ἁπανταχοῦ ἐγκρίτους τῶν Ἐπισκόπων, λέγει γὰρ κατ' ὄνομα τούσδε, Μαξιμίνου Γαλλίας, Φιλογονίου καὶ Εὐσταθίου Ἀνατολῆς, Ἰουλίου καὶ Λιβερίου Ῥώμης, Κυριακοῦ Μυσίας, Πόστου καὶ Ἀριστάιου Ἑλλάδος, Σιλβέστρου καὶ Πρωτογένους Δακίας, Κικιλιανοῦ Ἀφρικῆς, Εὐστοργίου Ἰταλίας, Κεστίτου Σικελίας, Μακαρίου Ἱεροσολύμων, Ἀλεξάνδρου Κωνσταντινουπόλεως, Πεδέρωτος Ἡρακλείας, καὶ τῶν μεγάλων, Βασιλείου, Μελετίου, καὶ Λογγιανοῦ, (Ἀσκάλωνος) Ἀμφίονος Κιλικίας, Ἰακώβου Ἐμέσης, Ἀλεξάνδρου καὶ τῶν ὁμοδόξων. καὶ λοιπὸν ἰδοὺ ὁ μέγας Ἀθανάσιος οὐκ ἀπὸ μόνης τῆς Ῥωμαϊκῆς, ἢ ἄλλης μερικῆς Ἐκκλησίας, ἢ ἀπὸ τοῦ Πάπα συνίστησι τὴν ὀρθόδοξον πίστιν, ἀλλ' ἀπὸ τῆς κοινότητος πασῶν τῶν Ἐκκλησιῶν, καὶ πῶς ὅτι ὁ Ῥώμης κατ' ἐξοχὴν τῆς Ἐκκλησίας Διδάσκαλος; ἢ κατὰ μοναρχικὸν ἀξίωμα κεφαλὴ πασῶν τῶν Ἐκκλησιῶν; ἢ μόνος τῆς γραφῆς ἐξηγητὴς ἀναμάρτητος; ἢ αὐτοκράτωρ ἐν τῇ Ἐκκλησίᾳ; ἰδοὺ ἀπὸ ποίων βεβαιοῦσθαι διατάττεται τὴν πίστιν, καὶ τοὺς Πάπας Ῥώμης οὐ μόνον οὐ προτιμᾷ, ἀλλὰ καὶ ὑπαριθμεῖ, καὶ τοὺς μὲν Πάπας οὐ λέγει μεγάλους, ἀλλὰ Βασίλειον, Μελέτιον, καὶ Λογγιανόν. καὶ οὕτω κἀντεῦθεν καταστρέφεται ἡ τραγελαφικὴ μοναρχία τοῦ ἀρχιτυράννου Πάπα. εἰκοστὸν ἕβδομον, ἔτι ὁ μέγας Ἀθανάσιος λέγει τὸν Ῥώμης Φίληκα Αἱρετικὸν, καὶ παρὰ δύο τινῶν ἐν οἴκῳ χειροτονηθέντα, ἀλλὰ καὶ ὁ συλλέξας τὸν βίον αὐτοῦ γράφει, ἡ τῶν Αἱρετικῶν μανία ἀντὶ Λιβερίου Φίληκά τινα καθίστησι τῆς Ἐκκλησίας Ῥωμαίων Ἐπίσκοπον, ὃν παραχρῆμα ποινὴ θεήλατος ἐξήτησε, νῦν μὲν γὰρ τῆς ὄψεως ἀποστερηθεὶς, ἐξωμολογεῖτο τὴν θείαν δίκην εἰκότως αὐτὸν μετελθεῖν, νῦν δὲ λοιμικῇ νόσῳ ἐπὶ χρόνῳ διαφθαρεὶς, ἀπέθανε. καὶ ἰδοὺ σὺν τῷ Λιβερίῳ καὶ ἕτερος Πάπας Ῥώμης ὑπὸ Αἱρετικῶν προβεβλημένος καὶ κεχειροτονημένος, καὶ ὅλως Αἱρετικὸς, καὶ ὀργῇ Θεοῦ τοῦ βίου ἐξελθών. φανερὸν οὖν καὶ ἐκ τούτων, ὅτι οὔτε Διονύσιος οὔτε Ἀθανάσιος οἱ Ἀλεξανδρείας Ἐπίσκοποι, οὔτε Διονύσιος καὶ Λιβέριος οἱ Πάπαι ἐγίνωσκον ἐν τῇ Ῥώμῃ μοναρχικὸν ἀξίωμα, ἀλλὰ τὸ μέγιστον ἀξίωμα μαρτυροῦσιν εἶναι τῆς κοινότητος καθὼς ὁ Κύριος ἐπηγγείλατο.

ΒΙΒΛΙΟΝ Α'. ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τοῦ ἐπὶ Βαλεριανοῦ διωγμοῦ τῆς Ἐκκλησίας, καὶ ἐπὶ τῆς Βασιλείας τοῦ υἱοῦ αὐτοῦ Γαληΐνου κοινῆς εἰρήνης ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ.

Μετὰ τὸν Δεκίου θάνατον, ἐγένετο εἰρήνη εἰς τοὺς ὀρθοδόξους πανταχοῦ, καὶ ἐπανηγύριζεν ἁπανταχῇ ἡ εὐσέβεια, ἕως οὗ ἐγένετο Αὐτοκράτωρ ὁ Βαλεριανὸς, περὶ οὗ σημειοῖ ὁ Ἀλεξανδρείας Διονύσιος, ὅτι οὐδεὶς τῶν πρὸ αὐτοῦ Αὐτοκρατόρων εἶχε τόσην εὐλάβειαν καὶ ἀγάπην εἰς τοὺς Χριστιανοὺς ὥσπερ αὐτὸς, ὅτι καὶ πολλὰ περιεποιεῖτο αὐτοὺς, καὶ πλῆρες ἦν ἀπὸ Χριστιανῶν τὸ Παλάτιον αὐτοῦ. ἀλλά τις ἀρχιμάγος Αἰγύπτιος ἔπεισεν αὐτὸν ἵνα σφάξῃ ἀνθρώπους, καὶ ἄλλα εἴδη μαγείας ποιήσῃ, καὶ κινήσῃ καὶ διωγμὸν κατὰ τῶν Χριστιανῶν ἐὰν θέλῃ ἵνα βασιλεύῃ πολὺν καιρόν. Διατοῦτο κατὰ τὴν Ἀποκάλυψιν τοῦ Ἰωάννου ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλάσφημα, καὶ ἐποίησε μετὰ Νέρωνα ὄγδοον διωγμὸν, περὶ οὗ ἀνάγνωθι αὐτὸν τὸν Διονύσιον παρ' Εὐσεβίῳ, βιβλίῳ ἑβδόμῳ, κεφαλαίῳ δεκάτῳ ἵνα κλαύσῃς μετὰ κλαιόντων καὶ τυραννουμένων Χριστιανῶν,

καὶ

καὶ χαρῆς μετ' αὐτῶν ἀξιουμένων συμβασιλεύειν μετὰ Χριστοῦ. συμπάχομεν γάρ φησιν ὁ μακάριος Παῦλος ἵνα καὶ συνδοξασθῶμεν. ἀλλ' ἔφθασεν αὐτὸν ἡ θεία ἀγανάκτησις, καὶ συνελήφθη αἰχμάλωτος ὑπὸ τῶν Περσῶν, πολεμῶν μετ' αὐτῶν. τόσον δὲ ὁ Θεὸς ἐπαίδευσεν αὐτὸν, ὥστε Πάκορος ὁ Βασιλεὺς τῶν Περσῶν ὅτε ἐνίππευεν, εἶχεν αὐτὸν ἀντὶ ὑποποδίου ἵνα πατῇ καὶ ἐνιππεύῃ. ὁ υἱὸς αὐτοῦ ὅμως Γαλῆνος ἔγραψε ῥητῶς εἰς τὸν Ἀλεξανδρείας καὶ Ἀντιοχείας, καὶ ἄλλους, καὶ ἐθέσπισε κοινὴν εἰρήνην εἰς τὴν τοῦ Χριστοῦ ἁγίαν Ἐκκλησίαν. καὶ εἰ καὶ ὁ Μακρῖνος ἐπεβουλεύθη τὸν Γαλῆνον, ἀλλ' ἐσβέσθη ἡ ἀνταρσία αὐτοῦ εὐθὺς, καὶ ἔμεινε πάλιν ὁ Γαλῆνος αὐταρχῶν, ὥσπερ ἄλλος Ἥλιος βραβεύων τὴν εἰρήνην εἰς τὴν καθολικὴν τοῦ Χριστοῦ Ἐκκλησίαν.

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ ΙΗ΄. ΠΑΡΑΓΡΑΦΟΝ Β΄.

Περὶ ἐρημώσεως τῆν μικρᾶς Ἀσίας ὑπὸ τῶν Σκυθῶν, καὶ ἐμπρησμοῦ τοῦ ναοῦ τῆς Ἐφεσίας Ἀρτέμιδος, ἑνὸς ὄντος τῶν ἑπτὰ θαυμάτων.

Εἰς τὸν καιρὸν τούτου τοῦ Αὐτοκράτορος τῶν Ῥωμαίων, οἱ Σκύθαι κατερήμωσαν τὴν μικρὰν Ἀσίαν, ὥστε καὶ αὐτὸς τῆς Ἐφεσίας Ἀρτέμιδος ὁ ναὸς, ἓν ἀπὸ τῶν ἑπτὰ θαυμάτων τῆς οἰκουμένης ὄν, κατεκάη, καὶ οὕτω συνετρίβη ὁ Δαγὼν, καὶ ἔπεσεν ἡ μεγάλη Βαβυλὼν, ἡ μεγάλη Ἄρτεμις τῶν Ἐφεσίων, ἥτις ἐμέθυσεν ἐν τοῖς αἵμασι τῶν ἁγίων καὶ κατὰ τὴν ἱερὰν Ἀποκάλυψιν.

ΒΙΒΛΙΟΝ Α΄. ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

Περὶ τῆς ἐν Ἱεροσολύμοις Ἀρχιερατείας Ὑμεναίου, καὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας αὐτοῦ.

Μετὰ τὸν Μαζαβάνην ἐγένετο Ἱεροσολύμων Ἐπίσκοπος ὁ Ὑμέναιος, ὅστις ἠγωνίσθη κατὰ Παύλου τοῦ Σαμοσατέως. ἀρχιεράτευσε δὲ τῷ δωδεκάτῳ ἔτει τοῦ Γαλήνου, ὅπερ ἐστὶν ἀπὸ Χριστοῦ ἔτος διακοσιοστὸν ἑξηκοστὸν πέμπτον, καὶ ἐστάθη εἰς τὸν θρόνον ἔτη τριάκοντα καὶ ἕν.

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ ΙΘ΄. ΠΑΡΑΓΡΑΦΟΝ Β΄.

Περὶ Παύλου Ἀντιοχείας τοῦ Σαμοσατέως, καὶ τῆς αἱρέσεως αὐτοῦ, καὶ τῶν κατ' αὐτοῦ Συνόδων καὶ διώξεως αὐτοῦ ἐκ βασιλικοῦ προστάγματος, οὗ ἐπιλαμβάνονται οἱ παπισταὶ εἰς βεβαίωσιν τῆς μοναρχίας τοῦ Ῥώμης, καὶ ἐλέγχονται κἀν τούτῳ.

Ἦν δὲ αἰτία τῆς Συνόδου ταύτης, ὅτι ἀποθανόντος τοῦ Ἀντιοχείας Δημητρίου, προεχειρίσθη εἰς τὸν θρόνον αὐτοῦ Ἐπίσκοπος Παῦλος ὁ Σαμοσατεὺς, ὅστις ἔλεγεν ὅτι ὁ Χριστὸς διόλου εἶχε τὴν ἀρχὴν ἀπὸ τῆς Παρθένου, καθὼς ὕστερον ἐπὶ Κωνσταντίου ἔλεγε Φωτεινὸς ὁ Σιρμίου Ἐπίσκοπος, καὶ Ἐβίων καὶ Ἀρτεμᾶς πρότερον, εἰ καὶ διεφέροντο κατά τινα ἀλλήλων. ἦν δὲ ἡ Αἵρεσις τοῦ Παύλου κατὰ διάμετρον ἀντικειμένη τῇ Αἱρέσει τοῦ Σαβελλίου. ὅτι ὁ μὲν Σαβέλλιος ἔλεγε Πατέρα Υἱὸν καὶ ἅγιον Πνεῦμα ἓν πρόσωπον ταὐτὸν τῷ πράγματι, τριώνυμον πρᾶγμα, οὐ τριάδα δοξάζων. ὁ δὲ Παῦλος Πατέρα μὲν τὸν Θεὸν τῶν πάντων δημιουργὸν, Υἱὸν δὲ τὸν ἄνθρωπον τὸν ψιλὸν, Πνεῦμα δὲ ἅγιον, τὴν ἐπιφοιτήσασαν χάριν τοῖς Ἀποστόλοις. ὅθεν γεγόνασι πολλαὶ Σύνοδοι κατὰ τοῦ Παύλου. ἦσαν δὲ οἱ ἐξάρχοντες ὁ Καισαρείας Καππαδοκίας Φιρμιλιανὸς, Γρηγόριος ὁ θαυματουργὸς, καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἀθηνόδωρος, Ἕλενος Ταρσοῦ, Νικόμας Ἰκονίου, ὁ Καισαρείας Παλαιστίνης Θεότεκνος, Μάξιμος Βόστρης, ὁ Ἱεροσολύμων Ὑμέναιος καὶ ἄλλοι, καὶ πρὸς τούτοις, πολλοὶ Ἱερεῖς τε καὶ Διάκονοι. ὑπῆρχε δὲ τότε Ἀλεξανδρείας Πάπας Διονύσιος ὁ περιβόητος, ὁ πολλὰ καὶ πολλάκις ἀγωνισάμενος κατὰ διαφόρων Αἱρετικῶν, ὡς ὁ Εὐσέβιος ἱστορεῖ ἐν τῷ ἑβδόμῳ βιβλίῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας αὐτοῦ, ὃν ἐζήτησαν οἱ πατέρες εἰς τὴν Σύνοδον, ἀλλ' ἐκωλύθη ὑπὸ ἀσθενείας καὶ γήρατος, ἔπεμψεν ὅμως ἐπιστολὴν τὴν γνώμην αὐτοῦ παριστῶσαν, καὶ μὴν καὶ εἰς τὸν Παῦλον ἔγραψε συνοδικὴν ἐπιστολὴν, ἧς ἡ ἐπιγραφὴ, Διονύσιος καὶ οἱ Πρεσβύτεροι τῆς Ἐκκλησίας Ἀλεξανδρέων Παύλῳ ἐν Κυρίῳ χαίρειν. ὁ δὲ Παῦλος ἔστειλεν αὐτῷ δέκα προτάσεις τῆς Αἱρέσεως αὐτοῦ, καὶ ἔλυσε ταύτας θαυμασίως ὁ Διονύσιος. πρὸ τοῦ

τοῦ γενέσθαι δὲ τὴν Σύνοδον ἔγραψαν αὐτῷ καὶ οἱ ἄλλοι πατέρες περὶ τῆς καθολικῆς πίστεως ἐπὶ μαρτυρίᾳ τῆς γραφῆς καὶ τῶν προηγησαμένων πατέρων, καὶ ἔπεμψαν καὶ ἐπιστολὴν, ἣν ὑπέγραψαν ἓξ πατέρες ἀντὶ πάντων, ἧς μνημονεύει ὁ Τουριανός. μὴ πεισθέντος οὖν τοῦ Παύλου, γεγόνασι πολλαὶ συνελεύσεις καὶ διαλέξεις περὶ τοῦ προβλήματος, αἵτινες εὑρίσκονται παρὰ Λεοντίῳ τῷ Βυζαντίῳ ἐν τῷ τρίτῳ βιβλίῳ κατὰ Νεστορίου. καὶ εἰς μὲν τὸ πρῶτον ἔτος τῆς Συνόδου, ὅπερ ἐστὶν ἀπὸ Χριστοῦ ἔτος διακοσιοστὸν ἑξηκοστὸν πέμπτον, τῷ δωδεκάτῳ ἔτει τοῦ Γαληΐνου, λέγει ὁ Θεοδώριτος, ὅτι ἐλέγξασιν αὐτὸν τοῖς πατράσιν εἶπεν αὐτοῖς, ὅτι τοῖς ἀποστολικοῖς ἕπεται δόγμασι, καὶ αὐτοὶ ὑμνήσαντες ἀνεχώρησαν. ἀλλ' ἐπειδὴ ἤκουσαν περὶ αὐτοῦ τὰ αὐτὰ, πρῶτον μὲν γράμμασιν ἐνουθέτησαν, ἐπεὶ δὲ ἀνίατον ἑώρων, ἦλθον εἰς Ἀντιόχειαν δεύτερον, καὶ πολλὰ νουθετήσαντες καὶ μηδὲν ἀνύσαντες, ἐπὶ συνέδριον ἐχώρησαν. καὶ λοιπὸν τῷ διακοσιοστῷ ἑβδομηκοστῷ ἔτει ἀπὸ Χριστοῦ, καὶ Αὐρηλιανοῦ ἔτει δευτέρῳ γίνεται ἡ τελευταία Σύνοδος. καὶ εἰ καὶ ὁ Παῦλος ἐπόιει πολλὰς ὑποκρίσεις, καὶ ἠλλοιοῦτο ὡς ἡ Σελήνη κατὰ τὸ ἰδίωμα τῶν Αἱρετικῶν, ἀλλά τις Μαλχίων Ἱερεὺς, ἄνθρωπος ἐπὶ σοφίᾳ καὶ εὐσεβείᾳ περιβόητος, καὶ τοῦ ἐπ' Ἀντιοχείας ἑλληνικοῦ φροντιστηρίου προεστηκὼς, κρυψίνουν τὸν Παῦλον ὄντα ἐφώρασε. καθαιρεῖται οὖν καὶ ἀναθεματίζεται ὁ Αἱρετικὸς ὑπὸ τῆς Συνόδου. εἶτα γράφει ἡ Σύνοδος εἰς ὄνομα τοῦ Ῥώμης Διονυσίου καὶ τοῦ Ἀλεξανδρείας Μαξίμου (ὁ γὰρ Διονύσιος προκεκοίμητο) ἐπιστολὴν ἐγκύκλιον, καὶ λέγει τὰ κατὰ τὸν Σαμοσατέα. οὐκ ἤθελε δὲ ὁ Παῦλος ἐξελθεῖν τῆς Ἐπισκοπῆς, καὶ ἐγκαλοῦσιν αὐτὸν οἱ πατέρες εἰς τὸν Αὐρηλιανὸν, ὅς τις ἔκρινεν ἐκείνοις δοθῆναι τὴν Ἐπισκοπὴν, οἷς ἂν οἱ κατὰ τὴν Ἰταλίαν καὶ τὴν Ῥωμαίων πόλιν Ἐπίσκοποι τοῦ δόγματος ἐπιστέλοιεν. ὅθεν ἐξελαύνεται τῆς Ἐπισκοπῆς ὑπὸ τῆς κοσμικῆς ἐξουσίας ὁ ἀλιτήριος. Σὺ δὲ σημείωσαι πρῶτον, ὅτι καὶ εἰς τὴν Σύνοδον ταύτην παρήδρευον καὶ Ἱερεῖς καὶ Διάκονοι, οὓς καὶ συλλειτουργοὺς γράφει ἡ Σύνοδος εἰς τὴν ἐγκύκλιον αὐτῆς ἐπιστολήν. δεύτερον, ὅτι οἱ ὕστεροι Πάπαι τῆς Ῥώμης καθὼς ἀπὸ τῆς Συγκλήτου ἥτις ἐψηφίζετο Θεοὺς, οὕτω καὶ ἀπὸ τοῦ Αὐρηλιανοῦ νομίζουσι τὸ προνόμιον ἔχειν, καὶ θέλουσιν εἶναι ὑπεράνω τῶν Πατριαρχῶν καὶ μοναρχαὶ εἰς τὴν καθόλου Ἐκκλησίαν. καίτοι ὁ Αὐρηλιανὸς οὐκ εἶπε μόνον τὸν Ῥώμης, ἀλλὰ πρῶτον τοὺς Ἐπισκόπους τῆς Ἰταλίας. εἶτα ὁ Γαληῖνος ἔγραψεν ἐπιστολὴν τῷ Ἀλεξανδρείας Διονυσίῳ παρέχων αὐτῷ ἄδειαν ἐκτελεῖν τὰ τῆς πίστεως. ὡς δὲ οὐκ ἔδωκε τῷ Ἀλεξανδρείας ἡ τοῦ Αὐτοκράτορος ἐπιστολὴ προνόμιον ἐν τῇ Ἐκκλησίᾳ, οὕτως οὐδὲ ὁ λόγος τοῦ Αὐτοκράτορος παρέσχε τῷ Ῥώμης τοιοῦτον προνόμιον. Σημείωσαι ὅτι ὁ Αὐρηλιανὸς καίτοιγε ἀγαπῶν τοὺς Χριστιανοὺς, καὶ Δωροθέου τοῦ εὐνούχου ἀνδρὸς εἰδήμονος καὶ τῆς ἑλληνικῆς καὶ τῆς ἑβραϊκῆς γλώσσης, ἐξηγουμένου τὴν ἁγίαν γραφὴν ἡδέως ἤκουε (τοῦ Δωροθέου ἦν μαθητὴς ὁ Εὐσέβιος ἔτι μικρὸς ὢν, καὶ Ἀνατόλιος ὁ σοφώτατος, ὁ Λαοδικείας τῆς Συρίας χρηματίσας Ἐπίσκοπος, ὅς τις ἔγραψε θαυμασίως εἴς τε τὴν μαθηματικὴν καὶ εἰς τὴν ἁγίαν γραφὴν) ὅμως ἐξέκλινεν εἰς τὴν εἰδωλολατρείαν, καὶ ἠβουλήθη κινῆσαι διωγμὸν κατὰ τῆς Ἐκκλησίας, ἀλλὰ θέλων ὑπογράψαι τοῦ διωγμοῦ τὰ γράμματα, ἐκρατήθη ἡ χεὶρ αὐτοῦ ἀπὸ τοῦ ἀγκῶνος, καὶ κακῶς ἐτελεύτησε.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ΙΘ'. ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἑνδεκαχῶς ἀναιρέσεως τοῦ τυραννικοῦ πρωτείου τοῦ Ῥώμης ἐκ τῆς Συνόδου τῆς κατὰ τοῦ Σαμοσατέως ταύτης, καὶ τῆς ἐγκυκλίου αὐτῆς ἐπιστολῆς.

Σημείωσαι ὅτι ἀπὸ τῆς ἁγίας ταύτης Συνόδου, καὶ τῆς ἐγκυκλίου αὐτῆς ἐπιστολῆς καταβάλλεται τὸ τυραννικὸν πρωτεῖον τοῦ Πάπα, πρῶτον, ὅτι χωρὶς ἐρωτήσεως, ἢ ἐπιταγῆς τοῦ Πάπα ἠθροίσθη. δεύτερον, ὅτι μᾶλον τοῦ Πάπα ἠγωνίσθησαν οἱ τοσοῦτοι πατέρες, τοσαῦτα ἔτη κοπιῶντες, ὁδοιποροῦντες, χρήματα καταδαπανῶντες καὶ σπουδάζοντες ὑπὲρ τῆς εὐσεβείας. τρίτον, ὅτι ἐκάθηραν τὸν Ἀντιοχείας, καὶ ἐχειροτόνησαν ἕτερον χωρὶς γνώμης τοῦ Πάπα. τέταρτον, ὅτι ὥρισαν καὶ ἔκριναν περὶ πίστεως ὀρθοδόξως ἄνευ τῆς δι' ἐμπνεύσεως θείας κρίσεως τοῦ Πάπα. πέμπτον, ὅτι οὐκ ἐζήτησαν βεβαίωσιν τῶν πράξεων αὐτῶν παρὰ τοῦ Πάπα. ἕκτον, ὅτι τὸν Φιρμιλιανὸν ὃν οἱ Ῥωμαῖοι εἶχον ἑτερόδοξον, ἐκεῖνον τὸν Φιρμιλιανὸν τὸν ἰδίως καὶ κοινῶς ἀντειπόντα τῇ Ἐκκλησίᾳ Ῥωμαίων, ἐκεῖνον, ὃν τῆς κοινωνίας αὐτοῦ ὁ Πάπας Στέφανος ἀπέκοπτεν, ἡ Σύνοδος ἐπαινεῖ ἄκρως καὶ μακαρίζει, καὶ ὡς ζηλωτὴν καὶ ὀρθόδοξον αὐτὸν ἐγκωμιάζει. ἕβδομον, τὸν Ἕλενον Ταρσοῦ, ὃν καὶ αὐτὸν ἀντιλέγοντα τῇ Ἐκκλησίᾳ Ῥωμαίων, ὁ Πάπας τῆς κοινωνίας αὐτοῦ ἀπέῤῥιπτεν, ἔχει ἡ Σύνοδος ἐν τῇ ἐγκυκλίῳ αὐτῆς ἐπιστολῇ τῶν πατέρων πάντων προεπιγραφόμενον. ὄγδοον, τὸν Αἱρεσιάρχην Παῦλον λέγει ὅτι ὑψηλὰ ἐφρόνει, καὶ κοσμικὰ ἀξιώματα ὑπεδύετο, καὶ Δοκηνάριος μᾶλλον, ἢ Ἐπίσκοπος ἤθελε καλεῖσθαι. οὕτως οἱ μετὰ τὸ σχίσμα Πάπαι κοσμικὰ ἀξιώματα ὑποδύονται, καὶ Βασιλεῖς μᾶλλον, ἢ Ἐπίσκοποι φιλοῦσι καλεῖσθαι. ἔνατον, ὁ Σαμοσατεὺς ἐσόβει κατὰ τὰς ἀγορὰς, καὶ ἐβάδιζε δημοσίᾳ δορυφορούμενος, τῶν μὲν προπορευομένων,

μβύων, τῶν δὲ ἐπομβύων αὐτῷ πολὺ πλῆθος ὄντων ὡς καὶ τῷ πίστιν φθονεῖσθαι. ἔτω καὶ ὁ Πάπας Εὐγένιος ἐξερχόμβυος τῆς Φερράρας, καὶ ἀναχωπῶν ἐπὶ πάσης τῆς Ἀνατολικῆς Ἐκκλησίας, σοβῶν καὶ ἐπαιρόμβυος. δέκατον, ὁ Σαμοσατεὺς ἐν ταῖς ἐκκλησιαστικαῖς Σωιόδοις τερατείαν ἐμηχανᾶτο καὶ ἐδοξοκόπει καὶ ἐφαντασποσκόπει, καὶ τὰς τῶν ἀκεραιοτέρων ψυχὰς τοῖς τοιούτοις ὁπλήπων, καὶ βῆμα καὶ θρόνον ὑψηλὸν ἑαυτῷ κατεσκεύασεν, ἐχ ὡς χρισῦ μαθητής. καὶ οἱ μετὰ τὸ χίσμα Πάπαι Ἰννοκεντίῳ ὁ τρίτος ἐν τῇ ἐν Λατερανῷ Σωιόδῳ ἐθεοποιῖτο. καὶ ὁ Πάπας Εὐγένιος ἐν Φερράρᾳ, καὶ ἐν Φλωρεντείᾳ καταφρονῶν καὶ τῦ Βασιλέως καὶ τῶν πατέρων, ἐπὶ θρόνυ μοναδικῦ, ὑψηλῦ καὶ ἐπημβυμβύ δοξοκοπῶν καὶ φαντασποσκοπῶν ἐκάθητο, ἐχ ὡς χρισῦ μαθητὴς, ἀλλ' ὡς ἄλλος Θεὸς ἐπὶ γαίης, τὰς ἀκεραιοτέρας ὁπλήπων. καὶ διὰ ταῦτα τοσαῦτα ἔθνη καὶ λαοὶ καὶ ὁλόκληροι Βασιλεῖαι ἐγένοντο Καλβῖνοι, Λύτεροι, καὶ ἄλλως Αἱρετικοὶ, μὴ ὑποφέροντες τὸν ὄγκον καὶ τὴν ὑπερφανίαν τῦ ἐν σχήματι ἱερωσύνης ὑποκρυπτοντος τὸ πρόσωπον τῦ Ἀντιχρισῦ. οὐδέκατον, προσάπτει ἡ Σωιόδος τοῖς Πάπαις Ῥώμης καὶ Ἀλεξανδρείας ἵνα γράφωσι τῷ νέῳ Ἀντιοχείας Δόμνῳ τὰ καινωνικὰ γράμματα, καὶ δέχωνται παρ' αὐτῦ τὰ τοιαῦτα.

ΒΙΒΛΙΟΤ Α'. ΚΕΦΑΛΑΙΟΤ Ιθ'. ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῦ Μάνητος τῦ καὶ Μανιχαίυ, καὶ τῆς αἱρέσεως αὐτῦ, καὶ σωιοδικῆς αὐτῦ καθαιρέσεως ὑπὸ τῦ Ἀρχελάυ Ἐπισκόπυ Καρχάρων, ἐξ ἧ ψεύδος δείκνυται εἶναι τὸν Ῥώμης ἐπὶ τῶν Σωιόδων, ἢ κειτῶ τῶν Αἱρέσεων Ἐκκλησίας Ἐπίσκοπον.

Ἐς τὸν καιρὸν τῦ Ὑμβυαίυ ἐφάνη ὁ Μάνης ὁ καὶ Μανιχαῖος, τῆς μανίας φερώνυμος, καὶ ὅλος μανιόλης. ἔλεγε γὰρ Θεὸν καλὸν καὶ κακὸν, τυτέστιν ἀγαθὸν καὶ πονηρόν. μεταβὰς δὲ ἀπὸ τῆς Περσίας εἰς Μεσοποταμίαν, διηλέχθη μετὰ τῦ ἁγίυ Τρύφωνος, ὅστις, καὶ ὁ θεοσεβέστατος Ἄρχων Μαρκελλῖνος ἐμὴ ἐλύτρωσεν αὐτὸν, ἐλιθάζετο ὑπὸ τῦ λαῦ. ἀναγνωθι τὸν ἅγιον Κύριλλον τὸν Ἱεροσολύμων, καὶ τὸν Ἐπιφάνιον Αἱρέσει ἑξηκοστῇ ἕκτῃ, καὶ τὸν Ζωναραῦ. ἔκρινε δὲ τὸν Μάνητα καὶ τὴν Αἵρεσιν αὐτῦ Σωιόδων ἀθροίσας ὁ Καρχάρων Ἐπίσκοπος Ἀρχέλαος. καὶ σημέωσαι, ὅτι Ἐπίσκοπος μετὰ Τοπικῆς Σωιόδυ ἔκρινε τὸν Αἱρεσιάρχην καὶ τὴν Αἵρεσιν αὐτῦ ἄνευ ἐπιταγῆς ἢ γνώμης ἢ εὐδήσεως τῦ Ἐπισκόπυ τῆς Ῥώμης. ὥστε καὶ ἐκ τύτυ δείκνυται, ὅτι ψεῦδός ἐστι τὸ εἶναι τὸν Πάπαν ἐπὶ τῶν Σωιόδων, ἢ μόνον κειτῶ τῶν Αἱρέσεων, ἢ ἐπὶ τῆς καθόλυ Ἐκκλησίας Ἐπίσκοπον.

ΒΙΒΛΙΟΤ Α'. ΚΕΦΑΛΑΙΟΤ Ιθ'. ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἐν Ἱεροσολύμοις Ἀρχιερατείας Ζάμβα ἢ Ζάμβδα, καὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας αὐτῦ, καὶ τῦ διαδόχυ αὐτῦ Ἔρμωνος, καὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας αὐτῦ, καὶ ὧν ἀπέσταλε κηρύκων εἰς τὰ τῆς Σκυθίας μέρη, ἐξ ὧν δείκνυται εἶναι πάντας τὺς Ἐπισκόπυς ἀμέσως διαδόχυς τῶν Ἀποστόλων καὶ τῶν διαδόχων αὐτῶν.

Ἀριθμεῖ ὁ Εὐσέβιος μετὰ τὸν Ὑμβυαῖον Ἱεροσολύμων, Ἐπίσκοπον τὸν Ζάμβαν, ἢ Ζάμβδαν κατὰ τὸν Ἐπιφάνιον Αἱρέσει ἑξηκοστῇ ἕκτῃ. ὅστις ἐκυβέρνησε τὴν ἀποστολικὴν καθέδραν χρόνυς τρεῖς, καὶ Ἀφίδοχος τῦ Θρόνυ ἐγένετο ὁ Ἔρμων, ὅστις ἔζησεν ἔτη δεκατέσσαρα, ἢ ὀγδόη κατὰ τὸν Θεοφάνη. ἔτος ὁ Ἔρμων ἐν τῷ δεκάτῳ ἕκτῳ ἔτει τῆς αὐταρχίας τῦ Διοκλητιανῦ πέμψας Ἐπισκόπυς εἰς Ἀφφορα ἔθνη ἵνα κηρύξωσιν ἀποστολικῶς τὸν λόγον τῦ Θεῦ, ἔστειλε καὶ εἰς τὴν Σκυθίαν τὸν Ἔφραιμ, καὶ εἰς τὴν Χερσῶνα τὸν Βασιλέα, ὅθα πολλὰς θλίψεις ὑπομείναντες, καὶ ἰατρεύσαντες τὸν υἱὸν τῦ Ἄρχοντος τῆς χώρας, ἔφεργον εἰς τὴν χρισῦ πίστιν τὺς ἐκεῖσε λαύς. τελευταῖον δὲ ὑπὸ ἐπιβυλῆς τῶν ἰουδαίων ἀποκτείνεται ὁ Βασιλεύς. ὅθεν ἦλθον ἕτεροι ὑπὸ τῦ αὐτῦ Ἔρμωνος ἀπεσταλμένοι, Ἐλπίδιος, Εὐγένιος καὶ Ἀγαθόδωρος κήρυκες τῶν ἐθνῶν, καὶ ἐνεργῦσι τὰ κάλλιστα. ὁ δὲ μέγας Κωνσταντῖνος αὐταρχήσας, ἐπέθηκε τέλος ἀγαθὸν ἐν τοῖς κόποις τῶν ἁγίων. καὶ γὰρ ἔπεμψεν ἐκεῖσε Ἐπισκόπυς μετὰ δωρεᾶς βασιλικῆς εἰς αὔξησιν τῆς ὀρθοδόξυ πίστεως. ἀναγνωθι τὸν σωαξαριστὴν εἰς τὰς ἑπτὰ τῦ Μαρτίυ. τόσοι ἦσαν οἱ Ἐπίσκοποι ἐν τοῖς χρόνοις τῶν Αὐτοκρατόρων τῶν διωκόντων τὴν Ἐκκλησίαν ὑπ' Χρισῦ μετὰ μεγάλης τυραννίδος. Σημέωσαι δύο τινὰ, πρῶτον, ὅτι ὁ Ἱεροσολύμων πέμψας εἰς ἀλλοτρίας Ἐπαρχίας Ἐπισκόπυς, οὐκ ἔλαβεν ἐκ τύτυ ἀξίωμά τι ἐν τῇ καθόλυ Ἐκκλησίᾳ. δεύτερον, ὅτι ὁ Ἐπιφάνιος βληθεὶς εἰπεῖν τὴν τῶν Ἀποστόλων Παράδοσιν ἄχρι τῦ Μάνητος, οὐκ ἤρξατο ἀπὸ τῦ Πέτρυ, ἀλλ' ἀπὸ τῦ Ἰακώβυ, ἀλ' ἀπὸ τῶν Ἐπισκόπων Ῥώμης, ἀλλ' ἀπὸ τῶν Ἐπισκόπων Ἱεροσολύμων, ὥστε οὐκ εἰσὶν οἱ ἐν τῇ καθόλυ Ἐκκλησίᾳ Ἐπίσκοποι Παράδοχοι μόνυ τῦ Πέτρυ, ἀλλὰ πάντων τῶν Ἀποστόλων, οὐ οὐκ ἔστι μόνος ὁ Ἐπίσκοπος τῆς Ῥώμης Παράδοχος τῦ

τοῦ Πέτρου, ἀλλὰ καὶ πάντες οἱ Ἐπίσκοποι, καὶ οὕτως, οὐ λαμβάνουσιν οἱ Ἐπίσκοποι τὴν ἀποστολικὴν διαδοχὴν ἐμμέσως ἀπὸ τοῦ Ἐπισκόπου Ῥώμης, ἀλλ' ἀμέσως ἀπὸ τῶν προηγησαμένων ἐν ταῖς Ἐκκλησίαις Ἀποστόλων καὶ τῶν διαδόχων αὐτῶν. Ἰδὲ ἀνωτέρω κεφαλαίῳ δεκάτῳ ἕκτῳ τὴν ἐπιστολὴν τοῦ Φιρμιλιανοῦ πρὸς τὸν ἅγιον Κυπριανὸν περὶ τῆς ἀποστολικῆς διαδοχῆς.

ΒΙΒΛΙΟΝ Α'. ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τῆς Βασιλείας Μαξιμιανοῦ τοῦ διώκτου τῶν Χριστιανῶν, καὶ τοῦ Θηβαίου Λεγεῶνος.

Εἶχεν ἐκλελεγμένον ὁ Μαξιμιανὸς τὸν Θηβαῖον Λεγεῶνα, ὅστις περιεῖχεν ἓξ χιλιάδας καὶ ἑξακοσίους ἑξηκονταὲξ ἀνδρείους Στρατιώτας, οὓς πρότερον ἐμαθήτευσεν ὁ Ζάμβας εἰς τὴν χριστιανικὴν θεοσέβειαν, ὅτι ἐκεῖ κάτω εἰς τὴν Παλαιστίνην παρεχείμαζον οἱ νέοι οὗτοι, ἵνα δύνωνται ὅτι τάχιστα ἀντιμάχεσθαι τοῖς Πάρθοις καὶ Πέρσαις, ὅτε ἐνεωτέριζον φησὶν ὁ Ὀρόσιος, ὥστε λοιπὸν περιστοὶ Χριστιανοὶ εὑρίσκοντο εἰς τὰ στρατεύματα τῶν Ῥωμαίων ἐμπεπιστευμένοι, ἀλλ' ἐπειδὴ οὐκ ἤθελον θυσιάσαι εἰς τὰ εἴδωλα αὐτῶν, ὅλοι ἐχρημάτισαν μάρτυρες τοῦ Χριστοῦ ἐνδοξότατοι. καὶ ὁ Μαξιμιανὸς ἤρξατο μισεῖν τοὺς Χριστιανοὺς καὶ βασανίζειν αὐτοὺς ὡς λέγει ὁ Εὐτρόπιος, ὅστις γράφει, καὶ τὸ κλῆμα ἦν τὸ στέμμα αὐτῶν καὶ ἡ σημαία, ἤτοι τὸ φλάμπουρον αὐτῶν.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ Κ'. ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς Μαρκελίνου Πάπα Ῥώμης εἰδωλολατρείας ἐπὶ Διοκλητιανοῦ Βασιλέως τοῦ διώκτου τῶν Χριστιανῶν, καὶ τῆς διὰ μαρτυρίου σωτηρίας αὐτοῦ, ἐξ οὗ πασίδηλον ὅτι σφάλλει ὁ Ῥώμης.

Ἐπὶ Διοκλητιανοῦ ὁ Πάπας Ῥώμης Μαρκελῖνος, διὰ τὸ βιασθῆναι αὐτὸν εἰς τὸ κατακοπῆναι ξίφεσι γυμνοῖς, φοβηθεὶς ἐθυσίασεν εἰς τὰ Ἑλλήνων εἴδωλα, πρᾶγμα μυρίων ὀδυρμῶν ἄξιον. ἐπεσκέψατο ὅμως αὐτὸν Θεὸς, ἐπειδὴ μετ' ὀλίγον καιρὸν γενομένης Συνόδου ἑκατονπεντήκοντα Ἐπισκόπων εἰς τὴν Σινόεσσαν πόλιν τῆς Ἰταλίας, τρέχει πρὸς αὐτὴν ὁ Μαρκελῖνος ἐνδεδυμένος σάκκον, καὶ ἔχων εἰς τὴν κεφαλὴν αὐτοῦ σποδόν. καὶ τοῦ μὲν θρόνου ἀπελαύνεται, ἱκανῶς δὲ παρηγορηθεὶς, ἀπῆλθεν εἰς τὸν Διοκλητιανὸν, καὶ ποιεῖ τὴν καλὴν ὁμολογίαν τῆς ὀρθοδόξου πίστεως, ὅθεν καὶ ἀποκεφαλίζεται, καὶ λαμβάνει τὸν Στέφανον τοῦ μαρτυρίου. Σὺ δὲ συμείωσαι πρῶτον, πῶς καὶ Τοπικὴ Σύνοδος προέχει τοῦ Ῥώμης, καὶ κρίνει καὶ διακρίνει τὸν Ῥώμης. δεύτερον, ὅτι ἰδοὺ καὶ Ῥώμης Ἐπίσκοπος εἰδωλολάτρης, καὶ οἴχεται τῶν ὑπερηφάνων τὸ ἀξίωμα ὅτι ὁ Πάπας Ῥώμης οὐχ ἁμαρτάνει. ἐπειδὴ οὐ μόνον ἥμαρτεν ἁπλῶς, ἀλλὰ καὶ εἰς ἐσχάτην ἦλθεν ἀσέβειαν, θυσιάσας τοῖς μὴ φύσει οὖσι Θεοῖς. καίπερ καὶ λέγουσιν οἱ ἀδελφοὶ Λατῖνοι, ὅτι ἡ Σύνοδος οὐ κατέκρινε τὸν Μαρκελῖνον, καθότι μήτε ἔκρινεν, ἀλλὰ ἀφῆκεν αὐτὸν ἵνα κριθῇ μόνος αὐτός. ἀλλ' ἐρωτητέον αὐτοὺς δύο τινὰ, πρῶτον, εἰ ἐκεῖνος ἤθελεν, ἐδύνατο εἶναι Πάπας πάλιν ὁ εἰδωλολατρήσας; καὶ πῶς ὁ Πάπας λοιπὸν ἀναμάρτητος; δεύτερον, ἡ Σύνοδος ἐκείνη τίνος Πάπα τῷ ὁρισμῷ ἠθρόισθη; οὕτω λοιπὸν καταγέλαστος ὁ Παπισμὸς, καθότι καὶ τὸ βάρος τῆς δόξης αὐτοῦ ἀπὸ μηδαμινοῦ μίτου κρέμαται τῆς ἀσχημοσύνης. ἀλλὰ τινὲς τῶν παπιστῶν λέγουσιν, ὅτι οὐκ ἔστι τοῦτο ἀλήθεια ὅτι δηλαδὴ ὁ Μαρκελῖνος ἐθυσίασεν εἰς τὰ εἴδωλα. ἄλλοι δὲ λέγουσιν, ὅτι ἠρνήθη ἐξωτερικῶς καὶ οὐκ ἐσωτερικῶς, καὶ ἐπειδὴ οὐκ ἐκ καρδίας, οὐ νομίζομεν αὐτὸν ἡμαρτηκέναι. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι ἀρκεῖ πρὸς μαρτυρίαν ὁ ἁγιώτατος Πάπας Δάμασος ἐν ᾧ γράφει περὶ τῶν Παπῶν, λέγει γοῦν ὅτι ὁ Μαρκελῖνος ἐπέμφθη εἰς τὸν ναὸν τῆς Ἑστίας, καὶ ἐθυσίασε τῷ Διΐ, τουτέστιν ὁ Πάπας τῆς Ῥώμης Μαρκελῖνος Πάπας ὤν, διώρισεν ἀπὸ καθέδρας ὅτι ὁ Ζεὺς ἐστὶ Θεός. τοῦτο βεβαιοῦται καὶ ἀπὸ τῆς ἐπιστολῆς τῆς πρώτης ἣν ἔπεμψε Νικόλαος ὁ Πάπας πρὸς τὸν Αὐτοκράτορα Μιχαήλ. πρὸς δὲ τὸ δεύτερον, ἰδὲ βιβλίου ἕκτου κεφάλαιον δέκατον ἕβδομον. φανερὸν οὖν ἐκ τούτων ὅτι ὁ Πάπας Μαρκελῖνος ἠρνήθη τὸν ζῶντα Θεὸν, καὶ προσεκύνησε τὸν διάβολον. καὶ συνάγεται ἀναμφιβόλως, ὅτι οὐκ ἐκ τῶν προσώπων ἡ πίστις. καὶ ἐματαιώθησαν κἀνταῦθα ἀναντιῤῥήτως οἱ Λατῖνοι.

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ Κ΄. ΠΑΡΑΓΡΑΦΟΝ Γ΄.

Περὶ τοῦ ἐν ποίῳ ἔτει τῆς Βασιλείας αὐτῶν ὁ Διοκλητιανὸς καὶ Μαξιμιανὸς τὸν φρικωδέστατον κατὰ τῶν Χριστιανῶν διωγμὸν ἐκίνησαν, καὶ ὧν ἐποίησαν κακῶν, καὶ τίσι πάθεσιν ἐτελεύτησαν, καὶ περὶ προοιμίων τῆς ἀρχῆς τοῦ μεγάλου Κωνσταντίνου, καὶ τῆς κατὰ Μαξεντίου νίκης αὐτοῦ, καὶ ὅτι περὶ τὴν πίστιν ἠμέλησε, καὶ διὰ τίνων ἀνεκλήθη. καὶ περὶ τῆς αἰτίας τῆς λέπρας αὐτοῦ, καὶ τοῦ καθαρισμοῦ, καὶ τῆς γνώμης Κωδινοῦ περὶ τῆς ἀναιρέσεως Κρίσπου καὶ Φαύστης.

Τῷ ἑνδεκάτῳ ἔτει Διοκλητιανοῦ, αὐτὸς, καὶ ὁ Μαξιμιανὸς Ἑρκούλιος διωγμὸν μέγαν καὶ φρικωδέστατον κατὰ τῶν Χριστιανῶν ἤγειραν, καὶ πολλὰς μυριάδας μαρτύρων διὰ πολλῶν εἰδῶν βασάνων ἐποίησαν. τῷ δὲ δεκάτῳ τρίτῳ ἔτει ὁ Στρατοπεδάρχης Βετήριος ἤλαυνε τοὺς εἰς τὴν στρατείαν Χριστιανοὺς στρατιώτας. τῷ δὲ δεκάτῳ ὀγδόῳ, ὁ Μαξιμιανὸς Γαλέριος πεισθεὶς εἴς τινα γόητα Θεότεκνον, ἔθυεν εἰς τοὺς Δαίμονας, καὶ ἐλάμβανε χρησμοὺς, καὶ ἐξήγειρε καὶ ἕτερον πόλεμον, καὶ μετέγραψε τὰ ἅγια Εὐαγγέλια εἰς γελοῖα, καὶ διεμείρασεν αὐτὰ εἰς τὰ σχολεῖα ἵνα ἀναγινώσκωσιν αὐτὰ τὰ παιδία τῶν Ἑλλήνων διὰ παίγνια. εἶτα ἀφ' οὗ ὁ Μαξιμιανὸς ἔλαβε τὴν βρεττανίαν, καὶ ὑπέταξε τὴν Δύσιν, ὁ δὲ Διοκλητιανὸς τὰς συγχύσεις αἵπερ ἦσαν εἰς τὴν Ἀνατολὴν κατέπαυσε, τρόπον τινὰ δι' εὐχαρστίαν εἰς τὰ εἴδωλα, ἐκίνησαν διωγμὸν μέγαν κατὰ τῶν Χριστιανῶν, τόσον ὥς τε εἰς τὸν δέκατον ἔνατον χρόνον τῆς Βασιλείας τοῦ Διοκλητιανοῦ ἐγένετο πρόσταγμα ἵνα κρημνίζωνται αἱ Ἐκκλησίαι ὅσαι εὑρίσκοντο εἰς τὴν Ἀνατολὴν, καὶ ὅσαι εἰς τὴν Δύσιν, ἵνα καύσωσι τὰ βιβλία τῆς ἁγίας γραφῆς ἕως ἂν γένωνται τέφρα, τοὺς Ἀρχιερεῖς καὶ Διδασκάλους, καὶ τοὺς λοιποὺς Ἄρχοντας καὶ ἀρχομένους Χριστιανοὺς ἵνα ἀποκλείσουσιν αὐτοὺς πείνῃ καὶ δίψῃ, καὶ εἶτα ἀναγκάσωσιν αὐτοὺς θυσιάσαι τοῖς ἀψύχοις εἰδώλοις, καὶ ὅστις αὐτῶν οὐ θυσιάζει, πρῶτον βασανίζεσθαι, καὶ ἔπειτα ἀποκτείνεσθαι, καὶ ὅσοι τῶν Χριστιανῶν εἶχον ἀξίωμα, ὑστέρουν αὐτὸ ἀπ' αὐτῶν, καὶ ὅσοι Χριστιανοὶ ἦσαν αἰχμάλωτοι, ἐγένετο δόγμα ἵνα μὴ λαμβάνωσιν ἐλευθερίαν. καὶ οἱ στρατιῶται ὅσοι ἦσαν Χριστιανοὶ, ἢ αὐτοὺς θυσιάσαι τοῖς μιαροῖς εἰδώλοις, ἢ ἀποκτείνεσθαι. εἰς δὲ τὴν Φρυγίαν μίαν ὁλόκληρον πόλιν τῶν Χριστιανῶν κατέθειραν, οἵτινες διὰ τῆς διδασκαλίας τοῦ Ἀδεύκτου ἐδέχθησαν ἡδύτατα τὸν διὰ Χριστὸν θάνατον. Σημείωσαι, ὅτι ὁ Διοκλητιανὸς κατὰ τὸν Θεοφάνη καὶ τὸν Εὐτρόπιον νικήσας Πέρσας καὶ Αἰγυπτίους, οὐ προσαγορεύεσθαι, ἀλλὰ προσκυνεῖσθαι διετάξατο ὑπὸ τῶν Συγκλητικῶν. καὶ τὰ ὑποδήματα αὐτοῦ χρυσίῳ καὶ μαργαρίταις καὶ λίθοις τιμίοις πρῶτος ἐκαλλώπισεν. ἀλλὰ θείᾳ παραχωρήσει παραιτησάμενος τὴν Βασιλείαν, κακῶς ἐτελεύτησεν. ἀλλὰ δὴ καὶ ὁ Γαλέριος πανολεθρίαν τῶν Χριστιανῶν προστάξας, μάλιστα διὰ τὴν πλεονεξίαν αὐτοῦ, κρατηθεὶς ὅμως ὑπὸ ἰσχυρῶν πόνων, ἔγραψεν ὑπὲρ Χριστιανῶν, ἀλλὰ γενόμενος ὑγιὴς, εἰργάζετο πάλιν τὰ πρῶτα, ὅθεν ἠκολούθησαν λιμοὶ, ἀνομβρίαι, καὶ ἄλλα δεινά. ἐγοήτευεν ὁ Μαξέντιος εἰς τὴν Ῥώμην, ἀλλὰ τῷ σημείῳ τοῦ Σταυροῦ νικᾷ καὶ φθείρει αὐτὸν ὁ μέγας Κωνσταντῖνος τῷ ἑκτῷ ἔτει τῆς Βασιλείας αὐτοῦ. τὰ αὐτὰ ἔπαθε καὶ ὁ Μαξιμῖνος Γαλέριος εἰς τὴν Ἀνατολὴν, καὶ ἀφ' οὗ ἐφόνευσεν ὅλους τοὺς μάγους καὶ μάντεις, ἀνῆψε φλὸξ εἰς τὰ ἐντόσθια αὐτοῦ, καὶ τυφλωθεὶς ἐτελεύτησε, καθὼς Διοκλητιανὸς καὶ Μαξιμιανὸς ἰδιοτεύσαντες κακοὶ κακῶς ἀπώλοντο. Περὶ δὲ τοῦ μεγάλου Κωνσταντίνου σημειοῖ Μιχαὴλ ὁ γλυκᾶς, ὅτι ὅτε κατὰ Μαξεντίου ἐστράτευσεν, εἶδε τὸν ἐν τῷ Οὐρανῷ Σταυρὸν καὶ ἐνίκησεν, εἶτα ῥαθυμήσας ἐλθεῖν εἰς τὴν εὐσέβειαν, καὶ κατ' ἐχθρῶν ὁρμήσας ἡττᾶται, καὶ εἰς τὸν ὄνειρον αὐτοῦ εἶδε πῶς ἐκτύπησέ τις αὐτὸν εἰς τοὺς μυκτῆρας, καὶ ἔτρεξεν αἷμα, καὶ ἐξυπνήσας, ἥυρεν εἰς τὴν σινδόνα αὐτοῦ Σταυρὸν κεχαραγμένον αἵματι. καὶ λοιπὸν μεταμεληθεὶς εἰς τὴν ἀμέλειαν αὐτοῦ, νικᾷ πάλιν τοὺς ἐχθροὺς, εἶτα ὑπὸ τῆς γυναικὸς αὐτοῦ Φαύστης, ἥτις ἦν θυγάτηρ τοῦ Μαξιμιανοῦ, δελεασθεὶς, κλίνει εἰς τὴν εἰδωλολατρείαν, καὶ ἐπιστρέφει αὐτὸν πάλιν ὁ Θεὸς εἰς τὴν χριστιανωσύνην διὰ τῆς λέπρας, καθότι ἐλεπρώθη, καὶ συνεβούλευσαν αὐτῷ οἱ Ἱερεῖς τοῦ Διὸς ἀπὸ τοῦ Καπετωλίου ἵνα σφάξῃ τόσα βρέφη, καὶ ὅτε ἐστὶ τὸ αἷμα αὐτῶν ἔτι θερμὸν ἵνα λουσθῇ, καὶ ὑγιαίνει. συναχθέντων οὖν τῶν βρεφῶν εἰς σφαγὴν, ἀκούσας ὁ Βασιλεὺς Κωνσταντῖνος τὸν θρῆνον τῶν μητέρων, εἶπεν, ὅτι ἡ ἰατρεία μου ἐστὶν ἄδηλος, καὶ κάλλιόν ἐστιν ἵνα πάσχω ἐγὼ μόνος ἢ ἵνα κλαίωσι τοσοῦτοι γονεῖς. ὅθεν εἶδεν εἰς τὸν ὕπνον αὐτοῦ τοὺς Ἀποστόλους Πέτρον καὶ Παῦλον, καὶ εἶπον αὐτῷ ἵνα κράξῃ τὸν Πάπαν Σίλβεστρον, καὶ ἐκεῖνος ἰατρεύει αὐτόν. καὶ λοιπὸν ἐξυπνήσας, καὶ φωνήσας τὸν Ἱερέα, καὶ βαπτισθεὶς, ὑγιὴς ἐγένετο, καὶ ἐπαγιώθη εἰς τὴν εὐσέβειαν. λέγει δὲ ὁ Κωδινὸς ὅτι διαβολῇ τῆς Φαύστης ἀνεῖλεν Κωνσταντῖνος τὸν υἱὸν αὐτοῦ Κρίσπον, καὶ ἐλεγξάσης αὐτὸν τῆς ὁτίας μητρὸς αὐτοῦ Ἑλένης διὰ τὸν ἄδικον φόνον, ἐνήστευσε τεσσαράκοντα ἡμέρας κλαίων καὶ ὀδυρόμενος, καὶ συγχώρησιν αἰτῶν παρὰ Θεοῦ. ἀλλ' ἀποβάλλεται αὕτη ἡ γνώμη ὡς ῥηθήσεται κατωτέρω.

ΒΙ-

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ Κ'. ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τοῦ πότε ὁ μέγας Κωνσταντῖνος ἀνεῖλε τὸν υἱὸν αὐτοῦ Κρῖσπον καὶ Φαῦσταν τὴν γυναῖκα αὐτοῦ, πρὸ τοῦ βαπτισθῆναι, ἢ μετὰ τὸ βαπτισθῆναι.

Οὐ δύναμαι μὴ ἀποδεῖξαι ψεύστην τὸν Καρδηνάλιν Βαρώνιον, ἀποσκορακίζει γὰρ ἀπὸ τοῦ καταλόγου τῶν ἁγίων τὸν ἰσαπόστολον Κωνσταντῖνον, εἰς ἀραχναῖα τινὰ ἐθνικὰ ὑφάσματα ἐπιστηριζόμενος. διότι οὐ φαίνεται λαμπρῶς πότε ἄρα ἐφόνευσε τὴν Φαῦσταν, καὶ τὸν υἱὸν αὐτοῦ τὸν Κρῖσπον ὁ Βασιλεὺς, πρὸ τοῦ βαπτίσματος, ἢ μετὰ τὸ βάπτισμα, ὡς ἀμφέβαλλε καὶ ὁ Σουίδας. ἡ κοινὴ γνώμη τῶν ἐκκλησιαστικῶν φαίνεται ὅτι πρὸ τοῦ βαπτίσματος ταῦτα συνέβησαν. ὅθεν εἰς τὸν ἀργυροῦν Ἀνδριάντα ἐπέγραψε, τῷ ἠδικημένῳ υἱῷ μου. διότι εἰ ταῦτα συνέβησαν μετὰ τὸ βάπτισμα, καθὼς φέρει τὸν Κάλλιστον μάρτυρα, ὅστις θέλει ὅτι καὶ ὁ Κρῖσπος ἐβαπτίσθη μετὰ τοῦ πατρὸς αὐτοῦ, ἐζήτησεν ἂν ἀπὸ τοσούτων ἁγιωτάτων Πατέρων, οὓς προσεκαλέσατο ὅπως ἁγιάσωσι καὶ εὐλογήσωσι τὴν πόλιν αὐτοῦ, ἵνα λάβῃ προτιμότερον συγχώρησιν τοῦ τοσούτου μιάσματος, ἐπειδὴ χωρὶς συντριβῆς ἐπιπόνου τῆς καρδίας, καὶ χωρὶς μυστικῆς ἐξαγορεύσεως οὐ συγχωροῦνται τὰ τοιαῦτα. οὐ φαίνεται ὅμως πώποτε ὁ Βασιλεὺς Κωνσταντῖνος ζητῆσαι τοιαύτην συγχώρησιν.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ Κ'. ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ ὅτι ὁ μέγας Κωνσταντῖνος ἅγιός ἐστι, καὶ ἡ μνήμη αὐτοῦ ἑορτάζεται, εἰ καὶ μόλις Οὐρβανὸς ὁ ὄγδοος συνέθετο εἰς τοῦτο, καὶ τὶ τὸ αἴτιον.

+ Εἰς τὸν καιρὸν τοῦ Ῥώμης Οὐρβανοῦ τοῦ ὀγδόου ἐζητήθη εἰ ἔδει ἑορτάζεσθαι τὴν μνήμην τοῦ μεγάλου Κωνσταντίνου, καθότι πρὸς τὰ μέρη τῆς Καλαβρίας ἐφαίνετο ναὸς παλαιὸς τοῦ ἁγίου, καὶ μόλις ἐδυνήθη ὁ Πάπας εἰπεῖν τὸ ναὶ, ἀλλ' εἰ ἕως τοῦ Οὐρβανοῦ οὐκ ἦν γνώριμος διὰ ἅγιος ὁ ἰσαπόστολος Κωνσταντῖνος εἰς τὴν Ἰταλίαν, ὡς ὅτι ἔφερε τάχα τὰ σκῆπτρα εἰς Βυζάντιον, καὶ εἶχον εἰς αὐτὸν οἱ ἐν τῷ σχίσματι Πάπαι πάθος, ὁ ἅγιος ὑπῆρχε πάντοτε ἅγιος καὶ ἰσαπόστολος, ὅτι οὕτω καλεῖ ἡ γνῶσις καὶ ἡ πατροπαράδοτος δόξα τῆς Ἐκκλησίας, καὶ τὰ πρακτικὰ τῶν Οἰκουμενικῶν Συνόδων, καὶ μὴ εἴπῃ τὶς, οὕτω γράφουσι τινὲς, ὅτι εὐθὺς ἀκούει ὡς εἰσὶ ταῦτα λόγια σπερμολόγων ἀνδρῶν, καὶ ὡς ἐχθροὶ τῆς ὀρθοδοξίας, καὶ τοῦ μεγάλου Κωνσταντίνου ζηλόφθονοι ἐξέμεσαν ταῦτα, ἀλλ' ὁ ἅγιος Κωνσταντῖνος πάντοτε ἐστάθη στερεὸς κατὰ τὸ ἐπώνυμον, καὶ δικαίως κράζεται ὑπὸ τοῦ Θεοδωρίτου νέος Ζοροβάβελ, μᾶλλον δὲ ἀσυγκρίτως καὶ τοῦ Ζοροβάβελ ὑπέρτιμος, ὡς ἂν δι' αὐτοῦ γεγενημένου τοῦ στολισμοῦ τῆς Ἐκκλησίας, καὶ τῆς ἀνακαινίσεως τῆς ἡμῶν ἐλευθερίας, ἵνα μὴ λέγω ἁπλῶς καὶ τῆς σωτηρίας ἡμῶν τῆς νέας Ἱερουσαλὴμ τῆς ἐπικλήσεως. ἐῤῥέτω ἡ ἅμιλλα ἡμεσιτεύσασα διὰ τὸν δικέφαλον Ἀετὸν, διὰ τὰ σκῆπτρα τῆς αὐτοκρατορικῆς μοναρχίας, καὶ διὰ τὸ ἄφρον παπᾶτον ὅπερ ἔφερε τὴν ὑστέραν ἀνάγκην εἰς τὴν Χριστιανωσύνην.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ Κ'. ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Περὶ διαφορῶν καὶ γνωμῶν πολλῶν τοῦ ἐβαπτίσθη ὁ μέγας Κωνσταντῖνος, καὶ παρὰ τίνων, καὶ περὶ τῶν ἐν Ῥώμῃ καὶ Ἀρελάτῳ Συνόδων.

Οἱ θέλοντες δεῖξαι ὅτι ἐβαπτίσθη ὁ μέγας Κωνσταντῖνος εἰς Νικομήδειαν, φασὶν, ἐπειδὴ ἐπὶ Μιλτιάδου Ῥωμαίων Ἐπισκόπου ἤθροισεν ὁ μέγας Κωνσταντῖνος εἰς τὴν Ῥώμην καὶ εἰς τὴν Ἀρεταλησίων πόλιν δύο Συνόδους Τοπικὰς, ἐν αἷς ἦσαν καὶ Ἄρχοντες βασιλικοὶ τρεῖς, καὶ ὁ Συρακούσης Ἐπίσκοπος Χρῆστος, καὶ Καικιλιανὸς Ἐπίσκοπος Καρθαγένης μετὰ εἴκοσιν Ἀφρικανῶν Ἐπισκόπων, καὶ ἄλλοι τινὲς Ἐπίσκοποι ἀπὸ Γαλλίας, καὶ ἄλλων τόπων, ὡς λευκότατα ἱστορεῖ ὁ Εὐσέβιος εἰς τὸ δέκατον βιβλίον αὐτοῦ, εἶτα ἀπῆρεν ὁ Βασιλεὺς τῶν Ἑσπερίων, καὶ ὁ Σίλβεστρος ἐγένετο Ῥώμης ἀπόντος αὐτοῦ, συμπεραίνουσιν ἐκ τούτων, ὅτι ὁ μέγας Κωνσταντῖνος ἐβαπτίσθη εἰς Νικομήδειαν. ἀλλ' οἱ θέλοντες δεῖξαι ὅτι ἐβαπτίσθη εἰς Ῥώμην ὑπὸ τοῦ Πάπα Σιλβέστρου ὁ ἅγιος, λέγουσιν, ὅτι ἐπὶ Σιλβέστρου ἔλαβε τὴν Ῥώμην ὁ Κωνσταντῖνος, εἶτα μετὰ τὰ ἀνωτέρω εἰρημένα συμβάντα, ἐγένετο Χριστιανὸς, κἄπειτα ἐβαπτίσθη ὑπὸ τοῦ Σιλβέστρου. οὐκ ἀληθεύουσιν ὅμως οἱ τοιοῦτοι, ἐπειδὴ ὁ Κωνσταντῖνος εἰ οὐκ ἐξουσίαζε τῆς Ῥώμης πρὸ τῆς Πατριαρχίας τοῦ Σιλβέστρου, πῶς ἐκέλευε τῷ Πάπᾳ Μιλτιάδῃ καὶ τοῖς εἰς τὴν Ῥώμην Ἄρχουσι καὶ τοῖς Ἀφρικανοῖς καὶ Σικελοῖς ἵνα ἀθροίσωσι Σύνοδον εἰς τὴν Ῥώμην; καὶ εἰ οὐκ ἦν ὁ Κωνσταντῖνος Χριστιανὸς πρὸ τοῦ Σιλβέστρου, πῶς πρὸ τοῦ Σιλβέστρου ἤθροιζε Σύνοδον ὑπὲρ τῆς ἁγίας τῶν Χριστιανῶν πίστεως, ἣν καὶ ἐκθειάζει εἰς ἐκεῖνα τὰ προστάγματα; εἰς ἐκεῖνο δὲ ὅπερ λέγουσιν οἱ αὐτοὶ, ὅτι εἰ μὴ τῶν βεβαπτισμένος, πῶς ἐδέχετο τὰ μυστήρια, ῥητέον

ὅτι

ὅλη καὶ ὁ Κωνσαντῖ. ὃς τις ἦν βλαβέσατος εἰς ὃν καιρὸν τὸ θανάτω αὐτὸ ἐβαπτίσθη. ὡς δὲ ἔτος ἔζη εἰς τὸν χριστιανισμὸν, ἕτω καὶ ὁ πατὴρ αὐτοῦ. μήποτε δὲ ἀληθεία ἐστὶν ἐκεῖνο ὅπερ λέγει ὁ ἅγιος Θεοφάνης εἰς τὸ χρονικὸν αὐτοῦ, ὅτι δηλαδὴ ὁ μέγας Κωνσαντῖνος ἐβαπτίσθη ὑπὸ τοῦ ἁγίου Σιλβέστρου εἰς τὸ πρεσβυτέραν Ῥώμην, αἱ δὲ Διαταξεις αὐτοῦ φασὶ Μιλτιάδην, καὶ αἱ Συνοδοι ἐκεῖναι εἰσὶ πεπλασμέναι ὑπὸ τῶν Ἀρειανῶν, ἵνα ψέξωσι τὸν ἅγιον Βασιλέα ὡς ἀβάπτισον, ἵνα φανῇ ὅλη ἐβαπτίσθη ὑπὸ τῶν Ἀρειανῶν εἰς Νικομήδειαν, καὶ ἵτως ἀπατήσωσι ἡμᾶς ὡς καὶ ἠπάτησαν. ἀλλ' ἀντίκεινται εἰς τὸ γνώμιμο τοῦ Θεοφάνους Αὐγουστῖνος καὶ Ὀπτᾶτος λέγοντες, ὅλι οἱ Ἐπίσκοποι οἱ ἀπὸ μέρους τοῦ Δονάτου ἐφυγάδευθον εἰς Κωνσαντῖνον τὸν Βασιλέα, ὅστις ἐφυγάδευσε τῷ Ῥώμης Μιλτιάδῃ καὶ ἐθεώρησε τὸ ὑπόθεσιν μετὰ Δεκασυνέδ. Ἐπισκόπων Συνόδε, ἐν ᾗ Συνόδῳ ἐκρίθη ὑπὸ πάντων ἀθῶος ὁ Καικιλιανός. τῶν δὲ Δονατισῶν δόντων ἀναφορὰν δευτέραν εἰς τὸν μέγαν Κωνσαντῖνον, ἠθροίσθη ἐκεῖνος τῇ ἐφυγάδευσε δευτέρᾳ Συνόδος εἰς τὸ Φρέζελον Ἀρελάτων εἰς τὰς Γαλλίας, ἐν ᾗ πάλιν κατακριθέντες οἱ Δονατισταὶ, κατέφυγον εἰς τὸν Βασιλέα, καὶ ἐφυγάδευσαν αὐτὸν ἀναγκάσαι τὸν κρίσιν, ὅστις μόνος ἀκούσας τῆς ὑποθέσεως, ἐδικαίωσε τὸν Καικιλιανόν. λέγει δὲ ταῦτα ὁμοῦ Ὀπτᾶτος βιβλίῳ πρώτῳ καὶ δευτέρῳ κατὰ Παρμενιανοῦ, ὁδὲ Αὐγουστῖνος ἐπιστολῇ ἑκατοστῇ ἑξηκοστῇ ὀγδόῃ καὶ ἀλλαχοῦ, ἀδύνατον δὲ τοὺς τοιούτους ἁγίους ψεύδεσθαι, καὶ μάλιστα ἀρχαίους ὄντας. τί οὖν ῥητέον, ἢ ὅτι ἀληθέσερον περὶ τῆς ὑποθέσεως ταύτης ὅ, τε Εὐσέβιος καὶ Σωκράτης καὶ Σωζόμενος, καὶ ἔτι τούτοις ὁ Θεοδώρητος, ἀρχαῖοι ὄντες καὶ περὶ τῶν ἀρχαίων καὶ ἔγγιστα αὐτῶν γεγραφότες, καὶ μηδέποτε ὡς οὐκ ἀληθῶς περὶ αὐτῆς ὑπό τινος τῶν μετ' αὐτοὺς ἀρχαίων συγγραφέων ἐλεγχθέντες, καὶ μάλιστα οὐκ ἀπὸ παρόδου, ἀλλ' ἐπιμελημένως καὶ μετὰ πολλῶν τῶν περιστατικῶν ταύτην ἱστορήσαντες. ἐκεῖνα δὲ ἅπερ ἔτι λέγουσιν οἱ αὐστηρότεροι ἐρημῖται ἐκ τοῦ ἐφάσασιν τὰ, ὅτι ἐν Ῥώμῃ ἐβαπτίσθη ὁ Κωνσαντῖνος, ἤτοι τὰ θαύματα, τὰς εἰκόνας Πέτρου καὶ Παύλου, καὶ τὰ ἐκ τοῦ μὴ καθήκοντος ἐπιχειρήματα, ἤγουν εἰ ἦν ἀβάπτισ. ἠκολούθη τὰ δεῖνα καὶ τὰ δεῖνα ἄτοπα, ῥητέον, περὶ μὲν τοῦ τρίτου, ὅτι εἴρηται αὐστηρότερον καὶ τὸν Κωνσαίτιον βλαβέσατον ὄντα, ἐν ταῖς ἐσχάταις ἡμέραις τῆς ζωῆς αὐτοῦ βαπτισθῆναι, καὶ ἀδεὶς περὶ τούτου ἐνεκάλεσεν αὐτῷ, ἕτω φρονητέον καὶ περὶ τοῦ πατρὸς αὐτοῦ. περὶ δὲ τοῦ δευτέρου, ὅτι ὁ Εὐσέβιος βιβλίῳ ἑβδόμῳ, κεφαλαίῳ δεκάτῳ ὀγδόῳ λέγει, Πέτρου καὶ Παύλου, καὶ αὐτοῦ δὴ τοῦ Χριστοῦ ἀφὸ χρωμάτων ἐν γραφαῖς σωζομένας ἱστόρησεν, ἤτοι εἶδεν εἰκόνας, ἐμοὶ συμβαίνει ἐκ τούτου βαπτισθῆναι ἐν Ῥώμῃ τὸν Βασιλέα τὸν μέγαν, διότι ἦσαν εἰκόνες τῶν Ἀποστόλων ἐν τῷ τότε καιρῷ, ὅπερ ἐστὶ ὅλη ἦσαν εἰκόνες καὶ ἐπὶ τῶν Ἀποστόλων, ἐμαρτύρησαν καὶ ἄλλοι, καὶ μάλιστα ἅγιοι, καὶ ἐδὲ κατωτέρω βιβλίου ἑβδόμου κεφάλαιον δευτέρου. ἀλλ' ὁδὸν προσεγγύσερ ἐν τῇ Ἐκκλησίᾳ ἔργον, ἀλλ' ἢ μόνον ἡ εἴδησις ὅλι ἦσαν εἰκόνες. πρὸς δὲ τὸ πρῶτον ῥητέον, ὅλι οὐκ ἀρνούμεθα γεγονέναι ἐν τῇ Ἐκκλησίᾳ θαύματα, καὶ μείζονα ὧν λέγεται οἱ διαληφθέντες γεγονῆθαι ὑπὸ Σιλβέστρου, ταῦτα ὅμως τὰ ὑπὸ Σιλβέστρου ἀφὸ τὸ βάπτισμα τοῦ Κωνσαντίνου ψευδέστατά εἰσιν, εἰ δὲ ὁ λόγος ὁ περὶ τοῦ ἐν Ῥώμῃ βαπτίσματος τοῦ Κωνσαντίνου ἀρχαῖος, καὶ ὑπὸ τοῦ ὁμολογητοῦ Θεοφάνους, καὶ ἄλλων γνησίων Ἱερέων ἀνδρῶν ἐφημίζ., ἀλλ' ὅμως ὢν πλάσμα τὸ πρῶτον, μετὰ δὲ ταῦτα ὑπὸ προσλήψεως ἐφημίζ., ἀβοηθεῖται ὑπὸ τῆς ἀρχαιότητος, ὡς καὶ τὸ φημιζόμενον θέατρον τοῦ αὐτοῦ Κωνσαντίνου, καὶ ἐκεῖνο, ὅλι ἀπῆλθεν εἰς Ῥώμην Τηρεδάτης ὁ τῆς Ἀρμενίας Βασιλεὺς σὺν τῷ ἁγίῳ Γρηγορίῳ, καὶ ἐκεῖνο, ὅλι ἐν τῇ ἐν Ῥώμῃ ἐπὶ Σιλβέστρου δευτέρᾳ Συνόδῳ συμπαρῆσαν Κωνσαντῖν. καὶ Ἑλένη, καὶ ἐκεῖνο, ὅλι σὺν ἀπῆλθε τῇ ἁγίᾳ Ἑλένῃ ὁ Σίλβεστρος ἀπὸ Ῥώμης εἰς Ἱερουσαλήμ, καὶ ἐκεῖνο, ὅλι συνυπέστρεψαν ἄμφω ἀπὸ Ἱερουσαλὴμ εἰς Ῥώμην. ἐς οὗ ταῦτα ψευδῆ, ἕτω καὶ τὰ περὶ Σιλβέστρου καὶ Κωνσαντίνου ἱστορούμενα πεπλασμένα εἰσὶ, καὶ μηδὲ μιᾶς ἀληθείας ἐχόμενα. ἀδὲ καὶ λέγει ὁ Θεοφάνης ὅλι ἐν τῇ Ῥώμῃ ἐν τῷ κατ' ἐκεῖνον καιρῷ διέσκεπτο ὁ βαπτιστὴς ἐν ᾧ ἐβαπτίσθη ὁ μέγας Κωνσαντῖν., ῥητέον ὅλι μᾶλλον πιστεύομεν Θεοδωρήτῳ καὶ τοῖς λοιποῖς τῶν ἀρχαιοτέρων ἢ Θεοφάνει, ἃ μάλιστα λέγουσιν ἅπερ σαφῶς ἦσαν ἐν τοῖς ὠσὶν αὐτῶν. προσεπιλέγουσιν οἱ αὐτοὶ, ὅλι εἰδώσωμεν βεβαπτίσθαι τὸν Κωνσαντῖνον ἐν Νικομηδείᾳ, πάντως ἐβάπτισεν αὐτὸν ὁ Νικομηδείας Εὐσέβι., ὃς ἦν Ἀρειανὸς, καὶ ἔτι τοῦτο εἰς καύχημα τοῖς Ἀρειανοῖς, ἐγκαυχωμένοις ὅλι ὁ μέγας Κωνσαντῖνος ἀπέθανεν Ἀρειανός. ἀλλὰ ῥητέον, ὅλι ἀμελημῖν περὶ ὧν καυχῶνται οἱ Αἱρετικοὶ, οἵτινες ἀεὶ ψεύδονται καὶ συκοφαντοῦσι τοὺς ἁγίους, ἀλλά τίς ἐστὶν ἡ ἀλήθεια ζητοῦμεν μαθεῖν. δευτέρου, ὅλι ὁ Καισαρείας Εὐσέβι. τὸ βάπτισμα καὶ τὸν θάνατον τοῦ ἁγίου μετὰ πολλῶν τῶν περισκεπτικῶν ἱστορήσας, οὐκ εἶπεν ὅλι ἐβαπτίσθη ἐν Νικομηδείᾳ, ἀλλ' ἐν περασείῳ τῆς Νικομηδείας. τρίτον, ὅλι ἀλέγα τὸν Νικομηδείας Εὐσέβιον βαπτίσαι τὸν ἅγιον, ἅτε μιᾶ ὅλως μνήμιμο ποιεῖται αὐτοῦ, ἀλλ' ὅτι ὁ Κωνσαντῖνος συγκαλέσας τοὺς Ἐπισκόπους κοινῶς αὐτοῖς διελέχθη περὶ τοῦ βαπτίσματος, καὶ ὅτι οὐκ ἐβαπτίσθη πρότερον, ὅτι ἐβούλετο ἀπελθεῖν καὶ βαπτισθῆναι ἐν τῷ Ἰορδάνῃ ποταμῷ. οἱ δὲ Ἐπίσκοποι κοινῶς τὰ νόμιμα τελοῦντες, θεσμοὺς ἐπλήξαν θείους, καὶ τῶν ἀποῤῥήτων μετεδίδοσαν, ὅσα χρὴ προδιασκελαίμους. τὸ δὲ ὅσα χρὴ, δηλοῖ τὸ οὐκ ἁπλῶς καὶ ὡς ἔτυχε βαπτισθῆναι, ἀλλὰ κατηχηθέντα ὑπὸ τῶν Ἐπισκόπων, τὰ περὶ τοῦ βαπτί-

πτίσματος δηλονότι, ὡς ὁ Σωζόμενός φησι βιβλίῳ δευτέρῳ, κεφαλαίῳ ἐσχάτῳ. οὐκ ἦν δὲ ἡ τότε πρακολουθήσασα τῷ Βασιλεῖ κατὰ τὸ εἰκὸς κοινότης τῶν Ἐπισκόπων αἱρετικὴ, ἀλλ' ἡ ὀρθόδοξος καὶ ὁμόπιστος αὐτῷ, καὶ μάλιστα οἱ ἔγκριτοι τῶν ἐν Κωνσταντινουπόλει παρευρεθέντων Ἐπισκόπων ἦσαν οἱ ἀκολουθήσαντες αὐτῷ. ἔστι δὲ εἰπεῖν καὶ τοῦτο, ὅτι Νικομηδείας Εὐσέβιος ἀπὸ τῶν συγγραμμάτων αὐτοῦ ἐκρίθη Ἀρειανὸς, καὶ εἰ ἐβαπτίσθη ὑπὸ τοῦ Νικομηδείας Εὐσεβίου ὁ μέγας Κωνσταντῖνος, ἔγραψεν ἂν τοῦτο Εὐσέβιος εἰς καύχησιν αὐτοῦ, ἀλλ' οὐκ ἔγραψεν, ἐπειδὴ οὐκ ἐβάπτισεν αὐτὸν ὁ Εὐσέβιος, ἀλλ' ἡ κοινότης τῶν ὀρθοδόξων Ἐπισκόπων ὡς εἴρηται.

ΒΙΒΑΙΟΝ Α'. ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τοῦ θεσπίσματος τοῦ μεγάλου Κωνσταντίνου πρὸς τὸν Ῥώμης ὅτι δείκνυται διὰ πολλῶν καὶ λαμπρῶν ἀποδείξεων εἶναι διόλου πλάσμα καὶ προφανέστατον ψεῦδος, ἢ ἐν πᾶσι διεφθαρμένον, καὶ περὶ τῶν ἐξωτερικῶν ἐθίμων καὶ ἱματισμῶν τοῦ Ῥώμης.

Τὸ θέσπισμα τοῦ μεγάλου Κωνσταντίνου, ὅπερ σημειοῖ εἰς τὸν ὄγδον Τίτλον τοῦ Νομοκανόνος τοῦ Φωτίου ὁ Βαλσαμὼν, καὶ δὴ καὶ ὁ Βλάσταρις τοῦτο λέγει, φασὶν ὅτι καὶ ὁ Φώτιος, οὐκ οἶδα εἰ καὶ τις ἄλλος, οἱ περιποιούμενοι ὅμως αὐτὸ καὶ προβάλλοντες Λατῖνοι, πῇ μὲν ἐναγκαλίζονται αὐτὸ ἡδέως, ὡς ὅτι διὰ τοῦ πεπλασμένου Γενναδίου σχολαρίου τιθέασιν αὐτὸ εἰς τὰ πρακτικὰ τοῦ ἐν Φλωρεντείᾳ συνεδρίου, ἀλλὰ δὴ καὶ ἐν τῷ τέλει τοῦ πρώτου Τόμου τοῦ συνοδικοῦ κατέταξαν αὐτὸ, καὶ πολλοῖς σχολίοις σπουδάζουσι συνιστᾶν ἐν τούτῳ τῷ τόπῳ ὡς καὶ ἐν ἄλλοις πολλοῖς. πῇ δὲ γενναίως αὐτὸ ἀποστρέφονται, καθότι τὴν ἐξουσίαν τοῦ Πάπα οὐ θέλουσι μήτε ὑπὸ Βασιλέων εἶναι, μήτε ὑπὸ Κανόνων, ἀλλ' ἀπ' αὐτοῦ τοῦ Χριστοῦ καὶ τοῦ Πέτρου. ὅτι δὲ πλάσμά ἐστι καὶ προφανέστατον ψεῦδος τὸ θέσπισμα τοῦτο, ἢ ὅλως διεφθαρμένον, πρόδηλον, πρῶτον, ὅτι ἄλλως γράφεται ὑπὸ τοῦ Βαλσαμῶνος, ἄλλως ὑπὸ τοῦ Σχολαρίου, καὶ ἄλλως ὑπὸ τοῦ Βλαστάρεως. δεύτερον, ὅτι οὐδεὶς ἱστορικὸς, οὔτε ἐκκλησιαστικὸς, οὔτε αὐτοὶ τῶν λατίνων οἱ ἀρχαῖοι ἱστορικοὶ, καὶ μάλιστα οἱ περὶ τῶν Παπῶν συγγραψάμενοι, Δάμασος δηλονότι ὁ Πάπας, Λιμπεράτος, Ἀναστάσιος, Πλάτινας καὶ οἱ λοιποὶ τοιοῦτοι τούτου ἐμνημόνευσαν. τρίτον, ὅτι οὔτε ἐν ταῖς διαφοραῖς ἃς εἶχον οἱ Πάπαι μετὰ τῶν τῆς Ἀνατολῆς Πατριαρχῶν τοῦτο προεβάλλοντο, καθὼς τυχὸν ἐμάχετο ὁ Ἰούλιος μετὰ τῶν Εὐσεβιανῶν, ὁ Δάμασος καὶ ἄλλοι μετὰ Φλαυϊανοῦ τοῦ Ἀντιοχείας, καὶ Φίληξ καὶ Σιμπλίκιος καὶ ἄλλοι μετὰ Ἀκακίου, Εὐθυμίου καὶ Μακεδονίου τῶν Κωνσταντινουπόλεως Πατριαρχῶν, καὶ ὁ Ἀγαπητὸς μετὰ τοῦ Ἀνθίμου, καὶ ὁ Βιγίλιος μετὰ τοῦ Μηνᾶ ἀντικαθήροντο, καὶ ὁ Διάλογος μετὰ τοῦ Νηστευτοῦ διὰ τὴν οἰκουμενικὸς προσηγορίαν, καὶ ὕστερον ὁ Φώτιος μετὰ Νικολάου καὶ Ἀδριανοῦ. τέταρτον, ὅτι μήτε εἰς Σύνοδον ἢ Τοπικὴν, ἢ Οἰκουμενικὴν ἠξιώθη λόγου, ἐπειδὴ εἰς τὴν ἐν Σαρδικῇ Κανόνας ἐξέθεντο οἱ Δυτικοὶ περὶ τοῦ Πάπα, καὶ εἰς Καρθαγένην Κανόνας πλαστοὺς ὡς τάχα ὑπάρχουσι τῆς ἐν Νικαίᾳ προεβάλλοντο, τοῦ δὲ τοιούτου θεσπίσματος οὐδὲ μία μνεία, ὥστε ἡ τετάρτη Σύνοδος τὰ δευτερεῖα βεβαιοῦσα τῷ Κωνσταντινουπόλεως, εἶπεν ὅτι τὰ πρωτεῖα εἶχεν ἡ Ῥώμη ἀπὸ τῶν Πατέρων, οὐκ ἀπὸ τοῦ θεσπίσματος, οὕτως εἴρηκε καὶ ἡ ἐν Τρούλλῳ, καὶ μετὰ τὸ σχίσμα, ὅτε ἐπὶ τοῦ Μονομάχου καὶ Ἀλεξίου καὶ Μανουὴλ τῶν Κομνηνῶν, καὶ μάλιστα ἐπὶ Μιχαὴλ τοῦ Παλαιολόγου ἔσειον τοὺς κώδωνας τῆς παπικῆς καινοτομίας οἱ Πάπαι, καὶ δὴ καὶ ἐπ' αὐτῆς τῆς Φλωρεντινῆς συναγωγῆς, ὅτε ὑπετίθετο ὁ κολωφὼν τῆς ἀσεβείας, οὐδεὶς λόγος τοῦ θεσπίσματος. πέμπτον, μήτε ὁ Ἰουστινιανὸς γράφων ἐν πολλοῖς καὶ διὰ πολλῶν περὶ τῶν πρεσβείων τῶν Ἐκκλησιῶν, μήτε ὁ Βασιλίσκος μαχόμενος τοῖς πρεσβείοις τοῦ Κωνσταντινουπόλεως, μήτε ὁ Φωκᾶς συνιστῶν τὸ πρωτεῖον τοῦ Πάπα, μήτε ὁ Μακεδὼν Βασίλειος μαινόμενος κατὰ τοῦ Φωτίου, μήτε ὁ σοφὸς Λέων κολακεύων τὸν Ῥώμης Θεόδωρον διὰ τὴν τετραγαμίαν ἐμνήσθησαν τοῦ θεσπίσματος. ἕκτον, ὅτι διορίζει ἐκεῖνο ὅπερ οὐ διώρισε Σύνοδος, καὶ γὰρ οὐ δύναται Βασιλεὺς ἄνευ συνοδικῆς ἀποφάσεως ἀξίωμά τι δοῦναι εἰς τὴν Ἐκκλησίαν, ὅθεν ὁ Αὐτοκράτωρ Κωνσταντῖνος ὁ Δούκας, ὡς σημειοῖ ὁ Βαλσαμὼν εἰς τὸν δέκατον ἕβδομον Κανόνα τῆς ἐν Χαλκηδόνι Συνόδου, ἔλεγε περί τινων ζητοῦν τῶν ἵνα ἀναβιβάσῃ Ἐπισκοπὴν εἰς Μητρόπολιν, ὅτι τοῦ Βασιλέως ἱσταμένου μετὰ φόβου Θεοῦ καὶ τρόμου, εἴ ἐστιν ἄνθρωπος ὁ Βασιλεὺς, καθεζομένου δὲ τοῦ Ἱερέως, πῶς δύναται ὁ ἱστάμενος τῷ καθεζομένῳ χαρίσασθαι ὑψηλότερον θρόνον; καὶ τοῦτο οὐμόνον ἐπὶ Μητροπολιτῶν καὶ Ἀρχιεπισκόπων γίνεται, ἀλλὰ καὶ ἐπὶ Ἱερέως πτωχοῦ καὶ ζευγελατοῦντος, καὶ ποιμαίνοντος, ὥπερ καὶ ὁ ἐν ἁγίοις μέγας σπυ-

ριδων

ρίδων ὁ θρυλλόμενος. λέγομεν λοιπὸν ὅτι εἰ ἡ συνήθεια ἔδωκεν ἵνα προβιβάζωσι τινὰς Ἐπισκοπὰς εἰς Μητροπόλεις οἱ βασιλεῖς, ἀλλὰ καὶ τοῦτο διὰ τῆς Ἐκκλησίας, καὶ μάλιστα ὅπου γίνεται Μητροπολίτης ὅιοι οἱ Μητροπολῖται, οὐμὴν καὶ ἔξωλόν τι καὶ ἀλλότριον τῶν Κανόνων δύναται δοῦναι, ἐπεὶ εἴ τινας ἔχουσιν ὅιτε Πατριάρχαι καὶ Μητροπολῖται τάξεις καὶ στάσεις, ἔχουσιν αὐτὰς ἀπὸ τῶν Κανόνων, οὐκ ἀπὸ Νεαρῶν καὶ θεσπισμάτων, ὅιτινες ἕπονται τοῖς Κανόσι, καὶ οὐ τὸ ἀνάπαλιν. ὅθεν ὁμέγας Ἰουστινιανὸς νομοθετῶν διὰ τὰ πρεσβεῖα τῶν Ἐκκλησιῶν Ῥώμης νέας τε καὶ παλαιᾶς, οὐκ εἶπε θεσπίζομεν ἢ αὐτὸς ἐξ οἰκείας αὐθεντείας, ἢ ἀπὸ τοῦ θεσπίσματος τοῦ μεγάλου Κωνσταντίνου, ἀλλὰ κατὰ τοὺς ὅρους τῶν ἁγίων πατέρων, τόσον ὥστε θέλων εἰπεῖν διὰ τὴν αὐτονομίαν τοῦ Ἀχρίδος, οὐκ ἐδυνήθη τελειῶσαι τὴν ἀπόφασιν αὐτοῦ, πλὴν εἰ μὴ εἶπε, κατὰ τὰ διορισθέντα ὑπὸ τοῦ Πάπα Βιγιλίου, καὶ διατοῦτο ἡ τρίτη Σύνοδος εἰς τὸν ὄγδοον αὐτῆς Κανόνα κρατύνουσα πάντα τὰ ἐξ ἔθους ἀρχαῖα διατυπωθέντα τῇ Ἐκκλησίᾳ, ἐπήγαγεν, εἰ δέ τις μαχόμενον τύπον (ἤγουν θέσπισμα, Νεαρὰν) τοῖς νῦν ὡρισμένοις κομίσει, ἄκυρον εἶναι τοῦτον. καὶ εἰς τὴν τετάρτην πρᾶξιν αὐτῆς ἡ ἐν Χαλκηδόνι Σύνοδος ὁρίζει, οἱ πραγματικοὶ τύποι ἀργείτωσαν, οἱ Κανόνες κρατείτωσαν, καὶ ἰδὲ βιβλίου τετάρτου, κεφαλαίου πρώτου, Παράγραφον δέκατον ἕκτον, καίγε αὐτὸς ὁ Ἰουστινιανὸς ἑκατοστῇ τριακοστῇ τρίτῃ Νεαρᾷ διατάττων τὰ προνόμια τῶν Ἐκκλησιῶν, λέγει εἶναι αὐτὰ βέβαια, καὶ οἱ τοῖς Κανόσιν ἐναντιούμενοι πραγματικοὶ τύποι ἀκυρούσθωσαν. ὁ αὐτὸς, θεσπίζομεν τάξιν Νόμου ἐπέχειν τοὺς ἁγίους ἐκκλησιαστικοὺς Κανόνας τοὺς ὑπὸ τῶν ἁγίων τεσσάρων Συνόδων ἐκτεθέντας ἢ βεβαιωθέντας, τῶν γὰρ εἰρημένων ἁγίων τεσσάρων Συνόδων τὰ δόγματα καθάπερ τὰς θείας γραφὰς φυλάττομεν. πλάσμα λοιπὸν τὸ θέσπισμα, καθότι καὶ παράνομον. ἕβδομον, ὅτι ἐστὶ καὶ ἀσύνηθες, καθότι μηδεὶς Αὐτοκράτωρ περί τινος θεσπιζομένου εἶπεν ὅτι ὁρίζει μετὰ τῆς Συγκλήτου καὶ μετὰ τοῦ λαοῦ, ἀλλὰ μόνος. καὶ νῦν πῶς ὁ τοσοῦτος Αὐτοκράτωρ περὶ τοῦ Ῥώμης διορίζει μετὰ Συγκλήτου καὶ μετὰ λαοῦ; ὄγδοον, ὅτι περιέχει βλασφημίαν ἐσχάτην, οὐκ ἦν δὲ βλασφημιῶν θεσπιστὴς ὁμέγας καὶ ἅγιος Κωνσταντῖνος, ἄπαγε. λέγει γὰρ τὸ θέσπισμα, ὅτι ὁ ἅγιος Πέτρος φέρει πρόσωπον τοῦ Υἱοῦ τοῦ Θεοῦ εἰς τὴν γῆν, ὅπερ ἐὰν ἐννοῇ ὁ συγγραφεὺς ὅτι εἶχε τοιοῦτον ἀξίωμα ὁμακάριος Πέτρος ὡς εἶχον καὶ οἱ Ἀπόστολοι, ἴσως τοῦτο δόξοι φορητὸν, εἰ δὲ μοναρχικῶς, πῶς εἶπεν τοῦτο ἡ γραφή; ἔνατον, ὅτι λέγει πῶς ἔδωκεν ὁ Κωνσταντῖνος τῷ Πάπᾳ Ῥώμης ἵνα ἔχῃ μείζονα ἐξουσίαν εἰς τὴν γῆν παρὰ τοὺς Βασιλεῖς, ὅπερ εἰ ἐνόησεν ἵνα καθὸ Ἐπίσκοπος ἔχῃ ὁ Πάπας τοιαύτην ἐξουσίαν εἰς τὰ πνευματικὰ, ἔχουσι καὶ οἱ λοιποὶ Ἐπίσκοποι πάντες τὴν αὐτὴν ἐξουσίαν. ὁ γὰρ Χρυσόστομος ἐξηγούμενος περὶ τοῦ μεγάλου Θεοδοσίου καὶ Φλαυϊανοῦ Ἀντιοχείας, λέγει περὶ Φλαυϊανοῦ, Ἄρχων ἐστὶ καὶ οὗτος, καὶ Ἄρχων ἐκείνου (ὁ Πατριάρχης τοῦ Βασιλέως) σεμνότερος, καὶ γὰρ αὐτὴν τὴν βασιλικὴν κεφαλὴν οἱ ἱεροὶ Νόμοι τῆς τούτου φέροντες χερσὶν ὑπέταξαν. ἔχει καὶ στέφανον ὁ Φλαυϊανὸς ἐπὶ τῆς κεφαλῆς κείμενον, λόγῳ τρίτῳ περὶ Ἀνδριάντων. ἰδὲ καὶ ἀνωτέρω κεφαλαίου ἑνδεκάτου Παράγραφον ἕκτον. εἰδ' ὡς κοσμικὸς, τὶς κοινωνία σαρκὶ καὶ πνεύματι; καὶ πῶς οὐ προέβαλε τὸ θέσπισμα αὐτὸ ὅτε κατεφρονεῖτο καὶ ἐξωρίζετο καὶ ἐβιάζετο καὶ ἐξουσιάζετο ὑπὸ τοῦ Κωνσταντίου ὁ Πάπας Λιβέριος; περὶ οὗ ἔγραψε τῷ Ἐπάρχῳ Ῥώμης καὶ ἔπεμψεν αὐτὸν εἰς αὐτὸν, καὶ ἐλθόντα εἶπεν αὐτὸν οὐχὶ μείζονα, ἢ ἴσον Βασιλέων, ἢ πρῶτον Ἐπίσκοπον, ἀλλὰ τί; διὰ τὸ εἶναί σε Ἐπίσκοπον τῆς ἡμετέρας πόλεως, καὶ, ποστὸν μέρος τῆς Οἰκουμένης εἶ; ὅτε καὶ Ἐπίκτητός τις Ἐπίσκοπος εἶπεν, οὐ κριμάτων ἐκλησιαστικῶν αὐτιποιούμενος ὁ Λιβέριος τὸν λόγον ποιεῖται, ἀλλὰ τοῖς ἐν Ῥώμῃ Συγκλητικοῖς καυχήσασθαι ὡς συλλογισάμενος τὸν Βασιλέα. καὶ ὁ Δάμασος ὅτε περὶ τοῦ Ἀντιοχείας Φλαυϊανοῦ παρεκρούετο ὑπὸ τοῦ μεγάλου Θεοδοσίου, καὶ ὁ Ἰννοκέντιος ὅτε ζητῶν ἀνάκλησιν τοῦ Χρυσοστόμου κατεφρονεῖτο ὑπὸ τοῦ Ἀρκαδίου, καὶ ἐδιώκοντο ἀμεταστρεπτὶ οἱ Λεγᾶτοι αὐτοῦ, καὶ Λέων ὁ ἁγιώτατος ὅτε μὴ εἰσακουόμενος ὑπὸ τοῦ μικροῦ Θεοδοσίου ἔβαλε μεσίτας τὸν Βασιλέα τῆς Δύσεως Οὐαλεντιανὸν καὶ Πλακιδίαν καὶ Εὐδοκίαν τὰς Βασιλίσσας, καὶ ὅτε εἰς οὐδὲν ἐλογίζετο γράφων καὶ μαχόμενος διὰ τὰ βεβαιωθέντα ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου πρεσβεῖα τοῦ Κωνσταντινουπόλεως, καὶ ὅτε Σιμπλίκιος, Φίληξ, Γελάσιος, Ἀναστάσιος, καὶ Σύμμαχος οἱ Πάπαι ἐμάχοντο Ζήνωνι καὶ Ἀναστασίῳ τοῖς Βασιλεῦσι, πῶς οὐ προέβαλον τὸ θέσπισμα; εἴ ἐστι τοῦ Πάπα ἡ ἐξουσία ὑπὲρ τοὺς Βασιλεῖς, καὶ μὴ ὡς Ἐπισκόπου ὁμοίου τοῖς ἄλλοις Ἐπισκόποις, ἀλλ' ὡς ὄντος τινὸς ἑτέρου ἀξιώματος, διὰ τί ὁ Πάπας Ἰωάννης ἐγονάτιζεν ἔμπροσθεν Ἰουστίνου τοῦ Θρᾳκός; διὰ τί ὁ Λιβέριος Πάπας κρίνεται ὑπὸ Βελισαρίου, καὶ μάλιστα ὑπὸ Ἀντωνίνης τῆς γυναικὸς Βελισαρίου ἐξορίζεται; καὶ διὰ τί ἄγεται δέσμιος ὁ Βιγίλιος εἰς Κωνσταντινούπολιν, κακοπαθεῖ, ἐξορίζεται, καταφρονεῖται; πῶς ἦν τὸ θέσπισμα ὅτε μαχόμενος ὁ Διάλογος μετὰ τοῦ Νηστευτοῦ διὰ τὴν οἰκουμενικὸς προσηγορίαν, κατεφρονεῖτο ὑπὸ τοῦ Μαυρικίου; καὶ εἰ εἶχε τοιαύτην ἐξουσίαν ὁ Πάπας, πῶς ὁ μετὰ Διάλογον καὶ Σαβῖνον Βονιφάτιος ἐπενόει ἑαυτῷ καταποντισμοῦ ῥήματα, ταὐτὸν εἰπεῖν τοῦ ἑωσφόρου τὰ ἀποφθέγματα; πῶς ὁ Πάπας Μαρτῖνος δεσμεῖται καὶ ἐξορίζεται εἰς Χερσῶνα; καὶ τὸν Κώνσταντα ἀπελθόντα

τα εἰς Ῥώμην προϋπαντᾷ ἕως ἔξω τῆς πόλεως ὁ Πάπας Βιταλιανὸς, καὶ ὁ Ἀγάθων πῶς ἔγραφεν ἑαυτὸν δοῦλον εἰς τὸν Πωγωνᾶτον, καὶ Ἀδριανὸς ὁ πρῶτος, ἰδὲ τὸν τόπον, πῶς ἔγραφε τῷ Ταρασίῳ περὶ Κωνσταντίνου καὶ Εἰρήνης, ποῦ ἦν εἰς ταῦτα καὶ τὰ τοιαῦτα τὸ θέσπισμα; οὐδαμοῦ. ὥστε πλάσμά ἐστι καὶ προφανὴς μῦθος. δέκατον, ὅτι λέγει εἶναι τὸν Ῥώμης κεφαλὴν τῶν τεσσάρων Πατριαρχικῶν θρόνων, τριχῶς καταψευδόμενον, πρῶτον, ὅτι τότε ἡ Κωνσταντινούπολις οὐκ ἦν Πατριαρχεῖον. δεύτερον, ὅτι τότε ἐλέγοντο οἱ Πατριάρχαι Ἐπίσκοποι, καὶ τὸ ὄνομα Παριάρχης ἐστὶν ὑστερογένες, καὶ τὸ δὴ γελοῖον, ὅτι μήτε ἡ Κωνσταντινούπολις ἦν ἐκτισμένη ὡς αὐτὸ τὸ θέσπισμα μαρτυρεῖ περίπου τὸ τέλος αὐτοῦ. ἐνδέκατον, ὅτι λέγει πῶς εἴτι ἐστὶ πρὸς θεραπείαν τοῦ Θεοῦ καὶ στερέωσιν τῆς πίστεως, ἵνα κρίνηται παρ' αὐτοῦ ἤγουν τοῦ Πάπα. ὅπερ ἀντίκειται ἁπλῶς τῇ γραφῇ, τοῖς Κανόσι, καὶ τῇ συνηθείᾳ. τῇ μὲν γραφῇ, ὅτι ἡ ἐσχάτη ψῆφος ἐστὶ τῆς Οἰκουμενικῆς Συνόδου. τοῖς δὲ Κανόσι, τῷ τριακοστῷ τεταρτῷ καὶ τῷ τριακοστῷ ἑβδόμῳ τῶν ἁγίων Ἀποστόλων, καὶ τῷ πέμπτῳ καὶ ἕκτῳ καὶ ἑβδόμῳ τῆς ἐν Νικαίᾳ, καὶ τῷ δευτέρῳ καὶ τρίτῳ τῆς δευτέρας Συνόδου, καὶ τῷ εἰκοστῷ ὀγδόῳ τῆς ἐν Χαλκηδόνι, καὶ τῷ τριακοστῷ ἕκτῳ τῆς ἐν Τρούλλῳ, καὶ πολλοῖς ἄλλοις. τῇ δὲ συνηθείᾳ, διττῶς, πρῶτον μὲν ὅτι ὅτε ὁ Πάπας ἔκρινε περὶ τοῦ βαπτίσματος, κατεφρονήθη συνοδικῶς ὑπὸ τῶν Ἀφρικανῶν καὶ Αἰγυπτίων καὶ Ἀνατολικῶν. ὅτε περὶ τοῦ Πάσχα, κατεφρονήθη ὑπὸ τῶν Ἀσιανῶν. ὅτε ἐδικαίωσεν Ἀθανάσιον καὶ τοὺς περὶ αὐτὸν, κατεφρονήθη ὑπὸ τῶν Ἀνατολικῶν. ὅτε ἐζήτει μόνος ἵνα κρίνῃ Φλαυϊανὸν Ἀντιοχείας, καὶ Ἀκάκιον, καὶ Εὐθύμιον, καὶ Μακεδόνιον, καὶ Νηστευτὴν, καὶ Φώτιον, εἰς οὐδὲν ἐλογίσθη. ὅτε ὁ Βιγίλιος ἤργησε τὸν Μηνᾶν, ἠργήθη καὶ αὐτὸς ὑπὸ τοῦ Μηνᾶ. ὅτε τὸν Φώτιον ἐκάθηρεν, ἀντεκαθηρέθη. ὅτε δὲ αἱ Οἰκουμενικαὶ Σύνοδοι ἔκριναν περὶ τούτων καὶ τῶν τοιούτων, ὅλα εἰς ὅλον τὸν περίγειον κόσμον ἐβεβαιώθησαν, καὶ ἦσαν καὶ βεβαιωμένα, εἰ μὴ ἔσχιζεν αὐτὸς ὁ καλότυχος Πάπας τὴν Ἐκκλησίαν. εἶτα ὁ Ἀλεξανδρείας Ἀλέξανδρος ἔκρινε τὴν Αἵρεσιν τοῦ Ἀρείου καὶ τὸν Ἄρειον, καὶ ὁ Κύριλλος τὸν Νεστόριον, καὶ ὁ Κελεστῖνος Πάπας τὸν αὐτὸν Νεστόριον, οἱ Ῥώμης Ἐπίσκοποι, Ἰωάννης, Θεόδωρος, Μαρτῖνος καὶ Ἀγάθων συνοδικῶς ἔκρινον καὶ κατέκρινον τοὺς Μονοθελήτας, καὶ ὁ Ἱεροσολύμων Σωφρόνιος συνοδικῶς πρῶτος κατέκρινε τοὺς αὐτοὺς, ἀλλ' οὐδὲν συνεπέρανον, ἕως οὗ αἱ Οἰκουμενικαὶ Σύνοδοι ἔκριναν, ἃς ἤθροισαν καὶ ἐβεβαίωσαν οἱ Βασιλεῖς, καὶ ποῦ τοῦ Ῥώμης ἡ ἐξουσία τοῦ κρίνειν; ἰδὲ πόσοι Πάπαι ἐκρίθησαν οὐμόνον ὑπὸ Οἰκουμενικῶν Συνόδων, ἀλλὰ καὶ ἰδίων. καὶ οἱ Κωνσταντινουπολῖται ἐξετάζουσι τὰ συνοδικὰ τοῦ Μαρτίνου. καὶ λοιπὸν ὅταν οἱ Πάπαι κρίνωνται ὑπὸ κοινῶν καὶ ἰδίων Συνόδων, ὅταν αἱ κρίσεις αὐτῶν ἀποβλέπωσιν εἰς Οἰκουμενικὴν Σύνοδον, ὅταν αἱ ἐπιστολαὶ αὐτῶν ἀναψηλαφῶνται, ἐξετάζωνται, κρίνωνται ὑπὸ τῶν Οἰκουμενικῶν Συνόδων, ὅταν οἱ Πάπαι εἰδωλολατρῶσι, κρίνωνται, ἀνακρίνωνται, δικαιῶνται, καθαιρῶνται, ἀναθεματίζωνται, ἀποβάλλωνται, διώκωνται, βλασφημῶνται, εἰς οὐδὲν λογίζωνται, πῶς εἰσὶ κριταὶ τοῖς αὐτοὺς ἀποβαλλομένοις, κατακρίνουσι, καὶ εἰς οὐδὲν λογιζομένοις; δεύτερον δὲ, ὅτι μήτε ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἐπεκράτησεν εἶναι τὸν Πάπαν κριτὴν καθόλου εἰς τὴν Ἐκκλησίαν, ἐπειδὴ ὅτι ὥρισε ἵνα κριθῇ ὁ Καρθαγένης Καικιλιανὸς εἰς τὴν Ῥώμην ἐπὶ Μιλτιάδου Πάπα, δῆλον, οὐμὴν δὲ ἵνα αὐτὸν κρίνῃ ὁ Ῥώμης. ἔτι οὐ τὸν Πάπαν ὥρισεν ἵνα κρίνῃ Ἄρειον καὶ Ἀρειανοὺς, ἀλλὰ τὴν ἐν Νικαίᾳ Σύνοδον ἤθροισε. καὶ ποῦ ἦν τότε, ὅτι ὁ Ῥώμης κριτὴς ὅτε οἱ Πατέρες ἐδίδασκον ἀφ' ὧν ἐδιδάσκετο καὶ ὁ Ῥώμης; οἱ Πατέρες διελέγοντο κοινῶς, καὶ οὐχὶ οἱ τοῦ Ῥώμης, καὶ μᾶλλον οἱ Πατέρες διώρισαν καὶ ἐξέθεντο τὸ Σύμβολον, καὶ τοὺς ἀθετοῦντας αὐτοὶ εἶπον ὅτι ἀναθεματίζει οὐχ ὁ Ῥώμης, ἀλλ' ἡ καθολικὴ Ἐκκλησία. αἱ αὐτῶν ἐπιστολαὶ ἦσαν οὐκ ἀπὸ τοῦ Ῥώμης, ἀλλ' ἀπὸ τῆς μεγάλης Συνόδου. ἡ βεβαιότης ἦν οὐ τοῦ Ῥώμης, ἀλλὰ τοῦ Βασιλέως. καὶ οὐμόνον οὐκ ἔκρινεν ὁ Ῥώμης, ἀλλὰ καὶ μήτε ἠρωτᾶτο, καὶ πρὸς τούτοις κατεφρονεῖτο, καὶ ἰδὲ τὰ κατὰ Ἄρειον, Θεόγνιν, Εὐσέβιον καὶ τοὺς λοιποὺς τοιούτους πῶς ἀθῷοι ἐγένοντο. ἐλάμβανον τὰς Ἐπαρχίας αὐτῶν ἃς εἶχον πρὸ τοῦ καθαιρεθῆναι, ἐξορίζεται ὁ Ἀντιοχείας Εὐστάθιος, ὁ ἅγιος Ἀθανάσιος, καὶ ἀντεισάγονται Αἱρετικοί. ἰδὲ τὰ ἐν Τύρῳ, τὰ ἐν Ἱερουσαλὴμ, τὰ ἐν Ἀντιοχείᾳ, Σιρμίῳ, Μεδιολάνῳ, Ῥώμῃ, Ἀριμίνῳ, Σελευκείᾳ, Κωνσταντινουπόλει, Φιλιππουπόλει, Σαρδικῇ πεπραγμένα, ἐν οἷς οὐδεὶς λόγος τοῦ Ῥώμης, μάλιστα οἱ ἐν Ἀντιοχείᾳ ἀντιλέγουσι τῷ Ῥώμης, καὶ οἱ ἐν Φιλιππουπόλει καθαιροῦσι τὸν Ἰούλιον, εἰ οὖν ἐστι τὸ θέσπισμα ἀληθὲς, διατὶ οὐκ ἐνήργησε μήτε ἐπὶ Κωνσταντίνου, μήτε ἐπὶ τῶν υἱῶν αὐτοῦ; ἀλλὰ οὐκ ἐκράτησε, ψευδὲς ἄρα. δωδέκατον, ὅτι ἐστὶ παράλογον, καθότι λέγει ἵνα τιμᾶται ἀσυγκρίτως ὁ Ῥώμης, διότι ἐκεῖ ὁ Πέτρος ἐσταυρώθη, καὶ τὸ ποτήριον ἔπιε τοῦ θανάτου. εἰ γὰρ μὴ ἐκ τῶν Κανόνων, ἀλλ' ἐκ τοῦ θανάτου τῶν ἁγίων ἐτιμῶντο οἱ θρόνοι, δίκαιον ἦν, ἢ μᾶλλον εἰπεῖν ἀναγκαιότατον ἵνα προτιμᾶται ἀσυγκρίτως ὁ Ἱεροσολύμων. βλέπουεν ὅμως καὶ οὐ τιμᾶται ἡ Ἔφεσος διὰ τὸν Ἐπιστήθιον, οὔτε αἱ Πάτραι διὰ τὸν Ἀνδρέαν, οὔτε ἡ Ἱεράπολις διὰ τὸν Φίλιππον, ἢ ἄλλαι πόλεις διὰ τὸν ἐν ἐκείναις τῶν Ἀποστόλων θάνατον, ἀλλ' ἐκεῖ ἐστὶν ἡ προτίμησις, ὅπου ἡ Ἐκκλησία διὰ Κανόνων Οἰκουμενικῶν Συνόδων ὥρισεν, ὥστε παράλογον

λογον τὸ ῥηθὲν θέσπισμα, εἰ καὶ ἐνταῦθα καταβέβληται αὐτὸ οἱ ἑαυτῶ, ὅτι λέγει καὶ Δηὰ τὸν Παῦλον σεβετιμᾶθαι τὸν Ῥώμης, ἀλλὰ κατὰ Παῦλον καὶ οἱ λοιποὶ Ἀπόστολοι, καὶ ἔδει σεβετιμᾶθαι ὅπερ κἀκεῖνοι ἀπέθανον, ὅπερ ἀγίνεται, ἢ ὅτι ἡ Ἐκκλησία ἔσφαλε μὴ τιμῶσα τὰς Ἀποστόλας, ἢ τὸ θέσπισμα καταφρονεῖ τῆς Ἐκκλησίας, ἀλλ' ἡ Ἐκκλησία ἀσφάλεια, λαλεῖ γὰρ Δηὰ τῶ ἁγίω Πνεύματος, ἄρα ἁμαρτάνει τὸ θέσπισμα. δέκατον τρίτον, ψεύδεται, ὅτι λέγει τὸν Σίλβεστρον καθολικὸν Πάπαν, ὅπερ καθολικὸς Πάπας, ὑστερογενὲς ὄνομα καὶ ἐκ ἀρχαίων. δέκατον τέταρτον, ὅτι ἐσὶν ἄνομον, καθότι δίδωσι τῶ Πάπα ἐνδύματα ἐξωτερικά, καὶ ἐθνικοῖς ἴδια, καὶ κῆ Δηάμετρον ἀντικάμπυα τοῖς ἀποστολικοῖς ἐνδύμασιν, ὅθεν ἡ Ἐκκλησία Δηὰ πολλῶν, καὶ Δηὰ τῶ δεκάτω ἕκτω Κανόνος τῆς Οἰκουμενικῆς ἑβδόμης Συνόδου καταργεῖ τὰ τοιαῦτα, ὥστε ἢ αἱ Σύνοδοι σφάλλεσι τὰ τοιαῦτα κωλύσαι, ἢ τὸ θέσπισμα, τὰ τοιαῦτα δωρήμωον, ἀλλ' αἱ Σύνοδοι ἐννόμως λαλῶσιν, ἄρα τὸ θέσπισμα ἄνομον, καὶ ὁ Ῥώμης κόκκινα φορῶν καὶ ἀλόκοτα καὶ ἀνοίκεια Ἐπισκόποις, ἄνομος. σεβεξεισῶσι γὰρ σεὸς τοῖς ἄλλοις κακοῖς καὶ βλαν καὶ ἐξωτερικὰς παιδείας, ἅπερ καὶ οἱ ἔξω σοφοὶ εἶχον ἀποτρόπαια, γεάφει γὰρ ὁ Ἰσωκράτης Διονυσίω, σεθόμποι καὶ ῥαβδοῦχοι καὶ κήρυκες καὶ θεόνων ὑψηλοτάτων ἐπίτδυξις, φιλοσοφίας εἰσὶν ἀχλύς. ἀλλὰ μὴν τοιαῦτα ποιεῖ ὁ Πάπας καὶ οἱ σερὶ αὐτὸν, λαβόντες τοῦτα ὄχι ἀπὸ τῶ Κωνσαντίνω, ἀλλὰ σεριποιησάμωοι Παύλω τῶ Σαμοσατέως ὡς εἴρηται ἀνωτέρω τὴν μιαρὰν δίαιταν, καὶ ἀνακαινίσαντες τῶν Εἰκονομάχων τὰ γυναικώδες. εἶτα καὶ τῶν Καρδιναλίων τὰ κόκκινα εἰσὶ σεοχθεσινὰ καινοτομίαι, καὶ πῶς τὰ χθεσινὰ εἰσὶν ἀρχαῖα τῶ Βασιλέως δωρήματα; ὅθεν μεμπτέος ὁ λέγων, ὅτι ὁ Κυριακάρχης Δηὰ τὰ κοκκινοβαφῆ πέδυλα ἀπέβαλε τὸ τῶ Ῥώμης μνημόσυνον, ὅτι τοῦτο γὰρ Φλυαρία, ἰδὲ κατωτέρω βιβλίω ὀγδόω κεφάλαιον δέκατον πέμπτον. ὅτι λέγει πῶς ὁ Κωνσαντῖνος ἔσειρε τὸν ἵππον τῶ Σιλβέστρω, κρατῶν τὸν χαλινὸν αὐτῶ. ἀλλὰ καὶ τοῦτο σεφανὴς Φλυαρία. δέκατον ἕκτον, ὅτι ἔδωκε τῶ Ῥώμην καὶ Ἰταλίαν καὶ ἄλλας χώρας ἵνα ἔχωσιν αὐτὰς εἰς τὸν αἰῶνα ὁ Σίλβεστρος καὶ οἱ Δηάδοχοι αὐτῶ, ἀλλὰ καὶ τοῦτο ἐκ τῆς σατανικῆς καρδίας ἐξεβλήθη τὸ ψεῦδος. εἰ γὰρ τοῦτο ἦν ἀληθὲς, πῶς ὁ Κωνσαντῖνος ἐπόιησε Βασιλέα Ἰταλίας, καὶ τῆς κάτω Γαλλίας τὸν ὑὸν αὐτῶ Κώνσαντα, καὶ πῶς ἀπῆλθον ἐκεῖ καθολικὸς Βασιλεὺς ὁ Κωνσάντιος; ὁ μέγας Θεοδόσιος, ὁ Οὐαλεντιανὸς, ὁ Γρατιανὸς, ὁ Ὀνώριος καὶ ὁ Ἀρκάδιος αὐτῶ Οὐαλεντιανὸς, καὶ καθεξῆς πῶς ἕως Λέοντος ἦσαν Αὐτοκράτορες τῆς Ῥώμης, καὶ ὄχι Ῥώμη; καὶ πῶς ὅτε ὁ Ἰουστινιανὸς λαβὼν ἀπὸ τῶν τότε τὴν Ἰταλίαν εἶχον αὐτὼ, καὶ οἱ Ῥωμαῖοι εἶχον αὐτὼ ἕως τῆς αὐταρσίας Λέοντος τρίτου καὶ Κάρλος; ἀμὴν ἀλλὰ καὶ μετ' ἐκείνους ἦσαν τῶν Ῥωμαίων Ἔξαρχοι εἰς τὴν Ἰταλίαν ἕως τῶν Κομνηνῶν, ὥστε κρατῆσαι τὴν Ἐξαρχίαν ἔτη ἑκατὸν ἑξηκοντατέσσαρα. ἢ ἦν οἱ Βασιλεῖς αὐτοὶ κατεφρόνησαν τῆς ἀποφάσεως τὸ ἁγίω Κωνσαντίνω, ἢ τὸ θέσπισμα ἐσὶ πλάσμα!, ἀλλαμὴν ὄχ ἕως τὸ πρῶτον, ἄρα τὸ δεύτερον. εἰς ἐκεῖνο δὲ ὃ λέγει ὁ Βαλσαμών, ὅτι ὁ ἅγιος κύριλλος ἔδωκε τῶ Πάπα ἔλαβον ἵνα φορῇ τὸν χρυσὸν λῶρον, καὶ ὅτι καθήμενος μετὰ τῶ λώρω ἔκλινε τὸν Νεσόριον, ἐσὶ μῦθος, καὶ ἡ μαρτυρία ἢ τοῦτο βεβαιοῦσα ἐσὶ πλάσμα, ἡ γὰρ τῶ Κελεσίνω ἐπισολὴ τὸν τρόπον τῶ Κελεσίνω δίδωσι τῶ ἁγίω Κυριλλω, ἀμὴν καὶ λῶρον λέγει ἢ πέδηλα, ἢ χαλινὸς καὶ ἄλλας τοιαύτας ἐθνικὰς φλυαρίας. καὶ ἐκεῖνο δὲ ὅπερ λέγει ὁ αὐτὸς, ὅτι ὁ Χαρτοφύλαξ Κωνσαντινοπόλεως ἐπαίζετο εἰς τὴν ἑορτὴν τῶν ἁγίων Νοταρίων τὸν Πατριαρχικὸν ἵππον, ἐποσφένοντος ἀπὸ τῆς Ἐκκλησίας εἰς ἣν ἀπέρχετο ἔφιππος τῶ Πατριάρχω, δηλονότι κατά τινα ἰδιότητα τῶ ὀφφικίω αὐτῶ, φαμὴν ὅτι εἰ ἐγίγνετο, ἀμὴν κατὰ μίμησιν τῶν Καρδιναλίων, ὅμη εἰ ἦν τοῦτο, χρεία ἦν ὅλοι οἱ Κληρικοὶ ἵνα φορῶσι τοιαῦτα. εἶτα εἴρηται καὶ ῥηθήσεται, ὅτι τῶν Κληρικῶν τὰ ἐξηλλαγμένα ἐνδύματα εἰσὶ σεοχθεσινά. σεὸς τούτοις πότε ἐφόρει ὁ Χαρτοφύλαξ τὴν Μίτραν, καὶ εἰς τὸν καμὸν τῶ Βαλσαμώνος αὐτὴν ὄχ ἐφόρει; καὶ τί ὠφέλει τὸ κωλύον ὅμη παύτοτε αὐτὴν ἐφόρει κῆ ὄτότε; ὥστε ταῦτα πάντα μῦθοι, καὶ αὖ μυθοι λέγωσιν αὐτὰ, ἀλλ' ὡς μὴ κείμωα σεῖναι τῇ γεαφῇ καὶ τοῖς Κανόσι καὶ τῇ σεῖναι τῆς καθολικῆς Ἐκκλησίας, εἰς ἐδὲν λογίζονται. ὅθεν ἀξιοτίμητος δοκεῖ ὁ τὸ σχολεῖον τοῦτο παρεγγεάψας σύτινι νομίμω τῶ Πατριαρχείω Κωνσαντινοπόλεως εἰς τὴν Δηαφώνησιν ταύτην ὢν σοιεῖ ὁ Βαλσαμὼν εἰς τὸ θέσπισμα, ἑρμηνεύων τὸν δωδέκατον Κανόνα τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, εἰπὼν, ἀλλ' ὁ αὐτὸς ὁ Πάπας ἀνωτέρω ἔμεινον ἀναίρεσις σεὸ τῶ τυραννῆσαι τὴν καθ' αὐτὸν Ἐκκλησίαν, καθὼς φασιν οἱ ἱσορικοὶ, νυνὶ δὲ τοῦτο ἀπέτυχον, εἰς τὴν τυραννίδα τὴν Ἀρχιερωσύνω μεταγαγών. καὶ ταῦτα μὴν περὶ τῶ θεσπίσματος, ὅσον σεθσῆκον εἰς τὸ παρόν. σεθετέον ὅτι σημειοῖ ὁ Βίνιος ἀληθὲς εἶναι τὸ θέσπισμα, πλὴν ἀποφάσκει ὅτι ὄκ ἔχα ὁ Πάπας τὸ πρωτεῖον ἀπὸ τῶν βασιλικῶν διπλωμάτων, καὶ φησιν, ὅτι τοῦτο δῆλόν ἐσιν ἀπὸ τῶ ἔχειν τοὺς σεὸ τῶ Σιλβέστρω Πάπας τὰ αὐτὰ σεθνόμια τῶ Σιλβέστρω. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ὄκ τῶν ἀνωτέρω εἰρημένων δῆλόν ἐσι τοὺς ἀρχαίους Πάπας μὴ φρονῆσαι περὶ ἑαυτῶν ὅτι εἰσὶν Αὐτοκράτορες καὶ ἀναμάρτητοι καθόλω Ἐπίσκοποι ἐν τῇ καθόλω Ἐκκλησίᾳ. δεύτερον, ὅτι τὰ τοιαῦτα ἐξαλλαχ ἐνδύματα καὶ οἱ ἐξαλλοι Τίτλοι ὅτε τοῖς μετὰ τὸν Σίλβεστρον Πάπαις ἦσαν γνωστὰ,

μετὰ

μετὰ δὲ τὸ σχίσμα ἔπλασαν ὅτι ἔχουσι δύο μαχαίρας, τὴν μίαν πνευματικὴν, καὶ τὴν ἑτέραν ἐξωτερικὴν, τουτέστι περιεποιήσαντο ἑαυτοῖς ἐξουσίαν τυραννικὴν, ἣν καὶ ἐμόρφωσαν μεθ' ὧν ἔχουσιν νῦν τυραννικῶν ἐνδυμάτωντε καὶ ἠθῶν, παρανομοῦντες εἰς τὸν Θεὸν, εἰς τὸν Χριστὸν, καὶ εἰς τὴν Ἐκκλησίαν, ὅθεν δικαίως Ἀντίχριστοί εἰσι καὶ καλοῦνται. τρίτον, ὅτι ἀληθές ἐστι μὴ ἔχειν αὐτοὺς παρὰ τῶν βασιλικῶν διπλωμάτων τὸ πρωτεῖον, ἔχειν ὅμως αὐτοὺς αὐτὸ οὐχ ὡς βούλονται, ἀλλὰ μόνῃ τῇ τάξει, καὶ παρὰ τῶν Κανόνων, καὶ οὐ παρὰ τοῦ Χριστοῦ ἢ τοῦ Πέτρου.

ΒΙΒΛΙΟΝ Α'. ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ τῆς Μίτρας ἣν ἱερουργοῦντες φοροῦσιν οἱ τῆς καθολικῆς Ἐκκλησίας Πατριάρχαι, καὶ ὅτι τὸ μιτροφορεῖν καινοτομία καὶ ἐφεύρεμα τῶν Ῥώμης Ἐπισκόπων. καὶ περὶ τοῦ τὶ Μίτρα, Τιάρα, Πῖλος, Διάδημα, Ταινία, Στέφανος, Καμηλαύκιον, Κίδαρις καὶ Πέταλον.

Ὅτι δὲ καὶ τὸ μιτροφορεῖν ἐφεύρεμα τῶν Ἐπισκόπων Ῥώμης ἐστὶ, καὶ καινοτομία, δῆλον. ἵνα δὲ γένηται σαφῆς οὗτος ὁ λόγος, ῥητέον καθολικωτέρῳ λόγῳ περὶ αὐτοῦ. τοίνυν Κιδάρει ἐχρῶντο ἀντὶ Διαδήματος οἱ τῶν Ἑώων Βασιλεῖς, λέγει Φίλων ὁ Ἰουδαῖος ἐν τῷ τρίτῳ λόγῳ περὶ Μωϋσέως, ἣν καὶ Τιάραν καὶ Πῖλον ἐκάλουν. οἱ δὲ ἀρχαῖοι τῶν Ῥωμαίων Βασιλεῖς ἐχρῶντο Διαδήματι. οὐ λέγω τὸ Στέμμα ὅπερ ἐστὶν ἔνδυμα ὕστερον ἐξευρημένον, ἀλλὰ τὸν ἐπὶ κεφαλῆς χρυσὸν, ἢ καὶ ἐκλίθων τιμίων κατεσκευασμένον Στέφανον, ὃν οἱ καθεξῆς Βασιλεῖς μιμούμενοι τοὺς ἀρχαίους Ἡγεμόνας ἐφόρουν. οἱ μεταγενέστεροι δὲ θέμενοι ἐπὶ τοῦ Στεφάνου Κίδαριν Διάλιθον, ὠνόμασαν τὸ παῦ Κορώναν, οὕτω καλέσαντες ἀπὸ τῆς κορυφῆς καὶ ἀκρωρείας τῆς Κιδάρεως, ἥντινα καὶ οἱ μεταγενέστεροι Πατριάρχαι φορέσαντες, ὠνόμασαν Μίτραν, κατὰ μίμησιν τάχα ἧς ἐφόρουν ὁ Ἀαρὼν καὶ οἱ Διάδοχοι αὐτοῦ. Μίτρα ἐστὶ Κυρίως κατὰ τὸ μέγα Ἐτυμολογικὸν ὁ ἀπὸ φασκίας καὶ ὠαρίων γενόμενος Στέφανος, ἐν καταχρήσει δὲ πᾶς Στέφανος Μίτρα λέγεται. καὶ τὸ Διάδημα κατὰ τὸν Σουΐδαν Μίτρα λέγεται. ἀπὸ τῆς Μίτρας δὲ τὸ συνημμένον, ἤτοι Μίτρα καὶ Κίδαρις, Μίτρα λέγεται. ἐπέκειτο δὲ ἐπὶ τῆς Ἀαρωνίτιδος Μίτρας χρυσοῦς Στέφανος, τουτέστι χρυσοῦν Πέταλον, ὅπερ ὑπογράφων ὁ Φίλων ἐν τῷ αὐτῷ λόγῳ φησί, χρυσοῦν Πέταλόν ἐστιν, ὡσανεὶ Στέφανος, τέσσαρας ἔχων γλυφὰς ὀνόματος τοῦ τετραγραμμάτου δηλονότι, Μίτρα δὲ ἦν ὑπ' αὐτῷ, τοῦ μὴ ψαύειν ἐπὶ κεφαλῆς τὸ Πέταλον. τὴν Μίτραν καὶ τὸ ἐπ' αὐτῆς Πέταλον ὁρίζεται ὁμέγας κύριλλος ἐν τῷ δωδεκάτῳ λόγῳ περὶ τῆς ἐν πνεύματι λατρείας λέγων, Μίτρα ἡ ἐν μετώποις χρυσοῦν ἔχουσα Ψέλλιον (Ψέλλιον εἰπὼν ὅλον τὸν χρυσοῦν Στέφανον καὶ τὸ ὑπ' αὐτοῦ Πέταλον) ἀρχῆς ἂν εἴη καὶ Βασιλείας σύμβολον. Πῖλος καὶ Τιάρα καὶ Ταινία καὶ Κίδαρις καὶ Διάδημα καὶ Στέφανος λέγονται Μίτρα κοινότερον, καὶ ἔτι Καμηλαύκιον. λέγει γὰρ ὁ Θεοφάνης, ὅτι Ἴλλος Μάγιστρος ὁ τυραννήσας ἐπὶ Ζήνωνος Καμηλαύκιον ἐφόρει. καὶ ὅτι Τώτιλας ὁ Ῥὴξ Γότθων ὃν κατέφθειρεν ὁ Ναρσὴς ἐφόρει καμηλαύκιον, ὅπερ ὁ Ναρσὴς ἔστειλεν εἰς Βυζάντιον. ἰδιαίτερον ὅμως Μίτρα λέγεται ἡ Κίδαρις ἡ ἔχουσα ἐν τῇ βάσει αὐτῆς Μίτραν, καὶ ἐπάνω τῆς Μίτρας κεῖται ἐν μετώποις ἄκροις τὸ χρυσοῦν Ψέλλιον τὸ καὶ Πέταλον. καθότι διὰ τὸ Ψέλλιον λέγεται τὸ ποιοῦτον ἔνδυμα τῆς κεφαλῆς Μίτρα, ὅπερ εἰ οὐκ ἔχει, οὐ λέγεται Μίτρα, ὅσον κατὰ τὴν ἐν τῇ γραφῇ τοῦ μεγάλου Ἀρχιερέως Μίτραν. τὸ Πέταλον ἦν χρυσοῦν ἐπάνω τῆς Μίτρας, τὸ δὲ λοιπὸν καὶ ἀνώτερον, ἦν Κίδαρις ἀπὸ βύσσου πεποιημένη, ὡς λέγεται κεφαλαίῳ εἰκοστῷ ὀγδόῳ τῆς Ἐξόδου, ὁ δὲ βύσσος πανίον ἐστὶ λεπτὸν, ὡς Ἰεζεκιὴλ κεφαλαίῳ τεσσαρακοστῷ τετάρτῳ, Κιδάρεις λινοὺς ἔξουσιν ἐπὶ τὰς κεφαλὰς αὐτῶν. ἔστι δὲ ἡ Κίδαρις κατὰ τὸν αὐτὸν Κύριλλον ἐν τῷ αὐτῷ βιβλίῳ περικεφάλαιος τῶν Ἱερέων κόσμος ἐκ βύσσου γεγονός. ἐφόρουν οὖν οἱ μὲν Ἱερεῖς τὰς Κιδάρεις ὡς ἡ Ἔξοδος κεφαλαίῳ εἰκοστῷ ὀγδόῳ, καὶ Κιδάρεις ποιήσεις αὐτοῖς εἰς τιμὴν καὶ δόξαν. ἡ δὲ τοῦ Ἀρχιερέως ἐλέγετο Μίτρα ἰδιαίτερον ὡς εἴρηται. ἔτι ἡ μὲν Κίδαρις μόνη οὐκ ἐλέγετο Μίτρα, ἡ δὲ Μίτρα μετὰ τοῦ Πετάλου καὶ τῆς Κιδάρεως ἐλέγετο Κίδαρις, ὡς εἰς Λευϊτικὸν κεφαλαίῳ δεκάτῳ ἕκτῳ λέγεται περὶ τοῦ Ἀαρὼν, καὶ Κίδαριν λινῆν περιθήσεται. καὶ Ζαχαρίας κεφαλαίῳ τρίτῳ περὶ Ἰησοῦ τοῦ Ἀρχιερέως, καὶ ἐπίθετε Κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ ὁμέγας Κύριλλος ἐν τῷ αὐτῷ τόπῳ λέγει, τὸ μὴ ἀφαιρεῖσθαι τῆς κεφαλῆς τὴν Κίδαριν, τῆς Ἱερωσύνης τὸ ἀναπόβλητον ὑπεμφαίνειεν ἄν. ὅτι δὲ ἀρχῆς καὶ Βασιλείας ἐστὶ σύμβολον ἡ Ἀρχιερατικὴ Μίτρα, μαρτυρεῖ ὁ Φίλων ἐν τῷ αὐτῷ λόγῳ λέγων, Κίδαριν δὲ ἀντὶ Διαδήματος ἐπιτίθησι τῇ κεφαλῇ (ὁ Ἀρχιερεὺς) δικαιῶν τὸν ἱερωμένον τῷ Θεῷ, καθ' ὃν χρόνον ἱερᾶται προφέρειν ἁπάντων καὶ μὴ μόνον ἰδιωτῶν, ἀλλὰ καὶ Βασιλέων. καὶ Βαροὺχ κεφαλαίῳ πέμπτῳ, ἔνδυσαι Ἱερουσαλὴμ τὴν εὐ-

πρέ-

πρέπειαν τῆς παρὰ τοῦ Θεοῦ δόξης, ἐπίθου τὴν Μίτραν ἐπὶ τὴν κεφαλήνσου τῆς δόξης τοῦ αἰωνίου. καὶ Ἰεζεκιὴλ κεφαλαίῳ εἰκοστῷ ἕκτῳ. καταβήσονται ἀπὸ τῶν θρόνων αὐτῶν πάντες οἱ Ἄρχοντες, καὶ ἀφελοῦνται τὰς Μίτρας ἀπὸ τῶν κεφαλῶν αὐτῶν. καὶ ὁ Σειράχ. καύχημα τιμῆς, ἔργον ἰσχύος. σημείωσαι δὲ, ὅτι προφέρει ὁ Ἀρχιερεὺς τῶν Βασιλέων κατὰ τὴν πνευματικὴν ἐξουσίαν καὶ τὰς ἀρετὰς, ὡς εἴρηται ἐν τῷ ἀνωτέρῳ κεφαλαίῳ, οὐμὴν κατά τινα ἐξουσίαν ἐξωτερικὴν ὡς νομίζει ὁ Ῥώμης.

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ ΚΒ΄. ΠΑΡΑΓΡΑΦΟΝ Β΄.

Περὶ τῆς Ἀαρωνίτιδος Μίτρας τῆς μετελθούσης εἰς Χριστὸν, ἣν ἐφόρουν ὁ Ἐπιστήθιος καὶ ὁ Ἀδελφόθεος Ἰάκωβος ὁ ὑπὸ τοῦ Χριστοῦ Ἐπίσκοπος Ἱεροσολύμων κατασταθείς.

Ὁ Ἐπιστήθιος Ἰωάννης ἐφόρει τὸ χρυσοῦν Πέταλον κατὰ Κλήμαντα τὸν στρωματέα, ὡς λέγει ὁ Ἐφέσου Πολυκράτης πὰρ Εὐσεβίῳ εἰς τὸ ἐκκλησιαστικὸν ἱστορικὸν, βιβλίῳ πέμπτῳ, κεφαλαίῳ εἰκοστῷ τετάρτῳ, ἀλλὰ δὴ καὶ ὁ Ἀδελφόθεος Ἰάκωβος, ὡς λέγει ὁ ἱερὸς Ἐπιφάνιος Αἱρέσει κατὰ Ναζωραίων, ἱεράτευσε κατὰ τὴν παλαιὰν Ἱερωσύνην, ὡς ἱστόρησαν Εὐσέβιος καὶ Κλήμης καὶ ἄλλοι, ἀλλὰ καὶ τὸ Πέταλον ἐπὶ τῆς κεφαλῆς ἐξῆν αὐτῷ φέρειν, καθὼς οἱ προειρημένοι ἀξιόπιστοι ἄνδρες ἐμαρτύρησαν. εἴρηται δὲ ὅτι τὸ Πέταλον κεῖται ἐπὶ τῷ μετώπῳ τῆς Μίτρας, ἅτινα ἔκειντο ὑπὸ τὴν Κίδαριν, καὶ ταῦτά ἐστιν ἡ Μίτρα ἣν ἐφόρει ὁ Ἀαρὼν, καὶ οἱ διάδοχοι αὐτοῦ, ὥστε τὸν Ἐπιστήθιον καὶ τὸν Ἀδελφόθεον φοροῦντας τὸ χρυσοῦν Πέταλον, ἀναγκαίως πεφορηκέναι πᾶσαν τὴν Ἀαρωνίτιδα Μίτραν ἐπὶ τῆς κεφαλῆς αὐτῶν. λέγει δὲ ὁ Ἐπιφάνιος ἐν τῷ αὐτῷ τόπῳ, ὅτι οἱ ὕστατοι Βασιλεῖς τῶν Ἑβραίων ἦσαν ἐκ γένους βασιλικοῦ καὶ ἀρχιερατικοῦ, ἐπὶ δὲ τοῦ Χριστοῦ ἀλλόφυλος βασιλεύσας ὁ Ἡρώδης, οὐκ ἔτι οἱ ἀπὸ τοῦ Δαβὶδ Διάδημα ἐπέθεντο. ὅθεν μετέπεσεν ἡ βασιλικὴ καθέδρα ἐπὶ χριστοῦ, ὃς ἐστὶ Βασιλεὺς ὡς ἐκ σπέρματος δαβὶδ, καὶ ὡς τοῦ Θεοῦ φύσει Υἱός. ἀλλὰ δὴ καὶ τὸ ἱερατικὸν εἰς τὸν Χριστὸν μετέπεσε, καὶ ἔστιν Ἀρχιερεὺς, καὶ Ἀρχιερέων πρύτανις, καὶ διατοῦτο τὸν Ἀπόστολον Ἰάκωβον Ἀρχιερέα Ἱεροσολύμων κατέστησεν. ἐπειδὴ λοιπὸν ὁ Ἰάκωβος καὶ ὡς πρῶτος Ἀρχιερεὺς ὑπὸ Χριστοῦ κατασταθεὶς, καὶ ἱερατεύσας κατὰ τὴν παλαιὰν ἱερωσύνην ἐφόρει τὸ χρυσοῦν Πέταλον, ἀναγκαίως μετέδωκε τὸ μιτροφορεῖν καὶ τοῖς μετ' αὐτὸν Ἐπισκόποις τῶν Ἱεροσολύμων. ὅθεν ὁ Ἱεροσολύμων Θεοδόσιος ἔπεμψε δῶρα τῷ Κωνσταντινουπόλεως Ἰγνατίῳ τοῦ Ἀδελφοθέου τὸν Ποδήρη, τὴν Ἐπωμίδα, καὶ τὴν Μίτραν, ὡς ἱστορεῖ Δαβὶδ ὁ Παφλαγὼν ἐν τῷ βίῳ τούτου τοῦ Ἰγνατίου, καὶ Μιχαὴλ ὁ Σύγκελλος ἐν τῷ ἐγκωμίῳ τοῦ αὐτοῦ.

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ ΚΒ΄. ΠΑΡΑΓΡΑΦΟΝ Γ΄.

Ὅτι διὰ ταπείνωσιν ὁ Σίλβεστρος φασὶν οἱ παπισταὶ μὴ δεξάμενος τὸν βασιλικὸν Στέφανον, ἐδέξατο τὸν Λῶρον. καὶ περὶ τοῦ τὶ Λῶρος καὶ Παπαλήθρα.

Λέγουσιν οἱ σχολαστικοὶ τῶν παπιστῶν, ὅτι ὁ μέγας Κωνσταντῖνος, ὡς γράφει ἐν τῷ θεσπίσματι, δέδωκε τῷ Σιλβέστρῳ τὸ Διάδημα, ἤτοι τὸν βασιλικὸν Στέφανον, καὶ ἄλλα τινὰ κοσμήματα τῆς βασιλικῆς μεγαλειότητος, καὶ ὥρισεν ἵνα Σίλβεστρος ὁ καθολικὸς Ἐπίσκοπος, καὶ πάντες οἱ ὀρθόδοξοι αὐτοῦ διάδοχοι καὶ Ἐπίσκοποι φορῶσι τὸ Διάδημα καὶ τὸν Στέφανον ἐκ χρυσοῦ καθαροῦ καὶ μαργάρων πολυτίμων. ἐπειδὴ δὲ ὁμακάριος Σίλβεστρος εἶχε στεφάνην ἀπὸ τῶν τριχῶν αὐτοῦ, τὴν καὶ Παπαλήθραν καλουμένην, ἧς τὸ μὲν ἄνωθεν ἐδήλου τὸν ἀκάνθινον στέφανον, τὸ δὲ κάτωθεν, τοῦ μαρίου Πέτρου τὴν κουρὰν, κουρευθέντος ὑπὸ τῶν ἀπειθούντων τῷ κηρύγματι, οὐκ ἤθελεν ὑπὸ εὐλαβείας δέξασθαι τὴν χρυσῆν ἐκείνην στεφάνην, διὸ ὁ μέγας Κωνσταντῖνος ταῖς ἰδίαις χερσὶ τὸν χρυσοῦν Λῶρον ἔθηκεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. ὅθεν ἕως τοῦ νῦν ὁ Πάπας τῆς Ῥώμης οὐμόνον ἐν τῷ ναῷ, ἀλλὰ καὶ προάγων φορεῖ τὸν χρυσοῦν Λῶρον καὶ τὰ βασιλικὰ ὑποδήματα. τοῦτο συνίστησι καὶ Συμεὼν ὁ Θεσσαλονίκης γράφων, τινές φασι παρὰ τοῦ πρώτου ἐν Βασιλεῦσι Κωνσταντίνου τὸ μιτροφορεῖν ἐσχηκέναι τὸν Ῥώμης, καὶ ἐν τῷ χρυσοβούλλῳ τοῦ μεγάλου Κωνσταντίνου τοῦτο γέγραπται, ὅτι τὸ Στέμμα τῆς βασιλείας παρεῖχε τῷ θείῳ Σιλβέστρῳ ἅτε δὴ πνευματικῷ πατρὶ, τὴν ἱερωσύνην τιμῶν. ἐπειδὴ δὲ οὐ κατεδέξατο διὰ ταπείνωσιν, τὸν Λῶρον ἠνάγκασε λαβεῖν τὸν ἐπὶ τῆς κεφαλῆς. ἔστι δὲ Λῶρος ὡς λέγεται τῷ σχολιαστῇ ἐν τῷ πέμπτῳ εἴδει τῶν Ὀλυμπίων τοῦ Πινδάρου, ἀνάδημα τῇ κεφαλῇ χρυσῇ καὶ λίθοις πεποικιλμένον.

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ ΚΒ΄. ΠΑΡΑΓΡΑΦΟΝ Α΄.

Περὶ

Περὶ ὧν οἱ παπισταὶ ἐπιλέγουσιν ὅτι διὰ τὸ γενέσθαι τὸν Κύριλλον Τοποτηρητὴν τοῦ Πάπα Κελεστίνου τοὺς Ἀλεξανδρείας Ἐπισκόπους τὸ μιτροφορεῖν ἔχειν, καὶ τὸ λέγεσθαι κριτὰς τῆς Οἰκουμένης.

Ἐπιλέγουσιν οἱ αὐτοὶ, ὅτι διὰ τὸ μὴ ἀπελθεῖν αὐτὸν τὸν ἴδιον Ῥώμης κελεστῖνον εἰς τὴν τρίτην Συνόδον, ποιῆσαι δὲ τὸν Κύριλλον Τοποτηρητὴν αὐτοῦ, διατοῦτο ὁ Κύριλλος εἰς παράστασιν τοῦ φέρειν τὸ δίκαιον τοῦ Κελεστίνου, ἐκάθισεν ἐν τῇ Συνόδῳ φορῶν ἐπὶ κεφαλῆς τὸν χρυσοῦν λῶρον, καὶ ὁ Ἀλεξανδρείας φημίζεται τῆς Οἰκουμένης κριτὴς, ὡσανεὶ Οἰκουμενικοῦ Ἐπισκόπου Τοποτηρητὴς, καθήρας Οἰκουμενικὸν πρόσωπον τὸν Νεστόριον ἐν Οἰκουμενικῇ Συνόδῳ. ἀλλὰ καὶ ὁ Θεσσαλονίκης λέγει Κύριλλον τὸν μέγαν ἀπὸ τῆς τρίτης Συνόδου λαβεῖν τὸ ἔχειν ἐπὶ τῆς κεφαλῆς ἔνδυμα, δι' ἀσθένειαν ζητήσαντα τοῦτο. ἕτεροι δὲ λέγουσι παρὰ τοῦ Πάπα λαβεῖν τοῦτο, τὸν τόπον αὐτοῦ ἐπὶ τῆς τρίτης Συνόδου ἐσχηκότα. Νικηφόρος δὲ ὁ Κάλλιστος βιβλίῳ δεκάτῳ τεταρτῷ, κεφαλαίῳ τριακοστῷ τεταρτῷ φησὶ, τὸ ἐπίθεμα τῆς Μίτρας, καὶ τὴν τοῦ Πάπας προσηγορίαν, καὶ τὸ κριτὴς τῆς Οἰκουμένης ἔλαβεν ὁ ἅγιος Κύριλλος ἀπὸ τοῦ Ῥώμης Κελεστίνου, Τοποτηρητὴς ἐκείνου χρηματίσας.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ΚΒ'. ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ ὧν οἱ παπισταὶ συμπεραίνουσιν ἐκ τῶν εἰρημένων, λέγοντες τοὺς μετὰ Κωνσταντῖνον Βασιλεῖς δεδωκέναι τοῖς Πατριάρχας καὶ τὸ μιτροφορεῖν καὶ τὰς ἄλλας ἀρχικὰς τιμάς.

Δοκεῖ ἐκ τῶν εἰρημένων ἀκόλουθον, φασὶν οἱ αὐτοὶ, ὅτι οἱ τοῦ μεγάλου Κωνσταντίνου διάδοχοι Αὐτοκράτορες Κωνσταντινουπόλεως, τοὺς μετὰ τὸν Πάπαν ἄκρους προέδρους, ἤτοι τοὺς λοιποὺς Πατριάρχας βασιλικοῖς ἀξιώμασι καὶ ἀρχικαῖς τιμαῖς ἐμεγάλυναν. ὅθεν καὶ τὸ μιτροφορεῖν αὐτοῖς δεδώκασιν, οὐκ ἀπᾷδον πρᾶγμα ποιήσαντες, ὡς ἐστὶ δῆλον ἐκ τοῦ Ἐπιστηθίου καὶ τοῦ Ἀδελφοθέου, καὶ δὴ ὁ θεολόγος Γρηγόριος ἐν τῷ λόγῳ μετὰ τὴν ἐπάνοδον τῆς φυγῆς τοῦτο βεβαιοῖ λέγων, διατοῦτο χρίει τὸν Ἀρχιερέα, καὶ προβάλλει τὸν Ποδήρη, καὶ περιτίθησι τὴν Κίδαριν, καὶ ἄλλα τινὰ τοιαῦτα προσφέρουσιν οἱ τοῖς Ἐπισκόποις βουλόμενοι χαρίζεσθαι, ὅτι δικαίως φοροῦσι τὰς Μίτρας, ἃς αὐτοὶ καὶ Κορώνας καλοῦσιν, ἱεροσυλοῦντες τῆς βασιλείας τὸ ἀξίωμα.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ΚΒ'. ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Ἔλεγχος κατὰ παπιστῶν ὅτι οὔτε Ἀποστόλοις ἢ πατράσι τὸ μιτροφορεῖν ἦν, καὶ παράθεσις τοῦ παλαιοῦ Ἀρχιερέως καὶ τῶν τῆς χάριτος, καὶ ὅτι τὸ ἀσκεπεῖς ἱερουργεῖν τιμὴ Κυρίου, καὶ Κίδαρις Ἀρχιερέων ἡ τοῦ Πνεύματος χάρις.

Οὔτε οἱ Ἀπόστολοι, οὔτε οἱ ἀποστολικοὶ, οὔτε οἱ μεταταῦτα Πατέρες τῆς Ἐκκλησίας ἐμιτροφόρουν. βοῶσι γὰρ οἱ Θεολόγοι, ὅτι ὁ παλαιὸς Ἀρχιερεὺς ἐπὶ τῆς κεφαλῆς Κίδαριν εἶχεν, ἀλλ' ἀνυπόδητος ἦν, καὶ λύειν τὸ ὑπόδημα ἐκ τῶν ποδῶν ἐκελεύετο, καθότι ἀτελὴς ἦν, καὶ περὶ τὴν σκιὰν ἐστρέφετο, καὶ σκιᾷ λατρεύων, καὶ τὴν πτέρναν τηρούμενος, καὶ θνήσκων ἐκρατεῖτο ὑπὸ τοῦ Ἅδου. ἡμεῖς δὲ ἐνδεδυμένοι μὲν τοὺς πόδας, τὴν κεφαλὴν δὲ ἀπαρακάλυπτον ἔχοντες, ὅτι ἡμῖν δέδοται πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ τὰ ἄνω φρονεῖν ἐδιδάχθημεν, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστὸς, ὅς ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας, ὃν καὶ τιμῶντες, ἀπαρακάλυπτοι τὰς κεφαλὰς προσευχόμεθα, οὕτω γὰρ καὶ τὴν χειροτονίαν ἐλάβομεν, καὶ ἡ χάρις τοῦ ἁγίου Πνεύματος, ἥτις καὶ τοῖς Ἀποστόλοις ἐπεκάθισε, Κίδαρις ἡμῖν ἐστιν ἐπὶ τῆς κεφαλῆς, καὶ κατὰ τὸν μέγαν Διονύσιον οὐ Μίτραν ἡμεῖς ἐπὶ τῆς κεφαλῆς χειροτονούμενοι λαμβάνομεν, ἀλλὰ τὸ Εὐαγγέλιον. τὸν Χριστὸν οὖν ἔχοντες κεφαλὴν, ἀπαρακαλύπτῳ κεφαλῇ προσευχόμεθα, ὃ καὶ μᾶλλον ἐστὶ θειότατον.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ΚΒ'. ΠΑΡΑΓΡΑΦΟΝ Ζ.

Ἔλεγχος κατὰ τῶν παπιστῶν διὰ πολλῶν μαρτύρων ὅτι τὸ Λῶρον χρήσασθαι ἢ Μίτραν τὸν Σίλβεστρον ψεῦδος ἐστὶ, καὶ περὶ τοῦ ὁποία ἦν ἡ τοῦ Ἐπιστηθίου καὶ Ἀδελφοθέου Μίτρα καὶ τὰ κατ' αὐτὴν, καὶ ὅτι τὸ παρὰ τοῦ Ῥώμης λαβεῖν τὸν Κύριλλον τὸ μιτροφορεῖν καὶ τὸ κριτὴν λέγεσθαι τῆς οἰκουμένης πλάσμα ἐστὶ, καὶ περὶ τοῦ πόθεν ἔχει ὁ Ἀλεξανδείας τὸ κριτὴς τῆς οἰκουμένης, καὶ περὶ τῆς περιγραφῆς τῆς Μίτρας τοῦ Ῥώμης, ὑφ' ἧς τοῦ βάρους Παῦλος ὁ δεύτερος ἀποπληξίᾳ κακῶς ἐτελεύτησε.

Ῥητέον

Ῥητέον πρῶτον, ὅτι ἐπειδὴ τὸ θέσπισμα τοῦ Κωνσταντίνου ἐστὶ πλάσμα, ψευδὴς ὁ περὶ τοῦ χρυσοῦ Λώρου λόγος. δεύτερον, εἰ καὶ ἦν ἀληθὲς τὸ θέσπισμα, οὐ συνάγεται ἀπὸ τούτου τὸ μιτροφορεῖν τοὺς Ἐπισκόπους, λέγει γὰρ ὁ Πλάτινας ὅτι τοῦ χρυσοῦ καὶ μαργαροσυνθέτου Διαδήματος, ὅπερ συνεχώρησεν ὁ Κωνσταντῖνος φορεῖν τὸν Σίλβεστρον, καταφρονῶν ὁ Σίλβεστρος ὡς ἄπρεπον εἰς ἱερωμένην κεφαλὴν, εὐχαριστεῖτο φορεῖν τὴν Μίτραν κατὰ τὴν συνήθειαν. καὶ εἰ καὶ εἰς τοῦτο οὐκ ἀληθεύει ὁ Πλάτινας, λέγων ὅτι ὁ Σίλβεστρος ἐφόρει λευκὴν Μίτραν κατὰ τὴν συνήθειαν, ἐπειδὴ ὁ ἅγιος Σίλβεστρος ἴσως τὸν ἀπὸ τῶν τριχῶν Στέφανον εἶχεν, ὃν καὶ Παπαλήθραν ἐκάλει, καὶ Μίτραν ποτὲ οὐκ ἐφόρεσεν, ἀλλὰ πρὸς τὴν πρόθεσιν συμβάλλει εἰπεῖν, ὅτι εἰ ἐφόρει ὁ Σίλβεστρος Μίτραν λευκὴν, ἦν ἀπὸ λινοῦ, καὶ οὐχὶ χρυσῆ καὶ διαλιθομάργαρος. τρίτον, ὁ Ἐπιστήθιος καὶ Ἀδελφόθεος τὸ χρυσοῦν Πέταλον ἐφόρεσαν διά τινα οἰκονομίαν προσήκουσαν τῷ καιρῷ ἐκείνῳ, προσωπικῶς μέντοι καὶ οὐ διαδιδομένην τοῖς μετ' ἐκείνους Ἐπισκόποις. τέταρτον, ἡ Μίτρα τοῦ Ἀδελφοθέου οὐκ ἦν χρυσῆ καὶ λιθοκόλλητος, ἀλλὰ λινῆ λευκὴ, ἣν οἱ ἱεροσολυμῖται ἐφύλαττον διὰ εὐλάβειαν, ὡς ἐφύλαττον καὶ τὸν θρόνον τοῦ αὐτοῦ κατὰ τὸν Εὐσέβιον ἐκκλησιαστικῆς ἱστορίας βιβλίῳ τρίτῳ, κεφαλαίῳ τριακοστῷ πρώτῳ, καὶ τῷ Ἰγνατίῳ Κωνσταντινουπόλεως ἔπεμψεν αὐτὴν ὁ Ἱεροσολύμων Θεοδόσιος δι' εὐλάβειαν, καὶ οὐχ ἵνα αὐτὴν φορῇ, ὅθεν καὶ συνέθαψαν αὐτὴν ἐκείνῳ. πέμπτον, ὁ Κύριλλος ἐν τῇ τρίτῃ Συνόδῳ εἶχε τὸν τόπον τοῦ Κελεστίνου, οὐ κοσμικῶς, ἀλλὰ πνευματικῶς, καὶ ἐκάθητο ὡς Ἐπίσκοπος, καὶ οὐχ ὡς Βασιλεύς. ὅθεν καὶ καθαιρεθεὶς ὑπὸ τῶν Ἀνατολικῶν, οὐκ εἶπεν ὅτι ἐστὶ τοῦ Πάπα Τοποτηρητὴς καὶ οὐκρίνεται, ὡς ἤδη ληροῦσιν οἱ λατῖνοι, ἀλλὰ συνοδικῶς κριθεὶς ἐδικαιώθη. ἕκτον, ὁ Κύριλλος οὐκ ἐζήτησεν ἀπὸ τῆς Συνόδου φορεῖν οὐδὲν, οὐδεὶς γὰρ ἀρχαῖος ἱστόρησεν αὐτὸ, περὶ δὲ τῶν ἀρχαίων ἀρχαίους δεῖ μάρτυρας προσφέρειν. τοῦτο μόνον δὲ εἶπε τὸ τῶν καινοτόμων πλάσμα ὡς φασί τινες, ὧν ἐστιν ὅμοιον πλάσμα ὅτι ἐφόρει δι' ἀσθένειαν τῆς κεφαλῆς αὐτοῦ ὁ Κύριλλος Μίτραν, ἀλλὰ καὶ τοῦτο εἰ ἦν, ῥητέον ὅτι καθὼς τοῦ Σπυρίδωνος τὸ πλεκτὸν ἐπίθεμα οὐκ ἐδόθη τοῖς Τριμυθοῦντος Ἐπισκόποις, οὕτω καὶ τοῦ Κυρίλλου τὸ δι' ἀσθένειαν κεφαλῆς κάλυμμα οὐκ ἐδόθη τοῖς Πάπαις Ἀλεξανδρείας. ἕβδομον, τῷ Ἀλεξανδρείας ἔδωκαν Τίτλον οἱ κριθέντες παρ' αὐτοῦ Βασιλεὺς καὶ Πατριάρχης, ἵνα λέγηται κριτὴς τῆς Οἰκουμένης, ἵνα φορῇ ὅμως Μίτραν ἢ Διάδημα οὐκ εἶπε τοῦτο ὁ ταῦτα ἱστορήσας Λογοθέτης, οὐκ εἶπε τοῦτο ἄλλος τις, οὐκ ἔστιν ἀρχαῖον. εἰ δὲ καὶ ὁ Θεσσαλονίκης καὶ ὁ Κάλλιστος λέγουσιν ὅτι ἀπ' ἀρχῆς ὁ Ἀλεξανδρείας ἐμιτροφόρει, ἐννοεῖται ὁ λόγος ὅτι πρὸ πολλῶν ἤδη χρόνων, οὐ μὴν καὶ ἀνέκαθεν. ὄγδοον, οἱ Κωνσταντινουπόλεως Πατριάρχαι οὐκ ἐμιτροφόρουν, περὶ γὰρ αὐτῶν λέγει ὁ Ἀντιοχείας Θεόδωρος ὁ Βαλσαμὼν ἐν τῇ περὶ Πατριαρχῶν μελέτῃ ὅτι ἐφόρουν Σάκκον καὶ Στιχάρια μετὰ ποταμῶν, καὶ ἄλλά τινα εἰς διαστολὴν τῶν Μητροπολιτῶν, οὐ μέμνηται δὲ παντάπασι Μίτρας. ἔνατον, περί που τὸ χιλιοστὸν πεντηκοστὸν ἔτος Μιχαὴλ ὁ Κηρουλλάριος γράφων εἰς Πέτρον τὸν Ἀντιοχείας, μέμφεται τοὺς Λατίνων Ἐπισκόπους χρυσοφοροῦντας, ὁ δὲ Πέτρος ἀντιγράφων αὐτῷ ἔλεγεν, ὅτι καὶ οἱ ἡμέτεροι φοροῦσιν Ἐπιμανίκια καὶ Ὑπογονάτια μαγγανιστὰ, οὐδ' ὅλως δὲ μέμνηται Μίτρας. δέκατον, ὅτε ἀπῆλθεν ὁ Παλαιολόγος Ἰωάννης εἰς Ἰταλίαν, ὁ Κωνσταντινουπόλεως Ἰωσὴφ ἀσκεπὴς ἐλειτούργει. μέμφεται δὲ τὸν Πάπαν μιτροφοροῦντα ὁ Δικαιοφύλαξ, λέγων κεφαλαίῳ δευτέρῳ ἀριθμῷ δευτέρῳ τῶν ἀντιρρητικῶν τοῦ Φλωρεντινοῦ Ὅρου ἅ τινα κεῖται ἐν τῇ Καταλλαγῇ, τὸ λαμπρὸν ἐκεῖνο καὶ περιττὸν διῃρμένον οὐραῖον, καὶ τὴν πολυσχιδῆ Τιάραν, καὶ τὸν ποικίλον καὶ πολυανθῆ Στέφανον. καὶ γὰρ ὁ Πάπας οὐκ ἠρκέσθη εἰς τὴν ἁπλῶς Μίτραν, ἀλλ' ἐπέθηκεν αὐτῇ τρεῖς κύκλους, καὶ ἐφ' ἑκάστῳ κύκλῳ ἐπέθετο δώδεκα πυργίσκους, τὸν μὲν, τάχα ὡς προφέρων τῶν Βασιλέων, τὸν δὲ, ὅτι καὶ τῶν Πατριαρχῶν, τὸν δὲ τρίτον, ὡς ἔχων ἐν τῇ καθόλου Ἐκκλησίᾳ Οἰκουμενικὴν τουτέστι καθολικὴν καὶ γενικὴν ἐξουσίαν. ἱστορεῖ ὁ Πλάτινας ὅτι ὁ Πάπας Παῦλος ὁ δεύτερος ἐπεθύμησε σφόδρα τῶν θηλυκῶν καλλωπισμάτων, καὶ συνῆγε πανταχόθεν ταῦτα μετὰ φθορᾶς τῶν ἐκκλησιαστικῶν θησαυρῶν, καὶ ἐστολίζετο τόσον, ὥστε φαίνεσθαι εἶναι αὐτὸν ἄλλην τινὰ Κυβέλλην τῆς Φρυγίας, ὅθεν καὶ ἐν τῇ κεφαλῇ φορῶν τὴν τρικάρηνον Μίτραν ὥσπερ ἕνα πύργον, ἀπὸ τοῦ βάρους αὐτῆς κατέβη εἰς αὐτὸν ἀποπληξία, καθὼς ἔπαθε τοῦτο καὶ ὁ Λέων ὁ υἱὸς τοῦ Κοπρωνύμου, ἀφ' ἧς αἰτίας καὶ οἱ δύο κακῶς ἐτελεύτησαν. ἑνδέκατον, ὁ Θεσσαλονίκης μαρτυρεῖ, ὅτι ὁ Ἀλεξανδρείας ἐμιτροφόρει, οἱ δὲ λοιποὶ Πατριάρχαι ἀσκεπεῖς ἐλειτούργουν.

ΒΙΒΛΙΟΥ Α΄. ΚΕΦΑΛΑΙΟΥ ΚΒ΄. ΠΑΡΑΓΡΑΦΟΝ Η΄.

Περὶ ἀποστολικῆς στολῆς καὶ σχήματος καὶ Σάκκου ὃν οἱ Βασιλεῖς καὶ οἱ Πατριάρχαι φοροῦσι.

Εἰ δὲ λέγει ὁ Θεοφάνης περὶ Ἰωάννου τοῦ Καππάδοκος, ὅτι προβληθεὶς Ἐπίσκοπος Κωνσταντινουπόλεως, τῇ τρίτῃ ἡμέρᾳ ἐφόρεσε τὴν ἀποστολικὴν στολὴν, καὶ ὅτι τοῦ μεγάλου Ἰουστινιανοῦ ποιοῦντος

τος τὰ δεύτερα ἐγκαίνια τῆς ἁγίας Σοφίας, ὁ Κωνσταντινουπόλεως Εὐτύχιος ἐν τῇ λιτανείᾳ ἐκαθέζετο ἐπὶ χρυσοῦ ὀχήματος, βαστάζων τὰ ἅγια λείψανα, καὶ φορῶν τὸ ἀποστολικὸν σχῆμα. ῥητέον δύο τινά, ὅτι ἀποστολικὴ στολὴ καὶ ἀποστολικὸν σχῆμα ἐστὶν ἡ στολὴ ἣν ἐφόρουν κοινῶς οἱ πατέρες ἀπ' ἀρχῆς. δεύτερον, ὅτι ἣν Σάκκος, λέγει γὰρ ὁ λατῖνος Κωδινὸς καὶ ὁ Χωματινὸς Δημήτριος, ὅτι οἱ Αὐτοκράτορες Κωνσταντινουπόλεως εἰώθασι φορεῖν ἐν τῇ λαμπρᾷ καὶ ἐν τῇ ἡμέρᾳ τῆς στεφηφορίας αὐτῶν Σάκκον καὶ Διάδημα, καὶ οἱ Πατριάρχαι τοῦτον τὸν Σάκκον φορεῖν εἰώθασιν ἐν ταῖς ἑορτασίμοις καὶ φαιδραῖς ἑορταῖς. ἐν ταῖς ἑορταῖς λέγει, καὶ οὐ πάντοτε Σάκκον, καὶ οὐχὶ Μίτραν ἢ Διάδημα.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ΚΒ'. ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τοῦ πόθεν τὸ μιτροφορεῖν τὸν Κωνσταντινουπόλεως, ὃ καὶ Ἀρχιεπίσκοποι καὶ Μητροπολῖται κακῶς καὶ παραλόγως χρῶνται.

Φανερὸν οὖν, ὅτι καινοτομία καὶ μάλιστα μεταγενεστέρα ἐστὶ τὸ μιτροφορεῖν τὸν Ῥώμης καὶ τὸν Ἀλεξανδρείας, ἀφ' ὧν μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως ὁ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων ἐρανισάμενοι, περιεποιήθησαν τὸ περίεργον, οἵτινες ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ἐκοστῷ δευτέρῳ τῷ σωτηρίῳ ἐπιδημήσαντες εἰς Βυζάντιον, καὶ ἱερουργοῦντες μετὰ τοῦ Κωνσταντινουπόλεως Τιμοθέου, ἐλειτούργουν ἀσκιπεῖς διὰ τὸν Κωνσταντινουπόλεως. Κύριλλος δὲ ὁ Λούκαρις μετατεθεὶς ἀπὸ Ἀλεξανδρείας εἰς Κωνσταντινούπολιν, καὶ φορῶν τὴν Μίτραν, μετέδωκε καὶ τοῖς μετ' αὐτὸν τὴν καινοτομίαν μέχρι καὶ τῆς σήμερον, ὅθεν διεδόθη τὸ καινοτόμημα καὶ εἰς τοὺς αὐτοκεφάλους Ἀρχιεπισκόπους, καὶ εἴς τινας Μητροπολίτας κακῶς καὶ παραλόγως.

ΒΙΒΛΙΟΥ Α'. ΚΕΦΑΛΑΙΟΥ ΚΒ'. ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῆς συνηθείας τοῦ μιτροφορεῖν, καὶ κατὰ τίνος μίμησιν, καὶ περὶ διαστολῆς τῆς Μίτρας τοῦ Ῥώμης καὶ τῶν Πατριαρχῶν, καὶ σημασίας θειοτάτης καὶ περιγραφῆς τῆς τῶν Πατριαρχῶν Μίτρας.

Διεδόθη οὖν ἡ συνήθεια εἰς τὴν Ἐκκλησίαν, ἧς ἀρχαίας, ἤγουν πρὸ πεντακοσίων σχεδὸν ἐτῶν οὔσης, καὶ ἐν πᾶσι τοῖς ἁγιωτάτοις Πατριάρχαις ὁπωσδήποτε διαδοθείσης, οὐκ ἔστι ῥάδιον ἀφαιρεθῆναι, καὶ μάλιστα ἵνα μὴ ἀσυμφωνία γένηται, καὶ ἀκολουθήσῃ σκάνδαλόν τι σχίσματός τινος αἴτιον. ἰδὲ περὶ τούτου ἐν τῷ κατὰ τοῦ Σινὰ ὄρους Ἀνανίου ἡμετέρῳ πονήματι. σημειωτέον ὅμως ὅτι μιτροφοροῦσιν οἱ Ἀνατολικοὶ οὐ διὰ τὴν Μίτραν τοῦ Σιλβέστρου οὐδὲ διὰ τὸν Λῶρον τοῦ Κωνσταντίνου, ἢ τὸν κελεστῖνον καὶ Κύριλλον, ἀλλὰ διὰ τὸν Ἐπιστήθιον καὶ Ἀδελφόθεον χάριν τοῦ πρὸς τὸν Ἀαρὼν κατά τι μιμήματος, ὅθεν καὶ διαστέλλονται αἱ Μίτραι αὐτῶν ἀπὸ τῆς τοῦ Πάπα, ὅτι ἐκείνης τὸ σχῆμα τρίπυργον καὶ πάντοθεν πολυτελὲς καὶ μετὰ τοῦ οὐραίου, τὸ δὲ τῆς τῶν Πατριαρχῶν ἔχει τὸ χρυσοῦν Πέταλον, ὅπερ ὁ μέγας Κύριλλος εἶπε Ψέλλιον, ὁ δὲ Φίλων λέγει ὅτι ἣν ὡσεὶ Στέφανος, τέσσαρας ἔχων γλυφὰς ὀνόματος, περὶ οὗ ὁ αὐτὸς Κύριλλος λέγει λόγῳ ἑνδεκάτῳ περὶ τῆς ἐν Πνεύματι λατρείας, ἐκτύπωμα δὲ ἐπὶ τοῦ Πετάλου τὸ Χριστοῦ μυστήριον, ὃ περιέχεται δηλονότι ἐν τῷ Σταυρῷ. καὶ διατοῦτο ἀντὶ τοῦ τυποῦντος Πετάλου τιθέασιν οἱ Πατριάρχαι τὸν τυπούμενον Σταυρὸν, οὐκάτω, ἀλλ' ἄνω τῆς Κιδάρεως μετὰ τῆς βάσεως αὐτοῦ, ἤτοι τῆς Μίτρας, περὶ δὲ τὴν Κίδαριν τιθέασι τὸ τετραγράμματον, ἤτοι τοὺς τέσσαρας Εὐαγγελιστὰς τοὺς γράψαντας τὸ Πέταλον, τὸ καὶ ἁγίασμα, ἤτοι τὸ Εὐαγγέλιον, ἐν ᾧ ὡς ἐν λόγῳ συντετμημένῳ συγγράφεται τὸ Χριστοῦ μυστήριον. δέδεικται ἄρα ὅτι καινοτομία ὑπὸ τῆς Ἐκκλησίας Ῥώμης τὴν ἀρχὴν λαβοῦσα ἐστὶ τὸ μιτροφορεῖν, καὶ ἐπὶ Σιλβέστρου οὐκ ἦν τοῦτο τὸ εἶδος ἐν τῇ Ἐκκλησίᾳ γνωστὸν, ὥστε καὶ τὸ θέσπισμα ψεύδεται τοιοῦτόν τι περιέχον, μάλιστα ὡς πλάσμα, πλάσματα καὶ ἀλλόκοτα, καὶ πρὸς ὕβριν τῆς ἀρχαίας Ἐκκλησίας ἐξευρημένα εἰσάγει.

ΒΙΒΛΙΟΝ Α΄. ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

Περὶ ὧν ἐπιχειροῦσιν οἱ παπισταὶ ἀπὸ τῆς ἐκκλησιαστικῆς ἱστορίας τοῦ Εὐσεβίου εἰς σύστασιν τῆς ἀρχῆς τοῦ Ῥώμης, προσυνιστῶντες τῷ Πέτρῳ τὴν ἄκραν ἐξουσίαν, καὶ μεταφέροντες αὐτὴν ἐπὶ τὸν Ῥώμης. καὶ περὶ τοῦ πρὸς αὐτοὺς ἐλέγχου, ἀποδεικνύωτος αὐτοὺς μὲν διὰ πολλῶν, Ἀποστόλων τε καὶ ἁγίων πατέρων συκοφάντας καὶ ψεύστας, τὸν δὲ Πέτρον ἰσότιμον τῇ πνευματικῇ ἀξίᾳ καὶ ἐξουσίᾳ τοῖς λοιποῖς Ἀποστόλοις, καὶ τὸν Πάπαν Ῥώμης τοῖς λοιποῖς Ἐπισκόποις.

Κείσθω ὡς πόρισμα ἐνταῦτα τῆς ἱστορίας Εὐσεβίου τῆς ἐκκλησιαστικῆς, τὸ τοὺς παπιστὰς ἀπὸ τῶν αὐτοῦ δύο τινὰ προβάλλειν εἰς τὴν τοῦ παπισμοῦ σύστασιν, πρῶτον, ὅτι λέγει ἐν τῷ τεσσαρακοστῷ τετάρτῳ ἔτει περὶ Πέτρου, ὅτι ἐστὶν Ἀπόστολος, γένει Γαλιλαῖος, καὶ Χριστιανῶν Ἀρχιερεὺς πρῶτος, ὅτε γὰρ περὶ Ἰακώβου ἐστὶν ὁ λόγος, λέγεται Ἱεροσολύμων Ἐπίσκοπος, ὅτε περὶ Εὐοδίου, ὅτι Ἀντιοχέων, περὶ δὲ Πέτρου, ὅτι Ἀρχιερεὺς τῶν Χριστιανῶν. δεύτερον, ὅτι ὁ αὐτὸς βιβλίῳ δευτέρῳ κεφαλαίῳ δεκάτῳ τετάρτῳ λέγει περὶ Πέτρου, τὸν κρατερὸν καὶ μέγαν τῶν Ἀποστόλων, τὸν ἀρετῆς ἕνεκα τῶν λοιπῶν ἁπάντων προήγορον Πέτρον ἐπὶ τὴν Ῥώμην, ὡς ἐπὶ τηλικοῦτον λυμεῶνα (Σίμωνα τὸν μάγον) βίον χειραγωγεῖ, ὃς οἷά τις γενναῖος τοῦ βίου στρατηγὸς τοῖς θείοις ὅπλοις φραξάμενος. καὶ λοιπὸν φασὶν οἱ παπισταὶ, ἐκ τούτων δήλη ἡ τοῦ Πέτρου ἄκρα ἐξουσία, ἣν ἔχει καὶ ὁ διάδοχος αὐτοῦ Ἐπίσκοπος Ῥώμης. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον ὅτι συκοφάνται εἰσὶν οἱ παπισταὶ τῶν Πατέρων, συκοφαντοῦσι γὰρ τοὺς ἁγίους, Ἀθανάσιον, Χρυσόστομον, Κύριλλον, Φλαυϊανὸν, Στουδίτην, καὶ ἄλλους, ὡς ἐρούμεν ἐν τοῖς ἰδίοις τόποις, ἰδοὺ συκοφαντοῦσι καὶ τὸν Εὐσέβιον, εἰ γὰρ ὁ Εὐσέβιος εἶπε τὸν Πέτρον Ἀρχιερέα τῶν Χριστιανῶν πρῶτον, πῶς οὐσημειοῦσι τὸν τόπον οἱ παπισταὶ, ἀλλὰ μόνον τὸν χρόνον λέγουσιν ἐν τῷ τεσσαρακοστῷ τετάρτῳ ἔτει; ἀλλ' οὐκ ἔχει τόπον ὁ τοιοῦτος λόγος παρ' Εὐσεβίῳ, ἐπειδὴ ἐκεῖνος τοιοῦτον οὔτε ἔγραψεν, οὔτε ἐφρόνησε. δεύτερον, εἰ ὑπεθέμεθα εἰπεῖν τοιοῦτόν τι τὸν Εὐσέβιον, ἀλλὰ νομίζομεν ἐννοεῖσθαι ὡς ἐννοεῖται καὶ περὶ τῶν λοιπῶν Ἀποστόλων ὅτι εἰσὶν Οἰκουμενικοὶ Διδάσκαλοι, Οἰκουμενικοὶ Ἐπίσκοποι, ὧν ἐπειδὴ κατὰ τάξιν πρῶτος ὁ Πέτρος, ἔστω καὶ Ἀρχιερεὺς πρῶτος οὐ κατά τινα ἀξίαν, ἐπειδὴ μεῖζον τοῦ ἀποστολικοῦ ἀξιώματος οὐδέν ἐστιν ἕτερον, ἀλλὰ κατὰ μόνην τὴν τάξιν. τρίτον, ὡς ἐννοοῦμεν τοὺς Κανόνας τῶν Πατέρων λέγοντας τοὺς Ἐπισκόπους, τῆς καθολικῆς Ἐκκλησίας Ἐπισκόπους, καὶ καθολικοὺς Ἐπισκόπους, ἐπειδή εἰσιν ἀπὸ τῶν ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ Ἐπισκόπων καὶ ὀρθόδοξοι Ἐπίσκοποι, οὕτως ἐννοοῦμεν καὶ περὶ τοῦ Πέτρου ὅτι ἐστὶ τῶν ἐν τῇ Ἐκκλησίᾳ Ἀρχιερέων πρῶτος, ἤτοι τῶν ἐν τῇ Ἐκκλησίᾳ Ἀρχιερέων πρωτοκεχειροτονημένος. τέταρτον, ὁ Πέτρος ἐστὶ τῶν Χριστιανῶν Ἀρχιερεὺς πρῶτος, ἀλλ' οὐ μόνος, ἔστι γὰρ καὶ δεύτερος, καὶ τρίτος, καὶ καθεξῆς πολλοὶ, πάντες ἀπαραλλάκτως τοῦ αὐτοῦ ἀξιώματος, τῆς αὐτῆς ἐξουσίας καὶ τῆς αὐτῆς ἐνεργείας. πέμπτον, μείζων ἡ μαρτυρία τοῦ ἁγίου Ἐπιφανίου τῆς τοῦ Εὐσεβίου, ὃς λέγει περὶ τοῦ Ἀδελφοθέου, καὶ πρῶτος εἴληφε τὴν καθέδραν τῆς Ἐπισκοπῆς, ᾧ πεπίστευκεν ὁ Κύριος τὸν θρόνον αὐτοῦ ἐπὶ τῆς γῆς πρώτῳ. ἰδοὺ ὁ Ἰάκωβος πρωτόθρονος, ἤτοι Ἀρχιερεὺς πρῶτος καὶ πρωτόθρονος, οὐχ ἁπλῶς, ἀλλ' ἐν τῷ θρόνῳ τοῦ Κυρίου, καὶ ἰδὲ περὶ ἐγκωμίων τῶν Ἀποστόλων βιβλίου δεκάτου μέρους τετάρτου κεφάλαιον πρῶτον. ἐκτείνονται δὲ τὰ ἀποστολικὰ ἐγκώμια εἰς τοὺς Πατέρας, καὶ ἰδὲ βιβλίου δεκάτου μέρους δευτέρου κεφάλαιον ὕστατον, καὶ ταῦτα πρὸς τὸ πρῶτον, εἰ καὶ συκοφαντία ἐστὶ τῶν παπιστῶν πρὸς τὸν Εὐσέβιον ὁ λόγος. πρὸς δὲ τὸ δεύτερον ῥητέον, οὐσυνάγεται εἰ ὁ Πέτρος λέγεται μέγας καὶ προήγορος τῶν Ἀποστόλων, ἵνα ἐξουσίαν τινὰ ἔχῃ ἐπ' αὐτῶν, μείζονα γὰρ τοῦ Πέτρου ἐγκώμια εἶπον οἱ Πατέρες καὶ ἡ Ἐκκλησία εἰς τοὺς λοιποὺς Ἀποστόλους καὶ τοὺς πατέρας, καὶ ἰδὲ τοὺς εἰρημένους δύο τόπους. ὅτι δὲ ἡ τάξις οὐσυνεισφέρει ἀναγκαίως ἐξουσίαν τινὰ ἢ ἀξίωμα, κοινῶς ῥητέον καὶ πρὸς τὰ δύο ἐπιχειρήματα, ὁ γὰρ Εὐσέβιος οὐδένα σκοπὸν εἶχεν, ὥστε εἶναι τὸν μὲν Πέτρον Ποιμένα τῶν Ἀποστόλων, τοὺς δὲ Ἀποστόλους πρόβατα τοῦ Πέτρου, ὡς βεβαιοῖ τὰ συγγράμματα αὐτοῦ, καὶ ἰδίως ταῦτα τὰ δέκα τῆς ἐκκλησιαστικῆς ἱστορίας, ἐπειδὴ ἐξίσου παραδίδωσι τὴν διαδοχὴν τῶν Ἀποστόλων ἐν τῇ Ἐκκλησίᾳ, οὔτε μὴν ἐνόησέ ποτε ὁ Εὐσέβιος τὸν Ῥώμης Ἐπίσκοπον εἶναι διάδοχον τοιούτου Πέτρου, οὔτε ἐφρόνησε τὸν Ῥώμης διάδοχον εἶναι τοῦ Πέτρου μᾶλλον τοῦ Εὐοδίου, ἢ τὸν Πάπαν ἔχειν τινὰ ἐξουσίαν γενικὴν ἐν τῇ καθόλου Ἐκκλησίᾳ, πρῶτον, ὅτι ἐξίσου συγγράφει τὰς διαδοχὰς τῶν ἀποστολικῶν θρόνων, Ἀντιοχείας, Ἱεροσολύμων, Ἀλεξανδρείας καὶ Ῥώμης. δεύτερον, ὅτι καὶ τὰς διαδοχὰς πάντων τῶν Ἐπισκόπων ἐν τῇ Ἐκκλησίᾳ καὶ τὴν διδασκαλίαν τῆς πίστεως καὶ τὰς παραδόσεις οὐ παρὰ τοῦ Πέτρου μόνου ἢ τοῦ Ἐπισκόπου Ῥώμης συγγράφει, ἀλλὰ παρὰ τῶν Ἀποστόλων καὶ τῶν πατέρων ὑποτίθησι καὶ ἐξιστορεῖ,

στορεῖ, καὶ ἀεὶ τῇ καθόλου κοινότητι τῆς Ἐκκλησίας ἀποδίδωσι τὸ Κῦρος τοῦ τέμνειν τὰς ἐν τῇ Ἐκκλησίᾳ συμβαινούσας ἀμφιβολίας, καὶ ἄθρει. λέγει λοιπὸν, ἀλλὰ καὶ ἡ ἐν Ἐφέσῳ Ἐκκλησία ὑπὸ Παύλου μὲν τεθεμελιωμένη, Ἰωάννου δὲ παραμείναντος αὐτῇ ἄχρι τῶν Τραϊανοῦ χρόνων, μάρτυς ἀληθής ἐστι τῆς τῶν Ἀποστόλων παραδόσεως βιβλίῳ τρίτῳ, κεφαλαίῳ εἰκοστῷ τρίτῳ. καὶ ὅτι, ὁ ἐγνάτιος τῆς κατὰ Ἀντιόχειαν Πέτρου διαδοχῆς δεύτερος τὴν Ἐπισκοπὴν κληρωσάμενος, ὃς εἰς Ῥώμην ἀναγόμενος προὔτρεπεν ἀπρὶξ ἔχεσθαι τῆς τῶν Ἀποστόλων παραδόσεως βιβλίῳ τρίτῳ, κεφαλαίῳ τριακοστῷ πέμπτῳ. καὶ ὁ Νικοδρᾶτος καὶ ἄλλοι ἐπὶ τούτοις πλείους ἠγωνίζοντο κατὰ τήνδε τὴν πρώτην τάξιν τῆς τῶν Ἀποστόλων ἐπέχοντες διαδοχῆς, καὶ τοὺς κατὰ πάντα τόπον τῶν Ἐκκλησιῶν προκαταβληθέντας ὑπὸ τῶν Ἀποστόλων θεμελίους ἐπῳκοδόμουν. καταριθμεῖ δὲ τοὺς τότε Ποιμένας καὶ Εὐαγγελιστὰς καὶ ἄλλους. καὶ ὅτι Σεραπίων Ἐπίσκοπος Ἀντιοχείας ἐπιστολῇ πρὸς Καρικὸν καὶ Πονθηρὸν λέγει κατὰ Μοντανοῦ, ἐβδέλυκται ἡ ἐνέργεια παρὰ πάσῃ τῇ ἐν Χριστῷ ἀδελφότητι καὶ ἀνὰ πᾶσαν τὴν Οἰκουμένην, βιβλίῳ πέμπτῳ, κεφαλαίῳ δεκάτῳ ἐνάτῳ. καὶ ὅτι οἱ ἀπὸ Ἀρτέμωνος καὶ Παύλου Σαμοσατέως ἔλεγον ἀρχαίαν καὶ ἀποστολικὴν τὴν Αἵρεσιν αὐτῶν, ἀλλ' ὁ πρὸ Βίκτορος Ζεφυρῖνος ἀνέτρεψεν αὐτήν. τινὲς δὲ τῶν πατέρων εἰς βεβαίωσιν τοῦ ἀληθινοῦ λόγου, καὶ βοήθειαν Ζεφυρίνου καὶ Βίκτορος φέρουσι μάρτυρας Ἰουστῖνον, Μιλτιάδην, Τατιανὸν, Κλήμεντα, Εἰρηναῖον, Μελίτωνα καὶ ἄλλους, βιβλίῳ πέμπτῳ, κεφαλαίῳ ἐσχάτῳ. καὶ ὅτι ὁ Ἱεροσολύμων Ἀλέξανδρος ἔγραψε πρὸς τοὺς Ἀντιοχεῖς περὶ τοῦ Στρωματέως, ὅτι τὴν ἐνθάδε Ἐκκλησίαν ἐπεστήριξε καὶ ηὔξησε, βιβλίῳ ἕκτῳ, κεφαλαίῳ ἑνδεκάτῳ. καὶ ὅτι, ὁ Ἡγήσιππος ἔλεγεν, ὡς ἀπερχόμενος ἕως Ῥώμης, πλείστοις Ἐπισκόποις συνέμιξε καὶ τὴν αὐτὴν παρὰ πάντων παρειληφέναι διδασκαλίαν. καὶ ὅτι ἐν ἑκάστῃ διαδοχῇ καὶ ἐν ἑκάστῃ πόλει οὕτως ἔχει ὡς ὁ Νόμος κηρύττει καὶ οἱ Προφῆται καὶ ὁ Κύριος, βιβλίῳ τετάρτῳ, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ. καὶ ὅτι Ἕρμων ὕστατος μετὰ τὸν διωγμὸν, τὸν εἰσέτι νῦν ἐκεῖσε πεφυλαγμένον (ἤτοι ἐν Ἱερουσαλὴμ) ἀποστολικὸν διαδέχεται θρόνον. καὶ ὅτι Σεραπίων ὁ Ἀντιοχείας γράφων πρὸς Ῥωσσοὺς λέγει, ἡμεῖς γὰρ ἀδελφοὶ καὶ Πέτρον καὶ τοὺς ἄλλους Ἀποστόλους ἀποδεχόμεθα ὡς Χριστὸν, βιβλίῳ ἕκτῳ, κεφαλαίῳ δωδεκάτῳ. καὶ σημείωσαι, οὐχ ὁ Πέτρος μόνος τῆς Ἐκκλησίας Διδάσκαλος, ἀλλὰ κοινῶς οἱ Ἀπόστολοι, μετὰ δὲ τοὺς Ἀποστόλους οὐκ ἐδίδασκε μόνος ὁ Ῥώμης, ἀλλὰ κοινῶς οἱ πατέρες, οἵτινες, καὶ ἡ ἀποστολικὴ παράδοσις ἐβεβαίωσαν τὴν πίστιν, καὶ οὐχ ὁ Ῥώμης.

διὸ λέγει ὁ αὐτὸς, ὡς δὲ ὁ ἱερὸς τῶν Ἀποστόλων χορὸς διάφορον εἰλήφει τοῦ βίου τέλος, οἱ Αἱρετικοὶ ἅτε μηδενὸς ἔτι τῶν Ἀποστόλων λειπομένου, γυμνῇ λοιπὸν ἤδη τῇ κεφαλῇ τῷ τῆς ἀληθείας κηρύγματι τὴν ψευδώνυμον γνῶσιν ἀντικηρύττειν ἐπεχείρουν, βιβλίῳ τρίτῳ, κεφαλαίῳ τριακοστῷ τρίτῳ. καὶ γὰρ οὐδεὶς Ἐπίσκοπος ἦν ἰσότιμος, ἢ ἰσοδύναμος τῶν Ἀποστόλων, ὥς τε δύνασθαι τοὺς Αἱρετικοὺς τῇ δυνάμει, ἢ τῇ εὐλαβείᾳ κωλύειν, ἢ ἀναχαιτίζειν τῆς κατ' αὐτοὺς ἀθεμίτου ὁρμῆς. καὶ λοιπὸν σημείωσαι, ὅτι κοινῶς καὶ ἐξίσου καὶ ἰσοτίμως Διδάσκαλοι οἱ Ἀπόστολοι, καὶ κοινῶς καὶ ἐξίσου καὶ ἰσοτίμως τῶν Ἀποστόλων διάδοχοι οἱ Πάπαι, καὶ οἱ ἅγιοι πατέρες, καὶ οὐκ ἔστι δήπου ὁ μὲν Ῥώμης ἀμέσως, οἱ δὲ λοιποὶ Ἐπίσκοποι ἐμμέσως καὶ διὰ τοῦ Ῥώμης διάδοχοι. καὶ οἱ Πάπαι διὰ τῶν ἁγίων πατέρων τοὺς ἑαυτῶν ἀποδεικνύουσι λόγους, καὶ ἀθωοῦνται ἐν οἷς ὑπὸ τῶν Αἱρετικῶν ἐγκαλοῦνται. εἰ δὲ καὶ ὡς Χριστὸς δέχονται πάντες οἱ Ἀπόστολοι, οὐδεὶς δὲ τοῦ Χριστοῦ μείζων, οὐδεὶς ἄρα Ἀπόστολος τῶν λοιπῶν Ἀποστόλων ἐστὶ κατά τινα ἐξουσίαν μείζων. τρίτον, συγγράψας τὰ κατὰ τὸν Στέφανον, Κορνήλιον, Βίκτορα, Κυπριανὸν, Πολυκράτη, Ἕλενον, οὐδὲ μίαν ἐξουσίαν παρέχει τῇ Ῥωμαίων Ἐκκλησίᾳ, ἀλλ' ἰσότητα αὐτῆς μετὰ τῶν λοιπῶν Ἐκκλησιῶν περιγράφει, ὡς ἀποδέδεικται ἀνωτέρω ἐν πολλοῖς. τέταρτον, αὐτὸς συνέγραψε τὰς ἐπὶ Κωνσταντίνου ἐν Ῥώμῃ καὶ Γαλλίᾳ Συνόδους, ἐξ ὧν μοναρχικὸν πρωτεῖον τοῦ Πάπα οὐ γινώσκεται, ἀλλὰ τῆς κοινότητος βεβαιοῦται ἡ ἐξουσία, τὸ δὲ μοναρχικὸν γενναίως καταβάλλεται. πέμπτον, γράφων τὸν βίον τοῦ ἁγίου Κωνσταντίνου ἐν τρισὶ βιβλίοις, καὶ λέγων περὶ τῆς ἁγίας Οἰκουμενικῆς πρώτης Συνόδου, οὐδὲ μίαν μνήμην ποιεῖται ἰδίως τοῦ Ῥώμης, ἐξ ὧν δὲ συγγράφει, τὸ κῦρος ἐν τῇ Ἐκκλησίᾳ συνάγεται κατὰ πάντα τρόπον εἶναι ἴδιον τῆς κοινότητος. ἕκτον, πρὸς τούτοις φέρων τὸν Εἰρηναῖον ὡς εἴρηται γράφοντα τὰς τῶν Ἐπισκόπων Ῥώμης διαδοχὰς ἕως Ἐλευθέρου, ὃς ἐγένετο Πάπας ἐνέτει ἑκατοστῷ ἑβδομηκοστῷ ἐνάτῳ, περὶ οὐδενὸς λέγει ὅτι ἦν διάδοχος τοῦ Πέτρου, ἀλλὰ τῶν Ἀποστόλων, καὶ ὅτι τῇ αὐτῇ τάξει καὶ τῇ αὐτῇ διδαχῇ ἥ τε ἀπὸ τῶν Ἀποστόλων ἐν τῇ Ἐκκλησίᾳ παράδοσις, καὶ τὸ τῆς ἀληθείας κήρυγμα κατήντησεν εἰς ἡμᾶς, βιβλίῳ πέμπτῳ, κεφαλαίῳ ἕκτῳ. ἕβδομον, ὅτι οὐκ οἶδεν ἐν τῇ Ἐκκλησίᾳ παντάπασιν ἀξίωμα μοναρχικὸν ὁ Εὐσέβιος, ἐπιμαρτυρεῖ ἐκεῖνα ὅσα ἔπραξε καὶ συνέπραξεν ἐν Τύρῳ, ἐν Καισαρείᾳ, ἐν Ἱεροσολύμοις, ἐν Ἀντιοχείᾳ κατὰ τῶν ἁγίων Εὐσταθίου καὶ Ἀθανασίου, μηδένα λόγον μηδαμῶς τοῦ Ῥώμης ποιούμενος.

ΒΙΒΛΙΟΝ Α΄. ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

Ὅτι καὶ ἀπὸ τῶν ἐν Ἀγκύρᾳ καὶ Νεοκαισαρείᾳ καὶ Λαοδικείᾳ Συνόδων ἀναιρεῖται τὸ μοναχικὸν ἀξίωμα ἀπὸ τῆς Ἐκκλησίας.

Ἐν ἔτει τριακοσιοστῷ δεκάτῳ τετάρτῳ ἠθρόισθη Σύνοδος ἐν Ἀγκύρᾳ. τῷ αὐτῷ ἔτει, ὅπερ ἦν τοῦ μεγάλου Κωνσταντίνου τῆς Βασιλείας ἔτος, ἠθρόισθη ἡ ἐν Νεοκαισαρείᾳ Σύνοδος. μετ' οὐ πολὺ δὲ, ἠθρόισθη καὶ ἡ ἐν Λαοδικείᾳ Σύνοδος. αἵτινες καὶ αἱ τρεῖς ἐξέθεντο Νόμους ἀναγκαίους τῇ Ἐκκλησίᾳ. συνῆλθον δὲ ἀνευγνώμης, ἢ βουλῆς, ἢ ἐπιταγῆς, ἢ καὶ εἰδήσεως τοῦ Ἐπισκόπου Ῥώμης. ἐβεβαιώθησαν δὲ οὐχ ὑπὸ τοῦ Ῥώμης, ἀλλ' ὑπὸ τῶν Οἰκουμενικῶν Συνόδων. ὅθεν ἀνωτέρω κεφαλαίῳ εἰκοστῷ πρώτῳ ἔλεγεν ὁ Ἰουστινιανὸς, τοὺς Κανόνας τοὺς ὑπὸ τῶν ἁγίων τεσσάρων Συνόδων ἐκτεθέντας, ἢ βεβαιωθέντας. ῥητῶς δὲ ἐβεβαίωσεν αὐτὰς ἡ ἐν Τρούλλῳ, ἥτινι κατακολουθήσασα καὶ ἡ ἑβδόμη Οἰκουμενικὴ, συνεβεβαίωσε. ψεῦδος ἄρα ὅτι ὁ Ῥώμης ἀγείρει, ἢ βεβαιοῖ τὰς Συνόδους. βλασφημία ἐστὶ τὸ τὰς Συνόδους, αἵτινες οὐκ ἀγείρονται τῇ προσταγῇ τοῦ Πάπα, καὶ οὐ βεβαιοῦνται τῇ αὐτοῦ κρίσει, μὴ εἶναι Συνόδους. ὁ δὲ τεσσαρακοστὸς Κανὼν τῆς ἐν Λαοδικείᾳ προφανέστατα καθαιρεῖ τοῦτο τὸ πομπηϊκὸν ἀξίωμα, φησὶ γὰρ, ὅτι οὐδεὶν Ἐπισκόπους καλουμένους εἰς Σύνοδον, καταφρονεῖν, ἀλλ' ἀπίεναι, καὶ διδάσκειν, ἢ διδάσκεσθαι. εἰς κατόρθωσιν τῆς Ἐκκλησίας, καὶ τῶν λοιπῶν, εἰ δὲ καταφρονήσειεν ὁ τοιοῦτος, ἑαυτὸν αἰτιάσεται. καὶ σημείωσαι, ὅτι ὁ Κανὼν οὗτος οὐδένα Ἐπίσκοπον ἐξαιρεῖ, ἀλλὰ πάντας συμπεριλαμβάνει, ἐν οἷς καὶ ὁ Ῥώμης ἐστίν. ὅθεν ἡ κατὰ Φωτίου Σύνοδος τούτῳ κατακολουθήσασα, Κανόνι δεκάτῳ τρίτῳ φησὶν, εἰ δὲ συγκροτηθείσης Συνόδου Οἰκουμενικῆς γένηταί τις καὶ περὶ τῆς Ἐκκλησίας τῆς Ῥωμαίων ἀμφιβολία, ἔξεστι διὰ πυνθάνεσθαι περὶ τοῦ προκειμένου ζητήματος, καὶ ἢ ὠφελεῖσθαι, ἢ ὠφελεῖν, ὅπερ ταὐτόν ἐστι τῷ διδάσκειν, ἢ διδάσκεσθαι. καὶ λοιπὸν σημείωσαι, ὅτι ὁ Ῥώμης οὐκ ἔστιν ἐπὶ τῶν Συνόδων, ἀλλ' αἱ Σύνοδοι ἐπ' αὐτοῦ, ὡς καὶ ἐπὶ παντὸς Ἐπισκόπου, καὶ εἰ μὴ πείθηται ταῖς Συνόδοις, αὐτὸς ἑαυτὸν αἰτιᾷ, ἤτοι ὑπόδικον αὐτὸς ἑαυτὸν ποιεῖ τῇ ἐκκλησιαστικῇ παιδείᾳ, ὡς καὶ ὁ Πάπας Βιγίλιος μὴ ὑπείξας τῇ πέμπτῃ Συνόδῳ, αἰτιαθεὶς, ὑπέπεσεν ἐκκλησιαστικῇ παιδείᾳ, ἑπομένως δὲ, καὶ βασιλικῇ, ὡς ῥηθήσεται.

ΒΙΒΛΙΟΝ Α΄. ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Περὶ τοῦ ψευδοκανόνος τῆς λεγομένης ἐν Ῥώμῃ Συνόδου, τοῦ διαγορεύοντος μὴ κρίνεσθαι τὸν θρόνον τῆς Ῥώμης, καὶ περὶ τοῦ ὅτι οἱ Πάπαι Ῥώμης πολλάκις οἰκουμενικῶς ἐκρίθησαν, ἡ δὲ Σύνοδος αὕτη ἐστὶ πεπλασμένη, καὶ ψευδὴς καὶ ὁ Κανὼν καὶ ῥαδιοῦργος.

Τινὲς τῶν παπιστῶν λέγουσιν, ὅτι τῷ δεκάτῳ πρώτῳ ἔτει τῆς Πατριαρχίας τοῦ Πάπα Σιλβέστρου, ὅπερ ἐστὶ τοῦ μεγάλου Κωνσταντίνου ἔτος δέκατον ἕνατον ἠθρόισθη Σύνοδος ἐν Ῥώμῃ διακοσίων ὀγδοήκοντα Ἐπισκόπων, παρόντος καὶ τοῦ μεγάλου Κωνσταντίνου, ἥτις ἐξέθετο Κανόνας εἴκοσιν, ἐν δὲ τῷ εἰκοστῷ Κανόνι ἐνομοθέτησεν, ὅτι ὁ πρῶτος θρόνος οὐ κρίνεται οὔτε ὑπὸ Αὐγούστου, οὔτε ὑπὸ Βασιλέως, οὔτε ὑπὸ Κλήρου, οὔτε ὑπὸ λαοῦ. νομίζουσι δὲ πρῶτον θρόνον εἶναι τὸν Ἐπίσκοπον Ῥώμης, καὶ ἐκ τούτου βούλονται συμπεραῖναι, ὅτι ὁ θρόνος τῆς Ῥώμης ἐστὶ πρῶτος, καὶ πάντας ἀνακρίνει, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται, καὶ γὰρ πῶς ὁ κριτὴς κριθήσεται; Ἀλλὰ ῥητέον πρὸς ταῦτα, ὅτι εἰ καὶ περὶ ταύτης τῆς Συνόδου ἐρουμεν κατωτέρω βιβλίου δεκάτου, κεφαλαίου ἑνδεκάτου, Παραγράφῳ τετάρτῳ, ἀλλὰ καὶ ἐνταῦθα ῥητέον, πρῶτον, ὅτι ἡ ἄθροισις ταύτης τῆς Συνόδου ἐστὶ πεπλασμένη, ὡς δείκνυται ἐκ πολλῶν. ἡμῖν ὅμως ἀρκεῖ ἀποδεῖξαι κατὰ τὸ παρὸν τὸν Κανόνα τοῦτον ψευδεπίπλαστον, περὶ οὗ πάλιν οἱ παπισταὶ βιαζόμενοι ὑπὸ τῆς ἀληθείας, ἔξωθεν αὐτοῦ γεγραφήκασι σχόλιον λέγον, ὁ Κανὼν οὗτος ψευδής ἐστι, καὶ δοκεῖ εἶναι ἔργον Ἰσιδώρου. καὶ ἄλλως, ὁπωσδήποτε ἡ φωνὴ ψευδής ἐστιν, ἐπειδὴ ἀναμφίβολόν ἐστι μὴ ἐσχηκέναι τὸν μέγαν Κωνσταντῖνον Βασιλέα ἰσότιμον αὐτῷ ἄλλον τινὰ, ἢ τὸν Σίλβεστρον δηλονότι αὐτόν. Ἰσίδωρον δὲ λέγει, περὶ οὗ εἴπομεν ἀνωτέρω κεφαλαίῳ ἑνδεκάτῳ Παραγράφῳ ἕκτῳ. εἶτα ὁ Κωνσταντῖνος

τῖνος ἀπὸ τῆς Ῥώμης πρὸ τῆς Πατριαρχείας τοῦ Σιλβέστρου ἐλθὼν εἰς τὰ μέρη τῆς Ἀνατολῆς, οὐχ ὑπέστρεψε τοῦ λοιποῦ εἰς τὰ μέρη τῆς Ῥώμης, καὶ πῶς παρῆν ἐν τῇ Συνόδῳ; ἔπειτα πρῶτος θρόνος οὐκ ἐγινώσκετο ἐν τῇ Ἐκκλησίᾳ πρὸ τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου, ὡς ῥηθήσεται ἐν πολλοῖς κατωτέρω. ψευδὴς ἄρα ὁ Κανὼν καὶ ῥαδιοῦργος. εἰ δὲ δοκεῖ, δοτέον εἶναι πρῶτον τῶν Ἀποστόλων τὸν Πέτρον κατά τινα ἐξουσίαν, καὶ τὸν Πάπαν εἶναι τοῦ Πέτρου διάδοχον, ἐκρίθη ὅμως καὶ ὁ Πέτρος καὶ οἱ Ἐπίσκοποι τῆς Ῥώμης, καὶ ἄθρει, πρῶτον, ὁ Πέτρος ἐκρίθη ἐν τῇ ἀποστολικῇ Συνόδῳ, ὡς εἴρηται ἀνωτέρω κεφαλαίου πέμπτου Παραγράφῳ πέμπτῳ. δεύτερον, ὁ Πέτρος ἐκρίθη ὑπὸ τοῦ Παύλου, πάρ οὗ καὶ κατεγνωσμένος ἐκλήθη. τρίτον, ὁ Πάπας Ἀνίκητος ἐκρίθη ὑπὸ τοῦ Πολυκάρπου, καὶ γὰρ διηλέχθη μετὰ τοῦ Πάπα ὁ Πολύκαρπος περὶ τῆς ἑορτῆς τοῦ Πάσχα, ὅτι κάλλιον γίνεται ἐν τῇ Ἀσίᾳ, καὶ τέως αὐτῷ οὐχ ὑπετάγη. τέταρτον, ὁ Πάπας Ῥίκτωρ ἐδικάσθη ὑπὸ τοσούτων πατέρων Ἀνατολῆς καὶ Δύσεως, καὶ ἰδὲ ἀνωτέρω κεφάλαιον ἑνδέκατον. πέμπτον, ὁ Πάπας Στέφανος ἐκρίθη καὶ κατεκρίθη ὑπὸ τῆς Ἀφρικῆς, Αἰγύπτου, Κιλικίας, Λυκαονίας, καὶ ἑτέρων πολλῶν ἐθνῶν περὶ τοῦ βαπτίσματος. ἕκτον, ὁ Πάπας Λιβέριος ἐκρίθη ὑπὸ τοῦ Αὐγούστου Κωνσταντίου, καὶ ἑτέρων Ἐπισκόπων, καὶ ἰδὲ κατωτέρω βιβλίου δευτέρου κεφάλαιον ἕνατον, καὶ βιβλίου τοῦ αὐτοῦ, κεφαλαίου ὀγδόου Παράγραφον τέταρτον. ἕβδομον, ὁ Πάπας Ἰούλιος ἐκρίθη ὑπὸ τῆς ἐν Σαρδικῇ Συνόδου, καὶ ἰδὲ κατωτέρω βιβλίου δευτέρου κεφαλαίου ἕκτου Παράγραφον τρίτον. ὁ αὐτὸς ἐκρίθη ὑπὸ τῶν Ἐπισκόπων τῆς Ἀσίας, πρὸς οὓς καὶ ἀπελογήσατο, καὶ ἰδὲ κατωτέρω βιβλίου δευτέρου κεφαλαίου πέμπτου Παράγραφον δέκατον ὄγδοον. οἱ Πάπαι Ζώσιμος, Βονιφάτιος καὶ Κελεστῖνος ἐκρίθησαν καὶ ἐπετιμήθησαν ὑπὸ τῶν Ἐπισκόπων τῆς Ἀφρικῆς, καὶ ἰδὲ κατωτέρω βιβλίον δεύτερον καὶ τρίτον. ἕνατον, μαχομένων Παπῶν Δαμάσου, καὶ τινῶν διαδόχων αὐτοῦ μετὰ τοῦ Ἀντιοχείας Φλαυϊανοῦ, ὁ Αὔγουστος Θεοδόσιος ὁ μέγας ἔκρινε τοὺς Πάπας, καὶ ἐπετίμησε, καὶ ἐσιώπησαν, καὶ ἰδὲ κατωτέρω βιβλίου τρίτου κεφάλαιον ἕβδομον. δέκατον, τοῦ Πάπα Ἰννοκεντίου βουληθέντος βοηθῆσαι τῷ Χρυσοστόμῳ, ἐκρίθησαν καὶ κατεκρίθησαν ὑπὸ τῶν Κωνσταντινουπολιτῶν καὶ οἱ ἄνθρωποι καὶ τὰ γράμματα αὐτοῦ, καὶ ἰδὲ κατωτέρω κεφάλαιον δέκατον. ἑνδέκατον, τὸν Πάπαν Κελεστῖνον ἔκρινεν ὁ Βασιλεὺς Θεοδόσιος ὁ μικρὸς, τοῦ γὰρ Κελεστίνου καθαιρέσει καθυποβαλόντος τὸν Νεστόριον, καὶ προθεσμίαν διορίσαντος τῆς καθαιρέσεως αὐτοῦ, ὁ Βασιλεὺς καθάπαξ ἐποίησεν ἄπρακτα τὰ παρὰ τοῦ Κελεστίνου διορισθέντα. δωδέκατον, τὸν αὐτὸν Πάπαν Κελεστῖνον ἔκρινεν ἡ τρίτη Σύνοδος, ἐπειδὴ ἐξήτασε τὴν ἐπιστολὴν αὐτοῦ εἰ καλῶς ἔχει, καὶ τοὺς ἀποσταλέντας ἀπὸ τῆς Ῥώμης πρεσβευτὰς ἔκρινεν ἡ Σύνοδος εἰ καλῶς φρονοῦσι, καὶ αὐτὸς ὁ Πάπας ὡμολόγησεν ὑπερέχειν αὐτοῦ τὴν Σύνοδον, εἶπε γὰρ ἐν τῇ ἐπιστολῇ αὐτοῦ τοὺς Πατέρας κριτὰς τοῦ Χριστοῦ καὶ τοῦ Νεστορίου, καὶ ἰδὲ κατωτέρω τὸν τόπον τῆς Συνόδου. δέκατον τρίτον, ὁ Κύριλλος ἦν Τοποτηρητὴς τοῦ Πάπα, καθῄρηκε δὲ αὐτὸν ὁ Ἀντιοχείας Ἰωάννης μετ' ὀλίγης Συνόδου. οὐκ εἶπε δὲ οὔθ' ὁ Κύριλλος, οὔθ' ἡ Οἰκουμενικὴ Σύνοδος, ὅτι τὰ τῶν Τοποτηρητῶν ἐπὶ τοὺς ἀποσταλέντας ἀναφέρεται, ἢ οὐ κρίνεται ὁ πρῶτος θρόνος, καὶ ὁ Τοποτηρητὴς αὐτοῦ, ἀλλ' ἔκραξεν εἰς κρίσιν τὸν Κύριλλον καὶ τὸν Ἰωάννην, μὴ ἐλθόντα δὲ τὸν Ἰωάννην, καθῄρηκε, δικαιώσασα τὸν Κύριλλον. δέκατον τέταρτον, τὸν Πάπαν Λέοντα τὸν πρῶτον ἔκρινε καὶ ἀνέκρινεν ὁ Βασιλεὺς Θεοδόσιος ὁ μικρὸς, πρῶτον, ὅτι μεγάλα τινὰ τοῦ Λέοντος φανταστέντος κρῖναι τὸν Εὐτυχῆ, καὶ γράφοντος εἰς τὸν Κωνσταντινουπόλεως Φλαυϊανὸν εἴς τε ἄλλους πολλοὺς κατ' αὐτοῦ, καὶ ἑτοιμαζομένου κρῖναι, ὁ Βασιλεὺς ἐπέτρεψεν Οἰκουμενικῇ Συνόδῳ τὴν κρίσιν. δεύτερον, ὅτι κακῶς κρίναντος τοῦ Ἀλεξανδρείας Διοσκόρου τὸν Εὐτυχῆ, καὶ τὸν Κωνσταντινουπόλεως Φλαυϊανὸν, τὸν δὲ Λέοντα πολλὰ ἀγωνισάμενον τοῦ γενέσθαι Σύνοδον Οἰκουμενικὴν τελεωτέραν εἰς ἀνάκρισιν τῶν κακῶς ὑπὸ τοῦ Διοσκόρου διορισθέντων, ὁ Βασιλεὺς ἀπέβαλεν αὐτὸν εἰπὼν, τὰ διορισθέντα καλῶς διωρίσθη. τρίτον, τοῦ Μαρκιανοῦ ἀθροίσαντος τὴν ἐν Χαλκηδόνι Σύνοδον, ἐκρίθη καὶ ἀνεκρίθη ἡ ἐπιστολὴ τοῦ Λέοντος ὑπὸ τῶν πατέρων, καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ πολλάκις, καὶ μάλιστα καὶ ὑπὸ τῶν τυχόντων Ἐπισκόπων. τέταρτον, τοὺς Τοποτηρητὰς τοῦ Πάπα λίαν σπουδάσαντας τοῦ τεθεῖναι τὴν ἐπιστολὴν τοῦ Πάπα ἐν τῷ τῆς Συνόδου Ὅρῳ, πρὸς δὲ καὶ ἀπειλήσαντας, οἱ πατέρες παράλογον τοῦτο κρίναντες, ἀπέβαλον αὐτούς. πέμπτον, οἱ αὐτοὶ ἐν τῇ ὑστάτῃ πράξει τῆς αὐτῆς Συνόδου πολλὰ ἀγωνισάμενοι, καὶ ὁ Λέων ἀπὸ Ῥώμης πολλὰ γράψας πρὸς τοὺς Βασιλεῖς καὶ ἄλλους ἐγκρίτους πατέρας κατὰ τῶν πρεσβείων Κωνσταντινουπόλεως, οὐδ' ὅλως εἰσηκούσθησαν, ἀλλ' ἐκρίθη μένειν ἐν τοῖς διωρισμένοις τὰ πρεσβεῖα. ἕκτον, ἔτι οὗτος ὁ Λέων πρὸ τῆς ἀθροίσεως τῆς ἐν Χαλκηδόνι Συνόδου ἔπεμψε μετὰ παρακλήσεως τὴν αὐτοῦ ἐπιστολὴν εἰς τὴν Ἀνατολὴν, ἵνα οἱ ἐκεῖ Ἐπίσκοποι αὐτὴν ὑπογράψωσιν, οἱ δὲ κρίναντες αὐτὴν καὶ ἐξετάσαντες, τινὲς μὲν ὑπέγραψαν, τινὲς δ' οὔ, καὶ ἰδὲ κατωτέρω τοὺς τόπους τῶν Συνόδων. ἕβδομον, ὁ αὐτὸς Λέων ἔγραψε κατὰ τῶν πρεσβείων τῆς Ἐκκλησίας Ἱεροσολύμων εἴς τε τοὺς Βασιλεῖς καὶ τοὺς Πατριάρχας τῆς Ἀνατολῆς, ἀλλ' ἐκρίθη κακῶς φρονῶν, ὅθεν καὶ ἀπεβλήθη. δέκατον πέμπτον, ὁ μέγας Λέων ὁ Αὔγουστος περὶ Τιμο-

θέου

θέου τοῦ Αἰλούρου οὐκ ἠρώτησε τὸν Πάπαν μόνον, οὐ γὰρ ἐγίνωσκεν αὐτὸν κριτὴν κοινὸν, ἀλλὰ τοὺς Πατριάρχας, καὶ τοὺς ἐγκρίτους τῶν Μητροπολιτῶν μετὰ τῶν Συνόδων αὐτῶν, καὶ δὴ καὶ Ἀσκητὰς ἠρώτησε πρὸς λύσιν τῆς ἀμφιβολίας, καὶ ἰδὲ κατωτέρω βιβλίου τεταρτου, κεφάλαιον ἕβδομον. δέκατον ἕκτον, ὁ Εὐθύμιος καὶ Μακεδόνιος οἱ Κωνσταντινουπόλεως Πατριάρχαι ἀπέβαλον τὰς κρίσεις τῶν Παπῶν κριναντων ἀδίκως περὶ αὐτῶν, καὶ ἰδὲ κατωτέρω βιβλίον τέταρτον, καὶ δὴ καὶ ἡ ἐπὶ τοῦ Καππαδόκος ἐν Κωνσταντινουπόλει Σύνοδος ἔκρινε τοὺς Πάπας Φίληκα, Σιμπλίκιον καὶ Ἀναστάσιον, καὶ τοὺς εἰρημένους, Εὐθύμιον καὶ Μακεδόνιον, καὶ τῆς μὲν ἀκοινωνησίας τῶν Παπῶν κατὰ Εὐθυμίου καὶ Μακεδονίου παρόντων τῶν Λεγάτων τοῦ Πάπα εἰς οὐδὲν ἐλογίσαντο οἱ ἐν αὐτῇ Πατέρες, τοὺς δὲ καταδεδικασμένους ὑπὸ τῶν Παπῶν ἐδικαίωσαν, καὶ ἁγίους ὠνόμασαν, ἰδὲ καὶ κατωτέρω βιβλίου πέμπτου κεφάλαιον πρῶτον. σὺ δὲ πρόσθες κατὰ τὸν Θεοφάνη, ὅτι τὸν Κωνσταντινουπόλεως Μηνᾶν καθῄρηκεν ὁ Ῥώμης Βιγίλιος, ὁ δὲ Μηνᾶς ἀντικαθῄρηκε τὸν Βιγίλιον, καὶ ἰδοὺ ὁ Πάπας ἐκρίθη καὶ ὑπὸ μόνου τοῦ Κωνσταντινουπόλεως. δέκατον ἕβδομον, ὁ Πάπας Βιγίλιος ἐκρίθη, ἀνεκρίθη καὶ κατεκρίθη ὑπὸ τῆς πέμπτης Οἰκουμενικῆς Συνόδου καὶ ὑπὸ τοῦ Αὐγούστου καὶ ὑπὸ πολλῶν μερικῶν Συνόδων, καὶ ἰδὲ κατωτέρω βιβλίον πέμπτον. δέκατον ὄγδοον, περὶ τοῦ Οἰκουμενικὸς ὀνόματος καίτοι βοώντων τῶν Παπῶν σχεδὸν μέχρι τοῦ Οὐρανοῦ, ἀλλ' ἐκρίθησαν καὶ κατεκρίθησαν οἵ τε λόγοι καὶ αἱ ἐπιστολαὶ αὐτῶν ὑπό τε Αὐγούστων καὶ Συνόδων καὶ πάντων τῶν ἐγκρίτων πατέρων τῆς Οἰκουμενικῆς Ἐκκλησίας. δέκατον ἔνατον, ἐκρίθη ὁ Πάπας καὶ πᾶσα ἡ Ἐκκλησία αὐτοῦ ὑπὸ τῆς ἐν Τρούλλῳ ἁγίας Οἰκουμενικῆς Συνόδου. εἰκοστὸν, ὁ ἀββᾶς Μάξιμος ἔκρινε τὸν Πάπαν, καὶ ἰδὲ κατωτέρω βιβλίου ἑβδόμου κεφάλαιον ὄγδοον. εἰκοστὸν πρῶτον, ἡ ἕκτη Οἰκουμενικὴ Σύνοδος ἔκρινε τὰς ἐπιστολὰς τοῦ τε Ἀγάθωνος καὶ τῆς κατ' αὐτὸν ἐν Ῥώμῃ Συνόδου, καὶ ἰδὲ κατωτέρω βιβλίῳ ἕκτῳ τῆς Συνόδου τὸν τόπον, ἀλλὰ δὴ καὶ ἡ κατὰ Φωτίου Σύνοδος ἔκρινε τοὺς Πάπας Νικόλαον καὶ Ἀδριανὸν καὶ τὸν Φώτιον. ἡ αὐτὴ Κανόνι δεκάτῳ τρίτῳ ὥρισε κρίνεσθαι καὶ τὸν Πάπαν ἐν Οἰκουμενικῇ Συνόδῳ, καὶ ἰδὲ τὸν τόπον ἐκεῖ. εἰκοστὸν δεύτερον, ὑπὸ τῆς ἐπὶ Φωτίου Συνόδου ἐκρίθη ὁ Πάπας, καὶ ἁπλῶς ἡ Ῥωμαϊκὴ Ἐκκλησία. ἐν τοῖς εἰρημένοις τόποις περιέχεται καὶ ταῦτα, πρῶτον, ὅτι ἡ Σύνοδος καὶ ἐπὶ τοῦ Πάπα. δεύτερον, ὅτι ὁ Πάπας εἷς ἐστι τῶν ἐκκλησιαστικῶν Ἀρχόντων, καὶ οὐδὲν πλέον πλὴν τῆς τάξεως. τέλος πάντων, καινοτομήσας ὁ ῥωμαϊκὸς Ἀρχιερεὺς περὶ τὴν πίστιν, ἐκρίθη, καὶ κρίνεται καὶ ἀνακρίνεται ἀεὶ ὑπὸ τῆς καθόλου Ἐκκλησίας, καὶ ἀνεθεματίσθη καὶ ἀπεβλήθη ἀπὸ τῆς κοινωνίας τῶν ὀρθοδόξων συνοδικῶς ἐπὶ Κωνσταντίνου τοῦ Μονομάχου, ἀλλὰ καὶ μεταταῦτα πολλάκις ἀνεθεματίσθη καὶ ἀπεβλήθη, ὡς ἐρουμὲν ἐν ἄλλῳ βιβλίῳ. ἔτι ἐκρίθη πολλάκις καὶ ὑπὸ λατινικῶν μερικῶν Συνόδων, ὡς ἐκρίθη ὁ Δάμασος Πάπας, ὁ Σύμμαχος καὶ ὁ Λαυρέντιος, καὶ ἰδὲ κατωτέρω βιβλίου τεταρτου κεφάλαιον δέκατον τέταρτον, καὶ ἄλλοι πολλοὶ, ἀλλὰ δὴ καὶ ὑπὸ καθολικῶν, ὡς εἰσὶν ἡ ἐν Πίσα, ἡ ἐν Κωνσταντείᾳ καὶ ἡ ἐν Βασιλείᾳ, ἐν αἷς λαμπρῶς ἀνεδείχθη ὅτι ἡ Σύνοδος ἐπὶ τοῦ Πάπα καὶ οὐχ ὁ Πάπας ἐπὶ τῆς Συνόδου, καὶ ἰδὲ κατωτέρω βιβλίου δεκάτου μέρος πέμπτον, καὶ βιβλίον ἔνατον πρὸς τὸ τέλος. δέδεικται οὖν ὅτι ὁ πρῶτος θρόνος ἐκρίθη πολλάκις, ἀνεκρίθη τε καὶ κατεκρίθη καὶ ὑπὸ Αὐγούστων καὶ ὑπὸ Βασιλέων καὶ ὑπὸ Συνόδων καὶ ὑπὸ Κλήρων καὶ ὑπὸ λαῶν, καὶ κρίνεται καὶ κριθήσεται ἕως οὗ μένει ἐν τῷ θρόνῳ τῆς ἐπαρσέως. κατὰ δὲ τὴν ἐν τῇ ἁγίᾳ Σοφίᾳ Σύνοδον ἐκρίθη ὁ Πάπας ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ ἐπ' ὄψιν καὶ κατὰ πρόσωπον αὐτοῦ, ἐπειδὴ ἐκρίθησαν καὶ μάλιστα εὐκρινῶς αἱ προσθῆκαι καὶ καινοτομίαι αὐτοῦ. εἰ καὶ ἐβόα ὁ Ῥόδου ὅτι ὁ ἄκρος Ἀρχιερεὺς ἐποίησε τὴν προσθήκην ὡς δυνάμενος, ἀλλὰ γέλωτος ἄξιος ἐνομίσθη ταῦτα εἰπὼν παρὰ τῶν Ἀνατολικῶν πατέρων, ὅθεν τοῦ λοιποῦ ταῦτα λέγειν διαπεφώνηκε. μάταιαί εἰσι λοιπὸν αἱ ἀπαγορεύσεις τῶν Παπῶν Γρηγορίου ἑβδόμου, Πίου δευτέρου, Ἰουλίου δευτέρου καὶ Γρηγορίου δεκάτου τρίτου, διορίζουσαι μηδένα δύνασθαι τὰς ἀποφάσεις αὐτῶν ἐκκαλεῖσθαι, καὶ ἐκεῖνο τὸ ἐν τῇ ἐτησίῳ βούλλῃ, ἤτοι σφραγῖδι τῇ λεγομένῃ ἐν τῷ δείπνῳ τοῦ Κυρίου λεγόμενον, τὸ ῥίπτεσθαι τοῦ βαρυτάτου ἀφορισμοῦ τὸ τέλος κατὰ τῶν Ἔκκλητον ποιησόντων τῆς ἀποφάσεως τοῦ Πάπα εἰς Σύνοδον, καὶ γὰρ τὰ παρὰ Κανόνας οὐ μόνον ἀνίσχυρά εἰσιν, ἀλλὰ καὶ ὡς ἀνόσια καὶ βδελυκτὰ καταφρονοῦνται καὶ ἀποσκυβαλίζονται.

τέλος τύπῳ εἴληφε πρῶτον βιβλίον.

ΒΙΒΛΙΟΘΗΚΗ
Ω. ΒΛΑΧΟΠΑΝΝΗ

ΒΙΒΛΙΟΘΗΚΗ Ιω. ΒΛΑΧΟΓΙΑΝΝΗ

ΔΟΣΙΘΕΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ.

ΠΑΝΕΠΙΣΤ. ΒΙΒΛΙΟΘΗΚΗ

ΒΙΒΛΙΟΝ Β'. ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ ἐγκωμίων τῆς Ἱρουσαλὴμ, καὶ περὶ τοῦ ἐν ποίῳ Μηνὶ καὶ ἡμέρᾳ ὑπό τε τοῦ Ναβουζαρδᾶν καὶ τοῦ Τίτου ἐνεπρήσθη τὸ Ἱερὸν, καὶ περὶ τοῦ Μηνὸς καὶ τῆς ἡμέρας τῆς φυγῆς τῶν Ἰουδαίων.

Οὐκ ἔστιν ἐλάχιστον ἐγκώμιον τῆς Ἱερουσαλὴμ ἵνα κράζηται ἁγία πόλις κατ' ἐξοχήν. Καὶ ἦλθον εἰς τὴν ἁγίαν πόλιν, αἰαγινώσκομεν εἰς τὸ κατὰ Ματθαῖον. λέγεται ἁγία, καθότι ἔνδον εἰς αὐτὴν ἦσαν πλεῖστοι ἅγιοι Πατριάρχαι καὶ Προφῆται, καὶ αὐτὸς ὁ ἅγιος τῶν ἁγίων ὁ Θεάνθρωπος Ἰησοῦς. ὅθεν εἰς τὴν δοξολογίαν ψάλλομεν, ὅτι σὺ εἶ μόνος Ἅγιος σὺ εἶ μόνος Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρὸς, ἀμὴν, τουτέστιν ἦμὴν, ναὶ καὶ ἀλήθειαν, ὅτι αὐτὸς ὁ Χριστός ἐστι μόνος ὁ Ἀμὴν καὶ τὴν ἱεραὶ Ἀποκάλυψιν, ὁ Θεὸς Λόγος, ὁ ἔχων τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν ὡς Λογεῖον τῶν κρίσεων, ὡς Πατριαρχῶν Πατριάρχης. ὀνομάζεται προσέτι ἁγία πόλις, διότι ἔνδον εἰς αὐτῆς τὸ Ἱερὸν προσεκυνεῖτο ἁγίως καὶ θεοσεβῶς ὁ εἷς καὶ ἀληθινὸς Θεὸς, καθότι γνωστὸς μόνον ἦν ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, ὃς εἰς διαστολὴν τῶν ψευδωνύμων ἄλλων Θεῶν, ὀνομάζεται καὶ μέγας Θεός. ὅθεν καὶ εἰς τὴν Λειτουργίαν λέγομεν, Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ. καὶ τὸ μὲν Σολομόντειον Ἱερὸν κατεκάη ὑπὸ τοῦ Ναβουζαρδᾶν τοῦ Ἀρχιμαγείρου Ναυουχοδονόσορ τοῦ Βασιλέως Βαβυλῶνος εἰς τὰς δέκα τοῦ Αὐγούστου μετὰ τὴν Λειτουργίαν καὶ ἐφημερίαν τοῦ Ἰοϊαρὶβ ἡμέρᾳ Σαββάτῳ. παραπλησίως καὶ ὑπὸ τοῦ Τίτου ἐκάη (τὸ αἰακαινισθὲν Ἱερὸν ὑπὸ τοῦ Ζοροβάβελ εἰς τεσσαράκοντα καὶ ἓξ χρόνους, καὶ μετακτισθὲν δεύτερον ὑπὸ τοῦ Ἀσκαλωνίτου Ἡρώδου) εἰς τὰς δέκα τοῦ Αὐγούστου ἡμέρᾳ Σαββάτῳ μετὰ τὴν Λειτουργίαν. ὥστε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου εἰς τὸ κατὰ Ματθαῖον, Προσεύχεσθε δὲ, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ ἐν Σαββάτῳ. ὅτι ἐν Σαββάτῳ οὐκ ἐδύναντο περιπατῆσαι οἱ Ἑβραῖοι πλέον τῶν χιλίων, ἢ καὶ ἑβδομήκοντα βημάτων ἃ κοινῶς λέγονται αἱ δισκελίαι, εἰς καιρὸν δὲ ἀνάγκης χρεία ἦν περιπατῆσαι καὶ περισσότερα ἵνα λυτρωθῶσιν ἀπὸ τοῦ κινδύνου. βεβαιοῖ ὁ Ἰώσηπος ὃς ἦν παρὼν, καὶ Δίων ὁ Κάσσιος, ὅτι ἡ ἀνάγκη τῆς φυγῆς τῶν Ἰουδαίων ἐστάθη ἡμέρᾳ Σαββάτῳ, εἰς τὰς ὀκτὼ τοῦ Σεπτεμβρίου Μηνός.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ ἐν Αἰγύπτῳ δευτέρου Ἱεροῦ τῶν Ἑβραίων τοῦ ἐπονομαζομένου Ὀνείου.

Εἶχον καὶ ἄλλο Ἱερὸν οἱ Ἑβραῖοι ἀντίμοιρον τοῦ Ἱεροσολυμιτικοῦ εἰς τὴν Αἴγυπτον, ὃ καὶ Ὀνεῖον ἐπωνομάζετο ἀπὸ τοῦ Ὀνείου Ἀρχιερέως, ᾠκοδομημένον τῷ θέλημαι τοῦ Πτολεμαίου τοῦ Φιλομήτορος, πρὸ

πρὸ Χριστοῦ διακοσίους τριάκοντα καὶ τρεῖς χρόνους. οὗτός ἐστιν ὁ Πτολεμαῖος ὁ ἐλευθερώσας ἑκατονείκοσι χιλιάδας Ἑβραίους ἀπὸ τῶν προαιχμαλωτισθέντων ὑπὸ τοῦ πατρὸς αὐτοῦ Πτολεμαίου τοῦ Φιλαδέλφου, καὶ ὁ πέμψας εἰς τὸν Ἐλεάζαρον τὸν υἱὸν τοῦ πρώτου Ὀνεία ἵνα στείλλη εἰς αὐτὸν τοὺς ἑβδομήκοντα δύο ἑρμηνευτὰς τῆς παλαιᾶς διαθήκης. καὶ λοιπὸν ὁ Ὀνείας ἔνδον εἰς τὴν Ἡλιούπολιν χαριζόμενος τοῖς εὑρισκομένοις Ἑβραίοις εἰς τὴν Αἴγυπτον, ἔκτισε τὸ Ἱερὸν ἐκεῖνο, πλὴν καὶ αὐτὸ ἠφάνισεν ὁ Βεσπεσιανὸς ἀφ' οὗ ἐκάη τὸ τῆς Ἱερουσαλὴμ μετὰ ἕνα χρόνον.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ τρίτου Ἱεροῦ τῶν Ἑβραίων τοῦ παρὰ τῷ Γαριζὶν ὄρει, καὶ τῆς ἔριδος καὶ μάχης Σαμαρειτῶν καὶ Ἱεροσολυμιτῶν ἕνεκεν τούτου, καὶ τῆς αἰτίας δι' ἣν ἀπῳκίσθησαν εἰς Ἀσσυρίαν Σαμαρεῖται καὶ Ἀσσύριοι εἰς Σαμάρειαν, καὶ περὶ τῶν ὀρέων Γαριζὶν καὶ Γεβάλ.

Ἐστάθη καὶ τρίτον Ἱερὸν κείμενον εἰς τὸ ὄρος Γαριζὶν τῆς Σαμαρείας, ἐκτισμένον ὑπὸ τοῦ Μανασσῆ τοῦ ἀδελφοῦ τοῦ Ἀρχιερέως Ἰάδδου, τοῦ ἐξελθόντος καὶ συναπαντήσαντος τὸν Ἀλέξανδρον ἐρχόμενον μετὰ θυμοῦ ἔσω εἰς τὰ Ἱεροσόλυμα. καὶ λοιπὸν ὁ Μανασσῆς ἔλαβεν εἰς γυναῖκα αὐτοῦ μίαν ἀλλόφυλον, δηλαδὴ τὴν θυγατέρα τοῦ Σαναβαλὰτ, ὃν Μανασσῆν ὁ Δάρειος ὁ ὕστερος τῶν Περσῶν Βασιλεὺς κατέστησε προεστῶτα εἰς ὅλην τὴν Σαμάρειαν, ὁ δὲ ἀδελφὸς αὐτοῦ ὁ Ἰάδδος, καὶ οἱ λοιποὶ τῆς συναγωγῆς διὰ τὸν παράνομον γάμον ἀφώρισαν αὐτὸν, καὶ οὐ συνεκοινώνουν πλέον μετ' αὐτοῦ. ὅθεν ἠναγκάσθη καὶ ἀπῆλθεν εἰς τὸν πενθερὸν αὐτοῦ τὸν Σαναβαλὰτ, καὶ ἄλλοι πολλοὶ μετ' αὐτοῦ, ὅσοι δηλαδὴ ἔλαβον γυναῖκας ἀλλογενεῖς, καὶ ἐκκλησιάζοντο ἔσω εἰς τὸ καινὸν αὐτοῦ Ἱερόν. ἦν δὲ πάντοτε φιλονεικία καὶ ἅμιλλα ἀνὰ μέσον εἰς τοὺς Ἰουδαίους καὶ τοὺς Σαμαρείτας διὰ τὴν θυσίαν καὶ τὴν προσκύνησιν τοῦ εἰς τὸ ὄρος Γαριζὶν Ἱεροῦ, ὅπερ κεῖται εἰς τὴν Νεάπολιν κατὰ τὸ μέρος τῆς Ἱερουσαλήμ. καὶ οἱ μὲν Σαμαρεῖται ὑπεραπηλογοῦντο, ὅτι εἰς τὸν τόπον Συχὲμ ὅπου κορυφοῦται τὸ ὄρος Γαριζὶν ἐθυσίασαν καὶ προσεκύνησαν ὁ Ἰακὼβ καὶ ὁ Ἰησοῦς τοῦ Ναυῆ καὶ αἱ δώδεκα φυλαὶ, ὡς ἀναγινώσκομεν εἰς τὸ Δευτερονόμιον κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ, Καὶ ἐνετείλατο Μωϋσῆς τῷ λαῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγων, οὗτοι στήσονται εὐλογεῖν τὸν λαὸν ἐν ὄρει Γαριζὶν διαβάντες τὸν Ἰορδάνην, Συμεὼν, Λευΐ, Ἰούδας, Ἰσσάχαρ, Ἰωσὴφ καὶ Βενιαμίν. οἱ δὲ Ἰουδαῖοι εἶχον πάντοτε ὡς σχισματικοὺς τοὺς Σαμαρείτας, διὰ τὸ ὁμοῦ προσκυνεῖν αὐτοὺς τὰ εἴδωλα τῶν Ἀσσυρίων καὶ τὸν Θεὸν τοῦ Ἰσραὴλ τὸν μόνον ἀληθινὸν Θεὸν, ὃν ὅμως οὐκ ἐγίνωσκον. ὅθεν οὐ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις ὡς βδελυκτοῖς οὔτε εἰς τὴν τράπεζαν αὐτῶν, οὔτε εἰς τὰ ἀγγεῖα αὐτῶν. ἀλλὰ καὶ εἰς τὴν Συχὲμ ἡ Δείνα ἐφθάρη ὑπὸ τοῦ υἱοῦ τοῦ Αὐθέντου Συχὲμ, καὶ ὅτε ἐγένετο σχίσμα ἀναμεταξὺ τοῦ Ἱεροβοὰμ καὶ τοῦ Ῥοβοὰμ, ἡ Σαμάρεια ἐχρημάτισε Μητρόπολις, ἥτις καὶ Σεβάστεια λέγεται, ἅτε τοῦ Ἡρώδου κτίσαντος αὐτὴν εἰς κάλλος, καὶ ἐπονομάσαντος αὐτὴν Σεβάστειαν, ἔνθα καὶ τὸ μνῆμα τοῦ Προδρόμου ἐστὶν ἕως καὶ τῆς σήμερον. εἰς δὲ τὸν καιρὸν τοῦ Ἀλεξάνδρου ἐγείετο ἡ Συχὲμ κεφαλὴ τῆς Σαμαρείας, καὶ ὠνομάσθη Νεάπολις κατὰ τὸν Ἰώσηπον εἰς τὸ ἑνδέκατον τῆς ἀρχαιολογίας αὐτοῦ, καὶ νῦν κράζεται Ναμπουλοῦσι. πόθεν δὲ ἤρξατο ἡ τόση ἔχθρα καὶ ἔρις ἀναμεταξὺ τῶν Σαμαρειτῶν καὶ τῶν Ἰουδαίων, ἔστιν ἀξιομνημόνευτον. εἰς τὸν ἕκτον χρόνον τῆς Βασιλείας Ἐζεκίου ὁ Σαλμανασσὰρ Βασιλεὺς τῶν Ἀσσυρίων ἐνίκησε τὴν Σαμάρειαν, καὶ μετῴκισε τοὺς υἱοὺς Ἰσραὴλ εἰς τοὺς Ἀσσυρίους, καὶ ἐποίησεν αὐτοὺς οἰκήτορας μετὰ τῶν Ἀσσυρίων τῶν ἐν Ἀσσυρίᾳ πόλεων, εἰς δὲ τὴν Σαμάρειαν ἔστειλεν Ἀσσυρίους κατοικῆσαι, καὶ κατῴκησαν, συνέβη ὅμως οἱ εἰς τὴν Σαμάρειαν Ἀσσύριοι καὶ κατετρώγοντο ὑπὸ τῶν Λεονταρίων, καὶ ὠλιγόστευον, ὁ δὲ Βασιλεὺς μὴ δυνάμενος κατανοῆσαι ἄλλην αἰτίαν, ἀλλ' ἢ μόνον τὴν ἀσέβειαν τῶν Ἀσσυρίων, ἔστειλεν ἕνα αἰχμάλωτον Ἰουδαῖον εἰς τὴν Σαμάρειαν, ἵνα διδάξῃ αὐτοὺς τὸν Νόμον τοῦ Θεοῦ, καὶ καθοδηγήσῃ αὐτούς. πλὴν οἱ ἐγκάτοικοι οὗτοι εἰς τὴν Σαμάρειαν Ἀσσύριοι οὔτε τελείως τοὺς Ἰουδαϊκοὺς Νόμους ἐμαθητεύθησαν, οὔτε τοὺς ἐθνικοὺς τρόπους καὶ τὴν πατροπαράδοτον αὐτῶν δεισιδαιμονίαν τε καὶ θρησκείαν ἀφῆκαν. σημείωσαι, ὅτι ὁ Ἱερώνυμος λέγει, καὶ δὴ καὶ ὁ Ἐπιφάνιος Αἱρέσει τῶν Σαμαρειτῶν, ὅτι κατὰ Ἀνατολὰς τῆς Ἱεριχὼ ἐστὶ τὸ ὄρος γαριζὶν καὶ Γεβὰλ, καὶ οὐχ ὡς λέγει ὁ Ἰώσηπος βιβλίῳ τετάρτῳ κεφαλαίῳ ὀγδόῳ. καὶ παρὰ Φωτίῳ ἀναγνώσει πεντακοσιοστῇ ἑξηκοστῇ τετάρτῃ, ὅτι ἦν ἐκεῖθεν Μαρῖνος ὁ διάδοχος Πρόκλου, καὶ ὅτι ἦν ἐκεῖ Ἱερὸν Διὸς ὑψίστου, ὅπερ ἔκτισεν ὁ Ἀβραάμ. ῥητέον ὅμως ὅτι τὰ ὄρη κεῖνται ἑκατέρωθεν τῆς πόλεως Συχὲμ, καὶ μαρτυρεῖ οὐ μόνον ὁ Ἰώσηπος, ἀλλὰ καὶ οἱ Ἑβραῖοι, καὶ ἡ παράδοσις, καὶ ὁ Προκόπιος γράφων τὴν ζωὴν τοῦ Ἰουστινιανοῦ, καὶ ἐπὶ πᾶσιν ὁ Κύριος συνομιλῶν τῇ Σαμαρείτιδι. σημείωσαι, ὅτι ὁ Ἐπιφάνιος Αἱρέσει κατὰ Ἐσσηνῶν λέγει, ὅτι οἱ Σαμαρεῖται ἤθελον ἵνα βοηθήσωσιν εἰς τὴν οἰκοδομὴν τοῦ Ἱεροῦ, ἀλλ' οὐκ ἐδέχθησαν ὑπὸ Ἔσδρα καὶ Νεεμίου.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ ἀγωγῆς καὶ κρίσεως Ἱεροσολυμιτῶν καὶ Σαμαρειτῶν ἔμπροσθεν τοῦ Μακεδόνος Ἀλεξάνδρου καὶ τοῦ Φιλομήτορος Πολεμαίου περὶ τῶν Ἱερῶν Ἱερουσαλὴμ καὶ Γαριζίν.

Ὁ δὲ Μανασσῆς μετὰ τὸ ἀφορισθῆναι ὑπὸ τῶν Ἱεροσολυμιτῶν, ἐκηρύχθη Ἀρχιερεὺς εἰς ὅλην τὴν Σαμάρειαν, ὅθεν ἤυξησεν ἡ ἅμιλλα καὶ ἡ ἔχθρα περισσοτέρως τόσον, ὥστε καὶ χρεία ἐβίασεν ἀπελθεῖν τοὺς Ἱεροσολυμίτας καὶ τοὺς Σαμαρείτας εἰς τὴν Ἀλεξάνδρειαν, καὶ κριθῆναι ἔμπροσθεν τοῦ μεγάλου Μακεδόνος Ἀλεξάνδρου κατὰ τὸν Ἰώσηπον εἰς τὸ δέκατον τρίτον βιβλίον. καὶ λοιπὸν οἱ Ἑβραῖοι κατὰ τὰ μωσαϊκὰ διδάγματα ἀπεδείκνυον ὅτι ἦν τὸ Ἱερὸν τῆς Ἱερουσαλὴμ γνήσιον καὶ καθολικὸν, οἱ Σαμαρεῖται ἐξεναντίας ἔλεγον ἐκεῖνο τῆς Γαριζὶν καθολικὸν δηλονότι διὰ τὴν Συχὲμ, ὅπου ὁ Ἀβραὰμ διαβαίνων ἀπὸ τῆς Μεσοποταμίας εἰς γῆν Χαναὰν, ἦλθεν εἰς αὐτὴν, καὶ ἐκεῖ ἔκτισε πρῶτον θυσιαστήριον τῷ Κυρίῳ, καὶ ἔλαβε τὴν ὑπόσχεσιν τῆς γῆς τῆς ἐπαγγελίας, ὡς ἔχομεν τοῦτο εἰς τὸ δωδέκατον καὶ δέκατον τρίτον κεφάλαιον τῆς Γενέσεως, ἀλλὰ καὶ ὁ Ἰακὼβ ἐπιστρέφων ἀπὸ τῆς Μεσοποταμίας σὺν γυναιξὶ καὶ τέκνοις, εἰς τὴν Συχὲμ ἔπηξε τὴν σκηνὴν αὐτοῦ, καὶ ἠγόρησεν ἓν μέρος τοῦ ἀγροῦ παρὰ τοῦ υἱοῦ τοῦ Ἐμὼρ, οὐμὴν ἀλλὰ καὶ εἰς τὴν Συχὲμ ἔτρεχον οἱ πάντες ὡς εἰς ἄσυλόν τι καὶ φυλακτήριον, ἢ μᾶλλον εἰπεῖν καὶ φυγαδευτήριον, ὡς ἀναγινώσκομεν τοῦτο εἰς τὸ εἰκοστὸν κεφάλαιον τοῦ Ἰησοῦ τοῦ Ναυῆ, καὶ πρὸς τούτοις αἱ δέκα φυλαὶ αἱ ἀναχωρήσασαι διὰ τὴν μωρίαν τοῦ Ῥοβοὰμ ἀπὸ τοῦ Ἰούδα, αὐτοῦ ἔδραμον, ναὶ δὴ καὶ τὰ ὀστᾶ τοῦ Ἰωσὴφ εἰς τὴν Συχὲμ ἦσαν τεθαμμένα, ὡς εὑρίσκομεν τοῦτο εἰς τὸ εἰκοστὸν τέταρτον κεφάλαιον τοῦ Ἰησοῦ τοῦ Ναυῆ γράφοντος οὕτω, καὶ τὰ ὀστὰ Ἰωσὴφ ἀνήγαγον οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου, καὶ κατώρυξαν ἐν Σικίμοις, ἐν τῇ μερίδι τοῦ ἀγροῦ οὗ ἐκτήσατο Ἰακὼβ παρὰ τῶν Ἀμορραίων. καὶ φαίνεται νῦν τὸ μνῆμα τοῦ Ἰωσὴφ, ἐν ᾧ εἰσιν ἐγκεχαραγμένα καὶ γράμματα ἑβραϊκὰ μεγάλα σημαίνοντα τίνος μνῆμά ἐστιν, ὑπάρχει δὲ τοὐλάχιστον ἡμίσεος μιλίου μακρὰν τοῦ φρέατος κατὰ βορρὰν ὅπου ἐλάλησεν ὁ Χριστὸς μετὰ τῆς Σαμαρείτιδος. ἦλθεν οὖν ἡ διωρισμένη ἡμέρα καὶ ὥρα τῆς διαλέξεως ἔμπροσθεν τοῦ Ἀλεξάνδρου, καὶ ὁ συνήγορος τῶν Σαμαρειτῶν ἦν τις Σαββαῖος λεγόμενος σὺν ἑτέρῳ τινὶ Θεοδοσίῳ, τῶν δὲ Ἱεροσολυμιτῶν ἐφάνη ὑπερασπιστὴς ὁ Ἀνδρόνικος υἱὸς τοῦ Μεσαλάμου, ὁ δὲ Ἀλέξανδρος ἔκραξε περισσοὺς κριτὰς ἵνα κρίνωσι τὸ πρόβλημα. ἤρξατο γοῦν ὁ Ἀνδρόνικος λέγειν καὶ δημηγορεῖν περὶ τοῦ Ἱεροῦ τῶν Ἱεροσολύμων, καὶ ἐν τοῖς ἄλλοις τοῖς πολλοῖς αὐτοῦ ἐπιχειρήμασιν ἦν ἓν καὶ πρῶτον ἐκεῖνο, τουτέστιν ἡ διηνεκὴς διαδοχὴ τῶν τῆς Ἱερουσαλὴμ Ἀρχιερέων, καὶ ἡ κοινὴ εὐλάβεια τῶν Μεγιστανῶν, οἵτινες πολλὰ καὶ διάφορα ἀναθήματα τῷ τῆς Ἱερουσαλὴμ Ἱερῷ ἀφιέρουν, εἰς δὲ τὸ Ἱερὸν τοῦτο τὸ Γαριζαῖον οὐδεὶς ἔφασκεν οὔτε ἀφιέρωμα προσέφερεν, οὔτε παλαιὰν διαδοχὴν δείκνυται ἔχειν. ὅθεν τὴν λευκὴν ψῆφον ἔλαβον οἱ Ἱεροσολυμῖται, καὶ τὴν μέλαιναν οἱ Σαμαρεῖται. πλὴν οἱ Σαμαρεῖται ὡς νενικημένοι εἰσῆλθον ἔσω εἰς τὸ Ἱερὸν κατ' αὐτὴν τὴν ἡμέραν τοῦ Πάσχα, καὶ ἐμεβήλωσαν τὸ Ἱερὸν τὸ ἅγιον τῆς Ἱερουσαλὴμ, ῥίπτοντες δεῦρο κἀκεῖσε ὀστᾶ εἰς καταισχύνην. ἔμεινε δὲ τὸ Ἱερὸν τῶν Σαμαρειτῶν εἰς τὸ Γαριζὶν ἕως εἰς διακοσίους χρόνους, δηλαδὴ μέχρι τοῦ καιροῦ τοῦ Ὑρκανοῦ υἱοῦ Σίμωνος τοῦ Μακαββαίου τοῦ κατεδαφίσαντος αὐτὸ ὡς γράφει ὁ Ἰώσηπος εἰς τὸ τρίτον τῆς ἀρχαιολογίας αὐτοῦ, ὅστις θέλει καὶ ἀνακαινισθῆναι τὴν φιλονεικίαν αὐτῶν ἔμπροσθεν τοῦ Φιλομήτορος Πτολεμαίου, καὶ κερδῆσαι τοὺς Ἱεροσολυμίτας τὸ δεύτερον, ὥστε λοιπὸν καὶ τὰ τρία Ἱερὰ τῶν Ἑβραίων, τὸ Ἱεροσολυμιτικὸν, τὸ Αἰγυπτιακὸν, καὶ τὸ Γαριζαῖον ἀφανισθῆναι, οὐ διὰ τὴν εἰδωλολατρείαν, ἥτις πλέον οὐκ ἦν, ἀλλὰ μόνον διὰ τὴν χριστοκτονίαν, δι' ἣν ἔλειψεν ἀρθεῖσα σπονδὴ καὶ θυσία, καὶ ἐπὶ τὸ Ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων, καὶ ἕως συντελείας καιροῦ, συντελεία δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν, ὡς προφητεύει τοῦτο ὁ προορατικώτατος ἐν Προφήταις Δανιὴλ κεφαλαίῳ ἐνάτῳ. ἐπειδὴ λοιπὸν ἐξέλιπε καὶ ἡ διαδοχὴ τῶν Ἀρχιερέων (καθότι ὁ ὕστερος Ἀρχιερεὺς τῆς Ἱερουσαλὴμ ἦν ὁ Φανάσιος Ῥούστικος) καὶ τὸ σκῆπτρον τοῦ Ἰούδα μετέπεσεν εἰς τὸν Ἀσκαλωνίτην Ἡρώδην, συμπεραίνεται ὅτι ἦλθεν ὁ Μεσσίας Χριστὸς, ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν καὶ κατὰ τὴν Γένεσιν.

ΒΙΛΙΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι οὐκ εἰς τὸν καιρὸν Σεδεκίου κατὰ τὸν παραβάτην Ἰουλιανὸν, ἀλλ' εἰς τὸν τοῦ Ἡρώδου τοῦ Ἰδουμαίου ἔληξε τὸ τοῦ Ἰούδα σκῆπτρον.

Πλὴν ἐπειδὴ καὶ περὶ τούτου ὁ παραβάτης Ἰουλιανὸς, ὡς διηγεῖται ὁ θειότατος Κύριλλος, φλυαρεῖ πεπαυκέναι δηλαδὴ τὸ σκῆπτρον τοῦ Ἰούδα πρότερον, ἤγουν εἰς τὸν καιρὸν τοῦ Σεδεκίου, καὶ οὐχὶ εἰς τὸν Ἡρώδην τὸν προσήλυτον καὶ Ἰδουμαῖον, ἀναγκαζόμεθα γράφειν καὶ τὰ ἀκόλουθα. μετὰ τὴν

μετοι-

μετοικεσίαν Βαβυλῶνος οἱ Ἰουδαῖοι μὴ θέλοντες πλέον κράζεσθαι οὔτε Ἰσραηλῖται, οὔτε Ἑβραῖοι κατὰ τὸν Ἰώσηπον εἰς τὸ ἑνδεκάτον τῆς ἀρχαιολογίας αὐτοῦ, εἶχον κατὰ διαδοχὴν ἀπὸ τοῦ σπέρματος τοῦ Δαβὶδ Αὐθέντας, ὧν πρῶτος ἦν ὁ Ζοροβάβελ, καὶ εἰ καὶ οἱ Ἀσαμοναῖοι οἱ ἔχοντες τὴν ἐξουσίαν ὅλην εἰς τὰς χεῖρας αὐτῶν κατήγοντο ἀπὸ τοῦ γένους τοῦ Ἱερατικοῦ, ἤγουν ἀπὸ τῆς φυλῆς τοῦ Λευΐ, ἢ καθὼς ἔχομεν εἰς τὸ πρῶτον τῶν Μακαββαίων, ἀπὸ τῶν υἱῶν τοῦ Οἰαρὶβ, ὅμως οὗτοι οἱ Ἀσαμοναῖοι ἐλάμβανον εἰς γυναῖκας αὐτῶν ἀπὸ τῆς Ἰουδαϊκῆς φυλῆς, ὅπερ οὐκ ἐκωλύετο καθὼς διηγεῖται τοῦτο ὁ Φίλων, ὅθεν ἦν ὁμοῦ μετὰ τῶν Ἀσαμοναίων καὶ ἡ βασιλεία, καὶ ἡ Ἀρχιερωσύνη, καὶ κατὰ μὲν τὴν θηλυκὴν γενεὰν ἔμεινε τὸ σκῆπτρον τοῦ Ἰούδα, κατὰ δὲ τὴν ἀρσενικὴν εὑρίσκετο τῆς Ἱερωσύνης τὸ ἀξίωμα χωρὶς ὑποψίας τῆς τυραννίας, ὥστε τὸ σκῆπτρον τοῦ Ἰούδα τὸ φθάσαν ἕως τοῦ Ἡρώδου τοῦ Ἰδουμαίου ἦν μόνον ἐκ μέρους τοῦ θηλυκοῦ καὶ οὐκ ἀπὸ τοῦ μέρους τοῦ ἀρσενικοῦ, καὶ ἐτελείωσεν εἰς τὸν Ἀντίγονον τὸν τελευταῖον Ἀσαμοναῖον καὶ Ὑρκανὸν τὸν ὕστερον Ἀρχιερέα, ὃν ἐφόνευσεν ὁ Ἡρώδης.

ΒΙΒΛΙΟΥ Β΄. ΚΕΦΑΛΑΙΟΥ Α΄. ΠΑΡΑΓΡΑΦΟΝ ϛ΄.

Περὶ τῆς ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου οἰκοδομῆς τοῦ Ναοῦ ἐν τῷ Γολγοθᾷ τῆς τοῦ Χριστοῦ Ἀναστάσεως.

Ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, καὶ ἐξαπέστειλεν ὁ Θεὸς τὸν Μονογενῆ αὐτοῦ Υἱὸν ἱλασμὸν εἰς τὸν κόσμον, καὶ ἦλθεν ὁ καιρὸς ἵνα παύσωσιν οἱ τύποι καὶ αἰσκιαὶ καὶ φανερωθῇ εἰς τὸν κόσμον ἡ ἀλήθεια ἡ εὐαγγελικὴ, διατοῦτο καὶ τὸ ἱερὸν ὅπου ἦν ὁ τόπος τῶν τύπων καὶ τῶν θυσιῶν τῶν κοσμικῶν ἠφανίσθη ὁμοῦ μετὰ τῶν συνηθειῶν τοῦ Νόμου, καὶ ἄλλη οἰκοδομὴ τοῦ ἱεροῦ οὐκ ἐδόθη, ἐπειδὴ καθὼς ὥρισεν ὁ Χριστὸς ἔμεινεν ἔρημον καὶ ἀπὸ τῆς χάριτος καὶ ἀπὸ τῆς χρείας, καὶ γίνεται εἰς αὐτὸ τὸ ὄρος μορία κατὰ τὸ μέρος αὐτοῦ τὸ λεγόμενον ὄρος Γολγοθᾶ ἡ νέα Ἱερουσαλὴμ, ἡ νέα Σιὼν, τὸ μέγα μυστήριον, ἡ μέση τῆς γῆς, ὁ Ναὸς τῆς ἀληθείας, καὶ τῆς καθόλου Ἐκκλησίας ἡ ἀρχὴ, ὁ περίδοξος Ναὸς τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ Ἀναστάσεως, οὗ τὰ ἐγκώμια ᾄδουσι μὲν Προφῆται, διατρανοῖ δὲ τὸ ἱερὸν Εὐαγγέλιον, κηρύττουσι δὲ οἱ Διδάσκαλοι, Ἀπόστολοί τε καὶ Μάρτυρες, καὶ ἡ Ἐκκλησία ψάλλει ἐν ἑκάστῃ Κυριακῇ καὶ ἑορτῇ, καὶ προβάλλονται ἐν ἑκάστῳ μυστηρίῳ. Ὁ μέγας Κωνσταντῖνος ἔκτισεν αὐτὸν, καὶ διὰ θείας ἀποκαλύψεως εὑρέθησαν ὁ ἅγιος τάφος, ὁ ἅγιος Γολγοθᾶς, ἡ ἁγία Ἀποκαθήλωσις, ὁ ζωοποιὸς Σταυρὸς, καὶ τὰ ἑξῆς, καὶ φαίνονται οἱ τόποι κεχωρισμένως τεθεμελιωμένοι εἰς τὸν αἰῶνα, ὥστε καὶ οἱ ἐθνικοὶ τοσούτους χρόνους κυριεύοντες ἐκεῖ, ἔχουσιν αὐτοὺς εἰς τιμὴν μεγάλην, καὶ μένει καθὼς τοῦ Χριστοῦ ἡ βασιλεία αἰώνιος καὶ ἡ ὀρθόδοξος πίστις οὐ νικωμένη παράτινος, οὕτω καὶ ὁ Ναὸς ὁ φέρων πρόσωπον καὶ τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας μένει ἀδιάσειστος καὶ ὡς ἐθεμελιώθη ᾠκοδομημένος, καὶ ὡς ἐπιτοπλεῖστον εἰς αὐτὸν τὴν νικῶσαν ἔχουσιν οἱ ὀρθόδοξοι.

ΒΙΒΛΙΟΥ Β΄. ΚΕΦΑΛΑΙΟΥ Α΄. ΠΑΡΑΓΡΑΦΟΝ Ζ΄.

Περὶ τῆς προτέρας εὐρυχωρίας τῆς περιοχῆς τοῦ Ναοῦ τῆς τοῦ Χριστοῦ Ἀναστάσεως.

Ἔχει ὁ Ναὸς τοῦ ἁγίου τάφου κατὰ μὲν τὴν Δύσιν, διὰ τὸ εἶναι ὄρος, μόνον τὸν τοῖχον αὐτοῦ, εἶχε δὲ θύραν μίαν ἐκείνην ἣν ἔχει καὶ νῦν κατὰ Μεσημβρίαν, ἀλλ' εἶχε καὶ κατὰ Ἀνατολὰς δύο, διατοῦτο γέγονε καὶ τὸ βῆμα ἔνδοθεν τοῦ ἀνατολικοῦ τοίχου ἐπάνω κιόνων δώδεκα, εἰς τύπον τῶν δώδεκα Ἀποστόλων, τὰ δὲ προαύλια καὶ τὰ Διδασκαλεῖα καὶ αἱ αὐλαὶ καὶ τὸ Πατριαρχεῖον ἦσαν βορεινὰ, ἀνατολικὰ καὶ νότια, καὶ ἔφθανεν ἡ ἄκρα ἑκάστου τοίχου ἕως εἰς τὰς ἀγορὰς, ἀλλ' ὕστερον εἰς τὰς αἰχμαλωσίας καὶ φθορὰς, ἡ μὲν Ἐκκλησία ἔμεινεν ἀμετακίνητος, τὰ δὲ πέριξ καὶ διαφόρως ἐφθάρησαν, καὶ ἀχρεῖαι οἰκοδομαὶ ἐν αὐτοῖς ἐγένοντο, καὶ ἐφθάρη σχεδὸν πᾶσα ἡ εὐπρέπεια ἡ περὶ τὴν μεγάλην Ἐκκλησίαν. ὅπερ δὲ ἀκούομεν, ὅτι πολλάκις ἠφάνισαν οἱ ἐχθροὶ τὸν Ναὸν τοῦ ἁγίου τάφου καὶ πάλιν ἐκαινίσθη, πῶς ἐννοεῖται, εἰς τοὺς τόπους τοὺς ἁρμοδίους λέξομεν καθώς ἐστι, κατὰ δὲ τὸ παρὸν ἀρκεῖ ὅτι τὸ ἱερὸν ἐφθάρη, καὶ ὅτι αἱ συνήθειαι τοῦ Νόμου ἤργησαν, καὶ ὁ θεῖος οὗτος Ναὸς μένει.

ΒΙΒΛΙΟΥ Β΄. ΚΕΦΑΛΑΙΟΥ Α΄. ΠΑΡΑΓΑΦΟΝ Η΄.

Περὶ λήξεως τῶν τυράννων Βασιλέων, καὶ ὧν ἐτυράννησαν ἐτῶν, καὶ περὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ μεγάλου

Κατελύθησαν λοιπὸν οἱ Τύραννοι, καὶ ἔφθασεν ἡ εὐλογημένη ὥρα καὶ ἡμέρα, καθ' ἣν ἐβασίλευσεν ὁ μέγας

ὁ μέγας Κωνσταντῖνος τοῦ χλωροῦ Κωνσταντίνου καὶ τῆς Ἑλένης ὁ περιπόθητος υἱὸς, πολλῷ τοῦ Κύρου ἐκείνου ἀξιαγαστότερος, διότι ἔπαυσε τὴν χρονίαν καὶ συνεχῆ τῶν Τυράννων ἀπανθρωπίαν, τὴν ἐπικρατήσασαν διακοσίους ἑβδομήκοντα χρόνους. ὄντως τοῦ παντοδυνάμου Θεοῦ τὸ ἔργον, τοῦ λεγομένου καὶ ὄντος φοβεροῦ ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα, καὶ ἀπὸ τοῦ σκότους ἐξάγοντος τὸ φῶς κατὰ τὸν Ἀπόστολον, ἀλλὰ καὶ ὁ παντοδύναμος Θεὸς Λόγος ἀπ' Οὐρανῶν ἐκθρόνων Βασιλείων ἀπότομος πολεμιστὴς εἰς μέσον τῆς ὀλεθρίας ἤλατο γῆς, καὶ ἐξωστρακισμένην εἰρήνην, καὶ τὴν ποτὲ Σάρραν τὴν Ἐκκλησίαν αἰχμάλωτον γεγενημένην, μετὰ βασιλικῶν χαρισμάτων πληροφορηθεῖσαν ἀπ' αὐτοῦ, ἠλευθέρωσε, καὶ ἐστόλισεν ὡς Νύμφην χρυσοῖς διαδήμασι, καθότι ὁ αὐτὸς ἁγιώτατος Κωνσταντῖνος ὑπερετίμησεν αὐτήν.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῶν ἐγκωμίων καὶ ἐπαίνων τοῦ μεγάλου Κωνσταντίνου.

Ὄντως ἱερεὺς καὶ Βασιλεὺς ἐχρημάτισεν ὁ Ἰσαπόστολος Κωνσταντῖνος διὰ τὸ λειτούργημα τῆς Βασιλείας, καὶ διὰ τὸ Μῦρον τῆς Ἱερωσύνης. ὅθεν καὶ ἡ Ἐκκλησία ψάλλει εἰς τὸ Δοξαστικὸν τοῦ Ἀποστίχου. Δεξάμενος τὴν γνῶσιν τοῦ Πνεύματος ἱερεὺς χρηματισθεὶς καὶ Βασιλεὺς, ἐλαίῳ ἐστήριξας τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ὀρθοδόξων Βασιλέων πατήρ. ἔχομεν εἰς τὴν ἱερὰν Ἀποκάλυψιν, καὶ ἐποίησας ἡμᾶς τῷ Θεῷ ἡμῶν Βασιλεῖς καὶ ἱερεῖς, καὶ βασιλεύομεν ἐπὶ τῆς γῆς, οὐχ ὅτι γε εἰσὶν ὅλοι ἐξ αὐτοῦ τοῦ βαπτίσματος ἱερεῖς, καθὰ φλυαροῦσιν οἱ Λουτεροκαλβῖνοι, ἀλλὰ φύλακες τῶν ἐκκλησιαστικῶν πραγμάτων καὶ φροντισταὶ, κατ' ἐξοχὴν δὲ ὁ Χριστιανικώτατος Κωνσταντῖνος, ὁ ἀνακαινίσας τὴν Ἐκκλησίαν, καὶ κοσμήσας αὐτὴν ὡς ἄλλος οὐδεὶς τῶν Βασιλέων, διατοῦτο καὶ πρεπόντως φημίζεται ὀρθοδόξων Βασιλέων πατὴρ, καὶ βάσις τοῦ χριστιανικοῦ πολιτεύματος. καὶ εἰ ἱερεὺς ἐλέγετο ὑπὸ τῶν ἐθνικῶν ὅστις ἀνεκαίνιζε τὸν Νόμον καὶ τὴν θυσίαν, πῶς μὴ κληθῆναι τὸν μέγαν Κωνσταντῖνον ἱερέα καὶ Ἀρχιθύτην τὸν τὴν λειτουργίαν αὐτῆς τῆς καινῆς διαθήκης καὶ τὴν λατρείαν στερεώσαντα καὶ κηρύξαντα εἰς τὰ τετραπέρατα τῆς Οἰκουμένης;

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῶν ἐγκωμίων τῆς ἁγίας Ἑλένης, καὶ τῆς εὑρέσεως τοῦ Σταυροῦ, καὶ τῆς ὑψώσεως αὐτοῦ.

Ἀλλὰ καὶ ἡ σεβασμιωτάτη ἁγία Ἑλένη Θεϊκὴν ὀπτασίαν καὶ οὐρανόπεμπτον ὅραμα εἶδεν. ὅθεν ψάλλει μεγαλοφώνως ἡ Ἐκκλησία ἡμῶν. Τῷ Χριστῷ κολληθεῖσα, καὶ ἐπ' αὐτῷ πάνσεμνε, ἅπασαν θεμένη ἐλπίδα, τοὺς ἱεροὺς αὐτοῦ, τόπους κατέλαβες, ἐν οἷς τὰ ἄχραντα πάθη, σαρκωθεὶς ὑπέμεινεν ὁ ὑπεράγαθος.

γράφει καὶ ὁ μοναχὸς Ἀλέξανδρος κατὰ λέξιν οὕτως, ἀπέστειλεν ὁ Βασιλεὺς τὴν ἑαυτοῦ μητέρα Ἑλένην μετὰ γραμμάτων καὶ χρημάτων ἀφθονίας πρὸς τὸν Μακάριον τὸν Ἱεροσολύμων ἐπὶ ἀναζητήσει τοῦ ζωοποιοῦ Σταυροῦ, καὶ οἰκοδομῇ τῶν ἁγίων τόπων, αὐτῆς αἰτησαμένης τῆς Βασιλίδος, φασκούσης ὀπτασίαν θείαν ἑωρακέναι κελεύουσαν αὐτὴν τὰ Ἱεροσόλυμα καταλαβεῖν καὶ τοὺς ἁγίους τόπους εἰς φῶς ἀγαγεῖν χωσθέντας ὑπὸ τῶν ἀνόμων καὶ ἀφανεῖς γεγενημένους ἐπὶ τοσούτους καιροὺς, ἐδόκει αὐτῷ (λέγει ὁ Εὐσέβιος βιβλίῳ τρίτῳ εἰς τὸν βίον Κωνσταντίνου αὐτοῦ) τὸν ἐν τοῖς Ἱεροσολύμοις τῆς σωτηρίου Ἀναστάσεως μακαριστότατον τόπον προφανῆ καὶ σεπτὸν ἀποφῆναι τοῖς πᾶσιν, οὐκ ἀθεεὶ τοῦτο ἐν διανοίᾳ βαλὼν, ἀλλ' ὑπ' αὐτοῦ τοῦ Σωτῆρος ἀνακινηθεὶς τῷ πνεύματι. τὰ αὐτὰ θέλει καὶ ὁ Θεοφάνης καὶ ἄλλοι πολλοὶ, ὅτι δηλαδὴ μετὰ τὴν Σύνοδον παρήγγειλεν ὁ Βασιλεὺς τῷ Ἐπισκόπῳ Ἱεροσολύμων Μακαρίῳ διὰ τὴν εὕρεσιν τοῦ Σταυροῦ καὶ τῶν ἁγίων τόπων, καὶ μετὰ τὴν ἀνάζευξιν ἐκείνου πεπονφέναι καὶ τὴν μητέρα αὐτοῦ, ἥτις ἐκεῖσε ἀπελθοῦσα, τοσαύτην εἶχε ταπείνωσιν, ὥστε καὶ ὑπηρέτει μόνη ταῖς ἱεραῖς παρθένοις ἐν Ἱερουσαλήμ. ὅπερ δέ τινες, τῶν ἱστορικῶν θέλουσιν, ὅτι συναπῆλθεν εἰς τὴν Ἱερουσαλὴμ μετὰ τῆς Βασιλίσσης ὁ Ῥώμης Σίλβεστρος, ἐστὶ πρόδηλον ψεῦδος, καθὼς καὶ ἄλλοι λέγουσιν ὅτι ἦν παρὼν εἰς τὴν πρώτην Σύνοδον, ὅπερ καὶ αὐτὸ ψεῦδος. ὄντως ἔργον ἐστάθη τῆς ἄνω καὶ θείας προνοίας τῆς κυβερνώσης καὶ διεπούσης τὰ πάντα ἐν σταθμῷ καὶ ζυγῷ, ἵνα κρυφθῶσι καὶ παραχωσθῶσιν εἰς τὰ βάθη τῆς γῆς ὅπως μὴ κατακαυθῶσι καὶ πυρποληθῶσιν ὁ τρισύνθετος Σταυρὸς ἐν Κυπαρίσσῳ καὶ Πεύκῃ καὶ Κέδρῳ πεποιημένος μετὰ τοῦ Τίτλου τοῦ τριγλώσσου, πῶς γὰρ ἄλλως ἔμελλον φυλαχθῆναι τὰ σύμβολα τῆς ἡμῶν σωτηρίας εἰ μὴ ἦσαν κεχωσμένα καὶ κεκρυμμένα εἰς τὸν καιρὸν τῆς τελείας ἁλώσεως; ἀκολουθεῖ καὶ λέγει ὁ αὐτὸς Ἀλέξανδρος εἰς τὸν ἴδιον λόγον ὃν γράφει περὶ τῆς εὑρέσεως τοῦ Σταυροῦ, καὶ προσευχῆς σπουδαιοτέρας γενομένης ὑπὸ τοῦ Μακαρίου, εὐθέως ἐδείχθη θεόθεν ὁ τόπος τῷ Ἐπι-

Ἐπισκόπῳ, ἐν ᾧ ἵδρυτο τῆς ἀκαθάρτου δαίμονος (ἤγουν τῆς Ἀφροδίτης) ὁ Ναὸς καὶ τὸ Ἄγαλμα. ἡ δὲ Βασίλισσα μετὰ χαρᾶς μεγάλης καὶ φόβου ἀνελομένη τὸν ζωοποιὸν Σταυρὸν, καὶ ἀσπασαμένη προσεκύνησε, καὶ ἐξ ἐκείνου ἤρξατο ἡ ἑορτὴ τῆς ὑψώσεως εἰς τὰ Ἱεροσόλυμα μετὰ τὸ εὐτρεπισθῆναι δηλαδὴ τὸν περιβόητον Ναὸν τῆς Χριστοῦ Ἀναστάσεως ὡς γράφει τοῦτο καὶ ἄκων ὁ Ζώσιμος εἰς τὸ πέμπτον αὐτοῦ βιβλίον. ἀλλ' ἐπειδὴ καὶ ὅτε γεγόνασι τὰ ἐγκαίνια τοῦ Ναοῦ τοῦ ἁγίου τάφου, συνέβη εἶναι τὴν δεκάτην τρίτην τοῦ Σεπτεμβρίου Μηνὸς, ἔμεινε γίνεσθαι ὁμοῦ τὴν ἑορτὴν τῶν ἐγκαινίων καὶ τῆς ὑψώσεως ἡμέρας ὀκτὼ, ὅτε καὶ εἴρχοντο εἰς προσκύνησιν τῶν ἁγίων τόπων οἱ ὀρθόδοξοι ἀφ' ὅλης τῆς Οἰκουμένης, εἰ καὶ ὕστερον διὰ τὸ οὐράνιον φῶς τοῦ ἁγίου τάφου μετετέθη ἡ τοιαύτη τῶν Χριστιανῶν προσκύνησις εἰς τὸ ἅγιον Πάσχα. ἵνα δὲ ὁρῶσιν οἱ Χριστιανοὶ καὶ τὸ τίμιον ξύλον, ἐγένετο συνήθεια γίνεσθαι καὶ ἑτέραν ὕψωσιν εἰς τὴν τρίτην Κυριακὴν τῆς ἁγίας Τεσσαρακοστῆς, ἥτις καὶ προσκύνησις μάλιστα λέγεται.

ΒΙΒΛΙΟΥ Ε'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τοῦ ἐν τῷ καιρῷ τῆς εὑρέσεως τοῦ Σταυροῦ Ἰούδα τοῦ καὶ Κυριακοῦ, καὶ τῆς ἐν Ἱεροσολύμοις Ἀρχιερατείας Μακαρίου, καὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας αὐτοῦ.

Ποῦ εἰσι νῦν τινες οἱ ῥαψῳδοῦντες περὶ τοῦ Ἑβραίου Ἰούδα; ὅτινες θέλουσι καὶ διὰ τὴν εὕρεσιν τοῦ Σταυροῦ χρηματίσαι αὐτὸν καὶ Ἀρχιερέα Ἱεροσολύμων. μόνον γὰρ δεκατέντε ἦσαν οἱ ἐκ περιτομῆς, καὶ οὐδεὶς ἄλλος πλέον ἐγένετο Ἱεροσολύμων ὡς προαπεδείξαμεν. δεχόμεθα δὲ συνδραμεῖν καὶ αὐτὸν ὀλίγον τι, ἀλλὰ τὸ περισσότερον ἦν Θεοφάνεια καὶ οὐράνιον φῶς τὸ τὸν τόπον ἐκεῖνον περιαστράψαν καὶ διαμαρτυρῆσαν, ὅθεν οὐκ ἀπτολμῶμεν ἐγκαταλέξαι αὐτὸν εἰς τὸ χρονικὸν τῶν Πατριαρχῶν, καθότι καὶ οἱ πρὸ ἡμῶν ἀπεσιώπησαν τοῦτο, γράφουσιν ὅμως ὁδεύοντες εἰς τὴν ἐναντίαν γνώμην ὅτι βαπτισθεὶς ὁ Ἰούδας οὗτος μετωνομάσθη Κυριακὸς, καὶ ὅτι ἔζησε χρόνους εἰκοσιπέντε μετὰ τὴν μακαρίαν λῆξιν τοῦ Μακαρίου τοῦ κυβερνήσαντος τὸν θρόνον ἱερῶς καὶ ὁσίως χρόνους εἴκοσι μετὰ τὸν Ἕρμωνα.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ τῆς ἐπανόδου τῆς ἁγίας Ἑλένης ἀπὸ Ἱερουσαλὴμ εἰς Βυζάντιον μετὰ μέρους τοῦ Σταυροῦ καὶ τῶν ἥλων καὶ τοῦ λειψάνου τοῦ Προφήτου Δανιὴλ, καὶ περὶ τῶν συμβάντων περὶ τὸν Αὐθεντόπαιδα τοῦ Καρτελίου Ἀρκίλην.

Μέρος γοῦν τοῦ Σταυροῦ ἔβαλεν ἡ ἁγία Ἑλένη ἐν ἀργυραῖς θήκαις, ὡς διηγεῖται καὶ ὁ θεῖος Ἀμβρόσιος, καὶ ἀνεκόμισε πρὸς τὸν παῖδα, τὸ δὲ λοιπὸν, γλωσσόκομον ἀργυροῦν ποιήσασα, καὶ ἔνδον εἰς αὐτὸ θείσασα, παρέδωκε τῷ Ἐπισκόπῳ τῆς πόλεως εἰς μνημόσυνον ἐν πάσαις γενεαῖς, καὶ θεσπίσασα Ἐκκλησίαν γενέσθαι ἐν τῷ ζωοποιῷ καὶ θεσπεσίῳ τῆς ἀθανασίας μνήματι, καὶ ἐν τῷ ἁγίῳ Γολγοθᾷ, καὶ ἐν τῇ Βηθλεὲμ, ἔνθα ὁ Κύριος τὴν κατὰ σάρκα γέννησιν ἐτέχθη, καὶ ἐν τῷ ὄρει τῶν ἐλαιῶν, ἔνθα ὁ Κύριος εὐλογήσας τοὺς μαθητὰς ἀνεληφθη, καὶ ἄλλα πολλὰ καλὰ ποιήσασα, πρὸς τὸν παῖδα ἀνέστρεψε. ταῦτα πάντα ἱστορεῖ ὁ ῥηθεὶς Ἱεροσολυμίτης Ἀλέξανδρος, ᾧ πιστεύομεν καὶ ὡς ἁγιοταφίτῃ. λέγει δὲ Γεώργιος ὁ Κωδινὸς, ὅτι εἰσήγαγεν εἰς τὴν Κωνσταντινούπολιν τὸ τίμιον ξύλον διὰ τῆς πύλης τοῦ Ὑψωμαθείου, καὶ ὅτι τὰ εὑρεθέντα τότε ἐπὶ τοῦ τιμίου ξύλου Βάλσαμα, Κρίνα, Ῥόδα, Σάμψυχα, Κώστους, Βασικὰ ἐφύτευσεν εἰς γάστρας ἵνα σώζωνται, ἀνήγειρε δὲ Νονὴν καὶ ὠνόμασεν αὐτὴν Γαστρίαν, ὅπου καὶ αὐτὴ κατῴκησεν. ἔφερε δὲ τότε μεθ' ἑαυτῆς ἐξ Ἱεροσολύμων καὶ τὸ λείψανον Δανιὴλ τοῦ Προφήτου. Σημείωσαι δὲ ὅτι εὑροῦσα ἡ ἁγία Ἑλένη σὺν τῷ Σταυρῷ καὶ τοὺς ἥλους ἐν ᾧ προσήλωσαν οἱ ἀγνώμονες Ἰουδαῖοι τὸ σῶμα τοῦ Σωτῆρος, ἔφερεν αὐτοὺς δῶρον ἀξιοτίμητον τῷ υἱῷ αὐτῆς, ἐξ ὧν τὴν μὲν ἕνα ἔβαλεν ὁ Αὐτοκράτωρ εἰς τὸν χαλινὸν τοῦ ἵππου αὐτοῦ, κατὰ τὸ λόγιον τοῦ Προφήτου, τὸν δὲ δεύτερον ἐβάσταζεν εἰς τὸ πολεμικὸν ἔνδυμα τῆς κεφαλῆς αὐτοῦ, καὶ τὸν τρίτον (λέγει ὁ θεῖος Ἀμβρόσιος) διαπερῶσα τὸ πέλαγος τὸ Ἀδριατικὸν, καὶ κινδυνεύσασα ὑπὸ τοῦ κλύδονος τῆς θαλάσσης, ἔῤῥιψεν αὐτὸν ἡ Βασιλὶς εἰς τὴν θάλασσαν καὶ ἐγένετο γαλήνη. πλὴν εἰ ἐγένετο ἡ ἐν Νικαίᾳ πρώτη Σύνοδος, ὄντος τοῦ μεγάλου Κωνσταντίνου εἰς τὸ Βυζάντιον καὶ τῆς μητρὸς αὐτοῦ, μετὰ δὲ τὴν Σύνοδον ὥδευσεν ἡ ἁγία Ἑλένη εἰς Ἱερουσαλὴμ, καὶ ἐκεῖθεν ἐπανῆλθεν εἰς τὸ Βυζάντιον, ἀπελθεῖν ὅμως εἰς τὸ Ἀδριατικὸν πέλαγος τὴν αὐτὴν ἐστὶν ἀπίστευτον, καὶ μάρτυς ὁ Σωκράτης βιβλίῳ πρώτῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ λέγων, τὸ ξύλον (ἡ Ἑλένη) τὸ μὲν ἀφῆκε, τὸ δὲ ἔφερε τῷ υἱῷ, ὅπερ ἐκεῖνος κατέκρυψεν εἰς τὸν Πορφυροῦν μέγαν Κίονα εἰς φυλακὴν τῆς πόλεως, καὶ τοὺς ἥλους. Ἔτι σημείωσαι ὅτι εἰς τὴν Τιφλίζιν πόλιν τῆς Ἰβηρίας ἦν εἰς ἓν γλωσσόκομον πεπλεγμένον διὰ λίθων καὶ μαργάρων εἷς ἧλος τοῦ τιμίου Σταυροῦ, καὶ ἓν κιβωτείδιον ὁλόχρυσον μετὰ αἵματος τοῦ Σωτῆρος, καὶ ὀλίγον σχοινίον ἐξ ἐκείνου ᾧ ἔδησαν τὸν Σωτῆρα,

καὶ

καὶ εἰς ἓν ἕτερον κιβωτείδιον μέρος τριχῶν τοῦ Σωτῆρος, καὶ ὀλίγον ἐκ τοῦ σαββάνου αὐτοῦ, καὶ μέρος πολυτιμίτου ξύλου. Εἰσδὲ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν πέμπτον ἔτος τῆς σωτηρίας, εἷς αὐθεντόπαις τοῦ Καρτελίου ὀνόματι Ἀρκίλης, ὁ χρηματίσας καὶ Ἀνθέντης τῆς Ἀλβανίας, καὶ ἐξωσθεὶς ὑπὸ τοῦ Περσάρχου, φεύγων ἀπῆλθεν εἰς Μοσχοβίαν, λαβὼν μεθ' ἑαυτοῦ καὶ πάντα τὰ ἄνω εἰρημένα ἅγια. καὶ περὶ τὸ Ἀστραχάνι εἶχεν αὐτὰ εἴς τινα Ἐκκλησίαν διὰ εὐλάβειαν, ἕως ἂν ὁδεύσῃ εἰς τὴν φέρουσαν πρὸς τὴν βασιλεύουσαν πόλιν τῆς μεγάλης Μοσχοβίας, ἐκάη ὅμως ἡ Ἐκκλησία, καὶ συνεκάησαν καὶ ἐκεῖνα ὅλα, καὶ ἐφθάρησαν καὶ τόσα πολύτιμα μαργαριτάρια καὶ πετράδια πολύτιμα μεθ' ὧν ἦσαν ἐγκεκοσμημένα.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ τῆς εὑρέσεως τοῦ Γολγοθᾶ.

Καθὼς εἴπομεν εἰς τὸ πρῶτον βιβλίον, ἔνθα ἐσταυρώθη ὁ Κύριος καὶ ἐτάφη, οἱ εἰδωλολάτραι ἔρριψαν γῆν τοσοῦτον πολλὴν, ὥστε καλύψαι τοὺς ἁγίους τόπους παντάπασιν, εἶτα ἔστρωσαν τὸν τόπον μετὰ μεγάλων λίθων, καὶ ἐποίησαν ἀφανῆ τὴν πηγὴν καὶ τὸ σεμνὸν καὶ πανάγιον τοῦ σωτηρίου καὶ τῆς ἡμῶν Ἀναστάσεως μαρτύριον τὸ ἅγιον τῶν ἁγίων Ἄντρον, καὶ πρὸς τούτοις ἔκτισαν ἐπάνω Ναὸν τῆς Ἀφροδίτης, καὶ ἔστησαν καὶ τὸ εἴδωλον αὐτῆς. ἀλλ' ἡ προμήθεια τοῦ μεγάλου Κωνσταντίνου καὶ τοῦ Πατριάρχου Ἱεροσολύμων Μακαρίου συνέτριψε τὸ εἴδωλον, κατηδάφισε τὸν Ναὸν αὐτῆς, ἐξέβαλε τοὺς λίθους καὶ τὴν πολλὴν ἐκείνην γῆν, καὶ ἔρριψεν αὐτὰ λίαν πόρρω τῶν ἁγίων τόπων, καὶ εὑρέθη αὐτὸ τὸ καὶ Ἀγγέλοις αἰδέσιμον καὶ προσκυνητὸν Σπήλαιον τοῦ ἁγίου τάφου, καὶ ὁ κοσμοσωτήριος Γολγοθᾶς, καὶ ἐτέθη τὸ φῶς ἐπὶ τὴν λυχνίαν, καὶ ἐδόθη ἡ ζωὴ εἰς τὴν Ἐκκλησίαν, ἵνα βλέπῃ πᾶσα σὰρξ αἰσθητῶς, πῶς ἐγένετο ἡ σωτηρία τοῦ κόσμου, πῶς ἐγένετο τὸ κατὰ τοῦ Διαβόλου τρόπαιον, πῶς ἔλαβεν ἡ ἀνθρωπίνη φύσις τὴν ἀφθαρσίαν, πόθεν ἀνυψώθημεν τῆς γῆς, καὶ κατηντήσαμεν εἰς τὸν Οὐρανόν.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ τοῦ πρώτου Σπηλαίου τοῦ Σωτῆρος, καὶ τῆς ἔσωθεν κατασκευῆς αὐτοῦ ἐν ᾧ τέθαπται ὁ Κύριος.

Τρία εἰσὶ τοῦ Σωτῆρος ἡμῶν Σπήλαια, πρῶτον, ὁ ἅγιος Τάφος, δεύτερον, ἡ Γέννησις ἐν Βηθλεέμ. τρίτον, τὸ ὄρος τῶν Ἐλαιῶν. ὁ κυριακὸς Τάφος ἐστὶ Σπήλαιον διπλοῦν, ἐπειδὴ καὶ κατὰ τὴν συνήθειαν τῶν Ἰουδαίων ἔκοπτον τὰς πέτρας καὶ ἔγλυπτον αὐτὰς, καὶ ἐποίουν ἔνδον οἱονεὶ οἶκον, ἢ μέγαν ἢ μικρὸν, καὶ ἐποίουν ἔνδον ἢ ἕνα τάφον ἢ πολλοὺς, καὶ ὅτε ἔθαπτόν τινα οὐδὲν ἐπετίθουν ἐπάνω αὐτοῦ, ἀλλὰ μόνον τὴν θύραν τοῦ σπηλαίου ἔφραττον μετὰ πέτρας μεγάλης. οὕτω καὶ ὁ Ἰωσὴφ ἔσκαψεν ἐκ πέτρας αὐτοφυοῦς καὶ ῥιζιμαίας τάφον αὐτοῦ, καὶ ἐποίησεν οἰκίσκους μετὰ θύρας, εἶτα ἔκοψεν ἄλλην θύραν, καὶ ἐποίησεν ἐνδοτέρω ἄλλον οἰκίσκον, καὶ εἰς τὸ ἐνδότερον κατὰ τὰ βόρεια μέρη ἐποίησε τὸν τάφον αὐτοῦ καινὸν, καὶ ἐκεῖ ἐτάφη τὸ πανακήρατον σῶμα τοῦ Κυρίου, καὶ ἐπάνω οὐδὲν ἐτέθη ἡ ἔνδον θύρα ἦν ἀνοικτὴ, ἡ ἔξω ἠσφαλίσθη μετὰ μεγάλης πέτρας.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ τῆς ἀνωμαλίας τοῦ τόπου τοῦ Γολγοθᾶ, καὶ τῆς διὰ προσταγῆς τῆς ἁγίας Ἑλένης ἐξεργασίας τῆς λειότητος αὐτοῦ καὶ ἰσοπέδου, ἐν ᾧ ἐκτίσθη ὁ Ναὸς τῆς τοῦ Χριστοῦ Ἀναστάσεως.

Καὶ ἐπειδὴ ἐκεῖνος ὁ τόπος ἀφ' οὗ ἐξέβαλον τὴν γῆν ἦν πέριξ ἀνώμαλος, καὶ τὸ Ἄντρον τοῦ ἁγίου τάφου ἦν χθαμαλὸν, καὶ Ἐκκλησίαν γενέσθαι ἦν ἀδύνατον, διατοῦτο ὅλον ἐκεῖνον τὸν τόπον προσέταξεν ἡ ἁγία Ἑλένη καὶ ἐκαθάρισαν πέριξ, κόπτοντες τὰς πέτρας καὶ ἐκβάλλοντες τὴν γῆν, ἕως οὗ γέγονε τὸ ἐπίπεδον μέγα καὶ πολὺ, καὶ ἡ βάσις τοῦ ἐπιπέδου γέγονεν ἰσόπεδος μετὰ τῆς βασέως τοῦ ἱεροῦ Ἄντρου, ὥστε μεῖναι τὸ σεβάσμιον μαρτύριον ἐν μέσῳ τοῦ ἐπιπέδου. ἔβαλε δὲ ἡ Βασιλὶς μάρμαρα ἐκ τῶν τεσσάρων μερῶν ἔξωθεν τοῦ ἁγίου Σπηλαίου, ὥστε φαίνεσθαι εἶναι τὸ προσκυνητὸν Σπήλαιον ὥσπερ διὰ τοίχων ἐκτισμένων. ἐπειδὴ δὲ ἔνδον ἐκρέμασαν καινδήλια ἀκόιμητα, ἐτρύπησαν τὸ μονόλιθον (καὶ γὰρ ὅλον τὸ Σπήλαιον ἐξ ἑνὸς λίθου σύγκειται) ἄνωθεν εἰς διαφόρους τόπους ἵνα ἐξέρχηται ὁ καπνός. ἐπάνω δὲ τοῦ ἐπιπέδου καὶ τοῦ κυριακοῦ Σπηλαίου ἐκτι-

ἐκτίσθη ὁ προσκυνητὸς Ναὸς τῆς ἁγίας τοῦ Χριστοῦ Ἀναστάσεως, ἡ διὰ τῶν Προφητῶν κεκηρυγμένη καινὴ καὶ νέα Ἱερουσαλὴμ, περὶ ἧς μακροὶ λόγοι μυρία δι' ἐνθέου Πνεύματος θεσπίζοντες ἀνυμνοῦσι, καὶ ἡ Ἐκκλησία ψάλλει,

Φωτίζου φωτίζου ἡ νέα Ἱερουσαλὴμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. καὶ

Οὐρανὸς πολύφωτος ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας φωταγωγοῦσα τοὺς πιστοὺς, ἐν ᾧ ἑστῶτες κραυγάζομεν, τοῦτον τὸν οἶκον στερέωσον Κύριε. λέγει δὲ ὁ Θεοφάνης, ὅτι ὁ Ἀρχιτέκτων τοῦ Ναοῦ τῆς ἁγίας Ἀναστάσεως ἐκαλεῖτο Ζηνόβιος.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΣ'.

Περὶ τοῦ δευτέρου Σπηλαίου τοῦ Σωτῆρος ἐν Βηθλεὲμ καὶ τοῦ ἐν αὐτῷ Ναοῦ, καὶ τοῦ τρίτου Σπηλαίου τοῦ ἐν τῷ ὄρει τῶν Ἐλαιῶν, οὗ ἐγγὺς ὁ τόπος ἀφ' οὗ ὁ Κύριος ἀνελήφθη.

Δεύτερον Σπήλαιόν ἐστιν εἰς τὴν Βηθλεὲμ, οὗ τινος καὶ αὐτοῦ τὸν περὶ αὐτὸ τόπον ὄσασαν μετὰ ἀψίδων κάτωθεν καὶ οἰκοδομῶν, καὶ ἐκτίσθη εἰς τὸ μέγα ἐπίπεδον τότε ὑπὸ τῆς ἁγίας Ἑλένης Ναὸς περίφημος, ὃν Ἡλίας ὁ Πατριάρχης Ἱεροσολύμων θέλων μείζονα ποιῆσαι, καὶ μὴ δυνηθεὶς, ἀφείθη. μεταταῦτα δὲ βασιλεύσας ὁ μέγας Ἰουστινιανὸς ἀπέστειλε πρόσταγμα καὶ ἔκτισαν αὐτὸν καθὼς φαίνεται νῦν, τὰ δὲ μάρμαρα οἷσπερ ἦν ἐστρωμένος ὅλος ὁ Ναὸς, καὶ ἐπεῖνα οἷσπερ ἦσαν οἱ τοῖχοι φατνωμένοι, ὃ καὶ ὀρθομαρμάρωσις λέγεται, ἐξέβαλε καὶ ἔλαβεν ὁ Σουλταῦ Σουλεϊμαῦ τῆς Κωνσταντινουπόλεως ὁ Βασιλεὺς περίπου τὸ χιλιοστὸν πεντακοσιοστὸν τεσσαρακοστὸν ἔτος τῆς σωτηρίας, καὶ ἔστρωσε τὸ Ἱερὸν, καὶ ἐπόιησε καὶ ἔξωθεν αὐτοῦ ἕως ὕψους τινὸς ὀρθομαρμάρωσιν, ὅτι καὶ τὴν Ἱερουσαλὴμ ἀτείχιστον οὖσαν, καὶ τὸ Ἱερὸν μικρὸν, αὐτὸς καὶ τὸ νῦν φαινόμενον κάστρον ἔκτισε, καὶ τὸ Ἱερὸν, καὶ εἰς τὸν ἅγιον τάφον ἐπόιησε τὰς νῦν συνηθείας, ὡς ἐν ἄλλοις ῥηθήσεται. μόνα δὲ τὰ μάρμαρα ἅπερ εἰσὶν ἐπάνω τοῦ ἁγίου Σπηλαίου καὶ εἰς τὸ ἅγιον βῆμα μεμαρμαρωμένα ἀφῆκε, καὶ ταῦτα ὑπ' ἀνάγκης, ὅτι ἐξῆλθε πῦρ ἵνα καύσῃ τοὺς μαΐστορας, καὶ οὕτως ἀφῆκαν αὐτὰ καὶ ἔφυγον. τρίτον Σπήλαιόν ἐστιν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, καὶ τινὲς λέγουσιν εἶναι τοῦτο ὅπερ φαίνεται πλησίον εἰς τὸν τάφον τῆς Παναγίας, ἀξιοπιστότερος ὅμως ὁ λόγος ἐστὶν εἶναι τὸ εἰς τὴν κορυφὴν τοῦ ὄρους Σπήλαιον, οὗ τινος Σπηλαίου ἐγγύς ἐστιν ὁ τόπος τῆς Ἀναλήψεως τοῦ Κυρίου, καὶ εἰς αὐτὸ ἔκτισε Ναὸν ἡ μακαρία Ἑλένη ἀξιόλογον, ὃν ἐπὶ Ἡρακλείου κατηδάφισαν οἱ Πέρσαι, καὶ εἰ καὶ ὕστερον ἐκτίσθη μικρότερος, ἀλλὰ νῦν οὔτε ἴχνος φαίνεται, οὔτε θεμέλιον, μόνον οἰκίσκος μετὰ τουρλλαίου ἔμεινε, καὶ ἔνδον ἐν αὐτῷ φαίνεται τὸ βῆμα τοῦ προσκυνητοῦ ποδὸς τοῦ Σωτῆρος, καὶ οὐδὲν ἕτερον, καὶ τοῦτο κατημελημένον, ὡς ῥηθήσεται ἀλλαχοῦ. λέγει δὲ ὁ Εὐσέβιος περὶ τοῦ Σπηλαίου τούτου, ὅτι λόγος ἀληθὴς κατέχει τοὺς ἐν αὐτῷ τῷ Ἄντρῳ, τὸν τῶν ὅλων Σωτῆρα μυεῖν τοὺς αὐτοῦ θιασώτας τὰς ἀπορρήτους τελετάς.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Α'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Περὶ τοῦ ἐν τῇ Χεβρὼν Σπηλαίου καὶ τοῦ ἐν αὐτῷ Ναοῦ.

Εἰς τὸ Σπήλαιον τὸ διπλοῦν εἰς τὴν Χεβρὼν, ὅπου ἐτάφη ἡ Σάῤῥα, ὁ Ἀβραὰμ, ὁ Ἰσαὰκ, ἡ Ῥεβέκα, ἡ Ῥαχὴλ καὶ ὁ Ἰακὼβ, κτίζουσιν οἱ εἰδωλολάτραι βωμὸν, καὶ βάλλουσιν παντοδαπὰ εἴδωλα, τάχα διὰ τοὺς φανέντας Ἀγγέλους εἰς τὸν Ἀβραὰμ, καθότι ἐνόμιζον αὐτοὺς Θεούς. καὶ οἱ μὲν τῆς Ἐκκλησίας Ἄρχοντες ἠμέλουν, ὁ δὲ μέγας Κωνσταντῖνος γράφει τῷ Ἱεροσολύμων Μακαρίῳ ὥσπερ μεμφόμενος διὰ τὴν ἀμέλειαν αὐτὸν μὴ δόντα αὐτῷ εἴδησιν, εἶτα προστάσσει συντρίψαι τὰ εἴδωλα, καὶ κρημνίσαι τὸν βωμὸν ἐκ βάθρων, καὶ οἰκοδομῆσαι Ναὸν τῷ Θεῷ περικαλέστατον, ὃ καὶ γέγονε. μένει δὲ ὁ Ναὸς σῷος μέχρι τοῦ νῦν, εἰ καὶ ἔχουσιν αὐτὸν οἱ ἐθνικοί. εἰς δὲ τὸ μέσον αὐτοῦ ἐστὶ τὸ στόμα τοῦ Σπηλαίου, καὶ κρεμῶσιν ἐκεῖ οἱ ἐθνικοὶ κανδήλια ἡμμένα, καὶ οὐδεὶς εἰσέρχεται ἔνδον. Ὁ μέγας δὲ Κωνσταντῖνος τοιαῦτα γράφει τῷ Ἱεροσολύμων διὰ τὸν τόπον, Ἐκεῖ εἴληφεν ἀρχὴν ἡ τοῦ ἁγίου Νόμου θρησκεία, ἐκεῖ πρῶτον ὁ Σωτὴρ αὐτὸς ἐφάνη μετὰ τῶν δύο Ἀγγέλων, ἐκεῖ ὁ Θεὸς τοῖς ἀνθρώποις ἤρξατο φαίνεσθαι, ἐκεῖ τῷ Ἀβραὰμ περὶ τοῦ μέλλοντος αὐτοῦ σπέρματος προηγόρευσεν, ἐκεῖ πολλῶν αὐτὸν εἶναι πατέρα προεκήρυξε.

ΒΙ-

ΒΙΒΛΙΟΝ Β'. ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ προλεγομένων τινῶν τῇ πρώτης Οἰκουμενικῆς ἁγίας Συνόδου, καὶ περὶ τῆς περσικῆς Μηλέας τῆς προσκυνησάσης τὸν Χριστὸν εἰς Αἴγυπτον φεύγοντα, καὶ περὶ ἀναπτύξεως ὑπὸ τῶν πατέρων τοῦ Ἐν ἀρχῇ ἦν ὁ Λόγος.

Τριακόσιοι δέκα καὶ ὀκτὼ θεοφόροι πατέρες, τὰ πυξία τοῦ Πνεύματος, τὰ δοχεῖα τῆς χάριτος, τῆς Τριάδος τὰ ὄργανα ἦλθον εἰς τὴν λαμπρὰν Νίκαιαν τῷ εἰκοστῷ ἔτει τῆς Βασιλείας Κωνσταντίνου διὰ τοῦ ὁρισμοῦ αὐτοῦ, καθὼς ἡ Οἰκουμενικὴ αὕτη Σύνοδος γράφει εἰς τὴν Ἀλεξάνδρειαν, Ἐπειδὴ τῆς τοῦ Χριστοῦ χάριτος, καὶ τοῦ θεοφυλάκτου Βασιλέως Κωνσταντίνου συναγαγόντος ἡμᾶς ἐκ διαφόρων Ἐπαρχιῶν καὶ πόλεων, ἐν οἷς ἔλαμπε καὶ ὁ Ἱεροσολύμων μακαριστὸς ἔργῳ καὶ λόγῳ Μακάριος, ὡς ἐπονομάζει αὐτὸν καὶ ὁ Θεοδώριτος. οἱ καθαιρέται τοῦ τῆς ἀρᾶς ἐπωνύμου Ἀρείου, τοῦ κατὰ τοῦ Θεοῦ Λόγου φανέντος Ἄρεως κατὰ τὸ φερώνυμον. καὶ ὁ μὲν Ἡρώδης ἐσπούδαζε φονεῦσαι τὸν Ἰησοῦν Χριστὸν βρέφος ἔτι ὄντα, ὅθεν ἔφυγεν εἰς τὴν Αἴγυπτον, ὅπου συνέτριψε τὰ εἴδωλα, καὶ τὰ φυτὰ προσεκύνησαν αὐτὸν (γράφει γὰρ ὁ Σωζόμενος εἰς τὸ πέμπτον τῆς ἱστορίας αὐτοῦ, ὡς ἡ Περσικὴ Μηλέα, ὅτε ἔφθασεν ὁ Χριστὸς εἰς τὴν Ἑρμούπολιν τὸ κάστρον, ἐτράπη καὶ ἔκλινεν ἕως κάτω τὴν κορυφὴν αὐτῆς) ὁ δὲ Ἄρειος καὶ ἀναστάντα ἐκ νεκρῶν, καὶ ἀναληφθέντα εἰς Οὐρανοὺς, καὶ τὴν παλαιὰν ἔχθραν ἐξαφανίσαντα, ἐζήτει καταβιβάσαι αὐτὸν ὁ ἀνόητος εἰς κτίσματος τάξιν, ἀρνούμενος τὴν Θεότητα αὐτοῦ, καὶ τὴν ὁμοουσιότητα ἣν ἔχει πρὸ καταβολῆς κόσμου μετὰ τοῦ ἀνάρχου Θεοῦ καὶ Πατρὸς αὐτοῦ ὁ συνάναρχος Υἱὸς καὶ Θεὸς Λόγος, μὴ ἀκούων ὁ κωφὸς καὶ ἐμβρόντητος Αἰγύπτιος τὸν Υἱὸν τῆς Βροντῆς θεολογοῦντα αὐτὸν, Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. Ἐν ἀρχῇ, τουτέστι πρῶτος εἰς τοὺς κόλπους τοῦ Πατρὸς κατὰ τὸν ἅγιον Κύριλλον, καὶ πρὸ πάντων τῶν κτισμάτων κατὰ τὸν μέγαν Βασίλειον, ὅθεν ἐξ ἀρχῆς εὐθὺς ὁ Θεολόγος ἐπιῤῥαπίζει τὸν Ἐβίωνα ὃς ἠρνεῖτο τὴν Θεότητα τοῦ Υἱοῦ, καὶ μόνον ἔλεγε λαβεῖν ἀρχὴν τοῦ εἶναι ὅτε κάτω ἐγεννήθη ἐκ τῆς Παρθένου. ἄκουε δὲ τὸν Πανοπολίτην Νόννον, πῶς μεταφράζει τὸ Ἐν ἀρχῇ ἦν ὁ Λόγος διὰ τῆς ποιήσεως αὐτοῦ τῆς λιγυρᾶς. Ἄχρονος, ἤγουν ἀνερμήνευτος, ἐν ἀῤῥήτῳ Λόγος, ἀρχὴ ἰσοφυὴς γενετῆρος, ἀκίχητος, ἤγουν ἀνεξερεύνητος.

τὸ ἦν, ἀναφέρει ἡμᾶς πρὸς τὸ ἀΐδιον καὶ αἰώνιον, ὡς ἑρμηνεύει αὐτὸ ὁ Οὐρανοφάντωρ Βασίλειος, διότι τὶ ἄλλο ἐστὶν ὁ αἰὼν, πάρεξ ὁ ἀεὶ ὤν. καὶ εἰ καὶ ὁ αἰὼν οὐκ ἔχει οὔτε ἀρχὴν οὔτε τέλος, ὅπερ ἐστὶν αὐτὸς μόνος ὁ Θεὸς, ὅμως κατὰ τὴν ἀνθρωπίνην κατάληψιν ἥτις οὐ δύναται κατανοῆσαι αὐτὸ δὴ τὸ αἰώνιον καὶ διηνεκὲς, ἀναγκάζεται κατανοῆσαι ἀρχήν τινα χρονικὴν, ὅθεν ἐννοεῖ τὴν ἀϊδιότητα μετὰ συνεχείας καιροῦ ἐξαπλουμένου εἰς ἐνεστῶτα, εἰς παρῳχημένον, καὶ εἰς μέλλοντα χρόνον. ὅταν λοιπὸν λέγῃ ὁ Θεολόγος, Ἐν ἀρχῇ ἦν ὁ Λόγος, βούλεται φανερῶσαι ὅτι ἦν πρὸ πάντων τῶν αἰώνων, πρὶν παντὸς καιροῦ, θεωρητοῦ μόνῳ τῷ νῷ. πλάττε δὴ νῦν ἐν τῷ νοΐσου μιλιούνια μιλιουνίων χρόνους, εἴτι γὰρ καιρὸν καὶ εἴτι χρόνον λογιάσεις ἀληθινὸν, ἢ πλαστὸν, πάντοτε ἀϊδίως εὑρίσκεις τὸν Θεὸν Λόγον τῷ Πατρὶ συγκαθεζόμενον, καὶ τῷ Πνεύματι συναυλιζόμενον. ὅθεν λέγει ὁ μέγας Βασίλειος, τὸ ἦν, ἀνέκβατον διανοίᾳ. ὅσον γὰρ δραμεῖς τῇ διανοίᾳ ἐπὶ τὰ ἄνω, οὐκ ἐκβαίνεις τὸ ἦν. τὸ Ἐν ἀρχῇ, ἀνυπέρβατον φαντασίᾳ, ὅσον γὰρ διαταθείης ἰδεῖν τοῦ Υἱοῦ τὰ ἐπέκεινα, οὐ δυνηθήσῃ ὑπεράνω γενέσθαι της ἀρχῆς. σημείωσαι καὶ τὸ ἦν, ὅτι κατὰ ἀλήθειαν ἐπίπνοια ἦν τοῦ ἁγίου Πνεύματος τριπλασιάσαι αὐτὸ τρισάκις τὸν Θεολόγον, ὅτι ὡς Προφήτης προορατικώτατος προεῖδε τὴν Αἵρεσιν τοῦ ματαιόφρονος Ἀρείου, ὅστις ἔμελλε παραλογίζεσθαι καὶ λέγειν, ἦν ὅτε οὐκ ἦν, ἀμέλει καιρὸς ἦν, ὅτε ὁ Υἱὸς οὐκ ἦν. ἰδὲ Ἠλία τοῦ Κρήτης τὴν ἑρμηνείαν τοῦ λόγου τοῦ, Ἐπὶ τῆς φυλακῆς μου στήσομαι.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Β'. ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν σημαινομένων τῆς, λόγος, φωνῆς, καὶ πόσα τὰ σημαινόμενα ἐπὶ τοῦ Θεοῦ Λόγου.

Ἀλλὰ διατὶ ὁ Υἱὸς τοῦ Θεοῦ ὁ Μονογενὴς κράζεται Λόγος; ἡ λόγος φωνὴ ἐστὶ πολυσήμαντος; καὶ ἔχει πολλὰς καὶ διαφόρους σημασίας. σημαίνει γὰρ λόγος λογαριασμὸν, καὶ ὃν τρόπον ὁ λογαριασμὸς γεννᾶται ἐκ τοῦ νοὸς, ὡσαύτως καὶ ὁ Υἱὸς ὡς λογαριασμὸς ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς προέρχεται κατὰ τὸν Εὐθύμιον. λόγος δηλοῖ ὅρον ἢ διορισμόν. καὶ καθὼς ὁ ὅρος ἐστὶ τῆς οὐσίας τοῦ πράγματος ἐκφαν-

ἐκφαντικὸς, οὕτω καὶ ὁ Υἱὸς ἐκτρανοῖ καὶ φανεροῖ τὸ εἶναι τοῦ Θεοῦ καὶ Πατρός. ὅθεν ὁ Νικήτας εἰς τὸν τεσσαρακοστὸν δεύτερον λόγον τοῦ γρηγορίου εἶπεν, οἷον λόγον ἔχει ὁ Ὅρος πρὸς τὸν Ὁρισμὸν, τὸν αὐτὸν ἔχει καὶ ὁ Υἱὸς πρὸς τὸν Πατέρα, καθότι αὐτὸν παριστᾷ ὡς Ὅρος ἐκεῖνο τὸ ὄν, τὸ ἀπ' ἐκείνου διοριζόμενον, καὶ πρὸς βεβαίωσιν φέρει τὸ, Φίλιππε, ὁ ἑωρακώς με, ἑώρακε καὶ τὸν Πατέρα μου. τῆς γὰρ Πατρικῆς οὐσίας ἡσύντομος ἀπόδειξις ἐστὶν ὁ Υἱὸς, ὅτι καὶ ἕκαστον γνήσιον τέκνον χαρακτηρίζει καὶ διορίζει τὸν Πατέρα αὐτοῦ, ἅτε ὂν ὁ Ὅρος αὐτοῦ. Λόγος σημαίνει αἰτίαν, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἐστὶν ἡ παντελὴς αἰτία τῶν ὄντων κατὰ τὸν Ἀρεοπαγίτην, καθότι τῷ Λόγῳ Κυρίου οἱ Οὐρανοὶ ἐστερεώθησαν. Λόγος δηλοῖ δύναμιν, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἐστὶ τοῦ Πατρὸς ἡ δύναμις, καθότι δεξιὰ Κυρίου ἐποίησε δύναμιν, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου. ὅθεν ὁ ἅγιος Μάξιμος θέλει καὶ τὸ, Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, ἀναφέρεσθαι εἰς τὸν Υἱὸν καὶ εἰς τὸ Πνεῦμα, αἵτινες δύο χεῖρες τοῦ Θεοῦ καὶ Πατρὸς ἐστὶν ἡ δίδυμος δύναμις. Λόγος σημαίνει τὸ εἶδος καὶ τὴν μορφὴν, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἐστὶν ἡ ὡραιότης καὶ τὸ κάλλος καὶ ἡ ἰδέα τοῦ Πατρὸς, διότι καθὼς ὅταν εἰς τὸν νοῦν ἡμῶν νοῶμεν καὶ λογιζώμεθα, εἰδοποιοῦμεν νόημά τι εὐθὺς τοῦ πράγματος ὅπερ ἐθεωρήσαμεν, ὅπερ κράζεται λόγος τοῦ νοὸς ἡμῶν, ὁμοίως καὶ ὁ ἄχρονος Πατὴρ νοῶν καὶ καταλαμβάνων τὸ εἶναι αὐτοῦ, τὸ καὶ ἐξ Ἀγγέλων ἀκατάληπτον, καὶ παρ' ἀνθρώπων ἀκατανόητον (εἰκόνα δὲ λέγω ἐνταῦθα, καὶ οὐ κυρίως παράδειγμα, ἢ ὅτι ἀναγκαίως ἡ νόησις ἐστὶ γέννησις) εἰδοποίησε τὸν Θεὸν Λόγον, ὅς ἐστιν ὁ Μονογενὴς αὐτοῦ Υἱὸς, ἡ ποιητικὴ δύναμις τῶν ὁρατῶν καὶ ἀοράτων κτισμάτων. ὅθεν Ἑρμῆς ὁ τρισμέγιστος εἶπεν, αὐτὸς, καὶ μετέπειτα ὁ φιλόσοφος Πλάτων, τὸν Θεὸν εἶναι νοῦν, γεννήσαντα δὲ Λόγον, ὅς ἐστι γέννημα τοῦ νοὸς αὐτοῦ. ὁ δὲ Θεοδώριτος διηγῆται τοῦ Πλάτωνος τὸ ἀξίωμα λέγοντος, μονὰς ἐγέννησε μονάδα, καὶ εἰς ἑαυτὴν ἀνέστρεψε τὴν φλόγα αὐτῆς, ὅπερ ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον. ἐρωτᾷς Ἄρειε πῶς ἐξ ἀρχῆς καὶ ἄνωθέν ἐστιν ὁ Υἱὸς, ὅτι ἰδέα ἐστὶ τοῦ Πατρός. εἰ ἦν αἰώνιον πῦρ, οὐκ ἂν εἴη πάντοτε μετ' αὐτοῦ ἡ ἔλαμψις αὐτοῦ; ἢ εἰκὼν, οὐκ εἰκονίζει τὸ πρωτότυπον αὐτῆς, καὶ ἅμα εἰκὼν καὶ εἰκονιζόμενον; ὁ Υἱὸς τοῦ Θεοῦ οὐκ ἔστιν ἁπλῶς εἰπεῖν λόγος, ἀλλ' ὁ κατ' ἐξοχὴν Λόγος, ὅθεν καὶ μετὰ τοῦ ἄρθρου ὁ Λόγος προφέρεται. Λόγος οὐ ῥητὸς, ἀλλ' οὐσιώδης, οὐ προφορικὸς, οὐκ ἐνδιάθετος, οὐκ ἀπόῤῥοια τοῦ τελείου, οὐ τμῆσις τῆς ἀπαθοῦς φύσεως, οὐ λαλιᾶς ἐναρθρου φώνημα, ἀλλ' ἐνεργείας Θεϊκῆς οὐσίας γεννητός. σημεῖοι τὸ χρυσοῦν στόμα τῆς Ἐκκλησίας ἡμῶν, ὁ Λόγος ὁ ἐνυπόστατος καὶ ἀχώριστος τοῦ Πατρὸς καὶ ὁμοούσιος. οὕτω μουσουργεῖ ὁ Πανοπολίτης Νόννος.

Πατρὸς ἔην ἀμέριστος ἀτέρμονι σύνθρονος ἕδρῃ. καὶ μὴ εἴποις καὶ διατὶ οὐ τίθησι καὶ τὸ ἄρθρον ὁ Θεολόγος. καὶ εἰπεῖν, καὶ ὁ Θεὸς ἦν ὁ Λόγος; διότι τὸ ἄρθρον βάλλεται εἰς τὸ ὑποκείμενον, καὶ οὐκ εἰς τὸ κατηγορούμενον. καὶ ὅτι ἀνελλιπῶς ὁ Εὐαγγελιστὴς Ἰωάννης ἐξηγήσατο τοῦ Υἱοῦ καὶ Θεοῦ Λόγου τὴν Θεότητα εἰπὼν, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, διακρίνων ὁμοῦ καὶ τὴν ὑπόστασιν τοῦ Υἱοῦ ἀπὸ τῆς τοῦ Πατρὸς ὑποστάσεως, κατὰ τοῦ Σαβελλίου τοῦ δογματιστοῦ τῆς ὑοπατρίας. πῶς γὰρ τὸ ἓν καὶ τὸ αὐτὸ ἀριθμῷ δύναται νοηθῆναι εὑρίσκεσθαι αὐτὸ καθ' αὑτὸ εἰς ἑαυτὸ, βοᾷ ὁ θεολογικώτατος Κύριλλος. οὐκ ἦν λοιπὸν μονότης εἰς τὴν αἰωνίαν ἐκείνην μακαριότητα, οὔτε γὰρ μόνος ἔνδον εἰς τὸν παράδεισον, καὶ ὁ εἷς οὐδείς. ἀλλ' ἦν ἕνωσις καὶ ὁμόνοια, καὶ ἄῤῥητος κοινωνία Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος, Τριὰς ὁμοούσιος καὶ ἀχώριστος.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Β'. ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν συμβόλων τῆς ἁγίας Τριάδος ὧν ἓν καὶ ὁ Βάλσαμος, οὗ καὶ κῆπος ἐν Αἰγύπτῳ ὑπὸ μικρᾶς βρύσεως ποτιζόμενος, ἐν ᾗ τὸν Ἡρώδην φεύγουσα ἡ Θεοτόκος τόν τε Χριστὸν καὶ τὰ σπάργανα αὐτοῦ ἔπλυνεν, ἁπλώσασα αὐτὰ ἐπὶ τῆς παρακειμένης τῇ βρύσει πέτρας.

Λίαν ἀμυδρὰ σύμβολα ἔχομεν τῆς ἁγίας Τριάδος, τὸν Ἥλιον τὸν ἔχοντα ἀκτῖνα καὶ θερμότητα, τὸ δένδρον τὸ ἔχον ἄνθος καὶ κλάδον, τὴν βρύσιν τὴν ἔχουσαν ποταμὸν καὶ ῥύακα, τὴν ψυχὴν τὴν ἔχουσαν μνήμην καὶ θέλησιν, τὸν Ἀδὰμ τὸν ἐσχηκότα τὴν Εὔαν καὶ τὸν Σὴθ, τὸν Ἰωσὴφ τὸν ἐσχηκότα τὴν Μαρίαν καὶ τὸν Ἰησοῦν, ὅθεν καὶ κτιστὴν τριάδα ἔκραζεν αὐτοὺς ὁ Σελευκείας Βασίλειος, ὅμως καὶ τὸ Βάλσαμον ἐστὶ τῆς ἁγίας Τριάδος ἐκτύπωμα. τοῦτο τὸ φυτὸν πρῶτον ἔφερεν ἡ Σαββᾶ ἡ Βασίλισσα τῷ Σολομῶντι ὡς δῶρον, καὶ αὐτὸς ἐφύτευσεν αὐτὸ εἰς τὴν Ἱεριχὼ, καὶ εὑρίσκετο μέχρι τοῦ καιροῦ τοῦ Τίτου τοῦ υἱοῦ τοῦ Οὐεσπεσιανοῦ, ὅς τις ἐν τοῖς ἄλλοις οἷς ἔλαβεν ἐκ τῶν Ἱεροσολύμων, ἔλαβε καὶ τὰ δένδρη τοῦ Βαλσάμου, οἷς ἐστέφθη καὶ αὐτὸς κατὰ μίμησιν τοῦ μεγάλου Πομπηΐου τοῦ πρῶτον κυριεύσαντος τῆς Ἱερουσαλὴμ, ὡς μαρτυρεῖ ὁ Σελῖνος εἰς τὸ ἱστορικὸν αὐτοῦ. πλὴν τίνι τρόπῳ μετεκομίσθησαν ταῦτα τοῦ Βαλσάμου τὰ δένδρη εἰς τὴν Αἴγυπτον, οὐκ οἶδα, ὁ γὰρ Βουρχάριος εἰς τὴν περιγραφὴν ἣν ποιεῖ τῆς ἁγίας Ἱερουσαλὴμ λέγει

οὕτως

ὕτως, ἀνὰ μέσον τῆς Ἡλιουπόλεως καὶ τῆς Βαβυλωνίας ἤγουν τῆς αἰγυπτιακῆς κατὰ τὸ μέσον εὑρίσκεται κῆπος τοῦ Βαλσάμου ὡραιότατος, ποτίζεται δὲ ὑπὸ μιᾶς βρύσεως μικρᾶς, ἐν ᾗ ᾄδεται λόγος τὴν Παναγίαν πλῦναι τὸν Χριστὸν καὶ τὰ σπάργανα αὐτοῦ, φεύγουσαν διὰ τὸν φόβον τοῦ Ἡρώδου. πλησίον δὲ τῆς βρύσεως ταύτης ἐστὶ καὶ πέτρα ἐφ' ἧς ἥπλωσε τὰ σπάργανα ἡ Παναγία τοῦ ἐξικμασθῆναι, τὸν δὲ τόπον ἔχουσιν εἰς πολλὴν εὐλάβειαν τόσον οἱ Χριστιανοὶ ὅσον καὶ οἱ Σαρακηνοί. ἀλλ' ἐπειδὴ ἡ βρύσις ἦν μικροτάτη, καὶ οὐκ ἦν ἀρκετὴ ποτίζειν τὸν κῆπον, ἔσκαψαν οἱ Σαρακηνοὶ ἐκεῖ πλησίον εἰς τὴν βρύσιν ἓν φρέαρ (καθὼς καὶ εἰς τὴν Σαμάρειαν ἦν καὶ βρύσις καὶ φρέαρ) ἐξοῦ διὰ τοῦ μαγγάνου ἀνέσυρον τὸ χρειῶδες αὐτοῖς ὕδωρ, ἐλπίζοντες τῇ γειτνιάσει καὶ πλησιότητι τῆς βρύσεως μεταδοθήσεσθαι καὶ τὴν θαυματουργὸν δύναμιν τοῦ Ἰησοῦ Χριστοῦ, ὥσπερ καὶ εἰς τὴν Ῥοδακινέαν τῆς Ἑρμουπόλεως, καὶ εἰς τὸν Ἀνδριάντα τῆς Αἱμορροούσης. πλὴν ἰδόντες ὅτι ἐξηπατήθησαν, καὶ τοῦ πεποθημένου σκοποῦ ἀπέτυχον, ἐποίησαν ἕνα ῥύακα, καὶ ὑπὸ τοῦ ὀλίγου ἐκείνου ὕδατος τῆς βρύσεως ποτίζεται, ὦ τοῦ θαύματος, μέχρι τῆς σήμερον ὁ κῆπος τῶν Βαλσάμων. ἐγκεντρίζονται γοῦν τὰ φυτὰ τῶν Βαλσάμων ὡς καὶ ἡ Μαστίχη καὶ ἡ Τερέβινθος, πλὴν οὐ μετὰ σιδηροῦ μαχαιρίου, διότι ξηραίνονται τὰ φυτὰ, ἀλλὰ μετὰ κοπτεροῦ κέρατος, ἢ μετὰ πετρίνης μαχαίρας, καὶ δακρύοντα ποιοῦσι τὸ ὀποβάλσαμον. ἐστὶ δὲ ὁ καρπὸς αὐτῶν κοκκινωπὸς, καὶ τὰ φύλλα αὐτῶν παρόμοια τοῖς φύλλοις τῆς Μαστίχης. θέλει δὲ ὁ Δριχόμιος φεύγοντα τὸν Χριστὸν ἀπὸ τῆς Ἰουδαίας κεκομικέναι μεθ' ἑαυτοῦ τὸν Βάλσαμον εἰς τὴν Αἴγυπτον, ἀλλὰ τοῦτό ἐστι σαφεστάτη ἀλληγορία. ὁ Ἰώσηπος ὅμως εἰς τὸ πρῶτον τοῦ Ἰουδαϊκοῦ πολέμου ἱστορεῖ πῶς ἡ ὡραία Κλεοπάτρα ἡ ἐρωμένη τοῦ Ἀντωνίνου ἀκούσασα τὴν φήμην τοῦ τόσου φυτοῦ (διότι καὶ ὁ μέγας Ἀλέξανδρος ἀπερχόμενος ἔλαβε περισσὸν ὀποβάλσαμον ἀπὸ τῶν Ἱεροσολύμων) ἐπεθύμησε ἔχειν τὸ τοιοῦτον ἀρωματῶδες φυτὸν, ὅθεν ὁ Ἡρώδης ἵνα πληρώσῃ τὴν ὄρεξιν τῆς Βασιλίσσης, ἔπεμψεν αὐτῇ ἀπὸ Ἱερουσαλὴμ μερικὰ φυτὰ ὁμοῦ καὶ σπόρον καὶ ὀποβάλσαμον ὡς ἀντίδωρον. ταῦτα καὶ τὰ τοιαῦτα φαίνεται προβαλεῖν ἔμπροσθεν τῆς πανιέρου πρώτης Συνόδου τὸν Ἱεροσολύμων Μακάριον, τὸν Κουδρούβης Ὅσιον, τὸν Παμφίλου Εὐσέβιον, τὸν Καισαρείας Λεόντιον, τὸν Τυάνων Εὐψύχιον, εἰ καὶ βαθύτερον καὶ ὑψηλότερον ἢ ἡ ἐμὴ ψελλίζουσα γλῶσσα ταῦτα ἐσαφήνισεν. εἰ δὲ ζητεῖς καὶ τούτων τὸ βαθύτερον, ἰδὲ τὸν Γελάσιον εἰς τὸ δεύτερον μέρος τῆς περὶ τῆς Συνόδου αὐτοῦ ἱστορίας.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Β'. ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ὑπ' Ἀλεξάνδρου Ἀλεξανδρείας ἐν Ἀλεξανδρείᾳ συγκροτηθείσης Συνόδου κατὰ Ἀρείου, ἐξ ἧς συνέβη γενέσθαι καὶ τὴν πρώτην Οἰκουμενικὴν Σύνοδον.

Ἐστὶ δὲ ἡ αἰτία ταύτης τῆς Συνόδου, ὅτι εἷς τις Μελέτιος Ἐπίσκοπος, καθώς φησιν ὁμοναχὸς Ἀλέξανδρος, κακότροπος ἀντέπραττε τῇ καθόλου Ἐκκλησίᾳ, καὶ ἀκολούθως τοῖς Πατριάρχαις Ἀλεξανδρείας, καὶ ἰδὲ πλατύτερον τὰ περὶ τούτου εἰς τὸν Ἐπιφάνιον Αἱρέσει ἑξηκοστῇ ὀγδόῃ. Ἄρειος δέ τις κατατεταγμένος εἰς τὸν Κλῆρον Ἀλεξανδρείας, σπουδαῖος δοκῶν τάχα εἰς τὸ ἀληθινὸν δόγμα, συνεταιριάζετο Μελετίῳ, ὕστερον δὲ παρεὶς αὐτὸν τὸν Μελέτιον, χειροτονεῖται παρὰ τοῦ ἁγίου Πέτρου Πατριάρχου Ἀλεξανδρείας Διάκονος, ἐπεὶ δὲ ὁ ἅγιος Πέτρος τὸν Μελέτιον καὶ τοὺς ἀκολούθους αὐτοῦ ἀπεκήρυξε τῆς Ἐκκλησίας, καὶ τὸ βάπτισμα αὐτῶν οὐκ ἐδέχετο, ὁ Ἄρειος τοῖς γινομένοις ἐπέσκωπτε καὶ ἡρεμεῖν οὐκ ἠνείχετο, ὅθεν πάλιν καθηρέθη ὑπὸ τοῦ εἰρημένου Πέτρου τοῦ μάτυρος, ὑποκριθεὶς ὅμως ἀληθινὴν μετάνοιαν, ἐδέχθη ὑπὸ τοῦ μετὰ Πέτρον Ἀχιλλᾶ. καὶ πάλιν διὰ τὴν αὐτὴν αἰτίαν καθαιρεθεὶς καὶ ὑπ' αὐτοῦ, ἀπεβλήθη. εἶτα πάλιν δόξας μετανοῆσαι καλῶς, ἐδέχθη ὑπὸ τοῦ μετὰ Ἀχιλλᾶν Ἀλεξάνδρου, ἀφ' οὗ καὶ ταχθεὶς εἰς τὴν τάξιν τῶν Πρεσβυτέρων, ἐνεπιστεύθη καὶ τὴν ἐξήγησιν τῶν θείων γραφῶν. βασιλεύσαντος δὲ τοῦ μεγάλου Κωνσταντίνου, καὶ γενομένης μεγάλης εἰρήνης εἰς τὴν Ἐκκλησίαν, Ἀλέξανδρος ὁ Πάπας Ἀλεξανδρείας διδάσκων φιλοτιμότερον τὰ πλήθη, ἔλεγε περὶ τῆς ἁγίας Τριάδος ἐκεῖνο ὅπερ ἐστὶ καὶ ἡ ἀλήθεια, ὅτι Τριὰς ἐν Μονάδι, καὶ Μονὰς ἐν Τριάδι. ὁ δὲ Ἄρειος νομίσας τὸν Πάπαν σαβελλίζειν τοιαῦτα θεολογοῦντα, ἢ φθονήσας ὅτι ἐγένετο Πάπας ἐκεῖνος καὶ οὐχὶ αὐτὸς, ὡς λέγει ὁ θεοδώριτος, ἢ καὶ διότι ἦν κενόδοξος, καὶ ἀρχῆθεν βλασφημίας ἀγγεῖον, καὶ μέτοχον ἱκανῶς καὶ τῆς διαλεκτικῆς λέσχης, ἀντέτεινεν εἰς τὴν διδαχὴν τοῦ Ἀλεξάνδρου, καὶ ἐβλασφήμει εἰς τὴν μακαρίαν Τριάδα, ἐξ οὐκ ὄντων λέγων τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον. νουθετήσας δὲ αὐτὸν ὁ Πάπας, καὶ μὴ δυνηθεὶς διορθώσασθαι αὐτὸν, συγκροτεῖ Τοπικὴν Σύνοδον (ἣν ὁ Ἐπιφάνιος Αἱρέσει ἑξηκοστῇ ἐνάτῃ μεγάλην καλεῖ) ἑκατὸν Ἐπισκόπων εἰς τὴν Ἀλεξάνδρειαν, γράφει γὰρ ὁ αὐτὸς ἐν τῇ ἐγκυκλίῳ πρώτῃ αὐτοῦ ἐπιστολῇ ταῦτα, ἡμεῖς μὲν μετὰ τῶν κατ' Αἴγυπτον Ἐπισκόπων καὶ τῆς

108

τῆς Λιβύης οἰκοῦντες ἔγγυς ἦτων σωμελθόντες, ἀνεθεμάτισαμεν, εἰ δὲ περὶ Εὐσέβιον ἀσεβῶς ἐξαντλοῦντες συγκαταμίξαι τὸ ψεῦδος τῇ ἀληθείᾳ. Σωκράτης βιβλίῳ πρώτῳ, κεφαλαίῳ ὀκτῶ. ἀνεθεμάτισεν οὖν ὁ Ἀλεξανδρείας σωνοδικῶς κρίνας τὸν Ἄρειον καὶ τὴν Αἵρεσιν αὐτοῦ, καὶ δὴ καὶ τῷ ἐγκύκλιον ἐπιστολὴν ἔγραψε μεταταῦτα τοῖς ἁπανταχοῦ Ἐπισκόποις, ἐν ᾗ φαίνονται ὑπογράψαντες Πρεσβύτεροι μὲν τεσσαράκοντα καὶ τρεῖς, Διάκονοι δὲ ἕξ καὶ ἑπτά. καὶ ἔτι ἰδίως ἔγραψον εἰς τινας τῶν ὑπερεχόντων Ἐπισκόπων, σκληρύνων τὸν Ἄρειον, καὶ ἐρμηνεύων τρανῶς τὴν ὀρθόδοξον πίστιν. λέγει δὲ ὁ Ἐπιφάνιος Αἱρέσει ἑξηκοστῇ ἑνάτῃ ὅτι ἑβδομήκοντα ἐγκυκλίους ἐπιστολὰς ἔγραψεν ὁ Ἀλέξανδρος κατὰ τοῦ Ἀρείου, Εὐσεβίῳ Καισαρείας, Μακαρίῳ Ἱεροσολύμων, Ἀσκληπιῷ Γάζης, Λογγίνῳ Ἀσκάλωνος, Μαρίνῳ Ἰαμνίας, καὶ τοῖς λοιποῖς ἁπανταχοῦ τῆς καθολικῆς Ἐκκλησίας Ἐπισκόποις. ἀλλὰ καὶ Ἄρειος ἔχων ἴνας Ἐπισκόπους, καὶ ἄλλους ὑπ' αὐτοῦ πεπλανημένους, καὶ τοὺς Μελιτιανοὺς σωεργούς, γράφει ἐπιστολὰς διαφόρους κατὰ τοῦ Πάπα, καὶ δὴ καὶ πρὸς Εὐσέβιον τὸν ἀπὸ Βυζαντίου γονόμενον Νικομηδείας Ἐπίσκοπον, ὅσης καὶ τῆς Βασιλείου ἴσχυε, καὶ πολλοὶ Ἐπίσκοποι αὐτοῦ ὑπῆκουον, ἅτε δὴ τοῦ Βασιλέως τότε μεταστρέψαντος ἐπὶ τὸν Νικομήδειαν. ὅθεν ὁ Εὐσέβιος γράφει μετὰ ὑπερηφανείας τῷ Ἀλεξάνδρῳ καταλιπεῖν τὰ ζητήματα, καὶ δεχθῆναι τὰς περὶ Ἄρειον, Ἀρείῳ δὲ καὶ τοῖς περὶ αὐτὸν ἔγραψον ἔχεσθαι τῆς κοινωνητικῆς Αἱρέσεως. ἀκούσας δὲ ὁ Βασιλεὺς ταῦτα, καὶ ἔχων εἰς ἄκραν φιλίαν καὶ οὐλάμειαν ὅσον τὸν Καππαδοκίας Ἐπίσκοπον πόλεως ἐπαινείας, πέμπει αὐτὸν μετὰ γραμμάτων καθηκόντων καὶ ἐπιπληκτικῶν εἰς τὴν Ἀλεξάνδρειαν ἵνα εἰρηνεύσῃ τὸν Ἄρειον μετὰ τοῦ Πάπα, ἀλλ' ἐπειδὴ ἔμφυτον εἰς τὴν πεισμονὴν ὁ Ἄρειος, ἥτις τοῖς Αἱρετικοῖς ἐστιν ἴδιον, καὶ ὁ Ὅσιος ἐκατώρθωσε τὴν εἰρήνην, ὡς λέγει καὶ ὁ Θεοφάνης καὶ ὁ Ἐπιφάνιος, ὁ Βασιλεὺς ἀθρόως ἐζέπεμψε πολυθρύλητον οἰκουμενικὴν Σύνοδον εἰς τὴν Νίκαιαν ἰδεῖν καὶ τὸ ζήτημα τοῦτο, καὶ συστῆσαι ποιῆσαι καὶ διόρθωσιν περὶ τοῦ ἁγίου Πάσχα, ὅπερ οὐκ ἐπλεῖτο εἰς ὅλην τὴν Ἐκκλησίαν ὑπῆρχε καὶ ἐμείωσε, ἅτε γὰρ αἱ τῆς νηστείας ἡμέραι, ἅτε ὁ τοῦ Πάσχα καιρὸς εἰς ὅλην τὴν Ἐκκλησίαν τὰ αὐτὰ ἦσαν. ὁ δὲ Ἐπιφάνιος Αἱρέσει ἑξηκοστῇ φησὶ τῇ λέγει, ὅτι ἦσαν πολλὰ σχίσματα, διὰ ἣ ἔθεσιν ὁ Κωνσταντῖνος ἵνα τὴν Σύνοδον, φησὶ γὰρ ὅτι ὁ Κωνσταντῖνος μέλλων εἰσενεγκάμενος τῇ Ἐκκλησίᾳ Δεῖ τὸ ἓν δὴ πολλάκις πολλὰς διαφέρεσθαι τε καὶ σχίσματα πολλὰ εἶναι, συνεκρότησεν οἰκουμενικὴν Σύνοδον. περὶ δὲ Συνόδων ἐρῶμεν πλατύτερον μεταταῦτα ἐν τῷ τρίτῳ μέρει τῆς δεκάτης βιβλίου, ὅθεν καὶ ἐνταῦθα καὶ ἐν τοῖς τόποις τῶν λοιπῶν οἰκουμενικῶν Συνόδων συντόμως λέγομεν, καὶ μάλιστα Διὰ τὴν ὑπόθεσιν τῆς ἱστορίας.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Β'. ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς πρώτης Οἰκουμενικῆς ἁγίας Συνόδου καὶ τῆς συνάξεως αὐτῆς καὶ τοῦ τέλους, καὶ τῶν πραχθέντων καὶ θαυματουργηθέντων ἐν αὐτῇ.

Καὶ δὴ ὑπὸ τῆς ὑπατείας Παύλου καὶ Ἰουλιανοῦ, καὶ ἀπὸ Ἀλεξάνδρου κατὰ τὸ χιλιοστὸν τετρακοσιοστὸν ἕκτον ἔτος, ἀπὸ δὲ τοῦ Σωτῆρος κατὰ τὸ τριακοσιοστὸν εἰκοστὸν ἕβδομον ἤρξατο ἡ Σύνοδος, ἣ ἐπληρώθη εἰς τὸ τετρακοσιοστὸν τριακοστὸν ὅτε εἶχε ὁ Κωνσταντῖνος εἴκοσι χρόνους Αὐτοκράτωρ, ἐπειδὴ εἰς τοὺς τετρακοσίους δώδεκα Αὐτοκράτωρ ἐγένετο (εἰ καὶ ἄλλοι ἄλλως λέγουσιν) ἤρξατο δὲ ἡ Σύνοδος κατὰ τὸν Ἀπρίλλιον μῆνα, ἤ κατά τινας εἰς τὰς εἴκοσι τοῦ Μαΐου, καὶ ἐπληρώθη μετὰ τρεῖς χρόνους εἰς τὸν Σεπτέμβριον, ὥστε γίνονται οἱ χρόνοι τρεῖς καὶ ἥμισυς. ὁ Γελάσιος ὅμως ὁ Φανιῶ φησὶν ἀναγνώσει διακοσιοστῇ πεντηκοστῇ ἕκτῃ εἰς τὸν δέκατον ἕκτον χρόνον λέγει τοῦ Κωνσταντίνου ἀρξαθαι τὴν Σύνοδον, καὶ τελεσθῆναι εἰς τὸν εἰκοστὸν δεύτερον καὶ ἥμισυ, ὥστε γίνεσθαι τοὺς χρόνους ἓξ καὶ ἥμισυ, φαίνεται ὅμως εἶναι ἀληθεστέραν τὴν πρώτην γνώμην. ἦσαν δὲ ἐν τῇ Συνόδῳ καὶ σοφώτατοι ἄνδρες ἐκ τῶν πατέρων, οἳ καὶ διελέγοντο μετὰ τοῦ φιλοσόφου, οἷοι ἦσαν Εὐσέβιος ὁ Παμφίλου, λεόντιος Καισαρείας Καππαδοκίας, Εὐψύχιος Τυανέων, Πρωτογένης Σαρδικῆς, Ὅσιος Κορδούβης, Ἀλέξανδρος ὁ τοποτηρητὴς Μητροφάνους Κωνσταντινουπόλεως, ὁ ἅγιος Ἀθανάσιος Ἀρχιδιάκονος ὢν τοῦ Ἀλεξανδρείας, καὶ αὐτὸς ὁ Ἀλεξανδρείας Ἀλέξανδρος, ὁ τῆς Ἀντιοχείας Εὐστάθιος (ὃς ἦν πρότερον Βερροίας Συρίας, καὶ ἡ Σύνοδος ἐβεβαίωσε τότε αὐτὸν Ἀντιοχείας) ὅστις καὶ τὸν Εὐσέβιον γράφει βιβλίῳ τρίτῳ εἰς τὸν βίον τοῦ Κωνσταντίνου, τοῦ δεξιοῦ μέρους ἡγεῖται, καὶ τὸν σοφὸν Ἐγνήσιον τῆς Σιωόδου ἐξαγαγὼν εἰς τὸν Βασιλέα ἔπεμψε, καὶ Μακάριος ὁ Ἱεροσολύμων, ὃς πρὸς τοῖς ἄλλοις εἶπε, μηδαμῶς δεῖν τῶν τοῦ Θεοῦ μυστηρίων τὸ ὅπως ζητεῖν, ἀπορρήτα γάρ ἐστι καὶ αἰνιγματώδη. σημειώσαι καὶ τὸ τοῦ Ἀλεξανδρείας Εὐτυχίου, φησὶ γὰρ ὅτι ἐν τῇ Σιωόδῳ ἀγεννώθησαν τὰ τῶν ἀρχαίων ἀποστατῶν Αἱρετικῶν δόγματα, καὶ ἐξηλέγχθησαν ὑπὸ τῶν πατέρων. ὁ Σωκράτης δὲ βιβλίῳ πρώτῳ, κεφαλαίῳ ὀγδόῳ λέγει, ὅτι ἦν καὶ λαϊκὸς ἐν τῇ Σιωόδῳ ὁμολογητὴς, ὃς ἔλεγεν, ὡς ἄρα ὁ χριστὸς καὶ οἱ Ἀπόστολοι ἐδίδαξαν ἡμῖν παρέδωκαν τέχνην, ἐδὲ κενὴν ἀπά-

ἀπάτην, ἀλλὰ γυμὴν γνώμην πίστει καὶ καλοῖς ἔργοις φυλαττομένην, συμφώνως τῷ Ἐπιφανίῳ λέγοντι, τὸ μὲν οὖν παλαιὸν βραχὺ παντελῶς τὸ περὶ τὴν ἐξήγησιν ἦν φιλοτιμούμενον μὴ τέρπειν, ἀλλ' ὠφελεῖν τοὺς παρόντας τῶν τότε, ἀφ' οὗ δὲ λοιπὸν εἰς ῥαστώνην ἐπετράπη πᾶσιν ἑρμηνεύειν ἐξεῖναι τὰς γραφὰς, καὶ πάντες εἰς τὸ ποιῆσαι μὲν τὸ καλὸν ἠμβλύνθησαν πλησθέντες οἰήματος, περὶ τὸ λογικεύεσθαι δὲ προὔκοψαν, καλλωπιζόμενοι ὡς πάντα γινώσκειν ὑπάρχοντες δεινοὶ, διδάσκεσθαι μὲν ὁμολογεῖν χρήζειν αἰδεσθέντες, φιλονεικεῖν δὲ μᾶλλον καὶ προπηδᾶν ὡς οἱ Διδάσκαλοι. Αἱρέσει ἑξηκοστῇ τετάρτῃ. οὐμὴν ἀλλὰ καὶ ἕτεροι ὁμολογηταὶ (οἵπερ εἶχον τὰ ἀπὸ τῶν Τυραννῶν ὑπὲρ τοῦ Χριστοῦ στίγματα εἰς τὰ ἴδια μέλη) καὶ θαυματουργοὶ ἦσαν πάμπολλοι, ὡς Σπυρίδων ὁ καταισχύνας τὸν φιλόσοφον τῷ θαύματι τῆς κεραμίδος (ἐκαλεῖτο δὲ ὁ φιλόσοφος κατὰ Μιχαὴλ τὸν Γλυκᾶν Εὐλόγιος, ἦν δὲ ὡς ἔοικε καὶ ἕτερος φιλόσοφος διαλεγόμενος τοῖς πατράσιν ὀνόματι Φαίδων, ὥς φησιν Ἰωάννης ὁ Κηπαρισιότης ἐν τῇ τρίτῃ δεκάδι) Παφνούτιος, Ἰάκωβος Νισίβεως, Παῦλος Νεοκαισαρείας, ὁ μέγας Νικόλαος καὶ ἄλλοι, Πατριάρχαι δὲ ἦσαν οἱ εἰρημένοι. περὶ δὲ τοῦ Ῥώμης ἐστὶ διαφωνία, ὁ γὰρ Σωζόμενος καὶ ἄλλοι τινὲς λέγουσι παρεῖναι τῇ Συνόδῳ τὸν Ἰούλιον, ἐν οἷς καὶ ὁ ἅγιος Γερμανὸς Κωνσταντινουπόλεως Πατριάρχης ἐν τῷ περὶ τῶν ἓξ Συνόδων. ὅμως κατὰ τὸν Θεοδώριτον καὶ τὴν ἕκτην Οἰκουμενικὴν Σύνοδον εἰς τὴν δεκάτην ὀγδόην αὐτῆς πρᾶξιν ἦν ὁ Σίλβεστρος, καὶ εἶχε καὶ Τοποτηρητὰς τὸν Ὅσιον καὶ Βιτώνα καὶ Βικέντιον. ἴσως ὅμως, καθὼς γράφει ὁ Φώτιος εἰς Μιχαὴλ Ἄρχοντα Βουλγάρων, ὑπάρξαι ἀμφοτέρους εἰς τὸν καιρὸν τῆς Συνόδου, φησὶ γὰρ ὅτι ἦσαν εἰς τὴν πρώτην ἐν Νικαίᾳ Σύνοδον Σίλβεστρος καὶ Ἰούλιος τῆς Ῥωμαίων Ἐκκλησίας ἐπίσημοι καὶ διαβόητοι πρόεδροι. ἦσαν δὲ οἱ πατέρες τριακόσιοι δεκαοκτὼ καὶ παρὰ τούτοις ἕτερον πλῆθος Κληρικῶν, Πρεσβυτέρων καὶ Διακόνων. καὶ εἰ καὶ ὁ Εὐσέβιος λέγει ὅτι ἦσαν οἱ πατέρες διακόσιοι τριάκοντα, καὶ ὁ ἅγιος Ἀθανάσιος ἐν τῇ ἀπολογίᾳ αὐτοὺς λέγει διακοσίους, καὶ ὁ Ἀντιοχείας Εὐστάθιος παρὰ Θεοδωρίτῳ διακοσίους ἑβδομήκοντα, καὶ ὁ Σωζόμενος τριακοσίους εἴκοσιν. ὡς ἀληθῶς ὅμως κατὰ τὸν Ἐπιφάνιον Αἱρέσει ἑξηκοστῇ ἐνάτῃ, καὶ τὸν Θεοδώριτον καὶ ἄλλους πολλοὺς, καὶ κατὰ τὴν κοινὴν παράδοσιν τῆς Ἐκκλησίας ἦσαν τριακόσιοι δεκαοκτὼ, ὧν τὰ ὀνόματα ἡμεῖς εὑρόντες εἰς παλαιότατον βιβλίον χειρόγραφον ἐν τῇ Κωνσταντινουπόλει, μετεγράψαμεν αὐτὰ εἰς τὴν νομικὴν συναγωγήν. εἶχε δὲ ὁ Ἄρειος καὶ φιλοσόφους μισθωτοὺς ἵνα διαλέγωνται, ἐξ ὧν ἕνα ἐποίησε γενέσθαι ἄφωνον Ἀλέξανδρος ὁ Κωνσταντινουπόλεως, τοὺς δὲ λοιποὺς καταβαλόντες οἱ πατέρες καὶ διὰ ἀποδείξεων καὶ θαυμάτων, παρέδωκαν τὸ ἅγιον Σύμβολον, ὅπερ ἐστὶν ὡς λέγει ὁ Ἱεροσολύμων Θεόδωρος ἐν τῷ συνοδικῷ αὐτοῦ, καιμένῳ πράξει τρίτῃ τῆς ἑβδόμης Συνόδου, πίστεως ὀρθῆς ὁμολογία, ἢ ὡς λέγει ὁ Ῥώμης Δάμασος ἐν τῇ εἰς τὴν κατὰ τὸ Ἰλλυρικὸν Σύνοδον ἐπιστολῇ, τεῖχος ὑπεναντίον τῶν ὅπλων τοῦ Διαβόλου. καὶ διώρισαν καὶ περὶ τοῦ ἁγίου Πάσχα ἐκεῖνο ὅπερ νῦν κατέχει κοινῶς ἡ καθολικὴ Ἐκκλησία. λέγει δὲ ὁ ἅγιος Γερμανὸς, ὅτι δύο Ἐπίσκοποι Χρύσανθος καὶ Μουσόνιος προαποθανόντες οὐ προέφθασαν ὑπογράψαι εἰς τὸν Τόμον, οἱ πατέρες ὅμως βαλόντες εἰς τοὺς τάφους αὐτῶν τὸν Τόμον, τῇ ἑξῆς ἡμέρᾳ ἤυραν αὐτὸν καὶ ὑπὸ τῶν δύο ὑπογεγραμμένον. ἦν δὲ ἐν τῇ Συνόδῳ καὶ Ἀκέσιος ὁ Ναυατιανῶν Ἐπίσκοπος. ἐξέθετο δὲ ἡ Σύνοδος καὶ Κανόνας εἴκοσιν, ἐν οἷς διώρισεν εἶναι καὶ Ἐπισκόπους προεστῶτας τινὰς ἐν τῇ καθόλου Ἐκκλησίᾳ, μερίσασα αὐτοῖς τὸ ὀρθόδοξον σύστημα ὅπερ ἦν ἐν τῇ Οἰκουμένῃ, οἵτινες ὕστερον ὠνομάσθησαν Πατριάρχαι ὡς ῥηθήσεται μετέπειτα. ὁ Βασιλεὺς δὲ ἐκαθέζετο εἰς τὸ μέσον τῶν πατέρων ἐπὶ χθαμαλοῦ σκίμποδος διὰ τὴν ἄκραν αὐτοῦ ταπείνωσιν, ὡς ἐσημείωσεν ὁ Εὐσέβιος καὶ ὁ Κάλλιστος Νικηφόρος εἰς τὸ συναξάριον τῶν ἁγίων πατέρων. οὐκ ἐκάθισε δὲ εἰς τὴν Σύνοδον πρὸ τῆς ἐπινεύσεως τῶν Ἐπισκόπων, ὡς λέγει ὁ Γελάσιος, ἐν ᾗ ἀντελαμβάνετο ἑκατέρου μέρους ὑπὲρ τῆς ἀληθείας, καὶ συνῆγε τοὺς φιλονείκως ἐνισταμένους, λέγει ὁ Εὐσέβιος. ἔπεμψε δὲ ὁ μὲν Βασιλεὺς γράμματα εἰς πάσας τὰς Ἐκκλησίας, δηλῶν τὰ κατὰ τὴν Σύνοδον, καὶ προσέτι θεσπίζων ὀνομάζεσθαι Πορφυριανοὺς τοὺς Ἀρειανοὺς, καὶ τὰ βιβλία αὐτῶν κατακαίεσθαι, καὶ τοὺς μὴ πειθομένους τῇ προσταγῇ φονεύεσθαι. ἔπεμψε δὲ καὶ ἡ Σύνοδος ἀφ' ἑαυτῆς γράμματα εἰς μὲν τὴν Δύσιν διὰ τοῦ Ὁσίου, εἰς δὲ τὴν Θρᾴκην, Μακεδονίαν, Ἠπείρους, Ἀχαΐαν διὰ τοῦ Ἀλεξάνδρου, ἔχοντος καὶ Παῦλον τὸν μετέπειτα Κωνσταντινουπόλεως χρηματίσαντα ἐπὶ Κωνσταντίου συνέκδημον, εἰς δὲ Ἀλεξανδρειαν καὶ Λιβύην, δὲ αὐτοῦ τοῦ Ἀλεξανδρείας, καὶ διὰ ἄλλων εἰς τὰς νήσους, καὶ τ' ἄλλα τῆς Οἰκουμένης κλίματα. τὰ πρακτικὰ δὲ τῆς Συνόδου οὐχ εὑρίσκονται οὔτε ἑλληνικὰ, οὔτε λατινικὰ, ἀλλὰ μόνα περὶ ἐκείνης ὅσα ὁ Παμφίλου Εὐσέβιος, ὁ Ῥουφῖνος, ὁ Σωκράτης, ὁ Σωζόμενος, ὁ Θεοδώριτος, ὁ Ἱερώνυμος καὶ ἄλλοι τοῦ τότε καιροῦ ἱστορικοὶ εἶπον. ἐπὶ Βασιλίσκου δὲ τοῦ τυραννήσαντος ἐπὶ Ζήνωνος τοῦ Βασιλέως, ὁ Γελάσιος (ὅς τις καὶ ἂν ἦν οὗτος) συνέγραψε τὰ εὑρισκόμενα εἰς τὴν συλλογὴν τῶν Οἰκουμενικῶν Συνόδων, ἥντινα ὁ μὲν Χωνειάτης Νικήτας εἰς τὴν δογματικὴν αὐτοῦ Πανοπλίαν πρακτικὰ λέγει, Φώτιος δὲ ὀνομάζει αὐτὴν ἱστορίαν, μνημονεύει δὲ ταύτης καὶ Ἰωάννης ὁ Κηπαρισιότης εἰς τὸ τέταρτον κεφάλαιον τῆς τρίτης δεκάδος, καὶ εἰς τὸ δεύτερον κεφά-

κεφάλαιον τῆς δεκάτης δεκάδος.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Β'. ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Ὅτι ἐκ πάντων τῶν εἰρημένων ἐν τοῖς ἀνωτέρω τετάρτῳ καὶ πέμπτῳ Παραγράφοις, καὶ πραχθέντων καὶ λαληθέντων καὶ δογματισθέντων, καὶ δι' ἐγκυκλίων ἐπιστολῶν πανταχοῦ γῆς κηρυχθέντων, καὶ ἐνεργηθέντων ὑπὸ τῶν τῆς Συνόδου πατέρων, καὶ τοῦ εὐσεβοῦς Βασιλέως κωνσταντίνου, ἐστὶ πασίδηλον καὶ Ἡλίου φανότερον ὅτι ἡ Οἰκουμενικὴ Σύνοδος ἐστὶν ἐπὶ τοῦ Πάπα καὶ τῶν Πατριαρχῶν καὶ παντὸς Χριστιανοῦ, ὡς δείκνυται ἐνταῦθα ἑνδεκαχῶς.

Ἐκ τῶν εἰρημένων ἐν τούτῳ τῷ κεφαλαίῳ, καὶ ἐκ τῶν περιεχομένων ἐν τοῖς πρακτικοῖς τοῖς συγγραφεῖσιν ὑπὸ Γελασίου, ἤτοι ἀπὸ τῶν ἐν αὐτοῖς ἐπιστολῶν τοῦ Ἀλεξανδρείας καὶ τοῦ Βασιλέως εἰς διαφόρους, ἀπὸ τῶν προσφωνητικῶν τοῦ Βασιλέως εἰς τὴν Σύνοδον, ἀπὸ τῶν ὁμολογητῶν τῶν συνεδρευόντων τῇ Συνόδῳ, ἀπὸ τῶν διαλέξεων τῶν Πατέρων μετὰ τῶν φιλοσόφων καὶ τῶν Ἀρειανῶν, ἀπὸ τῶν ὑπογραφῶν τῶν Πατέρων, καὶ ἀπὸ τῆς συμφωνίας αὐτῶν, κοινῇ γὰρ πάντων γνώμῃ καὶ κρίσει ὡρίσθη ἡ ὀρθοδοξία, καὶ συμφώνως τὴν πίστιν ὑπηγόρευσαν, καὶ ταῖς ὑπογραφαῖς ἐβεβαίωσαν. ἀπὸ τῆς παρουσίας τοῦ Ἐπισκόπου τῶν Ναυατιανῶν Ἀγελίου, ἀπὸ τοῦ προσφωνητικοῦ τῆς Συνόδου πρὸς τὸν Βασιλέα, ἀπὸ τῆς εὐχαριστίας τοῦ Βασιλέως πρὸς τὴν Σύνοδον, ἀπὸ τῆς ἐκθέσεως τῶν κατηχήσεων καὶ ἀπὸ τῶν Κανόνων, ἀπὸ τῆς πρὸς τοὺς Ἀλεξανδρεῖς ἐπιστολῆς τῆς Συνόδου, ἀπὸ τῆς ἐγκυκλίου ἐπιστολῆς Εὐσεβίου τοῦ Παμφίλου, ἀπὸ τῆς περὶ τοῦ Πάσχα διαταγῆς τῆς Συνόδου, καὶ ἀπὸ τῶν ἐπιστολῶν τοῦ Βασιλέως περὶ τοῦ Πάσχα, καὶ ἀπὸ τῶν τύπων καὶ προσταγμάτων τοῦ Βασιλέως κατὰ τῶν Αἱρετικῶν δείκνυται, πρῶτον, ὅτι ὁ Ἀλεξανδρείας ἰδίᾳ αὐθεντείᾳ Σύνοδον τῶν ὑφ' αὐτὸν Ἐπισκόπων συστησάμενος, τὸν Ἄρειον καὶ τὴν Αἵρεσιν αὐτοῦ ἔκρινε καὶ κατέκρινεν ἄνευ γνώμης ἢ εἰδήσεως τοῦ Ἐπισκόπου Ῥώμης, ἔγραψε δὲ καὶ τὴν κρίσιν αὐτοῦ οὐ τῷ Ῥώμης, ἢ μόνῳ, ἢ τρόπῳ ἰδικῷ, ἀλλὰ τοῖς ἁπανταχοῦ τῆς καθολικῆς Ἐκκλησίας προεστῶσι κοινῶς καὶ ὡσαύτως, ἐννοουμένου καὶ τοῦ Ῥώμης ἑνὸς τῶν προεστώτων τῆς Ἐκκλησίας κατὰ τὴν αὐτὴν δύναμιν καὶ ἐξουσίαν καὶ ἐνέργειαν. δεύτερον, ὅτι ὁ Βασιλεὺς ἐφρόντισεν ἰδιαίτατα περὶ τῆς εἰρήνης τῶν Ἐκκλησιῶν, ὅθεν ἰδίᾳ γνώμῃ καὶ ἐξουσίᾳ ἤθροισε τὴν Σύνοδον, καὶ διώρισε καὶ τὸν τόπον τῆς ἀθροίσεως αὐτῆς. καὶ γὰρ ὁρῶν ταραττομένην τὴν Ἐκκλησίαν, φησὶν ὁ Γελάσιος, Σύνοδον Οἰκουμενικὴν συγκροτεῖ, τοὺς ἁπανταχόθεν Ἐπισκόπους διὰ γραμμάτων εἰς τὴν Νίκαιαν τῆς Βιθυνίας ἀπαντῆσαι παρακαλῶν. ἑπομένων δὲ τούτοις Πρεσβυτέρων καὶ Διακόνων, Ἀκολουθῶν τε πλείστων ὅσων ἑτέρων, οὐ δὲ ἦν ἀριθμὸς εἰς κατάληψιν, οἷς δὴ πᾶσιν ὁ Βασιλεὺς τὰ σιτηρέσια δαψιλῶς χορηγεῖσθαι προσέταττε, λόγῳ δευτέρῳ, κεφαλαίῳ πέμπτῳ. τρίτον, ὅτι παρὼν ὁ Βασιλεὺς τῇ Συνόδῳ, ἦν σύμβουλος καὶ βοηθὸς τοῦ δικαίου. τέταρτον, ὅτι ἐβεβαίου τὰς ἀποφάσεις καὶ κρίσεις τῆς Συνόδου, καὶ τοὺς Αἱρετικοὺς κατέκρινε. πέμπτον, ὅτι ἡ Σύνοδος ἐβεβαίου ταῖς ὑπογραφαῖς πάντων τῶν Πατέρων τὰς ἀποφάσεις αὐτῆς. ἕκτον, ὅτι ἡ Σύνοδος ἐβεβαίου τὰ τῆς αἰγυπτιακῆς Συνόδου κατὰ Ἀρείου. ἕβδομον, ὅτι ἡ Σύνοδος διὰ κοινῆς ἐρεύνης καὶ συμφωνίας κατέλυσε τὰς περὶ τῆς πίστεως ἀμφιβολίας καὶ τὴν πίστιν ἐτράνωσεν. ὄγδοον, περὶ τοῦ Πάσχα, ὅπερ οὐκ ἴσχυσεν ὁ Πάπας Βίκτωρ καὶ ἡ κατ' αὐτὸν ἐν Ῥώμῃ Σύνοδος καὶ οἱ μετ' αὐτὸν Πάπαι καὶ αἱ κατ' αὐτοὺς ἐν Ῥώμῃ Σύνοδοι, ἴσχυσε καὶ ἐβεβαίωσεν ἡ παροῦσα Σύνοδος. ἔνατον, ὅτι Νόμους ἐξέδοτο τῇ Ἐκκλησίᾳ ἐξ ἰδίας ἐξουσίας καὶ αὐθεντείας. δέκατον, ὅτι οὗτοι πάντες οἱ ἅγιοι καὶ ἀποστολικοὶ τῆς ἁγίας Συνόδου ἄνδρες, φησὶν ὁ Γελάσιος, πάσαις ταῖς ὑπὸ τὸν Οὐρανὸν ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις τὰ ἐν τῇ Νικαέων ἁγίᾳ καὶ μεγάλῃ καὶ Οἰκουμενικῇ Συνόδῳ κεκριμένα διαπορθμεύσαντες πανταχοῦ γῆς παρέδωκαν, λόγῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ. ἑνδέκατον, τοῦ δὲ Ἐπισκόπου τῆς Ῥώμης οὐ δὲ μία ἰδικὴ μνήμη ἐγένετο ἐν πᾶσι τοῖς εἰρημένοις, καὶ ἐστὶ πασίδηλον καὶ Ἡλίου φανότερον, ὅτι ἡ Οἰκουμενικὴ Σύνοδος ἐστὶν ἐπὶ τοῦ Πάπα καὶ τῶν λοιπῶν Πατριαρχῶν, καὶ ἐπὶ παντὸς Χριστιανοῦ, καὶ οὐδαμῶς τὸ ἀνάπαλιν.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Β'. ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ ἧς προτείνουσι μαρτυρίας οἱ Ῥωμαῖοι ἀπὸ τῆς ἕκτης Συνόδου, ὅτι οὐμόνος ὁ Κωνσταντῖνος, ἀλλὰ καὶ Σίλβεστρος ὁ Ῥώμης ἤθροισε τὴν Σύνοδον, ἐξ ἧς δείκνυται βλάσφημον τὸ ἀξίωμα τῶν Παπῶν. καὶ περὶ ἀποδείξεως τριχῶς διὰ πολλῶν μαρτυριῶν καὶ παραθέσεων ὅτι ἐξουσίᾳ καὶ ἀρεσκείᾳ ἰδίᾳ αὐτοῦ ἤθροισεν ὁ Κωνσταντῖνος τὴν Σύνοδον.

Προ-

Προτείνουσιν οἱ Ῥωμαῖοι εἰς σύστασιν τοῦ παπισμοῦ, ὅτι οὐμόνος ὁ Κωνσταντῖνος ἤθροισε τὴν Σύνοδον, ἀλλὰ καὶ ὁ Ῥώμης Σίλβεστρος, λέγει γὰρ ἡ ἕκτη Σύνοδος ἐν τῷ προσφωνητικῷ αὐτῆς, Κωνσταντῖνος καὶ Σίλβεστρος τὴν πρώτην συνεκρότησαν Σύνοδον. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, πρῶτον, ὅτι εἰ ἤθροισε ταύτην ὁ Κωνσταντῖνος καὶ ὁ Σίλβεστρος, βλάσφημον ἄρα τὸ ἀξίωμα τῶν παπῶν, ὅπερ καὶ ὁ Βίνιος καταγράφει ἐν ταῖς σημειώσεσιν, ἤτοι τὸ, ἕπεται τῇ ἀληθεῖ καὶ νομίμῳ Οἰκουμενικῇ Συνόδῳ ἵνα μὴ ᾖ κεκλημένη ὑπὸ βασιλικοῦ ὀνόματος, ἀλλὰ κυρίως καὶ ἐξόχως ὑπὸ τῆς ἐξουσίας τοῦ θρόνου τοῦ Πέτρου, ἰδοὺ γὰρ πρῶτον ἤθροισεν αὐτὴν ὁ Βασιλεὺς, καὶ εἶτα ὁ Σίλβεστρος. δεύτερον, ὅτι ὁ Κωνσταντῖνος ἤθροισεν αὐτὴν ἰδίᾳ ἀρεσκείᾳ καὶ ἐξουσίᾳ, ὡς ἔγραφεν ἡ Πουλχερία περὶ τοῦ Μαρκιανοῦ διὰ τὴν ἐν Χαλκηδόνι Σύνοδον πρὸς τὸν Ῥώμης Λέοντα, ὁ δὲ Σίλβεστρος ἤθροισεν αὐτὴν ὀργανικῶς ὡς ἐροῦμεν βιβλίῳ τρίτῳ, κεφαλαίῳ τρίτῳ. τρίτον, ὅτι οὐμόνος ὁ Σίλβεστρος ἤθροισεν αὐτὴν, ἀλλὰ καὶ ὁ Ἀλεξανδρείας, λέγει γὰρ ὁ μέγας Ἐπιφάνιος, τοῦ ἁγίου Ἀλεξάνδρου Ἐπισκόπου Ἀλεξανδρείας ἐπιμελησαμένου, καὶ κινήσαντος τὸν μακάριον Κωνσταντῖνον, συνεκρότησε Σύνοδον ἐν Νικαίᾳ τῇ πόλει, Αἱρέσει ἑξηκοστῇ ὀγδόῃ. τέταρτον, ὅτι λέγει ἡ αὐτὴ ἕκτη Σύνοδος ἐν τῷ αὐτῆς προσφωνητικῷ, Θεοδόσιος καὶ Δάμασος, Γρηγόριος καὶ Νεκτάριος τὴν δευτέραν ἤθροισαν Σύνοδον. καὶ λοιπὸν, ὡς ἤθροισαν τὴν δευτέραν Σύνοδον Γρηγόριος καὶ Νεκτάριος, ἤθροισεν αὐτὴν καὶ Δάμασος. ἀλλὰ μὴν Γρηγόριος καὶ Νεκτάριος ἤθροισαν ὀργανικῶς, ὀργανικῶς ἄρα ἤθροισεν αὐτὴν καὶ ὁ Δάμασος, καὶ τούτῳ τῷ τρόπῳ ἤθροισε τὴν πρώτην ὁ Σίλβεστρος καὶ δὴ καὶ ὁ Ἀλέξανδρος. ἐξουσιαστικῶς ὅμως καὶ ἰδίᾳ αὐθεντείᾳ ἤθροισε τὴν μὲν πρώτην ὁ Κωνσταντῖνος, τὴν δὲ δευτέραν ὁ Θεοδόσιος, καὶ ἐστὶν ἡ ἀλήθεια, ὅτι οὐδὲ μία ἀληθὴς καὶ νόμιμος Σύνοδος Οἰκουμενικὴ συνῆλθεν ἀπὸ προσταγῆς τοῦ θρόνου τοῦ Πέτρου, ἀλλὰ κυρίως καὶ ἐξόχως ἀπὸ τῆς ἐξουσίας καὶ αὐθεντείας τῶν ὀρθοδόξων Αὐτοκρατόρων. ἰδὲ βιβλίου τρίτου, κεφαλαίου τρίτου Παράγραφον τρίτον, καὶ βιβλίου δεκάτου, μέρους τρίτου κεφάλαιον τέταρτον.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Β'. ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ ἐπιχειρήματος παπιστῶν ἐκ τοῦ προτετάχαι ὑπὸ Γελασίου τὸν Ῥώμης ἐν ταῖς τῶν πατέρων ὑπογραφαῖς συνιστώντων αὐτῷ τὸ κατὰ πάντων πρωτεῖον, καὶ περὶ τῆς ἀναιρέσεως τούτου ἐκ τοῦ πολλαχῶς ὑπ' ἄλλων ὑποτετάχθαι ἐν τοῖς αὐτοῖς, ὥστε μὴ κατὰ τρόπον πρωτείων προτετάχθαι.

Ἐπιλέγουσιν οἱ αὐτοὶ, ὅτι ὁ Γελάσιος ἐν ταῖς ὑπογραφαῖς τῶν πατέρων τῆς Συνόδου προτάττει τὸν Ὅσιον καὶ Βίτωνα καὶ Βικέντιον, οἵτινες ἦσαν Τοποτηρηταὶ τοῦ Ῥώμης, προετάττοντο δὲ οἱ τοῦ Ῥώμης Λεγᾶτοι, ἐπειδὴ εἶχεν ὁ Ῥώμης κατὰ πάντων τὸ πρωτεῖον. Ἀλλὰ ῥητέον, ὅτι οὐ κατὰ τρόπον πρωτείων καὶ δευτερείων ἔταξεν ὁ Γελάσιος τὰς ὑπογραφὰς τῶν πατέρων, καὶ ἰδέτω ὁ βουλόμενος τὸν τόπον. εἶτα οὔτε ὑπ' αὐτοῦ Γελασίου ἐν ἄλλῳ τόπῳ, οὔτε ὑπὸ τῶν μετ' αὐτοῦ ἐκκλησιαστικῶν ἱστορικῶν προτάττεται πάντοτε ὁ Ῥώμης ἐν οἷς γράφουσι περὶ τῶν ἡγεμονευόντων ἐν τῇ Συνόδῳ. δεύτερον, ὅτι καὶ ἀπὸ τοῦ Γελασίου καὶ ἀπὸ τῶν λοιπῶν τῶν συγγραψαμένων τοὺς ἐξάρχοντας ἐν τῇ Συνόδῳ οὐ συνάγεται πρωτεῖον ἐξουσίας ἢ τοῦ Ῥώμης, ἢ ἑτέρου τινὸς τῶν ἀποστολικῶν θρόνων, ἀλλὰ συμφωνία καὶ ἰσοτιμία καὶ ἰσοδυναμία. αὐτίκα γὰρ ὁ μὲν Γελάσιος αὐτὸς καταλέγων τὰ ἔθνη καὶ τοὺς τόπους, ἐξ ὧν συνῆλθον οἱ ἐν τῇ Συνόδῳ Πατέρες, καὶ φέρων εἰς μαρτυρίαν τὸν Παμφίλου Εὐσέβιον λέγει, αὐτός τε Σπάνων ὁ πάνυ βοώμενος Ὅσιος, ἐπέχων καὶ τὸν τόπον τοῦ τῆς μεγίστης Ῥώμης Ἐπισκόπου σὺν Πρεσβυτέροις Ῥώμης Βίτωνι καὶ Βικεντίῳ, τοῖς πολλοῖς ἅμα συνεδρεύων, λόγῳ δευτέρῳ, κεφαλαίῳ πέμπτῳ. καὶ ὁ Ἑρμείας φησὶν, ἐκοινώνουν δὲ τοῦ συλλόγου, τῶν μὲν ἀποστολικῶν θρόνων Μακάριος Ἱεροσολύμων, καὶ Εὐστάθιος Ἀντιοχείας, καὶ Ἀλέξανδρος Ἀλεξανδρείας, Ἰούλιος δὲ ὁ Ῥώμης Ἐπίσκοπος διὰ γῆρας ἀπελιμπάνετο, παρῆσαν δὲ ἀντ' αὐτοῦ Βίτων καὶ Βικέντιος Πρεσβύτεροι τῆς αὐτῆς Ἐκκλησίας, βιβλίῳ πρώτῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ. καὶ Θεοδώριτος, ὀκτωκαίδεκα καὶ τριακόσιοι συνῆλθον Ἀρχιερεῖς, ὁ δὲ τῆς Ῥώμης διὰ γῆρας ἀπελείφθη βαθὺ, δύο μέντοι Πρεσβυτέρους ἀπέστειλε, συνθέσθαι τοῖς πραττομένοις παρεγγυήσας, λόγῳ πρώτῳ, κεφαλαίῳ ἑβδόμῳ. καὶ ὁ Κεδρηνὸς γράφων τὰ περὶ τῆς Συνόδου λέγει, ἧς ἡγοῦντο Σιλβέστρου Πάππα Ῥώμης Τοποτηρηταὶ Βίτων καὶ Βικέντιος Πρεσβύτεροι, Μητροφάνους τοῦ Βυζαντίου Ἀλέξανδρος, Ἀλέξανδρος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας καὶ Μακάριος Ἱεροσολύμων. καὶ ὁ ὁμολογητὴς Θεοφάνης ἐν τῷ αὐτῷ τόπῳ τάδε φησὶν, ἐξῆρχον αὐτῆς Μακάριος ὁ Ἱεροσολύμων, Ἀλέξανδρος Ἀλεξανδρείας, ὑπὲρ δὲ τοῦ Ῥώμης Βίτων καὶ Βικέντιος παρῆσαν, ἐν ᾧ καὶ ὁ ἱερὸς Φωτιός φησιν, ὧν ἦσαν προέχοντες Ἀλέξανδρος ὁ Κωνσταντινουπόλεως, καὶ δὴ καὶ Σίλβεστρος καὶ Ἰούλιος τῆς ῥωμαϊκῆς Ἐκκλησίας πρόεδροι, αὐτῶν μὲν οὐδέτερος παραγεγονὼς, Βίτων δὲ καὶ Βικέντιος ἑκάτερος ἀνθ' ἑαυτοῦ κατὰ τὸν οἰκεῖον

οἰκεῖον τῆς Ἀρχιερατείας χρόνον τῇ κοινῇ παρῆσαν συνελεύσει, οἷς καὶ ὁ Κουδρούβης Ἐπίσκοπος συντέτακτο, Ἀλέξανδρος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας καὶ Μακάριος Ἱεροσολύμων. καὶ Νεῖλος ὁ Ῥόδου φησὶν, ἡγοῦντο δὲ τῇ Συνόδῳ Σίλβεστρος Ῥώμης, Ἀλέξανδρος Κωνσταντινουπόλεως, Ἀλέξανδρος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας καὶ Μακάριος Ἱεροσολύμων. καὶ ὁ Ἀλεξανδρείας Εὐτύχιος γράφει ὅτι ἦσαν πρωτεύοντες Ἀλέξανδρος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας καὶ Μακάριος Ἱεροσολύμων, ὁ δὲ Ῥώμης Σίλβεστρος ἀπέστειλε δύο τινὰς ἐξ αὐτοῦ καὶ συνεφώνησαν. καὶ ἔν τινι συνοδικῷ λέγεται περὶ τῆς Συνόδου ταύτης, ἧς ἐξῆρχον προκαθεζόμενοι Βίτων καὶ Βικέντιος Πρεσβύτεροι, καὶ τὸν τόπον ἐπέχοντες Σιλβέστρου Πάπα Ῥώμης, Ἀλέξανδρος Ἀλεξανδρείας, Μακάριος Ἱεροσολύμων, Εὐστάθιος Ἀντιοχείας καὶ ἐκ προσώπου Μητροφάνους Κωνσταντινουπόλεως Ἀλέξανδρος Πρεσβύτερος. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι οἱ Λεγᾶτοι τοῦ Ῥώμης συνήδρευον τοῖς πολλοῖς, καθότι ἦσαν ἰσότιμοι τοῖς πολλοῖς. δεύτερον, ὅτι οὐ πάντοτε ὑπὸ πάντων προαριθμοῦνται οἱ Πάπαι καὶ οἱ Λεγᾶτοι αὐτῶν, ἀλλὰ καὶ ὑπαριθμοῦνται. τρίτον, ὅτι ἔπεμψεν ὁ Σίλβεστρος τοὺς Τοποτηρητὰς αὐτοῦ, συνθέσθαι τοῖς πραττομένοις παρεγγυήσας, καὶ οὐκ ἐξουσιάσαι, ἢ ἐνέργειαν τινὰ ἰδικὴν ποιῆσαι, ἢ ἐπιδείξασθαι δηλονότι. τέταρτον, ὅτι ἐξῆρχον, ἡγεμόνευον καὶ ἡγοῦντο ἐν τῇ Συνόδῳ οἱ Ἐπίσκοποι τῶν ἀποστολικῶν θρόνων Ῥώμης, Ἀλεξανδείας, Ἀντιοχείας, Ἱεροσολύμων, καὶ πρὸς τούτοις ὁ Κωνσταντινουπόλεως. πέμπτον, ὁ Ῥώμης καὶ ὁ Κωνσταντινουπόλεως διὰ γῆρας βαθὺ ἀπελείποντο τῆς Συνόδου, οὐ κατά τι ἀξίωμα ὡς ἐρραψῴδησαν οἱ Λεγᾶτοι τοῦ Ῥώμης ἔν τε τῇ ἐν Ἐφέσῳ ἐπὶ Διοσκόρου Συνόδῳ, καὶ ἐν τῇ ἐν Χαλκηδόνι, καὶ ἰδὲ κατωτέρω βιβλίου τετάρτου, κεφαλαίου πρώτου, Παράγραφον πέμπτον.

ΒΙΒΛΙΟΥ Β΄. ΚΕΦΑΛΑΙΟΥ Β΄. ΠΑΡΑΓΡΑΦΟΝ Θ΄.

Ὅτι καὶ ἐκ τῆς τοῦ Ἀλεξάνδρου Ἀλεξανδρείας ἐπιστολῆς πρὸς τὸν Κωνσταντινουπόλεως Ἀλέξανδρον καθαιρεῖται πᾶν μοναρχικὸν ἀπὸ τῆς καθόλου Ἐκκλησίας ἀξίωμα.

Καὶ ἀπὸ τῆς ἐπιστολῆς τοῦ Ἀλεξανδρείας Ἀλεξάνδρου πρὸς τὸν Κωνσταντινουπόλεως Ἀλέξανδρον, κειμένης Θεοδωρίτου λόγῳ πρώτῳ, κεφαλαίῳ τετάρτῳ, καθαιρεῖται πᾶν μοναρχικὸν ἀπὸ τῆς καθόλου Ἐκκλησίας ἀξίωμα, πρῶτον, ὅτι ἀναφανείσης τῆς Αἱρέσεως τοῦ Ἀρείου ἐν Αἰγύπτῳ, οὐκ ἔγραψεν ὡς εἴρηται ὁ Ἀλεξανδρείας τῷ Ῥώμης, ἀλλὰ τῷ Κωνσταντινουπόλεως, καὶ τοῦτο, διότι ἦν ὁ Βασιλεὺς περὶ τὴν Κωνσταντινούπολιν, καὶ γὰρ ἐν τῇ Νικομηδείᾳ διέτριβε, καὶ εἶχον οἱ περὶ τὸν Βασιλέα ὀρθόδοξοι Ἐπίσκοποι ἰσχύντινα πρὸς τὸ βοηθεῖν τῇ πίστει ἀδικουμένη ὑπὸ τῶν Ἀρειανῶν, ὧν κορυφαῖος ἦν ὁ Νικομηδείας Εὐσέβιος. δεύτερον, ὅτι φησὶν ἡ φίλαρχος τῶν μοχθηρῶν ἀνθρώπων πρόφασις, ταῖς δοκούσαις ἀεὶ μείζοσι παροικίαις πέφυκεν ἐπιβασιλεύειν. καὶ σημείωσαι ὅτι πολλαὶ αἱ μείζους παροικίαι, οὐδὲ μία δέ ἐστιν ἐν αὐταῖς μεγίστη, ὥστε καὶ ἡ Ῥώμη μία τῶν μειζόνων παροικιῶν. ὅθεν ὁ Θεοδώριτος ἐν τῷ αὐτῷ τόπῳ φησὶ περὶ τοῦ Ἀλεξανδρείας, ὅτι τοῖς τῶν Ἐκκλησιῶν Ἡγεμόσι τὴν τοῦ Ἀρείου βλασφημίαν διὰ γραμμάτων ἐδήλωσεν, οὓς καὶ ὁ Σωκράτης φησὶ, τοὺς προέδρους τῆς Ἐκκλησίας, βιβλίῳ πρώτῳ, κεφαλαίῳ ἕκτῳ, καὶ ὁ Εὐσέβιος φησὶ περὶ Ὠριγένους, γράφει δὲ καὶ Φαυϊανῷ τῷ κατὰ Ῥώμην Ἐπισκόπῳ, ἑτέροιστε πλείστοις Ἄρχουσι τῶν Ἐκκλησιῶν, βιβλίῳ ἕκτῳ, κεφαλαίῳ τριακοστῷ ἕκτῳ. καὶ σημείωσαι ὅτι πολλαὶ αἱ μείζους παροικίαι, πολλαὶ αἱ Ἐκκλησίαι, πολλοὶ οἱ ἐν τῇ Ἐκκλησίᾳ Ἡγεμόνες, καὶ Πρόεδροι, καὶ Ἄρχοντες, οὐδεὶς δέ ἐστιν ἐν αὐτοῖς Ἡγεμὼν τῶν Ἡγεμόνων, ἢ Πρόεδρος τῶν Προέδρων, ἢ Ἄρχων τῶν Ἀρχόντων. ὥστε ἐκ τούτων τῶν Ἀρχόντων καὶ Ἡγεμόνων καὶ Προέδρων εἷς ἐστι καὶ ὁ Ῥώμης, ἰσότιμός τε καὶ ἰσοδύναμος, καὶ οὐδὲν πλέον. τρίτον, ὅτι φησὶ περὶ Ἀρείου καὶ τῶν ὀπαδῶν αὐτοῦ, παμψηφεὶ τῆς προσκυνούσης Χριστοῦ τὴν Θεότητα Ἐκκλησίας ἐξηλάσαμεν, τουτέστι κρίνας ἰδίᾳ αὐθεντείᾳ συνοδικῶς Ἄρειον καὶ τοὺς περὶ αὐτὸν, καὶ ἀποδείξας Αἱρετικοὺς, τῆς Ἐκκλησίας ἐξήλασεν, ἤτοι ἐδίωξεν, ἀπέτεμε. καὶ σημείωσαι ὅτι οὐμόνος ὁ Ῥώμης, ἢ πρῶτος, ἢ μόνος κριτὴς τῶν Αἱρέσεων. τέταρτον, ὅτι τὰ δόγματα καὶ τὴν διδασκαλίαν τῆς Ἐκκλησίας τὴν κατὰ τῆς Αἱρέσεως τοῦ Ἀρείου ἐκτίθησι καὶ πρὸ τῆς Οἰκουμενικῆς Συνόδου, ὅθεν οὔτε πρῶτος, οὔτε μόνος ὁ Ῥώμης ἐν τῇ καθόλου Ἐκκλησίᾳ Διδάσκαλος. πέμπτον, ὅτι φησὶ, τούτους οὖν (τοὺς περὶ Ἄρειον) ἀναθεματισθέντας ὑπὸ τῆς ἀδελφότητος, μηδεὶς ὑμῶν δεχέσθω. καὶ σημείωσαι ὅτι συμφώνως φησὶ τῷ πρώτῳ Κανόνι ταύτης τῆς Συνόδου, λέγοντι, τοὺς ὑπὸ ἑτέρων ἐκβληθέντας, ὑφ' ἑτέρων μὴ προσδέχεσθαι. ὁ δὲ Πάπας τῆς Ῥώμης τοὺς ὑπὸ τῶν λοιπῶν Ἐκκλησιῶν ἀναθεματιζομένους δεχόμενος καὶ συγχωρῶν, παρανομίᾳ καὶ ἀκοινωνησίᾳ ὑποπίπτει. ἕκτον, ὅτι φησὶ, τὸν Ἀντιοχείας Παῦλον τὸν Σαμοσατέα Συνόδῳ καὶ κρίσει τῶν ἁπανταχοῦ Ἐπισκόπων ἀποκεκηρῦχθαι τῆς Ἐκκλησίας. καὶ σημείωσαι ὅτι γελοῖον τὸ τῶν παπιστῶν, τὸ τὸν Ῥώμης δηλονότι Διονύσιον φροντίσαι

τοῦ

τοῦ ἀποκηρυχθῆναι καὶ ἀποδιωχθῆναι τῆς Ἐκκλησίας τὸν Παῦλον. ὄμβδομον φησὶ, τούτους ἀποστραφέντες ἀγαπητοὶ καὶ ὁμόψυχοι ἀδελφοὶ, σύμψηφοι γίνεσθε κατὰ τῆς μανιώδους αὐτῶν τόλμης, καθ' ὁμοιότητα τῶν ἀγανακτησάντων συλλειτουργῶν ἡμῶν, καὶ ἐπιστειλάντων μοι κατ' αὐτῶν, καὶ τῷ Τόμῳ συνυπογραψάντων, τοῦτο μὲν πάσης Αἰγύπτου καὶ Θηβαΐδος, τοῦτο δὲ Λιβύης καὶ Πενταπόλεως καὶ Συρίας, καὶ ἔτι Λυκίας καὶ Παμφυλίας, Ἀσίας καὶ Καππαδοκίας καὶ τῶν ἄλλων περιχώρων, ὧν καθ' ὁμοιότητα καὶ παρ' ὑμῶν δέξασθαι πέποιθα. πολλῶν γάρ μοι βοηθημάτων πρὸς τοὺς βλαβέντας πεπορισμένων, καὶ τοῦτο εὕρηται λυσιφάρμακον τοῦ ὑπ' αὐτῶν ἀπατηθέντος λαοῦ, πειθομένων, καὶ ταῖς τῶν συλλειτουργῶν ἡμῶν συγκαταθέσεσιν εἰς μετάνοιαν διὰ τούτου ἔρχεσθαι σπουδαζόντων. καὶ σημείωσαι ὅτι διὰ τῆς ἀγανακτήσεως καὶ συμψηφίσεως καὶ συνυπογραφῆς καὶ συμφωνίας τῶν ἁπανταχοῦ προϊσταμένων τῆς Ἐκκλησίας καταβάλλονται αἱ Αἱρέσεις, καὶ διορθοῦνται οἱ ἠπατημένοι, οὐ διὰ μόνου τοῦ Ῥώμης, ἐπειδὴ ἐνταῦθα οὐδὲ μίαν μνήμην αὐτοῦ, ἢ τῆς παροικίας ἢ τῆς Συνόδου αὐτοῦ ὁ Ἀλεξανδρείας ἐποιήσατο. ὥστε οὐ μόνον οὐκ ἔστιν ὁ Πάπας Ἄρχων τῶν Ἐκκλησιῶν, ἀλλ' οὐδὲ συμπεριλαμβάνεται ἐν τοῖς Ἄρχουσι τῶν Ἐκκλησιῶν πάντοτε, καὶ μάλιστα ἐν τοιούτοις μεγάλοις, καὶ τέως εἰπεῖν μεγίστοις πράγμασι.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Β'. ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ἔτι ἀπὸ τῆς ἐπιστολῆς τοῦ αὐτοῦ πρὸς τοὺς ἁπανταχοῦ Ἐπισκόπους, καὶ πάρ ἄλλων Πατριαρχῶν καὶ Συνόδων δείκνυται εἶναι τὸν Ῥώμης τῆς μερίδος τῶν Αἱρετικῶν, καὶ οὔτε ἐπὶ τῶν Συνόδων, οὔτε μείζονα Ἡγεμόνα τῶν ἐν τῇ Ἐκκλησίᾳ Ἡγεμόνων εἶναι, ἀλλὰ δὴ καὶ καινοτόμον.

Καὶ ἀπὸ τῆς ἐπιστολῆς τοῦ αὐτοῦ πρὸς τοὺς ἁπανταχοῦ Ἐπισκόπους, ἥτις κεῖται Σωκράτους βιβλίῳ πρώτῳ κεφαλαίῳ τρίτῳ τοῦτο αὐτὸ δείκνυται, πρῶτον, ὅτι οὐ γράφει μόνῳ τῷ Ῥώμης, ἀλλὰ τοῖς ἁπανταχοῦ, ἕνα γὰρ τῶν ἁπανταχοῦ ἐγίνωσκε τὸν Ῥώμης, ἀλλ' οὐ κατὰ πάντων τῶν Ἐπισκόπων Ἐπίσκοπον. δεύτερον, ὅτι γράφει τοῖς ἁπανταχοῦ ταῦτα, ἐν τολῆς οὔσης ἐν ταῖς θείαις γραφαῖς τηρεῖν τὸν συνδεσμὸν τῆς ὁμονοίας καὶ εἰρήνης, ἀκόλουθόν ἐστι γράφειν ὑμῖν καὶ σημαίνειν ἀλλήλοις τὰ παρ' ἑκάστοις γενόμενα, ἵνα εἴτε πάσχῃ, εἴτε χαίρῃ ἓν μέλος, ἢ συμπάσχωμεν, ἢ συγχαίρωμεν ἀλλήλοις. καὶ σημείωσαι, ὅτι τοῦτό ἐστι τὸ αἴτιον, δι' ὃ ἔγραφεν ὁ Ῥώμης Κορνήλιος τῷ Ἀντιοχείας Φαυΐῳ κατὰ Ναυάτου, καὶ ἡ δευτέρα Οἰκουμενικὴ πρὸς Δάμασον, καὶ τοὺς Δυτικοὺς Ἐπισκόπους, ὡς μαρτυρεῖ ἡ ἐν Χαλκηδόνι Σύνοδος, καὶ ὁ Ἰούλιος πρὸς Εὐσεβιανοὺς καὶ Αἰγυπτίους ὑπὲρ Ἀθανασίου, καὶ ὁ Ἱεροσολύμων Μάξιμος πρὸς Αἰγυπτίους καὶ Λιβύους περὶ τοῦ αὐτοῦ, ὁ Δάμασος πρὸς Παυλῖνον καὶ τοὺς Ἀνατολικοὺς, ὁ Χρυσόστομος πρὸς τὸν Ῥώμης καὶ ἄλλους, ὁ μέγας Κύριλλος καὶ ὁ Κελεστῖνος πρὸς ἀλλήλους καὶ πρὸς ἄλλους κατὰ Νεστορίου, ὁ Φλαυϊανὸς πρὸς τὸν Ῥώμης Λέοντα καὶ Εὐτυχοῦς, ὁ Κωνσταντινουπόλεως Ἰωάννης ὁ Καππάδοξ πρὸς τὸν Ἱεροσολύμων Ἰωάννην καὶ τὸν Τύρου Ἐπιφάνιον, ὁ Κωνσταντινουπόλεως Μηνᾶς καὶ ὁ Ῥώμης Ἀγαπητὸς πρὸς τὸν Ἱεροσολύμων Πέτρον, ὁ μέγας Ταράσιος πρὸς τὸν Ῥώμης Ἀδριανὸν καὶ πρὸς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς, καὶ αἱ Σύνοδοι πᾶσαι καὶ οἱ ἔγκριτοι τῶν Πατέρων πρὸς διαφόρους. οἱ δὲ παπισταὶ τὰς μὲν τῶν ἄλλων τοιαύτας ἐπιστολὰς παρέρχονται, μόνας δὲ τὰς πρὸς τὸν Ῥώμης ἢ παρὰ τοῦ Ῥώμης προτείνουσι, καὶ τοῦτο, οὐχ ἵνα φυλάττηται ὁ συνδεσμὸς τῆς ὁμονοίας καὶ εἰρήνης, καὶ καταβάλλωνται οἱ ἐπανιστάμενοι τῇ Ἐκκλησίᾳ, καὶ συμπάσχουσι τοῖς πάσχουσι, καὶ τοῖς χαίρουσι συγχαίρωσι, ὃν τρόπον ἔγραψαν τὰς ἐπιστολὰς οἱ συγγράψαντες, ἀλλ' ἵνα συστήσωσι μοναρχικὸν ἐν τῇ Ῥώμῃ ἀξίωμα, ὅθεν δόλιοι ἀεὶ καὶ ἐθελοκακοῦργοι ἀποδεικνύονται παρὰ τῶν προτιμώντων ἀεὶ τὴν ἀλήθειαν τοῦ ψεύδους. τρίτον φησὶν, ὅτι ὁ Νικομηδείας Εὐσέβιος νομίσας ἐπ' αὐτῷ κεῖσθαι τὰ τῆς Ἐκκλησίας, προΐσταται τῶν ἀποστατῶν, ἤτοι τῶν Ἀρειανῶν, καὶ γράφειν ἐπεχείρησε πανταχοῦ συνιστῶν αὐτοὺς, ὅθεν ἀνάγκην ἔσχον, εἰδὼς τὸ ἐν τῷ Νόμῳ γεγραμμένον μηκέτι μὲν σιωπῆσαι, ἀναγγεῖλαι δὲ πᾶσιν ὑμῖν, ἵνα γινώσκητε τούστε ἀποστάτας γενομένους, καὶ τὰ τῆς Αἱρέσεως αὐτῶν δύστηνα ῥημάτια, καὶ ἐὰν γράφῃ Εὐσέβιος, μὴ προσέχετε. καὶ σημείωσαι ὅτι οὐ πρὸς τὸν Ῥώμης ἔγραψεν ὁ Ἀλέξανδρος, ἀλλὰ πρὸς πάντας τοὺς Ἐπισκόπους τὰ τῆς Αἱρέσεως, οὐδὲ τῷ Ῥώμης ἔγραψε τοῦ ἐπιτρέψαι τοῖς Ἐπισκόποις μὴ προσέχειν Εὐσεβίῳ, ἀλλ' αὐτὸς ἔγραψε μόνος κατὰ τὸ ἔθος τῆς Ἐκκλησίας, καὶ οὐχ ἑνὶ, ἀλλὰ τοῖς πολλοῖς, καὶ οὐκ ἄλλως τοῖς δείνοις ὡς δῆθεν προέχουσι, καὶ ἄλλως τοῖς δείνοις ὡς ὑφειμένοις, ἀλλ' ἐξίσου πᾶσι. καὶ γὰρ Αἱρετικῶν ἐστιν ἐφεύρεμα τὸ ἐθέλειν ἄρχειν τῶν Ἐκκλησιῶν, καὶ γὰρ ὁ Εὐσέβιος διὰ τὸ διατρίβειν τὸν Βασιλέα ἐν Νικομηδείᾳ, ἐνόμιζεν ἐπ' αὐτῷ κεῖσθαι τὰ τῆς Ἐκκλησίας, ἤτοι ἄρχειν τῶν Ἐκκλησιῶν. τὸν δὲ Νεστόριον καὶ αὐτὸν τοιούτῳ πάθει ἑαλωκότα μαρτυρῶν, ἐλέγχει ὁ μέγας Κύριλλος, καὶ ἰδὲ κατωτέρω βιβλίου τρίτου, κεφαλαίου δεκάτου πέμπτου Παράγραφον εἰκοστὸν ἕνατον. τοιαῦτα ἐνόμιζε καὶ Παῦλος ὁ Σαμοσατεὺς; καὶ ἰδὲ ἀνωτέρω ἐν τῷ πρώτῳ βιβλίῳ τὸν τόπον. καὶ λοιπὸν ἐπει-

ἐπειδὴ οἱ Πάπαι νομίζουσιν ἐπ' αὐτοῖς κεῖσθαι τὰ τῆς Ἐκκλησίας πρώτοις καὶ μόνοις, ὅ ἐστιν ἀσέβημα Παῦλου, Εὐσεβίου καὶ Νεστορίου, κοινωνοὶ δήπου εἰσὶ καὶ τῆς τούτων μερίδος. τέταρτον, φησὶν ὁ Ἀλεξανδρείας, ἡμεῖς μετὰ τῶν κατ' Αἴγυπτον Ἐπισκόπων καὶ τῆς Λιβύης ἐγγὺς ἑκατὸν ὄντων συνελθόντες, ἀνεθεματίσαμεν, οἱ δὲ περὶ Εὐσέβιον προσεδέξαντο. καὶ ἡμεῖς αὐτήκοοι τῆς ἀσεβείας αὐτῶν γενόμενοι, ἀνεθεματίσαμεν καθὰ προείπομεν τοὺς τοιούτους, ἀποδείξαντες αὐτοὺς ἀλλοτρίους τῆς καθολικῆς Ἐκκλησίας καὶ πίστεως. ἐδηλώσαμεν οὖν καὶ τῇ ὑμετέρᾳ θεοσεβείᾳ, ἵνα μή τινας ἐξ αὐτῶν, εἰ προπετεύσαιντο καὶ πρὸς ὑμᾶς ἐλθεῖν, μὴ προσδέξησθαι, μήτε Εὐσεβίῳ, ἢ ὁτέρῳ τινὶ γράφοντι περὶ αὐτῶν πεισθῆτε. πρέπει γὰρ ἡμᾶς Χριστιανοὺς ὄντας, πάντας τοὺς κατὰ Χριστοῦ λέγοντάς τε καὶ φρονοῦντας ὡς θεομάχους καὶ φθορέας τῶν ψυχῶν ἀποστέρεσθαι, καὶ μὴ δὲ καὶ χαίρειν τοῖς τοιούτοις λέγειν, ἵνα μήποτε καὶ ταῖς ἁμαρτίαις αὐτῶν κοινωνοὶ γενώμεθα, ὡς παρήγγειλεν ὁ μακάριος Ἰωάννης. καὶ σημείωσαι τὸ αὐτὸ, ἤτοι Σύνοδον ἀθροίσας, καὶ κρίνας τὸν Ἄρειον καὶ τὴν Αἵρεσιν καὶ τοὺς ὀπαδοὺς αὐτοῦ ὁ Ἀλέξανδρος, οὐκ ἠρώτησεν, οὔτε σύμβουλον ἐχρήσατο τὸν Ῥώμης Ἐπίσκοπον, οὔτε παρ' αὐτοῦ βεβαίωσιν ἐζήτησε τῆς Συνόδου αὐτοῦ, οὔτε ἔγραψεν αὐτῷ πρώτῳ ἠμόνῳ, ἀλλ' ἐξίσου καὶ ὡσαύτως ἔγραψε πρὸς τοὺς Ἡγεμόνας τῶν Ἐκκλησιῶν διὰ τὸ αὐτὸ αἴτιον, ἤτοι διὰ τὸν σύνδεσμον τῆς εἰρήνης καὶ τὴν συμφωνίαν τῶν Ἐκκλησιῶν, καὶ τοῦ ἢ συμπάσχειν, ἢ συγχαίρειν ἀλλήλοις, πρὸς καθαίρεσιν μὲν τῶν Αἱρέσεων, βοήθειαν δὲ τῆς πίστεως. καὶ σημείωσαι τὸ αὐτὸ, ὅτι οὔτε ἐπὶ τῶν Συνόδων, οὔτε βεβαιωτὴς τῶν Συνόδων ὁ Ῥώμης, οὔτε μείζων Ἡγεμὼν τῶν ἐν τῇ Ἐκκλησίᾳ Ἡγεμόνων, ἀλλ' εἷς τῶν Ἡγεμόνων καὶ κατὰ τὴν αὐτὴν δύναμιν, ἀλλ' οὔτε πρῶτος ἢ μόνος κριτὴς τῶν Αἱρέσεων. πέμπτον, ὅτι ὑπέγραψαν ἐν τῇ ἐπιστολῇ Πρεσβύτεροι τριακονταδύο, Διάκονοι εἰκοσιὲξ, οἵτινες καὶ σύμψηφοι ἐγένοντο. καὶ σημείωσαι ὅτι σύμψηφοι ἐγένοντο τοῖς Ἐπικόποις οἱ Πρεσβύτεροι καὶ Διάκονοι, οὐ τὸ ἀνάπαλιν, ὡς νῦν ποιοῦσιν οἱ μετὰ τὸ σχίσμα Ἐπίσκοποι Ῥώμης, προτιμῶντες τοὺς Πρεσβυτέρους καὶ Διακόνους καὶ Ἀναγνώστας τῶν Ἐπισκόπων, διὰ τὸ εἶναι τάχα Καρδηνάλεις, ὅθεν ἀληθῶς φησιν ὁ Φιρμιλιανὸς γράφων πρὸς τὸν Κυπριανὸν, ὅτι οὐφυλάττεται ἐν Ῥώμῃ τὰ πάτρια καὶ τὰ ἀρχαῖα, ἀλλὰ τὰ καινὰ καὶ νεοτεροποιά.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Β'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ἔτι ἀπὸ τῆς ἐπιστολῆς τοῦ μεγάλου Κωνσταντίνου πρὸς Ἀλέξανδρον Ἀλεξανδρείας καὶ Ἄρειον δηλοῦται μὴ ὑπάρξαι τὸ τοιοῦτον μοναρχικὸν ἀξίωμα τοῦ ῥώμης τῷ καιρῷ ἐκείνῳ, ἀλλ' οὔτε ἀκουστὸν γεγονέναι.

Καὶ ἀπὸ τῆς ἐπιστολῆς, ἣν ἔγραψεν ὁ Βασιλεὺς Ἀλεξάνδρῳ καὶ Ἀρείῳ, ἥτις κεῖται παρ' Εὐσεβίῳ εἰς τὸν βίον Κωνσταντίνου, καὶ Σωκράτους βιβλίῳ πρώτῳ κεφαλαίῳ τετάρτῳ, καὶ Γελασίου λόγῳ δευτέρῳ κεφαλαίῳ τετάρτῳ τὸ αὐτὸ δηλοῦται, ἔπεμψε γὰρ ἐκείνοις ὁ Βασιλεὺς τὴν ἐπιστολὴν μεμφόμενος αὐτοῖς τὴν διχοστασίαν, οὐδὲ μίαν δὲ ἐποίησε μνήμην τοῦ Ἐπισκόπου Ῥώμης. ἔπεμψε δὲ μετὰ τῆς ἐπιστολῆς Ὅσιον τὸν Ἐπίσκοπον Κουδρούβης, οὐκ ἐπιταγῇ ἢ καὶ εἰδήσει τοῦ Πάπα, ἀλλ' ἐξ ἰδίας αὐθεντείας, καὶ οὐ διὰ τὸ εἶναι Λεγᾶτον ἢ ἄνθρωπον τοῦ Ῥώμης, ἀλλὰ διὰ τὸ εἶναι ὁμολογητὴν ἐνάρετον, καὶ φίλον αὐτοῦ, ὡς ὁ Εὐσέβιος λευκότατα διαλαμβάνει, ἢ διὰ τὸ εἶναι ἐπ' ἀγχινοίᾳ περιβόητον, ὥς φησι Θεοδώριτος λόγῳ πρώτῳ κεφαλαίῳ ἑβδόμῳ. οὐκ ἄρα ἦν ἐν τῇ Ἐκκλησίᾳ τῷ τότε καιρῷ οὔτε καὶ ἀκουστὸν τὸ τοῦ Ῥώμης μοναρχικὸν ἀξίωμα. ταῦτα πάντα συνάγεται ἀριδηλότατα καὶ ἀπὸ τῶν λοιπῶν ἐπιστολῶν τοῦ Βασιλέως εἰς διαφόρους, καὶ ἰδὲ ταύτας ἐντοῖς πρακτικοῖς τῆς ἁγίας Συνόδου.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Β'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ τῆς λεγομένης Συνόδου τρίτης ἐν Ῥώμῃ ἐπὶ Σιλβέστρου, ἢ προσφέρουσιν οἱ παπισταὶ καὶ τὸν μέγαν Κωνσταντῖνον παρόντα, καὶ τὸν Σίλβεστρον εἰπόντα, τῷ ἰδίῳ στόματι βεβαιῶ τὴν ἐν Νικαίᾳ, δείκνυται ὅμως ἐνταῦθα προφανῶς ψευδεπίπλαστος, καὶ τὸ βδελυρὸν ἀξίωμα τῆς μοναρχίας κατεστραμμένον.

Καὶ ἐνταῦθα εἰσάγουσι τινὲς τῶν παπιστῶν ὅτι ἐγένετο ἐπὶ Σιλβέστρου ἐν Ῥώμῃ Σύνοδος τρίτη, παρόντος τοῦ μεγάλου Κωνσταντίνου, ἐν ᾗ συνῆλθον Ἐπίσκοποι διακόσιοι ἑβδομήκοντα πέντε, καὶ διετάχθη ἐν αὐτῇ ἵνα ἡ παροῦσα ἐν Νικαίᾳ Συνόδος ἔχῃ τὸ κῦρος, εἶπε γὰρ ὁ Σίλβεστρος περὶ αὐτῆς ὅτι τῷ ἡμετέρῳ στόματι βεβαιοῦνται αὐτήν. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι οἱ παπισταὶ οὐ μόνον φθορεῖς τῶν συγγραμμάτων τῶν ἁγίων εἰσὶν, ἀλλὰ καὶ ῥαδιοῦργοι, ψευδεπίπλαστα εἰσάγοντες πρὸς ἀπάτην τῶν ἁπλουστέρων. δεύτερον, τοῦτο τὸ τὸν μέγαν Κωνσταντῖνον μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον ἀπεληλυθέναι εἰς Ῥώμην, ταυτόν ἐστι τῇ ὑποστάσει τῆς Σφιγγὸς καὶ τοῦ Τραγελάφου. τρίτον, ὅτι εἰσυλλέ-

σὺλλέξαντες τὰς Σινόδους, πρώτην Σινόδον καταλέγουσιν ἐν Νικαίᾳ τῇ ἐπὶ Μιλτιάδου, τῇ ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου γενομένῃ, καὶ δευτέραν τὴν ἐπὶ Ἀρείου κατὰ τῶν Εὐσεβιανῶν, ἐπὶ Σιλβέστρου δὲ οὐδὲ μίαν γενέσθαι Σινόδον καταγράφουσι, ψευδεπίπλαστοι ὄντες καὶ ἡ παροῦσα Σινόδος, καὶ μόνοι ἐγκόπτουσι ταύτην οἱ παπικοί· τέταρτον, ὑποθεμένους ἀληθὲς εἶναι τὸ τὸν Σίλβεστρον εἰπεῖν τῷ ἡμετέρῳ σώματι βεβαιοῦντι, ἐδὲν γοινὸν ἢ ἀναμάρτητον εἰσάγειν ἀξίωμα, ἀλλὰ συγκατάθεσιν μόνον καὶ συμφωνίαν, ὡς ἐπαίνου πάντες οἱ Πατριάρχαι καὶ μητροπολῖται ἐν ταῖς δοθείσαις τῶν οἰκουμενικῶν Σινόδων, καὶ ἐν ἀνωτέρῳ βιβλίῳ πρώτῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ παρεγράφομεν δεύτερον, καὶ κατωτέρω ἐν τοῖς πέμπτον, ὅτι δὲ ταῦτα οὕτως ἔχει, μάρτυς πάλιν ἡ παροῦσα Σινόδος, λέγει γὰρ εἰπεῖν τὸν Σίλβεστρον, εἰ ἀρέσκει, ἵνα γράψωσιν οἱ πατέρες ἕκαστος τῇ ἰδίᾳ χειρὶ πρὸς βεβαίωσιν· καὶ σημειώσασθαι ὅτι τὸ εἰ ἀρέσκει, ἐπρῶτον τινὰ δουλείαν εἰσάγει, ἐδ' ἄξίωμα αὐτοκρατορικὸν παρίστησιν, ἀλλ' ἀδελφικὴν σύμπνοιαν μαρτυρεῖ καὶ ὁμοφωνίαν, ἢ ἐπιμαρτυρεῖ, ὅτι οὐ τρίτον ἐβεβαίωσεν ὁ Σίλβεστρος τῷ ἰδίῳ σώματι, ὕστερον οἱ πατέρες ἐβεβαίωσαν τῇ ἰδίᾳ ὑπογραφῇ· καὶ πρωτοεπιμαρτυρεῖ, ἀτελῆ ὑπάρχειν αὐδὲ τῆς τῶν πατέρων ὑπογραφῆς βεβαιώσεως τὴν τοῦ Σίλβέστρου λεγομένου βεβαίωσιν, καὶ ὕστερον κρίνεσθαι καταγράφεται τὸ βδελυκτὸν τῆς μοναρχίας ἀξίωμα.

ΒΙΒΛΙΟΝ Β'. ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ πόσους κανόνας ἐξέθετο ἡ ἐν Νικαίᾳ οἰκουμενικὴ πρώτη ἁγία Σινόδος, καὶ τῆς ἐξηγήσεως τοῦ αὐτοῦ κανόνος αὐτῆς, καὶ ὅλη ἐξέθεσις αἱ τῶν Πατριαρχῶν ὑπεροχαὶ καὶ τιμαὶ, καὶ περὶ τῶν ὁρίων τῶν Πατριαρχῶν.

Ἐξέθετο κανόνας ἐξήκοντα ἡ παροῦσα ἁγία Σινόδος, περὶ ὧν ἁπάντων οὑτωσὶ ἐδὲν ἡμῖν λόγος, περὶ μόνου τοῦ αὐτοῦ καὶ ἑβδόμου τῶν συμβαλλόντων τῇ σκέψει τῆς παρούσης πραγματείας ῥητέον ἦνα, καὶ πρῶτον περὶ τοῦ αὐτοῦ. ἡ σύνοδος τοίνυν τοῦτῳ τῷ κανόνι τοῦτο ἐσὶ τοιοῦτο, ὡς ὁ χρισὸς, καὶ οἱ Ἀπόσολοι Πατριάρχας οὐ τῇ Ἐκκλησίᾳ οὐκ ἐποίησαν, ἀλλὰ μόνον Ἐπισκόπους. ἐπεὶ δὲ ἐν ἑκάσῃ Ἐπαρχίᾳ ἦσαν Διάφοροι Ἐπίσκοποι, ὥρισθη ὑπὸ τοῦ τελικοσοῦ τετάρτου ἀποσολικοῦ Κανόνος, ἵνα ὁ Ἐπίσκοπος τῆς Μητροπόλεως ἑκάσης Ἐπαρχίας σταξίας καὶ φυλακῆς τῶν ὑπὸ τῇ Ἐκκλησίᾳ ἑβδομήκοντα χαλκῶν, ἔχῃ σοτίμησιν τῶν λοιπῶν Ἐπισκόπων, ὥσπερ εἶναι αὐτὸν πρῶτον καὶ κεφαλήν. καὶ ταῦτα μὲν ἐν τῇ ἀρχαιοτάτῃ Ἐκκλησίᾳ ἐγίνετο. ἐπεὶ δὲ τῶν μεγίσων πόλεων τῶν ὑπερεχουσῶν τῶν ἄλλων πόλεων οἱ Ἐπίσκοποι, ὧν μὲν ἡ Ῥώμη, ἡ Ἀλεξάνδρεια, ἡ Ἀντιόχεια καὶ ἡ Ἱερουσαλὴμ, Διαφόρων ὄντων αἰτίων ἐν ὥρᾳ χρείας, ἢ ἀνάγκης ὑπῆρχον πολλὰ καὶ ἐν ἑτέραις Ἐπαρχίαις, καὶ καθ' ὀλίγον τὸ νομισθὲν μὴ εἶναι ὑπερβασίαν παροικείων, ἀλλὰ δικαίως γινομένην, ἠναγκάσθη συνέχεια τῶν ὑπερβάντων κατελύσησαν εἰς ἔθος, ὥστε τοὺς Ἐπισκόπους τούτους ὡς δοκοῦν νομίμως καὶ κανονικῶς αὐτίκα ἐξασφαλίζειν τῶν περὶ αὐτοὺς Ἐπαρχιώτων καὶ διοικήσεων, ἤγουν τὸν μὲν Ῥώμης, πάσης Δύσεως, τὸν δὲ Ἀλεξανδρείας, δοκοῦν Ῥινοκορούρων ἕως ὁρίων τῆς Τριπόλεως καὶ τῆς ἐπέκεινα Λιβύης, τὸν δὲ Ἀντιοχείας, τῶν Ἀνατολικῶν, ὅτου δοκοῦν τῇ αὐτῇ ἰσαρείᾳ Ταύρου ἕως Περσίας καὶ Βαβυλείας καὶ τῶν ἐπέκεινα, καὶ τὸν τῆς Ἱερουσαλὴμ εἰς Παλαισίνην, Φοινίκην καὶ Ἀραβίαν. τὸ ἔθος δὲ τοῦτο ἐσυνέβη ἐν ἑκάσῳ τῶν Ἐπισκόπων τούτων ἐν ταῖς περὶ αὐτῶν Ἐπαρχίαις ἡμῖν καὶ ἐξουσίαν. πότε δὲ ἐσυνέβη ἑκάσῃ τοιαύτῃ πόλει τὸ ἔθος τοῦτο, ἄδηλόν ἐσι.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Γ'. ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ Μελητίου Λυκοπόλεως τοῦ συγχίσαντος τὰ τῆς Ἀλεξανδρείας ἐθνόμια, καὶ τῆς Σινόδου ταύτης ἐν τῷ αὐτῷ Κανόνι τῶν τοιούτων ἀναιρεσάσης, καὶ, ὥστε τὸν Ἀλεξανδρείας Ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν ἐξουσίαν, ταὐτόν ἐσι τῇ, ἑκάστῳ ἔθνους οἱ Ἐπίσκοποι, καὶ τὸν τελικοσὸν τέταρτον Κανόνα τῶν Ἀποσόλων, ὀφάλλει γινώσκειν ἑκάσῃ τοιαύτῃ πόλει τὸ ἔθος τοῦτο, ἄδηλόν ἐσι.

Τὸ, ὥστε τὸν Ἀλεξανδρείας Ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν ἐξουσίαν, ταὐτόν ἐσι τῇ, ἑκάστῳ ἔθνους οἱ Ἐπίσκοποι, καὶ τὸν τελικοσὸν τέταρτον Κανόνα τῶν Ἀποσόλων, ὀφάλλει γινώσκειν ἑκάσῃ τοιαύτῃ πόλει τὸ ἔθος τοῦτο, ἄδηλόν ἐσι. κεῖνον, ὃς ὂν αὐτοῖς ἐσι πρῶτος, καὶ νομίζειν ὡς κεφαλὴν, καὶ μηδὲν ἄνευ τῆς ἐκείνου γνώμην πράτειν, ἀλλ' ἕκασος ἐκεῖνα πρασσέτω, ὅσα τῇ ἰδίᾳ ἐπιβάλλει παροικίᾳ. ἔθισται δὲ, ὥστε τὸν Λιγύπτου καὶ

καὶ Λιβύῃ καὶ Πενταπόλει Ἐπισκόπους ἔχειν πρῶτον ἐν ἑαυτοῖς τὸν Ἀλεξανδρείας, καὶ μηδὲν πράττειν ἄνευ τῆς ἐκείνου γνώμης. ὅθεν ὁ Ἐπιφάνιος φησὶν Αἱρέσει ἑξηκοστῇ πρώτῃ, τοῦτο γὰρ ἔθος ἐστὶ τὸν ἐν τῇ Ἀλεξανδρείᾳ Ἀρχιεπίσκοπον πάσης τε τῆς Αἰγύπτου καὶ Θηβαΐδος Μαρεώτου τε καὶ Λιβύης Ἀμμωνιακῆς, Μαρεώτιδός τε καὶ Πενταπόλεως ἔχειν τὴν ἐκκλησιαστικὴν διοίκησιν. ταύτῃ τῇ ἐξουσίᾳ χρώμενος καὶ Πέτρος Ἀλεξανδρείας Ἐπίσκοπος καὶ μάρτυς, καθεῖλε Μελήτιον Ἐπίσκοπον Λυκοπόλεως ἐν Θηβαΐδι, ὡς μαρτυρεῖ ὁ μέγας Ἀθανάσιος ἐν τῇ δευτέρᾳ αὐτοῦ ἀπολογίᾳ λέγων, Πέτρος παρ' ἡμῖν πρὸ μὲν τοῦ διωγμοῦ γέγονεν Ἐπίσκοπος, ἐν δὲ τῷ διωγμῷ καὶ ἐμαρτύρησεν, οὗτος Μελήτιον ἀπὸ τῆς Αἰγύπτου λεγόμενον Ἐπίσκοπον ἐπὶ πολλαῖς ἐλεγχθέντα παρανομίαις καὶ θυσίᾳ, ἐν κοινῇ Συνόδῳ τῶν Ἐπισκόπων καθεῖλε. σημειοῖ ἔτι ὁ αὐτὸς ἅγιος, ὅτι πρὸ τοῦ Πέτρου διὰ τὸ ἐν Πενταπόλει τῆς ἄνω Λιβύης τινὰς τῶν Ἐπισκόπων τὴν γνώμην Σαβελλίου παραδέξασθαι, καὶ ἐς τοσοῦτον ἰσχῦσαι τὰ ἐκείνου νόθα δόγματα, ὥστε μόλις κηρύττεσθαι τὸν υἱὸν τοῦ Θεοῦ ἐν ταῖς Ἐκκλησίαις.. γνοὺς τοῦτο Διονύσιος ὁ Ἀλεξανδρείας, ἀπέστειλε πρέσβεις πρὸς αὐτοὺς ἵνα μετακαλέσωνται τούτους πρὸς τὴν ὀρθὴν τῆς Ἐκκλησίας δόξαν, φησὶ γὰρ, τοῦτο μαθὼν Διονύσιος, αὐτὸς γὰρ εἶχε τὴν μέριμναν τῶν Ἐκκλησιῶν ἐκείνων, πέμπει καὶ συμβουλεύει τοῖς αἰτίοις παύσασθαι τῆς κακοδοξίας. ἐκ τούτων δὲ δῆλον γίνεται, ὡς ὁ Ἀλεξανδρείας οὐμόνον εἶχεν ἐξουσίαν ἐξ ἀρχαίου ἔθους διοικεῖν τὰ ἐκκλησιαστικὰ τῶν ἐκεῖσε Ἐπαρχιῶν, ἀλλὰ καὶ καθαιρεῖν Ἐπισκόπους καὶ Μητροπολίτας τοὺς ἐν ἐκείνῳ τῷ κλίματι ὄντας. ὁ Μελήτιος μέντοι καθαιρεθεὶς ὑπὸ τοῦ Ἀλεξανδρείας, ἐπεχείρησε βιάσασθαι τὸ τοιοῦτον ἀρχαῖον ἔθος, τολμήσας ἄλλους Ἐπισκόπους ἐν τῇ τοῦ Ἀλεξανδρείας Διοικήσει χειροτονῆσαι, ὅθεν ἡ ἐν Νικαίᾳ Συνόδος ἀνανεοῦσα τὸ ἀρχαῖον ἔθος, καὶ αὖθις ἐπιβεβαιοῖ τὸν Ἀλεξανδρείας ἔχειν τὴν ἐξουσίαν πάντων τῶν ἐν Αἰγύπτῳ, καὶ τὰ ἑξῆς. καὶ κατὰ ταύτην τὴν ἔννοιαν ἐξελάβοντο οἱ ἐξ Αἰγύπτου Ἐπίσκοποι τὸν παρόντα Κανόνα ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ, καὶ ὅρα ἐκεῖ ἐν τῇ τεταρτῇ πράξει.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Γ'. ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ὁ Ἀντιοχείας καὶ πρὸ τῆς Συνόδου ταύτης εἶχε τὰ πατριαρχικὰ προνόμια.

Ἐπειδὴ ὁ Ἀντιοχείας εἶχεν ἐν πολλαῖς Ἐπαρχίαις τὴν αὐτὴν τιμὴν καὶ ἐξουσίαν, ἣν εἶχεν ὁ Ἀλεξανδρείας ἐν Αἰγύπτῳ, ἐπιβεβαιοῦσα ἡ Συνόδος αὐτῷ, ὅπερ εἶχε καὶ αὐτὸς ἐξ ἔθους, ὥρισε σώζεσθαι τὰ πρεσβεῖα καὶ κατὰ τὴν Ἀντιόχειαν. ἀλλὰ φασί τινες τὸν Ἀντιοχείας μὴ ἐσχηκέναι ἐν τῇ διοικήσει τῆς Ἀνατολῆς πρὸ τῆς ἐν Χαλκηδόνι Συνόδου τὴν ἐξουσίαν, ἣν εἶχεν ὁ Ἀλεξανδρείας ἐν Αἰγύπτῳ. Ἀλλὰ ῥητέον ὅτι ἀληθῶς ἀπὸ τῆς ἐν Νικαίᾳ Συνόδου ἔλαβον οἱ Πατριαρχικοὶ θρόνοι μείζονα ἐξουσίαν ἐν ταῖς ἰδίαις ἐνορίαις, καὶ τελεωτάτην μετὰ τὴν ἐν Χαλκηδόνι, οὐμὴν καὶ πρότερον εἶχον ἐξουσίαν πλήρη ἐν αὐταῖς, καὶ μάρτυς ὁ Πάπας Ἰννοκέντιος ὁ πρῶτος, ὃς γράφων πρὸς τὸν Ἀντιοχείας Ἀλέξανδρον φησὶν ὅτι ἡ ἐν Ἀντιοχείᾳ Ἐκκλησία κατέστη εἰς τὴν αὐτῆς διοίκησιν, οὐκ ἐπί τινα Ἐπαρχίαν ὑπὸ τῆς ἐν Νικαίᾳ Συνόδου. καὶ σημείωσαι ὅτι οὐ λέγει ἐκ τοῦ Κανόνος τῆς ἐν Νικαίᾳ Συνόδου ἐγένετο ὁδὸς δι' ἧς ὁ Ἀντιοχείας εἰς διοίκησιν ἦλθε, καὶ διὰ τοῦτο λέγεται ὅτι κατέστη ὑπ' αὐτῆς ἐπὶ διοίκησιν, τοῦτο γὰρ βίαιον καὶ ἐμπαθές ἐστιν, ἀλλ' ὅτι κατέστη ἤτοι ἐβεβαιώθη ὑπὸ τῆς ἐν Νικαίᾳ Συνόδου εἰς διοίκησιν, οὐκ ἐπί τινα Ἐπαρχίαν. ἀλλὰ καὶ τὸ τοῦ Ἱερωνύμου πρὸς Παμμάχιον κατὰ τοῦ Ἱεροσολύμων Ἰωάννου, ἀποκρίθητί μοι πρὸς τὸν Ἀλεξανδρείας Ἐπίσκοπον τί ἡ Παλαιστίνη ἀνήκει; εἰ μὴ σφάλλομαι. τοῦτο ἐκεῖ διορίζεται ἵνα ἡ Καισάρεια ὑπάρχῃ Μητρόπολις Παλαιστίνης, καὶ ἡ Ἀντιόχεια πάσης Ἀνατολῆς. οὕτως ἔχει ἐννοεῖσθαι τὸ σφάλλομαι περὶ τῆς Καισαρείας ὅτι εἰ ἐστὶ τῆς Παλαιστίνης Μητρόπολις. ἔνθα γὰρ ἔσφιλεν ὁ Ἱερώνυμος, ἐκεῖ εἶπεν εὐλαβούμενος τῶν μετὰ ταῦτα ἐν τῇ Ἐκκλησίᾳ σοφῶν καθηγεμόνων τὸν ἔλεγχον, οὐ περὶ τῆς Ἀντιοχείας, ἥτις ἦν ἀπὸ τοῦ ἔθους ἀναμφίβολος τῆς Ἀνατολῆς Μητρόπολις, ἀποκατέστη δὲ εἰς διοίκησιν ὑπὸ τῆς ἐν Νικαίᾳ, ἐπειδὴ ἐκείνη ἐβεβαίωσεν αὐτῇ τὸ ἔθος. ἀλλὰ καὶ ἡ δευτέρα Οἰκουμενικὴ Συνόδος ἐν τῷ δευτέρῳ αὐτῆς Κανόνι φησὶ, τοὺς δὲ τῆς Ἀνατολῆς Ἐπισκόπους τὴν Ἀνατολὴν μόνην διοικεῖν, φυλαττομένων τῶν ἐν τοῖς Κανόσι τοῖς κατὰ Νίκαιαν πρεσβειῶν τῇ Ἀντιοχέων Ἐκκλησίᾳ. Ἀνατολὴν δὲ ἐνταῦθα εἶπε, τὰς ἀπὸ τοῦ Βοσπόρου ἕως τοῦ Ταύρου Ἐπαρχίας, καὶ τὴν καθεξῆς Ἀνατολήν. πρεσβεῖα δὲ τῆς Ἀντιοχέων Ἐκκλησίας εἶπε, τὰς ἀπὸ τῆς Τραχείας Κιλικίας διοικήσεις ἕως Περσίας καὶ Ἰβηρίας φυλαττομένων εἶπεν, ἤτοι φυλάττεσθαι, τὴν οὖσαν δηλαδὴ ἐξουσίαν, οὐ γενησομένην τινὰ ἐξολοκλήρου καὶ ἀπὸ καινοῦ. ὅθεν μαχομένης τῆς Ῥωμαϊκῆς Ἐκκλησίας τῷ Ἀντιοχείας Φλαυϊανῷ, εἰσάγει ὁ Θεοδώριτος τὸν μέγαν Θεοδόσιον λέγοντα, τοῖς ἐν Ῥώμῃ, καὶ τῆς Ἑώας αἱ Ἐκκλησίαι τῆς Φλαυϊανοῦ προεδρίας ἀντέχονται, πρὸς δὲ, τὴν Ἑῶαν καὶ τὴν Ἀσιανὴν ἅπασαν καὶ Ποντικὴν, καὶ μέντοι καὶ τὴν Θρακικὴν κοινωνούσας ἔχει καὶ συνη-

συνημμένας, καὶ τὸ Ἰλλυρικὸν δὲ ἅπαν ἐκεῖνον οἶδε τῶν κατὰ τὴν Ἀνατολὴν Ἐπισκόπων Ἡγούμενον, λόγῳ πέμπτῳ, κεφαλαίῳ εἰκοστῷ τρίτῳ, διὸ καὶ Ἀκάκιον τὸν Βερροίας ὡς ὑπ' αὐτὸν ὄντα Μητροπολίτην, ἔπεμψεν εἰς Ῥώμην πρεσβευτὴν ὁ Φλαυϊανός. ὁ αὐτὸς Θεοδώριτος φησὶν, ὅτι ὁ Ἀντιοχείας Δόμνος συνέδριον συνεκρότησεν, ἵνα κρίνῃ Ἐπίσκοπόν τινα ἐγκαλούμενον ἐπ' ἐγκλήμασιν, ἐπιστολῇ τεσσαρακοστῇ τρίτῃ. ὁ αὐτὸς γράφει ὅτι ἐκαλεῖτο εἰς Συνόδον ὑπὸ Ἰωάννου καὶ Δόμνου τῶν Ἀντιοχείας Ἐπισκόπων καὶ ἀπείρχετο, εὐλαβούμενος δηλαδὴ τῆς παρακοῆς τοῦ ἰδίου προέδρου τὰ ἐπιτίμια, ἐπιστολῇ ὀγδοηκοστῇ πρώτῃ. καὶ ὁ Βερροίας Ἀκάκιος γράφει πρὸς τὸν ἅγιον Κύριλλον, καὶ ἐπαινῶν τὸν Ἀντιοχείας Ἰωάννην νεωστὶ χειροτονηθέντα ὡς τοῦ θρόνου ἄξιον ὄντα, ἐπήγαγεν, ὡς μέγα ἐπ' αὐτῷ φρονεῖν καὶ σεμνύνεσθαι πάντας τοὺς τῆς Ἀνατολῆς Ἐπισκόπους, ἔχοντας δηλονότι τοιοῦτον Ἡγούμενον. καὶ ὁ Ἰννοκέντιος ἐν τῇ εἰρημένῃ πρὸς Ἀλέξανδρον τὸν Ἀντιοχείας ἐπιστολῇ φάσκει, οὕτω τοιγαροῦν λογιζόμεθα ἀγαπητὲ ἀδελφὲ, ἵνα ὥσπερ τοὺς Μητροπολίτας κατ' ἰδιάζουσαν αὐθεντείαν βαθμοῦ, οὕτω καὶ τοὺς λοιποὺς χωρὶς τῆς σῆς ἐπιδόσεως καὶ γνώμης μὴ ἐάσῃς Ἐπισκόπους χειροτονεῖσθαι. ἀλλὰ δὴ καὶ Ἰωσὴφ ὁ Αἰγύπτιος ἐν τῇ παραφράσει τούτου τοῦ ἕκτου Κανόνος τῆς ἐν Νικαίᾳ Συνόδου φησὶν, οὕτω καὶ πρὸς τὸν Πρόεδρον τῆς Ἀντιοχείας ἀποτείνεται, ἵνα αὐτὸς ἔχῃ προεδρίαν ἐπὶ πάσας τὰς αὐτοῦ Ἐπαρχίας, καὶ ὦσιν ὑπὸ τὴν αὐτοῦ ἐξουσίαν ἑκατὸν πεντήκοντα καὶ τρεῖς Ἐπίσκοποι καὶ Μητροπολῖται, διότι ἐστὶ Πρόεδρος τῆς Ἐπαρχίας τῶν Περσῶν καὶ Ἀνατολῆς. τοῦτο παριστῶσιν ἐν πολλοῖς καὶ διὰ πολλῶν καὶ τὰ πρακτικὰ τῆς τρίτης Οἰκουμενικῆς Συνόδου.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Γ'. ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ σαφηνείας τοῦ, ἐπειδὴ καὶ τῷ ἐν Ῥώμῃ Ἐπισκόπῳ τοῦτο συνήθες, καὶ ἀναιρέσεως τῶν ἀς διεφθαρμένως οἱ Πάπαι καὶ παπισταὶ ὑπὲρ τῆς μοναρχίας τοῦ Ῥώμης καὶ τῆς ἀληθοῦς ἐννοίας τοῦ ἕκτου Κανόνος προσφέρουσι παρεξηγήσεων.

Ἐπειδὴ καὶ τῷ ἐν Ῥώμῃ Ἐπισκόπῳ τοῦτο συνήθες ἐστιν. οὗτός ἐστιν ὁ ἀληθὴς καὶ ἀδιάφθορος Κανὼν τῆς Συνόδου. οἱ δὲ ἐξηγηταὶ ὅσοι ἐμπαθῶς καὶ διὰ συμφέρον τῶν καινοτομιῶν αὐτῶν ἑρμηνεύουσι, διαφόρως αὐτὸν καὶ προφέρουσι, καὶ γὰρ ἕκαστος πρὸς τὴν ἑαυτοῦ γνώμην βιάζεται ἐκλαβεῖν, καὶ μάλιστα οἱ ἀπὸ τῆς ῥωμαϊκῆς Ἐκκλησίας. ὅθεν ὁ Πάπας Φίληξ πρὸς Ἀκάκιον τὸν Κωνσταντινουπόλεως διαφερόμενος, διαφθείρας προήνεγκεν, ἔφη γὰρ τὸν Ῥώμης Ἐπίσκοπον ἐν ἑκάστῃ Συνόδῳ τὸ κῦρος ἔχειν ὡς ὁ Κανὼν βούλεται τῆς ἐν Νικαίᾳ Συνόδου, καὶ ἰδὲ τὸν τόπον κατωτέρω βιβλίου τεταρτου, κεφαλαίου δεκάτου Παραγράφῳ τρίτῳ. καὶ πρὸ αὐτοῦ Πασχασῖνος ὁ Τοποτηρητὴς τοῦ Πάπα Λέοντος ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ ἀντεστραμμένως προσέφερεν εἰπὼν, ἡ Ἐκκλησία Ῥώμης πάντοτε ἔσχε τὰ πρωτεῖα. ἡμεῖς ὅμως ἀφέντες τὰς γνώμας τῶν πολλῶν, τόσον τὰς περὶ τὸ κείμενον τοῦ Κανόνος, ὅσον καὶ τὰς περὶ τὰς διαφόρους ἑρμηνείας, καθαρῶς τὸν νοῦν τῆς ἐν Νικαίᾳ Συνόδου ἐξ αὐτῶν τῶν ἰδίων ῥημάτων δυνάμεθα ἐξευρεῖν, καὶ πρῶτον, ὃ εἴπομεν ἀνωτέρω καὶ ἤδη λέγομεν, ὅτι ὁ Μελήτιος ὁ παρατρέψας τὰ δίκαια τοῦ Ἐπισκόπου Ἀλεξανδρείας παρέσχεν αἰτίαν τοῖς πατράσι τοῦ ἐκθέσθαι τὸν τοιοῦτον Κανόνα. δεύτερον, οἱ πατέρες ἐν τούτῳ τῷ Κανόνι οὐδὲν νέον περί τινος ὁποιασοῦν Ἐκκλησίας διωρίσαντο, ἀλλὰ μόνον ἐπεκύρωσαν τὰς παλαιὰς καὶ ἀρχαίας τάξεις ἐκ τῆς συνηθείας εἰλημμένας. τρίτον, ἐνταῦθα οὐ μόνον τὴν χειροτονίαν διατάττεται καθ' ἧς ἐφέρετο ὁ Μελήτιος, ἀλλὰ καὶ πᾶν δίκαιον ὃ προσήκει παντὶ Μητροπολίτῃ ἐνταῖς ὑφ' ἑαυτῷ Ἐκκλησίαις ἔχειν. τελευταῖον, ἐνταῦθα βεβαιοῦται τὰ προνόμια οὐ μόνον τῶν κυρίως λεγομένων Πατριαρχῶν, ἀλλὰ καὶ πάντων τῶν Μητροπολιτῶν ὁποιασοῦν Ἐκκλησίας. τούτων οὕτω προϋποτιθεμένων, ῥᾳδίως εὑρίσκεται ὁ ἀληθινὸς νοῦς τῶν ἐκτεθεικότων τὸν Κανόνα ἁγίων πατέρων. ἡ, ΤΟΥΤΟ, Ἀντωνυμία λοιπὸν πρὸς τὸ ἔχειν τὴν ἐξουσίαν ἀναγκαῖον ἐστὶν ἀναφέρεσθαι, ἐν τῷ πρώτῳ δηλαδὴ μέρει τοῦ Κανόνος. καὶ γὰρ εἰπόντων τῶν πατέρων, τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, ὥστε τὸν Ἀλεξανδρείας Ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν ἐξουσίαν, συνεχῶς προσήψαντο τὸ, ἐπειδὴ καὶ τῷ ἐν Ῥώμῃ Ἐπισκόπῳ τοῦτο συνήθες ἐστι, δηλαδὴ τὸν Ἐπίσκοπον Ἀλεξανδρείας ἔχειν πάντων τούτων τὴν ἐξουσίαν, ὥσπερ συνήθες ἐστι καὶ τὸν Ῥώμης Ἐπίσκοπον τοιουτοτρόπως τὴν ἐξουσίαν ἔχειν, καὶ γὰρ οὐδὲν ἄλλο ἐστὶν, ᾧ περ δικαίως προσαχθείη ἡ, ΤΟΥΤΟ, Ἀντωνυμία. ἐπειδὴ τοιουτοτρόπως ἔχει ὁ Ῥώμης τῷ Ἀλεξανδρείας τὴν αὐτοῦ συνήθειαν, τοιουτοτρόπως ἔχει καὶ τὴν ἐξουσίαν ἤτοι τὴν αὐτὴν καὶ ἴσην, καὶ γὰρ οὐδὲ μίαν ποιεῖται ἐξαίρεσιν ὁ Κανών. συνάγεται δ' ἐκ τούτου τὸν Ἐπίσκοπον Ῥώμης ἐπὶ τῆς ἐν Νικαίᾳ Συνόδου μὴ ἐσχηκέναι τὴν ἐξουσίαν ἣν φαντάζεται ἔχειν ἄρτι, οὔτε μὴν παρὰ τῶν πατέρων εἰληφέναι τινὰ ἐξουσίαν, παρ' ἣν εἶχε πρότερον ἐξ ἔθους. ὅτι δὲ ὅροις

ἦν περιοριστὴ, καὶ οὐκ ἐξετείνετο ἐν ὅλῳ τῷ κόσμῳ καὶ ἡ ἐξουσία τοῦ Ῥώμης, ἐκ τούτου δείκνυται, ὁμοίαν γὰρ ἐξουσίαν παρέχουσιν αὐτῷ καὶ τῷ Ἀλεξανδρείας Ἐπισκόπῳ, οὗτινος τοὺς ὑποκειμένους αὐτῷ τόπους ὀνομαστὶ διορίζουσι, τὴν Αἴγυπτον δηλονότι, Λιβύην καὶ Πενταπόλιν. καὶ οὐ τῷ Ἀλεξανδρείας μόνῳ, ἀλλὰ καὶ τῷ Ἀντιοχείας καὶ τοῖς λοιποῖς ἄλλοις τῶν Ἐπαρχιῶν Μητροπολίταις. ἐξ ὧν δῆλον καθίσταται καὶ τὴν τοῦ Ῥώμης ἐξουσίαν εἶναι περιωρισμένην ἐντὸς Ἐπαρχίας. ὅθεν ὁ Ῥουφῖνος ἀρχαῖος ἐκκλησιαστικὸς ἱστορικὸς καὶ ἱερεὺς τῆς ἐν Ἀκυληΐᾳ Ἐκκλησίας λέγει, ὁ Ῥώμης τοὺς Συβουρβικαρίους ἢ Συμπουρμπικαρίους τόπους, ἤτοι τὰς ἐν τοῖς προαστείοις Ἐκκλησίας διεξαγαγέτω τῇ ἰδίᾳ φροντίδι. δοκεῖ ὅμως ἐκ τούτων συνάγεσθαι καὶ τὸν Ῥώμης ἐν διωρισμένοις προαστείοις τὴν ἐξουσίαν ἔχειν. ὅθεν καὶ ὁ Πάπας Λιβέριος γράφων πρὸς τοὺς Μακεδονιανοὺς, ἐπέγραψε, λιβέριος Ἐπίσκοπος Ἰταλίας, καὶ οἱ κατὰ Δύσιν Ἐπίσκοποι. ὥστε καὶ ὁ Ῥώμης ἐν τῇ ἰδίᾳ ἐνορίᾳ καὶ μόνῃ προήδρευεν, οὐκ ἄλλως, ἀλλ' ἢ ὡς ὁ Ἀλεξανδρείας ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει. ἐξ οὗ δείκνυται ὅτι ματαίως οἱ Λατῖνοι φαντάζονται τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν πρώτην εἶναι καὶ πρῶτον θρόνον ἐκ τούτων τῶν ῥημάτων, φασὶ γὰρ, αὕτη ἐστὶν ὁ Κανὼν τῶν ἄλλων Ἐκκλησιῶν, καὶ γὰρ εἰ καὶ ὁ λόγος διότι ἐβεβαιοῦτο ἡ ἀρχαία αὐθεντείαν τοῦ Ἀλεξανδρείας ἐκ τῆς συνηθείας καὶ ἐξουσίας τοῦ ῥωμαϊκοῦ Ἐπισκόπου συνελήφθη, τοῦτο ὅμως κατὰ συμβεβηκὸς ἐγένετο, διατοῦτο δηλαδὴ ὅτι ἐν ἐκείοις τοῖς καιροῖς ἡ τοῦ Ῥώμης ἐξουσία ὑπῆρχεν ἀκέραιος καὶ ἄθικτος, τὰ δὲ τοῦ Ἀλεξανδρείας προνόμια ἐβιάσθησαν ὑπὸ τοῦ Μελητίου καὶ τῶν Ἀρειανῶν. ὅθεν οὐδεὶς εὖ φρονῶν ἀμφιβάλλει ὅτι εἰ τὴν ῥωμαϊκὴν Ἐκκλησίαν καὶ μὴ τὴν Ἀλεξανδρείας τεθορυβήκει, οἱ τῆς ἐν Νικαίᾳ Πατέρες ἐκ τῶν ἀκεραίων προνομίων τῆς Ἀλεξανδρινῆς Ἐκκλησίας ἀποδώσοιεν τὴν αἰτίαν διατὶ τὴν ἐν Ῥώμῃ Ἐκκλησίαν κατέχειν δεῖ τὰ οἰκεῖα προνόμια, εἴποιεν γὰρ ἐκ τοῦ ἐναντίου μέρους, τὰ ἀρχαῖα ἔθη κρατείτω, ὥστε τὸν Ἐπίσκοπον Ῥώμης πάντων τῶν ὑποκειμένων αὐτῷ ἔχειν τὴν ἐξουσίαν, ἐπειδὴ καὶ τῷ Ἀλεξανδρείας Ἐπισκόπῳ τοῦτο συνήθες ἐστι, καὶ τὸ δὴ κύριον, οἱ ἐν Νικαίᾳ Πατέρες πᾶσαν ἐξουσίαν ἣν εἶχον ἐν τοῖς καιροῖς αὐτῶν ὅ,τε Ἀλεξανδρείας καὶ Ῥώμης καὶ Ἀντιοχείας καὶ Ἱεροσολύμων, καὶ πᾶς αὐτοκέφαλος Μητροπολίτης οὐκ ἀναφέρουσιν εἰς τὴν παράδοσιν τῶν Ἀποστόλων, ἢ τοῦ Χριστοῦ, ἀλλὰ πρὸς τὴν ἀρχαίαν συνήθειαν. καὶ γὰρ ὥσπερ λέγουσι περὶ τοῦ Ἐπισκόπου Ἀλεξανδρείας τὰ ἀρχαῖα ἔθη κρατείτω τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, οὕτω καὶ περὶ τοῦ Ῥώμης φασὶν, ἐπειδὴ καὶ τῷ Ῥώμης Ἐπισκόπῳ τοῦτο συνήθες ἐστι.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Γ'. ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ μαρτυρίας Ἰωσὴφ τοῦ Αἰγυπτίου τοῦ ἀρχαίου ἐξηγητοῦ τῶν τῆς Συνόδου ταύτης Κανόνων συστοιχούσης τοῖς ἀρημένοις.

Τὸ ἀρχαῖον ἔθος οὗπερ ἡμεῖς μεμνήμεθα, καὶ οὗπερ οἱ ἀρχαῖοι Πατέρες μνείαν πεποίηνται κρατείτω ἐπὶ πάντας τοὺς ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, ἤτοι Μπάρκῃ, καὶ ἐν τῇ Ὀρινῇ χώρᾳ, καὶ ἐν ταῖς λοιπαῖς αὐτῆς πόλεσιν, ὅσαι τῇ ἐξουσίᾳ τοῦ Ἀλεξανδρείας Ἐπισκόπου ὑπόκεινται, καὶ ἀναγκαῖον ἐστὶν ἵνα ὑπακούωσιν αὐτοῦ, καὶ αὐτὸς ἔχῃ ἐξουσίαν ἐπὶ πάντας αὐτοὺς διὰ ταῦτα, διότι αὐτὸς ὑπάρχει Πρόεδρος ἐπὶ τὸ σύστημα, ὡς καὶ ὁ Ἐπίσκοπος τῆς Ῥώμης τούτῳ τῷ ἔθει χρῆται, καὶ αὐτῷ ἐστιν ἀναγκαῖον ἵνα ἔχῃ ἐξουσίαν ἐπὶ τὰς χώρας καὶ Ἐπαρχίας αὐτοῦ, καὶ εἰς πᾶν ὃ ἂν ὑπόκηται αὐτῷ, καὶ ὑπάρχῃ αὐτῷ ἐξουσία ἐπὶ τὸ σύστημα ἐν τῷ λαλεῖν καὶ προστάττειν ἐπὶ πάντας αὐτοῦ τοὺς Ἐπισκόπους καὶ ἐν τῷ προκαθῆσθαι αὐτῶν.

Περὶ μαρτυρίας τῶν αὐτῶν Κανόνων ἐκ τῆς Ἀραβικῆς μεταφράσεως, ἤγουν ἀπὸ τῆς Ἀλεξανδρινῆς ἐκδόσεως.

Τὸ ἀρχαῖον, οὗπερ μνείαν ἐποιησάμεθα, συγκροτείτω πάντας τοὺς ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, ἤτοι Μπάρκῃ, ὅπως πείθωνται τῷ Ἐπισκόπῳ τῆς Ἀλεξανδρείας, καὶ αὐτὸς ἔχῃ ἐξουσίαν πάντων αὐτῶν, ἔστι γὰρ Πρόεδρος τῆς Συνόδου διὰ τοῦτο, ὅτι ὁ Ἐπίσκοπος Ῥώμης τῷ αὐτῷ ἔθει κρατεῖται, καὶ χρὴ ἵνα ἔχῃ ἐξουσίαν ἐπὶ τὰς χώρας καὶ Ἐπαρχίας αὐτοῦ, καὶ εἴτι πλησιόχωρόν ἐστιν αὐταῖς, καὶ ὑπάρχῃ αὐτῷ ἐξουσία ἐπὶ τὴν Συνόδον καθημένῳ τε καὶ διαλεγομένῳ ἐπὶ πάντας τοὺς Ἐπισκόπους αὐτοῦ.

Περὶ μαρτυρίας τῶν αὐτῶν ἐκ τοῦ Λατινικοῦ.

Ἀρχαῖον ἔθος ἐστὶν, ἵνα ὁ Ἐπίσκοπος τῆς πόλεως ῥώμης ἔχῃ ἐξουσίαν τοῦ τοὺς παρακειμένους πέριξ τῆς πόλεως τόπους καὶ πᾶσαν Ἐπαρχίαν τῇ ἑαυτοῦ ἐπιμελείᾳ κυβερνᾶν. ὅσοι δὲ τόποι εἰσὶν ἐν τῇ Αἰγύπτῳ ἐχέτω πάντων τὴν φροντίδα ὁ Ἀλεξανδρείας Ἐπίσκοπος.

Περὶ μαρτυρίας τῶν αὐτῶν ἐκ τῆς μεταφράσεως τοῦ Λατινικοῦ, Διονυσίου τοῦ μικροῦ.

Τὸ ἀρχαῖον ἔθος φυλαττέσθω τὰ ἐν Αἰγύπτῳ καὶ Αι-

Λιβύῃ καὶ Πενταπόλει οὕτως, ὥστε τὸν Ἀλεξανδρείας Ἐπίσκοπον τούτων πάντων ἔχειν τὴν ἐξουσίαν, ὅτι καὶ τῷ Ἐπισκόπῳ τῆς πόλεως Ῥώμης ἴσον ἐστὶν ἔθος.

Περὶ μαρτυρίας τῶν αὐτῶν ἐκ τῆς ἐκδόσεως Ἰσιδώρου Μερκάντορος.

Τὸ ἀρχαῖον ἔθος κρατείτω ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, ὥστε τὸν Ἀλεξανδρείας Ἐπίσκοπον τούτων ἔχειν τὴν ἐξουσίαν, ἐπειδὴ τῷ Ἐπισκόπῳ Ῥώμης τὸ αὐτό ἐστιν ἔθος.

Περὶ μαρτυρίας τῶν αὐτῶν ἐκ τῆς μεταφράσεως Ῥουφίνου Ἀκυληΐας Πρεσβυτέρου, καὶ ὅτι ἐν τῆς ἐνορίας ὁ Ῥώμης.

Καὶ ἵνα ἐν Ἀλεξανδρείᾳ καὶ ἐν πόλει Ῥώμῃ τὸ ἀρχαῖον ἔθος φυλάττητε, ὥστε ἐκεῖνον τῆς Αἰγύπτου, τοῦτον δὲ τὴν τῶν πέριξ τῆς πόλεως Ἐκκλησιῶν φροντίδα ἔχειν. σημειωτέον δὲ ὅτι ἐν ταῖς ἄνωθεν λατινικαῖς τοῦ Κανόνος ἑρμηνείαις, πέριξ τῆς πόλεως τόπους εἴτε τὴν χώραν καλουμένην Πικηνῶν καὶ τὴν Τουσκίαν, καὶ τὸ Λάτιον καὶ τὴν Οὐαλερίαν, αἵτινες καὶ λατινιστὶ ἐκλήθησαν Συβουρβικάριαι ἢ Συμπουρμπικάριαι χώραι, εἴτε πᾶσαν τὴν Δύσιν ἐννοεῖν δεῖ, οὐ διαφερόμεθα. ἀρκεῖ γὰρ ὅτι καὶ τοῦ Ῥώμης ἡ ἐξουσία ἐν τῆς ἐνορίας καὶ διωρισμένη ἐστί.

ΒΙΒΛΙΟΥ Β', ΚΕΦΑΛΑΙΟΥ Γ'. ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῶν λεγόντων εἶναι τὰ πατριαρχικὰ προνόμια μητροπολιτικὰ, καὶ περὶ ἀποδείξεως ἐκ τῶν ἀρχαίων ἐξηγητῶν τῶν Κανόνων ὅτι εἰσὶ πατριαρχικά.

Τινὲς ἐνταῦθα τὰ προνόμια Ῥώμης, Ἀλεξανδρείας καὶ Ἀντιοχείας λέγουσιν εἶναι Μητροπολιτικὰ, ἡμεῖς ὅμως Πατριαρχικὰ εἶναι λέγομεν, καθάφασιν οἱ ἀρχαῖοι ἐξηγηταὶ τῶν Κανόνων, καὶ ἡ πεῖρα δείκνυσι. πρῶτος ὁ Βαλσαμὼν ἐν τῇ ἐξηγήσει τοῦ παρόντος Κανόνος φησὶν, ὁ παρὼν Κανὼν καὶ ὁ ἕβδομος διορίζονται τοὺς τέσσαρας Πατριάρχας, δηλαδὴ τὸν Ῥώμης, τὸν Ἀλεξανδρείας, τὸν Ἀντιοχείας καὶ τὸν Ἱεροσολύμων (περὶ γὰρ τοῦ Κωνσταντινουπόλεως ἐν ἑτέροις Κανόσι διαληφθήσεται) καὶ τὰ παλαιὰ ἔθη τιμᾶσθαι. καὶ τὸν μὲν Ἀλεξανδρείας προέχειν τῶν ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει Ἐπαρχιῶν, τὸν δὲ Ἀντιοχείας ὁμοίως τῆς Συρίας, τῆς κοίλης Συρίας, τῆς Μεσοποταμίας καὶ ἑκατέρας κιλικίας, καὶ τὸν Ἱεροσολύμων τῶν ἐν τῇ Παλαιστίνῃ Ἐπαρχιῶν, τῶν ἐν Ἀραβίᾳ καὶ τῶν ἐν Φοινίκῃ, ὅτι φησὶ καὶ ὁ Ἐπίσκοπος τῆς Ῥώμης προέχει τῶν Ἑσπερίων Ἐπαρχιῶν. καὶ Ἰωάννης ὁ Ζωναρᾶς ἐν τῷ αὐτῷ τόπῳ, βούλεται ὁ Κανὼν τὰ παλαιὰ ἔθη κρατεῖν, ὃ καὶ Κανόνες μεταγενέστεροι καὶ Νόμοι πολιτικοὶ διορίζονται. τὸν Ἀλεξανδρείας οὖν Ἐπίσκοπον θεσπίζει τῶν ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει προέχειν, καὶ τὸν Ἀντιοχείας τῶν αὐτῷ ὑποκειμένων Ἐπαρχιῶν, Συρίας δηλαδὴ καὶ κοίλης Συρίας καὶ Κιλικίας ἑκατέρας καὶ Μεσοποταμίας, καὶ τοὺς ἄλλους Ἐπισκόπους τῶν ὑπ' αὐτοὺς ἐξουσιάζειν χωρῶν, καθὼς καὶ τῷ ἐν τῇ Ῥωμαίων Ἐκκλησίᾳ προεδρεύοντι τῶν Ἐπαρχιῶν ἄρχειν ἔθος ἐκράτησε. καὶ ὁ Ἀριστηνὸς πάλιν ἐν τῷ αὐτῷ τόπῳ, ἕκαστος τῶν Πατριαρχῶν τοῖς ἰδίοις προνομίοις ἀρκεῖσθαι ὀφείλει, καὶ μή τινα τούτων Ἐπαρχίαν ἑτέραν οὐκ οὖσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ χεῖρα ὑφαρπάζειν, τοῦτο γὰρ τύφος ἐστὶ κοσμικῆς ἐξουσίας. καὶ Ἰωάννης ὁ Ἀντιοχεὺς Τίτλῳ πρώτῳ ἐν τῇ συλλογῇ τῶν Κανόνων, καὶ Ἰωάννης ὁ σχολαστικὸς ἐν τῷ Νομοκανόνι ὑποθέμενοι τῆς παρούσης Συνόδου τὸν ἕκτον καὶ ἕβδομον τοὺς Κανόνας, τῆς ἐν Κωνσταντινουπόλει τὸν δεύτερον καὶ τῆς ἐν Ἐφέσῳ τὸν ὄγδοον, ἐπιγράφουσι περὶ τῆς ὁρισθείσης τοῖς Πατριάρχαις ἐκ τῶν Κανόνων τιμῆς. καὶ Ἰωσὴφ ὁ Αἰγύπτιος ἐν τῇ παραφράσει τοῦ Κανόνος φησὶν, εἰ δέ τις παρὰ τοῦτον τὸν τρόπον γένοιτο, ἰδοὺ ἐντελλόμεθα καὶ δέδοκται τῇ Συνόδῳ ἵνα μὴ ὑπάρχῃ ὅλως Ἐπίσκοπος, καὶ ἀποβάλληται τοῦ συστήματος, εἰ μὴ δέξηται εἰς ἑαυτὸν ὁ Πατριάρχης τὴν τούτου ὑπόθεσιν ὡς ἔχων ἀρχὴν ἐπὶ τὴν Συνόδον. ἀπὸ τοῦ Ἀραβικοῦ ἐκ τῆς ἐκδόσεως τῶν Μελχιτῶν, καὶ ἵνα ὁ Ἐπίσκοπος τῆς Αἰγύπτου, ἤτοι ὁ τῆς μεγάλης Ἀλεξανδρείας Πατριάρχης ἔχῃ ἐξουσίαν ἐπὶ πᾶσαν τὴν Αἴγυπτον καὶ πάσας τὰς αὐτῆς Ἐπαρχίας καὶ τὰς παρακειμένας αὐτῇ πόλεις ὅσαι πρὸς αὐτὴν ἀποτείνονται, καὶ γὰρ οὕτως ἀναγκαῖόν ἐστι τῷ Ἐπισκόπῳ τῆς Ῥώμης, δηλαδὴ τῷ Πατριάρχῃ τῷ διαδόχῳ τοῦ Πέτρου, ἵνα ἔχῃ κἀκεῖνος ἐξουσίαν ἐπὶ τὰς χώρας καὶ Ἐπαρχίας αὐτοῦ, καὶ εἴτι αὐταῖς πλησιάζον ἐστί.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Γ'. ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι τὸ Πατριάρχης ὄνομα διττῶς ἐννοεῖται ἐνταῦθα, καὶ ὅτι Πατριάρχαι, Μητροπολῖται καὶ Ἐπίσκοποι ἴσοι τῇ τοῦ ἀξιώματος ἐξουσίᾳ, καὶ περὶ τῶν σημαινομένων τοῦ Πατριάρχης ὀνόματος, καὶ

ὅπως

ὅπως ἀριθμοῦνται Μητροπολῖται καὶ Πατριάρχαι, καὶ ὅτι οἱ Πατριάρχαι οὐ συγκρίνονται Μητροπολίταις.

Καὶ περὶ μὲν τοῦ Πατριάρχης ὀνόματος ἐρῦμεν ἐν τῷ δευτέρῳ μέρει τοῦ δεκάτου βιβλίου, ἤδη δὲ λέγομεν ὅτι τὸ ὄνομα τοῦτο ὅσον εἰς τὴν παροῦσαν ὑπόθεσιν διχῶς ἐννοεῖται, ἢ γὰρ δηλοῖ τοὺς Ἐπισκόπους τοὺς γεγονότας ἐφόρους καὶ διορθωτὰς τῶν ἐκκλησιαστικῶν πραγμάτων ἔντισιν Ἐπαρχίαις καὶ Διοικήσεσι παράτινος κοινῆς Συνόδου, ὡς πεποίηκεν ἡ δευτέρα Οἰκουμενικὴ, ὥς φησιν ὁ Σωκράτης βιβλίῳ πέμπτῳ, κεφαλαίῳ ἐγδόῳ, καὶ ἰδὲ κατωτέρω βιβλίου δεκάτου, μέρους δευτέρου, κεφάλαιον πρῶτον, ὧν προνομιά ἐστι, πρῶτον, ἵνα μὴ μόνον Μητροπολῖται, ἀλλὰ καὶ Ἐπίσκοποι δύνωνται γίνεσθαι τοιοῦτοι, καὶ γὰρ Γρηγόριος ὁ Νύσσης εἷς ὢν ἐκ τῶν τοιούτων Πατριαρχῶν, Ἐπίσκοπος ἦν ὑποκείμενος τῷ Καισαρείας, καὶ τὸ αἴτιον, ἐπειδὴ οὐκ ἀπὸ τῆς ὑπεροχῆς τῶν θρόνων γεγόνασιν οἱ τοιοῦτοι, ἀλλ' ἀπὸ τῆς συνοδικῆς ψήφου. δεύτερον, ἵνα καὶ τοὺς ἔχοντας τιμὴν καὶ ἐξουσίαν Ἐπισκόπους τοῦτο τὸ ἀξίωμα παρέχῃ μείζονα ἰσχὺν πρὸς καταφύτευσιν καὶ ἐκρίζωσιν. τρίτον, ἵνα εἰς τοὺς μὴ ἔχοντας ἐξουσίαν χειροτονίας ἐν πᾶσι τοῖς διορισθεῖσιν αὐτοῖς τόποις, ἔχωσιν ὅμως τὸ ἀξίωμα τῆς Πατριαρχείας πλῆρες, ὥστε ἐφορᾶν καὶ φροντίζειν ἐξουσιαστικώτατα περὶ ἐκκλησιαστικῆς καταστάσεως καὶ ἐπιδόσεως τῆς ὀρθοδόξου πίστεως, ὡς ὅσαν οἱ λοιποὶ, πλὴν τοῦ Ἀντιοχείας καὶ Ἀλεξανδρείας, ἐπειδὴ τοῦτο εἶχον οἱ δύο καὶ πρότερον. τέταρτον, οἱ ἐκ τῶν Πατριαρχῶν τούτων Μητροπολῖται καὶ Ἐπίσκοποι, καίτοι ὑποκείμενοι τοῖς Πατριάρχαις οἱ Μητροπολῖται, καὶ τοῖς Μητροπολίταις οἱ Ἐπίσκοποι, ἐν τῇ ἐξουσίᾳ ὅμως τοῦ ἀξιώματος τούτου ἴσοι εἰσὶ τῷ Κωνσταντινουπόλεως καὶ Ἀλεξανδρείας καὶ Ἀντιοχείας, οἷς καὶ συνηρίθμηνται, ἐπειδὴ ἴσην ἐσχήκασι πάντες παρὰ τῆς Συνόδου τὴν ἐξουσίαν τῆς Πατριαρχείας, ὅθεν ὁ Νύσσης γράφων πρὸς Φλαυϊανὸν κατὰ τοῦ Καισαρείας Ἑλλαδίου καταφρονήσαντος αὐτὸν, λέγει πρὸς τοῖς ἄλλοις, ἃ κατὰ τὴν Ἱερωσύνην τὸ ἀξίωμα κρίνοιτο, ἴση παρὰ τῆς Συνόδου καὶ μία γέγονεν ἀμφοτέρων ἡμῶν ἡ προνομία, μᾶλλον δὲ ἡ φροντὶς τῆς τῶν κοινῶν διορθώσεως ἐν τῷ τὸ ἴσον ἔχειν. πέμπτον, τοῦτο τὸ ἀξίωμα οὐκ ἦν, εἰμὴ μόνον προσωπικὸν, σημαίνει δὲ ὡς εἴρηται τοῦτο τὸ ὄνομα καὶ αὕτη ἡ ἐξουσία, ὥστε εἶναι τοὺς τοιούτους γεγονότας Ἐπισκόπους ἐφόρους ἐν οἷς διωρίσθησαν τόποις, ὃν εἴρηται τρόπον, καὶ οὐδὲν πλέον, ἢ σημαίνει τὸ ὄνομα τοῦτο τοὺς Ἐπισκόπους τοὺς ἔχοντας τὴν πρώτην τιμὴν ἐν τῇ Ἐκκλησίᾳ, καὶ γὰρ οἱ Ἐπίσκοποι, καίπερ καθὸ Ἐπίσκοποι τῆς αὐτῆς εἰσι πάντες ἀξίας καὶ τιμῆς καὶ ἐξουσίας, ἀλλ' οὖν κατὰ τοὺς βαθμοὺς τῆς τάξεως ἔχουσι τιμὴν ὑπεροχικὴν οἱ μὲν Μητροπολῖται πρὸς τοὺς Ἐπισκόπους, οἱ δὲ Πατριάρχαι πρὸς τοὺς Μητροπολίτας, ὥστε Μητροπολίτης οὐ λέγεται ἐν τῇ τάξει πρῶτος, εἶτα οἱ ὑπ' αὐτὸν Ἐπίσκοποι δεύτερος, καὶ καθεξῆς τρίτος καὶ τέταρτος, ἀλλ' οἱ Μητροπολῖται συναριθμοῦνται Μητροπολίταις, ὁ Καισαρείας, ὁ Ἐφέσου, ὁ Ἡρακλείας, καὶ καθεξῆς οἱ λοιποί. καὶ οἱ Πατριάρχαι οὐ συγκρίνονται ἢ συναριθμοῦνται τοῖς Μητροπολίταις, ἀλλὰ μόνοι αὐτοὶ συναριθμοῦνται προαριθμοῦνται καὶ ὑπαριθμοῦνται, ὁ Ῥώμης, ὁ Κωνσταντινουπόλεως, ὁ Ἀλεξανδρείας, ὁ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων, ἐπάνω δὲ τῶν τοιούτων Ἐπισκόπων οὐδείς ἐστιν, ἐπειδὴ ἐπάνω τοῦ ἀξιώματος τούτου οὐδὲν ἕτερόν ἐστιν, ὡς πλατύτερον ῥηθήσεται ἐν ἰδίοις τόποις. τούτων οὖν τῶν Ἐπισκόπων τῶν ἐχόντων τὴν ἄκραν τιμὴν ἐν τῇ Ἐκκλησίᾳ ἐστὶ σημαντικὸν τὸ ὄνομα Πατριάρχης, οἵτινες ὡς ῥηθήσεται τὸ πάλαι ἐλέγοντο ἰδιαίτερον Ἐπίσκοποι τῶν ἀποστολικῶν θρόνων, μεταταῦτα δὲ ὑπὸ Θεοδοσίου τοῦ μικροῦ ὁ Χρυσόστομος, καὶ ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ, καὶ τέως ὑπὸ τοῦ μεγάλου Ἰουστινιανοῦ ἐρρέθησαν Πατριάρχαι, ἔχοντες μὲν τὸ ἀξίωμα τῆς τιμῆς καὶ τῆς ἐξουσίας ἀπ' ἀρχῆς, ὕστερον δὲ λαβόντες τὸ ὄνομα τοῦτο, συντόμως παριστῶν τήν τε τιμὴν αὐτῶν καὶ ἐξουσίαν.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Γ'. ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περί τινων ἐξηγητῶν τῶν Κανόνων τούτων, δεῖξαι τοὺς Κανόνας σπουδόντων μὴ περὶ Πατριαρχῶν, ἀλλὰ περὶ Μητροπολιτῶν διαλαμβάνειν, ὡς ὄντος ἀγνώστου τότε τοῦ πατριαρχικοῦ ἀξιώματος, καὶ ὅτι τῷ τότε καιρῷ οὐδενὶ Ἐπισκόπῳ ὑπέκειτο Διοίκησις, ἀλλ' Ἐπαρχία, οἱ δὲ Πατριάρχαι ὑποκειμένας ἔχουσι Διοικήσεις, οὐ ταὐτὸν δὲ Ἐπαρχία καὶ Διοίκησις, ἄρα. καὶ περὶ ἀπαντήσεως πρὸς ταῦτα δι' ἀποδείξεων ὅτι Διοίκησις καὶ Ἐπαρχία ἑκατέρα ἀνθ' ἑκατέρας λέγεται, καὶ ὅτι περί τε Πατριαρχῶν καὶ Μητροπολιτῶν ὁ Κανὼν διαλαμβάνει.

Τινὲς ἐξηγηταὶ τῶν Κανόνων σπουδάζοντες δεῖξαι τοὺς Κανόνας ἐνταῦθα μὴ περὶ Πατριαρχῶν διαλαμβάνειν, ἀλλὰ περὶ Μητροπολιτῶν, φασὶ, τῷ καιρῷ τῆς ἐν Νικαίᾳ Συνόδου ὄντος ἀγνώστου τοῦ Πατριαρχικοῦ ἀξιώματος, γνωστὸν ἦν μόνον τὸ Μητροπολιτικὸν, ὥσπερ δηλοῦται καὶ ἀπὸ τῶν ὧν κατέχουσιν ἐνοριῶν, τοῖς μὲν γὰρ Μητροπολίταις ὑπόκεινται Ἐπαρχίαι, ἑκάστῳ δὲ τῶν Πατριαρχῶν Διοίκησις, ἥτις περιέχει πολλὰς Ἐπαρχίας, ἐν δὲ τῷ καιρῷ τῆς Συνόδου ταύτης οὐδενὶ

Ἐπι-

Ἐπισκόπῳ ὑπέκειτο Διοίκησις, ἀλλ' Ἐπαρχία. εἰ δέ τις εἴποι καὶ τὴν Διοίκησιν Ἐπαρχίαν λέγεσθαι, λέγουσι μὴ εὑρίσκεσθαι τοῦτο ἐν οὐδενὶ τῶν ἐξηγητῶν ἢ τῶν Κανόνων. Ἀλλὰ ῥητέον ὅτι τοῦτο οὐκ ἔστιν ἀληθὲς ἐπειδὴ ἐν τῇ ἐκκλησιαστικῇ διοικήσει καὶ ἡ Διοίκησις πολλάκις Ἐπαρχία κέκληται, καὶ ἡ Ἐπαρχία Διοίκησις. καὶ γὰρ ἐν τῷ δευτέρῳ Κανόνι ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος τοὺς ὑπὲρ Διοίκησιν Ἐπισκόπους μὴ ἀπιέναι ταῖς ὑπερορίαις Ἐκκλησίαις ἔφη, ἔνθα Διοίκησιν τὰς ἐνορίας τῶν Πατριαρχῶν καὶ τῶν Μητροπολιτῶν ἐνόησεν, ὅθεν μεταταῦτα ἐπήνεγκεν, εὔδηλον ὅτι τὰ καθ' ἑκάστην Ἐπαρχίαν ἡ τῆς Ἐπαρχίας Σύνοδος διοικήσει, ἔνθα Ἐπαρχίας εἶπε τὰς αὐτὰς ἐνορίας τῶν τε Πατριαρχῶν καὶ τῶν Μητροπολιτῶν, ὡς εἴρηται καὶ ἐν τῷ ἑκατοστῷ τετάρτῳ Κανόνι τῆς ἐν Καρθαγένῃ Συνόδου, καὶ ἡ Ἐπαρχία καὶ ἡ ἐνορία τοῦ Ἐπισκόπου Διοίκησις λέγεται, καὶ λαμπρότερον ἐν τῷ ἑκατοστῷ τρίτῳ Κανόνι ἡ Ἐπαρχία Διοίκησις καλεῖται. οὐμὴν ἀλλὰ καὶ πολλῶν Πατριαρχῶν Διοικήσεις ἤτοι ἐνορίαι μία Διοίκησις ἐκλήθησαν διὰ τὴν ὁμοιότητα τῆς ἐκκλησιαστικῆς ποίμνης καὶ ἐνεργείας, ὡς ἐν τῇ ἑβδόμῃ Συνόδῳ εἴρηται πολλάκις, Ἰωάννου καὶ Θωμᾶ τῶν Τοποτηρητῶν τῶν ἀποστολικῶν θρόνων (ἤτοι Ἀντιοχείας, Ἱεροσολύμων καὶ Ἀλεξανδρείας) τῆς Ἀνατολικῆς Διοικήσεως. οὐκ ἀληθὲς ἄρα τὸ μηδέποτε τὴν Ἐπαρχίαν Διοίκησιν κληθῆναι. καὶ ὁ λόγος ἐνταῦθα οὐμόνον περὶ Μητροπολιτῶν ἐστιν, ἀλλὰ περὶ Πατριαρχῶν καὶ Μητροπολιτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ διττῶν σημαινομένων τοῦ Μητροπολίτης ὀνόματος, καὶ διαφορᾶς Πατριαρχῶν καὶ Μητροπολιτῶν, καὶ οὐσιαστικῶν προνομίων Πατριαρχῶν, καὶ ὅτι ἀντὶ Διοικήσεως Ἐπαρχία ἐρρέθη ἑκάστη Διοίκησις τῶν Πατριαρχῶν, καὶ περὶ τῆς πρὸ τῆς Συνόδου Πατριαρχικῆς ἀξίας τοῦ Ἀντιοχείας, καὶ ἀνανεώσεως, οὐδόσεως τῶν πρεσβείων αὐτοῦ ὑπὸ τῆς δευτέρας Συνόδου.

Τὸ Μητροπολίτης ὄνομα ὑστερογενές ἐστι, τουτέστιν οὐκ ἦν ἐπὶ τῶν Ἀποστόλων, οὔτε εὐθὺς μετὰ τοὺς Ἀποστόλους, ὅτε γὰρ συνεγράφοντο οἱ ἀποστολικοὶ Κανόνες, ὁ Ἐπίσκοπος τῆς Μητροπόλεως πρῶτος καὶ κεφαλὴ ἐκαλεῖτο, ὡς εἴρηται ἀνωτέρω, μεταταῦτα δὲ οἱ τοιοῦτοι Ἐπίσκοποι Μητροπολῖται ἐρρέθησαν. ἐπεὶ δὲ ἡ συνήθεια τινὰς μὲν τῶν Μητροπολιτῶν ἀφῆκεν ἐν τῇ ἰδίᾳ τάξει, τισὶ δὲ δέδωκε τὴν ἄκραν τιμὴν ἐν τῇ Ἐκκλησίᾳ, πεποίηκε τὸ ὄνομα τοῦτο σημαίνειν δύο, πρῶτον, τὸν τῆς Ἐπαρχίας ἑκάστης Μητροπόλεως Ἐπίσκοπον, ὡς εἴρηται. δεύτερον, τοὺς Ἐπισκόπους τοὺς ἔχοντας τὴν πρώτην τιμὴν ἐν τῇ Ἐκκλησίᾳ, οἵτινες μεταταῦτα καὶ Πατριάρχαι ὠνομάσθησαν. διαφέρουσι δὲ οἱ Πατριάρχαι τῶν Μητροπολιτῶν ὥς φησιν ὁ Θεόδωρος ὁ Βαλσαμὼν ἐν τῇ περὶ τῶν πατριαρχικῶν προνομίων μελέτῃ ἱεροῖς τισιν ἀμφίοις, ἅτινα ὁ βουλόμενος ἰδέτω ἐκεῖ. ὕστερον δὲ προσεγένοντο καὶ στέφανοι λιθοκόλλητοι, ἅτινα πάντα εἰσὶν ἔξωθεν κόσμος, ὅθεν εἴτε καὶ πάρεισιν, εἴτε καὶ μὴ, οὐδὲν ἐλαττοῦται τὸ πατριαρχικὸν ἀξίωμα, τὰ οὐσιαστικὰ ὅμως προνόμια εἰσὶ ταῦτα, πρῶτον, ὅτι ὁ Πατριάρχης καθὸ Πατριάρχης οὐκ ἔχει ὑφ' ἑαυτὸν μίαν μόνην Ἐπαρχίαν ὡς ὁ Μητροπολίτης, ἀλλὰ Διοίκησιν, τουτέστι πολλὰς ὁμοῦ Ἐπαρχίας. ἐλέγοντο ὅμως τῇ ἀρχαίᾳ Ἐκκλησίᾳ ὡς καὶ ἐν τῷ παρόντι Κανόνι λέγονται καὶ Πατριάρχαι καὶ Μητροπολῖται Μητροπολῖται, καὶ αἱ Διοικήσεις καὶ Ἐπαρχίαι λέγονται κοινῶς Ἐπαρχίαι, οὐ μὴν διατοῦτο οὐκ εἶχε τότε διαφορὰν ὁ Πατριάρχης τοῦ Μητροπολίτου ὡς ἔχει καὶ νῦν. σημείωσαι δὲ ἐνταῦθα τέσσαράτινα, πρῶτον, ὅτι εἰ καὶ ἐλέγετο τὸ παλαιὸν ἡ τοῦ Ἀλεξανδρείας ἐνορία Ἐπαρχία, ἀλλ' ἐνοεῖτο ἀντὶ τῆς Διοικήσεως, οὐκ ἀληθὲς δὲ ὅτι ἡ Ἀλεξάνδρεια οὐκ εἶχε τότε ὑφ' ἑαυτὴν Μητροπολίτας ὡς οὖσα τάχα Ἐπαρχία, ἐπειδὴ εἰ οὐκ εἶχε τότε, πότε λαβοῦσα ἔσχεν; ὅτι δὲ εἶχε πρὸ τῆς ἐν Χαλκηδόνι Συνόδου, δῆλον, γράφοντες γὰρ οἱ Βασιλεῖς Θεοδόσιος καὶ Οὐαλεντιανὸς πρὸς Διόσκορον τὸν Ἀλεξανδρείας Σάκραν ἵνα ἀπέλθῃ εἰς τὴν ἐν Ἐφέσῳ κατ' αὐτὸν Σύνοδον λέγουσιν αὐτῷ, καὶ ἡ σὴ τοιγαροῦν ὁσιότης παραλαβοῦσα σὺν ἑαυτῇ δέκα μὲν εὐλαβεστάτους Ἐπισκόπους τῶν ὑπὸ τὴν αὐτὴν Διοίκησιν Μητροπολίτας, ἑτέρους δὲ δέκα ὁσιωτάτους Ἐπισκόπους. ὅπουγε δῆλον γίνεται ὅτι ἐξ ἀρχῆς ἦσαν ἐν τῇ ἐνορίᾳ τῆς Ἀλεξανδρείας Μητροπολῖται, καὶ ἡ ἐνορία Ἐπαρχία καλουμένη, ἀντὶ Διοικήσεως ἐλέγετο, καὶ τοῦ Ἀλεξανδρείας ἡ ἐξουσία ἐν τῇ Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει καὶ πρὸ τῆς πρώτης Συνόδου Πατριαρχικὴ ἦν. δεύτερον, σφαλερὸν ἄρα ἐστὶν ὅτι ἡ τοῦ Ἀντιοχείας ἐνορία Ἐπαρχία ἦν, καὶ γὰρ εἰ καὶ Ἐπαρχία ἐρρέθη, ἀλλ' ἀντὶ τῆς Διοικήσεως ἡ Ἐπαρχία ἐλήφθη, καὶ ὁ Ἀντιοχείας εἰ καὶ Μητροπολίτης ἐρρήθη, ἀλλὰ Πατριάρχης ἦν καὶ πρὸ τῆς πρώτης Συνόδου, καὶ ἰδὲ ἀνωτέρω τρίτον Παράγραφον. τρίτον, οὐκ ἔχεται ἀληθείας καὶ τοῦτο ὅτι ἡ δευτέρα Οἰκουμενικὴ ἔδωκε τὰ πρεσβεῖα, ἤτοι τὸ Πατριαρχικὸν ἀξίωμα τῷ Ἀντιοχείας, καὶ γὰρ τὸ ἔδωκεν ὅπερ φησιν ὁ Σωκράτης βιβλίῳ πέμπτῳ, κεφαλαίῳ ὀγδόῳ ἐννοεῖται ἀντὶ τοῦ ἀνενέωσεν. ὅθεν ἐν τῷ δευτέρῳ Κανόνι ἡ αὐτὴ Σύνοδος φησὶ, φυλαττομένων τῶν ἐν τοῖς Κανόσι τοῖς κατὰ Νίκαιαν πρεσβείων τῇ Ἀντιοχέων Ἐκκλησίᾳ, τουτέστιν ὅπερ ἡ συνήθεια μὲν ἔδωκεν αὐτῇ

αὐτῇ, ἡ δὲ πρώτη Οἰκουμενικὴ διὰ Κανόνος ἐβεβαίωσε τοῦτο αὐτῇ φυλάττεσθαι δεῖ, φυλάττεσθαι εἶπεν οὐ παρέχομεν. τέταρτον, εἰ καὶ ὁ Ῥώμης εἴρηται Ἐπίσκοπος ὑπὸ τῆς Συνόδου, καὶ γὰρ καθόλου αὐτῆς ἐστιν ὁ λόγος, καὶ ἡ ἐνορία αὐτοῦ Ἐπαρχία, οὐκ ἦν ὅμως ὁ Ῥώμης Μητροπολίτης κατὰ τὸ πρῶτον σημαινόμενον, ἀλλὰ Πατριάρχης, καὶ ἡ ἐνορία αὐτοῦ Διοίκησις, καὶ ἡ Ἐπαρχία αὐτοῦ ἀντὶ Διοικήσεως ἐλήφθη.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Γ'. ΠΑΡΑΓΡΑΦΟΝ Ι'

Περὶ δευτέρας διαφορᾶς Πατριαρχῶν καὶ Μητροπολιτῶν, καὶ ὧν δεῖ πράττειν αὐτοὺς, καὶ περίτινων ἐθίμων εἰς τοὺς Πατριάρχας μετελθόντων, ἐξ ὧν δείκνυται ἀποτρόπαιον τὸ ἀπὸ καθέδρας μόνον ἀποφαίνεσθαι τὸν Ῥώμης.

Δευτέρα διαφορὰ, ὥσπερ οἱ Πατριάρχαι χειροτονοῦσι τοὺς Μητροπολίτας τῆς αὐτῶν Διοικήσεως, οὕτως οἱ Μητροπολῖται τοὺς Ἐπισκόπους τῆς αὐτῶν Ἐπαρχίας. τρίτον, ὃν τρόπον οἱ Μητροπολῖται τοὺς Ἐπισκόπους τῆς ἰδίας Ἐπαρχίας προσκαλοῦνται εἰς Σύνοδον, οὕτως οἱ Πατριάρχαι τοὺς Μητροπολίτας τῆς Διοικήσεως προσκαλοῦνται εἰς ἄθροισιν Συνόδου. τέταρτον, οἱ Μητροπολῖται ἤθροιζον Συνόδους τῶν ἰδίων Ἐπισκόπων ἀπὸ τοῦ καιροῦ τῶν Ἀποστόλων ἕως τῆς ἑβδόμης Συνόδου καὶ μεταταῦτα, καὶ διέκρινον πᾶσαν ἀμφιβολίαν συμβαίνουσαν ἐν ταῖς Ἐπαρχίαις. ἐπεὶ δὲ συνέβαινεν ἐστ' ὅτε καὶ ὑπόθεσις, ἧς δὴ μὴ τεμνομένης ὑπὸ μόνης τῆς Συνόδου τῆς Ἐπαρχίας, ὁ Μητροπολίτης προσεκαλεῖτο τινὰς τῶν πλησιοχώρων Ἐπισκόπων ὡς κρίνωσι σὺν αὐτοῖς τὰ προσπίπτοντα, ὡς ὁ τεσσαρεσκαιδέκατος Κανὼν τῆς ἐν Ἀντιοχείᾳ φησὶ, καὶ ὁ ἕκτος Κανὼν τῆς δευτέρας Οἰκουμενικῆς, καὶ ὁ ἔνατος τῆς ἐν Χαλκηδόνι μέμνηται Ἐπισκόπου τῆς Διοικήσεως, ὡς καὶ τὸ πρῶτον δηλονότι ἐγίγνετο Σύνοδος ἀπὸ διαφόρων Ἐπαρχιῶν, οἷον ἐν Καρθαγένῃ ἐπὶ Κυπριανοῦ, καὶ ἐν Ἰκονίῳ ἐπὶ Φιρμιλιανοῦ, καὶ ἡ ἐν Ἀντιοχείᾳ κατὰ τοῦ Σαμοσατέως, ἡ δὲ συνήθεια ἔδωκε τοὺς Πατριάρχας ἔχειν τὴν Ἔκκλητον τῶν ὑφ' ἑαυτοὺς Μητροπολιτῶν τε καὶ Ἐπισκόπων, ἣν ὅτι γε καὶ πρότερον εἶχον προσγενομένην ἀπὸ τοῦ ἔθους καὶ τῶν Κανόνων, σαφές ἐστι, καὶ γὰρ ὁ Ἀλεξανδρείας εἶχε τὴν ἐξουσίαν τῆς Αἰγύπτου, Λιβύης καὶ Πενταπόλεως, καὶ ὁ Ἀντιοχείας τῶν τάδε Ἐπαρχιῶν καὶ Διοικήσεων, ἀλλὰ μεταταῦτα ἔλαβον ταύτην τελεώτατα, ὅθεν τῇ λήθῃ δέδοται τὸ, Ἔξαρχος τῆς Διοικήσεως, καὶ οἱ καλούμενοι πλησιόχωροι Ἐπίσκοποι εἰς τελεωτέραν κρίσιν ἐξέλιπον. τελευταῖον ἴδιον τῶν Πατριαρχῶν ἦν εὐθύνειν τοὺς Μητροπολίτας καὶ ἐπιφέρειν ἐν ταῖς ἐκκλησιαστικαῖς ὑποθέσεσι τὴν τελευταίαν ἀπόφασιν, ὥστε μὴ καταλείπεσθαι τοῦ ἀπ' ἐκείνου εἰς ἕτερον πρόσωπον ἐκκαλεῖσθαι τὴν κρίσιν, καὶ δῆλον γίνεται ἀπὸ τοῦ συνοπτικοῦ τῶν Νόμων τοῦ γενομένου ὑπὸ Λέοντος καὶ Κωνσταντίνου, ὅθεν ἐν τρίτῳ Τίτλῳ φησὶ, πασῶν τῶν Μητροπόλεων καὶ Ἐπισκοπείων μοναστηρίων τε καὶ Ἐκκλησιῶν ἡ πρόνοια καὶ φροντὶς, ἔτι δὲ καὶ κρίσις καὶ κατάκρισις καὶ ἀθῴωσις τῷ ἰδίῳ Πατριάρχῃ ἀνάκειται. πρὸς τούτοις φησὶν, εἰ συμβαίη τοὺς Ἐπισκόπους τῆς αὐτῆς Ἐπαρχίας ἀμφισβήτησίν τινα ἔχειν ἐν ἑαυτοῖς, ἢ περὶ ἐκκλησιαστικοῦ δικαίου, ἢ περὶ ἄλλης τινὸς ὑποθέσεως, πρῶτον ὁ Μητροπολίτης μετὰ δύο Ἐπισκόπων τῆς αὐτῆς Συνόδου ἢ Ἐπαρχίας ἀνακρινέτω τὸ πρᾶγμα, καὶ εἰ μὴ ἐφησυχάσῃ ἑκάτερον μέρος τῇ τοιαύτῃ κρίσει, τηνικαῦτα ὁ μακαριώτατος Πατριάρχης τῆς Διοικήσεως ἐκείνης μεταξὺ αὐτῶν ἀκροάσθω, κἀκεῖνα ὁριζέτω ἅτινα τοῖς ἐκκλησιαστικοῖς Κανόσι καὶ τοῖς Νόμοις συνᾴδει, οὐδενὸς μέρους κατὰ τῆς ψήφου αὐτοῦ ἀντιλέγειν δυναμένου, ὡς ἐθέσπισεν Ἰουστινιανὸς Νεαρᾷ ἑκατοστῇ εἰκοστῇ τρίτῃ, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, καὶ βασιλικῶν βιβλίῳ τρίτῳ, Τίτλῳ πρώτῳ, κεφαλαίῳ τριακοστῷ ὀγδόῳ, οὐδὲ γὰρ ἐκκαλοῦνται αἱ τῶν Πατριαρχῶν ψῆφοι. καὶ ὁ Φώτιος ἐν τῷ Νομοκανόνι Τίτλῳ ἐνάτῳ, κεφαλαίῳ ἕκτῳ φησί. περὶ τούτου εἰς πλάτος διαλέγεται καὶ ὁ σχολιαστὴς αὐτοῦ Βαλσαμὼν, καὶ ἰδὲ τὸν τόπον ἐκεῖ. ἐννοητέον ὅμως ὅτι οἱ Πατριάρχαι τὰ ἀνωτέρω οὐ μόνοι καὶ ἐξουσιαστικῶς ποιοῦσιν, ἀλλὰ συνοδικῶς καὶ κανονικῶς, ἄλλως γὰρ ἂν, ἡ ἀπόφασις αὐτῶν οὐδέν ἐστι, ὅθεν τοῦ Πάπα τὸ ἀπὸ καθέδρας μόνον ἀποφαίνεσθαι ὡς τολμηρὸν ἀποπεμπόμεθα.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Γ'. ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τοῦ πολυσήμου τῶν πρεσβείων, καὶ διαφορᾶς πρεσβείου, τιμῆς καὶ ἐξουσίας.

Ἡ, Πρεσβεῖον, φωνὴ πολύσημός ἐστι, καθότι λέγεται ὑπὸ τοῦ σχολιαστοῦ τοῦ Σοφοκλέους Πρεσβεῖον ἡ διὰ γῆρας προτίμησις καὶ τὸ διδόμενον διὰ τὸ γῆρας κατὰ προτίμησιν. καὶ ὑπὸ τοῦ Πλουτάρχου τὸ αὐτὸ τοῦ χρόνου πρωτεῖον, ὃ καλεῖται κυρίως Πρεσβεῖον. ὁ δὲ Πλύνιος λέγει Πρεσβεῖον ἡλικίας. τὸ αὐτό φησι καὶ Κλήμης παιδαγωγίας βιβλίῳ τρίτῳ, κεφαλαίῳ τρίτῳ. ἐν τούτοις ὅμως καὶ ἐν ἄλλοις Κανόσι πλατυτέρως λαμβάνεται ἀντὶ Προνομίων παντοίων προσηκόντων Ἐπισκόποις, καί τισιν Ἐκκλησίαις, ὅθεν ἐκ τούτου τοῦ τόπου λέγονται καὶ Προνόμια κανονικά. ἔστι δὲ διαφορὰ μεταξὺ τῶν Πρεσβείων

τῆς

τῆς τιμῆς καὶ τῆς ἐξουσίας, καὶ πρεσβεῖα μὲν τῆς πρώτης τιμῆς ἐν τῇ Ἐκκλησίᾳ ἐστὶ τὸ πατριαρχικὸν ἀξίωμα, ὅθεν ἡ δευτέρα Οἰκουμενικὴ δέδωκε τῷ Κωνσταντινουπόλεως πρεσβεῖα τιμῆς, ἔστινα ὡς εἴρηται καὶ μόνα σωίζωσι τὸ πατριαρχικὸν ἀξίωμα, καὶ γὰρ μόνον τῆς τιμῆς τὸ πρεσβεῖον ἔχων ὁ Κωνσταντινουπόλεως ἡγεῖται τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς, καίτοιγε ἐχόντων ἐκείνων καὶ τὰ πρεσβεῖα τῆς ἐξουσίας. ἐν τῷ παρόντι ὅμως Κανόνι βεβαιοῦται τὰ πρεσβεῖα τῆς τιμῆς καὶ τῆς ἐξουσίας τῆ Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ῥώμης, καὶ τὰ πρεσβεῖα τῆς τιμῆς καὶ ἐξουσίας τῶν Μητροπολιτῶν πάντων, δηλονότι τῶν ὑπὸ τὰς Πατριάρχας καὶ τῶν μὴ ὑποκειμένων Πατριάρχαις, ἤτοι Ἀσίας, Πόντου, Θράκης, Κύπρου, Ἀφρικῆς καὶ τῶν λοιπῶν, ὥστε μένειν βίαια καὶ οὐταῖς χειροτονίαις καὶ εἰς πᾶσαν ἄλλην ἐκκλησιαστικὴν κυβέρνησιν καὶ παρ' ἁπάντων τῶν Μητροπολιτῶν καὶ τῶν ὑπὸ τῶν Πατριαρχῶν πάντων.

ΒΙΒΛΙΟΝ Β'. ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἑρμηνεία τοῦ ἑβδόμου Κανόνος τῆς ἐν Νικαίᾳ πρώτης Συνόδου, ἐν ᾧ καὶ περὶ τοῦ Πατριαρχείου τῶν Ἱεροσολύμων λόγος γίνεται.

Ὅτι μὲν οὐκ ἐμόνον περὶ τῶν Μητροπολιτῶν, ἀλλὰ καὶ περὶ τῶν τελῶν Πατριαρχῶν ἡ ἁγία Σύνοδος διελέχθη ἐν τῷ ὀκτῳ Κανόνι, διείληπται ἡμῖν σαφέστατα ἐν τῷ ἀνωτέρῳ κεφαλαίῳ, ἀλλὰ καὶ περὶ τοῦ θείου Ἱεροσολύμων οὗ Πατριαρχείου ἐβεβαιώθη ὑπὸ τῆς αὐτῆς Συνόδου, διειλήφασιν εἰρῆσθαι ἐν τῷ ὀκτῳ Παραγεγράφῳ τοῦ αὐτοῦ κεφαλαίου. ἐνταῦθα δὲ λέγουσιν ἔτι ὅ,τε Ζωναρᾶς καὶ ὁ Ἀριστηνός, ὁμοῦ δὴ ὥσπερ τοῦ Ἀλεξανδρείας καὶ τοῦ Ἀντιοχείας ὁσαὶ τότε Κανὼν τὰ πρεσβεῖα ἐν Ἐπαρχίαις αὐτῶν ἀπένειμον, ἕως οὗ παρὼν Κανὼν τῷ τῆς Αἰλίας Ἐπισκόπῳ τιμὴν ἐν τῇ οἰκείᾳ Ἐπαρχίᾳ ἐψηφίσατο, καὶ σώζεσθαι τῇ τῶν Ἱεροσολύμων πόλει ἧς καὶ Αἰλία λέγεται τὸ οἰκεῖον ἀξίωμα διωρίσατο, ὡς ὑπερκειμένης τῶν ἐν Παλαιστίνῃ πόλεων καὶ Ἀραβίᾳ καὶ Φοινίκῃ. ὁ δὲ λέγει ὅτι ἡ σκαιὰ τρίτη Νεαρὰ ἐν τῷ πρώτῳ Τίτλῳ τῆς πρώτης βιβλίου κειμένη τὸν Ἱεροσολύμων Ἐπίσκοπον Πατριάρχην λέγει, δεῖ γὰν κατὰ τὸν παρόντα Κανόνα τὸν τῆς Αἰλίας Ἐπίσκοπον τῆ τοῦ Πατριάρχου τιμᾶσθαι τιμῇ. δείκνυται δὲ ἐκ τοῦ παρόντος Κανόνος τοῦτο, ὅτι ἐμόνον ἡ τῶν Πατριαρχῶν ἀξία ἐκεκύρωται, ἀλλ' ἅγε καὶ ἡ τῆς τιμῆς τάξις ἐγένετο, τοῦτο ἀριδήλως διδάσκει ὁ παρὼν Κανών, διὸ τέταρτος βαθμὸς τῆς τιμῆς δίδοται τῷ Ἐπισκόπῳ Ἱεροσολύμων, δηλονότι καταριθμεῖσθαι τοῦτον μετὰ τοὺς τρεῖς Πατριάρχας, τὸν Ῥώμης, Ἀλεξανδρείας καὶ Ἀντιοχείας, ἐπειδὴ συνήθεια κεκράτηκε καὶ ἀρχαία παράδοσις, ἐχέτω τῆς τιμῆς τὴν ἀκολουθίαν. ἤδηλοῖ τιμὴν τετάρτην, ἀλλὰ τὴν τάξιν τῆς αὐτῆς τιμῆς, δηλαδὴ τὴν πρώτην τάξιν μετὰ τοὺς τρεῖς Πατριάρχας ἐχέτω ὁ Ἱεροσολύμων Ἐπίσκοπος. ἐπείπερ πάντως ἡ Σύνοδος φροντίδα πεποίηκε περὶ τῆς τάξεως τῶν Πατριαρχῶν ἐν τῇ σημειώσει τοῦ τόπου τούτου τοῦ Ἐπισκόπου, δεῖ ἡμᾶς ἐννοεῖν τοῦτο γεγονέναι ἐν τῷ ὀκτῳ Κανόνι μεταξὺ τῶν τελῶν Πατριαρχῶν, ὥστε ἐν τῇ τάξει τῶν ὑπογεγραφῶν τὸν μὲν Ἀντιοχείας εἶναι τέταρτον, τὸν Ἀλεξανδρείας δεύτερον καὶ τὸν Ῥώμης πρῶτον. τὸ δὲ, σώζεσθαι τὸ οἰκεῖον ἀξίωμα ἐν τῇ Μητροπόλει, ἀναγκαστικόν ἐστι τοῦ μὴ εἶναι ἀφορμὴν τὸ τῆς τιμῆς, ἀλλ' αὐτῇ τῇ Μητροπόλει Ἱερουσαλὴμ ἀφορισμόν, ὡς διαβαίνειν τὸν τιμὸν εἰς τὸν ἁπλῶς κατὰ χώρας Ἐπίσκοπον αὐτῆς, ἀλλὰ μὴ εἰς τόνδε ἢ τόνδε. τὸ γὰρ λέγειν ὑποκεῖσθαι τὸ Πατριαρχεῖον Ἱεροσολύμων τῇ Μητροπολίτῃ Καισαρείας, ἐμοὶ, καὶ παντὶ ὀρθῶς ἀναγινώσκοντι τοὺς παρόντας Κανόνας τέως αὐτόθεν τόνεσιν, ἐν γὰρ τοῖς ἀμφιβόλοις τὸν αὐεπίληπτον ἑρμηνείαν χρὴ δέχεσθαι, ὡς βιβλίῳ δευτέρῳ Τίτλῳ πρώτῳ κεφαλαίῳ εἰκοστῷ ἐνάτῳ τῶν βασιλικῶν λέγεται.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Δ'. ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν ἐξ ἀντιθέσεων τῶν γεγαλομένων ὑπὸ τῶν ἀποδιδόντων ἀποδεῖξαι τὸν Ἱεροσολύμων τῇ Καισαρείας τῆς Παλαιστίνης ὑποκείμενον, ὑπὸ τοῦ, σωζομένης τῇ Μητροπόλει τοῦ οἰκείου ἀξιώματος ἐν τῷ Κανόνι ῥητοῦ ἀρχομένων.

Σωζομένης τῇ Μητροπόλει τοῦ οἰκείου ἀξιώματος. ἐν τούτῳ τῷ χωρίῳ οἱ βουλόμενοι εἶναί ποτε τὸν Ἱεροσολύμων ὑπὸ τὴν Καισάρειαν, γεγονέναι ἀντιθέσεις λέγουσι, καὶ πρώτην, ὅτι ὁ Βαλσαμὼν καὶ

καὶ ὁ Ἀριστηνὸς καὶ ἕτεροί τινες ὥς φησιν ὁ Ζωναρᾶς λέγουσιν ὅτι ἡ Ἱερουσαλὴμ ἦν ποτε Ἐπισκοπὴ τοῦ Καισαρείας τῆς Παλαιστίνης, καὶ ἐπειδὴ κατέστη εἰς Πατριαρχεῖον, δεῖ φυλάττεσθαι τὸ τοῦ Καισαρείας ἀξίωμα ἀκαινοτόμητον. δευτέραν, ὅτι εἰ δοίημεν τὸν τῶν Ἱεροσολύμων Ἐπίσκοπον διὰ τοῦ παρόντος Κανόνος συνίστασθαι Πατριάρχην, τοιοῦτος Πατριάρχης γέγονεν ὅστις ὑπέκειτο τῷ Μητροπολίτῃ, κἀντεῦθεν οὐ κυρίως Πατριάρχης. ἐντεῦθεν φασὶ τιμήτις ἢ μᾶλλον εἰπεῖν ἀκολουθία τιμῆς τῷ Αἰλίας Ἐπισκόπῳ κυροῦται, ἐννοουμένου μέντοι καὶ τούτου, ὅτι οὐδὲ μία ὕφεσις ἐξουσίας τῷ Καισαρείας Ἐπισκόπῳ γέγονε, μάλιστα δὲ ὁποιονδηποτοῦν προνόμιον Μητροπολιτικὸν εἶχε πρότερον, τοῦτο καὶ ἐνταῦθα βεβαιοῦται, ᾧτινι εἶναι τὴν Ἐκκλησίαν Ἱεροσολύμων τούτῳ ὑποκειμένην καὶ μετὰ τὸν παρόντα Κανόνα ἐκ τοῦ ἰδίου Κανόνος παρίσταται, ὡς καὶ ὁ Ἱερώνυμος ἐνόησεν ἐν τῇ πρὸς Παμμάχιον ἐπιστολῇ γράφων κατὰ τοῦ Ἱεροσολύμων Ἰωάννου. τρίτην, ὅτι πρῶτος ὁ Ἱεροσολύμων Ἰουβενάλιος ἀντεποιήθη τῶν πρεσβείων τῶν Πατριαρχικῶν, ὡς ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ φαίνεται, ἀλλ' ὁ Ἀλεξανδρείας Κύριλλος δικαίως αὐτῷ ἀντέστη. τετάρτην, ὅτι εἰ καὶ ὁ Πάπας Λέων τὴν τοῦ Ἰουβεναλίου παρανομίαν ὡς ἀντικειμένην τῷ παρόντι Κανόνι κατέκρινεν, ὡς δῆλον καθίσταται ἐκ τῆς ἐκείνου ἑξηκοστῆς δευτέρας ἐπιστολῆς πρὸς Μάξιμον τὸν Ἀντιοχείας, ἐν ᾗ καὶ τοῦτο φησὶν, ὁμοίως ἐν τῇ Ἐφεσινῇ Συνόδῳ, ἥτις τὸν ἀσεβῆ Νεστόριον συὶ τοῖς αὐτοῦ κατέκρινε δόγμασιν ὁ Ἰουβενάλιος πρὸς τὸ λαβεῖν τὸ πρωτεῖον τῆς Ἐπαρχίας, Πατριάρχην ἐπίστευσεν ἑαυτὸν ἱκανὸν γενέσθαι, καὶ τετόλμηκε τὰς ἀταξίας αὐτοῦ βεβαιῶσαι διά τινων πεπλασμένων γραφῶν, ὅπερ ὁ ἐνμακαρίᾳ τῇ λήξει Κύριλλος ὁ Ἀλεξανδρείας δικαίως κατορρωδήσας, οἰκείοις γράμμασιν ἐσημειώσατόμοι τὶ τετόλμηκεν ἡ προειρημένη ἐπιθυμία, καὶ πεφροντισμένη δεήσει πολλὰ ἐζήτησεν, ὅπως μὴ δὲ μία δοθῇ ἀνάβασις καὶ αὔξησις τιμῆς τοῖς ἀθέσμως πειρωμένοις, ἀλλὰ πρὸς τούτοις καὶ ἐπιστολῇ εὑρίσκεται τοῦ Κυρίλλου πρὸς Γεννάδιον Ἀρχιμανδρίτην, ἐν ᾗ λέγει, ὅτι τὸν Αἰλιέων Ἐπίσκοπον οἱ ἐκκλησιαστικοὶ θεσμοὶ τῆς Παλαιστίνης Ἡγούμενον οὐκ ἴσασι. καὶ κατωτέρω φησὶν ὁ αὐτὸς Λέων, τοῦτό ἐστιν ἴδιον τῆς ἐμῆς ἀποφάσεως, ὅτι ὁπηνίκα ἀριθμός τις Ἱερέων πλειόνων κυρώσῃ τὶ διὰ συναρπαγὴν μερικῶν ὅπερ ἐναντίον φανείη ἐν ταῖς ὑποθέσεσιν ἐκείνων τῶν τριακοσίων δεκαοκτὼ, τοῦτο πιπτέτω τῷ τῆς δικαιοσύνης στοχασμῷ. καὶ λοιπὸν λέγουσι καὶ ἐν τοῖς καιροῖς τῆς ἐν Ἐφέσῳ Συνόδου ὁ Ἱεροσολύμων Ἐπίσκοπος οὐκ εἶχε τὰ πρωτεῖα τῆς Παλαιστίνης. πέμπτην, οὗτος ὁ Ἰουβενάλιος φασὶν οὐ μόνον μετὰ τοῦ Καισαρείας, ἀλλὰ καὶ μετὰ τοῦ Ἀντιοχείας Μαξίμου ἠγωνίσατο περὶ τοῦ πρωτείου, εἰ καὶ ὕστερον συνεφώνησαν, ὥστε πρότερον οὔτε Ἐπαρχίαν εἶχεν ὁ Αἰλίας, οὔτε διοίκησιν, ἀλλ' ἐπὶ τῆς ἐν Χαλκηδόνι Συνόδου ἔλαβε τὴν ἐξουσίαν τῶν τριῶν Παλαιστινῶν. ἕκτην, εἰ μόνον δέδοται φασιν ἡ τιμὴ τῷ Ἱεροσολύμων ἄνευ ἐξουσίας, οὐ θαυμαστὸν νομιστέον, καὶ ἡ δευτέρα Οἰκουμενικὴ τῷ Κωνσταντινουπόλεως τὰ πρεσβεῖα τῆς τιμῆς δέδωκεν ἄνευ τινὸς προνομίου, καὶ ἡ ἐν Χαλκηδόνι Συνόδος Κανόνι δωδεκάτῳ διωρίσατο ὅσαι πόλεις διὰ γραμμάτων βασιλικῶν τὴν τῆς Μητροπόλεως τιμὴν ἔλαβον, οἱ ἐκείνων Ἐπίσκοποι μόνης ἀπολαυέτωσαν τῆς τιμῆς, προκειμένης τῆς αὐτῆς αἰτίας ἥτις ἐν τῷ παρόντι Κανόνι κεῖται, ἤτοι σωζομένων τῇ κατὰ ἀλήθειαν Μητροπόλει τῶν οἰκείων δικαίων διὰ τὴν αὐτὴν ἄρα αἰτίαν καὶ ὁ παρὼν Κανὼν τῷ Αἰλίας πρεσβεῖα τιμῆς ἔδωκε, φυλάξας ἀκέραιον τὸ ἀξίωμα τῆς Καισαρείας. οὕτως ὁ Μαρκιανὸς τὴν Χαλκηδόνα, καὶ ὁ Οὐαλεντιανὸς τὴν Νίκαιαν ἐτίμησαν, καὶ ἰδὲ τῆς ἐν Χαλκηδόνι πρᾶξιν τρεισκαιδεκάτην.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Δ'. ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ τίνες εἰσὶν οἱ τὰς ἀντιθέσεις ταύτας προβάλλοντες, καὶ περὶ τῆς πρὸ τοῦ ἀπαντῆσαι ταῖς ἀντιθέσεσιν ἀποδείξεως ἀπὸ Ἰακώβου καὶ τῶν μετ' αὐτὸν ὅτι ὁ Ἱεροσολύμων ἦν ἀρχαῖος Πατριάρχης, καὶ οὐδενίτινι ὑποκείμενος.

Ταῦτα οὐπάντες λέγουσιν, ἀλλὰ τινὲς τῶν παπιστῶν καὶ τῶν Καλβίνων, ὅτι δὲ ψεύδονται προφανῶς, πασίδηλόν ἐστιν, ἐπειδὴ ὁ τῷόντι ἀποστολικὸς θρόνος τῶν Ἱεροσολύμων ὅτι ἐπρώτευε σχεδὸν πάσης τῆς Οἰκουμένης, καὶ ἡ προεδρία αὐτοῦ ἦν ἡ πρώτη ἐν τοῖς Ἀποστόλοις τιμὴ, φανερόν ἐστιν. ὁ γὰρ Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης μετὰ τὴν Ἀνάληψιν τοῦ Κυρίου ἅτε ὑπ' αὐτοῦ τετιμημένοι ἵνα μὴ πέσωσιν εἰς φιλονεικίαν, καὶ διακρίνωνται περὶ τιμῆς τινὸς, ἑπόμενον γὰρ ἦν τὸν ἐξ αὐτῶν γινόμενον Ἱεροσολύμων Ἐπίσκοπον ἔχειν τὴν πρώτην τιμὴν, οὐκ ἠθέλησαν τὴν Ἐπισκοπὴν, ἀλλ' ἐξελέξαντο Ἐπίσκοπον Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου λέγει ὁ Εὐσέβιος. ἵνα δὲ μή τις νομίσῃ μικρόν τινα εἶναι τὸν Ἰάκωβον, λέγει ὁ αὐτὸς κατωτέρω βιβλίου δευτέρου κεφαλαίῳ πρώτῳ, Ἰακώβῳ τῷ δικαίῳ καὶ Ἰωάννῃ καὶ Πέτρῳ μετὰ τὴν Ἀνάστασιν παρέδωκε τὴν γνῶσιν ὁ Κύριος, οὗτοι δὲ τοῖς λοιποῖς Ἀποστόλοις παρέδωκαν. ὁ αὐτὸς λέγει περὶ τῶν Ἰουδαίων, ἐπὶ Ἰάκωβον τὸν τοῦ Κυρίου τρέπονται ἀδελφὸν, ᾧ πρὸς τῶν Ἀποστόλων ὁ τῆς Ἐπισκοπῆς τῆς ἐν Ἱεροσολύμοις ἐγκεχείριστο

ριστο θρόνος, βιβλίου δευτέρου κεφαλαίῳ εἰκοστῷ τρίτῳ, ἰδὲ καὶ ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ πρώτῳ καὶ πέμπτῳ καὶ ἑνδεκάτῳ, καὶ κατωτέρω βιβλίου δεκάτου μέρους τεταρτου κεφαλαίου πρώτου Παραγράφῳ ἕκτῳ τὰ ἐγκώμια τῆς τιμῆς καὶ τῆς ἀξίας τοῦ Ἀδελφοθέου, καὶ ἐν ταῖς τῶν Ἀποστόλων Διαταγαῖς βιβλίου ὀγδόου κεφαλαίῳ δεκάτῳ πρῶτος ἐμνημονεύετο ὁ Ἰάκωβος τοῦ Ἀντιοχείας καὶ τοῦ Ῥώμης. καὶ ὁ Παῦλος ὡς πρὸς μείζονα καὶ τιμιώτερον αὐτοῦ εἰσῆλθε πρὸς τὸν Ἰάκωβον, ὥς φησιν ὁ Χρυσόστομος εἰς τὴν ἑρμηνείαν τοῦ πρώτου κεφαλαίου τῆς πρὸς Γαλάτας ἐπιστολῆς. περὶ δὲ τοῦ δευτέρου Ἱεραρχοῦ τῶν Ἱεροσολύμων, εἰ καὶ εἴρηται ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ δευτέρῳ, ἀλλὰ καὶ ἤδη ῥητέον, λέγει γὰρ ὁ Εὐσέβιος, μετὰ τὴν Ἰακώβου μαρτυρίαν καὶ τὴν αὐτίκα γενομένην ἅλωσιν τῆς Ἱερουσαλὴμ λόγος κατέχει τῶν Ἀποστόλων καὶ τῶν τοῦ Κυρίου μαθητῶν τοὺς εἰσέτι τῷ βίῳ λειπομένους ἐπιτοαυτὸ πανταχόθεν συνελθεῖν ἅμα τοῖς πρὸς γένους κατὰ σάρκα τοῦ Κυρίου, βουλήν τε ὁμοῦ περὶ τοῦ τίνα χρὴ τῆς Ἰακώβου διαδοχῆς ἐπικρῖναι ἄξιον ποιήσασθαι, καὶ δὴ ὡς ἀπὸ μιᾶς γνώμης τοὺς πάντας Συμεῶνα τὸν τοῦ Κλωπᾶ τοῦ τῆς αὐτόθι παροικίας θρόνου ἄξιον εἶναι δοκιμάσαι, ἀνεψιὸν ὥς γέ φασι γεγονότα τοῦ Σωτῆρος, βιβλίου τρίτου κεφαλαίῳ ἑνδεκάτῳ. τοῦ Συμεὼν τελειωθέντος, τῆς ἐν Ἱεροσολύμοις Ἐπισκοπῆς τὸν θρόνον διεδέξατο Ἰοῦστος, βιβλίου τρίτου κεφαλαίῳ τριακοστῷ πέμπτῳ. οἱ ἐν Ἱεροσολύμοις Ἐπίσκοποι γεγόνασιν ἀπὸ Ἰακώβου ἕως τοῦ Ἰούδα δεκαπέντε, καὶ πάντες ἐκ περιτομῆς ἕως Ἀδριανοῦ, βιβλίου τετάρτου κεφαλαίῳ πέμπτῳ. ἀπὸ τῶν Ἀποστόλων ἕως Ναρκίσσου κατὰ τὴν τῶν ἑξῆς διαδοχὴν τριακοστῶν γεγενημένων, βιβλίου πέμπτου κεφαλαίῳ δωδεκάτῳ. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι ὁ Ἰάκωβος ὑπὸ τῶν Ἀποστόλων κατέστη Ἐπίσκοπος. δεύτερον, ὅτι ἔδωκεν αὐτῷ ὁ Κύριος τὸν θρόνον αὐτοῦ ἐπὶ τῆς γῆς λέγει ὁ Ἐπιφάνιος. τρίτον, φανερόν ἐστιν ὅτι μηδενὶ ἦν ὑποκείμενος, ἀλλὰ πρῶτος ὡς εἴρηται. τέταρτον, καὶ τοιοῦτος πρῶτος, ὥστε προηγεῖσθαι καὶ τοῦ Ἀντιοχείας καὶ τοῦ Ῥώμης. πέμπτον, ὅτι τὸν μετ' αὐτὸν Συμεὼν οὐ Μητροπολίτης τις ἐχειροτόνησεν, ἀλλ' οἱ Ἀπόστολοι καὶ οἱ συγγενεῖς τοῦ Κυρίου εἰς τὴν Ἐπισκοπὴν ἀποκατέστησαν, καὶ ὥστε εἶναι οὐ σμικρόν τινα, ἀλλὰ διάδοχον τοῦ Ἀδελφοθέου. ἕκτον, ὅτι καὶ οἱ μετὰ τὸν Ἰάκωβον ἕως Ναρκίσσου τὴν διαδοχὴν ἀποστολικὴν εἶχον, ὅθεν καὶ τὴν ἐκλογὴν εἶχον ὑπὸ τῶν πρωτευόντων ἐν τῇ Ἐπαρχίᾳ ὧν καὶ προήδρευον, διὸ ὁ Εὐσέβιος λέγει, τοῦ Ναρκίσσου ἀνακεχωρηκότος, δόξαν τοῖς τῶν ὁμόρων Ἐκκλησιῶν προεστῶσιν (οὐ λέγει δόξαν τῷ Καισαρείας καὶ τοῖς Ἐπισκόποις αὐτοῦ, ἀλλὰ τοῖς προεστῶσιν, ἤτοι τοῖς ἐν ταῖς Ἐπαρχίαις Μητροπολίταις) ἐφ' ἑτέρου μετίασιν Ἐπισκόπου χειροτονίαν, Δίων τούτῳ ὄνομα. ἀναφανεὶς δὲ ὁ Ναρκίσσος, αὖθις ὑπὸ τῶν ἀδελφῶν ἐπὶ τὴν προστασίαν παρακαλεῖται, καὶ οὐ λέγει ὑπὸ τοῦ ἀδελφοῦ, ἢ τοῦ Καισαρείας, ἀλλ' ὑπὸ τῶν ἀδελφῶν, ἤτοι τῶν προεστώτων τῶν ὁμόρων Ἐκκλησιῶν, τουτέστι τῶν Μητροπολιτῶν. Ὁ αὐτός φησι, καὶ δὴ μηκέτι οἵου τε ὄντος (τοῦ Ναρκίσσου) λειτουργεῖν διὰ λιπαρὸν γῆρας, τὸν εἰρημένον Ἀλέξανδρον ἑτέρας ὑπάρχοντα παροικίας οἰκονομία Θεοῦ εἰς τὴν ἅμα Ναρκίσσῳ λειτουργίαν ἐκάλει, κατὰ ἀποκάλυψιν αὐτῷ νύκτωρ φανεῖσα, βιβλίου ἕκτου κεφαλαίῳ δεκάτῳ. καὶ σημείωσαι ὅτι τούτῳ ἐγένετο ἡ ἀποκάλυψις, καὶ μόνος τὸν Ἀλέξανδρον προσελάβετο συνεπισκοπεύειν, ὡς ἔχων ἐξουσίαν ἰδικὴν, καὶ μηδενὶ ὑποκείμενος ὁ Ναρκίσσος. περὶ τοῦ αὐτοῦ Ἀλεξάνδρου λέγει ὁ αὐτὸς Εὐσέβιος, τοῦ Ἀλεξάνδρου ἀπερχομένου εἰς Ἱερουσαλὴμ, οἱ ἐντόπιοι διετάχθησαν τὸν προωρισμένον αὐτοῖς Ἐπίσκοπον ἔρχεσθαι. Καὶ, τοῦτο δὲ πράξαντες μετὰ κοινῆς τῶν Ἐπισκόπων οἳ τὰς πέριξ διεῖπον Ἐκκλησίας γνώμης, ἐπάναγκες αὐτὸν παραμένειν βιάζονται, βιβλίου ἕκτου κεφαλαίῳ ἑνδεκάτῳ. καὶ σημείωσαι ὅτι οἱ πέριξ Ἐπίσκοποι οὐχ εἷς ὁ Καισαρείας ἔδωκαν γνώμην τοῦτον βιάσασθαι παραμένειν, ὅθεν ἐν τῷ αὐτῷ κεφαλαίῳ φησὶν ὡς ὁ Ἀλέξανδρος ἔγραψεν εἰς Ἀντιόχειαν ἐπιστολὴν περὶ ἐκκλησιαστικῆς καταστάσεως, ὅπερ σημεῖόν ἐστιν προεδρίαν ἔχοντος καὶ μηδενὶ ὑποκειμένου. Ὁ αὐτὸς φησὶ, τῆς ἐν Ἱεροσολύμοις Ἐκκλησίας μετὰ Ὑμέναιον Ζάμβας τὴν λειτουργίαν παραλαμβάνει, μετ' οὐ πολὺ δὲ τούτου κεκοιμημένου, ἕρμων τὸν εἰσέτι καὶ νῦν ἐκεῖσε πεφυλαγμένον ἀποστολικὸν διαδέχεται θρόνον, βιβλίου ἑβδόμου κεφαλαίῳ ὑστάτῳ. καὶ σημείωσαι ὅτι ὁ Ὑμέναιος εἶχε τὴν πρώτην τάξιν ἐν τῇ ἐν Ἀντιοχείᾳ Συνόδῳ, ὥστε δῆλον μὴ εἶναι αὐτὸν ἁπλῶς Ἐπίσκοπον. ὁ Νάρκισσος μετὰ δεκατεσσάρων Ἐπισκόπων ἐποίησε Συνόδον περὶ τοῦ Πάσχα. ὁ εἰρημένος Ἀλέξανδρος ὅστις ἦν ἐπὶ Δεκίου λέγεται ἐν τῷ Μηνολογίῳ Δεκεμβρίου δωδεκάτῃ Ἀρχιεπίσκοπος Ἱεροσολύμων. καὶ ὁ Ἕρμων τὸν ἀποστολικὸν τοῦ Ἰακώβου διαδέχεται θρόνον. καὶ σημείωσαι ὅτι ἔχων ἐκείνου καὶ τὴν τιμὴν καὶ τὴν ἀξίαν, ἔπεμψε κήρυκας εἰς Χερσῶνα. πρὸς τούτοις, ὁ Ἐπιφάνιος θέλων εἰπεῖν τὴν τῶν Ἀποστόλων διαδοχὴν, οὐκ ἤρξατο ἀπὸ τοῦ Καισαρείας, ἢ ἀπ' αὐτοῦ τοῦ Ῥώμης καὶ τῶν καθεξῆς Πατριαρχῶν, ἀλλ' ἀπὸ τοῦ Ἱεροσολύμων Ἰακώβου βεβαιοῖ τὴν ἀποστολικὴν διαδοχὴν ἕως τοῦ Κυρίλλου, Αἱρέσει ἑξηκοστῇ ἕκτῃ, ἤτοι τῶν Μανιχαίων. καὶ οἱ ἐκκλησιαστικοὶ ἱστορικοὶ Εὐσέβιος καὶ οἱ λοιποὶ ἐν ταῖς συγγραφαῖς αὐτῶν, εἰ καὶ σπανίως μέμνηνται καὶ τινων Ἐπισκόπων ἁγίων καὶ ἐναρέτων, πάντοτε ὅμως ἐξίσου καὶ κατὰ τὸ αὐτὸ μνημονεύουσι τῶν τεσσάρων θρόνων Ῥώμης, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων, οὓς καὶ πρώτους καὶ ἀποστολικοὺς ὀνομάζουσιν, ὅπερ σημεῖ-

σημεῖόν ἐστι τῆς αὐτῆς καὶ πρώτης τιμῆς ἣν καὶ οἱ τέσσαρες ὁμοῦ εἶχον καὶ ἀξίας, καὶ ἐν ταῖς αὐτῶν Διοικήσεσιν ἐξουσίας.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Δ'. ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ ἀποδείξεως ἀπὸ τῶν νεωτέρων ὅτι ὁ Ἱεροσολύμων ἦν τε καὶ ἐστὶ Πατριάρχης.

Οὐμὴν ἀλλὰ καὶ οἱ μεταταῦτα οὕτως αὐτοὺς καλοῦσι, φησὶ γὰρ ὁ Θεοδώριτος, τοῦτον δὲ τὸν χρόνον τῆς μὲν Ῥωμαίων Ἐκκλησίας Σίλβεστρος κατεῖχε τὰς ἡνίας, ἐν Ἀντιοχείᾳ δὲ μετὰ τύραννον Βιτάλιος τὴν Ἡγεμονίαν παρέλαβε, τὴν ἐν Ἱεροσολύμοις δὲ μετὰ Ἕρμωνα Μακάριος ἐπιστεύθη, φερώνυμος ἀνὴρ, καὶ παντοδαποῖς κοσμούμενος ἀγαθοῖς, καὶ ἐν Ἀλεξανδρείᾳ Ἀλέξανδρος ἦν. ὁ δὲ Ἑρμείας φησὶν, ἡγεῖτο μὲν τῆς Ῥωμαίων Ἐκκλησίας Σίλβεστρος, τῆς δὲ Ἀλεξανδρέων Ἀλέξανδρος, καὶ Μακάριος τῆς Ἱεροσολύμων. Ὁ αὐτὸς, Ἰούλιος μὲν τὸν ἐν Ῥώμῃ διέπρεπε θρόνον, Μάξιμος δὲ μετὰ Μακάριον τὸν Ἱεροσολύμων, τοῦτον Μακάριος ἐχειροτόνησε Λύδδης, ἐδέξαντο ὅμως αὐτὸν οἱ Ἱεροσολυμῖται. καὶ κατωτέρω, γνώμῃ Μακαρίου ὁ Μάξιμος ἐβιάσθη ὑπὸ τοῦ πλήθους μεῖναι εἰς Ἱερουσαλὴμ, καὶ ἐπισκοποῦσαι μετὰ Μακάριον. ἐδεδίει γὰρ μὴ τελευτήσαντος αὐτοῦ καιρὸν εὑρόντες οἱ ἀμφὶ τὸν Εὐσέβιον καὶ Πατρόφιλον τοὺς Ἀρειανοὺς, ὁμοδόξῳ τὸν ἐνθάδε θρόνον ἐπιτρέψωσιν, ἐπεὶ καὶ Μακαρίου περιόντος νεωτερίσαι ἐπεχείρησαν, ἀφορισθέντες δὲ παρ' αὐτοῦ, διατοῦτο ἡσυχίαν ἦγον, βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ. καὶ σημείωσαι ὅτι οὐχ ὁ Εὐσέβιος, ἀλλὰ καὶ ὁ Σκυθοπόλεως ἐπεβούλευε τῷ θρόνῳ τῷ ἀποστολικῷ, ὥστε δῆλόν ἐστι μὴ εἶναι τῷ Καισαρείας ὑποκείμενον. δεύτερον, ὁ Μακάριος ἀφώρισε καὶ τὸν Καισαρείας καὶ τὸν Σκυθοπόλεως, καὶ λοιπὸν εἶχεν ἐξουσίαν ἐπὶ τῶν Ἐπαρχιῶν, τουτέστιν ἐν τῇ Διοικήσει. τρίτον, ὁ Μακάριος ἐχειροτόνησε τὸν Μάξιμον Λύδδης, καὶ ἐψηφίσατο Ἱεροσολύμων, ὅστις Μάξιμος καὶ ἕτεροι ἔγραψαν ὑπὲρ τοῦ μεγάλου Ἀθανασίου εἰς Ἀλεξάνδρειαν ὥς φησιν Ἑρμείας βιβλίῳ τρίτῳ κεφαλαίῳ εἰκοστῷ πρώτῳ. ὁ δὲ Σωκράτης λέγει, παραγενομένου τοῦ Ἀθανασίου εἰς Ἱερουσαλὴμ, Μάξιμος μηδὲν ἀμελήσας, μετεπέμπετο τινὰς τῶν ἀπὸ Συρίας Ἐπισκόπων, καὶ καθίσας συνέδριον, ἀποδίδωσι καὶ αὐτὸς τὴν κοινωνίαν Ἀθανασίῳ καὶ τὴν ἀξίαν αὐτοῦ, βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ τετάρτῳ. καὶ σημείωσαι ὅτι ὁ Μάξιμος προσεκαλέσατο καὶ ἤθροισε τὸ συνέδριον, καὶ πρῶτος ἐνάπασιν ἦν, καὶ τὸ συνέδριον αὐτὸν λέγεται πεποιηκέναι, ὅθεν δέδωκε τὴν κοινωνίαν καὶ τὴν ἀξίαν Ἀθανασίῳ.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Δ'. ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ ἀποδείξεως ἀπὸ τῶν ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις ὑπογραφῶν ὅτι ὁ Ἱεροσολύμων Πατριάρχης ἐστὶ, καὶ ὅτι διάφορος ἐν τοῖς καθίσμασι τῶν Συνόδων ἡ τῶν Μητροπολιτῶν τάξις.

Τοῦτο καὶ ἀπὸ τῶν ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις ὑπογραφῶν συνίσταται, ἐν γὰρ τῇ πρώτῃ Οἰκουμενικῇ ὁ μὲν Ἱεροσολύμων ἐστὶ πρῶτος, Εὐσέβιος δὲ ὁ Καισαρείας πέμπτος, ἐν δὲ τῇ συγγραφῇ τοῦ Γελασίου λέγεται, Μακάριος Ἱεροσολύμων σὺν Εὐσεβίῳ τῷ Παμφίλου Ἐπισκόπῳ Καισαρείας τῆς Παλαιστίνης καὶ Ἀραβίας καὶ Φοινίκης. ὅπου οὐκ ἦν ὁ Εὐσέβιος τῆς Ἀραβίας καὶ Φοινίκης Τοποτηρητὴς, ἀλλ' ὁ Ἱεροσολύμων, ὡς μεταταῦτα γέγονε φανερὸν ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ, καὶ ἰδὲ τὸν τόπον ἐκεῖ πράξει ἑβδόμῃ. ἐν δὲ τῇ ἐν Σαρδικῇ, εἰ καὶ ὁ Καισαρείας Ἀκάκιος οὐκ ἦν παρὼν ὡς Αἱρετικὸς, ὁ Ἱεροσολύμων ὅμως Μάξιμος τῶν ἀπὸ Παλαιστίνης ἐκεῖσε παραγενομένων μετ' αὐτοῦ δεκατεσσάρων Μητροπολιτῶν καὶ Ἐπισκόπων πρῶτος ὑπέγραψεν, ὁμοίως καὶ ἐν τῇ Οἰκουμενικῇ δευτέρᾳ τῶν ἀπὸ Παλαιστίνης ἐν αὐτῇ παρευρεθέντων ὀκτὼ Ἐπισκόπων καὶ Μητροπολιτῶν (καὶ γὰρ ὁ Καισαρείας καὶ ὁ Σκυθοπόλεως, Μητροπολῖται) πρῶτος ὑπέγραψεν ὁ Κύριλλος, καὶ μετ' αὐτὸν ὁ Καισαρείας Γελάσιος. Ἐν οἷς σημείωσαι πρῶτον, ὅτι οἱ Μητροπολῖται οὐφυλάττουσιν ἀεὶ ἐν ταῖς Συνόδοις τὴν αὐτὴν τάξιν ἐν ταῖς ὑπογραφαῖς, ἀλλὰ παραλλάσσουσι, καὶ ἰδὲ τὰ πρακτικὰ τῶν ἑπτὰ Οἰκουμενικῶν Συνόδων ἔν τε τοῖς καθίσμασι καὶ ἐν ταῖς ὑπογραφαῖς τῶν Ὅρων καὶ τῶν πρὸς τοὺς Αὐτοκράτορας προσφωνητικῶν, καὶ τῶν λοιπῶν ἀποφάσεων. ὁ μὲν τοι Ἱεροσολύμων πάντοτε πρῶτος μὲν τῶν τῆς Συνόδου πατέρων, μετὰ τῶν Πατριαρχῶν δὲ ἀεί ποτε συναριθμεῖται, ἐπειδὴ τῶν Πατριαρχῶν ἡ τιμὴ καὶ ἡ ἐξουσία ἀπαράλλακτός ἐστιν, ὥστε μετὰ τῶν Μητροπολιτῶν οὐδὲ μίαν αὐτοὺς ἔχειν σύγκρισιν, ὡς εἴρηται ἐν τῷ ἀνωτέρῳ κεφαλαίῳ Παραγράφῳ ἑβδόμῳ.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Δ'. ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ ἀποδείξεως τῆς τοῦ Ἱεροσολύμων Πατριαρχικῆς ἀξίας ἀπὸ τῶν συγγραφέων τῶν Οἰκουμενικῶν Συνόδων,

δων, καὶ περὶ τοῦ τίνες προτιμῶνται ἐν ταῖς συνελεύσεσι τῶν Συνόδων κατὰ Κανόνας καὶ παρὰ Κανόνας.

Ἀλλὰ καὶ ἀπὸ τῶν συγγραψάντων τοὺς ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις Ἡγουμένους καὶ προκαθεζομένους τοῦτο βεβαιοῦται. καὶ γὰρ ὅτε μὲν λέγουσιν Ἡγουμένους τοὺς ἀπὸ τῆς ἀρετῆς προεξάρχοντας καὶ ζῆλον μέγαν ἔχοντας ὑπὲρ τῆς ὀρθοδόξου πίστεως, οὐποιοῦσι διαφορὰν Πατριαρχῶν καὶ Μητροπολιτῶν καὶ Ἐπισκόπων, ὡς λόγῳ πέμπτῳ, κεφαλαίῳ ὀγδόῳ λέγει ὁ Θεοδώριτος περὶ τῶν ἐν τῇ δευτέρᾳ Συνόδῳ πατέρων. ὅτε δὲ Ἡγουμένους καὶ προεξάρχοντας λέγουσι τοὺς πατέρας κατὰ τὴν κανονικὴν τάξιν, πρώτους γράφουσι τοὺς Πατριάρχας ἐν οἷς ὁ Ἱεροσολύμων ἀεὶ συγκαταριθμεῖται καὶ προτάττεται πάντων καθάπαξ τῶν Μητροπολιτῶν καὶ Ἐπισκόπων ὡς καὶ οἱ λοιποὶ Πατριάρχαι, αὐτίκα γὰρ ὁ μὲν Φώτιος φησὶ περὶ τῶν πατέρων τῆς πρώτης Συνόδου, ὧν ἦσαν προέχοντες Ἀλέξανδρος ὁ Κωνσταντινουπόλεως, Σίλβεστρος καὶ Ἰούλιος Ῥώμης, Ἀλέξανδρος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας καὶ Μακάριος Ἱεροσολύμων. Ὁ αὐτὸς περὶ τῶν ἐν τῇ δευτέρᾳ Οἰκουμενικῇ φησὶν, εἶχον Ἐξάρχους καὶ τοὺς ἱεροὺς θρόνους ἰθύνοντας Τιμόθεον Ἀλεξανδρείας, Μελέτιον Ἀντιοχείας, Κύριλλον Ἱεροσολύμων καὶ Νεκτάριον Κωνσταντινουπόλεως. καὶ Νεῖλος ὁ Ῥόδου περὶ τῆς πρώτης φησὶν, ἡγοῦντο δὲ τῆς Συνόδου Σίλβεστρος Ῥώμης, Ἀλέξανδρος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας καὶ Μακάριος Ἱεροσολύμων. Ὁ αὐτὸς περὶ τῆς δευτέρας, ἡγοῦντο δὲ τῆς Συνόδου Δάμασος Ῥώμης, Νεκτάριος Κωνσταντινουπόλεως, Τιμόθεος Ἀλεξανδρείας, Κύριλλος Ἱεροσολύμων καὶ Μελέτιος Ἀντιοχείας. καὶ πρὸ τούτων ὁ ἀρχαῖος ἱστορικὸς Ἑρμείας φησὶ περὶ τῆς πρώτης, ἐκοινώνουν δὲ τούτου τοῦ συλλόγου τῶν μὲν ἀποστολικῶν θρόνων Μακάριος Ἱεροσολύμων, Εὐστάθιος Ἀντιοχείας, Ἀλέξανδρος Ἀλεξανδρείας, καὶ Ἰούλιος Ῥώμης, βιβλίῳ πρώτῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ. ὁ δὲ Σωκράτης φησὶ περὶ τῆς δευτέρας, συνῆλθον δὲ τῆς μὲν ὁμοουσίου πίστεως ἐκ μὲν Ἀλεξανδρείας Τιμόθεος, ἐκ δὲ Ἱεροσολύμων Κύριλλος, Μελέτιος δὲ ἐξ Ἀντιοχείας, βιβλίῳ πέμπτῳ, κεφαλαίῳ ὀγδόῳ. ἐπὶ πᾶσι τούτοις ἡ Οἰκουμενικὴ δευτέρα πρὸς τὴν ἐν Ῥώμῃ Σύνοδον γράφουσα περὶ τῶν ἐπισημοτάτων Ἐκκλησιῶν, τουτέστι τῶν Πατριαρχικῶν, καὶ εἰποῦσα περὶ τοῦ Κωνσταντινουπόλεως καὶ Ἀντιοχείας, ἐπιλέγει περὶ τοῦ Ἱεροσολύμων, τῆς δὲ Μητρὸς πασῶν τῶν Ἐκκλησιῶν τῆς ἐν Ἱεροσολύμοις τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον Κύριλλον Ἐπίσκοπον γνωρίζομεν, κανονικώς τε παρὰ τῶν τῆς Ἐπαρχίας χειροτονηθέντα πάλαι, καὶ πλεῖστα κατὰ τῶν Αἱρετικῶν ἐν διαφόροις τόποις ἀθλήσαντα. τῆς Ἐπαρχίας δὲ Ἐπίσκοποι ἦσαν κατὰ τὸν Θεοφάνη, ὁ Καισαρείας Ἀκάκιος Ἔξαρχος τῆς πρώτης Παλαιστίνης, καὶ ὁ Σκυθοπόλεως Πατρόφιλος Ἔξαρχος τῆς δευτέρας Παλαιστίνης. ὅτι δὲ ὁ Ἀκάκιος καὶ Πατρόφιλος ἐξώσαντες τὸν Μάξιμον ἐχειροτόνησαν τὸν Κύριλλον, λέγει τοῦτο καὶ ὁ Ῥουφῖνος, ὥς φησιν ἡ ἑβδόμη Οἰκουμενικὴ ἐν τῇ πρώτῃ αὐτῆς πράξει. οὐδίδωσι δὲ προνόμιον ἡ ἔξωσις τοῦ Μαξίμου τῷ Καισαρείας ἰδικὸν, ἐπειδὴ οὗτος ὁ Ἀκάκιος καὶ τὸν Ῥώμης Λιβέριον ἔξωσε καὶ ἐχειροτόνησεν ἀντ' αὐτοῦ τὸν Φίληκα, καὶ ἰδὲ κατωτέρω βιβλίου πέμπτου, κεφαλαίου ἐνδεκάτου Παράγραφον τριακοστὸν δεύτερον. καὶ ἐν Κωνσταντινουπόλει Σύνοδον ἀθροίσας ἀφεῖλε τὸν θρόνον ἀπὸ τοῦ Μακεδονίου καὶ ἔδωκεν αὐτὸν τῷ Εὐδοξίῳ, καὶ ἄλλα τοιαῦτα πεποίηκε τῇ δυνάμει τοῦ Βασιλέως Κωνσταντίου, οὕτω καὶ τὸν Κύριλλον ἔξωσεν, οὐμόνος μέντοι, ἀλλὰ μετὰ τοῦ Σκυθοπόλεως, εἰ δὲ καὶ ἡ Σύνοδος λέγει κανονικῶς αὐτὸν ὑπὸ τῶν τῆς Ἐπαρχίας χειροτονηθῆναι, καὶ δέον εἰς πίστιν προτιμᾶσθαι τὴν Σύνοδον τοῦ Ἑρμείου καὶ τοῦ Ῥουφίνου, ῥητέον ὥσπερ ἡ ἑβδόμη Οἰκουμενικὴ τοῦτο ἀπεδέξατο ἵνα δείξῃ ὅτι ἀρχαῖον ἦν τὸ δέχεσθαι τοὺς ἀπὸ Αἱρετικῶν χειροτονηθέντας, οὕτω καὶ ἡμεῖς ἀποδεχόμεθα αὐτὸ εἰς παράστασιν τοῦ ἀρχαῖον εἶναι τὸ ἔχειν τὴν Ἱερουσαλὴμ Ἐπαρχίας καὶ Διοίκησιν καὶ οὐπρόσφατον ὥς φασιν οἱ μυθοπλάσται.

ΒΙΒΛΙΟΥ Β'. ΚΕΦΑΛΑΙΟΥ Δ'. ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ ἀπαντήσεως ἑξαχῶς πρὸς τὰς ἐξ ἀντιθέσεις τὰς κατὰ τῆς πατριαρχικῆς ἀξίας τοῦ Ἱεροσολύμων, καὶ διὰ πολλῶν μαρτυριῶν καὶ παραθέσεων ἀποδείξεως ὅτι ὁ Ἱεροσολύμων ἀρχαῖος Πατριάρχης ἦν τε καὶ ἐστί.

Πρὸς τὰς ἀντιθέσεις ῥητέον, πρὸς μὲν τὴν πρώτην, ὅτι ὁ Ζωναρᾶς εἰπὼν τινὲς λέγουσιν, οὐδὲν εἶπεν, ἐπειδὴ τὸ τινὲς ἀδιαφόρως λεγόμενον, οὐ συνίστησιν ἀλήθειαν, ἀλλ' ἀμφιβολίαν ἐπ' ἀμφιβολίᾳ γεννᾷ. τοῦ δὲ Βαλσαμῶνος τὸ, σωζομένου τῇ Μητροπόλει τοῦ οἰκείου ἀξιώματος ὅτι ἐννοεῖται περὶ τοῦ Καισαρείας, ἔχομεν ὡς ἐκεῖνο ὅπερ φησιν ἐν τῷ αὐτῷ τόπῳ, ὅτι δηλαδὴ ἡ Ἱερουσαλὴμ ἐλέγετο Ἱεβοὺς καὶ Σαλὴμ, κτισθέντος δὲ τοῦ ναοῦ, ἐκλήθη Ἱεροσόλυμα. σφάλματα γὰρ τῆς αὐτοῦ διανοίας ἐστὶν ἀμφότερα, καὶ ὑπὸ προσλήψεως ἀβασανίστου αὐτῷ συμβάντα, οὕτω καὶ τῷ Ἀριστηνῷ τὸ αὐτὸ εἰπεῖν ὑπὸ προσλήψεως ἀνεξετάστου μᾶλλον δὲ ἀδιαφόρου αὐτῷ προσεγένετο. ἔτι ἐν τοῖς τοιούτοις τοὺς ἀρχαιοτέρους δεῖ μάρτυρας προσφέρειν, εἶτα τοὺς μεταγενεστέρους. ἐνταῦθα δὲ οἱ ἀρχαιότεροι ἱστορικοὶ καὶ πατέ-

πατέρες μεθ' ἡμῶν εἰσι, καὶ γὰρ μεγαφώνως τῆς πρώτης τιμῆς καὶ ἐξουσίας καὶ ἀποστολικῆς ὑπεροχῆς τὸν Ἐπίσκοπον Ἱεροσολύμων καλοῦσιν, ὅθεν εἰμεταγενέστεροι παροπτέοι. Πρὸς δὲ τὴν δευτέραν λέγομεν, τὸν Ἱεροσολύμων Ἐπίσκοπον οὐ συνίστασθαι διὰ τοῦ παρόντος Κανόνος Πατριάρχην, ἀλλ' ὄντως ὄντα βεβαιοῦσθαι, οὐ γὰρ δέδωκεν ὁ Κανὼν, ἀλλὰ τὴν ἀρχαίαν συνήθειαν καὶ παράδοσιν ἐβεβαίωσε. τοιοῦτος δὲ ὢν, οὐκ ἦν ὑποκείμενός τινι, οὔτε τῷ Καισαρείας. τὸ δὲ τιμήτις μᾶλλον καὶ ἀκολουθία τιμῆς κυροῦσθαι τῷ Ἱεροσολύμων Ἐπισκόπῳ ἐννοούμενον ὡς εἴρηται ἀνωτέρω, ὅτι δηλαδὴ ἀκολουθία τιμῆς, ἤτοι ἡ τάξις τῶν Πατριαρχικῶν θρόνων διωρίσθη, καὶ ὥστε τὸν Ἱεροσολύμων εἶναι τέταρτον Πατριάρχην ὡς ἀληθὲς ἀποδεχόμεθα. βεβαιοῦσθαι μέν τοι τῷ Καισαρείας τὸ Μητροπολιτικὸν ἀξίωμα, ὥστε ἔχειν τὸν Ἱεροσολύμων αὐτῷ ὑποκείμενον; ἐφεύρεμά ἐστι τοῦ Καισαρείας Ἀκακίου τοῦ τυφλοῦ, ὡς ῥηθήσεται ἐν τῷ τρίτῳ βιβλίῳ, ᾧπερ ὑποτίθεται παρὰ μὲν παπιστῶν τινῶν ἐνεκατῶν Καρδηναλίων ὡς ἐροῦμεν κατωτέρω ἐν τῷ ἰδίῳ τόπῳ. ὑπό τινων δὲ Καλβίνων καὶ βεβαιοῦται, βούλονται γὰρ τὰ ἐκκλησιαστικὰ Πρεσβεῖα κατασμικρύνειν, ὅθεν τὸν μὲν Ῥώμης συκοφαντοῦσιν ὅτι τινῶν προαστείων καὶ μόνων ἦρχε καὶ οὐ πάντων τῶν Ἑσπερίων, τὸν δὲ Κωνσταντινουπόλεως ὅτι ἔλαβε μόνην τιμὴν ἄνευ ἐξουσίας τινὸς παρὰ τῆς δευτέρας Οἰκουμενικῆς, τὸν δὲ Ἀλεξανδρείας καὶ Ἀντιοχείας ὅτι ἦρχον μόνον Ἐπαρχιῶν τινῶν, τὸν δὲ Ἱεροσολύμων ὅτι ἦν τῷ Καισαρείας ὑποκείμενος. ὅτι ὅμως ἐμπαθῶς καὶ διόλου ψευδῶς γράφουσιν, ἀναντίρρητόν ἐστιν ἐκ τῶν ἐνταῦθα ἡγουμένων καὶ ἑπομένων. πρὸς δὲ τὸ τοῦ Ἱερωνύμου, ῥητέον ὅτι καὶ οὗτος ἐμπαθῶς καὶ πεισματικῶς ἔγραψεν, ὡς ἐροῦμεν ἐν τῷ τρίτῳ βιβλίῳ, καὶ ἰδὲ τὸν τόπον ἐκεῖ ἐν κεφαλαίου ἐνάτου Παραγράφῳ τρίτῳ. Πρὸς δὲ τὴν τρίτην, ῥητέον πρῶτον, ὅτι τὸ τὸν Ἱεροσολύμων Ἰουβενάλιον πρῶτον ἀντιποιηθῆναι τοῦ Πατριαρχικοῦ ἀξιώματος ψευδός ἐστιν, ἐπειδὴ τοῦτο τὸ ἀξίωμα ἀπεδείχθη ἀνωτέρω ἐσχηκέναι τὴν Ἐκκλησίαν τῶν Ἱεροσολύμων ἀπὸ τοῦ καιροῦ τῶν Ἀποστόλων, ἐσχηκυῖαν καὶ τὴν τιμὴν καὶ τὴν ἐξουσίαν ἀπὸ τῆς ἀκολουθησάσης συνηθείας καὶ ἀποστολικῆς παραδόσεως, ὅθεν καὶ σειραὶ οἱ ἱστορικοὶ ἐξίσου καὶ ὁμοταγῶς ἐμνημόνευον τῶν τεσσάρων θρόνων Ῥώμης, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων, ὡς εἴρηται ἀνωτέρω. δεύτερον, πῶς ὁ Ἀλεξανδρείας Κύριλλος ἀντέστη τῷ Ἰουβεναλίῳ καὶ ὁ ἔλεγχος αὐτοῦ οὐκ ἐγράφη ἐν τοῖς πρακτικοῖς τῆς Συνόδου; τρίτον, ὁ Κύριλλος σπουδάζων καταβαλεῖν τὸν Νεστόριον καὶ τὴν Αἵρεσιν αὐτοῦ, πῶς οὐκ ἔγραψε τοῖς πρώτοις καὶ μεγάλοις τῶν Μητροπολιτῶν, καὶ αὐτῷ τῷ Ἡγουμένῳ τῆς Παλαιστίνης Καισαρείας, τῷ Καισαρείας λέγω ἐκείνῳ, ᾧ τὸ Μητροπολιτικὸν ἀξίωμα καὶ τὰ πρεσβεῖα, καὶ τὸ χειροτονεῖν καὶ κρίνειν τὸν Ἱεροσολύμων δέδωκε, καὶ ἐβεβαίωσεν ἡ πρώτη Οἰκουμενικὴ ἐν τῷ παρόντι Κανόνι ὡς ῥαψῳδοῦσιν ὅ, τε συμπατριώτης τοῦ Διὸς καὶ οἱ φίλοι Καλβῖνοι; ἀλλ' ἔγραψεν εἰς τὸν Ῥώμης καὶ Ἀντιοχείας καὶ Ἱεροσολύμων, οὗ Κυρίλλου ἡ ἐπιστολὴ κεῖται ἐν τῷ πρώτῳ μέρει τῆς τρίτης Συνόδου, περὶ ἧς ἐπιστολῆς λέξομεν ἐκεῖ κατὰ πλάτος τὰ εἰκότα, ῥητέον ὅμως καὶ ἐνταῦθα τινά. λέγει τοίνυν ἐν αὐτῇ ὁ Κύριλλος τῷ Ἰουβεναλίῳ, καὶ ἀκονηθεῖσαν οἴκοθεν εἰς εὐσεβῆ ζῆλον τὴν σὺν θεοσέβειαν διαναστῆσαι διὰ τοῦ γράμματος, ὅπως ἂν ἐκ μιᾶς ψυχῆς καὶ συντόνου προθυμίας τὴν εἰς Χριστὸν ἀγάπην ζωσώμεθα, καὶ σώσωμεν λαοὺς κινδυνεύοντας. καὶ κατωτέρω, δεῖ δὲ ἡμᾶς ἀναγκαίως καὶ τῷ φιλοχρίστῳ Βασιλεῖ, καὶ ἅπασι τοῖς ἐν τέλει γράψαι καὶ συμβουλεῦσαι μὴ προτιμῆσαι τῆς εἰς Χριστὸν εὐσεβείας Ἄνθρωπον, ἀλλὰ χαρίσασθαι τῇ Οἰκουμένῃ τὸ βέβαιον πρὸς πίστιν ὀρθήν. καὶ σημείωσαι εἰ ἦν ὁ Ἰουβενάλιος Ἐπίσκοπος τοῦ Καισαρείας, πῶς οὐκ ἔγραψεν ὁ Κύριλλος τῷ Ἐξάρχῳ τῆς Ἐπαρχίας, ἀλλὰ τῷ ὑποκειμένῳ αὐτῷ Ἐπισκόπῳ; καὶ εἰ ἰσότιμον ἑαυτῷ ὁ Κύριλλος τὸν Ἰουβενάλιον διὰ τῆς ἐπιστολῆς ἀποδείκνυσι, πῶς ἐγίνωσκεν αὐτὸν τιμῆς ὀλίγης ἀντεχόμενον, καὶ οὐδὲ μιᾶς ἐξουσίας; καὶ εἰ ἐδέετο αὐτοῦ, ὃν τρόπον ἐδέετο καὶ τοῦ Ἀτιοχείας Ἰωάννου, πῶς ἐν τῇ Ἐφέσῳ ἤλεγξεν αὐτόν; ἔτι ἐν πάσαις ταῖς πράξεσι τῆς τρίτης Οἰκουμενικῆς Συνόδου ὁ Ἰουβενάλιος ἐποίει τρία τινὰ, πρῶτον, εὐθὺς μετὰ τὸν Κύριλλον πάντων τῶν πατέρων τῆς Συνόδου προὐκαθέζετο, καὶ εἰ πρῶτος αὐτὸς ἐζήτει τὸ Πατριαρχικὸν ἀξίωμα μὴ πρότερον αὐτὸ ἔχων, πῶς προὐκαθέζετο μετὰ τὸν Κύριλλον πάσης τῆς Οἰκουμενικῆς Συνόδου καὶ τοσοῦτοι Μητροπολῖται καὶ ὁ Κύριλλος ἠνέσχοντο; δεύτερον, ὁ Ἰουβενάλιος πρῶτος διελάλει καὶ μεταταῦτα τὶ καὶ τὶ ἀναγνωσθῆναι καὶ τὶ λεχθῆναι, ὁ γὰρ Κύριλλος ὡς κρινόμενος σιωπὴν ὡς ἐπιτοπλεῖστον ἦγε. τρίτον, ἐν ταῖς ὑπογραφαῖς πρῶτος ὑπέγραφε πάσης τῆς Οἰκουμενικῆς Συνόδου πλὴν τοῦ Ἀλεξανδρείας. καὶ εἰ μὴ ἦν κυρίως Πατριάρχης, πῶς πάλιν ἠνέσχοντο καὶ ὁ Κύριλλος καὶ οἱ τοσοῦτοι Μητροπολῖται Ἀνατολῆς καὶ Δύσεως; ἔτι ἐν τῇ δευτέρᾳ πράξει ἐλθόντων ἀπὸ Ῥώμης τῶν Λεγάτων τοῦ Κελεστίνου, πάλιν ὁ Ἰουβενάλιος μετὰ τὸν Κύριλλον, καὶ πρὸ πάσης τῆς Συνόδου διελάλει, καὶ τὰ ἀναγνωσθέντα γράμματα τοῦ Πάπα ὁ Ἰουβενάλιος εἶπε τεθεῖναι ἐν τοῖς ὑπομνήμασι. καὶ Φίρμος ὁ Καισαρείας εὐφήμησεν ὅτι ὁ Πάπας ἔπεμψε γράμματα πρὸς τὸν Κύριλλον καὶ Ἰουβενάλιον καὶ τοὺς λοιποὺς τῆς Συνόδου Πατέρας. ἔτι ἐν τῇ τρίτῃ πράξει ἐρρέθη, Κελεστίνου Κυρίλλου καὶ Ἰουβεναλίου, καὶ πάλιν ὁ Ἰουβενάλιος προλογίζει, καὶ πρὸς τοὺς ἐλθόντας Λεγάτους τοῦ Πάπα διελάλησεν εἰπεῖν αὐτοὺς εἰ ἀρέσκει τὰ ὁρισθέντα ὑπὸ τῆς Συνόδου. ἔτι ἐν τῇ τετάρτῃ πράξει κληθέντες εἰς τὴν Σύνοδον τοῦ Ἀντιοχίας Ἰωάννου κριθῆναι μετὰ τοῦ Κυρίλλου καὶ τοῦ Ἐφέσου

διὰ

διὰ τὸ καθαιρέσει αὐτὸν αὐτοὺς ὑποβαλεῖν, καὶ μὴ ἀπηντηκότα τῇ Συνόδῳ, ὁ Ἰουβενάλιος εἶπεν, ἐχρῆν μὲν Ἰωάννην τὸν εὐλαβέστατον Ἐπίσκοπον Ἀντιοχείας ἐνθυμούμενον τὴν ἁγίαν καὶ μεγάλην Οἰκουμενικὴν Σύνοδον ταύτην, εὐθέως εἰς ἀπολογίαν τῶν ἐπαγομένων αὐτῷ δραμεῖν, καὶ τὸν ἀποστολικὸν θρόνον συνεδρεύοντα ἡμῖν τῆς μεγάλης Ῥώμης καὶ τῷ ἀποστολικῷν τῆς Ἱεροσολύμων ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας ἀκοῦσαι καὶ τιμῆσαι, παρ' ᾧ μάλιστα αὐτὸν τὸν Ἀντιοχέων θρόνον ἐξ ἀποστολικῆς ἀκολουθίας καὶ παραδόσεως ἰθύνεσθαι, καὶ παρ' αὐτῷ δικάζεσθαι. ἐν ταῦθα σημείωσαι πρῶτον, ὅτι ὁ Ἱεροσολύμων προκάθηται τῆς Οἰκουμενικῆς Συνόδου, προδιαλαλεῖ πάντων τῶν ἀδελφῶν περὶ πάντων τῶν ἀναγκαίων, ἐξισάζει τὸν θρόνον τῆς Ἱερουσαλὴμ μετὰ τοῦ θρόνου Ῥώμης, λέγει μεγαλοφώνως ὅτι ἐξ ἀποστολικῆς παραδόσεως καὶ συνηθείας ὁ Ἱεροσολύμων κρίνει τὸν Ἀντιοχείας, καὶ λοιπὸν τὸ μὴ εἶναι κυρίως Πατριάρχην τὸν Ἱεροσολύμων, καὶ τὸ τὸν Ἰουβενάλιον πρῶτον ἐν τῇ Ἐφέσῳ ἀντιποιηθῆναι τοῦ Πατριαρχικοῦ ἀξιώματος μέγα ψεῦδός ἐστιν. ἔτι ὁ Κλῆρος Κωνσταντινουπόλεως γράφων εἰς τὴν Σύνοδον λέγει, Κυρίλλῳ Ἰουβεναλίῳ καὶ Μέμνονι. καὶ οἱ ἐν Κωνσταντινουπόλει ὀρθόδοξοι Ἐπίσκοποι γράφοντες καὶ αὐτοὶ εἰς τὴν Σύνοδον λέγουσι, τοῖς ἁγιωτάτοις καὶ θεοφιλεστάτοις Ἀρχιεπισκόποις καὶ πατράσι Κελεστίνῳ, Κυρίλλῳ, Ἰουβεναλίῳ. καὶ σημείωσαι ὅτι καὶ πάλιν ὁ Ἱεροσολύμων τάττεται μετὰ τὸν Ἀλεξανδρείας, καὶ προτάττεται πάσης τῆς Συνόδου, καὶ καλεῖται Ἀρχιεπίσκοπος ἐξίσου τῷ Ῥώμης καὶ τῷ Ἀλεξανδρείας, καὶ πῶς ἦν Ἀρχιεπίσκοπος ὁ αὐτὸς, καὶ Ἐπίσκοπος ὑποκείμενος τῷ Καισαρείας ὁ αὐτός; πῶς μὴ ὢν τότε κυρίως Πατριάρχης εἶχε τὰ αὐτὰ προνόμια ἐν τῇ Οἰκουμενικῇ Συνόδῳ μετὰ τῶν κυρίως Πατριαρχῶν; ψεῦδος ἄρα τὸ ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ ἀντιποιηθῆναι τὸν Ἰουβενάλιον τοῦ Πατριαρχικοῦ ἀξιώματος, εἶχε γὰρ αὐτὸ ἐξ ἀποστολικῆς ἀκολουθίας καὶ παραδόσεως ἀρχαίας αὐτὸς καὶ οἱ πρὸ αὐτοῦ. ψεῦδος δὲ καὶ τὸ τὸν Κύριλλον αὐτῷ ἀντιστῆναι, πρῶτον, ὅτι πρὸ μὲν τῆς Συνόδου συνεβούλευεν αὐτῷ ἀδελφικῶς ἵνα ὡς ἀπὸ μιᾶς καρδίας σπουδάσῃ ὑπὲρ τῆς εὐσεβείας, ἐν δὲ τῇ Συνόδῳ εἶχεν αὐτὸν αὐτῷ ἰσότιμον, κατὰ τὴν τάξιν μὲν μετ' αὐτὸν, κατὰ δὲ τὴν ἐξουσίαν αὐτῷ ἰσοδυναμοῦντα, μετὰ γοῦν τὴν Σύνοδον πότε αὐτῷ ἀντέστη; τῆς γὰρ Συνόδου ἐν τῇ Ἐφέσῳ οὔσης, καὶ τοῦ Κυρίλλου εὑρισκομένου ἐν ταῖς ἀνάγκαις τοῦ ἀποστατικοῦ συνεδρίου, καὶ ἁπλῶς τῶν ἀντικειμένων τῇ εὐσεβείᾳ, ὁ Ἰουβενάλιος ἐπέμφθη εἰς Κωνσταντινούπολιν μετὰ καὶ ἄλλων πατέρων ὑπὸ τῆς Συνόδου πρός τε τὸν Αὐτοκράτορα καὶ τοὺς ἐντέλει, ὅτε καὶ Κωνσταντινουπόλεως Πατριάρχην ἐχειροτόνησαν τὸν Μάξιμον. πότε οὖν ὁ Ἱεροσολύμων ἐζήτησε τὸ Πατριαρχικὸν ἀξίωμα παρὰ τῆς Συνόδου καὶ ἀντέστη αὐτῷ ὁ Κύριλλος; ψεῦδος ἄρα ἀναμφίβολόν ἐστι καὶ τοῦτο τὸ λογίδριον. Πρὸς δὲ τὴν τετάρτην, ῥητέον ὅτι ὁ Λέων οὗτος ἐσυκοφάντησε τὸν Ἱεροσολύμων ὡς καὶ τὸν Κωσταντινουπόλεως, καὶ τὶ θαυμαστὸν εἴγε καθάπαξ ἠθέτησε καὶ εἰρνήσατο τὴν ἀπόφασιν τῆς δευτέρας Οἰκουμενικῆς περὶ τοῦ Κωνσταντινουπόλεως, καὶ τὴν κρίσιν καὶ τὴν βεβαίωσιν τῆς ἐν Χαλκηδόνι περὶ τοῦ αὐτοῦ; τὶ θαυμαστόν ἐστι φημὶ ἐκεῖνον τὸν Λέοντα τὸν καταφρονήσαντα δύο Οἰκουμενικῶν Συνόδων περὶ τοῦ Κωνσταντινουπόλεως, ἀρνήσασθαι καὶ τοῦ Ἱεροσολύμων τὰ πρεσβεῖα; τὸν γράψαντα καὶ πρὸς τὸν Ἀντιοχείας Μάξιμον κατὰ τοῦ Ἰουβεναλίου, καὶ πρὸς τὸν Αὐτοκράτορα Μαρκιανὸν καὶ πρὸς τὴν Πουλχερίαν καὶ πρὸς τὸν Ἀνατόλιον κατὰ τῶν πρεσβείων τῆς Κωνσταντινουπόλεως; ἔγραψαν δὲ καὶ οἱ Πάπαι ὁ Πελάγιός τε καὶ ὁ Διάλογος πρὸς πολλοὺς ἐν Κωνσταντινουπόλει, καὶ πρὸς τὸν Ἰωάννην τὸν Νηστευτὴν; καὶ πρὸς Εὐλόγιον τὸν Ἀλεξανδρείας περὶ τοῦ Οἰκουμενικὸς ὀνόματος, ἀλλοὐδὲν ὠφελήθησαν, μόνοι γὰρ εἶπον, καὶ μόνοι ἃ εἶπον ἤκουσαν. ἐπήνεσε τὴν ἀπόφασιν αὐτοῦ ὁ Λέων περὶ τοῦ Ἰουβεναλίου, ὡς ἐπήνεσεν αὐτὴν καὶ περὶ τοῦ Εὐτυχοῦς καὶ Κωνσταντινουπόλεως Φλαυϊανοῦ, γράφων πρὸς αὐτὸν καὶ ἑτοιμαζόμενος κεκαθικέναι ἑαυτὸν κριτὴν, ἀλλὰ ματαίως, Συνόδῳ γὰρ Οἰκουμενικῇ ἐπετράπη παρὰ τῶν Βασιλέων ἡ κρίσις, καὶ ἰδὲ βιβλίου τρίτου, κεφαλαίου δεκάτου ὀγδόου Παράγραφον ἔνατον, ὁ δὲ Λέων ἔμεινε μόνης τῆς Ἰταλίας Ἐπίσκοπος, ὡς ἔγραφεν ἑαυτὸν ὁ Λιβέριος πρὸς τοὺς Μακεδονιανούς. Εἰς ἐκεῖνο δὲ ὅπερ γράφει ὁ Λέων ὅτι ἔγραψεν αὐτῷ κατὰ τοῦ Ἰουβεναλίου ὁ Κύριλλος, καὶ πρὸς τούτοις ἐπιστολὴ εὑρίσκεται τοῦ Κυρίλλου πρὸς Γεννάδιον Ἀρχιμανδρίτην ἐν ᾗ λέγει ὅτι τὸν Αἰλιέων Ἐπίσκοπον οἱ ἐκκλησιαστικοὶ θεσμοὶ τῆς Παλαιστίνης Ἡγούμενον οὐκ ἴσασι, ῥητέον πρῶτον, ὅτι εἰ καὶ ἠρνήσατο εἶναι τὸν Ἱεροσολύμων τῆς Παλαιστίνης Ἡγούμενον, οὐκ ἐδυνήθη μέντοι εἰπεῖν αὐτὸν καὶ ὑποκείμενον τῷ Καισαρείας, ἢ χειροτονεῖσθαι ὑπὸ τοῦ Καισαρείας, καὶ γὰρ εἰ ἔλεγεν, ἐναντίως ἔλεγεν ἂν πᾶσι τοῖς ἀνωτέρω εἰρημένοις, καὶ τὸ ἰσότιμον εἶναι τὸν Ἰουβενάλιον αὐτῷ καὶ ἰσοδύναμον ἐν τῇ τρίτῃ Οἰκουμενικῇ Συνόδῳ διέλυσεν ἂν αὐτοῦ τὸ τοιοῦτον προσρηματείδιον. δεύτερον, ὁ Κύριλλος ἔγραψε πρὸς Δόμνον τὸν Ἀντιοχείας ὑπὲρ Ἀθανασίου Πέρρης, ἀλλ' ἡ ἐν Χαλκηδόνι Σύνοδος ἠθέτησε καθάπαξ τὴν ἐπιστολὴν, καὶ ἰδὲ ἐκεῖ τὸν τόπον πράξει δεκάτῃ τετάρτῃ. οὕτω λοιπὸν ὑποθετέον εἰ καὶ ἐν τῇ ἐν Ἐφέσῳ εἴρηκέ τι κατὰ τοῦ Ἱεροσολύμων, ἀλλ' ἡ Σύνοδος παρεῖδε τοὺς λόγους αὐτοῦ, βεβαιώσασα τὰ ἀρχαῖα τοῦ Ἱεροσολύμων προνόμια. ὁ δὲ ὁπωσδήποτε ἔγραψε πρὸς τὸν Λέοντα τὸ συμβὰν, ὁ δὲ Λέων μὴ δυνάμενος ἀθετῆσαι τὸ γεγονὸς, ἐθρήνει τρόπῳ καυχήσεως γράφων πρὸς Μάξιμον τὸν Ἀντιοχείας καὶ λέγων,

λέγων, τοῦτό ἐστιν ἴδιον τῆς ἐμῆς ἀποφάσεως, ὅτι ὁπηνίκα ἀριθμός τις Ἱερέων πλειόνων κυρώσῃ τὴν κατὰ συναρπαγὴν μερικῶν ὅπερ ἐναντίον φανείη ἐν ταῖς ὑποθέσεσιν ἐκείνων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, τοῦτο πιπτέτω τῷ τῆς δικαιοσύνης στοχασμῷ, ταῦτα ὁ Λέων. ἀλλὰ ῥητέον πρὸς αὐτὸν κατὰ συναρπαγὴν ἡ Σύνοδος οὐκ ἐκύρωσεν, ἀλλὰ κατὰ τὰ ἀρχαῖα πρεσβεῖα. καὶ ἐναντίως τοῖς τριακοσίοις δέκα καὶ ὀκτὼ οὐκ ἐκύρωσεν, ἐπειδὴ ὡς ἐκεῖνοι ἔδωκαν τῷ Ῥώμης καὶ τῷ Ἀλεξανδρείας καὶ τῷ Ἀντιοχείας ἐν τῷ ἕκτῳ Κανόνι τὰ πρεσβεῖα, οὕτω δεδώκασι καὶ τῷ Ἱεροσολύμων τὰ αὐτὰ πρεσβεῖα ἐν τῷ παρόντι Κανόνι. τὸ δὲ εἰπεῖν αὐτὸν, πιπτέτω τῷ τῆς δικαιοσύνης στοχασμῷ, δοκεῖ ὅτι ἐζήτει γενέσθαι κριτής. ἀλλὰ ῥητέον ὅτι τὰ τῶν Οἰκουμενικῶν Συνόδων οὐδέχονται στοχασμὸν, οὔτε κρίσιν, οὔτε ἀνάκρισιν, ἀλλὰ μένουσι πάντῃ καὶ πάντως ἀδιάφθορα καὶ ἀμετακίνητα. τρίτον, ὅτι πολλὰ μογησάντων, ἴσως κατὰ συναρπαγὴν, Λέοντος καὶ Κυρίλλου κατὰ τῶν πρεσβείων τοῦ Ἰουβεναλίου, Πρόκλος τοῖς πατροπαραδότοις δικαίοις προστεθεὶς, εἶχε τὸν Ἱεροσολύμων ἀπαραλλάκτως ἐν τῇ τάξει αὐτοῦ. τέταρτον, ὁ ἅγιος Κύριλλος φανερόν ἐστιν ὅτι οὐκ ἐνόησέ ποτε ὑποκεῖσθαι τὸν Ἱεροσολύμων τῷ Καισαρείας, ἤθελε μέντοι τὸν Ἱεροσολύμων μὴ εἶναι Ἡγούμενον τῆς Παλαιστίνης, ἤγουν τῶν ἐν τῇ Παλαιστίνῃ Μητροπολιτῶν. ἀλλὰ ῥητέον, ὅτι ὥσπερ οἱ θεσμοὶ τῆς πρώτης Συνόδου ἐβεβαίωσαν τὴν ἐν Ἀλεξανδρείᾳ ἐξουσίαν, οὕτως οἱ αὐτοὶ ἐβεβαίωσαν τῷ Ἱεροσολύμων τὴν ἀποστολικὴν ἐξουσίαν, ἐπομένως δὲ καὶ τὴν ἀξίαν, ὡς εἴρηται πολλάκις ἀνωτέρω. εἰ δὲ διισχυρίζονται λέγοντες, ἦν ὅτε ὁ Ἱεροσολύμων οὐκ ἐξουσίαζεν εἰς πᾶσαν τὴν Παλαιστίνην, ῥητέον οὕτως, ὥσπερ οἱ λοιποὶ Πατριάρχαι εἶχον τὴν τιμὴν καὶ τὴν ἀξίαν ἐν ὀλίγοις τόποις, μετὰ δὲ τὴν ἐν Νικαίᾳ Σύνοδον κατ' ὀλίγον ἐξέτεινον αὐτὴν εἰς πλείονας Ἐπαρχίας, οὕτω προσεγένετο καὶ τῷ Ἱεροσολύμων. τίς δὲ ἦν ἡ αἰτία δι' ἧς ὁ Ἀλεξανδρείας Κύριλλος ἐφιλονείκει μετὰ τοῦ Ἱεροσολύμων, ῥητέον ὅτι καὶ οἱ ἅγιοι ἐσθ' ὅτε ἀντιφέρονται, καὶ ἰδὲ κατωτέρω τὰ περὶ τοῦ Ἱεροσολύμων Ἰωάννου, Ἐπιφανίου Κύπρου καὶ Ἱερωνύμου βιβλίῳ τρίτῳ, κεφαλαίῳ ἐνάτῳ, Παραγράφῳ τρίτῳ. εἰς ὃ δὲ φησὶν ὁ Λέων, ὅτι δηλαδὴ ὁ Ἰουβεναλίος ἐτόλμησε τὰς ἀταξίας αὐτοῦ βεβαιῶσαι διά τινων πεπλασμένων γραφῶν, ῥητέον ὅτι καὶ τοῦτο πόῤῥω τῆς ἀληθείας ἐστὶ, καὶ γὰρ εἰ ἐβούλετο ὁ Ἰουβεναλίος γραφὰς προσενεγκεῖν ὑπὲρ τῶν πρεσβείων αὐτοῦ, οὐ πεπλασμένας τινὰς, ἀλλὰ τοὺς Κανόνας τούτους, καὶ τὴν ἐπιστολὴν τῆς δευτέρας Οἰκουμενικῆς, καὶ τὰ πρακτικὰ τῶν δύο τούτων Συνόδων, καὶ τοὺς ἀνωτέρω διαληφθέντας μάρτυρας ἀπὸ τοῦ καιροῦ τῶν Ἀποστόλων μέχρις αὐτοῦ, καὶ τὴν ἐν αὐτῇ τῇ τρίτῃ Συνόδῳ τιμὴν καὶ ἐξουσίαν αὐτοῦ προσέφερεν ἂν, ἢ καθ' ὑπόθεσιν φαίη ἄν τις, τοῦ Κυρίλλου μαχομένου τοῖς πρεσβείοις τοῦ θρόνου τοῦ Ἱεροσολύμων Ἰουβεναλίου, ταῦτα τὰ ἀνωτέρω ὁ Ἰουβεναλίος Προσήνεγκεν, ἅτινα γνοῦσα ἡ Σύνοδος, τοῦ μὲν Κυρίλλου τὴν μέμψιν συνέστειλε, τοῦ δὲ Ἰουβεναλίου τὰ δίκαια, ἤτοι τὰ πρεσβεῖα ἐπεκύρωσε. Πρὸς δὲ τὴν πέμπτην ῥητέον, αὔθαδες ἀντικρύς ἐστι τὸ πρὸ τῆς ἐν Χαλκηδόνι Συνόδου μὴ ἐσχηκέναι τὸν Ἱεροσολύμων οὔτε Ἐπαρχίαν οὔτε Διοίκησιν, καὶ γὰρ εἶχε. τοῦ δὲ Ἀντιοχείας καὶ αὐτοῦ τοῦ Ἱεροσολύμων διαφερομένων περί τινων Ἐπαρχιῶν τῶν ἐν ταῖς Διοικήσεσιν αὐτῶν (καὶ γὰρ ἐν τῇ πρώτῃ Συνόδῳ κατὰ Γελάσιον ἦσαν Τοποτηρηταὶ ὁ Ἱεροσολύμων μετὰ τοῦ Καισαρείας Φοινίκης καὶ Ἀραβίας, ὥστε ἡ τοῦ Ἱεροσολύμων ἐξουσία ἐξαπλοῦται καὶ εἰς Φοινίκην καὶ Ἀραβίαν) ἐν δὲ τῇ πρώτῃ Συνόδῳ ἐκ συμφώνου τὰς Ἐπαρχίας ταύτας διαμερισαμένων, ἡ Σύνοδος ἐβεβαίωσε τὴν συμφωνίαν αὐτῶν, οὐμὴν δὲ τότε πρῶτον ἔλαβεν ὁ Ἱεροσολύμων Ἐπαρχίαν ἢ Διοίκησιν, καὶ γὰρ εἰ τοῦτο ἦν ἀληθὲς, πῶς οὐκ ἀντέστησαν τῷ Ἱεροσολύμων ὁ Αὐτοκράτωρ, οἱ Ἄρχοντες καὶ ἡ τοσαύτη Οἰκουμενικὴ Σύνοδος; ἔτι ἐν τῇ ἐν Ἐφέσῳ λῃστρικῇ Συνόδῳ τῇ συνελθούσῃ πρὸ τῆς ἐν Χαλκηδόνι ὁ Ἰουβεναλίος εἶχε τὰ συνήθη πρεσβεῖα, ἤτοι ἐτέτακτο μετὰ τὸν Ἀλεξανδρείας, ὡς δείκνυται ἐν τῇ πρώτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου, ὅθεν ὁ Ταράσιος ἐν τῇ ἑβδόμῃ Οἰκουμενικῇ Πατριάρχην Ἱεροσολύμων αὐτὸν εἶπε, καὶ ὅτι κατὰ τὴν ἀξίαν αὐτοῦ Ἔξαρχος τῆς Συνόδου ἐγένετο, πράξει πρώτῃ. ἔτι ἐν τῷ τέλει τῆς αὐτῆς πράξεως, ἤτοι τῆς ἑβδόμης τῆς ἐν Χαλκηδόνι Συνόδου λέγεται, ἀργούντων κατὰ κέλευσιν τοῦ θειοτάτου ἡμῶν δεσπότου πάντων τῶν πραγματικῶν καὶ τῶν ἄλλως πορισθέντων τοῖς μέρεσι θείων γραμμάτων, καὶ τῶν περιεχομένων αὐτοῖς προστιμῶν ταύτης ἕνεκεν τῆς ὑποθέσεως. καὶ σημείωσαι, εἰ πρὸ τῆς ἐν Χαλκηδόνι Συνόδου διαφερόμενοι ὁ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων ἕως τῆς ἐν Χαλκηδόνι Συνόδου, ἐλάμβανον διάφορα γράμματα δικαιοῦντα ὁτὲ μὲν τὸ ἕν, ὁτὲ δὲ τὸ ἕτερον μέρος, πρόδηλον ὅτι ἐν τῇ ἐν Χαλκηδόνι ἐγένετο ἡ εἰρήνη, πρὸ γὰρ ταύτης ἦσαν πολλαὶ καὶ διὰ πολλῶν αἱ φιλονεικίαι, ὁ δὲ Ἱεροσολύμων πρὸ τῆς Συνόδου ταύτης εἶχεν Ἐπαρχίαν καὶ Διοίκησιν. ἀλλὰ καὶ τοῦτο, πρὸ τῆς ἀθροίσεως τῆς ἐν Χαλκηδόνι Συνόδου ὁ Εὐτυχὴς κρινόμενος ὑπὸ Φλαυϊανοῦ τοῦ Κωνσταντινουπόλεως, πρὸς τοῖς ἄλλοις ἐπεκαλέσατο τὸν Ἱεροσολύμων καὶ τὴν τοῦ Ἱεροσολύμων Σύνοδον λόγῳ Ἐκκλήτου, καὶ ἰδὲ τοῦτο ἐν τῇ πρώτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ κατωτέρω βιβλίῳ τρίτῳ, κεφαλαίῳ δεκάτῳ ὀγδόῳ, Παραγράφῳ ἕκτῳ. πρὸς ἐκεῖνα δὲ ἅπερ ἐν τῇ ἕκτῃ ἀντιθέσει προσφέρουσιν οἱ μαχόμενοι τοῖς Πατριαρχικοῖς πρεσβείοις ἀπὸ τοῦ δωδεκάτου Κανόνος τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ ἀπὸ τοῦ θεσπίσματος Οὐαλεντιανοῦ καὶ Οὐάλεντος περὶ τῆς ἐν Νικαίᾳ, καὶ τοῦ Μαρκιανοῦ περὶ τῆς ἐν Χαλκηδόνι, ῥητέον, εἰ δοίημεν ὅτι ἦν ποτε ἡ Ἱερουσαλὴμ

σαλὴμ ὑποκειμένη τῷ Καισαρείας, τὰ εἰρημένα παραδείγματα καὶ ὁ Κανὼν ἀνείκειά εἰσι, καὶ παράδειγμα εἴη ἂν ἡ Ἡράκλεια καὶ τὸ Βυζάντιον. γενομένου γὰρ τοῦ Βυζαντίου Πατριαρχείου, ἡ Ἡράκλεια ἔμεινεν ὑποκειμένη, καὶ ὁ Κωνσταντινουπόλεως ἁπλῶς αὐθέντης τοῦ Ἡρακλείας. τὸν αὐτὸν οὖν τρόπον καὶ τῆς Ἱερουσαλὴμ τιμηθείσης εἰς Πατριαρχεῖον, ἡ Καισάρεια ἔμεινε μετὰ τοῦ οἰκείου ἀξιώματος, ὥστε εἶναι μὲν αὐτὴν Μητρόπολιν τῆς Παλαιστίνης, ὑποκειμένην δ' ὅμως τῷ Πατριάρχῃ Ἱεροσολύμων, καὶ δουλεύουσαν αὐτῷ ὡς ἡ Ἡράκλεια τῷ Κωνσταντινουπόλεως, εἰ καὶ ὡς εἴρηται μηδέποτε ἦν ἡ Ἱερουσαλὴμ ὑποκειμένη τῷ Καισαρείας, ἀλλ' ἡ Καισαρεία ἐξῆρχε τῆς Ἐπαρχίας, Μητροπολιτικὸν δίκαιον ἔχουσα, ἡ δὲ Ἱερουσαλὴμ Πατριαχεῖον ἦν ἀνέκαθεν ἀπὸ συνηθείας, ὡς καὶ οἱ λοιποὶ θρόνοι, καὶ ἐνήργει ἐν τῇ Διοικήσει τὰ εἰκότα, ἐξήπλωσε δὲ τὴν ἐξουσίαν μείζονα καὶ εἰς ἄλλας Ἐπαρχίας, καθὼς καὶ οἱ λοιποὶ Πατριαρχικοὶ θρόνοι. τοσαῦτα ἐν συντόμῳ καὶ περὶ τοῦ ἑβδόμου Κανόνος. ἰδὲ καὶ κατωτέρω βιβλίου τετάρτου, κεφαλαίου πρώτου Παράγραφον εἰκοστόν.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς ὑποκρίσεως καὶ παλιμβολίας τῶν Ἀρειανῶν, καὶ ἐπιβουλῆς καὶ συκοφαντίας αὐτῶν κατὰ τῶν ἰσχυρῶς κηρυττόντων τὸ Ὁμοούσιον, οὗ εἰς ἀναίρεσιν διαφόρους πεποιήκασι Συνόδους.

Ἐπειδὴ πάντοτέ εἰσιν οἱ Αἱρετικοὶ ὑποκριταὶ, οἱ Ἀρειανοὶ ποικίλοι καὶ παλίμβολοι τὰς γνώμας ὡς οἱ Χαμαλέοντες ἐν τοῖς χρώμασιν ὄντες διὰ τὸν φόβον τοῦ μεγάλου Κωνσταντίνου, εἰς τὸ φανερὸν ἐδόκουν ὁμοφωνεῖν τῇ ἐν Νικαίᾳ Συνόδῳ, λανθανόντως ὅμως οὐκ ἔλιπον ἐπιμέλεσθαι ὧν ἐδύνοντο εἰς ἀναίρεσιν τοῦ Ὁμοουσίου, καὶ τὸ πρῶτον αὐτῶν ἐπιχείρημα ἦν τοῦ καταβαλεῖν τοὺς τὸ Ὁμοούσιον ἰσχυρῶς κηρύττοντας καὶ ἐπὶ σοφίᾳ καὶ ἁγιότητι περιβοήτους, μὴ δυνάμενοι δὲ εὑρεῖν ἐν αὐτοῖς ἔγκλημα πίστεως ἐπάγον καθαίρεσιν, ἔπλαττον συκοφαντίας κατὰ τὴν διδασκαλίαν τοῦ παρετρύνοντος αὐτοὺς εἰς τὴν ἀσέβειαν πονηροῦ δαίμονος, καὶ δὴ ἑπομένως συμβέβηκε γενέσθαι πολλὰς καὶ διαφόρους Συνόδους, δι' ἄλλας μὲν ἐπιπλεῖον ὡς ἐδόκει αἰτίας, εἰς ἀναίρεσιν ὅμως ὅλως διόλου, ὡς εἴρηται, τοῦ Ὁμοουσίου, εἰ καὶ οὐδὲν ἴσχυσαν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς διαβολικῆς μηχανῆς τοῦ Εὐσεβίου Νικομηδείας δι' ἧς καθηρέθη ὁ ἅγιος Εὐστάθιος Ἀντιοχείας καὶ ἐξωρίσθη ἀδίκως ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου.

Ὁ Νικομηδείας Εὐσέβιος πείθει τὸν μέγαν Κωνσταντῖνον δοῦναι αὐτῷ ἄδειαν ἀπελθεῖν εἰς προσκύνησιν δῆθεν τοῦ νεωστὶ κτισθέντος διαβεβοημένου Ναοῦ τοῦ ἁγίου τάφου, ὡς Θεοδώριτος βιβλίῳ πρώτῳ, κεφαλαίῳ εἰκοστῷ πρώτῳ. καὶ δὴ ἀπελθὼν εἰς Ἱεροσόλυμα, ἐν τῷ ἐπανέρχεσθαι λαμβάνει μεθ' ἑαυτοῦ τὸν Παμφίλου Εὐσέβιον, τὸν Σκυθοπόλεως Πατρόφιλον, τὸν Λύδδης Ἀέτιον, τὸν Λαοδικείας Θεόδοτον καὶ ἄλλους ἀρειανόφρονας, οἵτινες εἰς Ἀντιόχειαν γενόμενοι, πείθουσί τινα γυναῖκα πόρνην, καὶ κατηγορεῖ τοῦ Ἐξάρχου τῆς πρώτης Συνόδου Ἀντιοχείας ἁγίου Εὐσταθίου, ὡς δῆθεν συγγινομένου αὐτῇ, καὶ οὕτως ἁμαρτύρως καθαιροῦσι τὸν μέγαν τῆς πίστεως πρόβολον. στάσεως δὲ γενομένης τοῦ τῆς Ἀντιοχείας λαοῦ διὰ τὸν Ποιμένα, κατηγοροῦσι τοῦ ἁγίου πρὸς τὸν Βασιλέα ὡς αἰτίου τῆς στάσεως. πιστεύσας δὲ τοῖς λόγοις αὐτῶν ὁ μέγας Κωνσταντῖνος, ἐξορίζει τὸν δίκαιον εἰς τὸ Ἰλλυρικὸν, ἢ κατὰ τὸν Ἱερώνυμον εἰς Τραϊανούπολιν τῆς Θρᾴκης, καὶ κατὰ τὸν Εὐάγριον εἰς Φιλιππούπολιν, καὶ ἀντιχειροτονεῖται Εὐλάλιός τις. τινὲς δὲ λέγουσιν, ὅτι διὰ Κύρου Βερρόιας Συρίας κατηγορήσαντος τοῦ ἁγίου ὡς σαβελλίζοντος ἐξεβλήθη, καθηρέθη ὅμως ὁπωσδήποτε καὶ ἐξωρίσθη ὁ ἄνθρωπος τοῦ Θεοῦ. Σωκράτης βιβλίῳ πρώτῳ, κεφαλαίῳ εἰκοστῷ τετάρτῳ, καὶ Θεοδώριτος λόγῳ πρώτῳ, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς παραλόγου καθαιρέσεως ὑπὸ τῶν λῃστρικῶν Συνόδων τῶν Ἀρειανῶν τοῦ μεγάλου Ἀθανασίου, καὶ τῆς ἐξορίας αὐτοῦ ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου, καὶ τοῦ ἀτιμοτάτου θανάτου τοῦ δυσσεβοῦς Ἀρείου.

Ἐπει-

Ἐπειδὴ ἀπέθανεν ὁ μέγας Ἀλέξανδρος ὁ τῆς Ἀλεξανδρείας Πάπας, μὴ παρόντος τοῦ ἁγίου Ἀθανασίου, ἐγένετο Ἀλεξανδρείας Θεωνᾶς τις τοὔνομα, οὗ τάχιστα τελευτήσαντος, ἦλθεν ἐν τῷ μεταξὺ καὶ ὁ Ἀθανάσιος ἀπὸ Κωνσταντινουπόλεως, καὶ Συνόδου συναχθείσης μεγάλης κατὰ τὸν Ἐπιφάνιον Αἱρέσει ἑξηκοστῇ ὀγδόῃ ἐδόθη ὁ θρόνος κατὰ τὴν παραγγελίαν τοῦ Ἀλεξάνδρου τῷ μεγάλῳ Ἀθανασίῳ, τῷ ἐν τῇ ἐν Νικαίᾳ Συνόδῳ εὐστόχως ἀντιλέξαντι, καὶ θεολογικῶς ἀποστομίσαντι τοὺς Ἀρειανούς. συνέβη δὲ τότε συνεργείᾳ τοῦ Νικομηδείας Εὐσεβίου διάτινος πρεσβυτέρου, καὶ οἰκείου Κωνσταντείας τῆς τοῦ Βασιλέως μὲν ἀδελφῆς, γυναικὸς δὲ Λικινίου ἀπατηθῆναι τὸν Βασιλέα ὑπὸ τοῦ Ἀρείου ὡς δῆθεν μὲν ἠδικημένου, ὄντος δὲ πιστοῦ. ὅθεν λαβὼν γράμματα, καὶ ἀπελθὼν εἰς Ἀλεξάνδρειαν, οὐκ ἐδέχθη ὑπὸ τοῦ ἁγίου Ἀθανασίου. φοβοῦνται τὴν προβίβασιν τοῦ Ἀθανασίου λοιπὸν οἱ Ἀρειανοὶ, καὶ πείθουσι τινὰς ὄργανα τοῦ Σατανᾶ τυγχάνοντας, καὶ κατηγοροῦσιν αὐτοῦ ὅτι δηλαδὴ τυραννεῖ τῆς Αἰγύπτου, καὶ τὸ χρυσίον ὃ συνάγει, δίδωσί τινι ἀποστασίαν κατὰ τοῦ Βασιλέως μελετῶντι. καλέσας ὅμως ὁ Βασιλεὺς τὸν ἅγιον πρὸς ἀπολογίαν, ἐδικαίωσεν αὐτὸν, καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν θρόνον αὐτοῦ. ἀλλ' ἐκεῖνοι ἄυκνοι ὄντες περὶ τὰ κακὰ, κατηγοροῦσι τοῦ ἁγίου διὰ πονηρῶν ἀνθρώπων ὅτι ποτήριον ἅγιον συνέτριψε καὶ ἄλλα αἰσχύνης ἔργα πεποίηκε, καὶ οὕτω πείθουσι τὸν Βασιλέα καὶ συγκροτεῖ Σύνοδον εἰς Καισάρειαν τῆς Παλαιστίνης κατ' αὐτοῦ, ὡς Θεοδώριτος βιβλίῳ πρώτῳ, κεφαλαίῳ εἰκοστῷ ὀγδόῳ. ὁ δὲ ἅγιος ἰδὼν τοὺς πρώτους τῆς Συνόδου Ἀρειανοὺς, ἢ καὶ διὰ τὴν πρὸς αὐτὸν μεγάλην ἔχθραν τοῦ Καισαρείας Εὐσεβίου οὐκ ἦλθεν εἰς τὴν Σύνοδον. παρέρχονται κατὰ τὸν Θεοδώριτον μῆνες τριάκοντα, καὶ ἀθροίζει ἑξήκοντα Ἐπισκόπων Σύνοδον ὁ Βασιλεὺς διὰ ἐγκαίνια καὶ θαῦμα τῆς νέας Ἱερουσαλὴμ καὶ τῶν λιθοκολλήτων καὶ ἄλλων ἀξιοτιμήτων κειμηλίων ἅπερ ἔδωκεν αὐτῇ, ὁρίζει δὲ τὴν Σύνοδον πρῶτον μεῖναι εἰς τὴν Τύρον, ἵνα θεωρήσῃ παρόντος καὶ τοῦ ἀνεψιοῦ αὐτοῦ Δαλματίου τὰ κατὰ τὸν μέγαν Ἀθανάσιον, γράψας καὶ τῷ ἁγίῳ ὅτι εἰ μὴ ἀπέλθῃ πρὸς ἀπολογίαν, ἄξει αὐτὸν ἐκεῖσε καὶ μὴ βουλόμενον, ὡς ὁ αὐτὸς βιβλίῳ τῷ αὐτῷ, κεφαλαίῳ εἰκοστῷ ἐνάτῳ. ἔρχεται ὁ Ἀθανάσιος, καὶ εἰ καὶ εὑρίσκονται ψεῦσται ὁ Ἀρσένιος καὶ οἱ λοιποὶ κατήγοροι, λυττῶσιν ὅμως κατ' αὐτοῦ οἱ κακοὶ κριταὶ, γόητα αὐτὸν ἀποκαλοῦντες, ὃν καὶ ἀπέκτειναν ἂν, εἰ μὴ ἐλύτρου αὐτὸν ὁ Δαλμάτιος. ἔφυγεν οὖν ὁ ἅγιος καὶ ἀπῆλθεν εἰς Ἱερουσαλὴμ, καὶ ἐποίησε τὰ ἐγκαίνια τοῦ ἁγίου τάφου μετὰ τοῦ Ἱεροσολύμων Μαξιμωνᾶ νεύσει Θεοῦ, ἵνα μὴ ἐγκαινισθῇ ὑπὸ τῶν Ἀρειανῶν, κἀκεῖθεν ἐπανῆλθεν εἰς Κωνσταντινούπολιν. γράφει ὁ Βασιλεὺς καὶ μέμφεται τὴν Σύνοδον ὡς ἄδικον. ἡ Σύνοδος ὑπάγει εἰς Ἱεροσόλυμα διὰ τὰ ἐγκαίνια, γράφουσιν ἐκεῖ καθαίρεσιν τοῦ Ἀθανασίου, δικαιοῦσι τὸν Ἄρειον, καὶ πέμπουσιν αὐτὸν εἰς τὴν Αἴγυπτον, καὶ ὁ ὁμολογητὴς Μάξιμος Ἱεροσολύμων Πατριάρχης ὁ εἰς τὴν Τύρον μετὰ τοῦ ὁμολογητοῦ Παφνουτίου διαμεμψάμενος τοὺς κριτὰς τῆς ἀδικίας, μάλιστα ὁ σὺν αὐτοῖς Ποτάμων ὁ ὁμολογητὴς ὠνείδισε τὸν Εὐσέβιον ὡς καθήμενον καὶ κρίνοντα ὄρθιον ἱστάμενον τὸν μέγαν Ἀθανάσιον, ὥσφησιν Ἐπιφάνιος Αἱρέσει μελητιανῶν. ὁ Μάξιμος λοιπὸν ἔχων διὰ θαύματος τὸν Ἀθανάσιον ὡς ὁμόδοξον, ὑπογράφει εἰς τὴν καθαίρεσιν αὐτοῦ. ἀπῆλθεν ὁ Ἄρειος μετὰ συνοδικῶν γραμμάτων εἰς Αἴγυπτον, συνέπεμψε δὲ αὐτῷ ἡ ἀθέμιτος Σύνοδος Θεόγνιν, Θεόδωρον, Νάρκισσον, Μάρην, Οὐρσάκιον καὶ Οὐάλεντα, οἵτινες ἐν Μαρεώτῃ συστήσαντες Σύνοδον, καὶ πλάσαντες κατήγορον τὸν ψευδέστατον Ἰσχύραν, κατέκρινον ἀπόντα τὸν ἅγιον Ἀθανάσιον, ἔπειτα οἱ πρόκριτοι τῆς Συνόδου ἀπέρχονται εἰς Κωνσταντινούπολιν, καὶ κατηγοροῦσι πολλὰ τοῦ Ἀθανασίου. ὁ δὲ Βασιλεὺς εἴτε δελεασθεὶς ὡς ὁ Δαβὶδ ὑπὸ τοῦ Σιβᾶ, εἴτε θαρρήσας εἰρήνην ταῖς Ἐκκλησίας γενήσεσθαι, ἀπόντα τὸν Ἀθανάσιον πρὸς ὃν ἐμάχοντο οἱ πολλοὶ ἐξορίζει λοιπὸν εἰς Τρίβεριν πόλιν Γαλλίας, ὡς Θεοδώριτος βιβλίῳ πρώτῳ, κεφαλαίῳ τριακοστῷ πρώτῳ, οὐκ ἀφῆκε μέντοι χειροτονηθῆναι ἕτερον Πάπαν εἰς τὴν Ἀλεξάνδρειαν. ἐγένοντο δὲ ταῦτα τῷ τριακοστῷ ἔτει τῆς Βασιλείας Κωνσταντίνου. σημειοῖ δὲ ὁ μέγας Ἀθανάσιος γράφων πρὸς Σεραπίωνα ὅτι μετὰ τὴν ἐξορίαν αὐτοῦ, ὁ Ἄρειος μὴ δεχθεὶς ὑπὸ τῶν Αἰγυπτίων ἀπῆλθεν εἰς Κωνσταντινούπολιν, καὶ μεσιτείᾳ τινῶν ὤφθη τῷ μεγάλῳ Κωνσταντίνῳ, καὶ ὡρκωμότει εἶναι ὀρθὸς καὶ οὐχ ὡς ἐσυκοφάντησεν αὐτὸν ὁ Ἀλέξανδρος. ὁ δὲ Κωνσταντῖνος ἀπέλυσεν αὐτὸν ἐν εἰρήνῃ, εἰπὼν, ἡμὲν ὀρθήσου ἡ πίστις ἐστὶ, καλῶς ὤμοσας, εἰ δὲ ἀσεβὴς εἶ, ὁ Θεὸς ἐκ τοῦ ὅρκου κρῖναι τὰ κατὰ σέ. καὶ δὴ προστάττει τῷ Κωνσταντινουπόλεως Ἀλεξάνδρῳ ὁ Βασιλεὺς ἵνα τὸν Ἄρειον ἑαυτῷ ποιήσῃ συλλειτουργόν. ὁ δὲ Ἀλέξανδρος ἀποτεινόμενος καὶ λέγων, μὴ εἶναι δίκαιον δεχθῆναι τὸν εἰσηγητὴν τῆς Αἱρέσεως, καὶ μὴ εἰσακουόμενος, κλαίων ἐν τῇ Ἐκκλησίᾳ κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου πρὸς ἑσπέραν, ἔλεγε πρὸς τὸν Θεὸν, εἰ Ἄρειος αὔριον συνάγεται, ἀπόλυσόνμε, καὶ λάβε τὴν ψυχήν μου, ὦ Κύριε μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς. καὶ οὕτω τῇ Κυριακῇ ἑτοιμαζομένου τοῦ Ἀρείου συνιερουργῆσαι τῷ Πατριάρχῃ, ἀπερράγησαν τὰ ἔγκατα αὐτοῦ εἰς ἀφεδρῶνα ἀπελθόντος.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ἀνακλήσεως τοῦ μεγάλου Ἀθανασίου εἰς τὸν θρόνον αὐτοῦ ἐκ παραγγελίας τοῦ μεγάλου Κωνσταντίνου πρὸς τοὺς υἱοὺς αὐτοῦ, καὶ αὖθις καθαιρέσεως τοῦ αὐτοῦ ὑπὸ τῆς ἐν Ἀντιοχείᾳ ἀθέσμου Συνόδου, τῆς τὸ Ὁμοούσιον ἀναιρεσάσης, καὶ περὶ τῶν διαφόρων θλίψεων αὐτοῦ ὑπὲρ τοῦ Ὁμοουσίου.

Παρήγγειλεν ὁ μέγας Κωνσταντῖνος τοῖς τρισὶν υἱοῖς αὐτοῦ ἀνακαλέσασθαι ἀπὸ τῆς ἐξορίας τὸν μέγαν Ἀθανάσιον, οἵτινες κοιμηθέντος αὐτοῦ ἀνεκαλέσαντο αὐτὸν τῆς ἐξορίας, ἐν ᾗ ἦν ἐξόριστος ἔτη δώδεκα, ἢ δεκατέσσαρα ὥς φησιν Ἐπιφάνιος Αἱρέσει Μελητιανῶν, καὶ δεδώκασιν αὐτῷ τὸν θρόνον, ὃν ὁ Κωνσταντιος εἰς τὸν θρόνον αὐτοῦ ἀπέστειλε, γράψας τοῖς Ἀλεξανδρεῦσι τὸν ὃν εἶχε σκοπὸν ὁ πατὴρ αὐτοῦ περὶ τῆς ἀπὸ τῆς ἐξορίας ἀνακλήσεως τοῦ Ἀθανασίου αὐτὸς ἐτελείωσε, καὶ ἰδοὺ ἀνακαλεσάμενος αὐτὸν ἐκεῖθεν πέμπει αὐτὸν εἰς τὸν θρόνον αὐτοῦ, καὶ λοιπὸν προσδεξάσθωσαν αὐτὸν εὐλαβῶς. τί δὲ τὰ μεταταῦτα; ἔκτισεν ὁ μέγας Κωνσταντῖνος τὴν μεγάλην Ἐκκλησίαν εἰς Ἀντιόχειαν ὀκτάγωνον, ἐτελείωσε δὲ αὐτὴν ὁ Κωνσταντιος, ὅντινα Βασιλέα Κωνσταντιον παρόντα εἰς Ἀντιόχειαν τοῦ περσικοῦ ἕνεκεν πολέμου, καὶ βουληθέντα ἐγκαινίσαι αὐτὴν μετὰ πέντε ἔτη τῆς κοιμήσεως τοῦ πατρὸς αὐτοῦ, ὁ πολλάκις ἀνωτέρω ῥηθεὶς Βηρυτοῦ μὲν πρότερον, εἶτα Νικομηδείας, μετέπειτα δὲ Κωνσταντινουπόλεως Ἐπίσκοπος Εὐσέβιος συμπαρὼν τῷ Βασιλεῖ, ἀφορμῆς δραξάμενος, ὡς δῆθεν γενήσωνται μεγαλοπρεπῆ τὰ ἐγκαίνια, πείθει, καὶ ἤθροισε Σύνοδον ἐν Ἀντιοχείᾳ ἐννενήκοντα Ἐπισκόπων (εἰ καὶ ὁ Θεοφάνης λέγει ἑκατονείκοσιν, ὁ δὲ Ἑρμείας βιβλίῳ τρίτῳ, κεφαλαίῳ πέμπτῳ ἐννενήκοντα ἑπτὰ) ἐν ἔτει τριακοσιοστῷ τεσσαρακοστῷ πρώτῳ τῷ σωτηρίῳ. ἡ ἐπίνοια ὅμως τοῦ Εὐσεβίου ἦν ἵνα ἀθροισθῇ Σύνοδος εἰς ἀνατροπὴν τοῦ Ὁμοουσίου, πλὴν οὐκ ἦν ἐκεῖ οὔτε ὁ Ῥώμης Ἰούλιος, οὔτε τις ἀπὸ τοῦ μέρους αὐτοῦ, οὔτε μὴν ὁ Ἱεροσολύμων Μάξιμος, ὅστις μάλιστα ἐξεπίτηδες ἔφυγε τὴν μιαρὰν ταύτην συναγωγὴν. καὶ γὰρ μετημέλετο σφοδρῶς ὑποκλαπεὶς καὶ γράψας εἰς τὴν καθαίρεσιν τοῦ Ἀθανασίου, ὡς ὁ Ἑρμείας βιβλίῳ τρίτῳ, κεφαλαίῳ ἕκτῳ φησὶ, λέγει γὰρ ὁ αὐτὸς, ὁ δὲ τὴν Ῥωμαίων Ἐκκλησίαν ἐπιτροπεύων, καὶ οἱ ἀνὰ τὴν Δύσιν Ἱερεῖς ὕβριν οἰκείαν ταῦτα ἡγοῦντο, δηλονότι τὰ διωρισμένα ὑπὸ τῆς Συνόδου ταύτης, βιβλίῳ τῷ αὐτῷ, κεφαλαίῳ ἑβδόμῳ. ποιοῦσι τοίνυν ἔκθεσιν ἑτέρας πίστεως παρὰ τὴν ἐν Νικαίᾳ, ἐν ᾗ ἀφαιροῦσι μὲν τὸ Ὁμοούσιον, σιωπῶσι δὲ τὸ ἐναντίον. εἶτα πάλιν ποιοῦσιν ἄλλην ἔκθεσιν, ἐν ᾗ ἐσιώπησαν μὲν τὸ Ὁμοούσιον, εἶπον δὲ τὸν Υἱὸν ἄτρεπτον καὶ ἀναλλοίωτον καὶ οὐσίας καὶ βουλῆς καὶ δυνάμεως καὶ δόξης ἀπαράλλακτον εἰκόνα, ὅπερ καὶ Ὁμοιούσιον, ἤτοι Ὁμοιοούσιον ὠνόμασαν. εἶχε δὲ σκοπὸν ἰδιαίτατον ἡ ἄθεος ἄθροισις διῶξαι ἀπὸ Ἀλεξανδρείας τὸν μέγαν Ἀθανάσιον, ὡς καὶ τὸν ἅγιον Εὐστάθιον ἐδίωξαν τῆς Ἀντιοχείας, ὅθεν συνέῤῥαψεν αὐτῷ ἐγκλήματα, πρῶτον, ὅτι ἀπῆλθεν εἰς τὸν θρόνον αὐτοῦ μετὰ τὴν ἐξορίαν χωρὶς κρίσεως καὶ γνώμης συνοδικῆς. δεύτερον, ὅτι εἰσελθόντος αὐτοῦ εἰς Ἀλεξάνδρειαν συνέβησαν ἐξ αἰτίας αὐτοῦ μάχαι καὶ φόνοι. τρίτον, ὅτι καὶ πολλοὶ ἀπέθανον ἐν ἐκείνῃ τῇ εἰσελεύσει, καὶ δὴ καὶ πολλοὶ κακῶς ἔπαθον ὑπ' αὐτοῦ τοῦ Ἀθανασίου. καὶ τέταρτον, ὅτι ἐν Τύρῳ ἦν προκαθηρημένος. πεισθεὶς δὲ καὶ ὁ Κωνσταντιος ἔκλινεν εἰς τὴν γνώμην αὐτῶν, ὅθεν καὶ ἐκάθηραν αὐτόν. ἰδὲ τὰ τῆς Συνόδου ταύτης Σωκράτους βιβλίῳ δευτέρῳ, κεφαλαίοις ἀπὸ τοῦ τρίτου ἕως τοῦ δεκάτου, καὶ τοῦ Ἑρμείου βιβλίῳ τρίτῳ. ἐξέθετο δὲ καὶ Κανόνας εἰκοσιπέντε, ἐνοῖς ἦσαν καίτινες βοηθοῦντες αὐτῇ εἰς ἃ ἐνήργει κατὰ τῶν τότε παρ' αὐτῆς διωκομένων Πατέρων, ἐξ ὧν Κανόνων τινὰς ὁ Χρυσόστομος ἀπεδοκίμαζε μετὰ τὴν ἀπὸ τῆς ἐξορίας ἐπάνοδον αὐτοῦ κρινόμενος τὸ δεύτερον, οὐμὴν ἀλλὰ καὶ ὁ Πάπας Ἰννοκέντιος ἐπελάβετο αὐτῶν ἐν τῇ πρὸς Κωνσταντινουπολίτας ὑπὲρ τοῦ Χρυσοστόμου ἐπιστολῇ αὐτοῦ, ἐστὶ δὲ πρώτη Σύνοδος τῶν κατὰ τοῦ Ὁμοουσίου, ἦν δὲ ταύτης τῆς Συνόδου ἀρχηγὸς ὁ ῥηθεὶς Εὐσέβιος, ὅθεν καὶ Εὐσεβιανοὶ ἐκλήθησαν οἱ ταύτης συμμύσται.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῶν περὶ τὸν Εὐσέβιον τῶν καθελόντων τὸν ἅγιον Ἀθανάσιον, καὶ διὰ τὸν φόβον τῆς τῶν ἁπανταχοῦ Ἐπισκόπων συμπνοίας μετὰ Ἀθανασίου ποιησαμένων τὸν Ῥώμης κριτὴν τῶν κατὰ Ἀθανασίου ἐν τῇ ἐν Τύρῳ Συνόδῳ ἐγκλημάτων, καὶ μὴ ἀπαντησάντων εἰς Ῥώμην ὡς συκοφαντῶν.

Οἱ περὶ Εὐσέβιον, ἤτοι οἱ τῆς Συνόδου ταύτης Ἐπίσκοποι διαπραξάμενοι μόνοι τὰ εἰρημένα ὡς εἴρηται, καὶ φοβούμενοι τῶν ἁπανταχοῦ ὀρθοδόξων Ἐπισκόπων τὴν σύμπνοιαν, ἀπέστειλαν εἰς Ῥώμην ἢ ἐκοινώνουν τότε πᾶσαι αἱ ὀρθόδοξοι Ἐκκλησίαι τὰ ὑπομνήματα δῆθεν τῶν τοῦ Ἀθανασίου ἐγλημάτων, Θεοδώριτος βιβλίῳ δευτέρῳ, κεφαλαίῳ τετάρτῳ. μάλιστα ὁ Εὐσέβιος ἔγραψε τῷ Ἰουλίῳ γενέσθαι αὐτὸν κριτὴν τῶν ἐπὶ Ἀθανασίῳ δοξάντων ἐν Τύρῳ, Ἑρμείας βιβλίῳ τρίτῳ, κεφαλαίῳ ἕκτῳ. τὰ αὐτά φησι καὶ ὁ Σωκράτης, ὁ Εὐσέβιος ὅσα ἐβούλετο κατεργασάμενος, διεπρεσβεύετο πρὸς Ἰούλιον

λιον τὸν Ῥώμης Ἐπίσκοπον, αὐτὸν κριτὴν τῶν κατὰ Ἀθανάσιον γενέσθαι παρακαλῶν, καὶ πρὸς αὐτὸν καλεῖν τὴν δίκην, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ ἑνδεκάτῳ. ὁ δὲ Ἀθανάσιος, καίτοι προέμαθε τὴν ἐπιβουλὴν, λαβὼν τὰς κατ' αὐτοῦ συκοφαντίας τῶν Εὐσεβιανῶν, ἔπεμψε γὰρ ταύτας αὐτῷ ὁ Ἰούλιος δηλῶν ὅτι καὶ κριτὴν αὐτὸν αὐτοῦ οἱ τῆς Συνόδου πεποιήκασι, καὶ ἐκάλει αὐτὸν ἀπελθεῖν εἰς Ῥώμην. ὑπεχώρησεν Ἀλεξανδρείας, καὶ τὴν Ῥώμην εὐθὺς μετὰ τὴν κλῆσιν κατείληφε, Θεοδώριτος βιβλίῳ δευτέρῳ, κεφαλαίῳ τετάρτῳ. οἱ δὲ περὶ Εὐσέβιον τὸ δρᾶμα, ἤτοι τὰ συντεθειμένα αὐτοῖς κατὰ τοῦ ἁγίου εἰδότες ψευδῆ, καὶ τὴν ἐν Ῥώμῃ Σύνοδον ὄντος Βασιλέως ὀρθοδόξου μὴ ἔχουσαν Ἄρχοντας καὶ ῥαβδούχους καὶ τέως βίαν γνόντες, ὡς λέγει ὁ ἅγιος ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ, οὐκ ἀπῆλθον εἰς Ῥώμην, σκήψεις προβαλλόμενοι περσικὸν πόλεμον, καὶ ἄλλας φλυαρίας. καὶ ταῦτα μὲν οὕτω.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ ἐξώσεως ἀπὸ τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως Παύλου δι' Ἀρειανικῆς Συνόδου κελεύσει τοῦ Βασιλέως Κωνσταντίου, καὶ τῆς ἐν Ῥώμῃ Συνόδου ὑπὲρ Παύλου καὶ Ἀθανασίου. καὶ τῆς εἰς τοὺς θρόνους αὐτῶν ἀποκαταστάσεως κατὰ τὸ δόξαν τῇ Συνόδῳ, καὶ τῆς τοῦ Ἰουλίου Ῥώμης ἐπιστολῆς πρὸς τοὺς Εὐσεβιανούς.

Κοιμηθέντος τοῦ Κωνσταντινουπόλεως ἁγίου Ἀλεξάνδρου, χειροτονεῖται εἰς τὸν τόπον αὐτοῦ ὁ μαθητὴς αὐτοῦ ἅγιος Παῦλος. ὁ δὲ Κωνσταντίος ἐξ ἀποδημίας ἐλθὼν εἰς Βυζάντιον, καὶ Σύνοδον ἐξ ἐπιβουλῆς τῶν ἐχθρῶν τοῦ Παύλου Ἀρειανῶν καθίσας, τὸν μὲν Παῦλον τῆς Ἐκκλησίας ἀπεδίωξεν, Εὐσεβίῳ δὲ τῷ Νικομηδείας Ἐπισκόπῳ τὸν Κωνσταντινουπόλεως θρόνον δέδωκεν, Ἑρμείας βιβλίῳ τρίτῳ, κεφαλαίῳ τετάρτῳ. τελευτήσαντος δὲ τοῦ Εὐσεβίου μετὰ τὴν ἐν Ἀντιοχείᾳ Σύνοδον, οἱ ὀρθόδοξοι εἰσῆγον εἰς τὴν Ἐκκλησίαν τὸν Παῦλον, οἱ δὲ Ἀρειανοὶ ἐχειροτόνησαν Κωνσταντινουπόλεως τὸν Μακεδόνιον. ὁ δὲ Βασιλεὺς εὑρισκόμενος εἰς Ἀντιόχειαν, καὶ μαθὼν τὰς γινομένας περὶ τούτων ἐν Βυζαντίῳ συγχύσεις, ἔγραψεν Ἑρμογένει τῷ Στρατηλάτῃ τῆς Θρᾴκης ἐλθεῖν εἰς Βυζάντιον καὶ διώξαι τὸν Παῦλον, ἀλλ' ἐγένετο πρὸς αὐτὸν ἐλθόντα ἀντιλογία καὶ ἀντίστασις τῶν ὀρθοδόξων, ὥστε ἀναιρεθῆναι αὐτόν. μαθὼν δὲ ταῦτα ὁ Βασιλεὺς, ἀπῆλθεν ὡς εἶχε τάχους εἰς Βυζάντιον καὶ ἐδίωξε τὸν Παῦλον, οὐκ ἀφῆκε μέντοι οὔτε τὸν Μακεδόνιον ἐνθρονισθῆναι, καὶ ταῦτα διαπραξάμενος, ἐπανέστρεψεν εἰς Ἀντιόχειαν. ἀπῆλθεν οὖν καὶ ὁ Παῦλος εἰς Ῥώμην, ἀκούσας εἶναι ἐκεῖ καὶ τὸν Ἀθανάσιον, ὃν καὶ εὗρεν ἐκεῖ, ἔτι τε καὶ Μάρκελλον Ἀγκύρας, Ἀσκληπᾶν Γάζης, Λούκιον Ἀδριανουπόλεως καὶ ἄλλους τοὺς καθαιρεθέντας ὑπὸ ταύτης τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, Ἑρμείας βιβλίῳ δευτέρῳ, κεφαλαίῳ ἑβδόμῳ, καὶ Σωκράτης βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ τρίτῳ. καὶ λοιπὸν συνέρχεται Σύνοδος ἐν Ῥώμῃ ὡς ὁ ἅγιος Ἀθανάσιος λέγει πεντήκοντα Ἐπισκόπων, ἥτις ὀρθόδοξος οὖσα, καὶ τοῖς ἀδικουμένοις ὀρθοδόξοις συμπάσχουσα, καὶ μάλιστα ἰδοῦσα καὶ τὴν ἐν Νικαίᾳ Σύνοδον ὑπούλως ἐναλλαττομένην ὑπὸ τῶν Εὐσεβιανῶν, ὡς ὁ Ἰούλιος γράφει καθαρῶς ἐν τῇ ἐπιστολῇ αὐτοῦ, καὶ ἔχουσα καὶ τὸν Βασιλέα τῆς δύσεως σύμμαχον, καὶ ἐπὶ τούτοις ἔχουσα καὶ τὰς ἐπιστολὰς τῶν Εὐσεβιανῶν, ἐν αἷς ἐκάλουν τὸν Ἰούλιον κριτὴν, ὄντος ἐκεῖ τοῦ Ἀθανασίου καὶ περιμένοντος ἓν καὶ ἥμισυ ἔτος τοὺς Εὐσεβιανοὺς ἐλθεῖν εἰς τὴν ἐν Ῥώμῃ Σύνοδον κατὰ τὴν αἴτησιν αὐτῶν καὶ μὴ ἐλθόντας, ἀλλὰ φανερῶς παραιτησαμένους τὴν εἰς Ῥώμην ἄφιξιν, πρῶτον μὲν ἐξήτασεν εἰ τὰ λεγόμενα κατὰ Ἀθανασίου εἰσὶν ἀληθῆ, εὗρεν ὅμως αὐτὰ διόλου ψευδῆ, μάλιστα μετὰ τὴν ἀναχώρησιν Ἀθανασίου συνῆλθε Σύνοδος εἰς Αἴγυπτον μεγάλη, ἦσαν γὰρ ἐν αὐτῇ Ἐπίσκοποι κατὰ μὲν τὴν ἐν Σαρδικῇ Σύνοδον ἐν τῇ ἐγκυκλίῳ αὐτῆς ἐπιστολῇ ὀγδοήκοντα, κατὰ δὲ τὸν μέγαν Ἀθανάσιον ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ ἑκατὸν, καὶ ἔγραψε τοῖς ἐγκρίτοις τῶν Ἐπισκόπων τῆς καθολικῆς Ἐκκλησίας, ἐν οἷς καὶ εἰς Ἰούλιον Ῥώμης, καὶ εἰς τὴν ἐκεῖσε Ἐκκλησίαν ὑπεραπολογουμένη Ἀθανασίου ὡς ἀδικουμένου, Σωκράτης βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ, καὶ Ἑρμείας βιβλίῳ δευτέρῳ, κεφαλαίῳ ἑνάτῳ. εἶτα ἔκρινε καὶ ἔγραψεν ὁ Ἰούλιος πρὸς τοὺς Εὐσεβιανοὺς μεμφόμενος αὐτοῖς ὡς οὐκ ὀρθῶς βουλευσαμένοις περὶ τοὺς ἄνδρας, καὶ τὰς Ἐκκλησίας ταράττουσι τῷ μὴ ἐμμένειν τοῖς ἐν Νικαίᾳ δόξασιν. ὀλίγους δὲ ἐκ πάντων εἰς ῥητὴν ἡμέραν παρεῖναι ἐκέλευσε διελέγξοντας δικαίαν ἐπ' αὐτοὺς γενομένην τὴν ψῆφον, ἢ τοῦ λοιποῦ μὴ ἀνέξεσθαι εἰμὴ παύσαιντο νεωτερίζειν. ἔπεμψε δὲ τὴν ἐπιστολὴν δι' Ἐλπιδίου καὶ Φιλοξένου τῶν Πρεσβυτέρων, ἐπέδωκε δὲ καὶ ἑκάστῳ τὴν ἰδίαν Ἐκκλησίαν, ἤτοι Ἀθανασίῳ, Παύλῳ καὶ τοῖς λοιποῖς. ταῦτα Ἑρμείας βιβλίῳ τρίτῳ, κεφαλαίῳ ὀγδόῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς κατ' εἰρωνείαν ἀποκρίσεως τῶν Εὐσεβιανῶν πρὸς τὸν Ῥώμης Ἰούλιον, καὶ καταφρονήσεως τῆς ἐπιστολῆς αὐτοῦ, ἀποδιώξεώς τε τοῦ τε Ἀθανασίου καὶ Παύλου καὶ τῶν λοιπῶν ἀπὸ τῶν θρόνων αὐτῶν.

Οὐκ

Οὐκ ἔφθασε μαθεῖν ὁ Εὐσέβιος τὰ παρὰ Ἰουλίου περὶ Ἀθανασίου κριθέντα, λέγει ὁ Σωκράτης βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ δευτέρῳ. ἔλαβον δὲ τὴν ἐπιστολὴν οἱ περὶ αὐτὸν ζῶντες, οἳ καὶ χαλεπῶς ἤνεγκαν, καὶ συλλεγέντες ἐν Ἀντιοχείᾳ, αὐτέγραψαν Ἰουλίῳ εὐφραδείᾳ κεκαλλωπισμένην τινὶ καὶ δικανικῶς συντεταγμένην ἐπιστολὴν, εἰρωνείας τε οὐκ ὀλίγης ἀνάπλεων, καὶ ἀπειλῆς οὐκ ἀμοιροῦσαν δεινοτάτης. φέρειν μὲν πᾶσι φιλοτιμίαν τὴν Ῥωμαίων Ἐκκλησίαν ἐν τοῖς γράμμασιν ὡμολόγουν, ὡς Ἀποστόλων φροντιστήριον, καὶ εὐσεβείας Μητρόπολιν ἐξαρχῆς γεγενημένην, εἰ καὶ ἐκ τῆς Ἕω ἐνεδήμησαν ἐν αὐτῇ οἱ τοῦ δόγματος εἰσηγηταὶ, οὐ παρὰ τοῦτο δὲ τὰ δευτερεῖα φέρειν ἠξίουν ὅτι μὴ μεγέθει ἢ πλήθει Ἐκκλησίας πλεονεκτοῦσιν ὡς ἀρετῇ καὶ προαιρέσει νικῶντες. εἰς ἔγκλημά τε προσφέροντες Ἰουλίῳ τὸ κοινωνῆσαι τοῖς ἀμφὶ τὸν Ἀθανάσιον ἐχαλέπαινον ὡς ὑβρισμένης αὐτῶν τῆς Συνόδου, καὶ τῆς ἀποφάσεως ἀναιρεθείσης, καὶ τὸ γενόμενον ὡς ἄδικον καὶ ἐκκλησιαστικοῦ θεσμοῦ ἀπᾷδον διέβαλον, Ἑρμείας βιβλίῳ δευτέρῳ, κεφαλαίῳ ὀγδόῳ. τέλος πάντων καταφρονήσαντες τῶν γραμμάτων Ἰουλίου, ἐδίωξαν καὶ Ἀθανάσιον καὶ Παῦλον, Ἀσκληπᾶν, Μάρκελλον καὶ Λούκιον. ἔγραφον δ' ἔτι τῷ Ἰουλίῳ ὅτι ἐὰν συμφωνήσῃ εἰς τὴν καθαίρεσιν ὧν ἐκάθηραν, καὶ εἰς τὴν χειροτονίαν ὧν ἐχειροτόνησαν, ἔχωσιν εἰρήνη, εἰ δὲ μὴ, γίνονται τὰ ἐναντία. οὐδὲ γὰρ ὅτε οἱ Δυτικοὶ Ναυᾶτον ἐκάθηραν οἱ Ἀνατολικοὶ ἐμέμψαντο.

ΠΑΡΑΤΡΑΦΟΝ Ε'.

Περὶ τῆς ταραχῆς καὶ φόνων ἐν μὲν τῇ Ἀλεξανδρείᾳ διὰ συνεργείας τοῦ Ἀλεξανδείας Γεωργίου κατὰ Ἀθανασίου, ἐν δὲ Κωνσταντινουπόλει διὰ τοῦ λαοῦ ὑπὲρ τοῦ Παύλου, καὶ περὶ τῶν εἰς Κώνσταντα τὸν Βασιλεα ἀπελθόντων τοῦ ἀποδοῦναι αὐτῷ λόγον περὶ τῆς καθαιρέσεως τῶν περὶ Ἀθανάσιον καὶ Παῦλον, καὶ τῆς τῶν Εὐσεβιανῶν Συνόδου, ἢ τὴν ἔκθεσιν αὐτῆς πολύστιχον ὀνομασθεῖσαν ἔπεμψεν εἰς Ἰταλίαν.

Ὅτε ἔμαθον οἱ περὶ τὸν Εὐσέβιον τὰ ἐν Ῥώμῃ κεκριμένα, ἐχειροτόνησαν Ἀλεξανδρείας Ἐπίσκοπον τὸν Ἐμέσης Εὐσέβιον, ὃν σαβελλιανίζοντα λέγει ὁ Θεοφάνης, οὗ μὴ δεχθέντος ὑπὸ τῶν Αἰγυπτίων, ἐχειροτόνησαν τὸν Γρηγόριον, εἰ καὶ ὁ Σωκράτης λέγει, ὅτι Εὐσεβίου τοῦ Ἐμέσης μὴ βουληθέντος γενέσθαι Ἀλεξανδρείας, ἐχειροτόνησαν τὸν Γρηγόριον, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ. ἰδὲ καὶ Θεοδωρίτου λόγου δευτέρου κεφάλαιον τέταρτον. ἀπελθὼν δὲ ὁ Γρηγόριος εἰς Ἀλεξάνδρειαν μετὰ βασιλικῆς δυνάμεως, ὅσα πάνδεινα κακὰ ἐποίησεν ἐκεῖ, ὑπερέβη καὶ τὸν Ἀγροικόλαον, καὶ ἰδὲ τὴν δευτέραν ἀπολογίαν τοῦ Ἀθανασίου. σημειοῖ μετὰ τῶν ἄλλων χρονογράφων ὁ Ἑρμείας βιβλίῳ τρίτῳ, κεφαλαίῳ ἕκτῳ ὅτι τὸν Γρηγόριον μὴ δεξαμένων τῶν Ἀλεξανδρέων, οἱ περὶ Εὐσέβιον ἔπεμψαν αὐτοῖς Ἐπίσκοπον Γεώργιον τὸν Καππαδόκην. λοιπὸν ἐλθόντος ἀπὸ Ῥώμης τοῦ Ἀθανασίου, καὶ εἰσερχομένου εἰς Ἀλεξάνδρειαν, λέγει ὁ Σωκράτης ὅτι ὁ Γεώργιος προεξένησε ταραχὰς καὶ φόνους ἀνθρώπων. οἱ δὲ Εὐσεβιανοὶ ἔλεγον εἶναι αἰτίαν τῶν τοιούτων τὸν ἅγιον, καὶ ἤυξανον τὰ ἐγκλήματα. τὰ τοιαῦτα ἱστορεῖ καὶ ὁ Αἱρετικὸς Σαβῖνος, ἀλλὰ συκοφαντικῶς καὶ λίαν ψευδῶς, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ πέμπτῳ. ἐπανῆλθεν οὖν ὁ Ἀθανάσιος εἰς Ῥώμην, καὶ δὴ καὶ ὁ Παῦλος, ὃς ἦν ἐξόριστος εἰς Θεσσαλονίκην ὑπὸ Φιλίππου τοῦ Ἐπάρχου. ὁ γὰρ Βασιλεὺς ἔγραψεν ὕστερον τῷ Φιλίππῳ δοῦναι τὸν θρόνον Μακεδονίῳ, τὸν δὲ Παῦλον ἐξορίσαι, ἔνθα καὶ μάχης γινομένης ἀνὰ μέσον τῶν ὀρθοδόξων καὶ τῶν Ἀρειανῶν, σφάττονται ἄνθρωποι τρεῖς χιλιάδες καὶ ἑκατὸν πεντήκοντα, Σωκράτης βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ἕκτῳ. ἀπῆλθεν οὖν ὡς εἴρηται καὶ ὁ Παῦλος εἰς Ῥώμην, ἔνθα εὗρε καὶ τοὺς περὶ Ἀθανάσιον. ἐπεὶ δὲ Ἰούλιος ἔγραψε δεύτερον εἰς τοὺς Εὐσεβιανοὺς μέλιτος γλυκύτερα ῥήματα ῥέουσαν ἐπιστολὴν, ἀπολογούμενος εἰς ἅπερ αὐτῷ ἐνεκάλουν, καὶ ἐσημείου ἔτι γε πολλὰ ὑπὲρ τῆς πίστεως καὶ ὑπὲρ τῶν ἀδικουμένων πατέρων, καὶ τοῖς αὐτοῦ γράμμασι κατώρθου οὐδὲν, δῆλα πεποίηκε ταῦτα τῷ Βασιλεῖ τῆς Δύσεως Κώνσταντι, ὅστις δυσωπήσει αὐτοῦ Ἰουλίου ἔγραψε τῷ ἀδελφῷ (τῷ Βασιλεῖ τῆς Ἀνατολῆς Κωνσταντίῳ) καὶ ἐζήτει πέμψαι τινὰς πρὸς ἀπολογίαν τῆς καθαιρέσεως Παύλου καὶ Ἀθανασίου, καὶ τῶν λοιπῶν. καὶ ἀπεστέλλονται Νάρκισσος Κίλιξ, Θεόδωρος Περίνθου, Μάρης Χαλκηδόνος καὶ Μάρκος Ἀρεθούσης, Ἑρμείας βιβλίῳ τρίτῳ, κεφαλαίῳ δεκάτῳ ὀγδόῳ. τὰ αὐτὰ καὶ ὁ Σωκράτης φησὶν, ὁ Βασιλεὺς τῶν Ἑσπερίων μαθὼν τὰ κατὰ Ἀθανάσιον καὶ Παῦλον, ἔπεμψε γράμματα Κωνσταντίῳ ζητῶν τρεῖς Ἐπισκόπους τὸν λόγον ἀποδώσοντας τῆς καθαιρέσεως τῶν ἀνθρώπων, καὶ ἔπεμψε, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ὀγδόῳ. λέγουσιν οὖν οἱ αὐτοὶ, ὅτι οὗτοι οἱ τέσσαρες παραγενόμενοι εἰς Ἰταλίαν, διϊσχυρίζοντο, καὶ τὸν Βασιλέα πείθειν ἐπειρῶντο δικαίαν εἶναι τῆς Ἀνατολικῆς Συνόδου τὴν κρίσιν, διέβαλον δὲ τῷ Κώνσταντι καὶ Ἀθανάσιον καὶ Παῦλον. ἀπαιτούμενοι δὲ τὸ πῶς ἔχουσι περὶ τὴν πίστιν, τὴν ἐν Ἀντιοχείᾳ πίστιν κρύψαντες, ἑτέραν ἔκθεσιν πίστεως χωρὶς τοῦ Ὁμοουσίου ποιήσαντες, δεδώκασι τῷ Κώνσταντι, ἀλλ' οὐδὲν ὠφελήθησαν. ἔμεινεν οὖν ἡ ἔρις ἔτη τρία, εἶτα ἐποίησαν οἱ αὐτοὶ ἄλλην Σύνοδον, καὶ πέμπουσι τὴν ἔκθεσιν

ἔκθεσιν αὐτῆς εἰς Ἰταλίαν μετὰ Εὐδοξίου Γερμανικείας καὶ Μακεδονίου Μοψουεστίας. ἡ δὲ ἔκθεσις ὠνομάσθη πολύστιχος. ἀφαιρεῖται δὲ καὶ ἐν αὐτῇ τὸ Ὁμοούσιον. οἱ δὲ Δυτικοὶ μεθ' ὧν ἐννοοῦνται Φρᾶκες, Μακεδόνες, Ἑλλαδικοὶ, Δάκες, Παννόνιοι καὶ Ἰλλύριοι (πλὴν Οὐρσακίου Σιγγιδόνος, Οὐάλεντος Μυρσῶν, Φωτεινοῦ Σιρμίου καὶ Αὐξεντίου Μεδιολάνων καὶ ἑτέρων τινῶν ὀλιγίστων) σοφώτατα ἔλεγον, ἀρκεῖ ἡ ἐν Νικαίᾳ βεβαιωθεῖσα πίστις καὶ ἄλλης οὐχρεία, Σωκράτης βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ἐνάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ κηρύξεως Συνόδου ἐν Σαρδοῖ προσταγῇ τῶν Ῥώμης καὶ Κωνσταντινουπόλεως Βασιλέων Κώνσταντος καὶ Κωνσταντίου ἕνεκεν Ἀθανασίου, Παύλου καὶ τῶν λοιπῶν, καὶ τῶν τῆς πίστεως δογμάτων.

Ἀπελθόντες οἱ πατέρες εἰς Ῥώμην οὐδὲν ὠφελήθησαν τοῦ λοιποῦ οὔτε ἀπὸ τοῦ Ῥώμης Ἰουλίου οὔτε ἀπὸ τῶν ἐν Ῥώμῃ Συνόδων, ἐπειδὴ οἱ Ἀνατολικοὶ εἰς οὐδὲν αὐτοὺς ἐλογίζοντο, μάλιστα ὡς εἴρηται οἱ ἀποσταλέντες ἐκεῖσε εἰς Βασιλέα τὰς ἀπολογίας ἐποίουν καὶ οὐκ εἰς Ἰούλιον ἢ τὴν Σύνοδον τῆς ἐν Ῥώμῃ Ἐκκλησίας. ὁ Βασιλεὺς Κώνστας ὅμως γνοὺς τὸ δίκαιον, ἔγραφε τῷ ἀδελφῷ ἐπιπόνως δοῦναι τοὺς θρόνους τοῖς εἰρημένοις, ἀλλ' οὔτε αὐτὸς εἰσηκούετο. τέλος δὲ πάντων ἐπειδὴ ὁ αὐτὸς Βασιλεὺς ᾔτει τὸν ἀδελφὸν ὥστε τοὺς περὶ Ἀθανάσιον λαβεῖν τοὺς θρόνους αὐτῶν, καὶ γράφων ἤνυεν οὐδὲν οὐδὲ αὐτὸς ἀντιπραττόντων τῶν τῆς ἐναντίας Αἱρέσεως, οἱ περὶ Ἀθανάσιον καὶ Παῦλον προσιόντες αὐτῷ, Σύνοδον ἐζήτουν εἰς ἐπικουρίαν τῶν ὀρθῶν δογμάτων ὡς ἐπιβουλευθέντων. ὅθεν ἔδοξε γνώμῃ τῶν Βασιλέων τοὺς ἐφ' ἑκατέροις ἐρχομένους Ἐπισκόπους εἰς ῥητὴν ἡμέραν καταλαβεῖν τὴν πόλιν σαρδὼ, Ἑρμείας βιβλίῳ τρίτῳ, κεφαλαίῳ ἐνδεκάτῳ. καὶ ὁ Σωκράτης φησὶ, Σύνοδον ἄλλην παρακαλοῦσι γενέσθαι οἱ περὶ Παῦλον καὶ Ἀθανάσιον, ὥστε καὶ τὰ κατ' αὐτοὺς καὶ τὰ περὶ πίστεως ἐν Οἰκουμενικῇ Συνόδῳ λαβεῖν. κηρύττεται οὖν αὖθις Οἰκουμενικὴ Σύνοδος ὡς ἐπὶ Σαρδικὴν γνώμῃ τῶν δύο Βασιλέων, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ παπιστῶν σπευδόντων δεῖξαι ἐκ τοῦ ἀπελθεῖν Ἀθανάσιον καὶ Παῦλον καὶ τοὺς λοιποὺς πατέρας εἰς Ῥώμην, καὶ ἐκ τοῦ τὸν Ἰούλιον ἀποδοῦναι τοὺς θρόνους αὐτῶν καὶ γράψαι ὑπὲρ αὐτῶν τοῖς Ἀνατολικοῖς ἔχειν τὸν Ῥώμης Ἔκκλητον ἐπὶ τῆς καθόλου Ἐκκλησίας, καὶ περὶ τῆς καταστροφῆς τοῦ Φλυαρειδίου τούτου τῶν παπιστῶν διὰ μαρτυριῶν καὶ ἀποδείξεων ἁγίων πατέρων καὶ Συνόδων τῶν τὰ αὐτὰ καὶ πλείω κατὰ καιροὺς ἐνεργησάντων.

Οἱ παπισταὶ ὅμως ἐκ τούτων, ἤγουν ἐκ τοῦ ἀπελθεῖν τοὺς ἁγίους τὸν Ἀθανάσιον καὶ Παῦλον καὶ τοὺς λοιποὺς πατέρας εἰς τὴν Ῥώμην, καὶ τὸν Ἰούλιον δεδωκέναι αὐτοῖς τοὺς θρόνους αὐτῶν καὶ γράψαι ὑπὲρ αὐτῶν εἰς τοὺς Ἀνατολικοὺς σπουδάζουσι δεῖξαι ὅτι ἔχει ὁ Ἐπίσκοπος Ῥώμης Ἔκκλητον ἐπὶ τῆς καθόλου Ἐκκλησίας. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι εἰ καὶ ἐκ τῶν ἀνωτέρω κεφαλαίων φανερὸν ὅτι ὁ Ῥώμης ἐνήργει διὰ τοῦ Βασιλέως τῆς Δύσεως Κώνσταντος καὶ ἐβοήθει τῷ δικαίῳ καὶ οὐκ ἐξ αὐτοῦ μόνου, δηλονότι ὡς οὐκ ἀπὸ δυναστείας ἢ ἐξουσίας τοῦ θρόνου τῆς Ῥώμης, ὅμως λέγομεν ὅτι ὅταν κατεπείγῃ ἀναγκαία ἐκκλησιαστικὴ χρεία, οὐγράφουσι μόνον οἱ μεγάλοι Ἐπίσκοποι εἰς τοὺς μεγάλους ἢ καὶ εἰς τοὺς μικροὺς Ἐπισκόπους, ἀλλὰ καὶ οἱ ἐλάχιστοι εἰς τοὺς μεγίστους, ὅπου καὶ Μητροπολῖται οὐχ ὡς Πατριάρχαι, ἀλλ' ὡς Ἀπόστολοι ἔγραψαν εἰς ὑπερορίους Ἐκκλησίας καὶ ἔθνη καὶ λαοὺς, οὐ διὰ φιλαρχίαν, ἀλλὰ διὰ ἐκκλησιαστικὴν οἰκοδομὴν κατὰ Παῦλον. καὶ ἀρκεῖ εἰς μαρτυρίαν τέσσαράτινα, πρῶτον, ὅτι εἰς τὸν Σαμοσατέα πολλοὶ ἔγραψαν ἐλέγχοντες τὴν Αἵρεσιν, καὶ δὴ καὶ ἐκάθηραν αὐτὸν ἄνευ εἰδήσεως ἢ γνώμης ἢ βουλῆς τοῦ Ῥώμης. εἶτα εἰς τὸν Κναφέα ὅτι ἐπενόησε τὴν προσθήκην εἰς τὸ Τρισάγιον τὴν, ὁ σταυρωθεὶς δι' ἡμᾶς, οὐ μόνον Πατριάρχαι, ἀλλὰ καὶ Ἐπίσκοποι ἔγραψαν καὶ ἀνεθεμάτισαν αὐτὸν, ὡς καὶ τὸν Σεβῆρον ἐκάθηραν μόνοι δύο Ἐπίσκοποι Κοσμᾶς καὶ Σεβηριανὸς, καὶ ἰδὲ κατωτέρω βιβλίον τέταρτον. ἔτι καὶ εἰς Νεστόριον καὶ τοὺς λοιποὺς Αἱρετικοὺς Πατριάρχας ἔγραψαν οὐ μόνον οἱ τῶν μεγάλων θρόνων Ἐπίσκοποι, ἀλλὰ καὶ οἱ τῶν μικρῶν, ὡς Ἀκάκιος Βερρόιας καὶ ἄλλοι. ἔπειτα ὁ Ῥώμης Ἀδριανὸς κατὰ Φωτίου ἐν Ῥώμῃ φερόμενος ἔλεγεν εἰς τὴν τότε Σύνοδον ὅτι διὰ τὴν Αἵρεσιν ἔξεστι τοῖς ἐλάττοσιν Ἐπισκόποις κατεξανίστασθαι τῶν μειζόνων. καὶ εἰ τοῦτο ποιοῦσιν οἱ μικροὶ Ἐπίσκοποι εἰς ἀναγκαῖον καιρὸν, πόσῳ μᾶλλον ἦν δίκαιον ἵνα γράφῃ ἐναντία τινῶν κακοτρόπων εἰς τὴν Ἀνατολὴν μεθ' οἵου τρόπου ἐδύνατο ἂν ὁ Ῥώμης Ἰούλιος, Πατριάρχης ὢν ὅλης τῆς Δύσεως, καὶ ἔχων συνεργοὺς

τὸν

τόν τε Βασιλέα τῆς Δύσεως καὶ τοὺς ἐγκρίτους τῶν Ἀνατολικῶν Ἀρχιερέων; δεύτερον, ὅτι τὰ τῆς Ἐκκλησίας οὐνοεῖται μόνῳ τῷ λόγῳ τῆς ἀξιώσεως, ἀλλὰ καὶ τῆς ἀνάγκης, ὅθεν οἱ Πατέρες μέλη ὄντες τῆς Ἐκκλησίας συμπάσχουσιν ἀλλήλοις, καθὼς καὶ ὁ Ἰούλιος λέγει εἰς τὴν ἐπιστολὴν, καὶ ἐνεργοῦσι καὶ γράφουσιν ἐν ὥρᾳ ἀνάγκης καὶ ὑπερορίως, ποτὲ μὲν διδασκαλικῶς μόνον, ποτὲ δὲ καὶ ἐλεγκτικῶς, πολλάκις δὲ καὶ κατακριτικῶς, καὶ μόνοι, καὶ μετὰ πολλῶν, ἀλλ' ἀπὸ τῶν τοιούτων γραμμάτων καὶ ἐπιτιμήσεων οὐδεὶς Ἐπίσκοπος ἔλαβεν ἐν τῇ Ἐκκλησίᾳ καθόλου ἀξίωμα, ὅθεν οὐδὲ ὁ Ῥώμης ἢ ἔλαβεν, ἢ δύναται λαβεῖν, καὶ λάβε παράδειγμα ἀπὸ τοῦ ἁγίου Ἱερωνύμου καὶ ἄλλων. ὁ Πολύκαρπος Σμύρνης ἔγραψε πρὸς Φιλιππησίους ἐπιστολὴν πάνυ θαυμαστὴν, ἥτις καὶ ἐπὶ Ἱερωνύμου ἀνεγινώσκετο εἰς τὴν Ἀσίαν ἐπ' Ἐκκλησίας, Εὐσέβιος βιβλίῳ τεταρτῷ, κεφαλαίῳ δεκάτῳ τεταρτῷ. καὶ Κλήμης ὁ Ῥώμης ἔγραψεν εἰς Κόρινθον, ἀλλὰ καὶ ὁ Κορίνθου Διονύσιος ἐπὶ Ἀντωνίου Βήρου ἔγραψεν ἐπιστολὰς ὡς Ἀπόστολος εἰς Λακεδαιμονίους δύο, εἰς Ἀθηναίους τρεῖς, εἰς Νικομήδειαν τέσσαρας, εἰς Κρήτην πέντε, εἰς Ἄμαστριν καὶ εἰς ἄλλας Ἐκκλησίας τῆς μαύρης θαλάσσης ἕξ, εἰς Κνωσσιανοὺς καὶ Πινυτὸν τὸν Ἐπίσκοπον αὐτῶν, ὅστις καὶ δευτέραν ἐπιστολὴν παρὰ τοῦ Διονυσίου ἐζήτει περιέχουσαν οὐ γάλα, ἀλλὰ στερεὰν τροφήν. ἔτι δὲ ἔγραψε καὶ εἰς τὴν Ῥώμην, καὶ εἰς Σωτῆρα Ἐπίσκοπον Ῥωμαίων ὀκτὼ, πρὸς γυναῖκα εὐβλαβῆ Χρυσοφόραν. Βίκτωρ Ἐπίσκοπος Ῥώμης περὶ τοῦ Πάσχα εἰς πολλὰ ἔθνη ἔγραψεν ἐπιστολὰς, ἀλλὰ καὶ ὁ Εἰρηναῖος Ἐπίσκοπος Λουγδούνων ἔγραψε καὶ ἐπετίμησε τὸν Ῥώμης Βίκτορα διότι ἀφώρισε τινὰς Ἐκκλησίας τῆς Ἀσίας, καὶ παραινεῖ αὐτὸν ἵνα μὴ σχίζῃ εὐκόλως τὴν ἑνότητα τῶν Ἐκκλησιῶν, καὶ διδάσκει ὁ Ἐπίσκοπος τὸν Πάπαν, καὶ δὴ καὶ ἐπιτιμᾷ. ὁ Ἱεροσολύμων Ἀλέξανδρος ἔγραψεν εἰς τοὺς Ἀντιοχεῖς διὰ τὴν χειροτονίαν τοῦ Ἀντιοχείας Ἀσκληπιάδου, καὶ ἔπεμψε τὴν ἐπιστολὴν μετὰ Κλήμαντος τοῦ Στρωματέως. ὁ αὐτὸς ἔγραψεν εἰς τὴν Αἴγυπτον εἰς τοὺς Ἀντινοΐτας ὑπὲρ τῆς ἐκκλησιαστικῆς καταστάσεως. Σεραπίων τῷ ἑνδεκάτῳ ἔτει Κομόδου χειροτονηθεὶς Ἐπίσκοπος Ἀντιοχείας, γράφει πρὸς Καρῖνον καὶ Πόντιον, καὶ πρὸς Ῥωσσοὺς καὶ Κίλικας. Θεόφιλος Ἐπίσκοπος Καισαρείας τῆς Παλαιστίνης ἔγραψε συνοδικὴν ἐπιστολὴν ἀξιόλογον περὶ τοῦ Πάσχα εἰς διαφόρους Ἐπαρχίας. Βακχύλος Ἐπίσκοπος Κορίνθου ἀπὸ προσώπου τῶν Ἐπισκόπων τῆς Ἀχαΐας βίβλον διοριστικὴν περὶ τοῦ Πάσχα συνέταξε. Πολυκράτης Ἐπίσκοπος Ἐφέσου ἔγραψε συνοδικῶς μετὰ τῶν Ἐπισκόπων τῆς Ἀσίας κατὰ Βίκτορος Ῥώμης, καὶ μάλιστα λέγει, ὅτι αἱ τῆς Ἀσίας Ἐκκλησίαι ἔχουσιν αὐθεντίαν τοῦ Θεολόγου Ἰωάννου καὶ Φιλίππου ἑνὸς τῶν δώδεκα καὶ ἄλλων, καὶ ἰδὲ βιβλίου πρώτου καιφάλαιον ἑνδέκατον. ὁ Ῥώμης Κορνήλιος ἔγραψεν εἰς τὸν Ἀντιοχείας Φαυϊανὸν διὰ τὴν εἰς τὴν Ῥώμην κατὰ Ναυάτου Σύνοδον, ἀλλὰ καὶ Κυπριανὸς Καρθαγένης γράφων ἤλεγξε καὶ ἐναντιώθη τῷ Στεφάνῳ Ῥώμης διὰ τὸ βάπτισμα, καὶ ὕστερον ὁ ἱερὸς Αὐγουστῖνος ἔλεγεν εἰς τὸ τρίτον βιβλίον περὶ τοῦ βαπτίσματος, ὅτι ἐδύνατο ὁ Κυπριανὸς ἀντιλέγειν τῷ Ῥώμης, ἐπειδὴ τὸ πρόβλημα οὐκ ἦν διωρισμένον ὑπὸ Οἰκουμενικῆς Συνόδου. Διονύσιος Ἐπίσκοπος Ἀλεξανδρείας ἔγραψεν ἐξουσιαστικῶς καὶ μεγαλοφρόνως εἰς τὸν Σαμοσατέα Παῦλον, καὶ εἰς τὸν Ἀντιοχείας Φαυϊανὸν περὶ μετάνοιας, καὶ εἰς Κορνήλιον καὶ Ξύστον τὸν μετὰ Στέφανον, καὶ Διονύσιον τὸν μετὰ Ξύστον Ῥώμης Ἐπισκόπους, καὶ εἰς Ναυᾶτον τὸν Αἱρετικὸν, καὶ εἰς Διονύσιον καὶ Φιλήμονα Ἱερεῖς Ῥώμης, καὶ εἰς Λαοδικεῖς, καὶ εἰς Κόνωνα, ἀγωνιζόμενος ἀποστολικῶς κατὰ Ναυάτου, καὶ τοῦ Σαμοσατέως Παύλου. ἔτι ἔγραψεν ἐγκύκλιον ἐπιστολὴν εἰς διαφόρους παροικίας καὶ διάφορα ἔθνη, καὶ ἰδὲ ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον δέκατον πέμπτον. ἡ ἐν Ἀντιοχείᾳ κατὰ τοῦ Σαμοσατέως σύνοδος ἔγραψε διὰ Μαλχίωνος εἰς τὸν Ἀλεξανδρείας Διονύσιον καὶ Ῥώμης Μάξιμον, καὶ εἰς πᾶσαν τὴν Ἐκκλησίαν τὴν ἀπόφασιν αὐτῆς. ὁ μέγας Ἀντώνιος ὁ μοναχὸς ἔγραψε πρὸς Ἀρσενοΐτας καὶ ἄλλους διαφόρους. ὁ Ἐμεσηνὸς Εὐσέβιος ἔγραψε πρὸς Γαλάτας ἐπὶ Κωνσταντίνου. ὁ Ἱεροσολύμων Μάξιμος εἰς Ἀλεξάνδρειαν ὑπὲρ Ἀθανασίου, καὶ αὐτὸς Ἀθανάσιος εἰς πολλοὺς, καὶ Βασίλειος καὶ Εὐστάθιος καὶ ἄλλοι εἰς τὸν Δάμασον Ῥώμης καὶ τοὺς δυτικοὺς Ἐπισκόπους καὶ εἰς ἄλλους πολλούς. ὁ Ἱεροσολύμων Ἕρμων ἔστειλεν εἰς διάφορα ἔθνη κήρυκας Ἐπισκόπους, καὶ δὴ καὶ εἰς Σκυθίαν καὶ εἰς Χερσῶνα. ὁ Χρυσόστομος ἔγραψε τῷ Ἀντιοχείας περὶ τῶν εἰς τὰ Σαμόσατα Αἱρετικῶν, καὶ πέμπει κήρυκας παρ' ἐνορίαν εἰς Λίβανον καὶ Φοινίκην. ὁ Θεολόγος μέμφεται τὸν Δάμασον διὰ τὴν καθαίρεσιν Οὐϊτελίου, γράφων εἰς Κληδόνιον. ὁ Ἀθανάσιος ἐδίδαξε τοὺς δυτικοὺς τὸ περὶ ὑποστάσεως καὶ οὐσίας. ὁ Βασίλειος παρακινεῖ τὸν Ἀθανάσιον παῦσαι τὰ σκάνδαλα τῶν σχιζομένων Ἐπισκόπων Ἀντιοχείας. ὁ μέγας Ἐπιφάνιος περὶ ἐκείνων οἳ ἔλεγον ὅτι ἡ Θεοτόκος μετὰ τὸ γεννῆσαι ὡμίλησε γάμῳ οἵτινες καὶ Ἀντιδικομαριανῖται καλοῦνται ἔγραψεν ἐπιστολὴν εἰς Ἀραβίαν ὡς ὁ αὐτὸς λέγει Αἱρέσει ἑβδομηκοστῇ ὀγδόῃ. Ἀλέξανδρος Θεσσαλονίκης ἔγραψεν εἰς Ἀλεξάνδρειαν ἐλέγχων τοὺς Ἀρειανοὺς, ὡς Ἀθανάσιος ἐπιστολῇ τοῖς τὸν μονήρη βίον διάγουσιν. ὁ Θεοδόσιος ὁ μικρὸς συμβιβάζει τὸν Ἀντιοχείας Ἰωάννην μετὰ τοῦ μακαρίου Κυρίλλου. ὁ μέγας Ἀθανάσιος τὸν Φρουμέντιον ἰνδῶν Ἀρχιερέα ἐχειροτόνησεν. ὁ στυλίτης Δανιὴλ ἐλέγχει τὸν Βασιλίσκον Αὐτοκράτορα κατὰ πρόσωπον καὶ ὁ μοναχὸς Ὀλύμπιος. ὁ Θεοδόσιος καὶ Σάββας τὸν Ἀναστάσιον. ὁ μέγας Μάξιμος δοκιμάζει τὰ συνοδικὰ τοῦ Μαρτίνου Πάπα Ῥώμης.

ΒΙΒΛΙΟΘΗΚΗ ΙΩ. ΒΛΑΧΟΓΙΑΝΝΗ

Ῥώμης. ὁ Θεόδωρος καὶ Πλάτων οἱ Στουδῖται ἀνθίστανται καὶ Βασιλεῦσι καὶ Πατριάρχαις. ὁ μέγας Ἰωαννίκιος διδάσκει τὸν Κωνσταντινουπόλεως Μεθόδιον περὶ τῶν χειροτονηθέντων ὑπὸ τῶν Εἰκονομάχων. ὁ Γεννάδιος Κωνσταντινουπόλεως πρῶτον, καὶ ὕστερον ὁ Ταράσιος γράφουσιν ἐγκυκλίους ἐπιστολὰς καὶ πέμπουσιν αὐτὰς ἰδίως εἰς τὸ πρόσωπον τοῦ Πάπα Ῥώμης περὶ Ἐπισκόπων, οὓς ἐχειροτόνουν εἰς τὴν Γαλλίαν διαργυρίων. ὁ Ἱεροσολύμων Σωφρόνιος ἔτι Πρεσβύτερος ὢν μάχεται εἰς τὴν Ἀλεξάνδρειαν μετὰ τοῦ Κύρου Ἀλεξανδρείας περὶ τῶν δύο τοῦ Χριστοῦ ἐνεργειῶν, καὶ Πατριάρχης γενόμενος, διὰ τῆς ἰδίας Συνόδου ἀναθεματίζει πρώτιστος καὶ τοῦ Βασιλέως τὴν Αἵρεσιν φερόμενος κατὰ τοῦ Κωνσταντινουπόλεως, καὶ τοῦ Ῥώμης καὶ τοῦ Ἀλεξανδρείας. ὁ Καισαρείας τῆς Παλαιστίνης Ἀκάκιος ὁμονόφθαλμος ἐκάθηρε τὸν Κωνσταντινουπόλεως Μακεδόνιον καὶ ἀντεισῆξε τὸν Εὐδόξιον, καὶ τὸ δὴ μέγιστον, ὡς μαρτυρεῖ αὐτὸς ὁ ἅγιος Ἱερώνυμος, ἐξέβαλε τὸν Ῥώμης Λιβέριον καὶ ἐχειροτόνησεν ἀντ' ἐκείνου Πάπαν Ῥώμης τὸν Φίληκα, ἀλλ' ἔμεινεν ἡ Καισάρεια Καισάρεια καὶ ἡ Ῥώμη Ῥώμη, ἐπειδὴ μήτε ἀπὸ τῶν ἐνεργειῶν τῶν Ἐπισκόπων, μήτε ἀπὸ ἄλλης δυνάμεως, ἀλλὰ ἀπὸ τῶν Κανόνων ἔχουσιν οἱ θρόνοι τὴν τιμήν. ἰδὲ καὶ κατωτέρω βιβλίου πέμπτου, κεφαλαίου ἑνδεκάτου Παράγραφον τριακοστὸν δεύτερον. τρίτον, ὅτι διὰ τῆς ἐπιστολῆς ταύτης καθαιρεῖται τοῦ Ῥώμης ἡ μοναρχία καὶ οὐσυνίσταται, πρῶτον, ὅτι οἱ Ἀνατολικοὶ ἔγραφον τῷ Ἰουλίῳ, καθὼς ὅτε ὁ Πάπας ἔκρινε καὶ ἐκάθηρε τὸν Ναυᾶτον μετὰ τῆς Δυτικῆς Συνόδου καὶ οἱ Ἀνατολικοὶ Ἐπίσκοποι ἐσιώπων, οὕτω καὶ νῦν τῶν Ἀνατολικῶν κρινόντων τὰς ὑποθέσεις τῶν Ἀνατολικῶν Ἐπισκόπων ὁ Πάπας ἡσυχαζέτω. καὶ ποῦ λοιπὸν ἡ μοναρχία τοῦ Ῥώμης; δεύτερον, ἔγραψαν αὐτῷ οἱ Ἀνατολικοὶ ὅτι ἴση ἐστὶν ἡ τιμὴ τῶν Ἐπισκόπων, καὶ ἀπὸ τοῦ μεγαλείου τῶν πόλεων Ἐπίσκοπος Ἐπισκόπου οὐ προτιμᾶται κατ' ἐξουσίαν, ὅθεν οὐδὲ ὁ Πάπας κατ' ἐξουσίαν προτιμᾶται διὰ τὸ εἶναι Ἐπίσκοπον τῆς Ῥώμης. ὁ δὲ Ἰούλιος οὐκ ἀντέγραψεν ὅτι ἡ Ῥώμη ἔχει πρωτεῖον, ἢ ἀπὸ τῆς γραφῆς ἢ ἀπὸ τοῦ Πέτρου, ἢ ἐκ συνηθείας, ἢ κατὰ παράδοσιν, ἀλλ' ἐδέχθη τὴν γνώμην καὶ ἀντέγραψεν ὅτι ἐξουσιαστικῶς Ἐπίσκοπος Ἐπισκόπου οὐ διαφέρει διὰ τὸ μέγεθος τῶν πόλεων, καὶ κατέκρινε τὸν Γρηγόριον τὸν εἰς ἀνθρωπίνην κενοδοξίαν ἐμπεσόντα καὶ ἀφέντα τὴν μικρὰν αὐτοῦ Ἐπισκοπὴν καὶ ἁρπάσαντα τὴν Ἀλεξάνδρειαν. τρίτον, ὅτι ὄντος ἑνὸς σώματος τῆς καθόλου Ἐκκλησίας, καὶ δυναμένων τῶν Δυτικῶν ἀνακρίνειν τοὺς Ἀνατολικοὺς, καθὼς καὶ τῶν Ἀνατολικῶν, κρίνειν δηλαδὴ τοὺς Δυτικοὺς; ὡς συνέβη περὶ τοῦ Πάσχα, ὁ Ἰούλιος οὐλέγει ἐγὼ κρίνω, ἐγώ εἰμι κατὰ Πέτρον βικάριος τοῦ Χριστοῦ, ἀλλὰ λίαν εὐσεβῶς ἀποκρίνεται, εἰπὼν, εἰ καὶ μόνος ἔγραψα ὑμῖν, ἀλλ' αὕτη ἡ γνώμη οὐκ ἔστιν ἐμοῦ μόνου, ἀλλὰ καὶ τῶν Ἐπισκόπων τῶν εὑρισκομένων ἐν τῇ Ἰταλίᾳ καὶ τοῖς λοιποῖς μέρεσι τούτοις. καὶ ἐν πολλοῖς τόποις τῆς ἐπιστολῆς τὴν Σύνοδον προβάλλει κριτὴν καὶ οὐχ ἑαυτὸν, καὶ ἀνάγνωθι αὐτὴν ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ τοῦ μεγάλου Ἀθανασίου, ὥστε οὐ μόνος ὁ Πάπας διορίζει, ἀλλ' αὐτὸς καὶ ἡ Σύνοδος. ἀλλὰ μήτε ἐκ τούτου ἀξίωμα μοναρχίας συνάγεται, ἐπειδὴ ὡς ἔκρινεν ὁ Πάπας καὶ ἡ Σύνοδος αὐτοῦ ἐν τῇ Ῥώμῃ τὸν Νεστόριον, οὕτω συνοδικῶς τὸν αὐτὸν ἔκρινεν ὁ Κύριλλος εἰς Ἀλεξάνδρειαν, ὁμοίως ἔκρινε καὶ ἐκάθηρεν ὁ Ἀλεξανδρείας Ἀλέξανδρος τὴν Αἵρεσιν τοῦ Ἀρείου καὶ ἐκεῖνον ἐκάθηρεν, ἀλλὰ δὴ καὶ Ἰωάννης καὶ Θεόδωρος οἱ Ἐπίσκοποι Ῥώμης πρῶτον συνοδικῶς καὶ μεταταῦτα ὁ Πάπας Μαρτῖνος πάλιν συνοδικῶς ἤτοι μετὰ ἑκατὸν πέντε Ἐπισκόπων καὶ ὕστερον ὁ Ἀγάθων τοὺς Μονοθελήτας ἔκριναν ἐν τῇ Ῥώμῃ μετὰ Συνόδου ἑκατὸν εἰκοσιπέντε Ἐπισκόπων, καὶ ὁ Ἱεροσολύμων Σωφρόνιος κατέκρινε συνοδικῶς τὴν αὐτὴν Αἵρεσιν εἰς Ἱερουσαλὴμ πρὸ τοῦ Ἰωάννου καὶ Θεοδώρου, καὶ ὁ Μηνᾶς εἰς Βυζάντιον καὶ ὁ Ἰωάννης Ἱεροσολύμων εἰς Ἱερουσαλὴμ καὶ ὁ Τύρου Ἐπιφάνιος ἔκριναν καὶ κατέκριναν τὴν Αἵρεσιν Σεβήρου καὶ τοὺς περὶ αὐτὸν, καὶ πρὸ αὐτῶν ὁ Κωνσταντινουπόλεως Ἰωάννης ὁ Καππάδοξ, καὶ ἐπὶ τούτοις, ἔκριναν ὁ Ῥώμης Λέων καὶ ὁ Κωνσταντινουπόλεως Φλαυϊανὸς τὸν Εὐτυχῆ, καὶ ἡ τετάρτη, τρίτη καὶ ἕκτη αἱ Οἰκουμενικαὶ Σύνοδοι οὐ μόνον τὰ τοῦ Σωφρονίου καὶ Κυρίλλου συνοδικὰ, ἀλλὰ καὶ τὰ Κελεστίνου καὶ Λέοντος καὶ Ἀγάθωνος ἔκριναν ὡς καὶ τὰ Μηνᾶ καὶ Ἰωάννων καὶ Ἐπιφανίου Τύρου ἐβεβαίωσεν ἡ πέμπτη, ὥστε αἱ Οἰκουμενικαὶ Σύνοδοι εἰσὶ τὸ ἔσχατον κριτήριον τῆς καθόλου Ἐκκλησίας, ἀλλ' οὐχ ἡ ῥωμαϊκὴ Σύνοδος, καὶ λοιπὸν μήτε μόνος ὁ Πάπας. τέταρτον, οὐλέγει ὁ Ἰούλιος ὅτι οὕτως ἔδοξε τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἢ ἡ Ἐκκλητός ἐστι τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ἢ ἄλλο τι πρόσρημα τῆς νῦν τυραννίδος τοῦ Πάπα, ἀλλ' ἀποκρίνεται ἐκκλησιαστικῶς καὶ ἀποδείκνυσι τὸν Γρηγόριον παράνομον, ἅτε μὴ προβιβασθέντα Ἀλεξανδρείας ὑπὸ τῆς αἰτήσεως τῶν Πρεσβυτέρων, ἢ τῶν Ἐπισκόπων, ἢ τῶν λαῶν Ἀλεξανδρείας, ἀλλὰ χειροτονηθέντα εἰς Ἀντιόχειαν, καὶ σταλέντα εἰς Ἀλεξάνδρειαν οὐ μετὰ ἐκκλησιαστικῶν, ἀλλὰ μετὰ στρατιωτῶν, ὅπερ παράνομον, ἔδει γὰρ τὸν μέλλοντα γενέσθαι Ἀλεξανδρείας εἶναι ἄνθρωπον τῆς αὐτῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας, καὶ ἐξ' αὐτοῦ τοῦ Ἱερατείου καὶ τοῦ Κλήρου ἵνα μὴ παραλύωνται οἱ τῶν Ἀποστόλων Κανόνες. πέμπτον, οὐκ εἶπεν ὅτι ἔπρεπεν ἐρωτῆσαι τὸν Πάπαν, καὶ οὕτω καθαιρέσει ὑποβαλεῖν τὸν Ἀθανάσιον, ἢ προβαλεῖν τὸν Γρηγόριον, ἀλλ' ὅτι ἔπρεπε τοὺς Ἀνατολικοὺς τοιαῦτα ἐνεργοῦντας γράψαι καὶ εἰς τοὺς Δυτικοὺς ἵνα ὁρισθῇ παρὰ πάντων τὸ δίκαιον, ἐπειδὴ οἱ πάσχοντες ἦσαν Ἐπίσκοποι τῶν Ἐκκλησιῶν ἐκείνων, ὧν μόνοι οἱ Ἀπόστολοι γεγόνασι καθηγηταί. ἕκτον, ἀρνεῖται ὁ Ἰούλιος ὅτι ἔγραψε μόνος αὐτὸς

τὴν

τὴν εἰς αὐτοὺς ἐπιστολὴν, καὶ λέγει γεγραφέναι αὐτὴν προτροπῇ τῆς ἐν Ῥώμῃ Συνόδου, φησὶ γὰρ, εἰ καὶ μόνος ἔγραψα, ἀλλ' οὐκ ἐμοῦ μόνου ἐστὶν αὕτη ἡ γνώμη, ἀλλὰ πάντων τῶν κατὰ τὴν Ἰταλίαν καὶ τῶν ἐν τούτοις τοῖς μέρεσιν Ἐπισκόπων, ὅθεν καὶ ὁ ἅγιος Ἀθανάσιος εἰς τὴν δευτέραν ἀπολογίαν γράφων περὶ τῆς αὐτῆς ὑποθέσεως, οὐ λέγει οὕτως ὥρισεν ὁ Ῥώμης Ἰούλιος, ἀλλ' οὕτως ἔγραψεν ἡ ἐν Ῥώμῃ Σύνοδος διὰ Ἰουλίου, καὶ προτιμᾷ τὴν Τοπικὴν Σύνοδον τοῦ Πάπα Ἰουλίου, εἰπὼν, ἐπειδὴ οἱ περὶ Εὐσέβιον ἠθέτουν Ἰούλιον καὶ τὴν ἐν Ῥώμῃ Σύνοδον καὶ ἐτάραττον τὰς Ἐκκλησίας, μαθόντες οἱ θεοφιλέστατοι Βασιλεῖς Κωνσταντίος καὶ Κώνστας ἐκέλευσαν τοὺς ἀπὸ Δύσεως καὶ τῆς Ἀνατολῆς Ἐπισκόπους συνελθεῖν εἰς τὴν πόλιν σαρδώ. ἀλλὰ δὴ καὶ ἡ ἐν Σαρδικῇ σύνοδος ἐπιστολῇ πρὸς Ἀλεξανδρεῖς λέγει περὶ τῶν Ἀνατολικῶν ἐξηγουμένη, οὐκ ἠθέλησαν εἰς τὴν Σύνοδον πάντων τῶν ἁγίων Ἐπισκόπων ἀπαντῆσαι, ἐκ δὲ τούτου φανερὰ καὶ δικαία καθέστηκεν ἡ κρίσις τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν Ἰουλίου, οὐ γὰρ ἀσκεπτὶ βεβούλευται, ἀλλὰ μετὰ ἐπιμελείας ὥρισεν, εἶχε γὰρ Ἐπισκόπους ὀγδοήκοντα ἀληθεῖς μάρτυρας. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι ὁ Ἰούλιος ἔκρινε μετὰ Σύνοδου, ἔχων μάρτυρας τῆς ἁγίας ζωῆς τοῦ Ἀθανασίου ὀγδοήκοντα Ἐπισκόπους, οἵτινες συγκροτήσαντες Σύνοδον ἐν Αἰγύπτῳ, ἔγραψαν τοῖς ἁπανταχοῦ προεστῶσι τῶν Ἐκκλησιῶν καὶ τῷ Ἰουλίῳ περὶ αὐτοῦ, οἱ δὲ Εὐσεβιανοὶ εἰς οὐδὲν αὐτὴν ἐλογίσαντο, ὅθεν ἀναγκαίως ἐγένετο ἡ παροῦσα Οἰκουμενική. καὶ σημείωσαι τὸ, ὁ Πάπας βεβούλευται, ὥστε οὐκ ἔχει τὴν γνῶσιν ἀπὸ τοῦ Πέτρου καὶ τοῦ Χριστοῦ ἁπλῶς ὁ Ῥώμης ὅταν καλῶς λαλῇ, ἀλλὰ διὰ βουλῆς καὶ ἐξετάσεως καὶ γνώμης συνοδικῆς, ὃ καὶ παντὶ Πατριάρχῃ ἴδιον. ἐκ τούτων οὖν δείκνυται παντελὴς κατάλυσις τῆς παπικῆς μοναρχίας καὶ οὐσύστασις. εἰ δὲ λέγει εἰς τὴν αὐτὴν ἐπιστολὴν ὁ Ἰούλιος τοῖς Εὐσεβιανοῖς, ἢ ἠγνοεῖτε ὅτι τοῦτο ἔθος ἦν πρότερον γράφεσθαι ἡμῖν, καὶ οὕτως ἔνθεν ὁρίζεσθαι τὰ δίκαια. ῥητέον ὅτι ἔθος λέγει ἦν οὐ Κανὼν, ὥστε ἔθος τὸ πρωτεῖον τοῦ Πάπα καὶ οὐκ ἀπὸ τῆς γραφῆς ἢ τοῦ Πέτρου ὡς βικαρίου Χριστοῦ. εἶτα δικαζομένων τῶν Ἐπισκόπων Τύρου καὶ Βηρυτοῦ, ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος ἤθροισε Σύνοδον καὶ κατέκρινε τὸν Τύρου, καταγνωσθείσης δὲ τῆς ἀποφάσεως αὐτοῦ ὑπὸ τῆς ἐν Χαλκηδόνι Σύνοδου ἔλεγε συνήθεια ἄνωθεν κεκράτηκε τοὺς ἐνδημοῦντας τῇ μεγαλωνύμῳ πόλει ἁγιωτάτους Ἐπισκόπους ἡνίκα καιρὸς καλέσῃ ἀνακυπτόντων τινῶν ἐκκλησιαστικῶν πραγμάτων συνεῖναι καὶ διατυποῦν ἕκαστα καὶ ἀποκρίσεως ἀξιοῦν τοὺς δεομένους, ἀλλ' ἐπειδὴ οὐ μόνον ἀδίκως ἀλλὰ καὶ παρ' ἐνορίας ἔκρινεν, οὐκ ὠφελήθη ἀπὸ τῆς συνηθείας ἣν προεβάλετο ἐπικρατῆσαι ἐν Βυζαντίῳ, οὕτω καὶ Ἰούλιος ζητήσας ἵνα κρίνῃ μόνος ἐκεῖνο ὅπερ ἔπρεπε κρῖναι τὴν καθόλου κοινότητα, οὐκ ἐδυνήθη ὠφελῆσαι οὐδὲν, ἀδίκως τὸ ἔθος εἰπὼν, καὶ γὰρ οὐκ ἦν δίκαιον εἰπεῖν, πρῶτον γράφεσθαι ἡμῖν, ἀλλὰ τὸ δίκαιον ἦν εἰπεῖν, ἵνα γράψητε καὶ πρὸς ἡμᾶς. ὁ γὰρ Ἀλεξανδρείας Ἀλέξανδρος οὐκ ἔγραψε πρῶτον καὶ εἰς μόνον τὸν Ῥώμης, ἀλλ' ἔγραψεν ἑβδομήκοντα ἐπιστολὰς εἰς πάντας τοὺς ἐγκρίτους τῶν Ἐπισκόπων, καὶ ἡ ἔναγχος ἐν Ἀλεξανδρείᾳ ὑπὲρ Ἀθανασίου Σύνοδος οὐκ εἰς μόνον ἢ πρῶτον τὸν ῥώμης ἔγραψεν, ἀλλ' ὡς λέγει ὁ μέγας Ἀθανάσιος ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ, καὶ Σωκράτης βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ ἔγραψεν εἰς τοὺς ἐγκρίτους τῶν Ἐπισκόπων καὶ εἰς τὸν Ἐπίσκοπον Ῥώμης. ὅθεν ὁ μέγας Κύριλλος γράφων κατὰ Νεστορίου τῷ μακαρίῳ Πάπᾳ Κελεστίνῳ, ὥσπερ ὑπεξηγούμενος τὸν μακάριον Ἰούλιον, οὐκ εἶπε τὰ μακρὰ ἔθη πείθουσι πρότερον γράψαι ὑμῖν, ἀλλ' ὅτι τὰ μακρὰ τῶν Ἐκκλησιῶν ἔθη πείθουσιν ἀνακοινοῦσθαι τῇ σῇ ὁσιότητι, καὶ ἰδὲ τὸν τόπον βιβλίῳ τρίτῳ, κεφαλαίῳ δεκάτῳ πέμπτῳ, Παραγράφῳ δεκάτῳ ἐνάτῳ. καὶ εἰ καὶ ἀναγκαζόμενος οὕτως ἔγραψεν ὁ Ἰούλιος, ἀλλὰ καὶ Κύριλλος ἀνάγκης μεγίστης κατεπειγούσης ἔγραψε πρὸς Κελεστῖνον, ἀλλ' οὐκ ἐπήδησεν ὑπὲρ τὰ ἐσκαμμένα. ὅτι δὲ ὁ Ἰούλιος ἀναγκαζόμενος ἔγραψε καὶ οὐκ εἶχε σκοπὸν περὶ μοναρχίας τοῦ Ῥώμης φανερόν ἐστιν ἐκ τῶν εἰρημένων, καὶ ἔτι γραψάντων αὐτῷ τῶν Ἀνατολικῶν ὅτι ἀσάλευτον ἔχει τὴν ἰσχὺν τὴν ἰδίαν ἑκάστη Σύνοδος, οὐκ ἀπεκρίθη ὅτι μείζων ἐστὶν ὁ Πάπας τῆς Συνόδου, ἢ ὅτι ὁ πρῶτος θρόνος οὐ κρίνεται ὡς ἔγραψεν ὁ Πάπας Ἰωάννης πρὸς Βασίλειον τὸν Μακεδόνα, ἀλλ' εἶπεν ὅτι μείζων ἐστὶν ἡ Σύνοδος ἡ ἐν Νικαίᾳ τῆς ἐν Ἀντιοχείᾳ, καὶ ἀπὸ τῆς καθολικῆς ἀθετεῖ τὴν μερικὴν καὶ οὐκ ἀπὸ τῆς ἰδίας ἰσχύος. κατέστρεψε τοίνυν καὶ τὸ παρὸν τῶν παπιστῶν φλυαρείδιον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ἀνθυποφορὰ παπιστῶν, τὸ μὴ δεῖν παρὰ γνώμην τοῦ ῥώμης τὰς Ἐκκλησίας κανονίζειν, καὶ τὰ Σωκράτους καὶ Ἑρμείου ῥητὰ περὶ Ἰουλίου τῶν περὶ Ἀθανάσιον καὶ Παῦλον ὑπερμαχήσαντος προσφερόντων εἰς σύστασιν μοναρχίας τοῦ Ῥώμης, καὶ λύσις ταύτης ἐκ τῆς τῶν μερικῶν καὶ κοινῶν διακρίσεως.

Ἀνθυποφέρουσιν οἱ παπισταὶ πρῶτον, λέγει ὁ Σωκράτης, ὅτι ὁ Ἰούλιος ἐμέμφθη τοὺς Εὐσεβιανοὺς μὴ καλέσαντας αὐτὸν εἰς τὴν Σύνοδον, τοῦ ἐκκλησιαστικοῦ Νόμου κελεύοντος μὴ δεῖν παρὰ γνώμην τοῦ Ῥώμης τὰς Ἐκκλησίας κανονίζειν, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ καὶ ὅτι Ἀθα-

Ἀθανάσιον καὶ τοὺς λοιποὺς ὁ Ἰούλιος ἅτε προνόμια τῆς ἐν Ῥώμῃ Ἐκκλησίας ἐχούσης παῤῥησιαστικοῖς γράμμασιν ὠχύρωσε καὶ τὸν οἰκεῖον ἑκάστου τόπον ἀπέδωκε, καθαπτόμενος τῶν προπετῶς καθελόντων αὐτοὺς, Σωκράτης βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ πέμπτῳ. καὶ ὁ Ἑρμείας, ὁ Ἰούλιος μαθὼν τὰ ἑκάστου ἐγκλήματα, ἐπειδὴ πάντας ὁμονοοῦντας εὗρε περὶ τοῦ δόγματος τῆς ἐν Νικαίᾳ Συνόδου, ὡς ὁμοδόξους αὐτοὺς εἰς κοινωνίαν προσήκατο, οἷα δὲ τῆς πάντων κηδεμονίας αὐτῷ προσηκούσης διὰ τὴν ἀξίαν τοῦ θρόνου, ἑκάστου τὴν ἰδίαν Ἐκκλησίαν ἀπέδωκε, βιβλίῳ τρίτῳ, κεφαλαίῳ ὀγδόῳ. καὶ λοιπὸν οἱ ἀντικείμενοι ἐκ τούτων βούλονται συμπεραῖναι τὸ ἀνωτέρω εἰρημένον, ὅτι δηλαδὴ ὁ Ῥώμης ἔχει γενικὴν ἐξουσίαν ἐπὶ τῆς καθόλου Ἐκκλησίας. Ἀλλὰ ῥητέον, ὁπότε τινὲς τῶν Πατριαρχῶν εἰσὶν Αἱρετικοὶ, καὶ εἷς ἀπομείνει ὀρθόδοξος, ἀθροίζει Συνόδους ὅπως δυνηθῇ πρὸς βοήθειαν τῆς Ἐκκλησίας. ὅτε δὲ μείνουσι πολλοὶ ὀρθόδοξοι καὶ Πατριάρχαι καὶ Μητροπολῖται ἰδίως πρῶτον καὶ ὕστερον κοινῶς σκέπτονται πρὸς σωτηρίαν τῆς Ἐκκλησίας, ὁπότε δὲ ἄλλως γίγνονται, ἀνίσχυρά εἰσιν ὡς ἔδειξαν τὰ παρόντα τοῦ Ἰουλίου, καὶ ἐκεῖνα (ἵνα ἀφήσωμεν τὰ πολλὰ) τῶν Παπῶν μετὰ Φλαυϊανοῦ Ἀντιοχείας καὶ Ἀκακίου Κωνσταντινουπόλεως. οἱ Εὐσεβιανοὶ οὖν Πατριάρχας καθελόντες καὶ τὴν πίστιν παραχαράξαντες οὐκ ἐκάλεσαν τὸν Ῥώμης, τὸ δὲ ποιῆσαι τοὺς μερικοὺς τὰ κοινὰ χωρὶς τῆς γνώμης τοῦ κοινοῦ ἐστὶ παράνομον. διὸ οὐκ εἶπεν ὁ Σωκράτης ὅτι ὁ Ῥώμης κανονίζει τὰς Ἐκκλησίας (καθότι τοῦτο οὔτε ἐγένετό ποτε οὔτε γενήσεται, καὶ δῆλον ὅτι ἐν τῇ Ἐκκλησίᾳ οὐδείς ἐστι Κανὼν τοῦ Ῥώμης, εἰ δὲ καὶ εἰσὶ Κανόνες τινῶν πατέρων, ἀλλ' ἡ κοινότης αὐτοὺς δοκιμάσασα ἔδωκεν ἵνα ἔχωσιν ἐν τῇ κοινότητι τὸ κῦρος. ὅθεν εἶπεν ἀνωτέρω ὁ μέγας Ἰουστινιανὸς ὅτι δέχεται τοὺς ἐκτεθέντας ἢ βεβαιωθέντας Κανόνας παρὰ τῶν ἁγίων Συνόδων) ἀλλ' εἶπε μὴ δεῖν παρὰ γνώμην τοῦ Ῥώμης, ὡσεὶ ἔλεγεν ὅταν ἡ Ἐκκλησία περὶ τῶν κοινῶν κανονίζει, οὐ κανονίζει παρὰ γνώμην τοῦ Ῥώμης, ὅπερ ἐννοεῖται ὅταν ὀρθοδοξῇ, καὶ πασίδηλον ἀπὸ τῆς πέμπτης Συνόδου, ἥτις τοῦ Ῥώμης Βιγιλίου παρατραπέντος, παρὰ γνώμην ἐκείνου ἐκανόνισε τὴν Ἐκκλησίαν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ.'

Περὶ τοῦ οἷα τῆς πάντων κηδεμονίας αὐτῷ προσηκούσης διὰ τὴν ἀξίαν τοῦ θρόνου ἑκάστου τὴν ἰδίαν Ἐκκλησίαν ἀπένειμε ῥητοῦ, ὃ περὶ Ἰουλίου Πάπα φησὶν ὁ Ἑρμείας, καθ' ὃ μονάρχην τὸν Ῥώμης φασὶν οἱ παπισταὶ εἶναι, καὶ περὶ τῆς σαφηνείας τοῦ ῥητοῦ, καὶ ἀναιρέσεως τῆς τοιαύτης ἐξουσίας τοῦ Ῥώμης, καὶ περὶ τοῦ πόθεν ἔσχε τὴν ἀρχὴν ἡ Ἔκκλητος.

Ἀλλὰ φασὶν ὅτι ὁ Ἑρμείας λέγει περὶ τοῦ Ἰουλίου, οἷα τῆς πάντων κηδεμονίας αὐτῷ προσηκούσης διὰ τὴν ἀξίαν τοῦ θρόνου ἑκάστου τὴν ἰδίαν Ἐκκλησίαν ἀπένειμε, βιβλίῳ τρίτῳ, κεφαλαίῳ ὀγδόῳ. καὶ λοιπὸν φασὶν, ἔχει ὁ Ῥώμης ἐξουσίαν ἐπὶ πασῶν τῶν Ἐκκλησιῶν, ἐπειδήπερ Πατριάρχας βάλλει καὶ ἐκβάλλει. Ἀλλὰ ῥητέον πρῶτον, τὴν μέριμναν πασῶν τῶν Ἐκκλησιῶν ἔχει ὁ Ῥώμης, ἀλλ' οὐμόνος, καὶ δῆλον ἀπὸ τῶν ἀνωτέρω εἰρημένων ἐν τῷ ὀγδόῳ Παραγράφῳ καὶ κατωτέρω ἐν πολλοῖς. δεύτερον, ὁ Ἑρμείας ἀμφιλαφής ἐστιν, ὅθεν καὶ ἐν τούτοις καταφρονεῖται, καθότι μαρτυρίαν αὐτοῦ εἰπόντες οἱ Λατῖνοι ἐν τῇ Φλωρεντινῇ Συνόδῳ, καὶ ἀποκρουσθεῖσαν ὑπὸ τῶν Ἑλλήνων, ἡσύχασαν βιασθέντες ὑπὸ τῆς ἀληθείας. τοὺς γὰρ ἁγίους δεχόμεθα εἰς μαρτυρίαν, τοὺς ἱστορικοὺς δὲ δεχόμεθα ἐφ' ὅσον λέγουσιν ἀληθῶς τὰ γεγονότα, καὶ τὰ παρὰ τῶν ἁγίων ἐνεργηθέντα ἢ λαληθέντα, ἐξ ἑαυτῶν δὲ γνωμοδοτοῦντας περὶ τῶν θείων δογμάτων παραιτούμεθα. τοῦτο αὐτὸ βεβαιοῖ καὶ αὐτὸς μόνος ὁ Ἑρμείας λέγων, δογμάτων δὲ χάριν κρινέτωσαν οἷς τοῦτο ποιεῖν θέμις, οὐδὲ γὰρ ταῦτα συγγράφειν προὐθέμην, οὔτε ἱστορίᾳ πρέπον, ᾗ ἔργον μόνα τὰ ὄντα ἀφηγεῖσθαι μηδὲν οἰκεῖον ἐπεισαγούσῃ, βιβλίῳ τρίτῳ, κεφαλαίῳ δεκάτῳ πέμπτῳ. ἀλλὰ δὴ καὶ ὁ Σωκράτης δικαιοῖ τὸν Καισαρείας Εὐσέβιον τὸν Ἀρειανὸν ὡς ὀρθόδοξον, καὶ τὸν ἄθεον Ὠριγένη βιβλίῳ ἕκτῳ, κεφαλαίῳ δεκάτῳ τρίτῳ. τῶν δὲ τοιούτων ἡ ἀφ' ἑαυτῶν γνώμη ἀσύστατος, οὐμόνον ὅτι οὐκ εἰσὶν ἅγιοι, ἀλλὰ καὶ διότι τῆς εὐθύτητος ἀπολείπονται, καὶ διὰ ταῦτα λέγει Λεόντιος ὁσχολαστικὸς ἐν τῇ τρίτῃ πράξει τῆς ἱστορίας αὐτοῦ, μέχρι τῶν πράξεων τῶν ἁγίων Ἀποστόλων κεκανόνισται ἡμῖν δέχεσθαι τὰς ἱστορίας ἁπλῶς, τὰ δὲ μετέπειτα οὐχ ἁπλῶς καταδεχόμεθα. ἔτι ὁ Σωκράτης λέγει περὶ τοῦ ἱεροσολύμων Κυρίλλου ταῦτα, ἰστέον ὅτι Κύριλλος ὕστερον κατηγόρητο, καὶ διατὶ μὲν, οὐκ ἔχω φράσαι, καθηρέθη δὲ, ὅτι πολλάκις ἐπὶ τὸ κριθῆναι καλούμενος ἐφεξῆς δύο ἐνιαυτῶν διέφυγε, τὰς κατηγορίας εὐλαβούμενος, καθαιρεθεὶς δ' ὅμως, Ἐκκλήτου βιβλίον τοῖς καθελοῦσι διαπεμψάμενος, μεῖζον ἐπεκαλέσατο δικαστήριον, οὗ τῇ Ἐκκλήτῳ καὶ ὁ Βασιλεὺς Κωνσταντίος ἐγεγόνει σύμψηφος. τοῦτο μὲν οὖν μόνος καὶ πρῶτος παρὰ τὸ σύνηθες τῷ ἐκκλησιαστικῷ Κανόνι Κύριλλος ἐποίησεν, Ἐκκλήτοις ὡς ἐν δημοσίῳ δικαστηρίῳ χρησάμενος, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ τεσσαρακοστῷ. ἐν τούτοις σημείωσαι ὅτι ὁ καθαιρεθεὶς δύναται ζητῆσαι ἀνακρι-

κριθῆναι πρὸς ἑτέραν Σύνοδον ὡς ὁ μέγας Ἀθανάσιος λέγει, Πέτρος Ἀλεξανδρείας Μελήτιον ἐν κοινῇ Συνόδῳ τῶν Ἐπισκόπων καθεῖλεν, ἀλλὰ Μελήτιος οὐ πρὸς ἑτέραν Σύνοδον κατέφυγεν, οὐδὲ ἐσπούδασεν ἀπολογήσασθαι. ἀπολογίᾳ δευτέρᾳ. κατὰ οὖν τὸν τρόπον τοῦτον ἔλεγεν ὁ Ἰούλιος ὅτι ἡ ἑτέρα Σύνοδος ἀνακρίνει τὰ τῆς ἑτέρας. οὐκ εἶπεν ὁ Ἀθανάσιος οὔτε ὁ Ἰούλιος ἀναθεωρεῖσθαι τὰ τῆς μιᾶς Συνόδου εἰς τὸν Πάπαν, ἀλλ' εἰς ἑτέραν Σύνοδον πληρεστέραν δηλονότι γίνεσθαι τὴν ἀνάκρισιν καὶ ἀπολογίαν. δέον ὅμως πρῶτον κρίνεσθαι ἐν νομίμῳ Συνόδῳ, καὶ εἰ κατακριθείη, εἰς μείζονα ἀνακρίνεσθαι, καὶ λέγω νόμιμον, ἐπειδὴ ὁ μέγας Ἀθανάσιος ἀπέβαλε τὴν ἐν Καισαρείᾳ Σύνοδον διὰ τὴν ἔχθραν τοῦ ταύτης Ἀρχιερέως Εὐσεβίου. καὶ κατὰ μονομέρειαν κατακριθεὶς ἐν τῷ Μαρεώτῃ, καὶ ἐν τῇ ἐν Ἀντιοχείᾳ Συνόδῳ, καὶ κριτὴν καὶ ἐνάγοντα κατ' αὐτοῦ τὴν ἐν Τύρῳ οὖσαν, ὡς παρανόμους ἀπέβαλε ταύτας, καὶ ἐζήτει ἀνακριθῆναι ὑπὸ τῆς ἐν Ῥώμῃ Συνόδου ὡς νομίμου καὶ ἐντελεστέρας. ὁ δὲ Κύριλλος μὴ ἀπαντήσας ἀπολογήσασθαι ἐν αἷς ἐκαλεῖτο Συνόδοις νομίμοις οὔσαις, καὶ γὰρ οὐκ ἐδυνήθη κατ' αὐτῶν εἰπεῖν μέμψιν τινὰ, μεῖζον ἐπεκαλέσατο δικαστήριον, πρῶτος καὶ μόνος τοῦτο ποιήσας. συνάγεται ὅμως ἐκ τούτων ὅτι οὐκ ἦν ὃ ἐπεκαλέσατο μεῖζον δικαστήριον τὸ τοῦ Ῥώμης. δεύτερον, εἰ πρῶτος καὶ μόνος ὁ Κύριλλος Ἐκκλήτου δικαστήριον ἐπεκαλέσατο, δῆλον ὅτι πρὸ τούτου οὐκ ἦν ἐν τῇ Ἐκκλησίᾳ ὄνομα Ἐκκλήτου, ἢ καταφυγή τις πρὸς τὸ τοῦ Ῥώμης δικαστήριον. εἰ δὲ καὶ ἡ ἐν Σαρδικῇ τοῦτο περὶ τοῦ Ῥώμης πρωτίστη εἶπεν, ἀλλ' ὡς ἄνομον οὐδέποτε ἐνήργησεν, οὔτε ἠκούσθη ἐν τῇ Ἐκκλησίᾳ τῇ καθόλου. διατοῦτο ὁ Σωκράτης μεμφόμενος τὸν Κύριλλον λέγει, ὅτι πρῶτος καὶ μόνος ὁ Κύριλλος τὴν Ἔκκλητον ἐν τῇ Ἐκκλησίᾳ εἰσήγαγε, μὴ ἔχων προηγούμενον παράδειγμα οὔτε ἀπὸ τῆς γραφῆς οὔτε ἀπὸ τῶν Κανόνων οὔτε ἀπὸ τοῦ ἔθους πρὸς βεβαίωσιν τῆς γνώμης αὐτοῦ, ἐβεβαίωσε δὲ ταύτην ὁ Βασιλεὺς ὡς ἀπὸ τῶν πολιτικῶν Νόμων ληφθεῖσαν. οὐκ οἶδεν ἄρα ὁ ταῦτα γράφων Σωκράτης τὸν Πάπαν πρῶτον ἐν τῇ Ἐκκλησίᾳ, ὥστε τοὺς πάντας ἀνακρίνειν ὡς μονάρχης καὶ ἀναμάρτητος Ἄρχων, ἀλλ' ἅπερ εἶπε περὶ τοῦ Ῥώμης, εἶπε καθ' ὃν τρόπον ἡρμηνεύσαμεν αὐτὰ ἀνωτέρω. ἔπειτα τοῦτο οὐκ εἶπεν ὁ Ἰούλιος, ἀλλ' ὅτι ἔθος ἦν πρότερον γράφεσθαι ἡμῖν, καὶ οὕτως ἐντεῦθεν ὁρίζεσθαι τὰ δίκαια, ὅπερ σκοτεινὸν ὄν, δέχεται τὴν λύσιν παρὰ τῶν ἀνωτέρω ἐν τῇ ἐπιστολῇ αὐτοῦ εἰρημένων, καὶ γὰρ εἶπεν, ἔδει γραφῆναι πᾶσιν ἡμῖν, ἵνα οὕτως ὁρισθῇ παρὰ πάντων τὸ δίκαιον, τουτέστιν ὑπὸ τῆς δυτικῆς Συνόδου, καὶ οὐκ ἀπὸ τοῦ Πάπα ὡς ἐξ ἀποκαλύψεως, ἢ τῆς διαδοχῆς τοῦ Πέτρου. καὶ παρὰ τῆς Ἐκκλησίας Ῥωμαίων, οὐ παρά τινων μόνων Ἐκκλησιῶν τῆς Ἀνατολῆς. τρίτον λέγει ὁ αὐτὸς, μαθὼν δὲ ὁ Ῥωμαίων Ἐπίσκοπος τὰ ἑκάστου (τῶν περὶ Ἀθανάσιον) ἐγκλήματα, ἐπειδὴ πάντας ὁμονοοῦντας εὗρε περὶ τὸ δόγμα τῆς ἐν Νικαίᾳ Συνόδου, ὡς ὀρθοδόξους αὐτοὺς εἰς κοινωνίαν προσήκατο, εἶα δὲ τῆς πάντων κηδεμονίας αὐτῷ προσηκούσης (ἐπειδὴ οἱ λοιποὶ Πατριαρχικοὶ θρόνοι ὑπὸ Αἱρετικῶν κατείχοντο) διὰ τὴν ἀξίαν τοῦ θρόνου (ἐπειδὴ αὐτὸς ἔμεινε μόνος Πατριάρχης ὀρθόδοξος) ἑκάστῳ (ὡς ὁμόδοξος ὁμοδόξῳ) τὴν ἰδίαν Ἐκκλησίαν ἀπένειμε, καθὼς δηλονότι ἐπὶ Λέοντος τοῦ μεγάλου ὁ Γενναδιος ἀπένειμε τὸν θρόνον Ἀντιοχείας τῷ Μαρτυρίῳ, καὶ ἐδίωξε τὸν Κναφέα, καὶ ὁ μέγας Εὐστάθιος ἐχειροτόνησε καίτοι ἄθρονος ὢν Κωνσταντινουπόλεως τὸν Εὐάγριον, καὶ ὁ Μελέτιος Ἀντιοχείας ἐβεβαίωσε τὸν Κωνσταντινουπόλεως θρόνον τῷ Ναζιανζηνῷ. πλὴν ὡς ὁ Εὐστάθιος μόνος χειροτονήσας τὸν Εὐάγριον, ἐξωρίσθη σὺν αὐτῷ ὑπὸ τοῦ Βάλεντος, καὶ ὁ Μαρτύριος ἀποκατασταθεὶς ὑπὸ μόνου τοῦ Γενναδίου, καταφρονηθεὶς ἔφυγε, καὶ ὁ Ναζιανζηνοῦ Γρηγόριος ὑπὸ μόνου τοῦ Μελετίου βεβαιωθεὶς, ἀνεχώρησε τοῦ θρόνου, οὕτω καὶ Ἰούλιος φιλοτιμηθεὶς ὅτι ἐκλήθη αἱρετὸς κριτὴς ὑπὸ τῶν Εὐσεβιανῶν, καὶ μόνος ἄνευ καθολικῆς Συνόδου τοὺς θρόνους τοῖς περὶ Ἀθανάσιον ἀπονείμας, οὐδὲν ὠφέλησεν, ἐδιώχθησαν γὰρ μετὰ καὶ τῆς εἰς αὐτὸν ὕβρεως. καὶ τούτων γενομένων ἐπ' ὄψει τῆς Οἰκουμένης, οὐδὲν ἔμελλε τῷ Βασιλεῖ τῶν Ἑσπερίων. γενομένης δὲ καθολικωτέρας Συνόδου ἐν Σαρδικῇ, καὶ ἀποδούσης τοὺς θρόνους τοῖς πατράσι, λέγει ὁ Σωκράτης, τοῦ Κωνσταντίου μὴ διδόντος ὡς ὥρισεν ἡ Σύνοδος τοὺς θρόνους, ὁ Κώνστας ἠπείλησε τὸν ἀδελφὸν καὶ ἔδωκεν αὐτοὺς, ὀχυρώσας καὶ ἰδίοις γράμμασι καὶ τῆς Συνόδου, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ. οὐδὲ μία δὲ μνήμη τοῦ Ἰουλίου. τόσον δὲ μόνον εἶπεν ἡ Σύνοδος ἐν τῇ ἐγκυκλίῳ αὐτῆς ἐπιστολῇ, ὅτι ὁ Ἰούλιος ἔκρινε δικαίως, καὶ ὅτι εἶχεν ὀγδοήκοντα Ἐπισκόπους μάρτυρας. οὐκ ἔφη δὲ ὅτι διὰ τὸ σὺ εἶ Πέτρος, καὶ δώσωσοι τὰς κλεῖς, ἐμπνεῖτο ἐν τῷ νοῒ τοῦ Ἰουλίου ὥστε ἐνεργεῖν αὐτὸν ἀναμαρτήτως ἐν τοῖς περὶ πίστεως, ἀλλ' ὅτι εἶχε μάρτυρας συνιστῶντας αὐτοῦ τὴν δικαιοκρισίαν, ὅπερ ἐγγίνεται παντὶ Ἐπισκόπῳ δικαίως οὕτως ἐνεργοῦντι. ἔλεγε γὰρ ἡ ἐν Καρθαγένῃ Σύνοδος ἐπιστολῇ πρὸς Κελεστῖνον ζητοῦντα Ἔκκλητον ἐν τῇ Ἀφρικῇ, τίς ποτε πιστεύσει ἐνὶ, ᾧ δήποτε δύνασθαι τὸν Θεὸν ἡμῶν ἐμπνεῦσαι τὴν δικαιοσύνην, τοῖς δὲ ἀναριθμήτοις εἰς Σύνοδον συνηθροισμένοις Ἱερεῦσιν ἀρνεῖσθαι; εἶτα ἡ ἐν Χαλκηδόνι Σύνοδος ἐν τῷ προσφωνητικῷ αὐτῆς λέγει, τῆς ἐν Σαρδικῇ ἐξῆρχεν ὁ Ὅσιος, καὶ οὐδὲ μία μνήμη τοῦ Πάπα Ἰουλίου. περὶ δὲ τοῦ Ὁσίου λέγει ἔτι ὁ Σωκράτης βιβλίῳ δευτέρῳ, κεφαλαίῳ τριακοστῷ πρώτῳ ὅτι ἐν Σιρμίῳ ὁ Βασιλεὺς μετεπέμπετο τὸν Ὅσιον ἢ πειθοῖ ἢ ἀνάγκῃ τοῖς

παροῦ-

παρεῖναι ὁμοφωνῆσαι. τότε γὰρ γνωμάρχας, μέγιστον ἐδόκει μαρτύριον ὑπάρχειν τῆς ἐκείνων πίστεως, εἶχε γὰρ ὁ Θρόνος Ἐπίσκοπος μικρᾶς πόλεως ᾗ Καθρέβης μείζω δόξαν τῆ Ἐπισκόπῃ Ῥώμης, ὅθεν ὁμόγνως Ἀθανάσιος μέγαν καὶ πατέρα τῶν Ἐπισκόπων αὐτὸν ἐκάλεσε, ἢ ὑπὸ Βασιλέων καὶ τῆς ἐν Χαλκηδόνι Συνόδου προτάττεται τῆ Ῥώμης, καὶ ἐν τῇ ἐν Σαρδικῇ ἐνομοθέτησε περὶ τῆ Ῥώμης ὡς ἐρήμῳ κατωτέρω, ἅπαντα τὸν θρυλλούμενον ἐν τοῖς ὠσὶ τῶν ἀφρόνων μοναρχίαν τῷ Πάπα ἕως τοῦ ἅδου καταρράσαι, ἀλλὰ δὴ καὶ ὁ Κωνσταντῖνος ἀπελθόντι πρὸς αὐτὸν ἀπὸ τοῦ ἀδελφοῦ καὶ τῆς Συνόδου, τῷ Ἀθανασίῳ εἶπεν αὐτῷ, τὸν θρόνον τὸν σαυτοῦ ψήφῳ τῆς Συνόδου καὶ ἡμετέρᾳ νεύσει ἀπείληφας, Σωκράτης βιβλίῳ τρίτῳ, κεφαλαίῳ ὀκτωκαιδεκάτῳ τρίτῳ. ἡ δὲ μία δὲ ἰδικὴ μνήμη τοῦ Ῥώμης ἢ τῆς Συνόδου αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ πάπισσαν Ἁγὰ Πέτρα Ἀρκαδίου λεγόντων γεγράψθαι τὸν Ἰούλιον Ῥώμης τοῖς Ἀρειανοῖς ὅτι ἔχει ὧδε τοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων καὶ τοῦ τῆς ἐν Νικαίᾳ Κανόνος τῶν Ἑκκλησιῶν, ὅπερ ἐψεῦδος ἀδίκως ὄντως ἁγὰ πολλῶν ἀποδείξεων δείκνυται.

Εἰ λέγουσιν οἱ αὐτοὶ Ἁγὰ Πέτρα τοῦ Ἀρκαδίου ὡς ὁ Ἰούλιος γράφει τοῖς Ἀρειανοῖς καὶ παλιλλογεῖ ὅτι καὶ ὧδε τοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων καὶ τῆς ἐν Νικαίᾳ Συνόδου γέγονε Κανὼν Ἁγὰ τῶν Ἑκκλησιῶν τοῦ Ῥώμης, ὅπερ εἰ ἦν ψεῦδος, οὐκ ἂν ὑπέφερον αὐτὸ οἱ Ἀρειανοί, ἀλλ' ἀντέλεγον. Ἀλλὰ ῥητέον ὡς καὶ ἐν ἄλλοις ἔτω καὶ ἐντεῦτω, μεμπτέοι εἰσὶν οἱ Λατῖνοι Ἁγὰ τὴν ἐθελοκακερδίαν αὐτῶν, καθὸ ὁ Ἰούλιος τοῦτο οὐκ εἶπε, καὶ βέβαια εἰ ἔλεγε τοῦτο, ἦκουον ὅλη ἐκ εἶπον ἀληθείαν, ἃ δὲ εἶπον ὁ Ἰούλιος ἐστὶ ταῦτα, Ἀθανάσιος ὁ ἐν τῇ ἁγ Νικαίαν μεγάλῃ Συνόδῳ ἐκ ἄνω θρὲξ βελήσεως συνεχώρησαν ἐν ἑτέρᾳ Συνόδῳ τὰ τῆς δευτέρας ἐξετάζεσθαι, καὶ εἰ τὸ ἔθος τοῦτο παλαιὸν τυγχάνον, μνημονεύεται δὲ καὶ γεγραφὸς ἐν τῇ μεγάλῃ Συνόδῳ, καὶ τὰ ἑξῆς. τέτοις τοῖς λόγοις ὁ Ἰούλιος ἔλεγεν ὅτι ἡ Σύνοδος ἡ ἐν Νικαίᾳ συνεχώρησε καὶ ἔγραψε περὶ τοῦ Ῥώμης Κανόνα Ἑκκλησίας. ἔλεγεν τῷ ἐν Ῥώμῃ Συνόδου ἀνακείνειν Σύνοδον παρ' ἐκείνων, καὶ μάλιστα ἐν εἰρήνης καιρῷ, καθὼς νῦν βέλονται οἱ Ῥωμαῖοι, ἀλλ' ὑπαινίττεται τὸν πέμπτον αὐτῆς Κανόνα λέγοντα, περὶ τῶν ἀκοινωνήτων γνωμῶν καθ' ἑκάστην Ἐπαρχίαν κρατεῖν ἡγουμένων, καὶ τὰ ἑξῆς. ἔτα ἐπιφέρει, ἐξεταζέσθω δὲ μὴ μικροψυχίᾳ ἢ φιλονεικίᾳ, ἢ νῦν τοιαύτῃ ἀπιδίᾳ τοῦ Ἐπισκόπου δόξα συναγωγοὶ γεγόνηται. ἵνα δὲ τοῦτο λαμβάνῃ τῷ πρέπουσαν ἐξέτασιν, δεῖ τοῦ ἔτος Συνόδου γίνεσθαι τῶν Ἐπισκόπων τῆς Ἐπαρχίας. γράφα δὲ καὶ ὁ ἐν Καρθαγόνῃ Συνόδου τῷ Ῥώμης Κελεστίνῳ, ἐπειδὴ τοῦτο καὶ τῇ ἐν Νικαίᾳ Συνόδῳ ἀρίστα ἐκ χερὸς ἄνωθεν ἡσὴ σεβασμιότητος. εἰ γὰρ καὶ περὶ κατωτέρων Κληρικῶν καὶ περὶ λαϊκῶν φαίνεται ἐκεῖ τοῦ φυλάττεσθαι, πόσῳ μᾶλλον τοῦτο περὶ Ἐπισκόπων βέλεται τοῦ φυλαχθῆναι. λέγομεν οὖν καὶ ἡμεῖς, φησὶν ὁ Ἰούλιος, εἰ περὶ τῶν συμβαινόντων ἐν τῇ Συνόδῳ τῆς Ἐπαρχίας γίνεται ἀνάκρισις ὑπὸ τελεωτέρας Συνόδου, πῶς οὐκ ἔχει σκοπὸν ἅτος ὁ ταῦτα διορίζομος τῆς ἐν Νικαίᾳ Κανὼν ἵνα ἡνίκα ἂν Σύνοδος τις γενικὴ συναθροισθεῖσα αὐτικείμενα τῇ πίστει ἐκθήσοιτο, ἑτέρα γενικὴ νομικὴ καὶ κανονικὴ Συνόδος ἀθροισθεῖσα διορθώση τὰ κακῶς ὁρισμένα, καὶ ἀποβάλῃ τὰ συναγόμενα Κανόνας ἐκτεθέντα; ταῦτα ὁ Ἰούλιος Ἁγὰ τῶν λέξεων ῥητῶς, καὶ Ἁγὰ τῶν αὐτῶν λέξεων νοητῶς. ἀλλ' ἐλθέτω ὁ λόγος ὑπὸ τὸ προκείμενον. τοῦτο οὖν τὸ ἔθος ἀρχαῖον ὄν, ἦτοι ἀποστολικόν, ἡ Σύνοδος συνεχώρησεν, ἢ γε ἐδέχθη καὶ ἔγραψεν, ὅπερ ὑπὸ τῆς Ἐπαρχίας ὁρισθὸν γίνεσθαι, ὁ Ἰούλιος ἐξέλαβε νοητότερον Ἁγὰ τῷ ἀνάγκῃ τοῦ καιροῦ ἐκείνου, ὥστε ἔλεγε καθὼς τὰ ὑπὸ τοῦ Ἐπισκόπου συνοδικῶς θεωρήμενα ἀνακρίνει ἑτέρα καὶ μείζων Σύνοδος ἡ τῆς Ἐπαρχίας δηλονότι, ἅτω καὶ τὰ ὧδε μιᾶς Συνόδου θεωρήμενα καὶ ἀμφιβαλλόμενα ἢ ἀπαρεσκόμενα ἑτέρα Σύνοδος τελεωτέρα θεωρῆσαι ἐστὶν εὔλογον. καὶ ἵνα μὴ νομισθῇ ἐξουσιαστικῶς ὑποφαίνεσθαι, εἶπε τινὰς αἰτίας δι' ἃς δίκαιον τὴν μίαν Σύνοδον ἀναθεωρεῖν τὰ τῆς ἑτέρας, τελεωτέρα δὲ ἐνομίζετο ἡ ἐν Ῥώμῃ Ἁγὰ τὸ πλῆθος τῶν συμφωνούντων αὐτῇ καὶ τῇ ἐν Νικαίᾳ Συνόδῳ Ἐπισκόπων καὶ λαῶν, ἤτοι τοῦ Βασιλέως τῶν Ἑσπερίων καὶ πασῶν τῶν Ἐπαρχιῶν τῆς Δύσεως, ἃς ἔπομεν ἀνωτέρω, καὶ τῆς Αἰγυπτιακῆς Συνόδου, καὶ τοῦ ἐν Κωνσταντινουπόλει λαοῦ, καὶ τῶν λοιπῶν ἐγκρίτων ἁπάντων ὀρθοδόξων Ἐπισκόπων. ὁ μέγας Βασίλειος ὑπισχνεῖται δευτέρᾳ φορᾷ πρὸς Ἀθανάσιον λέγει περὶ τῶν Δυτικῶν φροντίδων τὸν ἅγιον ἵνα ἐνεργήσῃ ἐλθεῖν αὐτοὺς εἰς βοήθειαν, τάχα ἂν τις γένοιτο τοῖς κοινοῖς ὄφελος πρὸς τὸ κρατοῦντος τὸ ἀξιόπιστον τοῦ πλήθους δυσωπημένων, καὶ τῶν ἐκπεπτωκότων λαῶν ἀναθεμάτων αὐτοῖς ἀναντιρρήτως. διὸ καὶ ὁ Ἰούλιος ἐν ταῖς πρὸς τοὺς Εὐσεβιανοὺς ὑπισχνείαις συχνάκις ἀναφέρει τῷ ἐν Νικαίᾳ Σύνοδον, καὶ τὸν Ἀρειανὸν Σεκοῦνδον καθηρημένον ὑπ' αὐτῆς, δεξαμένους εἰς κοινωνίαν ἐλέγχει αὐτοὺς ἐν τῇ ἐπιστολῇ, ὡς ἀθετήσαντας τὸν Κανόνα, δηλονότι τῷ ἀποφάσιν τῆς ἐν Νικαίᾳ Συνόδου πρὸς καταφρόνησιν αὐτῆς, καὶ τοσαῦτα εἰπὼν καὶ ἀγωνιζόμενος καὶ παλιλλογῶν, ὡς ὁ Ἀρκαδίος φησιν, ὁ Ἰούλιος, ἐκ εἶπον ἢ γε, σὺ εἶ Πέτρος, ἢ τὰς κλεῖς, ἢ γε, κεφαλὴ τῆς

Ἐκκλη-

Ἐκκλησίας, ἢ βικάριος τοῦ Χριστοῦ, ἢ διάδοχος τοῦ Πέτρου, ἢ τὸ πρῶτος, ἢ μόνος κριτὴς τῶν Αἱρέσεων, οὔτε ἄλλου τινὸς ῥητοῦ γραφικοῦ, ἢ πατρικοῦ, ἢ συνοδικοῦ ἐμνήσθη, ἐξ ὧν προβάλλουσιν οἱ Λατῖνοι εἰς σύστασιν τοῦ παπισμοῦ. εἰς ἐκεῖνο δὲ ὅπερ λέγουσιν οἱ Λατῖνοι ὅτι πρῶτοι οἱ Ἀρειανοὶ ἀντεῖπον τῇ μοναρχίᾳ τοῦ Πάπα ῥητέον ὅτι τοῦτο ψεῦδός ἐστιν, ἐπειδὴ εἰ ἦν τότε πρωτεῖον μοναρχικὸν εἰς τὴν Ῥώμην, προέβαλεν ἂν αὐτὸ ὁ Ἰούλιος κατὰ τῶν Εὐσεβιανῶν. δεύτερον, ὅτι οὔτε μόνοι οὔτε πρῶτοι ἀντεῖπον, καὶ δῆλον ἐξ ὧν εἴπομεν ἀνωτέρω περὶ τοῦ θεσπίσματος, καὶ ἐν τοῖς λοιποῖς.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ὅτι οὐ δεῖ ἁπλῶς δέχεσθαι καὶ αὐτὰ τὰ προδήλως ἀληθινὰ συγγράμματα τῶν Παπῶν ὡς τῆς ἀληθείας ἄγνοιαν ἐχόντων.

Ὅτι δὲ τὰ γράμματα τῶν Παπῶν (οὐ λέγομεν περὶ τῶν πεπλασμένων ἐπιστολῶν καὶ ἑτέρων συγγραμμάτων ἐπ' ὀνόματι τῶν ἀρχαίων Παπῶν παρὰ τῶν παπιστῶν, ἀλλὰ περὶ τῶν προδήλως ἀληθινῶν) οὐ δεῖ ἁπλῶς δέχεσθαι καὶ καὶ ἅγιοι οἱ περὶ ἑαυτῶν γράφοντες ἀλλ' ἀναγκαῖόν ἐστιν ἐξετάζεσθαι μήπως καὶ ἐν οἷς γράφουσιν οὐ περιέχεται ἡ ἐκκλησιαστικὴ ἀλήθεια ἀκραιφνὴς, δηλοῦται ἐκ τῆς ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου πρὸς τὸν μέγαν Ἀθανάσιον, ἐνῇ φησὶν, ἐπεὶ ἐν πᾶσιν οἷς ἐπιστέλλουσι γράμμασιν (οἱ Πάπαι) τὸν μὲν δυσώνυμον Ἄρειον ἄνω καὶ κάτω ἀναθεματίζοντες, καὶ τῶν Ἐκκλησιῶν ἐξορίζοντες οὐ διαλείπουσι, Μαρκέλλῳ δὲ οὐδὲ μίαν μέμψιν ὑπενεγκόντες φαίνονται, καὶ ταῦτα αἰτίαν ἔχοντες ὡς τὸ ἐξ ἀρχῆς κατ' ἄγνοιαν τῆς ἀληθείας καὶ εἰς κοινωνίαν αὐτὸν ἐκκλησιαστικὴν κατεδέξαντο. ταῦτα ἐπιστολῇ πέμπτῃ. καὶ σημείωσαι ὅτι ἔχουσιν οἱ Πάπαι ἄγνοιαν τῆς ἀληθείας, ὡς ἔλεγε καὶ ὁ Θεολόγος Γρηγόριος περὶ τοῦ Δαμάσου διὰ τὸν Οὐϊτάλιον, τοὺς Οὐϊταλίου λόγους ἡμεῖς πρὸς εὐσεβέστερον ἐδεξάμεθα, οὕτω τοῦ θέλειν πείθοντος. ἄλλοι δὲ πρὸς τὸν τῶν γεγραμμένων νοῦν ἀγριαίνουσιν, ὅμοι δοκεῖ καὶ Δάμασος αὐτὸς μεταδιδαχθεὶς, καὶ ἅμα πυθόμενος ἐπὶ τῶν προτέρων μένειν αὐτοὺς ἐξηγήσεων, ἀποκηρύκτους αὐτοὺς πεποιῆσθαι, καὶ τὸ γραμματεῖον αἰατετραφέναι τῆς πίστεως σὺν ἀναθεματισμῷ, καὶ πρὸς τὴν ἀπάτην αὐτῶν δυσχεράνας, ἣν ἔπαθεν ἐξ ἁπλότητος, πρὸς Κληδόνιον ἐπιστολῇ δευτέρα. ἰδοὺ λοιπὸν καὶ οἱ Πάπαι τῆς Ῥώμης βουλεύονται, σκέπτονται, ἀγνοοῦσιν, ἀπατῶνται, ὅθεν καὶ καὶ μυριάκις παλιλλογοῦσι καὶ γράφουσιν, οὐ δεῖ τοὺς Λατίνους προσφέρειν τὰς ἐπιστολὰς καὶ τὰς πράξεις αὐτῶν ὡς ἀναγκαῖόν τι καὶ ἀναντίρρητον εἰς σύστασιν Ἐκκλήτου, ἔλεγε γὰρ ὁ Χαλκηδόνος Ζαχαρίας ἐν τῇ κατὰ Φωτίου Συνόδῳ, οἱ Κανόνες καὶ τῶν Πατριαρχῶν ἄρχουσιν, εἰ γοῦν ἔξω τῶν Κανόνων ποιοῦσιν, οὐστοιχοῦμεν αὐτοῖς, πράξει ἕκτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Ὅτι θέλοντες ἐκ τοῦ πρὸς τὸν Ἰούλιον Ῥώμης βιβλίου τῆς Ἀρσακίου καὶ Οὐάλεντος μετανοίας συστῆσαι τῷ Ῥώμης τὴν Ἔκκλητον οἱ παπισταὶ, δείκνυνται κἀνταῦθα διὰ πολλῶν ἀποδείξεων καὶ παραθέσεων ἀσύστατοι, καὶ καρκινικῶς βαδίζοντες.

Κατηγορήθη ὁ μέγας Ἀθανάσιος ὡς ἀπεκτονὼς τὸν Ἀρσένιον, καὶ συντετριφὼς ποτήριον ἅγιον. ἦσαν δὲ μάλιστα συνεργοὶ εἰς ταῦτα μετὰ καὶ ἄλλων τινῶν, ὡς εἴπομεν ἀνωτέρω, Οὐρσάκιος καὶ Οὐάλης. μετέπειτα δὲ φανεισῶν τῶν συκοφαντιῶν ψευδῶν, καὶ τοῦ ἁγίου δικαιωθέντος, φοβηθέντες καὶ οἱ δύο, δεδώκασι βιβλίον μετανοίας τῷ Πάπᾳ Ἰουλίῳ, ὑπεραπολογούμενοι διότι κατέκρινον αὐτὸν ἤτοι τὸν Ἀθανάσιον, ὡς λέγουσι Σωκράτης βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ τετάρτῳ, καὶ Ἐπιφάνιος Αἱρέσει ἑξηκοστῇ ὀγδόῃ. λέγουσι λοιπὸν οἱ Λατῖνοι ὅτι ὁ Οὐρσάκιος καὶ Οὐάλης δεδώκασι βιβλίον μετανοίας τῷ Ἰουλίῳ ὡς ἔχοντι τὴν Ἔκκλητον καὶ ἀνάκρισιν πασῶν τῶν Ἐκκλησιῶν. Ἀλλὰ ῥητέον ὅτι οὐδὲν λέγουσι καὶ οἱ δύο τῷ Ἰουλίῳ ἐν τῇ ἐπιστολῇ μοναρχικὸν αὐτῷ ἀξίωμα βεβαιοῦν, πλὴν τῆς μετανοίας, καὶ τοῦτο, καθότι ὄντες καὶ οἱ δύο Ἐπίσκοποι ὑποκείμενοι τῷ θρόνῳ Ῥώμης, ἐζήτησαν συγγνώμην ἀπὸ τοῦ Πατριάρχου αὐτῶν. δεύτερον, οὐκ ἠρκέσθησαν εἰς τοῦ Ῥώμης τὴν συγχώρησιν, ὅθεν ἐζήτησαν τὴν τελείαν συγχώρησιν ὡς ἀπὸ μείζονος ἐξουσίας παρὰ τῆς ἐν Σαρδικῇ Συνόδου. τρίτον, ὁ Μάρης συνὼν αὐτοῖς ἐν ταῖς κατὰ Ἀθανασίου συκοφαντίαις, καὶ μαθὼν ὅτι κατέκρινον τὸν ἅγιον, μὴ ὢν ὑπὸ τὸν θρόνον Ῥώμης, οὐδ' ὅλως ἔδωκε βιβλίον μετανοίας τῷ Ἰουλίῳ, ἀλλὰ τῇ ἐν Σαρδικῇ Συνόδῳ, ὡς Θεοδώριτος γράφει ἐν τῇ Λιβερίου καὶ Κωνσταντίου διαλέξει, λόγῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ἕκτῳ. τέταρτον, οὐ μόνον τῷ Πάπα Ἰουλίῳ δεδώκασι βιβλίον μετανοίας Οὐρσάκιος καὶ Οὐάλης, ἀλλὰ καὶ τῷ Πάπα Ἀθανασίῳ ὡσαύτως, καὶ ἰδὲ ταῦτα ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ τοῦ αὐτοῦ Ἀλεξαν-

λεξανδρείας Ἀθανασίου, ἀλλὰ δὴ καὶ ὁ Ἐπιφάνιος φησὶν, ὡς ὕστερον ἔδειξαν μετανοοῦντες Οὐρσάκιος καὶ Οὐάλης, μετὰ λιβέλλων προσελθόντες τῷ μακαρίτῃ Ἰουλίῳ τῷ Ἐπισκόπῳ Ῥώμης, ὑπεραπολογούμενοι τοῦ αὐτῶν σφάλματος, ὅτι ἐσυκοφαντήσαμεν τὸν Πάπαν Ἀθανάσιον, ἀλλὰ δέξαι ἡμᾶς εἰς κοινωνίαν καὶ εἰς μετανοίαν. καὶ πρὸς αὐτὸν δὲ τὸν Ἀθανάσιον ταῖς αὐτῶν ἐχρήσαντο ἐγγράφοις διὰ μετανοίας συστάσεσιν, Αἱρέσει ἑξηκοστῇ ὀγδόῃ. καὶ ἐκ τούτων τῶν ῥημάτων τοῦ Ἐπιφανίου δῆλον γίνεται ὅτι κατὰ τὸν αὐτὸν τρόπον ἔδωκαν βιβλία μετανοίας τῷ Ἰουλίῳ καὶ τῷ Ἀθανασίῳ. πέμπτον, Εὐσέβιος, Μάρης, Θεόγνις καὶ ἕτεροι Ἐπίσκοποι καθαιρεθέντες ὑπὸ τῆς ἐν Νικαίᾳ μεγάλης Συνόδου, καὶ μετανοήσαντες, ἔδωκαν λιβέλλους μετανοίας οὐ τῷ Ῥώμης, ἀλλὰ κοινῶς τοῖς κορυφαίοις τῶν Ἐπισκόπων, καὶ διατοῦτο ἀνεκλήθησαν τῆς ἐξορίας ἐκ βασιλικοῦ προστάγματος, καὶ τὰς Ἐκκλησίας αὐτῶν ἀπέλαβον, Σωκράτης βιβλίῳ πρώτῳ, κεφαλαίῳ δεκάτῳ τετάρτῳ. ὡς δὲ οἱ κορυφαῖοι τῶν Ἐπισκόπων οὐδὲν ἐπὶ τῶν Ἐκκλησιῶν ἔλαβον ἀξίωμα ἰδικὸν ἀπὸ τῶν λιβέλλων τῆς μετανοίας τῶν περὶ τὸν Εὐσέβιον, οὕτως οὐδὲ ὁ Ἰούλιος ἔλαβέ τι ἰδικὸν ἀξίωμα παρὰ τοῦ βιβλίου τῆς μετανοίας Οὐρσακίου καὶ Οὐάλαντος. ἀλλὰ δὴ καὶ οἱ τῆς Ἀσίας Ἐπίσκοποι ἐγκαλούμενοι ὑπὸ Ἀκακίου Κωνσταντινουπόλεως ὅτι ὑπέγραψαν εἰς τὰ ἐγκύκλια Βασιλίσκου, ἔγραψαν ἡμερούμενοι αὐτὸν, καὶ συγγνώμην ἤτουν βιβλία μετανοίας πεμπόμενοι, Εὐάγριος βιβλίῳ τρίτῳ, κεφαλαίῳ ἐνάτῳ. καὶ Καλανδίωνος Ἀντιοχείας γράψαντος Ζήνωνι τῷ Βασιλεῖ καὶ Ἀκακίῳ, καὶ μοιχὸν Πέτρον τὸν μογγὸν καλοῦντος, ὁ Ἀκάκιος ἔπεμψε τινὰς τὰ περὶ τούτων εἰσομένους, πρὸς οὓς ὁ Πέτρος ἀπελογήσατο, καὶ ἀπολογίας ἔγραψε πρὸς Ἀκάκιον, Εὐάγριος βιβλίῳ τρίτῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ. οὐκ ἔλαβε δὲ ὁ Κωνσταντινουπόλεως ἀξίωμα ἐπὶ τῶν θρόνων Ἀντιοχείας καὶ Ἀλεξανδρείας διότι ἐν καιρῷ ἀνάγκης Πέτρος ὁ μογγὸς, καὶ Πέτρος ὁ Κναφεὺς ἀπελογήσαντο πρὸς Ἀκάκιον, καὶ οἱ τῆς Ἀσίας Ἐπίσκοποι βιβλίον μετανοίας αὐτῷ ἔπεμψαν, οὕτω καὶ ὁ Ἰούλιος οὐδὲν ἔλαβεν ἀξίωμα ἀπὸ μετανοίας τῶν ἰδίων Ἐπισκόπων. Ἀλλ' ἐπιλέγουσιν, ἔστω ταῦτα οὕτως ἔχειν, ὁ μέντοι Μάρκελλος ἔγραψεν εἰς Ἰούλιον ἀπολογούμενος πρὸς αὐτὸν, ὅτι οὐκ ἦν Αἱρετικὸς καθὰ ὑπὸ πολλῶν ἐνεκαλεῖτο, ὡς ὁ Ἐπιφάνιος Αἱρέσει ἑβδομηκοστῇ δευτέρᾳ. Ἀλλὰ ῥητέον ὅτι καὶ περὶ πίστεως εἰς πολλοὺς ἀπολογοῦνται οἱ ἐγκαλούμενοι, καὶ οὐκ εἰς μόνον τὸν Πάπαν, καὶ ἀρκεῖ ὃ λέγει ὁ αὐτὸς Ἐπιφάνιος, ὅτι ὁ Ἀντιοχείας Παυλῖνος ἔδωκε τοιαύτην ἀπολογίαν τῷ μεγάλῳ Ἀθανασίῳ, Αἱρέσει ἑβδομηκοστῇ ἑβδόμῃ. ὥστε καρκινικῶς ἐβάδισε καὶ τοῦτο τῶν παπιστῶν τὸ ἐπιχειρημάτιον.

ΠΑΡΑΓΡΑΦΟΝ Ιϛ'

Ὅτι ψευδέστατος ὁ Ἰωάννης Καρδηνάλις ἐλέγχεται ἐνταῦθα διὰ πολλῶν ἀποδείξεων καὶ συχνῶν τοῦ καιροῦ περιστατικῶν, εἰπὼν παρὰ τεττάρων Παπῶν ζητῆσαι τὸν Ἀθανάσιον τὰς πράξεις τῆς ἐν Νικαίᾳ Συνόδου, ὡς διαφθαρείσας δῆθεν ἐν τῇ Ἀνατολῇ ὑπὸ τῶν Αἱρετικῶν, καὶ ἀποστεῖλαι αὐτῷ τὸν Ἰούλιον Πάπαν Κανόνα μόνον τῆς ἐν Νικαίᾳ περὶ Ἐκκλήτου τοῦ Ῥώμης διαλαμβάνοντα.

Ὁ καρδηνάλις Ἰωάννης ἔλεγεν ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ, ὅτι ὁ μέγας Ἀθανάσιος ἔγραφε πρὸς Φίληκα καὶ Μάρκον καὶ Ἰούλιον καὶ Λιβέριον τοὺς Πάπας, ζητῶν τὰς Πράξεις τῆς ἐν Νικαίᾳ Συνόδου, ἃς οἱ ἐν Ῥώμῃ εἶχον ἀκεραίους, καθότι ἐν τῇ Ἀνατολῇ διεφθάρησαν ὑπὸ τῶν Ἀρειανῶν, καὶ αὐτέγραψαν ὅτι εἶχον καὶ τὰς Πράξεις καὶ τοὺς Κανόνας ἑλληνικῶς καὶ ῥωμαϊκῶς μετὰ καὶ τῶν ἰδίων ὑπογραφῶν, ἀλλ' οὐκ ἔπεμπον, πλὴν μόνους τοὺς Κανόνας πέμψουσιν αὐτῷ, διατοῦτο ἐπειδὴ ἐνεκάλεσεν ὁ Ἀθανάσιος τὴν ἐν Ἀντιοχείᾳ Σύνοδον εἰς τὸν ῥωμαϊκὸν θρόνον, οἱ δ' Αἱρετικοὶ ἔλεγον ὅτι ἀδύνατον ἐκκαλέσαι τὸν Ἐπίσκοπον Ῥώμης τὴν ἀπόφασιν τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, πέμπει ὁ Λιβέριος τῷ Ἀθανασίῳ Κανόνας, ἐν οἷς ἐστι Κανὼν δηλῶν ὡς ἡ Ἔκκλητος ἦν ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, καὶ διατοῦτο ὁ Ἰούλιος Πάπας δριμέως ἐπιλαμβάνεται τῶν Ἀντιοχέων, ὡς τολμησάντων Σύνοδον ἀθροῖσαι χωρὶς συναινέσεως τῆς ἀποστολικῆς καθέδρας, δεικνύων αὐτοῖς ἀπὸ τῆς ἐν Νικαίᾳ Συνόδου ὡς οὐδὲ μία ἔσταί ποτε ἐστηριγμένη καὶ βεβαία Σύνοδος ἡ μὴ στηριχθεῖσα τῇ αὐθεντίᾳ τῆς ῥωμαϊκῆς Ἐκκλησίας. ταῦτα ὁ Ἰωάννης, ὃς ἐδείκνυε καὶ βιβλίον παλαιὸν ταῦτα περιέχον, συνελεύσει εἰκοστῇ. Ἀλλὰ ῥητέον, ὅτι τὰ τοιαῦτα πλάσματά εἰσιν ἐπ' ὄψεσι πάσης τῆς Οἰκουμένης ἀθέως φληναφοῦντα, καὶ γὰρ εἰ ἦσαν ταῦτα ἀληθῆ, ἐν γραφῇ σιδηρᾷ καὶ ἐν ὄνυχι ἐλεφαντίνῳ ἔγλυφον αὐτὰ, καὶ ἔγραφον αὐτὰ εἰς λίθους καὶ εἰς πλάκας σιδηρᾶς οἱ Λατῖνοι, ἀλλ' οὐδεὶς ἱστόρησεν αὐτὰ, οὔτε καὶ Λατῖνος Διδάσκαλος, ἀλλ' ἢ μόνος ὁ καλὸς σοφιστὴς Ἰωάννης πρῶτος αὐτὰ εἶπεν ἐν τῇ Φλωρεντείᾳ, καὶ ὅμως περὶ τῶν ἀρχαίων ἀρχαίους δεῖ μάρτυρας προσφέρειν, καὶ ἐν τῇ Ἐκκλησίᾳ οὐσυνίστησι τοιοῦτον ἀξίωμα ἡ διήγησις τοῦ δεῖνος καὶ τοῦ δεῖνος, ἀλλ' ἢ μόνον ἡ γραφὴ καὶ οἱ Κανόνες καὶ οἱ ἔγκριτοι ἅγιοι πατέρες, ἐξ ὧν τοῦτο οὐδυνήσονταί ποτε δεῖξαι Λατῖνοι, κἂν ἁπαξάπαντες σοφισταὶ γενήσωνται. δεύτερον, ὁ Θεοδώριτος λέγει βιβλίῳ δευτέρῳ, κεφαλαίῳ τετάρτῳ,

Ἰούλιος

Ἰούλιος Εὐσεβίου συκοφαντίας γράψαντος κατὰ Ἀθανασίου, τῷ τῆς Ἐκκλησίας ἑπόμενος Νόμῳ, καὶ αὐτοὺς καταλαβεῖν τὴν Ῥώμην ἐκέλευσεν (ὡς μόνοι ἐζήτησαν ἀναμεταξὺ αὐτῶν καὶ Ἀθανασίου κριτὴν γενέσθαι ὡς εἴρηται ἀνωτέρω) καὶ γὰρ πρῶτοι ἐκεῖνοι εἶπον κληθῆναι τὸν Ἀθανάσιον εἰς δίκην, ὃς τοῦτο μὲν, διότι ἐζήτουν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ εἶχέ που ἄλλοσε φυγεῖν, τοῦτο δὲ, ὅτι ἐκλήθη ὑπὸ τοῦ Ἰουλίου, οὐμόνον διὰ τὴν αἴτησιν τῶν Εὐσεβιανῶν, ἀλλὰ καὶ διὰ τὴν πρὸς αὐτὸν ἀγάπην ἀπῆλθεν εἰς Ῥώμην, Ἑρμείας βιβλίῳ τρίτῳ, κεφαλαίῳ δεκάτῳ. ἐλθόντος οὖν τοῦ Ἀθανασίου εἰς Ῥώμην, τοὺς Εὐσεβιανοὺς μὴ ἀπαντήσαντας κατὰ τὴν ὑπόσχεσιν, ἐκάλεσεν ὁ Ἰούλιος. ἰδοὺ λοιπὸν πρὸ τοῦ ἀπαγορεῦσαι τοὺς Εὐσεβιανοὺς τὴν εἰς Ῥώμην ἀποδημίαν αὐτῶν, καὶ πρὸ τοῦ χειροτονῆσαι τὸν Γρηγόριον Ἀλεξανδρείας, ἀπῆλθεν ὁ Ἀθανάσιος εἰς τὴν Ῥώμην, καὶ πῶς ἐζήτει τοὺς Κανόνας τῆς ἐν Νικαίᾳ κατὰ τῶν Ἀρειανῶν; ἐπειδὴ ὡς εἴρηται οὔπω ἦν τότε ἡ ἀντιλογία αὐτῶν πρὸς Ἰούλιον, ὅτε αὐτὸς ὁ Ἀθανάσιος εἰς Ῥώμην ἐξώδευσεν. εἶτα ὡς λέγει ὁ Σωκράτης, ἵνα καὶ ἥμισυ ἔτος ἐκάθισεν ὁ Ἀθανάσιος ἐν Ῥώμῃ ἐκδεχόμενος τοὺς Ἀρειανοὺς, καὶ πῶς ἐν Ῥώμῃ ὢν οὐκ ἔγραψε τὰ πρακτικὰ, ἀλλὰ ἐζήτησεν αὐτὰ μακρόθεν; εἶτα ἐπὶ Μάρκου ἔζῃ ὁμέγας Κωνσταντῖνος, καὶ ὁ Μάρκος ἐπατριάρχευσε Μῆνας ὀκτὼ ἐν ἔτει τριακοσιοστῷ τριακοστῷ ἕκτῳ, καὶ ἡ ἐν Ἀντιοχείᾳ τῶν Εὐσεβιανῶν Σύνοδος ἐγένετο ἐπὶ Κωνσταντίου τῷ τριακοσιοστῷ τεσσαρακοστῷ πρώτῳ ἔτει, καὶ πῶς ἐζήτησε παρὰ τεθνηκότος τοῦ Μάρκου ὁ Ἀθανάσιος κατὰ τῶν τοιούτων τὰ πρακτικά; ἔτι ἡ Σύνοδος ἠθροίσθη τῷ τριακοσιοστῷ τεσσαρακοστῷ πρώτῳ ἔτει, ὁ δὲ Λιβέριος ἐπατριάρχευσε τῷ τριακοσιοστῷ πεντηκοστῷ δευτέρῳ, καὶ ὁ Φίληξ τῷ τριακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ ὅτε ὁ Λιβέριος ἦν εἰς τὴν ἐξορίαν, καὶ ἐν Μεδιολάνῳ, ἐν Σιρμίῳ, ἐν Ἀριμίνῳ, ἐν Σελευκείᾳ, ἐν Νίκῃ τῆς Θρᾴκης, ἐν Κωνσταντινουπόλει καὶ ἐν Ἀντιοχείᾳ τὸ ὕστερον ἐγίνοντο Σύνοδοι φανερῶς καὶ ἀναισχύντως μαχόμεναι τῷ Ὁμουσίῳ, ἐν αἷς ἐλάλει εἰς ὕψος τὸ Ἀνόμοιον, ἐν Ῥώμῃ Πατριάρχαι Ἀρειανοὶ Λιβέριος καὶ Φίληξ, ἐν Κωνσταντινουπόλει, ἐν Ἀντιοχείᾳ καὶ ἐν Ἀλεξανδρείᾳ Πατριάρχαι Αἱρετικοὶ, καὶ ἐπὶ πᾶσι τούτοις ὁμέγας Ἀθανάσιος ἐκρύπτετο, καὶ ἐν τοῖς τοιούτοις τί ἤθελεν ὁ Ἀθανάσιος τὰ πρακτικὰ καὶ ἐζήτει αὐτά; τρίτον, καθ' ὑπόθεσιν εἰ ἐζήτησεν ὁ Ἀθανάσιος τὰ πρακτικὰ, διατί οὐκ ἔστειλαν αὐτὰ οἱ Ῥωμαῖοι, ἀλλὰ μόνους τοὺς Κανόνας; καὶ λοιπὸν φανερόν ἐστιν ὅτι ὁ Καρδηνάλις Ἰωάννης μίαν καὶ μόνην εἶπεν ἀλήθειαν, ὅτι εἰς τὴν Ῥώμην μόνοι ἦσαν οἱ Κανόνες, καὶ οὐχὶ καὶ τὰ πρακτικά. τέταρτον, εἴρηται ἀνωτέρω ὅτι ὁ Ἰούλιος οὐ προέβαλεν εἰς τοὺς Εὐσεβιανοὺς Κανόνα Ἐκκλήτου, ἀλλὰ Κανόνα ὅτι τὴν πρώτην Σύνοδον ἀνακρίνει δευτέρα, οὐκ εἶπε δὲ ἡ τῆς Ῥώμης, ἀλλ' ἁπλῶς εἶπε Σύνοδος Σύνοδον ἀνακρίνει, καὶ εἰ εἶχεν ὁ Ἰούλιος Κανόνα Ἐκκλήτου πῶς αὐτὸν ἐσιώπησεν; πέμπτον, ὁ αὐτὸς εἶπεν ἐν τῇ ἐπιστολῇ ὅτι λανθανόντως οἱ Εὐσεβιανοὶ καινοτομοῦσιν εἰς τὴν πίστιν τῆς ἐν Νικαίᾳ Συνόδου, εἶπε δὲ τοῦτο διὰ τὴν ἔκθεσιν ἣν ἐποίησαν παραχαράξαντες τὴν ἐν Νικαίᾳ πίστιν, εἰ δὲ ἦν καὶ Κανὼν Ἐκκλήτου, πῶς οὐκ εἶπεν ὅτι καινοτομοῦσι παραβαίνοντες τὸν Κανόνα τῆς ἐν Νικαίᾳ Συνόδου περὶ τῆς εἰς τὸν ῥωμαϊκὸν θρόνον Ἐκκλήτου; ἀλλὰ δὴ καὶ ὁ Λιβέριος Ῥώμης τοῦτον τὸν Κανόνα εἰ ἔπεμψε τῷ Ἀθανασίῳ, πῶς οὐ προέβαλεν αὐτὸν τῷ Βασιλεῖ Κωνσταντίῳ ἐν τῷ μετ' αὐτοῦ διαλόγῳ, ἀλλὰ συχνάκις ἐδέετο καὶ προσέπιπτε τῷ Βασιλεῖ Σύνοδον αἰτῶν εἰς διόρθωσιν τῶν τότε τὴν Ἐκκλησίαν κατεχόντων δεινῶν; ἕκτον, ἔτι τοῦτο τὸ ψιθυρισμάτιον τῶν Κανόνων τῆς ἐν Νικαίᾳ Συνόδου περὶ Ἐκκλήτου ζητούμενον παρὰ τοῦ Ῥώμης ὑπὸ Ἀθανασίου, ὁ Ἱσπανὸς Πέτρος γράφων κατὰ τῶν γραικῶν πρὸς τὸν Ἱεροσολύμων Νεκτάριον ἄλλως ἐκτίθησι, καθότι λέγει ὅτι οὐκ ἐζήτησε τοῦτο ὁ Ἀθανάσιος, ἀλλ' ἡ ἐν Ἀλεξανδρείᾳ Σύνοδος, καὶ ὅμως ὅτε ἠθροίσθη ἡ Σύνοδος ὑπὲρ Ἀθανασίου ἐν Ἀλεξανδρείᾳ, ὁ Ἀθανάσιος ἦν ἐν τῇ Ῥώμῃ. δεύτερον, λέγει ὅτι πρὸς μόνον τὸν Φίληκα Ῥώμης ἔγραψεν ἡ Σύνοδος, καὶ ὅμως ὁ Φίληξ ὅτι ἦν Ἀρειανὸς, μαρτυρεῖ τοῦτο καὶ ὁ μέγας Ἀθανάσιος ὡς εἴρηται ἀνωτέρω, καὶ ἐν μόνον ἔτος καὶ τρεῖς Μῆνας ἐπατριάρχευσεν, ὅτε ὁ Κωνσταντίος ἐζήτει μετὰ φανῶν καὶ λαμπάδων ὡς εἰπεῖν τὸν μέγαν Ἀθανάσιον, καὶ πρὸς τούτοις, ὁ Καππαδόκης Γεώργιος καὶ ἄκρος ἐχθρὸς τοῦ Ὁμουσίου καὶ τοῦ Ἀθανασίου ἦν Πατριάρχης Ἀλεξανδρείας, ὅτε καὶ ὁ Λιβέριος διὰ τὸν Ἀθανάσιον ἦν ἐξωριμένος εἰς Βέρροιαν, καὶ πῶς ἠδύνατο ἀθροισθῆναι Σύνοδον εὐσεβῆ ἐν Ἀλεξανδρείᾳ; τέως ὁ Ἰωάννης λέγει, ὅτι ἐζήτησεν ὁ Ἀθανάσιος τῶν Κανόνων τὰ πρακτικὰ ἀπὸ τεσσάρων Παπῶν, ὁ Πέτρος λέγει, ὅτι ἐζήτησεν ἡ Σύνοδος ἡ ἐν Ἀλεξανδρείᾳ Κανόνα ἀπὸ τοῦ Φίληκος, ὥστε ἐκ τῶν εἰρημένων τούτων οὐδὲν ἕτερον δείκνυται, ἢ ὅτι τὰ τοιαῦτα καὶ τοῖς βρεφυλλίοις κατάδηλον, ὅτι εἰσὶ πλάσματα. ἕβδομον, εἰς ὃ δέφασιν, ὅτι εἰς τὴν Ἀνατολὴν τὰ πρακτικὰ διεφθάρησαν ὑπὸ τῶν Ἀρειανῶν, ῥητέον ὅτι ὁ Ἀθανάσιος ἦν εἰς τὴν ἐν Νικαίᾳ Σύνοδον συναγωνιζόμενος τὰ μέγιστα μετὰ τῶν πατέρων ὑπὲρ τοῦ Ὁμουσίου, καὶ ἐπιστραφεὶς εἰς Ἀλεξάνδρειαν, καὶ ἀποθανόντος τοῦ Ἀλεξάνδρου οὐ παρῆλθε πολὺς καιρὸς, καὶ ἐχρημάτισεν Ἀλεξανδρείας, καὶ πῶς οὐκ εἶχε τὰ τῆς Συνόδου πρακτικὰ εἰς φύλαξιν, ὑπὲρ ὧν κατὰ Παῦλον καθ' ἡμέραν ἀπέθνησκε; καὶ πῶς ἀφῆκε καὶ ἔφθειραν ταῦτα οἱ Ἀρειανοί; καὶ ἕως οὗ ἠθροίσθη ἡ ἐν Ἀντιοχείᾳ τῶν Εὐσεβιανῶν Σύνοδος, οὐ γέγονεν εἰς τὴν Ἀλεξάνδρειαν Πατριάρχης αἱρετικὸς

τικὸς, καὶ ἵνα ἐάσωμεν τοὺς παλαιοὺς, ἀπὸ τῆς βασιλείας Διοκλητιανοῦ, Ἀχιλλᾶς, Πέτρος, Ἀλέξανδρος, Θεωνᾶς, καὶ Ἀθανάσιος ἦσαν ὀρθόδοξοι, καὶ ποῖος εἰς τὴν Ἀλεξάνδρειαν Ἀρειανὸς ἔφθειρε τὰ πρακτικὰ τῆς πρώτης Συνόδου; ὀγδοον, εἶτα μᾶλλον πιστεύομεν τῷ μεγάλῳ Κυρίλλῳ πάντων ἁπαξαπλῶς τῶν Λατίνων, ὅτι καὶ πᾶσα ἡ καθολικὴ Ἐκκλησία αὐτὸν Κανόνα ἔχει πίστεως. καὶ λοιπὸν ἔγραψεν ὁ Πάπας Ζώσιμος ὡς ἔλεγεν ὁ Ἐφέσου ἐν τῇ δεκάτῃ ἑβδόμῃ συνελεύσει τῆς ἐν Φλωρεντείᾳ Συνόδου, ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος ἔδωκεν ἐν τοῖς ἰδίοις Κανόσι τὴν Ἔκκλητον τῆς Οἰκουμένης τῷ Πάπᾳ Ῥώμης, ἀπέστειλε καὶ Κανόνα Διαγορεύοντα τοῦτο ὡς δῆθεν ὄντα τῆς ἐν Νικαίᾳ Συνόδου, ὃν ὡς πλάσμα οὐκ ἐδέξαντο οἱ Πατέρες τῆς ἐν Καρθαγένῃ Συνόδου, ἀλλ' ἐζήτησαν τὰ αὐθεντικὰ παρὰ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς Ἀττικοῦ καὶ Κυρίλλου, ἃ πεμφθέντα οὐκ εἶχον τὸν εἰρημένον Κανόνα ὃν ὁ Πάπας προσέφερε, διὸ ἔγραψαν αὐτῷ μὴ ζητεῖν τὴν Ἔκκλητον; ἣν οὐκ ἔδωκεν αὐτῷ ἡ Σύνοδος. εἰ οὖν ὁ Πάπας ψευδῆ Κανόνα προέβαλεν, οὐ θαυμαστὸν εἰ καὶ τινες διέφθειραν τὰ βιβλία παπισταὶ γενόμενοι. καὶ ταῦτα μὲν ὁ Ἐφέσου, ὁ δὲ Κύριλλος ἔγραφε τῇ Συνόδῳ ῥητῶς ταῦτα, τὰ ἀληθέστατα, τὰ πιστότατα, τὰ τῆς αὐθεντικῆς Συνόδου τῆς ἐν τῇ Νικαέων πόλει τῆς Βιθυνίας, τὰ παρὰ τῶν ἁγίων πατέρων ὁρισθέντα καὶ βεβαιωθέντα πέμπομεν τῇ ὑμετέρᾳ ἀγάπῃ. συνῳδὰ τῷ μεγάλῳ Κυρίλλῳ γράφει ὁ Κωνσταντινουπόλεως μακάριος Ἀττικὸς, οὗ πολλὰ ἐγκώμια εἶπεν ὁ μακάριος Κελεστῖνος Κωνσταντινουπολίταις γράφων κατὰ Νεστορίου, γράφων τῇ Συνόδῳ ταῦτα ῥητῶς, τοὺς ἀληθεστάτους Κανόνας τοὺς ἐν τῇ Νικαέων Μητροπόλει τῇ Βιθυνίας ὁρισθέντας μετὰ τὴν τῆς πίστεως ἔνθεσιν ἀπεστείλαμεν. ἰδοὺ λοιπὸν οἱ δύο ὀφθαλμοὶ τῆς Οἰκουμενικῆς Ἐκκλησίας τί μαρτυροῦσι περὶ τῶν Κανόνων τῆς ἐν Νικαίᾳ Συνόδου, ὥστε ἐπιτραυτὸ οὐκ ἀληθεύουσιν οἱ πλείονες τῶν Λατίνων ἐπ' ὄψεσι πάντων Ἀγγέλων τε καὶ ἀνθρώπων, τοὺς Κανόνας τῆς ἐν Νικαίᾳ Συνόδου παρὰ τῶν Ἀρειανῶν διαφθαρῆναι λέγοντες. ἔστι δὲ ἡ ἀλήθεια, ὅτι οἱ λατινόφρονες εἰσὶν οἱ φθείροντες τὰ βιβλία τῶν ἁγίων, ὡς καὶ ἐν τῇ Φλωρεντείᾳ προσεκόμισεν ὁ Ῥωσείας τοῦ Βέκου βιβλίον μεστὸν πάσης παραφθορᾶς, καὶ περιέχον ῥητὰ περιεφθαρμένα; ἕτερα δὲ κεκολοβωμένα, καὶ οἷον ἡμίτονα, λέγει ὁ Σίλβεστρος τμήματι ὀγδόῳ κεφαλαίῳ δεκάτῳ ἕκτῳ. καὶ αὐτοὶ πάντες οἱ Λατῖνοι ἐν ἐκείνῃ τῇ Συνόδῳ προσέφερον διεφθαρμένην τὴν ἑβδόμην Σύνοδον

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Ὅτι τὸν πέμπτον τῆς ἐν Σαρδικῇ Κανόνα ὃν περὶ Ἐκκλήτου αὐτῶν οἱ Ῥωμᾶνοι προβάλλουσιν εἰπόντος τοῦ Ζωναρᾶ ἐλεγχθῆναι ἐν Καρθαγένῃ μὴ εἶναι τῆς ἐν Νικαίᾳ, οἱ παπισταὶ ἐναλλάσσοντες τὸν Κανόνα, καὶ εἰθισμένην τῷ Ῥώμης Ἔκκλητον ἀνανεώσασθαι αὐτὸν λέγοντες, καὶ ψεύστην τὸν Ζωναρᾶν ἀποφαίνοντες, καὶ τὴν κατὰ Φωτίου Σύνοδον μάρτυρα περὶ τοῦ πειθαρχήσαι τῷ Ῥώμης Ζωσίμῳ τὴν ἐν Καρθαγένῃ προσφέροντες, καὶ Κανόνα τῆς ἐν Νικαίᾳ ὑπὲρ Ἐκκλήτου Ῥώμης κατὰ πᾶσαν ἀνάγκην γεγράφθαι διϊσχυριζόμενοι, δείκνυνται ἐνταῦθα φανερῶς μυθοπλάσται καὶ ψευδολόγοι.

Ἰωάννου τοῦ Ζωναρᾶ εἰπόντος ἐν τῇ ἐξηγήσει τοῦ πέμπτου Κανόνος τῆς ἐν Σαρδικῇ Συνόδου ὅτι τὸν Κανόνα τοῦτον προβάλλουσιν οἱ Ῥωμᾶνοι περὶ Ἐκκλήτου αὐτῶν, ἠλέγχθη ὅμως ἐν τῇ ἐν Καρθαγένῃ Συνόδῳ ὅτι οὐκ ἔστι τῆς ἐν Νικαίᾳ, ἀλλ' οὔτε πάσας τὰς Ἐκκλήτους τῶν Ἐπισκόπων ἀνατίθησιν αὐτῷ, ἀλλὰ τῶν ὑποκειμένων αὐτῷ, οἱ παπισταὶ λέγουσι πρὸς ταῦτα, πρῶτον, ὅτι ψεύδεται ὁ Ζωναρᾶς, ὁ γὰρ Κανὼν οὐ λέγει ὅτι ἤρεσεν ἵνα ὁ Ῥώμης ἔχῃ τὴν Ἔκκλητον, ἀλλ' ἤρεσεν ἵνα εἴτις Ἐπίσκοπος καθαιρεθεὶς ἐκκαλέσηται καὶ καταφύγῃ ἐπὶ τὸν μακαριώτατον Ῥώμης Ἐπίσκοπον, εἰ φανῇ τῷ Πάπᾳ, δοθείη διόρθωσις ἢ ἐξέτασις τοῦ πράγματος τοῖς Ἐπισκόποις τῆς Ἐπαρχίας καὶ πάλιν εἰ θέλῃ ὁ καταφυγὼν πρὸς τὸν Πάπαν ἐξετασθῆναι ἐκ δευτέρου τὸ πρᾶγμα, καὶ παρακαλεῖ ἵνα ὁ Πάπας στείλλῃ εἰ οὕτω φανῇ πρεσβυτέρους ἀπὸ τῶν ἰδίων, οἵτινες ἐξουσίαν τοῦ Ἐπισκόπου Ῥώμης ἔχοντες, κρίνουσι μετὰ τῶν Ἐπισκόπων τῆς Ἐπαρχίας. εἰ δὲ κρίνῃ ὁ Πάπας, μὴ εἶναι ἐκ δευτέρου ἀναγκαῖον τὸ πρᾶγμα κριθῆναι, ἵνα γένηται ὅπερ ἂν δόξῃ τῇ ἐκείνου φρονήσει. ὁ ταῦτα λέγων οὐκ ἐξουσίαν δίδωσι τῷ Πάπᾳ ἔχειν τὴν Ἔκκλητον, ἀλλὰ ἐχομένην καὶ εἰθισμένην γίνεσθαι κανονίζει. δεύτερον, ὅτι ἡ κατὰ Φωτίου Σύνοδος λέγει εὕρηται τοίνυν ἡ ἐν Καρθαγένῃ Σύνοδος πειθαρχήσασα μᾶλλον τῇ κρίσει Ζωσίμου, πράξει ἕκτῃ. τρίτον, ὅτι κατὰ πᾶσαν ἀνάγκην ἀληθές ἐστι τὸν Κανόνα τῆς Ἐκκλήτου τοῦ Πάπα πρῶτον ὑπὸ τῆς ἐν Νικαίᾳ Συνόδου γεγράφθαι, μετὰ δὲ ταῦτα ἀνανεωθῆναι καὶ βεβαιωθῆναι ὑπὸ τῆς ἐν Σαρδικῇ. ταῦτα οἱ Λατῖνοι. ῥητέον ὅμως πρὸς μὲν τὸ πρῶτον, ὅτι καὶ ἐνταῦθα οὐκ ἀληθεύουσιν οἱ φίλοι Λατῖνοι, ἐῶσι γὰρ τὸν τρίτον Κανόνα τῆς Συνόδου τὸν παρέχοντα τὴν Ἔκκλητον καθαρῶς, καὶ γράφουσι τὸν πέμπτον. λέγει γοῦν ὁ τρίτος, εἰ δὲ ἄρα τις Ἐπισκόπων ἐν τινι πράγματι δόξῃ κατακρίνεσθαι, καὶ ὑπολαμβάνει ἑαυτὸν μὴ σαθρὸν ἀλλὰ καλὸν ἔχειν τὸ πρᾶγμα, ἵνα καὶ αὖθις ἡ κρίσις ἀνανεωθῇ, εἰ δοκεῖ ὑμῶν τῇ ἀγάπῃ, Πέτρου τοῦ Ἀποστόλου τὴν

μνήμην

μνήμην τιμήσωμεν, καὶ γραφῆναι Ἰουλίῳ Ἐπισκόπῳ Ῥώμης, καὶ τὰ ἑξῆς. ἰδοὺ λοιπὸν ὁ Κανὼν λίαν φανερῶς καὶ καθαρῶς δείκνυσιν ὅτι οὐκ ἀνανεοῖ οὔτε βεβαιοῖ Ἔκκλητον τῷ Πάπα ἐχομένην καὶ συνειθισμένην, ἀλλὰ μὴ ἔχοντι αὐτὴν ὅλως αὕτη ἡ Σύνοδος παρέχει πρώτη καὶ μόνη, καὶ πρόσχες, εἰ δοκεῖ φησὶ, Πέτρου τοῦ Ἀποστόλου τὴν μνήμην τιμήσωμεν. καὶ ἐν τῷ τετάρτῳ Κανόνι λέγει ὁ Γαυδέντιος τῷ Ὁσίῳ, εἰ δοκεῖ ἀναγκαῖον, προστεθῆναι ταύτῃ τῇ ἀποφάσει, ἥντινα ἀγάπης εἰλικρινοῦς πλήρη ἐξενήνοχας. ἰδοὺ ὁ Γαυδέντιος δύο λέγει, πρῶτον, ὅτι ἵνα προστεθῇ τῇ ἀποφάσει ταύτῃ, καὶ οὐχ ἵνα ἀνανεωθῇ τὶ, ἀπόφασιν λέγει καὶ οὐχὶ ἀνανέωσιν, πρόσθεσιν λέγει καὶ οὐχὶ βεβαίωσιν, καινὰ καὶ πρόσφατα καὶ ἡ ἀπόφασις καὶ ἡ πρόσθεσις καὶ οὐχὶ ἐχόμενα καὶ συνειθισμένα. δεύτερον, λέγει ὅτι ἡ ἀπόφασις προήχθη ἐξ ἀγάπης, τουτέστι πρὸς χάριν τοῦ Ῥώμης ἐξέθετο τὸν Κανόνα ὁ Ὅσιος, ὥστε ὁ Ὅσιος καὶ Γαυδέντιος ἐκ νέου εἶπον τοὺς Κανόνας, καὶ οὐκ ἦσαν ἀπ' ἀρχῆς. ὁ δὲ πέμπτος Κανὼν ὑπεξήγησίς ἐστι τοῦ τρίτου καὶ τοῦ τετάρτου, διὸ εἰς τὸν τρίτον καὶ τέταρτον τοὺς Κανόνας οὐδὲν ἀπεκρίθη ἡ Σύνοδος, ἐν δὲ τῷ πέμπτῳ ἀπεκρίθησαν οἱ Ἐπίσκοποι, τὰ λαληθέντα ἀρέσκει. πρὸς δὲ τὸ δεύτερον λέγομεν, ὅτι εἰ καὶ ἡ κατὰ Φωτίου Σύνοδος τερατώδης οὖσα, καὶ ὡς ἐπιτοπλεῖον ψευδὴς, ὡς ὁ ἴδιος αὐτῆς τόπος δηλώσει, οὐθαυμαστὸν ὅμως ἵνα εἴπῃ καὶ περὶ τῆς ἐν Καρθαγένῃ καὶ τοῦ Ζωσίμου ψευδῆ, καὶ γὰρ ὅτι ὁ Ζώσιμος ἔγραψεν εἰς τὴν Ἀφρικὴν, εἴρηται ἀνωτέρω, πρὸς ὃν κοιμηθέντα οὐκ ἔφθασεν ἡ Σύνοδος γράψαι ἱκανῶς, οὔτε τὸν Ἀπιάριον ἐδικαίωσε. τὶ δὲ ἀπετελέσθη; ἰδὲ κατωτέρω βιβλίου τρίτου κεφάλαιον δέκατον τρίτον. ὥστε προδήλως ἐψεύσθη ἡ κατὰ Φωτίου Σύνοδος, ἥτις ἐν τῇ αὐτῇ πράξει εἶπεν ἀπολογησαμένης τῆς (ἐν Ἀφρικῇ) Σύνοδου πρὸς Βονιφάτιον μὴ ἐν Σικένσῃ, ἀλλ' ἐν ἄλλαις Ἐκκλησίαις ἱερουργεῖν (τὸν Ἀπιάριον) ὥστε καὶ ἡ ἐν Ἀφρικῇ Σύνοδος τῷ Ζωσίμῳ ἐπειθάρχησεν, ἀλλὰ καὶ τοῦτο ψευδῶς εἶπεν, ἡ γὰρ Σύνοδος πρὸς τὸν Βονιφάτιον Πάπαν γράφουσα, οὐ λέγει ὅτι ἔκριον οἱ Λεγᾶτοι τοῦ Ῥώμης, ἢ ὅτι ὅλως ἐκρίθη ὁ Ἀπιάριος, ἀλλ' ὅτι συγγνώμην αἰτήσας, τῇ κοινωνίᾳ ἀποκατέστη. καὶ περὶ αὐτοῦ ὁ Ἐπίσκοπος Σίκης ὅσον ἦν διορθῶσαι διωρθώσατο, καὶ διὰ τὰ ἐνδεχόμενα ἵνα μὴ γένηται κοινὸν παράδειγμα ἡ πρὸς τὸν τοιοῦτον διόρθωσις, ἤρεσεν ἡμῖν ἵνα μὴ ἐν Σίκῃ, ἀλλὰ ἀλλαχοῦ τὰ τοῦ πρεσβυτερίου αὐτὸν ἐνεργεῖν. καὶ σημείωσαι πρῶτον, ὅτι ὁ Σίκης Ἐπίσκοπος διώρθωσε, δηλονότι τὸν Πρεσβύτερον τῆς ἐνορίας αὐτοῦ. δεύτερον, ὅτι οἱ Πατέρες διὰ τὰ ἐνδεχόμενα ᾠκονόμησαν, οὐ διὰ τὸν Ῥώμης, ἢ τὸν λόγον αὐτοῦ. καὶ τρίτον, ὅτι διαιροῦντες τὸ παρὰ τοῦ Ζωσίμου πεμφθὲν κομμονιτώριον ὅλοις ἰστίοις φερόμενοι κατ' αὐτοῦ ἀναιροῦσι τὴν Ἔκκλητον τοῦ Ῥώμης κατακράτος, ὥστε ἡ Σύνοδος οὐκ ἐπειθάρχησε τῷ Ζωσίμῳ, ἀλλὰ παράνομα διόλου τοὺς Ἐπισκόπους Ῥώμης ζητοῦντας ἀπέδειξε. πρὸς δὲ τὸ τρίτον, εἴρηται καὶ πάλιν ῥητέον ὅτι τοῦτο τὸ προσρημάτιον ὅπερ καλοῦσιν οἱ Λατῖνοι Κανόνα Ἐκκλήτου οὐ δύναται κατ' οὐδένα τρόπον ὑπόστασιν λαβεῖν ποτὲ, καὶ ἰδὲ τὰ περὶ τούτου καὶ ἐν τοῖς περὶ τῆς ἐν Καρθαγένῃ Συνόδου ἐν τῷ ἰδίῳ τόπῳ. εἶτα ἄλλως ἐκτιθέασιν αὐτὸν οἱ τὴν ἐπιστολὴν Ἰουλίου εἰς σύστασιν αὐτοῦ προβάλλοντες, ἄλλως ὁ Πλάτινας, ἄλλως ἔγραψεν αὐτὸν ὁ Πάπας Φίληξ κατὰ Ἀκακίου Κωνσταντινουπόλεως, καὶ ἄλλως εἶπον αὐτὸν οἱ Λεγᾶτοι τοῦ Πάπα ἐν τῇ τετάρτῃ Συνόδῳ ἀπαρεσκόμενοι εἰς τὸ ἀξίωμα τοῦ Κωνσταντινουπόλεως, καὶ ἰδὲ τοὺς τόπους. καὶ ἐπὶ τούτοις ὁ Βίνιος ἐν ταῖς σημειώσεσι ταῖς εἰς τοὺς Κανόνας τῆς ἐν Νικαίᾳ Συνόδου λέγει ὅτι οἱ τοιοῦτοι Κανόνες τῆς ἐν Νικαίᾳ Συνόδου οὓς ἀναφέρουσι πρὸς τὴν ἐν Ἀφρικῇ Σύνοδον οἱ Πάπαι Ζώσιμος καὶ Κελεστῖνος οὐχεύρισκονται, καθότι ὑπὸ τῶν Αἱρετικῶν διεφθάρησαν. τέως ὁ Βαρθολομαῖος Καραγγιᾶς ἐν τῇ ἐκθέσει αὐτοῦ περὶ τῶν Συνόδων ἥτις ἐτυπώθη ἐν ἔτει χιλιοστῷ πεντακοσιοστῷ ὀγδοηκοστῷ ἕκτῳ, ᾧ συνᾴδει καὶ Ὀφρὰ Αἰγίδιος ἐν οἷς γράφει κατὰ Ναθαναὴλ τοῦ Χύκα οὐλέγουσιν ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος ἐξέθετο Κανόνα Ἐκκλήτου τοῦ Πάπα, ἀλλ' ὅτι τὸ προοίμιον τῆς μεγάλης Συνόδου τῆς ἐν Νικαίᾳ λέγει, ἡ Ἐκκλησία τῆς Ῥώμης οὐδιά τινα Νόμον Συνόδου ἐστὶν ὑπεράνω τῶν Ἐκκλησιῶν, ἀλλὰ διὰ τὴν φωνὴν τοῦ Χριστοῦ τὴν, σὺ εἶ Πέτρος, καὶ τὰ ἑξῆς. ἀλλ' ὦ τοὺς Ἰουδαίους μιμούμενοι παπισταὶ, ὡς γὰρ ἐκεῖνοι διὰ ἀπάτην τῶν ἀθλίων Ἰουδαίων ἵνα μὴ πιστεύσωσιν εἰς τὸν Χριστὸν, πολλὰ ψευδῆ ἔγραψαν βιβλία, οὕτως ὑμεῖς πρὸς ἀπάτην τῶν ὑποκειμένων ὑμῖν μυθοπλαστεῖτε Κανόνας ἵνα πιστεύσωσι κατὰ Χριστὸν καὶ εἰς τὸν Πάπαν. ποῦ κεῖται τὰ πρακτικὰ τῆς ἐν Νικαίᾳ Συνόδου ἀφ' ὧν τοῦ προοιμίου ἔχετε ὑμεῖς τὸ εἰρημένον λογίδριον; οὓς καὶ Ἰούλιος καταστρέφει ἔθος καὶ μὴ Κανόνα εἰπὼν συμφώνως τῷ μεγάλῳ Κυρίλλῳ ὡς εἴρηται ἀνωτέρω. ταῦτα ὡς ἐν παρόδῳ κατὰ τὴν ὑπόσχεσιν καὶ πρὸς τὴν ἐπιστολὴν Ἰουλίου, καὶ πρὸς τὰ παρ' αὐτῆς τῆς ἐπιστολῆς ἐπιχειρήματα τῶν Λατίνων κατὰ τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς Ἐκκλησίας.

Κεφά

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῆς ἐν Σαρδικῇ Συνόδου, καὶ ὅτι προτιμοτέρα αὕτη τοῦ Πάπα Ῥώμης.

Ἐπειδὴ οἱ ἀδελφοὶ Ῥωμᾶνοι διὰ τοῦ Ἀρκουδίου ἐν ᾧ γράφει πρὸς Βαρλαὰμ ὑπὲρ τοῦ καθαρτηρίου πυρὸς λέγουσιν ὅτι ὁ Ἰούλιος παλιλλογεῖ, οὐ μέμψονται ἴσως καὶ ἡμᾶς παλιλλογοῦντας, ὅθεν πάλιν λέγομεν περὶ τῆς ἐν Σαρδικῇ Συνόδου, ὅτι ἐπειδὴ οἱ Ἀρειανοὶ ἐκράτησαν τῶν Ἐκκλησιῶν Κωνσταντινουπόλεως, Ἀντιοχείας καὶ Ἀλεξανδρείας, καὶ συνέβησαν τὰ εἰρημένα ἐν τῷ ἀνωτέρῳ προσεχεῖ κεφαλαίῳ, καὶ τέλος πάντων οὐκ ἴσχυσε παντελῶς οὔθ' ὁ Ἰούλιος οὔθ' ἡ ἐν Ῥώμῃ Σύνοδος, ἀλλ' ὥς φησιν ὁ μέγας Ἀθανάσιος ἐν τῇ δευτέρᾳ αὐτοῦ ἀπολογίᾳ οἱ περὶ Εὐσέβιον τὰς Ἐκκλησίας πάλιν ἐτάραττον καὶ πολλοῖς ἐπεβούλευον, μαθόντες οἱ θεοσεβέστατοι Βασιλεῖς Κωνσταντίος καὶ Κώνστας, ἐκέλευσαν τούστε ἀπὸ τῆς Δύσεως καὶ τῆς Ἀνατολῆς Ἐπισκόπους εἰς Σαρδικὴν πόλιν Ἰλλυρικὴν Σύνοδον συγκροτῆσαι ἐν ἔτει τριακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ. καὶ δὴ ἀπὸ μὲν Δύσεως ἤλθοσαν εἰς τὴν εἰρημένην χώραν ὄντες τὸν ἀριθμὸν κατὰ τὸν Σωκράτην βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ, καὶ τὸν Ἑρμείαν βιβλίῳ τρίτῳ, κεφαλαίῳ δωδεκάτῳ τριακόσιοι, ἐν οἷς καὶ Ὅσιος καὶ Ἀρχίδαμος καὶ Φιλόξενος πρεσβύτεροι Τοποτηρηταὶ Ἰουλίου καὶ ὁ Ἱεροσολύμων Μάξιμος, οἱ δὲ Ἀνατολικοὶ ὄντες καὶ αὐτοὶ τὸν ἀριθμὸν ἑβδομηκοντα ἐξ (ἄλλοι δὲ τοὺς ἐν Φιλιππουπόλει τριακοντα ἐξ φασὶν καὶ ἄλλοι ἄλλως) ἀπερχόμενοι εἰς Σαρδικὴν, ἔγραψαν ἀπὸ Φιλιππουπόλεως τοῖς Δυτικοῖς μὴ εἶναι συγκαθέδρους ἐν τῇ Συνόδῳ τὸν Ἀθανάσιον, τὸν Παῦλον, τὸν Ἀσκληπᾶν καὶ τὸν Μαρκέλλον ὡς καθῃρημένους. οἱ δὲ Δυτικοὶ ἀντέγραφον αὐτοῖς ὅτι οὐγινώσκουσιν αὐτοὺς πταίστας, οὔτε καθῃρημένους, καὶ διατοῦτο ἔχουσιν αὐτοὺς καὶ συγκαθέδρους καὶ κοινωνούς. ἐπιστρέφουσι λοιπὸν οἱ Ἀνατολικοὶ εἰς Φιλιππούπολιν, καὶ καθαιροῦσι πάλιν Ἀθανάσιον, Παῦλον, Ἀσκληπᾶν καὶ Μαρκέλλον καὶ πρὸς τούτοις Ἰούλιον Ῥώμης, Ὅσιον Κουδρούβης, Πωτογένη Σαρδικῆς καὶ ἄλλους. οἱ δὲ ἐν Σαρδικῇ πατέρες τὴν μὲν καθαίρεσιν Ἰουλίου καὶ Ὁσίου εἰς οὐδὲν ἐλογίσαντο, δικαιοῦσι δὲ τοὺς εἰρημένους τέσσαρας καὶ ἄλλους ἀδίκως καθῃρημένους, καθαιροῦσι δὲ τὸν Γρηγόριον Ἀλεξανδρείας, Βασίλειον Σελευκείας, Κυνδιανὸν Γάζης, καὶ μηδὲ Χριστιανοὺς εἶναι ἀπέφηναν, εἶτα ἐκάθηραν καὶ Θεόδωρον Ἡρακλείας, Νάρκισσον Εἰρηνουπόλεως, Ἀκάκιον Καισαρείας, Μηνόφαντον Ἐφέσου, Οὐρσάκιον Σιγγιδόνος ἄνω Μυσίας, Οὐάλεντα Μυρσῶν ἄνω Παννονίας, Γεώργιον Λαοδικείας καὶ ἄλλους τῆς αὐτῶν συμμορίας. περὶ δὲ πίστεως οἱ μὲν ἐν Φιλιππουπόλει ὅμοιοι ἦσαν ἑαυτοῖς καθότι τοῦ Ὁμοουσίου οὐκ ἐμνήσθησαν, μόνον ἀνεθεμάτισαν πάντα τὸν λέγοντα εἶναι τρεῖς Θεοὺς, καὶ τὸν λέγοντα μὴ εἶναι Θεὸν τὸν Χριστὸν, καὶ τὸν λέγοντα τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, καὶ τὸν λέγοντα εἰ ἀγέννητος ὁ Υἱὸς, καὶ εἰ ἦν ποτε χρόνος ἢ αἰὼν ὅτε οὐκ ἦν. οἱ δὲ ἐν Σαρδικῇ ἐβεβαίωσαν τὴν ἐν Νικαίᾳ πίστιν, μηδὲν προστιθέντες ἢ ἀφαιρήσαντες. συνήργησαν δὲ καὶ διὰ τῶν Βασιλέων λαμβάνουσι τοὺς θρόνους αὐτῶν οἱ προειρημένοι τέσσαρες ἐν οἷς καὶ ὁ ἅγιος Ἀθανάσιος. ὅθεν γράφουσα ἡ ἐν Ἱεροσολύμοις Σύνοδος εἰς Ἀλεξάνδρειαν εἶπεν ὅτι οἱ Βασιλεῖς (τὸν Ἀθανάσιον) ἀποκαταστῆσαι ἡμῖν μετὰ πάσης τιμῆς κατηξίωσαν. ἔγραψε δὲ καὶ ὁ Ῥώμης Ἰούλιος εἰς τοὺς Ἀλεξανδρεῖς διὰ τὸν ἅγιον, περὶ οὗ λέγει ἐν τῇ ἐπιστολῇ ὅτι ἀποδίδοται ὑμῖν ἀθῷος οὐ παρ' ἡμῶν μόνον ἀλλὰ καὶ παρὰ πάσης τῆς Συνόδου ἀποδειχθείς. δῆλον δὲ καὶ διὰ τούτου ὅτι προτιμοτέρα ἡ σύνοδος τοῦ Ἰουλίου καὶ ἀπὸ τῆς μαρτυρίας ταύτης, καὶ διότι ἐν τῇ Συνόδῳ ταύτῃ ἤτοι τῇ ἐν Σαρδικῇ ἐκρίθη καὶ ἀνεκρίθη καὶ ἐβεβαιώθη ἡ τοῦ Ἰουλίου καὶ τῆς Συνόδου αὐτοῦ ἀπόφασις.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ ὅτι οἱ Βασιλεῖς ἀγείρουσι τὰς Οἰκουμενικὰς Συνόδους, καὶ μῦθος ἐστὶ τὸ τὸν Ῥώμης αὐτὰς ἀθροίζειν.

Ῥητέον πάλιν ὅτι ὁ ἅγιος Ἀθανάσιος ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ φησὶν, ὡς ὁ Κωνσταντίος καὶ Κώνστας οἱ θεοφιλέστατοι Βασιλεῖς ἐκέλευσαν συνελθεῖν τοὺς Ἐπισκόπους Ἀνατολῆς καὶ Δύσεως εἰς τὴν πόλιν Σαρδώ. καὶ αὐτὴ δὲ ἡ Σύνοδος ἐν τῇ εἰς τοὺς ἁπανταχοῦ Ἐπισκόπους αὐτῆς ἐπιστολῇ λέγει, τοιγαροῦν τῆς χάριτος τοῦ Θεοῦ συνεργούσης, καὶ αὐτοὶ οἱ εὐσεβέστατοι Βασιλεῖς συνήγαγον ἡμᾶς ἐκ διαφόρων Ἐπαρχιῶν καὶ πόλεων, καὶ τὴν ἁγίαν ταύτην Σύνοδον ἐν τῇ σαρδοῖ πόλει γενέσθαι δεδώκασιν, ἵνα δηλονότι ἀθῳώσῃ Ἀθανάσιον καὶ κατακρίνῃ τοὺς περὶ Εὐσέβιον βεβαιοῦσα τὴν ἐν Ῥώμῃ σύνοδον ὡς Ἀθανάσιος ἀπολογίᾳ δευτέρα. γνῶθι οὖν καὶ ἐκ τούτων ὅτι οἱ Αὐτοκράτορες ἀγείρουσι τὰς Οἰκουμενικὰς Συνόδους, καὶ μῦθος λοιπὸν προφανής ἐστι τὸ λεξείδιον ὅτι ὁ Πάπας τῆς Ῥώμης ἀθροίζει αὐτάς.

ΠΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἐπιχειρήματα παπιστῶν ἀπό τινων τῆς ἐν Σαρδικῇ Κανόνων περὶ Ἐκκλήτου τοῦ Ῥώμης, καὶ ἀπόδειξις ἐκ τῶν ἐξηγητῶν αὐτῶν ὅτι εἰσὶν οἱ Κανόνες περὶ τῶν ἐπιβαλλόντων τῇ ἐνορίᾳ τοῦ Ῥώμης, καὶ παντελὴς ἀναίρεσις διὰ πολλῶν ἀληθεστάτων μαρτυριῶν τῆς ἐν τῇ καθόλου Ἐκκλησίᾳ Ἐκκλήτου τοῦ ῥώμης.

Ἐπιχειροῦσι δὲ καὶ ἀπ' αὐτῆς τῆς ἐν Σαρδικῇ Συνόδου οἱ τοῦ παπισμοῦ ὑπερασπισταὶ εἰς τὴν καθόλου Ἐκκλησίαν δοῦναι τὴν Ἔκκλητον τῷ Ῥώμης, καθότι ὁ τρίτος, τέταρτος καὶ πέμπτος οἱ Κανόνες αὐτῆς παρέχουσιν αὐτῷ ταύτην, ὅστις δὲ τὴν ἀπόφασιν τῆς τοιαύτης Συνόδου ἀθετεῖ, ἐστίφασιν ὑπὸ κατάραν, Οἰκουμενικὴ γὰρ ἦν. ταῦτα Λατῖνοι. Ἀλλ' εἰ καὶ εἴπομεν περὶ τούτων ἀνωτέρω, πάλιν ὅμως ῥητέον ὅτι ἡ Σύνοδος τοὺς Κανόνας ἐξήνεγκε καθὼς ἑρμηνεύουσιν οἱ ἐξηγηταὶ τῶν Κανόνων περὶ τῶν ἐπιβαλλόντων τῇ ἐνορίᾳ τῆς Ῥώμης, καὶ ἐστὶν ὁ σκοπὸς τῶν Κανόνων ἰδικὸν προνόμιον τοῦ Πάπα, πλὴν ἐν τῇ Ἐπαρχίᾳ αὐτοῦ. εἰ δὲ καὶ οὐδιώρισε τὸ ἰδικὸν προνόμιον εἶναι μόνον εἰς τὴν Ἐπαρχίαν αὐτοῦ, ἀλλὰ καὶ ἡ ἐν Χαλκηδόνι ὁμιλοῦσα περὶ τοῦ Κωνσταντινουπόλεως εἰς τὸν ἔνατον καὶ δέκατον ἕβδομον τοὺς Κανόνας αὐτῆς ἵνα ἔχῃ τὴν Ἔκκλητον τῶν ὑπ' αὐτὸν Ἐπισκόπων, οὐδιώρισεν εἰπεῖν περὶ μόνων τῶν ὑπ' αὐτὸν Ἐπισκόπων, ἀλλὰ ἀφῆκε τοῦτο ἐννοεῖσθαι. εἰ δὲ καί τινες τῶν ἐξηγητῶν εἶπον ὅτι δέδοται διὰ τούτων τῶν Κανόνων τῷ Πάπᾳ ἡ καθόλου Ἔκκλητος, καὶ ἐπειδὴ ἔχει ὁ Κωνσταντινουπόλεως τὰ ἴσα τῷ Ῥώμης, ἔχει καὶ τὴν τοιαύτην Ἔκκλητον, κακῶς εἶπον. Γραικολατῖνοι γὰρ ὄντες ἕνεκεν δολιότητος ἑκουσίως ἐψεύσθησαν, ὁ γὰρ Κωνσταντινουπόλεως ἔχει τὰ ἴσα κατὰ τὸ Πατριαρχικὸν ἀξίωμα μόνον, ἐπειδὴ οὐκ ἔστιν ἄλλη τις μείζων ἐξουσία τοῦ Πατριαρχικοῦ ἀξιώματος. δεύτερον, εἰ δὲ λέγοιεν ὅτι Οἰκουμενική ἐστι καὶ τὴν καθόλου Ἔκκλητον τῷ Πάπα παρέχει, τοῦτο λίαν ἀσθενές ἐστιν εἰς σύστασιν τοῦ παπισμοῦ, καθότι ὁ Γαυδέντιος καὶ Ὅσιος οἱ τοὺς Κανόνας προσφωνήσαντες τῇ Συνόδῳ ἦσαν Τοποτηρηταὶ τοῦ Ῥώμης, καὶ πάντες οἱ διαλαλήσαντες ἐν ταύτῃ τῇ Συνόδῳ ἦσαν ἐκ τῶν ὑποκειμένων καὶ τῶν χαριζομένων τῷ Ῥώμης, καὶ ἐλάλουν ὑπέρογκα περὶ τῶν ἰδίων, ὑπὸ φιλοτιμίας ἀκαίρου ἀπατηθέντες, οὐδεὶς δὲ πλὴν τοῦ Θεοῦ αὐτῷ περιάπτει τιμὴν, ἀλλ' ἐκείνην ἔχει ἕκαστος ἦν τινα οἱ δυνάμενοι δοῦναι παρέχουσιν ὡς ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ διδάσκει, ἀλλὰ δὴ λέγει καὶ ἡ Αὐτοαλήθεια, τὸ καλὸν οὐκ ἔστι καλὸν, ἐὰν μὴ καλῶς γένηται. ἀλλαμὴν ἡ τοῦ Πάπα καθόλου Ἔκκλητος πρὸς ἀτιμίαν γίνεται τοῦ Θεοῦ, καθότι ὑποτιθεμένη ἄνθρωπόν τινα ἀναμάρτητον ὡς καὶ τὸν Χριστὸν, θεοποιεῖ αὐτὸν, δῆλον δὲ ὅτι ἡ πολυθεΐα ἀθεΐα ἐστὶν, ὅθεν καὶ εἰς καταστροφὴν ἀποβλέπει τῆς ἐκκλησιαστικῆς καταστάσεως, ἄρα κακὴ καὶ κακίας ἀρχὴ καὶ ῥίζα ὡς ἔδειξεν ἡ πεῖρα, οὐδὲ μία γὰρ ἀποστασία ἐτάραξε τὴν Οἰκουμένην καὶ ταράττει ὡς ὁ ἐπάρατος παπισμός. τρίτον, ὅτι ὁ ταῦτα λέγων Ὅσιος ὑπέγραψεν εἰς τὸν Ἀρειανισμὸν εἰς τὸ Σίρμιον, καὶ εἰ καὶ ἐβιάσθη, ὅμως ὑπέγραψε καὶ ἐβεβαίωσε τὴν κατὰ τῆς ἀϊδίου ὑπαρξέως τοῦ Σωτῆρος βλασφημίαν. ὡς οὖν ἥμαρτε βεβαιώσας τὸν Ἀρειανισμὸν, οὕτως ἥμαρτεν ὑπὸ φιλοτιμίας ἀκαίρου καὶ παραλόγου ἀντικείμενόν τι διορίσας τῷ ἐκκλησιαστικῷ δικαίῳ, ὅθεν καὶ οὐδέποτε ἴσχυσεν ἡ ἀπόφασις αὐτοῦ. τέταρτον, ὅτι ἡ Σύνοδος αὕτη καταστρέφει τὸν παπισμὸν οὐσυνίστησι, καὶ γὰρ εἰς τὴν ἐπιστολὴν αὐτῆς τοῖς ἁπανταχοῦ λέγει ὅτι ὁ Ὅσιος διὰ τοὺς καμάτους καὶ τὸ γῆρας ἐτιμᾶτο καὶ οὐ διὰ τὸν Πάπαν δηλονότι, λέγει γὰρ ῥητῶς, πάντων ἡμῶν συνελθόντων Ἐπισκόπων καὶ μάλιστα τοῦ εὐγηροτάτου Ὁσίου τοῦ διὰ τὸν χρόνον καὶ τὴν ὁμολογίαν καὶ διὰ τὸ τοσοῦτον κάματον ὑπομεμενηκέναι πάσης αἰδοῦς ἀξίου τυγχάνοντος, ἀναμενόντων αὐτοὺς (τοὺς Ἀρειανόφρονας) καὶ προτρεπομένων εἰσελθεῖν εἰς τὴν κρίσιν. φανερὸν δ' ἐκ τούτων ὅτι προτιμᾶται ὁ Ὅσιος τοῦ Ῥώμης, ὅθεν καὶ πρῶτος ὑπογράφει ἐν τῇ Συνόδῳ τοῦ Ῥώμης, ἦν γὰρ τότε παντὶ ἀνθρώπῳ ἄγνωστος ἡ νῦν μοναρχία τοῦ Ῥώμης. πέμπτον, ἡ αὐτὴ Σύνοδος εἰς τὴν πρὸς τοὺς Ἀλεξανδρεῖς αὐτῆς ἐπιστολὴν φησὶν ἀπολογουμένη περὶ τοῦ Πάπα Ἰουλίου ταῦτα, ἐκ δὲ τούτου φανερὰ καὶ δικαία καθέστηκεν ἡ κρίσις τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν Ἰουλίου, οὐ γὰρ ἀσκεπτὶ βεβούλευται, καὶ οἱ ἁπανταχοῦ πρῶτοι Ἐπίσκοποι τὴν κοινωνίαν Ἀθανασίου ἐβεβαίωσαν διὰ τὴν καθαρότητα αὐτοῦ. ἄθρει οὖν πῶς ἡ Σύνοδος κρίνει τὸν Πάπαν, καὶ πῶς οἱ Ἐπίσκοποι μᾶλλον βεβαιοῦσι τὸν Πάπαν, καὶ ὅτι πολλοὶ οἱ πρῶτοι Ἐπίσκοποι ἐξῶν εἷς ἐστι καὶ ὁ Ῥώμης, καὶ γὰρ οὐ λέγει τινὰ πρῶτον τῶν πρώτων, καὶ λοιπὸν αὐτὸς οὐχ ὑπερέχει τοῦ κοινοῦ τῶν Ἐπισκόπων, ἀλλὰ τὸ ἀνάπαλιν ὡς δέδεικται καὶ ἀνωτέρω. ὅθεν καὶ ἐν τῇ αὐτῇ ἐπιστολῇ ἡ Σύνοδος λέγει, ὑπομιμνήσκομεν ὑμᾶς πρὸ πάντων τὴν ὀρθὴν πίστιν τῆς καθολικῆς Ἐκκλησίας κατέχειν. Καὶ, πολλὰς ὕβρεις καὶ ἀδικίας ὑπέμεινεν ἡ καθολικὴ Ἐκκλησία. Καὶ, ἀπεστείλαμεν ὑμῖν ἵνα καὶ ἡ ὑμετέρα θεοσέβεια σύμψηφος τοῖς παρ' ἡμῖν ὁρισθεῖσι γένηται, καὶ γινώσκητε ὅτι ἡ καθολικὴ Ἐκκλησία οὐ παρορᾷ τοὺς εἰς αὐτὴν πλημμελοῦντας. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ἡ καθολικὴ Ἐκκλησία ἐστὶν ἡ κοινότης, ὥστε ἡ Ῥώμη οὐκ ἔστιν ἡ καθολικὴ Ἐκκλησία, ἀλλὰ μερικὴ, καὶ ὁ Πάπας αὐτῆς ἐλάττων

τῆς

τῆς Συνόδου ὡς καὶ πᾶς Ἐπίσκοπος. δεύτερον, ὅτι ἡ Σύνοδος ἐν τῇ Ἐκκλησίᾳ κρίνει καὶ ἀνακρίνει καὶ κατακρίνει, οὐχ ὁ Ῥώμης, ἢ ἄλλος τις Ἐπίσκοπος μόνος καὶ χωρὶς τῆς κοινότητος. τοῦτο βεβαιοῦται καὶ ἐκ τῆς δευτέρας ἐπιστολῆς τῆς αὐτῆς Συνόδου ἐν ᾗ γράφουσα τοῖς ἁπανταχοῦ φησὶ, τοιγαροῦν τῆς χάριτος τοῦ Θεοῦ συνεργούσης, καὶ αὐτοὶ οἱ εὐσεβέστατοι Βασιλεῖς συνήγαγον ἡμᾶς ἐκ διαφόρων Ἐπαρχιῶν καὶ πόλεων, καὶ τὴν ἁγίαν ταύτην Σύνοδον ἐν τῇ σαρδοῖ πόλει γενέσθαι δεδώκασιν ἵνα πᾶσα μὲν διχόνοια περιαιρεθῇ, πάσης δὲ κακοπιστίας ἐξελαθείσης ἡ εἰς Χριστὸν εὐσέβεια μόνη παρὰ πάντων φυλάττηται. καὶ λοιπὸν σημείωσαι ὅτι μηδὲν ἰσχύσαντος Ἰουλίου καὶ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας καὶ τῆς Συνόδου αὐτοῦ συνήχθη οὐ παρὰ τοῦ Πάπα, ἀλλὰ παρὰ τῶν Βασιλέων ἡ ἐν σαρδικῇ. καὶ ὅτι ἡ Σύνοδος τὸ ἔσχατον κριτήριον ἐν τῇ Ἐκκλησίᾳ οὖσα ἀναιρεῖ τὴν διχόνοιαν τῶν ὁμοπίστων, καὶ βεβαιοῖ τὴν ὀρθοδοξίαν. σημείωσαι ἔτι λέγουσαν τὴν Σύνοδον ἐν τῇ αὐτῇ ἐπιστολῇ τοῖς ἁπανταχοῦ Ἐπισκόποις, προσδάσατε συνεπιψηφίσασθαι δι' ὑπογραφῆς ὑμετέρας ὑπὲρ τοῦ παρὰ πάντων τῶν ἁπανταχοῦ συλλειτουργῶν τὴν ὁμοφωνίαν διασώζεσθαι. καὶ γνῶθι καὶ ἐκ τούτων ὅτι ἐκ τῆς κοινότητος ἡ βεβαίωσις τῆς πίστεως καὶ τῆς ὁμοφωνίας αὐτῆς καὶ οὐκ ἐκ τοῦ Πάπα καὶ τῆς Ἐκκλησίας αὐτοῦ. ἕκτον, ὅτι εἰ καὶ ὁ Ἰούλιος Πάπας ὥς φησιν ὁ Λοῦπος ἐκήρυξεν αὐτὴν εἰς πάσας τὰς δυτικὰς καὶ βορείους Ἐπαρχίας ὥς τε τινὰ μὴ ἔχειν ἀμφιβολίαν τοῦ κύρους αὐτῆς, ἐγένοντο ὅμως πολλοὶ οἱ ἀντικείμενοι αὐτῇ, καὶ πρῶτον ὁ μέγας Βασίλειος ὡς ὑπὸ Μαρκέλλου ἀπατηθείσῃ. δεύτερον, ἡ ἐν Ἀφρικῇ ἐπὶ Αὐρηλίου Σύνοδος ἐν ᾗ παρῆν καὶ ὁ ἱερὸς Αὐγουστῖνος διὰ τὸ ἐκφωνῆσαι αὐτὴν Κανόνα Ἐκκλήτου τῷ Ῥώμης. τρίτον, ὁ ἁγιώτατος Φώτιος κρίνων καὶ καθαιρόσει ὑποβάλλων τὸν Πάπαν Νικόλαον καὶ ἁπλῶς τὴν ῥωμαϊκὴν Ἐκκλησίαν. τέταρτον, ὁ Αὐξήλιος Κληρικὸς Φράγγος ἐν τῷ βιβλίῳ περὶ χειροτονίας τοῦ Πάπα Φορμόσου, λέγει γὰρ τὸν δεύτερον αὐτῆς Κανόνα μὴ εἶναι ὀρθόδοξον, ἀλλὰ καθαρὸν, ἤτουν ναυατικόν. πέμπτον, ὁ ἱερὸς Αὐγουστῖνος ὡς εἴρηται καὶ ῥηθήσεται. ἕκτον, ἡ δευτέρα Οἰκουμενικὴ, ἐν μὲν τῷ πρώτῳ αὐτῆς Κανόνι ἀναθεματίζουσα συμφώνως τῷ μεγάλῳ Βασιλείῳ τὸν Μάρκελλον, ἐν δὲ τῷ δευτέρῳ παρέχουσα λαμπρῶς τὰς γενομένας ἀμφιβολίας ἐν ἑκάστῃ Ἐπαρχίᾳ διαλύεσθαι ἐν τῇ Συνόδῳ τῆς αὐτῆς Ἐπαρχίας, ἐξ οὗ διορισμοῦ οἱ περὶ Ἐκκλήτου Κανόνες τῆς Συνόδου ταύτης ἀφανίζονται, καὶ διατοῦτο ἡ δευτέρα Οἰκουμενικὴ μόνον ἐκεῖνο τὸ μὴ πεποιηκέναι προσθήκην εἰς τὴν πίστιν συνθέσθαι δηλονότι ἕτερον Σύμβολον, ἀλλ' ἠκολούθησε τῷ Συμβόλῳ τῆς ἐν Νικαίᾳ ἐδέχθη αὐτῆς, εἰποῦσα ὅτι δέχεται τὸν Τόμον τῶν Δυτικῶν, καὶ ἀλλοῦδέν. ἕβδομον, ὅτι καὶ αὐτοὶ οἱ Δυτικοὶ γινώσκοντες τὴν ἀδυναμίαν αὐτῆς καὶ τῶν Κανόνων αὐτῆς, καὶ θέλοντες συστῆσαι τῷ Ῥώμης τὴν Ἔκκλητον εἰς τὴν Σύνοδον τὴν ἐν Καρθαγένῃ τούτοις τοῖς Κανόσιν, εἶπον ὅτι εἰσὶ Κανόνες τῆς ἐν Νικαίᾳ ἁγίας καὶ Οἰκουμενικῆς Συνόδου, καὶ τὶ ἤκουσαν; ἰδὲ κατωτέρω κεφάλαιον δέκατον τρίτον τοῦ τρίτου βιβλίου. ὄγδοον, ὅτι καὶ οἱ Κανόνες οὗτοι μάλα γενναίως καθαιροῦσι τὸ παπικὸν ἀξίωμα, μαρτυροῦσι γὰρ ὅτι ὁ Γραδέντιος καὶ ὁ Ὅσιος οὐκ εἶπον τῇ Συνόδῳ ἵνα ἀνανεώσωμεν τὴν Ἔκκλητον τῷ Ῥώμης ὡς λέγει τὸ Εὐαγγέλιον, ὡς ἐχαρίσατο ὁ Χριστὸς τῷ Πέτρῳ, ἢ ὡς ἔχει ὁ Πάπας ἀπὸ τοῦ Πέτρου, ἀλλ' ἐδέοντο τῆς Συνόδου τότε δοῦναι τῷ Ῥώμης τὸ τριοῦτον προνόμιον, καθότι πρότερον αὐτὸ οὐκ εἶχεν, ὅθεν ἔλεγε Κανόνι τρίτῳ ὁ Ὅσιος, εἰ δοκεῖ ὑμῶν τῇ ἀγάπῃ, Πέτρου τοῦ Ἀποστόλου τὴν μνήμην τιμήσωμεν, τουτέστι δοῦναι αὐτῷ τὴν Ἔκκλητον, καὶ ἰδὲ τὸ προσεχὲς ἀνωτέρω κεφάλαιον. Ἀλλ' ἀνθυποφέρουσιν οἱ Λατῖνοι ὅτι τοὺς Κανόνας ἐβεβαίωσεν ἡ ἐν Τρούλλῳ Σύνοδος. Ἀλλὰ ῥητέον ὅτι ἐκύρωσεν ὅσους συμφωνοῦσι τῇ κοινῇ δόξῃ τῆς καθολικῆς Ἐκκλησίας, οὐμὴν καὶ τοὺς ἀπᾴδοντας, πῶς δὲ οὐκ εἶπεν αὐτοὺς ὀνομαστὶ, ῥητέον ὅτι καὶ ἄλλων Τοπικῶν Συνόδων ἃς ἐκείνη ἐδέξατο τινὰς Κανόνας ὄντας ἀπιβλήτους οὐκ ὠνόμασεν ἵνα μὴ ταυτολογῇ. ἰδὲ καὶ κατωτέρω τοῦ δεκάτου βιβλίου μέρους τρίτου κεφάλαιον ἑνδέκατον. ἕνατον, οἱ Κανόνες ἐννοούμενοι ὡς οἱ Λατῖνοι βούλονται εἰσὶ παράνομοι, ἀντίκεινται γὰρ τῷ τριακοστῷ τετάρτῳ καὶ τριακοστῷ ἑβδόμῳ τοῖς ἀποστολικοῖς Κανόσι, καὶ τῷ πέμπτῳ καὶ ἕκτῳ καὶ ἑβδόμῳ τῆς ἐν Νικαίᾳ Οἰκουμενικῆς, τῷ δευτέρῳ καὶ ἕκτῳ τῆς δευτέρας Οἰκουμενικῆς, καὶ τῷ περὶ Κυπρίων Κανόνι τῆς τρίτης Οἰκουμενικῆς, ναὶ δὴ καὶ τῷ ἑνάτῳ καὶ τῷ δεκάτῳ ἑβδόμῳ τῆς ἐν Χαλκηδόνι καὶ πάσῃ γραφῇ καὶ πάσῃ πράξει καὶ παραδόσει τῆς καθολικῆς Ἐκκλησίας καὶ ἰδὲ τοὺς τόπους. δέκατον, ὅτι ὁρίζουσιν ἐσφαλμένα, καθότι οἱ Πάπαι ὡς ἄνθρωποι εἰσὶ καὶ ὑποκείμενοι ἁμαρτίαις παντοίαις, καὶ ὅστις εἴποι ἁμαρτίαν οὐκ ἔχει. ψεύστης ἐστὶ κατὰ τὸν Ἐπιστήθιον εἰς τὴν ἐπιστολὴν; καὶ ἐστὶ καὶ ὑπὸ ἀναθέματι καὶ τὸν ἑκατοστὸν δέκατον πέμπτον Κανόνα τῆς ἐν Καρθαγένῃ Συνόδου. πῶς ἁμαρτάνοντες καὶ πλανώμενοι καὶ ἀπατώμενοι, δύνανται εἶναι μόνοι ἑτέρων κριταί; ἀκούουσι γὰρ, ἰατρὲ θεράπευσον σεαυτὸν. οἱ δὲ Πάπαι ἁμαρτωλοὶ, καὶ μάλιστα Αἱρετικοὶ πολλοὶ, καί γε καὶ ἀσεβεῖς, ἰδὲ ἐνταῦθα ἐν πολλοῖς. δωδέκατον, ὅτι οἱ Κανόνες οὗτοι ἐννοούμενοι περὶ καθόλου Ἐκκλήτου τοῦ Πάπα, ὁρίζουσι καὶ διδοῦσιν ἐκεῖνο ὅπερ οὐδύνανται, καθότι οὐδὲ μία Σύνοδος κἂν Οἰκουμενικὴ εἴη δύναται δοῦναι τὸ ἀξίωμα αὐτῆς Τοπικῇ Συνόδῳ, ἢ ἀνθρώπῳ τινὶ, καθὼς οὔτε Ἀπόστολος δύναται ποιῆσαι τινὰ ἄνθρωπον Ἀπόστολον ὡς αὐτός ἐστι, καὶ εἴτις Σύνοδος βουληθῇ διορίσαι τοῦτο ὥστε εἶναι ἕνα ἄνθρωπον κα-

θόλου

θόλου κριτὴν, ἄπταιστον ἀπλανῆ καὶ μὴ ἀπατώμενον, ὅια πιστεύομεν εἶναι τὴν Οἰκουμενικὴν Σύνοδον αὐτὴν, βλασφημεῖ, ὅθεν ἡ Σύνοδος ἐν τῇ ἐπιστολῇ αὐτῆς, ὡς εἴπομεν ἀνωτέρω, λέγει ὅτι ὁ Ἰούλιος βεβούλευται, καὶ ὁ Πάπας Ἀδριανὸς μαχόμενος φωτίῳ σκέψιν ἐζήτει παρὰ τῆς ἐν Ῥώμῃ Συνόδου τὶ χρὴ διαπράξασθαι, καὶ οἱ μετὰ τὸ σχίσμα Πάπαι καίτοι τῷ τῆς μοναρχίας τύφῳ σεμνυνόμενοι, ὅμως ἐν ταῖς βουλαῖς αὐτῶν γράφουσι τὸ, καὶ μετὰ βουλῆς τῶν ἀδελφῶν ἡμῶν. εἰ οὖν σκέπτεται ὁ Πάπας πῶς ἄπταιστος; κακῶς γὰρ σκεφθεὶς ἁμαρτάνει. ὅθεν εἴτις Σύνοδος τοιοῦτόν τι διορίσει παροπτέα ἐν τῷ μέρει τούτῳ δικαίως καὶ ἀπροκριματίστως, ἐπειδὴ κατὰ διάμετρον ἀντίκειται τῇ τοῦ Σωτῆρος διδασκαλίᾳ, ὃς ἔδωκε τὸ ἄπταιστον τῇ Συνόδῳ καὶ οὐ τῷ ἑνί.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ἀνθυποφορὰ παπιστῶν, μάρτυρα τὸν Σωζόμενον ἐν οἷς ἱστορεῖ περὶ τῆς ἐν Σαρδικῇ Συνόδου τῶν δυτικῶν πατέρων καὶ αὐτοῦ Ἰουλίου Ῥώμης προσφερόντων ὅτι ὁ Ῥώμης ἐστὶ κοινὸς κριτὴς, καὶ ἀναίρεσις τῆς μοναρχίας τοῦ Ῥώμης κατὰ εἰκοσιδύο ἀποδείξεις ἔκ τε ἱστορικῶν ἐκκλησιαστικῶν καὶ ἐκ τῶν περὶ Ἀθανασίου ἔν τε Ῥώμῃ καὶ Σαρδικῇ Συνόδων, καὶ ὧν συνέβησαν μετὰ τῶν Εὐσεβιανῶν, καὶ ἐν ἄλλαις Συνόδοις γεγόνασιν. ἐξ ὧν καὶ κατὰ πρᾶθεσιν δείκνυται μὴ εἶναι τὸν Ῥώμης μονάρχην, ἀλλὰ συνεπίσκοπον.

Ἀνθυποφέρουσιν οἱ παπισταὶ λέγοντες, ὅτι ὁ Ῥώμης κοινός ἐστι κριτὴς, καὶ μάρτυς ὁ Σωζόμενος λέγων, ἐν Σαρδικῇ οἱ ἀπὸ Δύσεως ἔγραψαν τοῖς Ἀνατολικοῖς περὶ τῶν περὶ τὸν Ἀθανάσιον ὡς οὐδέποτε τῆς κοινωνίας αὐτῶν ἀναχωρήσουσι, καὶ μάλιστα Ἰουλίου τοῦ Ῥωμαίων Ἐπισκόπου τὰ κατ' αὐτοὺς ἐξετάσαντος καὶ μὴ καταγνόντος, βιβλίῳ τρίτῳ, κεφαλαίῳ ἑνδεκάτῳ. Ἀλλ' ἐπαναλαβόντες τὰ περὶ τούτων εἰρημένα λέγομεν πρὸς ταῦτα, πρῶτον, ὅτι φεύγοντες τὸν ἠπατημένον Βασιλέα Κωνσταντίον καὶ τὰς λῃστρικὰς Συνόδους ἀνῆλθον οἱ περὶ Ἀθανάσιον εἰς Ῥώμην ἔνθα ἦν ὀρθόδοξος Βασιλεὺς, καὶ αἱ Σύνοδοι ἦσαν νόμιμοι, καθότι ἀπελείποντο αὐτῶν οἱ ῥαβδοῦχοι καὶ τὰ λοιπὰ βίαια ὡς αὐτὸς ὁ Ἀθανάσιος λέγει ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ. δεύτερον, ὅτι εἰ καὶ λέγεται παρὰ τῶν ἱστορικῶν ὅτι ἀνῆλθον εἰς Ἰούλιον, καὶ ὁ Ἰούλιος ἅτε προνόμια ἐχούσης τῆς ἐν Ῥώμῃ Ἐκκλησίας καὶ τὰ ὅμοια, ὅμως ἐπὶ τῷ ὀνόματι Ἰουλίου ἐννοοῦνται πᾶσαι αἱ Δυτικαὶ Ἐκκλησίαι ὧν ἐκεῖνος καθηγεῖτο, ὅθεν ὁ Σωζόμενος περὶ ταύτης τῆς ἐν Ἀντιοχείᾳ τῶν Εὐσεβιανῶν Συνόδου τῆς καθελούσης τὸν Ἀθανάσιον φησὶ, Μάξιμον μέντοι τὸν Ἱεροσολύμων Ἐπίσκοπον ἐπίτηδες λέγεται ταύτην ἀποφυγεῖν τὴν Σύνοδον μεταμεληθέντα, καθότι ἀπατηθεὶς σύμψηφος ἐγένετο τοῖς Ἀθανάσιον καθελοῦσιν, οὐμὴν οὐδὲ ὁ τῶν Ῥωμαίων διέπων θρόνον οὐδὲ τῶν ἄλλων ἰταλῶν ἢ τῶν ἐπέκεινα Ῥωμαίων οὐδεὶς ἐνθάδε συνῆλθε. Καὶ, ὁ δὲ τὴν Ῥωμαίων Ἐκκλησίαν ἐπιτροπεύων καὶ οἱ ἀνὰ τὴν Δύσιν ἱερεῖς ὕβριν οἰκείαν ταῦτα ἡγοῦντο, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ ἕκτῳ καὶ ἑβδόμῳ. οὕτω καὶ ὁ Κελεστῖνος λέγεται ὅτι ἔγραψε κατὰ Νεστορίου καὶ ὁ Λέων κατὰ Εὐτυχοῦς, καὶ ὅμως αἱ ἐπιστολαὶ ἦσαν ἐγκύκλιοι ἤτοι συνοδικαὶ, καίτοι ἐπὶ τοῖς ὀνόμασι μόνοις τῶν Ἐπισκόπων Ῥώμης προφερόμεναι. τρίτον, οὐ μόνον τῷ Ἰουλίου ὀνόματι συμπεριλαμβάνεται ἡ ἐν Ῥώμῃ Σύνοδος, ἤτοι οἱ τῆς Δύσεως Ἐπίσκοποι, ἀλλὰ καὶ ἑτέρων ἐθνῶν Ἐπίσκοποι, οἵτινες ἦσαν τῆς αὐτῆς πίστεως τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, καὶ ἀνάπαλιν, ὡς ἄλλοι πολλοὶ ἱστοροῦσι. καὶ ὁ Σωκράτης φησὶν, αἱ δὲ περὶ τὴν Ἑλλάδα πόλεις καὶ Ἰλλυρικοὶ καὶ τὰ Ἑσπέρια μέρη ἔμενον ἔτι ἀσάλευτοι τῷ συμφωνεῖν ἀλλήλοις καὶ τὸν παραδοθέντα ἐκ τῆς ἐν Νικαίᾳ Συνόδου τύπον κρατεῖν, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ. τέταρτον, ἀνῆλθον οἱ περὶ Ἀθανάσιον οὐ πρὸς κοινὸν κριτὴν τὸν Ἰούλιον, ἀλλ' ὡς πρὸς Ἡγούμενον τοσούτων ἐθνῶν καὶ κοινωνίαν ἔχοντα μετὰ τοσούτων ἐθνῶν ἵνα κατὰ τὸν ἐκκλησιαστικὸν Νόμον ὑπὸ νομίμου Συνόδου θεωρηθῇ τὰ δίκαια συμπαχόντων καὶ συναλγούντων τῶν ἀδελφῶν τοῖς ὁμοπίστοις ὡς εἴρηται ἀνωτέρω διὰ πολλῶν καὶ ὑπὸ μαρτυρίας τοῦ Ἀλεξανδρείας Ἀλεξάνδρου ἐν τῇ πρὸς τοὺς ἁπανταχοῦ τῆς καθολικῆς Ἐκκλησίας καθηγεμόνας, καὶ ὡς εἴρηκεν ἐν τῇ ἐπιστολῇ ὁ Ἰούλιος. ἀλλὰ δὴ καὶ ὁ μέγας Βασίλειος γράφων τῇ βουλῇ Τυάνων λέγει, εἰ γὰρ καὶ ἕτεροι δυνατοὶ καὶ μεγάλοι καὶ ἑαυτοῖς πεποιθότες, ἀλλ' ἡμεῖς οἱ μηδὲν καὶ τοῦ μηδενὸς ἄξιοι οὐκ ἄνποτε τοσοῦτον ἑαυτοὺς ὑπολάβοιμεν ὥστε ἐν τῇ μονώσει δύνασθαι νομίσαι περιέσεσθαι τῶν πραγμάτων, ἀκριβῶς εἰδότες ὅτι πλέον ἡμεῖς τῆς ἑνὸς ἑκάστου τῶν ἀδελφῶν ἐπικουρίας δεόμεθα ἢ ὅσον ἡ ἑτέρα τῶν χειρῶν τῆς ἑτέρας, ἐπεὶ καὶ ἐξ αὐτῆς τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς τὸ ἀναγκαῖον τῆς κοινωνίας ὁ Κύριος ἡμᾶς ἐδίδαξεν. ὅταν γὰρ πρὸς αὐτὰ ταῦτα ἀπίδωμεν τὰ μέλη ἡμῶν ὅτι ἐν οὐδὲν ἑαυτῷ πρὸς εἰέργειαν αὔταρκες, πῶς ἐμαυτὸν λογίσομαι ἐξαρκεῖν ἑαυτῷ πρὸς τὰ τοῦ βίου πράγματα; οὔτε γὰρ ἂν ποῦς ἀσφαλῶς βαδίσειε μὴ συνυποστηρίζοντος τοῦ ἑτέρου, οὔτ' ἂν ὀφθαλμὸς ὑγιῶς ἴδοι μὴ κοινωνὸν ἔχων τὸν ἕτερον καὶ μετ' αὐτοῦ συμφώνως προβάλλων τοῖς ὁρατοῖς, καὶ ἀκοὴ ἀκριβεστέρα ἡ δι' ἀμφοῖν τοῖν πόροιν τὴν φωνὴν δεχομένη, καὶ ἀντίληψις κραταιοτέρα τῇ κοινωνίᾳ τῶν δακτύλων, καὶ ἁπαξαπλῶς οὐδὲν οὔτε τῶν ἐκ φύσεως οὔτε τῶν ἐκ προαιρέσεως κατορθουμένων ὁρῶ ἄνευ τῆς τῶν ὁμοφύλων συμπνοίας ἐπιτελούμενον. ὅπουγε αὐτὴ ἡ προσευχὴ μὴ ἔχουσα

τοὺς

τοὺς συμφωνοῦντας ἀδρανεστέρα ἐστὶ πολλῷ ἑαυτῆς, καὶ ὁ Κύριος ἐπηγγείλατο μέσος γενήσεσθαι δύο ἢ τριῶν ἐπικαλουμένων αὐτὸν ἐν ὁμονοίᾳ. ταῦτα συμφώνως τοῖς λοιποῖς πατράσιν ὁ Βασίλειος, ἅτινα προφητικῶς ἔλεγχός ἐστι σαφὴς τῆς παπιστικῆς ἀπονοίας καὶ ἀντιθέου μονώσεως. ἰδὲ καὶ κατωτέρω κεφαλαίου δεκάτου ἑβδόμου Παράγραφον δωδέκατον, καὶ ἀνωτέρω κεφαλαίου δευτέρου Παράγραφον ἑνδέκατον. πέμπτον, οὐ πρὸς μόνον τὸν Ῥώμης γέγονεν ἡ καταφυγὴ τῶν ἀδελφῶν πρὸς συμπάθειαν, ἀλλὰ καὶ πρὸς ἄλλους πολλάκις προεστῶτας τῶν Ἐκκλησιῶν ὡς εἴρηται καὶ ῥηθήσεται ἐν πολλοῖς. ἕκτον, ἔγραψεν ὁ Ἰούλιος πρὸς τοὺς Ἀνατολικοὺς, ἀλλ' ἀντεῖπον αὐτῷ, ἐκεῖνος δὲ ἀντιγράψας αὐτοῖς ἀδελφικὴν συμπάθειαν προεβάλετο καὶ ἀδελφικὴν ἰσότητα καὶ Κανόνας καὶ ἔθος, οὐ μὴν εἶπε πρὸς τὴν ἀντίστασιν ὅτι πρώτιστός ἐστιν ἢ Ἄρχων τῶν Ἐκκλησιῶν ἢ Μονάρχης ἢ ἐπὶ πάντων καὶ ἀμέσως παρὰ Θεοῦ Ἐπίσκοπος. ἕβδομον, ὁ Ἰούλιος μὴ ἀπαντησάντων πρὸς αὐτὸν τῶν Εὐσεβιανῶν κατὰ τὴν ὑπόσχεσιν συναθροίσας τοὺς οἰκείους καὶ τοὺς ὁμοφρονοῦντας τῇ ἐν Νικαίᾳ πίστει Ἐπισκόπους ἐθεώρησε τὰ κατὰ τῶν περὶ τὸν Ἀθανάσιον καὶ ἐδικαίωσεν, οὐχ ὡς μονάρχης ἀλλ' ὡς Ἡγούμενος Πατριαρχικῆς Ἐκκλησίας μετὰ Συνόδου ὀρθοδόξου τοὺς ἐκ τῆς αὐτῆς πίστεως παρὰ τῶν Αἱρετικῶν ἠδικημένους ἀδελφοὺς δικαιώσας, ὅπερ οὐκ ἐξουσίαν μοναρχικὴν ἀλλ' ἀδελφικὴν σύμπνοιαν, συμπάθειαν καὶ συμφωνίαν παρίστησιν. ὄγδοον, καίτοι συνοδικῶς ἔκρινεν ὁ Ἰούλιος καὶ εἶχε καὶ ἐπιστολὴν τῆς Αἰγυπτιακῆς Συνόδου ἐν ᾗ παρῆσαν ὀγδοήκοντα Ἐπίσκοποι μαρτυροῦντες τὴν ὁσιότητα τοῦ Ἀθανασίου, καὶ ἀπέσταλε τοὺς περὶ Ἀθανάσιον εἰς τοὺς ἰδίους θρόνους, ἀλλὰ διὰ τὸ μὴ κρῖναι μετὰ Οἰκουμενικῆς Συνόδου εἰς οὐδὲν ἴσχυσαν τὰ γράμματα αὐτοῦ, ἐπειδὴ οἱ Πατέρες ἐδιώχθησαν μετ' αἰσχύνης καὶ ζημίας τῶν ἰδίων θρόνων. ἕνατον, ἡ ἐν Αἰγύπτῳ Συνόδος οὐκ ἔγραψεν εἰς μόνον τὸν Ἰούλιον ὑπὲρ τῆς ὁσιότητος Ἀθανασίου, ἀλλ' εἰς πάντας τοὺς τῆς καθολικῆς Ἐκκλησίας Ἐπισκόπους καὶ πρὸς τὸν Ῥώμης Ἰούλιον. δέκατον, ὅτι δὲ μετ' αἰσχύνης ἐδιώχθησαν καὶ ζημίας τῶν θρόνων οἱ μετὰ τῶν γραμμάτων Ἰουλίου ἀπολαβόντες τοὺς θρόνους αὐτῶν, μάρτυρες ὁ Σωκράτης λέγων, ὁ Κωνστάντιος ἐν Ἀντιοχείᾳ διάγων, πυθόμενος πάλιν ἀπειληφέναι τὸν Παῦλον τὸν θρόνον, δι' ὀργῆς ἐτίθετο τὸ γινόμενον, καὶ ἔγραψε τῷ Ἐπάρχῳ καὶ καθεῖλε καὶ ἐξώρισεν αὐτὸν εἰς Θεσσαλονίκην. ἐν δὲ τῇ ἡμέρᾳ ἐν ᾗ ἐγένετο ἡ ἐξορία γενομένης μάχης ἐν Κωνσταντινουπόλει τῶν Αἱρετικῶν καὶ τῶν ὀρθοδόξων ἐσφάγησαν ὑπὸ τῶν στρατιωτῶν ἄνθρωποι τρεῖς χιλιάδες καὶ ἑκατὸν πεντήκοντα, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ἕκτῳ, καὶ ὁ Σωζόμενος, ὁ Κωνστάντιος ἐν Ἀντιοχείᾳ διατρίβων, γράφει Φιλίππῳ τῷ Ἐπάρχῳ Παῦλον ἐξελᾶσαι τῆς πόλεως, ὅτε οἱ στρατιῶται πολλοὺς τοῖς ξίφεσιν διεχειρίσαντο, πολλοὶ δὲ καὶ ὑπ' ἀλλήλων πατούμενοι διεφθάρησαν, βιβλίῳ τρίτῳ, κεφαλαίῳ ἐνάτῳ. καὶ ὁ Ἀθανάσιος δὲ φεύγων ἀφανὴς ἦν, δείσας τὴν τοῦ Βασιλέως Κωνσταντίου ἀπειλὴν, θανάτῳ γὰρ αὐτὸν ζημιοῦν ἠπείλησε, βιβλίῳ καὶ κεφαλαίῳ τῷ αὐτῷ. καὶ ὁ Θεοφάνης φησὶ, Κωνσταντίος ἐν Ἀντιοχείᾳ διάγων, καὶ μαθὼν ὅτι Παύλῳ καὶ Ἀθανασίῳ διὰ γραμμάτων Ἰούλιος τοὺς ἰδίους ἀπέδωκε θρόνους, ὀργισθεὶς κελεύει αὐτοὺς ἀπελαθῆναι τῶν ἰδίων αὐτῶν θρόνων. ἑνδέκατον, ὅτι τούτων γενομένων ὁ Ἰούλιος οὐκ ἔγραψε πρὸς τὸν Κωνσταντίον διατὶ ἀθετεῖ τὴν κρίσιν τοῦ ἐπὶ πάντων κριτοῦ τοῦ βικαρίου τοῦ Χριστοῦ, διατὶ παραβαίνει τὴν ἀπόφασιν τῆς ἐν Ῥώμῃ ἐπὶ Σιλβέστρου Συνόδου, ὁρισάσης τὸν κριτὴν μὴ κρίνεσθαι μήτε ὑπὸ τοῦ Αὐγούστου; πῶς οὐκ εἶπεν ὅτι ἐπὶ τῶν Βασιλέων ἐστὶν ὁ Πάπας ἐπειδὴ δύο ἔχει μαχαίρας; πῶς οὐ προέβαλε τὸ, σὺ εἶ Πέτρος καὶ τὰ λοιπὰ κυριακὰ λόγια ἅτινα καταχρῶνται οἱ παπισταὶ πρὸς σύστασιν τῆς παπικῆς μοναρχίας, ἀλλὰ βαθεῖα σιωπὴ κατέσχεν αὐτὸν ὡς καὶ πάντα Ἐπίσκοπον; δωδέκατον, οἱ περὶ Παῦλον καὶ Ἀθανάσιον ἀπελαθέντες τῶν θρόνων παρὰ Κωνσταντίου οὐκ ἀπῆλθον εἰς Ἰούλιον ἀλλὰ μάλιστα εἰς τὸν Βασιλέα τῆς Δύσεως Κώνσταντα, καὶ μάτυρες ὁ Σωκράτης λέγων, μετ' οὐ πολὺ δὲ καὶ Παῦλος ἐκ τῆς Θεσσαλονίκης ὑποκρινόμενος εἰς τὴν Κόρινθον ἀπαίρειν ἐπὶ τὴν Ἰταλίαν ἀφίκετο, ἄμφω οὖν (Ἀθανάσιος καὶ Παῦλος) τὰ καθ' ἑαυτοὺς γνώριμα καθιστῶσι τῷ ἐκεῖσε Βασιλεῖ, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ, καὶ ὁ Θεοφάνης φησὶν, Ἀθανάσιος καὶ Παῦλος προσῆλθον τῷ Κώνσταντι καὶ τὰ κατ' αὐτοὺς διηγήσαντο. δέκατον τρίτον, τοῦ Ἰουλίου λοιπὸν μὴ δυναμένου βοήθειαν τινα ποιῆσαι μήτε δι' ἑαυτοῦ μήτε διὰ τῆς Συνόδου αὐτοῦ, λέγει ὁ Σωζόμενος ὅτι ὁ Ἰούλιος διελογίζετο χρῆναι βοηθεῖν Ἀθανασίῳ καὶ Παύλῳ, μετ' οὐ πολὺ γὰρ καὶ αὐτὸς εἰς Ἰταλίαν παραγενόμενος τὰ κατ' αὐτὸν ἀπωδύρετο, ἐπειδὴ ἐξ ὧν ἔγραφε περὶ αὐτῶν τοῖς ἀνὰ τὴν Ἕω Ἐπισκόποις οὐδὲν ἤνυε, δῆλα τὰ κατ' αὐτοὺς ἐποίησε Κώνσταντι τῷ Βασιλεῖ, ὁ δὲ Κώνστας τῷ ἀδελφῷ ἔγραψε πέμψαι τινὰς τῶν ἀπὸ τῆς Ἕω Ἐπισκόπων ἀπολογηθησομένους περὶ τῆς αὐτῶν καθαιρέσεως, βιβλίῳ τρίτῳ, κεφαλαίῳ δεκάτῳ. καὶ αἱροῦνται τρεῖς, ὡς εἴπομεν ἀνωτέρω. δέκατον τέταρτον, ἀπελθόντες εἰς Ἰταλίαν οἱ τρεῖς, οὐκ ἀπηλογοῦντο πρὸς Ἰούλιον, ἀλλὰ πρὸς τὸν Βασιλέα, φησὶ γὰρ ὁ αὐτὸς, καὶ παραγενόμενοι εἰς Ἰταλίαν, τοῖς ὑπ' αὐτῶν πεπραγμένοις ἰσχυρίζοντο, καὶ τὸν Βασιλέα πείθειν ἐπειρῶντο δικαίαν εἶναι τῆς Ἀνατολικῆς Συνόδου τὴν κρίσιν, βιβλίῳ καὶ κεφαλαίῳ τῷ αὐτῷ. τὰ αὐτὰ φησὶ καὶ ὁ Σωκράτης. ὁ δὲ τῶν Ἑσπερίων μερῶν Βασιλεὺς γνοὺς τὰ κατ' αὐτοὺς ἰδιοπαθῆ, πρὸς τὸν ἀδελφὸν γράμματα διαπέμπεται, δηλῶν τρεῖς Ἐπισκόπους πεμφθῆναι παρ' αὐτῶν τοὺς λόγον δώσοντας τῆς Παύλου καὶ Ἀθανασίου καθαιρέσεως, καὶ πέμ-

πέμποντας τρεῖς, οἵτινες ἀναγινώσκοντες, τοῖς μὲν περὶ Ἀθανάσιον ἀδάμως εἰς λόγον ἐλθεῖν κατεδέξαντο. Καὶ, ταῦτα τῷ Βασιλεῖ καὶ πολλοῖς ἑτέροις ἀποδεδωκότες ἀνεχώρησαν, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ὀγδόῳ. δέκατον πέμπτον, ἀδιαφόρα ἔλη ἔσης τῆς τῶν Δυτικῶν καὶ Ἀνατολικῶν κοινωνίας, καὶ τελετὰς χρόνῳ διαθεραμόντας, οἱ Ἀνατολικοὶ Ἐπίσκοποι σωέδριον ποιησάμενοι, καὶ ἑτέραν πίστιν συντάξαντες, τοῖς ἐν Ἰταλίᾳ πέμπουσι δι' Ἐπισκόπων τινῶν, ταῦτα δὲ οἰκατὰ τὰ ἑωσφέρια μέρη Ἐπίσκοποι ἀπεδέχοντο, ἀρκεῖν τὴν ἐν Νικαίᾳ πίστιν λέγοντες, βιβλίῳ τῷ αὐτῷ κεφαλαίῳ ἑνάτῳ. καὶ σημειώσαι ὅτι οἱ Ἀνατολικοὶ Ἐπίσκοποι τοῖς Δυτικοῖς Ἐπισκόποις ἔπεμψαν ἀ τῷ Πάπᾳ, καὶ πᾶ ἡμοναρχία; τὰ αὐτὰ φησὶ καὶ ὁ Σωζόμενος βιβλίῳ τρίτῳ, κεφαλαίῳ δεκάτῳ πρώτῳ. δέκατον ἕκτον, Ἀθανασίᾳ καὶ Παύλᾳ ἀναγνωσθέντων εἰς Ἰταλίαν, καὶ μηδὲν διωρθωμένων ὅτε τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ὅτε τᾶ Βασιλέως τῆς Δύσεως, καὶ μάλιστα ἀναῤῥυέντων ἀφ' ἃ τὸ δεύτερον ἀπῆλθον εἰς Ῥώμην οἱ περὶ τὸν Ἀθανάσιον ἐπῶν πολλῶν, λέγει ὁ Σωκράτης, ἐπεὶ ἓν πάλιν γράψαντος τᾶ Βασιλέως, ὥστε ἀποδοθῆναι Παύλῳ καὶ Ἀθανασίῳ τὰς ἰδίας ἕδρας, ἀδὲν πλέον ἠνύετο, σάσις γὰρ ἀναμεταξὺ τᾶ πλήθους ἐγίνετο συνεχὴς, Σωόδον ἄλλην ἀναγκαῖον οἱ περὶ Παῦλον καὶ Ἀθανάσιον γενέσθαι, ὥστε καὶ τὰ καθ' αὐτοὺς καὶ τὰ τῆς πίστεως ἐπὶ Οἰκουμενικῆ Σωόδῳ λαβεῖν, διδάσκοντες ἐπὶ καταλύσει τῆς πίστεως τὰς καθαιρέσεις γίνεσθαι. κηρύσσεται οὖθις Οἰκουμενικὴ Σωόδος ὡς ἐπὶ Σαρδικίῳ γνώμῃ τῶν δυοῖν Βασιλέων, τᾶ μὲν Δᾷ γραμμάτων αἰτήσαντος, τᾶ δὲ τῆς Ἑώας ἑτοίμως ὑπακούσαντος, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ. καὶ Θεοδώρητος φησὶν, Ἀθανάσιος δὲ σὺν Κώνσαντα ἀφικόμενος, τᾶς ἀρειανικᾶς φάλαγγος τὰς ἐπιβουλὰς ἀπωδύρετο, καὶ τὸν κατὰ τῆς ἀποστολικῆς πίστεως ὠλοφύρετο πόλεμον, ὁ δὲ ἀπέστειλε τῷ ἀδελφῷ παραινῶν τῆς πατρῴας δυσεβείας ἄσυλον φυλάξαι τὸν κλῆρον. τούτοις πειθεὶς τοῖς γράμμασιν ὁ Κώνσαντος, συνέταξεν εἰς τὴν Σαρδικὴν καὶ τὰς τῆς Ἑώας καὶ τὰς τῆς Ἑσπέρας συνδραμεῖν Ἐπισκόπους, πολλαὶ γὰρ καὶ ἕτερα τῆς Ἐκκλησίας παθήματα τῆς συνοδικῆς θεραπείας ἐδεῖτο, λόγῳ δευτέρῳ, κεφαλαίῳ τετάρτῳ. καὶ ὁ Σωζόμενος, ἐπειδὴ Κώνσας ὁ Βασιλεὺς ἦτει χάριν τὸν ἀδελφὸν, ὥστε τὰς ἀμφὶ τὸν Ἀθανάσιον τὰς οἰκείας ἀπολαβεῖν θρόνους, καὶ γράφων ἁδὸν λύειν, ἀνυπερβλήτων τῶν ἀπὸ τῆς ἐναντίας Αἱρέσεως, οἱ δὲ περὶ τὸν Ἀθανάσιον καὶ Παῦλον συνθέμενοι αὐτῷ γενέσθαι Σύνοδον ἐζήτουν, ὡς ἐπὶ καθαιρέσει τῶν ὀρθῶν δογμάτων ἐπιβουλευθέντες, ἔδοξε γνώμῃ τῶν Βασιλέων τὰς ἀφ' ἑκατέρων ἐρχομένας Ἐπισκόπας εἰς ἑπτὰ ἡμέραν καταλαβεῖν τὴν Σαρδώ, βιβλίῳ τρίτῳ, κεφαλαίῳ ὀγδοηκοστῷ. δέκατον ἕβδομον, τῆς Συνόδου ἀλιθέσης, καὶ τῶν μὲν δυτικῶν συνελθόντων ἐν Σαρδικῇ, τῶν δὲ Ἀνατολικῶν ἐν Φιλιππουπόλει, καθαιρέσει ὑποβληθησαν ὑπὸ τῶν Δυτικῶν τινὲς τῶν Ἀνατολικῶν ὀνομασὶ, ὑπὸ δὲ τῶν Ἀνατολικῶν τινὲς τῶν Δυτικῶν ἐν οἷς καὶ Ἰούλιος Ῥώμης. καὶ ὅτι μὴν ἀλόγως οἱ Ἀνατολικοὶ ἐκάθηραν τὰς περὶ Ἀθανάσιον καὶ Ἰούλιον ἐμέμφθησαν, ἀδεὶς δέποτε ἐκείνας ἐμέμψατο ὡς καθαιρέσει ὑποβαλόντας τὸν μοναρχίαν ἢ τὸν ἐπὶ πάντων κριτὴν Ἰούλιον. δέκατον ὄγδοον, ἡ ἐν Σαρδικῇ Σωόδος ἠθροίσθη καὶ ἔκρινε τὰς Σωόδους τήν τε ἐν Ἀντιοχείᾳ τῶν Εὐσεβιανῶν καὶ τὴν ἐν Ῥώμῃ τᾶ Ἰουλίου, καὶ τὴν μὲν ἐν Ἀντιοχείᾳ ὡς παράνομον κατέκρινε, τὴν δὲ ἐν Ῥώμῃ ὡς νόμιμον ἐδικαίωσεν. ἡ καθολικωτέρα ἄρα Σωόδος ἐπὶ τῶν μερικωτέρων καὶ ἐν Ῥώμης καὶ ἀ τὸ ἀνάπαλιν, καὶ κριτὴς ἡ Σωόδος τᾶ Πάπα καὶ οὐχ ὁ Πάπας κριτὴς τῆς Σωόδου. δέκατον ἔνατον, μετὰ τὴν Ἀφέλυσιν τῆς ἐν Σαρδικῇ Σωόδου, τᾶ Κωνσαντίου μὴ βουλομένου ἀποδοῦναι τὰς θρόνους τοῖς περὶ Ἀθανάσιον, λέγει ὁ Σωζόμενος, ὁ δὲ Κώνσας τὰ ἐν Σαρδικῇ γενόμενα μαθὼν, ἔγραψε τῷ ἀδελφῷ ἀποδοῦναι τοῖς περὶ τὸν Ἀθανάσιον καὶ Παῦλον τὰς αὐτῶν Ἐκκλησίας, ὃς δὲ ἀνεβάλλετο, πάλιν ἔγραψεν ἢ δέχεσθαι τὰς ἄνδρας, ἢ ἐπὶς πόλεμον παρασκευάσασθαι. ὁ δὲ Κωνσαντίου μεταπαλεσάμενος Ἀθανάσιον ἔπεμψεν εἰς Αἴγυπτον, βιβλίῳ τρίτῳ, κεφαλαίῳ εἰκοστῷ καὶ εἰκοστῷ πρώτῳ. ταῦτά φησι καὶ ὁ Σωκράτης βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ τρίτῳ, καὶ ὁ Θεοδώρητος λόγῳ δευτέρῳ κεφαλαίῳ ὀγδόῳ, ὃς καὶ προσέθηκεν ὅτι μετὰ τῶν γραμμάτων ἔστειλεν ὁ Κώνσας καὶ πρεσβευτὴν τὸν Στρατηγὸν ὀνόματι Σαλιανόν. ἐπὶς τούτοις φησὶν ὁ Θεοφάνης, Κωνσαντίνος δὲ μετὰ τὴν ἐν Σαρδικῇ Ἀθανάσιον καὶ Παῦλον ἐντίμως δεξάμενος τοὺς θρόνους ἀπέδωκε. εἰκοσὸν, σημειωτέον λοιπὸν ὅτι ἐκ τούτων ἁπάντων δείκνυται τοῖς καὶ μικρὸν εἰδόσι τὴν ἐκκλησιαστικὴν κατάστασιν μὴ εἶναι τὸν Ῥώμης κριτὴν κοινὸν, ἀλλ' εἷς τῶν πρώτων καὶ Ἡγεμόνων ἐν τῇ Ἐκκλησίᾳ Ἐπισκόπων καὶ ἁδὸ πλέον, ὅθεν ἐξετάζεται καὶ κρίνεται, καὶ πᾷ μὲν δέχεται, πᾷ δὲ ἀθετεῖται ὑπὸ τῶν Σωόδων ὡς καὶ οἱ λοιποὶ Ἐπίσκοποι. εἰκοσὸν πρῶτον, ῥητέον ἐπὶς τὴν αὐτίθεσιν ἰδικώτερον, ὅτι οἱ αὐτικείμενοι ἐλλιπῶς ἐπισέφερον τὴν μαρτυρίαν τᾶ Ἑρμείᾳ, παρέλιπον γὰρ τὸ, παρεῖναι δὲ αὐτὸς καὶ ἑτοίμως ἔχειν δικάζεσθαι καὶ οὖθις ἀπελέγξειν τὰς ἐπαχθείσας αὐτοῖς αἰτίας, ἔχει γὰρ τὸ ῥηθὲν ἕτω, ἐπὶς τοῦτο δὲ οἱ ἀπὸ τῆς Δύσεως ἀντέγραψαν ὡς ἀ δέποτε τῆς ἐπὶς αὐτὸς κοινωνίας ἀπέστησαν, ἕτε νῦν ταύτης ἀναχωρήσουσι, καὶ μάλιστα Ἰουλίου τᾶ Ῥωμαίων Ἐπισκόπου τὰ καθ' αὐτὸς ἐξετάσαντος καὶ μὴ καταγνόντος, παρεῖναι δὲ αὐτὸς καὶ ἑτοίμως ἔχειν δικάζεσθαι καὶ οὖθις ἀπελέγξειν τὰς ἐπαχθείσας

χθείσας αὐτοῖς αἰτίας. ἐκ τούτων οὖν δείκνυται οὐχ ὅτι ὁ Ῥώμης ἐστὶ κοινὸς κριτὴς, ἀλλ' ὅτι ἦν κρίσιν ἐποίησε συνοδικῶς ἐν Ῥώμῃ ἀνεκρίθη ἐν Σαρδικῇ, ὥστε κριτὴς ἡ ἐν Σαρδικῇ Σύνοδος τῶν ἐν Ῥώμῃ καὶ τοῖς ἐν Ῥώμῃ, καὶ οὐ τὸ ἀνάπαλιν. εἰκοστὸν δεύτερον, σημείωσαι δεύτερον, ὅτι ἐν τῇ ἐπιστολῇ τῆς Συνόδου ταύτης ἤτοι τῆς ἐγκυκλίου τὸ, καὶ Ἀσκληπᾶς δὲ ὁ συλλειτουργὸς προσήνεγκεν ὑπομνήματα γεγενημένα ἐν Ἀντιοχείᾳ παρόντων καὶ τῶν κατηγόρων καὶ Εὐσεβίου τοῦ ἀπὸ Καισαρέων, καὶ ἐκ τῆς ἀποφάσεως τῶν δικασάντων Ἐπισκόπων ἔδειξεν ἑαυτὸν ἀθῷον εἶναι. σύμφωνα τῇ Συνόδῳ λέγει καὶ ὁ Σωκράτης, ὑπὸ τῆς ἐν Σαρδικῇ Συνόδου ἐδέχθησαν Ἀσκληπᾶς μὲν, ὑπομνήματα ἐπιδείξας ἐν οἷς ἐδέδεικτο Εὐσέβιος ὁ Παμφίλου ἅμα πλείοσι διαγνοὺς τὰ κατ' αὐτοῦ, καὶ ἀποδοὺς τὴν ἀξίαν αὐτοῦ, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ τρίτῳ. τὰ αὐτὰ φησὶ καὶ ὁ Σωζόμενος, Ἀσκληπᾶ δὲ, ὡς Εὐσεβίου τοῦ Παμφίλου καὶ πολλῶν ἄλλων δικαστῶν ψήφῳ τὴν Ἐπισκοπὴν ἀπολαβόντος, καὶ ὅτι τάδε τὰ ἀληθῆ εἴη, ὑπόμνημα τῆς δίκης ἀπεδείξατο, βιβλίῳ τρίτῳ, κεφαλαίῳ δεκάτῳ δευτέρῳ. καὶ λοιπὸν σημείωσαι πρῶτον, ὅτι ὁ Καισαρείας Εὐσέβιος παρ' ἐνορίαν ἔκρινε διὰ τὴν ἀνάγκην τοῦ καιροῦ. δεύτερον, ὅτι οἱ Ἐπίσκοποι ἔκρινον ἐν Ἀντιοχείᾳ τὸν Γάζης παρ' ἐνορίαν. τρίτον, ὅτι καθὼς διὰ τὴν ἀνάγκην τοῦ καιροῦ ἔκρινεν ὁ Ἰούλιος συνοδικῶς ἐν Ῥώμῃ τοὺς περὶ Ἀθανάσιον, οὕτω διὰ τὴν ἀνάγκην τοῦ καιροῦ ἔκρινον οἱ Ἐπίσκοποι ἐν Ἀντιοχείᾳ τὸν Ἀσκληπᾶν. τέταρτον, ὅτι ὡς ἐκρίθη ἡ ἀπόφασις τῆς ἐν Ἀντιοχείᾳ Συνόδου ἐπὶ τῆς ἐν Σαρδικῇ, οὕτως ἀνεκρίθη ἡ ἀπόφασις τοῦ Ἰουλίου καὶ τῆς ἐν Ῥώμῃ Συνόδου ἐπὶ τῆς ἐν Σαρδικῇ. καὶ ὡς ἀπέδωκε τὴν ἐξουσίαν τῷ Ἀσκληπᾷ, ἤτοι τὸν θρόνον καὶ τὴν ἱερωσύνην ὁ Εὐσέβιος, οὕτως ἀπέδωκε τὰς ἐξουσίας τοῖς περὶ Ἀθανάσιον ὁ Ἰούλιος. ὥστε οἷαι αἱ ἁπανταχοῦ νόμιμοι Σύνοδοι, τοιαύτη καὶ ἡ ἐν Ῥώμῃ τῶν ὀρθοδόξων Ἐπισκόπων Σύνοδος. καὶ ὡς προεκάθητο τῆς ἐν Ἀντιοχείᾳ Συνόδου περὶ τοῦ Γάζης Ἀσκληπᾶ ὁ Εὐσέβιος, τὸν αὐτὸν τρόπον προεκάθητο καὶ τῆς ἐν Ῥώμῃ Συνόδου ὁ Ἰούλιος. καὶ ὡς ποιοῦσιν ἐξαίρεσιν τοῦ Εὐσεβίου Σωκράτης καὶ Ἑρμείας καὶ ἡ ἐν Σαρδικῇ Σύνοδος, τὸν αὐτὸν τρόπον ποιοῦσιν ἐξαίρεσιν τοῦ Ἰουλίου οἱ αὐτοί. οὐδὲν οὖν καὶ εἰτεῦθεν οἱ παπισταὶ ἀπώναντο ὄφελος περὶ μοναρχίας, εἰ μὴ ὅτι φανέρωσιν ἀκριβεστάτην ἐπεδείξαντο τοῦ, ὅτι οὐκ ἔστιν ὁ Πάπας μοναρχὴς, ἀλλὰ συναρχὼν καὶ συνεπίσκοπος καὶ οὐδὲν πλέον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ἀντιλογία γιεζουβιτῶν πρώτη πρὸς τὸν εἰπόντα Τοπικὴν καὶ μὴ Οἰκουμενικὴν τὴν ἐν Σαρδικῇ Σύνοδον, δευτέρα πρὸς τὸν μὴ κρίνοντα τὴν ἐν Σαρδικῇ εἶναι τὴν αὐτὴν τῇ ἐν Νικαίᾳ, ἀλλ' ἄλλην αὐτῆς. τρίτη πρὸς τὸν μὴ λέγοντα εἶναι τὴν ἐν Σαρδικῇ μετὰ τῆς ἐν Νικαίᾳ, ἀλλὰ μετὰ τὴν ἐν Νικαίᾳ.

Τοῦ μακαρίτου Μαξίμου Μαργουνίου εἰπόντος ἐν τῷ περὶ Μάρκου τοῦ Ἐφέσου ἀντιῤῥητικῷ Τοπική ἐστι καὶ οὐκ Οἰκουμενικὴ ἡ ἐν Σαρδικῇ ἁγία Σύνοδος, εἰ γὰρ Οἰκουμενικὴ, πῶς ἡ ἐν Κωνσταντινουπόλει πρώτη τῶν Οἰκουμενικῶν ἁγίων Συνόδων δευτέρα λέγεται; οἱ Γιεζουβῖται ἀντιλέγουσι φάσκοντες, ὅτι ἐστὶ καὶ κατὰ τὴν ὀνομασίαν καὶ κατὰ τὴν ἀπόβασιν Οἰκουμενικὴ, καὶ μάρτυς Σουλπίκιος βιβλίῳ δευτέρῳ τῆς ἱερᾶς ἱστορίας (ὃς ἦν ἐν τῷ τέλει τοῦ τετάρτου καὶ ἐν τῇ ἀρχῇ τοῦ πέμπτου αἰῶνος, ὡς παρὰ Λεβαίῳ τῷ ἐκκλησιαστικῷ συγγραφεῖ Τόμῳ δευτέρῳ φύλλοις τριακοσίοις τεσσαράκοντα καὶ τρισὶ φαίνεται) τοῦτο αὐτὸ μαρτυρεῖ Σωκράτης, Θεοδώριτος καὶ Ἀθανάσιος ὁ μέγας, ὅπερ καὶ ἀπὸ τῶν πράξεων αὐτῆς δῆλον, ἦσαν γὰρ ἐν τῇ ἀθροίσει αὐτῆς τριακόσιοι πατέρες, ὅθεν δεικνύουσα τὴν ἐξουσίαν αὐτῆς, λέγει ἐν τῇ ἐγκυκλίῳ αὐτῆς ἐπιστολῇ. πάντα τὰ συντεταγμένα ἡ καθολικὴ καὶ Οἰκουμενικὴ Ἐκκλησία κρατείτω. λέγουσι περὶ αὐτῆς δεύτερον, ὅτι ἐκρίθη παρὰ τῶν πατέρων τὴν αὐτὴν εἶναι τῇ ἐν Νικαίᾳ, τὸ μὲν, διότι τὸ μεῖζον μέρος τῶν Ἐπισκόπων ὅπερ ἦν ἐν Νικαίᾳ παρῆν καὶ ἐν Σαρδικῇ, τὸ δὲ, ὅτι περὶ τῆς αὐτῆς ὑποθέσεως ἤθροισται, ὅθεν Ζώσιμος ὁ Πάπας τοὺς ἐν Σαρδικῇ Κανόνας εἰς μαρτυρίαν ἐπιφέρων, τῆς ἐν Νικαίᾳ τούτους ἐκάλεσε, δῆλον δὲ ὅτι ἐπειδὴ οἱ ἐν Σαρδικῇ Κανόνες τῆς ἐν Νικαίᾳ σαφῶς ἐπιγράφονται, ἀμφοτέρων ἡ αὐτή ἐστι δύναμις. τρίτον, ὅτι οὐδεὶ λέγειν τὴν ἐν Σαρδικῇ ὑστέραν τῆς ἐν Νικαίᾳ, ἀλλὰ μετὰ τῆς ἐν Νικαίᾳ, ὥστε τὴν μετὰ τὴν ἐν Νικαίᾳ καὶ ἐν Σαρδικῇ συγκροτηθεῖσαν ἐν Κωνσταντινουπόλει Σύνοδον εἶναι δευτέραν ἐν ταῖς Οἰκουμενικαῖς. ταῦτα οἱ παπισταί.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Ἀπόδειξις κατὰ τῆς πρώτης ἀντιλογίας τῶν Γιεζουβιτῶν, ὅτι ἡ ἐν Σαρδικῇ σύνοδος οὐκ ἔστιν Οἰκουμενικὴ, ἀλλὰ κατὰ τὴν ἀπόβασιν Τοπική.

Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι μὲν γὰρ κατὰ ὀνομασίαν Οἰκουμενικῆς Συνόδου ἠθροίσθη ἡ ἐν Σαρδικῇ Σύνοδος, φανερὸν οὐ μόνον ἀπὸ Σουλπικίου (καὶ γὰρ δεχόμεθα αὐτὸν ἐν τούτῳ διὰ τὴν ἀρχαιό-

ἀρχαιότητα, εἰ καὶ ἄγνωστος ἡμῖν) ἀλλὰ καὶ ἀπὸ Σωκράτους καὶ Θεοδωρίτου, τοῦ μὲν λέγοντος, Σύνοδον ἄλλην γενέσθαι οἱ περὶ Παῦλον καὶ Ἀθανάσιον ἤτουν ὥστε τὰ κατ' αὐτοὺς καὶ τὰ τῆς πίστεως ἐπὶ Οἰκουμενικῆς Συνόδου λαβεῖν. κηρύσσεται αὖθις Οἰκουμενικὴ Σύνοδος ὡς ἐπὶ Σαρδικὴν, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ. τοῦ δὲ Θεοδωρίτου, ὁ Κωνσταντίος προσέταξεν εἰς τὴν Σαρδικὴν καὶ τοὺς τῆς Ἑώας καὶ τοὺς τῆς Ἑσπέρας συνδραμεῖν Ἐπισκόπους, πολλὰ γὰρ καὶ ἕτερα τῆς Ἐκκλησίας παθήματα τῆς συνοδικῆς θεραπείας ἐδεῖτο, λόγῳ δευτέρῳ κεφαλαίῳ τετάρτῳ. ἦσαν δὲ ἐν αὐτῇ Ἐπίσκοποι κατὰ μὲν τὸν Σωκράτην καὶ Ἑρμείαν πλείονες τῶν τριακοσίων, κατὰ δὲ Θεοδώριτον διακόσιοι πεντήκοντα, λόγῳ δευτέρῳ κεφαλαίῳ ἑβδόμῳ, κατ' ἄλλους δὲ τριακόσιοι. κατὰ τὴν ὀνομασίαν οὖν Οἰκουμενικὴ ἠθρόισθη ἡ ἐν Σαρδικῇ, οὐ μὴν δὲ καὶ κατὰ τὴν ἀπόβασιν, ἐπειδὴ ἐσχίσθησαν εἰς δύο μέρη, ἀλλήλους ἀφορίζοντες. ὅθεν ὁ Σωζόμενος λέγει, ἐν μέρει τε καὶ οἱ ἀμφὶ τὸν Ὅσιον συνελθόντες, συμφώνως ἀπέφηναν ἤτοι ἐδικαίωσαν τοὺς περὶ Παῦλον καὶ Ἀθανάσιον, βιβλίῳ τρίτῳ, κεφαλαίῳ δευτέρῳ. ὁ αὐτὸς, μετὰ δὲ ταύτην τὴν Σύνοδον οὐκ ἔτι ἀλλήλοις ὡς ὁμοδόξοις ἐπεμίγνυντο, οὐδὲ ἐκοινώνουν. Καὶ, τὰ δὲ τῶν Ἐκκλησιῶν ὡς εἰκὸς διχονοίαις συγκέχυτο καὶ ἐν Διαβολαῖς ἦν, εἰ γὰρ πρότερον περὶ τὸ δόγμα διεφέροντο, ἀλλ' ἀλλήλοις συγκοινωνοῦντες, οὐ μέγα τὸ κακὸν ἐποίουν, βιβλίῳ τῷ αὐτῷ, κεφαλαίῳ δεκάτῳ τρίτῳ. οὐκ ἦν ἄρα κατὰ τὴν ἀπόβασιν Οἰκουμενικὴ, ἐπειδὴ οὐ συνῆλθον οἱ Ἀνατολικοὶ Ἐπίσκοποι τοῖς Ἑσπερίοις, ἀλλὰ διεσχίσθησαν, ὅθεν ἡ δευτέρα Οἰκουμενικὴ ὡς εἴρηται Τόμον τῶν Δυτικῶν εἶπε τὴν περὶ πίστεως βεβαίωσιν αὐτῆς. εἰ δὲ καὶ Ἀθανάσιος ἐν τῇ ἀπολογίᾳ Οἰκουμενικὴν αὐτὴν εἶπεν, ἀλλὰ καθ' ἣν κλῆσιν πρὸς ἄθροισιν ἐκλήθη εἶπεν αὐτὴν, ὡς οἱ ἱστορικοὶ καὶ ταῦτα τὰ πράγματα βοῶσιν. ἰδὲ καὶ τὰ λοιπὰ ἐλαττώματα αὐτῆς κατωτέρω, καὶ βιβλίου δεκάτου μέρους τρίτου κεφάλαιον ἐνδέκατον.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ἀπόδειξις κατὰ τῆς δευτέρας ἀντιλογίας τῶν γιεζουβιτῶν, ὅτι τὸ κριθῆναι παρὰ τῶν πατέρων εἶναι τὴν ἐν Σαρδικῇ Σύνοδον τὴν αὐτὴν τῇ ἐν Νικαίᾳ καὶ καθεξῆς τὰ λοιπὰ, ψεῦδος ἐστί.

Πρὸς δὲ τὸ δεύτερον ῥητέον, ὅτι ὁ μέγας Βασίλειος ψεύστην καὶ Αἱρετικὸν ἀπεδείκνυε τὸν Εὐνόμιον, εἰπόντα μὲν ὅτι πιστεύει ὡς οἱ Πατέρες ἐδίδαξαν, μὴ εἰπόντα δὲ τίνες ἦσαν οἱ Πατέρες, ὅθεν ὑπενοεῖτο εἶναι τοὺς κατ' Εὐνόμιον Πατέρας, Αἔτιον τὸν Διδάσκαλον αὐτοῦ καὶ τὸν Ἄρειον. ἐρωτῶμεν οὖν καὶ ἡμεῖς τοὺς σοφοὺς τῶν παπιστῶν, τίνες ἦσαν οἱ Πατέρες οἱ κρίναντες τὴν ἐν Σαρδικῇ τὴν αὐτὴν εἶναι τῇ ἐν Νικαίᾳ; καὶ πῶς κἂν ἕνα τῶν τοιούτων οὐκ εἶπον; ἀλλὰ δῆλον ὅτι οὐκ ἔχουσιν εἰπεῖν, εἰ μήπου εἴποιεν ἁγίους Πατέρας γραικολατίνους τινὰς τὸν Πρόδρομον καὶ Καβασούτιον Γιεζουβιτάκην, Βαρώνιον, Βίνιον, Γρετζέρον, Βελλαρμῖνον, Σπονδαῖον, Λέοντα Ἀλάτιον, Βησσαρίωνα, γρηγόριον Μαμμὴν, Ἰωσὴφ Μεθώνης, Πέτρον Ἀρκούδιον, Καρυόφυλλον, Ἰωάννην Βέκον, Γεώργιον Μελιτηνιώτην, Γεώργιον Μετοχίτην, Ἰωάννην Πλουσιαδηνὸν, Μάξιμον Χρυσοβέργην, Ἡσαΐαν Κύπριον, Ἰωάννην Ἀργυρόπουλον, Γεώργιον Τραπεζούντιον, Νικήταν Νικαέα, Κανονάρχην Διπλοβατάτζιον, Παντολέοντα Λειγαρίδην καὶ τοὺς λοιποὺς μονονουχὶ ἀθέους καὶ ψευδομάρτυρας τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ὅθεν καὶ ψεῦσαι καὶ Αἱρετικοὶ καὶ ἐκ τούτων δείκνυνται προφανῶς. ψεῦδος δὲ καὶ τὸ, ὅτι τὸ μεῖζον μέρος ὅπερ ἦν ἐν Νικαίᾳ ἦν καὶ ἐν Σαρδικῇ, καθότι ἐν μὲν τῇ ἐν Νικαίᾳ ἦν Ῥώμης ὁ Σίλβεστρος, ἐν δὲ τῇ Σαρδικῇ ἦν ὁ Ἰούλιος. ἐν ἐκείνῃ Μητροφάνης Κωνσταντινουπόλεως, ἐν ταύτῃ Παῦλος. ἐν ἐκείνῃ Ἀλεξανδρείας Ἀλέξανδρος, ἐν ταύτῃ Ἀθανάσιος. ἐν ἐκείνῃ Ἀντιοχείας Εὐστάθιος, ἐν ταύτῃ οὐδείς. ἐν ἐκείνῃ Ἱεροσολύμων Μακάριος, ἐν ταύτῃ Μάξιμος. ἐν ἐκείνῃ ἦσαν οἱ ὁμολογηταὶ καὶ οἱ μεγάλοι Λεόντιος Καισαρείας, Εὐψύχιος Τυανέων, Εὐσέβιος ὁ Παμφίλου καὶ ἕτεροι πλεῖστοι, οἳ οὐ παρῆσαν ἐν τῇ ἐν Σαρδικῇ. εἰ δὲ λέγωσι μεῖζον μέρος τὸ πλῆθος, ἐρωτῶμεν αὐτοὺς ποῦ εὑρήκασι τὰ ὀνόματα ἀναμφιβόλως τῶν ἐν Νικαίᾳ καὶ τῶν ἐν Σαρδικῇ συνελθόντων, καὶ παραβαλόντες αὐτὰ ἔγνωσαν ὅτι τὸ πλεῖον μέρος τῶν ἐν Νικαίᾳ παρῆν ἐν Σαρδικῇ; ἀλλαμὴν καὶ τὸ, ὅτι περὶ τῆς αὐτῆς ὑποθέσεως ἐγένετο ἀμφοτέρων ἡ ἄθροισις ψεῦδος λαμπρὸν, ἐκείνης γὰρ ἡ ἄθροισις ἦν περὶ τῆς πίστεως ἀμφιβαλλομένης ὑπὸ πολλῶν, καὶ περὶ τῆς Διαφωνίας τοῦ Πάσχα, ταύτης δὲ περὶ τῆς πίστεως μὲν, ἀλλ' οὐκ ἀμφιβαλλομένης, μάλιστα δὲ καὶ καλῶς διωρισμένης, ἀλλ' ὅσον πρὸς φύλαξιν καὶ βεβαίωσιν, καὶ περὶ ὁμονοίας μὲν, ἀλλὰ περὶ προσώπων τινῶν καθῃρημένων ἀδίκως; καὶ περὶ μὲν ἐκείνης θεωρητέον τὴν ἐπιστολὴν αὐτῆς πρὸς τὴν Ἐκκλησίαν Ἀλεξανδρέων, περὶ δὲ ταύτης ἰδὲ τὴν ἐπιστολὴν ἣν ἔγραψε τοῖς ἁπανταχοῦ Ἐπισκόποις λέγουσαν, ἤθροισαν οἱ Βασιλεῖς τὴν Σύνοδον ἵνα πᾶσα μὲν διχόνοια περιαιρεθῇ, πάσης δὲ κακοπιστίας ἐξελαθείσης ἡ εἰς Χριστὸν εὐσέβεια μόνη παρὰ πᾶσι φυλάττηται. ἀλλὰ δὴ ψεῦδος καὶ τοῦτο, ὅτι ὁ Πάπας Ζώσιμος τοὺς ἐν Σαρδικῇ Κανόνας τῆς ἐν Νικαίᾳ ἐκάλεσεν; ὅτι μὲν γὰρ ὑπερηφανίᾳ δουλεύσας, καὶ βουληθεὶς τὴν ῥωμαϊκὴν Ἐκκλησίαν ὑψῶσαι, καὶ μὴ δυνάμενος ἀπὸ τῆς γραφῆς καὶ τῶν

τῶν Πατέρων τοῦτο συστῆσαι, προεθυμήθη διὰ ψεύδους καὶ δολιότητός τινος ποιῆσαι ὅπερ ἐβούλετο, δῆλον. ὅτι δὲ τοὺς τῆς ἐν Σαρδικῇ Κανόνας τῆς ἐν Νικαίᾳ εἶναι νομίσας ἔπεμψεν εἰς Ἀφρικὴν, ψεῦδος πᾶσι γνωστὸν τοῖς μὴ θέλουσι κακουργεῖν. τοῦτο δῆλόν ἐστι καὶ ἀπὸ τῆς γνώμης ἣν εἶχον περὶ τῶν Συνόδων τούτων οἱ μετὰ τὸν Ζώσιμον Πάπαι Βονιφάτιος καὶ Κελεστῖνος, ἀποθανόντος γὰρ τοῦ Ζωσίμου, ἔγραψαν οἱ τῆς ἐν τῇ Ἀφρικῇ Συνόδου Πατέρες τῷ μετ' αὐτὸν Πάπᾳ Βονιφατίῳ ὅτι τάδε ἔγραψεν ἡμῖν ὁ πρὸ σοῦ Ζώσιμος, ἀλλὰ χρεία ὑπομονῆς ἕως τῆς παρουσίας τῶν ἀληθεστάτων ἐξέμπλων τῆς ἐν Νικαίᾳ Συνόδου, ἅτινα μὴ πιστεύσαντες τῷ Ζωσίμῳ ὅτι εἰσὶν ἀληθῆ, ἐζητήσαμεν παρὰ τῶν Πατριαρχῶν Κωνσταντινουπόλεως καὶ Ἀλεξανδρείας καὶ Ἀντιοχείας. Καὶ, διὸ τὴν σὴν σεβασμιότητα δυσωποῦμεν ἵνα γράψαι καὶ αὐτὸς καταξιώσῃς πρὸς τοὺς εἰρημένους, ὅπως ἐκεῖθεν πρὸς ἡμᾶς οἱ ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁρισθέντες ἔλθωσι Κανόνες. Καὶ, τὶς γὰρ ἀμφιβάλλει τὰ ἴσα ἀληθέστατα εἶναι ἐν γραικοῖς τῆς ἐν Νικαίᾳ συναθροισθείσης Συνόδου; ἅτινα ἀπὸ τῶν οὕτω διαφόρων τόπων καὶ ἐπισήμων γραικῶν Ἐκκλησιῶν προσενεχθέντα καὶ συγκριθέντα ὁμονοοῦσιν, ὅπερ ἕως οὗ γένηται τὰ ἐν τῷ προλεχθέντι κομμονιτωρίῳ ἡμῖν προσενεχθέντα περὶ τῶν πρὸς τὸν τῆς Ῥωμαίων Ἐκκλησίας ἱερέα Ἐκκλήτων, καὶ τὰ ἑξῆς. ταῦτα οὖν τῶν ἐν Ἀφρικῇ πατέρων γραφόντων ἀνακεκαλυμμένῳ προσώπῳ πρὸς τὸν Βονιφάτιον, ἐκεῖνος οὐκ ἀντέγραψεν ὅτι οἱ Κανόνες οὐκ εἰσὶ τῆς ἐν Νικαίᾳ, ἀλλὰ τῆς ἐν Σαρδικῇ, ἥτις ἡ αὐτή ἐστι τῇ ἐν Νικαίᾳ, οὐκ ἀντέγραψε δὲ τοῦτο, ἐπειδὴ ἐγίνωσκε καταπολὺ διαφέρουσαν τὴν ἐν Σαρδικῇ τῆς ἐν Νικαίᾳ. εἶτα ὁ Ἀλεξανδρείας Κύριλλος, καὶ ὁ Κωνσταντινουπόλεως Ἀττικὸς πέμψαντες τοὺς ἀληθεστάτους Κανόνας τῆς ἐν Νικαίᾳ Συνόδου μετὰ τὴν τῆς πίστεως ἔκθεσιν εἰς τὴν Ἀφρικὴν, οὐκ ἔγραψαν ὅτι οἱ Κανόνες τῆς ἐν Νικαίᾳ οὐκ εἰσὶν εἴκοσιν ἀλλὰ τεσσαράκοντα καὶ εἷς, ἐπειδὴ ἡ ἐν Σαρδικῇ ἡ αὐτή ἐστι τῇ ἐν Νικαίᾳ καὶ οἱ Κανόνες τῆς ἐν Σαρδικῇ συναριθμοῦνται τοῖς ἐν Νικαίᾳ, ἀλλ' ἔγραψαν ὁ μὲν Κύριλλος, τὰ ἀληθέστατα, τὰ πιστότατα ἴσα τῆς ἐν Νικαίᾳ αὐθεντικῆς Συνόδου, τὰ παρὰ τῶν πατέρων ὁρισθέντα καὶ βεβαιωθέντα πέμπω. ὁ δὲ Ἀττικὸς, ἐγράψατε ἵνα τοὺς ἀληθεστάτους Κανόνας τοὺς ἐν Νικαίᾳ παρὰ τῶν πατέρων ὁρισθέντας μετὰ τὴν τῆς πίστεως ἔκθεσιν πέμψω, καὶ πέμπω διὰ Μαρκέλλου ὑποδιακόνου. ἔπειτα ὁ μετὰ Βονιφάτιον Πάπας Κελεστῖνος γράψας καὶ αὐτὸς τῇ ἐν Ἀφρικῇ Συνόδῳ περὶ ὧν ἔγραψεν ὁ Ζώσιμος διὰ Λέοντος Πρεσβυτέρου, πῶς οὐκ ἔγραψεν αὐτῇ τὰ εἰρημένα γραψάσῃ τῷ πρὸ αὐτοῦ Βονιφατίῳ ὅτι ὁ Ζώσιμος τοὺς Κανόνας τῆς ἐν Σαρδικῇ τῆς ἐν Νικαίᾳ εἶπε διὰ τὸ εἶναι τὴν αὐτὴν τῇ ἐν Νικαίᾳ Συνόδῳ τὴν ἐν Σαρδικῇ; πρὸς τούτοις, τῆς Συνόδου γραψάσης πρὸς τὸν Κελεστῖνον ἀντιῤῥητικὰ περὶ τοῦ ὅτι οὐκ ἔχει Ἔκκλητον ὁ Ῥώμης ἐν Ἀφρικῇ, καὶ ἀπειλησαμένης αὐτὸν ἀπέχειν τῶν τοιούτων Ἐκκλήτων, ὡς μὴ ὄντων τῶν εἰρημένων Κανόνων τῆς ἐν Νικαίᾳ, πῶς ὁ Κελεστῖνος οὐκ ἀντέγραψεν αὐτῇ τὸ εἰρημένον τῆς ῥωμαϊκῆς Ἐκκλησίας σόφισμα, ἀλλ' ἤνεγκε τὴν ἐπιταγὴν τῆς Συνόδου βαθυτάτῃ σιωπῇ καὶ ἄκων; ψεῦδος ἄρα καὶ πλαστούργημα τῶν παπιστῶν ὅτι ὁ Ζώσιμος εἶχε γνώμην τοῦ εἶναι τὴν αὐτὴν τὴν ἐν Σαρδικῇ τῇ ἐν Νικαίᾳ, ὅθεν καὶ τὸ συμπέρασμα προφανέστατόν ἐστι, ἤτοι ἐπειδὴ καὶ οἱ τῆς ἐν Σαρδικῇ Κανόνες οὐκ ἐπιγράφονται τῆς ἐν Νικαίᾳ, οὐχ ἡ αὐτή ἐστι τῶν ἀμφοτέρων Συνόδων ἡ δύναμις.

ΠΑΡΑΓΑΦΟΝ Η'.

Ἀπόδειξις κατὰ τῆς τρίτης ἀντιλογίας τῶν Γιεζουβιτῶν, ὅτι οὐ μετὰ τῆς ἐν Νικαίᾳ ἡ ἐν Σαρδικῇ, ἀλλὰ μετὰ τὴν ἐν Νικαίᾳ, καὶ Τοπική ἐστι.

Πρὸς δὲ τὸ τρίτον ῥητέον, ὅτι τὸ ἐν ἀρχῇ αἰτεῖται, τὶς γὰρ τῶν ἐγκρίτων ἱστορικῶν ἢ χρονογράφων ἢ ποία Σύνοδος ἢ τὶς τῶν ἁγίων πατέρων εἶπεν οὐδεῖ λέγειν τὴν ἐν Σαρδικῇ ὑστέραν τῆς ἐν Νικαίᾳ ἀλλὰ μετὰ τῆς ἐν Νικαίᾳ ὥστε τὴν μετὰ τὴν ἐν Νικαίᾳ καὶ ἐν Σαρδικῇ δευτέραν λέγειν ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις τὴν ἐν Κωνσταντινουπόλει πρώτην; εἶτα εἴρηται ἀνωτέρω ὅτι οὐκ ἦσαν οἱ αὐτοὶ Πατριάρχαι καὶ ἔγκριτοι πατέρες οἱ ἐν Νικαίᾳ ἐν τῇ ἐν Σαρδικῇ, οὔτε ὁ σκοπὸς τῆς ἀθροίσεως ὁ αὐτὸς, δῆλον δὲ ὡς οὐδὲ ὁ χρόνος, ἐκείνη μὲν γὰρ ἐτελειώθη τῷ εἰκοστῷ ἔτει τοῦ μεγάλου Κωνσταντίνου, αὕτη δὲ ἠθροίσθη μετὰ τὸ ἑνδέκατον ἔτος τῆς τελευτῆς Κωνσταντίνου, Ἑρμείας βιβλίῳ τρίτῳ, κεφαλαίῳ δωδεκάτῳ, ἤτοι τῷ τριακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ ἔτει, καὶ πῶς ἡ μετὰ πλείω τῶν εἴκοσιν ἐτῶν ἀθροισθεῖσα ἐν Σαρδικῇ ἐστὶν ἡ αὐτὴ τῇ ἐν Νικαίᾳ καὶ οὐχ ὑστέρα; ὥστε φανερόν ἐστιν ὅτι ἡ ἐν Σαρδικῇ Οἰκουμενικὴ ἐκλήθη συνελθεῖν, ἡ ἀπόβασις ὅμως ἀποκατέστησεν αὐτὴν Τοπικὴν ὡς ἐξ αὐτῶν τῶν πραγμάτων δῆλον, ὅθεν οὐδὲ ἐγκαταλέγεται ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις, καὶ διατοῦτο οὐδὲ μία Οἰκουμενικὴ Σύνοδος ἐμνήσθη αὐτῆς ἐν τῷ ἰδίῳ ὅρῳ, ἀλλὰ καὶ Σύνοδοι καὶ πατέρες καὶ ἱστορικοὶ τὴν ἐν Κωνσταντινουπόλει πρώτην δευτέραν ἐν ταῖς Οἰκουμενικαῖς εἶναι εἶπον.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ ἑτέρας ἀντιλογίας συλλογιστικῆς παπιστῶν, λεγόντων ὅτι εἰ μὴ τῷ Ῥώμης τὴν Ἔκκλητον διετάξατο ἡ ἐν Νικαίᾳ, διατοῦτο ἄρα ἡ ἐν Σαρδικῇ διετάξατο. καὶ περὶ ἀναιρέσεως αὐτῆς συλλογιστικῶς ὅτι εἰ ἡ ἐν Νικαίᾳ οὐ διετάξατο τῷ Ῥώμης Ἔκκλητον, οὔτε ἡ ἐν Σαρδικῇ διετάξατο, καὶ ὅτι μερικὴ ἡ ἐν Σαρδικῇ.

Οἱ δὲ παπισταὶ ψεῦσται αὖθις ἐν τοῖς εἰρημένοις ἀποδεικνύμενοι, οὐ βούλονται συγκατατίθεσθαι τῇ ἀλειθείᾳ, ἀλλ' ἰσχυρογνωμονοῦντες λέγουσι πάλιν, εἰ γὰρ μὴ ὑπὸ τῆς ἐν Νικαίᾳ Συνόδου διατάττεται ἡ πρὸς τὸν Ῥώμης Ἔκκλητος, διατοῦτο ἄρα ὑπὸ τῆς ἐν Σαρδικῇ διατάττεται, ἢ διότι οἱ ἐν Καρθαγένῃ πατέρες ἠγνόουν τὴν ἐν Σαρδικῇ, ὡς μαρτυρεῖ Αὐγουστῖνος παρὼν ἐν αὐτῇ τῇ Συνόδῳ, γράφων κατὰ Κρίσκοντος κεφαλαίῳ τριακοστῷ τεταρτῷ διατοῦτο οὐκ ἦν ἡ ἐν Σαρδικῇ ἦν καὶ ἡ Ἑλλὰς παρεδέξατο, ὡς μαρτυροῦσιν Ἀρμενόπουλος, Φώτιος, Βαλσαμὼν, Ἀριστηνὸς καὶ Μαργούνιος, εἰ δὲ ἐδέξατο, οὐκ ἂν τὴν Ἔκκλητον ἀρνήσασθαι δύνανται. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, ὡς εἰ μὴ ὑπὸ τῆς ἐν Νικαίᾳ Συνόδου διατάττεται Ἔκκλητος, οὐδὲ ὑπὸ τῆς ἐν Σαρδικῇ διατάττεσθαι δυνατὸν, εἰ γὰρ ἡ ἐν Νικαίᾳ ἑπομένη τῇ ἀρχαίᾳ παραδόσει καὶ πράξει τῆς καθολικῆς Ἐκκλησίας διωρίσατο ἐν τῇ Ἐπαρχίᾳ γυμνάζεσθαι καὶ περατοῦσθαι τὰς δίκας τῆς Ἐπαρχίας, καὶ ῥητῶς ὥρισε τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας ὑφ' ἑτέρων μὴ προσίεσθαι, ἡ ἐν Σαρδικῇ εἰ Ἔκκλητον τῷ Ῥώμης ἐδίδου, ἀντικείμενον ἔργον ἐποίει τῇ ἐν Νικαίᾳ, ἧς τὴν τῆς πίστεως ἔκθεσιν καὶ τοὺς ὅρους πᾶσα δέχεται ἡ Ἀνατολικὴ Ἐκκλησία ὡς τὴν θείαν γραφὴν, καὶ κεφαλὴν αὐτὴν ἔχει τῶν λοιπῶν Οἰκουμενικῶν Συνόδων, καὶ οὕτως ἡ ἀπόβασις αὐτῆς εἰ ἦν τοιαύτη ὥς φασιν οἱ παπισταὶ, ἐπίψογος ἂν εἴη καὶ βλάσφημος, καὶ καταφρονητέα καὶ ἀποβλητέα τῆς καθολικῆς Ἐκκλησίας. κἀκεῖνο δὲ ὅτι ἡ ἐν Καρθαγένῃ Σύνοδος οὐκ ἐγίνωσκε τὴν ἐν Σαρδικῇ ψεῦδός ἐστι καὶ κατ' αὐτοὺς πάλιν τοὺς παπισταὶ, εἰ γὰρ Οἰκουμενικὴ ἦν, πῶς οὐκ ἐγίνωσκον αὐτὴν οἱ ἐν τῇ Ἀφρικῇ ὀρθόδοξοι; εἰ δὲ οὐκ ἐγίνωσκον αὐτὴν, ἄρα οὐκ ἦν Οἰκουμενική. οὕτως ἀνόητοί εἰσιν οἱ παπισταὶ, ὥστε ὑπὸ πεισμονῆς νικώμενοι, οὐκ οἴονται ἁμαρτίαν εἶναι τὸ προφανέστατα ψεύδεσθαι. ἀλλ' ἐλθέτω ὁλόγος ἐπὶ τὸ προκείμενον. εἰ οἱ ἐν Καρθαγένῃ πατέρες οὐκ ἐγίνωσκον τὴν ἐν Σαρδικῇ, καὶ ὁ Αὐγουστῖνος μαρτυρεῖ τοῦτο, ἀλλὰ μὴ εἰδότες ποίῳ τρόπῳ μαρτυρεῖ, τρέχομεν εἰς τὰ φανερὰ καὶ ἀναμφίβολα, ἅτινά ἐστιν ὅτι ἡ ἐν Καρθαγένῃ Σύνοδος ἐγίνωσκε τὴν ἐν Σαρδικῇ, ἐπειδὴ πᾶσα ἡ καθολικὴ Ἐκκλησία ἐγίνωσκε πάντα τὰ ὑπὸ τῶν Εὐσεβιανῶν ἐν τῇ Ἀντιοχείᾳ καὶ μετὰ ταῦτα κατὰ Ἀθανασίου πραχθέντα, ὥστε πᾶσα ἡ Ἐκκλησία οἶδε τὴν ἐν Σαρδικῇ. εἶτα ἐν τῇ ἐν Σαρδικῇ παρῆσαν τριάκοντα καὶ ἓξ πατέρες ἀπὸ τῆς Ἀφρικῆς, τὸ δὲ τοσούτων πατέρων ἀπὸ τῆς Ἀφρικῆς ἐν τῇ ἐν Σαρδικῇ Συνόδῳ παρόντων λέγειν ὅτι ἡ ἐν Καρθαγένῃ Σύνοδος οὐκ ἐγίνωσκεν αὐτὴν, ψεῦδός ἐστι προφανές. ἔτι ἡ μὲν ἐν Σαρδικῇ ἠθροίσθη τῷ τριακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ ἔτει, ἡ δὲ ἐν Καρθαγένῃ συνῆλθε τῷ τετρακοσιοστῷ δεκάτῳ ὀγδόῳ ἔτει, καὶ πῶς τοσούτων ἐτῶν παραῤῥυέντων οὐκ ἔμαθον οἱ ἐν Ἀφρικῇ σοφώτατοι πατέρες τὴν ἄθροισιν αὐτῆς; μήποτε δέ ἐστιν ἀλήθεια, ὡς οἱ ἐν Καρθαγένῃ πατέρες ἐγίνωσκον μὲν τὴν ἄθροισιν τῆς ἐν Σαρδικῇ, καὶ τὴν τῆς πίστεως καὶ ὁμονοίας ἀπόφασιν αὐτῆς, τοὺς δὲ Κανόνας αὐτῆς οὐκ ἐγίνωσκον ὡς μερικῆς, καὶ διατοῦτο οὐ πάσῃ τῇ Ἐκκλησίᾳ εὐθὺς αὐτοὺς παραδεδομένους.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ἐπιχείρημα παπιστῶν περὶ τῆς Ἐκκλήτου τοῦ Ῥώμης ἐκ τοῦ ἱκετεύομεν ἐν τῇ πρὸς τὸν Ῥώμης ἐπιστολῇ τῆς ἐν Καρθαγένῃ Συνόδου ῥήματος, καὶ διάῤῥηξις πρόχειρος τούτου τε καὶ τῆς τοῦ Ῥώμης Ἐκκλήτου.

Τέως λέγουσιν οἱ αὐτοὶ ὅτι ἡ ἐν Καρθαγένῃ Σύνοδος ἐγίνωσκε τὴν πρὸς τὸν Ῥώμης τῆς καθόλου Ἐκκλησίας Ἔκκλητον, γράφουσα γὰρ πρὸς τὸν Πάπαν Κελεστῖνον (ἔστι δὲ ἡ ἐπιστολὴ τῆς Συνόδου κεφαλαίῳ ἑκατοστῷ τριακοστῷ ὀγδόῳ) λέγει, ἱκετεύομεν ἵνα τοῦ λοιποῦ πρὸς τὰς ὑμετέρας ἀκοὰς τοὺς ἐντεῦθεν παραγενομένους εὐχερῶς μὴ προσδέχησθε, μήτε τοὺς παρ' ἡμῶν ἀποκεκοινωμένους εἰς κοινωνίαν τοῦ λοιποῦ θελήσητε δέξασθαι, ἐπειδὴ τοῦτο καὶ τῇ ἐν Νικαίᾳ Συνόδῳ ὁρισθὲν εὐχερῶς εὕροι ἡ σὴ σεβασμιότης. ἐκ δὲ τούτων φασὶ τῶν ῥημάτων τοῦ ἱκετεύομεν καὶ τῶν λοιπῶν γίνεται διάδηλος ἡ τοῦ Πάπα ἐξουσία, καὶ τῆς Συνόδου ἡ ὑπόπτωσις, καὶ διατοῦτο καὶ ἡ Ἔκκλητος. Ἀλλὰ πρὸς ταῦτα ῥητέον πρῶτον, ὅτι οὐμόνον οὐκ ἐγίνωσκε τὴν τοιαύτην Ἔκκλητον ἡ ἐν Καρθαγένῃ Σύνοδος, ἀλλὰ καὶ ἀκουσθεῖσαν πρῶτον αὐτῇ ἀνῄρηκεν αὐτὴν λίαν ἐσπουδασμένως, ὡς εἴρηται ἐν τῷ παρόντι καὶ ἐν τῷ ἀνωτέρῳ προσεχεῖ τοῖς κεφαλαίοις, καὶ ῥηθήσεται κατωτέρω βιβλίου τρίτου κεφαλαίῳ δεκάτῳ τρίτῳ. περὶ δὲ τοῦ ἱκετεύομεν ῥήματος ῥητέον, κομηδῇ μάταιον τὸ μὴ εἰς πᾶσαν τὴν ἐπιστολὴν ταύτην καὶ εἰς πάντα τὰ πρακτικὰ καὶ τὸν σκοπὸν τῆς Συνόδου ἀποβλέπειν, ἀλλ' εἰς μικρὸν λεξείδιον ἀφορᾶν. εἶτα πρὸς τὸν Ἐπίσκοπον Ῥώμης, ὅνπερ ἡ δευτέρα

τέρα Οἰκουμενικὴ Σύνοδος πρῶτον ὠνόμασεν, εἰ τιμητικῶς καὶ εὐλαβητικῶς ἔγραψεν ἡ Σύνοδος, καλῶς ἐποίησεν, οὐ μὴν δὲ διὰ ταπείνωσιν γράψασα, ἐξουσίαν ἐκείνῳ προσῆψεν ὥστε ἄρχειν πασῶν τῶν Ἐκκλησιῶν, ὅπερ φρόνημα τοῦ Νεστορίου ἦν, ὡς ὁ Κύριλλός φησι. καὶ ὥσπερ ἐν τῇ πρώτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου εἶπεν Εὐστάθιος ὁ Βηρυτοῦ, καὶ ὁ λέγων μίαν φύσιν ἐπὶ ἀναιρέσει τῆς σαρκὸς τοῦ Χριστοῦ τῆς ὁμοουσίου ἡμῖν, ἀνάθεμα. καὶ ὁ λέγων δύο φύσεις ἐπὶ διαιρέσει τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἀνάθεμα ἔστω. οὕτω ῥητέον καὶ περὶ τοῦ Ἐπισκόπου Ῥώμης, ὅταν ὁ Πάπας τῆς Ῥώμης ὀρθοδοξῇ, εἴτις οὐ λέγει αὐτὸν πρῶτον τῶν Ἱερέων κατὰ τοὺς ὅρους τῶν ἁγίων πατέρων, ἀνάθεμα. καὶ εἴτις τὸν Πάπαν τῆς Ῥώμης λέγει πρῶτον τῶν Ἱερέων ὡς μονάρχην, καὶ κατά τινα ἰδικὴν ἢ γενικὴν ἐξουσίαν Ἄρχοντα καὶ κριτὴν τῶν Ἐκκλησιῶν, ἀνάθεμα ἔστω. εὐλαβητικῶς οὖν καὶ οὐδουλικῶς γράψασα ἡ Σύνοδος πρὸς τὸν Κελεστῖνον, εἶπε τὸ ἱκετεύομεν. ὅτι δὲ οὐ πάντοτε ὑπόπτωσιν δηλοῖ τὸ ἱκετεύομεν, ἀλλὰ καὶ ἰσοτιμίαν, δῆλον, τοῦ γὰρ Σωτῆρος Χριστοῦ ὄντος ἑνὸς ἀνθρώπου καὶ μιᾶς ὑποστάσεως, τοῦ αὐτοῦ Θεοῦ καὶ ἀνθρώπου, καὶ ὁμοτίμου τῷ Θεῷ καὶ Πατρὶ, οἰκονομικῶς δὲ τὰ τῆς ἀνθρωπίνης φύσεως ᾠκειωμένου, ὁ Θεοδώριτος πεισματικῶς φερόμενος κατὰ τοῦ ἁγίου Κυρίλλου ἐν τῇ ἀνατροπῇ τοῦ δεκάτου αὐτοῦ κατὰ Νεστορίου ἀναθεματισμοῦ, εἶπε, τίς ὁ εὐλαβείᾳ συμβιώσας, καὶ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων τὰς ἱκετείας προσενεγκὼν, καὶ σώζειν ἑαυτὸν μὴ δυνάμενος, ἀλλὰ τὸν δυνάμενον σώζειν παρακαλῶν; πρὸς ταῦτα ἀντιφερόμενος ὁ μέγας Κύριλλος εἶπεν, ὦ παντόλμου φωνῆς καὶ μιαρωτάτης, ποῖον ἀρκέσει δάκρυον εἰς ἀπόνιψιν ἁμαρτίας τοῖς τοιαῦτα φρονεῖν ᾑρημένοις; εἰ καταδέχῃ τὴν ἕνωσιν, πῶς ἠγνόησας ὅτι περὶ Θεοῦσοι λόγος ἦν ἐνανθρωπήσαντος; δεήσεις ποιεῖ καὶ ἱκετηρίας, ἵνα καὶ ταῖς παρὰ σοῦ λιταῖς βάσιμον ἀποφήνῃ τὴν τοῦ Πατρὸς ἀκοήν. διὰ τούτων τῶν ῥημάτων ὁ Κύριλλος βλάσφημον ἀποδεικνύει τὸν Θεοδώριτον, ὑπόπτωσιν ὑποτιθέμενον τῆς ἀνθρωπότητος πρὸς τὴν Θεότητα τοῦ Χριστοῦ, καὶ θεολογεῖ, ὅτι οἰκονομικῶς ἔκλαυσε καὶ ἱκέτευσεν, ἰσότιμος ὅμως ἐστὶν ἡ ἀνθρωπότης τῇ Θεότητι τοῦ Χριστοῦ, ἐπειδὴ ἕν ἐστι πρόσωπον, καὶ μία ὑπόστασις, ὁ αὐτὸς ὁμοῦ Θεός τε καὶ ἄνθρωπος. ἰδὲ καὶ τὸν Χρυσόστομον πρὸς Ἑβραίους κεφαλαίῳ πέμπτῳ λόγῳ ὀγδόῳ. οὐκ ἄρα τὸ ἱκετεύομεν ἀεὶ ὕφεσιν δηλοῖ, ἀλλὰ καὶ ἰσοτιμίαν, καθ' ἣν ἐνόμισαν οἱ ἐν Καρθαγένῃ πατέρες τὸ ἱκετεύομεν, γράφοντες πρὸς τὸν Κελεστῖνον. ἰδὲ καὶ κατωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου παράγραφον εἰκοστὸν ἔνατον, καὶ βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παράγραφον ἔνατον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι ἀρχαῖον τὸ ταπεινῶς γράφειν καὶ εὐλαβῶς καὶ ἴδιον τοῖς τε πατράσι καὶ ταῖς Συνόδοις, καὶ τὸ μὴ δέχεσθαι εἰς κοινωνίαν τοὺς παρ' ἡμῶν ἀποκεκοινωμένους.

Ἀλλὰ καὶ τοῦτο τὸ ταπεινῶς γράφειν καὶ εὐλαβῶς, καὶ τὸ μὴ δέχεσθαι εἰς κοινωνίαν τοὺς παρ' ἡμῶν ἀποκεκοινωμένους, ἀρχαῖον ἐστὶν ἴδιον τῶν Πατέρων καὶ τῶν Συνόδων. αὐτίκα γὰρ ὁ μὲν Ἀλεξανδρείας Ἀλέξανδρος ἔγραψε τοῖς ἁπανταχοῦ Ἐπισκόποις περὶ Ἀρείου, ἐδηλώσαμεν δὲ καὶ τῇ ὑμετέρᾳ θεοσεβείᾳ ἀγαπητοὶ καὶ τιμιώτατοι συλλειτουργοὶ, ἵνα μή τινας ἐξ αὐτῶν, εἰ προπετεύσαιντο καὶ πρὸς ὑμᾶς ἐλθεῖν, μὴ προσδέξησθε, Σωκράτης βιβλίῳ πρώτῳ κεφαλαίῳ ἕκτῳ. ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ αὐτοῦ ἐγκυκλίῳ, τούτους ἀποστραφέντες (τοὺς παρ' ἡμῶν δηλονότι ἀκοινωνήτους γενομένους) ἀγαπητοὶ καὶ ὁμόψυχοι ἀδελφοὶ, σύμψηφοι γίνεσθε. καὶ ἡ ἐν Σαρδικῇ Σύνοδος ἐπιστολῇ τοῖς ἁπανταχοῦ Ἐπισκόποις, τούτοις (τουτέστι τοῖς ἀκοινωνήτοις παρ' ἡμῶν γενομένοις) μηδένα κοινωνεῖν παραγγείλατε. Καὶ, φυλάξασθε ἀγαπητοὶ μήτε γράφειν πρὸς αὐτοὺς, μήτε γράμματα παρ' αὐτῶν δέχεσθαι. καὶ Φλαυϊανὸς Κωνσταντινουπόλεως ἐπιστολῇ πρὸς Λέοντα τὸν Ῥώμης, τὴν ἐπ' αὐτῷ (τῷ Εὐτυχεῖ) γενομένην πρᾶξιν ἀπεστείλαμεν τῇ σῇ ὁσιότητι, ἐν ᾗ καὶ τῆς Ἱερωσύνης αὐτὸν ὡς ἐπὶ τούτοις ἁλόντα ἐγυμνώσαμεν, καὶ τοῦ προστατεύειν μοναστηρίου, καὶ τῆς ἡμετέρας κοινωνίας, ὥστε καὶ τὴν σὴν ὁσιότητα γνοῦσαν τὰ κατ' αὐτὸν, πᾶσι τοῖς ὑπὸ τὴν σὴν θεοσέβειαν τελοῦσι θεοφιλεστάτοις Ἐπισκόποις δήλην ποιησάτω τὴν αὐτοῦ ἀσέβειαν, ἵνα μὴ ἀγνοίᾳ πολλάκις τῶν παρ' αὐτοῦ φρονηθέντων, ἐφ' οἷς τε ἑάλω σαφῶς, ὡς πρὸς ὁμόδοξον, ἢ διὰ γραμμάτων, καὶ ἑτέρως τὰς πρὸς αὐτὸν ὁμιλίας εὑρεθῶσι ποιούμενοι. καὶ ἡ ἐν Ἀντιοχείᾳ Σύνοδος καθαιρέσει ὑποβαλοῦσα Παῦλον τὸν Σαμοσατέα, ἔγραφε περὶ αὐτοῦ τοῖς ἁπανταχοῦ Ἐπισκόποις, ὁ Παῦλος οὗτος τῷ Ἀρτεμᾷ ἐπιστελέτω, καὶ οἱ τὰ Ἀρτεμᾶ φρονοῦντες τούτῳ κοινωνήτωσαν, τουτέστι Παύλῳ τῷ παρ' ἡμῶν ἀκοινωνήτῳ γενομένῳ ὑμεῖς μὴ κοινωνεῖτε, Εὐσέβιος βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ τριακοστῷ. τὸ αἴτιον δὲ τοῦ μὴ κοινωνεῖν τοῖς ἀκοινωνήτοις φησὶν ὁ Ἀλέξανδρος ἐν τῇ πρώτῃ ἐπιστολῇ, καὶ μὴ δὲ χαίρειν τοῖς τοιούτοις λέγειν, ἵνα μή ποτε καὶ ταῖς ἁμαρτίαις αὐτῶν κοινωνοὶ γενώμεθα. καὶ ἡ ἐν Σαρδικῇ Σύνοδος ἐν τῇ ἐγκυκλίῳ αὐτῆς ἐπιστολῇ εἰποῦσα, μὴ δὲ γράμματα παρ' αὐτῶν δέχεσθαι, ἐπεῖπεν, ὑπὲρ τοῦ παρὰ πάντων τῶν ἁπανταχοῦ συλλειτουργῶν τὴν ὁμοφω-

μοφωνίαν διασώζεσθαι. διὰ τὴν ἐκκλησιαστικὴν ἄρα παρὰ πάντων ὁμοφωνίαν χρὴ τοῖς ἀκοινωνήτοις γενομένοις παρὰ τῶν Συνόδων μὴ κοινωνεῖν τοὺς ὀρθοδόξους Ἐπισκόπους, ὥσπερ διὰ τὴν παρὰ πάντων ὁμοφωνίαν δεῖ κοινωνεῖν τοῖς εἰς κοινωνίαν δεχομένοις παρὰ τῶν Συνόδων, ὡς ἔγραφεν ἡ δευτέρα Οἰκουμενικὴ τῷ Πάπᾳ Δαμάσῳ καὶ τοῖς λοιποῖς Δυτικοῖς Ἐπισκόποις ταῦτα, οὕτω γὰρ τοῦ τε τῆς πίστεως συμφωνηθέντος λόγου, καὶ τῆς χριστιανικῆς κυρωθείσης ἐν ἡμῖν ἀγάπης, ἄσχιστον τὸ σῶμα τῆς Ἐκκλησίας τηρήσωμεν, καὶ τῷ βήματι τοῦ Κυρίου μετὰ παῤῥησίας παραστησόμεθα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι καὶ ἀπὸ τῶν τῆς Ἑλλάδος θεολόγων τῶν δεξαμένων τοὺς ἐν Σαρδικῇ Κανόνας, καὶ ἀπὸ τῶν ἐξηγητῶν αὐτῶν, καὶ ἀπὸ πασῶν συνελεύσεων καὶ διαφορῶν Ἑώων καὶ Ἑσπερίων, καὶ ἀπὸ τοῦ Φωτίου δείκνυται ὅ,τε Ῥώμης ἔξω καθόλου Ἐκκλήτου, εἴτε Κανόνες τῆς ἐν Σαρδικῇ ὡς Τοπικῆς ἀμνημόνευτοι.

Ἐδέξατο τοὺς Κανόνας τῆς ἐν Σαρδικῇ ἡ Ἑλλὰς, ἀλλ' οὐδέποτε ἐνόμισαν οἱ τῆς Ἑλλάδος θεολόγοι συγκεῖσθαι ἐπ' αὐτοῖς Ἔκκλητον τοῦ Πάπα, ἐπειδὴ ἐν πάσαις ταῖς κοιναῖς συνελεύσεσι καὶ διαφοραῖς Ἑώων καὶ Ἑσπερίων οὐδέποτε ἐνομίσθη ἔχειν τὸν Πάπαν Ἔκκλητον ἐπὶ τῆς καθόλου Ἐκκλησίας, καὶ ἀκολούθως οὔτε τοὺς Κανόνας τῆς ἐν Σαρδικῇ προσέφερον πρὸς σύστασιν Ἐκκλήτου τῆς ῥωμαϊκῆς Ἐκκλησίας. ἀλλὰ καὶ οἱ ἐξηγηταὶ τῶν Κανόνων περὶ Ἐκκλήτου τοῦ Πάπα ἐν τῇ ἰδίᾳ ἐνορίᾳ ἡρμήνευσαν αὐτούς. καὶ ὁ Φώτιος ἐν τῷ Νομοκανόνι αὐτοῦ οὐ περὶ τῆς τοιαύτης Ἐκκλήτου λόγον ἐποίησέ τινα. εἰ γὰρ ὁ Φώτιος συνοδικῶς ἐκάθηρε τὸν Πάπαν Νικόλαον, καὶ συνοδικῶς ἐκύρωσε καὶ ἀνεθεμάτισε τὰς τοῦ Πάπα Ἀδριανοῦ ἐν Ῥώμῃ Συνόδους, καὶ ἰδὲ κατωτέρω τὸν τόπον, πῶς τῷ Ῥώμης ἐψηφίζετο Ἔκκλητον; ἀλλὰ καὶ Ἀρμενόπουλος εἰδέχεται τὴν Ἔκκλητον τοῦ Πάπα ὡς λέγουσιν οἱ παπισταὶ, εἶτα τὴν ἐν Σαρδικῇ Τοπικὴν εἶναι διαγράφει, ἀπότομός ἐστι, ἐπειδὴ τὸ μὲν εἶναι τὴν ἐν Σαρδικῇ Τοπικὴν, ὀρθῶς εἶπεν, ἐπειπὼν δὲ τὴν Ἔκκλητον τοῦ Πάπα, τὸ ἐν ἀρχῇ ᾔτησε, καὶ προφανῶς ἐφλυάρησεν ὡς φλυαροῦσι καὶ οἱ ταύτην δεχόμενοι παπισταὶ, οἵτινες μὴ ἔχοντες ἁγίους μάρτυρας κατὰ τὸ εἰκὸς, προσφέρουσιν εἰς μαρτυρίαν ἀνθρωπάρια γραικολατῖνα ἠπατημένα καὶ κεκαυτηριασμένα τὴν ἰδίαν συνείδησιν, καὶ μὴ εἰδότα μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι καὶ ἐκ τινων ἐπιστολῶν τῆς Συνόδου ὧν μνήμην ποιεῖται ὁ Ἱλάριος, ἐν αἷς καὶ τῆς ἐπιστολῆς τῶν ἐν Φιλιππουπόλει συνελθόντων Ἀνατολικῶν, ἀφορισμὸν καὶ καθαίρεσιν κατὰ Ἰουλίου, Ἀθανασίου καὶ τῶν σὺν αὐτοῖς ἐχούσης, δείκνυται οὔτε οἱ ἐπὶ Ἰουλίου οὔτε αὐτὸς ὁ Ἰούλιος ἐγίνωσκον τὸ ὕστερον ἀναφανὲν τῆς τοῦ Ῥώμης Ἐκκλήτου πλαστούργημα.

Εἰ καὶ εἴπομεν ἀνωτέρω τὰ περὶ τῆς Συνόδου ἱστορούμενα ὑπὸ τῶν Ἀνατολικῶν συγγραφέων, ῥητέον ὅμως καὶ τὰ παρὰ τοῦ Ἱλαρίου περὶ αὐτῆς εἰρημένα, συμβάλλοντα πρὸς τελειοτέραν κατάκρισιν τῆς παπιστικῆς Ἐκκλήτου. ὁ Ἱλάριος οὖν ἀναφέρει ἐπιστολάς τινας τῆς Συνόδου, ἐν αἷς καὶ ἐπιστολὴ τῶν ἐν Φιλιππουπόλει συνελθόντων Ἀνατολικῶν ἦν ἔχουσα ὑπογραφὰς ἑβδομήκοντα τρεῖς Ἐπισκόπων, ἐν ᾗ καὶ ταῦτα φέρεται, μετὰ τὰ πολλὰ λοιπὸν ἀγαπητοὶ ἀδελφοὶ ταῦτα ὑμῖν διαῤῥήδην ἐντελλόμεθα, ἵνα μήτις ὑμῶν παρά τινος ἀπατηθεὶς κοινωνήσῃ ποτὲ Ὁσίῳ, Πρωτογένει, Ἀθανασίῳ, Μαρκέλλῳ, Ἀσκληπᾷ, Παύλῳ, Ἰουλίῳ, οὐδέ τινι τῶν κατακρίτων καὶ τῆς ἁγίας Ἐκκλησίας ἀποβληθέντων, οὐδέ τινι τῶν κοινωνούντων αὐτοῖς, ἢ δι' ἑαυτῶν, ἢ διὰ γραμμάτων, ὅθεν οὐδὲ ὑμεῖς πρὸς ἐκείνους γράφειν ὀφείλετε, οὔτε τὰ ἐκείνων γραφόμενα δέχεσθαι. καὶ κατωτέρω, ὅθεν Ἰούλιον τὸν Ῥώμης, Ὅσιον, Πρωτογένη, Γαυδέντιον καὶ Μαξιμῖνον κατέκρινε πᾶσα ἡ Σύνοδος κατὰ τὸν ἀρχαιότατον Νόμον, ὡς συνεργοὺς τῆς κοινωνίας Μαρκέλλου καὶ Ἀθανασίου. καὶ πάλιν, διὰ ταύτας οὖν τὰς αἰτίας δίκαιον ἔγνω ἡ Σύνοδος Ἰούλιον Ῥώμης, Ὅσιον καὶ τοὺς λοιποὺς τοὺς ἄνω εἰρημένους ἀφορίσαι καὶ κατακρῖναι. εἰ δὲ εἴποιτις, ὅτι οἱ τὰ τοιαῦτα γράψαντες ἦσαν Ἀρειανοὶ, ῥητέον ὅτι οὐκ ἦσαν διόλου Ἀρειανοὶ, ἐπειδὴ πολλὰ δόγματα τοῦ Ἀρείου ἀνεθεμάτισαν, καὶ τὸ Σύμβολον αὐτῶν ὡς ὀρθόδοξον ἐδέξατο ὁ Ἱλάριος, μάλιστα οἱ ἐν Σαρδικῇ ἐν οἷς γράφουσι πρὸς Ἰούλιον λέγουσι μὴ τοὺς πάντας, ἀλλὰ τινὰς αὐτῶν εἶναι Ἀρειανοὺς, φασὶ γὰρ, δῆλον γέγονε παρὰ πᾶσι τοῖς συνελθοῦσιν ἐξ Ἀνατολῶν, οἵτινες ἑαυτοὺς καλοῦσιν Ἐπισκόπους, εἰ καὶ ἐξ αὐτῶν εἰσίτινες ὧν τὰς διανοίας ἡ ἀρειανικὴ Αἵρεσις ᾠῷ ἔβαψε θανατηφόρῳ. ἀλλὰ δὴ καὶ ἐν τῇ πρὸς πάσας τὰς Ἐκκλησίας ἐπιστολῇ λέγουσιν, ἤκουσαν ὅτι εὑρίσκονται ἀναμεταξὺ αὐτῶν πολλοὶ τῆς ὀρθῆς πίστεως, ὅθεν οὐ πάντας ἐκείνους τοὺς Ἀνατολικοὺς ἐκάθηραν, ἀλλ' ἕνδεκα μόνον, καὶ ἐκ τούτων τρεῖς μὲν διὰ τὸ παρανόμως ἀρχιερατεῦσαι, ὀκτὼ δὲ Ἀρειανοὺς

ανοὺς, ὥστε οὐ πάντας Ἀρειανοὺς οἰητέον, οὔτε μὴν ῥητέον. Ἀλλὰ λέγουσιν οἱ παπισταὶ ὅτι ἐξ ἐκείνων τινὲς ἦσαν Ἡμιαρειανοὶ, οἷς ἀποκρινόμενοι λέγομεν ὅτι οὕτως ἔχει, πλὴν ὅτε ἔγραφον τὴν καθαίρεσιν Ἰουλίου καὶ τῶν λοιπῶν ἐνομίζοντο ὀρθόδοξοι, ὅθεν ὁ Ἰούλιος ἀγαπητοὺς ἀδελφοὺς ὠνόμασεν αὐτοὺς, καὶ εἰ ἀπήρχοντο εἰς Σαρδικὴν, ἐκοινώνουν ἂν τῇ Συνόδῳ ὡς κοινωνοὶ, διεκρίθησαν δὲ μετὰ τὰς κατ' ἀλλήλων καθαιρέσεις οὐκ ἀπὸ τῶν κατὰ τὴν Οἰκουμένην ὀρθοδόξων, ἀλλὰ παρὰ τῶν ἐν Σαρδικῇ συνελθόντων ὡς μαρτυρεῖ ὁ Σωζόμενος βιβλίῳ τρίτῳ, κεφαλαίῳ δεκάτῳ τρίτῳ, λέγων, μετὰ ταύτην δὲ τὴν Σύνοδον οὐκ ἔτι ἀλλήλοις ὡς ὁμοδόξοις ἀπεμίγνυντο, οὐδὲ ἐκοινώνουν, οἱ μὲν ἀνὰ τὴν Δύσιν μέχρι Θρᾳκῶν σφὰς χωρίσαντες, οἱ δὲ ἀνὰ τὴν Ἕω μέχρις Ἰλλυριῶν, τὰ δὲ τῶν Ἐκκλησιῶν ὡς εἰκὸς ἐν διχονοίαις συγκέχυτο. οὐκ ἐχωρίσθησαν λοιπὸν οἱ ἐν Φιλιππουπόλει Πατέρες τῶν λοιπῶν Ἀνατολικῶν, καὶ ἐν ταῖς γενομέναις ἐν ταῖς Ἐπαρχίαις Συνόδοις ἐκάθηντο ὡς καὶ οἱ λοιποὶ, καὶ τὸ δὴ θαυμαστὸν, ὁ μέγας Βασίλειος ὡς εἴρηται ἔκρινε περὶ Μαρκέλλου ὡς κεκρίκασιν οἱ ἐν Φιλιππουπόλει, τοὺς δὲ ἐν Σαρδικῇ ἐμέμφθη δικαιώσαντας αὐτὸν ὡς ῥηθήσεται. καθηρέθη λοιπὸν παρὰ τῶν Ἀνατολικῶν ὁ Ἰούλιος Πάπας, οἵτινες διὰ τὸ μὴ συνελθεῖν ἐν Σαρδικῇ ἐμέμφθησαν, καὶ διὰ τὸ καθελεῖν Ἀθανάσιον, Ἀσκληπᾶν, Ὅσιον καὶ Ἰούλιον καὶ τοὺς τάδε καὶ τάδε Ἐπισκόπους. οὐδεὶς δὲ ἐμέμψατο αὐτοὺς ἰδικῶς ἢ ἐξαιρέτως ὅτι ἐκάθηραν τὸν μὴ κρινόμενον ὑπ' οὐδενὸς, ἢ ἔσχατον κριτὴν, ἢ ἀναμάρτητον δεσπότην, ἢ καθόλου Ἐπίσκοπον Ἰούλιον. ἐξ οὗ δῆλον γίνεται ὅτι μήτε οἱ ἐπὶ Ἰουλίου Χριστιανοὶ, μήτε αὐτὸς ὁ Ἰούλιος ἐγίνωσκον τὸ μεταταῦτα ἀναφανὲν τῆς ῥωμαϊκῆς Ἐκκλησίας τῆς Ἐκκλήτου πλαστούργημα. οὐδὲν οὖν προσεγένετο ὄφελος τοῖς παπισταῖς μήτε ἀπὸ τῆς ἐν Σαρδικῇ Συνόδου, ἀλλὰ μάλιστα προφανὴς καταστροφὴ τῆς γενικῆς καὶ ἀναμαρτήτου προεδρίας. ἰδὲ ἔτι κατωτέρω βιβλίου τρίτου, κεφαλαίου δεκάτου ὀγδόου Παράγραφον δέκατον ἕκτον.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ἐπιχείρημα παπιστῶν ὑπὲρ τοῦ παπισμοῦ ἀπὸ τῆς ἐπιστολῆς ἣν ἔπεμψεν ὁ Πάπας Ἰούλιος εἰς Ἀλεξάνδρειαν ὑπὲρ Ἀθανασίου ἐν ἔτει τριακοσιοστῷ τεσσαρακοστῷ ἐνάτῳ, καὶ καθαίρεσις ἀπὸ τῆς αὐτῆς ἐπιστολῆς τῆς Ἐκκλήτου τοῦ Ῥώμης καὶ τοῦ παπισμοῦ.

Ἐπιχειρίζονται οἱ παπισταὶ καὶ ἀπὸ τῆς ἐπιστολῆς ταύτης καὶ λέγουσιν, ἰδοὺ ὁ Ῥώμης Ἰούλιος συνεστήσατο τὸν Ἀθανάσιον ἐν Αἰγύπτῳ, ἀπέδωκε γὰρ αὐτῷ πάλιν τὴν εἰς τὸν ἴδιον θρόνον κάθοδον διὰ τῆς ἐπιστολῆς αὐτοῦ, ἄρα ὁ Ῥώμης καθόλου ἐστὶν Ἐπίσκοπος, ἐπειδὴ τοῖς πᾶσι τὰ πάντα δύναται. Ἀλλὰ ῥητέον πρὸς ταῦτα πρῶτον, ὅτι ὁ Ἱεροσολύμων Μάξιμος συνεστήσατο τὸν Ἀθανάσιον ἐν Αἰγύπτῳ, ἀπέδωκε γὰρ αὐτῷ τὴν εἰς τὸν ἴδιον θρόνον κάθοδον διὰ τῆς ἐπιστολῆς αὐτοῦ, ὁ Ἱεροσολύμων ἄρα καθόλου ἐστὶν Ἐπίσκοπος, ἐπειδὴ τοῖς πᾶσι τὰ πάντα δύναται. εἰ δὲ τὸ δεύτερον γελοῖον, ἄρα καὶ τὸ πρῶτον. τὸν γὰρ Ἀθανάσιον οὐχ ὁ Ῥώμης, ἀλλ' αἰτήσει καὶ ἀπειλῇ τοῦ Βασιλέως τῆς Δύσεως Κώνσταντος, μετεπέμψατο ὁ Βασιλεὺς τῆς Ἀνατολῆς Κωνσταντίος ἀπὸ τῆς Ἰταλίας, καὶ ἀπέδωκεν αὐτῷ τὴν εἰς τὸν ἴδιον θρόνον κάθοδον. τοῦτο δέδεικται ἀνωτέρω καὶ δείκνυται καὶ ἤδη, φησὶ γὰρ ὁ Κώνστας γράφων τῷ Κωνσταντίῳ, ὧδε μὲν εἰσι παρ' ἐμοὶ Ἀθανάσιος καὶ Παῦλος, ἀλλὰ πυνθανόμενος διέγνων εὐσεβείας αὐτοὺς χάριν διώκεσθαι. εἰ μὲν οὖν ἐπαγγέλλῃ ἀποδιδόναι τούτοις τοὺς θρόνους, ἐπαμυνόμενος τοὺς μάτην αὐτοῖς προσφυομένους, ἀποστελῶ πρὸς σὲ τοὺς ἄνδρας, εἰ δ' ἀνανεύοις ταῦτα οὕτω ποιεῖν, εὖ ἴσθι ὅτι αὐτὸς ἐγὼ αὐτόθι ἐπιγενόμενος ἄκοντός σου τούτοις τοὺς οἰκείους ἀποδίδωμι θρόνους. ταῦτα γνοὺς ὁ τῆς Ἑώας Βασιλεὺς, εἰς ἀγωνίαν οὐ τὴν τυχοῦσαν κατέστη, Σωκράτης βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ. ταῦτα οὖν γράψαντος τοῦ Κώνσταντος, ὁ Κωνσταντίος ἡδέως τὸν Ἀθανάσιον ἐκάλεσε, καὶ ἐρχομένῳ Ἀθανασίῳ πρὸς Κωνσταντίον ἔδωκεν αὐτῷ καὶ ὁ Ῥώμης Ἰούλιος ὡς ὁμόφρονι καὶ πρὸς τοὺς ὁμόφρονας ἐπιστολὴν συγχαρητικὴν, οὐκ ἐξουσιαστικὴν, ὅπερ εἰ καὶ πρόδηλόν ἐστι, δείκνυται ὅμως καὶ ἀπὸ τῶν ἐν τῇ ἐπιστολῇ ῥημάτων, γράφει γὰρ ὁ Ἰούλιος τοῖς Ἀλεξανδρεῦσι, συγχαίρω τοίνυν ὑμῖν, ὅτι τὰς ψυχὰς ἐν τῇ πίστει ἀκαταμαχήτους τετηρήκατε. Καὶ, ἀποδίδοται νῦν ὑμῖν ἀθῷος οὐ παρ' ἐμοῦ μόνον, ἀλλὰ καὶ παρὰ πάσης τῆς Συνόδου ἀποδειχθείς. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι πᾶσα ἡ ἐπιστολὴ ἐγκώμια καὶ ἀφήγησιν περιέχει τῶν συμβάντων τότε τῷ Ἀθανασίῳ, οὐδὲν δὲ περὶ πρεσβείας, ἢ ἐξουσίας αὐτοῦ λέγει ὁ Ἰούλιος. δεύτερον, οὐ μόνα τὰ ῥήματα ταῦτα γράφει περὶ ἑαυτοῦ ἐν τῇ ἐπιστολῇ ὁ Ἰούλιος, ἐξ ὧν δείκνυται συγχαίρειν αὐτὸν διὰ τὴν κάθοδον τοῦ Ἀθανασίου, οὐ μὴν λέγει ὅτι ἀπέδωκεν αὐτὸς τὴν κάθοδον αὐτῷ. τρίτον,

ὅτι

ὅτι ἐστάθη ἑαυτῷ καὶ ἐξουσία καὶ δυνάμει τῶν ἐν Σαρδικῇ Συνόδου ὁ Ἰούλιος, καὶ γὰρ ἀπὸ τῆς ἐν Σαρδικῇ Συνόδου βεβαιοῖ τῶν κρίσιν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, εἶπε γάρ, ὅτι ἀποδίδοται νῦν ὑμῖν ἀθῷος ὁ παρ' ἐμοῦ μόνον, ἀλλὰ καὶ ὑπὸ πάσης τῆς Συνόδου ἀποδεχθείς, ὅπερ ἐστὶ δικαστικὸν ἐστὶ τοῦ εἶναι τῶν ἐν Σαρδικῇ Συνόδου ἐπὶ τοῦ Πάπα, καὶ ὁ τὸ ἀνάπαλιν. δεύτερον, ὅτι τῶν κάθοδον Ἀθανασίῳ ἀποδεδώκασιν οἱ Βασιλεῖς κατὰ τῶν ἀπόφασιν τῆς ἐν Σαρδικῇ Συνόδου, ὡς δέδεκται ἀνωτέρω, καὶ νῦν δείκνυται. γράφει γὰρ ὁ Κωνσαντίος εἰς τῶν Ἰταλίαν ὅτι Ἀθανασίῳ, ἀφόβως ταῖς ἡμετέραις προσόψεσι ταχεῖαν τῶν σαυτοῦ παρουσίαν ποιήσεῖν ἀσφάλης, καὶ παρασθεὶς ἡμῶν τῆς φιλανθρωπίας, ταῖς ἰδίαις ἀποκατασταθῆς, τοῦτο γὰρ σὲ ἕνεκα καὶ τὸν δεσπότην καὶ ἀδελφόν μου Κώνσαντα τὸν νικητῶν Αὔγουστον ὑπὲρ σοῦ παρεκάλεσα, ἵνα τοῦ ἐλθεῖν ἐξουσίαν σοι δῶ, ἐπὶ τῷ ἀμφοτέρῳ ἡμῶν ἐπινοησάντων, τῇ πατρίδι ἀποκατασταθῆς, ἔχων τοῦτο τῆς ἡμῶν χάριτος ἐνέχυρον. Ὁ αὐτὸς ἐπιστολῇ πρὸς τοὺς Ἐπισκόπους καὶ πρεσβυτέρους τῆς Ἐκκλησίας Ἀλεξανδρέων γράφει περὶ τοῦ αὐτοῦ, ἀποδαβὼν βασιλήσει τοῦ κρείττονος καὶ κρίσει τῇ ἡμετέρᾳ τῶν πατρίδα ὁμοῦ καὶ τῶν Ἐκκλησίαν, ἧς θεῷ νεύμαλι προστάτης ἐτύγχανον. Οὗτος γράφων τῇ Ἐκκλησίᾳ Ἀλεξανδρέων ὑπὲρ τοῦ αὐτοῦ Ἀθανασίου λέγει, τὸν Ἐπίσκοπον ψήφῳ τοῦ κρείττονος· καὶ ἡμετέρᾳ γνώμῃ ἀπεσαλμένον ἡδέως δέξασθε, Σωκράτης βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ τρίτῳ. δείκνυται δὲ ἐκ τῶν ἐπιστολῶν τούτων πρῶτον, ὅτι ἐπηνέυσει τῶν δύο Βασιλέων, βουλήσει δηλαδὴ τοῦ κρείττονος· καὶ κρίσει τοῦ Κωνσαντίου, καὶ ψήφῳ τοῦ κρείττονος· καὶ γνώμῃ τοῦ Κωνσαντίου κατῆλθεν ὁ Ἀθανάσιος εἰς τῶν πατρίδα αὐτοῦ, καὶ ἔλαβε τὸν θρόνον αὐτοῦ. Τοῦ δὲ Ῥώμης ἐδὲ μία μνήμη, ὡς ἐδὲ ἄλλου τινὸς Ἐπισκόπου. δεύτερον, φησὶν ὁ Σωκράτης περὶ μὲν Τοῦ Παύλου ὅτι ὁ τῶν Ἑσπερίων Βασιλεὺς γράμμασί τε τοῖς οἰκείοις, ἔτι τε καὶ τοῖς ἀπὸ τῆς Συνόδου κατοχυρώσας, ἀποστέλλει ἐπὶ Κωνσαντινούπολιν, τὸν δὲ Ἀθανάσιον ἐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δὶς καὶ τρὶς ἐκάλει παρ' ἑαυτὸν, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ τρίτῳ, ἐδὲ μία δὲ μνήμη τοῦ Ῥώμης περὶ ἐξουσίας καὶ αὐθεντίας, ἀλλὰ πᾶσα ἡ ἐξουσία μαρτυρεῖται εἶναι τῶν Βασιλέων καὶ τῆς ἐν Σαρδικῇ Συνόδου, ὅθεν ὁ αὐτὸς ἐπιλέγει εἰπεῖν τὸν Κωνσαντίον πρὸς τὸν Ἀθανάσιον, τὸν μὲν θρόνον τὸν σαυτοῦ ψήφῳ τῇ Συνόδου καὶ ἡμετέρᾳ συναινέσει ἀπείληφας, βιβλίῳ καὶ κεφαλαίῳ τῷ αὐτῷ. τρίτον, φησὶν ὁ αὐτὸς ὅτι λαβὼν τὰς ἐπιστολὰς τοῦ Κωνσαντίου ὁ Ἀθανάσιος, ἐπὶ τῶν Ῥώμιν αὐέδραμεν, ἐπιδείξας τε τὰ γράμματα τῷ Ἐπισκόπῳ Ἰουλίῳ, ἐν μείζῃ χαρᾷ τῶν Ῥωμαίων Ἐκκλησίαν κατέσησεν. ἐδόκει γὰρ καὶ ὁ τῆς Ἑώας Βασιλεὺς σωτίθεσθαι αὐτῶν τῇ πίστει διὰ τὸ καλεῖν Ἀθανάσιον παρ' ἑαυτόν. Ἰούλιος δὲ τοῖς ἐν Ἀλεξανδρείᾳ Κληρικοῖς τε καὶ λαοῖς τάδε περὶ Ἀθανασίου ἀπέσταλκεν. ὅπερ λέγει ὁ Σωκράτης τοῦτ' ἔστιν, ὅτι ὁ Βασιλεὺς τῆς Δύσεως μαθὼν τὰ ἐν Σαρδικῇ κεκριμένα, ἐφόβησε τὸν ἀδελφὸν αὐτοῦ Κωνσάντιον ἵνα δώσῃ τὸν θρόνον Ἀθανασίῳ καὶ Παύλῳ, διατοῦτο ὁ Κωνσαντίος ἔγραψε τῷ Ἀθανασίῳ ἵνα ἀπέλθῃ πρὸς αὐτὸν, καὶ δώσῃ αὐτῷ τὸν θρόνον αὐτοῦ, ὁ δὲ Ἀθανάσιος δύσκωμῳ ἐν Ἀκυληίᾳ, ἀπῆλθεν εἰς Ῥώμην ἵνα ἀποχαιρετήσῃ τὸν Ἰούλιον καὶ τὴν Ἐκκλησίαν Ῥωμαίων διὰ τὴν πρὸς αὐτὸν φιλοξενίαν. ὁ Ἰούλιος δὲ μὴ ἔχων εἰδήσιν τινα περὶ τῆς ἀποκατασάσεως Ἀθανασίου, καὶ μαθὼν ταύτην ἐχάρη, καὶ διὰ τὸν Ἀθανάσιον, καὶ διότι ἐνόμισε τὸν Κωνσαντίου γενέσθαι ὀρθόδοξον. ἔγραψε δὲ πρὸς τοὺς Ἀλεξανδρεῖς συγχαίρων αὐτοῖς διὰ τὴν ἀποκατάστασιν τοῦ Ἐπισκόπου αὐτῶν. σημείωσαι δὲ ὡς ἐκ τούτων πάντων δείκνυται, ὅτι ὁ Ἰούλιος ἔγραψεν εἰς Ἀλεξάνδρειαν διὰ συμπάθειαν, ἐ διὰ μοναρχικὴν ἐξουσίαν. τέταρτον, ὅτι φησὶν ὁ αὐτὸς ὅτι, ταῖς ἐπιστολαῖς τοῦ Κωνσαντίου πρὸς τοὺς Αἰγυπτίους ὀχυρωθεὶς ὁ Ἀθανάσιος Ἐπίσκοπος διὰ τῆς Συρίας ὁρμήσας καὶ Παλαιστίνης ἐπέβη, καταλαβών τε τὰ Ἱεροσόλυμα, καὶ τοῦ Ἐπισκόπου Μαξίμου καταφανῆ ποιήσας τὰ ὑπὸ τῆς ἐν Σαρδικῇ Συνόδου γινωσκόντα, καὶ ὡς ὁ Βασιλεὺς Κωνσάντιος τῇ ἐκείνων κρίσει ἐγκέτρο σύμψηφος, πρασκολάζει Συνόδου τῶν ἐκεῖ Ἐπισκόπων γενέσθαι, Μάξιμός τε μηδὲν ἀμελήσας, μετεπέμπετο ἄνδρας τῶν ἀπὸ Συρίας καὶ Παλαιστίνης Ἐπισκόπων, καὶ καθίσας συνέδριον, ἀποδίδωσι καὶ αὐτὸς τὴν κοινωνίαν Ἀθανασίῳ καὶ τὴν ἀξίαν. γράφει τε καὶ αὐτὴ ἡ Σύνοδος· τοῖς τε ἐν Ἀλεξανδρείᾳ καὶ πᾶσι τοῖς ἐν Αἰγύπτῳ καὶ Λιβύῃ Ἐπισκόποις τὰ ἐγνωσμένα καὶ ἐψηφισμένα περὶ Ἀθανασίου, ὅτι πρότερον καθελοῦσα αὐτὸν, αὖθις ἐκ μεταμελείας ὡς μηδενὸς γενομένου, ψῆφον ὑπὲρ Ἀθανασίου ἐξήνεγκε, τιμῶσα κοινωνίαν αὐτῷ καὶ τὴν ἀξίαν παρέχουσα, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ τετάρτῳ. πέμπτον, ὅτι καὶ ὁ Σωζόμενος φησὶ, πολλοὶ δὲ καὶ τῶν Ἐπισκόπων τῆς πρὸς αὐτὸν ἀπεχθείας μετέθεντο, καὶ κοινωνίας μετέδοσαν ὡς Παλαισινοὶ, παρελόντα γὰρ αὐτὸν τότε δι' αὐτῶν, ὁμοίως προσεδέξαντο, καὶ Συνόδου ἐν Ἱεροσολύμοις ἐπιτελέσαντες Μάξιμος καὶ ἕτεροι, ἔγραψαν περὶ αὐτοῦ τοῖς ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Ἀλεξανδρείᾳ Πρεσβυτέροις καὶ Διακόνοις ταῦτα, ἰδὲ γὰρ ἡμεῖς πάντα ὑπὲρ τῆς ἐκκλησιαστικῆς εἰρήνης πράττοντες, καὶ τῇ ὑμετέρᾳ συμπνέοντες ἀγάπῃ, προσλαβόντες αὐτὸν πασασάμεθα. καὶ, ἵνα ἰδῆτε τὸ συνδέσμῳ τῆς ἀγάπης πρὸς αὐτὸν καὶ ἡμᾶς ἡνῶσθαι, ὀφείλετε δὲ καὶ ὑπὲρ τῆς δυσεβείας τῶν θεοφιλεστάτων Βασιλέων εὔχεσθαι, οἵτινες καὶ

καὶ αὐτοὶ γνόντες τὸν πόθον ὑμῶν καὶ τὴν αὐτοῦ καθαρότητα, ἀποκαταστῆσαι ὑμῖν αὐτὸν μετὰ πάσης τιμῆς κατηξίωσαν, βιβλίῳ τρίτῳ, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ. ἕκτον, ὁ αὐτός φησι, Παῦλος δὲ καὶ Μάρκελλος καὶ Ἀσκληπᾶς τε καὶ Λούκιος τοὺς ἰδίους ἀπέλαβον θρόνους, καὶ γὰρ δὴ τούτοις γράμματα Βασιλέως ἐπέτρεψε τὴν ἐπάνοδον, βιβλίῳ τρίτῳ, κεφαλαίῳ ἐσχάτῳ. ἕβδομον, καὶ ὁ Θεοδώριτός φησιν, ὁ Κωνσταντίος ἀπέστειλε καὶ ἅπαξ καὶ δὶς, καὶ μέντοι καὶ τρὶς προτρέπων (τὸν Ἀθανάσιον) ἐκ τῆς Ἑσπέρας ἐπανελθεῖν. Καὶ, οὕτως αὐτὸν ἐπανελθόντα εὐμενῶς εἶδε, καὶ τὴν Ἀλεξανδρέων ἀπολαβεῖν Ἐκκλησίαν ἐκέλευσε, λόγῳ δευτέρῳ καὶ κεφαλαίῳ δεκάτῳ καὶ δωδεκάτῳ. Ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι ὥσπερ ἀχυρωθεὶς ταῖς ἐπιστολαῖς τοῦ Κωνσταντίου ὁ μέγας Ἀθανάσιος, ὡς λέγει ὁ Σωκράτης, πρὸς τοὺς Αἰγυπτίους ἀπέβη, καὶ οὐκ ἔλαβεν ἐκ τούτου ὁ Κωνσταντίος ἐν τῇ Ἐκκλησίᾳ ἀξίωμα τοῦ εἶναι κεφαλὴν αὐτῆς, οὕτως ὀχυρωθέντων Παύλου καὶ Ἀθανασίου τοῖς γράμμασιν Ἰουλίου, ὡς ἔλεγεν ὁ αὐτὸς βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ πέμπτῳ, οὐκ ἔλαβεν ἐκ τούτου ὁ Ἰούλιος γενικόντι ἐν τῇ Ἐκκλησίᾳ ἀξίωμα. δεύτερον, ὅτι ὁ Κωνσταντίος τὴν μὲν κρίσιν Ἰουλίου περὶ Παύλου καὶ Ἀθανασίου ἀποδοκιμάσας, εὐθὺς τοὺς ἄνδρας τῶν θρόνων ἐξεδίωξεν, ὡς εἴρηκεν ἀνωτέρω βιβλίῳ καὶ κεφαλαίῳ τῷ αὐτῷ ὁ Σωκράτης, τῇ κρίσει ὅμως τῆς ἐν Σαρδικῇ Συνόδου σύμψηφος ἐγένετο, ἐπειδὴ ἡ ἐν Σαρδικῇ Σύνοδος μείζων τῷ ἀξιώματι τοῦ Ἰουλίου καὶ τῆς ἐν Ῥώμῃ Συνόδου αὐτοῦ. τρίτον, ὡς ὁ Ἰούλιος ἅτε τῆς ἐν Ῥώμῃ Ἐκκλησίας προνόμια ἐχούσης γράμμασι παῤῥησιαστικοῖς ὠχύρωσε Παῦλον καὶ Ἀθανάσιον, καὶ ἐπὶ τὴν Ἀνατολὴν ἀπέστειλε τὸν οἰκεῖον ἑκάστου τόπον ἀποδιδοὺς, οὕτως ὁ Ἱεροσολύμων Μάξιμος συνέδριον καθίσας, ἀποδίδωσιν Ἀθανασίῳ καὶ τὴν κοινωνίαν καὶ τὴν ἀξίαν, ἤτοι τὴν Ἱερωσύνην καὶ τὸν θρόνον αὐτοῦ, καὶ ἐπὶ τὴν Αἴγυπτον ἀποστέλλει. ἐκεῖνος μὲν διὰ τὸ εἶναι τὴν ἐν Ῥώμῃ Ἐκκλησίαν ἀποστολικὸν θρόνον, καὶ ἀποφήνασθαι διὰ Συνόδου νομίμου εἶχε προνόμια, οὗτος δὲ διὰ τὸ εἶναι τὴν ἐν Ἱεροσολύμοις Ἐκκλησίαν ἀποστολικὸν θρόνον, καὶ διὰ τὸ συνοδικῶς ἀποφήνασθαι εἶχε τὰ αὐτὰ προνόμια. τέταρτον, ὡς ὁ Ῥώμης τῆς ἐν Ἀντιοχείᾳ Συνόδου καθήψατο, καθώς φησιν ὁ Σωκράτης ἐν τῷ αὐτῷ τόπῳ, οὕτω πολλοὶ Ἐπίσκοποι τῷ Ἀθανασίῳ ἀπεχθάνοντο, καὶ τῆς κοινωνίας αὐτοῦ ἀπεστέλλοντο, καὶ ὁ Ἱεροσολύμων Μάξιμος καθεῖλεν αὐτὸν, εἰ καὶ μεταμεληθεὶς, ἄπρακτα ἐποίησε τὰ πρῶτα, καὶ ἀπέδωκεν αὐτῷ ἤδη καὶ τὴν κοινωνίαν καὶ τὴν ἀξίαν. πέμπτον, ὁ Ἰούλιος ἔγραψε τοῖς Αἰγυπτίοις ὑπὲρ Ἀθανασίου, εἰ δὲ ἦν ἐπὶ πάντων Ἐπίσκοπος καὶ μονάρχης, πῶς ὁ Ἱεροσολύμων οὐκ ἐπείσθη ὡς μέρος τῇ κεφαλῇ, καὶ ὡς ἐμμέσως ἔχων τὴν Ἱερωσύνην τῷ ἀμέσως ἔχοντι ταύτην παρὰ Θεοῦ Ἰουλίῳ, ἀλλὰ Σύνοδον καθίσας, ἐπὶ τῇ ἀποφάσει τοῦ Ἰουλίου διώρισεν αὐτὸς λαμπρότερον καὶ ἐξουσιαστικώτερον; καὶ γὰρ ὁ μὲν Ἰούλιος ἔγραψε συγχαίρων, ὁ δὲ Ἱεροσολύμων γράψας, ἀπέδωκεν αὐτῷ καὶ τὴν κοινωνίαν καὶ τὴν ἀξίαν. ἕκτον, εἰ ἦν ὁ Ῥώμης μονάρχης, καὶ διὰ τοῦτο γράψας ἀποκατέστησε τὸν Ἀθανάσιον, πῶς ὁ Ἀθανάσιος οὐκ ἐνεφάνισε τῷ Μαξίμῳ τὴν ἐπιστολὴν τοῦ κοινοῦ πατρὸς καὶ κοινοῦ Διδασκάλου τοῦ μονάρχου Ἰουλίου, ἀλλὰ τὰ γνωσθέντα τῇ ἐν Σαρδικῇ Συνόδῳ μόνα ἐποίησεν αὐτῷ καταφανῇ; καὶ πῶς ὁ Κωνσταντίος οὐκ ἐγένετο σύμψηφος τῷ μονάρχῃ τῆς Ἐκκλησίας, ἀλλὰ τοῦτον παριδὼν, σύμψηφος ἐγένετο τῇ ἐν Σαρδικῇ Συνόδῳ; καὶ πῶς οὐδεὶς τῶν ἱστορικῶν ἢ τῶν ἁγίων πατέρων οὐκ εἶπεν ὅτι ὁ Κωνσταντίος καὶ ὅσοι τῷ τότε καιρῷ ἀντεῖπον τῷ Ἰουλίῳ μὴ πιστεύσαντες εἰς τὸν Ἰούλιον καὶ μὴ πεισθέντες αὐτῷ οὐκ ἔχουσι σωτηρίαν; ἕβδομον, Παῦλῳ καὶ Μαρκέλλῳ καὶ τοῖς περὶ αὐτοὺς οὐχ ὁ Ῥώμης, ἀλλ' ὁ Βασιλεὺς ἐπέτρεψε τὴν ἐπάνοδον καὶ τοὺς οἰκείους ἀπέλαβον θρόνους. ὄγδοον, καὶ κατὰ Θεοδώριτον ὁ Κωνσταντίος ἅπαξ καὶ δὶς καὶ μέντοι καὶ τρὶς καλέσας τὸν Ἀθανάσιον, εὐμενῶς εἶδε, καὶ τὴν Ἀλεξανδρέων ἐκέλευσεν ἀπολαβεῖν Ἐκκλησίαν, τοῦ Ῥώμης δηλονότι μήτε γινώσκοντος, μήτε ἐρωτωμένου, μήτε κἂν εἰς μνήμην ἐρχομένου. ἔνατον, ἐντεῦθεν ἐστὶν εὐδιάλυτον ὅπερ φησιν ὁ Σωκράτης βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ (καὶ τὰ λοιπὰ τοῦ αὐτοῦ γένους ἅπερ φησι Θεοδώριτος καὶ Σωζόμενος) ἤτοι τοῦ ἐκκλησιαστικοῦ Κανόνος κελεύοντος μὴ δεῖν παρὰ γνώμην τοῦ Ῥώμης Ἐπισκόπου κανονίζειν τὴν Ἐκκλησίαν. ῥητέον γὰρ πρὸς τοῦτο πρῶτον, ὅτι ἐκκλησιαστικὸν Κανόνα λέγει ἤτοι συνήθειαν καὶ ἐκκλησιαστικὴν τάξιν καὶ παράδοσιν, οὐ τὸ, σὺ εἶ Πέτρος, καὶ ἑξῆς τὰ τῆς ἀνοίας τῶν παπιστῶν ῥητὰ ἅπερ προσφέρουσι παρεξηγούμενοι τὰ κυριακὰ λόγια. δεύτερον, ὅτι φησὶν, ἡ ἑβδόμη Οἰκουμενικὴ Σύνοδος, ἥτις καὶ πολλαπλασίως ἀξιοπιστοτέρα ἐστὶ τῶν περὶ τὸν Σωκράτην λέγει, ὡς ἄνευ τῶν Πατριαρχῶν οὐγίνεται Σύνοδος, τὸ δὲ παρὰ γνώμην τοῦ Ῥώμης Ἐπισκόπου οὐδεὶ κανονίζειν τὴν Ἐκκλησίαν, ταὐτόν ἐστι τῷ ἄτερ τῶν Πατριαρχῶν οὐγίνεται Σύνοδος. ἀποδέδεικται τοίνυν καὶ ἐκ τῆς ἐπιστολῆς ταύτης τοῦ Ἰουλίου προφανέστατα οὐμοναρχικὸν, ἀλλὰ ἀριστοκρατικὸν ἀξίωμα, καὶ οὐγενικήτις ἐξουσία, ἀλλὰ κοινήτις ἰσοτιμία καὶ ποίμανσις ἰσοδύναμος, οἰκονομίατε καὶ σύμπνοια καὶ ἀδελφικὴ συμπάθεια καὶ συμφωνία.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῶν πεπραγμένων ὑπὸ τοῦ μεγάλου Ἀθανασίου ἀπὸ Ῥώμης εἰς Ἀλεξάνδρειαν ἐπανερχομένου, καὶ τῶν ἐν Ἱεροσολύμοις καὶ Ἀλεξανδρείᾳ Συνόδων ὑπὲρ Ἀθανασίου καὶ κατὰ τῆς Αἱρέσεως Ἀρείου, καὶ βεβαιώσεως τῆς ἐν Σαρδικῇ Συνόδου, καὶ ψευδομετανοίας Οὐρσακίου καὶ Οὐάλεντος, περὶ τῆς ἀρχῆς τοῦ Κωνσταντίου καὶ ἐν Ῥώμῃ μετὰ τὴν τελευτὴν Κώνσταντος, καὶ ἀποκρύψεως Ἀθανασίου, ἐξορίας Παύλου καὶ Θανάτου, καὶ Λουκίου τελευτῆς ἐν φυλακῇ, καὶ ἀποδιώξεως Μαρκέλλου, καὶ ὧν συνέβησαν τῇ πίστει ἐν Κωνσταντινουπόλει καὶ Ἀλεξανδρείᾳ.

Ἐπαναλαμβάνοντες τὰ ἀρημένα, λέγομεν ὅτι ἔρχεται ὁ μέγας Ἀθανάσιος ἀπὸ τῆς Δύσεως εἰς τὸν Βασιλέα Κωνστάντιον, ἀφ' οὗ ἀπερχόμενος εἰς τὴν Ἀλεξάνδρειαν, διοδεύει ἀπὸ τῆς Ἱερουσαλήμ, καὶ ἀθροίζει ὁ Ἱεροσολύμων ἐπίσκοπος Μάξιμος τοπικὴν Σύνοδον, καὶ βεβαιοῖ τὰ ἐν Σαρδικῇ πεπραγμένα, γράφει δὲ καὶ συνοδικῶς εἰς τὴν Αἴγυπτον καὶ Λιβύην καὶ Ἀλεξάνδρειαν, καὶ ἀποδίδωσι καὶ αὐτὸς τῷ ἁγίῳ Ἀθανασίῳ καὶ τὴν κοινωνίαν καὶ τὴν ἀξίαν, καὶ ὅλως αὕτη ἡ Σύνοδος ἀποδείκνυσι μάταια τὰ ἐν Τύρῳ καὶ Ἱεροσολύμοις ὑπὸ τῶν ἐγκαινίων κατὰ Ἀθανασίου γενομένα, καθὼς καὶ ὁ Κωνσταντίου διὰ τοῦ ἰδίου βασιλικοῦ γράμματος ἐβεβαίωσε, καὶ μετανοοῦσιν Οὐρσάκιος καὶ Οὐάλης οἱ ὑπερασπισταὶ τῶν Ἀρειανῶν, καὶ σωτίζονται τῷ Ὁμοουσίῳ, καὶ ζητοῦσι συγχώρησιν παρὰ τοῦ Ῥώμης Ἰουλίου καὶ τοῦ ἁγίου Ἀθανασίου, τοῦ μὲν, ὡς ἰδίου Ἐπισκόπου, τοῦ δὲ, ὡς συκοφαντηθέντος ὑπ' αὐτῶν, εἰ καὶ ὕστερον ἐψεύσθησαν, Ἑρμείας βιβλίῳ τρίτῳ, κεφαλαίῳ εἰκοστῷ πρώτῳ, εἰκοστῷ δευτέρῳ καὶ εἰκοστῷ τρίτῳ. Σωκράτης βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ τετάρτῳ. ἀπερχόμενος εἰς τὴν Ἀλεξάνδρειαν ὁ μέγας Ἀθανάσιος ἀπὸ τοῦ Πηλουσίου κατὰ πόλιν καὶ χώραν, διαπερμαχεῖ μὲν τῆς καθολικῆς πίστεως, ποιεῖ δὲ καὶ χειροτονίας τινάς. λέγεται δὲ τότε καὶ ἀπὸ τῶν ἄλλων ἐθνῶν τὴν ὁδοιπορίαν ποιούμενον τὰ ὅμοια πράξαι εἰ συμβαίνει ταῖς Ἐκκλησίαις ὑπὸ τῶν τοῦ Ἀρείου κατέχεσθαι, δηλονότι ἐχειροτόνει εἰς τοὺς τοιούτους τόπους ὁμοδόξους Ἐπισκόπους. ἔνθα εἰς τὴν Ἀλεξάνδρειαν ἀθροίζει Σύνοδον, καὶ ἀναθεματίζει μὲν τὴν Αἵρεσιν τοῦ Ἀρείου, βεβαιοῖ δὲ τὰ περὶ τοῦ Ὁμοουσίου ἐν Σαρδικῇ καὶ ἐν Ἱεροσολύμοις πεπραγμένα. ἐν τούτοις μετῆλθαν εἰς τὰς αἰωνίους μονὰς ὁ Βασιλεὺς τῶν Ἐπαρχείων μετὰ τέσσαρα ἔτη τῆς ἐν Σαρδικῇ Συνόδου, καὶ κινεῖται πάλιν ὁ ὄχλος Κωνσταντίου εἰς μέμψιν κατὰ Ἀθανασίου διὰ τὰς παρ' ἐνορείας δηθὲν χειροτονίας, καὶ τὴν κατὰ Ἀλεξάνδρειαν Σύνοδον, καὶ βάλλεται αὐτὸν ἀποκτεῖναι, ὅθεν χεῖται φυγῇ ὁ τοῦ Θεοῦ ἄνθρωπος, καὶ διαβάλλουσι τὴν τοιαύτην φυγὴν ὁ Νερωνιάδος τῆς ἐν Κιλικίᾳ Ναρκισσος, ὁ Λαοδικείας Γεώργιος καὶ ὁ Ἀντιοχείας Λεόντιος, συνήσαντες Σύνοδον ἐν Ἀντιοχείᾳ μετὰ καὶ ἑτέρων Ἐπισκόπων τὸν ἀριθμὸν ἑβδομήκοντα καὶ ἕξ, Σωζόμενος βιβλίῳ τετάρτῳ κεφαλαίῳ ὀγδόῳ. τοίνυν Παῦλον τὸν Κωνσταντινουπόλεως ἐξορίζει ὁ Κωνσταντίου εἰς Κουκοῦσον, ὅθα ἀποπνίγεται ὑπὸ τῶν Ἀρειανῶν, καὶ Μάρκελλον ἐκβάλλει, καὶ δίδωσι τὴν Ἄγκυραν Βασιλείῳ, Λούκιος δὲ ὁ Ἀδριανουπόλεως σιδηροδέσμιος εἰς τὴν φυλακὴν ἐτελεύτησε, τὰ δὲ γενόμενα ἐν Κωνσταντινουπόλει ὑπὸ Μακεδονίου, καὶ ἐν Ἀλεξανδρείᾳ ὑπὸ Γεωργίου (τοῦ γὰρ Γρηγορίου ὡς εἴρηται, ὡς σκανδάλων συμβάντων εἰς τὸν ἐνθρονιασμὸν αὐτοῦ, ἐκβληθέντος, ἀντεισῆλθεν ὁ Γεώργιος) κατὰ τῶν πιστῶν, πάσης τραγῳδίας εἰσὶν ἐπέκεινα.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἐπιστρατείας τοῦ Κωνσταντίου κατὰ Μαγνεντίου τοῦ Φονέως τοῦ Κώνστος κατὰ τὸ ὀφθὲν αὐτῷ ὄνειρον, καὶ τῆς ἐν Σιρμίῳ ὑπ' αὐτοῦ ἀθροισθείσης Συνόδου, καὶ τῆς ἐν αὐτῇ Διαλέξεως Βασιλέως Ἀγκύρας καὶ Φωτεινοῦ Σιρμίου, καὶ ἐκθέσεως ἑτέρας πίστεως, ἐν ᾗ ὑποσφέρονται ἀπὸ Δύσεως Κωνσταντίῳ ὑπέγραψαν ὁ Ῥώμης Λιβέριος καὶ ὁ Καδρύβης Ὅσιος.

Φησὶ Πέτρος ὁ Μάγνης καὶ Πατρίκιος, ὅτι Μαγνέντιος ἀποκτείνας τὸν Κώνσταντα, καὶ βασιλεύσας αὐτὸς εἰς τὴν Δύσιν, πρεσβείαν ἔστειλε περὶ εἰρήνης πρὸς Κωνσταντίου, εἶναι μέγαν Βασιλέα τὸν Κωνσταντίου δηλαδὴ καὶ εἰρηνεύειν. κατ' ὄναρ δὲ φανεὶς ὁ μέγας Κωνσταντῖνος τῷ Κωνσταντίῳ, καὶ κρατῶν τῆς χειρὸς τὸν Κώνσταντα ὃν αὐτὸς Μαγνέντιος, εἶπεν αὐτῷ, Κωνσταντίε ἰδοὺ Κώνστας ὁ παλαιῶν Βασιλέων ἀπόγονος, καὶ ἐμὸς υἱὸς, καὶ σὸς ἀδελφὸς τυραννικῶς ἀποκτείνεται. μήτε οὖν τὴν Βασιλείαν διαιρεμένην παρίδῃς, μήτε τὴν πολιτείαν ἀνατρεπομένην παρίδῃς, μήτε βλαβεὶς ἀπελάσῃς, ἀλλὰ τὴν δόξαν τὴν προξενεμένησι ἀπὸ τῆς ἐκδικήσεως τοῦ ἀδελφοῦ σου προτίμησον, καὶ μὴ παρίδῃς ἀκδίκητον ἀδελφόν. ὅθεν ὁ Κωνσταντίου ἀπερχόμενος εἰς ἐκδίκησιν, χειμάζεται εἰς τὸ Σίρμιον, ὁ δὲ Ἐπίσκοπος Σιρμίου Φωτεινὸς ὢν Αἱρετικὸς κατὰ Παῦλον τὸν Σαμοσατέα, καὶ ἀθροίζει ὁ Βασι-

Βασιλεὺς Τοπικὴν Συνόδον, καὶ παρούσης τῆς Συγκλήτου, διαλέγεται ὁ Ἀγκύρας Βασίλειος μετὰ τοῦ Φωτεινοῦ, καὶ νικᾶται ὁ Φωτεινὸς, καὶ ἐξορίζεται. οἱ δὲ εἰς τὴν Συνόδον παρόντες Ἀνατολικοὶ Ἐπίσκοποι Μάρκος Ἀρεθούσιος, Γεώργιος Ἀλεξανδείας, Βασίλειος ὁ εἰρημένος, Παγκράτιος Πηλουσίου, Ὑπατιανὸς Ἡρακλείας, καὶ τῶν Δυτικῶν Οὐάλης Μυρσῶν, καὶ Οὐρσάκιος Συγγιδόνος Ἀρειανοὶ ὄντες, εὑρόντες καιρὸν συνέθεντο ἑτέραν ἔκθεσιν πίστεως πολύστιχον ἑλληνικὴν, εἰς δὲ λατινικὴν γλῶσσαν μίαν, ἢ κατά τινας δύο, διαφερούσας καὶ κατὰ λέξιν καὶ κατὰ νοήματα ἑκάστην τῶν ἄλλων ἐκθέσεων. εἰς ἣν ὑποστρέφοντος ἀπὸ τῆς Δύσεως τοῦ Κωνσταντίου ὑπέγραψεν ὁ Λιβέριος καὶ Ὅσιος ἐν ἔτει τριακοσιοστῷ πεντηκοστῷ ἕκτῳ ὡς ῥηθήσεται.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἰδιόχειρος σφαγὴ Μαγνεντίου, ἐξορία Λιβερίου Ῥώμης ὑπὸ Κωνσταντίου, καὶ Φίληξ Πάπας Ῥώμης, Συνόδος εἰς Μεδιόλανα κατὰ τοῦ Ὁμουσίου, καὶ ἐξορίαι Ἀρχιερέων καὶ πρεσβυτέρων, ἐπανάκλησις Λιβερίου καὶ ἀρειανισμὸς αὐτοῦ τε καὶ τοῦ Ὁσίου, καὶ φόνοι ἐν Ῥώμῃ διὰ Λιβερίου, ἐξ ὧν καὶ καθαίρεσις τῆς ἀναμαρτησίας τῶν Παπῶν.

Κινεῖται λοιπὸν κατὰ Μαγνεντίου ὁ Κωνσταντίος, οὗ ἀπερχομένου εἰς τὴν Φράντζαν, σφάζεται αὐτοχειρίᾳ Μαγνέντιος. ὁ οὖν Βασιλεὺς ἅπαξ ἀποκλίνας τοῦ Ὁμουσίου, ἐνόμιζε μένοντος τοῦ μεγάλου Ἀθανασίου, μένειν ἀμετάπτωτον τὴν τοιαύτην τοῦ Ὁμουσίου λέξιν, ὅθεν μετακαλεῖται ἀπὸ Ῥώμης τὸν Πάπαν Λιβέριον τοῦ ὑπογράψαι εἰς τὴν καθαίρεσιν τοῦ ἁγίου, ἐπειδὴ αὐτὸς ἦν ὁ ἄκρος τοῦ Ὁμουσίου ὑπέρμαχος, ἤτοι ὁ Ἀθανάσιος. μὴ συγκατανεύσαντα δὲ τὸν Λιβέριον τῇ τοῦ Βασιλέως γνώμῃ, ἀλλὰ καὶ δεηθέντα αὐτοῦ ἀθροῖσαι Σύνοδον εἰς βεβαίωσιν τῆς εὐσεβείας ὡς ἐρούμεν μεταταῦτα ἐξώρισεν εἰς Βέρροιαν τῆς Μακεδονίας, καὶ ἤθροισε Σύνοδον εἰς τὰ Μεδιόλανα διακοσίων Ἐπισκόπων ἐν ἔτει τριακοσιοστῷ πεντηκοστῷ τετάρτῳ ἵνα καθαιρέσει ὑποβάλῃ τὸν ἅγιον Ἀθανάσιον. ἐννοήσαντες δὲ οἱ Δυτικοὶ, καίτοι τοῦ Λιβερίου ἀπόντος, εἶναι τὴν Σύνοδον κατὰ μὲν τὸ φαινόμενον κατὰ Ἀθανασίου, κατὰ δὲ τὸ ἀληθὲς εἰς παρατροπὴν τοῦ Ὁμουσίου, καταβοῶσι τῆς ἀδικίας, διατοῦτο ἐξορίζονται Διονύσιος Ἄλβας πόλεως Ἰταλίας, Εὐσέβιος Μαρκέλλων Λιγυρίας, Παυλῖνος Τριβέρεως Γαλλίας, Λουκίφερ Σαρδηνίας καὶ ὁ θεῖος Ἱλάριος. καὶ θρηνεῖ Ἀντιόχεια δι' Εὐστάθιον τὸν ὁμολογητὴν, Βαλανέαι δὲ δι' Εὐφρατίωνα, ὁ Πόντος διὰ Κυνδιανὸν, Αὐτάραδος διὰ Καρτέριον, ἡ Ἀδριανούπολις διὰ Εὐτρόπιον καὶ τὸν μετ' αὐτὸν Λούκιον, τὸν πολλάκις ὑπὲρ τοῦ Ὁμουσίου ἁλύσεις φορέσαντα, καὶ ἐν φυλακῇ ἀποθανόντα, Βέρροια διὰ Κῦρον, Γάζα διὰ Ἀσκληπαῦ, Θρᾴκη διὰ Θεόδουλον καὶ Ὀλύμπιον τοὺς Πρεσβυτέρους, καὶ ἄλλαι πόλεις καὶ χῶραι ἔκλαυσαν πολλοὺς καὶ μεγάλους Διδασκάλους καὶ Ἐπισκόπους αὐτῶν, καὶ δὴ καὶ τὸν πατέρα τῶν Ἐπισκόπων Ὅσιον ἐξορίζει. ἐξορισθέντος δὲ Λιβερίου, ψηφίζεται Ῥωμαίων Ἐπίσκοπος Φίληξ κατά τινας ὑπὸ τῶν ὀρθοδόξων, κατὰ μέντοι τὸν ἅγιον Ἱερώνυμον, τοῦ Καισαρείας τῆς Παλαιστίνης Ἀκακίου συνεργήσαντος εἰς τὸν Κωνσταντίον, ἐξορίζεται μὲν ὁ Λιβέριος, χειροτονεῖται δὲ ὁ Φίληξ, ὅθεν ὁ Φίληξ ὑπό τινων μὲν λέγεται Ἀρειανὸς, ὑπὸ δὲ Θεοδωρίτου καὶ Ἑρμείου λέγεται ὅτι ἐφύλαττε μὲν ἄσυλον τὸ δόγμα τῆς ἐν Νικαίᾳ Συνόδου, ἐκοινώνει δὲ ἀδεῶς τοῖς διαφθείρουσι ταύτην, καὶ ἐνεδίδου χειροτονεῖσθαι τοὺς τυχόντας Ἐπισκόπους. ὁ δὲ Θεοφάνης λέγει, ἐκοινώνει δὲ καὶ Ἀρειανοῖς ἀλόγως, ὅθεν οἱ ἐν Ῥώμῃ οὐκ ἐκοινώνουν αὐτῷ, ἀλλ' ἰδίᾳ ἐκκλησίαζον. καὶ δὴ καὶ ὁ Φώτιος λέγει, ὑπερωρίζετο καὶ Λιβέριος, καὶ ἀντιχειροτονεῖται Φίληξ, ὃς παραχρῆμα ποινῇ θεηλάτῳ τῇ τῶν ὀφθαλμῶν πηρώσει ὑποβάλλεται, ὕστερον δὲ λοιμικῇ νόσῳ συσχεθεὶς διαφθείρεται, ἀναγνώσει διακοσιοστῇ πεντηκοστῇ ᾀδόῃ. μετὰ δὲ δύο ἔτη κατὰ τὸν Θεοδώριτον τῆς ἐξορίας τοῦ Λιβερίου ἐρχόμενος ὁ Κωνσταντίος εἰς Ῥώμην, ἢ κατ' ἄλλους εἰς Σίρμιον ἐπιστρέφων, παρακληθεὶς ἀνακαλεῖται ἀπὸ τῆς ἐξορίας τὸν Λιβέριον, ὃν καὶ ὑπογράψαντα καὶ δεξάμενον τὴν ἐν Σιρμίῳ ἔκθεσιν τῶν Ἀρειανῶν, καὶ ὑπὲρ αὐτῆς εἰς τοὺς Ἀνατολικοὺς γράψαντα, ἔστειλεν ὁ Κωνσταντίος πατριαρχεύειν εἰς τὴν Ῥώμην μετὰ τοῦ Φίληκος. ἀναγνωσθέντων δὲ τῶν τοιούτων τοῦ Βασιλέως γραμμάτων, κωμῳδήσαντες αὐτὰ οἱ λαοὶ ἐβόησαν, εἷς Θεὸς, εἷς Χριστὸς, εἷς Ἐπίσκοπος, ὡς Θεοδώριτος βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ, ἔμειναν ὅμως καὶ οἱ δύο, ἀλλὰ διὰ τὸ μερισθῆναι τὸν λαὸν τῆς Ῥώμης εἰς δύο, συνέβαινον πολλὰ σκάνδαλα καὶ μυρία ἀτοπήματα, τέλος ἐκ τῶν σκανδαλισμάτων τοῦ Λιβερίου ἀποκτείνεται ὑπὸ τῶν Ἀρειανῶν ὁ Φίληξ, εἰ καὶ ἄλλοι λέγουσιν ὅτι ἐξελθὼν τῆς Ῥώμης, οὐκ ἔτι ἐπανέστρεψε. περὶ τούτου λέγει ὁ ἅγιος Ἀθανάσιος ἐν τῇ ἐπιστολῇ, ὅτι ὁ Κωνσταντίος Φίληκα διὰ θλαδίων εἰσήγαγεν εἰς Ῥώμην Ἐπίσκοπον, καὶ τρεῖς κακοήθεις Ἐπίσκοποι ἐν τῷ παλατίῳ ἐχειροτόνησαν. ῥητῶς δὲ λέγει ὁ Πλάτινας ὅτι δεήσει Οὐρσακίου καὶ Οὐάλεντος τῶν Ἀρειανῶν εἰς Κωνσταντίον, ἐδιώχθη ὁ Φίληξ, καὶ ἀπῆλθεν εἰς Ῥώμην ὁ Λιβέριος, καὶ συνέβησαν φόνοι καὶ ἄλλα μυρία θρήνων ἄξια. τούτων τὸν ἀρειανισμὸν καὶ ὁ Σωζόμενος μαρτυρεῖ λέγων, ἀπέδωκεν ὁ Βασιλεὺς

σιλεὺς Λιβερίῳ τὴν ἐπὶ Ῥώμην ἐπάνοδον, γράφουσί τε προσδέξασθαι αὐτὸν οἱ ἐν Σιρμίῳ (ἤτοι οἱ Ἀρειανοὶ Ἐπίσκοποι, οἵτινες τότε ἦσαν ἐν Σιρμίῳ) Ἐπίσκοποι Φίληκι τῷ Ἡγουμένῳ τότε τῆς Ῥωμαίων Ἐκκλησίας καὶ τῷ Κλήρῳ, βιβλίῳ τεταρτῳ, κεφαλαίῳ δεκάτῳ πέμπτῳ. σὺ δὲ σημείωσαι Ἀρειανοῖς κοινωνοῦντα τὸν Φίληκα, καὶ ὑπ' Ἀρειανῶν χειροτονηθέντα, καὶ Ἀρειανὸν ὑπὸ τοῦ Ῥουφίνου λεγόμενον, καὶ Ἀρειανὸν Αἱρετικὸν προφανῆ γενόμενον τὸν Λιβέριον, ὡς μαρτυρεῖ πρὸς μοναχοὺς γράφων ὁ ἅγιος Ἀθανάσιος καὶ ὁ Ἱερώνυμος καὶ Δάμασος ἐν τῷ καταλόγῳ τῶν Παπῶν καὶ Ἱλάριος ἐν τῷ κατὰ Κωνσταντίου αὐτοῦ λόγῳ, καὶ πρὸς τούτοις, τοσούτων ταραχῶν καὶ φόνων χρηματίσαντα αἴτιον, καὶ δὴ καὶ οἱ Λατῖνοι λέγουσι τὰς περὶ τοῦ ἀρειανισμοῦ ἐπιστολὰς ἃς ἔστειλεν ὁ Λιβέριος εἰς τὴν Ἀνατολὴν εὑρίσκεσθαι εἰς τὴν Ῥώμην ἐν τῇ βιβλιοθήκῃ τοῦ Βατικάνου, καὶ ὅλως ἀνάξιον γεγονότα τοῦ θρόνου τῆς Ῥώμης, Σωκράτης βιβλίῳ δευτέρῳ, καὶ Σωζόμενος βιβλίῳ τεταρτῳ, καὶ Θεοδώριτος λόγῳ δευτέρῳ. ταῦτα λοιπὸν εἰδὼς, ἔλεγξον τοὺς παπιστὰς, λέγοντας τὸν Πάπαν μὴ δύνασθαι περὶ τὴν πίστιν ἁμαρτάνειν. ἀλλὰ καὶ τὸν Ὅσιον τὸν εἰς τὴν ἐν Νικαίᾳ Σύνοδον διαπρέψαντα καὶ εἰς τὴν ἐν Σαρδικῇ προταχθέντα καὶ αὐτοῦ τοῦ Ἰουλίου καὶ εἰς τὴν φήμην καὶ εἰς τὰς ὑπογραφὰς καὶ εἰς ἕκαστον ἔργον πρὸς κατόρθωσιν τῶν θείων δογμάτων συντεῖνον μετακαλεσάμενος ἀπὸ τῆς ἐξορίας ὁ Κωνσταντίος, στρεβλώσας καὶ πολλὰ τιμωρησάμενος ἐνιαυτὸν ἕνα, ἠνάγκασε καὶ ὑπέγραψεν εἰς τὸ δόγμα τῶν Ἀρειανῶν, ὡς μαρτυρεῖ μετὰ τοῦ Σωκράτους ὁ ἅγιος Ἀθανάσιος. ἰδὲ περὶ Λιβερίου καὶ βιβλίου ἐνάτου κεφάλαιον δέκατον ἕκτον, καὶ βιβλίου ἕκτου κεφάλαιον δέκατον ἕβδομον.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ ἀποκαταστάσεως εἰς τὸν θρόνον Ῥώμης Λιβερίου καὶ ἐκδιώξεως Φίληκος, καὶ διαλέξεως Εὐσεβίου πρεσβυτέρου μετὰ Κωνσταντίου Βασιλέως καὶ Λιβερίου, καὶ ἀναιρέσεως αὐτοῦ τε καὶ Γρηγορίου πρεσβυτέρου καὶ ἑτέρων πολλῶν ἀρειανίσαντι Λιβερίῳ μὴ συγκοινωνησάντων, καὶ περὶ τῆς Ἀρχιερατείας Δαμάσου, καὶ τῆς κατὰ Λιβερίου Συνόδου.

Καίτοι τούτων οὕτω πασιδήλως ἐχόντων, καὶ ὑπὸ τοσούτων ἀρχαίων καὶ ἀξιοπίστων ἀνδρῶν μεμαρτυρημένων, οἱ σοφοὶ τῶν παπιστῶν φιλονεικοῦσι σοφίσμασί τισι δικαιῶσαι τὸν Λιβέριον, μήτε κἂν τὸν φίλον αὐτοῖς Βαρώνιον αἰδούμενοι λέγοντα, δι' ἐπιθυμίαν τοῦ ἀναλαβεῖν τὸν θρόνον ὑπογράψαι τὸν Λιβέριον εἰς τὴν Αἵρεσιν. ἀλλὰ ῥητέον πρὸς τοῖς ἄλλοις τοῖς ἀνωτέρω διαληφθεῖσι, προτιμητέον εἶναι τῶν νεωτέρων τούτων καὶ τὸν Πρεσβύτερον Ὀρόσιον Κληρικὸν ὄντα τοῦ Λιβερίου, ὃς ἐν ᾧ γράφει περὶ τοῦ ἀδελφοῦ αὐτοῦ Εὐσεβίου τοῦ Πρεσβυτέρου καὶ μάρτυρος τάδε φησὶν, εἰς ἐκεῖνον τὸν ἴδιον καιρὸν καθ' ὃν ὁ Λιβέριος ἀνεκλήθη ἐκ τῆς ἐξορίας ὑπὸ τοῦ Κωνσταντίου τοῦ Βασιλέως εἰς τοῦτο μόνον τὸ δόγμα τὸ μὴ βαπτίζειν δηλαδὴ τὸν λαὸν, ἀλλὰ μιᾷ καὶ τῇ αὐτῇ κοινωνίᾳ μολύνειν τὸ πλῆθος, ἤρξατο Εὐσέβιος Πρεσβύτερος Ῥώμης δημοσιεύειν τὸν Λιβέριον ὡς Αἱρετικὸν καὶ φίλον τοῦ Κωνσταντίου. τῶν πολλῶν δὲ ἕνεκεν τῆς ἁγίας ὁμολογίας τῆς καθολικῆς πίστεως φευγόντων τὴν κοινωνίαν τοῦ Λιβερίου, παρακεκινημένων ἀπὸ τῆς διδασκαλίας Εὐσεβίου, προκαταλαμβάνονται ὑπὸ τοῦ Λιβερίου αἱ Ἐκκλησίαι, καὶ ἐκδιώκεται τῆς Ἐπισκοπῆς ὁ Φίληξ, ὑποκαθίσταται ὁ Λιβέριος, κρατεῖται ὁ Εὐσέβιος διὰ τὴν τοῦ λαοῦ σύναξιν ἣν ἐποίει ἐν τῷ οἴκῳ αὐτοῦ ὃν αὐτὸς ἔκτισε, καὶ ἐπαρηγόρει τὸ ἅγιον πλῆθος. Ταῦτα δὲ ὁ Βασιλεὺς Κωνσταντίος μετὰ τοῦ Λιβερίου εἶπε πρὸς τὸν Εὐσέβιον, Σὺ μόνος εἶ Χριστιανὸς ἐν τῇ Ῥώμῃ; ὁ Εὐσέβιος ἀπεκρίθη, οὕτως ἐλπίζομεν εἰς τὸν Κύριον, ὅτι ὁ Χριστὸς εὑρήσει ἡμᾶς πιστοὺς καθὼς ἐβαπτίσθημεν καὶ κρατοῦμεν εὐλογίαν ἣν ἐλάβομεν ἀπὸ τοῦ μακαρίου Ἰουλίου. ὁ Λιβέριος εἶπε, καὶ ἡμεῖς εἰς τίνος τόπον ἐσμὲν, ἆρα οὐχὶ εἰς τὸν τόπον Ἰουλίου; ὁ Εὐσέβιος εἶπεν, εἰ διέμεινας ἂν εἰς τὴν πίστιν ἣν πρώην ἐν τῷ διωγμῷ ἐφάνης κρατῶν. ὁ Λιβέριος εἶπε παρόντος τοῦ Αὐγούστου, τόσον ἀπειθῆμε λογίζη; ὁ Εὐσέβιος εἶπε, αὐτὸ τὸ πρᾶγμα φανεροῖσε. ὁ Βασιλεὺς Κωνσταντίος εἶπε, καὶ τί ἐστιν ἀναμεταξὺ πίστεως καὶ πίστεως; ἀπεκρίνατο ὁ Εὐσέβιος, ὅσον περὶ ἡμῶν τῶν ἁμαρτωλῶν τελείως κρατοῦμεν τὴν πίστιν, ὅσον περὶ ὑμῶν μανία διαβολικὴ καὶ φθόνος τῆς δεισιδαιμονίας ὑμᾶς παρεκίνησεν, ἵνα διώξητε τὸν καθολικὸν καὶ ἐπικαλοῦντα τὸν Κύριον Φίληκα, ὅστις ὅμως εἰς τὸ χωρίδιον αὐτοῦ ἀσχολεῖται ἐν προσευχαῖς, καὶ βέβαια διὰ προσταγῆς σου ἐγένετο αἱματεκχυσία καὶ φόνος τῶν Χριστιανῶν, μάλιστα δὲ τῶν Κληρικῶν, τῶν Πρεσβυτέρων καὶ Διακόνων. τότε ὀργισθεὶς ὁ Κωνσταντίος διὰ δεήσεως τοῦ Λιβερίου, ἐγκλείει τὸν Εὐσέβιον εἰς μίαν κοίτην τοῦ οἴκου αὐτοῦ οὖσαν τὸ πλάτος πέντε ποδῶν, ὅπου διέμεινε πολλοὺς Μῆνας προσευχόμενος, ὅμως ἐγκεκλεισμένος ὤν, μετὰ ὀκτὼ Μῆνας ἐκοιμήθη τῇ δεκάτῃ τετάρτῃ τοῦ Αὐγούστου, τὸ δὲ σῶμα αὐτοῦ παραλαβόντες Γρηγόριος καὶ Ὀρόσιος οἱ Πρεσβύτεροι καὶ συγγενεῖς αὐτοῦ, ἔθαψαν ἐν τῇ κρυπτῇ, ἐγγὺς

ἐγγὺς τοῦ σώματος τοῦ μακαρίου Σίκστου μάρτυρος καὶ Ἐπισκόπου ἐν τῇ Ἀππίᾳ ὁδῷ, ἐν τῷ κοιμητηρίῳ τοῦ Καλλίστου, ὅπου καὶ τὸν τίτλον τοῦτον γράψαντες ἔθεντο εἰς μνημόσυνον αὐτοῦ, Εὐσεβίῳ ἀνθρώπῳ Θεοῦ. ἀκούσας δὲ ὁ Κωνσταντίος ὁ Βασιλεὺς ὅτι Γρηγόριος καὶ Ὀρόσιος ἔλαβον τὸ σῶμα τοῦ Εὐσεβίου, προσέταξεν ἵνα βληθῇ ζῶν εἰς τὴν αὐτὴν κρυπτὴν ὁ Γρηγόριος. τότε Ὀρόσιος ὁ Πρεσβύτερος λαβὼν ἡμιθνῆτα τὸν μακάριον Γρηγόριον νυκτὸς, κρυφῇ διὰ τὸν Βασιλέα Κωνσταντίον, ἔθαψεν αὐτὸν μετὰ τὸ παραδοῦναι τὸ πνεῦμα αὐτοῦ πλησίον τοῦ σώματος τοῦ ἁγίου Εὐσεβίου. ὅστις Ὀρόσιος καὶ ταῦτα ἔγραψεν, ἐξ ἐκείνης τῆς ἡμέρας διὰ προστάγματος τοῦ Βασιλέως Κωνσταντίου ὅστις εὑρεθείη ἐν ταῖς Ἐκκλησίαις μὴ ὁμολογῶν ἢ κοινωνῶν οὕτως ὡς ὁ Λιβέριος, ἀνεξετάστως ξίφει ἐτελειοῦτο, ὅθεν εἰς τὰς πλατείας, εἰς τὰς κώμας, εἰς τὰς Ἐκκλησίας, εἰς τὰ βαλανεῖα τοῖς ξίφεσιν ἐφονεύοντο, διώκοντος Κωνσταντίου τοὺς Χριστιανοὺς σὺν ἅμα τῷ Λιβερίῳ. ἀποθανόντος δὲ Λιβερίου, ἀνίσταται Δάμασος, ὅστις κοινῇ ψήφῳ κατέκρινε τὸν Λιβέριον, γενομένης Συνόδου μετὰ εἰκοσιοκτὼ Ἐπισκόπων καὶ Πρεσβυτέρων εἰκοσιπέντε, καὶ ἔπαυσεν ὁ διωγμὸς, οὐχὶ δὲ πολὺν καιρὸν χαριζομένου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ζῇ καὶ βασιλεύει εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Καὶ σημείωσαι πρῶτον, πῶς Εὐσέβιος ὁ μάρτυς ἐκήρυξεν Αἱρετικὸν τὸν Λιβέριον. δεύτερον, πῶς πολλοὶ ἔφυγον τὴν κοινωνίαν τοῦ Λιβερίου. τρίτον, πῶς ὁ Εὐσέβιος παρεκίνει τὸ πλῆθος μὴ κοινωνεῖν τῷ Λιβερίῳ. τέταρτον, πῶς ὁ αὐτὸς ὡμολόγησεν ὅτι ὁ Λιβέριος οὐκ ἔμεινεν εἰς τὴν πίστιν. πέμπτον, πῶς ἐφονεύθησαν ὅσοι τῷ Λιβερίῳ οὐκ ἐκοινώνησαν. ἕκτον, πῶς ὁ Δάμασος καὶ ἡ περὶ αὐτὸν Σύνοδος κατέκρινον τὸν Λιβέριον, ἅτινα πάντα εἰσὶ καθαιρετικὰ τῆς ἀναμαρτησίας. συμφωνεῖ τῷ Ὀροσίῳ τὸ παλαιὸν βρεβιάριον, ἤτοι συναξάριον τῆς ῥωμαϊκῆς Ἐκκλησίας εἰς τὴν ἑορτὴν τοῦ ἁγίου Εὐσεβίου, λέγει γὰρ, ὁ Μακάριος Εὐσέβιος ὁ Πρεσβύτερος ἐνώπιον Κωνσταντίου τοῦ Βασιλέως ὑπὲρ τῆς καθολικῆς πίστεως στερεῶς ἀπολογούμενος, καὶ λίαν ἀχθόμενος ὑπὲρ Λιβερίου Πάπα τῇ ἀρειανῇ ἀπιστίᾳ ὁμοφρονοῦντος, παρὰ τοῦ Βασιλέως Κωνσταντίου Ἀρειανοῦ εὔτινι κοίτῃ αὐτοῦ κατακλείεται. καὶ ὁ Ἱλάριος γράφει, ἀνάθεμά σοι λέγω Λιβέριε καὶ τοῖς ἑταίροις σου, πάλιν ἀνάθεμά σοι, καὶ τρὶς προδότα Λιβέριε. τὰ αὐτὰ πολλαχοῦ. καὶ ὁ Ἱερώνυμος ἐν τῷ καταλόγῳ τῶν ἐκκλησιαστικῶν συγγραφέων ἐν τῷ Φορτουνατιανῷ φησὶν, ὁ ἐξ Ἀφρικῆς Φορτουνατιανὸς ὁ ἀλιτήριος, ὅτι Λιβέριον τὸν Ῥώμης Ἐπίσκοπον ὑπὲρ τῆς πίστεως εἰς ἐξορίαν ἀφικόμενον πρῶτος παρώτρυνε, καὶ πρὸς τὴν τῆς Αἱρέσεως ὑπογραφὴν ἔπεισε, τὰ ὅμοιά φησι καὶ ἐν τῷ χρονικῷ αὐτοῦ. ἀλλὰ δὴ καὶ ὁ Φώτιος ἐκ τοῦ Φιλοστοργίου βιβλίῳ τετάρτῳ κεφαλαίῳ τρίτῳ καὶ ὁ Σωζόμενος βιβλίῳ τετάρτῳ κεφαλαίῳ δεκάτῳ πέμπτῳ τὰ αὐτὰ λέγουσιν, Ὁμοίως καὶ Αὐξίλιος περὶ χειροτονίας βιβλίῳ πρώτῳ, κεφαλαίῳ εἰκοστῷ πέμπτῳ. ὁ αὐτὸς βιβλίῳ δευτέρῳ, κεφαλαίῳ πρώτῳ φανερῶς γράφει ὅτι ὁ Λιβέριος ὑπέγραψε τῇ ἀρειανῇ Αἱρέσει. Πέτρος Δαμιανοῦ ἀποστάτην αὐτὸν ὀνομάζει, καὶ διὰ ταύτην φησὶ τὴν αἰτίαν ἐγένοντο πολλὰ κακὰ εἰς τὴν Ἐκκλησίαν, ἐπιστολῇ δεκάτῃ ἕκτῃ. πρὸς τούτοις δὲ, καὶ ἄλλοι πολλοὶ καὶ ἐπίσημοι χρονογράφοι καὶ πατέρες, καὶ κατὰ καιροὺς συγγραφεῖς τοῦτο αὐτὸ ῥητῶς βεβαιοῦσι.

ΠΑΡΑΓΡΑΦΟΝ Ε΄.

Περὶ ἀπαντήσεων τῶν ἐναντίων δύο ὅτι εἰς ἣν ὑπέγραψεν ὁμολογία ὁ Λιβέριος οὐκ ἦν αἱρετικὴ, ἀλλ' ἐνομίσθη, καὶ ὅτι οὐχ ὡς Ἀρχιερεὺς ἔσφαλεν ὑπογράψας, ἀλλ' ὡς μερικὸς Διδάσκαλος, καὶ περὶ τῆς λύσεως αὐτῶν, καὶ περὶ τῶν τριῶν ὁμολογιῶν τῆς πίστεως τῶν ἐν Ἀριμίνῳ.

Ἀναβρύονται δύο ἀπαντήσεις τῶν ἐναντίων, λέγουσι γὰρ πρῶτον, ὅτι ἐκείνη ἡ ὁμολογία εἰς ἣν ὑπέγραψεν ὁ Λιβέριος οὐκ ἦν αἱρετικὴ, ἐνομίσθη ὅμως πῶς ἐδέχθη τὴν Αἵρεσιν. καὶ διατὶ ἐκοινώνησε τοῖς Ἀρειανοῖς; καὶ διατὶ κατέκρινε τὸν μέγαν Ἀθανάσιον τὸν θερμότατον ἔκδικον τῆς ἀληθείας; ἀλλὰ ταῦτα εἰσὶ μάταια καὶ μῦθοι. οἱ παλαιοὶ ψέγουσι τὸν Λιβέριον εἰς τρία σφάλματα, πρῶτον, ὅτι ἐκοινώνησε τοῖς Ἀρειανοῖς. δεύτερον, ὅτι κατέκρινε τὸν Ἀθανάσιον. τρίτον, ὅτι ἐδέχθη τὴν Αἵρεσιν. εἰσὶ δὲ φανερὰ τὰ λόγια τοῦ Φιλοστοργίου λέγοντος, ὅτι ὁ Λιβέριος ἠρνήσατο τὸ Ὁμοούσιον, οὕτω φησὶ καὶ ὁ Σωζόμενος. ὁ δὲ Ἱλάριος τὴν ὁμολογίαν ἐκείνην ὀνομάζει ἀπιστίαν, καὶ ὁ Ἱερώνυμος μαρτυρεῖ ὅτι ἐπείσθη πρὸς τὴν τῆς Αἱρέσεως ὑπογραφήν. τὰ αὐτὰ γράφει καὶ ὁ μέγας Ἀθανάσιος πρὸς τοὺς τὸν μονήρη βίον ἀσκοῦντας λέγων περὶ Συνόδων. δεύτερον λέγουσιν, ὅτι οἱ παλαιοὶ ἐνόμισαν ὅτι ἔσφαλεν ἀληθῶς ὁ Λιβέριος, ὅμως ὡς μερικός τις Διδάσκαλος καὶ οὐχ ὡς Ἀρχιερεὺς, ἐπειδὴ καὶ αὐτὸς οὐκ ἐποίησεν ὅρον, ἀλλὰ ὑπέγραψεν εἰς τὴν ὁμολογίαν τὴν δοθεῖσαν αὐτῷ. Ἀλλὰ ῥητέον, ὅτι τὸ ὁρίζειν ὅμοιόν ἐστι τῷ τοῖς ὁρισθεῖσιν ἐμμένειν. τὸ Σύμβολον ἐκεῖνο ἐν ᾧ ὑπέγραψεν ὁ Λιβέριος γέγονεν ἐν Συνόδῳ ὡς διηγεῖται αὐτὸ ὁ Σωζόμενος, ἐν ᾗ ἦσαν οἱ πρέσβεις τῶν Ἀνατολικῶν καὶ Δυτικῶν Ἐπισκόπων καὶ τινες Ἱερεῖς, ὧν τὰ ὀνόματα μάλιστα ἐτήρησεν ὁ Ἱλά-

ὁ Ἱλάριος, καὶ ὡς λέγουσιν οἱ ἐναντίοι, ὃν τρόπον ἐβεβαίωσεν ὁ Σίλβεστρος τὴν ἐν Νικαίᾳ Σύνοδον, στέργων δηλαδὴ τοῖς ὁρισθεῖσιν ὑπ' αὐτῆς, κατὰ τὸν αὐτὸν ἔστερξεν ὁ Λιβέριος τοῖς ὁρισθεῖσι παρὰ τῆς γενομένης ἐν Σιρμίῳ Συνόδου, καὶ λοιπὸν ὥρισεν ὡς Ἀρχιερεὺς ἀπὸ καθέδρας. πάλιν, πᾶσαι αἱ ὁμολογίαι πίστεως αἱ γινόμεναι ἢ παρὰ τοῦ Πάπα ἢ παρὰ τῆς Συνόδου νομίζονται ὡς Ὅροι. πότε γὰρ λέγεται ὁρίζειν τὸν Πάπαν ἢ τὴν Σύνοδον, ἀλλ' ἢ ὅταν δηλοποιῇ ὅτι ἐκεῖνο ὅπερ ὁρίζει ἀνήκει εἰς τὴν πίστιν. καὶ λοιπὸν ἐπειδὴ ἐκεῖνο ἐν ᾧ ὑπέγραψεν ὁ Λιβέριος ἦν Σύμβολον καὶ ὁμολογία πίστεως, οὐ δύνανται ἀρνήσασθαι οἱ ὑπεναντίοι ὅτι ἐκείνη ἡ ὑπογραφὴ οὐκ ἦν Ὅρος. ἀπὸ τοῦ Ὀροσίου ἠκούσαμεν ὅτι οἱ Ῥωμαῖοι τοιουτοτρόπως ἠναγκάσθησαν ὁμολογεῖν κατὰ Λιβέριον, ὥστε οἱ ἀπειθεῖς ἀπεκεφαλίζοντο. τότε λέγουσιν οἱ παπισταὶ ὅτι ὁ Πάπας ὁρίζει ἐκ καθέδρας, ὅταν ἀναγκάζῃ ἐν ἐπιτιμίῳ στέργεσθαι τὰ ὑπ' αὐτοῦ ὁρισθέντα, ὁ Λιβέριος λοιπὸν οὐχ ὥριζεν ὡς Ἀρχιερεὺς, καὶ μάλιστα μετὰ τοσαύτης βίας, καὶ τοσούτου καταναγκασμοῦ καὶ φόνου, Βέβαιον δέ ἐστιν, ὡς πολλοὶ ἐστοχάσθησαν, ὅτι ὁ Λιβέριος δὶς ὑπέγραψεν εἰς τὴν ἀρειανὴν Αἵρεσιν, ἅπαξ ἐν Βερροίᾳ εἰς ἣν ἦν ἐξωρισμένος, καὶ δεύτερον εἰς τὸ Σίρμιον. καὶ τῆς μὲν πρώτης ὑπογραφῆς αὐτοῦ αἴτιος ἦν ὁ Δημόφιλος, τῆς δὲ δευτέρας αὐτὸς ὁ Βασιλεὺς Κωνστάντιος. καὶ περὶ μὲν τῆς πρώτης αὐτοῦ ὑπογραφῆς αὐτὸς ὁ ἴδιος φαίνεται ὁμολογεῖν ταύτην ἐν τῇ ἐπιστολῇ αὐτοῦ ἣν γράφει πρὸς τοὺς Ἀνατολικοὺς, ἐν ᾗ παρακαλεῖ ἀνακαλεσθῆναι εἰς τὸν θρόνον αὐτοῦ ἀπὸ τῆς ἐξορίας (ὥστε ἦν ἔτι ἐξωρισμένος, δηλαδὴ ἦν ἔτι εἰς τὴν Βέρροιαν) περὶ δὲ τῆς δευτέρας μαρτυρεῖ ὁ Σωζόμενος καὶ ὁ Ἱλάριος. ὁποία δέ τις ὁμολογία ἦν ἄρα ἐκείνη ἐν ᾗ ὑπέγραψεν ἐν Βερροίᾳ, οὐ τοσοῦτον δῆλόν ἐστι, φαίνεται ὅμως ἀπὸ τῆς ἐπιστολῆς αὐτοῦ τοῦ Λιβερίου καὶ ἀπὸ τοῦ Ἱλαρίου ὅτι ἦν ἡ αὐτὴ τῇ γενομένῃ ἐν Σιρμίῳ. ὅμως εἰς τὴν πόλιν ταύτην τὸ Σίρμινον τρεῖς λέγονται γραφῆναι ὁμολογίαι τῆς πίστεως, καὶ πρώτη μέν ἐστιν ἐκείνη ἣν οἱ Πατέρες συνηγμένοι τῷ τριακοσιοστῷ πεντηκοστῷ πρώτῳ ἔτει κατὰ Φωτεινοῦ συνέθεντο, ἧς καὶ ὁ Ἱλάριος διαυθεντεύει ὡς ὀρθοδόξου. δευτέρα δέ ἐστιν ἐκείνη ἐν ᾗ ὑπέγραψεν ὁ Ὅσιος ἐν ἔτει τριακοσιοστῷ πεντηκοστῷ ἑβδόμῳ ἦν αὐτὸς ὁ ἴδιος Ἱλάριος ὀνομάζει βλασφημίαν τοῦ Ὁσίου καὶ Ποταμίου. αὕτη τὸ Ὁμοούσιον καὶ Ὁμοιούσιον ἐξίσου ἀναιρεῖ, καὶ φανερῶς ὁμολογεῖ τὸν Πατέρα μείζονα τοῦ Υἱοῦ. τρίτη δέ ἐστιν ἐκείνη ἦν ἐκ πολλῶν συνέρραψεν ὁ Ἀρεθούσης Μάρκος, ἥτις ἐδόθη καὶ τῇ ἐν Ἀριμίνῳ Συνόδῳ. ὁ Λιβέριος οὐκ ἠδύνατο ὑπογράψαι ταύτην τὴν τρίτην ὁμολογίαν, ἅτε ὕστερον γεγενημένην, δηλαδὴ ἐν ἔτει τριακοσιοστῷ πεντηκοστῷ ἐνάτῳ, ὁ δὲ Λιβέριος ὑπέγραψεν ἐν ἔτει τριακοσιοστῷ πεντηκοστῷ ἑβδόμῳ. ὁ Βαρώνιος ὑπερμαχεῖ περὶ τῆς πρώτης, νομίζων δι' αὐτῆς ἀπεκαθᾶραι τοῦ ῥύπου τῆς Αἱρέσεως τὸν Λιβέριον, αὕτη γὰρ στέργεται καὶ διαυθεντεύεται παρὰ τοῦ Ἱλαρίου. τῷ Βαρωνίῳ ἀκολουθοῦσι πολλοὶ τῶν νεωτέρων, ὅμως πάντες διττῶς σφάλλουσι, πρῶτον, ἐπειδὴ μήτε αὐτὴ ἡ πρώτη ὁμολογία ἦν δέχεται ὁ Ἱλάριος ἐστὶ τελείως καθαρὰ, ἀλλ' ὄζει Ἀρειανικῆς λύμης, τίς γὰρ δύναται διαυθεντεῦσαι τῶν τριῶν τούτων ἀναθεματισμῶν οὓς περιέχει ἡ αὐτὴ ὁμολογία; πρῶτον, εἴτις τὸν Χριστὸν καὶ Θεὸν, καὶ Θεοῦ Υἱὸν πρὸ αἰώνων λέγων, αὐτὸν οὐχ ὁμολογεῖ ἐν τῇ κτίσει τῶν ἁπάντων τῷ Πατρὶ ὑπηρετῆσαι, ἀνάθεμα ἔστω. δεύτερον, εἴτις ἀκούων Κύριον Πατέρα, καὶ Κύριον Υἱὸν, ἢ Κύριον Πνεῦμα καὶ Υἱὸν, ἢ Κύριον ἐκ Κυρίου λέγων, δύο εἴποι θεοὺς, ἀνάθεμα ἔστω. οὐ γὰρ τὸν Υἱὸν ἰσοτιμῶμεν τῷ Πατρὶ, ἀλλ' ὑποκείμενον ἐκείνῳ εἶναι νοοῦμεν. τρίτον, εἴτις τὸν Υἱὸν μὴ θέλοντος τοῦ Πατρὸς γεννηθῆναι εἴπῃ, ἀνάθεμα ἔστω. οὐ γὰρ βιασθεὶς, ἢ ἀναγκασθεὶς, μὴ θέλων ἐγέννησε τὸν Υἱὸν, ἀλλ' ἅμα ὅτε ἠθέλησεν ἀχρόνως καὶ ἀπαθῶς παρ' αὐτοῦ γεννηθέντα τὸν Υἱὸν ἀνεδείξατο. λοιπὸν ὡς δοκεῖ, εἰ καὶ ἀπεδείκνυον οἱ ἐναντίοι αὐτὴν εἶναι τὴν ὁμολογίαν ἣν ὑπέγραψεν ὁ Λιβέριος, οὐκ ἂν αὐτὸν ἀπὸ τῆς Αἱρέσεως καθαρίσαιεν. ὅμως βέβαια οὐχ ὑπέγραψεν αὐτὴν, καὶ τοῦτο ἐστὶ φανερὸν ἀπ' αὐτοῦ τοῦ Ἱλαρίου, ὅστις ἀποδέχεται μὲν τὴν πρώτην τὴν ἐν Σιρμίῳ ὁμολογίαν, καὶ λέγει εἶναι πάντα τὰ ἐν αὐτῇ ὀρθόδοξα, τὴν δὲ ὁμολογίαν ἣν ὑπέγραψεν ὁ Λιβέριος ὀνομάζει ἁπλῆν ἀπιστίαν, τὴν ἀπιστίαν παρὰ Σιρμίῳ γεγραμμένην, ἣν λέγει Λιβέριος καθολικὴν παρὰ Δημοφίλου αὐτῷ ἐκδοθεῖσαν οὗτοι εἰσὶν οἱ συγγράψαντες, ὥστε ἡ ὁμολογία ἣν ὑπέγραψεν ὁ Λιβέριος οὐκ ἔστι πρώτη. ἵνα δὲ πιστεύσωμεν ὅτι ὑπέγραψε τὴν δευτέραν δύο τινὰ ἡμᾶς ἐμποδίζουσι, τὸ πρῶτον, ὅτι ὁ Ἱλάριος πάντοτε λέγει τὴν δευτέραν ταύτην ὁμολογίαν γενέσθαι ἀπὸ τοῦ Ὁσίου καὶ Ποταμίου, ἐκείνη δὲ ἐν ᾗ ὑπέγραψεν ὁ Λιβέριος ἐστὶν ὑπὸ εἰκοσιδύο Ἐπισκόπων, ἐν οἷς οὐ συναριθμοῦνται μήτε ὁ Ὅσιος μήτε ὁ Ποτάμιος. τὸ δεύτερον, ὅτι δοκεῖ ἡ ὁμολογία αὕτη περιέχειν τὴν Αἵρεσιν τῶν Ἀνομοίων, ᾗ τινι οὐκ ὀλίγον ἦν ἀντιοῦντο ὁ Ἀγκύρας Βασίλειος, ὁ Σιλβανὸς καὶ ὁ Μακεδόνιος οἱ Ἡμιαρειανοὶ, ὑφ' ὧν λέγει ὁ Ἱλάριος γεγενῆσθαι ἐκείνην ἐν ᾗ ὁ Λιβέριος ὑπέγραψεν, ὥστε οὐ φαίνεται ὁποίατις ἦν ἐκείνη ἡ ὁμολογία, καὶ λοιπὸν ἐν δέχεται ἀπολεσθῆναι, ὅμως ὁποίατις ἂν εἴη ἡ ὁμολογία ἐν ᾗ ὑπέγραψεν ὁ Λιβέριος, ἦν ὁμολογία αἱρετικὴ, ὡς μαρτυρεῖ φανερῶς ὁ Ἱλάριος ὁ ἑωρακὼς αὐτὴν, καὶ ὁ Σωζόμενος βιβλίῳ τετάρτῳ, κεφαλαίῳ δεκάτῳ πέμπτῳ λέγει, ὅτι ἡ ὁμολογία ἐν ᾗ ὑπέγραψεν ὁ Λιβέριος ἦν συρραμένη ἐκ τῆς ὁμολογίας τῆς ἐν Ἀντιοχείᾳ Συνόδου κατὰ Παύλου τοῦ Σαμοσατέως, καὶ τῆς ἐν Σιρμίῳ κατὰ Φωτεινοῦ, καὶ τῆς ἐν Ἀντιοχείᾳ ἐν τοῖς ἐγκαινίοις,

αἵτινες

αἵτινες καὶ αἱ τρεῖς κατὰ τοῦ ὁμοουσίου ἐφέροντο. ἀλλὰ καὶ ὁ Φιλοστόργιος ῥητῶς λέγει, ὅτι ὁ Λιβέριος ὑπέγραψε κατὰ τῆς λέξεως τοῦ Ὁμοουσίου. ἀληθινὰ γράφει ἐκεῖ ὁ Σωζόμενος ὅτι ἔλαβον ὁμολογίαν ἐκ τοῦ Λιβερίου ἐν ᾗ ἀλλοτρίους ἔλεγε τῆς Ἐκκλησίας τοὺς λέγοντας τὸν Υἱὸν κατὰ τὴν φύσιν καὶ διὰ πάντων μὴ εἶναι ὅμοιον τῷ Πατρί. δηλοῦσι δὲ ταῦτα, ὅτι ὁ Λιβέριος οὐχ ὁμοίως ἐφρόνει τοῖς Ἀνομοίοις, οἵτινες ἠρνοῦντο καὶ τὸ Ὁμοούσιον καὶ τὸ Ὁμοιούσιον, ὅμως οὐ δηλοῦσι μὴ ὁμοίως πεφρονηκέναι τοῖς ἡ Μιαρείοις, οἵτινες ἀρνούμενοι τὸ Ὁμοούσιον, ὡμολόγουν τὸ Ὁμοιούσιον. καὶ οἱ παλαιοὶ ἐνόμιζον σφάλλειν καὶ τοὺς ἡ Μιαρειανοὺς, ὅθεν ὡς Αἱρετικοὺς αὐτοὺς ἀνεθεμάτιζον. εἰ δὲ τούτοις ὁμόφρων ἐγένετο ὁ Λιβέριος, ἄρα ἀναντιῤῥήτως Αἱρέσει ὑπέπεσε, καὶ ἀπὸ καθέδρας τὴν Αἵρεσιν ἐβεβαίωσε.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τεσσάρων ἐπιχειρημάτων παπιστῶν ἐν οἷς τὸν Φίληκα Ῥώμης ἔννομον καὶ ἅγιον ἀποφαίνονται, καὶ περὶ τῆς λύσεως αὐτῶν, παράνομον καὶ τῆς εὐθύτητος παρατετραμμένον τὸν Φίληκα λαμπρῶς ἀποδεικνυούσης.

Ἀλλὰ καὶ τὸν Φίληκα τοσούτου νέφους ἁγίων Πατέρων μαρτυροῦντος παρανόμως χειροτονηθέντα, καὶ τῶν ὅρων τῆς ὀρθοδοξίας ὁπωσδήποτε παρατραπέντα, οἱ παπολάτραι σπουδάζουσιν ἀνεύθυνον αὐτὸν ἀποδεῖξαι. προβάλλουσι γὰρ πρὸς τοῖς ἄλλοις, ὅτι ἀφώρισε τὸν Βασιλέα Κωνσταντίον καὶ Οὐρσάκιον καὶ Οὐάλεντα Ἀρειανοὺς ὄντας. δεύτερον, ὅτι ὑπὸ τῶν καθολικῶν ἐβεβαιώθη γνήσιος Πάπας. τρίτον, ὅτι ἐν τῷ Μηνολογίῳ εἰ καὶ μαρτυρεῖται κατεγνωσμένος, ἀλλὰ τῷ χιλιοστῷ πεντακοσιοστῷ ὀγδοηκοστῷ δευτέρῳ ἔτει ἐπὶ Γρηγορίου δεκάτου τρίτου διορθωθέντος τοῦ Μηνολογίου, τὸ ἐναντίον ἀπεδείχθη. τέταρτον, ὅτι ἐν πλακὶ κειμένῃ ἐπὶ τοῦ μνήματος αὐτοῦ εὑρέθησαν γράμματα θεόθεν γεγραμμένα λέγοντα, ἐνταῦθα κεῖται τοῦ μάρτυρος Φίληκος τὸ σῶμα, ὃς κατεδίκασε Κωνσταντίον τὸν Αἱρετικόν. ταῦτα οἱ Λατῖνοι. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι ἡ πρὸς τὸν Κωνσταντίον καταδίκη καὶ ἀφορισμοὶ τοῦ Φίληκος ἐν μόνῃ τῇ κέλλῃ αὐτοῦ ἠκούσθησαν, οὐμὴν καὶ ἐν τῷ κοινῷ τῆς Ἐκκλησίας. εἶτα τοῦτο πρὸς κατάκρισιν αὐτοῦ λέγεται, εἰ γὰρ ὁ Κωνσταντίος Αἱρετικὸς ὑπ' αὐτοῦ μαρτυρεῖται, αὐτὸς δὲ ὡς ὁμόφρονα αὐτῷ προέβαλεν αὐτὸν Ἐπίσκοπον Ῥώμης, ἄρα. τὸν δὲ Οὐρσάκιον καὶ Οὐάλεντα δοτέον ὅτι ἀφώρισεν ὁ Φίληξ, ἀλλ' οὐκ ἀφώρισεν ὡς ἀλλοτριοφρονοῦντας, καὶ γὰρ ἐκεῖνοι ὡς εἴρηται κατὰ τὸν Πλάτινα μεσιτεύσαντες, ἐποίησαν αὐτὸν Πάπαν, ἀλλ' ὅτι ἀφέντες αὐτὸν, ἐνήργησαν καὶ ἔλαβε τὴν Ἐπισκοπὴν πάλιν ὁ Λιβέριος. πρὸς δὲ τὸ δεύτερον, οἱ ἅγιοι πατέρες εἰσὶ τῶν καθολικῶν στύλοι καὶ θεμέλια καὶ ἀρχαὶ μετὰ Χριστὸν, οἵτινες αὐτὸν μαρτυροῦσιν Αἱρετικὸν, καὶ τοὐλάχιστον παράνομον, καὶ τῆς εὐθύτητος παρατετραμμένον. ὥστε οἱ βεβαιώσαντες αὐτὸν νόμιμον Πάπαν, εἰσὶν ἀντικείμενοι τοῖς πατράσι, καὶ ἑπομένως ψευδοεπέστατοι. πρὸς δὲ τὸ τρίτον, ἀπὸ τῆς χειροτονίας τοῦ Φίληκος ἕως τοῦ εἰρημένου ἔτους τῆς διορθώσεως τοῦ Μηνολογίου παρεῤῥύη ἔτη χίλια διακόσια εἰκοσιτέσσαρα, καὶ ἐν τοσούτοις ἔτεσι καταγινωσκόμενος ὑπὸ τοῦ κοινοῦ τῆς Ἐκκλησίας, πῶς ἐν ὑστέροις καιροῖς εὑρέθη ἀνεύθυνος; οὕτως οἱ παπισταὶ περὶ τῶν ἀρχαιοτάτων ὑστάτους προσφέρουσι μάρτυρας, μηδ' ὅλως αἰσχυνόμενοι, ὅθεν καὶ ψευδοπλάσται καλοῦνται. περὶ δὲ τοῦ τετάρτου οὐδεὶς ἡμῖν λόγος, ἐπειδὴ προφανεστάτη ἐστὶ φλυαρία, καὶ ἀπάτη ἀναντιῤῥήτως. συμπεραίνεται οὖν ἐκ τούτων, ὅτι ἡ ἐπιστολὴ ἣν λέγουσιν οἱ προστάται τῆς παπολατρείας πεπομφέναι τὴν ἐν Ἀλεξανδρείᾳ Συνόδον πρὸς τοῦτον τὸν Φίληκα ψευδεπίπλαστός ἐστι, καὶ μάλιστα ὅτι ὁ μέγας Ἀθανάσιος μαρτυρεῖ αὐτὸν ὑπεύθυνον παρανομίᾳ καὶ Αἱρέσει, ἀλλ' οὐδὲ ἐκεῖνο ὅτι τοῦ Λιβερίου ἐξορίστου ὄντος προεβλήθη, ἐξαιρεῖται τὸν Φίληκα τῆς ἐνοχῆς τῆς παρανομίας καὶ παρατροπῆς τῶν ἰδίων τῆς εὐσεβείας. ἰδὲ καὶ ἀνωτέρω κεφαλαίου πέμπτου Παράγραφον δέκατον ἕκτον.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Διάλογος Βασιλέως Κωνσταντίου μετὰ Λιβερίου Ῥώμης, καὶ ἀπόκρισις Λιβερίου πρὸς τὸν Βασιλέα, ἐξ οὗ διαλόγου, καὶ ἐκ παραθέσεως κατακρότος καθαιρεῖται τὸ μοναρχικὸν ἀξίωμα τοῦ Ῥώμης.

Μεταπεμψάμενος ὁ Βασιλεὺς τὸν Πάπαν ἀπὸ τῆς Ῥώμης, εἶπεν αὐτῷ πρῶτον, ἡμεῖς διὰ τὸ Χριστιανόνσε εἶναι καὶ Ἐπίσκοπον τῆς ἡμετέρας πόλεως, ἄξιον ἐκρίναμεν καὶ τοῦτο, μεταστειλάμενοι παραινοῦμέν σοι τὴν κοινωνίαν Ἀθανασίου ἀρνήσασθαι, τοῦτο γὰρ ἡ Οἰκουμένη εὖ ἔχειν ἐδοκίμασε, Συνόδου τε ψηφί-

ψηφίσματι ἀλλότριον τῆς ἐκκλησιαστικῆς κοινωνίας ἔκρινε. δεύτερον, ὅτι ἐν τῇ γενομένῃ Συνόδῳ ἐν Τύρῳ, καὶ ἐν τῇ Συνόδῳ (ἴσως τῇ ἐν Ἀντιοχείᾳ) κατεψηφίσαντο πάντες οἱ Ἐπίσκοποι τῆς Οἰκουμένης. τρίτον, ποστὸν εἶ μέρος τῆς Οἰκουμένης, ὅτι μόνος συναίρῃ ἀνθρώπῳ ἀνοσίῳ, καὶ τῆς Οἰκουμένης τὴν εἰρήνην καὶ ὅλου τοῦ κόσμου λύεις; τέταρτον, τὰ ἤδη τύπον ἐσχηκότα ἀναλύεσθαι οὐ δυνατόν ἐστι, τῶν γὰρ πλειόνων ἡ ψῆφος ἰσχύειν ὀφείλει, σὺ εἶ μόνος ὁ ἀντιποιούμενος τῆς φιλίας ἐκείνου. πέμπτον, βούλομαι γάρ σε ἀσπασάμενον τὴν πρὸς τὰς Ἐκκλησίας κοινωνίαν, πάλιν ἐπὶ τὴν Ῥώμην ἀποστεῖλαι, διατοῦτο πείσθητι τῇ εἰρήνῃ, καὶ ὑπογράψας, ὑπόστρεψον εἰς τὴν Ῥώμην. ταῦτα καὶ ἕτερα τούτοις παρόμοια εἶπε τῷ Πάπᾳ ὁ Βασιλεύς. ὁ δὲ Λιβέριος ἀποκρινόμενος εἶπε τῷ Βασιλεῖ, εἴσου δοκεῖ τῇ εὐσεβείᾳ, κριτήριον συσταθῆναι κέλευσον, καὶ εἰ ὀφθείη Ἀθανάσιος ἄξιος καταδίκης, τότε κατὰ τὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τύπον ἐξενεχθήσεται ἡ κατ' αὐτοῦ ψῆφος, οὐδὲ γὰρ οἷόν τε καταψηφίσασθαι ἀνδρὸς, ὃν οὐκ ἐκρίναμεν. εἶπε δεύτερον, πρὸς τοῖς ἄλλοις, ὅσοι ὑπέγραψαν οὐκ αὐτόπται τῶν γενομένων ἦσαν, ἀλλὰ διὰ δόξαν καὶ φόβον καὶ ἀτιμίαν τὴν παρὰ σοῦ. Καὶ, ὅσοι γὰρ τότε συνελθόντες κατεψηφίσαντο αὐτοῦ, ἀναχωρήσαντος Ἀθανασίου ἐκ τοῦ κριτηρίου, κατεψηφίσαντο ἀλόγως. εἶπε τρίτον, οὐ διὰ τὸ εἶναί με μόνον ὁ τῆς πίστεως ἐλαττοῦται λόγος, καὶ γὰρ κατὰ τὸ παλαιὸν τρεῖς μόνοι εὑρίσκονται ἀντιστάντες προστάξει. εἶπε τέταρτον, ἀξιῶ πρότερον Οἰκουμενικὴν ὑπογραφὴν προχειρίσαι βεβαιοῦσαν τὴν πίστιν τὴν κατὰ Νίκαιαν ἐκτεθεῖσαν, καὶ οὕτως ἀνακληθέντων τῶν ἀδελφῶν ἀπὸ τοῦ ἐξορισμοῦ, καὶ ἀποκατασταθέντων τοῖς ἰδίοις τόποις, εἰ ὀφθείησαν νῦν θορύβους ἐγγενῶντες ταῖς Ἐκκλησίαις, συγκατατιθέμενοι τῇ ἀποστολικῇ πίστει, τότε ἐπὶ τὴν Ἀλεξανδρέων οἱ πάντες ἀπαντήσαντες, ἔνθα ὁ ἐγκαλούμενος καὶ οἱ ἐγκαλοῦντες εἰσὶ, καὶ ὁ ἀντιποιούμενος αὐτῶν, ἐξετάσαντες τὰ περὶ αὐτῶν, συμπεριενεχθῶμεν. εἶπε πέμπτον, ἤδη τοῖς ἀδελφοῖς τοῖς ἐν Ῥώμῃ ἀπεταξάμην, μείζους γάρ εἰσιν οἱ ἐκκλησιαστικοὶ θεσμοὶ τῆς ἐν Ῥώμῃ διατριβῆς. ἐπὶ τούτοις ῥητέον καὶ ὅπερ Ἐπίκτητος ὁ Ἐπίσκοπος εἶπεν, ἤτοι τὸ, Βασιλεῦ, οὐ πίστεως ἕνεκεν σήμερον, οὐδὲ κριμάτων ἐκκλησιαστικῶν ἀντιποιούμενος Λιβέριος τὸν λόγον ποιεῖται, ἀλλ' ἵνα τοῖς ἐν Ῥώμῃ Συγκλητικοῖς καυχήσηται ὡς συλλογισάμενος τὸν Βασιλέα. ταῦτα καὶ τὰ τοιαῦτα πρὸς τὸν Βασιλέα ὁ Λιβέριος. ἐν τούτοις σημείωσαι πρὸς μὲν τὸ πρῶτον, ὅτι οὐκ εἶπεν ὁ Βασιλεὺς τῷ Πάπᾳ, διὰ τὸ εἶναί σε μονάρχην ἐν τῇ Ἐκκλησίᾳ, ἢ βικάριον τοῦ Χριστοῦ ἐκάλεσά σε, ἀλλὰ διὰ τὸ εἶναί σε Χριστιανὸν καὶ Ἐπίσκοπον τῆς Ῥώμης, καὶ οὐχὶ δηλονότι καθόλου Ἐπίσκοπον, μερικῆς δὲ μάλιστα Ἐκκλησίας Ἐπίσκοπον. δεύτερον, ὅτι λέγει τὴν Ῥώμην πόλιν τοῦ Βασιλέως, καὶ λοιπὸν οὐκ ἦν Ἄρχων πολιτικὸς ἐν τῇ Ῥώμῃ τότε ὁ Πάπας, καὶ εἰ ἄρχει νῦν ταύτης, ἀλλὰ καθ' ἁρπαγὴν καὶ τυραννικῶς, ὥστε οὐκ ἔχει αὐτὴν παρὰ τοῦ μεγάλου Κωνσταντίνου καὶ τοῦ θεσπίσματος αὐτοῦ. τρίτον, ὅτι λέγει, τὸν Ἀθανάσιον ἔκρινεν ἡ Οἰκουμενικὴ, καὶ ὅτι Συνόδου ψηφίσματι ἀλλότριον τῆς ἐκκλησιαστικῆς κοινωνίας ἔκρινον, δηλονότι οἱ ἐν Τύρῳ καὶ Ἀντιοχείᾳ συνελθόντες, καὶ προτάττει τὴν Οἰκουμενικὴν τοῦ Πάπα, καὶ γὰρ παραινεῖ τὸν Πάπαν ἵνα συμφωνήσῃ τῇ κρίσει τῆς Οἰκουμενικῆς, καὶ λοιπὸν βλάσφημον ἐκεῖνο τὸ τοῦ συγγραφέως τῶν Κανόνων, ἤτοι τὸ, εἰ καὶ πᾶσα ἡ Οἰκουμένη ἀποφαίνοιτό τι κατὰ τῆς γνώμης τοῦ Πάπα, μείζων ἰσχύει ἡ γνώμη τοῦ Πάπα, ἰδοὺ γὰρ καὶ ἡ ἐν Τύρῳ Σύνοδος προτιμᾶται τοῦ Πάπα. τέταρτον, ὅτι πρὸς ταῦτα ἀποκρινόμενος ὁ Πάπας, οὐκ εἶπεν ὅτι ὁ μὴ πειθόμενος τῷ Πάπᾳ οὐκ ἔστι Χριστιανὸς, καὶ ὁ μὴ πιστεύων εἰς τὸν Πάπαν οὐκ ἔχει σωτηρίαν, καὶ σὺ πῶς ἀποτολμᾷς ἀντικεῖσθαι πρὸς ὃν πιστεύειν ὀφείλεις; ὡς νῦν ἀδολεσχοῦσιν οἱ παπισταὶ, ἀλλ' εἶπεν ὅπερ ἀπῄτει τὸ ἐκκλησιαστικὸν δίκαιον, ἤτοι τὸ, εἴσου δοκεῖ τῇ εὐσεβείᾳ, κριτήριον συστῆναι κέλευσον. οὐκ εἶπεν ἐκεῖνο τὸ πάντολμον, καὶ ὡς ἀπὸ τῆς Ῥώμης ἐπὶ Σιλβέστρου δευτέρας Συνόδου πεπλασμένον, ἤτοι τὸ, ὁ πρῶτος κριτὴν οὐ κρίνεται οὔτε ὑπὸ Αὐγούστου, ἀλλ' εἶπεν, εἴσου δοκεῖ τῇ εὐσεβείᾳ, κριτήριον συστῆναι κέλευσον, ὥστε καὶ ὁ Λιβέριος διὰ δύο τινῶν συμφωνεῖ τῷ Κωνσταντίῳ, πρῶτον, ὅτι συντίθεται εἶναι μεῖζον τοῦ Πάπα κριτήριον τὴν Σύνοδον. δεύτερον, ὅτι λέγει κέλευσον, δεικνύων ὅτι τὰς Συνόδους ὁ Βασιλεὺς συνάγει, καὶ οὐχ ὁ Ῥώμης. ἔτι σημείωσαι ὅτι οὐ λέγει τῷ Βασιλεῖ, ὁ Πάπας ἔχει δύο ῥομφαίας, μίαν ἐκκλησιαστικὴν, καὶ ἑτέραν πολιτικὴν, δι' ἣν καὶ τῶν Βασιλέων ἄρχει, καὶ κρίνει, οὐ κρίνεται, προστάττει, οὐ προστάττεται, ἀλλὰ μετὰ πολλῆς τῆς ταπεινοφροσύνης καὶ τῆς ἐπισκοπικῆς σεμνότητος παρακαλῶν, εἶπε, κέλευσον, καὶ τὰ λοιπὰ, ὡς εἴρηται ἀνωτέρω. οὐκ εἶπεν ὅτι αἱ Σύνοδοι ἐν Τύρῳ καὶ Ἀντιοχείᾳ συνῆλθον διὰ προσταγῆς βασιλικῆς, καὶ οὐ διὰ προτροπῆς ἐμῆς, ὅθεν οὐδὲ Σύνοδοί εἰσιν αἱ παρ' ἡμῶν μὴ ἀθροιζόμεναι, ἀλλ' εἶπε, κριτήριον συστῆναι κέλευσον, καὶ εἰ φανείη Ἀθανάσιος ἄξιος καταδίκης, τότε κατὰ τὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τύπον ἐξενεχθήσεται ἡ κατ' αὐτοῦ ψῆφος, οὐδὲ γὰρ οἷόν τε καταψηφίσασθαι ἀνδρὸς, ὃν οὐκ ἐκρίναμεν. οὐκ εἶπεν ἐγώ εἰμι ἐπὶ πάντων, ἐγὼ ἐπὶ τῶν Συνόδων, ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος καὶ ἄκρος κριτὴς, ὡς οἱ μετὰ τὸ σχίσμα Πάπαι παρανομοῦντες λέγουσιν, ἀλλὰ συνοδικῶς ἐζήτει ἀνακριθῆναι τὰ κακῶς κριθέντα, ὥσπερ ποτε ἔγραφεν ὁ Ἰούλιος τοῖς

τοῖς Εὐσεβιανοῖς ἵνα ἀνακριθῇ ὑπὸ ἑτέρας Συνόδου τὰ κακῶς ὑπὸ ἑτέρας κριθέντα. σημείωσαι ἔτι ὅτι φησὶν, εἴσω δοκεῖ τῇ εὐσεβείᾳ, κριτήριον συστῆναι κέλευσον. καὶ πῦ λοιπὸν τὸ τοῦ Πάπα Βονιφατίου τοῦ τρίτου τὸ, ὁρίζομεν, προστάττομεν, καὶ ἐν τῇ βούλῃ τοῦ Πάπα Παύλου περὶ τῆς ἐν Τριδέντῳ Συνόδου τὸ, προλέγομεν, καταγγέλλομεν, συγκαλοῦμεν, συνίσταμεν, ψηφιζόμεθα, ὁρίζομεν καὶ προστάττομεν, ἢ λοιπὸν ὁ Λιβέριος ἥμαρτεν εἰπὼν τῷ Βασιλεῖ κέλευσον, ἢ ὁ Βονιφάτιος καὶ Παῦλος ἐβλασφήμησαν εἰπόντες ταῦτα τὰ ῥήματα, ἀλλαμὴν οὐκ ἔστι τὸ πρῶτον, ἄρα τὸ δεύτερον. καὶ γὰρ ὅπερ οὐκ εἶχεν ὁ Λιβέριος, πῶς ἔσχον τοῦτο οἱ τούτου διάδοχοι; πρὸς δὲ τὸ δεύτερον σημείωσαι πρῶτον, ὅτι οὐκ Οἰκουμενικὴν, ἀλλὰ τὴν ἐν Τύρῳ καὶ Ἀντιοχείᾳ μερικὰς οὔσας προτάττει τοῦ Πάπα. δεύτερον, ὅτι κατὰ συνεκδοχὴν λέγει τοὺς μερικοὺς Ἐπισκόπους Ἐπισκόπους τῆς Οἰκουμένης, καὶ ἰδὲ ἀνωτέρω τὰ εἰρημένα περὶ τῆς ἐν Τύρῳ Συνόδου. τρίτον, ὅτι οὐδεὶς τῶν πατέρων ἢ ἱστορικῶν ἤλεγξαι τὸν Βασιλέα ὅτι τὰς Συνόδους ταύτας τοῦ Πάπα προέταξεν. τέταρτον, ὅτι καὶ ὁ Πάπας ἀποκρινόμενος εἰς ταῦτα τῷ Βασιλεῖ, οὐκ εἶπεν ὅτι οὐκ ἔκρινον οἱ Ἐπίσκοποι τῆς Οἰκουμένης, ἢ Σύνοδος οὐ καλεῖται ἡ μὴ συναχθεῖσα διὰ τῆς ἐμῆς ἐπιταγῆς ἢ βεβαιώσεως, ἀλλὰ τὴν μὲν Σύνοδον ὅτι Σύνοδος ἦν ἐδέχθη, διὰ δὲ τὸ κακῶς κεκρικέναι ἤλεγξεν εἰπὼν δύο τινὰ, ἓν ὅτι διὰ φόβον ὑπέγραψαν, καὶ ἕτερον ὅτι ἀναχωρίσαντος Ἀθανασίου ὑπέγραψαν, ἤτοι εἰς τὴν καθαίρεσιν αὐτοῦ. βεβαιοῦται οὖν ἐκ τούτων ὅτι αἱ μερικαὶ Σύνοδοι τοῦ Πάπα προτάττονται, καὶ ὁ Πάπας οὐδὲν μόνος δύναται, ἀλλὰ συνοδικῶς, ἤτοι οὐκ ἔστιν ὁ Πάπας Σύνοδος, ἀλλὰ μέρος τῆς Συνόδου, καὶ ἐνεργεῖ ὡς μέρος ὡς καὶ πᾶς ἕκαστος Ἐπίσκοπος, ἡ ἀπόφασις δέ ἐστι τῆς κοινότητος κατὰ σύμφωνον καὶ ὁμογνώμονα ψῆφον. πρὸς δὲ τὸ τρίτον ἤτοι τὸ, ποστὸν εἶ μέρος τῆς Οἰκουμένης ῥητέον, πῦ τὰ μεγάλα καὶ ὑψηλὰ ὀνόματα τῶν μετὰ τὸ σχίσμα Παπῶν; ἅτινα ἰδὲ κατωτέρω βιβλίου δεκάτου μέρους πρώτου κεφαλαίῳ δεκάτῳ. Ἀλλ' ἀντιφέρουσιν οἱ παπισταὶ λέγοντες, ἰδοὺ ὁ Βασιλεὺς εἰπὼν τῷ Πάπᾳ ὅτι μόνος διαλύει τὴν εἰρήνην τῆς Οἰκουμένης, ἐμαρτύρησεν ὅτι ὁ Πάπας ἔχει ἄκραν δύναμιν ἐν τῇ Ἐκκλησίᾳ. Ἀλλὰ ῥητέον ὅτι οὐκ ἐῶσι τὰ ἑπόμενα καὶ ἡγούμενα τοῦ διαλόγου τοιοῦτόν τι ὑπονοῆσαι. δεύτερον, ὅτι τοῦτο εἴρηκεν ὁ Βασιλεὺς κατὰ λεκτικὴν συνήθειαν, ὡς τὸ σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλήμ. εἶτα οὗτος ὁ κατ' ἐξαίρεσιν λόγος καὶ ἄλλοις πολλοῖς ἐῤῥέθη, λέγει γὰρ ὁ Σωκράτης ὅτι ὁ Βασιλεὺς διὰ τῶν ἐν Σιρμίῳ συνελθόντων (Ἐπισκόπων) τὸν Ὅσιον ἀπὸ τῆς ἐξορίας μετεπέμψατο, βουλόμενος ἢ πειθοῖ ἢ ἀνάγκῃ τοῖς παροῦσιν ὁμοφωνῆσαι. τούτου γὰρ γενομένου, μέγιστον ἐδόκει μαρτύριον ὑπάρχειν τῆς ἐκείνων πίστεως, βιβλίῳ δευτέρῳ κεφαλαίῳ τριακοστῷ πρώτῳ. καὶ ἡ ἐν Σαρδικῇ Σύνοδος ἐν τῇ ἐγκυκλίῳ αὐτῆς ἐπιστολῇ φησὶ, καίτοι πάντων τῶν συνελθόντων Ἐπισκόπων, καὶ μάλιστα τοῦ εὐγηροτάτου Ὁσίου τοῦ καὶ διὰ τὸν χρόνον καὶ διὰ τὴν ὁμολογίαν καὶ διὰ τὸ τοσοῦτον κάματον ὑπομεμενηκέναι πάσης τιμῆς τε καὶ αἰδοῦς τυγχάνοντος ἀξίου, ἀναμενόντων καὶ προτρεπομένων αὐτοὺς εἰς κρίσιν ἐλθεῖν, Θεοδώριτος λόγῳ δευτέρῳ κεφαλαίῳ ὀγδόῳ. καὶ ὁ Σωκράτης φησὶν ὅτι ἐν Μεδιολάνῳ τριακοσίων Ἐπισκόπων Σύνοδος ἐλθοῦσα, οἱ ἐν ταύτῃ Ἀνατολικοὶ πρὸ πάντων ἐζήτουν κοινὴν συνοδικὴν καθαίρεσιν γενέσθαι Ἀθανασίῳ, ὡς δὲ τοῦτο ἤσθοντο Διονύσιος καὶ Εὐσέβιος Ἄλβας καὶ Μαρκέλλων Ἐπίσκοποι, ὡς ἐπὶ καθαιρέσει τῆς πίστεως τὸ κατὰ Ἀθανασίου ψήφισμα σπεύδειν κυρῶσαι, ἀναστάντες ἐβόων μακρὰ, δόλον ὑπομένειν καὶ ἀπάτην διὰ τῶν γενομένων τὸν χριστιανισμὸν, οὐ γὰρ ἀληθῆ τὴν κατὰ Ἀθανασίου μέμψιν εἶναι, ἀλλ' ἐπὶ παρατροπῇ τῆς πίστεως ταῦτα αὐτοὺς ἐπινοεῖν. τοιαῦτα αὐτῶν κεκραγότων, διαλύεται τότε τῶν Ἐπισκόπων ὁ σύλλογος, βιβλίῳ δευτέρῳ κεφαλαίῳ τριακοστῷ ἕκτῳ. καὶ σημείωσαι ὅτι ὁ Ὅσιος προτιμᾶται παντὸς τοῦ κόσμου καὶ αὐτοῦ τοῦ Πάπα, οὐχ οὕτω γὰρ ἡ ἐν Σιρμίῳ Ἀρειανικὴ Σύνοδος ἐνόμιζε μέγα μαρτύριον τῆς πίστεως αὐτῆς τὸ ὑπογράψαι ἐν τῷ Ἀρειανισμῷ τὸν Λιβέριον, ὡς τὸ ὑπογράψαι ἐν αὐτῇ τὸν Ὅσιον, καὶ ἡ ἐν Σαρδικῇ Σύνοδος οὐκ ἐκαλλωπίζετο ὅτι ἔχει Τοποτηρητὰς τοῦ Ῥώμης Ἰουλίου, ὡς ἐσεμνύνετο ὅτι ἔχει πρώτιστον αὐτοῖς τὸν Ὅσιον, καὶ τοῦτο οὐ διὰ τὸ εἶναι Λεγᾶτον τοῦ Ῥώμης, ἀλλὰ διὰ τὰς οἰκείας ἀρετάς. καὶ ὁ μέγας Ἀθανάσιος εἴγε καθῄρητο ἡ πίστις ἐσάλευεν, ἥτις οὐκ ἐσάλευσεν ἐξορισθέντος καὶ ἀρειανίσαντος τοῦ Ῥώμης Λιβερίου, ὅθεν ὑπέμειναν ἐξορίαν ὅ,τε Πάπας καὶ οἱ Μητροπολῖται τῆς Δυτικῆς Ἐκκλησίας ὑπὲρ Ἀθανασίου, ἵνα μόνον μὴ παρατραπῇ ἡ ὀρθόδοξος πίστις, καὶ οὐ διὰ τὸν Ῥώμης, ἀλλὰ διὰ τὸν Ἀθανάσιον συνίσταται καὶ διαλύεται ἡ ἐν Μεδιολάνῳ Σύνοδος, ἥτις συνέστη μὲν οὐχ ὑπὸ τοῦ Ῥώμης, ἀλλ' ὑπὸ τοῦ Βασιλέως, καὶ διελύθη οὐκ ἀπὸ τοῦ Ῥώμης, ἀλλ' ἀπὸ Διονυσίου καὶ Εὐσεβίου τῶν Μητροπολιτῶν τῆς Ἰταλίας. καὶ λοιπὸν ὥσπερ οὐδὲν ἰδικὸν ἀξίωμα ἐκληρώσαντο ἐκ τούτων τῶν μεγάλων πραγμάτων, καὶ μάλιστα μεγάλων Συνόδων καὶ ἀγῶν Πατέρων γενομένων ἐν τῇ Ἐκκλησίᾳ Ὅσιος καὶ Ἀθανάσιος καὶ οἱ Μητροπολῖται Ἰταλίας, οὕτως οὐδὲ ὁ Λιβέριος ἔλαβεν ἰδικὸν ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ ἐκ τῆς λεκτικῆς συνηθείας τοῦ ἠπατημένου Κωνσταντίου. ἀλλὰ δὴ καὶ ὁ μέγας Μάξιμος, ἀλλὰ δὴ καὶ ὁ Πάπας ἀποκριθεὶς τῷ Βασιλεῖ, οὐκ εἶπε ποστός εἰμι ὦ Βασιλεῦ, τόσος εἰμὶ ὡς πᾶσα ἡ Οἰκουμένη, ὡς κεφαλὴ αἰσθητὴ τῆς Ἐκκλησίας, ὡς ἄκρος πρῶτος, ὡς Βικάριος τοῦ Χριστοῦ καὶ μέγιστος Ἀρχιερεὺς, καὶ μάλιστα ὡς Βασιλεὺς τῶν Βασιλέων

σιλέων, οὐκ εἶπε ταῦτα τὰ λεξείδια τῆς ἀφροσύνης, ἀλλ' εἶπεν εἰ καὶ μόνος εἰμὶ, ἀλλ' ἡ εὐσέβεια οὐ κρίνεται ἁπλῶς ὑπὸ τοῦ πλήθους τῶν ἀσεβῶν, ἀλλ' ὑπὸ τοῦ χαρακτῆρος τῆς πίστεως, ὡς ἐγένετο ἐν τῇ Βαβυλῶνι, ὅπου οἱ τρεῖς παῖδες ἀντεῖπον καὶ ἀντέπραξαν τῇ προστάξει τοῦ τυράννου Ναβουχοδονόσορος. ταῦτα ὁ Λιβέριος, ἐξ ὧν οὐ συνάγεται πρωτεῖον ἐξουσίας, ἀλλ' ἀδελφικὴ ἰσοτιμία. πρὸς δὲ τὸ τέταρτον, σημείωσαι ὅτι ὁ Κωνσταντίος οὐκ εἶχε γνώμην ἢ ὅλως εἴδησιν περὶ μοναρχίας, ἢ κἂν ὅλως πρωτείου τοῦ Πάπα, ὅθεν ἔφη, τὰ ἤδη τύπον ἐσχηκότα ὑπὸ τῶν ἐν Τύρῳ καὶ Ἀντιοχείᾳ καὶ ἐν τῷ Μαρεώτῃ δηλονότι Συνόδων οὐ παρασαλεύεται, ἐπειδὴ ἐκεῖνοι σοῦ πλείονες, τῶν δὲ πλειόνων ἡ ψῆφος ὀφείλει κρατεῖν. πρὸς ταῦτα ὁ Πάπας οὐκ ἀπεκρίθη τί τῶν μαρτυρούντων αὐτῷ πρωτεῖον, καὶ γὰρ οὐκ εἶχεν εἰπεῖν, οὔτε ἐφρόνει μονάρχης εἶναι ἐν τῇ Ἐκκλησίᾳ, ἀλλὰ ζητήσας ἀπὸ τοῦ Βασιλέως ἵνα Σύνοδον Οἰκουμενικὴν ὁρίσῃ γενέσθαι ἐν Ἀλεξανδρείᾳ, οὐχ ἵνα κρίνῃ ἐξαιρέτως αὐτὸς μετὰ τῆς Συνόδου, ἀλλ' ἵνα μετὰ τῶν ἄλλων κρίνῃ καὶ αὐτὸς ὡς εἷς τῶν πολλῶν. ὅθεν ἔφη, ἐξετάσαντες τὰ κατ' αὐτοὺς, συμπεριενεχθῶμεν. πρὸς δὲ τὸ πέμπτον, σημείωσαι ὅτι φανερῶς καὶ ἐνταῦθα δείκνυται τὸ αὐτὸ, ἤτοι μόνος ὁ Βασιλεὺς ἄρχει τῆς Ῥώμης, καὶ ὁ Πάπας οὐ προστάττει, ἀλλὰ προστάττεται καὶ οὐκ ἀντιλέγει τῇ προστάξει διά τινων προνομίων οἷς χρῶνται κατὰ τῶν Βασιλέων οἱ νῦν Πάπαι ἱεροσυλοῦντες τὸ βασιλικὸν ἀξίωμα, ἀλλὰ τῷόντι ἐκκλησιαστικῶς καὶ ἀποστολικῶς φησὶν ὁ Πάπας Λιβέριος ἀποκρινόμενος τῷ Αὐγούστῳ μείζους εἶναι τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς τῆς ἐν Ῥώμῃ διατριβῆς. εὐκαίρως ἄρα ῥητέον καὶ ἡμῖν, ὅτι ἐὰν λέγωσιν οἱ Πάπαι τὴν Ῥώμην τῆς διαδοχῆς τῶν Ἀποστόλων θρόνον, καὶ ἐκ τοῦ τόπου τὴν καινοτομίαν τοῦ παπισμοῦ συνιστᾶν βούλωνται, ὅπερ ἐστὶν ἀξίωμα αὐτιχριστιανικὸν καὶ διαβολικὴ λῆψις, κρεῖσσον ἐστὶν ἡμῖν φυλάττειν τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς, μακρὰν δὲ εἶναι τῆς ἐν Ῥώμῃ διατριβῆς. ἔνθα γὰρ συμπροσκυνῆται τῷ Θεῷ ὡς ἄλλος Θεὸς τὸ θηρίον, μακρὰν δεῖ ἀπέχειν ἡμᾶς ἀπροκριματίστως. ἀλλὰ καὶ εἰς τὰ Ἐπικτήτου ῥήματα σημείωσαι ὅτι ἐν Ῥώμῃ οὐκ ἦν Ἄρχων ὁ Λιβέριος, ἀλλὰ μόνος ὁ Βασιλεὺς, καὶ ἦσαν ἐν αὐτῇ Συγκλητικοὶ, οὐ Καρδηνάλεις καὶ φράτορες, ἀλλ' Ἄρχοντες πολιτικοὶ κατὰ τὸ ἀρχαῖον τῆς Αὐτοκρατορίας δίκαιον. ταῦτα ἐν συνόψει καὶ πρὸς τὸν παρόντα διάλογον.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ Αἱρέσεως τῶν Ἀνομοίων, καὶ τῆς ἐν Ἀριμίνῳ Συνόδου, ἐν ᾗ βεβαιοῦται τὸ Ὁμοούσιον καὶ ἡ ἐν Νικαίᾳ πίστις.

Ἁρπάζει μετὰ τὸν θάνατον Λεοντίου ὁ Γερμανικείας Εὐδόξιος τὸν θρόνον Ἀντιοχείας, καὶ παῤῥησίᾳ διδάσκει τὸ Ἀνόμοιον ὁ σοφιστὴς Ἀέτιος Διάκονος Γεωργίου Ἀλεξανδρείας, καὶ τῶν τοῦ Ἀριστοτέλους διαλεκτικῶν ὅλος κάτοχος. θορυβοῦνται δὲ οἱ λέγοντες τὸ κατ' οὐσίαν ὅμοιον, καὶ γράφει ὁ Λαοδικείας Γεώργιος πρὸς Ἐπισκόπους τινὰς συνηγμένους εἰς τὴν Ἄγκυραν διὰ ἐγκαίνια εὐκτηρίου πολυτελοῦς οἴκου, καὶ πέμπεται παρ' αὐτῶν ὁ Ἀγκύρας Βασίλειος, ὁ Σεβαστείας Εὐστάθιος, καὶ Ἐλεύσιος ὁ Κυζίκου εἰς τὸν Βασιλέα διατρίβοντα κατὰ τὴν Ἰταλίαν, καὶ γράφει ὁ Βασιλεὺς εἰς τὴν Ἀντιόχειαν ὅτι παρὰ γνώμην αὐτοῦ ὁ Εὐδόξιος ἁρπάζει τὸν θρόνον, καὶ διώκει αὐτὸν ἐκεῖθεν, ὅθεν μετέπειτα καὶ διὰ τοῦτο, καὶ ἵνα βεβαιώσῃ ὁ Κωνσταντίος τὰ ἐν Σιρμίῳ καὶ Μεδιολάνῳ πεπραγμένα, διορίζει γενέσθαι Σύνοδον Οἰκουμενικὴν, ὁ δὲ Οὐρσάκοις καὶ Οὐάλης, καὶ ἄλλοι, οἱ ἐπιστρέψαντες εἰς τὸν ἴδιον ἔμετον ἐγένοντο τῆς γνώμης τοῦ Ἀετίου, λογισάμενοι ὅτι γενομένης Συνόδου, ἢ τὸ ἐν Νικαίᾳ δόγματο ἔχον τὸ Ὁμοούσιον βεβαιωθήσεται, ἢ ἡ ἐπὶ τῶν ἐγκαινίων εἰς τὴν Ἀντιόχειαν ἔκθεσις ἡ ἔχουσα τὸ κατ' οὐσίαν ὅμοιον λήψεται τὸ κῦρος, καὶ ἐκβληθήσεται καὶ Ἀέτιος καὶ ἡ Αἵρεσις τῶν Ἀνομοίων, πείθουσι τὸν Βασιλέα γενέσθαι τὴν Σύνοδον εἰς δύο μέρη, καὶ τὸ ἐν ἀθροισθῆναι εἰς τὴν Ἀνατολὴν, τὸ δὲ ἕτερον εἰς τὴν Δύσιν. καὶ δὴ ἀθροίζονται εἰς τὸ δυτικὸν μέρος ἑξακόσιοι Ἐπίσκοποι ἐν ἔτει τριακοσιοστῷ ἑξηκοστῷ τρίτῳ, εἰ καὶ ἕτεροι λέγουσιν ἐν τῷ τριακοσιοστῷ πεντηκοστῷ ἐνάτῳ, ἐν ᾧ ἐννοεῖται καὶ Ἑλλὰς, καὶ Μακεδονία, καὶ Θρᾴκη, καὶ Δάκες, εἰς Ἀρίμινον πόλιν τῆς Ἰταλίας, καὶ μέμφονται οἱ ἐκεῖσε πατέρες καὶ τὸ κατ' οὐσίαν ὅμοιον, καὶ τὸ ἁπλῶς ὅμοιον, καὶ ἀποβάλλουσι τὴν ἐν Σιρμίῳ καὶ Ἀντιοχείᾳ πίστιν, καὶ βεβαιοῦσι τὸ Ὁμοούσιον, καὶ τὰ ἐν Νικαίᾳ πεπραγμένα, καὶ τοὺς μὴ θελήσαντας ἀναθεματίσαι τὸ Ἀρείου δόγμα καθεῖλον, ἤγουν τοὺς περὶ Οὐάλεντα καὶ Οὐρσάκιον, Αὐξέντιον, Γερμανὸν, Γάϊον καὶ Δημόφιμον, εἶτα γράφουσι τῷ Βασιλεῖ, καὶ πέμπουσι καὶ εἴκοσιν Ἐπισκόπους πρέσβεις. διδάσκεται δὲ ὁ Κωνσταντίος ὑπὸ τῶν Ἀνομοίων Ἐπισκόπων τὰ πεπραγμένα, καὶ οὐ δέχεται εἰς ξυντυχίαν αὐτοῦ τοὺς πρέσ-

πρέσβεις, εἶτα ἦλθεν εἰς τὸ Βυζάντιον. διαφωνοῦσι δὲ οἱ Ἱστορικοὶ ὅτι τινὲς λέγουσιν ἀποστεῖλαι αὐτοῖς τὸν Βασιλέα τὴν ἐν Σιρμίῳ ἔκθεσιν, καὶ ὑπογράψαι πολλοὺς τῆς Συνόδου βιαίως, καὶ τοὺς μὴ ὑπογράψαντας ἐξορισθῆναι. ἄλλοι λέγουσιν ὅτι οἱ Αἱρετικοὶ κατεσκεύασαν καὶ ἔφερον πολλοὺς τῆς Συνόδου εἰς Νίκην χώραν τῆς Θρᾴκης, καὶ ἐβίασαν αὐτοὺς καὶ ὑπέγραψαν, οὐχὶ τὸ κατ' οὐσίαν ὅμοιον, ἀλλὰ τὸ ἁπλῶς ὅμοιον. καὶ εἰς μὲν τοὺς πολλοὺς ἰδιώτας ἔλεγον, αὕτη ἐστὶν ἡ ἐν Νικαίᾳ πίστις, πλανῶντες αὐτοὺς διὰ τὴν ὁμωνυμίαν τῶν πόλεων, εἰς δὲ τοὺς λοιποὺς ὅτι αὕτη ἐστὶν ἡ πίστις τῆς ἐν Ἀριμίνῳ Οἰκουμενικῆς Συνόδου, ἡ ἀποβάλλουσα τὸ Ὁμοούσιον ὡς ἄγραφον, καὶ διδάσκουσα τὸ ὅμοιον κατὰ τὰς γραφάς. φαίνεται ὅμως μὴ ὑπογράψαι τὴν Σύνοδον εἰς ἄλλην πίστιν, ἀλλὰ μόνην τὴν ἐν Νικαίᾳ βεβαιῶσαι. ὁ γὰρ Ἐπίσκοπος Ῥωμαίων Δάμασος ἐπὶ Βαλεντιανοῦ καὶ Βάλεντος ἀθροίσας εἰς τὴν Ἰταλίαν Σύνοδον ἐννενήκοντα Ἐπισκόπων εἰς βεβαίωσιν τοῦ Ὁμοουσίου, καὶ καθαίρεσιν τοῦ Μεδιολάνων Ἀρειανοῦ Αὐξεντίου, καὶ γράφων συνοδικῶς εἰς τοὺς Ἐπισκόπους τοῦ Ἰλλυρικοῦ, τοὺς συναχθέντας πάλιν τότε δι' αἰτίαν περὶ ἧς λέξομεν, ἀθῳοῖ τὴν Σύνοδον ταύτην ὡς μὴ ὑπογράψασαν εἰς τὴν ἔκθεσιν περὶ πίστεώς τινος, μόνον δὲ τοῦτο κηρύττει ψευδῶς ἡ τῶν Ἀρειανῶν κακουργία, πλὴν ἐπειδὴ ποτὲ μὲν ἐπαινεῖται, ποτὲ δὲ ψέγεται, καὶ βιασθεῖσα παρετράπη εἰς τινὰ ἄτοπα ὕστερον ἡ Σύνοδος αὕτη οὐκ ἐγκαταλέγεται εἰς τὰς ἁγίας Συνόδους, ἀλλ' ἀποβάλλεται τούτων. Σημείωσαι ὅτι λέγει ὁ Πλάτινας, τοὺς Ἀνατολικοὺς ὄντας σοφοὺς νενικηκέναι τοὺς Δυτικοὺς ἐν τῇ Συνόδῳ ταύτῃ ἁπλοῦς καὶ ἀγραμμάτους ὄντας.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας Συνόδου, καὶ τῆς διαφωνίας ἐν αὐτῇ τῶν Ἐπισκόπων, καὶ ἀπράκτου διαλύσεως αὐτῆς.

Τὸ δὲ ἕτερον μέρος τῆς Συνόδου τὸ Ἀνατολικὸν, ἐκωλύθη ἀθροισθῆναι εἰς τὴν Νικομήδειαν ὑπὸ σεισμῶν, καὶ εἰς τὴν Νίκαιαν ὑπὸ θεϊκῆς προνοίας ἵνα μὴ ὁμολογῆται ὁ ἀρειανισμὸς ὅπου ἐβεβαιώθη ἡ εὐσέβεια, καὶ ἀθροίζεται εἰς τὴν Σελεύκειαν τῆς Ἰσαυρίας. γίνεται ὅμως εἰς αὐτοὺς διχόνοια, τοῦ μὲν γὰρ ἑνὸς μέρους ἦσαν προεστῶτες Εὐδόξιος, Ἀκάκιος, Πατρόφιλος, Γεώργιος Ἀλεξανδρείας, Οὐρανίος Τύρου καὶ ἕτεροι τριακονταδύο οἱ πάντες γὰρ ἦσαν τεσσαράκοντα καὶ τρεῖς, ὡς Ἐπιφάνιος Αἱρέσει κατὰ Ἡμιαρείων. τοῦ δὲ ἑτέρου Μακεδόνιος Κωνσταντινουπόλεως, Γεώργιος Λαοδικείας, Βασίλειος Ἀγκύρας, Ἐλεύσιος Κυζίκου, Σωφρόνιος Πομπηϊουπόλεως Παφλαγόνος, Σιλβανὸς Ταρσοῦ καὶ οἱ πλείονες, ἦσαν γὰρ πάντες ἑκατὸν καὶ ἑξήκοντα. ἡ δὲ διχόνοια γέγονε κατὰ δύο τρόπους, πρῶτον, ὅτι ἦσαν καὶ τινὲς ὑπὸ κρίσιν, ὡς Κύριλλος Ἱεροσολύμων, Εὐστάθιος Σεβαστείας καὶ ἄλλοι συκοφαντούμενοι ὑπὸ τῶν Ἀρειανῶν, καὶ ἔλεγον οἱ περὶ Ἀκάκιον πρῶτον θεωρηθῆναι τὰ τινῶν ἐγκλήματα, καὶ ὕστερον θεωρηθῆναι τὰ περὶ τοῦ δόγματος, τὸ δὲ ἕτερον μέρος ἔλεγε τὸ ἐναντίον. δεύτερον, ὅτι συμφωνήσαντες θεωρηθῆναι πρῶτον τὸ δόγμα οἱ περὶ Ἀκάκιον εἰσῆγον τὸ Ἀνόμοιον, καὶ ἐζήτουν ποιῆσαι ἔκθεσιν ἑτέραν πίστεως, ὁ δὲ Σιλβανὸς καὶ Σωφρόνιος καὶ οἱ περὶ αὐτοὺς ἔλεγον ἀρκεῖ ἡ ἐν Ἀντιοχείᾳ ἐπὶ τῶν ἐγκαινίων ἔκθεσις, καὶ οὐχρεία ἑτέρας, οὐ γὰρ ἤλθομεν ἐνταῦθα ἀθετῆσαι πίστιν, ἀλλὰ βεβαιῶσαι, καὶ οὕτω διελύθησαν ἄπρακτοι, καὶ ἔρχονται οἱ περισσότεροι εἰς Κωνσταντινούπολιν, ὅπου καὶ ὁ Βασιλεὺς ἦλθεν ἀπὸ τῆς Δύσεως. σημείωσαι δὲ ὅτι ὁ μέγας Βασίλειος ἐπιστολῇ Πατροφίλῳ Ἐπισκόπῳ λέγει, ὅτι καὶ ἐν Ἀγκύρᾳ καὶ ἐν Κυζίκῳ καὶ ἐν Κωνσταντινουπόλει καὶ ἐν Λαμψάκῳ ἐγένοντο ἐκθέσεις πίστεως ὡς λέγει ὁ Ἐφέσου Μάρκος ἐν τῇ πέμπτῃ πράξει τῆς ἐν Φλωρεντείᾳ Συνόδου, ὅτι ἀπὸ τῆς πρώτης Συνόδου ἕως τῆς δευτέρας ἐγένοντο πλείους ἢ τριάκοντα ἐκθέσεις τὸ Ὁμοούσιον ἀναιροῦσαι. ἰδὲ καὶ Σωκράτους βιβλίου δευτέρου κεφάλαιον τεσσαρακοστὸν πρῶτον.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἐν Κωνσταντινουπόλει πεντήκοντα πονηρῶν Ἐπισκόπων Συνόδου, Ἀέτιον, Μακεδόνιον Κωνσταντινουπόλεως, Κύριλλον Ἱεροσολύμων καὶ ἄλλους Ἀρχιερεῖς καθαιρέσει ὑποβαλούσης, καὶ τοῦ συμβάντος περὶ τοῦ Μακεδονίου ἐμφυλίου πολέμου, καὶ διακρίσεως τῶν τὸ κατ' οὐσίαν ὅμοιον ἀπὸ τῶν τὸ ἀνόμοιον δοξαζόντων, ἐξ ὧν ἡλεγομένη Αἵρεσις Μακεδονίου.

Οἱ περὶ Ἀκάκιον εἰς Κωσταντινούπολιν πεντήκοντα πονηρῶν Ἐπισκόπων ἀθροίζουσι Σύνοδον, καὶ πείθουσι τὸν Βασιλέα πιστεῦσαι ὅτι τὴν ἱερὰν καὶ πολύτιμον στολὴν ἣν ἔδωκεν ὁ μέγας Κωνσταντῖνος τῷ Μακαρίῳ Ἱεροσολύμων, ὁ Ἱεροσολύμων Κύριλλος ἔδωκε θυμελικῷ παιγνιδιώτῃ ὡς Θεοδώριτος βιβλίῳ

βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ. ὅθεν ἀνανεύει ὁ Βασιλεὺς θεωρηθῆναι τὴν Αἵρεσιν Αἐτίου, καὶ Εὐδοξίου, δείκνυσιν ὅμως ὁ Ἀγκύρας Βασίλειος τὰς βλασφημίας τοῦ Αἐτίου τῷ Βασιλεῖ, καὶ θροεῖται ὁ Κωνσταντίος, Ἀνόμοιον καὶ ἐξ οὐκ ὄντων ἀκούων τὸν Μονογενῆ τοῦ Θεοῦ Υἱὸν, καὶ σοφισάμενος τὸν Αἐτίον, ἔμαθεν ὅτι ἐκείνου εἰσὶν αἱ βλασφημίαι, διὰ τοῦτο ἐξορίζει αὐτὸν, καὶ καθαιρεῖ καὶ ἀναθεματίζει αὐτὸν ἡ Σύνοδος, γράφουσα Γεωργίῳ Ἀλεξανδρείας, οἱ δὲ περὶ Εὐδόξιον ὑπεκρίθησαν, παῤῥησιάζεται ὅμως ὁ Ταρσοῦ Σιλβανὸς, καὶ Ἐλεύσιος Κυζίκου λέγοντες, εἰ κατὰ τὴν Σύνοδον ταύτην οὐκ ἔστιν ὁ Υἱὸς ἐξ οὐκ ὄντων, λοιπὸν οὔτε κτίσμα ἐστὶν, οὔτε ἀπὸ ἄλλης οὐσίας, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ, Ὁμοούσιος ἄρα. ἀλλὰ ὁ εὔκολος Κωνσταντίος πεισθεὶς, σφάλλει τὰ χείριστα, εἶπον γὰρ αὐτῷ οἱ περὶ Ἀκάκιον ἐπειδὴ ἅπαξ τὸ Ὁμοούσιον ἐστὶ βλάσφημον, ἐὰν λέγωμεν κατ' οὐσίαν Ὅμοιον οὐκ ἔστι βλάσφημον, ὅμως ἐν ὅσῳ ἐστὶ τὸ ὄνομα τῆς οὐσίας, εὔκολα κλίνουσιν οἱ ἄνθρωποι εἰς τὸ Ὁμοούσιον. διὰ τοῦτο εἰς τὸ Σίρμιον καλῶς ἐτέθη μόνον τὸ Ὅμοιον, ὅπερ ἐδέχθη καὶ ἡ ἐν Σιρμίῳ Σύνοδος (ψευδόμενοι καὶ πλανῶντες αὐτὸν) εἶτα καθαιρεῖται ὑπὸ Ἀκακίου, ὡς λέγει ὁ Σωκράτης βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ τρίτῳ δι' ἄλλας δῆθεν αἰτίας κατὰ τὸ ἔθος τῶν Αἱρετικῶν ὁ Μακεδόνιος διὰ τὸ μετακομίσαι τὸ λείψανον τοῦ ἁγίου Κωνσταντίνου ἀπὸ τοῦ Ναοῦ τῶν ἁγίων Ἀποστόλων εἰς τὸν ἅγιον Ἀκάκιον, προφασιζόμενος εἶναι τὸν Ναὸν τῶν ἁγίων Ἀποστόλων ἐγγὺς καταπτώσεως. θέλοντος δὲ τοῦ ὀρθοδόξου λαοῦ ἐμποδίσαι, γέγονε φόνος ὥστε καὶ φρέατα ἀπὸ αἱμάτων ἀνθρωπίνων ἐγέμισαν εἰς τὴν αὐλὴν τοῦ ἁγίου Ἀκακίου. καὶ πρὸς τούτοις, εἰς Παφλαγονίαν ἐνήργησε διὰ στρατιωτῶν βίαν κατὰ Ναυατιανῶν, ὥστε ἐγένετο ἐμφύλιος πόλεμος κατὰ τὸν Σοῦϊδαν. καθαιρεῖται οὖν ὁ Μακεδόνιος, καὶ μετατίθεται ὁ Εὐδόξιος. καθαιροῦνται δὲ ἔτι Βασίλειος ὁ Ἀγκύρας, ὁ Κυζίκου Ἐλεύσιος, καὶ ἀντιχειροτονεῖται ὁ μιαρὸς Εὐνόμιος, καὶ ἔτι καθηρέθησαν Σιλβανὸς Ταρσοῦ, καὶ Σωφρόνιος ὁ Παφλαγόνος καὶ ἄλλοι. εἶτα μετὰ τὴν διάλυσιν αὐτῆς, οἱ λέγοντες τὸ κατ' οὐσίαν Ὅμοιον διεκρίθησαν φανερῶς ἀπὸ τῶν Ἀνομοίων, καὶ συνεστήσαντο ἰδίαν Αἵρεσιν τοῦ Μακεδονίου λεγομένην, συνιστῶντες τὴν ἐν Ἀντιοχείᾳ ἐπὶ τῶν ἐγκαινίων γενομένην Σύνοδον, καὶ ἀποβαλλόμενοι τὴν ἐπ' ὀνόματι τῆς ἐν Ἀριμίνῳ Συνόδου βεβαιωθεῖσαν, ἐγκαλούμενοι δὲ ὑπὸ Ἀκακίου καὶ τῶν περὶ αὐτὸν, ἀπεκρίθησαν διὰ Σωφρονίου τοῦ Παφλαγόνος ὅτι οἱ Δυτικοὶ λέγοντες τὸ Ὁμοούσιον ἀτάκτως, συμπλέκουσιν εἰς ἓν τὰς ὑποστάσεις τοῦ Πατρὸς καὶ Υἱοῦ, οἱ δὲ Ἀνόμοιοι ἀποδιστῶσι τὸν Υἱὸν τοῦ Πατρὸς, αὐτοὶ δὲ ἐφλυάρουν ὀρθοδοξεῖν λέγοντες τὸ κατ' οὐσίαν Ὅμοιον. καθαιροῦσι δὲ καὶ τὸν Ἱεροσολύμων Κύριλλον, εὑρόντες ἔγκλημα εἰς μὲν τὸν Βασιλέα ὅτι εἰς καιρὸν μεγάλης πείνης ἐπώλησε μερικὰ κειμήλια τοῦ ἁγίου τάφου, καὶ ἔθρεψε πτωχοὺς, οἱ συνοδικοὶ δὲ εἶπον ἄλλως, ὡς εἴρηται ἀνωτέρω. εἰς δὲ τὸ κοινὸν ὅτι τῆς ἐν Μελιτηνῇ Συνόδου καθαιρησάσης Εὐστάθιον καὶ Ἐλπίδιον, ἐκοινώνησεν ἐκείνοις ὁ Κύριλλος.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ διωγμοῦ τῶν Χριστιανῶν ὑπὸ Σαβωρίου Περσάρχου, καὶ ἐκστρατείας αὐτοῦ κατὰ Ῥωμαίων, καὶ τῆς κατ' αὐτοῦ θαυματουργίας τοῦ τῆς Νισίβεως Ἀρχιερέως, καὶ περὶ τῆς ἐν Ἀντιοχείᾳ κατὰ τοῦ Ὁμοουσίου Συνόδου, καὶ ἐξορίας τοῦ Ἀντιοχείας θείου Μελετίου ὑπὸ Κωνσταντίου.

Φθονησάντων τῶν Περσῶν τοῖς Ῥωμαίοις τῆς αὐξήσεως τοῦ χριστιανισμοῦ, ἤγειρε Σαβώριος ὁ Περσῶν Βασιλεὺς διωγμὸν μέγαν κατὰ τῶν εἰς τὴν Περσίαν Χριστιανῶν, ἐν οἷς καὶ Νασθαξάδης παιδαγωγὸς Σαβωρίου, καὶ Συμεὼν Ἀρχιεπίσκοπος, καὶ Κληρικοὶ ἑκατὸν ἐν μιᾷ ἡμέρᾳ ἐμαρτύρησαν, ἀλλὰ καὶ ἐκ τῶν πόλεων δεκαοκτὼ χιλιάδες ἐπίσημοι ἐμαρτύρησαν. ἄλλοι δὲ λέγουσιν αἰτίαν τοῦ πολέμου τοιαύτην, ὅτι Μητρόδωρός τις περσογενὴς ἀπῆλθεν εἰς τοὺς Βραχμάνας, καὶ προσποιήσει φιλοσοφίας, καὶ ἐγκρατείᾳ χρησάμενος, σεβαστὸς ἐλογίσθη παρ' αὐτοῖς, κατεσκεύαζε δὲ καὶ ὑδρομύλους, καὶ λουτρὰ ἅπερ ἐκεῖνοι οὔπω εἴδεσαν, καὶ οὕτω πιστευθεὶς δίκαιος, εἰσερχόμενος εἰς τὰ ἱερὰ, λίθους τιμίους καὶ μαργαρίτας πολλοὺς ἔλαβεν. ἔδωκε δὲ αὐτῷ καὶ ὁ Βασιλεὺς τῶν Ἰνδῶν τοιαῦτά τινα ἵνα φέρῃ τῷ μεγάλῳ Κωνσταντίνῳ, ἀλλ' ἐκεῖνος ἐλθὼν εἶπεν, ὅτι καὶ ἄλλα εἶχε πολλὰ, ἀλλὰ ἔλαβεν αὐτὰ ὁ Σαβώριος, καὶ οὕτως ἐκίνησεν ὁ Κωνσταντῖνος τὸν πόλεμον. μετὰ τὸν διωγμὸν ὅμως ἔγραψε πολλὰ τῷ Σαβωρίῳ ὁ μέγας Κωνσταντῖνος, ἀλλ' οὐδὲν ὠφέλησεν, ὕστερον δὲ ἐπὶ Κωνσταντίου στρατεύει ὁ Σαβώριος κατὰ Ῥωμαίων, καὶ πολιορκεῖ ἰσχυρότατα τὴν Νίσιβιν, ἢ καὶ Ἀντιόχεια Μυγδονίας λέγεται. ὁ δὲ Ἐπίσκοπος τῆς πόλεως Ἰάκωβος ἄνθρωπος περιβόητος διὰ προσευχῶν σκνίπαις καὶ κώνωψι διαφθείρει τὰ ζῶα τοῦ Πέρσου, καὶ φυγεῖν παρασκευάζει τὸν πυρσολάτρην εἰς τὰ ἴδια. διὰ τὸν περισικὸν ὅμως τοῦτον πόλεμον ἀπέρχεται ὁ Κωνσταντίος εἰς τὴν Ἀντιόχειαν, καὶ ἀθροίζει Σύνοδον εἰς βεβαίωσιν τοῦ Ἀνομοίου. ἀλλ' ἐπειδὴ μετὰ Εὐδόξιον οὐκ ἦν κεχειροτονημένος ἄλλος Ἀντιοχείας, ζητεῖ ἡ Σύνοδος χειροτονηθῆναι πρῶτον Ἀντιοχείας Ἐπίσκοπον, καὶ τότε θεωρηθῆναι τὸ δόγμα ὁμοῦ μετ' ἐκείνου. ἦν δὲ τότε παραιτησάμενος τὴν Ἐπισκοπὴν

ΒΙΒΛΙΟΘΗΚΗ
ΑΥΡΑΝΟΥ Μ. Π. ΠΑΚΩΣΤΑ

σκοπὴν αὐτοῦ τὴν εἰς τὴν Ἀρμενίαν ὁ θεῖος Μελέτιος. θαροῦντες δὲ οἱ Αἱρετικοὶ εἶναι τὸν Μελέτιον ὁμογνώμονα αὐτοῖς ὡς καὶ πρότερον, προχειρίζονται αὐτὸν παρὰ Κανόνας (δισεπίσκοπος γὰρ ἦν) Ἀντιοχείας Ἐπίσκοπον, καὶ διὰ τὴν ἐνάρετον αὐτοῦ ζωὴν γίνονται σύμψηφοι καὶ οἱ ὀρθόδοξοι, τὴν δὲ κοινὴν καὶ ἔγγραφον περὶ αὐτοῦ ψῆφον ἔδωκαν ὁ Βασιλεὺς καὶ οἱ Ἐπίσκοποι φυλάττειν τῷ Σαμοσάτων Εὐσεβίῳ. ἐλθὼν δὲ ὁ θεῖος Μελέτιος, προϋπαντᾶται καὶ ὑπὸ Ἰουδαίων καὶ Ἑλλήνων διὰ τὸ περίφημον αὐτοῦ ὄνομα. δίδωσι δὲ ὁ Βασιλεὺς ἐξηγήσασθαι τῷ θείῳ Μελετίῳ καὶ ἄλλοις τὸ, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, καὶ τὴν ἐξήγησιν ταχυγράφεσθαι διώρισεν. ἑρμηνεύει πρῶτον ὁ Λαοδικείας Γεώργιος ἀρειανικώτατα, εἶτα ὁ Παλαιστινὸς Ἀκάκιος κατὰ τὴν μέσην ὁδὸν, τρίτος δὲ ὁ Μελέτιος ἐφώνησε τρία τὰ νοούμενα ὡς ἑνὶ διαλεγόμεθα, καὶ διὰ τοῦτο ὁ εὔριπος Κωνσταντίος ἐκβάλλει τὸν θεῖον Μελέτιον, καὶ ἐξοστρακίζει εἰς τὴν ἰδίαν αὐτοῦ πατρίδα. ὁ δὲ θαυμάσιος Εὐσέβιος ὁρῶν τὴν παράβασιν τῶν συνθηκῶν, καὶ ἔχων τὸν χάρτην τῆς ψήφου τοῦ Μελετίου, ἀναχωρεῖ εἰς τὴν Ἐπαρχίαν αὐτοῦ, ὃν χάρτην ζητήσας ὁ Βασιλεὺς, καὶ ἀπτυχὼν, ἔστειλε ταχυδρόμους καὶ ἐζήτει αὐτὸν βιαίως, εἰπὼν ἐὰν μὴ δώσῃ αὐτὸν, ἵνα κόψῃ ὁ ἀπεσταλμένος τὴν δεξιὰν αὐτοῦ, ὁ δὲ ἀναγνοὺς τὸ βασιλικὸν πρόσταγμα ἔδωκεν ἵνα κόψωσιν αὐτοῦ καὶ τὴν ἀριστερὰν, καὶ εἶπεν οὐδίδωμι τὸ ψήφισμα, ὅτι ἐστὶ τῆς ἀρειανικῆς βδελυρίας ἔλεγχος, ὅπερ μαθὼν ὁ Βασιλεὺς, καὶ θαυμάσας, ἠγάπα τὸν ἄνθρωπον, Θεοδώριτος λόγῳ δευτέρῳ κεφαλαίῳ τριακοστῷ δευτέρῳ. αὕτη ἐστὶν ἡ τελευταία κατὰ τοῦ Ὁμοουσίου Σύνοδος, μεθ' ἣν καὶ ὁ Κωνσταντίος τελευτᾷ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ τῶν ἀνωτέρω τῶν μετὰ τὴν ἐν Σαρδικῇ Σύνοδον γενομένων ὀκταχῶς δείκνυται εἶναι τὸν Ῥώμης οὐδὲν ἕτερον, ἀλλ' ἢ μερικὸν Ἐπίσκοπον, καὶ ταῖς Συνόδοις ὑποκείμενον.

Αὐτὸς οὖν σημείωσαι καὶ ἐκ τούτων τῶν γενομένων μετὰ τὴν ἐν Σαρδικῇ Σύνοδον. ὅτι κρίνεται ἡ Αἵρεσις φωτεινοῦ, καὶ κατακρίνεται χωρὶς γνώμης ἢ διδασκαλίας τοῦ Ῥώμης. ὑπογράφει εἰς τὸν ἀρειανισμὸν ταὐτὸν εἰπεῖν εἰς τὸν ἀθεϊσμὸν ὁ Πάπας τῆς Ῥώμης. γίνονται Ἀρειανοὶ Ἐπίσκοποι Ῥώμης Λιβέριος καὶ Φίληξ. προξενοῦσι φόνους καὶ μυρία κακὰ μαχόμενοι ἀλλήλοις οἱ Ἐπίσκοποι Ῥώμης. ἀθροίζονται Σύνοδοι ἄνευ γνώμης τοῦ Ῥώμης, καὶ πείθονται αὐταῖς οἱ Ἐπίσκοποι Ῥώμης. δέεται τοῦ Βασιλέως περὶ Συνόδου ὁ Ῥώμης Λιβέριος. προτιμᾶται ὁ μέγας Ἀθανάσιος καὶ τοῦ Ῥώμης καὶ πάσης τῆς Οἰκουμένης. καθαιροῦνται καὶ χειροτονοῦνται Πατριάρχαι χωρὶς τινὸς μνήμης τοῦ Ῥώμης, ὥστε φαίνεται καὶ ἐκ τούτων ὅτι οὐδέν ἐστιν ἕτερον ὁ Ῥώμης, εἰμὴ Ἐπίσκοπος μερικῆς Ἐπαρχίας τῆς Δύσεως, οὐδὲν δυνάμενος μόνος ἔξω τῶν ὁρίων αὐτοῦ, καὶ ὑποκείμενος ταῖς Συνόδοις οὐχ ὑπερκείμενος.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τοῦ εἴδους τοῦ βαπτίσματος τοῦ Ἀρείου ὅτι οἱ μεταγενέστεροι Ἀρειανοὶ μετήλλαξαν ὡς δείκνυται ἐνταῦθα, ὡσαύτως καὶ τὸ Δόξα Πατρὶ, καὶ περὶ τοῦ συστατικοῦ γράμματος τῶν τριῶν ὑποστάσεων.

Ἀξιοσημείωτόν ἐστι καὶ τὸ ῥηθησόμενον νῦν, ὅτι ὁ Ἄρειος τὸ εἶδος τοῦ βαπτίσματος οὐκ ἤλλαξεν εἰς τὴν ἀρχὴν, ὅθεν ἐδέχθη καὶ τὸ βάπτισμα τῶν Ἀρειανῶν συνοδικῶς. ὕστερον ὅμως οἱ Ἀρειανοὶ θεμελιωθέντες, ἤλλαξαν καὶ τὸ εἶδος τοῦ βαπτίσματος λέγοντες, εἰς τὸ ὄνομα τοῦ Πατρὸς τοῦ μείζονος, τοῦ Υἱοῦ τοῦ ἐλάττονος, τοῦ Πνεύματος τοῦ ἥττονος, καθὼς τοῦτο ἱστορεῖ καὶ ὁ Κεδρηνὸς εἰς τὴν σύνοψιν αὐτοῦ. ἀλλὰ καὶ τὸ Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι μετέτρεψαν λέγοντες, Δόξα Πατρὶ δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι. ὅθεν ὁ Κασσιανὸς διηγεῖται μετὰ θαυμασμοῦ μὴ ἀκοῦσαί ποτε ψάλλεσθαι εἰς ὅλην τὴν Ἀνατολὴν τὸ Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, ἀλλὰ μόνον ψιθυρισμένως ὡς προείπομεν. οὐ φαίνεται ὅμως πιθανὸν, καθότι εἰς πολλοὺς τόπους ἦν, ὡς συνάγεται ἐκ τῶν περὶ τοῦ ἁγίου Πνεύματος τριάκοντα κεφαλαίων τοῦ ἁγίου Βασιλείου, ἐπειδὴ εἰς τοὺς περιοποτέρους τόπους τῆς Ἀνατολῆς ἔλαμψεν ἡ ὀρθοδοξία, καὶ ἑπομένως καὶ ἡ δοξολογία, καὶ ἰδὲ κατωτέρω βιβλίου τρίτου κεφάλαιον ἕβδομον. διὰ τὸ ὑποκρίνεσθαι ὅμως τοὺς Αἱρετικοὺς, ἵνα μὴ ἀπατῶνται οἱ ὀρθόδοξοι, καὶ δὴ καὶ εἰς πίστωσιν καὶ κοινωνίαν τῶν εὐσεβῶν, διετάχθη δίδοσθαι τὸ συστατικὸν γράμμα τοιουτοτρόπως, Π. Υι. Α. ἤγουν Πατὴρ Υἱὸς καὶ ἅγιον Πνεῦμα, καὶ μετὰ τὴν ὑπόθεσιν ἐπισφραγίζεσθαι τῷ Ἀμὴν τὸ γράμμα τῆς μαρτυρίας.

Κεφα-

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς ἐν Ἱεροσολύμοις Ἀρχιερατείας Μαξιμωνᾶ μετὰ Μακάριον, καὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας αὐτοῦ.

Νικηφόρος ὁ Κάλλιστος ἐν τῷ ἑνδεκάτῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας αὐτοῦ γράφει ὅτι Μαξιμωνᾶς ὁ καὶ Μάξιμος τὸν Ἐπίσκοπον Μακάριον διεδέξατο ἀνὴρ πρᾶος καὶ ἐπίσημος. ὁ δὲ Ἀλέξανδρος διηγεῖται καὶ ταῦτα, ἐν γὰρ τῷ διωγμῷ πολλὰς βασάνους ὑπέμεινε, καὶ τὸν δεξιὸν ὀφθαλμὸν ἐκκοπεὶς ἀπελύθη. προστίθησι δὲ ὁ Σωζόμενος ὅτι ὁ Μακάριος Ἱεροσολύμων (ὃς ἐκοιμήθη τῷ εἰκοστῷ πρώτῳ ἔτει τοῦ μεγάλου Κωνσταντίνου) ἐχειροτόνησε τὸν Μάξιμον Ἐπίσκοπον Λύδδης, ὁ δὲ λαὸς τῆς Ἱερουσαλὴμ τὸν Μάξιμον ὁμολογητὴν ὄντα καὶ ἐνάρετον στασιάσας οὐκ ἀφεῖκεν αὐτὸν, ἀλλ' ἐχειροτόνησεν ἄλλον Λύδδης, καὶ αὐτὸν ἐκράτησε, καίπερ ᾄδεται λόγος ὅτι ὁ Μακάριος διὰ τὸ εἶναι τὸν Μάξιμον ὀρθόδοξον ἐποίησε τοιαύτην μηχανὴν, καὶ ἐκώλυσεν αὐτὸν ἀπὸ τῆς Διοσπόλεως ἵν' αὐτὸν ἔχῃ διάδοχον, καὶ μὴ τυχὸν γένηταί τις Ἀρειανὸς εἰς τὸν τόπον αὐτοῦ. μαθὼν δὲ ὁ εὐσεβὴς Κωνσταντῖνος ὅτι τῆς νέας Ἱερουσαλὴμ, ἤγουν τοῦ Ναοῦ τοῦ μεγίστου τῆς Χριστοῦ Ἀναστάσεως ἐν ᾧ καὶ ὁ ἅγιος τάφος ἡ οἰκοδομὴ ἀπετελειώθη, ἔστειλεν εἰς τοῦτον τὸν Μαξιμωνᾶν ἵνα ποιήσῃ ἐλθεῖν πολλοὺς Ἐπισκόπους τοῦ ἐγκαινίσαι τοὺς ἁγίους τόπους. ὁ μέγας δὲ Ἀθανάσιος ὡς εἴπομεν ἀνωτέρω προλαβὼν ἐποίησε τοῦ Ναοῦ τὰ ἐγκαίνια, φεύγων γὰρ ἀπὸ τῆς ἐν Τύρῳ Συνόδου, ἦλθε πρὸ τοῦ ἀπελθεῖν εἰς τὴν Κωνσταντινούπολιν εἰς τὴν ἁγίαν πόλιν, καὶ ποιήσας εὐχὴν, καὶ χρίσας τῷ ἁγίῳ Μύρῳ, καὶ ἁγιάσας ἐκείνους τοὺς εὐκτηρίους πρὸ τοῦ φθάσαι τοὺς ἐπιλοίπους Ἐπισκόπους, ἀπῆλθεν εἰς τὸν Βασιλέα. παραγενόμενοι δὲ οἱ Ἐπίσκοποι εἰς τὴν Ἱερουσαλὴμ, φαιδρῶς λίαν ἐπετέλεσαν τὴν ἑορτὴν τῶν ἐγκαινίων, ἣν ἑορτάζει ἡ καθολικὴ Ἐκκλησία τῇ δεκάτῃ τρίτῃ τοῦ Σεπτεμβρίου Μηνὸς ὡς συμπεραίνει ὁ Ἀλέξανδρος περίπου τὰ τριάκοντα ἔτη τῆς αὐταρχίας Κωνσταντίνου. ἐκυβέρνησε δὲ τὸν θρόνον πανευαγῶς ὁ Πατριάρχης Μαξιμωνᾶς χρόνους ἓξ κατὰ τὸν Κάλλιστον. ὅσοι δὲ ἀποσκορακίζουσι τὸν Κυριακὸν, διδόασιν αὐτῷ χρόνους εἰκοσιτρεῖς ὅπερ καὶ ἀληθές ἐστιν. ἀξιοσημείωτον δὲ ἐν ταῦθα ἐκεῖνο ὅπερ λέγει ὁ ἱερὸς Ἐπιφάνιος ἐν τῷ περὶ μέτρων, ὅτι ἐν τῷ ὄρει Σιὼν ἦσαν ἑπτὰ συναγωγαὶ εὐσεβῶν, ἐξ ὧν ἡ μία ἔμεινεν ἕως Μαξιμωνᾶ, καὶ ἐπληρώθη τὸ τοῦ Ἡσαΐου ἐν κεφαλαίῳ πρώτῳ, ὡς σκηνὴ ἐν ἀμπελῶνι ἣν δηλονότι ποτὲ ἡ Ἐκκλησία.

Περὶ τῆς ἐν Ἱεροσολύμοις Ἀρχιερατείας μετὰ Μαξιμωνᾶν Κυρίλλου, καὶ τοῦ ἐν τῷ Οὐρανῷ φανέντος σημείου τοῦ Σταυροῦ, καὶ τῆς ἐκ μηχανῆς Ἀρειανῶν ἐξώσεως Κυρίλλου ἀπὸ τοῦ θρόνου τῶν Ἱεροσολύμων καὶ ἀντεισάξεως Ἐρεννίου, εἶτα Ἡρακλείου, εἶτα Ἱλαρίου καὶ αὖθις Κυρίλλου καὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας αὐτοῦ, καὶ περὶ τῶν κατηχήσεων αὐτοῦ κατὰ τῶν λεγόντων τότε ἐστὶ σῶμα τοῦ Κυρίου ὅτε τούτου μεταλαμβάνομεν, καὶ περὶ ἀπολογίας διττῆς κατὰ τῶν διττῶς ἀποδεικνύντων τὸν Κύριλλον ἀρειανόφρονα.

Μετὰ δὲ τὸν Μαξιμωνᾶν ἀρχιεράτευσεν ὁ παμμέγιστος Κύριλλος. ὁ δὲ Θεοφάνης σημειοῖ ὅτι ὁ Καισαρείας Ἀκάκιος καὶ ὁ Σκυθοπόλεως Πατρόφιλος Ἀρειανοὶ ὄντες, καθεῖλον τὸν ἱερὸν Μάξιμον τῷ δεκάτῳ ἐνάτῳ ἔτει Κωνσταντίου, καὶ ἀντεισήγαγον τὸν θεῖον Κύριλλον, νομίζοντες αὐτὸν ὁμόφρονα αὐτοῖς εἶναι, καὶ τούτῳ τῷ ἔτει ἐφάνη ὁ ζωοποιὸς Σταυρὸς εἰς τὰς ἡμέρας τῆς Πεντηκοστῆς περὶ τρίτην ὥραν παμμεγεθέστατος ἐκ φωτὸς κατεσκευασμένος ἐν Οὐρανῷ, ἐκτεταμένος δι' Ἀστέρων ἀπὸ τοῦ Γολγοθᾶ ἕως τοῦ ἁγίου ὄρους τῶν Ἐλαιῶν, καὶ εἶχε στέφανον περὶ αὐτὸν οἷον ἡ Ἶρις τὸ εἶδος ἔχοντα, εἶδον δὲ αὐτὸν τὸ πλῆθος τῆς πόλεως οὐκ ἀπὸ τινα φαντασίαν, ἀλλὰ εἰς πολλὰς ὥρας ταῖς ἀστραπτούσαις μαρμαρυγαῖς τὰς ἡλιακὰς ἀκτίνας νικήσαντα. συνέφυγον δὲ τὰ πλήθη εἰς τὴν Ἐκκλησίαν τῷ φόβῳ τῆς θεοπτίας, εἶτα εὐφροσύνης πλησθέντες, τὸν Θεὸν ἅπαντες ὕμνουν. οὕτως οὐκ ἐνσοφίᾳ, ἀλλ' ἐξ Οὐρανοῦ τὸ δόγμα μαρτυρεῖται, ὅθεν καὶ πολλοὶ ἐπίστευσαν Ἰουδαῖοι καὶ Ἕλληνες. εὑρισκόμενος δὲ τότε ὁ Βασιλεὺς Κωνσταντίος εἰς τὴν Παννονίαν εἰς τὸν κατὰ Μαγνεντίου τοῦ τυράννου πόλεμον, εἰς τὴν πόλιν Μοῦρσαν εἶδεν αὐτὸν σὺν ἅμα τῷ στρατῷ, ὅτε καὶ ὁ Κύριλλος ἔγραψε τῷ αὐτῷ Κωνσταντίῳ, ὅτι ἐπὶ τοῦ πατρός σου ἐφάνη ὁ Σταυρὸς ἐπὶ τῆς γῆς, ἐπὶ σοῦ δὲ ἐφάνη ἐν τῷ Οὐρανῷ. τότε καὶ τῷ Μαγνεντίῳ συμβαλὼν ἐνίκησε, καὶ νικηθεὶς ὁ Μαγνέντιος ἔφυγεν εἰς Γαλλίαν, ἔνθα ὡς εἴρηται μόνος ἐσφάγη. ὁ δὲ Κύριλλος Ἱεροσολύμων Ἀρχιερεὺς γενόμενος δεκαπέντε χρόνους, ἀνεχώρησε, διότι οἱ Ἀρειανοὶ ὁ Καισαρείας Ἀκάκιος καὶ ὁ Σκυθοπόλεως Πατρόφιλος φθόνῳ φερόμενοι, κατεσκεύασαν καὶ ἐξεβλήθη ὁ ἅγιος, καθὼς ὁ ἅγιος Ἐπιφάνιος λέγει Αἱρέσει ἑξηκοστῇ ἕκτῃ, καὶ ἐχειροτονήθη Ἐρέννιός τις ὁ καὶ Εἰρηναῖος, ὅστις ἐστάθη ἔτη τρία, καὶ μετὰ τὸν Ἐρέννιον Ἡρά-

Ἡράκλειός τις ὁ καὶ Εὐτύχιος ὁ ζήσας ἔνα Μῆνα, πλὴν ἄλλοι διδόασιν αὐτῷ τρεῖς χρόνους. μετὰ τὸν Ἡράκλειον εἰσῆλθεν ὁ Ἱλάριος ὁ καὶ Ἱλαρίων μείνας χρόνους πέντε. εἰς τούτου τὸν καιρὸν ἐπανῆλθεν ὁ θεοχαρίτωτος καὶ νόμιμος Ποιμὴν ἅγιος Κύριλλος, καὶ ἐκάθισε πανευσεβῶς κατὰ τὸν Θεοδώριτον ζήσας εἰς τὸν θρόνον αὐτοῦ ἄλλους δεκαὲξ χρόνους. οὐτάττουσι δὲ οἱ ἱστορικοὶ, καὶ κοινῶς ἡ Ἐκκλησία τοὺς εἰρημένους τρεῖς, καὶ τὸν τυραννήσαντα ἐπὶ Ἰουβεναλίου Θεοδόσιον εἰς τὸν κατάλογον τῶν ἁγίων Ἐπισκόπων Ἱεροσολύμων ὡς ἐπιβάτας, καθὼς Ναυᾶτον οὐτάττουσιν εἰς τὸν κατάλογον τῶν Ἐπισκόπων Ῥώμης. ὁ μέν τοι ἅγιος Κύριλλος εὑρέθη παρὼν εἰς τὴν Οἰκουμενικὴν δευτέραν ἁγίαν Σύνοδον, καὶ ἐγκωμιάσθη ὑπ' αὐτῆς εἰς τὴν πρὸς τὸν Ῥώμης Δάμασον ἐπιστολὴν αὐτῆς, ὡς ῥηθήσεται, ἐπειδὴ καὶ τότε ὡς καὶ ἄλλοτε ὁ θρόνος τῆς ἁγίας Ἱερουσαλὴμ ἐτιμᾶτο, καὶ ἐσεμνύνετο, καὶ καθότι ὁ Βασιλεὺς ἔγνω τὸν ἅγιον ἐπιστήμονα ἄνθρωπον. οὗτος ἐστὶν ὁ Κύριλλος ὁ συγγράψας τὰς ὡραιοτάτας κατηχήσεις, τὰς γλυκυτέρας ὑπὲρ μέλι καὶ κηρίον, ὁ ἐναντιωθεὶς τοῖς Ἀρειανοῖς, καὶ τισιν ἄλλοις Αἱρετικοῖς, οἵτινες ἐβλασφήμουν εἰς τὸ σῶμα τοῦ Χριστοῦ, λέγοντες ὅτι τότε ἦν σῶμα Χριστοῦ, ὅτε μόνον αὐτοῦ μετελάμβανον, παραπλησίως ἔχοντες τοῖς νῦν λέγουσι τοῦτο Καλβινολουτεράνοις, τοῖς τὰ ἀπαθροίσματα ὅλων τῶν Αἱρετικῶν συνάξασι καὶ ποιήσασιν αὐτὰ ἄρθρα τῆς ἐθελοθρησκείας αὐτῶν, ὡς ἐροῦμεν ἐν τῷ ἰδίῳ τόπῳ. Ἐπιλαμβάνονται δέ τινες τοῦ ἁγίου τούτου εἰς δύο τινὰ, πρῶτον, ὅτι ἔγραψε τὸν Κωνσταντίνον ὅτε ἐσημείωσε διὰ τὸν φανέντα τύπον τοῦ Σταυροῦ εὐσεβέστατον. δεύτερον, ὅτι εἰς τὰς κατηχήσεις αὐτοῦ οὐκ εἶπέ που τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρὶ, ὅθεν ἕπεται εἶναι αὐτὸν Ἀρειανόν. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι εἰ καὶ ἦν ὁ Κωνσταντίνος ἠπατημένος ὡς ῥηθήσεται, ὅμως ἐκυβέρνα ὁ Κύριλλος, καὶ εἰ μὴ ἦν καὶ εὐσεβὴς ὁ Κωνσταντίνος, εἶπεν αὐτὸν εὐσεβῆ ἵνα μὴ περιπέσῃ εἰς τὸν ἑλληνισμὸν, ὡς ἡ Εὐδοξία ἐφοβέριζε μαχομένη τῷ Χρυσοστόμῳ. καὶ ἐν τῷ διαλόγῳ ὁ Πάπας Λιβέριος εὐσεβῆ εἶπε τὸν Κωνσταντίνον. ἰδὲ ἀνωτέρω τοῦ αὐτοῦ βιβλίου κεφάλαιον ἕνατον. καὶ ὁ Κωνσταντινουπόλεως Εὐθύμιος δι' ἀποκαλύψεως συνεχώρησεν οἰκονομικῶς τὴν τετραγαμίαν τῷ Λέοντι, καθότι εἶχε κατὰ νοῦν αὐτοῦ ἐκεῖνος ὁ Βασιλεὺς εἰ μὴ συνεχωρεῖτο θεσπίσαι εἶναι τὸ παράνομον συνοικέσιον, ἤτοι τὴν τετραγαμίαν γάμον νόμιμον. πρὸς δὲ τὸ δεύτερον, ὅτι καὶ ὁ μέγας Βασίλειος πολλὰ ᾠκονόμησεν ἐπὶ Βάλεντος, τόσον ὥστε καὶ ἐκατηγορήθη. ἀλλὰ καὶ ὁ Βασίλειος στάθμη ὀρθοδοξίας, καὶ ὁ παρὼν Κύριλλος εἰς τὰς κατηχήσεις αὐτοῦ ἑρμηνεύων τὸ Σύμβολον λέξιν πρὸς λέξιν, τρανῶς ἐθεολόγησε Θεὸν ἀληθινὸν ὥσπερ τὸν Πατέρα, καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἅπερ ταὐτά ἐστι τῷ Ὁμοουσίῳ. ὅθεν ἔγραφεν ὁ ἅγιος Κύριλλος ὁ Ἀλεξανδρείας πρὸς τοὺς ἐν Κωνσταντινουπόλει Κληρικοὺς, ὅτι ἡ πρώτη ἐν Νικαίᾳ Οἰκουμενικὴ Σύνοδος εἰ μὴ εἶπε ῥητῶς τὴν Θεοτόκος φωνὴν, ὅμως πραγματικῶς εἶπεν αὐτὴν, ἐπεὶ αὐτὸν τὸν Υἱὸν τοῦ Θεοῦ εἶπεν ὅτι ἐσαρκώθη, ἐγεννήθη, καὶ τὰ ἑξῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'

Περὶ τῶν θαυματουργιῶν τοῦ τιμίου ξύλου τοῦ Σταυροῦ καὶ ἀσηπότητος αὐτοῦ καὶ ἀδιαφθορίας, καὶ τοῦ μὴ ἐλαττοῦσθαι κοπτόμενον καὶ διαδιδόμενον τοῖς προσκυνηταῖς.

Κορωνίδα καὶ κεφάλαιον τῆς μνήμης τοῦ μακαρίου Κυρίλλου προστίθημι τὸ θαῦμα τὸ περὶ τοῦ τιμίου ξύλου τοῦ Σταυροῦ, ὅπερ οὐχὶ μόνον ἄσηπτον ἐφυλάχθη τριακοσίους τριάκοντα χρόνους, τὸ καὶ ἀναστῆσαν μίαν γυναῖκα γραῖαν ἡμιθανῆ κατὰ τὸν Σωζόμενον εἰς τὸ δεύτερον τῆς ἱστορίας αὐτοῦ, ναὶ δὴ καὶ τέλειον νεκρὸν κατὰ τὸν Νικηφόρον εἰς τὸ ὄγδοον τῆς ἱστορίας αὐτοῦ, ἀλλὰ πῶς διεμερίσθη εἰς ὅλα τὰ μέρη τοῦ κόσμου, καὶ ἵνα λαλήσω μετὰ τῆς ἡμιττίου γλώσσης τοῦ μελισταγοῦς φημὶ τούτου Κυρίλλου κατηχήσει τετάρτῃ, διὰ τοῦ σταυρικοῦ ξύλου τῆς γῆς ἅπας ὁ κόσμος εἰς τμήματα μερισθέντος διαπεπλήρωται. ἐάσωμεν ἐκεῖνο τὸ ἀποκομισθὲν εἰς τὴν Κωνσταντινούπολιν, καὶ βληθὲν εἰς τὸν Ἀνδριάντα τοῦ Κωνσταντίνου ἐπάνω τοῦ κοκκίνου κίονος καθὼς μαρτυρεῖ ὁ Σωκράτης βιβλίῳ πρώτῳ κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ διὰ φύλαξιν δηλονότι τῆς Βασιλίδος τῶν πόλεων, ἐκεῖνο μόνον τῆς Ἱερουσαλὴμ εἴπωμεν, ὅπερ διηγεῖται ὁ Παυλῖνος εἰς τὴν ἑνδεκάτην αὐτοῦ ἐπιστολήν. ὁ Σταυρὸς εἰ καὶ ἐστὶν ὕλη ἀναίσθητος, σώζει ὅμως, ἤτοι ἔχει δύναμιν ζωτικὴν, ὅθεν ἐξ ἐκείνου τοῦ καιροῦ τῆς εὑρέσεως αὐτοῦ μεταδίδοται εἰς κοινὴν ψυχωφέλειαν, ἄνωθεν ἐνεργούσης τῆς θείας χάριτος τὸ μὴ ὑφίστασθαι διαφθορὰν, ἢ καὶ μείωσιν, ἀλλὰ μένειν ἀνελλιπῆ καὶ ἀκέραιον, καὶ μεριζόμενον κατέχεσθαι, καὶ πάλιν ὅλως προσκυνεῖσθαι μετ' εὐλαβείας καὶ πίστεως. πλήν γε ὅμως καθὼς ἔλαβε τὴν ἄσηπτον δύναμιν, οὕτω καὶ τὴν ἀκατάτριπτον στερεότητα εἴληφεν ἀπ' ἐκείνου, οὗ ἀπὸ τοῦ αἵματος ἐγλυκοποτίσθη, καὶ ἡ σὰρξ ἔπαθε μόνον, πλὴν οὐκ εἶδε διαφθορὰν. ὅστις οὐκ εἶδε τὴν παλαιὰν συνήθειαν τῆς Ἱεροσολύμων Ἐκκλησίας, οὐδύναται κατανοῆσαι τοῦ ἁγίου τὰ λόγια (μεριζόμενος κατέχεται, καὶ πάλιν ὅλως προσκυνεῖται) τάξις ἦν καὶ ὅσοι προσκυνηταὶ ἀπήρχοντο εἰς τοὺς θεοβαδίστους ἁγίους τόπους, λαμβάνειν

μέρος

μέρος τι ἀπὸ τοῦ ἁγίου ξύλου, καὶ φέρειν αὐτὸ μεθ' ἑαυτῶν εἰς μαρτύριον τῆς προσκυνήσεως αὐτῶν, καὶ φαίνεταί σοι ἐκεῖ κατὰ ταὐτὸ ὅπου ἐκόπτετο καὶ μετεδίδοτο ὑπὸ τοῦ Ἀρχιερέως πληθύνεσθαι ὥσπερ καὶ οἱ πέντε ἄρτοι οἱ χορτάσαντες τοὺς πεντακισχιλίους ἐν τῇ ἐρήμῳ ἐπληθύνθησαν διὰ τῶν χειρῶν τῶν Ἀποστόλων τῶν τοῖς λαοῖς αὐτοὺς μεταδόντων. οὐκ ἄλλως δέ ἐστι καὶ ἡ ἐλεημοσύνη, ἥτις ὅσον μεταδίδοται τοσοῦτον πληθύνεται, ὅθεν ἔλεγεν ὁ ἐλεημονιτικώτατος Ἰωάννης ὁ Ἀλεξανδρείας πῶς ἐδοκίμασε, καὶ ὅσον ἐδίδου τοῖς πτωχοῖς, τόσον ὁ Θεὸς ἐδίδου αὐτῷ περισσότερα.

ΠΑΡΑΓΡΑΦΟΝ Δ.

Περὶ τοῦ πλήθους τῶν προσκυνητῶν τοῦ ἁγίου τάφου καὶ ἐθίμων τινῶν πεμπομένων διὰ πρέσβεων ἀπὸ πολλῶν Ἐπαρχιῶν εἰς τὸν ἅγιον τάφον. καὶ ὅτι ὁ Βασιλεὺς Κωνσταντίος μόνον εἰς τὴν Ὁμοούσιος λέξιν ἡμάρτανεν, οὐ μὴν δὲ εἰς τὴν ἐκ τοῦ Πατρὸς ἀΐδιον γέννησιν τοῦ Μονογενοῦς.

Ἔῤῥεε δὲ τόσον πλῆθος εἰς προσκύνησιν τῶν ἁγίων τόπων, ἀφ' οὗ καὶ ἐγκαινίσθησαν μετὰ τὸ τριακοστὸν ἔτος τῆς μοναρχίας τοῦ Αὐτοκράτορος Κωνσταντίνου, ὥστε μόλις πιστεύεσθαι εἰ μὴ τοῦτο διηγήσαντο ἄνδρες παλαιοὶ καὶ πιστοί. καὶ κατὰ ἀλήθειαν καὶ πρὸ τοῦ κτισθῆναι καὶ ἐγκαινισθῆναι ἔτρεχον μικροὶ καὶ μεγάλοι ὡς φθάσαντες εἴπομεν, τί χρὴ νομίζειν μετὰ τὸ ὡραϊσθῆναι μετὰ ψηφῖδος ὅλον τὸν Ναὸν, καὶ μετὰ βασιλικῶν ἀφιερωμάτων φαιδυνθῆναι πόσον εἶναι τὸ πλῆθος τοῦ λαοῦ τὸ ἐκεῖσε ἀπερχόμενον; ἡ Ἐπαρχία ὅλη τῆς Μακεδονίας εἶχε συνήθειαν ἀποστέλλειν τὸν μητροπολίτην αὐτῆς εἰς προσκύνησιν τοῦ ἁγίου τάφου ἀπὸ μέρους αὐτῆς, οὕτως οὖν ἀπεστάλθη ὁ Θεσσαλονίκης Ἀλέξανδρος ὡς κοινὸς πρεσβευτὴς εἰς τὰ Ἱεροσόλυμα. οἱ Παννόνιοι καὶ οἱ Μυσοὶ τὸ ἄνθος τῆς νεότητος αὐτῶν ἔπεμπον εἰς ἁγιασμὸν ἐκεῖ κατὰ τὸν Εὐσέβιον. ἀλλὰ καὶ ἀπὸ τῆς Περσίας ὁ Μίλλες ἄνθρωπος ἔμπειρος γραμμάτων διέβη πρὸς τὰ Ἱεροσόλυμα διὰ τοῦτο τὸ τέλος, καὶ ἄλλοι περισσοὶ τῆς ἀρειανικῆς συμμορίας, ὧν οὐ θέλομεν μνησθῆναι ἐνταῦτα, περὶ γὰρ τῶν ἐκτὸς τὶ ἡμῖν μέλει; πλὴν γινωσκέτω ἕκαστος ὅτι Αἱρετικὸς Ἐπίσκοπος οὐκ ἠξιώθη εὑρεθῆναι εἰς τὸν καιρὸν τῶν ἐγκαινίων, ὄντων πάντων κεκωλυμένων ἕνεκεν τοῦ συνεδρίου τῆς Τύρου, ὡς εἴπομεν ἀνωτέρω, καὶ τοῦτο οὐκ ἄνευ τῆς τοῦ Θεοῦ οἰκονομίας, ἵνα μὴ μιανθῇ ὁ πρῶτος Ναὸς τῆς Χριστοῦ Ἀναστάσεως. ἀλλὰ καὶ ἡ χειροτονία τῶν Ἐπισκόπων λέγω τῶν νομίμων ἐστάθη πάντοτε κανονικὴ ὡς ἐδείξαμεν, καὶ ἐπομένως ἀποστολικὴ καὶ ἀμώμητος, καθὼς ἔπρεπε τῇ κοινῇ μητρὶ καὶ πατρίδι τοῦ χριστεπωνύμου λαοῦ, περὶ ἧς γράφει ὁ Νυμφίος, ὅλη καλὴ ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. ἐπεὶ σφόδρα ἐμεγαλύνθη καὶ ὑπερυψώθη Χριστοῦ τοῖς παθήμασιν, ὡς γράφει ὁ Ἀνδρέας Καισαρείας, ἐξηγούμενος ἐκεῖνο τῆς Ἀποκαλύψεως, καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη. Ὁ δὲ βασιλεὺς Κωνσταντίος ἡμάρτανε μὲν εἰς τὴν λέξιν τοῦ Ὁμοουσίου, καὶ δὴ καὶ τὸ κατ' οὐσίαν Ὅμοιον ἀπέβαλε, πλανηθεὶς ὑπὸ τῶν Αἱρετικῶν, ἐδέχετο δὲ τὸ Ὅμοιον, οὐ μὴν κατὰ τὸν σκοπὸν τῶν Αἱρετικῶν, ἐπειδὴ ἄναρχον καὶ ἀΐδιον ὡμολόγει τὴν γέννησιν τοῦ Μονογενοῦς, καὶ οὐκ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας, ἦν δὲ ἐχθρὸς θανάτιμος τῶν λεγόντων κτίσμα, ἢ ποίημα τὸν Κύριον, ὡς μαρτυρεῖ ὁ Θεολόγος Γρηγόριος, καὶ ὁ σοφὸς τὰ πολλὰ Θεοδώριτος. ἦν δὲ καὶ πανευλαβὴς, ὥστε καὶ εἰς τὸν κατὰ Μαγνεντίου πόλεμον παρεκίνει τὸν στρατὸν μεταλαβεῖν πρὸ τῆς μάχης τῶν ἀχράντων μυστηρίων, διδάσκων αὐτοὺς, ὅτι οὐκ ἀρκεῖ ὁ κατὰ τῶν ἀσεβῶν πόλεμος εἰς σωτηρίαν χωρὶς τῶν καλῶν ἔργων, ὡς ἐβούλετο ὕστερον ὁ ἀνόητος Νικηφόρος εἶναι ἁπλῶς καὶ ὡς ἔτυχε τοὺς στρατιώτας μάρτυρας, ἀλλὰ καὶ εἰς σωφροσύνην καὶ ἐγκράτειαν ἀπαράμιλλος ὁ Κωνσταντίος, καὶ ἰδὲ τὸν Ζωναραῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ ἀνακλήσεως τῶν ὑπὸ Κωνσταντίου ἐξορισθέντων Ἀρχιερέων παρὰ τοῦ παραβάτου Ἰουλιανοῦ, καὶ τῆς διαφορᾶς καὶ μέμψεως καὶ νίκης Εὐσεβίου Μαρκέλλων πρὸς Λουκίφερα Καθάλων, δι' ἣν ἀνιαθεὶς ὁ Λουκίφερ ἐγένετο ἀρχηγὸς Αἱρέσεως.

Ἐξώρισε κατὰ διαφόρους καιροὺς πολλοὺς τῶν Ἀρχιερέων ὡς εἴπομεν ἀνωτέρω ὁ Κωνσταντίος. ὁ δὲ παραβάτης ἅμα τῷ βασιλεῦσαι διὰ αἰσχύνην τοῦ Κωνσταντίου, καὶ ἵνα φανῇ αὐτὸς τάχα μέτριος καὶ δίκαιος, ἐφόρει γὰρ ἔτι τὴν ἀλωπεκῆν, ἐθέσπισεν ἐλευθερωθῆναι αὐτοὺς τῆς ἐξορίας. ἄλλοι λέγουσιν ὅτι τοῦτο ἐποίησεν ἵνα ὦσιν εἰς τὰς Ἐπαρχίας οἱ Ἀρχιερεῖς ἀνὰ δύο, καὶ μάχωνται εἰς φθορὰν τῶν Ἐκκλη-

Ἐκκλησιῶν. λέγει δὲ ὁ Φώτιος ὅτι Ἀέτιον τὸν ἀρχηγὸν τῶν Ἀνομοίων τὸν καὶ ἄθεον περιεποιήθη, ἀναγνώσει τεσσαρακοστῇ. τότε καὶ ὁ μέγας Ἀθανάσιος ἐφανερώθη. καὶ ἐπειδὴ προαπέκτειναν οἱ εἰδωλολάτραι τὸν Γεώργιον, ἔλαβεν αὐτὸς τὸν θρόνον αὐτοῦ, καὶ ὅλους τοὺς εὐκτηρίους τῆς Αἰγύπτου. ἦσαν δὲ εἰς τὴν ἄνω Θηβαΐδα ἐξωρισμένοι μετὰ τὴν ἐν Μεδιολάνῳ Σύνοδον ὁ θεῖος Ἱλάριος Ἐπίσκοπος Πικτάβων δευτέρας Ἀκουϊτανίας, καὶ Εὐσέβιος ὁ Μαρκέλλων, καὶ Λουκίφερ Καθάλων, ἢ Καρακάλων Σαρδηνίας, καὶ ἀπελύθησαν καὶ οὗτοι. καὶ ὁ μὲν Ἱλάριος ἀπῆλθεν εἰς τὰ ἴδια ἀγωνιζόμενος καὶ συγγράφων ὑπὲρ τοῦ ὁμοουσίου, ὁ δὲ Λουκίφερ καὶ Εὐσέβιοι συμβουλὴν ἐποιοῦντο τίνα τρόπον τὸν τῆς Ἐκκλησίας Κανόνα διαφθειρόμενον μὴ παρίδωσιν. ἔκρινον οὖν ἵνα ὁ μὲν Λουκίφερ εἰς Ἀντιόχειαν παραγένηται, ὁ δὲ Εὐσέβιος εἰς Ἀλεξάνδρειαν, ὅπως ἂν Σύνοδον ἅμα Ἀθανασίῳ ἀθροίσαντες, τὰ τῆς Ἐκκλησίας κρατύνωσι δόγματα. ἔπεμψε δὲ ὁ Λουκίφερ μετὰ τοῦ Εὐσεβίου τὸν Διάκονον αὐτοῦ ὡς Τοποτηρητὴν αὐτοῦ εἰς τὴν γενησομένην Σύνοδον, δι' οὗ στέρξειν ὡμολόγει τοῖς ὑπὸ τῆς Συνόδου τυπουμένοις. αὐτὸς δὲ ἐπὶ τὴν Ἀντιόχειαν χωρήσας, εὗρεν Ἐπίσκοπον τῶν Ἀρειανῶν Εὐζώϊον, ὅστις ἦν Διάκονος καὶ καθηρέθη εἰς τὴν ἐν Νικαίᾳ Σύνοδον μετὰ Ἀρείου, καὶ ὅτε ἐδιώχθη ὁ Μελέτιος ὑπὸ τοῦ Κωνσταντίου, προεχειρίσθη αὐτὸς Ἀρειανὸς ὢν, Ἐπίσκοπος Ἀντιοχείας. οὐκ ἀνέμεινε δὲ ὁ Λουκίφερ ἐλθεῖν τὸν ἅγιον Μελέτιον τὸν ἐλευθερωθέντα ἀπὸ τῆς ἐξορίας καὶ ὄντα ἐκεῖ πλησίον, ἀλλὰ κενοδοξίᾳ δουλεύσας, χειροτονεῖ τὸν πρεσβύτερον Παυλῖνον (ὃς ἡγεῖτο τῆς μοίρας τοῦ Εὐσταθίου, οὐκεῦ πειῶν κατὰ Θεοδώριτον βιβλίῳ τρίτῳ κεφαλαίῳ τετάρτῳ) Ἐπίσκοπον Ἀντιοχείας, καὶ ἀποδημεῖ. ἔρχεται μεταταῦτα καὶ ὁ θεῖος Μελέτιος, καὶ εἰς μὲν τὸν Παυλῖνον ἐκκλησιάζοντο ὡς καὶ πρότερον ὅσοι εἰς τὴν ἐξορίαν τοῦ ἁγίου Εὐσταθίου ἦσαν κεχωρισμένοι ἀπὸ τῶν Ἀρειανῶν διὰ τὴν ἀγάπην αὐτοῦ. μετὰ δὲ τοῦ Μελετίου ἐκκλησιάζοντο ὅσοι ὅτε ἐξωρίσθη ἐσχίσθησαν τῶν Ἀρειανῶν πάλιν διὰ τούτου τὴν ἀγάπην. καὶ ὁ μὲν Εὐζώϊος εἶχεν ὅλας τὰς Ἐκκλησίας, ὁ δὲ Παυλῖνος μίαν μόνην καὶ ἐκείνην μικρὰν, ὁ δὲ Μελέτιος ἐκκλησιάζεν ἔξω τῆς πόλεως. ἐλθὼν δὲ ὁ Εὐσέβιος ἀπὸ Ἀλεξανδρείας, καὶ ἰδὼν σχιζομένην τὴν Ἐκκλησίαν, μέμφεται τὸν Λουκίφερα, ὁ δὲ Λουκίφερ μέμφεται τὴν Σύνοδον τοῦ Εὐσεβίου πεισματικῶς, ἀλλ' ὁ μὲν Εὐσέβιος ἔχων τὸν Διάκονον τοῦ Λουκίφερος συναινοῦντα τῇ Συνόδῳ ἐνίκησεν, εἰ καὶ περὶ ὧν κακῶς ἔπραξεν ὁ Λουκίφερ ἐπηγγείλατο ἐν Συνόδῳ Ἐπισκόπων τὰ γενόμενα διορθώσασθαι. ὁ δὲ Λουκίφερ λυπηθεὶς, ἐγένετο Αἱρέσεως ἀρχηγὸς, ἥτις καὶ ταχέως ἀπεσβέσθη. τὸ σχίσμα ὅμως ἐν Ἀντιοχείᾳ ἔμεινε χρόνους ὀγδοήκοντα πέντε, ὅτι οἱ Ἐπίσκοποι τῆς Ῥώμης εἰ καὶ ἦσαν τότε ὀρθόδοξοι, ἀλλ' εἶχον σύνοικον τὸν τύφον, ὡς ὑπαινίξατο καὶ ἡ δευτέρα Σύνοδος γράφουσα Δαμάσῳ καὶ τοῖς λοιποῖς Δυτικοῖς Ἐπισκόποις περὶ τοῦ Ἀντιοχείας Φλαυϊανοῦ, καὶ ἰδὲ κατωτέρω τὸν τόπον τῆς Συνόδου, οἵτινες εἰ καὶ παρὰ Καιόνας ἐχειροτονήθη ὁ Παυλῖνος, καὶ ὁ Λουκίφερ ἐγένετο Αἱρετικὸς, ὅμως ἐβοήθουν τῷ μέρει τοῦ Παυλίνου καὶ τῶν διαδόχων αὐτοῦ, ἕως οὗ ἐχειροτονήθη ὁ Φλαυϊανὸς Ἀντιοχείας ὡς ῥηθήσεται. ταῦτα Σωκράτης βιβλίῳ τρίτῳ κεφαλαίῳ πέμπτῳ καὶ ἕκτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἐν Ἀλεξανδρείᾳ Συνόδου ὑπ' Εὐσεβίου Μαρκέλλων καὶ τοῦ μεγάλου Ἀθανασίου περὶ εὐκρινείας τῆς ὁμοουσιότητος τοῦ Πατρὸς τῷ Πνεύματι, καὶ τῆς ἐμψύχου καὶ ἔννου σαρκὸς τοῦ Κυρίου, καὶ περὶ οὐσίας καὶ ὑποστάσεως.

Καὶ λοιπὸν ὁ Εὐσέβιος καταλαβὼν τὴν Ἀλεξάνδρειαν, συνεκρότησε Σύνοδον μετὰ τοῦ ἁγίου Ἀθανασίου, ἐν ᾗ ἦσαν Ἐπίσκοποι ἀπὸ Ἰταλίας, Ἀραβίας, Αἰγύπτου καὶ Λιβύης, οἵτινες λόγους περὶ πολλῶν καὶ ἀναγκαίων ἐγύμνασαν τὰ ἐν Νικαίᾳ δεδογμένα κρατύνοντες, ἀλλ' ἰδικῶς ταῦτα, πρῶτον, ὅτι τὸ πανάγιον Πνεῦμα ὁμοούσιον ἐστὶ πατρὶ καὶ Υἱῷ. δεύτερον, ὅτι ὁ Θεὸς Λόγος ἐνανθρωπήσας, σάρκα προσέλαβεν ἔμψυχον καὶ ἔννουν, οὐ καινοτομοῦντες, ἀλλ' ἅπερ ἐξ ἀρχῆς ἡ ἐκκλησιαστικὴ παράδοσις ἔλεγε, καὶ γὰρ Εἰρηναῖος ὁ Λουγδούνων Ἐπίσκοπος, καὶ Κλήμης ὁ Στρωματεὺς, καὶ Ἀπολινάριος ὁ Ἱεραπόλεως, καὶ Σεραπίων ὁ Ἀντιοχείας ἔμψυχον ἐθεολόγησαν τὸν Κύριον ἐν τοῖ ἰδίοις συγγράμμασιν, ἀλλὰ δὴ καὶ ἡ ἐν Ἀραβίᾳ ἀθροισθεῖσα Σύνοδος διὰ τὸν Φιλαδελφείας Κύριλλον, γράφουσα αὐτῷ, τὰ αὐτὰ παρέδωκε. τρίτον, ὅτι ὅτε ἐπέμφθη ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου εἰς τὴν Αἴγυπτον ὁ Κουδρούβης Ἐπίσκοπος Ὅσιος ὡς εἴπομεν ἀνωτέρω, ἐποίησε μετὰ τοῦ Ἀλεξανδρείας Ἀλεξάνδρου Σύνοδον περὶ τῶν καινοτομηθέντων παρὰ τοῦ Ἀρείου, ἐν ᾗ πρὸς τοῖς ἄλλοις, καὶ περὶ οὐσίας καὶ περὶ ὑποστάσεως πεποίηνται ζήτησιν. ἀλλὰ τότε μὲν ἡ ἐν Νικαίᾳ γενομένη πρώτη ἁγία Οἰκουμενικὴ Σύνοδος οἰκονομοῦσα τὰ πράγματα, τὴν ζήτησιν ταύτην παρεῖδε, καὶ ἐπειδὴ μεταταῦτα τινὲς ἐρεσχελεῖν ἤθελον, καὶ ἡ τοιαύτη ζήτησις τὰς Ἐκκλησίας ἐτάραττε, διὰ τοῦτο ἐν ταύτῃ τῇ Συνόδῳ περὶ οὐσίας καὶ ὑποστάσεως ἀπεφήναντο οἱ πατέρες, ὅτι ἐν τοῖς περὶ Θεοῦ ἡ ἁγία γραφὴ οὐκ ἐχρήσατο τὰ ὀνόματα ὑποστάσεως καὶ οὐσίας, ὅμως ἤδη προσλαμβάνειν τὰς λέξεις ἀναγκαῖον ἐστὶ πρὸς ἀποβολὴν τῆς Αἱρέσεως τοῦ Σαβελλίου, ἵνα μὴ

στενώσει τῶν λέξεων ὡς ἓν πρᾶγμα τριώνυμον νομίζωμεν, ἀλλ' ἕκαστον τῶν ὀνομάτων περὶ τῆς Τριάδος ἐν ἰδίᾳ ὑποστάσει θεολογοῖτο, Σωκράτης βιβλίῳ τρίτῳ κεφαλαίῳ ἑβδόμῳ. Σωζόμενος βιβλίῳ πέμπτῳ κεφαλαίῳ δωδεκάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ δόγματος τῆς μιᾶς καὶ τριῶν ὑποστάσεων, καὶ ὅτι οἱ τότε Ἐπίσκοποι Ῥώμης ἦσαν ὁμόφρονες Παυλίνῳ Ἀντιοχείας μίαν ὑπόστασιν ἐπὶ Θεότητος δογματίζοντι, ἐξ οὗ καὶ ἁμαρτωλοὶ καὶ ἀντίδοξοι τῆς Ἐκκλησίας δείκνυνται.

Ἐπειδὴ δὲ ὁ λόγος τῆς παρούσης Συνόδου ἦν μάλιστα τὸ περὶ τῆς μιᾶς καὶ τῶν τριῶν ὑποστάσεων δόγμα, ἀναλαβόντες τὸν λόγον ἄνωθεν λέγομεν, ὅτι ἐν ἐκείνῳ τῷ καιρῷ τὸ δόγμα τοῦτο εἰς τὴν Ἀνατολὴν τοσοῦτον ἐκράτησεν, ὥστε τὴν Ἐκκλησίαν Ἀντιοχείας σχισθῆναι εἰς τρία. ἓν τῶν Ἀρειανῶν, ὧν προΐστατο ὁ Εὐζώϊος. δεύτερον τὸ τῶν ὑπερασπιζομένων τῶν τριῶν ὑποστάσεων, ὧν ἐξῆρχεν ὁ Μελέτιος, καὶ τρίτον τὸ τῶν τῆς μιᾶς ὑποστάσεως, ὧν ἡγεῖτο ὁ Παυλῖνος. ἐκράτουν δὲ οἱ μὲν ἐν τῇ Ἀνατολῇ ὀρθόδοξοι τὸ μέρος τοῦ Μελετίου, οἱ δὲ δυτικοὶ τὸ μέρος τοῦ Παυλίνου, ἐφρόνει δὲ τὸ δόγμα τοῦ Παυλίνου καὶ τῶν Δυτικῶν Μάρκελλος ὁ Ἀγκύρας, ὅπερ ὁμέγας Βασίλειος γράφων πρὸς τοὺς Δυτικοὺς, ἤτοι ἐπιστολῇ ἑβδομηκοστῇ τετάρτῃ καλεῖ Αἵρεσιν καὶ ἰουδαϊσμὸν, φησὶ γὰρ, οἴδατε ἀδελφοὶ τιμιώτατοι, ὅτι πάσης μὲν τῆς ἐλπίδος ἀθέτησιν ἔχει τὸ Μαρκέλλου δόγμα, οὔτε Υἱὸν ἐν ἰδίᾳ ὑποστάσει ὁμολογοῦν, ἀλλὰ προενεχθέντα, καὶ πάλιν ὑποστρέψαντα εἰς τὸν ὅθεν προῆλθεν, οὔτε τὸν Παράκλητον ἰδίως ὑφεστηκέναι συγχωροῦν, ὥστε οὐκ ἄν τις ἁμάρτοι χριστιανισμοῦ μὲν παντελῶς ἀλλοτρίαν ἀποφαίνων τὴν Αἵρεσιν, ἰουδαϊσμὸν δὲ παρεφθαρμένον αὐτὴν προσαγορεύων. καὶ σημείωσαι ὅτι διὰ τὸ δόγμα τοῦτο ὁ Μάρκελλος ἐξέπεσε τῆς Ἐπισκοπῆς αὐτοῦ, καὶ ὅμως ὁ Ἰούλιος Πάπας Ῥώμης ἀπὸ καθέδρας κρίνων, ἐδέχθη αὐτὸν εἰς κοινωνίαν αὐτοῦ, καὶ ἀνέπεμψεν αὐτὸν εἰς τὸν θρόνον αὐτοῦ. πρὸς τούτοις τὴν μίαν ὑπόστασιν ἐπὶ τῆς ἁγίας Τριάδος ἐποίησεν Ὅρον ἴδιον ἡ ἐν Σαρδικῇ Σύνοδος ὡς φαίνεται ἐν τῷ συνοδικῷ αὐτῆς, ὅπερ κεῖται Θεοδωρίτου λόγῳ δευτέρῳ κεφαλαίῳ ὀγδόῳ. καὶ τοὺς οὕτω μὴ ὁμολογοῦντας Αἱρετικοὺς ἀποφαίνεται, καὶ ταύτην τὴν Σύνοδον ἐξολοκλήρου ἐδέξαντο οἱ Πάπαι τῆς Ῥώμης, καὶ τὸν Παυλῖνον εἶχον κοινωνικώτατον αὐτοῖς, ὡς διαυθεντεύοντα τῆς μιᾶς ὑποστάσεως, καὶ ἐχθρὸν ἀναιδέστατον τῶν λεγόντων τρεῖς ὑποστάσεις ἐπὶ Θεοῦ, καὶ μάρτυς ὁ Βερροίας Ἀκάκιος ἐπιστολῇ πρὸς τὸν ἅγιον Κύριλλον, ἔνθα φησὶ, Παυλῖνος ὁ Ἐπίσκοπος παρῃτεῖτο τρεῖς ὑποστάσεις λέγειν ῥητῶς, ἠκολούθησε δὲ τοῖς Δυτικοῖς εὐλαβεστάτοις Ἐπισκόποις τῷ στενῶσθαι τὴν ῥωμαϊκὴν φωνὴν, καὶ μὴ δύνασθαι πρὸς τὴν ἡμετέραν τῶν γραικῶν φράσιν τρεῖς ὑποστάσεις λέγειν. ἀλλὰ δὴ καὶ ὁμέγας Βασίλειος φησὶ γράφων πρὸς αὐτοὺς, ἤτοι τοὺς Δυτικοὺς, ὁ μέντοι Παυλῖνος εἰ μέντι περὶ τὴν χειροτονίαν ἐπιλήψιμον ἔχει, αὐτοὶ αὖ εἴποιτε, ἡμᾶς δὲ λυπεῖ τοῖς Μαρκέλλου πεπειθὼς δόγμασι, καὶ τοὺς ἀκολουθοῦντας αὐτῷ ἀδιακρίτως εἰς κοινωνίαν αὐτοῦ προέμενος. οὕτω λοιπὸν εἶχον οἱ Πάπαι μετὰ Παυλίνου, ἐξεναντίας δὲ ἐμάχοντο ἀεὶ Μελετίῳ τῷ ὑπερασπιστῇ τῶν τριῶν ὑποστάσεων, ὥστε καὶ αὐτὸς ὁ Πάπας Δάμασος ἐν τῇ πρὸς τὴν ἐν τῷ Ἰλλυρικῷ ἀθροισθεῖσαν Σύνοδον συνοδικῇ αὐτοῦ ἐπιστολῇ φησὶ, χρὴ δὲ τῆς αὐτῆς ὑποστάσεως καὶ τὸ Πνεῦμα τὸ ἅγιον πιστεύειν, τὸν δὲ ἄλλως φρονοῦντα ἀλλότριον εἶναι τῆς ἡμετέρας κοινωνίας ἐκρίναμεν, Ἑρμείας βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ τρίτῳ. καὶ σημείωσαι ὅτι ὅσοι ἔλεγον τὰς τρεῖς ὑποστάσεις τὸ μίαν ὑπόστασιν ἐνόμιζον αἱρετικὸν δόγμα, καὶ τοὺς ὁμολογοῦντας αὐτὸ Αἱρετικοὺς εἶναι ἐνόμιζον. ἀλλὰ μὴν οἱ Ἐπίσκοποι Ῥώμης τοιοῦτοι, ἄρα οὔτε Αὐτοκράτορες ἦσαν ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἐπειδὴ λέγοντες τὴν μίαν ὑπόστασιν οὐκ εἰσηκούοντο, καὶ ἁμαρτωλοὶ, ἐπειδὴ ἀπὸ καθέδρας κρίνοντες ἐβεβαίουν τὰ ἀντίδοξα τῆς καθολικῆς Ἐκκλησίας. ὅθεν ὁμέγας Βασίλειος κατακρίνων αὐτῶν τὸ ἁμαρτάνειν περὶ τὴν Αἵρεσιν τοῦ Μαρκέλλου, καὶ εἶτα βούλεσθαι αὐτοὺς ὀρθοδόξους φαίνεσθαι, γράφων Εὐσεβίῳ Ἐπισκόπῳ Σαμοσάτων ταῦτα φησὶν. ἐμοὶ μὲν γὰρ τὸ τοῦ Διομήδους ἐπέρχεται λέγειν, μὴ ὄφελες λίσσεσθαι, διότι φησὶν ἀγήνωρ ἐστὶν ὁ ἀνήρ. τῷόντι γὰρ θεραπευόμενα τὰ ὑπερήφανα ἤθη ὑπεροπτικώτερα γίνεσθαι πέφυκε. καὶ γὰρ ἐὰν μὲν ἱλασθῇ ἡμῖν ὁ Κύριος, ποίας ἑτέρας προσθήκης δεόμεθα; ἐὰν δὲ ἐπιμείνῃ ἡ ὀργὴ τοῦ Θεοῦ, ποία βοήθεια ἡμῖν τῆς δυτικῆς ὀφρύος; οἱ τό γε ἀληθὲς οὔτε ἴσασιν, οὔτε μαθεῖν ἀνέχονται, ψευδέσι δὲ ὑπονοίαις προειλημμένοι, ἐκεῖνα ποιοῦσι νῦν, ἃ πρότερον ἐπὶ Μαρκέλλῳ, πρὸς μὲν τοὺς τὴν ἀλήθειαν αὐτοῖς ἀπαγγέλλοντας φιλονεικήσαντες, τὴν δὲ Αἵρεσιν δι' ἑαυτῶν βεβαιώσαντες. ἐγὼ μὲν γὰρ αὐτὸς ἄνευ τοῦ κοινοῦ σχήματος ἐβουλόμην αὐτῶν ἐπιστεῖλαι τῷ κορυφαίῳ, περὶ μὲν τῶν ἐκκλησιαστικῶν οὐδὲν, εἰ μὴ ὅσον παραινίξασθαι, ὅτι οὔτε ἴσασι τῶν παρ' ἡμῖν τὴν ἀλήθειαν, οὔτε τὴν ὁδὸν δι' ἧς ἀνμάθοιεν καταδέχονται. καὶ σημείωσαι ὅτι καὶ ὁμέγας Βασίλειος φανερώτατα ἔγνω ὅτι ὁ Πάπας τῆς Ῥώμης ἀπὸ καθέδρας καὶ διὰ τῆς ἰδίας Συνόδου

νόδου αὐτοῦ κρίνων, ὑπέπεσε σφάλματι, ὅτι δὲ ὁ Μαρκελλος Αἱρετικὸς ἦν, καὶ ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος βεβαιοῖ καὶ ἐν τῷ πρώτῳ Κανόνι, καὶ ἐν τῇ πρὸς τοὺς Δυτικοὺς ἐπιστολῇ αὐτῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τοῦ ἤχου τῶν ὑπόστασις καὶ πρόσωπον λέξεων, καὶ τῆς τῶν Ἑώων καὶ Ἑσπερίων διὰ ταύτας διχονοίας καὶ σχίσματος, καὶ τῆς κρίσεως τῶν δύο μερῶν ὑπὸ τοῦ μεγάλου Ἀθανασίου καὶ ἑνώσεως, μίαν τὴν διάνοιαν τῶν δύο λέξεων αὐτοῖς σαφηνίσαντος.

Καὶ Νικήτας ὁ Σερρῶν ἑρμηνεύων τὸ εἰς τὸν μέγαν Ἀθανάσιον ἐγκώμιον τοῦ Ναζιανζηνοῦ, τάδε φησὶν, ὅτι καὶ οἱ εὐσεβεῖς πρὸς ἀλλήλους σχιζόμεθα οὐ μόνον περὶ δογμάτων, ἀλλὰ καὶ περὶ λέξεων, διαφόρων μὲν κατὰ τὴν προφορὰν, μίαν δὲ ἐχουσῶν διάνοιαν, ὥσπερ ἡ ὑπόστασις καὶ τὸ πρόσωπον, ταῦτα γὰρ τὰ δύο ὀνόματα κατὰ μὲν τὸν ἦχον διαλλάττουσιν, ἓν δὲ καὶ τὸ αὐτὸ δηλοῦσιν. ἀλλ' ἐν ταῦθα πρὸς ἀλλήλους οἱ Ἰταλοὶ καὶ οἱ Ἀνατολικοὶ διηνέχθησαν. ἡμεῖς μὲν γὰρ καὶ μίαν οὐσίαν εὐσεβῶς ἐπὶ Θεοῦ λέγομεν διὰ τὴν φύσιν τῆς Θεότητος, καὶ τρεῖς ὑποστάσεις διὰ τὰς τρεῖς ἰδιότητας. νοοῦσι δὲ καὶ οἱ Ἰταλοὶ ὁμοίως τὰς τρεῖς ὑποστάσεις, ἀλλ' ἐπειδὴ στενὴ ἡ γλῶσσα αὐτῶν καὶ ἡ διάλεκτος, καὶ μίαν λέξιν ἔχουσιν ἐπί τε τῆς οὐσίας καὶ τῆς ὑποστάσεως τὴν ὑπόστασιν, διὰ τοῦτο μὴ δυναμένοι τρεῖς ὑποστάσεις εἰπεῖν ἵνα μὴ δόξωσι τρεῖς οὐσίας παρασάγειν ἀντὶ τῶν τριῶν ὑποστάσεων, τρία πρόσωπα ἔλεγον. ἔδοξαν οὖν Σαβελλίζειν, ὡς μὴ λέγοντες τρεῖς ὑποστάσεις, ὁ γὰρ Σαβέλλιος ἀπεποιεῖτο τὸ λέγειν τρεῖς ὑποστάσεις, μίαν δὲ ὡμολόγει τριώνυμον. οἱ δὲ Ἀνατολικοὶ ἐπεὶ τὰς τρεῖς ὑποστάσεις ἀπαιτοῦντες, τὰ τρία πρόσωπα ἀντὶ τούτων οὐκ ἐδέχοντο, ἔδοξαν τοῖς Ἰταλοῖς ἀρειανίζειν, ὁ Ἄρειος γὰρ τρεῖς μὲν ὑποστάσεις ἑτεροφυεῖς ὡμολόγει, τρία δὲ πρόσωπα μιᾶς φύσεως οὐκ ἐδέχετο, καὶ ἐκινδύνευον τὰ πέρατα τῆς Οἰκουμένης τό, τε Ἑῷον καὶ τὸ Ἑσπέριον ἀπ' ἀλλήλων ἀπορραγῆναι διὰ τὸν ἦχον τῶν συλλαβῶν τούτων, τῆς ὑποστάσεως λέγω καὶ τοῦ προσώπου. ἀλλ' ὁ μέγας Ἀθανάσιος προσεκαλέσατο ἀμφότερα τὰ μέρη, καὶ πρότερον τοὺς Ἀνατολικοὺς ἔκρινεν ἐρωτήσας, μὴ ἄρα τρεῖς ὑποστάσεις ὡς οἱ Ἀρειανομανῖται ἀπηλλοτριωμένας καὶ ἀλλοτριουσίους ἀλλήλων καὶ ἑκάστην καθ' ἑαυτὴν ὑπόστασιν διῃρημένην ὡς τά τε ἄλλα καὶ οἱ ἐξ ἀνθρώπων γεννώμενοι, ἢ ὥσπερ διαφόρους οὐσίας ὡς ἄργυρος καὶ χρυσὸς ἢ χαλκὸς ἢ ὡς τρεῖς ἀρχὰς καὶ τρεῖς Θεοὺς φρονοῦσιν; οἱ δὲ Ἀνατολικοὶ διεβεβαιώσαντο μὴ οὕτω φρονεῖν, λέγειν δὲ τρεῖς ὑποστάσεις διὰ τὸ εἰς ἁγίαν Τριάδα πιστεύειν, οὐκ ὀνόματος τριάδα μόνον, ἀλλ' ἀληθῶς οὖσαν καὶ ὑφεστῶσαν, Πατέρα τε ἀληθῆ ὄντα καὶ ὑφεστῶτα, καὶ Υἱὸν ἀληθῶς ἐνούσιον ὄντα καὶ ὑφεστῶτα, καὶ Πνεῦμα ἅγιον ὑφεστηκὸς, καὶ ὑπάρχον ἀληθῶς. ὁ δὲ ἅγιος ἀποδεξάμενος τούτων τὴν ἑρμηνείαν τῶν λέξεων, ἀνέκρινε καὶ τοὺς Ἰταλοὺς τοὺς αἰτιαθέντας παρὰ τῶν Ἀνατολικῶν ὡς λέγοντας μίαν ὑπόστασιν, μὴ ἄρα ὡς Σαβέλλιος φρονῶν, οὕτω καὶ οὗτοι λέγουσιν ἐπὶ ἀναιρέσει τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἢ ὡς ἀνουσίου ὄντος τοῦ Υἱοῦ, ἢ ἀνυποστάτου τοῦ ἁγίου Πνεύματος; οἱ δὲ εἶπον οὐχὶ, ἀλλ' ὑπόστασιν μὲν λέγομεν, ἡγούμενοι ταὐτὸν ὑπόστασιν καὶ οὐσίαν, μίαν δὲ φρονοῦμεν διὰ τὸ εἶναι ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν καὶ διὰ τὴν ταυτότητα τῆς φύσεως, μίαν γὰρ Θεότητα καὶ μίαν εἶναι τὴν ταύτης φύσιν πιστεύομεν, οὐκ ἄλλην μὲν τοῦ Πατρὸς, ξένην δὲ τούτου τὴν τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. ἀμέλει καὶ οἱ αἰτιαθέντες Ἀνατολικοὶ ὡς εἰρηκότες τρεῖς ὑποστάσεις συνετίθεντο τοῖς Ἰταλοῖς, καὶ οἱ Ἰταλοὶ εἰρηκότες μίαν οὐσίαν, τὰ τῶν Ἀνατολικῶν ὥσπερ ἡρμήνευσαν καὶ ὡμολόγουν. καὶ ἀνεθεματίζετο παρ' ἀμφοτέρων τῶν μερῶν Ἄρειός τε ὡς χριστομάχος, καὶ Σαβέλλιος ὡς ἀσεβής. ἐξετάσας τοίνυν ὁ ἅγιος τὴν ἔννοιαν τῶν λεγομένων παρ' ἑκατέρων τῶν μερῶν, καὶ εὑρὼν οὐδὲν διεστῶτα ἑκάτερα τὰ μέρη κατὰ τὸν λόγον, ἤτοι κατὰ τὸν νοῦν, καὶ κατὰ τὴν ἑρμηνείαν, συνεχώρησεν αὐτοῖς τὰς λέξεις τὰς διαφόρους λέγειν ὡς βούλονται, συνέδησε δὲ τούς τε Ἀνατολικοὺς καὶ Ἰταλοὺς αὐτοὺς τοῖς πράγμασι τῆς πίστεως, οὐ γὰρ ἐν ὀνόμασιν, ἀλλ' ἐν πράγμασιν ἡμῖν ἡ ἀλήθεια.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῶν ἐγκρίτων Ἐπισκόπων τῆς ἐν Ἀλεξανδρείᾳ Συνόδου, καὶ τοῦ πῶς δεῖ δέχεσθαι τοὺς προσερχομένους τῇ ὀρθοδόξῳ πίστει Ἀρειανούς.

Ἱστορεῖ ὁ Ρουφῖνος παρὰ τῇ πρώτῃ πράξει τῆς ἑβδόμης Οἰκουμενικῆς Συνόδου, ὅτι ὁ Εὐσέβιος ἐν Ἀλεξανδρείᾳ εὗρε τὴν Σύνοδον κροτουμένην ὑπ' ὀλίγων, ἀλλ' ἐπιδόξων, καὶ γὰρ ἐν ταύτῃ ἦσαν ὁ ἅγιος Ἀθανάσιος, ὁ Εὐσέβιος, ὁ Πέτρας τῆς Ἀραβίας Ἐπίσκοπος Ἀστέριος, καὶ ἕτεροι, πάντες ἀξιόλογοι, ὧν τὰ ὀνόματα κεῖται ἐν τῇ ἐπιστολῇ τῆς Συνόδου, ἥτις ἐπέμφθη πρὸς Ἀντιοχεῖς, καὶ κεῖται ἐν τῷ πρώτῳ Τόμῳ τοῦ ἁγίου Ἀθανασίου. φέρονται δὲ ἐν τῇ ἐπιστολῇ τῆς Συνόδου ἀποφάσεις αἱ ἀνω-

αἱ ἀνωτέρω εἰρημέναι, καὶ ὅτι περὶ τῶν ὀνπων Ἀρειανῶν ἐπεσερχομένην τῇ καθολικῇ Ἐκκλησίᾳ, μηδὲν πλέον ἀπαιτεῖν παρ' αὐτῶν, ἢ ἀναθεματίζειν μὲν τὴν ἀρειανικὴν Αἵρεσιν, ὁμολογεῖν δὲ τὴν ἐν τῶν ἁγίων πατέρων ὁμολογηθεῖσαν ἐν Νικαίᾳ πίστιν. ἀναθεματίζειν δὲ καὶ τὸ κτίσμα εἶναι λέγοντας τὸ Πνεῦμα τὸ ἅγιον, καὶ διηρημένον τῆς οὐσίας τοῦ Χριστοῦ. ἐγένετο δὲ ἡ ἀθέτησις τῆς Σωσθένους ἐν ἔτει τετρακοσιοστῷ ἑξηκοστῷ δευτέρῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Ὅτι τὸ τῶν τριῶν ὑποστάσεων τῆς μιᾶς Θεότητος δόγμα τὸ ἐν τῇ Ἀλεξανδρείᾳ Σωσθένει βεβαιωθὲν, ἐδέξατο καὶ ἡ Ἀνατολὴ καὶ Δύσις, ὑπογράφεται δὲ ὁ μεγάλου Ἀθανασίου μετὰ τὸν ζῆλον καὶ τὸν ἀγῶνα.

Καὶ λοιπὸν, ἐπειδὴ ἐν τῇ παρούσῃ Σωσθένει ἐθεωρήθη καὶ τὸ σκέμμα τοῦτο, καὶ ἐγένετο καὶ ἡ περὶ αὐτοῦ ἀπόφασις, ἔοικεν ὅτι ὄντων ἐν αὐτῇ Ἰταλῶν Ἐπισκόπων, ἤτοι τοῦ εἰρημένου Εὐσεβίου, καὶ τῶν μετ' αὐτοῦ ἀποσταλέντων παρὰ Λυκίφερος Διακόνων ἑρωνίου καὶ Ἀγαπητοῦ, καὶ Ἀναγλικάνων, ἤτοι Μαξίμου καὶ Καλημέρου Διακόνων, οὓς ἔπεμψεν ἀπ' Ἀντιοχείας ὁ Παυλῖνος, καὶ ἑτέρων ἁγίων μοναχῶν, οὓς ἔπεμψεν ἀπραντὸ ὁ Ἐπίσκοπος Ἀπολινάριος, καὶ σὺν τούτοις Κυμάτιος Παλαιστίνης Κοίλης Συρίας, καὶ Ἀναστάσιος Εὐβοίας, ὁ μέγας Ἀθανάσιος συνέβαλε τὸ ζήτημα, ὅπερ ἐρμηνευθὲν παρὰ τοῦ Σωσθένους, καὶ βεβαιωθὲν κατὰ τὴν διδασκαλίαν αὐτοῦ, ἐδέχθη ὡσαύτως παρὰ τῶν Ἀνατολικῶν καὶ παρὰ τῶν Ἰταλῶν, διόπερ ὁ Εὐσέβιος εἶπεν ὑπογράψας ἐν τῷ Τόμῳ, ἐγὼ Εὐσέβιος Ἐπίσκοπος κατὰ τὴν ἀκρίβειαν ἡμῶν τὴν παρ' ἑκατέρων τῶν μερῶν ὁμολογηθεῖσαν ἀλλήλοις σωτηρίων περὶ τῶν ὑποστάσεων, καὶ αὐτὸς συγκατατίθεμαι καὶ τὰ ἑξῆς. ἀλλὰ καὶ τοῦ σωσθενικοῦ Τόμου, ἐπ' ἐσχάτης τῆς ὑπατείας ἀπαχθέντος εἰς Ἀντιόχειαν, ὑπέγραψεν ἐν αὐτῇ ὁ Παυλῖνος. ἐπειδὴ δὲ ἀγὼν ἦν τοῦ μεγάλου Ἀθανασίου ἵνα γένηται τὸ τοιοῦτον ἄκρον καλὸν, μόνῳ αὐτῷ ἐπέγραψεν ὁ Θεολόγος ὅπερ ἡ Σωσθένους κρίνασα διωρίσατο, ὡς δηλονότι μεταταῦτα ὁ μέγας Κύριλλος ἐρρέθη ἰδίως καταλυτὴς τοῦ Νεστορίου, ἤτοι οὐχ ὁ Κύριλλος μόνος, ἀλλ' ἡ τελίτη Σωσθένους κατέρραξε τὸν ἀλάστορα, ἐπειδὴ ὅμως Κύριλλος ἦν ὁ σθένος τῆς εὐσεβείας ἀπ' ἀρχῆς μέχρι τέλους, τὸ κοινῶς διορισθὲν, τούτῳ μόνῳ ὑπογράφοντες ἐγκωμιάζουσιν αὐτὸν οἱ Θεολόγοι. ἀλλὰ καὶ ἐκεῖνο, ὅπερ φησὶν ὁ μέγας βασίλειος γράφων πρὸς Νεοκαισαρεῖς ὅτι ὁ μέγας Ἀθανάσιος ἔγραψεν αὐτῷ δέχεσθαι τοὺς Ἀρειανοὺς μόνον ἀρνησαμένους τὴν Αἵρεσιν αὐτῶν, καὶ μηδὲν κτίσμα ὁμολογοῦντας ἐν τῇ Τριάδι, ἡ παρὰ Σωσθένους ὡς εἴρηται ἀνωτέρω διώρισεν, ὅπερ ὁμοῦ ἅπασι δῆλον ἦν, δηλαδήπου ὅμως τὸ ἐκ τῆς μονότητος πολλάκις ἐπόμενα ἁμαρτήματα, καὶ εἰδὼς ὅτι ὁ Κύριος τοῖς πολλοῖς καὶ οὐχὶ τοῖς δέδωκε τὸ ἀναμάρτητον, καίτοι ἔχων κοινωνοὺς τῆς γνώμης ταύτης τοὺς Ἐπισκόπους τῆς Μακεδονίας καὶ Ἀχαΐας διὰ γραμμάτων, ὡς γράφει ἐκεῖ ὁ μέγας Βασίλειος, διὰ τελειοτέραν ὅμως ἀσφάλειαν προβαλὼν ἐν τῇ Σωσθένει τὸ ζήτημα, δι' αὐτῆς ἐβεβαίωσεν αὐτό.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι οὐ πάντων ἐν τῷ παρόντι κεφαλαίῳ εἰρημένων ἀνεπιλήπτως σωώμεθα μὴ εἶναι τὸν Ῥώμης ἀναμάρτητον, ἢ μονάρχην, ἢ χειροβιαίου, ἢ κοινὸν Διδάσκαλον, ἢ Σωσθένους ἀγαίρετα, ἢ ὅτι τῶν Σωσθένων, ἢ ἀμφιβολίας τῆς καθόλου Ἐκκλησίας λύονται, ἀλλ' ἄγνοιαν ἔχοντα τῆς ἀληθείας, καὶ κεκινόμενον καὶ διορθούμενον. καὶ ὅτι ἡ Σωσθένους ἐστὶ τὸ καθόλου κειτήριον, καὶ ὅτι μερικὴ Σωσθένους βεβαιοῖ οἰκουμενικόν.

Σημείωσαι ἐν τούτῳ τῷ κεφαλαίῳ πρῶτον, ὅτι ὁ Λυκίφερος καὶ Εὐσέβιος ἐβουλόντο ὑπὲρ διορθώσεως τῶν ἐκκλησιαστικῶν, ταὐτὸν εἰπεῖν τῆς καθολικῆς Ἐκκλησίας ὑπὸ τῶν Αἱρετικῶν φθαρεισῶν πραγμάτων, καὶ λοιπὸν ἑνὸς ὁ Ῥώμης ἔχει τὴν μέριμναν πασῶν τῶν Ἐκκλησιῶν, καὶ ὅτε διορθωτὴς τῶν ἐν αὐτῇ φθαρεισῶν ἐστὶν, ἢ πρῶτος, ἢ μόνος. δεύτερον, ὁ Λυκίφερος χειροτονεῖ Πατριάρχην Ἀντιοχείας τὸν Παυλῖνον σωσθένας, Αἱρετικὸν ὄντα καὶ τοῖς Μαρκέλλου δόγμασι σωσκέμμονα. οἱ Πάπαι δὲ μόνον διὰ τὸ εἶναι τὸν Λυκίφερον Ῥωμαϊκὸν Ἐπίσκοπον, ἐδέχοντο τὸν Παυλῖνον, καὶ τῷ ἁγίῳ Μελετίῳ καὶ τῷ μεθ' αὐτὸν θαυμασῷ Φλαυϊκιανῷ ἐπεβάλλοντο, σχίσματα πολυχρόνια σωσχοντες τῷ ἀποστολικῷ τῆς Ἀντιοχείας θρόνῳ σωὸς αὔξησιν τῶν Αἱρετικῶν, οἱ δὲ τοιοῦτοι πῶς ἀναμάρτητοι καὶ τοῦ Χριστοῦ ἀμέσως βικάριοι; τρίτον, ὁ Εὐσέβιος μεμφόμενος τὸν Λυκίφερον ὡς σχίσματα σωσχοντα ἐν τῇ σωκαθημένῃ τῆς Ἀνατολῆς Ἐκκλησίᾳ Ἀντιοχέων, καὶ ἐλθὼν μεθ' αὐτοῦ εἰς λόγους, ὃν ἐπεκαλέσατο τὸν Πάπαν κειτὴν, καίτοι ἀμφότεροι ὑπὸ τῶν Ῥωμαϊκῶν Ἐκ-

Ἐκκλησίαν τελοῦντες, ἀλλ' ἐπηγγείλατο ἐν συνεδρίῳ Ἐπισκόπων τὰ γενόμενα διορθώσασθαι, Σωκράτης βιβλίῳ τρίτῳ κεφαλαίῳ ἐνάτῳ. ὥστε ἡ Σύνοδος ἐστὶ τὸ πρῶτον κριτήριον ἐν τῇ Ἐκκλησίᾳ, ἡ δὲ μοναρχία τοῦ Ῥώμης λόγος μόνον ἐστὶ ψιλὸς, κενὸς μὲν ἀληθείας, ψεύδους δὲ μεστός. τέταρτον, ὅτι ὁ Εὐσέβιος ἅμα Ἀθανασίῳ Σύνοδον ἐν Ἀλεξανδρείᾳ ἤθροισαν ἐπὶ βεβαιώσει τῶν ἐν Νικαίᾳ δοξάντων, καὶ ἰδοὺ ἡ μερικὴ Σύνοδος βεβαιοῖ τὴν Οἰκουμενικὴν, καὶ ἰδὲ περὶ τούτου βιβλίου ἕκτου κεφαλαίου δεκάτου ἕκτου Παράγραφον ὄγδοον, καὶ κατωτέρω κεφάλαιον δέκατον ἕκτον, καὶ ἀνωτέρω κεφαλαίου πέμπτου Παράγραφον δέκατον πέμπτον, ὅτι ἡ μερικὴ Σύνοδος νομοθετεῖ τὴν περὶ Τριάδος καὶ ὑποστάσεως θεολογίαν, καὶ ἕτερα δόγματα ὡς εἴρηται ἀνωτέρω ἄνευ προτροπῆς τοῦ Ῥώμης, ἢ βεβαιώσεως, ἢ καὶ μνήμης τοῦ ὀνόματος αὐτοῦ, καὶ πῶς λοιπὸν ὅτι ὁ Ῥώμης ἀγείρει ἢ βεβαιοῖ τὰς Συνόδους, ἢ ἐπὶ τῶν Συνόδων; ἕκτον, ὁ Ἀθανάσιος καταλλάττει τοὺς Ἀνατολικοὺς καὶ Ἰταλοὺς ἐν οἷς καὶ ὁ Ῥώμης. ἕβδομον, μετὰ τῶν Ἰταλῶν καὶ ὁ Ῥώμης ἀγνοεῖ τὴν ἐν τοῖς Ἀνατολικοῖς ἀλήθειαν, ὀνομάζων αὐτοὺς Ἀρειανοὺς, καὶ ἰδοὺ καὶ ὁ Ῥώμης ἀγνοεῖ, ἰδοὺ ἀπὸ τοῦ Ἀλεξανδείας διδάσκεται, κρίνεται, διορθοῦται, λαμβάνει λύσιν τῆς ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ ἀμφιβολίας, καὶ πῶς τὸ ὅτι τῷ Ῥώμης μόνῳ ἔξεστι λύειν τὰς ἐν τῇ καθόλου Ἐκκλησίᾳ ἀμφιβολίας; ὄγδοον, ὁ Θεολόγος ἐπὶ τούτῳ ἐπαινῶν τὸν ἅγιον Ἀθανάσιον, διατὶ οὐκ ἐμνήσθη τοῦ Ῥώμης εἴπερ αὐτὸν ἐγίνωσκεν εἶναι ἐν τῇ καθόλου Ἐκκλησίᾳ τοιοῦτον, οἷον λέγει εἶναι ἡ νυνὶ Ῥωμαϊκὴ Ἐκκλησία; συνᾴδει δὲ τῷ Θεολόγῳ περὶ τοῦ Ἀθανασίου καὶ ὁ μέγας Βασίλειος, καὶ ἰδὲ κατωτέρω κεφάλαιον δέκατον ἕβδομον. ἔνατον. ὁ Σωκράτης λέγει ὅτι ὁ Εὐσέβιος δίκην ἀγαθοῦ ἰατροῦ κατὰ τὴν Ἀνατολὴν τὰς πορείας ποιούμενος, τοὺς ἠσθενηκότας περὶ τὴν πίστιν ἀνελάμβανε, στοιχῶν καὶ κηρύττων τὰ ἐκκλησιαστικὰ κηρύγματα, μεταβὰς δὲ ἐκεῖθεν ἐπὶ τε Ἰλλυριοὺς παραγίνεται, καὶ Ἰταλίας ἐπιβὰς, τὰ αὐτὰ διεπράττετο, βιβλίῳ τρίτῳ κεφαλαίῳ ἐνάτῳ. ὁ αὐτὸς φησὶν, ἐφθάκει δὲ καὶ Ἱλάριος ὁ Πικτάβων Ἐπίσκοπος καὶ προκατειλήφει τοὺς τόπους, ἄμφω μὲν οὖν γνησίως τῇ πίστει συνηγωνίσαντο, βιβλίῳ τῷ αὐτῷ κεφαλαίῳ δεκάτῳ. ὁ δὲ Σωζόμενος φησὶν, ὁ Ἱλάριος ἐκ τῆς ὑπερορίας ἐπανελθὼν, Ἰταλούς τε καὶ Γάλλους ἐδίδαξε ποῖα μὲν χρὴ τῶν δογμάτων προσίεσθαι, ποῖα δὲ φεύγειν, βιβλίῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ πέμπτῳ. καὶ σημείωσαι ὅτι Εὐσέβιος καὶ Ἱλάριος οὐ μόνον εἰς τὴν Ἀνατολὴν καὶ τὸ Ἰλλυρικὸν, ἀλλὰ καὶ εἰς Ἰταλίαν καὶ Γαλλίαν ἐδίδαξαν ποῖα μὲν χρὴ τῶν δογμάτων προσίεσθαι, ποῖα δὲ φεύγειν, καὶ πῶς ὁ τότε Πάπας Λιβέριος ἐπανελθὼν ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ οὐκ ἐδίδασκε ποῖα μὲν δόγματα χρὴ προσίεσθαι ποίᾳ δὲ μὴ, καὶ μάλιστα τοὺς Ἰταλοὺς ἐν οἷς προεκάθητο; ἀλλὰ δῆλον ὅτι οὐκ ἦν σοφὸς ὡς ὁ Εὐσέβιος καὶ Ἱλάριος, μήτε ἐμπνεόμενος ὑπὸ τοῦ ἁγίου Πνεύματος μόνως καὶ ἀμέσως, μήτε μὴν ζηλωτὴς ὡς οὗτοι οἱ δύο, διατοῦτο ὁ μὲν νυστάζων ἐσιώπα, οἱ δὲ κατὰ τοὺς Νόμους τῆς Ἐκκλησίας ἐξ ἰδίας διδασκαλικῆς αὐθεντίας ἐδογμάτιζον. πασίδηλον οὖν καὶ ἐκ τούτου τοῦ κεφαλαίου ὅτι κατήρρακται τὸ μοναρχικὸν τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἀξίωμα, καὶ πάντολμον τὸ ἐν τῷ φλωρεντινῷ Ὅρῳ νομοθετούμενον ὅτι ὁ ῥώμης κοινός ἐστι πάντων τῶν Χριστιανῶν Διδάσκαλος.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς εὐσεβείας τοῦ Βασιλέως Ἰοβιανοῦ, καὶ τῆς δι' ὁρισμοῦ αὐτοῦ βεβαιώσεως τῶν ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἐν τῇ Ἐκκλησίᾳ δογμάτων, καὶ τῆς ἐπανακλήσεως τῶν ἐξορίστων Ἐπισκόπων, καὶ τῆς ἐγγράφου εὐσεβείας ἣν ἀπῄτησε παρὰ τοῦ μεγάλου Ἀθανασίου.

Βασιλεύσας ὁ ὀρθόδοξος Ἰοβιανὸς εἶπεν εὐθὺς ὅτι οὐ δύναται βασιλεύειν εἰς στράτευμα ἠσεβηκὸς ἐπὶ Ἰουλιανοῦ, καὶ ὅλοι ἐβόησαν οἱ στρατιῶται, Χριστιανοί ἐσμεν, ὅθεν καὶ Νόμους ἔγραψεν εἰς ὅλην τὴν βασιλείαν βεβαιῶν τὰ δεδομένα παρὰ τοῦ μεγάλου Κωνσταντίνου τῇ Ἐκκλησίᾳ, καὶ τῆς ἐξορίας ἠλευθέρωσε τοὺς Ἐπισκόπους. καίτοι δὲ ὀρθόδοξος ὤν, ὅμως κατὰ τὸν Θεολόγον Γρηγόριον ἐν τῷ εἰς τὸν μέγαν Ἀθανάσιον ἐγκωμίῳ ἀπέστειλεν εἰς τὸν μέγαν Ἀθανάσιον τὸν τῶν θείων δογμάτων πρόμαχον, γραφῆναι αὐτῷ παρακαλῶν τῆς καθ' ἡμᾶς πίστεως τὴν ἀλήθειαν, ὑπὸ πολλῶν διασπαθεῖσαν καὶ συγχεθεῖσαν, καὶ εἰς πολλὰς δόξας καὶ μοίρας νενεμημένην, ὥστε μάλιστα μὲν τὸν κόσμον ὅλον εἰ οἷόν τε συμφωνῆσαι, καὶ εἰς ἓν ἐλθεῖν τῇ συνεργείᾳ τοῦ Πνεύματος, εἰ δ' οὖν, ἀλλ' αὐτόνγε μετὰ τῆς βελτίστης γενέσθαι, κἀκείνῃ παραχεῖν τὸ κράτος, καὶ παρ' ἐκείνης αὐτιλαβεῖν. ὁ δὲ λαβὼν τὴν βασιλικὴν ἐντολὴν, τοὺς ἐλλογιμωτέρους τῆς Αἰγύπτου καὶ Θηβαΐδος καὶ Λιβύης Ἐπισκόπους συγκαλέσας αὐτέγραψε πρὸς τὸν Βασιλέα παρακαλῶν ἵνα φυλάττῃ τὴν ἐν Νικαίᾳ πίστιν, ὡς οὖσαν τὴν αὐτὴν τοῖς δόγμασι τῶν Ἀποστόλων

στόλων. καὶ ὅτι ἐπεβούλευσαν αὐτῷ ποικίλως δηλονότι ὁ Βασιλεὺς Κωνσταντίος, καὶ οἱ κορυφαῖοι τῶν Αἱρετικῶν, διὰ τὸ μὴ συντίθεσθαι τῇ Ἀρειανικῇ Αἱρέσει, καὶ ὅτι ἡ ἐν Νικαίᾳ ὁμολογηθεῖσα πίστις ἐστὶν ὡς εἴρηται ἡ ἀληθὴς καὶ εὐσεβὴς πίστις τῆς καθολικῆς Ἐκκλησίας, ἥτις καὶ ἐξ αἰῶνος κηρύττεται, ἥτις παρὰ τῶν ἁγίων γραφῶν γινώσκεται καὶ ἀναγινώσκεται, καὶ οἱ ἅγιοι ἐν ταύτῃ τελειωθέντες ἐμαρτύρησαν, ἀλλὰ δὴ καὶ αἱ κατὰ μέρος Ἐκκλησίαι πᾶσαι σύμψηφοι ταύτῃ τυγχάνουσιν, αἵ τε κατὰ τὴν Ἱσπανίαν καὶ Βρεττανίαν καὶ Γαλλίαν, καὶ αἱ τῆς Ἰταλίας πᾶσαι καὶ Καμπανίας, Δαλματίας τε καὶ Μυσίας, Μακεδονίας καὶ πάσης Ἑλλάδος καὶ αἱ κατὰ τὴν Ἀφρικὴν πᾶσαι καὶ Δαρδανίαν καὶ Κύπρον καὶ Κρήτην, Παμφυλίαν τε καὶ Λυκίαν καὶ Ἰσαυρίαν καὶ αἱ κατὰ πᾶσαν Αἴγυπτον καὶ Λιβύην καὶ Πόντον καὶ Καππαδοκίαν καὶ τὰ πλησίον μέρη καὶ αἱ κατὰ τὰς Ἀνατολὰς Ἐκκλησίαι. πάντων γὰρ τῶν προειρημένων τῇ πείρᾳ ἐγνώκαμεν τὴν γνώμην, καὶ τὰ γράμματα ἔσχομεν, καὶ εἴδομεν θεοφιλέστατε Αὔγουστε ὅτι εἰ καὶ ὀλίγοι τινὲς ἀντιλέγουσι ταύτῃ τῇ πίστει, οὐδύνανται πρόκριμα ποιεῖν πάσῃ τῇ Οἰκουμένῃ, καὶ ὅτι, ἀλλ' οὐκ ἀπηλλοτρίωσαν τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ (οἱ ἐν Νικαίᾳ δηλονότι Πατέρες) ἀλλὰ μᾶλλον συνεδόξασαν αὐτὸ τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἐν τῇ μιᾷ τῆς ἁγίας Τριάδος πίστει, διὰ τὸ μίαν εἶναι τὴν ἐν τῇ ἁγίᾳ Τριάδι Θεότητα. ταῦτα Θεοδώριτος λόγῳ τετάρτῳ κεφαλαίῳ δευτέρῳ. ὁ δὲ Θεολόγος περὶ τοῦ ἁγίου Ἀθανασίου λέγει ἐν τῷ εἰς αὐτὸν ἐγκωμίῳ, ὅτι πρῶτος καὶ μόνος καὶ μετὰ ὀλίγων ἀποτολμᾷ τὴν ἀλήθειαν, σαφῶς οὕτωσι καὶ διαῤῥήδην, τῶν τριῶν μίαν Θεότητα καὶ οὐσίαν ἐγγράφως ὁμολογήσας, καὶ ὁ τῷ πολλῷ τῶν πατέρων ἀριθμῷ περὶ τὸν Υἱὸν ἐχαρίσθη πρότερον, τοῦτο περὶ τοῦ ἁγίου Πνεύματος αὐτὸς ἐμπνευσθεὶς ὕστερον, καὶ δῶρον κάλλιστον οὕτω καὶ μεγαλοπρεπὲς τῷ Βασιλεῖ προσενεγκών, ἔγγραφον τὴν εὐσέβειαν κατὰ τῆς ἀγράφου καινοτομίας. ταῦτα ἐν τῷ εἰς τὸν αὐτὸν ἐγκωμίῳ. ὁ δὲ Θεοδώριτος φησὶ, τούτοις γὰρ ὁ Βασιλεὺς τοῖς γράμμασιν ἐντυχὼν, ἐβεβαίωσεν ἣν εἶχε περὶ τῶν θείων γνῶσίν τε καὶ διάθεσιν, βιβλίῳ τῷ αὐτῷ κεφαλαίῳ τετάρτῳ. τούτοις συνᾴδει καὶ ὁ Σωζόμενος λέγων, ὁ Βασιλεὺς τὸν ἄνδρα μετεκαλέσατο, τὰ πρακτέα περὶ τὴν θρησκείαν καὶ τὴν ὀρθοδοξίαν εἰσηγησόμενον, βιβλίου ἕκτου κεφαλαίῳ πέμπτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἐκ τῆς πρὸς τὸν Ἰοβιανὸν δογματικῆς διδασκαλίας τοῦ μεγάλου Ἀθανασίου, καὶ ἐκ τοῦ πρῶτον ῥητῶς καὶ ἐγγράφως τὸν Ἀθανάσιν κηρῦξαι μίαν οὐσίαν καὶ τρεῖς ὑποστάσεις ἐν τῇ Θεότητι, δείκνυται τὸ ἀξίωμα αὐτοῦ ἀσυγκρίτως μεῖζον τοῦ Ῥώμης ὡς μερικοῦ καὶ μὴ μονάρχου Ἐπισκόπου.

Ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι ὁ Βασιλεὺς καίτοι εὐσεβὴς ἦν, ἀλλὰ τὰ πολλὰ σχίσματα, καὶ αἱ παλιμβολίαι τῶν Αἱρετικῶν εἰς διαφόρους λογισμοὺς συνείλουν καὶ τοὺς δοκίμους. καὶ εἰ καὶ ὁ Ἀντιοχείας Μελέτιος ὀρθόδοξος ἦν, καὶ ἐτιμᾶτο διὰ τοῦτο ὑπὸ τοῦ Βασιλέως, ἀλλὰ τοῦτο μὲν ὅτι ἐκ μεταμελείας οὐ πολὺ πρότερον τῷ Ὁμοουσίῳ προσέκειτο οὐκ ἠρώτησεν αὐτὸν, τοῦτο δὲ ὅτι κατὰ πάντα καιρὸν καὶ τόπον καὶ ἐκ νεαρᾶς ἡλικίας καὶ κατὰ ζῆλον ἀσύγκριτον καὶ ἀρετὴν ὑπερβάλλουσαν ἠρίστευσεν ὑπὲρ τοῦ ὀρθοδόξου φρονήματος, ναὶ δὴ καὶ διὰ ταῦτα διώκετο καὶ ἐκινδύνευε μᾶλλον πάντων τῶν κατὰ τὴν Οἰκουμένην ὀρθοδόξων Ἐπισκόπων ὁ μέγας Ἀθανάσιος, διὰ ταῦτα παρ' αὐτοῦ ἐζήτησεν ὁ Βασιλεὺς μαθεῖν τὶς ἡ ἀληθὴς διδασκαλία τῆς πίστεως, εἰ δὲ ἦν ὁ τῆς ῥωμαϊκῆς Ἐκκλησίας Ἐπίσκοπος Μοναρχὴς καὶ ἀναμαρτήτως περὶ τὴν πίστιν, καὶ κατ' ἐξοχὴν μόνος διδάσκαλος τῆς πίστεως, καὶ ἐπὶ τῶν Βασιλέων, ἐκεῖνον ἂν ἠρώτησεν ὁ Βασιλεὺς, ἢ κἂν τῷ μεγάλῳ Ἀθανασίῳ ἔλεγε, τὶς ἂν εἴη ἡ γνώμη περὶ πίστεως τοῦ Ἐπισκόπου Ῥωμαίων. ὁ δὲ Βασιλεὺς οὐ μόνον οὐκ ἠρώτησε τὸν Πάπαν Ῥώμης, ἀλλ' οὐδὲ ὅλως μνήμην αὐτοῦ ἐποιήσατο. δεύτερον, ὁ μέγας Ἀθανάσιος συνοδικῶς γράψας τῷ Βασιλεῖ ὅτι ἡ ἐν Νικαίᾳ ὁμολογηθεῖσα πίστις ἐστὶν ἡ ἀληθὴς καὶ εὐσεβὴς πίστις, καὶ πολλὰς ἀποδείξεις εἰπὼν περὶ ταύτης, οὐδ' ὅλως ἐμνήσθη τοῦ Πάπα, ἢ τῆς διδασκαλίας καὶ ἀναμαρτησίας αὐτοῦ. τρίτον, ὅτι ὥσπερ σφραγῖδα ὧν προέθετο μαρτυριῶν τὴν συμφωνίαν τῶν ἁπανταχοῦ μερικῶν Ἐκκλησιῶν προσέθετο εἰς βεβαίωσιν τῆς ἀληθοῦς πίστεως, οὐδ' ὅλως δὲ εἶπεν ὅτι τούτων τῶν μερικῶν Ἐκκλησιῶν κεφαλή ἐστιν ὁ Ῥώμης, ἐξ ὧν ἀπὸ ἰδιαιτάτου βικαρίου τοῦ Χριστοῦ, ἢ μόνου ἀμέσως διαδόχου τοῦ Πέτρου ὡς ἐπηγγείλατο ὁ Κύριος, αἱ μερικαὶ Ἐκκλησίαι ἐξηρτημέναι οὐχ ἁμαρτάνουσιν εἰς τὴν πίστιν, ἀλλ' ἁπλῶς ἀπὸ τῆς συμψηφίσεως τῶν ἁπανταχοῦ μερικῶν Ἐκκλησιῶν συνῆξε τῆς ἐν Νικαίᾳ πίστεως τὴν ἀλήθειαν. τέταρτον, καὶ τὸ δὴ θαυμαστὸν ὅτι προέταξεν Ἱσπανίαν καὶ Βρεττανίαν καὶ Γαλλίας τῆς Ἰταλίας, καὶ τὸ θαυμασιώτατον ὅτι καὶ Ἰταλίας πάσης εἰπὼν, συνηρίθμησε τὴν ῥωμαϊκὴν Ἐκκλησίαν μετὰ τῶν λοιπῶν ἐν Ἰταλίᾳ Ἐκκλησιῶν, οὐκ ἐμνημόνευσε δὲ μόνης τῆς ῥωμαϊκῆς ἰδίως οὐ μόνον ὡς ἀρχικῆς, ἀλλ' οὐδὲ ὡς μερικῆς. ὥστε δῆλον ὅτι νεόφυτόν ἐστι τὸ μοναρχικὸν ἐπὶ τῆς Ῥώμης ἀξίωμα, ὅθεν καὶ εἰς τύφον ἀραρότως ἐμπέπτωκε καὶ παγίδα τοῦ Διαβόλου, ἥτις ἐστὶν ἡ ἀπὸ τῆς καθόλου Ἐκκλησίας ἀποστασία. πέμπτον, τοῦ Ἰοβιανοῦ τὸ ἀληθὲς ζητοῦντος τῆς πίστεως, ὁ μέγας Ἀθανάσιος πρῶτος καὶ μόνος

μετὰ

184

μετὰ ὀλίγων Ἐπισκόπων ἐγγεάφως εἶπε μίαν εἶναι ἐν τῇ τριάδι Θεότητα. ἡ γὰρ καὶ αὐτερον διεσαφηνίσατο πολλῶν τῶν πατέρων εἰρηται, ἀλλὰ πρώτος αὐτὸς ἐν τῇ καθ' αὐτὸν ἐν Ἀλεξανδρείᾳ. Σωσόδω ἐπὶ καὶ ἐγγεάφως ἐκήρυξε μίαν οὐσίαν καὶ τρεῖς ὑποστάσεις ἐν τῇ Θεότητι. καὶ ἤδη γεάφων πρὸς τὸν Βασιλέα αἴδιν τινὸς φόβᾳ ἐκήρυξεν ἐγγεάφως τὴν ἄκραν ἀλήθειαν, ἣν ἐστιν ὅτι ἐν Τριάδι μία ἐστὶ Θεότης. καὶ ἰδὲ ὁ Ἀλεξανδρείας πρῶτος καὶ μόνος εἶπεν ὅπερ οὐκ εἶπον ὁ Ῥώμης, ὥστε αὐτῷ ἁρμόζει μᾶλλον παντὸς ἄλλου Ἐπισκόπου καὶ αὐτοῦ τοῦ Ῥώμης τὸ, δώσωσι τὰς κλεῖς, καὶ τὸ, ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ τὸ, καὶ σύποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου, ὁ γὰρ τῷ Πάπᾳ Ῥώμης οὐκ ἐνεπνεύσθη, τοῦτο τῷ Ἀθανασίῳ ἐνεπνεύσθη. καὶ διὰ τοῦτο ὁ Θεολόγος ἐπαίρων τὸ ἀξίωμα αὐτοῦ λέγει, ἐκεῖνο, ὅπερ τοῖς ἐν Νικαίᾳ συνελθοῦσι πατράσι τετάρτῳ ἀπεκαλύφθη περὶ τοῦ Υἱοῦ, νῦν ἀπεκαλύφθη μόνῳ τῷ Ἀθανασίῳ περὶ τοῦ ἁγίου Πνεύματος, ὥστε ὅ-
ρον ὀρθοδοξίας εἶναι τὰ ἐκείνου δόγματα. ταῦτα ὁ Γρηγόριος, ἅλινα ὅσον ὑπερτρέχει ἐκείνου, ἅπερ εἶπεν ἡ ἐν Χαλκηδόνι Σύνοδος, ὅτι ἡ ὑποστολὴ τοῦ Λέοντος στήλη ἐστὶν ὀρθοδοξίας, εἰ πάντων οἱ τῆς ἀληθείας φρονντίζοντες Θεολόγοι, καὶ γὰρ τὰ Λέοντος τῷ ὑποστολὴν κεῖνα καὶ ἀνακεῖνα ἡ ἐν Χαλκηδόνι Σύνοδος ἐβεβαίωσεν. ὁ δὲ Ἀθανάσιος τῷ κρίσιν τῶν ἐν Νικαίᾳ ἡρμήνευσεν, ἐκύρωσεν, ἐβεβαίωσε, καὶ τῷ περὶ τοῦ ἁγίου Πνεύματος καὶ τῆς μιᾶς Θεότητος ἄκραν διδασκαλίαν πρῶτος καὶ μόνος ἐμπνευσθεὶς ὑπὸ τοῦ ἁγίου Πνεύματος τρανῶς καὶ ἐγγεάφως ἀνεκήρυξεν, ἀσυγκρίτως ἄρα μεῖζον τὸ ἀξίωμα τοῦ ἁγίου Ἀθανασίου τοῦ ἀξιώματος τοῦ Πάπα, ταύτην εἰπεῖν τῆς ῥωμαϊκῆς Ἐκκλησίας, καὶ λοιπὸν οὐκ ἔστιν ἐν τῇ Ἐκκλησίᾳ μοναρχικὸν ἀξίωμα, ἐπειδὴ ὁ ἰσοφώτερος καὶ ἁγιώτερος πάντων ἀσυγκρίτως τοῦ Πάπα Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ ἁγίου δόγματος τοῦ Ἀπελλοῦ, πολακδυτικῶς πρωτενεχθέντος τῷ Βασιλεῖ Ἰοβιανῷ ὑπὸ τοῦ Θεμιστίου φιλοσόφου, ὃ καὶ ὁ Ἄραψ Ἀβερρόης ἐφευάρησεν, ἅπερ χρῶνται οἱ μετὰ τὸ χίσμα Πάπαι, πάσῃ Αἱρέσει κοινωνοῦντες χάριν τοῦ λ, ἐγε ὥσθαι μονονοὺ μοναρχας.

Οἱ περὶ Μακεδόνιον Βασιλειανὸς Ἀγκύρας, Σιλβανὸς Ταρσοῦ, Ἐλεύσιος Κυζίκου, Σωφρόνιος Πομπηϊουπόλεως καὶ ἄλλοι ἔδωκαν τῷ Βασιλεῖ δεήσεις ἵνα ἐκβάλῃ ὑπὸ τῆς Ἐκκλησίας τοὺς φρονοῦντας τὸ Ἀνόμοιον. ὁ δὲ Βασιλεὺς δεξάμενος τὸν Λίβελλον, ἀναπκρίτως αὐτοὺς ἀπέπεμψε, μόνον δὲ τοῦτο ἀπεφθέγξατο, ἐγὼ, εἶπε, φιλονεικίαν μισῶ, τοὺς δὲ τῇ ὁμοουσίᾳ προσερέχοντας ἀγαπῶ καὶ τιμῶ, Σωκράτης βιβλίῳ τριτῳ κεφαλαίῳ εἰκοστῷ πέμπτῳ. σκοπὸν ἔχων ὁ Ἰοβιανὸς μετὰ ἡδύτητος καὶ ἱλαρᾶς λόγου ἑνῶσαι τοὺς πλείονας τῶν Αἱρετικῶν εἰς τὴν καθόλου Ἐκκλησίαν, διατοῦτο ἀφεῖκεν ἑκάστῳ πιστεύειν ὡς βούλεται, ὅθεν καιρὸν δεξάμενος ὁ πεπαιδευκὼς ὁ φιλόσοφος Θεμίστιος Ἕλλην ὢν, ἐκολάκευσεν αὐτὸν λόγῳ, ὅτι τὸ θεῖον ὡς ἄπειρον ἀφῆκε ἵνα πιστεύωσιν εἰς αὐτὸ καὶ δοξάζωσιν αὐτὸ διαφόρως, εἰσὶν ὅμως ὅλα δεκτὰ πεσεβάσματα. Ἓν τὸ ἄθεον δόγμα ἐδίδαξε καὶ ὁ Ἄραψ Ἀβερρόης, ἐφευάρησε γὰρ ὅτι καὶ Ἰουδαῖοι καὶ Χεισπανοὶ καὶ Ἐθνικοὶ ἄλλοι κατὰ τὸ ἴδιον σέβας ἀγαθοποιοῦντες σώζονται. ἔστι δὲ τοῦτο ἐφεύρεμα τοῦ Ἀπελλοῦ, ὃς ἦν ἀπὸ τῆς μοίρας τοῦ Μαρκίωνος, ὃς ἔλεγεν ἕκαστον ὡς πεπίστευκε διαμένειν, σωθήσεσθαι γὰρ τοὺς ἐπὶ τὸν ἐσταυρωμένον ἠλπικότας ἀπεφαίνετο, μόνον ἐὰν ἐν ἔργοις ἀγαθοῖς εὑρίσκωνται, Εὐσέβιος βιβλίῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ τρίτῳ. τοῦτο καὶ τοῦ Πάπα τῆς Ῥώμης μετὰ τὸ χίσμα ἐστὶν Αἵρεσις, τοὺς γὰρ Αἱρετικοὺς ὧν πάπα Αἵρεσιν κεῖνασα ἡ Ἐκκλησία ἀνεθεμάτισε καὶ αὐτοὺς ἀκοινωνήτους ἔχει, εἶον Μονοφυσίτας καὶ Μονοθελήτας καὶ Νεστοριανοὺς μόνους λέγουσιν αὐτὸν Μοναρχην, ἐπὶ τῆς Ἐκκλησίας δέχεται εἰς κοινωνίαν. τὸ ἐναντίον ὅμως ἱστορεῖ ὁ Εὐσέβιος, ὅτι ἐπὶ Ἀνικήτου Πολύκαρπος Σμύρνης ἐπιδημήσας τῇ Ῥώμῃ, πολλοὺς ἀπὸ τῶν προειρημένων Αἱρετικῶν ἐπέστρεψεν εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, μίαν καὶ μόνην ἀλήθειαν κηρύξας ὑπὸ τῶν Ἀποστόλων παρειλῆφθαι τὴν ὑπὸ τῆς Ἐκκλησίας παράδοσιν. Καὶ, Ἰωάννης Κηρίνθῳ ἐσωπισθῆτε λατρῷ ἵνα μὴ πέσῃ ἐπ' αὐτοῖς. καὶ Πολύκαρπος εἰπόντος αὐτῷ τοῦ Μαρκίωνος ἐπιγινώσκεις ἡμᾶς; ἀποκριθεὶς εἶπεν αὐτῷ ἐπιγινώσκω σε τὸν πρωτότοκον ἐκ τοῦ Σατανᾶ. ταῦτα δὲ εἶπεν ὁ Εὐσέβιος φέρει, τοσαύτην οἱ Ἀπόστολοι καὶ οἱ μαθηταὶ αὐτῶν ἔχον εὐλάβειαν πρὸς τὸ μηδὲ μέχρι λόγου κοινωνεῖν μετὰ τῶν ψευδοχαρασσόντων τὴν ἀλήθειαν, βιβλίῳ πέμπτῳ κεφαλαίῳ εἰκοστῷ ἕκτῳ. ὁ Πάπας ἓν ταυτίᾳ τῶν Ἀποστόλων καὶ τῶν μαθητῶν ἐκείνων ποιῶν καὶ κοινωνῶν τοῖς ἀκοινωνήτοις ἀκοινώνητός ἐστι. τοὺς Αἱρετικοὺς περιποιούμενος, Αἱρετικός ἐστι. τῶν Κανόνων καὶ τῶν ἁγίων καταφρονῶν, ἔξω τῆς Ἐκκλησίας ἐστὶ, καθότι καὶ τῆς κοινωνίας τῶν ἁγίων ἀλλότριός ἐστι.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τοῦ τὶ τὸ αἴτιον τοῦ παραγενέσθαι τοὺς περὶ Ἀκάκιον τὸν Καισαρείας Ἀρειανοὺς πρὸς τὸν Ἀντιοχείας Μελέτιον, καὶ συνοδικῶς ὁμολογῆσαι τὸ Ὁμοούσιον καὶ τὴν ἐν Νικαίᾳ πίστιν, καὶ ἔτι διὰ γράμματος πρὸς τὸν Βασιλέα Ἰοβιανόν.

Ὁ πολλάκις ἀνωτέρω ῥηθεὶς Καισαρείας Ἀκάκιος καὶ οἱ περὶ αὐτὸν Ἀρειανοὶ ἀκούσαντες τὴν τοιαύτην τοῦ Βασιλέως πρὸς τοὺς Μακεδονιανοὺς ἀπόκρισιν, πτοηθέντες, καὶ ἔτι βλέποντες ὑπὸ τοῦ Βασιλέως τιμώμενον τὸν Ἀντιοχείας Μελέτιον ὡς ὀρθόδοξον, καὶ γὰρ ἐκεῖ τότε διῆγεν ὁ Βασιλεὺς ἀπὸ τῆς Περσίας εἰς Κωνσταντινούπολιν ἐπανερχόμενος, ἀφῆκαν τὸ φιλονεικεῖν, καὶ προσελθόντες τῷ Μελετίῳ Σύνοδον ἐκρότησαν, ἤτοι ὁ Μελέτιος καὶ οἱ περὶ Ἀκάκιον, καὶ ἕτεροι ἀπὸ διαφόρων Ἐπαρχιῶν καὶ ἐθνῶν πορευθέντες τότε ἐκεῖ ὀρθόδοξοι Ἐπίσκοποι, καὶ κοινῇ γνώμῃ βιβλίον ἐν εἴδει ἐπιστολῆς συντάξαντες καθομολογοῦσι τὸ Ὁμοούσιον, καὶ τὴν ἐν Νικαίᾳ πίστιν κυρώσαντες, καὶ τὸ ὄνομα τοῦ Ὁμοουσίου κατὰ τὴν ἑρμηνείαν τῶν ἐν Νικαίᾳ πατέρων ἀποδεξάμενοι, τόν τε Ἄρειον ἀσεβῆ καὶ τολμητίαν εἰπόντες, δεδώκασι τὸ γράμμα τῷ Βασιλεῖ. ἦσαν δὲ Ἐπίσκοποι εἰκοσιοκτὼ ἐν ἔτει ἀπὸ Χριστοῦ τριακοσιοστῷ ἑξηκοστῷ τρίτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ ὅτι οὔτε γνώμη, ἢ εἴδησις, ἢ βεβαιότης ἢ μνήμη τοῦ Ῥώμης ἦν ἐν τῇ Συνόδῳ ταύτῃ, καὶ περὶ τοῦ ἐπιῤῥήτου τῶν Αἱρετικῶν.

Σημείωσαι δὲ ὅτι ἐπὶ πᾶσι τούτοις οὔτε γνώμη, οὔτε εἴδησις, οὔτε βεβαιότης, οὔτε καὶ μνήμη τις ἐγένετο ἐν τῇ παρούσῃ Συνόδῳ τοῦ Ῥώμης, μάλιστα ὁ τότε Πάπας Λιβέριος πρότερον ἐπὶ Κωνσταντίου τὸν Ἀρειανισμὸν ἐβεβαίωσεν ἕνεκεν ἀνθρωπίνου φόβου, τότε δὲ ἐν Ῥώμῃ διῆγε μεταμελούμενος, ὡς πεποιήκασιν οἱ περὶ Ἀκάκιον ἐνθάδε ἐν Ἀντιοχείᾳ, ὅθεν ὁ Θεμίστιος διασύρων αὐτοὺς ἐν τῷ εἰρημένῳ πρὸς τὸν Βασιλέα λόγῳ, ὡς εἴησαν φιλόνεικοι καὶ ἀεὶ πρὸς τοὺς κρατοῦντας ἀποκλίναντες ἔφη, ἐλέγχεσθαι αὐτοὺς ἁλουργίδα οὐ Θεὸν θεραπεύοντας, μήτε διαφέρειν αὐτοὺς εὐρίπου, νῦν μὲν ἐπὶ Κωνσταντίου ὄντας τῆς ἀσεβείας τοῦ Ἀρείου δειλοὺς καὶ παντόλμους, νῦν δὲ διὰ τὴν ὀρθοδοξίαν τοῦ Ἰοβιανοῦ εἰς τοὐναντίον τὰ ῥεύματα μεταβαλόντας, Σωκράτης βιβλίῳ τρίτῳ κεφαλαίῳ εἰκοστῷ πέμπτῳ.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τοῦ εὐσεβοῦς Βασιλέως Ῥώμης Οὐαλεντιανοῦ, καὶ ὧν συνέβησαν αὐτῷ ὄντι Χιλιάρχῳ ἐν τῷ τῆς Τύχης μιαρῷ Ναῷ ἐπὶ Ἰουλιανοῦ, καὶ τίνος συμβουλῇ ἐβασίλευσεν.

Ἐβασίλευσεν ὁ Οὐαλεντιανὸς, ὅστις Χιλίαρχος ὢν ἐπὶ τοῦ Ἰουλιανοῦ, καὶ εἰσερχομένου τοῦ παραβάτου εἰς τὸν Ναὸν τῆς Τύχης, ὁ Νεωκόρος ἔβρεχεν ἀπὸ τοῦ φρέατος τοῦ Ναοῦ τοὺς εἰσερχομένους καὶ ἔλεγεν ἑκάστῳ καθαρίσθητι. ὁ δὲ Οὐαλεντιανὸς Χριστιανὸς ὢν, καὶ βραχεὶς, ἔδωκε κατακόρρης τῷ Νεωκόρῳ εἰπὼν, ἐμιάνθην καὶ οὐκ ἐκαθαρίσθην μιαρέ. ἰδὼν δὲ αὐτὸν εἰσερχόμενος ὄπισθεν ὁ Ἰουλιανὸς, καὶ θυμωθεὶς, ἀπέστειλεν αὐτὸν εἰς Ὀλυβρίαν Τριβοῦνον ὡς εἰς ἐξορίαν, διατοῦτο συμβουλῇ Σαλουστίου ὁ Στρατὸς μεταπεμψάμενος αὐτὸν ἔστεψαν Βασιλέα.

ΠΑΡΑΓΑΦΟΝ Β'.

Περὶ Οὐάλεντος, ὃν ὁ ἀδελφὸς αὐτοῦ Οὐαλεντιανὸς ἀφῆκε Βασιλέα εἰς τὴν Ἀνατολὴν, καὶ τῆς παρατροπῆς αὐτοῦ εἰς τὸν ἀρειανισμὸν ἐξ αἰτίας τῆς γυναικὸς αὐτοῦ, καὶ τοῦ ὑπ' αὐτοῦ διωγμοῦ καὶ φόνων τῶν ὀρθοδόξων, καὶ μάλιστα τῶν κατ' Αἴγυπτον.

Ἀπῆλθεν ὅμως ἵνα Βασιλεύῃ τῆς Δύσεως, τὸν δὲ ἀδελφὸν αὐτοῦ Οὐάλεντα ἀφῆκε Βασιλέα τῆς Ἀνατολῆς, ἄνθρωπον τοῖς ἀποστολικοῖς κοσμούμενον δόγμασιν, ἀλλὰ μέλλοντα στρατεύσειν κατὰ

κατὰ τῶν Γότθων, καὶ βουλόμενον βαπτισθῆναι, ἡ γυνὴ αὐτοῦ Ἀρειανὴ οὖσα, κατέπεισεν αὐτὸν βαπτισθῆναι ὑπὸ Εὐδοξίου, ὃς πείσας αὐτὸν πρεσβεύειν τὴν Αἵρεσιν αὐτοῦ, ἐποίησε διπλότερον ἑαυτοῦ υἱὸν τῆς Γεέννης, ὡς Θεοδώριτος λόγῳ τετάρτῳ κεφαλαίῳ δωδεκάτῳ. ὑπερέβη γὰρ εἰς τὴν κακίαν πάντα Αἱρετικὸν, Βασιλεὺς δὲ ὢν, καὶ καθαρὸς Ἀρειανὸς, ἐχόμενος τοῦ Ἀνομοίου ὁλοψύχως, ἐξώρισεν Ἀρχιερεῖς, ἥρπασεν Ἐκλησίας, ἐποίησε κακὰ πλείονα τῶν τοῦ Ἰουλιανοῦ, τόσον δὲ μόνον ἦν ἡ διαφορὰ καὶ ζημία τῶν ὀρθοδόξων, ὅτι ἐπὶ Ἰουλιανοῦ ὄντος φανεροῦ εἰδωλολάτρου ἐμαρτύρουν προθύμως οἱ Χριστιανοὶ, ἐπὶ δὲ Οὐάλεντος (εἰ καὶ ἦν εἰδωλολάτρου χείρων, ὡς λέγων τὸν Υἱὸν τοῦ Θεοῦ κτίσμα, εἶτα ἐλάτρευεν αὐτῷ ὡς Θεῷ) τὸ ὄνομα αὐτὸ τὸ λέγεσθαι Χριστιανὸς, ἐπλάνα τοὺς ἀνθρώπους, καὶ ἀπέθνησκον μὲν διὰ τὴν ὀρθοδοξίαν, πλὴν μετὰ λύπης, μὴ λεγόμενοι μάρτυρες. μόνοι ἐξέφυγον τῆς ἐξορίας αὐτοῦ θείᾳ νεύσει Βασίλειος καὶ Γρηγόριος, οἱ δὲ λοιποὶ κακῶς ἔπαθον. ἀλλὰ θείᾳ οἰκονομίᾳ ἕως οὗ ἔζει ὁ ἅγιος Ἀθανάσιος οὐκ ἐκάκωσε τὴν Ἀλεξάνδρειαν ὁ Οὐάλης, μαθὼν ὅτι πολλοὶ ἀκολουθοῦσι τῷ Ἀθανασίῳ, καὶ ὑπωπτεύθη μήπως γενηταίτις στάσις εἰς τὸν λαὸν, ἐπειδὴ οἱ Ἀλεξανδρεῖς φύσει ἦσαν στασιώδεις, καὶ ἐφοβήθη μήπως καὶ βλάψῃ τὸ δημόσιον, Σωκράτης βιβλίῳ τετάρτῳ κεφαλαίῳ εἰκοστῷ, καὶ κεφαλαίῳ δεκάτῳ τρίτῳ, εἰ καὶ ὁ Σωζόμενος ἱστορεῖ ἄλλως ταῦτα. πατριαρχεύσαντος δὲ τοῦ πολύτλα Ἀθανασίου ἔτη τεσσαρακοντα ἓξ, καὶ εἶτα μεταστάντος εἰς τὴν ἐν Οὐρανοῖς δόξαν, καὶ χειροτονηθέντος νομίμως τοῦ ὀρθοδόξου Πέτρου ὡς Θεοδώριτος λόγῳ τετάρτῳ κεφαλαίῳ εἰκοστῷ, ἔπεμψεν ὁ Οὐάλης Εὐζώϊον τὸν Ἀντιοχείας εἰς τὴν Ἀλεξάνδρειαν, ὃς ἐφυγάδευσε μὲν τὸν Πέτρον, ἔφυγε γὰρ, λέγει ὁ Θεοφάνης, εἰς τὸν Ῥώμης Δάμασον ὡς εἰς ὁμόδοξον. ἔλαβε δὲ πάσας τὰς Ἐκκλησίας ὁ Ἀρειανὸς Λούκιος ὁ χειροτονηθεὶς μετὰ τὸν θάνατον τοῦ Γεωργίου ὑπὸ τῶν Ἀρειανῶν, μάλιστα κατῆλθεν εἰς Ἀλεξάνδρειαν ὁ Ἀντιοχείας Εὐζώϊος, καὶ παρέδωκε τῷ Λουκίῳ τὰς Ἐκκλησίας τῶν ὀρθοδόξων, ἐξ οὗ δὲ τὶ κακὰ γεγόνασι καὶ διωγμοὶ εἰς τὴν Ἄγυπτον καὶ Ἀντιόχειαν καὶ Καππαδοκίαν, Αἰσχύλος ἢ Σοφοκλῆς ἴσως ἐτραγῴδουν ἱκανῶς τὰς τοιαύτας συμφορὰς, ἢ οἰκειότερον εἰπεῖν Ἱερεμίου χρεία, ἵνα θρηνήσῃ τὸν κατὰ τοῦ Σωτῆρος Χριστοῦ ἄσπονδον τῶν ἀσεβῶν πόλεμον, καὶ ἰδὲ τὸν Θεοδώριτον λόγῳ τετάρτῳ κεφαλαίῳ εἰκοστῷ πρώτῳ, καὶ τὸν Σωκράτην βιβλίῳ τετάρτῳ κεφαλαίῳ εἰκοστῷ πρώτῳ. καὶ εἰς τὴν Νικομήδειαν, ἢ κατά τινας εἰς Κωνσταντινούπολιν ὀγδοήκοντα Ἐπισκόπους καὶ Ἱερεῖς ὧν ἡγοῦντο Οὐρβανὸς, Θεόδωρος καὶ Μενέδημος δήσας καὶ βαλὼν εἰς ἓν πλοῖον, καὶ ἐν τῇ θαλάσσῃ ἑλκύσας ἔβαλε πῦρ καὶ κατέκαυσεν αὐτὸ ἅμα τοῖς τοσούτοις ἁγίοις. διὰ ταῦτα καὶ σεισμοὶ ἰσχυροὶ καὶ λιμοὶ καὶ ἄλλα κακὰ ἠκολούθησαν εἰς τὴν γῆν τῶν Ῥωμαίων.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ Νόμου τοῦ Οὐάλεντος τοῦ βαπτίζειν μιᾷ καταδύσει, καὶ περὶ Ἰουλιανοῦ, Σάββα καὶ Φραάτου τῶν ἀσκητῶν, καὶ πόθεν Σαββατιανοί.

Νόμον ἔθετο ὁ Οὐάλης γίνεσθαι τὸ βάπτισμα μιᾷ καταδύσει, εἰς δὲ τὴν Ἀντιόχειαν Ἰουλιανὸς καὶ Σάββας ἀσκηταὶ ἐλθόντες, τοὺς ὀρθοδόξους ὑπεστήριζον, καί τις ἀσκητὴς Φραάτης ἤλεγξε κατὰ πρόσωπον τὸν Οὐάλεντα, καὶ ἐλοιδορήθη ἀπό τινος εὐνούχου, ὁ δὲ εὐνοῦχος εἰς τὸ λουτρὸν μετὰ τοῦ Βασιλέως ἀπελθὼν, ἔπεσεν εἰς τὸ λεβήτιον καὶ ἔβρασεν εἰς τὸ ὕδωρ. τῷ δὲ ἑνδεκάτῳ ἔτει Οὐάλεντος τινὲς Ναυατιανοὶ εἰς τὴν Φρυγίαν ἐποίησαν τὸ Πάσχα μετὰ τῶν Ἑβραίων, καὶ συνοδικῶς ἐν Παζῷ Κόμῃ συνέταξαν ἑορτάζειν μετὰ τῶν Ἑβραίων, ὅθεν καὶ Σαββατιανοὶ ὠνομάσθησαν ἀπὸ Σαββατίου τοῦ πρωταιτίου. κατήλεγξε δ' αὐτοὺς ὁ Ῥώμης Δάμασος, καὶ ὁ Ἀλεξανδρείας Πέτρος.

ΠΑΡΑΓΡΑΦΟ Δ'.

Περὶ τῆς ἀρχηγοῦ τῶν Σαρακηνῶν Μαυΐας, καὶ ἐλέγχου Μωϋσέως πρὸς Λούκιον Ἀλεξανδρείας, καὶ ἀτίμου θανάτου Οὐάλεντος Βασιλέως, καὶ ἀρειανισμοῦ ὀυλφίλα Γότθων Ἐπισκόπου, καὶ αὐτῶν δι' αὐτοῦ, καὶ ὧν μετέφρασεν ἀπὸ τῆς ἁγίας γραφῆς εἰς τὴν τῶν Γότθων γλῶσσαν ὁ Οὐλφίλας. περὶ βασιλείας Γρατιανοῦ καὶ λύσεως ἀπὸ τῆς ἐξορίας των Ἐπισκόπων, καὶ κόσμου αὖθις τῆς Ἐκκλησίας.

Εἰς τὴν Ἀνατολὴν πολλὰ ἐποίησαν οἱ Σαρακηνοὶ, εἶχον δὲ ἀρχηγὸν γυναῖκα Μαυΐαν ὀνόματι, ἥτις εἰς Ἀλεξάνδρειαν ἔπεμψε τινὰ μοναχὸν περιβόητον ὀνόματι Μωϋσῆν ἵνα χειροτονηθῇ Ἐπίσκοπος, ἐπειδὴ καὶ αὐτὴ ἐχριστιάνισε. ἐκεῖνος δὲ ἰδὼν τὸν Λούκιον εἶπεν αὐτῷ, τί Ἐπίσκοπος εἶ σὺ ὁ ἐξορίζων, καὶ πυρὶ καὶ θηρίοις παραδιδοὺς ἁγίους ἀνθρώπους διὰ τὴν Ἀρείου Αἵρεσιν; τῷ γὰρ Χριστιανῷ οὔτε τύπτειν πρέπει, οὔτε λοιδορεῖν, οὔτε μάχεσθαι. καὶ εἶτα ἀναχωρεῖ εἰς τὴν ἔρημον καὶ χειροτονεῖται ὑπὸ ὀρθοδόξων, Θεοδώριτος λόγῳ τετάρτῳ κεφαλαίῳ εἰκοστῷ τρίτῳ, ὁ οὖν Οὐάλης τοιαῦτα ποιῶν εἰς ἕνα

ἀχυρῶνα

ἀχυρώνα ἐγγὺς τῆς Ἀδριανουπόλεως καταφρέφει τὴν βίον ζῶν κατακαείς, καὶ γονόμῳ αἰτία φθορᾶς τῆς Θρᾴκης, Ἰλλυρικῆ, Παννονίᾳ, περιδυναβίων, καὶ αὐτῆς τῆς Ἰταλίας ὑπὸ τῆς καταδεδομῆς τῶν Γότθων, καὶ ἰδὲ τὸν μιαρὸν αὐτὸ θάνατον Θεοδωρήτῳ λόγῳ τεταρτῳ κεφαλαίῳ τριακοστῷ σπτῳ. Σημείωσαι δὲ ὅτι Οὐλφίλας Ἐπίσκοπος Γότθων δυσεισκόμῳ εἰς τὸ Βυζάντιον, καὶ σωὼν Εὐτοξίῳ τῷ Κωνσταντινουπόλεως καὶ Ἀκακίῳ τῷ Καισαρείας Ἀρειανοῖς ὄσιν, ἔλαβε τὰ σπέρματα τῆ Ἀρειανισμῆ. οἱ δὲ Γότθοι διαιρεθέντες εἰς δύο, ἀρχηγὲς εἶχον Φριτιγόιλα καὶ Ἀθανάριχον, ἀλλ' ὁ Φριτιγόιλας βοήθειαν λαβὼν ἀπὸ τῆ Οὐάλεντος, καὶ νικήσας τὸν Ἀθανάριχον, ἠνάγκασεν ἐπὶ πλέον τὰς Γότθους ἀρειανίζειν, χαριζόμῳ Οὐάλεντι. ὁ δὲ Οὐλφίλας πολλὰ τῆς ἁγίας γραφῆς μέρη μετέφρασεν εἰς τὴν γλῶσσαν τῶν Γότθων. ἔμειναν δὲ τῆ λοιπῆ οἱ Γότθοι εἰς τὸν Ἀρειανισμὸν καὶ εἰς τὸ μετέπειτα πολλὰς χρόνους. ὁμῶτοι Γρατιανὸς ὁ Υἱὸς Οὐαλεντιανῆ μόνας μοναρχῆς Ἀνατολῆς καὶ Δύσεως, λύει ἀπὸ τῆς ἐξορίας τὰς Ἐπισκόπους, καὶ δίδωσι τὰ νικητήρια καὶ τὸν σολισμὸν πάλιν τῇ καθολικῇ Ἐκκλησίᾳ.

ΠΑΡΑΡΓΑΦΟΝ Ε'.

Περὶ τῆ τίνες τῶν Ἀνατολικῶν καὶ Δυτικῶν πατέρων ἐπὶ Οὐάλεντος ὠφέλησαν τὴν Ἐκκλησίαν, καὶ τίς σωσέσησε τὸν Πέτρον εἰς τὸν θρόνον Ἀλεξανδρείας, καὶ τίς τὸν Εὐάγριον Κωνσταντινουπόλεως ἐχειροτόνησε, καὶ τίνες τὸν Δημόφιλον, καὶ τίνων εἰσηγήσει ὁ Θεολόγος Γρηγόριος γέγονε Κωνσταντινουπόλεως.

Εἰς τὴν ὑπεράτειαν τῆ Οὐάλεντος καὶ τῶν Ἀρειανῶν μεγάλως ὠφέλησαν τὴν Ἐκκλησίαν εἰς μὲν τὴν Δύσιν Ἰλλιος καὶ Δάμασος Ῥώμης καὶ ὁ Μεδιολάνων Ἀμβρόσιος καὶ Ἰλάριος Πικταβῶν, εἰς δὲ τὴν Ἀνατολὴν Βασίλειος καὶ οἱ ἀδελφοὶ αὐτῆ Πέτρος καὶ Γρηγόριος ὁ νύσσης, Γρηγόριος ὁ Θεολόγος, Ἀμφιλόχιος Ἰκονίε, Ἀθανάσιος ὁ μέγας, Μακάριος καὶ Κύριλλος Ἱεροσολύμων, Εὐσάθιος καὶ Μελέτιος Ἀντιοχείας, Ὄπτιμος Πισιδίας, Δίδυμος Ἀλεξανδρεὺς, Ἐφραὶμ ὁ Σύρος, Ἀχόλιος Θεσσαλονίκης καὶ ἄλλοι πολλοί. κοιμηθέντος δὲ τότε τῆ μεγάλε Βασιλείε, Ἐλλάδιος ἐχειροτονήθη εἰς τὸν τόπον αὐτῆ. Εὐνόμιον δὲ ἔλη περιόντα κατήχησεν ὁ Ναζιανζηνὸς καὶ ὁ Νύσσης, καθὼς πρότερον ὁ μέγας Βασίλειος. Ἰστέον δὲ ὅτι ἀπάντος τῆ Οὐάλεντος ἀπὸ Ἀντιοχείας ἐλθεῖν εἰς Κωνσταντινούπολιν, ὁ Ἀλεξανδρείας Πέτρος δυσεισκόμῳ φυγὰς εἰς Ῥώμην, λαμβάνει γράμματα παρὰ τῆ Δαμάσε ἵνα ἔρχεται εἰς τὴν Ἀλεξάνδρειαν, δεξάμενοι δὲ αὐτὸν οἱ Ἀλεξανδρεῖς ὡς μαθητὴν Ἀθανασίε, φυγαδεύσι τὸν Λύκιον, ὃς ἐλθὼν εἰς Κωνσταντινούπολιν, περιμένει Δημοφίλῳ τῷ Ἀρειανῷ, Σωκράτης βιβλίῳ τεταρτῳ κεφαλαίῳ τριακοστῷ ἑβδόμῳ. ἀλλὰ καὶ εἰς Κωνσταντινούπολιν ἀποθανόντος Εὐδοξίε, χειροτονῆσιν οἱ Ἀρειανοὶ τὸν ῥηθέντα Δημόφιλον, Σωκράτης βιβλίῳ τεταρτῳ κεφαλαίῳ δεκάτῳ τεταρτῳ. οἱ δὲ ὀρθόδοξοι δυσὶν τοῖς καὶ πρότερον χειρίζοντα Ἐπίσκοπον Κωνσταντινουπόλεως Εὐάγριον ἵνα, ὃν ἐχειροτόνησαν ὁ Ἀντιοχείας μετὰ Εὐσάθιος ὁ ἐξορισθεὶς μὲν ὑπὸ τῆ μεγάλε Κωνσταντίνε, ὑπὸ δὲ Ἰουλιανῆ ἐλευθερωθεὶς, ἢ κατὰ τὸν Φώτιον ἀναγνώσει Δαλματίας πενταπόλεως ὀγδόῃ ὑπὸ Ἰοβιανῆ ἀνακληθεὶς καὶ Δαλματίβων τότε εἰς Κωνσταντινούπολιν. ἀλλ' ὁ Οὐάλης δυσεισκόμῳ εἰς Μαρκιανούπολιν καὶ μαθὼν τὴν ὑπόθεσιν, ἐξορίζει τὸν Εὐάγριον εἰς Κύζικον, δὲς τὸν θρόνον Δημοφίλῳ, ἀλλὰ καὶ αὐτὸν τὸν Εὐσάθιον ἐξώρισσον εἰς τὴν Βιζύην ὅπε καὶ ἀνεπαύθη, Σωκράτης βιβλίῳ τεταρτῳ κεφαλαίῳ δεκάτῳ πέμπτῳ, Σωζόμωσος βιβλίῳ σπτῳ κεφαλαίῳ δεκάτῳ τριτῳ. τότε δὴ τότε, ὅπε ἐνόμισαν οἱ Ἀρειανοὶ μὴ εἶναι εἰς τὴν Κωνσταντινούπολιν Ἐπίσκοπον τῆ μέρες τῆς καθόλε Ἐκκλησίας, ἀπέστειλαν ὁ Θεὸς τὸν Θεολόγον Γρηγόριον εἰσηγήσει Βασιλείε τῆ μεγάλε καὶ τῆ Ἀντιοχείας Μελετίε ὡς λέγει ὁ Θεοφάνης καὶ ἄλλοι, καὶ δὴ καὶ ὁ Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ λέγει ὅτι ὁ Ἀντιοχείας Μελέτιος τῷ Γρηγορίῳ τὴν Κωνσταντινουπόλεως καθεδρίαν ἐβεβαίωσε, καὶ ἰδὲ πῶς ὁ κύριος ἀναγκῆς ὁ Ἀντιοχείας ἐβεβαίωσε τὸν Γρηγόριον εἰς τὸν θρόνον Κωνσταντινουπόλεως. τεθνηκότος δὲ τῆ Οὐάλεντος καὶ μοναρχήσαντος τῆ Γρατιανῆ τῆ ἀνεψιῆ αὐτῆ, ἐγένετο ὁρισμὸς καὶ ἤχθησαν οἱ ἐξόριστοι Ἐπίσκοποι, ἵνα ὅτι, ὅσοι συμφωνῶσι μετὰ τῆς πίστεως τῆ Ῥώμης Δαμάσε καὶ τῆ Ἀλεξανδρείας Πέτρε, τότες ἔχειν τὰς Ἐπισκοπὰς αὐτῶν, ὅσοι δὲ μή, ἀποβάλλεσθαι. ὅθεν οἱ Ἀρειανοὶ ἤρξαντο μισεῖσθαι. εἰς δὲ τὴν Ἀντιόχειαν ἐλθόντος Μελετίε ἀπὸ τῆς ἐξορίας τὶ συμβὰν ἀναμεταξὺ τότε καὶ τῆ Παυλίνε εἰς τὸ ἐφεξῆς βιβλίον ῥηθήσεται.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Περὶ τῆς ἐν Λαμψάκῳ Συνόδου, καὶ ὧν ἐκύρωσε, καὶ τῆς ἀνατροπῆς τῶν κυρωθέντων ὑπὸ τοῦ Οὐαλέντος, ἐξορίας τε τῶν Ἐπισκόπων, καὶ ἀφαιρέσεως τῶν Ἐκκλησιῶν κατὰ Θεοφάνη.

Οἱ ὀρθόδοξοι συνῆλθον Οὐαλεντιανῷ τῷ πρεσβεύσαντι ὑπατείᾳ Ἡρακλείας δεόμενοι συνελθεῖν ἐπὶ διορθώσει τοῦ ὁμοουσίου δόγματος. καὶ συνελθόντες εἰς Λάμψακον καὶ δύο μῆνας ἐκεῖ διατρίψαντες, ἐκύρωσαν τὰ ὑπὸ Εὐδοξίου καὶ Ἀκακίου ἐν Κωνσταντινουπόλει δογματισθέντα. ὁ δὲ Οὐάλης ταῦτα ἀνέτρεψε καὶ τοὺς Ἐπισκόπους ἐξώρισε, καὶ τὰς Ἐκκλησίας Εὐδοξίῳ ἀπέδωκεν. οἱ δὲ ὀρθόδοξοι ἔτε Ποιμένα ἔτε Ἐκκλησίαν εἶχον (δηλονότι εἰς Θρᾴκην καὶ Ἑλλήσποντον καὶ Βιθυνίαν καὶ ἔτι τούτων πορρώτερω κατὰ τὸν Σωζόμενον βιβλίῳ ἕκτῳ κεφαλαίῳ δεκάτῳ) ταῦτα ὁ Θεοφάνης.

ΠΑΡΑΓΡΑΦΟΝ Β΄.

Περὶ τῆς ἐν Λαμψάκῳ Συνόδου, καὶ τῶν ἐν αὐτῇ πραχθέντων κατὰ Σωζόμενον.

Ὁ γε μὴν Σωζόμενος λέγει ὅτι ἀπαίρουτι τῷ Οὐαλεντιανῷ εἰς τὴν Δύσιν, οἱ περὶ Ἑλλήσποντον καὶ Βιθυνίαν Ἐπίσκοποι Διὰ Ὑπατίου Ἡρακλείας πρεσβευσάμενοι, ᾔτησαν Σύνοδον, ὅδε ὐκ ἐπέδωκεν εἰπών, μετὰ λαϊκῶν τεταγμένῳ διέμεις ταῦτα πολυπραγμονεῖν, οἱ δὲ Ἱερεῖς οἷς τοῦτο μέλει καθ' ἑαυτοὺς ὅπως βέλονται συνίτωσαν. καὶ συνελθόντες οἱ Ἐπίσκοποι ὁυτερπον ἔρηται αὖθις πρὸς τὸν Βασιλέα ἐπέτρεψε. καὶ δὴ ἀπελθόντος τοῦ Βασιλέως εἰς Ἀντιόχειαν συνῆλθον εἰς Λάμψακον οἱ ἐβεβαίωσαν τῷ ἐν Ἀντιοχείᾳ συνόδῳ ἢ καὶ ὐ Σελευκείᾳ ὑπέγραψαν, καὶ τὰ λοιπὰ ἀνωτέρω εἰρημένα πεποιήκασι, καὶ Δρεπέτιον ἔπαθον ὅσα ἀνωτέρω ἔρηται βιβλίῳ τεταρτῳ κεφαλαίῳ τρίτῳ καὶ τετάρτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ΄.

Περὶ τῶν ἐν Σμύρνῃ, Ἀσίᾳ, Πισιδίᾳ, Ἰσαυρίᾳ, Παμφυλίᾳ καὶ Λυκίᾳ τῶν Μακεδονιανῶν Συνόδων, συμφωνησασῶν τῇ ἐν λαμψάκῳ Συνόδῳ, καὶ ὧν ἔπεμψαν πρέσβεων πρὸς Οὐαλεντιανὸν Βασιλέα καὶ Λιβέριον Ῥώμης, καὶ τῆς συγκοινωνίας μετὰ τῶν Μακεδονιανῶν Λιβερίᾳ.

Τῶν ἔν Φρυγίᾳ τὸ Ὁμοούσιον σφοδρῶς τότε διωκομένων μετὰ τῶν Μακεδονιανῶν, οἱ Μακεδονιανοὶ φόβῳ καὶ εἴᾳ ξενοχωρούμενοι διεπρεσβεύοντο πρὸς ἀλλήλους λέγοντες, συμφέρει καταφυγεῖν αὐτοὺς πρὸς Οὐαλεντιανὸν τὸν Βασιλέα τῆς Δύσεως καὶ ἐπὶ Λιβέριον Ῥώμης, ὡς ποτὲ δηλονότι πεποιήκασιν οἱ περὶ Ἀθανάσιον καταφυγόντες εἰς Κώνσταντα καὶ Γάλλον, καὶ καταδέχεσθαι μᾶλλον τὴν ἐκείνων πίστιν ἥτις ἐῶ τὸ Ὁμοούσιον, ἢ κοινωνεῖν τοῖς περὶ Εὐδόξιον οἵτινες ἐπρέσβευον τὸ Ἀνόμοιον. ἐκλέγονται τοίνυν πρέσβεις Ἐπισκόπους τρεῖς Εὐσάθιον Σεβαστείας, Σιλβανὸν Ταρσοῦ καὶ Θεόφιλον Καισαβάλων, καὶ Συνόδων γνωμῶν ἐν Σμύρνῃ τῇ Ἀσίᾳ καὶ Πισιδίᾳ, Ἰσαυρίᾳ τε καὶ Παμφυλίᾳ καὶ Λυκίᾳ ἦλθον παρ' αὐτῶν πρέσβεις εἰς τὴν ἐν Λαμψάκῳ Σύνοδον ὡς εἰς τελεωτέραν, καὶ γράμματα ὧν ἀπὸ πασῶν τῶν Συνόδων ἐγράψησαν εἴστε τὸν Βασιλέα τῆς Δύσεως καὶ τὸν Ῥώμης καὶ τοὺς εἰς τὴν Δύσιν Ἐπισκόπους, ἔγραφον δὲ τῷ Ῥώμης καὶ τοῖς Δυτικοῖς Ἐπισκόποις ὧν πίστιν ἔχουσι δόκιμον καὶ βεβαίαν ἀπὸ τῶν

Ὅτι τὰ ἱστορούμενα ὑπὸ Σωκράτους περὶ τῆς ἐν Λαμψάκῳ Συνόδου ἐναντίως πως ἔχουσι τοῖς ὑπὸ Θεοφάνους καὶ Σωζομένου ἱστορουμένοις.

Ὁ δὲ Σωκράτης ταναντία πως τούτων ἱστορεῖ, λέγει γὰρ ὅτι συνῆλθον πλεῖστοι τῶν Ἐπισκόπων τῆς Μακεδονιανῶν θρησκείας τῷ Οὐάλεντι, καὶ ἐξαιτοῦσιν ἄλλην γενέσθαι Σύνοδον ἐπὶ διορθώσει τῆς πίστεως, ὁ δὲ Βασιλεὺς νομίσας συναινέσαι αὐτοὺς τοῖς περὶ Ἀκάκιον καὶ Εὐδόξιον, γενέσθαι

τῶν Ἀποστόλων, καὶ πρὸ τῶν ἄλλων προνοεῖν τῆς θρησκείας ὀφείλουσι, καὶ παντὶ σθένει συλλαβέσθαι τοῖς αὐτῶν πρέσβεσι, καὶ σὺν αὐτοῖς περὶ τῶν πραγμάτων βουλεύσασθαι ἕως ἂν δοκιμάσωσι τὰ τῆς Ἐκκλησίας πράγματα. ἀπελθόντες οὖν οἱ πρέσβεις εἰς Ῥώμην καὶ μὴ εὑρόντες τὸν Βασιλέα ἐκεῖ, ἐστράτευε γὰρ εἰς Γαλλίας πολεμῶν Σαυρομάταις, δεδώκασι τὰ γράμματα τῷ Πάπᾳ, τοῦ δὲ Πάπα μὴ βουλομένου δεχθῆναι αὐτοὺς ὡς ὄντας Ἀρειανοὺς, αὐτοὶ ἀπεκρίνοντο ὅτι ἐκ μεταμελείας ἐπέγνωσαν τὴν ἀλήθειαν, ἠρνήσαντο γὰρ πρότερον τὸ Ἀνόμοιον, καὶ ὁμολόγησαν τὸ κατὰ πάντα τῷ Πατρὶ Ὅμοιον, ὅπερ οὐδιαφέρει τοῦ Ὁμοουσίου. ταῦτα αὐτῶν λεγόντων ἐζήτησε παρ' αὐτῶν ὁ Λιβέριος ἔγγραφον τὴν ὁμολογίαν τῆς πίστεως αὐτῶν, οἱ δὲ συντάξαντες βιβλίον ἐν ᾧ ῥητῶς ἔθεντο τὸ Σύμβολον τῆς ἐν Νικαίᾳ Συνόδου δεδώκασιν αὐτῷ. περιέχεται δὲ ἐν τῷ βιβλίῳ, ἤτοι ἐν τῷ Λιβέλλῳ τούτῳ πρῶτον ἡ ἐπιγραφὴ, Κυρίῳ ἀδελφῷ καὶ συλλειτουργῷ Λιβερίῳ Εὐστάθιος, Θεόφιλος καὶ Σιλβανὸς ἐν Κυρίῳ χαίρειν. δεύτερον, ὅτι ἔπον τῷ Λιβερίῳ ἀπὸ τῶν εἰρημένων Συνόδων εἰς τὴν χρηστότητά σου καὶ πάντας τοὺς Ἰταλοὺς καὶ Δυτικοὺς Ἐπισκόπους γράμματα κομίζομεν, τὴν ἐν Νικαίᾳ πίστιν καὶ τὸ Ὁμοούσιον ὁμολογοῦντες καὶ ἀποδεχόμενοι, Ἄρειον δὲ καὶ πᾶσαν Αἵρεσιν μὴ δεχομένην τὸ Ὁμοούσιον, ἐξαιρέτως δὲ τὴν ἐν Ἀριμίνῳ Σύνοδον ὡς πράξασαν ἐναντία τῇ ἐν Νικαίᾳ Συνόδῳ, ἀναθεματίζομεν, διὰ δὲ βεβαιότητα γράφομεν ἐν τῷ παρόντι λιβέλλῳ καὶ τὸ Σύμβολον τῶν ἐν Νικαίᾳ πατέρων. τρίτον, ὅτι εἴτις ἐγκαλέσει ἡμᾶς ἀλλεοτρόπως φρονεῖν, ὅπου ἂν δοκιμάσῃς γράψαι καὶ ἀπολογούμεθα, καὶ ὁ ὑπαίτιος φανεὶς ἵνα παιδεύηται.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἐπιγραφῆς καὶ τοῦ γράμματος πρὸς τοὺς πρέσβεις τῶν ἀνωτέρω Συνόδων τοῦ ὑπὸ τοῦ Λιβερίου δοθέντος, ἵνα ἀποκομίσωσιν αὐτὸ εἰς τοὺς τῆς Ἀνατολῆς Ἐπισκόπους.

Τοῦτο τὸ γράμμα λαβὼν ὁ Λιβέριος, καὶ κοινωνήσας τοῖς πρέσβεσι, καὶ αὐτοὺς εἰς κοινωνίαν δεξάμενος, ἔγραψεν εἰς τοὺς Ἐπισκόπους τῆς Ἀνατολῆς ἐπιστολὴν, ἐν ᾗ θεωρητέον πρῶτον τὴν ἐπιγραφὴν, Τοῖς ἀγαπητοῖς ἀδελφοῖς καὶ συλλειτουργοῖς Ὑθίῳ καὶ τοῖς ἑξῆς τοῖς ἐν τῇ Ἀνατολῇ ὀρθοδόξοις Ἐπισκόποις, Λιβέριος Ἐπίσκοπος Ἰταλίας καὶ οἱ κατὰ Δύσιν Ἐπίσκοποι ἐν Κυρίῳ χαίρειν. δεύτερον, τὰ τῆς ἐπιστολῆς, ἐν ᾗ φησὶ, τὰ γράμματα τὰ ἀποδοθέντα ἡμῖν διὰ τῶν τριῶν Ἐπισκόπων ὅτι ἡ γνώμη ὑμῶν καὶ τὰ φρονήματα ὑμῶν συμφωνεῖ καὶ συνᾴδει πρὸς τὴν ἐμὴν ἐλαχιστότητα καὶ τῶν ἐν Ἰταλίᾳ καὶ Δυτικῶν πάντων, διεβεβαιώσαντο καὶ ἀπέδειξαν, ὡμολόγησαν γὰρ πᾶσι τρόποις τὴν ἐν Νικαίᾳ πίστιν. τρίτον, ὅτι ἡ ἐν Ἀριμίνῳ συνήχθη βίᾳ κοσμικῇ διὰ τῆς κακοηθείας τῶν Ἀρειανῶν, ἀλλ' οἱ ἐν αὐτῇ ὑπογράψαντες Ἐπίσκοποι δελεασθέντες, ἢ ὑπαχθέντες, νῦν ἀναφρονήσαντες, ἀνεθεμάτισαν αὐτὴν, καὶ ὑπέγραψαν τῇ καθολικῇ πίστει τῇ ἐν Νικαίᾳ, καὶ ἡμῖν ἐκοινώνησαν, καὶ Ἄρειον καὶ τοὺς μαθητὰς αὐτοῦ ἀνεθεμάτισαν. τέταρτον, ὅτι ἔγνωμεν διὰ τῆς ὁμολογίας τῶν ὑμετέρων πρέσβεων, ὅτι καὶ οἱ Ἀνατολικοὶ ἀναφρονήσαντες, συμφωνοῦσι τοῖς δυτικοῖς, ὅπερ πᾶσι δεῖ γνωσθῆναι: ὅπως οἱ παραβλαβέντες ἀνακάμψωσιν, ἐπειδὴ οἱ ἐμμένοντες ἐν ταῖ Αἱρέσεσι ἀπὸ τοῦ νῦν, ἔκσπονδοί εἰσι καὶ ἀκοινώνητοι τῶν ἐκκλησιαστικῶν συνάξεων, ὅτι τοὺς ἐκ μοιχείας υἱοὺς οὐ προσίεται ὁ Θεός.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς ἐν Σικελίᾳ Συνόδου, καὶ ὧν ἐβεβαίωσε, καὶ ὧν ἀπέβαλε, καὶ ὧν δέδωκε γραμμάτων τοῖς ἀνωτέρω πρέσβεσιν ἐπίτηδες ἐκεῖσε γενομένοις.

Ἀναχωρήσαντες τῆς Ῥώμης οἱ περὶ Εὐστάθιον, ἀπῆθον εἰς Σικελίαν ὅπου Σύνοδος ἐγεγόνει πλείονος ἀριθμοῦ τοῦ ἐν Ἀριμίνῳ. ἦσαν γὰρ ἐν αὐτῇ Ἐπίσκοποι ἀπὸ Ἰταλίας καὶ Ἀφρικῆς καὶ Γαλλίας καὶ Σικελίας καὶ ἐκ πολῶν ἑτέρων μερῶν τῆς Δύσεως, οἵτινες ἐβεβαίουν τὸ Ὁμοούσιον, καὶ ἀπέβαλον πάσας τὰς μετὰ τὴν ἐν Νικαίᾳ συνελθούσας Συνόδους (πλὴν τῆς ἐν Σαρδικῇ) ἐψηφίσατο δὲ ἡ Σύνοδος τὰ δόξαντα Λιβερίῳ περὶ τῶν Μακεδονιανῶν ἔχειν τὸ κῦρος, καὶ ἔδωκε καὶ γράμματα τοῖς πρέσβεσιν, ἅτινα ἐκεῖνοι ἔφερον εἰς τὴν Ἀσίαν, Σωζόμενος βιβλίῳ ἕκτῳ κεφαλαίῳ δωδεκάτῳ ἐν ἔτει τριακοσιοστῷ ἑξηκοστῷ τετάρτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς ἐν Τυάνοις Συνόδου, ἐν ᾗ ἐπαῤῥησίασαν τὰ τοῦ Λιβερίου καὶ τῆς ἐν Σικελίᾳ Συνόδου γράμματα οἱ τῶν Μακεδονιανῶν πρέσβεις καὶ ἐν πάσαις ταῖς Ἐκκλησίαις. καὶ περὶ τῆς ἐν Καρίᾳ τῆς Ἀσίας τῶν Μακεδονι-

κεδονιανῶν Συνόδου, καὶ τῆς ἐν Ταρσῷ μελλούσης γενέσθαι Συνόδου, ἣν τῇ Οὐάλεντος δυνάμει ἐκώλυσεν Εὐδόξιος, καὶ ὧν ὁ Οὐάλης εἰργάσατο κακῶν μεγίστων καὶ ἐξοριῶν Ἐπισκόπων ἐν Αἰγύπτῳ καὶ ἐν πάσῃ τῇ Ἐκκλησίᾳ.

Εἰς τὰ Τύανα Σύνοδον ἀγόντων πρὸς βεβαίωσιν τοῦ Ὁμοουσίου Εὐσεβίου Καισαρείας Καππαδοκίας, Γρηγορίου τοῦ Θεολόγου, Ὀτρηΐου Μελιτηνῆς, καὶ ἑτέρων ἀξιολόγων ὀρθοδόξων Ἐπισκόπων, ἐν οἷς ἦσαν καὶ τινὲς ἐκ τῶν βεβαιωσάντων μετὰ Μελετίου ἐπὶ Ἰοβιανοῦ τὸ Ὁμοούσιον ἐν Ἀντιοχείᾳ, ἐνεφάνισαν τῇ Συνόδῳ οἱ περὶ Εὐστάθιον τὰ γράμματα τοῦ Λιβερίου. περιχαρεῖς δὲ γενόμενοι ἐπὶ τούτοις οἱ τῆς Συνόδου πατέρες, ἔγραψαν πάσαις ταῖς ἐν τῇ Ἀνατολῇ Ἐκκλησίαις ἵνα ἴδωσι τὰ γράμματα τῶν τε πρέσβεων πρὸς τὸν Λιβέριον, καὶ τοῦ Λιβερίου καὶ τῆς ἐν Σικελίᾳ Συνόδου πρὸς τοὺς Ἀνατολικούς. καὶ λοιπὸν προέτρεπον αὐταῖς ἵνα ὁμόφρονες αὐτοῖς γένοιντο καὶ κοινωνοὶ, ὅπερ ἐστὶν ἵνα δεχθῶσι τὴν ἐν Νικαίᾳ Σύνοδον, καὶ βεβαιώσωσι τὸ Ὁμοούσιον. τούτων οὕτω γενομένων, καὶ μελλούσης κοινῆς Συνόδου γενέσθαι ἐν Ταρσῷ τῆς Κιλικίας, τριάκοντα καὶ τέσσαρες Ἐπίσκοποι τῶν Μακεδονιανῶν προλαβόντες, Σύνοδον ἐκρότησαν ἐν Καρίᾳ τῆς Ἀσίας, οἵτινες τὴν μὲν τῶν Ἐκκλησιῶν ὁμόνοιαν ἐπήνουν, παρῃτοῦντο δὲ τοῦ Ὁμοουσίου τὸ ὄνομα, τὴν δὲ ἐν Σελευκείᾳ καὶ Ἀντιοχείᾳ ἔκθεσιν πολιτεύεσθαι ἔλεγον ἐν ταῖς Ἐκκλησίαις, προφάσεις προβάλλοντες ἐκτόπους. ἀλλὰ συνεργείᾳ τοῦ Κωνσταντινουπόλεως Εὐδοξίου ὁ Οὐάλης ἐμποδίζει τὴν ἐν Ταρσῷ Σύνοδον, καὶ γράφει πανταχοῦ εἰς τοὺς Ἐθνάρχας ἵνα διασκορπίσωσι τοὺς τοιούτους Ἐπισκόπους, καὶ μάλιστα ὅσους εἶχεν ὁ Κωνστάντιος ἐξωρισμένους οὓς ἔλυσε τῆς ἐξορίας ὁ Ἰουλιανὸς ἵνα διώξωσιν ἀπὸ τῶν Ἐπισκοπῶν αὐτῶν. καὶ αὕτη ἐστὶν ἡ αἰτία τῶν συμβάντων εἰς τὴν Αἴγυπτον, καὶ τῶν πολλῶν κακῶν κατὰ Ἀθανασίου τοῦ μεγάλου, καὶ τῶν Ἐπισκόπων καὶ ἀναχωρητῶν, καὶ ἁπλῶς τῆς καθόλου ἐκεῖ Ἐκκλησίας. τότε καὶ Μελέτιον τὸν Ἀντιοχείας ἐξορίζει εἰς τὴν Ἀρμενίαν, ὅτε τὰ ἐν Ἀντιοχείᾳ τῆς καθόλου Ἐκκλησίας πράγματα πολυτρόπως διῴκουν Φλαυϊανὸς καὶ Διόδωρος οἱ Μελετίου μαθηταὶ, ὡς Θεοδώριτος λόγῳ τετάρτῳ κεφαλαίῳ εἰκοστῷ πέμπτῳ, καὶ Σωκράτης βιβλίῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ πέμπτῳ. τὸν δὲ ἀποστολικοῖς ἱδρῶσι περιῤῥεόμενον Εὐσέβιον τῶν Σαμοσάτων ἐξορίζει εἰς Θρᾴκην, ὑπὲρ οὗ τοῦ λαοῦ βουλομένου στασιάσαι, αὐτὸς λαβὼν εἷα μόνον ὑπηρέτην βαστάζοντα θρόνον, προσκεφάλαιον καὶ βιβλίον, ἀπῆλθεν εἰς τὴν ἐξορίαν. τοῦ δὲ μετὰ Εὐσέβιον εἰς τὰ Σαμόσατα Ἀρειανοῦ Λουκίου ὁ δεύοντος καβαλλαρίου ἐπὶ ὄνου, τὰ παιδία τῶν ὀρθοδόξων παίζοντα σφαῖραν, πατηθεῖσαν δὲ ὑπὸ τῆς ὄνου τοῦ Λουκίου ὠλόλυξαν, ἐμιάνθη ἡ σφαῖρα πατηθεῖσα ὑπὸ τοῦ ζώου τοῦ Αἱρετικοῦ, εἶτα ὡς μιανθεῖσαν, ἀνάψαντα πυρκαϊὰν ἔκαυσαν αὐτὴν, Θεοδώριτος λόγῳ τετάρτῳ κεφαλαίῳ δεκάτῳ τετάρτῳ. τὸν δὲ Κυζίκου Ἐλεύσιον Μακεδονιανὸν ὄντα ἐβίασεν εἰπεῖν τὸ Ἀνόμοιον, ἐκεῖνος δὲ ἀπελθὼν εἰς Κύζικον, ὡμολόγησε τὴν παρανομίαν αὐτοῦ, καὶ ἀφέθη τοῦ θρόνου. ὅθεν ὁ Οὐάλης ἀντεισῆξε τὸν μιαρὸν Εὐνόμιον τὸν Γαλάτην. οὐ μόνον δὲ Ἐπισκόπους, ἀλλὰ καὶ Ἱερεῖς καὶ Διακόνους καὶ Μοναχοὺς ἐξώρισεν ὁ Οὐάλης εἰς τὰ ἄκρα τῆς Οἰκουμένης. ἰδὲ Σωκράτους βιβλίον τέταρτον, καὶ Σωζομένου βιβλίον ἕκτον.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ Εὐσταθίου Σεβαστείας τοῦ ἑνὸς τῶν παρὰ τῶν ἀνωτέρω Συνόδων πεμφθέντων εἰς Ῥώμην πρέσβεων, καὶ ὅπως ῥᾳδιούργως ἱερεὺς καὶ Ἀρχιερεὺς ἐχρημάτισε, καὶ περὶ τῆς κακοτροπίας αὐτοῦ καὶ δυσσεβοῦς Αἱρέσεως.

Ἐκ τῶν τριῶν πρέσβεων ὁ πρῶτος μαθητὴς ἐχρημάτισε τοῦ Ἀρείου ἐν Ἀλεξανδρείᾳ, καὶ ἐν τοῖς γνησίοις μαθηταῖς αὐτοῦ συνετάγη. ἐπανελθὼν δὲ εἰς τὴν πατρίδα, καὶ δοὺς τῷ Καισαρείας Μητροπολίτῃ Ἑρμογένει ἔγγραφον ὀρθόδοξον ὁμολογίαν, ἐχειροτονήθη Πρεσβύτερος. ἀποθανόντος δὲ τοῦ Ἑρμογένους, ἀπῆλθεν εἰς τὸν Κωνσταντινουπόλεως Εὐσέβιον τὸν Ἀρειανὸν, κακοτροπήσας δὲ καὶ εἰς Βυζάντιον ἐδιώχθη. ἐλθὼν δὲ εἰς τὴν πατρίδα, καὶ ὑποκρινάμενος τὸν ὀρθόδοξον, καὶ οὕτω λαβὼν τὴν Ἐπισκοπὴν, εὐθὺς ἔγραψεν ἀναθεματισμὸν κατὰ τοῦ Ὁμοουσίου ἐν τῇ ἐν Ἀγκύρᾳ τότε τῶν Ἀρειανῶν Συνόδῳ. εἶτα εἰς τὴν ἐν Σελευκείᾳ Σύνοδον σύμφωνος ἦν τοῖς Ἀρειανοῖς, καὶ μεταταῦτα ἐν Κωνσταντινουπόλει ὁμόφρων ἦν τοῖς αὐτοῖς. διωχθεὶς δὲ καὶ τῆς Ἐπισκοπῆς, διότι ἦν προκαθηρημένος ἐν τῇ ἐν Μελιτηνῇ Συνόδῳ, ἐπενόησεν ἀνάκλησιν ἑαυτοῦ εἰ ἀπέλθοι εἰς τοὺς Δυτικοὺς, ὅπερ κατασκευάσας, πρεσβευτὴς ἐπέμφθη ἐκεῖσε, καὶ κομίσας τὴν ἐπιστολὴν Λιβερίου, καὶ δείξας αὐτὴν τῇ ἐν Τυάνοις Συνόδῳ, ἔλαβε τὴν Ἐπισκοπὴν αὐτοῦ, εἶτα φανερώσας τὴν Αἵρεσιν αὐτοῦ, τὴν πίστιν ἐπόρθει, τὸ Ὁμοούσιον ἀνεθεμάτιζε, καὶ προστάτης ἦν τῆς τῶν Πνευματομάχων Αἱρέσεως. καὶ ἐπειδὴ ἀπὸ τῆς Ῥώμης γέγονεν αὐτῷ ἡ δύναμις τοῦ ἀδικεῖν τὰς Ἐκκλησίας, καὶ τῇ παρὰ τῶν Δυτικῶν δεδομένῃ αὐτῷ παῤῥησίᾳ ἐκέχρητο εἰς καταστροφὴν τῶν ἐν τῇ Ἀνατολῇ Ἐκκλησιῶν, ἐκ τῆς Δύσεως ἦν ἀνάγκη ἵνα ἔλθῃ καὶ ἡ διόρθωσις, ὥστε ἐπισταλῆναι ταῖς Ἐκκλησίαις τῆς Ἀνατολῆς τίνα ἐστὶν ἐκεῖνα, ἃ εἰπὼν ἐν τῇ Ῥώμῃ

προσε-

σεσεδέχθη, καὶ πῶς νῦν μεταβληθεὶς ἀκυροῖ τὼ χάρτ τὼ δοθεῖσαν αὐτῷ ὑπὸ τῶν πατέρων. ταῦτα ὁ μέγας Βασίλειος ἐπιστολῇ φησὶ τὰς Δυτικὰς περὶ Εὐσταθίε, Ἀπολιναρίε καὶ Παυλίνε. περὶ δὲ τε Εὐσταθίε ἰδὲ καὶ ἐν τῇ ἐπιστολῇ τε αὐτε φησὶ Εὐαϊανός. ἀλλὰ δὴ καὶ ὁ Σωκράτης φησὶν, ὅτι πολλάκις καθήρητο ὁ Εὐσάθιος, βιβλίῳ τετάρτῳ κεφαλαίῳ ὀδεκάτῳ, καὶ ἔτι ὁ Σωζόμενος λέγει ὀνομασὶ ποσάκις καὶ διατὶ καθηρέθη ὁ αὐτὸς Εὐσάθιος, βιβλίῳ τετάρτῳ κεφαλαίῳ εἰκοστῷ τεταρτῳ, καὶ ἔτι ὁ μέγας Βασίλειος παρακαλῶν ἐν τῇ διαληφθείσῃ ἐπιστολῇ τρανότερον καταλέγει τὼ ἀσέβειαν καὶ τὼ ῥᾳδιεργὸν ζωὴν τε αὐτε Εὐσαθίε.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Οὐκ ἐκ τῶν ἐν τῇ παρούσῃ κεφαλαίῳ ἀριθμῶν συνάγεται σὺν ἕκαστος τὼ ψῆφον καὶ ἐν τῇ Ἐκκλησίᾳ εἶναι τῶν πλειόνων καὶ τὸ κῦρος, τὸ δὲ μοναρχικὸν ἀξίωμα ἐς κόρακας εἶχεσθαι.

Ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι Σύνοδοι ἀγείρονται, καὶ ἀδεμία εἴδησις ἢ κἂν μνήμη τε Πάπα. δεύτερον, ὅτι ὁ ὀρθόδοξος Οὐαλεντιανὸς, καὶ μάλιστα τῆς Δύσεως Αὐτοκράτωρ περὶ ἀθροίσεως Συνόδε ἐρωτηθεὶς, ἐκ ἔφη ὅτι ἐμοὶ ἡ θέμις τοῦτο ποιῆσαι, ἐπείπερ τῷ Πάπᾳ τοῦτο προσήκει, καίτοι ἐρωτήσατε, ἀλλ' ἀποκριθεὶς κατὰ τὸ ἀρχαῖον καὶ πάτριον ἔθος ἔφη, οἱ Ἐπίσκοποι, οἷς δηλονότι οἰκεῖον καὶ κοινὸν τὸ φροντίζειν ὑπὲρ τῆς τῶν Ἐκκλησιῶν κατάστασεως καθ' ἑαυτὰς συναλθέτωσαν. ψεῦδος ἄρα ὅτι ὁρισμῷ τε Πάπα αἱ Σύνοδοι ἀθροίζονται. τρίτον, οἱ Μακεδονιανοὶ κατέφυγον οὐκ εἰς τὸν Ῥώμης μόνον, ἀλλ' ὁμοῦ καὶ εἰς τὰς κατὰ τὼ Δύσιν Ἐπισκόπας, καὶ ἐγράφοντο μόνῳ τῷ Ῥώμης, ἀλλὰ καὶ πρὸς τὰς κατὰ τὼ Δύσιν Ἐπισκόπας, ὅπερ παρατατικόν ἐστι τε μὴ πρεσβεύσαι αὐτὰς ἐκεῖ ὡς πρὸς μοναρχὴν, ἀλλ' εἰς ὅλην τὼ Ἐκκλησίαν, ἐλευθέραν οὖσαν τε ἀσεβοῦς Βασιλέως Οὐάλεντος, καὶ δυναμένην ἐνεργεῖν ἀφόβως τὸ ἐκκλησιαστικὸν δίκαιον. τέταρτον, ὅτι μάλιστα εἰς τὸν Βασιλέα τῆς Δύσεως κατέφυγον ὡς εἴρηται ἀνωτέω, καὶ ὁ Σωζόμενος λέγει καθαρῶς βιβλίῳ ἕκτῳ κεφαλαίῳ δεκάτῳ. πέμπτον, ὁλιβέριος ἀγερωχίᾳ δηλοῦσας, ἐκ ἔγραψεν εἰς τὰς ἐν τῇ Ἀνατολῇ ὀρθοδόξους Ἐπισκόπας (μάλιστα δὲ τότε ἦσαν ἐν αὐτῇ διαβεβοημένοι ἐπὶ θεολογίᾳ καὶ ζήλῳ Βασίλειος, Ναζιανζηνὸς Μελέτιος καὶ ἄλλοι) ἵνα μάθῃ τὰ περὶ τῶν Μακεδονιανῶν, καίτοι εἰδὼς τῶν Ἀρειανῶν τὸ παλίμβολον καὶ ὕπουλον, ὥσπερ δῆτα ἐπείσθη πολλάκις ὁ Κωνσταντινουπόλεως Εὐσέβιος, καὶ οἱ Καισαρείας τῆς Παλαιστίνης Εὐσέβιος καὶ Ἀκάκιος καὶ ἄλλοι πολλοὶ καὶ αὐτὸς ὁ Ἄρειος, ἐξαπατῶντες ἀεὶ πονηρίαις τὰς ἀφελεστέρας, ἀλλὰ τοῖς φανεροῖς Αἱρετικοῖς, καὶ ὡς εἰπεῖν Αἱρεσιάρχαις, καὶ ταῖς φανεραῖς Αἱρετικαῖς Συνόδοις καὶ τῇ μυριάκις καθηρημένῳ Εὐσαθίῳ δυκόλως πιστεύσας, ἐκοινώνησεν αὐτοῖς, καὶ κοινωνὸς ἐδέξατο τε αὐτὸς, καὶ τὸ δὴ ἀνδρὸς, γράψας τοῖς Μακεδονιανοῖς, ἔγραψον αὐτὸς ἀπολελυμένως Ἀνατολικὰς ὀρθοδόξους Ἐπισκόπας ἀδελφὰς συλλειτουργὰς καὶ κοινωνικὰς, καὶ ὅτως ἀπατηθεὶς ὁ ἰδιαιτάτῳ ἀξιώματι διάδοχος τε Πέτρε ἐν τοῖς μεγάλοις ἐκκλησιαστικοῖς πράγμασι, καὶ ἀγνοήσας τὼ ἀληθὲς, ὑπεξένησεν ὑπὸ τῆς ἀγνοίας καὶ δύκολίας μυρία κακὰ ἐν τῷ τῆς καθολικῆς Ἐκκλησίας πληρώματι. σὺτον, ὅτι καὶ οἱ τρεῖς πρέσβεις ἐν τῇ ἐκθέσει τῆς αὐτῆς πίστεως πρὸς τὸν Πάπαν ἐπέγραψαν αὐτὸν μόνον Λιβέριον, ἐπόμενοι ἐν τούτῳ τῷ ἀρχαίῳ τῆς Ἐκκλησίας Κανόνι, καὶ γὰρ εἰ ἦν αὐ ἔθος τὸ ὑπογράφειν τὸν Πάπαν ὑπάτοις ἐξηρημένοις, ἔγραψαν αὐ αὐτὸν πάντως διὰ τὼ ἀνάγκιον, καὶ πὰ λοιπὸν τότε ἐκεῖνο τὸ πομπικὸν ὅπερ τῷ νῦν Ῥώμης λέγουσιν αἱ παπίσσαι, ἤτοι τῷ μεγίστῳ καὶ ἄκρῳ Ἀρχιερεῖ; ἕβδομον, ὅτι ἔπον ἐληλυθέναι πρὸς αὐτὸν καὶ εἰς τὰς Ἰταλὰς καὶ Δυτικὰς Ἐπισκόπας, ἐξ ὧν δῆλον ὅτι ἐκ ἐγίνωσκον αὐτὸν Αὐτοκράτορα τῆς Ἐκκλησίας, ἀλλὰ τῆς Δυτικῆς Ἐκκλησίας μόνον, διατὸ πρὸς αὐτὸν ἢ τὰς ἐν τῇ οἰκείᾳ αὐτε Ἐπισκόπας κατέφυγον δίκας εἴρηται αἰτίας. ψεῦδος ἄρα ὅτι ὁ Ῥώμης μοναρχικὸν εἶχε ἢ ἔχει ἀξίωμα. οὖθεν, ὅτι διὰ τὸ γεγράφθαι καὶ ἀπολογηθῆναι πρὸς τὼ Ῥωμαϊκὼ Ἐκκλησίαν οἱ Μακεδονιανοὶ ἐνέπαιξαν αὐτῇ, ὡς οἱ Εὐσεβιανοὶ ἐνέπαιξαν τῇ αὐτῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ διὰ Ἰουλίε, καὶ γὰρ ὡς ἐκεῖνοι τὸν Ἰούλιον πρῶτον μὲν ἀπεκαλεσάμενοι κριτὼ κατὰ τὸν ἴδιον σκοπὸν, ὕστερον παρητήσαντο, καὶ δὴ καὶ κατήλεγξαν, τὸν αὐτὸν τρόπον ἤτοι Σιώδου ἀθροίσαντες ἐνκαιρίᾳ ἀπεκήρυξαν τὸ Ὁμοούσιον. καὶ ὥσπερ οἱ περὶ Ἀθανάσιον μετὰ μόνων τῶν γραμμάτων τε Ἰουλίε τὸ πρῶτον ἐλθόντες καὶ ἀπολαύοντες τὰς θρόνες αὐτῶν, ἀπεδιώχθησαν ὑπὸ τε Κωνσταντίε μετὰ ζημίας μεγάλης τῶν κατ' αὐτὰς Ἐκκλησιῶν, ὅτως οἱ παρόντες μετὰ μόνων τῶν γραμμάτων Λιβερίε εἰς τὰ Τύανα ἀφικόμενοι, καὶ ἑαυτὰς καὶ τὰς ὀρθοδόξους ἐν πάσῃ τῇ Ἀσίᾳ καὶ Ἀνατολῇ καὶ Ἀντιοχείᾳ καὶ Αἰγύπτῳ ἐζημίωσαν, καὶ ταῦτα πάντα διὰ τὼ ὑπερηφανίαν τε Πάπα καὶ τὼ ὀφρῦν τῶν Δυτικῶν Ἐπισκόπων, οἵτινες ὡς εἴρηται αὖθ συμβουλῆς τῶν Ἀνατολικῶν ὀρθοδόξων Ἐπισκόπων τὰς Αἱρετικὰς περιποιηθέντες, τοσούτων κακῶν ἐγένοντο αἴτιοι. σύατον, ὁ Λιβέριος καίτοι τἆλλα δύκολος ὤν, ὅμως οὐκ ἐπέγραψεν ἑαυτὸν ὑπερηφάνως ὡς οἱ μεταταῦτα Πάπαι, ἀλλ' ὑπισκοπικῶς, καὶ γὰρ ἁλέγει ὁ Ἐπίσκοπος τῆς καθο-

καθολικῆς Ἐκκλησίας, ἀλλ' ἐκεῖνο ὅπερ ἦν κατὰ ἀλήθειαν, ἤτοι Ἐπίσκοπος Ἰταλίας, καὶ οὐ μόνος, ἀλλὰ καὶ οἱ κατὰ Δύσιν Ἐπίσκοποι. Καὶ, τοὺς ἐν Ἰταλίᾳ καὶ Δύσει πάντας Ἐπισκόπους, ὅπερ καὶ αὐτὸ διαλυτικόν ἐστι τῆς μοναρχίας τοῦ Ῥώμης, καὶ οὐ λέγει ὁ Λιβέριος ὅτι οἱ Ἀνατολικοὶ συμφωνοῦσι τῷ Πάπᾳ ἐμοὶ, ἀλλὰ τοῖς Δυτικοῖς, ὥστε φανερόν ἐστιν ὅτι οἱ πολλοὶ ἔχουσι τὸ κράτος ἐν τῇ Ἐκκλησίᾳ καὶ οὐ μόνος ὁ Ῥώμης οὐδὲ ἄλλος τις Ἐπίσκοπος ὁποιασοῦν πόλεως. δέκατον, ὅτι οἱ πρέσβεις τῶν Μακεδονιανῶν εἰδότες ὅτι τῶν πολλῶν ἐστιν ἐν τῇ Ἐκκλησίᾳ τὸ κῦρος, καὶ οὐ τοῦ Πάπα, ἢ ἑτέρων τινῶν, οὐκ ἠρκέσθησαν εἰς τὸ τοῦ Πάπα καὶ τῶν ἐν τῇ Ῥώμῃ παρευρεθέντων Ἰταλικῶν καὶ δυτικῶν Ἐπισκόπων γράμμα, ἀλλ' ἀπελθόντες εἰς Σικελίαν, καὶ γενομένης ἐκεῖ Συνόδου πολυπληθοῦς, καὶ ἐξ ἐκείνης ἔλαβον γράμματα. ἐνδέκατον, ὅτι μετὰ τὸ δοῦναι τὰ γράμματα πάντων τῶν δυτικῶν τῇ ἐν Τυάνοις Συνόδῳ, ἡ Σύνοδος γράψασα περὶ ἑνώσεως καὶ εἰς Ἐκκλησίας τινὰς, οὐκ εἶπεν ὅτι ὁ Ῥώμης ὁ ἐξαιρέτως καὶ ἀμέσως ὑπὲρ Θεοῦ Ἐπίσκοπος, ἡ κεφαλὴ τῆς καθόλου Ἐκκλησίας, ὁ μονάρχης, ὁ μέγιστος, ὁ ἄκρος, ὁ ἀναμάρτητος, ὁ βικάριος τοῦ Χριστοῦ ἔγραψεν ἡμῖν καὶ πάντως δεῖ πείθεσθαι αὐτῷ, ἀλλ' ἔγραψεν ἵνα ἴδωσι τὰ ἐν Ῥώμῃ καὶ Σικελίᾳ γραφέντα, καὶ τὸ δὴ θαυμαστὸν ὅτι ἐβεβαίωσαν τὴν συμφωνίαν οὐκ ἀπὸ τῶν γραμμάτων Ῥώμης καὶ Σικελίας, ἀλλ' ἀπὸ τοῦ εἶναι τοὺς ἐν Ῥώμῃ καὶ Σικελίᾳ πλείονας τῶν ἐν Ἀριμίνῳ. ἐπειδὴ γὰρ ἡ ἐν Ἀριμίνῳ οἰκουμενικὴ ἐνομίζετο καὶ ἐπλάνα πολλοὺς, οἱ πατέρες τῆς ἐν Τυάνοις Συνόδου ἀπὸ τοῦ πλείονος πλήθους σπουδάζουσιν ἀνατρέψαι αὐτὴν, καθὼς ἔγραφε τοῖς Δυτικοῖς καὶ ὁ μέγας Βασίλειος. ὥστε τῶν πλειόνων ἡ ψῆφος ἔχει ἐν τῇ Ἐκκλησίᾳ τὸ κῦρος, καὶ οἴχεται εἰς κόρακας τὸ μοναρχικὸν ἀξίωμα.

ΚΕΦΑΛΙΑΟΝ Ιϛ'.

Περὶ τῆς ἐν τῷ Ἰλλυρικῷ προσταγῇ τοῦ Αὐτοκράτορος Οὐαλεντιανοῦ ἀθροιθείσης Συνόδου.

Ἱστορεῖ ὁ Θεοδώριτος ἐν τῷ τετάρτῳ λόγῳ ὅτι ἠθροίσθη ἐν τῷ Ἰλλυρικῷ προσταγῇ τοῦ Οὐαλεντιανοῦ Σύνοδος, ἥτις ἐψηφίσατο τὴν ἐν Νικαίᾳ πίστιν κρατεῖν, κεφαλαίῳ ἑβδόμῳ καὶ ὀγδόῳ, καὶ ὅτι ἔπεμψεν ἡ Σύνοδος ἐπιστολὴν μετὰ Ἐλπιδίου πρεσβυτέρου εἰς τοὺς Ἐπισκόπους τῶν Ἐπαρχιῶν Ἀσιανῆς, Φρυγίας, Καροφρυγίας καὶ Καπατιανῆς, καὶ ὅτι εἰς βεβαίωσιν τῆς Συνόδου καὶ τῶν ψηφισμάτων αὐτῆς ἔπεμψαν καὶ οἱ Βασιλεῖς Οὐαλεντιανὸς, Οὐάλης καὶ Γρατιανὸς ἐπιστολὴν εἰς τοὺς αὐτοὺς Ἐπισκόπους.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι οὐχ ὁρισμῷ τοῦ Πάπα Ῥώμης ὡς ψεύδεται Βίνιος, ἀλλὰ τοῦ Βασιλέως ἡ ἐν Ἰλλυρικῷ ἤθροισται Σύνοδος, καὶ ἐπιτροπῇ καὶ βεβαιώσει τῶν ἐν αὐτῇ πατέρων τὸ δοκοῦν ἐβεβαιώθη, ὡς ἑπταχῶς ἐν ταῦτα δείκνυται.

Σημειοῖ ὁ Βίνιος ὅτι ἡ παροῦσα Σύνοδος ἠθροίσθη, ἐπειδὴ ἔπεμψεν εἰς τὸ Ἰλλυρικὸν ὁ Πάπας Λιβέριος τὸν πρεσβύτερον Ἐλπίδιον μετὰ τοῦ Εὐσταθίου, καὶ ὥρισε καὶ συνῆλθον οἱ Ἐπίσκοποι τοῦ Ἰλλυρικοῦ. Ῥητέον ὅμως πρὸς ταῦτα ὅτι καὶ τοῦτο τὸ τοῦ Βινίου ψεῦδός ἐστι προφανὲς, πρῶτον, ὅτι ὁ Θεοδώριτος καταγράψας ἐν τοῖς δυσὶ κεφαλαίοις τὴν ἄθροισιν τῆς Συνόδου καὶ τὰς ἐπιστολὰς τῆς Συνόδου καὶ τῶν Βασιλέων, οὐδ' ὅλως ἐμνήσθη τοῦ Πάπα. δεύτερον, ὅτι ἡ Σύνοδος ἐν τῇ ἐπιστολῇ αὐτῆς οὐκ ἐμνήσθη τοῦ Ῥώμης, καὶ εἰ ὁρισμῷ τοῦ Λιβερίου συνῆλθε πῶς οὐκ ἐμνήσθη αὐτοῦ; τρίτον, ὅτι εἰ καὶ βούλονται Βίνιος καὶ Βαρώνιος συστῆσαι τοῦτο ἀπὸ τοῦ εἰπεῖν τὴν Σύνοδον ὅτι πέμπει τὸν Ἐλπίδιον ἀπὸ τῆς βασιλευούσης Ῥωμαίων ἀρχῆς τοῦτο τὸ γράμμα ἔχοντα, καὶ νομίζουσιν ὅτι τὸ γράμμα ἐπέμφθη ὑπὸ τοῦ Ῥώμης, ἀπατῶνται σαφῶς, ἐπειδὴ ὁ Ἐλπίδιος τὸ γράμμα οὐκ ἀπὸ τοῦ Ῥώμης, ἀλλ' ἀπὸ τῆς Συνόδου εἶχεν, ὅθεν λέγει ἡ Σύνοδος ἐν τῇ ἐπιστολῇ, τοῦτο ἡμῶν τὸ γράμμα ἀπεστάλκομεν διὰ τοῦ ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ Ἐλπιδίου τοῦ Πρεσβυτέρου, τὸ γράμμα ἡμῶν λέγει καὶ οὐ τὸ τοῦ Ῥώμης, παρίστησι δὲ ὅτι ὁ Ἐλπίδιος εἶχε τὸ γένος ἀπὸ τῆς Ῥώμης, οὐ μὴν καὶ ὅτι ἦν ἀπεσταλμένος ἀπὸ τοῦ Ῥώμης. τέταρτον, ὅτι εἰ ὁ Βίνιος τεκμαίρεται ἀπὸ τοῦ εἰπεῖν τὴν Σύνοδον ἐν τῇ ἐπιστολῇ μεμαθηκέναι ἀπὸ τοῦ Εὐσταθίου ὅτι ἦλθεν ἢ μόνος ὁ Εὐστάθιος, ἢ καὶ οἱ μετ' αὐτοῦ εἰς τὸ Ἰλλυρικὸν, διὰ τὸ εἶναι ἐκεῖ οὐ μόνον πλῆθος Ἐπισκόπων, ἀλλὰ καὶ ἐν δόξων, καὶ Συνόδου γενομένης, εἶπον τὰ κατ' αὐτοὺς, καὶ ἡ Σύνοδος τὰ περὶ τῆς πίστεως ψηφισαμένη, ἔπεμψε τὸν Ἐλπίδιον μετὰ τοῦ γράμματος τῆς ψήφου αὐτῆς, πασίδηλον ὅτι καὶ μερικαὶ Σύνοδοι βεβαιοῦσι τὰς ἀποφάσεις τοῦ Ῥώμης, καθότι οἱ διορισμοὶ μόνου αὐτοῦ ἀνίσχυροί εἰσιν, ὅθεν ἡ Σύνοδος ἐπὶ τοῦ Πάπα, καὶ οὐ τὸ ἀνάπαλιν ὡς βούλεται ὁ Βίνιος.

ὁ Βίνιος. πέμπτον, ἡ Σύνοδος ἐν τῇ ἀρχῇ τῆς ἐπιστολῆς φησὶ ταῦτα ῥητῶς, συνελθόντων ἡμῶν, καὶ ζητήσεως πολλῆς γενομένης περὶ τοῦ σωτηρίου λόγου, ἀπεδείχθη ὁμοούσιον εἶναι τὴν Τριάδα Πατρὸς Υἱοῦ καὶ ἁγίου Πνεύματος. καὶ σημείωσαι ὅτι οὐ λέγει οὕτω διώρισεν ὁ Ῥώμης, ἢ διὰ τοῦ ἀνθρώπου αὐτοῦ ἐνετείλατο, ἢ ἔγραψεν ἡμῖν, ἀλλ' ὅτι ζητήσεως πολλῆς γενομένης, ἀπεδείχθη ὁμοούσιον εἶναι τὴν Τριάδα. εἰ γὰρ καὶ ὡς οἱ Βασιλεῖς γράφουσιν ἐν τῇ ἐπιστολῇ αὐτῶν, ὁμολογοῦμεν ἀκολούθως τῇ μεγάλῃ καὶ ὀρθοδόξῳ Συνόδῳ ὁμοούσιον εἶναι τῷ Πατρὶ τὸν Υἱὸν, ἡ τοῦ ὁμοουσίου πίστις ἦν ὁμολογουμένη, ἀλλ' ἐπειδὴ αἱ ἐπὶ Κωνσταντίου Σύνοδοι, καὶ μάλιστα ἡ ἐν Ἀριμίνῳ πλῆθος Ἐπισκόπων καὶ ἄλλας ὑπουλότητι πιθανὰς ἔχουσα αἰτίας, καὶ ἀπατῶσα τοὺς ἁπλουστέρους, ὥς φησιν ὁ Σωζόμενος βιβλίῳ τετάρτῳ κεφαλαίῳ δεκάτῳ ἑνάτῳ, σύγχυσιν ἔδωκεν ἐν τῇ Ἐκκλησίᾳ. ὅθεν (παλιλλογοῦμεν) καίτοι τοῦ ὁμοουσίου βεβαιωθέντος ἐν τῇ ἐν Νικαίᾳ προσκυνητῇ Συνόδῳ, καὶ τῶν πατέρων Ἀθανασίου, Ἱλαρίου, Γρηγορίου, Βασιλείου, Εὐσταθίου καὶ ἄλλων, (ἐξ ὧν τινὰς καταριθμεῖ ὁ μέγας Ἀθανάσιος, καὶ ἰδὲ ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον δέκατον ἕβδομον πρὸς τὸ τέλος, καὶ βιβλίου δευτέρου κεφαλαίου δεκάτου τετάρτου Παράγραφον πέμπτον) ἔν τε τῇ Ἀνατολῇ καὶ Δύσει καὶ λόγοις καὶ γράμμασι καὶ συγγράμμασιν ἀγωνισαμένων ὑπὲρ τοῦ ὁμοουσίου, ἀλλὰ πάλιν τῶν ἀφελεστέρων ἀπατωμένων, ὁ Ἀθανάσιος ἐν Αἰγύπτῳ, ὁ Μελέτιος ἐν Ἀντιοχείᾳ, οἱ Καππάδοκες ἐν Καισαρείᾳ καὶ Τυάνοις, οἱ Δυτικοὶ ἐν Ῥώμῃ, ἐν Σικελίᾳ καὶ ἐν Γαλλίᾳ, πρότερον μὲν ἐπὶ Ἱλαρίου καὶ ἔναγχος ἐν Ῥώμῃ καὶ Γαλλίᾳ, ὡς λέγουσιν οἱ Βασιλεῖς ἐν τῇ ἐπιστολῇ, ἐξήτασαν καὶ ἐβεβαίωσαν μίαν εἶναι καὶ τὴν αὐτὴν οὐσίαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐν τρισὶ προσώποις, τουτέστιν ἐν τρισὶ τελείαις ὑποστάσεσιν ὡμολόγησαν, καὶ τὸν Υἱὸν τοῦ Θεοῦ ἐνανθρωπήσαντα Θεὸν εἶναι σαρκοφόρον καὶ οὐκ ἄνθρωπον θεοφόρον, καίτοι λοιπὸν τούτων οὕτω διορισαμένων, ἀλλὰ καὶ ἡ παροῦσα Σύνοδος δι' ἃς εἴρηται αἰτίας εἶπεν ὅτι καὶ ἐξετάσασα ἀπέδειξε τὴν περὶ Τριάδος θεολογίαν, ἐξ οὗ δείκνυται ὅτι προσταγῇ μὲν βασιλικῇ συνελυληθέναι, ἰδίᾳ δὲ αὐθεντίᾳ ἐρευνήσασαν, διωρίσαι τὸ δοκοῦν οὐκ ἐπιτροπῇ ἢ βεβαιώσει τοῦ Ῥώμης. ἔκτον, οἱ Βασιλεῖς λέγουσιν ἐν τῇ ἐπιστολῇ ὅτι φρονοῦσιν ὡς αἱ Σύνοδοι εἴς τε τὴν Ῥώμην καὶ Γαλλίας, ἐν ᾧ δυσὶ πρόσχες, ἐνὶ, ὅτι ἐξίσου καταριθμοῦσι τὴν ἐν Ῥώμῃ καὶ τὴν ἐν Γαλλίαις, ἑτέρῳ, ὅτι μὴ ἀρκούσης εἰς πίστιν τῆς τοῦ Πάπα κρίσεως, καὶ τῆς ψήφου τῆς ἐν Ῥώμῃ Συνόδου, ἐγένετο καὶ ἑτέρα ἐν Γαλλίαις, κατὰ δὲ τὸν τρόπον τοῦτον συνῆλθε καὶ ἡ παροῦσα ἐν τῷ Ἰλλυρικῷ οὐκ ἄρα ὁρισμῷ τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἀγείρονται αἱ Σύνοδοι, ἀλλ' ἰσότης θεωρεῖται ἐν ταῖς Ἐκκλησίαις καὶ ἰσοδυναμία, διὸ λέγει ἡ Σύνοδος ἐν τῇ ἐπιστολῇ συμφώνως τῇ ἐπιστολῇ τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου πρὸς Δάμασον καὶ τοὺς Δυτικοὺς κατὰ τὸν Ἀπόστολον, μάταιόν ἐστι τὸ λέγειν. ἐγὼ μὲν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ. καὶ λοιπὸν μάτην τερατοσκοπεῖ ὁ Βίνιος καὶ ἐνταῦθα περὶ τῆς συστάσεως τοῦ παπισμοῦ· ἕβδομον, ὅτι ἐν τῷ ἑβδόμῳ τούτῳ κεφαλαίῳ ἐκθειάζων ὁ Θεοδώριτος τὴν εὐσέβειαν τοῦ Οὐαλεντιανοῦ, πρὸς τοῖς ἄλλοις καὶ ταῦτα φησὶ, μαθὼν δὲ τινὰς ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῇ Φρυγίᾳ περὶ τῶν θείων ἀμφισβητοῦντας δογμάτων, ἐν μὲν τῷ Ἰλλυρικῷ Σύνοδον Ἐπισκόπων γενέσθαι προσέταξε, τὰ δὲ παρ' αὐτῶν ψηφισθέντα καὶ Κυρωθέντα τοῖς ἀμφισβητοῦσιν ἐξέπεμψεν. ἐψηφίσαντο δὲ οἱ συνελθόντες τὴν ἐν Νικαίᾳ πίστιν κρατεῖν, ἀπέστειλε δὲ καὶ αὐτὸς, κοινωνὸν τῶν γραμμάτων τὸν ἀδελφὸν ποιησάμενος, ἐμμένειν τοῖς δεδογμένοις παρεγγυῶν. ἐκ τῶν ῥημάτων τούτων τοῦ Θεοδωρίτου κατάδηλόν ἐστιν ὅτι μόνος ὁ Βασιλεὺς ἤθροισε τὴν Σύνοδον, καὶ ὅτι τὴν ψῆφον καὶ ἀπόφασιν τῆς Συνόδου ἔπεμψε τοῖς Ἀρειανοῖς πρὸς διάλυσιν τῶν ἀμφισβητουμένων παρ' αὐτῶν, οὐ μὴν καὶ τοῦ Πάπα κρίσιν ἢ ψῆφον, ὥστε καὶ ἐκ τούτων ἀποδέδεικται σαφῶς μάταιον τὸ, ὅτι ὁ Πάπας ἤθροισε τὴν παροῦσαν Σύνοδον.

ΚΕΦΑΛΑΙΟΝ ΖΙ΄.

Περὶ τῶν ἑπτὰ ἐπιχειρημάτων ἅπερ οἱ παπισταὶ προσφέρουσιν ἀπὸ τῶν τοῦ μεγάλου Βασιλείου ῥητῶν ὑπὲρ τῆς ἀρχῆς τοῦ Πάπα Ῥώμης.

Τῶν παπιστῶν συκοφαντούντων τὸν μέγαν Βασίλειον ὡς δῆθεν ἐσημείωσεν ἐν τοῖς συγγράμμασιν αὐτοῦ τὸν Πάπαν ἔχειν ἐν τῇ Ἐκκλησίᾳ μοναρχίαν, ὁ Ἱεροσολύμων Νεκτάριος ἐν τῷ συνταγματίῳ αὐτοῦ σοφώτατα ἀπεκρίθη ὑπὲρ Βασιλείου καὶ τῆς ἀληθείας, ἀλλ' οἱ παπισταὶ κατὰ τὸ ἴδιον τῶν Αἱρετικῶν ἐξεπίτηδες τῆς ἀληθείας καταφρονοῦντες, λέγουσι πρὸς τὸν Νεκτάριον, πρῶτον, ὅτι ὁ Βασίλειος παθὼν ὅπερ καὶ νῦν ἡμεῖς πάσχομεν ἀτύχημα, ὥστε ὀλίγον πιστεύεσθαι παρὰ Λατίνοις, συνε-

συνεχώρησε καὶ τῷ θυμῷ, τουτέστιν ὁ Βασίλειος τὴν ἄγαν περίεργον τῶν Λατίνων φρόνησιν ὑπεροψίᾳ τινὶ μηδέποτε τοῖς Γραικοῖς ἀρεσκούσῃ, ἀγαθὴ ὅμως (ἢ τάχα καὶ ὑπεροψία καλὴ καὶ ὑπερηφανία δικαία οὐ δίδοται, ὡς καὶ δόλος ἐνίοτε δίδοται ἀγαθὸς) μισήσας καὶ τὸ φύσημα, μετρίως ἠνιάθη, καὶ διατοῦτο τὰ ἤθη ὠνείδισε. μάλιστα ἀπ' αὐτοῦ τοῦ ὀνειδισμοῦ τοῦ Βασιλείου φαίνεται φανερῶς τὴν ῥωμαϊκὴν Ἐκκλησίαν ἐσχηκέναι μεγάλην ὑπεροχὴν, καὶ ἄκραν ἐξουσίαν. δεύτερον, ἐζήτουν οἱ Καππάδοκες τὴν ἐκ τῶν Λατίνων βοήθειαν πρὸς ἐξάλειψιν τῆς αὐθαδείας τῶν Εὐνομιανῶν καὶ τῶν ἄλλων Αἱρετικῶν, ταύτην δὲ οἱ Λατῖνοι παρεῖχον ἄλλως, καὶ οὐχ ὡς ἠτεῖτο, καὶ ἦν ὅλως ἀνωφελὴς, ἢ ὑποπτευόμενοι μάτην ἐταμίευον αὐτὴν ἀναγκαίαν οὖσαν, ἀλλ' ἐν τούτοις τὶς οὐ συνορᾷ τὴν μεγίστην τῶν Λατίνων ἐξουσίαν, εἰ μὴ Νεκτάριος; τρίτον, κατηγοροῦνται ὡς ὑπερήφανοι, διότι δεομένοις ἐπικουρίας οὐκ ἐβοήθουν, καὶ τάχα ἐν ἴσῳ πρὸς ἴσον, ἢ ἐν χείρονι πρὸς κρείττονα λέγεται ὑπερηφανία τε καὶ ὀφρύς. τὶς οὐκ ἀπὸ τοῦ μὴ ἰσχυροτέρου ἐπικουρίαν ζητεῖ; ἢ διατὶ ὁ Βασίλειος παριδὼν τὸν Ἀλεξανδρείας καὶ τὸν Ἀντιοχείας, ἀπὸ τοῦ Ῥώμης βοήθειαν ἐπιζητεῖ; ἢ διότι ἡ ζητηθεῖσα παρ' αὐτοῦ βοήθεια βέβηλος ἦν καὶ ἐξωτερική; μάλιστα ἱερὰ, ποία δὲ αὕτη ἦν; ἄκουσον Βασιλείου, μίαν ἐπέγνων βοηθείας ὁδὸν τὴν ἀπὸ τῶν Δυτικῶν βοήθειαν, ὡσανεὶ ἔλεγεν, ὅτι εἰς τὸ κατατροπῶσαι τὰς Αἱρέσεις οὐκ ἀρκεῖ ἡ τῆς Ἀνατολῆς γνώμη, ἀπούσης τῆς ῥωμαϊκῆς συμπνοίας, ἐκεῖ γὰρ ἡ ἀρχικὴ ἐξουσία. τέταρτον, ὅτι ἀλλαχοῦ ὁ αὐτὸς Βασίλειος γράφων τοῖς Δυτικοῖς, τὸν Ῥώμης Ἐπίσκοπον τῷόντι ἄξιον ὀνομάζει τῆς ἐξοχωτάτης ἐκείνης φωνῆς λέγων, δι' ἧς μακάριόν σε ἀνεκήρυξεν, ὃ τῇ σῇ θεοσεβείᾳ ὑπὸ Κυρίου δεδώρηται, τὸ κίβδηλον δῆθεν ἀπὸ τοῦ γνησίου καὶ καθαροῦ διακρίνειν, καὶ τὴν πίστιν ἀνυποστόλως κηρύττειν. πέμπτον, τίνι τῶν ἄλλων Πατριαρχῶν τοιαῦτα πρὸς αἴπαινον εἴρηται; εἰ γὰρ καὶ ἄλλως Νεκτάριος ταῦτα τὰ Βασιλείου προβάλλεται, ἀλλὰ κἀκεῖνα ταυτοσήμαντα τούτοις ἐστίν. ἕκτον, τίνι ἄλλῳ δέδοται τὸ διακρίνειν τὸ καλὸν δόγμα τοῦ κακοῦ, καὶ διδάσκειν ἀνυποστόλως τὴν ἀλήθειαν; ἐντεῦθεν δείκνυται ἡ ἄκρα τοῦ Ῥώμης ἰσχὺς, καὶ εἰ διακρίνει τὸ ἐν τῇ πίστει γνήσιον καὶ καθαρόν. ἕβδομον, δῆλον δὲ ὅτι κἀν ταῖς Συνόδοις εἴτι παράλογον πέπρακται, παρ' ἐκείνου ἀθετεῖται. ταῦτα οἱ παπισταί. ἡμεῖς δὲ μέλλοντες ἀποκριθῆναι εἰς ταῦτα, πρῶτον τὰ περὶ τῆς ὑποθέσεως ταύτης ῥητὰ τοῦ Βασιλείου ἐνταῦθα καταγράψαι ἔγνωμεν δεῖν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἐνταῦθα σημειώσεως τῶν τοῦ μεγάλου βασιλείου ῥητῶν ἀπὸ τῆς πρὸς Εὐσέβιον Σαμοσάτων αὐτοῦ ἐπιστολῆς ἕκτης, εἰς εὐκρίνειαν τῶν κατὰ τῆς ἀρχῆς τοῦ Πάπα.

Ἐμοὶ μὲν γὰρ τὸ τοῦ Διομήδεος ἐπέρχεται λέγειν, μὴ ὄφελες λίσσεσθαι, διότι φησὶν ἀγήνωρ ἐστὶν ὁ ἀνὴρ. τῷόντι γὰρ θεραπευόμενα τὰ ὑπερήφανα ἤθη, ἑαυτῶν ὑπεροπτικώτερα γίνεσθαι πέφυκε, καὶ γὰρ ἐὰν μὲν ἱλασθῇ ἡμῖν ὁ Κύριος, ποίας ἑτέρας προσθήκης δεόμεθα; ἐὰν δὲ ἐπιμείνῃ ἡ ὀργὴ τοῦ Θεοῦ, ποία βοήθεια ἡμῖν τῆς δυτικῆς ὀφρύος; οἳ τόγε ἀληθὲς οὔτε ἴσασιν, οὔτε μαθεῖν ἀνέχονται, ψευδέσι δὲ ὑπονοίαις προειλημμένοι, ἐκεῖνα ποιοῦσι νῦν, ἃ πρότερον ἐπὶ Μαρκέλλῳ, πρὸς μὲν τοὺς τὴν ἀλήθειαν αὐτοῖς ἀπαγγέλλοντας φιλονεικήσαντες, τὴν δὲ Αἵρεσιν δι' ἑαυτῶν βεβαιώσαντες. ἐγὼ μὲν γὰρ αὐτὸς αἴσυ τοῦ κοινοῦ σχήματος ἐβουλόμην αὐτῶν ἐπιστεῖλαι τῷ κορυφαίῳ, περὶ μὲν τῶν ἐκκλησιαστικῶν οὐδὲν, εἰ μὴ ὅσον παραινίξασθαι, ὅτι οὔτε ἴσασι τῶν παρ' ἡμῖν τὴν ἀλήθειαν, οὔτε τὴν ὁδὸν, δι' ἧς ἂν μάθοιεν καταδέχονται. καθόλου δὲ περὶ τοῦ μὴ δεῖν ὑπὸ τῶν πειρασμῶν ταπεινωθεῖσιν ἐπιτίθεσθαι, μὴ δὲ ἀξίωμα κρίνειν ὑπερηφανίαν, ἁμάρτημα καὶ μόνον ἀρκοῦν ἔχθραν ποιῆσαι εἰς Θεόν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς σημειώσεως τῶν τοῦ μεγάλου βασιλείου ῥητῶν ἀπὸ τῆς πρὸς τὸν μέγαν Ἀθανάσιον ἐπιστολῆς αὐτοῦ, εἰς εὐκρίνειαν τῶν κατὰ τῆς ἀρχῆς τοῦ Πάπα.

Ἐφάνη δὲ ἡμῖν ἀκόλουθον ἐπιστεῖλαι τῷ Ἐπισκόπῳ Ῥώμης ἐπισκέψασθαι τὰ ἐνταῦθα, καὶ δοῦναι γνώμην, ἵνα ἐπειδὴ ἀπὸ κοινοῦ καὶ συνοδικοῦ δόγματος ἀποσταλῆναι τινὰς δύσκολον τῶν ἐκεῖθεν, αὐτὸν αὐθεντῆσαι περὶ τὸ πρᾶγμα, ἐκλεξάμενον ἄνδρας, ἱκανοὺς μὲν ὁδοιπορείας πόνους διενεγκεῖν, ἱκανοὺς δὲ πρᾳότητι καὶ ἀπονίᾳ ἤθους τοὺς ἐνδιαστρόφους τῶν παρ' ἡμῖν νουθετῆσαι, ἐπιτηδείως δὲ καὶ οἰκονομικῶς κεχρημένους τῷ λόγῳ, καὶ πάντα ἔχοντας μεθ' ἑαυτῶν τὰ ἐν Ἀριμίνῳ πεπραγμένα, ἐπὶ λύσει τῶν κατὰ ἀνάγκην ἐκεῖ γενομένων, καὶ τοῦτο μηδενὸς εἰδότος, ἀψοφητὶ διὰ θαλάττης ἐπιστῆναι τοῖς ὧδε, ὑπὲρ τοῦ φθάσαι τὴν αἴσθησιν τῶν ἐχθρῶν τῆς εἰρήνης. ἐπιζητεῖται δὲ κἀκεῖνο παρά-

τινων

τινων τῶν ἐντεῦθεν ἀναγκαίως, ὡς καὶ αὐτοῖς ἡμῖν καταφαίνεται, τὸ τὴν Μαρκέλλου Αἵρεσιν αὐτοὺς ὡς χαλεπὴν καὶ βλαβερὰν, καὶ τῆς ὑγιαινούσης πίστεως ἀλλοτρίως ἔχουσαν ἐξωρίσθαι. ἐπεὶ μέχρι τοῦ νῦν ἐν πᾶσιν οἷς ἐπιστέλλουσι γράμμασι, τὸν μὲν δυσώνυμον Ἄρειον ἄνω καὶ κάτω ἀναθεματίζοντες καὶ τῶν Ἐκκλησιῶν ἐξορίζοντες οὐδιαλείπουσι, Μαρκέλλῳ δὲ τῷ κατὰ Διάμετρον ἐκείνῳ τὴν ἀσέβειαν ἐπιδειξαμένῳ, καὶ εἰς αὐτὴν τὴν ὕπαρξιν τῆς τοῦ μονογενοῦς Θεότητος ἀσεβήσαντι, καὶ κακῶς τὴν τοῦ Λόγου προσηγορίαν ἐκδεξαμένῳ, οὐ δεμίαν μέμψιν ἐπενεγκόντες φαίνονται, ὃς Λόγον μὲν εἰρῆσθαι τὸν μονογενῆ δίδωσι κατὰ χρείαν καὶ ἐπὶ καιροῦ προελθόντα, πάλιν δὲ εἰς τὸν ὅθεν ἐξῆλθεν ἐπαναστρέψαντα, οὔτε πρὸ τῆς ἐξόδου εἶναι, οὔτε μετὰ τὴν ἐπάνοδον ὑφεστάναι, καὶ τούτου ἀπόδειξις αἱ παρ' ἡμῖν ἀποκείμεναι βίβλοι τῆς ἀδίκου ἐκείνης συγγραφῆς ὑπάρχουσιν, ἀλλ' ὅμως τοῦτον οὐ δαμῶς διαβάλλοντες ἐφάνησαν, καὶ ταῦτα αἰτίαν ἔχοντες, ὡς τὸ ἐξ ἀρχῆς κατ' ἄγνοιαν τῆς ἀληθείας καὶ εἰς κοινωνίαν αὐτὸν ἐκκλησιαστικὴν παραδεξάμενοι.

ΠΑΡΑΓΡΑΦΟΝ Δ΄.

Περὶ σημειώσεως τῶν ῥητῶν Μελετίου, Εὐσεβίου καὶ Βασιλείου ἐκ τῆς πρὸς τοὺς Ἰταλίας καὶ Γαλλίας Ἐπισκόπους ἐπιστολῆς αὐτῶν εἰς εὐκρίνειαν τῶν κατὰ τῆς ἀρχῆς τοῦ Πάπα.

Τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις ἀδελφοῖς συλλειτουργοῖς κατὰ τὴν Ἰταλίαν καὶ Γαλλίαν ὁμοψύχοις Ἐπισκόποις, Μελέτιος, Εὐσέβιος, Βασίλειος καὶ οἱ λοιποὶ ἐν Κυρίῳ χαίρειν. ἐν τῷ τέλει τῆς ἐπιστολῆς. Τῷόντι γὰρ τοῦ ἀνωτάτου μακαρισμοῦ ἄξιον, τὸ τῇ ὑμετέρᾳ θεοσεβείᾳ χαρισθὲν παρὰ τοῦ Κυρίου, τὸ μὲν κίβδηλον ἀπὸ τοῦ δοκίμου καὶ καθαροῦ διακρίνειν, τὴν δὲ τῶν πατρῶν πίστιν ἄνευ τινὸς ὑποστολῆς κηρύσσειν, ἣν καὶ ἡμεῖς ἐδεξάμεθα, καὶ ἐπέγνωμεν ἐκ τῶν ἀποστολικῶν χαρακτήρων μεμορφωμένην, συνθέμενοι καὶ αὐτῇ καὶ πᾶσι τοῖς ἐν τῷ συνοδικῷ γράμματι κανονικῶς καὶ ἐνθέσμως δεδογματισμένοις.

ΠΑΡΑΓΡΑΦΟΝ Ε΄.

Περὶ τῆς ἑρμηνείας τῶν ἐν τῇ πρὸς τὸν Εὐσέβιον ἐπιστολῇ τοῦ μεγάλου Βασιλείου ῥητῶν, ἐξ ὧν συνάγεται προφανῶς μὴ εἶναι τὸν Ῥώμης μονάρχην, ἀλλ' ὑπερήφανον καθ' ὃ καὶ μόνον μοναρχεῖ, καὶ φιλόνεικον, καὶ ἄγνοιαν ἔχοντα τῆς ἀληθείας αὐτόν τε καὶ τοὺς Δυτικοὺς, καὶ ὁμόφρονα Αἱρετικοῖς τῷ συναίρεσθαι αὐτοῖς, καὶ οὐδεμιᾶς μνήμης ἀξιούμενον ἔν τε Συνόδοις καὶ ἐν δόγμασι πίστεως.

Τὰ ῥήματα τοῦ Βασιλείου ταῦτα ἑρμηνεύοντες καὶ παραφράζοντες, συνάγομεν πρῶτον, ὅτι οἱ δυτικοὶ εἰσὶν ὑπερήφανοι, λαμβάνει δὲ τὴν ὑπερηφανίαν κατὰ τὸ ἴδιον αὐτῆς, ἤτοι ὅτι ἐστὶν ἁμάρτημα τὸ πάντων χείριστον, ὅπερ δῆλον ἐστὶν ἀπὸ τοῦ παραδείγματος τοῦ Διομήδους, καὶ ἀπὸ τῶν ῥημάτων τῶν κειμένων ἐν τῷ τέλει τῆς ἐπιστολῆς τῆς, μηδὲ ἀξίωμα κρίνειν ὑπερηφανίαν, ἁμάρτημα καὶ μόνον ἀρκοῦν ἔχθραν ποιῆσαι εἰς Θεόν. δεύτερον, ὅτι τὰ ὑπερήφανα ἤθη, ἤτοι αἱ ἐνέργειαι καὶ καταστάσεις τῶν οἰκονομιῶν, ἃς ἐποίουν οἱ Δυτικοὶ Ἐπίσκοποι ἐν τῇ Ἐκκλησίᾳ, ἀντίθεα ἦσαν. καὶ γὰρ λέγεται Μακκαβαίων δευτέρῳ, κεφαλαίῳ ἐνάτῳ, ἐδαφίῳ δωδεκάτῳ, καὶ μὴ θνητὸν ὄντα, ἰσόθεα φρονεῖν ὑπερηφάνως. ὡσεὶ ἔλεγεν ὁ ὑπερήφανος φρονεῖ ἰσόθεα ἤτοι ἄθεα. ὅθεν φησὶν ὁ Βασίλειος, ὅσον αὖτις θεραπεύσοι αὐτὰ, καὶ ἐν καιρῷ χρείας διὰ Θεὸν παρακαλέσοι, οὐδυνήσεται αὐτὰ εἰς τὸ ταπεινότερον μεταβαλεῖν, ἀλλὰ μᾶλλον σκληρυνεῖ. κατὰ γὰρ τὸν Σειράχ κεφαλαίῳ δεκάτῳ τρίτῳ, βδέλυγμα ὑπερηφάνῳ ταπεινότης. τρίτον, οὐδέποτε ἀπὸ τοῦ καιροῦ τῶν Ἀποστόλων καὶ ἕως Κωνσταντίου τοῦ Βασιλέως οἱ Ἀνατολικοὶ ἐδεήθησαν τῶν Δυτικῶν Ἐπισκόπων ἐν οὐδενὶ πράγματι. ὅτι μὲν γὰρ συμβάντων τινῶν παρὰ τῶν Αἱρετικῶν ταῖς Ἐκκλησίαις τῆς Δύσεως ἐξέπεμψαν οἱ Δυτικοὶ τὰ πεπραγμένα ταῖς Ἀνατολικαῖς Ἐκκλησίαις, καὶ ἀνάπαλιν, ἤτοι τινῶν συμβάντων ταῖς Ἀνατολικαῖς Ἐκκλησίαις, ἐξέπεμψαν τὰ γενόμενα οἱ Ἀνατολικοὶ τοῖς ἐν τῇ Δύσει ἀδελφοῖς, ἀληθές ἐστι. παραδείγματος χάριν, Συνόδου γενομένης ἐν Ῥώμῃ κατὰ Ναυάτου ἔγραψε τὰ γινόμενα ὁ Πάπας Κορνήλιος πρὸς τὸν Ἀντιοχείας Φαύϊον, ὡς ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ δεκάτῳ πέμπτῳ. καὶ ἐν Ἀντιοχείᾳ Συνόδου ἀθροισθείσης κατὰ Παύλου τοῦ Σαμοσατέως, οἱ πατέρες ἐμήνυσαν τὰ πεπραγμένα τοῖς ἁπανταχοῦ δι' ἐγκυκλίου ἐπιστολῆς, ἐν ᾗ καὶ τοῖς ἐν τῇ Δύσει ἀδελφοῖς ἐπ' ὀνόματι τοῦ Ῥώμης Διονυσίου ἐφανέρωσαν, ὡς ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ δεκάτῳ ἐνάτῳ. περὶ ταύτης τῆς ὑποθέσεως ἰδὲ πλατύτερον τὸν πρὸς τὸν Αὐτοκράτορα Μαρκιανὸν προσφωνητικὸν τῆς ἐν Χαλκηδόνι Συνόδου. ἐπὶ δὲ Κωνσταντίου ἐδεήθησαν τινὲς τῶν Ἀνατολικῶν ἕνεκα βοηθείας τῶν Δυτικῶν Ἐπισκόπων, ἀλλὰ μάλιστα διότι ἦν ἐκεῖ Βασιλεὺς ὀρθόδοξος ὁ Κώνστας, εἰ καὶ οὐδὲν

οὐδὲν ὠφελήθησαν ἐξ αὐτῶν, ἀλλ' ἐν μέρει ὑπὸ τῆς ἐν Σαρδικῇ Συνόδου, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ πέμπτῳ. θανόντος δὲ τοῦ Κώνσταντος, καὶ ἐπικρατοῦντος Δύσεως καὶ Ἀνατολῆς τοῦ αὐτοῦ Κωνσταντίου, οὐκ ἔτι ἐδεήθησαν τῶν Δυτικῶν οἱ Ἀνατολικοὶ, ἐπειδὴ καὶ τὰ τῶν Δυτικῶν Ἐκκλησιῶν πράγματα κακῶς εἶχον. ἐξορίζεται γὰρ ὁ Πάπας Λιβέριος, καὶ ἀντεισάγεται ὁ Ἀρειανὸς Φίληξ, γίνεται τριακοσίων Ἐπισκόπων ἀθέμιτος Σύνοδος ἐν Μεδιολάνῳ, καὶ παράλογος ἄθροισις ἐν Ἀριμίνῳ κατὰ τοῦ Ὁμοουσίου. ἐξορίζονται οἱ Ἔξαρχοι τῶν Ἐπισκόπων, ἤτοι ὁ Πικτάβων Ἱλάριος, Εὐσέβιος, Λουκίφερ, Διονύσιος καὶ ἄλλοι, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ ὀγδόῳ. ἀλλὰ καὶ ἐπὶ Ἰουλιανοῦ κακῶς ἐχόντων καὶ τῶν δύο Ἐκκλησιῶν Δύσεως καὶ Ἀνατολῆς, οὐδ' ὁπωσοῦν ἐδεήθησαν ἄλλων αἱ Ἐκκλησίαι. αὐταρχήσαντος δὲ τοῦ ὀρθοδόξου Ἰοβιανοῦ, Μελέτιος καὶ οἱ Ἀνατολικοὶ ἀθροίσαντες Σύνοδον ἐν Ἀντιοχείᾳ, δεδώκασιν ὀρθόδοξον ἀναφορὰν τῷ Ἰοβιανῷ βεβαιοῦσαν τὴν ἐν Νικαίᾳ πίστιν, καὶ οὐδὲ μία μνήμη τοῦ Πάπα, ἢ τῶν Δυτικῶν. ἀλλὰ δὴ καὶ ὁ μέγας Ἀθανάσιος μετὰ Αἰγυπτίων Ἐπισκόπων παραγενόμενος εἰς τὸν Ἰοβιανὸν, ἔδωκεν αὐτῷ τὴν ὀρθόδοξον ὁμολογίαν τῆς πίστεως, ὡς εἴρηται ἀνωτέρω, καὶ πάλιν οὐδὲ μία μνήμη ἰδίως τοῦ Πάπα. μεταταῦτα δὲ γενομένων Βασιλέων τοῦ μὲν ὀρθοδόξου Οὐαλεντιανοῦ ἐν δύσει, τοῦ δὲ Ἀρειανοῦ Οὐάλεντος ἐν τῇ Ἀνατολῇ, καὶ κακοπαθοῦντες οἱ Ἀνατολικοὶ ὑπὸ τοῦ Οὐάλεντος, ἐδεήθησαν τῶν δυτικῶν πρῶτον, διὰ τὴν σύμπνοιαν καὶ ἀδελφικὴν ὁμόνοιαν. δεύτερον, ὅτι οἱ Δυτικοὶ μᾶλλον τοῦ Οὐάλεντος ἐπηρέαζον τὰς Ἐκκλησίας τῆς Ἀνατολῆς, τοῦτο μὲν, διότι πεισμονῇ καὶ ὑπερηφανίᾳ δουλεύοντες ἐβοήθουν ἐν Ἀντιοχίᾳ τῷ Παυλίνῳ ὃν παρανόμως ἐχειροτόνησεν ἐκεῖ Ἐπίσκοπον ὁμεταταῦτα χρηματίσας Αἱρεσιάρχης Λουκίφερ, ἐμαίνοντο δὲ κατὰ τοῦ γνησίου καὶ ὀρθοδόξου Μελετίου, τοῦτο δὲ, ὅτι τῶν Μακεδονιανῶν Ἐπισκόπων πρὸς τὸν Πάπαν Λιβέριον καὶ τὴν κατ' αὐτὸν Ἐκκλησίαν στειλάντων πρεσβείαν Εὐστάθιον τὸν Σεβαστείας καὶ ἑτέρους τινὰς ὡς εἴρηται ἀνωτέρω, ὁ Λιβέριος καὶ οἱ περὶ αὐτὸν, καὶ δὴ καὶ ἡ τότε ἐν Σικελίᾳ ἀθροισθεῖσα μεγάλη τῶν Δυτικῶν Σύνοδος ἀπατηθέντες, ἐδέξαντο αὐτοὺς, καὶ δεδώκασιν αὐτοῖς καὶ κοινωνικὰς ἐπιστολὰς, οἵτινες ἐλθόντες εἰς Σύνοδον γενομένην τότε ἐν Τυάνοις, καὶ δείξαντες τὰ γράμματα, καὶ εἰπόντες ὅτι εἰσὶ κοινωνοὶ περὶ τοῦ Ὁμοουσίου τοῖς Δυτικοῖς, οἷς ἐκοινώνουν τοσαῦτα ἔθνη, ὡς εἴρηται ἀνωτέρω, εἰ καὶ παρατηρητέον μή πως καὶ τοῦτο ὅτι ἐκοινώνουν αὐτοῖς τοσαῦτα ἔθνη καταχρῶνται οἱ Λατῖνοι πρός τι ἀξίωμα τοῦ Ῥώμης. φησὶ γὰρ ὁ Σωκράτης, αἱ δὲ περὶ τὴν Ἑλλάδα πόλεις καὶ Ἰλλυρικὸν, καὶ τὰ Ἑσπέρια μέρη ἔμενον ἔτι ἀσάλευτοι τῷ συμφωνεῖν ἀλλήλοις καὶ τὰ παραδοθέντα ἐν τῇ ἐν Νικαίᾳ Συνόδῳ κρατεῖν, βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ. ὥστε τὸ κοινωνεῖν συμφωνίαν δηλοῖ τῶν Ἐκκλησιῶν, καὶ οὐδὲν ἕτερον. καὶ λοιπὸν οἱ Μακεδονιανοὶ ἐδέχθησαν καὶ ἀπέλαβον τοὺς θρόνους αὐτῶν, ἀλλὰ μετὰ τὸ λαβεῖν τοὺς θρόνους διῆγον ὡς Αἱρετικοὶ οἱ Μακεδονιανοὶ, ὁ δὲ Εὐστάθιος καὶ τούτων χειρόνως. ἐζήτει οὖν ὁ Βασίλειος καὶ οἱ Ἀνατολικοὶ παρὰ τῶν Δυτικῶν ἵνα διορθώσωσιν ἃ κακῶς διέθεντο ἐν ταῖς Ἀνατολικαῖς Ἐκκλησίαις, καὶ οὐκ εἰσηκούοντο. ὅθεν λέγει ὁ Βασίλειος ἐκεῖνα; ὧν ὀνοῦς ἐστὶν οὗτος, οὐδέ ποτε ἐδεήθησαν αἱ Ἐκκλησίαι τῆς Ἀνατολῆς τῶν Δυτικῶν, ἀλλὰ μόνον ἐπὶ Κωνσταντίου τὸ πρῶτον, καὶ ἤδη ἐπὶ Οὐάλεντος, αὐτοὶ δὲ ἀντὶ τοῦ βοηθῆσαι τοῖς ἀδελφοῖς κατεξανίστανται αὐτῶν, καὶ λοιπὸν φησὶν, ἂν ὁ Θεὸς σπλαγχνισθῇ καὶ δώσῃ ταῖς Ἐκκλησίαις τῆς Ἀνατολῆς ἔλεος, ὥστε ταπεινωθῆναι πάλιν τοὺς Ἀρειανοὺς, τίς ἡ χρεία τῆς βοηθείας τῶν Δυτικῶν; ἥτις ταὐτόν ἐστι τῇ ὑπερηφανίᾳ. ὅτι δὲ ὁ ἅγιος τοῦτο εἶπε προφητικῶς, φανερόν ἐστι, μεταταῦτα γὰρ ἐλέει χρησάμενος ὁ Θεὸς, καὶ τὸν μὲν Οὐάλεντα καταστρέψας, δοὺς δὲ Βασιλέα τὸν μέγαν Θεοδόσιον, οἱ Ἀνατολικοὶ μόνοι ἤθροισαν τὴν δευτέραν Οἰκουμενικὴν Σύνοδον, καὶ οὐδαμῶς ἐδεήθησαν τοῦ λοιποῦ τῶν Δυτικῶν Ἐπισκόπων ὡς ἐροῦμεν ἐν τῷ ἰδίῳ τόπῳ. τέταρτον, ὅτι οἱ Δυτικοὶ τὸ ἀληθὲς οὐγινώσκουσι, καὶ δόξειεν ἂν τοῦτο φορητὸν, ἀλλὰ τὸ μέγιστον κακὸν ἐστὶν ὅπερ αὐτοὺς καὶ καθ' Ἡσίοδον ἀχρείους ποιεῖ, ὅτι οὐδὲ μαθεῖν τὴν ἀλήθειαν ἀνέχονται, καὶ τὸ αἴτιον πρόδηλον, προκάτοχοι γὰρ γεγονότες προσλήψεων καὶ ἀκουσμάτων ψευδῶν, ποιοῦσι μόνα ἐκεῖνα, ἃ πεποιήκασιν ἐπὶ Κωνσταντίου περὶ τοῦ Ἀγκύρας Μαρκέλλου, ὅν τινα καίτοι αἱρετικώτατον καὶ τέως ἀθεώτατον ὄντα, οἱ Λατῖνοι εἶχον ὀρθόδοξον καὶ κοινωνικὸν, διὸ καὶ τοῖς πατράσι μαρτυροῦσι διὰ φανερῶν ἀποδείξεων τὸν Μάρκελλον ὄντα Αἱρετικὸν, καὶ γράφουσι πρὸς Λατίνους ἔχειν αὐτὸν Αἱρετικὸν, καὶ προσέχειν αὐτοὺς μὴ ἀπατᾶσθαι ὑπ' αὐτοῦ, αὐτοὶ ἀντὶ τοῦ πείθεσθαι αὐτοῖς ἐφιλονείκουν, καὶ πρὸς τούτοις καθῃρημένον ὄντα ὡς Αἱρετικὸν ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ δωδεκάτῳ, οἱ Δυτικοὶ μὴ ζητήσαντες μαθεῖν τὴν ἀλήθειαν παρὰ τῶν ἐν τῇ Ἀνατολῇ ὀρθοδόξων Ἐπισκόπων, εὐκόλως ἐδικαίωσαν, καὶ οὕτω καὶ τὴν Αἵρεσιν αὐτοῦ ἐβεβαίωσαν. πέμπτον, ὅτι ἐν τοιαύτῃ καταστάσει εὑρισκομένων τῶν Λατίνων, ὁ Βασίλειος ἠβουλήθη γράψαι τῷ κορυφαίῳ τῶν Λατίνων, ἤτοι τῷ πρώτῳ τῶν Λατίνων Ἐπισκόπῳ, τουτέστι τῷ Πάπᾳ τῆς Ῥώμης, οὐχ ἕνεκέν τινος ἐκκλησιαστικῆς χρείας, ἐπειδὴ καὶ ἐκεῖνος ἦν μιᾶς καὶ τῆς αὐτῆς γνώμης μετὰ τῶν Λατινικῶν Ἐπισκόπων, καὶ ἢ οὐκ ἔμελεν αὐτῷ, ἢ ἀνεβάλετο τὸν καιρὸν περὶ τῶν Ἐκκλησιῶν τῆς Ἀνατολῆς, ἀλλ' ὅσον μόνον ἐλέγξαι, ὅτι μήτε ἐκῆνος ὁ Πάπας, μήτε οἱ περὶ αὐτὸν, ἤτοι οἱ Δυτικοὶ Ἐπίσκοποι ἐγίνω-

ἐγίνωσκον τὰ συμβάντα ἐν ταῖς Ἐκκλησίαις τῆς Ἀνατολῆς, μήτε τὸν τρόπον δι' οὗ ἐδύναντο μαθεῖν τὰ κατ' αὐτὰς κατεδέχοντο μαθεῖν, καὶ πρὸς τούτοις γράψαι αὐτῷ, ἐπειδὴ Αἱρετικὸς Βασιλεὺς ἐπικρατεῖ ὁ Οὐάλης, καὶ αἱ Ἐκκλησίαι τῆς Ἀνατολῆς εὑρίσκονται τεταπεινωμέναι ἀπὸ τῶν συμβάντων αὐταῖς παρὰ τῶν Αἱρετικῶν πειρασμῶν, μὴ ὑπερηφανεύεσθαι Λατίνους, καὶ κατεπαίρεσθαι αὐτῶν. τοῦτο γὰρ ταὐτὸν τῷ νομίζειν εἶναι ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ τὴν ὑπερηφανίαν, ἥτις ἁμάρτημα ἐστὶν ἀρκοῦν καὶ μόνον ἔχθραν ποιῆσαι εἰς Θεόν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἐκ τῶν τοῦ μεγάλου Βασιλείου ῥητῶν ὁ Πάπας Ῥώμης καὶ οἱ Δυτικοὶ ἐξαχῶς ὑπόδικοι μέμψεως δείνυνται, καὶ μάλιστα τῷ νομίζειν ἀξίαν μοναρχίας τὴν ὑπερηφανίαν.

Ἔχεις ὀρθόδοξε καὶ ἐκ τοῦ τόπου τούτου μαθεῖν ὅτι οἱ Δυτικοὶ Ἐπίσκοποι ὧν προεδρεύει ὁ Πάπας ὑπερήφανοί εἰσι τῷόντι, ὅθεν καὶ ἐχθροὶ τῷ Θεῷ, ἀκάθαρτος γὰρ παρὰ τῷ Θεῷ πᾶς ὑψηλοκάρδιος. δεύτερον, ὅτι οἱ Δυτικοὶ Ἐπίσκοποι καίτοι ἐσχάτως ἁμαρτάνοντες, ὅμως ἀμετανόητοί εἰσι. τρίτον, ὅτι οἱ Ἀνατολικοὶ οὐ διὰ τὸ ἔχειν τοὺς Λατίνους γενικόν τι ἀξίωμα, ἢ ἄκραν τινὰ ἐξουσίαν, ἀλλὰ κατὰ τὸν λόγον τοῦ Παύλου λέγοντος, τὰ μέλη ἀλλήλοις συμπάσχειν, ἐζήτουν τοὺς Δυτικοὺς συμπονέσαι αὐτοῖς ἐν καιρῷ χρείας ὡς οἰκεῖα μέλη, καὶ ἰδὲ ἀνωτέρω κεφάλαιον ἕκτον. καὶ ἐπειδὴ ἐκακοτρόπουν ὑπὸ ὑπερηφανίας καὶ ἠμέλουν οἱ Δυτικοὶ, εὐκαιρίας λαβόντες οἱ Ἀνατολικοὶ, οὐκ ἔτι τῆς βοηθείας ἐκείνων ἐδεήθησαν, ἀλλὰ μόνοι ᾠκονόμουν τὰ κατ' αὐτοὺς, ὡς γέγονεν ἐπὶ Ἰοβιανοῦ, καὶ μεταταῦτα ἐπὶ τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου. τέταρτον, ὅτι οἱ Δυτικοὶ, ὧν κορυφαῖος ὁ Πάπας, ἄγνοιαν ἔχουσι τῆς περὶ τὴν πίστιν ἀληθείας, καὶ ὑπὸ ὑπερηφανίας νικώμενοι, οὐ καταδέχονται μαθεῖν αὐτὴν, ὅθεν ὁ Θεὸς ὡς πεισμονῇ κατεχομένους παραχωρεῖ, καὶ βεβαιοῦσι τὰς παρανομίας, ὧν καὶ αὐτοὶ κοινωνοὶ γίνονται. πέμπτον, ὅτι ὁ Βασίλειος Καισαρείας μητροπολίτης ἠβουλήθη γράψαι καὶ ἐλέγξαι τὸν Πάπαν τῆς Ῥώμης ὡς ἀγνοοῦντα τὴν ἀλήθειαν, καὶ ὡς μὴ βουλόμενον μαθεῖν τὸν τρόπον, δι' οὗ αὐτὴν γνωρίσοι. καὶ δεύτερον, ὅτι οὐκ ἔστι δίκαιον ἐπεμβαίνειν ταῖς τεταπεινωμέναις Ἐκκλησίαις. ἕκτον, ὅτι ὑπερηφανευόμενοι καὶ ἐπεμβαίνοντες ταῖς Ἐκκλησίαις τῆς Ἀνατολῆς, μὴ νομίζειν τοῦτο εἶναι ἀξίωμα, ἀλλ' ὑπερηφανίαν, ἥτις αὐτοὺς ἐχθροὺς ποιεῖ τῷ Θεῷ. ὥστε ἐκ τούτων πάντων φαίνεται ὅτι ὁ Πάπας τῆς Ῥώμης ἐστὶν ὑπερήφανος, ἀμετανόητος, ἔχων ἄγνοιαν τῆς ἀληθείας, πεισμονὴν ἐπὶ τοῦ κακοῦ, μέμφεται ὑπὸ τοῦ Μητροπολίτου μικρᾶς παροικίας τῆς Καππαδοκίας ὡς κοινωνῶν Αἱρετικοῖς, καὶ βεβαιῶν Αἵρεσιν, βουλόμενος κατεξουσιάζειν τῶν ἀδελφῶν κατὰ τοῦ Παύλου, καὶ σπουδάζων ἀξίωμα λαβεῖν ἐν ταῖς μὴ προσηκούσαις αὐτῷ Ἐκκλησίαις, ὅπερ ἐστὶν ἀξίωμα ὑπερηφανίας, ἥτις αὐτὸν ἐχθρὸν ποιεῖ τῷ Θεῷ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ ἑρμηνείας τῶν ἐκ τῆς πρὸς τὸν μέγαν Ἀθανάσιον ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου ῥητῶν.

Ἀπὸ τῆς πρὸς τὸν μέγαν Ἀθανάσιον ἐπιστολῆς τοῦ Βασιλείου σημειωτέον πρῶτον, ὅτι ἐζήτουν οἱ Ἀνατολικοὶ παρὰ τῶν Δυτικῶν Ἐπισκόπων τινὰς πρὸς βοήθειαν ἀπὸ κοινοῦ συνοδικοῦ δόγματος. καὶ ἐπειδὴ ἀπὸ Συνόδου ἀποσταλῆναι τινὰς συμβέβηκεν ἐμπόδιον, ἐφάνη εὔλογον ἵνα γράψωσι τῷ Πάπᾳ τῆς Ῥώμης, ὅπως ἐκεῖνος μόνος ἐπιμεληθῇ πέμψαι τινὰς ἐπιτηδείους καὶ ἐναρέτους, ἵνα νουθετήσωσι τοὺς ἐν Καππαδοκίᾳ ἐν Διαστρόφους. δεύτερον, ἵνα ἔχωσι τὰ πεπραγμένα τῆς ἐν Ἀριμίνῳ προαθροισθείσης Συνόδου, ἅτινα ἐκείνη εἶπε καλῶς τὸ πρῶτον, οἱ δὲ κακότροποι ἐν Νίκῃ τῆς Θρᾴκης διέστρεψαν εἰς ἀπάτην τῶν ἁπλουστέρων, καὶ ἰδὲ ἀνωτέρω κεφάλαιον δέκατον, ἢ καὶ μετὰ ταῦτα βιασθέντες καὶ οἱ ἐν Ἀριμίνῳ ὑπέγραψαν τῷ δόγματι τῶν Ἀνομοίων. καὶ λοιπὸν τοὺς ἀπὸ τοῦ Πάπα ἐλευσομένους ἔχειν καὶ τὰ πρακτικὰ τῆς ἐν Ἀριμίνῳ Συνόδου πρὸς βεβαίωσιν ὅτι καλῶς εἶπε καὶ ὀρθῶς ἡ Σύνοδος. εἰ δὲ καὶ καυχῶνται οἱ Ἀρειανοὶ ὅτι ἡ Σύνοδος εἶπε κατὰ τὴν γνώμην αὐτῶν, γενέσθαι γνωστὸν ὅτι ἐῤῥέθη κατ' ἀνάγκην, καὶ οὐδὲ ἐν Ἀριμίνῳ, ἀλλ' ἐν Νίκῃ τῆς Θρᾴκης. εἰ δὲ καὶ ἐν Ἀριμίνῳ, ἀλλὰ τὸ δεύτερον, καὶ μετὰ τὴν ἐν Νίκῃ βίαν. καὶ ἔτι ὅτι μετὰ τὴν ἀνάλυσιν οἱ πλείους τῶν πατέρων ἀπέβαλον αὐτὴν ὡς ἀθέμιτον. τρίτον, ἐπειδὴ οἱ Δυτικοὶ τὸν μὲν Ἄρειον πάντοτε ἀναθεματίζουσιν, τὸν δὲ Μάρκελλον κάκιστον ὄντα Αἱρετικὸν ὡς τὰ συγγράμματα αὐτοῦ τὰ ἐν Καππαδοκίᾳ εὑρισκόμενα παριστῶσι, τοὺς ἀπὸ τοῦ Πάπα ἐλευσομένους ἀποκηρῦξαι καὶ τὸν Μάρκελλον ὥσπερ καὶ τὸν Ἄρειον, καὶ μάλιστα ὡς ἔχοντας αἰτίαν εὔλογον, δηλονότι τὸ ἐξ ἀρχῆς κατ' ἄγνοιαν τῆς ἀληθείας ἐκεῖνον εἰς κοινωνίαν δεδέχθαι. καὶ ἤδη ἐρχόμενοι ἐὰν μὴ τοῦτο ποιήσωσιν, ὥστε αὐτὸν ἀποκηρῦξαι, οὐ δύνανται φανῆναι ἀξιόπιστοι πρὸς τὸν

λαὸν

λαὸν πρὸς ὠφέλειαν ἐκείνων, ὧν ἕνεκεν προσκαλοῦμεν αὐτοὺς ἐλθεῖν ἐν ταῖς καθ' ἡμᾶς Ἐκκλησίαις.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἐκ τῶν συναγομένων ἀπὸ τῆς πρὸς τὸν μέγαν Ἀθανάσιον ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου δείκνυται εἶναι τὸν Ῥώμης καὶ ὑπὸ τὴν ἰδίαν αὐτοῦ Σύνοδον, καὶ οὔτε ἀναμάρτητον, οὔτε Διδάσκαλον τῆς καθολικῆς Ἐκκλησίας.

Σημειωτέον ἐν τούτοις πρῶτον, ὅτι ἡ Σύνοδος τοῦ Πάπα ἐστὶν ἐπὶ τοῦ Πάπα, διατοῦτο συνοδικὰ γράμματα ἐζήτουν οἱ Καππάδοκες ἀπὸ τῆς Δυτικῆς Συνόδου. δεύτερον, ὅτι ἐπειδὴ τοῦτο οὐκ ἐγίνετο διὰ ἀμέλειαν τῶν Δυτικῶν, ἵνα καὶ πέμψῃ ὁ Πάπας τινὰς, οὐχ ὡς μονάρχης, ἀλλ' ὡς ὀρθόδοξος Ἐπίσκοπος, καὶ φέρων πρόσωπον τῆς Δυτικῆς Συνόδου, καὶ τοὺς ἀνθρώπους οὓς ἂν πέμψοι, εἶναι ἐναρέτους καὶ ἐπιτηδείους. τρίτον, ἵνα μὴ ἔλθωσι, πρὶν ἢ ἀναθεματίσαι τὸν Μάρκελλον. καὶ λοιπὸν ἰδοὺ ὁ Καισαρείας Μητροπολίτης βεβαιοῖ ὅτι ὁ Πάπας ἀγνοεῖ τὴν ἀλήθειαν, καὶ δέχεται τὸν φανερὸν Αἱρετικὸν ὡς ὀρθόδοξον, καὶ οὕτω βεβαιοῖ τὴν κατὰ διάμετρον ἑτεροζυγουμένην Ἄρεσιν τῇ τοῦ Ἀρείου, ὡς εἶπεν ἀνωτέρω αὐτὸς ὁ μέγας Βασίλειος. καὶ λοιπὸν ποῦ τοῦ Πάπα καὶ τῶν παπιστῶν ἐν τῷ Φλωρεντινῷ Ὅρῳ καὶ ἐν ἄλλοις ὅτι ὁ Πάπας περὶ τὴν πίστιν ἐστὶν ἀναμάρτητος; καὶ ὅτι ὁ Πάπας ἐστὶ πάντων τῶν Χριστιανῶν Διδάσκαλος; ἐπειδὴ γὰρ ἀπατᾶται, καὶ πλανᾶσθαι ποιεῖ τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, ἥτις ἐστὶ μερικὴ, καὶ πῶς ἀναμάρτητος καὶ Διδάσκαλος τῆς καθολικῆς; ὁ Πάπας περὶ Οὐϊταλίου ἐπλανήθη καὶ περὶ Μαρκέλλου, Εὐσταθίου καὶ Παυλίνου καὶ τῶν Μακεδονιανῶν πλανᾷ καὶ πλανᾶται, καὶ ποῦ λοιπὸν ἡ μοναρχία αὐτοῦ, καὶ τὸ ἀναμάρτητον τῆς μοναρχίας αὐτοῦ;

ΠΑΡΑΓΡΑΦΟ Θ'.

Περὶ ἐξηγήσεως τῶν ἐν τῆς πρὸς τοὺς Δυτικοὺς Ἐπισκόπους ἐπιστολῆς Μελετίου, Εὐσεβίου καὶ Βασιλείου ῥητῶν, ἐξ ὧν δείκνυται ὅ,τε τοῦ Ῥώμης Τίτλος ὑστερογενὴς, ἥτε μοναρχία αὐτοῦ ἐπὶ Βασιλείου τοῦ μεγάλου ἄγνωστος, καὶ κατασκευαστὴ ἡ τῶν παπιστῶν πίστις.

Ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Δυτικοὺς τοῦ Βασιλείου σημειωτέον ὅτι γράφουσιν οἱ Ἀνατολικοὶ, Τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις ἀδελφοῖς τοῖς κατὰ τὴν Ἰταλίαν καὶ Γαλλίαν. καὶ λοιπὸν ποῦ τὸ τοῦ Κωνσταντινουπόλεως Ἰγνατίου πρὸς τὸν Ῥώμης, τῷ δεσπότῃ ἡμῶν τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ προέδρῳ καὶ Πατριάρχῃ πάντων τῶν θρόνων, καὶ τοῦ κορυφαίου διαδόχῳ καὶ Οἰκουμενικῷ Νικολάῳ Πάπᾳ; ποῦ ἡ ἐπιγραφὴ ἣν γράφει τῷ Πάπᾳ Μιχαὴλ ὁ Παλαιολόγος; οὐκοῦν ὑστερογενές ἐστι, καὶ ἐπὶ Βασιλείου οὐδὲ εἰς νοῦν ἦλθε τινὸς Χριστιανοῦ τὸ διαβολικὸν ἀξίωμα τῆς μοναρχίας τοῦ Πάπα. δεύτερον, ὅτι ἡ πίστις τῶν παπιστῶν οὐκ ἔστιν εὐαγγελικὴ, ἀλλὰ κατασκευαστικὴ καὶ ἐπιτετηδευμένη. ἰδοὺ γὰρ οἱ Ἐπίσκοποι τῆς Καππαδοκίας ἔγραψαν τοῖς Ἐπισκόποις τῆς Ἰταλίας ὅτι ἔχουσι χάρισμα παρὰ Θεοῦ διακρίνειν τὸ κίβδηλον ἀπὸ τοῦ δοκίμου καὶ καθαροῦ, οἱ δὲ παπισταὶ ἀναιδεστάτῳ προσώπῳ καὶ ἐσχάτῃ ἀφοβίᾳ Θεοῦ, φθείρουσι τὴν ἐπιστολὴν τῶν πατέρων, καὶ ἐναλλάττοντες τὰ ῥήματα, τιθέασιν ἀντὶ τοῦ, τῇ ὑμετέρᾳ θεοσεβείᾳ τὸ, τῇ σῇ θεοσεβείᾳ. ἀκούσατε πάντα τὰ ἔθνη ὅτι οἱ παπισταὶ κακοῦργοι εἰσὶ καὶ παραχαράκται τῶν συγγραμμάτων τῶν ἁγίων, ἴδετε πῶς ψεῦσται καὶ συκοφάνται. τρίτον, λέγουσιν ὅτι Μελέτιος, Εὐσέβιος καὶ Βασίλειος συνέθεντο τῇ πίστει ἣν ἔπεμψαν αὐτοῖς οἱ Δυτικοὶ καὶ πᾶσι τοῖς ἐν τῷ συνοδικῷ γράμματι κανονικῶς καὶ ἐνθέσμως δεδογματισμένοις, καὶ σημείωσαι ὅτι οὐ βούλεται ἐνταῦθα τὸ κανονικῶς καὶ ἐνθέσμως ὅτι τινὰ μὲν τοῦ γράμματος ἐδέχθησαν, τινὰ δὲ μὴ, ἀλλ' ὅτι πάντα ἐδέχθησαν κανονικὰ καὶ ἔνθεσμα ὄντα. καὶ τὸ τοῦ Πάπα ἄρα Ἀδριανοῦ πρὸς τὴν ἑβδόμην Σύνοδον εἰρημένον περὶ τῶν Κανόνων τῆς ἐν Τρούλλῳ Συνόδου ὅτι δέχεται ὅσα κανονικῶς καὶ ἐνθέσμως εἴρηκεν, οὐ βούλεται εἰπεῖν ὅτι τινὰς μὲν δέχεται τῆς Συνόδου Κανόνας, τινὰς δὲ οὔ, ἀλλ' ὅτι ἅπαντας δέχεται ὡς κανονικῶς καὶ ἐνθέσμως ἐξενεχθέντας.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ ἀπολογίας εἰς τὸ πρῶτον ἐπιχείρημα τῶν παπιστῶν.

Πρὸς τὸ πρῶτον ἐπιχείρημα ῥητέον, οὐκ ἔπαθεν ὁ Βασίλειος ἀτύχημα, μὴ πιστευόμενος παρὰ Λατίνων, ἀλλ' οἱ Λατῖνοι προσῆψαν ἑαυτοῖς ἀνόμημα ὑπερηφανίας, καὶ ἐπίστευον καὶ ἐβοήθουν μᾶλλον τοῖς Αἱρετικοῖς Μαρκέλλῳ, Εὐσταθίῳ καὶ Παυλίνῳ καὶ τοῖς Μακεδονιανοῖς, ἢ τῷ ἁγίῳ Βασιλείῳ

καὶ

καὶ τοῖς περὶ αὐτὸν ὀρθοδόξοις Ἐπισκόποις. καὶ εἶτα εἰ οἱ Λατῖνοι ἠμέλουν βοηθῆσαι τοῖς θλιβομένοις ἀδελφοῖς αὐτῶν ὑπὸ τῶν Αἱρετικῶν, ᾠκονόμησεν ὅμως ὁ Θεὸς καὶ ἐφυλάχθησαν ὑπότε τοῦ Οὐάλεντος καὶ Εὐνομίου καὶ Μαρκέλλου καὶ Ἀπολιναρίου καὶ τῶν λοιπῶν Αἱρετικῶν ἀβλαβεῖς αἱ Ἐκκλησίαι Μελετίου, Εὐσεβίου καὶ Βασιλείου, ὡς προείρηκεν ὁ ἅγιος γράφων τῷ Σαμοσάτων ἁγίῳ Εὐσεβίῳ. ἀτύχημα δὲ ἔπαθον οἱ Λατῖνοι μὴ ἀνεχόμενοι διδάσκεσθαι τὴν ἀλήθειαν ὑπὸ τῶν εἰδότων, ὅθεν τὴν Αἵρεσιν τοῦ Μαρκέλλου ἐβεβαίωσαν, τοῖς δὲ Ἀρειανοῖς ἐβοήθησαν, τὴν μὲν Ἐκκλησίαν Ἀντιοχέων συγχέοντες διὰ Οὐϊταλίου καὶ Παυλίνου ὡς ῥηθήσεται, τὰς δὲ Ἐκκλησίας τῆς Ἀσίας ἐνοχλοῦντες ὑπὸ τῆς ἀπάτης ἣν ἔπαθον ὑπὸ τῶν Μακεδονιανῶν ἐν Ῥώμῃ, καὶ ἐν τῇ ἐν Σικελίᾳ Συνόδῳ, καὶ ἔδωκαν αὐτοῖς κοινωνικὰς, ἃς τινας ἐκεῖνοι φανερώσαντες ἐν τῇ ἐν Τυάνοις Συνόδῳ, ἐδέχθησαν ὡς ὀρθόδοξοι, καὶ ἀπολαβόντες κακῶς τὰς Ἐκκλησίας ἐξ ὧν καλῶς ἐδιώχθησαν, ἐκακοποίουν, ὡς εἴρηται ἀνωτέρω. οὐ συνεχώρησε δὲ ὁ Βασίλειος τῷ θυμῷ ὡς φλυαροῦσιν οἱ σοφοὶ τῶν παπιστῶν, ἄλαλα γενηθείτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει, ἀλλὰ σωφρόνως καὶ ἐκκλησιαστικῶς ἔγραψε, καὶ ὡς προκαθήμενος τῆς Καππαδοκίας καὶ τοῦ Πόντου καὶ τῆς Ἀνατολῆς καὶ πάσης Ἀρμενίας, καὶ ὡς σοφὸς καὶ ἅγιος εἶπε τὴν ἀλήθειαν. οὐκ ἔψεξε δὲ τὰ ἤθη, ἤτοι τὰ ἔξω σχήματα τῶν Λατίνων, ἀλλὰ τὴν ἐγκάρδιον καὶ πεπαγιωμένην ἐν τῇ ἐπάρσει διάθεσιν αὐτῶν, ὅπερ ἐστὶ ταὐτὸν ὅτι ἤλεγξεν αὐτοὺς διὰ τὴν κακοτροπίαν, ἀπροσεξίαν καὶ ἀμέλειαν αὐτῶν. ψεύδονται δὲ οἱ παπισταὶ λέγοντες εἶναι καὶ καλὴν ὑπεροψίαν, καὶ ὑπερηφανίαν δικαίαν, καὶ δόλον ἀγαθὸν, οὐ δύνανται γὰρ δεῖξαι τοῦτο ποτὲ παρὰ τῆς γραφῆς, ἢ παρὰ τῶν πατέρων. εἰ δὲ εἴπωσι τὴν τοῦ Σαμουὴλ ἐν τῇ Βηθλεὲμ θυσίαν διὰ τὴν χρίσιν τοῦ Δαβὶδ, ἀλλ' ἐκεῖ ἐμεσολάβει θεία ἐπιταγὴ, ἥτις οὐκ ἔστι δόλος, ἀλλὰ θεία ἀπόφασις. ἀπεδείχθη λοιπὸν, ὅτι ὁ Βασίλειος περὶ τῆς ἀληθοῦς ὑπερηφανίας εἶπεν, ἥτις καὶ μόνη ἐχθρὸν τὸν ἄνθρωπον ποιεῖ τῷ Θεῷ. εἰ δὲ καὶ φλυαρήσομεν καὶ αὐτοὶ κατὰ τοὺς παπιστὰς, καὶ δώσομεν εἶναι καὶ ὑπερηφανίαν δικαίαν, οὐδεμίαν ἐκ τούτου δύναται ἔχειν ὁ Πάπας μοναρχίαν, ἀλλὰ μᾶλλον ἄγνοιαν τῆς ἀληθείας, καὶ πρὸς τὰς Αἱρέσεις κοινωνίαν, πρὸς δὲ τοὺς ἁγίους ὕβριν καὶ μάχην.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ ἀπολογίας εἰς τὸ δεύτερον ἐπιχείρημα τῶν παπιστῶν.

Πρὸς δὲ τὸ δεύτερον ῥητέον, ἐζήτουν οἱ Καππάδοκες παρὰ Λατίνων βοήθειαν οὐ πρὸς ἐξάλειψιν, ἀλλὰ πρὸς συστολὴν τῆς ἀφοβίας τῶν Αἱρετικῶν, καὶ μάλιστα ἐπειδὴ ὡς εἴρηται ἐν τῇ Ῥώμῃ ἦν Βασιλεὺς ὀρθόδοξος ὁ Οὐαλεντιανὸς, καὶ εἶχεν ἡ Δυτικὴ Ἐκκλησία ἄνεσιν, ᾗ τινι ἐκοινώνει ἡ Ἑλλὰς πᾶσα καὶ τὸ Ἰλλυρικὸν καὶ τὰ λοιπὰ ἔθνη, ὡς εἴρηται ἀνωτέρω. εἰ δὲ καὶ ὑπέκειντο αἱ εἰρημέναι Ἐπαρχίαι τῷ Βασιλεῖ Κωνσταντινουπόλεως, οὐκ ἐπηρεάζοντο ὅμως ὑπ' αὐτοῦ Αἱρετικοῦ ὄντος, ὡς γειτνιάζουσαι τῷ ὀρθοδόξῳ Βασιλεῖ τῆς Ῥώμης. εἰ γὰρ ὑπερέθετο ταράξαι τὴν Ἀλεξάνδρειαν καὶ τὴν Αἴγυπτον ὁ Οὐάλης, πυνθανόμενος πλείστους εἶναι ἐν αὐτῇ τοὺς προσκειμένους Ἀθανασίῳ, καὶ ἐκ τούτου ὑφορώμενος μήποτε γενομένης κατὰ τὴν Ἀλεξάνδρειαν στάσεως, προσβλάψῃ τὰ δημόσια πράγματα, Σωκράτης βιβλίῳ τετάρτῳ κεφαλαίῳ εἰκοστῷ, καὶ Σωζόμενος βιβλίῳ ἕκτῳ κεφαλαίῳ δεκάτῳ ὀγδόῳ, πόσῳ μᾶλλον διὰ τὸν ἀδελφὸν Οὐαλεντιανὸν οὐκ ᾐδεῖτο τοὺς ἀπὸ Ῥώμης καὶ τῆς Δύσεως ἐρχομένους εἰς τὴν Ἀνατολὴν Ἐπισκόπους; καὶ ἰδὲ κατωτέρω Παράγραφον δέκατον δεύτερον πάλιν τοῦ Βασιλείου. ἐδέοντο οὖν διὰ ταῦτα οἱ Καππάδοκες τῶν Δυτικῶν, ἀδελφικῶς ὅμως, καὶ κατὰ τὸ ἐκκλησιαστικὸν ἔθος, ὡς εἴπομεν διὰ πολλῶν ἀνωτέρω, ἀλλὰ καὶ αὐτὸς ὁ Βασίλειος οὐμόνον γράφων τῷ ἐν Τυάνοις δήμῳ ὡς εἴπομεν ἀνωτέρω κεφαλαίου ἕκτου Παραγράφῳ τετάρτῳ, ἀλλὰ καὶ ἐπιστολῇ τοῖς ἐν Δύσει ἀδελφοῖς βεβαιοῖ ταῦτα λέγων, ὥσπερ οὖν ἡμεῖς ἴδιον ἀγαθὸν ἑαυτῶν ποιοῦμεν τὴν ὑμετέραν πρὸς ἀλλήλους σύμπνοιάν τε καὶ ἑνότητα, οὕτω ὑμᾶς δεῖ συμφυσῆσαι ἡμῶν ταῖς διαιρέσεσι, καὶ μὴ ὅτι τῇ θέσει τῶν τόπων διεστήκαμεν χωρίζειν ἡμᾶς ἀφ' ἑαυτῶν, ἀλλ' ὅτι ἑνούμεθα τῇ κατὰ τὸ Πνεῦμα κοινωνίᾳ εἰς τὸ τὴν ἑνὸς ἡμῶν σώματος κοινωνίαν ἀναλαμβάνειν. καὶ ἐπιστολῇ τοῖς κατὰ Ἰταλίαν καὶ Γαλλίαν Ἐπισκόποις φησὶν, ὑμέτερα οὖν λογίσασθε τὰ πάθη ἡμῶν ὡς γνήσιοι μαθηταὶ τοῦ Κυρίου οὐχ ὑπὲρ χρημάτων, ἀλλ' ὑπὲρ δόξης, οὐχ ὑπὲρ ἄλλου τινὸς τῶν προσκαίρων πολεμούμεθα, ἀλλ' ὑπὲρ τοῦ κοινοῦ θησαυροῦ τοῦ πατρικοῦ κτήματος τῆς ὑγιαινούσης πίστεως ἑστήκαμεν ἀγωνιζόμενοι, συναλγήσατε ἡμῖν ὦ φιλάδελφοι, ταῦτα ὁ Βασίλειος. διὰ τὴν συμπάθειαν οὖν καὶ τὴν πρὸς ἀλλήλους τοῦ Πνεύματος συμφωνίαν ἐζήτουν οἱ Καππάδοκες βοήθειαν παρὰ τῶν Δυτικῶν, καὶ οὐ δι' ἄλλο τι, εἰ δὲ καὶ ἐδέοντο, ἀλλ' οὐδὲ τοῦτο ἀσύνηθες ἔργον ἐν τῇ Ἐκκλησίᾳ τὸ συμπάσχειν ἀλήλοις καὶ τιμᾶν ἀλλήλους καὶ δέεσθαι ἀλλήλων, καὶ μάρτυς πάλιν ὁ αὐτὸς Βασίλειος γράφων Νεοκαισαρεῦσι, λέγει γὰρ ἐν τῷ τέλει τῆς ἐπιστολῆς, ἐρωτήσατε τοὺς πατέρας ὑμῶν,

ὑμῶν, καὶ ἀναγγελοῦσιν ὑμῖν, ὅτι εἰ καὶ τῇ θέσει τοῦ τόπου διῃρεῖσθαι ἐδόκουν αἱ Παροικίαι, ἀλλὰ τῷ στεφανήματι ἓν ἦσαν, καὶ μιᾷ γνώμῃ ἐκυβερνῶντο, συνεχεῖς μὲν τῶν λαῶν ἐπιμιξίαι, τοῖς αὐτοῖς δὲ ποιμέσι τοσοῦτον περιῆν τῆς πρὸς ἀλλήλους ἀγάπης, ὥστε ἑκάτερον αὐτῶν Διδασκάλῳ τῷ ἑτέρῳ καὶ Ἡγεμόνι χρῆσθαι εἰς τὰ πρὸς Κύριον. ταῦτα Βασίλειος. σὺ δὲ παπιστὰ ἀκούεις ὅτι ἐν ἐκείνῳ τῷ καιρῷ ἐτίμων οἱ Ἐπίσκοποι τοὺς Ἐπισκόπους, ὥστε ἕκαστον αὐτῶν τὸν ἕτερον ὡς Διδάσκαλον καὶ Ἡγεμόνα αὐτοῦ τιμᾶν. εἰ οὖν ἐτίμων καὶ οἱ Καππάδοκες τοὺς Δυτικοὺς, οὐδεμία βοήθεια ἐκ τούτων τῇ μοναρχίᾳ τοῦ τυράννου Πάπα. εἶτα ἰδὲ παπιστὰ τίνα ἔγραφεν ὁ μέγας Βασίλειος τῷ Μητροπολίτῃ Μεδιολάνων Ἀμβροσίῳ ἐγκώμια, ἅτινα οὐδεὶς πώποτε ἔγραψε τῷ Πάπᾳ, καὶ μὴ ἐκ τῶν ἐγκωμίων κατασκεύαζε τὸ ἀντιχριστιανικὸν ἀξίωμα, θησαυρίζων σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς. δεύτερον, οἱ Λατῖνοι οὐκ ἐβοήθουν τοῖς Καππάδοξιν ἑτοίμως, οὐδὲ αἰτίας εἶχον ἃς ὑμεῖς πλάττετε, ἀλλ' ὑπὸ ὑπερηφανίας καὶ ἀμελείας, καὶ μάρτυς ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος, ἥτις τοῖς Λατίνοις τότε μαχομένοις Φλαυϊανῷ τῷ Ἀντιοχείας, καὶ ἀμελοῦσι βοηθῆσαι τοῖς Ἀνατολικοῖς λέγει ἐκεῖνα, ἅτινα ἰδὲ κατωτέρω βιβλίῳ τρίτῳ εἰς τὸν τόπον τῆς Συνόδου. ἀλλ' ἐν τούτοις τὶς οὐ συνορᾷ ἀληθινὸς Χριστιανὸς ἀνὴρ ὅτι οὐδαμῶς οὐδεμίαν ἐξουσίαν μοναρχίας ἔχουσιν, ἢ ἄλλην τινὰ δύναμιν ἐν τῇ καθόλου Ἐκκλησίᾳ, καὶ τερατεύονται κενῶς οἱ ἐξώλεις παπισταὶ καὶ ὁ Πάπας αὐτῶν. ἔτι πασίδηλόν ἐστιν ἀπὸ τῆς ἐπιστολῆς τοῦ Βασιλείου πρὸς τοὺς Δυτικοὺς περὶ Εὐσταθίου, Ἀπολιναρίου καὶ Παυλίνου τὸ, διατὶ ἐζήτει ὁ Βασίλειος τοὺς Δυτικοὺς πρὸς βοήθειαν, φησὶ γὰρ περὶ τῶν ὑπούλων Αἱρετικῶν καὶ τοῦ Εὐσταθίου, ὅτι ὁ μὲν παρ' ἡμῶν λόγος ὕποπτος ἐστὶ τοῖς πολλοῖς, ὡς τάχα διά τινας ἰδιωτικὰς φιλονεικίας τὴν μικροψυχίαν παρ' αὐτοὺς ἑλκομένων. ὑμεῖς δὲ ὅσον μακρὰν αὐτῶν ἀπῳκισμένοι τυγχάνοντες, τοσοῦτον πλέον παρὰ τοῖς λαοῖς τὸ ἀξιόπιστον ἔχετε πρὸς τῷ καὶ τὴν παρὰ Θεοῦ χάριν συναίρεσθαι ὑμῖν εἰς τὴν ὑπὲρ τῶν καταπονουμένων ἐπιμέλειαν. ἐὰν δὲ καὶ συμφώνως πλείονες ὁμοῦ τὰ αὐτὰ δογματίσητε, δῆλον ὅτι τὸ πλῆθος τῶν δογματισάντων ἀναντίρρητον πᾶσι τὴν παραδοχὴν κατασκευάσει τοῦ δόγματος. ταῦτα ὁ Βασίλειος, ἐξ ὧν δείκνυται ὅτι ἐκάλει ἐκείνους ὡς ἀξιοπιστοτέρους διὰ τὸ ἀνύποπτον, ἐπειδὴ μακρὰν ἀπῳκισμένοι ἦσαν, καὶ διὰ τὸ πλῆθος, οὐ μὴν καὶ διά τιναν ἐξουσίαν ἰδικὴν ἢ ἀναμαρτησίαν τοῦ Ῥώμης ἢ τῆς ῥωμαϊκῆς Ἐκκλησίας.

ΠΑΡΑΓΑΦΟΝ ΙΒ'.

Περὶ ἀπολογίας εἰς τὸ τρίτον ἐπιχείρημα τῶν παπιστῶν.

Τὸ τρίτον ἐπιχείρημα τῶν παπιστῶν ἐστὶν ὅτι κατηγοροῦνται οἱ Λατῖνοι ὡς ὑπερήφανοι, διότι δεομένοις ἐπικουρίας οὐκ ἐβοήθησαν, καὶ τάχα ἐν ἴσῳ πρὸς ἴσον ἢ ἐν χείρονι πρὸς κρίττονα λέγεται ὑπερηφανία καὶ ὀφρὺς, τὶς ἀπὸ τοῦ μὴ ἰσχυροτέρου φασὶν ἐπικουρίαν ζητεῖ; Ἀλλὰ ῥητέον πρὸς ταῦτα πρῶτον, ὑπερήφανος λέγεται οὐχ ὁ κρείττων πρὸς τὸν χείρονα, ἐπειδὴ ὁ ὑπερήφανος ἐστὶ πάντων ἁμαρτωλῶν χείριστος, ἀλλ' ὁ μείζων πρὸς τὸν ἐλάττονα ὡς ὁ Ναβουχοδονόσορ πρὸς τὰ ἔθνη, ὅθεν ὁ Ναβουχοδονόσορ ἔλεγε, Δανιὴλ κεφαλαίῳ τετάρτῳ, ἐδαφίῳ τριακοστῷ ἑβδόμῳ, Κύριος πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι. ἀκούεις παπιστὰ ἀσύνετε, ὅτι ὁ ὑπερήφανος εἰ καὶ μείζων, εἰ καὶ κατὰ σὲ κρείττων, ἀλλ' ἀεὶ τῷ Θεῷ ἀποτρόπαιος. ἀλλὰ καὶ κατὰ τοῦ ὁμείου ἔστιν ἡ ὑπερηφανία, ὅθεν Ἀριθμῶν κεφαλαίῳ δεκάτῳ πέμπτῳ, ἐδαφίῳ τριακοστῷ λέγεται, Ψυχὴ ἥτις ποιήσει ἐν χειρὶ ὑπερηφανίας, ἐν τῷ ἀδελφῷ αὐτοῦ δηλονότι, τὸν Θεὸν οὗτος παροξυνεῖ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς. ἰδοὺ ἀσύνετε παπιστὰ καὶ ἡ εἰς τὸν ὅμοιον ὑπερηφανία αἰτία ἀπωλείας. ἐρωτῶσε παπιστὰ ὅταν ὁ Θεὸς λέγῃ Λευϊτικοῦ κεφαλαίῳ εἰκοστῷ ἕκτῳ, ἐδαφίῳ δεκάτῳ ἐνάτῳ πρὸς τοὺς Ἑβραίους, Καὶ συντρίψω τὴν ὕβριν τῆς ὑπερηφανίας αὐτῶν, ἡ ὑπερηφανία τῶν Ἑβραίων εἰς ποῖον χείρονα ἦν; καὶ ὅταν λέγῃ τὸ Πνεῦμα τὸ ἅγιον, Ἀμὼς κεφαλαίῳ ὀγδόῳ, Ὀμνύει Κύριος κατὰ τῆς ὑπεριφανίας Ἰακὼβ, ὁ κρείττων Ἰακὼβ πρὸς ποῖον χείρονα ὑπερηφανεύετο; οὐδύνασαι σοφιστὰ ἄλλως εἰπεῖν, ἀλλ' ἢ ὅτι ἡ ὑπερηφανία τοῦ Ἰσραὴλ ἐν τῷ καιρῷ τοῦ Μωϋσέως, καὶ ἡ ὑπερηφανία τοῦ Ἰακὼβ ἐπὶ τοῦ Ἀμὼς ἦσαν πρὸς τὸν Θεὸν, καὶ ἰδοὺ ἄφρον ὅτι γε οὐχ ὁ χείρων, ἀλλ' ὁ χείριστος (καὶ γὰρ τίνα σύγκρισιν ἔχει ὁ ἄνθρωπος πρὸς τὸν Θεὸν) πρὸς τὸν ἀσυγκρίτως πάντων κρείττονα ὑπερηφανεύσατο. μήποτε δὲ ἡ ὑπερηφανία τῶν παπιστῶν πρὸς τοὺς ὀρθοδόξους ἐστὶν ὡς ἀπὸ μεγαλείου τῶν χειρόνων πρὸς τοὺς κρείττονας, καὶ διὰ τούτους, ἤτοι διὰ τοὺς παπιστὰς εἶπε τὸ Πνεῦμα τὸ ἅγιον Ἱερεμίου κεφαλαίῳ τεσσαρακοστῷ ὀγδόῳ, ἐδαφίῳ εἰκοστῷ ἐνάτῳ, καὶ ἤκουσα ὕβριν Μωὰβ, ὕβρισε λίαν ὕβριν αὐτοῦ, καὶ ὑπερηφανίαν αὐτοῦ, ὑψώθη ἡ καρδία αὐτοῦ. ἰδὲ κατωτέρω βιβλίου ἕκτου κεφαλαίου δεκάτου παράγραφον ἕβδομον. δεύτερον, ὁ Βασίλειος οὐ παρεῖδε τὸν Ἀλεξανδρείας καὶ τὸν Ἀντιοχείας, ἀλλὰ κἀκείνους προσεκαλέσατο εἰς βοήθειαν ὡς καὶ τοὺς Δυτικοὺς, οὐχ ὡς μονάρχας ἢ αὐτοκράτορας, ἀλλ' ὡς ὁμοψύχους ἐκάλεσεν ὡς εἴρηται ἀνωτέρω, καὶ πάλιν μάρτυς ὁ αὐτὸς. Βασίλειος γράφων τῷ μεγάλῳ Ἀθα-

Ἀθανασίῳ καὶ λέγων, μίαν ἐπιγνοὺς ὁδὸν βοηθείας ταῖς καθ' ἡμᾶς Ἐκκλησίαις τὴν παρὰ τῶν Δυτικῶν Ἐπισκόπων σύμπνοιαν (οὐδηλονότι ἐπιταγὴν) εἰ γὰρ βουληθεῖεν ὃν ἂν ἔλαβον ὑπὲρ ἑνὸς ἢ δύο κατὰ τὴν Δύσιν Ἐπισκόπων (τοῦ Μεδιολάνων Αὐξεντίου, Οὐρσακίου, καὶ Οὐάλεντος, καὶ ἑτέρων τινῶν ὡς εἴρηται ἀνωτέρω) τοῦτον καὶ ὑπὲρ τῆς Παροικίας τῶν καθ' ἡμᾶς μερῶν ἐπιδείξασθαι, τάχα ἄν τι γένοιτο τοῖς κοινοῖς ὄφελος τῶν τε κρατούντων τὸ ἀξιόπιστον τοῦ πλήθους δυσωπουμένων, καὶ τῶν ἑκασταχοῦ λαῶν ἀκολουθούντων αὐτοῖς ἀναντιῤῥήτως, καὶ τὸ αἴτιον τοῦ ἀκούειν αὐτῶν, εἴρηται προσεχῶς ἀνωτέρω. ἀκούεις σοφιστὰ, οὐλέγει ὁ Βασίλειος ὅτι καταπαῦσαι τὰς Αἱρέσεις οὐκ ἀρκεῖ ἡ τῆς Ἀνατολῆς γνώμη ἀπούσης τῆς ῥωμαϊκῆς συμπνοίας, ἐκεῖ γὰρ ἀρχικὴ ἐξουσία, ἀλλὰ τὴν παρὰ τῶν Δυτικῶν Ἐπισκόπων σύμπνοιαν. οὐ λέγει τὴν σύμπνοιαν τοῦ Ῥώμης, ἀλλὰ τὴν τῶν Δυτικῶν Ἐπισκόπων, ἤτοι τῆς Δυτικῆς Συνόδου τὴν σύμπνοιαν. οὐλέγει ἀρχικὴν ἐξουσίαν, ἀλλ' ἐπισκοπικὴν σύμπνοιαν. ἔλαβον γὰρ ζῆλον οἱ Δυτικοὶ καθηρηκότες συνοδικῶς τὸν Μεδιολάνων Αὐξέντιον, οὐκ ἐκάθηρεν ὁ Πάπας Δάμασος αὐτὸν, ὅτι οὐκ ἠδυνήθη, ἀλλὰ συνοδικῶς, καὶ τοῦτο οὐκ εὐθὺς, ἀλλὰ διὰ πολλῶν ἱδρώτων καὶ πολλοῦ καιροῦ καὶ Συνόδου πολλῶν Ἐπισκόπων. ἐπιλέγει ὁ Βασίλειος ὅτι οἱ κρατοῦντες, τουτέστιν ὁ Οὐάλης ἐδυσωπεῖτο, ἢ καὶ ἐντρέπετο τὸ πλῆθος τῶν Δυτικῶν, ὡς ἐδυσωπεῖτο καὶ περὶ Ἀθανασίου τὸν ζῆλον τῶν Ἀλεξανδρέων, οὐκ ἐξώρισεν αὐτὸν, εἰ γὰρ τῶν ὑποκειμένων Ἀλεξανδρέων τὸν ζῆλον δυσωπούμενος ὑπεστέλλετο τῆς πρὸς τὸν ἅγιον ὀργῆς ὁ τύραννος, πολλῷ μᾶλλον δυσωπεῖται τῶν Δυτικῶν τὸ πλῆθος, καὶ μάλιστα αἰδούμενος τὸν ἀδελφὸν αὐτοῦ τὸν Βασιλέα τῆς Δύσεως, ἵνα μὴ σκανδάλου αἴτιος γένηται ἐν τῇ πολιτείᾳ. διὰ ταῦτα οὖν ἔλεγεν ὁ Βασίλειος, ὅτι μίαν ἔγνων ὁδὸν βοηθείας τὴν σύμπνοιαν τῶν Δυτικῶν Ἐπισκόπων, καὶ οὐδιότι ἦν ἀρχικὴ ἐξουσία, ἢ διότι οὐκ ἀρκεῖ ἡ Ἀνατολὴ πρὸς συστολὴν τῶν Αἱρετικῶν ἀπούσης τῆς ῥωμαϊκῆς συμπνοίας, ὅπερ ἐπὶ μὲν οἰκουμενικῆς Συνόδου ἀληθές ἐστι, καθότι οἱ Πατριάρχαι καὶ οἱ ἔγκριτοι τῶν Ἀρχιερέων ἀναγκαῖοι εἰσὶν ἐν τῇ ἀθροίσει αὐτῆς, ὡς ῥηθήσεται, οὐμὴν καὶ ἁπλῶς ἡ ῥωμαϊκὴ Ἐκκλησία ταῖς Ἀνατολικαῖς Ἐκκλησίαις ἀναγκαία, εἴρηται γὰρ ὅτι ἀπὸ τοῦ καιροῦ τῶν Ἀποστόλων ἕως τοῦ καιροῦ τῆς βασιλείας Κωνσταντίου οὐδέ ποτε ἐν οὐδενὶ ἐδεήθησαν οἱ Ἀνατολικοὶ τῶν Δυτικῶν Ἐπισκόπων. ἰδὲ καὶ ἀνωτέρω καὶ κατωτέρω ποσάκις οἱ Ἀνατολικοὶ ἔκρινον Αἱρέσεις μόνοι, καὶ ἀεὶ ᾠκονόμουν τὰς Ἐκκλησίας αὐτῶν μόνοι, ἐν ὀλίγοις δὲ καιροῖς προσκαλεσάμενοι τοὺς Δυτικοὺς πρὸς βοήθειαν ὡς οἰκεῖα μέλη, οὐδὲν ὠφελήθησαν, ἀλλὰ μᾶλλον σκανδάλων ἐπλήσθησαν αἱ Ἐκκλησίαι, τῶν Δυτικῶν ἀεὶ ὑπερηφανευομένων. οὐκ ἐκάλεσαν δὲ μόνους τὸν Ἀλεξανδρείας καὶ Ἀντιοχείας οἱ Καππάδοκες, ὅτι ἡμὲν Ἀντιόχεια ἐκρατεῖτο οὐχ ὑπὸ μόνου τοῦ ὀρθοδόξου Μελετίου, ἀλλὰ καὶ ὑπὸ Παυλίνου, Οὐϊταλίου, Ἀπολιναρίου, καὶ ἑτέρων Αἱρετικῶν, ἡ δὲ Ἀλεξάνδρεια εἰ καὶ πρότερον τοσαυτάκις κακῶς ἔπαθεν ὑπὸ τῶν Ἀρειανῶν, τότε δὲ ἔμενεν ὁ ἅγιος Ἀθανάσιος κατέχων τὸν θρόνον, ἀλλὰ μετὰ οἰκονομίας καὶ συστολῆς, φοβούμενος τὸν ἀσεβέστατον Οὐάλεντα, ἵνα μὴ ἀναισχυντήσας ἀποδιώξῃ αὐτὸν, καὶ λήψονται τὰς ἐν Αἰγύπτῳ ὑπὸ τῶν ὀρθοδόξων κατεχομένας Ἐκκλησίας οἱ Ἀρειανοί. δεύτερον, ὅτι τοὺς Δυτικοὺς ἔκραξαν διὰ τὰς ἄνω εἰρημένας αἰτίας, καὶ τὸ κυριώτερον διὰ μείζονα Σύνοδον, ὅθεν ὁ Βασίλειος ἐπιστέλλων τοῖς κατὰ Ἰταλίαν καὶ Γαλλίαν ὁμοψύχοις, ἤτοι τοῖς Δυτικοῖς, λέγει ὅτι τάχους χρεία περισώσασθαι τοὺς περιληφθέντας ἐπὶ παρουσίᾳ ἀδελφῶν πλειόνων, ὥστε πλήρωμα εἶναι Συνόδου τοὺς ἐπιδημοῦντας, ἵνα μὴ μόνον ἐκ τῆς τῶν ἀποστειλάντων σεμνότητος (σεμνότητος λέγει οὐκ ἐξουσίας) ἀλλὰ καὶ ἐκ τοῦ οἰκείου ἀριθμοῦ τὸ ἀξιόπιστον ἔχωσιν εἰς διόρθωσιν, οἳ καὶ τὴν ἐν Νικαίᾳ παρὰ τῶν πατέρων ἡμῶν γραφεῖσαν πίστιν ἀνανεώσονται, καὶ τὴν Αἵρεσιν ἐκριζώσουσι, καὶ ταῖς Ἐκκλησίαις εἰρηνικὰ διαλέξονται. καὶ τῷ μεγάλῳ Ἀθανασίῳ γράφει, πρὸς μὲν τὰ λοιπὰ τῆς Ἀνατολῆς, ἴσως καὶ πλειόνων συνεργείας προσδεῖ. διὰ μείζονα Σύνοδον λοιπὸν ἔκραξεν ὁ Βασίλειος τοὺς Δυτικοὺς, οὐ μὴν ὅτι οὐκ ἐκάλεσε καὶ τὸν Ἀλεξανδρείας καὶ τὸν Ἀντιοχείας, γράφει γὰρ τῷ μεγάλῳ Ἀθανασίῳ (καὶ σύνες τὸ ἀξίωμα τοῦ Ῥώμης καὶ τοῦ Ἀθανασίου) ἡ μέντοι τῆς κατὰ Ἀντιόχειαν Ἐκκλησίας εὐταξία προδήλως τῆς σῆς ἤρτηται θεοσεβείας, καὶ τί δ' ἂν γένοιτο ταῖς κατὰ τὴν Οἰκουμένην Ἐκκλησίαις Ἀντιοχείας κυριώτερον, ἢ πρὸς ὁμόνοιαν παρελθεῖν οὐδὲν ἐκώλυεν ὥσπερ κεφαλὴν ἐῤῥωμένην παντὶ τῷ σώματι ἐπιχορηγεῖν τὴν ὑγείαν, τῷόντι δὲ τῆς σῆς δεῖται σοφίας καὶ εὐαγγελικῆς συμπαθείας τὰ ἐκείνης τῆς πόλεως ἀῤῥωστήματα. ἀκούεις παπιστὰ οὐδεμία κυριωτέρα τῶν ἁπανταχοῦ Ἐκκλησιῶν τῆς Ἀντιοχείας. ἀκούεις πῶς μήτηρ ἐστὶ πασῶν τῶν Ἐκκλησιῶν ἡ Ἀντιόχεια. ἀκούεις καὶ τοιαύτης οὔσης, μόνον λέγει τὸν μέγαν Ἀθανάσιον δύνασθαι διορθῶσαι αὐτὴν, τὸν δὲ Ἀντιοχείας οὐκ ἐκάλεσεν εἰς βοήθειαν, ἐπειδὴ αὐτὸν, ἤτοι τὸν Μελέτιον εἶχε συμπάσχοντα, συνεργὸν καὶ ἀνταγωνιστὴν ἐν πᾶσιν ὑπὲρ τῶν Ἐκκλησιῶν τῆς Ἀνατολῆς. ἤκουσας ὅμως ἀνωτέρω ὅτι ἐπὶ Ἰοβιανοῦ μόνος ὁ Μελέτιος ἀθροίσας Σύνοδον καὶ πρὸ αὐτοῦ τοῦ Ἀθανασίου ἐνήργησε τὰ πρὸς διόρθωσιν τῆς καθολικῆς Ἐκκλησίας.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ.

Ὅτι ἐκ τῆς πρὸς τὸν μέγαν Ἀθανάσιον τρίτης ἐπιστολῆς τῦ μεγάλυ Βασιλέυς δείκνυται κατὰ πρόθεσιν τῶν ἐν αὐτῇ γεγραμμένων ἰσοσάσιος ὁ Ἀλεξανδρείας παπᾶ τοῖς Δυτικοῖς Ἐπισκόποις ἐν οἷς καὶ ὁ Ῥώμης.

Οὐ μόνον εἰς ἐπίσκεψιν τῆς κατὰ Ἀντιόχειαν Ἐκκλησίας προσκαλεῖται ὁ Βασίλειος τὸν Ἀθανάσιον, ἀλλὰ καὶ εἰς διόρθωσιν τῶν Ἐκκλησιῶν τῆς Καππαδοκίας, ὅθεν ἐπιστολῇ τρίτῃ πρὸς αὐτὸν λέγει αὐτῷ, ὅσον τῶν Ἐκκλησιῶν τὰ ἀρρώστηματα ἐπὶ τὸ μεῖζον πρόεισι, τοσῦτον πάντες ἐπὶ τὴν σὴν ἐπιστρεφόμεθα πλησίστητα, μίαν ἑαυτοῖς ὑπολείπεσθαι τῶν δεινῶν παραμυθίαν τὴν σὴν προσασίαν πεπιστεύκότες. ἀκούσας παπισὰ, ὁ Βασίλειος ἔγραψε τῷ Ἀθανασίῳ, ὅτι μίαν ἐπέγνων ὁδὸν βοηθείας, τὴν τῶν Δυτικῶν Ἐπισκόπων σύμπνοιαν. τῷ αὐτῷ γράφει, ὅτι πάντες οἱ Καππάδοκες πεπιστεύκασι μίαν ἑαυτοῖς ὑπολείπεσθαι τῶν δεινῶν παραμυθίαν τὴν τῦ Ἀθανασίυ προσασίαν. τὸ δὲ μίαν ὁδὸν βοηθείας, τῷ μίαν ὑπολείπεσθαι παραμυθίαν οὐ καὶ τὸ αὐτόν ἐστιν. ἐκεῖνο εἰς τὸν Πάπαν καὶ τὰς Δυτικὰς Ἐπισκόπας, τῦτο ἐπὶ μόνον τὸν Ἀλεξανδρείας. ἰδὲ περὶ τὰ μάταια σοφὲ, πῶς ἰσοσάσιος ὁ Ἀλεξανδρείας πᾶσι τοῖς Δυτικοῖς Ἐπισκόποις, ἐν οἷς καὶ ὁ Πάπας.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'Δ.

Ὅτι ἐκ τῆς πέμπτης πρὸς τὸν μέγαν Ἀθανάσιον ἐπιστολῆς τῦ μεγάλυ βασιλέυς δείκνυται μέγα τὸ Ἀξίωμα τῦ Ἀθανασίυ, καὶ ἴσον τῷ ἀξιώματι πάντων τῶν δυτικῶν Ἐπισκόπων.

Ὁ Βασίλειος τῷ μεγάλῳ Ἀθανασίῳ ἐπιστολῇ πέμπτῃ μετὰ τὰ πολλὰ λέγει, ἐπεὶ δὲν ὠφέλημται νῶν γνησίως πᾶν τὸ περὶ ἡμᾶς ὑμαίνον κατὰ τὴν πίστιν εἰς τὴν πρὸς ὁμοδόξυς κοινωνίαν καὶ σύνοσιν, θαρρῦντες ἤλθομεν εἰς τὴν παράκλησίν συ τῆς ἀνεξικακίας, ἐπισεῖλαι πᾶσιν ἡμῖν ἐπιστολὴν μίαν, παραίνεσιν ἔχυσαν τῶν πρακτέων, ἵτω γὰρ βάλονται πρόφασιν ὑπάρξαι τὴν ἀρχὴν αὐτοῖς τῶν κοινωνικῶν διαλέξεων. ἰδὲ παπισὰ καὶ τὰ ἑξῆς τῆς ἐπιστολῆς, ἵνα γνῷς ὅτι μέγα τὸ ἀξίωμα τῦ Ἀθανασίυ, καὶ ἴσον τῷ πάντων τῶν Δυτικῶν Ἐπισκόπῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'

Περὶ ἀπολογίας πρὸς τὸ τέταρτον ἐπιχείρημα τῶν παπιστῶν.

Πρὸς δὲ τὸ τέταρτον ῥητέον, ὅτι εἴρηται αὐτοτέρως, μεγάλην συνφρωσύνην εἶναι τῦτο παρὰ τῶν παπιστῶν καὶ αὐχίδειαν, ἐπειδὴ ὁ Βασίλειος τοῖς Δυτικοῖς Ἐπισκόποις εἶπε τὰς λόγυς, καὶ ὁ τῷ Πάπᾳ, οἱ δὲ παπισαὶ αὐτὶ τῦ, τὸ τῇ ὑμετέρᾳ θεοσεβείᾳ χαριεῖσθαι, μεταλλάξαντες τὰ ῥήματα, λέγυσιν, ὃ τῇ σῇ θεοσεβείᾳ ὑπὸ Κυρίυ δεδώρηται. τῦτο δὲ ἐπαρέχει τῷ Πάπᾳ μοναρχίαν, ἀλλ' αἰχμὴν καὶ αὐτιχειροτονίαν. ἀλλὰ καὶ τῇ Σωσόδῳ τῶν Δυτικῶν τῦτο γεγράφει, προσωπικόν ἐστι διὰ τὴν τότε ὀρθοδοξίαν, ἤτοι ἐκείνοις τοῖς Ἐπισκόποις γεγράφαι τὸ συνοδικὸν καὶ πέμψαι αὐτὸ πρὸς τὰς Καππαδόκας, ἐ μὴν καὶ ἁπλῶς ἁρμόσειον πάσῃ Δυτικῇ Συνόδῳ τὸ διακρίνειν τὸ κίβδηλον ἀπὸ τῦ γνησίυ καὶ καθαρῦ, πρῶτον, ὅτι ὁ Πάπας Λιβέριος μετὰ τῦ Ὁσίυ Κορδύβης Ἐπισκόπυ Δυτικῦ ἐδιέκριναν τὸ κίβδηλον τῦ καθαρῦ, ἀλλὰ συνέμιξαν τὸ καθαρὸν μετὰ τῦ κιβδήλυ, ὅτε ὁ Σιρμίῳ ὑπέγραψαν εἰς τὸν ἀρειανισμόν, ὁ δὲ Λιβέριος ἔγραψε καὶ πρὸς τὸν Ἀγαπολίνη βεβαιῶν αὐτὸν, ἢ καὶ οἱ παπισαὶ τερατεύονται λέγοντες, ὅτι ὁ Λιβέριος ἐβεβαίωσε τὸν ἀρειανισμὸν ὀρθοκλικῶς, ἀλλὰ περὶ τῦτυ ἐρῶμεν ἐν τῷ ἕκτῳ βιβλίῳ κεφαλαίῳ δεκάτῳ πέμπτῳ Παραγράφῳ δεκάτῳ τρίτῳ. Ἰδαί; οἱ ἐν Ἀριμίνῳ συνελθόντες τοσῦτοι Ἐπίσκοποι Δυτικοὶ οὐκ ἐβεβαίωσαν πρόφανῶς τὸ Ἀνόμοιον, καὶ κιβδηλεύσαντες τὸ καθαρώτατον μετὰ τῦ κιβδηλοτάτυ ἐτάραξαν τὴν Οἰκυμένην; ἔτι καὶ ὁ σύμμορος Λιβερίυ Πάπας Φίλιξ ἐβεβαίυ τὸν ἀρειανισμὸν, ὡς καὶ ὁ Μάρκελλος τὴν εἰδωλολατρείαν, καὶ ἄλλοι Πάπαι ἄλλως ἐμίγνυον τὸ καθαρὸν καὶ γνήσιον τῆς πίστεως μετὰ τῦ κιβδήλυ, καὶ ἰδὲ βιβλίῳ ἑνὶ τυ κεφάλαια τὰ ὕστατα.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'ς.

Ὅτι καὶ ἐπὶ τοῦ μεγάλου Βασιλείου οἱ Πάπαι Ῥώμης τὸ κίβδηλον τῷ καθαρῷ ἐμίγνυον, καὶ ὅτι ἡ διάκρισις τοῦ καθαροῦ ἀπὸ τοῦ κιβδήλου ἴδιον τῶν Οἰκουμενικῶν Συνόδων καὶ τῶν ἁγίων πατέρων.

Οὐμὴν ἀλλὰ καὶ ἐπὶ Βασιλείου ἐμίγνυον οἱ Δυτικοὶ καὶ ὁ κορυφαῖος αὐτῶν Πάπας τὸ κίβδηλον μετὰ τοῦ καθαροῦ καὶ γνησίου, ὡς ὁ αὐτὸς Βασίλειος μαρτυρεῖ, εἰπὼν ἐν τοῖς ἀνωτέρω ἐντεθεῖσιν αὐτοῦ ῥητοῖς, ὅτι τὴν Μαρκέλλου ἀσέβειαν ἐβεβαίουν. καὶ αὐτοῖς τοῖς Δυτικοῖς γράφων, λέγει περὶ Παυλίνου, ὃν ἐκεῖνοι συνίστων καὶ ἐβεβαίουν ἐν τῇ. Ἀντιοχείᾳ κατὰ τοῦ Ἐξάρχου τῆς δευτέρας Συνόδου θεοφόρου Μελετίου. λέγει λοιπὸν ὁ Βασίλειος τοῖς Δυτικοῖς, ὁ μέντοι Παυλῖνος εἰ μέντι κατὰ τὴν χειροτονίαν ἐπιλήψιμον ἔχει, αὐτοὶ ἂν εἴποιτε, ἡμᾶς δὲ λυπεῖ τοῖς Μαρκέλλου πεποιθὼς δόγμασι, καὶ τοὺς ἀκολουθοῦντας αὐτῷ ἀδιακρίτως εἰς κοινωνίαν αὐτοῦ προέμενος. τὶς δὲ ἦν ἡ Μαρκέλλου Αἵρεσις λέγει ἐν ταὐτῷ, ὥστε οὐκ αὖτις ἁμάρτοι Χριστιανισμοῦ μὲν παντελῶς ἀλλοτρίαν ἀποφαίνων τὴν Αἵρεσιν, Ἰουδαϊσμὸν δὲ παρεφθαρμένον αὐτὴν προσαγορεύων. σὺ δὲ πρόσθες ὅτι ὁ Λιβέριος καὶ ἡ ἐν Σικελίᾳ Σύνοδος ἀπατηθέντες ὑπὸ τῶν Μακεδονιανῶν, συνέμιξαν τὸ κίβδηλον μετὰ τοῦ καθαροῦ καὶ γνησίου, ὥστε τὸ διακρίνειν τὸ κίβδηλον ἀπὸ τοῦ καθαροῦ ἔμεινεν εἶναι ἴδιον τῇ κοινῇ Ἱερωσύνῃ, ἤτοι ταῖς Οἰκουμενικαῖς Συνόδοις, αἵτινες καὶ τῶν Δυτικῶν Συνόδων καὶ τοῦ κορυφαίου αὐτῶν Πάπα ἐξετάζουσι, κρίνουσι καὶ ἀνακρίνουσι τὰς ἐπιστολὰς, καὶ τὰς συνοδικὰς ἀποφάσεις, καὶ ἰδὲ τοὺς τόπους ἐν τῇ τρίτῃ, τετάρτῃ, πέμπτῃ, ἕκτῃ καὶ ἑβδόμῃ ταῖς Οἰκουμενικαῖς Συνόδοις. ἀλλὰ δὴ καὶ ἕκαστος τῶν ἁγίων πατέρων διακρίνει τὸ κίβδηλον ἀπὸ τοῦ γνησίου καὶ καθαροῦ, καὶ ἰδὲ περὶ Βασιλείου, Ἀθανασίου καὶ Γρηγορίου καὶ ἄλλων τὸν προσφωνητικὸν τῆς ἐν Χαλκηδόνι Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Περὶ ἀπολογίας πρὸς τὸ πέμπτον ἐπιχείρημα τῶν παπιστῶν.

Πρὸς δὲ τὸ πέμπτον ῥητέον, οὐκ ἐῤῥέθη τὸ ἐγκώμιον τῷ Πάπᾳ, ἀλλὰ τοῖς Δυτικοῖς Ἐπισκόποις, καὶ προσωπικῶς, καὶ πρὸς καιρὸν. ἐγκώμια δὲ ἐῤῥέθη παρὰ τοῦ Βασιλείου καὶ εἰς ἄλλους τινὰς, ἐξ ὧν οὐδὲν ἐῤῥέθη τῷ Πάπᾳ, καὶ ἰδὲ βιβλίου δεκάτου μέρους δευτέρου κεφάλαιον ἕβδομον, οὐμὴν ἀλλὰ καὶ παρὰ τῶν ἁγίων πατέρων καὶ τῶν Οἰκουμενικῶν Συνόδων ἐῤῥέθη ἐγκώμια εἰς πολλοὺς πατέρας, ἅτινα οὐδέποτε ἐῤῥέθη τῷ Ῥώμης, καὶ ἰδὲ τοῦ δεκάτου βιβλίου τὸν αὐτὸν τόπον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Περὶ ἀπολογίας πρὸς τὸ ἕκτον ἐπιχείρημα τῶν παπιστῶν.

Πρὸς δὲ τὸ ἕκτον ῥητέον, ὅτι δέδοται τὸ κίβδηλον διακρίνειν ἀπὸ τοῦ καθαροῦ τῇ κοινότητι τῆς Ἱερωσύνης ὡς εἴρηται μᾶλλον τοῦ Πάπα, καὶ ἰδὲ τοὺς τόπους τῶν Συνόδων βιβλίῳ δεκάτῳ μέρει τρίτῳ. ἐντεῦθεν δὲ δείκνυται ὅτι ὁ Πάπας τῆς Ῥώμης ἅγιος ὢν, εἷς ἐστι τῶν πατέρων ὡς φαίνεται ἐν ταῖς μαρτυρίαις, δι' ὧν αἱ Οἰκουμενικαὶ Σύνοδοι ἐβεβαίωσαν τὰ συμπεράσματα αὐτῶν, μὴ ὢν δὲ ἅγιος, ἐλάττων ἐστὶ τῶν ἁγίων, Αἱρετικὸς δὲ ὢν, οὔτε Ἐπίσκοπός ἐστιν, οὔτε Χριστιανὸς, ἀλλὰ μέλος σεσηπὸς καὶ ἀποκεκομμένον τῆς καθολικῆς Ἐκκλησίας, καὶ ἰδὲ βιβλίου ἐνάτου κεφάλαια τὰ ἔσχατα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'.

Περὶ ἀπολογίας πρὸς τὸ ἕβδομον ἐπιχείρημα τῶν παπιστῶν.

Πρὸς δὲ τὸ ἕβδομον ῥητέον, ὅτι διατοῦτο δείκνυνται οἱ παπισταὶ ὅτι οὐ μόνον Αἱρετικοί εἰσιν, ἀλλὰ καὶ Αἱρετικώτατοι, καὶ τῷ ἀθεϊσμῷ ἀγχίθυροι, ἐπειδὴ λέγουσιν ὅτι ἥμαρτον αἱ Σύνοδοι ἔντισιν, ἐν οἷς καταλέγουσι καὶ τὰς Οἰκουμενικὰς, ὅπερ αἱρετικὸν καὶ ἀσεβέστατόν ἐστιν. ἀλλὰ περὶ τούτου ἐν τῷ ἕκτῳ βιβλίῳ ἐροῦμεν σὺν Θεῷ.

Παρά-

ΠΑΡΑ΄ΓΡΑΦΟΝ Κ΄.

Ὅτι ἐκ τῆς πρὸς Ἰταλίαν καὶ Γαλλίαν ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου δείκνυται μὴ εἰδέναι τὸν Βασίλειον τὸ νῦν μοναρχικὸν ἀξίωμα τοῦ Ῥώμης, ἀλλὰ τὴν ἀρχαιότητα τῆς Ἀνατολικῆς Ἐκκλησίας, καὶ τὸν Ῥώμης Αἱρετικὸν γενέσθαι δυνατόν ἐστι βεβαιοῦντα.

Ῥητέον καὶ τοῦτο, ὁ Βασίλειος ὅτι οὐκ ἐγίνωσκε τὸ ἀναμάρτητον τοῦ Ῥώμης περὶ τὴν πίστιν, καὶ τὸ μοναρχικὸν, δῆλον, γράφει γὰρ τοῖς κατὰ Ἰταλίαν καὶ Γαλλίαν Ἐπισκόποις βραδύνουσι, καὶ τὸν καιρὸν ἀναβαλλομένοις πέμψαι βοήθειαν τοῖς Ἀνατολικοῖς ταῦτα, καὶ δέος ἐστὶ μὴ τὰς ἡμετέρας Ἐκκλησίας καταφαγοῦσα (ἡ Αἵρεσις) ἕρψει λοιπὸν καὶ ἐπὶ τὸ ὑγιαῖνον μέρος τῆς καθ' ὑμᾶς Παροικίας. καὶ ἐπειδὴ τὸ Εὐαγγέλιον τῆς Βασιλείας ἀπὸ τῶν ἡμετέρων τόπων ἀρξάμενον, εἰς πᾶσαν ἐξῆλθε τὴν Οἰκουμένην, διὰ τοῦτο ὁ κοινὸς τῶν ψυχῶν ἡμῶν ἐχθρὸς τὰ τῆς ἀποστασίας σπέρματα ἀπὸ τῶν αὐτῶν τόπων τὴν ἀρχὴν λαβόντα εἰς πᾶσαν τὴν Οἰκουμένην διαδοθῆναι φιλονεικεῖ. πρὸς οὓς γὰρ ἔλαμψεν ὁ φωτισμὸς τοῦ Χριστοῦ, ἐπὶ τούτοις ἐλθεῖν καὶ τὸ τῆς ἀσεβείας σκότος ἐπινοεῖ. διὰ τῶν ῥημάτων τούτων ὁ Βασίλειος βεβαιοῖ ὅτι καὶ τὸν Πάπαν καὶ τοὺς Δυτικοὺς ἐνδέχεται γενέσθαι Αἱρετικοὺς, ὡς καὶ γεγόνασιν. ἐν τεῦθεν δείκνυται καὶ τὸ τοῦ Εἰρηναίου, ὅτι ἐκεῖνος ἀρχαιοτάτην Ἐκκλησίαν εἶπε τὴν Ῥώμην, παραβαλλομένην μετὰ τῶν ἁπανταχοῦ Ἐκκλησιῶν. ἰδοὺ γὰρ ὁ Βασίλειος ἀρχαιοτάτην Ἐκκλησίαν τὴν τῆς Ἀνατολῆς μαρτυρεῖ, ὁ δὲ Εἰρηναῖος εἶπεν ἀρχαιοτάτας Ἐκκλησίας συναριθμῶν τὴν ῥωμαϊκὴν Ἐκκλησίαν μετὰ τῶν τῆς Ἀνατολῆς Ἐκκλησιῶν, καὶ ἰδὲ ἀνωτέρω βιβλίου πρώτου κεφαλαίου ἑνδεκάτου Παράγραφον πέμπτον.

ΠΑΡΑ΄ΓΡΑΦΟΝ ΚΑ΄.

Ἀπόκρισις πρὸς τοὺς παπιστὰς, λέγοντας δεῖ εἶναι κεφαλήν τινα μετὰ Χριστὸν ἀναμάρτητον, ἐκ τῆς πρὸς Παραλιώτας Ἐπισκόπους ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου, καὶ τῆς εἰς τὸν τεσσαρακοστὸν τέταρτον ψαλμὸν ἑρμηνείας, καὶ τῆς ἐν Λακίζοις ὁμιλίας αὐτοῦ, ὅτι οὐχ ὁ Πάπας κεφαλὴ τῆς καθόλου Ἐκκλησίας, ἢ ἀναμάρτητος, ἀλλ' ὁ Χριστός, ἀλλ' οὔτε Βασιλεὺς καὶ Ἐπίσκοπος, ἁπλῶς δὲ μόνον Ἐπίσκοπος.

Ἀλλὰ καὶ τὸ παρὰ τῶν παπιστῶν λεγόμενον περὶ τοῦ Πάπα, ὅτι μετὰ Χριστὸν δέον εἶναι κεφαλήν τινα, ἥτις ἐρεῖ τοῖς ποσὶ χρείαν ὑμῶν οὐκ ἔχω, τοῦτο ὁ Βασίλειος παντὶ Ἐπισκόπῳ δίδωσι προσήκειν, γράφων γὰρ Παραλιώταις Ἐπισκόποις λέγει, εἴτε κεφαλὴν ἑαυτοὺς τῆς καθόλου Ἐκκλησίας λογίζεσθε, οὐ δύναται ἡ κεφαλὴ εἰπεῖν τοῖς ποσὶ χρείαν ὑμῶν οὐκ ἔχω, εἴτε ἐν ἄλλῃ τάξει τῶν ἐκκλησιαστικῶν μελῶν ἑαυτοὺς τάσσετε, οὐ δύνασθε λέγειν τοῖς ἐν τῷ αὐτῷ σώματι συντεταγμένοις ὑμῖν τὸ, χρείαν ὑμῶν οὐκ ἔχω, ἡμεῖς μὲν γὰρ ὁμολογοῦμεν τὸ ἑαυτῶν ἀσθενὲς, καὶ ἐπιζητοῦμεν τὴν σύμπνοιαν ὑμῶν, καὶ τὰ ἑξῆς. ὅτι δὲ ὁ Βασίλειος μίαν τῆς Ἐκκλησίας κυρίως κεφαλὴν ἐπρέσβευε, καὶ ταύτην πνευματικὴν, καὶ μὴ διαλείπουσαν τῆς Ἐκκλησίας, ὥστε εἶναι χρεία καὶ δευτέρας καὶ αἰσθητῆς, καὶ ὅτι οὐ τινὶ, ἢ τῷ Πάπᾳ, ἀλλὰ κοινῶς τῇ Ἐκκλησίᾳ χαρίζεται ὁ Θεὸς τὸ ἀναμάρτητον, καὶ ὅτι εἷς καὶ μόνος ἐστὶν ὁ κοινὸς τῶν Χριστιανῶν πατὴρ, δῆλον, λέγει γὰρ ἐν τῇ ἑρμηνείᾳ τοῦ τεσσαρακοστοῦ τετάρτου ψαλμοῦ, ἐπειδὴ ἡ Ἐκκλησία σῶμά ἐστι τοῦ Κυρίου, καὶ αὐτὸς κεφαλὴ τῆς Ἐκκλησίας. οὐ μνημονεύει δὲ δευτέρας, ἀλλὰ μιᾶς καὶ μόνης. καὶ ψαλμῷ τεσσαρακοστῷ πέμπτῳ λέγει, εἴτε τῇ κάτω Ἐκκλησίᾳ ἐφαρμόσει τὸ ὄνομα, ἡγίασεν ἐν αὐτῇ τὸ σκήνωμα αὐτοῦ ὁ Κύριος, καὶ διὰ τοῦ σκηνώματος τούτου ὃ κατεσκήνωσεν, ὁ Θεὸς ἐν μέσῳ αὐτῆς ἐγένετο, χαριζόμενος αὐτῇ τὸ μὴ σαλεύεσθαι, ἐν μέσῳ δὲ τῆς πόλεώς ἐστιν ὁ Θεὸς, ἴσως πανταχόθεν ἐπὶ τὰ πέρατα τοῦ κύκλου τὰς ἀκτίνας ἐκπέμπων. καὶ ὁμιλίᾳ ἐν Λακίζοις, πάντες συγγενεῖς, πάντες ἀδελφοὶ, ἑνὸς πατρὸς ἔκγονοι πάντες, ἐὰν τὸν πνευματικὸν ζητῇς, πατὴρ ὁ οὐράνιος. οὐκ εἶπε δὲ ὅτι ἐστὶ καὶ ἕτερος πατὴρ κοινὸς ἐπὶ τῆς γῆς. ὅτι δὲ οὐκ ἐγίνωσκεν εἶναι τινὰ Ἐπίσκοπον καὶ Βασιλέα, δηλοῖ ἐν τῷ περὶ ταπεινοφροσύνης λόγῳ φάσκων, προεδρίας ἠξιώθης, γίνου τοῖς ὑπηκόοις ἴσος, μὴ ὡς κατεξουσιάζων τοῦ Κλήρου, μηδὲ κατὰ τοὺς κοσμικοὺς Ἄρχοντας.

ΠΑΡΑ΄ΓΡΑΦΟΝ ΚΒ΄.

Ὅτι ἐκ τῆς πρὸς Νεοκαισαρεῖς ἐπιστολῆς τοῦ μεγάλου Βασιλείου δείκνυται μὴ ἕνα κανονίζειν τὴν Ἐκκλησίαν, ἀλλὰ πολλοὺς, καὶ ἐκ τῶν πολλῶν τὴν ὀρθόδοξον βεβαιοῦσθαι πίστιν, καὶ ὅτι οὐδεμία μνήμη παρὰ τῷ Βασιλείῳ τοῦ Ῥώμης ἀριθμοῦντι τὰ σύμψυχα γένη. ὥστε οὐδὲ μοναρχία αὐτοῦ ἐστι.

Ὅτι

Ὅτι δὲ οὐχ εἷς κανονίζει τὴν Ἐκκλησίαν, ἀλλὰ πολλοὶ, καὶ ἐκ τῶν πολλῶν βεβαιοῦται ἡ ὀρθόδοξος πίστις λέγει ὁ αὐτὸς ἐπιστολῇ πρὸς Νεοκαισαρεῖς, ἐγὼ γὰρ δεξάμενος τὰ γράμματα τοῦ μακαρίτου πατρὸς Ἀθανασίου τοῦ τῆς Ἀλεξανδρείας Ἐπισκόπου, ἃ καὶ ἔχων ἐν χερσὶ καὶ προβάλλων τοῖς ἐπιζητοῦσιν, ἐν οἷς φανερῶς διηγόρευσεν, εἴτις ἐκ τῆς τῶν Ἀρειανῶν Αἱρέσεως βούλοιτο μετατίθεσθαι ὁμολογῶν τὴν ἐν Νικαίᾳ πίστιν τοῦτον προσίεσθαι μηδὲν διακρινομένους ἐπ' αὐτῷ, κἀκ τούτου τοῦ δόγματος κοινωνικούσμοι παρεχομένου τούς τε τῆς Μακεδονίας καὶ Ἀχαΐας Ἐπισκόπους ἕπεσθαι, νομίζων ἀναγκαῖον εἶναι ἀκολουθεῖν ἀναντιρρήτως τούτῳ διὰ τὸ ἀξιόπιστον τῶν νομοθετησάντων, ὁμοῦ δὲ ἐπιθυμῶν τὸν τῆς εἰρήνης μισθὸν ἐπιδέξασθαι, ὡς ταύτην ὁμολογοῦντας τὴν πίστιν ἐγκατέταστον τῇ μερίδι τῶν κοινωνικῶν. δικαιότερον δὲ τὰ καθ' ἡμᾶς κρίνεσθαι μὴ ἐξ ἑνὸς ἢ δευτέρου τῶν μὴ ὀρθοποδούντων πρὸς τὴν ἀλήθειαν, ἀλλ' ἐκ τοῦ πλήθους τῶν κατὰ τὴν Οἰκουμένην Ἐπισκόπων, συνημμένων ἡμῖν χάριτι Χριστοῦ. ἐξεταστῶσι δὲ Πισῖδαι, Λυκάονες, Ἴσαυροι, Φρύγες, ἑκάτεροι Ἀρμενίων, Μακεδόνες, Ἀχαιοὶ, Ἰλλυριοὶ, Γάλλοι, Ἱσπανοὶ, Ἰταλία πᾶσα, Σικελιῶται, Ἄφροι, Αἰγύπτου τὸ ὑγιαῖνον, τῆς Συρίας ὁπόσον λείψανον, οἵτινες σύμψυχοι πάντες ἐσμὲν, τὸ ἓν φρονοῦντες, ὥστε ὁ τὴν πρὸς ἡμᾶς κοινωνίαν ἀποδιδράσκων πάσης ἑαυτὸν τῆς Ἐκκλησίας ἀπορρήγνυσιν. ἀκούεις παπιστὰ πῶς ἐκ τῶν πολλῶν βεβαιοῦται ἡ πίστις; πῶς ἐν τοιούτοις περὶ πίστεως μεγάλοις οὐ δεμία μνήμη ἐστὶ τοῦ Πάπα; ὥστε οὐδὲ μοναρχία οὔτε ἄκρα ἐξουσία ἐστὶν ἐν Ῥώμῃ, ἀλλὰ μάλιστα ἀκοινωνία, καὶ ἀπόρρηξις ἀπὸ τῆς καθολικῆς Ἐκκλησίας διὰ τὴν οἴησιν τῆς μοναρχίας.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΓ'.

Ὅτι ἐκ πάντων τῶν τοῦ μεγάλου Βασιλείου ῥητῶν, καὶ τοῦ τελευταίου κεφαλαίου τῶν κατὰ πλάτος Ὅρων, καὶ τῆς ἑρμηνείας τοῦ εἰκοστοῦ ὀγδόου ψαλμοῦ δείκνυται συλλογιστικῶς τὸν εἰς τὸν Πάπαν πιστεύοντα, ἢ προσκυνοῦντα αὐτὸν, εἶναι ἄθεον.

Ὅτι δὲ καὶ τὸ πιστεύειν εἰς τὸν Πάπαν οὐκ ἐγίνωσκεν ὁ Βασίλειος, δῆλον ἐκ πάντων τῶν αὐτοῦ συγγραμμάτων. ἐν δὲ τῷ τελευταίῳ κεφαλαίῳ τῶν κατὰ πλάτος Ὅρων εἰπὼν πολλάκις τί ἐστι Χριστιανὸς, καὶ τί τὸ ἴδιον Χριστιανοῦ, οὐκ ἐμνήσθη τοῦ Πάπα, μάλιστα δὲ τὸν προσκυνοῦντα ἄνθρωπον, ἄθεον οἶδεν ὁ Βασίλειος, φησὶ γὰρ ἐν τῇ ἐξηγήσει τοῦ εἰκοστοῦ ὀγδόου ψαλμοῦ, οὐδεὶς θεοποιῶν τὶ ἄλλο παρὰ τὸν Θεὸν, δύναται προσκυνῆσαι τῷ Θεῷ, ὡσεὶ ἔλεγεν, ἐπειδὴ οἱ παπισταὶ θεοποιοῦσί τι ἄλλο παρὰ τὸν Θεὸν, δηλονότι τὸν Πάπαν, καὶ γὰρ διαπρυσίῳ φωνῇ λέγουσιν αὐτὸν Θεὸν ἐπίγειον, οὐ δύνανται προσκυνῆσαι τῷ Θεῷ, οἱ δὲ τοιοῦτοι, ἄθεοι δήπου εἰσί. καὶ ταῦτα ἐκ τῶν πολλῶν ὀλίγα πρὸς τὰ ῥητὰ τοῦ Βασιλείου, ἃ προσφέρουσιν οἱ Λατῖνοι ὑπὲρ τῆς ἀρχῆς τοῦ Πάπα.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Ὅτι οὔτε ὁ ἅγιος Ἐπιφάνιος ἐγίνωσκεν ὅλως τὸ βέβηλον πρωτεῖον τοῦ Ἐπισκόπου Ῥώμης, ἢ ἐξουσίαν τινὰ γενικὴν τινὸς τῶν πάντων Ἐπισκόπων ἐπὶ τῆς καθόλου Ἐκκλησίας.

Καὶ πρῶτον μὲν Αἱρέσει Καρποκρατιανῶν λέγει, ἐν Ῥώμῃ γεγόνασι Πέτρος καὶ Παῦλος οἱ Ἀπόστολοι αὐτοὶ καὶ Ἐπίσκοποι, εἶτα Λῖνος, εἶτα Κλῆτος, εἶτα Κλήμης, Εὐάρεστος, καὶ οἱ καθεξῆς. καὶ σημείωσαι ὅτι οὐμόνον τοῦ Πέτρου διάδοχοι ἦσαν οἱ Πάπαι Ῥώμης, ἀλλὰ καὶ τοῦ Παύλου. καὶ ὡς ἦσαν τοῦ Πέτρου διάδοχοι ἀμέσως, οὕτως ἦσαν καὶ τοῦ Παύλου, οὐκ εἶχε δὲ ὁ Παῦλος ἐξουσίαν τινὰ μείζονα τῶν λοιπῶν Ἀποστόλων, καὶ ἐπὶ τῶν Ἀποστόλων, ἄρα οὐδὲ ὁ Πέτρος εἶχε τοιαύτην, καὶ λοιπὸν οὐδὲ οἱ Ἐπίσκοποι Ῥώμης ἔχουσι τινὰ ἐξουσίαν ἐπὶ τῶν λοιπῶν Ἐπισκόπων τῆς καθολικῆς Ἐκκλησίας. ἔτι οὐμόνος ὁ Πέτρος ἦν Ἐπίσκοπος Ῥώμης, ἀλλὰ ὡσαύτως καὶ ὁ Παῦλος. δεύτερον, Ἀρέσει Ναζωραίων λέγει, τὸ Βασίλειον τοῦ Δαβὶδ ὁ Χριστὸς μεταστήσας, καὶ χαρισάμενος τοῖς ἑαυτοῦ δούλοις ἅμα τῇ Ἀρχιερωσύνῃ, τουτέστι τοῖς Ἀρχιερεῦσι τῆς καθολικῆς Ἐκκλησίας. καὶ σημείωσαι ὅτι ὁ Χριστὸς ἔδωκε τὴν πνευματικὴν Βασιλείαν ἐξίσου τοῖς Ἀποστόλοις, καὶ τοῖς Ἀρχιερεῦσι τῆς καθόλου Ἐκκλησίας διὰ τῶν Ἀποστόλων. λοιπὸν ἥντινα Βασιλείαν εἶχεν ὁ Πέτρος, εἶχον καὶ οἱ λοιποὶ Ἀπόστολοι, καὶ ἥντινα εἶχον οἱ Ἀπόστολοι, εἶχον καὶ ἔχουσι πάντες οἱ Ἐπίσκοποι, ὥστε ἐξίσου διάδοχοι πάντες οἱ Ἐπίσκοποι πάντων τῶν Ἀποστόλων. κόμπος ἄρα ὅτι ὁ Πέτρος ἦν Αὐτοκράτωρ

τῶν

τῶν Ἀποστόλων, τὸ γὰρ Βασίλειον τοῦ Δαβὶδ ἐξίσου πᾶσι τοῖς Ἀποστόλοις δέδωκεν ὁ Κύριος. τρίτον, Αἱρέσει Βαλεντίνων φησὶν, ἡμῶν γὰρ Ἐκκλησία καίπερ καθ' ὅλης τῆς Οἰκουμένης ἕως περάτων τῆς γῆς διεσπαρμένη, παρὰ δὲ τῶν Ἀποστόλων, καὶ τῶν ἐκείνων μαθητῶν παραλαβοῦσα τὴν πίστιν. Καὶ σημείωσαι ὅτι οὐκ ἔστιν ἡ ἐν Ῥώμῃ Ἐκκλησία ἡ καθολικὴ, ἀλλ' ἡ πανταχοῦ διεσπαρμένη, ἥτις οὐκ ἔλαβε τὴν πίστιν ἀπὸ τοῦ Πέτρου, ἀλλὰ κοινῶς παρὰ τῶν Ἀποστόλων, οὔτε παρὰ τοῦ Ῥώμης, ἀλλὰ κοινῶς παρὰ τῶν μαθητῶν τῶν Ἀποστόλων, ἤτοι παρὰ τῶν ἀμέσως διαδόχων τῶν Ἀποστόλων, καὶ καθεξῆς παρὰ τῶν ἁγίων πατέρων. οὐκ ἔστιν ἄρα ὁ Πάπας τῆς Ῥώμης μόνος κατ' ἐξοχὴν Διδάσκαλος ἐπὶ τῆς καθόλου Ἐκκλησίας, ὡς ἐφλυάρησεν ὁ τῆς ἐν Φλωρεντείᾳ Συνόδου Ὅρος. τέταρτον, ἐν τῇ αὐτῇ Αἱρέσει φησὶ, καὶ οὔτε ὁ πάνυ δυνατὸς ἐν λόγῳ τῶν ἐν ταῖς Ἐκκλησίαις προεστώτων ἕτερα τούτων ἐρεῖ, οὐδεὶς γὰρ ὑπὲρ τὸν Διδάσκαλον. οὔτε ὁ ἀσθενὴς ἐν τῷ λόγῳ ἐλαττώσει τὴν παράδοσιν, μιᾶς γὰρ καὶ τῆς αὐτῆς πίστεως οὔσης, οὔτε ὁ πολὺ περὶ αὐτῆς δυνάμενος εἰπεῖν ἐπλεόνασεν, οὔτε ὁ τὸ ὀλίγον ἠλαττόνησε. καὶ σημείωσαι ὅτι ὁ Πάπας παρὰ τὴν παράδοσιν διδάσκων, οὐκ ἔστι κοινὸς Διδάσκαλος, ὡς ὁ ῥηθεὶς Ὅρος ῥαψῳδεῖ. καὶ τῶν τοῦ Πάπα σχολαστικῶν σοφῶν ὄντων, ἡ κατασεσοφισμένη καὶ ἔντεχνος θεολογία περιττὴ καὶ ματαία ἐστί. πέμπτον, Αἱρέσει τοῦ Κέρδωνος φησὶν, οὗτος τοίνυν ὁ Κέρδων ἐν χρόνοις Ὑγίνου γέγονεν Ἐπισκόπου, τοῦ ἔνατον κλῆρον ἄγοντος ἀπὸ τῆς τῶν περὶ Ἰάκωβον καὶ Πέτρον καὶ Παῦλον Ἀποστόλων διαδοχῆς. καὶ λοιπὸν ἀκούεις παπιστὰ πῶς προτάττεται ὁ Ἰάκωβος τοῦ Πέτρου, ἀκούεις πῶς μία ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ ἡ διαδοχὴ Ἰακώβου, Πέτρου, Παῦλου καὶ τῶν λοιπῶν Ἀποστόλων, ἀκούεις πῶς ἐξίσου ἦν διάδοχος ὁ Πάπας Ὑγῖνος τῶν περὶ Ἰάκωβον καὶ Πέτρον καὶ Παῦλον, ὥστε πεπλασμένη ἐστὶν ἡθρυλλουμένη κατὰ σὲ τοῦ Πέτρου ἐν Ῥώμῃ διαδοχή. ἕκτον, ἐν τῇ τοῦ Μαρκίωνος Αἱρέσει φησὶν, οὐκ ἔστιν Ἐκκλησία εἰς ὄνομα Ἀποστόλων ἀνηγορευμένη, οὐδέ ποτε γὰρ ἠκούσαμεν, ἢ Πετρίους, ἢ Παυλίους, ἢ Βαρθολομαίους, ἢ Θαδδαίους, ἀλλὰ ἀπ' ἀρχῆς ἓν κήρυγμα πάντων τῶν Ἀποστόλων. Καὶ, διὸ καὶ ὄνομα τῆς Ἐκκλησίας οἱ πάντες ἔθεντο ἕν, οὐχ ἑαυτῶν ἀλλὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπὸ Ἀντιοχείας ἀρξαμένων Χριστιανῶν καλεῖσθαι, ὅπερ ἐστιν ἡμόνη καθολικὴ Ἐκκλησία. καὶ σημείωσαι ὅτι ἀσέβεια προφανής ἐστι τὸ τῶν παπιστῶν διὰ Γεωργίου Τραπεζουντίου, ἤτοι τὸ πᾶσαι αἱ Ἐκκλησίαι τῇ τῆς Ῥώμης ἑνίζονται, αὕτη δὲ τῷ Πάπᾳ. ἰδοὺ γάρ φησιν ὁ Ἐπιφάνιος ὅτι οἱ Ἀπόστολοι οὐκ ἔθεντο ἕτερον ἐνώσεως ὄνομα ταῖς Ἐκκλησίαις, ἀλλὰ μόνον τὸ τοῦ Κυρίου, εἷς γὰρ Κύριος, μία πίστις, ἓν βάπτισμα καὶ μία Ἐκκλησία ἡ καθολικὴ ἑνιζομένη τῷ Χριστῷ, ὃν καὶ μόνον ἔχει κεφαλήν.

οἱ δὲ τὸν Πάπαν ἕνωσιν λέγοντες καὶ τὸν Πέτρον, Πετριανοὶ καλοῦνται καὶ παπισταὶ, ὅθεν καὶ ἔξωθέν εἰσι τῆς καθολικῆς Ἐκκλησίας. φησὶ γὰρ ὁ αὐτὸς Αἱρέσει τοῦ Μοντανοῦ, Χριστὸν μὴ δοξάζων (μόνον δηλονότι, καὶ γὰρ οὐ δίδωσιν ἑτέρῳ ὁ Θεὸς τὴν δόξαν τῆς πίστεως) εὑρεθήσεται ἐκτὸς εἶναι σώματος Ἐκκλησίας, καὶ κεφαλῆς τοῦ σύμπαντος, καὶ μὴ κρατῶν τὴν κεφαλὴν, ἐξ ἧς περ πᾶν τὸ σῶμα συναρμολογούμενον αὔξει, κατὰ τὸ γεγραμμένον, ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἑαυτὸν ἔδειξεν ὄντως ὢν Υἱὸς ἐν ἀληθείᾳ, Μοντανὸς δὲ ἑαυτὸν Πατέρα λέγει. καὶ σημείωσαι ὅτι ὁ Πάπας ἑαυτὸν ἄλλον Θεὸν λέγων, κατὰ Μοντανόν ἐστι. ἕβδομον, Αἱρέσει Ἀλόγων φησὶν, ἔδει τὸν Κύριον τῷ εὐαγγελιστῇ Ματθαίῳ τελώνῃ ὄντι, καὶ ἀναστρέψαντι ἀπὸ ἀδικίας, εἰς ὑπόδειγμα ἡμῶν τῶν μελλόντων σώζεσθαι παρασχέσθαι τὸ Κήρυγμα τῆς σωτηρίας, ἵνα ἀπ' αὐτοῦ μάθωσιν οἱ ἄνθρωποι τὴν τῆς παρουσίας φιλανθρωπίαν. καὶ σημείωσαι ὅτι τοῦτο ταὐτόν ἐστι τῷ, καὶ σύποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου, πρὸς μετάνοιαν δηλονότι, ἐπειδὴ παρατραπεὶς καὶ ἀρνησάμενος, εἶτ' ἀναστρέψας ἀπὸ τῆς ἀρνήσεως, καὶ κλαύσας πικρῶς, προσεδέχθη ὁ Πέτρος, ὡς καὶ ὁ Ματθαῖος ἀρνησάμενος τὴν ἀσέβειαν καὶ τὸν ζυγὸν τοῦ τελωνίου, ἐδέχθη, καὶ Ἀπόστολος ἀποκατέστη. ὄγδοον, ἐν τῇ αὐτῇ Αἱρέσει λόγον ποιούμενος, διατὶ πρῶτον ἐκάλεσε τὸν Ἀνδρέαν ὁ Κύριος, εἶτα ὁ Πέτρος πρῶτος ἐγένετο, λέγει ὅτι ἀπὸ τοῦ Πέτρου ἡ τελεία αὐτοῖς ἀπόταξις γεγένηται, καὶ ἔτι δὲ κατὰ τοῦτο, ὅτι Θεός ἐστιν ὁ εἰδὼς τὰς κλίσεις τῶν καρδιῶν, καὶ γινώσκων τὶς ἐν πρώτοις ἄξιος τάττεσθαι, καὶ ἐξελέξατο τὸν Πέτρον ἀρχηγὸν εἶναι τῶν αὐτοῦ μαθητῶν. Τάττεσθαι εἶπε, καὶ οὐκ ἐξουσιάζειν, ἀρχηγὸς ἤτοι πρῶτος τῇ τάξει, καὶ οὐ κατά τινα ἐξουσίαν. ἔνατον, Αἱρέσει τοῦ Μάνεντος, σπουδάζων ἵνα δείξῃ τὴν ἀποστολικὴν διαδοχὴν ἐν τῇ Ἐκκλησίᾳ, οὐ προβάλλεται τὴν διαδοχὴν τοῦ Πέτρου, ἀλλὰ τὴν τοῦ Ἀδελφοθέου ἀπ' αὐτοῦ ἕως τοῦ Βασιλέως Οὐάλεντος. καὶ σημείωσαι ὅτι ἡ διαδοχὴ ἐν τῇ Ἐκκλησίᾳ οὐκ ἔστι παρὰ τοῦ Πέτρου μόνου, ἀλλὰ παρὰ τοῦ Πέτρου καὶ παρὰ τῶν λοιπῶν Ἀποστόλων, καὶ παρὰ πάντων ὡσαύτως καὶ ἐξίσου, καὶ ἰδὲ τὸν τόπον. δέκατον, ὁ αὐτὸς περὶ τῶν Ἀπολιναριστῶν λέγει, ἀνάγκη γέγονε Σύνοδον συγκροτηθῆναι καὶ ἀναθεματίσαι τοὺς τοιούτους. οὐ λέγει δὲ ὅτι ἠθροίσθη ἡ Σύνοδος ὁρισμῷ τοῦ Ῥώμης, οὐδὲ ὅτι ἀναγκαίως ὁ Πάπας τοὺς τοιούτους ἀνεθεμάτισεν ὡς πρῶτος τῇ ἐξουσίᾳ, ἀλλ' ὅτι ἡ Σύνοδος, ἐπειδὴ δηλονότι ἡ Σύνοδός ἐστιν ὁ πρῶτος καὶ ἔγγιστα κριτὴς ἐν τῇ Ἐκκλησίᾳ. ἐν ταὐτῷ λέγει, ὅτι ὁ Ἀθανάσιος γράψας περὶ πίστεως πρὸς Ἐπίκτητον, τοὺς (περὶ Ἀπολινάριον) Αἱρετικοὺς ἀπεκήρυξε, τουτέστι κρίνας τὴν Αἵρεσιν αὐτῶν, ἀπεκήρυξεν. οὐ λέγει δὲ ὅτι ἠρώτησε τὸν Ῥώμης, ἢ προτροπῇ τοῦ Ῥώμης, ἀλλ' ἰδίᾳ αὐθεντίᾳ δηλονότι

τοῦτο

τοῦτο πεποίηκε. καὶ ὅτι Παυλῖνος ὁ Πατριάρχης Ἀντιοχείας ἐγκαλούμενος ὅτι ἐστὶ κατὰ Σαβέλλιον Αἱρετικὸς, ἀπολογούμενος ἔγραψεν ἔκθεσιν πίστεως, καὶ ἔδωκεν οὐ τῷ Ῥώμης, ἀλλὰ τῷ Ἀλεξανδρείας Ἀθανασίῳ. ἐν αὐτῇ τῇ Αἱρέσει, ἤτοι Διμοιρητῶν λέγει ὁ αὐτὸς, ἤτοι ὁ Ἐπιφάνιος, ὅτι ὁ Ἀντιοχείας Οὐϊτάλιος ἦν Αἱρετικὸς, ἐκεῖνος δηλονότι ὃν ὁ Ῥώμης Δάμασος ἀπατηθεὶς ἐδέξατο εἰς κοινωνίαν ὡς μαρτυρεῖ ὁ Ναζιανζηνός. καὶ σημείωσαι ὅτι ὁ Δάμασος ἠπατήθη ὑπὸ Οὐϊταλίου, ὡς ὁ Λιβέριος ὑπὸ τῶν Μακεδονιανῶν, καὶ ἀπατηθέντες γεγόνασι μυρίων κακῶν πρόξενοι ἐν τῇ ἀνατολικῇ Ἐκκλησία. ἐνδεκάτῃ Αἱρέσει Κολλυριδιανῶν λέγει, ὅτι οἱ δώδεκα Ἀπόστολοι ἐξελέγησαν κατὰ γῆν Ἱερουργοῦντες τὸ Εὐαγγέλιον σὺν Παύλῳ καὶ Βαρνάβᾳ καὶ λοιποῖς Μυστηρίων Ἀρχηγέταις, σὺν Ἰακώβῳ τῷ ἀδελφῷ τοῦ Κυρίου καὶ Ἐπισκόπῳ Ἱεροσολύμων, ἐξ οὗ Ἐπισκόπου καὶ τῶν προειρημένων Ἀποστόλων κατεπέμφθησαν Διαδοχαὶ Ἐπισκόπων καὶ Πρεσβυτέρων ἐν οἴκῳ Θεοῦ. καὶ σημείωσαι πρῶτον, ὅτι ἰσότιμοι τοῖς δώδεκα καὶ Βαρνάβας καὶ Παῦλος ἱερουργοῦντες τὸ Εὐαγγέλλιον. δεύτερον, ὅτι ἡ Ἱερουργία δηλοῖ τὸ κήρυγμα καὶ τὰς ἐνεργείας αὐτοῦ, ἅτινα πάντα εἶχον πάντες οἱ Ἀπόστολοι ἐξίσου, καὶ γὰρ οὐδεμίαν Διαφορὰν ποιεῖται τοῦ Πέτρου. τρίτον, ὅτι ἐξίσου γεγόνασιν ἐν τῇ Ἐκκλησίᾳ αἱ Διαδοχαὶ παρὰ τοῦ Ἰακώβου καὶ παρὰ πάντων τῶν λοιπῶν Ἀποστόλων, ὥστε οὐδείς ἐστιν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἀμέσως ἢ ἐξαιρέτως Διάδοχος, ἢ τῶν Ἀποστόλων πάντων, ἢ ἑνὸς ὁτουοῦν, ὥστε οὐδὲ τοῦ Πέτρου. καὶ ἵνα μὴ λέγωμεν πολλὰ ἐκ τῶν τοῦ ἁγίου, ἀρκεῖ εἰς ἀπόδειξιν ἰσχυρὰν καὶ βεβαίαν, ὅτι οὐκ ἐγίνωσκεν ὁ Ἐπιφάνιος ἐν τῇ Ἐκκλησίᾳ τὸ ἀλαζονικὸν τοῦτο τοῦ Πάπα πρωτεῖον, ἐκεῖνο τὸ, ὅπου μετὰ τὸ τέλος πάντων τῶν κατὰ τῶν ὀγδοήκοντα Αἱρέσεων ἐλέγχων ὑπογράφων, τὸν ἀληθῆ λόγον τῆς πίστεως τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας διὰ πολλῶν ῥητῶν τῆς γραφῆς καὶ ἱστοριῶν ἐξωτερικῶν τε καὶ ἐκκλησιαστικῶν λέγει, Ἐκκλησία γάρ ἐστιν ἀπὸ μιᾶς πίστεως γεγενημένη, τεχθεῖσα δὲ διὰ Πνεύματος ἁγίου. οὐ λέγει δὲ μία ἐστὶν, ὅτι ἑνίζεται ὑπὸ τοῦ Πέτρου ἢ τοῦ Πάπα, ἀλλ' ἀπὸ τῆς μιᾶς πίστεως. δεύτερον, ὅτι μόνῳ τῷ Νυμφίῳ κεκλήρωται, ἤτοι τῷ Χριστῷ. οὐ λέγει δὲ, ὅτι ἐστὶ καὶ δεύτερος Νυμφίος ὡς φλυαροῦσιν οἱ παπισταί. τρίτον, λόγον ποιούμενος περὶ τοῦ ἀναβαπτίζειν τοὺς Ἀρειανοὺς, ἢ μὴ, κατακρίνει τοὺς ἄνευ συνοδικῆς ψήφου τοῦτο βουλομένους ποιεῖν, φησὶ γὰρ ῥητῶς, ἀλλὰ καὶ ἄνευ ἐπικρίσεως Συνόδου Οἰκουμενικῆς ἀναβαπτίζειν τοὺς ἐρχομένους πρὸς αὐτοὺς δῆθεν ἀπὸ Ἀρειανῶν, μηδέποτε τοῦ πράγματος ἐξ ἐπικρίσεως ὡς ἔφην Συνόδου τμηθέντος. καὶ σημείωσαι ὅτι οὐ λέγει ἐξ ἐπικρίσεως τοῦ Ῥώμης, ἀλλὰ Συνόδου Οἰκουμενικῆς, καὶ ὅτι οὐ τέμνει τὰς ἐν τῇ Ἐκκλησίᾳ ἀμφιβολίας ὁ Ῥώμης, ἢ ἕτερός τις Ἐπίσκοπος, ἀλλ' ἡ Σύνοδος. τέταρτον, λέγει, ἡ Νύμφη, ἤτοι ἡ Ἐκκλησία μία ἐστὶ τῷ ἀνδρὶ αὐτῆς. καὶ σημείωσαι ὅτι οὐκ ἔχει δεύτερον ἄνδρα ὡς ὀνειρεύονται οἱ ἐμβρόντητοι Σχολασταὶ περὶ τοῦ Πάπα αὐτῶν. καὶ ἰδὲ κατωτέρω βιβλίου δεκάτου κεφαλαίου δεκάτου Παράγραφον ἐνδέκατον. πέμπτον, περὶ παρθένων γάμου, μυστηρίων Ἐπισκόπου, καὶ λοιπῶν βαθμῶν τῆς Ἱερωσύνης λόγον ποιούμενος, οὐμέμνηται τοῦ Ῥώμης οὐδ' ὁποσοῦν ἢ ὡς πρώτου, ἢ ὡς συνδέσμου, ἀλλὰ φησὶ, στέφανος δὲ τούτων πάντων ἡ μήτηρ, καὶ ὡς εἰπεῖν καὶ γεννήτρια ἁγία Ἱερωσύνη. καὶ σημείωσαι ὅτι κοινῶς ἡ Ἱερωσύνη ἐστὶν ὁ στέφανος τῆς Ἐκκλησίας, ὡς ἔγραφε καὶ ὁ Ἱεροσολύμων Ἰωάννης πρὸς τὸν Κωνσταντινουπόλεως Ἰωάννην τὸν Καππάδοκα. ἕκτον, ὅτι λέγει ἐν Τετράδι καὶ Προσαββάτῳ νηστεία ἕως ἐνάτης. καὶ σημείωσαι ὅτι ὁ Πάπας ἀθετῶν τὴν νηστείαν τῆς Τετράδος καὶ παραλύων τὴν νηστείαν τῆς Παρασκευῆς, ἀντίδοξός ἐστι τῆς καθολικῆς Ἐκκλησίας. ἕβδομον, ὅτι λέγει ὡς ἔχει ἡ παράδοσις τῶν Ἀποστόλων, καὶ ὡς οἱ Ἀπόστολοι παρέδωκαν. καὶ σημείωσαι ὅτι πάντα τὰ ἐν τῇ Ἐκκλησίᾳ ἅπερ οἱ Ἀπόστολοι παρέδωκαν, πάντες παρέδωκαν, καὶ οὐδὲν μόνος ὁ Πέτρος. ὄγδοον, ὅτι λέγει, οὗτος ἐστὶν ὁ χαρακτὴρ τῆς Ἐκκλησίας ἀπὸ Νόμου καὶ Προφητῶν καὶ Ἀποστόλων καὶ Εὐαγγελιστῶν συνηγμένος. μηδὲν δὲ λέγει ὅτι συνήχθη ὑπὸ Νόμου τοῦ Πέτρου. ἔνατον, ὅτι ταῦτα εἰπὼν συμπεραίνει, οὗτοι οἱ χαρακτῆρες τῆς σεμνῆς ταύτης Νύμφης Χριστοῦ. καὶ σημείωσαι εἰ ἦν ἐν τῇ Ἐκκλησίᾳ τὸ πρωτεῖον, καὶ ἡ ἀρχὴ, καὶ ἡ ἐξουσία, καὶ ἡ μοναρχία, καὶ ἡ κεφαλὴ, καὶ ἡ ἀμέσως Διαδοχὴ, καὶ ἕνωσις ὁ Ἐπίσκοπος Ῥώμης, καὶ δὴ καὶ τὸ πιστεύειν εἰς αὐτὸν, εἶπεν ἂν αὐτὸ ὁ Ἐπιφάνιος, ἀλλ' οὐκ εἶπεν, ἐπειδὴ οὐκ ἦν. ὥστε καὶ ἐκ τοῦ Ἐπιφανίου φανερόν ἐστιν ὅτι οὐκ ἦν ἐν τῇ Ἐκκλησίᾳ τοῦτο τὸ ἱερόσυλον τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἀξίωμα, ἀλλ' ἀνθρωπίνης πονηρίας ἐστὶν ἐφεύρημα, ὅθεν καὶ ἀντιχριστιανικὸν κατὰ τὸν Διάλογον.

ΚΕΦΑ

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Ὅτι ἐν καιρῷ ἀνάγκης ἐνεργοῦσι παρ' ἐνορίαν οὐ μόνον Πατριάρχαι, ἀλλὰ καὶ ἁπλῶς Ἐπίσκοποι, ὡς Βασίλειος ἐν τῇ πρὸς Εὐσέβιον τετάρτῃ ἐπιστολῇ.

Οἱ κατὰ Σεβάστειαν τὰ ἡμέτερα φρονοῦντες, Εὐσταθίου τὸ ὕπουλον τῆς κακοδοξίας αἶσχος ἀπογυμνώσαντες, ἀπαιτοῦσι τινὰ παρ' ἡμῶν ἐκκλησιαστικὴν ἐπιμέλειαν. Καὶ, Ἰκόνιον πόλις ἐστὶν, αὕτη καλεῖ ἡμᾶς πρὸς ἐπίσκεψιν, ὥστε αὐτῇ δοῦναι Ἐπίκοπον, τετελευτήκει γὰρ ὁ Φαυστῖνος. εἰ οὖν δεῖ μὴ κατοκνεῖν τὰς ὑπερορίους χειροτονίας, καὶ ποίαν τινὰ χρὴ δοῦναι τοῖς Σεβαστινοῖς ἀπόκρισιν ἐδεόμην διδαχθῆναι, καὶ καταξίωσον περὶ πάντων ἀποστεῖλαί μοι τὰς ἀποκρίσεις, εἰ δὲ μὴ, εὖξαι ἐλθεῖν ἐπὶ νοῦν μοι ὅπερ εὐάρεστόν ἐστι τῷ Κυρίῳ. ταῦτα Βασίλειος πρὸς Εὐσέβιον Ἐπίσκοπον Σαμοσάτων ἐπιστολῇ τετάρτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς παρ' ἐνορίαν ἀναγκαίας ἐνεργείας τοῦ Εὐσεβίου Σαμοσάτων.

Ὁ Σαμοσατεὺς Εὐσέβιος πολλὰς τῶν Ἐκκλησιῶν ἐρήμους εἶναι ποιμένων μαθὼν, στρατιωτικὸν ἀμπεχόμενος σχῆμα, καὶ Τιάρᾳ καλύπτων τὴν κεφαλὴν, τὴν Συρίαν περιῄει, καὶ τὴν Φοινίκην καὶ τὴν Παλαιστίνην, Πρεσβυτέρους τε χειροτονῶν καὶ Διακόνους, καὶ τἄλλα τάγματα τῆς Ἐκκλησίας ἀνεπλήρου. εἰ δέ ποτε καὶ Ἐπισκόπων ὁμογνωμόνων ἐπέτυχε, καὶ προέδρους ταῖς δεομέναις Ἐκκλησίαις προὐβάλετο, Θεοδώριτος λόγῳ τετάρτῳ κεφαλαίῳ δεκάτῳ τρίτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς παρ' ἐνορίαν ἀναγκαίας ἐνεργείας τοῦ μεγάλου Ἀθανασίου κατὰ Σωκράτη.

Ὁ Ἀθανάσιος (ἤτοι ὁ ἅγιος) κατὰ πόλεις τε παρὼν ἐδίδασκε; τοὺς μὲν ἀρειανίζοντας ἐκτρέπεσθαι, ἀσπάζεσθαι δὲ τοὺς τὸ Ὁμοούσιον ὁμολογοῦντας, ἔντισι δὲ τῶν Ἐκκλησιῶν καὶ χειροτονίας ἐποίει. καὶ τοῦτο γέγονεν ἀρχὴ ἑτέρας μέμψεως κατ' αὐτοῦ, ὅτι ἐν ταῖς ἄλλων Ἐπαρχίαις χειροτονεῖν ἐπεχείρει, Σωκράτης βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ τετάρτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς παρ' ἐνορίαν ἀναγκαίας ἐνεργείας τοῦ αὐτοῦ κατὰ Σωζόμενον.

Λέγεται δὲ περὶ Ἀθανασίου τότε καὶ διὰ τῶν ἄλλων ἐθνῶν τὴν ὁδοιπορίαν ποιούμενον ὅμοια πρᾶξαι, οἷς συνέβαινε ταῖς Ἐκκλησίαις ὑπὸ τῶν τοῦ Ἀρείου κατέχεσθαι, ἤτοι οὓς μὲν ἔγνω τὰ Ἀρείου φρονοῦντας Ἐπισκόπους καθεῖλεν, οἷς δὲ αὐτὸς ἐδοκίμασε τὰς Ἐκκλησίας ἐπέτρεψεν. ἀμέλει καὶ τοῦτο ἔγκλημα αὐτῷ ἐπῆγον, Σωζόμενος βιβλίῳ τρίτῳ κεφαλαίῳ εἰκοστῷ πρώτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ψήφου καὶ χειροτονίας Ἀμβροσίου Μεδιολάνων ἄνευ μνήμης τοῦ Ῥώμης.

Αὐξεντίου, ὃς τὴν τοῦ Ἀρείου εἰσεδέξατο λώβην, Μεδιολάνων δὲ τὴν Ἐκκλησίαν πεπιστευμένος, ἐν πλείστοις δὲ ἀποκηρυχθεὶς Συνόδοις, τὸν βίον ὑπεξελθόντος, μεταπεμψάμενος τοὺς Ἐπισκόπους ὁ Βασιλεὺς Οὐαλεντιανὸς ἐπέτρεψεν Ἐπίσκοπον ψηφίσασθαι, αὐτὸν δὲ ἡ Σύνοδος ἠξίου ψηφίσασθαι σοφόν τε ὄντα, καὶ εὐσεβείᾳ κοσμούμενον, ὁ δὲ ἔφη μεῖζον ἢ καθ' ἡμᾶς τὸ ἐγχείρημα, ὑμεῖς γὰρ τῆς θείας ἠξιωμένοι χάριτος καὶ τὴν αἴγλην ἐκείνην εἰσδεξάμενοι, ἄμεινον ψηφιεῖσθε. οὗτοι μὲν οὖν ἐξελθόντες κατ' αὐτοὺς ἐβουλεύοντο, ἐκλογῆς ὅμως γενομένης ὑπὸ τοῦ λαοῦ, ὁ Ἀμβρόσιος βαπτισθεὶς ἐχειροτονήθη, Θεοδώριτος βιβλίῳ τετάρτῳ κεφαλαίῳ πέμπτῳ καὶ ἕκτῳ, τὰ αὐτὰ καὶ Σωκράτης καὶ Σωζόμενος.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἐκ τῶν ῥηθέντων ἀνωτέρω τετραχῶς δείκνυται μὴ εἶναι τὸν Ῥώμης μονάρχην ἢ ἐπὶ τῶν Συνόδων.

Ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι τὸ παρ' ἐνορίαν ἐνεργεῖν παρανομόν ἐστιν, ὅθεν ὁ μέγας Βασίλειος καίτοι σοφώτατος καὶ ἁγιώτατος ὤν, γνώμην ὅμως ἀπαιτεῖ παρὰ τοῦ ἱεροῦ Εὐσεβίου, εἰ ἀπροσκριμάτιστόν ἐστι χειροτονεῖν εἰς ἀλλοτρίαν Ἐπαρχίαν ἐν ὥρᾳ ἀνάγκης. δεύτερον, ὅτι δίκαιον ὑπάρχει ἐν ὥρᾳ ἀνάγκης βοηθεῖν ταῖς πολεμουμέναις ἢ θλιβομέναις Ἐκκλησίαις, καὶ χειροτονεῖν ἐν αὐταῖς Ἐπισκόπους καὶ Πρεσβυτέρους, καὶ σχεδὸν ἐνεργεῖν ἐν αὐταῖς ὡς ἴδιοι Ἐπίσκοποι, ὡς ἐποίησαν οἱ ἅγιοι Εὐσέβιος καὶ Ἀθανάσιος. τρίτον, ὅτι ἀποθανόντος τοῦ Αὐξεντίου, οὐκ ἐδεήθη ὁ Βασιλεὺς τοῦ Πάπα ψηφίσασθαι ἢ χειροτονῆσαι Ἐπίσκοπον, ἀλλὰ τοὺς Ἐπισκόπους τῆς Ἐπαρχίας, ἢ τοὺς πέριξ μεταπεμψάμενος, ἐπέτρεψεν αὐτοῖς τὴν ἐκλογήν. ἐπειδὴ δὲ ὁ λαὸς ἠθέλησε τὸν Ἀμβρόσιον κοσμικὸν ὄντα ἄρχοντα καὶ ἀβάπτιστον, οὐχ ὁ Πάπας, ἀλλ' ἡ Σύνοδος παρεδέξατο τὴν ἐκλογήν, καὶ δὴ καὶ ὁ Βασιλεὺς, ὥστε τὸν λαϊκὸν καὶ ἀβάπτιστον μὲν ὄντα, τότε δὲ βαπτισθέντα εὐθὺς χειροτονηθῆναι Ἐπίσκοπον ἡ Σύνοδος ἐδικαίωσε, καὶ τὸν Πάπαν ἐγγὺς οὔσης τῆς Ῥώμης Μεδιολάνων οὔτε ἠρώτησεν, οὔτε καν' ὅλως ἐμνήσθη αὐτοῦ οὔτε ἡ Σύνοδος οὔτε ὁ Βασιλεύς. εἰ δέτις εἴποι ὅτι μετὰ τῶν λοιπῶν Ἐπισκόπων ἦν καὶ ὁ Ῥώμης, ῥητέον ὅτι τοῦτο οὐκ αὐταρχίαν, ἀλλ' ὁμοτιμίαν μαρτυρεῖ. ἐπειδὴ δὲ ἡ Σύνοδος ὑπερέχει τοῦ Πάπα, οὐκ ἔστι μονάρχης ὁ Πάπας, οὐδὲ ἐπὶ τῶν Συνόδων, ἀλλὰ τὸ ἀνάπαλιν, εἰ δ' οὐκ ἔστιν ἐπὶ τῶν μερικῶν, πολλῷ μᾶλλον οὐδὲ ἐπὶ τῶν Οἰκουμενικῶν. τέταρτον, ὅτι ὡς Εὐσέβιος, Βασίλειος, καὶ Ἀθανάσιος ἐνήργησαν εἰς καιροὺς ἀνάγκης ἐν ἀλλοτρίαις Ἐπαρχίαις, οὕτως ἐνήργησε καὶ ὁ Πάπας Ἰούλιος, μάλιστα δὲ οὗτοι μείζονες Ἰουλίου, καθ' ὅσον οἱ μὲν ἰδίᾳ αὐθεντίᾳ ἐνήργουν, ὁ δὲ μετὰ Συνόδου πεντήκοντα Ἐπισκόπων τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ὡς ἀνωτέρω εἴρηται κεφαλαίου πέμπτου Παραγράφῳ πέμπτῳ. καὶ τὰ μὲν τούτων ἐν ταῖς ἀλλοτρίαις Ἐπαρχίαις οὐδεὶς ἀνέκρινεν ὀρθόδοξος Ἐπίσκοπος, ἢ Σύνοδος, τὰ δὲ τοῦ Ἰουλίου καὶ τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἀνέκρινεν ἡ Σύνοδος ἡ ἐν Σαρδικῇ. μάταιον ἄρα ἐστὶ καὶ ἐντεῦθεν τὸ, ὅτι ὁ Πάπας χειροτονήσας, ἢ ἄλλως πως ἐνεργήσας ἐν ἀλλοτρίαις Ἐπαρχίαις εἰς καιροὺς ἀνάγκης, Ἡγεμών ἐστιν ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ. ἰδὲ καὶ ἀνωτέρω κεφαλαίου πέμπτου Παράγραφον δέκατον, καὶ κατωτέρω βιβλίου πέμπτου κεφαλαίου ἑνδεκάτου Παράγραφον τριακοστὸν δεύτερον.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῆς Δαμάσου καὶ Οὐρσίνου ἐν τῷ θρόνῳ Ῥώμης χειροτονείας, καὶ τῶν δι' αὐτοὺς γενομένων φόνων, καὶ περὶ τῆς κατὰ Δαμάσου συκοφαντίας καὶ ἀθῳώσεως αὐτοῦ συνοδικῶς, καὶ Νόμου Δαμάσου κατὰ τῶν συκοφαντούντων Ἀρχιερεῖς, καὶ συγγραφῆς τοῦ αὐτοῦ εἰς τοὺς βίους τῶν πρὸ αὐτοῦ Παπῶν, ἐξῆς ὑστερογενὲς δείκνυται τὸ μοναρχικὸν τοῦ Ῥώμης.

Ἐν ἔτει τριακοσιοστῷ ἑξηκοστῷ ἑβδόμῳ ἀποθανόντος τοῦ Πάπα Λιβερίου, ἐψηφίσθη Ῥώμης ὁ Δάμασος, ὃν ὁ Θεοδώριτος ἀξιεπαίνῳ βίῳ κοσμούμενον καὶ πάντα λέγειν καὶ πράττειν ὑπὲρ τῶν ἀποστολικῶν δογμάτων αἱρούμενον λέγει λόγῳ πέμπτῳ κεφαλαίῳ δευτέρῳ, ἀλλ' ἐν ᾧ αὐτὸς ἐψηφίζετο ἐψηφίσαντο ἕτεροι Ῥώμης Ἐπίσκοπον Διάκονον τινὰ Οὐρσῖνον ὀνόματι, ὃν δὴ καὶ ἐχειροτόνησάν τινες Ἐπίσκοποι ἄσημοι ἐν τόπῳ κοινῷ, καὶ μάλιστα ἀποκρύφῳ ὡς δηλονότι ἐχειροτονήθη ποτὲ ὁ ἀντίμοιρος τοῦ Λιβερίου φίληξ ἐν Ῥώμῃ. γέγονε δὲ διὰ ταῦτα σχίσμα εἰς τὸν λαὸν τῆς Ῥώμης, ὥστε ἑκάτερον Πάπαν ἐκκλησιάζειν ἰδίως. ἐξ οὗ ἠκολούθησαν μάχαι, ποῖος ἄρα τῶν δύο βεβαιωθείη μόνος εἶναι Πάπας, καὶ προξενεῖται στάσις τοσαύτη, ὥστε τὸν Ἔπαρχον Μαξιμῖνον μυρίους ἀποκτεῖναι ἐξ ἑκατέρων τῶν μερῶν, Σωκράτης βιβλίῳ τετάρτῳ κεφαλαίῳ εἰκοστῷ ἑνάτῳ. ὁ δὲ Πλάτινας προστίθησιν ὅτι ἔνδον εἰς τὴν Ἐκκλησίαν τὴν λεγομένην τοῦ Σικινίου πολλοὶ ἐφονεύθησαν ἀναμεταξὺ αὐτῶν, καὶ ἐτραυματίσθησαν, ὡς κορυφωθέντος τοῦ κακοῦ. τέλος πάντων ὅμως νικᾷ τὸ μέρος τοῦ Δαμάσου, καὶ μένει μόνος Ῥωμαίων Ἐπίσκοπος. ὁ δὲ Οὐρσῖνος ἐπιτραπεὶς τὴν Ἐκκλησίαν Ἱσπανίας, ἀπῆλθεν ἐκεῖ. εἶτα τινῶν Διακόνων Κουκορδίου καὶ Καλλίστου συκοφαντησάντων τὸν Δάμασον ὡς μοιχὸν, ἀθροίζεται Σύνοδος τῆς Ἐπαρχίας, καὶ ἀναψηλαφήσασα τὴν ὑπόθεσιν, εὗρεν ἀθῷον τὸν Δάμασον. ἔθετο ὅμως ὁ Δάμασος βίαιον

βίαιον Νόμον καὶ ἀνοίκειον τῇ ἐκκλησιαστικῇ Ἱεραρχίᾳ, ἵνα δηλονότι οἱ συκοφάνται τῶν Ἀρχιερέων ἀποκτείνωνται, ταῦτα ὁ Πλάτιας. ὁ αὐτὸς ἔγραψε καὶ τοὺς βίους τῶν πρὸ αὐτοῦ Παπῶν, ἐν οἷς καίτοι Πάπας ὢν τῆς Ῥώμης, οὐδὲν εἶπε περὶ μοναρχίαι τοῦ Ῥώμης, ὥστε ὑστερογενές ἐστι τοῦτο καὶ ἐφεύρημα.

ΠΑΡΑΓΑΦΟΝ Β'.

Περὶ τῶν Συνόδων ὧν ἤθροισεν ὁ Δάμασος κατὰ Αὐξεντίου Μεδιολάνων, καὶ τῶν ἐν Ἀριμίνῳ καὶ Νίκῃ, ὑπέρ τε τῆς ἐν Νικαίᾳ καὶ τοῦ Ὁμοουσίου, ἐξῶν ἑξαχῶς ἀναιρεῖται ἡ ἀναμαρτησία καὶ μοναρχία τοῦ Ῥώμης.

Οὗτος ὁ Δάμασος ὁ ἀξιεπαίνῳ βίῳ κοσμούμενος, ὁ πάντα λέγειν καὶ πράτειν ὑπὲρ τῶν ἀποστολικῶν δογμάτων αἱρούμενος, καθάφησι Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ δευτέρῳ. πατριαρχεύσας, αὐτίκα ἐπὶ Οὐαλεντιανοῦ Σύνοδον ἐννενήκοντα πατέρων ἀπὸ πολλῶν καὶ διαφόρων ἐθνῶν ἀθροίσας ἐν Ῥώμῃ, ἀνεθεμάτισε τὸν πολλάκις ἀνωτέρω εἰρημένον Μεδιολάνων Αὐξέντιον, καὶ τὸ θεῖον ἐτράνωσε μάθημα, Ὅρον θεῖον ἐκθέμενος, ὃν πρὸς Ἰλλυριοὺς ἐξαπέστειλεν. ἀθετεῖ δ' ἐν αὐτῇ τὴν ἐν Ἀριμίνῳ Σύνοδον, καὶ τὴν ἐν Νίκῃ τῆς Θράκης ἔκθεσιν, βεβαιοῖ δὲ τὴν ἐν Νικαίᾳ τῆς Βιθυνίας πίστιν. ἀλλὰ καὶ δευτέραν ὁ αὐτὸς πανίερος ἀνὴρ ὑπὲρ τοῦ Ὁμοουσίου κατὰ Αὐξεντίου Θεοσύλλεκτον συνεκρότησε Σύνοδον. τῆς μέντοι προτέρας Συνόδου τὴν ἐπιστολὴν πρὸς Ἰλλυριοὺς καταγράφει ὁ Θεοδώριτος λόγῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, καὶ ὁ Σωζόμενος βιβλίῳ ἕκτῳ κεφαλαίῳ εἰκοστῷ τρίτῳ. Σημείωσαι δ' ἐν τούτοις τέσσαράτινα, πρῶτον, ὅτι μετὰ τραυμάτων καὶ μάχης καὶ φόνων γίνονται Ἐπίσκοποι Ῥώμης, καὶ μετὰ συνεργείας ἰδίας αὐτῶν, καὶ ποῦ τὸ ἀναμάρτητον αὐτῶν; δεύτερον, Τοπικὴ Σύνοδος κρίνει καὶ ἀθῳοῖ τὸν Ῥώμης. τρίτον, συνοδικῶς καθαιρεῖται ὁ Αὐξέντιος καὶ οὐχ ὑπὸ μόνου τοῦ Ῥώμης. τέταρτον, εἰς τὴν Ἰλλυρικὴν Σύνοδον γράφει τὸ ἐν Ῥώμῃ συνέδριον ὅτι ἡ ἐν Ἀριμίνῳ Σύνοδος εἰ εἶπεν ἀπάδοντα, εἰσὶ μάταια, ἐπειδὴ πρὸς τοῖς ἄλλοις κωλύμασι τοῦ εἶναι Σύνοδον, οὐκ εἶχε τὴν γνώμην τοῦ Ῥώμης, εἶτα προστίθησιν οὔτε Βικεντίου Ἐπισκόπου, ἴσως τῆς Ἀριμίνου, οὔτε τῶν ἄλλων τοῖς τοιούτοις συγκαταθεμένων, τῶν ἁπανταχοῦ δηλονότι ὀρθοδόξων ἐγκρίτων Ἐπισκόπων. πέμπτον, ὅτι εἰποῦσα περὶ τοῦ Ῥώμης, εἶπεν οὕτω ῥητῶς ὁπότε συνέστηκεν, οὔτε Βικεντίου Ἐπισκόπου, οὗ πρὸ πάντων ἔδει τὴν γνώμην ἐνδείξασθαι, καὶ γὰρ ἐν Ἰταλίᾳ γίγνεσθαι Σύνοδον, καὶ μάλιστα ὑπὸ Ἐπισκόπων τῶν πάντων Δυτικῶν χωρὶς γνώμης τοῦ Ἐπισκόπου τῆς Ἰταλίας καὶ τῆς Δύσεως, ἔργον ἐστὶ παράνομον, ὥσπερ καὶ παράνομόν ἐστι γίγνεσθαι ἀπόντος τοῦ κατὰ τόπον Ἐπισκόπου, καὶ ἄνευ τῆς συγκαταθέσεως τῶν Ἐπισκόπων, ἀλλὰ μόνον τινῶν. ἕκτον, γράφουσα οὕτω λέγει, οἱ Ἐπίσκοποι οἱ ἐπὶ τῆς Ῥωμαίων εἰς τὸ ἱερὸν συνέδριον συνελθόντες, τοῖς ἐν τῷ Ἰλλυρικῷ καθεστῶσιν Ἐπισκόπος Δάμασος καὶ Οὐαλέριος καὶ οἱ λοιποὶ τοῖς ἀγαπητοῖς ἀδελφοῖς ἐν Κυρίῳ χαίρειν. ἰδὲ καὶ τὴν ἐπιστολὴν τῆς δευτέρας Συνόδου εἰς τὸν Δάμασον, καὶ τοῦ ἁγίου Βασιλείου ἐπιστολὴν τοῖς Δυτικοῖς, καὶ ἰδὲ ποῦ οἱ μεταταῦτα τῶν Παπῶν Τίτλοι καὶ τὰ ὑπερήφανα ἐπίθετα καὶ ἀντιχριστιανικὰ σεμνολογήματα τοῦ πεπλασμένου μοναρχικοῦ ἀξιώματος. ἰδὲ ὅτι καὶ ἐντεῦθεν σύμπνοια ἀδελφικὴ συνάγεται, οὐ γενικὴ ἐξουσία, καὶ λοιπὸν στοχάσθητι πῶς ἡνῦν παπικὴ ἐξουσία διὰ τούτων ἀναιρεῖται, οὐ συνίσταται. ὅθεν ῥητῶς γράφει ἡ περὶ τὸν Πάπαν Δάμασον Σύνοδος ταύτῃ τῇ ἐν τῷ Ἰλλυρικῷ Συνόδῳ, συνορᾷ οὖν ἡ ὑμετέρα καθαρότης ταύτην μόνην τὴν πίστιν, ἥτις ἐν Νικαίᾳ κατὰ τὴν αὐθεντίαν τῶν Ἀποστόλων ἐξεθεμελιώθη, Θεοδώριτος λόγῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ. οὐ λέγει τοῦ Πέτρου, ἀλλὰ τῶν Ἀποστόλων. εἶτα ἐπιφέρει ἐν τῷ αὐτῷ κεφαλαίῳ, συμφωνείτω τοίνυν μετὰ πάντων τῶν τοῦ Θεοῦ Ἱερέων καὶ τῆς ὑμετέρας τιμιότητος ἡ γνώμη. οὐ λέγει μετὰ τοῦ Πάπα, ἀλλὰ μετὰ πάντων τῶν τοῦ Θεοῦ Ἱερέων. ὥστε ἡ κοινότης ὑπερέχει τοῦ Πάπα καὶ παντὸς ἑτέρου μερικοῦ προσώπου καὶ συνεδρίου. ἐγένετο ἡ ἄθροισις τῆς Συνόδου ταύτης ἐν ἔτει τριακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς κοιμήσεως τοῦ μεγάλου Ἀθανασίου, οὗ διάδοχος Πέτρος, καὶ παραδόσεως τῶν τῆς Ἀλεξανδρείας Ἐκκλησιῶν ὑπὸ Οὐάλεντος Βασιλέως Λουκίῳ, καθείρξεώς τε Πέτρου καὶ φυγῆς εἰς Ῥώμην, καὶ περὶ τῆς ἐν Ῥώμῃ Συνόδου κατὰ Ἀπολιναρίου, Στεφάνου καὶ Λουκίου φονέως.

Ὁ Οὐάλης πυνθανόμενος πλείστους εἶναι ἐν Ἀλεξανδρείᾳ τοὺς προσκειμένους Ἀθανασίῳ, καὶ ὑφορώμενος μήποτε γένηται στάσις, ὑπερέθετο ταράξαι τὴν Ἐκκλησίαν ἐκείνην, ἐν τῷ δευτέρῳ δὲ ἔτει τοῦ Γρατιανοῦ κοιμηθεὶς ὁ ἅγιος, τεσσαράκοντα καὶ ἓξ ἔτη πατριαρχεύσας, κατέλιπεν εἰς

τὸν αὐτοῦ τόπον διάδοχον τὸν Πέτρον, ἄνδρα εὐλαβῆ καὶ ἐλλόγιμον. τούτων ἀκουσθέντων ἐν Ἀντιοχείᾳ ὅπου ἦν ὁ Βασιλεὺς Οὐάλης, κατῆλθεν ὁ Ἀντιοχείας Εὐζώϊος εἰς Ἀλεξάνδρειαν, ἔχων μετ' αὐτοῦ Μάγνον τὸν θησαυροφύλακα τοῦ Βασιλέως, καὶ γράμματα εἰς τὸν Ἔπαρχον Αἰγύπτου, καὶ οὕτω παρέδωκε Λουκίῳ τὰς Ἐκκλησίας, τὸν δὲ Πέτρον ἔθετο ἐν φυλακῇ, ἐξ ἧς ἰσχύσας ἔφυγεν, ὡς αὐτὸς μετὰ τὴν ἐκ τοῦ δεσμωτηρίου φυγὴν ταῖς ἁπανταχοῦ Ἐκκλησίαις γραφὰς διεπέμψατο. φυγὼν δὲ, πρὸς Δάμασον τὸν Ἐπίσκοπον Ῥώμης ἀνέδραμε, Σωκράτης βιβλίῳ τεταρτῷ κεφαλαίῳ εἰκοστῷ, εἰκοστῷ πρώτῳ καὶ εἰκοστῷ δευτέρῳ. ὁ δὲ Σωζόμενος διηγούμενος ταῦτα φησὶ, Πέτρος δὲ ὁ Ἐπίσκοπος διαδρὰς ἀπὸ τοῦ δεσμωτηρίου, ὡς πρὸς ὁμόδοξον τῶν Ῥωμαίων Ἐπίσκοπον νηὸς ἐπιτυχὼν ἀνέπλευσε, βιβλίῳ ἕκτῳ κεφαλαίῳ δεκάτῳ ἐνάτῳ ὁ Πάπας τοίνυν προσλαβόμενος τὸν Πέτρον, Σύνοδον συνεκρότησεν ἐν Ῥώμῃ, ἥτις τὸν ἄνουν Ἀπολινάριον, στέφανόν τε τὸν αὐτοῦ μαθητὴν καὶ τὸν φόνιον Λούκιον ἀνεθεμάτισε. ταῦτα τὸ Συνοδικόν. ὁ δὲ Σωζόμενος εἰπὼν τὰ περὶ τῆς Αἱρέσεως Ἀπολιναρίου ἐπήγαγε, μαθὼν ταύτην τὴν Αἵρεσιν εἰς πολλοὺς ἕρπειν πρῶτος Δάμασος ὁ Ῥωμαίων Ἐπίσκοπος, καὶ Πέτρος ὁ Ἀλεξανδρείας, Συνόδου γενομένης ἐν Ῥώμῃ, ἀλλοτρίαν τῆς καθολικῆς Ἐκκλησίας ἐψηφίσαντο, βιβλίῳ ἕκτῳ κεφαλαίῳ εἰκοστῷ πέμπτῳ. ἀλλὰ καὶ ὁ Θεοφάνης τῷ Σωζομένῳ συντίθεται λέγων, ὁ Ῥώμης Δάμασος καὶ ὁ Ἀλεξανδρείας Πέτρος πρῶτοι τὸν Ἀπολινάριον συνοδικῶς ἀπεκήρυξαν. ἐγένετο δὲ ἡ ἄθροισις τῆς Συνόδου ταύτης ἐν ἔτει τριακοσιοστῷ ἑβδομηκοστῷ τρίτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ἀπόδειξις ὅτι οὐχ ὡς πρὸς μονάρχην, ἀλλ' ὡς πρὸς ὁμόπιστον καὶ ἰσότιμον τὸν Ῥώμης ὁ Πέτρος ἀνέπλευσε, τὸν θάνατον φυγὼν, καὶ ὅτι πρὸ τοῦ σὺν τῷ Πέτρῳ Δαμάσου τὸν Ἀπολινάριον ἀπεκήρυξαν.

Σημείωσαι πρῶτον, ὅτι ὁ Πέτρος οὐχ ὡς εἰς μονάρχην, ἀλλ' ὡς εἰς ὁμόπιστον ἀνέπλευσε τὸν Δάμασον, καὶ μάλιστα διὰ τὸ εἶναι ἐκεῖ Βασιλέα ὀρθόδοξον, καὶ γὰρ θάνατον προσδοκῶν, καὶ φυγὼν ἀπὸ τοῦ δεσμωτηρίου, ποῦ εἶχε φυγεῖν, ἀλλ' ἢ ὅπου ἦν ἀφοβία διὰ τὸν ὀρθόδοξον Βασιλέα. ἐνῴκισε δὲ οὐκ εἰς τοὺς λαϊκοὺς ὁ Ἐπίσκοπος, ἀλλ' εἰς τὸν Ἐπίσκοπον ὁ Ἐπίσκοπος, καὶ οὐκ εἰς τὸν ἁπλῶς Ἐπίσκοπον ὁ Πατριάρχης, ἀλλ' εἰς τὸν Πατριάρχην ὁ Πατριάρχης. δεύτερον, ὅτι ἡ κοινότης ὑπερέχει τῆς μονότητος, ἤτοι οἱ πολλοὶ ὀρθόδοξοι Ἐπίσκοποι τοῦ ἑνὸς Ἐπισκόπου, τουτέστιν ἡ Σύνοδος τοῦ Πάπα, ὅθεν ἕρμαιον εὑρὼν ὁ Δάμασος τὸν Πέτρον, πρὸς μείζονα καὶ τελειοτέραν δύναμιν τῆς Συνόδου ὡς ἀποστολικοῦ θρόνου Ἡγούμενον προσλαβόμενος, συνεκρότησε Σύνοδον. τρίτον, ὅτι ἐξίσου ὁ Δάμασος καὶ Πέτρος συνοδικῶς τὸν Ἀπολινάριον ἀπεκήρυξαν, οὗτοι μὲν ὡς ἐξάρχοντες, οὐκ ἄλλως μέντοι ὁ Δάμασος καὶ ἄλλως ὁ Πέτρος, ἀλλ' ἐξίσου ὁ Δάμασος καὶ ὁ Πέτρος, καὶ οὐμόνοι, ἀλλὰ συνοδικῶς καὶ μετὰ τῶν πολλῶν. τέταρτον, ὅτι πρῶτοι Δάμασος καὶ Πέτρος τὸν Ἀπολινάριον ἀπεκήρυξαν, ἐν τῇ Δύσει μέντοι, ἐν γὰρ τῇ Ἀνατολῇ καὶ Ἀπολινάριος καὶ ἡ Αἵρεσις αὐτοῦ ἀπεκηρύχθησαν πολλάκις, καὶ ἰδὲ τὸν Ἐπιφάνιον Αἱρέσει ἑβδομηκοστῇ ἑβδόμῃ, ἤτοι Διμοιριτῶν (εἴπομεν ταῦτα ἀνωτέρω, ἀλλὰ παλιλλογητέον) λέγοντα, ὅτι οἱ κατὰ τὸν Ἀπολινάριον λέγοντες, εἰς πολλὴν ταραχὴν κατέστησαν τὰ ἀνωτερικὰ μέρη, δι' οὓς καὶ ἀνάγκη γέγονε Σύνοδον συγκροτηθῆναι καὶ ἀναθεματίσαι τοὺς τοιούτους. καὶ ὁ Ἀθανάσιος κατὰ τῶν τοιαῦτα λεγόντων ἠναγκάσθη ἐπιστολὴν γράψαι πρὸς τὸν αἰδεσιμώτατον Ἐπίσκοπον Ἐπίκτητον. σαφῶς δὲ περὶ πίστεως γράψας ὁμακαρίτης Ἀθανάσιος, ἐν ταύτῳ καὶ τοὺς αὐτὰ φάσκοντας καὶ ταράττοντας ἀπεκήρυξε. ταῦτα ἐν τῇ αὐτῇ Αἱρέσει, ἐν ᾗ καὶ τὴν ἐπιστολὴν τῆς Συνόδου ταύτης κατέταξε. πέμπτον, ὁ Ἐπιφάνιος λέγει ἐν τῇ αὐτῇ Αἱρέσει, ὅτι ἀπελθὼν εἰς Ἀντιόχειαν ἐφρόντισε περὶ τῆς Αἱρέσεως Οὐϊταλίου, προσκειμένου ὡς εἴρηται τῷ δόγματι τοῦ Ἀπολιναρίου. καὶ ὁ Παυλῖνος ἔκθεσιν ἣν ἔγραψε περὶ τῆς ἁγίας Τριάδος, καὶ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ, πρότερον ἀπολογίας χάριν χειρὶ τοῦ μακαρίτου πατρὸς ἡμῶν Ἀθανασίου ἀπέδωκε, ὕστερον προσέφερε τῷ Ἐπιφανίῳ, καὶ καθεξῆς ὁ Ἐπιφάνιος κατήλεγξε τὴν Αἵρεσιν Ἀπολιναρίου, καὶ τὸν μαθητὴν αὐτοῦ Οὐϊτάλιον. ἕκτον, ἡ ἐν Ἀλεξανδρείᾳ Σύνοδος ἡ συσταθεῖσα ἐν ἔτει τριακοσιοστῷ ἑξηκοστῷ δευτέρῳ ὑπότε τοῦ μεγάλου Ἀθανασίου, Εὐσεβίου Ἰταλοῦ, Ἀστερίου Πέτρας, καὶ τῶν λοιπῶν ὡς διείληπται ἀνωτέρω κεφαλαίῳ δωδεκάτῳ, εἰ καὶ μὴ ὀνομαστὶ, ἀλλ' ὅμως συνεπτυγμένως ἀνεθεμάτισε τὴν Αἵρεσιν Ἀπολιναρίου. καὶ περὶ τῆς ἐνσάρκου οἰκονομίας κατὰ τῆς Αἱρέσεως ταύτης ἐξέθετο τὴν ἀληθῆ καὶ εὐσεβῆ πίστιν. ἕβδομον, συμπέρασμα τοῦ λόγου, οἱ Ἀνατολικοὶ ἰδίως καὶ συνοδικῶς κατήλεγξαν, ἀπεκήρυξαν καὶ ἀνεθεμάτισαν Ἀπολινάριον καὶ τὴν Αἵρεσιν αὐτοῦ, Δάμασος δὲ καὶ Πέτρος καὶ ἡ ἐν Ῥώμῃ Σύνοδος ἀνεθεμάτισαν πρῶτοι ἐν Δύσει τὸν Ἀπολινάριον καὶ τοὺς μαθητὰς αὐτοῦ. τοῦτο δὲ καὶ ἡ παροῦσα ἐπιστολὴ τοῦ Δαμάσου βεβαιοῖ, καὶ γὰρ λέγει τοῖς Ἐπισκόποις ὁ Δάμασος ταῦτα ῥητῶς, τί τοίνυν παρ' ἐμοῦ ζητεῖτε τὴν καθαίρεσιν Τιμοθέου, ὃς καὶ ἐνταῦθα κρίσει τῆς ἀποστολικῆς καθέδρας, παρόντος καὶ Πέτρου τοῦ Ἐπισκόπου Ἀλεξανδρείας καθῃρέθη ἅμα τῷ Διδασκάλῳ αὐτοῦ Ἀπολιναρίῳ. τὸ δὲ καὶ ἐνταῦθα δηλοῖ ὅτι προκαθήρητο καὶ ἀλλαχοῦ.

ΠΑΡΑ

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ τῆς Δαμάσου Ῥώμης πρός τινας Ἀνατολικοὺς Ἐπισκόπους ἐπιστολῆς περὶ καθαιρέσεως τοῦ Ἀπολιναριστοῦ Τιμοθέου συνάγεται πλὴν τῆς ἐν Νικαίᾳ ἄλλην μὴ λέγειν Σύνοδον, ἢ ἄλλην πίστιν φυλάττειν, οὐ παρὰ τὴν τοῦ Πέτρου μόνου, ἀλλὰ παρὰ τὴν τῶν Ἀποστόλων, καὶ ὅτι ἡ τῆς Συνόδου ἀπόφασις λέγεται καὶ Πατριάρχου καὶ Μητροπολίτου, ἐκ δὲ τούτων καὶ ἐκ παραθέσεως οἴχεται τὸ μοναρχικὸν τοῦ Πάπα Ῥώμης.

Οὐ μόνον ὁ Στέφανος, ἀλλὰ καὶ ἄλλός τις μαθητὴς τοῦ Ἀπολιναρίου Τιμόθεος καλούμενος, ὥσπερ τι πονηρὸν ἐχίδνης ἀποκύημα ἐν τῇ Ἀνατολῇ κατέχεε τὸν τῆς Αἱρέσεως ἰὸν, περὶ οὗ τινὲς τῶν Ἀνατολικῶν Ἐπισκόπων ἔγραψαν τῷ Δαμάσῳ ἵνα κἀκεῖνον καθαιρέσει ὑποβάλλῃ, ὁ δὲ ἔγραψεν αὐτοῖς ἐπιστολὴν δηλῶν τὴν καθαίρεσιν αὐτοῦ, ἣν καὶ αὐτὴν τίθησιν ὁ Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ ἐνάτῳ. ἐν ᾗ σημείωσαι ὅτι παρὰ τὴν ἐν Νικαίᾳ Σύνοδον οὐκ ἔστιν εἰπεῖν ἄλλην Σύνοδον. δεύτερον, ὅτι ἡ ἀποστολικὴ πίστις παρὰ τῶν ἐν Νικαίᾳ πατέρων ἐξετέθη καὶ ἐβεβαιώθη. τρίτον, ἵνα ὁ γινώσκων ἑαυτὸν Χριστιανὸν ἐκεῖνο φυλάττειν ὀφείλῃ, ὅπερ παρὰ τῶν Ἀποστόλων παρεδόθη. καὶ λοιπὸν σημείωσαι πρῶτον, ὅτι οὐχ ὁ Πάπας ἐξοχικῶς διδάσκει, ἀλλ' οἱ πατέρες, οὐδ' ὁ Πέτρος παρέδωκε τὴν πίστιν, ἀλλ' οἱ Ἀπόστολοι, καὶ τὴν πίστιν οὐχ ὁ Ῥώμης, ἀλλ' οἱ πατέρες βεβαιοῦσι, καὶ οἴχεται κἀντεῦθεν τὸ βέβηλον τῆς μοναρχίας ἀπὸ τῆς Ἐκκλησίας ἀξίωμα. δεύτερον, οἱ τῆς Ἀνατολῆς Ἐπίσκοποι οἱ γράψαντες τῷ Δαμάσῳ, καὶ πρὸς ἐκείνους ἀποκριθεὶς καὶ οὗτος ἔγραψεν, οὐκ ἦσαν οἱ τῆς Ἀνατολικῆς Ἐκκλησίας Ἡγούμενοι, ἀλλ' ἦσαν τινὲς, καὶ μάλιστα Ἀντιοχεῖς, οὓς καὶ ἰδίως ἠνώχλει ἡ Αἵρεσις, καὶ δῆλον ἐκ τοῦ Ἐπιφανίου ὡς εἴρηται ἀνωτέρω λέγοντος, ὅτι οἱ κατὰ τὸν Ἀπολινάριον λέγοντες, εἰς πολλὴν ταραχὴν κατέστησαν τὰ ἀνωτερικὰ μέρη, τῆς Ἀνατολῆς δηλονότι, οὐ πάντα φησὶν, ἀλλὰ τὰ ἀνωτερικὰ, ἅτινα ἐξ εἰκασίας ἦσαν τὰ ἐν Ἀντιοχείᾳ, ἐπειδὴ ἐκεῖσε μάλιστα ὡς εἴρηται ἡ Αἵρετις ἐδιδάσκετο, καὶ ἐκείνων τῶν μερῶν οἱ Ἐπίσκοποι ἔγραψαν πρὸς τὸν Δάμασον, οὐκ ἔγραψαν δὲ ἵνα ὁ Ῥώμης ὡς κεφαλὴ τῆς καθόλου Ἐκκλησίας καθαιρέσει καθυποβάλλῃ τὸν Τιμόθεον, ἀλλὰ διὰ τὸ εἶναι τὴν Δυτικὴν Ἐκκλησίαν ἐλευθέραν τῆς βίας τῶν τυράννων Βασιλέων, ἐν δὲ τῇ Ἀνατολῇ διὰ τὸ ἡγεμονεύειν τὸν Οὐάλεντα, καὶ γὰρ ὅτε συνήθροιστο ἡ παροῦσα ἐν Ῥώμῃ Σύνοδος, ὁ Οὐάλης ἐβασίλευεν ἐν τῇ Ἀνατολῇ, καὶ τοῦτο δῆλον ἐστὶν ἐκ τοῦ ἐν αὐτῇ παρεῖναι τὸν Ἀλεξανδρείας Πέτρον, ὅς τις οὐ θανόντος τοῦ Οὐάλεντος, ἀλλ' ἀναχωρήσαντος ἀπὸ Ἀντιοχείας εἰς Κωνσταντινούπολιν, κατῆλθεν εἰς Ἀλεξάνδρειαν ἔτι ζῶντος αὐτοῦ. εἶτα οὐκ ἔγραψαν ἵνα μόνη ἡ ῥωμαϊκὴ Ἐκκλησία καθαιρέσει ὑποβάλλῃ τὸν Τιμόθεον, ἀλλ' ἵνα ὡς ἀπεκήρυξαν αὐτὸν πολλοὶ τῶν Ἀνατολικῶν Διδασκάλων ἰδίως, καὶ καθῃρήκασιν αὐτὸν πολλαὶ ἐν τῇ Ἀνατολῇ Σύνοδοι, καθαιρέσει ὑποβάλλῃ αὐτὸν καὶ ἡ Δυτικὴ Ἐκκλησία διὰ μείζονα κατάκρισιν τῆς Αἱρέσεως, ὅπερ καὶ αὐτὸ οὐ δίδωσι τῷ Ῥώμης μοναρχικὸν ἀξίωμα, τοῦτο μὲν, ὅτι οὐ καθῄρηκεν αὐτὸν μόνος ὁ Ῥώμης, ἀλλ' ἡ ῥωμαϊκὴ Ἐκκλησία, τουτέστι ἡ ἐν Ῥώμῃ τῶν Δυτικῶν Ἐπισκόπων Σύνοδος, καὶ πρὸς τούτοις μετὰ Πέτρου τοῦ Ἀλεξανδρείας. τοῦτο δὲ, ὅτι καὶ μερικαὶ Σύνοδοι τὰς οἰκουμενικὰς ἐβεβαίωσαν ὡς πολλάκις εἴρηται ἀνωτέρω, εἰ δὲ καὶ καθ' ὑπόθεσιν πρῶτος ἔκρινεν ὁ Ῥώμης καὶ κατέκρινε τὴν Αἵρεσιν Ἀπολιναρίου, οὐδὲ τοῦτο μοναρχικὸν αὐτῷ ἐδίδου ἀξίωμα, ἐπειδὴ οὐ μόνος, ἀλλὰ καὶ ἄλλοι ἔκρινον οὕτως, Ἀλέξανδρος Ἀλεξανδρείας πρῶτος κρίσει τῆς ἀποστολικῆς αὐτοῦ καθέδρας ἀνεθεμάτισε τὸν Ἄρειον. ὁ Ἱεροσολύμων Σωφρόνιος κρίσει τῆς ἀποστολικῆς αὐτοῦ καθέδρας ἀνεθεμάτισε πρῶτος τοὺς Μονοθελήτας, καὶ ἄλλα δὲ τοιαῦτα συνέβη ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἅτινα εἴρηται καὶ ῥηθήσεται. ὥστε ἡ Ῥώμη ἀποστολικὴ καθέδρα, ἀλλ' οὐ μόνη, καὶ κρίνει, ἀλλ' οὐ μόνη. κρίσιν δὲ τῆς ἀποστολικῆς καθέδρας εἶπε τῆς ἐν Ῥώμῃ Συνόδου τὴν ἀπόφασιν, ὅπερ καὶ αὐτὸ τὸ τὴν ἀπόφασιν τῆς Συνόδου λέγεσθαι πολλάκις ἀπόφασιν τοῦ Πατριάρχου, ἴδιόν ἐστιν οὐ μόνον τῶν Πατριαρχικῶν θρόνων, ἀλλὰ καὶ τῶν Μητροπολιτικῶν, ὡς εἴρηται καὶ ῥηθήσεται.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἐκ τῆς ἀνωτέρω ἐπιστολῆς τοῦ Δαμάσου οὐδὲν μοναρχικὸν δηλοῦται, οὔτε ἐκ τῶν κατὰ καιροὺς ἐγκωμίων, ἢ δεήσεων, ἔτι γεμὴν καὶ ἐκ παραθέσεως οὐ δίδοται τῷ Ῥώμης ἀξίωμά τι μοναρχίας.

Τοῦτο καὶ ἐκ τῆς ἐπιστολῆς ταύτης τοῦ Δαμάσου δείκνυται, αὐτὸς γὰρ οὐκ εἶπεν ἐν αὐτῇ ῥῆμά τι μοναρχίαν, ἢ καθόλου ἐξουσίαν δηλοῦν, ἀλλ' ὅτι κρίσει τῆς ἀποστολικῆς καθέδρας παρόντος καὶ Πέτρου τοῦ Ἐπισκόπου Ἀλεξανδρείας καθῃρέθη ὁ Τιμόθεος ἅμα τῷ Διδασκάλῳ αὐτοῦ Ἀπολιναρίῳ, κρίσιν δὲ τῆς ἀποστολικῆς καθέδρας τὴν ἐν Ῥώμῃ Σύνοδον εἶπεν ὡς εἴρηται, προσέθηκε δὲ καὶ τὸν Πέτρον,

Πέτρον, ἵνα ἐνδείξηται μείζονα ἐξουσίαν τῇ Συνόδῳ, καὶ ἑπομένως τὴν κατὰ τῶν Αἱρετικῶν ἀπόφασιν τελειοτέραν. εἰς ἐκεῖνο δὲ ὅπερ λέγει ἐν τῇ ἀρχῇ τῆς ἐπιστολῆς ἤτοι τὸ, ὅτι τῇ ἀποστολικῇ καθέδρᾳ τὴν ὀφειλομένην αἰδῶ ἡ ἀγάπη ὑμῶν ἀπονέμει, ἑαυτοῖς τὸ πλεῖστον παρέχετε, ῥητέον πρῶτον, ὅτι οὕτως ἔγραφον, ἐπειδὴ ὁ Δάμασος ἦν γηραιὸς καὶ σοφὸς καὶ ζηλωτὴς καὶ τοσούτου πλήθους τῶν ἐν τῇ Δύσει Ἐπισκόπων Ἡγούμενος. δεύτερον, ὅτι τοῦτο καὶ ἄλλοις πολλοῖς Νόμῳ ἐγκωμίων εἴρηται κοινῶς καὶ ἰδίως παρὰ τῶν πατέρων, ὡς εἴπομεν ἀνωτέρω, καὶ ἐροῦμεν μεταταῦτα ἐν πολλοῖς. τρίτον, ὅτι ὁ Βασίλειος πρωτόθρονος τῆς Ἀνατολῆς καὶ πάσης Ἀρμενίας Ἡγούμενος ὢν, ἔγραφε τῷ ἁγίῳ Ἀθανασίῳ καὶ Εὐσεβίῳ τῷ Σαμοσάτων ὅσα εἴρηται ἀνωτέρω κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ Παραγράφῳ δευτέρῳ καὶ τρίτῳ. καὶ δὴ καὶ Ἀγαπητὸς ὁ Πάπας τὸν παρὰ πολλῶν συνόδων προκαθηρημένον Σεβῆρον καθελὼν συνοδικῶς ἐν Κωνσταντινουπόλει, ἔπεμψε τὰ ὑπομνήματα τῷ Ἱεροσολύμων Πέτρῳ, καὶ ἐζήτει ἵνα κἀκεῖνος ἀγανακτήσῃ κατά τε τοῦ Αἱρετικοῦ καὶ τῆς Αἱρέσεως αὐτοῦ. οὐκ ἔδωκε δὲ τῷ Ἱεροσολύμων ἡ τοιαύτη ζήτησις τοῦ Πάπα ἀξίωμα μοναρχίας, ἄρα οὐδὲ ἡ τοιαύτη δέησις τῶν τινῶν τῆς Ἀνατολῆς Ἐπισκόπων πρὸς τὸν Δάμασον ἔδωκεν αὐτῷ τοιοῦτον ἀξίωμα. ἰδὲ κατωτέρω βιβλίου πέμπτου κεφάλαιον πρῶτον, καὶ κεφάλαιον ἐνδέκατον.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Ὅτι οὐχ εὕρηται, ἀλλ' ἢ παρὰ Πλάτινα τὸν Ἱερώνυμον ἡρμηνευκέναι τὴν παλαιὰν γραφὴν, καὶ ὅτι τὸ νομίζειν τοὺς παπιστὰς κρῖναι τὸν Δάμασον τὴν τοῦ Ἱερωνύμου ἑρμηνείαν μᾶλλον τῆς τῶν ἑβδομήκοντα, μάταιόν ἐστι, κἀκτούτου δείκνυται ὁ Ῥώμης οὔτε κριτὴς, οὔτε διορθωτὴς τῆς θείας γραφῆς, οὔτε μονάρχης.

Ἱστορεῖ ὁ Πλάτινας εἰς τὸν βίον τοῦ Δαμάσου, ὅτι τὴν παλαιὰν Διαθήκην τὴν ἑρμηνευθεῖσαν ὑπὸ τῶν ἑβδομήκοντα, ἡρμήνευσεν αὐτὴν καὶ ὁ ἱερὸς Ἱερώνυμος, καὶ ὁ Δάμασος ἐβεβαίωσεν αὐτὴν λογίζεσθαι εἰς τὸν τόπον τῆς ἁγίας γραφῆς. Ὅμως πρὸς ταῦτα ῥητέον, ὅτι τὴν παλαιὰν γραφὴν πόσοι ἡρμήνευσαν εἰς τὴν ἑλληνικὴν γλῶσσαν πρὸ τοῦ Ἱερωνύμου, καὶ εἰς τὶ τάξιν ἔβαλεν ὁ Ὠριγένης τὰς Διαφόρους ἑρμηνείας ταύτας, ἰδὲ τὸν Εὐσέβιον βιβλίῳ ἕκτῳ κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ, καὶ τὰ Ἀμφιλόχια τοῦ Φωτίου κεφαλαίῳ ἑκατοστῷ τεσσαρακοστῷ ἐνάτῳ, εἰς μαρτυρίαν ὅμως ἀναντίῤῥητον ἡ καθολικὴ Ἐκκλησία μόνην χρᾶται τὴν ἑρμηνείαν τῶν ἑβδομήκοντα. ὁ οὖν Ἱερώνυμος εἴπερ ἡρμήνευσε τὴν γραφὴν, καὶ οἱ Θεολόγοι εἶχον αὐτὴν ὡς καὶ τὰς Θεοδοτίωνος, Ἀκύλα, Συμμάχου καὶ λουκιανοῦ ἑρμηνείας, ἢ καὶ εἰς μείζονα τάξιν, οὐκ ἦν παράλογον, ἀλλὰ καὶ εὔλογον, ὡς ὑπὸ Διδασκάλου καὶ ἁγίου ἔχοντος εἰς τὸ ἔργον θεῖον σκοπὸν καὶ ἀγαθὴν συνείδησιν ἑρμηνευθεῖσαν. τὸ δὲ θαῤῥεῖν τοὺς παπιστὰς νενομικέναι τὸν Δάμασον μόνως εὑρεῖν τὸν Ἱερώνυμον ἀκριβέστατα τὸν νοῦν τῆς γραφῆς, καὶ ἡρμηνευκέναι αὐτὸν προσφυέστατα, καὶ εἶναι εἰς μαρτυρίαν ἀξιόπιστον εἰς τὴν Ἐκκλησίαν μᾶλλον τῆς ἑρμηνείας τῶν ἑβδομήκοντα ἐστὶ μάταιον. ὅθεν καὶ ἡ ἑρμηνεία τῶν ἑβδομήκοντα θάλλει καὶ ἀναζῆ εἰς τὴν Ἐκκλησίαν, ἀλλὰ καὶ οἱ Λούτεροι ἀπὸ Βιτεμπεργίδος εἰς ἐπιστολὴν πρὸς Ἱερεμίαν τὸν Κωνσταντινουπόλεως αὐχοῦσιν ὅτι ἀναγινώσκουσιν ἑβραϊκῶς τὴν γραφὴν, καὶ κατανοοῦσι τὴν ἔννοιαν αὐτῆς, πλὴν ὅμως ὁ Λούτερος αὐτὸς ὥσπερ βιαζόμενος ὑπὸ τῆς ἀληθείας λέγει εἰς τὸ ὑπόμνημα τοῦ Δαβὶδ, κάλλιον ἦν κεκρατῆσθαι τὴν συνήθη μεθερμήνευσιν τῶν βιβλίων τῆς γραφῆς, ἥτις καὶ ἐδέχθη ἕως τοῦ νῦν, παρὰ τὰς ἐλθούσας εἰς μέσον τοσαύτας πολλὰς μεθερμηνεύσεις, ἀφ' ὧν οὐκ ἔστιν οὐδὲν ὄφελος, ἀλλὰ μάλιστα καὶ σύγχυσις καὶ Διαφωνία. καί τις Καπίων εἰς τὰς συμφωνίας τοῦ Ῥαββὶ Νάθαν ἐσημείωσεν ὅτι πολλαὶ μεθερμηνεύσεις τῶν βιβλίων τῆς γραφῆς ἐφάνησαν, ἅστινας κάλλιον ἦν μὴ γεγονέναι, ἢ μετὰ τὸ γεγονέναι εὐθὺς ἀφανισθῆναι. οἴχεται λοιπὸν κἀκτούτου τὸ συμπέρασμα περὶ τῆς τυραννίδος τοῦ Ῥώμης τῶν Λατίνων.

ΠΑΡΑΓΡΑΦΟΝ Β΄.

Ὅτι κατὰ Χρυσόστομον καὶ Ἰουστινιανὸν τὸν μέγαν καὶ Ἐπιφάνιον ἡ τῶν ἑβδομήκοντα τῆς παλαιᾶς γραφῆς ἑρμηνεία ἀξιοπιστοτέρα ἐστὶ τῶν ἄλλων, καὶ μόνη ἀρκεῖ εἰς μαρτυρίαν..

Ὅτι δὲ ἀξιοπιστοτέρα ἐστὶ πασῶν τῶν ἑρμηνειῶν ἡ ἑρμηνεία τῶν ἑβδομήκοντα, ἀρκεῖ εἰς μαρτυρίαν ὁ θεῖος

ὁ θεῖος Χρυσόστομος, ὃς εἰς τὴν πέμπτην ὁμιλίαν εἰς τὸν Ματθαῖον λέγει, εἰ οἱ Ἑβραῖοι προβάλλουσιν ἑτέρους ἑρμηνευτὰς λέγοντες ὅτι οὐκ εἶπεν ὁ Προφήτης Παρθένον, ἀλλὰ Νεᾶνιν, λέγομεν, ὅτι μᾶλλον ἁπάντων τὸ ἀξιόπιστον οἱ ἑβδομήκοντα ἔχοιεν ἂν δικαίως, ἐπειδὴ οἱ ἄλλοι μετὰ Χριστὸν ἡρμήνευσαν, καὶ ἐπαχθείᾳ εἰρήκασι, καὶ τὰς προφητείας συνεσκίασαν ἐξεπίτηδες, οἱ δὲ ἑβδομήκοντα πρὸ ἑκατὸν καὶ πλειόνων ἐτῶν τῆς τοῦ Χριστοῦ παρουσίας ἐπὶ τοῦτο ἐλθόντες, καὶ τοσοῦτοι ὄντες, πάσης τοιαύτης ὑποψίας εἰσὶν ἀπηλλαγμένοι, καὶ διὰ τὸν χρόνον, καὶ διὰ τὸ πλῆθος, καὶ διὰ τὴν συμφωνίαν. τοῦτο αὐτὸ βεβαιοῖ καὶ ὁμέγας Ἰουστινιανὸς Νεαρᾷ ἑκατοστῇ τεσσαρακοστῇ ἕκτῃ, σχεδὸν τὰ αὐτὰ λέγων ἐν πᾶσι τῷ Χρυσοστόμῳ. καὶ ὁ Ἐπιφάνιος Αἱρέσει πρώτῃ λέγει, οὕτω παρῆλθε δεκάτη γενεὰ δι' ἐτῶν δισχιλίων διακοσίων ἑξήκοντα δύο, καὶ ὁ κατακλυσμὸς πέπαυται. Καὶ, ὁ Σὴμ ὢν ἐτῶν ἑκατὸν πέντε ἐν τῷ δευτέρῳ ἔτει μετὰ τὸν κατακλυσμὸν ἐγέννησε τὸν Ἀρφαξαδ, ἐξοῦ ἔτους ἕως οὗ ἀπήντησεν ὁ Ἀβραὰμ τῷ Μελχισεδὲκ παρερρύη ἔτη χίλια ἑκατὸν καὶ τριάκοντα, καὶ ὁ Χρυσόστομος λόγῳ ὀγδοηκοστῷ δευτέρῳ Τόμῳ πέμπτῳ φησὶ, τὸν Παράδεισον πεντακισχίλια ἔτη κεκλεισμένον, σήμερον ἠνέῳξεν ἡμῖν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ κατὰ Σύγκελλον καὶ τοὺς ἁγίους τίνες ἥμαρτον ἀπὸ Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ, καὶ τίνες ἀπὸ τοῦ κατακλυσμοῦ μέχρι τοῦ Ἀβραὰμ εἰς τὴν παλαιὰν γραφήν.

Σημειοῖ ὁ Σύγκελλος καὶ δὴ καὶ ἀποδείκνυσιν, ὅτι οἱ Σαμαρεῖται ἥμαρτον εἰς τὴν παλαιὰν γραφὴν ἐν πολλοῖς ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ. οἱ Ἑβραῖοι δὲ καὶ ἀπὸ τοῦ κατακλυσμοῦ ἕως τοῦ Ἀβραάμ. ὅτι δὲ ἡμαρτημένον τὸ ἑβραϊκὸν δῆλον, ὑποτίθησι γὰρ ἐν τοῖς αὐτοῖς χρόνοις τοῦ Νῶε καὶ τοῦ Ἀβραὰμ, καὶ ἕως πεντηκοστοῦ ὀγδόου ἔτους τοῦ Ἀβραὰμ λέγει ὅτι ἔζησεν ὁ Νῶε, ὅπερ φανερόν ἐστι ψεῦδος. ἔτι τῇ τῶν Ἰουδαίων γραφῇ οὐκ ἔστι τὸ, ὤρυξαν χεῖράς μου καὶ πόδας μου, καὶ ταύτῃ οἱ Εὐαγγελισταὶ ψευδῶς τὴν γραφὴν προβάλλονται, εἰ μόνη ἡ τῶν Ἰουδαίων γραφὴ ἑβραϊστὶ γεγραμμένη τῆς ἀληθείας ἔχεται. καὶ δὴ καὶ Ἰουστῖνος ἐν τῇ μετὰ Τρύφωνος διαλέξει ἔφη τοὺς Ἰουδαίους ἀφελέσθαι ἐκ τοῦ ἐννενηκοστοῦ πέμπτου ψαλμοῦ τὸ ἀπὸ τοῦ ξύλου. καὶ Ἰώσηπος βιβλίῳ πρώτῳ τῆς ἀρχαιότητος κεφαλαίῳ πέμπτῳ τὸν πεμφθέντα Κόρακα ἐπὶ τοῦ κατακλυσμοῦ ἔφη μὴ ἀναστρέψαι κατὰ τὴν τῶν ἑβδομήκοντα δηλονότι ἑρμηνείαν, ᾧ συνηγορεῖ καὶ Χρυσόστομος ὁμιλίᾳ εἰκοστῇ ἕκτῃ εἰς τὴν Γένεσιν. οὕτω φησὶ καὶ Αὐγουστῖνος κατὰ Φαύστου, καὶ Ἀμβρόσιος περὶ τῆς Κιβωτοῦ, καὶ Ἱερώνυμος ἐν τῇ παραφράσει, καὶ ὅμως ἡ ἑβραϊκὴ παραλλάττει λέγουσα, καὶ ἀνέστρεψε, καὶ ἄλλα πολλὰ οἱ Ἰουδαῖοι παρήλλαξαν, περὶ ὧν οὐ τοῦ παρόντος λέγειν. ὅθεν ὁ Ῥαββὶ Ἠλίας παραλλάττειν τὴν νῦν οὖσαν παρὰ τοῖς Ἰουδαίοις γραφὴν τῆς ἀρχαίας διϊσχυρίζεται, ὥστε καλῶς λέγει ὁ Σύγκελλος, ὅτι οἱ ἑβδομήκοντα ἐκ παλαιᾶς καὶ ἀδιαστρόφου ἀντιγραφῆς ἡρμήνευσαν, ἣν καὶ ἡμεῖς κεχρήμεθα, ᾗ προσέχει καὶ ἡ Ἐκκλησία ἐκ παραδόσεως τῶν Ἀποστόλων λαβοῦσα.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἡ τῶν ἑβδομήκοντα ἑρμηνεία κατὰ τοὺς παλαιοὺς ἁγίους πατέρας ἡ αὐτή ἐστι τῇ ἀρχαιοτάτῃ, καὶ οὐκ ἄλλη τὶς, ὡς φασὶν οἱ νεώτεροι τῶν Αἱρετικῶν, λεγόντων οὐκ ὀφείλει ἐννοεῖν ταύτην ὡς οἱ πατέρες ἡρμήνευσαν, ἀλλ' ὡς ἑκάστῳ δίδωσι τὸ Πνεῦμα τὸ ἅγιον γινώσκειν, ὅπερ ἐφεύρεμά ἐστι τοῦ πονηροῦ.

Τινὲς τῶν νέων Αἱρετικῶν σπουδάζουσι δεῖξαι τὴν ἑρμηνείαν τῶν ἑβδομήκοντα μὴ εἶναι τὴν αὐτὴν τῇ ἀρχαιοτάτῃ ἀντιγραφῇ. ἡμεῖς ὅμως μᾶλλον πειθόμεθα καὶ πιστεύομεν Ἰουστίνῳ, Εὐσεβίῳ, Χρυσοστόμῳ, Ἀθανασίῳ καὶ τοῖς λοιποῖς ἀρχαίοις πατράσιν ἡμῶν, ἐξ ὧν οἱ πολλοὶ οὐμόνον ἦσαν σοφώτατοι, ἀλλὰ καὶ ἁγιώτατοι, τόσον Ἀνατολικοὶ, ὅσον καὶ Δυτικοὶ, τόσον διὰ τὸν θρυλλούμενον τρόπον καθ' ὃν ἐξηγήσαντο οἱ ἑβδομήκοντα τὴν ἁγίαν γραφὴν, ὅσον καὶ διὰ τὴν ἀλήθειαν αὐτῆς, ὅθεν ὁ Χρυσόστομος Τόμῳ ἕκτῳ λόγῳ εἰκοστῷ ἑβδόμῳ πρὸς Ἰουδαΐζοντας, φύλλοις τριακοσίοις εἴκοσι καὶ τρισὶ φησὶν, ὅτι αἱ παρὰ τοῦ Πτολεμαίου ἑρμηνευθεῖσαι γραφαὶ ἐν τῷ Ναῷ τοῦ Σαράπιδος εἰσὶ μέχρι τοῦ νῦν. δεύτερον, ὅτι ἡ εὑρισκομένη αὕτη ἑρμηνεία τῶν ἑβδομήκοντα νῦν, αὕτη ἐστὶν ἐκείνη ἡ ἀρχαία καὶ ἀνόθευτος κατὰ πάντα καὶ ἀπαραχάρακτος. τρίτον, ὅτι οἱ ἑβδομήκοντα ἑρμηνευταὶ ἔν τισι τῆς ἁγίας γραφῆς μέρεσιν οὐκ ἀπεῖδον ἀκριβολογημένως εἰς τὰς λέξεις, ἀλλ' εἰς τὸν νοῦν τῆς γραφῆς, ὅθεν καὶ κατὰ τὸν νοῦν μάλιστα ἡρμήνευσαν καὶ τὰ ῥήματα καὶ τὰ ὀνόματα τέταρτον, ὅτι πολλοὶ τῶν πατέρων ἐξηγούμενοι τινὰ μέρη τῆς γραφῆς, ἔν τισι λέξεσιν ἐχρήσαντο πολλάκις τὰς ἑρμηνείας Ἀκύλα, Θεοδοτίωνος καὶ Συμμάχου, καὶ τοῦτο οὐχ ὅτι παρεῖχον προτίμησιν τινὰ τῇ ἑρμηνείᾳ τῶν εἰρημένων μᾶλλον τῆς ἑρμηνείας τῶν ἑβδο-

ἑβδομήκοντα, ἀλλὰ διὰ σαφήνειαν τῶν ἡρμηνευμένων ῥημάτων καὶ ἑτέρων γραφικῶν ῥητῶν, καὶ ἵνα δείξωσι τὸν ἐν ταῖς γραφαῖς τοῦ παναγίου Πνεύματος πλοῦτον, ἐπειδὴ ἐν μιᾷ καὶ τῇ αὐτῇ λέξει παρέχει γινώσκειν πολλὰ καὶ διάφορα νοήματα, καὶ πάντα συντρέχοντα πρὸς τὴν ὀρθόδοξον πίστιν. πέμπτον, ὅτι μετὰ τὴν ἐπιδημίαν τοῦ Σωτῆρος ἔν τισι τόποις τὴν παλαιὰν οἱ Ἰουδαῖοι ἐνόθευσαν, φερόμενοι κατὰ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου, ὅθεν καὶ πολλὰ παρήλλαξαν τῆς γραφῆς μέρη, ὡς ὁ Σύγκελλος εἴρηκεν ἀνωτέρω, καὶ προσέτι τινὰ μέρη τῆς ἁγίας γραφῆς ἀρνοῦνται, ὡς τὸ τοῦ Ἰὼβ καὶ ἑτέρων, περὶ ὧν οὐ τοῦ παρόντος λέγειν· ἕκτον, ἐπειδὴ τινὲς τῶν ἐθνικῶν ὡς ὁ Πορφύριος καὶ ἄλλοι, καί τινες τῶν ἀρχαίων καὶ νέων Αἱρετικῶν τινὰ μέρη τῆς παλαιᾶς γραφῆς καὶ νέας ἀρνοῦνται, τινὰ δὲ παραλλάττουσι καὶ παρερμηνεύουσι, τινὰ δὲ καὶ ἐνόθευσαν, ὡς ἐν ἄλλοις ἐροῦμεν, ἡμεῖς τὴν ἁγίαν γραφὴν οὕτως ἐννοοῦμεν ὡς ἐνόησαν καὶ ἡρμήνευσαν αὐτὴν οἱ ἅγιοι πατέρες, ὡς ἡ ἐν Τρούλλῳ Σύνοδος ὁρίζει Κανόνι δεκάτῳ ἐνάτῳ, καὶ πᾶσαι αἱ λοιπαὶ Οἰκουμενικαὶ Σύνοδοι, καὶ οἱ ἀρχαῖοι ἅγιοι πατέρες ἔκρινον καὶ ἐβεβαίωσαν. ὅθεν ὁ Αὐγουστῖνος κατὰ τῆς ἐπιστολῆς τοῦ Θεμελίου κεφαλαίῳ πέμπτῳ, τὸ Εὐαγγέλιον ὡς ἀληθὲς τηρεῖται, διότι ἡ Ἐκκλησία παρέδωκεν ἔφη. ἕβδομον, οἱ ἅγιοι πατέρες ἐξηγούμενοι τὴν γραφὴν, εἰ ἔν τισι μέρεσι νομίζονται ἀσύμφωνοι παρὰ τῶν νέων Αἱρετικῶν, διότι τάχα οὐ λέγουσι τὰ αὐτὰ, καὶ ὅμως ῥητέον ὅτι οὐ λέγουσιν ἀντικείμενα καὶ ἀσύμφωνα τῇ καθολικῇ Ἐκκλησίᾳ, καὶ πάντα συντρέχουσιν εἰς τὴν κοινὴν δόξαν αὐτῆς. ὄγδον, τὸ τοὺς νέους Αἱρετικοὺς φρονεῖν τε καὶ λέγειν ὅτι οὐ καθὼς ἡρμήνευσαν τὴν ἱερὰν γραφὴν οἱ ἅγιοι πατέρες, ἀλλὰ καθὼς τὸ Πνεῦμα δίδωσιν ἑκάστῳ γινώσκειν, οὕτως ὀφείλει ταύτην ἐννοεῖν, τοῦτο ὡς ἀλλότριον τοῦ ἐκκλησιαστικοῦ φρονήματος, καὶ ὡς μυρίων Αἱρέσεων αἴτιον, καὶ μάλιστα ὡς ἐφεύρημα ὂν τοῦ ἀντικειμένου καὶ πονηροῦ πνεύματος, πᾶσι τρόποις ἀναθεματίζομεν. ἔνατον, τὸ νομίζειν τοὺς Λατίνους εἶναι μόνον τὸν Πάπαν τῆς Ῥώμης ἐξηγητὴν ἐξαίρετον καὶ ἀδιάψευστον τῆς ἁγίας γραφῆς, ὡς βλάσφημον καὶ αἱρετικὸν ἀποῤῥίπτομεν, καὶ γὰρ προτιμητέοι οἱ ἅγιοι πατέρες ὡς λέγουσι καὶ αὐτοὶ οἱ ἀρχαῖοι ἁγιώτατοι Πάπαι ἐν τοῖς συγγράμμασιν αὐτῶν, καὶ ἐν ταῖς ἐπιστολαῖς αὐτῶν πρὸς τὰς Οἰκουμενικὰς Συνόδους, καὶ αὐτὴ βιασθεῖσα διώρισεν ἡ ἐν Τριδέντῳ Σύνοδος, καὶ ἰδὲ κατωτέρω τὸν τόπον αὐτῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Ε΄.

Ὅτι τὸ κριτὴν ἀναμάρτητον εἶναι τὸν Ῥώμης, καὶ διορθωτὴν ἄκρον τῶν βιβλίων τῆς θείας γραφῆς καὶ τῶν Θεολόγων, συμπεραίνεται ἐνταῦθα ἀπό τε συγγραφέων, ἀπό τε τῶν ἀποβαλλόντων τοὺς διορισμοὺς καὶ ἀποδοχὰς καὶ βεβαιότητας τῶν Παπῶν, καὶ ἀπὸ τῶν ἀντειπόντων αὐτοῖς ἐγκρίτων πατέρων καὶ Ἐκκλησιῶν μήτε κριτὴν ἀναμάρτητον, ἢ διορθωτὴν τῆς θείας γραφῆς καὶ τῶν Θεολόγων, μήτε μονάρχην εἶναι.

Ἀλλ' ἔλθωμεν εἰς τὸν σκοπὸν τῆς ὑποθέσεως ἡμῶν, τὸν Πάπαν τοίνυν οὐδὲν ἄλλο ἐβεβαίου κριτὴν ἀναμάρτητον ἐν τῇ Ἐκκλησίᾳ, ὡς τὸ εἶναι αὐτὸν διορθωτὴν ἄκρον τοῦ τίνα βιβλία τῆς θείας γραφῆς εἰσὶν ἀληθῶς κανονικὰ, καὶ ποῖα βιβλία τῶν Θεολόγων εἰσὶν εὐσεβῆ, καὶ ὅμως οὔτε ἀμφοτέρου οὔτε ἑκατέρου ἐγένετό ποτε κριτὴς, ἢ διορθωτής. εἰ δὲ καὶ παράτινων τοιοῦτος νομίζεται, ἀλλὰ καὶ τοῦτο νεογενές ἐστι, καὶ τοῖς ἀρχαίοις ἄγνωστον ἦν. Ἀμβρόσιός τις Ἀνσβέρτος τοῦ ὀγδόου αἰῶνος συγγραφεὺς ἐν τῇ ἐπιστολῇ ἣν ἔπεμψε πρὸς Στέφανον Πάπαν, ἥτις κεῖται ἐν τῇ ἀρχῇ τῶν βιβλίων, ἅτινα συνέθετο εἰς τὴν Ἀποκάλυψιν, καὶ εὑρίσκονται ἐν τῇ βιβλιοθήκῃ τῶν πατέρων ἐν τῇ ἐσχάτῃ συλλογῇ Τόμῳ δεκάτῳ τρίτῳ, ὅπου ταῦτα φησὶν, ἄρτι εἰς τὴν Ἀποκάλυψιν τοῦ Ἰωάννου δέκα συνέγραψα βιβλία, καὶ εἰ καὶ δοκεῖμοι ὅτι ταῖς τῶν ἱερῶν γραφῶν μαρτυρίαις τῇ ἀληθεῖ πίστει συμφωνούσαις ἐρείδομαι, πλὴν τὴν ἐμὴν ταπείνωσιν ἐπιβλέπων, ζητῶ ἵνα τῷ ὑμετέρῳ προσέτι θεσπίσματι στερεωθῶσιν, ὅπερ οὐδένα πάρεξ ἐμοῦ ἄλλον συγγραφέα πεποιηκέναι εὑρίσκω, ἀλλ' οὐχὶ διὰ τοῦτο ἡ ἐλευθερία ὑπέπεσεν ὅτι ἡ ταπείνωσις ἐλευθέρως ἑαυτὴν ὑπέκλινε. καὶ σημείωσαι ὅτι πρὸ τοῦ Ἀμβροσίου τούτου οὐδεὶς Πάπας μηδενὸς Θεολόγου βιβλία διωρθώνατο. δεύτερον, τοῦ Αὐγουστίνου τὴν διδασκαλίαν ὅσον εἰς τὸ παρὸν ῥητέον, τὴν περὶ αὐτεξουσίου καὶ χάριτος ἀπεδέξαντο οἱ Πάπαι Ἰννοκέντιος πρῶτος, Ζώσιμος, Βονιφάτιος πρῶτος, Κελεστῖνος καὶ Ὁρμίσδας, οἷς ἠκολούθησαν καὶ πολλοὶ τῶν Σχολαστικῶν, πλὴν πολλοὶ ὀνομαστοὶ καὶ σοφοὶ ἄνδρες καὶ ἀλλαχοῦ, καὶ ἐν ταῖς Γαλλίαις ἐλευθέρως ἀπεχώρισαν τῆς γνώμης τοῦ Αὐγουστίνου, καὶ κατ' αὐτῆς συνέγραψαν καὶ βιβλία, καὶ πάντες ἀπέθανον ἐν τῇ κοινωνίᾳ τῆς Ἐκκλησίας μὴ κατακριθέντες διότι ἐναντιώθησαν καὶ ἀντεῖπον τῷ διορισμῷ τῆς ῥωμαϊκῆς Ἐκκλησίας, οὐμὴν ἀλλὰ καὶ πᾶσα ἡ Ἀνατολικὴ Ἐκκλησία οὐ παραδέχεται ταύτην τὴν γνώμην τοῦ Αὐγουστίνου, ὡς ῥηθήσεται κατωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου παραγράφῳ πέμπτῳ· τρίτον, Γελάσιος. ὁ Πάπας κατάλογον ἐποίησε τῶν βιβλίων τῆς ἁγίας γραφῆς, καὶ ἰσχυρῶς περίτινων ὧν ἀπέβαλε διώρισεν εἰπὼν, πάντα τὰ τούτοις ὅμοια οὐ μόνον ἀπόβλητα, ἀλλὰ

καὶ

καὶ ἀπὸ πάσης τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας ἐξόριστα, καὶ μετὰ τῶν συγγραφέων αὐτῶν τοῖς τε αὐτῶν ἀκολούθοις ὑπὸ ἀναθέματος ἀλύτῳ δεσμῷ εἰς τὸν αἰῶνα ὁμολογοῦμεν κατακριθέντα. τὰ βιβλία ταῦτα εἰσὶν, ἡ ἐπιστολὴ τοῦ Κυρίου πρὸς Αὔγαρον, καὶ ἡ ἐπιστολὴ τοῦ Αὐγάρου πρὸς τὸν Κύριον, τὸ βιβλίον τῶν ἀποστολικῶν Κανόνων, καὶ τὸ βιβλίον τοῦ Ποιμένος. Ἀλλὰ ῥητέον ὅτι τοὺς ἀποστολικοὺς Κανόνας ἐδέχθη ἡ ἐν Τρούλλῳ Σύνοδος ὡς ἐροῦμεν ἐν τῷ τόπῳ. τὰς ἐπιστολὰς τοῦ Αὐγάρου καὶ τοῦ Κυρίου ἐδέχθησαν ὁ Προκόπιος, ὁ Εὐάγριος, ὁ Κεδρηνὸς καὶ Θεόδωρος ὁ Στουδίτης παρὰ Ἀλεξάνδρῳ τῷ Νατάλει. τὸ δὲ τοῦ Ποιμένος ἐδέχθησαν μετὰ τῶν παλαιῶν Ἠλίας ὁ Κρήτης, Νικηφόρος ὁ ξανθόπουλος, Ἀναστάσιος βιβλιοφύλαξ καὶ ἄλλοι, εἰς οὐδὲν λογισάμενοι τὰ ἐπιτίμια τοῦ Γελασίου, ἀλλὰ καὶ τῷ καταλόγῳ αὐτοῦ πολλοὶ ἀντεῖπον, ἐν οἷς καὶ Κασσιόδωρος περὶ θείας ἀναγνώσεως κεφαλαίῳ δωδεκάτῳ, καὶ Γρηγόριος ὁ Διάλογος εἰς τὸν Ἰὼβ βιβλίῳ δεκάτῳ ἐνάτῳ κεφαλαίῳ δεκάτῳ τρίτῳ. τέταρτον, Γρηγόριος ὁ ἕβδομος ἐν τῷ αὐτοῦ λεγομένῳ Δικτάτῳ οὕτως ἀποφαίνεται, ὅπως οὐδὲν κεφάλαιον οὐδεμία βίβλος κανονικὴ νομίζηται ἄνευ τοῦ Ὅρου τοῦ Πάπα, τούτῳ συνᾴδει καὶ ὁ Κασσένσιος λέγων, ὅτι πιστεύομεν ἢ ἐκ τῆς γραφῆς, ἢ παραδόσεως; ἢ Ὅρου ἐκκλησιαστικοῦ ὅλοι πιστεύομεν ὅ,τι πιστεύομεν ἀποκαλυφθὲν τῷ Πάπᾳ, καὶ ὅτι ὁ Πάπας αὐτὸ δέχεται ὡς κανονικὸν, ἢ παραδοθὲν ἐκ θείας παραδόσεως. Ἀλλὰ ῥητέον ὅτι εἰ ταῦτα οὕτως ἔχει, προσφερέτωσαν μάρτυρας ἐκ τῶν ἁγίων πατέρων οὐ πολλοὺς, ἀλλὰ κατὰ τὴν ἐντολὴν δύο ἢ τρεῖς, καὶ δεκτὸν ἡγησόμεθα τὸν Ὅρον τοῦ Γρηγορίου, ἀλλ' οὐκ ἔχουσιν, ὅθεν οὐ μόνον οὐδεχόμεθα, ἀλλὰ καὶ ὡς βλάσφημον ἀποπτύομεν. πέμπτον, τὸν Πάπαν Δάμασον προσφέρουσιν οἱ παπισταὶ ὅτι ἐποίησε καὶ αὐτὸς κατάλογον τῶν βιβλίων ὡς ἔχοντος τοιαύτην ἐξουσίαν τοῦ Πάπα ἐν τῇ Ἐκκλησίᾳ. Ἀλλὰ ῥητέον ὅτι τοιοῦτον ἔργον καὶ τοιαύτην ἐξουσίαν εἶχον καὶ ἄλλοι, ὁ ἔσχατος ἀποστολικὸς Κανὼν, ἡ ἐν Καρθαγένῃ Σύνοδος, ὁ ἅγιος Ἀθανάσιος, Γρηγόριος ὁ θεολόγος ἐν τοῖς στίχοις, Ἰωάννης ὁ Δαμασκηνὸς περὶ ὀρθοδόξου πίστεως βιβλίῳ τετάρτῳ κεφαλαίῳ ἐννενηκοστῷ τετάρτῳ, καὶ ἄλλοι. ἔτι ἐν τῷ καταλόγῳ τοῦ Δαμάσου περιέχεται καὶ ἡ πρὸς Ἑβραίους ἐπιστολὴ τοῦ Παύλου, καὶ ἡ Ἀποκάλυψις τοῦ Ἰωάννου, ἀλλ' ὁ Ἱερώνυμος ἐπιστολῇ ἑκατοστῇ εἰκοστῇ τετάρτῃ πρὸς Δαρδανον λέγει, τὴν μὲν πρὸς Ἑβραίους ἐπιστολὴν ὅτι ἡ Λατίνων Ἐκκλησία οὐδέχεται, τὴν δὲ Ἀποκάλυψιν ὅτι ἡ γραικῶν Ἐκκλησία οὐδέχεται, ἡμεῖς ὅμως ἑκατέραν δεχόμεθα. καὶ σημείωσαι ὅτι οὔτε οἱ Λατῖνοι πάντες, οὔτε οἱ Γραικοὶ ἐπείθοντο τῷ τοῦ Πάπα διορισμῷ. ἕκτον, ὁ Αὐγουστῖνος βιβλίῳ πρώτῳ κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ περὶ ἁμαρτιῶν ἀξίας καὶ ἀφέσεως λέγει, τὴν πρὸς Ἑβραίους ἐπιστολὴν δεχόμεθα ὡς κανονικὴν, ἐπειδὴ πείθομαι τῷ ἔθει τῶν Ἀνατολικῶν Ἐκκλησιῶν, αἵτινες καὶ ταύτην ἐν τοῖς κανονικοῖς ἔχουσιν. ἐν οἷς σημείωσαι ὅτι ὁ Αὐγουστῖνος δέχεται τὴν πρὸς Ἑβραίους ἐπιστολὴν οὐκ ἀπὸ τοῦ διορισμοῦ τοῦ Δαμάσου, ἀλλ' ἀπὸ τοῦ ἔθους τῶν Ἐκκλησιῶν τῆς Ἀνατολῆς, καὶ ὅτι ἐν τῷ καιρῷ τοῦ Αὐγουστίνου μετὰ τὴν κρίσιν τοῦ Δαμάσου ἦν εἰς πολλοὺς ἀπαράδεκτος ἡ ἐπιστολὴ, εἰ δὲ ὁ Πάπας εἶχεν ἐξουσίαν διορίζειν τὰ κανονικὰ βιβλία, ἐνομίζετο Αἵρεσις ἡ ἀπείθεια τῆς κρίσεως τοῦ Δαμάσου. ἔπειτα ὁ Αὐγουστῖνος παραδεχθεὶς τὴν ἐπιστολὴν ἀπὸ τοῦ ἔθους τῶν Ἐκκλησιῶν τῆς Ἀνατολῆς, οὐκ ἐνόμιζεν Αἱρετικοὺς ἢ σχισματικοὺς τοὺς μὴ δεξαμένους αὐτὴν μετὰ τὴν κρίσιν τοῦ Δαμάσου. πρὸς τούτοις ὁ Αὐγουστῖνος οὐκ ἀπὸ τῆς κρίσεως τοῦ Πάπα διδάσκει δέχεσθαι τὰ κανονικὰ βιβλία, ἀλλ' ἀπὸ ἄλλης αἰτίας, λέγει γὰρ χριστιανικῆς διδασκαλίας βιβλίῳ δευτέρῳ κεφαλαίῳ ὀγδόῳ ἐν ταῖς κανονικαῖς γραφαῖς τῶν καθολικῶν Ἐκκλησιῶν ταῖς πλείοσιν ἀκολουθείτω αἵτινες ἀληθῶς εἰσιν αἱ θρόνους ἀποστολικοὺς καὶ ἐπιστολὰς λαβεῖν ἀξιωθεῖσαι, κρατήσει λοιπὸν τοῦτον τὸν τρόπον ἐν ταῖς κανονικαῖς γραφαῖς δηλαδὴ ἅσπερ πᾶσαι αἱ καθολικαὶ Ἐκκλησίαι ἀποδέχονται, προτιμήσει ἐκείνων, ἅσπερ ἀποδέχονται τινὲς, ἐν αἷς δὲ πᾶσαι οὐκ ἀποδέχονται, προτιμήσει ἐκείνας ἃς παραδέχονται αἱ πλείονες καὶ δεινότεραι Ἐκκλησίαι τῶν κρατουμένων παρὰ τῶν ἐλάττονα ἐξουσίαν ἐχουσῶν. εἰ δὲ εὕροι ἄλλας ἐκ τῶν πλειόνων, καὶ ἄλλας ἐκ τῶν μειζόνων κρατουμένας (εἰ καὶ τοῦτο εὑρεθῆναι εὐκόλως οὐχ οἷόν τε) πάσας εἶναι ἰσοτίμους. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι ὁ Αὐγουστῖνος πρὸς τοῖς ἄλλοις περὶ ὧν ἐνταῦθα διαλαμβάνει οὐκ ἔγνω τινὰ κατάλογον παπικὸν τῆς ἱερᾶς γραφῆς παντάπασιν ἄπταιστον, ᾧ οὐκ ἐξῆν ἀντιλέγειν. δεύτερον, ὅτι οὐκ εἶπε τὸ κῦρος τῆς ῥωμαϊκῆς Ἐκκλησίας εἶναι ἐκ θείας ἀποκαλύψεως ὅθεν καὶ ἄπταιστον, τῶν δὲ λοιπῶν εἶναι σφαλερὸν καὶ ἁπλῶς ἀνθρώπινον. τρίτον, ὅτι ἰσότιμον ἐνόμιζε τὸ κῦρος τῶν ἀποστολικῶν Ἐκκλησιῶν ἐν αἷς καὶ ἡ ῥωμαϊκὴ Ἐκκλησία συναριθμεῖται, καὶ τὰ ἑξῆς, ἅτινα φανερὰ ὄντα, οὐδεῖται ἑρμηνείας. δῆλον οὖν καὶ ἐκ τούτων ὅτι ἐπειδὴ οἱ πάντες τοὺς διορισμοὺς τοῦ Γελασίου καὶ τοῦ Δαμάσου, καὶ προσέτι τὰς ἀποδοχὰς καὶ βεβαιότητας Ἰννοκεντίου, Ζωσίμου, Βονιφατίου, Κελεστίνου, Ὁρμίσδου καὶ Γρηγορίου τῶν Παπῶν οὐ μόνον οὐκ ἐδέξαντο, ἀλλὰ καὶ πολλοὶ καὶ μάλιστα ἅγιοι ἔγκριτοι καὶ πολλαὶ Ἐκκλησίαι ἀντεῖπον. συμπεραίνομεν ἀναγκαίως ὅτι τὸν Πάπαν τῆς Ῥώμης οὐκ ἐνόμιζον οἱ ἀρχαῖοι ἔγκριτοι πατέρες καὶ ἡ Δυτικὴ καὶ Ἀνατολικὴ Ἐκκλησία εἶναι ἀναμάρτητον. καὶ καὶ ὡς Ἀρχιερεὺς ἀπὸ καθέδρας καὶ μετὰ ἐπιτιμίου ἀναθέματος ἀπεφαίνετο. ἰδὲ καὶ ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον δέκατον τέταρτον.

Καὶ δεύτερόν γε ᾧ δ' ἔληξε βιβλίον.

ΔΟΣΙΘΕΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

ΒΙΒΛΙΟΝ Γ. ΚΕΦΑΛΑΙΟΝ Α.

ΠΑΝΕΠΙΣΤ. ΒΙΒΛΙΟΘΗΚΗ

Περὶ διαιρέσεως τῆς Ἱερωσύνης, καὶ τοῦ εἴδους τῆς ἐνεργείας ἑκάστης διαιρέσεως, καθ' ἃς οἱ Χριστιανοὶ καὶ οἱ Βασιλεῖς Ἱερεῖς λέγονται.

Διττή ἐστιν ἡ τῆς ἀληθείας Ἱερωσύνη, ἡ μία ἐστὶν ἡμυστηριακὴ ἡ διακονοῦσα εἰς τὰ λοιπὰ ἐξ τῆς καθολικῆς Ἐκκλησίας μυστήρια, ὡς οὖσα τοῦ παναγίου Πνεύματος ὄργανον, ἥτις καὶ διαφορὰς ἔχει ἐν αὐτῇ, οὐκ ἀπὸ προαιρέσεως, ἀλλ' ἀπὸ τῶν βαθμῶν, Ἐπισκόπου δηλονότι, Ἱερέως καὶ τῶν λοιπῶν. ἡ δευτέρα δὲ Ἱερωσύνη ἐστὶν ἐκείνη ἣν ἕκαστος Χριστιανὸς ὀρθόδοξος μάλιστα μετὰ τὸ βάπτισμα λαμβάνει, καὶ ἐστὶ διττή, ἡ πρώτη ἐστὶ καθ' ἣν ὁ Χριστιανὸς ἀγαθοεργεῖ, ἀγαθοποιεῖ καὶ ὅλος ὅλον ἑαυτὸν ἱερεύει καὶ προσφέρει τῷ Θεῷ θυσίαν δεκτὴν καὶ εὐάρεστον, καὶ γίνεται Χριστοῦ εὐωδία, καὶ τελειοῖ εἰς ἑαυτὸν τὸ εἰρημένον εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων, Μῦρον ἐκκενωθὲν ὄνομάσου, καθ' ὃ καὶ ὁ Πατριάρχης Ἰσαὰκ ἔλεγε περὶ τοῦ Ἰακὼβ, ἡ ὀσμὴ τοῦ υἱοῦ μου ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐλόγησεν ὁ Κύριος, σημαίνων τὴν ἄκραν θεοσέβειαν καὶ ἀρετὴν ἣν εἶχεν ὁ ἀσκητὴς Ἰακὼβ, δι' ἃ καὶ νοῦς ὁρῶν τὸν Θεὸν ὠνομάσθη παρὰ Θεοῦ. ἡ δευτέρα ἐστὶ καθ' ἣν ἕκαστος Χριστιανὸς ἔχει χρέος ἀσουδάζειν κατὰ τὸ δυνατὸν αὐτοῦ, καὶ κατὰ τὸ μέτρον τῆς δωρεᾶς ἣν ὁ Χριστὸς δέδωκεν αὐτῷ διὰ τὴν οἰκοδομὴν τοῦ πλησίον, καὶ γίνεται Θεοῦ διάκονος, ἐπιστρέφων τὸν ἀδελφὸν αὐτοῦ ἐκ πλάνης, καὶ ἔστιν Ἱερεὺς κατὰ τὸ εἰρημένον εἰς τὴν ἱερὰν Ἀποκάλυψιν, καὶ ἐποίησας αὐτοὺς Βασιλεῖς καὶ Ἱερεῖς. καθ' ὃν τρόπον ὁ μακάριος Πέτρος ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς ἐξέλαβε τὴν Προφητείαν τοῦ Ἰωήλ. εἰσὶ δὲ καθ' ὑπέρτερον καὶ ἀσύγκριτον λόγον οἱ Βασιλεῖς τοιοῦτοι Ἱερεῖς, ὡς δυνάμενοι βοηθεῖν τῇ Ἐκκλησίᾳ ὑπὲρ πάντα ἄλλον ἄνθρωπον, καὶ βεβαιοῖ τὸν λόγον ἡμῶν τοῦτον πολλὰ, ἅπερ λέξομεν εἰς τὴν παροῦσαν ἱστορίαν, καὶ μάλιστα καὶ τὸ παρὸν ὁ μέγας Κωνσταντῖνος, ὅς τις ἐστῶν τινὰς τῶν Ἐπισκόπων, φιληφρονούμενος ἔλεγεν, ὅτι εἰμὶ καὶ ἐγὼ ὦ οὗτοι Ἐπίσκοπος. καὶ ὑμεῖς μὲν ἐστε Ἐπίσκοποι τοῦ ἀνθρώπου, ἀλλὰ μᾶλλον τοῦ ἔσω ἀνθρώπου, ἐποικοδομοῦντες ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν. ἐγὼ δέ εἰμι Ἐπίσκοπος τοῦ ἀνθρώπου τοῦ ἔξω καὶ τοῦ ἔσω, τοῦ μὲν ἔξω, ὅτι φροντίζω πρὸς παιδαγωγίαν καὶ ὀρθὸν βίον τοῦ ἔξω ἀνθρώπου, καὶ γὰρ οὐδὲ εἰκῇ τὴν μάχαιραν φορῶ, τοῦ δὲ ἔσω, ἐπειδὴ συνεργός εἰμι ὑμῖν πρὸς βεβαίωσιν καὶ αὔξησιν τῆς ὀρθοδόξου πίστεως, συνεποικοδομῶν ἐπὶ τούτῳ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν, καθὼς τυχὸν Ἀρχιερεὺς ἦν οὐ μόνον ὁ Ἀαρὼν διδάσκων τὸν Νόμον, καὶ διακονῶν τοῖς ἐν τῇ Σκηνῇ, ἀλλὰ καὶ ὁ Μωϋσῆς Ἀρχιερεὺς, καθ' ἕτερον τρόπον διατάττων τὸν Νόμον, καὶ παιδαγωγῶν τὸν λαὸν ἀκούειν λόγια Θεοῦ ζῶντα, καὶ ζῆν καὶ εἶναι καὶ κινεῖσθαι ἐν αὐτοῖς. οὕτω καὶ ἐπὶ Δαυὶδ καὶ Σολομῶντος, καὶ Ἰωσίου ἐνήργουν οἱ Ἱερεῖς τὰ τῆς νομικῆς Ἱερωσύνης, καὶ μόνοι εἰσήρχοντο εἰς τὸ ἐνδότερον τοῦ καταπετάσματος καὶ ἐθυμίων. ἀλλὰ καὶ οἱ τρεῖς οὗτοι Βασιλεῖς τοῦ Ἰσραὴλ ἀξιάγαστοι ὄντες, καὶ κατ' ἐπίγνωσιν ἔχοντες Θεοῦ ζῆλον, ἐκήρυττον πολυτρόπως τὸν

τὸν Νόμον τοῦ Θεοῦ, καὶ ποικίλως νυκτὸς καὶ ἡ μέρας ἐφρόντιζον διὰ τὴν θεοσέβειαν τοῦ λαοῦ, ἱερεῖς καὶ αὐτοὶ γινόμενοι κατὰ ἀποστολικὸν ἀξίωμα τῷ Θεῷ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ὁμέγας Κωνσταντῖνος καὶ καθὸ Βασιλεὺς ὀρθόδοξος, καὶ κατὰ ἄλλους εἰκοσιὲξ τρόπους Ἐπίσκοπος ἦν.

Καὶ βεβαιότατα Ἐπίσκοπος ὡς ἀληθῶς ἦν ὁμέγας Κωνσταντῖνος καθὼς εἴπομεν ἀνωτέρω βιβλίῳ δευτέρῳ, καὶ προσέτι ἄλλοις τρόποις, πρῶτον, ὅτι πρῶτος τὸ προσκυνητὸν σημεῖον τοῦ τιμίου Σταυροῦ ἔβαλεν εἰς τὴν σημαίαν, ἤτοι εἰς τὸ φλάμπουρον αὐτοῦ, ἵνα ἴδῃ πᾶσα σὰρξ ὑψούμενον τὸ σωτήριον τοῦ Θεοῦ. δεύτερον, κατέλυσε τοὺς τυράννους τοὺς νυκτὸς καὶ ἡμέρας κινοῦντας διωγμὸν ἔσχατον κατὰ τοῦ ὀρθοδόξου λαοῦ, καὶ τοὺς φυλακωμένους Χριστιανοὺς ἠλευθέρωσε. τρίτον, ὅτι τὰ εἴδωλα τῶν ἐθνῶν κατέλυσε καὶ συνέτριψε. τέταρτον, εἴδωλα πλέον μὴ ἀναστηλοῦσθαι μήτε τιμᾶσθαι ὑπὸ τῶν ἀθλίων ἀνθρώπων ὥρισε. πέμπτον, μὴ γίνεσθαι τοῦ λοιποῦ μήτε κρυφὰς τελετὰς τῶν ἀσεβῶν, καθὼς ἦσαν τὰ ἐν Ἐλευσίνῃ πανασελγῆ μυστήρια, καὶ ἄλλαι τοιαῦται ἀθέμιτοι βδελυρίαι. ἕκτον, μὴ γίνεσθαι μονομαχίας καὶ ἐκχέεσθαι αἵματα ἄδικα μολύνοντα τὰς πόλεις καὶ χώρας. ἕβδομον, μὴ γίνεσθαι θεραπείας εἰς τὴν Αἴγυπτον διὰ τὴν κατάβασιν τοῦ Νείλου καὶ ἀλλαχοῦ μετὰ ἐκτεθηλυμένων ἔργων τῷ δαίμονι, τὸν δὲ πῆχυν τῆς ἀναβάσεως τοῦ Νείλου ἐν τῇ Ἐκκλησίᾳ τίθεσθαι καὶ μὴ ἐν τῷ Ναῷ τοῦ Σαράπιδος. ὄγδοον, τοὺς Νόμους μὴ τιμωρεῖσθαι τὰς ἀτέκνους διὰ τὴν ἀτεκνίαν, ἀλλ' εἰ ἐστὶν ἡ ἀτεκνία ὑπὸ ἀσθενείας φύσεως, ἐλεεῖσθαι τὰς ἀτέκνους, εἰ δὲ ἐστὶ διὰ παρθενίαν, ἢ ζωὴν καθαρωτέραν, τιμᾶσθαι αὐτὰς ὡς ὅλοι οἱ ἱερωμένοι τῷ Θεῷ. ἔνατον, ἕκαστον ἄνθρωπον ἔχειν ἐξουσίαν καὶ θέλημα ποιεῖν διαθήκην εἰς τὰ πράγματα αὐτοῦ χωρὶς τοῦ ἐμποδίζεσθαι ὑπὸ τῶν Νόμων τῶν λεγόντων ζητεῖν τὸ δημόσιον μέρος. δέκατον, ἔπαυσε τὰς εἰδωλικὰς θυσίας καὶ πανηγύρεις, καὶ ἐφανέρωσε τοὺς φόνους καὶ ἀσελγείας οὓς ἐποίουν οἱ εἰδωλολάτραι εἰς κρυφοὺς καὶ σκοτεινοὺς τόπους εἰς αἰσχύνην τῆς ἀνθρωπίνης φύσεως, καὶ ἐποίησε βατὰ τὰ ἄδυτα τῶν εἰδωλικῶν Ναῶν, καὶ μετέβαλε τὰ ἀγγεῖα τῶν θυσιῶν εἰς χρῆσιν τῶν δημοσίων, καὶ κατέπαυσε πᾶσαν θεραπείαν δαιμονικὴν, καὶ αὐλοὺς καὶ τύμπανα καὶ χοροὺς δαιμονικοὺς, καὶ μέθας, καὶ νάρθηκας, καὶ αἰγίδα τοῦ Διονύσου, καὶ πόρνας τῆς Ἀφροδίτης, καὶ σφαγὰς ἀνθρώπων εἰς τοὺς δαίμονας, καὶ ἄλλα τοιαῦτα. ἑνδέκατον, ἔκλεισε τοὺς Ναοὺς τῶν εἰδώλων, ἀλλὰ καὶ πολλοὺς κατέστρεψε, καὶ τὰ περιβόητα εἴδωλα καὶ ἑλληνικὰ ἀφιερώματα, ἤγουν τοῦ Πυθίου Ἀπόλλωνος, καὶ τῶν Μουσῶν τῶν ἑλικωνιάδων, καὶ τοὺς ἐν Δελφοῖς τρίποδας, καὶ τὸ περιβόητον τοῦ Πανὸς, ὃ ὁ Λακεδαιμόνιος Παυσανίας καὶ αἱ πόλεις τῶν Ἑλλήνων αὐτῷ ἀνέθηκαν ὅτε κατέστρεψαν τὸν Ἀρταξέρξην, συνέτριψε, καὶ ἀκολούθως κατηδάφισε καὶ τὰ λεγόμενα ἱερὰ τοῦ ἐν Δελφοῖς Πυθίου, καὶ τοῦ Σμινθίου τοῦ Δελφικοῦ, τοῦ Ἑλικωνικοῦ, τοῦ Χίου Ἀπόλλωνος, τῆς Ἥρας εἰς τὴν Λίνδον καὶ Σάμον, τῆς Ἀφροδίτης τὰ σεβάσματα εἰς τὴν Πάφον, εἰς τὴν Κόρινθον, καὶ εἰς τὴν Φοινίκην περὶ τὸ Λιβάνιον ὄρος, καὶ ἐν Ἀφάκοις, καὶ Ἄδωνιν τὸν ποταμὸν, τοῦ Ἄμμωνος ἐν Αἰγύπτῳ, καὶ τὸ ἐν Αἰγαῖς τῆς Κιλικίας Ἀσκληπιοῦ, καὶ τὰ ἐν Δωδώνῃ καὶ Δελφοῖς χρηστήρια, καὶ τὸν ἐν Ἀθήναις τῆς Ἀθηνᾶς εἰς Ἐκκλησίαν μετέβαλε, καὶ ἄλλα μυρία. δωδέκατον, Ἐκκλησίας πολλὰς ᾠκοδόμησε μετὰ βασιλικῶν δαπανῶν, καὶ ἐστόλισεν αὐτὰς μετὰ ἀναθημάτων χρυσῶν καὶ ἀργυρῶν καὶ χρυσοϋφάντων, καὶ διαχρύσων καὶ λιθοκολλήτων καὶ διὰ μαργάρων παντὸς θαυμασμοῦ ἀξίων. δέκατον τρίτον, ἐτίμησεν αὐτὰς μετὰ πλήθους Ἱερέων καὶ Κληρικῶν. δέκατον τέταρτον, συνέστησεν αὐτὰς μετὰ πλήθους προσόδων καὶ σιτηρεσίων ἀξιολόγων. δέκατον πέμπτον, τοὺς Κληρικοὺς ἠλευθέρωσεν ἀπὸ παντὸς δημοσίου τελέσματος καὶ λειτουργήματος. δέκατον ἕκτον, βιβλία τῆς ἁγίας γραφῆς ἔγραψε πάμπολλα καὶ ἔδωκε ταῖς Ἐκκλησίαις εἰς ἀνάγνωσιν. δέκατον ἕβδομον, ἐκαθάρισε τοὺς ἁγίους τόπους ἀπὸ τῶν εἰδώλων, καὶ ἀνέστησε Ναοὺς τῷ Θεῷ, καὶ τὴν ἁγίαν πόλιν ἐτίμησε μετὰ Ξενώνων καὶ Πτωχοτροφείων, καὶ Γηροτροφείων, καὶ Νοσοκομείων, καὶ μὴ δύνασθαι τινὰ Ἄρχοντα ἀντιλέγειν, ἢ ἀντιπράττειν. δέκατον ὄγδοον, τοὺς Κληρικοὺς κρίνεσθαι ἐθέσπισεν εἰς τὸν Ἐπίσκοπον, καὶ οὐκ εἰς πολιτικὸν Ἄρχοντα. δέκατον ἔνατον, Ἑβραῖος δοῦλον Χριστιανὸν εἰλάβῃ, μὴ δύνασθαι ἔχειν αὐτὸν, καὶ ἂν αὐτὸν περιτέμῃ, ἀποκτείνεσθαι, ἀλλὰ καὶ Ἑβραῖον μὴ δύνασθαι δοῦλον ἐθνικὸν ἔχειν, καὶ εἰ λάβῃ, εἶναι δημόσιον. εἰκοστὸν, ἐποίησεν εἰς Κωνσταντινούπολιν καὶ ἀλλαχοῦ Διδασκαλεῖα διὰ μάθησιν τῶν ἁγίων γραφῶν, καὶ συνεστήσατο αὐτὰ μετὰ σιτηρεσίων. εἰκοστὸν πρῶτον, τῶν πτωχῶν καὶ χηρῶν καὶ ὀρφανῶν τῆς Κωνσταντινουπόλεως ἐποίησε σιτηρέσια καὶ ἄλλας τακτὰς ἐλεημοσύνας. εἰκοστὸν δεύτερον, τὴν Κυριακὴν ἐτίμησε μετὰ ἀργίας κοσμικῶν ἔργων καὶ φωταγωγίας καὶ λυχναψίας καὶ ὕμνους, καὶ κοινὰς δοξολογίας, καὶ τὰς πασχαλίους δύο ἑβδομάδας ἀπράκτους ἐποίησε. εἰκοστὸν τρίτον, τὰς ἡμέρας μὴ ἀπὸ τῶν Πλανητῶν ὥρισεν ὀνομάζεσθαι, ἀλλὰ κατὰ τὴν γραφὴν, πρώτην, δευτέραν, τρίτην καὶ ἑξῆς. εἰκοστὸν

τέταρτον

τέταρτον, τῷ Σταυρῷ μηκέτι τινὰς ηαταδιηάζεσθαι ἐηέλευσεν. εἰηοστὸν πέμπτον, περὶ σηηληπασιηῆς ηατασάσεως Σιώσδου ηʼΘρόισον ὁ Ρʼώμης ἐπὶ Μιλτιάδου Ἐπισηόπου Ρʼωμαίων ζ, ηαὶ δευτέραν πάλιν ὁ Ἀρεταλισίων πόλεως ὑπὲρ εἰρήνης Γαλιηῶν ηαὶ Ἀφριηανῶν Ἐπισηόπων, τρίτην δὲ μετὰ πολλῶν αἱμαλωμάτων ηαὶ φρυντίδων ἐηρύτησε τῷ Οἰηουμενιηὴν ὁ Νιηαίας, Βεβαιώσας τὸ Ὁμοούσιον τοῦ Υἱοῦ ἀπὸ τὸν Πατέρα, ηαὶ Κανόνας ἀναγηαίους ἐηθέμενος δι' αὐτῆς τῇ Ἐηηλησίᾳ, ἧς Σιωόδου ὁ μέσῳ ὥσπερ Θεὸς θέσει ὁ μέσῳ Θεῶν χάριτι τῶν Ἐπισηόπων ἐηάθητο, συμβιβάζων ηαὶ ἐπαλείφων αὐτὰς ἀπὸ τὴν ἀληθείαν τῶν ἀρχαίων δογμάτων. εἰηοστὸν ὄγδοον, ἐθέσπισεν ἵνα οἱ Ὅροι τῶν ἁγίων πατέρων ἔχωσι τὸ ηῦρος παύτοτε, ηαὶ παντηχοῦ. εἰηοστὸν ἔβδομον, ηατὰ Περσῶν πόλεμον μέγας ἦγαρε, διότι ἐβασάηιζε τοὺς ἐηεῖσε Χριστιανοὺς ὁ Περσάρχης, ηαὶ ηατεσηόπασε ηαὶ ἐηεῖ εἰρήνην εἰς τὸν λαὸν τοῦ Θεοῦ, ὅθεν εἰς τὰς ἡμερὰς αὐτοῦ ἔβρυες, Ἰνδοὶ ηαὶ ἄλλα ἔθνη, λαοί, φυλαὶ ηαὶ γλῶσσαι ἐχριστιάνισαν. ἔσχε δὲ σὺ τὸν Κανόνα τοῦτον, ὁδὲ ἐφεξῆς Θεοδοσίους, Μαρηιανὸν, Ἰουστῖνον, Ἰουστινιανὸν, Παγωνᾶται ηαὶ ἄλλους τινὰς τῶν Βασιλέων, ηαὶ μάθε ποῖοι ἐφάνησαν μεμπταὶ τῇ Κωνσταντίνου, ηαὶ δι' αὐτοῦ τοῦ Δεσπότου Χριστοῦ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ὧν ἔπραξεν ὁ μέγας Θεοδόσιος ἐν ἀρχῇ τῆς Βασιλείας αὐτοῦ ἐν τῇ Ἐηηλησίᾳ.

Εἰς Θρᾴηην ηαὶ Μαηεδονίαν ηαὶ Ἰλλυριηὸν, ηαὶ ἁπλῶς εἰς τὴν Δύσιν ἐηράτει ἡ ὀρθόδοξος πίστις τοῦ Ὁμοουσίου, εἰς δὲ τὴν Ἀναατολὴν μόνον εἰς τὸν Θρόνον τῶν Ἱεροσολύμων ἦν ἡ πίστις τοῦ Ὁμοουσίου, ὡς ὁ Σωζόμενος βιβλίῳ ἑβδόμῳ ηεφαλαίῳ δευτέρῳ μαρτυρεῖ, τὰ δὲ λοιπὰ Πατριαρχεῖα ἦσαν συγηεχυμένα. τοῦ Γρηγορίου ὅμως ποιήσαντος Νόμον ἵν' ἕηαστος πιστεύῃ ὡς θέλει, οἱ Μαηεδονιανοὶ οἱ ἀποποιήσαντες σωθήηας μετὰ τοὺς Ρώμης Λιβερίου, μετὰ τῶν εἰς τὴν δύσιν Ἐπισηόπων, ηαὶ μετὰ τῆς εἰς Σιηελίαν Συνόδου ἵνα πιστεύωσιν εἰς τὸ Ὁμοούσιον, εὑρόντες ηαιρὸν, ἐποίησαν Σύνοδον εἰς τὴν Ἀντιόχειαν τῆς Καρίας, ηαὶ ἀφῆηαν μὴ τὸ Ὁμοούσιον, εἶπον δὲ πάλιν τὸ ηατ' οὐσίαν ὅμοιον. τῶν δὲ Ἀρχιερέων τῶν ὄντων ὑπὸ τοὺς Οὐάλεντος ἐξωρισμένων ηαὶ ἐλευθερωθέντων, ηαὶ ἄλλους Ἐπισηόπους εἰς τοὺς θρόνους αὐτῶν διῳηούντων ἐηεῖνοι, ὁ μὲν Ἀμασείας οὐηέτι ἐζήτησαν τοὺς θρόνους αὐτῶν διὰ τὸ ηαλὸν τῆς εἰρήνης. ἀλλ' ὁ μέγας Θεοδόσιος βαπτισθεὶς ὑπὸ Ἀχολίου τοῦ Θεσσαλονίηης ηατὰ τὸν Κεδρηνὸν, ἔθετο Νόμον εἰς τὴν Κωνσταντινούπολιν διαγορεύοντα ὅτι μόνη ἡ πίστις ἐστὶν ὀρθόδοξος, ἣν παρέδωηε Ρωμαίοις ὁ ἅγιος Πέτρος, ἣν τρόγνωσιν ἔχουσι ηατὰ ὁ Ρώμης Δάμασος, ηαὶ ὁ Ἀλεξανδρείας Πέτρος. διατάττει ὅσοι συμφωνοῦσιν ἐηείνοις, ηαὶ ὁμολογοῦσιν ἰσότιμον τὴν Τριάδα, τούτους εἶναι ηαὶ τῆς ηαθολιηῆς Ἐηηλησίας τέηνα. ὅσοι δ' ἄλλως φρονοῦσι, τούτους ὡς ὄντας Αἱρετιηοὺς δέχεσθαι ὑμωρίας. ηαὶ ἰδὲ ταῦτα ἐν τῇ τετάρτῃ ηεφαλαίῳ τοῦ ἑβδόμου βιβλίου τοῦ Ἐρμείου.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ Μητὶ ἅρπαγμα Ἀναστασία ὃν ὁ Θεολόγος Γρηγόριος ἔηλησε Ναὸν, ηαὶ τῆς περὶ αὐτοῦ σοφιστείας αὐτοῦ, ηαὶ περὶ ὧν εἶχον Ναῶν οἱ Αἱρετιηοὶ, ηαὶ ὧν ἔασεν ὁ Θεολόγος τοῖς ὀρθοδόξοις, ηαὶ ὅτι τίνων μετετέθη ἀπὸ τὸν Κωνσταντινουπόλεως θρόνον, ηαὶ περὶ τῆς ἀπαρεσηείας τῶν ἀπ' Αἰγύπτου Ἐπισηόπων τῇ μεταθέσει αὐτοῦ, ηαὶ τῆς παραιτήσεως αὐτοῦ, ηαὶ σοφισμοῦ τοῦ Νεηταρίου τοῦ ηυνιηοῦ Μαξίμου.

Διὰ τὴν ἀπάτην ἣν ἔπαθεν ὁ Κωνσταντῖνος, ηαὶ τὴν Αἵρεσιν τοῦ Οὐάλεντος, μόνην τὴν ἁγίαν Ἀναστασίαν εἶχον οἱ ὀρθόδοξοι ἀπὸ τὴν Κωνσταντινούπολιν. Ἀναστασία δὲ ἅρπαγμα ἢ διότι ἐηεῖ ὁ μέγας Γρηγόριος εὐέσπευσε πεσεῖσαί πως τὴν ὀρθοδοξίαν τότε ἐν Κωνσταντινουπόλει, ἢ διότι γυνὴ ἐγηυμονοῦσα, πεσοῦσα ἀπὸ ὕψους ηαὶ ἀποθανοῦσα, διὰ βίας ηαὶ ἁρπαγῆς τῶν πιστῶν εἰς οἰηίαν τὴν Ἐηηλησίαν γενομένης, αὐέση, ἢ ηαὶ διότι παράδοξά τινα θαύματα ἐγίνοντο ἐηεῖ ἐξ ἐπιφανείας τῆς Θεοτόηου λίγα ὁ Θεοφάνης, τὰς δὲ ἄλλας πάσας εἶχον οἱ Ἀρειανοὶ, ὧν Ἐπίσηοπος ἦν ὁ μετὰ Εὐδόξιον Δημόφιλος. ἐλθὼν δὲ εἰς Κωνσταντινούπολιν ὁ μέγας Θεοδόσιος, εἶπε τῷ Δημοφίλῳ, ἢ ηατὰ τὴν ὁμολογίαν τῆς Νιηαίας πίστιν εἶναι τοὺς λαοὺς εἰς ὁμόνοιαν, ἢ αὐτὸν φυγεῖν ἀπὸ τῶν Ἐηηλησιῶν. ηαὶ ἀναχωρήσαντος ἐηείνου, ηαὶ σηηλησιάζοντος ἔξω ταχὺ μετὰ ηαὶ λαοῦ τοῦ γεγονότος Ἀλεξανδρείας, ηαὶ τῶν λοιπῶν Ἀρει-

Ἀρειανῶν· οἱ τεσσαράκοντα χρόνους τοὺς εὐκτηρίους κατέχοντες οὗτοι ἐδιώχθησαν. τότε ἔδωκεν ὁ Βασιλεὺς τὰς Ἐκκλησίας πάσας τῆς Κωνσταντινουπόλεως τῷ Θεολόγῳ Γρηγορίῳ. ὅν τινα ὁ Θεὸς ἔπεμψεν ἀπὸ τῆς Καππαδοκίας εἰς τὴν Κωνσταντινούπολιν τῷ καιρῷ τῆς ἐπικρατείας τῶν Αἱρετικῶν, καὶ ἐπειδὴ οὐκ εἶχον οἱ ὀρθόδοξοι κἂν μίαν Ἐκκλησίαν, αὐτὸς μετέφερεν οἰκίαν τινὰ εἰς εὐκτήριον, ὃν ὠνόμασεν Ἀναστασίαν ὡς εἴρηται, καὶ ἐκεῖ εἶχε τὴν παλαίστραν τῶν ἀγώνων αὐτοῦ κατὰ τῶν Αἱρέσεων ὑπὲρ τῆς καθολικῆς πίστεως. ἀδείας οὖν δραξάμενος, ὅσους κόπους καὶ ἀγῶνας ἐποίησε διὰ τὴν εὐσέβειαν τὶς ἱκανὸς αὐτοὺς εἰπεῖν, ἢ γράψαι; ἀρκεῖ ὁ κοινὸς ᾀδόμενος λόγος, ὅτι χιλίας Ἐκκλησίας ἦυρεν Ἀρειανῶν, καὶ μήτε μίαν ὀρθόδοξον, καὶ μετὰ τὴν παραίτησιν αὐτοῦ ἦσαν χίλιαι καὶ μία τῶν Χριστιανῶν, καὶ οὐδεμία τῶν Ἀρειανῶν. σημείωσαι δὲ ὅτι εὑρέθησαν γράμματα εἰς τὴν ἁγίαν Ἀναστασίαν Γρηγορίου τοῦ Θεολόγου ἐπὶ Βασιλείου τοῦ Μακεδόνος λέγοντα, ὁ Ναὸς οὗτος ἀνακαινισθήσεται εἰς κάλλος καὶ μέγεθος. ὅθεν ὁ Μαρκιανὸς ἔκτισεν αὐτὸν, ὁ δὲ Μακεδὼν Βασίλειος ἐσκέπασεν αὐτὸν μετὰ χρυσοῦ ὀρρόφου. ὅτε δὲ ἠβουλήθη ὁ μέγας Θεοδόσιος ἀθροῖσαι τὴν δευτέραν Οἰκουμενικὴν Σύνοδον, ἦλθεν ὁ Ἀντιοχείας Μελέτιος μετὰ τῶν Ἀνατολικῶν πρότερον εἰς τὴν Κωνσταντινούπολιν, καὶ ἰδὼν τὸν Ναζιανζηνὸν τοιοῦτον ἀξιάγαστον ἄνθρωπον, μετατίθησιν εἰς τὸν θρόνον Κωνσταντινουπόλεως, ὕστερον δὲ ἐλθόντες καὶ οἱ Αἰγύπτιοι καὶ οἱ Μακεδόνες Ἐπίσκοποι, ἀποθανόντος καὶ τοῦ θείου Μελετίου, ἐψιθύριζον κατὰ τοῦ Γρηγορίου, προβαλλόμενοι Κανόνα ἐμποδίζοντα τὴν μετάθεσιν, καὶ μάλιστα φιλοσόφῳ τινὶ κυνικῷ τοὔνομα Μαξίμῳ προχειροτονιθέντι ὑπὸ τοῦ Ἀλεξανδρείας Πέτρου, καὶ ἄλλους δὲ ὑπὸ τοῦ Τιμοθέου Ἐπισκόπῳ Κωνσταντινουπόλεως ἐβοήθουν οἱ περὶ τοὺς Αἰγυπτίους. οἱ δὲ Ἀνατολικοὶ Καππάδοκες, καὶ οἱ τῆς Ἀρμενίας καὶ Συρίας Ἐπίσκοποι ἰδόντες τὸ τοιοῦτον ἄτοπον, ἐκκλησίαζον μετὰ τοῦ Γρηγορίου, καὶ διεκρίνοντο ἀπὸ τῶν Αἰγυπτίων. ὁ οὖν Γρηγόριος ὡς καὶ πάντοτε ἐφρόντιζε περὶ τοῦ κοινοῦ τῆς Ἐκκλησίας καὶ οὐ περὶ ἑαυτοῦ, ἔπαυσε τὰς ἔριδας, ἐπειδὴ ἐποίησε παραίτησιν, καὶ ὁμιλήσας τὸν συντακτήριον λόγον ἐνώπιον τῶν πατέρων, ἀποδημεῖ εἰς τὰ ἴδια, ὅπου καθεζόμενος εἰς ἀγρὸν ἴδιον, ὡς ἀπὸ κέντρου ἠγωνίζετο κατὰ τῶν πέριξ Αἱρετικῶν, καὶ μάλιστα κατὰ Εὐνομίου καὶ Ἀπολιναρίου καὶ τῶν Πνευματομάχων, οἳ ἤκμαζον τότε. καὶ ἰδὲ περὶ τούτων τὸν Θεοδώριτον, Σωκράτη καὶ Σωζόμενον. ἐστάθη δὲ ὁ Θεολόγος Γρηγόριος εἰς Κωνσταντινούπολιν ἔτη δέκα κατὰ τὸν Κεδρηνὸν, ἀπὸ δὲ τῆς δευτέρας ἐπιστολῆς αὐτοῦ πρὸς Κληδόνιον, δοκεῖ ὅτι αὐτὸς ἦν ὁ συνθεὶς τὸ Σύμβολον τῆς δευτέρας Συνόδου. ἐπειδὴ δὲ εἰς τὴν ἄθροισιν τῆς Συνόδου ὁ μὲν Γρηγόριος παρῃτήσατο, ὁ Νεκτάριος δὲ προεβλήθη Κωνσταντινουπόλεως, τῶν περὶ τῶν Συνόδων ἱστορούντων τινὲς λέγουσιν ὅτι ἦν ὁ Γρηγόριος εἰς αὐτὴν τὴν Σύνοδον Κωνσταντινουπόλεως, καὶ τινὲς ὅτι ἦν ὁ Νεκτάριος. τὸν κυνικὸν ὅμως Μάξιμον ἡ Σύνοδος καθῄρηκεν οὕτως, ὥστε μήτε λέγεσθαι αὐτὸν παντελῶς Ἐπίσκοπον.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι τὸ μὴ ἐξεῖναι καταλείψαντα τὴν ἰδίαν Ἐπαρχίαν καὶ ἑτέρᾳ ἐπιπηδᾶν εἶπεν ὁ Κανὼν περὶ ἐπιβατικῆς μεταθέσεως, ἀλλ' οὐ περὶ ἀναγκαίας μεταθέσεως.

Σημείωσαι ὅτι ὁ Ἀντιοχείας Μελέτιος, καὶ οἱ τότε Ἐπίσκοποι οἱ μεταθέντες τὸν ἅγιον Γρηγόριον εἰς Κωνσταντινούπολιν, τὸν Κανόνα τὸν κωλύοντα τὴν μετάθεσιν ἐγίνωσκον ὅτι ἐποίησαν αὐτὸν οἱ πατέρες διὰ τοὺς ὑπεριφάνους, τοὺς διὰ κενοδοξίαν πηδῶντας ἀπὸ θρόνου εἰς θρόνον, καθὼς ἦσαν τὸ παλαιὸν πολλοὶ τοιοῦτοι Αἱρετικοὶ, οἳ ὑπεκρίνοντο Εὐσέβειαν, καὶ δεχόμενοι ὡς ὀρθόδοξοι, ἐπλάνων τὸν λαὸν τοῦ Θεοῦ. οὐ μὴν ὁ Κανὼν ἐμποδίζει καὶ τὰ οἰκονομικῶς καὶ ἐπ' ὠφελείᾳ τῆς Ἐκκλησίας γινόμενα, διατοῦτο εἶπον τινὲς γλαφυρώτερον, ὅτι ὁ Κανὼν τὴν μετάβασιν τὴν οὖσαν ἐπιβατικὴν δηλονότι, καὶ οὐ τὴν μετάθεσιν τὴν οὖσαν διὰ χρείαν ἀναγκαίαν ἐκώλυσεν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ μεταθέσεως Ἐπισκόπων, καὶ παρ' ἐνορίαν χειροτονιῶν, καὶ περὶ προβλήματος Ἰωάννου Ἐζεροῦ, καὶ ἀποκρίσεως συνοδικῆς Μανουήλ.

Ἐγένετο μετάθεσις Ἐπισκόπων εὐσεβῶν. ὁ μέγας Εὐστάθιος μετετέθη ἀπὸ Βερροίας τῆς Συρίας εἰς Ἀντιόχειαν. ὁ θεῖος Μελέτιος ἀπὸ Σεβαστείας εἰς Βέρροιαν, ἔπειτα εἰς Ἀντιόχειαν. ἐπὶ Μαρκιανοῦ ὁ Πρόκλος ἀπὸ Κυζίκου εἰς Κωνσταντινούπολιν, ἐν ᾗ συνῄνεσε καὶ Κελεστῖνος ὁ Ῥώμης, ὁ Ἀλεξανδρείας Κύριλλος καὶ ὁ Ἰωάννης Ἀντιοχείας. ἐπὶ Ἀλεξάνδρου τῆς Μαμαίας τὸν Ἐπίσκοπον Φλαυϊάδος (ἥτις ἐστὶν ὑπὸ τὴν Μητρόπολιν Ἀνάβαρζαν) Ἀλέξανδρον, ὁ Ἱεροσολύμων μετέθηκεν εἰς Ἱεροσόλυμα.

Νικη

Νικηφόρος ὁ Φωκᾶς κοινῇ ψήφῳ καὶ διὰ χρυσοβούλλου αὐτοῦ Εὐστράτιον Ἐπίσκοπον τῆς αὐτῆς Φλαυϊάδος ἐποίησε χειροτονηθῆναι Πατριάρχην Ἀντιοχείας. ἐπὶ Ἀρτεμίου ὁ μέγας Γερμανὸς μετετέθη εἰς Κωνσταντινούπολιν. ἐπὶ Βασιλείου τοῦ πορφυρογεννήτου κατὰ τὴν ἀποστασίαν τοῦ Σκληροῦ λέγει ὁ Σεβαστείας Θεόδωρος (ὁ γράψας τὸ χρονικὸν τοῦ αὐτοῦ Βασιλείου) ὅτι Ἀγάπιος Ἀρχιεπίσκοπος Σελευκείας τῆς Πιερίας μετετέθη εἰς τὸ Πατριαρχεῖον Ἀντιοχείας. ὁ Τραπεζοῦντος Ἄνθιμος ἐπὶ Ἰουστινιανοῦ μετετέθη εἰς Κωνσταντινούπολιν. ὁ Διοσπόλεως Μάξιμος μετετέθη εἰς τὸ Πατριαρχεῖον τῆς πόλεως τῆς ἁγίας. Πέτρος ὁ μογγὸς ἀπὸ τῶν Εὐχαΐτων εἰς τὸ Πατριαρχεῖον Ἀλεξανδρείας. Ἰωάννης ἀπὸ Γόρδης τῆς Λυδίας μετετέθη εἰς Πλωτινούπολιν, ἤγουν Προικόννησον. ὁ Θεοσέβιος ἀπὸ Ἀπαμείας τῆς Βιθυνίας μετετέθη εἰς Εὐδοξιούπολιν, ἤτοι Σηλυβρίαν. Ἰωάννης ὁ Μαϊουμᾶς ἐπὶ Λέοντος καὶ Φωτίου Πατριάρχης Ἀλεξανδρείας ἐγένετο. ἐπὶ τοῦ Πορφυρογεννήτου ὁ Σεβαστείας Θεοφύλακτος μετετέθη εἰς Ῥωσίαν. ἐπὶ Ἀλεξίου τοῦ Κομνηνοῦ ὁ Καισαρείας τῆς Φιλίππου Σάββας ἐγένετο Πατριάρχης Ἱεροσολύμων, ὅστις ἦλθε καὶ εἰς Κωνσταντινούπολιν, καὶ συνελειτούργησε τῷ Πατριάρχῃ Νικολάῳ, καὶ ἐδόθη αὐτῷ καὶ ἡ Μαρώνεια διὰ σιτηρέσιον (ὡς καὶ Νικηφόρος Μητροπολίτης γάγγρας ἡγούμενος γεγονὼς τοῦ Κοσμιδίου, ἔλαβεν ὡς σχολάζων τὴν Ἄμαστριν, καὶ ὁ Λεοντοπόλεως ὡς σχολάζων τὴν Ἀρκαδιούπολιν, καὶ ὁ Ἀξιουπόλλεως σχολάζων, ἔλαβε τὴν Ἄβυδον, εἶτα τὴν Ἄπρω) ὁ Ἀρχιεπίσκοπος Κύπρου Νικόλαος ὁ Μουζάλων σχολάζων, καὶ ἡγουμενεύων τῆς μονῆς τοῦ Κοσμιδίου χρόνους τριάκοντα καὶ ἓξ γέγονε Πατριάρχης Κωνσταντινουπόλεως. ὁ Ἱεροσολύμων Θεοδόσιος, ἢ Δοσίθεος μετετέθη εἰς Κωνσταντινούπολιν, καὶ διὰ τὸ σχίσμα καταβιβασθεὶς, μετὰ τὴν τοῦ μετ' αὐτὸν Λέοντος μετάστασιν πάλιν ἀνῆλθε καὶ ἀρχιεράτευσε τῆς Κωνσταντινουπόλεως τὸ δεύτερον. καὶ ἄλλα πολλὰ γεγόνασιν ὅμοια τούτοις ἄπειρα, ἅπερ εὑρίσκεις εἰς τὴν ἐπιτομὴν τῶν Νόμων ἣν ἐποίησεν ὁ Ἁρμενόπουλος. γέγονεν ὅμως ἡ οἰκονομία αὕτη αἰτία κακίας εἰς τοὺς πολλοὺς, οὐκ ἀφ' ἑαυτῆς, ἀλλ' ἀπὸ τῶν κακῶς χρωμένων αὐτῇ. ὥστε μεταταῦτα ἐν ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ τὸν Κωνσταντινουπόλεως Μανουὴλ, εἰς τὴν Νίκαιαν οὔσης τῆς Βασιλείας, Ἰωάννου Ἐπισκόπου Ἐζεροῦ τῆς τελούσης ὑπὸ τὴν Μητρόπολιν Λαρίσσης προβαλόντος, εἰ ἐστὶ νόμιμον μετατεθῆναι ἕνα Ἐπίσκοπον εἰς ἄλλην Ἐπισκοπὴν, ἀποκριθῆναι συνοδικῶς, ὅτι ὁ Ἐπίσκοπος μετὰ βουλῆς τοῦ Μητροπολίτου καὶ τῶν λοιπῶν Ἐπισκόπων ποιήσας παραίτησιν τῆς Ἐπισκοπῆς αὐτοῦ, δύναται μετατεθῆναι εἰς ἄλλην ἐκείνης τῆς Μητροπόλεως Ἐπισκοπὴν, λέγοντα καὶ αἰτίαν ἕωλον τὴν φιλαδελφίαν. ἀλλ' εἴποιτις ἂν ὦ οὗτος, εἰ Ἐπίσκοπος εἰς Πατριαρχεῖον μετετέθη, ἢ εἰς μείζονα ἄλλον θρόνον ἵνα διὰ τὴν σοφίαν αὐτοῦ καὶ σύνεσιν ὠφελήσῃ λαὸν πολὺν, μέγας ὤν, καὶ μάλιστα ἂν προσκληθῇ, ἢ προσταχθῇ, ἔστω. ἀλλ' Ἐπίσκοπον ἐξεπίτηδες ἐᾶσαι τὴν Ἐπισκοπὴν αὐτοῦ καὶ λαβεῖν ἄλλην, οὐκ ἔστιν ἄλλο, ἀλλ' ἢ μισαδελφία τοῦ ποιμνίου, καὶ διὰ κενοδοξίαν καὶ πλοῦτον. καὶ ταῦτα τὰ ματαιολογήματα εἰσὶν αἰτία εἰς τοὺς καιροὺς ἡμῶν πηδᾶν τοὺς Ἀρχιερεῖς ἀπὸ Ἐπαρχίας εἰς Ἐπαρχίαν δυνάμει χρημάτων καὶ φίλων, χάριν τοῦ κερδαίνειν καὶ τρυφᾶν καὶ γαστριμαργεῖν, καὶ πωλεῖν τὰ μυστήρια τῆς Ἐκκλησίας, καὶ ὅλως παρανομεῖν. διὰ ταῦτα οὖν ὅταν γίνηται ἡ μετάθεσις ἐστὶ παράλογος, παράνομος, ὥστε καὶ ὁ Τόμος τοῦ Μανουὴλ ὀλέθριος, δόγμα τῆς Ἐκκλησίας καὶ Νόμον ποιῶν τὸ κατὰ καιροὺς καὶ διανάγκην γινόμενον. καὶ γὰρ ὁ μέγας Ἀλέξανδρος Ἀλεξανδρείας ἐδέχθη τὸ βάπτισμα τοῦ ἁγίου Ἀθανασίου παιδὸς ὄντος, καὶ ὁ Παῦλος περιέτεμε τὸν Τιμόθεον, καὶ ἐγίνετο ὁ αὐτὸς τοῖς ἀνόμοις ἄνομος, καὶ τοῖς πᾶσι τὰ πάντα. καὶ ὁ θεῖος Ἀθανάσιος, Εὐσέβιος καὶ Βασίλειος ἐχειροτόνησαν παρ' ἐνορίαν, καὶ δὴ καὶ ὁ Ἐπιφάνιος εἰς Κωνσταντινούπολιν, καὶ εἰς Ἱεροσόλυμα τὸν ἀδελφὸν τοῦ Ἱερωνύμου, καὶ ὁ Λουκίφερ εἰς τὴν Ἀντιόχειαν τὸν Παυλῖνον, καὶ ὁ Νεκτάριος, Ἀμβρόσιος, Ταράσιος, Φώτιος καὶ Ἐφραὶμ ἀπὸ κοσμικῶν ἐγένοντο Πατριάρχαι εὐθὺς, ὁ δὲ Ἀμβρόσιος Μητροπολίτης, καὶ ὁ Ἰγνάτιος ἐγένετο εὐνοῦχος ὢν Πατριάρχης Κωνσταντινουπόλεως, καὶ ὁ Κωνσταντινουπόλεως Ἀρσένιος σήμερον ἐχειροτονήθη Διάκονος, αὔριον Ἱερεὺς, καὶ τῇ τρίτῃ Πατριάρχης, ὡς ἱστορεῖ Θεόδωρος ὁ Κυζίκου, καὶ Λογοθέτης ὁ Ἀκροπολίτης λέγει, ὅτι εἰς μίαν ἑβδομάδα ὁ Βουλγαρίας Λέων τὸν κοψόχειρον Ἰωάννην Διάκονον ὄντα, τῷ Σαββάτῳ ἐχειροτόνησεν Ἱερέα, καὶ τῇ ἑξῆς Κυριακῇ Γρεβενοῦ, καὶ ὁ ἅγιος Ἐλευθέριος, δεκαὲξ ἐτῶν ὤν, ἐγένετο Ἱερεὺς, καὶ δὴ καὶ ὁ Ἀλεξανδρείας Πέτρος ὁ μάρτυς Ἀχιλλᾶν καὶ Ἀλέξανδρον διαδόχους κατέστησε, καὶ ὁ Κωνσταντινουπόλεως Ἀλέξανδρος Παῦλον καὶ Μακεδόνιον, ὅμως οὐκ εἰσὶ ταῦτα μήτε δεκτὰ, μήτε εὔλογα ἁπλῶς, μήτε νόμιμα πάντοτε, ὅτι τὸ σπάνιον οὐγίνεται Νόμος, καὶ ὅστις τοῦτο ἔχει διὰ νόμιμον ὥστε αὐτὸ ἐνεργεῖν ὡς νόμιμον, ἐστὶ παρανομώτατος. ὅθεν καὶ ὁ Καισαρείας Ἀρέθας λέγει περὶ τῶν μεταθέσεων, ὅτι πλεονεξίας χάριν καὶ δόξης ἐφέσει κενῆς ἐνεργοῦνται, ὧν ἑκάτερον βδελυκτὸν, καθὸ τὸ μὲν εἰδωλολατρείας, τὸ δὲ τοῦ Ἑωσφόρου νόσημα. ὅθεν φησὶν ὁ δέκατος τέταρτος Κανὼν τῶν Ἀποστόλων. μὴ ἐξεῖναι τινὰ καταλείψαντα τὴν ἰδίαν Ἐπαρχίαν ἑτέρᾳ ἐπιπηδᾶν, κἂν ὑπὸ πλειόνων ἀναγκάζηται, εἰ μήτις εὔλογος αἰτία ᾖ. καὶ ὁ Ῥώμης Ἰούλιος ἔγραφε τοῖς Εὐσεβιανοῖς, εἰ οὖν ἀληθῶς ἴσην καὶ τὴν αὐτὴν ἡγεῖσθε τιμὴν τῶν Ἐπισκόπων, καὶ μὴ ἐκ τοῦ μεγέθους τῶν πόλεων κρίνετε τοὺς Ἐπισκόπους, ἔδει τὸν πεπιστευμένον

μικρὰν

μικρὰν, μένειν ἐν τῇ πιστευθείσει, καὶ μὴ ἐξουθενεῖν μὲν τὴν πεπιστευμένην, μεταβαίνειν δὲ εἰς τὴν μὴ ἐγχειρισθεῖσαν, ἵνα τῆς μὲν παρὰ Θεοῦ δοθείσης καταφρονῇ, τὴν δὲ τῶν ἀνθρώπων κενοδοξίαν ἀγαπήσῃ. καὶ ὁ Πάπας Δάμασος ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως ἣν ἔγραψε πρὸς Παυλῖνον φησὶ, τοὺς δὲ ἀπὸ Ἐκκλησιῶν εἰς ἑτέρας Ἐκκλησίας μετελθόντας, ἄχρι τοσούτου ἀπὸ τῆς ἡμετέρας κοινωνίας ἀλλοτρίους ἔχομεν, ἄχρις οὗ πρὸς αὐτὰς ἐπανέλθωσιν. ἐὰν δέτις, ἄλλου ἀπὸ τόπου εἰς τόπον μετελθόντος, ἐν τόπῳ τοῦ ζῶντος χειροτονηθῇ, ἄχρι τοσούτου σχολάσῃ ἀπὸ τοῦ ἱερατικοῦ ἀξιώματος ὁ τὴν ἰδίαν πόλιν καταλείψας, ἄχρις οὗ ὁ διαδεξάμενος αὐτὸν ἀναπαύσηται ἐν Κυρίῳ, Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ. ἰδὲ καὶ Σωκράτους βιβλίου ἑβδόμου κεφάλαιον τριακοστὸν ἕκτον. σημείωσαι δὲ ὅτι καὶ ὑποβιβασμὸς Ἐπισκόπων ἐγένετο, Ἰωάννης γὰρ ὁ Κωδωνᾶτος ἀπὸ τοῦ θρόνου τοῦ Πατριαρχικοῦ τῆς Ἀλεξανδρείας μετετέθη εἰς Τύρον, οὐ κατὰ προεδρίαν, ἀλλὰ κατὰ μετάθεσιν ἀληθινήν. καὶ ταῦτα μὲν οὕτως.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου, καὶ τῶν ἐν αὐτῇ ἁγίων πατέρων, καὶ περὶ τῆς περὶ τὸν Θεοδόσιον Συνάδων καὶ Ἀγαπητὸν συμβεβηκυίας ἀστείας ὑποθέσεως.

Ἠθροίσθη ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος ἐν ἔτει τριακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ. εἰ γὰρ καὶ ὁ Σωκράτης βιβλίῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ λέγει ὅτι ἠθροίσθη ἐπὶ τῆς Ὑπατείας Εὐχαρίδου καὶ Εὐαγρίου ὅπερ ἦν ἔτος τριακοσιοστὸν ὀγδοηκοστὸν τέταρτον, ἀλλ' ὁ Ψελλὸς καὶ ἄλλοι λέγουσιν ὅτι ἀπὸ τῆς ἀθροίσεως τῆς πρώτης ἕως τῆς δευτέρας παρῆλθον ἔτη πεντήκοντα καὶ ἕξ. ὅθεν ἐπειδὴ ἡ πρώτη Σύνοδος ὡς εἴπομεν συνήχθη κατὰ τὸ τριακοσιοστὸν εἰκοστὸν ἕβδομον ἔτος, ᾧ προστιθεμένων τῶν πεντήκοντα καὶ ἕξ ἐτῶν, γίνεται ἔτος τριακοσιοστὸν ὀγδοηκοστὸν τρίτον, καὶ ἐν τούτῳ ἐγένετο ἡ ἄθροισις τῆς Συνόδου. ἄλλοι ὅμως λέγουσιν ὅτι ἦν ὅτε ἠθροίσθη ἔτος τριακοσιοστὸν ὀγδοηκοστὸν πρῶτον. ἦσαν δὲ εἰς αὐτὴν ἀξιολογώτατοι Ἐπίσκοποι, ἤτοι ὁ Θεολόγος Γρηγόριος, ὁ Νύσσης Γρηγόριος, ὁ Ἰκονίου Ἀμφιλόχιος, ὁ Ἀλεξανδρείας Τιμόθεος, ὁ Ἱεροσολύμων Κύριλλος, ὁ Ἀντιοχείας Μελέτιος, ὁ Καισαρείας Ἑλλάδιος, ὁ Θεσσαλονίκης Ἀσχόλιος, ὁ Μελιτηνῆς Ὀτρήϊος, ὁ Ἀντιοχείας Πισιδίας Ὄπτιμος, ὁ Λαοδικείας Πελάγιος, ὁ Ταρσοῦ Διόδωρος, ὁ Βερροίας Ἀκάκιος, ὁ Ἐδέσσης Εὐλόγιος, ὁ Κύρου Ἰσίδωρος καὶ Γελάσιος Καισαρείας τῆς Παλαιστίνης, ἀπὸ δὲ τῆς δύσεως οὐδεὶς ἦν, ἀλλ' οὔτε καὶ Τοποτηρητὴς, ὕστερον ὅμως καὶ Δάμασος καὶ οἱ Δυτικοὶ συνεψηφίσαντο. ὑπέγραψεν ὁ Ἱεροσολύμων Κύριλλος μετὰ τὸν Κωνσταντινουπόλεως καὶ Ἀλεξανδρείας μετὰ ὀκτὼ Ἐπισκόπων, ὡς καὶ εἰς τὴν πρώτην ὑπέγραψεν ὁ Μακάριος πρὸ τοῦ Ἀντιοχείας μετὰ δεκαοκτὼ Ἐπισκόπων. εἰς τὴν Σύνοδον ἦλθον καὶ Μακεδονιανοὶ τριάκοντα καὶ ἕξ, Ἐπίσκοποι ὄντες. ἡγεῖτο δὲ αὐτοῖς ὁ Κυζίκου Ἐλεύσιος, ἐπειδὴ οἱ Μακεδονιανοὶ ἦσαν οἱ πλείονες εἰς τὸν Ἑλλήσποντον. οὐκ ἐνεθυμήθησαν ὅμως οἱ τάλανες μήτε ὅσα ὑπεσχέθησαν εἰς τὸν Ῥώμης Λιβέριον καὶ τὴν ἐν Σικελίᾳ Σύνοδον, μήτε τῶν ἁγίων πατέρων τούτων ἤκουσαν, ἀλλ' ἐσχίσθησαν καὶ διεσκορπίσθησαν. οἱ λαοὶ ὅμως βλέποντες αὐτοὺς ἀκαταστάτους, οἱ πλείονες ἐκοινώνησαν τῇ καθόλου Ἐκκλησίᾳ. ἀλλὰ καὶ ἐπὶ Θεοδοσίου τοῦ μικροῦ ὁ Ἐπίσκοπος τῶν Συνάδων, Θεοδόσιος ἐταλαιπώρει τοὺς Μακεδονιανοὺς τῆς Ἐπαρχίας αὐτοῦ δῆθεν δι' Εὐσέβειαν, ἦν δὲ τἀληθὲς διὰ λῆψιν χρημάτων, καὶ δὴ θέλων ἐνεργεῖν ἐπιπλεῖον, ἔρχεται εἰς τὴν βασιλεύουσαν, καὶ λαβὼν βασιλικὴν δύναμιν, ἐπανέρχεται εἰς τὴν Ἐπαρχίαν αὐτοῦ μαινόμενος κατὰ τῶν Αἱρετικῶν. ὁ δὲ Μακεδονιανῶν Ἐπίσκοπος Ἀγαπητὸς πείθει τοὺς Ἐπαρχιώτας αὐτοῦ, καὶ τρέχει καὶ προκαταλαμβάνει τὸ Ἐπισκοπεῖον καὶ τὸν Κλῆρον, ποιήσας καὶ τοὺς ἰδίους ὀρθοδόξους, καὶ βίᾳ οὐδέχεται εἰς τὴν Ἐπισκοπὴν τὸν Θεοδόσιον. τρέχει δὲ πάλιν εἰς τὴν πόλιν ὁ Θεοδόσιος κατοδυρόμενος, ὅμως βεβαιοῖ τὴν Ἐπισκοπὴν Συνάδων ὁ Κωνσταντινουπόλεως Ἀττικὸς τῷ Ἀγαπητῷ, καὶ προστίθεται καὶ ἄλλον πλῆθος Μακεδονιανῶν τῇ καθόλου Ἐκκλησίᾳ, ὑστερήθη δὲ τῆς Ἐπαρχίας ὁ Θεοδόσιος.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν ἐν τῇ δευτέρᾳ Οἰκουμενικῇ Συνόδῳ ταύτῃ θεωρουμένων, καὶ τῶν αἰτιῶν δι' ἃς ἠθροίσθη, καὶ τῶν πεπραγμένων ἐν αὐτῇ.

Εἶχεν αἰτίαν ἡ παροῦσα Σύνοδος τῆς ἀθροίσεως, πρῶτον μὲν, ἐπειδὴ διηρέθησαν οἱ Ἀρειανοὶ εἰς διαφόρους

διαφόρους Αἱρέσεις Ἡμιαρείων δηλονότι, Εὐνομιανῶν, Αἐτιανῶν, ἤτουν Ἀνομοίων καὶ ἄλλων, ἐφάνη δὲ καὶ νέα Αἵρεσις τοῦ Ἀπολιναρίου, καὶ μάλιστα ἡ τοῦ Μακεδονίου, ἡ λέγουσα ὁμοούσιον μὲν τὸν Υἱὸν τῷ Πατρὶ, τὸ Πνεῦμα δὲ τὸ ἅγιον κτίσμα τοῦ Υἱοῦ. ἀλλὰ μὴν καὶ τὴν προσκύνησιν τῆς ἁγίας Τριάδος μετήλλαξαν οἱ Ἀρειανοὶ, μὴ λέγοντες Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, ἀλλὰ Δόξα Πατρὶ δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι, ἵνα τῇ διαφορᾷ τῶν προθέσεων ποιῶσι διαφορὰν οὐσίας, τάξεως καὶ τιμῆς τῶν προσώπων. εἶτα συνέβη καὶ ἕτερα τινὰ, πρῶτον, ὅτι ὁ Κωνσταντίος καίτοι πρεσβεύων τὴν αἰδιότητα τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἀλλ' ἅπαξ δελεασθεὶς ὅτι ἡ λέξις, Ὁμοούσιον, ἐστὶν αἰτία σκανδάλου, ὡς μὴ κειμένη ἐν ταῖς γραφαῖς, καίτοι τοῦ Ὁμοουσίου ῥηθέντος παρὰ πολλῶν πατέρων καὶ πρὸ τῆς πρώτης Συνόδου, ἐμάχετο ἀσπόνδως τοῖς τοῦτο φρονοῦσι. δεύτερον, τοὺς ὑπερασπιστὰς τοῦ Ὁμοουσίου νομίζων σκανδάλων αἰτίους, ὡς ἦσαν οἱ προῤῥηθέντες ἅγιοι, ἐξώριζεν, ἐφυγάδευεν, ἐπτώχιζεν αὐτοὺς καὶ κατεφρόνει. τρίτον, ἤγειρε διαφόρους Συνόδους ἔν τε Δύσει καὶ Ἀνατολῇ κατὰ τοῦ Ὁμοουσίου ὡς εἴρηται ἀνωτέρω ἐν τῷ δευτέρῳ βιβλίῳ. τέταρτον, τοὺς βοηθοὺς τῆς Αἱρέσεως εἶχεν εἰς τιμὴν καὶ περιποίησιν. πέμπτον, εἰς τοὺς μεγάλους θρόνους ἔβαλεν Αἱρετικοὺς Ἐπισκόπους, οἵτινες ἐχειροτόνουν οἰκείους ἐκκλησιαστικοὺς τῆς ἰδίας Αἱρέσεως. ἕκτον, εἰ ἔμειναν καὶ μερικοὶ Ἐπίσκοποι καὶ Διδάσκαλοι ὀρθόδοξοι, ἀλλ' ἦν ἡ διδαχὴ αὐτῶν ἠσυνεσταλμένως, ἢ ὅλως κρυφίως, καὶ ἄλλα τοιαῦτα ἐποίει ἐκεῖνος ὁ Βασιλεύς. ἠκολούθησε δὲ ὁ Ἰουλιανὸς καὶ ἐποίησεν ὅσα οὐκ ἐποίησαν μήτε οἱ πρὸ αὐτοῦ κατὰ τῆς Ἐκκλησίας τύραννοι. μετ' ἐκεῖνον δὲ ὁ Οὐάλης οὐμόνον ἔπραξεν ὅσα γεγόνασιν ἐπὶ Κωνσταντίου, ἀλλ' Ἀρειανὸς ὤν, καὶ μάλιστα τῶν Ἀνομοίων, διωγμὸν ἐκίνησε κατὰ τῆς Ἐκκλησίας χείρονα τῶν εἰδωλολατρῶν, ὥστε καὶ αὐτοὺς τοὺς Ἀσκητὰς τῆς ἐνδοτάτω ἐρήμου ὁ Ἀλεξανδρείας Λούκιος ἔδειρεν, ἀπέκτεινεν, ἐξώρισε, καὶ ἐδήμευσε τὸν Κλῆρον, οὐ μὴν ἀλλὰ καὶ Αἱρέσεις ἄλλαι αἱ εἰρημέναι, καὶ Ἕλληνες, καὶ αὐτοὶ οἱ Ἰουδαῖοι εἶχον εἰς τοὺς καιροὺς αὐτοῦ ἄδειαν, οἱ δὲ τῆς καθόλου Ἐκκλησίας ἐδιώκοντο, καὶ ἔπασχον τὰ χείριστα. ἔμεινε δὲ τῶν κακοδόξων Βασιλέων ἡ αὐταρχία ἡ διώκουσα τὴν Ἐκκλησίαν τεσσαράκοντα ἔτη, καὶ ἐπλάτυνεν ἡ ἀσέβεια, καὶ ἐσμικρύνθη ἡ διδασκαλία τῆς ὀρθοδόξου πίστεως, καὶ ἔμειναν ὀλίγοι, οὓς ἐφύλαξεν ὁ Θεὸς ὡς τὰς ἑπτὰ χιλιάδας ἐπὶ Ἠλιοῦ. ὅθεν οἱ ἅγιοι πατέρες καίτοι ἰδίοις συγγράμμασι καὶ μερικαῖς Συνόδοις ἔν τε Ῥώμῃ καὶ Γαλλίᾳ καὶ Ἱσπανίᾳ καὶ Ἰλλυρικῷ καὶ Ἀλεξανδρείᾳ καὶ Ἀντιοχείᾳ καὶ Ἱεροσολύμοις καὶ Καππαδοκίᾳ καὶ ἀλλαχοῦ κατήλεγξαν τὰς Αἱρέσεις ταύτας, καιροῦ ὅμως δραξάμενοι, καὶ εὑρόντες δοχεῖον τοῦ ἁγίου Πνεύματος τὸν μέγαν Θεοδόσιον, ἠθροίσθησαν εἰς Οἰκουμενικὴν Σύνοδον, πρῶτον, ἵνα ἀνακαινίσωσι τὸ δόγμα τῆς ἐν Νικαίᾳ Συνόδου ὡς πάντῃ καὶ πάντως ὀρθόδοξον. δεύτερον, ἵνα ἀθετήσωσι καὶ ἐλέγξωσι καὶ ἀναθεματίσωσι καὶ κοινῶς πᾶσαν Αἵρεσιν, καὶ μάλιστα τὴν γεγονυῖαν ἐπὶ τῆς ἐπικρατείας τῶν εἰρημένων τριῶν Βασιλέων. ὅθεν καὶ ἵνα φανερωθῇ πῶς τὰ αὐτὰ πρεσβεύουσι τῇ ἐν Νικαίᾳ Συνόδῳ, ἄλλο μάθημα πίστεως οὐκ ἐποίησαν, ἀλλὰ τὸ Σύμβολον ἐκείνης ἀνέπτυξαν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι λέγοντες οἱ Λατῖνοι τὸν Πάπαν Δάμασον ἀθροῖσαι τὴν παροῦσαν Σύνοδον, δείκνυνται ψεῦσται. καὶ ὅτι αὐθεντικῶς καὶ ἐξουσιαστικῶς οἱ Βασιλεῖς Οἰκουμενικὴν Σύνοδον ἀθροίζουσιν, οἱ δὲ Πάπαι καὶ Πατριάρχαι ὀργανικῶς, καὶ περὶ τοῦ κολοβωθέντος ῥητοῦ τοῦ προσφωνητικοῦ τῆς Συνόδου ταύτης ὑπὸ τῶν Λατίνων.

Προβάλλουσιν οἱ Λατῖνοι, ὅτι τὴν Σύνοδον ταύτην ἤθροισεν ὁ Πάπας Δάμασος. Ἀλλὰ ῥητέον ὅτι ὁ Δάμασος οὔτε παρὼν ἦν, οὔτε Τοποτηρητὰς αὐτοῦ εἶχεν εἰς τὴν Σύνοδον, οὔτε μὴν συνοδικὴ ἐπιστολὴ αὐτοῦ φαίνεται εἰς αὐτὴν, ἀλλ' ὕστερον αὐτὴν ἐβεβαίωσεν ὅσον τὸ κατ' αὐτὸν, ὡς καὶ Ἰωάννης Ἀντιοχείας τὴν τρίτην, καὶ Προτέριος Ἀλεξανδρείας τὴν τετάρτην, καὶ Ἀδριανὸς ὁ Ῥώμης τὴν ἐν Τρούλλῳ. δεύτερον, ὅτι οἱ Πατριάρχαι ὀργανικῶς ἀθροίζουσι τὴν Οἰκουμενικὴν Σύνοδον, νουθετοῦντες δηλονότι, παρακαλοῦντες, παρακινοῦντες καὶ γράφοντες εἰς τοὺς Βασιλεῖς καὶ εἷς πρὸς τὸν ἕτερον, καὶ εἰς τοὺς ἐγκρίτους τῶν Ἐπισκόπων γράφοντες καὶ παραθήγοντες εἰς ὁμόνοιαν καὶ σύμπνοιαν καὶ κοινὴν ἐνέργειαν, ὡς φαίνεται εἰς τὴν πρώτην, περὶ ἧς εἰ καὶ ἡ ἕκτη Σύνοδος πράξει δεκάτῃ ὀγδόῃ λέγει ὅτι ὁ Κωνσταντῖνος καὶ Σίλβεστρος τὴν πρώτην ἤγειραν Σύνοδον, ἀλλὰ ῥητέον ὅτι καὶ ὁ Ἀλεξανδρείας Ἀλέξανδρος κατὰ τὸν Ἐπιφάνιον ἐν τῇ κατὰ Ἀρείου Αἱρέσει ἔγραψεν εἰς διαφόρους ἑβδομήκοντα ἐπιστολὰς ἐγκυκλίους, ἤτοι συνοδικὰς, καὶ ἆρα οὐκ ἔγραψε τότε καὶ εἰς τὸν Βασιλέα καὶ εἰς τὸν Ῥώμης καὶ Ἀντιοχείας καὶ ἄλλους; καὶ ὁ Ῥώμης ἆρα οὐκ ἔγραψεν εἰς τὸν Βασιλέα, ὅπου Ὅσιος ὁ Κουδρούβης ἀπὸ τοῦ κλίματος τῆς Ῥώμης ὤν, ἀπὸ τοῦ Βασιλέως ἐστάλη εἰς Ἀλεξάνδρειαν; καὶ εἰ ὁ Ῥώμης ἔγραφεν εἰς τὸν Βασιλέα, ὁ Ἀντιοχείας Εὐστάθιος ἔρεγχε; περὶ οὗ φίληξ ὁ Πάπας γράφων εἰς Ζήνωνα τὸν Βασιλέα καθαίρεσιν τοῦ Κναφέως, ἔλεγεν, ὅτι (ὁ Κναφεὺς) τὸν θρόνον ἐμίανε τοῦ ὁμολογητοῦ Εὐσταθίου, ὃς ἦν πρόεδρος τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, μάλιστα ὡς εἴρηται ἐν τῷ δευτέρῳ

δευτέρῳ βιβλίῳ κεφαλαίῳ δευτέρῳ περὶ τοῦ Ἀλεξανδρείας Ἀλεξάνδρου λέγει ὁ Ἐπιφάνιος Αἱρέσει τῇ αὐτῇ, ὡς οὖν οὕτω παρεκινεῖτο τὰ πράγματα, Ἀλέξανδρος Κωνσταντίνῳ τῷ Βασιλεῖ γράφει. ὁ μακαρίτης Βασιλεὺς συγκαλεσάμενος τὸν Ἄρειον, καὶ τινας Ἐπισκόπους ἀνέκρινεν. ἐν δὲ τῇ Μελητιανῶν Αἱρέσει λέγει ὁ αὐτὸς, τοῦ αὐτοῦ Ἀλεξάνδρου τοῦ ἁγίου Ἐπισκόπου Ἀλεξανδρείας ἐπιμελησαμένου, καὶ κινήσαντος τὸν μακάριον Κωνσταντῖνον, συνεκρότησε Σύνοδον ἐν Νικαίᾳ τῇ πόλει. ἰδοὺ λοιπὸν ὅτι ὁ Ἀλεξανδρείας παρακινήσας τὸν Αὐτοκράτορα, ἤγειρε τὴν Σύνοδον, ὁ μὲν Ἀλεξανδρείας ὀργανικῶς, ὁ δὲ Βασιλεὺς ἰδίᾳ αὐθεντίᾳ καὶ ἐξουσίᾳ. ὥστε ἤθροισε τὴν πρώτην ὁ Κωνσταντῖνος κυρίως, ὡς ἱστορικοὶ καὶ τὰ πρακτικὰ τῶν Συνόδων καθαρώτατα διαλαμβάνουσιν, ἤθροισε δὲ αὐτὴν καὶ ὁ Ῥώμης ὀργανικῶς, ἀλλ' οὐ μόνος, ἀλλὰ καὶ ὁ Εὐστάθιος ὁ Πρόεδρος καὶ ἔξαρχος τῆς Συνόδου, κατὰ τὸν Εὐσέβιον καὶ Φίληκα, καὶ ὁ Ἀλεξανδρείας Ἀλέξανδρος, ὃν ἡ πρώτη Σύνοδος εἰς τὴν πρὸς Ἀλεξανδρεῖς ἐπιστολὴν κύριον αὐτῆς ὀνομάζει, ὅστις ὡς εἴρηται καὶ ῥηθήσεται καὶ εἰς τοὺς ἁπανταχοῦ ἐγκρίτους τῶν Ἐπισκόπων ἔγραψεν ἐπιστολὰς, ἀγωνιζόμενος ὑπὲρ τῆς ὀρθοδοξίας κατὰ τοῦ Ἀρείου, αἵτινες μάλιστα αἰτία γεγόνασι τῆς πρώτης Συνόδου ὅσον ἀπὸ μέρους τῶν Ἐπισκόπων. οὕτως αὐτὴν ἤθροισε λοιπὸν καὶ ὁ Ὅσιος, καὶ ὅσοι ἄλλοι ἦσαν τῆς τοιαύτης μοίρας. εἶτα ἰδὲ ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου πέμπτου Παράγραφον ἕνατον ὅπου ὁ μέγας Ἀθανάσιος καὶ ὁ Κωνσταντινουπόλεως Παῦλος ἀπελπισθέντες ἀπὸ τῆς βοηθείας τοῦ Πάπα Ἰουλίου, ἐδεήθησαν τοῦ Βασιλέως τῶν Ἑσπερίων Κώνσταντος, καὶ ἐγένετο ἡ ἐν Σαρδικῇ Σύνοδος. ἰδὲ καὶ κατωτέρω τὶ ἔγραφεν ὁ Κύριλλος καὶ ὁ Ταράσιος πρὸς τοὺς Βασιλεῖς καὶ Πατριάρχας, δι' ὧν ἠθροίσθη ἡ τρίτη καὶ ἡ ἑβδόμη Σύνοδος, ὡς ἔγραφεν ὁ Λέων καὶ Ἀνατόλιος καὶ ἠθροίσθη ἡ τετάρτη, οὕτως ἠθροίσθησαν καὶ αἱ λοιπαὶ, καὶ ἰδὲ τοὺς τόπους. τρίτον, ὅτι κατὰ τὴν συνήθειαν αὐτῶν οἱ Λατῖνοι ἐκολόβωσαν καὶ ἐνταῦθα τὸ τῆς Συνόδου ῥητὸν, καὶ εἶπον μόνον τὸν Δάμασον, ἐπειδὴ ὁ προσφωνητικὸς τῆς ἕκτης Συνόδου λέγει, ἀλλ' ὁ μέγιστος Βασιλεὺς Θεοδόσιος, καὶ Δάμασος ὁ ἀδάμας τῆς πίστεως, ὁ ταῖς ἑτεροδόξοις προσβολαῖς τε καὶ προσαρράξεσι τὴν αὐτίτυπον γνώμην οὐ τιτρωσκόμενος, Γρηγόριός τε καὶ Νεκτάριος τὸν ἐν ταύτῃ τῇ βασιλίδι πόλει συνήθροιζον σύλλογον, ταῦτα ἡ Σύνοδος. οἱ δὲ παπισταὶ φθείροντες αὐτῆς τὰ ῥήματα, εἶπον μόνον τὸν Δάμασον, τὸν δὲ Γρηγόριον καὶ Νεκτάριον ἀπὸ ἐθελοκακουργίας παρέλιπον. ἔτι ὁ Θεοδόσιος Βασιλεὺς ἐν τῷ πέμπτῳ ἔτει τῆς βασιλείας τοῦ Γρατιανοῦ πρὸ τοῦ ἰδεῖν τὸν Δάμασον, λέγει ὁ Σωζόμενος, ὅτι ἧκεν εἰς Θεσσαλονίκην, νόσῳ δὲ περιπεσὼν ἐνταῦθα, μυσταγωγοῦντος αὐτῷ Ἀσχολίου τοῦ τῇδε Ἐπισκόπου ἐμυήθη, καὶ ῥᾷον ἔσχεν; ἐκ προγόνων γὰρ χριστιανίζων κατὰ τὸ δόγμα τῆς ἐν Νικαίᾳ Συνόδου ἤσθη Ἀσχολίῳ ᾧδε δοξάζοντι. Καὶ, Νόμον ἐκ Θεσσαλονίκης προσεφώνησε τῷ δήμῳ Κωνσταντινουπόλεως, ἐδήλου δὲ διὰ τούτου πάντας τοὺς ἀρχομένους θρησκεύειν ὡς ἐξαρχῆς Ῥωμαίοις παρέδωκε Πέτρος ὁ κορυφαῖος τῶν Ἀποστόλων, ἐφύλαττον γὰρ τότε τὴν παράδοσιν τοῦ Πέτρου δάμασος ὁ Ἐπίσκοπος Ῥώμης καὶ Πέτρος ὁ Ἀλεξανδρείας, καὶ μόνων τῶν ἰσότιμον Τριάδα θρησκευόντων καθολικὴν Ἐκκλησίαν ὀνομάζεσθαι, τοὺς δὲ παρὰ ταῦτα δοξάζοντας Αἱρετικοὺς προσαγορεύεσθαι, καὶ ἀσήμους εἶναι, καὶ τιμωρίαν προσδέχεσθαι, Ἑρμείας βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ τετάρτῳ. ἰδοὺ λοιπὸν ὁ Θεοδόσιος παρὰ τοῦ Θεσσαλονίκης Ἐπισκόπου ἐδιδάχθη τελεωτέρως τὰ περὶ πίστεως, ἐβαπτίσθη παρ' αὐτοῦ, καὶ παρ' αὐτοῦ ὁδηγηθεὶς, ἔγραψεν εἰς Κωνσταντινούπολιν, καὶ παρ' αὐτοῦ ὡς εἰκὸς μαθὼν τὰ περὶ Δαμάσου καὶ Πέτρου, ἔγραψεν ἵνα ἡ παρ' αὐτῶν φυλαττομένη πίστις ἔχῃ τὸ κῦρος, ἐμνήσθη δὲ οὐκ ἄλλως τοῦ Δαμάσου καὶ ἄλλως τοῦ Πέτρου, ἀλλ' ἐξίσου καὶ ὁμοτίμως. εἰς Κωνσταντινούπολιν δὲ ἀπὸ Θεσσαλονίκης ἐλθὼν, ἄρα οὐκ ἐδιδάσκετο τὰ τελεώτερα ὑπὸ τοῦ μεγάλου Γρηγορίου; καὶ οὐ προετρέπετο ὑπ' αὐτοῦ πᾶσι τρόποις ἵνα τὴν Ἐκκλησίαν διορθώσηται; Ἔτι ὁ Θεοδώριτος ἱστορεῖ ὅτι ὁ Θεοδόσιος στρατηγὸς προχειρισθεὶς ὑπὸ τοῦ Γρατιανοῦ, θεῖον ὄνειρον εἶδεν, ἐδόκει γὰρ ὁρᾶν τὸν θεῖον Μελέτιον τῆς Ἀντιοχέων Ἐκκλησίας τὸν Πρόεδρον, χλανίδα τε αὐτῷ βασιλικὴν περιθέντα, καὶ παραπλησίως στεφάνῳ κοσμοῦντα τὴν κεφαλήν. εὐθὺς δὴ οὖν τὴν Βασιλείαν παραλαβὼν τῆς τῶν Ἐκκλησιῶν πρὸ τῶν ἄλλων συμφωνίας ἐπεμελήθη, καὶ τοὺς τῆς οἰκείας Ἡγεμονίας Ἐπισκόπους εἰς τὴν Κωνσταντινούπολιν δραμεῖν παρεγγύησεν, ἐπειδὴ δὲ ἀφίκοντο, πεντήκοντα δὲ ἦσαν καὶ ἑκατὸν, παρεγγύησεν μηδένα αὐτῷ μηνύσαι ὅστις ὁ μέγας Μελέτιος εἴη, ἐβούλετο γὰρ ἐκ τῆς τοῦ ἐνυπνίου μνήμης μηνυθῆναι τὸν ἄνδρα. καὶ ἐπειδὴ εἰς τὸν Βασίλειον εἰσελήλυθεν οἶκον ἅπας ἐκεῖνος τῶν Ἐπισκόπων ὁ ὅμιλος, τοὺς ἄλλους καταλιπὼν ἅπαντας, τῷ μεγάλῳ Μελετίῳ προσέδραμε, καὶ οἷόν τις παῖς φιλοπάτωρ διὰ χρόνου μακροῦ θέας πατρικῆς ἀπολαύσας περιεπτύσσετο καὶ κατεφίλει, καὶ ὀφθαλμοὺς καὶ χείλη καὶ στέρνα καὶ κεφαλὴν καὶ τὴν στεφανώσασαν δεξιὰν, ἐδήλωσε δὲ καὶ τὴν ὄψιν ἣν εἶδε. φιλοφρονησάμενος δὲ καὶ τοὺς ἄλλους ἅπαντας, βουλεύσασθαι περὶ τῶν προκειμένων ὡς πατέρας ἠξίωσε, λόγῳ πέμπτῳ κεφαλαίῳ ἕκτῳ καὶ ἑβδόμῳ. ὁ Ἀσχόλιος οὖν, Γρηγόριος, καὶ Μελέτιος κατὰ πρῶτον λόγον παραινοῦντες καὶ παραθήγοντες τὸν Βασιλέα, τὴν Σύνοδον ἤγειραν, ὁ δὲ Δάμασος μεταταῦτα καὶ μετὰ πολὺν καιρὸν δι' ἐπιστολῆς τῶν ἐν Ἀκυληΐᾳ πατέρων συμπροέτρεψε. λέγεται δὲ ἡ συνοδικὴ ἐπι-

στολὴ, ἐπιστολὴ τοῦ Δαμάσου ὡς πρόσωπον ἐπιφέροντος τῆς Συνόδου τῆς κατ' αὐτὸν ἐνορίας. ὡς καὶ πᾶς Πατριάρχης πρόσωπον ἐπιφέρει τῆς κατ' αὐτὸν Διοικήσεως. ὅτι μέντοι ὁ Βασιλεὺς ἰδίᾳ ἐξουσίᾳ καὶ αὐθεντίᾳ τὴν Συνόδον ἤθροισε, σαφές ἐστιν ἐκ τῶν πρακτικῶν τῆς Συνόδου ταύτης, καὶ τῶν μεταταῦτα Οἰκουμενικῶν Συνόδων, ἐκ τῶν ἀνωτέρω εἰρημένων τῷ Θεοδωρίτῳ, καὶ ἐκ τῶν μαρτυριῶν Σωκράτους καὶ Ἑρμείου, καὶ ἰδὲ τοὺς τόπους βιβλίου δεκάτου μέρους τρίτου κεφαλαίῳ τετάρτῳ, καὶ ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου δευτέρου Παραγραφῷ ὀγδόῳ, καὶ ἔτι κατωτέρω κεφαλαίου δεκάτου πέμπτου Παραγράφῳ εἰκοστῷ ἕκτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Α'.

Ὅτι καὶ ἐκ τῆς ἀπαριθμήσεως τῶν Ἐξάρχων τῆς Συνόδου, καὶ τῶν μαρτυριῶν τῶν ἱστορικῶν ὁ Βασιλεὺς δείκνυται ἀθροιστὴς τῶν Οἰκουμενικῶν Συνόδων, ὁ δὲ Ῥώμης εἷς τῶν τῆς Συνόδου Ἐξάρχων.

Γρηγορίου τοῦ Θεολόγου τῶν ὀρθοδόξων ἐν Βυζαντίῳ ἐξάρχοντος, ἡ τῶν ἑκατὸν πεντήκοντα θεοφόρων Πατέρων Οἰκουμενικὴ δευτέρα Σύνοδος συνήθροιστο, ἧς ἐξῆρχον προκαθεζόμενοι ὁ Ἀλεξανδρείας Τιμόθεος, Κύριλλος Ἱεροσολύμων, καὶ ὁ Φιλόχριστος Βασιλεὺς Θεοδόσιος, ταῦτα ἀπὸ τοῦ βιβλίου τοῦ περὶ τῶν Συνόδων. Φώτιος δὲ ὁ Κωσταντινουπόλεως Πατριάρχης φησὶν, ἡ δὲ ἁγία καὶ Οἰκουμενικὴ δευτέρα Σύνοδος τῶν μὲν ἱερῶν φροντισμάτων τὴν βασιλίδα πόλιν ἱερὸν ἐνδείκνυται φροντιστήριον, εἰς πεντήκοντα δὲ καὶ ἑκατὸν ἄνδρας ἱεροὺς συνηγείρετο, Ἐξάρχους ἔχουσα Τιμόθεον τὸν Ἀλεξανδρείας καὶ τὸν ἀξιοθαύμαστον τῆς Ἀντιοχείας Μελέτιον, Κύριλλόν τε τῶν Ἱεροσολύμων τοὺς ἱεροὺς θρόνους ἰθύνοντας, καὶ δὴ καὶ Νεκτάριον, ὃς τότε τῷ θείῳ λουτρῷ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος, ἅμα δὴ βασιλευούσης Ἐπισκοπῆς καὶ τῆς Συνόδου ἐχρημάτιζον Ἔξαρχος, μεθ' οὗ Γρηγόριοί τε, ὅ, τε τῆς ἐν Καππαδοκίᾳ Νύσσης Ἐπίσκοπος, καὶ ὁ τῆς Θεολογίας ἐξέργων ἐπώνυμος, οἷς οὐπολὺς χρόνος καὶ Δάμασος ὁ τῆς Ῥώμης τὰ αὐτὰ κρατύνων ἐγνωρίζετο, σύμφωνος τοῖς προλαβοῦσι καθιστάμενος, ταῦτα ἐν τῇ πρὸς Μιχαὴλ Ἄρχοντα Βουλγάρων ἐπιστολῇ. ἡ ἁγία καὶ Οἰκουμενικὴ δευτέρα Σύνοδος ἐν Κωνσταντινουπόλει γέγονε. Καὶ, ἡγοῦντο δὲ τῇ Συνόδῳ Δάμασος Ῥώμης, Νεκτάριος Κωνσταντινουπόλεως, Τιμόθεος Ἀλεξανδρείας, Κύριλλος Ἱεροσολύμων, Μελέτιος Ἀντιοχείας, Γρηγόριος ὁ Θεολόγος, Γρηγόριος ὁ Νύσσης, καὶ Ἀμφιλόχιος Ἰκονίου, ἧν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη πέντε χιλιάδες καὶ ὀκτακόσια δώδεκα, ἀπὸ δὲ Χριστοῦ τριακόσια ἑβδομήκοντα καὶ δύο, ἀπὸ δὲ τῆς δευτέρας ἕως τῆς τρίτης ἔτη τεσσαράκοντα καὶ ἕν, ταῦτα ὁ Νεῖλος ἐν τῷ περὶ τῶν Συνόδων αὐτοῦ συγγράμματι. ἡ δὲ δευτέρα ἁγία καὶ Οἰκουμενικὴ Σύνοδος τῶν ἑκατὸν πεντήκοντα πατέρων γέγονεν ἐν Κωνσταντινουπόλει ἐπὶ τοῦ Βασιλέως Θεοδοσίου τοῦ μεγάλου, καὶ Δαμάσου Πάπα Ῥώμης, καὶ Νεκταρίου Πατριάρχου Κωνσταντινουπόλεως, καὶ Γρηγορίου τοῦ Θεολόγου, ταῦτα ἀπότινος ἀνωνύμου τοῦ λέγοντος πόσα ἔτη εἰσὶν ἀπὸ τῆς πρώτης Συνόδου ἕως τῆς μετ' αὐτήν. ὁ ἅγιος δὲ Γερμανὸς Πατριάρχης Κωνσταντινουπόλεως φησὶ, τούτων τέως κατασιγασθέντων (ἤτοι τῶν περὶ Ἄρειον) τῆς τοῦ Μακεδονίου κατὰ τοῦ ἁγίου Πνεύματος λύσσης ἐπινενεμημένης, τῆς πονηρᾶς Βασιλείας ἐκποδὼν γενομένης, καὶ Θεοδοσίου τοῦ ὀρθοδόξου ἡμῶν Βασιλέως τὸ βασίλειον ἀναδησαμένου κράτος, συγκροτεῖται τῶν ἱερῶν Ἐπισκόπων ἐνταῦθα Σύνοδος ἑκατὸν πεντήκοντα, καὶ ἐν αὐτοῖς ὑπῆρχον προειρημένοι Μελέτιος ὁ μέγας, Γρηγόριος ὁ Νύσσης, Γρηγόριος ὁ Θεολόγος, Δάμασος Ῥώμης, Τιμόθεος Ἀλεξανδρείας, Κύριλλος Ἱεροσολύμων, καὶ τὰ ἑξῆς, ταῦτα πρὸς Ἄνθιμον Διάκονον. ἡ δὲ ἐν Χαλκηδόνι Σύνοδος ἐν τῷ πρὸς τὸν Βασιλέα Μαρκιανὸν προσφωνητικῷ φησὶν ὅτι τῶν πατέρων τῶν συνελθόντων ἐν ταύτῃ τῇ Συνόδῳ Νεκτάριος σὺν Γρηγορίῳ τὴν Ἡγεμονίαν ἤραντο. καὶ ὁ Σωκράτης φησὶ, μηδὲν δὲ ὁ Βασιλεὺς ὑπερθέμενος, Σύνοδον Ἐπισκόπων τῆς αὐτοῦ πίστεως συγκαλεῖ ἐπὶ τῷ κρατῦναι τὴν ἐν Νικαίᾳ πίστιν, καὶ χειροτονῆσαι τῇ Κωνσταντινουπόλει Ἐπίσκοπον. Καὶ, συνῆλθον οὖν ἐκ μὲν Ἀλεξανδρείας Τιμόθεος, ἐκ δὲ Ἱεροσολύμων Κύριλλος, Μελέτιος δὲ ἐξ Ἀντιοχείας πάλαι παρῆν, ὅτι διὰ τὴν Γρηγορίου κατάστασιν μετεστάλη, καὶ ἐκ Θεσσαλονίκης Ἀσχόλιος, καὶ ἄλλοι πολλοὶ, βιβλίῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ. τὰ αὐτά φησι καὶ Σωζόμενος βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἑβδόμῳ. ἀλλὰ καὶ ἕτερός τις ἀνώνυμος γράφων περὶ Συνόδων φησὶν, ὑπῆρχον ἐν τῇ δευτέρᾳ Οἰκουμενικῇ Συνόδῳ ἑκατὸν πεντήκοντα πατέρες, ὧν ἡγοῦντο Δάμασος Ῥώμης, Νεκτάριος Κωνσταντινουπόλεως, Κύριλλος Ἱεροσολύμων, Τιμόθεος Ἀλεξανδρείας, Μελέτιος Ἀντιοχείας, Γρηγόριον Νύσσης, Ἀμφιλόχιος Ἰκονίου, Γελάσιος Καισαρείας τῆς Παλαιστίνης καὶ Γρηγόριος ὁ Θεολόγος διέπων τὸν θρόνον, ὃς καὶ ἐν αὐτῇ τῇ Συνόδῳ ἀπετάξατο τοῦ θρόνου, καὶ ποιήσας τὸν συντακτήριον ἀνεχώρησεν εἰς Ναζιανζόν. καὶ ὁ Θεοφάνης, προηγοῦντο δὲ Τιμόθεος Ἀλεξανδρείας, Μελέτιος Ἀντιοχείας, Κύριλλος ἱερώτατος Ἱεροσολύμων καὶ ὁ θεῖος Γρηγόριος Κωνσταντινουπόλεως.

ΠΑΡΑ-

ΠΑΡΑΓΑΦΟΝ Ε'.

Ὅτι οὐ μόνος ἐξῆρχον ὁ Δάμασος τῆς Συνόδου, ἀλλὰ καὶ ὑπαριθμεῖται, καὶ διαλυθέσης τῆς Συνόδου, ὕστερον συνθέσθαι αὐτῇ λέγεται, ὅθεν καὶ ἐκ παραθέσεως τῶν τῆς Συνόδου Ἐξάρχων εἰς τούτων ἐστὶ καὶ οὐ μονάρχης.

Ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι ὁ Δάμασος ἐξῆρχεν ἐπειδὴ ἐγεγραφήκει καὶ συνοδικῶς εἰς τὸν Θεοδόσιον. δεύτερον, ὅτι οὐδεὶς τῶν εἰρημένων εἶπεν ὅτι ἐξῆρχε μόνος ὁ Δάμασος, ἢ ἐξόχῳ τινὶ τρόπῳ παρὰ τοὺς ἄλλους, οὓς ἠριθμήκασιν, ἀλλ' ἐξίσου καὶ συντεταγμένως. τρίτον, ὅτι οὐπάντες καταριθμοῦσι τὸν Δάμασον, τινὲς δὲ καὶ ὑπαριθμοῦσιν ὡς ὁ ἅγιος Γερμανός. τέταρτον, ὅτι ὁ Φώτιος φανερῶς δείκνυσιν ὅτι ὁ Δάμασος μετὰ τὴν Διάλυσιν τῆς Συνόδου συνέθετο αὐτῇ σύμφωνος αὐτῇ καθιστάμενος. πέμπτον, ὅτι ἡ τετάρτη Οἰκουμενικὴ λέγει, Νεκτάριος καὶ Γρηγόριος τὴν Ἡγεμονίαν εἶχον τῶν ἐν Συνόδῳ πατέρων. ἕκτον, ὅτι ὡς οὐκ ἔδωκαν οὔτε οἱ συγχραφεῖς οὔτε ἡ τετάρτη Οἰκουμενικὴ Σύνοδος, Ἐξάρχοντας Ἄρχοντας Ἐξάρχους Προκαθεζομένους Ἡγεμόνας καλέσαντες Τιμόθεον, Κύριλλον, Μελέτιον, Γρηγόριον, Νεκτάριον, Γρηγόριον Νυσσης, Ἀσχόλιον, Ἀμφιλόχιον, Γελάσιον ἀξίωμά τι αὐτοῖς ἐν τῇ καθόλου Ἐκκλησίᾳ, οὕτως οὐδὲ ὁ συναριθμηθεὶς αὐτοῖς καὶ συγκληθεὶς Δάμασος ἔλαβεν ἀπὸ τῶν τοιούτων γενικόν τι ἐν τῇ Ἐκκλησίᾳ ἀξίωμα, ἢ πρωτεῖόν τι ἐν τῇ Συνόδῳ παρὰ εἶχον οἱ λοιποί. σημείωσαι ὅμως καὶ ἐν ταῦτα τὴν κακουργίαν τῶν παπιστῶν, ὅτι τοσούτων πατέρων καὶ ἱστορικῶν λεγόντων γεγενῆσθαι Ἐξάρχου τῆς Συνόδου τοὺς τάδε καὶ τοὺς τάδε πατέρας, οὗτοι μόνον τὸν Δάμασον προσλαμβάνουσιν ἐν ταῖς ἰδίαις συγχραφαῖς πρὸς σύστασιν τοῦ παπισμοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Ὅτι καὶ ἐκ τῆς πρὸς τὸν Βασιλέα Θεοδόσιον ἐπιστολῆς τῆς ἐν Ἀκυληΐᾳ Συνόδου, καὶ ἐκ τῆς ἐπιστολῆς τῆς παρούσης Συνόδου πρὸς τοὺς Δυτικοὺς δείκνυται προστακτικῶς καὶ αὐθεντικῶς τοὺς Βασιλεῖς Γρατιανὸν καὶ Θεοδόσιον συναθροῖσαι ἀμφοτέρας τὰς Συνόδους, τὸν δὲ Δάμασον ὑπουργικῶς μόνον, καὶ οἴχονται κἀκ τούτου τὰ τῆς μονότητος πρωτεῖα τοῦ Ῥώμης.

Ἐν τῇ Συνόδῳ ταύτῃ εἴπομεν ὅτι οὐκ ἦν ὁ Ῥώμης, οὔτε αὐτοῦ Τοποτηρηταὶ (Ῥώμης δὲ Ἐπίσκοπον ὅταν λέγω, τὴν ῥωμαϊκὴν Ἐκκλησίαν λέγω, τουτέστι τὸν Ῥώμης Ἐπίσκοπον καὶ τοὺς Δυτικοὺς Ἐπισκόπους) πλὴν ὅμως γενομένης Συνόδου τῶν Δυτικῶν ἐν Ἀκυληΐᾳ, ἐπέμφθησαν παρ' αὐτῆς γράμματα πρὸς τὸν Αὐτοκράτορα τῆς Ἀνατολῆς Θεοδόσιον, παροτρύνοντα Σύνοδον γινέσθαι καὶ ἐν τῇ Ἀνατολῇ ὑπὲρ ἀνανεώσεως τῶν ἐκκλησιαστικῶν πραγμάτων, τεταραγμένων γενομένων ὑπὸ Κωνσταντίου, Ἰουλιανοῦ καὶ Οὐάλεντος ὡς προείρηται. καὶ οὕτως ἠθροίσθη προσταγῇ καὶ αὐθεντίᾳ τοῦ Θεοδοσίου ἡ παροῦσα Οἰκουμενικὴ Σύνοδος ὡς φαίνεται ἐν τῇ ἐπιστολῇ ταύτῃ τῆς Συνόδου πρὸς τοὺς Δυτικοὺς Ἐπισκόπους, ἥτις κεῖται Θεοδωρίτου λόγῳ πέμπτῳ κεφαλαίῳ ἐνάτῳ. ταῦτα καὶ τὸ ἀρχαῖον Συνοδικὸν, ὅπερ ῥητῶς φησὶν, ὅτι Γρατιανὸς μετὰ τὸ προχειρίσασθαι Βασιλέα τῶν Ἑῴων Ῥωμαίων τὸν Θεοδόσιον. Καὶ, Δαμάσῳ προσέταξε τῷ Πάπᾳ ἐν Ἀκυληΐᾳ συστήσασθαι Σύνοδον, ἧς ἐξῆρχεν ὁ Μεδιολάνων Ἀμβρόσιος, καὶ ὁ Θεσσαλονίκης Ἀσχόλιος, ἥτις ἁγία Σύνοδος συνθεμένη Τόμον παραινέσεως γέμοντα, ὡς ἂν Οἰκουμενικὴ γένοιτο Σύνοδος, πρὸς Θεοδόσιον τὸν εὐσεβέστατον Βασιλέα σὺν ἀξιοπίστοις ἀνδράσιν ἀπέστειλε, ταῦτα τὸ Συνοδικὸν, κείμενον ἐν τῷ δευτέρῳ Τόμῳ τῶν Συνόδων. Ἐν οἷς σημείωσαι πρῶτον, ὅτι οὐκ ἔγραψεν ὁ Ῥώμης μόνος, ἢ ὡς μονάρχης, ἀλλ' ἡ ἐν Ἀκυληΐᾳ Σύνοδος. δεύτερον, ὅτι οὐκ ἔγραψεν ἡ Σύνοδος τῶν Δυτικῶν πρὸς τὸν Βασιλέα προστακτικῶς, ἀλλὰ παραινετικῶς, ἤτοι διδασκαλικῶς, συμβουλευτικῶς καὶ παρακαλεστικῶς. τρίτον, ὅτι τὴν ἐν Ἀκυληΐᾳ Σύνοδον ὁ μὲν Αὐτοκράτωρ Γρατιανὸς ἰδίῳ προστάγματι συνεκρότησεν, ὁ Ῥώμης δὲ οὐδὲ ὀργανικῶς ὡς προείρηται, ἀλλ' ὑπουργικῶς καὶ ὡς εἰσεῖν δουλικῶς, καὶ γὰρ ῥητῶς λέγει τὸ Συνοδικὸν ὅτι προσέταξε τῷ Δαμάσῳ ὁ Γρατιανός. τέταρτον, ὅτι διὰ τὴν αὐτὴν αἰτίαν, ἤτοι τὴν ὅτι ἰδίᾳ αὐθεντίᾳ ἀθροίζει τὰς Οἰκουμενικὰς Συνόδους ὁ Βασιλεὺς, ἡ ἐν Ἀκυληΐᾳ Σύνοδος πρὸς τὸν Βασιλέα Θεοδόσιον ἔγραψε. πέμπτον, ὅτι ἐπειδὴ πρόσωπον τῶν Δυτικῶν Ἐπισκόπων εἶχεν ὁ Δάμασος, ὡς καὶ πᾶς ἄλλος Πατριάρχης τῆς ἰδίας Συνόδου, ἡ ἑκτὴ Σύνοδος λόγον ποιουμένη ἐν τῇ δεκάτῃ ὀγδόῃ πράξει περὶ τοῦ τίς ἤθροισε τὴν δευτέραν ταύτην Οἰκουμενικὴν Σύνοδον, ἔφη ὡς εἴρηται ἀνωτέρῳ, ὅτι δηλαδὴ ὁμέγιστος Βασιλεὺς Θεοδόσιος καὶ Δάμασος, Γρηγόριός τε καὶ Νεκτάριος τὸν ἐν ταύτῃ τῇ βασιλίδι πόλει συνήθροιζον σύλλογον. ῥητέον καὶ τοῦτο, ὅτι εἰ καὶ καθ' ὑπόθεσιν οὐ συνοδικῶς οὐδὲ ὡς ἀπὸ τοῦ Γρατιανοῦ προστεταγμένος ὁ Δάμασος, ἀλλὰ μόνος παρεκίνει τὸν Θεοδόσιον διὰ τὴν Σύνοδον, οὐδ' ἐκ τούτου ἐλάμβανον ὁ Ῥώμης ἐν τῇ Ἐκκλη-

Ἐκκλησίᾳ πρωτεῖα μονότητος, ἐπειδὴ καὶ τὸ τοιοῦτον εἶδος τῆς μεσιτείας πρὸς τοὺς Βασιλεῖς κοινόν ἐστι καὶ τοῖς λοιποῖς Πατριάρχαις ὡς εἴρηται ἀνωτέρω. καὶ δὴ καὶ ὁ Θεολόγος Γρηγόριος γράφων τῷ Κωνσταντινουπόλεως Νεκταρίῳ περὶ τῶν Ἀπολιναριστῶν, φησὶν ἐν τῷ τέλει τῆς ἐπιστολῆς, πῶς ὑπέμεινέ σου ἡμεγαλοφυὴς καὶ ὑψηλὴ διάνοια μὴ χρήσασθαι τῇ συνήθει παρησίᾳ εἰς διόρθωσιν τοσούτου κακοῦ; ἀλλ' εἰ καὶ μὴ πρότερον τοῦτο γέγονε, νῦν γ' οὖν ἀναλαβέτω ἡ ἀμώμητός σου ἐπ' ἀρετῇ τελειότης, καὶ διδαξάτω τὸν εὐσεβῆ Βασιλέα, ὅτι οὐδὲν κέρδος ἔσται τῆς λοιπῆς αὐτοῦ περὶ τὰς Ἐκκλησίας σπουδῆς, ταῦτα ὁ Γρηγόριος. ἐν οἷς σημείωσαι ὅτι καὶ ὁ Γρηγόριος τῷ Νεκταρίῳ γράφει ἀναλαβέσθαι τὴν συνήθη τῶν Πατριαρχῶν παῤῥησίαν κατὰ τῶν Αἱρετικῶν, ὃς ἐν Κωνσταντινουπόλει ὤν, οὐ παρῄνει τὸν Θεοδόσιον πᾶσι τρόποις κατὰ τῶν Αἱρετικῶν;

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι προσκληθέντες εἰς τὴν ἐν Ῥώμῃ Σύνοδον οἱ Ἀνατολικοὶ οὐκ ἀπῆλθον, ἀντέγραψαν δὲ μόνον, αἰνιττόμενοι καὶ τῶν Δυτικῶν τὴν ἀμέλειαν.

Ὁ Θεοδώριτος λέγει λόγῳ πέμπτῳ κεφαλαίῳ ἑβδόμῳ, ὅτι ὁ Θεοδόσιος μόνης τῆς οἰκείας Βασιλείας τοὺς Ἐπισκόπους εἰς Κωνσταντινούπολιν συναθροισθῆναι προσέταξε, μετὰ δὲ τὴν διάλυσιν τῆς Συνόδου, καὶ τὴν εἰς τὴν ἰδίαν ἑκάστου πατρίδα ἀναχώρησιν, οἱ πλεῖστοι τούτων πάλιν εἰς Κωνσταντινούπολιν παρεγένοντο διὰ χρείας τινὰς ἐκκλησιαστικὰς, ἃς ὁ ταῦτα λέγων Θεοδώριτος, οὐ καταλέγει, φησὶν ὅμως ὅτι παραγενόμενοι, συνοδικὴν ἐπιστολὴν τῶν τῆς Ἑσπέρας Ἐπισκόπων ἐδέξαντο, εἰς τὴν Ῥώμην αὐτοὺς ἀφικέσθαι προτρέπουσαν, ὡς Συνόδου μεγίστης αὐτόθι συγκροτουμένης, ἀλλὰ τὴν μὲν ἀποδημίαν παρῃτήσαντο ὡς οὐδὲν ἔχουσαν κέρδος, ἀπέστειλαν δὲ, τόν τε κλύδονα τὸν κατὰ τῶν Ἐκκλησιῶν ἐπαναστάντα σημαίνοντες, καὶ τὴν γεγενημένην αὐτῶν ἀμέλειαν αἰνιττόμενοι, ἐν κεφαλαίῳ γὰρ καὶ τὸ ἀποστολικὸν τοῖς γράμμασιν ἐνέθηκαν φρόνημα, καὶ τὰ ἑξῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἐκ τῆς ἐπιγραφῆς καὶ τῆς ἐπιστολῆς τῶν ἀνωτέρω Ἀνατολικῶν πατέρων πρὸς τὴν ἐν Ῥώμῃ Σύνοδον, πᾶσα μοναρχία καὶ ἄκρον μεγαλεῖον σὺν τοῖς νῦν Τίτλοις τοῦ Ῥώμης οἴχεται, καὶ περὶ τῶν προξένων τῆς Ἀνατολικῆς καὶ Δυτικῆς Ἐκκλησίας τῆς ὁμονοίας, καὶ ὅτι κριταὶ πάντες οἱ Ἐπίσκοποι, ὧν τῇ συμφωνίᾳ λύεται τὰ ἀμφίβολα, καὶ ὅτι ὅ,τε Ῥώμης καὶ οἱ λοιποὶ Πατριάρχαι μέρος τῆς Συνόδου, καὶ περὶ τοῦ ποσαχῶς προθεσμία.

Ἐν τῇ ἐπιστολῇ ταύτῃ τῶν ἐν Κωνσταντινουπόλει πατέρων πρὸς τοὺς ἐν Ῥώμῃ πατέρας σημείωσαι πρῶτον τὴν ἐπιγραφὴν, Τοῖς τιμιωτάτοις καὶ εὐλαβεστάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς Δαμάσῳ, Ἀμβροσίῳ, Βρίτωνι, Οὐαλεριανῷ, Ἀσχολίῳ, Ἀνεμίῳ, Βασιλείῳ καὶ τοῖς λοιποῖς ἁγίοις Ἐπισκόποις τοῖς συνελθοῦσιν ἐν τῇ μεγίστῃ πόλει Ῥώμῃ ἡ ἁγία Σύνοδος τῶν ὀρθοδόξων Ἐπισκόπων τῶν συνελθόντων ἐν τῇ μεγάλῃ πόλει Κωνσταντινουπόλει ἐν Κυρίῳ χαίρειν. ἐκ τούτων συνάγεται οὐχ ὑπεροχήτινος Ἐπισκόπου, ἀλλ' ἀδελφικὴ καὶ ἰσότιμος πρόσρησις. Ἐπίσκοποι καὶ Ἐπίσκοποι. συνῆλθον καὶ συνῆλθον. ἅγιοι καὶ ἅγιοι. ἀδελφοὶ καὶ συλλειτουργοί. καὶ πῦ λοιπὸν τοῦ Δαμάσου τὸ ἄκρον μεγαλεῖον; καὶ ἁπλῶς ἐκεῖνο τὸ πομπηϊκὸν ὅτι ἐστὶν ὁ Πάπας ἐπὶ τῶν Συνόδων; πῦ αἱ μεταταῦτα ἐπιγραφαὶ, Τῷ μακαριωτάτῳ καὶ ἁγιωτάτῳ ἄκρῳ Ἀρχιερεῖ καὶ βικαρίῳ τοῦ Χριστοῦ; καὶ ἰδὲ μετὰ ταῦτα ἐν πολλοῖς καὶ ἐν τῷ δευτέρῳ κεφαλαίῳ τοῦ ἐνάτου βιβλίου, ὥστε δῆλον, τὴν μὲν ἐπιγραφὴν τῆς Συνόδου πρὸς τοὺς ἐν τῇ Ῥώμῃ Ἐπισκόπους εἶναι ὀρθόδοξον, ἀδελφικὴ γὰρ, τὰς δὲ μεταταῦτα ἐφευρεθείσας ἐπιγραφὰς ὑπὸ τῶν παπιστῶν εἶναι βλασφήμους, ἀντιχριστιανικαὶ γάρ. δεύτερον, ὅτι ὁ Δάμασος συναριθμεῖται οὐ μόνον μετὰ τῶν ἐγκρίτων, ἀλλὰ καὶ μετὰ τῶν λοιπῶν πάντων Ἐπισκόπων τῆς ἐν Ῥώμῃ Συνόδου. τρίτον, ὅτι λέγουσιν ἐκείνοις, ἐπειδὴ μόνοι ἀδελφικὴν ἀγάπην ἐνδεικνύμενοι, Σύνοδον ἐν Ῥώμῃ συγκροτοῦντες, καὶ ἡμᾶς εἰς τὴν Σύνοδον ὡς οἰκεῖα μέλη προσεκαλέσατε διὰ τῶν τοῦ θεοφιλεστάτου Βασιλέως γραμμάτων, ἵν' ἐπειδὴ τότε μόνοι τὰς θλίψεις κατεδικάσθημεν, νῦν ἐν τῇ τῶν Αὐτοκρατόρων περὶ τὴν εὐσέβειαν συμφωνίᾳ μὴ χωρὶς ἡμῶν βασιλεύσητε, ἀλλὰ καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν. καὶ σημείωσαι, ὅτι οὐκ εἶπον τῷ Πάπᾳ ἐκέλευσας, ἀλλ' εἶπον ἐκαλέσατε, τῇ Συνόδῳ λαλοῦντες, συμφώνως τῷ Πάπᾳ Ἰουλίῳ γράφοντι πρὸς Εὐσεβιανοὺς, καὶ τῷ Ἀλεξανδρείας Ἀλεξάνδρῳ γράφοντι πρὸς τοὺς ἁπανταχοῦ Ἐπισκόπους, καὶ τῷ μεγάλῳ Βασιλείῳ γράφοντι τῇ βουλῇ Τυάνων, καὶ ἄλλοις πατράσι, καὶ ἰδὲ ἀνωτέρω τοὺς τόπους τέταρτον, τάδε ἐγράφησαν οὐχ ὑπὸ μόνου τοῦ Ῥώμης, οὔτε ὑπὸ μονάρχου, οὔτε ὡς ὑπὸ μέρους ὑπερέχον-

ὑπερέχοντος καὶ ἀνατρέπον ἐξουσιαστικὸν τῆς Συνόδου, ἀλλ' ὑπὸ τῶν ἐν Ῥώμῃ συνελθόντων Ἑσπερίων πατέρων, ἐν οἷς καὶ ὁ Ῥώμης συνεδρεύει καὶ συνήδρευε μεσιτεύοντος τοῦ Βασιλέως τῆς Δύσεως Γρατιανοῦ. ἔγραψαν δὲ ἀ συσατικῶς, ἀλλὰ συστρεπτικῶς ὡς ῥητῶς γράφει ὁ Θεοδώρητος, ἤτοι παραινετικῶς συμβουλευτικῶς, καὶ ὡς ἐπεῖν παρακαλεσικῶς. πρᾶξόησε δὲ τὴν ὁμόνοιαν τῶν Δυτικῶν καὶ Ἀνατολικῶν Ἐκκλησιῶν ἀχ ὁ Πάπας, ἀχ οἱ Δυτικοὶ Ἐπίσκοποι, ἀλλ' ἡ περὶ τὴν δυσέβειαν ὁμοφωνία τῶν δύο Βασιλέων Γρατιανοῦ καὶ Θεοδοσίου, ὡς δηλονότι ἡ περὶ τὴν δυσέβειαν ἀσυμφωνία Κωνσαντίου καὶ Κώνσαντος, οὐαλοντος καὶ οὐαλοντιανοῦ πρᾶξόησε τὰ κακὰ ἐν τῇ Ἀνατολῇ, ἅτινα ἡ Σύνοδος ἐν ταύτῃ τῇ ἐπιστολῇ συντόμως καταλέγει, ὧν ἕνεκα καὶ οἱ Ἀνατολικοὶ καὶ Αἰγύπτιοι ἐπὶ Κωνσαντίου, καὶ οἱ Καππάδοκες ἐπὶ Οὐάλοντος κατέφυγον ἐπὶ τοὺς Βασιλεῖς τῆς Δύσεως Κώνσαντα καὶ Οὐαλοντιανὸν, καὶ παρεκομῶς ἐζήτων βοήθειαν καὶ συνδρομὴν τῶν Δυτικῶν Ἐπισκόπων ὡς ἀπὸ ἀδελφῶν ὁμοπίστων, διότι δὲ παρ' αὐτῶν παρεωρῶντο, ἡ παροῦσα Σύνοδος ἐν ταύτῃ τῇ ἐπιστολῇ καθάπτεται αὐτῶν, ὅτι εἰς τὰ συμβαίντα κακὰ τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ ὑπὸ τῶν Αἱρετικῶν ἠμέλησαν ἐπισκέψασθαι αὐτὴν καθ' ὅσον ἠδύναντο. ἐν τούτων δὲ ἀ συναγέται ἐν τῇ Ῥώμῃ μοναρχικὸν ἀξίωμα, ἀλλ' ἀδελφικὴ ἰσότης καὶ ὁμοτιμία τῶν Ἀνατολικῶν πατέρων μετὰ τῶν Δυτικῶν Ἐπισκόπων, ἐν οἷς καὶ ὁ Ῥώμης συντέτακται. πέμπτον, λέγουσιν ἐν τῇ ἐπιστολῇ, συνδεδεμένοι γὰρ ἐσμὲν Κωνσαντινουπόλιν ἐκ τῶν πέρυσι γραμμάτων τῶν πρὸς τῆς ὑμετέρας ἁγιότητος μετὰ τὴν ἐν Ἀκυληίᾳ Συνοδον πρὸς τὸν Θεοφιλέσατον Βασιλέα Θεοδόσιον ἐπισταλθέντων, πρὸς ταύτην μόνην τὴν ἀποδημίαν μέχρι Κωνσαντινουπόλεως παρεσκευασμένοι, καὶ περὶ ταύτης μόνης τῆς Συνόδου τῶν ἐνταῦθα Ἐπαρχίαις μεναόντων Ἐπισκόπων συγκατάθεσιν ἐπαγόμενοι· πρὸς δὲ τούτοις, καὶ τῆς προθεσμίας διὰ στενότητα μήτε πρὸς πλῆθος μικροτέρας ἀποδημίας ἐνδιδόναι ἡμῖν, μήτε πάντας τοὺς ἐν ταῖς Ἐπαρχίαις κοινωνικοὺς Ἐπισκόπους ὑπομνηθῆναι, καὶ τὰς παρ' αὐτῶν συγκαταθέσεις λαβεῖν. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι γράμματα λέγει ἐκεῖνα, ἅπερ αὐτοτέρω εἴπομεν πεμφθέντα οχ ὑπὸ τοῦ Ῥώμης, ἀλλ' ὑπὸ τῆς ἐν Ἀκυληίᾳ Συνόδου, καὶ προτρέποντα, ἤτοι πλείονα τὸν Βασιλέα Θεοδόσιον Σύνοδον ἀθροῖσαι ἐν τῇ Ἀνατολῇ, ὡς ἐδέοντο οἱ Βασιλεῖς Οὐαλοντιανὸς, καὶ μήτηρ, καὶ ἡγουμένη αὐτοῦ μεταταῦτα, καὶ δὴ καὶ Λέων ὁ Ῥώμης τοῦ Βασιλέως Θεοδοσίου τοῦ μικροῦ περὶ ἀθροίσεως Συνόδου. δεύτερον, ὅτι οἱ Ἀνατολικοὶ Ἐπίσκοποι ὅσον πρὸς τὴν ἄθροισιν τῆς ἐν Κωνσαντινουπόλει Συνόδου ἦσαν ἡτοιμασμένοι, ὡς δηλονότι περιεῖχον τὰ πρὸς αὐτοὺς βασιλικὰ γράμματα. τρίτον, ὅτι οἱ συνελθόντες πρὸς τὴν ἐν Κωνσαντινουπόλει Σύνοδον Ἐπίσκοποι, εἶχον καὶ τὰς τῶν ἀπολειφθέντων Ἐπισκόπων γνώμας, καὶ ἰδοὺ τὸ ἀναγκαῖον τῶν Συνόδων ἐν τῇ Ἐκκλησίᾳ· ἰδοὺ πάντων τῶν Ἐπισκόπων τῆς γνώμης χρεία, ἢ παρουσία, ἢ συγκατάθεσις. ἰδοὺ οἱ Ἐπίσκοποι χρεωστοῦσι πάντες, καὶ διὰ τῆς τῶν πάντων συμφωνίας λύεται τὰ ἀμφίβολα, καὶ διορίζεται τὸ σύμφορον. ἰδοὺ ὅλη πάντες οἱ Πατριάρχαι ἐν οἷς καὶ ὁ Πάπας μέρος εἰσὶ τῆς Συνόδου καὶ ἡ κεφαλή· ὥστε Ἄρχοντες, ἢ τρόπῳ τινὶ ἐξουσιασαί, ἢ ἰδίως βεβαιωταί. ὅταν γὰρ λέγωμεν ὅλη ὁ Πρωτέριος ἐβεβαίωσε τὴν τεταρτην, καὶ ὁ Πάπας Ἀθανάσιος τὴν ἕκτην, συνοδεύομεν τὸν Ἀλεξανδρείας καὶ τὸν Ῥώμης μόνους, ἀλλὰ μετὰ τῶν κατ' αὐτὰς Συνόδων. τέταρτον, ὅλη Σύνοδον ἀθροίζοντες ἐν Ῥώμῃ οἱ Ἑσπέριοι Ἐπίσκοποι, ἐκάλεσαν τοὺς Ἀνατολικοὺς ὡς ἀδελφοὺς οὐκέτι μείζονες ἰσχύι τῶν προκαθημένων, οὐκ ἐκάλεσε δὲ ὁ Ῥώμης ὡς μονάρχης ἢ ὁπωσδήποτε τῶν Ἐκκλησιῶν Ἄρχων, ἐπειδὴ τοῦτο οὔτε εἰς νοῦν ποτε τινὶ τῶν τότε Χριστιανῶν ἦλθεν, ἀλλὰ πρώτῃ τῇ θυσεβεῖ Νεστορίῳ ὡς ῥηθήσεται, ἀλλ' Ἐπίσκοποι τοὺς Ἐπισκόπους, ἡ Σύνοδος τὴν Σύνοδον, οἱ Ἑσπέριοι τοὺς Ἀνατολικοὺς, οἱ ἀδελφοὶ τοὺς ἀδελφοὺς, τὰ μέλη τὰ μέλη. παρητήσαντο δὲ οἱ ἐν Κωνσαντινουπόλει Ἐπίσκοποι τὴν ἐν Ῥώμῃ ἀποδημίαν, πρῶτον, ὅτι οὐκ εἶχον ἑτοιμασίαν ἵνα ἀλλαχόσε ἀπέλθωσιν, ἀλλ' εἰς μόνην τὴν Κωνσαντινούπολιν, δεύτερον, οὐκ εἶχον χρόνον ἵνα πέμψωσιν εἰς τοὺς ἀπολειφθέντας Ἐπισκόπους εἴδωσιν ὅπως λάβωσι κἀκείνων τὰς γνώμας καὶ τὴν συγκατάθεσιν, τρίτον, ὅτι ἦν ἡ προθεσμία στενή. ἐπειδὴ δὲ ἡ προθεσμία τῶν πολλαχῶς ἐστι λεγομένων, ῥητέον ὅτι ἡ προθεσμία ὅσον εἰς τὸν παρόντα αὐτοῦ σκοπὸν, ἔστιν εἴδησις καὶ γνῶσις τῶν συναθροισομένων Ἐπισκόπων τοῦ καὶ πότε δεῖ συνελθεῖν αὐτοὺς εἰς κατάστασιν τῆς μελετωμένης Συνόδου, καὶ τοῦτο τετραχῶς, ἢ γὰρ γίνεται διὰ προτροπῆς καὶ προκλήσεως τινὸς ὑπερέχοντος Ἐπισκόπου, ἢ διὰ συμφωνίας καὶ προτροπῆς, ἤτοι παραινέσεως συμβουλῆς καὶ προκλήσεως τῶν προεστώτων καὶ ἐγκρίτων Ἐπισκόπων, ἢ γίνεται διὰ προτροπῆς ἤτοι συμβουλῆς καὶ ὡς ἐπεῖν δεήσεως καὶ ἀδελφικῆς προσκλήσεως μιᾶς Συνόδου πρὸς ἑτέραν Σύνοδον πρὸς ἀκριβεστέραν κρίσιν καὶ μείζονα βεβαίωσιν ἐκκλησιαστικῶν πραγμάτων, ἢ γίνεται διὰ τῶν ὀρθοδόξων Αὐτοκρατόρων, προστακτῇ μέντοι ἀπαραιτήτῳ, ὥστε συνελθεῖν τοὺς Ἐπισκόπους ἐν τῷ διωρισμένῳ καιρῷ καὶ τόπῳ, καὶ αὐυπερθέτως ἄρξασθαι θεωρεῖν τὰ περὶ ὧν ἡ Σύνοδος. καὶ τοῦ μὲν πρώτου τρόπου ἔστω παράδειγμα ἡ ἐν Ἱεροσολύμοις ἐπὶ Μαξίμου ὑπερ τοῦ ἁγίου Ἀθανασίου γενομένη Σύνοδος, ἥτις προτροπῇ τοῦ Μαξίμου συνῆλθε, καὶ γὰρ φησὶν ὁ Σωκράτης ὅτι ὁ ἅγιος Ἀθανάσιος καταλαβὼν τὰ Ἱεροσόλυμα καὶ τῷ Ἐπισκόπῳ Μαξίμῳ καταφανῆ ποιήσας τὰ τε ὑπὸ

ὑπὸ τῆς ἐν Σαρδικῇ Συνόδου γνωσθέντα, καὶ ὡς ὁ Βασιλεὺς Κωνσταντῖνος τῇ σκάνων χείσει ἐγκέτω σύμψηφος, ἀθροισθεῖσα Σύνοδον τῶν ἐκεῖ Ἐπισκόπων γενέσθαι, Μάξιμός τε μηδὲ μελήσας μεπεπέμπετό τινας τῶν ἀπὸ Συρίας καὶ Παλαιστίνης Ἐπισκόπων, καὶ καθίσας συνέδριον ἀποδίδωσι καὶ αὐτὸς τῷ κοινωνίαν Ἀθανασίῳ καὶ τῷ ἀξίαν, βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ τεταρτῳ. τὰ δὲ δευτέρα ἔσωσαν ὑποδείγματα ἡ ἐν Ἀντιοχείᾳ κατὰ τὰ Σαμοσατέως τῶν ἑκατὸν ὀγδοήκοντα Ἐπισκόπων Σύνοδος, συμφωνίᾳ καὶ ἀποτροπῇ Φιρμιλιανῦ, Ἑλένης, Ὑμεναίου, καὶ τῶν κατ' ἐκεῖνο καιρὸν ἀποστόλων καὶ ἐγκρίτων Ἐπισκόπων τῆς Ἀναζαλῆς καὶ Παλαιστίνης γενομένη, καὶ ἡ ἐν Ἀλεξανδρείᾳ, ἥτις συμφωνίᾳ τὰ ἁγίου Ἀθανασίου καὶ τὰ Ἰταλὰ Εὐσεβίου, καὶ Ἀσερίου τὰ τῆς ἐν Ἀραβίᾳ Πέτρας Ἐπισκόπου σύνεση, καὶ ἄλλαι ἀπὸ τὰ μεγάλου Κωνσταντίνου, καὶ μετ' αὐτὴν ἐν Ἰωσανίᾳ, ἐν γαλλίᾳ, ἐν Ῥώμῃ, ἐν Ἀφρικῇ, ἐν Ἰλλυρικῷ, ἐν Σικελίᾳ, ἐν Καππαδοκίᾳ, ἐν Ἀσίᾳ, ἐν Ἀντιοχείᾳ, ἐν Παλαιστίνῃ, ἐν Αἰγύπτῳ, ἐν Πόντῳ, ἐν Μεσοποταμίᾳ καὶ ἄλλαχοῦ γενόμεναι Σύνοδοι. τὰ δὲ τρίτα τέσσαρα ἔσω ὑποδείγματα ἐκεῖνο, ὅπερ οἱ ἐν Ἀντιοχείᾳ κατὰ τὰ Σαμοσατέως συνελθόντες πατέρες ἐζήτησαν διὰ ὑποστολῆς τὸν Ἀλεξανδρείας Διονύσιον παρεῖναι αὐτοῖς, δῆλον δὲ, ὅτι ὁ Διονύσιος συνοδεύσας μετὰ τῶν ὑπ' αὐτὸν Ἐπισκόπων. τέως τὰ τέταρτα τέσσαρα ἔσωσαν ὑποδείγματα πᾶσαι αἱ Οἰκουμενικαὶ Σύνοδοι, καὶ ἰδὲ τὰ τόπος, καὶ τὸ τρίτον κεφάλαιον τὰ τρίτα μέρους τὰ δεκάτα βιβλίου. ἡ δὲ ἐν Ῥώμῃ Σύνοδος εἴτε κατὰ τὸν Θεοδώρητον αὐτόσε ἐκάλεσε τοὺς ἐν Κωνσταντινουπόλει Ἐπισκόπους, φησὶ γὰρ συνοδικῶς ὑποστολῶ τῶν τῆς Ἑσπέρας Ἐπισκόπων ἐδέξαντο (ἤτοι οἱ ἐν Κωνσταντινουπόλει πατέρες) εἰς τὴν Ῥώμην αὐτοὺς ἀφικέσθαι πεποιήσασαν, εἴτε ἐμέσως ἀπὸ τὰ Βασιλέως, καὶ γὰρ οἱ ἐν Κωνσταντινουπόλει πατέρες ἐν ταύτῃ τῇ πρὸς τὴν ἐν Ῥώμῃ Σύνοδον ὑποστολῇ λέγουσιν, ἐπειδὴ μόνοι τὴν ἀδελφικὴν περὶ ἡμᾶς ἀγάπην ὑποδεικνύμενοι, Σύνοδον ὑπὸ τῆς Ῥώμης Θεοῦ βουλήσει συγκροτοῦντες, καὶ ἡμᾶς ὡς οἰκεῖα μέλη προσεκαλέσατε διὰ τῶν τὰ θεοφιλεστάτου Βασιλέως γραμμάτων. ἐπομένως καὶ τὴν προθεσμίαν ἐδήλωσεν, ἵνα μὴ οἱ Ἐπίσκοποι τῆς Ἀναζαλῆς ὑπὲρ ἡμῶν ἐλθόντες εἰς Ῥώμην, ἀβδὸν ὠφελήσωσι, ᾗ ἐν ἔχωσι καὶ τὰ ὑποτίθεσθαι πρὸς ζωοτροφίαν καὶ κυβέρνησιν τοσούτου καιροῦ, τοσοῦτο δηλονότι, ὅπερ εἶχον ταῦτα καὶ οἱ ἐν Ῥώμῃ συνελεγμένοι πατέρες. πέμπτον, ὅτι δὲ ἡ πρὸς τὴν Ἑσπερίων πρὸς τὰς ἐν Κωνσταντινουπόλει πατέρες συμβουλὴ δηλοῖ καὶ ἀδελφικὴν πρόσκλησιν, πασίδηλόν ἐστι παντὶ τῷ μὴ θέλοντι κακουργεῖν καὶ ἐκ τοῦ Θεοδωρήτου, καὶ ἐκ ταύτης τῆς ὑποστολῆς τῶν ἐν Κωνσταντινουπόλει πατέρων, καὶ ἐκ τῆς λέξεως, Προσεκαλέσατε, καὶ ἐξ αὐτῶν τῶν πραγμάτων, ᾗ ἐκ παντὸς τοῦ ἀνωτέρω ἐρημφέντος. ῥητέον ὅμως καὶ αὖθις εἰς ἀποτροπὴν τῶν σοφῶν, ὅτι ἐὰν πρεσαγὴν ἐδήλου ἡ πρεσβυτροπὴ, οὐκ ἐδύναντο οἱ Ἀνατολικοὶ μὴ ἀπελθεῖν εἰς Ῥώμην, ὡς οὐκ ἐδυνήθησαν οἱ πρεσβύτεροι μὴ ἀπελθεῖν εἰς τὰς Οἰκουμενικὰς Συνόδους. καὶ ὁμόγνωμος Κυριλλος τῇ βασιλικῇ προθεσμίᾳ προβαλών, τὰ κατὰ Νεστόριον ἐθεώρησε πρὸ τὰ ἐλθεῖν τὸν Ἀντιοχείας Ἰωάννην, εἶτα ὅτε ὁ Βασιλεὺς τῆς Ῥώμης ἐδύνατο εἰς ἀποτροπὴν βασιλικῶς ὁρίσαι, ὅτε ἡ ἐν Ῥώμῃ Συνόδος ἐδύνατο πρεσβικῶς πρεσβεύσαι εἰς ξένην Ἐπαρχίαν, ὅθεν πρεσαγῆς μὴ οὔσης, ἀλλὰ πρεσβυτροπῆς, ἤτοι συμβουλῆς καὶ προκαλέσεως, ὅτε ὁ Βασιλεὺς τῆς Ῥώμης, ὅτε ἡ Ἐκκλησία Ῥωμαίων, ταύτην εἶπεν οἱ τῆς Ἑσπέρας Ἐπίσκοποι, ἐν οἷς καὶ ὁ Ῥώμης ἐσκέφθησαν, ἀλλ' ὅτε οἱ Ἀνατολικοὶ ἐζήτησαν συγγνώμην παρὰ τῶν Ἑσπερίων, ὅτε καὶ σὺν λόγον γεγραφήκασι ἐν τῇ ὑποτολῇ ὑποθήσουσιν δηλοῦντα. οἱ ἀδελφικὴν ὅμως ὁμοψυχίαν καὶ σύμπνοιαν καὶ συμφωνίαν ἔπεμψαν τρεῖς Ἐπισκόπες πρέσβεις πρὸς αὐτὰς, ἔγραψαν γὰρ ταῦτα ῥητῶς, ἐπειδὴ ταῦτα, καὶ πολλὰ πρὸ τούτοις ἕτερα πρὸ τῶν πλειόνων ἀφιξιν διεκώλυσεν, ὃ δεύτερον ἦν εἰς τε πρὸ τῶν πραγμάτων ἐκανόθωσιν, καὶ πρὸ τῆς ἡμετέρας περὶ ὑμᾶς ἀγάπης ἀποδεῖξιν, τοῦτο πεποιήκαμεν, τὰς ἀδελφοτάτους καὶ τιμιωτάτους ἀδελφοὺς καὶ συλλειτουργοὺς ἡμῶν Ἐπισκόπες Κυριακὸν, Εὐσέβιον καὶ Περσικιανὸν προθύμως καμεῖν ἀχειρώμων δυσωπήσαντες, δι' ὧν καὶ πρὸ τὴν ἡμετέραν προαίρεσιν ἑρμηκὸν ὄσαν, καὶ σκοπὸν σώσεως ἔχουσαν ὑποδείκνυμεν, καὶ τὸν ζῆλον ἡμῶν τὸν ὑπὲρ τῆς ὑμῶν πίστεως φανερὸν ποιοῦμεν. οὐ τούτοις σημαίνομεν πρῶτον, ὅτι πέμψαντες οἱ ἐν Κωνσταντινουπόλει πατέρες πρὸς τὴν ἐν Ῥώμῃ Σύνοδον πρέσβεις, οὐκ ἔδωκαν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ ἰδικόντι ἀξίωμα, οὐδὲ γὰρ ὅτε ὁ Πάπας Ὁρμίσδας ἔπεμψε πρέσβεις πρὸς τὴν ἐν Κωνσταντινουπόλει Σύνοδον ὑπὲ Ἰωάννου τὰ Καππάδοκος, δέδωκεν αὐτῇ τοιοῦτόν τι ἀξίωμα. δεύτερον, ὅτι διὰ ἐπανόρθωσιν τῶν πραγμάτων ἔπεμψαν τὰς πρέσβεις, καὶ γὰρ πρὸς μείζονα βεβαίωσιν τῶν διωρισμένων ὑπὲ τῆς ἐν Ῥώμῃ Συνόδου ἐχρησίμευσεν οἱ πρέσβεις τῶν ἐν Κωνσταντινουπόλει πατέρων. τρίτον, ὅτι πρὸς ἀγάπης ὑπόδειξιν ἔπεμψαν αὐτὰς, ἤτοι διὰ πρεσαγὴν, ἢ ἀπαραίτητον χρέος, ἀλλ' ὡς εἴρηται διὰ ἀγάπης ὑπόδειξιν, ἤτοι διὰ ἀδελφικὴν ὁμοψυχίαν, σύμπνοιαν καὶ συμφωνίαν καὶ εἰρήνην καὶ σώσιν ἐκκλησιαστικὴν ἔπεμψαν αὐτὰς, ἅπερα δηλοῖ τὰ λοιπὰ ῥήματα ταύτης τῆς περικοπῆς. ψαλμὸς ἄρα τὸ τῶν παπισῶν, ὃν διὰ συγγνώμην ἐπέμφθησαν οἱ πρέσβεις πρὸς τὴν ἐν Ῥώμῃ Σύνοδον. περιέχοντο δὲ ἓν ἐν τοῖς ἀποταλεῖσι γράμμασι μετὰ τῶν Ἐπισκόπων καὶ ταῦτα, πρῶτον, εἴδησις τῶν ἐπανασταύτων αὐτοῖς κακῶν ὑπὲ τῶν Ἀρειανῶν, ὧν

ἕνεκα καὶ ἡ Σύνοδος ἐγένετο, δεύτερον, ὅτι ὡς εἴρηται ἤλεγξαν αὐτοὺς, διότι ἔχοντες ἄνεσιν διὰ τὸ ἐν τῇ Δύσει βασιλεύειν ὀρθοδόξους, οὐκ ἐπεσκέψαντο αὐτοὺς θλιβομένους ὑπὸ τῶν Αἱρετικῶν Βασιλέων, καίτοι προσκαλούμενοι εἰς βοήθειαν, ἀλλ' ἠμέλουν κατοφρυώμενοι, καὶ μήτε γινώσκοντες τὰς ἐν τῇ Ἀνατολῇ τῶν ὀρθοδόξων ἐπηρείας, καθὼς μαρτυρεῖ ὁ μέγας Βασίλειος. τρίτον, ὅτι ὡς λέγει ὁ Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ, δεικνύοντες σαφέστερον τὴν ἀνδρείαν καὶ σοφίαν αὐτῶν, ἔπεμψαν αὐτοῖς τὸ ἀποστολικὸν φρόνημα, ἤτοι τὸ Σύμβολον τῆς πρώτης Συνόδου μετὰ τῆς ἀναπτύξεως, ἣν αὐτοὶ σοφῶς τε καὶ ἀνδρείως ἐποίησαν, καὶ τὰ ἐν τῇ ἐπιστολῇ δογματιζόμενα, ἅπερ ταυτά ἐστι τῷ Συμβόλῳ περί τε τῆς ἁγίας Τριάδος, καὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Θεοῦ Λόγου. ἕκτον, σημειωτέον ὅτι δεικνύοντες ἀνδρείως τὸ ἰσότιμον αὐτῶν καὶ τὸ ἐλευθέριον μετὰ τῶν Ἑσπερίων, τὸν Ἀντιοχείας Φλαυϊανὸν ὃν εἶχον οἱ Ἑσπέριοι καὶ μάλιστα αὐτὸς ὁ Δάμασος ἀποτρόπαιον, ἐβεβαίωσαν εἶναι Πατριάρχην Ἀντιοχείας, τὴν δὲ Ἐκκλησίαν Ἀντιοχείας πρεσβυτάτην καὶ ὄντως ἀποστολικὴν ἐκάλεσαν. καὶ λοιπὸν μάτην διακωδωνίζουσιν ἄνω καὶ κάτω οἱ παπισταὶ, τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν καλοῦντες ἀποστολικὴν καθέδραν, ἰδοὺ γὰρ ὁ μὲν Δάμασος γράφων πρὸς Ἀνατολικοὺς Ἐπισκόπους, ὡς σημειοῖ ὁ Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ ἑνάτῳ, τὸν Ῥωμαϊκὸν θρόνον λέγει ἀποστολικὴν καθέδραν, ἡ δὲ Οἰκουμενικὴ Σύνοδος τὸν θρόνον Ἀντιοχείας ἐν τῷ αὐτῷ κεφαλαίῳ λέγει πρεσβυτάτην καὶ ὄντως ἀποστολικὴν Ἐκκλησίαν, ὅπερ ἐστὶ ταὐτὸν τῇ ἀποστολικῇ καθέδρᾳ. πρὸς τούτοις ὁ μὲν Πάπας Δάμασος καὶ ἡ Σύνοδος αὐτοῦ τὴν χειροτονίαν τοῦ Φλαυϊανοῦ ἐμέμφοντο ὡς παράνομον, ἡ δὲ Σύνοδος γράφουσα πρὸς αὐτοὺς φησὶν, ὅτι τὸν θεοφιλέστατον καὶ αἰδεσιμώτατον Φλαυϊανὸν οἵτε τῆς Ἐπαρχίας καὶ τῆς Ἀνατολικῆς Διοικήσεως συνδραμόντες κανονικῶς ἐχειροτόνησαν, πάσης συμψήφου τῆς Ἐκκλησίας ὥσπερ διὰ μιᾶς φωνῆς τὸν ἄνδρα τιμησάσης, ἥνπερ ἔνθεσμον χειροτονίαν ἐδέξατο καὶ τὸ τῆς Συνόδου κοινόν. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι ὑπερέχει τοῦ Πάπα καὶ τῶν Δυτικῶν Ἐπισκόπων τὸ κοινὸν τῆς Οἰκουμενικῆς Συνόδου. δεύτερον, ὅτι ὡς ἐξῆν τοῖς τότε πατράσιν ἀντιλέγειν καὶ ἀντινομοθετεῖν τοῖς παραλογισμοῖς τῶν Ῥωμαίων, οὕτως ἔξεστι καὶ ἡμῖν ἑπομένοις τῇ Οἰκουμενικῇ Συνόδῳ ἀντιλέγειν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, προσθεμένῃ ἐν τῷ Συμβόλῳ, καὶ τὸν Ἐπίσκοπον αὐτῆς ἐπίγειον Θεὸν καλούσῃ, καὶ ἐν μυρίοις ἄλλοις καταβλασφημούσῃ. ἕβδομον, τῷ Κυρίλλῳ βεβαιοῖ τὸν θρόνον τῶν Ἱεροσολύμων ὡς κανονικῶς λαβόντι τὴν χειροτονίαν, καὶ ὡς πλεῖστα ἠθληκότι εἰς διαφόρους τόπους κατὰ τῶν Ἀρειανῶν, τὴν δὲ Ἱερουσαλὴμ μητέρα ἁπασῶν τῶν Ἐκκλησιῶν καλοῦσιν, ἁπασῶν δὲ λέγοντες, καὶ τὴν ῥωμαϊκὴν συμπεριλαμβάνουσι. καὶ σημείωσαι, ὅτι ἀντινομοθετοῦσι τῇ Οἰκουμενικῇ Συνόδῳ οἱ ῥωμαῖοι, τὴν ἐν Ῥώμῃ λέγοντες ἁπλῶς μητέρα τῶν Ἐκκλησιῶν. ὄγδοον, ὅτι τοὺς Δυτικοὺς σχίσμα προξενοῦντας ἐν τῇ ἀποστολικῇ καθέδρᾳ Ἀντιοχείας, καὶ σκανδαλιζομένους διὰ τὸν Ἀντιοχείας Φλαυϊανὸν, ἠρέμα οἱ ἐν Κωνσταντινουπόλει πατέρες νουθετοῦντες καὶ ἐλέγχοντες αὐτοὺς, ἐν τῷ τέλει τῆς ἐπιστολῆς λέγουσιν, οἷς ἐνθέσμως καὶ κανονικῶς πάρ ἡμῖν κεκρατηκόσι, καὶ τὴν ὑμετέραν συγχαίρειν παρακαλοῦμεν εὐλάβειαν τῆς πνευματικῆς μεσιτευούσης ἀγάπης, καὶ τοῦ κυριακοῦ φόβου, πᾶσαν μὲν καταστέλλοντος ἀνθρωπίνην προσπάθειαν, τὴν δὲ τῶν Ἐκκλησιῶν οἰκοδομὴν προτιμοτέραν ποιοῦντος τῆς πρὸς τὸν καθ' ἕνα συμπαθείας, ἢ χάριτος, οὕτω γὰρ τοῦ τε τῆς πίστεως συμφωνηθέντος λόγου, καὶ τῆς χριστιανικῆς κυρωθείσης ἐν ἡμῖν ἀγάπης, παυσώμεθα λέγοντες τὸ παρὰ τῶν Ἀποστόλων κατεγνωσμένον, ἐγὼ μὲν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλὼ, ἐγὼ δὲ Κηφᾶ, ὃς ἐν ἡμῖν οὐ μεμέρισται Θεοῦ καταξιοῦντος, ἄσχιστον τὸ σῶμα τῆς Ἐκκλησίας τηρήσωμεν, καὶ τῷ βήματι τοῦ Κυρίου μετὰ παῤῥησίας παραστησόμεθα, ταῦτα οἱ πατέρες τῆς οἰκουμενικῆς Συνόδου. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι πᾶσα ἀναιρεῖται μοναρχικὴ ἐξουσία ἀπὸ τῆς Ἐκκλησίας, καὶ βεβαιοῦται κατὰ πάντα ἡ ἀδελφικὴ σύμπνοια καὶ ἰσότης. δεύτερον, ὅτι τὸ λέγειν τινὰ εἶναι κατά τι μᾶλλον τῶν ἄλλων, ὡς δηλονότι λέγει ὁ Πάπας ἑαυτὸν, τοῦτο κατεγνωσμένον ἐστὶ παρὰ τῶν Ἀποστόλων, ἤτοι ἀποβεβλημένον, τουτέστιν ἀναθέματι καθυποβεβλημένον. τρίτον, ὅτι ὁ Πάπας ἀσυμφωνίαν ποιήσας τοῦ τῆς πίστεως λόγου διὰ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης, τὴν ἐν τοῖς Χριστιανοῖς Ἀνατολῆς καὶ Δύσεως ἀγάπην ἠκύρωσε, καὶ αὐτοὺς ἐμέρισε, καὶ οὕτω τὸ σῶμα τῆς Ἐκκλησίας ἔσχισε, καὶ διὰ ταῦτα οὐ μόνον οὐκεφαλὴ, ἀλλ' οὔτε μέρος διόλου τῆς Ἐκκλησίας ἐστίν. ἕνατον, ὅτι οὐκ εὐθὺς, ἀλλὰ μετὰ χρόνον ἕνα τῆς διαλύσεως τῆς Οἰκουμενικῆς Συνόδου ἔγραψαν οἱ ἐν αὐτῇ πατέρες τὰ κατ' αὐτὴν, οὐ τῷ Πάπᾳ, ἀλλὰ τῇ ἐν Ῥώμῃ Συνόδῳ καὶ τοῖς ἐγκρίτοις αὐτοῖς, ἐν οἷς καὶ ὁ Ῥώμης. δέκατον, ὅτι ἡ ἄθροισις τῶν ἐν Κωνσταντινουπόλει ἑκατὸν πεντήκοντα πατέρων λέγεται, καὶ στέργεται, καὶ ἐστὶν Οἰκουμενικὴ Σύνοδος, τῶν δὲ Ἑσπερίων ἡ μεγίστη ἐν Ῥώμῃ ἄθροισις, καίτοι ἔχουσα τὸν Πάπαν προεξάρχοντα, καὶ μάλιστα σωματικῶς, μερικὴ ἐστι, καὶ οὐδὲν πλέον. ἑνδέκατον, ἀξιοσημείωτόν ἐστι καὶ τοῦτο, ὅτι ὁ Πάπας Δάμασος γράψας τοὺς βίους τῶν πρὸ αὐτοῦ Παπῶν, οὐκ εἶπε φανερῶς καὶ καθαρῶς οὐδὲ γρὺ περὶ μοναρχίας τῆς ῥωμαϊκῆς Ἐκκλησίας ὡς εἴρηται.

Παρα

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῶν ἀντιθέσεων τῶν Λατίνων, λεγόντων προσταγῇ Δαμάσου ἀθροισθῆναι τὴν παροῦσαν Σύνοδον, καὶ ὅτι οἱ πάντες ἄλλοι Ἐπίσκοποι εἰσὶ μέλη, ἡ δὲ Ῥωμαϊκὴ Ἐκκλησία κεφαλὴ ὥς φησι Θεοδώριτος. καὶ περὶ παντελοῦς ἀναιρέσεως τῶν ἀντιθέσεων αὐτῶν, καὶ ἀποδείξεως ἐκ τῶν λόγων τῶν Ῥωμάνων ὅτι πολυκέφαλος ὕδρα ἡ Δυτικὴ Ἐκκλησία, καὶ ὅτι ὑπὸ Βασιλεῖ ὁ Ῥώμης. καὶ περὶ τῆς ὑπερτάτης ἐξουσίας τῆς κοινότητος, καὶ καθαιρέσεως τῆς μοναρχίας τοῦ Ῥώμης ἕως ᾅδου ἐκ τῶν ἐνταῦθα κατὰ λόγον εἰρημένων.

Οἱ Ῥωμᾶνοι ἀγωνιζόμενοι δεῖξαι μοναρχικὴν ἐξουσίαν ἐν τῇ Ῥώμῃ καὶ ἐκ τῆς Συνόδου ταύτης, ἐπιλέγουσιν ὅτι τὴν αὐτὴν ὑπερτάτην ἀρχὴν τοῦ Πάπα ὡμολόγησε καὶ ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος, ἡ ἐν Κωνσταντινουπόλει δηλαδὴ πρώτη, γράφουσα γὰρ αὕτη Δαμάσῳ, δύο τινὰ σταθερῶς βεβαιοῖ, πρῶτον, ὅτι κατὰ προσταγὴν τοῦ Δαμάσου διὰ τῶν αὐτοῦ πρὸς τὸν Καίσαρα προτρεπτικῶν ἐπιστολῶν συνηθροίσθη ἡ ἐν Κωνσταντινουπόλει Σύνοδος. δεύτερον, ὅτι αὐτοὶ μὲν εἰσὶ μέλη, ἡ δὲ ῥωμαϊκὴ Ἐκκλησία ἐστὶ κεφαλὴ, ἔχομεν δὲ τὴν ἐπιστολὴν ταύτην οὐκ ἀπὸ Λατίνων, ἀλλὰ παρὰ Θεοδωρίτου βιβλίῳ πρώτῳ τῆς ἱστορίας κεφαλαίῳ ἐνάτῳ. τί οὖν φασίν; οὐ διὰ τούτων δείκνυται ἡ ὑπερτάτη τοῦ Πάπα ἐξουσία; καὶ ταῦτα μὲν οὗτοι. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι τὰ ἀνωτέρω εἰρημένα περὶ τῶν Συνόδων Ῥώμης καὶ Κωνσταντινουπόλεως τὴν ἀντίθεσιν ταύτην τῶν παπιστῶν δεικνύουσι ματαίαν παντάπασι. δεύτερον, ὅτι οὐκ ἀληθεύουσιν, ἐπειδὴ ἡ Σύνοδος οὐκ ἔγραψε Δαμάσῳ μόνῳ, ἀλλὰ Δαμάσῳ, Ἀμβροσίῳ, Βρίττωνι, Οὐαλεριανῷ, Ἀσχολίῳ, Ἀνεμίῳ, Βασιλείῳ καὶ τοῖς λοιποῖς ἐν Ῥώμῃ συνελθοῦσιν Ἐπισκόποις, ἔγραψε δὲ καὶ τῷ Δαμάσῳ καὶ τοῖς λοιποῖς πᾶσιν ἐξίσου συντεταγμένως καὶ ὁμοτίμως. καὶ παρὰ ταῦτα, ὅτι οὐκ ἐδύνατο ὁ Δάμασος γράφειν πρὸς τὸν Βασιλέα καὶ προσταγὴν καὶ προτροπὴν, ἢ πρὸς μὲν τὸν Βασιλέα προτροπὴν, πρὸς δὲ τοὺς πατέρας τῆς Συνόδου προσταγὴν, ἐπειδὴ οἱ πατέρες διὰ τῆς βασιλικῆς προσταγῆς συνῆλθον, ὡς γράφουσι τοῖς εἰρημένοις Ἐπισκόποις, τοῦ δὲ Δαμάσου οὐδεμίαν μνήμην πεποίηνται ἰδικήν. τρίτον, ὅτι οὐφαίνεται τοῦ Δαμάσου πρὸς τὸν Θεοδόσιον οὐδεμία τοιαύτη ἐπιστολή. τέταρτον, ὅτι πρὸς τὸν Θεοδόσιον ἔγραψαν παραινετικῶς καὶ προτρεπτικῶς, ἤτοι παρακαλεστικῶς περὶ ἀθροίσεως Συνόδου οἱ τῆς ἐν Ἀκυληΐᾳ Συνόδου πατέρες, ἐξ ὧν εἷς ἦν καὶ ὁ Ῥώμης γράφων ὡσαύτως αὐτοῖς, καὶ οὐδὲν πλέον. πέμπτον, ὅτι ἡ ἐν Ἀκυληΐᾳ Σύνοδος καὶ ἡ ἐπιστολὴ αὐτῆς πρὸς Θεοδόσιον ἐγένετο προστάξει τοῦ Γρατιανοῦ, ἐξ οὗ δῆλον, ὅτι οἱ Βασιλεῖς τῷ Πάπᾳ προστάττουσιν, οὐ προστάττονται, καὶ τὰς Συνόδους ἤγειραν ἰδίᾳ αὐθεντίᾳ. πρὸς δὲ τὸ δεύτερον, εἴρηται ἀνωτέρω καὶ ἤδη ῥηθήσεται, ὅτι οἱ ἐν Κωνσταντινουπόλει πατέρες πάντες γράφουσι τοῖς ἐν Ῥώμῃ πατράσι πᾶσιν, ὅτι εἰσὶν αὐτῶν μέλη, εἰ δὲ κατὰ τοὺς Λατίνους πάντες οἱ ἐν Ῥώμῃ συνειλεγμένοι πατέρες εἰσὶ κεφαλὴ μία τῶν ἐν Κωνσταντινουπόλει πατέρων, ὥστε τὸν Πάπαν τῆς Ῥώμης καὶ τοὺς ὑπ' αὐτὸν πάντας Ἐπισκόπους οἵτινες καὶ Δυτικὴ Ἐκκλησία λέγονται παρὰ τῶν ἁγίων πατέρων εἶναι κεφαλὴν, τοὺς δὲ ἐν Κωνσταντινουπόλει πατέρας οἵτινες καὶ Ἀνατολικὴ Ἐκκλησία λέγονται παρὰ τῶν αὐτῶν εἶναι σῶμα, δῆλον ὅτι πολυκέφαλός ἐστιν ὕδρα ἡ Δυτικὴ Ἐκκλησία, καὶ γὰρ πῶς δύνανται τοσοῦτα μία εἶναι κεφαλή; δεύτερον, ὅτι ὁμολογοῦμεν χάριν τοῖς Λατίνοις εἰποῦσι τὴν Δυτικὴν Σύνοδον εἶναι τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, καὶ οὐ μόνον τὸν Πάπαν τῆς Ῥώμης, ὅστις ὅταν χωρὶς τῶν Δυτικῶν Ἐπισκόπων ἐννοῆται, οὐδέν ἐστιν ἕτερον, ἢ μόνος Ἐπίσκοπος Ῥώμης, καὶ οὐδὲν ἄλλο δύναται μόνος, ἀλλ' ἢ ὅσον δύναται καὶ εἷς Ἐπίσκοπος, εἴτε ἐν Εὐγουβίῳ εἴη, εἴτε ἐν Ῥηγίῳ. εἰ δὲ καὶ ὁ Βασίλειος ἔλεγε πρὸς τὸν Σαμοσατέα Εὐσέβιον ἵνα γράψῃ μόνῳ τῷ Ῥώμης Ἐπισκόπῳ, ἀλλ' οὐκ ἐνόει τὸν Ῥώμης Ἐπίσκοπον μόνον, ἀλλὰ μετὰ τῶν παρευρεθέντων ἐν Ῥώμῃ Ἐπισκόπων, ἢ καὶ ὡς πρόσωπον ἐπιφέροντα τῶν ὑπ' αὐτὸν Δυτικῶν Ἐπισκόπων, ὡς καὶ πᾶς Πατριάρχης καὶ πᾶς Μητροπολίτης τῶν ὑπ' αὐτοὺς Ἐπισκόπων. ἐννοεῖται δὲ τὸ αὐθεντῆσαι κατ' ἐκείνην τὴν αὐθεντίαν, καθ' ἣν αὐθεντήσας ὁ Ἱεροσολύμων Μάξιμος, ἐκάλεσε Σύρους καὶ Παλαιστινοὺς Ἐπισκόπους καὶ συνεστήσατο Σύνοδον ὑπὲρ τοῦ ἁγίου Ἀθανασίου. διὰ τούτων ἄρα δείκνυται ἡ ὑπερτάτη ἐξουσία τῆς κοινότητος, ἤτοι τῶν Συνόδων, καὶ καθαιρεῖται ἕως ᾅδου ἠθρυλλουμένη μοναρχικὴ ἐξουσία τῆς ῥωμαϊκῆς Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι ἐκ τοῦ πρὸς τὸν Βασιλέα προσφωνητικοῦ τῆς παρούσης Συνόδου, μόνη μνήμη τοῦ Βασιλέως τοῦ ἀθρόσαντος αὐτὴν καὶ βεβαιώσαντος τὴν πίστιν, καὶ Κανόνες καὶ νομοθεσίαι μόνης τῆς Συνόδου ἄνευ μνήμης τοῦ Ῥώμης. ὅθεν τὸ τὰς Συνόδους βεβαιοῦν τὸν Ῥώμης ἀνάπλασμα παπικόν.

Ἐν τῷ προσφωνητικῷ τῷ πρὸς τὸν μέγαν Θεοδόσιον τῆς παρούσης Οἰκουμενικῆς Συνόδου σημείωσαι τέσταρα-

παράτινα, πρῶτον, ὅτι συνῆλθον εἰς Κωνσταντινούπολιν κατὰ τὸ γράμμα τῆς αὐτοῦ θεοσεβείας, ἀνεπιμονεύουσι δὲ οὔτε τοῦ Δαμάσου, οὔτε ἄλλου τινὸς, ἢ Βασιλέως, ἢ Ἐπισκόπου, ἀλλ' ἢ μόνου τοῦ Θεοδοσίου ὅτι ἤγειρε τὴν Σύνοδον καὶ εἰρηνοποίησε τὰς Ἐκκλησίας, καὶ ἐστήριξε τὴν πίστιν καὶ ἀνενέωσε τὴν πρὸς ἀλλήλους τῶν Ἐπισκόπων ὁμόνοιαν. δεύτερον, ὅτι τὴν τῶν πατέρων πίστιν ἐκύρωσε. καὶ σημείωσαι ὅτι μόνη ἡ Οἰκουμενικὴ Σύνοδος τὴν τῶν πατέρων πίστιν ἐξαιρέτως κυροῖ, τουτέστι βεβαιοῖ. τρίτον, ὅτι ὑπὲρ τῆς εὐταξίας τῶν Ἐκκλησιῶν ῥητοὺς Κανόνας ὥρισεν, ἤτοι ἐξέθετο. καὶ σημείωσαι ὅτι ἡ κοινὴ Σύνοδος ἐν τῇ καθόλου Ἐκκλησίᾳ νομοθετεῖ, οὐχ ἡ Ῥώμης μόνος ὡς περιτεύονται οἱ παπισταὶ, μόνου γὰρ κανονίζοντος, οὐδεὶς ἀκούει αὐτοῦ, ἢ πείθεται αὐτῷ, ὡς οἱ Μόμοι καὶ ἡ Παραδοχὴ καὶ πρᾶξις ἡ ἐν τῇ καθόλου Ἐκκλησίᾳ δηλοῖ. τέταρτον, ὅτι λέγουσιν αὐτῷ, ἤτοι τῷ Αὐτοκράτορι ἵνα ἐπικυρώσῃ τῆς Σύνοδου τὴν ψῆφον, ἤτοι ἵνα ὁρίσῃ μένειν βέβαια τὰ ἐν αὐτῇ ὡρισμένα, ὥσπερ ὥρισε καὶ συνηθροίσθησαν οἱ Ἐπίσκοποι πρὸς Σύνοδον, καὶ οὕτω διορθώσας τὴν Ἐκκλησίαν τὴν καθολικὴν, ἐτίμησεν αὐτήν. καὶ σημείωσαι ὅτι ὁ Βασιλεὺς βεβαιοῖ τὰς Σύνοδους, ὥστε ἐκεῖνο τὸ τῶν παπιστῶν ὅτι ὁ Πάπας βεβαιοῖ αὐτὰς ἐστὶ διανοίας ἀνάπλασμα σχισματικῆς.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὅτι ἑπτὰ Κανόνας ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος ἐξέθετο, καὶ περὶ τοῦ δευτέρου αὐτῆς Κανόνος, καὶ διττῆς Διοικήσεως, καὶ Ἐπαρχίας ταύτῃ ταυτιζομένης, καὶ περὶ τίνων Διοικήσεων φησὶν ὁ Κανών.

Ἑπτὰ Κανόνας ἐξέθετο ἡ παροῦσα Οἰκουμενικὴ Σύνοδος, ἡμῖν δὲ ὁ λόγος ἐπὶ τοῦ παρόντος περὶ μόνων τριῶν, δευτέρου, τρίτου καὶ τετάρτου, καὶ πρῶτον περὶ τοῦ δευτέρου, ἐν ᾧ σημείωσαι ὅτι οἱ ὑπὲρ Διοίκησιν Ἐπίσκοποι εἰσὶν Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ οἱ λοιποὶ οἱ ἔχοντες Διοικήσεις συνισταμένας ἀπὸ πολλῶν Ἐπαρχιῶν, κατὰ δὲ ἄλλον τρόπον οἱ ὑπὲρ διοίκησιν εἰσὶν οἱ αὐτοὶ καὶ οἱ ὑπερόριοι Ἐπίσκοποι, ἤτοι οἱ εὑρισκόμενοι ἔξω τῶν ἀφωρισμένων αὐτοῖς ἐνοριῶν, καὶ τοῦτον τὸν δεύτερον νοῦν ἔχουσιν οἱ πατέρες εἰς τὰ ἑπόμενα, καὶ διατοῦτο προκρίνομεν αὐτὸν τοῦ ἑτέρου, καὶ γὰρ οὐ λέγουσιν ἐνταῦθα οἱ πατέρες περὶ ἐκείνων οἵτινες ἔχουσι Διοίκησιν, δηλαδὴ πολλὰς Ἐπαρχίας, ἀλλ' ἁπλῶς περὶ πάντων τῶν Ἐπισκόπων, οἵτινες ἔχουσι διοίκησιν, καὶ ὁρίζουσιν οἱ πατέρες ἵνα μήτις Ἐπίσκοπος μεταβαίνῃ ἀπὸ τῆς ἰδίας ἐνορίας, καὶ ἐπιβαίνῃ ἑτέρᾳ. ὅτι δὲ τὸ ὄνομα τῆς Διοικήσεως ἐστὶ πολύσημον, ἐδὲ κατωτέρω βιβλίου δεκάτου μέρους τρίτου κεφάλαιον ἔνατον. δεύτερον δὲ σημείωσαι, ὅτι ὡς εἴπομεν ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου τρίτου Παραγράφῳ ὀγδόῳ τὰ ὀνόματα Διοικήσεως καὶ Ἐπαρχίας ταυτίζονται, ὅπερ καὶ ἀπὸ τῆς ἐπιστολῆς τῆς ἐν τῷ Ἰλλυρικῷ Συνόδου πρός τινας εἰς τὴν Ἀνατολὴν Ἐπισκόπους γίνεται δῆλον, λέγει γὰρ ἐν μὲν τῇ ἐπιγραφῇ, οἱ Ἐπίσκοποι τοῦ Ἰλλυρικοῦ ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ καὶ Ἐπισκόποις Διοικήσεως Ἀσιανῆς, Φρυγίας, Καροφρυγίας, Πακατιανῆς, ἐν δὲ τῷ σώματι, πάσῃ τῇ ἐφ' ὑμᾶς Ἐπαρχίᾳ. Θεοδώριτος λόγῳ τετάρτῳ κεφαλαίῳ ἐνάτῳ τοῦτο βεβαιοῖ καὶ ὁ Σωζόμενος, λέγει γὰρ περὶ τῆς Συνόδου ταύτης, ὅτι ὥρισε διοικεῖσθαι τὰς πάντων Ἐκκλησίας κατὰ τοὺς πάλαι Κανόνας, καὶ τοὺς Ἐπισκόπους ἐπὶ τῶν ἰδίων μένειν Ἐκκλησιῶν, καὶ μὴ εἰκῇ ταῖς ὑπερορίαις ἐπιβαίνειν, μηδὲ ἀκλήτους χειροτονίαις προσδοκούσαις σφὰς ἐπιβάλλειν, καθὸ πρότερον ὡς ἔτυχε διωκομένης τῆς καθόλου Ἐκκλησίας πολλάκις συνέβη, τὰ δὲ παρ' ἑκάστῃ συμβαίνοντα τὴν τοῦ ἔθνους Σύνοδον ὡς ἂν ἄριστα φανείη διοικεῖν τε καὶ πράττειν, βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἐνάτῳ. καὶ σημείωσαι ὅτι τὰς πάντων Ἐκκλησίας, καὶ τὰ παρ' ἑκάστῃ συμβαίνοντα εἰπὼν, περιέλαβε καὶ τὰς τῶν Πατριαρχῶν καὶ τὰς τῶν Μητροπολιτῶν ἐνορίας, τουτέστι καὶ τὰς Διοικήσεις καὶ τὰς Ἐπαρχίας. καὶ ὁ Σωκράτης λέγει, ὥρισαν δὲ ὥστε εἰ χρεία καλέσει, τὰ καθ' ἑκάστην Ἐπαρχίαν ἵνα ἡ τῆς Ἐπαρχίας Σύνοδος διοικῇ, βιβλίῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ. καὶ σημείωσαι ὅτι καὶ ἐνταῦθα ἡ Ἐπαρχία καὶ αὐτὶ τῆς Διοικήσεως ἐξελήφθη, οὐ μὴν ἀλλὰ καὶ ἡ Σύνοδος αὕτη ἐν τῇ πρὸς τοὺς Δυτικοὺς ἐπιστολῇ γράφει, περὶ δὲ τῶν οἰκονομιῶν τῶν κατὰ μέρος ἐν ταῖς Ἐκκλησίαις παλαιός τε ὡς ἴστε θεσμὸς κεκράτηκε, καὶ τῶν ἁγίων ἐν Νικαίᾳ πατέρων ὅρος, καθ' ἑκάστην Ἐπαρχίαν τοὺς τῆς Ἐπαρχίας, καὶ ὅπερ ἐκεῖνοι βούλοιντο σὺν τοῖς ὁμόροις πρὸς τὸ συμφέρον ποιεῖσθαι τὰς χειροτονίας, οἷς ἀκολούθως καὶ τὰς λοιπὰς Ἐκκλησίας παρ' ἡμῖν οἰκονομεῖσθαι γινώσκετε, Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ. τρίτον, οὐδιορίζει ὁ κανὼν περὶ μόνων τῶν Μητροπολιτῶν ἢ Πατριαρχῶν, ἀλλ' ἐξίσου καὶ περὶ τῶν Μητροπολιτῶν καὶ περὶ τῶν Πατριαρχῶν ἵνα ἕκαστος ἐν τῇ ἰδίᾳ Ἐπαρχίᾳ καὶ Διοικήσει οἰκονομῇ, οὐ μὴν καὶ ἐν

ἀλλο-

ἀλλοτρίᾳ Ἐπαρχίᾳ καὶ Διοικήσει δύνασθαι ἐπιβαίνειν, ἤτοι ἐπιβατικῶς ἐνεργεῖν τι, ὡς οἱ ἐν Νικαίᾳ Κανόνες ὥρισαν ἕκαστον ἔχειν τὰ ἴδια, καὶ ἀπέχεσθαι τῶν μὴ ἀνηκόντων αὐτῷ Ἐκκλησιῶν, ἤτοι τῶν ὄντων ἔξω τῆς ἐνορίας αὐτοῦ. ὅθεν ὁ Ζωναρᾶς ἐν τῇ ἑρμηνείᾳ τοῦ Κανόνος φησὶν, οἱ μὲν γὰρ Ἀπόστολοι ἐν τεσσαρεσκαιδεκάτῳ Κανόνι μὴ ἐξεῖναι Ἐπισκόπῳ ἑτέρᾳ ἐπιπηδᾶν, καταλιπόντι τὴν ἑαυτοῦ, διετάξαντο, οἱ δὲ ἐν τῇ πρώτῃ Συνόδῳ κατὰ Νίκαιαν συναθροισθέντες πατέρες ἐν ἕκτῳ καὶ ἑβδόμῳ Κανόνι, τὰ ἀρχαῖα κρατεῖν ἔθη, καὶ ἕκαστον θρόνον τὰς ἀνηκούσας αὐτῷ Ἐπαρχίας οἰκονομεῖν, ὡς καὶ ὁ Θεοδώριτος γράφων πρὸς Φλαυϊανὸν τὸν Κωνσταντινουπόλεως κατὰ Διοσκόρου Ἀλεξανδρείας φησὶν, οἱ ἐν Κωνσταντινουπόλει συνελθόντες συμφώνως τοῖς ἐν Νικαίᾳ τὰς Διοικήσεις διέκρινον, καὶ ἑκάστῃ Διοικήσει τὰ ἑαυτῆς ἀπένειμαν, ἄντικρυς ἀπαγορεύσαντες ἐκ τῆς ἑαυτοῦ διοικήσεώς τινα ἑτέρᾳ μὴ ἐπιέναι, ἀλλὰ τὸν Ἀλεξανδρείας Ἐπίσκοπον τὰ τῆς ἑαυτοῦ μόνα διοικεῖν, καὶ ἑκάστην διοίκησιν τὰ οἰκεῖα, ἐπιστολῇ ὀγδοηκοστῇ ἕκτῃ. ἀλλὰ δὴ καὶ ὁ Βαλσαμὼν καλῶς ἔφη, ἤτοι ὁ ἕκτος καὶ ὁ ἕβδομος Κανὼν τῆς πρώτης Συνόδου ὑπετύπωσαν ποῖαι καὶ ποῖαι Διοικήσεις ὀφείλουσιν ὑποκεῖσθαι τῷ Πάπᾳ Ῥώμης, τῷ Ἀλεξανδρείας, τῷ Ἀντιοχείας καὶ τῷ Ἱεροσολύμων. ὁ δὲ παρὼν διορίζεται οἰκονομεῖν τοὺς Ἐπισκόπους τῆς Ἀσίας καὶ Ποντικῆς καὶ τῆς Θρᾴκης καὶ ἑτέρους τὰ τῶν ἐνοριῶν αὐτῶν, καὶ μὴ ἔχειν ἐπ' ἀδείας τινὰ ἐκ τούτων ὑπερορίους ἐνεργείας ποιεῖν καὶ συγχέειν τὰ δίκαια τῶν Ἐκκλησιῶν. τὰ αὐτὰ καὶ ὁ Ἀριστηνὸς φησὶν, ὅτι δηλαδὴ ἐν πολλοῖς τῶν Κανόνων εἴρηται ὅτι οὐ δεῖ Ἐπίσκοπον ἀλλοτρίας ἐπιβαίνειν Ἐπισκοπῆς, ἀλλ' ἕκαστον ἐντὸς τῶν ἰδίων ὅρων μένειν καὶ μὴ πηδᾶν ὑπερόρια καὶ τὰς Ἐκκλησίας συγχέειν. καὶ σημείωσαι ὅτι τοῦτο εἰ καὶ ἐγίνετο πρότερον διὰ τοὺς διωγμοὺς τῆς καθόλου Ἐκκλησίας, τουτέστιν ἵνα γίνωνται οἰκονομίαι διάφοροι ἐν ἀλλοτρίαις Ἐπαρχίαις, ὡς ὑπαινίξατο ὁ Σωκράτης βιβλίῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ, καὶ ἡμεῖς ἐσημειώσαμεν ἀνωτέρω βιβλίῳ δευτέρῳ κεφαλαίῳ δεκάτῳ ἐνάτῳ, ἀλλὰ τῶν ἐκκλησιαστικῶν πραγμάτων εἰς καλὴν ἐλθόντων κατάστασιν, καὶ βασιλεύοντος ὀρθοδόξου Ἀνατολῆς καὶ Δύσεως, οἱ πατέρες ὥρισαν ἄπρακτα μένειν λοιπὸν τὰ τῶν τοιούτων οἰκονομιῶν, καὶ ἐνεργεῖν τοὺς Ἐπισκόπους κατὰ τοὺς Κανόνας ἀπροφασίστως.

ΠΑΡΑΡΑΦΟΝ Β'.

Περὶ τοῦ τὶ τὸ αἴτιον ὅτι ὁ Κανὼν τοῦ Ἀλεξανδρείας μόνον ἐμνήσθη ἀνεπτυγμένως.

Ἀλλὰ κατὰ τοὺς Κανόνας τὸν Ἀλεξανδρείας ἐπίσκοπον τὰ ἐν Αἰγύπτῳ μόνα οἰκονομεῖν. σημείωσαι διατὶ ἐνταῦθα τῶν μὲν ἄλλων Πατριαρχῶν καὶ Μητροπολιτῶν ὁ Κανὼν ἐμνήσθη συνεπτυγμένως, τοῦ δὲ Ἀλεξανδρείας ἀνεπτυγμένως; καὶ ῥητέον πρῶτον, ὅτι οἱ Ἀλεξανδρεῖς συνήργησαν καὶ ἐχειροτονήθη Ἐπίσκοπος εἰς Κωνσταντινούπολιν Μάξιμος ὁ Κυνικὸς, ἀπεβλήθη δὲ ὁμέγας Γρηγόριος, διατοῦτο ἡ Σύνοδος ὁρίσασα διὰ τὰς ἀνωτέρω αἰτίας ἕκαστον Ἐπίσκοπον τῆς ἰδίας Ἐπαρχίας φροντίζειν, ῥητῶς ἔκρινε τὸν Ἀλεξανδρείας μόνα τὰ ἐν τῇ ἰδίᾳ ἐνορίᾳ διοικεῖν, καὶ μὴ περαιτέρω ἐπιβαίνειν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἡ Σύνοδος ἐν τῷδε Κανόνι Πατριάρχας κατέστησε, καὶ πῶς ἐννοητέον τοὔνομα Πατριάρχης, καὶ τὶ δηλοῖ Πατριαρχεία.

Ἡ Σύνοδος ὁρίσασα μὴ ἐπιβαίνειν Ἐπίσκοπον εἰς ἀλλοτρίαν ἐνορίαν, μεταταῦτα Πατριάρχας κατέστησεν οὓς ὀνομαστὶ λέγουσι Σωκράτης βιβλίῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ, καὶ ὁ Σωζόμενος βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἐνάτῳ. πῶς δὲ τοῦτο τοὔνομα Πατριάρχης ἐννοητέον, εἰ καὶ εἴπομεν ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου τρίτου Παραγράφῳ ἑβδόμῳ, ὅμως ῥητέον καὶ ἐνταῦθα ὅτι ἡ πρώτη Σύνοδος κατὰ συνήθειαν καὶ ἀρχαίαν παράδοσιν ἐβεβαίωσε τὴν πατριαρχικὴν τιμὴν καὶ ἐξουσίαν τῶν τεσσάρων ἀποστολικῶν καὶ μεγάλων θρόνων ὡς λέγουσιν αὐτοὺς οἱ ἱστορικοὶ, ἢ Ἐπισήμων ὡς λέγει ἡ παροῦσα Σύνοδος ἐν τῇ ἐπιστολῇ αὐτῆς. ἡ δὲ παροῦσα Σύνοδος ἡ Οἰκουμενικὴ Πατριάρχας κατέστησεν, ἤτοι διοικητὰς καὶ κυβερνήτας καὶ ἐφόρους περὶ τῆς ὀρθοδόξου πίστεως, καὶ τοῦτο ἦν προσωπικὸν ἀξίωμα καὶ μόνον, ὅθεν ὁ Σωζόμενος ὥσπερ ὑπεξηγούμενος τὸν Σωκράτη περὶ τοῦ ὀνόματος τῆς ταύτης Πατριαρχείας λέγει ἐν τῷ αὐτῷ τόπῳ, καὶ τὰ μὲν ὧδε τῇ Συνόδῳ ἔδοξε, καὶ ὁ βασιλεὺς ὑπεψηφίσατο, καὶ Νόμον ἔθετο κυροῦν τὴν πίστιν τῶν ἐν Νικαίᾳ συνεληλυθότων, παραδοθῆναι δὲ καὶ πάσαις ταῖς Ἐκκλησίαις τοῖς ἐν ὑποστάσεσι τριῶν προσώπων ἰσοτίμων καὶ ἰσοδυνάμων μίαν καὶ τὴν αὐτὴν ὁμολογοῦσι Θεότητα Πατρὸς Υἱοῦ καὶ ἁγίου Πνεύματος, τούτους δὲ εἶναι τοὺς κοινωνοῦντας Νεκταρίῳ ἐν Κωνσταντινουπόλει, Τιμοθέῳ Ἀλεξανδρείας, καὶ τὰ ἑξῆς. καὶ σημείωσαι ὅτι ὁ μὲν Σωκράτης εἶπε Πατριάρχας ἀπο-

ἀποκατέστησαν, καὶ Πατριάρχας ταῖς Ἐκκλησίαις διεγράψατο, ὁδὲ Σωζόμενος ὅτι τὰς καινουργίας τῇ θείᾳ καὶ τῇ θείᾳ, ὥστε ἡ Πατριαρχία σταυροῦται ἀϑὸν ἕτερον δηλοῖ, ἢ διδάξιν καὶ κυβέρνησιν σὺ ταῖς Ἐκκλησίαις καὶ βεβαίωσιν τῆς ὀρθοδόξου πίστεως, ὅθεν ὁ Σωζόμενος ἐν τῷ τέλει τὴν ἀρχὴν κεφαλαίων τὰ ὀνόματα καὶ τὸ ἀξίωμα τῶν γνησίων Πατριαρχῶν, ἐπήγαγε, τάχιστα γὰρ καὶ βασιλεὺς ἐπήνεσεν ἰδὼν καὶ συγγενόμενος, καὶ δόξαν ἀγαθὴν περὶ αὐτῶν ἐκφάτει ὡς τοὺς Ἐκκλησίας ὀρθῶς ἀγάγοντας, ὃν ἄρτιον δηλαδὴ τρόπον.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι τῷ εἰπεῖν τὸν Βαλσαμῶνα πάντες τὰ πάλαι οἱ τῶν Ἐπαρχιῶν Μητροπολῖται αὐτοκέφαλοι ἦσαν, συμπεραίνεται ἐκ τούτου ἁπλῶς αὐτοκέφαλοι εἶναι τοὺς Μητροπολίτας. καὶ τί δηλοῖ αὐτοκέφαλος. Ἐπίσκοπος.

Αὐτοκέφαλοι

Εἰς ἐκεῖνο δὲ ὄφησιν ὁ Βαλσαμὼν ὅτι τὰ παλαιὸν πάντες οἱ τῶν Ἐπαρχιῶν Μητροπολῖται αὐτοκέφαλοι ἦσαν καὶ ὑπὸ τῶν οἰκείων Συνόδων ἐχειροτονοῦντο, μετετυπώθη δὲ τὰ περὶ τούτου ὑπὸ τὸν εἰκοστὸν ὄγδοον Κανόνος τῆς ἐν Χαλκηδόνι Συνόδου, διορισαμένης τοὺς Μητροπολίτας τῆς Ποντικῆς καὶ Ἀσιανῆς καὶ Θρακικῆς Διοικήσεως, ἔτι δὲ καὶ ἑτέρους ἵνας τῷ αὐτῷ Κανόνι περιεχομένους ὑπὸ τὸν Πατριάρχην Κωνσταντινουπόλεως χειροτονεῖσθαι καὶ ὑποκεῖσθαι αὐτῷ, καὶ ὅτι καὶ αἱ Ἐκκλησίαι Βουλγαρείας, Κύπρου καὶ Ἀχρίδος αὐτοκέφαλοί εἰσι. πρὸς ταῦτα ἕν ῥητέον, βουλόμενοι συμπεραίνειν ἐκ τούτου ὅτι ἁπλῶς οἱ μητροπολῖται αὐτοκέφαλοι ἦσαν, ἢ ἀπαιτοῦνται, ἢ ἰδίαν γνώμην συσχῆσαι βάλλονται, πρῶτον, ὅτι ὁ Βαλσαμὼν οὐ λέγει οἱ Μητροπολῖται ἁπλῶς, ἀλλὰ οἱ Μητροπολῖται τῶν Ἐπαρχιῶν, ὁμοῦ δηλονότι καὶ οἱ Μητροπολῖται τῶν Διοικήσεων, ἤτοι οἱ διεισκόμβοι ἐκ τὰς Διοικήσεις τῶν Πατριαρχῶν. δεύτερον, ὅτι διωρισμένως φησὶν, εἰ τῆς Ποντικῆς καὶ Ἀσιανῆς καὶ Θρακικῆς Διοικήσεως, καὶ ἑτέρους οἱ ἐν τῷ εἰκοστῷ ὀγδόῳ Κανόνι τῆς ἐν Χαλκηδόνι Συνόδου περιεχόμβοι, ἤτοι οἱ ἐν ταῖς εἰρημέναις Διοικήσεσιν διεισκόμβοι ὑπὸ τοὺς βαρβάρους Ἐπισκόπους. τρίτον, ὅτι εἰπὼν τὸν Βουλγαρείας καὶ Κύπρου καὶ Ἰβηρείας εἶναι αὐτοκεφάλους, ἐσημείου δηλονότι τὸ αὐτοκεφάλους ὅτι οὐχ ὑποκείνται τινὶ τῶν Πατριαρχῶν. τέταρτον, ὅτι τὸν Ἰβηρείας ἅπασι ὑποκόμβιον ὄντα τῇ Ἀντιοχείας, γεγονέναι αὐτοκέφαλον, ἤγουν μὴ ὑποκόμβιον τῇ Ἀντιοχείας, ὥστε δῆλον ἐστὶν αὐτοκεφάλους εἰπεῖν ἐνταῦθα τὸν Βαλσαμῶνα τοὺς μὴ ὑποκειμένους Πατριάρχῃ τινὶ, καὶ μὴ ἁπλῶς πάντας τοὺς Μητροπολίτας. πέμπτον, ὅτι αὐτός ἐστιν ὁ εἰπὼν ἐν τῷ ὀκτωκαιδεκάτῳ καὶ ἑβδόμῳ τοῖς Κανόσι τῆς πρώτης Συνόδου, καὶ ἐν τῇ ἑρμηνείᾳ τοῦ παρόντος Κανόνος, ὅτι διωρίσθησαν οἱ Πατριάρχαι ἔχειν τοὺς τόδε καὶ τόδε Ἐπαρχίας καὶ Διοικήσεις.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἐν τῷ Κανόνι συνηθείας ἐν ταῖς βαρβαρικαῖς Ἐκκλησίαις.

Τοὺς δὲ ἐν τοῖς βαρβάροις ἔθνεσι τοῦ Θεοῦ Ἐκκλησίας οἰκονομεῖσθαι κατὰ τὸν κρατήσαντα συνήθειαν τῶν πατέρων. ἐν τούτῳ φησὶν ὁ Ζωναρᾶς, ἐπειδὴ καὶ οἱ βαρβάροις ἔθνεσιν Ἐκκλησίαι τότε ἦσαν πιστῶν οὐκ αἷς δηλαδὴ οὐκ ἦσαν Ἐπίσκοποι ὡς τε Συνόδου συνιστᾶν, οἱ ἀξιόλογοι πλησιόχωροι Ἐπίσκοποι ἵνα ἀναπληρώσι τὰ ἐλλείποντα, καὶ ἐν τῷδε Κανόνας ἐδόκει, ὅμως διὰ τὴν ἀνάγκην συνεχώρησεν ἡ Σύνοδος τοῦτο κατὰ τὸ ὑπερκρατῆσαν σὺ αὐταῖς τῶν ἁγίων πατέρων ἔθος.

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Περὶ τοῦ τρίτου Κανόνος αὐτῆς, καὶ τῶν πρεσβείων τοῦ Κωνσταντινουπόλεως, καὶ ὅτι ἡ ΜΕΤΑ τοῦτο θέσις τάξιν δηλοῖ μετὰ τοῦ ἴσου ἀξιώματος καὶ τῆς αὐτῆς τῇ Ῥώμης ἡμῶν, καὶ οὐχ ὑποβιβασμόν.

Περὶ δὲ τοῦ τρίτου Κανόνος ῥητέον ὅτι φησὶ ταῦτα ῥητῶς, τὸν μὲν τοῦ Κωνσταντινουπόλεως Ἐπίσκοπον τὰ πρεσβεῖα τῆς τιμῆς ἔχειν μετὰ τὸν Ῥώμης, διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην. ἐπειδὴ ἡ Κωνσταντινούπολις ἐμόνον ἐκλήθη νέα Ῥώμη, ἀλλ' ἔλαβε καὶ τὴν ἴσην τιμὴν καὶ λαμπρότητα μετὰ τῆς πρεσβυτέρας Ῥώμης, ὡς μαρτυρεῖ καὶ ὁ Σωζόμενος περὶ αὐτῆς λέγων, ὅτι μόνον ἔλαβε ταύτην τὴν εὐσημηορίαν ἡ πόλις, καὶ γερουσίαν καὶ τάγματι δήμων καὶ ἀρχὰς ὁμοίως ἐχρῆτο, ἀλλὰ καὶ κατὰ πάντα τὰ σύμβολα καὶ τὰ νόμιμα τοῖς ἐν Ἰταλίᾳ Ῥωμαίοις ἐκέλευετο, καὶ τὰ δίκαια καὶ τὰ γέρατα περὶ πάντα ἑκατέρα ἰσάζετο, βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἑνάτῳ τῇ τῆς ὁ

τῇ νέᾳ Ῥώμῃ Ἐκκλησίας ἐπιτροπεύοντι Νεκταρίῳ ἡ Σύνοδος τὰ πρεσβεῖα ἀπένειμε τῆς τιμῆς, λέγω δὲ τιμῆς ἐκείνης περὶ ἧς εἴρηται ἀνωτέρω βιβλίῳ δευτέρῳ κεφαλαίῳ τετάρτῳ. ἥν τινα καὶ ἄκραν καὶ ὑπέρτατον καὶ ὑπερέχουσαν ἀσυγκρίτως, καὶ ὑψηλὸν καὶ μεγάλον καὶ ἱερὸν καὶ ἀρχιερατικὸν καὶ ἀποστολικὸν θρόνον οἱ τὰ τῆς Ἐκκλησίας ἱστοροῦντες καὶ πολλοὶ τῶν ἁγίων πατέρων προσαγορεύουσιν, ἡ δὲ παροῦσα Σύνοδος ἐν τῇ ἐπιστολῇ εἶπεν Ἐπισημότατον. ἐπειδὴ δὲ ἡ τιμὴ αὕτη ἐδόθη ἀπὸ συνηθείας καὶ παραδόσεως ἀρχαίας εἰς τὰς μεγάλας πόλεις, Ῥώμης, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων, ταύτην τὴν ὑπέρτιμον τιμὴν ἔδωκεν ἡ Σύνοδος καὶ τῷ Κωνσταντινουπόλεως, οὐ δι' ἄλλην αἰτίαν, ἀλλὰ διὰ τὸ βασιλεύειν, καὶ εἶναι νέαν Ῥώμην. καὶ ἐπειδὴ ἡ Ῥώμη ἐστὶν ἀρχαιοτέρα βασιλεύουσα πόλις, ἡ δὲ Κωνσταντινούπολις νεωτέρα, ἔχειν τὸν Κωνσταντινουπόλεως τὴν αὐτὴν τιμὴν μετὰ τὸν Ῥώμης, λέγω δὲ πάλιν οὐκ ἄλλην τιμὴν, ἀλλὰ τὴν αὐτὴν, ὡς γὰρ κατὰ πάντα τὰ σύμβολα καὶ τὰ νόμιμα τῇ ἀρχαίᾳ Ῥώμῃ ἐκρίνετο, καὶ τὰ δίκαια καὶ τὰ γέρατα περὶ πάντα ἐν ἑκατέρᾳ ἰσάζετο, οὕτω καὶ τὴν τιμὴν τὴν αὐτὴν κατὰ πάντα ἑκατέρᾳ Ἐκκλησίᾳ εἶναι ὥρισαν οἱ πατέρες, σφάλλει δὲ ὁ Ζωναρᾶς πασιδήλως λέγων ὅτι ἡ ΜΕΤΑ πρόθεσις ἐνταῦθα ὑποβιβασμὸν δηλοῖ καὶ ἐλάττωσιν τιμῆς, καὶ γὰρ εἰ ὑποβιβασμὸν τιμῆς δηλοῖ, ἐπειδὴ μετὰ τὸν Κωνσταντινουπόλεως ὁ Ἀλεξανδρείας, καὶ μετὰ τὸν Ἀλεξανδρείας ὁ Ἀντιοχείας, καὶ μετὰ τὸν Ἀντιοχείας ὁ Ἱεροσολύμων, ἔσονται τέσσαρα εἴδη ὑποβιβασμοῦ καὶ ἐλαττώσεως τιμῆς, τουτέστιν ἔσονται πέντε τιμαὶ ἡ μία τῆς ἑτέρας ἀνωτέρα, καὶ ἀνάπαλιν, ὅπερ αὐτίδοξόν ἐστι πάσῃ τῇ καθολικῇ Ἐκκλησίᾳ, καὶ μόνῳ δεκτὸν Γεωργίῳ Τραπεζουντίῳ τῷ γραικολατίνῳ, τοῖς δὲ παπολάτραις καὶ καταθύμιον λίαν. ἡ δὲ ἀλήθεια κατὰ τὴν γνώμην τῆς καθόλου Ἐκκλησίας οὕτως ἔχει, ὅτι ἡ ΜΕΤΑ ἐνταῦθα τάξιν δηλοῖ, καὶ οὐχ ὑποβιβασμὸν τιμῆς, ἤτοι ὁ Ῥώμης πρῶτος τῇ τάξει, ὁ Κωνσταντινουπόλεως δεύτερος τῇ τάξει, ἡ τιμὴ ὅμως ἡ αὐτὴ, τὸ ἀξίωμα τὸ αὐτὸν, ἐξισάζον κατὰ πάντα ἐν ἑκατέρᾳ Ἐκκλησίᾳ, ὅθεν ὁ Ἰουστινιανὸς Νεαρᾷ ἑκατοστῇ τριακοστῇ, κειμένῃ βιβλίῳ πέμπτῳ τῶν Βασιλικῶν, Τίτλῳ τρίτῳ, φησὶ τὸν Ῥώμης πρῶτον, δευτέραν δὲ τάξιν ἐπέχειν τὸν Κωνσταντινουπόλεως μετὰ τὸν Ῥώμης, οὐ μὴν καὶ δευτέραν ἐπέχειν τιμὴν καὶ ἀξίαν, ἀλλ' ἡ αὐτὴ τιμὴ, ἡ αὐτὴ ἀξία, ἡ αὐτὴ ἐξουσία, καὶ τὰ αὐτὰ πρεσβεῖα, ὡς ἐξηγεῖται τὴν πρόθεσιν ταύτην καὶ ἡ ἐν Χαλκηδόνι Σύνοδος Κανόνι εἰκοστῷ ὀγδόῳ. εἰ δὲ καὶ ἐν τῇ διακρίσει τῆς Νεαρᾶς ὁ βαλσαμὼν παραλογίζεται, οὐ μέλει τῇ ἀληθείᾳ περὶ τῆς παρεξηγήσεως αὐτοῦ. ταῦτα βεβαιοῖ καὶ ὁ τριακοστὸς ἕκτος Κανὼν τῆς ἐν Τρούλλῳ, τὰ αὐτὰ πρεσβεῖα μαρτυρῶν ἔχειν τὸν Κωνσταντινουπόλεως, καὶ τὸ αὐτὸ ἐν τῇ Ἐκκλησίᾳ ἀξίωμα, πλὴν δεύτερον κατὰ τὴν τάξιν καὶ μόνην, οὕτω καὶ τὸν Ἀλεξανδρείας, καὶ τὸν Ἀντιοχείας, καὶ τὸν Ἱεροσολύμων τὰ αὐτὰ ἔχειν πρεσβεῖα καὶ τὸ αὐτὸ ἀξίωμα μετὰ τοῦ Ῥώμης καὶ Κωνσταντινουπόλεως, καὶ κατὰ μόνην τὴν τάξιν διαφέρειν αὐτούς. ἰδὲ καὶ κατωτέρω βιβλίου τετάρτου κεφάλαιον τρίτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ἀνθυποφορὰ τῶν Ῥωμαίων πενταχῶς κατὰ τοῦ παρόντος τρίτου Κανόνος, καὶ ἀπάντησις κατ' αὐτῆς πενταχῶς, καὶ κατὰ τῶν μάταια καὶ ψευδῆ λεγόντων Ῥωμαίων.

Ἀνθυποφέρουσιν ἐνταῦθα οἱ σοφοὶ τῶν Ῥωμάνων, καὶ πρὸς τοῖς ἄλλοις λέγουσιν ὅτι ἡ ῥωμαϊκὴ Ἐκκλησία δέχεται μόνον τὸν περὶ πίστεως Κανόνα τῆς Συνόδου ταύτης ὃς ἐστιν ὁ πρῶτος, ἄλλους δὲ Κανόνας οὐ δέχεται. δεύτερον, ὅτι ὁ παρὼν Κανὼν ἐξετέθη κατὰ τῆς τιμῆς τοῦ Ἀλεξανδρείας Τιμοθέου, ὅθεν ἀπόντος αὐτοῦ ἐξεφωνήθη, ὅπερ ταὐτόν ἐστιν ὅτι ἐστὶν ὑποβολιμαῖος, καὶ ἡ ἀπόδειξις πρόδηλος, εἰ γὰρ παρόντος τοῦ Τιμοθέου ἐξεδόθη, οὐκ ἂν ἐσιώπησεν, οὐδὲ παρεδέχθη αὐτόν. τρίτον, ἐν τῇ ἐπιστολῇ τῆς Συνόδου οὐκ ἐτέθη. τέταρτον, ὅτι εἰ καὶ καθ' ὑπόθεσιν ἀληθὴς ὁ Κανὼν, ἀλλ' οὐκ ἦν ὑπὸ τοῦ Ῥώμης βεβαιωμένος, ὡς Νικόλαος ὁ πρῶτος γράφων πρὸς Μιχαὴλ τὸν Αὐτοκράτορα ἀποδείκνυσι, λέγει γὰρ, εἰ οἱ Ἐπίσκοποι Κωνσταντινουπόλεως περιεποιοῦντο τὸν δεύτερον τόπον ὑπὸ πολλῶν ψευδοκανόνων, ἀλλ' οὐκ ἦν ἀποδεχόμενος ὑπὸ τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ὅμως χάριν εἰρήνης καὶ ἡσυχίας ἐν τῷ καιρῷ Ἰουστινιανοῦ Αὐτοκράτορος οὕτως ἀφέθη, ὥστε οὐδεὶς πλέον ἠδύνατο ἐναντιωθῆναι. πέμπτον, ὅτι ἐστὶν ἀντικείμενος τῷ ἀνωτέρῳ Κανόνι, ἤτοι τῷ δευτέρῳ, διότι ἐκεῖνος μὲν δίδωσι τὴν ἐξουσίαν τῇ Συνόδῳ τῆς Ἐπαρχίας, οὗτος δὲ δίδωσι τῷ Κωνσταντινουπόλεως προνόμια. καὶ ταῦτα μὲν οὗτοι. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι ἡ καθόλου Ἐκκλησία οὔτε ἀπέβλεψέ ποτε, οὔτε ἀποβλέπει πρὸς τὴν Ῥωμαϊκὴν, ἢ ἄλλην τινὰ μερικὴν Ἐκκλησίαν, ἀλλ' εἰς τὴν κοινότητα καὶ τὴν Οἰκουμενικὴν Σύνοδον, ὅθεν οἱ Ῥωμαϊκὴ Ἐκκλησία βουληθεῖσα πολλάκις εἰπεῖν ἢ πρᾶξαί τι, ὅπερ οὐκ ἐξῆν, ποτὲ μὲν ἐκρίθη, ποτὲ δὲ ἀνεκρίθη καὶ κατεκρίθη, καὶ ἰδὲ ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον ἔσχατον. πρὸς δὲ τὸ δεύτερον, ἐπεὶ οἱ Αἰγύπτιοι Ἐπίσκοποι ἐχειροτόνησαν Μάξιμον τὸν κυνικὸν Ἐπίσκοπον Κωνσταντινουπόλεως, ἡ Σύνοδος ἕνεκεν πολλῶν δικαιωμάτων ὡς ῥηθήσεται, ἀποβαλοῦσα

βαλοῦσα τὴν τῶν Ἀλεξανδρέων προπέτειαν, ἐξέθετο τὸν Κανόνα φανερῶς, εἰ γὰρ ὥσφησιν ὁ Θεοδώριτος οἱ Αἰγύπτιοι Ἐπίσκοποι τοῖς λοιποῖς πατράσιν ἐφιλονείκησαν περὶ τοῦ μεγάλου Γρηγορίου, ἀλλ' ὁ Τιμόθεος μετὰ τὴν φιλονεικίαν σωφρόνως ἠκολούθησε, συνθέμενος τῇ κοινῇ κρίσει τῆς κοινότητος τῶν πατέρων, οὐδεὶς γάρ ποτε Πατριάρχης αὐτεῖπέ τινι τῶν Οἰκουμενικῶν Συνόδων, πλὴν τῶν Αἱρετικῶν καὶ τῶν ὑπερηφάνων καὶ φθονερῶν Λατίνων, εἶτα ὡς παρόντων τῶν Αἰγυπτίων καθαιρέσει καὶ ἀναθέματι καθυπέβαλεν ἡ Σύνοδος τὸν Μάξιμον, οὕτω καὶ παρόντων αὐτῶν ἐξεφώνησε τὸν Κανόνα. πρὸς δὲ τὸ τρίτον, οὐκ ἐμνήσθη ἡ συνοδικὴ ἐπιστολὴ ἀνεπτυγμένως τοῦ Κανόνος, συνεπτυγμένως ὅμως ἐμνήσθη, ὡς δηλοῦται ἀπὸ δύο τινῶν, πρῶτον, ὅτι λέγει ἡ ἐπιστολὴ τὰς τρεῖς Ἐκκλησίας Κωνσταντινουπόλεως, Ἀντιοχείας καὶ Ἱεροσολύμων ἐπισημοτάτας Ἐκκλησίας. δεύτερον, ὅτι διαλέγεται περὶ τῆς χειροτονίας τοῦ Κωνσταντινουπόλεως πρὸ τῆς ἀποκαταστάσεως τῶν Πατριαρχῶν Ἀντιοχείας καὶ Ἱεροσολύμων, εἰ δὲ οὐκ ἐδεδώκει ἡ Σύνοδος τῷ Κωνσταντινουπόλεως τὰ πρεσβεῖα, οὐκ ἂν ἐπισημοτάτην Ἐκκλησίαν εἶπε, καὶ οὐκ ἂν προέταξε τοῦ Ἀντιοχείας καὶ Ἱεροσολύμων. εἶτα εἰ οὐκ ἐμνήσθη αὐτοῦ τοῦ Κανόνος ἡ ἐπιστολὴ, ἐμνήσθησαν ὅμως τοῦ πράγματος ῥητῶς οἱ κατ' ἐκεῖνο καιροῦ ἱστορικοὶ, ὁ γὰρ Σωκράτης παραφράζων τὸν Κανόνα φησὶ, τότε δὲ καὶ Ὅρον ἐκφέρουσιν, ὥστε τὸν Κωνσταντινουπόλεως Ἐπίσκοπον τὰ πρεσβεῖα ἔχειν τῆς τιμῆς μετὰ τὸν Ῥώμης Ἐπίσκοπον διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην, βιβλίῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ. καὶ ὁ Σωζόμενος τῷ αὐτῷ τρόπῳ φησὶ, μετὰ δὲ τὸν Ῥώμης τὸν Κωνσταντινουπόλεως Ἐπίσκοπον τὰ πρεσβεῖα ἔχειν ὡς νέας Ῥώμης τὸν θρόνον ἐπιτροπεύοντα, βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἐνάτῳ. ὅθεν ἤρξατο καὶ τὰ πρεσβεῖα τῆς τιμῆς ἀπαιτεῖν καὶ πρεσβεῖα ἐξουσίας κατὰ τὸ ἴδιον τῆς ἐξουσίας ἥνπερ εἶχον οἱ λοιποὶ Πατριάρχαι, καὶ διατοῦτο ὁ ἅγιος Ἀμβρόσιος ἔγραψε, φησὶν ὁ Σωζόμενος, Νεκταρίῳ τῷ προϊσταμένῳ Ἐκκλησίας Κωνσταντινουπόλεως ἀφελέσθαι Γεροντίου τὴν Ἱερωσύνην, καὶ μὴ παριδεῖν αὐτὸν ὑβρισμένον, καὶ τὴν ἐκκλησιαστικὴν τάξιν, ὃν δυσωπηθέντος τοῦ Νεκταρίου ὑπὸ τῶν Νικομηδέων καὶ μὴ ἐξελόντος τῆς Νικομηδείας, ὁ Χρυσόστομος μεταταῦτα καθεῖλεν, ὡς καὶ ἐν Ἐφέσῳ ἀποδημήσας πολλοὺς Ἐπισκόπους καθεῖλε, πολλοὺς δὲ καὶ ἐχειροτόνησε. καὶ ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ κρινομένων τῶν Μητροπολιτῶν Νικομηδείας καὶ Νικαίας, φανερὸν ἐγένετο ὅτι πρὸ τῆς αὐτῆς Συνόδου ἐκάλουν κριτὴν αὐτῶν τὸν Κωνσταντινουπόλεως Ἀρχιεπίσκοπον, καὶ οὗτος προσέταξεν αὐτοῖς διὰ γραμμάτων μὴ καινοτομεῖν. εἰ δὲ καὶ τὸν Χρυσόστομον κατηγόρησαν τινὲς διὰ ταῦτα ὡς καινοτομοῦντα, ὡς λέγει ὁ Σωζόμενος ἐν τῷ αὐτῷ τόπῳ, ἀλλ' ἡ ἐν Χαλκηδόνι Σύνοδος τὸν Κωνσταντινουπόλεως κρίναντα οὐκατέκρινε, πράξει δεκάτῃ τρίτῃ, καὶ ἄλλα τοιαῦτα συνάγεται μυρία, ἅτινα οἱ Κωνσταντινουπόλεως Ἐπίσκοποι πεποιήκασιν εἰς Ἐπαρχίας μὴ ὑποκειμένας Πατριάρχῃ τινὶ ἄνευ προκρίματος ἀπὸ ταύτης τῆς δευτέρας Συνόδου ἕως τῆς ἐν Χαλκηδόνι, καὶ ἰδὲ ἐκεῖ ἐν τῇ εἰς τὸν Πάπαν Λέοντα ἐπιστολῇ τῆς Συνόδου, ὅπου καὶ τοῦτο λέγεται, τὸ γὰρ ἐκ πολλοῦ κρατῆσαν ἔθος ὅπερ ἔσχεν ἡ Κωνσταντινουπολιτῶν ἁγία τοῦ Θεοῦ Ἐκκλησία εἰς τὸ χειροτονεῖν Μητροπολίτας τῶν Διοικήσεων τῆς τε Ἀσιανῆς τῆς τε Ποντικῆς καὶ Θρᾳκικῆς, καὶ νῦν κατὰ συνοδικὴν ἐκυρώσαμεν ψῆφον. ἐξ ὧν δῆλον ὅτι τὴν τιμὴν τῷ Κωνσταντινουπόλεως δέδωκεν ὁ παρὼν Κανὼν, τὴν δὲ ἐξουσίαν τοῦ χειροτονεῖν δέδωκε τὸ παλαιὸν ἔθος, τουτέστι τὸ μὲν πρωτεῖον διὰ τοῦ Κανόνος, τὴν δὲ ἐξουσίαν τοῦ χειροτονεῖν διὰ τοῦ ἔθους ἐβεβαίωσαν οἱ ἐν Χαλκηδόνι πατέρες. ὅτι δὲ αἴτιον τοῦ ἔθους ὁ παρών ἐστι Κανὼν τῆς τιμῆς, πρόδηλόν ἐστι. πρὸς δὲ τὸ τέταρτον, φανερῶς ὁ Νικόλαος ἀρχὴ ὢν καὶ προταίτιος τοῦ σχίσματος τῶν Ἐκκλησιῶν ἐψεύσθη, πρῶτον, ὅτι τὸν Κανόνα ἡ ῥωμαϊκὴ Ἐκκλησία εἰ συγχωρήσομεν ὅτι οὐκ ἐδέχθη, ἀλλ' ἡ καθόλου Ἐκκλησία ἐξέθετο, παρέδωκε καὶ ἐδέχθη. δεύτερον, ὅτι ἐδέχθη αὐτὸν καὶ ἡ ῥωμαϊκὴ Ἐκκλησία, τοῦ γὰρ Κωνσταντινουπόλεως τὰ πρεσβεῖα τῆς τιμῆς χρωμένου, οὐδὲν ἀντέλεγον αὐτῷ οἱ Ῥωμαῖοι. τρίτον, ὅτι τὰ αὐτὰ πρεσβεῖα ἔχοντι τῆς ἄκρας τιμῆς ἔγραψεν αὐτῷ ὁ Ἀμβρόσιος. τέταρτον, ὅτι Χρυσόστομον τὸν ἐκτείναντα τὴν ἐξουσίαν εἰς διαφόρους Ἐπαρχίας μὴ ὑποκειμένας Πατριάρχῃ τινὶ προφανῶς ἠγάπα καὶ ἐτίμα ὁ Πάπας Ἰννοκέντιος. τὸν δὲ Ἀττικὸν τῇ αὐτῇ τιμῇ χρώμενον ὁ Πάπας Κελεστῖνος ἐγκωμιάζει ἐν τῇ πρὸς τοὺς Κωνσταντινουπολίτας κατὰ Νεστορίου ἐπιστολῇ, καὶ τῷ Πρόκλῳ ἵνα ἀπὸ Κυζίκου εἰς Κωνσταντινούπολιν μετατεθῇ συνήγορος ἐγίνετο ὁ τότε Ῥωμαίων Ἐπίσκοπος, καὶ οὗτος αὐτὸς ὁ Κωνσταντινουπόλεως Πρόκλος μεγάλας ἤθροισε Συνόδους, καὶ συνοδικὴν ἐπιστολὴν ἔγραψε πρὸς Ἀρμενίους, ὡς Θεοδώριτος μαρτυρεῖ ἐπιστολῇ ὀγδοηκοστῇ ἑκτῇ. καὶ τέως ὁ Κωνσταντινουπόλεως Φλαυϊανὸς Σύνοδον ἤγειρε μεγάλην εἰς Κωνσταντινούπολιν τῶν παρευρεθέντων Ἀρχιερέων, ὧν οἱ ἔγκριτοι ἦσαν Μητροπολῖται, καὶ πάντων προεκάθητο κατὰ Εὐτυχοῦς, ὃν καὶ οἱ Πάπαι ἔχουσιν ἅγιον. καὶ τοῦ Διοσκόρου τοῦτον τὸν Φλαυϊανὸν ἐν τῇ κατ' αὐτὸν ἐν Ἐφέσῳ Συνόδῳ εἰς τὸν πέμπτον τάξαντος τόπον, ὁ Δορυλαίου Εὐσέβιος ἀπελθὼν εἰς Ῥώμην μετὰ καὶ ἑτέρων Κληρικῶν Κωνσταντινουπόλεως, ἔδειξε τὸν Κανόνα τοῦτον τῷ Ῥώμης Λέοντι, ὁ δὲ Λέων τὸν Κανόνα ἀποδεξάμενος, ἐμέμψατο τὸν Διόσκορον. καὶ ἐν τῇ πρώτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου καταβοώντων τῶν πατέρων τοῦ Διοσκόρου, τάξαντος εἰς τὸν πέμπτον τόπον τὸν

Φλαυϊανὸν,

φλαυϊανὸν, οἱ Τοποτηρηταὶ τοῦ Πάπα εἶπον, ἴδε ἡμεῖς τὸν κύριον Ἀνατόλιον πρῶτον ἔχομεν. οἱ δὲ ἀποκριθέντες εἶπον, ὅτι ὑμεῖς τοὺς Κανόνας οἴδατε, Κανόνας λέγοντες τοῦτον τὸν ἐν χερσὶ, καὶ τὴν δι' αὐτοῦ ἀκολουθήσασαν συνήθειαν. τρίτον, ὁ Νικόλαος εἰπὼν ὅτι ἐπὶ Ἰουστινιανοῦ χάριν ἡσυχίας ὁ Κωνσταντινουπόλεως ἀφέθη εἶναι δεύτερος, ἐψεύσθη διὰ τὰ ἀνωτέρω εἰρημένα, καὶ ὅτι ἐπὶ τῆς ἐν Χαλκηδόνι Συνόδου καὶ πρὸ τοῦ ἐκφωνηθῆναι τὸν εἰκοστὸν ὄγδοον Κανόνα αὐτῆς ὁ Κωνσταντινουπόλεως προεκάθητο τῶν τριῶν τῆς Ἀνατολῆς Πατριαρχῶν, καὶ πρῶτος αὐτὸς ὑπέγραψεν εἰς τὸν Ὅρον καὶ εἰς τὰς λοιπὰς τῆς Συνόδου ψήφους, καὶ μεταταῦτα Γεννάδιος, Εὐθύμιος καὶ Μακεδόνιος οἱ Ἐπίσκοποι Κωνσταντινουπόλεως ἐξισάζοντες τῷ Ῥώμης, καὶ ἰδὲ κατωτέρω βιβλίῳ τετάρτῳ. καὶ ὁ Καππάδοξ Σύνοδον ἀθροίσας μεγάλην, καὶ προκαθίσας καὶ τῶν ἐν αὐτῇ Λεγάτων τοῦ Πάπα, ἐβεβαίωσε τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ ἰδὲ κατωτέρω βιβλίου πέμπτου κεφάλαιον πρῶτον. οὕτω καὶ ὁ Μηνᾶς ἐν τῇ κατὰ Σεβήρου καὶ ὁ Εὐτύχιος ἐν τῇ Οἰκουμενικῇ πέμπτῃ τὰς Συνόδους προεκάθηντο, ὡς ἐροῦμεν κατωτέρω βιβλίῳ πέμπτῳ. ὥστε ὁ Κωνσταντινουπόλεως εἶχε τὰ πρεσβεῖα παρὰ τοῦ Κανόνος τούτου, ὁ δὲ Ἰουστινιανὸς τὰ πρεσβεῖα ἐβεβαίωσε μὲν, οὐκ ἔδωκε δὲ, ὡς ληρεῖ ὁ Νικόλαος. πρὸς δὲ τὸ πέμπτον, ῥητέον ὅτι οὐκ ἦν ἀντικείμενος ὁ Κανὼν τῷ πρὸ αὐτοῦ, ἐπειδὴ οἱ πατέρες οὐκ ἔδωκαν αὐτῷ ἐξουσίαν κατὰ τῶν Ἐπαρχιῶν, ἀλλὰ πρεσβεῖα τιμῆς καὶ μόνα, μεταταῦτα δὲ ἡ ἐκκλησιαστικὴ διάφορος χρεία κατεπείγουσα, ἔδωκεν αὐτῷ καὶ τὴν χειροτονίαν τῶν τάδε καὶ τάδε Μητροπολιτῶν. συμπεραίνομεν οὖν ὅτι ὁ Κανὼν ἐστὶν ἀληθὴς, καὶ ἐξετέθη φανερῶς, καὶ ἐνήργησεν ἀπὸ τῆς ὥρας ἐκείνης, καὶ ἐνεργεῖ, καὶ ἐνεργήσει ἕως τῆς ἡμέρας τοῦ Κυρίου, κἂν καίτινες Ῥωμᾶνοι Ἐπίσκοποι οἰστρούμενοι ὑπὸ τοῦ φθόνου καὶ παραλογίζοντες ἑαυτοὺς, λαλῶσι μάταια καὶ ψευδῆ.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τοῦ τετάρτου αὐτῆς Κανόνος, ἐν ᾧ καθηρέθη καὶ ἀνεθεματίσθη ὁ Κυνικὸς Μάξιμος, καὶ περὶ ὧν ἀθέσμως ὁ αὐτὸς ἔπραξε, καὶ ἧς ἔτυχε συγγνώμης μεταγνοὺς παρὰ τοῦ Ῥώμης, ἐξ ἧς οἱ παπισταὶ γενικὸν ἀξίωμα τῷ Ῥώμης ἀπονέμοντες, δείκνυνται πολλαχῶς κατὰ παράθεσιν ψευδόμενοι.

Πρὸς τὸν τέταρτον Κανόνα ῥητέον, ὅτι Μάξιμος ὁ κυνικὸς ἦν τὸ γένος Ἀλεξανδρεὺς, καὶ φιλόσοφος κυνικὸς, προσκείμενος τῷ Ὁμοουσίῳ, περιποιηθεὶς δὲ ὑπὸ Γρηγορίου τοῦ Ναζιανζηνοῦ ἐν Κωνσταντινουπόλει διατρίβοντος, ἐπεβούλευσε τῷ θρόνῳ Κωνσταντινουπόλως, καὶ ἔπεμψε χρήματα εἰς Ἀλεξάνδρειαν πρὸς τὸν Ἀλεξανδείας Πέτρον, καὶ ἐκεῖνος ἀπέστειλε τινὰς καὶ ἐχειροτόνησαν αὐτὸν ἐν Βυζαντίῳ ἐν οἴκῳ χωραύλου τινὸς, ὡς μαρτυρεῖ Γρηγόριος ὁ μαθητὴς τοῦ ναζιανζηνοῦ, ὁ καὶ συγγράψας τὸν βίον αὐτοῦ. ὁ δὲ Σωζόμενος βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἑνάτῳ, καὶ ὁ Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ λέγουσιν, ὅτι οἱ ἀπ' Αἰγύπτου ἐλθόντες εἰς Βυζάντιον εἰς ἄθροισιν τῆς δευτέρας Συνόδου, ὧν ἐξῆρχεν ὁ Ἀλεξανδρείας Τιμόθεος, κλέψαντες τὴν χειροτονίαν, Ἐπίσκοπον Κωνσταντινουπόλεως κατέστησαν τὸν Μάξιμον, γενομένη δὲ ἡ Σύνοδος καὶ ἰδοῦσα τὸ ἄτοπον, καθήρηκεν αὐτὸν, καὶ τὰς ὑπ' αὐτοῦ γενομένας χειροτονίας ἀκύρους ἀπέδειξεν. ἐπειδὴ δὲ ἐγνώσθη ὕστερον ὅτι τῆς Ἀπολιναρίου τερθρίας ἀνάπλεως ἦν, ἀπεκήρυξαν, ἤτοι ἀνεθεμάτισαν. καυχώμενοι δὲ οἱ παπισταὶ ὡς ἐπὶ Μαρκίωνα, οὕτω καὶ ἐπὶ τὸν κύνα τοῦτον λέγουσιν, ὅτι μετὰ τὴν ἀπὸ τῆς Συνόδου ἀποκήρυξιν ἀπῆλθεν εἰς τὰ μέρη τῆς Δύσεως, ὅπου προσελθὼν τῷ Πάπᾳ, καὶ βιβλίον μετανοίας δοὺς, συγγνώμης τετύχηκεν. Ἀλλὰ ῥητέον ὅτι καὶ οἱ τὰ μέγιστα κακὰ ἐν τῇ καθόλου Ἐκκλησίᾳ ποιήσαντες Οὐρσάκιος καὶ Οὐάλης βιβλία μετανοίας δόντες τῷ Ἰουλίῳ Ῥώμης, τῷ μεγάλῳ Ἀθανασίῳ καὶ τέως τῇ ἐν Σαρδικῇ Συνόδῳ, συγγνώμης τετυχήκασι. καὶ ὁ Σωκράτης ἱστορεῖ ὅτι Εὐσέβιος καὶ Θεόγνις ἀποκηρυχθέντες ὑπὸ τῆς πρώτης Οἰκουμενικῆς Συνόδου, βιβλίον μετανοίας (οὐ τῷ Πάπᾳ μόνῳ) τοῖς κορυφαίοις τῶν Ἐπισκόπων ἀποστείλαντες, ἀνεκλήθησάν τε τῆς ἐξορίας ἐκ βασιλικοῦ προστάγματος, καὶ τὰς Ἐκκλησίας αὐτῶν ἀπέλαβον, τοὺς εἰς τόπον αὐτῶν χειροτονηθέντας ἐξωθήσαντες. καὶ τὸν Ἀντιοχείας Ἰωάννην ἀκοινώνητον γινόμενον ὑπὸ τῆς ἐν Ἐφέσῳ Οἰκουμενικῆς Συνόδου, καὶ μεταταῦτα συνθέμενον τῇ καθαιρέσει Νεστορίου καὶ τῇ χειροτονίᾳ τοῦ Κωνσταντινουπόλεως Μαξιμωνᾶ, μόνος ὁ ἅγιος Κύριλλος πρὸ πάντων ἐδικαίωσε καὶ προσήκατο. καὶ ὁ διαυθεντευτὴς τῆς Αἱρέσεως τῶν Ἀνομοίων ὁ τὰ πολλὰ καὶ μέγιστα κακὰ ἐργασάμενος ἔν τε τῇ Ἀνατολῇ καὶ τῇ Δύσει, καὶ μυριάκις ὑπὸ τῆς καθόλου Ἐκκλησίας καταγνωσθεὶς Καισαρείας Ἀκάκιος, ἐν τῇ ἐν Ἀντιοχείᾳ Συνόδῳ ἐπὶ Ἰοβιανοῦ τοῦ Βασιλέως συγγνώμην αἰτήσας, ἦν εἷς τῶν πατέρων τῆς Συνόδου ἐκείνης. καὶ ἄλλοι πολλοὶ Ἐπίσκοποι ἐν ταῖς Συνόδοις ὡς Αἱρετικοὶ ἀποκηρυχθέντες, μεταταῦτα αἰτήσαντες συγγνώμην, ἔλαβον αὐτὴν παρὰ τῶν ἐκκλησιαστικῶν Ἀρχόντων, ἤτοι Πατριαρχῶν καὶ Μητροπολιτῶν. οὕτως οὖν καὶ ὁ Μάξιμος καταγνοὺς τῆς Αἱρέσεως Ἀπολιναρίου, καὶ προστεθεὶς τῇ ὀρθοδοξίᾳ, εἶτα ἀποδεχθεὶς ὑπὸ τοῦ Πάπα, οὐδὲν ἔδωκε τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ προνόμιον ἰδικῆς ἐξουσίας.

ΠΑΡΑ-

ΠΕΡΙΤΩΝΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ προβλημάτων Ῥωμαίων, Βαρωνίου τε καὶ Βελλαρμίνου, ἀθροιστὴν τῆς παρούσης Συνόδου καὶ βεβαιωτὴν τῆς Οἰκουμενικῆς αὐτῆς κλήσεως, καὶ τῆς κατὰ Μακεδονίου καὶ Εὐνομίου ἀποφάσεως τὸν Ῥώμης λεγόντων, καὶ ὅτι οὐδὲν θεσπίσματα Συνόδου μὴ συμφωνοῦντος τοῦ Ῥώμης, καὶ ὅτι ἡ ἐν Ῥώμῃ ἐπὶ Δαμάσου Σύνοδος Οἰκουμενική ἐστι. καὶ περὶ στηλιτεύσεως τῆς ψευδολογίας αὐτῶν καὶ ἀποσκορακίσεως τῶν μυθαρίων, καὶ διαλύσεως ὡς ἱστοῦ ἀράχνης τῶν περιπλοκῶν Βαρωνίου καὶ Βελαρμίνου, καὶ ἀναιρέσεως τῆς μοναρχίας τοῦ Ῥώμης, καὶ ὅτι μείζονες οἱ Πατριάρχαι καὶ αἱ Σύνοδοι αὐτῶν κατά τε δύναμιν καὶ ἐξουσίαν καὶ ἐνέργειαν τοῦ Πάπα Ῥώμης καὶ τῶν Συνόδων αὐτοῦ.

Ἔτι οἱ αὐτοὶ προβάλλουσι πρῶτον, ὅτι οἱ πατέρες τῆς δευτέρας Συνόδου συνῆλθον τῷ ὁρισμῷ τοῦ Πάπα Δαμάσου καὶ τοῦ Θεοδοσίου, ὡς ἡ ἑκτὴ Σύνοδος λέγει πράξει δεκάτῃ ὀγδόῃ. δεύτερον, ὁ Βαρώνιος διϊσχυρίζεται ἰδεῖν κώδικα ἐν τῇ βιβλιοθήκῃ τῇ ἐν τῷ Βατικάνῳ ἐν ᾧ λέγεται τὸν Δάμασον προστάξαι τὴν ἀπόφασιν τῆς καταδίκης Μακεδονίου καὶ Εὐνομίου ἐπικυρωθῆναι, προσέτι καὶ τὴν δευτέραν Σύνοδον τῇ προσταγῇ καὶ τῇ αὐθεντίᾳ αὐτοῦ ἐν Κωνσταντινουπόλει συνελθεῖν. τρίτον, ὅτι ὁ Δάμασος ἐν τῇ πρὸς τοὺς Ἰλλυριοὺς ἐπιστολῇ μαρτυρεῖ, θεσπίσματα Συνόδου οὐδενὸς λόγου εἶναι ἄξια, ἐν ᾗ ὁ Ῥώμης ἢ ἀμέσως, ἢ διὰ Πρεσβυτέρων οὐ συμφωνεῖ, Θεοδώριτος λόγῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, καὶ Σωζόμενος βιβλίῳ ἕκτῳ κεφαλαίῳ εἰκοστῷ τρίτῳ. τέταρτον, ὅτι ὁ Δάμασος οὐ μόνον ἐβεβαίωσε ταύτην τὴν δευτέραν Σύνοδον, ἀλλὰ καὶ Οἰκουμενικὴν ὠνόμασεν, ὡς φώτιός φησι περὶ τῶν Συνόδων, καὶ τοῦτο φασὶν, ἵνα γινώσκωσιν οἱ Ἀνατολικοὶ ὅτι ἐκεῖθεν ἤρτηται ἡ ἐξουσία. πέμπτον, ὁ Βελαρμῖνος φησὶν, οἱ Ἀνατολικοὶ εἰς Βυζάντιον, οἱ Δυτικοὶ εἰς Ῥώμην, ὁμόψυχοι περὶ τὴν πίστιν, ψυχῇ τε καὶ σώματι ἡνωμένοι, καὶ ἐπειδὴ ἀμφοτέρων τὰ αὐτὰ, ἀμφότεραι Οἰκουμενικαί. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι περὶ τούτου εἴρηται ἀνωτέρω κεφαλαίῳ τρίτῳ Παραγράφῳ τρίτῳ. πρὸς δὲ τὸ δεύτερον ῥητέον, τὰ ἐν τῇ βιβλιοθήκῃ ταύτῃ συγγράμματα ὑπὲρ τοῦ Παπισμοῦ, ὡς μυθάρια ἡμεῖς νομίζομεν, τὰς δὲ ἀποδείξεις ζητοῦμεν ἀπὸ φανερῶν καὶ ἀναμφιβόλων καὶ ὀρθοδόξων καὶ κοινῶν καὶ ἀρχαίων συγγραφέων. τὰ δὲ τοῦ Βαρωνίου καὶ ἑτέρων νεωτέρων παπιστῶν τοιαῦτα συγγράμματα, ἔχομεν ὡς ἐκεῖνα, ἅτινα ὁ θεοστυγὴς ἰσίδωρος ὁ Μερκάντωρ εἰσήνεγκεν εἰς τὰς ἐπιστολὰς τῶν Ἀρχιερέων τῆς Ῥώμης, διὸ πλάσματα ὄντα ἐξουθένουν αὐτὰ οἱ πολλοὶ τῶν Γαλλικῶν Ἐπισκόπων, καὶ εἰδιερρήγνυτο ὁ Πάπας Νικόλαος ὁ πρῶτος ὅπως ἀποδεκτέα ποιήσῃ ταῦτα, ἀλλ' οὐδὲν ἐδυνήθη, τῆς ἀληθείας ὑπερνικώσης. δεύτερον, ὅτι ἰδοὺ καὶ ὁ ἐν τῷ Βατικάνῳ κῶδιξ μαρτυρεῖ τὸν Πάπαν Δάμασον τὰ περὶ πίστεως προστάξαι ἐπικυρωθῆναι ἐν τῇ δευτέρᾳ Συνόδῳ, ὥσπερ δήπου καὶ ὁ Πάπας Κελεστῖνος ἔπεμψε τὴν κατὰ Κελεστίου κρίσιν αὐτοῦ τῇ ἐν Ἐφέσῳ Συνόδῳ, καὶ ἐβεβαίωσεν ἡ Σύνοδος αὐτὴν, καὶ ἰδὲ τὸν τόπον τῆς Συνόδου κατωτέρω. ὥστε ἡ Σύνοδος ἡ Οἰκουμενικὴ μείζων τοῦ Πάπα καὶ τῶν ἐν Ῥώμῃ Συνόδων. πρὸς δὲ τὸ τρίτον, λέγομεν ὅτι ψεῦδος ἐστὶν, ἐπειδὴ ἐν τῇ ἐπιστολῇ ἐκείνῃ, κειμένῃ Σωζομένου βιβλίῳ ἕκτῳ κεφαλαίῳ εἰκοστῷ τρίτῳ, καὶ Θεοδωρίτου λόγῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ οὐδὲν τοιοῦτον λέγεται, καὶ γὰρ οὐκ ἔγραψεν ὁ Δάμασος μόνος εἰς τὴν ἐν τῷ ἰλλυρικῷ Σύνοδον, ἀλλὰ Δάμασος καὶ ἡ ἐν Ῥώμῃ Σύνοδος κοινῶς, οὔτε γράφεται ἐκεῖ τὸ, θεσπίσματα Συνόδου οὐδενὸς λόγου εἶναι ἄξια, ἐν ᾗ ὁ Ῥώμης ἢ ἀμέσως ἢ ἐμμέσως οὐ συμφωνεῖ, ἀλλὰ λόγον ποιουμένη ἡ ἐν Ῥώμῃ Σύνοδος περὶ τῆς ἐν Ἀριμίνῳ Συνόδου, λέγει πρὸς ἀποβολὴν αὐτῆς πρὸς τοῖς ἄλλοις καὶ τάδε, οὐδὲ γὰρ πρόκριμά τι ἠδυνήθη γενέσθαι ὑπὸ τοῦ ἀριθμοῦ τῶν ἐν Ἀριμίνῳ συνελθόντων ὁ πότε συνέστηκε, μήτε τοῦ Ῥωμαίων Ἐπισκόπου οὗ πρὸ πάντων ἔδει τὴν γνώμην ἐκδέξασθαι, οὔτε Βικεντίου, οὔτε τῶν ἄλλων τοῖς τοιούτοις συγκαταθεμένων. καὶ κατωτέρω, συνορᾷ οὖν ἡ ὑμετέρα καθαρότης ταύτην μόνην τὴν πίστιν, ἥτις ἐν Νικαίᾳ καὶ τὴν αὐθεντίαν τῶν Ἀποστόλων ἐθεμελιώθη διηνεκεῖ βεβαιότητι καθεκτέαν εἶναι. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ἐν Ἰταλίᾳ ἀθροισθείσης τῆς ἐν Ἀριμίνῳ Συνόδου, ὅπου Διοίκησις τοῦ Πάπα ἐστὶν, ἔδει τοῦ Πάπα τὴν γνώμην εἶναι πρώτου ἐν τῇ ἀποφάσει αὐτῆς. δεύτερον, ὅτι Ἀρχιερεὺς τῆς Ἀριμίνου ἦν ὁ Βικέντιος, ἀλλὰ καὶ αὐτὸς οὐ παρῆν ἐν τῇ Συνόδῳ, ἔδει δὲ αὐτὸν κατὰ τοὺς Κανόνας παρεῖναι. τρίτον, οὔτε ἄλλοι ὧν ἔδει εἶναι τὴν γνώμην ἐποίησαν συγκατάθεσιν τῶν διωρισμένων παρ' αὐτῆς, οἷον ὁ Ἀλεξανδρείας Ἀθανάσιος, ὁ Ἱεροσολύμων Μάξιμος καὶ οἱ λοιποὶ, οὓς ἀναγκαίως δέον παρεῖναι ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις. τέταρτον, ὅτι τὸ κῦρος καὶ τὴν ἄκραν ἐξουσίαν παρέχει ἡ ἐν Ῥώμῃ Σύνοδος τῇ ἐν Νικαίᾳ Οἰκουμενικῇ, ἥντινα λέγουσι τεθεμελιῶσθαι οὐχ ὑπὸ τοῦ Πάπα ἢ τοῦ Πέτρου, ἀλλ' ὑπὸ τῶν Ἀποστόλων. δόλιοι οὖν καὶ παραχαράκται τῶν Συνοδικῶν ἀποφάσεων ἐδείχθησαν κἀνταῦθα οἱ Λατῖνοι. ἰδὲ περὶ τῆς ἐπιστολῆς ταύτης καὶ ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον δέκατον ἕκτον. σημείωσαι δὲ ὅτι οἱ παπισταὶ καὶ ἐπιστολήν τινα λατινιστὶ γεγραμμένην, ὡς οὖσαν δῆθεν Θεοδοσίου τοῦ Βασιλέως πρὸς τὴν δευτέραν Οἰκουμενικὴν, ἐνέθηκαν ἐν τοῖς πρακτικοῖς τῆς Συνόδου, ἀλλὰ καὶ ταύτην ὡς ἀπόκρυφον καὶ ὑποβολιμαίαν γινώσκοντες,

ἀποσκο-

ἀποσκορακίζομεν. πρὸς δὲ τὸ τέταρτον, ῥητέον ὅτι ὁ Φώτιος ἐν τῷ περὶ Συνόδων μετὰ τὸ εἰπεῖν ποῖοι Πατριάρχαι παρῆσαν ἐν τῇ δευτέρᾳ Οἰκουμενικῇ, ἐπήγαγεν, οἷς ὀπολὺς χρόνος καὶ Δάμασος ὁ τῆς Ῥώμης τὰ αὐτὰ κρατύνων ἐγνωρίζετο, σύμφωνος τοῖς προλαβοῦσι καθιστάμενος. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ἐν τῇ Συνόδῳ ταύτῃ οὐ παρῆν οὔτε ἐπιστολὴ, οὔτε γνώμη τῆς ἐν Ῥώμῃ Συνόδου, ἀλλὰ μονώτατοι οἱ Ἀνατολικοὶ πεποιήκασι τὸ πᾶν, οἵτινες καὶ τὴν πέμπτην Οἰκουμενικὴν, ὡς καὶ τὴν παροῦσαν, μονώτατοι συνεστήσαντο. δεύτερον, ὅτι μεταταῦτα ὁ Ῥώμης τὰ αὐτὰ κρατύνων, ἤτοι ἀποδεχόμενος, σύμφωνος καθίστατο τοῖς διωρισμένοις ὑπὸ τῆς συνόδου, ὅπερ καὶ παντὶ ἀπόντι τῶν Συνόδων Ἐπισκόπῳ γίνεται, ὡς εἴπομεν ἀνωτέρω περὶ τοῦ Ῥώμης Σιλβέστρου βιβλίου δευτέρου κεφαλαίου δευτέρου Παραγράφῳ δεκάτῳ τρίτῳ, καὶ δὴ καὶ κατωτέρω ἐροῦμεν μυριάκις. τρίτον, ἡ Συνόδος γράφουσα Δαμάσῳ καὶ τῇ ἐν Ῥώμῃ Συνόδῳ ἐν τῇ ἐπιστολῇ εἶπεν αὐτὴ ἑαυτὴν Σύνοδον Οἰκουμενικὴν, καὶ ἰδὲ τὸν τόπον Θεοδωρίτου λόγῳ πέμπτῳ κεφαλαίῳ ἐνάτῳ, ὥστε τὸ ὀνομάσαι τὸν Δάμασον αὐτὴν Οἰκουμενικὴν, καὶ διατοῦτο εἶναι αὐτὴν Οἰκουμενικὴν ἀναιδεστάτη ἐστὶ φλυαρία. τέταρτον, καὶ τὸ ἐκ τούτων τῶν παπιστῶν συμπέρασμα τὸ, ἵνα γινώσκωσιν ὅτι ἐκ τῆς Ῥώμης ἤρτηται ἡ ἐξουσία, ἐστὶν ἀπότομον ψιθύρισμα. δείκνυται δὲ ἐκ τούτων μάλιστα ὅτι ἡ ἐξουσία ἐστὶ τῆς κοινότητος, ἐν ᾗ καὶ ὁ Ῥώμης εἷς ἐστιν Ἐπίσκοπος ἰσότιμος καὶ ἰσοδύναμος πᾶσι τοῖς Ἐπισκόποις, ἤτοι ἑκάστῳ Ἐπισκόπῳ πλὴν μόνης τῆς τάξεως. πέμπτον, ὁ Φώτιος τόσον ἐνόμιζε τὸν Πάπαν παρέχειν τὸ κῦρος ταῖς Συνόδοις, ὥστε ἐν πᾶσιν οἷς γράφει περὶ τῶν Συνόδων οὐδέποτε ἐν τῇ ἀπαριθμήσει προέταξεν αὐτὸν τῶν Πατριαρχῶν, ἀλλ' ἀεὶ τινῶν ὑπαριθμεῖ, μάλιστα οὗτός ἐστιν ὁ Φώτιος ὁ συνοδικῶς καθαιρέσει ὑποβαλὼν τὸν Πάπαν Νικόλαον, καὶ Αἱρετικοὺς ἀποκαλῶν τοὺς λέγοντας καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὕτω προφανῶς κατηδάφισε τῆς ῥωμαϊκῆς Ἐκκλησίας καὶ τὴν μοναρχίαν καὶ τὴν ἀναμαρτησίαν. πρὸς δὲ τὸ πέμπτον τὸ, οἱ Ἀνατολικοὶ εἰς Βυζάντιον, οἱ Δυτικοὶ εἰς Ῥώμην, ὁμόψυχοι περὶ τὴν πίστιν, ψυχῇ καὶ σώματι ἡνωμένοι, καὶ ἐπειδὴ ἀμφοτέρων τὰ αὐτὰ, ἀμφότεραι Οἰκουμενικαὶ, ῥητέον, ἀλλ' ἐν μὲν τοῖς Δυτικοῖς προήδρευεν ὁ Πάπας, ἐν δὲ τοῖς Ἀνατολικοῖς οἱ Πατριάρχαι, καὶ ὅμως ἡ ἐν Κωνσταντινουπόλει ἐκλήθη καὶ καλεῖται Οἰκουμενικὴ ἁπλῶς ὑπὸ τῆς καθόλου Ἐκκλησίας, καὶ τὸ Σύμβολον αὐτῆς στέργεται ὑπὸ πάντων τῶν Χριστιανῶν, καὶ ἀναγινώσκεται ἐν πάσαις ταῖς ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις, καὶ ἰδὲ κατωτέρω βιβλίου ὀγδόου κεφάλαιον δεύτερον. ἡ δὲ ἐν Ῥώμῃ μερικὴ ὑπὸ πάντων καὶ λέγεται καὶ νομίζεται, ἄρα μείζονες οἱ Πατριάρχαι ἐν τῇ Ἐκκλησίᾳ τοῦ Πάπα κατά τε δύναμιν καὶ ἐξουσίαν καὶ ἐνέργειαν, καὶ αἱ Σύνοδοι αὐτῶν μείζονες τῶν Συνόδων τοῦ Πάπα. ὅθεν ἐν τῇ ἕκτῃ Οἰκουμενικῇ προτάττονται οἱ Τοποτηρηταὶ τῶν Πατριαρχῶν τῶν Τοποτηρητῶν τῆς ἐν Ῥώμῃ Συνόδου, ἐν ᾗ ἦσαν οἱ Δυτικοὶ Ἐπίσκοποι καὶ ὁ Πάπας Ἀγάθων. καὶ σημείωσαι ὅτι διελύθησαν κἀνταῦθα ὡς ἱστὸς ἀράχνης αἱ περιπλοκαὶ Βαρωνίου καὶ Βελλαρμίνου.

ΠΑΡΑΓΡΑΦΟΝ Ι.

Ἀπόδειξις ὅτι ἐκ τῆς ἐρωτήσεως Σατύρου τοῦ ἀδελφοῦ Ἀμβροσίου πρὸς τὸν Ἐπίσκοπον Σαρδηνίας ἣν οἱ Ῥωμαῖοι προσφέρουσιν ὑπὲρ τοῦ παπισμοῦ, οὐδὲν συμπεραίνεται εἰς σύστασιν τῆς μοναρχίας τοῦ Πάπα Ῥώμης.

Προσφέρουσιν οἱ ἀντικείμενοι καὶ τὸν ἅγιον Ἀμβρόσιον εἰς βεβαίωσιν τῆς ἀναμαρτησίας τοῦ Πάπα, λέγει γὰρ (φασὶν) ἐν τῷ λόγῳ περὶ τοῦ ἀδελφοῦ αὐτοῦ Σατύρου, ὅτι ὁ Σάτυρος προσεκαλέσατο τὸν Ἐπίσκοπον, καὶ οὐδεμίαν ἀληθῆ ἐνόμισε χάριν εἰ μὴ τὴν χάριν τῆς ἀληθοῦς πίστεως, ἠρώτησέ τε παρ' αὐτοῦ, εἰ ἄρα μετὰ τῶν καθολικῶν Ἐπισκόπων ἤτοι μετὰ τῆς ῥωμαϊκῆς Ἐκκλησίας συνεφώνει, ταῦτα ὁ Σάτυρος. ὅθεν συνάγουσιν οἱ παπισταὶ συμφωνίαν καθολικῶν Ἐπισκόπων μὴ δύνασθαι εἶναι, εἰ μὴ συμφωνῶσι μετὰ τῆς ῥωμαϊκῆς Ἐκκλησίας. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ὁ Σάτυρος ναυαγήσας παρὰ τῇ νήσῳ Σαρδηνίᾳ, ἐζήτησε τὸ ἅγιον βάπτισμα, ἐγίνωσκε δὲ ὅτι ἐκείνη ἡ νῆσος ἦν μεμολυσμένη ἀπὸ τῆς Αἱρέσεως τοῦ Λουκίφερος, περὶ οὗ εἴπομεν ἀνωτέρω βιβλίῳ δευτέρῳ κεφαλαίῳ δεκάτῳ δευτέρῳ, ὅθεν ἠρώτησεν εἰ ὁ Ἐπίσκοπος ἐκεῖνος ὃς ἔμελλε βαπτίσειν αὐτὸν ἦν καθολικὸς, ἤγουν ὀρθόδοξος. οὐκ ἠρώτησε δὲ τοῦτο μόνον, ἐπειδὴ οἱ Λουκιφεριανοὶ Αἱρετικοὶ ὄντες ἐνόμιζον ἑαυτοὺς ὀρθοδόξους, καὶ εἰ ὁ Ἐπίσκοπος ἦν Λουκιφεριανὸς, αὐτοὶ εἶπον ἂν ὅτι ἐστὶν ὀρθόδοξος. ἠρώτησεν οὖν εἰ καθολικός ἐστιν, εἶτα προσέθηκε, καὶ κοινωνεῖ τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἀφ' ἧς οἱ Λουκιφεριανοὶ ἦσαν ἀπεσχισμένοι. ἐκ τούτων δὲ οὐ συνάγεται ἄλλο, πλὴν ὅτι ὁ Σάτυρος ἐνόμιζε τὴν ῥωμαϊκὴν Ἐκκλησίαν μὴ ἔχειν τῷ καιρῷ ἐκείνῳ σφάλμα τι εἰς τὴν πίστιν, ὅπερ ἀποδεχόμεθα. δεύτερον, ὅτι δὲ ὁ Ἀμβρόσιος ἀντέκειτο φανερῶς τῇ ἀναμαρτησίᾳ τῆς ῥωμαϊκῆς Ἐκκλησίας, δῆλόν ἐστιν ἐκ τοῦ λόγου ὃν ἔγραψε περὶ τοῦ Νιπτῆρος (ἢ τάχα ἄλλος τις παλαιὸς σύγ-

συγγραφεὺς ἐπ' ὀνόματι τοῦ Ἀμβροσίου) ὃς ἐν μὲν τῇ Ἐκκλησίᾳ αὐτοῦ ἐγίνετο, ἐν δὲ τῇ Ῥώμῃ οὐκ ἐγίνετο. Φησὶ γὰρ, ἐν πᾶσιν ἐπιθυμῶ ἀκολουθεῖν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἀλλ' ὅμως καὶ ἡμεῖς ἄνθρωποί ἐσμεν καὶ αἴσθησιν ἔχομεν, ὅθεν ὅπερ ἀλλαχοῦ ὀρθοτέρως διαφυλάττεται, αὐτὸ καὶ ἡμεῖς καλῶς φυλάττομεν, καὶ οὕτως αὐτῷ ἀκολουθοῦμεν τῷ μακαρίῳ Πέτρῳ, καὶ αὐτοῦ προσκολλώμεθα τῇ εὐλαβείᾳ. πρὸς ταῦτα τί ἀποκρίνεται ἡ ῥωμαϊκὴ Ἐκκλησία; αὐτὸς ὄντως ὁ Ἀπόστολος Πέτρος ὁ τῆς παρούσης ὁμολογίας, εἰσηγητὴς ἡμῖν ἐστιν, ὅστις ἦν Ἱερεὺς τῆς ῥωμαϊκῆς Ἐκκλησίας, αὐτὸς ὁ Πέτρος εἶπε, Κύριε οὐ μόνον τοὺς πόδας, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. ταῦτα ὁ Ἀμβρόσιος, ἅτινα πασίδηλά ἐστι, καὶ οὐδεμιᾶς ἑρμηνείας δεῖται, ἀλλὰ φανερῶς ἀπῤῥίπτει τῆς Ῥώμης καὶ τὴν μοναρχίαν καὶ τὴν ἀναμαρτησίαν.

ΚΕΦΑ'ΛΑΙΟΝ Ε'.

Περὶ τῆς ἐν Ῥώμῃ ἐπὶ Δαμάσου ἕκτης Συνόδου, ἣ παρῆν καὶ Πέτρος Ἀλεξανδρείας. καὶ ὅτι ψεύδονται οἱ λέγοντες τὴν Σύνοδον ταύτην προσθέσθαι ἐν τῷ τῆς πρώτης Συνόδου Συμβόλῳ, καὶ τὸν Θεοδώριτον ἐᾶσαι ἀνιστόρητα τινὰ τῆς Συνόδου ταύτης.

Θεωρητέον ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου παραλήγοντος παραγράφῳ τρίτῳ, καὶ ἕως τέλους τὰ περὶ τῆς Συνόδου ταύτης, καὶ μάρτυρος αὐτῆς Σωζόμενος βιβλίῳ ἕκτῳ κεφαλαίῳ εἰκοστῷ πέμπτῳ, καὶ Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ. κατὰ δὲ τὸ Συνοδικὸν βιβλίον ἐστὶ Σύνοδος ἑβδομηκοστὴ, καὶ τῶν ἐπὶ Δαμάσου ἐν Ῥώμῃ Συνόδων τρίτη, καὶ κατὰ μὲν τὸν Βαρώνιον ἠθροίσθη ἐν ἔτει τριακοσιοστῷ ἑβδομηκοστῷ τρίτῳ, κατὰ δὲ τὸ Συνοδικὸν τριακοσιοστῷ ἑβδομηκοστῷ πέμπτῳ, κατὰ δὲ τὸν Βαλέσιον ἐν ταῖς εἰς τὸν Σωζόμενον σημειώσεσι τῷ τριακοσιοστῷ ἑβδομηκοστῷ ὀγδόῳ. συνῆλθε δὲ κατὰ τῶν Αἱρετικῶν ἐκείνων οὓς καταριθμεῖ ἡ δευτέρα Οἰκουμενικὴ Κανόνι πρώτῳ, καὶ ὁ Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ ἐνάτῳ. τίνα δὲ ἐν αὐτῇ ἐῤῥέθη οὐχ εὑρίσκεται, εἴτι ὅμως ἔκρινε καὶ διωρίσατο κατὰ Ἀπολιναρίου καὶ τῶν μαθητῶν αὐτοῦ, ἔπεμψε τοῖς Ἐπισκόποις ἐν τῇ Ἀνατολῇ. εἴτι δὲ πάλιν ἔκρινε καὶ διωρίσατο περὶ τοῦ παναγίου Πνεύματος, καὶ ἁπλῶς περὶ τῆς ἁγίας Τριάδος, συνέγραψεν ἐν τῷ Ὅρῳ αὐτῆς, ὅντινα καὶ ὁμολογίαν τῆς καθολικῆς πίστεως λέγει ὁ Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ, καὶ ἔπεμψεν ὁ Δάμασος Παυλίνῳ Ἐπισκόπῳ Θεσσαλονίκης, ἐνέθηκε δὲ αὐτὴν ὁ Θεοδώριτος ἐν τῇ Ἐκκλησιαστικῇ αὐτοῦ ἱστορία κεφαλαίῳ δεκάτῳ τοῦ πέμπτου βιβλίου. λέγομεν δὲ πάλιν, ὅτι οὐκ ἄλλη Σύνοδος ἔγραψε πρὸς τοὺς Ἀνατολικοὺς Ἐπισκόπους κατὰ τοῦ Ἀπολιναρίου, καὶ ἄλλη πρὸς τὸν Παυλῖνον τὴν ὁμολογίαν τῆς καθολικῆς Ἐκκλησίας ἐξαπέστειλεν, ἀλλ' ἡ διαληφθεῖσα καὶ μόνη ἐξέθετο, καὶ ὁ Δάμασος ἔπεμψεν. ὅθεν ὁ Θεοδώριτος εἰπὼν ἐν τῷ εἰρημένῳ τόπῳ ὅτι ἔγραψεν ὁ Δάμασος τὴν κατάγνωσιν τοῦ Ἀπολιναρίου καὶ τῶν μαθητῶν αὐτοῦ τοῖς τὴν Ἑῴαν ἰθύνουσιν Ἐπισκόποις, ἐπήγαγε, καὶ ἄλλα δέτινα οἱ συναθροισθέντες ἐν τῇ μεγάλῃ Ῥώμῃ γεγράφασι κατὰ διαφόρων Αἱρέσεων, ἅπερ ἀναγκαῖον ᾠήθην ἐνθεῖναι τῇ συγγραφῇ, καὶ ἦσαν ταῦτα, ἡ ὁμολογία τῆς καθολικῆς πίστεως ἣν ἔπεμψεν ὁ Δάμασος πρὸς τὸν Παυλῖνον. καὶ σημείωσαι τὸ ἄλλα καὶ τὸ ἅπερ ὅτι ταῦτα ἐστὶ τῆς Συνόδου ἐκείνης ἡ ἀπόφασις, ὁ Ὅρος, πάντα τὰ κεκριμένα καὶ διωρισμένα καὶ οὐδὲν ἄλλο πλέον. οἱ δὲ παπισταὶ ἐπειδὴ προσέθηκαν ἐν τῷ κοινῷ Συμβόλῳ τὸ ἐκ τοῦ Υἱοῦ, μετὰ τῶν πολλῶν ἄλλων ψευδεπιπλάστων λόγων οὓς προσφέρουσιν εἰς βεβαίωσιν τῆς καινοτομίας αὐτῶν, ἐπλαστούγησαν καὶ ἐνταῦθα ὅτι ἡ παροῦσα ἐπὶ Δαμάσου Σύνοδος ἐποίησε προσθήκην ἐν τῷ Συμβόλῳ τῆς πρώτης Συνόδου, καὶ βούλονται διὰ τοῦτο συμπεραίνειν ὅτι ἡ τολμηθεῖσα αὐτοῖς προσθήκη ἦν πρὸ τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου. λεγόντων δὲ ἡμῶν ὅτι τὰ τῆς Συνόδου ταύτης ἱστόρησε καθαρῶς ὁ Θεοδώριτος, καὶ οὐδὲν ἄλλο ἐκείνης οἶδε ποτὲ ἢ ἤκουσεν ἡ καθολικὴ Ἐκκλησία, οὗτοι ἀποκρινόμενοι λέγουσιν, ὅτι οὐκ εἶπεν ὁ Θεοδώριτος πάντα τὰ τῆς Συνόδου.

ΠΑΡΑ'ΓΡΑΦΟΝ Β'.

Περὶ τῶν πέντε ψευδομαρτύρων, οὓς προσφέρουσιν οἱ παπισταὶ τῆς ἐπὶ τῆς Δαμάσου Συνόδου προσθήκης ἐν τῷ Συμβόλῳ μάρτυρας.

Εἰ καὶ προφανῶς ἐστι ψεῦδος ὅπερ λέγουσιν οἱ Λατῖνοι, ὅμως πρὸς σαφεστέραν τοῦ ψεύδους καθαίρεσιν καὶ τῆς ἀληθείας φανέρωσιν παρέχοντες αὐτοῖς καιρὸν ἀπολογίας ζητοῦμεν ἀπόδειξιν σταθεραν

σταθεραὶ, εἰ ἀληθῶς ἡ ἐν Ῥώμῃ αὕτη Σύνοδος ἐποίησε προσθήκην ἐν τῷ Συμβόλῳ τῆς πρώτης Συνόδου. καὶ φέρουσι μάρτυρας πέντε, ὧν πρῶτος Φραγκίσκος Ἰοβέριος ὁ Βαλεντινὸς ἐν ᾗ ἐξέδοτο ἐκθέσει περὶ τῶν Οἰκουμενικῶν καὶ Τοπικῶν Συνόδων τὰς ἐν Ῥώμῃ τοπικὰς ἀπαριθμούμενος Συνόδους, λέγει καὶ ταῦτα, ὅτι μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον ἄλλη κατὰ τὴν Ῥώμην ἔπειτα συνηθροίσθη, ἐν ᾗ οἱ τῶν Ἐπισκόπων καθολικοὶ προσέθεντο περὶ τοῦ ἁγίου Πνεύματος, ἐπεὶ δὲ μεταταῦτα αὕτη ἡ πλάνη ἀνέκυψεν, ὥστε τολμᾶν τινὰς βεβήλῳ στόματι λέγειν τὸ Πνεῦμα τὸ ἅγιον γεγεννῆσθαι διὰ τοῦ Υἱοῦ, καὶ τὰ ἑξῆς, ἃ κεῖται ἐν τῇ διαληφθείσῃ ὁμολογίᾳ τοῦ Δαμάσου. ἐν δὲ τῷ τέλει φησὶ, καὶ ὑπέγραψαν ἑκατὸν πεντήκοντα Ἐπίσκοποι οἱ ἐπὶ τὴν αὐτὴν Σύνοδον συνεληλυθότες. δεύτερος Ὀνούφριος ὁ Πανούβιος ἐν ᾧ περὶ τῶν Οἰκουμενικῶν καὶ Τοπικῶν Συνόδων Τόμῳ ἐξέθετο, τὰ αὐτά φησι τῷ Φραγκίσκῳ. τρίτος ὁ μοναχὸς Λαυρέντιος ὁ Σούριος ἐν τῷ πρώτῳ τόμῳ τῶν αὐτοῦ περὶ τῶν Συνόδων. οὗτοι λοιπὸν μαρτυροῦσιν ὅτι ἡ εἰρημένη Σύνοδος προσέθετο ἐν τῷ Συμβόλῳ περὶ τοῦ ἁγίου Πνεύματος. Ἰωάννης δὲ ὁ Βέκκος ἐν τῷ κατὰ Γραικῶν δογματικῷ αὐτοῦ βιβλίῳ λέγει, ὅτι ὁ θεοφιλέστατος Διάκονος καὶ οἰκονόμος τῆς ἐν Κωνσταντινουπόλει μεγάλης Ἐκκλησίας Ἀλέξιος ὁ Ἀριστηνὸς (ἤκμασε δὲ ὁ Ἀριστηνὸς ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ) ἐν τῷ συνοπτικῷ τῶν ὅλων Κανόνων τῶν ἐκτεθέντων παρὰ τῶν Οἰκουμενικῶν Συνόδων, ναὶ μὴν καὶ τῶν μεταξὺ αὐτῶν Τοπικῶν φησὶ μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον τὴν τῆς Υἱοπατρίας Αἵρεσιν ἀναφανῆναι, ἔλεγον γάρ τινες ὅτι ὥσπερ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, οὕτω καὶ τὸ ἅγιον Πνεῦμα γεγέννηται ἐκ τοῦ Υἱοῦ, καὶ οὕτω τὸ Πνεῦμα τὸ ἅγιον τοῦ μὲν Υἱοῦ υἱὸν ἐδογμάτιζον, υἱωνὸν δὲ τοῦ Πατρός. τοίνυν εἰς ἀφανισμὸν τῆς τοιαύτης Αἱρέσεως, βεβαίωσιν δὲ τῆς ὀρθοδόξου πίστεως Δάμασος ὁ ἁγιώτατος πρὸ τῆς ἐν Κωνσταντινουπόλει δευτέρας Συνόδου Σύνοδον συνεκρότησεν ἐν τῇ Ῥώμῃ μετὰ τῶν ὑπ' αὐτὸν τῆς καθολικῆς πίστεως Ἐπισκόπων, οἳ καὶ προσέθηκαν ἐν τῷ Συμβόλῳ τῶν ἐν Νικαίᾳ πατέρων τὸ Πνεῦμα τὸ ἅγιον παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, τοὺς δὲ λέγοντας αὐτὸ γεγεννῆσθαι ἐκ τοῦ Υἱοῦ τῷ ἀναθέματι καθυπέβαλον. ἀλλὰ δὴ καὶ Φαντῖνος ὁ Βαλαρέσος Ἀρχιεπίσκοπος Κρήτης ἐν τῷ ἐν Φλωρεντείᾳ ἀθροίσματι συνὼν, ἐν ᾧ συνέγραψε καθ' ἡμῶν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης τὸν λόγον ποιούμενος λέγει, ὅτι εἶχε σύγγραμμα μοναχοῦ τινος Κωνσταντινουπολίτου Σίμωνος, ἐν ᾧ λέγει ὁ Σίμων ὅτι διαλεγόμενος ἐν Κωνσταντινουπόλει μετά τινος τῶν Γραικῶν Διδασκάλου περὶ τοῦ χρόνου τῆς τοιαύτης προσθήκης, καὶ μὴ δυνάμενος ὁ τῶν Γραικῶν Διδάσκαλος, καίτοι πολλαῖς ἐπιστηριζόμενος ταῖς μαρτυρίαις πότε ἐγεγόνει τὰ τῆς προσθήκης ἐπιδείξασθαι, τέλος ἐκ κοινοῦ συνθήματος πρός τινα ἀρχαῖον Διδάσκαλον ἄμφω παραγενόμενοι, ἄνδρα παρ' Ἕλλησι τὰ μάλιστα εὐδοκιμοῦντα, ὅσγε ἐν ἅπασι τοῖς ἐν Κωνσταντινουπόλει μέγας τῶν χρόνων ἐπιτηρητὴς ἐλογίζετο, μεθ' ὅσης ἦν σπουδῆς ἐπεζήτησαν, οἷς ἐκεῖνος ἀποκρινόμενος, ἐγώ φησιν εὗρον ὅτι ἀπὸ τῶν χρόνων Δαμάσου πάντοτε ἡ τῶν Ῥωμαίων Ἐκκλησία ἐν τῷ Συμβόλῳ ἐκήρυττε τὸ Πνεῦμα τὸ ἅγιον παρὰ Πατρὸς καὶ Υἱοῦ προϊέναι.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τοῦ τὸν Θεοδώριτον πάντα τὰ τῆς ἐπὶ Δαμάσου Συνόδου εἰπεῖν, καὶ τοῦ μηδένα ἀρχαῖον ἱστορικὸν ταῦτα εἰπεῖν, καὶ ἐκ τοῦ χρόνου, καὶ ἐκ τοῦ ἀμάρτυρον εἶναι τὴν παρὰ τῆς Συνόδου ταύτης προσθήκην ἐν τῷ Συμβόλῳ, καὶ πᾶσιν ἀγνώριστον, καὶ ἐξ ἄλλων πολλῶν ἀποδείξεων, δείκνυνται μυθοπλάσται Φραγκίσκος, Ὀνούφριος, Λαυρέντιος καὶ ὁ παραχαράκτης Βέκκος.

Ῥητέον, εἰ ὁ Θεοδώριτος ἀφεῖκε τινὰ τῶν τῆς Συνόδου καὶ οὐκ εἶπεν αὐτὰ, ποῖος τῶν ἀρχαίων Διδάσκαλος ἢ ἱστορικῶς εἶπε τοῦτο; ἀλλ' ἢ μόνον οἱ χθεσινοὶ καὶ προχθεσινοὶ, καὶ ταῦτα σχισματικοὶ καὶ διαφωνοῦντες τῇ ἀληθείᾳ καὶ τοῖς συγγραψαμένοις μᾶλλον αὐτῶν τὰ περὶ τῶν Συνόδων. δεύτερον, ἐδείχθη ἀνωτέρω ὅτι ὁ Θεοδώριτος πᾶσαν εἶπε τὴν κρίσιν τῆς Συνόδου ταύτης, εἰ δὲ οὐκ εἶπε τὰ πρὸ τῆς κρίσεως πεπραγμένα, οὐδεμία ζημία. πρὸς δὲ τὸν Φραγκίσκον καὶ Ὀνούφριον καὶ Σούριον ῥητέον, πῶς οὐκ ἐσημείωσαν ἐκείνης τῆς Συνόδου τῆς προσθείσης ἐν τῷ Συμβόλῳ τὸν καιρόν; ὅπου μάλιστα μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον γεγόνασιν ἐν Ῥώμῃ οὐ μία, ἀλλὰ πολλαὶ Σύνοδοι. διατὶ οὐκ εἶπον τρία τινὰ πρῶτον τὸν χρόνον τῆς ἀθροίσεως, δεύτερον πόθεν ἔλαβον τὴν μαρτυρίαν ταύτην ὅτι ἡ Σύνοδος ἐκείνη προσέθετο ἐν τῷ Συμβόλῳ τῆς ἐν Νικαίᾳ, καὶ τρίτον πῶς ἐν τῷ Συμβόλῳ τῆς ἐν Νικαίᾳ προσέθηκεν; ὅπου ἐν αὐτῷ μαρτυρεῖται παρὰ πάσης τῆς Οἰκουμένης ὅτι μόνη ἡ ἐν Κωνσταντινουπόλει ἤτοι ἡ δευτέρα Οἰκουμενικὴ προσέθετο καὶ οὐδεμία ἄλλη. ὅθεν τὴν μὲν προσθήκην τῆς δευτέρας Οἰκουμενικῆς οἶδε καὶ ἀποδέχεται πᾶσα ἡ Ἐκκλησία, καὶ ἰδὲ κατωτέρω βιβλίου ὀγδόου κεφάλαιον δεύτερον, τὴν δὲ θρυλλουμένην ταύτην ἐπὶ Δαμάσου οὐδεὶς τῶν Χριστιανῶν οἶδε, καὶ μόνοι αὐτὴν οἱ καινοτόμοι ἔπλασαν Λατῖνι, καὶ τοῦτο οὐχ οἱ ἀρχαῖοι, ἀλλ' οἱ νεωτερισταὶ καὶ ἔναγχος τὴν κατὰ τοῦ

τῆ ἁγίᾳ Πνεύματι βλασφημίαν ὑψοῦντες καὶ ἐπαίροντες κατὰ τῆς θεολογίας τὸ χρισμά. ὡσὺ δὲ τὸν Βέκκον ῥητέον, ὅτι εἰρηται ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίῳ πέμπτῳ Παρασχάφῳ δεκάτῳ σὺν τῷ ὅτι ὢν πλαστογράφος καὶ τῶν βιβλίων τῶν πατέρων ξυλοχαράκτης, καὶ ὑπὸ τύπους σχισματικοὺς, τῶν δὲ τοιούτων ἁμαρτυρία ἀνεπιδέκτους τοῖς χρισιανοῖς, καὶ μόνοις δεκτὴ τοῖς τυφλωττουσιν ὑπὸ τῆς μανίας τὸ σχίσματος. δεύτερον, ὁ ὑπὸ Δαμάσου αὖτη Σιώδης ἐγεγόνει τῷ ἔτει τελευτησιοσῷ ἑβδομηκοσῷ πέμπτῳ, ὁ δὲ Βέκκος ἤκμαζεν ὑπὸ Μιχαὴλ τὸν Παλαιολόγου, καὶ συνέγραφε περὶ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἑβδομηκοστὸν πέμπτον ἔτος, ὥστε ἀπὸ τῆς Σιώδου ἕως τῆς συγγραφῆς τοῦ Βέκκου παρερρύη ἔτη σχεδὸν ἐνενηκόσια, καὶ πῶς ἐν τοῖς τοσούτοις ἔτεσιν οὐκ ἔγραψε τῷ ψευδοθήκῃ ταύτῃ ἄλλος ἢ ἐμὲ ἡ ψευδοθήκη ὁ Βέκκος; εἶτα ἡ ψευδοθήκη ἤρξατο ψιθυρίζεσθαι ἐν τῇ Γαλλίᾳ ἐν τῷ ὀγδόῳ ὑπὸ Χριστὸν αἰῶνι, ψευδέστερον δὲ ἐν τῷ Συμβόλῳ ἡ ῥωμαίων Ἐκκλησία ἐν τῷ ὀνδεκάτῳ αἰῶνι. ὥστε ὑπὸ τοῦ Μονομάχου οὐκ ἐψιθυρίζετο, ἀλλ' ἐξεφωνεῖτο ἐν Ῥώμῃ, καὶ ἤρξαντο δι' ὑθὺς αἱ διαλέξεις ἐν ταῖς Ἐκκλησίαις Ἀνατολῆς καὶ Δύσεως περὶ αὐτῆς, καὶ πῶς ὑπὸ τοῦ Μονομάχου ἕως τοῦ Βέκκου παρερρυηκότων σχεδὸν ἐτῶν ἑξακοσίων πεντήκοντα οὐκ ἐμνήσθησαν οὔτε οἱ Ἀνατολικοὶ, οὔτε οἱ Δυτικοὶ τῆς τοιαύτης ψευδοθήκης; ἀλλ' οὔτε οἱ συγγεγράψαντες Λατῖνοι περὶ τῆς ἐν τῷ Συμβόλῳ ψευδοθήκης ταύτης ἐμνήσθησαν, καὶ δὴ καὶ οἱ ἐν Φλωρεντείᾳ Θεολόγοι τῶν Λατίνων πολλὰ καπιόντες καὶ ἀναδαίζοντες ψευδέτως, ὅπως ἔπωσί τι γοναῖον περὶ τῆς ἐν τῷ Συμβόλῳ ψευδοθήκης, πῶς τῆς ὑπὸ Δαμάσου ταύτης ψευδοθήκης οὐκ ἐμνημόνευσαν; ἐκεῖνοι φημὶ οἱ λατινικοὶ θεολόγοι οἱ οὔτε τὸν Θεὸν φοβηθέντες, οὔτ' ἐπ' ὄψεσι πάσης τῆς Οἰκουμένης ψεύδεσθαι βλαβησόμενοι, ἀλλὰ παῦ ἀναιδῶς ψευδολογοῦντες, ἔφασαν, ὅτι ἡ ἑβδόμη Σιώδης μετὰ τῆς ψευδοθήκης ἀνεγίνωσκε τὸ Σύμβολον, καὶ εἰ ὦν ἡ ψευδοθήκη ὑπὸ Δαμάσου ἐν τῷ Συμβόλῳ, πῶς οὐκ ἐβόησαν τοῦτο, μέχρι τοῦ Οὐρανοῦ τὸν φωνὴν ὑψοῦντες; ἐπειδὴ ποίαν ἀλλὴν ἰσχυροτέραν ἀπόδειξιν εἶχον αὖ εἰπεῖν περὶ τῆς κακοτροπίας ὧν ἐποίησαν ἐν τῷ κοινῷ Συμβόλῳ; ἀλλ' οὐκ εἶπον, ἐπειδὴ τοῦτο οὐκ ἔγνωσαν. πλάσμα ἄρα ἐστὶ καὶ σθεσινὸν μυθάριον, οὐκ ἀρχαία ἀλήθεια. ὡσὺ τοῦτοις ἡμεῖς ἔχομεν τοῦ Ἀρέτα τὰ συγγράμματα, καὶ ἄλλοι πολλοὶ, ἅτοι καὶ τὰς ἐξηγήσεις καὶ τὰς ὑπομνήσεις τῶν Κανόνων, ἀλλ' ὁδοὶ τοιοῦτόν φησιν ἐκεῖνος. σημειοῖ δὲ Μάξιμος ὁ Μαργούνιος, ὅν ὡσὰ Μιχαὴλ ὑγιὸς Λομπαρδὸς καλεμβὺς σοφωτάτω ἀνδρὸς, καὶ ἔχοντος τὰ συγγράμματα τοῦ Ἀρέτα ἐζήτησον αὐτὰ καὶ ἐσκεμμένως ἀνέγνω, ἀλλ' ὁδοὶ τοιοῦτον ὕφος τὸν Ἀρέτα ἀπόντα, ὥστε ὁ λόγος ἔμεινον εἶναι πονηρία τοῦ Βέκκου, καὶ ὁδοὶ πλέον. ἔπεται δὲ καὶ ὁ Ἀρέτας ἔλεγε τοῦτο, ἐπειδὴ παρερρύη ὑπὸ τῆς ὑπὸ Δαμάσου Σιώδης ἕως αὐτοῦ ἔτη πλέονα τῶν ὀκτακοσίων, πῶς ἐν τοσούτοις ἔτεσιν ὁδεὶς τῶν πατέρων, ἢ τῶν κατὰ καιροὺς ἰσορικῶν εἶπε τοῦτο; ὥστε μόνοι οἱ σοφισαὶ Λατῖνοι κατὰ τῆς σωτηρίας αὐτῶν τοιαῦτα πραττουργοῦσι,

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι καὶ ὑπὸ τῶν χρόνων, καὶ ὑπὸ τοῦ μήτινα εἰπεῖν περὶ τῆς ψευδοθήκης εἶναι αὐτὴν ὑπὸ τῆς ὑπὸ Δαμάσου Σιώδης ἐν τῷ Συμβόλῳ τῶν ἀξιολόγων, ἢ Σιώδων τῶν μεταξὺ Γραικῶν καὶ Λατίνων γνωμῶν, ἢ ἰσορικῶν, ψευδέστι καὶ ὑπὸ ἄλλων πολλῶν ἐναργῶν ἀποδείξεων, δείκνυται ψευδέσταται καὶ ὁ Φαντῖνος μετὰ τοῦ ψευδομάρτυρος αὐτοῦ Σίμωνος.

Πρὸς δὲ τὸ τοῦ Φαντίνου ῥητέον πάλιν τὰ αὐτὰ, ἤγουν πῶς αὐτὸς τοῦτο εἶπε, καὶ οἱ ἀρχαῖοι μετὰ τὸ χρίσμα Λατῖνοι ἐν ταῖς Διαλέξεσι, καὶ οἱ ὑπὸ τῆς ἐν Φλωρεντείᾳ Σιώδης Λατῖνοι τοῦτο οὐκ ἐμνήσθησαν εἰπεῖν; καὶ πῶς ὑπὸ τῆς ὑπὸ Δαμάσου Σιώδης ἕως τῆς ἐν Φλωρεντείᾳ Σιώδης καθ' ὧν ἤκμαζεν ὁ Φαντῖνος παρερρυηκότων χρόνων χιλίων καὶ ἑξήκοντα καὶ τεσσάρων ἐτῶν οὐδεὶς ἀξιόλογος ἔγραψεν, ἢ εἶπε τὸ τοῦ Σίμωνος σύγγραμμα καὶ τὸν Διάλεξιν αὐτοῦ ἐν ὑγιῖ Σιώδῃ τῶν γνωμῶν ἀναμεταξὺ Γραικῶν καὶ Λατίνων, εἰ μὴ ὁ ὑποβολιμαῖος καὶ πεπλασμένος Φαντῖνος καὶ αὐτὸς ὁ Σίμων ὁ ψευδομάρτυς αὐτοῦ; δεύτερον, εἰ ἡ ὀκτὼ Οἰκουμενικὴ οὐκ ὑπέσυρε τῷ Πάπᾳ Ἀγαθωνι καὶ τῇ Σιώδῃ αὐτοῦ, ἀλλ' ἐδοκίμασε τῶν πατέρων τὰς περιεχομένας ἐν τοῖς σιωδικοῖς αὐτῶν χρείας, καὶ οἱ ἀρχαῖοι Γάλλοι οὐκ ὑπέσυραν, καὶ πάντες οἱ Φρόνιμοι ὑπισχύσι γνησίας εἶναι τὰς ὑπὸ Σιελκίου ὑποσολὰς τῶν Πατρῶν, καὶ τοῦτο βασιλεῖ Νικολάῳ τῷ πρώτῳ, πῶς ἡμεῖς πισεύσωμεν ἐν τῇ τοῦ ἁγίου Πνεύματος Θεολογίᾳ τῷ ὑνὶ μοναχῷ, τῷ ὑνὶ σοφῷ, τῷ ὑνὶ Σίμωνι, καὶ τῷ σχισματικῷ Φαντίνῳ; ὥστε φανερὸν ἔσην, ὅτι ὡς ἔπλασεν ὁ Βέκκος τὸν Ἀρέτα, οὕτως ἐπλαστούργησεν ὁ Φαντῖνος τοὺς τοιούτους. καὶ γὰρ τίς ὢν ἐκεῖνος ὁ σοφὸς καὶ τῶν χρόνων ἀκριβὴς ὑποτηρητὴς, ὁ ἀρνησώμενος τὴν ψευδοθήκην εἶναι ὑπὸ τοῦ ὑπὸ Δαμάσου Σιώδης; καὶ τί ἦν τὸ ὄνομα τοῦ τοιούτου σοφοῦ, καὶ ἐν ποίῳ καιρῷ ἦν καὶ πῶ ὕφος ἐκεῖνος, ἐν ποίῳ Διδασκάλῳ, ἐν τίνι ἰσορικῷ, ἐν ποίῳ Σιώδῳ, ὅτι ὑπὸ τῶν χρόνων Δαμάσου πάντοτε ἡ τῶν Ῥωμαίων Ἐκκλησία τὴν ψευδοθήκην ἐκήρυττεν ἐν τῷ Συμβόλῳ; καὶ πῶς μὴ εἰπόσης τοῦτο τῆς δευτέρας Οἰκουμενικῆς, ὁ Δάμασος ἐσιώπησε, καὶ οὐκ ἐπεζή-

πεζήτησε προσθῆναι καὶ ἐκ τοῦ Υἱοῦ; καὶ πῶς πᾶσαι αἱ Συνόδοι καὶ πάντες οἱ Πάπαι καὶ Πατριάρχαι ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις, καὶ ἐν ταῖς εἰς αὐτὰς, καὶ ἐν ταῖς ἐνθρονιαστικαῖς καλουμέναις ἐπιστολαῖς αὐτῶν, καὶ ἐν ταῖς κατὰ τῶν Αἱρετικῶν ἀντιῤῥήσεσιν αὐτῶν, καὶ ἔτι ὅσοι Αἱρετικοὶ προσῆλθον τῇ καθολικῇ πίστει καὶ δεδώκασι λιβέλλους μετανοίας πρὸς τὰς Οἰκουμενικὰς Συνόδους καὶ πρὸς τοὺς κορυφαίους τῶν Ἐπισκόπων πολλάκις, τῆς τοιαύτης προσθήκης ἐν τῷ Συμβόλῳ οὐδ' ὅλως ἐμνήσθησαν; τουτέστιν οὐδέποτε εἶπον τὸ κοινὸν Σύμβολον μετὰ τῆς τοῦ Υἱοῦ προσθήκης; μάλιστα πᾶσαι αἱ Συνόδοι καὶ πάντες οἱ ἔγκριτοι πατέρες πάσης τῆς καθολικῆς Ἐκκλησίας ἀπαγορεύουσι τὴν προσθήκην ἐν τῷ Συμβόλῳ μετὰ καὶ ἀναθέματος αἰωνίου, καὶ μόνοι Βέκκος καὶ Σίμων καὶ ἑτεράτινα φραρίσμα εὗρον τὴν ἀλήθειαν τῆς προσθήκης, ὁμὲν ἐκ τοῦ ψευδαριστηνοῦ, ὁδὲ διὰ τοῦ τινὸς σοφοῦ; πλάσμα λοιπὸν ὁλόγος τοῦτε Βέκκου καὶ τοῦ Φαντίνου καὶ τῶν λοιπῶν τοιούτων.

ΠΑΡΑΓΡΑΦΟΝ Ε.

Ὅτι ἐκ τῶν λεχθέντων ἐν τῇ ἐπὶ Δαμάσου Συνόδῳ, καὶ ἐν τῇ δευτέρᾳ Οἰκουμενικῇ, δείκνυται ἐξίσου ἀμφοτέρας τὰς Συνόδους νομίζειν τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι.

Ὅτι δὲ τὸ Πνεῦμα τὸ ἅγιον ἐξίσου ἐνόμιζεν ἡ ἐπὶ Δαμάσου μετὰ τῆς δευτέρας Οἰκουμενικῆς, δηλαδὴ ἐκ τοῦ Πατρὸς μόνου ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, δῆλον, καὶ γὰρ ἡμὲν ἐπὶ Δαμάσου εἶπεν, Εἴτις μὴ εἴπῃ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς εἶναι κυρίως καὶ ἀληθῶς, ὡς καὶ τὸν Υἱὸν ἐκ τῆς θείας οὐσίας, ἀνάθεμα ἔστω. ἡ δὲ Οἰκουμενικὴ δευτέρα ἔφη, Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ κύριον τὸ ζωοποιὸν τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον. καὶ πάλιν ἡμὲν ἐπὶ Δαμάσου εἶπεν, Εἴτις μὴ εἴπῃ προσκυνητὸν τὸ Πνεῦμα τὸ ἅγιον παρὰ πάσης τῆς κτίσεως ὡς καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα, ἀνάθεμα ἔστω, καὶ ἀναθεματίζομεν τοὺς μὴ μετὰ πάσης ἐλευθερίας κηρύττοντας σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ τῆς μιᾶς καὶ αὐτῆς οὐσίας καὶ ἐξουσίας ὑπάρχειν τὸ Πνεῦμα τὸ ἅγιον. ἡ δὲ δευτέρα Οἰκουμενικὴ, Τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον. ὅθεν καὶ αἱ δύο τοὺς αὐτοὺς Αἱρετικοὺς Ἄρειον, Εὐνόμιον, Σαβέλλιον, Εὐδόξιον, Ἀέτιον, Μάρκελλον, Παῦλον τὸν Σαμοσατέα, Μακεδόνιον καὶ Ἀπολινάριον ἀνεθεμάτισαν. οὕτω γοῦν καὶ αἱ δύο Συνόδοι συμφώνως ἐθεολόγησαν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἔστι κτίσμα οὔτε ποίημα, ἀλλ' ἔστι Πατρὶ καὶ Υἱῷ ὁμοούσιον, οὔτε μὴν αἰτίαν τῆς ὑπάρξεως αὐτοῦ ἔχει τὸν Υἱὸν, ἀλλὰ τὸν Πατέρα, οὐποιητικὴν, ἀλλὰ φυσικὴν, τὸ γὰρ κυρίως καὶ ἀληθῶς πρὸς ἀντιδιαστολὴν τῶν κτισμάτων εἶπεν ἡ ἐπὶ Δαμάσου, ὡς καὶ ὁ μέγας Βασίλειος ἐν τῇ κατὰ Σαβελλίου καὶ Ἀρείου καὶ τῶν Ἀνομοίων Ὁμιλίᾳ λέγει, ἀλλὰ κυρίως ὁ Υἱὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ, ἐπειδὴ καὶ ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς ἐξῆλθε, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, ἀλλ' ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς γεννητῶς, τὸ δὲ Πνεῦμα ἀῤῥήτως ἐκ Θεοῦ. τῆς συμφωνίας τῶν Συνόδων τούτων μάρτυς πᾶσα ἡ Ἐκκλησία, καὶ ἐκ τῶν νεωτέρων Λατίνων Γουλίελμος ὁ Ξυλάνδρης ἐν ταῖς χρονικαῖς πινακίσιν, ἃς τίθησιν ἐν τῇ ἐκδόσει τῶν χρονικῶν Γεωργίου τοῦ Κεδρηνοῦ ἐν ἕκτῃ πινακίδι, λέγει γὰρ ἐκεῖ ταῦτα, Ἡ ἐν Κωνσταντινουπόλει Σύνοδος τὸν Μακεδόνιον κατέκρινε, καὶ ἑτέρα κατὰ τὴν Ῥώμην γενομένη τὸ αὐτὸ διεπράξατο. προσθείη δ' ἄν τις καὶ τὸ τοῦ ἀριθμοῦ τῶν ἐν ἑκατέρᾳ συνελθόντων πατέρων ἰσόῤῥοπον, ἑκατονπεντήκοντα γὰρ ἐν ἑκατέρᾳ συνδεδραμήκασιν, ὡς τοῖς τὰ πρακτικὰ συντεταχόσιν ἑκατέρας ἱστόρηται.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ.

Περὶ Τανισλάου, ἀνάπτυξιν τοῦ Συμβόλου μετὰ προσθήκης ἐπὶ Δαμάσου γεγονέναι λέγοντος, καὶ συκοφαντοῦντος τὸν μέγαν Ἀθανάσιον ἐπὶ προσθήκην τοῦ Συμβόλου, καὶ περὶ τῆς καταστροφῆς τῆς τεραστολογίας αὐτοῦ, καὶ τῆς Βαρωνίου κατὰ Δαμάσου ψευδολογίας διὰ πολλῶν ἀποδείξεων καὶ παρατηρήσεων χρονικῶν.

Τανίσλαος Σωκολόβιος Στεφάνου Πολονίας Ἄρχοντος Θεολόγος ἐν ταῖς σημειώσεσιν ἅστινας ἐποίησε κατὰ τῶν γραφέντων πρὸς τοὺς ἐν Βιτεμπεργίδι Λουθήρους Ἱερεμίᾳ τῷ Κωνσταντινουπόλεως Πατριάρχῃ περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως λέγει, ὅτι μετὰ τὴν ἐν Κωνσταντινουπόλει δευτέραν Οἰκουμενικὴν Σύνοδον ἠθρόισθη ἡ ἐπὶ Δαμάσου ἐν Ῥώμῃ, ἥτις ἀναπτύξασα τὸ Σύμβολον τῆς δευτέρας Συνόδου λεγούσης ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, εἶπεν, ὅτι ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται ὡς εὑρίσκεται ἐν τῷ Λατινικῷ Συμβόλῳ παραδεδομένον παρ' ἐκείνης τῆς Συνόδου, καθὼς καὶ ὁ ἅγιος Ἀθανάσιος ἐν τῷ Συμβόλῳ αὐτοῦ διαλαμβάνει. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι εἰ καὶ διείληπται ἀνωτέρω πολλάκις, ἀλλὰ καὶ πάλιν λέγομεν, ὅτι ὁ Σωζόμενος βιβλίῳ ἕκτῳ κεφαλαίῳ εἰκοστῷ πέμπτῳ φησὶ, μαθὼν

ὧν τὴν Ἀπολιναρίου Ἄρεσιν εἰς πολλοὺς ἕρπειν πρῶτος Δάμασος ὁ Ῥωμαίων Ἐπίσκοπος καὶ Πέτρος Ἀλεξανδρείας, Συνόδου γενομένης ἐν Ῥώμῃ, ἀλλοτρίαν τῆς καθολικῆς Ἐκκλησίας ἐψηφίσαντο. καὶ ὁ Θεοδώριτος λόγῳ τετάρτῳ κεφαλαίῳ εἰκοστῷ λέγει, ἐν Ἀλεξανδρείᾳ Ἀθανασίου μεταστάντος Πέτρος τὴν προεδρείαν ἐδέξατο. ὁ τοῦ ἔθνους ὅμως Ἡγούμενος τὸν ἑλληνικὸν καὶ ἰουδαϊκὸν ὅμιλον συναθροίσας, τοὺς τῆς Ἐκκλησίας ἐκύκλωσε περιβόλους, ἐξιέναι τῷ Πέτρῳ παρεγγυῶν, Πέτρος δὲ λαθὼν ἐξελήλυθε, καὶ σκάφους ἐπιβὰς, εἰς Ῥώμην ἀπῆρε. καὶ λόγῳ πέμπτῳ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ φησὶν, Ἀθανάσιον ἐκεῖνον τὸν πολυθρύλλητον ὁ θαυμάσιος διεδέξατο Πέτρος, τὸν δὲ Πέτρον Τιμόθεος. καὶ ἐν τῇ δευτέρᾳ Οἰκουμενικῇ παρὰ πάντων καὶ αὐτῶν τῶν Λατίνων μαρτυρεῖται, ὅτι ἦν Ἀλεξανδρείας ὁ μετὰ Πέτρον Τιμόθεος. καὶ λοιπὸν ψεῦδος ἐστὶν ὅπερ κατὰ τῆς τοῦ ἁγίου Ἀθανασίου γνώμης ἐπὶ συστάσει τοῦ οἰκείου κατασοφίζονται δόγματος οἱ Λατῖνοι, καὶ γὰρ ὅπερ προσφέρουσιν ἡμῖν Σύμβολον τοῦ παμμάκαρος ἐκείνου καλῶς μὲν ἔχει παρ' ἡμῖν ἔνγε παλαιοτάτοις βιβλίοις ἄνευ τῆς ἐκ τοῦ Υἱοῦ προσθήκης ἀναγινωσκόμενον. πλὴν καὶ ἐκ τούτου μάλα σαφὲς ἂν γένοιτο τὸ ἄνευ τῆς προσθήκης ἀναγινώσκεσθαι δεῖν, τὸν γὰρ Ἀθανάσιον ἐπειδὴ ὁμολογουμένως ὁ Πέτρος διεδέξατο, ἡ δὲ κατὰ Λατίνους προσθήκη ἐγένετο ὑπὸ τῆς Συνόδου μὴ περιόντος Ἀθανασίου, ἀλλὰ παρόντος τοῦ μετ' αὐτὸν Πέτρου, πῶς ὁ Ἀθανάσιος τὴν προσθήκην ἐν τῷ Συμβόλῳ προσέθετο μὴ συνοδικῶς τοῦτο διωρισμένον; ὥστε δῆλον ἐστὶ, προσθήκην εἶναι τὸ καὶ ἐκ τοῦ Υἱοῦ ἐν τῷ Συμβόλῳ προστεθὲν παρὰ τῶν πᾶσι τρόποις τὰ ἑαυτῶν δόγματα συνιστᾶν ἐπειγομένων, καὶ μὴ τῆς ἀληθείας καὶ μόνης καταστοχαζομένων. τούτων οὕτω διωρισμένων, μάταιον λοιπὸν ὀπέρφασι τὴν προσθήκην τὴν ἐπὶ Δαμάσου ἀνάπτυξιν εἶναι τῆς ἐν Κωνσταντινουπόλει Συνόδου, ἐπειδὴ οὔτε προσθήκη ἐγένετο, οὔτε ἀνάπτυξις ἦν, ἀλλὰ τὰ λεγόμενα ταῦτα περὶ προσθήκης καὶ ἀναπτύξεως προφανῆ λογίδρια εἰσὶν ἀνυπόστατα. ἔτι ὁ Βέκκος καὶ οἱ ἀκολουθήσαντες αὐτῷ μεταταῦτα Σίμων ὁ Βυζάντιος δηλονότι γράφων πρὸς Ἰωάννην τὸν Νομοφύλακα καὶ Ἰωσὴφ ὁ Μεθώνης προσέφερον καὶ αὐτοὶ μάρτυρα τὸν Ἀριστηνὸν ἵνα δείξωσιν ὅτι ἡ προσθήκη ἣν ὑποτιθέασιν ἐπὶ Δαμάσου ἀνάπτυξις ἦν, Ἀλλὰ ῥητέον, ὅτι καὶ ὁ ψευδαριστηνὸς ἐλέγχει αὐτῶν τὴν ἀφροσύνην, πρῶτον, ὅτι οὐ λέγει ἀνάπτυξιν, ἀλλὰ προσθήκην ῥητῶς. δεύτερον, ὅτι ὁμολογεῖ γεγονέναι τὴν ἐπὶ Δαμάσου πρὸ τῆς δευτέρας Οἰκουμενικῆς, καὶ ἰδὲ ἀνωτέρω τὸν τόπον, λέγει δὲ τοῦτο συμφώνως τῷ Βαρωνίῳ καὶ τῷ Συνοδικῷ καὶ τῷ Βαλεσίῳ, οἵτινες μαρτυροῦσι γεγονέναι τὴν ἐπὶ Δαμάσου καὶ Πέτρου Σύνοδον πρὸ τοῦ τριακοσιοστοῦ καὶ ὀγδοηκοστοῦ ἔτους ὡς δέδεικται ἀνωτέρω. ἡ δὲ δευτέρα Οἰκουμενικὴ συνῆλθε μετὰ τὸ τριακοσιοστὸν καὶ ὀγδοηκοστὸν ἔτος, ὅθεν καὶ ὁ Βαρώνιος κατὰ φρονήσας τῆς σκευωρίας τῶν εἰρημένων πάντων περὶ τῆς προκειμένης ὑποθέσεως, εἰς ἕτερον σόφισμα μετετράπη. εἰς ἐκεῖνο γὰρ ὄφησιν ὁ Δάμασος ἐν τῇ ὁμολογίᾳ τῆς διαληφθείσης ἀνωτέρω καθολικῆς πίστεως, ἤτοι τὸ, εἴτις μὴ εἴπῃ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς εἶναι ἀληθῶς ἢ κυρίως, ὡς καὶ τὸν Υἱὸν ἐκ τῆς θείας οὐσίας καὶ Θεοῦ Θεὸν Λόγον, ἀνάθεμα ἔστω, κέχρηται ὁ Βαρώνιος τῷ συνειθισμένῳ αὐτοῦ κατὰ τῆς ἀληθείας ἀξιώματι, ὅτι δηλαδὴ οὗτος ὁ λόγος τοῦ Δαμάσου περὶ τοῦ ἁγίου Πνεύματος νοθεύεται. Ἀλλὰ ῥητέον, ὅτι ὁ Δάμασος ἦν ἅγιος καὶ σύμφωνος τῇ δευτέρᾳ Οἰκουμενικῇ Συνόδῳ καὶ πάσῃ τῇ Ἐκκλησίᾳ, καὶ φύλαξ αὐτῶν ἀπαράτρεπτος, καὶ ὃ εἴρηκεν, ἀληθῶς εἴρηκε, καὶ ὁ περὶ τῆς πίστεως αὐτοῦ καὶ τῆς κατ' αὐτὸν Συνόδου λόγος ἀνόθευτός ἐστι, καὶ ἀπαρασάλευτος διαμένει, ὁ δὲ Βαρώνιος καὶ οἱ λοιποὶ τῶν Λατίνων ἀνωτέρω ψευδομάρτυρες τερατεύονται κἀνταῦθα, ὡς καὶ ἐν ἄλλοις πολλοῖς. καὶ διέφθαρται λοιπὸν καὶ οὗτος ὁ χαλανικὸς στύλος τῶν καινοτόμων Λατίνων.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῆς ἁγίας ζωῆς τοῦ Βασιλέως Θεοδοσίου τοῦ μεγάλου, καὶ ὧν λίαν ὑπὲρ τῆς ὀρθοδοξίας ὑπέρμαχος ἐγένετο, καὶ οἷς τοῦ ἀφανισθῆναι τὴν εἰδωλολατρείαν καὶ τοὺς Αἱρετικοὺς ἠγωνίσατο. καὶ περὶ τοῦ κατ' Ἀρειανῶν ἐπιχειρήματος Ἀγελίου ἀναγνώστου, καὶ τοῦ τρόπου τῆς διαῤῥήξεως ὑπὸ τοῦ Βασιλέως τῶν Αἱρετικῶν ἐκθέσεων.

Οὐ μόνον εἰς τὴν Κωνσταντινούπολιν, ἀλλὰ καὶ εἰς τὰς ἄλλας πόλεις καὶ χώρας τῆς Βασιλείας ὁ Θεοδόσιος ἐλάμβανε τὰς Ἐκκλησίας τῶν Ἀρειανῶν, καὶ ἐδίδου αὐτὰς τοῖς ὀρθοδόξοις. μετὰ πολλῆς ὅμως βίας καὶ δυναστείας. καὶ ἵνα γίγνηται τοῦτο εἰρηνικώτερον, συνῆξαι Σύνοδον πάλιν τῶν κορυφαίων Ἐπισκόπων (ἴσως ἐστὶν αὕτη ἡ αἰτία τοῦ τὸν δεύτερον χρόνον μετὰ τὴν Οἰκουμενικὴν Σύνοδον ἐπανελθεῖν

τοὺς

τοὺς πλείους τῶν πατέρων εἰς τὴν Κωνσταντινούπολιν, ὡς φησὶ Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ) τῶν Αἱρετικῶν, νομίσας διὰ τῆς διαλέξεως αὐτῶν ποιῆσαι κοινὴν ὁμόνοιαν, ἀλλὰ τὴν γνώμην τοῦ Βασιλέως ἐκοινώσατο ὁ Κωνσταντινουπόλεως Νεκτάριος τῷ Ἐπισκόπῳ τῶν Ναυατιανῶν Ἀγελίῳ, ὡς ὅτι καὶ οἱ Ναυατιανοὶ ἐπρέσβευον τὸ Ὁμοούσιον, ὁ δὲ ἀναγνώστης τοῦ Ἀγελίου Σουσίνιος ἐλλόγιμος καὶ ἔμπειρος ὢν τῶν γραφῶν, συνεβούλευσεν αὐτοῖς ἀπέχειν τῶν διαλέξεων, ὅτι γεννᾶται ἔρις, καὶ ἕπεται μεῖζον σχίσμα. μόνον ἐπειδὴ οὐδεὶς τῶν πατέρων ἔδωκεν ἀρχὴν ὑπάρξεως τῷ Υἱῷ, δέον ἐρωτῆσαι τοὺς Αἱρετικοὺς πείθονται τοῖς πατράσιν ἢ οὔ; καὶ εἰ μὲν εἴπωσι ναὶ, εὐκόλως ἡμεῖς ἀποδεικνύομεν (ἔφη) ἀπὸ τῶν πατέρων ἀΐδιον τὴν γέννησιν τοῦ Υἱοῦ, καὶ συναΐδιον τὸν Υἱὸν τῷ Πατρὶ, εἰ δὲ καὶ εἴπωσιν οὔ, λέγομεν αὐτοῖς ἵνα ἀναθεματίσωσι τοὺς πατέρας ὡς κακῶς εἰπόντας, καὶ οὕτω λιθάζονται ὑπὸ τοῦ πλήθους. ἀναφέρει δρομαίως τὴν βουλὴν τῷ Βασιλεῖ ὁ Νεκτάριος, καὶ ἐνεργεῖ ὁ Βασιλεὺς κατ' αὐτὴν, καὶ γίνονται ἄφωνοι οἱ Αἱρεσιάρχαι καὶ ἐννεοί. εἶτα πάλιν ὁ Βασιλεὺς βαδίσας ἑτέραν ὁδὸν ἐζήτησεν ἵνα ἑκάστου Αἵρεσις δώσῃ ὅ, τι πιστεύει ἐγγράφως, καὶ ἔρχονται Νεκτάριος Ἐπίσκοπος τῆς καθόλου Ἐκκλησίας, Ἀγέλιος τῶν Ναυατιανῶν, Δημόφιλος Ἀρειανῶν, Εὐνόμιος τῶν Εὐνομιανῶν, καὶ τῶν Μακεδονιανῶν Ἐλεύσιος ὁ Κυζίκου, Δραξάμενος οὖν ὁ Βασιλεὺς τῶν ἑκάστου ἐκθέσεων, θείω νεύματι ἔσχισεν ὅλας, μόνην δὲ τὴν φρονοῦσαν τὸ Ὁμοούσιον ἐδέξατο, καὶ οὕτως οἱ Αἱρετικοὶ κατ' ὀλίγον ἐξ ἐκείνου ἠφανίσθησαν, καὶ προσετέθησαν οἱ λαοὶ εἰς τὴν καθολικὴν Ἐκκλησίαν, Σωκράτης βιβλίῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ. ἐγένετο δὲ ἡ παροῦσα ἄθροισις τῷ ἔτει τριακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ κατὰ τοῦ διαβόλου θαύματος ἐν τῷ ἐμπίπρασθαι τὸν ἐν Ἀπαμείᾳ τῆς Συρίας περιβόητον Ναὸν τῶν εἰδώλων ὑπὸ τοῦ Ἐπισκόπου Μαρκέλλου.

Ἐπειδὴ ἀσέβεια οὐ διαφέρει ἀσεβείας, ὁ Οὐάλης ἀφῆκεν ἑκάστη θρησκεία ἵνα βλασφημῇ, μόνης δὲ τῆς καθολικῆς Ἐκκλησίας ἦν πολέμιος, διατοῦτο εἰς τοὺς καιροὺς αὐτοῦ πάλιν ἔκαιον τὸ πῦρ εἰς τοὺς βωμοὺς, καὶ σπονδαὶ καὶ θυσίαι εἰς τὰ εἴδωλα ἐγίνοντο, καὶ ἑορταὶ δημόσιαι, καὶ εἰς τοῦ Διονύσου τὰ ὄργια ἔτρεχον οἱ τετελεσμένοι, φοροῦντες τὰς αἰγέας, καὶ ξεσχίζοντες τοὺς κύνας, καὶ ἄλλα τοιαῦτα ὡς εἴπομεν ἀνωτέρω ἐποίουν. ἀλλ' ὁ Θεοδόσιος πάντα ταῦτα ἔδωκε τῇ λήθῃ, οὗ ἐπὶ τῆς Βασιλείας πρώτου Μαρκέλλου τοῦ Ἀπαμείας Συρίας τὸν περιβόητον ἐκεῖσε Ναὸν τῶν εἰδώλων θέλοντος κρημνίσαι, καὶ ἀνάψαντος πῦρ κατὰ τοῦ Ναοῦ, ὤφθη ὁ Διάβολος μέγας καὶ μέλας καὶ ἀπεσβέννυεν αὐτό. ὁ οὖν Μάρκελλος προσευχόμενος ἐν τῇ Ἐκκλησίᾳ, καὶ βαλὼν εἰς πίνακα ὕδωρ καὶ σταυρὸν, ἀπέστειλε τὸν Διάκονον αὐτοῦ, καὶ ἐρράντιζε τὸν Σαταναῦ, οὗ τῷ ῥαντίσματι φυγόντος, οὕτως ἐκρήμνισε τὸν Ναὸν, καὶ κατησχύνθησαν οἱ χαίροντες τότε Ἕλληνες, Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ εἰκοστῷ πρώτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς τοῦ Μυθρείου καὶ Σαράπιδος καταστροφῆς ὑπὸ Θεοφίλου Ἀλεξανδρείας, καὶ κατακρημνίσεων ἑλληνικῶν χρηστηρίων ἐν πολλοῖς μέρεσι γῆς.

Δεύτερος ὁ θαυμάσιος Ἀλεξανδρείας Θεόφιλος καθαιρεῖ τὸ Μυθρεῖον εἰς τὴν Ἀλεξάνδρειαν, καὶ Πομπεύει τὰ φονικὰ αὐτοῦ μυστήρια, καὶ τὸν Ναὸν τοῦ Σαράπιδος καὶ τοῦ Πιθήκου. τὸ εἴδωλον δὲ τοῦ Σαράπιδος οὗ ἔφθανεν ἡ κεφαλὴ ἕως τῆς ὀροφῆς τοῦ ναοῦ, καὶ ἔλεγον οἱ Αἰγύπτιοι ὅτι ἂν σεισθῇ, ταράττεται ἡ γῆ, συνέτριψεν ὁ Θεόφιλος, τὴν δὲ κεφαλὴν αὐτοῦ σείροντές τινες εἰς τοὺς δρόμους ἐθραύσθη, καὶ ἔφυγον οἱ μύες οἱ κοινῶς λεγόμενοι ποντικοὶ, οἵτινες εἶχον ἔνδον φωλεὸν, καὶ κατησχύνθησαν οἱ Ἕλληνες, ἰδόντες ὄντα μυωξίαν τὸν Θεὸν αὐτῶν τὸν μέγαν. εὑρέθησαν δὲ καὶ γράμματα ἱερογλυφικὰ ἅπερ ἐξηγηθέντα παρ' Ἕλληνος χριστιανίσαντος ἐσήμαινον ζωὴν ἐπερχομένην, καὶ παρεκινήθησαν διὰ τοῦτο πολλοὶ Ἕλληνες εἰς τὴν εὐσέβειαν, καὶ ἐξομολογούμενοι ἐβαπτίζοντο. τὰ δὲ σκεύη τῶν θυσιῶν ὁ Θεόφιλος μετέβαλεν εἰς λευήτια τῆς Ἐκκλησίας, καὶ ἕνα Θεὸν αὐτῶν ἀφεῖκεν ἀχώνευτον, ὅντινα βλέπων ἱστάμενον εἰς τὴν ὁδὸν ἔλεγεν ὁ γραμματικὸς Ἀμμώνιος, οἵαν ὦ οὗτοι αἰσχύνην ἔμεινε φέρων τοῖς Ἕλλησι τὸ ἄγαλμα τοῦτο. συνέβη δ' ἀπὸ τούτου στάσις Ἑλλήνων καὶ φόνος χριστιανῶν πολὺς, ὁ δὲ Θεοδόσιος τοὺς μὲν χριστιανοὺς εἶχεν εἰς τάξιν μαρτύρων, τοῖς Ἕλλησι δὲ χριστιανίσασι συνεχώρησε τὸν φόνον, Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, καὶ Σωκράτης βιβλίῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ ἕκτῳ, καὶ δεκάτῳ ἑβδόμῳ. οὕτω κατεστράφησαν οἱ περιβόητοι τῶν ἀνόμων

ἀνόμων Θεοί. ἀλλὰ καὶ τὸ Ἱερὸν Ἡλιουπόλεως τὸ Βαλανίου λεγόμενον, καὶ τὸ Τρίλιθον, ἐποίησεν Ἐκκλησίαν Χριστιανῶν, ὁμοίως καὶ τὸ Ἱερὸν Δαμασκοῦ εἰς Ἐκκλησίαν μετέβαλε. μόνα ἔμειαν ἐν Φοινίκῃ τινὰ, ἅπερ καθεῖλεν ἐπιμελείᾳ ὁ θεῖος Χρυσόστομος, ὡς Θεοδώριτος ἱστορεῖ. καὶ εἰς τὴν Γάζαν ἔμεινεν ἕτερον, ὅπερ Πορφύριος Ἐπίσκοπος Γάζης ἐπὶ Ἀρκαδίου δυνάμει βασιλικῇ κατηδάφισεν. ἰδὲ καὶ τὸν προτροπτικὸν τοῦ Στρηματέως ἵνα μάθῃς τῶν Ἑλλήνων ὅτι κατεστράφησαν τὰ χρηστήρια, Θεσπρώτιος Λέβης, Τρίπους Κιρραῖος, Δωδωναῖον χαλκεῖον, Κασταλία πηγὴ, Κολοφῶνος ἄλλη πηγὴ, Κλάριον, Πύθιον, Διδυμαῖον, Ἀμφιάρεω, Ἀπόλλω, Ἀμφίλοχον, καὶ Πανηγύρεις, Ἴσθμια, Νέμεα, Πύθια, Ὀλύμπια, καὶ ἐν Ἀττικῇ ἕτερά τινα.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τοῦ γενομένου θαύματος ἐν τῷ Ναῷ τοῦ ἁγίου τάφου ἐν τῷ εἰσιέναι τὸν Βασιλέα Θεοδόσιον σχήματι ἰδιωτικῷ. καὶ περὶ τῆς μετανοίας τοῦ Βασιλέως ὧν ἕνεκεν ἐν Θεσσαλονίκῃ ἀπέκτεινε λαῶν, καὶ τῶν κατορθωμάτων αὐτοῦ καὶ τῆς τελευτῆς αὐτοῦ.

Ἱστορεῖ ὁ Κεδρηνὸς, ὅτι ὁ μέγας Θεοδόσιος βουληθεὶς προσκυνῆσαι τοὺς ἁγίους τόπους, περιβαλλόμενος σχῆμα ἰδιωτικὸν ἦλθεν εἰς τὴν πόλιν τῆς ἁγίας Ἀναστάσεως, καὶ κρούσας τὴν θύραν, ἀνοίξαντός τινος τῶν ὑπηρετῶν εἰσῆλθε, πάντων δὲ τῶν κανδηλίων ἐσβεσμένων ὄντων, καὶ εἶτα ἀναφθέντων ὡς ἐν πανηγύρει, ὁ ὑπηρέτης ἐκπλαγεὶς, ἀνήγγειλε τῷ Πατριάρχῃ Ἰωάννῃ, ὁ δὲ δι' εὐχῆς ἐπέγνω αὐτὸν, καὶ ἐμακάρισεν. εἰργάσατο δὲ ὁ Θεοδόσιος εἰς τὴν Θεσσαλονίκην πολλοὺς φόνους, καὶ μικροῦ ἐδέησε ποιῆσαι καὶ εἰς τὴν Ἀντιόχειαν διὰ τὴν φθορὰν τῶν Ἀνδριάντων τῆς Βασιλίσσης ἣν ἐποίησαν οἱ Ἀντιοχεῖς. ἀλλὰ ἀπὸ μὲν τοῦ πρώτου διωρθώθη διὰ τοῦ Ἀμβροσίου, δείξας ἀκροτάτην μετάνοιαν, Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ ὀγδόῳ. ἀπὸ δὲ τοῦ δευτέρου ἐκώλυσεν αὐτὸν πρεσβεύσας ὁ Πατριάρχης Φλαυϊανὸς, συνεργησάντων μεγάλως καὶ τῶν περὶ τὴν Ἀντιόχειαν Ἀσκητῶν, ὡς φησὶν ὁ Χρυσόστομος ἐν τοῖς λόγοις τῶν Ἀνδριάντων, καὶ ὁ Νικηφόρος Κάλλιστος λαμπρότατα ἐκτίθησι. θνήσκει δὲ εἰς τὰ Μεδιόλανα, ἀφεὶς τὸν μὲν Ὀνώριον τῆς Δύσεως, τὸν δὲ Ἀρκάδιον τῆς Ἀνατολῆς Αὐτοκράτορας, καταλιπὼν καὶ μέγα κλέος εἰς μὲν τὴν καθολικὴν Ἐκκλησίαν, διὰ τὴν ἄκραν αὐτοῦ εὐσέβειαν, εἰς δὲ τὸν κόσμον διὰ τὰς παραδόξους καὶ φοβερὰς νίκας ἃς ἐποίησε, περὶ ὧν οὐ τοῦ παρόντος λέγειν, εὐτύχησε δὲ μάλιστα εἰς ἕξ, πρῶτον, ὅτι εἰς τοὺς καιροὺς αὐτοῦ τελείως ἡρμηνεύθη ἡ περὶ τῆς ὁμοουσίου Τριάδος Θεολογία. δεύτερον, ὅτι ἦσαν ἄνδρες σοφώτατοι καὶ ἁγιώτατοι καὶ εἰς Ἀνατολὴν καὶ εἰς Δύσιν. τρίτον, ὅτι ἐφάνη εἰς τὰ πολεμικὰ ἀήττητος. τέταρτον, ὅτι ἐφάνη ἰσχυρὸς καθαιρέτης Αἱρετικῶν τε καὶ Εἰδωλολατρῶν. πέμπτον, ὅτι καλλίτεκνος. ἕκτον, ὅτι καὶ ἅγιος. Ἀστεῖον δὲ ἐκεῖνο ὅπερ ὁ θεῖος Ἀμφιλόχιος ἐποίησε τῷ Βασιλεῖ, εἰσελθὼν γὰρ εἰς τὸν βασίλειον οἶκον, αὐτὸν μὲν προσεκύνησεν, οὐ μὴν δὲ καὶ Ἀρκάδιον τὸν υἱὸν αὐτοῦ παρακαθήμενον αὐτῷ, ἐρωτηθεὶς δὲ εἶπεν, ἄνσοι ἀνθρώπῳ ὄντι ἀηδὲς δοκῇ τὸ μὴ τοὺς υἱούσου συμπροσαγορεύσαίσοι, πόσῳ μᾶλλον αὐτοκατάκριτον τὸ ὑπομένειν ὑβρίζεσθαι τὸν Υἱὸν τοῦ Θεοῦ; ὅθεν ὁ Βασιλεὺς διωγμὸν ἤγειρε κατὰ τῶν Αἱρετικῶν καὶ μάλιστα τῶν Ἀνομοίων, Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ ἕκτῳ.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ Παυλίνου καὶ Μελετίου, Φλαυϊανοῦ καὶ Οὐϊταλίου Ἐπισκόπων Ἀντιοχείας, καὶ ὧν αὐτοῖς συμβέβηκε.

Περὶ Παυλίνου καὶ Μελετίου καὶ Φλαυϊανοῦ καὶ Οὐϊταλίου τῶν Ἀντιοχείας Πατριαρχῶν πολλοὶ ἱστοροῦσι, πιστευτέον δὲ μᾶλλον Θεοδωρίτῳ ὡς γινώσκοντι καὶ ἱστοροῦντι τὰ οἰκεῖα σαφέστερον, λόγῳ πέμπτῳ κεφαλαίῳ τρίτῳ. ὁτοίνυν Βασιλεὺς Θεοδόσιος ὥρισεν ἵνα τὰς Ἐκκλησίας ἐάσωσιν οἱ Ἀρειανοὶ, καὶ ἔχωσιν αὐτὰς μόνοι ὅσοι εἰσὶ τῆς αὐτῆς πίστεως μετὰ τοῦ Ῥώμης Δαμάσου καὶ τοῦ Ἀλεξανδρείας Πέτρου. ἦν δὲ εἰς τὴν Ἀντιόχειαν ὁ μὲν Παυλῖνος μεθ' οὗ συνεκοινώνει τὸ μέρος τῶν Χριστιανῶν τῶν χωρισθέντων ἀπὸ τῶν Ἀρειανῶν ὅτε ἐξωρίσθη ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου ὁ μέγας Εὐστάθιος, ὁ δὲ Μελέτιος ἦν ἐκεῖνος ὃν προεχείρισεν ὁ Κωνσταντίος Ἀντιοχείας, ὡς εἴρηται ἀνωτέρω βιβλίῳ δευτέρῳ, ὃν ἐπειδὴ ἐξώρισεν ὁ αὐτὸς Κωνσταντίος, ἐπὶ Ἰουλιανοῦ ὁ Λουκίφερ παρὰ Κανόνας ἐχειροτόνησεν Ἀντιοχείας τὸν Παυλῖνον. εἶχεν οὖν καὶ ὁ Μελέτιος τοὺς ὅσοι ἐσχίσθησαν ὅταν ἐξωρίσθη ὁ Εὐστάθιος δι' ἀγάπην αὐτοῦ

αὐτοῦ. τόσον δὲ ἦν ὁ Μελέτιος ἁγιώτατος, ὥστε καὶ ἠξιώθη χειροτονῆσαι καὶ τὸν Βασίλειον καὶ Χρυσόστομον, ὡς εἴρηται ἀνωτέρω, καὶ εἰς τὴν ἐξορίαν ὤν, εἶχε δύο πρεσβυτέρους σοφωτάτους Διόδωρον, ὃν ὕστερον ἐχειροτόνησε Μητροπολίτην Ταρσοῦ, καὶ Φλαυϊανὸν τὸν χρηματίσαντα διάδοχον αὐτοῦ. ἀλλὰ καὶ εἰς τὴν δευτέραν Οἰκουμενικὴν ἠρίστευσεν ὡς εἴρηται ἐκεῖ. ἦν δὲ εἰς τὴν Ἀντιόχειαν καὶ ὁ Αἱρεσιάρχης Ἀπολιναρίου ἀντιποιούμενος τοῦ θρόνου Ἀντιοχείας. ὅταν οὖν ἦλθε Σάπωρος ὁ Στρατηγὸς μετὰ τῶν βασιλικῶν γραμμάτων Γρατιανοῦ καὶ Θεοδοσίου ἵνα πιστεύωσιν οἱ Ἐπίσκοποι ὡς Δάμασος καὶ Πέτρος, ἐκαυχήσατο ὁ Παυλῖνος εἶναι τῆς μερίδος τοῦ Δαμάσου, ἀλλ' ὁ Φλαυϊανὸς Ἱερεὺς ὢν τότε, καὶ ἄνθρωπος τοῦ Μελετίου, ἀπέδειξε τὸν Παυλῖνον ἀρνούμενον τὴν Τριάδα τῶν ὑποστάσεων. εἶτα ἐπειδὴ ὡς ὁ μέγας Βασίλειος μαρτυρεῖ γράφων τοῖς Δυτικοῖς, εἶχεν ἡ χειροτονία τοῦ Παυλίνου ἐπιλήψιμον, ζῶντος γὰρ τοῦ Μελετίου καὶ ἐν ἐξορίᾳ ὄντος διὰ τὴν ὀρθοδοξίαν, ἐχειροτονήθη Ἀντιοχείας, καὶ μάλιστα ἦν καὶ πεποιθὼς τοῖς Μαρκέλλου δόγμασι. τὸν δὲ Ἀπολινάριον ἀπέδειξεν ἀντικείμενον Δαμάσῳ, ἐπειδὴ ἀρνεῖται εἰληφέναι τὸν Κύριον νοῦν καὶ ψυχὴν, καὶ ἐστὶν Αἱρετικός. ἐν τούτοις ὁ Μελέτιος ἅγιος ὤν, εἶπε πρὸς τὸν Παυλῖνον, δεῦτε οὖν ἔχωμεν τὸ Εὐαγγέλιον εἰς τὸ μέσον, καὶ ποιμαίνωμεν ἅμα τὰ πρόβατα, καὶ ὅταν ἀποθάνῃ ὁ εἷς ἐξ ἡμῶν, ὁ ἕτερος ἔστω μόνος Ἀντιοχείας Ἐπίσκοπος. ἀλλ' ὁ Παυλῖνος τῆς Αἱρέσεως ὄζων, ἥτις τίκτει πεισμονὴν οὐκ ἠθέλησεν, ὅθεν ὁ Στρατηγὸς τὸν μὲν Παυλῖνον ἀφεῖκεν ἔχειν μόνους ἐκείνους οὓς εἶχε καὶ πρότερον, τὰς δὲ Ἐκκλησίας καὶ τὸ Πατριαρχεῖον ἔδωκε τῷ Μελετίῳ. ἐν τούτοις καὶ Ἀπολινάριος κατὰ πεισμονὴν διὰ τὸ ἀποτυχεῖν τοῦ Πατριαρχείου, χειροτονεῖ εἰς τὸν θρόνον Ἀντιοχείας Οὐϊτάλιόν τινα, ἀνατεθραμμένον μὲν εἰς τὴν εὐσέβειαν, παρ' ἐκείνου δὲ παρασυρέντα εἰς τὴν Αἵρεσιν αὐτοῦ, ὡς μαρτυρεῖ ὁ Ἐπιφάνιος Αἱρέσει ἑβδομηκοστῇ ἑβδόμῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ Φλαυϊανοῦ τοῦ διαδόχου Μελετίου Ἀντιοχείας, καὶ τῆς ἔχθρας καὶ διαβολῆς κατ' αὐτοῦ τῶν Παπῶν Ῥώμης πρὸς τὸν Βασιλέα, περιποιουμένων τὸν διάδοχον Παυλίνου Εὐάγριον τὸν παράνομον, καὶ τῆς ἐπιπλήξεως τοῦ Βασιλέως πρὸς τοὺς Δυτικοὺς Ἐπισκόπους, ἐξ ἧς ἡ εἰρήνη αὐτῶν μετὰ τοῦ Φλαυϊανοῦ. ἐκ δὲ τῆς ἀντιθέσεως τῶν ῥημάτων τοῦ Βασιλέως πρὸς τὸν Ῥώμης, καὶ ἐκ παραθέσεως πολλῶν, δείκνυται ὁ Ῥώμης ἥττων τοῦ Ἀντιοχείας, καὶ μέρος τῆς Ῥωμαίων Ἐκκλησίας, ἀλλ' οὐ μοναρχής.

Ἀποθανόντος τοῦ Μελετίου, καὶ ἐγκωμιασθέντος ὑπὸ Γρηγορίου τοῦ Νύσσης, Χρυσοστόμου καὶ ἄλλων πολλῶν, μάλιστα ὁ μέγας Βασίλειος εἰς τὴν πρὸς τὸν ἅγιον Ἀθανάσιον ἐπιστολὴν τετάρτην, μέγαν αὐτὸν ἀποκαλεῖ, καὶ ἀξιαγάστως αὐτὸν ἐγκωμιάζει. τὸν μὲν Παυλῖνον ἔτι ζῶντα ὡς ἐπιληψίμως χειροτονηθέντα, καὶ ὡς τὰ Μαρκέλλου φρονοῦντα, καὶ ὡς μὴ καταδεξάμενον τὴν συμβουλὴν τοῦ Μελετίου εἴασεν ὁ Στρατηγὸς ὡς εἴρηται ἔχειν οὓς εἶχε, τὸν δὲ Φλαυϊανὸν συνδραμόντες (ὡς μαρτυρεῖ ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος εἰς τὴν πρὸς Δάμασον ἐπιστολὴν) οἱ τῆς Ἀνατολικῆς Διοικήσεως καὶ οἱ τῆς Ἐπαρχίας Ἐπίσκοποι, χειροτονοῦσιν Ἀντιοχείας, ἣν χειροτονίαν καὶ ἡ Οἰκουμενικὴ ἐβεβαίωσε Σύνοδος. ὁ δὲ Παυλῖνος θνήσκων, ἐχειροτόνησεν εἰς τὸν τόπον αὐτοῦ Εὐάγριόν τινα, ὅστις ἦν παράνομος δύο ἕνεκεν αἰτιῶν, πρῶτον, διότι αὐτὸν ἐξελέξατο μόνος ὁ Παυλῖνος, παραβὰς πολλοὺς Κανόνας βουλομένους γίνεσθαι τῶν Ἐπισκόπων τὴν ἐκλογὴν ὑπὸ τοῦ Κλήρου καὶ τῆς Συνόδου τῆς Ἐπαρχίας, καὶ οὐχ ὑπὸ τοῦ παραιτοῦντος, ἢ θνήσκοντος. δεύτερον, ὅτι μόνος αὐτὸς αὐτὸν ἐχειροτόνησε, καὶ ἔδει χειροτονηθῆναι αὐτὸν ὑπὸ δύο ἢ τριῶν Ἐπισκόπων, καὶ οὐχ ὑφ' ἑνὸς μόνου. ἀλλ' οἱ Ῥωμᾶνοι εὑρισκόμενοι εἰς πάθος ἀνθρώπινον, καὶ ζητοῦντες παραλόγως τὰ ἀλλότρια, κατεφρόνησαν καὶ τοῦ δικαίου καὶ τῆς εὐσεβείας, καὶ διὰ τὸ τὸν λουκίφερα προχειροτονῆσαι τὸν Παυλῖνον, ἐκοινώνουν τῷ παρανόμῳ Εὐαγρίῳ, καὶ ἀπεβάλλοντο τὸν ἅγιον Φλαυϊανόν. ἀλλ' ἀποθανόντος καὶ τοῦ Εὐαγρίου, ἐνήργησεν ὁ Φλαυϊανὸς καὶ οὐκ ἐχειροτονήθη ἄλλος εἰς τὸν τόπον αὐτοῦ, καὶ ἦν μόνος Ἐπίσκοπος Ἀντιοχείας αὐτός. ἀλλὰ πάλιν καὶ ὁ Δάμασος καὶ Σιρίκιος καὶ Ἀναστάσιος ἐμάχοντο τῷ Φλαυϊανῷ, καὶ συνέχεον τὸν Βασιλέα λέγοντες τὸν Φλαυϊανὸν εἶναι τύραννον τῆς Ἐκκλησίας, καὶ προομωμοκότα μὲν μὴ γενέσθαι Ἐπίσκοπον ζῶντος Παυλίνου, γενόμενον δέ. ὅθεν πιστεύσας ὁ Βασιλεὺς, καὶ θέλων εἶναι εἰρήνην εἰς τὴν Ἐκκλησίαν, ἐμήνυσε τὸν Φλαυϊανὸν καὶ ἦλθεν εἰς τὸ Βυζάντιον, καὶ εἶπεν αὐτῷ ἀπελθεῖν εἰς τὴν Ῥώμην. ὁ Φλαυϊανὸς δὲ εἶπε πρὸς τὸν Βασιλέα, εἰ εἰς τὴν εὐσέβειαν ἔχω ἐπιλήψιμόν τι, ἢ ἡ ζωή μου οὐκ ἔστιν ἐπισκοπική, οἱ κατήγοροί μου γινέσθωσαν κριταὶ, εἰ δὲ διὰ τὸν θρόνον σκανδαλίζονται, ἡ ἐμὴ ἐπιστασία ληψάτω ἐκ μέσου, καὶ ᾧ τινι ὁρίσεις δὸς τὸν θρόνον Ἀντιοχείας. ὅθεν καὶ ὁ Βασιλεὺς εὐλαβηθεὶς, ἀπέστειλεν αὐτὸν εἰς τὸν θρόνον αὐτοῦ. χρόνου δὲ συχνοῦ παρελθόντος, εἰς τὴν Ῥώμην πάλιν ἀφικόμενος ὁ Βασιλεὺς, τὰς αὐτὰς πάλιν ὑπὸ τῶν Ἐπισκόπων κατηγορίας ὑπέμεινεν, ὡς τὴν Φλαυϊανοῦ τυραννίδα μὴ καταλύων, ὁ δὲ λέγειν αὐτοὺς ἐκέλευσε τῆς τυραννίδος τὸ εἶδος

εἶδος, αὐτὸς εἶναι Φλαυϊανὸς λέγων, καὶ ἐκείνου σύνδικος γεγενῆσθαι, ἐκείνων δὲ λεγόντων ὡς οὐδύνανται δικάσασθαι Βασιλεῖ, παρῄνεσεν ὁμονοίᾳ τὰς Ἐκκλησίας συνᾶψαι καὶ διαλῦσαι τὴν ἔριν, καὶ τὴν ἀνόητον σβέσαι φιλονεικίαν. Παυλῖνός τε γὰρ ἐτελεύτησε πάλαι, καὶ Εὐάγριος οὐκ ἐννόμως προβέβληται, καὶ αἱ Ἐκκλησίαι τῆς Ἑώας τῆς Φλαυϊανοῦ προεδρίας ἀντέχονται, πρὸς δὲ, τὴν Ἑῴαν καὶ τὴν Ἀσιανὴν ἅπασαν καὶ Ποντικὴν, καὶ μέντοι καὶ τὴν Θρᾳκικὴν, κοινωνούσας ἔχει καὶ συνημμένας, καὶ τὸ Ἰλλυρικὸν δὲ ἅπαν ἐκεῖνον οἶδε τῶν κατὰ τὴν Ἀνατολὴν Ἐπισκόπων Ἡγούμενον. ταύταις εἴξαντες ταῖς παραινέσεσιν οἱ τῆς Ἑσπέρας Ἐπίσκοποι, καταλύσειν ὑπέσχοντο τὴν δυσμένειαν, καὶ τοὺς πεμφθησομένους δέξασθαι πρεσβευτὰς, Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ εἰκοστῷ τρίτῳ. ὅθεν ἀπέστειλεν εἰς τὴν Ῥώμην Ἐπισκόπους τινὰς καὶ ἄλλους τοῦ Κλήρου ὁ Φλαυϊανὸς, ὧν ἡγεῖτο ὁ Βερροίας Ἀκάκιος, καὶ οὕτως εἰρήνευσε. ταῦτα ὁ Θεοδώριτος. ἀλλὰ καὶ Θεόφιλος ὁ Ἀλεξανδρείας ὃς ἦν ἐσκανδαλισμένος μετὰ τοῦ Φλαυϊανοῦ, ἠγάπα γὰρ τὸ μέρος τοῦ Παυλίνου, μαθὼν τὴν τοῦ Ῥώμης εἰρήνην μετὰ τοῦ Φλαυϊανοῦ, ἢ κατὰ Σωκράτη καὶ Σωζόμενον, τὴν πρὸς τὸν Ῥώμης τοῦ Φλαυϊανοῦ πρεσβείαν, οὐ μόνον εἰρήνευσε μετ' αὐτοῦ, ἀλλὰ καὶ χάριν τοῦ τὸν Φλαυϊανὸν εἰρηνεῦσαι μετὰ τοῦ Ἐπισκόπου τῶν Ῥωμαίων συνήργησε, πέμψας Ἰσίδωρον τὸν Πρεσβύτερον πρεσβευτὴν εἰς Ἰταλίαν ἵνα ἔχωσιν αἱ Ἐκκλησίαι εἰρήνην. ἐψεύσθη ἄρα ἡ κατὰ Φωτίου Σύνοδος εἰποῦσα Φλαυϊανὸν οὐκ ἐδέξατο ἡ Ῥωμαίων Ἐκκλησία διὰ τὴν πρὸς τὸν Εὐστάθιον ἀγάπην, τοῦ δὲ Θεοδοσίου μεσιτεύσαντος προσήκατο αὐτὸν, πράξει ἕκτη, οὐ γὰρ ἐμεσίτευσεν ὁ Θεοδόσιος, ἀλλ' ἤλεγξε, καὶ ἐριστικοὺς καὶ φιλονείκους καὶ ἀνοήτους ἀπέδειξε τοὺς Δυτικοὺς Ἐπισκόπους, ἐν οἷς καὶ ὁ Πάπας, πρὸς οὓς καὶ ἡ πρεσβεία ἀπεστάλη, οὐ πρὸς μόνον τὸν Πάπαν ὡς εἰς μοναρχήν. ἀντιπαρέθετο δὲ ὁ Βασιλεὺς τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ πάσῃ, οὐ πᾶσαν τὴν Ἀνατολικὴν Ἐκκλησίαν, ἀλλὰ μόνους τοὺς ὑπὸ τὸν θρόνον Ἀντιοχείας Ἐπισκόπους, Ἀσίαν, Πόντον, Θρᾴκην καὶ Ἰλλυρικὸν εἰπών. τὸν Φλαυϊανὸν ὃν πάντες οἱ Δυτικοὶ Ἐπίσκοποι εἶχον ὡς τύραννον καὶ παράνομον, τοῦτον αὐτὸν αἱ Ἐκκλησίαι Ἀντιοχείας, Ἀσίας, Πόντου, Θρᾴκης καὶ Ἰλλυρικοῦ εἶχον γνήσιον Ἀντιοχείας Ἐπίσκοπον. καὶ πῦ τὸ τῶν παπιστῶν ὅτι ἡ Ῥωμαϊκὴ Ἐκκλησία τῶν ἐν Κωνσταντινουπόλει πατέρων κεφαλὴ, ὅπου μετὰ μέρους τῶν ἐν Κωνσταντινουπόλει πατέρων συγκρίνεται; μᾶλλον δὲ ὑπερτερεῖ τὸ μέρος πάντων τῶν Ῥωμαίων Ἐπισκόπων, ἐπειδὴ διὰ τῆς κοινωνίας τῶν ὀλίγων πρὸς τὸν Φλαυϊανὸν Ἐκκλησιῶν καταβάλλεται πᾶσα ἡ δυτικὴ δυσμένεια καὶ ἀνόητος φιλονεικία, εἰ δὲ καὶ ἔπεμψαν οἱ Ἀντιοχεῖς πρεσβείαν εἰς Ῥώμην, ἀλλ' ἔπεμψαν καὶ εἰς Ἀλεξάνδρειαν, καὶ δὴ καὶ ὁ Βασιλεὺς Θεοδόσιος ὁ μικρὸς ἔπεμψε πρεσβείαν εἰς τὸν Ἀντιοχείας Ἰωάννην, καὶ ὁ Ἰωάννης ἔπεμψεν εἰς τὸν ἅγιον Κύριλλον καὶ Παῦλον τὸν Ἐμέσης, καὶ ὁ μέγας Κωνσταντῖνος ἔπεμψε πρεσβείαν εἰς Ἀλεξάνδρειαν Ὅσιον τὸν Κουδρούβης, ἀλλ' οὐδὲν ἀπὸ τούτων προσεγένετο ἢ τῷ Θεοφίλῳ ἢ τῷ Ἰωάννῃ, ἢ τῷ Κυρίλλῳ, ἢ τῷ Ἀλεξάνδρῳ ἀξίωμά τι ἰδικὸν ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἄρα οὐδ' ἀπὸ τῆς πρεσβείας τοῦ Φλαυϊανοῦ ἐγένετο τῇ Ῥώμῃ τοιοῦτόν τι ἀξίωμα. ὅτι δὲ ἰσότιμος ἡ Ῥωμαϊκὴ Ἐκκλησία τῇ τῆς Ἀντιοχείας, καὶ ὅτι οὐκ ἦν ἡ μάχη Φλαυϊανοῦ καὶ τῶν Παπῶν, ἀλλὰ τῆς Ἐκκλησίας Ῥωμαίων καὶ τῆς Ἐκκλησίας Ἀντιοχέων, μάρτυς ἡ ἐν Καρθαγένῃ Σύνοδος λέγουσα Κανόνι ἑκατοστῷ τετάρτῳ, Ἤρεσεν ἔτι μὴν, ὥστε περὶ τῆς διχονοίας τῆς Ῥωμαϊκῆς καὶ Ἀλεξανδρινῆς Ἐκκλησίας πρὸς τὸν ἁγιώτατον Πάπαν Ἰννοκέντιον γραφῆναι, ὅπως ἑκατέρα Ἐκκλησία πρὸς ἀλλήλας εἰρήνην φυλάξωσιν, ἣν Κύριος παραγγέλλει. ἐν οἷς σημείωσαι ὅπερ ἔφημεν, ὅτι ἡ διχόνοια ἦν τῆς Ῥωμαϊκῆς καὶ Ἀλεξανδρινῆς Ἐκκλησίας πάσης πρὸς πάσαν δηλονότι, καὶ οὐχ ἰδικῶς τοῦ Ἀλεξανδρείας καὶ τοῦ Ῥώμης. δεύτερον, ὅτι ὡς τῆς Ἀλεξανδρινῆς Ἐκκλησίας ἐνοεῖτο μέρος ὁ Θεόφιλος, οὕτω τῆς Ῥωμαϊκῆς ἐνοεῖτο μέρος ὁ Ἰννοκέντιος. τρίτον, ἵνα ἡ μία Ἐκκλησία πρὸς τὴν ἑτέραν εἰρήνην φυλάξῃ, Ἐκκλησία πρὸς Ἐκκλησίαν, οὐχ ὑποτεταγμένη πρὸς ὑπερκειμένην, ἀλλ' ἰσότιμος πρὸς ἰσότιμον. ὃν γὰρ τρόπον ἔδει φυλάττειν τὴν εἰρήνην τὴν Ἀλεξανδρινὴν πρὸς τὴν Ῥωμαϊκὴν, τὸν αὐτὸν τρόπον ἔδει φυλάττειν τὴν εἰρείνην τὴν Ῥωμαϊκὴν πρὸς τὴν Ἀλεξανδρινήν. εἶπε δὲ ἡ Σύνοδος ἵνα γραφῇ πρὸς τὸν Ἰννοκέντιον τὰ περὶ εἰρήνης, ὡς προεδρεύοντα τῆς Δυτικῆς Συνόδου, οὕτω λοιπὸν καὶ τῷ ὀνόματι Φλαυϊανοῦ ἐννοητέον τὴν Ἐκκλησίαν Ἀντιοχέων, ἐπειδὴ ἡ τῆς Ἀντιοχείας Διοίκησις καὶ Ἐπαρχία συνδραμοῦσα κεχειροτόνηκεν αὐτὸν Ἀντιοχείας, ὡς ἐμαρτύρησεν ἡ δευτέρα Οἰκουμενικὴ, Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ ἐνάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι Δάμασος καὶ οἱ μετ' αὐτὸν Πάπαι παυλίνῳ καὶ εὐαγρίῳ Αἱρετικοῖς οὖσι χαριζόμενοι, τὸν Φλαυϊανὸν τῷ Βασιλεῖ διέβαλον.

Καὶ γὰρ οὐδὶ ἄλλό τι ἐξ ὧν προβάλλουσιν οἱ παπισταὶ, οὐδὲ διὰ τὸν Εὐστάθιον συνέβη τὸ παρὰ τῶν Παπῶν μῖσος

μῖσος πρὸς τὸν Φλαυϊανὸν, ἀλλὰ διὰ τὸν Αἱρετικὸν Παυλῖνον καὶ Εὐάγριον ὡς λευκότατα ἱστορεῖ ὁ Θεοδώριτος λέγων, διέμειναν τῷ μεγάλῳ Φλαυϊανῷ χαλεπαίνοντες, καὶ ταῦτα τοῦ Εὐαγρίου παρὰ τὸν ἐκκλησιαστικὸν προβεβλημένου θεσμὸν, μόνος γὰρ αὐτὸν ὁ Παυλῖνος προὐβάλετο, πολλοὺς Κανόνας κατὰ ταὐτὸν παραβὰς, ἀλλ' ὅμως τούτων οὐδὲν εἰδέναι θελήσαντες (οἱ Ῥωμαῖοι) τὴν Εὐαγρίου μὲν κοινωνίαν ἠσπάζοντο, κατὰ δὲ Φλαυϊανοῦ τὰς βασιλικὰς ἐκίνησαν ἀκοὰς, λόγῳ πέμπτῳ κεφαλαίῳ εἰκοστῷ τρίτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς Οὐϊταλίου ὑποκρίσεως πρὸς Δάμασον καὶ τοὺς Δυτικοὺς, καὶ τῆς Παυλίνου πρὸς τὸν μέγαν Ἀθανάσιον καὶ τὸν ἅγιον Ἐπιφάνιον ψευδευσεβοῦς ὁμολογίας.

Ἀλλὰ καὶ ὁ Οὐϊτάλιος ὑποκριθεὶς ὀρθόδοξος, ἐδέχθη ὑπὸ τῶν Δυτικῶν καὶ τοῦ Δαμάσου, ἀλλ' ὁ Δάμασος ὀρθόδοξος ὤν, εἰ καὶ ἐμέμφετο τὸν Φλαυϊανὸν, ἢ διὰ τοὺς ὅρκους οὓς ἱστορεῖ ὁ Σωκράτης καὶ Σωζόμενος, ἢ διὰ τὰς εἰρημένας αἰτίας, ὅμως εἰδὼς τὸν Οὐϊτάλιον ἀπᾴδοντα φρονοῦντα τῆς εὐσεβείας ἐδυσχέραινεν εἰς τὴν ἀπάτην ἣν ἔπαθεν ἐξ ἀτλότητος, ὡς ἱστορεῖ εἰς τὴν πρὸς Κληδόνιον ἐπιστολὴν αὐτοῦ ὁ μέγας Γρηγόριος, ὅστις καὶ περὶ ἑαυτοῦ λέγει, ὅτι ἐδέχθη πρὸς τὸ εὐσεβέστερον τοὺς Οὐϊταλίου λόγους, ὃν ὁ Δάμασος μεταδιδαχθεὶς, εἶχεν ὡς Αἱρετικὸν, καθὼς ἦν καὶ ἡ ἀλήθεια. σημείωσαι ὅτι ὁ ἅγιος Ἐπιφάνιος εἶχε φίλον τὸν Παυλῖνον, ἀλλὰ διὰ τὴν Αἵρεσιν αὐτὸν ἐμίσει, ὡς λέγει ὁ αὐτὸς Ἐπιφάνιος Αἱρέσει ἑβδομηκοστῇ ἑβδόμῃ. ὅστις ἔτι λέγει ὅτι ὁ Παυλῖνος ὑποκριθεὶς, δίδωσιν ὁμολογίαν εὐσεβείας τῷ μεγάλῳ Ἀθανασίῳ, ἣν λαβὼν καὶ ὁ Ἐπιφάνιος εἶχε τὸν Παυλῖνον ὡς εὐσεβῆ. τὴν μέντοι τοῦ Παυλίνου δυσσέβειαν ὁ μέγας Βασίλειος φανεροῖ εἰς τοὺς Δυτικοὺς γράφων, ὡς εἴρηται καὶ ῥηθήσεται.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ ὧν νομίζουσιν οἱ Λατῖνοι βεβαιῶσαι τὸν παπισμὸν, προσφέροντες ἐπιστολὰς τινὰς καὶ τὴν πρὸς Δάμασον τοῦ Ἱερωνύμου, ζητοῦντος μαθεῖν παρ' αὐτοῦ περὶ τῶν τριῶν ὑποστάσεων, καὶ ἀπορρίπτοντος Παυλῖνον, Μελέτιον καὶ Οὐϊτάλιον. ἐξ ὧν ἐπιστολῶν δείκνυται ἐνταῦθα μηδὲν συμπεραίνεσθαι μοναρχικὸν τοῦ Ῥώμης ἀξίωμα.

Σημειοῦσιν οἱ Λατῖνοι ἐν οἷς τὸν παπισμὸν νομίζουσι βεβαιοῦν, ὅτι ὁ Ἱερώνυμος περὶ τῶν τριῶν θεαρχικῶν ὑποστάσεων οὐκ ἠρέσκετο ἐν οἷς ἀπεκρίνατο αὐτῷ ὁ Ἀντιοχείας Παυλῖνος, ἀλλ' ἐζήτει μαθεῖν τὸ βέβαιον παρὰ τοῦ Ῥώμης Δαμάσου, καὶ προστίθησιν ὁ Ἱερώνυμος εἰς ἐκείνην αὐτοῦ τὴν ἐπιστολὴν πρὸς Δάμασον, ὅτι οὐ γινώσκω τὸν Παυλῖνον, ἀπορρίπτω τὸν Μελέτιον, τὸν Οὐϊτάλιον οὐκ οἶδα, καὶ εἴθε ὡσανεὶ ἑκαθέζου μετὰ τῶν δώδεκα κρῖναι, οὕτως ἀποκριθείης μοι τί ποιήσω, εἰ γὰρ καὶ ὁ Παυλῖνος ἐστὶ φίλος μετὰ τοῦ Ἐπιφανίου, ἀλλὰ παρὰ σοῦ ζητῶ τὸ βέβαιον. συνάγουσι λοιπὸν οἱ παπισταὶ καὶ ἐκ τούτων, ὅτι ὁ Ῥώμης ἐστὶ τῆς καθολικῆς Ἐκκλησίας μονάρχης. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι εἰς ἐκείνας τὰς ἐπιστολὰς (ἵλεώς μοι ὁ Ἱερώνυμος, εἰ εἰσὶν ἴδιαι αὐτοῦ) φέρεται ψεῦδος καὶ ἀδικία καὶ παρανομία, ψεῦδος, ὅτι λέγει ἐν αὐταῖς τὰς Αἱρέσεις πάντοτε πειράζειν τοὺς Ἀνατολικοὺς, καὶ εἶναι αὐτοὺς λάκκους μὴ ἔχοντας ὕδωρ, καὶ ὅτι ἐσκόρπισεν ἡ ἄσωτος Ἀνατολὴ τὸ φῶς τῆς ἀληθινῆς πίστεως, εἰς δὲ τὴν Δύσιν ἀνατέλλει ὁ Ἥλιος τῆς δικαιοσύνης, ἅπερ ἐστὶ ψεῦδος, ἐπειδὴ εἰς τὴν Ἀνατολὴν ἐπὶ Ἱερωνύμου εἰς μὲν τὴν Ἱερουσαλὴμ ἦν πάντοτε ἄκρα ὀρθοδοξία, εἰς δὲ τὴν Αἴγυπτον, Συρίαν καὶ ἕως τῆς Θρᾴκης εἰ ἦσαν καὶ πολλὰ σχίσματα Αἱρέσεων, ἀλλ' ἦσαν καὶ οἱ Θεολόγοι οἷς ὅμοιοι τοιοῦτοι ἄνθρωποι μεγάλοι οὐδέποτε ὤφθησαν μετὰ τοὺς Ἀποστόλους, οἵτινες καὶ τὴν δευτέραν Οἰκουμενικὴν Σύνοδον συνέστησαν. εἰς δὲ τὸ κοινὸν ἦσαν οἱ περισσότεροι ὀρθόδοξοι, Σωζόμενος βιβλίῳ τρίτῳ κεφαλαίῳ δεκάτῳ τρίτῳ. καὶ πῶς ὁ Ἱερώνυμος εἶπε τὴν Ἀνατολὴν ἄσωτον; εἶτα καὶ εἰς τὴν Δύσιν ἦν ὁ Μεδιολάνων Αὐξέντιος Ἀρειανὸς, ὃν ὁ Δάμασος μετὰ πολλῶν Συνόδων μόλις κατέβαλεν, καίπερ μέχρι τέλους τῆς ζωῆς αὐτοῦ ἄλλος Ἐπίσκοπος γενέσθαι εἰς τὰ Μεδιόλανα οὐκ ἐδυνήθη. οὐ μὴν ἀλλὰ καὶ Οὐρσάκιος καὶ Οὐάλης καὶ ἕτεροί τινες εἰς τὰ παίτα συνεργοὶ Κωνσταντίου Δυτικοὶ ἦσαν, καὶ ὁ Λιβέριος καὶ Φίληξ οἱ Πάπαι καὶ Ὅσιος ὁ Κουδρούβης ὑπέγραψαν εἰς τὸν ἀρειανισμὸν, καθὼς καὶ ὁ Βελλαρμῖνος μαρτυρεῖ εἶναι ἐν τῷ Βατικάνῳ τὴν ἐπιστολὴν τοῦ Λιβερίου ἣν ἔγραψεν ἐν τῇ Ἀνατολῇ βεβαιῶν τὸν Ἀρειανισμὸν, καὶ πῶς εἶπεν ὁ Ἱερώνυμος ὅτι εἰς τὴν Δύσιν ἔλαμπεν ὁ Ἥλιος τῆς δικαιοσύνης; ψεῦδος λοιπὸν συνέχεται εἰς τὰς ἐπιστολάς. ἀπὸ δὲ τοιούτων ἐπιστολῶν οὐδὲν ὑγιὲς συμπεραίνεται, καὶ δὴ συνέχεται καὶ παρανομία, ὅσον μὲν γὰρ περὶ τοῦ Παυλίνου, ἐπειδὴ καθὼς ὁ μέγας Βασίλειος γράφει τοῖς Δυτικοῖς, εἶχε καὶ ἡ χειροτονία αὐτοῦ ἐπιλήψιμον (ζῶντος γὰρ τοῦ

τοῦ Μελετίου ἐχειροτονήθη, καὶ ἐφρόνει καὶ τὰ τοῦ Μαρκέλλου) εἶχεν ὁ Ἱερώνυμος δίκαιον μὴ γινώσκειν αὐτὸν, καὶ εἰ ἦν καὶ φίλος τοῦ Ἐπιφανίου, καὶ ἔδωκε καὶ ὁμολογίαν ἤτοι ἔκθεσιν πίστεως τῷ μεγάλῳ Ἀθανασίῳ, ἀλλ' εἰ καὶ ὑπεκρίθη εὐσέβειαν, ὅμως ὢν παράνομος, ἦν ἀδιόρθωτος. ὅσον δὲ πάλιν περὶ τοῦ Οὐϊταλίου, ἐπειδὴ καὶ αὐτὸς ἦν παράνομος, ὡς χειροτονηθεὶς ὑπὸ μόνου Ἀπολιναρίου Ἐπίσκοπος Ἀντιοχείας, ζῶντος τοῦ γνησίου Πατριάρχου Μελετίου, καὶ φρονῶν καὶ τὰ τοῦ Ἀπολιναρίου, καὶ εἰ ἐδελέασε καὶ τὸν Δάμασον ὑποκρίσει, καὶ ἐνόμισεν αὐτὸν εὐσεβῆ, ἀλλ' ὕστερον διδαχθεὶς τὰ κατ' αὐτὸν ὁ Δάμασος ἐδυσχέραινεν, ὡς ὁ Θεολόγος μαρτυρεῖ Γρηγόριος, εἶχε δίκαιον ὁ θεῖος Ἱερώνυμος μὴ εἰδέναι αὐτὸν τὸν Οὐϊτάλιον, καὶ προσέτι ὡς παράνομον, καὶ ὡς ὑποκριτὴν, καὶ ὡς Αἱρετικόν. τὸν Μελέτιον μέντοι εἰπεῖν ὅτι ἀπορρίπτει, ἄδικον ἔργον ἐποίησε, πρῶτον, ὅτι ἦν γνήσιος Πατριάρχης Ἀντιοχείας, ἐπειδὴ ἐχειροτονήθη μετὰ Συνόδου καὶ Βασιλέως καὶ Κλήρου, καὶ μετὰ τῆς γνώμης τοῦ λαοῦ, καὶ μάλιστα οὔσης τῆς Ἀντιοχείας χωρὶς Ἐπισκόπου. δεύτερον, ὅτι ἦν ὁμολογητὴς, ἐπειδὴ διὰ τὸ διδάξαι τὴν τριάδα τῶν ὑποστάσεων, καὶ τὴν μονάδα τῆς θείας οὐσίας ἐνώπιον τοῦ Κωνσταντίου ἐξωρίσθη. τρίτον, ὅτι διὰ τὸ εἶναι ἅγιον τὸν Μελέτιον, ὁ Σαμοσάτων ἅγιος Εὐσέβιος τὸν χάρτην τῆς ψήφου αὐτοῦ τοῦ Μελετίου προέκρινεν ἀφαιρεθῆναι ὑπὸ τοῦ Κωνσταντίου τὴν χεῖρα αὐτοῦ, ἢ δοῦναι ὀπίσω, καὶ ἐφύλαττεν αὐτὸν εἰς τιμὴν τοῦ Μελετίου, καὶ αἰσχύνην τῶν Ἀρειανῶν, Θεοδώριτος λόγῳ δευτέρῳ κεφαλαίῳ τριακοστῷ δευτέρῳ. τέταρτον, ἐπὶ Ἰοβιανοῦ συνεκρότησε Συνόδον ἐν ᾗ καὶ οἱ Ἀρειανοὶ Ἐπίσκοποι ὡμολόγησαν τὴν εὐσέβειαν, καὶ ἐστήριξε τὴν ὀρθοδοξίαν. πέμπτον, εἰς τὴν ἐξορίαν ὢν τὸ δεύτερον, εἶχεν εἰς τὴν Ἀντιόχειαν τὸν Φλαυϊανὸν καὶ Διόδωρον, καὶ ἐστήριξαν τοὺς λαοὺς εἰς τὸ ὀρθόδοξον σέβας. ἕκτον, εἰς τὴν Ἀντιόχειαν τίνας κόπους ὑπέμεινε καὶ εἰς τὰς πέριξ Ἐπαρχίας διὰ τὴν ἀληθινὴν πίστιν, ὁ Θεοδώριτος τρανῶς ἀνακηρύττει. ἕβδομον, καὶ ὁ βασιλικὸς στρατηγὸς Σάπωρος γινώσκων αὐτὸν ἅγιον καὶ ὀρθόδοξον, ἐβεβαίωσεν εἰς αὐτὸν τὴν Ἀντιόχειαν, καὶ ἔδωκεν αὐτῷ τὰς Ἐκκλησίας βασιλεύσαντος Θεοδοσίου. ὄγδοον: ὁ μέγας Βασίλειος γράφων εἰς τὸν μέγαν Ἀθανάσιον ὑπερεπαινεῖ αὐτὸν, καὶ λέγει καὶ τοὺς Δυτικοὺς ἰσοψύχους εἰς τὴν αὐτὴν γνώμην ὑπαῤῥῆναι, ἤγουν τὸ τὸν ἅγιον Μελέτιον εἶναι γνήσιον Ἀντιοχείας Πατριάρχην, καὶ τοὺς ἄλλους δύο, ἤγουν Παυλῖνον καὶ Οὐϊτάλιον κυβερνεῖσθαι ὑπ' αὐτοῦ τοῦ Μελετίου οἰκονομικῶς, ἴσως ὡς στέφανος καὶ Βασιανὸς οἱ Μητροπολῖται Ἐφέσου ὑπὸ τῆς τετάρτης Συνόδου. ἔνατον, ὁ Βασιλεὺς Θεοδόσιος ὁ μέγας ὡμολόγησε τὴν ἁγιότητα αὐτοῦ ὡς εἴρηται ἀνωτέρω. δέκατον, ἦν Ἔξαρχος τῆς Οἰκουμενικῆς δευτέρας Συνόδου, καὶ τοσοῦτον ὥστε καὶ κοιμηθέντα τιμηθῆναι ὡς εἴρηται ὑπὸ τοῦ Νύσσης καὶ τοῦ Ναζιανζηνοῦ καὶ τοῦ Χρυσοστόμου. ἐνδέκατον, Ἔξαρχος ἦν τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, ἥτις συνέστη ἐν ἔτει κατὰ τινας μὲν, τριακοσιοστῷ ἑβδομηκοστῷ ὀγδόῳ, κατ' ἄλλους δὲ, τριακοσιοστῷ ὀγδοηκοστῷ ὑπὸ ἑκατὸν τεσσαρακονταὲξ Ἀνατολικῶν πατέρων, ἐν ᾗ τῶν ὑπὸ Μελέτιον καὶ Παυλῖνον πληθῶν διαμαχομένων περὶ προεδρίας, τῶν μὲν τὸν Μελέτιον δηλονότι θελόντων, τῶν δὲ τὸν Παυλῖνον, σχίσμα γέγονε, καὶ προσεδοκεῖτο καὶ στάσις, ἀλλὰ τῇ ἐπιεικείᾳ τοῦ Μελετίου παρ' ἐλπίδα εἰρήνη καὶ συμφωνία προὐξενήθη ὡς σημειοῖ ὁ Σωζόμενος βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ τρίτῳ, καὶ ὁ Νύσσης Γρηγόριος ἐπιστολῇ τῇ περὶ τοῦ βίου τῆς Μακρίνης, καὶ ἡμεῖς εἴπομεν ἐν ἀρχῇ τοῦ παρόντος βιβλίου, καὶ δὴ καὶ τὸ Συνοδικὸν φησὶ, Μελέτιος ἀνακληθεὶς (βασιλεύσαντος Γρατιανοῦ) ἐν τῷ οἰκείῳ θρόνῳ Ἀντιοχείας, θείαν καὶ ἱερὰν συνεκαλέσατο Σύνοδον, ἣ τὸ θεοποιὸν κυρώσασα Σύμβολον, καὶ τὰ ἑξῆς. ἐν γὰρ τῇ αὐτῇ Συνόδῳ ἡ τῆς καθολικῆς πίστεως ἀπηρτίσθη ὁμολογία, προστεθέντων κατὰ Ἀπολιναρίου καὶ ἄλλων Αἱρέσεων προσφόρων ἀναθεματισμῶν, καὶ ἐκτεθέντος Τόμου περὶ οὗ ἡ δευτέρα Οἰκουμενικὴ γράφουσα τοῖς Δυτικοῖς διαλαμβάνει, Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ ἑνάτῳ. πρὸς τούτοις ἡ Δαμάσου ἐπιστολὴ περὶ ἧς εἴπομεν ἀνωτέρω κεφαλαίῳ πέμπτῳ: καὶ ἔστι τοῦ πέμπτου λόγου Θεοδωρίτου κεφάλαιον δέκατον ἐδοκιμάσθη, ἐκυρώθη καὶ ἐπιστώθη ἑκατονπεντηκοντατριῶν Ἐπισκόπων ὑπογραφαῖς, ἀλλὰ δὴ καὶ ἐπιστολὴν ἔπεμψε πρὸς τοὺς ἐν Ἰταλίᾳ καὶ Γαλλίᾳ Ἐπισκόπους, ἥτις κεῖται ἐν ταῖς ἐπιστολαῖς τοῦ μεγάλου Βασιλείου, καὶ ἀριθμεῖται ἐπιστολὴ ἑξηκοστὴ ἑνάτη, εἶτα εἰπεῖν τινὰ ὅτι ἀπορρίπτει ὁ Ἱερώνυμος τὸν τοσοῦτον ἅγιον, παράνομον ἔργον ποιεῖ ὁ Ἱερώνυμος, καταφρονητὴς φαινόμενος τόσων ἁγίων, καὶ αὐτῆς τῆς Οἰκουμενικῆς Συνόδου. ἀλλὰ δὴ ἔνθα γράφει ὁ αὐτὸς περὶ τῶν σφαλμάτων Ἰωάννου Ἱεροσολύμων, λέγει πᾶσαν τὴν Ἀνατολὴν πλὴν Ἀθανασίου καὶ Παυλίνου ἡ Αἵρεσις τῶν Ἀρειανῶν κατεκράτησεν. ἀλλὰ ῥητέον ὅτι ἀρκεῖ τὰ εἰρημένα πρὸς ἀπόκρισιν, καὶ ὅτι Βαλδουῖνος ὁνομικὸς ἐν τῇ ἱστορίᾳ τῆς Ἀφρικῆς λέγει, ὅτι ὁ Σατανᾶς καὶ τὴν Δύσιν κατέδραμε, καὶ αὐτὸν τὸν Ῥώμης συνέτριψε, ἤτοι τὸν Λιβέριον καὶ Φίληκα. εἶτα ὁ Ἱερώνυμος οὗτος ἐστὶν ὁ λέγων ὅτι τὰ οὐράνια σώματα ἔμψυχά εἰσι, καὶ ἄλλα δέτινα μακρὰν ὄντα τῆς τε ἀληθείας καὶ εὐσεβείας εἶπε, καὶ ἰδὲ κατωτέρω κεφαλαίου δεκάτου τετάρτου Παράγραφον δέκατον πρῶτον, καὶ εἰ ἐν τοσούτοις μεγίστοις πράγμασιν ἠπατήθη, οὐ θαυμαστὸν εἰ μαχόμενος Ἰωάννῃ κατηγόρησε τῶν Ἀνατολικῶν, ἢ ῥητέον καὶ κατ' ἄλλον τρόπον ὑπὲρ Ἱερωνύμου, ὅτι ἐπειδὴ ἦν φίλος αὐτοῦ ὁ Δάμασος, διὸ ὁ Δάμασος γράψας τοὺς βίους τῶν πρὸ αὐτοῦ Παπῶν, ἔστειλεν αὐτοὺς

τῷ

τῷ Ἱερωνύμῳ ὄντι εἰς τὴν Βηθλεέμ, καὶ τὰ συγγράμματα ἐβεβαίωτε. τοίνυν ὡς Ῥωμαῖον Ῥωμαῖος καὶ ὡς φίλον περιεποιεῖτο φιλοκαλοῦντα. ἐπειδὴ ὁ Ἱερώνυμος ποίαν ἀνάγκην εἶχε μαθεῖν τὸ ὀρθόδοξον σέβας ἢ ὑπὸ τῶν Ἀντιοχέων ἢ ὑπὸ τῶν Ῥώμης ὧν αὐτὸς ὁ ἴδιος καὶ σοφὸς καὶ ὀρθόδοξος καὶ ἅγιος; ἀλλὰ δὴ καὶ εἰς τὴν Ἱερουσαλὴμ εἶχε κύκλωσιν. καὶ Ἰωάννην τὸν ὀρθοδόξως Πατριάρχας ἄγειν ἠθέλησε συμβάλλειν, ἀλλ' ὡς Ῥωμαῖος ἦν μετέωρος, ὅθεν φιλοκαλοῦντα, ἐκολάκευσε τὸν ὁμογενῆ, καὶ κατηγόρησε τῶν Ἀνατολικῶν. κλέπτεται γὰρ ἡ ἀλήθεια ἔλεγεν ὁ Θεολόγος ὑπ' ὀργῆς ἢ ὑπὸ μίσους, ἢ ὑπὸ φιλοσοφίας, ἅπερ καὶ τὸ δύο ἔπαθεν ὁ ἄνθρωπος τοῦ Θεοῦ. ὅλη δὲ ἦν μετέωρος, ἐφαίνη καθαπτόμενος καὶ τοῦ Ἱεροσολύμων Ἰωάννου ὡς ῥηθήσεται.

ΠΑΡΑΓΡΑΦΟΝ ε'.

Ὅτι οὐκ τῆς πρὸς Ἡλιόδωρον καὶ πρὸς Εὐάγριον ἀπιστολῆς τοῦ Ἱερωνύμου, καὶ οὐκ τοῦ κατὰ Λουκίφερος Διαλόγου, καὶ οὐκ τοῦ κατὰ Δίου βιβλίου πρώτου, καὶ οὐκ τοῦ πρεσβυτέρου τοῦ βιβλίου τοῦ Διδύμου, καὶ ἐξ ἄλλων αὐτοῦ λόγων δείκνυται ὅτι πρὸς τὴν μὴ οὖσαν ὅλως μοναρχίαν τινὰ τοῦ Ῥώμης ἀπὸ τῆς καθόλου Ἐκκλησίας, ὀνομάζει τὴν ῥωμαϊκὴν Ἐκκλησίαν Καθολικήν.

Πολλῶ ὅτι ὁ Ἱερώνυμος τὸν Πάπαν τῆς Ῥώμης οὐκ ἐφρόνει εἶναι μοναρχὴν τῆς καθόλου Ἐκκλησίας, ἐκ τοῦδε φανερόν, καθότι λέγει οὗτος ὁ πρὸς Ἡλιόδωρον ἀπιστολή, οὐκ εἰσὶν οἱ πάντες οἱ ἔχοντες τὰς χάρας τῶν ἁγίων, ἀλλ' οἱ ἀκολουθοῦντες τὰ ἔργα τῶν ἁγίων. καὶ ὁ πρὸς Λουκίφερος διάλογος φησί, τὰς μὴ κοσμικὰς τὴν χειροτονίαν κλῆσιν, ἀλλ' ἔργοις ἑπόμενον ἀπομιμουμένας, μὴ εἶναι τῆς Ἐκκλησίας τὰ χειρὸ, ἀλλὰ τῆς συναγωγῆς τὰ Ἀντιχείστου, τοιοῦτοι δὲ οἱ Λατῖνοι, πιστεύοντες εἰς τὸν Πάπαν, καὶ καλόμενοι παπισταί, ἄρα. ἀλλ' ὅλη ὁ Πέτρος μοναρχὴς τῶν Ἀποστόλων ἐφρόνει ὁ Ἱερώνυμος, ἀλλὰ μόνον πρῶτος τῶν ἀδελφῶν ὡς γηραιότερος, ὅθεν εἰς τὸ πρῶτον βιβλίον κατὰ τοῦ Διὸς πραγματεύμενος περὶ τοῦ ποτηρίματος τῆς παρθενίας, ἐρωτᾷ εἰ ὁ Ἐπισκήθιος ἦν ὁ πλέον ἠγαπημένος τοῦ Χριστοῦ, διότι οὐκ ἐπετράπη ἡ φρουτὶς τῆς Ἐκκλησίας τῷ Ἰωάννῃ, ἀλλὰ τῷ Πέτρῳ; καὶ ἀποκρίνεται, πάντες μὲν τὸ κόσμου ποτήριος ἐγεγόνει, καθὼς καὶ οἱ λοιποὶ Ἀπόστολοι οἱ ἀπὸ μιᾶς Ἐκκλησίας ἐφρόνιζον, ἀλλὰ πάσης τῆς Οἰκουμένης, ἔτι δὲ καὶ τῶν Ἀποστόλων ποτήριος, ἢ μόνῳ τῶν χαρίτων ἀγάπησις ποτήριος ἐστὶ τὸ μαρτύριον, ἐπειδὴ γὰρ ἦν ἡνίκα Χριστὸς ὁ Θεὸς ἠγέρθη ἐκ νεκρῶν, ἐπετράπη δὲ αὐτῷ ἡ Παύλου καὶ Θεοδώρου Μαρία, ἡ τιμὴ καὶ μισθὸς ὑπερέχουσα πᾶσαν τὴν Ἐκκλησίαν. σημείωσαι δὲ ὅτι πάντες τὸ κόσμου ποτήριος ἐστὶ τὸ μαρτύριον, ὅτι οἱ Ἀπόστολοι καὶ ὅτι πάσης τῆς Οἰκουμένης κοινῶς ἐφρόντιζον, καὶ ὅτι διὰ τὸ εἶναι νέον τὸν Ἰωάννην, ὁ Πέτρος εἶχε τὸ εἶναι πρῶτος τῆς ἀδελφότητος κατὰ τὴν τάξιν. ἐπειδὴ μηδοὲν εἶχον ἀξίωμα ὅπερ ἐκεῖνον καὶ οἱ λοιποὶ Ἀπόστολοι. ὅτι ὁ Ἱερώνυμος πρὸς τοὺς ἀντιβάλλοντας αὐτῷ τὴν αὐθεντίαν τῆς ῥωμαϊκῆς Ἐκκλησίας γράφει πρὸς Εὐάγριον, ὁ χρὴ ἄλλως νομίζειν τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, καὶ ἄλλως τῆς οἰκουμένης, καὶ ἡ Γαλλία καὶ ἡ Βρεττανία καὶ ἡ Ἀφρικὴ καὶ ἡ Περσία καὶ Ἰνδία καὶ πᾶσα τὰ βάρβαρα γένη σὺν Χριστῷ λατρεύουσιν, ἕνα τηροῦσι Κανόνα τῆς ἀληθείας. καὶ ἡ ἐξουσία (ἤγουν θεσπία) ζητεῖται, ὁποιασμήποτε μείζων ἐστὶ τῆς πόλεως ὅπου ἂν ἦ Ἐπίσκοπος ἐν Ῥώμῃ, ἢ ἐν Εὐγουβίῳ, ἢ ἐν Κωνσταντινουπόλει, ἢ ἐν Ῥηγίῳ, ἢ ἐν Ἀλεξανδρείᾳ, ἢ ἐν Ταρσῷ τῆς αὐτῆς ἐστὶν ἀξίας, καὶ τῆς αὐτῆς Ἱερωσύνης. ἡ δυνάμεις τοῦ πλούτου, ἢ τῆς πτωχείας τὸ ταπεινὸν, αὐτόθεν ἢ κατώτερον Ἐπίσκοπον ἡ ποιεῖ, πάντες γὰρ Διάδοχοί εἰσι τῶν Ἀποστόλων. καὶ μετ' ὀλίγον, ἀλλ' ἐρεῖς πῶς ἐν Ῥώμῃ πρὸς μαρτυρίαν τοῦ Διακόνου Πρεσβύτερος χειροτονεῖται; τίμιοι πρόσφορος πόλεως ἔθος; ἢ τὴν ὀλιγότητα ἐξ ἧς ἐγαννήθη ἡ ὀφρὺς εἰς Νόμος Ἐκκλησίας αἰώνιος; καὶ εἰς τὸν πρόλογον τοῦ βιβλίου τοῦ Διδύμου περὶ τοῦ ἁγίου Πνεύματος ῥητῶς Βαβυλῶνα καλεῖ τὴν Ῥώμην, καὶ τὰς κλεικὰς αὐτῆς γερουσίαν τῶν Φαρισαίων καὶ γραμματέων, καὶ φατρίαν τῶν ἀμαθῶν. καὶ πάλιν ἐν τῷ κεφαλαίῳ ὅτε τὸ πολυθρύλητον ἐκεῖνο ζήτημα ἐκινήθη, πότερον πίστει εἰς ἀπατίμιον ὁ μετὰ τὸν πρῶτον περὶ τοῦ βαπτίσματος δεύτερος μετὰ τὸ βάπτισμα γάμος; ὁμολόγα τοῦτο ἡ Ῥωμαϊκὴ Ἐκκλησία, γρηγόρει ὅμως ἰσχυρότατα ὁ Ἱερώνυμος, ὅθεν γράφει, αἱρεταύμοι ἡ καινὴ Αἵρεσις, ἡ πάλαι θανοῦσα ἔχιδνα τῷ σωτηρβῆσαι αἴσησι κάραν, ἧς ἐκ ἐξ ἑνὸς μέρους, ἀλλ' ὅλον λυμαίνεται τοῦ Χριστοῦ τὸ μυστήριον. ἀλλ' ἀνθίσατω ὁ Βελαρμῖνος λέγων, ὅτι ὁ Ἱερώνυμος γράφων πρὸς τὸν Δάμασον περὶ διαφορᾶς ὑσίας καὶ ὑποστάσεως, ὡδέ πως φησὶν, ὑπὸ ταύτῃ τῇ πέτρᾳ οἶδα οἰκοδομηθεῖσαν τὴν Ἐκκλησίαν, δέομαι ἵνα διὰ τῶν σῶν ὑπισολῶν δοθῇ ἄδεια ἢ τοῦ σιωπᾶν ἢ τοῦ λέγειν τρεῖς ὑποστάσεις. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι περὶ τούτου εἰπομὲν ἱκανῶς ἀνωτέρω Παραγράφῳ πέμπτῳ. δεύτερον, ὅτι δεῖ προσοιεῖσθαι λόγον πολλοῦ περί τινων ῥητῶν τῶν ἁγίων πατέρων ὅτε ἁπλῶς λέγουσιν, ἢ τινὶ χαριζόμενοι, ἢ κατ' ἔμφασιν ῥητορικὴν λέγουσιν, ἀλλὰ τῶν ῥητῶν αὐτῶν τίνα αὐτοὶ λέγουσι πολλαχοῦ καὶ ἀνωμαλάκτως ὥσπερ εἴρηται ἀνωτέρω ὅτι πολλάκις καὶ ἀνωμαλάκτως εἶπε περὶ τῆς ῥωμαϊκῆς

ῥωμαϊκῆς Ἐκκλησίας ὁ Ἱερώνυμος. τρίτον, ὅτι τὴν τιμὴν ἣν δίδωσιν ὁ Ἱερώνυμος τῷ Δαμάσῳ περὶ ταύτης τῆς ὑποθέσεως, παρέχει ὁμοίως καὶ Πέτρῳ τῷ Ἀλεξανδρείας, λέγει γὰρ αὐτῷ ὁμιλῶν διὰ τοὺς διώκοντας αὐτὸν ἐχθροὺς, Αἱρετικόν με μετὰ τῆς Δύσεως, Αἱρετικόν με μετὰ τῆς Αἰγύπτου, οὗτοι μετὰ Δαμάσου καὶ Πέτρου, ἀποδοκιματωσάσαν. καὶ πάλιν γράφων πρὸς τὸν αὐτὸν Πέτρον φησὶ, διὸ ᾧδε τοῖς σὺν σοὶ ὁμολογηταῖς ἕπομαι, ὅπερ ταὐτόν ἐστιν ὅτι ὁ Ἱερώνυμος ἀναμάρτητον ὁμολογεῖ τὴν Ἐκκλησίαν Ἀλεξανδρείας, ὅτι δὲ ἠρώτησαν καὶ ἄλλοι ἄλλους πατέρας Περὶ πίστεως, ἰδὲ ἀνωτέρω καὶ κατωτέρω ἐν πολλοῖς.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἐκ τῶν περὶ τῆς παραδόσεως τῶν Ἐκκλησιῶν εἰς τοὺς ὀρθοδόξους τοῦ Βασιλέως ῥητῶν, ἐκ τοῦ ἀπατηθῆναι τὸν Ῥώμης ὑπὸ Οὐϊταλίου, ἐκ τοῦ δεχθῆναι τὸν Ῥώμης τὸν παράνομον Εὐάγριον, ἐκ τοῦ παροραθῆναι τὸν Ῥώμης ὑπὸ τοῦ Θεολόγου, ἐκ τοῦ κοινωνῆσαι τὸν Ῥώμης τῷ Αἱρετικῷ Παυλίνῳ, ἐκ τῶν περὶ βοηθείας ἐπιστολῶν τοῦ μεγάλου Βασιλείου, ἐκ τῆς καταφρονήσεως τῶν παπικῶν ἐπιταγῶν ὑπὲρ Φλαυϊανοῦ, ἐκ τῶν τοῦ Ἱερωνύμου ῥητῶν, καὶ ἐκ τῆς πρὸ τὸν Ῥώμης καὶ τὸν Ἀλεξανδρείας προσταγῆς τῆς ἐν Καρθαγένῃ Συνόδου δείκνυται οὔτε μονάρχης ὁ Ῥώμης, οὔτε ἀναμάρτητος περὶ τὴν πίστιν, οὔτε ἐπὶ τῶν Συνόδων.

Ἔτι σημείωσαι ἐνταῦθα πρῶτον, ὅτι ὁ Θεοδώριτος λέγει, τὸν Θεοδόσιον τὸν Βασιλέα προστάξαι ὅτι ὅστις κοινωνεῖ κατὰ τὴν πίστιν τῷ Δαμάσῳ ἔχειν τὰς Ἐκκλησίας. ἀλλ' ὁ Σωζόμενος λέγει, ὅτι ὅστις κοινωνεῖ τῷ Ῥώμης Δαμάσῳ καὶ τῷ Πέτρῳ τῷ Ἀλεξανδρείας. ἔτι ὁ αὐτὸς φησὶν, τὸν Θεοδόσιον τὸν Βασιλέα Νόμον ἐκθέσθαι παραδοθῆναι τὰς πάντων Ἐκκλησίας τοῖς ἐν ὑποστάσεσι τριῶν προσώπων ἰσοτίμων καὶ ἰσοδυνάμων μίαν καὶ τὴν αὐτὴν ὁμολογοῦσι Θεότητα Πατρὸς Υἱοῦ καὶ ἁγίου Πνεύματος, τούτους δὲ εἶναι τοὺς κοινωνοῦντας Νεκταρίῳ, Τιμοθέῳ καὶ τοῖς τάδε Ἐπισκόποις, καὶ ἰδὲ ἀνωτέρω κεφαλαίου τεταρτου Παράγραφον τρίτον, καὶ βιβλίου ἑβδόμου κεφάλαιον ὄγδοον, ὥστε οὐχ εἷς, ἀλλ' οἱ πολλοὶ εἰκόνες τῆς εὐσεβείας. δεύτερον, ὅτι ὁ Δάμασος ὁ Πάπας τῆς Ῥώμης ὁ ἀναμάρτητος ἠπατήθη, καὶ ἐνόμιζεν ὀρθόδοξον τὸν Οὐϊτάλιον, καὶ μετεμελήθη οἷς ἔπραξε, καὶ γνῶθι ὅτι οὐκ ἀναμάρτητος ὁ Ῥώμης περὶ τὴν πίστιν, ἐπειδὴ εἰς τὰ περὶ πίστεως ἀπατᾶται καὶ μεταμέλεται. τρίτον, ὅτι τοῦ Παυλίνου ὡς ὑπὸ Ῥωμάνου χειροτονηθέντος ἀντιποιούμενοι οἱ Πάπαι, οὐκ ἐδυνήθησαν κατανοῆσαι τοὺς ἀντικειμένους τῷ Παυλίνῳ, καὶ μάλιστα Φλαυϊανὸν οἱ τρεῖς Δάμασος, Σιρίκιος καὶ Ἀναστάσιος ἐκδικηθῆναι οὐκ ἐδυνήθησαν, μαχόμενοι αὐτῷ ἔτη δεκαεπτὰ, καὶ πῦ τὸ ὅτι οἱ Πάπαι Ῥώμης ἐπὶ τῶν Πατριαρχῶν; καὶ τὸ ὅτι Πατριάρχας βάλλουσι καὶ ἐκβάλλουσι; τέταρτον, ὅτι μικρὰ φροντίσας ὁ Θεολόγος τοῦ Δαμάσου ἐδέχετο τὸν ἀποβεβλημένον ὑπ' αὐτοῦ Οὐϊτάλιον, καὶ λέγει καὶ τὸ αἴτιον, ὅτι οὕτω τοῦ θέλειν πείθοντος. πέμπτον, ὅτι ὁ Δάμασος καὶ ἡ ἐν Ῥώμῃ Σύνοδος τὸν Παυλῖνον εἶχον οἰκεῖον, ὅστις ἦν παρανόμως κεχειροτονημένος, καὶ δὴ φρονῶν καὶ τὰ Μαρκέλλου, καὶ πῶς ἀναμάρτητος; ἕκτον, ὅτι ὁ μέγας Βασιλειος γράφει οὐμόνον εἰς τὸν Ῥώμης καὶ τοὺς Δυτικοὺς, ἀλλὰ καὶ εἰς τὸν μέγαν Ἀθανάσιον περὶ βοηθείας. ἕβδομον, ὅτι οἱ Ῥωμαῖοι τὸν παράνομον Εὐάγριον ἐδέχοντο, καὶ ἐμίσουν τὸν Φλαυϊανὸν τὸν ἅγιον, καὶ πῶς ἀναμάρτητοι; ὄγδοον, ὅτι καταφρονεῖ ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος τῶν παπικῶν ἐπιταγῶν, καὶ βεβαιοῖ τὴν Ἀντιόχειαν τῷ Φλαυϊανῷ. ἔνατον, ὅτι ὁ Ἱερώνυμος ἰσχυρῶς καταβάλλει τὸ αὐτοκρατορικὸν καὶ ἀναμάρτητον τῶν Ῥωμάνων. δέκατον, ὅτι ἡ ἐν Καρθαγένῃ Τοπικὴ Σύνοδος προστάττει καὶ τοὺς δύο Πάπας Ῥώμης καὶ Ἀλεξανδρείας ἵνα εἰρηνεύσωσιν, ἐξ ὧν πάντων κατάδηλον γίνεται, ὅτι ὁ Ῥώμης μήτε μονάρχης τῆς Ἐκκλησίας, μήτε ἀναμάρτητος περὶ τὴν πίστιν, μήτε ἐπὶ τῶν Συνόδων, οὔτε μόνος οὔτε μετὰ τῆς ῥωμαϊκῆς Ἐκκλησίας. Ἐπιλέγουσιν οἱ αὐτοὶ, ὅτι τὸν Φλαυϊανὸν ὁ Ῥώμης ἐδικαίωσεν, ἄρα καθολικὸς Ἐπίσκοπος εἰς τὴν Ἐκκλησίαν. ἀλλὰ ῥητέον, ἡ Σύνοδος αὐτὸν ἐδικαίωσεν, οἱ δὲ Πάπαι μετὰ τὸ πολλοῖς κόποις καὶ μόχθοις ἀποδάσαι τοῦ βλάψαι αὐτὸν, μὴ δυνηθέντες, καὶ ἄκοντες εἰρηνεύσαν μετ' αὐτοῦ, οὐ μὴν καὶ συνεχώρησαν, ἐπειδὴ ἦν ὁμολογητὴς, ἅγιος, νομίμως ἐψηφισμένος καὶ κανονικῶς κεχειροτονημένος, καὶ ὑπὸ Οἰκουμενικῆς Συνόδου βεβαιωμένος, καὶ ὑπὸ τῶν Ἀνατολικῶν καὶ θρακικῶν καὶ ἰλλυρικῶν Ἐπισκόπων τῆς Ἑῴας Ἡγούμενος ἐγνωσμένος ὡς εἴρηται.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆ Ἱεροσολύμων θείας κυρίλλε, καὶ τῆς διπλῆς καθαιρέσεως αὐτῆ ὑπὸ τῶν Ἀρειανῶν, καὶ ἐφ' ὅτῳ τίνων κεχειροτόνηται, καὶ ὅπως ἔσχε ποτὲ περὶ τὴν πίστιν, καὶ περὶ Ἐπισκόπων Αἱρετικῶν ἀσεβησάντων τῆ Ἐκκλησίᾳ.

Εἰ καὶ ἔπομαι αὐτέρω ἱκανῶς περὶ τῆ ὁσίου κυρίλλε, ὅμως τὰ ἐλλιπῶς ἀπημάλια ἐκεῖ, σεσίδηρῳ νυῖ. γράφει ὁ Θεοδώρητος λόγῳ δευτέρῳ, κεφαλαίῳ ἑκτῳ, οὗτῳ ὅτι μετὰ τὸν ὁμολογητὴν Μάξιμον Κύριλλος τῆς Ἐπισκοπικῆς χάριτος ἠξιώθη, τῶν ἀποστολικῶν δογμάτων ἀσθύμως ὑπερμαχῶν, ἀλλ' ὁ Καισαρείας Ἀκάκιος μαχόμενος αὐτῷ, καὶ ἔχων συνεργὸς τινας ὁμοδόξους αὐτῆ, καθεῖλε τὸν Κύριλλον, καὶ δὴ καὶ ἐφυγάδευσεν. ἐπὶ δὲ τῆ Ἀντιόχειαν ἠνώχλει ἡ λύμη τῶν Ἀνομοίων, ἀπῆλθεν ὁ Κύριλλος εἰς Δεόδωρον τὸν Ταρσῆ, οὗπερ πέμψαντος τῆ Ἀκακίου τῆ καθαίρεσιν, εἰς ἀδοξίαν ὠνομίσθη, μήτε μὴν εἰς τὴν ὁσίου Σελευκείας Σιωόδου. ἔδοξε εἰς τὴν γνωσθεῖσαν ὑπὸ Βυζαντίῳ ὑπὸ τῶν περὶ Ἀκάκιον καὶ Εὐδόξιον αἱρετικωτάτων τῶν πεντήκοντα Ἐπισκόπων Σύνοδον, ἐπὶ παρουσίᾳ τῆ Βασιλέως Κωνσταντίου ὁ Κύριλλος, λέγει ὁ Σωζόμενος βιβλίῳ τεταρτῳ κεφαλαίῳ ἑκτῳ ἑβδόμῳ ὡς ἀποστολικῆ θρόνου Ἡγεμόνιος διεφέρετο Ἀκακίῳ, ἐγκαλῶν αὐτῷ ὡς πρεσβεύοντι τὸ Ἀνόμοιον, ὁ Ἀκάκιος ὅμως ἐγκαλῶν τῷ Κυρίλλῳ ὡς λέγοντι τὸν Υἱὸν τῷ Πατρὶ Ὁμοούσιον, καὶ πλάσας καὶ ἄλλας αἰτίας, ὡς ἔφημεν αὐτέρω, καθῆρκε πάλιν τὸν ἄνθρωπον τῆ Θεῆ. ἡ δευτέρα ὅμως Οἰκουμενικὴ Σιωόδος εἰς τὴν Ἱεροσολύμων αὐτῆς γράφει τῷ μακαρίῳ Δαμάσῳ καὶ τοῖς περὶ αὐτὸν Ἐπισκόποις καὶ λέγει, ὅτι γινώσκει Ἐπίσκοπον Ἱεροσολύμων τὸν Κύριλλον κανονικῶς ἐνδὸν τῶν ὑπὸ τῆ Ἐπαρχίᾳ χειροτονηθέντα πάλαι, καὶ πλᾶσα σεσὲ τῆς Ἀρειανῆς ὑπὸ διαφόρους τόπους ἀθλήσαντα. ἀλλὰ τινὲς λέγουσιν, ὅτι ἐχειροτονήθη ὑπὸ Αἱρετικῶν, ἐπειδὴ ἐστὶ γνώμη ἡμῶν, ὅτι ὁ Καισαρείας Ἀκακίου καὶ τινες Ἀρειανοὶ τῆς Παλαιστίνης Ἐπίσκοποι ἐκβαλόντες τὸν ὁμολογητὴν Μαξιμιανὸν, ἀντεισήγαγον χειροτονήσαντες τὸν Κύριλλον, τὸ δὲ λέγειν ἡ ἑβδόμη Σιωόδος εἰς τὴν πρώτην αὐτῆς πρᾶξιν, καταπολεμήσασα τῆ Νύσσης Γρηγορίῳ, γράφει γὰρ ὅτι ὁ Ἀκάκιος καὶ Πατρόφιλος Μάξιμον ἐξώσαντες, Κύριλλον ἀποκατέστησαν. ὁ δὲ Νύσσης γράφει εἰς τὸ ἐγκώμιον τῆ ἁγίου Στεφάνου, καὶ ὁ Σωκράτης εἰς τὸ ἱστορικὸν αὐτῆ, ὅτι ὁ Κύριλλος ἐκ μεταμελείας ἐσωσετέθη τῆ Ὁμοουσίῳ, ἴσως ὅμως ἀφ' τὸ φεύγειν τὰς περὶ Ἀκάκιον λέγοντας τὸ Ἀνόμοιον, καὶ σωθῆναι Σιλβανῷ τῆ Ταρσῆ, καὶ τοῖς περὶ αὐτὸν, οἵτινες καίτοι δεχόμενοι τὴν Θεότητα τῆ Υἱῆ, ἔλεγον τὸ καθ' ὑσίαν ὅμοιον, οὐκ ἐδέχοντο δὲ τὸ Ὁμοούσιον, ὃν τῷ κῇ Σελεύκειαν σωσεβείᾳ ἔτως ἦκουσε, ὅμως εἰ καὶ ἡμαρτυρία τῆς παρούσης Οἰκουμενικῆς Σιωόδου ἐστὶν ἀξιοπιστοτέρα, καὶ Θεοδώρητος καὶ ὁ Ἑρμείας συμμαρτυροῦσιν αὐτῆ περὶ τῆ Κυρίλλου, πλὴν καθ' ὑποθέσιν ἄν εἴη καὶ ὡς τινες λέγουσιν οὐκ μεταμελείας σεσωσεθὰς τῆ Ὁμοουσίῳ, καὶ ὑπὸ Αἱρετικῶν κεχειροτονημένος, λέγομεν ὅτι πολλοὶ καὶ ἄλλοι κατὰ καιροὺς τοιοῦτοι ἡ Ἐκκλησία ἐδέξατο, ὡς φαίνεται εἰς τὸ Νόμιμον, καὶ ἡ ἑβδόμη Οἰκουμενικὴ ὡς τῆ πρώτη αὐτῆς πρᾶξει μαρτυρεῖ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ Ἐπισκόπων ἀποβληθέντων τῶν Ἐπισκοπῶν, καὶ πάλιν δεκτῶν γενομένων καθὰ ὁ Ἱεροσολύμων Κύριλλος.

Ἀλλὰ καὶ τοῦτο τὸ τὸν ἅγιον Κύριλλον ἐξωσθῆναι τῆ θρόνου, σωέβη πολλάκις καὶ εἰς τὸν μέγαν Ἀθανάσιον. καὶ Εὐσέβιος ὁ Νικομηδείας καὶ Θεόγνις Νικαίας καθαιρεθέντες ὑπὸ τῆς πρώτης Σιωόδου, ἔδωκαν ὕστερον βιβλία ὁμολογίας τοῖς κορυφαίοις τῶν Ἐπισκόπων, καὶ ἔλαβον πάλιν τοὺς θρόνους αὐτῶν ὡς ἄρηται αὐτέρω. τὸν Ἀγκύρας Μακεδόνιον ἡ ὁσίου Κωνσταντινουπόλεως καθεῖλε Σιωόδος, ἀλλ' ἡ ὁσίου Σαρδικῆ διωμώσασα, ἔδωκεν αὐτῆ τὸν θρόνον αὐτῆ. ἐξορίζεται ὑπὸ τῆ δικῶντος Ἀναστασίου ὁ Παταραρχης Ἱεροσολύμων Ἠλίας, καὶ αὐτιχειροτονεῖται ὁ Ἰωαννης, ἀλλὰ καὶ οἱ δύο ἦσαν. ὁ μέγας Ἰουστινιανὸς ἐξώρισεν εἰς Ἀμάσειαν τὸν Εὐτύχιον Κωνσταντινουπόλεως, καὶ αὐτεισῆξε τὸν ἀποκρισιάριον Ἀντιοχείας Ἰωάννην, καὶ μετὰ δώδεκα χρόνους ὑπὸ Ἰουστίνου ἔλαβε τὸν θρόνον αὐτῆ πάλιν ὁ Εὐτύχιος. ὁ ἱερὸς Ἀναστάσιος ἐξωσθεὶς ὑπὸ Ἀντιοχείας ὑπὸ Ἰουστινιανῆ, μετὰ εἰκοσιτέσσαρα ἔτη ἀποθανόντος τῆ θαυμαστῆ Γρηγορίᾳ, ἔλαβε τὸν θρόνον. καὶ Φώτιος μετὰ Ἰγνάτιον λαμβάνει τὸν θρόνον Κωνσταντινουπόλεως. ἔτω καὶ μετὰ Χρυσόστομον ὁ Ἀρσάκιος καὶ Ἀττικὸς, ἀλλὰ καὶ τοὺς δύο ἡ Ἐκκλησία ἑορτάζει ὡς ἁγίους, ὡς μαρτυρεῖ τὸ κοινὸν Μηνολόγιον τῆς Ἐκκλησίας. ἀλλὰ δὴ καὶ μετὰ Καλλίνικον τὸν τυφλωθέντα ὑπὸ τῆ Ῥινοκόρητος σεσχειρίθη Κῦρος ὁ ἐξ Ἀμάσειας ὁ τὸν

254

τῶν Ῥ̓ώμης Σιλβέριον ἐξωθεῖ ὁ Βελισάριος, καὶ ἐχειροτονήθη Βιγίλιος, ἀλλὰ πάπας δεκτοί. ἀλλὰ καὶ τὸ Πάπα τῆς Ῥ̓ώμης Λιβερίε ἀκβληθέντος, ἐχειροτονήθη Φίληξ ὑπὸ Ἀκακίε Παλαιστίνης καὶ ἄλλων Ἀρειανῶν, καὶ μετὰ δύο ἔτη πάλιν λαμβάνει τὸν θρόνον αὐτῦ ὁ Λιβέριος σωθέμενος τῇ Ἀρειανισμῷ. καὶ Φίληξ ὑπὸ Ἀρειανῶν χειροτονηθεὶς σωὴν μετὰ τὸν ἐπάνοδον Λιβερίε ἐς τὸν θρόνον. τῦ ὠριγενίσαντος τῆς Ἐκκλησίας ὡς βλασφήμε ὑπὸ τῦ Ἀλεξανδρείας Ἡσαΐε, διὰ τὸ κοινωνῆσαι αὐτῷ πορδεμβίῳ εἰς Συρίαν ὁ Ἐπίσκοπος Θμυΐδος Ἀμμώνιος καθῃρέθη, καὶ αὐτασήχθη Φίλιππος, ὥρακλης δὲ ὅμως ὁ Πάπας Ἡράκλας ὑπὸ τῦ λαῦ τῆς πόλεως, σωεχώρησε τῷ Ἀμμωνίῳ τὸ ἁμάρτημα, καὶ ὥρισον εἶναι καὶ τὸς δύο ἐκεῖ Ἐπισκόπος, κύριε ὁ μακαρίε Φιλίππε ἦν ὑπηρέτε τάξει ἕως τέλος τῆς ζωῆς τῦ Ἀμμωνίε, καὶ ἄλλα τοιαῦτα σωέβη, ἅπερ ἰδὲ διεσαφυδίσαμεν εἰς τὸ παρῦσαν βίβλον. καὶ ταῦτα περὶ τῦ ἁγιωτάτε Κυρίλλε.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς ἐν Ἱερσολύμοις Ἀρχιερατείας Ἰωάννε, καὶ πῶν ἐτῶν τῆς Ἀρχιερατείας αὐτῦ, καὶ τῦ σὺν αὐτῦ Κυρίλλε. καὶ περὶ ὧν εἶδον ὁ Βασιλεὺς Ἀρκαδίες σημείων πολεμῶν Πέρσας.

Ἠκολούθησον ἀθλητὴς ἀθλητῇ τῷ ἁγίῳ Κυρίλλῳ Ἰωάννης ὁ Ἐλικῶν τῶν Χριστιανῶν, ὁ Παρναστὸς τῶν Μεσῶν, τῦ Χρυσοστόμε ὁ φίλος καὶ σύγχρονος, ὃς ἦλθεν εἰς τὸν θρόνον χρόνες δεκαεξ, κατὰ δὲ τὰς πλείονας ἱστορικὰς ἔκθεσις καὶ ἐννέα, ὡς καὶ ὁ Κυρίλλος τριάκοντα καὶ ἐννέα χρόνες, βασιλεύοντος Ἀρκαδίε, ὃς πολεμῶν ἐναντίον τῶν Περσῶν, εἶδον ἐς σημεῖα τῆς μελλόσης αὐτῦ νίκης ἐναερίας ἴριδας σαφεῖς ἐς τὰ ἐνδύματα τῶν στρατιωτῶν σεσημασμένας, ὅθεν σφοδρότερον ἐπέβαλον τοῖς Μονοταρίοις ἀντιπᾶν τὸν ζωοποιὸν Σταυρὸν εἰς τὰ νομίσματα αὐτῦ σὺν μνήμῃ θριαμβεύοντα καὶ ἀθλήσαντα.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῦ γένες τῦ Ἱερωνύμε, καὶ τῦ ἐν ᾧ οἰκήσας σωεγράψατο καὶ ἀπέθανε τόπε, καὶ τῆς παντοδαπῆς ἀσκήσεως αὐτῦ, καὶ ὧν ἔζησεν ἐτῶν.

Ἐμνήθημεν ἀνωτέρω τῦ ἁγίε Ἱερωνύμε, ὅμως λέγομεν περὶ αὐτῦ πλατύτερον, ὅτι ἦν τὸ γένος Δαλματίης, ἀπῆλθε δὲ καὶ κατῴκησεν εἰς τὴν Βηθλεέμ, καὶ ἐκεῖ σωέγραψεν, ἐκεῖ ἠσκήτευσεν, ἐκεῖ ἐθεολόγησεν, ἐκεῖ ἐκοιμήθη. ὅθεν καὶ σφάλλονται ὅσοι λέγεσιν αὐτὸν Διδάσκαλον Δυτικὸν, ὅτι καίπερ καὶ ἡ ἁγία τῦ Θεῦ Ἐκκλησία ἐδιακρίνει κατὰ τὴν εὐσέβειαν Ἰουδαῖον, Σκύθην, Ἕλληνα, ἢ βάρβαρον, ἤτε Ἀνατολικὸς καὶ Δυτικὸς Διδασκάλες λέγει, ἀλλ' ἁπλῶς ἁγίες πατέρας καὶ Διδασκάλες, ὅταν ὅμως διηγῆται τὸς τόπες τῶν ἁγίων, ὁ Ἱερώνυμος Ἀνατολικὸς ῥηθείη, καὶ Ἱεροσολυμίτης μᾶλλον ἢ Δυτικὸς, καθὼς καὶ ὁ Αὐγεστῖνος Ἀφρικανὸς καὶ ἀκὶ Δυτικὸς, καὶ Δυτικῶν ἅγιος. ἰδὲ ὁ ἅγιος πεπλὴν γλωσσῶν εἰδήμων, ὅθεν καὶ πανταγλωσσος ἐκλήθη, διότι σωὴν τῇ Ἑβραϊκῇ διαλέκτῳ ἐμάνθανε καὶ τὴν Ἑλληνικὴν καὶ τὴν Λατινικὴν εἰς τὸ ἄκρον, καὶ τὴν Ἐλληνικὴν, ὡς μαθητὴς τῦ Θεολόγε Γρηγορίε γενόμενος, καὶ ἐκείνων τῶν Χαλδαίων τῶν Περσῶν, καὶ τῶν Μήδων γέρων λίαν ὢν ἔμαθον. ἔζησε γὰρ χρόνες ἐνενηκονταεπτὰ, ἐτάφη δὲ εἰς τὴν ἁγίαν Βηθλεὲμ ὅπε τὸς χρόνες ἠσκήτευσεν, ὡς γράφει ὁ Μαρκελῖνος εἰς τὸ χρονικὸν αὐτῦ, καὶ ἀρκεῖ τὸ Ἑλλήνιον τῦ Κασσιανῦ ἐπὶς δεκαὲξ ἐφύμνιον, λέγει γὰρ, οὕτως Ἱερώνυμον τὸν ἐρθοδόξων ὁ καθηγητὴς, ἃ τὰ συγγράμματα λάμπουσιν ὡς Θεῖ καὶ λαμπάδες αἰθρίαι, καὶ φέγγεσιν ὡς ἥλιος καὶ ἀκτῖνες ἀπὸ τῆς Ἀνατολῆς ἕως εἰς τὴν Δύσιν. ἔτος ὁ ἅγιος ἔλεγεν, αἰσχύνομαι γέρων ὢν ἐραῦ ὅσα συνέγραψα νέος, ὡς λαβὼν ἐν χεροὶ γνῶσιν ἀκριβεσέραν τῶν πραγμάτων.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν συμβεβηκότων μεταξὺ Ἰωάννε Ἱεροσολύμων καὶ Ἱερωνύμε σκανδάλων, καὶ τῆς αἰτίας αὐτῶν, καὶ τῶν σκατέρε καθ' σκατέρε ἐπιστολῶν, καὶ ὧν παθητικῶς κατὰ τῆς ἀξίας τὰ θρόνε τῶν Ἱεροσολύμων ὁ Ἱερώνυμος ἔγραψε. καὶ ὅτι τὸ εἶναι τὴν Καισάρειαν Μητρόπολιν τῆς Παλαιστίνης, καὶ ὑποκεῖσθαι αὐτῇ

αὐτῇ τὸν ἱεροσολύμων ἐφόδρευτὰ ἐστιν Ἀκακίε τῦ τυφλῦ. ὃν δὲ τῶν ἐνταῦθα ῥητῶν τῦ Ἱερωνύμε, καὶ ὃν ἀθλαθέσεως εἴχεται τὸ μοναρχικὸν ἀξίωμα τῦ Ῥώμης.

Σωυέβη δὲ σκάνδαλον μεταξὺ τῦ Ἱεροσολύμων Ἰωάννε καὶ τῦ Ἱερωνύμε, ἀτόσον ὑπὲρ πίστεως, ὅσον ὑπὲρ ἐκκλησιαστικῆς τινὸς κατασάσεως, διότι καὶ εἰς τὰ λαμπρὰ πρόσωπα μεσιτδύει ὡς ἀνθρώπινα δῆθεν καὶ πήλινα κενιορτὸς παχύς τε καὶ βορβορώδης ἀναθυμιάσεως ἀφ' ταπεινοσιώτης ὑπολήθσιν καὶ τῆς ἀνθρωπότητος σύνθεξιν, ἀδὰς γὰρ ἀνδρ ἐύπε, κἂν ἡ ζωὴ αὐτῦ ἡμέρα μία. διὸ Γρηγόριος ὁ Νύσσης γράφων πρὸς Φλαυϊανὸν κῆ τῦ Καισαρείας Ἑλλαδίε ὑπερφανθέντος κατ' αὐτῦ, λέγει, ἐὰν δὲ τὼ ἀληθῆ τις ἐπιζητοίη τῆς ψυχῆς ἐλευθερίαν τε καὶ δ'γοίαν, ἐπίσης δῦλοι τῆς ἁμαρτίας ἀμφότεροι, ἐπίσης τῦ ἄρχοντος τὰς ἁμαρτίας δεόμεθα. ὅθεν καὶ ὁ Ἱερώνυμος ἐσυνάθισε καπκείνειν τὰς Ἀνατολικὰς, καὶ γίγνεθαι αὐτία εἰς μερικὰ σκανδαλα, πάλιν μθία ἀκατηγόρητος, ἐπειδὴ ἐν πᾶσι τοῖς λοιποῖς ὧ ἀνεπίληπτος ἦθ, ὅθεν καὶ ἅγιος. καὶ λοιπὸν εἰσῆλθον εἰς τὰς δύο τύτας ἁγίας ἔριδας τὴς καὶ μῆνις, ἵν' ἅπω καὶ ἀφηλόγως, περὶ μιᾶς χαρτονίας ἦν ἀνεπαίκτον ὁ ἱερεὺς Ἐπιφάνι εἰς τὰ ὄρια τῶν Ἱεροσολύμων ἐὰν Ἰωάννε ἀβάλως ἐν ἀφῇ γνώμω τῦ Πατριάρχε Ἰωάννε. ὁ Ἐπιφάνιος ἔλεγεν ἀνάκακίαν πεποιηκέναι τῦτο κῆ τὼ σωνήθειαν τῆς Κύπρε τῆς πατρίδος αὐτῦ, ὅπαγε ἀκωλύτως ἐχειροτόνων ὅσοι Ἀρχιερεῖς ἦρχοντο ἀπὸ ξόης Ἐπαρχίας. ὁ Ἰωάννης ἐκαθέλεγε τῦτο, ἀλλ' ἔλεγεν εἶναι ἀφῆ Κανόνας καὶ ἔξω τῶν ὁρίων, ὅθεν καὶ τὼ χειροτονίαν μὴ εἶναι κανονικήν. ὁ χειροτονηθεὶς δὲ ἔτυχεν εἶναι ἀδελφὸς τῦ Ἱερωνύμε Παυλινιανὸς τῷ ὀνόματι, νεανίσκος βραχύτι, καὶ τῷ αὐθεν τῆς ἡλικίας ἀκμάζων τὸ πρόσωπον. ἀφ' οὗ ἦλθοσαν εἰς ἄλλο, τὶ τὰ ποιὰ, κατηγορήθη ὁ Ἰωάννης ὡς ὑπερασπιστὴς τῶν δογμάτων τῦ Ὠριγένους, καθὼς καὶ ἄλλοι πολλοὶ, καὶ δὴ καὶ αὐτὸς ὁ Χρυσόστομος μόνον ὑπὸ τῦ Θεοφίλε, ἀλλὰ καὶ ὑπὸ τῦ ἱερᾶ Ἐπιφανίε, ὅς ἦς μετὰ τῦτο πρόσθεν καὶ πρωτοσκανδαλίθη ἀφ' τὼ χειροτονίαν ἣν προεποίησε πρὸς τὼ Θρᾴκιον, ὑποπίπτων τῷ Κωνσταντινοπόλεως, προφασιζόμενος τὸ εἶναι δῆθεν Ὠριγενιασὴν τὸν Χρυσόστομον. ἐξάλθησαν λοιπὸν γράμματα πρόσω ὑπὸ τῦ Ἰωάννε τῦ Ἱεροσολύμων εἰς τὸν Ἀλεξανδρείας Θεόφιλον καὶ εἰς τὸν Ῥώμης Σιρίκιον, ὅσον καὶ ὑπὸ τῦ Ἱερωνύμε εἰς τὰς αὐτὰς ποιμάς, πλὼ ἀφ' τὸ μὴ γνώσκειν αὐτὰς τὰ βάθη τῆς ὑποθέσεως, ἐκ πίστε τινὰ δόξαν εἶναι αὐτοῖς. ὁ Θεόφιλος ὅμως ἔπεμψε Πρεσβύτερόν τινα Ἰσίδωρον ὀνόματι ὡς ἂν θεωρήσῃ ὅλα τὰ καθ' αὐτὰ. ὁ δὲ Ἰσίδωρος γνὰς τὸ δίκαιον, ἀφώρισε καὶ ἐξεκκλησίασε τὸν Ἱερώνυμον, καὶ ἠπείλησε ἐξορίσαι αὐτὸν τῶν Ἱεροσολύμων, ἐὰν μὴ ἐκώλυσεν αὐτὸν τῆς Ῥωμαίας ἁγίας Παυλίνης ἡ Βηθλεὲμ, ἥτις μεσιτδύσασα ἐκώλυσε τὸν Ἱερώνυμον δῶρον τῆς εἰς τὸ ἔργον ὁρμῆς. σημέωσαι δὲ ἐκ τῆς τότε ἀπαλλάσης ὀπισολῆς τῦ Ἱερωνύμε δυό τινὰ πρῶτον, ὅτι ὁ αὐτὸς λέγει Πάπαν ἐξίσα τὸν Κύπρε Ἐπιφάνιον, τὸν Ἱεροσολύμων, καὶ τὸν Ῥώμης Δάμασον, καὶ ἐκ καὶ Πάπας ἐσὶ καὶ γνήσιον ὄνομα, ὃς καὶ ἐμαρτύρησεν ἐν τῇ Περσίδι εἰς τὸ Σάπωρος τὸν καιρὸν, ὅμως κοινολογεῖται καὶ εἰς τὸς Ἀρχιερεῖς ὡς προσηγορικὸν καὶ ὑπόθετον, καὶ πῶς ἔσω εἰς τὸν ἅγιον τάφον ἔτρεχον μικροὶ καὶ μεγάλοι καὶ ἠσπάζοντο τὸς πόδας τῦ ἁγίε Ἐπιφανίε ὅτε ἐξῆλθον εἰς τὼ λιτανείαν μετὰ τῦ Ἰωάννε τῦ Ἱεροσολύμων, ἐπειδὴ ἀπ' ἀρχῆς ἔλεψον ἀπ' ἐκείνε ζῆλον ὀφθόν καὶ ἡ ὑπόνοια. καὶ δεύτερον, πῶς ἐδίδαξον ὁ Ἐπιφάνιος ἔμπροσθεν τῦ Ἱεροσολύμων, καὶ ὁ Ἱεροσολύμων ἔμπροσθεν τῦ Ἐπιφανίε κατὰ τῶν Ἀνθρωπομορφητῶν, ὑνόμιζε γὰρ ὁ Ἱεροσολύμων τὸν Ἐπιφάνιον μετέχειν τῆς Αἱρέσεως τῶν Ἀνθρωπομορφητῶν. σὺ μόνον ἐρᾷμε πρὸς δικαίωσιν τῦ Ἰωάννε, ὅτι ἀνόμασον ὁ Ἐπιφανίς αὐτὸν αὐθεν κεχαρτωμθίαν, καὶ μεμισωμθίων, ἐκάλεσον αὐτὸν ἄτω, μεμαθητδυμθίς ὢν ὑπὸ τῦ Ἱερωνύμε τῦ ὀνομάσαντος αὐτὸν τὸν Ἰωάννιν δ'γλωπότερον τῦ Δημοσθένες, τῦ Χρυσίππε ὀξύτερον, τῦ Πλάτωνος σοφώτερον, οὐκ ἐὰν μὴ ἐθέλης πάντα μετασρέψαι πρὸς εἰρωνείαν, ὅπερ ἐσὶ σοφιτῦ ἔργον, καὶ οὐκ αὐθρὸς ἁγίε τῦ πάντε ἐφορῶντος πρὸς ἀλήθειαν, καὶ δὴ καὶ πολεμίε, τῦ μὴ κρύπτοντος ποτὲ τὼ ἀλήθειαν, ἀλλὰ καὶ ἀκουτὶ αὐτὼ φανερῦντος. πλὼ καὶ ὁ Ἰωάννης σωέγραψε κατὰ τῶν λεγόντων αὐτὸν Ὠριγενιασὴν βιβλίον ἀποδεικτικὸν, ἐν γὰρ ὢν αὐτῷ συκοφαντία, ἐπειδὴ ἐν ὀρθόδοξος. διείσκεται δὲ τὸ βιβλίον εἰς τὸν σύνατον Τόμον τῆς βιβλιοθήκης τῶν πατέρων. σωέταξε καὶ δεύτερον βιβλίον ὁ αὐτὸς, ὅπερ ἔγραψε πρὸς Καπρασῆνον τινὰ περὶ μοναδικῆς πολιτείας. ἐπειδὴ ὅμως ἡ φράσις τῆς δευτέρας ταύτης συγγραφῆς φαίνεται εἶναι λατίνων σωθεσις, καὶ μέμνηται καὶ τῦ σχίσματος τῶν Καρμιλιτῶν, ὅπερ ἐσὶν ὑστερογονές, δοκεῖ γεγράφθαι ὑπό τινος μεταγενεσέρε εἰς ὄνομα τῦ Ἰωάννε. ἔτι καὶ τέλος ἐν τῇ αὐτῇ ὑποσελῇ, ἤτοι τῦ Ἱερωνύμε τῇ πρὸς Παμμάχιον καὶ Ὠκεανὸν τῦ Ἱεροσολύμων Ἰωάννε. σημέωσαι πρῶτον, ὅτι ὁ Ἐπιφάνιος Πατὴρ τῶν Ἐπισκόπων καλεῖται, ὡς ἐκλήθη καὶ ὁ Ὅσιος ὑπὸ τῦ ἁγίε Ἀθανασίε. δεύτερον, ὅτι ἐγκαλῶν ὁ Ἱερώνυμος τῷ Ἰωάννῃ πέμψαντι εἰς Θεόφιλον τὸν Ἀλεξανδρείας πρεσβείαν κατ' αὐτῦ κῆ τῦ Ἐπιφανίε, ἐλέγετ ὅτι ἔδε αὐτὸν εἰς Ῥώμην πέμψαι τὰς πρέσβεις πρὸς τὸν καθόλε Ἐπίσκοπον, καὶ πάντων κεφαλὴν καὶ δεσπότην, ὡς λέγετ τὸν Πάπαν οἱ νῦν Λατῖνοι, ἀλλ' εἰπὼν τί πρὸς τὸν Ἀλεξανδρείας Ἐπίσκοπον ἡ Παλαισίνη πρόσκεται, ἐπήνεγκε τὼ

256

τὴν Καισάρειαν εἶναι πάσης τῆς Παλαιστίνης μητρόπολιν, τῆς Ἀναπολῆς δὲ τὴν Ἀντιόχειαν. ἢ ὃν ἐχρήσατο (ὦ Ἰωάννη) πρὸς τὸν Καισαρείας ἀναφέρειν τὴν κρίσιν, ἢ ἅπερ ἔθεσε πορρώθεν ἀπαιτῆσαι τὴν κρίσιν, πρὸς τὴν Ἀντιόχειαν ἔδει κατενθυμεῖσθαι τὰ γράμματα. ἀκούεις παπισὰ ἃ λέγει ὁ Ἱερώνυμος, ἢ ἅπερ ἔθεσε πόρρωθεν ἀπαιτῆσαι τὴν κρίσιν, πρὸς τὴν Ἀντιόχειαν ἔδει κατενθυμεῖσθαι τὰ γράμματα, ἃ λέγει πρὸς τὴν Ῥώμην, ὅπερ εἶπον αὖ, εἰ ἐγίνωσκε τὸν Ῥώμης Ἐπίσκοπον καινὸν εἶναι κριτὴν καὶ μοναρχίαν. εἰ γὰρ ἀγωνιζόμενος κατὰ τὸ Ἰωάννου ἔπεσεν, ὅτι ἔπρεπεν ἵνα κριθῇ ἐν τὸν Καισαρείας, ἢ εἰς τὸν Ἀντιοχείας ἢ καὶ εἰς τὸν Ἀλεξανδρείας, πολλῷ μᾶλλον εἶπεν αὖ πρὸς τὸν Ῥώμης, εἰ ἐγίνωσκεν αὐτὸν ἔχειν Ἐκκλησίαν ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἀλλ' οὐκ εἶπεν, ἐπειδὴ μήτε εἰς τὸν νεὸν τὸ Ἱερωνύμου ἦλθέ ποτε τοιοῦτον βέβηλον ἀξίωμα, ὡς ἴδοι εἰς ἄλλου τινὸς τῶν πατέρων, καὶ τοῦτο δηλόνεσι καὶ ἐξ ἑτέρων τρόπων τὸ Ἱερωνύμου ὡς εἰπόμην ἀνωτέρω. τέλος, ὅτι ἐθέλοντι παρέλιπε τὴν ἀληθειαν ὁ Ἱερώνυμος, τὴν Καισάρειαν εἰπὼν τῆς Παλαιστίνης Μητρόπολιν, καὶ ἁπλῶς καὶ τῆς Ἱερουσαλήμ, ὅπερ ὅτι οὐχ οὕτως ἔχει, ἴδε καὶ ἀνωτέρω βιβλίῳ δευτέρῳ κεφάλαιον τέταρτον. ὅθεν δικαίως δὴ τὴν κατάκρισιν, ἐπειδὴ λάσε τὸν λόγον, καὶ γὰρ εἰπὼν πρὸς τὸν Ἰωαννίου, σὺ ὀφείλεις τοὺς Ἐκκλησιαστικοὺς Κανόνας, καὶ χρῶμαι τοὺς Κανόνας τῆς ἐν Νικαίᾳ Συνόδου, καὶ περιώμαι τοὺς ἀλλοτρίους Κληρικοὺς τοὺς Διαβάντας μετὰ τῶν Ἐπισκόπων αὐτῶν ἐδιοποιεῖσθαι, δοκεῖ μοι τὶ πρὸς τὸν Ἀλεξανδρείας Ἐπίσκοπον ἡ Παλαιστίνη προσήκει, εἶτα δικαίως προσεπεῖν, ὅτι πρὸς τὸν Καισαρείας ἀνήκει ἡ τῶν Ἱεροσολύμων κρίσις, οὐκ ἐτόλμησεν εἰπεῖν τὸν λόγον ἀσπιλευμένως, ἀλλὰ συνέσειλεν αὐτὸν, προφάσεις ἐμὴ ἐμαυτὸν λανθάνω, ταῦτα ἐκεῖ ὁρίζεται, τουτέστιν εἰς τὸν ἐν Νικαίᾳ ἕβδομον Κανόνα. αὐτὸς δὲ ἰδὲ καὶ περὶ τούτου τὸν ἀστρῶον τόπον τῆς δευτέρας βιβλίου κεφαλαίῳ τεταρτῳ. ἀγωνιστικῶς λίαν εἶπε τὴν Ἀντιόχειαν πάσης τῆς Ἀναπολῆς Μητρόπολιν, καὶ Διαβατὸν καὶ τῆς Παλαιστίνης, ὅπερ καὶ τοὐναντίον ὅτι οὐχ οὕτως ἔχει, ἴδε τὸν αὐτὸν τόπον καὶ γνῶθι ὅτι μόνος καὶ πρῶτος ὁ Ἱερώνυμος τοῦτο εἶπε, καὶ οὐδεὶς ἕπεται. ὅτι δὲ ἡ Καισάρεια Μητρόπολίς ἐστι τῆς Παλαιστίνης, καὶ ὁ Ἱεροσολύμων ὑποκειται αὐτῇ, ἐμφανέστατά ἐστιν Ἀκακίῳ τῷ τυφλῷ τῷ Διαδόχῳ Εὐσεβίου τοῦ Αἱρετικοῦ καὶ μαχομένῳ μετὰ Κυρίλλου Ἱεροσολύμων περὶ πρωτείων, ὡς εἴρηται ἐν τῷ αὐτῷ τέρῳ σεσεχῶς κεφαλαίῳ, Ἀκακίῳ λέγω ἐκείνῳ τῷ συγχέαντος Ἀναπολὴν καὶ Δύσιν καὶ αὐτὴν τὴν παλαιὰν Ῥώμην, τοῦ ὑβαλόντος τὸν Λιβέριον ἐν ἀντισήξαντος τὸν Φίλικα, καὶ ἰδὲ κατωτέρω βιβλίῳ πέμπτῳ κεφαλαίῳ ἑνδεκάτῳ Παράγραφον τριακοστὸν δεύτερον, ᾧ καὶ Ἱερώνυμος πεσμονῇ δυλώσας κατακολούθησον, εἰ καὶ λίαν ματαίως. ἀλλὰ καὶ τὸ ὅτι ἡ Ἀντιόχεια Μητροπολίσεσι τῆς Ἀναπολῆς μάταιόν ἐστι, τοῦτο μὲν, ὅτι ἡ Παλαιστίνη οὐκ εἴρηται Ἀναπολή, τοῦτο δὲ, ὅτι ἐν τῇ ἑβδόμῃ Συνόδῳ Ἀναπολὴ λέγεται καὶ ἡ Παλαιστίνη καὶ ἡ Ἄγυπτος. ὡς τούτοις ὁ Ἰνβενάλιος ἐν τῇ τρίτῃ Οἰκουμενικῇ μεγαλοφώνως ἔλεγεν, ὅτι ἡ Ἱεροσολύμων μητρόπολις ἐστὶν ἁπασῶν τῶν ἐν Παλαιστίνῃ ἐπαρχιῶν Ἀναπολή λέγεται καὶ ἡ Παλαιστίνη καὶ ἡ Ἄγυπτος. ἐν τῇ τελευταίᾳ Οἰκουμενικῇ μεγαλοφώνως ἔλεγεν, ὅτι ἡ Ἱεροσολύμων μητρόπολις ἐστὶν ἁπασῶν τῶν ἐν Παλαιστίνῃ ἐπαρχιῶν, καὶ ὅτι ὁ Ἱεροσολύμων κρατεῖ τοῦ Ἀντιοχείας, καὶ ἰδὲ ἀνωτέρω βιβλίῳ δευτέρῳ, κεφαλαίου τεταρτου. ὥστε ὁ Ἱερώνυμος καὶ Αἱρετικοῖς Ἀκμαίοις λέγω ἠκολούθησε, καὶ αὐτοσχεδιαστικῶς εἶπεν, ὅτι ἁπλοῦν κρίνει ἡ Ἀντιοχείας τὸν Ἱεροσολύμων, ἐπειδὴ μᾶλλον ἀνατέθεσέσι τὸ αὐτοκράτορι. πέμπτον, ὅτι λέγει ὁ πάπας τέλος τῆς Ἐπιστολῆς, ὡς ὁ Ἐπιφάνιος ἔγραψε κατὰ τοῦ Ἰωάννου πρὸς τὸν Ῥώμης Ἀρχιερέα. ἐναντίον πρῶτον, ὅτι Ῥώμης Ἀρχιερέα εἶπεν, ἀκαθόλου Ἐπίσκοπον. δεύτερον, ὅτι ὡς ἔνεγκεν ὁ Ἐπιφάνιος πρὸς τὸν Ῥώμης κατὰ Ἰωάννου, οὕτως ἔνεγκεν ὁ Ἱεροσολύμων πρὸς τὸν Ἀλεξανδρείας κατὰ Ἐπιφανίου καὶ Ἱερωνύμου, ὡς δὲ ἀκ ἔδωκε τῷ Ἀλεξανδρείας ἢ τοῦ Ἱεροσολύμων γράφειν μοναρχικὸν ἀξίωμα, οὕτως ἀδὲ ἢ τοῦ Ἐπιφανίου γράφειν πρὸς τὸν Ἰώμης Ἀρχιερέα ἔδωκεν αὐτῷ καθόλου ἐξουσίαν. ἔγραψαν δὲ ἀμφότεροι, ὅτε Ἐπιφάνιος καὶ Ἰωάννης διὰ τὴν συμπάθειαν ἣν ἔχει Ἐκκλησίαν πρὸς Ἐκκλησίαν, ὡς εἰκὸς αὐτοῖς παλαιοῖς ἦσαν, ὅτι εἶπεν ὁ Ἱεροσολύμων πρὸς τὸν Ἀλεξανδρείας, σὺ μὲν ὡς ἄνθρωπος τοῦ ὠνοῦ καὶ δοσολικῆς κακοσμημένος χάριτι ἔχεις φρυτίδα πασῶν τῶν Ἐκκλησιῶν, ὥστε ἔλεγεν, ὅτι μὲν ὁ Ἀλεξανδρείας ἀχρεῖος ἐστὶν, ἐδὲν αὐτῷ πρόσηκε πρὸς τὰς λοιπὰς Ἐκκλησίας, ὅτε δὲ ἄνθρωπός ἐστι τοῦ Θεοῦ, καὶ δοσολικῆ χάριτι κεκοσμῆται, ἤτοι ἀρετῇ, σοφίᾳ καὶ ζήλῳ τῷ κατὰ Χριστὸν Διαλάμπει, δικαίως πρὸς τὰς Ἐκκλησίας πολλά. καὶ σημείωσαι, ὅτι κατὰ τοῦτον τὸν τρόπον εἴρηκεν ὁ Κωνσταντινουπόλεως Φλαυϊανὸς καὶ ἄλλοι πολλοὶ πατέρες δοσολικὸν ἄνδρα καὶ τὸν μέλλοντα ἔχοντα τὸν Ἐκκλησιῶν τὸν Ῥώμης Λέοντα, ἐμὲν εἶπον τοὺς ἀγεγραμμένους καὶ τοὺς ὀρθοτραπόντας τῆς ὀρθοδοξίας Ἐπισκόπους τῆς Ῥώμης τοιούτους εἶναι.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ἐν Ἱεροσολύμοις Ἀρχιερατείας Πραύλιος, καὶ τῶν ἐπὶ τῆς Ἀρχιερατείας αὐτοῦ, καὶ τῆς μετ' αὐτὸν Ἀρχιερατείας Ἰνβενάλιος.

Περὶ πᾶ τὸ τετρακόσια καὶ ἓξ ἔτη τῆς οἰκονομίας ἐκοιμήθη ὁ Ἱεροσολύμων Ἰωαννης, ἀρχιερατεύσας ὡς

ὡς εἴπομεν ἔτη εἰκοσιεννέα, ἢ κατ' ἄλλους τριάκοντα, καὶ ἐχρημάτισεν αὐτ' αὐτοῦ Πατριάρχης τῆς ἁγίας πόλεως ὁ Πραΰλιος. κατὰ τὴν ἐπωνυμίαν καὶ ἡ ἀρετὴ αὐτοῦ, ἱστορεῖ ὁ Θεοδώριτος βιβλίῳ πέμπτῳ κεφαλαίῳ τριακοστῷ ὀγδόῳ, ὃς καὶ τὸν ἤδη κοιμηθέντα Ἰωάννην καλεῖ θαυμάσιον. σφάλλει δὲ τὸ χρονικὸν τοῦ Καλλίστου τὸν Πραΰλιον Παυλῖνον ἐπονομάζον. ἐστάθη εἰς τὸν θρόνον ὁ Πραΰλιος ἔτη εἴκοσι. ἕτεροι δὲ αὐτῷ διδόασι μόνα ἑπτὰ, διδόντες τὰ πλείω ἔτη τῷ Ἰωάννῃ. μετὰ δὲ τὸν Πραΰλιον ἐκάθισεν εἰς τὸν θρόνον ὁ Ἰουβεναλιος, ὃς ἦν εἰς τὴν τρίτην καὶ τετάρτην τὰς Οἰκουμενικὰς Συνόδους, περὶ οὗ ὁ λόγος πολλάκις λέξει προϊών.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐπὶ τοῦ Ἰουβεναλίου γέγονε Πατριαρχεῖον τὰ Ἱεροσόλυμα κατὰ τὴν ψευδολογίαν τῶν σχισματοαιρετικῶν, ἀλλ' ἦν ἀνέκαθεν κατὰ τοὺς πάλαι ἱστορικοὺς καὶ κατὰ παράθεσιν.

Εἰ καὶ εἴπομεν ἀνωτέρω βιβλίῳ δευτέρῳ κεφαλαίῳ τετάρτῳ τὴν Ἱερουσαλὴμ εἶναι ἀνέκαθεν Πατριαρχεῖον, ἀλλὰ καὶ ἤδη ῥητέον ὅτι ἐκεῖνο τὸ παρὰ τῶν Σχισματοαιρεκῶν λεγόμενον, ὡς ὁ Ἰουβεναλιος ἀποκατέστη πρῶτος ἐπὶ τοῦ Πατριαρχικοῦ ἀξιώματος, ψεῦδος ἐστὶν, ἐπειδὴ μετὰ τῶν Πατριαρχῶν συναριθμεῖται ὑπὸ τῶν ἀρχαίων πατέρων ὁ Ἱεροσολύμων. φησὶ γὰρ ὁ Σωκράτης, τῆς μὲν ἐν Ῥώμῃ Ἐκκλησίας Δάμασος προΐστατο, τῆς δὲ Ἱεροσολύμων Ἐκκλησίας ἔτι Κύριλλος ἐκράτει, βιβλίῳ πέμπτῳ κεφαλαίῳ τρίτῳ. καὶ ὁ Θεοδώριτος, Ἀλεξανδρείας μὲν Κύριλλος Ἐπίσκοπος ἦν, τῆς δὲ Ἱεροσολύμων Ἐκκλησίας Ἰωάννης εἶχε τὴν προεδρίαν ἀνὴρ ἀξιάγαστος, Κύριλλον διαδεξάμενος. τῆς δὲ Ἀντιοχέων Ἀλέξανδρος, λόγῳ πέμπτῳ κεφαλαίῳ τριακοστῷ πέμπτῳ. καὶ Ἰννοκέντιον βονιφάτιος, καὶ Βονιφάτιον Ζώσιμος, καὶ τοῦτον Κελεστῖνος. ἐν Ἱεροσολύμοις δὲ μετὰ τὸν θαυμάσιον Ἰωάννην Πραΰλιος τὴν τῆς Ἐκκλησίας ἐπιστεύθη κηδεμονίαν, ἀνὴρ τῷόντι φερώνυμος. ἐν Ἀντιοχείᾳ μετὰ τὸν θεῖον Ἀλέξανδρον Θεόδοτος τῆς σωφροσύνης ὁμαργαρίτης τὴν τῆς Ἐκκλησίας προεδρίαν παρέλαβε, Θεοδώρητος λόγῳ πέμπτῳ κεφαλαίῳ τριακοστῷ ὀγδόῳ. Τιμοθέου καὶ Κυρίλλου τὸν βίον μεταλλαξάντων, διαδέχεται τὸν θρόνον Ἀλεξανδρέων Θεόφιλος, Σωζόμενος βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ δεκάτῳ τετάρτῳ. ἡγεῖτο δὲ τῆς Ῥωμαίων Ἐκκλησίας Σιρίκιος, τῆς ἐν Κωνσταντινουπόλει Νεκτάριος, Θεόφιλος δὲ τῆς ἐν Ἀλεξανδρείᾳ, καὶ Φλαυϊανὸς τῆς Ἀντιοχέων, καὶ Ἰωάννης τῆς Ἱεροσολύμων, Σωζόμενος βιβλίῳ ὀγδόῳ κεφαλαίῳ πρώτῳ. ἐν οἷς σημείωσαι ὅτι ὃν Ἰωάννην ὁ Ἱερώνυμος ἔψεγεν, ὁ Θεοδώριτος εἶπεν ἄνδρα ἀξιάγαστον καὶ θαυμάσιον. εἶτα ὃν τρόπον ἡ προεδρία καὶ τὸ ἡγεῖτο, καὶ τὸ προΐστατο, καὶ τὸ ἐκράτει, καὶ τὸ ἐπιστεύθη ἐννοεῖται ἐν τοῖς λοιποῖς θρόνοις, ὕτως ἐννοεῖται καὶ ἐν τῷ τῆς Ἱερουσαλὴμ, ἀλλαμὴν ἐκεῖ ἐννοεῖται ἀντὶ τοῦ Πατριαρχικοῦ ἀξιώματος, ἄρα καὶ ἐνταῦθα.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ προτροπῆς τοῦ Χρυσοστόμου πρὸς πάντας εἰς τὰ κατὰ Χριστὸν ἤθη, καὶ ἐπιμελείας αὐτοῦ ἐν πολλοῖς τόποις καὶ ἔθνεσιν εἰς ἀναίρεσιν τῶν Αἱρέσεων καὶ καταστροφὴν τῶν εἰδωλικῶν Ναῶν, καὶ περὶ τοῦ Οὐλφίλα Ἐπισκόπου Γότθων, καὶ ὧν ἔπραξε. καὶ περὶ Σκυθῶν καὶ Γότθων διασπορᾶς.

Ὁ Χρυσόστομος οὐ μόνον τοὺς Κληρικοὺς, ἀλλὰ καὶ τὴν Σύγκλητον παρεκίνει εἰς τὰ κατὰ Χριστὸν ἤθη, καὶ οὐ μόνον διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν, ἀλλὰ καὶ διὰ τῶν ἀριστερῶν. καὶ οὐ μόνον εἰς τὴν Κωνσταντινούπολιν, ἀλλὰ καὶ εἰς τὴν Ἀσίαν, καὶ τὸν Πόντον, καὶ τὴν Θρᾴκην, καὶ εἰς ἄλλους τόπους Ἀνατολῆς καὶ Δύσεως, Θεοδώριτος λόγῳ πέμπτῳ. καὶ περὶ Αἱρετικῶν τῶν εἰς τὴν Συρίαν πολλὰ ἔγραψε τῷ Ἀντιοχείας. καὶ εἰς τὴν Φοινίκην καὶ τὸν Λίβανον τινὰς εἰδωλικοὺς Ναοὺς προαπομείναντας, κατέστρεψε, καὶ ἔστειλε καὶ Ἀσκητὰς ἁγίους ἄνδρας καὶ μετέφερε τοὺς Εἰδωλολάτρας εἰς εὐσέβειαν καὶ τοὺς Σκύθας, ὅπου πρῶτος ὁ Ἱεροσολύμων Ἕρμων ἔσπειρε τὸν σπόρον τῆς εὐσεβείας ὡς ἀποστολικὸς ἄνθρωπος, καὶ εἶτα πολλοὶ ἄλλοι ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου ἐγένοντο Χριστιανοὶ, ἀλλὰ μαχομένου αὐτοῖς τοῦ Βασιλέως Οὐάλεντος, ὡς λέγει ὁ Θεοδώριτος βιβλίῳ τετάρτῳ κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ, οἱ Γότθοι περαιωσάμενοι τὸν Ἴστρον ἐζήτουν εἰρήνην μετὰ τοῦ Οὐάλεντος. ὁ δὲ Ἀρειανὸς Εὐδόξιος Ἐπίσκοπος ὢν τότε Κωνσταντινουπόλεως, μεταχειρισθεὶς τῷ συνήθει τῶν Αἱρετικῶν ψεύδει, ἔπεισεν Οὐλφίλαν Ἐπίσκοπον Γότθων ἀρειανίσαι, εἰπὼν οὐδογμάτων διαφορὰν, ἀλλὰ μεταίαν ἔριν ἐργάσασθαι τὴν διάστασιν.

ὁ Οὐλ-

ὁ Οὐλφίλας ὅμως εἰ καὶ ἀρειανίσε, πλὴν τότε τὰς θείας γραφὰς μετέβαλεν εἰς γλῶσσαν τῶν Γότθων, καὶ ἔμαθε τοὺς βαρβάρους αὐτοὺς κατὰ μέρος τὰ θεῖα λόγια, ἀλλὰ ὁ Χρυσόστομος διδάξας τινὰς πάλιν Σκύθας ἑλληνικὴν γλῶσσαν καὶ γράμματα, ὑπέστρεψε τοὺς ἄλλους εἰς τὸν κατάλογον τῶν ὀρθοδόξων, ἐν οἷς καὶ πολλοὺς τῶν Γότθων. ὅτι καίπερ καὶ οἱ κυρίως Σκῦθαι κατῴκουν τότε τὸ Ἀνατολικὸν τῆς Μαιώτιδος, καὶ οἱ Γότθοι τὸ Δυσικὸν, ἀλλ' ἐπειδὴ καὶ ἄλλα ἔθνη βορεινὰ ἐλέγοντο Σκῦθαι, ἐκ τοῦ πλεονάζοντος καὶ οἱ Γότθοι ἤκουον Σκῦθαι. καὶ Γότθοι εἰσὶ νῦν Χριστιανοὶ εἰς τὴν Ταυρόνησον. καὶ Γότθοι μετὰ τῶν Βανδάλων ἐστράτευσαν ἐπὶ Ὀνωρίου ἡγοῦ Θεοδοσίου κατὰ Ἰταλίας καὶ Ἀφρικῆς. λέγει δὲ ὁ Προκόπιος γοτθικῶν τετάρτῳ, Γότθοι Τετραξῖται καλούμενοι Ἀρειανοὶ, ποτὲ περὶ τὴν Μαιῶτιν παρὰ Ἰουστινιανοῦ Ἀρχιερέα ᾔτησαν, ἴσως τινὲς μείναντες Ἀρειανοὶ, καὶ ὀρθὰ ζητήσαντες τότε.

ΠΑΡΑ ΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ πόθεν ἤρξατο ἡ αἰτία, καὶ τίνα τὰ μέσα καὶ οἱ τρόποι τῆς πρώτης καὶ δευτέρας ἐξορίας τοῦ Χρυσοστόμου ὑπὸ τῆς Βασιλίσσης Εὐδοξίας.

Ὁ Χρυσόστομος ἐπιμελόμενος τῶν Ἐκκλησιαστικῶν πραγμάτων ἀποστολικῶς, ὑπὸ πολλῶν τῆς τε Συγκλήτου καὶ τοῦ Κλήρου ἀδίκως διατοῦτο ἐμέμφετο. ἐν τούτοις ἀναφανεῖσα ἐν Αἰγύπτῳ ἡ Αἵρεσις τῶν Ἀνθρωπομορφητῶν, ἠγωνίσθη κατ' αὐτῆς ἱκανῶς ὁ Ἀλεξανδρείας Θεόφιλος, ἀλλ' ἔχων εἰς ἔχθραν τέσσαράς τινας ἀρετῇ καὶ σοφίᾳ διαπρέποντας Ἀσκητὰς, καὶ συκοφαντήσας αὐτοὺς ὡς Ἀνθρωπομορφήτας, ἀλλὰ δὴ καὶ ἄλλας αἰτίας πλάσας κατ' αὐτῶν, ἠτίμησε καὶ ἀκοινωνήτους πεποίηκε. δόντες δὲ ἐκεῖνοι τόπον τῇ ὀργῇ, ἀνεχώρησαν εἰς Ἱεροσόλυμα, κἀκεῖθεν εἰς Σκυθόπολιν, ἔχοντες μεθ' ἑαυτῶν συναγωνιστὰς τῆς ἀσκήσεως ὀγδοήκοντα ἀδελφούς. αἰσθόμενοι δὲ ὅτι ὁ Θεόφιλος συσκευὴν ποιεῖται κατ' αὐτῶν εἰς Κωνσταντινούπολιν, ἐὰν δηλονότι ἀνέλθωσιν εἰς τὸν Βασιλέα αὐτοῦ κατειπεῖν, ἀνῆλθον καὶ οὗτοι εἰς Κωνσταντινούπολιν, οὓς ὁ Χρυσόστομος περιεποιήθη μὲν ὡς τιμίους ἄνδρας, καὶ μετέχειν ἔδωκεν εὐχῆς, οὐ μὴν καὶ ἐκοινώνησεν αὐτοῖς, ἐπειδὴ ὡς εἴρηται ἦσαν ἀκοινώνητοι παρὰ τοῦ Θεοφίλου, ἔγραψεν ὅμως τῷ Θεοφίλῳ ἵνα συγχωρήσῃ αὐτοῖς, ἐπειδὴ καὶ ἦσαν ὀρθόδοξοι. ὁ Θεόφιλος μέντοι γινώσκων τὸν Χρυσόστομον τῆς ἀληθείας σφοδρῶς ἀντεχόμενον, καὶ διατοῦτο μὴ δυνάμενος παιδεῦσαι τοὺς Ἀσκητὰς, συρράπτειν ἤρξατο αἰτίας κατ' αὐτοῦ. καὶ λοιπὸν εἰδὼς ὅτι ἐχρῆτο τοῖς Ὠριγένους συγγράμμασι, πρῶτον μὲν ἐπιτηδεύεται καὶ φιλιοῦται μετὰ τοῦ Ἐπιφανίου Κύπρου, ὄντος ἐπ' ἀρετῇ διαβεβοημένου, μεθ' οὗ εἶχε πολυχρόνιον ἔχθραν δι' ἄλλα, καὶ διὰ τὸν Ἱεροσολύμων Ἰωάννην, ὃν καὶ ἔπεισε καὶ ἤθροισε τοὺς Ἐπισκόπους τῆς Κύπρου, καὶ ἀνεθεμάτισε τὰ βιβλία τοῦ Ὠριγένους, εἶτα καὶ αὐτὸς ὁ Θεόφιλος Σύνοδον τῶν ὑπ' αὐτῷ Ἐπισκόπων ἀθροίσας, τὰ αὐτὰ τῷ Ἐπιφανίῳ πεποίηκεν. ἔγραψεν ὁ Ἐπιφάνιος τῷ Χρυσοστόμῳ ἵνα ποιήσῃ κατὰ τοῦ Ὠριγένους τὰ ὅμοια, ὁ δὲ οὐ προσεῖχεν οὔτε αὐτῷ οὔτε τῷ Θεοφίλῳ. οὖλθον εἰς Βυζάντιον ὁ Θεόφιλος καὶ ὁ Ἐπιφάνιος, καὶ πολλὰ μογήσαντες, οὐδὲν ἐδυνήθησαν κατὰ τοῦ Χρυσοστόμου, μήτε κατὰ τῶν Ἀσκητῶν. ἀλλὰ τοῦ Χρυσοστόμου λόγον εἰπόντος κατὰ τῶν γυναικῶν, ἔπεισαν οἱ γεννᾶδαι τὴν Βασίλισσαν πιστεῦσαι κατ' αὐτῆς εἰρῆσθαι τὸν λόγον. συνῆλθον οὖν εἰς ἓν τῶν Κληρικῶν αἱ μέμψεις, τῶν κακοποιῶν τὸ μῖσος, τοῦ Θεοφίλου καὶ τῶν Αἰγυπτίων Ἐπισκόπων ὁ δόλος, τῶν Ἀσιανῶν Ἐπισκόπων οὓς καθεῖλεν ὁ ἅγιος ἡ ἀπέχθεια, καὶ τῆς Βασιλίσσης ἡ λύπη. καὶ διὰ τούτων ἠθροίσθη Σύνοδος εἰς τόπον Δρῦν καλούμενον, ἐν ᾗ καλέσαντες τὸν ἅγιον καὶ μὴ ἀπαντήσαντα, καθεῖλον. τίνα δέ εἰσιν ἅπερ κατηγόρουν αὐτοῦ, ἱστορεῖ ταῦτα μάλιστα ὁ ἱερὸς Φώτιος ἀναγνώσει πεντηκοστῇ ἐνάτῃ. ἐπειδὴ οὖν τετράκις κληθεὶς Οἰκουμενικὴν ἐπεκαλεῖτο Σύνοδον, οὐδὲν ἕτερον ἐπαιτιώμενοι, πλὴν ὅτι κληθεὶς οὐχ ὑπήκουσε, καθεῖλον αὐτὸν, εἶτα ἐξώρισεν αὐτὸν ὁ Βασιλεύς. ἀλλ' ἔτι ὄντα ἐν τῷ στομίῳ τοῦ Εὐξείνου Πόντου, ἡ Βασιλὶς δεήσει τοῦ δήμου, ὥς φησιν ὁ Σωζόμενος, ἢ διὰ φρικτὰ ὀνείρατα, ἅπερ εἶδεν, ὡς λέγει ὁ Θεοδώριτος, ἔπεισε τὸν Βασιλέα καὶ ἐπανήγαγεν αὐτὸν ἀπὸ τῆς ἐξορίας, καὶ εἰσῆλθεν εἰς τὴν Ἐκκλησίαν. τοῦ Θεοφίλου δὲ καὶ τῶν περὶ αὐτὸν φυγόντων εἰς τὰ ἴδια, συνῆλθον ἐν Κωνσταντινουπόλει ἀμφὶ ἑξήκοντα Ἐπίσκοποι, ἄκυρά τε τὰ ἐν τῇ Δρυῒ πεπραγμένα, καὶ τὸν Ἰωάννην ἔχειν τὴν Ἐπισκοπὴν ἐψηφίσαντο. ἀλλὰ μεταταῦτα περί τινα Ἀνδριάντα τῆς Βασιλίσσης ἐγγὺς ὄντα τῆς Ἐκκλησίας ὀχλαγωγούντων τινῶν δῆθεν εἰς τιμὴν τῆς Βασιλίσσης, καὶ τοῦ Χρυσοστόμου κωλύοντος, ἀνεζωπύρησεν ἡ Βασιλὶς τὸ κατ' αὐτοῦ μῖσος, καὶ Σύνοδον Ἐπισκόπων συστήσασα, καθεῖλε πάλιν αὐτὸν ἐπ' αἰτίᾳ καὶ μόνῃ ὅτι ἄνευ ἀθῳώσεως Συνόδου ἀνέλαβε τὴν Ἐπισκοπὴν, καὶ τέλος πάντων ἐξώρισεν ἀμεταστρεπτὶ, ἅτινα ἰδὲ Σωκράτους βιβλίῳ ἕκτῳ, καὶ Σωζομένου βιβλίῳ ὀγδόῳ, καὶ Θεοδωρίτου λόγῳ πέμπτῳ.

ΠΑΡΑ

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ τὶς πρῶτον εἰς χορὸν δεξιὸν καὶ ἀριστερὸν τὸν Ναὸν ἐμέρισε.

Ποῖον δὲ πρῶτον εἶναι τὸν μερίσαντα εἰς χορὸν δεξιὸν καὶ ἀριστερὸν τὸν Ναὸν, θέλει ὁ Θεοδώριτος εἰς τὸ δεύτερον βιβλίον ὑπάρξαι τὸν Φλαυϊανὸν τὸν ὕστερον γενόμενον Ἀντιοχείας, καὶ Διόδωρον τὸν γενόμενον Ταρσοῦ, τῷ ψάλλειν αὐτοὺς ἀμοιβαίως τοὺς ψαλμοὺς τοῦ Δαβὶδ εἰς τὴν ἐπικράτειαν τῶν Ἀρειανῶν κατὰ τὴν Ἀντιόχειαν, τοῦ μέρους ὄντας τοῦ Μελετίου. ὅμως ὁ Σωκράτης νομίζει τὸν Θεοφόρον Ἰγνάτιον πρῶτον τοῦτο πεποιηκέναι, ὀπτασίαν Ἀγγέλων ἑωρακότα διὰ τῶν ἀντιφώνων ὕμνων τὴν ἁγίαν Τριάδα ὑμνούντων, βιβλίῳ ἕκτῳ κεφαλαίῳ ὀγδόῳ. ἄλλοι ὅμως τοῦτο ἀναφέρουσιν εἰς τοὺς Ἑβραίους τοὺς περάσαντας τὴν ἐρυθρὰν θάλασσαν, καὶ ἄλλοι πρὸς τοὺς παῖδας τοὺς ἀντιφωνοῦντας τὸ ὡσαννὰ μετὰ Βαΐων, μόνος δὲ ὁ Σοῦϊδας ἐφαντάσθη τὸν Βασιλέα Κωνσταντίον. ἀλλὰ καὶ ὁ Χρυσόστομος ἐγένετο αἰτία τινῶν παννυχίδων καὶ ἀντιφώνων, ἀντιπράττων εἰς τοὺς τότε Αἱρετικοὺς Ἀρειανοὺς τοιαῦτα ἐπιτηδεύοντας, Σωκράτης βιβλίῳ ἕκτῳ κεφαλαίῳ ὀγδόῳ, καὶ Σωζόμενος βιβλίῳ ὀγδόῳ κεφαλαίῳ ὀγδόῳ. ὁ δὲ Ἀναγνώστης Θεόδωρος ἱστορεῖ, ὅτι Ἄνθιμος καὶ Τιμοκλῆς οἱ Ποιηταὶ τῶν τροπαρίων κατὰ φατρίας διῃρέθησαν, καὶ ὅσοι ἦσαν εὐφημοῦντες τὴν ἐν Χαλκηδόνι Συνόδον, ἦσαν ἀπὸ τῆς φατρίας τοῦ Ἀνθίμου, ὅστις Ἄνθιμος καὶ τὰς παννυχίδας παρεσκεύασε γίνεσθαι. οἱ δὲ Μονοφυσῖται συνήγοντο μετὰ τοῦ Τιμοθέου, ὥστε παλαιά ἐστιν ἡ εὕρεσις τῶν τροπαρίων. ποῖα δέ ἐστιν ἐν τῇ Ἐκκλησίᾳ τὰ δεξιὰ καὶ ποῖα τὰ ἀριστερὰ, ἰδὲ βιβλίου δεκάτου, μέρους τρίτου, κεφαλαίου δεκάτου Παράγραφον ἔνατον.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ ἀντιθέσεως τῶν παπιστῶν, συναγόντων εἰς τῆς πρὸς τὸν Πάπαν Ἰννοκέντιον ἐπιστολῆς τοῦ Χρυσοστόμου περὶ τῶν συμβάντων αὐτῷ τὸ μοναρχικὸν ἀξίωμα τοῦ Ῥώμης, καὶ περὶ ἀναιρέσεως τῆς μοναρχικῆς ἐξουσίας τοῦ Ῥώμης ἐξ αὐτῆς ταύτης τῆς ἐπιστολῆς, καὶ ἐξ ἄλλων πολλῶν ἐξαχῶς, καὶ περὶ τοῦ κύρους τῆς ἐσχάτης κρίσεως τῶν Οἰκουμενικῶν Συνόδων.

Καὶ ἀπὸ τῶν συμβάντων τῷ Χρυσοστόμῳ οἱ παπισταὶ σπουδάζουσι δεῖξαι τὸ αὔθαδες τοῦ Ῥώμης ἀξίωμα. καὶ δὴ λέγουσιν ὅτι ὁ Χρυσόστομος ἔπεμψεν ἀνθρώπους πρὸς τὸν τότε Ῥώμης Ἐπίσκοπον Ἰννοκέντιον, ἐγκαλῶν τῷ Θεοφίλῳ καὶ τοῖς περὶ αὐτὸν ὡς ἀδίκως αὐτὸν καθελοῦσιν. ἐπειδὴ δὲ οὐκ ἔγραψεν εἰς ἕτερον τινὰ Πατριάρχην, ἀλλ' εἰς μόνον τὸν Ῥώμης, δῆλον ὅτι ὁ Ῥώμης μοναρχης ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ. Ἀλλὰ ῥητέον πρὸς ταῦτα πρῶτον, ὅτι ἅπασα ἡ περὶ τὸν Χρυσόστομον ἀληθὴς ἱστορία τῇ Συνόδῳ καὶ μόνῃ δίδωσι τὸ ἔσχατον κῦρος καὶ οὐ τῷ Ῥώμης, ὅθεν φησὶν ὁ Σωζόμενος βιβλίῳ ὀγδόῳ ὅτι τῶν ἀπ' Αἰγύπτου Ἀσκητῶν ἐποδυραμένων πρὸς τὴν Βασίλισσαν κατὰ τοῦ Θεοφίλου, ἡ Βασιλὶς (οὐκ εἶπε κρῖναι τὰ κατ' αὐτοὺς τὸν Ῥώμης ἢ τὸν Κωνσταντινουπόλεως) εἴρηκεν, ἐμοὶ μελήσει Συνόδου καὶ τῆς Θεοφίλου ἀφίξεως, κεφαλαίῳ δεκάτῳ τρίτῳ. δεύτερον, ὁ Ἀλεξανδρείας Θεόφιλος καὶ ὁ Ἐπιφανίος Κύπρου ἰδίᾳ αὐθεντίᾳ Συνόδους ἀθροίσαντες κατέκριναν τὴν Αἵρεσιν τῶν Ἀνθρωπομορφητῶν καὶ τοῦ Ὠριγένους, οὐδαμῶς δὲ τοῦ Ῥώμης ἐμνήσθησαν, μάλιστα ὁ Ἐπιφανίος πρὸς τοῦ Χρυσοστόμου καὶ τῶν ἐν Κωνσταντινουπόλει παρευρεθέντων Ἐπισκόπων ᾔτει τὴν συμψήφισιν, βιβλίῳ τῷ αὐτῷ κεφαλαίῳ δεκάτῳ τετάρτῳ. τρίτον, ὁ Χρυσόστομος καλούμενος εἰς κρίσιν πρὸς τῶν εἰς τὴν Δρῦν συνελθόντων, οὐκ ἐκαλέσατο τὸν Ῥώμης, ἀλλ' ἐμήνυσε διὰ Δημητρίου Πισινοῦντος Ἐπισκόπου μὴ ἀποφεύγειν τὴν κρίσιν, ἕτοιμον δὲ εἶναι, εἰ πρότερον μάθοι τοὺς κατηγόρους καὶ τὴν γραφὴν ἐπισκέψαιτο, ἐπὶ μείζονος ἀπολογεῖσθαι Συνόδου, μὴ γὰρ αἱρεῖσθαι ἀνόητόν τι ὑπομένειν καὶ περιφανῶν ἐχθρῶν ἀνέχεσθαι δικαστῶν. καὶ ἐπεὶ δὲ τετράκις κληθεὶς, Οἰκουμενικὴν ἐπεκαλεῖτο Σύνοδον, οὐδὲν ἕτερον ἐπαιτιώμενοι, πλὴν ὅτι κληθεὶς οὐχ ὑπήκουσε, καθεῖλον αὐτὸν, βιβλίῳ τῷ αὐτῷ κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ. τέταρτον, ἐπανακληθεὶς ἀπὸ τῆς ἐξορίας, καὶ διατρίβων περὶ τὸν Ἀνάπλουν, καὶ καλούμενος εἰς Κωνσταντινούπολιν, παρῃτεῖτο τὴν εἰς τὴν πόλιν εἴσοδον πρὸ κρίσεως μείζονος Συνόδου, βιβλίῳ τῷ αὐτῷ κεφαλαίῳ δεκάτῳ ὀγδόῳ. πέμπτον, συνῆλθεν ἐν Κωνσταντινουπόλει Σύνοδος ἑξήκοντα Ἐπισκόπων, καὶ ἄκυρα ποιησαμένη τὰ ἐν τῇ Δρυῒ κατ' αὐτοῦ, ἐδικάνωσεν αὐτὸν, βιβλίῳ τῷ αὐτῷ κεφαλαίῳ δεκάτῳ ἐνάτῳ. ἕκτον, γράψας εἰς τὸν Πάπαν Ἰννοκέντιον, οὐκ ἐζήτησε παρ' αὐτοῦ τὴν ἀνάκρισιν, οὐκ εἶπεν αὐτὸν κριτὴν ἢ μοναρχὴν, ἢ καθόλου Ἐπίσκοπον, ἀλλ' ἐζήτησε παρ' αὐτοῦ συμπάθειαν καὶ σπουδὴν κατὰ τῶν ἀδίκων, ἢ τέως Οἰκουμενικὴν Σύνοδον, λέγει γὰρ ἐν τῇ ἐπιστολῇ, παρακαλῶ τὴν ὑμετέραν ἀγάπην διαναστῆναι καὶ συναλγῆσαι καὶ πάντα ποιῆσαι ὥστε στῆναι ταύτῃ τὰ κακά. καὶ κατωτέρω, μαθόντες τοίνυν ἔπειτα κύριοί μου τιμιώτατοι, τὴν προσήκουσαν ὑμῖν ἀνδρείαν καὶ

καὶ σπουδὴν ἐπιδείξασθε, ὥστε παρανομίαν τοσαύτην ἐπελθοῦσαν ταῖς Ἐκκλησίαις ἀναστεῖλαι, καὶ ἐπιστεῖλαι παρακλήθητε. τὰ μὲν οὕτω παρανόμως γεγενημένα, ἀπόντων ἡμῶν καὶ ἐκ μιᾶς μάρας καὶ οὐ παραιτησαμένων κρίσιν, μηδεμίαν ἔχειν ἰσχὴν, ὥσπερ οὖν οὐδὲ ἔχει τὴν οἰκείαν φύσιν, τοὺς δὲ τοιαῦτα παρανομήσαντας ἐλεγχομένους τῷ ἐπιτιμίῳ ὑποβάλλεσθαι τῶν ἐκκλησιαστικῶν Νόμων. ταῦτα ὁ Χρυσόστομος ἐν τῇ ἐπιστολῇ τῇ πρὸς τὸν Ῥώμης, ἐξ ὧν συνάγεται ἡ συμπάθεια καὶ ἡ σπουδὴ καὶ τὸ συναλγεῖν. ἐπιλέγει δὲ, εἰ δὲ βούλοιντο καὶ νῦν τοιαῦτα παρανομήσαντες ἐγκλήματα γυμνάζειν, δικαστηρίου καθίσαντος ἀδεκάστου, καὶ δικασόμεθα, καὶ ἀπολογησόμεθα, καὶ τῆς Οἰκουμένης παρούσης ἀποδύσασθαι τὰς αἰτίας, καὶ δεῖξαι ἑαυτὸν ἐν ἅπασιν ἀθῷον ὄντα, ταῦτα ἐξ ὧν ὁ Χρυσόστομος δείκνυσι τῶν Οἰκουμενικῶν Συνόδων εἶναι τὴν ἐσχάτην κρίσιν. ὥστε καὶ ἐκ τῆς ἐπιστολῆς ταύτης οὐδὲν ὠφελήθη ἡ περὶ τοῦ ῥωμαϊκοῦ ἀξιώματος τῶν παπιστῶν ἀντίθεσις.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι καὶ ἐκ τῆς τοῦ Ἰννοκεντίου τοῦ Ῥώμης ἐπιστολῆς πρὸς τὸν τῆς Κωνσταντινουπόλεως Κλῆρον, ἀναντιῤῥήτως δείκνυται τὸ ἄκρον τῆς Οἰκουμενικῆς Συνόδου ἀξίωμα ἐπὶ πάντων.

Ὅτι δὲ ταῦτα οὕτως ἔχει, καὶ ὁ Ἰννοκέντιος οὐκ ἐξουσιαστικῶς οὐδὲ ὡς μοναρχὴς μετεχειρίσθη τὰ περὶ τὸν Χρυσόστομον, ἀλλὰ κατὰ τοὺς Νόμους τῆς Ἐκκλησίας Οἰκουμενικὴν ᾔτει γενέσθαι Σύνοδον, μάρτυς ὁ ταῦτα κατὰ πλάτος ἱστορῶν Σωζόμενος λέγων, μαθὼν δὲ Ἰννοκέντιος ὁ Ῥωμαίων Ἐπίσκοπος τὰ κατὰ Ἰωάννου πεπραγμένα ἐχαλέπαινε, καὶ τῶν μὲν κατέγνω, Οἰκουμενικὴν δὲ Σύνοδον συνεγεῖραι σπουδάζων, ἔγραψεν Ἰωάννῃ, ἐν μέρει τε τῆς Κωνσταντινουπόλεως κληρικοῖς, ἑκατέραν τε ἐπιστολὴν ἐκ τῆς Ῥωμαίων φωνῆς εὑρὼν, παρεθέμην. ταῦτα ὁ Σωζόμενος. καὶ ἐν μὲν τῇ πρὸς τὸν Χρυσόστομον ἐπιστολῇ οὐδὲν ἕτερον ὁ Ἰννοκέντιος λέγει, εἰ μὴ παρακλήσεις τινὰς, πρὸς δὲ τὸν ἐν Κωνσταντινουπόλει κλῆρον γράφων, ἐπαίρει πάλιν τὸ τῆς Οἰκουμενικῆς Συνόδου ἀξίωμα, λέγει γὰρ, ἀλλὰ τί κατὰ τῶν τοιούτων νῦν ἐν τῷ παρόντι ποιήσομεν; ἀναγκαία ἐστὶ διάγνωσις συνοδικὴ ἣν καὶ πάλαι ἔφημεν συναθροιστέαν, μόνη γάρ ἐστιν ἥτις δύναται τὰς τῶν τοιούτων κινήσεις καταστεῖλαι καταγίδων, ἧς ἵνα τύχωμεν χρήσιμον τέως ὑπερτίθεσθαι τὴν ἰατρείαν τῇ βουλήσει τοῦ μεγάλου Θεοῦ, καὶ τοῦ Χριστοῦ αὐτοῦ τοῦ Κυρίου ἡμῶν, πάντα ὅσα νῦν τῷ φθόνῳ τοῦ διαβόλου πρὸς τὴν τῶν πιστῶν δοκιμασίαν τετάρακται, παραμυθήσεται, οὐδὲν ὀφείλομεν τῇ στερότητι τῆς πίστεως παρὰ τοῦ Κυρίου ἀπελπίσαι, καὶ γὰρ ἡμεῖς πολλὰ σκεπτόμεθα, ἓν τρόπον ἡ Σύνοδος Οἰκουμενικὴ συναχθείη, ὅπως τῇ βουλήσει τοῦ Θεοῦ αἱ ταραχώδεις κινήσεις παύσωνται, βιβλίῳ ὀγδόῳ κεφαλαίῳ εἰκοστῷ ἕκτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Ὅτι οὐ μόνον τῷ Ῥώμης, ἀλλὰ καὶ ἄλλοις πολλοῖς ὁ Χρυσόστομος ἔγραψε περὶ τῶν συμβάντων αὐτῷ, καὶ οὔτε μόνος ὁ Ῥώμης, ἀλλὰ καὶ ἄλλοι ὅμοιοι αὐτῷ ἐξ αὐθεντίας ἰδίας οὐκ ἐκοινώνησαν τοῖς τοῦ Χρυσοστόμου ἐχθροῖς.

Οὐ μόνον εἰς τὸν Ῥώμης ἔγραψεν ὁ Χρυσόστομος, ἀλλὰ καὶ εἰς πολλοὺς ἄλλους διὰ τὴν αὐτὴν αἰτίαν, καὶ ὅτι οὐ μόνον ἡ Ἐκκλησία Ῥωμαίων μόνη ἀπέβαλε τὴν κοινωνίαν τῶν καθελόντων τὸν Χρυσόστομον, ἀλλὰ καὶ ἄλλοι πολλοὶ ἐξ αὐθεντίας ἰδίας. ὁ Θεοφάνης γράφει, Ἰννοκέντιος ὁ Ῥώμης καὶ ὁ Φλαυϊανὸς Ἀντιοχείας οὐκ ἐκοινώνησαν τῇ ἀποβολῇ Ἰωάννου, ἀλλὰ διὰ γραμμάτων τῆς Κωνσταντινουπόλεως τὸν Κλῆρον παρεμυθήσαντο, καὶ ἐδυσχέραινον ἐπὶ τοῖς τολμήμασι. καὶ σημείωσαι καὶ τὸν Θεοφάνην ὅτι καὶ πρὸς τὸν Φλαυϊανὸν ὁ Χρυσόστομος ἔγραψεν ὥσπερ καὶ εἰς τὸν Ῥώμης, καὶ διὰ ταῦτα ὁ Φλαυϊανὸς ἔγραψεν εἰς Κωνσταντινούπολιν ὥσπερ καὶ ὁ Ῥώμης, εἰ καὶ τὰ γράμματα οὐχ εὑρίσκονται, λέγει ὅμως ὁ Σωζόμενος, ἐτελεύτησε δὲ καὶ Φλαυϊανὸς μὴ συνθέμενος τῇ Ἰωάννου καθαιρέσει, καὶ διαδέχεται τὴν Ἀντιοχέων Ἐκκλησίαν Πορφύριος, καὶ ἐπειδὴ συνῄνεσε τοῖς τοῦ Χρυσοστόμου ἐχθροῖς, πολλοὶ τῶν ἐν Συρίᾳ τῆς Ἐκκλησίας Ἀντιοχέων ἐχωρίσθησαν, καθ' ἑαυτούς τε τὰς Συνόδους ποιούμενοι, πραγμάτων καὶ πλείστων δεινῶν ἐπειράθησαν χάριν τῆς πρὸς Ἀρσάκιον κοινωνίας καὶ Πορφύριον τοῦτον καὶ Θεόφιλον, βιβλίῳ ὀγδόῳ κεφαλαίῳ εἰκοστῷ τετάρτῳ. καὶ Γεώργιος ὁ Ἀλεξανδρείας φησὶ, ταύτην ἐβδελύξαντο διαφερόντως τὴν ἀδικίαν οἱ τῆς Εὐρώπης Ἐπίσκοποι καὶ Ἰλλύριοι, τῆς γὰρ αὐτῶν ἑαυτοὺς ἀπέκρινον κοινωνίας. καὶ Θεοδώριτος λέγει, ταύτην ἐβδελύξαντο διαφερόντως τὴν ἀδικίαν οἱ τῆς Εὐρώπης Ἐπίσκοποι, τῆς γὰρ τῶν δεδρακότων σφὰς αὐτοὺς ἀπέκρινον κοινωνίας, καὶ Ἰλλυρικοὶ δὲ πάντες τῆς μερίδος ἐκείνων ἐγένοντο, τῶν δὲ πρὸς Ἥλιον ἀνίσχοντα πόλεων οἱ πλεῖστοι ἔφυγον μὲν τῆς ἀδικίας τὴν κοινωνίαν, τὸ δὲ τῆς Ἐκκλησίας

οὐκ

οὐκ ἐμερίσαντο σῶμα, καὶ τελευτήσαντος τοῦ ἁγίου, οὐ τοῖς Αἰγυπτίοις καὶ τοῖς λοιποῖς ἐκοινώνησαν, πρὶν τοῦ ἐνταγῆναι τὸ ὄνομα τοῦ ἁγίου ἐν τοῖς διπτύχοις, βιβλίῳ πέμπτῳ. καὶ αὐτὸς ὁ Χρυσόστομος πρὸς τοὺς Ἐπισκόπους Μακεδονίας γράφων, ἐπαινεῖ αὐτῶν τὴν ὑπὲρ αὐτοῦ ἀνδρείαν, ἐπιστολῇ εἰκοστῇ ἑβδόμῃ. καὶ Αὐρηλίῳ Καρθαγένης γράφει, ὅτι πόνον πολὺν καὶ ἱδρῶτα ὑπὲρ τῶν κατὰ τὴν Οἰκουμένην Ἐκκλησιῶν ἑλόμενος, μεγίστοις ἑαυτῷ πρὰ τῷ φιλανθρώπῳ Θεῷ προαπέθου τοὺς στεφάνους, καί σε παρακαλοῦμεν μείζω τὸν καλὸν τοῦτον ἀγῶνα ἀγωνιζόμενον, καὶ τὰ ἑξῆς, ἐπιστολῇ τριακοστῇ ἑβδόμῃ. καὶ Εὐλογίῳ Ἐπισκόπῳ, παρακαλοῦμεν τὸν αὐτὸν παραμεῖναι ζῆλον ἐπιδεικνύμενον καὶ μένειν ἀκλινῆ, τούτους ἀποστρεφόμενον μετὰ τῆς προσηκούσης ἀνδρείας, ὅτι ἂν τῆς σῆς εὐλαβείας εἰς τοῦτο Μακεμένης, πάντες οἱ κατὰ τὴν Παλαιστίνην κυρίοιμου Ἐπίσκοποι ἔψονταί σου τοῖς ἴχνεσιν, ἐπιστολῇ ἐννενηκοστῇ πρώτῃ. καὶ Ἡσυχίῳ Ἐπισκόπῳ, καὶ σὲ παρακαλοῦμεν τὴν προσήκουσαν ὑπὲρ τῶν Ἐκκλησιῶν τῶν κατὰ τὴν Ἀνατολὴν ποιήσασθαι σπουδὴν, οἶσθα γὰρ ἡλίκος ἐστὶν ὁ μισθὸς Ἐκκλησίαις πονουμέναις χεῖρα ὀρέγειν, καὶ ταραχὴν τοσαύτην εἰς γαλήνην μεταθεῖναι, καὶ πόλεμον οὕτω σφοδρὸν καταλῦσαι, ἐπιστολῇ ἐννενηκοστῇ πέμπτῃ. τὰ αὐτὰ καὶ Θεοδοσίῳ Σκυθοπόλεως, ἐπιστολῇ ἐννενηκοστῇ ἐνάτῃ. Ἰωάννῃ δὲ τῷ Ἱεροσολύμων εὐχαριστεῖ, ἀποστρεφομένῳ τοὺς ἐμπλήσαντας σκανδάλων τὰς Ἐκκλησίας, καὶ ἀσφαλίζοντι τὰς Ἐκκλησίας πρὸς τὸ μὴ κοινωνεῖν αὐτοῖς.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ὁ Ῥώμης Ἰννοκέντιος πρὸς τῷ μηδὲν ἰσχῦσαι ὑπὲρ τοῦ Χρυσοστόμου, μακροτέρας ἐξορίας αἰτία αὐτῷ καθέστηκεν ἐν τῷ Ἱκετεύειν ὑπὲρ αὐτοῦ.

Ὅτι οὐδὲν ἐδυνήθη ὁ Ἰννοκέντιος πολλὰ κοπιάσας, οὔτε ὑπὲρ τῆς παρακλήσεως τοῦ Χρυσοστόμου, οὔτε ὑπὲρ ἀθροίσεως Οἰκουμενικῆς Συνόδου, καίτοι ἔχων βοηθὸν τὸν Βασιλέα τῆς Δύσεως Ὀνώριον, καὶ μάλιστα ἐπὶ τρισὶν ἔτεσιν ἐν οἷς ὁ Χρυσόστομος ἦν ἐν τῇ ἐξορίᾳ σπουδάζων ὡς φαίνεται ἀπὸ τῆς δευτέρας ἐπιστολῆς τοῦ Χρυσοστόμου πρὸς αὐτὸν τὸν Ἰννοκέντιον, ἥτις ἐστὶν ἐπιστολὴ ἑκατοστὴ εἰκοστὴ τρίτη. καὶ ὁ Σωζόμενος φησὶν, Ἰννοκέντιος δὲ ὁ Ῥώμης Ἐπίσκοπος καθὰ πρότερον ἔγραψεν, ἐπανελθεῖν αὐτὸν σπουδάζων σὺν τοῖς ἐκ τῆς Ἕω περὶ τούτου πρεσβευομένοις Ἐπισκόποις, πέπομφεν Ἐπισκόπους πέντε, καὶ Πρεσβυτέρους δύο τῆς Ῥωμαίων Ἐκκλησίας πρὸς Ὀνώριον καὶ Ἀρκάδιον τὸν Βασιλέα Συνόδον αἰτήσοντας καὶ καιρὸν ταύτης καὶ τόπον, οἱ δὲ ἐπὶ Κωνσταντινουπόλεως ἀπεχθανόμενοι Ἰωάννῃ, ὡς ἐπὶ ὕβρει τῆς ἐνταῦθα Βασιλείας τούτων γενομένων διαβολὴν κατεσκεύασαν, καὶ τοὺς μὲν ὡς ὑπερορίαν ἀρχὴν ἐνοχλήσαντας ἀτίμως ἐκπεμφθῆναι παρεσκεύασαν, αὐτὸν δὲ Ἰωάννην ψήφῳ Βασιλέως πορρωτέρω μετοικισθῆναι εἰς Πιτυοῦντα κατώρθωσαν, βιβλίῳ ὀγδόῳ κεφαλαίῳ ἐσχάτῳ. πρὸς τούτοις ὁ Ἰννοκέντιος ἐν τῇ πρὸς τὸν Κλῆρον Κωνσταντινουπόλεως ἐπιστολῇ μόνους δέχεται τοὺς ἐν Νικαίᾳ Κανόνας, τὸν δὲ τῆς ἐν Ἀντιοχείᾳ λέγοντα, τὸν ἀποβληθέντα Ἐπίσκοπον καὶ ἄνευ συνοδικῆς ἐπικρίσεως λαβόντα τὸν θρόνον ἀπόβλητον εἶναι, ὡς ὑπὸ Αἱρετικοῦ συγγραφέντα τυχὸν, παραγράφων οὐκ εἰσηκούσθη, καίτοι μεγάλῃ τῇ φωνῇ λέγων ἅπερ ἐβούλετο.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι τὸ ἀφορισθῆναι τὸν Βασιλέα Ἀρκάδιον παρὰ τοῦ Ἰννοκεντίου Ῥώμης καὶ τὴν Βασίλισσαν, καὶ καθαιρεθῆναι τὸν Κωνσταντινουπόλεως Ἀρσάκιον, καίτοι πλάσματά εἰσι καὶ παριστορία Γεωργίου Ἀλεξανδρείας, οὐ παρέχουσιν ὅμως τῷ Ῥώμης μοναρχικὸν ἀξίωμα, ὡς ἐνταῦθα δείκνυται.

Ἀλλ' ἀνθυποφέρουσιν οἱ Λατῖνοι λέγοντες, ὅτι ὁ Πάπας Ἰννοκέντιος ἀφώρισε τὸν Βασιλέα Ἀρκάδιον καὶ τὴν Βασίλισσαν, τὸν Κωνσταντινουπόλεως Ἀρσάκιον καθαιρέσει ὑπέβαλεν, ὅπερ οὐκ ἐποίει εἰ μὴ εἴη καθόλου Ἡγεμὼν ἐν τῇ Ἐκκλησίᾳ. Ἀλλὰ ῥητέον ὅτι ταῦτα πάντα πλάσματά εἰσι, καθότι οὔτε οἱ ἀρχαῖοι ἱστορικοὶ Σωκράτης, Θεοδώριτος, Σωζόμενος, Θεοφάνης καὶ Ζωναρᾶς, οὔτέ τις τῶν ἀρχαίων πατέρων εἶπεν αὐτὰ, ἀλλ' ἢ μόνος Γεώργιος ὁ Ἀλεξανδρείας πρῶτος, καὶ παρ' αὐτοῦ λαβόντες εἶπον ὁ Ἀνώνυμος ἐν τῷ βίῳ τοῦ Χρυσοστόμου καὶ οἱ ἀσκέπτως ἀκολουθήσαντες αὐτῷ Κεδρηνὸς, γλυκᾶς καὶ Κάλλιστος, ὡς ἠκολούθησαν οἱ αὐτοὶ, καὶ ἄλλοι περὶ τοῦ βαπτίσματος καὶ τοῦ θεσπίσματος τοῦ μεγάλου Κωνσταντίνου. ἡμεῖς ὅμως τοῖς ἀρχαίοις ἱστορικοῖς προσανέχομεν, καὶ οὐ τοῖς ἠπατημένοις. Δεύτερον, οἱ εἰρημένοι ἀρχαῖοι ἱστορικοὶ καὶ τὰ φανερὰ γράμματα Ἰννοκεντίου πρὸς Χρυσόστομον καὶ Χρυσοστόμου πρὸς τὸν Ἰννοκέντιον οὐδὲν τοιοῦτον οὔτε ἀνεπτυγμένως οὔτε συνεπτυγμένως διαλαμβάνουσι. τρίτον, ὁ Φώτιος λέγει περὶ τοῦ Γεωργίου ὅτι τινὰ παριστορεῖ, ὅθεν καὶ τοῦτο παριστορίαν τοῦ Γεωργίου γινώσκοντες ἀποβάλλομεν. τέταρτον, ὅτι καὶ ἐκ τοῦ ταῦτα πρώτου εἰπόντος Γεωργίου λαμπρῶς δείκνυται ὅτι οὐκ ἔστιν ὁ Πάπας μονάρ-

μοναρχης, ἀλλ' ἰσότιμος τοῖς λοιποῖς Προέδροις τῶν Ἐκκλησιῶν, λέγει γὰρ, οἱ δὲ σωθέντες εἰκοσιπέντε Ἐπίσκοποι γράμματα ἔγραψαν εἰς Ἰννοκέντιον Ῥώμης διὰ Θεοτέκνου Πρεσβυτέρου Κωνσταντινουπόλεως, ὥστινι δίδωσιν ὁ Πάπας κοινωνικὰ γράμματα πρὸς Ἰωάννην καὶ πρὸς τοὺς αὐτῷ κοινωνοῦντας, παρακαλῶν μετὰ δακρύων μακροθυμεῖν, βοηθεῖν τότε ὡς οὐ δυνάμενος διὰ τὸ ἀντιπράττειν τινὰς τῶν κακῶν, δυναμένων ἐν Κωνσταντινουπόλει. καὶ κατωτέρω, καὶ περὶ τῆς δευτέρας ἐξορίας μαθὼν ὁ Ἰννοκέντιος, καὶ λυπηθεὶς σφόδρα, ἀναφέρει τῷ Βασιλεῖ Ὀνωρίῳ, λυπηθεὶς δὲ ὁ Βασιλεὺς ἐπὶ τοῦτο, ἐχρήσατο ἐλεγκτικοῖς γράμμασι πρὸς τὸν Ἀρκάδιον. Καὶ, Ἰννοκέντιος συναγαγὼν τοὺς Ἐπισκόπους καὶ Κληρικοὺς, οἵτε Ἐπίσκοποι τῆς Ἰταλίας καὶ αὐτὸς παρακαλοῦσι τὸν Βασιλέα γράψαι πρὸς Ἀρκάδιον ἐν Θεσσαλονίκῃ γενέσθαι Σύνοδον, ὥστε δυνηθῆναι εὐκόλως συνδραμεῖν τὰ μέρη Ἀνατολῆς καὶ Δύσεως πρὸς τὸ τελείαν Σύνοδον γενέσθαι. Καὶ, ὁ δὲ σκοπὸς τῆς Ἐκκλησίας Ῥωμαίων οὗτος ἦν ἕως τέλους μὴ κοινωνῆσαι τοῖς Ἀνατολικοῖς Ἐπισκόποις, καὶ μάλιστα Θεοφίλῳ, ἕως ἂν Οἰκουμενικὴ Σύνοδος γένοιτο ἰατρεύουσα τὰ σεσηπότα μέλη τῶν ταῦτα ἐργασαμένων.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι ἐκ τῶν ἀνωτέρω εἰρημένων, καὶ ἐκ παραθέσεως τοιούτων ὁμοίων προγεγονότων, ἑπτάκις δείκνυται οὔτε μονάρχην, οὔτε ἐπὶ τῶν Βασιλέων εἶναι τὸν Ῥώμης, οὔτε Σύνοδον Οἰκουμενικὴν μόνῳ τῷ μέρει τῆς Δύσεως, ἀλλὰ μερικὴν δύνασθαι ποιεῖν.

Ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι οὐ μόνον ὁ Ῥώμης οὐκ ἐκοινώνει τοῖς ἐχθροῖς τοῦ Χρυσοστόμου, ἀλλὰ καὶ ἕτεροι πολλοὶ ὡς εἴρηται ἀνωτέρω. δεύτερον, ὅτι παρεκάλει ὁ Πάπας τὸν Χρυσόστομον, καὶ τοὺς περὶ αὐτὸν μακροθυμεῖν, ἐπεὶ οὐκ ἐδύνατο βοηθεῖν αὐταῖς. καὶ εἰ οὐκ ἐδύνατο βοηθεῖν, πῶς ἦν μονάρχης; καὶ πῶς ἦν καὶ ἐστὶν ἐπὶ τῶν Βασιλέων; τρίτον, ὡς ὁ Ἰούλιος πολλὰ διαπραξάμενος καὶ μὴ δυνηθεὶς βοηθῆσαι οὐδ' ὁποσοῦν τοῖς περὶ τὸν μέγαν Ἀθανάσιον, ἀνέφερε τὰ κατ' αὐτοὺς τῷ Βασιλεῖ τῆς Δύσεως Κώνσταντι, οὕτως ὁ Ἰννοκέντιος μηδὲν δυνηθεὶς, ἀνέφερε τὰ κατὰ τοῦ Χρυσοστόμου τῷ Βασιλεῖ τῆς Δύσεως Ὀνωρίῳ. τέταρτον, ὡς ὁ Ἰούλιος καὶ οἱ περὶ αὐτὸν ἐδεήθησαν τοῦ Κώνσταντος ἵνα γράψῃ πρὸς τὸν Κωνσταντίον Σύνοδον γενέσθαι Οἰκουμενικὴν, οὕτως ἐδεήθη ὁ Ἰννοκέντιος καὶ οἱ Ἐπίσκοποι τῆς Ἰταλίας τῷ Ὀνωρίῳ γράψαι πρὸς τὸν Ἀρκάδιον Σύνοδον Οἰκουμενικὴν γενέσθαι ἐν Θεσσαλονίκῃ. ἀλλ' ὁ Κώνστας τοῦτο ἀποκατέστησε φοβήσας τὸν Κωνσταντίον, ὁ δὲ Ὀνώριος διὰ τὴν συνοῦσαν αὐτῷ μαλακότητα οὐκ ἐδυνήθη τοῦτο ποιῆσαι. πέμπτον, ὅτι εἰ τὰ μέρη τῆς Ἀνατολῆς καὶ Δύσεως Σύνοδον τελείαν ποιοῦσι, δῆλον ὅτι τὰ μέρη τῆς Δύσεως ὧν Ἡγεμὼν ὁ Πάπας μερικὴν Σύνοδον ποιοῦσι καὶ οὐ τελείαν, ἤτοι Οἰκουμενικήν. ἕκτον, ὅτι κόμπος ἐστὶ τὸ, ὅτι ἀφώρισεν ὁ Ἰννοκέντιος τὸν Ἀρσάκιον, ὅτι μὲν γὰρ οὐκ ἐκοινώνει ἡ Ἐκκλησία Ῥωμαίων Ἀρσακίῳ, Θεοφίλῳ καὶ τοῖς λοιποῖς ἐχθροῖς τοῦ Χρυσοστόμου, δῆλον, ἀλλ' οὐ μόνη ὡς εἴρηται. ἕβδομον, ὅτι εἰ καθῃρήκοι τὸν Ἀρσάκιον ὁ Ἰννοκέντιος, ἐχειροτονήθη ἂν ἕτερος Κωνσταντινουπόλεως Πατριάρχης, εἰ ἦν μονάρχης, καθῃρήκεν ἂν τὸν Θεόφιλον, καὶ ἐποίησεν ἄλλον Ἀλεξανδρείας, ἀλλ' οὐκ ἐδυνήθη καθῃρηκέναι, ἐπειδὴ οὐκ ἦν μονάρχης, ἀκοινωνησίαν δὲ μόνον ἐποίησε, καὶ ἐντεθέντος τοῦ ὀνόματος τοῦ Χρυσοστόμου τοῖς Διπτύχοις, εἰρήνευσε μετὰ Θεοφίλου καὶ τοῦ μετὰ Ἀρσάκιον Ἀττικοῦ ὡς καὶ οἱ λοιπεὶ φίλοι τοῦ Χρυσοστόμου.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι τὸ τοὺς ἐκ μέρους τῆς Βασιλίσσης ἀφελομένους ἀπὸ τῶν παρ' Ὀνωρίου καὶ Ἰννοκεντίου κομισάντων τὰ ὑπὲρ τοῦ Χρυσοστόμου γράμματα σφοδρῶς τιμωρηθῆναι, δείκνυται ἐκ τῶν ἐνταῦθα λεγομένων ψευδέστατον.

Λέων ὁ σοφὸς ἐν τῷ εἰς τὸν Χρυσόστομον Ἐγκωμίῳ λέγει, ὅτι ὁ Ἰννοκέντιος τῷ Ὀνωρίῳ ἀνέφερε τὰ κατὰ τοῦ Ἰωάννου, ὁ δὲ Ὀνώριος πρὸς τὸν ἀδελφὸν ἔγραψε περὶ ἀποκαταστάσεως Ἰωάννου, ἡ δὲ Βασιλὶς ἀφεῖλε τῶν κομιζόντων βίᾳ τὰ γράμματα. καὶ ὁ Μεταφραστὴς φησὶν, ὁ Ἀρκάδιος ἔγραψεν Ὀνωρίῳ καὶ Ἰννοκεντίῳ περὶ Συνόδου ἀθροίσεως δηλονότι ὡς ἐζήτησαν, καὶ ὅτι ἔγραψεν ἤτοι Ὀνώριος καὶ Ἰννοκέντιος Σύνοδον ἐν Θεσσαλονίκῃ γενέσθαι καὶ ἀνακριθῆναι τὰ κατὰ τοῦ Χρυσοστόμου, τὰ δὲ γράμματα ἔλαβον οἱ ἀπὸ Εὐδοξίας καὶ Ἀττικοῦ. ἔτι ὁ Λέων γράφει, ὅτι ὁ Ὀνώριος μαθὼν παρὰ τοῦ Προέδρου, ἤτοι τοῦ Ἰννοκεντίου τὰ κατὰ τοῦ Χρυσοστόμου, γράφει τῷ Ἀρκαδίῳ φρονίμως αὐτὸν ἐλέγχων καὶ αἰτιώμενος. Καὶ, ὑπιτιμᾷ, παραινεῖ καὶ συμβουλεύει ἀνακληθῆναι τὸν ἅγιον. οὐ λέγει δὲ οὔτε αὐτὸς, οὔτε ὁ Μεταφραστὴς ἐκεῖνα ἅπερ οἱ περὶ Γεώγιον τὸν Ἀλεξανδρείας φασὶν, ἤτοι ὅτι τοὺς κομίζοντας τὰ γράμματα οἱ λαβόντες ταῦτα βίᾳ ἐκ μέρους τῆς βασιλίσσης ἐπαιδεύθησαν ἰσχυρῶς.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι καὶ ἐκ τῆς ἀσυμφωνίας τῶν χρόνων, καὶ ἐκ τοῦ σοφοῦ Λέοντος καὶ τοῦ μεταφραστοῦ καὶ Ζωναρᾶ, Σωκράτους, Σωζομένου καὶ Παλλαδίου αὐτικρυς πλάσματα καὶ ἀνύπαρκτα τὰ ἱστορούμενα ὑπὸ Γεωργίου Ἀλεξανδρείας περὶ ἀφορισμοῦ Ἰννοκεντίου πρὸς Ἀρκάδιον καὶ τὴν Βασίλισσαν καὶ τῶν λοιπῶν δείκνυται.

Ταῦτα καὶ ἀπὸ τῆς ἀσυμφωνίας τῶν χρόνων ψευδῆ ἀποδείκνυται. ἐπιλέγομεν οὖν ὅτι ὁ Γεώργιος λέγει ἐν κεφαλαίῳ ἑξηκοστῷ ὀγδόῳ, θανόντος τοῦ Χρυσοστόμου, δύο εἰς τὴν Ῥώμην πρεσβύτεροι παραγίνονται μετὰ Διακόνου, οἳ καὶ συνῆσαν ἐν τῇ ἐξορίᾳ αὐτῷ, καὶ τῷ Ἰννοκεντίῳ περὶ τῶν συμβεβηκότων ἐν ταῖς ἐξορίαις ἀναφέρουσιν, ὅστις λυπηθεὶς τρέχει εἰς Ὀνώριον, καὶ ἀμφότεροι πέμπουσιν ἐπιστολὰς πρὸς Ἀρκάδιον, ὁ μὲν τὴν, φωνὴ αἵματος, ἐν ᾗ ἀφορίζει καὶ αὐτὸν καὶ τὴν Εὐδοξίαν, ὁ δὲ Ὀνώριος τὴν, Οὐκ οἶδα ποία αὐτικειμένη ἐνέργεια, ἃς δεξάμενος ὁ Ἀρκάδιος, λέγει ὁ αὐτὸς ἐν κεφαλαίῳ ἑξηκοστῷ ἐνάτῳ, οὐ μόνον τοὺς Ἰωάννου ἐχθροὺς ἐτιμωρήσατο, ἀλλὰ καὶ τὴν Εὐδοξίαν καθεῖρξε, καὶ ὡς ὁ Ἀνώνυμος λέγει καὶ πληγαῖς καθύβρισέ ποτε, ἀλλὰ καὶ Ἀκάκιον καὶ Σεβηριανὸν καὶ Θεόφιλον καὶ τοὺς ἀνεψιοὺς αὐτοῦ πρὸς Ἰννοκέντιον ἔπεμψε, γράψας πρὸς αὐτὸν καὶ ἐπιστολὴν τὴν, Πάντες ἄνθρωποι ἴσασι. καὶ ἐπιστολὴν ἄλλην πρὸς τὸν ἀδελφόν. ἔπεμψε δὲ καὶ Εὐδοξία ἑτέραν ἐπιστολὴν πρὸς Ἰννοκέντιον. ἐζήτουν οὖν καὶ οἱ δύο μετὰ ταπεινώσεως τὴν συγχώρησιν, ἣν δὴ καὶ παρέσχεν ὁ Ἰννοκέντιος, καὶ ἀντέγραψεν αὐτοῖς ἐπιστολὴν τὴν, Ἀναδεξάμενοι τὴν κατὰ Θεὸν ὑμῶν ἀσουδήν. ἔγραψε δὲ καὶ πρὸς τὸν Κυζίκου Πρόκλον ἵνα ἀπέλθῃ εἰς Κωνσταντινούπολιν, τὸ μὲν, ἵνα δώῃ τοῖς Βασιλεῦσι τὴν ἀθῴωσιν, τὸ δὲ, ἵνα ἔχῃ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας τὴν διοίκησιν, ἕως ἂν ἀναθεωρηθῇ τὰ κατὰ Ἀττικοῦ. ταῦτα ὁ Γεώργιος, ἅτινα καὶ οἱ παπισταὶ ἡδέως ἀποδέχονται, νομίζοντες συντείνειν πρὸς σύστασιν τοῦ παπισμοῦ. Ἀλλ' εἰ καὶ ἐκ τῶν ἀνωτέρω ὡς εἴρηται ταῦτα πάντα δείκνυται ψευδῆ, ὅμως ῥητέον καὶ ἐνταῦθα ὅτι ἀσύφωνά εἰσι κατὰ τοὺς χρόνους, ὅθεν καὶ ἀσύστατα, πρῶτον, ὅτι ὁ θάνατος τῆς Εὐδοξίας ἐγένετο πρὸ τῆς κοιμήσεως τοῦ Χρυσοστόμου ἔτη σχεδὸν τρία, ὡς συμφώνως οἱ τὰς ἱστορίας συγγραψαντες ἀποφαίνονται. ὁ δὲ Σωκράτης λέγει ὅτι τῇ εἰκοστῇ τοῦ Ἰουνίου ἐξεβλήθη τῆς Ἐκκλησίας καὶ ἐξωρίσθη ὁ Χρυσόστομος, καὶ τῇ τριακοστῇ τοῦ ἑξῆς Σεπτεμβρίου κατηνέχθη ἡ χάλαζα, τετάρτῃ δὲ ἡμέρᾳ μετὰ τὸ κατενεχθῆναι τὴν χάλαζαν ἐτελεύτησεν ἡ Βασιλὶς, βιβλίῳ ἑκτῷ κεφαλαίῳ δεκάτῳ ὀγδόῳ καὶ δεκάτῳ ἐνάτῳ. ὅπερ ἐστὶν ὅτι μετὰ ἑβδομηκονταπέντε ἡμέρας τῆς ἐξορίας τοῦ ἁγίου τέθνηκεν ἡ Βασιλίς. Λέων δὲ ὁ σοφὸς καὶ ὁ Μεταφραστὴς εἶπον ἀνωτέρω, ὅτι ὅτε ἦλθον τὰ γράμματα Ὀνωρίου καὶ Ἰννοκεντίου (ἐκεῖνα δηλονότι ἅπερ λέγει ὁ Σωζόμενος βιβλίῳ ὀγδόῳ ἐν τοῖς ἐσχάτοις κεφαλαίοις) πρὸς Ἀρκάδιον, ἔζη ἡ Βασιλίς. ἀλλὰ καὶ ὁ Ζωναρᾶς λέγει, ὅτι μετὰ τρεῖς Μῆνας τῆς κοιμήσεως τοῦ ἁγίου ἀπέθανεν ἡ Βασιλίς. εἰ οὖν δοτέον τὸν Σωκράτην ἀληθεύειν, πάντα τὰ περὶ τῶν εἰρημένων γραμμάτων καὶ ἀφορισμῶν καὶ τοῦ Πρόκλου λεγόμενα μάταιά εἰσι καὶ ψευδῆ, εἰ δὲ ἀληθεύει ὁ Λέων καὶ καθεξῆς ὁ Ζωναρᾶς, ἤγουν ὅτι ἐπέζησεν ἡ Βασιλὶς μετὰ τὴν ἐξορίαν τοῦ ἁγίου πολὺ, καὶ ἕως ἐγγὺς τοῦ θανάτου αὐτοῦ, λέγομεν, ὅτι θανούσης τῆς Εὐδοξίας μετὰ τὸν θάνατον τοῦ Χρυσοστόμου τῷ τρίτῳ μηνὶ, εἶτα καὶ ὁ θάνατος τοῦ Ἀρκαδίου ὡς ἐκ τῶν κοινῶν σημειώσεων φαίνεται, καὶ ὁ Σωκράτης μαρτυρεῖ βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ πρώτῳ ἐγένετο Μαΐου πρώτῃ ἐπὶ τῶν Ὑπάτων Φιλίππου καὶ Βάσσου, ὅπερ ἐστὶν ἔτος ἀπὸ Χριστοῦ τετρακοσιοστὸν ὄγδοον, καὶ μετὰ τὴν κοίμησιν τοῦ Χρυσοστόμου Μῆνες πέντε, καὶ ἡμέραι δεκαέξ, ὁ γὰρ Χρυσόστομος κεκοίμηται ὡς λέγει ὁ Σωκράτης βιβλίῳ ἕκτῳ κεφαλαίῳ εἰκοστῷ πρώτῳ τῇ δεκάτῃ τετάρτῃ τοῦ Νοεμβρίου. ὁ δὲ Ἀρκάδιος ὥς φησιν ὁ αὐτὸς Μαΐου πρώτῃ. τούτων οὖν οὕτως ἐχόντων, ἔμεινεν εἶναι τὰ εἰρημένα παριστορούμενα μῦθοι γραϊδίων, ἐπεὶ θανόντος τοῦ ἁγίου οἱ δύο Πρεσβύτεροι καὶ ὁ Διάκονος ἔμειναν ἱκανὸν καιρὸν ἐν Κομάνοις ἕως οὗ δηλονότι τελεσθῶσι τὰ ἔθιμα τῷ ἁγίῳ, ἕως οὗ οἱ συνελθόντες ἀπὸ διαφόρων τάξεων ἕνεκα τῆς κοιμήσεως τοῦ ἁγίου ἀποπεμφθῶσι, καὶ τὰ ἀναγκαῖα διὰ τὴν ὁδοιπορίαν ἑτοιμασθῶσι, καὶ συνοδίαν εὕρωσιν εἰς Κωνσταντινούπολιν ἀπελθεῖν, ἐπειδὴ διὰ Βυζαντίου ἀπῆλθον λέγει ὁ Ἀνώνυμος καὶ ὁ Νικηφόρος. ἀπὸ Κομάνων δὲ ἕως Βυζαντίου πόσοι σταθμοί εἰσι, καὶ ὅτι πολλοὶ, ἐξ ὧν ἐστιν εἰκάσαι ὅτι τὴν Εὐδοξίαν ζῶσαν οὐχ εὗρον. εἶτα ἀπάραντες Κωνσταντινουπόλεως εἰς πόσον καιρὸν ἔφθασαν εἰς Ῥώμην, καὶ πόσος καιρὸς παρῆλθεν ἕως οὗ συνῆλθον πρὸς Ἰννοκέντιον, ἕως οὗ παραστήσωσι τὰς συμφορὰς, ἕως οὗ ἐκεῖνος ἀναφέρει τῷ Ὀνωρίῳ τὰ γινόμενα, καὶ μάλιστα εἰ οὐκ ἦν ἐν Ῥώμῃ, ἀλλ' ἐν Ῥαβέννῃ, ἕως οὗ γραφῶσιν αἱ ἐπιστολαὶ καὶ ἀπέλθωσιν εἰς Κωνσταντινούπολιν, καὶ εἶτα ἀντιγράψαι τὸν Ἀρκάδιον καὶ τὴν Εὐδοξίαν τὰς ἀμοιβαίας καὶ παρακλητικὰς εἰς Ῥώμην, καὶ ἀπελθεῖν ταύτας ἐκεῖ, καὶ γραφῆναι ἐν Ῥώμῃ τὰς συγχωρητικὰς, καὶ εἰς τὸν Πρόκλον ἐλθεῖν ἀπὸ Ῥώμης εἰς Κύζικον, καὶ τὸν Πρόκλον ἐκπλεῦσαι εἰς Κωνσταντινούπολιν, καὶ τοὺς Βασιλεῖς ζῶντας εὑρεῖν καὶ τὴν συγχώρησιν δοῦναι, ἅτινα πάντα οὐκ εἰς πέντε ἢ ἑπτὰ Μῆνας ἐδύνατο γενέσθαι, ἀλλ' οὔτε ἐπὶ δύο ἔτη σχεδὸν. ἔστι καὶ τοῦτο εἰπεῖν, ἀλλ' οὔτε ἐπὶ δύο, ὅτι αἱ ἀπὸ Δύσεως εἰς τὴν Ἀνατολὴν βοήθειαι οὐδέ-

οὐδέποτε ταχεῖαι ἐγένοντο. ὅθεν ὁ μέγας Βασίλειος μέμφεται τῶν Δυτικῶν τὴν βραδύτητα, καὶ ἡ δευτέρα Οἰκουμενικὴ ἠρέμα ἐλέγχει αὐτοὺς ὅτι βραδέως ἐπεσκέψαντο τὰς Ἐκκλησίας τῆς Ἀνατολῆς. ἔπειτα μετὰ τὴν δευτέραν ἐξορίαν αἱ γραφαὶ περὶ τοῦ Χρυσοστόμου παρὰ Ὀνωρίου περὶ ὧν διείληφεν ἀνωτέρω Λέων ὁ σοφὸς, καὶ αἱ παρὰ Ἰννοκεντίου περὶ ὧν ἱστορεῖ ὁ Σωζόμενος οὐκ ἔφθασαν εἰς Βυζάντιον πρότερον, ἀλλὰ μετὰ δύο ἔτη ὡς μαρτυρεῖ ὁ Γεώργιος καὶ ὁ Παλλάδιος, καὶ γὰρ ὥς φησιν ὁ Παλλάδιος καὶ Λέων ὁ σοφὸς, ὁ Ἀττικὸς ἦν ἐν Κωνσταντινουπόλει Πατριάρχης ὅτε οἱ Λεγᾶτοι τοῦ Ἰννοκεντίου ἦλθον εἰς Ἀθύραν, μετὰ γὰρ τὴν κοίμησιν τοῦ Χρυσοστόμου εἰς ὀλίγον καιρὸν ἐπατριάρχευσεν ὁ Ἀρσάκιος, ἀπέθανε γὰρ τὸ δεύτερον ἔτος τῆς χειροτονίας αὐτοῦ τῇ ἑνδεκάτῃ τοῦ Νοεμβρίου, Σωκράτης βιβλίῳ ἕκτῳ κεφαλαίῳ εἰκοστῷ. μετὰ δὲ τέσσαρας Μῆνας τοῦ θανάτου αὐτοῦ ἐχειροτονήθη ὁ Ἀττικὸς, Σωζόμενος βιβλίῳ ὀγδόῳ κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ. καὶ ἐπὶ Ἀττικοῦ ἦλθον οἱ πρέσβεις τοῦ Ἰννοκεντίου εἰς Ἀθύραν, ὥστε παρερρύη τὰ δύο ἔτη μετὰ τὴν δευτέραν ἐξορίαν, καὶ λοιπὸν οἱ δύο Πρεσβύτεροι καὶ ὁ Διάκονος οἱ ποιήσαντες τοσαύτην ὁδοιπορίαν, καὶ μετὰ τοσούτων περιστατικῶν, μόλις μετὰ δύο ἔτη διήνυσαν. πρὸς τούτοις, τῶν εἰρημένων ἐπιστολῶν ὡς εἴρηται ἀνωτέρω οὐ μνημονεύουσιν οἱ ἀρχαῖοι Σωκράτης, Θεοδώριτος, Σωζόμενος, Φώτιος, Λέων, Ζωναρᾶς, Μεταφραστῆς, Παλλάδιος, ἀλλὰ μεταγενέστεροί τινες, καὶ οὗτοι οὐχ ὡσαύτως, ἀλλὰ μετὰ μεγάλης διαφορᾶς, ἄλλως γὰρ ταῦτα ὁ Γεώργιος λέγει, ὁ γλυκᾶς καὶ ὁ Νικηφόρος; καὶ ἄλλως ὁ Ἀνώνυμος, καὶ εἴτις ἄλλος. εἶτα ἔδει τοῖς παλαιοτέροις γνωριμώτερον τὸ πρᾶγμα εἶναι, ἤτοι τῷ Παλλαδίῳ, ὅστις ἐν Ῥώμῃ πολὺν χρόνον διέτριψε κατ' ἐκεῖνον τὸν καιρὸν, καὶ τῷ Σωζομένῳ, ὃς φαίνεται πάσας τὰς Ἐκκλησίας ἀκριβῶς ἠρευνηκέναι, καὶ τέλος πάντων εἴτις ἄλλος ἀρχαῖος, ἐν οἷς οὐδεμία μνήμη τοιούτων τεράτων, οὐδὲ γὰρ τὸ πρᾶγμα μικρὸν ἦν, ὥστε καὶ καταφρονεῖσθαι, τὸ δηλονότι τοὺς Αὐτοκράτορας τῆς Ἀνατολῆς ὑπὸ τοῦ Πάπα ἀφορισθῆναι, εἰ γὰρ τὴν κλεῖσιν τῶν πυλῶν τοῦ Ναοῦ, ἣν ἐποίησεν ὁ Ἀμβρόσιος τῷ Θεοδοσίῳ συνέγραψαν, πολλῷ μᾶλλον τοῦτο ἔδει γραφῆναι εἴπερ ἐγένετο. ἔτι αἱ ἐπιστολαὶ ἃς ἔπεμπεν ὁ Ἰννοκέντιος εἰς τὴν Ἀνατολὴν εἰς γλῶσσαν λατινικὴν ἔγραφεν, ὡς μαρτυρεῖ ὁ Σωζόμενος, αἱ παροῦσαι δὲ ὅτι ἑλληνικῶς ἐγράφησαν, ἀναμφίβολόν ἐστιν, ὅθεν καὶ ψευδεῖς εἰσιν. ἀλλὰ καὶ τὸ, ὅτι ὁ Πρόκλος ἔλαβε τὴν ἐπιστασίαν Κωνσταντινουπόλεως πλάσμα ἐστι, καὶ γὰρ εἴκοσιν ἔτη ἐπατριάρχευσεν ὁ Ἀττικὸς, καὶ μετ' αὐτὸν ἐγένοντο Σισίνιος, Νεστόριος, Μαξιμιανὸς, εἶτα ὁ Πρόκλος. ὅτι δὲ ὁ Γεώργιος καὶ ἄλλα τινὰ παριστορῶν φαίνεται, δῆλον, ὑποτίθησι γὰρ προτεθνηκέναι τὸν Ἰννοκέντιον τοῦ Θεοφίλου, ὅπερ ψεῦδός ἐστιν, ὁ γὰρ Θεόφιλος ὡς σημειοῖ ὁ Σωκράτης βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἑβδόμῳ, τέθνηκεν ἐν ὑπατείᾳ Ὀνωρίου τὸ ἔνατον καὶ Θεοδοσίου τὸ πέμπτον, ὅπερ ἐστὶν ἔτος τετρακοσιοστὸν δωδέκατον. ὁ δὲ Ἰννοκέντιος ἐκοιμήθη ὡς φαίνεται ἐκ τῶν ἀρχιερατικῶν σημειώσεων τῷ ἔτει τετρακοσιοστῷ δεκάτῳ ἕκτῳ. καὶ ἐκεῖνο, ὅτι ὁ Ἰννοκέντιος προσέταξεν ἵνα γένηται βεβαίως ἡ Σύνοδος ἐν Θεσσαλονίκῃ κρῖναι τὸν Θεόφιλον, πρὸς ὃν καὶ ὁ Ἀρκάδιος ἔγραψε πρόσταγμα, οὗ ἡ ἀρχὴ, Πάντα τὰ κλίματα τῆς Οἰκουμένης ἐτάραξας, ὁ θάνατος ὅμως ὁ ταχὺς τοῦ Ἀρκαδίου, καὶ ἡ αἰχμαλωσία τῆς Ῥώμης ὑπὸ τῶν Γότθων γέγονεν ἐμπόδιον, ψεῦδός ἐστιν, ὁ γὰρ Ἰννοκέντιος τοιοῦτόν τι ποιῆσαι οὐκ ἐδύνατο ὡς μαρτυρεῖ ὁ Σωζόμενος βιβλίῳ ἕκτῳ κεφαλαίῳ ἐσχάτῳ. εἶτα πρότερον ὁ Ῥώμης καὶ ὁ Θεόφιλος ἐμάχοντο τοσαῦτα ἔτη, ἀλλ' ὡς τότε οὐκ ἐδυνήθη ποιῆσαί τι κατὰ τοῦ Θεοφίλου ὁ Πάπας, οὕτως οὐδὲ ἄρτι ἐδύνατο. ἔπειτα ὁ Θεόφιλος οὐδέποτε κατεκρίθη, ὡς γὰρ οἱ εἰρημένοι προσεχῶς ἀνωτέρω πάντες ἱστοροῦντες τὰ κατ' αὐτὸν οὐδὲν τοιοῦτον λέγουσι, μάλιστα ὁ Ἰουστινιανὸς καὶ ἡ ἕκτη Οἰκουμενικὴ εὐφήμως αὐτοῦ μέμνηνται, καὶ μάρτυρα παραλαμβάνουσιν ἐν τοῖς περὶ τῆς ὀρθοδόξου πίστεως συμπεράσμασιν. ἔτι ὁ Θεοδώριτος φησὶν, ὅτι οἱ Δυτικοὶ καὶ ἄλλοι πολλῶν ἐθνῶν Ἐπίσκοποι τὸν Ἀρσάκιον οὐδὲ προσρήσεως ἠξίωσαν, Ἀττικὸν δὲ πολάκις πρεσβευσάμενον, πολλάκις δὲ καὶ εἰρήνης τυχεῖν ἀξιώσαντα, χρόνῳ ὕστερον ἐδέξαντο, τὴν προσηγορίαν ἐγγράψαντα, ἤτοι τὸ ὄνομα τοῦ Χρυσοστόμου εἰς τὰ Δίπτυχα, λόγῳ πέμπτῳ κεφαλαίῳ τριακοστῷ τετάρτῳ. ἔτι ὁ Ἀττικὸς παρὰ Σωκράτους, Θεοδωρίτου καὶ Σωζομένου λίαν ἐπαινεῖται, καὶ ὁ Πάπας Κελεστῖνος ἐν τῇ πρὸς Κωνσταντινουπολίτας κατὰ Νεστορίου ἐπιστολῇ ἐπαινεῖ αὐτὸν, ὥστε οὐδέποτε ἐκρίθη ἢ κατεκρίθη, καὶ λοιπὸν ὅτι ὁ Πρόκλος ἔλαβε τὴν ἐπιστασίαν Κωνσταντινουπόλεως ἕως οὗ ἀνακριθῇ ὁ Ἀττικὸς, προφανέστατόν ἐστι ψεῦδος. κορωνίδα δὲ τῆς παρούσης ὑποθέσεως ῥητέον, ὅτι περὶ τῶν μὴ κοινωνούντων Θεοφίλῳ καὶ Ἀρσακίῳ καὶ Πορφυρίῳ Ἀντιοχείας ἕνεκεν τοῦ Χρυσοστόμου, σπουδῇ τῶν ἐν τοῖς Βασιλείοις δυναμένων Νόμος ἐτέθη τοὺς ὀρθοδόξως δοξάζοντας ἐκτὸς τῶν Ἐκκλησιῶν μὴ συνιέναι, τοὺς δὲ μὴ κοινωνοῦντας αὐτοῖς ἐλαύνεσθαι, Σωζόμενος βιβλίῳ ὀγδόῳ κεφαλαίῳ ὀγδόῳ. καὶ εἰ οἱ μὴ κοινωνοῦντες τοῖς ἄλλοις καὶ Θεοφίλῳ ὑπὲρ τοῦ Χρυσοστόμου παρὰ τῆς βασιλικῆς ἐξουσίας ἐτιμωροῦντο, πῶς ὁ Θεόφιλος ὑπὸ τοῦ Πάπα κατεκρίνετο, καὶ ὁ Βασιλεὺς αὐτὸν ἤθελε κατακρῖναι; πρὸς τούτοις ὁ Θεοδώριτος ἱστορεῖ, ὅτι ὁ Θεοδόσιος κομίσας τὸ λείψανον τοῦ Χρυσοστόμου ἀπὸ Κομάνων εἰς Κωνσταντινούπολιν, ἐπιθεὶς τῇ λαρνακι καὶ τοὺς ὀφθαλμοὺς καὶ τὸ μέτωπον ἱκετείαν ὑπὲρ τῶν γεγεννηκότων προσήνεγκε, συγγνῶναι τοῖς ἐξ ἀγνοίας ἠδικηκόσιν ἀντιβολήσας, λόγῳ πέμπτῳ κεφαλαίῳ τριακοστῷ ἕκτῳ.

ἐνοῖς

ἐν οἷς σημείωσαι εἰ ὁ Ἀρκάδιος καὶ ἡ Εὐδοξία ἐλάμβανον τὴν συγχώρησιν παρὰ τοῦ Ἰννοκεντίου τοῦ ἄκρου Ἀρχιερέως καὶ πάντα μόνου δυναμένου καὶ ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ γῇ, πῶς πάλιν ὁ Θεοδόσιος ἐζήτει παρὰ τοῦ Χρυσοστόμου τὴν συγχώρησιν; δεύτερον, ὅτι τοῦ Γεωργίου καὶ τῶν λοιπῶν τοιούτων τὰ ἀνωτέρω εἰρημένα πλάσματά εἰσι καὶ διόλου ἀνύπαρκτα, ἐπειδὴ οὐδέποτε γεγόνασι. σημείωσαι ὅτι καὶ ὁ Ἀκάκιος πολλοὺς ἔχει τοὺς ἐπαίνους ἐν τῇ τρίτῃ Οἰκουμενικῇ, καὶ εἰς Ῥώμην ἀπῆλθε μὲν, ἀλλὰ πρεβευτὴς τοῦ Θεοφίλου, ἄλλοτε δὲ οὐδέποτε. καὶ ἄλλα πολλὰ εἴχομεν εἰπεῖν, ἀλλ' ἀρκεῖ τὰ εἰρημένα μόνα εἰς βεβαίωσιν τοῦ προκειμένου ἡμῶν σκοποῦ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι εἰ δῶμεν ὑποθετικῶς ἀληθεύειν τὸ τὸν Ἰννοκέντιον ἀφορίσαι τοὺς Αὐτοκράτορας, καὶ ὅσα τοῖς ἠπατημένοις εἴρηται, οὔτε τοῦτο τῇ τοῦ Ῥώμης μοναρχίᾳ βοηθεῖ, ὡς ἐκ παραθέσεως ἐνταῦθα πολλῶν Πατριαρχῶν καὶ Μητροπολιτῶν τοιαῦτα ἐνεργησαμένων δείκνυται.

Εἰ καὶ καθ' ὑπόθεσιν ἀληθές ἐστιν ὅτι ὁ Ἰννοκέντιος ἀφώρισε τοὺς Αὐτοκράτορας τῆς Ἀνατολῆς, καὶ τὰ λοιπὰ ἅπερ εἴρηται ἀνωτέρω τοῖς ἠπατημένοις, ἀλλὰ ῥητέον ὅτι οὐδὲ τοῦτο βοηθεῖ τῇ μοναρχίᾳ τοῦ Ῥώμης, καὶ ἕτεροι γὰρ ἤλεγξαν οὐ μόνον Πατριάρχαι ἀλλὰ καὶ Μητροπολῖται καὶ Ἐπίσκοποι καὶ Πρεσβύτεροι καὶ μοναχοὶ Αὐτοκράτορας, καὶ ἰδὲ βιβλίου τετάρτου κεφάλαιον δέκατον τέταρτον. εἰ δὲ εἴπωσιν οἱ παπισταὶ ὅτι ἤλεγξαν οἱ τοιοῦτοι Βασιλεῖς καὶ ἔκριναν Ἐπισκόπους, ἀλλ' ἐν τῇ ἰδίᾳ Ἐπαρχίᾳ, ὁ δὲ Ῥωμαίων Ἐπίσκοπος ἀφώρισε καὶ καθῄρηκεν εἰς ἀλλοτρίαν Ἐπαρχίαν, Ῥητέον ὅτι καὶ ἄλλοι τοιαῦτα πεποιήκασι, καὶ ἰδὲ ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον ἔσχατον πόσοι ἀπ' ἄλλων Ἐπαρχιῶν ἀντεῖπον καὶ ἔκριναν τοὺς Πάπας τῆς Ῥώμης, καὶ κατωτέρω ἰδὲ βιβλίου τετάρτου κεφάλαιον δέκατον πόσοι παρ' ἐνορίαν οὐ μόνον Πατριάρχαι, ἀλλὰ καὶ Ἐπίσκοποι ἀνεθεμάτισαν τὸν Ἀντιοχείας Πέτρον τὸν Κναφέα, καὶ βιβλίου τοῦ αὐτοῦ κεφαλαίου δεκάτου τρίτου παράγραφον τέταρτον πῶς μόνοι δύο Ἐπίσκοποι καθῃρήκασι τὸν Ἀντιοχείας Σεβῆρον, ὃν καὶ ὁ Ἱεροσολύμων Ἠλίας ἀνεθεμάτισε, καὶ ἰδὲ βιβλίου τοῦ αὐτοῦ κεφάλαιον δέκατον τρίτον. καὶ ὁ Κωνσταντινουπόλεως Ἰωάννης ὁ Καππάδοξ καθεῖλε τὸν αὐτὸν Ἀντιοχείας Σεβῆρον, καὶ Πέτρον Μητροπολίτην Ἀπαμείας, οὓς καὶ ὁ Ἱεροσολύμων Ἰωάννης καὶ ὁ Τύρου Ἐπιφάνιος συνοδικῶς καθῃρήκασι καὶ ἀνεθεμάτισαν, ἀλλὰ δὴ καὶ ὁ Κωνσταντινουπόλεως Μηνᾶς καὶ ὁ Ἱεροσολύμων Πέτρος τὰ αὐτὰ πεποιήκασι, καὶ πάντων τούτων τὰ συνοδικὰ παρέλαβε πᾶσα ἡ Οἰκουμένη. καὶ ὁ ἅγιος Κύριλλος ἔγραφεν εἰς Κωνσταντινούπολιν ὅτι ἐδύνατο ἀναθεματίσαι τὸν Νεστόριον, καὶ εἰς τοὺς Πατριάρχας καὶ εἰς πολλοὺς ἄλλους ἔγραψε τὴν κατάκρισιν αὐτοῦ, καὶ ἰδὲ κατωτέρω τῆς Συνόδου τὸν τόπον. καὶ ὁ Ἀντιοχείας Πέτρος ἀπολογεῖται εἰς τὸν Κωνσταντινουπόλεως Ἀκάκιον ὑπὲρ τῆς ἐν Χαλκηδόνι Συνόδου, Εὐάγριος βιβλίῳ τρίτῳ κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ. οὐκ ἐποίει δὲ τοῦτο ὁ Πέτρος, ἢ μόνον διότι ἐφοβεῖτο τὴν παρὰ τοῦ Ἀκακίου κατάκρισιν. καὶ ὁ Φώτιος Συνοδικῶς καθεῖλε τὸν Πάπαν Νικόλαον, καὶ ὁ Ἱεροσολύμων Σωφρόνιος συνοδικῶς ἀνεθεμάτισε τοὺς Μονοθελήτας ἐν οἷς ἦν φανερὸς Μονοθελήτης ὁ Ἀλεξανδρείας Κῦρος καὶ ὁ Οἰκουμενικὸς Πάπας καὶ Οἰκουμενικὸς Πατριάρχης. καὶ οἱ ἐν Ἀφρικῇ Ἐπίσκοποι κατέκριναν Παῦλον τὸν Κωνσταντινουπόλεως, καὶ ἰδὲ κατωτέρω βιβλίῳ ἕκτῳ τὴν ἐπὶ Μαρτίνου Σύνοδον. καὶ ὁ Χρυσόστομος ἔκρινε πολλοὺς Ἐπισκόπους καὶ Μητροπολίτας παρ' ἐνορίαν, ἐπειδὴ κανονικῶς οὐχ ὑπέκειντο αὐτῷ. καὶ τέως, ἰδέ τινα παρ' ἐνορίαν ἐνεργηθέντα κατωτέρω βιβλίου πέμπτου κεφαλαίου δεκάτου πρώτου Παραγράφῳ τριακοστῷ δευτέρῳ. ἰδὲ καὶ τὰ περὶ Βιγιλίου βιβλίου πέμπτου κεφαλαίῳ δεκάτῳ πέμπτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι ἐκ τοῦ ζητῆσαι τοὺς Ἀσκητὰς κριθῆναι μετὰ τοῦ Θεοφίλου Ἀλεξανδρείας παρὰ τῷ Βασιλεῖ καὶ τῷ Χρυσοστόμῳ, καὶ ἐκ τῆς τοῦ Χρυσοστόμου πρὸς Θεόφιλον περὶ τούτου ἐπιστολῆς, καὶ ἐκ τῆς πρὸς τὸν Κωνσταντινουπόλεως Νεκτάριον τοῦ Ἀμβροσίου περὶ τοῦ γεροντίου ἐπιστολῆς, δείκνυται μὴ μόνον τὸν Ῥώμης Ἔκκλητον ἔχειν, ἀλλὰ καὶ ἄλλους, ὅθεν ψεῦδος περίδοξον τὸ μόνον τὸν Ῥώμης ταύτην ἔχειν.

Ἐν τοῦθεν λύεται καὶ ἐκεῖνο τὸ τῶν Παπιστῶν, ὅτι οὐδεὶς ἄλλος ἔχει τὴν Ἔκκλητον ἐν τῇ Ἐκκλησίᾳ, εἰ μὴ μόνος ὁ Ῥώμης. ῥητέον γὰρ, ὅτι ὁ Σωκράτης λέγει, Ἰσίδωρος ἅμα τοῖς περὶ Διόσκορον ἦλθεν ἐν Κωνσταντινουπόλει, ὅπως ἂν παράτε τῷ Βασιλεῖ καὶ τῷ Ἐπισκόπῳ Ἰωάννῃ τὰ κατ' αὐτῶν ἐσκευωρημένα ἐξελεγχθείη, βιβλίῳ ἕκτῳ κεφαλαίῳ ἐνάτῳ. καὶ ὁ Σωζόμενος φησὶν, οἱ ἀμφὶ Ἀμμώνιον ἀπέπλευσαν εἰς Κωνσταντινούπολιν, σὺν αὐτοῖς δὲ καὶ Ἰσίδωρος, κοινῇ τε ἐσπούδαζον παρὰ Βασιλεῖ κριτῇ καὶ Ἰωάννῃ τῷ Ἐπισκόπῳ ἐλέγχεσθαι τὰς κατ' αὐτῶν ἐπιβουλὰς, ᾤοντο γὰρ ἐνδίκου παρ'

παρρησίας αὐτὸν ἐπιμελούμενον τὰ δίκαια βοηθεῖν αὐτοῖς. καὶ κατωτέρω, ὁ Ἰωάννης ἔγραφε τῷ Θεοφίλῳ κοινωνίαν αὐτοῖς ἀποδοῦναι, ὡς ὀρθῶς περὶ Θεοῦ δοξάζουσιν, εἰ δὲ δίκῃ δέοι κρίνεσθαι τὰ κατ' αὐτοὺς, ἀποστέλλοι ὃν αὐτῷ δοκεῖ δικασόμενον, βιβλίῳ ὀγδόῳ κεφαλαίῳ δεκάτῳ τρίτῳ. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι οἱ Ἀσκηταὶ ἦλθον εἰς Βυζάντιον, καὶ οὐκ εἰς τὴν Ῥώμην, ἀπῆλθον κριθῆναι ὑπὸ τοῦ Βασιλέως καὶ τοῦ Κωνσταντινουπόλεως μετὰ τοῦ Ἀλεξανδρείας, καὶ οὐχ ὑπὸ τοῦ Ῥώμης. δεύτερον, ὅτι ὁ Χρυσόστομος ἔγραψε τῷ Θεοφίλῳ ἵνα πέμψῃ τὸν μετ' αὐτῶν κριθησόμενον, ὅτι καὶ ὁ Χρυσόστομος οὐκ ἰδίᾳ αὐθεντίᾳ, ἀλλὰ τῇ προσταγῇ τοῦ Βασιλέως ἔλεγεν ἵνα στείλλῃ ὁ Θεόφιλος τὸν μετὰ τῶν κατηγόρων αὐτοῦ κριθησόμενον. ἔτι σημείωσαι, ὅτι ὁ ἅγιος Ἀμβρόσιος περὶ τοῦ ἐν Μεδιολάνῳ γόητος ἀναφανέντος καὶ ἄλλως κακοτρόπου Γεροντίου, καὶ εἰς Κωνσταντινούπολιν ἐλθόντος, καὶ ἀπάτῃ χειροτονηθέντος ὑπὸ τοῦ Καισαρείας Ἑλλαδίου καὶ Νικομηδείας Ἐπισκόπου, οὐκ εἰς τὸν Πάπαν ἀνέφερε τὴν κρίσιν καὶ τὴν ἐκδίκησιν, ἀλλ' εἰς τὸν Κωνσταντινουπόλεως ὡς γειτνιάζουσαν ἔχοντα τὴν Νικομήδειαν, καὶ παρὰ τῷ Βασιλεῖ δυνάμενον διὰ τὸν θρόνον καὶ διὰ τὴν πρὸς αὐτὸν συνήθειαν, ὡς ἐδύνατό ποτε παρὰ τῷ μεγάλῳ Κωνσταντίνῳ ὁ Νικομηδείας Εὐσέβιος διὰ τὴν μετ' ἐκείνου δηλονότι βοήθειαν, φησὶ γὰρ ὁ Σωζόμενος, μαθὼν δὲ ταῦτα ὁ Ἀμβρόσιος (ἤτοι ἅπερ διεπράξατο ἐν τῇ Ἀνατολῇ ὁ Γερόντιος) ἔγραψε Νεκταρίῳ τῷ προϊσταμένῳ Ἐκκλησίας Κωνσταντινουπόλεως ἀφελέσθαι Γεροντίου τὴν ἱερωσύνην, καὶ μὴ περιϊδεῖν αὐτὸν ὑβρισμένον καὶ τὴν ἐκκλησιαστικὴν τάξιν. Νεκταρίῳ δὲ καὶ μάλα τοῦτο σπουδάσαντι γέγονεν ἀνήνυτον, πανδημεὶ τῶν Νικομηδέων ἀνδρικῶς ἀνθισταμένων. ὁ δὲ Ἰωάννης καθελὼν αὐτὸν, ἐχειροτόνησε Πανσόφιον, ὃς παιδαγωγὸς ἐγεγόνει τῆς τοῦ Βασιλέως γαμετῆς. συμπεραίνομεν λοιπὸν, ὅτι οὐμόνος ὁ Ῥώμης ἔχει τὴν Ἔκκλητον, ἀλλὰ καὶ ἄλλοι, καὶ ψεῦδος ἐστὶ περίδοξον ὅτι ὁ Ῥώμης ἔχει μόνος αὐτήν. ἰδὲ καὶ κατωτέρω βιβλίου τεταρτοῦ κεφάλαιον πέμπτον.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς βασιλείας τοῦ νέου Θεοδοσίου, καὶ τῆς κατὰ διαθήκην Ἀρκαδίου ἐπ' αὐτῷ ἐπιτροπῆς τοῦ Περσάρχου Ἰσδιγέρδου, καὶ τῆς αἰτίας τοῦ διωγμοῦ ἐν Περσίᾳ Χριστιανῶν, καὶ τοῦ πολέμου πρὸς τοὺς Πέρσας καὶ νίκης τοῦ Θεοδοσίου, εἶτα καὶ εἰρήνης τοῦ Βασιλέως μετὰ τῶν Περσῶν. καὶ ὅτι οὐ δεῖ ἀνάγκης δίχα ἀντιτείνειν τῇ ἀσεβείᾳ.

Ἐβασίλευσεν ὁ νέος Θεοδόσιος στέψας καὶ τὴν ἀδελφὴν αὐτοῦ τὴν Πουλχερίαν Αὐγοῦσαν, ἥτις ἐγένετο αἰτία τῷ Βασιλεῖ μαθεῖν ἑλληνικὰ γράμματα καὶ λατίνα, ὃν καὶ εἰς τὴν εὐσέβειαν καθωδήγει, πείσασα αὐτὸν νηστεύειν ὅλας τὰς Τετράδας καὶ τὰς Παρασκευὰς, ὥσφησιν ὁ Σωκράτης εἰς τὸ ἕβδομον τῆς ἱστορίας αὐτοῦ, κατὰ τὸν ἀποστολικὸν Κανόνα, εἰ καὶ ὁ Πάπας τῆς Ῥώμης κἀνταῦθα ἐκαινοτόμησε, τὴν Τετράδα συγχωρῶν ἐσθίειν, καὶ τὸ Σάββατον νηστεύειν παγκοσμίως, ἵνα πλείους ποιῶν καινοτομίας, μεῖζον ποιῇ καὶ τὸ σχίσμα. μέλλων δὲ ἀποθνήσκειν ὁ Ἀρκάδιος, καὶ φοβούμενος ἵνα μὴ γένηται νεωτερισμὸς εἰς τὸν υἱὸν αὐτοῦ τὸν Θεοδόσιον, ἐποίησε διαθήκην καὶ ἀφῆκε τὸν Περσάρχην τὸν Ἰσδιγέρδην τοῦ υἱοῦ αὐτοῦ Θεοδοσίου ἐπίτροπον, ὃς ἐστερέωσε τὴν ἀγάπην μετὰ τῶν Ῥωμαίων κατὰ τὸν Σωζόμενον χρόνους ἑκατὸν, ὄντος ἀποκρισιαρίου τοῦ Ἐπισκόπου Μαρουθᾶς, ὃς ἦν ἄνθρωπος τοῦ Θεοῦ κατὰ ἀλήθειαν. ἡ ἀγάπη ὅμως διελύθη πρὸς τῆς συμφωνίας, καθότι Ἀβδαᾶς τις Ἐπίσκοπος καύσας τὸ Ναὸν τοῦ πυρὸς, ἐγένετο αἰτία καὶ ἐκρημνίσθησαν αἱ Ἐκκλησίαι εἰς τὴν Περσίαν ὑπὸ τοῦ Περσάρχου, ὅστις καὶ διωγμὸν μέγαν ἐκίνησεν εἰς πέντε χρόνους τόσον, ὥστε τοὺς Μάγους ζητεῖν τοὺς Χριστιανοὺς ἀφ' ἑκάστου τόπου, καὶ πολλοὶ ἐφανεροῦντο αὐτοθελήτως, ἵνα μὴ νομισθῶσιν ἀρνεῖσθαι τὸν Χριστιανισμὸν, τινὲς δὲ ἔφυγον καὶ ἦλθον εἰς τὴν γῆν τῶν Ῥωμαίων. ὁ δὲ εἰρημένος Περσάρχης Οὐαράνης υἱὸς τοῦ Ἰσδιγέρδου ἀπέστειλεν εἰς τὸν Θεοδόσιον καὶ ἐζήτει τοὺς φυγάδας, ὅθεν ὁ Θεοδόσιος κινεῖ πόλεμον κατὰ τοῦ Οὐαράνου ὑπὲρ τῶν Χριστιανῶν, καὶ πέμπει Στρατηγὸν Ἀρδαβούριον, πέμπει δὲ καὶ ὁ Οὐαράνης τὸν Ἄρσεον, καὶ πορθεῖ ὁ Ἀρδαβούριος τὴν Ἀρζανὴν Ἐπαρχίαν Περσίδος, κἀκεῖθεν ἔρχεται εἰς Μεσοποταμίαν ἐν ᾗ ἦλθε καὶ ὁ Ἄρσεος, νομίσαντες δὲ οἱ Πέρσαι ἐλθεῖν κατ' αὐτῶν τοὺς Ῥωμαίους, ὑπὸ τοῦ φόβου αὐτῶν ὡς ἦσαν ἔνοπλοι ἀπεπνίγησαν εἰς τὸν Εὐφράτην χιλιάδες ἑκατὸν, καὶ δὴ καὶ οἱ Ῥωμαῖοι ἀνεῖλον τοὺς Ἀθανάτους λεγομένους καὶ τοὺς Στρατηγοὺς, καθότι ἐπαίδευσεν ὁ Θεὸς τοὺς Πέρσας διὰ τὸν πρὸς τοὺς Χριστιανοὺς δεινότατον διωγμὸν, ὕστερον ὅμως διὰ τὴν ἀγάπην τῶν ἐν Περσίδι ἐναπολειφθέντων πιστῶν, εἰρήνευσεν ὁ Θεοδόσιος μετὰ τῶν Περσῶν, Θεοδώριτος λόγῳ πέμπτῳ κεφαλαίῳ τριακοστῷ ἐνάτῳ. σημείωσαι ὅμως ὅτι χωρὶς ἀνάγκης οὐκ ἔστιν εὔλογον ἀντιτείνειν τινὰ προφανῶς εἰς τὴν ἀσέβειαν ὡς ἐποίησεν ὁ Ἀβδαᾶς, ἀλλὰ διάγειν μετὰ πάσης ὑπομονῆς καὶ μακροθυμίας κατὰ τὸν θεῖον Ἀπόστολον. ὅθεν καὶ

ὁ ἅγιος

ὁ ἅγιος Ἀντώνιος πολλάκις βουληθεὶς μαρτυρῆσαι, παρῃτήθη, ἵνα μὴ ποιήσῃ τὸ σκάνδαλον.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς εὑρέσεως τοῦ λειψάνου Ζαχαρίου τοῦ πατρὸς τοῦ προδρόμου, καὶ οὗ ἦν ἐνδεδυμένον ἱματισμοῦ, καὶ τοῦ αἰτίου δι' ὃ ἀνῃρέθη ὑπὸ τοῦ Ἡρώδου.

Εἰς τούτου τοῦ Βασιλέως τὸν καιρὸν εὑρέθη τὸ λείψανον τοῦ ἁγίου Ζαχαρίου εἰς τὸ χωρίον Κοφὰρ τῆς Ἐλευθερουπόλεως τῆς Παλαιστίνης ὑπό τινος ὀνομαζομένου Καλημέρου, τῆς καλῆς ἡμέρας τοῦ ἀνθρώπου. ἐφόρει δὲ ὁ Προφήτης ἐλευκὸν ἔνδυμα, χρυσῆν Μίτραν εἰς τὴν κεφαλὴν, καὶ εἰς τοὺς πόδας σανδάλια χρυσοῦφαντα, ὅτι εὑρίσκετο εἰς τὸ θυσιαστήριον ὅτε ἀπέστειλεν ὁ Βασιλεὺς Ἰωὰς ἀποκτεῖναι αὐτὸν. οὐ λανθάνει πολλῶν ἁγιογράφων ἡγνώμη τῶν θελόντων εἶναι τὸν Ζαχαρίαν περὶ οὗ γράφει ὁ Ματθαῖος εἰς τὸ εἰκοστὸν τρίτον κεφάλαιον φονευθῆναι ἀναμεταξὺ τοῦ ἱεροῦ καὶ τοῦ θυσιαστηρίου, τουτέστιν εἰς τὸ περιαύλιον τῶν ἱερέων ὑπὸ τοῦ βρεφοκτόνου Ἡρώδου, καθότι τὴν Θεοτόκον Μαρίαν μετὰ τὴν Χριστοῦ γέννησιν πάλιν ἔβαλεν εἰς τὸν χορὸν τῶν παρθένων, ὡς γράφει ὁ Νικηφόρος εἰς τὸ δεύτερον τῆς ἱστορίας αὐτοῦ, φέρων τὸν Ἱππόλυτον μάρτυρα, ὅθεν καὶ θῦμα τῆς παρθενίας φημίζεται ὁ πατὴρ τοῦ Ἰωάννου, ὁμισηθεὶς ὑπὸ πάντων τῶν ἱερέων διὰ τὸ κηρύττειν τὴν παρουσίαν τοῦ Μεσσία, ἐπειδὴ ἔλεγε, Καὶ σὺ παιδίον Προφήτης ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. ὅμως τὸν Ζαχαρίαν ὑπάρξαι υἱὸν τοῦ Βαραχίου ἀμφιβολόν ἐστιν; μόνον δὲ ὁ Ζαχαρίας οὗτόν ἐστιν ὁ υἱὸς τοῦ Ἰωδαὲ ὁ λεγόμενος ἄλλως κατὰ τὴν ἑβραϊκὴν συνήθειαν καὶ υἱὸς Βαραχίου, καθὼς εὑρίσκομεν τοῦτο εἰς τὸ εἰκοστὸν τέταρτον τῆς δευτέρας τῶν Παραλειπομένων, Καὶ ἐπέθεντο αὐτῷ καὶ ἐλιθοβόλησαν αὐτὸν λίθοις δι' ἐντολῆς Ἰωὰς τοῦ Βασιλέως ἐν αὐλῇ οἴκου Κυρίου.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ καύσαντος τὸ λείψανον τοῦ προδρόμου, καὶ ὧν ὑπελείφθησαν μερῶν αὐτοῦ, καὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ ὅθεν ἤχθη εἰς Βυζάντιον, καὶ πότε, καὶ ποῦ νῦν κεῖται τὰ μέρη αὐτῆς, καὶ περὶ τοῦ ἐν θαλάσσῃ καταποντισθέντος ἰωσὴφ τοῦ Ἴβηρος μεθ' οὗ εἶχε λάρυγγος τοῦ προδρόμου, καὶ περὶ τῆς τοῦ προδρόμου χειρὸς, καὶ ποῦ νῦν ἐστι, καὶ περὶ τοῦ λειψάνου τοῦ Θεολόγου Γρηγορίου.

Ἐπειδὴ δὲ τοῦ Ζαχαρίου ἐμνήσθημεν, μνημονευτέον καὶ τοῦ Προδρόμου. τὸ λείψανον τοίνυν Ἰωάννου τοῦ Βαπτιστοῦ ὁ παραβάτης Ἰουλιανὸς ἔκαυσεν εἰς τὴν Σεβάστειαν. εἰς πολλοὺς δὲ τόπους φαίνονται νῦν λειψάνων μέρη λεγόμενα τοῦ Προδρόμου, ὥστε καὶ ὁ Θεοφάνης ἱστορεῖ, ὅτι ἐπὶ Ἀρκαδίου τὰ λείψανα τοῦ Προδρόμου ἔφερον εἰς τὴν Ἀλεξάνδρειαν τινὲς, καὶ ἴσως ἐφύλαξαν ταῦτα τότε τινὲς πιστοί. ἡ σεβασμία αὐτοῦ ὅμως κάρα ἐφυλάχθη, καὶ εὑρέθη σώα, ἣν κατὰ τὸν Κωδινὸν τινὲς τῶν ἀπὸ τῆς Μακεδονίου Αἱρέσεως (καὶ περὶ ὁ Μεταφραστὴς οὐλέγει ὑπάρξαι αὐτοὺς Αἱρετικοὺς) εὑρόντες εἰς τὴν Παλαιστίνην, ἔφερον εἰς Κιλικίαν, ὁ Βασιλεὺς δὲ Οὐάλης Μερδονίῳ τῷ Ἀρχιευνούχῳ τῷ ὄντι εἰς τὴν Κιλικίαν ἐμήνυσε ἀποστεῖλαι αὐτὴν εἰς Κωνσταντινούπολιν, ἀλλ' ἡ τιμία κάρα ἐλθοῦσα εἰς τὸ Παντείχιον ἐστάθη, μὴ δυνάμενοι δὲ φέρειν αὐτὴν εἰς τὰ πρόσω, ἀφῆκαν εἰς χωρίον Κολάου λεγόμενον, ὁ δὲ μέγας Θεοδόσιος πορευθεὶς ἐκεῖσε ἔβαλεν αὐτὴν εἰς τὴν ἀλουργίδα αὐτοῦ καὶ ἔφερεν αὐτὴν εἰς Κωνσταντινούπολιν εἰς τὸ Ἕβδομον, ὅπου καὶ Ναὸν ἐγείρας περιβόητον, ἔβαλεν ἐκεῖ αὐτὴν. σημείωσαι δὲ, ὅτι ἤδη εἰς τὸ ὄρος τοῦ Ἄθωνος εἰς τὸ μοναστήριον τὸ λεγόμενον τοῦ Διονυσίου ἐστὶ μέρος τῆς σεβασμίας κάρας, καὶ ἕτερον μέρος ἦν εἰς τὴν Οὐγγροβλαχίαν εἰς τὸ μοναστήριον ἐπιλεγόμενον Καλούη, ὅπερ μοναστήριον ἡμεῖς ἐλάβομεν ἀφιέρωμα τοῦ ἁγίου τάφου, τὸ δὲ μέρος τῆς σεβασμίας κάρας, διὰ τὸ συμβεβηκέναι εἰς Οὐγγροβλαχίαν πολλὰς περιστάσεις ὑπὸ Γερμανῶν, Οὔγγρων καὶ Τατάρων, ἵνα μὴ ἀπολεσθῇ, ὡς ἦν ἐγκεκοσμημένον μετὰ θήκης λιθοκολλήτου ἐλάβομεν, καὶ εὑρίσκεται ἔνδον ἐν τῷ Ναῷ τοῦ ἁγίου τάφου. ἐκεῖνο δὲ ὅπερ λέγει ὁ ἱερὸς Θεοφάνης ὅτι ἡ κάρα τοῦ Βαπτιστοῦ μετετέθη ἐκ τοῦ σπηλαίου εἰς τὸν Ναὸν αὐτοῦ εἰς τὴν Ἔμεσαν, ἴσως ἦν ἡ ἡμίσεια. σημείωσαι δεύτερον, ὅτι Ἰωσήφ τις ἀπὸ τῆς Ἰβηρίας ἐκ τῶν περιχώρων τοῦ Τιφλιζίου τὸ γένος Παρατατφίλης περί που τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἑβδομηκοστὸν πέμπτον ἔτος ἐρχόμενος εἰς τὸ Βυζάντιον ἵνα ἐκεῖθεν ἀπέλθῃ διὰ θαλάσσης εἰς τὴν Ἱερουσαλὴμ, καὶ ἐπιβὰς ἐπὶ ἀκατίου λαζικοῦ, εἶχε καὶ εἰκόνα τοῦ Προδρόμου μετὰ πολυτιμήτων λίθων, καὶ περιχρύσων, ἥτις ἦν ἐσκαμμένη ὄπισθεν καὶ εἶχεν ἔνδον τὸν λάρυγγα τοῦ Προδρόμου, ἀλλὰ ἐγγὺς τοῦ Κυτώρου ἐπνίγη καὶ τὸ ἀκάτιον μετὰ τοῦ Ἰωσὴφ, καὶ ὅλοι ὅσοι ἦσαν ἔνδον, καὶ ἔμεινε καὶ ἡ εἰκὼν μετὰ τοῦ λάρυγγος εἰς τὸν θαλάττιον βυθόν. ὁ δὲ Ἰωὴλ φησὶν εἰς τὸ χρονικὸν αὐτοῦ, ὅτι ἐπὶ τοῦ πορφυρογεννήτου Κωνσταντίνου ἐξηνέχθη ἐξ Ἀντιοχείας ἡ χεὶρ τοῦ Προδρόμου ἀποκλαπεῖσα παράτινος Διακόνου Ἰὼβ καλουμένου, καὶ τὸ λείψανον τοῦ

τοῦ Ναζιανζηνοῦ. λέγει δὲ ὁ Κεδρηνὸς ὅτι ὁ Βασιλεὺς προϋπήντησεν αὐτὴν εἰς τὴν Χαλκηδόνα μετὰ μεγάλης τιμῆς, τῆς Συγκλήτου, τῆς Ἐκκλησίας καὶ τοῦ λαοῦ, πατριαρχοῦντος Πολυεύκτου. Φαίνεται δὲ τὸν Πορφυρογέννητον ἐμβαλεῖν αὐτὴν εἰς τὸ βασιλικὸν Παλάτιον, περί που γὰρ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν ἔτος τοῦ Σωτῆρος, ὁ Βεζύρης Μουσταφᾶ πασσᾶς ὁστρατεύσας ὕστερον κατὰ τῆς Βιέννης καταγράφων τὰ εἰς τὸ βασιλικὸν θησαυροφυλάκιον πολύτιμα, ἦυρεν εἰς ἓν ὁλόχρυσον κιβώτιον μίαν χεῖρα ἐυωδιάζουσαν, καὶ ἰδὼν εἰς τὸ κιβώτιον ἑλληνικὰ γράμματα ἀνέγνω ταῦτα διὰ ῥωμαίου τινὸς, ἃ ἔλεγον εἶναι τὴν χεῖρα τοῦ Βαπτιστοῦ Ἰωάννου, ὅθεν κλείσας τὸ κιβώτιον εὐλαβῶς, καὶ κατασφραγίσας, ἔβαλεν αὐτὸ πάλιν εἰς τὸ ἴδιον θησαυροφυλάκιον. ἐκεῖνο δὲ ὅπερ λέγει ὁ Θεοφάνης ὅτι ἐπὶ τοῦ Κοπρωνύμου ἡ κάρα τοῦ Βαπτιστοῦ μετετέθη ἀπὸ τῆς μονῆς τοῦ σπηλαίου εἰς τὸν Ναὸν τὸν μέγιστον αὐτοῦ ἐν Ἐμέσῃ, φωτίσειεν ὁ Θεὸς ἄλλον ἑρμηνεῦσαι αὐτὸ, ἐμοὶ γὰρ οὔπω δῆλον.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τοῦ πολλάκις κατὰ πραγματείαν βαπτισθέντος Ἑβραίου, καὶ δὶς ἐκλελοιπότος τοῦ ὕδατος ἐν τῷ ὑπὸ Ναυατιανῶν βαπτίζεσθαι αὐτόν. καὶ περὶ τοῦ εἰπόντος Ἀρειανοῦ Ἐπισκόπου βαπτίζεται βάρβαρος εἰς τὸ ὄνομα τοῦ Πατρὸς δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι, καὶ ἐξηράνθη ἡ κολυμβρήθρα.

Ἔτυχεν εἰς τὴν Κωνσταντινούπολιν καὶ Ἑβραῖος τὶς κατὰ πραγματείαν ἐβαπτίζετο πλειστάκις, καὶ τόσον, ὥστε καὶ ἐκέρδησεν τούτῳ τῷ τρόπῳ πολλότατα ἀργύρια. μετέβαινε δὲ ἀπὸ Αἱρέσεως εἰς Αἵρεσιν, ἀπὸ τῶν Ἀρειανῶν εἰς τοὺς Μακεδονίτας, ἐν ὑστέροις δὲ ἦλθε καὶ εἰς τὸν Παῦλον τῶν Ναυατιανῶν τὸν Ἐπίσκοπον, προσποιούμενος καὶ πλάττων ὅτι ἤθελε βαπτισθῆναι καὶ τελείως χριστιανίσαι, καὶ ὁ Παῦλος θέλων πρῶτον κατηχῆσαι αὐτὸν, παρήγγειλεν αὐτῷ νηστεῦσαι. ὁ Ἑβραῖος ὅμως προσποιούμενος ὅτι ὀρέγεται βαπτισθῆναι ὅτι τάχιστα, ἦλθεν εἰς τὸν τόπον τοῦ βαπτίσματος, καὶ ἐμβληθέντος τοῦ ἀναγκαίου ὕδατος ἐν τῇ κολυμβήθρᾳ, καὶ εἰσελθόντος ἔσω εἰς τὸ φωτιστήριον τοῦ Ἑβραίου, φεῦ τοῦ θαύματος, ἐξηράνθη ἡ κολυμβήθρα, καὶ τὸ ὕδωρ τελείως ἐξηφανίσθη. ἐθαύμασαν δὲ οἱ πάντες ἐπὶ τὸ γεγονός. ἐμφράξαντες ὅμως ὅλας τὰς τρύπας τὰς διδούσας ὑποψίαν μερικὴν, ἐγέμισαν πάλιν τὸ βαπτιστήριον, καὶ φορέσαντος τοῦ Ἑβραίου τὴν λευκὴν στολὴν τοῦ βαπτίσματος ὡς βαπτισθησομένου, καὶ εἰσελθόντος ἐκ δευτέρου εἰς τὴν κολυμβήθραν, πάλιν τὸ ὕδωρ αὐθωρὸν ἐξέλιπε, καὶ ὅλοι ἐξεστηκότες ἐγένοντο. τοῦτο ὅλον διηγεῖται ὁ Σωκράτης εἰς τὸ ἕβδομον τῆς ἱστορίας αὐτοῦ. τοῦτο γέγονεν εἰς σωφρονισμὸν τῶν διπλασιαζόντων τὸ βάπτισμα ἐναντίον τοῦ ἁγίου Συμβόλου τοῦ διατάσσοντος ἡμᾶς ὁμολογεῖν ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν ἡμῶν. ἐκ τούτου τοῦ διηγήματος ἔχομεν εἰδέναι τὴν τελετὴν τοῦ μυστηρίου καὶ οὐχὶ τὸν δρῶντα ἱερέα εἶναι τῆς θαυματουργίας τὸ αἴτιον, ὃν τρόπον καὶ ἡ προφητεία ἐδόθη ὀργανικῶς εἰς τὸν Καϊάφαν τὸν Ἀρχιερέα τοῦ ἐνιαυτοῦ ἐκείνου. οἱ δὲ Ναυατιανοὶ τῷ ὁμολογεῖν ἀπροκριματίστως τὸ μυστήριον τῆς ἁγίας Τριάδος, ἐλευθέρως κατῴκουν εἰς τὰ κάστρα, καὶ τὸ βάπτισμα αὐτῶν ἐδέχετο ἡ καθολικὴ Ἐκκλησία. ἐξ ἐναντίας πάλιν οἱ Ἀρειανοὶ (ὡς καὶ ὁ δεύτερος τῶν Ἀρειανῶν Ἐπίσκοπος ὁ ἀποτολμήσας εἰπεῖν ἔνδον ἐν τῇ Κωνσταντινουπόλει βαπτίζεται βάρβαρος εἰς τὸ ὄνομα τοῦ Πατρὸς δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι, καὶ τὸ ὕδωρ τῆς καλυμβήθρας γέγονεν ἀφανές) καὶ μάλιστα οἱ Εὐδοξιανοὶ καὶ οἱ Μακεδονιανοὶ οἱ ἀθετοῦντες τὴν ἐπίκλησιν τῆς ἁγίας Τριάδος εἰς τὴν βάπτισιν, ἐδιώκοντο καὶ κατεφρονοῦντο πανταχοῦ, καὶ τὸ βάπτισμα αὐτῶν ἦν ἀντὶ μολύσματος, καθότι οὐκ ἠκολούθει τῇ παραδόσει τῆς Ἐκκλησίας ἀπ' αὐτοῦ τοῦ Κυρίου παραδεδομένῃ εἰς τοὺς αὐτόπτας αὐτοῦ τοῦ Θεοῦ Λόγου καὶ πνευματοκήρυκας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῷ ὄρει τῆς Γαλιλαίας.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἐν Ἀλεξανδρείᾳ ἐπιβουλῆς τῶν Ἑβραίων κατὰ τῶν Χριστιανῶν, καὶ ἐκδικήσεως κατ' αὐτῶν τοῦ ἁγίου Κυρίλλου, καὶ ἀφαιρέσεως τῶν Ἐκκλησιῶν τῶν Ναυατιανῶν. καὶ περὶ τοῦ Σταυρῷ κτανθέντος παιδὸς ὑφ' Ἑβραίων, καὶ τῆς κατ' αὐτῶν ἐκδικήσεως ὑπὸ τῶν Χριστιανῶν. καὶ περὶ τοῦ ἐν Κρήτῃ φανέντος ψευδομεσσία, καὶ ὧν ἔπραξε.

Πολλάκις οἱ Ἑβραῖοι ἔπραξαν καὶ ἔπαθον κακὰ, ἀλλὰ καὶ ἐπὶ Θεοδοσίου τοῦ μικροῦ εἰς τὸν δῆμον Ἀλεξανδρείας ἐπαιρόμενοι, καὶ συνεργήσαντες εἰς τὸν Ἔπαρχον Ἀλεξανδρείας Ὀρέστην ἵνα βασανίσῃ ἰσχυρῶς Ἱέρακα τὸν Κληρικὸν τοῦ ἁγίου Κυρίλλου, καὶ διὰ τὸ μιᾷ νυκτὶ εἰπεῖν αὐτοὺς ὅτι καίεται ἡ

Ἐκκλη-

Ἐκκλησία, καὶ πολλοὺς τῶν ἐξελθόντων Χριστιανῶν ἐπὶ τὸ σβέσαι τὴν πυρκαϊὰν ἀποκτεῖναι, ὁ ἅγιος Κύριλλος λαμβάνει τὰς συναγωγὰς αὐτῶν τῶν Ἰουδαίων, ἔχων μεθ' ἑαυτοῦ τὸν λαὸν, καὶ διώκει τοὺς Ἰουδαίους, οἳ ἦσαν ἐγκάτοικοι ἐκεῖ ἀπὸ τῶν καιρῶν Ἀλεξάνδρου τοῦ Μακεδόνος, καὶ ἀφίησι τὸν λαὸν καὶ ἁρπάζουσι τὰ ὑπάρχοντα αὐτῶν, καὶ τελείως ἐκεῖθεν ἠφάνισεν αὐτούς. εἶτα διὰ τὸ τὸν Ἔπαρχον Ὀρέστην γλωσσαλγίᾳ κεχρῆσθαι κατὰ τοῦ ἁγίου, ἔρχονται Ἀσκηταὶ πεντακόσιοι ἀπὸ τοῦ ὄρους τῆς Νιτρίας, καὶ εὑρίσκουσιν ὀχούμενον τὸν Ὀρέστην, καὶ λιθάζουσιν αὐτὸν καὶ τοὺς περὶ αὐτὸν, φεύγει ὅμως καὶ σώζεται. ἀλλὰ καὶ γυναῖκα Ὑπατίαν ὀνόματι θυγατέρα Θέωνος τοῦ φιλοσόφου, καὶ προϊσταμένην τῆς σχολῆς τῶν ἀπὸ Πλωτίνου, ὑποπτευσάμενοι τινὲς ὅτι ἐχθραίνει τὸν Ὀρέστην κατὰ τοῦ Κυρίλλου, ἐπαναστρέφουσαν ἀπὸ τοῦ Ἐπάρχου κόπτουσι μελῃδόν. καὶ δὴ καὶ τῶν Ναυατιανῶν τὰς Ἐκκλησίας ἔλαβεν ὁ Κύριλλος, καὶ τὰ κειμήλια ἅπερ εἶχεν ὁ Ἐπίσκοπος αὐτῶν Θεόληπτος. ναὶ δὴ καὶ ὁ Ῥώμης Ἰννοκέντιος ἐδίωξε τοὺς Ναυατιανοὺς ἀπὸ τῆς Ῥώμης, καὶ ἔλαβε τὰς Ἐκκλησίας αὐτῶν. καὶ ὁ Χρυσόστομος τῷ Γαϊανῷ Ἀρειανῷ οὐκ ἔδωκεν εἰς τὴν Κωνσταντινούπολιν Ἐκκλησίαν, καὶ ἕτεροι Πατριάρχαι τοιαῦτα πολλάκις ἔπραξαν, ὡς καὶ Νεστόριος ἔλαβε τὰς Κωνσταντινουπόλεως καὶ Ἑλλησσόντου Ἐκκλησίας τῶν Μακεδονιανῶν, καὶ διατοῦτο πολλοὶ προσέθεντο τῷ Ὁμοουσίῳ. οἱ Ἑβραῖοι ὅμως εἰς ἐκείνους τοὺς καιροὺς ἀναμεταξὺ Ἀντιοχείας καὶ Χαλκίδος παίζοντες, ἦλθον εἰς μέθην καὶ ἐχλεύαζον τὸν Σταυρὸν, καὶ σταυροῦσι παιδίον Χριστιανὸν, καὶ χλευάσαντες αὐτὸ ἀπέκτειναν, καὶ τοὺς ἐμποδίζοντας Χριστιανοὺς ἠμύναντο, καὶ πάσχουσι πάλιν τὰ μυρία κακὰ ὑπὸ τῶν Ῥωμαίων. εἰς αὐτοὺς τοὺς καιροὺς ἐφάνη ὁ ψευδομεσσίας. Ἰουδαῖόστις εἰς τὴν Κρήτην ὑπεκρίθη εἶναι ὁ Προφήτης Μωϋσῆς ὁ ἐλευθερώσας τοὺς Ἑβραίους ἀπὸ τῆς Αἰγύπτου. καὶ δὴ πείθει τοὺς Ἑβραίους καταλιπεῖν καὶ τὰ χρήματα, καὶ πάντα ὅσα εἶχον, καὶ ἀπελθεῖν διὰ θαλάσσης εἰς Ἱεροσόλυμα, καὶ ἀκολουθούντων αὐτῷ πάντων σὺν γυναιξὶ καὶ τέκνοις, εἴς τι ἀκρωτήριον ἔπεισεν αὐτοὺς καὶ ἐπήδων εἰς τὴν θάλασσαν ἀπὸ κρημνοῦ δυσκόλου, καὶ νομίζοντες οἱ λοιποὶ τοὺς πηδῶντας περιπατεῖν ἐν τῇ θαλάσσῃ, ἐπήδων καὶ ἐκεῖνοι. ἁλιεῖς δὲ βλέποντες ἀπὸ τῆς θαλάσσης πηδᾶν τινὰς ἀνθρώπους καὶ κατακόπτεσθαι εἰς τοὺς κρημνοὺς, καὶ πνίγεσθαι ἐν τῇ θαλάσσῃ, ἐβόησαν, καὶ ἐκώλυσαν τοὺς λοιποὺς, οἵτινες θέλοντες ἀποκτεῖναι τὸν ψευδομωϋσῆν, οὐχ εὗρον αὐτὸν, καὶ ἐνόμισαν ὑπάρξαι Δαίμονα, ὅμως οἱ περισσότεροι ἐν Κρήτῃ Ἰουδαῖοι ἐχριστιάνισαν, Σωκράτης βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ τριακοστῷ ὀγδόῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ Ἀπεσβήτου τοῦ Στρατηγοῦ τῶν Σαρακηνῶν, καὶ τοῦ χριστιανισμοῦ αὐτοῦ, καὶ περὶ τοῦ υἱοῦ αὐτοῦ Τερέβου.

Καιρός ἐστιν εἰπεῖν διὰ ἐφύμνιον τῆς Ἱερουσαλὴμ περὶ τοῦ ἐθνικοῦ Ἀπεσβήτου ὅπως ἐχριστιάνισε διὰ τοῦ ἁγίου Εὐθυμίου, καθὼς ἱστορεῖ τοῦτο ὁ Κύριλλος, καὶ ἐξ αὐτοῦ Συμεὼν ὁ Μεταφραστής. οὗτος ὁ Ἀπέσβητος ἦν Στρατηγὸς τῶν Σαρακηνῶν, καὶ ὅτε οἱ Μάγοι τῶν Περσῶν ἐδίωκον τοὺς Χριστιανοὺς, σπλαγχνιζόμενος ἠφίει αὐτοὺς, καὶ μετ' αὐτῶν ἔφυγεν εἰς τοὺς Ῥωμαίους, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν Τέρεβον τὸν ἡμίξηρον υἱὸν αὐτοῦ. καὶ λοιπὸν δι' ἀποκαλύψεως ἀπῆλθεν ἐντυχεῖν τῷ μεγάλῳ Εὐθυμίῳ μετὰ ὀλίγων Στρατιωτῶν, καὶ βλέποντες οἱ μοναχοὶ Πέρσας εἰς τὰ κελλία αὐτῶν, ἐφοβήθησαν σφόδρα. ἐξῆλθεν ὅμως ὁ θεῖος Θεόκτιστος εἰς συναπάντησιν αὐτοῦ, καὶ ἐρωτήσας τὴν αἰτίαν τῆς ἀφίξεως αὐτοῦ, καὶ μαθὼν ταύτην εἶναι πρὸς τὸν ἀναχωρητὴν Εὐθύμιον διὰ ὑγείαν καὶ θεραπείαν ψυχῆς τε καὶ σώματος, ἐχάρη. καὶ ὁ Ἀπέσβητος ἐλθὼν πρὸς τὸν ἅγιον ἐδιηγήθη καὶ τὴν ἀποκάλυψιν ἣν εἶδεν ὁ Τέρεβος, καὶ εὐθὺς ὁ Εὐθύμιος προσευξάμενος, καὶ ἐπιθεὶς τὸν τύπον τοῦ Σταυροῦ εἰς τὸν ἡμίξηρον παῖδα καὶ ἡμιθνῆτα, ἰάτρευσεν αὐτὸν τοῦ Θεοῦ τῇ χάριτε καὶ τῇ βοηθείᾳ. καὶ βλέποντες τὸ θαῦμα οἱ πέριξ βάρβαροι ἐβαπτίσθησαν. καὶ τὸν μὲν Ἀπέσβητον βαπτίσας ὁ ἅγιος Εὐθύμιος ὠνόμασε Πέτρον, ὁ δὲ Ἰουβενάλιος ὁ Ἱεροσολύμων ἐχειροτόνησεν αὐτὸν πρῶτον Ἀρχιερέα τῶν Σαρακηνῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς ἐν Κωνσταντινουπόλει Συνόδου περὶ Ἀγαπίου καὶ Βαγαδίου, καὶ τῶν ἐν αὐτῇ πατέρων, ἐν οἷς καὶ Θεόδωρος Μοψουεστίας. καὶ περὶ τῆς Αἱρέσεως Κελεστίου καὶ Νεστορίου.

Εἰς τὴν ἀθροισθεῖσαν Σύνοδον ἐν Κωνσταντινουπόλει ἐν ἔτει τριακοσιοστῷ ἐννενηκοστῷ τετάρτῳ ὑπὸ Νεκταρίου Κωνσταντινουπόλεως, Θεοφίλου Ἀλεξανδρείας, Φλαυϊανοῦ Ἀντιοχείας, ἐλλαδίου Καισαρείας κατ-

Καππαδοκίας, Γελασίου Καισαρείας τῆς Παλαιστίνης, γρηγορίου νύσσης, Ἀμφιλοχίου Ἰκονίου, καὶ ἑτέρων ὀνομαστῶν Ἐπισκόπων δεκατριῶν, καὶ ἀνωνύμων πολλῶν περὶ Ἀγαπίου καὶ Βαγαδίου τῶν ἀντεχομένων τῆς Ἐπισκοπῆς Βόστρης, παρῆν καὶ Θεόδωρος ὁ Μοψουεστίας. Δεῖ δὲ εἰδέναι ὅτι ἦσαν δύο μεγάλοι ἄνθρωποι ὄντος ὁ Μοψουεστίας καὶ ὁ Ταρσοῦ Διόδωρος, οἵτινες ἠγωνίσθησαν εἰς καιρὸν χρείας κατὰ Ἀρείου, Μακεδονίου, Ἀπολιναρίου καὶ Εὐνομίου, καὶ ὑπεμνημάτισαν τὴν γραφὴν, καὶ ζῶντες ἐτιμῶντο, καὶ θανόντες ἐνεκωμιάσθησαν ὑπό τινων πατέρων. ἀλλὰ κινηθέντος Νεστορίου, καὶ ἐκ τῶν συγγραμμάτων αὐτῶν ἐνοῖς ἀγωνιζόμενοι εἶπον δύο φύσεις καὶ δύο ὑποστάσεις διϊσχυριζομένου βεβαιῶσαι τὴν Αἵρεσιν αὐτοῦ, ὁ Ἀλεξανδρείας Κύριλλος ὃς πρότερον αὐτοὺς τρόπῳ τινὶ ἐπῄνει, ὕστερον ἐπελάβετο αὐτῶν ἀγωνιζόμενος διὰ τὸ δίκαιον τῆς ὀρθοδοξίας. σύμφωνοι δὲ ἦσαν εἰς τὴν Αἵρεσιν ὅ,τε Νεστόριος καὶ Κελέστιος, ὁ μὲν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, ὁ δὲ εἰς τὸ πανάγιον Πνεῦμα βλασφημήσαντες, ὡς ὁ Ἀλεξανδρείας Κύριλλος ἔγραψε πρὸς Θεοδόσιον τὸν μικρὸν, ἐπειδὴ ὁ μὲν Κελέστιος ἑπόμενος τῷ Διδασκάλῳ αὐτοῦ Πελαγίῳ ἔλεγεν, ὅτι οὐχὶ ὁ Θεὸς, ἤγουν τὸ πανάγιον Πνεῦμα τήν τε πίστιν καὶ πάντα τὰ πρὸς εὐσέβειαν καὶ σωτηρίαν διαιρεῖ ἑκάστῳ καθὼς βούλεται, ἀλλ' ὅτι ἡ κατατεταγμένη τοῦ ἀνθρώπου φύσις, ἡ διὰ τὴν παράβασιν καὶ τὴν ἁμαρτίαν τῆς μὲν μακαριότητος ἐκπεσοῦσα, τοῦ δὲ Θεοῦ χωρισθεῖσα, καὶ τῷ θανάτῳ παραδοθεῖσα, αὕτη κατὰ τὴν τῆς προαιρέσεως ἀξίαν τὸ Πνεῦμα τὸ ἅγιον προσκαλεῖται καὶ ἀπωθεῖται, καὶ ὅτι προηγεῖται τὸ αὐτεξούσιον τῆς χάριτος, ὅθεν τὸ θέλημα τοῦ ἀνθρώπου ἱκανὸν εἰς πλήρωσιν τῶν ἐντολῶν τοῦ Θεοῦ. ταῦτα ὁ Κελέστιος. ὁ δὲ Νεστόριος ἔλεγεν, ὅτι ἐπειδὴ τῆς ἡμετέρας φύσεώς ἐστιν ὁ Χριστὸς, ὁ δὲ Θεὸς θέλει πάντας σωθῆναι, καὶ τῇ προαιρέσει αὐτοῦ ἕκαστον διορθῶσαι τὸ πταῖσμα αὐτοῦ, καὶ διατοῦτο οὐχ ὁ Λόγος τοῦ Θεοῦ ἐστιν ὁ τεχθεὶς, ἀλλ' ὁ γεννηθεὶς ἄνθρωπος ἐκ τῆς Μαρίας διὰ τὴν ἀξίαν τῆς φυσικῆς αὐτοῦ προαιρέσεως εἶχε τὸν Λόγον τοῦ Θεοῦ ἑπόμενον αὐτῷ, μόνῃ τῇ ἀξίᾳ καὶ τῇ ὁμωνυμίᾳ κεκοινωνικὼς τῆς Θεότητος, Φωτίου ἀναγνώσει πεντηκοστῇ τεταρτῇ. ἐπαναλαμβάνοντες τὸν λόγον λέγομεν, ὅτι μετὰ τὸν θάνατον τοῦ Θεοδώρου τούτου, κινηθείσης τῆς Αἱρέσεως τοῦ Νεστορίου, καὶ γνωσθέντων τῶν συγγραμμάτων τοῦ Θεοδώρου συμφώνων τῇ Αἱρέσει, μοναχοί τινες ἐλθόντες ἐν Κωνσταντινουπόλει ἀπὸ τῆς Ἀνατολῆς παρηνώχλουν Θεοδόσιον τὸν μικρὸν περὶ αὐτῶν κατὰ τὸν Θεοφάνην. ὁ δὲ ἐπέτρεψε τῷ Κωνσταντινουπόλεως Πρόκλῳ ἐρωτῆσαι τοὺς Ἀνατολικούς. τότε ἐρωτηθεὶς Ἰωάννης ὁ Ἀντιοχείας καὶ ἡ περὶ αὐτὸν Σύνοδος, ὀρθοδοξίαν ἐμαρτύρησαν τοῦ Θεοδώρου, ὁ μέντοι Πρόκλος ἰδὼν ταῦτα αἱρετικὰ, ἠβουλήθη αὐτὸν ἀναθεματίσαι, ἀλλ' ὁ ἅγιος Κύριλλος ἐκώλυσεν αὐτὸν διὰ οἰκονομίαν, ἵνα μὴ γένηται τυχὸν σύγχυσις, ἐπειδὴ οἱ Ἀνατολικοὶ εἶχον αὐτὸν εἰς τιμήν. ὕστερον ὅμως ἡ πέμπτη οἰκουμενικὴ ἀνεθεμάτισεν αὐτὸν, καθὼς τὸν Νεστόριον ἡ τρίτη. Σημείωσαι δὲ ὅτι ὁ Φώτιος λέγει τοῦ Πελαγίου μαθητὴν τὸν διαληφθέντα τοῦτον Κελέστιον, καὶ διατοῦτο οἱ ἀπὸ τῆς Αἱρέσεως ποτὲ μὲν Κελεστιανοὶ, ποτὲ δὲ Πελαγιανοὶ ὀνομάζονται.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἐν Ἱερουσαλὴμ Συνόδου κατὰ Πελαγίου.

Ἠθροίσθη κατὰ τοῦ Πελαγίου πρώτη Σύνοδος εἰς τὴν Ἱερουσαλὴμ ὑπὸ τοῦ Πατριάρχου Ἰωάννου μετὰ μόνου τοῦ ἰδίου Πρεσβυτερίου τῇ τριακοστῇ τοῦ Ἰουλίου πρὸ τεσσαράκοντα καὶ πέντε ἡμερῶν τῆς ὑψώσεως τοῦ τιμίου Σταυροῦ, ὡς ἱστορεῖ ὁ μοναχὸς Ὀρόσιος εὐλαβὴς καὶ φίλος τοῦ Πατριάρχου Ἰωάννου, ὅστις παρῆν εἰς τὴν Σύνοδον, καὶ ἔγραψε καὶ τὰς πράξεις αὐτῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἐν Λύδδῃ Συνόδου κατὰ Πελαγίου, καὶ ἀθῳώσεως ἐξ ὑποκρίσεως αὐτοῦ, καὶ αὖθις φανερᾶς αὐτοῦ Αἱρέσεως. καὶ περὶ τῆς ἐν Καρθαγένῃ Συνόδου κατὰ Δονατιστῶν, καὶ τῶν κατ' αὐτῶν ὁρισμῶν τοῦ Βασιλέως, καὶ κατὰ Κελεστίου καὶ Πελαγίου.

Μετὰ τὴν Σύνοδον τὴν ἐν Ἱερουσαλὴμ ἠθροίσθη Σύνοδος δευτέρα δεκατεσσάρων Ἐπισκόπων ἐν ἔτει τετρακοσιοστῷ δεκάτῳ πέμπτῳ κατὰ τοῦ αὐτοῦ Πελαγίου εἰς τὴν Λύδδαν, ἥτις καὶ Διόσπολις ὠνομάσθη ἀπὸ τοῦ τόπου (ὅτι καὶ Διὸς πόλις ἡ Λύδδα ἐκλήθη) ἐν ᾗ Συνόδῳ ἦσαν ὅ,τε Ἱεροσολύμων Ἰωάννης, Εὐλόγιος ὁ Καισαρείας τῆς Παλαιστίνης Μητροπολίτης, Ἐλευθέριος ὁ Σεβαστείας, ἥτις Σαμαρείας, ὁ Γαζαίων Πορφύριος, Ζεβαινὼν ὁ τῆς Ἐλευθερουπόλεως, ᾧ κατὰ τὸν Σωζόμενον ἀπεκαλύφθησαν τὰ λείψανα τῶν Προφητῶν Μιχαίου καὶ Ἀββακοὺμ, Φεῖδος Ἰόπης, Ἀμμωνιανὸς, Εὐνόμιος, ἕτερος Πορφύριος, Ζωσῖνος, Νυμφίδιος, Ἑβρομάτιος, Ἰοβῖνος καὶ Κλημάντιος. κατηγόρουν δὲ τοῦ Πελαγίου δύο Ἐπίσκοποι

πίσκοποι ἀπὸ Γαλλίας, Νέπορος καὶ Λάζαρος, τὶ δὲ ἀπεκεφαλαιώθη εἰς ἐκείνην τὴν Σύνοδον, ὁ θεόφρων Αὐγουστῖνος διηγεῖται ὑποκριθῆναι τὸν Πελάγιον, καὶ ἀναθεματίσαι ἐνώπιον τῆς Συνόδου τὰ κεφάλαια τῶν Αἱρέσεων αὐτοῦ τὰ δώδεκα, καὶ τὰ λοιπὰ αὐτοῦ συγγράμματα περὶ τῆς Αἱρέσεως αὐτοῦ, ὅθεν καὶ συνεχωρήθη ὡς μετανενοημένος καὶ διωρθωμένος κατὰ τὸ ἐξωτερικὸν, πλὴν εἰς τὸ ἐσωτερικὸν ἔμεινε πάλιν ὁ Κολοιὸς Κολοιὸς κατὰ τὸ θρυλλούμενον, τουτέστιν ὁ Αἱρεσιάρχης Αἱρεσιάρχης ὡς καὶ τὸ πρότερον. ὅθεν θλίβεται ὁ ἱερὸς Αὐγουστῖνος διὰ τὸ ὀφθῆναι τὸν Πελάγιον προβατόσχημον λύκον εἰς πολλοὺς, καὶ ἔγραψε καὶ πολλὰ κατ' αὐτοῦ τῷ Ἱεροσολύμων Ἰωάννῃ, ἀλλ' ὁ Πελάγιος λίαν ὑποκριθεὶς, ἐνομίσθη μετανενοηκέναι τελείως τόσον, ὥστε τῷ Ῥώμης Ἰννοκεντίῳ γράψαντι τῷ Ἱεροσολύμων Πραϋλίῳ κατ' αὐτοῦ, τὸν Πραΰλιον ἀντιγράψαι αὐτῷ βεβαιοῦντα τοῦ Πελαγίου τὴν ἀθῴωσιν. ὅμως μετ' οὐ πολὺ φανερωθείσης πάλιν τῆς Αἱρέσεως αὐτοῦ, ἀγωνίζονται κατ' αὐτοῦ ὁ Ῥώμης Ἰννοκέντιος, καὶ ὁ Ἀλεξανδρείας Θεόφιλος, καὶ πάλιν ὁ ἱερὸς Αὐγουστῖνος. ἀλλὰ πλεονασάσης τῆς Αἱρέσεως εἰς τὴν Ἀφρικὴν, καὶ ἐνοχλούσης ἐκεῖ καὶ τῆς Αἱρέσεως τοῦ Δονάτου, ἀθροίζεται Σύνοδος, ἐν ᾗ ἦσαν Ἐπίσκοποι κατὰ μέν τινας, διακόσιοι δεκατέσσαρες, κατὰ δὲ τὸν Φώτιον, διακόσιοι εἰκοσιπέντε, κατὰ δὲ τὰς εὑρισκομένας πράξεις τῆς Συνόδου, διακόσιοι δεκαεπτὰ, ἐν οἷς ἦσαν καί τινες Τοποτηρηταὶ Ἐπισκόπων, καὶ Τοποτηρηταὶ ὅλης Ἐπαρχίας καὶ ἔθνους. ἦν δὲ ἡ ἄθροισις ἐν τῷ δωδεκάτῳ ἔτει τῆς Ὑπατείας Ὀνωρίου καὶ τῷ ὀγδόῳ Θεοδοσίου εἰς τὴν πόλιν Καρθαγένην, εἰς τὸ Σεκρέτον τῆς Ἐκκλησίας Φαύστου περὶ τὸ τετρακοσιοστὸν δέκατον ὄγδοον ἔτος. προεκάθητο δὲ Αὐρήλιος ὁ Καρθαγένης, ἦσαν δὲ οἱ συναχθέντες ἀπὸ τῶν Ἐπαρχιῶν τῆς Ἀφρικῆς, ἦσαν δὲ καὶ Τοποτηρηταὶ τοῦ Ῥώμης Ζωσίμου Φαυστῖνος Πικένου Ἰταλίας Ἐπίσκοπος καὶ Φίλιππος καὶ Ἄσελλος οἱ πρεσβύτεροι. περιέχεται δὲ ἡ πρᾶξις αὐτῆς εἰς κεφάλαια ἑκατὸν τριάκοντα καὶ ὀκτὼ, ἔγραψαν δὲ καὶ οἱ Βασιλεῖς εἰς τὴν Σύνοδον κατὰ Δονατιστῶν Κελεστίου καὶ Πελαγίου, καὶ Κωνσταντῖνος ὁ ἀνὴρ Πλακηδίας καὶ τῶν Βασιλέων γαμβρὸς ἔγραψεν ἐξορισθῆναι τῆς Ἀφρικῆς τὸν Κελέστιον πρὸς Βολοσιανὸν Ἔπαρχον τὸν πατέρα τῆς ἁγίας Μελάνης Ἕλληνα ὄντα τότε, ἀλλ' ὕστερον ἐλθόντα πρεσβευτὴν εἰς Κωνσταντινούπολιν, καὶ εὑρόντα καὶ τὴν ἁγίαν ἐλθοῦσαν ἐκεῖσε ἀπὸ τῆς Ἱερουσαλὴμ, καὶ χριστιανίσαντα καὶ βαπτισθέντα ὑπὸ Πρόκλου Κωνσταντινουπόλεως.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ἐν τῇ ἐν Καρθαγένῃ Συνόδῳ ἁγίας τοῦ Κομμονιτωρίου τοῦ Ῥώμης, καὶ ἀναθεματισμοῦ τῶν Αἱρέσεων Δονατιστῶν, Κελεστίου καὶ Πελαγίου.

Εἰς τὴν ἀρχὴν ἐζήτησεν ὁ Αὐρήλιος ἀναγνωσθῆναι κατὰ τὴν συνήθειαν τὰ πρακτικὰ τῆς ἐν Νικαίᾳ Συνόδου, ἀλλ' ὁ Τοποτηρητὴς τῆς Ῥωμαϊκῆς Ἐκκλησίας Φαυστῖνος διελάλησε θεωρηθῆναι πρῶτον τὰς προσταγὰς ἃς εἶχεν ἀπὸ τῆς Ῥώμης, καὶ ὕστερον θεωρηθῆναι τὰς ὑποθέσεις τῆς Συνόδου. ἀναγνωσθέντος τοίνυν τοῦ Κομμονιτωρίου τοῦ Ῥώμης Ζωσίμου περιέχοντος τέσσαρα κεφάλαια κείμενα εἰς τὸ ἑκατοστὸν τριακοστὸν πέμπτον κεφάλαιον τῆς Συνόδου, οἱ πατέρες εἶπον, ὅτι αὐτὰ ἡμεῖς οὔτε εἰς τὰ πρακτικὰ τῆς ἐν Νικαίᾳ Συνόδου τὰ κομισθέντα ἐκεῖθεν ὑπὸ τῶν πατέρων ἡμῶν, οὔτε εἰς τὰ ὅσα ἔχομεν ἑλληνικὰ εὑρίσκομεν, ὅθεν διωρίσθη ἀποστεῖλαι ἄνθρωπον εἰς τὸν Κωνσταντινουπόλεως Ἀλεξανδρείας καὶ Ἀντιοχείας καὶ ἀγαγεῖν αὐτοῖς ἐκεῖθεν τὰ ἴσα τῶν αὐθεντικῶν, καὶ ὅταν ἔλθωσιν ἐκεῖνα, εἶπον, θεασόμεθα τὰ τοῦ Κομμονιτωρίου. κατὰ τὸ παρὸν δὲ ἤρξαντο διερευνᾶν διαφόρους ὑποθέσεις τῶν Ἐκκλησιῶν τῆς Ἀφρικῆς, καὶ περὶ τῶν τριῶν Αἱρετικῶν Δονάτου, Κελεστίου καὶ Πελαγίου ἀπ' ἀρχῆς ἕως τοῦ ἑκατοστοῦ τριακοστοῦ πέμπτου κεφαλαίου. τὰς δὲ Αἱρέσεις τοῦ Κελεστίου καὶ Πελαγίου ἀνεθεμάτισαν εἰς ὀκτὼ κεφάλαια, ἀπὸ ἑκατοστοῦ δεκάτου, ἕως ἑκατοστοῦ δεκάτου ἑβδόμου. συνάγεται δὲ ἀπὸ τῶν πεπραγμένων γεγενῆσθαι καὶ ἄλλας Συνόδους εἰς τὴν Ἱππῶνα καὶ λοιπὴν Ἀφρικὴν, εἰς δὲ τὴν Σύνοδον ταύτην ἐγένοντο διάφοροι συνελεύσεις, ἃς τὰ πρακτικὰ Συνόδους ἀποκαλοῦσι.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῶν γυμνασθέντων κεφαλαίων τῶν ἐν τῷ Κομμονιτωρίῳ τοῦ Ῥώμης ὑπὸ τῆς ἐν Καρθαγένῃ Συνόδου, καὶ τῆς ἀπολογίας αὐτῆς περὶ αὐτῶν καὶ τοῦ Ἀπιαρίου πρὸς τὸν Ῥώμης. καὶ περὶ τῆς μετὰ τὴν ἀνάγνωσιν τῶν ἐν Νικαίᾳ αὐθεντικῶν προσταγῆς καὶ ἐπιπλήξεως τῆς Συνόδου πρὸς τὸν Ῥώμης ἕνεκεν τοῦ ψευδοκομμονιτωρίου καὶ τῆς Ἐκκλήτου, καὶ ὧν ἐζήτει παρὰ Κανόνας.

Εἰς τὰ τρία τελευταῖα κεφάλαια γυμνάζεται τὰ τέσσαρα κεφάλαια τοῦ Κομμονιτωρίου, καὶ ἐξετάζεται τὰ κατὰ Ἀπιάριον Πρεσβύτερον, καὶ γίνεται ἡ πρὸς τὸν Ῥώμης περὶ τοῦ Κομμονιτωρίου ἀπόκρισις. συμβέβηκε δὲ χρηματίσαι εἰς ὅλον τὸν καιρὸν τῆς Συνόδου τρεῖς εἰς τὴν Ῥώμην Πάπας Ζώσιμον, Βονιφάτιον

φάτιον καὶ Κελεστῖνον. τῶν δὲ τεσσάρων κεφαλαίων πρῶτον ἦν περὶ Ἐκκλήτων Ἐπισκόπων πρὸς τὸν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας Ἱερέα. δεύτερον, ἵνα ἐπὶ τὸ Κομμιτᾶτον Ἐπίσκοποι ὡς ἔτυχε μὴ πλεύσωσι. τρίτον, περὶ τοῦ τὰς αἰτίας τῶν Πρεσβυτέρων καὶ Διακόνων ζητεῖσθαι παρὰ τοῖς ὁμόροις Ἐπισκόποις, ἐὰν ἐκ τῶν ἰδίων ἀποκοινωνησίας προπετῶς γένωνται. τέταρτον, περὶ Οὐρβανοῦ τοῦ Ἐπικόπου ἀποκοινωνητέου, ἢ ἔτι μὴν ἐν Ῥώμῃ κλητέου. Εἰς τὸ Πρῶτον κεφάλαιον, ἐπειδὴ ὁ Ζώσιμος προκεκοίμηται, ἔγραψαν τῷ μετ' ἐκεῖνον Βονιφατίῳ, ὅτι νομίσουσι τὴν πρὸς τὸν Ῥώμης Ἔκκλητον, ἕως ὅμως τοῦ ἐλθεῖν τὰ ἴσα τῶν αὐθεντικῶν ἀπὸ τῶν Ἀρχιερέων τῶν Ἑλλήνων, Ἀντιοχείας, Ἀλεξανδρείας καὶ Κωνσταντινουπόλεως, πρὸς οὓς καὶ ἐκεῖνον τὸν Βονιφάτιον δηλονότι ἔφασκον γράψαι τοῦ τελειῶσαι αὐτοὺς τὸ ζητούμενον. ἔστειλαν δὲ τὸ γράμμα τῷ Βονιφατίῳ μετὰ τῶν Τοποτηρητῶν αὐτοῦ. περὶ δὲ τοῦ δευτέρου, ὅπερ κεῖται ἐν τῷ ἑκατοστῷ τριακοστῷ πέμπτῳ κεφαλαίῳ, φέρονται αἱ ἐπιστολαὶ τοῦ Κωνσταντινουπόλεως Ἀττικοῦ καὶ τοῦ Ἀλεξανδρείας Κυρίλλου εἰς τὴν Σύνοδον, ἃς ἔφερεν ὁ Πρεσβύτερος Ἰννοκέντιος, καὶ ὁ Ὑποδιάκονος τοῦ Κυρίλλου Μάρκελλος, οἵτινες ἔφερον καὶ τὰ ἴσα τῶν αὐθεντικῶν τῆς ἐν Νικαίᾳ Συνόδου καὶ ἀναγινώσκονται. ἐν τῷ τρίτῳ περιέχονται δύο τινά, ἐν μὲν, ὅτι ὁ ῥηθεὶς Ἀπιάριος πάλιν ἀπῆλθεν εἰς τὴν Ῥώμην δυσχεραίνων ὅτι ἠδικήθη εἰς τὴν Ἀφρικὴν, καὶ ἐζήτει ὁρίσαι τὸν Ῥώμης ἵνα μετακριθῇ, ὅθεν ὁ Κελεστῖνος ὁ γεγονὼς μετὰ Βονιφάτιον Πάπας ἀπέστειλε μετ' αὐτοῦ τὸν εἰρημένον Φαυστῖνον εἰς τὴν Ἀφρικὴν, ὃς ἐπὶ Συνόδου ἐζήτει δικαιῶσαι δυναστικῶς τὸν Ἀπιάριον. δεύτερον δὲ, ὅτι ἡ Σύνοδος ἔγραψεν εἰς τὸν Κελεστῖνον, καὶ περιέχει ἡ ἐπιστολὴ πρῶτον, ὅτι ἤθροισαν Σύνοδον τοῦ θεωρηθῆναι τὰ κατὰ Ἀπιάριον. δεύτερον, ὅτι ὁ Φαυστῖνος εἰς τὴν Σύνοδον ἐφάνη εἶναι προστάτης καὶ βοηθὸς τοῦ Ἀπιαρίου. καὶ τρίτον, ὅτι εἶχε τόπον φίλου καὶ συμμάχου ὁ Φαυστῖνος δηλονότι, καὶ οὐ κρίτου. τέταρτον, ὅτι διαφόροις ὕβρεσιν ἐλοιδόρησεν ὁ αὐτὸς τῇ Συνόδῳ, ὡς δῆθεν ἐκδικῶν τὰ πριβιλέγια τῆς ῥωμαϊκῆς Ἐκκλησίας. πέμπτον, ὅτι ἠγωνίσθη ποιῆσαι τὸν Ἀπιάριον δεκτὸν εἰς κοινωνίαν, ἀλλὰ οὐκ ἐδυνήθη. ἕκτον, κατατρέχει ἡ Σύνοδος τοῦ Φαυστίνου καὶ Ἀπιαρίου ὡς κακοτρόπων. ἕβδομον λέγει ὅτι βιασθεὶς ὁ Ἀπιάριος ὑπὸ Θεοῦ, ὡμολόγησε τὰς ἁμαρτίας αὐτοῦ εἰς τὸ κοινὸν, καὶ ἐφάνη ἄθλιος ὁ παρὰ τοῦ Φαυστίνου Λεγάτου Ῥώμης δικαιούμενος. ὄγδοον, προστάττουσιν αὐτῷ τῷ Ῥώμης μηκέτι δέχεσθαι τοὺς ἀπὸ τῶν Ἀφρικαιῶν Ἐκκλησιῶν ἀκοινωνήτους. ἔνατον, λέγουσιν αὐτῷ ὅτι αὐτὴ ἡ συνήθεια ἡ περιεχομένη εἰς τὸ πρῶτον κεφάλαιον τοῦ Κομμονιτωρίου, εἰς τὰ πρακτικὰ τῆς ἐν Νικαίᾳ ὡς ἔγραψεν ὁ Ζώσιμος οὐχ εὑρίσκεται. δέκατον, ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος τὰ ἐναντία διδάσκει τῆς γνώμης ταύτης, ἐπειδὴ καὶ Κληρικῶν καὶ Ἐπισκόπων τὰ ψηφίσματα ἡ ἐν Νικαίᾳ ἔδωκε τελειοῦν τῷ Μητροπολίτῃ τῆς Ἐπαρχίας μετὰ τῆς Συνόδου αὐτοῦ. ἑνδέκατον, ὅτι ἂν ἡ τῆς Συνόδου τῆς Ἐπαρχίας ψῆφος δυσαρεστῆται, ἐκκαλεῖσθαι Οἰκουμενικὴν Σύνοδον, καὶ οὐκ εἰς τὸν Ῥώμης γίνεσθαι τὴν ἀνάκρισιν δηλονότι. δωδέκατον, ὅτι τὶς πιστεύσει δύνασθαι τὸν Θεὸν ἐμπνεῦσαι τὴν δικαιοσύνην ἑνὶ καὶ μόνῳ τῷ Ἐπισκόπῳ τῆς Ῥώμης, τοῖς πολλοῖς δὲ καὶ ἀναριθμήτοις Ἐπισκόποις μὴ δύνασθαι; δέκατον τρίτον, καὶ πῶς αὕτη ἡ περαματικὴ κρίσις ἔρχεσθαι δηλαδὴ καὶ κρίνεσθαι ἀπὸ τῆς Ἀφρικῆς εἰς τὴν Ῥώμην, βεβαία ἔσται; πρὸς ἦν τῶν μαρτύρων τὰ ἀναγκαῖα πρόσωπα ἢ δι' ἀσθένειαν, ἢ διὰ γῆρας, ἢ καὶ δι' ἄλλας πολλὰς αἰτίας ἀπελθεῖν οὐδύνανται; δέκατον τέταρτον, αὐτὸ δὲ τὸ τινὰς ὡσανεὶ ἀπὸ τοῦ πλευροῦ σου ὦ κελεστῖνε Πάπα Ῥώμης καὶ ἀπὸ τῶν οἰκείων σου πέμπεσθαι εἰς τὴν Ἀφρικὴν κριτὰς οὐδεμιᾷ τῶν πατέρων Συνόδῳ ὁρισθὲν εὑρίσκομεν. δέκατον πέμπτον, ἐκεῖνα ἅπερ ἀπέσταλτο αὐτόθεν ὡσανεὶ Κανόνες τῆς ἐν Νικαίᾳ Συνόδου διὰ τοῦ Φαυστίνου, παρεβάλομεν τοῖς αὐθεντικοῖς τῆς ἐν Νικαίᾳ Συνόδου ἅπερ ἔστειλεν ἡμῖν ὁ Ἀττικὸς διὰ τοῦ Ἰννοκεντίου, καὶ ὁ Κύριλλος διὰ τοῦ Μαρκέλλου, καὶ τοιοῦτόν τι οὐχ εὕρομεν, ἅπερ ἀπεστείλαμεν καὶ τῷ πρὸ σοῦ Βονιφατίῳ ἰδεῖν. δέκατον ἕκτον, ἐκβιβαστὰς τοίνυν Κληρικοὺς ἡμῶν τινῶν αἰτούντων μηθέλετε ἀποστέλλειν ἐνταῦθα, μήτε παραχωρεῖν ἔρχεσθαι ἵνα τὸν καπνώδη τύφον τοῦ κόσμου δόξητε εἰσάγειν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἥτις τὸ φῶς τῆς ἁπλότητος καὶ τῆς ταπεινοφροσύνης τὴν ἡμέραν τοῖς τὸν Θεὸν ἰδεῖν ἐπιθυμοῦσι προσφέρει. δέκατον ἕβδομον, ὅτι ταῦτα ἂν καὶ ἄλλοτε βουληθῆτε ποιεῖν, περαιτέρω ἡ Ἀφρικὴ οὐδαμῶς ὑπομένει, ἀλλὰ τυχόν ἀθετεῖ αὐτὰ, καὶ καταφρονεῖ ὡς ἀδίκων καὶ παρανόμων.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Οἴησις τοῦ Ῥώμης Ζωσίμου, ἀτελέστους εἶναι τὰς πασῶν τῶν Συνόδων ἀποφάσεις ἄνευ γνώμης τῆς Ῥωμαίων Ἐκκλησίας νομίζοντος, καὶ ἀναίρεσις αὐτῆς διὰ μυρίων παραδειγμάτων καὶ Συνόδων, διορισασῶν καὶ κρινασῶν ἄνευ γνώμης τοῦ Ῥώμης καὶ κατὰ τοῦ Ῥώμης καὶ ἀποδείξεις εἰκοσιμίαν, ἐν αἷς οἵ τε παπισταὶ παραχαράκται τῶν ἁγίων καὶ τῶν Συνόδων καὶ ἀναίσχυντοι καὶ ψευδοπλάσται, καὶ ὁ Πάπας αὐτῶν ἀμόναρχος δείκνυται. καὶ ὅτι οὐκ ἠπατήθη ἡ ἐν Καρθαγένῃ Σύνοδος, ἀλλ' οἱ Ῥωμαῖοι καὶ ὁ πλαστολόγος Βελλαρμῖνος. καὶ περὶ τοῦ τίνι τρόπῳ ἐννοεῖται τὸ ἐβεβαίωσεν ἢ ὁ Ῥώμης, ἢ ἄλλός τις τῶν Ἐπισκόπων.

Ἐν τῇ ζωῇ τοῦ Ζωσίμου Ῥώμης, ὁ Πλάτινας λέγει καὶ τοῦτο, ὅτι αὐτὸς ὁ Ζώσιμος ἔστειλεν εἰς ταύτην τὴν Σύνοδον Φαυστῖνον τὸν Ἐπίσκοπον μετὰ δύο πρεσβυτέρων ἵνα δείξῃ πανταχοῦ ὅτι χωρὶς τῆς γνώμης τῆς Ῥωμαϊκῆς Ἐκκλησίας οὐ δύνανται ἄλλοι διορίσαί τι εἰς τὸ κοινὸν τῆς Ἐκκλησίας. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ὡς εἴρηται εἰς τὸ πρῶτον βιβλίον ὁ Πολυκράτης Ἐφέσου καὶ ὁ Κυπριανὸς Καρθαγένης, Φιρμιλιανὸς καὶ Ἕλενος οὐ μόνον ἤθροισαν Συνόδους χωρὶς τῆς γνώμης τοῦ Ῥώμης, ἀλλὰ καὶ κατὰ τῆς γνώμης τοῦ Ῥώμης, καὶ τὸ δὴ μεῖζον, ὅτι δυσανασχετούντων τῶν Παπῶν καὶ ἐπαρωμένων, οὐ μόνον εἰς οὐδὲν ἐλογίσαντο αὐτοὺς, ἀλλὰ καὶ ἐπετίμησαν αὐτοῖς. καὶ ἡ ἐν Ἀντιοχείᾳ κατὰ τοῦ Σαμοσατέως Παύλου χωρὶς τῆς γνώμης τοῦ Ῥώμης καὶ ἠθροίσθη, καὶ τὸν Αἱρετικὸν ἔκρινε καὶ καθῄρηκεν. ὁμοίως καὶ εἰς Διόσπολιν τῆς Παλαιστίνης, καὶ εἰς τὸ Ἰκόνιον ἠθροίσθησαν Σύνοδοι διὰ τὸ βάπτισμα καὶ διὰ τὸ Πάσχα χωρὶς τῆς γνώμης τοῦ Ῥώμης. καὶ ὁ Ἀλεξανδρείας Ἀλέξανδρος χωρὶς τῆς γνώμης τοῦ Ῥώμης συνοδικῶς ἔκρινε καὶ καθῄρηκε τὸν Ἄρειον. καὶ ὑπὲρ Ἀθανασίου πόσαι Σύνοδοι συνῆλθον εἰς Παλαιστίνην καὶ Αἴγυπτον χωρὶς γνώμης τοῦ Ῥώμης. καὶ ἡ ἐν Ἀντιοχείᾳ καὶ Νεοκαισαρείᾳ καὶ Λαοδικείᾳ καὶ Γάγγρᾳ καὶ Ἀγκύρᾳ χωρὶς τῆς γνώμης τοῦ Ῥώμης καὶ ἠθροίσθησαν καὶ ἔκριναν εἰς τὸ κοινὸν, καὶ Κανόνας ἐξέθεντο τοῖς Πάπαις καὶ πάσῃ τῇ Ἐκκλησίᾳ δεκτοὺς καὶ εἰς τὴν Ἀνατολὴν καὶ εἰς τὴν Δύσιν. καὶ δὴ καὶ αὐτὴ ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος χωρὶς ἐπιταγῆς τοῦ Ῥώμης ἠθροίσθη, ἔκρινεν εἰς τὸ κοινὸν, καὶ κατὰ τὸν Ἡσαΐαν ἐθεμελίου, καὶ ἐξερρίζου, καὶ δὴ καὶ τὸν Κωνσταντινουπόλεως Ἐπίσκοπον εἰς Πατριαρχικὸν ἀνήγαγε θρόνον, καὶ διωρίσατο καὶ εἰς τὴν τάξιν δεύτερον, καὶ αὐτὸν τὸν ἀποτρόπαιον Λατίνοις Φλαυϊανὸν ἐστήριξεν εἰς τὸν θρόνον Ἀντιοχείας, ἀποβαλοῦσα τὸν τοῖς Ῥωμαίοις καταθύμιον Εὐάγριον τὸν Παυλίνου διάδοχον, καὶ ὁ Ῥώμης Δάμασος εἰς οὐδὲν ἀντέλεγεν, ἀλλὰ καὶ ἐβεβαίου τῆς Συνόδου τὴν ψῆφον. Νεκτάριος, Θεόφιλος καὶ Φλαυϊανὸς χωρὶς τῆς γνώμης τοῦ Ῥώμης ἔκριναν εἰς τὸ κοινὸν τὰ Ἀγαπίου καὶ Βαγαδίου τῶν ἀντεχομένων Βόστρης. καὶ ἡ ἐν Παμφυλίᾳ Σύνοδος ἔκρινε τὴν Αἵρεσιν τῶν Μασσαλιανῶν ἄνευ εἰδήσεως τοῦ Πάπα, καὶ τὰ περὶ Ἀνθρωπομορφητῶν μόνος ὁ Θεόφιλος διετάραξε καὶ ἀπέσβεσε. καὶ Ἐπιφάνιος ἐν Κύπρῳ ἤθροισε Σύνοδον καὶ ἀνεθεμάτισε τὸν Ὠριγένην χωρὶς τῆς τοῦ Ῥώμης εἰδήσεως καὶ γνώμης. καὶ ἡ εἰς Σμόεσσαν ἡ κρίνασα τὸν Ῥώμης Μαρκελῖνον ἐκ τίνος Ῥώμης ἔλαβε τὴν ἐξουσίαν; καὶ ἡ τὸν Δάμασον κατηγορηθέντα μοιχὸν ἀθῳώσασα, καὶ ἡ τὰ κατὰ Σύμμαχον καὶ Λαυρέντιον ἐν Ἰταλίᾳ θεωρήσασα τίνος Ῥώμης εἶχον γνώμην, ἢ τραγελάφους πλάττουσι Λατῖνοι τὸν αὐτὸν καὶ κρινόμενον καὶ κρίνοντα θέμενοι; καὶ Μαρκέλλου εἰδωλολατρήσαντος, καὶ Λιβερίου καὶ Φίληκος ἀρειανιζόντων, ὑπὸ ποίων Ῥωμαίων Ἐπισκόπων ἐλάμβανε γνώμην ἡ Ἀνατολὴ καὶ Δύσις εἰς τὴν τῆς Ἐκκλησίας κυβέρνησιν; καὶ ὁ Ἀντιοχείας Μελέτιος ὁ ἐπὶ Ἰοβιανοῦ Σύνοδον ἀθροίσας, ἥτις ἔκρινεν εἰς τὸ κοινὸν, καὶ ἐδέξατο τὸν Καισαρείας Ἀκάκιον Ἀνόμοιον ὄντα, καὶ ἄλλους τοιούτους εἰς κοινωνίαν, τίνος Ῥωμαίου Ἐπισκόπου γνώμην εἶχε; καὶ οἱ καθαιρεθέντες ὑπὸ τῆς πρώτης Συνόδου, Εὐσέβιος, Μάρις, καὶ οἱ λοιποὶ οἱ δόντες ὕστερον οὐ τῷ Ῥώμης, ἀλλὰ τοῖς κορυφαίοις τῶν Ἐπισκόπων λιβέλλους, καὶ δεχθέντες εἰς κοινωνίαν, τίνος Ἐπισκόπου Ῥώμης γνώμην εἶχον; καὶ οἱ ἐν Κωνσταντινουπόλει ἐπὶ Γενναδίου καὶ Ταρασίου κατὰ τῶν σιμωνιακῶν, καὶ ἵνα ἐάσωμεν τὰ πολλὰ, ἡ πέμπτη Οἰκουμενικὴ οὐ μόνον χωρὶς τῆς γνώμης τοῦ Ῥώμης, ἀλλὰ καὶ κατὰ τοῦ Ῥώμης ἔκρινε. καὶ τὰ μὲν ἕως ὧδε ἐκ τῶν πολλῶν ὀλίγα, ὅτι καὶ χωρὶς τῆς γνώμης τοῦ Ῥώμης γίνονται Σύνοδοι καὶ κρίνουσιν εἰς τὸ κοινόν. δεύτερον, ὅτι ἂν ἡ Σύνοδος ἡ Οἰκουμενικὴ καί ἐστι χρεία τοῦ Ῥώμης, χρεία ἐξ ἀνάγκης καὶ τῶν λοιπῶν Πατριαρχῶν. τρίτον, ὅτι εἰ καὶ ἦσαν εἰς τὴν Καρθαγένην οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης, ἀλλὰ καὶ καταφρονοῦνται τετραχῶς, πρῶτον, ὅτι ἐζήτησεν ὁ Φαυστῖνος ἀναγνωσθῆναι τὸ Κομμονιτώριον, καὶ θεωρηθῆναι τὰς ἐπιταγὰς τοῦ Ῥώμης, ἀλλ' ἡ Σύνοδος ἀπέστειλε ζητεῖν εἰς τὴν Ἀνατολὴν τὰ αὐθεντικὰ, καὶ οὐκ ἤκουσεν αὐτοῦ. δεύτερον, ἐζήτησεν ἀθῳῶσαι τὸν Ἀπιάριον, ἀλλὰ κατεφρονήθη. τρίτον, ὅτι ὁ Ῥώμης Ζώσιμος ἐψεύσθη εἰπὼν τινὰς Κανόνας τῆς ἐν Σαρδικῇ εἶναι Κανόνας τῆς ἐν Νικαίᾳ. τέταρτον, ὅτι οὐκ ἀπὸ τῆς γραφῆς, ἀλλ' ἀπὸ τῆς Συνόδου ἔχει ὁ Ῥώμης τὸ πρωτεῖον τῆς τάξεως, διατοῦτο ἐζήτει καὶ τὸ πρωτεῖον τῆς ἐξουσίας ἀπ' αὐτῆς, εἰ καὶ ἀπέτυχε. πέμπτον, ὅτι οἱ Λατῖνοι εἰσὶ παραχαράκται τῶν Συνόδων καὶ τῶν πατέρων, φθείροντες τὰ βιβλία τῶν ἁγίων, προστιθέμενοι καὶ ἀφαιροῦντες, ὡς ἐν ταῦθα ἐποίησαν, καὶ ἔστειλαν εἰς τὴν Καρθαγένην τὰ ἴσα τῶν πεπραγμένων ἐν Νικαίᾳ μετὰ προσθήκης. ἕκτον, ὅτι εἰσὶν ἀναίσχυντοι, καὶ ἐλεγχόμενοι οὐ διορθοῦνται, ὅθεν ἡ Σύνοδος ἔγραψε τῷ Βονιφατίῳ, ὅτι τὰ Ζωσίμου εἰσὶν ἀδρανῆ, ἀλλ' ὁ Κελεστῖνος πάλιν ἔστειλε τὸν Φαυστῖνον ἵνα κρίνῃ. ἕβδομον, ὅτι τὰ ἑλληνικὰ πεπραγμένα ἐν Νικαίᾳ πάντοτε ἦσαν ἀληθινὰ, ὅθεν καὶ οἱ Ἕλληνες ἀληθέστεροι Λατίνων, καὶ οὐκ εἰσὶ φθορεῖς τῶν ἁγίων. ὄγδοον, ὅτι οἱ Λατῖνοι εἰσὶ συκοφάνται τῆς πρώτης Συνόδου καὶ τῆς τετάρτης καὶ ἕκτης. ἔνατον, ὅτι ἡ Σύνοδος λέγει πρὸς τὸν Κελεστῖνον, τὴν πρώτην Σύνοδον μὴ δεδωκέναι τὸ πρωτεῖον τῷ Πάπᾳ; καὶ γὰρ ὡς ἀληθῶς τῆς δευτέρας εἰπούσης τὸν Κωνσταντινουπόλεως δεύτερον, ἐφάνη ὁ Ῥώμης πρῶτος, οὐμὴν ὅτι ἦν καὶ πρότερον. δέκατον, ὅτι αὐτῷ τῷ Ῥώμης προστάσσει ἡ ἐν Καρθαγένῃ μηκέτι τοιοῦτον παρόνομον ἔργον ποιῆσαι, μὴ προστάττειν δη-

λαδὴ

λαδὴ ἐν τῇ Ἀφρικῇ, καὶ ἰδὲ πῶς καὶ Τοπικὴ προστάττει τῷ Ῥώμης. ἑνδέκατον, ὅτι τοῖς Τοποτηρηταῖς τοῦ Ῥώμης οὐμέλει τοσοῦτον διὰ τὴν εὐσέβειαν, ὅσον διὰ τὸν παπισμὸν, διατοῦτο ὑβρίζουσι καὶ ἀναισχυντοῦσιν εἰς τὰς Συνόδους, καταφρονοῦνται ὅμως εἰς τέλος. δωδέκατον, ἰδὲ ὅλον τὸ ἀνωτέρω κεφάλαιον. σημείωσαι δέκατον τρίτον, ὅπου ἡ Σύνοδος ἀναιρεῖ ἰδίως τοῦ Ῥώμης τὴν ἐξουσίαν, γράφουσα τῷ Κελεστίνῳ ὅτι ἡ πρώτη Σύνοδος ὥρισε θεωρεῖν τὸν Μητροπολίτην τὴν κρίσιν, καὶ διδόναι τὸ ἔσχατον πέρας τῶν ὑποθέσεων τῶν Ἐπισκόπων τὸν Μητροπολίτην, ὅπερ ἡ τετάρτη ἔδωκε τοῖς Πατριάρχαις, καὶ ἂν χρεία γένηται Ἐκκλήτου, γίνεσθαι Οἰκουμενικὴν Σύνοδον, καὶ οὐ τὸν Ῥώμης, ἢ ἄλλον Πατριάρχην ἔχειν τοιαύτην δύναμιν. δέκατον τέταρτον, λέγει αὐτῷ τὸ πάντῃ ἀδύνατον, ὅτι ἕνα εἶναι κριτὴν καθόλου καὶ ἀναμάρτητον, καὶ τὴν Σύνοδον ἁμαρτάνειν, τὸν ἕνα δὲ μὴ ἁμαρτάνειν, ἐστὶ δηλονότι ἄλογον, καὶ ὁλόγος πρόχειρος, ὅτι εἰ ὁ εἷς ἐδύνατο εἶναι καθόλου κριτὴς, τὶς ἡ χρεία τῆς ἀθροίσεως τῶν Συνόδων; εἶτα ὁ Κύριος τῇ Συνόδῳ ἔδωκε τὸ ἀναμάρτητον, οὐ τῷ ἑνί. δέκατον πέμπτον, εἰς τὸ δέκατον ὄγδοον καὶ εἰκοστὸν τρίτον τὰ κεφάλαια πρώτας καθέδρας λέγει τὸ Μητροπολιτικὸν ἀξίωμα. δέκατον ἕκτον, εἰς τὸ εἰκοστὸν ὄγδοον κεφάλαιον λέγει, ὅστις Ἐπίσκοπος ὑπάγει πέραν θαλάσσης, ἤγουν εἰς τὸν Ῥώμης τοῦ ζητεῖν κρίσιν, τοῦτον μὴ δέχεσθαι εἰς τὴν Ἀφρικὴν εἰς κοινωνίαν. καὶ ἰδὲ πῶς τὸ νῦν τοῦ Πάπα λεγόμενον ἀξίωμα οὐκ ἦν, καὶ πῶς κατὰ προφητείαν ἀναιρεῖται τὸ μέλλον. δέκατον ἕβδομον λέγει, τὸν πρῶτον Ἐπίσκοπον μὴ ὀνομάζεσθαι Ἔξαρχον τῶν Ἱερέων, ἢ ἄκρον Ἱερέα. καὶ ἰδὲ ὅτι οἱ Λατῖνοι λέγοντες τὸν Ῥώμης ἄκρον Ἀρχιερέα, βλασφημοῦσι. δέκατον ὄγδοον, σημείωσαι ὅτι ἡ φιλαρχία τῶν Δυτικῶν καὶ ἐντεῦθεν προβᾶσα καὶ κορυφωθεῖσα εἰς τὸν Πάπαν Νικόλαον τὸν πρῶτον, ἐγένετο αἰτία τοῦ σχίσματος, οὗ οἱ αἴτιοι εἰσὶ καὶ οἱ σχισματικοί. ὅτι δὲ ἡ φιλαρχία αἰτία τοῦ σχίσματος, μαρτυρεῖ ὁ Ἀλεξανδρείας Διονύσιος γράφων τῷ Αἱρετικῷ Ναυάτῳ εἰπὼν, Διονύσιος Ναυάτῳ ἀδελφῷ χαίρειν. ἀνάγνωθι ὅλην τὴν ἐπιστολὴν παρ' Εὐσεβίῳ, καὶ μάθε τῆς φιλαρχίας τὰ ἔργα. καὶ ὁ Χρυσόστομος εἰς τὴν ἑνδεκάτην πρὸς Ἐφεσίους Ὁμιλίαν λέγει, οὐδὲν οὕτω δυνήσεται Ἐκκλησίαν σχίσαι ὡς φιλαρχία, οὐδὲν οὕτω παροξύνει Θεὸν ὡς τὸ Ἐκκλησίαν διαιρεθῆναι, αἴτιον δὲ ἡ φιλαρχία. οἱ δὲ σοφοὶ τῶν παπιστῶν λέγουσιν ὅτι ἐν τούτῳ ἠπατήθη ἡ παροῦσα Σύνοδος. ἀλλὰ ῥητέον, ὅτι πῶς ἠπατήθη ἡ τρισὶ Ῥωμαίων Ἐπισκόποις ἀγωνισθεῖσα τοιαύτη Σύνοδος εἰς τοσούτους χρόνους; ἀπὸ γὰρ τοῦ τετρακοσιοστοῦ δεκάτου ὀγδόου ἔτους ἀρξαμένη, ἔληξε τῷ τετρακοσιοστῷ εἰκοστῷ τετάρτῳ, μετὰ τοσούτων ἐξετάσεων καὶ διορισμῶν, ἐν ᾗ ἦσαν μεγάλοι καὶ χρήσιμοι καὶ σοφώτατοι καὶ ἁγιώτατοι πατέρες. ὥστε φαίνεται ὅτι οἱ Ῥωμαῖοι ἠπατήθησαν, καὶ θέλοντες ἀπατῆσαι, ἐπετιμήθησαν. ἀπατᾶται δὲ καὶ ὁ Βελλαρμῖνος ὁ βλασφημῶν εἰς τοὺς ἁγίους πατέρας, ἐν οἷς ἦν καὶ ὁ θαυμάσιος Αὐγουστῖνος, καὶ ἄλλοι ἀξιοτίμητοι πατέρες. εἶτα οἱ περὶ τὸν Βελλαρμῖνον ἄλλως ἔλεγον περὶ τῶν Κανόνων καὶ τῶν Συνόδων Νικαίας καὶ Σαρδικῆς καὶ τῆς παρούσης, ὡς εἴπομεν ἀνωτέρω βιβλίῳ δευτέρῳ κεφαλαίῳ πέμπτῳ Παραγράφῳ δεκάτῳ τετάρτῳ καὶ δεκάτῳ πέμπτῳ, καὶ μάλιστα κεφαλαίῳ ἕκτῳ, καὶ ἄλλως νῦν, καὶ τὸ αἴτιον ἐστὶν ἡ πλαστουργία, ὅθεν ψεύδονται καὶ ἐνταῦθα καὶ ἐκεῖ. δέκατον ἔνατον, ὅτι Τοπικὴ οὖσα Σύνοδος κρίνει τὸν Ῥώμης καὶ Θεόφιλον τοὺς δύο Πατριάρχας, καὶ ὁρίζει ἵνα γράψῃ περὶ τοῦ εἰρηνεῦσαι αὐτούς. ἰδὲ πῶς ποιεῖ ἰσοτίμους τοὺς δύο θρόνους, καὶ λέγει περὶ τῆς διχονοίας τῆς Ῥωμαϊκῆς καὶ Ἀλεξανδρινῆς Ἐκκλησίας, καὶ γνῶθι ὅτι ὁ Ῥώμης οὐκ ἔστι καθόλου Ἐπίσκοπος, ἀπὸ γὰρ τοῦ Ἀλεξανδρείας καταφρονεῖται, καὶ διανοούμενος ἐκδικηθῆναι, οὐ δύναται, καὶ ὑπὸ τῆς Τοπικῆς Συνόδου προστάττεται. εἰκοστὸν, ὅτι ἐν τῇ Συνόδῳ ἦσαν οἱ Λεγᾶτοι τοῦ Ῥώμης, ἀλλ' οὐκ ἦν ἡ Σύνοδος Οἰκουμενικὴ, ἐπειδὴ οὐκ ἦσαν ἐκεῖ οἱ Πατριάρχαι τῆς Ἀνατολῆς, ἢ οἱ Λεγᾶτοι αὐτῶν, καὶ γνῶθι καὶ ἐντεῦθεν, ὅτι ὡς ὁ Ῥώμης ὀρθοδοξῶν ἀναγκαῖος εἰς τὴν Οἰκουμενικὴν Σύνοδον, οὕτω καὶ οἱ λοιποὶ Πατριάρχαι ὡς εἴρηται. εἰκοστὸν πρῶτον, σημείωσαι εἰς τὰ προλεγόμενα τῆς Συνόδου λέγοντα τὸν Αὐρήλιον, ὅτι οἱ προηγησάμενοι ἡμᾶς ἐβεβαίωσαν τὴν ἐν Νικαίᾳ Σύνοδον, καὶ ἰδὲ ὅτι τὸ βεβαιῶ δηλοῖ τὸ στέργω καὶ συμφωνῶ καὶ δέχομαι, ὅθεν ὅταν ἀκούῃς ὅτι ὁ Ῥώμης, ἢ ὁδεῖνα ἐβεβαίωσε τὴν ὁδεῖνα Οἰκουμενικὴν Σύνοδον, γίνωσκε τίνι τρόπῳ ἐννοεῖται τὸ ἐβεβαίωσε.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τοῦ Πρόσπερος, γράφοντος κατὰ τῶν Κελεστίου καὶ Πελαγίου Αἱρέσεων, καὶ τὸν κόσμον σὺν τοῖς Ἀφρικανοῖς δεξάμενον τὰς κατ' αὐτῶν τρεῖς Συνόδους συναναθεματίσαι τοὺς Αἱρετικοὺς λέγοντος, καὶ τοὺς Πάπας τῆς Ῥώμης, τήν τε τρίτην Οἰκουμενικὴν Σύνοδον τὰ αὐτὰ ποιῆσαι διαβεβαιοῦντος.

Γράφων ὁ Πρόσπερ κατὰ τῶν Αἱρέσεων τούτων λέγει, ὅτι ὁ κόσμος σὺν τοῖς Ἀφρικανοῖς δεχθεὶς τὰς τρεῖς Συνόδους ταύτας, συνανεθεμάτισε τοὺς Αἱρετικοὺς, καὶ ὅτι, ὁ μετὰ Ζώσιμον Βονιφάτιος Πάπας οὐ μόνον ἀποστολικῇ ἐξουσίᾳ, ἀλλὰ μάλιστα τῇ δυνάμει τῶν δύο Αὐτοκρατόρων ἐκινήθη κατὰ τῶν Ἀναιρούντων τὴν χάριν, καὶ ὅτι ἐφανερώθησαν δύο ἐπιστολαὶ τῶν Πελαγιανῶν, ὧν ἦν συγγρα-

συγγραφεὺς Ἰουλιανὸς Ἐπίσκοπος Καπούης, ἃς πέμψας ὁ Ῥώμης τῷ ἁγίῳ Αὐγουστίνῳ, ἔγραψεν ἐκεῖνος τέσσαρα βιβλία κατ' αὐτῶν, καὶ ἀντέπεμψε πρὸς Βονιφάτιον. λέγει δὲ ὁ Πλάτινας τὸν Πελάγιον ἀπελθεῖν εἰς Βρεττανίαν, καὶ ἔχοντα συνεργὸν Ἰουλιανόν τινα Κόμητα, ἐσπαρκέναι τὴν Αἵρεσιν αὐτοῦ, οὗ θανόντος, ὁ Ῥώμης κελεστῖνος ἀπέστειλεν Ἐπίσκοπόν τινα Πελάγιον καλούμενον εἰς ἀνατροπὴν τῆς Αἱρέσεως τοῦ Πελαγίου. ἀλλὰ καὶ ἡ τρίτη Οἰκουμενικὴ Σύνοδος ἀνεθεμάτισε τὴν Αἵρεσιν ταύτην ἐν πολλοῖς. ἔγραψε καὶ ὁ Ῥώμης Γελάσιος εἰς Ὀνώριον Ἐπίσκοπον Δαλματίας ἵνα σπουδάσῃ ἀφανισθῆναι τὰ λείψανα τῶν Πελαγιανῶν ἅπερ ἦσαν εἰς τὴν Δαλματίαν. ἀλλὰ καὶ Λέων ὁ μέγας διδαχθεὶς ὑπότινος Ἐπισκόπου Σεπτίμου λεγομένου, ὅτι ἡ Αἵρεσις αὖθις λυμαίνεταί τινας, γενναίως ἀγωνισθεὶς τὴν Αἵρεσιν κατημαύρωσε.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ἀπαρίθμησις τῶν τῆς ἐν Καρθαγένῃ Συνόδου πατέρων ὑπὸ Πρόσπερος, καὶ ψευδολογία τοῦ αὐτοῦ ὑπὲρ Ἐκκλήτου τοῦ Ῥώμης ἐν Ἀφρικῇ, καὶ παγκοσμίου ἐπισκοπῆς αὐτοῦ ὡς μονάρχου, ἐξ ἐπιστολῶν καὶ τεμαχίων αὐτῶν καὶ ὅρων ἀποδεικνύναι πειρωμένου τὸ μοναρχικὸν τῶν Παπῶν. καὶ ἀπόδειξις ἐκ τῶν ἰδίᾳ καὶ κοινῇ Γραφέντων ὑπὸ τῶν πατέρων, καὶ ἐκ τῶν ἐν τῇ ἐν Καρθαγένῃ Συνόδῳ λεχθέντων, καὶ ἐκ παραθέσεων, καὶ ἐξ ὧν ἐψεύσαντο κατὰ τῶν ἐν Καρθαγένῃ λεχθέντων οἱ παπισταὶ καὶ ἐν Φωρεντείᾳ, καὶ ἐκ τοῦ ἀπατηθῆναι τὸν Ζώσιμον Ῥώμης ὑπὸ Κελεστίου, ὅτι πρὸς τῷ μὴ εἶναι μονάρχην ἢ ἀναμάρτητον τὸν Ῥώμης, οὔτε ὁ Ζώσιμος ἐνόμιζεν ἑαυτὸν ἀναμάρτητον, οὔτε οἱ ἐν Ἀφρικῇ πατέρες τὸν Ῥώμης ἀναμάρτητον ἐφαντάσθησαν, ἢ δι' ἀναφορῶν Ἔκκλητον ἐπ' αὐτῶν ἔχειν ἐζήτησαν.

Ἐπιλέγει ὁ Πρόσπερ, ὅτι ἐν τῇ Συνόδῳ ταύτῃ ἦσαν πατέρες διακόσιοι δεκαεπτὰ, καὶ ὅτι οἱ Ἀφρικανοὶ Ἐπίσκοποι ἐνοχλούμενοι παρὰ τῶν Αἱρετικῶν τούτων, ἔγραψαν εἰς τὴν ἀποστολικὴν καθέδραν, ἵνα ἐὰν συμβῇ τι ἄτοπον ἐν τῇ Ἀφρικῇ, δέχεσθαι αὐτοὺς τὴν κρίσιν τῶν Ἐπισκόπων τῆς Ῥώμης, καὶ ἐπειδὴ τοῦτο ἐκηρύθη περὶ τὸ τέλος τῆς ζωῆς τοῦ Πάπα Ἰννοκεντίου, ταύτην τὴν ὑπόσχεσιν αὐτῶν ἐφανέρωσαν οἱ αὐτοὶ τῷ διαδόχῳ τοῦ Ἰννοκεντίου Ζωσίμῳ, ὅστις κατὰ τὴν ἀρχαίαν συνήθειαν δεχθεὶς τὴν αἴτησιν, προσέταξεν αὐτοῖς ἕπεσθαι τῇ αὐτῇ κλήσει, καὶ ἔπεμψε τὴν ἀπόφασιν εἰς τὴν Ἀφρικὴν, ἔγραψε δὲ καὶ ἐπιστολὴν κατὰ τῶν Αἱρετικῶν ἐν ὅλῳ τῷ κόσμῳ, ἧς τῇ ἀποσεξίᾳ τῶν ὀφειλόντων φυλάττειν αὐτὴν διαφθαρείσης, ὁ Πρόσπερ εὗρε μέρος τι τῆς ἐπιστολῆς ταύτης, καὶ ἐφύλαξεν αὐτὸ, ὥσφησιν αὐτὸς βιβλίῳ κατὰ Κολάτορος κεφαλαίῳ πέμπτῳ, ἐν ᾧ ἐπιλέγει, ὅτι διημαρτήκει ἡ ἐν Ἀφρικῇ Σύνοδος ἀντιγράψασα τῷ Ζωσίμῳ μὴ δέχεσθαι τὴν κρίσιν τῶν Ῥωμαίων Ἐπισκόπων ἐν Ἀφρικῇ. ταῦτα ὁ Πρόσπερ. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι περὶ τῶν Ἐπιστολῶν τῶν Παπῶν ποίας δέχεσθαι χρὴ, καὶ ποίας μὴ, εἴρηται ἀνωτέρω βιβλίου πρώτου κεφαλαίου δεκάτου πρώτου Παραγράφῳ πέμπτῳ, καὶ βιβλίου δευτέρου κεφαλαίου πέμπτου Παραγράφῳ δεκάτῳ τετάρτῳ. δεύτερον, ὅτι ὁ ἐν ἁγίοις Γερμανὸς ὁ νέος ἐν ᾧ γράφει πρὸς Λατίνους περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος λέγει, δεῖ γινώσκειν ὅτι τὰ κατὰ τὴν κοινὴν συνέλευσιν τῶν ἁγίων πατέρων γραφέντα καὶ λαληθέντα καὶ κυρωθέντα κατὰ πολὺ εἰσὶν ἀσφαλέστερα καὶ βεβαιότερα τῶν καταμόνας γραφέντων, καὶ τὰ κοινῶς γραφέντα τῶν ἰδίως γραφέντων ἐπικρατέστερα, ἐπεὶ πολλὰ τῶν ἰδικῶς γραφέντων παρά τινων ἁγίων, παρενοθεύθησαν. εἰ οὖν καὶ κατὰ τοῦτον τὸν Ἱεραρχὴν αἱ ἐπιστολαὶ καὶ τὰ συγράμματα τῶν πατέρων οὐπιστεύονται ἁπλῶς, καὶ χωρὶς τῆς κοινῆς δοκιμῆς τῆς καθολικῆς Ἐκκλησίας, πῶς ἡμεῖς πιστεύσωμεν τῷ Πρόσπερι περὶ τοῦ τεμαχίου τῆς ἐπιστολῆς τοῦ Ζωσίμου; τρίτον, ἡμεῖς οἴδαμεν ὅτι τοῦ Ζωσίμου γράψαντος εἰς Ἀφρικὴν πεπλαμένους Κανόνας, ἐξήλεγξαν αὐτοῦ τὸ ἀπότομον οἱ τῆς Συνόδου πατέρες, καὶ εἰγεγραφήκασι τῷ Ἰννοκεντίῳ καὶ αὐτῷ τῷ Ζωσίμῳ δέχεσθαι ἐν τῇ Ἀφρικῇ τὴν κρίσιν αὐτῶν, πῶς τὴν περὶ Ἐκκλήτου αὐτῶν ἀπόφασιν γενναίως ἀπέβαλον; εἶτα οἱ παπισταὶ λέγουσιν ὅτι ἀπὸ τοῦ Πέτρου ἔχει ὁ Πάπας τὴν Ἔκκλητον, καὶ πῶς ἐν ταῦθα λέγουσι τοὺς Ἀφρικανοὺς Ἐπισκόπους δι' ἰδίων ἀναφορῶν δεδωκέναι αὐτῷ ταύτην τὴν ἐξουσίαν; τέταρτον, ἐπὶ ἓξ ἐνιαυτοῖς συνέβη σταθῆναι τὴν ἄθροισιν τῆς Συνόδου, καὶ ἐν πᾶσι τούτοις μετὰ τῶν τριῶν Παπῶν Ζωσίμου, Βονιφατίου καὶ Κελεστίνου ἐθηριομάχησαν ἐκεῖνοι ὅλοι οἱ πατέρες, ἀποδιοπομπούμενοι καὶ διὰ λόγων καὶ διὰ πράξεων καὶ διὰ ἐπιστολῶν ἐκεῖνο τὸ βλάσφημον, ὅτι ἔχει δηλαδὴ ὁ Ῥώμης Ἔκκλητον ἐν τῇ Ἀφρικῇ, καὶ πῶς οἱ τὰ τοιαῦτα γενναίως διαπραξάμενοι ἔγραψαν δέχεσθαι τὴν τῶν Παπῶν κρίσιν; καὶ πῶς τοῦτο οὐκ ὠνείδισαν αὐτοῖς οἱ παραὐτῶν ἀποδιοπομπούμενοι Πάπαι; προβάλλουσιν ἔτι τὸν Πρόσπερα λέγοντα, χρονικοῦ ἔτει τετρακοσιοστῷ δεκάτῳ ἐνάτῳ, ὅτι προστεθείσης ταύτης τῆς ἐν Καρθαγένῃ Συνόδου τῷ Πάπᾳ Ζωσίμῳ, οἱ συνοδικοὶ ὅροι ἀνήχθησαν, ὧν στερχθέντων εἰς πᾶσαν τὴν οἰκουμένην, ἡ τοῦ Πελαγίου Αἵρεσις κατεκρίθη. ἐκ τούτων οὖν βούλονται συμπεραίνειν, ὅτι διὰ τὸν ὅρον τοῦ Ζωσίμου πᾶσα ἡ οἰκουμένη κατέκρινε τὸν Πελάγιον, ὅπερ οὐκ ἐγίνετο, εἰ μὴ ἦν ὁ Ζώσιμος πάσης τῆς οἰκουμένης Ἐπίσκοπος.

πος. Ἀλλὰ ῥητέον ὅτι εἴρηται ἀνωτέρω ποῖοι καὶ πόσοι ἄλλοι καὶ πῦ κατέκρινον τὸν Πελάγιον, μεθ' ὧν καὶ ὁ Ζώσιμος, ἀλλ' ἡ Αἵρεσις ἔτι ἐφηπλῦτο εἰς πολλὰ τῆς Οἰκουμένης κλίματα, ἐπὰν δὲ ὁ Πάπας Κελεστῖνος ἀνέφερε τὰ τῦ Κελεστίυ, ταὐτόν ἐστι τὰ τῦ Πελαγίυ πρὸς τὴν τρίτην Οἰκουμενικὴν, καὶ κατεκρίθησαν ὑπ' αὐτῆς, συγκατέκρινεν αὐτὰ καὶ ἡ Οἰκουμένη, ὐ μὴν καὶ πρότερον. δεύτερον, δοτέον ὅτι ἡ ἐπιμέλεια τῦ Ζωσίμυ εἰς πᾶσαν τὴν Οἰκουμένην ἐδήλυ τὴν Αἵρεσιν τῦ Πελαγίυ, ὐ παρὰ τῦτο κρίνεται ἢ μονάρχης ἢ ἀναμάρτητος, τῦτο γὰρ καὶ ἄλλοι πατέρες ἐποίησαν περὶ ἄλλων Αἱρέσεων διάτε ἐπιστολῶν καὶ διαφόρων συγγραμμάτων. τρίτον, ὅτι αὕτη ἡ ἐν Καρθαγένῃ Συνόδος ἀνῄρηκε μάλιστα πολυτρόπως τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἀμφότερα, καὶ τὸ ἰδικὸν ἀξίωμα, καὶ τὸ ἀναμάρτητον δηλονότι, καὶ μάτην κοπιῶσιν οἱ παπισταὶ ὠφεληθῆναι παρ' αὐτῆς ἕνεκα τῦ διαβολικῦ ἀξιώματος. πέμπτον, Μάρκυ τῦ Ἐφέσυ ἐν τῇ Φλωρεντείᾳ πράξει πέμπτῃ τῆς Συνόδυ εἰπόντος ὅτι ὁ Πάπας Ζώσιμος ἔφθειρε τὺς ἐν Νικαίᾳ Κανόνας, ὁ πρὸς αὐτὸν διαλεγόμενος Ἰωάννης εἶπε πρῶτον, ὅτι ὁ ἅγιος Ἀθανάσιος ἐζήτησε τὺς Κανόνας τῆς ἐν Νικαίᾳ Συνόδυ, ὓς καὶ ἔπεμψεν αὐτῷ ὁ Λιβέριος. Ἀλλὰ περὶ τύτυ, ὅτι ψεῦδος ἐστὶν, ἰδὲ ἀνωτέρω βιβλίυ δευτέρυ κεφαλαίυ πέμπτυ Παράγραφον δέκατον ἕκτον. δεύτερον εἶπεν, ἐγίνωσκον οἱ ἐν Καρθαγένῃ πατέρες ὅτι ἦσαν διεφθαρμένοι ἐν τῇ Ἀνατολῇ οἱ Κανόνες τῆς ἐν Νικαίᾳ. ἀλλὰ καὶ τῦτο ψεῦδος ἐστὶν, ὁ γὰρ Κύριλλος καὶ Ἀττικὸς πιστότεροι Ἰωάννυ καὶ πάντων ἁπαξαπλῶς τῶν Λατίνων. ἀλλὰ δὴ καὶ τὰ πρακτικὰ τῆς Συνόδυ καθ' ἑαυτὰ ἀναμφιβόλως παρίστησιν ὅτι ἐγίνωσκον οἱ ἐν Καρθαγένῃ πατέρες μὴ εἶναι διεφθαρμένυς τὺς Κανόνας ἐν τῇ Ἀνατολῇ, ἀλλ' ἐν τῇ Ῥώμῃ. ἀντιλέγων ὁ οὖν Ἰωάννης τῷ Μάρκῳ, εἶπε τὰ ἀνωτέρω, οὐκ εἶπε δὲ ὅτι οἱ Κανόνες εἰσὶ τῆς ἐν Σαρδικῇ Συνόδυ, ἢ ἡ ἐν Σαρδικῇ ἡ αὐτή ἐστι τῇ ἐν Νικαίᾳ, ἢ ὅτι οἱ ἐν Ἀφρικῇ πατέρες ὐκ ἐγίνωσκον τὺς Κανόνας τῆς ἐν Σαρδικῇ ὡς σοφιστεύονται οἱ ἐν τοῖς καθ' ἡμᾶς καιροῖς παπισταὶ. ἕκτον, ὁ Ἐφέσυ εἶπεν, ὅτι μάρτυρας ἀξιολόγυς ἔχυσιν οἱ Ἀνατολικὴ κατὰ τῦ φθείραντος Ζωσίμυ τὺς Κανόνας τῆς ἐν Νικαίᾳ καὶ ὐ τὰ πρακτικὰ τῆς Συνόδυ, ὅθεν καὶ ἡμεῖς τὰ πρακτικὰ τῆς Συνόδυ κατὰ τὴν κοινὴν συνέλευσιν τῶν ἐν τῇ Ἀφρικῇ ἁγίων πατέρων γραφέντα καὶ λαληθέντα, καὶ κυρωθέντα, καὶ παρὰ τῆς καθόλυ Ἐκκλησίας δεχθέντα, ἀσφαλέστερα καὶ βεβαιότερα ἔχομεν πρὸς ἀναντίῤῥητον μαρτυρίαν τῶν ἐν Ἀφρικῇ γενομένων. τὰ δὲ τῦ Πρόσπερος καὶ παρά τινων ἄλλων γραφέντα περὶ αὐτῆς ὡς ἀπόκρυφα καὶ παρανενοθευμένα ὐ παραδεχόμεθα. πρόσθες ὅτι ὁ Αἱρεσιάρχης Κελέστιος κατακριθεὶς παρὰ τῦ Πάπα Ἰννοκεντίυ, μετὰ τὸν θάνατον ἐκείνυ νομίζων εὑρεῖν πρᾳότερον ἐν ἑαυτῷ τὸν Ζώσιμον, ἐπορεύθη πρὸς αὐτὸν, καὶ ἔδωκε λίβελλον, ἐν ᾧ συστροφαῖς ὁμωνύμων λόγων ἐκάλυπτε τὰ λοιπὰ αὐτῦ σφάλματα, ἠρνεῖτο ὅμως φανερῶς τὴν προπατορικὴν ἁμαρτίαν, ἔλεγε γὰρ ὡς μαρτυρεῖ Αὐγυστῖνος βιβλίῳ περὶ προπατορικῆς ἁμαρτίας, κεφαλαίῳ πέμπτῳ καὶ ἕκτῳ, τὰ νήπια ὐ βαπτίζεται εἰς ἄφεσιν ἁμαρτιῶν κατὰ τὸν Κανόνα τῆς καθολικῆς Ἐκκλησίας, καὶ κατὰ τῦ Εὐαγγελίυ τὴν ἀπέφασιν, ὁμολογῦμεν γὰρ ὡς ὁ Κύριος ὥρισε τὴν Βασιλείαν τῶν Οὐρανῶν ὐχ οἷόν τε δίδοσθαι, εἰ μὴ τοῖς βαπτισθεῖσιν εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ἄφεσιν δὲ ἁμαρτιῶν βαπτίζεσθαι τὰ νήπια ὐ διὰ τῦτο λέγομεν, ὡς τὴν ἐκ ῥίζης ἁμαρτίαν βεβαιῦν δοκῦντες, ὃ μακρὰν ἀπέχει τῆς καθολικῆς δόξης, ἡ γὰρ ἁμαρτία μετὰ τῦ ἀνθρώπυ ὐ γεννᾶται, ὅτι ὐ τῆς φύσεως, ἀλλὰ τῆς θελήσεως πταῖσμά ἐστι, ταῦτα ὁ Κελέστιος, ἅτινα μὴ σκεψάμενος καλῶς ὁ Ζώσιμος, ὐκ ἐνόμισε μάχεσθαι τῇ ὀρθοδόξῳ πίστει τῆς προπατορικῆς ἁμαρτίας τὴν ἄρνησιν, ὅθεν ἐδέχθη τὸν λίβελλον τῦ Κελεστίυ ὡς ὀρθόδοξον, καὶ τὴν ἐπιστολὴν ἣν ἔπεμψε τοῖς ἐν Ἀφρικῇ πατράσι (λέγει ὁ Βαρώνιος ὅτι ἀντέγραψεν αὐτὴν ἐκ τῶν ἰδιοχείρων τῆς ἐν Βατικανῷ βιβλιοθήκης) ἐν ᾗ λέγει τὸν Κελέστιον καὶ Πελάγιον εἶναι ἀνθρώπυς τελείας πίστεως, καὶ τὺς ἐν Ἀφρικῇ πατέρας μέμφεται ὡς ταχύναντας καὶ ἀνεξετάστως τὸν ἄνδρα κατακρίναντας καὶ ἀτιμάσαντας αὐτὸν ὡς Αἱρετικὸν, παρακινεῖ δὲ αὐτὺς δεχθῆναι αὐτὸν ὡς ὀρθόδοξον, ὅμως οἱ ἐν Ἀφρικῇ πατέρες καταφρονήσαντες τῆς κρίσεως τῦ Ζωσίμυ, Κανόνα ἐξέθεντο τὸν ἑκατοστὸν ἑνδέκατον, καὶ ἰδὲ τὸν τόπον ἐκεῖ. ὅθεν ὁ Ζώσιμος γνὺς ὅτι ἠπατήθη καὶ διημαρτήκει, ἀθετήσας τὴν προτέραν αὐτῦ κρίσιν, κατέκρινε τὸν Κελέστιον, ὡς ὁ Δάμασος τὸν Οὐϊτάλιον. ὁ οὖν Ζώσιμος πρῶτον τῇ Αἱρέσει βοηθήσας ἐξ ἀγνοίας, καὶ μεταταῦτα ἐπαναλαβὼν ἑαυτὸν, καὶ θριαμβεύσας αὐτὴν, συγγνώμης μὲν ἄξιος, ὐκ Αὐτοκράτωρ δὲ τῆς Ἐκκλησίας. εἶτα καὶ ἐκ τύτυ δείκνυται ὅτι μήτε ὁ Ζώσιμος, μήτε οἱ ἐν Ἀφρικῇ πατέρες ἐνόμιζον τὸν Πάπαν τῆς Ῥώμης ἐκ καθέδρας ὁρίζοντα εἶναι ἀναμάρτητον.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

ὅτι καὶ ἐκ τῦ προκαθέζεσθαι τὸν Καρθαγένης Αὐρήλιον τῶν τῦ Ῥώμης Λεγάτων, δείκνυται ἡ νῦν μοναρχία τῦ Ῥώμης ψευδής.

Σημειωτέον ὅτι ἐν τῇ ἐν Καρθαγένῃ Συνόδῳ προεκάθητο πάντων τῶν πατέρων καὶ αὐτῶν τῶν Τοποτη-

Τοποτηρητῶν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ὁ Καρθαγένης Αὐρήλιος. ἐπέμφθησαν δὲ ἐκεῖ οἱ Τοποτηρηταὶ καὶ ὡς μέρος εἶναι τῆς Συνόδου ὡς ἦσαν οἱ τοιοῦτοι καὶ ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις, καὶ ἵνα ὦσι καὶ κριταὶ τῆς Συνόδου, ὡς δηλοῖ τὸ Κομμονιτώριον, καὶ ἐπειδὴ προεκάθητο αὐτῶν ὁ Αὐρήλιος ὁ Καρθαγένης, προφανῶς δείκνυται καὶ ἐκ τούτου, ὅτι κατὰ πάντα τρόπον οὔτε ἐγίνωσκον οἱ τῆς Συνόδου ὡς ἐδέχοντο τὴν ἐν τῇ Ῥώμῃ ψευδομοναρχίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τοῦ ἁγίου Ἱερωνύμου, εἰπόντος τὴν ἐν Λύδδῃ κατὰ Πελαγίου Σύνοδον δυστυχῆ, καὶ τῆς αἰτίας δι' ἣν οὕτως αὐτὴν εἶπεν, οὖσαν εὐτυχῆ καὶ ἐκ προαθέσεως ἑτέρων τοιούτων Συνόδων. καὶ ὅτι σφάλμα τοῦτο Ἱερωνύμου ὡς ἐν ἄλλοις, καὶ ἐν τῇ Συνόδῳ ταύτῃ, καὶ ἐν τῷ Ὑπόστασις ὀνόματι.

Ὁ ἅγιος Ἱερώνυμος τὴν ἀνωτέρω ῥηθεῖσαν ἐν Διοσπόλει Σύνοδον λέγει δυστυχῆ, διότι ὁ Πελάγιος ὃ ἐποίησεν ἐν αὐτῇ, ἐποίησε πρὸς τὸ ἀπατῆσαι αὐτὴν, καὶ διότι ἀπεδείχθη ἐν αὐτῇ ὑπαίτιος, ἐπειδὴ ἐβιάσθη καὶ μόνος ἀπεδοκίμασε τὰ περὶ τῆς Αἱρέσεως αὐτοῦ συγγράμματα, ἐπιστολῇ ἑβδομηκοστῇ ἐνάτῃ. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, ὅτι ταῦτα τὰ ὀνόματα ἀσυνήθη εἰσὶν ἐν τῇ πράξει τῆς καθολικῆς Ἐκκλησίας. δεύτερον, ὅτι εὐτυχὴς ῥηθείη μᾶλλον ἡ Σύνοδος ὡς ἐλέγξασα τὸν Ἀλάστορα καὶ τὴν Αἵρεσιν αὐτοῦ. τρίτον, ὅτι Παῦλος ὁ Σαμοσατεὺς τὴν πρώτην κατ' αὐτοῦ ἐν Ἀντιοχείᾳ Σύνοδον ἠπάτησεν ὡς ὁ Πελάγιος τὴν παροῦσαν, ἀλλ' οὐκ ἐῤῥέθη ἐκείνη δυστυχὴς ἡ Σύνοδος. τέταρτον, ὅτι ἐν τῇ πρώτῃ Οἰκουμενικῇ Συνόδῳ τινὲς Ἐπίσκοποι Αἱρετικοὶ ἀναφανέντες, καθῃρέθησαν, καὶ μεταταῦτα διὰ μετανοίας πεπλασμένης προσδεχθέντες ὑπὸ τῶν κορυφαίων τῶν Ἐπισκόπων, πάλιν ἐπὶ τὸν ἴδιον ἔμετον ἐπανεστράφησαν, ἀλλ' οὐκ ἐῤῥέθη διατοῦτο ἡ Σύνοδος δυστυχής. πέμπτον, ἱστορεῖ ὁ Σωκράτης, ὅτι γνοὺς ὁ Νεστόριος εἰς ἀκοινωνησίαν προβᾶσαν τὴν φιλονεικίαν, ἐκ μεταμελείας Θεοτόκον τὴν Μαρίαν ἐκάλει λέγων, λεγέσθω καὶ Θεοτόκος ἡ Μαρία, καὶ παυσάσθω τὰ λυπηρὰ, βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ τριακοστῷ τετάρτῳ. ἀλλ' ὡς ἡ τρίτη Σύνοδος ἡ βιάσασα τὸν Νεστόριον μεταμεληθῆναι οὐκ ἐκλήθη δυστυχὴς, οὕτως οὔτε ἡ ἐν Διοσπόλει ἡ βιάσασα τὸν Πελάγιον μεταμεληθῆναι ῥηθείη δυστυχής. ἕκτον, ἐν τῇ ἐν Χαλκηδόνι, καὶ ἐν τῇ ἑβδόμῃ ταῖς Οἰκουμενικαῖς Συνόδοις ἐβιάσθησαν πολλοὶ Αἱρετικοὶ, καὶ κατέγνωσαν καὶ τῆς Αἱρέσεως καὶ τῶν συγγραμμάτων αὐτῶν, καὶ πολλοὶ ἀποδεχόμενοι τὰς ἀποφάσεις τῶν Συνόδων Αἱρετικοὶ, μεταταῦτα ἠθέτησαν, ἀλλ' οὐκ ἐκλήθησαν διὰ ταῦτα αἱ Σύνοδοι δυστυχεῖς. ἕβδομον, ὁ Ἱερώνυμος οὐ μόνον διὰ τὴν πρὸς τὸν Ἱεροσολύμων Ἰωάννην ἀπέχθειαν, ἀλλ' ἁπλῶς ἐμίσει τοὺς Ἀνατολικοὺς, καὶ ἔδειξεν ἡ πεῖρα, ὅπου τοῦ ἁγίου Μελετίου Ἀντιοχείας κατεφρόνει, ὅπου καὶ τοῦ Ἱεροσολύμων ἔπλασε μυρίας συκοφαντίας, ἃς καὶ ἐβούλετο συστῆσαι διὰ ψευδῶν ἱστοριῶν καὶ ἐπιχειρημάτων. ὄγδοον, τὸ περὶ οὐσίας καὶ ὑποστάσεως ζήτημα διέκρινεν ἡ ἐν Αἰγύπτῳ Σύνοδος ἐπὶ τοῦ ἁγίου Ἀθανασίου ὡς εἴρηται ἀνωτέρω, καὶ ὁμέγας Βασίλειος ἡρμήνευσε σαφέστατα ἐν τῇ περὶ οὐσίας καὶ ὑποστάσεως πρὸς τὸν ἀδελφὸν ἐπιστολῇ, καὶ ὁ Ναζιανζηνὸς ἐν τῷ εἰς τοὺς ἑκατονπεντήκοντα πατέρας λόγῳ, καὶ δὴ καὶ ὁ Νύσσης καὶ ὁ Ἐπιφάνιος παρεδέξαντο καὶ πεπλατυσμένως ἔγραψαν περὶ αὐτοῦ, καὶ ἡ ἐν τῷ Ἰλλυρικῷ Σύνοδος οὕτως ἐκήρυξεν ὡς μαρτυρεῖ ἡ Σάκρα τῶν τριῶν Βασιλέων πρὸς τοὺς ἐν Καροφρυγίᾳ Ἐπισκόπους, ἐξ ὧν δείκνυται ὅτι πᾶσα Ἀνατολὴ καὶ Δύσις ἐδέχθησαν. τὴν τοιαύτην κρίσιν, ὁ δὲ Ἱερώνυμος μετὰ ταῦτα πάντα μαχόμενος τῇ τοιαύτῃ κρίσει ἔλεγεν, ὅτι ἐν τῷ τῆς ὑποστάσεως ὀνόματι ὥσπερ ἐν μέλιτι δηλητήριον κέκρυπται, ἐνδέχεται γὰρ διὰ τοῦ ὀνόματος τούτου τοὺς ἁπλουστέρους ἀπατωμένους, ὁμολογεῖν πλείους οὐσίας, ὡς καὶ πλείους ὑποστάσεις. εἰ οὖν ἐκείνου ὅπερ ἐκρίθη ὑπὸ τοσούτων ἁγίων Συνόδων καὶ ἁγίων ἐγκρίτων πατέρων ἐπελάβετο ὁ Ἱερώνυμος καὶ λέγει ὅτι δηλητήριον ἔχει κεκρυμμένον, τί θαυμαστὸν εἰ καὶ τῆς ἁγίας Συνόδου ταύτης καταφρονήσας, δυστυχῆ αὐτὴν εἶπεν; ἔστω δὲ ἡ ἀλήθεια αὐτοῦ αὕτη ἡ αὐτὴ μεθ' ἧς εἶπεν, ὅτι τὰ οὐράνια σώματα εἰσὶν ἔμψυχα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Πρόβλημα Εὐγενίου Λομπάρδου ὑπὲρ μοναρχίας τοῦ Ῥώμης ἐκ τῆς πρὸς τοὺς ἐν Ἀφρικῇ πατέρας ἐπιστολῆς Ἰννοκεντίου Ῥώμης, καὶ λύσις τοῦ προβλήματος τῇ τοῦ Ῥώμης μοναρχίᾳ ἀντικειμένη ἐκ τῆς αὐτῆς ἐπιστολῆς, καὶ περὶ ἔθους τῆς ΘΕΙΑ φωνῆς ἐν τοῖς πατράσι.

Προβάλλει Εὐγένιος ὁ Λομπάρδος ἐκ τοῦ Ἰννοκεντίου τούτου λέγοντος ἔν τινι ἐπιστολῇ πρὸς τοὺς ἐν Ἀφρικῇ Ἐπισκόπους, εἰ πατέρες ποτὲ οὐκ ἀνθρωπίνῃ, ἀλλὰ θείᾳ ὥρισαν γνώμῃ, ἵνα ὅ,τι ἂν ἐν ταῖς κεχωρισμέναις καὶ ταῖς μακρὰν χώραις γίγνηται, οὐ πρότερον διορισθῇ εἰ μὴ πρὸς γνῶσιν ἔλθῃ ἐκείνου

κείνου τοῦ θρόνου, ἐν ᾧ τελείως κυρωθῇ, ὡς ἂν γένοιτο ἡ ἀπόφασις. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι τοῦτο αὐτίκειται τῇ περὶ μοναρχίας δόξῃ, ὁ γὰρ Ἰννοκέντιος ὁμολογεῖ ἔχειν τοῦτο τὸ προνόμιον οὐκ ἀπὸ διαταγῆς τοῦ Χριστοῦ, ἀλλ' ἀπὸ τῶν ὅρων τῶν πατέρων, λέγει γὰρ, οἱ πατέρες οὐκ ἀνθρωπίνῃ, ἀλλὰ θείᾳ ὥρισαν γνώμῃ. ἀλλ' οἱ πατέρες ὅτι οὐκ ἔχουσι παρὰ τοῦ Χριστοῦ τοιαύτην ἐξουσίαν ὥστε ποιῆσαί τινα μονάρχην ἐν τῇ Ἐκκλησίᾳ, πρόδηλόν ἐστι, καὶ ὁ ἀρνούμενος μαινόμενός ἐστι καὶ ταῖς διαταγαῖς τοῦ Χριστοῦ ἀντικείμενος. ἀλλ' ἀνθυποφέρουσι ἡμῖν τὸν Ἰννοκέντιον θείαν ὀνομάζοντα ταύτην τῶν πατέρων τὴν γνώμην. ἀποκριτέον ὅμως ὅτι αὕτη ἡ λέξις συνειθισμένη ἐστὶ παρὰ τοῖς ἁγίοις πατράσιν, οἵτινες πάντας τοὺς ἐκκλησιαστικοὺς Κανόνας καὶ πάσας διατάξεις τῶν πατέρων θείας καὶ ὅρους τοῦ παναγίου Πνεύματος ὀνομάζουσι. δεύτερον, ὅτι ἀνωτέρω λέγοντες περὶ τοῦ Χρυσοστόμου, ἐδείξαμεν τὸν Ἰννοκέντιον μὴ δεδυνῆσθαι ὁποσοῦν βοηθῆσαι αὐτῷ, ἐν ᾧ κεφαλαίῳ ἔτι ἐδείχθη ἡ ἀσθένεια τοῦ Ἰννοκεντίου καὶ μάλιστα ἡ ἁγιότης αὐτοῦ, ἐπειδὴ οὐδὲν ἐζήτησε παρὰ τῶν Ἀνατολικῶν καὶ Βασιλέων καὶ πατέρων ὑποτυπῶν μοναρχίαν ἢ ἀναμαρτησίαν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας.



ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῆς Αἱρέσεως τῶν Μασσαλιανῶν, καὶ ὧν ἔλαχον κλήσεων οἱ αὐτοὶ, καὶ τοῦ καιροῦ καθ' ὃν ἀνεφάνη αὕτη ἡ Αἵρεσις, καὶ τοῦ Ἀρχηγοῦ αὐτῆς, καὶ τῶν κατ' αὐτῆς Συνόδων καὶ ἐπιστολῶν, καὶ περὶ τοῦ μιαρωτάτου Λαμπετίου.

Ἐπειδὴ ἡ Αἵρεσις τῶν Μασσαλιανῶν τρόπῳ τινὶ συμπίπτει τῇ Αἱρέσει τοῦ Πελαγίου, ἀμφότεραι γὰρ τὴν ἀρχὴν τῆς σωτηρίας οὐκ ἐν τῇ χάριτι πρώτως, ἀλλ' ἐν τῇ ἀνθρωπίνῃ δυνάμει τίθενται, ὥστε ῥηθεῖεν ἂν καὶ οἱ Πελαγιανοὶ Ἐνθουσιασταὶ καὶ οἱ Μασσαλιανοὶ, ῥητέον καὶ περὶ ταύτης ἐν συντόμῳ. ἐπὶ Οὐάλεντος τοίνυν καὶ Οὐαλεντιανοῦ ἐφάνη ἡ Αἵρεσις τῶν Μασσαλιανῶν, οὓς ὁ Αὐγουστῖνος καὶ Ἐπιφάνιος Εὐχήτας καλοῦσιν, ἡ γὰρ φωνὴ συριακή ἐστι καὶ δηλοῖ ἑλληνικῶς τὴν εὐχὴν, λέγει ὁ Αὐγουστῖνος. ἡ δὲ τρίτη Οἰκουμενικὴ Σύνοδος πράξει ἑβδόμῃ Κελεστιανοὺς, Εὐχήτας καὶ Ἐνθουσιαστάς. λέγει δὲ ἡ Αἵρεσις ὅτι ἀπὸ τοῦ βαπτίσματος οὐδεμία ὠφέλεια γίνεται, μόνον ἡ σπουδαία εὐχὴ διώκει τὸν ἔνοικον Δαίμονα, ἐπειδὴ καθὼς ἕκαστος τῶν ἀνθρώπων ἔχει τὴν προπατορικὴν ἁμαρτίαν, οὕτως ἔχει καὶ τὴν πρὸς τοὺς Δαίμονας δουλείαν, ἀφ' ἧς ἀπαλλάττεται μόνῃ τῇ σπουδαίᾳ εὐχῇ, καὶ ἔρχεται ὕστερον τὸ ἅγιον Πνεῦμα, αἰσθητῶς καὶ ὁρατῶς σημαῖνον τὴν παρουσίαν αὐτοῦ, ὅπερ καὶ τὸ σῶμα ἐλευθεροῖ τῶν παθῶν, καὶ οὐ χρήζη πλέον νηστειῶν, ἢ ἄλλων θεοφιλῶν ἀγώνων ὁ ἄνθρωπος, μάλιστα προορᾷ τὰ μέλλοντα, καὶ τὴν ἁγίαν Τριάδα βλέπει αὐτοῖς ὄμμασιν αὐτοῦ. ἰδὲ τὸ ἑνδέκατον κεφάλαιον τοῦ τετάρτου λόγου Θεοδωρίτου. ἦν δὲ Αἱρεσιάρχης Ἀδελφιός τις λαϊκὸς ἄνθρωπος καί τινες ἄλλοι. ἔζησε δὲ ὁ Ἀδελφιὸς ἕως Θεοδοσίου τοῦ μεγάλου, ὅντινα Ἀδελφιὸν ἔφερεν ὁ Ἀντιοχείας Φλαυϊανὸς ἀπ' Ἐδέσσης, ὅστις ἔκρυπτε τὴν Αἵρεσιν αὐτοῦ, ἐπειδὴ δὲ περιεποιήθη αὐτὸν ὁ Φαυϊανὸς, εἶπεν αὐτήν. διώκονται οὖν οἱ προκατάρξαντες τῆς Αἱρέσεως ἀπὸ τῆς Συρίας, καὶ συγκροτεῖται εἰς τὴν Σίδην πόλιν τῆς Παμφυλίας Σύνοδος κατ' αὐτῶν, ἧς ἐξῆρχεν ὁ ἅγιος Ἀμφιλόχιος Ἰκονίου Ἐπίσκοπος, ἦσαν δὲ καὶ ἄλλοι Ἐπίσκοποι εἰκοσιπέντε. ἔγραψε δὲ ἡ Σύνοδος ἐπιστολὴν εἰς τὸν Ἀντιοχείας Φλαυϊανὸν, ὅθεν καὶ ἐκεῖνος ἀθρόιζει Σύνοδον τριῶν Ἐπισκόπων, καὶ Πρεσβυτέρων καὶ Διακόνων τριάκοντα. ἐζήτησε δὲ εἰς τὴν Σύνοδον ὁ Ἀδελφιὸς συγγνώμην, καὶ ἔτυχεν, ἀλλ' ἐφωράθη ὕστερον ὑποκρινόμενος, κοινωνῶν ἐκείνοις, οὓς ἀνεθεμάτισε ἐγγράφως. ἔγραψε δὲ ὁ Φλαυϊανὸς εἰς τὴν Ὀσροϊνὴν τὰ κατ' αὐτοὺς, καὶ ὅσοι ἦσαν ἐκεῖ τῆς μοίρας αὐτῶν ἐδάρθησαν, καὶ ἀνεθεματίσθησαν. ἔγραψε καὶ Λητοΐῳ Ἐπισκόπῳ Ἁρμενίας, ὅθεν ἐκεῖνος κατέκαυσε τὰ μοναστήρια καὶ τὰ σπήλαια τῶν Αἱρετικῶν, ἔγραψε καὶ εἰς Ἐπίσκοπον Ἁρμένιον κατ' αὐτῶν. ἀλλὰ καὶ ὁ Κωνσταντινουπόλεως Ἀττικὸς τοῖς ἐν Παμφυλίᾳ ἔγραψεν ἵνα πανταχόθεν τοὺς Μασσαλιανοὺς ἐξελαύνωσι, καὶ ὕστερον ὁ Κωνσταντινουπόλεως Σισίνιος καὶ ὁ Ἀντιοχείας Θεόδοτος ἔγραψαν κοινὴν Ἐπιστολὴν εἰς τοὺς Ἐπισκόπους τῆς Παμφυλίας, Τοῖς θεοφιλεστάτοις συλλειτουργοῖς Τιβεριανῷ καὶ Ἀμφιλοχίῳ (τῷ Σίδης) καὶ πᾶσι τοῖς ἐν Παμφυλίᾳ Ἐπισκόποις Σισίνιος καὶ Θεόδοτος καὶ πᾶσα ἡ ἁγία Σύνοδος ἡ κατὰ θείαν χάριν συναθροισθεῖσα ἐν τῇ μεγαλοπόλει Κωνσταντινουπόλει τῆς χειροτονίας ἕνεκα τοῦ θεοφιλεστάτου Ἐπισκόπου Σισινίου θεσπίσματι τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν Βασιλέως Θεοδοσίου ἐν Κυρίῳ χαίρειν. ἐν τῇ ἐπιστολῇ ταύτῃ ἡ Σύνοδος ἐξεφώνησεν, εἴτις φωραθῇ ἀπὸ τοῦ νῦν οἱῳδήτινι τρόπῳ φανῆναι κοινωνὸς τῆς Αἱρέσως, ἀνάκλησιν μὴ

εὑρί-

εὑρίσκειν τῆς Ἐπισκοπῆς αὐτοῦ, ἢ ἄλλοι εἰ εἰσὶ τῆς τάξεως αὐτῶν. ἠγωνίσθησαν οὖν κατ' αὐτῶν καὶ Σύνοδοι καὶ πατέρες, ἀλλ' ὁ Θεοδώριτος λέγει, Λητόϊος Μελιτηνῆς καὶ Ἀμφιλόχιος Ἰκονίου τῶν Ἐνθουσιαστῶν ἐξήλεγξαν τὴν Αἵρεσιν. ἐγράφη δὲ μετέπειτα ὑπὸ τοῦ Ἀντιοχείας Ἰωάννου εἰς τὸν Νεστόριον ἐπιστολὴ, ἡ δὲ τρίτη Οἰκουμενικὴ Σύνοδος ἀνεθεμάτισε καὶ τὸ βιβλίον αὐτῶν ὅπερ ἔλεγον Ἀσκητικόν. ὁ δὲ Καισαρείας Καππαδοκίας Ἀρχέλαος ἔγραψεν εἰκοσιτέσσαρας ἀναθεματισμοὺς κατ' αὐτῶν. καὶ ὁ Νύσσης Ἡρακλείδας συνέταξε βιβλία δύο κατ' αὐτῶν περὶ τούτου. Λαμπέτιος δέ τις ἐφάνη τῶν τῆς Αἱρέσεως ταύτης μιαρώτατος, ὃν Ὁρμίζης ὁ Κομάνων Ἐπίσκοπος, κατηγοροῦντος Γεροντίου Πρεσβυτέρου ὅτι κόρην ὁ Λαμπέτιος ἐφίλησε κατὰ στόματος Ἱερεὺς ὤν, καὶ ὅτι τινῶν ψαλλόντων τὰς ὥρας κατεγέλα, ὡς δῆθεν ἔτι ὑπὸ Νόμον ὄντων, καθαιρέσει ὑπέβαλεν. ἔγραψε δὲ καὶ μιαρώτατον λόγον ὁ Λαμπέτιος οὗτος, ὀνομάσας αὐτὸν Διαθήκην, ὃν ὕστερον Σεβῆρος ὁ Αἱρετικὸς ἀνέτρεψεν. ἔφθασε δὲ ἡ Αἵρεσις ἕως καὶ Ἀλεξανδρείας, ὥστε τὸν Ῥινοκοννούρων Ἀλφειὸν καὶ Ἀλφειὸν Πρεσβύτερον καθαιρεθῆναι ὑπὸ Τιμοθέου Ἀλεξανδρείας, ἰδὲ Φώτιον ἀναγνώσει πεντηκοστῇ δευτέρᾳ. Σὺ δὲ σημείωσαι κἀνταῦθα, ὅτι Σύνοδοι συγκροτοῦνται Πατριαρχῶν καὶ ἄλλων Ἐπισκόπων κατὰ διαφόρους πόλεις καὶ Ἐπαρχίας, καὶ Αἵρεσις κρίνεται, καὶ ἀναθεματισμοὶ συντάττονται, καὶ ταῦτα πάντα χωρὶς βουλῆς, ἢ γνώμης ἢ εἰδήσεως καὶ ἐπιστολῆς τοῦ Ῥώμης, ἐπειδὴ ἔλιπε τότε ἀπὸ τῆς Ῥώμης τὸ πρόσφατον τῆς ψευδομοναρχίας φυσημάτιον.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῆς ἐν Κωνσταντινουπόλει Πατριαρχείας τοῦ Αἱρετικοῦ Νεστορίου, καὶ τῆς ἐν Ἱεροσολύμοις Πατριαρχείας Ἰουβεναλίου μετὰ Πραΰλιον.

Ὥσπερ μετὰ τὸν Σισίνιον ἐπατριάρχευσεν ὁ Νεστόριος, οὕτω μετὰ τὸν Πραΰλιον τὸν κατὰ τὸ χρονικὸν τοῦ Ζωναρᾶ κυβερνήσαντα τὸν θρόνον τῶν Ἱεροσολύμων χρόνους εἴκοσι (εἰ καὶ ἄλλοι ὡς εἴρηται διδόασιν αὐτῷ μόνα ἔτη ἑπτά) ἐκάθισεν ὁ Ἰουβενάλιος ὡς εἴπομεν, τοῦ Νεστορίου ὁ καθαιρέτης, καθότι ὁ τῶν ὅλων Θεὸς ὅταν κακόντι ἀναφύῃ, εὐθὺς δίδωσι καὶ τὸ ἀντίδοτον καὶ τὸ ἀντιφάρμακον. ἦσαν ἄξιοι καὶ ἱεροπρεπεῖς ἄνδρες εἰς τὴν Κωνσταντινούπολιν ἵνα πατριαρχεύσωσιν, ὅμως ὁ Βασιλεὺς Θεοδόσιος παρακινηθεὶς ὑπό τινων, ἠθέλησεν ἀπὸ τῆς Ἀντιοχείας, ἀφ' ἧς ἐκράχθη ὁ Χρυσόστομος Ἰωάννης, κράξαι καὶ τὸν Νεστόριον ὄντα ἁπλῶς μοναχὸν, ἀλλ' εὔφωνον καὶ εἰς τὸ λέγειν παῤῥησιαστικὸν κατὰ τὸν Σωκράτην εἰς τὸ ἕβδομον. Ὁπρῶτος αὐτοῦ λόγος τοῦ Νεστορίου δηλονότι ἦν ἐκεῖνος πρὸς τὸν Θεοδόσιον, Βασιλεῦ καθάρισόν μοι τὸ Βασίλειόν σου ἀπὸ τῶν Αἱρετικῶν, καὶ ἐγώ σοι ὑπόσχομαι ἀπολαῦσαι τὴν οὐράνιον Βασιλείαν. βοήθησόν μοι ἐπὶ τὸ καταδαμασθῆναι τοὺς Αἱρετικοὺς, καὶ ἐγώ σοι συμπράξω ἐπὶ τὸ κατανικῆσαί σε τοὺς Πέρσας. ἦν δὲ λίαν ἐχθρὸς τῶν Ναυατιανῶν ὁ Νεστόριος, ὅθεν κακολογεῖται ὑπὸ τοῦ Σωκράτους καὶ καταψέγεται ὡς παρακινήσας τὸ Αὐτοκράτορα ποιῆσαι βασιλικοὺς ὁρισμοὺς κατὰ πάντων τῶν κακοδόξων, ἐφάνη ὅμως ὑπερασπιστὴς τῶν Πελαγιανῶν. κατὰ δὲ σχῆμα ὁ Νεστόριος ὥσφησιν ὁ Θεοδώριτος ἦν φαιὸν περιβεβλημένος ἱμάτιον, ἐστυγνακῶς βαδίζων, τοὺς ἀγοραίους ἐκκλίνων θορύβους, ὠχρότητα σώματος τὸ δοκεῖν ἐγρατὴς εἶναι θηρώμενος.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς Αἱρέσεως τοῦ Νεστορίου, καὶ ἧς εἶχον μήνιδος πρὸς ἀλλήλους οἱ Ἀλεξανδρείας καὶ Κωνσταντινουπόλεως Πατριάρχαι.

Οὐ παρῆλθε πολὺς καιρὸς, καὶ ἐξήμεσε τὸν ἰὸν τῆς Αἱρέσεως ὁ Βασιλίσκος Νεστόριος, ὅστις ἐβλασφήμει εἰς τὴν Μαρίαν, λέγων γεννῆσαι αὐτὴν ψιλὸν ἄνθρωπον, καὶ οὐ Θεὸν ἀληθινὸν, ὅθεν καὶ Χριστοτόκον ὠνόμαζεν αὐτὴν καὶ οὐ κυρίως Θεοτόκον. καὶ ἐγένετο ὁ διώκτης τῶν Αἱρετικῶν Αἱρεσιάρχης, καὶ ὁ Παιμὴν εὐθὺς Λύκος αἱμοβόρος. πλὴν ἀντέγραψεν αὐτῷ ὁ μακαριώτατος Κύριλλος, καὶ ἀνέφερεν αὐτῷ περὶ τοῦ μεγάλου Ἀθανασίου Ἀλεξανδρείας Ἐπισκόπου καὶ Ἄμμωνος Ἐπισκόπου Ἀδριανουπόλεως καὶ ἄλλων ῥητῶς, οἵτινες εἶπον καὶ ἐπίστευον καὶ ὡμολόγουν τὴν Παναγίαν ὡς Θεοτόκον, καθὼς δηλονότι καὶ ὁ Ἀλεξανδρείας Ἀλέξανδρος γράφων πρὸς τὸν Κωνσταντινουπόλεως Ἀλέξανδρον κατὰ Ἀρείου, Θεοτόκον εἶπε τὴν Παναγίαν. οὐκ ἤλεγξεν αὐτὸν ὅμως ὡς ἔπρεπεν αὐτῷ, ἵνα μὴ κατηγορηθῇ

ὡς

ὡς ὁ θεῖος αὐτοῦ ὁ Θεόφιλος, ὅστις τοῦ Χρυσοστόμου ὄντος Κωνσταντινουπόλεως συνοδικῶς κατηγορηκὼς, ἀπέῤῥιπτε τοῦ καταλόγου τῶν ἁγίων Πατριαρχῶν. καὶ κατὰ ἀλήθειαν ὡς φαίνεται οἱ Πατριάρχαι τῆς Ἀλεξανδρείας εἶχον πάντοτε ἅμιλλάν τινα, ἵνα μὴ εἴπω μῆνιν πρὸς τοὺς Πατριάρχας τῆς Κωνσταντινουπόλεως. οὕτω Πέτρος ὁ Ἀλεξανδρείας ἠναντιώθη εἰς τὴν χειροτονίαν τοῦ Θεολόγου Γρηγορίου, καὶ ὁ Θεόφιλος εἰς τὴν τοῦ Χρυσοστόμου, καὶ ὁ Κύριλλος εἰς τὴν τοῦ Νεστορίου, καὶ ἄλλοι μεταγενέστεροι ὡς ἐροῦμεν κατωτέρω, εἰ καὶ οὐχ ὁμοίως, ἐπειδὴ ὁ μακάριος Κύριλλος εἶχε τὸ μεῖζον δίκαιον ἵνα ἀγωνισθῇ ὡς ἅγιος καὶ σοφώτατος κατὰ τοῦ ἀσεβοῦς Νεστορίου.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ ἀναθεματισμοῦ τῆς Αἱρέσεως τοῦ Νεστορίου ὑπὸ μερικῶν Συνόδων, καὶ περὶ τῆς τρίτης Οἰκουμενικῆς Συνόδου, καὶ ὧν συνέβησαν μεταξὺ Κυρίλλου Ἀλεξανδρείας καὶ Ἰωάννου Ἀντιοχείας, καὶ περὶ τῆς ἐξορίας Νεστορίου, καὶ τοῦ κακίστου θανάτου αὐτοῦ.

Νεστόριος

Ἐγένετο Σύνοδος μερικὴ ἔνδον ἐν τῇ Ῥώμῃ, καὶ ἀνεθεμάτισε τὸν Νεστόριον καθὼς μαρτυρεῖ ὁ αὐτὸς Κύριλλος εἰς τὴν ἐπιστολὴν ἣν ἔγραψε πρὸς τὸν Ἀντιοχείας Ἰωάννην, καὶ πρὸς τὸν Ἰουβενάλιον τῶν Ἱεροσολύμων, ὃν ὀνομάζει καὶ σεβασμιώτατον, παρακινῶν αὐτὸν λαβεῖν καὶ αὐτὸν τὴν πανοπλίαν τοῦ Πνεύματος κατὰ τοῦ Νεστορίου, καίπερ ὁ Ζωναρᾶς ἰσοτιμῶν τὸν Ῥώμης καὶ Ἀλεξανδρείας λέγει, τὸν Κελεστῖνον καὶ Κύριλλον γεγραφέναι Ἰωάννῃ Ἀντιοχείας καὶ Ἰουβεναλίῳ Ἱεροσολύμων περὶ τῆς Νεστορίου Αἱρέσεως. ἔγραψαν οὖν ὅλοι αὐτοὶ πρὸς τὸν Νεστόριον ἵνα ποιήσῃ παλινῳδίαν, καὶ ἀποδέξηται ἅμα τῇ Ἐκκλησίᾳ τὴν φωνὴν ἐκείνην τὴν Θεοτόκος, ἀλλ' ἐκεῖνος οὐκ ἤθελεν ἀκοῦσαι, ἀλλ' ἔλεγεν εἶναι λέξιν πρόσφατον τὴν φωνὴν, καθὼς ἔλεγον οἱ Ἀρειανοὶ περὶ τοῦ Ὁμοουσίου, καὶ νῦν οἱ Καλβινολουτεραῖοι περὶ τῆς Μετουσιώσεως. ἀλλὰ καὶ εἰς τὴν Ἀντιόχειαν ἐγένετο Σύνοδος κατὰ Νεστορίου ὡς φαίνεται ἀπὸ τῆς πρὸς αὐτὴν ἐπιστολῆς τοῦ ἁγίου Κυρίλλου, καὶ δὴ καὶ οἱ Ἀλεξανδρινοὶ μετὰ τοῦ Κυρίλλου ἀθρόισαντες μεγάλην Σύνοδον, ἀνεθεμάτισαν τὰ δόγματα τοῦ Νεστορίου, καὶ ἐποίησαν καὶ τοὺς δώδεκα ἀναθεματισμοὺς, οὓς συντέθεικεν ὁ Πατριάρχης αὐτῶν, οἷς ἐναντίον ἔγραψεν ὁ Θεοδώριτος τῆς Κύρου Ἐπίσκοπος, ἀποδεικνύων τὸν Κύριλλον ὑποκεκλιμένον τοῖς δόγμασι τοῦ Ἀπολιναρίου, πλὴν ἠθῳώθη ὁ ἅγιος, καὶ δεύτερον γράψας καὶ ἐκβαλὼν πᾶν εἶδος ὑποψίας ἀπ' αὐτοῦ διὰ τῆς ἀπολογίας αὐτοῦ. λέγει δὲ ὁ Θεοφάνης καὶ ὁ Ζωναρᾶς, ὅτι γνοὺς ὁ Νεστόριος ὡς οὐκ ἀνέχονται οἱ Πατριάρχαι παρασιωπῆσαι (ἰδὲ, Πατριάρχας λέγουσι καὶ οὐ Πατριάρχην, ἢ Πάπαν ἕνα, ἀλλ' ὅλους κοινῶς) οὕτω τεταραγμένων τῶν Ἐκκλησιῶν, ἔπεισεν (ἀπατήσας) τὸν Βασιλέα πέμψαι Σάκραν Κυρίλλῳ πλήρη στιγμάτων ἵνα δῆθεν φοβηθῇ, ὁ δὲ μᾶλλον διανίσταται ὡς Λέων κατὰ τῆς Αἱρέσεως τοῦ ἀσεβοῦς, καὶ ἔγραψε καὶ τῷ Βασιλεῖ καὶ ταῖς Βασιλίσσαις ὑπὲρ τῆς εὐσεβείας; ὥστε τὸν Βασιλέα καίπερ μεμψάμενον τῷ ἁγίῳ Κυρίλλῳ τῆς ἐλευθεροστομίας, προστάξαι μέντοι συναθροισθῆναι Σύνοδον Οἰκουμενικὴν ἐν τῇ Ἐφέσῳ ἵνα ἀπολογηθῇ ὁ Νεστόριος, ἐν ᾗ ἔδωκε τὴν αὐθεντίαν τῆς Συνόδου αὐτῷ τῷ ἁγίῳ Κυρίλλῳ, ὠργίσθη ὅμως ὁ Ἀντιοχείας Ἰωάννης μὴ Προσμεινάσης αὐτὸν ἐλθεῖν τῆς Συνόδου, ἀλλ' ὁ Ἀλεξανδρείας Κύριλλος καὶ ὁ Ἱεροσολύμων Ἰουβενάλιος καὶ ὁ Ἐφέσου Μέμνων τὸν Νεστόριον καθεῖλον. ὅθεν ἐποίησε φατρίαν μετὰ τῶν συνελθόντων Ἐπισκόπων ὁ Ἰωάννης, καὶ καθῃρήκει τὸν ἅγιον Κύριλλον καὶ τὸν Ἐφέσου Μέμνονα ὡς καταπατητὰς τῶν ἐκκλησιαστικῶν Κανόνων, καὶ ἐγένετο σχίσμα ἀναμεταξὺ τῶν Ἀνατολικῶν καὶ τῶν λοιπῶν πατέρων, ἡνώθησαν ὅμως ὕστερον διὰ τῆς τοῦ Βασιλέως ἐπιμελείας, καὶ ὅλοι ἀνεθεμάτισαν τὸν Νεστόριον, ὅστις ἐξωρίσθη εἰς τὴν Θάσον κατὰ τὸν Θεοφάνη, καὶ εἶτα εἰς τὴν Ὄασιν καταδεδικασμένος, ἥτις κράζεται καὶ Ἴβις, καὶ τουρκιστὶ Ἴπριμ. λέγει δὲ ὁ Ζωναρᾶς ὅτι ὁ Νεστόριος εἰς Ἑῴαν ἐξωρίσθη, καὶ βλασφημῶν, δι' ἀναφορᾶς τοῦ Ἀντιοχείας Ἰωάννου ἐξωρίσθη εἰς Ὄασιν. σαφέστερον δὲ γράφει ὁ Εὐάγριος λέγων, Νεστόριος δεήσει πρὸς Θεοδόσιον ἐπετράπη κατὰ τὸ οἰκεῖον ἐπαναζεῦξαι μοναστήριον, ὃ πρὸ τῶν πυλῶν Ἀντιοχείας διάκειται, ἐν ᾧ τετραετῆ χρόνον διέτριψε. μὴ ἠρεμῶν δὲ τῆς οἰκείας βλασφημίας, ἐμήνυσε ταῦτα ὁ Ἀντιοχείας Ἰωάννης τῷ Βασιλεῖ, ὅθεν ἐκεῖνος ἀειφυγίᾳ αὐτὸν εἰς Ὄασιν κατεδίκασε, βιβλίῳ πρώτῳ κεφαλαίῳ ἑβδόμῳ. Ἱστορεῖ ὁ Ἀλεξανδρείας Εὐτύχιος λέγων, ὅτι τὸ τοῦ Νεστορίου ῥητὸν ἦν ἀμεληθὲν, ἀνενέωσε δὲ αὐτὸ ὕστερον μετὰ πολὺν χρόνον Βαρσουμᾶς τὶς Ἐπίσκοπος Νισίβεως ἐπὶ Ἰουστινιανοῦ Βασιλέως Ῥωμαίων καὶ Ἀμπὰτ ἡγοῦ Φυρούζη Βασιλέως Περσῶν, ἁπλώσας αὐτὸ ἐν τῇ Ἀνατολῇ, ὅθεν καὶ ἐν τῇ Ἀνατολῇ πλεῖστοι Νεστοριανοὶ εἰσὶ, καὶ μάλιστα ἐν γῇ Περσῶν καὶ Ἀσσυρίων καὶ ἐν τῷ Εὐφράτῃ καὶ Νισίβει, μέρει δευτέρῳ κεφαλαίῳ δέκατῳ τετάρτῳ. Σημείωσαι δὲ, ὅτι ἐκεῖ, ἤτοι εἰς τὴν Ὄασιν ἐκακοχήθη ὁ Νεστόριος, ὥστε βεβαίως ἔζησεν ἵνα δοκιμάσῃ καὶ ἐν ταῦθα τὰς Θεϊκὰς ἀγανακτήσεις, κατέστρεψε δὲ κακῶς εἰς τὴν ἄνω Θηβαΐδα τῆς Αἰγύπτου, καὶ ἐσάπη ἡγλῶσσα αὐτοῦ κατὰ τὸν Εὐάγριον, καὶ ὅλον αὐτοῦ τὸ σῶμα κατὰ τὸν Κεδρηνὸν, καὶ Νικηφόρον εἰς τὸ δέκατον τέταρτον τῆς ἱστορίας αὐτοῦ.

αὐτοῦ. φοβερὸν ὅμως πρᾶγμα περὶ αὐτοῦ διηγεῖται ὁ ἅγιος Γερμανὸς Πατριάρχης Κωνσταντινουπόλεως ἐν ᾧ γράφει περὶ τῶν ἁγίων ἓξ Οἰκουμενικῶν Συνόδων πρὸς Ἄνθιμον Διάκονον τῆς μεγάλης Ἐκκλησίας, ὅτι ἐπὶ Μαρκιανοῦ συνεργείᾳ τινῶν αὐτοῦ φίλων, ἀνακλητικῶν γραμμάτων καὶ πρὸς αὐτὸν σταλέντων ἀξιωθεὶς ὁ Νεστόριος, καὶ εἰσελθὼν εἰς ἀφεδρῶνα, πρὶν ἢ καθίσαι ἔλεγεν, ὡς ἤκουσάν τινες ἱστάμενοι ἔξωθεν, Ἔδειξά σοι Μαρία ὅτι ἄνθρωπον ἔτεκες καὶ οὐ Θεὸν, καὶ οἱ ἀκούσαντες ἀνεχώρησαν, ἐπειδὴ ἐκεῖνος δηλαδὴ ὁ Νεστόριος παρήγγειλε τοῖς περὶ αὐτὸν μὴ ἐᾶσαί τινα προσεγγίσαι αὐτοῦ τῷ κοιτῶνι, ἕως ἂν αὐτὸς προσκαλέσηται. εὐθὺς δὲ μετὰ τὴν βλασφημίαν ἐπάταξεν αὐτὸν Ἄγγελος Κυρίου, καὶ ἐχύθησαν τὰ σπλάγχνα αὐτοῦ ὅλα εἰς τὸ ἀγγεῖον τῆς ἀκαθαρσίας αὐτοῦ, καὶ ἐξέψυξεν. ὡς δὲ ἐγένετο ὄρθρος, ὁ βασιλικὸς Ἄρχων ἐλθὼν ἔλεγεν, ὅτι ἡ βασιλικὴ προθεσμία αὐτὸν βιάζει μὴ βραδύνειν, καὶ ὡς παρῆλθεν ἡ ὥρα, καὶ ἐκεῖνος κατὰ τὴν παραγγελίαν οὐκ ἐκάλεσέ τινα, κρούουσι τὴν θύραν, καὶ μὴ ἀποκριναμένου τοῦ Νεστορίου, ἐξέσπασαν αὐτὴν, καὶ εἰσελθὼν ὁ Ἄρχων καὶ οἱ περὶ αὐτὸν, καὶ οἱ ὑπηρέται Νεστορίου, ἧυραν αὐτὸν ἄψυχον εἰς τὴν ἀμίδα αὐτοῦ, ἐν ᾗ ἔνδον ἦσαν τὰ ἔντερα καὶ σπλάγχνα αὐτοῦ κεχυμένα, ὅθεν οἱ ἀκούσαντες τὴν βλασφημίαν αὐτοῦ, εἶπον αὐτὴν τῷ Ἄρχοντι καὶ τοῖς παρευρεθεῖσι, καὶ ἔγνωσαν ὡς διὰ τὴν βλασφημίαν ἀπηνέγκατο τὸν τοιοῦτον θάνατον, καὶ εἶπον οἱ παρόντες, ὅτι διὰ τοῦτον προεῖπεν Ἡσαΐας ὁ προφήτης, Οὐαὶ ἐπὶ τὸν ἄνδρα τοῦτον, οὐ μὴ κλαύσονται αὐτὸν, ὦ κύριε, οὐδ' οὐ μὴ εἴπωσιν αὐτῷ, οἴμοι ἀδελφὲ καὶ οἴμοι κύριε, ταφὴν νῦν οὐ μὴ ταφήσεται, ἀλλὰ συμψοφισθεὶς ῥιφήσεται ἐπέκεινα τῆς πύλης.

ΠΑΡΑΓΡΑΦΟ Δ'.

Περὶ τοῦ ἀναθεματισμοῦ τοῦ Συμβόλου τῶν Νεστοριανῶν, καὶ κυρώσεως, μετὰ τοῦ πρὸς τοὺς παραχαράξοντας αὐτὸ ἀναθεματισμοῦ, τοῦ Συμβόλου τῆς πρώτης καὶ δευτέρας τῶν Οἰκουμενικῶν, ὑφ' ᾧ ἀναθέματι ὁ Ῥώμης πέπτωκε διὰ τὴν προσθήκην.

Ἐτεχνήσαντο οἱ Αἱρετικοὶ Νεστοριανοὶ Σύμβολον πίστεως, ὅπερ δοκιμάσασα ἡ Σύνοδος ἀνεθεμάτισεν, ἐβλασφήμει γὰρ εἰς τὸν Χριστὸν, καὶ ἐθέσπισεν ἄλλο Σύμβολον πίστεως οὐδένα εὐσεβῆ τολμῆσαι συγγράψαι, ἀλλὰ μόνον ἐκεῖνο ὅπερ ἐξέδωκεν ἡ πρώτη καὶ ἡ δευτέρα αἱ Οἰκουμενικαὶ μένειν χωρίς τινος ἢ προσθήκης, ἢ ἀφαιρέσεως, καὶ δὴ καὶ ἀνεθεμάτισαν τοὺς παραβαίνοντας τὸ τοιοῦτον πρόσταγμα. λέγουσί τινες ὅτι διὰ τὸ διορισθῆναι εἰς τὴν Σύνοδον ταύτην λέγεσθαι τὴν Παναγίαν Θεοτόκον, ὡς καί ἐστιν, ἠβουλήθη ὁ ἅγιος Κύριλλος ἐντεθεῖναι τοῦτο ἐν τῷ Συμβόλῳ, ἀλλ' εὐλαβείᾳ τοῦ Συμβόλου παρῃτήθη, μόνον δὲ Ὅρον ἐξέθεντο οἱ πατέρες, Θεοτόκον τὴν παρθένον, καὶ ἕνα τὸν Χριστὸν καθ' ὑπόστασιν τὸν αὐτὸν καὶ Θεὸν καὶ ἄνθρωπον ἐν αὐτῷ δογματίσαντες, καὶ ἄλλο Σύμβολον μὴ γενέσθαί ποτε, μήτε εἰς τὸ γεγονὸς γενέσθαι ἢ προσθήκην ἢ ἀφαίρεσιν. ἀλλὰ καὶ πᾶσαι αἱ μετέπειτα Σύνοδοι τὸ αὐτὸ διώρισαν μετὰ ἀναθεματισμῶν, ὧν ἀλογήσας ὁ Πάπας τῆς Ῥώμης, καὶ ἐνθεὶς προσθήκην καὶ λέξιν ἀσεβείας ἐν τῷ Συμβόλῳ τῶν πατέρων παρὰ Κανόνας, ἔσχισε τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, καὶ εὗροι ὃ τετόλμηκε ποιῆσαι παρὰ τοῦ Θεοῦ. ἰδὲ κατωτέρω Παράγραφον δέκατον τρίτον, καὶ τριακοστὸν τρίτον, καὶ βιβλίου ὀγδόου κεφάλαιον πρῶτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς τελευτῆς τοῦ θείου Αὐγουστίνου, καὶ τῆς νοθεύσεως τῶν συγγραμμάτων αὐτοῦ ὑπὸ τῶν Αἱρετικῶν, καὶ ὧν εὑρίσκονται ἀτόπων ἐν αὐτοῖς τοῖς συγγράμματι, καὶ περὶ τῆς διττῆς ἐξηγήσεως τοῦ Σὺ εἶ Πέτρος, καὶ τῆς νηστείας κατ' Οὐρβίκιον τοῦ Σαββάτου, ἐξ ὧν ἄγνωστος τοῖς πάλαι ἡ τοῦ Ῥώμης μοναρχία δείκνυται.

Προέγραψεν ὁ Θεοδόσιος καὶ πρὸς τὸν ἱερὸν Αὐγουστῖνον ἐλθεῖν εἰς τὴν Σύνοδον, ὡς παρίστησιν ἡ ἐν τῇ Συνόδῳ ταύτῃ ἀποσταλεῖσα ἐπιστολὴ τοῦ Καρθαγένης Καπραιόλου. πρίν γε ὅμως ἢ προφθάσαι τὰ γράμματα, προέλαβεν ὁ θάνατος τὸν τοσοῦτον Θεολόγον τῆς Ἐκκλησίας εἰς αὐτὴν σχεδὸν τὴν ἅλωσιν τῆς Ἀφρικῆς ὑπὸ τῶν Βανδάλων λίαν λελυπημένον καὶ ἠρρωστημένον, καὶ ὅλως διόλου εἰς προσευχὴν εὑρισκόμενον, ἑβδομήκοντα καὶ ἓξ ἐτῶν ἄνθρωπον. καὶ εἰ καὶ ἡ χώρα ἡ Ἱππὼν κατεκάη, πλήν γε ὅμως ἡ βιβλιοθήκη αὐτῆς ἔμεινε σώα καὶ ἀβλαβὴς διαφυλάξει οὐκ ἀνθρωπίνῃ ἀλλὰ Θεϊκῇ, ὅθεν ἐφυλάχθησαν καὶ τὰ συγγράμματα τοῦ ἁγίου, τὰ Κέδρου ἀξιολογώτερα καὶ ἄκαυστα καὶ ἀνώλεθρα. οὐκ ἐδυνήθησαν ὅμως φυγεῖν τὴν πολεμίαν χεῖρα τῶν Αἱρετικῶν τῶν πλεῖστα νοθευσάντων καὶ τὰ ἀμίαντα καταμιανάντων ὡς παμμιάρων, καὶ διατοῦτο οἱ Ἀνατολικοὶ ἁπλῶς καὶ ὡς ἔτυχεν οὐδέχονται τὰ συγγράμματα τοῦ Αὐγουστίνου, ἀλλὰ τὰ συμφωνοῦντα μόνον τῇ δόξῃ τῆς καθολικῆς Ἐκκλησίας, ὡς

Γεω-

Γεώργιος ὁ Σχολάριος κάλλιστα λέγει εἰς τὸ Συνταγμάτιον αὐτοῦ. εἰ δὲ βούλει τινὰ εἰδέναι ἐξ ὧν λέγονται εἰς τὰ συγγράμματα αὐτοῦ ἄτοπα, ἰδὲ κεφάλαιον ἔνατον περὶ προορισμοῦ τῶν ἁγίων, καὶ πρὸς Σιμπλικιανὸν, καὶ εἰς τὴν πρὸς Ῥωμαίους ἑρμηνείαν, καὶ ἀλλαχοῦ, δίδοται λέγει χάρις ἀπὸ τοῦ Θεοῦ, ἣν τὸ ἀντεξούσιον ἀποβάλλειν οὐδύναται, εἴπομεν δὲ περὶ ταύτης ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου ἐσχάτου Παραγράφῳ πέμπτῳ, καὶ ἐξηγήσει εἰκοστῇ δευτέρᾳ εἰς τὸν Ἰωάννην, τὸν Φαραὼ ἔφη ἔχειν ἀδυναμίαν εἰς τὴν πρὸς τὴν χάριν πειθὼ, τίθεται δὲ ἐν πολλοῖς καὶ τὸν προορισμὸν τῶν ἁγίων ὡς καὶ τὸν τοῦ Χριστοῦ χωρὶς ργων. καὶ ἐπιστολῇ τεσσαρακοστῇ ἐνάτῃ δοκεῖ μάχεσθαι ταῖς Εἰκόσι, καὶ ἐν τῇ ἐξηγήσει τοῦ ἔλαβον οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, υἱοὺς Θεοὺς λέγει τοὺς Ἀγγέλους, καὶ ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως ἥτις κεῖται ἐν τῷ κατὰ Λατίνων Τόμῳ ὅσπερ καὶ Ἀγάπη ἐκλήθη, λέγει ὁ Σχολάριος ὅτι ὁ Αὐγουστῖνος ἔλεγεν εἶναι ἔμψυχα τὰ οὐράνια σώματα. ἡμεῖς ὅμως τὰ τοιαῦτα, εἰ οὐκ ἀπατώμεθα, Αἱρετικῶν εἶναι παρενθήκας διαβεβαιούμεθα. προσφέρει δὲ ἀπ' αὐτοῦ ὁ Βελλαρμῖνος ἐκ τοῦ ψαλμοῦ κατὰ Δονάτου ταῦτα, ἀριθμήσατε τοὺς Ἱερεῖς καὶ ἐξ αὐτῆς τῆς τοῦ Πέτρου καθέδρας, καὶ ἐν ἐκείνῃ τῇ τάξει ἴδετε τίς ὁ Διάδοχος, αὕτη ἐστὶν ἡ πέτρα, ἧς οὐ κατισχύσουσιν αὐταὶ αἱ πύλαι τοῦ ᾅδου. Ἀλλὰ ῥητέον ὅτι τὰ ῥήματα ἐκεῖνα, Σὺ εἶ Πέτρος, καὶ τὰ ἑξῆς, διττῶς ἐξηγοῦνται παρὰ τοῦ ἁγίου Αὐγουστίνου, ποτὲ μὲν γὰρ πέτραν ἐννοεῖ τὸν Πέτρον, ποτὲ δὲ τὸν Χριστὸν, ὃν ὁ Πέτρος ὡμολόγησε, καὶ ἄθρει τοὺς λόγους τοῦ Αὐγουστίνου ἐν τούτῳ τῷ βιβλίῳ (ἤτοι τῷ κατὰ τῆς ἐπιστολῆς τοῦ Δονάτου) εἶπον περὶ τοῦ Ἀποστόλου Πέτρου ὅτι ἐν ἐκείνῳ ὡς ἐπὶ πέτρᾳ ᾠκοδομήθη ἡ Ἐκκλησία, οἶδα δὲ ἐγὼ ὅτι συχνάκις μετέπειτα οὕτως ἐξεθέμην τὸ ῥητὸν τοῦ Κυρίου, Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ Πέτρᾳ οἰκοδομήσωμου τὴν Ἐκκλησίαν, ὥστε ἐννοεῖσθαι τὸ οἰκοδομήσω ἐπὶ τούτῳ, ὃν ὁ Πέτρος ὡμολόγησε, Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. οὐ γὰρ ἐῤῥέθη αὐτῷ, Σὺ εἶ Πέτρα, ἀλλὰ Σὺ εἶ Πέτρος, ἡ δὲ πέτρα ἦν ὁ Χριστὸς, ὃν ὡμολόγησεν ὁ Πέτρος. ὅτε δὲ ἐννοεῖ αὐτὸν τὸν Πέτρον, οὐκ ἐννοεῖ καθ' ἑαυτὸν καὶ ἀπολελυμένως, ἀλλ' ὡς τύπον καὶ εἰκόνα φέροντα τῆς καθολικῆς Ἐκκλησίας, ὅθεν φησὶν ἐπιστολῇ ἑκατοστῇ ἑξηκοστῇ πέμπτῃ, εἰ θεωρητέα ἐστὶν ἡ τάξις τῶν ἀλλήλους δεχομένων Ἐπισκόπων, πόσον βεβαία ἐστὶν ὅτε ὑγιῶς παρ' αὐτοῦ ἀριθμοῦμεν ὡς πάσης τῆς Ἐκκλησίας τὸν τύπον φέροντος ὁ Κύριος εἶπεν, Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσωμου τὴν Ἐκκλησίαν. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι οὐδὲν συνῆκται καὶ ἐκ τούτου τοῖς Ἰταλοῖς ἕνεκεν μοναρχίας. δεύτερον, ὅτι ὁ Αὐγουστῖνος ἀπὸ τοῦ Πέτρου ἀριθμεῖ τὴν Διαδοχὴν τῶν Ἐπισκόπων, ἐπειδὴ ἔγραφεν ἐν τῇ Δύσει, ὁ δὲ Ἐπιφάνιος ἀριθμεῖ αὐτὴν ἀπὸ τοῦ Ἀδελφοθέου, καὶ ἰδὲ ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον δέκατον ὄγδοον. ὅτι δὲ ὁ Αὐγουστῖνος οὐκ οἶδεν ὅλως τὴν ἐν τῇ Ῥώμῃ ἤδη θρυλλουμένην ἀναμαρτησίαν, εἴπομεν ἀνωτέρω βιβλίου πρώτου κεφαλαίου δεκάτου ἕκτου Παραγράφῳ δεκάτῳ πρώτῳ, καὶ ἐροῦμεν κατωτέρω βιβλίου δεκάτου μέρους τρίτου κεφαλαίου τρίτου τμήματος τρίτου Παραγράφῳ ἕκτῳ, ῥητέον ὅμως εἰδοκεῖ κἀνταῦθα μικρόν τι. Οὐρβικιός τις διελέγετο πεῖσαι πάντας νηστεύειν τὸ Σάββατον κατὰ τὸ παράδειγμα τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, ἔλεγε δὲ τοῦτο εἶναι Διαταγὴν τοῦ μακαρίου Πέτρου, ἣν πεποίηκε μετὰ τὸν θάνατον Σίμωνος τοῦ μάγου, πρὸς ὃν ἡ Αὐγουστῖνος ἔφη ἐπιστολῇ ὀγδοηκοστῇ ἕκτῃ, ἆρα οὖν οἱ λοιποὶ Ἀπόστολοι ἀριστᾶν τοὺς Χριστιανοὺς κατὰ Πέτρον ἐδίδαξαν ἐν πάσῃ τῇ Οἰκουμένῃ; καθάπερ λοιπὸν ἀλλήλοις ἔζησαν συμφώνως ὁ Πέτρος καὶ οἱ συμμαθηταὶ αὐτοῦ, οὕτως ἀλλήλοις συμφώνως διαγέτωσαν οἱ ἐν τῷ Σαββάτῳ ἀριστῶντες, οὓς ἐφύτευσαν οἱ συμμαθηταὶ αὐτοῦ. ἐν οἷς σημείωσαι, ὅτι νηστεύοντες ἐν Ῥώμῃ κατὰ τὴν νομιζομένην τοῦ Πέτρου Διαταγὴν, οὐδύνανται βιάζειν τοὺς λοιποὺς, ἔχοντας ἄλλας Διαταγὰς τῶν λοιπῶν Ἀποστόλων. λέγει δὲ ὁ αὐτὸς κατωτέρω, ἀλλ' εἰ ἀποδοθῇ τοιαύτη ἀπόκρισις, ὅτι τὸ αὐτὸ ἐδίδαξαν Ἰάκωβος ἐν Ἱεροσολύμοις, ὡς ἐν Ἐφέσῳ Ἰωάννης, ὃ καὶ Πέτρος ἐν τῇ Ῥώμῃ, ἤτοι ἵνα ἐν Σαββάτῳ νηστεύωμεν, καὶ ὅτι ταύτης τῆς διδασκαλίας αἱ μὲν ἄλλαι Ἐκκλησίαι παρώδευσαν, ἡ δὲ ἐν Ῥώμῃ ἐν ταύτῃ ἔμεινεν. ἐξεναντίας δὲ ὑπολαβώντις εἴπῃ, ὅτι τῆς Δύσεως μᾶλλον τόποι τινὲς, ἐν οἷς ἐστι καὶ ἡ Ῥώμη οὐκ εἰτήρησαν τὰ παρὰ τῶν Ἀποστόλων παραδοθέντα, ἀλλὰ αἱ τῆς Ἀνατολῆς Ἐπαρχίαι, ἐξῶν ἤρξατο κηρύττεσθαι τὸ Εὐαγγέλιον ἔμειναν ἀπαραλλάκτως ἐν τοῖς παραδοθεῖσι παρὰ πάντων τῶν Ἀποστόλων σὺν αὐτῷ τῷ Πέτρῳ, δηλαδὴ ἵνα ἐν Σαββάτῳ μὴ νηστεύωμεν, ἀπέραντός ἐστιν ἡ φιλονεικία αὕτη, γεννῶσα ἔριδας, οὐ λύουσα τὰ ζητήματα. πῶς ἐστιν ἀπέραντος καὶ ἀτελεύτητος ἡ φιλονεικία; οὐκ οἶδεν ἆρα ὁ Αὐγουστῖνος ὅτι ὅπου ἂν ἡ Ῥωμαϊκὴ Ἐκκλησία (ἥτις ἐστὶν ἀναμάρτητος) ὁρίσοι ὅτι δεῖ νηστεύειν ἐν Σαββάτῳ, τελειοῦται πᾶσα φιλονεικία; καὶ λοιπὸν κατὰ τὸν Αὐγουστῖνον οὐδύναται οὕτως εὐκόλως τελειωθῆναι τοῦτο τὸ ζήτημα, πότερον ἡ Ῥωμαϊκὴ Ἐκκλησία ἐνόθευσε τὰς παραδόσεις τοῦ ἁγίου Πέτρου; ἢ αἱ λοιπαὶ Ἐκκλησίαι τὰς παραδόσεις τῶν λοιπῶν Ἀποστόλων; ἐντεῦθεν δηλοῦται προφανῶς ὅτι ἡ γνώμη αὕτη περὶ τῆς τοῦ Πάπα μοναρχίας ἦν παντάπασιν ἄδηλος τῷ αὐγουστίνῳ.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῶν σωζομένων πρακτικῶν τῶν ἁγίων Συνόδων, καὶ τῶν τοῦ Κυρίλλου ἐπιστολῶν τῶν ἐν τῷ πρώτῳ μέρει τῆς τρίτης Συνόδου περιεχομένων.

Τῶν ἁγίων Συνόδων τὰ πεπραγμένα πόσα εἰσὶν ἡμεῖς ἀγνοοῦμεν, ἐπειδὴ μόνα τὰ Γελασίου τῆς πρώτης καὶ τῆς τεταρτῆς τὰ πρακτικὰ ἔχομεν εἰς παλαιότατον βιβλίον ἐν Ἱερουσαλὴμ καὶ οὐδὲν ἕτερον, ἀπὸ δὲ τῶν τυπωθέντων εἰς Ῥώμην τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδόῳ ἔτει σημειοῦμεν τὰ πρακτικὰ τῶν Συνόδων ἐν ταῖς παρούσαις σημειώσεσι. Τῆς μὲν οὖν τῶν οἰκουμενικῆς Συνόδου τὰ πρακτικῶν διαιρουμένω εἰς τρία μέρη, εἰς τὸ πρῶτον περιέχονται Πρόκλου Ὁμιλία, λεχθεῖσα καθεζομένου Νεστορίου ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, ἐν ᾗ Θεοτόκον τὴν Παρθένον κηρύττει, Κυρίλλου ἐπιστολὴ πρὸς μοναχοὺς Αἰγυπτίους, ἀγωνιζομένου κατὰ τῆς Αἱρέσεως Νεστορίου, Κυρίλλου αἱ ἀοίδιμοι ἐπιστολαὶ εἴς τε τὸν Βασιλέα Θεοδόσιον καὶ εἰς τὰς Βασιλίσσας περὶ ὀρθοδόξου πίστεως ἀπό τε τῶν ἁγίων γραφῶν καὶ τῶν προηγησαμένων πατέρων, ἐν αἷς μάλιστα Θεὸς ὁ Χριστὸς ὁ αὐτὸς καὶ ἄνθρωπος γνωριζόμενος ἐν δύο φύσεσιν ἀσυγχύτοις καὶ μιᾷ ὑποστάσει, Κυρίλλου πρὸς Νεστόριον πρώτη ἐπιστολὴ, Νεστορίου πρὸς αὐτὸν ἀπόκρισις, Κυρίλλου δευτέρα ἐπιστολὴ πρὸς Νεστόριον, καὶ Νεστορίου ἀπόκρισις πρὸς Κύριλλον, ἐν ᾗ καὶ τὴν Αἵρεσιν ὑποτυποῖ, ἕτεραι Κυρίλλου ἐπιστολαὶ τρεῖς, καὶ πρὸς τὸν Ῥώμης Κελεστῖνον, διδάσκοντος αὐτὸν τὰ κατὰ τὸν Νεστόριον, καὶ Κελεστίνου ἀπόκρισις πρὸς Κύριλλον, Κελεστίνου πρὸς Νεστόριον, καὶ δευτέρα τοῦ αὐτοῦ τοῖς Κωνσταντινουπολίταις, τρίτη Κελεστίνου Ἰωάννῃ Ἀντιοχείας, Κυρίλλου δύο ἐπιστολαὶ ἡμία εἰς Ἰωάννην Ἀντιοχείας καὶ ἡ ἑτέρα εἰς τὸν Βερροίας τῆς Συρίας Ἀκάκιον, Ἀκακίου πρὸς Κύριλλον ἀπόκρισις, Κυρίλλου πρὸς Ἰουβενάλιον τὸν Ἱεροσολύμων, καὶ Ἰωάννου Ἀντιοχείας πρὸς Νεστόριον. ἀθροίζει Τοπικὴν Σύνοδον εἰς Ἀλεξάνδρειαν ὁ Κύριλλος, καὶ γράφει συνοδικῶς εἰς τὸν Νεστόριον ἐπιστολὴν, ἐν ᾗ καὶ οἱ δώδεκα ἀναθεματισμοὶ, καὶ ἔτι συνοδικῶς γράφει δευτέραν ἐπιστολὴν εἰς τὸν Κλῆρον Κωνσταντινουπόλεως, καὶ τρίτην εἰς μοναχοὺς Κωνσταντινουπόλεως. δέησις Βασιλείου Διακόνου καὶ τινων μοναχῶν πρὸς τὸν Βασιλέα κατὰ Νεστορίου. Σάκρα Θεοδοσίου καὶ Οὐαλεντιανοῦ πρὸς Κύριλλον. τῶν αὐτῶν Βασιλέων γράμμα δεύτερον πρὸς Κύριλλον καὶ πρὸς τοὺς κατὰ χώραν τῶν Μητροπόλεων Ἐπισκόπους ἵνα συναχθῇ Σύνοδος Οἰκουμενικὴ εἰς Ἔφεσον. Κύριλλος ἐξέρχεται ἀπὸ Ἀλεξανδρείας ἐλθεῖν εἰς Ἔφεσον, καὶ πέμπει εἰς τοὺς Ἀλεξανδρινοὺς ἀπὸ τῆς ὁδοῦ ἐπιστολήν. θεῖον γράμμα τοῦ Βασιλέως Θεοδοσίου εἰς τὴν Σύνοδον, ἐν ᾧ διορίζει τὸν καιρὸν τῆς προκαταρξεως, καὶ Κανδιδιανὸν Κόμητα Δομεστίκων πέμπει διὰ τὴν εὐταξίαν τῆς Συνόδου. ἐπιστολὴ Ἰωάννου Ἀντιοχείας πρὸς Κύριλλον.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τοῦ δευτέρου μέρους τῶν πρακτικῶν τῆς τρίτης Συνόδου, καὶ τῆς πρώτης πράξεως αὐτῆς καὶ Νεστορίου.

Τόμος δεύτερος, πρᾶξις πρώτη, ἐν ᾗ ἀναγινώσκεται ἡ βασιλικὴ Σάκρα, καὶ πέμπονται Ἐπίσκοποι καὶ καλοῦσι τὸν Νεστόριον εἰς κρίσιν, οὗ μὴ ἐλθόντος, ἀπεστάλησαν Ἐπίσκοποι δεύτερον, ἔχοντες καὶ ὑπομνηστικὸν (ἤτοι ἔγγραφον κλῆσιν) πρὸς αὐτὸν, πρὸς ὃν μὴ ἐλθόντα, ἐστάλησαν καὶ τρίτον Ἐπίσκοποι, καὶ παραγνωστικὸν, ἤτοι ἐντολὴ ἔγγραφος, καὶ ἐπειδὴ ὁ Νεστόριος ἐπερειδόμενος τοῖς μετ' αὐτοῦ στρατιώταις, καὶ γινώσκων ἑαυτὸν ἀναπολόγητον, οὐκ ἦλθεν εἰς ὁμιλίαν μετ' αὐτῶν, προφασιζόμενος ψευδῆ τινά. καὶ ἐπειδὴ ἔφθασεν ἡ διωρισμένη ἡμέρα ὑπὸ τοῦ Βασιλέως τῆς προκαταρξεως, πρὶν ἢ ἐλθεῖν τὸν Ἀντιοχείας ἰωάννην μετὰ τῶν Ἀσιανῶν Ἐπισκόπων, ἡ Σύνοδος ἄρχεται καὶ δοκιμάζει τὰ τῆς πίστεως, προοιμιάζεται ὁ Ἱεροσολύμων Ἰουβενάλιος, ἀναγινώσκεται τὸ ἐν Νικαίᾳ Σύμβολον, εἶτα ἡ Κυρίλλου πρὸς Νεστόριον ἐπιστολὴ, ἧς ἡ ἀρχὴ, Καταφλυαροῦσι τινές. ἔπειτα ὁ Ἱεροσολύμων εἶπε, σύμφωνος ἡ ἐπιστολὴ τῇ ἐν Νικαίᾳ πίστει, καὶ διατοῦτο συμφωνῶ αὐτῇ, καὶ οὕτως οἱ καθεξῆς πατέρες ὅλοι ἐβεβαίωσαν, καὶ δὴ καὶ ἐξεφώνησαν, Ἀνάθεμα Νεστορίῳ καὶ τοῖς ὁμόφροσιν αὐτοῦ. ἀναγινώσκεται ἡ Κελεστίνου πρὸς Νεστόριον ἐπιστολὴ, καὶ ἡ Κυρίλλου συνοδικὴ εἰς Νεστόριον. Φεῖδος Ἐπίσκοπος Ἰόπης ζητεῖ εἰπεῖν τὸν Ἀγκύρας Θεόδοτον καὶ Ἀκάκιον τὸν Μελιτηνῆς ὅσα ἤκουσαν διδάσκοντος Νεστορίου εἰς Ἔφεσον, καὶ ἐπιτρέψαντος Κυρίλλου, ἐμαρτύρησαν τὰς βλασφημίας Νεστορίου. ζητεῖ ὁ Φιλίππων Φλαυϊανὸς καὶ ἀναγινώσκονται μαρτυρίαι προηγησαμένων ἁγίων πατέρων, συμφωνοῦσαι τῷ ὀρθοδόξῳ φρονήματι, Πέτρου δηλονότι Ἀλεξανδρείας, τοῦ μεγάλου Ἀθανασίου, Ἰουλίου καὶ Φίληκος Ῥωμαίων, Θεοφίλου Ἀλεξανδρείας, Κυπριανοῦ, Ἀμβροσίου, Ναζιανζηνοῦ, Βασιλείου, Νύσσης, Ἀττικοῦ καὶ Ἀμφιλοχίου. ἀναγινώσκονται καὶ τετράδια συγγραμμάτων Νεστορίου, καὶ γίνεται πασίδηλος ἡ ἄκρα αὐτοῦ βλασφημία. ἀναγινώσκεται ἐπιστολὴ Καπραιόλου Καρθαγένης ἐπὶ τῆς Συνόδου, εἶτα ἡ καθαίρεσις Νεστορίου, καὶ καθαιρετικὸν γράμμα καὶ Νεστορίου πέμπεται ὑπὸ τῆς Συνόδου εἰς Κων-

Κωνσταντινούπολιν. Κυρίλλου ἐπιστολὴ, πρὸς τινας εἰς Κωνσταντινούπολιν περὶ τῶν γενομένων. ἀναφορὰ Νεστορίου κατὰ τῆς Συνόδου εἰς τὸν Βασιλέα, ἀναφορὰ τῆς Συνόδου πρὸς τὸν Βασιλέα κατὰ Νεστορίου. ἐπιστολὴ τῆς Συνόδου εἰς τὸν Κλῆρον Κωνσταντινουπόλεως, Κυρίλλου ἐπιστολαὶ δύο, ἡμία εἰς τὸν Κλῆρον καὶ λαὸν Ἀλεξανδρείας, ἡ ἑτέρα πρὸς τοὺς μονάζοντας. Ῥηγίνου Κύπρου Ὁμιλία μετὰ τὴν καθαίρεσιν Νεστορίου, καὶ Κυρίλλου Ὁμιλίαι ἑορτασικαὶ δύο.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῶν Ἰωάννου Ἀντιοχείας καὶ τῶν μετ' αὐτοῦ Ἐπισκόπων κατὰ Κυρίλλου δόλων, καὶ τῆς καθαιρέσεως Κυρίλλου καὶ Μέμνονος ὑπ' αὐτῶν, καὶ περὶ τῶν ἐπιστολῶν αὐτῶν κατὰ Κυρίλλου πρὸς τὴν Σύνοδον, καὶ Βασιλεῖς, καὶ τὸν Κωνσταντινουπόλεως Κλῆρον, καὶ τὴν Σύγκλητον, καὶ τὸν λαὸν, καὶ τὰς Βασιλίσσας.

Ἀλλὰ μεταταῦτα ἔρχεται ὁ Ἰωάννης Ἀντιοχείας, καὶ τεσσαράκοντα δύο μετ' αὐτοῦ Ἐπίσκοποι, καὶ νικηθέντες ὑπὸ κενοδοξίας καὶ φιλαρχίας, ὅσον ἔπρεπεν εὐφρανθῆναι εἰς τὰ γενόμενα, καὶ βεβαιῶσαι αὐτὰ, ἔγραψαν δόλους, καίτοι ὀρθόδοξοι ὄντες, καὶ λοιπὸν συνιστῶσιν ἰδίαν Σύνοδον, ἐν ᾗ ὁ Κόμης Κανδιδιανὸς Νεστορίου ὢν ἐράσμιος εἶπεν, ὅτι ἔπρεπε τῇ Συνόδῳ ἵνα ἔχῃ ὑπομονὴν ἕως ἂν ἔλθωσι καὶ οὗτοι, καὶ ἀνεγίνωσκε καὶ τὴν Σάκραν, ἥτις περιεῖχεν εἶναι πάντας τοὺς κεκλημένους Ἐπισκόπους, ἀλλ' ἀπεκρούσθη οὐκ εἰσακουσθείς. μεμψάμενοι οὖν οἱ περὶ Ἰωάννην Ἐπίσκοποι Κύριλλον Ἀλεξανδρείας καὶ τὸν Μητροπολίτην Ἐφέσου Μέμνονα καὶ τοὺς δώδεκα ἀναθεματισμοὺς Κυρίλλου, καθαιροῦσι καὶ τοὺς δύο, εἶτα γράφουσιν εἰς τὴν Σύνοδον γράμμα, καὶ δεύτερον εἰς τοὺς Βασιλεῖς, καὶ τρίτον εἰς τὸν Κλῆρον Κωνσταντινουπόλεως, καὶ τέταρτον εἰς τὴν Σύγκλητον, καὶ πέμπτον εἰς τὸν ἐν Κωνσταντινουπόλει λαὸν, καὶ ἕκτον εἰς τὰς Βασιλίσσας, ἐν οἷς φανεροῦσι πρῶτον, τὴν καθαίρεσιν Κυρίλλου καὶ Μέμνονος. δεύτερον, τὴν ἀπολογίαν τῆς βραδυτῆτος δι' ἣν οὐκ ἔφθασαν εἰς τὴν προθεσμίαν, ἤτοι εἰς τὴν ἡμέραν ἐν ᾗ διώρισαν οἱ Βασιλεῖς ἀρχὴν ποιῆσαι τὴν Σύνοδον θεωρεῖν τὰ ἀνήκοντα. τρίτον, ὅτι τὰ δώδεκα κεφάλαια Κυρίλλου γέμει τῆς κακοδοξίας Ἀπολιναρίου, Εὐνομίου καὶ Ἀρείου. τέταρτον, ἵνα θεωρηθῇ τὸ πρόβλημα καὶ δεύτερον κατὰ πρότασιν καὶ λύσιν καὶ πεῦσιν καὶ ἀπόκρισιν ἡσύχως.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῆς δευτέρας πράξεως τῆς τρίτης Συνόδου, καὶ τῶν κατ' αὐτήν.

Πρᾶξις δευτέρα. ἐλθόντες ἀπὸ τῆς Ῥώμης πρεσβευταὶ Ἐπίσκοποι Ἀρκάδιος καὶ Προΐεκτος, καὶ Φίλιππος Πρεσβύτερος, ᾔτησαν τὰ παρ' αὐτοῖς γράμματα τοῦ Κελεστίνου ἀναγνωσθῆναι ἐπὶ Συνόδου, ὅθεν ἀνεγνώσθησαν διὰ Σιρικίου Νοταρίου Ῥώμης, εἶτα ὁ Ἰουβενάλιος εἶπεν ἐντεθῆναι αὐτὰ τοῖς ὑπομνήμασι. καὶ δὴ μεταφρασθέντα, ἀνεγνώσθησαν καὶ ἑλληνιστί. εὐφήμησεν ἡ Σύνοδος Κελεστίνον καὶ Κύριλλον. ἐζήτησαν οἱ πρέσβεις τοῦ Ῥώμης ἀκοῦσαι τὰ τῆς Συνόδου πεπραγμένα.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῆς τρίτης πράξεως τῆς τρίτης Συνόδου, καὶ τῶν κατ' αὐτήν.

Ἄρχεται ἡ τρίτη πρᾶξις, ἐν ᾗ ὁ Ἱεροσολύμων καὶ ὁ Ἐφέσου ἐπιτάττουσιν ἀναγνωσθῆναι καὶ δεύτερον τὰ Κελεστίνου γράμματα, καὶ ἀνέγνω Πέτρος πρεσβύτερος καὶ Πριμμικήριος Ἀλεξανδρείας, ἅπερ οἱ πρεσβευταὶ ὡς δίκαια καὶ ὀρθόδοξα ἐβεβαίωσαν καὶ ὑπέγραψαν, εἶτα γράφει ἡ Σύνοδος τοῖς μὲν Βασιλεῦσι τὰ κατὰ τοὺς πρέσβεις, εἰς δὲ τὸν λαὸν καὶ τὸν Κλῆρον Κωνσταντινουπόλεως πλατύτερον περὶ τῆς καθαιρέσεως τοῦ Νεστορίου.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῆς τετάρτης πράξεως τῆς τρίτης Συνόδου, καὶ ὧν συμβεβήκασιν ἐν αὐτῇ.

Ἄρχεται ἡ τετάρτη πρᾶξις, ἐν ᾗ Κύριλλος καὶ Μέμνων λίβελλον ἔδωκαν τῇ Συνόδῳ, διὰ τὸ καθαιρεθῆναι αὐτοὺς ὑπὸ τῶν Ἀνατολικῶν, καὶ στέλλονται ὑπὸ τῆς Συνόδου τρεῖς Ἐπίσκοποι προσκαλοῦντες τὸν Ἀντιοχείας Ἰωάννην εἰς κρίσιν. ἀλλὰ ἐκώλυσεν αὐτοὺς διὰ στρατιωτῶν τοῦ ἐντυχεῖν αὐτῷ. στέλλει ἡ Σύνοδος

δος δεύτερον ἑτέρους Ἐπισκόπης τρεῖς, οἱ δὲ περὶ Ἰωάννην εἶπον αὐτοῖς οἱ κατάκριτοι πῶς ἡμᾶς εἰς κρίσιν καλοῦσι;

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ τῆς πέμπτης πράξεως, τῆς τρίτης Συνόδου, καὶ ὧν ἔπραξεν ἡ Σύνοδος κατὰ Ἰωάννου Ἀντιοχείας καὶ τῶν περὶ αὐτόν.

Ἄρχεται ἡ πέμπτη πρᾶξις, ἐν ᾗ πέμπονται καὶ ἄλλοι τρεῖς Ἐπίσκοποι καὶ παραγνωστικὸν, ὁ δὲ Ἀντιοχείας διὰ τοῦ Ἀρχιδιακόνου αὐτοῦ ἔπεμψε χάρτην περιέχοντα ἀπόκρισιν εἰς τὴν Σύνοδον, ἀλλ' οἱ Ἐπίσκοποι τὸν χάρτην οὐκ ἔλαβον, λέγοντες ὅτι ἡ Σύνοδος οὐ θέλει χάρτην, ἀλλ' ἐκεῖνον εἰς κρίσιν. τέλος ἐμήνυσεν αὐτοῖς, ὅτι περιμένει τοῦ Βασιλέως τὴν ἐπιταγὴν, ὅθεν ἡ Σύνοδος δικαιώσασα Κύριλλον καὶ Μέμνονα, καθῃρήκει τὸν Ἀντιοχείας καὶ τοὺς περὶ αὐτὸν Ἐπισκόπους, ἐπειδὴ φρονοῦσι τὰ Νεστορίου καὶ Κελεστίου, καθότι μετὰ τῆς Συνόδου οὐκ ἠθέλησαν καθαιρέσει ὑποβαλεῖν καὶ ἀναθεματίσαι τὸν Νεστόριον, εἶτα ἀνέφερε τῷ Βασιλεῖ τὰ τῶν περὶ τὸν Ἀντιοχείας. ἔπειτα συνέγραψεν ἀναφορὰν περὶ τῶν πεπραγμένων εἰς τὸν Ῥώμης Κελεστῖνον κατὰ τὴν συνήθειαν τῶν Συνόδων εἰς τοὺς ἀπόντας Πατριάρχας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ τῆς ἕκτης πράξεως τῆς τρίτης Συνόδου, καὶ ὧν περὶ τοῦ Συμβόλου διώρισε.

Ἄρχεται ἡ ἕκτη πρᾶξις, ἐν ᾗ Ἀντώνιος καὶ Ἰάκωβος Πρεσβύτεροι ὀνομαζόμενοι ἐλθόντες εἰς Λυδίαν ἀπὸ Κωνσταντινουπόλεως, εἶχον ἐπιστολὰς ἀπό τινων Πρεσβυτέρων Ἀναστασίου καὶ Φωτεινοῦ συμμύστων Νεστορίου, οἵτινες τὸ μὲν ἐν Νικαίᾳ Σύμβολον κακίζοντες ἠθέτουν, ἴδιον δὲ Σύμβολον συντάξαντες, παρεῖχον τοῖς ἀπὸ Αἱρέσεως ἐπιστρέφουσι καὶ τοῖς βαπτιζομένοις. ἔτυχον δὲ τότε τινὲς ἀπὸ τῆς Αἱρέσεως τῶν Τεσσαρασκαιδεκατιτῶν ἐπιστρέφοντες εἰς τὴν ὀρθοδοξίαν, οἵτινες ἀπατηθέντες ὑπέγραψαν εἰς τὸ καινοτομηθὲν τῶν κακοτρόπων Σύμβολον. Χαρίνσιος δέ τις Πρεσβύτερος καὶ Οἰκονόμος Φιλαδελφείας ἔδωκε λίβελλον τῇ Συνόδῳ περὶ τοῦ τοιούτου Συμβόλου, ὅθεν ἡ Σύνοδος ἐθέσπισε μηδενὶ ἐξεῖναι παρὰ τὴν ἐν Νικαίᾳ πίστιν συντάττειν, ἢ διδάσκειν, καὶ τέλος ὁμιλεῖ Κύριλλος ἐπ' Εὐκλησίας εἰς τὴν Ἔφεσον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ δευτέρων πάλιν πρακτικῶν τοῦ περὶ τὸν Ἰωάννην Ἀντιοχείας ἀποστατικοῦ συνεδρίου, καὶ τῶν κατὰ τῆς Συνόδου καὶ Κυρίλλου καὶ Μέμνονος πρὸς τὸν Βασιλέα ἀναφορῶν.

Ἀναφορὰ τοῦ Ἀντιοχείας καὶ τῶν Ἀνατολικῶν πρὸς τὸν Βασιλέα κατὰ τῆς Συνόδου, αἰτοῦσα ἐλθεῖν ἀφ' ἑκάστης Ἐπαρχίας τρεῖς Ἐπισκόπους, καὶ γενέσθαι εἰς Νικομήδειαν δεύτερον τὴν Σύνοδον ἵνα ἀναθεωρηθῇ τὸ πρόβλημα, εἶτα προστιθέντες οἱ περὶ τὸν Ἀντιοχείας τὸ ἐν Νικαίᾳ Σύμβολον, μέμφονται ὡς ἀπᾴδοντα τὰ τοῦ Κυρίλλου δώδεκα κεφάλαια. γράμμα τοῦ Βασιλέως διορίζον οὐδένα Ἐπίσκοπον ἀποδημῆσαι ἀπὸ τῆς Ἐφέσου, ἕως ἂν κοινῶς θεωρηθῇ τὰ τῆς πίστεως. πάλιν τοῦ ἀποστατικοῦ συνεδρίου πρὸς τὸν Βασιλέα κατὰ τῆς Συνόδου, καὶ μάλιστα κατὰ τοῦ Κυρίλλου καὶ Μέμνονος ἐπιστολὴ, καὶ δεύτερα ἐπιστολὴ εἰς τὸν Ἔπαρχον καὶ Μάγιστρον, καὶ τρίτη εἰς τὸν Πραιπόσιτον, καὶ ἔτι ἀναφορὰ, μεθ' ἧς ἔστειλαν εἰς τὸν Βασιλέα καὶ Εἰρηναῖον τὸν Κόμητα, ὁ δὲ Εἰρηναῖος ἔγραψεν αὐτοῖς ἀπὸ Κωνσταντινουπόλεως ὅτι ἐνήργησε καὶ γίνεται ὡς ἐζήτησαν, καὶ τοῦ Βασιλέως ἀντιγραφὴ εἰς αὐτούς. ἐντολὴ τῶν ἀποστατῶν εἴς τινας πεμπομένους παρ' αὐτῶν εἰς Κωνσταντινούπολιν περὶ ἀναθεωρήσεως δῆθεν τῆς ὑποθέσεως, ἵνα παρὰ τὴν ἐν Νικαίᾳ πίστιν, καὶ κατὰ τὰ κεφάλαια Κυρίλλου μὴ ἐνεργήσωσι, καὶ ἐπιστολὴ τῷ Ἐπισκόπῳ Ῥουφίνῳ εἰς Κωνσταντινούπολιν, ἐν ᾗ πολλὰ κατατρέχουσι τῆς Συνόδου καὶ τοῦ Κυρίλλου, καὶ ὅτι Βιθυνοὶ καὶ Παφλαγόνες, Καππάδοκες, Πισίδαι, Θετταλοὶ, Μυσοὶ καὶ Ῥοδόπαι συμφωνοῦσιν αὐτοῖς. ἦσαν δὲ ὅσους ἔπεμψαν ἀπὸ μέρους αὐτῶν εἰς Κωνσταντινούπολιν ὀκτώ.

ΠΑΡΑΓΡΦΟΝ ΙΕ'.

Περὶ τῶν κωλυόντων τὰ πρὸς τὸν Βασιλέα γράμματα τῆς Συνόδου, καὶ τοῦ τρόπου τῆς πέμψεως αὐτῶν παρὰ

περὶ τῆς Συνόδου πρὸς τοὺς ἐν Κωνσταντινουπόλει Ἐπισκόπους, καὶ τῆς οὐρανόθεν ἐνεχθείσης φωνῆς πρὸς Δαλμάτιον ὑπὲρ τῆς Συνόδου, καὶ ὧν ἐποίησε Δαλμάτιος, καὶ περὶ τοῦ ἀναθεματισμοῦ Νεστορίου, καὶ πέρατος τοῦ ὑπὲρ τῆς εὐσεβείας ἀγῶνος τῆς Συνόδου.

Τῆς ἁγίας Συνόδου γράμματα, ἐλέγχοντα τὰ ἀποστατικά, ὧν τὸ πρῶτον ἦν ἀναφορὰ εἰς τὸν Βασιλέα. ὁ δὲ Κανδιδιανὸς Κόμης καὶ ὁ Εἰρηναῖος ὄντες βοηθοὶ τῶν ἀποστατῶν, ἔπεμπον τὰ γράμματα αὐτῶν εἰς τὸν Βασιλέα, τὰ δὲ τῆς ἁγίας Συνόδου ἐκώλυον. στέλλει ἡ Σύνοδος δι' ἑνὸς προσαίτου ἔνδον ἐν ἑνὶ καλάμῳ γράμμα εἰς τοὺς ὀρθοδόξους Ἐπισκόπους τοὺς ἐν Κωνσταντινουπόλει. ἦν δὲ ἐν Κωνσταντινουπόλει ὁ Δαλμάτιος ὁ Ἀρχιμανδρίτης, ὅστις τεσσαράκοντα καὶ ὀκτὼ χρόνους οὐκ ἐξῆλθε τοῦ μοναστηρίου αὐτοῦ, ἀλλ' ὁ Βασιλεὺς ἀπήρχετο εἰς ἐκεῖνον. ἦλθεν οὖν φωνὴ ἐξ οὐρανοῦ καὶ εἶπεν αὐτῷ, ἔξελθε, καὶ ἐξῆλθε. καὶ συνάγονται εἰς αὐτὸν οἱ λοιποὶ Ἀρχιμανδρῖται τῶν Κωνσταντινουπόλεως μοναστηρίων, καὶ μετὰ πλήθους μοναχῶν κρατούντων κηρία ἀνημμένα, καὶ ψαλλόντων ἀντίφωνα, καὶ τὸν τελευταῖον ψαλμὸν, ἀπῆλθον εἰς τὸν Βασιλέα, μεθ' οὗ συνομιλήσαντες ἐξῆλθον, οὓς προϋπήντησε πλῆθος λαοῦ, πορευομένων οὖν αὐτῶν καὶ ψαλλόντων εἰς τὸν Ναὸν τοῦ ἁγίου Μωκίου, ἀνῆλθεν εἰς ὑψηλὸν τόπον ὁ ἅγιος Δαλμάτιος καὶ εἶπεν εἰς τὸν λαὸν, ὅτι ὁ εὐσεβέστατος Βασιλεὺς κατὰ πάντα ἕπεται τῷ Θεῷ καὶ τῇ ἁγίᾳ Συνόδῳ, καὶ οὕτως ἐβόησαν ἅπαντες, Ἀνάθεμα Νεστορίῳ. εἰσὶν ἔτιγε αἱ ἐπιστολαὶ τῆς Συνόδου εἰς τὸν Βασιλέα, καὶ ἄλλον εἰς Κωνσταντινούπολιν, καὶ εἰς τὴν Σύνοδον πολλῶν, περὶ τῆς αὐτῆς ὑποθέσεως ἀγωνιζόμεναι. ἡ ἁγία Σύνοδος πέμπει εἰς τὸν Βασιλέα πρέσβεις τὸν Ἱεροσολύμων, καὶ ἐκ τῶν πρεσβευτῶν Ῥώμης τὸν Φίλιππον Πρεσβύτερον, καὶ Ἀρκάδιον Ἐπίσκοπον, καὶ τινας ἄλλους Ἐπισκόπους. ὅθεν καὶ ὁ ὑπὲρ τῆς εὐσεβείας τῆς Συνόδου ἀγὼν πέρας λαμβάνει.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΣ'.

Περὶ ὧν ὥρισε καὶ ἐξέθετο ἐν τῇ ἑβδόμῃ πράξει ἡ τρίτη Σύνοδος.

Εἰς τὴν ἑβδόμην πρᾶξιν περὶ τῆς ἐλευθερίας τῶν Ἐπισκόπων Κύπρου ἀπὸ τοῦ Ἀντιοχείας, διορίζει ἡ ἁγία Σύνοδος, ἧς καὶ ἔκθεσις Κανόνων ἑπτὰ, καὶ ἐπιστολὴ περὶ Εὐσταθίου εἰς τὴν ἐν Παμφυλίᾳ Σύνοδον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Περὶ τῶν περιεχομένων ἐν τῷ τρίτῳ μέρει τῶν πρακτικῶν τῆς τρίτης Συνόδου, καὶ τοῦ προβιβασμοῦ εἰς τὸν Κωνσταντινουπόλεως θρόνον Μαξιμιανοῦ, καὶ τῆς εἰρηνοποιήσεως, συνεργείᾳ τοῦ Βασιλέως, Κυρίλλου Ἀλεξανδρείας μετὰ Ἰωάννου Ἀντιοχείας.

Εἰς τὸ τρίτον μέρος περιέχεται ἑρμηνεία τοῦ ἁγίου Κυρίλλου εἰς τὰ δώδεκα κεφάλαια αὐτοῦ. ἀντίρρησις τῶν Ἀνατολικῶν εἰς τὴν ἑρμηνείαν Κυρίλλου, καὶ ἀπολογία Κυρίλλου. ἀνατροπὴ τῶν αὐτῶν κεφαλαίων ὑπὸ τοῦ Κύρου Θεοδωρίτου, καὶ πάλιν ἀπολογία Κυρίλλου. Ὁμιλίαι τινῶν τῶν ἀπὸ τῆς Συνόδου. ἀπολογία Κυρίλλου πρὸς τὸν Βασιλέα. θεῖον θέσπισμα ἐξορίζον Νεστόριον, καὶ γράμμα πρὸς τὸν Ὕπατον Ἰσίδωρον δοθῆναι τὰ ὑπάρχοντα Νεστορίου τῇ Ἐκκλησίᾳ Κωνσταντινουπόλεως. χειροτονεῖται ἀντὶ Νεστορίου Μαξιμιανὸς Πατριάρχης Κωνσταντινουπόλεως. Μαξιμιανοῦ καὶ Κυρίλλου εἰς ἀλλήλους γράμματα. γράμματα τῶν Βασιλέων εἰς Ἰωάννην Ἀντιοχείας περὶ εἰρήνης, καὶ εἰς τὸν συλίτην Συμεῶνα, καὶ εἰς τὸν Βερροίας Ἀκάκιον πεῖσαι τὸν Ἰωάννην εἰς τὴν εἰρήνην, πρὸς οὓς οἱ Βασιλεῖς ἔπεμψαν καὶ Τριβουνιανὸν καὶ Νοτάριον Ἄρχοντα Χριστόλαον ὀνόματι. πέμπεται Παῦλος Ἐμέσης πρὸς Κύριλλον. γράμματα τοῦ Ἀντιοχείας Ἰωάννου εἰς Ξύστον Ῥώμης, εἰς Μαξιμιανὸν Κωνσταντινουπόλεως καὶ Κύριλλον Ἀλεξανδρείας ἑνωτικὰ καὶ εἰρηνικά. Ἰωάννου Ἀντιοχείας πρὸς Κύριλλον, καὶ Κυρίλλου πρὸς Ἰωάννην διὰ Παύλου Ἐμέσης, ἐν οἷς ἡ ἄκρα εἰρήνη καὶ ἕνωσις. πρὸς Ἀκάκιον Μελιτηνῆς Κυρίλλου ἐπιστολὴ, καὶ Κυρίλλου πρὸς Ἀκάκιον περὶ τοῦ Ἀποπομπαίου. Κυρίλλου εἴς τινας ἐπιστολαὶ, καὶ ἑρμηνεία τοῦ Συμβόλου, καὶ ἀπολογία εἰς τὸν Αὐτοκράτορα Θεοδόσιον. διατάγματα βασιλικὰ ἵνα μὴ ἀναγινώσκωνται τὰ συγγράμματα Νεστορίου, Πορφυρίου, καὶ Εἰρηναίου Τυρίων.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Περὶ τοῦ καιροῦ τῆς ἀθροίσεως τῆς τρίτης Οἰκουμενικῆς Συνόδου, καὶ τοῦ ἀριθμοῦ τῶν ἐν αὐτῇ πατέρων.

Ἠθροί-

Ἠθροίσθη δὲ ἡ Σύνοδος κατὰ τὸν Σωκράτη εἰς τὸ τριακοστὸν τέταρτον κεφάλαιον τοῦ ἑβδόμου βιβλίου αὐτοῦ, ἐπὶ τῆς Ὑπατείας Βάσσου καὶ Ἀντιόχου, ὅπερ ἐστὶν ἀπὸ τοῦ Σωτῆρος ἔτος τετρακοσιοστὸν τριακοστὸν τέταρτον, κατὰ δὲ Ψελλὸν καὶ ἄλλους, ἀπὸ τῆς ἀθροίσεως τῆς δευτέρας Συνόδου ἕως τῆς τρίτης εἰσὶ χρόνοι τεσσαράκοντα, γίνονται δὲ ἔτος τὸ Σωτήριον τετρακοσιοστὸν τριακοστὸν, ἢ τετρακοσιοστὸν τριακοστὸν πρῶτον. ἕτεροι δὲ λέγουσιν εἶναι τεσσαρακοστὸν πρῶτον, καὶ ἄλλοι πεντηκοστὸν πέμπτον ἔτος ἀπὸ τῆς δευτέρας ἕως εἰς τὴν τρίτην. ἦσαν δὲ πατέρας διακοσίοι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'.

Ὅτι ἐκ τῶν συναγομένων ἀπὸ τῶν ἐν τῷ πρώτῳ τῶν πρακτικῶν τῆς Συνόδου μέρει ἐπιστολῶν τοῦ Κυρίλλου καὶ Κελεστίνου Ῥώμης, καὶ ἑτέρων, καὶ ἀπὸ τῶν τοῦ καιροῦ ἐπιστατικῶν, δείκνυται κατὰ δεκατέσσαρας τρόπους μὴ γινώσκεσθαι, μήτε εἶναι τὸν Ῥώμης ἐν τῇ καθόλου Ἐκκλησίᾳ μοναρχὴν, ἢ ἀθροιστὴν Συνόδων, ἀλλ' Ἐπίσκοπον μερικὸν, καὶ ὑπὸ τὰς Συνόδους.

Εἰς τὰς ἐπιστολὰς τὰς κειμένας ἐν τῷ πρώτῳ μέρει σημειωτέον, ὅτι ὁ Κύριλλος χωρὶς τοῦ ἐρωτῆσαι τὸν Ῥώμης, ἢ συμβουλευθῆναι αὐτῷ, ἔγραψε πρὸς τοὺς ἐν Αἰγύπτῳ μονάζοντας κατὰ τῆς Αἱρέσεως Νεστορίου, εἶτα ἔγραψε καὶ παρῄνει τὸν Νεστόριον, εἶτα ἔγραψε καὶ εἰς τοὺς Βασιλεῖς εἰς πλάτος περὶ τῆς ὀρθοδόξου πίστεως. δεύτερον, ὅτι πρὸς τοὺς ἐν Κωνσταντινουπόλει Κληρικοὺς στασιάζοντας γράφει ταῦτα, συμβαίνει γὰρ ὅτι ἡ τοῦ Σωτῆρος οἰκονομία διὰ μικρῶν καὶ εὐτελεστάτων πραγμάτων συνάγει Σύνοδιον, ἵνα καθαρίσῃ τὴν αὐτοῦ Ἐκκλησίαν. καὶ σημείωσαι ὅτι οὐ λέγει ἵνα ὁ Πάπας καθαρίσῃ, ἀλλοὶ ἡ Σύνοδος. τρίτον, πρὸς Κελεστῖνον γράφων, οὐ λέγει ὅτι πιστεύει Θεὸν εἶναι τὸν Χριστὸν ὡς βεβαιοῖ ὁ Κελεστῖνος καὶ οἱ Ἐπίσκοποι Ῥώμης, ἀλλ' ὡς βεβαιοῦσιν ὅλοι οἱ τῆς Οἰκουμένης Ἐπίσκοποι καὶ λαοὶ, καὶ μετ' ὀλίγα, ὅτι οἱ ἐν Κωνσταντινουπόλει δυσχεραίνουσι καὶ ἐκδέχονται τὴν παρὰ τῶν ὀρθοδόξων Διδασκάλων ἐπικουρίαν, ὑπαινιττόμενος Οἰκουμενικῆς Συνόδου συνάθροισιν, καὶ γνῶθι ὅτι Κανὼν πίστεως ἡ καθολικὴ Ἐκκλησία καὶ οἱ Διδάσκαλοι αὐτῆς, οὐχ ὁ Ῥώμης μόνος. τέταρτον, ζητῶν τὴν γνώμην τοῦ Κελεστίνου διὰ τὴν ἀκοινωνησίαν Νεστορίου ὁ Κύριλλος λέγει, τὰ μακρὰ τῶν Ἐκκλησιῶν ἔθη πείθουσιν ἀνακοινοῦσθαι αὐτῷ, ἀλλ' οὐ μόνῳ, ὅθεν κατωτέρω λέγει, οὔτε πρὸς τὴν σὴν θεοσέβειαν γέγραφα, οὔτε μὴν πρὸς ἕτερον τῶν συλλειτουργῶν. οὐ λέγει δὲ διὰ τὸ εἶναι τὸν Ῥώμης βικάριον τοῦ Χριστοῦ, ἀλλὰ διὰ τὰ μακρὰ ἔθη τῆς Ἐκκλησίας, ὅπερ ἐστὶ κοινῶς ὑπὸ τῶν Ἐπισκόπων, καὶ μάλιστα τῶν πρώτων τὰ Ἐκκλησιαστικὰ θεωρεῖσθαι, καὶ οὐχ ὑφ' ἑνός. δῆλον δὲ ὅτι δι' ἐκεῖνα τὰ μακρὰ ἔθη ἔγραψε τῷ Ῥώμης, δι' ἃ ἔγραψε καὶ τῷ Ἀντιοχείας καὶ Ἱεροσολύμων, καὶ ἄλλοις τισὶν Ἐπισκόποις ἐγκρίτοις δοκοῦσι τῷ τότε καιρῷ. πέμπτον, ὅτι ὁ Κύριλλος ζητῶν πρῶτον τὴν γνώμην τῆς Ῥώμης, εἶχε καὶ ἄλλην αἰτίαν, ἐπειδὴ γὰρ σπουδαίως λίαν ἐκινήθη κατὰ Νεστορίου, ἐφοβεῖτο ἵνα μὴ εἴπωσιν οἱ ἐχθροὶ καὶ οἱ φθονοῦντες αὐτῷ, ὅτι ἀπεχθανόμενος τῷ Νεστορίῳ, ἐνήργει κατ' αὐτοῦ, καὶ μάρτυς αὐτὸς ἐν τῇ πρὸς τοὺς αἰτιασαμένους αὐτὸν ὅτι οὐ σεσιώπηκον, ἀλλ' ἀκοῇ μόνῃ πεισθεὶς ἔγραψε κατὰ Νεστορίου, λέγει γὰρ, τί οὖν ἐκώλυε καὶ ἡμᾶς ταῖς ἐκείνου φωναῖς χρησαμένους, γράψαι τἀναντία καὶ εἰπεῖν, εἴτις οὐ λέγει Θεοτόκον τὴν Μαρίαν, ἀνάθεμα. ἀλλ' οὐ πεποίηκα τοῦτο δι' αὐτὸν τέως, καὶ ἵνα μὴ εἴπωσι τινὲς, ὅτι ἀνεθεμάτισεν αὐτὸν ὁ Ἀλεξανδρείας Ἐπίσκοπος, ἤτοι ἡ Σύνοδος ἡ Αἰγυπτιακή. ἐὰν δὲ μάθωσιν οἵτε κατὰ Δύσιν καὶ Ἀνατολὴν θεοσεβέστατοι Ἐπίσκοποι, ὅτι ἀνεθεματίσθησαν πάντες, πῶς ἄρα διατεθήσονται; ἀλλὰ δὴ καὶ τῷ Κελεστίνῳ τὰ αὐτὰ τούτοις ἔγραφε λέγων, ἐγὼ δὲ ὁμολογῶ, καίτοι βουληθεὶς Συνοδικῷ γράμματι φανερὸν αὐτῷ καταστῆσαι, ὅτι ταῦτα αὐτῷ λέγοντι καὶ φρονοῦντι κοινωνεῖν οὐδυνάμεθα. τοῦτο μὲν οὐ πεποίηκα, λογισάμενος ὅτι χρὴ τοῖς ὀλισθήσασι χεῖρα διδόναι. ταῦτα ὁ Κύριλλος, ἐξ ὧν δείκνυται ὅτι ἐδύνατο κατὰ τὸ ἐκκλησιαστικὸν ἀρχαῖον ἔθος γράψαι μόνος διὰ τῆς οἰκείας Συνόδου, καὶ ἀκοινώνητον ποιῆσαι Νεστόριον, ἀλλ' οὐ πεποίηκε, καὶ διὰ μακροθυμίαν ἀποβλέπουσαν πρὸς διόρθωσιν τοῦ ἀλάστορος, καὶ διὰ τοὺς ἐχθροὺς, καὶ ἵνα γραφόντων αὐτῷ τῶν πολλῶν ἴσως ἐντραπῇ καὶ διορθωθῇ. ἕκτον, πρὸς τούτοις βλέπων ὁ Κύριλλος τὸν Νεστόριον ὕπουλον, καὶ τὸν Βασιλέα τρόπῳ τινὶ ὑπερασπίζοντα αὐτοῦ, αὐτοῦ δὲ Κυρίλλου καταγνόντα διὰ τὸν πολὺν ζῆλον ὡς ἡ πρὸς αὐτὸν ὕστερον γενομένη Σάκρα παρίστησι, καὶ ἡ πρὸς τὸν Βασιλέα αὐτοῦ ἀπολογία, κειμένη ἐν τῷ τρίτῳ μέρει τῆς Συνόδου, φανεροῖ, καὶ βουλόμενος ἀναδέξασθαι τὸν ὑπὲρ τοῦ ὀρθοδόξου δόγματος πόλεμον, ὡς μόνος γράφων πρὸς τοὺς ἐν Κωνσταντινουπόλει Κληρικοὺς λέγει, οὐ γὰρ μὴ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ ἀγωνίσωμαι τὸν ὑπὲρ τῆς ἁπάντων σωτηρίας ἀγῶνα. διὰ ταῦτα οὖν ἐκεῖνα ἐποίει, ἅτινα ἦν ἀναγκαίως καὶ τῷ καιρῷ καὶ τῇ χρείᾳ οἰκειότατα. ἦσαν δὲ τοιαῦτα, τὸ μὴ πρῶτος ποιεῖν τὰ κατὰ τοῦ ἀλάστορος, ἀλλὰ πάντας διεγεῖραι, καὶ μετὰ πάντων ἐνεργῆσαι τὸ ἐκκλησιαστικὸν δίκαιον. ὅθεν οὐ μόνον πρὸς τὸν Ῥώμης καὶ πρὸς ἄλλους Ἐπισκόπους ἔγραψεν, ἀλλὰ καὶ πρὸς μονάζοντας καὶ Κληρικοὺς,

καθὼς

καθὼς τὰ μακρὰ ἔθη τῆς Ἐκκλησίας ἐβούλοντο, διὸ ἔγραψαν καὶ εὐχαρίστησαν αὐτῷ πλεῖστοι τῶν ἐν τέλει. ἕβδομον, ὅτι ἔγραψεν εἰς τὸν Ῥώμης, ἔπειτα ὁ Νεστόριος ἐλεγχόμενος ὑπ' αὐτοῦ, ἔγραψεν εἰς Ῥώμην, ὡς ἂν προξενήσῃ σχίσμα κατ' αὐτοῦ. ὅθεν ὁ Κύριλλος οἰκονομῶν ἔγραψε πρῶτον εἰς Ῥώμην. ὅτι δὲ ᾠκονόμει, δῆλον, παρήγγειλε γὰρ τῷ κομίσαντι εἰς Ῥώμην τὰ γράμματα Ποσειδονίῳ ἵνα στοχασθῇ εἰ ὁ Νεστόριος οὐκ ἔγραψεν ἐκεῖ, μὴ δοῦναι τὰ τετράδια, εἶτα ἔστειλε τὰ τετράδια, ἐν οἷς ἦν ὁ ἔλεγχος τῆς Αἱρέσεως Νεστορίου, ἅτινα καὶ ἑρμηνεύσας εἰς γλῶτταν λατινικὴν ἔστειλε, φοβούμενος ἵνα μὴ προξενηθῇ τὶς ἀπάτη κατὰ τῆς πίστεως. εἰ δὲ καὶ ἔγραψε πρὸ τοῦ γράψαι εἰς τοὺς ἄλλους Πατριάρχας τῷ Ῥώμης διὰ τὰς εἰρημένας αἰτίας, ἀλλὰ πρότερον ἔγραψεν εἰς μονάζοντας, καὶ εἰς τοὺς Βασιλεῖς, καὶ εἰς ἄλλους πολλοὺς, καὶ μεταταῦτα πάλιν ἔγραψεν εἰς πολλοὺς, ἐξ ὧν οὐ δείκνυται μοναρχία τοῦ Ῥώμης, ἀλλ' ἀδελφικὴ τῆς Δυτικῆς Συνόδου σύμπνοια καὶ ἰσοτιμία. πρὸς τούτοις, ἔγραψεν εἰς Ῥώμην οὐμόνον οἰκονομῶν, ἀλλὰ καὶ διὰ ταπείνωσιν, ἅτινα φανεροῖ ἀναντιῤῥήτως ἐκεῖνα τὰ λόγια, Ἐπειδὴ καὶ Θεὸς ἀπαιτεῖ παρ' ἡμῶν τὸ νηφάλιον. διδάσκει δὲ ὁ Ἀλεξανδρείας τὸν Ῥώμης τὰ περὶ τῆς καθ' ὑπόστασιν ἑνώσεως, καὶ τὴν λέξιν ΚΑΘ' ΥΠΟΣΤΑΣΙΝ ΕΝΩΣΙΝ αὐτὸς πρῶτος ἐφεῦρε, καὶ πέμπει καὶ τὰ κεφάλαια τὰ διδασκαλικὰ τῆς ὀρθοδόξου πίστεως διὰ τοῦ Ποσειδονίου, καὶ γνῶθι ὅτι οὐ πάντοτε διδάσκει ὁ Ῥώμης, ἀλλὰ καὶ διδάσκεται, καὶ μάλιστα ἐν τοῖς μεγίστοις. ὅθεν ἀποκρινόμενος ὁ Κελεστῖνος λέγει αὐτῷ, Ὤφθη ἡμῖν ἑτοιμοτάτη θεραπεία δι' ἧς ἡ λοιμώδης νόσος ὑγιεινῷ φαρμάκῳ ἀπελαθείη, φημὶ δὲ τὴν τῆς καθαρᾶς πηγῆς ἔκροιαν τὴν ἀπὸ τοῦ λόγου τῆς σῆς ἀγάπης ἐκρέουσαν, δι' οὗ πᾶσα καθαιρεῖται ἰλὺς τοῦ κακῶς διαχεομένου ῥείθρου, καὶ πᾶσιν ἀνοίγεται ὁ τρόπος τῆς δεούσης περὶ τὴν ἡμετέραν πίστιν ἐννοίας, καὶ ἀληθῶς ἐπὶ σὲ ἁρμόσει ἡ εὐαγγελικὴ διδασκαλία ἡ λέγουσα, ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων, καὶ ἐν τῇ βεβαιώσει τῆς πίστεως ἐδοκιμάζομέν σε ἐκδικὸν ἰσχυρότατον, καὶ οὗτός ἐστι τῆς ἡμετέρας πίστεως θρίαμβος, τὸ ἀποδεῖξαι τὰ ἡμέτερα οὕτως ἰσχυρῶς, καὶ οὕτω νενικηκέναι τὰ ἐναντία διὰ τῆς τῶν θείων γραφῶν μαρτυρίας. ὄγδοον, ὅτι ἐν τῇ αὐτῇ ἐπιστολῇ ὁ Ῥώμης τὸν Κύριλλον καὶ τοὺς περὶ αὐτὸν Ἐπισκόπους Ἀλεξανδρείας ἐκδίκους τοῦ ὀρθοδόξου δόγματος λέγει, καὶ εἶτα οὐ λέγει ὡς κατέχει ἡ Ῥώμη, ἀλλ' ἣν κατέχει ἡ Ῥωμαίων καὶ ἡ τῆς σῆς ἁγιότητος Ἐκκλησία. ἔνατον, ὅτι ἐπιστολῇ πρὸς Νεστόριον (ὁ Κελεστῖνος) τὸν Κωνσταντινουπόλεως Ἀττικὸν Διδάσκαλον λέγει τῆς καθολικῆς πίστεως, καὶ περί που τὸ τέλος τῆς ἐπιστολῆς λέγει, ὡς ἐὰν μὴ κηρύξῃς ἅπερ καὶ ἡ Ῥωμαίων καὶ Ἀλεξανδρέων, καὶ πᾶσα ἡ καθολικὴ Ἐκκλησία κατέχει, ὡς καὶ ἡ μεγάλη καὶ τὴν Κωνσταντινούπολιν Ἐκκλησία ἕως σοῦ κάλλιστα κατέχει. τὰ αὐτὰ καὶ Ἰωάννῃ τῷ Ἀντιοχείας γράφει. καὶ σημείωσαι, ὅτι ψευδῶς λέγει ἡ νῦν τοῦ Ῥώμης ὀφρῦς, ὅτι ὁ Πάπας μοναρχὴς τῆς Ἐκκλησίας, καὶ ὅτι ἡ Ἐκκλησία Ῥωμαίων μόνη καθολικὴ Ἐκκλησία. μερικὴ γάρ ἐστιν, ὡς ἐστὶ καὶ ἡ Ἀλεξανδρέων καὶ ἡ Κωνσταντινουπολιτῶν, ἡ καθολικὴ δὲ ἐστὶν ἡ ἁπανταχοῦ. δέκατον, ὅτι τῷ Ἀντιοχείας Ἰωάννῃ γράφει ὁ Κύριλλος, οὐχ ὅτι ὁ Ῥώμης, ἀλλ' ὅτι ἡ Ῥωμαίων Συνόδος τετύπωκε, καὶ γνῶθι, ὅτι ἂν ὁ Ῥώμης συνοδικῶς τυποῖ, ὡς καὶ Σωφρόνιος μετὰ τῆς ἐν Ἱερουσαλὴμ Συνόδου τετύπωκε καὶ τῶν Μονοθελητῶν, καὶ ὁ Ἀλέξανδρος ἐν Ἀλεξανδρείᾳ συνοδικῶς ἐτύπωσε κατὰ Ἀρείου, καὶ αὐτὸς ὁ Κύριλλος κατὰ Νεστορίου, κρείττων δὲ τῶν Τοπικῶν Συνόδων ἡ οἰκουμενικὴ, καὶ αὕτη ἐστὶ τῆς Ἐκκλησίας τὸ κριτήριον οὐχ ὁ Ῥώμης. εἶτα λέγει, καὶ γεγράφηκε καὶ πρὸς τὴν σὴν θεοσέβειαν, οἷς ἀνάγκη πείθεσθαι τοὺς ἀντεχομένους τῆς πρὸς ἅπασαν τὴν Δύσιν κοινωνίας, οὐ λέγει τῆς κοινωνίας τοῦ Πάπα, ἀλλὰ πάσης τῆς Δύσεως, ὡς καὶ πάσης ἄλλης Ἐκκλησίας. ἑνδέκατον, ὅτι ἐν τῇ πρὸς τὸν Ἱεροσολύμων ἐπιστολῇ ὁ Κύριλλος παροτρύνει ἵνα ἀγωνισθῶσι γράψαι εἰς τοὺς Βασιλεῖς τοῦ βοηθῆσαι τῇ Ἐκκλησίᾳ ὡς ἐτύπωσε καὶ ὁ Ῥώμης. καὶ πῦ πρὸς Θεοῦ ἡ ἐξουσία τοῦ Ῥώμης; ἐπειδὴ εἰ ἦν ὁ Ῥώμης κεφαλὴ καὶ μονάρχης τῆς Ἐκκλησίας, ἔδει αὐτοὺς ἐκεῖνον μόνον ἐρωτῆσαι, καὶ ὅ, τι ἂν εἴποι ποιῆσαι, ἢ οἷς διώρισε μεῖναι χωρὶς τοῦ ζητεῖν οἰκουμενικὸν κριτήριον. δωδέκατον, ὅτι ὁ Ἀντιοχείας πρὸς Νεστόριον γράφων λέγει, ἡ γὰρ Δύσις καὶ Αἴγυπτος, τάχα δὲ καὶ Μακεδονία ἔκριναν ἀπορραγῆναι τῆς ἑνώσεώς σου, οὐχ ὡς ἔκρινε δηλονότι ὁ Ῥώμης, ἀλλ' ὡς ἔκριναν, τουτέστι δι' ἰδίας ἑκάστη ἐπαρχία Συνόδου, καὶ τὸ δὴ παράδοξον, ὅτι λέγει τοὺς ἱδρῶτας τῶν Ἐπισκόπων ποιῆσαι τὴν ἕνωσιν τῶν Ἐκκλησιῶν, καὶ μάλιστα τὸν τοῦ τὰ πάντα ἁγίου καὶ κοινοῦ πατρὸς τοῦ μεγάλου Ἀκακίου. ἰδὲ πῶς Πατριαρχῶν πατὴρ Ἀκάκιος ὁ Ἐπίσκοπος, καὶ ποῖος τῆς ἑνώσεως τῆς Ῥωμαϊκῆς καὶ Ἀλεξανδρινῆς Ἐκκλησίας αἴτιος, ὁ Βερροίας Ἐπίσκοπος. ὁ Κύριλλος συνοδικῶς γράφει εἰς Νεστόριον, καὶ οὐ λέγει ὁ Ῥώμης, ἀλλ' ἡ ἐν Ῥώμῃ Συνόδος προεδρεύοντος Κελεστίνου, καὶ ἡμεῖς ἅπαντες. καὶ μετ' ὀλίγα, Πέτρος καὶ Ἰωάννης ἰσότιμοι ἀλλήλοις καθὸ καὶ Ἀπόστολοι καὶ ἅγιοι μαθηταί. καὶ ἰδὲ ὅτι ὁ Πάπας τῆς Ῥωμαϊκῆς Συνόδου προεδρεύει, ὡς καὶ πᾶς Μητροπολίτης καὶ Πατριάρχης τῆς ἰδίας Συνόδου, οὐμὴν καὶ ἐπιτάττει. καὶ ἔτι πῦ τὸ, ὑπὲρ τοὺς Ἀποστόλους ὁ Πέτρος; καὶ ἔτι λέγει αὐτῷ, καὶ φρονήσεις καὶ διδάξεις ἃ καὶ ἡμεῖς πάντες οἵ τε καὶ τὴν Ἑσπέραν καὶ τὴν Ἑῴαν Ἐπίσκοποι καὶ Διδάσκαλοι καὶ λαῶν Ἡγούμενοι. καὶ σημείωσαι, ὅτι ἡ κοινότης τῆς Ἐκκλησίας Κανὼν πίστεως,

τεως, καὶ οὐχ ὁ Ῥώμης. δέκατον τρίτον, ὅτι γράφων ὁ Κύριλλος πρὸς τοὺς ἐν Κωνσταντινουπόλει μοναχοὺς, οὐλέγει ἡ κεφαλὴ, ἢ ὁ καθολικὸς, ἢ ὁ κορυφαῖος, ἢ ὁ ἄκρος, ἢ ὁ μονάρχης τῆς καθόλου Ἐκκλησίας Ῥώμης, ἀλλὰ τούτῳ τῷ γράμματι τῷ πεμφθέντι παρ' ἡμῶν καὶ τοῦ Ῥώμης Κελεστίνου. καὶ σημείωσαι, ὅτι ἰσότιμος ὁ Κύριλλος καὶ Κελεστῖνος. δέκατον τέταρτον, σημείωσαι εἰς τὴν δέησιν Βασιλείου καὶ Θαλασσίου τῶν μὴ βεβαιούντων τὴν πίστιν ἀπὸ τοῦ Ῥώμης, ἀλλ' ἀπὸ Πέτρου, Ἰακώβου τοῦ ἀδελφοθέου, Ἰωάννου τοῦ εὐαγγελιστοῦ καὶ μαρτύρων, ὁμολογητῶν καὶ Ἐπισκόπων καὶ τῶν τάδε καὶ τάδε Διδασκάλων, καὶ ἀπὸ τῆς Συνόδου Ἀντιοχείας τῆς κατὰ τοῦ Σαμοσατέως, ἐν ᾗ λέγουσιν ὅτι ἦσαν Ἐπίσκοποι ἑκατὸν ὀγδοήκοντα, καὶ ἀπὸ τῆς Συνόδου τῆς ἐν Ἀφρικῇ, καὶ γὰρ καὶ Τοπικὴ Σύνοδος προέχει τοῦ Ῥώμης, ὡς καὶ αὕτη ἡ ἐν Καρθαγένῃ ἔλεγε κατὰ τοῦ Ῥώμης φερομένη, ἀλλ' ἔτι καὶ ἀπὸ τῆς ἐν Νικαίᾳ, ἥτις καὶ τὸν Ὅρον τῆς ἐν Ἀντιοχείᾳ ἐβεβαίωσε, καὶ ἀπὸ τῆς ἐν Καρθαγένῃ καὶ τῶν κατὰ μέρος ἁγίων, Πάπα δὲ Ῥώμης οὐδενὸς μέμνηνται, καὶ ἰδὲ βιβλίου δεκάτου, μέρους τρίτου, κεφαλαίου τρίτου τμῆμα τέταρτον. Σύνοδον Οἰκουμενικὴν αἰτοῦσι παρὰ τῶν Βασιλέων, λέγουσι γὰρ, καὶ ἡμεῖς γὰρ ὑμᾶς παρεκαλέσαμεν περὶ Συνόδου Οἰκουμενικῆς τῆς δυναμένης ἀκριβῶς κρατῦναι καὶ διορθῶσαι τὰ σαλευόμενα, εἴτουν τὰ καταῤῥαγέντα. καὶ σημείωσαι, ὅτι οὐκ ἀξιόπιστον νομίζουσιν οὐδὲ ἱκανὸν τὸν τοῦ ἐν Ῥώμῃ συνεδρίου προεδρεύοντος Κελεστίνου τύπον, οὔτε τὴν τοῦ Κυρίλλου Σύνοδον, ἀλλὰ τὸ Οἰκουμενικὸν ἄθροισμα, ὡς ὂν ἐπάνω Πατριαρχῶν καὶ Τοπικῶν Συνόδων ζητοῦσι κριτὴν, ὅθεν οἱ Βασιλεῖς μετὰ τὸν τύπον τοῦ Ῥώμης καὶ τὴν Κυρίλλου Σύνοδον γράφοντες Σάκραν Κυρίλλῳ λέγουσιν, ἡμεῖς οὐκ ἀνεξετάστους εἶναι τοὺς λόγους ἀνεξόμεθα, ἀλλὰ κριτὰς τῶν λόγων προκαθίσαι τοὺς ἁπανταχοῦ προεστῶτας τῆς Ἱερωσύνης. καὶ σημείωσαι, ὅτι λῆρος τὸ, ὁ Πάπας ἀθροίζει τὰς Συνόδους, καὶ τὸ, ὁ Πάπας ἐπὶ τῶν Συνόδων.

ΠΑΡΑΓΡΑΦΟΝ Κ.

Ὅτι ἐκ τῶν κατὰ Νεστορίου ἐπιστολῶν τοῦ Κυρίλλου πρὸς τοὺς Ἀσκητὰς, καὶ Βασιλίδας, καὶ Ἀκάκιον Βεῤῥοίας, καὶ τοὺς λοιποὺς Πατριάρχας, καὶ τὸν Ῥώμης Κελεστῖνον, καὶ Κελεστίνου πρὸς Κύριλλον καὶ τοὺς λοιποὺς Πατριάρχας καὶ τὸν Θεσσαλονίκης Ῥοῦφον, καὶ ἐκ παραθέσεως πατριαρχικῶν Συνόδων, δείκνυται μὴ εἶναι τὸν Ῥώμης τῆς καθολικῆς Ἐκκλησίας Διδάσκαλον, ἢ βεβαιωτὴν τῶν τῆς πίστεως δογμάτων, ἢ ἐξουσιαστὴν, ἢ ἔκδικον τῆς πίστεως, ἢ Οἰκουμενικῶν Συνόδων ἀθροιστὴν, ἀλλὰ τὴν κοινότητα τῆς Ἱερωσύνης.

Καὶ ἄλλως, ὁ Πάπας Κύριλλος γράφων πρὸς τοὺς τὸν μονήρη βίον ἀσκοῦντας κατὰ Νεστορίου, οὐκ ἐμνήσθη Πάπα τινὸς, ἀλλὰ μόνον τὸν ἅγιον Ἀθανάσιον ἔφερεν εἰς μαρτυρίαν. καὶ ἐν τῇ πρὸς τὰς Βασιλίσσας ἐπιστολῇ οὐ διὰ τοῦ Ῥώμης ἐποίησε τὰς ἀποδείξεις, ἀλλὰ διὰ τῶν πατέρων Ἀθανασίου, Ἀττικοῦ, Ἀντιόχου, Ἀμφιλοχίου, Ἄμμωνος, Χρυσοστόμου, Σεβηριανοῦ, Βιταλίου καὶ Θεοφίλου Ἀλεξανδρείας. καὶ πρὸς ἄλλους πολλοὺς γράψας κατὰ Νεστορίου, οὐκ εἶπε παντάπασιν ὅτι ὁ Ῥώμης κοινός ἐστιν ἁπάντων τῶν Χριστιανῶν Διδάσκαλος, καὶ οὕτω διορίζεται, πρὸς ὃν ὁ ἀντιλέγων οὐκ ἔστι Χριστιανὸς, ἀλλ' ἀπὸ τῆς κοινότητος καὶ τῶν ἁγίων πατέρων ποιεῖται τὰς ἀποδείξεις. δεύτερον, ὅτι πρὸς τὸν Ῥώμης Κελεστῖνον γράφων, οὐλέγει Θεὸς ἐστὶν ὁ Χριστὸς ὡς ὁ Ῥώμης βεβαιοῖ, ἀλλ' ὡς ὅλοι οἱ τῆς Οἰκουμένης Ἐπίσκοποι καὶ λαοί. Καὶ, ὅτι οἱ ἐν Κωνσταντινουπόλει δυσχεραίνουσι, καὶ ἐκδέχονται τὴν παρὰ τῶν ὀρθοδόξων Διδασκάλων ἐπικουρίαν. Καὶ, πάντων τῶν κατὰ τὴν Οἰκουμένην ὀρθοδόξων Ἐπισκόπων καὶ λαῶν ὁμολογούντων ὅτι Θεὸς ἦν ὁ Χριστός. Καὶ, πάντες οἱ πατέρες ἡμῶν οἱ μεγάλοι καὶ θαυμαστοὶ καὶ εὐδόκιμοι Θεοτόκον εἶναι εἶπον τὴν ἁγίαν Παρθένον. τρίτον, ὅτι οὐμόνον εἰς τὸν Ῥώμης ἔγραψεν, ἀλλὰ καὶ εἰς τοὺς λοιποὺς Πατριάρχας, καὶ εἰς Ἀκάκιον τὸν Βεῤῥοίας. καὶ ὁ Κελεστῖνος ἔγραψεν οὐμόνον εἰς τὸν Κύριλλον, ἀλλὰ καὶ εἰς τοὺς λοιποὺς Πατριάρχας, καὶ εἰς τὸν Θεσσαλονίκης Ῥοῦφον, παραθήγοντες ἀλλήλους κατὰ τοῦ Νεστορίου, καὶ διατοῦτο ἔγραφεν ὁ Κύριλλος καὶ τούτῳ τῷ Κελεστίνῳ, ἵνα γράψῃ τοῖς κατὰ Μακεδονίαν καὶ Ἀνατολὴν Ἐπισκόποις τὴν γνώμην αὐτοῦ περὶ τοῦ Νεστορίου. ἵνα δὲ μὴ νομίσῃ τὶς ὅτι μόνος ὁ Ῥώμης καὶ ἡ Σύνοδος αὐτοῦ διεγείρουσι τοὺς ὀρθοδόξους Ἐπισκόπους κατὰ τοῦ Ἀλάστορος, ἐπήγαγεν, ἐπιθυμοῦσι γὰρ ἵνα δώσωμεν ἀφορμὰς τοῦ πάντας μιᾷ ψυχῇ καὶ μιᾷ γνώμῃ στῆναι καὶ ἐπαγωνίσασθαι τῇ ὀρθῇ πίστει πολεμουμένῃ. καὶ σημείωσαι πρῶτον, ὅτι οὐμόνος ὁ Ῥώμης δίδωσιν ἀφορμὰς, ἀλλ' ὁ Ἀλεξανδρείας καὶ ὁ Ῥώμης. δεύτερον, ὅτι οὐδεὶς ἄρα Πατριάρχης ἰδικῶς, ἀλλ' ἡ κοινότης τῆς Ἱερωσύνης ἔκδικός ἐστι τῆς πίστεως, καὶ οἱ ἅγιοι πατέρες ἐξηγηταὶ τῆς ἁγίας γραφῆς, καὶ Διδάσκαλοι καὶ μάρτυρες ἐν τοῖς περὶ πίστεως. τέταρτον, ὅτι πρὸς τούτοις ζητεῖ τὴν γνώμην ὁ Κύριλλος πρῶτον τοῦ Κελεστίνου διὰ τὴν ἀκοινωνησίαν Νεστορίου, οἰκονομῶν τὸν καιρὸν καὶ τὰ πράγματα, διὸ λέγει αὐτῷ, ἐπειδὴ καὶ Θεὸς ἀπαιτεῖ παρ' ἡμῶν τὸ νηφάλιον ἐν τούτοις, ἤτοι τὸ ἁρμόζον τῷ καιρῷ καὶ τῇ χρείᾳ, τὸ συνετὸν, τὸ συμπαθητικὸν, τὸ ἐντελὲς, τὸ συμφέρον. ποῖον δὲ τὸ συμφέρον; ἵνα ψηφίσηται πρῶτος ὁ Ῥώμης, καὶ ἄρα διότι εἶχε τινὰ γενικὴν ἐξουσίαν ἐν τῇ καθόλου Ἐκκλησίᾳ; οὐδαμῶς. ἐπειδὴ πῶς ὁ Ἀλεξανδρείας Ἀλέξανδρος χωρὶς τοῦ ἐρωτῆσαι ἢ τὸν Ῥώμης, ἢ ἄλλον τινὰ

290

πινὰ Ἐπίσκοπον Σωόδου ἀθέσας, ἔκεινε καὶ καθήρηκε τὸν Ἄρειον, καὶ ἔγραψε περὶ τῆς ἀκοινωνησίας αὐτῷ ἑβδομήκοντα ὑποσολὰς ὡς εἴπομεν αὐτέρω βιβλίῳ δευτέρῳ κεφαλαίῳ δευτέρῳ, καὶ ὁ θεοφιλέστατος Σωφρόνιος πῶς σωοδικῶς πρῶτος πάντων ἀνεθεμάτισε τὸς Μονοθελήτας ὡς ἐρέθην κατωτέρω βιβλίῳ ὅπτε κεφαλαίῳ ὅπτε. πέμπτον, ὅτι ὁ Κύριλλος γράψας πρῶτον εἰς πολλὸς κατὰ Νεσορίε περὶ τῆς ἀκοινωνησίας, ἠξίωσε τὸν Ῥώμης ἵνα ἐκεῖνος πρῶτος φανερὰν ποιήσῃ τὴν γνώμην αὐτοῦ, καὶ διατυπώσῃ τὸ δοκεῖν, ἐχ ὅτι ἐκ ἐδύνατο πρῶτος σωοδικῶς ἀποκηρῦξαι τὸν Νεσόριον τῆς κοινωνίας αὐτοῦ, καὶ γὰρ ἔδωκε, ὡς αὐτὸς γράφων πρὸς τὸς ἀδελφαμβύους αὐτὸν ὅτι ἐ σεσώπηκεν, ἀλλ' ἀκοῇ μόνῃ πειθθεὶς, ἔγραψε κατὰ Νεσορίε, φησὶ γὰρ, τί ἂν ἐκώλυε καὶ ἡμᾶς ταῖς ἐκείνε φωναῖς χρησαμβύους γράψαι ταὐτὰ, καὶ εἰπεῖν, ἔτις ἐ λέγει Θεοτόκον τὴν Μαρίαν ἀνάθεμα; ἀλλ' ἐπεποίηκα τοῦτο διὰ τὸν τέως, καὶ ἵνα μὴ εἴπωσιν ὅτι ὁ Ἀλεξανδρείας, ἤτοι ἡ Αἰγυπτιακὴ Σωόδος ἀνεθεμάτισεν αὐτὸν, ἀλλὰ δὴ καὶ τῷ Κελεστίνῳ τὰ αὐτὰ γράφα λέγων, ἐγὼ δὲ ὁμολογῶ, καίτοι βεβληθεὶς σωοδικῷ γράμματι φανερὸν αὐτῷ καταστῆσαι, ὅτι ταῦτα λέγοντι καὶ φρονοῦντι κοινωνεῖν ἐδυνάμεθα, τοῦτο μὴ ἐπεποίηκα, λογιζόμενος ὅτι χρὴ τοῖς ὀλιγοστήσασι χεῖρα διδόναι, ὡς τυχὸν καὶ ὁ μέγας Βασίλειος πρὸς Ἀμφιλόχιον γράφων ἐν κεφαλαίῳ ἑνδεκάτῳ οὕτω φησὶ περὶ τῶν Πνευματομάχων, δεῖ ἡμῖν μακροθύμως φέρειν τὰ παρ' αὐτῶν. Διὰ τοῦτον τῶν ῥημάτων τὸ Κυρίλλου γνοίη φανερὸν ὅτι ἠδυνάτο ὁ Κύριλλος κατὰ τὸ σκληρότατον ἀρχαῖον ἔθος Διὰ τῆς ἰδίας Σωόδου γράψαι καὶ ἀκοινώνητον ποιῆσαι τὸν Νεσόριον, καὶ ἅτα γράψαι καὶ εἰς τὰς λοιπὰς ἀδελφὰς τὴν ἀσέβειαν αὐτοῦ, ὡς πεποιήκασιν Ἀλέξανδρος καὶ Σωφρόνιος, ἀλλ' ἐπεποίηκε καὶ Διὰ τὰς ἐχθρὰς ἃς προεξώκησαν αὐτῷ ὁ Νεσόριος, καὶ τὸν φθόνον Διὰ τὸν πολὺν ζῆλον, καὶ ἵνα γράψαι τῶν αὐτῷ πολλῶν ἴσως ἐντραπῇ καὶ διορθωθῇ ὁ αἱρετικός. καὶ τέως βουλόμενος ἀποδέξασθαι τὸν κατὰ τοῦ Νεσορίε πόλεμον, ὡς αὐτὸς γράφων τοῖς ἐν Κωνσταντινουπόλει κληρικοῖς, ταῦτα φησὶν, ἐγὼ γὰρ μὴ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς βλεφάροις μου, ἕως ἂν ἀγωνίσωμαι τὸν ὑπὲρ τῆς ἁπάντων σωτηρίας ἀγῶνα, ἐκεῖνα ἐποίει ἅτινα ἦν ὡς εἴρηται προεστήκοντα τῷ καιρῷ καὶ τῇ χρείᾳ. ὅθεν γράφων συνοδικῶς πρὸς τὸς Πρεσβυτέρους καὶ Διακόνους Κωνσταντινουπόλεως λέγει, αἰτιάσθω δὲ μηδεὶς τὴν μέλησιν, ἐγὼ γὰρ ἐνυσάξαιμι θορυβοῦντος ὅτω μεγάλης ἀγέλης, μᾶλλον δὲ καὶ πάντων ἁπάντων λαῶν καὶ Ἐκκλησιῶν, ἐμιμησάμεθα δὲ τὸς ἰατρικὸν ἔχοντας ἐμπειρίαν, οἳ τὰ ἐν τοῖς σώμασι γινόμενα πάθη ἐκ εὐθὺς ταῖς Διὰ σιδήρου καὶ πυρὸς ὑποφέρουσιν ἀνάγκαις, ἀλλ' ἤπιοις ἐν ἀρχαῖς φαρμάκοις καταμαλάττουσι, περιμένοντες τὸν ταῖς τομαῖς πρέποντα καιρὸν, ἤδη δὲ τοιοῦτα, τὸ μὴ πρῶτον αὐτὸν ποιῆσαι τὰ κατὰ τὸ Ἀλέξανδρος Διὰ τὰς εἰρημένας αἰτίας, ἀλλὰ πάντας διεγείρειν καὶ μετὰ πάντων, ἤτοι Διὰ Οἰκουμενικῆς Σωόδου ποιήσασθαι τὸ ἐκκλησιαστικὸν δίκημον, ὅθεν ὡς εἴρηται ἔγραψε πρὸς πολλὸς, ἀλλὰ θέλων γράψαι καὶ πρὸς τὸς Πατριάρχας, ἔγραψε πρῶτον εἰς τὸν Ῥώμης, ἐκ ἔγραψε πρὸς τὸν Ἀντιοχέας, ὅτι ὑπόπτους αὐτὸν φίλον τοῦ Νεσορίε, καὶ ὀνόμαζον αὐτὸν φανήσεσθαι αὐτῷ αἱρετικόμενον, ὡς καὶ ἐγένετο ὕστερον ἐν τῇ ἀθέσει τῆς Σωόδου, ἀλλ' ἔγραψεν εἰς Ῥώμην, ἐπειδὴ ὁ Νεσόριος ἔγραψεν ἐκεῖ καὶ ἐπαύδαζε πρεσβευσάμενος χίσμα κατὰ τοῦ Κυρίλλου, ὃν ἐ λαθρεμβλης ὁ πάντων ἀνθρώπων σοφώτατος, ἔγραψε καὶ ἐκεῖνος οἰκονομῶν πρὸς τὸν Ῥώμης, ὃ δὲ ᾠκονόμει, δῆλον, παρήγγειλε γὰρ τῷ Ποσειδωνίῳ μετὰ ἓξ ἔπεμψεν εἰς Ῥώμην τὰ γράμματα ἵνα σοχαθῇ, εἰ μὴ ἔγραψεν ἐκεῖ ὁ Νεσόριος, δοῦναι αὐτὰ τῇ Ῥώμης, εἰ δὲ ἐκ ἔγραψε, μὴ δοῦναι, καὶ γὰρ ὑποπτεύθης ἵνα μὴ ἀπατηθῇ ὁ Κελεστῖνος ὑπὸ Νεσορίε, ἔπεμψεν αὐτῷ πετρώδη, ἐν οἷς περιέχοντο οἱ ἔλεγχοι τῆς Αἱρέσεως αὐτοῦ, ἅτινα καὶ μεταφράσας εἰς γλῶσσαν λατινικὴν ἔπεμψεν. εἶτον, ὃ δὲ κατὰ κανονικὴν τινα ἀνάγκην ἔγραψεν ὁ Κύριλλος τοῦ λοιποῦ Πατριαρχῶν εἰς τὸν Ῥώμης, ἀλλ' οἰκονομῶν, δῆλον, ἐγίνωσκε γὰρ ὅτι ὁ λυκίφερ ἐχαστόμησε τοῦτο Καινόνας ὡς εἴρηται αὐτέρω, καὶ μάλιστα ἀνθρωπον Αἱρετικὸν τὸν Παυλῖνον Ἀντιοχέας Ἐπίσκοπον, ἀλλ' οἱ Πάπαι Ῥώμης φθόνῳ καὶ πεισμονῇ δυλεύοντες, προὐξέκοπτον χίσμα ἐν τῇ Ἐκκλησίᾳ Ἀντιοχέας, καθότι τὴν μὲν ὀρθοδόξε μελετίε καὶ τὸ μετ' αὐτὸν Φλαυϊανὸ καταφρόνουν, τὸ Αἱρετικὸ δὲ Παυλίνε αὐτελαμβάνοντο, διὸ φοβέμενος ὁ Κύριλλος τῷ Ῥωμαϊκῷ ὀφρῶ ἔγραψεν ἐκεῖ πρῶτον Διὰ τὸ συμφέρον. ἕβδομον, ἅτι δὲ καὶ τὰ τετράδια ἔπεμψεν ἵνα μὴ ἀπατηθῶσιν οἱ Ῥωμαῖοι ὑπὸ τοῦ Νεσορίε, δῆλον, ἐγίνωσκε γὰρ ὅτι ὁ Πάπας Δάμασος καίτοι ἁγιος ὤν, ἠπατήθη ὑπὸ τοῦ Αἱρετικοῦ Οὐϊταλίε, ἀλλ' ἐπειδὴ ἔγραψε πρῶτος ἐκεῖ, ἠξίε καὶ περὶ τῆς ἀκοινωνησίας τοῦ Νεσορίε Διατυπῶσαι πρῶτον τὸν Ῥώμης. σοφικῶς δὲ Διαλύων τὸ μεταταῦτα τῶν Ῥωμαίων φρόνημα περὶ τῆς μοναρχίας τοῦ Πάπα αὐτῶν, ἔγραψε καὶ τοῦτο ὡς εἴρηται, ἐγὼ δὲ ὁμολογῶ, καίτοι βεβληθεὶς, καὶ τὰ ἑξῆς. ἐκ εἶπε δὲ τὸς ἐχθρὸς ἢ ἄλλον τινὰ, ὧν διλαβέσθω ὠκονόμει, ἀλλὰ μόνον τὸ χρὴ χεῖρα διδόναι, ἐπειδὴ τοῦτο ἦν τὸ κυρίως αἴτιον τῆς μακροθυμίας αὐτοῦ, ὅπερ μιμέσθω καὶ ὁ μακάριος Κελεστῖνος, τὴν αὐτὴν μακροθυμίαν ἔδειξε περὶ τοῦ Νεσορίε γράφων αὐτῷ τῷ Κυρίλλῳ. ἰδὲ καὶ κατωτέρω Παραγράφῳ ἀποστὰς οὕτω τὸ, συναρπάσας τὴν Ῥωμαίων Ἐκκλησίαν, καὶ τὸ, σύμφρονες γεγονότες ἑκάστοις ἅπαντες.

ΠΑΡΑ'

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Ὅτι τὸ ἐν τῇ κατὰ Νεστορίου πρὸς Κελεστῖνον ἐπιστολῇ τοῦ Κυρίλλου ῥητὸν τὸ, τὰ μακρὰ ἔθη τῶν Ἐκκλησιῶν πείθουσιν ἀνακοινοῦσθαι τῇ σῇ ὁσιότητι, πρὸς τῷ μὴ παρέχειν τῷ Ῥώμης ἰδικὴν τινὰ ἐξουσίαν, λαμπρῶς καταβάλλει τὸ μοναρχικὸν αὐτοῦ ἀξίωμα. καὶ περὶ τοῦ ποσαχῶς λέγεται παρὰ τοῖς ἁγίοις πατράσι τὸ ἔθος, ἐξ ὧν συνάγεται εἶναι ἐπὶ πάντων τὴν κοινότητα τῶν Ἐπισκόπων.

Ἐκεῖνα ἅπερ λέγει ὁ Κύριλλος τῷ Κελεστίνῳ ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ, καὶ τὰ μακρὰ τῶν Ἐκκλησιῶν ἔθη πείθουσιν ἀνακοινοῦσθαι τῇ σῇ ὁσιότητι, οὐ μαρτυροῦσιν ἰδικήν τινα ἐξουσίαν τῷ Πάπᾳ τῆς Ῥώμης, μάλιστα δὲ λαμπρῶς καθαιροῦσι τὸ θρυλλούμενον μοναρχικὸν ἀξίωμα αὐτοῦ. καὶ πρῶτον, ὅτι ἔγραψε τῷ Κελεστίνῳ χρεωστικῶς ὡς Διδάσκαλος, καὶ τοσούτου θρόνου Ἐπίσκοπος, οὐ διὰ τὸ εἶναι τὸν Ῥώμης δεσπότην κοινὸν ὡς ἀναισχυντοῦσιν οἱ παπισταὶ, ἀλλὰ διὰ τὸ νηφάλιον ὡς εἴρηται ἀνωτέρω, καὶ διὰ τὰ μακρὰ ἔθη. εἴπομεν δὲ περὶ τοῦ ἔθους ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου πέμπτου Παραγράφῳ ὀγδόῳ, καὶ ἤδη λέγομεν ὅτι τὸ ἔθος λέγεται παρὰ τοῖς πατράσι πολλαχῶς, καὶ τὸ παρὸν ἀρκεῖ εἰπεῖν ὅτι λέγεται ἔθος μακρὸν, ἔθος ἀρχαῖον, καὶ ἔθος ἄνωθεν κεκρατηκός. καὶ τὸ μὲν ἔθος τὸ μακρὸν δηλοῖ δύο τινὰ, πρῶτον, ἐκείνην τὴν ἀρχαίαν συνήθειαν καθ' ἣν καὶ οἱ Ἀπόστολοι καὶ οἱ ἐκείνων διάδοχοι καὶ καθεξῆς οἱ πατέρες κοινῶς ἐθεώρησαν τὰ ἐν τῇ Ἐκκλησίᾳ συμβάντα, εἰ καὶ μετὰ τοὺς Ἀποστόλους οὐκ ἦσαν πάντες οἱ τῆς Οἰκουμένης Ἐπίσκοποι ἐν ταῖς κοιναῖς συνελεύσεσιν, ὡς κατὰ Ναυάτου μόνον οἱ Δυτικοὶ Ἐπίσκοποι συνελθόντες κατέκριναν αὐτὸν, καὶ Παῦλον τὸν Σαμοσατέα μόνοι οἱ τῆς Ἀνατολῆς Ἐπίσκοποι ἀθροισθέντες, ἐξήνεγκαν τὴν κατ' αὐτοῦ ψῆφον, καὶ μετὰ τὰς ἀποφάσεις γεγράφασιν οἱ πατέρες ἀλλήλοις τὰ γενόμενα, ὡς ὁ πρὸς τὸν Βασιλέα προσφωνητικὸς τῆς ἐν Χαλκηδόνι Συνόδου μαρτυρεῖ. δεύτερον, δηλοῖ τὸ ἀπότινος μετρίου χρόνου ἀρξάμενον, ὥς ἐστιν ἡ ἄθροισις τῶν Οἰκουμενικῶν Συνόδων, ἀρχὴν λαβοῦσα ἀπὸ τοῦ μεγάλου Κωνσταντίνου, ἐν αἷς ἀναγκαία πάντων τῶν Πατριαρχῶν ἡ παρουσία, ἢ δι' ἑαυτῶν, ἢ διὰ Τοποτηρητῶν. τὰ δὲ ἀρχαῖα ἔθη δηλοῦσι τὸ πολυχρόνιον, ὡς φαίνεται ἐν τῷ ἕκτῳ Κανόνι τῆς πρώτης Συνόδου, καὶ ἀρκεῖ μάρτυς ὁ Ἐπιφάνιος Αἱρέσει ὀβδομηκοστῇ ἑβδόμῃ λέγων, τοῦτο γὰρ ἔθος ἐστὶν τὸν ἐν τῇ Ἀλεξανδρείᾳ Ἀρχιεπίσκοπον πάσης τῆς Αἰγύπτου καὶ Θηβαΐδος, Μαρεώτου τε καὶ Λιβύης Ἀμωνιακῆς, Μαρεώτιδός τε καὶ Πενταπόλεως ἔχειν τὴν ἐκκλησιαστικὴν διοίκησιν, ὅπερ ἐστὶν ὅτι ὁ Ἀλεξανδρείας ἔχει τὴν διοίκησιν τῶν εἰρημένων Ἐπαρχιῶν, οὐκ ἦν ὅμως ἀπὸ τοῦ καιροῦ τῶν Ἀποστόλων, ἀλλὰ μετὰ τοὺς Ἀποστόλους γέγονε συνήθεια, ὡς μετὰ τοὺς Ἀποστόλους γέγονε συνήθεια ἵνα διοικῇ ὁ Ῥώμης τὰ δυτικὰ μέρη. ἐπειδὴ δὲ γέγονεν αὕτη ἡ συνήθεια οὐ πολὺ μετὰ τοὺς Ἀποστόλους, εἴρηται ἀρχαῖα ἔθη. ἰδὲ καὶ βιβλίου δευτέρου κεφάλαιον τρίτον. τὴν ἄνωθεν συνήθειαν εἶπεν ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ πράξει δεκάτῃ, ἡρέμα κἀκεῖνος ζητῶν ἐν τῇ Ἐκκλησίᾳ εἰσαγαγεῖν τὸ μοναρχικὸν, ἤτοι ἀντιχριστιανικὸν ἀξίωμα, ἀλλὰ ταχύτατα ἀποκρουσθεὶς παρὰ τῶν ἁγίων πατέρων, ἡσύχασε. δηλοῖ δὲ καὶ αὕτη ἡ τῷ Ἀνατολίῳ ἄνωθεν συνήθεια τὸ ἀπότινος χρόνου ἀρξάμενον, ἤτοι ἐκεῖνον τὸν χρόνον ἐφ' οὗ ἡ Κωνσταντινούπολις κτισθεῖσα γέγονε βασίλειον. τὰ οὖν μακρὰ ἔθη τοῦ Κυρίλλου πρὸς Κελεστῖνον καὶ κατὰ τοὺς δύο τρόπους τῶν μακρῶν ἐθῶν ἐννοοῦνται, ἐκεῖνο μὲν, ὅτι συμπάσχειν δεῖ τὰ μέλη ἀλλήλοις, ὡς ἔγραφεν ὁ Ἀλεξανδρείας Ἀλέξανδρος πρὸς τοὺς ἁπανταχοῦ Ἐπισκόπους, ἐπαλείφων καὶ παροτρύνων αὐτοὺς πρὸς ἄμυναν τοῦ Ἀρείου καὶ τῆς Αἱρέσεως αὐτοῦ, καὶ ὁ μέγας Βασίλειος τῇ Τυάνων βουλῇ, καὶ ἰδὲ ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον ἕκτον. τοῦτο δὲ, πρὸς ἄθροισιν Οἰκουμενικοῦ κριτηρίου, ἵνα καταλυθῇ ἡ ὀφρῦς τοῦ Οἰκουμενικοῦ ἐχθροῦ τῆς καθολικῆς πίστεως. διὰ τὰ μακρὰ ἔθη ὅμως ἅπερ ἔγραφεν ὁ Κύριλλος τῷ Κελεστίνῳ, δι' αὐτὰ ταῦτα ἔγραφε καὶ πρὸς τοὺς λοιποὺς Πατριάρχας, καὶ οἱ λοιποὶ Πατριάρχαι ἔγραφον πρὸς αὐτὸν, καὶ πρὸς ἀλλήλους, καὶ τῷ Νεστορίῳ ἔγραφεν, εἰ φρονήσεις καὶ διδάξεις ἃ καὶ ἡμεῖς πάντες ὅτε καὶ τὴν Ἑσπέραν καὶ τὴν Ἑῴαν Ἐπίσκοποι καὶ Διδάσκαλοι καὶ λαῶν Ἡγούμενοι. καὶ σημείωσαι, ὅτι οὐκ ἔστιν ὁ κανονίζων εἷς Ἐπίσκοπος, ἢ εἷς Διδάσκαλος, οὐ δέ ἐστιν ἐν τῇ Ἐκκλησίᾳ εἷς Ἡγούμενος, ἀλλὰ πολλοὶ, καὶ ταῦτα ἰσότιμοι. ὅθεν ὡς εἴρηται πάντοτε ἡ κοινότης τῶν Ἐπισκόπων ἐθεώρησε τὰ συμβάντα ἐν τῇ Ἐκκλησίᾳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΒ'.

Ὅτι καὶ ἐκ τῆς Κελεστίνου Ῥώμης πρὸς τοὺς Κωνσταντινουπολίτας ἐπιστολῆς καὶ Νεστορίου, καταῤῥάσσεται τὸ μοναρχικὸν ἀξίωμα τοῦ Ῥώμης.

Καὶ ἀπὸ τῆς ἐπιστολῆς τοῦ Κελεστίνου πρὸς τοὺς Κωνσταντινουπολίτας καταῤῥάσσεται τὸ παπικὸν μυθάριον. φησὶ γὰρ ὁ Κελεστῖνος, ἐκίνησέ ποτε ἱερόσυλον ζήτησιν ὁ Σαμοσατεὺς Παῦλος, ὅτε τῆς ἁγίας κατὰ

κατὰ τὴν Ἀντιόχειαν ἐκκλησίας ἐποίησατ, ἀλλὰ τὸν ἀπὸ τῆς θρόνης ἐν ᾧ μιαρῶς πρὸ καθέζετο καθήρηκεν σωθεῖσα τῶν καθολικῶν ἱερέων ἡ ἀπόφασις. ἀκέως πασιστὰ πῶς τὸν Ἀντιοχείας καθήρηκεν ἀχ ὁ Πάπας, ἀλλὰ κοινῶς τῶν ὀρθοδόξων ἐπισκόπων ἡ ἀπόφασις; ἀκέως παπίδιον πῶς ὁ Πάπας Κελεστῖνος λέγει ὅτι οἱ Ἐπίσκοποι Συρίας ἀθροισαντες ἔκρινον τὸν Παῦλον ὡς διεσαφήσαμεν ἀνωτέρω βιβλίῳ πρώτῳ κεφαλαίῳ δεκάτῳ ὀγδόῳ. γνῶθι λοιπὸν ὅτι ἡ δὲ ὁ Κελεστῖνος ἐγίνωσκε τοῦτο τὸ ἀξίωμά σε, οὐ ᾧ ἡμινοτόμως καὶ μιαρῶς πρὸ καθέζεσθαι νομίζεις τῆς καθολικῆς Ἐκκλησίας. ἰδὲ πῶς ὁ Κελεστῖνος ἐν τῇ πρὸς Νεσόριον ὑπατολῇ λέγει ὅτι ὁ Χριστός ἐστι κεφαλὴ τῆς Ἐκκλησίας, καὶ ἐλέγετο ὅτι ἐστὶ καὶ ἑτέρα, Φοβέμαι τὸ τοῦ Ναζιανζηνοῦ, ἤτοι τὸ, ἡδὲ δευτέρα καταπυέσθω.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΓ'.

Ὅτι καὶ ὁκ τῆς πρὸς Ἰωάννην Ἀντιοχείας ὑπατολῆς τοῦ Κελεστίνου Ῥώμης κατὰ Νεσορίου, καταστρέφεται ἡ τοῦ Ῥώμης μοναρχία, καὶ δείκνυται μία τῶν μερικῶν ἡ ἐν Ῥώμῃ Ἐκκλησία.

Καὶ ἀπὸ τῆς ὑπατολῆς ἣν ἔγραψεν ὁ Κελεστῖνος πρὸς Ἰωάννην τὸν Ἀντιοχείας καταστρέφεται ἡ παπικὴ μοναρχία, γράφει γὰρ περὶ Νεσορίου, καὶ ταύτην τὴν πίστιν ἐὰν μὴ ὁμολογήσῃ κατέχειν, ἵνα κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν ἡ Ῥωμαίων καὶ Ἀλεξανδρέων καὶ ἡ καθολικὴ πανταχοῦ Ἐκκλησία κατέχει, ἀπὸ τῆς ἡμετέρας κοινωνίας χωρίζομαι. καὶ σημείωσαι, ὅτι ἡ μία Ἐκκλησία, ἀλλὰ πολλαὶ μερικαὶ, ἐξ ὧν καὶ ἡ Ῥώμη μία ἐστί, καὶ ἡ Ἀλεξάνδρεια μία ἐστί, καὶ ἡ Κωνσταντινούπολις μία ἐστὶν, ἄλλη δέ ἐστιν ἡ καθολικὴ, ἥτις ἐστὶν ἡ πανταχοῦ, ὅθεν ὑπέφερε, καὶ ἡ καθολικὴ πανταχοῦ Ἐκκλησία. δεύτερον γράφει αὐτῷ, ταῦτα ἀδελφὲ τιμιώτατε πρὸς τὸν σὸν ἀγαπητὸν υἱὸν Παῦλον πρεσβύτερον καὶ ἐπίσκοπον τὸν ἐκ Σαμοσάτων ἐπιστολὴν ἐδεξάμεθα, ἐν ᾗ τὴν ἀκρίβειαν τῆς πίστεως ἐπιγνόντες ἐπαινοῦμεν, καὶ τὸν ἀδελφὸν καὶ συλλειτουργὸν ἡμῶν Φιρμίλιανὸν ἐπαινοῦμεν, ὅτι ἐπὶ τοσοῦτον ἐλθὼν ἐπανῆλθεν, ἵνα μὴ ἐπὶ πλεῖον ἀπὸ τῆς ἐκκλησίας ἀποσπασθῇ. ἐπεὶ δὲ καὶ Νεστόριος ἐπὶ τὴν ἡμετέραν ἐλθὼν παρουσίαν, καὶ ἐν τῇ ἐκκλησίᾳ ἀναστὰς ἐδίδαξε τὰ ἐναντία τῆς ἀληθείας

τον, εἰπὼν ὅτι ἡ ἐν Ῥώμῃ Σύνοδος ἔγραψε πρὸς τὴν σὴν θεοσέβειαν, ἔδειξεν ὅτι τὸ πεμφθὲν αὐτῷ γράμμα τοῦ Κελεστίνου ἦν συνοδικὸν, καὶ οὐκ ἀπὸ τοῦ Ῥώμης ὡς μονάρχου, ὅπερ καὶ παντὶ Πατριάρχῃ ἴδιον. εἰ δὲ καὶ μόνος ἔγραφεν, οὐδὲ τοῦτο μοναρχίαν προσῆπτεν αὐτῷ, καθότι καὶ τοῦτο παντὶ Ἐπισκόπῳ ἴδιον, καὶ ἰδὲ τὰ περὶ τοῦ Πάπα Ἰουλίου ἀνωτέρω ἐν τοῖς παραγράφοις βιβλίου δευτέρου κεφαλαίου πέμπτου. τέταρτον, οὐκ εἶπεν ὁ Κύριλλος τῷ Ἀντιοχείας, ἀνάγκη πείθεσθαι τῷ μονάρχῃ, ἢ τῷ ἄκρῳ Ἀρχιερεῖ, ἢ τῷ βικαρίῳ τοῦ Χριστοῦ Πάπᾳ, ἀλλὰ τοῖς Ἐπισκόποις τοῖς συστήσασι τὴν Ῥωμαίων Σύνοδον, ἐν οἷς καὶ ὁ Πάπας, οἷς ἀνάγκη πείθεσθαι, οὐχ ὅτι ἔχουσι προνόμια ἀπὸ τοῦ Χριστοῦ, ἢ τῆς Ἐκκλησίας πρὸς τὸ πείθεσθαι αὐτοῖς, ἀλλ' ὅτι ὀρθοδόξοις οὖσι, καὶ τοῦ Αἱρετικοῦ κατεγνωκόσι, τὸν βουλόμενον κοινωνεῖν αὐτοῖς δεῖ κἀκείνοις ἐξακολουθεῖν. ἐπειδὴ πρὸς ἐκείνους πρῶτον ἔγραψεν ὁ Νεστόριος, καὶ ἐκεῖνοι πρῶτοι συνοδικῶς κατέγνωσαν αὐτοῦ, καὶ διὰ τὸ πλῆθος, ἦσαν γὰρ πολλοὶ, ἐπειδὴ καὶ οἱ Μακεδόνες καὶ ἄλλοι πολλοὶ προφανῶς συνέτρεχον αὐτοῖς, καὶ ἰδὲ ἀνωτέρω κεφαλαίου ἑβδόμου Παράγραφον δεύτερον. πέμπτον, οὐ δὲ τοῦτο τὸ, τετύπωκεν ἡ Ῥωμαίων Σύνοδος, παρέχει τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ προνόμιον ἐξουσίας τινὸς, ἡ γὰρ (ἵνα ἐάσωμεν τὰς λοιπὰς) ἐπὶ Φλαυϊανοῦ τῶν Κωνσταντινουπολιτῶν Σύνοδος τετύπωκε κατὰ Εὐτυχοῦς, καὶ πάντες αὐτῇ ἐξηκολούθησαν, ὅθεν ὁ Λεγᾶτος τοῦ Ῥώμης Πασχασῖνος ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ ἔφη, ἁγνῶς καὶ καθαρῶς καὶ ὁλοκλήρως τὴν πίστιν ἐξέθετο ὁ τῆς ὁσίας μνήμης Φλαυϊανὸς, ἥτις πίστις καὶ ἔκθεσις συμφωνεῖ τῇ ἐπιστολῇ Λέοντος, πράξει πρώτῃ. εἴποι δ' ἄντις εἰκότως ὅτι μάλιστα ἡ ἐπιστολὴ Λέοντος συμφωνεῖ τῷ περὶ πίστεως τύπῳ τοῦ Φλαυϊανοῦ, καὶ ὁδηγὸς καὶ Διδάσκαλος ὁ Φλαυϊανὸς τοῦ Λέοντος, ἐπειδὴ προτέρα ἡ ἔκθεσις τῆς πίστεως τοῦ Φλαυϊανοῦ τῆς ἐπιστολῆς τοῦ Λέοντος. ἕκτον, οὐ δὲ τὸ, οἷς ἀνάγκη πείθεσθαι τοὺς ἀντεχομένους τῆς κοινωνίας αὐτῶν, προνόμιόντι δίδωσι τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ, ὅτι οὐ μόνη ἡ ἀκοινωνησία τῆς Ῥώμης ἐπήγετο τοῖς μὴ δεχομένοις κατὰ νεστορίου ὑπογράψαι, ἀλλὰ καὶ ἡ τῆς Ἀλεξανδρείας καὶ ἡ τῶν ἁπανταχοῦ Ἐκκλησιῶν, ὡς λέγει ἡ πρὸς τὸν Ἀντιοχείας τοῦτον Βασιλικὴ Σάκρα, κειμένη ἐν τῷ τρίτῳ μέρει τῆς Συνόδου, ὡς εἰ ὑπογράψεις τῇ καθαιρέσει Νεστορίου, εὐθὺς ὁ ἁγιώτατος Ἐπίσκοπος Κύριλλος καὶ οἱ μετ' αὐτοῦ, καὶ ἡ σὴ θεοσέβεια καὶ οἱ μετ' αὐτῆς, καὶ ὁ ὁσιώτατος τῆς ἐνδόξου πόλεως Ῥώμης Ἐπίσκοπος Κελεστῖνος, καὶ πάντες οἱ ἁπανταχοῦ τῆς ὀρθοδόξου πίστεως ἱερεῖς τῇ σῇ θεοσεβείᾳ κοινωνήσουσι. εἶτα τῷ Κυρίλλῳ ἐκοινώνει πᾶσα ἡ Οἰκουμένη ὡς οἱ αὐτοὶ βασιλεῖς γράφουσι Συμεὼν τῷ στυλίτῃ περὶ τοῦ αὐτοῦ Ἀντιοχείας. εἰ γὰρ τῷ εὐλαβεστάτῳ Κυρίλλῳ ὁμονοήσειεν, ὥπερ οἱ ἐν τῇ Δύσει, καὶ οἱ ἐνταῦθα, καὶ οἱ ἁπανταχοῦ συντρέχουσι. καὶ ἰδὲ κατωτέρω Παράγραφον τριακοστὸν ἕκτον. ἔπειτα ὁ Κύριλλος ἔγραφε περὶ τῶν Δυτικῶν, οἷς ἀνάγκη πείθεσθαι τοὺς ἀντεχομένους τῆς κοινωνίας αὐτῶν, ἀλλὰ καὶ τῷ Κελεστίνῳ γράφων ἔλεγε, γινωσκέτω ἡ σὴ θεοσέβεια ὅτι καὶ ἅπασι τοῖς κατὰ τὴν Ἀνατολὴν Ἐπισκόποις συνᾴδει τὰ λεγόμενα, καὶ δυσχεραίνουσι πάντες καὶ λυποῦνται, καὶ μάλιστα οἱ κατὰ τὴν Μακεδονίαν Ἐπίσκοποι. καὶ σημείωσαι ὅτι ὡς τοὺς Ἀνατολικοὺς ὑποστηρίζει διὰ τῆς κοινωνίας τῶν Ῥωμαϊκῶν Ἐπισκόπων, οὕτω καὶ τῷ Πάπᾳ βεβαιοῖ τοὺς οἰκείους κατὰ Νεστορίου λόγους διὰ τῆς κοινωνίας τῶν Ἀνατολικῶν καὶ τῶν Μακεδονίας Ἐπισκόπων.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΕ'

Ὅτι καὶ ἐκ τῆς πρὸς τὸν Βερροίας Ἀκάκιον ἐπιστολῆς τοῦ Κυρίλλου, καὶ τοῦ Ἀκακίου πρὸς τὸν Κύριλλον κατὰ Νεστορίου, πρὸς τῷ μηδεμίαν μνήμην γενέσθαι ἐν αὐταῖς τοῦ Ῥώμης, ἢ τῆς Συνόδου αὐτοῦ, συνάγεται μὴ εἶναι τὸν Ῥώμης μονάρχην ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἢ βεβαιοῦν τὴν πίστιν, ἀλλὰ τοὺς ἁγίους πατέρας.

Καὶ ἀπὸ τῆς πρὸς Ἀκάκιον τὸν Βερροίας Κυρίλλου ἐπιστολῆς τὸ αὐτὸ συνάγεται, φέρει γὰρ εἰς μαρτυρίαν οὐ Πάπαν τινὰ, ἢ Ῥωμαϊκὴν Σύνοδον περὶ τῆς Θεοτόκος φωνῆς, ἀλλὰ τῶν ἁγίων πατέρων Ἀθανασίου, Θεοφίλου, Βασιλείου, Γρηγορίου καὶ Ἀττικοῦ τὰς μαρτυρίας. δεύτερον, ποιεῖ φανερὸν διὰ τί οὐκ ἀνεθεμάτισε τὸν Νεστόριον εὐθὺ, ἐπειδὴ δηλονότι ὑπώπτευε τοὺς Ἀντιοχεῖς ἵνα μὴ ὦσι βοηθοὶ αὐτοῦ τοῦ Νεστορίου. φησὶ γὰρ, ὅτι ὁ Νεστόριος μαχόμενος αὐτῷ διὰ τὴν ὑπεράσπισιν τῶν ὀρθῶν δογμάτων, γέγονεν ἐχθρὸς, καὶ συλλέγει τινὰς ἀγύρτας καὶ κατεγνωσμένους, καὶ παρασκευάζει ψεύδεσθαι κατ' αὐτοῦ τινὰ ἐπὶ πολλῶν. τρίτον, ποιεῖ φανερὸν ὁ Κύριλλος, ὅτι διὰ τὸ ὑπόπτους αὐτῷ εἶναι τοὺς Ἀντιοχεῖς ἵνα μὴ γένωνται δηλονότι βοηθοὶ τοῦ Νεστορίου, ἔγραψε καὶ ἐζήτει πρῶτον τὴν περὶ αὐτοῦ γνώμην τοῦ Κελεστίνου, ὅθεν λίαν ἐσκεμμένως φησὶν, εἰ γὰρ εἴχομεν ζῆλον Θεοῦ καὶ τῆς τῶν πατέρων φιλοθείας ἐγενόμεθα μιμηταὶ, πάλαι ἂν ἦμεν κατὰ τῶν τετολμηκότων φλυαρῆσαι κατὰ Χριστοῦ, καὶ ἀναθεματισάντων ὑμᾶς τοὺς ζῶντας (εἶπε γὰρ ὁ Ἐπίσκοπος Δωρόθεος ἐν Κωνσταντινουπόλει ἐπ' Ἐκκλησίας παρόντος Νεστορίου, εἴτις Θεοτόκον λέγει τὴν Μαρίαν ἀνάθεμα) καὶ τοὺς πρὸς Θεὸν ὄντας ἤδη πατέρας ἁγίους, ψῆφον ὁσίαν ἐξενέγκαντες, δι' ἧς ἦν εἰκὸς θεραπεύεσθαι καὶ τοὺς εἰς πίστιν ἠδικημένους τῶν λαῶν. τέταρτον, ἀλλὰ δὴ καὶ ὁ Ἀκάκιος ἀμοιβαίαν γράφων τῷ Κυρίλλῳ, οὐδεμίαν

μίαν μνείαν ποιεῖται ἰδικὴν τοῦ Πάπα, ἢ τῆς Συνόδου αὐτοῦ, ἀλλὰ διὰ τῶν ἁγίων πατέρων βεβαιοῖ τὴν πίστιν, καὶ τὸν Κύριλλον μυρίοις ἐγκωμίοις καταστέφων παρακαλεῖ καὶ δι' αὐτοῦ καὶ ἐκ μέρους τοῦ Ἀντιοχείας Ἰωάννου, ἵνα ἐπαγωνισθῇ ὑπὲρ τῆς ὀρθοδόξου πίστεως.

ΠΑΡΑ ΓΡΑΦΟΝ Κϛ'.

Ὅτι καὶ ἐκ τῆς πρὸς τὸν Ἱεροσολύμων Ἰουβενάλιον Ἐπιστολῆς τοῦ Κυρίλλου κατὰ Νεστορίου, καὶ τῶν λόγων Ζωναρᾶ, Θεοφάνους καὶ Γεωργίου Κεδρηνοῦ, δείκνυται ἡ τοῦ Ῥώμης μοναρχία, καὶ ἡ ἄθροισις αὐτοῦ τῶν Συνόδων, καὶ ἡ ἐπ' αὐτῶν ἐξουσία σὺν τῷ περὶ τὴν πίστιν ἀναμαρτήτῳ καπνὸς καὶ ἀτμὶς Ἡλίῳ διαλυομένη.

Καὶ ἀπὸ τῆς πρὸς τὸν Ἱεροσολύμων Ἰουβενάλιον Κυρίλλου Ἐπιστολῆς τοῦτο συνάγεται, ὅτι δηλαδὴ ὁ Νεστόριος ἔπεμψεν Ἐπιστολὴν καὶ τετράδια εἰς Ῥώμην, νομίσας τὴν Ἐκκλησίαν Ῥωμαίων συναρπάσαι, καταγνωσθέντος δὲ διὰ τούτων τοῦ Νεστορίου ὡς Αἱρετικοῦ, τοῦ δὲ Ῥώμης Κελεστίνου γράψαντος φανερῶς κατ' αὐτοῦ, καὶ ἀποστείλαντος πρὸς με τὰς Ἐπιστολὰς, δεῖν ᾠήθην ἀποστεῖλαι ταύτας, καὶ ἀκονηθεῖσαν οἴκοθεν εἰς εὐσεβῆ ζῆλον τὴν σὴν θεοσέβειαν διαναστῆσαι διὰ τοῦ γράμματος, ὅπως ἂν ἐκ μιᾶς ψυχῆς καὶ συντόνου προθυμίας τὴν εἰς Χριστὸν ἀγάπην ζωσώμεθα, καὶ σώσωμεν λαοὺς κινδυνεύοντας, καὶ στήσωμεν Ἐκκλησίαν τὴν οὕτω διαφανῆ, σύμφρονες γεγονότες ἑκάστοις ἅπαντες. Καὶ, δεῖ δὲ ἡμᾶς ἀναγκαίως καὶ τῷ φιλοχρίστῳ Βασιλεῖ καὶ ἅπασι δὲ τοῖς ἐντέλει γράψαι καὶ συμβουλεῦσαι μὴ προτιμῆσαι τῆς εἰς Χριστὸν εὐσεβείας ἄνθρωπον, ἀλλὰ χαρίσασθαι τῇ Οἰκουμένῃ τὸ βέβαιον εἰς πίστιν ὀρθὴν, καὶ Ποιμένος ἀπαλλάξαι πονηροῦ τὰ θρέμματα, εἰ μὴ ταῖς τῶν Ἐπισκόπων ἁπάντων εἴκει (ὁ Νεστόριος) συμβουλαῖς. καὶ λοιπὸν σημείωσαι πρῶτον, ὅτι οὐχ ὁ Ῥώμης ἢ ἄλλος τις μόνος, ἀλλὰ κοινῶς οἱ ἔγκριτοι καὶ σοφοὶ τῶν πατέρων ἀναζώνυνται καὶ σώζουσι τοὺς λαοὺς κινδυνεύοντας περὶ τὴν πίστιν, ὅπερ γίνεται ὅτε σύμφρονες γίνονται οὐ τῷ Ῥώμης μόνῳ, ἀλλ' ἑκάστοις ἅπαντες, ὅθεν φησὶν ὁ Ζωναρᾶς, ταῦτα μαθόντες οἱ τῶν Πατριαρχικῶν προεστῶτες θρόνων, ὁ τῆς Ῥώμης Κελεστῖνος, Κύριλλος ὁ Ἀλεξανδρείας, Ἰωάννης ὁ Ἀντιοχείας καὶ Ἰουβενάλιος Ἱεροσολύμων, ἀναφέρουσι πρὸς τὸν ἄνακτα Θεοδόσιον καὶ τὴν Πουλχερίαν, αἰτούμενοι Σύνοδον ἀθροισθῆναι καὶ γυμνασθῆναι τὰ παρὰ Νεστορίου δογματισθέντα. καὶ ὁ Θεοφάνης φησὶ, γνοὺς δὲ ὁ Νεστόριος, ὅτι οὐκ ἀνέχονται οἱ Πατριάρχαι παρασιωπῆσαι οὕτω τεταραγμένων τῶν Ἐκκλησιῶν, παρεσκεύασε τὸν Βασιλέα γράψαι Σάκραν πρὸς Κύριλλον πλήρη στιγμάτων, καὶ δοκῶν ἐκ τούτων κτυπεῖν, μᾶλλον διήγειρε. καὶ διαναστὰς (ὁ Κύριλλος) γράφει τῷ Βασιλεῖ καὶ ταῖς τούτου ἀδελφαῖς ἅμα, αἰτούμενος καὶ Σύνοδον Οἰκουμενικὴν γενέσθαι εἰς τὸ γυμνασθῆναι κανονικῶς τὰ κατὰ Νεστόριον. τότε ὁ Βασιλεὺς Θεοδόσιος γράφει πᾶσι τοῖς ὑπ' αὐτὸν Ἐπισκόποις παραγενέσθαι εἰς Ἔφεσον χωρὶς πάσης ὑπερθέσεως μετὰ τὸ Πάσχα, ὁρίσας ὅτι οὐδεμίαν ἕξει πρὸς Θεὸν οὐδὲ πρὸς ἡμᾶς ἀπολογίαν ὁ μὴ τὴν ἡμέραν τῆς ἁγίας Πεντηκοστῆς εὑρισκόμενος εἰς τὴν ἐν Ἐφέσῳ Σύνοδον. καὶ Γεώργιος ὁ Κεδρηνὸς φησὶ, Κύριλλος δώδεκα κεφάλαια ἐξέθετο δογματικὰ, ἃ Νεστορίῳ ἔπεμψεν ἐν Κωνσταντινουπόλει, ὧν ἐκεῖνος καταφρονήσας, τὴν κατ' αὐτοῦ τρίτην Σύνοδον γενέσθαι παρεσκεύασε. δεύτερον, καὶ ἐκ τούτων γίνεται πασίδηλον, ὅτι οἱ Πατριάρχαι ὀργανικῶς ἀγείρουσι τὰς Οἰκουμενικὰς Συνόδους, ἐν οἷς καὶ ὁ Ῥώμης, καὶ οὐμόνος ὁ Πάπας, ἢ ἐξουσιαστικῶς, ὡς φλυαρεῖ ὁ παπισμός. τρίτον, εἰ ἦν ὁ Ῥώμης κεφαλὴ τῆς Ἐκκλησίας, ἢ βικάριος τοῦ Χριστοῦ, ἢ τοῦ Πέτρου διάδοχος κατά τινα ἰδικὴν ἐν τῇ Ἐκκλησίᾳ ἀναμάρτητον ἐξουσίαν, ἐκεῖνον ἔδει μόνον διορίσαι τὰ περὶ πίστεως, καὶ τὴν ἀπόφασιν αὐτοῦ εἶναι Νόμον ἐν τῇ Ἐκκλησίᾳ, ἐκεῖνον μόνον ἔδει γράψαι εἰς τὸν Βασιλέα καὶ τὰς Βασιλίσσας καὶ εἰς τοὺς ἐντέλει, ἀλλ' ἐπειδὴ διδάσκει τὸν Πάπαν ὁ Κύριλλος, καὶ παρακινεῖται ὁ Κύριλλος ὑπὸ τοῦ Πάπα πρὸς καταστροφὴν τοῦ Ἀλάστορος, γράφει καὶ εἰς τοὺς λοιποὺς Πατριάρχας ὁ Πάπας, καὶ εἰς Ῥοῦφον τὸν Θεσσαλονίκης τὰ αὐτὰ, γράφει ὁ Λεγᾶτος τοῦ Πάπα καὶ αὐτὸς Πάπας Ἀλεξανδρείας Κύριλλος καὶ εἰς Πατριάρχας καὶ εἰς ἄλλους Ἐπισκόπους γενέσθαι ὁμοψύχους καὶ ὁμοκαρδίους κατὰ τοῦ Αἱρετικοῦ, καὶ γράψαι καὶ πρὸς τὸν Βασιλέα, καὶ πρὸς τοὺς ἐντέλει ὁμοῦ, γράφουσιν οἱ Πατριάρχαι εἰς τὸν Βασιλέα, καὶ τὰς ἀδελφὰς αὐτοῦ, καὶ ταῦτα πάντα ἵνα ἀπαλλάξωσι πονηροῦ Ποιμένος τὰ θρέμματα, ἤτοι τοῦ Νεστορίου τὴν Κωνσταντινούπολιν, καὶ οὐκ ἐὰν μὴ πείθηται τῷ Ῥώμης, ἀλλ' ἐὰν μὴ εἴκῃ ἤτοι ἐὰν μὴ ὑποτάσσηται ταῖς βουλαῖς πάντων τῶν Ἐπισκόπων. ἐν τούτοις εἰρείσθω καὶ ὅπερ λέγει ὁ Ἀντιοχείας τῷ Νεστορίῳ, ἡ γὰρ Δύσις καὶ Αἴγυπτος καὶ Μακεδονία ἔκρινον ἀπορραγῆναι τῆς ἑνώσεώς σου. οὐ λέγει τὴν Δύσιν μόνον, ἢ μόνον τὸν Πάπαν, ἀλλὰ Δύσιν, Αἴγυπτον καὶ Μακεδονίαν ἰσοτίμως. τούτων οὕτως ἐχόντων, φαίνεται ὅτι ἡ τοῦ Πάπα Ῥώμης καινοτομηθεῖσα μοναρχία, καὶ ἡ ἐπὶ τῶν Συνόδων ἄθροισις καὶ ἐξουσία, καὶ τὸ ἀναμάρτητον περὶ τὴν πίστιν καπνός εἰσι, καὶ ἀτμὶς ὀλίγη, ἥτις Ἡλίου ἀνατέλλοντος ἀφανίζεται, ὁσάκις γὰρ λέγεται παρὰ τῶν παπιστῶν, τοσαυτάκις παρὰ τῶν ὀρθοδόξων καταφρονεῖται.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΚΖ'.

Ὅτι καὶ ἀπὸ τῆς πρὸς Νεστόριον συνοδικῆς ἐπιστολῆς τοῦ Κυρίλλου, δείκνυται εἶναι τὸ ἄκρον ἀξίωμα, καὶ ἔσχατον καὶ ἀναμάρτητον κριτήριον τῆς Ἐκκλησίας τὴν κοινότητα, τὸ δὲ ἐκβάλλειν καὶ βάλλειν Πατριάρχας τὸν Ῥώμης, φλυαρία.

Καὶ ἀπὸ τῆς συνοδικῆς ἐπιστολῆς τοῦ Κυρίλλου πρὸς Νεστόριον τοῦτο παρίσταται, καὶ πρῶτον, ὅτι φησὶ πρὸς αὐτὸν, ἰδοὺ τείνυν ἅμα τῇ Συνόδῳ τῇ κατὰ τὴν μεγάλην Ῥώμην συνειλεγμένῃ, προεδρεύοντος τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Κελεστίνου τοῦ Ἐπισκόπου, καὶ τρίτῳ σοι τούτῳ διαμαρτυρόμεθα γράμματι, συμβουλεύοντες ἀποσχέσθαι μὲν οὕτω σκαιῶν καὶ διεστραμμένων δογμάτων. καὶ σημείωσαι ὅτι οὐκ ἀρκεῖ ἡ Ῥωμαϊκὴ Σύνοδος, ἀλλὰ προστίθεται καὶ ἡ Αἰγυπτιακὴ, ὥστε οὐδὲν δύναται μόνη ἡ Ῥωμαϊκὴ, καὶ ὅτι καὶ ἡ Ῥωμαϊκὴ καὶ ἡ Αἰγυπτιακὴ αἱ Σύνοδοι τῆς μὲν κοινωνίας Νεστορίου ἀπέχειν ἠδυνήθησαν, καθαιρῆσαι δὲ αὐτὸν, καὶ ἄλλον Ἐπίσκοπον χειροτονῆσαι ἐν Κωνσταντινουπόλει, οὐδαμῶς. καὶ πῦ λοιπὸν ἡ φλυαρία ὅτι ὁ Πάπας βάλλει καὶ ἐκβάλλει Πατριάρχας; δεύτερον, ὅτι γράφει αὐτῷ, φρονήσεις καὶ διδάξεις ἃ καὶ ἡμεῖς πάντες οἵτε κατὰ τὴν Ἑσπέραν καὶ τὴν Ἑῴαν Ἐπίσκοποι, καὶ Διδάσκαλοι, καὶ λαῶν Ἡγούμενοι. Καὶ, αὕτη γάρ ἐστιν ἡ καθολικὴ πίστις, ᾗ συναινοῦσιν ἅπαντες οἵτε κατὰ τὴν Ἑσπέραν καὶ τὴν Ἑῴαν ὀρθόδοξοι Ἐπίσκοποι. καὶ σημείωσαι, ὅτι οὐκ ἀρκετὴ μόνη ἡ τοῦ Κυρίλλου ἐπιστολὴ, ἢ τοῦ Ῥώμης ἡ Σύνοδος, ἀλλὰ χρεία τῆς ἐξίσου συναινέσεως τῶν ἁπανταχοῦ ὀρθοδόξων Ἐπισκόπων καὶ Διδασκάλων καὶ Ἡγουμένων τῶν λαῶν, ὥστε ἡ κοινότης τῆς Ἐκκλησίας ἐστὶ τὸ ἐν αὐτῇ ἄκρον ἀξίωμα καὶ ἔσχατον καὶ ἀναμάρτητον κριτήριον, διὸ καὶ τὰ μερικὰ γράμματα καὶ αἱ μερικαὶ Σύνοδοι Ῥώμης καὶ Αἰγύπτου καὶ τῶν λοιπῶν οὐδὲν ἐτελείωσαν, ἕως οὗ ἀθροισθεῖσα ἡ παροῦσα οἰκουμενικὴ Σύνοδος πέρας ἔθηκε τοῖς πράγμασι.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΗ'.

Περὶ τῆς αἰτίας, δι' ἣν ὁ Κύριλλος οὐκ ἐποίησε πρῶτος τὴν πρὸς Νεστόριον ἀκοινωνησίαν, καὶ περὶ τῶν συνοδικῶν Κελεστίνου Ῥώμης καὶ αὐτοῦ Κυρίλλου Ἀλεξανδρείας, καὶ τῶν Νεστορίου τετραδίων τῶν κριθέντων προσταγῇ τοῦ Βασιλέως Θεοδοσίου ὑπὸ τῆς ἀθροισθείσης Οἰκουμενικῆς Συνόδου, καὶ πρὸ τῆς Συνόδου μηδὲν ἐνεργῆσαι ἰσχυσάντων, πλὴν τοῦ θορύβου, ἐξ ὧν συνάγεται τὸν Ῥώμης κρίνεσθαι ὑπὸ τῆς Συνόδου καὶ ὑπ' αὐτὴν εἶναι, ἀλλὰ μὴ μονάρχην τῆς καθόλου Ἐκκλησίας, μήτε ἀθροιστὴν τῶν Συνόδων.

Καὶ ἀπὸ τῆς Σάκρας τῶν Βασιλέων πρὸς τὸν ἅγιον Κύριλλον φαίνεται φανερῶς ὅπερ ἐλέγομεν, ἤγουν διατὶ ὁ Κύριλλος οὐκ ἐποίησε πρῶτος τὴν πρὸς Νεστόριον ἀκοινωνησίαν, καὶ ὅτι οὐκ ἐποίησε δι' ἃς εἴπομεν αἰτίας, καὶ μάλιστα διὰ τὰς πρὸς αὐτὸν μέμψεις καὶ ἀγανακτήσεις τοῦ Βασιλέως Θεοδοσίου, ἐπειδὴ γὰρ καὶ εἰς ἄλλους καὶ πρὸς Νεστόριον καὶ πρὸς τὸν Βασιλέα καὶ τὰς Βασιλίσσας ἔγραψεν ἀγωνιστικῶς κατὰ τῆς Αἱρέσεως, ὁ Βασιλεὺς ἐνόμισε τοῦτο ὕβριν, καὶ εἰ καὶ εἰς τὴν ἀρχὴν ἐσιώπησεν, ἐλθόντων ὅμως τῶν ἀπὸ Ῥώμης καὶ Αἰγύπτου καὶ Ἀντιοχείας συνοδικῶν πρὸς τὸν Νεστόριον καὶ τὸν Κλῆρον Κωνσταντινουπόλεως, καὶ γραψάντων καὶ τῶν Πατριαρχῶν πρὸς ἀλλήλους, ἔδειξεν ὁ Βασιλεὺς τὰς μέμψεις ἃς εἶχε πρὸς τὸν Κύριλλον, διὸ λέγει αὐτῷ, νῦν οὖν ἡ σὴ θεοσέβεια διδαξάτω τὶ δήποτε ἡμῶν, οἷς τοσοῦτον οἶσθα μέλειν εὐσεβείας, ὑπεριδὼν, καὶ τῶν ἁπανταχοῦ Ἱερέων, οὓς συλλεγέντας εἶναι ἄμεινον λύσαι τὴν ἀμφισβήτησιν, ταραχὴν τόγε ἐπὶ σαυτῷ καὶ ταῖς Ἐκκλησίαις ἐμβέβληκας; καὶ κατωτέρω, καὶ θαυμαστὸν οὐδὲν ἐν τούτοις τὸ μέτρον ἐκβεβηκότα, μὴ μέχρι τῶν Ἐκκλησιῶν καὶ τῶν Ἱερέων στῆσαι τὴν ἐπιχείρησιν, ἀλλὰ καὶ περὶ ἡμῶν αὐτῶν πιστεῦσαί τι τῆς ἡμετέρας εὐσεβείας ἀνάξια, ἢ τίνα εἶχε λόγον ἕτερα μὲν πρὸς ἡμᾶς καὶ τὴν Αὐγοῦσαν Εὐδοκίαν τὴν ἐμὴν σύμβιον ἐπιστέλλειν, ἕτερα δὲ πρὸς τὴν ἐμὴν ἀδελφὴν Αὐγοῦσαν Πουλχερίαν; ἐν τούτοις σημείωσαι, ὅτι τῆς Ῥωμαίων Συνόδου καὶ τοῦ Ἀντιοχείας καὶ τοῦ Βερρείας γραψάντων σὺν Κυρίλλῳ πρὸς Κωνσταντινούπολιν, ὁ Κύριλλος μόνος ὑπὸ μέμψιν γίνεται, ἐπειδὴ τούτων πάντων αἴτιος ἐνομίζετο ὑπὸ τοῦ Βασιλέως. τί οὖν εἶχε παθεῖν, εἰ πρῶτος ἔγραφε περὶ ἀκοινωνησίας τοῦ Νεστορίου; σημείωσαι ὅμως δεύτερον, πῶς ὁ Βασιλεὺς καταφρονῶν τῶν συνοδικῶν γραμμάτων, τῆς τε Ῥώμης καὶ Ἀλεξανδρείας, τῶν ἁπανταχοῦ Ἐπισκόπων τὴν συλλογὴν πρὸς κρίσιν ἐπιζητεῖ τῆς Αἱρέσεως καὶ τοῦ ὀρθοῦ φανέρωσιν δόγματος. καὶ λοιπῶν ἐπειδὴ ἐκ τῶν συνοδικῶν τῶν Δυτικῶν Ἐπισκόπων ἐν οἷς καὶ ὁ Ῥώμης, καὶ τῶν Αἰγυπτίων ἐν οἷς καὶ ὁ Κύριλλος οὐδὲν διωρθώθη, ἀλλὰ μόνον ταραχὴ γέγονεν εἰς τὰς Ἐκκλησίας καὶ εἰς τὰς πόλεις, ὁ Βασιλεὺς Σύνοδον Οἰκουμενικὴν ὥρισε συνελθεῖν πρὸς σκέψιν καὶ διάκρισιν τῶν ἀμφιβαλλομένων, ἤτοι τῶν συνοδικῶν Ῥώμης καὶ Ἀλεξανδρείας, καὶ τῶν τετραδίων τοῦ Νεστορίου, καὶ δὴ καὶ τῶν ἐπιστολῶν ἃς ἔστειλεν ὁ Κύριλλος εἰς Ῥώμην καὶ Ἀλεξάνδρειαν, καὶ τοῦ τύπου τοῦ Κελεστίνου. καίτοι δὲ μεμφόμενος ὁ Βασιλεὺς τὸν Κύριλλον

ὡς

ὡς ταραχώδη, ὅμως προσκαλεῖται αὐτὸν εἰς τὴν Σύνοδον, καὶ τὸ αἴτιον δῆλον ἐξ ὧν γράφει αὐτῷ ἐν τῇ αὐτῇ Σάκρᾳ, λέγει γὰρ, καὶ δεδόσθαι τῇ σῇ θεοσεβείᾳ συγγνώμη, ὡς ἂν μὴ πρόφασις εἴη, μηδὲ λέγειν δύναιο διὰ τοὺς ὑπὲρ εὐσεβείας ἐγκεκλῆσθαι λόγους, γυμνασθῆναι γὰρ τούτους ἐπὶ τῆς ἱερᾶς Συνόδου βουλόμεθα, καὶ κρατεῖν ὡς ἂν καλῶς ἔχειν δόξειεν, εἴτε μεταλαμβάνοιεν συγγνώμης, εἴτε καὶ μὴ, παρὰ τῶν πατέρων ἐκνικηθέντες. ἡμεῖς μέντοιγε συνταράσσεσθαι τὰς πόλεις καὶ τὰς Ἐκκλησίας οὐκ ἀνεχόμεθα, οὔτε μὴν ἀνεξετάστως εἶναι τοὺς λόγους, ὧν κριτὰς προκαθίσαι δεῖ τοὺς τῆς ἁπανταχοῦ προεστῶτας Ἱερωσύνης, καὶ δι' ὧν ἡμεῖς ἐγκρατέστεροι τῆς ἀληθινῆς δόξης ἐσμέν τε, καὶ ἐσόμεθα. καὶ σημείωσαι, ὅτι οὐδὲν ἄλλο ἴσχυσαν τὰ συνοδικὰ Ῥώμης καὶ Ἀλεξανδρείας, εἰ μὴ μόνον ταραχὴν ἐποίησαν εἰς τὰς Ἐκκλησίας καὶ εἰς τὰς πόλεις. οὐδεμία γὰρ μνήμη τοῦ Ῥώμης, ἀλλ' οἱ λόγοι Κυρίλλου, ἐν οἷς καὶ οἱ Κελεστίνου, καὶ οἱ λόγοι Νεστορίου γέγονεν ἀπόφασις ἵνα γυμνασθῶσιν ἐπὶ Οἰκουμενικῆς Συνόδου, καὶ ἰδοὺ δὴ κρίνεται καὶ ὁ Ῥώμης. ὥστε φλυαρία προφανὴς τὸ, ὁ πρῶτος θρόνος οὐκρίνεται. ὅτι κριταὶ τῶν λόγων Κελεστίνου Κυρίλλου καὶ Νεστορίου προκαθέζονται οἱ ἁπανταχοῦ προεστῶτες τῶν Ἐκκλησιῶν, καὶ ποῦ λοιπὸν τὸ τῶν παπιστῶν, ὅτι ὁ Ῥώμης πρῶτος ἢ ἔσχατος κριτής; ποῦ ὅτι ὁ Ῥώμης μόνος κριτὴς τῶν Αἱρέσεων; ποῦ ὅτι ὁ Ῥώμης μόνος κριτής; ἐπειδὴ βλέπομεν καὶ πολλοὶ κρίνουσι. Σημείωσαι ἔτι, ὅτι διὰ τῆς κρίσεως καὶ ἐξετάσεως τῶν προεστώτων, οὐ Ῥώμης καὶ Ἀλεξανδρείας, ἀλλὰ τῶν ἁπανταχοῦ Ἐκκλησιῶν ἐγκρατέστεροι τῆς ἀληθινῆς δόξης γίνονται οἱ ὀρθόδοξοι, καὶ ποῦ ἡ φλυαρία τῆς ἐν Φλωρεντείᾳ Συνόδου, ὅτι ἰδικῶς ὁ Ῥώμης πάντων τῶν χριστιανῶν Διδάσκαλός ἐστι; Σημείωσαι εἰς τὴν δεύτεραν Σάκραν πρὸς Κύριλλον, πῶς μονώτατος ὁ Βασιλεὺς ἀθροίζει τὴν Σύνοδον, διορίζει τὸν τόπον, καὶ τὸν καιρὸν τῆς ἀθροίσεως, καὶ λοιπὸν προφανέστατος λῆρος ὅτι ὁ Πάπας ἀγείρει τὰς Οἰκουμενικὰς Συνόδους, καὶ διορίζει καὶ τὴν προθεσμίαν τῆς ἀθροίσεως. ἀναιδέστατον τὸ, ὁ Πάπας ἐπὶ τῶν Συνόδων, καὶ αἱ λοιπαὶ τῶν παπιστῶν περὶ μοναρχίας τοῦ Ῥώμης ψευδολογίαι. οὐκοῦν ἀκουέτω ὁ Πάπας παρὰ παντὸς ἀγαπωντος τὸν Χριστὸν, σκληρόνσοι πρὸς κέντρα λακτίζειν ὦ Πάπα, καὶ ζητεῖν ἔχειν ἐν τῇ Ἐκκλησίᾳ μοναρχικὸν ἀξίωμα.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΘ'.

Περὶ τῶν λαληθέντων, ἀναγνωσθέντων καὶ πραχθέντων ἐν τῇ πρώτῃ πράξει τῆς τρίτης Οἰκουμενικῆς Συνόδου κατὰ Νεστορίου, ἐξ ὧν δείκνυται ἀριδηλότατα κρίνεσθαι τὸν Ῥώμης καὶ τοὺς λοιποὺς Πατριάρχας ὑπὸ τῶν Συνόδων, ὧν ἀθροιστὴς οὐχ ὁ Ῥώμης, ἀλλ' οἱ Βασιλεῖς, τὸν δὲ Ῥώμης εἶναι οὔτε κριτὴν Αἱρέσεων, οὔτε τῆς καθόλου Ἐκκλησίας Διδάσκαλον, οὔτε ἀναμάρτητον, οὔτε βεβαιωτὴν τῆς πίστεως, ἢ τὴν Ἐκκλησίαν κανονίζοντα, ἢ τῶν Συνόδων, ἢ τῶν πατέρων ἐν ταῖς ἐκκλησιαστικαῖς ὑποθέσεσιν ὑπερέχοντα, ἢ ἰδικὸν, ἢ μοναρχικὸν ἀξίωμα ἔχοντα, ἢ ἐπὶ τῶν Πατριαρχῶν καὶ Βασιλέων ὑπάρχοντα, ἀλλ' ὑπὸ τὰς Συνόδους καὶ μερικὸν Ἐπίσκοπον.

Ἐν τῇ πρώτῃ πράξει θεωρητέον πρῶτον, ὅτι Πέτρος Πρεσβύτερος καὶ Πριμμικήριος Ἀλεξανδρείας εἶπε πρὸς τὴν Σύνοδον, παρενεχθεισῶν ἀπὸ Κωνσταντινουπόλεως εἰς Αἴγυπτον παρά τινων ἐξηγήσεων ἐκ ταρασσουσῶν τοὺς ἀκούοντας, ὁ Κύριλλος ἔγραψε δὶς νουθετῶν καὶ συμβουλεύων τὸν Νεστόριον πρὸς διόρθωσιν, ὁ δὲ ἠναντιεῖτο. εἶτα μαθὼν ὁ Κύριλλος ὅτι ὁ Νεστόριος ἔγραψε καὶ εἰς Ῥώμην, καὶ ἔπεμψε καὶ βιβλία τῶν ἐξηγήσεων αὐτοῦ, ἔγραψε καὶ αὐτὸς πρὸς τὸν Ῥώμης Κελεστῖνον, καὶ ἐνετείλατο τῷ Ποσειδονίῳ, ὃν ἔπεμψε μετὰ τῶν γραμμάτων εἰπὼν, εἰ ἐδόθησαν τὰ χαρτία ἅπερ ἔπεμψεν ἐκεῖ ὁ Νεστόριος, ἀπόδος καὶ τὰ παρ' ἐμοῦ γράμματα, εἰ δὲ μὴ, ἀνάγαγε ταῦτα ἐνταῦθα. εὑρὼν δὲ ἀποδοθέντα, ἀπέδωκε καὶ αὐτὸς τὰ τοῦ Κυρίλλου, καὶ γέγραπται τὰ εἰκότα παρὰ τοῦ Κελεστίνου, τύπον φανερὸν περιέχοντα. ἐπειδὴ δὲ ἐκβασιλικοῦ θείου νεύματος ἡ ἁγία ἡμῶν συγκεκρότηται Σύνοδος, ἀναδιδάσκομεν ἀναγκαίως, ὅτι δὴ τοὺς ἐπὶ τούτοις χάρτας μετὰ χεῖρας ἔχομεν πρὸς τὸ παριστάμενον τῇ ἡμῶν θεοσεβείᾳ. ταῦτα ὁ Πέτρος. ἐν οἷς σημείωσαι, ὅτι οἱ χάρται ἦσαν αἱ ἐπιστολαὶ Κυρίλλου πρὸς Νεστόριον, καὶ ὁ συνοδικὸς τύπος τοῦ Κελεστίνου, καὶ τὰ γράμματα Νεστορίου πρὸς Κύριλλον καὶ Κελεστῖνον, καὶ τὰ βιβλία τῶν ἐξηγήσεων αὐτοῦ. καὶ συγκεκρότηται ἐκβασιλικοῦ νεύματος Σύνοδος Οἰκουμενικὴ, ἵνα κρίνῃ καὶ διαλύσῃ τὰ ἀμφιβαλλόμενα, ἤτοι τὰ εἰρημένα γράμματα Κυρίλλου, Κελεστίνου καὶ Νεστορίου, εἰ δὲ ταῦτα, γνῶθι ἄρα ὅτι οὐδὲν ἴσχυσαν τὰ γράμματα Κυρίλλου καὶ Κελεστίνου μόνα πρὸς διάκρισιν τῶν ἀμφιβαλλομένων, καὶ ὅτι καὶ τὰ Κελεστίνου καὶ Κυρίλλου ἦσαν ἀμφιβαλλόμενα. ὅθεν ἐξετάζεται καὶ κρίνεται καὶ ἡ τοῦ Ῥώμης ἀπόφασις, καὶ λοιπὸν παράνομον τὸ τῶν παπιστῶν ὅτι ὁ πρῶτος θρόνος οὐκρίνεται, καὶ ὅτι οἱ Πάπαι ἀγείρουσι τὰς Οἰκουμενικὰς Συνόδους, ἐπειδὴ οἱ Αὐτοκράτορες ἀγείρουσιν αὐτάς. δεύτερον ὅτι θέλοντες οἱ πατέρες ἄρξασθαι θεωρῆσαι τὰ περὶ πίστεως, καὶ μὴ παραγενομένου ἔτι τοῦ Ἀντιοχείας Ἰωάννου, οὐζητοῦσι τὸ πρακτέον ἀπὸ τοῦ Κυρίλλου ἢ τοῦ Πάπα, ἀλλ' ἀπὸ τοῦ βασιλικοῦ γράμματος. καὶ δὴ προκατάρχων ὁ Ἱεροσολύμων, ἐζήτησεν ἀναγνωσθῆναι

γνωσθῆναι τὸ βασιλικὸν γράμμα τῷ Κυρίλλῳ καὶ τοῖς ἁπανταχοῦ προεστῶσι τῶν Ἐκκλησιῶν πεμφθὲν, καὶ ἀνεγνώσθη. ἐλέγετο δὲ ἐν αὐτῷ, ἵνα μετὰ τὸ ἐπιὸν ἅγιον Πάσχα εἰς τὴν Ἐφεσίων τῆς Ἀσίας παραγενέσθαι κατ' αὐτὴν τὴν τῆς Ἁγίας Πεντηκοστῆς ἡμέραν. εἶτα ἐρωτηθεὶς παρὰ Φίρμου Καισαρείας ὁ Ἐφέσου Μέμνων, πόσος ἀριθμὸς ἐξῆκε μετὰ τὴν ἄφιξιν ἡμῶν; ἀποκριθεὶς εἶπεν, ἀπὸ τῆς ὡρισμένης ἡμέρας ἐν τῷ εὐσεβεῖ γράμματι παρῆλθον ἡμέραι δεκαέξ. καὶ οὕτως εἰπόντος τοῦ Κυρίλλου ὅτι καὶ ἄλλο βασιλικὸν γράμμά ἐστι τὸ προστάττον τὰ τῆς πίστεως ἐρευνᾶσθαι καὶ τυποῦσθαι δίχα πάσης ἀναβολῆς, ἤρξαντο οἱ πατέρες θεωρεῖν. καὶ σημείωσαι πῶς ὁ Κύριλλος ὁ τοῦ Πάπα Ῥώμης Τοποτηρητὴς οὐκ εἶπεν ὁριστικῶς ἵνα θεωρηθῇ τὰ περὶ πίστεως ἀπόντος τοῦ Ἀντιοχείας, ἀλλ' ἐγένετο ἡ περὶ τοῦ πραττομένου σκέψις ἀπὸ τῶν βασιλικῶν γραμμάτων, ὥστε καὶ ὁ τόπος τῆς ἀθροίσεως τῶν Οἰκουμενικῶν Συνόδων, καὶ ὁ καιρὸς, ἤτοι ἡ προθεσμία τῆς ἀθροίσεως καὶ προκατάρξεως αὐτῶν ὑπὸ τῶν Βασιλέων ἐγένετο. ὥστε ψιλὸν προσρημάτιον τὸ τῶν παπιστῶν, ὅτι ὁ Πάπας ταῖς Οἰκουμενικαῖς Συνόδοις τὴν τοιαύτην προθεσμίαν παρέχει. τρίτον, κληθέντος τοῦ Νεστορίου ὑπὸ τῆς Συνόδου, καὶ μὴ ἐλθόντος, εἶπεν ὁ Ἱεροσολύμων ἵνα θεωρηθῇ τὰ περὶ πίστεως, ἀναγινωσκέσθω δὲ ἐν πρώτοις ἡ ἐκτεθεῖσα πίστις παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων, ὥστε ταύτῃ τῇ ἐκθέσει παραβαλλομένων τῶν περὶ τῆς πίστεως λόγων, τοὺς μὲν συμφωνοῦντας βεβαιωθῆναι, τοὺς δὲ μὴ συμφωνοῦντας ἐκβληθῆναι, καὶ ἀνεγνώσθη. εἶτα ἀναγνωσθείσης καὶ τῆς τοῦ Κυρίλλου πρὸς Νεστόριον δευτέρας ἐπιστολῆς, εἶπεν ὁ Κύριλλος πρὸς τοὺς πατέρας, παρακαλῶ τὴν ὑμετέραν ὁσιότητα εἰπεῖν, πότερόν ποτε, ὀρθῶς καὶ ἀνεπιλήπτως καὶ συμφώνως τῇ ἁγίᾳ ἐκείνῃ Συνόδῳ (ἤτοι τῇ ἐν Νικαίᾳ πρώτῃ) τὰ τοιαῦτα γέγραπται, ἢ μή; ἀποκριθεὶς δὲ πρῶτος ὁ Ἱεροσολύμων εἶπεν, ὅτι σύμφωνα εὕρηνται, καὶ τούτοις τοῖς εὐσεβέσι γράμμασι συντίθεμαι καὶ συναινῶ, καὶ καθεξῆς πάντες οἱ πατέρες εἶπον τὰ αὐτά. καὶ λοιπὸν σημείωσαι πῶς τὸν Κύριλλον ἡ Οἰκουμενικὴ Σύνοδος κρίνει, πῶς τὸν Τοποτηρητὴν τοῦ Πάπα ἡ Σύνοδος κρίνει. πῶς τοῦ Πάπα οὐδεμία μνήμη γίνεται, ἢ τοῦ τύπου αὐτοῦ, ἀλλ' ἡ Σύνοδος ἀπ' ἀρχῆς ἐξουσιαστικῶς ἐξ ἰδίας αὐθεντίας ἔκρινε τὴν ἐπιστολὴν τοῦ Κυρίλλου, καὶ διέκρινε ποία ἐστὶν ἡ ὀρθόδοξος πίστις, καὶ πῶς λοιπὸν τὸ τῶν παπιστῶν, ὅτι ὁ Πάπας ἔσχατός ἐστι κριτὴς, ἢ κριτὴς τῶν Αἱρέσεων, ἢ καθόλου τῆς Ἐκκλησίας Διδάσκαλος, ἢ Διδάσκαλος ἀναμάρτητος; τέταρτον, ἐν ταύταις ταῖς συγκαταθέσεσι τῶν πατέρων ὁ Μελιτηνῆς Ἀκάκιος εἶπε, τὰ αὐτὰ φρονεῖν ὁμολογῶ ἄνωθεν καὶ ἐξ ἀρχῆς τὴν Ἐκκλησίαν, καὶ τὸ αὐτὸ ἔχειν φρόνημα καὶ ἀπὸ τῶν πονημάτων τῶν ἁγίων πατέρων, καὶ ἀπὸ τῶν ἁγίων γραφῶν, καὶ ἀπὸ τῶν παραδόσεων τῆς πίστεως ἐπίσταμαι. καὶ σημείωσαι, ὅτι ἀπὸ τῆς γραφῆς καὶ τῶν πατέρων καὶ τῶν παραδόσεων βεβαιοῦται ἡ πίστις, οὐκ ἀπὸ τῶν ἐξηγήσεων καὶ διορισμῶν τῶν Ἐπισκόπων τῆς Ῥώμης. πέμπτον, Ἡσύχιος Ἐπίσκοπος Ἐρυθρῶν πόλεως εἶπε, πεισθεὶς ὄψεσι καὶ ἀποδείξεσι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, τῶν τε Μητροπολιτῶν τῶν ἀπὸ Διαφόρων Ἐπαρχιῶν, καὶ τῇ ἐπιστολῇ πρὸς Νεστόριον παρὰ Κυρίλλου, ὁμολογῶ καὶ πιστεύω. καὶ σημείωσαι, ὅτι τῇ Συνόδῳ καὶ τοῖς Μητροπολίταις, ἤτοι τῇ κοινότητι τῆς καθολικῆς Ἐκκλησίας δεῖ πείθεσθαι πρὸς ὀρθῆς πίστεως ὁμολογίαν, καὶ οὐ τῷ Πάπᾳ. ἕκτον, κριθείσης τῆς ἐπιστολῆς Κυρίλλου, καὶ ὀρθοδόξου αὐτοῦ ἀναφανέντος, κρίνεται λοιπὸν καὶ ἡ Νεστορίου πρὸς Κύριλλον ἐπιστολὴ, ταὐτὸν εἰπεῖν ὁ Νεστόριος. ἀναγνωσθείσης γὰρ αὐτῆς ἐπὶ τῆς Συνόδου, εἶπεν ὁ Κύριλλος, τὶ δοκεῖ ταύτῃ τῇ ἁγίᾳ καὶ μεγάλῃ Συνόδῳ περὶ τῆς ἐπιστολῆς Νεστορίου, ἆρα καὶ αὕτη σύμφωνός ἐστι τῇ ὁρισθείσῃ πίστει παρὰ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων; καὶ ἀποκριθεὶς ὁ Ἱεροσολύμων εἶπεν, ἀλλότρια ταῦτα πάντα τυγχάνει τῆς ὀρθοδόξου πίστεως, καὶ καθεξῆς πάντες οἱ πατέρες οὕτως εἶπον, καὶ τέλος ἀνεθεμάτισαν αὐτὸν, καὶ τὰ συγγράμματα αὐτοῦ. καὶ λοιπὸν σημείωσαι, ὅτι αἱ Οἰκουμενικαὶ Σύνοδοι κριταὶ τῶν Αἱρέσεων, οὐχ ὁ τῆς Ῥώμης Πάπας ὡς νομίζουσιν οἱ παπισταί. ἕβδομον, προτροπῇ τοῦ Ἱεροσολύμων ἀναγνωσθείσης τῆς τοῦ Πάπα Κελεστίνου πρὸς Νεστόριον ἐπιστολῆς περὶ πίστεως, ὁ Πριμμικήριος Πέτρος εἶπε, τούτοις τοῖς ἀναγνωσθεῖσι σύμφωνα γέγραφεν ἡ ἁγιότης Κυρίλλου, ἀποκριθεὶς δὲ Φλαυϊανὸς Φιλίππων εἶπεν, ἀναγνωσθέντα καὶ ταῦτα ἐμφερέσθω τοῖς πραττομένοις. καὶ δὴ ἀναγνωσθείσης καὶ τῆς Κυρίλλου πρὸς Νεστόριον συνοδικῆς ἐπιστολῆς, ὁ αὐτὸς Πέτρος εἶπεν, οὐμόνον τὰ ἀποσταλέντα παρὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, ἀπέσταλται καὶ ἀποδέδοται τῷ Νεστορίῳ, ἀλλὰ καὶ τὰ ἐπισταλέντα παρὰ τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου τῆς Ἀλεξανδρέων Ἐκκλησίας Κυρίλλου διὰ τεσσάρων Ἐπισκόπων. καὶ σημείωσαι, ὅτι ἐξίσου καὶ ἰσοτίμως ἀναγινώσκονται αἱ συνοδικαὶ ἐπιστολαὶ Κυρίλλου καὶ Κελεστίνου, καὶ ἐξίσου τάττονται ἐν τοῖς πραττομένοις, καὶ ἐξίσου δέδονται τῷ Νεστορίῳ καὶ ἐν πᾶσιν ὁμοτίμως ἐγένοντο οἱ περὶ αὐτὸν λόγοι., καὶ λοιπὸν πῶς τὸ τῶν παπιστῶν, ὅτι ὁ Ῥώμης κανονίζει τὴν Ἐκκλησίαν, καὶ αἱ ἀποφάσεις αὐτοῦ ἀνώτεραι πάντων τῶν Ἐπισκοπικῶν ἀποφάσεων, καὶ μόναι ἱκαναὶ πρὸς βεβαίωσιν πίστεως; πῶς, ὅτι ἡ ἐν Ῥώμῃ διαδοχὴ αὐτοῦ ἔχει ὑπεροχὴν ἐξουσίας ἐν τῇ Ἐκκλησίᾳ; σημείωσαι, ὅτι ὁ μὲν Κελεστῖνος λέγεται Ἐπίσκοπος τῆς Ῥωμαίων, ὁ δὲ Κύριλλος τῆς Ἀλεξανδρέων, καὶ γνῶθι ὅτι ὡς ὁ Ἀλεξανδρέων μόνης τῆς Ἀλεξανδρείας ἐστὶν Ἐπίσκοπος, οὕτω καὶ ὁ Ῥωμαίων μόνης τῆς Ῥώμης, καὶ οὐχὶ πάσης τῆς Οἰκουμένης. ὄγδοον, ἀνεγνώσθησαν αἱ τοῦ Κελεστίνου καὶ

καὶ τοῦ Κυρίλλου ἐπιστολαὶ, ἀλλ' οὐκ ἠρκέσθη ἡ Σύνοδος ἐν ταῖς τοῦ Πάπα Ῥώμης καὶ τοῦ Πάπα Ἀλεξανδρείας ἐπιστολαῖς, καὶ ταῦτα συνοδικαῖς, ἀλλ' ἐζήτησε καὶ ἀνεγνώσθησαν χρήσεις τῶν ἁγίων πατέρων περὶ ἧς εἶχον περὶ τοῦ προκειμένου δόξης, Πέτρου καὶ Ἀθανασίου καὶ Θεοφίλου Ἀλεξανδρείας, Ἰουλίου καὶ Φίληκος Ῥώμης, Κυπριανοῦ, Ἀμβροσίου, Γρηγορίου τοῦ μεγάλου τοῦ Ναζιανζηνοῦ, Βασιλείου, Νύσσης καὶ Ἀμφιλοχίου. καὶ γνῶθι, ὅτι προτιμῶνται καὶ τοῦ Πάπα καὶ τῶν Πατριαρχῶν ἐν τοῖς περὶ πίστεως οἱ ἅγιοι πατέρες, προτάττονται τῶν Ἐπισκόπων Ῥώμης οἱ Ἐπίσκοποι Ἀλεξανδρείας. καὶ σημείωσαι, ὅτι ἀδρανές ἐστιν ἐνύπνιον τὸ τῶν παπιστῶν, ὅτι ὁ Πάπας ὑπερέχει ἐν ταῖς ἐκκλησιαστικαῖς ἀποφάσεσι καὶ τῶν Συνόδων καὶ τῶν ἁγίων πατέρων. ἔνατον, τῆς ἐπιστολῆς Καπραιόλου Καρθαγένης, ἣν ἔπεμψε διὰ Βεσούλα Διακόνου, ἀναγνωσθείσης ἐπὶ τῆς Συνόδου, Κύριλλος Ἀλεξανδρείας εἶπε, καὶ ἡ ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ Καρθαγένης ἐμφερέσθω τῇ πίστει τῶν ὑπομνημάτων, φανερὰν ἔχουσα διάνοιαν, βούλεται γὰρ τὰ μὲν ἀρχαῖα τῆς πίστεως κρατύνεσθαι δόγματα, τὰ δὲ νεαρὰ καὶ ἀτόπως ἐξευρημένα, καὶ ἀσεβῶς εἰρημένα ἀποδοκιμάζεσθαι καὶ ἐκβάλλεσθαι. καὶ σημείωσαι ὅτι ὁ Ῥώμης τῇ ἰδίᾳ αὐθεντίᾳ καὶ οὐ τῇ τῶν ἀρχαιοτέρων ψήφῳ βεβαιοῖ ὅπερ ἐφρόνησεν ἀξίωμα μοναρχικὸν καινὸν, καὶ τοῖς παρὰ τῶν πατέρων ὁρισθεῖσιν ἀντικείμενον. ὅθεν ὡς ἀτόπως ἐξευρημένα, καὶ ἀσεβῶς εἰρημένα τὰ παρὰ τοῦ Εὐγενίου ἐν τῷ Ὅρῳ τῆς Φλωρεντείας ἀποδοκιμάζεται, καὶ τῆς Ἐκκλησίας ἐκβάλλεται, ἤτοι καταφρονεῖται καὶ ἀναθεματίζεται. σημείωσαι, ὅτι ἰσοτίμως τάττεται ἐν τοῖς πραττομένοις ἡ ἐπιστολὴ τοῦ Καρθαγένης ταῖς ἐπιστολαῖς Κυρίλλου καὶ Κελεστίνου, ἐπειδὴ σύμφωνα εἴρηκε τῇ ἀρχαιότητι καὶ τοῖς πατράσιν, ὥσπερ καὶ οὗτοι, καὶ διατοῦτο οἱ πατέρες μετὰ τὴν διαλαλιὰν τοῦ Κυρίλλου περὶ αὐτῆς ἐβόησαν, ταῦτα πάντες λέγομεν. σημείωσαι τρίτον, ὅτι διὰ βασιλικῶν γραμμάτων ἐκλήθη ὁ Καπραίολος καὶ οἱ κατὰ πᾶσαν Ἐπαρχίαν τῆς Ἀφρικῆς Ἐπίσκοποι. δέκατον, ἐν τῇ καθαιρέσει Νεστορίου ἡ Σύνοδος εἶπε, κατεπειχθέντες ἀπὸ τῶν Κανόνων καὶ τῆς ἐπιστολῆς τοῦ Κελεστίνου, ὅπερ ἔφη ἵνα παραστήσῃ διὰ μὲν τῶν Κανόνων, ὅτι σύμφωνα τῇ ἀρχαιότητι, διὰ δὲ τῆς ἐπιστολῆς Κελεστίνου, ὅτι σύμφωνα τοῖς Δυτικοῖς Ἐπισκόποις διορίζει καὶ οὐ καινὰ, ὥσπερ δηλονότι σύμφωνα τῇ Ἀφρικῇ διὰ Κυρίλλου, καὶ σύμφωνα τῷ Ἰλλυρικῷ διὰ Ῥούφου Θεσσαλονίκης. ὅτι δὲ ταῦτα οὕτως ἔχει, φανερόν ἐστιν. ἐγκαλουμένη γὰρ ἡ Σύνοδος ὑπὸ τῶν ἀποστατῶν, καὶ τοῦ Νεστορίου γράφοντος πρὸς τοὺς Βασιλεῖς ὅτι οὐκ ἀνέμεινον οἱ πατέρες τῆς Συνόδου, δηλονότι τοὺς Ἐπισκόπους τοὺς ἀπὸ Ἰταλίας καὶ Σικελίας, καὶ οὕτω κοινὸν ἁπάντων ποιῆσαι συνέδριον, ἡ Σύνοδος καὶ αὕτη ἔγραψε τοῖς Βασιλεῦσιν ὅτι ἔχει πάντας τοὺς τῆς Οἰκουμένης Ἐπισκόπους, ὡς τὸ αὐτὸ φρονήσαντας, διὰ τὸ καὶ τὸν τῆς μεγάλης Ῥώμης συμπαρεῖναι ἐπίσκοπον τῇ Συνόδῳ καὶ τοὺς τῆς Ἀφρικῆς διὰ Κυρίλλου, ᾧ καὶ τὴν αὐτὴν γνώμην ἐνώσαντες, κεχωρισμένοι μόνοι τῷ τόπῳ τῇ αὐτοῦτε καὶ πάντων ἡμῶν ψήφῳ συνῄνεσαν. ταῦτα ἡ Σύνοδος, ἥτις ἐν ἑτέρᾳ ἀναφορᾷ πρὸς τοὺς Βασιλεῖς εἰποῦσα τὰ ἀνωτέρω, προσέθηκε καὶ τοὺς Ἐπισκόπους τοῦ Ἰλλυρικοῦ· ἔτι ὁ Κλῆρος Κωνσταντινουπόλεως γράφων πρὸς τοὺς Βασιλεῖς ὑπὲρ τῆς Συνόδου λέγει, τὴν ὑμετέραν ἐκδυσωποῦμεν θειότητα καὶ ἐξαιτούμεθα ὡς πεπείσμεθα δίκαιον τὸ, καὶ παρ' ὑμῶν βεβαιωθῆναι ταύτην τῶν πλειόνων τὴν ψῆφον, τῶν καὶ τῇ κατὰ θρόνους αὐθεντίᾳ καὶ τῇ κατὰ τὴν ἐξέτασιν τῆς ὀρθῆς πίστεως ἀκριβείᾳ σύμφωνα τῷ ἁγιωτάτῳ ἀνδρὶ καταθεμένων. Καὶ, εἰ γὰρ ὁ τῆς Οἰκουμενικῆς Συνόδου καθηγητὴς (ὁ Κύριλλος) ᾧ σύμψηφοι πάντες δι' ὧν κατέθεντο γεγόνασιν, εὔδηλον ὡς διὰ τῆς οἰκείας βλάβης καὶ τὴν κατὰ τῶν ἄλλων ὁμοψήφων ἐπείρειαν βεβαιοῖ. πράξει ἕκτῃ. σημείωσαι ἐν μὲν τῇ καθαιρέσει τὴν ἐπιστολὴν Κελεστίνου, ἤτοι τὴν ψῆφον αὐτοῦ κατὰ Νεστορίου, ὅθεν ἔγραψε πρὸς τοὺς Βασιλεῖς ἡ Σύνοδος, ἐπαινέσαντες τὸν Κελεστῖνον πρὸ τῆς ἡμῶν ψήφου καταγνόντα τῶν αἱρετικῶν δογμάτων Νεστορίου, καὶ προ ἡμῶν προεξενεγκόντα τὴν κατ' αὐτοῦ ψῆφον. ἐν δὲ ἄλλῃ πάλιν ἀναφορᾷ, ὅτι οἱ Ἀφρικανοὶ συνῄνεσαν τῇ ψήφῳ Κυρίλλου καὶ τῆς Συνόδου, ἅπερ εἰσὶν ἓν καὶ τὸ αὐτὸ, ἤγουν ὅτι ἐννοεῖται διὰ τοῦ Κελεστίνου πᾶσα ἡ Δυτικὴ Σύνοδος, διὰ δὲ τοῦ Κυρίλλου πᾶσα ἡ Σύνοδος ἡ Αἰγυπτιακὴ, ἐρρέθη δὲ διὰ τὴν συμφωνίαν τῶν Ἐκκλησιῶν. ὅθεν μεταταῦτα ἐγκαλούντων τῶν ἀντικειμένων τῇ Συνόδῳ ἕνεκεν τῆς ὀλιγότητος τῶν πατέρων, ἡ Σύνοδος προσέθηκε τὴν Ἀφρικὴν καὶ τὸ Ἰλλυρικὸν, ἔτι προσέθηκαν ἐν τῇ αὐθεντίᾳ τοῦ θρόνου Ῥώμης καὶ τὰς αὐθεντίας τῶν λοιπῶν θρόνων, καὶ ἐπὶ τούτοις τὴν ψῆφον τῶν πλειόνων. καὶ ἐπειδὴ ὁ Κύριλλος ἦν ὁ ἐλέγξας καὶ κατακρίνας πρῶτος τὸν Νεστόριον καὶ τὴν Αἵρεσιν αὐτοῦ, οἱ πλείους, ἤτοι πᾶσα ἡ Σύνοδος ἐν ᾗ καὶ ὁ Ῥώμης σύμψηφοι ἐγένοντο τῷ Κυρίλλῳ, ὥστε ἐκ πάντων τούτων συμφωνία καὶ ἰσοτιμία συνάγεται, καὶ οὐδὲν ἰδικὸν ὑπεροχικὸν ἀξίωμα. ἐνδέκατον, μὴ θορυβείτω δὲ (λέγομεν πάλιν) τὸ καὶ ἀπὸ τῆς ἐπιστολῆς Κελεστίνου εἰρημένον τῇ Συνόδῳ ἐν τῇ καθαιρέσει Νεστορίου, ἐπειδὴ ἡ Σύνοδος οὐ μέμνηται ἐπιστολῆς τινὸς ὡς ἀπὸ μονάρχου τοῦ Ῥώμης γενομένης, ἀλλ' ἐπιστολὴν εἶπε τὸν τύπον ὃν ἐποίησεν ἐν Ῥώμῃ συνοδικῶς ὁ Κελεστῖνος καὶ ἔπεμψε περὶ ἀκοινωνησίας Νεστορίου, περὶ οὗ εἴπομεν ἀνωτέρω πολλάκις. εἶτα ἰδὲ ἀνωτέρω τί ἔλεγεν Ἡσύχιος ὁ Ἐρυθρῶν περὶ τῆς ἐπιστολῆς, ταὐτὸν εἰπεῖν περὶ τοῦ τύπου τοῦ Κυρίλλου. οὐκ εἰς μόνον δὲ τὸν τύπον Κελεστίνου ἀφορῶσα ἡ Σύνοδος καθεῖλε τὸν Νεστόριον, ἀλλὰ καὶ εἰς τὸν τύπον πασῶν τῶν Ἐκκλησιῶν. ὅθεν ὁ Τοποτηρητὴς τοῦ Κελεστίνου Φίλιππος συγκατάθεσιν ποιούμενος περὶ τῆς καθαιρέσεως Νεστορίου

ρίου, πρὸς τοῖς ἄλλοις εἶπεν ὅτι καθῃρέθη ὁ Νεστόριος κατὰ τὸν τύπον πασῶν τῶν Ἐκκλησιῶν, ἐπειδὴ συνεστήκασιν ἐν τούτῳ τῷ ἱερατικῷ συλλόγῳ διά τε τῶν παρόντων, διά τε τῶν πρεσβευτῶν τῶν ἀπὸ τῆς Ἀνατολικῆς καὶ Δυτικῆς Ἐκκλησίας οἱ παρόντες Ἱερεῖς. ἀλλὰ δὴ καὶ ὁ Τοποτηρητὴς Ἀρκάδιος εἶπε, κατὰ τοῦτο καὶ ἡμεῖς ἀκολουθοῦντες τοῖς ἄνωθεν ἀπὸ τῶν ἁγίων Ἀποστόλων καὶ τῆς καθολικῆς Ἐκκλησίας παραδοθεῖσιν (ἤγουν τοῖς Κανόσιν) ἀκολουθήσαντες δὲ καὶ τοῖς τύποις τοῦ Κελεστίνου (ὅπερ ἐστὶν ἡ ἐπιστολὴ τοῦ Κελεστίνου) καὶ τῆς ἁγίας Συνόδου τοῖς δόγμασιν (ὅπερ ἐστὶν ὁ τύπος πασῶν τῶν Ἐκκλησιῶν) ἵνα δὲ μήτις ἀκούσας τύπους Κελεστίνου, νομίσῃ ὅτι ὁ Κελεστῖνος μόνος ὡς μονάρχης ἔγραψε καὶ ἐτύπωσεν, ὁ ἅγιος Κύριλλος μεταταῦτα τῶν Τοποτηρητῶν τὰ ῥήματα εἶπε, κατέθεντο οἱ τὸν τόπον διαπληροῦντες τῆς ἀποστολικῆς καθέδρας, καὶ ἁπάσης δὲ τῆς κατὰ Δύσιν ἁγίας Συνόδου τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων Ἐπισκόπων, ὅθεν καὶ τὰ ἤδη ὁρισθέντα ὑπὸ Κελεστίνου ἐξεβίβασαν, ἤτοι τῇ Συνόδῳ κανονικῶς ἐπὶ τῇ καθαιρέσει Νεστορίου συνήνεσαν. ἵνα δὲ πάλιν μήτις ἀκούσας, ὅθεν καὶ τὰ ἤδη ὁρισθέντα ὑπὸ τοῦ Κελεστίνου ἐξεβίβασαν, ἡ Σύνοδος γράφουσα πρὸς τοὺς Βασιλεῖς περὶ τῆς ἐλεύσεως τῶν ἀπὸ Ῥώμης Λεγάτων, ταῦτα φησὶν, ἐπεὶ οὖν οἱ ἄνδρες παραγενόμενοι τὴν γνώμην πάσης τῆς κατὰ Δύσιν ἁγίας Συνόδου φανερὰν τῇ ἐνταῦθα γενομένῃ Συνόδῳ πεποιήκασιν, ἐν οἷς δηλονότι καὶ ὁ Κελεστῖνος. Καὶ, τῆς γὰρ εὐσεβείας ἀναδειχθείσης, καὶ πάσης τῆς Οἰκουμένης σύμφωνον ψῆφον ἐξενεγκούσης, ὡσεὶ ἔλεγεν ἡ Οἰκουμενικὴ Σύνοδος γυμνάσασα καὶ ἐξετάσασα τοὺς λόγους Κυρίλλου, Κελεστίνου καὶ Νεστορίου, ἀνέδειξεν, ἤτοι ἐφανέρωσε τὴν ἀλήθειαν, καὶ κοινῶς ἐξήνεγκε τὴν τῆς εὐσεβείας ψῆφον, ὡς οὖσα ἔσχατον καὶ ἄκρον ἐν τῇ Ἐκκλησίᾳ κριτήριον. καὶ σημείωσαι ὅτι ἐν τῇ καθαιρέσει Νεστορίου τρία τινὰ θεωρεῖται, κανόνες, ἐπιστολὴ Κελεστίνου, ἤτοι ὁ συνοδικὸς τύπος πάσης τῆς κατὰ Δύσιν ἁγίας Συνόδου, καὶ τὸ ἐπισφράγισμα, ἤτοι ὁ τύπος πασῶν τῶν Ἐκκλησιῶν διὰ τῶν ἐν τῇ Συνόδῳ πατέρων καὶ τῶν Τοποτηρητῶν τῆς Ἀνατολικῆς καὶ Δυτικῆς Ἐκκλησίας. τούτων οὕτως ἐχόντων, ποῦ κεῖται ἡ τοῦ Πάπα τῆς Ῥώμης μοναρχία καὶ ἄκρα ἐξουσία, καὶ ἐπὶ τῶν Πατριαρχῶν καὶ τῶν Οἰκουμενικῶν Συνόδων αὐτοκρατορικὴ δύναμις; ἢ δῆλον ὅτι οὔτε ἦν οὔτε ἐστὶν οὔτε ἔσται, καὶ μάτην τὸ μὴ ὂν συνιστᾶν σπουδάζουσιν οἱ τοῦ Πάπα συνήγοροι. δωδέκατον, σημείωσαι ὅτι Κελεστῖνος καὶ Κύριλλος συνοδικῶς ἐτύπωσαν ἀκοινωνησίαν τοῦ Νεστορίου, οὐ μὴν καὶ ἐδυνήθησαν καθελεῖν, ἡ δὲ Σύνοδος πεποίηκε τὴν ἐσχάτην κατ' αὐτοῦ ψῆφον, εἰποῦσα, ὅτι ὁ Ἰησοῦς Χριστὸς ὥρισε διὰ τῆς παρούσης Συνόδου ἀλλότριον εἶναι τὸν Νεστόριον τοῦ Ἐπισκοπικοῦ ἀξιώματος καὶ παντὸς συλλόγου ἱερατικοῦ. καὶ σημείωσαι ὅτι τῆς Συνόδου ἐστὶν ἡ ἐσχάτη ἐν τῇ Ἐκκλησίᾳ ψῆφος, ἡ Σύνοδος ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ ὁ ἔσχατος κριτὴς, ἡ Σύνοδος βεβαιοῖ τὰ τῶν Πατριαρχῶν, ὅθεν καὶ ἐπὶ τῶν Πατριαρχῶν, οἱ δὲ Πατριάρχαι ἐν οἷς καὶ ὁ Πάπας μέρος τῆς Συνόδου. δέκατον τρίτον, ἡ Σύνοδος ἐν τῇ πρὸς τοὺς Βασιλεῖς ἀναφορᾷ περὶ τῆς καθαιρέσεως Νεστορίου ζητεῖ ἵνα ὁρίσωσι καυθῆναι τὰ συγγράμματα Νεστορίου, καὶ ἵνα ἀπειλήσωσιν ὅπως μήτις καταφρονῇ τὰ θεσπίσματα. καὶ ὁ Κύριλλος ἐν τῇ κατὰ Νεστορίου ὁμιλίᾳ λέγει, γένοιτο δὲ ἡμᾶς τρέμειν καὶ προσκυνεῖν τὴν ἑνότητα, καὶ Βασιλεῖ θεοφιλεστάτῳ ὑπηκόους γίνεσθαι, καὶ ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι. καὶ σημείωσαι ποῦ τὸ μεγαλεῖον τοῦ Ῥώμης ἐπὶ τῶν Βασιλέων; καὶ ὅτι ὁ μὴ πειθόμενος τοῖς Βασιλεῦσι καὶ ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις, οὐ μόνον παράνομος, ἀλλὰ καὶ φρενόληπτός ἐστιν, ἰδοὺ γὰρ μετὰ τῶν πατέρων τῆς Συνόδου ὁ Κελεστῖνος ὡς δοῦλος παρακαλεῖ καὶ ὑπόκειται τοῖς Βασιλεῦσι. δέκατον τέταρτον, ὁ Κύριλλος ἐν τῇ κατὰ Νεστορίου ὁμιλίᾳ λέγει πρὸς αὐτὸν, οὐκ ᾐδέσθης ἐξομοιῶν Περσικῇ Βασιλείᾳ, οὐκ ἐνετράπης ἀθετεῖν βουλόμενος πατέρων καὶ Εὐαγγελιστῶν καὶ Προφητῶν παραδόσεις, καὶ νομίσας ἄρχειν πασῶν τῶν Ἐκκλησιῶν. καὶ σημείωσαι ὅτι εἰ ἦν ἄρχων τῶν Ἐκκλησιῶν ὁ Ῥώμης, πῶς οὐκ εἶπεν ὁ Κύριλλος Νεστορίῳ, ὁ Πάπας ἐστὶν Ἄρχων τῶν Ἐκκλησιῶν, καὶ πῶς αὐτὸς ἐνόμισας τοιοῦτος εἶναι; σημείωσαι δεύτερον, ὅτι τὸ νομίζειν ἄρχειν πασῶν τῶν Ἐκκλησιῶν τοῦ Νεστορίου ἦν φρόνημα, καὶ ὁ Πάπας νῦν τοιοῦτον νομίζων εἶναι ἑαυτὸν, τῆς μερίδος ἐστὶ τοῦ Νεστορίου. δέκατον πέμπτον, ἐν τῇ αὐτῇ ὁμιλίᾳ λέγει ὁ Κύριλλος πρὸς Νεστόριον; δέχου μάρτυρα τὸν ἅγιον Ἀρχιεπίσκοπον τῆς μεγάλης Ῥώμης Κελεστῖνον, γράφοντά σοι ἀποστῆναι τοῦ μεταίου δόγματος, ἔτι γε μὴν καὶ τὴν ἡμετέραν πτωχείαν διὰ βραχέων γραμμάτων τὸν αὐτὸν τρόπον παρακαλοῦντας. καὶ σημείωσαι ὅτι εἰ κατὰ τὸν αὐτὸν τρόπον ἔγραψε πρὸς Νεστόριον ὁ Κύριλλος τῷ Κελεστίνῳ, τῆς αὐτῆς δυνάμεως καὶ τιμῆς καὶ ἀξίας ἐστὶν ὁ Κύριλλος τῷ Κελεστίνῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Λ'.

Περὶ τῶν λαληθέντων, ἀναγνωσθέντων καὶ πραχθέντων ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ πράξει τῆς τρίτης Οἰκουμενικῆς Συνόδου, ἐξ ὧν δείκνυται ἡ Οἰκουμενικὴ Σύνοδος μόνον ἀναμάρτητος, ἀνακρίνουσα τὰς ἀποφάσεις τοῦ Ῥώμης καὶ αὐτὸν, καὶ πάντες οἱ Ἐπίσκοποι τῶν Ἀποστόλων διάδοχοι, καὶ ἡ κοινότης τῶν Ἐπισκόπων κριτὴς τῆς πίστεως καὶ ἐκδικητής. καὶ ὅτι ἐκ τῆς διαλαλιᾶς Φιλίππου τοῦ Λεγάτου Ῥώμης ἐν

ἐν τῇ Συνόδῳ οὐδὲν ἐπεγένετο τοῖς παπισταῖς εἰς στηριγμὸν τῆς μοναρχίας τοῦ Ῥώμης, ὡς ἐνταῦθα κατὰ παράθεσιν ἀποδείκνυται.

Ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ τὰς πράξεις σημειωτέον ὅτι ὁ Πάπας Κελεστῖνος εἰ καὶ πεποίηκε Τοποτηρητὴν αὐτοῦ ἐν τῇ Συνόδῳ τὸν ἅγιον Κύριλλον, ὅμως πάλιν ἔπεμψε πρεσβευτὰς ἀπὸ Ῥώμης τρεῖς, Φίλιππον πρεσβύτερον καὶ Ἐπισκόπους δύο, Ἀρκάδιον καὶ Προΐεκτον, οἵτινες παραγενόμενοι ἐν τῇ Συνόδῳ, ᾔτησαν ἀναγνωσθῆναι ἐπ' αὐτοῖς τὴν ἐπιστολὴν ἣν προσήνεγκαν αὐτῇ, ἧς μετὰ τὴν ἀνάγνωσιν εἶπεν ὁ Ἱεροσολύμων, τὰ ἀναγνωσθέντα τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου Ἐπισκόπου τῆς μεγάλης Ῥώμης Κελεστίνου γράμματα εὐσεβῶς καὶ ὀρθοδόξως ἔχοντα, ἐμφερέσθω τοῖς ὑπομνήμασι. καὶ σημείωσαι, ὅτι οὐκ εἶπε τοῦ μεγίστου ἢ ἄκρου ἢ μοναρχοῦ Ἀρχιερέως, ἀλλὰ τοῦ Ἐπισκόπου Ῥώμης. εἶτα εἰ ἦν ὁ Πάπας ἀναμάρτητος, καὶ κατ' οὐδὲν ἦν ἐνδεχόμενον σφάλλεσθαι εἰς τὰ περὶ πίστεως, οὐκ ἂν εἶπεν ὁ Ἱεροσολύμων ὅτι τὰ γράμματα αὐτοῦ εἰσὶν εὐσεβῆ καὶ ὀρθόδοξα, ἀλλὰ διότι ἦν ἐνδεχόμενον σφάλλεσθαι εἰς τὰ περὶ πίστεως, καθὼς εἴπομεν ἀνωτέρω περὶ Μαρκελίνου, Λιβερίου καὶ Φίληκος, ὁ δὲ Κελεστῖνος ἦν ὀρθόδοξος καὶ τὰ γράμματα αὐτοῦ ὀρθόδοξα, διατοῦτο εἶπεν ὁ Πατριάρχης Ἱεροσολύμων ὅτι εὐσεβῶς καὶ ὀρθοδόξως ἔχοντα, ἐμφερέσθω τοῖς ὑπομνήμασιν, ἐπειδὴ βούλεται τὰ μὲν ἀρχαῖα κρατύνεσθαι τῆς εὐσεβείας δόγματα, καὶ τὰ ἑξῆς. ἃ δὲ εἶπεν ὁ Κύριλλος περὶ τῆς ἐπιστολῆς τοῦ Καπραιόλου, ταὐτά ἐστιν οἷς εἶπεν ὁ Ἱεροσολύμων περὶ τῆς ἐπιστολῆς Κελεστίνου, καὶ διὰ τὴν αὐτὴν αἰτίαν ἐμφέρεται ἀμφότερα τοῖς ὑπομνήμασιν, ὥστε ἰσότιμοι καὶ ἰσοδύναμοι αἱ τοῦ Ῥώμης καὶ τοῦ Καρθαγένης ἐπιστολαί. καὶ λοιπὸν ὁ ἰσοδύναμος τοῦ Καρθαγένης οὐκ ἔστιν Ἄρχων πασῶν τῶν Ἐκκλησιῶν. δεύτερον, εἰ καὶ πᾶσα ἡ παροῦσα ἐπιστολὴ τοῦ Κελεστίνου πρὸς τὴν Σύνοδον ἀναιρετική ἐστι παντὸς μοναρχικοῦ ἀξιώματος ἐν τῇ Ἐκκλησίᾳ, καὶ παραστατικὴ τοῦ μὴ τὸν Κελεστῖνον εἰδέναι ὅλως τὸν τῆς Ῥώμης Ἐπίσκοπον ἐπὶ τῶν Συνόδων, ἀλλὰ τὴν Οἰκουμενικὴν Σύνοδον ἐγνωκέναι ἔσχατον κριτὴν ἐν τῇ Ἐκκλησίᾳ, ὅμως ῥητέον καὶ ἐκ ταύτης τινὰ εἰς παράστασιν τῆς ἀληθείας. φησὶ τοιγαροῦν ἐν τῇ ἐπιστολῇ ὁ Κελεστῖνος, τοῦ ἁγίου Πνεύματος ἐμφανίζει τὴν παρουσίαν τῶν Ἱερέων ἡ Σύνοδος, ἀληθὲς γάρ ἐστι τὸ γεγραμμένον, ἐπειδὴ καὶ οὐ δύναται ἡ ἀλήθεια ψεύσασθαι, ὅτι ἐν τῷ Εὐαγγελίῳ τοιαύτη ἔγκειται φωνή, ὅπου δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ἐμῷ ὀνόματι, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. τούτου οὕτως ἔχοντος, εἰ οὐδὲν τοῦ οὕτω βραχέως ἀριθμοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἀπολείπεται, πόσῳ μᾶλλον αὐτῷ νῦν μεσιτεύειν πιστεύομεν ὅπου εἰς ἓν συνήχθη τοσοῦτον πλῆθος ἁγίων. καὶ ἐν ταύτῃ τῇ φροντίδι σφιγγόμεθα οἱ ἁπανταχοῦ καὶ ἀνὰ πᾶσαν τὴν Οἰκουμένην, τῇ ἐκείνων (τῶν Ἀποστόλων) διαδοχῇ τὸ ὄνομα Κυρίου κηρύττοντες, ὡς ἐκείνοις προτέτακται, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. προσέχειν ἡ ὑμετέρα ἀδελφότης ὀφείλει, παρεδέξατο γὰρ γενικὴν ἐντολὴν, καὶ ἡμᾶς αὐτοὺς πάντας τοῦτο πράττειν ἠθέλησεν, ὅστις πᾶσιν ἐκείνοις περὶ τῆς κοινῆς πίστεως ἐνετείλατο καὶ λειτουργίας, ἀναγκαῖον ἐστὶν ὅπως προσηκόντως τοῖς ἑαυτῶν πατράσιν ἀκολουθήσωμεν, ὑπεισελθόντες πάντες αὐτῶν τὸν κάματον, καὶ οἱ τὴν τούτων διαδεξάμενοι τιμὴν, χορηγήσωμεν τὴν ἐπιμέλειαν τοῖς τούτων δόγμασι. Καὶ, τοιγαροῦν περισσοῦδαστόν ἐστι καὶ πρακτέον, ὅπως καμάτῳ κοινῷ τὰ ἐμπιστευθέντα καὶ διὰ τῆς ἀποστολικῆς διδαχῆς ἕως τοῦ νῦν συσχεθέντα φυλάξωμεν, οὔτε γὰρ νῦν πρόσωπόν τι, ἀλλ' ἡ ἡμετέρα πίστις καλεῖται πρὸς δίκην. Καὶ, οὐ νῦν πρῶτον ὑμᾶς οἱ ἐκκλησιαστικοὶ περίβολοι Διδασκάλους ἐδέξαντο. Καὶ, τοιγαροῦν οἷς ἐστι γνώριμος ἡ διδασκαλία τῆς πίστεως, ἔστω γνωστὴ καὶ ἡ ὑμετέρα ἐκδίκησις. Καὶ, ἐπαγωνίσασθε κανονικῇ πίστει, καὶ τῇ ἐκκλησιαστικῇ εἰρήνῃ συνηγορήσατε. Καὶ, ἀπεστείλαμεν τοὺς τὴν ὑμετέραν ἀναδεχομένους φροντίδα, οἱ τοῖς πραττομένοις παρέσονται, καὶ τὰ παρ' ἡμῶν πάλαι ὁρισθέντα ἐκβιβάσουσιν, οἷς παραχεθῆναι παρὰ τῆς ὑμετέρας ἁγιότητος οὐκ ἀμφιβάλλομεν συγκατάθεσιν. ταῦτα ὁ Πάπας τοῖς τῆς Συνόδου πατράσιν, ἀφ' ὧν σημείωσαι, ὅτι ἡ Οἰκουμενικὴ Σύνοδος ἀναμάρτητος, ὅτι πάντες οἱ Ἐπίσκοποι πάντων τῶν Ἀποστόλων διάδοχοι, καὶ τὴν τῶν Ἀποστόλων ὡσαύτως τιμὴν διεδέξαντο, καὶ ὅτι κοινῶς οἱ Ἐπίσκοποι φυλάττουσι τὰ πρόβατα, Ποιμένες γὰρ πάντες, καὶ οὐ τινὲς μὲν Ποιμένες, τινὲς δὲ πρόβατα, καὶ ὅτι τῶν ἐκκλησιαστικῶν περιβόλων κοινῶς οἱ Ἐπίσκοποι Διδάσκαλοι, καὶ ἡ κοινότης τῶν Ἐπισκόπων κρίνει τὴν πίστιν καὶ ἐκδικεῖ τὰ τῆς πίστεως, καὶ συνηγορεῖ τὰ τῆς εἰρήνης, ὅπερ ἐστὶ τὴν μὲν εὐσέβειαν κηρύττειν, τὰς δὲ Αἱρέσεις καταβάλλειν, καὶ ὅτι τὰ ὁρισθέντα παρὰ τοῦ Πάπα ἐκβιβάσκονται, ἤτοι τέλος λαμβάνουσιν ἐν τῇ Οἰκουμενικῇ Συνόδῳ, καθὼς καὶ τὰ ὁρισθέντα τῷ ἁγίῳ Κυρίλλῳ ἐξεβιβάσθησαν, τουτέστιν ἐβεβαιώθησαν ἐν τῇ Οἰκουμενικῇ Συνόδῳ. καὶ λοιπὸν συμπεραίνομεν ὅτι ἡ Σύνοδος ἀνακαλεῖ, ἤτοι ἀνακρίνει τὰς ἀποφάσεις τοῦ Πάπα καὶ οὐ τὸ ἀνάπαλιν. ἡ Σύνοδος μεταλαμβάνει τὰς Ἐκκλήτους καὶ ἀνακρίνει καὶ τὸν Πάπαν καὶ οὐ τὸ ἀνάπαλιν. καὶ ὅτι μετὰ τὴν ἀπόφασιν τῆς Συνόδου οὐδὲ μία πλέον χώρα Ἐκκλήτου. τρίτον, τῆς ἐπιστολῆς ἀναγνωσθείσης πάντες οἱ πατέρες ἀνεβόησαν, αὕτη δικαία κρίσις, ἤτοι εὐσεβής ἐστιν ἡ ἐπιστολὴ τοῦ Κελεστίνου, νέῳ Παύλῳ Κελεστίνῳ, νέῳ Παύλῳ Κυρίλλῳ, Κελεστίνῳ τῷ φύλακι τῆς πίστεως, Κυρίλλῳ τῷ ὁμοψύχῳ

τῆς

τῆς Συνόδου, εἷς Κελεστῖνος, εἷς Κύριλλος, μία πίστις τῆς Συνόδου, μία πίστις τῆς Οἰκουμένης, ἅπερ καὶ ταῦτα τὰ ῥήματα ἰσοτιμίαν διδάσκει Κελεστίνου καὶ Κυρίλλου, καὶ τῇ Συνόδῳ καὶ τῇ κοινότητι τῆς Οἰκουμενικῆς Συνόδου ἀποδιδόασι τὸ κῦρος. τέταρτον, καίτοι ἐκβιβασθεισῶν, ἤτοι κριθεισῶν καὶ βεβαιωθεισῶν ὑπὸ τῆς Συνόδου τῶν πρὸς Νεστόριον ἐπιστολῶν Κυρίλλου καὶ Κελεστίνου ἐν τῇ πρώτῃ πράξει, Προΐεκτος ὅμως ὁ Τοποτηρητὴς τοῦ Πάπα ἐζήτησεν ἵνα ὁ τύπος, ἤτοι ὃν πεποίηκε πάλαι ἐν Ῥώμῃ συνοδικῶς ὁ Κελεστῖνος ἔλθῃ εἰς τέλος. ὁ δὲ Καισαρείας Φιρμιλιανὸς εἶπεν, ἀποστολικὴν καὶ κανονικὴν κατανοήσαντες ἐν τῷ τύπῳ κρίσιν, τουτέστιν οὐ διὰ τὸ εἶναι ἁπλῶς τύπον τοῦ Ῥώμης, ἀλλὰ διὰ τὸ εἶναι ὀρθόδοξον ἐξεβιβάσαμεν αὐτὸν, ἤτοι ἐβεβαιώσαμεν. καὶ οἱ πατέρες τῆς Συνόδου ἀναγνωσθείσης τῆς ἐπιστολῆς τοῦ Κελεστίνου ἐξίσου εὐφήμησαν Κελεστῖνον καὶ Κύριλλον, ὅμως οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης ἕνεκεν μόνης τῆς φήμης τοῦ Ῥώμης εὐχαρίστησαν τῇ Συνόδῳ, ἐν οἷς ὁ Φίλιππος εἶπε, τὰ ἅγια μέλη ταῖς ἁγίας ὑμῶν φωναῖς τῇ ἁγίᾳ κεφαλῇ καὶ ταῖς ἁγίαις ὑμῶν ἐκφωνήσεσιν ἐνηχήσατε, οὐ γὰρ ἀγνοεῖ ἡ ὑμετέρα μακαριότης ὅτι ἡ κεφαλὴ ὅλης τῆς πίστεως, ἢ καὶ τῶν Ἀποστόλων ὁ μακάριος Πέτρος ὁ Ἀπόστολος. ὁ αὐτὸς Φίλιππος συγκαταθέμενος τῇ συνοδικῇ καθαιρέσει τοῦ Νεστορίου εἶπεν, ὁ Πέτρος ὁ Ἔξαρχος καὶ κεφαλὴ τῶν Ἀποστόλων, ὁ κίων τῆς πίστεως, ὁ θεμέλιος τῆς καθολικῆς Ἐκκλησίας ἀπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὰς Κλεῖς τῆς Βασιλείας ἐδέξατο, καὶ αὐτῷ δέδοται ἡ ἐξουσία τοῦ δεσμεῖν καὶ λύειν ἁμαρτίας ἕως τοῦ νῦν, καὶ ἀεὶ ἐν τοῖς αὐτοῦ διαδόχοις ζῇ καὶ διδάσκει. τούτου τοιγαροῦν κατὰ τάξιν ὁ διάδοχος καὶ Τοποτηρητὴς εἰς ταύτην τὴν ἁγίαν Σύνοδον διαδόχους ἡμᾶς τῆς αὐτοῦ παρουσίας ἀπέστειλεν, ἥντινα Σύνοδον οἱ χριστιανικώτατοι Βασιλεῖς ὥρισαν, καὶ Νεστόριος τοίνυν ὁ τῆς καινῆς διαστροφῆς ἀρχηγὸς καὶ κεφαλὴ τῶν κακῶν. ταῦτα ὁ Φίλιππος, πρὸς ἃ ῥητέον, ὅτι κεφαλή ἐστι τῶν Ἀποστόλων ὁ Πέτρος, συμβολικῶς μέντοι, καὶ οὐχ ἱστορικῶς, ὃν τρόπον ὁ Φίλιππος ἐν ταὐτῷ εἶπε τὸν Νεστόριον ἀρχηγὸν καὶ κεφαλὴν τῶν κακῶν. εἰ δὲ καὶ οὐκ εἶπε τὸν Πάπαν κεφαλὴν τῆς Ἐκκλησίας ὁ Φίλιππος, ὅμως εἰπὼν αὐτὸν κατὰ τάξιν διάδοχον καὶ Τοποτηρητὴν τοῦ Πέτρου, ῥητέον ὅτι ἐνόμισεν αὐτὸν καὶ κεφαλὴν τῆς Ἐκκλησίας, ὡς καὶ ὁ Πασχασῖνος ἐν τῇ τετάρτῃ Συνόδῳ εἶπε τὸν Πάπαν κεφαλὴν πασῶν τῶν Ἐκκλησιῶν. ἀλλὰ ῥητέον, ὅτι ἡ παροῦσα Σύνοδος γράψασα πρὸς τοὺς Βασιλεῖς κατὰ τοῦ Ἀντιοχείας Ἰωάννου καὶ τῶν περὶ αὐτὸν ὡς παρανόμως καθελόντων Κύριλλον καὶ Μέμνονα, εἶπε κεφαλὴν τῶν συνειλεγμένων ἁγιωτάτων Ἐπισκόπων, ἤτοι αὐτῆς τῆς Οἰκουμενικῆς Συνόδου τὸν Κύριλλον καὶ τὸν Μέμνονα. ὡς οὖν κεφαλὴ τῶν συνειλεγμένων, ἤτοι τῶν πατέρων τῆς Συνόδου, τουτέστι τῆς Οἰκουμενικῆς Συνόδου ἐκλήθησαν Κύριλλος καὶ Μέμνων, οὕτω κεφαλὴ πασῶν τῶν Ἐκκλησιῶν ἐῤῥέθη ὁ Ῥώμης, καὶ ἀκολούθως ὡς μέλη Κυρίλλου καὶ Μέμνονος οἱ τῆς Οἰκουμενικῆς Συνόδου πατέρες, ταὐτὸν εἰπεῖν πᾶσα ἡ καθόλου Ἐκκλησία, πρόσωπον γὰρ αὐτῆς ἡ Οἰκουμενικὴ Σύνοδος, οὕτω μέλη τοῦ Ῥώμης πᾶσα ἡ Ἐκκλησία. ἔτι ἡ Σύνοδος γράφουσα τοῖς Κληρικοῖς Κωνσταντινουπόλεως κατὰ τοῦ Ἀντιοχείας, λέγει αὐτοῖς, ὑμεῖς δὲ μέλη τῆς Οἰκουμενικῆς Συνόδου τὸν ὑπὲρ εὐσεβείας ζῆλον διαπαντὸς ἐνδειξάμενοι. ὃν τρόπον οὖν μέλη τῆς Συνόδου οἱ Κληρικοὶ Κωνσταντινουπόλεως, τὸν αὐτὸν τρόπον καὶ οἱ πατέρες τῆς Συνόδου μέλη τοῦ Πάπα καὶ τοῦ Κυρίλλου καὶ Μέμνονος, ἤτοι διὰ τὸν ὑπὲρ εὐσεβείας ζῆλον, ἐκ τούτου δὲ ἀδελφικὴ σύμπνοια καὶ τάξις, οὐμοναρχικὸν συνάγεται ἀξίωμα. πέμπτον, εἰς ἐκεῖνο δὲ, ὅτι ὁ Ἔξαρχος τῶν Ἀποστόλων ὁ Πέτρος, καὶ ἀκολούθως Ἔξαρχος τῶν Ἐπισκόπων ὁ Ῥώμης, ῥητέον ὅτι ἡ Σύνοδος γράφουσα πρὸς τοὺς Βασιλεῖς, καὶ ἔτι ἡ Σύνοδος γράφουσα πρὸς τοὺς Βασιλεῖς διὰ τῶν πρεσβευτῶν, γράφουσα καὶ εἰς τοὺς πρεσβευτὰς, εἶπε τὸν Κύριλλον καὶ τὸν Μέμνονα προέδρους καὶ Ἐξάρχους τῆς Οἰκουμενικῆς Συνόδου, ἰδίως δὲ τὸν Κύριλλον εἶπε Καθηγητὴν τῆς Οἰκουμενικῆς Συνόδου, τὸν δὲ Ἀντιοχείας εἶπε πολλάκις ἡ Σύνοδος Ἔξαρχον τῆς ἀποστασίας, καὶ Ἔξαρχον τοῦ ἀποστατικοῦ συνεδρίου. καὶ λοιπὸν ὥς εἰσι Πρόεδροι καὶ Ἔξαρχοι Κύριλλος καὶ Μέμνων τῆς Οἰκουμενικῆς Συνόδου, ἥτις πρόσωπον ἐπιφέρει τῆς καθόλου Ἐκκλησίας κατὰ τὸν ἔνατον Κανόνα τῆς ἐν Νικαίᾳ πρώτης Συνόδου, οὕτως ὁ Πάπας Ἔξαρχος πασῶν τῶν Ἐκκλησιῶν. ἀλλαμὴν ὁ Πέτρος Ἔξαρχος τῶν Ἀποστόλων διὰ τὸν πολὺν ζῆλον καὶ διὰ τὴν πολλὴν πρὸς Χριστὸν ἀγάπην, καὶ Κύριλλος καὶ Μέμνων Ἔξαρχοι τῆς Οἰκουμενικῆς Συνόδου διὰ τὸν πολὺν ζῆλον τῆς εὐσεβείας, δι' ὃν καὶ ὑπὸ τῶν ἀποστατῶν καθηρέθησαν, καὶ Ἀντιοχείας Ἔξαρχος τῶν ἀποστατῶν διὰ τὸν πολὺν ζῆλον τῆς πεισμονῆς, ἄρα κατὰ τὸν τρόπον τοῦτον καὶ ὁ Ῥώμης Ἔξαρχός ἐστι τῶν πατέρων, οὐπάντοτε δὲ, ἀλλ' ὅταν ἔχῃ τὸν τοιοῦτον ζῆλον, ὡς εἶχεν αὐτὸν ὁ Κελεστῖνος, καὶ οὐκατάτι αὐτοκρατορικὸν ἀξίωμα ὡς νομίζουσιν οἱ τοῦ παπισμοῦ δεφένσορες. ἕκτον, ὁ Πέτρος ἐστὶ κίων τῆς πίστεως, δοτέον ὅτι καὶ ὁ Ῥώμης, ἀλλὰ καὶ Παῦλος ὁ Ἐμέσης εἶπε τὸν Ἀθανάσιον καὶ τὸν Θεόφιλον στύλους ὀρθοδοξίας, καὶ ἰδὲ κατωτέρω Παράγραφον ἔσχατον. ἕβδομον, περὶ δὲ τοῦ εἶναι τὸν Πέτρον τῆς καθολικῆς Ἐκκλησίας θεμέλιον, καὶ αὐτῷ δεδόσθαι τὴν ἐξουσίαν τοῦ δεσμεῖν τε καὶ λύειν ἁμαρτίας, ῥητέον κατὰ τὸν σκοπὸν τοῦ Φιλίππου εἶναι καὶ τὸν Ῥώμης τοιοῦτον, ἀλλὰ περὶ τούτων ἰδὲ βιβλίου δεκάτου, μέρους δευτέρου κεφάλαιον ἕκτον, καὶ μέρους τετάρτου κεφάλαιον πρῶτον. ὄγδοον, ἐν ᾧ φησιν ὁ αὐτὸς ὅτι ὁ Πέτρος ἐν τοῖς διαδόχοις αὐτοῦ ζῇ καὶ δικάζει, ῥητέον ὅτι οἱ Πάπαι διάδοχοι οὐμόνον τοῦ Πέτρου,

ἀλλὰ

ἀλλὰ καὶ τοῦ Παῦλου καὶ τῶν λοιπῶν Ἀποστόλων, ἐφ' ὅσον μέντοι ἔχουσιν ἐκείνων τὴν πίστιν καὶ τὰς παραδόσεις, ταῦτα δὲ ἀλλοιώσαντες, καὶ καινὴν θρησκείαν διὰ σοφισμάτων καὶ εὑρεσιολογιῶν ἐπιτηδεύσαντες, ἀντίθρονοι τοῖς Ἀποστόλοις, οὐ διάδοχοι. ἔπειτα μάλιστα πιστεύομεν τῷ μακαρίῳ Κελεστίνῳ, ἢ τῷ Τοποτηρητῇ αὐτοῦ Φιλίππῳ. ἐκεῖνος γὰρ ἐν τῇ πρὸς τὴν Οἰκουμενικὴν ταύτην Σύνοδον ἐπιστολῇ αὐτοῦ, ὡς ἀνωτέρω, ἑπόμενος τοῖς Κανόσι καὶ τῇ ἀποστολικῇ παραδόσει, ὡς ἤρηται ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ ἐσχάτῳ, ἐξίσου καὶ ἄνευ τινὸς διαφορᾶς εἶπε διαδόχους τῶν Ἀποστόλων πάντας τοὺς Ἐπισκόπους, ἐν οἷς πάντως ὁ Πέτρος ζῇ καὶ δικάζει ὡς καὶ οἱ λοιποὶ Ἀπόστολοι, ἐπειδὴ ἡ κοινότης ἐστὶ διὰ τοῦ ἁγίου Πνεύματος τῆς πίστεως ἡ ζωὴ, ἥτις καὶ τόγε νῦν ἔχον ἐδίκασε Κελεστῖνον, Κύριλλον καὶ Νεστόριον, καὶ τοὺς μὲν ὀρθοδόξους εὑροῦσα, ἐτίμησεν, ἀκολουθήσασα αὐτοῖς, τὸν δὲ φωράσασα ἄνομον, κατεδίκασε, καὶ τὴν ὑπεροψίαν αὐτοῦ κατέῤῥαξεν. ὅθεν ὁ Κύριλλος ὁμιλίᾳ κατὰ Ἰωάννου Ἀντιοχείας φησὶ περὶ Νεστορίου, ὤφθη δράκων οὐ μίαν ἔχων, ἀλλὰ πολλὰς ἐν ἑνὶ σώματι κεφαλὰς, ἀλλ' ἀναγκαιοτάτη γέγονεν ἡ τῶν νοητῶν Ἐλάφων ἄθροισίς τε καὶ παρουσία, ἵνα τῆς τῶν ἰοβόλων σκαιότητος τὸ δεσποτικὸν ἀπαλλάξῃ χωρίον, οὐκοῦν τὸ τοῦ Θεοῦ Πνεῦμα συνήγαγεν αὐτούς. Καὶ, πῶς νενίκηκεν ὁ Δαυὶδ πέντε λίθους ἔχων ἐν τῷ καδίῳ; λεῖοι δὲ ἦσαν οἱ λίθοι, καὶ τοῦτο ἦν εἰς τύπον Χριστοῦ, ποῖον γάρ ἐστι τὸ τοῦ Χριστοῦ κάδιον; ἡ ἐπὶ γῆς Ἐκκλησία, πολλοὺς ἔχουσα λίθους τιμίους καὶ ἐκλεκτοὺς, περὶ ὧν ὁ Προφήτης Ζαχαρίας κεφαλαίῳ ἐνάτῳ φησὶ, λίθοι τίμιοι κυλίονται ἐπὶ τῆς γῆς, διὰ τούτων τῶν ἁγίων λίθων περιέσται ὁ Χριστός. ταῦτα ὁ Κύριλλος, δι' ὧν βούλεται λέγειν, ὅτι οὐχ ὁ εἷς, ἤτοι ὁ Πέτρος, ἢ ὁ Ῥώμης, ἢ ἄλλος τὶς Ἐπίσκοπος, ἀλλ' οἱ λίθοι οἱ πολλοὶ καὶ ἐκλεκτοὶ, ἤτοι κοινῶς οἱ ἅγιοι πατέρες, δι' ὧν νικᾷ ὁ Χριστὸς τὸν δράκοντα τὸν ἀρχέκακον ὄφιν, καὶ τοὺς λοιποὺς δράκοντας τοὺς ὀπαδοὺς αὐτοῦ. οὐδὲν ἄρα καὶ ἀπὸ τῆς διαλαλιᾶς τοῦ Φιλίππου τοῖς παπισταῖς εἰς στηριγμὸν τῆς πολυθείας αὐτῶν ἐπεγένετο.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΑ'.

Περὶ τῆς τετάρτης καὶ πέμπτης πράξεως τῆς τρίτης Οἰκουμενικῆς Συνόδου, ἐν ᾗ ἀκοινωνησίᾳ κατεκρίθη ὁ Ἀντιοχείας Ἰωάννης, ὁ δὲ Κύριλλος ἐδικαιώθη. καὶ ὅτι ἴσος ἀποστολικὸς θρόνος ὁ τῶν Ἱεροσολύμων τῷ θρόνῳ Ῥώμης. καὶ ὅτι συνεδρεύει τῇ Οἰκουμενικῇ Συνόδῳ ὁ Ῥώμης, ἀλλ' οὐ προεδρεύει. καὶ ὅτι ὁ θρόνος Ἀντιοχείας ἐπὶ τῶν Ἀποστόλων ὑπὸ τοῦ θρόνου τῶν Ἱεροσολύμων ἐκρίθη.

Ἐν τῇ τετάρτῃ καὶ πέμπτῃ ταῖς πράξεσι σημείωσαι, ὅτι ὁ Κύριλλος καὶ Μέμνων παρανόμως καθαιρεθέντες ὑπὸ τοῦ Ἀντιοχείας καὶ τοῦ ἀποστατικοῦ συνεδρίου, ὡς εἴρηται ἀνωτέρω ἐν τῇ πρώτῃ πράξει, δόντες λιβέλλους τῇ Συνόδῳ, ἐζήτησαν ἵνα καλέσῃ τὸν Ἀντιοχείας καὶ κριθῶσιν ἐπ' αὐτῆς, ἤτοι ἐπὶ τῆς Συνόδου μετ' αὐτοῦ. εἶπον δὲ ἐν τοῖς λιβέλλοις, ὅτι οἱ περὶ τὸν Ἀντιοχείας ἦσαν τριάκοντα Ἐπίσκοποι, ὃς καίτοι οὔτε ὑπὸ θεσμῶν ἐκκλησιαστικῶν, οὔτε ὑπὸ θεσπίσματος βασιλικοῦ ἐξουσίαν εἶχεν ἢ δικάσαι τινὶ ἡμῶν, ἢ ὅλως ἐπιχειρῆσαί τι τοιοῦτον, καὶ μάλιστα κατὰ μείζονος θρόνου, ὁπότε καὶ εἰ ἐξῆν αὐτῷ δικάσαι, ἐχρῆν τοῖς Κανόσιν ἐξακολουθῆσαι τοῖς ἐκκλησιαστικοῖς, καὶ ὑπομνῆσαι τοὺς ὑβρισμένους ἡμᾶς. ἀποκριθεὶς δὲ Ἀκάκιος ὁ Μελιτηνῆς εἶπεν, ὁ Πρόεδρος τῆς ἀποστασίας Ἰωάννης ἐπειδὴ ἐτόλμησε κατὰ τῶν προέδρων τῆς ἁγίας καὶ Οἰκουμενικῆς ταύτης Συνόδου, καλείσθω διὰ τριῶν Ἐπισκόπων εἰς κρίσιν. κληθέντος δὲ καὶ μὴ ἐλθόντος, εἶπεν ὁ Ἱεροσολύμων, ἐχρῆν μὲν Ἰωάννην τὸν εὐλαβέστατον Ἐπίσκοπον Ἀντιοχείας ἐνθυμούμενον τὴν ἁγίαν καὶ μεγάλην καὶ Οἰκουμενικὴν Σύνοδον ταύτην, καὶ τὸν ἀποστολικὸν θρόνον συνεδρεύοντα ἡμῖν τῆς μεγάλης Ῥώμης, εὐθέως εἰς ἀπολογίαν τῶν ἐπαγομένων αὐτῷ δραμεῖν, καὶ τῷ ἀποστολικῷ τῆς Ἱεροσολύμων ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας ὑπακοῦσαι καὶ τιμῆσαι, παρ' ᾧ μάλιστα ἔθος αὐτὸν τῶν ἀντιοχέων θρόνον ἐξ ἀποστολικῆς ἀκολουθίας καὶ παραδόσεως ἰθύνεσθαι, καὶ παρ' αὐτῷ δικάζεσθαι. ἐπειδὴ δὲ συνήθει ὑπεροψίᾳ χρώμενος οὐκ ἦλθε, τοῖς Κανόσιν ἑπόμενοι καὶ τὴν ἀκολουθίαν φυλάττοντες, ὁρίζομεν κληθῆναι καὶ δεύτερον καὶ τρίτον. καὶ λοιπὸν μὴ ἐλθόντα ἡ Σύνοδος αὐτὸν μὲν δηλαδὴ τὸν Ἰωάννην καὶ τοὺς περὶ αὐτὸν ἀκοινωνήτους πεποίηκε, καὶ τὰ παρ' αὐτῶν πραχθέντα ἠκύρωσε, τὸν δὲ Κύριλλον καὶ Μέμνονα ἐδικαίωσε. καὶ σημείωσαι ὅτι ὁ Τοποτηρητὴς τοῦ Ῥώμης Κύριλλος οὐκ ἐδυνήθη εἰπεῖν οὐ κρίνεται μετὰ τῶν ἀποστατῶν, ἀλλὰ κριθῆναι ἐζήτησε μετ' αὐτῶν ἐπὶ τῆς Συνόδου. σημείωσαι περὶ τοῦ, καὶ μάλιστα κατὰ μείζονος θρόνου, ὅπερ ῥηθήσεται ἐν τῷ ἑβδόμῳ βιβλίῳ ἐν τῇ κατὰ Φωτίου Συνόδῳ. σημείωσαι ὅτι καθ' ὃν τρόπον ἐστὶ Πρόεδρος τῆς ἀποστασίας ὁ Ἰωάννης, καὶ Πρόεδρος τῆς ἁγίας Συνόδου Κύριλλος καὶ Μέμνων, οὕτως ἐστὶ Πρόεδρος τῆς Ἐκκλησίας ὀρθοδοξῶν καὶ ζηλωτὴς ὢν ὁ Πάπας. σημείωσαι ὅτι τὸν αὐτὸν τρόπον, ἤτοι ἰσοτίμως ἐστὶν ἀποστολικὸς θρόνος ἡ Ῥώμη καὶ ἡ Ἱερουσαλήμ. καὶ ὅτι ὁ ἀποστολικὸς θρόνος Ῥώμης συνεδρεύει τῇ Οἰκουμενικῇ Συνόδῳ, οὐ προεδρεύει ὡς ἐπὶ τῆς ἐν Ῥώμῃ Συνόδου. καὶ ὅτι ὁ θρόνος Ἀντιοχείας οὐχ ὑπὸ τοῦ Πέτρου, ἀλλ' ὑπὸ τοῦ θρόνου τῶν Ἱεροσολύμων

ἐκρίθη

ἐκρίθη ἐπὶ τοῦ καιροῦ τῶν Ἀποστόλων. σημείωσαι ὅτι τὸν Κύριλλον ἡ Σύνοδος ὡς δίκαιον ὄντα καὶ ἀναφανέντα ἠθώωσεν, οὐδεμία δὲ μνήμη τοῦ Ῥώμης ἢ τῆς Τοποτηρησίας αὐτοῦ τοῦ Κυρίλλου.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΕ'.

Περὶ τῶν συναγομένων ἐκ τῆς πρὸς Κελεστῖνον Ῥώμης ἐπιστολῆς, καὶ τῶν ὑπομνημάτων καὶ ὑπογραφῶν τῆς παρούσης οἰκουμενικῆς τρίτης Συνόδου, καὶ ὧν ἐκύρωσεν ὑπὸ Κελεστίνου ἐν Ῥώμῃ κατὰ Πελαγιανῶν καὶ Κελεστιανῶν πεπραγμένων ἡ παροῦσα Σύνοδος, ἐξ ὧν δείκνυται ὑπὸ τὴν Σύνοδον ὁ Ῥώμης, καὶ οὐ τὸ ἀνάπαλιν.

Ἐν τῇ πρὸς τὸν Πάπαν Κελεστῖνον ἐπιστολῇ ἡ Σύνοδος ἐξηγεῖται τὰ πεπραγμένα ἐν αὐτῇ, εἰποῦσα δὲ ἐν τούτοις καὶ τὰ περὶ τοῦ Ἀντιοχείας, καὶ ὅτι ἀκοινώνητον αὐτὸν ἐποίησεν, ἤτοι τῆς Ἱερωσύνης ἤργησεν, ἐπείγαγεν, ἀγανακτησάτω τοίνυν προσφόρως ἐπὶ τοῖς γενομένοις ἡ σὴ ὁσιότης. εἰ γὰρ δοθείη τοῖς ἐθέλουσιν ἄδεια καὶ τοὺς μείζονας ὑβρίζειν θρόνους, καὶ καθ' ὧν οὐκ ἔχουσιν ἐξουσίαν παρανόμους οὕτω καὶ ἀκανονίστους ἐκφέρειν ψήφους, μᾶλλον δὲ ὕβρεις, καὶ τοῖς ὑπὲρ τῆς εὐσεβείας τοσούτους ἄθλους ὑπομεμενηκόσιν, ὧν ἕνεκα νῦν ἡ εὐσέβεια διὰ τῶν εὐχῶν τῆς σῆς ὁσιότητος ἐξέλαμψεν, οἰχήσεται πρὸς ἐσχάτην ἀταξίαν τὰ τῆς Ἐκκλησίας πράγματα, σωφρονισθέντων δὲ καθ' ὃν προσήκει τρόπον τῶν τὰ τοιαῦτα τετολμηκότων, ἀργήσει πᾶς θόρυβος, καὶ ἡ πρέπουσα τοῖς Κανόσιν αἰδὼς παρὰ πάντων σωθήσεται. ἀναγνωσθέντων δὲ ἐν τῇ ἁγίᾳ Συνόδῳ τῶν ὑπομνημάτων τῶν πεπραγμένων ἐπὶ τῇ καθαιρέσει τῶν ἀνοσίων Πελαγιανῶν καὶ Κελεστιανῶν (καὶ τὰ ἑξῆς) ἐδικαιώσαμεν καὶ ἡμεῖς ἰσχυρὰ καὶ βέβαια μένειν τὰ ἐπ' αὐτοῖς ὡρισμένα παρὰ τῆς σῆς θεοσεβείας, καὶ καθῃρημένους ἔχομεν αὐτούς. ὑπὲρ δὲ ἀκριβοῦς εὐμαθείας ἁπάντων τῶν πεπραγμένων, ἀπεστείλαμεν καὶ τὰ ὑπομνήματα καὶ τὰς ὑπογραφὰς τῆς Συνόδου. καὶ σημείωσαι ὅτι τὸ, ἀγανακτησάτω ἡ σὴ ὁσιότης, οὐ δίδωσιν οὔτε μαρτυρεῖ τῷ Ῥώμης μοναρχικόντι ἀξίωμα. καὶ γὰρ ὁ Πάπας Ἀγαπητὸς γράψας πρὸς τὸν Ἱεροσολύμων Πέτρον κατὰ Ἀνθίμου Κωνσταντινουπόλεως καὶ Σεβήρου, λέγει, τοὺς τῇ ψήφῳ τῆς ἀποστολικῆς καθέδρας κατακριθέντας, ἡ ὑμετέρα ἀγάπη ἀποστραφήτω, ὅπερ ταὐτόν ἐστι τῷ ἀγανακτησάτω, ἐπειδὴ οὐδὲν ἐδυνήθη ποιῆσαι κατὰ τοῦ Ἀντιοχείας. σημείωσαι ὅτι τὰ πεπραγμένα ἐν Ῥώμῃ κατὰ τῶν διαληφθέντων Αἱρετικῶν ὑπὸ τοῦ Κελεστίνου ἔπεμψεν ὁ αὐτὸς τῇ Συνόδῳ, ἥτις ἀνακρίνασα καὶ κανονικὰ εὑροῦσα ἐβεβαίωσεν, ὥστε Οἰκουμενικὴ Σύνοδος βεβαιοῖ τὰ ὑπὸ τῆς Ἐκκλησίας Ῥωμαίων ὡρισμένα καὶ οὐ τὸ ἀνάπαλιν, ὅθεν ἡ Σύνοδος πέμψασα τῷ Πάπᾳ τὰ πεπραγμένα ἐν αὐτῇ ὑπομνήματα, οὐ πρὸς βεβαίωσιν ἔπεμψεν, ἀλλ' ὑπὲρ ἀκριβοῦς εὐμαθείας καὶ συναινέσεως. ἰδὲ καὶ βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον εἰκοστὸν ὄγδοον.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΓ'.

περὶ τοῦ ἐν τῇ ἕκτῃ πράξει κειμένου Συμβόλου τοῦ Νεστορίου, καὶ ὅτι ὁ Νεστόριος οὐκ ἐβλασφήμησεν εἰς τὸ Πνεῦμα τὸ ἅγιον. καὶ περὶ τοῦ κατὰ τὶ ἴδιον τοῦ Υἱοῦ τὸ Πνεῦμα, καὶ τῆς ἐκ Πατρὸς ἐκπορεύσεως αὐτοῦ κατὰ Θεοδώριτον, Κυρίλλῳ συμφωνοῦντα ἐν τῷ μάχεσθαι, καὶ περὶ τοῦ προχεῖσθαι αὐτὸ καὶ χορηγεῖσθαι, καὶ ἐν συνόψει περὶ τῆς ἁγίας Τριάδος.

Ἐν τῇ ἕκτῃ πράξει κεῖται τὸ Σύμβολον τοῦ Νεστορίου, ὅπερ ἔγραψεν ὁ Πρεσβύτερος Χαρίνσιος, ἐν ᾧ λέγει, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Θεοῦ νομίζομεν εἶναι, καὶ οὔτε ἐκ τοῦ Υἱοῦ νομίζομεν, οὔτε διὰ τοῦ Υἱοῦ τὴν ὕπαρξιν εἰληφός. οἱ δὲ πατέρες μετὰ τὴν ἀνάγνωσιν αὐτοῦ ἐκώλυσαν πᾶσαν προσθήκην ἀπὸ τοῦ ἁγίου Συμβόλου, κεκρίκασι δὲ αἱρετικὰ εἶναι ἐν τῷ Συμβόλῳ τούτῳ τῷ αἱρετικῷ μόνα τὰ μιαρὰ δόγματα τοῦ Νεστορίου περὶ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, οὐ μὴν ὅτι εἶπον ἐβλασφήμησεν ὁ Νεστόριος καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ὡς καὶ ἐν τῇ ἀνατροπῇ τοῦ ἐνάτου ἀναθεματισμοῦ εἰπόντος τοῦ Θεοδωρίτου, ἴδιον δὲ τὸ Πνεῦμα τοῦ Υἱοῦ, εἰ μὲν ὡς ὁμοφυὲς καὶ ἐκ Πατρὸς ἐκπορευόμενον, ἔφη, συνομολογήσομεν, καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνὴν, εἰ δὲ ὡς ἐξ Υἱοῦ ἢ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ὡς βλάσφημον τοῦτο καὶ δυσσεβὲς ἀπορρίψομεν. πρὸς ταῦτα ὁ ἅγιος Κύριλλος ἀποκρινόμενος, οὐκ ἔφη τὸν Θεοδώριτον βλασφημῆσαι, ἢ ὅτι Αἱρετικός ἐστιν, ἀλλ' ὅτι ἐκπορεύεται μὲν γὰρ ὡς ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, οὐκ ἀλλότριον δέ ἐστι τοῦ Υἱοῦ, πάντα γὰρ ἔχει μετὰ τοῦ Πατρός. Καὶ, οὐκοῦν ἐδόξασε μὲν τὸν Ἰησοῦν τὸ Πνεῦμα τὸ ἅγιον ἐνεργοῦν τὰ παράδοξα, πλὴν ὡς Πνεῦμα αὐτοῦ, καὶ οὐχ ὡς ἀλλοτρία δύναμις. τὶ δὲ τὸ ἴδιον, ἐξηγεῖται αὐτὸς ὁ Κύριλλος ἐν τῇ πρὸς Νεστόριον συνοδικῇ ἐπιστολῇ λέγων, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον (ἤτοι ὡς ὁμοούσιον) καὶ πάλιν, καὶ γὰρ τὸ ἅγιον Πνεῦμα ὥσπερ κατ' οὐσίαν ὑπάρχει τοῦ Θεοῦ καὶ Πατρὸς, οὕτω καὶ τοῦ Υἱοῦ κατ' οὐσίαν ἐστὶν, ὡς μετὰ τοῦ Υἱοῦ τοῦ οὐσιωδῶς γεννηθέντος ἐκ τοῦ Πατρὸς ἀφράστως ἐκ

ἐκπορεύεται. ἀλλὰ καὶ ἐν τῇ ἑρμηνείᾳ τοῦ Συμβόλου φησὶν ὁ αὐτὸς, καὶ προχεῖται μόνῃ, ἤτοι ἐκπορεύεται καθάπερ ἀπὸ πηγῆς τοῦ Θεοῦ καὶ Πατρὸς, χορηγεῖται δὲ τῇ κτίσει διὰ τοῦ Υἱοῦ (ἄλλο δὲ ἡ ἐκπόρευσις ἥτις σημαίνει τὴν ὕπαρξιν, καὶ ἄλλο χορηγία ἥτις δηλοῖ τὴν δόσιν πρὸς ἁγιασμὸν τῆς κτίσεως) ἀνεφύσησε γὰρ τοῖς Ἀποστόλοις λέγων· λάβετε Πνεῦμα ἅγιον. ἐκ Θεοῦ καὶ Θεὸς τὸ Πνεῦμα ἐστὶ, καὶ ἐκ ἀλλότριον τῆς αὐτότατο πασῶν οὐσίας, ἀλλ' ἐξ αὐτῆς τε καὶ ἐν αὐτῇ καὶ ἴδιον αὐτῆς. καὶ περὶ μὲν τοῦ προχεῖται, καὶ ἐκπορεύεται, καὶ χορηγεῖται, θεωρητέον Νεῖλον τὸν Θεσσαλονίκης Ἀρχιεπίσκοπον, ἀνασκευάζοντα τὰ κεφάλαια τῶν Λατίνων περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, καὶ μάλιστα τὸ δωδέκατον καὶ δέκατον αὐτῶν, ὅπου ἐννοοῦνται περὶ τῆς αἰτίας ἐκ Πατρὸς τοῦ ἁγίου Πνεύματος ὑπαρξέως, καὶ τῆς πέμψεως αὐτοῦ διὰ τοῦ Υἱοῦ. καὶ ἔτι τὸ πρῶτον τμῆμα τοῦ Συνταγματίου Γεωργίου τοῦ Σχολαρίου. τὸ γὰρ προχεῖσθαι λέγειν τὸ Πνεῦμα, ἤγουν ἐκπορεύεσθαι ἐκ τοῦ Πατρὸς, δείκνυσι τὴν Πατέρων προβολέα τῆς τοῦ Πνεύματος ὑποσάσεως, καὶ προχαταρκτικὴν αἰτίαν τῶν διὰ τοῦ Υἱοῦ καὶ διὰ τοῦ Πνεύματος διορμῶν τῇ κτίσει χαρισμάτων. τὸ δὲ δι' Υἱοῦ χορηγεῖσθαι λέγειν τῇ κτίσει, τὸ καὶ ἐκ τοῦ Υἱοῦ ἀναβλύζειν τὸ Πνεῦμα ὡς ὕδωρ ἐκ τοῦ ποταμοῦ, καὶ ἁγιάζειν καὶ ζωοποιεῖν πᾶν κτίσιν καταση μαίνεται. διὰ τοῦ Υἱοῦ δὲ λέγει χορηγεῖσθαι, τῇ τε εὐαγγελικῇ ῥήσει κατακολουθῶν, λεγούσῃ, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, προχαταρκτικὴ γὰρ αἰτία τῶν διὰ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος χορηγουμένων ὁ Πατὴρ, καὶ μιᾷ καὶ τῇ ἀποστολικῇ, λεγούσῃ, ὅτι ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ, καίτοι ἀλλαχοῦ ἀδιαφόρως ταῖς προθέσεσι χρώμενος, οὗθα φησὶ, καὶ προχεῖται παρ' αὐτοῦ καθάπερ ἀμέλει καὶ παρὰ τοῦ Πατρός. περὶ δὲ τοῦ, ἐκ ἀλλότριον τῆς αὐτότατο πασῶν οὐσίας, ἀλλ' ἐξ αὐτῆς τε καὶ ἐν αὐτῇ καὶ διὰ αὐτῆς, καὶ τοῦ, ἐκ ἀλλότριον δὲ τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον, ἰδὲ τὴν ἑρμηνείαν ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τοῦ αὐτοῦ βιβλίου τοῦ Νείλου, οὗθα ἐξηγούμενος ταῦτα τοῦ Κυρίλλου τὰ ῥήματα, ἀποδείκνυσιν ἰσχυρῶς, ὅτι δεικνύουσι τὴν συμφυΐαν καὶ ὁμοουσιότητα τῆς ἁγίας Τριάδος. ἰδὲ καὶ κατωτέρω βιβλίου πέμπτου κεφάλαιον δέκατον ὄγδοον. εἰς τὸ σωτείνει ἐκ τοῦ Δαμασκηνοῦ, ὡς ἐξ οὗ ὁ Ἥλιος εἶναι τὴν τριάδα, μὴ καθ' ὕπαρξιν, ἀλλὰ κατὰ τὴν ὁμοουσιότητα. τοιοῦτον καὶ τὸ παρὰ τοῖς Θεολόγοις λεγόμενον, τὰ τρία ἓν, καὶ ἐξ οὗ τὰ τρία. καὶ τὸ τοῦ Θεολόγου ἐν τοῖς περὶ τοῦ ἁγίου Πνεύματος στίχοις, ἐκ Μονάδος Τριὰς ἐστὶ, καὶ ἐκ Τριάδος Μονάς. καὶ τὸ τοῦ Μαξίμου ἐν τῇ ἐξηγήσει τοῦ Θεολόγου, ἐκ τῆς Θεότητος αἱ τρεῖς ὑποστάσεις. ἰδὲ ἔτι κατωτέρω βιβλίου ὀγδόου κεφάλαιον δέκατον, καὶ δέκατον ὄγδοον. ἐν βιβλίῳ οὗτος κεφάλαιον τρίτον, καὶ ἀνωτέρω τοῦ παρόντος βιβλίου κεφάλαιον πέμπτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΔ'. 30

Περὶ σημειώσεως τῶν ἐν τοῖς πρακτικοῖς τοῦ ἀποστατικοῦ συνεδρίου, μεθ' οὗ ἡ Οἰκουμενικὴ Συνόδ@ κεῖνεται, ἐκ εἰς τὴν Ῥώμης, ἀλλ' εἰς τὸν Βασιλέα. καὶ περὶ ὧν ἐπραγχθη καὶ ἐλαλήθη ὑπὸ τῆς Συνόδου, καὶ Ἀρχιμανδριτῶν, καὶ λαοῦ τῆς Κωνσταντινουπόλεως, καὶ τοῦ ὁσίου Δαλματίου, τοῦ ὑπὲρ τῆς Συνόδου Θεόθεν κληθέντος, ἐξ ὧν δείκνυται σύμφων@ ἡ Οἰκουμένη τῇ Συνόδῳ, καὶ ὑποκείμενοι τῇ Συνόδῳ οἱ ἐν τοῖς ἐκκλησιαστικοῖς οἱ Αὐτοκράτορες, καὶ μέρος αὐτῆς μετὰ λήθης ὁ Ῥώμης.

Ἐν τοῖς πρακτικοῖς τοῦ ἀποστατικοῦ συνεδρίου σημείωσαι ὅτι ἡ Οἰκουμενικὴ Συνόδος κεῖνεται μετὰ τῶν ἀποστατῶν, ἐκ εἰς τὴν Ῥώμης, ἀλλ' εἰς τὸν Βασιλέα. δεύτερον, ὅτι γεγράφασι πρὸς τοὺς ἐν Κωνσταντινουπόλει Κληρικοὺς καὶ προσκαλεῖται αὐτοὺς εἰς βοήθειαν πρὸς τὸν Βασιλέα. τρίτον, ὅτι εἴκοσι καὶ μίαν ἡμέραν ἀνεβάλετο ἡ Συνόδος τὴν προκάταρξιν, περιμένουσα τὸν Ἀντιοχείας μετὰ τὴν ἀφιερωμένην ὑπὸ τῶν Βασιλέων προθεσμίαν. τέταρτον, ὅτι καθεῖλε τὸν Νεστόριον, καὶ ὅτι ἔχουν ἡ Συνόδος πάντας τοὺς τῆς Οἰκουμένης Ἐπισκόπους εἰς καὶ τὸ αὐτὸ φρονοῦντας, διὰ τὸ καὶ τὸν Ῥώμης παρεῖναι τῇ Συνόδῳ, καὶ τοὺς τῆς Ἀφρικῆς Ἐπισκόπους διὰ τοῦ Κυρίλλου, ᾧ καὶ τὴν αὐτῶν γνώμην σώσαντες, κεχωρισμένοι μόνῳ τῷ τρόπῳ, τῇ αὐτοῦ τε καὶ πάντων γνώμῃ συνῆνεσαν. πέμπτον, ὅτι οἱ Κωνσταντινουπόλεως ἀνασταίντα ἅπαντα τὰ μοναστήρια ἅμα τοῖς Ἀρχιμανδρίταις αὐτῶν, ἐξῆλθον ἐπὶ τὸ Παλάτιον, ψάλλοντες ἀντίφωνα, ὧν δὲ ὁ ἅγι@ Δαλματί@ εἷς τῶν Ἀρχιμανδριτῶν, ὅστις ἐπὶ ἔτη τεσσαράκοντα καὶ ὀκτὼ ἐκ ἐξῆλθε τοῦ μοναστηρίου αὐτοῦ, ἀλλ' ἔσω ὢν κεκλεισμένῳ@ καὶ θαυματοποιῶν, ἐν τῷ καιρῷ ὅμως τούτῳ ἐν ᾧ ἔπαχον ἡ Συνόδ@ δύναμιν αὐτοῦ, φωνὴ ἐξ Οὐρανοῦ αὐτῷ κατῆλθεν, ὥστε ἐξελθεῖν. ὁ γὰρ Θεὸς ἐκ ἠθέλησεν ἀπολέσθαι αὐτοῦ τὸν ἀγέλλω εἰς τέλος. ἀπῆλθον οὖν οἱ Ἀρχιμανδρεῖται καὶ ὁ Δαλματί@ καὶ μονάζοντες καὶ λαὸς πολὺς ὀρθόδοξ@ ψάλλοντες αὐτίφωνα εἰς τὸ Παλάτιον, καὶ εἰσελθὼν ὁ Δαλματί@ εἰς τὸν Βασιλέα, καὶ συνομιλήσας, καὶ ἐξελθὼν, καὶ ἀπελθὼν μετὰ τῶν συνοδευόντων αὐτῷ εἰς τὸν Ναὸν τοῦ ἁγίου Μωκίου, αὐτῆλθεν ἐφ' ὑψηλοῦ τόπου καὶ ἐλάλησεν ἐν τοῖς ὠσὶ τοῦ λαοῦ ὅσα ἐλάλησε μετὰ τοῦ Βασιλέως περὶ τῆς ἁγίας Συνόδου, ἐν οἷς εἶπε τῷ Βασιλεῖ καὶ τοῦτο, τίνος θέλεις ἀκοῦσαι τῶν ἑξακισχιλίων ἀριθμῷ Ἐπισκόπων, ἢ τοῦ ἀνθρώπου δυσεβοῦς; τῶν ἑξακισχιλίων εἶπεν,

εἶπεν, ὅιτινές εἰσιν ὑπὸ τὴν ἐξουσίαν τῶν Μητροπολιτῶν τῶν ἁγίων Ἐπισκόπων. Καὶ, εὔχεσθε ὑπὲρ ἐμοῦ. Καὶ, οἶδα ὅτι ὁ Βασιλεὺς ἐξακολουθήσει μᾶλλον τῷ Θεῷ καὶ τῇ ἁγίᾳ Συνόδῳ. καὶ οὕτως ὁ λαὸς ἐβόησεν ἀνάθεμα Νεστορίῳ. εἶπον, ὅτι οἱ Ἀρχιμανδρῖται ἔγραψαν τῇ Συνόδῳ, ἴστω οὖν ἡ ὑμετέρα ἁγιωσύνη ὡς ὁ λαὸς σύμφωνος ἡμῖν γεγένηται, καὶ πολλαῖς εὐφημίαις εἴς τε τὴν ὑμετέραν καὶ ἁγίαν καὶ Οἰκουμενικὴν ἐχρήσατο Σύνοδον. ἕβδομον, ὅτι ἡ Σύνοδος γράφουσα εἰς τοὺς Βασιλεῖς ὑπὲρ Κυρίλλου καὶ Μέμνονος ἔφη, ὅτιπερ ἡ Οἰκουμενικὴ Σύνοδος ἡ πᾶσαν μὲν τὴν Δύσιν μετὰ τῆς μεγάλης Ῥώμης συνεδρεύουσαν ἔχουσα, πᾶσαν δὲ τὴν Ἀφρικὴν καὶ παν τὸ Ἰλλυρικὸν, οὐκ ἀθεῖλε Κύριλλον καὶ Μέμνονα, ὅπερ δηλονότι ἐτόλμησε τὸ συνέδριον τῆς ἀποστασίας. ὄγδοον, ὅτι Κύριλλος καὶ Μέμνων προέδροι τῆς Συνόδου, καὶ κατωτέρω ἐν ἄλλῃ ἐπιστολῇ πρὸς τοὺς βασιλεῖς, ὅτι Ἔξαρχοι τῆς Συνόδου Κύριλλος καὶ Μέμνων, καὶ ὅτι τῷ συνεδρίῳ τῆς ἀποστασίας Ἔξαρχος ὁ Ἀντιοχείας Ἰωάννης. εἴπατον, ὅτι ἐπέμφθησαν πρέσβεις εἰς τὸν Βασιλέα παρὰ τῆς Συνόδου Φίλιππος καὶ Ἀρκάδιος Λεγᾶτοι τοῦ Πάπα, Ἰουβενάλιος Ἱεροσολύμων, καὶ ἕτεροι Ἀρχιερεῖς πέντε. ἐν δὲ τῇ μετ' αὐτῶν ἐπιστολῇ πρὸς τοὺς Βασιλεῖς ἡ Σύνοδος φησὶν, ἡ μὲν οὖν ἁγία καὶ Οἰκουμενικὴ Σύνοδος ᾗ συνεδρεύει καὶ ὁ τῆς μεγάλης ὑμῶν Ῥώμης ἁγιώτατος καὶ θεοφιλέστατος Ἀρχιεπίσκοπος Κελεστῖνος καὶ ἅπασα ἡ Δυτικὴ Σύνοδος διὰ τῶν παρ' αὐτῆς ἀπεσταλμένων πρὸς ἡμᾶς ἁγιωτάτων Ἐπισκόπων, συνεδρεύει δὲ καὶ Ἀφρικὴ πᾶσα καὶ τὸ Ἰλλυρικὸν, νυνὶ δὲ διάτε τούτων τῶν γραμμάτων καὶ διὰ τῶν ἀποσταλέντων θεοφιλεστάτων Ἐπισκόπων μακραῖς ταῖς χερσὶ τῶν εὐσεβῶν ὑμῶν ἁπτόμεθα γονάτων δεόμενοι. σημείωσαι δὲ, ὅτι πέμψασα ἡ Σύνοδος τοὺς πρέσβεις, ἐγγράφως ἐνετείλατο τὰ πραχθησόμενα ὑπ' αὐτῶν, ἔφη γὰρ, ἐψηφισάμεθα τὴν ὑμετέραν θεοσέβειαν πρέσβεις. Καὶ, εἰ δὲ ἀνάγκη τὶς προάγοιτο παρὰ τοῦ Βασιλέως, ἐπειδὴ φιλοχρίστῳ καὶ εὐσεβεῖ κριτῇ πειθαρχεῖν δεῖ, εἰ ἕλοιντο ὑπογράψαι ἐν τῇ Νεστορίου καθαιρέσει (οἱ περὶ τὸν Ἀντιοχείας Ἰωάννην) διὰ λιβέλλων δὲ συγγνώμην αἰτῆσαι παρὰ τῆς ἁγίας Συνόδου ἐφ' οἷς προεπετεύσαντο κατὰ τῶν Προέδρων αὐτῆς, ἐπιτρέπομεν τῇ ὑμετέρᾳ ἀγάπῃ τούτων γενομένων ὑποσχέσθαι μὲν αὐτοῖς τὴν κοινωνίαν, γράψαι δὲ πρὸς ἡμᾶς, ὥστε καὶ ἡμῶν ὑμῖν συντεθειμένων, τελείαν τὴν πρὸς αὐτοὺς γενέσθαι εἰρήνην, μὴ πρότερον δὲ αὐτοῖς κοινωνίαν ὑποσχέσθαι, εἰμὴ τοὺς Προέδρους ἑαυτῆς ἀπολάβοι ἡ ἁγία Σύνοδος. ἐν δὲ τῷ τέλει τοῦ γράμματος ἀπειλοῦσα αὐτοῖς εἶπεν, εἰδέναι δὲ βουλόμεθα τὴν ὑμετέραν ὁσιότητα, ὅτιπερ εἴτι τούτων παροφθείη παρ' ὑμῶν, οὔτε ἡ ἁγία Σύνοδος καταδέξεται τὰ παρ' ὑμῶν πραττόμενα, οὔτε ὑμᾶς ἕξει κοινωνούς. καὶ σημείωσαι ἐν τούτοις πᾶσι τὴν ἰσχὺν τοῦ Αὐτοκράτορος, καὶ ὅτι τὸ ἄκρον ἀξίωμα καὶ τὴν ἄκραν ὑπεροχὴν ἐν τῇ Ἐκκλησίᾳ ἡ Οἰκουμενικὴ Σύνοδος ἔχει, ἡ γὰρ τοιαύτη κοινότης γυμνάζει, κρίνει, δοκιμάζει, ψηφίζεται, κατασκάπτει, ἀνοικοδομεῖ, καὶ συντρέχουσιν αὐτῇ Ἐπίσκοποι, Κληρικοὶ, Μοναχοὶ, Λαοὶ, ὑπόκεινται Αὐτοκράτορες καὶ πᾶσα συμφωνεῖ ἡ Οἰκουμένη. τοῦ δὲ Πάπα Ῥώμης οὐδεμία ἰδικὴ μνήμη, πλὴν ὅτι συνεδρεύει ὁ τῆς μεγάλης Ῥώμης ἁγιώτατος Ἐπίσκοπος Κελεστῖνος (περὶ οὗ ὅτι ἐν τῇ ἐν τῇ Ῥώμῃ Συνόδῳ προήδρευε) καὶ πᾶσα ἡ Δύσις καὶ Ἀφρικὴ καὶ τὸ Ἰλλυρικὸν, οἷς ἁπλῶς συναριθμεῖται συνεδρεύειν καὶ ὁ Ῥώμης ὡς ἰσότιμος καὶ ἰσοδύναμος καὶ μέρος τῆς Συνόδου, οὐκ ἐπὶ τῆς Συνόδου, μάλιστα ὑπὸ τῆς Συνόδου ἐκρίθη ὡς εἴρηται ἀνωτέρω, καὶ οἱ Τοποτηρηταὶ αὐτοῦ ἐκρίθησαν ὑπ' αὐτῆς μετὰ τοῦ Ἀντιοχείας, καὶ πρέσβεις ἐπέμφθησαν ὑπὸ τῆς Συνόδου οἱ λεγᾶτοι τοῦ Πάπα, καὶ προστάττονται καὶ ἀπειλοῦνται, ὥστε ἔμεινεν εἶναι τὴν νυνὶ διακωδωνιζομένην παρὰ τῶν Παπιστῶν Ῥωμαίων μοναρχίαν φυσιμάτιον, ἀναφανὲν μὲν, διαλυθὲν δὲ, καὶ ἀρχηγὸς μὲν ὁ Πάπας, ἀλλὰ τῆς ἀποστασίας ὡς ποτὲ ὁ Ἀντιοχείας Ἰωάννης, καὶ κεφαλὴ μὲν, ἀλλὰ τῶν κακῶν ὡς ἐλύττησεν ὁ Νεστόριος, βουληθεὶς μὲν ἄρχειν πασῶν τῶν Ἐκκλησιῶν, μὴ δυνηθεὶς δὲ, οὗ μετὰ πολλὰ ἔτη ἐγένετο μιμητὴς ὁ Ῥωμαίων Ἐπίσκοπος, ὅθεν καὶ τὸ ὄνομα καὶ τὴν φήμην αὐτοῦ ἐκληρώσατο. ὅτι δὲ ἡ Σύνοδος καὶ τῶν Βασιλέων ὑπερέχει ἐν τοῖς ἐκκλησιαστικοῖς, δῆλον καὶ ἐξ ἄλλων πολλῶν, ἀλλὰ καὶ ἐκ τούτου, γράφει γὰρ ὁ Κλῆρος Κωνσταντινουπόλεως τοῖς Βασιλεῦσι, τὴν τῶν προγόνων ὑμῶν περὶ τὴν Ἐκκλησίαν στοργὴν ἀναλαβόντας κατὰ νοῦν, καὶ ὅπως ἕκαστος ἐκείνων τῇ κατὰ τοὺς οἰκείους καιροὺς γενομένῃ Συνόδῳ τῶν ἁγίων πατέρων ἐπειθάρχησεν, οὕτω καὶ αὐτοὺς τὰ ἴσα περὶ τὴν νῦν παρ' ὑμῶν συγκροτηθεῖσαν ἁγίαν Σύνοδον φρονῆσαι. εἰς τοῦτο συντείνει καὶ ἐκεῖνο ὅπερ ἔγραφον οἱ Βασιλεῖς περὶ καθαιρέσεως καὶ ἀθῳώσεως τοῦ ἁγίου Φλαυϊανοῦ, οὐ δύνανται ἐκ διατάξεως Ἐπίσκοποι κατακρίνεσθαι, οὓς ἐπὶ φυλακῇ τῆς πίστεως συνοδικὴ ψῆφος ἐκόσμησε. Σύνοδος τετάρτη, μέρος τέταρτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΕ'.

Περὶ τῶν δώδεκα ἀναθεματισμῶν τοῦ Κυρίλλου κατὰ τῆς Νεστορίου Αἱρέσεως, καὶ τῶν κατ' αὐτῶν ἀντιρρήσεων τοῦ Θεοδωρίτου, ἐξ ὧν δείκνυται τὸ εἶναι ἄρχοντα τῆς καθόλου Ἐκκλησίας, ἢ ἐπὶ τῶν Ἐπισκόπων, ἢ κριτὴν Αἱρέσεων τὸν Ῥώμης, κόμπος.

Συνέ-

306

Συνέγραψεν ὁ Κύριλλος δώδεκα ἀναθεματισμοὺς κατὰ τῆς Αἱρέσεως Νεσορίου, ἐπελάβοντο δὲ αὐτῶν οἱ Ἀνατολικοὶ καὶ ὁ Θεοδώρητος Κύρου, ὃς καὶ ἀντιῤῥήσεις συνέγραψε κατ' αὐτῶν, ἃς ἀπολογηθεὶς ἀνέτρεψεν ὁ ἅγιος Κύριλλος, ἐδεμία δὲ ἐγένετο πρὸς τοὺς Ἀνατολικοὺς μέμψις ἀποστατήσαντας τῆς Συνόδου καὶ γράψαντας κατὰ τῶν ἀναθεματισμῶν, ταὐτὸν εἰπεῖν κατὰ τῆς εὐσεβείας διὰ τὸ μὴ ἐρωτῆσαι τὸν Πάπαν, ἢ διὰ τὸ μὴ πεισθῆναι τῷ Πάπᾳ, ἀλλὰ πᾶσα ἡ κατάκρισις ἐγένετο αὐτοῖς διὰ τὸ ἀντιπεῖν τῷ ἁγίῳ Κυρίλλῳ, καὶ μὴ πεισθῆναι τῇ Συνόδῳ, καὶ πᾶσα ἡ ἀπόκρισις ἐγένετο διὰ τῆς γραφῆς καὶ τῶν ἁγίων πατέρων. κόμπος ἄρα ὅτι ὁ Ῥώμης Ἄρχων τῶν Ἐκκλησιῶν, ἢ ὅτι τῶν Συνόδων, ἢ κριτὴς τῶν Αἱρέσεων.

ΠΑΡΑΓΡΑΦΟΝ Λϛ'.

Περὶ τῆς πρὸς Κύριλλον καὶ Ἰωάννην τὰς μαχομένας Σάκρας, καὶ πρὸς Συμεὼν τὸν συλίτην ἀπόκρισις τοῦ Βασιλέως Θεοδοσίου χάριν τοῦ εἰρηνεῦσαι αὐτούς, καὶ λοιπῶν Πατριαρχῶν ἀπόκρισις, καὶ ἐγκωμίων πρεσβέρων τινῶν Ἐκκλησιῶν, ἐξ ὧν σπεύγεται ὀκταχῶς ἰσότιμον εἶναι τὸν Ῥώμης τοῖς λοιποῖς Ἐπισκόποις, καὶ ἡ Πόνα τοῦ Ἀλεξανδρείας, καὶ ἐν τῇ τῶν μειζόνων Ἐκκλησιῶν εἰρήνῃ ἰδικῆς μνήμης οὐκ ἀξιώμφον.

Τοῦ ἁγίου Κυρίλλου καὶ τοῦ Ἀντιοχείας εὐρισκομένων εἰς μάχην, καὶ τοῦ Κελεσίνου καὶ τοῦ μετ' αὐτὸν Εὐσταθίου τῶν Ἐπισκόπων Ῥωμαίων ἀγανακτούντων μᾶλλον, ἀλλὰ μηδὲν δυναμένων, ὁ Βασιλεὺς Θεοδόσιος ἔπεμψε Σάκρας Κυρίλλῳ καὶ Ἰωάννῃ μετὰ Τελεσίνου τοῦ Νοταρίου Ἄρχοντος Δεισολάου ἵνα εἰρηνεύσωσιν, ἐν οἷς γράφει τῷ Ἀντιοχείας ὅτι ὑπερεχέθησαν αὐτῷ ὁ Κωνσταντινουπόλεως Μαξιμιανὸς καὶ οἱ παρδυρεθέντες ὑπὸ Κωνσταντινουπόλεως Ἐπίσκοποι καὶ ὁ Κλῆρος, ὡς εἰ ὑπογράψεις τῇ καθαιρέσει Νεσορίου, καὶ τῷ αὐτοῦ ἀναθεματίσεις διδασκαλίαν, ἐδεμία ὠφελειφθήσεται αἰτιολογίας ἀφορμὴ, ἀλλ' εὐθὺς ὁ Κύριλλος καὶ οἱ μετ' αὐτοῦ, καὶ ἡ κατὰ θεοσέβειαν καὶ οἱ μετ' αὐτῆς, καὶ ὁ Κελεσῖνος καὶ πάντες οἱ ἁπανταχοῦ τῆς ὀρθοδόξου πίστεως ἱερεῖς τῇ σῇ θεοσεβείᾳ κοινωνήσουσιν. ὃ δὲ τῷ τέλει φησὶν, εἰ τῆς προθυμίας τῆς περὶ τὸν συγκρότησιν τῶν τοῦ Θεοῦ Ἐκκλησιῶν ἡ σὴ ὁσιότης καταφρονήσει, ἀξίας ἀμοιβὰς ἐπενέγκαιτο. δεύτερον, ὁ αὐτὸς Βασιλεὺς γράφων Συμεὼν τῷ συλίτῃ ἵνα προκινήσῃ εἰς ἀγάπην μετὰ Κυρίλλου τὸν Ἀντιοχείας λέγει, εἰ γὰρ τοῦτο ποιήσειε, καὶ τῷ Κυρίλλῳ ὁμονοήσειεν ὥσπερ οἱ ἐν τῇ Δύσει καὶ οἱ ἐνταῦθα καὶ οἱ ἁπανταχοῦ συντρέχουσι. τρίτον, ὁ Ἀντιοχείας ὑπακούσας τῷ βασιλικῷ προστάγματι, ὃς τῇ μὲν ἀγανακτήσει τῆς Ῥωμαϊκῆς Ἐκκλησίας μὴ ὑπακούσας, τῷ βασιλικῷ δὲ προστάγματι πειθαρχήσας, ἔγραψεν Ὑπατίῳ, τοῖς ὁσιωτάτοις καὶ θεοφιλεστάτοις ἀδελφοῖς Εὐσεβίῳ, Κυρίλλῳ, καὶ Μαξιμιανῷ, ἐν ᾗ εἶπε, συναινέσῃ τῇ χειροτονίᾳ τοῦ Κωνσταντινουπόλεως Μαξιμιανοῦ, καὶ κοινωνοὶ ἔσωσι ἅπασι τοῖς κατὰ τὸν Οἰκουμένην θεοσεβεστάτοις Ἐπισκόποις, ὅσοι τὸν ὀρθόδοξον καὶ ἀμώμητον ἔχουσι καὶ τηροῦσι πίστιν. τέταρτον, ὁ Ἀντιοχείας ἔγραψε πρὸς Κύριλλον ἀναθεματίσας Νεστόριον, καὶ πέμψας καὶ σύνθεσιν πίστεως μετὰ Παύλου Ἐμέσης ἣν δεξαμένου τοῦ Κυρίλλου, καὶ ἀντιγράψαντος αὐτῷ, εἰρήνευσαν αἱ Ἐκκλησίαι. πέμπτον, ὁ Παῦλος διδάσκων ἐν Ἀλεξανδρείᾳ ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ παρόντος Κυρίλλου, ὁ λαὸς ἐβόα, τῶν Ἐπισκόπων τὸν πατέρα Κύριλε σῶσον, καλῶς ἦλθες Ἐπίσκοπε ὀρθόδοξε, τῆς Οἰκουμένης παιδευτά, τῷ δὲ λαῷ ἀμειβόμενος ὁ Παῦλος ἔφη, τὰ ὑμῶν ὑμῖν παρεθήκαμεν, αὕτη γὰρ τοῦ πατρὸς ὑμῶν (ἤτοι τοῦ Κυρίλλου) ἡ διδασκαλία, ἅτις ὁ θησαυρὸς συγγενικὸς ὑμῖν τοῦ μακαρίτου Ἀθανασίου τὰ δόγματα, τοῦ μεγάλου Θεοφίλου τὰ διδάγματα, τῶν σύλλων τῆς ὀρθοδοξίας. σημείωσαι, ὅτι ὅπερ οὐκ ἴσχυσεν ὁ Πάπας ποιῆσαι, καίτοι συστραπεὶς ὑπὸ τῆς Συνόδου ἀγανακτῆσαι κατὰ τοῦ Ἀντιοχείας, ἐπελέσωσιν ἡ τοῦ Βασιλέως συμβουλὴ καὶ ἀπειλή. δεύτερον, ὅτι ἐν τῇ εἰρήνῃ τῶν μειζόνων Ἐκκλησιῶν ἐδεμία μνήμη ἰδικὴ τοῦ Πάπα, ἀλλ' ἐν πᾶσι τούτοις ὁμοτιμία δείκνυται τοῦ Πάπα μετὰ τῶν λοιπῶν Ἐκκλησιῶν καὶ ἐδὲν πλέον. τρίτον, ὅτι ὁ Κωνσταντινουπόλεως καὶ ὁ Κλῆρος συστείνουσι πρὸς εἰρήνην τῶν δύο Ἐκκλησιῶν, ἐδεμία δὲ μνήμη τοῦ Ῥώμης. τέταρτον, ὅτι ὡς κοινωνοῦσι τῷ Ῥώμης ὀρθοδόξῳ οἱ ὀρθόδοξοι Ἐπίσκοποι, οὕτω καὶ ὁ Ῥώμης κοινωνεῖ τοῖς λοιποῖς Πατριάρχαις, καὶ ἰδὲ ἀνωτέρω Παράγραφον εἰκοστὸν τέταρτον περὶ τούτου. πέμπτον, ὅτι πρωτιμᾶται μᾶλλον τοῦ Ῥώμης ὁ Ἀλεξανδρείας, ἐπειδὴ τῷ Κυρίλλῳ συντρέχουσιν, ἤτοι συμφωνοῦσιν οἱ ἐν τῇ Δύσει, ἐξ ὧν εἷς καὶ ὁ Πάπας, καὶ οἱ ἐν Κωνσταντινουπόλει, καὶ οἱ ἁπανταχοῦ. σχόλιον, ὅτι ἐξίσου καλοῦνται Ἀρχιεπίσκοποι ὁ Ῥώμης, ὁ Ἀλεξανδρείας καὶ ὁ Κωνσταντινουπόλεως. ἕβδομον, ὅτι ὁ Ἐπίσκοπος Ἐμέσης παιδευτὴς τῆς οἰκουμένης καὶ πατὴρ τῶν Ἐπισκόπων καλεῖται, ὥσπερ ἐκλήθη καὶ ὁ Ὅσιος ὑπὸ τοῦ μεγάλου Ἀθανασίου ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ, καὶ ὁ Ἐπιφάνιος ὑπὸ τοῦ Ἱερωνύμου ἐν τῇ πρὸς Παμμάχιον ἐπιστολῇ. καὶ λοιπὸν μάτην οὐ μόνῳ τῷ Ῥώμης ἁρμόζει ὡς τετραδύονται οἱ παπισταί. ὄγδοον, Ἀθανάσιος καὶ Θεόφιλος σύλλοι τῆς ὀρθοδοξίας καλοῦνται, ὅπερ ταὐ-

ταὐτόν ἐστι τῷ ὁ Πέτρος κίων τῆς πίστεώς ἐστιν ὡς εἶπεν ὁ Φίλιππος ἀνωτέρω.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΖ'.

Περί τινων ῥητῶν τοῦ θείου Κυρίλλου ἀπὸ τῆς πρὸς τὸν Βασιλέα Θεοδόσιον ἀπολογίας αὐτοῦ, καὶ ἀπὸ τῆς πρὸς τὸν Κωνσταντινουπόλεως Μάξιμον ἐπιστολῆς αὐτοῦ, καὶ τῆς πρὸς τοὺς τὸν μονήρη βίον ἀσκοῦντας, καὶ τῆς πρὸς τὸν Ἀντιοχείας Ἰωάννην, καὶ ἀπὸ τῆς πρὸς Ἀρμενίαν ἐγκλυκλίου ἐπιστολῆς Πρόκλου Κωνσταντινουπόλεως, ἐξ ὧν δείκνυται μὴ εἶναι ἐν τῇ Ἐκκλησίᾳ μοναρχικὸν ἀξίωμα, ἀλλὰ τὸ κῦρος εἶναι τῶν ἁγίων πατέρων, καὶ τὴν ἐσχάτην ψῆφον τῆς Οἰκουμενικῆς Συνόδου.

Ὁ Κύριλλος ἐν τῇ πρὸς Θεοδόσιον τὸν Βασιλέα ἀπολογίᾳ κειμένῃ μέρει τρίτῳ τῆς τρίτης Συνόδου φησὶν, ἐπειδὴ παρὰ Θεοῦ τεθείμεθα σκοποὶ καὶ λαῶν κηδεμόνες. καὶ σημείωσαι ὅτι οὐ λέγει σκοπὸν καὶ κηδεμόνα ἕνα ἔξοχον ἐν τῇ Ἐκκλησίᾳ, ἀλλὰ σκοποὺς καὶ κηδεμόνας τεθειμένους δηλονότι ἀμέσως παρὰ Θεοῦ. Ὁ αὐτὸς ἐν τῇ αὐτῇ φησὶν, ἐνταῦθα γὰρ οἱ μακάριοι πατέρες ἡμῶν θαρσηθέντες παρὰ Θεοῦ, τὴν Ἱερωσύνην ταῖς τῶν Αἱρετικῶν κατὰ καιροὺς ἀντετάξαντο δυστροπίαις. καὶ σημείωσαι ὅτι οὐχ ὁ Ῥώμης μόνος, ἀλλὰ κοινῶς οἱ πατέρες, οὐ τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν, ἀλλὰ κοινῶς καὶ ἀμέσως τὴν κοινὴν Ἱερωσύνην ἐξίσου ἀντετάξαντο ταῖς τῶν Αἱρετικῶν δυστροπίαις. Ὁ αὐτὸς ἐν τῇ αὐτῇ φησὶ, καὶ πάντες δὲ οἱ τῶν Ἐκκλησιῶν προεστῶτες καὶ τῆς ὀρθοδοξίας φύλακες διανιστῶσιν αὐτῷ τὴν ἀλήθειαν, ἤτοι τῷ Νεστορίῳ. καὶ σημείωσαι ὅτι ἐν τῇ Ἐκκλησίᾳ οὐχ εἷς, ἀλλὰ πολλοὶ οἱ προεστῶτες, καὶ οὐ μόνον ἡ Ῥώμης Ἐκκλησία μεγάλη, ἀλλὰ πολλαὶ ἐξίσου Ἐκκλησίαι, καὶ οὐ μόνον ὁ Ῥώμης, ἀλλὰ κοινῶς τῆς ὀρθοδοξίας φύλακες οἱ ἅγιοι πατέρες, οἳ καὶ ἐμαχέσαντο Νεστορίῳ καὶ ἐνίκησαν αὐτόν. Ὁ αὐτὸς ἐπιστολῇ πρὸς τὸν Κωνσταντινουπόλεως Μαξιμιανὸν λέγει, ταύτην παρέδωκαν τὴν παράδοσιν οἱ Ἀπόστολοι καὶ οἱ ἅγιοι πατέρες, καὶ γεγόνασι φωστῆρες ἐν κόσμῳ λόγον ζωῆς ἐπέχοντες. καὶ σημείωσαι ὅτι οὐ λέγει τὸν Πέτρον καὶ τὸν Ῥώμης παραδεδωκέναι τῆς πίστεως τὴν ἀλήθειαν, ἀλλὰ κοινῶς τοὺς Ἀποστόλους καὶ τοὺς ἁγίους πατέρας, οἵτινες καὶ κοινῶς φωστῆρες εἰσὶ, καὶ λόγον ζωῆς ἐπέχουσιν ἐν τῷ κόσμῳ, ἤτοι ἐν τῇ καθόλου Ἐκκλησίᾳ. Ὁ αὐτὸς ἐπιστολῇ πρὸς τοὺς ἀσκοῦντας τὸν μονήρη βίον λέγει, ὅτι τοῖς τριακοσίοις δεκαοκτὼ σύνεδρος ἦν ὁ Χριστὸς, ὅπου γάρ φησι δύο ἢ τρεῖς εἰσὶ συνηγμένοι, καὶ τὰ ἑξῆς. καὶ ὅτι πρόεδρος ἦν ἀοράτος ἐν αὐτοῖς ὁ Χριστὸς, καὶ ὅτι οἱ ἅγιοι πατέρες Ποιμένες λαῶν, φωστῆρες Ἐκκλησιῶν, εὐτεχνέστατοι μυσταγωγοί. καὶ σημείωσαι ὅτι τὸ πρόεδρος καὶ σύνεδρος ἐν τοῖς προέχουσιν ἐν ταῖς Συνόδοις ταὐτόν ἐστι. δεύτερον, ὅτι οὐ μόνος ὁ Ῥώμης, ἀλλὰ κοινῶς οἱ πατέρες ἐξίσου Ποιμένες λαῶν καὶ φωστῆρες Ἐκκλησιῶν καὶ εὐτεχνέστατοι μυσταγωγοὶ πρὸς ποίμανσιν λαῶν καὶ Αἱρετικῶν ἀντίταξιν. Ὁ αὐτὸς ἐν τῇ αὐτῇ καὶ ἐν πολλοῖς ἄλλοις τόποις λέγει, ὅτι ὁ Βασιλεὺς ἔχει τὴν μέριμναν τῶν Ἐκκλησιῶν, καὶ ἐπιστολῇ πρὸς τὸν Ἀντιοχείας Ἰωάννην φησὶ, μηδεὶς ἐπιφημιζέτω παρακαλοῦμεν τοῖς ἁγίοις καὶ ὀρθοδόξοις ἡμῶν πατράσιν Ἀθανασίῳ, Βασιλείῳ, Γρηγορίῳ, Θεοφίλῳ καὶ τοῖς λοιποῖς. σημείωσαι ἔτι, ἐξ Ἀρμενίας ἐλθόντες ἄνθρωποι πρέσβεις πρὸς τὸν Κωνσταντινουπόλεως Πρόκλον περί τινων περὶ πίστεως πραγμάτων, ὁ Πρόκλος ἔγραψεν ἐγκύκλιον ἐπιστολὴν εἰς τὴν Ἀρμενίαν, ἧς πρὸς τὸ τέλος φησὶν, ἀλλὰ φυλάττοντες τὰς παραδόσεις ἃς παρελάβετε τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ τὴν ὀρθόδοξον πίστιν ἐκθεμένων, καὶ τῶν περὶ τὸν ἅγιον καὶ μακάριον Βασίλειον καὶ Γρηγόριον καὶ τῶν λοιπῶν τῶν αὐτοῖς ὁμοφρόνων. καὶ λοιπὸν ἐκ τούτων σημείωσαι ὅτι οὐκ ἔστιν ἐν τῇ Ἐκκλησίᾳ μοναρχικὸν ἀξίωμα, ἀλλὰ τὸ κῦρος ἐστὶ τῶν ἁγίων πατέρων, καὶ ἡ ἐσχάτη ψῆφος ἐστὶ τῆς Οἰκουμενικῆς Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ ΑΗ',

Περὶ τῆς πεπλασμένης μαρτυρίας τῶν παπιστῶν ἐκ τῶν θησαυρῶν τοῦ ἁγίου Κυρίλλου, καὶ ἑτέρων ψευδολογιῶν Βέκκου καὶ Γεωργίου μετοχίτου ὑπὲρ τῆς μοναρχίας τοῦ Ῥώμης. καὶ περὶ ἀποδείξεως ἐμμαρτύρου διὰ πολλῶν, ὅτι πλάσμα λαμπρὸν ἣν προσφέρουσιν οἱ παπισταὶ μαρτυρίαν τοῦ Κυρίλλου, καὶ ὅσα ὁ Βέκκος καὶ ὁ μετοχίτης Γεώργιος οἱ παπισταὶ καὶ φθορεῖς τῶν πατρικῶν βιβλίων. καὶ ὅτι ἐξαιρέτως ἡ Σύνοδος ἔχει τὴν ἐξουσίαν τοῦ δεσμεῖν καὶ λύειν, καὶ πάλιν ὁ Ῥώμης οὐμοναρχής.

Καὶ ἐντεῦθεν ἐστὶ δῆλον ὅτι ἡ μαρτυρία ἣν προβάλλουσι ἡμῖν οἱ παπισταὶ ὡς ἀπὸ τοῦ βιβλίου τῶν θησαυρῶν τοῦ ἁγίου Κυρίλλου πεπλασμένη ἐστὶ καὶ διόλου ψευδὴς, ἔστι δὲ αὕτη, δεῖ ἡμᾶς ὡς μέλη ἐμμένειν τῇ κεφαλῇ ἡμῶν τῷ τῆς Ῥώμης Ἀρχιερεῖ καὶ τῷ ἀποστολικῷ θρόνῳ, ἀφ' οὗ ἡμέτερόν ἐστι ζητῆσαι τὶ πιστεύειν καὶ τὶ δοξάζειν μέλλουσιν καὶ κρατεῖν, ὅτι αὐτοῦ μόνου ἐστὶν ἐλέγχειν, ἐπιδιορθοῦν, ἐπιτιμᾶν,

τιμαῖ, ἐπικυροῦν, διατιθέναι, λύειν καὶ δεσμεῖν. ταῦτα οἱ παπισταί. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ταῦτα τὰ ῥήματα ἀντίκειται κατὰ διάμετρον τῇ θείᾳ γραφῇ καὶ τῇ πράξει τῆς καθολικῆς Ἐκκλησίας καὶ αὐτοῦ τοῦ Κυρίλλου. ὁ Κύριλλος δὲ οὔτ' εἴρηκεν, οὔτ' ἐφρόνησεν, οὔτ' ἔγραψεν ἀντικείμενα τῇ διδασκαλίᾳ τοῦ Πνεύματος καὶ ἑαυτῷ. δεύτερον, οὐχ εὑρίσκεται ἐν τοῖς θησαυροῖς, καὶ τὸ δὴ γελοῖον ὅτι ἐρωτήσαντος τοῦ Ἱεροσολύμων Νεκταρίου περὶ τούτων τὸν Ἰσσανὸν Πέτρον, ἐκεῖνος εἶπεν, ὅτι εἶδεν αὐτὰ παρὰ Θωμᾷ τῷ Ἀκινάτῃ. τρίτον, ὅτι ὡς ἐψεύσαντο Λατῖνοι περὶ τῆς ἐπιστολῆς Ἀθανασίου πρὸς Φίληκα τὸν Ῥώμης, οὕτω ψεύδονται ἐνταῦθα περὶ τοῦ Κυρίλλου. τέταρτον, ὅτι εἰ ἦν ἀληθῆ πῶς οὐπροβάλετο ταῦτα ὁ Ἰούλιος πρὸς τοὺς Εὐσεβιανοὺς, ὁ Λιβέριος πρὸς τὸν Κωνσταντίον, ὁ Λέων κατὰ τοῦ εἰκοστοῦ ὀγδόου Κανόνος τῆς ἐν Χαλκηδόνι Συνόδου, ὁ Βιγίλιος πρὸς τὴν πέμπτην Σύνοδον, ὁ Διάλογος πρὸς τὸν Νηστευτὴν, καὶ τέως ὁ πρῶτος Νικόλαος καὶ ὁ μετ' αὐτὸν Ἀδριανὸς πρὸς τὸν Φώτιον, κρίνοντα καὶ καθαιροῦντα τοὺς Πάπας ἐπ' ὄψεσι πάσης τῆς Οἰκουμένης; πέμπτον, εἰ καὶ καταστρέφονται τὰ ῥήματα ταῦτα ὑπὸ πάσης τῆς παρούσης πραγματείας, δι' ἀποφυγὴν ὅμως τῆς πολυλογίας ἀρκεῖ εἰπεῖν τινὰ ἐκ τῶν εἰρημένων ἐν τῷ παρόντι κεφαλαίῳ, καὶ πρῶτον, ὅτι ὁ τύπος τοῦ Κελεστίνου τοῦ πιστεύειν καὶ δοξάζειν καὶ ὀρθῶς κρατεῖν κατὰ τῆς Αἱρέσεως τοῦ Νεστορίου, ἐκρίθη καὶ ἀνεκρίθη ὑπὸ τῆς Οἰκουμενικῆς Συνόδου, ἥτης καὶ τὴν ἀμφιβολίαν ἔλυσε, καὶ τὸ τί δεῖ πιστεύειν καὶ δοξάζειν καὶ κρατεῖν κατὰ τὴν προτροπὴν τῶν Βασιλέων καὶ πάσης τῆς Οἰκουμένης τὴν προσδοκίαν παρέδωκεν, εἶτα καὶ αὐτὸς ὁ Κελεστῖνος τοὺς πατέρας τῆς Συνόδου διὰ τῆς ἐπιστολῆς αὐτοῦ παρώτρυνεν ἵνα περὶ τῆς πίστεως κρίνωσι τὸ δίκαιον. δεύτερον, ὅτι ἤλεγξεν ὁ Ῥώμης καὶ ὁ Κύριλλος καὶ ὁ Ἀντιοχείας καὶ ἄλλοι τὸν Νεστόριον, ἀλλ' οὐδὲν ἤνυσαν καὶ μάλιστα ταραττομένων πασῶν τῶν Ἐκκλησιῶν, ἕως οὗ ἐλέγξασα ἡ Σύνοδος ἐκάθηρεν αὐτόν. τρίτον, ὅτι οὐχ ὁ Ἀρχιερεὺς τῆς Ῥώμης διωρθώσατο τοὺς ἀμφιβάλλοντας ἐν πάσῃ τῇ Οἰκουμένῃ, ἀλλ' ἡ Σύνοδος. τέταρτον, ὅτι οὐχ ὁ Ῥώμης, ἀλλ' ἡ Σύνοδος ἐπεκύρωσε τὰ ὑπὸ τῶν ἀρχαίων Συνόδων καὶ πατέρων διορισθέντα, καὶ τὸ Σύμβολον ὥρισε μένειν ἀκαινοτόμητον, ἐπιτάξασα ἐξίσου καὶ τῷ Ῥώμης καὶ παντὶ Χριστιανῷ μένειν ἐν οἷς ἐπεκύρωσε. πέμπτον, ὅτι οὐχ ὁ Ῥώμης, ἀλλ' ἡ Σύνοδος διέθετο τὰ πράγματα, ἀπὸ μὲν τῆς βασιλικῆς προθεσμίας διορίσασα τὴν ἐν τῇ Συνόδῳ προκάταρξιν, ἀπὸ δὲ τοῦ Συμβόλου τῆς πίστεως καὶ τῆς μαρτυρίας τῶν ἁγίων ἐγκρίτων πατέρων λύσασα τὴν ἀμφιβολίαν τὴν ἀναφυεῖσαν ὑπὸ τῆς αἱρετικῆς κακοδαιμονίας, ἀπὸ δὲ τῆς συγκρίσεως μετὰ τῶν συνοδικῶν καὶ πατρικῶν συγγραμμάτων δεχθεῖσα πρῶτον τὴν ἐπιστολὴν Κυρίλλου, εἶτα τὴν ἐπιστολὴν τοῦ Κελεστίνου, καὶ τέως ἀπὸ τῆς συμφωνίας πασῶν τῶν Ἐκκλησιῶν μετὰ τῶν Κανόνων καὶ ἁγίων πατέρων δήσασα τὸν Νεστόριον τῷ ἀφορισμῷ καὶ τῷ ἀναθέματι, ἀπὸ δὲ τῆς παρὰ τοὺς Νόμους καὶ τὸ ἔθος καὶ τοὺς Κανόνας πράξεως τοῦ Ἀντιοχείας κατὰ τοῦ ἁγίου Κυρίλλου καὶ Μέμνονος δικαιώσασα τὸν Λεγᾶτον τοῦ Ῥώμης Κύριλλον, ἀργήσασα δὲ τὸν Ἀντιοχείας καὶ τοὺς περὶ αὐτὸν Ἐπισκόπους. ἡ Συνόδος ἄρα ἔχει ἐξαιρέτως τὴν ἐξουσίαν τοῦ δεσμεῖν τε καὶ λύειν, ὡς ἔλεγε καὶ ἡ ἐν Χαλκηδόνι Σύνοδος γράφουσα τῷ Πάπᾳ Λέοντι, καὶ ὡς ἐκριζοῦν καὶ καταφυτεύειν τὴν ἐξουσίαν δεξάμενοι, τὴν μὲν ἐκτομὴν μέχρις ἑνὸς ἐστενώσαμεν, τῶν καλῶν δὲ τὴν εὐκαρπίαν ἐπιμελῶς ἐρριζώσαμεν. ὅπερ ταὐτόν ἐστι τῷ ἐλύσαμεν καὶ ἐδήσαμεν, καὶ ἰδὲ τὸν τόπον βιβλίου τεταρτοῦ κεφαλαίου πρώτου, Παραγράφῳ εἰκοστῷ ὀγδόῳ. ἔκτον, ὅτι ὁ Ῥώδου Ἀνδρέας βουλόμενος εἰπεῖν ἐν Φερραρίᾳ περὶ τοῦ πρωτείου τοῦ Πάπα πράξει ἑβδόμῃ, καὶ εἰπὼν ὅτι ἔχει εἰπεῖν μαρτυρίαν ἀξιόλογον τὴν τοῦ Κυρίλλου ἐν τοῖς θησαυροῖς, οὐκ ἐτόλμησεν εἰπεῖν ῥητῶς τὸ πλαστούργημα, φοβούμενος τὸν ἔλεγχον τὸν παρὰ τοῦ Ἐφέσου, ἀλλὰ μόνον εἰπὼν ὅτι ἔχομεν πατέρες ἄριστοι καὶ πλείονα ἄλλα ῥητὰ περὶ ταύτης τῆς ὕλης, μάλιστα δὲ πάντων τοῦ ἁγίου Κυρίλλου ἐν τοῖς θησαυροῖς, λάμπει γὰρ ταμάλιστα ἡ αὐθεντία τοῦ Ῥωμαίων Ἀρχιερέως ἐν τοῖς τοῦ Κυρίλλου συγγάμμασι, ταῦτα εἰπὼν ἐσιώπησεν. ἐν οἷς σημείωσαι ὅτι εἰ μάλιστα πασῶν τῶν περὶ τοῦ Πάπα μαρτυριῶν ἡ τοῦ Κυρίλλου ὑπερέχει, δῆλον ὅτι πρὸ τοῦ Κυρίλλου οὐκ ἔχουσιν ἄλλην μαρτυρίαν οἱ Λατῖνοι ἀξιόλογον περὶ τῆς ἀρχῆς τοῦ Πάπα. καὶ ποῦ αἱ παρ' αὐτῶν προβαλλόμεναι περὶ ταύτης τῆς ὕλης ἀναμάρτητοι καὶ θεόπνευστοι Δεκρετάλεις ἐπιστολαὶ τῶν ἀρχαίων Παπῶν; ποῦ τοῦ Κωνσταντίνου τὸ μέγα θέσπισμα; ποῦ τοῦ Σιλβέστρου τὸ, ὁ πρῶτος θρόνος οὐκρίνεται; ποῦ τοῦ Ἰουλίου καὶ Ζωσίμου καὶ Βονιφατίου καὶ Κελεστίνου οἱ τῆς ἐν Νικαίᾳ Κανόνες; ποῦ τῆς πρώτης ἐν Νικαίᾳ Συνόδου ὁ ἕκτος κανὼν ὁ ὁρίσας κατὰ τὴν διεφθαρμένην τῶν παπιστῶν ἑρμηνείαν ἔχειν τὸν Ἀλεξανδρείας τὴν ἐξουσίαν τῶν τάδε Ἐπαρχιῶν παρὰ τοῦ Ῥώμης; ποῦ τῆς ἐν Σαρδικῇ Συνόδου οἱ περὶ Ἐκκλήτου Κανόνες; ἢ δῆλον πάντα τὰ τοιαῦτα πλάσματα ψευδῆ καὶ ἀνύπαρκτα καὶ παρεξηγήσεις διατοῦτο καὶ οἱ παπισταὶ ἀναγκαζόμενοι ὑπὸ τῆς ἀληθείας, ἀνατρέπουσι μόνοι τὰ ἴδια. δεύτερον, ἐπειδὴ ἡ πρωτεύουσα μαρτυρία περὶ τῆς ἀρχῆς τοῦ Πάπα ἐστὶν ἡ παροῦσα μαρτυρία τοῦ ἁγίου Κυρίλλου, αὕτη δὲ σαφέστατα δέδεικται πλάσμα λαμπρὸν, πλάσμα ἄρα καὶ ἡ μοναρχικὴ ἐξουσία τοῦ Πάπα λαμπρότατον. ὅθεν ὁ Ἐφέσου βλέπων ποτὲ μὲν τὸν Ῥόδου, ποτὲ δὲ τὸν Ἐπίσκοπον Ἰωάννην τοιαῦτα προτείνοντας περὶ τῆς ἀρχῆς τοῦ Πάπα, καὶ μάλιστα Ἰούλιον τὸν Καρδηνάλιν μέγαν νομιζόμενον ἐν τῇ δωδεκάτῃ

πράξει

πράξει καὶ λέγοντα ἡ ἐξουσία τῆς Ῥωμαϊκῆς Ἐκλησίας καὶ τοῦ ἄκρου Ἀρχιερέως ἐστὶ φανερὰ διὰ τῶν Εὐαγγελίων, ἔτι γε μὴν καὶ διὰ τῶν Οἰκουμενικῶν Συνόδων, εἶπεν ὅτι οὐκ ἀνέχεται καταλιπεῖν ἀνεξέταστον, ἐπειδὴ ἔχει περὶ τούτου πολλὰ καὶ ἀναγκαῖα εἰπεῖν πρὸς καταστροφὴν δηλονότι τοῦ παπισμοῦ, ὅπερ εὐλαβούμενος ὁ Ἰούλιος παρῃτήσατο εἰπεῖν, προφασισθεὶς τὸ, ἐν καιρῷ καὶ περὶ τούτου ῥηθήσεται, πράξει δωδεκάτῃ, καιρὸν ἐννοῶν ἁρμόδιον τὰ μεταταῦτα πονηρὰ τῶν Λατίνων τεχνήματα, καὶ τὴν συμμαχίαν Βησσαρίωνος καὶ Γρηγορίου, τήν τε πρὸς τοὺς ἀρίστους τῶν Ἑλλήνων πεῖναν, στενοχωρίαν, φυλακὴν, καὶ ὅλως βίαν, καὶ τὰ πρὸς τοὺς ἀσθενεῖς χλαινίδια, ἀργυρίδια, καὶ χρυσίδια, ἅπερ ἰδὲ κατωτέρω ἐν τῷ πρώτῳ μέρει τοῦ δεκάτου βιβλίου, καὶ λοιπὸν λάμπει ἡ αὐθεντία τῆς κοινότητος, ἤτοι τῶν Συνόδων ἐπί τε τῆς Ῥωμαϊκῆς Ἐκκλησίας καὶ τοῦ Ἐπισκόπου Ῥώμης καὶ ἐπὶ παντὸς ἄλλου μερικοῦ Ἐπισκόπου καὶ μερικῆς Συνόδου ἐν τοῖς τοῦ Κυρίλλου συγγράμμασι, τὸ δὲ ἀνάπαλιν, ψεῦδος ἐστὶ καὶ ἀσέβεια. ἕβδομον, προβάλλουσιν ἔτι εὑρίσκεσθαι παρὰ τῷ Γενναδίῳ τὰ ῥήματα τοῦ Κυρίλλου, ἀλλὰ ῥητέον ὅτι ὁ Γεννάδιος ἐστὶ ψευδογεννάδιος, ὡς γὰρ ἐροῦμεν ἐν τῷ δεκάτῳ βιβλίῳ οὐκ ἦν ὁ Γεννάδιος ὁ συγγραψάμενος ταῦτα, ἀλλ' ἕτερός τις, ἐπειδὴ δὲ ψευδεπίπλαστός ἐστιν ὁ Γεννάδιος, ψευδὴς ἄρα καὶ ἡ παρ' αὐτοῦ μαρτυρία. εἶτα ὅστις ἂν εἴη ὁ ταῦτα συγγραψάμενος, πάντως οὐκ ἀξιόπιστός ἐστιν εἰς μαρτυρίαν, ἐπιλέγει γὰρ ἐκεῖ ὅτι ὁ Κωνσταντῖνος εἰς Ῥώμην ἐβαπτίσθη, καὶ ὅτι ὁ Ἰούλιος καὶ Λιβέριος τοὺς περὶ Ἀθανάσιον διωκομένους ὑπὸ τῶν Ἀρειανῶν ἐβεβαίωσαν εἰς τοὺς θρόνους αὐτῶν, ὅπερ μάταιον ἐδείχθη ἀνωτέρω βιβλίῳ δευτέρῳ, καὶ ὅτι ὁ Διάλογος τῶν Εἰκονομάχων τὴν Αἵρεσιν ἤλεγξεν, οὐκ ἦν δὲ ὁ Διάλογος, ἀλλὰ Γρηγόριος ὁ δεύτερος, καὶ ὅτι ὁ Πάπας Νικόλαος ὁ πρῶτος ἦλθε σωματικῶς εἰς Κωνσταντινούπολιν, προτείνει τὸ θέσσισμα τοῦ Κωνσταντίνου ὡς ἀληθὲς, καὶ ἄλλα μυρία τοιαῦτα ῥαψῳδεῖ. ἐκ τῶν τοιούτων δὲ μαρτυρίαν λαμβάνειν καὶ μάλιστα ἐν τοῖς περὶ πίστεως, κομιδῇ μάταιον. ὄγδοον, λέγουσιν οἱ αὐτοὶ ὅτι τὰ ῥήματα τοῦ Κυρίλλου ταῦτα ὡς ἀληθῆ δέχονται ὁ Βέκκος λόγῳ τρίτῳ κατὰ Γρηγορίου τοῦ Κυπρίου, καὶ Γεώργιος ὁ Μετοχίτης λόγῳ δευτέρῳ ὑπὲρ τοῦ Βέκκου. ἀλλὰ ῥητέον, ὅτι Βέκκος καὶ Μετοχίτης εἰσὶ παπισταὶ καὶ εἰσηγήτορες τοῦ παπισμοῦ ἔξοχοι, καὶ τῶν βιβλίων τῶν πατέρων φθορεῖς, καὶ τῶν περὶ τοῦ παπισμοῦ πλαστουργημάτων ὁδηγοὶ, καὶ ἔντεχνοι σοφισταὶ ὡς οἱ ἱστορικοὶ βοῶσι, καὶ ἡμεῖς ἐροῦμεν ἐν πολλοῖς μεταταῦτα, καὶ κατωτέρω βιβλίῳ ἐνάτῳ. ἔνατον, πρὸς τούτοις ὁ Στηθάτος κατὰ τῆς ἀρχῆς τοῦ Πάπα λόγῳ δευτέρῳ, καὶ Γερμανὸς Κωνσταντινουπόλεως ὁ νέος κατὰ Λατίνων βιβλίῳ πρώτῳ, Ἰωάννης ὁ Φουρνὴς ἐν τοῖς περὶ τοῦ ἁγίου Πνεύματος, μιχαὴλ ὁ Ἀγχιάλου κατὰ τῆς λατινικῆς Αἱρέσεως πρὸς τὸν Αὐτοκράτορα, Νικόλαος ὁ Μεθώνης βιβλίῳ δευτέρῳ κατὰ Λατίνων, καὶ Μάρκος ὁ Ἐφέσου ἐν τῷ εἰς τὸν εἰρημένον Ῥόδου ἀντιῤῥητικῷ, οὗτοι πάντες δεικνύουσιν ὅτι τὰ ῥήματα ταῦτα τοῦ Κυρίλλου νόθα καὶ πεπλασμένα εἰσὶ παρὰ τῶν παπιστῶν, καὶ διόλου ὑπὸ τόλμης ἀθέου ἐξευρημένα.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΘ'.

Περὶ Φωτίου, Νείλου, καὶ ἀνωνύμων, ὑπαριθμούντων τὸν Ῥώμης ἐν τοῖς Ἡγεμόσι τῆς Οἰκουμενικῆς τρίτης Συνόδου, ὄντα μέρος αὐτῆς.

Ὁ Φώτιος ἐπιστολῇ πρὸς Μιχαὴλ Ἄρχοντα Βουλγάρων φησὶν, οἱ τῆς τρίτης Συνόδου Ἡγεμόνες ἐγνωρίζοντο Κύριλλος Ἀλεξανδρείας, Μέμνων καὶ Ἰουβενάλιος. ὁ Νεῖλος φησὶν, ἡγοῦντο δὲ αὐτοῖς Κελεστῖνος Ῥώμης, Κύριλλος Ἀλεξανδρείας, Ἰουβενάλιος Ἱεροσολύμων, καὶ Μέμνων Ἐφέσου. Ἀνώνυμος ὁ λέγων ὅτι ἀπέχει ἡ τρίτη ἀπὸ τῆς δευτέρας ἔτη εἰκοσιεννέα καὶ Μῆνας τρεῖς, λέγει, σὺν Κελεστίνῳ τῷ Πάπᾳ Ῥώμης, καὶ τῷ προμάχῳ τῆς εὐσεβείας Κυρίλλῳ Ἀλεξανδρείας ἡ ἁγία Συνόδος αὕτη καθεῖλε τὸν Νεστόριον. ἕτερος Ἀνώνυμος ἐν ᾧ γράφει περὶ τῶν ἁγίων ἑπτὰ Οἰκουμενικῶν Συνόδων φησὶ, ἧς ἡγοῦντο Κύριλλος Ἀλεξανδρείας διέπων τὸν θρόνον Κελεστίνου Πάπα Ῥώμης, καὶ Ἰουβενάλιος Ἱεροσολύμων. ὁ ἅγιος Γερμανὸς γράφων πρὸς Ἄνθιμον Διάκονον λέγει, προήδρευον δὲ ἐν αὐτῇ Κύριλλος Ἀλεξανδρείας, Κελεστῖνος Ῥώμης, Ἰουβενάλιος Ἱεροσολύμων καὶ Ἀκάκιος Μελιτηνῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Μ'.

Ὅτι καὶ ἐκ τῆς ἀπαριθμήσεως τῶν τῆς Συνόδου Ἡγεμόνων, καὶ ἐκ παραθέσεως, δείκνυται μὴ ἔχειν τὸν Ῥώμης ἰδικὸν ἀξίωμα, ἢ πρεσβεῖον ἐν τῇ καθόλου Ἐκκλησίᾳ.

Ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι οὐδεὶς τῶν εἰρημένων ἔγραψεν ὅτι ἐξῆρχεν, ἢ ἡγεῖτο, ἢ μόνος, ἢ ἐξόχῳ τινὶ τρόπῳ ὁ Ῥώμης, ἀλλ' ἡγεμόευον, καὶ ἡγοῦντο, καὶ προήδρευον οἱ εἰρημένοι ἐξίσου καὶ συντεταγμένως. δεύτερον, ὅτι οὐ προαριθμοῦσι πάντες τὸν Ῥώμης, ὁ γὰρ ἅγιος Γερμανὸς ὑπαριθμεῖ αὐτὸν τοῦ Ἀλεξανδρείας. τρίτον, ὅτι ὡς οὐκ ἔδωκαν οἱ συγγραφεῖς Ἡγουμένους, Ἡγεμόνας

310

μόνας καὶ Προέδρους καλέσαντες τοὺς Ἐπισκόπους Ἀλεξανδρείας, Ἱερουσαλὴμ, Ἐφέσου, καὶ Μελιτηνῆς ἀξίωμά τι ἰδικὸν ἐν τῇ Ἐκκλησίᾳ, οὕτως οὐδὲ τὸν Ῥώμης συνειπόντες Ἡγεμόνα Ἡγούμενον καὶ Πρόεδρον ἔδωκαν, ἢ ἐμαρτύρησαν αὐτῷ ἰδικόν τι πρεσβεῖον ἐν τῇ Ἐκκλησίᾳ.

ΠΑΡΆΓΡΑΦΟΝ ΜΆ.

Ὅτι ἐκ τῆς τοῦ Κελεστίνου Πάπα ἐπιστολῆς πρὸς Κωνσταντινουπολίτας καὶ τὸν Νεστόριον, καὶ ἐκ τοῦ βασιλικοῦ προστάγματος πρὸς τοὺς τῆς Συνόδου πατέρας, ὡς διὰ διστόμου μαχαίρας ἀναιρεῖται ἡ τοῦ Ῥώμης μοναρχία, καὶ τὸ μὴ δέχεσθαι Ἔκκλητον τὰς ἀποφάσεις αὐτοῦ ἐν Οἰκουμενικῇ Συνόδῳ.

Τέλος πάντων ῥητέον, ὥσπερ τινὰ μάχαιραν δίστομον ἀναιρετικὴν τῆς μοναρχίας τὸ προειρημένον, ἤτοι ὅπερ γράφει ὁ Πάπας Κελεστῖνος Κωνσταντινουπολίταις καὶ Νεστορίῳ, ὡς ἐὰν μὴ κηρύξῃς ὥσπερ καὶ ἡ Ῥωμαίων καὶ ἡ Ἀλεξανδρέων καὶ πᾶσα ἡ καθολικὴ Ἐκκλησία κατέχει, ὡς καὶ ἡ ἁγία κατὰ τὴν μεγάλην Κωνσταντινούπολιν Ἐκκλησία ἕως σοῦ κάλλιστα κατέσχε, καὶ ἐντὸς δεκάτης ἡμέρας ἀριθμουμένης ἀπὸ τῆς ἡμέρας ταύτης τῆς ὑπομνήσεως φανερᾷ καὶ ἐγγράφῳ ὁμολογίᾳ ἀθετήσῃς, ἀπὸ πάσης κοινωνίας τῆς καθολικῆς Ἐκκλησίας ἐκβέβλησαι. ταῦτα ὁ Κελεστῖνος, ἥν τινα ἀπόφασιν μετὰ τὸ λαβεῖν ὁ Νεστόριος σφοδρότερον ἐκήρυττε τὰς βλασφημίας αὐτοῦ, καὶ πᾶσαν ἐπετέλει ἱεροπραξίαν, παρ' οὐδενὸς ἐναντιούμενος ἢ μεμφόμενος ὡς παρήκοος ἢ παράνομος. τέως, τὴν κρίσιν τοῦ Κελεστίνου εἰς οὐδὲν λογισάμενος, ἐπεκαλέσατο Οἰκουμενικὴν Σύνοδον, ἥτις ἕως ἂν ἀθροισθῇ, ὁ Βασιλεὺς Θεοδόσιος προσέταξεν ἵνα τὰ πάντα εὑρίσκωνται ὡς ἦσαν καὶ πρότερον ἀπραγῆ, καὶ ὡς μὴ ἐκφωνηθέντα ποτέ. ὅτι δὲ τοῦτο τὸ βασιλικὸν πρόσταγμα σύμφωνον ἦν τοῖς ἐκκλησιαστικοῖς Κανόσι, πρόδηλον. ἀπεδέξατο γὰρ αὐτὸ ἡ ἐν Ἐφέσῳ Σύνοδος, ἥτις θεσπίσματι βασιλικῷ ἁλισθεῖσα ἀνακρῖναι τὰς ἀποφάσεις Κυρίλλου καὶ Κελεστίνου καὶ Νεστορίου, μέχρι τῆς γενομένης καθαιρέσεως τοῦ Νεστορίου εὐλαβέστατον καὶ ὁσιώτατον ἔλεγεν αὐτὸν, ἐπειδὴ ἐγίνωσκε τὰ θεσπίσματα τοῦ Βασιλέως τοῖς θείοις ὁμοφρονοῦντα Κανόσιν, ἀλλὰ δὴ καὶ τὸν Νεστόριον σφοδρῶς ἤλεγξεν ὁ ἅγιος Κύριλλος γράφων πρὸς τὸν Κλῆρον Κωνσταντινουπόλεως, καὶ ὁμιλῶν ἐν Ἐφέσῳ, διότι οὐχ ὡς ἔνοχος, ἀλλ' ὡς κριτὴς καὶ ἔξοχος καὶ ἄρχων τῶν Ἐκκλησιῶν καὶ πλούσιος χρυσίῳ καὶ ἀργυρίῳ παραγέγονεν εἰς τὴν Σύνοδον. ταῦτα δὲ αὐτοῦ στηλιτεύων ὁ Κύριλλος, ἐκεῖνο τὸ ζητῆσαι τὸν Νεστόριον Σύνοδον Οἰκουμενικὴν, οὔτε αὐτὸς ὁ Κύριλλος κατέκρινεν, οὔτε ὁ Κελεστῖνος, οὔτε ἕτερός τις, μάλιστα ἡ Σύνοδος ἀσμένως ἐδέχθη τὰς βασιλικὰς ἐπιστολὰς καὶ ἐντολὰς, καὶ προθύμως καὶ ἐπιμελῶς ἤθελε κρῖναι τὰ κατ' αὐτὸν, ἤτοι τὸν Νεστόριον, καὶ ἐπειδὴ ἐψεύσθη, καὶ παρεῖδε τὴν Ἔκκλητον αὐτοῦ, καὶ οὐκ ἀπήντησεν εἰς τὴν Σύνοδον, καθεῖλεν αὐτόν. μάτην ἄρα λέγουσιν οἱ Ῥωμᾶνοι ὅτι ὁ Πάπας μονάρχης ἐστὶ καὶ κοινὸς κριτὴς, καὶ μάτην λέγουσιν ὅτι αἱ ἀποφάσεις τοῦ Πάπα οὐδέχονται Ἔκκλητον ἀπ' αὐτοῦ εἰς τὴν Οἰκουμενικὴν Σύνοδον.

ΚΕΦΆΛΑΙΟΝ Ιϛ'.

Περὶ τῆς ἐλεύσεως τῆς ἁγίας Μελάνης εἰς Βυζάντιον, καὶ ἀποδημίας τῆς Βασιλίσσης Εὐδοκίας εἰς Ἱεροσόλυμα, καὶ ὧν ᾠκοδόμησε καὶ ἀνεκαίνισεν ἐκεῖ οἰκοδομημάτων.

Εἰς τὸν καιρὸν τοῦ Πρόκλου τοῦ Πατριάρχου ἦλθεν ἡ νέα Μελάνη ἀπὸ τῆς Ἱερουσαλὴμ εἰς τὴν Κωνσταντινούπολιν, καὶ ἐνέτυχε τῇ Βασιλίσσῃ Εὐδοκίᾳ τῇ γυναικὶ τοῦ Βασιλέως Θεοδοσίου, καὶ ἐλάλησε πάμπολα διὰ τοὺς ἁγίους τόπους, καὶ ἠύξησε τὴν εὐλάβειαν εἰς πολλῶν ἀνθρώπων καρδίας, καὶ πάλιν ὑπέστρεψεν εἰς τὴν μετάνοιαν αὐτῆς, λέγω εἰς τὰ Ἱεροσόλυμα μετὰ τὸ βαπτισθῆναι τὸν Βουλουσιανὸν τὸν πατέρα αὐτῆς ὑπὸ τοῦ Πατριάρχου μετὰ πλείστης περιποιήσεως, καὶ δεξιώσεως λαϊκῶν καὶ ἱερωμένων, ἀπῆλθε δὲ ἡ Βασίλισσα εἰς τὰ Ἱεροσόλυμα ὅπου εἰσὶ τὰ σεβάσμια προσκυνήματα, ὡς διηγεῖται εἰς τὸ ἕβδομον καὶ ὁ Σωκράτης, ὅστις θέλει καὶ τὴν Εὐδοκίαν ὑποσχέσθαι ἀπελθεῖν εἰς τοὺς ἁγίους τόπους, εἴγε ἑώρα γεγενημένον τῆς θυγατρὸς αὐτῆς τῆς Εὐδοξίας τὸν γάμον, καὶ κοσμῆσαι τοὺς ἁγίους τόπους διαφόροις εἰναθήμασιν, ὡς καὶ ἐποίησε. πλὴν ἡ περισσοτέρα παρακίνησις ἦν τῆς ἁγίας Μελάνης, ἥτις ὅτε ἦλθεν εἰς τὴν Κωνσταντινούπολιν, ἠγαπήθη παρὰ τῆς βασιλίσσης, ἥτις καὶ εἶχεν αὐτὴν ὡς

τιθη-

τιθηνὸν, ἤγουν παραμάναν, μάλιστα δὲ αὕτη ἡ Μελάνη ἰάτρευσεν αὐτῆς τὸν πόδα εἰς τὰ Ἱεροσόλυμα. διέτριψε δὲ ἡ Εὐδοκία εἰς τὰ Ἱεροσόλυμα ἕνα χρόνον ὥς φησιν ὁ Εὐάγριος, κτίζουσα λαῦραν, καὶ γυναικεῖα μοναστήρια, ἀλλὰ καὶ τὰ τείχη τῆς Ἱερουσαλὴμ ἀνεκαίνισε, καὶ ἐπληρώθη τοῦ Προφήτου Βασιλέως ἡ προφητεία ἡ φάσκουσα, ἀγάθυνον Κύριε ἐν τῇ Εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. γράφει προσέτι ὁ Εὐάγριος ἐν τῷ αὐτῷ βιβλίῳ, ἤτοι ἐν τῷ πρώτῳ, κεφαλαίῳ εἰκοστῷ πρώτῳ, ὅτι ἔκτισε καὶ Ναὸν εἰς μνήμην τοῦ Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου, ἐν στάδιον μακρὰν τῶν Ἱεροσολύμων, πλὴν ταῦτα καὶ ἄλλα περισσότερα ᾠκοδόμησεν ἡ Βασίλισσα μετὰ τὸν θάνατον τοῦ Θεοδοσίου, ὅτε ἐβασίλευσεν ὁ Μαρκιανὸς, καθότι τότε ἐπανῆλθεν εἰς τὴν ἁγίαν πόλιν, καὶ ἔμεινε μέχρις ἐσχάτης ἀναπνοῆς αὐτῆς, ὡς ἱστορεῖ ὁ Εὐάγριος εἰς τὸ πρῶτον τῆς ἱστορίας αὐτοῦ, ὅστις καὶ περὶ μοναχῶν τῶν τότε ὄντων εἰς τὴν Παλαιστίνην, παράδοξά τινα καὶ θαύματος ἄξια ἱστορεῖ εἰς τὸ εἰκοστὸν πρῶτον κεφάλαιον τοῦ πρώτου βιβλίου αὐτοῦ, ἃ οὐκ ἠκούσθησαν ἐκ τοῦ αἰῶνος.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ὧν ἔπεμψεν ὁ Βασιλεὺς Θεοδόσιος δώρων καὶ Σταυροῦ εἰς Ἱεροσόλυμα, καὶ περὶ τῆς παρὰ τοῦ Ἱεροσολύμων πεμφθείσης χειρὸς τοῦ πρωτομάρτυρος Στεφάνου τῇ Βασιλίσσῃ Πουλχερίᾳ.

Ἱστοροῦσιν ὁ Θεοφάνης καὶ ὁ Κεδρηνὸς ὅτι ὁ Θεοδόσιος ἔστειλεν εἰς τὸν Ἱεροσολύμων Ἀρχιεπίσκοπον μεγάλην ἐλεημοσύνην τοῦ διανεῖμαι αὐτὴν τοῖς πτωχοῖς, καὶ ἕνα Σταυρὸν χρυσοῦν μετὰ πολυτιμήτων πετραδίων ἵνα τεθῇ εἰς τὸν τόπον τοῦ Κρανίου. ἔστειλε δὲ καὶ ὁ Ἱεροσολύμων Πατριάρχης τὴν δεξιὰν χεῖρα τοῦ ἁγίου Στεφάνου, ἥτις ὁπόταν ἔφθασεν εἰς τὴν Χαλκηδόνα, ἐφάνη εἰς τὸν ὕπνον τῆς Πουλχερίας Αὐγούστης ὁ ἅγιος Στέφανος λέγων πρὸς αὐτὴν, ἰδοὺ ἐπέτυχες οὗπερ ἐπεθύμεις, ἐγὼ ἔφθασα εἰς τὴν Χαλκηδόνα. ὅθεν ἐξῆλθε μετὰ τοῦ Βασιλέως εἰς προϋπάντησιν τοῦ λειψάνου, καὶ ὕστερον ἔκτισε Ναὸν, ἐν ᾧ ἔβαλεν ἐκεῖνο τὸ εὐώδες κειμήλιον κατὰ τὸ εἰκοστὸν ἔτος τῆς Βασιλείας τοῦ Θεοδοσίου τοῦ ἀδελφοῦ αὐτῆς. σφάλλει δὲ ὁ Νικηφόρος, διηγούμενος πεπομφέναι καὶ τὸν Πραΰλιον τοιοῦτον λείψανον, ὅστις ἦν προτεθνηκὼς, καὶ ἦν πατριάρχης ὁ Ἰουβενάλιος. ἐκτὸς εἰμὴ ἐθέλει τὶς εἰπεῖν ἑκάτερον αὐτῶν ἀπεσταλκέναι τὸ λείψανον τοῦ Πρωτομάρτυρος εἰς τὴν Πουλχερίαν κατὰ διαφόρους καιροὺς, ὅπερ οὔτε φαίνεται ἀνοίκειον τῇ ἱστορίᾳ, οὔτε ἀπίθανον, ἢ ἴσως γὰρ ὁ μὲν εἷς ἐμελέτησε τὴν πέμψιν, ὁ δὲ ἕτερος ἀπέστειλε.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς τελευτῆς Κυρίλλου Ἀλεξανδρείας, καὶ ἀρχιερατείας Διοσκόρου. καὶ περὶ τῆς καταδρομῆς τοῦ Ἀτήλα Οὔνου, καὶ τοῦ θανάτου αὐτοῦ. καὶ περὶ τοῦ ὅθεν ἤρξατο οἰκοδομεῖσθαι, καὶ πότε ἡ Βενετία.

Ἐτελεύτησε καὶ ὁ παμμέγιστος φωστὴρ τῆς Ἀλεξανδρέων Ἐκκλησίας ὁ θεολογικώτατος Κύριλλος, ὁ μέγας πρόμαχος τῆς ὀρθοδόξου πίστεως, καὶ τῆς ἀπλανοῦς ἀληθείας ὁ πρόβολος, καὶ τοῦ Νεστορίου ὁ ἔλεγχος, καὶ ἀντ' αὐτοῦ ἐκάθισεν ὁ Διόσκορος. τότε καὶ ὁ ἐθνικὸς Ἀττήλας μετὰ τῶν Οὔνων (οἵτινες κατὰ τὸν Εὐάγριον εἰσὶν οἱ πάλαι Μασσαγέται) ἐξῆλθεν εἰς ἀφανισμὸν τῆς Ἀνατολῆς καὶ τῆς Δύσεως. ἔλεγε δὲ ἑαυτὸν ὁ Ἀττήλας ὀνομάζεσθαι μάστιγα Θεοῦ, ὡσανεὶ ἦν δῆθεν ἀπεσταλμένος εἰς ἐκδίκησιν τῶν ἁμαρτωλῶν, καθὼς καὶ ὁ Ἀσοὺρ ὠνομάζετο ῥᾷβδος τῆς ὀργῆς Κυρίου κατὰ τὸν Ἡσαΐαν εἰς τὸ δέκατον κεφάλαιον, ὡς βούλονται οἱ χρονογράφοι. καίτοι πολεμηθεὶς ὑπὸ τῶν Ῥωμάνων καὶ Γότθων εὑρέθη τεθνηκὼς εἰς τὰ περιδούναβα. τότε διὰ τοὺς ἀφανισμοὺς οὓς ἐποίει ὁ Ἀττήλας εἰς τὰς Ῥωμαϊκὰς χώρας, καὶ μάλιστα Ἰταλικὰς, καὶ διὰ τὰς καταδρομὰς τοῦ Ἀλαρίχου, ζητούντων τῶν ἀνθρώπων τόπον καταφυγῆς εἰς τὰς πέριξ νήσους, εὑρέθη ἡ ἐπίνοια, καὶ ἤρξατο οἰκοδομεῖσθαι ἡ Βενετία εἰς τοὺς τετρακοσίους πεντήκοντα δύο χρόνους ἀπὸ Χριστοῦ. ὁ Ἰγνάτιος λέγει ὅτι ζῶντος Ὀνωρίου ἤρξατο οἰκοδομεῖσθαι. αὕτη δὲ ἡ οἰκοδομὴ ἐγένετο τῆς Ἀκυληΐας καταστροφή.

ΚΕΦΑ'ΛΑΙΟΝ ΙΖ'.

Περὶ τοῦ ἐν Κωνσταντινουπόλει σεισμοῦ, καὶ τοῦ ἁρπαγέντον ἐν τῷ Οὐρανῷ παιδὸς, καὶ περὶ τοῦ τρισαγίου ὕμνου, καὶ τοῦ ἀγένητος δι' ἑνὸς Ν'. καὶ γεννητὸς διὰ δύο, καὶ περὶ τοῦ τὶ δεῖ λέγειν ὅτι ἐγέννησεν ἡ Θεοτόκος.

Συνέβη καὶ ὁ φοβερὸς σεισμὸς εἰς τὴν Κωνσταντινούπολιν, καὶ ἠναγκάσθησαν οἱ πολῖται ἐξελθεῖν εἰς τὸ πεδίον καὶ λιτανεύειν (συνελιτάνευε δὲ ὁ Βασιλεὺς καὶ ὁ Πρόκλος ἀνυπόδητοι κατὰ τὸν Γλυκᾶν) καὶ ἡρπάγη τὸ παιδίον εἰς τὸν ἀέρα, καὶ ἤκουσε τὸν ἀγγελικὸν ὕμνον, Ἅγιος ὁ Θεὸς, Ἅγιος Ἰσχυρὸς, Ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς. ὅθεν καὶ ὁ τόπος ὅπου τὸ παιδίον ὑψώθη ἐπωνομάσθη μετέπειτα θεῖον ὕψωμα, καὶ ὑψωμαθεία, ὡς μαρτυρεῖ ὁ Νικηφόρος εἰς τὸ δέκατον βιβλίον τῆς ἐκκλησιαστικῆς ἱστορίας αὐτοῦ κεφαλαίῳ τεσσαρακοστῷ ἕκτῳ. τοῦ δὲ Κωδινοῦ λέγοντος τὸν Θεοδόσιον τότε μετὰ τὸν ὕμνον, ἐξορίσαι τοὺς Χατζιτζαρίους τῆς Κωνσταντινουπόλεως, ἀγνοῶ ποῖοι ἦσαν οἱ τοιοῦτοι, καθότι πρὸ τῆς ἐν Χαλκηδόνι Συνόδου τῶν Θεοπασχιτῶν οὔπω ἦν μοῖρα κεχωρισμένη, ἐπειδὴ ὁ ἐπὶ ζήνωνος Πέτρος ὁ Κναφεὺς ἦν ὁ ἐφευρετὴς τῆς τοιαύτης Αἱρέσεως. ἐξ ἐκείνου λοιπὸν προσέταξεν ὁ Βασιλεὺς Θεοδόσιος ψάλλεσθαι πανταχοῦ τὸν Τρισάγιον ὕμνον γλώσσῃ ἑλληνίδι, ὅθεν καὶ ὁ Ἅγιος Σάββας ὕστερον ὅτε συνεχώρησε τοῖς Ἀρμενίοις ψάλλειν τὴν ἀκολουθίαν αὐτῶν εἰς τὴν γλῶσσαν αὐτῶν ἐν Ἱερουσαλὴμ, οὐκ εἴασεν ὅμως τὸ Τρισάγιον ψάλλεσθαι ἁρμενιστὶ, ἀλλὰ μόνον ἑλληνιστὶ, ἵνα μὴ δόξωσιν εἶναι Θεοπασχῖται, καὶ συγκοινωνεῖν τῷ Πέτρῳ τῷ Κναφεῖ, τῷ προσθέντι εἰς τὸ, Ἀθάνατος τὸ, ὁ σταυρωθεὶς δι' ἡμᾶς, ὡς ἱστορεῖ ὁ μοναχὸς Κύριλλος. διότι ὡς θεολογεῖ ὡραιότατα ὁ Δαμασκηνὸς Ἰωάννης εἰς τὸ τέταρτον βιβλίον, κεφαλαίῳ ὀγδοηκοστῷ τρίτῳ, ἡ θεία φύσις ἐστὶν ἀγένητος δι' ἑνὸς Ν, ἄκτιστος δηλαδή. καὶ τὸ γεννᾶσθαι διὰ δύο ΝΝ, οὐκ ἔστι τῆς φύσεως, ἀλλὰ μόνον τῆς ὑποστάσεως. ὅθεν ὁ Πατὴρ ἐστὶν ἀγένητος δι' ἑνὸς Ν, ὡς ἄκτιστος, καὶ διὰ δύο ΝΝ, ὡς ἀγέννητος. οὔτε γὰρ γέγονεν οὔτε ἐγεννήθη ἔκτινος. καὶ λοιπὸν ἡ Θεοτόκος Μαρία ἐγέννησεν ὑπόστασιν ἐν δυσὶ ταῖς φύσεσι γνωριζομένην θεότητι καὶ ἀνθρωπότητι, καὶ ὅτε ἔπαθεν ὁ Χριστὸς, ἔπαθε τῇ παθητῇ φύσει, καὶ οὐ τῇ θεότητι, ὅθεν δύο φύσεις οὐκ ἐσταυρώθησαν, ἀλλὰ μόνον ἐσταυρώθη σαρκὶ, ἀπέθανε σαρκὶ, μενούσης κατὰ πάντα ἀπαθοῦς τῆς θεότητος, οὐ γὰρ πάσχει τὸ θεῖον ἄκτιστον ὂν καὶ ἀγένητον ὡς προείπομεν.

ΠΑΡΑ'ΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἀναφορᾶς τοῦ Τρισαγίου ὕμνου, καὶ τοῦ Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος· καὶ διατὶ οὐ πληθυντικῶς αὗται αἱ τρεῖς φωναὶ, ἀλλ' ἑνικῶς λέγονται.

Ἀλλὰ καὶ ὁ Τρισάγιος ὕμνος οὐκ ἀναφέρεται μόνος ὅλος εἰς τὸν Υἱὸν, ἀλλ' εἰς ὅλην τὴν ἁγίαν Τριάδα, ὡς ἐδίδαξεν ἡμᾶς ὁ παναοίδιμος χορὸς τῶν θεοφόρων πατέρων, καθότι καὶ τὰ ἅγια Σεραφὶμ διὰ μέσου τῆς τριπλῆς ἁγιότητος δεικνύουσιν ἡμῖν καὶ φανεροῦσι τὰς τρεῖς ὑποστάσεις τῆς ὑπερουσίου Θεότητος, καὶ οὕτω τὸ Ἅγιος ὁ Θεὸς, δίδομεν τῷ Πατρὶ, ὡς ὄντι ἡ πρώτη καὶ μόνη πηγὴ τῆς Θεότητος. τὸ Ἅγιος Ἰσχυρὸς, ἀναφέρομεν τῷ Υἱῷ, ὡς ὄντι καὶ λεγομένῳ ἡ δεξιὰ τοῦ Κυρίου, καὶ ὁ βραχίων. τὸ Ἅγιος ἀθάνατος, τάττομεν ἐν τῷ Πνεύματι τῷ ἁγίῳ, τῷ ὄντι ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς ὁ χορηγὸς, μημούμενοι τὸν θεῖον Ἀπόστολον λέγοντα, εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς ἐξ αὐτοῦ. καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δ' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα, καὶ ἡμεῖς ἐν αὐτῷ. ἡ γὰρ πανύμνητος καὶ σεβάσμιος καὶ προσκυνητὴ Τριὰς κατὰ τὸν μέγαν Ἀθανάσιον μία καὶ ἀδιαίρετος καὶ ἀσχημάτιστος, συνάπτεται δὲ ἀσυγχύτως, ὥσπερ καὶ ἀτμήτως ἡ μονὰς χωρίζεται. τῷ γὰρ τριττὴν τὰ τίμια ζῶα ταῦτα προσφέρειν τὴν δοξολογίαν, Ἅγιος, Ἅγιος, Ἅγιος, λέγοντα, τὰς τρεῖς ὑποστάσεις τελείας δεικνύντα ἐστὶν, ὡς καὶ ἐν τῷ λέγειν, Κύριος, τὴν μίαν οὐσίαν δηλοῦσιν. ὁ Ἐπιφάνιος ἐν τῷ Ἀγκυρωτῷ, Παραγράφῳ δεκάτῳ, τρεῖς φωνὰς ἑνικάς. οὐ λέγουσιν Ἅγιοι, Ἅγιοι, ἵνα μὴ τὸ ἑνικὸν πολυώνυμον ἀποφήνωσι, μὴ δὲ τῶν τριῶν τὸν ἀριθμὸν ἀποκρύψωσιν, ἀλλὰ τρὶς μὲν διδόασι τὴν ἁγιαστείαν, μονοειδῶς δὲ καὶ ἑνικῶς ἀποφθέγγονται τὸν λόγον, ἵνα μὴ πολυθεΐαν ὀνομάσωσι. Πατὴρ ἀληθινὸς ἐνυπόστατος, καὶ Υἱὸς ἀληθινὸς ἐνυπόστατος, καὶ Πνεῦμα ἅγιον ἀληθινὸν ἐνυπόστατον, τρία ὄντα, μία Θεότης, μία οὐσία, μία δοξολογία, εἷς Θεός. Ὁ αὐτὸς ἐν τῷ αὐτῷ, Παραγράφῳ εἰκοστῷ ἕκτῳ, σεμνοὶ δὲ Ἄγγελοι ἐν Οὐρανῷ τὸν ἐπονίκιον ὕμνον ᾄδουσι σὺν Σεραφὶμ καὶ Χερουβὶμ τὴν Τριάδα ὁμοδόξως καὶ ὁμοστοίχως καὶ ὁμοουσίως δοξάζοντες καὶ λέγοντες τὸ Ἅγιος, Ἅγιος, Ἅγιος, τρεῖς φωνὰς

φωνὰς ἀποτελοῦντες, ἐν ἑνότητι δὲ λέγοντες καὶ οὐ πολυωνύμως, οὐ γὰρ λέγουσιν Ἅγιος τέταρτον, ἵνα μὴ προσθῶσι τῇ τῆς Τριάδος ὀνομασίᾳ, οὐ λέγουσι δὶς τὸ Ἅγιος, ἵνα μὴ ἐλλιπὴς εἴη ἡ δόξα τῆς τελειότητος, ἀλλὰ τρὶς, ἵνα Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ἐν τῇ αὐτῇ τιμῇ ἁγιάσωσι, καὶ οὐ λέγουσιν Ἅγιος καὶ ἡμιάγιος, ἀλλ' ἴσως λέγουσι τὸ Ἅγιος μιᾷ φωνῇ καὶ ἑνὶ λόγῳ καὶ μιᾷ τελειότητι Τριάδα δοξάζοντες ὁμοῦ ἐν ἑνότητι, καὶ ἑνότητα ἐν Τριάδι. Καισάρειος ὁ ἀδελφὸς τοῦ Θεολόγου Γρηγορίου ἐν τῷ τρίτῳ αὐτοῦ διαλόγῳ φησὶ, καὶ τῆς φωνῆς τῶν Χερουβὶμ καὶ Σεραφὶμ ἀκούσωμεν, Ἅγιος, Ἅγιος, Ἅγιος, ἀσιγήτως βοώντων. οὐ γὰρ δὶς ἢ τετράκις τοῦτο φασὶ τὰ πνευματικὰ ἐκεῖνα καὶ θεοφόρα ζῶα, οὐδ' αὖ πάλιν μονοφωνοῦσιν, ἢ Ἅγιοι, Ἅγιοι, φασὶν, ἵνα μὴ τὸ ἑνικὸν πολυώνυμον ἀποφήνωσιν, ἀλλὰ τρισὶ μὲν τὸν ἁγιασμὸν ἀσιγήτως ἀναφωνοῦσιν, ἑνικῶς δὲ ἀποφαίνονται, ἵνα μὴ πολυθεΐαν τοῖς νηπιόφροσιν ὑποσπείρωσι. σημείωσαι ὅπερ φησιν Ἐφράμιος Ἀντιοχείας πρὸς Ζηνόβιον, ὅτι οἱ Ἀνατολικοὶ τὸ Τρισάγιον λέγουσιν εἰς Χριστὸν, οἱ δὲ Δυτικοὶ εἰς τὴν Τριάδα. ἀλλ' ἐπειδὴ οἱ Αἱρετικοὶ λεγόμενον εἰς Χριστὸν, κακῶς ἐλάμβανον, οἱ πατέρες περιεῖλον αὐτὸ, Φώτιος ἀναγνώσει διακοσιοστῇ εἰκοστῇ ὀγδόῃ.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῆς Αἱρέσεως τοῦ Εὐτυχοῦς, καὶ ὧν οἱ βοηθοὶ αὐτῷ Σιλεντιάριος καὶ Χρυσάφιος εὐνοῦχος κατὰ τοῦ Κωνσταντινουπόλεως Φλαυϊανοῦ ἐνήργησαν, καὶ τῆς δι' αὐτῶν μάχης πρὸς Φλαυϊανὸν τῆς Εὐδοκίας Βασιλίσσης.

Ἤρξατο ταράσσεσθαι Εὐτυχής τις δυστυχέστατος, Ἀρχιμανδρίτης, καὶ ἵνα φανῇ ἐχθρὸς θανάσιμος τοῦ Νεστορίου, γέγονεν εἰς τὸν Χριστὸν βλάσφημος καὶ ἀντίθεος, ἀνακαινίζων τοῦ Βαλεντίνου τὴν ἄθεον Αἵρεσιν. οὐκ ἠρκέσθη ἐν οἷς ἡ τρίτη Οἰκουμενικὴ Σύνοδος ἠγωνίσθη καὶ διώρισε κατὰ Νεστορίου, ἀλλὰ κενοδοξίᾳ δουλεύων, ἠθέλησε γενέσθαι Αἱρεσιάρχης. καὶ δὴ πατριαρχοῦντος τοῦ Φλαυϊανοῦ εἰς τὴν βασιλεύουσαν, ἐκράχθη δὶς καὶ τρὶς εἰς τὴν Σύνοδον, ἀλλ' ὑπεκρίθη τὸν ἄρρωστον, ἦλθεν ὅμως ἠναγκασμένος, πλὴν πολλὰ διαυθεντευόμενος ὑπὸ τῆς αὐλῆς καὶ αὔρας τοῦ Αὐτοκράτορος Θεοδοσίου, ὅτι καὶ ὁ Σιλεντιάριος, καὶ ὁ εὐνοῦχος Χρυσάφιος διά τινα μῆνιν ἣν ἔτρεφεν ἔνδον ἐν τῇ καρδίᾳ αὐτοῦ κατὰ τοῦ Φλαυϊανοῦ Πατριάρχου, ἐκίνησε πᾶσαν δὴ κατὰ τὸ λεγόμενον ἄγκυραν, μάλιστα δὲ ἐδεήθη τοῦ Διοσκόρου ὑπερμαχῆσαι τοῦ Εὐτυχοῦς, ὡς καὶ γέγονε. ταῦτα συμβαίνουσιν, ὅταν κοσμικοὶ ἁτλῶς καὶ ὡς ἔτυχεν ἐμπλέκονται τοῖς τῆς Ἐκκλησίας πράγμασι, καὶ ὅπου οὐκ ἔστιν εὔλογον, ὁ πωσοῦν μηδὲν εὐλαβούμενοι τὸ μὴ περαιτέρω, καὶ μὴ συλλογιζόμενοι τὸ παῦ μέτρον ἄριστον, ὑπερβασίαι δ' ἀλεγειναί. διὰ τὸ μῖσος δὲ ὃ εἶχεν ὁ Χρυσάφιος εἰς τὸν Φλαυϊανὸν, λέγει ὁ Εὐάγριος ὅτι ἐζήτει αὐτὸν χρήματα, ὡς ἂν διαυθεντεύῃ αὐτοῦ, καὶ ὁ Φλαυϊανὸς ἔστειλεν αὐτῷ τὰ σκεύη τῆς Ἐκκλησίας, καθότι ἄλλον οὐκ εἶχε πλοῦτον, βιβλίῳ δευτέρῳ κεφαλαίῳ δευτέρῳ. ὁ Θεοφάνης δὲ λέγει, ὅτι ὁ Χρυσάφιος ἔπεισε τὸν Βασιλέα ζητῆσαι παρὰ τοῦ Φλαυϊανοῦ εὐλογίας κατὰ τὴν ἀνάρρησιν αὐτοῦ, καὶ ἐκεῖνος ἔπεμψε τῷ Βασιλεῖ ἄρτους, καὶ ὅτι ὁ αὐτὸς εὐνοῦχος κατέπεισε τὴν Εὐδοκίαν ἵνα βιάσῃ τὴν μακαρίαν Πουλχερίαν γενέσθαι Διάκονον, καὶ τοῦτο ὁ Φλαυϊανὸς ἐμήνυσε τῇ Πουλχερίᾳ, ὅθεν ἐκείνη ἀνεχώρησεν εἰς τὸ Ἕβδομον, καὶ λοιπὸν ἐμάχετο ἡ Εὐδοκία τῷ Φλαυϊανῷ. πλὴν ῥητέον, ὅτι ὁ Φλαυϊανὸς οὐκ εἶχεν ἀγῶνα διὰ ἁμάρτημα, ἢ πάθος ἴδιον, ἀλλ' ὑπερησπίζετο τῆς καθολικῆς πίστεως, εἰς ἣν ὁ Εὐτυχὴς ἐβλασφήμει. ὁ οὖν Χρυσάφιος καὶ ἀποτυγχάνων τῶν χρημάτων, καὶ οὕτως ἐκπλαγίου ἐλεγχόμενος, ἐμαίνετο κατὰ τοῦ ἁγίου Φλαυϊανοῦ, τί δὲ ἔπρεπεν ἡμᾶς εἰπεῖν περὶ τοῦ Χρυσαφίου, ἀρκεῖ ὅσα εἶπε περὶ τῶν τοιούτων εὐνούχων ὁ ἅγιος Ἀθανάσιος.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς καθαιρέσεως τοῦ Εὐτυχοῦς ὑπὸ τοῦ Κωνσταντινουπόλεως Φλαυϊανοῦ, καὶ διὰ κατασκευῆς τοῦ Χρυσαφίου γενομένης παρεγγράπτου παρὰ τῷ Βασιλεῖ Θεοδοσίῳ τῷ μικρῷ, τῷ ἐν Ἐφέσῳ Σύνοδον κελεύσαντι γενέσθαι τοῦ θεωρῆσαι τὰ κατὰ Φλαυϊανὸν καὶ Εὐτυχῆ, καὶ τὴν κρίσιν Διοσκόρῳ Ἀλεξανδρείας ἐπιτρέψαντι. καὶ περὶ τῆς ἐγκυκλίου ἐπιστολῆς Λέοντος τοῦ Ῥώμης κατὰ Εὐτυχοῦς, καὶ ἀνακρίσεως αὐτῆς ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου.

Εὐσέβιος ὁ μετέπειτα χρηματίσας Ἐπίσκοπος Δορυλαίου, ἦν τότε κοσμικὸς, τὸ ἐπιτήδευμα ῥήτωρ, καὶ ἔχων φιλίαν μετὰ τοῦ Εὐτυχοῦς, καὶ γνοὺς τὴν Αἵρεσιν αὐτοῦ, ἔδωκε λίβελλον τῷ Κωνσταν-

Κωνσταντινουπόλεως Φλαυϊανῷ, καὶ ἐθεάτρισε τὸν Εὐτυχῆ. συγκροτεῖ Σύνοδον Τοπικὴν ὁ Φλαυϊανὸς Ἐπισκόπων τριάκοντα, καὶ εὑρίσκει βλάσφημον τὸν κακογέροντα, γράφει καὶ πρὸς τὸν Ῥώμης Λέοντα τὸν μέγαν, διότι εἶχε πολλοὺς Συγκλητικοὺς ὁ Εὐτυχὴς βοηθοὺς αὐτῷ ὡς εἴπομεν, καὶ ἠθέλησεν ἔχειν βοηθὸν καὶ τὸν Ῥώμης ὁ Φλαυϊανός. ὅστις Λέων ἦν δυνατὸς εἴστε σοφίαν καὶ ἁγιότητα καὶ πολιτικὴν δύναμιν, καὶ ὅλως εἰπεῖν ἄξιος καὶ πράξει καὶ θεωρίᾳ. γράφει δὲ πρὸς Λέοντα καὶ ὁ Εὐτυχὴς, ἀλλ' ὁ Λέων συνιδὼν τὸν Εὐτυχῆ βλάσφημον, ἔγραψε Τόμον πρὸς τὸν ἅγιον Φλαυϊανὸν, βεβαιοῦντα τὰ κατὰ Εὐτυχοῦς πεπραγμένα. ἔδωκαν δὲ καιρὸν μετανοίας τῷ Εὐτυχεῖ ὅ,τε Ῥώμης καὶ ὁ Φλαυϊανὸς, ἀλλ' οὐδ' ὅλως μετενόησε, καὶ λοιπὸν καθαιρέσει ὑπέβαλον αὐτὸν, αὐτὸς δὲ κατεσκεύασε μετὰ τοῦ εὐνούχου Χρυσαφίου τόσον (καθὼς θέλει ὁ Νικηφόρος) ὥστε γενέσθαι παρέγγραπτον τὴν καθαίρεσιν αὐτοῦ τὴν ὑπὸ τοῦ Φλαυϊανοῦ γενομένην ἔνδον ἐν τῇ Κωνσταντινουπόλει συνοδικῶς, καὶ ἀθροισθῆναι Σύνοδον Οἰκουμενικὴν, ὡς καὶ ἐγένετο ἐν τῇ Ἐφέσῳ, ἐν ᾗ ἐπέτρεψεν ὁ Βασιλεὺς πᾶσαν τὴν κρίσιν Διοσκόρῳ καθώς φησι καὶ ὁ σχολαστικὸς Λεόντιος, κρίσιν δὲ λέγει τὴν αὐθεντίαν τῆς Συνόδου: οὐ μὴν δὲ κριτὴν εἶναι μόνον τὸν Διόσκορον, ὅθεν ὁ Ζωναρᾶς σαφέστερον φησὶν, ὅτι δηλαδὴ ἐπέτρεψεν Διοσκόρῳ μετὰ καὶ ἄλλων Ἐπισκόπων τὰ κατ' αὐτοὺς (Φλαυϊανὸν καὶ Εὐτυχῆ) θεωρῆσαι. πλὴν λῃστρικῶς ἐγένετο ἐπὶ τῆς βασιλείας τοῦ αὐτοῦ μικροῦ Θεοδοσίου, ὅστις ἔγραψε πρὸς τὸν Λέοντα τὸν Πάπαν, ἵνα εὑρεθῇ παρὼν εἰς τὴν Σύνοδον ἐκείνην. ἀντέγραψε δὲ πρὸς τὸ Βασιλέα ὁ Λέων, καὶ δὴ ἔστειλε καὶ εἰς τὸν Κωνσταντινουπόλεως Φλαυϊανὸν μίαν ἐγκύκλιον ἐπιστολὴν συνοδικὴν (ἥτις ἀνωτέρω εἴρηται Τόμος) ἤν φασιν ἐπιθεῖναι αὐτὸν ἐπὶ τοῦ τάφου τοῦ ἁγίου Πέτρου μετὰ πολλῆς προσευχῆς καὶ νηστείας, καὶ ἐν τοῖς ἄλλοις οἷς ἐδέετο, δεηθῆναι τοῦ ἁγίου εἰπόντα, εἰ ὡς ἄνθρωπος ἐγὼ ἐνέθηκά τι τῇ ἐπιστολῇ παρὰ τὸ δέον, σὺ διόρθωσον τοῦτο, καὶ μετὰ τέσσαρας ἡμέρας ὀφθῆναι αὐτῷ τὸν Ἀπόστολον λέγοντα, ἀνέγνων αὐτὴν καὶ διώρθωσα, καὶ λαβὼν ταύτην εἰς τὰς χεῖρας αὐτοῦ ὁ Λέων, εὗρεν αὐτὴν διωρθωμένην παρ' αὐτοῦ τοῦ Ἀποστόλου, ὡς ἐδιηγήθη ὁ Ἀλεξανδρείας Εὐλόγιος, ὁ ἑωρακὼς καὶ τὸν Λέοντα εἰς τὴν ὀπτασίαν αὐτοῦ εὐχαριστοῦντα αὐτῷ διὰ τῆς ἐπιστολῆς τὴν δεξίωσιν. πλὴν γε ὅμως ἀρκεῖ τῆς Οἰκουμενικῆς ἐν Χαλκηδόνι Συνόδου τὸ ἐφύμνιον, τῆς τὴν τοιαύτην ἐπιστολὴν ἀσπαζομένης, καὶ ὑπερεγκωμιαζομένης ὡς μίαν στήλην τῆς εἰλικρινοῦς πίστεως, ἐπὶ τῆς ἀσφαλοῦς ὁμολογίας τοῦ κορυφαίου τῶν Ἀποστόλων πεπετρωμένην καὶ τεθεμελιωμένην. μετὰ ταῦτα δὲ πάντα, εἰ καὶ εἶπον τινὲς τὰ ἀνωτέρω περὶ τῆς ἐπιστολῆς, ὅμως ἡ ἐν Χαλκηδόνι Σύνοδος οὐκ ἐπίστευεν ἁπλῶς, οὔτε ὅτι ὁ Λέων ἐδεήθη τῶν Ἀποστόλων περὶ τῆς ἐπιστολῆς, οὔτε τὴν ἀπόκρισιν τῶν διϊσχυριζομένων ὅτι ταῦτα δηλονότι εἶπον τῷ Λέοντι οἱ Ἀπόστολοι, ἀλλὰ πρῶτον παρέβαλεν αὐτὴν ταῖς δυσὶν ἐπιστολαῖς Κυρίλλου, τῇ μιᾷ πρὸς Νεστόριον, καὶ τῇ ἑτέρᾳ πρὸς Ἰωάννην Ἀντιοχείας μετὰ τὴν εἰρήνην. εἶτα παρέβαλεν αὐτὴν τῷ Συμβόλῳ τῆς πρώτης καὶ δευτέρας τῶν Συνόδων, ἔπειτα τῇ ἐξετάσει καὶ ἐρεύνῃ καὶ ἀναψηλαφήσει καὶ συγκρίσει, ἐβεβαίωσεν αὐτὴν καὶ ἐπήνεσεν, ὡς ἡ τρίτη Σύνοδος τὴν Κυρίλλου πρὸς Νεστόριον.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν εὑρεθέντων ἐν τῇ λῃστρικῇ Συνόδῳ ταύτῃ πατέρων, καὶ οὗ συνέστη ἔτους ἥτε ἐπὶ Φλαυϊανοῦ Σύνοδος καὶ αὕτη, καὶ τῆς βίας ἧς πρὸς τοὺς πατέρας ἐποίησεν ὁ Διόσκορος, Ἔξαρχος ὢν τῆς Συνόδου, καὶ τῆς ἀναιρέσεως τοῦ Φλαυϊανοῦ διὰ Διοσκόρου ὑπὸ τοῦ Βαρσουμᾶ, καὶ τοῦ φόνου Χρυσαφίου τῷ Βασιλίσσης Πουλχερίας προστάγματι.

Παρῆσαν δὲ ταύτῃ τῇ Συνόδῳ πρῶτος ὁ Ἀλεξανδρείας Διόσκορος, Ἰουβενάλιος ὁ Ἱεροσολύμων, Δόμνος ὁ Ἀντιοχείας, Φλαυϊανὸς ὁ Κωνσταντινουπόλεως, Θαλάσσιος ὁ Καισαρείας Καππαδοκίας. ἐνήργησε δὲ ὁ Διόσκορος καὶ ἐκάθισεν ὁ Φλαυϊανὸς πέμπτος, ἀθετῶν τὸν Κανόνα τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου, ἐν ᾗ μετὰ τὸν Ῥώμης τὸν Κωνσταντινουπόλεως εἶναι διορίζεται. ἠθροίσθη δὲ ἡ μὲν ἐπὶ Φλαυϊανοῦ ἐν Κωνσταντινουπόλει ἐν ἔτει τῷ τετρακοσιοστῷ τεσσαρακοστῷ ὀγδόῳ, ἡ δὲ παροῦσα τῷ τετρακοσιοστῷ τεσσαρακοστῷ ἐνάτῳ. ἦσαν δὲ Ἐπίσκοποι ποτὲ μὲν ἑκατὸν τριάκοντα καὶ δύο, ποτὲ δὲ τούτων ἐλάσσονες, καὶ ποτὲ πλείονες, πάντα αὐτῆς ἦσαν ἀκατάστατα. ἦσαν καὶ λεγᾶτοι τοῦ Ῥώμης Λέοντος Ἰουλιανὸς Ἐπίσκοπος, Ῥεννᾶτος Πρεσβύτερος καὶ Ἵλαρος Διάκονος, οἵτινες ἔφερον καὶ τὴν εἰρημένην ἐπιστολὴν τοῦ Λέοντος. οὐκ ἀφῆκε δέποτε ὁ Διόσκορος ἀναγνωσθῆναι τοῦ Λέοντος τὴν ἐπιστολὴν κατὰ τὴν συνήθειαν τῶν Συνόδων, ἐν αἷς ἀναγινώσκονται τῶν μὴ παραγινομένων εἰς τὴν Σύνοδον Πατριαρχῶν αἱ συνοδικαὶ ἐπιστολαὶ, ἀλλὰ μόνον τοῦ Εὐτυχοῦς ὁ λίβελλος εἰς τὴν Σύνοδον ἀνεγνώσθη, πλήρης δολιοτήτων καὶ σοφισμάτων, ἐκ δὲ τῶν Ἐπισκόπων κατεσκεύασε λαλῆσαι ἐν τῇ Συνόδῳ μόνον μερικοὺς, ὅσοι δηλονότι ἐνομίζοντο βοηθοὶ τοῦ Εὐτυχοῦς καὶ συγκοινωνοὶ τῇ αὐτοῦ Αἱρέσει, τῶν δὲ λοιπῶν τινὰς μὲν ἀπεστόμισε, τινὰς δὲ ἐφόβησε, τί χρὴ λέγειν τὰ μεταξύ; Βαρσουμᾶς τις Ἀρχιμανδρίτης τὸ γένος Σύρος τὸν Πατριάρχην Φλαυϊανὸν

τῇ

τῇ βουλῇ τοῦ Διοσκόρου ἐφόνευσεν, ὅθεν εἰς τὴν ἐν Χαλκηδόνι Σύνοδον ἐκράχθη ὁ Διόσκορος νέος Κάϊν, οἱ ἄλλοι διὰ τὸν φόβον ὑπέγραψαν καὶ ἀκουσίως ἵνα σώσωσι τὴν ζωὴν αὐτῶν, ὡς ὁ Πέτρος τὸν Χριστὸν ἠρνήθη διὰ τὴν ζωὴν, λέγει ὁ Θεοδώριτος. ὁ δὲ Χρυσάφιος ὁ χρηματίσας πάντων τῶν κακῶν αἴτιος ἐφονεύθη τῷ τῆς Πουλχερίας προστάγματι κατὰ τὸν Κεδρηνόν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ὑπὸ Διοσκόρου χειροτονίας ἐν τῷ θρόνῳ Κωνσταντινουπόλεως Ἀνατολίου, καὶ τῆς πρὸς Θεοδόσιον τὸν Βασιλέα ἐπιστολῆς Λέοντος Ῥώμης περὶ Οἰκουμενικῆς Συνόδου κατὰ Διοσκόρου. καὶ περὶ τῆς ἐν Χαλκηδόνι Συνόδου ἐπὶ Μαρκιανοῦ Βασιλέως, ἐν ᾗ ἀνεθεματίσθη ἡ τοῦ Εὐτυχοῦς Αἵρεσις, καὶ καθῃρέθη ὁ Διόσκορος.

Ἐχειροτόνησε δὲ ὁ Διόσκορος Κωνσταντινουπόλεως Πατριάρχην τὸν Ἀποκρισιάριον αὐτοῦ Ἀνατόλιον, ὃν ὁ Ταράσιος εἰς τὴν πρώτην πρᾶξιν τῆς ἑβδόμης Συνόδου Ἔξαρχον τῆς τετάρτης καλεῖ, καὶ λέγει ὅτι συνελειτούργησε καὶ τῷ Εὐτυχεῖ. τούτου τὴν χειροτονίαν καίτοι γενομένην ὑπὸ τοιαύτης Συνόδου λῃστρικῆς, διὰ τὴν εὐσέβειαν αὐτοῦ ἡ Ἐκκλησία ἐσιώπησε, καθὼς συνεχώρησεν ἡ τετάρτη Σύνοδος καὶ μάξιμον τὸν Ἀντιοχείας εἶναι Ἀντιοχείας, τὸν καὶ ἐκεῖνον ὑπ' ἐκείνης χειροτονηθέντα τῆς Συνόδου, τὰ δ' ἄλλα ὅλα ἠθετήθησαν παντελῶς, μάλιστα ὁ ὑπερήφανος Διόσκορος ἔδωκε καὶ Πατριαρχικὸν δίκαιον τῇ Μητροπόλει Ἐφέσου, ἀλλὰ καὶ ἐκεῖνο ἡ τετάρτη Οἰκουμενικὴ ἀνῄρηκεν. ἀφ' οὗ δὲ ἔτρεξαν τὰ πράγματα τοιουτοτρόπως, ἐμόγησε λίαν ὁ Λέων Ῥώμης Ἐπίσκοπος, καὶ ἔγραψεν εἰς τὸν Θεοδόσιον ταῦτα, ἐπεὶ οὖν τὸ συνέδριον τῶν Ἐπισκόπων, ὅπερ γενέσθαι προσετάξατε ἐν τῇ Ἐφεσίων, αὐτὴν καταβλάπτει τὴν πίστιν, δέομαι γαληνότατε καὶ προσκυνητὲ Βασιλεῦ μετὰ τῶν σὺν ἐμοὶ Ἐπισκόπων ἵνα πάντα (τὰ ὑπὸ Διοσκόρου ἐν Ἐφέσῳ) μείνωσιν ἀπραγῆ, καθὼς καὶ πρὸ τῆς δίκης ἐτύγχανε, περιμείνωσι δὲ τὸ μεῖζον τῆς Συνόδου κριτήριον, ἐν ᾗ ὁ πᾶς ἀριθμὸς τῶν Ἐπισκόπων ἐκ πάσης τῆς Οἰκουμένης συνάγεται. καὶ μετ' ὀλίγα, πᾶσαι αἱ Ἐκκλησίαι τῶν ἡμετέρων μερῶν, καὶ πάντες οἱ ἱερεῖς τὴν ἡμερότητα τὴν ὑμετέραν μετὰ δακρύων ἱκετεύουσι κατὰ τὴν αἴτησιν Φλαυϊανοῦ τοῦ Ἐπισκόπου ἰδικὴν Σύνοδον ἐντὸς τῆς Ἰταλίας ἐπιτελεσθῆναι. καὶ μετ' ὀλίγα, ὥστε καὶ ταῦτα ἀναγκαῖον παραφυλάξαι, ὅσα ὁ ἐν Νικαίᾳ Κανὼν παρακελεύεται, ὅσα ὁ ὅρος ὁ ἀπὸ πάσης τῆς Οἰκουμένης τῶν Ἐπισκόπων κατὰ τὸ ἔθος τῆς καθολικῆς Ἐκκλησίας καὶ τῶν ἡμετέρων πατέρων ἐλευθέραν τὴν πίστιν. οὐ μὴν ἀλλὰ καὶ Οὐαλεντιανὸν τὸν Βασιλέα τῆς Ῥώμης καὶ τὴν μητέρα αὐτοῦ Πλακιδίαν, καὶ τὴν γυναῖκα αὐτοῦ Εὐδοξίαν παρεκάλεσε καὶ ἔγραψαν πολλὰ καὶ αὐτοὶ πρὸς τὸν Θεοδόσιον ἵνα ὁρίσῃ γενέσθαι Οἰκουμενικὴν Σύνοδον εἰς Ἰταλίαν, καὶ ἀναθεωρηθῆναι τήν τε Αἵρεσιν τοῦ Εὐτυχοῦς, καὶ τὸν ἄδικον θάνατον τοῦ Φλαυϊανοῦ, καὶ τὴν λῃστρικὴν γνώμην τοῦ Διοσκόρου, ὡς φαίνεται εἰς τῆς Συνόδου τὰ πρακτικά. καὶ ὁ Θεοφάνης λέγει, ὅτι ὁ Πάπας Λέων πρόσεισι τῷ Βασιλεῖ Οὐαλεντιανῷ καὶ ταῖς Αὐγούσταις μετὰ δακρύων αἰτῶν ἐπιστολὰς τῷ Θεοδοσίῳ γράψαι διόρθωσιν γενέσθαι τῶν ἐν Ἐφέσῳ ἀθέσμων, ἀλλ' ὁ Θεοδόσιος ἐνόμισεν εἶναι οὕτω συμφερώτερον, οἰόμενος φθέγγεσθαι τὸν Ῥώμης καὶ τοὺς λοιποὺς παθητικῶς, καὶ εἶπεν, ἀρκοῦσι τὰ πεπραγμένα. σημείωσαι δὲ ὅτι οὐ μόνον Λέων ὁ Ῥώμης, ἀλλὰ καὶ ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος παρεκίνησε τὸν Θεοδόσιον περὶ τῆς Συνόδου, ὡς λέγει ὁ Ζωναρᾶς εἰς τὸ χρονικὸν αὐτοῦ ῥητῶς, ὅτι δηλαδὴ Λέων ὁ Ῥώμης καὶ Ἀνατόλιος ὁ Κωνσταντινουπόλεως ᾐτήσαντο Θεοδόσιον μὴ μεῖναι ἀνεξέταστα τὰ κατὰ τὸν Ἀλεξανδρείας Διόσκορον καὶ Εὐτυχῆ, καὶ ὅσα παρ' αὐτῶν ἐτολμήθησαν εἰς Φλαυϊανὸν, ἀλλὰ παντάπασιν ὁ Θεοδόσιος ἀθροισθῆναι Σύνοδον οὐκ ἠθέλησεν. ἀποθανόντος δὲ τοῦ Θεοδοσίου ἐν ἔτει τῷ τετρακοσιοστῷ πεντηκοστῷ, (ἐκπεσὼν γὰρ τοῦ ἵππου κατὰ τὸν Ζωναρᾶν καὶ Ἀσθενήσας ἀπέθανε) Λέων ὁ Ῥώμης (λέγει ὁ Θεοφάνης) ἔγραψε Μαρκιανῷ αἰτῶν τὰ τολμηθέντα παρὰ Διοσκόρου καὶ Εὐτυχοῦς ἐν Ἐφέσῳ εἰς τὸν ἅγιον Φλαυϊανὸν ζητηθῆναι ἐπὶ Οἰκουμενικῆς Συνόδου, καὶ ἐκέλευσεν ὁ Βασιλεὺς συναχθῆναι πάντας τοὺς Ἐπισκόπους. ὁ Εὐάγριος δὲ φησὶν ὅτι προσίασι τῷ Βασιλεῖ Μαρκιανῷ οἵτε Λέοντος τοῦ τῆς πρεσβυτέρας Ῥώμης Ἐπισκόπου διακονούμενοι (ἐν Κωνσταντινουπόλει) ταῖς ἀποκρίσεσιν (ἀλλὰ καὶ ἑτέρους ἔπεμψε μετὰ γραμμάτων πρὸς τὸν Μαρκιανὸν ὁ Λέων, ὡς παρίστησιν ἡ πρὸς τὸν Λέοντα τοῦ Μαρκιανοῦ Σάκρα προσκαλοῦσα αὐτὸν εἰς τὴν Σύνοδον) καὶ οἱ παρὰ τοῦ Διοσκόρου καθυβρισθέντες, τὰ κατὰ σφὰς ἱκετεύοντες συνοδικῶς κριθῆναι, παρώτρυνε δὲ μάλιστα Εὐσέβιος ὁ Δορυλαίου, ἐξ ὧν ἡ ἐν Χαλκηδόνι Σύνοδος ἁλίζεται, βιβλίῳ δευτέρῳ κεφαλαίῳ δευτέρῳ. καὶ λοιπὸν ὁ Μαρκιανὸς καὶ ἡ Πουλχερία ἤθροισαν τὴν Οἰκουμενικὴν τετάρτην Σύνοδον ἐν Νικαίᾳ, ἐπειδὴ δὲ ἦσαν πολλοὶ πατέρες ἀσθενεῖς καὶ θεραπείας δεόμενοι, καὶ οἱ Λεγᾶτοι τοῦ Ῥώμης ἐδεήθησαν παρῆναι ἐν τῇ Συνόδῳ, ὁ Μαρκιανὸς διὰ τὸ συμφερώτερον, ὃς καὶ ἀπελθεῖν εἰς Νίκαιαν ἐκωλύετο ὑπὸ τῶν πολιτικῶν φροντίδων, μετήνεγκε τὴν Σύνοδον εἰς Χαλκηδόνα, ἥτις ἀνεθεμάτισε τὴν Αἵρεσιν τοῦ Εὐτυχοῦς, καὶ καθεῖλε τὸν Διόσκορον διὰ τὰ πολλὰ αὐτοῦ ἐγκλήματα, καὶ ἐβεβαίωσε τὸ δόγμα τῆς καθολικῆς πίστεως, καὶ ἄλλα ἀναγκαῖα διώρισε

διώρισε. καὶ ταῦτα πάντα δι' ὁρισμοῦ τοῦ Βασιλέως, καὶ οὐ διὰ προστάγματος τοῦ Ῥώμης, ἢ ἄλλου τινὸς Πατριάρχου. ὁ δὲ Ῥώμης ὀργανικῶς μόνον συνήργησεν, εἰ καὶ οὐ μόνος, ἀλλὰ καὶ οἱ ὑπὸ Διοσκόρου καθυβρισθέντες, καὶ ὁ Δορυλαίου Εὐσέβιος, καὶ αὐτὸς ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ σημειώσεων τινῶν ἀπὸ τῶν εἰρημένων ἐν τῷ παρόντι κεφαλαίῳ, ὅτι κατὰ ἑκκαίδεκα τρόπους συνάγεται μὴ εἶναι τὸν Ῥώμης, πρὸς τῷ μηδεμίαν μνήμην αὐτοῦ ἐν ταῖς συνελεύσεσι τῆς ἐπὶ Φλαυϊανοῦ Συνόδου γενέσθαι, κριτὴν μόνον τῶν Αἱρέσεων, ἢ ἀναμαρτητον, ἢ ὑπεροχικὸν τῆς καθόλου Ἐκκλησίας κριτὴν, ἢ Ἔκκλητον ἔχοντα πασῶν τῶν Ἐκκλησιῶν. καὶ ὅτι τὸ ὄνομα τῆς Ἐκκλήτου πρῶτον ἀπὸ τοῦ Αἱρετικοῦ Εὐτυχοῦς ἠκούσθη, καὶ τὸ μόνας ἐρευνᾶν τὰς γραφὰς, τὰς δὲ ἐκθέσεις τῶν πατέρων μὴ καταδέχεσθαι, ὃ λαβόντες οἱ Λουτεροκαλβῖνοι δόγμα ἐποίησαν.

Ἐν ταῖς συνελεύσεσι ταῖς γενομέναις ἐν Κωνσταντινουπόλει ἐπὶ Φλαυϊανοῦ κατὰ Εὐτυχοῦς, σημείωσαι ὅτι ἡ τοιαύτη ἐν Κωνσταντινουπόλει Σύνοδος ἁγία καὶ μεγάλη καλεῖται. δεύτερον, ὅτι ὁ Δορυλαίου Εὐσέβιος ἐν τῷ κατὰ Εὐτυχοῦς λιβέλλῳ λέγει, ὅτι πιστεύει ὡς ἡ πρώτη Σύνοδος, καὶ ἕπεται τοῖς ἐν Ἐφέσῳ φρονηθεῖσι καὶ τοῖς ἐκτεθεῖσι παρὰ Κυρίλλου, Ἀθανασίου, Γρηγορίου, Γρηγορίου καὶ Γρηγορίου, Ἀττικοῦ καὶ Πρόκλου. καὶ σημείωσαι ὅτι τῶν ἁγίων πατέρων γίνεται μνήμη πρὸς σύστασιν εὐσεβείας, τοῦ δὲ Ῥώμης οὐδεμία ἐνθύμησις ἰδική. τρίτον, ἐν τῇ δευτέρᾳ πράξει πρὸς βεβαίωσιν εὐσεβείας ἀνεγνώσθησαν αἱ δύο Κυρίλλου ἐπιστολαὶ, ἐν δὲ τῇ δευτέρᾳ ἐπιστολῇ λέγει Κύριλλος, ὅτι ἕπεται ταῖς τῶν πατέρων δόξαις, καὶ μάλιστα τοῦ ἁγίου Ἀθανασίου, τοῦ δὲ Ῥώμης οὐδεμία μνήμη. τέταρτον, ὁ Κωνσταντινουπόλεως Φλαυϊανὸς συνθέμενος ταῖς ἐπιστολαῖς Κυρίλλου, ἐξέθετο τὴν πίστιν αὐτοῦ κατὰ Εὐτυχοῦς, ἐν ᾗ πάλιν οὐδεμία μνήμη τοῦ Πάπα. πέμπτον, ὁ Σελευκείας Βασίλειος εἶπεν, ὅτι τὴν ἀσέβειαν Νεστορίου μέλλουσαν ἐπικλύζειν τὴν Οἰκουμένην, ἐπέσχε δι' οἰκείας συνέσεως ὁ Κύριλλος. καὶ σημείωσαι ὅπερ ἐλέγομεν ἀνωτέρω ὅτι ὁ Κύριλλος ἀναδεξάμενος τὸν κατὰ Νεστορίου πόλεμον οἰκονομικῶς ἔγραψε πρῶτον εἰς τὸν Ῥώμης, αὐτὸς ὅμως ἦν ἡ ἀρχὴ καὶ ἡ διδασκαλία τοῦ ἀγῶνος κατὰ τοῦ Ἀλάστορος, ὅθεν καὶ προτιμᾶται τοῦ Ῥώμης καὶ πάντων τῶν Πατριαρχῶν. ἕκτον, ἐν τῇ ἕκτῃ πράξει ὁ Ἀρχιμανδρίτης Μαρτῖνος εἶπεν, ὅτι ἐδεήθη αὐτοῦ ὁ Εὐτυχὴς ἵνα ὑπογράψῃ ἐν τῷ τόμῳ τῆς πίστεως αὐτοῦ, ὁ δὲ οὐκ ἠνέσχετο, εἰπὼν μὴ εἶναι ἐμὸν τὸ ὑπογράφειν, Ἐπισκόπων δὲ μόνον. καὶ σημείωσαι κατὰ τῶν Καρδηνάλεων τῆς Ῥώμης ὡς ἐροῦμεν βιβλίου δεκάτου μέρους ἕκτου κεφαλαίῳ πρώτῳ. ἕβδομον, ἐλθόντος τοῦ Εὐτυχοῦς εἰς τὴν Σύνοδον πρὸς ἀπολογίαν, ἔγραψε τῇ Συνόδῳ ὁ Βασιλεὺς, ἡμεῖς τῆς εἰρήνης φροντίζοντες καὶ τῶν ἁγίων Ἐκκλησιῶν καὶ τῆς ὀρθοδόξου πίστεως, θέλομεν συνεῖναι τῇ (κρινομένου τοῦ Εὐτυχοῦς) ἀκροάσει τὸν Πατρίκιον Φλωρέντιον, ἐπειδὴ ὁ λόγος ὑπὲρ πίστεώς ἐστιν, ὅθεν ἡ Σύνοδος τὸν Βασιλέα Ἀρχιερέα καὶ φύλακα τῆς πίστεως εὐφήμησεν. ἀνεγνώσθησαν οὖν τὰ πεπραγμένα ἐν ταῖς ἓξ πράξεσι κατὰ Εὐτυχοῦς, ἵνα ἀκούσῃ ταῦτα ὁ Φλωρέντιος. καὶ τούτων γενομένων, ὁ Εὐτυχὴς ἀπειθήσας καθῃρέθη. ἦσαν δὲ Ἐπίσκοποι εἰκοσιεννέα, καὶ Ἀρχιμανδρῖται εἰκοσιτρεῖς. σημείωσαι ὅτι καὶ ὁ Βασιλεὺς ἔχει τὴν φροντίδα πασῶν τῶν Ἐκκλησιῶν, ὡς εἶπε καὶ ὁ Κύριλλος πολλάκις, ὡς εἴπομεν ἀνωτέρω, ὥστε μάτην καυχᾶται ὁ Πάπας ἔχειν ταύτην ἰδικῷ ἀξιώματι. σημείωσαι ὅτι τὴν ἐν Κωνσταντινουπόλει Σύνοδον ἀνακρίνων ὁ Βασιλεὺς, συνακροατὴν αὐτῇ πέμπει, καὶ ὁ Κωνσταντινουπόλεως μετὰ τῶν παρευρεθέντων Ἐπισκόπων κρίνει τὴν Αἵρεσιν Εὐτυχοῦς, καὶ καθαιρεῖ τὸν Αἱρεσιάρχην, καὶ λοιπὸν ὕθλος τῶν παπιστῶν ὅτι ὁ Ῥώμης μόνος ἐστὶ κριτὴς τῶν Αἱρέσεων. ὄγδοον, μετὰ τὴν καθαίρεσιν αὐτοῦ ὁ Εὐτυχὴς ἔδωκε λίβελλον ὡς ἀδίκως καθῃρέθη, ὅθεν ὁ Βασιλεὺς ἔπεμψε τὸν Ὕπατον Πρωτογένην, καὶ συνελεύσεως γενομένης, ἀνεγνώσθησαν ἅπαντα τὰ πεπραγμένα ἐν τῇ Συνόδῳ, καὶ ἀνέκρινεν ὁ Ὕπατος τὴν Σύνοδον καὶ τὸν Φλωρέντιον, καὶ σημείωσαι τοῦ Βασιλέως τὴν ὑπεροχὴν ἐν τῇ Ἐκκλησίᾳ. ἔνατον, ἐν ταύτῃ τῇ μετὰ τὴν καθαίρεσιν τοῦ Εὐτυχοῦς πράξει, τοῦ Εὐτυχοῦς ἀλλαίου καὶ παλιμβόλου φαινομένου, Σελευκίας Ἐπίσκοπος εἶπεν, ἐπειδὴ πρὸ ὀλίγων ἡμερῶν γράμματα τοῦ Ῥώμης Λέοντος ἐνεφανίσθη ὑμῖν, περιέχοντα ὅτι ᾐτιάσατο ὁ Εὐτυχὴς, καὶ ἐπεκαλέσατο ἐν τῷ καιρῷ τῆς ζητήσεως τὴν ὑμετέραν ἀκρόασιν διὰ τῆς τοῦ λιβέλλου δεήσεως, πῶς νῦν ἐνιστάμενος καὶ λέγων περὶ τὴν πίστιν εἶναι τὸν λίβελλον ἐπὶ τοῦ Ῥώμης Ἐπισκόπου, τὴν ἐπὶ Συνόδου παραίτησιν Ἔκκλητον αὐτὴν ἐπεκάλεσε; καὶ ἐντεῦθεν διδάχθητε ὅτι οὐ τοῖς αὐτοῖς ἐπιμένει ὁ Εὐτυχής. καὶ κατωτέρω, Κωνσταντῖνος Διάκονος εἶπεν, ἀναγινωσκομένης τῆς καθαιρέσεως, ἐπεκαλέσατο τὴν ἁγίαν Σύνοδον τοῦ Ῥώμης καὶ Ἀλεξανδρείας καὶ Ἱεροσολύμων καὶ Θεσσαλονίκης. Καὶ, ἐπικαλούμενος τὴν Ῥώμης καὶ τὴν Αἰγύπτου καὶ τὴν Ἱεροσολύμων Σύνοδον. Καὶ, ὁ Φλωρέντιος εἶπε, θορύβου γενομένου καὶ διαλυθείσης τῆς Συνόδου, εἶπε (ὁ Εὐτυχῆς) πρᾴως ἐμοὶ, ἐπικαλούμενος τὴν Ῥώμης καὶ τὴν Αἰγύπτου καὶ τὴν Ἱεροσολύμων Σύνοδον, κἀγὼ νομίσας ἄτοπον εἶναι λαθεῖν τοῦτο τὸν ἁγιώτατον καὶ θεοφιλέστατο Φλαυϊανὸν,

ἀπελ-

ἀπελθὼν εἶπον αὐτῷ. καὶ λοιπὸν σημείωσαι ὅτι τὸ πρῶτον ἀκουσθὲν ἐν τῇ Ἐκκλησίᾳ ὄνομα τῆς Ἐκκλήτου ἐπὶ τοῦ Ῥώμης παρὰ Αἱρεσιάρχου στόματος ἐξῆλθε τοῦ Εὐτυχοῦς. δεύτερον, ὅτι ὁ Ῥώμης πρὸς ψόγον τοῦ Εὐτυχοῦς εἶπεν ὅτι ἐπεκαλέσατο τὴν ἐκείνου ἀκρόασιν. τρίτον, ὅτι ἐπικαλεσάμενος τὴν ἀκρόασιν τοῦ Ῥώμης, ἦν ἀπατεὼν, ποτὲ μὲν γὰρ ἔλεγεν οὕτω, ποτὲ δὲ ἄλλως. τέταρτον, ὅτι καὶ ὁ Εὐτυχὴς τὸν Ῥώμης ἐπικαλεσάμενος, καὶ ὁ Ῥώμης τὴν πρὸς αὐτὸν ταύτην Ἔκκλητον εἰς Κωνσταντινούπολιν γράψας, οὐδὲν ἴσχυσαν, ἐπειδὴ βασιλικῇ προτροπῇ ὁ Πρωτογένης ἀνέκρινε τὰ τῆς Συνόδου, εἶτα ἐπειδὴ μήτε ἡ βασιλικὴ ἀνάκρισις ἴσχυσε πέρας ἐπιθεῖναι τοῖς πράγμασιν ὡς καὶ τὰ τοῦ Ῥώμης γράμματα, Οἰκουμενικὴ Σύνοδος ὡρίσθη συγκροτηθῆναι, ἧς τὸ κράτος ἐμφανίζων ὁ Δορυλαίου εἶπεν, ἐν ἔυχομαι τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα τῇ μελλούσῃ ἔσεσθαι Οἰκουμενικῇ Συνόδῳ κατὰ τὸ θέσπισμα τῶν Φιλοχρίστων ἡμῶν Βασιλέων φυλαχθῆναι τὴν ὑπόθεσιν ταύτην, περὶ τῶν δύο ἐπὶ Χριστοῦ φύσεων δηλονότι. πέμπτον, ὅτι οὐμόνον τὸν Ῥώμης ἐπεκαλέσατο ὁ Εὐτυχῆς, ἀλλὰ καὶ τὸν Ἀλεξανδρείας καὶ τὸν Ἱεροσολύμων καὶ τὸν Θεσσαλονίκης. ἕκτον, ὅτι οὐκ ἐπεκαλέσατο τοὺς Πατριάρχας ὡς δυναμένους τι ἰδικῶς μόνους, ἀλλὰ τὰς Συνόδους αὐτῶν, ἐν αἷς καὶ τὴν Ῥώμης Σύνοδον, οὐ τὸν Ῥώμης ὡς Αὐτοκράτορα καὶ ἀναμάρτητον καὶ κριτὴν ὑπεροχικὸν τῶν ἐν τῇ Ἐκκλησίᾳ πραγμάτων. μυθολόγημα ἄρα τῶν παπιστῶν ὅτι ὁ Ῥώμης ἔχει τὴν Ἔκκλητον πασῶν τῶν Ἐκκλησιῶν. ἕβδομον, σημείωσαι ἐν τῇ αὐτῇ πράξει τὸν Εὐτυχῆ εἰπόντα περὶ τῶν ἁγίων πατέρων, εἰ δὲ που τύχοι τι παρ' αὐτῶν ἐν ταῖς λέξεσιν ἢ διασφαλθὲν, ἢ διαπλανηθὲν, τοῦτο μήτε ἐκβάλλειν μήτε καταδέχεσθαι, μόνας δὲ τὰς γραφὰς ἐρευνᾶν ὡς βεβαιοτέρας οὔσας τῆς τῶν πατέρων ἐκθέσεως. καὶ σημείωσαι ὅτι καὶ ἐκ ταύτης τῆς ὡς ἀληθῶς ἐσφαλμένης καὶ πεπλανημένης γνώμης τοῦ Εὐτυχοῦς, λαβόντες οἱ Λουτερανοκαλβῖνοι, δόγμα ἐξαίρετον τῆς Αἱρέσεως αὐτῶν πεποιήκασι.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς ἐπιστολῆς τοῦ Βασιλέως Θεοδοσίου πρὸς Λέοντα Ῥώμης, παραθήγοντος αὐτὸν κατὰ τοῦ Φλαυϊανοῦ, καὶ νομίζοντος ἀδίκως καθαιρεθῆναι τὸν Εὐτυχῆ. καὶ περὶ τοῦ Λιβέλλου τοῦ Εὐτυχοῦς πρὸς Λέοντα Ῥώμης, καὶ τῆς οἰήσεως τοῦ Λέοντος εἰς τὸ γενέσθαι κριτὴν τοῦ Εὐτυχοῦς καὶ τοῦ Φλαυϊανοῦ, καὶ ἧς ἔγραψε πρὸς Φλαυϊανὸν ἐπιστολῆς. καὶ περὶ τῆς ἰσχύος τοῦ βασιλικοῦ προστάγματος ἐπὶ τὸ εἰρηνεῦσαι τὰς Ἐκκλησίας, ἐξ ὧν πάντων, καὶ ἐκ παραθέσεως πολλῶν πρὸς πολλοὺς Ἐκκλήτων, δείκνυται μὴ ἔχειν τὸν Ῥώμης Ἔκκλητον ἐπὶ τῆς καθόλου Ἐκκλησίας, οὔτε ἰδικὸν ἀξίωμα ἐν αὐτῇ, ἀλλ' ἅγιον ὄντα, συναριθμεῖσθαι τοῖς πατράσι. καὶ ὅτι αἱ διατυπώσεις, οὐ τῷ Ῥώμης, ἀλλὰ τοῖς πατράσιν ἀνήκουσιν εἰς τελειότητα τῆς πίστεως.

Ὁ Βασιλεὺς Θεοδόσιος ὅτι οὐκ εἶχε καταθύμιον τὸν Κωνσταντινουπόλεως Φλαυϊανὸν, εἴρηται ἀνωτέρω ἐν τῇ ἀρχῇ τοῦ αὐτοῦ κεφαλαίου. ὅθεν νομίζων αὐτὸν ἄδικον ἐν τῇ κρίσει τοῦ Εὐτυχοῦς, ἔπεμψε συνακροατὴν τὸν Φλωρέντιον, καὶ πάλιν ἀνάκρισιν ἐποίησε διὰ τοῦ ὑπάτου Πρωτογένους. εἶτα καίτοι ἐν πᾶσι τούτοις τοῦ Εὐτυχοῦς Αἱρεσιάρχου ἀναφανέντος, καὶ διατοῦτο καθαιρεθέντος, ὁ Βασιλεὺς ἔγραψεν εἰς τὸν Ῥώμης Λέοντα, φήμην σοφίας καὶ ἁγιωσύνης ἔχοντα, παραθήγων αὐτὸν κατὰ τοῦ Φλαυϊανοῦ, ὅπερ οὐκ ἐξῆν, καθότι τοῦ Φλαυϊανοῦ διὰ τῆς παρευρεθείσης Συνόδου καθελόντος τὸν Αἱρετικὸν, οὐκ ἔδει τὸν Βασιλέα ἀνακρῖναι τὴν ψῆφον αὐτοῦ, ἀλλ' ἠρεμεῖν, ἴσως δὲ ὅμως τοῦτο ἐγένετο βουλήσει τοῦ κρείττονος, ἐπειδήπερ πολλοὶ εἵποντο τῷ Εὐτυχεῖ, ἵνα θεωρηθῇ κοινῶς ἡ Αἵρεσις καὶ διευκρινηθῇ τὰ τῆς πίστεως, ὡς συμβέβηκεν ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου, ὃς μὴ ἀρκεσθεὶς τῇ καθαιρέσει Ἀρείου παρὰ τῆς Αἰγυπτιακῆς Συνόδου, ἀνέκρινε τὰ κατ' αὐτοῦ, πέμψας εἰς Αἴγυπτον Ὅσιον τὸν Κουδρούβης, καὶ τέλος διὰ τὸ πολλοὺς ἠκολουθηκέναι τῷ Ἀρείῳ, συνεκρότησε τὴν πρώτην Οἰκουμενικὴν Σύνοδον, ἀλλὰ δὴ καὶ ὁ Εὐτυχὴς ἔγραψεν εἰς τὸν Πάπαν λίβελλον Ἐκκλήτου ὡς εἴρηται ἀνωτέρω. ὁ οὖν Λέων λαβὼν τὰ τοῦ Βασιλέως γράμματα, καὶ τὸν λίβελλον τοῦ Εὐτυχοῦς, ἐνόμισεν εὔλογον γενέσθαι κριτὴς αὐτοῦ τε τοῦ Εὐτυχοῦς καὶ τοῦ Φλαυϊανοῦ, καὶ δὴ πέμπει τῷ Φλαυϊανῷ ἐπιστολὴν ἐν ᾗ λέγει, ὅτι ὁ Βασιλεὺς μεριμνῶν ὑπὲρ τῆς εἰρήνης τῆς καθολικῆς Ἐκκλησίας, ἔγραψε πρὸς αὐτόν. δεύτερον, ὅτι καὶ ὁ Εὐτυχὴς ἔγραψεν ὅτι ἠδικήθη, ὥστε καὶ ἐν τῷ δικαστηρίῳ, ἤτοι ἐν τῇ ἐν Κωνσταντινουπόλει Συνόδῳ κρινόμενος, ἔδωκε λίβελλον Ἐκκλήτου πρὸς αὐτὸν, ἤτοι τὸν Λέοντα. τρίτον, ζητεῖ παρὰ τοῦ Φλαυϊανοῦ ὁ Λέων μαθεῖν τὰ γινόμενα, ἵνα κρίνῃ δικαίως, καὶ μὴ ἀπατηθῇ ἀμφιβολίᾳ τινὶ τῶν δύο μερῶν, φησὶ γὰρ, ἐπειδὴ ἡμεῖς οἱ βουλόμενοι τῶν Ἱερέων τοῦ Δεσπότου δικαίας εἶναι τὰς κρίσεις, οὐδὲν δυνάμεθα μὴ διαγνωσθέντων τῶν πραγμάτων εἰς τινὸς μέρους πρόκριμα ἀποφήνασθαι, πρὶν ἢ τὰ πραχθέντα ἀκούσωμεν. τέταρτον φησὶν, ἔστι γὰρ ἡμῖν καταθύμιον καὶ παραφυλακτέον τοῦ Θεοῦ ἐμπνέοντος, ἵνα μὴ αἱ διατυπώσεις τῶν προσκυνητῶν πατέρων αἱ θεόθεν τὴν ἰσχὺν ἔχουσαι, καὶ εἰς τὴν τελειότητα τῆς πίστεως ἀνήκουσαι, φαύλῃ τινὸς

ἑρμηνείᾳ

ἑρμηνείᾳ μολυνθῶσι, ταῦτα ὁ Λέων. ἐν οἷς σημείωσαι πρὸς μὲν τὸ πρῶτον, ὅτι καὶ ὁ Βασιλεὺς ἔχει τὴν μέριμναν τῆς καθολικῆς Ἐκκλησίας, ἄρχει δὲ μάλιστα ὁ Ῥώμης. δεύτερον, ὅτι μόνῳ τῷ Λέοντι ἔγραψαν ὁ Βασιλεὺς ὑπὲρ τῆς εἰρήνης τῶν Ἐκκλησιῶν, ἀλλὰ καὶ τῷ Ἀλεξανδρείας Διοσκόρῳ, καὶ τῷ Ἱεροσολύμων Ἰουβεναλίῳ, καὶ μεταταῦτα τῷ Ἀντιοχείας Ἰωάννῃ, καὶ τῷ ἁγίῳ Κυρίλλῳ καὶ Συμεὼν τῷ στυλίτῃ, καὶ τῷ Βερριοίας Ἀκακίῳ. τρίτον, ὅτι μόνον τὸν Βασιλέως καὶ τὸν Πάπα ἐστὶν ἴδιον φροντίζειν ὑπὲρ τῆς εἰρήνης τῶν Ἐκκλησιῶν, ἀλλὰ καὶ ἑτέρων δυναμένων ὡς εἴρηται αὐτοτέρω κεφαλαίῳ δεκάτῳ ἕκτῳ, καὶ κεφαλαίῳ τεταρτῳ. ὅτι ὁ Χρυσόστομος καὶ ἡ ἐν Καρθαγένῃ Συνοδος ἐφρόντιζον ὑπὲρ τῆς εἰρήνης τῶν Ἐκκλησιῶν Ῥώμης, Ἀλεξανδρείας, καὶ Ἀντιοχείας, καὶ ὁ Ἀντιοχείας Ἰωάννης ἔγραφε τῷ Νεστορίῳ ὅτι ὁ Ἀκάκιος ὁ κοινὸς πατὴρ ἐγένετο αἴτιος τῆς εἰρήνης ταύτης τῶν τριῶν Ἐκκλησιῶν, δηλονότι Ῥώμης, Ἀλεξανδρείας, καὶ Ἀντιοχείας. πρὸς δὲ τὸ δεύτερον, σημείωσαι ὅτι ὁ Εὐτυχὴς οὐκ ἔδωκε λίβελλον ἐν τῷ δικαστηρίῳ Ἐκκλήτῳ, ἀλλὰ λίβελλον περὶ τῆς πίστιν, ὡς εἴρηκεν ὁ Ἐπίσκοπος Σέλευκος αὐτοτέρω, τὸν δὲ τῆς Ἐκκλήτου λίβελλον ὑπεψιθύρισεν. ὥστε ὁ Φλαυϊανὸς οὐδὲν τοιοῦτον ἤκουσε παρὰ τοῦ Εὐτυχοῦς, ἀλλ' ὁ Φλωρεντίος εἰπόντος αὐτῷ πρᾶως τοῦ Εὐτυχοῦς περὶ τοῦ λιβέλλου τῆς Ἐκκλήτου, ἀνέφερε περὶ τούτου τῷ Φλαυϊανῷ, εἶτα καὶ ὁ Διάκονος Κωνσταντῖνος καὶ ὁ Φλωρέντιος οὐκ ἤκουσαν παρὰ τοῦ Εὐτυχοῦς ὅτι ἔμελλε πέμψειν εἰς Ῥώμην λίβελλον Ἐκκλήτου, ἀλλ' ὅτι ἐπεκαλέσατο τὴν Σύνοδον Ῥώμης, Ἀλεξανδρείας, Ἱεροσολύμων, καὶ Θεσσαλονίκης. ὥστε λαθραίως ἔγραψε πρὸς τὸν Ῥώμης ὁ Εὐτυχὴς τὸν τοιοῦτον λίβελλον, περὶ οὗ ὁ Πάπας ἀπατηθεὶς, ἔγραψε τῷ Φλαυϊανῷ ὅτι ὁ Εὐτυχὴς δέδωκε λίβελλον Ἐκκλήτου ἐν τῷ δικαστηρίῳ, ἐκκαλούμενος αὐτὸν, ἤτοι τὸν Πάπαν. δεύτερον, ὅτι καὶ ὁ Εὐτυχὴς παρεῖχεν ὡς ἀληθῶς λίβελλον ἵνα ἀναφερθῇ πρὸς τὸν Ῥώμης, δέδοικεν ἴσχυν εἶχεν ἡ Ἔκκλητος, ἐπειδὴ ἦν πρὸς Κανόνας, καὶ γὰρ καὶ ἡ συνήθεια καὶ οἱ Κανόνες τῶν προγενομένων τελῶν Οἰκουμενικῶν Συνόδων πρὸς τὴν Σύνοδον τῆς Ἐπαρχίας βέλονται γυμνάζεσθαι καὶ διατυπῶσθαι τὰς συμβαινούσας ἐν τῇ Ἐπαρχίᾳ ἀμφιβολίας, καθ' ὃν τρόπον σεσαφήνισαι ἀνωτέρω ἐν πολλοῖς, καὶ οὐκ ἐδύνατο ἔτε ἡ καινοτομία τοῦ Διοσκόρου ἔτε ἡ θέλησις τοῦ Πάπα ἀνατρέψαι τὴν καθολικὴν Ἐκκλησίας τὸν πρόσθοσιν, καὶ συσῆσαι τὸ δίολον πρόσωπον, διὸ ματαίως εἶπον ὁ Λέων ὅτι ἡ ἐκκλησιαστικὴ διοίκησις ἐδίδου ἐκείνῳ τὸ ἀναφέρειν, καὶ γὰρ εἰ τοῦτο ποτε γέγονεν, ἔδει εἰπεῖν πότε γέγονεν, ἀλλ' ἐπειδὴ πώποτε οὐκ ἐγένετο, οὐκ ἐδυνήθη εἰπεῖν, ὅθεν καταφυγὼν ἐπὶ τὸ ἀληθὲς θεμέλιον τῆς ἀναφορᾶς, ὅπερ ἦν τὸ βασιλικὸν πρόσταγμα, διατὸ εἰπὼν, καὶ γὰρ ἡ ἐκκλησιαστικὴ διοίκησις, σωπᾷ, καὶ τοῦ θεοφιλεστάτου Βασιλέως ἡ πίστις πολλῶν φροντίδα ἐνέβαλε περὶ τῆς εἰρήνης τῶν Ἐκκλησιῶν. ὅτι δὲ τοῦ Βασιλέως τὸ πρόσταγμα ἀναφέρει τῶν Ἐπισκόπων τὰς ψήφους, πλῶν τῶν ἀποφάσεων τῶν Οἰκουμενικῶν νομίμων καὶ κανονικῶν Συνόδων, μάρτυρες σαφεῖς (ἵνα ἐκσωμῶ τὰς πολλὰς) αἱ γενόμεναι ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου Σύνοδοι ὑπὲρ τοῦ ἁγίου Ἀθανασίου, καὶ τὰ γεγενημένα ἐν τῇ τρίτῃ Οἰκουμενικῇ Συνόδῳ, καὶ ἐκεῖνο τὸ τοῦ ἁγίου Κυρίλλου ὅτι ὁ Ἀντιοχείας καὶ οἱ περὶ αὐτὸν δόξαντες ἐτόλμησαν χωρὶς βασιλικοῦ προσάγματος καθελεῖν αὐτὸν καὶ τὸν Ἐφέσου Μέμνονα, καὶ ἐκεῖνο τὸ μὴ δυνηθῆναι αὐτεπαγγέλτον φλαυϊανὸν ἀνακεινόμενον ὑπὸ τοῦ Πρωτογόνους. Διὰ προσάγματος δὲ βασιλικοῦ ὁ μόνον ὁ Πάπας κρίνει καὶ ἀνακρίνει, ἀλλὰ καὶ ἕτερος Πατριάρχης καὶ Μητροπολίτης καὶ ἁπλῶς Ἐπίσκοπος. ὅτε δὲ ἐσάλευεν ἡ ἀπόφασις τῆς πρώτης Συνόδου ὑπὸ Κωνσταντίου καὶ Οὐάλεντος, καὶ ἡ τῆς τρίτης ὑπὸ Θεοδοσίου, πᾶσα Ἀνατολὴ καὶ Δύσις καὶ Ἀφρικὴ συνηγωνίσθησαν τοῦ μεῖναι ἐκείνας ἀκινήτους, ὡς καὶ γέγονεν. ἀπὸ βασιλικοῦ δὲ θεσπίσματος, καὶ οὐκ ἀπὸ τῆς φλυαρίας Εὐτυχοῦς ἐζήτει ὁ τόπων ἀναφέρειν, ἀλλ' ὅλως ἐδυνήθη ὡς ῥηθήσεται. ὅθεν οὐκ ἀποβλέπομεν εἰς τοὺς λιβέλλους τοῦ Αἱρεσιάρχου καὶ εἰς τὴν θέλησιν τοῦ Πάπα, ἀλλ' εἰς τὴν γνώμην καὶ ἐνέργειαν τοῦ κοινοῦ τῆς Ἐκκλησίας, ἧς καὶ ὁ Ῥώμης μέρος ἐγένετο συνεδρεύων ταῖς Οἰκουμενικαῖς Συνόδοις. ἐν τούτοις προσθετέον ὅτι ὥσπερ οὐκ ἐπεγράφετο ἰδικόν τι ἀξίωμα τοῖς θρόνοις Ἀλεξανδρείας, Ἱεροσολύμων, καὶ Θεσσαλονίκης ἀπὸ τῆς πρὸς αὐτοὺς Ἐκκλήτου τοῦ Εὐτυχοῦς, οὕτως οὐδὲ τῷ θρόνῳ Ῥώμης προσεγράφετό τι τοιοῦτον ἀπὸ τῆς αὐτῆς Ἐκκλήτου. εἶτα ὡς ἔγραψε τῷ Ῥώμης ὁ Βασιλεὺς, ἔγραψεν ἴσως καὶ τοῖς λοιποῖς Πατριάρχαις, ὡς ἔγραψεν αὐτοῖς καὶ περὶ Στεφάνου τοῦ Βασιανοῦ τῶν Μητροπολιτῶν τῆς Ἐφέσου, καὶ ἰδοὺ βιβλίου τετάρτου κεφαλαίου πρώτου Παραγράφου εἰκοστὸν τρίτον. πρὸς τὸ τρίτον, ῥητέον ὅτι ἔλεγχος σαφὴς ὁ μακάριος Λέων τῶν μετὰ τὸ σχίσμα Παπῶν, εἰπὼν ἵνα μὴ αἱ διατυπώσεις τῶν πατέρων ἑρμηνείᾳ φαύλῃ τινὸς μολυνθῶσι, βούλεται γὰρ τρία τινὰ εἰπεῖν, πρῶτον, ὅτι τῶν πατέρων αἱ διατυπώσεις θεόθεν ἔχουσι τὸν ἰσχὺν καὶ ἀπὸ τοῦ Πάπα τὰ βεβαιοῦντα τὰ φαῦλα συγγράμματα τῶν σχολαστικῶν, αὐτικείμενα ὄντα τῇ ἐκκλησιαστικῇ ἀληθείᾳ. δεύτερον, ὅτι αἱ διατυπώσεις αἱ ἀνήκουσαι εἰς τελειότητα τῆς πίστεως εἰσὶ τῶν προσκυνητῶν, ἤτοι τῶν ἁγίων πατέρων καὶ μόνον τοῦ Πάπα, ὃς ὅτε ἐστὶν ἅγιος συναριθμεῖται τοῖς ἁγίοις πατράσι καὶ συνδιατυποῖ, ὅτε δὲ μόνῃ τῇ τελετουργῷ Μίτρᾳ καὶ τῷ πολυτελεῖ κράτει καὶ τῷ ἐνδεδυκότι μάλιστα βίῳ καὶ τῷ προσάπτομαι, ὁρίζομαι, ἀποφαινόμεθα παπίζει, ὅτε διατυποῖ ὅτε Πάπας ἐστί. τρίτον, ὅτι αἱ διατυπώσεις τῶν πατέρων ἀνήκουσιν εἰς τελειότητα τῆς πίστεως, ὥστε βλάσφημον

σφημον ἐκεῖνο τὸ τοῦ συγγραφέως τῶν Κανόνων, ἤτοι τὸ, εἰ καὶ πᾶσα ἡ Οἰκουμένη ἀποφαίνοιτό τι κατὰ τοῦ Πάπα, ἤτοι τῇ τοῦ Πάπα γνώμῃ ἐναντίον, μείζω ἰσχύει ἡ γνώμη τοῦ Πάπα τῆς Οἰκουμένης.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς ἀντιγραφῆς τοῦ Φλαυϊανοῦ πρὸς Λέοντα Ῥώμης, καὶ πέμψεως τῶν κατὰ εὐτυχοῦς ὑπομνημάτων εὐμαθείας χάριν, ἐξῶν, καὶ ἑτέρων τοιούτων ὑπὸ πολλῶν Συνόδων καὶ Πατριαρχῶν καὶ Μητροπολιτῶν γενομένων, καὶ κατὰ παράθεσιν, συνάγεται μηδὲν εἶναι ὑπεροχικὸν ἀξίωμα τοῦ Ῥώμης ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἀλλ' ἀδελφικὴν σύμπνοιαν καὶ ὁμοφωνίαν περὶ τὴν πίστιν, καὶ τὸ προσέχειν τὸν Ῥώμης μὴ ἀπατηθῆναι, ὥστινες τῶν πρὸ αὐτοῦ Ἐπισκόπων Ῥώμης ἠπάτηνται.

Ἀντέγραψεν ὁ Φλαυϊανὸς τῷ Λέοντι, καὶ ἔπεμψε καὶ τὰ ὑπομνήματα τὰ γενόμενα ἐν Κωνσταντινουπόλει κατὰ Εὐτυχοῦς, οὐ πρὸς ἀνάκρισιν, ἀλλ' εὐμαθείας χάριν, ὡς καὶ ἡ Σύνοδος ἡ τρίτη εὐμαθείας χάριν ἔπεμψε τὰ ἐν αὐτῇ ὑπομνήματα τῷ Κελεστίνῳ. φέρει δὲ εἰς μαρτυρίαν κατὰ Εὐτυχοῦς τὴν πρώτην Οἰκουμενικὴν Σύνοδον καὶ τὴν τρίτην. οὐ φέρει δὲ τὸν τύπον τοῦ Κελεστίνου, ἀλλὰ τὰς ἐπιστολὰς Κυρίλλου, ὡς ὅρον οὔσας τῆς τρίτης Συνόδου. οὐ μέμνηται δὲ ἐν τῇ ἐπιστολῇ οὔτε περὶ Ἐκκλήτου, οὔτε περὶ ἄλλου τινὸς ὧν ἔγραψεν αὐτῷ ὁ Λέων, ἀλλ' ὅτι τὸν Εὐτυχῆ ὡς ἐπὶ τούτοις ἁλόντα τῆς Ἱερωσύνης ἐγυμνώσαμεν καὶ τοῦ προστατεῖν μοναστηρίου καὶ τῆς ἡμετέρας κοινωνίας. ὅθεν καὶ ἡ σὴ ὁσιότης γνοῦσα τὰ κατ' αὐτὸν, πᾶσι τοῖς ὑπὸ τὴν σὴν θεοσέβειαν τελοῦσι θεοφιλεστάτοις Ἐπισκόποις δήλην ποιησάτω τὴν αὐτοῦ δυσσέβειαν, ἵνα μὴ ἀγνοίας πολλάκις τῶν παρ' αὐτοῦ φρονηθέντων, ἐφ' οἷστε ἑάλω σαφῶς, ὡς πρὸς ὁμόδοξον ἢ διὰ γραμμάτων, ἢ καὶ ἑτέρων τὰς πρὸς αὐτὸν ὁμιλίας εὑρεθῶσι ποιούμενοι. ταῦτα ὁ Φλαυϊανός. ἐξ ὧν οὐχ ὑπεροχικόντι σημαίνεται ἀξίωμα τοῦ πρὸς ὃν τὰ γράμματα, ἀλλ' ἀδελφικὴ σύμπνοια καὶ ὁμοφωνία περὶ τὴν ὀρθόδοξον πίστιν ὑποδηλοῦται, ὅθεν ἡ κατὰ τοῦ Σαμοσατέως ἐν Ἀντιοχείᾳ Σύνοδος γράφουσα τοῖς ἁπανταχοῦ περὶ αὐτοῦ καὶ τοῦ μετ' αὐτὸν γενομένου Ἀντιοχείας Δόμνου, φησὶν, ἐδηλώσαμέν τε ὑμῖν ὅπως τούτῳ γράφητε (τῷ Δόμνῳ) καὶ παρ' αὐτοῦ τὰ κοινωνικὰ δέχησθε γράμματα, τῷ δὲ Ἀρτεμᾷ (παλαιῷ Αἱρετικῷ, ᾧ ἠκολούθησεν ὁ Σαμοσατεὺς) οὗτος ἀποστειλάτω, καὶ οἱ τὰ Ἀρτεμᾶ φρονοῦντες τούτῳ κοινωνησάτωσαν, Εὐσέβιος βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ τριακοστῷ. ἀλλὰ δὴ καὶ ὁ Ἀλεξανδρείας Ἀλέξανδρος ἐπιστολῇ πρώτῃ τοῖς ἁπανταχοῦ γράψας κατὰ Ἀρείου καὶ τῶν ὀπαδῶν αὐτοῦ, λέγει, ἐδηλώσαμεν δὲ καὶ τῇ ὑμετέρᾳ θεοσεβείᾳ ἀγαπητοὶ καὶ τιμιώτατοι συλλειτουργοὶ, ἵνα μήτε τινὰς ἐξ αὐτῶν εἰ προπετεύσαιντο καὶ πρὸς ὑμᾶς ἐλθεῖν, μὴ προσδέξασθε, μήτε Εὐσεβίῳ, ἢ ἑτέρῳ τινὶ γράφοντι περὶ αὐτῶν πεισθῆτε, πρέπει γὰρ ὑμᾶς Χριστιανοὺς ὄντας, πάντας τοὺς κατὰ Χριστοῦ λέγοντάς τι καὶ φλυαροῦντας ὡς θεοπάχους καὶ φθορέας τῶν ψυχῶν ἀποστρέφεσθαι, καὶ μήτε χαίρειν τοῖς τοιούτοις λέγειν, ἵνα μήτοτε καὶ ταῖς ἁμαρτίαις αὐτῶν κοινωνοὶ γενώμεθα, Σωκράτης βιβλίῳ πρώτῳ κεφαλαίῳ ἕκτῳ. πρὸς τούτοις ἡ ἐν Σαρδικῇ Σύνοδος ἐπιστολῇ τοῖς ἁπανταχοῦ φησὶ περὶ ὧν καθηρήκει Αἱρετικῶν, τούτοις μηδένα κοινωνεῖν παραγγείλατε, οὐ δεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος, τούτους πάντας μακρὰν ποιεῖτε, οὐ δεμία γὰρ συμφωνία Χριστῷ πρὸς Βελίαρ. Καὶ, φυλάξασθε ἀγαπητοὶ μήτε γράφειν πρὸς αὐτοὺς, μήτε γράμματα παρ' αὐτῶν δέχεσθαι, σπουδάσατε δὲ μᾶλλον καὶ ὑμεῖς ἀδελφοὶ καὶ συλλειτουργοὶ ὡς τῷ πνεύματι παρόντες τῇ Συνόδῳ ἡμῶν συμψηφίσασθαι δι' ὑπογραφῆς ὑμετέρας, ὑπὲρ τοῦ παρὰ πάντων τῶν ἁπανταχοῦ συλλειτουργῶν τὴν ὁμοφωνίαν διασώζεσθαι, Ἀθανασίου ἀπολογίᾳ δευτέρᾳ. εἰς τοῦτο συντείνει καὶ ἅπερ ἔγραφον Κύριλλος καὶ Κελεστῖνος περὶ τῆς ἀκοινωνησίας Νεστορίου τοῖς λοιποῖς Πατριαρχαῖς καὶ πολλοῖς τῶν τότε ἐγκρίτων Μητροπολιτῶν. ὃν τρόπον οὖν γεγραφήκασι τὰ τοιαῦτα καὶ Σύνοδοι καὶ πατέρες, κατὰ τοῦτον ἔγραψε πρὸς τὸν Λέοντα καὶ ὁ Φλαυϊανὸς κατὰ Εὐτυχοῦς, ὥστε καὶ ἐκ τούτου οἱ παπισταὶ οὐδὲν ὠφελοῦνται. ἐνταῦθα μνημονευτέον καὶ οὗπερ γράφει ὁ Βασίλειος ἐπιστολῇ τετάρτῃ πρὸς Μελέτιον, ἔδοξε παρακαλέσαι τοὺς ἐν Δύσει μὴ ἀκρίτως δέχεσθαι τὰς κοινωνίας τῶν ἐκ τῆς Ἀνατολῆς ἀφικνουμένων, ἀλλ' ἐκ τῆς μαρτυρίας τῶν κανονικῶν προσλαμβάνεσθαι, καὶ μὴ παντὶ γράφοντι πίστιν ἐπὶ προφάσει τῆς ὀρθοδοξίας προστίθεσθαι, οὕτω γὰρ εὑρεθήσονται τοῖς μαχομένοις κοινωνοῦντες. ταῦτα ὁ Βασίλειος. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι οὐ καινοτομῶν ὁ μέγας Βασίλειος, ἀλλὰ κατὰ τὸ ἀρχαῖον καὶ πάτριον ἔθος ἔγραψε τοῖς Δυτικοῖς φυλάττεσθαι μὴ δέχεσθαι τοὺς Αἱρετικοὺς, μήτε πιστεύειν αὐτοῖς, ἵνα μὴ κοινωνοὶ γίνωνται αὐτοῖς, καὶ γίνονται καὶ αὐτοὶ οἱ Δυτικοὶ ἀκοινώνητοι κοινωνοῦντες τοῖς ἀκοινωνήτοις. δεύτερον, οὐ τῷ Ἐπισκόπῳ Ῥώμης ἢ μόνῳ ἢ ὡς μονάρχῃ εἶπε γράψειν, ἀλλὰ τοῖς ἐν Δύσει, ἤτοι τῷ Πάπᾳ καὶ τοῖς Δυτικοῖς Ἐπισκόποις, τουτέστι τῇ κατὰ Δύσιν Συνόδῳ, ἐπειδὴ ὁ Πάπας καὶ οἱ Δυτικοὶ Ἐπίσκοποι ἐπλανήθησαν παρὰ τῶν Μακεδονιανῶν ἐν Ῥώμῃ καὶ Σικελίᾳ καὶ Ἰλλυρικῷ. ἀλλὰ δὴ καὶ ὁ Θεοφάνης λέγει, ὅτι Λιβέριος τοῖς Ἀνατολικοῖς γράψας, ὀρθοδοξίαν τῶν Μακεδονιανῶν ἐμαρτύρησε. καὶ σημείωσαι ὅτι ἐκ τῆς τοιαύτης πλάνης ἠκολούθησεν ἀπάτη, καὶ ἑπομένως μαρτυρία ψευδὴς, ἐξ ὧν προὐξενήθησαν τὰ μεγάλα κακὰ ἐν τῇ

Ἀνατολῇ

320

Ἀναγλῃ ὡς εἴρηται αὐωτέρω βιβλίᾳ δευτέρᾳ κεφαλαίῳ δεκάτῳ πέμπτῳ. καὶ κατὰ τούτων φερόμενος ὁ Βασίλειος ἔγραφε τοῖς ἐν Δύσει μὴ δέχεσθαι ἀκρίτως τὰς ἀπὸ τῆς Ἀνατολῆς, ἐμοὶ ὅτι ἐγίνωσκον ἐν τῇ Ῥώμῃ μοναρχικὸν ἀξίωμα. ἰδὲ καὶ βιβλίᾳ ἕκτῃ, κεφαλαίᾳ ἑβδόμῃ, Παραγραφῷ δεκάτῳ τρίτῳ τὰ εἰκῆ λεγόμενα περὶ τῆς ἐγκυκλίου πρὸς τοὺς ἀπανταχοῦ ὀρθοδόξους ἐπιστολῆς τοῦ Πάπα Μαρτίνου, καὶ τῆς κατ' αὐτὸν ἐν Ῥώμῃ Συνόδου, καὶ αὐωτέρω βιβλίᾳ δευτέρᾳ, κεφαλαίῳ ἕκτῳ Παραγράφων δέκατον πρῶτον.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς μετὰ τὰς ἐν Κωνσταντινουπόλει ἐπὶ σωτελεύσεις ἐπὶ Φλαουϊανοῦ κατὰ Εὐτυχοῦς ὀγδόης συνελεύσεως, κελεύσει τοῦ Βασιλέως, ἐπὶ παρουσίᾳ Ὑπάτου Πρωτογένους, καὶ τῆς ἀποφάσεως τοῦ Βασιλέως περὶ Οἰκουμενικῆς Συνόδου, καὶ τῆς ἐγκυκλίου ἐπιστολῆς Λέοντος Ῥώμης πρὸς Φλαουϊανόν, ἐξ ὧν πάντων, καὶ ἐκ προσθέσεως συνάγεται μὴ γράψαι τὸν Λέοντα ὡς ἀνεξέταστον, ἢ ἀναμάρτητον, ἢ ἄρχοντα τῶν Ἐκκλησιῶν τῷ ἐπιστολήν, ἀλλ' ὡς μερικῆς Ἐκκλησίας Ἐπίσκοπον.

Ἐγύμνασον ὁ Φλαουϊανὸς τὰ περὶ Εὐτυχοῦς ἐν ἓξ συνελεύσεσιν, ἐν δὲ τῇ ἑβδόμῃ, ὅτε παρεγένετο ὁ Εὐτυχὴς μόνος ἐν τῇ Συνόδῳ, ἔπεμψεν ὁ Βασιλεὺς συγκλητικὸν τῶν Φλωρεντίων, ὅτε καὶ καθῃρέθη ὁ Αἰρετικὸς, εἶτα ἔγραψεν ὁ βασιλεὺς εἰς τὴν Ῥώμης, ὅτε καὶ ὁ Εὐτυχὴς ἔπεμψε τὸν λίβελλον τῆς Ἐκκλησίας τῷ Λέοντι, ἅτινα γράμματα λαβὼν ὁ Λέων, ἔγραψεν εἰς τὸν Φλαουϊανὸν, ἐν ᾧ ἔλεγε καὶ περὶ τῆς Ἐκκλησίας τοῦ Εὐτυχοῦς ὡς εἴρηται αὐωτέρω, ὅπερ γράμμα λαβὼν ὁ Φλαουϊανὸς αὐτέγραψεν αὐτῷ ὡς εἴρηται πάλιν αὐωτέρω. ἐν τούτοις ὁ Βασιλεὺς ἰδὼν ὅτι ὁδὸν συμπεραίνεται ὑπὸ τοῦ Ῥώμης, τετύπωκε συνελθεῖν Οἰκουμενικὴν Σύνοδον, ἥτις ἐπὶ τοῦ ἀθροισθῆναι, ὁ Βασιλεὺς ἢ ἵνα κατανοήσῃ πρεσβύτερον τὰ γινόμενα ἐν ταῖς ἐπὶ συνελεύσεσιν, ἢ διὰ τὸ δοῦναι τὸν Εὐτυχῆ λίβελλον, λέγοντα ἀδίκως καθαιρεθῆναι, καὶ ἐνόμισε γνωμῶν πάλιν μερικῆς ἐν Κωνσταντινουπόλει Συνόδου, διορθωθήσεται, ὥρισε καὶ ἐγένετο καὶ ὀγδόη συνέλευσις ἐπὶ παρουσίᾳ τοῦ Ὑπάτου Πρωτογένους, ἐφ' ἧς καὶ ἐπὶ τῆς Συνόδου ἀναγνωσθέντων τῶν ὑπομνημάτων, κατεγνώσθη ὁ Εὐτυχὴς καὶ ὡς Αἱρετικὸς καὶ ὡς ἀμεταμέλητος. ὅτι δὲ ἐπὶ τῆς συνελεύσεως ταύτης παρῆν ὁ πρωτογένης ἐτυπώθη ἡ ἄθροισις τῆς Οἰκουμενικῆς Συνόδου φανερόν ἐστιν, ἔλεγε γὰρ ἐν αὐτῇ ὁ Ἐπίσκοπος Μελιφθογγῶν, εἰ καὶ τὰ μάλιστα Οἰκουμενικὴ ἐκελεύσθη Σύνοδος, καὶ πεφύλακται τὰ κυριώτερα τῶν πραγμάτων ἐν ἐκείνῃ τῇ Συνόδῳ. ἐν τούτοις λαβὼν τὸν αὐτιγραφὸν τοῦ Φλαουϊανοῦ ὁ λέων, ὃν ἔλη περὶ Ἐκκλήτου ἢ εἰρήνης τῶν Ἐκκλησιῶν αὐτέγραψεν αὐτῷ, ἀλλ' ὑποκύψας τῷ βασιλικῷ προστάγματι, ἔγραψε τῷ Φλαουϊανῷ ἐγκύκλιον ἐπιστολὴν περὶ τῶν δύο ἐπὶ τοῦ χριστοῦ φύσεων, ἔγραψε δὲ οὐχ ὡς μοναρχὴς μόνος, ἀλλὰ μετὰ Συνόδου τῶν Δυτικῶν Ἐπισκόπων, ὡς ἔγραψεν ὁ Ἰάλιος μετὰ Συνόδου πεντήκοντα Ἐπισκόπων τοῖς Εὐσεβιανοῖς, καὶ ὁ Δάμασος μετὰ τῆς ἐν Ῥώμῃ Συνόδου ἔγραψε τῇ ἐν τῷ Ἰλλυρικῷ Συνόδῳ, καὶ ὁ Κελεστῖνος ἐτύπωσεν ἀκοινωνησίαν τοῦ Νεστορίου μετὰ τῆς ἐν Ῥώμῃ Συνόδου. ὅτε ἔγραψεν ὁ λέων ὡς ἀνεξέτασος καὶ ἀναμαρτήτος Ἄρχων τῶν Ἐκκλησιῶν τῷ ἐπισκόπῳ, ἀλλ' ὡς μερικῆς Ἐκκλησίας Ῥωμαϊκῆς Ἐπίσκοπος, καὶ διὰ μαρτυρίας τῶν ἁγίων πατέρων Ἱλαρίου, Ναζιανζηνοῦ, Ἀμβροσίου, Χρυσοστόμου, Αὐγουστίνου καὶ Κυρίλλου, πρᾶξει δευτέρᾳ τῆς τεταρτης Συνόδου. οὕτως ἔγραψε καὶ ὁ Κύριλλος πρὸς Νεστόριον, καὶ ὁ Σωφρόνιος πρὸς Σέργιον, καὶ ὁ Φλαουϊανὸς πρὸς τὸν Λέοντα.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῆς διὰ τῶν ἀθροιζομένην Συνόδου πρὸς τὸν Βασιλέα Θεοδόσιον ἐπιστολῆς τοῦ Λέοντος Ῥώμης, ἐξ ἧς συνάγεται εἶναι τὸ ἔχαγον ἐν τῇ Ἐκκλησίᾳ κριτήριον τὸ οἰκουμενικὸν, ὑφ' ᾧ καὶ ὁ Ῥώμης, καὶ μόνον τὸν Βασιλέα Οἰκουμενικῆς Συνόδου ἀθροιστήν.

Ἔγραψεν ὁ Λέων περὶ τῆς ἀθροιζομένης Συνόδου καὶ τῷ Βασιλεῖ ἐπιστολὴν, ἐν ᾗ φησιν, ἐπειπερ ἡ ὑμετέρα εὐσέβεια ἡ ἐμοὶ τοῦ Θεοῦ τὴν εὐλαβεστάτην καθολικὴν ἀληθειαν ἀγαπῶσα, τετύπωκε συνοδικὸν κριτήριον, ὥστε τῷ ἀπείρῳ γέροντι τὴν ἀληθειαν περὶ ἣν μάλιστα διέσφαλται φανερωθῆναι, τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους Ἰάλιον καὶ Ῥεκιάτον καὶ Ἴλαρον πέπομφα εἰς τόπον τὸν ἐμόν (ἢ εἰς τάξιν τῆς ἐμῆς παρουσίας ὡς γράφει τῇ Πελχερίᾳ, ἢ εἰς τάξιν ἐμοὶ τῇ ἁγίᾳ τῆς ὑμῶν ἀδελφότητος Συνόδῳ παρέσονται, ὡς ἔγραψε τῇ ἐν Ἐφέσῳ Συνόδῳ) καὶ σημείωσαι ὅτι μηδὲν δυνηθεισῶν τῶν ἐν Κωνσταντινουπόλει καὶ ἐν Ῥώμῃ Συνόδων, μήτε αὐτοῦ τοῦ Πάπα, σαλπίζοντος καὶ ἀπειλοῦντος, καὶ κελεύειν δικαίως ἐπαγγελλομένου, καὶ τὰ ὑπομνήματα ζητοῦντος, ἵνα μὴ ἀμφιβολίᾳ τινὶ ἀπατηθῇ, Οἰκουμενικὴν Σύνοδον ὁρίζεται συγκεκροτῆθῆναι, οὐχ ὑπὸ τοῦ Πάπα, ἀλλ' ὑπὸ μονωτάτου τοῦ Βασιλέως, ὥστε τῷ ἀληθεῖ

ἀλήθειαν φανεροποιηθῆναι· καὶ σημείωσαι ὅτι τὸ ἔσχατον ἐν τῇ Ἐκκλησίᾳ κριτήριον καὶ ἀληθέστερον τὸ Οἰκουμενικόν ἐστι καὶ οὐ τὸ παπικὸν, ὅπερ καὶ αὐτὸ γυμνάζεται καὶ ἀνακρίνεται ἐν τῷ Οἰκουμενικῷ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι ἐκ τῆς πρὸς Ἰουλιανὸν Κῷον, καὶ πρὸς Φαῦστον Ἀρχιμανδρίτην ἐπιστολῆς τοῦ Λέοντος Ῥώμης, ἡ διδασκαλία καὶ ἡ μάθησις τοῦ ἁγίου Πνεύματος ἐν πάσῃ τῇ Ἐκκλησίᾳ, ἐν τῇ κοινότητι, καὶ ἀπὸ τῆς κοινότητός ἐστι, καὶ φύλαξ τῆς πίστεως ὁ Φαῦστος ὡς καὶ ὁ Ῥώμης, οὐ διὰ μοναρχικὸν ἀξίωμά τι, ἀλλὰ δι' ἁγιότητα.

Ἐν τῇ ἐπιστολῇ ὁ Λέων πρὸς Ἰουλιανὸν Κῷον σημείωσαι ὅπερ φησιν, ἐπείπερ ἡ τοῦ ἁγίου Πνεύματος ἐν πάσῃ τῇ καθολικῇ Ἐκκλησίᾳ μία ἐστὶ μάθησις καὶ ἡ αὐτὴ διδασκαλία, ὡσεὶ ἔλεγεν ἐν τῇ κοινότητι καὶ ἀπὸ τῆς κοινότητος ἡ μάθησις καὶ διδασκαλία, καὶ οὐ μόνον ἐν τῇ Ῥώμῃ καὶ ἀπὸ τῆς Ῥώμης ὡς νομίζουσιν οἱ Ῥωμαῖοι· Φαύστῳ δὲ τῷ Ἀρχιμανδρίτῃ γράφων, τῆς ἁγίας πίστεως φύλακα εἶναι αὐτὸν λέγει. καὶ σημείωσαι κατὰ παπιστῶν, ἀξίωμα μοναρχίας περιεπόντων τῷ Ῥώμης, διὰ τὸ εἰπεῖν τὴν ἐν Χαλκηδόνι Σύνοδον φύλακα τῆς ἀμπέλου τὸν Λέοντα, ἤτοι τῆς πίστεως. φύλαξ καὶ φύλαξ, πίστεως καὶ πίστεως. πόθεν δὲ ἡ ἀποκλήρωσις ἵνα ταῦτα ἐν μὲν τῷ Πάπᾳ νοεῖσθαι ἄλλως, ἐν δὲ τῷ Φαύστῳ ἄλλως; εἶτα φύλαξ τῆς ἀμπέλου ὁ Λέων ὡς σοφὸς καὶ ἅγιος, ὡς ἔλεγεν ὁ Κύριλλος τοὺς ἁγίους πατέρας κοινῶς, καὶ ἰδὲ ἀνωτέρω κεφαλαίου δεκάτου ἕκτου Παράγραφον τριακοστὸν ἕβδομον· οὐ μὴν φύλακες οἱ κακότροποι καὶ ἀποστάται Πάπαι, οἵτινες μᾶλλον ῥηθεῖεν τῆς ἐκ δρυμοῦ καὶ Μονιοὶ ἄγριοι, ὡς ξεσχίσαντες τὴν Ἐκκλησίαν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ ὧν φησιν ἐν τῇ ἐπιστολῇ πρὸς τὴν ἐν Ἐφέσῳ Σύνοδον Λέων ὁ Ῥώμης, ὅτι οὐκ εἰσὶ παπισμοῦ συστατικὰ, ἀλλὰ λίαν ἀναιρετικά.

Ἐν τῇ πρὸς τὴν ἐν Ἐφέσῳ Σύνοδον ἐπιστολῇ ὁ Λέων φησὶ πρῶτον, ὅτι ἡ τοῦ Βασιλέως πίστις εἰδυῖα μάλιστα τοῦτο τῇ δόξῃ αὐτῶν διαφέρειν, εἴγε κατὰ τὴν καθολικὴν Ἐκκλησίαν μηδεμιᾶς πλάνης βλαστὸς ἀναφύοιτο, τοῦτο τοῖς θείοις δόγμασι τὸ σέβας ἀπένειμεν, ὥστε πρὸς ἀποτέλεσμα τῆς θείας διατυπώσεως τῆς ἀποστολικῆς καθέδρας ἐπιθεῖναι τὸ κῦρος, ὡς ἂν ἀπ' αὐτοῦ τοῦ μακαρίου Πέτρου βουλομένου γενέσθαι κατάδηλον τὸ ἐν τῇ τούτου ὁμολογίᾳ ὑμνούμενον. δεύτερον, ἐπείπερ ὁ εὐσεβέστατος Βασιλεὺς εὐσεβῶς ἅμα καὶ εὐλαβῶς ἔχων, τὴν τῶν Ἐπισκόπων ἀθροισθῆναι Σύνοδον ἠβουλήθη, ὥστε κρίσει τελειοτέρᾳ δυνηθῆναι πᾶσαν ἀπαλείφεσθαι πλάνην, τοὺς ἀδελφοὺς ἡμῶν Ἰουλιανὸν, Ῥεννᾶτον, Ἵλαρον καὶ Δουλκίτιον ἀπεστείλαμεν, οἵτινες εἰς τάξιν ἐμὴν τῇ ἁγίᾳ τῆς ὑμῶν ἀδελφότητος Συνόδῳ παρέσονται, καὶ τὰ τῇ κοινῇ μεθ' ὑμῶν γνώμῃ κατὰ Θεὸν ἀρέσκοντα ψηφιοῦνται. καὶ λοιπὸν σημείωσαι πρὸς ταῦτα, ὅτι ὁ Πάπας Λέων βούλεται εἰπεῖν διὰ τούτων, ὡς ὁ Βασιλεὺς ἔγραψε πρὸς αὐτὸν τὰ περὶ τοῦ Φλαυϊανοῦ καὶ Ἐτυχοῦς, καὶ ἐθέσπισεν ἵνα ἐκεῖνος ἀνακρίνας τὰ ἐν Κωνσταντινουπόλει πεπραγμένα, ἐπιθῇ τὸ κῦρος τῆς πρὸς αὐτὸν τοῦ Βασιλέως διατυπώσεως, ὡς εἴρηται ἀνωτέρω Παραγράφῳ ἕκτῳ. ἀλλ' ἐπειδὴ συνιδὼν μὴ δυναμένην μόνην τὴν ἀποστολικὴν καθέδραν ἐπιθεῖναι τὸ κῦρος, ἤτοι τὴν πάντῃ ἀναμφίβολον καὶ παρὰ πάσης τῆς Ἐκκλησίας δεχομένην ψῆφον περὶ τῆς ἐκλησιαστικῆς εἰρήνης, ἠβουλήθη εὐσεβῶς ἅμα καὶ εὐλαβῶς τὴν τῶν Ἐπισκόπων ἀθροισθῆναι Σύνοδον, ὥστε κρίσει τελειοτέρᾳ τῆς τοῦ Ῥώμης καὶ Φλαυϊανοῦ δυνηθῆναι πᾶσαν ἀπαλείφεσθαι πλάνην. ὅτι δὲ τοῦτο οὕτως ἔχει, μάρτυς αὐτὸς ὁ Λέων γράψας τῇ Συνόδῳ ἐν τῇ αὐτῇ ἐπιστολῇ, οὐ τὸ κῦρος τῆς ἀποστολικῆς καθέδρας ἐπιθεῖναι, ἀλλ' ἵνα οἱ τῆς Συνόδου πατέρες τῇ κοινῇ μετὰ τῶν Τοποτηρητῶν αὐτοῦ γνώμῃ τὰ κατὰ Θεὸν ἀρέσκοντα ψηφίσωνται, ὅπερ ἐστιν, ἵνα ἡ Οἰκουμενικὴ Σύνοδος κοινῶς τὰ κατὰ Θεὸν ψηφίσηται, ἅπερ καὶ ταῦτα τοῦ παπισμοῦ ἐστιν οὐ συστατικὰ ὡς νομίζουσιν οἱ παπισταὶ, ἀλλ' ἀναιρετικώτατα, ἐπειδὴ τὸ ἔσχατον κῦρος ἐπιδιδόμενον τῇ Οἰκουμενικῇ Συνόδῳ, καπόπιν διαφίησι τὰ λοιπὰ πάντα κριτήρια.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι ἃ φησὶν ὁ Ῥαβέννης Ἐπίσκοπος ἐν τῇ πρὸς τὸν Εὐτυχῇ ἀντιγραφῇ αὐτοῦ περὶ τοῦ Ῥώμης, ἔκτε τῆς ἀκολουθίας, καὶ τῆς αἰτίας, δείκνυνται ἐνταῦθα μηδὲν μοναρχικὸν ἀξίωμα παρέχειν τῷ Ῥώμης, ὥστε μόνον αὐτὸν διδόναι τοῖς ζητοῦσι τῆς πίστεως τὴν ἀλήθειαν.

Ἀντέ-

Ἀντέγραψε Πέτρος ὁ Ῥαβέννης Ἐπίσκοπος τῷ Εὐτυχεῖ ἐπιστολὴν, ἐν ᾗ φησὶ πρῶτον, ἐπὶ πᾶσι δὲ προτρεπομένσε ὥστε τοῖς παρὰ τοῦ Πάπα Ῥώμης γραφομένοις πειθαρχούντως προσέχειν, ἐπειδὴ ὁ μακάριος Πέτρος, ὃς ἐν τῇ ἰδίᾳ καθέδρᾳ ζῇ καὶ προκάθηται, δίδωσι τοῖς ζητοῦσι τῆς πίστεως τὴν ἀλήθειαν. δεύτερόν φησιν, ἡμεῖς γὰρ σπουδῇ τῆς εἰρήνης καὶ τῆς πίστεως, ἐκ τὸς συναινέσεως τοῦ Ῥώμης Ἐπισκόπου, πίστεως αἰτίας διαγνῶναι οὐδυνάμεθα. ταῦτα ὁ Ῥαβέννης. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι ἐπειδὴ ὁ Εὐτυχὴς γράψας εἰς Ῥώμην, ἔγραψε καὶ τῷ Ῥαβέννης, ὅπερ ὑπωπτεύθη ποιήσειν αὐτὸν, δηλονότι τὸν Εὐτυχῆ ὁ ἐν ἁγίοις Φλαυϊανὸς, καὶ διατοῦτο ἔγραψε τῷ Λέοντι, ἵνα ἐπιτάξῃ τοῖς ὑπ' αὐτὸν Ἐπισκόποις μὴ δέχεσθαι τὰ γράμματα αὐτοῦ, ὡς εἴρηται ἀνωτέρω Παραγράφῳ ἑβδόμῳ. ὁ Ῥαβέννης ὅμως κατὰ τὸ εἰκὸς ἀντέγραψε τῷ Εὐτυχεῖ, ἵνα δηλαδὴ εἰς μόνον τὸν Ῥώμης ἀποβλέπῃ περὶ ὧν ἠρώτα, οὐ μόνον ὅτι ἐστὶ προκαθήμενος ἀποστολικοῦ θρόνου, ἀλλ' ὅτι ἐστὶ σοφὸς καὶ ἅγιος, καὶ μάλιστα ἐπειδὴ πρὸς ἐκεῖνον ἔγραψε, παρ' ἐκείνου ἐκδέχεσθαι δεῖ καὶ τὰς ἀποκρίσεις. περὶ δὲ τοῦ ὁ Πέτρος ζῇ καὶ προκάθηται ἐν τῇ ἰδίᾳ καθέδρᾳ, εἴρηται ἀνωτέρω κεφαλαίου δεκάτου πέμπτου Παραγράφῳ τριακοστῷ. πρὸς τούτοις δίδωσιν ὁ Ῥώμης ὀρθοδοξῶν τοῖς ζητοῦσι τῆς πίστεως τὴν ἀλήθειαν, ἀλλ' οὐ μόνος, ἰδοὺ γὰρ πρὸ τοῦ Λέοντος ὁ Φλαυϊανὸς ἐξέθετο κατὰ τῆς πλάνης τοῦ Εὐτυχοῦς τῆς πίστεως τὴν ἀλήθειαν, καὶ ὁ Κύριλλος καθηγητὴς ἐρρέθη τῆς Οἰκουμένης. πρὸς δὲ τὸ δεύτερον, ῥητέον ὅτι ἀληθῶς, εἶπεν ὁ Ῥαβέννης, ὑποκείμενος γὰρ ὢν τῷ θρόνῳ τῆς Ῥώμης, οὐκ ἠδύνατο περὶ πίστεως, καὶ μάλιστα ἀμφιβολίας οὐ τῆς τυχούσης ἀνακυψάσης, ἄνευ εἰδήσεως τοῦ Ῥώμης διαγνῶναι, ὅπου μάλιστα τῆς ἀμφιβολίας διαλυθείσης, καὶ τῆς πίστεως ὁριθείσης ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ, οἱ Αἰγύπτιοι Ἐπίσκοποι ἀπηνήναντο ὑπογράψαι ἐν τῇ βεβαιωθείσῃ πίστει ἄνευ Πατριάρχου Ἀλεξανδρείας, καὶ ἐνέδωκεν ἡ Σύνοδος, καὶ οὐχ ὑπέγραψαν ἕως οὗ ἐχειροτονήθη ὁ Προτέριος Πατριάρχεις Ἀλεξανδρείας. καὶ ἐν τῇ βεβαιώσει τῆς ἐπιστολῆς Κυρίλλου, Σαΐδος Ἐπίσκοπος Φαίνους εἶπε, συντίθεμαι τῇ Ἐπιστολῇ Κυρίλλου, γινώσκων σύμφωνον εἶναι τοῖς τριακοσίοις δέκα καὶ ὀκτὼ, καὶ τοῖς κατατεθεῖσι παρὰ τοῦ Ἐπισκόπου ἡμῶν Ἰουβεναλίου τῇ ἐκθέσει τῶν πατέρων συμψηφίζομαι καὶ συναινῶ. πράξει πρώτῃ. κἀνταῦθα ὁ Σαΐδος ἠκολουθηκὼς τῷ ἰδίῳ Πατριάρχῃ, συνῄνεσε τοῖς ὁρισθεῖσιν ὑπὸ τῆς τρίτης Συνόδου περὶ τῆς ἐπιστολῆς Κυρίλλου. εἶτα ἀνακυψάσης ἀμφιβολίας, ὁ μὲν Ῥώμης ἐδύνατο συνοδικῶς τυπῶσαι τὸ δοκοῦν, τῷ δὲ Ῥαβέννης οὐκ ἐξῆν διορίσασθαι ὅπερ ἐξῆν τοῖς πολλοῖς, ἤτοι τῇ ἐν Ῥώμῃ Συνόδῳ, ὥστε μήτε ἐκ τούτου τοῦ λογιδρίου οἱ παπισταὶ δύνανται λυμῆναι τὴν ἀλήθειαν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι ἐκ τῶν ἐπιστολῶν Θεοδοσίου καὶ Οὐαλεντιανοῦ τῶν Βασιλέων πρὸς Διόσκορον, καὶ ὧν ἔγραψεν ὁ Ῥώμης τοῖς αὐτοῦ Λεγάτοις, δείκνυται μόνος ὁ Βασιλεὺς Οἰκουμενικῆς Συνόδου ἀσθροιστὴς, ὁ δὲ Ῥώμης μαθητὴς τῆς Συνόδου ὡς μέρος.

Ἔγραψαν οἱ Βασιλεῖς Θεοδόσιος καὶ Οὐαλεντιανὸς τῷ Ἀλεξανδρείας Διοσκόρῳ, ἐναρέτῳ καὶ σοφωτάτῳ δοκοῦντι, ἐπιστολὴν, ἐν ᾗ φασὶν, ἐπὶ τοῦ παρόντος τοίνυν ἀνακυψάσης ἐξαίφνης ἀμφιβολίας τινὸς εἰς τὴν τοῦ καθολικοῦ καὶ ἀποστολικοῦ δόγματος τῆς ἡμετέρας ὀρθοδόξου πίστεως παραφυλακὴν, ἐθεσπίσαμεν, καὶ ταὐτὸ συνελθόντων ὁσιωτάτων καὶ θεοφιλεστάτων ἀνδρῶν, οἷς πλεῖστος εὐσεβείας τε καὶ τῆς ὀρθοδόξου καὶ ἀληθοῦς πίστεως λόγος καθέπόλιν, καὶ ἀκριβεστάτην προθέντων ἔρευνάν τε καὶ ζήτησιν, πᾶσαν μὲν ἐκποδὼν σκαιὰ γένηται πλάνη, κρατυνθείη δὲ, καὶ συνήθως ἐκλάμψῃ τὸ τῆς ὀρθοδόξου πίστεως δόγμα. Καὶ, εἰ δέτις τὴν οὕτως ἀναγκαίαν καὶ τῷ Θεῷ φίλην παριδεῖν ἕλοιτο Σύνοδον, καὶ μὴ πάσῃ δυνάμει κατὰ τὸν προειρημένον καιρὸν τὸν ἀφορισθέντα καταλάβοι τόπον, οὐδεμίαν ἕξει πρὸς τὸ κρεῖττον, ἢ πρὸς τὴν ἡμετέραν εὐσέβειαν ἀπολογίαν. ἐν οἷς σημείωσαι ὅτι ὁ Βασιλεὺς μο-

μάτων ἄρα ἐπερείδονται οἱ παπισταὶ ἐν τῷ λεξειδίῳ τοῦ Ῥαβέννης, ὅτι ὁ Ῥώμης μόνος δίδωσι τοῖς ζητοῦσι τῆς πίστεως τὴν ἀλήθειαν. δέδωκε γὰρ, ἀλλ' οὐ τελείως, ἰδοὺ γὰρ ὁ Ῥώμης οὐτολμᾷ εἰπεῖν τῇ Συνόδῳ ὅτι αὐτὸς δίδωσιν, ἀλλὰ παρὰ τῆς Συνόδου, παρὰ τῆς κοινότητος ζητεῖ καὶ αὐτὸς ὁ ἴδιος τῆς πίστεως τὴν ἀλήθειαν ὡς εἴρηται. καὶ ἔτι δι' ὧν φησὶν, ὅτι ὁ Βασιλεὺς τὴν τῶν Ἐπισκόπων ἀθροισθῆναι Σύνοδον ἠβουλήθη, ὥστε κρίσει τελειοτέρᾳ (τῆς ἧς ἔκρινεν ἐκεῖνος δηλονότι καὶ ὁ Φλαυϊανὸς περὶ τῆς Αἱρέσεως τοῦ Εὐτυχοῦς) δυνηθῆναι πᾶσαν ἀπαλείφεσθαι πλάνην.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ὅτι ἐκ τῆς πρὸς τὴν Σύνοδον ἐπιστολῆς τοῦ Αὐτοκράτορος Θεοδοσίου, δείκνυται μονώτατος ὁ Βασιλεὺς ἀθροιστὴς τῆς Συνόδου, καὶ πολλοὶ πρωτεύοντες ἐν τῇ Ἐκκλησίᾳ, καὶ ψεῦδος τὸ συνάγειν Οἰκουμενικὴν Σύνοδον τὸν Ῥώμης, καὶ πρωτεύειν μοναρχικῶς, καὶ κρίνειν μόνον τὰς Αἱρέσεις, καὶ διδόναι μόνον τοῖς ζητοῦσι τῆς πίστεως τὴν ἀλήθειαν.

Καὶ ἀπὸ τῆς ἐπιστολῆς τοῦ Αὐτοκράτορος πρὸς τὴν Σύνοδον τὰ αὐτὰ δείκνυται, φησὶ γὰρ, ἐννοήσαντες ὅτι περ οὐκ ἔστιν ἀσφαλὲς παρεκτὸς τῆς ἁγίας ὑμῶν Συνόδου καὶ τῶν ἁπανταχοῦ πρωτευόντων τῶν ἁγίων Ἐκκλησιῶν τοιαύτην ζήτησιν περὶ πίστεως ἀνακινεῖσθαι, ἀναγκαῖον ἐνομίσαμεν συνελθεῖν τὴν ὑμετέραν ἁγιωσύνην, ὥστε ὑμᾶς τὰ πεπραγμένα ἐνταῦθα καταμαθόντας (ἤτοι τὰ ἐν ταῖς πράξεσιν ἐπὶ Φλαυϊανοῦ) καὶ τὴν κινηθεῖσαν ζήτησιν, πᾶσαν μὲν διαβολικὴν ἐκκόψαι ῥίζαν, καὶ τοὺς τὴν τοῦ ἀσεβοῦς Νεστορίου βλασμίαν ζηλοῦντας ἢ συγκροτοῦντας ἐκ τῶν ἁγίων Ἐκκλησιῶν ἐκβαλεῖν, καὶ τὴν ὀρθόδοξον πίστιν βεβαίαν καὶ ἀσάλευτον τυπῶσαι παραφυλαχθῆναι. ἐν οἷς σημείωσαι ὅτι ὁ Βασιλεὺς μονώτατος ἤθροισε τὴν Σύνοδον, ὅτι οὐκ ἔστιν ἀσφαλὲς ἐκτὸς Οἰκουμενικῆς Συνόδου ἀνακινῆσαι τοιαύτην ζήτησιν περὶ πίστεως, ὅτι πολλοὶ οἱ πρωτεύοντες ἐν τῇ Ἐκκλησίᾳ, ὅτι ἡ Σύνοδος τὴν ῥίζαν τῆς Αἱρέσεως ἐκβάλλει, καὶ τὴν ὀρθόδοξον πίστιν τυποῖ παραφυλάττεσθαι. καὶ λοιπὸν ψεῦδος ἐστὶ τὸ συνάγειν τὸν Ῥώμης τὴν Οἰκουμενικὴν Σύνοδον, ψεῦδος τὸ πρωτεύειν ἐν τῇ Ἐκκλησίᾳ μόνως καὶ μοναρχικῶς, ψεῦδος τὸ μόνον εἶναι κριτὴν τῶν Αἱρέσεων, καὶ τέως ψεῦδος τὸ μόνον διδόναι τοῖς ζητοῦσι τῆς πίστεως τὴν ἀλήθειαν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ τῶν περιεχομένων ἐν ταῖς δυσὶ συνοδικαῖς ἐπιστολαῖς τοῦ Λέοντος Ῥώμης, μετὰ τὴν ἐν Ἐφέσῳ λῃστρικὴν Σύνοδον τῷ Βασιλεῖ Θεοδοσίῳ πεμφθείσαις, καὶ οὗ ἐπιλαμβάνονται εἰς βεβαίωσιν Ἐκκλήτου ἰδικῆς τοῦ Ῥώμης οἱ Λατῖνοι Κανόνος τῆς ἐν Νικαίᾳ, τοὺς τρεῖς τῆς ἐν Σαρδικῇ Κανόνας τοῦτον εἶναι λέγοντες, τῷ συνάπτειν αὐτοὺς εἰς μίαν τὴν ἐν Νικαίᾳ τῇ ἐν Σαρδικῇ, καὶ περὶ ὧν αἱ ἐπιστολαὶ δηλοῦσιν, ἐξ ὧν δείκνυται ὁ Βασιλεὺς ἀσυγκρίτως μείζων τοῦ Ῥώμης, καὶ ὁ Ῥώμης οὐ μονάρχης, ἐφ' οὗ, καὶ ἐπὶ πάντων ἡ Οἰκουμενικὴ Σύνοδος, οἱ δὲ παπισταὶ ψεῦσται ἀναιδέστατοι, καὶ φθορεῖς τῶν Κανόνων.

Μετὰ τὴν διάλυσιν τῆς ἐν Ἐφέσῳ λῃστρικῆς Συνόδου, ἔγραψεν ὁ Λέων καὶ ἡ ἐν Ῥώμῃ Σύνοδος δύο συνοδικὰς ἐπιστολὰς πρὸς τὸν Αὐτοκράτορα Θεοδόσιον, ἐν αἷς φησὶ, παρακαλοῦμεν πάντα ἐν τῇ αὐτῇ καταστάσει εἶναι κελεύσατε, ἐν ᾗ γεγόνασι πρὸ πάσης κρίσεως, ἕως ἂν ἐκ παντὸς τοῦ κόσμου μείζων ἀριθμὸς συναχθῇ τῶν Ἐπισκόπων. Καὶ, πάντων τῶν μερῶν ἡμῶν αἱ Ἐκκλησίαι πᾶσαι τῆς ὑμετέρας φιλανθρωπίας καταδέονται διὰ τῶν Ἐπισκόπων, καὶ ἐπειδὴ καὶ οἱ ἡμέτεροι πιστῶς ἀντειρήκασι, ἤτοι οἱ Τοποτηρηταὶ τοῦ Πάπα ἀντεῖπον τῷ Διοσκόρῳ παρανομοῦντι, καὶ αὐτὸς ἐκεῖνος Φλαυϊανὸς ὁ Ἐπίσκοπος λίβελλον Ἐκκλήτου ἐπιδέδωκε, γενικὴν σύνοδον κελεύσατε ἐν Ἰταλίᾳ συνελθεῖν, ἥτις πάντα τὰ προσκόμματα οὕτως ἀποκινήσει καὶ κατακοιμίσει, ἵνα μὴ περαιτέρω τίποτε περὶ τῆς πίστεως ἢ εὑρεθῇ ἀμφίβολον, ἢ ἐν τῇ ἀγάπῃ μεμερισμένον, συνερχομένων δηλαδὴ καὶ τῶν κατὰ τὴν Ἀνατολὴν Ἐπαρχιῶν Ἐπισκόπων. Καὶ, ὅπως γὰρ μετὰ τὴν Ἔκκλητον τοῦτο ἀναγκαῖον αἰτοῦμεν, τῶν κατὰ Νίκαιαν Κανόνων αἱ ψῆφοι μαρτυροῦσιν, αἵτινες ἀπὸ τῶν ἁπανταχοῦ τοῦ κόσμου Ἐπισκόπων καθιδρύνθησαν. ταῦτα ἐν τῇ πρώτῃ ἐπιστολῇ. ἐν δὲ τῇ δευτέρᾳ φησὶν, ἵνα πάντα μείνωσιν ἀπραγῆ καθὼς καὶ πρὸ δίκης ἐτύγχανε, περιμείνωσι δὲ τὸ μεῖζον τῆς Συνόδου κριτήριον, ἐν ᾗ ὁ πᾶς ἀριθμὸς τῶν Ἐπισκόπων ἐκ πάσης τῆς Οἰκουμένης συνάγεται. Καὶ, πᾶσαι αἱ Ἐκκλησίαι τῶν ἡμετέρων μερῶν, καὶ πάντες οἱ ἱερεῖς τὴν ὑμετέραν ἡμερότητα μετὰ δακρύων ἱκετεύουσι κατὰ τὴν αἴτησιν τοῦ λιβέλλου Φλαυϊανοῦ τοῦ Ἐπισκόπου, ὥστε κελεῦσαι ἰδικὴν Σύνοδον ἐντὸς τῆς Ἰταλίας ἐπιτελεσθῆναι, ὅπως πᾶσα ἐναντιότης ἐκβληθείη καὶ καταπραϋνθείη, καὶ μηδὲν ᾖ παρέλκον ἢ ἀμφίβολον ἐπὶ

ἐπὶ τῇ πίστει, συνερχομένων καὶ τῶν Ἐπισκόπων ἀπὸ πασῶν τῶν Ἀνατολικῶν Ἐπαρχιῶν. καὶ ἐν τῷ τέλει, ὥστε καὶ ταῦτα παραφυλάξαι ὅσα ὁ ἐν Νικαίᾳ κανὼν παρακελεύεται, ὅσατε ὁ ὅρος ὁ ἀπὸ πάσης τῆς Οἰκουμένης τῶν Ἐπισκόπων κατὰ τὸ ἔθος τῆς καθολικῆς Ἐκκλησίας καὶ τῶν ἡμετέρων πατέρων ἐλευθέραν τὴν πίστιν φυλαχθῆναι, διῆς ἡ ὑμετέρα γαληνότης συνίσταται. ταῦτα τὰ οὐσιώδη ἐν ταῖς δυσὶν ἐπιστολαῖς, ἅτινα καὶ καθ' ἑαυτὰ ἀναιρεῖ πᾶν μοναρχικὸν ἐν τῇ Ἐκκλησίᾳ ἀξίωμα. πρὸς σαφεστέραν ὅμως κατάληψιν σημείωσαι πρῶτον, ὅτι ὁ Πάπας συνοδικῶς παρακαλεῖ τὸν Βασιλέα, ἵνα τὰ ὡρισμένα ὑπὸ τῆς ἐν Ἐφέσῳ λῃστρικῆς Συνόδου μείνωσιν ἄπρακτα, ὡς μήποτε γεγενημένα. δεύτερον, παρακαλεῖ ἵνα μείνωσιν ἄπρακτα τὰ κατὰ τὸν Διόσκορον, ἕως ἂν ἐκ πάντων τῶν μερῶν τοῦ κόσμου συνέλθωσι, καὶ γένηται γενικὴ, τουτέστιν Οἰκουμενικὴ Σύνοδος, ἥτις πάντα τὰ προσκόμματα ἀποκινήσει καὶ κατακοιμίσει, καὶ μηδὲν ἐάσει παρέλκον ἢ ἀμφίβολον ἐν τῇ πίστει. ἀλλ' ὦ μακάριε Λέον, ποῦ τὰ πρὸς τὸν Φλαυϊανὸν γραφέντασοι, ὅτι ἡ ἐκκλησιαστικὴ διοίκησις καὶ τὸ βασιλικὸν θέσπισμα πεποιήκασίσε κριτὴν; ποῦ τοῦ Εὐτυχοῦς ὁ λίβελλος τῆς Ἐκκλήτου; ποῦ τὸ, ἡ μεῖς οἰβουλόμενοι δικαίας γίνεσθαι τὰς κρίσεις τῶν Ἱερέων; ποῦ τὸ, πέμψον τὰ ὑπομνήματα ἵνα μὴ ἀμφιβολίᾳ τινὶ ἀπατηθῶμεν; ποῦ τὰ εἰς Κωνσταντινούπολιν πεμφθέντα γράμματά σου λέγοντα, ὅτι ἔδωκεν ὁ Εὐτυχὴς λίβελλον Ἐκκλήτου; ποῦ τὸ, ἡ πίστις τοῦ ἡμερωτάτου Βασιλέως τοῦτο ἀπένειμε τοῖς δόγμασι τὸ σέβας, ὥστε πρὸς ἀποτέλεσμα τῆς θείας διατυπώσεως τῆς ἀποστολικῆς καθέδρας ἐπιθεῖναι τὸ Κῦρος; ποῦ τὸ πρὸς τὴν Σύνοδον τὴν ἐν Ἐφέσῳ γραφέντοι περὶ τοῦ Εὐτυχοῦς, τὸ, διὰ πάντων ἐπαγγελλόμενος ταῖς ἡμετέραις ἀκολουθεῖν ἀποφάσεσι; καὶ ὁ ταῦτα καὶ τὰ τοιαῦτα λέγων, πῶς ἐν ἀκαρεῖ μεταβληθεὶς εἰς ἀντικειμένην κατὰ διάμετρον γνώμην, παρακαλεῖς καὶ ἱκετεύεις, καὶ μάλιστα μετὰ δακρύων καὶ οἰμωγῶν τοσούτων, ὥστε καὶ τὸν Βασιλέα Οὐαλεντιανὸν μετὰ τῆς μητρὸς καὶ τῆς γυναικὸς εἰς κοινωνίαν τῶν ἰδίων θρήνων καὶ τὰς σὰς οἰμωγὰς ἀποκαλεῖς; πῶς οὐκ ἀποκεκίνηκας καὶ οὐ κατεπραΰνας τὰ προσκόμματα, ἀλλὰ Σύνοδον γενικὴν ἀπαιτεῖς ἵνα ἀποβάλλῃ καὶ ἀποκινήσῃ καὶ καταπραΰνῃ τὰ ἐναντία καὶ παρέλκοντα; οἴχονται οὖν ἄρδην καὶ οἱ λόγοι καὶ οἱ ἀγῶνες ἵνα μόνος κρίνῃς, καὶ ἔμεινεν εἶναι τὴν Σύνοδον ἐπὶ σοῦ, ἐπειδὴ μέρος αὐτῆς εἶ μετὰ τῆς Συνόδου σου, καὶ οὐδὲν πλέον. τρίτον, τὸ, ὅπως γὰρ μετὰ τὴν Ἔκκλητον τοῦτο ἀναγκαῖον αἰτοῦμεν, καθὼς αἱ τῆς ἐν Νικαίᾳ ψῆφοι μαρτυροῦσι, σημείωσαι ὅτι τοῦτο ἀληθῶς εἴρηται καὶ κανονικῶς, ἐπειδὴ καὶ ὁ Πάπας Ἰούλιος εἶπε τὸ τοιοῦτον, εἰ δὲ καὶ οἱ παπισταὶ παρεξηγοῦσιν αὐτὸ, ἀλλ' ἰδὲ περὶ αὐτοῦ ἀνωτέρω βιβλίου δευτέρου, κεφαλαίου πέμπτου Παράγραφον δέκατον πρῶτον, εἰ δὲ εἴποιτις ὅτι ἡ ἐπὶ Διοσκόρου Σύνοδος γενικὴ καὶ οὐμερικὴ οὖσα, οὐδέχεται ἀνάκρισιν, ῥητέον ὅτι παράνομος οὖσα, οὐκ ἦν οὔτε γενικὴ οὔτε μερικὴ, ὅθεν ἀνεκρίθη ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου, οὐ πρὸς διόρθωσιν, ἀλλὰ πρὸς παντελῆ ἀποβολήν. διὸ καὶ ὁ Φλαυϊανὸς ἐπειδὴ εἶδεν ἐν αὐτῇ τὸν μὲν Ἀλεξανδρείας ἀσεβοῦντα, τὸν δὲ Ἀντιοχείας καὶ Ἱεροσολύμων παρατραπέντας, ἢ βιασθέντας ὑπ' αὐτοῦ, ἔπεμψε βιβλίον Ἐκκλήτου εἰς τὸ ὑγιαῖνον, ἤτοι εἰς τὸ ὀρθόδοξον μέρος, οὐκ εἰς τὸν Ῥώμης ὡς μονάρχην, ἢ κριτὴν, ἀλλ' εἰς αὐτὸν καὶ εἰς τοὺς κατὰ Δύσιν Ἐπισκόπους, οὐχ ἵνα κρίνωσιν, ἀλλ' ἵνα σπουδάσωσι γενικὴν Σύνοδον συνελθεῖν εἰς ἀνάκρισιν, ὡς ἀνωτέρω εἴρεται. ἀλλὰ καὶ ἡ Πλακιδία γράφουσα τῷ ἀδελφῷ καὶ Βασιλεῖ Θεοδοσίῳ ὑπὲρ τοῦ γενέσθαι Σύνοδον ἐν Ἰταλίᾳ, λέγει ὅτι ὁ Φλαυϊανὸς λίβελλον ἔστειλε πρὸς τὸν ἀποστολικὸν θρόνον, καὶ πρὸς πάντας τοὺς Ἐπισκόπους τῶν μερῶν τούτων κατὰ τοὺς ὅρους τῆς ἐν Νικαίᾳ Συνόδου, ἤτοι ἵνα τῆς μιᾶς Συνόδου τὴν κρίσιν ἀμφίβολον, ἢ ἐπισφαλῆ οὖσαν, ἑτέρα Σύνοδος ἀνακρίνῃ. δικαίως οὖν ἐζήτει ὁ Φλαυϊανὸς γράψας τῷ Ῥώμης καὶ τοῖς Δυτικοῖς Ἐπισκόποις ἵνα αἰτήσωνται τὸν Βασιλέα γενικὴν ὁρίσαι Σύνοδον ἐπὶ τὸ ἀποβληθῆναι τὰ προσκόμματα τοῦ Διοσκόρου καὶ τὰ λοιπὰ εἰρημένα, ἐπειδὴ τὴν ἰσχὺν παρέχει τοῖς πλείοσι καὶ τέως τῇ Συνόδῳ, οὐσύστασιν μαρτυρεῖ μοναρχικοῦ ἀξιώματος, ἀλλὰ μάλιστα καθάπαξ κατάλυσιν. τέταρτον, ἀλλ' οἱ Λατῖνοι ἐν τούτῳ, ὅπερ λέγει ἡ ἐν Ῥώμῃ Σύνοδος ἐν τῇ πρώτῃ ἐπιστολῇ, ἤτοι τὸ, ὅπως γὰρ μετὰ τὴν Ἔκκλητον τοῦτο ἀναγκαῖον αἰτοῦμεν, τῶν κατὰ τὴν Νίκαιαν Κανόνων αἱ ψῆφοι μαρτυροῦσι, λέγουσιν ὅτι ὁ Λέων διαλαμβάνει περὶ τοῦ τρίτου, τετάρτου, καὶ πέμπτου τῶν Κανόνων τῆς ἐν Σαρδικῇ Συνόδου, οὓς διὰ τὸ εἶναι τὴν ἐν Σαρδικῇ τὴν αὐτὴν τῇ ἐν Νικαίᾳ, Κανόνας τῆς ἐν Νικαίᾳ ἐκάλεσεν. Ἀλλ' ὅτι οὐκ ἐνόησεν ὁ Λέων ἰδικὴν πρὸς αὐτὸν Ἔκκλητον τοῦ Φλαυϊανοῦ ὡς πρὸς μονάρχην, ὥσπερ μήτε ὁ Ἰούλιος περὶ αὐτοῦ τοιοῦτόν τι ἐνόησε καθὼς συκοφαντοῦσιν ἐκεῖνον οἱ παπισταὶ, ἐδείχθη ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου πέμπτου Παραγράφῳ δεκάτῳ πρώτῳ. ὅτι δὲ οὐκ ἦν ἡ ἐν Σαρδικῇ ἡ αὐτὴ τῇ ἐν Νικαίᾳ, ἐδείχθη βιβλίου τοῦ αὐτοῦ κεφαλαίου ἕκτου Παραγράφῳ ὀγδόῳ. ἔτι καὶ τοῦ Ἰουλίου μνησθέντος τῆς ἐν Νικαίᾳ Συνόδου κατὰ τὸν ἄνωθεν τρόπον, οἱ παπισταὶ πολλὰ ἐρραψῴδησαν ἄτοπα, ἅπερ ἐκεῖ ἀπεδείχθη πεπλασμένα καὶ τῇ ἀληθείᾳ πολέμια, καὶ γὰρ ἐπενόησαν μυρίας εὑρεσιολογίας κατὰ τὸ ἴδιον τῶν Αἱρετικῶν, ἵνα δείξωσιν ὅτι ὁ Ἰούλιος περὶ Κανόνων τῆς ἐν Νικαίᾳ οὐ διελάμβανεν, ἀλλοὶ ψεύστας αὐτοὺς ἀπέδειξεν ὁ Ἰούλιος, ῥητῶς εἰπὸν ἐν τῇ ἐπιστολῇ αὐτοῦ, διατοῦτο οἱ ἐν τῇ κατὰ Νίκαιαν μεγάλῃ Συνόδῳ οὐκ ἄνευ Θεοῦ βουλήσεως συνεχώρησαν ἐν ἑτέρᾳ συνόδῳ τὰ τῆς προτέρας ἐξετάζεσθαι. καὶ εἰ τὸ ἔθος τοῦτο

παλαιὸν

παλαιὸν τυγχάνον, μνημονευθὲν δὲ καὶ γραφὲν, καὶ τὰ ἑξῆς. ὅθεν καὶ νῦν κατὰ τὸν αὐτὸν σκοπὸν τοῦ Ἰουλίου, τοῦ μακαρίου Λέοντος ἐννοοῦντος τὴν Ἐκκλητον, οἱ παπισταὶ διὰ εὑρεσιολογιῶν βούλονται τοῦτον νοεῖν τοὺς Κανόνας τῆς ἐν Σαρδικῇ, ἡ ἀλήθεια ὅμως ἐστὶν, ὅτι ὁ Λέων τὴν Ἐκκλητον ἐννοεῖ κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν, ὡς ἐνόησε ταύτην δηλαδὴ καὶ ὁ Ἰούλιος. ἀλλαμὴν ὁ Ἰούλιος περὶ τῶν ἐν Σαρδικῇ Κανόνων οὐκ ἐποίησε λόγον, ἐπειδὴ πρὸ τῆς ἐν Σαρδικῇ Συνόδου ἔγραψε τὴν ἐπιστολὴν, ἄρα οὔτε ὁ Λέων ἐνόησε Κανόνας τῆς ἐν Νικαίᾳ εἶναι τοὺς αὐτοὺς τοῖς τῆς ἐν Σαρδικῇ, καὶ τὴν Ἐκκλητον ἐνόησε καθὼς καὶ ὁ Ἰούλιος, ἤτοι ἐν ἑτέρα Συνόδῳ τὰ τῆς προτέρας ἐξετάζεσθαι, ὅπερ πραγματικῶς ἐνταῦθα ἐβεβαίωσεν ὁ Λέων, Σύνοδον αἰτήσας τὸν Βασιλέα γενικὴν ὁρίσαι, καὶ οὐχ ὅτι ἵνα αὐτὸς μόνος κρίνῃ. ἀλλὰ δὴ καὶ τοῦτο ὅπερ φησιν ὁ Λέων, ὅτι αἱ ψῆφοι τῆς ἐν Νικαίᾳ ἀπὸ τῶν πανταχοῦ τοῦ κόσμου Ἐπισκόπων καθιδρύνθησαν, περὶ μὲν τῆς ἐν Νικαίᾳ Συνόδου ἀληθές ἐστιν, ἦσαν γὰρ ἐν αὐτῇ ὡς ἀληθῶς ἀπὸ παντὸς τοῦ κόσμου Ἐπίσκοποι ὡς ὁ Εὐσέβιος καὶ ὁ Γελάσιος ῥητῶς μαρτυροῦσιν, ἐν δὲ τῇ ἐν Σαρδικῇ οὐκ ἦσαν οἱ Ἐπίσκοποι Κωνσταντινουπόλεως καὶ Ἀντιοχείας, ὅι τε Ἴβηρες καὶ Ἀρμένιοι, καὶ ὅσοι καταλέγονται ὑπὸ τῶν εἰρημένων ὅτι ἦσαν ἐν τῇ ἐν Νικαίᾳ. πέμπτον, πρὸς τούτοις ῥητέον ὅτι ὁ Ἰούλιος ἐν τῇ πρὸς τοὺς Εὐσεβιανοὺς ἐπιστολῇ αὐτοῦ φέρει μάρτυρα Κανόνα τῆς ἐν Νικαίᾳ Συνόδου, ἵνα τῆς προτέρας Συνόδου τὴν ἀπόφασιν ἀνακρίνῃ ἑτέρα Σύνοδος, οἱ δὲ παπισταὶ λέγουσιν εἰπεῖν τὸν Ἰούλιον περὶ Κανόνος, ὃν ἐξέθετο ἐκείνη ἡ ἁγία Σύνοδος περὶ Ἐκκλήτου τοῦ Ῥώμης. εἶτα ὁ Λέων ἐνταῦθα εἰπὼν Κανόνα τῆς ἐν Νικαίᾳ Συνόδου, καθαρώτατα λέγει καὶ σύμφωνα τῷ Ἰουλίῳ, ὅτι ἦν ἡ Ἔκκλητος τοῦ Φλαυϊανοῦ ἐπὶ τοῦ Ῥώμης καὶ τῶν Ἐπισκόπων τῆς Δύσεως ἵνα γένηται οἰκουμενικὴ Σύνοδος, καὶ ἀνακρίνῃ τὰς παρατροπὰς τοῦ Διοσκόρου. οἱ δὲ παπισταὶ διϊσχυρίζονται, ὅτι ὁ Λέων εἰπὼν Κανόνα τῆς ἐν Νικαίᾳ, ἐννοεῖ τοὺς ἐν Σαρδικῇ εἰρημένους τρεῖς Κανόνας, ἐπειδὴ ἡ αὐτή ἐστι τῇ ἐν Νικαίᾳ ἡ ἐν Σαρδικῇ, ὅθεν καὶ ἡ Ἔκκλητος ἀποβλέπει εἰς μόνον τὸν Ῥώμης. ταῦτα οἱ παπισταὶ, ἅπερ εἰ καὶ πασίδηλος ἐστὶν ἐθελοκακουργία, ὅμως ῥητέον, εἰ ὁ Ἰούλιος εἰπὼν Κανόνα τῆς ἐν Νικαίᾳ Συνόδου, ἐννοεῖ τοὺς Κανόνας τῆς ἐν Σαρδικῇ περὶ Ἐκκλήτου τοῦ Ῥώμης, πῶς οἱ παπισταὶ οὐ λέγουσιν ὅτι ὁ Λέων εἰπὼν Κανόνα τῆς ἐν Νικαίᾳ, ἐννοεῖ Κανόνα τινὰ τῆς αὐτῆς, ἤτοι τῆς ἐν Νικαίᾳ Συνόδου, καὶ οὕτω κἀνταῦθα εἰπεῖν ἅπερ λέγουσι περὶ τοῦ Κανόνος τοῦ Ἰουλίου, καὶ προσενεγκεῖν καὶ μάρτυρας Ἀθανάσιον, Φίληκα, Μάρκον, Λιβέριον καὶ ἄλλους, ὡς εἴπομεν ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ δευτέρου βιβλίου, ἀλλὰ λέγουσιν ὅτι ἐπὶ τῷ ὀνόματι τῆς ἐν Νικαίᾳ εἶπε περὶ τῶν Κανόνων τῆς ἐν Σαρδικῇ; καὶ διατὶ ἐὰν λέγωσιν ἀλήθειαν ἐν οἷς ἐξηγοῦνται τὸν Κανόνα τῆς ἐν Νικαίᾳ, οὗ ἐμνήσθη ὁ Ἰούλιος, οὐ λέγουσι καὶ ἤδη τὸ αὐτὸ ἐκεῖνο, ὅτι δηλαδὴ ὁ ἐν Νικαίᾳ Κανὼν, οὗ μέμνηται ὁ Λέων, ἐστὶ Κανὼν τῆς ἐν Νικαίᾳ, ὅπερ ἐστιν ἰσχυρότερον καὶ μάλιστα ἀναντίῤῥητον, καὶ οὕτω δυνήσονται ἀποδεῖξαι ὅτι ἐστὶν ὁ λόγος τοῦ Λέοντος περὶ Ἐκκλήτου μόνου τοῦ Ῥώμης, ὃν βεβαιοῖ ἐκείνῳ ἡ ἐν Νικαίᾳ Σύνοδος, ἀλλὰ προσφέρουσι Κανόνας τῆς ἐν Σαρδικῇ; ἀλλ' οὐκ ἔχουσιν εἰπεῖν, ἐπειδὴ τοιοῦτον οὔτε εἶπεν, οὔτε ἐφρόνησεν ἡ ἐν Νικαίᾳ, οὔτε τοιοῦτον εἶπεν, ἢ ἐφρόνησεν ὁ Ἰούλιος, ὥστε μήτε ὁ Λέων. οἱ δὲ παπισταὶ τὸ ὄνειδος τοῦ Χριστιανικοῦ ὀνόματος, βουλόμενοι συστῆσαι τὴν διαβολικὴν λῆψιν, συκοφαντοῦσι τοὺς ἁγίους, καὶ παρεξηγοῦνται τοὺς λόγους τῶν ἁγίων, ὅθεν καταψεύδονται ἐπ' ὄψεσι πάσης τῆς Οἰκουμένης κατὰ τὸ ἴδιον τῶν καινοτόμων. εἰ δὲ καὶ Ζώσιμος, Βονιφάτιος, καὶ Κελεστῖνος ἐπιλαθόμενοι ὧν εἶπεν ὁ Ἰούλιος, ἐζήτησαν ἐν τῇ ἐν Καρθαγένῃ Συνόδῳ βεβαιῶσαι τινὰς Κανόνας τῆς ἐν Σαρδικῇ ἐπ' ὀνόματι τῆς ἐν Νικαίᾳ, ἀλλ' ἀπεκρούσθησαν παρὰ τῆς Συνόδου καὶ παρὰ τῶν Πατριαρχῶν Κωνσταντινουπόλεως καὶ Ἀλεξανδρείας, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ δεκάτῳ τετάρτῳ. ἀλλὰ δὴ καὶ ὁ Ζωναρᾶς ὁ καλὸς μὲν ὢν ἱστορικὸς, κάλλιστος δὲ τῶν Κανόνων ἑρμηνευτὴς, λέγει, ἐξηγούμενος τὸν πέμπτον Κανόνα τῆς ἐν Σαρδικῇ, ταῦτα, ἐκ τούτου τοῦ Κανόνος οἱ τῆς πρεσβυτέρας Ῥώμης Ἀρχιερεῖς αὐχοῦσιν ἐνδίδοσθαι αὐτοῖς τὰς Ἐκκλήτους πάσας τῶν Ἐπισκόπων πρὸς αὐτοὺς ἀναφέρεσθαι, τῆς πρώτης Οἰκουμενικῆς Συνόδου τῆς ἐν Νικαίᾳ τοῦτον εἶναι τὸν Κανόνα ψευδῶς λέγοντες, τὸ γὰρ ἐν τῇ κατὰ Καρθαγένην ἀθροισθείσῃ Συνόδῳ προστεθὲν, ἠλέγχθη μὴ ἀληθεύειν, ὡς ἡ πρὸ τῶν Κανόνων τῆς Συνόδου αὐτῆς γραφὴ παριστᾷ. οὔτε οὖν τῆς ἐν Νικαίᾳ Συνόδου ἐστὶν ὁ Κανὼν, οὔτε πάσας τὰς Ἐκκλήτους τῶν Ἐπισκόπων ἀνατίθησιν αὐτῷ, ἀλλὰ τῶν ὑποκειμένων αὐτῷ. ὑπέκειντο δὲ τότε τῇ Ῥωμαίων Ἐκκλησίᾳ αἱ Δυτικαὶ πᾶσαι σχεδὸν Ἐκκλησίαι, αἱ Μακεδονικαὶ δηλαδὴ, αἱ Θετταλικαὶ, αἱ τοῦ Ἰλλυρικοῦ, αἱ τῆς Ἑλλάδος, αἱ τῆς τοῦ Πέλοπος καὶ αἱ τῆς λεγομένης Ἠπείρου, αἵτινες ὕστερον τῷ Κωνσταντινουπόλεως ὑπετέθησαν, ὡς ἐκείνῳ λοιπὸν καὶ τὰς Ἐκκλήτους αὐτῶν ἀνήκειν. ἕκτον, ἰδέτω πᾶς ὁ κόσμος τὴν ἀναίδειαν τῶν παπιστῶν, ὅτι καὶ τὸν τέταρτον Κανόνα τῆς ἐν Σαρδικῇ ἐνόθευσαν, ἄλλως γὰρ γράφεται ἐν τοῖς πρακτικοῖς τῆς ἐν Σαρδικῇ Συνόδου καὶ ἐν τοῖς ἐξηγηταῖς αὐτῆς, καὶ ἄλλως παρενέθηκαν αὐτὸν οἱ παπισταὶ ἐν τῇ ἐπιστολῇ ταύτῃ, κειμένῃ ἐν τῇ ἀρχῇ τοῦ πρώτου μέρους τῶν πρακτικῶν τῆς ἐν Χαλκηδόνι Συνόδου, τῶν τυπωθέντων ἐν Ῥώμῃ ἐν ἔτει τῷ σωτηρίῳ χιλιοστῷ ἑξακοσιοστῷ εἰκοστῷ ὀγδόῳ. ἕβδομον, παλιλλογητέον, ὅτι εἰ ἦν ὁ λόγος τοῦ Λέοντος, μνησθέντος Ἐκκλήτου καὶ Κανόνων τῆς ἐν Νικαίᾳ, περὶ τῶν Κανόνων τῆς ἐν Σαρδικῇ, ἐχρῆν αὐτὸν

αὐτὸν εἰπεῖν, ἐμοὶ ἀφωσίωται ἡ Ἔκκλητος μόνῳ, ἐγὼ κριτὴς τῶν Ἐπισκόπων, ἐγὼ ἀνακρίνω, ἐγὼ ἀνακρίνω τὰ κατὰ τὸν Διόσκορον, ἐγὼ ὁ Ἄρχων καὶ ἀνακρίνων ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ, ἀλλ' οὐκ εἶπε τοιοῦτόν τι, ἦν γὰρ ἅγιος καὶ σοφὸς, ὅθεν καὶ τοῦ ψεύδους ἐχθρός. εἰ δὲ καὶ ἠθέλησε κρῖναι ἐν ἀλλοτρίᾳ Ἐπαρχίᾳ, ἀλλὰ πρὸς τοῦτο ῥητέον δύο τινὰ, ὅτι ἐν ἀνάγκης καιρῷ ἐχρῆν αὐτῷ ἀναγκαίως ποιῆσαι τοῦτο, καθὼς καὶ ἄλλοι ἄλλων θρόνων Ἐπίσκοποι πεποιήκασιν, ὡς εἴρηται καὶ ῥηθήσεται. καὶ ὅτι οὐκ ἐνήργει μοναρχικῶς, οὔτε διόλου ἐγίνωσκε τοῦτο τὸ πομπηϊκὸν ἐν τῇ Ἐκκλησίᾳ ἀξίωμα, καὶ δῆλον ἐκ τῶν εἰρημένων, καὶ ἐξ ἐκείνου ὅπερ γράφων τῷ Φλαυϊανῷ ἔλεγεν, ἡμῖν γὰρ καταθύμιον καὶ παραφυλακτέον τοῦ Θεοῦ ἐμπνέοντος, ἵνα μὴ αἱ διατυπώσεις τῶν προσκυνητῶν πατέρων αἱ θεόθεν τὴν ἰσχὺν ἔχουσαι, καὶ εἰς τὴν τελειότητα τῆς πίστεως ἀνήκουσαι φαύλῃ τινὸς ἑρμηνείᾳ μολυνθῶσι, καὶ ἰδὲ ἀνωτέρω Παράγραφον εἶπον. ὄγδοον, καὶ ἐν τούτῳ ὅπερ λέγει ὁ Λέων ἐν τῇ δευτέρᾳ ἐπιστολῇ πρὸς τὸν Αὐτοκράτορα τὸ, ὥστε καὶ ταῦτα ἀναγκαῖον παραφυλάξαι, ὅσα ὁ ἐν Νικαίᾳ Κανὼν παρακελεύεται, ὅσα τε ὁ ὅρος ὁ ἀπὸ πάσης τῆς οἰκουμένης τῶν Ἐπισκόπων κατὰ τὸ ἔθος τῆς καθολικῆς Ἐκκλησίας καὶ τῶν ἡμετέρων. πατέρων, ἐλευθέραν τὴν πίστιν φυλαχθῆναι, δι' ἧς ἡ ὑμετέρα γαληνότης συνίσταται, παρενέθηκαν οἱ παπισταὶ ὅτι ἐννοεῖται περὶ τῶν τριῶν Κανόνων τῆς ἐν Σαρδικῇ, πλὴν πασίδηλόν ἐστιν ἡ παρένθεσις αὕτη ψεῦδος, ἀντίκειται γὰρ τῷ εἰρημένῳ ἀνωτέρω ἐν τῇ αὐτῇ ἐπιστολῇ, ἤτοι τῷ, πᾶσαι αἱ Ἐκκλησίαι τῶν ἡμετέρων μερῶν, καὶ πάντες οἱ Ἱερεῖς τὴν ὑμετέραν ἡμερότητα μετὰ δακρύων ἱκετεύουσι κατὰ τὴν αἴτησιν τοῦ λιβέλλου Φλαυϊανοῦ τοῦ Ἐπισκόπου, ὥστε κελεῦσαι ἰδικὴν Σύνοδον ἐντὸς τῆς Ἰταλίας ἐπιτελεσθῆναι, ὅπως πᾶσα ἐναντιότης ἐκβληθείη ἢ καταπραϋνθείη, καὶ μηδὲν ᾖ παρέλκον ἢ ἀμφίβολον ἐν τῇ πίστει. γίνεται γὰρ δῆλον ἐκτούτων, πρῶτον, ὅτι ὁ λίβελλος τοῦ Φλαυϊανοῦ οὐκ ἦν πρὸς τὸν Ῥώμης ὡς πρὸς μονάρχην, ἀλλ' εἰς αὐτὸν καὶ εἰς τοὺς ὑπ' αὐτὸν Ἐπισκόπους, ὅπερ δηλοῖ ἀδελφικὴν σύμπνοιαν καὶ ὁμοφωνίαν, καὶ ἵνα πάσχῃ τὰ μέλη τοῖς μέλεσι κατὰ τὸν Ἀπόστολον, καὶ ὡς ἔγραφε τοῖς ἁπανταχοῦ ὁ Ἀλεξανδρείας Ἀλέξανδρος, καὶ ὁ Βασίλειος ἐν τῇ βουλῇ Τυάνων. δεύτερον, ὅτι ὁ λίβελλος ἀπῄτει παρὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας καὶ τῶν ὑποκειμένων αὐτῇ Ἐπισκόπων οὐ κρίσιν, ἀλλ' αἴτησιν πρὸς τὸν Αὐτοκράτορα, ἵνα ἐπιτελεσθῇ γενικὴ Σύνοδος πρὸς διόρθωσιν τῶν τυραννικῶς γεγενημένων παρὰ τοῦ Διοσκόρου. καὶ λοιπὸν τὸ ἀναγκαῖον παραφυλάξαι ὅσα ὁ ἐν Νικαίᾳ Κανὼν παρακελεύεται, καὶ τὸ (ἀναγκαῖον παραφυλάξαι) ὅσα βούλεται ὁ ὅρος ὁ ἀπὸ τῶν Ἐπισκόπων πάσης τῆς οἰκουμένης, συμπέρασμά ἐστι τοῦ, ὥστε κελεῦσαι ἰδικὴν Σύνοδον ἐντὸς τῆς Ἰταλίας ἐπιτελεσθῆναι, συνερχομένων καὶ Ἐπισκόπων ἀπὸ πασῶν τῶν Ἀνατολικῶν Ἐπαρχιῶν, καὶ τοῦ, ὅπως πᾶσα ἐναντιότης ἐκβληθείη ἢ καταπραϋνθείη, καὶ μηδὲν ᾖ παρέλκον ἢ ἀμφίβολον ἐν τῇ πίστει, τοῦ μὲν, ὅτι ὁ ἐν Νικαίᾳ Κανὼν παρακελεύεται ἐν ἑτέρᾳ Συνόδῳ θεωρεῖσθαι τὰ τῆς ἑτέρας, ὃν τρόπον εἴρηται ἀνωτέρω πολλάκις. τοῦ δὲ, ὅτι ὁ ὅρος τῆς πίστεως τῆς ἐν Νικαίᾳ Συνόδου καὶ ἡ παραδοθεῖσα τάξις καὶ συνήθεια τῆς καθολικῆς Ἐκκλησίας καὶ τῶν ὀρθοδόξων Αὐτοκρατόρων κανονικῶς καὶ ἡσύχως καὶ μὴ βιαίως καὶ τυραννικῶς ἀπαιτεῖ γίνεσθαι τὰς πράξεις καὶ ἐνεργείας ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις, ὥστε διὰ πάντων τούτων ἐλευθέραν ἐν πᾶσι φυλάττεσθαι τὴν ὀρθόδοξον πίστιν πάσης Αἱρέσεως, κακοτροπίας τε καὶ ἀνωμαλίας. οὕτω καὶ γὰρ, αἱ μὲν βλάττουσαι τὴν Ἔκκλητον ἀμφιβολίαι, καὶ τέως αἱ Αἱρέσεις ἀποβάλλονται, καὶ οὕτως οἱ ἀδίκως καὶ ὑπὲρ τῆς πίστεως καθαιρεθέντες καὶ ἐξορισθέντες Ἐπίσκοποι τὰς ἰδίας Ἐκκλησίας ἀπολαμβάνουσι, καὶ οἱ Αἱρετικοὶ λαμβάνουσι τὴν πρέπουσαν αὐτοῖς παιδείαν καὶ ἀποβολὴν, καὶ προξενεῖται ἡ εἰρήνη ἐν ταῖς Ἐκκλησίαις, ἧς ἕνεκα καὶ ἡ παροῦσα Σύνοδος ἀθρόιζεται. ἢ οὕτως, ἵνα ἰσχύῃ ἡ ἀπόφασις τοῦ μείζονος κριτηρίου τῶν ἀπὸ πάσης τῆς Οἰκουμένης συνελευσομένων Ἐπισκόπων, ὥστε κατὰ τὸ ἔθος τῆς καθολικῆς Ἐκκλησίας καὶ τῶν πρόπαλαι Βασιλέων φυλαχθῆναι τὴν πίστιν ἐλευθέραν, καὶ οὐ βεβιασμένην, ὡς ἐγένετο ἐπὶ Διοσκόρου, ὃς ἐν τῇ κατ' αὐτὸν ἐν Ἐφέσῳ Συνόδῳ, ἐν ᾗ εἶχε τὴν αὐθεντίαν, εἰπὼν ὅτι πιστεύει ὡς ἡ ἐν Νικαίᾳ καὶ ἡ ἐν Ἐφέσῳ περὶ τοῦ Χριστοῦ, πρὸς τοῖς ἄλλοις αὐτοῦ κακοῖς προσέθηκεν ἐκείναις ἐναντίαν πίστιν, ἐπειπὼν, μὴ εἶναι ἐπὶ Χριστοῦ δύο φύσεις, ἀλλὰ μίαν, ἐν ᾗ ἐκθέσει ἐβίασε πολυτρόπως τοὺς ἐν ἐκείνῃ τῇ Συνόδῳ πατέρας, καὶ συνῄνεσαν. ὅταν δὲ ὁ ὅρος οὗτος τῆς Ἐκκλησίας, οὕτω γενομένων τῶν πραγμάτων ἐν ταῖς Συνόδοις φυλάττηται, λύονται αἱ ἀμφιβολίαι, ἀποβάλλονται αἱ Αἱρέσεις, δικαιοῦνται οἱ ἠδικημένοι τῆς πίστεως ἕνεκεν, καὶ ἀπολαμβάνει ἡ Ἐκκλησία τὴν εἰρήνην καὶ ὁμόνοιαν τῆς πίστεως, ἧς ἕνεκα καὶ αἱ Σύνοδοι συγκροτοῦνται. ταῦτα οὖν βούλεται εἰπεῖν ὁ Λέων διὰ τῶν ἀνωτέρω ῥημάτων, καὶ οὐχ ὡς οἱ παπισταὶ παρενέθηκαν, ὅτι δῆθεν ἐνόει περὶ τῶν ἐν Σαρδικῇ Κανόνων.

ΠΑΡΑΓΡΑΦΟΝ ιϛ'.

Περὶ τῶν περιεχομένων ἐν ταῖς πρὸς τὸν Αὐτοκράτορα Θεοδόσιον ἐπιστολαῖς Οὐαλεντιανοῦ Βασιλέως Δύσεως, καὶ τῆς μητρὸς αὐτοῦ, καὶ τῆς συζύγου αὐτοῦ, διὰ μετ' οἰμωγῶν δεήσεως τοῦ Ῥώμης Λέοντος σταλείσαις, τοῦ τὸν Θεοδόσιον ἐνδοῦναι Οἰκουμενικὴν ἐν Ῥώμῃ Σύνοδον γενέσθαι κατὰ τῶν λη-

στρικῶς

στρικῶς πραχθέντων ὑπὸ Διοσκόρου, ἐν οἷς δείκνυται διὰ διασαφήσεως ἑξαχῶς, μὴ εἶναι τὸν Πάπαν Ῥώμης ἐπὶ τῶν Βασιλέων, οὔτε μοναρχὴν ἐν τῇ καθόλου Ἐκκλησίᾳ.

Οὐ μόνον ἡ ἐν Ῥώμῃ Συνόδος καὶ ὁ Λέων ἰδίως ἔγραψαν πρὸς τὸν Αὐτοκράτορα Θεοδόσιον τὰ ἀνωτέρω, ἀλλὰ καὶ ὁ Αὐτοκράτωρ τῆς Ῥώμης Οὐαλεντιανὸς, καὶ ἡ μήτηρ αὐτοῦ Πλακιδία, καὶ ἡ σύζυγος αὐτοῦ Εὐδοξία, ὧν ἐν ταῖς τρισὶν ἐπιστολαῖς κοινῶς φέρεται ταῦτα, ὅτι ἀπῆλθον καὶ οἱ τρεῖς Βασιλεῖς εἰς τὴν Ῥώμην ἐν τῇ μνήμῃ τοῦ ἁγίου Πέτρου ἑορτάσαι. δεύτερον, ὅτι ἐρχομένων ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Πέτρου τῶν Βασιλέων, ὁ Πάπας Λέων συμπαρὼν, ἐπισχὼν ὀλίγον ἀπὸ τῆς εὐχῆς, ἐπωδύρετο πρὸς αὐτοὺς περὶ τῆς καθολικῆς πίστεως, ἣν δὲ περιεστοιχισμένος πλήθει Ἐπισκόπων, οὕς τινας ἀπὸ ἀναριθμήτων πόλεων ἐν τῇ Ἰταλίᾳ συνήγαγεν ἀπὸ τῆς ἀρχῆς τοῦ ἰδίου τόπου καὶ τῆς ἀξίας, ὃς (Λέων) καὶ τοῖς ῥήμασι συνάπτων δάκρυα, εἰς κοινωνίαν τῶν ἰδίων θρήνων καὶ τὰς οἰμωγὰς τῶν Βασιλέων ἐξεκαλεῖτο, ἤτοι περὶ τῶν πραχθέντων ὑπὸ τοῦ Διοσκόρου βιαίων, ὃς πρὸς τοῖς ἄλλοις αὐτοῦ κακοῖς καὶ τῷ φόβῳ κατέπληττε τὸν Κωνσταντινουπόλεως Φλαυϊανὸν διὰ τὸ λίβελλον ἀποστεῖλαι πρὸς τὸν ἀποστολικὸν θρόνον, καὶ πρὸς πάντας τοὺς Ἐπισκόπους τῶν μερῶν τούτων διὰ τῶν ἀποσταλέντων ἐν τῇ Συνόδῳ παρὰ τοῦ Ῥώμης Λεγάτων, οἵτινες κατὰ τοὺς ὅρους τῆς ἐν Νικαίᾳ Συνόδου εἰθίσθησαν συνιέναι. ταῦτα τὰ οὐσιώδη τῶν τριῶν ἐπιστολῶν. τρίτον, ἰδίως ὁ Οὐαλεντιανὸς γράφει τῷ Θεοδοσίῳ, ἵνα ὁ μακαριώτατος Ἐπίσκοπος τῆς Ῥωμαίων πόλεως, ᾧ τὴν Ἱερωσύνην κατὰ πάντων ἡ ἀρχαιότης παρέσχε χώραν καὶ εὐπορίαν ἔχειν, περίτε πίστεως καὶ Ἱερέων κρίνειν, τούτου γὰρ χάριν κατὰ τὸ ἔθος τῶν Συνόδων καὶ ὁ τῆς Κωνσταντινουπόλεως Ἐπίσκοπος αὐτὸν ἐπεκαλέσατο διὰ λιβέλλου, ἕνεκα τῆς ἀνακυψάσης φιλονεικίας περὶ τῆς πίστεως. τοῦτο οὖν αἰτοῦντι καὶ ἐνευχομένῳ τὴν κοινὴν σωτηρίαν ἡμῶν, ἐπινεῦσαι οὐκ ἠσχυνόμην τὸ πρὸς τὴν σὴν ἡμερότητα τὴν ἐμὴν αἴτησιν οἰκειῶσαι, ἵνα ὁ προλεχθεὶς Ἱερεὺς, συναχθέντων ἐκ πάσης τῆς Οἰκουμένης καὶ τῶν λοιπῶν Ἱερέων ἐντὸς τῆς Ἰταλίας, παντὸς προσκόμματος ἀποκινηθέντος, ἐξ ὑπαρχῆς τὴν στρεφομένην αἰτίαν πεφροντισμένῃ δοκιμασίᾳ διαγνοὺς, ἐξοίσῃ τὴν ἀπόφασιν, ἣν ἡ πίστις καὶ ὁ τῆς ἀληθοῦς θειότητος λόγος ἀπαιτεῖ. τέταρτον, ἡ Πλακιδία γράφει πρὸς τὸν αὐτὸν, ἵν' ἐκ τοῦ τύπου καὶ τοῦ ὅρου τοῦ ἀποστολικοῦ θρόνου, ὃν καὶ ἡμεῖς ὁμοίως ὡς προηγούμενον προσκυνοῦμεν ἐν τῇ στάσει τῆς Ἱερωσύνης, ἀβλαβοῦς μένοντος ἐν πᾶσι Φλαυϊανοῦ, ἐν τῇ Συνόδῳ τοῦ ἀποστολικοῦ θρόνου ἡ δίκη παραπεμφθείη, ἐν ᾧ πρῶτος ἐκεῖνος ὁ τὰς Οὐρανῶν Κλεῖς ἀξιωθεὶς ἀποδέξασθαι, τὴν Ἐπισκοπὴν τῆς Ἀρχιερωσύνης ἐκόσμησε. πέμπτον, ἡ Εὐδοξία γράφει, προσαγορεύουσα τοίνυν δίκαια αἰτῶ, ὥστε τούτοις τοῖς πράγμασι (τοῖς παρὰ Διοσκόρου γεγενημένοις) ἡ ὑμετέρα γαληνότης ἐπιτρέψῃ παρασχεθῆναι, καὶ τὰ κακῶς πεπραγμένα διορθωθῆναι παρακελεύσῃ, ἄχρις οὗ τῶν ἤδη τετυπωμένων ἀνακληθέντων ἐξολοκλήρου πίστεως, καὶ τῆς τῶν Χριστιανῶν θρησκείας, ἡ κινουμένη αἰτία, ἐντὸς τῆς Ἰταλίας συναχθείσης τῆς Συνόδου, δοκιμασθείη. Ἐν οἷς σημείωσαι πρὸς μὲν τὸ πρῶτον, ὅτι εἰ ὁ Πάπας μετὰ πλήθους Ἐπισκόπων τῶν ἀπὸ τῆς οἰκείας ἐνορίας συνηγμένων ἐδέετο τῶν Βασιλέων, καὶ μάλιστα τοῖς δάκρυσι συνάπτων δάκρυα τοσοῦτον, ὥστε καὶ παρεκίνει ταῖς οἰμωγαῖς τοὺς Βασιλείας πρὸς θρῆνον, πῶς οὐ κατάδηλον ὅτι οὐκ ἔστιν ἐπὶ τῶν Βασιλέων ὁ Πάπας; δεύτερον, ὅτι ποῦ τότε ἡνῦν ὀφρῦς τοῦ Πάπα, τοῦ παρανόμως περιποιουμένου ἑαυτῷ Βασιλείαν; ποῦ τῶν Παπῶν τὰ περὶ Βασιλείας ῥήματα; ὡς ἐροῦμεν βιβλίου δεκάτου μέρους πρώτου κεφαλαίῳ ἑνάτῳ, ποῦ τοῦ Πάπα Ἀλεξάνδρου τοῦ ἑβδόμου ἡ νομοθεσία κατὰ τῶν ὀρθοδόξων Χριστιανῶν Βασιλέων; καὶ ἰδὲ κατωτέρω ἐν πολλοῖς ποῦ τὰ τοιαῦτα ῥήματα; ἰδοὺ γὰρ ὁ Πάπας μέγας Λέων ὡς ἐκκλησιαστικὸς Ἄρχων τῆς Ῥώμης καὶ τῶν τῆς Δύσεως Ἐπισκόπων καθικετεύει. Πρὸς δὲ τὸ τρίτον, ῥητέον πρῶτον, ὅτι τὸ, ἔδωκε τὴν Ἱερωσύνην ἡ ἀρχαιότης κατὰ πάντων, ταὐτόν ἐστι τῷ ἵνα ἔχῃ ὁ Κωνσταντινουπόλεως τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν Ῥώμης. διὰ γὰρ τούτων τῶν ῥημάτων ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος ἐν τῷ τρίτῳ αὐτῆς Κανόνι εἰποῦσα τὸν Κωνσταντινουπόλεως δεύτερον, ὥρισεν εἶναι τὸν Ῥώμης πρῶτον. εἰπὼν δὲ ὁ Οὐαλεντιανὸς τὴν ἀρχαιότητα δεδωκέναι τὸ τοιοῦτον πρωτεῖον τῷ Ῥώμης, ἐννοεῖ ἀρχαιότητα τὸ πολυχρόνιον, καὶ ἰδὲ ἀνωτέρω κεφαλαίου δεκάτου πέμπτου Παράγραφον εἰκοστὸν πρῶτον. δεύτερον, ὅτι οὐ λέγει ἀπὸ τοῦ Χριστοῦ ἢ τοῦ Πέτρου, οὐ προβάλλει τὰ Εὐαγγελικὰ ῥήματα, ἅτινα οἱ ἀποστάται Πάπαι προβάλλουσι καὶ παρεξηγοῦνται, ἵνα δείξωσιν ὅτι ἐστὶν αὐτοκρατορικὸν καὶ ἀναμάρτητον ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ, ἀλλ' ἐκεῖνο ὅπερ ἦν, ἐκεῖνο καὶ εἶπεν, ἤτοι τὴν ἀρχαιότητα ἀπὸ τοῦ τρίτου Κανόνος τῆς δευτέρας Συνόδου ὡς εἴρηται. ὅθεν ὁ Βασιλεὺς ἵνα μήτις νομίσῃ διὰ τοῦ, ᾧ τὴν Ἱερωσύνην κατὰ πάντων, ὅτι μοναρχίαν τοῦ Πάπα ἐν τῇ Ἐκκλησίᾳ ματυρεῖ, ἐπήγαγε, χώραν καὶ εὐπορίαν ἔχειν, περίτε πίστεως καὶ Ἱερέων κρίνειν, ὅπερ ἐστὶν ἵνα ὁ αὐτοκάτωρ δῷ τῷ Πάπᾳ τόπον συνοδικῆς ἀθροίσεως καὶ ἐξουσίαν τοῦ κρίνειν, οὐ μόνως καὶ αὐτοκρατορικῶς, ἀλλὰ μετὰ τῶν πολλῶν, ἤτοι συνοδικῶς καὶ ἀδελφικῶς. ὅθεν ἐπιφέρει, ἵνα ὁ προλεχθεὶς Ἱερεὺς, συναχθέντων ἐκ πάσης τῆς Οἰκουμένης καὶ τῶν λοιπῶν Ἱερέων, πεφροντισμένῃ διανοίᾳ, ἤτοι οὐχὶ ἐμπνεύσει μόνῃ διὰ τὰ κυριακὰ πρὸς τὸν Πέτρον ῥήματα, ἀλλὰ συνοδικῇ σκέψει ἐξοίσῃ τὴν ἀπό-

ἀπόφασιν, ἀλλ' ἐμόνῳ, ἀλλὰ μετὰ τῆς Συνόδου, τοσοῦτον δὲ μόνον περιέσαι αὐτῷ, ὅσον περιῆν καὶ τῷ Κυρίλλῳ ἐν τῇ τρίτῃ Συνόδῳ, ἀπὸ τοῦ Πάπα, ἀλλὰ διὰ τὸν Βασιλέως, καὶ ἰδὲ ἀνωτέρω κεφάλαιον δέκατον πέμπτον, καὶ τῷ Διοσκόρῳ ἐν τῇ κατ' αὐτὸν Συνόδῳ. ὅθεν ἐθωώμῳ ὁ Λέων ἐν τῇ ἀνωτέρω ἐπιστολῇ, ἔλεγε πρὸς τὸν Αὐτοκράτορα Θεοδόσιον, τοιαύτη γὰρ ἡ παρ' αὐτοῦ ἐξενεχθεῖσα ἀπόφασις, ὡς πᾶσαν δι' αὐτῆς τὴν Ἐκκλησίαν καταβλάπτεσθαι, τὴν ἐπὶ Διοσκόρου συνοδικὴν ἀπόφασιν, τοῦ Διοσκόρου μόνον ἀπόφασιν εἰπών, διὰ τὸ τὸν Διόσκορον ἔχειν τὴν αὐθεντίαν τῆς Συνόδου ἀπὸ τοῦ Βασιλέως, καθ' ὃν ἔδωκεν ὁ Βασιλεὺς Μαρκιανὸς καὶ τῷ Πάπᾳ τὴν αὐθεντίαν ὡς ἐρρέθη, ὧν τινα ἐν ταῖς Συνόδοις κρίσιν καὶ ἀπόφασιν, ὁ ἔχων τὴν αὐθεντίαν, ὅταν βεληθῇ μόνῳ ἐξοῖσαι, ὡραίνομός ἐστιν. ὅθεν ἡ ἐν Ῥώμῃ ἀοιδίμως ἐφημίσθη Σύνοδος γράψασα πρὸς τὸν Θεοδόσιον περὶ Διοσκόρου, ἔλεγε, καὶ ἐπειδήμῳ ἐν τῇ Συνόδῳ συνελθεῖν πλείους Ἐπισκόπους, οἳ δηλαδὴ τῇ χρησίμῳ καὶ συγγενεῖ προθυμίᾳ ἐν τῷ κριτηρίῳ συμβάλλεσθαι ἠθυμήθησαν, εἰ ἐκεῖνος τόπον Ἄρχοντος ἐξεδίκησεν, ἐπισκοπικῷ ἐπικείμενον φυλάξαι ἠνέσχετο, ἵνα ὡς τὸ ἔθος ἔχει, πασῶν ἐλευθέρως προσενεχθεισῶν τῶν ἀποφάσεων, ἐκεῖνο ἡσύχῳ καὶ δικαίᾳ ἀληθῆ διαγνώσει, ὅπερ καὶ τῇ πίστει συνέτρεχε καὶ τοῖς πλανωμένοις συνεβάλλετο. ἐκ τῶν ῥημάτων ἓν τούτων τῆς ἐν Ῥώμῃ Συνόδου γίνεται καταφανές, ὅτι ἐν τῇ Οἰκουμενικῇ Συνόδῳ διὰ τῶν ἀποφάσεων πάντων τῶν πατέρων ἡσύχῳ καὶ δικαίᾳ διαγνώσει γίνεται ἡ ἀπόφασις περὶ πίστεως, καὶ τῶν λοιπῶν θεωρημάτων ἐν αὐτῇ. λέγεται ποτε ὅμως συνεκδοχικῶς ἡ κοινὴ τῆς Συνόδου ἀπόφασις, ἀπόφασις τοῦ ἐν αὐτῇ ἐξάρχοντος, ὡς λέγεται ἡ ἀπόφασις τῆς πρώτης ἐν Ἐφέσῳ Συνόδου διὰ τὸν Κυρίλλου. ὅθεν ὁ ἐν Κωνσταντινουπόλει Κλῆρος δεόμῳ τοῦ Βασιλέως ὑπὲρ τοῦ Κυρίλλου, λέγει, ἐγὼ ὁ τῆς Οἰκουμενικῆς Συνόδου καθηγητὴς, ᾧ σύμψηφοι πάντες δι' ὧν κατέθεντο γεγόνασι, καὶ τέως εἶπεν, ἰδὲ τὰ περὶ τοῦ τύπου τοῦ Κελεστίνου ἀνωτέρω κεφαλαίῳ δεκάτῳ πέμπτῳ. Πρὸς δὲ τὸ τέταρτον, ῥητέον ὅτι τύπος καὶ ὅρος τοῦ ἀποστολικοῦ θρόνου ἐστὶν ἐκεῖνο, ὑπὲρ οὗ ἐδέετο ἐξ ἀρχῆς ὁ Λέων, ἵνα δηλαδὴ τὰ ὁρισθέντα ὑπὸ τοῦ Διοσκόρου μένωσιν ἄπρακτα, ὡς ἦν καὶ πρὸ τῆς δίκης, ἤτοι περὶ τῆς λησρικῆς Συνόδου, συνόδου δὲ γενικῆς συναθροισθῆναι πρὸς διόρθωσιν τῶν παρατετραμμένων, ὡραπεμφθείη δὲ ἡ δίκη ἐν τῇ Συνόδῳ τοῦ ἀποστολικοῦ θρόνου. καὶ σημείωσαι ὅτι λέγει ἐν τῷ Ῥώμης ὡς μοναρχῆ, ἀλλ' ἐν τῇ Συνόδῳ τοῦ Ῥώμης, ὅπερ τῇ ἀληθείᾳ ἐναντίκειται, ὅτι γὰρ τῷ ὀνόματι τῆς ἐν Ῥώμῃ Συνόδου ἐνταῦθα ἐνοοῦνται καὶ οἱ Ἐπίσκοποι πάσης τῆς Οἰκουμένης, ὡς ἔγραφεν ὁ Λέων πρὸς τὸν Βασιλέα λέγων, δέομαι τοιγαροῦν ἵνα πάντα μέτρωσιν ἀπραγῆ, καθὼς καὶ πρὸ τῆς δίκης ἐτύγχανε, περιμείνωσι δὲ τὸ μεῖζον τῆς Συνόδου κριτήριον, ἐν ᾧ ὅπας ἀριθμὸς τῶν Ἐπισκόπων ἐκ πάσης τῆς οἰκουμένης συνάγεται. πρὸς δὲ τὸ πέμπτον, ῥητέον ὅτι ὁ Πέτρος τὰς Κλεῖς ἐδέξατο, ἀλλ' ἐμόνῳ, καὶ πρῶτος τὴν Ἐπισκοπὴν τῆς ἐν Ῥώμῃ Ἀρχιερωσύνης ἐκόσμησεν, ἀλλ' ἐμόνῳ, πρὸ γὰρ τῆς Ῥώμης ἐκόσμησε τὴν Ἀντιόχειαν, καὶ πρὸ τοῦ κοσμῆσαι τὴν Ἱερωσύνην ἐν τῇ Ἀνιοχείᾳ καὶ Ῥώμῃ, ἐκόσμησε καὶ αὐτὸς ὁ Πέτρος καὶ πάντες οἱ Ἀπόστολοι τὴν ἐν Ἱεροσολύμοις Ἱερωσύνην, ἀλλὰ περὶ τούτων μεταταῦτα ἐν ἰδίοις τόποις ῥηθήσεται. Πρὸς δὲ τὸ τῆς Πλακιδίας πρὸς τὸν Θεοδόσιον γραφόμενον, ἤτοι τὸ, ὅτι πρέπει ἡμᾶς ταύτῃ τῇ μεγίστῃ πόλει, ἥτις δεσποινα ὑπάρχει πασῶν τῶν γαιῶν, ἐν πᾶσι τὸ σέβας προφυλάξαι. ῥητέον ὅτι διὰ τὸ εἶναι τὴν Ῥώμην δέσποιναν τῶν γαιῶν, ἐδόθη τῷ Ῥώμης τὸ πρωτεῖον τῆς τάξεως πρὸ τῶν πατέρων, ἀμὴ καὶ πρωτεῖον ἐξουσίας, ὥστε ἄρχειν αὐτὸν τῶν Ἐκκλησιῶν, ὅπερ τοιοῦτον ἀξίωμα ἐστὶν αὐτοκρατορικὸν καὶ ὑπὸ τοῦ Νεστορίου νενομισμένον, διὸ οὐκ ἔχει τόπον ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ. Πρὸς δὲ τὸ ἕκτον, ῥητέον πρῶτον, ὅτι ἐπειδὴ ὁ Βασιλεὺς ἐπιτρέπει καὶ κελεύει τὰ κακῶς πρὸ τῆς ἐν Ἐφέσῳ Συνόδου γεγενημένα διορθωθῆναι, δῆλον ἐστὶν ὅτι ὁ Βασιλεὺς ἐπιτρέπων καὶ πρεσκάπων, ἀσυγκρίτως ἐστὶ μεῖζον τοῦ δεομένου καὶ ἱκετεύοντος Πάπα. καὶ πρὸ τοῦ γενάδα Ἀλεξανδρου ἑβδόμου τοῦ, ὅταν μὴ πείθωνται οἱ Βασιλεῖς τῷ Πάπᾳ, εἰσὶν εἰδωλολάτραι; δεύτερον, ὅτι ἰδὲ ἡ καθαρὰ ἀλήθεια, καὶ γὰρ ἡ Εὐδοξία ἐρμηνεύει τοὺς λόγους τοῦ ἀνδρὸς καὶ τῆς μητρὸς αὐτῆς, εἰποῦσα, ἵνα ἡκινημένη αἰτία, ἐντὸς τῆς Ἰταλίας σωαχθέσης τῆς Συνόδου, δοκιμασθείη, ἤτοι ὑπὸ τῆς Οἰκουμενικῆς Συνόδου, καὶ ἐκ δὲ μόνου τοῦ Πάπα καὶ τῆς Συνόδου αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Ὅτι ἐκ τῆς ἀποκρίσεως τοῦ Αὐτοκράτορος Θεοδοσίου πρὸς τοὺς τρεῖς Βασιλεῖς, εἰς ἃ δεῖ ἐλογίσθησαν αἱ πρὸς αὐτὸν μεσιτεῖαι αὐτῶν, καὶ καθεξῆς ὅσα αὐωτέρω εἴρηται περὶ ἀθροίσεως ἐν Ῥώμῃ Οἰκουμενικῆς Συνόδου, ἐξ ὧν πάντων δείκνυται μὴ ἔχειν τὸν Ῥώμης Ἔκκλητον ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἀ δὲ μοναρχίαν, ἀλλ' εἶναι μόνον μερικῆς Ἐκκλησίας Ἐπίσκοπον, καὶ ὑπὸ τοὺς Βασιλεῖς.

Ὁ Αὐτοκράτωρ Θεοδόσιος αὐτιγράψας περὶ τούτων πρὸς τοὺς τρεῖς Βασιλεῖς, ἔφη, ὅτι καλῶς ὡρίσθη τὰ ἐν Ἐφέσῳ, καὶ οὐχρεία ἑτέρας Συνόδου. καὶ λοιπὸν σημείωσαι ὅτι πᾶσαι αἱ δεήσεις καὶ οἱ θρῆνοι

θρῆνοι καὶ αἱ οἰμωγαὶ καὶ οἱ τύποι καὶ οἱ λόγοι τῶ Λέοντος καὶ ἡ ὑποτολὴ τῆς Σωόδου αὐτῶ, καὶ ᾧ Φλαωϊανῶ οἱ λίβελλοι περὶ Ἐκκλήτου, καὶ τῶν Βασιλέων τῆς Ῥώμης αἱμεσιτεῖαι εἰς ἀδὲ ἐλογίθησαν, ὥσε καὶ ἐκ τέτων πασῶν τῶν ὑποτολῶν ἐδείχθη ὅτι ὁ Πάπας ἐκ ἔχει ἰδίαν Ἔκκλητον ἐν τῆ Ἐκκλησία, ἀδὲ ἐστὶ μοναρχὸς ἐν τῆ Ἐκκλησία, ἀλλὰ μόνον φύλαξ ἐστὶ τῶ ὑποτολικῶ θρόνου, ἤτοι Ἐπίσκοπος μόνης τῆς ἐν Ῥώμη ὑποτολικῆς καθέδρας, καὶ Πατριάρχης τῆς Δύσεως μόνης, ἅθεν ἔγραφον ἡ Πλακιδία τῶ Θεοδοσίω, ὅτι ἦν ὁ Πάπας Λέων περιεστοιχισμένω πλήθει Ἐπισκόπων, ὧδινας ὑπὸ ἀναριθμήτων πόλεων ἐν τῆ Ἰταλία σωτήραγον ὑπὸ τῆς ἀρχῆς τῶ ἰδίω τόπω καὶ τῆς ἀξίας. καὶ σημείωσαι ἴδιον τόπον τῶ Δύσιν, καὶ ἰδίαν ἀξίαν τὰ Ἑσπέρια, ἅπνα διοικεῖ ὡς ὁ Ἀλεξανδρείας τὰ Αἰγύπτια. γράφει δὲ περὶς τὰς Βασιλεῖς περὶ Σωόδω ἀθροίσεως ὀργανικῶς, ὡς ἔγραφον καὶ ἕτεροι Πατριάρχαι καὶ Κλῆροι καὶ Μοναχοὶ εἰς τὰς Βασιλεῖς περὶ ἀθροίσεως Οἰκουμενικῆς Σωόδω, καὶ ἰδὲ ἀωτέρω καὶ κατωτέρω τὰς τόπους τῶν Οἰκουμενικῶν Σωόδων, καὶ περὶς τέτοις ὅτι ὁ Πάπας ἐκ ἔστιν ὑπὸ τῶν Βασιλέων, ἀλλ' ὑπὸ τὰς Βασιλεῖς τοσῶτον, ὥσε περιεστοιχισμένος πλήθει Ἐπισκόπων, σωτηρμένων ὑπὸ τῶ ἰδίω τόπω, καὶ τῆς μοναρχικῆς καὶ αὐτοδεσπότε αὐτῶ ἀξίας, δέεται καὶ ἱκετεύει τὸν Αὐτοκράτορα.

51

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

ὅτι φόβῳ τῶ μὴ ἰσχῦσαι τὸ Διοσκόρε δόγμα, ἔπεμψεν ὁ Λέων Ῥώμης τῶ δογματικῶ αὐτῶ ἐπιστολῶ περὶς τινας Ἐπισκόπες τῆς Ἕω, παρακαλῶν αὐτὰς ὑπογράψαι ἐν αὐτῆ, ἐ πάντες δ' ὑπέγραψαν.

20

Σημείωσαι ὅτι τῶ Θεοδοσίω μὴ θελήσαντος γενέσθαι Σωόδον ὡς ἤτει ὁ Λέων καὶ οἱ Βασιλεῖς τῆς Δύσεως, ὁ Λέων φοβούμενος μήπως ἰσχύσῃ τὸ δόγμα τῶ Διοσκόρε ἔντισιν Ἐκκλησίαις, ἔπεμψε τὸν τόμον, ἤτοι τῶ ὑποτολῶ αὐτῶ, ὃν ἔσκλε τῶ Φλαωϊανῶ, εἰς τῶ Ἀνατολῶ τοῖς Ἐπισκόποις, παρακαλῶν αὐτὰς ἵνα ὑπογράψωσι καὶ ἀποδεχθῶσιν αὐτῶ, καὶ τινὲς μὴ ὑπέγραψαν, ὧν οἷς καὶ ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος, καὶ ἰδὲ κατωτέρω εὗπον, τινὲς δὲ ἐκ ὑπέγραψαν, ὅτι ἐκ ἐδώκαντο νοεῖν τῶ ἐν αὐτῆ ἀλήθειαν. ὁ δὲ Θεοδώριτος Κύρε εἰ καὶ ὑπέγραψε καὶ ἐπήνεσον αὐτῶ, ἀλλὰ λέγει τὸ ὑπονοεῖσθαι αὐτὸν εἶναι αὐτικείμενον τοῖς δόγμασι τῶ ἁγίω Κυρίλλε, ἐκ ἐδέχετο παρὰ πάντων τῶν τότε τῆς καθολικῆς Ἐκκλησίας Ἐπισκόπων, καὶ μάλιστα διὰ ταύτην τῶν ὑπόνοιαν καθαιρέσει ὑπέβαλον αὐτὸν ὁ Διόσκορος ἐν τῆ ληστρικῆ καθ' αὐτὸν Συνόδω.

30 βιβλίε πεντε, κεφαλαίε πρώτε, παραγραφοι

καὶ τῶν τῶθ' ἅγιοι βιβλίε τέλος τέλος.



ΠΑΝΕΠΙΣΤ. ΒΙΒΛΙΟΘΗΚΗ

ΔΟΣΙΘΕΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

ΒΙΒΛΙΟΝ Δ'. ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς ἐν Χαλκηδόνι ἁγίας Οἰκουμενικῆς τετάρτης Συνόδου ἐπὶ τοῦ Αὐτοκράτορος Μαρκιανοῦ, καὶ τῆς τάξεως τοῦ καθίσματος τῶν Πατριαρχῶν, καὶ Ἐπισκόπων, καὶ Ἀρχόντων, καὶ τοῦ ἀριθμοῦ τῶν πατέρων, καὶ οὗ ἠθροίσθησαν ἔτους.

Ἀθροίζεται τοίνυν εἰς τὴν Χαλκηδόνα ἡ παροῦσα Σύνοδος ὁρισμῷ τοῦ Αὐτοκράτορος Μαρκιανοῦ, καὶ ἦσαν τοῦ Ῥώμης Τοποτηρηταὶ Πασχασῖνος καὶ Λουκέντιος Ἐπίσκοποι καὶ Βονιφάτιος Πρεσβύτερος, οἵτινες καὶ ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος καὶ ὁ Ἀντιοχείας Μάξιμος ἐκάθισαν εἰς τὸ ἀριστερὸν μέρος, εἰς δὲ τὸ δεξιὸν ἐκάθισαν ὁ Ἀλεξανδρείας Διόσκορος καὶ ὁ Ἱεροσολύμων Ἰουβενάλιος, καὶ κατωτέρω τούτων εἰς τὰ δύο μέρη ἐκάθισαν οἱ Ἀρχιερεῖς κατὰ τὴν τάξιν αὐτῶν, καὶ εἰς τὴν μέσην τὸ θεῖον καὶ ἱερὸν Εὐαγγέλιον, οἱ Ἄρχοντες δὲ ἐκάθισαν εἰς τὰ κάγκελλα ἑκατέρωθεν τῆς ὡραίας πύλης. εἰς δὲ τὴν ἕκτην συνέλευσιν ἐλθόντες ὁ Μαρκιανὸς καὶ ἡ Πουλχερία, ἐκάθισαν ἐπὶ θρόνων ἔμπροσθεν τῶν καγκέλλων. ἐδημηγόρησεν ὁ Μαρκιανὸς ἐν τῇ Συνόδῳ καὶ εἶπε τοῦτο, ὅτι μιμούμενος τὸν μέγαν Κωνσταντῖνον παρευρεθέντα ἐν τῇ πρώτῃ Συνόδῳ, ἦλθε καὶ αὐτὸς σωματικῶς εἰς τὴν τετάρτην, ὅθεν ἡ Σύνοδος εἰς τὴν ἀνάῤῥησιν αὐτοῦ τοῦ Μαρκιανοῦ, εὐφήμησεν αὐτὸν εἰποῦσα νέον Κωνσταντῖνον, καὶ προσεῖπεν αὐτὸν Βασιλέα καὶ Ἀρχιερέα. ἠθροίσθη δὲ ἐν ἔτει τῷ σωτηρίῳ τετρακοσιοστῷ πεντηκοστῷ πρώτῳ. ἦσαν δὲ πατέρες ἑξακόσιοι τριάκοντα.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν τριῶν τόμων τῆς Συνόδου, καὶ ὧν περιέχουσι, καὶ τῶν ἐν ἑκκαίδεκα πράξεσι πραχθέντων καὶ λαληθέντων, καὶ ὧν ἡ Σύνοδος ἐξέθετο Κανόνων, καὶ περὶ προνομίων τοῦ Κωνσταντινουπόλεως, καὶ τῆς πρὸς τὸν Ῥώμης ἐπιστολῆς αὐτῆς, καὶ περὶ τῆς πρὸς Βάσσαν, καὶ ἐν Ἱερουσαλὴμ Ἀρχιμανδρίτας ἐπιστολῆς Πουλχερίας, καὶ τῆς πρὸς τὴν ἐν Παλαιστίνῃ Σύνοδον ἐπιστολῆς τοῦ Βασιλέως.

Τὰ πρακτικὰ τῆς Συνόδου ταύτης διαιροῦνται εἰς τρεῖς Τόμους. ὁ πρῶτος περιέχει ἐπιστολὰς διαφόρους, καὶ τὰ ἐν Κωνσταντινουπόλει ἐπὶ Φλαυϊανοῦ, καὶ τὰ ἐν Ἐφέσῳ ὑπὸ τῆς ληστρικῆς Συνόδου πεπραγμένα, ἅτινα κεῖται ἐν τῇ πρώτῃ πράξει. ὁ δεύτερος περιέχει τὰ ἐν Χαλκηδόνι πεπραγμένα. ὁ δὲ τρίτος τῆς ἁγίας Συνόδου καὶ τῶν Βασιλέων ἐπιστολὰς διαφόρους. Εἰς τὴν πρώτην πρᾶξιν κεῖνται ἐπιστολαὶ τῶν Βασιλέων καὶ τοῦ Ῥώμης καὶ ἑτέρων διάφοροι, καὶ Εὐσεβίου Δορυλαίου Ἐπισκόπου λίβελλος κατὰ Διοσκόρου πρὸς τοὺς Βασιλεῖς ἀναγινώσκεται, καὶ θεωροῦνται πρῶτον ὅσα ὁ Διόσκορος εἰς τὴν ἐν Ἐφέσῳ Σύνοδον ληστρικῶς ἐνήργησε, καὶ εἰσελθόντος καὶ Θεοδωρίτου Κύρου εἰς τὴν Σύνοδον τοῦ καθίσαι, οἱ πολλοὶ τῶν Ἐπισκόπων ἀπηρέσκοντο διὰ τὸ νομίζεσθαι αὐτὸν ἀντικείμενον τῷ ἁγίῳ Κυρίλλῳ, ὡς εἴρηται.

κινη-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

κινηθείσης δὲ τῆς λῃστείας Διοσκόρου, ἤρξαντο ἀναγινώσκεσθαι τὰ ἐν Ἐφέσῳ ἐπ' αὐτοῦ, καὶ τὰ ἐν Κωνσταντινουπόλει ἐπὶ Φλαυϊανοῦ κατὰ Εὐτυχοῦς πεπραγμένα, ἅτινα περιέχονται εἰς πράξεις ὀκτώ. ἀνεγνώσθησαν δὲ καὶ τὰ ἐν Κωνσταντινουπόλει μετὰ τὴν καθαίρεσιν Εὐτυχοῦς. ἀνεγνώσθησαν δὲ καὶ τὰ ἐν τῇ ἐν Ἐφέσῳ λῃστρικῇ, καὶ ἕτερα ἐν Κωνσταντινουπόλει πάλιν πραχθέντα, τὰ ἀνακρίναντα τὸν Εὐτυχῆ ἐπὶ Φλαυϊανοῦ, καὶ τῆς Συνόδου αὐτοῦ, καὶ βασιλικῶν Ἀρχόντων κατὰ τὴν βασιλικὴν πρόσταξιν, καὶ καθεξῆς τὰ ἐν Ἐφέσῳ λοιπὰ ἐπὶ Διοσκόρου. Εἰς τὴν δευτέραν πρᾶξιν ἀποφαίνονται οἱ πατέρες κοινῶς, ὅτι ἔκθεσιν πίστεως παρὰ τὴν ἐκτεθεῖσαν παρὰ τῆς πρώτης καὶ δευτέρας τῶν Συνόδων γενέσθαι οὐ βούλονται, ἀλλὰ καθὼς αἱ τρεῖς Σύνοδοι καὶ Λέων ἔγραψαν, οὕτω μένειν, ὅθεν ἀνεγνώσθη τὸ Σύμβολον τῆς πρώτης καὶ δευτέρας τῶν Συνόδων, καὶ αἱ Κυρίλλου πρὸς Νεστόριον καὶ Ἰωάννην τὸν Ἀντιοχείας ἐπιστολαὶ, καὶ ὁ Λέοντος Ῥώμης πρὸς Φλαυϊανὸν Τόμος. Εἰς δὲ τὴν τρίτην πρᾶξιν ἔδωκεν ὁ Δορυλαίου λίβελλον τῇ Συνόδῳ κατὰ Διοσκόρου, καὶ κληθεὶς δὶς ὁ Διόσκορος ὑπὸ τῆς Συνόδου, οὐκ ἦλθε. καὶ ἐν τούτοις ἐδόθησαν καὶ ἕτεροι λίβελλοι κατὰ Διοσκόρου, ὅθεν ἐκλήθη καὶ τρίτον, καὶ μὴ ἐλθὼν εἰς ἀπολογίαν, καθαιρεῖται ὑπὸ τῆς Συνόδου, καὶ ἐγράφη ἡ καθαίρεσις αὐτοῦ εἰς αὐτὸν, καὶ εἰς τὸν Κλῆρον Ἀλεξανδρείας, καὶ ἐγράφη καὶ πρόθεσμα, μηκέτι δυνηθῆναι ἐπαναλαβεῖν τὴν Ἱερωσύνην τὸν Διόσκορον. Εἰς τὴν τετάρτην πρᾶξιν ἐξετάζεται ὑπὸ τῆς Συνόδου ἡ Λέοντος ἐπιστολὴ, εἰ συμφωνεῖ τῷ Συμβόλῳ τῆς πρώτης καὶ δευτέρας τῶν Συνόδων, καὶ τοῖς διορισθεῖσιν ὑπὸ Κυρίλλου εἰς τὴν τρίτην, καὶ κοινῇ γνώμῃ διωρίσθη ὅτι κατὰ πάντα συμφωνεῖ. εἶτα οἱ Αἰγύπτιοι Ἐπίσκοποι διδόασι λίβελλον τῆς ἰδίας πίστεως, καὶ μέμφονται ὑπὸ τῆς Συνόδου, καθότι τὸν Εὐτυχῆ οὐκ ἀνεθεμάτιζον, οἱ δὲ εἶπον, ὅτι περιμένουσι χειροτονηθῆναι Πατριάρχην Ἀλεξανδρείας, καὶ δι' ἐκείνου τὸ πρακτέον ποιήσουσιν, ἐπειδὴ τοῦτο ἐστὶν ἔθος τοῖς Αἰγυπτίοις, χωρὶς τοῦ ἰδίου αὐτῶν Πατριάρχου μὴ ἀποφαίνεσθαι, καὶ δόντες πίστιν ὅτι οὐ ψεύδονται, ἔδωκεν αὐτοῖς ἡ Σύνοδος διωρίαν. Λίβελλος κατὰ Βαρσουμᾶ Ἀρχιμανδρίτου τοῦ Σύρου, καὶ Καρώσου, καὶ Δωροθέου Ἀρχιμανδριτῶν, καὶ ἔλεγχος αὐτῶν. Ἀγωγὴ τοῦ Τύρου Φωτίου κατὰ τοῦ Βηρυτοῦ Εὐσταθίου, ὅστις τῆς Βηρυτοῦ Ἐπισκοπῆς οὔσης τῆς Τύρου, καὶ τιμηθείσης εἰς Μητρόπολιν παρὰ Θεοδοσίου τοῦ μικροῦ, γενόμενος Βηρυτοῦ Μητροπολίτης, ᾠκειοποιήθη τὰς Ἐπισκοπὰς τῆς Τύρου Βύβλον, Βότρυν, Τρίπολιν, Ὀρθοσιάδα, Ἀρκάδα, καὶ Ἀντάραδον. δικαιώσασα δὲ ἡ Σύνοδος τὸν Τύρου, ἀπέδωκεν αὐτῷ τὰς Ἐπισκοπάς. Εἰς τὴν πέμπτην πρᾶξιν Ἰωάννης ὁ Γερμανικείας, καί τινες ἕτεροι ἀμφέβαλλον εἰς τὸν ὅρον τῆς Συνόδου, ἀλλὰ διωρίαν λαβόντες, καὶ ἐξετάσαντες, εὗρον αὐτὸν σύμφωνον τῇ ἀρχαίᾳ δόξῃ τῆς Ἐκκλησίας. Ἐς τὴν ἕκτην ἦλθεν ὁ Βασιλεὺς εἰς τὴν Σύνοδον μετά τινων τῶν Ἀρχόντων, καὶ ἐδημηγόρησε περὶ εἰρήνης καὶ ὀρθοδοξίας, καὶ ἀναγινώσκεται πάλιν ὁ ὅρος τῆς Συνόδου, καὶ ὑπογράφεται παρὰ τῶν πατέρων, καὶ βεβαιοῦται παρὰ τοῦ Βασιλέως. Εἰς τὴν ἑβδόμην, Μάξιμος Ἀντιοχείας καὶ Ἰουβενάλιος Ἱεροσολύμων συμβιβάζονται, ἵνα ἔχῃ ὁ μὲν τὰς δύο Φοινίκας καὶ Ἀραβίαν, ὁ δὲ τὰς τρεῖς Παλαιστίνας, καὶ βεβαιοῖ ἡ Σύνοδος τὴν συμβίβασιν. Εἰς τὴν ὀγδόην, Θεοδώριτος Κύρου κρίνεται, καὶ ἀναθεματίσας ῥητῶς τὸν Νεστόριον, καὶ καθῃρημένος ὢν πρότερον, δικαιοῦται εἰς τὴν ἐνάτην λαβεῖν πάλιν τὴν Κύρον. Εἰς τὴν δεκάτην, κινεῖται περὶ τοῦ Ἴβα Ἐπισκόπου κρίσις, καὶ ἀνεγνώσθησαν ὅσα ἐγένοντο ὅτε αὐτὸν ἔκριναν ὁ Τύρου Φώτιος καὶ ὁ Βηρυτοῦ Εὐστάθιος, καίπερ καί τινες Ἐπίσκοποι αὐτεῖπον, καὶ ἀνεγνώσθησαν καὶ αἱ κατ' αὐτοῦ κατηγορίαι, ἀλλὰ τῶν πλειόνων Ἐπισκόπων ψηφισαμένων τὴν ἀθῴωσιν αὐτοῦ, ἐκράτησε τῶν πλειόνων ἡ ψῆφος. Εἰς τὴν ἑνδεκάτην Βασσιανὸς Μητροπολίτης Ἐφέσου εἶπεν, ὅτι χηρευούσης τῆς Ἐφέσου, ἐχειροτονήθη ὑπὸ τεσσαράκοντα Ἐπισκόπων, καὶ ἀρχιερατεύσαντος αὐτοῦ χρόνους τέσσαρας, καὶ δεχθέντος ὑπότε τοῦ Βασιλέως καὶ Πρόκλου Κωνσταντινουπόλεως, Στέφανός τις βίᾳ ἐγένετο Μητροπολίτης Ἐφέσου. ὁ δὲ Στέφανος ἔλεγεν, ὅτι βίᾳ ἀρχιερατεύσας ὁ Βασσιανὸς, ἐξώσθη ὑπὸ Λέοντος καὶ Φλαυϊανοῦ καὶ τοῦ Ἀλεξανδρείας καὶ Ἀντιοχείας. Φανέντες ὅμως καὶ οἱ δύο δόλιοι, ἀπεβλήθησαν, καὶ προχειρίζεται τρίτος Μητροπολίτης Ἐφέσου. ἔλεγον δὲ οἱ Ἀσιανοὶ Ἐπίσκοποι, χειροτονηθῆναι εἰς τὴν Ἔφεσον τὸν ψηφισθέντα, τινὲς δὲ τῶν Ἀρχιερέων καὶ τῶν Κληρικῶν Κωνσταντινουπόλεως ἔλεγον χειροτονηθῆναι ἐνταῦθα, ὅτι καὶ πολλοὶ Μητροπολῖται Ἐφέσου ἐχειροτονήθησαν εἰς τὴν Κωνσταντινούπολιν, καὶ γενομένης σκέψεως εἰς τὴν δωδεκάτην πρᾶξιν, γίνεται ἀπόφασις χειροτονηθῆναι ἤδη κανονικῶς ἄλλον Ἐφέσου, Βασσιανὸν δὲ καὶ Στέφανον εἶναι Ἐπίσκοπους, ἀλλὰ χωρὶς Ἐπαρχίας, καὶ ἔχειν ἑκάτερον ἕως οὗ ζῇ σιτηρέσιον ἀπὸ τῶν εἰσοδημάτων τῆς Μητροπόλεως Ἐφέσου καθ' ἕκαστον χρόνον χρυσᾶ διακόσια. Εἰς τὴν δεκάτην τρίτην πρᾶξιν ὁ Νικομηδείας Εὐνόμιος δικάζεται μετὰ τοῦ Νικαίας, ὡς καταπατοῦντος τὰ προνόμια αὐτοῦ, καὶ γίνεται ἀπόφασις τὸν Νικομηδείας ἔχειν τὰ ἀρχαῖα προνόμια καὶ τὰς χειροτονίας τῶν Ἐπισκόπων, τὸν δὲ Νικαίας μόνην Μητροπολίτου τιμήν. Εἰς δὲ τὴν δεκάτην τετάρτην Σαβιανοῦ καὶ Ἀθανασίου Ἐπισκόπων Πέρρης, ὑποκειμένης τῇ Ἱεραπόλει, ἐχόντων διαφορὰν περὶ τῆς Ἐπισκοπῆς ταύτης, καὶ γεγονυίας Συνόδου Τοπικῆς εἰς τὴν Ἀντιόχειαν ἐπὶ Δόμνου, καὶ γραψάντων περὶ τῆς ὑποθέσεως ταύτης καὶ Κυρίλλου Ἀλεξανδρείας καὶ Πρόκλου Κωνσταντινουπόλεως, ἐθεωρήθησαν τὰ κατ' αὐτοὺς διαφόρως, ὅμως πάλιν κρίνονται εἰς τὴν Οἰκουμενικὴν Σύνοδον, ἥτις ἀκού-

ἀκούσασα τὰ ἐν Ἀντιοχείᾳ περὶ αὐτῶν κριθέντα, ἠθέτησεν αὐτὰ, καὶ ὥρισεν ἵνα ἀνακρίνῃ τὰ κατ' αὐτοὺς, καὶ δώσῃ τὴν τελευταίαν ψῆφον ὁ Ἀντιοχείας Μάξιμος. Εἰς δὲ τὴν δεκάτην πέμπτην, γέγονεν ἔκθεσις τριάκοντα Κανόνων. Εἰς δὲ τὴν δεκάτην ἕκτην, ὡρίσθη ἡ Κωνσταντινούπολις ἵνα χειροτονῇ τοὺς Μητροπολίτας Πόντου, Ἀσίας, Θρᾴκης, καὶ τοὺς ἐν τοῖς βαρβαρικοῖς τῶν εἰρημένων διοικήσεων. εἶτα προσφωνητικὸς τῆς Συνόδου εἰς τὸν Βασιλέα, καὶ ἐπιστολὴ εἰς τὸν Ῥώμης Λέοντα, καὶ ἐπιστολὴ τοῦ Βασιλέως εἰς τοὺς μοναχοὺς Ἀλεξανδρείας, καὶ εἰς τοὺς Ἀρχιμανδρίτας τῆς Ἱερουσαλὴμ, καὶ περὶ τοῦ ἀνατραπῆναι τὰ κατὰ Φλαυϊανοῦ, καὶ συνίστασθαι τὰ τῆς Συνόδου. καὶ ἐπιστολαὶ τῆς Βασιλίσσης Πουλχερίας εἰς Βάσσαν τὴν Ἡγουμένην ἐν Ἱερουσαλὴμ, καὶ εἰς τοὺς Ἀρχιμανδρίτας, καὶ ἐπιστολὴ τοῦ Βασιλέως εἰς τὴν ἐν Παλαιστίνῃ Σύνοδον.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ ἐν τῇ πρὸς τὸν Ῥώμης Λέοντα ἐπιστολῇ παρὰ τοῦ Οὐαλεντιανοῦ καὶ Μαρκιανοῦ σταλείσῃ γραφέντος ῥητοῦ τοῦ, σοῦ αὐθεντοῦντος, ὅτι οὐδηλοῖ αὐθεντίαν αὐτοκρατορικὴν κατὰ παπιστὰς, ἀλλὰ διακονικὴν καὶ προτρεπτικήν. καὶ περὶ τοῦ ποσαχῶς τὸ Αὐθέντης λέγεται.

Ἐν τῇ ἐπιστολῇ αὐτῶν Οὐαλεντιανὸς καὶ Μαρκιανὸς οἱ Αὐτοκράτορες πρὸς τὸν Πάπαν Λέοντα λέγουσι περὶ τῆς ἐν Χαλκηδόνι ταύτης Συνόδου, ὥστε πάσης ἀσεβοῦς πλάνης ἀποκινηθείσης διὰ τῆς συγκροτηθείσης ταύτης Συνόδου, σοῦ αὐθεντοῦντος, μεγίστη εἰρήνη περὶ πάντας τοὺς Ἐπισκόπους τῆς καθολικῆς πίστεως ὑπαρχθείη, παντὸς μύσους καθαρὰ καὶ ἄσπιλος γενομένης. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ἡ οἰκουμενικὴ Σύνοδος ἀποκινεῖ πᾶσαν ἀσεβῆ πλάνην, καὶ εἰρήνην ποιεῖ ἐν πᾶσι τοῖς Ἐπισκόποις. δεύτερον, ὅτι τὸ, σοῦ αὐθεντοῦντος, οὐδηλοῖ τινὰ αὐτοκρατορικὴν ἐξουσίαν, ἀλλ' ἐκεῖνο ὅπερ ἐδήλου καὶ ἐπὶ τῷ ἁγίῳ Κυρίλλῳ, καὶ ἐπὶ τῷ Διοσκόρῳ, καὶ Ἰουβεναλίῳ. καὶ περὶ μὲν τοῦ Κυρίλλου εἴρηται ἀνωτέρω βιβλίῳ τρίτῳ κεφαλαίῳ δεκάτῳ πέμπτῳ, περὶ δὲ τοῦ Διοσκόρου, κεῖται ἐνταῦθα ἐν τῇ πρώτῃ πράξει τῆς Συνόδου, ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ τοῦ Θεοδοσίου, ἐν ᾗ φησὶν, ἀλλὰ καὶ τῶν ἄλλων πάντων τῶν ἀνηκόντων τῇ νῦν ἀθροιζομένῃ ἁγίᾳ Συνόδῳ τὴν αὐθεντίαν καὶ τὰ πρωτεῖα τῇ σῇ θεοσεβείᾳ παρέχομεν. ἐν δὲ τῷ τέλει τῆς ἐπιστολῆς λέγεται, τῷ αὐτῷ τύπῳ ἐγράφη καὶ Ἰουβεναλίῳ τῷ Ἱεροσολύμων. ὅτι δὲ ἐπὶ τοῦ Λέοντος ἡ βασιλικὴ αὐθεντία οὐκ ἐδήλου περισσότερόν τι, ἐξ ὧν ἐδήλου ἡ δοθεῖσα Κυρίλλῳ, Διοσκόρῳ, καὶ Ἰουβεναλίῳ, δείκνυται φανερῶς. ἐν γὰρ τῇ παρούσῃ Συνόδῳ, πράξει πρώτῃ, οἱ Ἄρχοντες εἶπον, οἱ εὐλαβέστατοι Ἐπίσκοποι, οἷς ἡ αὐθεντία τῶν τότε πραττομένων παρὰ τῆς βασιλικῆς ἐδέδοτο κορυφῆς, λεγέτωσαν διατὶ ἡ ἐπιστολὴ τοῦ Λέοντος οὐκ ἀνεγνώσθη. εἶτα ἐξάρχειν τῆς Συνόδου, καὶ αὐθεντίαν ἔχειν ἐπὶ τῆς Συνόδου, καὶ προεδρεύειν τῆς Συνόδου, καὶ πρῶτον εἶναι ἐν τῇ Συνόδῳ, καὶ καθηγεῖσθαι τῆς Συνόδου, καὶ ἡγεμονεύειν τῆς Συνόδου, καὶ προεξάρχειν τῆς Συνόδου, ταὐτόν ἐστι, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν τέταρτον. καὶ ἐν ταύτῃ τῇ Συνόδῳ ἐν τῷ τέλει τῆς πρώτης πράξεως οἱ Ἄρχοντες εἶπον, ἐπειδὴ Φλαυϊανὸς καὶ Εὐσέβιος ἐκ τῆς τῶν πεπραγμένων καὶ διαγνωσθέντων ἐρεύνης, καὶ αὐτῆς τῆς φωνῆς τινῶν τῶν Ἐξάρχων γενομένων τῆς τότε Συνόδου, δείκνυνται ἀδίκως καθῃρημένοι. Καὶ, τοὺς ἐξουσίαν εἰληφότας καὶ ἐξάρχοντας τῆς τότε Συνόδου. Σὺ δὲ ἐν τούτοις σημείωσαι ὅτι ἐν τῇ ἐπὶ Διοσκόρου Συνόδῳ λαβόντων τῶν εἰρημένων τὴν αὐθεντίαν καὶ ἐξουσίαν παρὰ τῶν Βασιλέων, οἱ Λεγᾶτοι τοῦ Ῥώμης οὐκ εἶχον οὔτε πρωτεῖον οὔτε ἐξουσίαν, ὡς φαίνεται ἀπὸ τῶν ὑπογραφῶν καὶ ἀπὸ τῆς ἐπιστολῆς τοῦ Λέοντος πρὸς τὸν Θεοδόσιον, ἧς ἡ ἀρχὴ, Ἄνωθεν καὶ ἐξ ἀρχῆς. καὶ λοιπὸν ἡ παρεχομένη Αὐθεντία παρὰ τῶν Βασιλέων τοῖς Ἐπισκόποις ἐν ταῖς Συνόδοις ἐν πᾶσι ταὐτοδύναμός ἐστι. Πρὸς σαφεστέραν ὅμως ἑρμηνείαν ῥητέον ὅτι ὁ Αὐθέντης ἤτουν ἡ Αὐθεντία λέγεται πενταχῶς, πρῶτον, ἡ μόνῳ τῷ Θεῷ ἀνήκουσα, καὶ περὶ ταύτης ὁ Κωνσταντινουπόλεως Πρόκλος ἐν τῇ περὶ ἐν σάρκου οἰκονομίας ὁμιλίᾳ φησὶ, διὰ τοῦτο Δαβὶδ τὴν ἀκάματον φύσιν, τὴν παντοδύναμον οὐσίαν, τὴν ἀήττητον βούλησιν, τὴν μὴ βραδύνουσαν χάριν, τὸν Αὐθέντην δημιουργὸν, τὸν αὐτεξούσιον Υἱὸν, τὸν ὑποταγῆς ἐλεύθερον Θεὸν, τὸν μὴ κελευόμενον Δεσπότην ἀνυμνῶν ἐβόα, ὡς ἐμεγαλύνθη τὰ ἔργασου Κύριε. καὶ ὁμάρτυς Ἰουστῖνος ἐν τῇ τῆς πίστεως ὁμολογίᾳ φησὶ, τῆς τοῦ παντὸς δημιουργίας, οὐμὴν ἀλλὰ καὶ ἐπὶ τῆς κατ' ἐξουσίαν Αὐθεντίας παραπλήσια καὶ ταὐτὰ περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος παραδέδοται. Ὁ αὐτὸς ἐν τῇ τρίτῃ ἀπολογίᾳ τῆς τρίτης τῶν Ἑλλήνων ἀποκρίσεως πρὸς τοὺς ὀρθοδόξους φησὶν, ὁ Θεὸς εἰ τῷ εἶναι ποιεῖ, ἀναγκαστικῶς ποιεῖ ἃ ποιεῖ, εἰ δὲ τῷ βούλεσθαι ποιεῖ, αὐθεντικῶς ποιεῖ, αὐθεντικῶς δὲ ποιῶν, ὅσα βούλεται, καὶ οἷα βούλεται, καὶ ὅτε βούλεται ποιεῖ. Ὁ αὐτὸς ἐν τῷ προοιμίῳ τῶν ἀνατροπῶν τῶν ἀριστοτελικῶν δογμάτων φησὶ, πρὸς ἔνδειξιν δὲ τῆς θείας αὐτοῦ δυνάμεως καὶ τοῦ μὴ Νόμῳ φύσεως αὐτὸν δουλεύειν, ἀλλ' Αὐθεντίᾳ βουλήσεως τὸ δοκοῦν ἐργαζόμενον. καὶ Μακάριος ὁ Αἰγύπτιος τὸν Θεὸν καλεῖ Αὐθέντην καὶ ἐξουσιαστὴν, Αὐθέντην, ἤτοι Αὐτοκράτορα, ὁμιλίᾳ πρώτῃ. δεύτερον, λέγεται Αὐθεντία ἡ τῶν Αὐτοκρατόρων καὶ ἑτέρων ὁ πω-

σοῦν

σοῦν ἐν τῇ πολιτείᾳ Ἡγεμόνων, οἵτινες οὐκ ἔχουσι τὸν προστάττοντα αὐτοῖς, ἀλλ' αὐτοδεσπότως ποιοῦσιν ἐν τῇ ἰδίᾳ ἐνορίᾳ ἅπερ βούλονται. τρίτον, Αὐθέντης καλεῖται οὐμόνον ὁ αὐτόχειρ, ἤτοι ὁ αὐθαίρετος Δεσπότης κατὰ τοὺς παλαιοὺς, ἀλλὰ καὶ ὁ ὁπωσοῦν αἴτιος καὶ δημιουργὸς, εἴτε οὖν αὐτουργὸς καὶ ἐπιστάτης πράγματος οὑτινοσοῦν, ὥσφησι Θεόδωρος ὁ Γαζὴς ἐν τῷ περὶ τῶν Μηνῶν. τέταρτον, Αὐθέντης λέγεται ὁ κατάρχων καὶ αἴτιος γενόμενος τινὸς πράγματος ἀφ' ἑαυτοῦ, ὡς ὁ μέγας Βασίλειος γράφων Βοσπορίῳ Ἐπισκόπῳ, λέγει, ἑτέροις ἀκολουθῶν, ἢ αὐτὸς κατάρχων. καὶ ὁ Βασιλεὺς Θεοδόσιος γράφει τῷ Ὑπάρχῳ, ὅτι ὁ Νεστόριος ἀθεμίτου Αἱρέσεως Αὐθέντης ἐφάνη, μέρει τρίτῳ τῆς τρίτης Συνόδου, ἰδὲ καὶ κατωτέρω βιβλίου ἕκτου κεφαλαίου δεκάτου πρώτου Παράγραφον δέκατον. πέμπτον, λέγεται Αὐθέντης ὁ ἐπιστατῶν τινὸς πράγματος, ἤτοι ἐνεργῶν ἔν τινι πράγματι πρῶτος, οὐκ αὐτουργικῶς, τουτέστιν οὐκ αὐτοκρατορικῶς, ἀλλὰ διακονικῶς καὶ προτρεπτικῶς, καὶ ἐφ' ὅσον αὐτῷ ἐξῆν ἐκ τοῦ παρέχοντος αὐτῷ αἰτίου τὴν τοιαύτην ἐξουσίαν, ὅπερ ἐν τῇ Ἐκκλησίᾳ διττόν ἐστιν, ἢ ὁ Αὐτοκράτωρ, ἐνεργῶν μὲν οἰκείᾳ θελήσει καὶ ἐξουσίᾳ, κατὰ τοὺς ἐκκλησιαστικοὺς μέντοιγε Κανόνας, ἢ μὴν οἱ συνοδικοὶ Κανόνες καὶ αἱ διατυπώσεις τῆς ἐκκλησιαστικῆς κοινότητος, καὶ ἡ ἐξ ἀποστολικῆς ἀκολουθίας συνήθεια. καὶ κατὰ μὲν τὸν πρῶτον τρόπον ὁ Βασιλεὺς παρέχει τὴν Αὐθεντίαν οἷς βούλεται Ἐπισκόποις ἐν ταῖς Συνόδοις, ὡς δηλοῦσι τὰ ἀνωτέρω Θεοδοσίου πρὸς Διόσκορον, καὶ Μαρκιανοῦ πρὸς τὸν Λέοντα. κατὰ δὲ τὸν δεύτερον τρόπον ἐνεργοῦσιν οἱ ἔγκριτοι καὶ προεστῶτες τῶν Ἐκκλησιῶν ἐν ταῖς ἰδίαις ἐνορίαις, ἐν ὥρᾳ δὲ ἀνάγκης καὶ εἰς ἀλλοτρίας Ἐπαρχίας, συμπάσχοντες ἀλλήλοις, καὶ βοηθοῦντες τοῖς πεπονημένοις μέρεσι, καὶ τούτου ἔστω παράδειγμα τὸ τοῦ Βασιλείου πρὸς τὸν μέγαν Ἀθανάσιον, γράφοντος αὐτῷ ταῦτα, ἐφάνη δὲ ἡμῖν ἀκόλουθον ἐπιστεῖλαι τῷ Ἐπισκόπῳ Ῥώμης ἐπισκέψασθαι τὰ ἐν ταῦθα, καὶ δοῦναι γνώμην, ἵνα ἐπειδὴ ἀπὸ κοινοῦ καὶ συνοδικοῦ δόγματος ἀποσταλῆναι τινὰς δύσκολον τῶν ἐκεῖθεν αὐτὸν αὐθεντῆσαι περὶ τὸ πρᾶγμα, ἐκλεξάμενον ἄνδρας ἱκανοὺς μὲν ὁδοιπορίας πόνους ὑπενεγκεῖν, ἱκανοὺς δὲ πρᾳότητι καὶ ἀπονίᾳ ἤθους τοὺς ἐν διαστρόφοις τῶν παρ' ἡμῖν νουθετῆσαι. τούτων οὕτως ἐχόντων, οἱ Λατῖνοι καινοτομοῦντες κἀνταῦθα, βούλονται τὴν Αὐθεντίαν ἣν ἔδωκε τῷ Πάπᾳ Λέοντι ἐν τῇ παρούσῃ Συνόδῳ ὁ Βασιλεὺς μὴ εἶναι διακονικὴν, καὶ ἐκείνην ἣν λέγει ὁ Βασίλειος αὐθεντῆσαι τὸν Ἐπίσκοπον Ῥώμης, μὴ εἶναι προτρεπτικὴν, ἀλλ' ἀμφοτέρας εἶναι αὐτοκρατορικὰς, ὡς ἐλέγομεν ἀνωτέρω περὶ Θεοῦ, ὥστε εἶναι τὸν Πάπαν τῆς Ῥώμης Αὐθέντην αὐτεξούσιον, καὶ ποιεῖν ὅσα, καὶ οἷα, καὶ ὅτε βούλεται ἐν τῇ Ἐκκλησίᾳ, καὶ εἶναι αὐτὸν ὑποταγῆς ἐλέθερον, καὶ μὴ τοῖς ἐκκλησιαστικοῖς Κανόσι δουλεύειν, ἀλλ' Αὐθεντίᾳ βουλῆς τὸ δοκοῦν ἐργαζόμενον. ταῦτα οἱ σοφισταί. Ἀλλὰ ῥητέον πρὸς ταῦτα πρῶτον, ὅτι δῆλον ἐστὶ τοῦ διακονικὴν εἶναι τὴν παρὰ τῶν Βασιλέων διδομένην Αὐθεντίαν τισὶ τῶν Ἐπισκόπων ἐν ταῖς Συνόδοις. ὁ γὰρ ἔχων τὴν Αὐθεντίαν, καὶ Ἔξαρχος μαρτυρούμενος παρὰ πάντων τῆς τρίτης Συνόδου Κύριλλος, βουλόμενος ἄρξασθαι θεωρῆσαι τὰ κατὰ τὸν Νεστόριον, οὐκ ἐξουσιαστικῶς, ἀλλὰ συμβουλευτικῶς διέθετο τὴν προκάταρξιν, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον εἰκοστὸν ἕνατον, καὶ τοῦτο ἐφ' ὅσον ἐξῆν, καθαιρεθεὶς γὰρ ὑπὸ τοῦ ἀποστατικοῦ συνεδρίου, οὐδὲν εἶπε περὶ Αὐθεντίας, οὔτε τι ἔπραξεν αὐθεντικῶς, ἀλλ' ὡς εἷς τῶν Ἐπισκόπων ἐζήτησε τὴν κρίσιν ἐπὶ τῆς Συνόδου, καὶ οἱ μεταταῦτα Τοποτηρηταὶ τῆς Αὐθεντίας τοῦ Πάπα Κελεστίνου ἐπέμφθησαν πρέσβεις μετὰ καὶ ἄλλων εἰς τὸν Βασιλέα, καὶ γράφουσα ἡ Συνόδος πρὸς αὐτοὺς ἐπιστολὴν, προέταξεν αὐτῶν Ἰουβενάλιον τὸν Ἱεροσολύμων Ἐπίσκοπον. δεύτερον, ὁ ἔχων τὴν Αὐθεντίαν ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ Διόσκορος, πλεῖόν τι τοῦ ἐφ' ὅσον ἐξῆν τῇ Αὐθεντίᾳ αὐτοῦ ἐνεργήσας, κατεκρίθη. καὶ οἱ τοῦ αὐθεντοῦντος Πάπα Λέοντος ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ Τοποτηρηταὶ ὅσον μὲν ἐνήργουν ἐν τῇ Συνόδῳ τὰ περὶ πίστεως ἐφ' ὅσον αὐτοῖς ἐξῆν, ἤτοι συμβουλευτικῶς καὶ ἀδελφικῶς καὶ μετὰ τῆς κοινῆς κρίσεως τῆς Συνόδου καὶ τῆς βουλῆς τῶν Ἀρχόντων, εἰσηκούοντο καὶ ἐτιμῶντο, πλεῖόν τι δὲ βουληθέντες ἐνεργῆσαι, ἤτοι ἐξουσιαστικῶς τὸν Διόσκορον ἐκβαλεῖν ἔξω τῆς Συνόδου, ἠλέγχθησαν. καὶ τὴν ἐπιστολὴν Λέοντος ἐνθεῖναι σπουδάσαντες ἐν τῷ ὅρῳ τῆς πίστεως, ἀπεκρούσθησαν, καὶ τὸν Κωνσταντινουπόλεως ἔχειν τὰ πρεσβεῖα μετὰ τὸν Ῥώμης, καὶ τὰς χειροτονίας τῶν τάδε Μητροπόλεων, ὡς ὁ εἰκοστὸς ὄγδοος Κανὼν τῆς Συνόδου ὥρισε, μὴ παραδεξάμενοι, κατεφρονήθησαν. καὶ δὴ καὶ αὐτὸς ὁ Λέων πλεῖόν τι τῆς δοθείσης αὐτῷ Αὐθεντίας προθυμηθεὶς εἰπεῖν καὶ πρᾶξαι περὶ τῶν πρεσβείων τοῦ θρόνου Κωνσταντινουπόλεως, εἰς οὐδὲν ἐλογίσθη ὑπὸ τῶν Βασιλέων καὶ πάντων τῶν Πατριαρχῶν. τρίτον, ὅτι δὲ καὶ τὸ δεύτερον, ἤτοι τὸ τοῦ Βασιλείου, τουτέστι τὸ αὐθεντῆσαι τὸν Ἐπίσκοπον Ῥώμης οὐκ αὐτοκρατορικὸν, ἀλλὰ προτρεπτικὸν ἢ συμβουλευτικόν ἐστι, δῆλον. καὶ γὰρ λέγει ἐπισκέψασθαι καὶ δοῦναι γνώμην, οὐ μὴν προστάξαι καὶ αὐτοκρατορικῶς ὁρίσαι. εἶτα οὐ λέγει ἵνα πέμψῃ ὁρισμὸν καὶ προσταγὴν διάτινων, ἀλλ' ἵνα ἐκλέξηται ἄνδρας κοπιάζειν δυναμένους, πρᾴους τε καὶ ἄπονον ἦθος ἔχοντας, ὡς τοὺς ἀποστολικοὺς δηλονότι, καὶ τοὺς κατὰ καιροὺς ἁγίους πατέρας, ὥστε νουθετῆσαι, οὐ προστάξαι. καὶ ἀνάγνωθι πᾶσαν τὴν ἐπιστολὴν, ἰδὲ καὶ ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου δεκάτου ἑβδόμου Παράγραφον ἕβδομον.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ἀνθυποφορὰ σοφιστῶν, τὴν αὐθεντίαν ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ δοθῆναι τῷ Ῥώμης μόνῳ ὡς μονάρχῃ λεγόντων, καὶ λύσις αὐτῆς. καὶ ὅτι τὸ σοῦ αὐθεντοῦντος, δόσις παρὰ τοῦ Βασιλέως ἐν τῇ Συνόδῳ πρωτείων δηλοῖ, καὶ οὐκ αὐθεντίαν.

Ἀλλ' ἀνθυποφέρουσιν οἱ σοφισταὶ, ὅτι ἐν τῇ ἐν Ἐφέσῳ δευτέρᾳ Συνόδῳ ἔδωκε τὴν Αὐθεντίαν ὁ Θεοδόσιος οὐ μόνον τῷ Ἀλεξανδρείας Πάπᾳ Διοσκόρῳ, ἀλλὰ καὶ τῷ Ἱεροσολύμων καὶ ἄλλοις, ὡς εἴρηται ἀνωτέρω, ἐν δὲ τῇ παρούσῃ τὴν Αὐθεντίαν εἶχε μόνος ὁ Ῥώμης, ὅπερ οὐδέν ἐστιν ἕτερον, εἰ μὴ ὅτι ὁ Ῥώμης ἐστὶ μονάρχης, καὶ γὰρ ἐν αὐτῇ οὐκ εἶχε τὸν σύντροφον. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἐν τῇ ἐν Ἐφέσῳ ἐπὶ Διοσκόρου Συνόδῳ ἦσαν Πατριάρχαι καὶ ἕτεροι Ἐπίσκοποι ἔγκριτοι, δοκοῦντες οἱ πάντες ὀρθόδοξοι, ὅθεν εἰ καὶ πρώτῳ τῷ Διοσκόρῳ, ἀλλὰ καὶ τοῖς λοιποῖς ἐδόθησαν τὰ πρωτεῖα καὶ ἡ Αὐθεντία, οἵτινες καὶ τῶν Λεγάτων τοῦ Ῥώμης πάντες προηγοῦντο, καὶ ἰδὲ τὴν πρώτην πρᾶξιν τῆς παρούσης Συνόδου. ἐν δὲ τῇ ἐν Χαλκηδόνι Συνόδῳ ὁ μὲν Ἀλεξανδρείας ἦν ὑπὸ δίκην, ὁ δὲ Ἀντιοχείας καὶ Ἱεροσολύμων καὶ αὐτοὶ ὑπὸ δίκην, ἐπειδὴ ὁπωσδήποτε ἠκολούθησαν τῷ Διοσκόρῳ, μόνος δὲ ἦν ἁπλῶς ὀρθόδοξος ὁ Ῥώμης, ὅθεν καὶ μόνῳ αὐτῷ ἐδόθη ἡ Αὐθεντία, οὐ μὴν κατ' ἄλλον τρόπον, ἀλλὰ καθ' ὃν ἐδόθη τῷ Διοσκόρῳ καὶ Ἰουβεναλίῳ. δεύτερον, τὸ σοῦ αὐθεντοῦντος, οὐ δηλοῖ Αὐθεντίαν, ἀλλ' ὅτι ἐδόθη αὐτῷ ἡ Αὐθεντία, ἤτοι τὰ πρωτεῖα ἐν τῇ Συνόδῳ παρὰ τοῦ Βασιλέως, ὅθεν ἐν τῇ πέμπτῃ Συνόδῳ ὅλων τῶν λοιπῶν Πατριαρχῶν ὀρθοδόξων ὄντων, τοῦ δὲ Πάπα Βιγιλίου αἱρετίζοντος, οὐκ εἶχεν ὁ Ῥώμης οὔτε Αὐθεντίαν, οὔτε πρωτεῖα, ἀλλὰ παιδείαν συνοδικὴν καὶ βασιλικὴν ἐξορίαν, καὶ ἰδὲ τὸν τόπον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ τῶν περιεχομένων ἐν τῇ ἐπιστολῇ τοῦ Βασιλέως Μαρκιανοῦ πρὸς τὸν Λέοντα Ῥώμης, καὶ ἐκ τῶν ἐν τῇ τοῦ Λέοντος πρὸς τὴν Σύνοδον, καὶ ἐκ τῶν ἐν τῇ τοῦ Κελεστίνου Ῥώμης ἐπὶ τῆς τρίτης Συνόδου πρὸς τὸν Κλῆρον καὶ τὸν λαὸν τῆς Κωνσταντινουπόλεως, καὶ ἐκ προσκλήσεως Πατριαρχῶν καὶ Μητροπολιτῶν παρὰ τῶν Βασιλέων, καὶ μὴ ἀπαντησάντων ἐν ταῖς Συνόδοις, ἀλλὰ Τοποτηρητὰς πεμψάντων, δείκνυται πρὸς τῷ ἴσας εἶναι τὰς προσκλήσεις αὐτῶν τῇ τοῦ Ῥώμης προσκλήσει, κατεστραμμένον τὸ μοναρχικὸν ἀξίωμα τοῦ Ῥώμης, τὸ δὲ κῦρος ἐν τῇ Ἐκκλησίᾳ.

Βασιλεύσας ὁ Μαρκιανὸς, γράφει ἐπιστολὴν τῷ Λέοντι, ἐν ᾗ φησὶ πρῶτον, λοιπόν ἐστιν, ἵνα εἰ ἀρέσκει τῇ σῇ ὁσιότητι ἐπὶ ταῦτα τὰ μέρη παραγενέσθαι, καὶ τὴν Σύνοδον ἐπιτελέσαι, τοῦτο ποιεῖν τῷ περὶ θρησκείαν ἔρωτι καταξιῶσαι, καὶ τῇ ἱερᾷ θρησκείᾳ τὰ χρήσιμα διατυπῶσαι. δεύτερον, εἰ δὲ ἐπαχθές ἐστι τοῦτο τὸ πρὸς ταῦτα παραγενέσθαι τὰ μέρη, τοῦτο ἡμῖν ἰδίοις καταμηνύσει γράμμασιν ἡ σὴ ἁγιωσύνη, ὥστε πρὸς ἅπασαν τὴν Ἀνατολὴν καὶ τὴν Θρᾴκην καὶ τὸ Ἰλλυρικὸν θεῖαι ἡμῶν σταλήσονται προσφωνήσεις, ὅπως πρὸς τὸν ὡρισμένον τόπον, ἔνθα ἂν ἡμῖν δόξῃ, πάντες οἱ ἁγιώτατοι Ἐπίσκοποι παραγένωνται, καὶ κατατεθήσονται τὰ συμφέροντα τῇ χριστιανικῇ εἰρήνῃ καὶ πίστει. ἐν οἷς σημείωσαι, πρὸς μὲν τὸ πρῶτον, ὅτι ἐμήνυσε τῷ Λέοντι ἵνα ἔλθῃ εἰς τὴν Σύνοδον, πλὴν οὐ κατ' ἄλλον τινὰ τρόπον παρ' ὃν ἐκλήθησαν ἐν ταῖς Συνόδοις οἱ ἄλλοι Ἐπίσκοποι. ὅθεν ἐν τῇ ἐν Ἐφέσῳ δευτέρᾳ Συνόδῳ ἀναγνωσθείσης τῆς ἐπιστολῆς, δι' ἧς ἐκάλεσεν ὁ Θεοδόσιος τὸν Διόσκορον, Ἰουλιανὸς Κώων, καὶ Ἵλαρος Διάκονος οἱ Λεγᾶτοι τοῦ Πάπα εἶπον, τῷ ὁμοίῳ τύπῳ παρὰ τῶν εὐσεβεστάτων Βασιλέων ὁ ἁγιώτατος ἡμῶν Πάπας ὁ τῆς Ῥωμαίων Ἐκκλησίας Λέων Ἡγούμενος ἐκλήθη. εἰ δὲ καὶ ὁ Ἵλαρος ἐπεῖπεν, ὅτι ἤρχετο ὁ Πάπας, εἰ τούτου τοῦ πράγματος ἡγεῖτο παράδειγμάτι, εἰ καὶ κρεῖσσον τοῦτο, ἀλλὰ κατανοεῖ ἡ ὑμετέρα ἁγιωσύνη, ὡς οὔτε ἐν τῇ Νικαέων, οὔτε ἐν τῇ ἐν Ἐφέσῳ ἁγίᾳ Συνόδῳ, οὔτε ἐν ἄλλῳ ἁγίῳ συλλόγῳ ὁ Πάπας ἐπέστη, ὅθεν οὗτινος τύπου τῇ συνηθείᾳ ἐξακολουθήσας, ἡμᾶς ἐξαπέστειλε. ταῦτα ὁ Ἵλαρος, ὑπέρογκα λαλήσας καὶ μετέωρα ὡς Ῥωμαῖος, πρῶτον, ὅτι καὶ μὴ ἐλθόντος τοῦ Πάπα ἐν ταῖς Συνόδοις, διωρίσθη τὰ ἀναγκαῖα. δεύτερον, εἰ ἤρχετο, πάντως ἐκαθέζετο ὅπου καὶ οἱ Λεγᾶτοι αὐτοῦ ὑπὸ τοὺς Ἄρχοντας καὶ μετὰ τοὺς Ἄρχοντας, δῆλον δὲ ὅτι καὶ ἔπραττε καὶ διελάλει καὶ ἠρώτα τὴν Σύνοδον ὡς καὶ οἱ Λεγᾶτοι αὐτοῦ, καὶ διατοῦτο ἴσως ὁ Βιγίλιος παρὼν ἐν Κωνσταντινουπόλει, οὐκ ἐπέστη ἐν τῇ πέμπτῃ Συνόδῳ, ἐπειδὴ οὐχ ὡς ἐβούλετο, ἀλλ' ὡς ἦν ἡ τάξις καὶ τὸ δίκαιον εὕρισκεν ἐν τῇ Συνόδῳ. τρίτον, ὅτι καὶ ἀπόντων τῶν Ῥωμαίων, οἱ Ἀνατολικοὶ μόνοι συνεκρότησαν τὴν δευτέραν καὶ τὴν πέμπτην τὰς Συνόδους, ὧν τὰς ἀποφάσεις ἐδέξατο Ἀνατολὴ καὶ Δύσις, καὶ ἠκολούθησεν αὐταῖς ἅπας ὁ κόσμος, ἀλλαμὴν καὶ ἐν πάσαις ταῖς Συνόδοις οἱ Ἀνατολικοὶ ἠρίστευον, τοὺς Πάπας κρίνοντες καὶ ἀνακρίνοντες διὰ τῶν ἐπιστολῶν αὐτῶν, τὰς ἀμφιβολίας λύοντες, καὶ τὰ περὶ πίστεως διορίζοντες, καὶ Κανόνας περὶ ἐκκλησιαστικῆς εὐτα-

εὐταξίας ἐκθέμενοι. τέταρτον, ὁ Παχασῖνος ἐν τῇ τρίτῃ πράξει ταύτης τῆς Συνόδου εἰπὼν ὅτι καὶ πρὸς τὸν Πάπαν ἐπέμφθησαν γράμματα, ὥστε καὶ αὐτὸν παρεῖναι ἐν τῇ Συνόδῳ καταξιῶσαι, ἀλλ' ὅμως οὔτε τὸ τῆς ἀρχαιότητος ἔθος ἔσχηκε τοῦτο, οὔτε τοῦ γενικοῦ καιροῦ ἡ ἀνάγκη ἐπιτρέπειν ἐδόκει, ταῦτα εἰπὼν, ἔδειξεν ὅτι τὸ κυριώτερον αἴτιον τοῦ μὴ ἐλθεῖν τὸν Λέοντα ἦν ἡ ὀλίγη τοῦ καιροῦ διωρία, ἐν ᾗ διὰ τὸ μῆκος τῆς ὁδοῦ καὶ τὰ περιστατικὰ αὐτοῦ οὐκ ἦλθεν. ὅθεν ἐν τῇ τρίτῃ Συνόδῳ ἔλεγον οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης ὅτι ἐκακοπάθησαν εἰς τὸν δρόμον, καὶ διατοῦτο ἐχρόνισαν ἐλθεῖν εἰς τὴν Σύνοδον, ἀλλὰ δὴ καὶ ὁ Λέων γράφων πρὸς τὴν Σύνοδον ταύτην, λέγει ὅτι τὸ αἴτιον τοῦ μὴ ἐληλυθέναι ἐν αὐτῇ ἦν ὅτι οὐκ ἐπέτρεψε τοῦτο συνήθειά τις, οὔτε ἡ ἀνάγκη τοῦ καιροῦ. καὶ τὴν μὲν συνήθειαν εἶπε κατὰ τὸ κοινὸν τῶν ἀνθρώπων ἔθος, τὸ αἴτιον ὅμως τὸ κύριον ἦν ἡ ἀνάγκη, ἤτοι ἡστενότης τῆς προθεσμίας τοῦ καιροῦ, καὶ αὐτὸς ὁ καιρὸς, ὅτι ἐγένετο ἡ ἄθροισις τὸν Σεπτέμβριον, ὅτε ἦν φθινόπωρον καὶ ἐγγὺς ὁ χειμών. τέως τὰς κομψότητας Ἱλάρου καὶ Παχασίνου καὶ αὐτοῦ τοῦ Λέοντος διαλύει καθάπαξ ὁ Πάπας Κελεστῖνος, γράφων πρὸς τὸν ἐν Κωνσταντινουπόλει Κλῆρόν τε καὶ λαὸν, λέγει γὰρ, ἐπειδὴ ἐν τηλικούτῳ πράγματι ἡ ἡμετέρα σχεδὸν παρουσία ἀναγκαία ἐφαίνετο, τὴν ἡμετέραν διαδοχὴν διὰ τὰ κατὰ θάλασσαν καὶ γῆν διαστήματα αὐτῷ τῷ ἁγίῳ ἀδελφῷ μου Κυρίλλῳ ἀπενείμαμεν. τούτοις συνᾴδει καὶ ὁ ἱερὸς Θεοφάνης, φησὶ γὰρ, ὁ δὲ Ῥώμης Κελεστῖνος γράφει Κυρίλλῳ τὸν αὐτοῦ τόπον ἐπέχειν ἐν τῇ Συνόδῳ διὰ τὸν τῆς θαλάσσης κόπον καὶ τοῦ χειμῶνος μὴ δυνηθεὶς εὑρεθῆναι. πέμπτον, ὅτι καὶ ἄλλοι Πατριάρχαι καὶ Μητροπολῖται οὐκ ἦλθον εἰς τὴν Σύνοδον, Τοποτηρητὰς δὲ μόνον ἔπεμψαν, ὥσπερ καὶ ὁ Ἱεροσολύμων Εὐστόχιος πεποίηκεν ἐν τῇ πέμπτῃ καὶ ἕκτῃ καὶ ἑβδόμῃ. οἱ τρεῖς τῆς Ἀνατολῆς Πατριάρχαι διὰ μόνων Τοποτηρητῶν παρῆσαν ἐν αὐταῖς, καὶ ὅμως προνόμιόν τι οὐκ ἔλαβον ἐκ τούτου ἐν τῇ Ἐκκλησίᾳ. ἕκτον, ὅτι ὁ Ἰουλιανὸς εἶπε, τῷ αὐτῷ τρόπῳ ἐκλήθη ὁ Λέων, ᾧπερ ἐκλήθη καὶ ὁ Διόσκορος, ἡμεῖς δὲ λέγομεν ὅτι καὶ πάντες οἱ Ἐπίσκοποι ἐν τῇ πρώτῃ Συνόδῳ, καὶ πάντες οἱ Μητροπολῖται ἐν τῇ τρίτῃ, καὶ οἱ προεστῶτες τῶν Ἐκκλησιῶν ἐπὶ Διοσκόρου, καὶ οἱ Ἐπίσκοποι τῆς Ἀνατολῆς καὶ τῆς Θρᾴκης καὶ τοῦ Ἰλλυρικοῦ ἐν τῇ Συνόδῳ ταύτῃ πάντες τῷ ὁμοίῳ, ἤτοι τῷ αὐτῷ τρόπῳ καὶ ἀπραλλάκτῳ ἐκλήθησαν; ὅθεν ἐν τῇ πρώτῃ πράξει τῆς παρούσης Συνόδου ἀναγνωσθείσης τῆς Σάκρας τοῦ Βασιλέως πρὸς τὸν Διόσκορον περὶ τῆς ἀθροίσεως τῆς Συνόδου, Κωνσταντῖνος ὁ Σηκρητάριος εἶπε, τῷ αὐτῷ τύπῳ ἐγράφη καὶ τοῖς ἄλλοις εὐλαβεστάτοις Ἐπισκόποις, ὥστε παραγενέσθαι εἰς τὴν Σύνοδον. ὥστε καὶ ἐκ τούτου τὸ μοναρχικὸν ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ καταστρέφεται, οὐσυνίσταται. πρὸς δὲ τὸ δεύτερον, ὅτι ἰδοὺ τὸ κῦρος τῇ Συνόδῳ μαρτυρεῖ ὁ Μαρκιανὸς, λέγει γὰρ ἵνα γράψῃ εἰς τὴν Ἀνατολὴν καὶ Θρᾴκην καὶ τὸ Ἰλλυρικὸν, ὅπως εἰς τόπον, ἔνθα δόξει αὐτῷ εὔλογον, παραγένωνται πάντες οἱ ἁγιώτατοι Ἐπίσκοποι, καὶ κατατεθήσονται τὰ συμφέροντα τῇ χριστιανικῇ εἰρήνῃ καὶ πίστει. κατατεθήσονται, ἤτοι διορίσουσι, καθὼς καὶ ὁ Λέων διετύπωσε κατὰ τοὺς Ἐκκλησιαστικοὺς Κανόνας, ἤτοι ἔγραψε πρὸς τὸν Βασιλέα ἵνα ἡ Σύνοδος ἡσύχως καὶ κατὰ Κανόνας συνελθοῦσα ἐνεργήσῃ, οὐβιαίως καὶ τυραννικῶς ὡς ἐποίησεν ὁ Διόσκορος.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι καὶ ἐκ τῶν περιεχομένων ἐν ταῖς ἐπιστολαῖς τῶν Βασιλέων Οὐαλεντιανοῦ καὶ Μαρκιανοῦ πρὸς τοὺς ἁπανταχοῦ Ἐπισκόπους, καὶ τὸν Κωνσταντινουπόλεως Ἀνατόλιον, δείκνυται τὸν Βασιλέα ἰδίᾳ ἀρεσκείᾳ ἀθροῖσαι τὴν Σύνοδον, καὶ ὁρίσαι τὴν προθεσμίαν αὐτῆς, ἀλλ' οὐ τὸν Ῥώμης Λέοντα, οὗ τὴν ἐπιστολὴν δοκιμάζει καὶ βεβαιοῖ ἡ Σύνοδος.

Καὶ ἀπὸ τῆς ἐπιστολῆς τῶν Βασιλέων Οὐαλεντιανοῦ καὶ Μαρκιανοῦ πρὸς τοὺς ἁπανταχοῦ Ἐπισκόπους καὶ τῆς πρὸς τὸν Κωνσταντινουπόλεως Ἀνατόλιον τοῦτο αὐτὸ συνάγεται, φασὶ γὰρ ἐν αὐταῖς, Ἐπειδὴ τοίνυν ἀφιβολίαι τινὲς περὶ τὴν ὀρθόδοξον θρησκείαν ἡμῶν γεγενῆσθαι δοκοῦσι, καθάπερ ἡ ἐπιστολὴ τοῦ Ῥώμης Λέοντος δηλοῖ (ὡς τυχὸν ἐδήλουν καὶ αἱ ἐπιστολαὶ Κυρίλλου πρὸς Θεοδόσιον) τοῦτο ἰδικῶς τῇ ἡμετέρᾳ ἤρεσεν ἡμερότητι, ἵνα ἁγία Σύνοδος συγκροτηθῇ, ἐφ' ᾗ τὴν ἀληθινὴν πίστιν ἡμῶν σαφέστερον ἐπιγνωσθῆναι, καὶ τοῦ λοιποῦ μηδεμίαν δύνασθαι εἶναι ἀμφιβολίαν ἢ διχόνοιαν. καὶ σημείωσαι πρῶτον, ὅτι ὁ Βασιλεὺς τῇ ἰδίᾳ ἀρεσκείᾳ συγκροτεῖ τὴν Σύνοδον, καὶ διορίζει τὸν τόπον αὐτῆς, πρῶτον μὲν τὴν Νίκαιαν, ὕστερον δὲ τὴν Χαλκηδόνα, καὶ τὸν καιρὸν, τὸν Σεπτέμβριον δηλονότι, καὶ τοῦ λοιπὸν τὸ τῶν παπιστῶν ὅτι ὁ Πάπας ἀθροίζει αὐτὴν, καὶ διορίζει καὶ τὴν προθεσμίαν αὐτῆς; δεύτερον, ὁ Λέων ἔγραψεν ἐπιστολὴν, ἣν σείει ἄνω καὶ κάτω ἐπαινῶν αὐτὴν ἐν παντὶ προσώπῳ. καὶ εἰ καὶ ἀληθῶς ἐπῄνει, ὅμως ἔτι ἀμφιβολία καὶ διχόνοια ἐν τῇ Ἐκκλησίᾳ περὶ αὐτῆς ἦν, ἐπειδὴ μόνος οὐκ ἦν ἄξιος λῦσαι τὰς ἀμφιβολίας, ἃς προεξένησεν ἡ Αἵρεσις τοῦ Εὐτυχοῦς, ἡ δὲ Σύνοδος συγκροτηθεῖσα, ἔλυσε τὴν ἀμφιβολίαν καὶ τὴν διχόνοιαν ἀπὸ τῆς Ἐκκλησίας, καὶ δοκιμάσασα καὶ τὴν ἐπιστολὴν τοῦ Λέοντος, ἐβεβαίωσεν αὐτήν.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Ζ.

Ὅτι ἐκ τῶν περιεχομένων ἐν τῇ πρὸς τὴν παροῦσαν Σύνοδον τοῦ Ῥώμης Λέοντος ἐπιστολῇ, κατὰ ὀκτὼ τρόπους δείκνυται ἡ Σύνοδος, καὶ οὐχ ὁ Ῥώμης διορθωτὴς τῶν ἐκκλησιαστικῶν πραγμάτων, καὶ τῆς Συνόδου ἀθροιστὴς ὁ Βασιλεύς. καὶ κατὰ τὶ πρόεδρος ἐν τῇ Συνόδῳ λέγεται. καὶ ὅτι οὐ μόνῳ τῷ Ῥώμης ἴδιον ἀξιοῦν συγγνώμης τοὺς μετανοοῦντας. καὶ τὶ δηλοῖ Τοποτηρητὰς τοῦ θρόνου τῶν Ἀποστόλων. καὶ ὅτι οὐκ ἰδικῷ τινὶ τρόπῳ Ἐπίσκοπος ὁ Ῥώμης.

Καὶ ἀπὸ τῆς τοῦ Λέοντος ἐπιστολῆς πρὸς ταύτην τὴν Σύνοδον δείκνυται τοῦτο, φησὶ γὰρ, ὅπως ἂν χώραν σχεῖν ἡ διόρθωσις δυνηθῇ, ὁ Βασιλεὺς τὴν ὑμετέραν ἀδελφότητα πρὸς ἀνατροπὴν μὲν τῶν ἐπιβουλῶν τοῦ Διαβόλου, τῆς δὲ ἐκκλησιαστικῆς εἰρήνης συντήρησιν συνελθεῖν ἠβουλήθη, φυλαττομένων τῷ θρόνῳ τοῦ μακαρίου Πέτρου τοῦτε δικαίου καὶ τῆς τιμῆς ἐπὶ τοσοῦτον, ὥστε καὶ ἡμᾶς ὑπ' αὐτοῦ πρὸς τοῦτο δι' οἰκείων προτραπῆναι γραμμάτων, ἐφ' ᾧτε τὴν οἰκείαν παρουσίαν ἡμᾶς παρασχεῖν τῇ ἁγίᾳ Συνόδῳ, ὅπερ μὲν οὖν οὐκ ἠδύνατο οὐδὲ ἡ ἀνάγκη τοῦ καιροῦ οὐδὲ μήν τις ἐπιτρέψαι συνήθεια, πλὴν ἐν τούτοις ἐν Πασχασίνῳ καὶ τοῖς λοιποῖς τοῖς ἀπεσταλμένοις ὑπὸ τοῦ θρόνου τῶν Ἀποστόλων, ἐν μὲν τῇ Συνόδῳ προεδρεύειν ἐμὲ ἡ ἀδελφότης ὑμῶν ἡγείσθω. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι Σύνοδος συγκροτεῖται, ἵνα διορθώσῃ τὰ ἐκκλησιαστικὰ πράγματα, ἅτινα ὁ Ῥώμης οὔτε μόνος οὔτε μετὰ τῆς Συνόδου αὐτοῦ ἐδυνήθη διορθῶσαι, κἂν καὶ ἠγωνίσθη πολυτρόπως. δεύτερον, ὅτι ὁ Βασιλεὺς ἤθροισε τὴν Σύνοδον. τρίτον, ὅτι ἡ Σύνοδος ἀνατρέπει τὰς ἐπιβουλὰς τοῦ Διαβόλου, καὶ προξενεῖ τὴν ἐκκλησιαστικὴν εἰρήνην, οὐχ ὁ Ῥώμης μόνος, ἢ ἕτερός τις. τέταρτον, φυλάττεσθαι τὰ δίκαια καὶ τὴν τιμὴν τοῦ μακαρίου Πέτρου, δηλονότι ἐν τῇ Συνόδῳ κατὰ τὸ ἔθος ἀναγνωσθῆναι τὴν ἐπιστολὴν αὐτοῦ, καὶ τοὺς Τοποτηρητὰς αὐτοῦ δύνασθαι ἐλευθέρως λέγειν τὰ εἰκότα, ἅτινα καὶ τὰ δύο ἐκώλυσεν ὁ Διόσκορος ἐν Ἐφέσῳ, καὶ ἰδὲ καὶ βιβλίου ἕκτου κεφαλαίου ὀγδόου παραγράφῳ δευτέρῳ τὶ ἔγραφεν ὁ Πωγωνᾶτος τῷ Πάπᾳ περὶ τῶν Τοποτηρητῶν, ὧν ἔμελλε πέμψειν ὁ Πάπας εἰς ἐκείνην τὴν Σύνοδον. πέμπτον, ὅτι ὁ Βασιλεὺς καὶ ἐκείνῳ ἐπέτρεψεν ἐλθεῖν εἰς τὴν Σύνοδον, ἀλλ' ἡ ἀνάγκη τοῦ καιροῦ ἐκώλυσεν αὐτὸν, ἦν γὰρ Σεπτέμβριος, φθινόπωρον δηλαδὴ, καὶ εἵποντο δυσκολίαι, ὡς συνέβη τοῖς λεγάτοις τοῦ Κελεστίνου. τὸ δὲ, οὐδὲ μήν τις ἐπιτρέψαι συνήθεια, περιττῶς εἶπεν, ὡς εἴρηται. ἕκτον, οὐ δεῖ δὲ θορυβεῖσθαι διὰ τὸ λέγειν αὐτὸν διὰ τῶν Τοποτηρητῶν αὐτοῦ προεδρεύειν τῇ Συνόδῳ, ἐπειδὴ ἡ προεδρία ἐνταῦθα οὐκ ἄλλο τι δηλοῖ, ἢ τὴν παρὰ τοῦ Βασιλέως Αὐθεντίαν, ὅθεν κατωτέρω λέγει, ὅτι τῆς τρίτης Συνόδου ὁ Κύριλλος προήδρευε, καὶ ἀνωτέρω εἴρηται, ὅτι ἐν τῇ τρίτῃ Συνόδῳ πρόεδροι ἐκλήθησαν πολλάκις Κύριλλος καὶ Μέμνων ὁ Ἐφέσου, οὐ τῇ Συνόδῳ ἐν τῇ κρίσει, οὕτω γὰρ οὔτε Πάπας οὔτ' ἄλλος τις προεδρεύει, ἀλλὰ καθ' ὃν τρόπον εἴρηται περὶ τῆς Αὐθεντίας ἀνωτέρω. ἕβδομον, ἐκεῖνο δὲ ὅπερ γράφει ὁ Λέων ἐν τῇ αὐτῇ ἐπιστολῇ τῇ Συνόδῳ λέγων, ὅτι οἱ ἡμαρτηκότες εἰ μετανοήσωσιν, ἔστωσαν δεκτοὶ, ἤτοι συγγνώμης ἀξιούθωσαν, οὐκ ἴδιον ἐστὶ μόνου τοῦ Πάπα, ἀλλὰ πάντων τῶν Ἐπισκόπων, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίῳ δεκάτῳ πέμπτῳ τὰς ἐπιστολὰς Κυρίλλου, Κελεστίνου καὶ Ἰωάννου Ἀντιοχείας περὶ Νεστορίου, καὶ κατωτέρω τὴν ἐπιστολὴν τῆς Πουλχερίας πρὸς τὸν Λέοντα, ὅτι τοῦτο μάλιστα ἐστὶν ἴδιον τῆς Συνόδου. ὄγδοον, ἐν οἷς δὲ λέγει ὅτι πέμπει Τοποτηρητὰς τοῦ θρόνου τῶν Ἀποστόλων, θρόνος τῶν Ἀποστόλων ἐννοοῦνται ἡ Ἐκκλησία Ῥωμαίων καὶ οἱ Δυτικοὶ Ἐπίσκοποι, ἤτοι ἡ Δυτικὴ Σύνοδος, ἐν ᾗ καὶ ὁ Πάπας, ὅθεν ἔλεγεν ὁ Κύριλλος, ἐλθόντων τῶν Τοποτηρητῶν τοῦ Κελεστίνου ἐν τῇ δευτέρᾳ πράξει τῆς τρίτης Συνόδου, κατέθεντο γὰρ οἱ τὸν τόπον ἀναπληροῦντες τῆς ἀποστολικῆς καθέδρας, καὶ ἁπάσης δὲ τῆς κατὰ Δύσιν ἁγίας Συνόδου. καὶ ἡ αὐτὴ, ἤτοι ἡ τρίτη Σύνοδος περὶ τῶν αὐτῶν ἐν τῇ πρὸς τοὺς Βασιλεῖς ἀναφορᾷ φησὶν, ὅτι ὁ Κελεστῖνος πρῶτον ἐπέτρεψε τῷ Κυρίλλῳ τὸν αὐτοῦ ἐπέχειν τόπον, καὶ νῦν αὖθις διὰ δευτέρων γραμμάτων τὰ αὐτὰ δῆλα τῇ ἁγίᾳ Συνόδῳ κατέστησε, καὶ ἀπέστειλε διὰ τῶν Τοποτηρητῶν Φιλίππου, Ἀρκαδίου καὶ Προϊέκτου ἀναπληρούντων τὴν παρουσίαν αὐτοῦ τοῦ Κελεστίνου, ταῦτα εἰποῦσα, ἐπήγαγεν. ἐπεὶ οὖν οἱ ἄνδρες παραγενόμενοι τὴν γνώμην πάσης τῆς κατὰ Δύσιν ἁγίας Συνόδου φανερὰν τῇ ἐνταῦθα ἁγίᾳ Συνόδῳ πεποιήκασι διὰ τῶν γραμμάτων. καὶ σημείωσαι ὅτι γράμματα εἶπε τὴν ἐπιστολὴν τοῦ Κελεστίνου μόνην, διὰ δὲ τοῦ Κελεστίνου ἐδηλώθη ἡ Ῥωμαϊκὴ Σύνοδος, καὶ ἡ ἐπιστολὴ αὐτοῦ ἐῤῥέθη γράμματα τῆς Δυτικῆς Συνόδου, οὕτω νόει καὶ ἐνταῦθα τὸν Λέοντα δηλοῦντα διὰ τοῦ θρόνου τοῦ ἀποστολικοῦ οὐ θρόνον τινὰ αὐτοκρατορικὸν, ἀλλὰ τὴν Δυτικὴν Σύνοδον, καὶ ἡ ἐπιστολὴ αὐτοῦ γράμματα ἐστὶ τῆς Δυτικῆς Συνόδου, ὅθεν καὶ ἐγκύκλιος, ἤτοι συνοδικὴ καλεῖται. σημείωσαι δὲ ὅτι ἡ Ῥώμη θρόνος τοῦ Πέτρου καὶ τοῦ Παύλου, ὅθεν ὁ Λέων φησὶν αὐτὴν θρόνον τῶν Ἀποστόλων, δῆλον δὲ ὅτι κατὰ Παῦλον ἦν καὶ ὁ Πέτρος Ἐπίσκοπος Ῥώμης, καὶ οὐκ ἰδικῷ τινι τρόπῳ.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῶν περιεχομένων ἐν τῇ πρὸς τὴν παροῦσαν Σύνοδον Σάκρᾳ τῶν Βασιλέων, καὶ τῶν λεχθέντων ὑπὸ τοῦ Ἐφράτα Ἐπισκόπου Ἐλευθερίνης, ἐξ ὧν δείκνυται μήτε ὁρισμῷ, ἢ ἐπιταγῇ ἰδίᾳ τὸν Ῥώμης συναθροίζειν Σύνοδον Οἰκουμενικὴν, μήτε ἐν τῇ συγκροτήσει αὐτῆς ἐρωτᾶσθαι, ἀλλὰ προστάττεσθαι παρεῖναι, ὡς ὄντα ἕνα τῶν λοιπῶν Ἐπισκόπων, μήτε διατυποῦν τὰ τῆς πίστεως, ἀλλὰ τὴν Σύνοδον, ἧς ὁ Βασιλεὺς μόνος ἀθροιστής.

Καὶ ἀπὸ τῆς Σάκρας τῶν Βασιλέων πρὸς τὴν Σύνοδον τὸ αὐτὸ δείκνυται, φασὶ γὰρ, ἤδη μὲν καὶ δι' ἑτέρων ἡμῶν θείων γραμμάτων ἐδηλώσαμεν τῇ ὑμετέρᾳ θεοσεβείᾳ, ὥστε εἰς τὴν Χαλκηδονέων παραγενέσθαι πόλιν, ἐφ' ᾧτε τὰ περὶ τῆς ἁγίας καὶ ὀρθοδόξου πίστεως παρὰ τῶν ἁγίων πατέρων ἡμῶν πάλαι ὁρισθέντα βεβαιωθῆναι, ὡς ἂν μὴ ἐπὶ πολὺ τὸ τῶν ὀρθοδόξων πλῆθος διαφόρως πλανώμενον ἀπατῷτο, ἀλλ' ἵνα πάντες τὸν Δεσπότην ἡμῶν καὶ Σωτῆρα Χριστὸν ὡς προσήκει, καὶ ὡς οἱ ἁγιώτατοι ἡμῶν πατέρες ἐδογμάτισαν ὁμολογῶσι. Καὶ, ἐλπίζομεν γὰρ εἰς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ὡς χωρίς τινος ταραχῆς καὶ φόβου πάντων τῶν κατὰ τὴν ὀρθόδοξον καὶ ἀληθῆ πίστιν δικαίως καὶ ὡς τῷ Θεῷ φίλον τυπωθέντων, ἕκαστος ὑμῶν εἰς τὰ οἰκεῖα θᾶττον ἐπανελεύσεται. ἐν οἷς σημείωσαι ὅτι οἱ Βασιλεῖς ἰδίῳ καὶ μόνῳ προστάγματι ἀθροίζουσι τὰς Συνόδους, καὶ διορίζουσι καὶ τὸν τόπον τῆς ἀθροίσεως. δεύτερον, ἡ Σύνοδος βεβαιοῖ τὰ τῶν πατέρων, οὐχ ὁ Πάπας, ὡς τερατεύονται οἱ παπισταὶ λέγοντες, ὅτι ὁ Πάπας βεβαιοῖ τὰς Συνόδους. τρίτον, ἡ Σύνοδος τὰ τῆς πίστεως τυποῖ, ἤτοι γυμνάζει, σαφηνίζει, ἑρμηνεύει, διορίζει καὶ βεβαιοῖ. τέταρτον, ὁ Πάπας Λέων πολλὰ μογήσας καὶ γράψας καὶ θρηνήσας καὶ ἀπειλήσας καὶ ἱκετεύσας καὶ δεηθεὶς περὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης, οὐδὲν ὠφέλησεν, ἔτι γὰρ ἦν τὸ ὀρθόδοξον πλῆθος πλανώμενον, καὶ οὐ μόνον τὸ Ἀνατολικὸν, ἀλλὰ καὶ πολλοὶ τῶν ὑπὸ τὴν ἐνορίαν τοῦ Πάπα, διὸ Εὐφράτας Ἐπίσκοπος Ἐλευθερίνης πόλεως Σικελικῆς, καὶ ὑπὸ τὴν ἐνορίαν τελῶν τοῦ Πάπα, εἶπε πρὸς τοῖς ἄλλοις ταῦτα, καὶ ὀρθοδοξότατον εἶναι τὸν ἁγιώτατον πατέρα καὶ Ἀρχιερέα Λέοντα πεπληροφορήμεθα, γεγένηται δὲ ἡμῖν περὶ τῆς ἀπεσταλμένης παρὰ τῆς αὐτοῦ μακαριότητος ἐπιστολῆς τὸ ἀναμφίβολον. Καὶ, ὅτε γὰρ κατὰ τὸν τύπον τῆς ὑμετέρας ἐξουσίας παρὰ Ἀνατολίῳ καὶ τῇ συνεδρευούσῃ αὐτῷ ἁγιωτάτῃ Συνόδῳ παρεγενόμεθα, ὀφείλοντες περὶ ὧν ἀμφεβάλλομεν πληροφορηθῆναι, εὕρομεν αὐτῶν τὴν ἁγιότητα ἑτοιμότατα τὴν ἀμφιβολίαν ἐκβάλλουσαν. Καὶ, διάτοι τοῦτο πληροφορηθέντες, καὶ συμφωνεῖν ἡγούμενοι κατὰ πάντα τοῖς προγεγραμμένοις ἁγίοις πατράσι τὴν ἐπιστολὴν, συνηνέσαμεν ταύτῃ, καὶ ὑπεγράψαμεν. πράξει τεταρτῇ. καὶ λοιπὸν ἡ Σύνοδος ἠθροίσθη ἵνα διδάξῃ τὰ πλήθη καὶ αὐτοὺς τοὺς Ἐπισκόπους Ἀνατολῆς καὶ Δύσεως ὁμολογεῖν ἀναμφιβόλως, καὶ ὡς προσήκει καὶ ὡς οἱ πατέρες ἐδογμάτισαν, καὶ ὅτι τὴν ἀμφιβολίαν τῶν ὑπὸ τὴν Ῥώμην Ἐπισκόπων ὁ Κωνσταντινουπόλεως καὶ ἡ κατ' αὐτὸν Σύνοδος ἔλυσε. πέμπτον, οὐ λέγει ἁγίους πατέρας τοὺς Πάπας τῆς Ῥώμης, ἀλλ' ἐκείνους οἵτινες συνῆλθον ἐν ταῖς Συνόδοις, καὶ οὓς οἱ πατέρες ἰδίως καὶ αἱ Σύνοδοι κοινῶς προσήνεγκαν εἰς μαρτυρίαν ὧν διώρισαν. ὥστε ὁ Πάπας οὔτε Σύνοδον συγκροτεῖ Οἰκουμενικὴν, οὔτε ὁρισμῷ, οὔτε ἐπιταγῇ ἰδίᾳ, οὔτε κἂν ἐν τῇ συγκροτήσει αὐτῆς ἐρωτᾶται, ἀλλ' ἐπιτρέπεται καὶ προστάττεται παρεῖναι ἐν αὐτῇ, ἢ μόνος, ἢ διὰ Τοποτηρητῶν, οἱ Βασιλεῖς δὲ συγκροτοῦσι ταύτην, οἵτινες καὶ τὴν προθεσμίαν τοῦ καιροῦ καὶ τὸν τόπον αὐτῆς διορίζουσι, καὶ τὰ ἀνήκοντα λοιπὰ ταῖς Συνόδοις προστάττουσι, καὶ πάντα τὰ ἀναγκαῖα καὶ πρῶτον καὶ ὕστερον χορηγοῦσιν. ὁ δὲ Πάπας οὐκ ἔστιν ἕτερόν τι, ἢ εἷς Ἐπίσκοπος Ῥώμης, καὶ ἐν ταῖς Συνόδοις ὑπάρχει μέρος καὶ συμψηφίζεται μετὰ τῶν λοιπῶν Ἐπισκόπων κοινῇ κρίσει καὶ συμπνοίᾳ καὶ ὁμοψυχίᾳ, καὶ οὐδὲν πλέον.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῶν θεωρουμένων ἐν τῇ ἐπιστολῇ τῆς Πουλχερίας πρὸς τὸν Πάπαν Λέοντα, καὶ ἀφηγήσεως τῆς χειροτονίας τοῦ Ἀνατολίου Κωνσταντινουπόλεως, ὑπὸ τοῦ Διοσκόρου γενομένης. καὶ περὶ τοῦ πῶς δεῖ γίνεσθαι τὰς ἐκλογὰς καὶ χειροτονίας τῶν Πατριαρχῶν, καὶ τῆς διαλλαγῆς Λέοντος Ῥώμης πρὸς τὸν Ἀνατόλιον Κωνσταντινουπόλεως διὰ Πουλχερίας, καὶ τῶν κατὰ καιροὺς οἰκονομιῶν τῆς Ἐκκλησίας. ἐκ δὲ τούτων πάντων, καὶ ἐκ πολλῶν παραθέσεων, δείκνυται μὴ εἶναι τὸν Ῥώμης ἐν τῇ καθόλου Ἐκκλησίᾳ μοναρχὴν, μήτε διαφέρειν Ἐπίσκοπον Ἐπισκόπου κατ' ἀξίαν, τὴν δὲ Οἰκουμενικὴν Σύνοδον εἶναι καθ' αὑτὸ τὸ ἔσχατον κριτήριον τῆς καθόλου Ἐκκλησίας.

Ἐν τῇ ἐπιστολῇ τῆς Πουλχερίας πρὸς τὸν Πάπαν Λέοντα θεωρητέον πρῶτον, ὅτι ἐν τῇ ἑβδόμῃ Συνόδῳ ἀνεγνώσθη ἱστορεῖν τὸν ἀναγνώστην Θεόδωρον ταῦτα, Διόσκορος γὰρ παρὰ τὸ τοῖς Κανόσι δοκοῦν ἑαυτῷ τὴν χειροτονίαν ἐπιτρέψας τῆς κατὰ Κωνσταντινούπολιν Ἐπισκοπῆς, προχειρίζεται Ἀνατόλιόν τινα τὸν τῆς Ἀλεξανδρέων Ἐκκλησίας τὰς ἀποκρίσεις ἐν Κωνσταντινουπόλει ποιούμενον, ἔχων παρευθὺς καὶ συλλειτουργοῦντα τὸν Εὐτυ-

Εὐτυχῆ, ὡς ὃν ὁ Ἀνατόλιος χαλεύοντος ἔφη, τὸ γὰρ μέλλον ἠγνόει, ὅπερ περιπεπάτηκας, ἡμᾶς, πράξει πρώτῃ. καὶ σημείωσαι πρῶτον, ὅτι ὁ Ἀναστάλιος ἐχειροτονήθη ὑπὸ Διοσκόρου Αἱρετικὸς ὢν. δεύτερον, ὅτι συνελαυνόμενος τῷ Εὐτυχεῖ. τρίτον, ὅτι περιποιήθη τὸν Αἱρεσιάρχην καὶ ἅπαν αὐτὸν ἄγιον. τέταρτον, ὅτι ἐχειροτόνησαν (ὁ Διόσκορος) ἀνθρώπων ἀκ ὄντα ἐκ τοῦ κλήρου Κωνσταντινουπόλεως, ἀλλ' ἐκλεχθέντα ὑπὸ τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, ὅπερ ὁ Ῥώμης Ἰούλιος ὡς μέγα καὶ ἀναμώτατον ἔγκλημα προσέφερε κατὰ τῶν Εὐσεβιανῶν, ὅτε ἐχειροτόνησαν Ἀλεξανδρείας τὸν Γεώργιον. πέμπτον, δεῖ εἰδέναι, ὅτι ὁ Κωνσταντινουπόλεως Ἐπίσκοπος χειροτονεῖται κατὰ τὸ ἀκόλουθον ἐκλογῇ τῆς ἰδίας Συνόδου, καὶ τοῦ ἰδίου Κλήρου κελεύσει τοῦ Βασιλέως, ἀλλὰ περίεστιν Οἰκουμενικὴ Σύνοδος, πάλιν χρεία τῆς ἐκλογῆς τῆς ἰδίας Συνόδου καὶ τοῦ ἰδίου Κλήρου, ὡς ἐγένετο ἐπὶ Νεκταρίου, ὅτε οἱ πατέρες καὶ ὁ Κλῆρος ἐξελέξαντο πολλούς, ὁ Βασιλεὺς δὲ προέβαλον οὓς ἠθέλησεν ἐκ τῶν ἐκλεχθέντων, καὶ ἰδοὺ ἀνωτέρω βιβλίῳ τρίτῳ τὸν τόπον, ἰδοὺ καὶ κατωτέρω βιβλίῳ πέμπτῳ τὴν χειροτονίαν τοῦ Μηνᾶ. ἐμόνον δὲ ἐν τῷ θρόνῳ Κωνσταντινουπόλεως γίνεται οὕτως, ἀλλὰ καὶ ἐν πᾶσι τοῖς λοιποῖς Πατριαρχικοῖς θρόνοις, καὶ ἰδοὺ ἀνωτέρω καὶ κατωτέρω περὶ τῆς ἐκλογῆς τοῦ Πάπα ἐν πολλοῖς, καὶ περὶ τοῦ Ἀντιοχείας ἐν τῇ ὅλῃ Συνόδῳ, καθαιρεθέντος γὰρ τοῦ Ἀντιοχείας Μακαρίου, οἱ Ἐπίσκοποι καὶ Κληρικοὶ Ἀντιοχείας ἤτησαν Πατριάρχην, ἐν ᾗ αἰτήσει οἱ Ἄρχοντες συγκατένευσαν, πράξει δωδεκάτῃ, μεταταῦτα ἐρρέθη ὑπὸ τῶν Ἀρχόντων, περὶ γὰρ τῆς γενομένης αἰτήσεως καὶ τῶν ὑπὸ τὸν θρόνον τῆς Ἀντιοχείας μεγαλοπόλεως τελούντων Ἐπισκόπων καὶ Κληρικῶν, ἕνεκα τοῦ καταστῆναι Πρόεδρον ἐν τῇ τῆς Ἀντιοχέων πόλεως θρόνῳ, ἀνηνέγκαμεν ἐπὶ τὰς ἀκοὰς τοῦ Βασιλέως ἡμῶν, καὶ ἐκέλευσεν ἡ αὐτοῦ γαληνότης ψήφισμα γενέσθαι κατὰ τὸ σωθῆναι ἀκολουθίαν ἐκ τῶν ὑπὸ τὸν ἐρημοῦντα θρόνον θεοφιλεστάτων Ἐπισκόπων τε καὶ Κληρικῶν, καὶ τοῦτο δοθῆναι τῷ παντιμέρῳ αὐτοῦ κράτει. ἡ δὲ τρίτη Οἰκουμενικὴ γράψασα τοῖς Βασιλεῦσι, λέγει ἐν τῷ τέλει, ἀναθεῖναι λοιπὸν ἡμᾶς καὶ ἔχεσθαι τῆς χειροτονίας τοῦ μέλλοντος, ἀλλ' ἐπειδὴ ἠκολούθησε τὰ σκάνδαλα τοῦ Ἀντιοχέως Ἰωάννου καὶ τῶν περὶ αὐτὸν, καὶ οἱ πατέρες τῆς Συνόδου οὐκ ἀπῆλθον εἰς Κωνσταντινούπολιν, ὅτε καὶ οἱ ἔγκλειστοι, ἔπεμψαν ἡ Σύνοδος πρέσβεις εἰς Κωνσταντινούπολιν πρὸς τὸν Βασιλέα ἐπὶ πατέρας, ὡς εἴρηται ἀνωτέρω, οἵτινες ἐν Κωνσταντινουπόλει ἅμα τοῖς παρευρεθεῖσιν Ἐπισκόποις καὶ Κληρικοῖς ἐξελέξαντο εἰς Πατριάρχην τὸν Μαξιμιανὸν, ἵνα τινα ἐκλογὴν βεβαιώσαντος τοῦ Βασιλέως, ἐχειροτόνησαν αὐτὸν, ὡς γράφουσιν αὐτοὶ οἱ πρέσβεις τοῖς Ἐπισκόποις τῆς παλαιᾶς Ἠπείρου, μέρα τρίτῳ τῆς τρίτης Συνόδου. λέγει γὰρ ἐκεῖ, ἐκ τῶν ἐπὶ μαθὼν ὁ Βασιλεὺς καλῶς γεγενῆσθαι τὰ τῆς Συνόδου, ἐξώρισε μὲν τὸν Νεστόριον, ἐκέλευσε δὲ τοὺς ἐκ τῆς ἁγίας Συνόδου εἰσελθεῖν εἰς τὴν Ἐκκλησίαν, καὶ χειροτονῆσαι Ἐπίσκοπον Κωνσταντινουπόλεως, καὶ εἰσελθόντες ἐχειροτόνησαν Μαξιμιανόν. τούτῳ ἓν τῷ τρόπῳ ἐκλεγομένων καὶ χειροτονουμένων τῶν Πατριαρχῶν, ἐναντίως παντὸς ἐχειροτονήθη ὁ Ἀνατόλιος, ἐδέξατο ὅμως ὁ Αὐγουστέατος τὴν χειροτονίαν αὐτοῦ, καὶ ἐπειδὴ γνὺς καὶ αὐτὸς ὁ Ἀνατόλιος ὅσα ἔπραξεν ὁ Διόσκορος ἄθεσμα, ἔμενεν ἐν τῷ μέρει τῶν ὀρθοδόξων, ἀμὴν ἀλλὰ καὶ κατὰ τὴν αὐτοῦ μαρτυρίαν τοῦ Ζωναρᾶ παρεκίνει καὶ αὐτὸς τὸν Μαρκιανὸν, καθὼς καὶ ὁ Λέων, μὴ ἐᾶσαι τὰ ἐν Ἐφέσῳ ὑπὸ Διοσκόρου πεπραγμένα ἀνεξέταστα, καὶ ὅτως ὀργανικῶς παρ' αὐτοῦ καὶ τοῦ Πάπα Λέοντος ἠθροίσθη ἡ ἐν Χαλκηδόνι Σύνοδος. ἐπεὶ δὲ κατὰ πολλοὺς τρόπους ἐδόκει παρὰ Κανόνας ἡ χειροτονία τοῦ Ἀνατολίου, ὁ Ῥώμης Λέων μαχόμενος ταῖς ἐν Ἐφέσῳ πράξεσι τοῦ Διοσκόρου, ὡς πάλαι ὁ μέγας Κύριλλος ἐμέμφετο ταῖς ἐν Κωνσταντινουπόλει Φλαυιανοῦ τοῦ Νεστορίου, ἐμέμφετο ἀκολούθως καὶ τὴν χειροτονίαν τοῦ Ἀνατολίου, ἀλλ' ἡ Πουλχερία φίλη οὖσα τοῦ Φλαυιανοῦ, διὰ ἃς εἶπεν αἰτίας ἀνωτέρω βιβλίῳ τρίτῳ κεφαλαίῳ ἑσχάτῳ, καὶ τῆς δυσεβείας ὑπέρμαχος, ἠγαπᾶτο καὶ τὸν μέγαν Λέοντα βρύχοντα, καὶ τὴν φωνὴν ὑψοῦντα, καὶ ἐν ἰσχύϊ ἀναφωνοῦντα περὶ τῆς δυσεβείας, ἤθελον ὅμως αὐτὸν καὶ τῷ Ἀνατολίῳ συνέρχεσθαι ἀγαπητικῶς, Δωρεῖτο γράφει αὐτῷ τὰ περὶ εἰρήνης κατὰ μίμησιν τοῦ ἀδελφοῦ αὐτῆς, ὃς εἰρηνοποίησε τὸν σοφὸν Ἀντιοχείας Ἰωάννην, καὶ τὸν ἅγιον Κύριλλον. καὶ λοιπὸν γράφει αὐτῷ, ὅλη ὁ Ἀνατόλιος ἐν τῇ αὐτῇ διέμενε θρησκείᾳ, ἤτοι τῇ ἀρχαίᾳ καὶ ὀρθοδόξῳ, καὶ ἐν τῇ ὑπογολῇ ἦν ἔπεμψον ὁ Λέων τῷ Φλαυϊανῷ ὑπέγραψε, καὶ ταύτῃ περιπύστατο. ταῦτα ἡ Πουλχερία. Ἀλλ' οἱ παπισταὶ παρεξηγημένοι ταῦτα, λέγουσιν ὅτι ὁ Λέων τὸν Ἀνατόλιον ὡς Κανόνας χειροτονηθέντα ἐδέξατο, ἅρα ἐν τῇ καθόλου Ἐκκλησίᾳ γυμνῷ ἔχει δύναμιν καὶ ἐξουσίαν, ἐπειδὴ ἔχει ταύτην ὑπὸ τῶν Πατριαρχῶν, οἷς ὑπόκεινται πάντες οἱ Ἐπίσκοποι. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι τὸν Ἀρσακίου καὶ Ἀτticοῦ, ζώντος τοῦ χρυσοστόμου, χειροτονηθέντων Κωνσταντινουπόλεως, σὺν τῷ Πάπᾳ Ἰννοκεντίῳ ὁ Ἀντιοχείας καὶ οἱ Παλαιστινοὶ καὶ Ἰλλυρικοὶ, καὶ ἄλλοι Ἐπίσκοποι ἀπαρεσκόμενοι ταῖς τοιαύταις χειροτονίαις, οὐκ ἐκοινώνουν Ἀρσακίῳ καὶ Ἀτticῷ, καὶ ἰδοὺ ἀνωτέρω τὸν τόπον. δεύτερον, ὅτι ἡ Ἐκκλησία κατὰ καιροὺς οἰκονομεῖ, ὅθεν καὶ πολλοὺς ἀπὸ λαϊκῶν πεποίηκε Πατριάρχας, ὡς τὸν Νεκτάριον, Ταράσιον, Νικηφόρον καὶ ἄλλους, καὶ πολλοὺς Αἱρετικοὺς καὶ ὑπὸ Αἱρετικῶν κεχειροτονημένους Ἐπισκόπους ἐδέξατο, ὡς εἴρηται ἀνωτέρω βιβλίῳ τρίτῳ, καὶ ῥηθήσεται ἐν τῇ πρώτῃ πράξει τῆς ἑβδόμης Συνόδου. ὥστε ἐμόνον ὁ Λέων τοιοῦτόν τι ἐποίησεν, ἀλλὰ καὶ ἄλλοι πολλοὶ Πατριάρχαι καὶ ἁπλῶς Ἐπίσκο

Ἐπίσκοποι τοιαύτῃ οἰκονομίᾳ ἐχρήσαντο. τρίτον, ὅτι ἡ Βασιλὶς ἐγράφει τῷ Ῥώμης ἵνα κοινωνήσῃ τῷ Ἀνατολίῳ, ἀλλ' ὅτι ἐστὶν ὀρθόδοξος καὶ φίλος αὐτοῦ, καὶ τὸ αἴτιον, ὅτι πάσῃ δυνάμει καὶ πᾶσι τρόποις καὶ παντὶ ζήλῳ φερομένῳ τῷ θειοτάτῳ καὶ ἀποστολικωτάτῳ Ἐπισκόπῳ Λέοντι κατὰ Νεστορίου καὶ Εὐτυχοῦς, ἔγραψαν αὐτῷ ταῦτα οἱ Βασιλεῖς περὶ τοῦ Ἀνατολίου, ἵνα μὴ ἀμφιβάλλῃ περὶ τῆς πίστεως αὐτοῦ, καὶ νομίζῃ αὐτὸν ἀντικεῖσθαι τῇ γενησομένῃ Συνόδῳ, διατοῦτο εἰποῦσα τὸν Ἀνατόλιον ὀρθόδοξον ὄντα καὶ φίλον αὐτοῦ, προέτρεψεν αὐτὸν (τὸν Λέοντα) γράψαι περὶ τῆς Συνόδου πρὸς τὸν Μαρκιανὸν τεθαῤῥηκότως, ἐπειδὴ τοῦτο, ἵνα γενηται Συνόδος ἀρέσκει καὶ τῷ Βασιλεῖ, ὡς δηλονότι προδιαθεμένῳ ὄντι καὶ ἀπὸ τῶν γραμμάτων τοῦ Λέοντος, καὶ ἀπὸ τῶν προτροπῶν τῆς Βασιλίδος καὶ τοῦ Ἀνατολίου. τρίτον, ὅτι καὶ αὕτη ἡ ἐπιστολὴ ἀντίκειται τοῦ εἶναι μοναρχικὸν ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ, φησὶ γὰρ ἡ Βασιλὶς τῷ Λέοντι, ἵνα οἱ Ἐπίσκοποι Ἀνατολῆς, Θρᾴκης, καὶ Ἰλλυρικοῦ εἰς μίαν πόλιν παραγένωνται, καὶ περὶ τῶν ἀνηκόντων τῇ εὐσεβείᾳ πραγμάτων, σοῦ αὐθεντοῦντος, ὁρίσωσιν, ἤτοι τοῦ μὲν Ῥώμης αὐθεντοῦντος μόνον, ὡς καὶ Κύριλλος καὶ Διόσκορος, τῆς δὲ Συνόδου κοινῶς ὁριζομένης. καὶ ἐν τῷ τέλει φησὶ, καὶ τούτους ὁμοίως τοὺς Ἐπισκόπους, οἵτινες διὰ τὴν αὐτὴν αἰτίαν, ἐπειδὴ μετὰ τοῦ ἁγιωτάτου Φλαυϊανοῦ τῇ συμφωνίᾳ τῆς πίστεως καθολικοὶ συνέτρεχον, ἐξορίᾳ ὑπεβλήθησαν, ἐπανελθεῖν διὰ Κυρώσεως ἰδίου πραγματικοῦ προσέταξε, ὥστε διὰ τῆς δοκιμασίας τῆς Συνόδου καὶ πάντων τῶν Ἐπισκόπων τῶν συνελθόντων καὶ τῆς ἀποφάσεως, τὴν Ἐπισκοπὴν καὶ τὰς ἰδίας Ἐκκλησίας κριθῶσιν ἀπολαβεῖν. καὶ σημείωσαι λοιπὸν, ὅτι ἡ ἀπόφασις τῆς Συνόδου πάντα τὰ ἀνήκοντα τῇ πίστει καὶ τῇ καθολικῇ Ἐκκλησίᾳ ὁρίζει καὶ κρίνει, καὶ ἀποδίδωσι τὰς Ἐκκλησίας τοῖς Ἐπισκόποις, ὅπερ καὶ αὐτὸ, ὡς ἀνωτέρω εἴρηται πολλάκις, ὁ Ῥώμης μετὰ δεήσεως καὶ ἱκεσίας παρὰ τῶν Βασιλέων ᾔτησε, καὶ ὁ Βασιλεὺς διὰ ἐπικυρώσεως ἰδίου πραγματικοῦ προσέταξεν. ἔμειναν ὅμως καὶ ἡ αἴτησις τοῦ Πάπα, καὶ ὁ ἰδικὸς τύπος τοῦ Βασιλέως ἀτελὴς, ἄχρις οὗ ἡ Σύνοδος κρίνασα καὶ διορίσασα ἀπέδωκε. ταῦτα δὲ πάντα ἀναιρετικά ἐστιν ἀναμφιβόλως τοῦ εἶναι ἐν τῇ Ἐκκλησίᾳ τὸν Πάπαν, ἤτινα ἕτερον Πατριάρχην μονάρχην, ἤτοι ἰδικήν τινα ἐξουσίαν ἔχοντα ἐν αὐτῇ. εἰς τοῦτο συντείνει λίαν λαμπρῶς καὶ τὸ ἐν ταύτῃ τῇ ἐπιστολῇ τῆς Βασιλίδος πρὸς τὸν Λέοντα, ἤτοι τὸ, τὰ γράμματα τῆς σῆς μακαριότητος μετὰ τῆς πρεπούσης παντὶ Ἐπισκόπῳ σεβασμιότητος ὑπεδεξάμεθα. ἀκούεις παπιστὰ, ὅτι ἡ Βασιλὶς μετὰ τῆς πρεπούσης σεβασμιότητος παντὶ Ἐπισκόπῳ τὰ γράμματα ἐδέξατο. οὐκ ἄρα ἐστὶ διαφορὰ Ἐπισκόπου πρὸς Ἐπίσκοπον, καὶ μάτην ἐπινενόηνταί σοι αἱ διαιρέσεις μυστικοῦ βήματος καὶ δικαιολογικοῦ, ἁπλοῦ, πρώτου καὶ ἐσχάτου, ἑκάστου γὰρ βήματος ἁπλῶς πάντων τῶν Ἐπισκόπων ὁ αὐτό ἐστι τρόπος τῆς δικαιολογίας, ἐπὶ πάντων δὲ τούτων ἡ οἰκουμενικὴ Σύνοδος ἐστὶ καὶ λέγεται κριτήριον ἔσχατον πρώτως καὶ καθ' αὑτό.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῶν θεωρουμένων ἐν τῇ πρώτῃ πράξει τῆς παρούσης Συνόδου, καὶ ὧν ἐπράχθη καὶ ἐλαλήθη ἐν αὐτῇ ὑπὸ τῶν Τοποτηρητῶν τοῦ Ῥώμης, καὶ ὑπὸ τῶν βασιλικῶν Ἀρχόντων, καὶ τῶν πατέρων ὀκταχῶς, ἐξ ὧν δείκνυται ἐπὶ τῶν Πατριαρχῶν ἡ Σύνοδος καὶ τοῦ Ῥώμης, ὡς μέρους ὄντος τῆς Συνόδου, καὶ οὐμονάρχου.

Ἐν τῇ πρώτῃ πράξει ταύτης, ἤτοι τῆς ἐν Χαλκηδόνι Συνόδου θεωρητέον πρῶτον, ὅτι προεκάθισαν οἱ Ἄρχοντες πάντων τῶν πατέρων τῆς Συνόδου καὶ τῶν Λεγάτων τοῦ Ῥώμης, καὶ γὰρ ἐκάθισαν ἐν μέσῳ τῶν καγκέλλων, καὶ ἔμπροσθεν τῆς ὡραίας πύλης τοῦ ἁγίου βήματος, καὶ ἐκ μὲν τοῦ εὐωνύμου αὐτῶν μέρους ἐκάθισαν οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης, ὁ Κωνσταντινουπόλεως καὶ ὁ Ἀντιοχείας, καὶ τινες τῶν λοιπῶν πατέρων, ἐκ δὲ τοῦ δεξιοῦ ἐκάθισαν ὁ Ἀλεξανδρείας, ὁ Ἱεροσολύμων καὶ ἕτεροι πατέρες. καὶ σημείωσαι ὅτι εἰ παρῆν ἐν τῇ Συνόδῳ καὶ ὁ Πάπας Λέων, ἐκεῖ ἐκαθέζετο, ὅπου ἐκάθισαν οἱ ἔχοντες τὸν τόπον καὶ τὴν παρουσίαν καὶ τὴν προεδρίαν αὐτοῦ. καὶ λοιπὸν ἀναιδέστατος ὁ Πάπας Εὐγένιος ἦν, προκαθίσας τοῦ Αὐτοκράτορος ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ, ὅθεν καὶ ἡ Σύνοδος ἐκείνη βιαίατε καὶ τυραννικὴ οὖσα, ἡ αὐτή ἐστι τῇ ἐπὶ Διοσκόρου. δεύτερον, τοῦ Πασχασίνου Τοποτηρητοῦ εἰπόντος ἵνα ἐκβληθῇ ἔξω τοῦ συνεδρίου ὁ Διόσκορος, καθὼς ἐνετείλατο αὐτοῖς ὁ Πάπας, οἱ Ἄρχοντες εἶπον, ποία μέμψις ἐπάγεται Διοσκόρῳ; ἰδικῶς ἡ αἰτία φανερούσθω, ἐν ᾗ ὑπόκειται. καὶ σημείωσαι ὅτι εἰς πρόσταγμα τοῦ Πάπα οὐκ εἰσακούονται οἱ Τοποτηρηταὶ αὐτοῦ. καὶ ποῦ τὸ τῶν παπιστῶν, ὅτι οἱ λόγοι αὐτοῦ ὑπὸ πάσης τῆς Οἰκουμένης δεκτοὶ καὶ ἀναντίῤῥητοι; σημείωσαι ὅτι κρίνονται οἱ Λεγᾶτοι τοῦ Πάπα ὑπὸ τῶν Ἀρχόντων. καὶ ποῦ τὸ ἀνόμημα τοῦ ψευδοκανόνος τοῦ Σιλβέστρου ὅτι ὁ πρῶτος θρόνος οὐκρίνεται; τρίτον, ὁ Λουκήνσιος Τοποτηρητὴς τοῦ Πάπα ἀποκρινόμενος εἰς τὸν λόγον τῶν Ἀρχόντων τὸν, ἡ ἰδικὴ αἰτία φανερούσθω, ἐν ᾗ ὑπόκειται, εἶπε, πρόσωπον γὰρ ἥρπασε κριτοῦ, ὅπερ οὐκ ἐκέκτητο, καὶ Σύνοδον ἐτόλμησε ποιῆσαι ἐπιτροπῆς δίχα τοῦ ἀποστολικοῦ θρόνου, ὅπερ οὐδέποτε ἐγένετο, οὐδὲ ἐξὸν γενέσθαι. καὶ σημείωσαι πρῶτον, ὅτι σοφιστικῶς ἐλάλησεν ὁ Λουκήνσιος, ὁ γὰρ Διόσκορος

σκορος πρόσωπον οὐχ ἥρπασε κριτοῦ, ἀλλ' εἶχε πρόσωπον κριτοῦ, ὅπερ ἐκέκτητο θεσπίσματι τοῦ Βασιλέως, ὡς εἴρηται ἀνωτέρω βιβλίῳ τρίτῳ κεφαλαίῳ ἐσχάτῳ. δεύτερον, ὅτι Σύνοδον ἐποίησεν ὁ Διόσκορος, ἐν ᾗ καὶ ὁ Πάπας Λέων ἐπιστολὴν καὶ Τοποτηρητὰς ἔπεμψεν, οὐκ ἔλαβε δὲ πρόσωπον κριτοῦ, οὐδὲ ἤθροισε Σύνοδον δι' ἐπιτροπῆς τοῦ Πάπα, ἐπειδὴ τοῦτο οὐκ ἐγένετό ποτε, ἀλλὰ θεσπίσματι βασιλικῷ κατὰ τὸ πάλαι ἔθος τῆς Ἐκκλησίας καὶ τῶν Συνόδων, ἐν αἷς οὔτε τοῦ Ῥώμης, οὔτε ἑτέρου Πατριάρχου τινὸς ἐπιτροπὴ ἰσχύει εἰς τὸ συνελθεῖν, ἀλλὰ μονωτάτη ἡβούλησις καὶ θέλησις καὶ ἀρέσκεια τοῦ Αὐτοκράτορος. ἢ καὶ ἄλλως ῥητέον ὑπὲρ τοῦ Λουκηνσίου, ἐνταῦθα ἡ ἐπιτροπὴ ἐννοεῖται, ὅτι οὐκ ἀφῆκεν ὁ Διόσκορος ἀναγνωσθῆναι τοῦ ἀπόντος Πατριάρχου, ἤτοι τοῦ Ῥώμης τὴν ἐπιστολὴν, ὅπερ ταὐτόν ἐστιν ὅτι ἐν τῇ Συνόδῳ οὐκ ἀφῆκεν εἶναι σύνεδρον καὶ τὸν Ῥώμης, ἀποβαλὼν τὴν ἐπιτροπὴν αὐτοῦ, ἥτις ἦν ἡ ἐπιστολὴ αὐτοῦ καὶ οἱ Λεγᾶτοι αὐτοῦ, ἅπαξ γὰρ καταφρονήσας τῆς ἐπιστολῆς, εἰς οὐδὲν ἐλογίζετο καὶ τοὺς Λεγάτους τοὺς κομίσαντας τὴν ἐπιστολήν. ἐπιλαμβάνεται οὖν ὁ Λουκήνσιος τοῦ Διοσκόρου πρῶτον, ὅτι ἥρπασε πρόσωπον κριτοῦ, ἐπειδὴ πρὸ συνοδικῆς διαγνώσεως καὶ γνώμης αὐτὸς μόνος ἐδικαίωσε τὸν Εὐτυχῆ, καὶ ἄλλα ἔπραξε βίαια καὶ παράνομα, ὡς εἴρηται ἀνωτέρω, καὶ ῥηθήσεται κατωτέρω Παραγράφῳ δεκάτῳ τρίτῳ. καὶ δεύτερον, ὅτι εἰς οὐδὲν λογισάμενος τὴν ἐπιστολὴν καὶ τοὺς Λεγάτους τοῦ Ῥώμης, οὐκ εἶχε σύνεδρον ἐν τῇ Συνόδῳ καὶ τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν, οὐμὴν βούλεται εἰπεῖν διὰ τούτων τῶν ῥημάτων ὁ Λουκήνσιος, ὅτι ὁρισμῷ τοῦ Πάπα ἀθροίζονται αἱ Οἰκουμενικαὶ Σύνοδοι, ὡς τερατεύονται οἱ παπισταὶ, συκοφαντοῦντες αὐτὸν καὶ τὰ ῥήματα αὐτοῦ παρεξηγούμενοι. τέταρτον, εἰπόντος τοῦ Πασχασίνου, ἡμεῖς ὑπεναντίον τῶν προσταγμάτων τοῦ μακαριωτάτου καὶ καθολικοῦ Ἐπισκόπου, καὶ χειρίζοντος τὸν ἀποστολικὸν θρόνον ἐλθεῖν οὐ δυνάμεθα, οὔτε μὴν ὑπεναντίον τῶν ἐκκλησιαστικῶν Κανόνων καὶ πατρικῶν παραδόσεων. οἱ Ἄρχοντες εἶπον, ἁρμόζει ὑμᾶς ἰδικῶς τὶ ἔπταισε σαφηνίσαι. καὶ τοῦ Λουκηνσίου Τοποτηρητοῦ εἰπόντος, οὐχ ὑπομένομεν ταύτην τὴν ὕβριν γενέσθαι ὑμῖν τε καὶ ἡμῖν, ὥστε καθεσθῆναι τὸν ἐπὶ κρίσιν παραγενόμενον. πρὸς ταῦτα εἶπον οἱ Ἄρχοντες αὐτῷ, εἰ δικαστοῦ ἐπέχεις πρόσωπον, ὡς δικαζόμενος οὐκ ὀφείλεις δικαιολογεῖσθαι, καὶ οὕτως ἐπέτρεψαν τῷ Διοσκόρῳ καὶ ἐκάθισεν ἐν τῷ μέσῳ. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ὁ Πασχασῖνος εἰπὼν περὶ προσταγῆς τοῦ Ῥώμης μεγάλα τινὰ, οὐδὲν ὠφέλησεν, οἱ γὰρ Ἄρχοντες ἐγίνωσκον καὶ ἐτίμων τὸν Πάπαν ὡς πάντα Ἐπίσκοπον, ὡς ἔγραφεν ἡ Πουλχερία τῷ Λέοντι, διὸ κρίνοντες τοὺς Τοποτηρητὰς εἶπον, ἁρμόζει ὑμᾶς σαφηνίσαι τὶ ἔπταισε. δεύτερον, οὐκ ἐδυνήθη ὁ Πασχασῖνος εἰπεῖν περὶ τοῦ Ῥώμης τὸ ὑπέρογκον γυμνὸν, ἀλλὰ προεβάλετο τοὺς ἐκκλησιαστικοὺς Κανόνας καὶ τὴν ἐκκλησιαστικὴν παράδοσιν, ὥστε μείζονες τῆς ἐξουσίας τοῦ Πάπα οἱ ἐκκλησιαστικοὶ Κανόνες καὶ ἡ παράδοσις, ὅπερ καὶ οἱ Πάπαι Νικόλαος καὶ Ἀδριανὸς καὶ ἄκοντες ῥητῶς ὡμολόγουν, φερόμενοι κατὰ Φωτίου, καὶ ἰδὲ τὸν τόπον κατωτέρω βιβλίῳ ἑβδόμῳ. πέμπτον, εἰπόντος τοῦ Λουκηνσίου τὴν αἰτίαν, ἤτοι πῶς καθεσθῇ ὁ εἰς κρίσιν παραγενόμενος, οἱ Ἄρχοντες, ὡς ὄντος τοῦ λόγου αὐτοῦ παραλόγου, καθότι πρὸ τοῦ κριθῆναι τὸν Διόσκορον ὑπὸ τῆς Συνόδου κατέκρινεν αὐτὸν, εἶπον, εἰ δικαστοῦ πρόσωπον ἐπέχεις, τὶ ὡς δικαζόμενος αἰτιολογῇ; ταῦτα εἶπον οἱ Ἄρχοντες, κρίναντες τοὺς Λεγάτους τοῦ Πάπα, ὡς παρὰ τοὺς Κανόνας καὶ τοὺς πολιτικοὺς Νόμους εἰπόντας, καὶ γὰρ πρὸ τῆς δίκης κατέκριναν τὸν Διόσκορον. εἶτα ὁ Ῥώμης ἐκλήθη κριτὴς καὶ εἰς κρίσιν, κριτὴς μὲν, ὡς μέρος τῆς Συνόδου ἵνα κρίνῃ τὰς ἀμφιβολίας τοῦ Εὐτυχοῦς μετὰ τῶν πατέρων κοινῶς, ὡς καὶ ἡ πρὸς τὴν Σύνοδον ἐπιστολὴ αὐτοῦ παρίστησι. εἰς κρίσιν δὲ, ἵνα κριθεῖσα ἡ ἐπιστολὴ αὐτοῦ, ὁποίας δόξης ἐστὶ φανερωθῇ, καὶ ἐπὶ τούτοις ἀπεστάλθησαν καὶ οἱ Τοποτηρηταὶ ἵνα κοινῶς κρίνωσιν, ὡς ἔγραψεν ὁ Λέων αὐτὸς πρὸς τὴν Σύνοδον, καὶ ἰδὲ ἀνωτέρω τὸν τόπον. ἐπειδὴ οὖν μόνοι καὶ πρὸ τῆς δίκης κατέκρινον τὸν Διόσκορον, οἱ Ἄρχοντες ἀντέστησαν καὶ ἐπετίμησαν αὐτοῖς, οἰκονομικῶς ὅμως τὸν Διόσκορον ἐκέλευσαν καὶ ἐκάθισεν ἐν τῷ μέσῳ, οὐ μὴν καὶ ἐξέβαλον τοῦ συνεδρίου, ὡς ἐσπούδαζον οἱ Τοποτηρηταί. ἕκτον, τοῦτον τὸν λόγον τοῦ Λουκηνσίου ψευδέστατον ὄντα (εἰ ἐννοηθείη κατὰ τὸν ἀνωτέρω πρῶτον τρόπον, ἤτοι περὶ τοῦ ὅτι ὁ Ῥώμης ἰδίᾳ Αὐθεντίᾳ ἀθροίζει τὰς Οἰκουμενικὰς Συνόδους) ἤτοι τὸν, Σύνοδος οὐ γίνεται ἐπιτροπῆς δίχα τοῦ ἀποστολικοῦ θρόνου, οἱ παπισταὶ προβάλλουσιν ὡς ἀδαμάντινον τεῖχος πρὸς παράστασιν, ὅτι διὰ προσταγῆς τοῦ Πάπα συγκροτοῦνται αἱ Οἰκουμενικαὶ Σύνοδοι. ἀλλ' ἐπειδὴ ἐδείχθη ὅτι καὶ αἱ τρεῖς Οἰκουμενικαὶ, καὶ ἡ ἔναγχος ἐπὶ Διοσκόρου ἠθροίσθησαν βασιλικῷ προστάγματι, καὶ ἐν ταύτῃ τῇ ἐπὶ Διοσκόρου ἔπεμψεν ὁ Πάπας Λεγάτους καὶ ἐπιστολὰς, ἐν αἷς φέρονται λόγοι πάσης ἀναιρετικοὶ μοναρχίας ὡς εἴρηται ἀνωτέρω. εἶτα καὶ ἄτερ τῶν λοιπῶν Πατριαρχῶν οὐ γίνεται Οἰκουμενικὴ Σύνοδος, ὡς εἴρηται καὶ ῥηθήσεται ἐν πάσῃ τῇ παρούσῃ πραγματείᾳ, καὶ ἰδιαίτερον ἐν τῷ ἕκτῳ καὶ ἑβδόμῳ καὶ δεκάτῳ τοῖς βιβλίοις, λοιπὸν ἔμεινε τοῦτο τῶν παπιστῶν τὸ τεῖχος μὴ εἶναι ἀδαμάντιον, ἀλλ' ἀπὸ καλάμης καὶ στυπείων, ἢ καὶ ἀπὸ ὑφασμάτων ἀραχνείων. ἕβδομον, οἱ Ἀνατολικοὶ εἰπόντες, Φλαυϊανὸς διατὶ ἐν τῷ ἰδίῳ τόπῳ οὐκ ἐκαθέσθη, τὸν Κωνσταντινουπόλεως διατὶ πέμπτον ἔταξαν, ὁ Πασχασῖνος ἀποκριθεὶς εἶπεν, ἴδε ἡμεῖς, Θεοῦ θέλοντος, Κύριον τὸν Ἀνατόλιον πρῶτον ἔχομεν, οὗτοι πέμπτον ἔταξαν τὸν μακάριον Φλαυϊανὸν, πρὸς ὃν Διογένης ὁ Κυζίκου ἀποκριθεὶς εἶπεν, ἐπειδὴ ὑμεῖς τοὺς Κανόνας οἴδατε, ἤτοι τὸν τρίτον Κανόνα τῆς δευτέρας Οἰκουμενικῆς. καὶ σημείωσαι ὅτι παρὰ Κανόνας ἐμάχοντο μεταταῦτα αὐτοὶ οὗτοι οἱ Λεγᾶτοι

τοῦ

τοῦ Ῥώμης αὐτοὶ οὗτοι τῷ εἰκοστῷ ὀγδόῳ Κανόνι τῆς Συνόδου ταύτης περὶ τῶν πρεσβείων τοῦ θρόνου Κωνσταντινουπόλεως, καὶ παρὰ Κανόνας ὁ Πάπας Λέων ἔγραφε τῷ Ἀνατολίῳ καὶ τοῖς Βασιλεῦσιν, ὅτι πρέπον ἐστὶν εἶναι τὸν Κωνσταντινουπόλεως θρόνον πέμπτον ἐν τοῖς Πατριάρχαις καὶ μὴ δεύτερον. πρὸς τούτοις, ὥσπερ τοῦ Νεστορίου ἦν φρόνημα τὸ ἄρχειν πασῶν τῶν Ἐκκλησιῶν, ὡς εἴρηται ἀνωτέρω, οὕτω τοῦ Διοσκόρου ἐστὶν ἡ κρίσις, ἵνα ᾖ ὁ Κωνσταντινουπόλεως πέμπτος καὶ μὴ δεύτερος, καὶ δὲ καὶ ἡ Ἐκκλησία Ῥωμαίων ἠβουλήθη ταύτην τοῦ Διοσκόρου τὴν γνώμην βεβαιῶσαι, ἀλλ' οὐκ ἠδυνήθη, ἴσχυσε γὰρ μᾶλλον ἡ Σύνοδος, ἥτις καὶ ἐπὶ τοῦ Πάπα καὶ ἐπὶ πάντων ἐστίν. ὄγδοον, ἐν τῇ δευτέρᾳ τῶν ἐν Κωνσταντινουπόλει ἐπὶ Φλαυϊανοῦ πράξεων εἶπεν ὁ Φλαυϊανὸς τὴν ἔκθεσιν ἣν συνέταξε κατὰ Εὐτυχοῦς περὶ τῆς ὀρθοδόξου πίστεως, ἥν τινα καὶ ἰδίᾳ αὐτοῦ χειρὶ γράψας, ἀπέδωκε τῷ Αὐτοκράτορι Θεοδοσίῳ. ἀναγνωσθείσης οὖν ταύτης ἐν ταύτῃ τῇ πράξει, ἐρωτηθέντες οἱ πατέρες, εἰ καλῶς ἐφρόνησεν ὁ Φλαυϊανὸς, ἢ τί ποτε ἐσφάλη, ἀρξάμενοι ἀπὸ τῶν Τοποτηρητῶν τοῦ Πάπα, ἕως τῶν ἐσχάτων εἶπον, ὅτι σύμφωνός ἐστι τῇ ἐπιστολῇ τοῦ Λέοντος κατὰ πάντα, ὅτε καὶ ὁ Ἱεροσολύμων μετῆλθεν εἰς τὸ μέρος τῶν ὀρθοδόξων; ὅτε καὶ ὁ Κορίνθου Πέτρος ταῦτα εἰπὼν, ἤκουσε παρὰ τῶν πατέρων τῆς Συνόδου, ὁ Πέτρος τὰ Πέτρου φρονεῖ. καὶ σημείωσαι ὅτι ὁ Φλαυϊανὸς πρὸ τῆς ἐπιστολῆς τοῦ Λέοντος ἐξέθετο τὸ ἄμωμον τῆς Ἐκκλησίας φρόνημα κατὰ Εὐτυχοῦς, καὶ ὡς ἐκρίθη ἡ ἔκθεσις τοῦ Φλαυϊανοῦ ὑπὸ τῆς Συνόδου, ἐκρίθη μεταταῦτα καὶ ἡ ἐπιστολὴ τοῦ Λέοντος, ὥστε ἡ Σύνοδός ἐστι καὶ ἐπὶ τῶν Πατριαρχῶν καὶ ἐπὶ τοῦ Πάπα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῶν θεωρουμένων ἐν τῇ δευτέρᾳ πράξει τῆς παρούσης Συνόδου, καὶ τῶν πραχθέντων καὶ λαληθέντων ἐν αὐτῇ ἑπταχῶς, ἐν οἷς δείκνυται εἶναι πολλοὺς Πατριάρχας καὶ πρωτεύοντας καὶ κρίνοντας, καὶ Λέοντος μείζονα τὸν Κύριλλον, καὶ λῆρος τὸ διδάσκαλον τὸν Ῥώμης ἐν τῇ καθόλου Ἐκκλησίᾳ εἶναι, τὴν δὲ Σύνοδον τὴν Οἰκουμενικὴν ἐπὶ τοῦ Ῥώμης καὶ τῆς αὐτοῦ Συνόδου.

Ἐν τῇ δευτέρᾳ πράξει θεωρητέον πρῶτον, ὅτι οἱ Ἄρχοντες εἶπον πρὸς τοὺς πατέρας, νῦν δὲ τὸ ζητούμενον καὶ κρινόμενον καὶ σπουδαζόμενόν ἐστιν, ὥστε τὴν ἀληθῆ πίστιν συγκροτηθῆναι, δι' ἣν μάλιστα καὶ ἡ Σύνοδος γέγονεν. εἰδότες οὖν ὡς καὶ τῷ Θεῷ λόγον δώσετε ὑπὲρ τῆς οἰκείας ἕκαστος ὑμῶν ψυχῆς, καὶ ὑπὲρ ἡμῶν ἁπάντων, οἵτινες καὶ διδαχθῆναι τὰ τῆς θρησκείας ἐπιθυμοῦμεν ὀρθῶς, ὡς πᾶσαν ἀμφισβήτησιν ἀφαιρεθῆναι ἐκ τῆς πάντων τῶν ὁσίων πατέρων ὁμονοίας καὶ συναινέσεως καὶ συμφώνου ἐκθέσεως καὶ διδασκαλίας. καὶ σημείωσαι ὅτι πολλὰ ἔγραψεν ὁ Πάπας Λέων ἐν Κωνσταντινουπόλει ἐπὶ Θεοδοσίου, καὶ ἐγκύκλιον ἐπιστολὴν ἐξέθετο, καὶ εἰς πολλοὺς ἔγραψε καὶ εἰς αὐτὰς τὰς Συνόδους, ὅτι τὸ βούλημα τῆς καθολικῆς Ἐκκλησίας ὁποῖον ἐστὶν ἐγράψαμεν τῷ ἀδελφῷ Φλαυϊανῷ, ὡς ἔγραφε δηλονότι καὶ ὁ μέγας Κύριλλος καὶ εἰς τὸν Πάπαν Κελεστῖνον, καὶ εἰς τοὺς Πατριάρχας, καὶ εἰς τοὺς Βασιλεῖς ὁποῖον ἐστὶ τὸ φρόνημα τῆς καθολικῆς Ἐκκλησίας κατὰ Νεστορίου, οὕτως ἔγραψε μετὰ τὸν Κύριλλον καὶ ὁ Ῥώμης Κελεστῖνος, ἀλλ' ὡς οὐδὲν τετελείωκεν ὁ Κύριλλος καὶ ἡ Σύνοδος αὐτοῦ, καὶ ὁ Κελεστῖνος καὶ ὁ τύπος αὐτοῦ, οὕτως οὐδὲν τετελείωκε μήτε ὁ Λέων, μήτε αἱ Σύνοδοι αὐτοῦ. ὅθεν ὡς ἐκεῖ, οὕτω καὶ ἐνταῦθα Σύνοδος ἠθροίσθη παρὰ τοῦ Βασιλέως, ἐν ᾗ ἡ πίστις ζητεῖται καὶ κρίνεται καὶ σπουδάζεται καὶ διδάσκεται ὀρθῶς οὐκ ἀπό τινος Ἐπισκόπου ἢ μερικῆς Συνόδου, ἀλλ' ἀπὸ τῆς Οἰκουμενικῆς, καὶ βεβαιοῦται οὐκ ἀπὸ τῆς μοναρχίας ἢ ἀναμαρτησίας τοῦ Πάπα, ἀλλ' ἀπὸ τῆς ὁμονοίας καὶ συναινέσεως καὶ συμφώνου ἐκθέσεως καὶ διδασκαλίας τῶν τῆς Συνόδου πατέρων. καὶ λοιπὸν ἡ Σύνοδός ἐστι τὸ ἔσχατον ἐν τῇ Ἐκκλησίᾳ γυμναστήριον, κριτήριον, καὶ βεβαιωτήριον, καὶ οὐκ ἀληθεύει ὁ Πάπας καὶ οἱ περὶ αὐτὸν Σχολαστικοί, τοιοῦτόν τι νομίζοντες εἶναι ἐν τῇ Ἐκκλησίᾳ τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν, ὅθεν καὶ ἱερόσυλοι, καὶ γὰρ ἱεροσύλων ἐστὶ τὸ ἰδιοποιεῖσθαι ὅπερ τῇ κοινότητι ἔξεστι. δεύτερον, οἱ Ἄρχοντες εἶπον, οἱ Πατριάρχαι Διοικήσεως ἑκάστης ἐπιλεξάμενοι ἕνα ἢ δύο τῆς ἰδίας ἕκαστος Διοικήσεως, εἰς τὸ μέσον συνελθόντες, καὶ κοινῇ περὶ τῆς πίστεως βουλευσάμενοι, τὰ συνδοκοῦντα φανερὰ πᾶσι καταστήσωνται. ὥστε εἰ μὲν συνθῶνται πάντες λυθῆναι πᾶσαν ἀμφισβήτησιν, ὅπερ εὐχόμεθα. καὶ σημείωσαι ὅτι τοῦτο ταὐτόν ἐστιν ἐκείνῳ ὅπερ ὁ Θεοδόσιος ἔγραφε τῇ ἐν Ἐφέσῳ Συνόδῳ, ἐννοήσαντες ὅτι οὐκ ἔστιν ἀσφαλῶς παρεκτὸς τῆς ἁγίας ὑμῶν Συνόδου, καὶ τῶν ἁπανταχοῦ πρωτευόντων τῶν Ἐκκλησιῶν, τοιαύτην ζήτησιν περὶ πίστεως ἀνακινεῖσθαι. καὶ σημείωσαι ὅτι πολλοί εἰσιν οἱ Πατριάρχαι, καὶ οἱ πρωτεύοντες, καὶ οἱ κρίνοντες, καὶ οἱ τὰς ἀμφισβητήσεις λύοντες ἐν τῇ Ἐκκλησίᾳ. καὶ λοιπὸν λῆρος τὸ τῶν παπιστῶν προφανὴς, ὅτι ὁ Πάπας μόνος πρῶτος καὶ κατ' ἐξοχὴν Διδάσκαλός ἐστι. τρίτον, θέλοντες οἱ πατέρες εὑρεῖν τὴν ἀληθινὴν πίστιν, πρὸ πάντων ἀνέγνωσαν τὴν ἔκθεσιν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων, ἧς μετὰ τὴν ἀνάγνωσιν ἐβόησαν, Αὕτη ἡ πίστις τῶν ὀρθοδόξων, Κύριλλος καὶ Λέων οὕτως ἐδίδαξαν. τέταρτον, εἶτα ἀνέγνωσαν τὴν ἔκθεσιν

τῶν

τῶν ἐν Κωνσταντινουπόλει πατέρων, ἧς ἀναγνωσθείσης, πάντες οἱ πατέρες ἐβόησαν τὰ αὐτά. πέμπτον, ἀναγνωσθεισῶν καὶ τῶν δύο ἐπιστολῶν Κυρίλλου ὡς ὅρων τῆς τρίτης Συνόδου, οἱ πατέρες ἐβόησαν τὰ αὐτά. καὶ ὅτι ὡς αἱ ἐπιστολαὶ Κυρίλλου ἔχουσιν οὕτω φρονοῦμεν, οὕτως ἐπιστεύσαμεν, οὕτω πιστεύομεν, καὶ ὁ Λέων ἐπίστευσε καὶ πιστεύει. καὶ σημείωσαι ὅτι ὁ Κύριλλος γίνεται Κανὼν πίστεως καὶ βεβαιωτὴς τῆς πίστεως καὶ Διδάσκαλος τοῦ Λέοντος. ἕκτον, μεταταῦτα ἀνέγνωσαν τὴν ἐπιστολὴν τοῦ Λέοντος, καὶ οἱ πατέρες τὰ αὐτὰ ἐβόησαν. καὶ ὅτι ὁ Πέτρος διὰ Λέοντος ταῦτα ἐξεφώνησεν, ὅπερ ταὐτόν ἐστιν ᾧπερ εἶπεν ἡ Σύνοδος ἀνωτέρω περὶ τοῦ Κορίνθου Πέτρου, ὁ Πέτρος τὰ Πέτρου φρονεῖ. ἕβδομον, Ἐπίσκοποί τινες ἀμφιβάλλοντες εἴς τινα ῥήματα τῆς ἐπιστολῆς τοῦ Λέοντος, ὡς οὐκ ἔχει καλῶς, οἱ πατέρες ἔλυσαν τὰς ἀμφιβολίας, συγκρίναντες τὰ ἀμφιβαλλόμενα μετὰ ῥητῶν τοῦ ἁγίου Κυρίλλου, ἀλλὰ πάλιν ἐζήτησαν διωρίαν ἡμερῶν πέντε, καὶ τὰς ἐπιστολὰς Κυρίλλου καὶ Λέοντος, ἵνα συγκρίνωσι ταύτας, καὶ ἴδωσιν εἰ συμφωνεῖ ἡ Λέοντος τῇ τοῦ Κυρίλλου. καὶ σημείωσαι πόσῳ ὑπέρτερος τοῦ Λέοντος ὁ Κύριλλος, ἐπειδὴ ἑρμηνευτὴς καὶ βεβαιωτὴς αὐτοῦ ἐστι. καὶ Κεκρόπιος Ἐπίσκοπος Σεβαστουπόλεως καὶ Φλωρέντιος Σαρδέων εἶπον, καλῶς ἡ πίστις διῄρηται παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων, καὶ ἐβεβαιώθη παρὰ τῶν ἁγίων πατέρων Ἀθανασίου, Κυρίλλου, Κελεστίνου, Ἱλαρίου, Βασιλείου, Γρηγορίου, καὶ νῦν διὰ τοῦ Λέοντος. σημείωσαι ὅτι ὡς ἡ τρίτη ἔκρινε τὰς ἐπιστολὰς Κυρίλλου καὶ Κελεστίνου ἀπὸ τῆς συμφωνίας οὐ τῶν Παπῶν τῶν θεοπνεύστων καλουμένων ἁπλῶς, ἀλλ' ἀπὸ τῆς τῶν ἁγίων πατέρων, οὕτως ἡ παροῦσα ἐγύμνασε καὶ ἐβασάνισε ποικίλως καὶ πολυτρόπως καὶ ἔκρινε τὴν ἐπιστολὴν τοῦ Λέοντος, ταὐτὸν εἰπεῖν τὸν Λέοντα καὶ τὴν Σύνοδον αὐτοῦ, ἄρα ἡ Οἰκουμενικὴ Σύνοδος ἐπὶ τοῦ Πάπα καὶ τῆς Συνόδου αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ.

Περὶ τῶν ἐν τῇ τρίτῃ πράξει τῆς παρούσης Συνόδου θεωρουμένων, καὶ ὧν ἐλαλήθη, καὶ τοῦ τῶν Ἀλεξανδρινῶν λιβέλλου, οὗ ἐπιλαμβανόμενοι οἱ Ῥωμαῖοι ὑπὲρ μοναρχίας τοῦ Ῥώμης, καταβάλλονται δωδεκάκις ἔκ τε συγκρίσεων καὶ πολλῶν ἄλλων, ἐξ ὧν δείκνυται μὴ εἶναι τὸν Ῥώμης οἰκουμενικὸν, ἢ ἀναμάρτητον, ἢ μονάρχην, ἀλλ' Ἐπίσκοπον μόνον Ῥώμης.

Ἐν τῇ τρίτῃ πράξει θεωρητέον πρῶτον, ὅτι Ἀλεξανδρινοί τινες, ἤτοι Θεόδωρος καὶ Ἰσχυρίων Διάκονοι, Ἀθανάσιος Πρεσβύτερος καὶ Σωφρόνιος χριστιανὸς δόντες λιβέλλους τῇ Συνόδῳ κατὰ Διοσκόρου, εἶπον ἐν τῇ ἐπιγραφῇ, Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Οἰκουμενικῷ Ἀρχιεπισκόπῳ καὶ Πατριάρχῃ τῆς μεγάλης πόλεως Λέοντι. λέγουσιν οὖν πρὸς ταῦτα οἱ παπισταὶ, ὅτι καὶ ἐκ τούτου δείκνυται τὸν Πάπαν τῆς Ῥώμης ἐν πάσῃ τῇ καθόλου Ἐκκλησίᾳ εἶναι μονάρχην καὶ ἰδικὸν ἐξουσιαστήν. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι καινοτομία σαφὴς τὸ πρόσρημά ἐστιν, ἐπειδὴ ἀπὸ τῆς Ἀναλήψεως τοῦ Κυρίου ἕως τῆς παρούσης πράξεως ταύτης τῆς Συνόδου οὐδεὶς Χριστιανὸς οὔτε περὶ τοῦ Πάπα οὔτε περί τινος ἄλλου Ἐπισκόπου εἶπε τοιοῦτόν τι. δεύτερον, ὅτι οὔτε οἱ τοῦτο εἰπόντες Ἀλεξανδρινοὶ εἶχον περὶ τοῦ Πάπα τοιοῦτον σκοπὸν, εἰπόντες γὰρ, Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Οἰκουμενικῷ Ἀρχιεπισκόπῳ, ἐπεῖπον, καὶ τῇ ἁγίᾳ καὶ Οἰκουμενικῇ Συνόδῳ τῇ κατὰ βούλησιν Θεοῦ καὶ θέσπισμα θεῖον συναθροισθείσῃ. ἐξ ὧν δυοῖν θάτερον δείκνυται, ἢ ὅτι τὸν μὲν Πάπαν εἶπον Οἰκουμενικὸν διὰ τὴν παρὰ τοῦ Βασιλέως δοθεῖσαν αὐτῷ ἐν τῇ Συνόδῳ Αὐθεντίαν, ὅθεν καὶ προσωπικόν ἐστι τὸ πρόσρημα, ἢ ὅτι δύο εἰσὶν Οἰκουμενικοὶ μονάρχαι ἐν τῇ Ἐκκλησίᾳ ὁ Πάπας καὶ ἡ Σύνοδος, ὅπερ ἀσεβές ἐστι. τἀναντία γὰρ ἐδείχθη καὶ δειχθήσεται ἐκ τῶν πρακτικῶν τῶν Οἰκουμενικῶν Συνόδων. τρίτον, ὅτι οἱ αὐτοὶ Ἀλεξανδρινοὶ φρόνημα εἶχον τὴν Σύνοδον εἶναι ἐπὶ πάντων, καὶ ἐπ' αὐτοῦ τοῦ Πάπα, ὅθεν τὸν Πάπαν εἰπόντες Οἰκουμενικὸν ὃν εἴρηται τρόπον, τὴν Σύνοδον εἶπον Οἰκουμενικὴν διὰ τὸ κράτος καὶ τὴν ἐξουσίαν αὐτῆς, ἐκρίθη γὰρ ἐπ' αὐτῆς τὰ Φλαυϊανοῦ καὶ Διοσκόρου, Λέοντος καὶ Εὐτυχοῦς, ταὐτὸν εἰπεῖν ὁ Φλαυϊανὸς καὶ ὁ Διόσκορος, ὁ Λέων καὶ ὁ Εὐτυχὴς, ὡς δηλονότι ἐκρίθη ὑπὸ τῆς τρίτης Συνόδου Κύριλλος, Κελεστῖνος καὶ Νεστόριος. τέταρτον, ὅτι τὸ Οἰκουμενικὸς πρόσρημα τῷ Λέοντι προσωπικὸν ἦν διὰ τὴν Αὐθεντίαν καὶ διὰ τὸν ζῆλον τὸν πολὺν καὶ τοὺς μεγάλους ἀγῶνας περὶ τῆς Εὐσεβείας, ὥσπερ ἰδικὸν ἦν τῷ ἁγίῳ Κυρίλλῳ τὸ, ὅτι ἐστὶ τῆς Οἰκουμένης Καθηγητὴς, καὶ περὶ Κυρίλλου καὶ Μέμνονος ὅτι εἰσὶ κεφαλαὶ, Πρόεδροι, Ἔξαρχοι καὶ πρῶτοι. ὅτι δὲ προσωπικὸν μὲν ὂν τοῦτο, καὶ ἄλλοις Πάπαις ἐῤῥέθη μεταταῦτα, ἰδὲ βιβλίου δεκάτου μέρους δευτέρου κεφάλαιον τέταρτον. πέμπτον, ὅτι δὲ καὶ οὗτοι οἱ Ἀλεξανδρινοὶ καθεῖλον προφητικῶς τὸ καινοτομηθὲν τῆς μοναρχίας τοῦ Πάπα ἀξίωμα, δῆλον, εἰπόντες γὰρ ὅτι συνηθροίσθη ἡ Σύνοδος κατὰ θεῖον θέσπισμα, ἔδειξαν ὅτι οὐκ ἀπὸ τοῦ Πάπα, ἀλλ' ἀπὸ τοῦ Βασιλέως συνηθροίσθη. ἕκτον, ὅτι οὐδὲ ἄλλος τις τῶν συμπαρόντων ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ εἶχε τοιοῦτον σκοπὸν περὶ τοῦ Πάπα, εἰ γὰρ εἶχον, πάντες οἱ τῇ Συνόδῳ λιβέλλους δεδωκότες οὕτως ἂν ἔγραφον, ἀλλ' ὁρῶμεν ἐν τῇ αὐτῇ πράξει Εὐσέβιον τὸν Δορυλαίου μόνῃ τῇ Οἰκουμενικῇ Συνόδῳ τῇ ἐκ θεσπίσματος

τῶν

τῶν Βασιλέων συνελθούσῃ προσφωνοῦντα τὸν λίβελλον ὑπὲρ ἑαυτοῦ καὶ τοῦ ἐν ἁγίοις Φλαυϊανοῦ, καλοῦντα εἰς κρίσιν τὸν Διόσκορον, καὶ κοινῶς ἡ Οἰκουμενικὴ Σύνοδος τὸν Διόσκορον εἰς κρίσιν καλεῖ, καὶ κοινῶς καθαιρεῖ. ἕβδομον, οἱ Ἀλεξανδρινοὶ Κληρικοὶ καὶ κοσμικοὶ τέσσαρες οὗτοι, εἶπον τὸν Λέοντα Οἰκουμενικὸν, ἀλλ' οἱ ἐν τῇ Συνόδῳ Αἰγύπτιοι Ἐπίσκοποι καὶ οἱ Ἀρχιμανδρῖται Συρίας καὶ Κωνσταντινουπόλεως μόνοις τοῖς Βασιλεῦσι δεδώκασι τοὺς ἑαυτῶν λιβέλλους, πράξει τετάρτῃ. οὕτω καὶ Φώτιος ὁ Τύρου πράξει τῇ αὐτῇ, οὕτως ὁ Ἐφέσου Βασσιανὸς πράξει ἑνδεκάτῃ, οὕτως ὁ Νικομηδείας Εὐνόμιος πράξει δεκάτῃ τρίτῃ, οὕτως ὁ Πέρρης Σαβινιανὸς πράξει δεκάτῃ τετάρτῃ. ὄγδοον, ἀλλ' οὔτε ἐκ τοῦ προτάττεσθαι τὸν Πάπαν τῆς Συνόδου ὑπὸ τῶν Ἀλεξανδρινῶν τούτων, προσγίνεται αὐτῷ ἰδικόν τι ἀξίωμα, καὶ γὰρ οἱ Ἀρχιμανδρῖται Κωνσταντινουπόλεως γράφοντες τῇ τρίτῃ Συνόδῳ, εἰπόντες πρῶτον Κύριλλον Ἰουβενάλιον καὶ λοιπούς τινας ἐγκρίτους πατέρας, ὕστερον εἶπον καὶ πάσῃ τῇ λοιπῇ ἁγίᾳ Συνόδῳ, οὕτω πεποιήκασι καὶ οἱ ἐν Κωνσταντινουπόλει τότε εὑρεθέντες Ἐπίσκοποι, γράφοντες τῇ αὐτῇ Συνόδῳ, ἀλλὰ δὴ καὶ ἐν τῇ παρούσῃ Συνόδῳ Σαβινιανὸς Ἐπίσκοπος Πέρρης ἀνακρινόμενος μετὰ τοῦ ἀντιδίκου αὐτοῦ Ἀθανασίου, καὶ δοὺς λίβελλον τῇ Συνόδῳ εἶπε, τοῖς τὰ πάντα θεοφιλεστάτοις καὶ ἁγίοις πατράσι καὶ Ἀρχιεπισκόποις Λέοντι, Ἀνατολίῳ, Μαξίμῳ, καὶ πάσῃ τῇ λοιπῇ ἁγίᾳ Συνόδῳ, πράξει δεκάτῃ τετάρτῃ. ἐν οἷς σημείωσαι δύο τινὰ, πρῶτον, ὅτι ὡς Κύριλλος, Ἰουβενάλιος καὶ οἱ λοιποὶ καὶ Ἀνατόλιος καὶ Μάξιμος οὐκ ἔλαβον ἐκ τῆς προτάξεως ἰδικὸν ἀξίωμα, οὕτως οὐδὲ ὁ Ῥώμης ἔλαβεν ἐκταύτης τοιοῦτόν τι. δεύτερον, ὅτι ὁ Λέων συναριθμεῖται ἰσοτίμως Ἀνατολίῳ καὶ Μαξίμῳ, ὡς ὁ Κελεστῖνος Κυρίλλῳ, Ἰουβεναλίῳ καὶ τοῖς λοιποῖς, καὶ ποῦ λοιπὸν ἡμοναρχία αὐτοῦ; ἔνατον, Φώτιος Τύρου καὶ Εὐνόμιος Νικομηδείας καὶ Βασσιανὸς Ἐφέσου ἐν τοῖς πρὸς τοὺς Βασιλεῖς λιβέλλοις αὐτῶν εἶπον αὐτοὺς (τοὺς Βασιλεῖς) τῆς γῆς καὶ τῆς θαλάσσης καὶ παντὸς ἀνθρώπων ἔθνους καὶ γένους Δεσπότας, ἀλλ' ὡς οἱ Βασιλεῖς μόνης τῆς οἰκείας Διοικήσεως ἦσαν Δεσπόται, οὐ μὴν καὶ τῶν παρὰ τὴν Διοίκησιν αὐτῶν ἐθνῶντε καὶ γενῶν, καὶ τῆς ἐν τῇ ἰδίᾳ ἐνορίᾳ αὐτῶν γῆς καὶ θαλάσσης ἦσαν Δεσπόται, οὐ μὴν καὶ τῶν λοιπῶν γαιῶν καὶ θαλασσῶν, ἐν αἷς οὐκ ἐξετείνετο ἡ ἐξουσία αὐτῶν, οὕτως ὁ Πάπας ὁ Οἰκουμενικὸς ῥηθεὶς, μόνης τῆς ἰδίας Ἐπαρχίας ἦν Οἰκουμενικὸς, ὡς καὶ πᾶς Πατριάρχης, καὶ δι' ἄλλας αἰτίας, ὡς ῥηθήσεται βιβλίου δεκάτου, μέρους δευτέρου κεφαλαίῳ τρίτῳ. δέκατον, ὁ Ἰσχυρίων ἐν τῷ λιβέλλῳ αὐτοῦ εἶπε τὸν θρόνον Ἀλεξανδρείας Εὐαγγελικὸν θρόνον. καὶ σημείωσαι ὡς ἡ Ἀλεξανδρινὴ Ἐκκλησία ἐκ τούτου οὐ λαμβάνει ἰδικόν τι ἀξίωμα, οὕτως ἡ Ῥώμης ἐκ τῶν ἐγκωμίων ὧν λέγουσιν αὐτῇ οἱ πατέρες οὐδὲν προσλαμβάνει μεῖζόν τι ἀξίωμα τοῦ Ἐπισκοπικοῦ θρόνου. ἑνδέκατον, ἐν τῇ καθαιρέσει τοῦ Διοσκόρου Ἰουλιανὸς Ἐπίσκοπος Ὑπαίτων εἶπεν, ἅγιοι πατέρες ἀκούσατε, τὸ κῦρος εἶχε Διόσκορος κατὰ τὴν Ἐφεσίων πόλιν τοῦ κρίνειν, καὶ μεταξὺ τὸν Φλαυϊανὸν καὶ Εὐσέβιον καθεῖλεν, ἄδικον ψῆφον ὑπενεγκὼν, καὶ αὐτὸς πρῶτος κατέθετο τὴν ἄδικον κρίσιν, καὶ πάντες ἠκολούθησαν αὐτῷ, νῦν δὲ ἡ ὑμετέρα ἁγιότης τὸ κῦρος ἔχει τοῦ Λέοντος, καὶ πᾶσα ἡ ἁγία Σύνοδος ἡ συναχθεῖσα κατὰ Θεοῦ χάριν καὶ θέσπισμα τῶν Βασιλέων, καὶ παρακαλοῦμεν τὴν ὑμετέραν ἁγιωσύνην τοὺς ἐπέχοντας τὸν τόπον τοῦ Λέοντος ἀποφήνασθαι κατ' αὐτοῦ (τοῦ Διοσκόρου) καὶ τὰ ἐπιτίμια τὰ τοῖς Κανόσιν ἐγκείμενα κατ' αὐτοῦ ὁρίσαι, πάντως γὰρ καὶ πᾶσα ἡ Οἰκουμενικὴ Σύνοδος σύμψηφος γίνεται τῇ ὑμετέρᾳ ἁγιωσύνῃ. ταῦτα εἰπόντος τοῦ Ἰουλιανοῦ, οἱ Τοποτηρηταὶ ἀπεφήναντο. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ὁ Διόσκορος ἔχων τὴν Αὐθεντίαν ἐν τῇ κατ' αὐτὸν ἐν Ἐφέσῳ Συνόδῳ παρὰ τοῦ Βασιλέως, εἶχεν ἐν αὐτῇ τὸ κῦρος τοῦ κρίνειν, καὶ τοῦ Πάπα Λέοντος ἔχοντος παρὰ τοῦ Βασιλέως τὴν Αὐθεντίαν ἐν τῇ παρούσῃ Συνόδῳ, εἶχον ἐν αὐτῇ καὶ οἱ Λεγᾶτοι αὐτοῦ τὸ κῦρος. δεύτερον, ὅτι ὡς ἔχων ὁ ἅγιος Κύριλλος τὴν Αὐθεντίαν παρὰ τοῦ Βασιλέως ἐν τῇ τρίτῃ Συνόδῳ, εἶχεν ἐν αὐτῇ καὶ τὸ κῦρος, καὶ διατοῦτο σύμψηφος ἐγένετο αὐτῷ πᾶσα ἡ Οἰκουμενικὴ Σύνοδος καὶ πᾶσα ἡ Οἰκουμένη, οὕτως ἐνταῦθα διὰ τὴν αὐτὴν αἰτίαν σύμψηφος γίνεται ἡ Οἰκουμενικὴ Σύνοδος τοῖς Λεγάτοις τοῦ Ῥώμης. ἀλλ' ὡς οὐκ ἔλαβεν ὁ Κύριλλος ἰδικὸν ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ διὰ τὸ τοιοῦτον κῦρος καὶ τὴν συμψήφισιν, οὕτως οὐδὲ ὁ Ῥώμης λαμβάνει τοιοῦτόν τι ἐκ τοῦ τοιούτου κύρους καὶ τῆς τοιαύτης συμψηφίσεως, ἐπειδὴ ταῦτα τάξιν δηλοῖ καὶ οὐκ ἀξίαν, εἰ δὲ καὶ ἐξουσίαν τινὰ κέκτηται ὁ ἔχων τὴν Αὐθεντίαν ἐν τῇ Συνόδῳ πρὸς τὸ διευθετεῖν τὰ ἀνήκοντα τῇ Συνόδῳ πρὸς τάξιν καὶ εἰρηνικὴν κατάστασιν, ἵνα γίνωνται τὰ προσήκοντα εὐτάκτως, ἀλλὰ προσωπικὴν διὰ τὸ βασιλικὸν πρόσταγμα, καὶ οὐκ ἰδίαν τοῦ θρόνου τῶν λαβόντων τὸ τοιοῦτον κῦρος, ἔτι δὲ μὴν καὶ διακονικὴν καὶ διωρισμένην, ὡς εἶχεν αὐτὴν ὁ Λέων, οὐ μὴν αὐτοκρατορικὴν, ὡς βούλονται νῦν οἱ Λατῖνοι περὶ τοῦ Πάπα αὐτῶν. δωδέκατον, ἐν τῇ καθαιρέσει Διοσκόρου οἱ Λεγᾶτοι λέγουσι τὰς αἰτίας, πρῶτον, ὅτι τὸν Εὐτυχῆ κανονικῶς καθαιρεθέντα παρὰ τοῦ ἰδίου Ἐπισκόπου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Φλαυϊανοῦ, αὐθεντήσας ὁ Διόσκορος ἀκανονίστως εἰς κοινωνίαν ἐδέξατο πρὶν συνεδρεῦσαι ἐν τῇ Ἐφεσίων μετὰ τῶν Θεοφιλεστάτων Ἐπισκόπων. δεύτερον, ὅτι τὴν ἐπιστολὴν Λέοντος οὐκ ἀνέγνω, καὶ ὅτι ἀκοινωνησίαν ἐτόλμησεν ὑπαγορεῦσαι κατὰ τοῦ Λέοντος. τρίτον, ὅτι κανονικῶς κληθεὶς, οὐχ ὑπήκουσεν ἐλθεῖν καὶ ἀπολογήσασθαι. τέταρτον, ὅτι τοὺς κανονικῶς ὑπὸ Συνόδου καθαιρεθέντας παρανόμως ἐδέξατο, καὶ αὐτὸς κατ' αὐτοῦ τὴν ψῆφον ἐξήνεγκε, διαφόρως τοὺς ἐκκλησιαστικοὺς πατήσας θεσμούς. καὶ σημείωσαι πρὸς μὲν τὸ πρῶτον, ὅτι ὁ ἔχων τὴν Αὐθεντίαν ἐν τῇ Συνόδῳ, ἔχει τὸ διατάττειν τὰ ἐν αὐτῇ θεωρητέα,

ὅπως

ὅπως γίνωνται εὐτάκτως καὶ προσφόρως τὰ αὐτῇ ἀνήκοντα κατὰ τὸ ἔθος τῶν Συνόδων, οὐ μὴν καὶ τὸ ἰδικῶς κρίνειν, ἢ ψηφίζεσθαι, ἢ αὐθεντεῖν καὶ προστατεῖν μόνος, ὁ δὲ Διόσκορος πρὸ τῆς ἀθρόισεως τῶν Ἐπισκόπων, καὶ πρὸ τοῦ γυμνασθῆναι τὴν καθαίρεσιν Εὐτυχοῦς ἐν τῇ Συνόδῳ, καὶ πρὸ τοῦ θεωρηθῆναι τὰ ἐν Κωνσταντινουπόλει κατ' αὐτοῦ ὑπὸ τῆς Οἰκουμενικῆς Συνόδου, ἐκοινώνησεν αὐτῷ, ἰδίᾳ ἐξουσίᾳ δικαιώσας αὐτὸν, ὅθεν ἐγκαλεῖται ὅτι ἥρπασε πρόσωπον κριτοῦ, ὅπερ αὐτῷ οὐκ ἐξῆν. οὕτω καὶ ὁ νῦν Πάπας τῆς Ῥώμης τοὺς ὑπὸ τῶν ἰδίων Ἐπισκόπων καὶ Συνόδων ἀκοινωνήτους γενομένους, ἀδιακρίτως καὶ μόνῃ τῇ ἰδίᾳ Αὐθεντίᾳ πρόσωπον ἁρπάζων κριτοῦ, ὅπερ αὐτῷ οὐκ ἔξεστιν οὔτε ἐκ τῆς γραφῆς καὶ τῶν Κανόνων, οὔτε ἐκ τοῦ ἔθους καὶ τῶν πατρικῶν ὑποτυπώσεων, καὶ δεχόμενος εἰς κοινωνίαν, τὴν κατ' αὐτοῦ ἐπιφέρει ψῆφον, διαφόρους καταπατῶν θεσμοὺς, ὅθεν πάντες οἱ ἀρχαῖοι Πάπαι, καὶ ὁ Πέτρος ἡ πέτρα καὶ κρηπὶς καὶ θεμέλιος τῆς Ἐκκλησίας, καὶ πάντες οἱ Ἀπόστολοι, καὶ πάντες οἱ νῦν καὶ οἱ ἀπ' αἰῶνος πατέρες ἔχουσιν αὐτὸν γεγυμνωμένον τῆς τοῦ Ἐπισκόπου τάξεως, καὶ πάσης ἀρχιερατικῆς ἀλλοτριοῦσιν ἀρχῆς. πρὸς δὲ τὸ δεύτερον, ὅτι ὁ Διόσκορος κακῶς ποιήσας ἐν Ἐφέσῳ, καὶ ἀπελθὼν εἰς Ἀλεξάνδρειαν, καὶ μεταταῦτα κληθεὶς ἐλθεῖν ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ, μὴ ἀκολουθησάντων αὐτῷ πολλῶν τῶν ὑπ' αὐτῷ Ἐπισκόπων, ἀλλὰ ὀλίγων τινῶν, μεθ' ὧν παραγενόμενος ἐν Νικαίᾳ, πρὸ τοῦ ἐλθεῖν δηλονότι μετὰ τῶν λοιπῶν πατέρων εἰς Χαλκηδόνα, συντέθεικε καθαίρεσιν τοῦ Ῥώμης Λέοντος, ἐν ᾗ βιάσας τοὺς σὺν αὐτῷ Ἐπισκόπους, ὑπογράψαι ἐποίησεν αὐτοὺς, στένοντας ὅμως καὶ δακρύοντας διὰ τὸ παράνομον ἔργον, ὡς γράφει ἐν τῷ πρὸς τὴν Σύνοδον ταύτην λιβέλλῳ αὐτοῦ ὁ Διάκονος Θεόδωρος. κατεκρίθη οὖν ὁ Διόσκορος καὶ τούτου ἕνεκεν, ὥσποτε κατεκρίθη ὁ Ἀντιοχείας Ἰωάννης διὰ τὴν παρὰ τοὺς Κανόνας καὶ τοὺς θεσμοὺς τῆς Ἐκκλησίας καθαίρεσιν Κυρίλλου καὶ Μέμνονος, οὐκατ' ἄλλον τινὰ τρόπον, τουτέστιν οὐ διὰ τὸ καθῃρηκέναι τὸν μοναρχὴν, ἢ τὴν ἀναμάρτητον κεφαλὴν τῆς Ἐκκλησίας, ἀλλὰ διὰ τὸ μόνον καὶ ἄνευ Συνόδου καθῃρηκέναι τὸν ἀθῷον καὶ ὀρθόδοξον, ὥστε καὶ ἐκ τούτου οὐ συνάγεται ἰδικὸν ἀξίωμα τῷ Ἐπισκόπῳ Ῥώμης, ἀλλ' ἰσοτιμία μετὰ τῶν λοιπῶν ὀρθοδόξων Ἐπισκόπων. δέκατον τρίτον, εἰ δὲ λέγουσιν ὅτι τὸ πρόσρημα τοῦτο τὸ, Οἰκουμενικὸς, παρὰ τῶν Αἰγυπτίων ῥηθὲν, παρεδέχθη ὑπὸ τῆς Συνόδου ταύτης, ἰδὲ βιβλίου δεκάτου μέρους πέμπτου κεφαλαίου δεκάτου τρίτου Παράγραφον εἰκοστὸν δεύτερον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ἐπιχείρημα Ῥωμαίων ἐκτινῶν ῥητῶν, ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ πράξει λεχθέντων, εἰς σύστασιν τοῦ παπισμοῦ, καὶ λύσις τούτου διὰ πολλῶν ἀποδείξεων, δεικνυουσῶν τὸν Ῥώμης οὔτε κεφαλὴν τῆς Ἐκκλησίας, οὔτε δεσπότην τῆς Συνόδου, ἀλλ' ὑπ' αὐτὴν τελοῦντα.

Οἱ παπισταὶ ἐπιχειριζόμενοι προσέτι καὶ ἐντεῦθεν ὑπὲρ τῆς ἀρχῆς τοῦ Πάπα, λέγουσιν ὅτι ἐν τῇ πρώτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου πᾶσα ἡ Γραικία τὸ ἀξίωμα τοῦ Πάπα ἀποστολὴν ἐκάλεσε, καὶ κεφαλὴν πασῶν τῶν Ἐκκλησιῶν αὐτὸν (τὸν Πάπαν) εἶπε. δεύτερον, ὅτι ἐν τῇ δευτέρᾳ πράξει διὰ τοῦ Νικοπόλεως Ἀττικοῦ καλοῦσιν αὐτὸν οἱ Ἕλληνες ἅπαντες, ἤτοι οἱ τῆς Συνόδου πατέρες κύριον ἑαυτῶν, φησὶ γὰρ ἐκεῖνος, ἐπειδὴ νῦν ἀνεγνώσθη ἡ τοῦ Δεσπότου ἡμῶν καὶ ἁγίου πατρὸς καὶ Ἀρχιεπισκόπου Λέοντος τοῦ τὴν ἀποστολικὴν καθέδραν κοσμοῦντος ἐπιστολὴ, χρὴ δὲ καὶ τὴν τοῦ μακαρίου Κυρίλλου ἐπιστολὴν, τὴν πρὸς Νεστόριον γραφεῖσαν, καὶ ταύτην δοθῆναι ἡμῖν, ἵνα ἐν τῷ καιρῷ τῆς διαλέξεως εὐπρεπεῖς εὑρεθῶμεν. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι ὁ Πάπας Κελεστῖνος ἐν τῇ πρὸς Κωνσταντινουπολίτας κατὰ Νεστορίου ἐπιστολῇ αὐτοῦ τὸν μέγαν Ἀθανάσιον ἀποστολικὸν ἄνδρα εἶπεν, ἰδὲ καὶ περὶ τοῦ Πολυκάρπου ἀνωτέρω βιβλίου πρώτου, κεφαλαίου δεκάτου πρώτου Παράγραφον ἕβδομον. καὶ πράξει τρίτῃ τῆς ἑβδόμης Συνόδου ὁ Χρυσόστομος ἀποστολικὸς καλεῖται ἀνήρ. περὶ δὲ τοῦ, ὅτι ἐστὶ κεφαλὴ πασῶν τῶν Ἐκκλησιῶν, εἴρηται ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παραγράφῳ τριακοστῷ. ἀλλὰ δὴ καὶ ὁ Γελάσιος ἱστορῶν περὶ τῆς ἐν Νικαίᾳ πρώτης Συνόδου φησὶ, τοὺς Ἱερωμένους εἰς τύπον καὶ εἰκόνα χρὴ εἶναι τῶν ἐπουρανίων, καὶ τὸν μὲν Ἐπίσκοπον ἐπέχειν τὸν τόπον τοῦ Κυρίου, ὡς κεφαλὴν μετ' αὐτὸν ὄντα τῆς Ἐκκλησίας, ἧς παρείληφε. καὶ σημείωσαι εἰ πᾶς Ἐπίσκοπος κεφαλή ἐστι τῆς Ἐκκλησίας, ἧς παρείληφε μετὰ Χριστὸν, οὐκ ἔστιν ἀναμεταξὺ τοῦ Ἐπισκόπου καὶ τοῦ Χριστοῦ τρίτη κεφαλὴ, ὥστε οὐ δὲ ὁ Πάπας κεφαλὴ πασῶν τῶν Ἐκκλησιῶν, ἢ κεφαλὴ τῆς καθόλου Ἐκκλησίας ὡς πάντων Ἐπίσκοπος, μετ' αὐτὸν γάρ ἐστιν, ἀλλὰ κατὰ μόνην τὴν τάξιν, ἰδὲ κατωτέρω περὶ τούτου τὴν δεκάτην πρᾶξιν. πρὸς δὲ τὸ δεύτερον, ῥητέον ὅτι ἡ Σύνοδος οὐκ εἶπε τὸν Πάπαν Δεσπότην αὐτῆς, ἀλλ' ὁ Ἀττικὸς μόνος εἶπε τοῦτο, ἡ δὲ Σύνοδος οὐ παρεδέχθη αὐτὸ, ἐπειδὴ οὐδὲν εἶπε περὶ αὐτοῦ τούτου. εἶτα οὐ δὲ ὁ Ἀττικὸς εἶχε τοιοῦτον σκοπὸν, ὥστε τὸν Πάπα εἶναι ἢ αὐτοῦ, ἢ τῆς Συνόδου Δεσπότην κατάτι ἀξίωμα ἰδικὸν, καὶ γὰρ ἐγίνωσκε τὸ τῆς Οἰκουμενικῆς Συνόδου ἀξίωμα, καὶ τὴν ἐπιστολὴν τοῦ Πάπαν, ἤτοι αὐτὸν τὸν Πάπαν κρινόμενον ὑπ' αὐτῆς, καὶ πῶς ἐκεῖνον Δεσπότην

τὴν τῆς κυρίας αὐτοῦ ἔλεγεν; ὅθεν ἐπειδὴ ἀνεγνώσθη ἡ ἐπιστολὴ τοῦ Λέοντος, ἐζήτησεν ἵνα δοθῇ αὐτῷ καὶ ἡ ἐπιστολὴ Κυρίλλου, ἡ βεβαιωθεῖσα ἐν τῇ τρίτῃ Συνόδῳ, ἵνα δι' αὐτῆς δοκιμάσῃ τὴν τοῦ Λέοντος, καὶ οὕτως ἐν τῇ διαλέξει τῇ, εἰ ὀρθόδοξος ἡ ἐπιστολὴ τοῦ Λέοντος, εὐπρεπὴς εὑρεθῇ, τουτέστιν ἕτοιμος εἰς ἀπολογίαν, ὅτι συμφωνεῖ τῇ τοῦ Κυρίλλου ἡ τοῦ Λέοντος, καὶ οὕτω φανῇ ὀρθόδοξος καὶ ἡ τοῦ Λέοντος. ὁ δὲ τὸν κρινόμενον καὶ ἀνακρινόμενον μᾶλλον τοῦ κρίνοντος καὶ μάλιστα ἐν ᾧ κρίνεται καὶ λόγον ἀπαιτεῖται, μείζονα λέγων, ἄφρων ἐστὶν, ἀλλὰ μὴν οἱ παπισταὶ μείζονα λέγουσι τὸν Πάπαν κρινόμενον μετὰ τοῦ ἀντιδίκου αὐτοῦ Εὐτυχοῦς τῆς κρινούσης αὐτὸν Συνόδου, ἄφρονες ἄρα εἰσίν. ὅτι δὲ Δεσπόται λέγονται οὐμόνον οἱ μείζονες τῶν ἐλαττόνων, ἀλλὰ καὶ οἱ ἴσοι πρὸς τοὺς ἴσους, καὶ οἱ ἐλάττονες τῶν μειζόνων, ἰδὲ κατωτέρω βιβλίου δεκάτου μέρους δευτέρου κεφαλαίου ἑβδόμου Παράγραφον δέκατον ἕκτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ τῶν ἐν τῇ τετάρτῃ πράξει τῆς παρούσης Συνόδου θεωρουμένων, ἐν ᾗ κρίνεται καὶ δοκιμάζεται ἡ τοῦ Ῥώμης Λέοντος ἐπιστολὴ, καὶ δείκνυται ψευδολογία Λατίνων ἡ παρεξήγησις αὐτῶν εἰς τὸν τῆς ἐν Νικαίᾳ ἕκτον Κανόνα ἐξ ὧν ἔπραξαν οἱ ἀπ' Αἰγύπτου Ἐπίσκοποι, καὶ πάλιν ὁ Ῥώμης ἔξω μοναρχίας.

Ἐν τῇ τετάρτῃ πράξει θεωρητέον πρῶτον, ὅτι οἱ Ἄρχοντες εἶπον, δήλων γενομένων τῶν ἤδη πρότερον τυπωθέντων, τί ἔδοξε περὶ τῆς ἁγίας πίστεως τῇ εὐλαβεστάτῃ Συνόδῳ ταύτῃ, διδασκέτωσαν οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης, οἱ δὲ ἀποκριθέντες εἶπον, ἡ ἁγία καὶ Οἰκουμενικὴ Σύνοδος, ἤτοι αὕτη ἡ ἐν Χαλκηδόνι τὸν Κανόνα τῆς πίστεως καὶ τοὺς ὅρους τῶν ἐν Νικαίᾳ πατέρων κρατεῖ καὶ μεταδιώκει, οὐμὴν ἀλλὰ καὶ ἡ ἐπὶ Θεοδοσίου ἐν Κωνσταντινουπόλει τῶν ἑκατὸν πεντήκοντα πατέρων τὴν αὐτὴν πίστιν ἐβεβαίωσεν, ἧς τὸ Σύμβολον ἡ ἐν Ἐφέσῳ ἀσπάζεται, ἀλλὰ καὶ τοῦ πασῶν τῶν Ἐκκλησιῶν Ἀρχιεπισκόπου Λέοντος τὰ γράμματα φανεροῦσι ποία τῆς ἀληθείας ἡ πίστις, ὁμοίως δὲ καὶ ἡ ἁγία Σύνοδος ταύτην τὴν πίστιν κατέχει, ταύτην μεταδιώκει, καὶ οὐδὲν περαιτέρω οὔτε προσθεῖναι οὔτε μειῶσαι ἀνέχεται. τούτων εἰρημένων, πάντες οἱ πατέρες ἐβόησαν, οὕτω πάντες πιστεύομεν, οὕτω πάντες ἐβαπτίσθημεν. ἀλλὰ σημείωσαι ὅτι τούτων γενομένων, ἔτι ἡ ἐπιστολὴ Λέοντος ἐν ἀμφιβολίᾳ ἦν, ὅθεν καὶ κρίνεται εἰ ὀρθόδοξός ἐστι, διὸ οἱ Ἄρχοντες εἶπον πρὸς τὴν Σύνοδον, ἐπειδὴ τὰ θεῖα Εὐαγγέλια παρὰ τῆς ὑμετέρας θεοσεβείας προτεθέντα ὁρῶμεν, ἕκαστος τῶν συνελθόντων Ἐπισκόπων διδαξάτω, εἴγε ἡ ἔκθεσις τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, καὶ τῶν ἑκατὸν πεντήκοντα πατέρων συμφωνεῖ τῇ ἐπιστολῇ τοῦ Λέοντος, ὡς εἶπον δηλονότι οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης. ἀποκριθεὶς δὲ ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος, εἶπεν ὅτι συμφωνεῖ ἡ ἐπιστολὴ τοῦ Λέοντος τῷ Συμβόλῳ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν τὴν αὐτὴν πίστιν βεβαιωσάντων, καὶ τοῖς πραχθεῖσιν ἐπὶ Κυρίλλου παρὰ τῆς Οἰκουμενικῆς Συνόδου ἐν Ἐφέσῳ, διὸ καὶ συνήνεσα, καὶ ἀσμένως ὑπέγραψα. καὶ Μαρινιανὸς Συννάδων ἔφη, οἶδα συμφωνεῖν ἐν πᾶσι τὴν ἐπιστολὴν τοῦ Λέοντος τῇ ἐκθέσει τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων, καὶ τῶν ἑκατὸν πεντήκοντα, διὸ καὶ ὑπέγραψα αὐτήν. ὁμοίως καὶ οἱ ἄλλοι. καὶ ἰδὲ πῶς κρίνουσιν, οὐχὶ ἀπὸ τῆς ἐπιστολῆς τοῦ λέοντος περὶ τῆς ὑποθέσεως τοῦ Εὐτυχοῦς, ἀλλὰ μᾶλλον ἀπὸ τῶν ἐν Νικαίᾳ καὶ ἐν Κωνσταντινουπόλει Συνόδων περὶ τῆς ἐπιστολῆς τοῦ Λέοντος, καὶ γίνεται δῆλον καὶ ἐκτούτου, ὅτι ἡ ἐπιστολὴ τοῦ Λέοντος, καίτοι ὀρθόδοξος οὖσα, ὑπέπεσεν ὅμως ἐξετάσει. διατοῦτο ἡ πέμπτη Σύνοδος, ἀναγνωσθέντων ἐν αὐτῇ τῶν ἐν Χαλκηδόνι γενομένων, εἶπεν, ἐκ τῶν ἀναγνωσθέντων δῆλον ἐστὶν ὅτι αἱ ἅγιαι Σύνοδοι τὰ παρ' αὐταῖς προφερόμενα εἰώθασι στέργειν. ἐκεῖνοι γὰρ οἱ ἁγιώτατοι ἄνδρες τὰς ἀναγνωσθείσας ἐπιστολὰς ὑπέγραψαν, οὐχ ἁπλῶς δὲ τοῦτο ἐποίησαν καὶ χωρὶς ἐξετάσεως, εἰ μὴ ἔγνωσαν διὰ πάντων συμφωνεῖν αὐτὰς τῇ ἐκθέσει καὶ διδασκαλίᾳ τῶν ἁγίων πατέρων, πρὸς ἣν καὶ ἡ σύγκρισις γέγονε. δεύτερον, οἱ Αἰγύπτιοι Ἐπίσκοποι εἶπον, ὅτι κατὰ τὰ ἐν Νικαίᾳ ὡρισμένα μηδὲν ἄνευ τοῦ Ἀρχιεπισκόπου Ἀλεξανδρείας πράττεται ὑπὸ τῶν ὑπ' αὐτὸν Ἐπισκόπων, ὅθεν ἐζήτησαν καὶ ἔλαβον διωρίαν ἕως χειροτονίας Ἀλεξανδρείας Ἐπισκόπου, ἐξ οὗ πάλιν τὸ μοναρχικὸν ἀξίωμα καθαιρεῖται, ἐπειδὴ οἱ Αἰγύπτιοι Ἐπίσκοποι τῷ Ἀλεξανδρείας Ἐπισκόπῳ ὑπόκεινται καὶ οὐ τῷ Πάπᾳ, ὥστε ἡ παρεξήγησις τῶν Λατίνων εἰς τὸν ἕκτον Κανόνα τῆς ἐν Νικαίᾳ πρώτης Συνόδου προφανὴς ψευδολογία ἐστὶ, καὶ ἰδὲ τοὺς τόπους ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίῳ τρίτῳ, καὶ κατωτέρω κεφαλαίου τρίτου Παραγράφῳ δωδεκάτῳ, καίτοι λοιπὸν πολλὰ εἰπόντων αὐτοῖς καὶ τῶν Τοποτηρητῶν τοῦ Ῥώμης καὶ τῶν Ἀρχόντων καὶ τῶν πατέρων τῆς Συνόδου, Πατριάρχου δὲ Ἀλεξανδρείας χειροτονηθέντος ὑπὸ τῆς Συνόδου τοῦ Προτερίου, συνυπέγραψαν αὐτῷ καὶ οἱ Αἰγύπτιοι καὶ οἱ ὑπ' αὐτὸν Ἐπίσκοποι.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ τοῦ πόθεν ἐπεκράτησε πέμπειν εἰς τὰς Συνόδους ἀνθ' ἑαυτῶν τοὺς Πατριάρχας καὶ Μητροπολίτας ἐπιστολὰς καὶ Τοποτηρητάς. καὶ ὅτι στήλητις ὀρθοδοξίας ῥηθεῖσα ἐν τῇ Συνόδῳ ἡ τοῦ Λέοντος Ῥώμης ἐπιστολὴ, οὐπαρίστησι τὸν Ῥώμης ἀναμάρτητον καὶ μονάρχην κατὰ παπιστὰς, ὡς δείκνυται διὰ πολλῶν τοιούτων ἐπιστολῶν τῶν Πατριαρχῶν καὶ παραθέσεων, καταστρεφουσῶν τὸν παπισμὸν ἑξαχῶς.

Ἰστέον ὅτι Παύλου τοῦ Σαμοσατέως πατριαρχεύσαντος ἐν Ἀντιοχείᾳ, καὶ χαμαιπετῆ τινὰ περὶ τοῦ Χριστοῦ παρὰ τὴν ἐκκλησιαστικὴν διδασκαλίαν φρονήσαντος, ὡς εἴρηται ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ δεκάτῳ ἐνάτῳ, ἠθροίσθη Σύνοδος ὀρθοδόξων κατ' αὐτοῦ, ὅτε καὶ ὁ Ἀλεξανδρείας Διονύσιος παρακληθεὶς ὡς ἂν ἐπὶ τὴν Σύνοδον ἀφίκοιτο, γῆρας ὁμοῦ καὶ ἀσθένειαν αἰτιασάμενος, ἀνατίθεται τὴν παρουσίαν, δι' ἐπιστολῆς τὴν γνώμην αὐτοῦ, ἣν ἔχει περὶ τοῦ ζητουμένου παραστήσας, οἱ δὲ λοιποὶ τῶν Ἐκκλησιῶν Ποιμένες ἄλλος ἄλλοθεν ὡς ἐπὶ λυμεῶνα τῆς Χριστοῦ ποίμνης συνίεσαν, οἱ πάντες ἐπὶ τὴν Ἀντιόχειαν σπεύδοντες, Εὐσέβιος βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ. ἐπεκράτησεν οὖν συνήθεια ἐξ ἐκείνου, ἵνα οἱ μὴ παραγενόμενοι Πατριάρχαι ἐπὶ τῶν κοινῶν Συνόδων, πέμπωσι Τοποτηρητὰς καὶ ἐπιστολὴν, τὴν μὲν ἐπιστολὴν, παριστῶντες τὴν γνώμην αὐτῶν, ἣν ἔχουσι περὶ τοῦ ζητουμένου, τοὺς δὲ Τοποτηρητὰς, ἵνα φέροντες τὴν πίστιν καὶ τὸν τόπον αὐτῶν, μετὰ τῶν λοιπῶν πατέρων ὁμοφώνως καὶ ὀρθοδόξως ὁρίσωσι τὴν γνῶσιν τοῦ ζητουμένου. καὶ ἐν μὲν τῇ πρώτῃ Συνόδῳ οὐφαίνεται ἐπιστολὴ τοῦ Ῥώμης Σιλβέστρου, ἀλλ' οὔτε ἐν τῇ δευτέρᾳ, ἐπειδὴ μήτε Τοποτηρηταὶ τοῦ Πάπα ἦσαν ἐν αὐτῇ. ἐν δὲ τῇ τρίτῃ ἔπεμψεν ὁ Κελεστῖνος ἐπιστολὴν πρῶτον μὲν τῷ ἁγίῳ Κυρίλλῳ, μεταταῦτα δὲ διὰ Τοποτηρητῶν ἑτέρων, ὡς εἴρηται ἀνωτέρω βιβλίου τρίτου κεφαλαίῳ δεκάτῳ πέμπτῳ, οὐ προστάττων τῇ Συνόδῳ, ἀλλὰ τὴν γνώμην αὐτοῦ παριστῶν, ἣν εἶχε περὶ τοῦ ζητουμένου. γράφει δὲ ἔτι καὶ συμβουλεύει ἵνα γένηται ἡ Σύνοδος κατὰ τὸ ἔθος τῶν ἀρχαίων ἁγίων Συνόδων, καὶ οὕτως οἱ πατέρες κοινῇ διορίσωσι περὶ τοῦ ζητουμένου. οὐ πέμπει δὲ μόνος ὁ Πάπας ἐπιστολὰς ἐν τῇ Συνόδῳ, ἀλλὰ καὶ οἱ λοιποὶ Πατριάρχαι, ὅταν μὴ σωματικῶς παραγένωνται ἐν αὐταῖς, καὶ ἰδὲ τοὺς τόπους περὶ τῆς ἕκτης καὶ ἑβδόμης. οὐ μὴν ἀλλὰ καὶ ὁ Καρθαγένης Ἀρχιεπίσκοπος Καπραίολος ἔπεμψεν ἐπιστολὴν τοιαύτην ἐν τῇ τρίτῃ Συνόδῳ διὰ Βεσούλα διακόνου, ὡς εἴρηται βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παραγράφῳ εἰκοστῷ ἐνάτῳ. καὶ ἐν τῇ ἐπὶ Μαρτίνου Συνόδῳ ἐν Ῥώμῃ ἔπεμψαν ἐπιστολὰς οἱ Μητροπολῖται τῆς Ἀφρικῆς καὶ ὁ Καρθαγένης, καὶ ἰδὲ κατωτέρω βιβλίου ἕκτου κεφάλαιον ἕβδομον. ἀναγινώσκονται δὲ ἐν ταῖς Συνόδοις αἱ ἐπιστολαὶ τῶν Πατριαρχῶν καὶ τοῦ Καρθαγένης ὥσπερ καὶ τοῦ Πάπα, καὶ ἐξίσου αἵτε τοῦ Πάπα, αἵτε τῶν Πατριαρχῶν, αἵτε τῶν Ἐπισκόπων γυμνάζονται, δοκιμάζονται, καὶ κρίνονται. καὶ αἱ μὲν ὀρθόδοξοι βεβαιοῦνται, αἱ δὲ ἑτερόδοξοι κατακρίνονται, καὶ ἔστω παράδειγμα τὰ γεγενημένα ἐν τῇ τρίτῃ Συνόδῳ περὶ τῶν ἐπιστολῶν Κυρίλλου, Κελεστίνου καὶ Νεστορίου καὶ τοῦ Καρθαγένης, καὶ ἰδὲ ἀνωτέρω τοὺς τόπους. ἐπειδὴ οὖν συνέβη τὰ κατὰ τὸν Εὐτυχῆ, ὁ Λέων ἔγραψεν ἐπιστολὴν περὶ πίστεως πρὸς τὸν Φλαυϊανὸν, ὡς εἴρηται ἀνωτέρω βιβλίου τρίτου κεφαλαίῳ ἐσχάτῳ, ἥτις καίτοι ὀρθόδοξος οὖσα, ἔδωκεν ὅμως πολλὴν ἀμφιβολίαν εἰς πολλοὺς, διὰ τὸ κεῖσθαι ἐν αὐτῇ ῥήματά τινα δοκοῦντα διαίρεσιν προσώπων ἐν τῷ Χριστῷ ἐννοεῖν, ἀλλὰ γενομένης τῆς παρούσης ἐν Χαλκηδόνι Συνόδου κατὰ Εὐτυχοῦς, καὶ ἀναγνωσθεῖσα ἡ ἐπιστολὴ, συγκριθεῖσά τε μετὰ τῶν ἐκθέσεων τῆς ἐν Νικαίᾳ καὶ ἐν Κωνσταντινουπόλει καὶ ἐν Ἐφέσῳ τῶν Οἰκουμενικῶν Συνόδων, εὑρέθη ὀρθόδοξος, ἀλλὰ πάλιν τινῶν ἀντιλεγόντων, ἡ Σύνοδος προσφωνοῦσα τῷ Βασιλεῖ κατὰ τὸ ἔθος, ἔγραψεν ὑπὲρ αὐτῆς ἀπολογίαν ὡς ῥηθήσεται, ἀλλὰ καὶ ἐν τῷ ὅρῳ αὐτῆς βεβαιοῦσα αὐτὴν ὅτι ἐστὶν ὀρθόδοξος, εἶπεν, ὅτι ἐστὶν ὥσπερ στήλη τις ὀρθοδοξίας. οἱ οὖν Λατῖνοι σπουδάζοντες ὑπὲρ τοῦ παπισμοῦ λέγουσιν, ὅτι στήλην ὀρθοδοξίας εἰποῦσα ἡ Σύνοδος τὴν ἐπιστολὴν, ἔδειξεν ὅτι ὁ συγγραψάμενος αὐτὴν ἔχει ἀναμάρτητον καὶ γενικὸν ἐν τῇ καθόλου Ἐκκλησίᾳ ἀξίωμα. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ψεύδονται οἱ παπισταὶ, καθότι τὴν ἐπιστολὴν οὐκ ἔγραψεν ὁ Λέων ὡς μονάρχης, ἀλλ' ὡς Πατριάρχης τῆς Ῥώμης μετὰ τῶν ὑπ' αὐτὸν Ἐπισκόπων, καὶ ἐκταύτης καταστρέφεται τὸ μοναρχικὸν ἀξίωμα. δεύτερον, ὅτι καὶ ἄλλοι Πατριάρχαι ἔγραψαν ἐπιστολὰς διὰ τὴν αὐτὴν αἰτίαν, καὶ τῷ αὐτῷ τρόπῳ, αἵτινες τῷ αὐτῷ τρόπῳ, ὡς εἴρηται, ἀνεγνώσθησαν ἐπὶ τῶν Συνόδων, καὶ τῷ αὐτῷ τρόπῳ ἐν τοῖς πρακτικοῖς αὐτῶν κατετάγησαν. τρίτον, ὅτι τῷ αὐτῷ τρόπῳ ἐδοκιμάσθησαν καὶ ἐκρίθησαν. τέταρτον, ὅτι τῷ αὐτῷ τρόπῳ ἐγένοντο ἐν αὐταῖς τῶν πατέρων αἱ συγκαταθέσεις, καὶ τῷ αὐτῷ τρόπῳ κατετάγησαν ἐν τοῖς πρακτικοῖς αὐτῶν. πέμπτον, ὅτι περὶ τῆς ἐπιστολῆς Κυρίλλου πολλὰ καὶ μεγάλα γίνονται ἐγκώμια ἐν ταῖς συγκαταθέσεσιν, ἐν αἷς Ἡσύχιος Παρείου Ἐπίσκοπος εἶπεν, ὅτι ὁ Κύριλλος τὴν ἐν Νικαίᾳ πίστιν ἐκύρωσεν. ἕκτον, ἐν τῇ ἑβδόμῃ Συνόδῳ ἀναγνωσθείσης τῆς ἐπιστολῆς τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς, ὁ Καισαρείας Ἀγάπιος εἶπε, τοῖς σταλεῖσι παρὰ τῶν τῆς Ἀνατολῆς Ἀρχιεπισκόπων πανιέροις γράμμασι πρὸς Ταράσιον τὸν Οἰκουμενικὸν Πατριαρ-

Πατριάρχην, ὡς στύλον εὐσεβείας ἀποδεξάμενος, κατὰ πάντα τρόπον στοιχῶ. καὶ ἐν τῇ αὐτῇ πράξει οἱ λοιποὶ ὁσιώτατοι Ἐπίσκοποι ἐξεφώνησαν, πᾶσα ἡ συναθροισθεῖσα ἁγία Σύνοδος τὴν γενομένην ἀναφορὰν παρὰ τοῦ Ἀδριανοῦ Πάπα τῆς πρεσβυτέρας Ῥώμης πρὸς τοὺς ὀρθοδόξους ἡμῶν Βασιλεῖς, καὶ τὸν νυνὶ ἀναγνωσθέντα χάρτην ὅρον ὀρθοδοξίας τοῦ Οἰκουμενικοῦ Πατριάρχου Ταρασίου ὄντα, καὶ τὰ ἀπὸ τῆς Ἀνατολῆς ἀναπεμφθέντα πρὸς τὴν αὐτοῦ μακαριότητα παρὰ τῶν Ἀρχιερέων γράμματα ἀποδεχόμενοι, στοιχοῦμεν, καὶ προσκυνοῦμεν τὰς ἁγίας Εἰκόνας, πράξει τετάρτῃ. καὶ σημείωσαι ὅτι ἡ μὲν Λέοντος ἐπιστολὴ ἐκλήθη οὐ στήλη ὀρθοδοξίας ἁπλῶς, ἀλλὰ στήλη τις ὀρθοδοξίας, ἐπειδὴ καὶ ἄλλαι στῆλαι εἰσὶν ὀρθοδοξίας, τὰ δὲ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς γράμματα ἐκλήθη στύλος εὐσεβείας, ἡ δὲ τοῦ Ταρασίου πρὸς τοὺς Ἀνατολικοὺς ἐπιστολὴ ἐκλήθη ὅρος ὀρθοδοξίας, ἅπερ, στήλη ὀρθοδοξίας, στύλος εὐσεβείας, ὅρος ὀρθοδοξίας ταὐτά ἐστι. καὶ ὡς αἱ ἐπιστολαὶ Ταρασίου καὶ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς οὐκ ἔλαβον ἐκ τούτων τῶν ὀνομάτων ἰδικὸν ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ, οὕτως οὐδὲ ὁ Πάπας ἐκ τούτων λαμβάνει τοιοῦτόν τι. ἔστι δὲ εἰπεῖν, ὅτι μείζων ὁ ἔπαινος τοῦ Ταρασίου καὶ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς τοῦ ἐπαίνου τοῦ Ῥώμης, τοῦ μὲν γὰρ Λέοντος ἐκλήθη στήλη τις ὀρθοδοξίας, ὡς εἴρηται, τῶν δὲ Ἀρχιερέων ἁπλῶς στύλος τῆς εὐσεβείας, ὥσπερ καὶ τοῦ Ταρασίου ἁπλῶς ὅρος ὀρθοδοξίας. ἰδὲ περὶ τῆς δυνάμεως τῶν Πατριαρχικῶν ἐπιστολῶν βιβλίου ἕκτου κεφάλαιον δέκατον τέταρτον. Ἀνθυποφέρουσιν οἱ παπολάτραι, λέγοντες ὅτι οὐκ ἀνεγνώσθη ἡ ἐπιστολὴ τοῦ Λέοντος ἐν τῇ Συνόδῳ ἐν εἴδει ἐξετάσεως, ἀλλ' ὡς προφορὰ ἀποφάσεως. Ἀλλὰ ῥητέον ὅτι τὸ ἐναντίον δείκνυται ἐκ τῶν προσεχῶς εἰρημένων. ἰδὲ καὶ κατωτέρω Παράγραφον εἰκοστὸν ἕκτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΣ'.

Περὶ τῶν θεωρουμένων ἐν τῇ περὶ Φωτίου Τύρου, καὶ Εὐσεβίου Βηρυτοῦ πράξει, ἐξ ὧν δείκνυται τὴν παροῦσαν Σύνοδον τοῖς Κανόσι διδόναι τὸ κῦρος, καὶ τοὺς τοῖς Κανόσιν ἐναντίως ἔχοντας πραγματικοὺς τύπους ἀκυροῦν σὺν τῇ Ἐκκλήτῳ τοῦ Κωνσταντινουπόλεως.

Ἐν τῇ περὶ Φωτίου Τύρου, καὶ Εὐσεβίου Βηρυτοῦ πράξει θεωρητέον πρῶτον, ὅτι οἱ Ἄρχοντες εἶπον, Τῷ θειοτάτῳ Δεσπότῃ τῆς Οἰκουμένης ἤρεσε μὴ κατὰ θεῖα γράμματα ἢ πραγματικοὺς τύπους τὰ τῶν Ἐπισκόπων προβαίνειν, ἀλλὰ κατὰ τοὺς Κανόνας τοὺς παρὰ τῶν ἁγίων πατέρων νομοθετηθέντας, οἷς συμφωνοῦσα ἡ Σύνοδος εἶπε, κατὰ τῶν Κανόνων πραγματικὸν μηδὲν ἰσχύειν. οἱ Ἄρχοντες πάλιν εἶπον, νῦν καιρός ἐστι διδαχθῆναι ἡμᾶς παρὰ τῆς ἁγίας Συνόδου, εἰ ἔξεστι κατὰ θεῖον πραγματικὸν ἀλλοτρίας Ἐκκλησίας δίκαια ἑτέρους Ἐπισκόπους παραιρεῖσθαι. ἡ ἁγία Σύνοδος εἶπεν, οὐκ ἔξεστι τοῦτο, παρὰ Κανόνας γάρ ἐστι. δεύτερον, Σύνοδος ἐν Κωνσταντινουπόλει γέγονεν, ἐν ᾗ καὶ ὁ Ἀντιοχείας Μάξιμος μὴ παρὼν ἐν αὐτῇ, ὑπέγραψεν ἐν τοῖς ὑπ' αὐτῆς ὁρισθεῖσιν, ἔπεμψε δὲ ὁ Ἀνατόλιος ἀκοινωνησίαν τῷ Τύρου. ἐξεταζόμενος δὲ ὑπὸ τῆς Συνόδου ταύτης τῆς ἐν Χαλκηδόνι περὶ τούτου ὁ Ἀνατόλιος, ἀπολογούμενος εἶπεν, ἀνακόλουθά τινα ὁ Φώτιος ἔπραξε, καὶ ἀγανακτήσασα ἡ Σύνοδος ἡ ἐνταῦθα, κατὰ Κανόνας ἀκοινωνησίαν ἔπεμψεν αὐτῷ. πρὸς ταῦτα οἱ Ἄρχοντες εἶπον, λεγέτω ἡ ἁγία Σύνοδος, εἰ ἐξῆν τῷ ἁγιωτάτῳ Ἀρχιεπισκόπῳ Ἀνατολίῳ, ἀπόντι Φωτίῳ ἀκοινωνησίαν καταπέμψαι, καὶ προστάττειν ἀφαιρεθῆναι αὐτοῦ φανερὰς κατὰ τὴν Ἐπαρχίαν Ἐκκλησίας, καὶ εἰ Σύνοδον χρὴ καλεῖν τῶν ἐπιδημούντων τῇ βασιλίδι πόλει τὴν συνέλευσιν. καὶ πάντες οἱ πατέρες ἐβόησαν, ἀπόντα οὐδεὶς κατακρίνει. ὁ Ἀνατόλιος εἶπε πάλιν, συνήθεια ἄνωθεν κεκράτηκε τοὺς ἐνδημοῦντας τῇ μεγαλωνύμῳ πόλει ἁγιωτάτους Ἐπισκόπους, ἡνίκα καιρὸς καλέσει περὶ ἀνακυπτόντων τινῶν ἐκκλησιαστικῶν πραγμάτων, συνεῖναι καὶ διατυποῦν ἕκαστα, καὶ ἀποκρίσεως ἀξιοῦν τοὺς δεομένους, οὐδὲν τοίνυν καινοτομίας παρ' ἐμοῦ ἐχόμενον γεγένηται, οὐδὲ οἱ συνεδρεύσαντες κατὰ τὸ σύνηθες οἱ ἐνδημοῦντες ἁγιώτατοι Ἐπίσκοποι καινὸν τύπον ἐξήνεγκαν, καὶ δείκνυσι τὴν παρουσίαν τῶν Ἐπισκόπων ἡ γενομένη πρᾶξις. πρὸς ταῦτα οὖν σημείωσαι, πρὸς μὲν τὸ πρῶτον, ὅτι πᾶσα ἡ παροῦσα πρᾶξις τοῖς Κανόσι δίδωσι τὸ κῦρος, καὶ τοὺς ἐναντιουμένους τοῖς Κανόσι πραγματικοὺς τύπους ἀκυροῖ, ὥστε καὶ τὸ καλούμενον θέσπισμα τοῦ μεγάλου Κωνσταντίνου εἰδοτέον ἀληθὲς εἶναι, ἀλλὰ παρὰ Κανόνας ὄν, ἄκυρόν ἐστι. καὶ ἡ παρὰ τῶν Σιναϊτῶν προβαλλομένη διαταγὴ τοῦ Ἰουστινιανοῦ ἡ ποιοῦσα τὸν Ἐπίσκοπον αὐτῶν Ἀρχιεπίσκοπον αὐτοκέφαλον, εἰ καὶ ψευδὴς καὶ πλάσμα ἐστὶν, ἀλλὰ καὶ εἰ ἀληθὴς ἦν, ὡς παρὰ Κανόνας οὖσα, ἄκυρός ἐστι καὶ ματαία. πρὸς δὲ τὸ δεύτερον, ὅτι καίτοι πολλὰ εἰπόντος Ἀνατολίου καὶ προφασιζομένου, καὶ μάλιστα ὅτι οὐκ αὐτὸς, ἀλλ' ἡ Σύνοδος ἔκρινεν, ἀλλ' ἐπειδὴ ἀπόντα καὶ παρ' ἐνορίαν ἔκρινε, πάντα τὰ διορισθέντα ἠθετήθη, καὶ ὁ παρ' αὐτοῦ καθαιρεθεὶς Φώτιος ἐδικαιώθη. καὶ τὰς Ἐπισκοπὰς τοῦ Τύρου, ἃς ὁ Ἀνατόλιος ἔλαβε καὶ ἔδωκε τῷ Βηρυτοῦ, ἡ Σύνοδος ἔδωκε τῷ Τύρου. μάταιον ἄρα τὸ θρυλλούμενον ὑπό τινων, ὅτι ὁ Κωνσταντινουπόλεως ἔλαβε παρὰ τῆς ἐν Χαλκηδόνι Συνόδου Ἔκκλητον ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἐπειδὴ ταύτην μάλιστα λαμπρότατα καὶ καθαρώτατα κατέστρεψε καὶ ἀνέτρεψεν ἡ ἐν Χαλκηδόνι Σύνοδος, ὡς εἴρηται καὶ ῥηθήσεται.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Περὶ τῶν θεωρουμένων ἐν τῇ πέμπτῃ πράξει τῆς παρούσης Συνόδου, ἐν οἷς ἡ Σύνοδος κριτὴς τοῦ Ῥώμης, καὶ τῆς πίστεως βεβαιωτὴς δείκνυται, καὶ ἡ μοναρχία καταστρέφεται τοῦ Ῥώμης.

Ἐν τῇ πέμπτῃ πράξει θεωρητέον, ὅτι ἐκτεθεὶς ὁ τῆς πίστεως ὅρος παρὰ τῆς Συνόδου, ἠρωτήθη παρὰ Ἀνατολίου Κωνσταντινουπόλεως εἰ ἀρέσκει, καὶ πάντες εἶπον ὅτι ἀρέσκει. πλὴν τινῶν Ἀνατολικῶν, καὶ τῶν Τοποτηρητῶν τοῦ Ῥώμης, εἵτινες Τοποτηρηταὶ εἶπον, εἰ μὴ συναινοῦσι τῇ ἐπιστολῇ τοῦ Λέοντος, κελεύσατε ἡμῖν ἀντίγραφα δοθῆναι ἵνα ἀναστρέψωμεν, κἀκεῖ Σύνοδος τελεῖται. ἀλλ' οἱ πατέρες ἐβόησαν, τὸν ὅρον τὸ ἅγιον Πνεῦμα ὑπηγόρευσεν ἄρτι ὑπογραφῇ, ὁ μὴ ὑπογράφων Αἱρετικός ἐστιν. οἱ Ἄρχοντες εἶπον, δέχεσθε τὴν ἐπιστολὴν Λέοντος, οἱ πατέρες εἶπον, ναὶ, οἱ Ἄρχοντες εἶπον, οὐκοῦν τὰ ἐν αὐτῇ ἐμφερόμενα ἐντεθῇ τῷ ὅρῳ. οἱ πατέρες εἶπον, ἄλλος ὅρος οὐγίνεται, τὴν ἐπιστολὴν ὁ ὅρος ἐβεβαίωσε. καὶ γενομένης συζητήσεως πολλῆς καὶ σκέψεως, οὐκ ἐτέθη ἐν τῷ ὅρῳ ἡ ἐπιστολὴ, ἀλλ' ἀπ' αὐτῆς μόνον τὸ, δύο φύσεις εἶναι ἡνωμένας ἀτρέπτως, ἀμερίστως, καὶ ἀσυγχύτως ἐν τῷ Χριστῷ. ἐν οἷς σημείωσαι ὅτι κριτὴς καὶ βεβαιωτὴς τοῦ Ῥώμης ἡ Σύνοδος. δεύτερον, ὅτι βεβαιωτὴς τῆς πίστεως ἡ Σύνοδος. τρίτον, ὅτι ἡ μὲν τρίτη Σύνοδος πᾶσαν τὴν ἐπιστολὴν τοῦ Κυρίλλου πρὸς Νεστόριον ἴδιον ὅρον ἐποίησεν, ὅπερ ἐνταῦθα πολλὰ μογήσαντες οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης ποιῆσαι, οὐκ ἴσχυσαν, μεῖζον ἄρα τοῦ Λέοντος τὸ ἀξίωμα τοῦ Κυρίλλου, καὶ μείζων ἡ ἐξουσία τῆς Συνόδου τοῦ Πάπα, καὶ οἱ Λεγᾶτοι τοῦ Ῥώμης εἰς οὐδὲν λογίζονται, καὶ κρίνονται καὶ παρορῶνται ὡς παράλογα, ταὐτὸν εἰπεῖν ὡς προφανῶς ἡμαρτημένα αἰτούμενοι. καὶ κατέστραπται κἀντεῦθεν ἡ ἀδίκως ἐκ τούτων συμπεραινομένη μετὰ τὸ σχίσμα πομπηϊκὴ μοναρχία.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Περὶ τῶν ἐν τῷ ὅρῳ τῆς πέμπτης πράξεως θεωρουμένων, ἐν οἷς τῆς Συνόδου ἀθροισταὶ οἱ Βασιλεῖς δείκνυνται, καὶ ἡ Οἰκουμενικὴ Σύνοδος κριτὴς τῶν Αἱρέσεων ἔσχατος, καὶ ἄκρος τῆς πίστεως διδάσκαλος, καὶ ἐπὶ πάντων, καὶ βεβαιωτὴς πάντων τῶν ὁρισθέντων ταῖς ἐν τῷ ὅρῳ ὑπογραφαῖς τῶν Ἐπισκόπων, καὶ ἴσος ὁ Λέων καὶ Φλαυϊανὸς τῇ ἀξίᾳ, ἐξ ὧν ἀναιρεῖται καὶ ἡ μοναρχία τοῦ Ῥώμης ἐξαχῶς.

Ἐν τῇ αὐτῇ πράξει, ἐν τῷ ὅρῳ σημείωσαι πρῶτον, ὅτι τὴν Σύνοδον οἱ Βασιλεῖς ἤθροισαν, ἥτις κοινῇ ψήφῳ τὰ τῆς πλάνης ἀπήλασε δόγματα, τὴν δὲ ἀπλανῆ τῶν πατέρων ἀνενέωσε πίστιν, καὶ προτεθεῖσα τὰ Σύμβολα τὸ τῆς πρώτης καὶ τὸ τῆς δευτέρας καὶ τὰς ἐπιστολὰς Κυρίλλου, συνήρμοσεν αὐτοῖς τὴν ἐπιστολὴν Λέοντος, καὶ διέλυσε τὰ ἀμφίβολα, ἅπερ οὐκ ἴσχυσε διαλῦσαι οὔτε Πάπας, οὔτε ἕτερός τις Πατριάρχης, ἢ Σύνοδος μερικὴ, ὥστε κριτὴς τῶν Αἱρέσεων ἔσχατος καὶ τῆς πίστεως ἄκρος Διδάσκαλος ἡ Οἰκουμενική ἐστι Σύνοδος, ὅθεν καὶ ἐπὶ πάντων ἐστί. φανερωτάτη ἄρα φλυαρία τὸ τῶν Λατίνων, ὅτι ὁ Ῥώμης κριτὴς τῶν Αἱρέσεων καὶ κοινὸς Διδάσκαλος κατ' ἐξοχὴν, καὶ ἐκεῖνο τὸ ἐπ' ὀνόματι τοῦ Σιλβέστρου διαβολικὸν, ὅτι ὁ πρῶτος θρόνος οὐ κρίνεται. δεύτερον, ὅτι τῆς τρίτης Συνόδου Ἡγεμόνες ἐτύγχανον Κελεστῖνος καὶ Κύριλλος. τρίτον, Ἀρχιεπίσκοποι καλοῦνται ἐξίσου Λέων καὶ Φλαυϊανός. τέταρτον, ὅτι οὐχ ὁ Ῥώμης, ἀλλ' ἡ Σύνοδος αὐτεξουσίως καὶ κυρίως ὁρίζει, τυποῖ, διατυποῖ, ἀθῳοῖ, ἐπιτιμᾷ, ἐμποδίζει, βεβαιοῖ, συναρμόττει, συγκροτεῖ, ἐκδιδάσκει καὶ κυροῖ. πέμπτον, οἱ Μητροπολῖται ὑπογράφουσιν ἐν τῷ ὅρῳ καὶ στοιχοῦσι καὶ βεβαιοῦσι τὰ ὁρισθέντα, ὥστε τῷ αὐτῷ τρόπῳ ἔγραφεν ἡ Σύνοδος τῷ Λέοντι, ἵνα καὶ ἐκεῖνος βεβαιώσῃ, ἤτοι ἵνα στοιχήσῃ, ἀκολουθήσῃ καὶ συμφωνήσῃ. ἕκτον, ὅτι οἱ τῆς Συνόδου πατέρες κοινῶς τὸν ὅρον ἐτύπωσαν, ἐξ ὧν ἁπάντων κραταιῶς ἀναιρεῖται τὸ ψιθυρισμάτιον τῶν Λατίνων περὶ μοναρχίας καὶ ἐξουσίας ἰδικῆς τοῦ Πάπα ἐν τῇ Ἐκκλησίᾳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'.

Περὶ προσφωνητικοῦ τοῦ Βασιλέως ἐν τῇ ἕκτῃ πράξει πρὸς τὴν Σύνοδον, καὶ ὧν ἠρώτησε περὶ τοῦ ὅρου αὐτῆς, καὶ ὧν ἀπεκρίθη αὐτῷ ἡ Σύνοδος ἄνευ μνήμης τοῦ Ῥώμης, ἐξ ὧν δηλοῦται ἀθροιστὴν εἶναι μόνον αὐθεντικῶς τῆς Συνόδου τὸν Βασιλέα, καὶ τῆς πίστεως βεβαιωτὴν, τὴν δὲ Σύνοδον πάντων τῶν περὶ τὴν πίστιν ἄκρον καὶ ἀληθέστατον ἀβιάστως διορθωτὴν, τὸν δὲ Ῥώμης οὐμονάρχην, ἀλλ' ἕνα τῶν τῆς Συνόδου πατέρων.

Ὁ Βασιλεὺς ἐν τῇ ἕκτῃ πράξει προσφωνεῖ τῇ Συνόδῳ καὶ λέγει, τινῶν τοῦτο μὲν χρημάτων ἐπιθυμίαις, τοῦτο δὲ φαύλαις σπουδαῖς φρονούντων διάφορα, καὶ παρὰ τὴν τῶν ἁγίων πατέρων πίστιν καὶ διδα-

διδασκαλίαν τοῖς πλήθεσιν ἐκτιθεμένων πλάνης γέμοντα ἐπισφαλοῦς, ταύτην ἰάσασθαι βουλόμενοι, τὴν ἁγίαν ὑμῶν ἠθροίσαμεν Σύνοδον, ἀποτέλεσμα ἔσεσθαι μέγιστον, πιστεύσαντες τὴν τῆς ἀληθοῦς θρησκείας βεβαίωσιν. Καὶ, ἡ ἀλήθεια ταῖς ὑμῶν ἐκθέσεσι φανερούσθω. Καὶ, ἔργον τοίνυν γενέσθω τῆς ὑμετέρας εὐλαβείας, ἵνα ὁμογνώμονι ψυχῇ καθάπερ ἐν τῇ Νικαέων ἐν τῇ ὁσιωτάτῃ τῶν πατέρων Συνόδῳ φανερωθεῖσα ἡ πίστις, πλάνης μὲν ἠλευθέρωσε τοὺς ἀνθρώπους, εἰς φῶς δὲ προαχθεῖσα, πᾶσιν ἐγνώσθη, παραπλησίως καὶ νῦν διὰ τῆς ὑμετέρας Συνόδου, πᾶν μὲν ἀμφίβολον ἐν τῷ ὀλίγῳ τούτῳ χρόνῳ τεχθὲν, καθὼς ἔφαμεν φαυλότητι τινῶν καὶ ἀπληστίᾳ, περικοπῇ, ἐς ἀεὶ δὲ τὰ παρ' ὑμῶν δικαιούμενα φυλαχθείη. ταῦτα τοῦ Βασιλέως εἰπόντος, ἀνεγνώσθη ὁ Ὅρος καὶ ὑπεγράφη παρὰ πάντων τῶν πατέρων. εἶτα ὁ Βασιλεὺς ἠρώτησεν, εἰ κατὰ συνέλευσιν πάντων τῶν πατέρων ὁ Ὅρος ἐξεφωνήθη, καὶ εἶπον, ναὶ, καὶ μυρία ἐγκώμια αὐτοῦ, καὶ ὅτι ἡ καθέσπισμα αὐτοῦ συνειλεγμένη ἁγία αὕτη καὶ μεγάλη καὶ Οἰκουμενικὴ Σύνοδος μετὰ πλείστης ὅσης ἐκ πολλῶν ἡμερῶν σχολῆς καὶ θείας ἐμμελείας πᾶσαν διχόνοιαν ἐκποδὼν πεποίηκε, καὶ πᾶσαν ἀπήλασε κενοφωνίαν ἐκ τῶν θείων γραφῶν (οὐκ ἐκ τοῦ Πάπα) ὀχυρωθεῖσα, καὶ τῶν ἁγίων πατέρων (οὐ τοῦ Πάπα μόνου) διατηρήσασα τὴν διάνοιαν πρὸς γνῶσιν ἀκριβῆ τῶν ἐντυγχανόντων, καὶ Στέφανον ἀγήρω τοῦ Βασιλέως. σημείωσαι ὅτι ὅτε ὁ Βασιλεὺς ἠρώτησε τοὺς πατέρας, εἰ κατὰ συναίνεσιν πάντων ὁ Ὅρος ἐξεφωνήθη, οὐκ ἐμνήσθη τοῦ Ῥώμης, οὔτε εἶπεν, εἰ συναινοῦσι τῷ κοινῷ Διδασκάλῳ Ἐπισκόπῳ Ῥώμης, ἀλλ' εἰ οἱ τῆς Συνόδου πατέρες πάντες συναινοῦσι, καὶ οἱ πατέρες ἀποκριθέντες, οὐκ ἐμνήσθησαν τοῦ Ῥώμης, ἀλλὰ τῶν Ἀποστόλων καὶ τῶν πατέρων, λέγουσι δὲ τῷ Βασιλεῖ, ὅτι ἐβεβαίωσε τὴν ὀρθοδοξίαν, καλοῦσι δὲ αὐτοὺς φωστῆρας ὀρθοδοξίας, εἰρήνης, καὶ τῆς Οἰκουμένης, Διδασκάλους τῆς πίστεως, καὶ ὀρθωτὰς τῆς πίστεως, καὶ τῆς πίστεως φύλακας, ὁ δὲ Βασιλεὺς ἀποκριθεὶς εἶπε τοῖς πατράσιν, ὅτι τὴν διχόνοιαν τῶν πλανωμένων ἀνήρηκαν, καὶ ὅτι ἡ εὐσεβὴς καὶ καθολικὴ πίστις διὰ τῆς Οἰκουμενικῆς Συνόδου ἐφανερώθη, καὶ ὅτι οἱ ἀπειθοῦντες τῇ ἀποφάσει τῆς Συνόδου ἵνα παιδεύωνται. ἐξ ὧν γίνεται δῆλον, ὅτι ὁ Βασιλεὺς ἀγείρει τὴν Σύνοδον, καὶ πάντα τὰ ἀνήκοντα αὐτῇ πρὸς ὀρθοδοξίαν ἐνεργεῖ, καὶ ὅτι διὰ τῆς καθόλου κοινότητος λύονται αἱ περὶ τῆς πίστεως ἀμφιβολίαι, καὶ βεβαιοῦται ἡ ἀλήθεια, καὶ ὅτι οὐδεὶς διάζεται ἐν τῇ Συνόδῳ, καὶ οὐδὲν γίνεται ἐν αὐτῇ δολίως, καὶ ὅτι δι' ἐμμελείας καὶ πολυημέρου φροντίδος καὶ σκέψεως τῶν πατέρων τῆς Συνόδου ἀπότε τῶν ἁγίων γραφῶν καὶ τῶν ἁγίων πατέρων λύουσι τὴν διχόνοιαν, ἀποδιώκουσι πᾶσαν κενοφωνίαν, καὶ τὴν ἀκριβῆ γνῶσιν διατυποῦσι τοῖς ἐντυγχάνουσιν, ἐν οἷς εἷς ἐστι καὶ ὁ Πάπας τῆς Ῥώμης. ψευδὴς ἄρα ἡ τῶν παπιστῶν ὑπόληψις, ὅτι ὁ Πάπας μόνος διὰ θείας ἀποκαλύψεως διατυποῖ καὶ ἡ περὶ τῆς μοναρχίας τοῦ Πάπα: καὶ ἐπάρατος ἡ ἐν Φλωρεντείᾳ Σύνοδος, ἐναντία διαπραξαμένη ταύτῃ καὶ ταῖς λοιπαῖς καθολικαῖς Συνόδοις. εἰ δὲ ἐν τῇ ὑπογραφῇ τοῦ Ὅρου λέγουσιν οἱ Λεγάτοι τοῦ Ῥώμης τὸν Πάπαν πάσης Ἐκκλησίας Ἐπίσκοπον, ἀλλ' ῥητέον πρῶτον, ὅτι μόνοι αὐτοὶ εἶπον τοῦτο, οὐδεὶς δὲ ἕτερος. δεύτερον, ὅτι καὶ πάντες οἱ Ἐπίσκοποι τῆς Οἰκουμένης, ταὐτὸν εἰπεῖν πασῶν τῶν Ἐκκλησιῶν Ἐπίσκοποί εἰσι. καὶ ἰδὲ κατωτέρω βιβλίου δεκάτου μέρους πέμπτου κεφαλαίου πρώτου Παράγραφον τρίτον. τρίτον, ὅτι πάντες οἱ Ἐπίσκοποι λέγουσιν ἐν ταῖς ὑπογραφαῖς ἰσοτίμως, ὁρίσας, ἢ συναινέσας ὑπέγραψα, ἐξ ἰδίας Αὐθεντίας δηλονότι καὶ οὐκ ἀπὸ προσταγῆς ἑτέρου.

ΠΑΡΑΓΡΑΦΟΝ Κ'.

Περὶ τῶν ἐν τῇ ἑβδόμῃ πράξει τῆς παρούσης Συνόδου θεωρουμένων, ὑφ' ἧς βεβαιοῦται ἡ συμβίβασις τοῦ Ἱεροσολύμων καὶ Ἀντιοχείας περὶ τῶν ὁρίων αὐτῶν, καὶ δείκνυται εἶναι τὴν Σύνοδον ἐπὶ τῶν Πατριαρχῶν καὶ τοῦ Ῥώμης.

Ἐν τῇ ἑβδόμῃ πράξει βεβαιοῖ ἡ Σύνοδος τὴν συμβίβασιν τοῦ Ἱεροσολύμων καὶ Ἀντιοχείας περὶ τῶν ὁρίων τῶν ἐνοριῶν αὐτῶν. ὥστε καὶ ἐκτούτου δῆλον, ὅτι οὐχ ὁ Πάπας, ἀλλ' ἡ Σύνοδος βεβαιοῖ τὰ τῶν Πατριαρχῶν, ὅθεν καὶ ἐπὶ τῶν Πατριαρχῶν ἐστιν, ἐν οἷς καὶ ὁ Πάπας. καὶ τὰ Ἱεροσόλυμα οὐκ ἐπὶ τοῦ Ἰουστινιανοῦ γέγονε Πατριαρχεῖον, ὡς ἀπατῶνται τινὲς κενοφῶνοι. σημείωσαι πρῶτον, ὅτι ὁ Ἀντιοχείας λέγει τὴν Ἀντιόχειαν θρόνον τοῦ Πέτρου. δεύτερον, ὅτι ἔργον γέγονε τῆς ἁγίας Συνόδου καὶ τῆς προθέσεως τοῦ Βασιλέως, ἵνα τὰ ἀμφισβητούμενα ὁμογνώμονι τέμνωνται προθέσει. καὶ σημείωσαι πῶ τοῦ Ῥώμης ἡ κρίσις καὶ ἡ τομὴ εἰς τὰ ἀμφισβητούμενα; τρίτον, οἱ αὐτοὶ Ἄρχοντες εἶπον, ὅτι τὴν ψῆφον τῆς Συνόδου καὶ αὐτοὶ βεβαιοῦσι, καὶ ὅτι ἵνα μείνωσιν ἀργὰ πάντα τὰ βασιλικὰ γράμματα τὰ δοθέντα περὶ ταύτης τῆς ὑποθέσεως.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Περὶ τῶν ἐν τῇ ὀγδόῃ πράξει τῆς παρούσης Συνόδου θεωρουμένων, πρὸς ἣν καὶ ἐπιστολὴν Λέων ὁ Ῥώμης περὶ

τῶν

τῶν ἠδικημένων ὑπὸ Διοσκόρου, καὶ τῶν παραπεπτωκότων, καὶ ὑπὲρ τοῦ Θεοδωρίτου ἔπεμψε καὶ Ἰουβεναλίου, ἧς τῶν ῥητῶν εἰς σύστασιν μοναρχίας τοῦ Ῥώμης οἱ παπισταὶ ἐπιλαμβανόμενοι, ἐλέγχονται ἐνταῦθα ψευδόμενοι ἐκ τῶν ἐν τῇ πρώτῃ καὶ τετάρτῃ πράξει τῆς Συνόδου εἰρημένων τετραχῶς.

Ἐν τῇ ὀγδόῃ πράξει θεωρητέον, ὅτι ὁ Θεοδώριτος καθαιρεθεὶς πρότερον διὰ τὰς πρὸς τὸν μέγαν Κύριλλον βλασφημίας, καὶ ὑπὸ τοῦ Διοσκόρου περὶ τούτου μεταταῦτα, καὶ πάντων ἀντικειμένων αὐτῷ τῶν Ἀνατολικῶν, εἰς ἑαυτὸν ἐλθὼν, ἔγραψεν ὡς ὀρθόδοξος τῷ ὀρθοδόξῳ Λέοντι κατὰ τὸ ἔθος τῆς Ἐκκλησίας, ἐν ᾗ τοῖς κοινωνικοῖς γράφει ἕκαστος, καὶ μάλιστα τῷ Λέοντι ἔγραψεν, ὡς τὴν Αὐθεντίαν ἐν τῇ Συνόδῳ τότε λαβόντι παρὰ τοῦ Βασιλέως. ὁ δὲ Λέων, ὡς εἴπομεν ἀνωτέρω ἐν ταῖς εἰς τὰς ἐπιστολὰς σημειώσεσιν, ἔγραψεν εἰς πολλοὺς, καὶ δὴ καὶ πρὸς ταύτην τὴν Σύνοδον τὴν γνώμην αὐτοῦ περὶ τῶν ἠδικημένων παρὰ τοῦ Διοσκόρου, ἵνα ἀποκατασταθῶσιν (ὡς ἔγραψεν ἡ τρίτη Σύνοδος ἐν Κανόνι περὶ ὧν καθεῖλεν ὁ Νεστόριος) καὶ περὶ τῶν παραπεπτωκότων (ἤτοι τῶν τὴν Αἵρεσιν τοῦ Διοσκόρου δεξαμένων) ἵνα δεχθῶσιν, εἴγε μετανοήσωσι. τὰ αὐτὰ ἔγραψε καὶ περὶ τῶν παρατραπέντων (ἤτοι βιασθέντων) ὑπὸ τοῦ Διοσκόρου, ἐν οἷς καὶ περὶ Θεοδωρίτου ἰδίως. Ἀλλ' οἱ παπισταὶ τοῦτο τὸ τοῦ Λέοντος περὶ τῶν τοιούτων φρόνημα καὶ τὴν γνώμην, ὅπερ καὶ ἄλλοι πατέρες τοῖς τοιούτοις πεποιήκασι, χρῶνται εἰς σύστασιν τῆς ἀρχῆς τοῦ Πάπα, λέγοντες, ἰδοὺ Λέων ὁ Πάπας ἀποκατέστησε τὸν Ἰουβενάλιον καὶ τοὺς σὺν αὐτῷ, ἀκολουθήσαντας Διοσκόρῳ, εἰ καὶ βίᾳ, καὶ δὴ καὶ τὸν Θεοδώριτον, ἔχει ἄρα ἄκραν ἐξουσίαν ὡς ἐνεργῶν ὅπου, καὶ ὅπως ἂν βούλοιτο. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, ἐπειδὴ ὁ Πάπας οὐ δύναται ἐνεργεῖν ὅπου, καὶ ὅπως ἂν βούλοιτο, οὐκ ἔχει ἄκραν ἐξουσίαν. δείκνυται τὸ λεγόμενον, ὁ Πάπας Λέων ἐδικαίωσε τὸν Θεοδώριτον, καὶ ἔγραψε τὴν κρίσιν αὐτοῦ πρὸς τὴν Σύνοδον, ὅθεν ἔλεγον οἱ Ἄρχοντες ἐν τῇ πρώτῃ πράξει, εἰσίτω ὁ Θεοδώριτος κοινωνήσων τῇ Συνόδῳ, ἐπειδὴ καὶ ἀποκατέστησεν αὐτῷ τὴν Ἐπισκοπὴν ὁ Λέων, καὶ ὁ Βασιλεὺς παρεῖναι αὐτὸν τῇ Συνόδῳ ἐθέσπισε. ταῦτα εἰπόντων τῶν Ἀρχόντων, καὶ εἰσελθόντος τοῦ Θεοδωρίτου, οἱ Αἰγύπτιοι καὶ Ἰλλυρικοὶ καὶ Παλαιστινοὶ Ἐπίσκοποι ἐβόησαν, τὸν Αἱρετικὸν, τὸν Διδάσκαλον Νεστορίου, τὸν ἀναθεματίσαντα τὸν Κύριλλον ἔξω βάλλε. ταῦτα εἰπόντων τῶν εἰρημένων Ἐπισκόπων, οὐδεὶς ἀντεῖπεν, οὐδεὶς εἶπεν ὅτι ἀθετοῦντες τὴν ἐπιταγὴν τοῦ Ῥώμης βλασφημεῖτε, καὶ μὴ πειθόμενοι τῷ Πάπᾳ, ἁμαρτάνετε, ὡς βλασφημοῦσιν οἱ παπισταὶ λέγοντες, ὅτι οἱ μὴ πειθόμενοι τῷ Πάπᾳ, οὐκ εἰσὶ Χριστιανοὶ, ἀλλὰ δυσωπηθέντες ὑπὸ τῶν Ἀρχόντων ἵνα ἔχωνται τῆς ἀκροάσεως τῶν ἀναγινωσκομένων, ἐσιώπησαν. καὶ ταῦτα μὲν ἐκεῖ, ἐν δὲ τῇ παρούσῃ πράξει ὁ Θεοδώριτος σταθεὶς ἐν μέσῳ τοῦ συνεδρίου, δεήσεις ἐπιδέδωκε τῷ Βασιλεῖ καὶ τοῖς Λεγάτοις τοῦ Πάπα, εἰπὼν, εἰ δοκεῖ, ἀναγινωσκέσθωσαν ὑφ' ὑμῶν, καὶ μαθήσεσθε ὅπως φρονῶ. ἀλλ' οἱ πατέρες τῆς Συνόδου οὔτε τὸν Πάπαν, οὔτε τὸν Βασιλέα, οὔτε τοὺς Ἄρχοντας, οὔτε τοὺς Λεγάτους τοῦ Πάπα δυσωπηθέντες, ἐβόησαν ἀναγνωσθῆναι (τὸν λίβελλον τοῦ Θεοδωρίτου) οὐ θέλομεν, τὸν Νεστόριον ἀναθεμάτισον, καὶ φανερῶς εἰπὲ, ἀνάθεμα Νεστορίῳ καὶ τοῖς δόγμασιν αὐτοῦ, ἀνάθεμα Νεστορίῳ καὶ τοῖς φιλοῦσιν αὐτόν. καὶ πάλιν πολλὰ δικαιολογηθεὶς ὁ Θεοδώριτος, οὐδὲν ὠφελήθη. ἀλλὰ πάλιν ἤκουσε παρὰ τῶν πατέρων, οὗτος Αἱρετικός ἐστι, Νεστοριανός ἐστι, τὸν Αἱρετικὸν ἔξω βάλλε. εἶτα εἰς αἴσθησιν ἐλθόντος τοῦ Θεοδωρίτου, καὶ εἰπόντος, ἀνάθεμα Νεστορίῳ καὶ τῷ μὴ λέγοντι Θεοτόκον τὴν ἁγίαν Μαρίαν, καὶ τῷ μερίζοντι τὸν ἕνα Υἱὸν τὸν Μονογενῆ. εἶπον οἱ Ἄρχοντες, ἐπειδὴ ὁ Θεοδώριτος τὸν Νεστόριον ἀνεθεμάτισε, καὶ παρὰ τοῦ Λέοντος προσεδέχθη, καὶ τὸν Ὅρον τῆς πίστεως, ὃν ἐξέθετο ἡ Σύνοδος, ὑπέγραψε, λείπεται τύπον ἐξενεχθῆναι παρὰ τῆς ὑμετέρας θεοφιλίας, ὥστε καὶ τὴν Ἐκκλησίαν αὐτὸν λαβεῖν, καθὼς καὶ ὁ Λέων ἐδικαίωσεν. ἀλλὰ καὶ οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης εἶπον, ἐπειδὴ Θεοδώριτον εἰς κοινωνίαν ὁ Πάπας ἐδέξατο, καὶ ὑπισχνεῖται εἶναι ὀρθόδοξος, καὶ λίβελλον ἔδωκε τῷ Πάπᾳ καὶ ἡμῖν, καὶ τὸν Νεστόριον καὶ τὸν Εὐτυχῆ οὐ μόνον ἐγγράφως, ἀλλὰ καὶ ἐπὶ παρουσίᾳ παντὸς τοῦ συνεδρίου οἰκείῳ στόματι ἀνεθεμάτισε, ταύτῃ τῇ κρίσει ἡ ἁγιωτάτη καὶ σεβασμία Σύνοδος, ἔτι τε καὶ ἡ ἡμετέρα ταπεινότης ἀποδοθῆναι αὐτῷ τὴν ἰδίαν Ἐκκλησίαν ὥρισε. καὶ ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος εἶπε, διὰ πάντων μὲν ὀρθόδοξος ἀπεδείχθη ὁ Θεοδώριτος, καὶ δι' αὐτοῦ δὲ τοῦ ἀναθεματίσαι Νεστόριον καὶ Εὐτυχῆ, δικαίως τοίνυν καὶ τὴν αὐτοῦ ἀπολήψεται Ἐκκλησίαν. συνοδὰ τῷ Ἀνατολίῳ εἶπεν ὁ Ἀντιοχείας καὶ Ἱεροσολύμων, καὶ καθεξῆς πάντες οἱ πατέρες ἐβόησαν, αὕτη δικαία κρίσις καὶ ψῆφος. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι τότε ἐνομίζετο ἡ ἐξουσία τοῦ Ῥώμης μόνου, ὅτε ἡ Σύνοδος εὐθὺς ἐδέχετο τὴν ἐπιστολὴν αὐτοῦ περὶ τοῦ Θεοδωρίτου, ἀλλ' οἱ πατέρες μετὰ τὸ εἰπεῖν τοὺς Ἄρχοντας ἐν τῇ Συνόδῳ τὴν γνώμην τοῦ Πάπα καὶ τοῦ Βασιλέως περὶ Θεοδωρίτου, εἶπον αὐτὸν Αἱρετικὸν, Διδάσκαλον Νεστορίου, ὑβριστὴν Κυρίλλου, καὶ ἔξω βάλλε, ἐν τῇ παρούσῃ δὲ πράξει ὕβρισαν καὶ ἀνεθεμάτισαν αὐτὸν τοσαυτάκις, τοὺς δὲ λιβέλλους, οὓς ἔδωκε τῷ Βασιλεῖ καὶ τῇ Συνόδῳ, οὐκ εἴασαν ἀναγνωσθῆναι. δεύτερον, τῶν Ἀρχόντων εἰπόντων ὅτι ὁ Ῥώμης ἀποκατέστησεν αὐτὸν, καὶ ὁ Βασιλεὺς ἐθέσπισε παρεῖναι τῇ Συνόδῳ, οἱ πατέρες εἶπον, καὶ ἔπραξαν τὰ ἐναντία, καὶ οὐδεὶς ἠδυνήθη αὐτοῖς ἀντειπεῖν. τρίτον, τοῦ Θεοδωρίτου ἀναθεματίσαντος τὸν Νεστόριον, οἱ Ἄρχοντες εἶπον, ἐπειδὴ ὁ Ῥώμης ἐδέξατο αὐτὸν, εἶτα προσέθηκαν τὸ κύριον, ἤτοι τὸ, καὶ ἀνεθεμάτισε τὸν Εὐτυχέα καὶ

τὸν

ΒΙΒΛΙΟΘΗΚΗ ΙΩ. ΒΛΑΧΟΓΙΑΝΝΗ

τὸν Νεσόριον ὑπὸ τῆ συνεδρίᾳ, καὶ ὃν τῷ ὅρῳ ὑπέγραψε, δεχέσθω, ταῦτα εἶπον καὶ οἱ λεγάτοι τῆ Ῥώμης. ὁ δὲ Κωνσταντινουπόλεως ἐν τῇ Δαλαλιᾷ αὐτῆ περὶ τῆ Θεοδωρίτου ἐκεμνήσθη τῆ Πάπα, ἀλλὰ μόνον διότι ἀπεδείχθη ὀρθόδοξος, καὶ ἀνεθεμάτισε Νεσόριον καὶ Εὐτυχέα, τῷ ἑαυτῆ, εἶπον, ἀπολήψεται Ἐκκλησίαν. ὁ δὲ Ἀντιοχείας καὶ αὐτὸς ἐν τῇ Δαλαλιᾷ αὐτῆ ἐκεμνήσθη τῆ Πάπα, ἀλλὰ διότι ὀρθόδοξος, καὶ διότι ἀνεθεμάτισε Νεσόριον καὶ Εὐτυχέα, καὶ διότι ἐν τῷ ὅρῳ ὑπέγραψεν. ἀλλὰ καὶ ὁ Ἱεροσολύμων συνεψηφίσατο τῷ Ἀναταλίῳ, καὶ ἐδεμία μνήμη τῆ Πάπα. οἱ δὲ λοιποὶ πάντες πατέρες συνεψηφίσαντο τοῖς πατράσι, καὶ πάντες ἐβόησαν, αὕτη δικαία κρίσις, αὕτη δικαία ψῆφος, αὕτη Χριστῆ κρίσις, τούτοις καὶ ἡμεῖς συναινοῦμεν, ταῦτα πάντες λέγομεν, καὶ τέλος πάντων οἱ Ἄρχοντες εἶπον, κατὰ τὴν κρίσιν τῆς ἁγίας Συνόδου ὁ Θεοδώριτος τὴν Ἐκκλησίαν Κύρου πόλεως ἀπολήψεται. ὥστε δῆλον ἐκ πάντων τούτων, ὅτι ὁ Ῥώμης ἐδικαίωσε μὲν Θεοδώριτον ὅσον τὸ καθ' αὑτὸν, ἤτοι εἶπε καὶ ἔγραψε περὶ Θεοδωρίτου τὴν γνώμην αὐτῆ, ὡς ἐποίησε τὴν γνώμην αὐτῆ δι' ἐπιστολῆς δῆλον περὶ τῶν Μακεδονιανῶν ὁ Πάπας Λιβερίῳ, καὶ καθὼς καὶ ἕκαστος Πατριάρχης γράφων πρὸς τὰς Συνόδους, φανερὰν ποιεῖ τὴν γνώμην αὐτῆ περὶ τῆ προκειμένου, ἡ δὲ Σύνοδος τῆ τε Ῥώμης καὶ πάντες ἄλλα Ἐπισκόπου τὰ ψηφίσματα καὶ τὰς γνώμας ἐξετάζει, γυμνάζει, κρίνει, ἀνακρίνει, καὶ ὅτως ἠδικηοῖ, ἢ ἐκβάλλεται, ὡς πεποίηκε καὶ περὶ Θεοδωρίτου, ὥστε ἡ Σύνοδος ἔχει τὴν ἄκραν ἐξουσίαν κατὰ πάντων, καὶ ἐχ ὁ Ῥώμης ὁ κεκινόμενος καὶ ἀνακεκινόμενος. τέταρτον, ἐκεῖνο δὲ τὸ ἀνωτέρω πρᾶξα τρίτη ὑπὸ τῶν Τοποτηρητῶν τῆ Ῥώμης εἰρημένον ἐν τῇ περὶ τῆς καθαιρέσεως Διοσκόρου Δαλαλιᾷ αὐτῶν τὸ, ἀλλ' ἐκείνοις μὲν ὁ ἀποστολικὸς θρόνος συγγνώμην ἀπένειμε, ἤτοι τοῖς περὶ τὸν Ἱεροσολύμων Ἰουβενάλιον συνθεμένοις τῷ Διοσκόρῳ, ὡς μὴ κατὰ γνώμην αὐτῶν πεπρακότων, ματαιόνεσι, καὶ γὰρ καὶ οἱ περὶ τὸν Ἰουβενάλιον ἐν τῇ πρώτῃ πράξει τῆς Συνόδου συγκατατέθεμενοι τῇ πίστει Φλαυϊανοῦ, ἐκάθισαν ἐν τοῖς ἰδίοις τόποις, ὕστερον ὑπὸ τῆς Συνόδου καταφρονηθέντες Δαφόρως, καὶ ὕστερον πάντων τῶν πατέρων ὑπογεγράψαντες ἐν τῇ καθαιρέσει Διοσκόρου. καὶ ἐν τῇ τετάρτῃ πράξει οἱ πατέρες πάντες μετὰ τὴν ἐν τῇ ἀποστολῇ Λέοντος ὑπογραφὴν αὐτῶν ἐδεήθησαν τῶν Ἀρχόντων περὶ Ἰουβενάλιος καὶ τῶν σὺν αὐτῷ, οἱ δὲ Ἄρχοντες ἀνέφερον τῷ Βασιλεῖ τὰς αἰτήσεις τῶν πατέρων, εἶτα λαβόντες τὴν ἀπόκρισιν, εἶπον, ὅτι ὁ Βασιλεὺς ὥρισεν ἵνα κρίνῃ ἡ Σύνοδος τὰ κατ' αὐτὰς, καὶ ὅτως ἐδέξαντο αὐτὰς οἱ πατέρες, διαλαλήσαντος πρότερον Ἀναταλίου, καὶ τῶν πατέρων ἁπάντων πάντων, ἐχ ὅτι ὁ Πάπας συγγνώμην ἀπένειμε τῷ Ἰουβενάλιῳ καὶ τοῖς σὺν αὐτῷ, ἀλλὰ διότι ἦσαν ὀρθόδοξοι, καὶ ὑπέγραψαν καὶ ἐν τῇ ἀποστολῇ τὸ Λέοντος, ὅπερ ἐστὶν ὅτι συνήνεσαν τῇ Συνόδῳ τῇ τὴν ἀποστολὴν βεβαιωσάσῃ. καὶ πᾶς λοιπὸν τὸ τῶν παπισῶν ματαιολόγημα, ὅτι ἐπειδὴ ὁ Ῥώμης ἐδικαίωσε τὸν Ἰουβενάλιον, ἄρα ἔχει ἄκραν ἐξουσίαν. ἔστι γὰρ ἀνυπερέψαντας εἰπεῖν τὸ ἀληθὲς, ἤτοι ἐπειδὴ ἡ Σύνοδος κρίνασα Ἰουβενάλιον καὶ τοὺς περὶ αὐτὸν, ἐδικαίωσαν αὐτοὺς, ἡ Συνόδῳ ἄρα ἔχει τὴν ἄκραν ἐξουσίαν ἐν τῇ Ἐκκλησίᾳ, καὶ οὐδεὶς ἔπεσε.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΒ'.

Περὶ τῶν ἐν τῇ δεκάτῃ πράξει τῆς παρούσης Συνόδου μετὰ δεήσεως ὑπὸ τῶν τῆ Ῥώμης Τοποτηρητῶν λεχθέντων πρὸς τὸν Βασιλέα, τῆ θεσπίσαι κατὰ τῆς ἐν Ἐφέσῳ ληστρικῆς Συνόδου, καὶ περὶ τῆς βεβαιώσεως Μαξίμου εἰς τὸν θρόνον Ἀντιοχείας ὑπὸ τῆς παρούσης Συνόδου, ὃν ἡ ἐν Ἐφέσῳ ληστρικὴ Σύνοδος ἐχειροτόνησεν, ἐξ ὧν δείκνυται τὸν Βασιλέα συγκρατεῖν τὰς Συνόδους, καὶ ἀποβάλλειν τὰ καταλόγα τῶν ἁγίων Συνόδων τὰς αὐθόμους Συνόδους, καὶ ἐπὶ τῆ Πάπα αὐτὸν εἶναι, ὑπὲρ δὲ αὐτῆ καὶ τῆ Ῥώμης ἐν τοῖς ἐκκλησιαστικοῖς τῆ Συνόδου.

Ἐν τῇ δεκάτῃ πράξει σημείωσαι δύο τινὰ, ἵνα ἄπρακτος μένῃ καὶ τὰ Πάπα Ῥώμης ἱκεσία καὶ δέησις ἡ ἐν Ἐφέσῳ ὑπὲρ Διοσκόρου Συνόδου, ἥτις εἰ καὶ ἀπὸ τῆ μέρους τῆ Πάπα ματαία ἐστὶν, ὡς ἐδείχθη δηλονότι ὁ Λέων καὶ ἡ ἐν Ῥώμῃ Σύνοδος τῆ Βασιλέως Θεοδοσίου, καὶ ἰδὲ αὐτέρω βιβλίῳ τίτλῳ κεφαλαίῳ δεκάτῳ ὀγδόῳ Παράγραφον δέκατον πέμπτον, ἀλλ' ὅμως καὶ ἤδη εἶπον οἱ Τοποτηρηταὶ τῆ Ῥώμης, ἵνα ὑπὲρ τῆ αὐτῆ γαληνοτάτου καὶ χριστιανικωτάτου Βασιλέως ὑπερτύχωσιν, ὥστε ἐκείνῳ τῷ Σύνοδον ἱερῷ ἰδίῳ νόμῳ μήτε ὀνομάζεσθαι προσαίξαι, ὁ δὲ Κωνσταντινουπόλεως Ἀνατόλιος ἔφη, δεόμεθα δὲ τῆ φιλοχρίστου Βασιλέως, ὥστε καὶ δόσεβῆ νόμῳ θεσπίσαι μήτε Σύνοδον ἐκείνῳ ὀνομάζεσθαι, μήτέ τι τῶν ἐν αὐτῇ πεπραγμένων κρατεῖν. τὰ αὐτὰ εἶπε καὶ ὁ Ἱεροσολύμων, καὶ καθεξῆς οἱ πατέρες. καὶ λοιπὸν σημείωσαι, ἐπειδὴ ὁ Βασιλεὺς συγκρατεῖ τὰς Συνόδους, καὶ συνοδικῇ κρίσει, καὶ τῆ Πάπα Ῥώμης ἱκεσίᾳ καὶ δεήσει ὁ Βασιλεὺς τὰς μὴ νομίμως ἐνεργήσας Συνόδους ἰδίῳ νόμῳ ἀποβάλλει τὰ καταλόγα τῶν ἁγίων Συνόδων, ἐκ ἔστιν ὁ Ῥώμης ὑπὲρ τῶν Συνόδων, ἀλλὰ μέρος τῶν Συνόδων, καὶ πρὸς τὸν Βασιλέα τῆ αὐτῆ ἔχει τάξιν καὶ σχέσιν, ὡῆ ἔχουσι πρὸς αὐτὸν καὶ οἱ λοιποὶ πατέρες, ὥστε κἂν ὑπὲρ τῶν Συνόδων, κἂν ὑπὲρ τῶν Βασιλέων, ἀλλ' ὑπὸ τῆ Συνόδου καὶ ὑπὸ τῆς Βασιλέως. δεύτερον, ἐπειδὴ τὰ ἐν Ἐφέσῳ

Ἐφέσῳ ὑπὸ Διοσκόρου γεγενημένα συνοδικῷ καὶ βασιλικῷ Νόμῳ ἀπεβλήθησαν, καὶ μεμενήκασιν ἀπραγῆ, παρ' ἐκείνης δὲ ἐχειροτονήθη ὁ Μάξιμος Ἀντιοχείας, ἐτύπωσεν ὁ Ῥώμης, ἤτοι τὴν γνώμην αὐτοῦ ἔγραψεν, ἵνα ὁ Μάξιμος ἢ Ἐπίσκοπος Ἀντιοχείας, ἠκολούθησεν ὁ Ἀνατόλιος τῷ τύπῳ τοῦ Πάπα, ἤτοι δικαίᾳ οὔσῃ τῇ γνώμῃ τοῦ Πάπα συνήνεσε, καὶ μαρτυρεῖ, ὅτι καὶ ἡ Σύνοδος συνήνεσε, τουτέστι τὴν γνώμην τοῦ Πάπα ἐβεβαίωσεν. ὁ Ἱεροσολύμων ὅμως καὶ ὁ Καισαρείας καὶ ἄλλοι πατέρες εἶπον, ὃ περιΐσταται τῷ Βασιλεῖ περὶ τούτων, θεσπισάτω, ἤτοι περί τε τῆς ἐν Ἐφέσῳ ἐπὶ Διοσκόρου Συνόδου, ἵνα μείνῃ ἀπραγὴς, καὶ περὶ τοῦ Μαξίμου, ἵνα ἢ Ἀντιοχείας, καὶ πολλοὶ τῶν πατέρων συνεψηφίσαντο τῷ Ἰουβεναλίῳ, τῇ αὐθεντίᾳ τὸ πᾶν ἐπιδεδωκότες τοῦ Βασιλέως, ἕτεροι δὲ πατέρες εἶπον, ὅτι ἕπονται τοῖς Τοποτηρηταῖς τοῦ Ῥώμης καὶ τῷ Ἀνατολίῳ, Εὐνόμιος δὲ ὁ Νικομηδείας εἶπεν, ὅπερ δόξει τῇ ἁγίᾳ Συνόδῳ περὶ τῶν πραχθέντων ἐν Ἐφέσῳ, τοῦτο κἀμοὶ ἀρέσκει. ἐν τούτοις πᾶσιν ἴσχυσεν ἡ Σύνοδος μᾶλλον καὶ τοῦ Πάπα καὶ τοῦ Βασιλέως, ὅθεν καὶ Κεκροπίου Σεβαστουπόλεως εἰπόντος, Σύνοδον ἐκείνην οὐκ ὀφείλομεν λέγειν, πάντες οἱ πατέρες ἐβόησαν, πάντες τὰ αὐτὰ λέγομεν. μηκέτι τοίνυν ἀναγινωσκέσθωσαν τὰ ἐν Ἐφέσῳ τὸ πρότερον πραχθέντα. καὶ σημείωσαι, ὅτι δείκνυται λοιπὸν καὶ ἐκ τούτου λαμπρῶς, ὅτι ἐπὶ τοῦ Πάπα ὁ Βασιλεὺς, ἐπὶ δὲ τοῦ Πάπα καὶ τοῦ Βασιλέως ἡ Σύνοδος ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασι. καὶ φλυαρία λοιπὸν, ὅτι ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ μοναρχικὸν ἀξίωμα, καὶ τοῦτο ἐστὶν τὸ τοῦ Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΓ'.

Περὶ τῶν ἐν τῇ ἑνδεκάτῃ πράξει τῆς παρούσης Συνόδου θεωρουμένων, ἐν ᾗ αἱ διαφοραὶ Βασσιανοῦ καὶ Στεφάνου τῶν Ἐφέσου Ἐπισκόπων, αἵτε καθαιρέσεις αὐτῶν καὶ βεβαιώσεις, καὶ περὶ τῆς τελευταίας ἀποφάσεως περὶ αὐτῶν τῆς Συνόδου.

Ἐν τῇ ἑνδεκάτῃ πράξει θεωρητέον πρῶτον, ὅτι χηρευούσης Ἐπισκόπου τῆς Μητροπόλεως Ἐφέσου, ἥρπασε τὸν θρόνον συνεργείᾳ τινῶν Βασσιανός τις, ᾧπερ τὴν Ἐπισκοπὴν ἐβεβαίωσεν ὁ Βασιλεὺς, καὶ ἐλθόντα εἰς Κωνσταντινούπολιν, ὁ Κωνσταντινουπόλεως Πρόκλος ἐδέξατο αὐτὸν εἰς κοινωνίαν, καὶ γράμματα συνοδικὰ ἔδωκεν αὐτῷ ἐπιστρέφοντι εἰς Ἔφεσον. ἀλλὰ δὴ καὶ τὸ ὄνομα αὐτοῦ ἐνέταξεν ἐν τοῖς διπτύχοις. ἀλλὰ Στέφανός τις συνεργείᾳ πάλιν τινῶν ἐκβαλὼν τὸν Βασσιανὸν βίᾳ, ἔλαβε τὴν Ἐπισκοπὴν τῆς Μητροπόλεως, ἐβεβαίωσε δὲ τὴν Ἐπισκοπὴν αὐτῷ ὁ Πάπας Λέων, τὸν δὲ Βασσιανὸν καθεῖλε, καὶ μηδὲ εἶναι Ἐπίσκοπον ἐτύπωσεν. ἀλλὰ δὴ καὶ ὁ Κωνσταντινουπόλεως Φλαυϊανὸς, καὶ ὁ Ἀλεξανδρείας καὶ ὁ Ἀντιοχείας καθεῖλον τὸν Βασσιανὸν κρίσει βασιλικῇ, τοῦ δὲ Λέοντος τὸ κατὰ τοῦ Βασσιανοῦ γράμμα εἶχεν ἐν χερσὶν ὁ Στέφανος, καὶ ἐδίδου τοῖς Ἄρχουσι καὶ τῇ παρούσῃ Συνόδῳ ἀναγνωσθῆναι, κρινόμενος μετὰ τοῦ Βασσιανοῦ, καὶ οὐδεὶς προσεῖχεν αὐτῷ. καὶ ἐπὶ τούτοις ὁ Βασιλεὺς Θεοδόσιος ὁ μικρὸς ἔγραψε πρὸς τὸν Ἀλεξανδρείας καὶ τὸν Ῥώμης περὶ τῶν σκανδάλων τῶν δύο τούτων, καὶ ἀνηνέχθη γράμματα, ὥστε τὸν Βασσιανὸν μήτε εἶναι Ἐπίσκοπον. οἱ Ἄρχοντες ὅμως αἰτιασάμενοι καὶ τοὺς δύο, ὡς κακῶς χειροτονηθέντας, εἶπον ἀμφοτέρους ἀποβαλεῖν, καὶ χειροτονηθῆναι νόμιμον τρίτον, ἐπεῖπον ὅμως, ὅτι τὸ πᾶν τῇ ἁγίᾳ Συνόδῳ καταλιμπάνομεν, ὥστε δοῦναι τὸν παριστάμενον αὐτῇ τύπον ἐπὶ τῷ πράγματι. ὅθεν ἡ ἁγία Σύνοδος ἐβόησεν, αὕτη δικαία κρίσις, ὁ Χριστὸς ἐδίκασε τῇ ὑποθέσει, ὁ Χριστὸς δι' αὐτῶν δικάζει.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΔ'.

Περὶ τῶν λεχθέντων καὶ διαλαληθέντων ἐν τῇ δωδεκάτῃ πράξει τῆς παρούσης Συνόδου ὑπὸ πάντων τῶν ἐν τῇ Συνόδῳ, ἕνεκεν τοῦ Βασσιανοῦ καὶ Στεφάνου τῶν Ἐφέσου Ἐπισκόπων, καὶ ὧν ἡ Σύνοδος περὶ αὐτῶν ἐκύρωσεν, ἐξ ὧν δείκνυται εἶναι τὴν Σύνοδον κεφαλὴν καὶ κριτὴν τοῦτε Ῥώμης καὶ τῶν Πατριαρχῶν, καὶ αὐτῶν τῶν ἁγίων.

Καὶ ἐν τῇ δωδεκάτῃ πράξει προκειμένων τῶν θείων Εὐαγγελίων, εἶπον οἱ Ἄρχοντες πρὸς τὴν Σύνοδον, εἴτι πλέον ἐβουλεύσατο περὶ Βασσιανοῦ καὶ Στεφάνου. καὶ διελάλησε πρῶτος ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος, εἶτα οἱ λεγᾶτοι τοῦ Ῥώμης, οἵτινες εἰπόντες τὴν γνώμην αὐτῶν, ἐπεῖπον, εἰ καὶ ἡ Σύνοδος συναινεῖ. καὶ οὕτως ἐγένετο συνοδικὴ ἀπόφασις, τρίτον χειροτονηθῆναι ἐν Ἐφέσῳ Ἐπίσκοπον, τοὺς δὲ δύο, ἔχειν μὲν αὐτοὺς τὴν Ἱερωσύνην, ζωοτροφεῖσθαι δὲ παρ' αὐτοῦ. καὶ σημείωσαι, ὅτι τούτων οὕτω γενομένων, ποῦ ἐστὶν ἄρα τὸ τῶν παπιστῶν, ὅτι ὁ Πάπας τῷ Στεφάνῳ τὴν Μητρόπολιν πάσης Ἀσίας ἐβεβαίωσεν, ὡς δυνάμενος πάντα χρήματα ἐν τῇ Ἐκκλησίᾳ; ἰδοὺ γὰρ καὶ Πρόκλου καὶ Φλαυϊανοῦ τῶν Πατριαρχῶν Κωνσταντινουπόλεως καὶ τοῦ Ἀλεξανδρείας καὶ Ἀντιοχείας τὰ γράμματα ἀθετοῦνται. τοῦ δὲ Πάπα τὸ γράμμα, βοῶντος τοῦ Στεφάνου ἐπὶ τῶν Ἀρχόντων καὶ τῆς Συνόδου, ἀναγνωσθῆναι, οὐδεὶς προσεῖχεν αὐτῷ

αὐτῷ. ἀλλ' οὐδὲ ἐκεῖνο τοῦ Ῥώμης ἤτοι τὸ, μὴ εἶναι τὸν Βασσιανὸν Ἐπίσκοπον ἴσχυσεν. συνεχωρήθη γὰρ ἔχειν τὴν Ἀρχιερωσύνην, καὶ λαμβάνειν διακοσίους χρυσοῦς κατ' ἔτος ἀπὸ τῆς Μητροπόλεως. ποῦ ἡ κοινωνία τοῦ Κωνσταντινουπόλεως, καὶ μάλιστα ἁγίου Πρόκλου πρὸς τὸν Βασσιανόν; ποῦ ἡ ψῆφος τοῦ Ῥώμης; πάντα ὑπὸ τῆς Συνόδου καθαιρεθέντα διελύθησαν. ὥστε κεφαλὴ καὶ τοῦ Πάπα καὶ τῶν Πατριαρχῶν καὶ αὐτῶν τῶν ἁγίων, καὶ κριτὴς ἔσχατος ἡ Σύνοδός ἐστι, καὶ μάτην κομπάζει τὸ σμῆνος τῶν Σχολαστικῶν, σοφιζόμενον ἀποδοῦναι καὶ ἐκτοῦ παρόντος τόπου μοναρχίαν τῷ Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΕ'.

Περὶ τῶν ἐν τῇ δεκάτῃ τρίτῃ πράξει τῆς παρούσης Συνόδου θεωρουμένων, καὶ τῶν ἐν τοῖς πρὸς τὴν Σύνοδον λιβέλλοις ὀνομασιῶν τῶν προέδρων, καὶ περὶ τῶν γραψάντων Πατριαρχῶν πρὸς Δόμνον Ἀντιοχείας περὶ τοῦ Ἀθανασίου Πέρρης, τοῦ ἀντιδίκου τοῦ Σαβίνου, καὶ ὧν ἡ Σύνοδος περὶ αὐτῶν ὥρισεν, ἐξ ὧν δείκνυται τὴν Σύνοδον εἶναι τὸν ἔσχατον κριτὴν τῆς Ἐκκλησίας, καὶ τὸν Ῥώμης ὑπ' αὐτῆς κρινόμενον.

Ἐν τῇ δεκάτῃ τρίτῃ πράξει θεωρητέον πρῶτον, ὅτι Σαβινιανὸς Ἐπίσκοπος Πέρρης δοὺς λίβελλον τῇ Συνόδῳ, ὑπέγραψε, τοῖς τὰ πάντα θεοφιλεστάτοις καὶ ἁγίοις πατράσι καὶ Ἀρχιεπισκόποις Λέοντι, Ἀνατολίῳ, Μαξίμῳ, καὶ πάσῃ τῇ ἁγίᾳ Συνόδῳ. καὶ σημείωσαι, ὅτι εἰ εἶπον οἱ Αἰγύπτιοι ἀνωτέρω μόνον τὸν Ῥώμης Οἰκουμενικὸν, ἐνταῦθα ὁ Σαβινιανὸς εἶπεν ἐξίσου Ἀρχιεπισκόπους, Ῥώμης, Κωνσταντινουπόλεως, καὶ Ἀντιοχείας, ὡς μέρη πρῶτα τῆς ἁγίας Συνόδου, ὡς ἐλέγοντο πρῶτοι καὶ πρόεδροι ἐπὶ τῆς τρίτης Κύριλλος καὶ Μέμνων, ὅθεν ἐπήγαγε, καὶ πάσῃ τῇ λοιπῇ ἁγίᾳ Συνόδῳ. καὶ ἀνωτέρω πράξει δεκάτῃ ὁ Καισαρείας Θαλάσσιος τοὺς λεγάτους τοῦ Ῥώμης, τὸν Ἀνατόλιον Κωνσταντινουπόλεως, τὸν Ἀντιοχείας Μάξιμον, καὶ τὸν Ἱεροσολύμων Ἰουβενάλιον εἶπεν ἁγιωτάτους προέδρους. καὶ μετ' αὐτὸν ὁ Νικομηδείας Εὐνόμιος εἶπε περὶ αὐτῶν, κατὰ τὴν κρίσιν τῶν ὁσιωτάτων προέδρων καὶ πάσης τῆς ἁγίας Συνόδου. οὕτω καὶ τὸν Λέοντα ὡς μέρος πρῶτον καὶ προεδρικὸν διὰ τὴν βασιλικὴν αὐθεντίαν, καὶ διὰ τὸν ζῆλον τὸν περὶ τῆς πίστεως εἶπον οἱ Αἰγύπτιοι Οἰκουμενικὸν, καὶ οὐχ ὡς αὐτοκράτορα τῆς Ἐκκλησίας. δεύτερον, ὅτι περὶ τοῦ ἀντιδίκου τοῦ Σαβινιανοῦ, ἤτοι τοῦ Ἀθανασίου Πέρρης, ἔγραψαν οἱ μεγάλοι Κύριλλος καὶ Πρόκλος τῷ Ἀντιοχείας Δόμνῳ, καὶ ἀνάγνωθι τὰς ἐπιστολάς. καὶ σημείωσαι πρῶτον, ὅτι οὐμόνον ὁ Κωνσταντινουπόλεως ἔγραψεν, ἀλλὰ καὶ ὁ Ἀλεξανδρείας, οὐ προστακτικῶς, ἀλλ' ἀδελφικῶς καὶ συμβουλευτικῶς καὶ παρακλητικῶς καὶ ἐξίσου, ὅθεν καὶ οἱ δύο καταξίωσον αἰδεσθεὶς τοὺς ἐπιστείλαντας εἶπον τῷ Ἀντιοχείας. δεύτερον, ὅτι οὐμόνον ὁ Πάπας γράφει περὶ τῶν τοιούτων, ἀλλὰ καὶ ἕκαστος τῶν λοιπῶν Πατριαρχῶν. τρίτον, ὅτι ὥσπερ ἐπὶ τῶν Μητροπολιτῶν Ἐφέσου παρεῖδεν ἡ Σύνοδος πρῶτον τῶν Πατριαρχῶν τὰς ἀνὰ μέρος κρίσεις, οὕτω καὶ ἐνταῦθα παρεῖδε τὰς γνώμας καὶ τὰς ἐπιστολὰς Κυρίλλου καὶ Πρόκλου, καὶ τὴν συνοδικὴν περὶ Σαβινιανοῦ καὶ Ἀθανασίου κρίσιν τοῦ Ἀντιοχείας Δόμνου, καὶ ὥρισεν αὕτη ὡς ἐβούλετο, καὶ τὸν τύπον αὐτῆς ὥρισεν ἵνα τελειώσῃ ὁ Ἀντιοχείας Μάξιμος. τέταρτον, ὅτι ἀναφέρονται ἐν τῇ ἐν Ἀντιοχείᾳ περὶ τούτων ἐπὶ Δόμνου Συνόδῳ αἱ ἐπιστολαὶ Κυρίλλου καὶ Πρόκλου, ὡς ἀνωτέρω αἱ τοῦ Ῥώμης εἰς Ἔφεσον, ἀλλὰ κριθεῖσαι ἀπεβλήθησαν ὡς καὶ ἐκεῖναι. ὥστε ἡ Οἰκουμενικὴ Σύνοδος πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων τὸ κεφάλαιον, καὶ ὁ ἔσχατος κριτὴς, καὶ ὁ Ῥώμης κρίνεται ὑπὸ τῆς Συνόδου καὶ οὐ κρίνει τὴν Σύνοδον.

ΠΑΡΑΓΡΑΦΟΝ Κϛ'.

Περὶ τῶν θεωρουμένων ἐν τῷ πρὸς τὸν Αὐτοκράτορα Μαρκιανὸν προσφωνητικῷ τῆς Συνόδου, ἀφηγήσεώς τε τοῦ ἐν τῇ ἐν Νικαίᾳ Συνόδῳ δόγματος περὶ Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος. καὶ περὶ τῆς ἐν συντόμῳ διηγήσεως τῶν Αἱρέσεων Φωτεινοῦ, Μαρκέλλου, Μακεδονίου, Νεστορίου, καὶ Εὐτυχοῦς. καὶ περὶ τῆς ἄνω, καὶ μετὰ τὴν σάρκωσιν εἰς πλάτος θεολογίας τοῦ Υἱοῦ. καὶ περὶ τῆς ἀπολογίας πρὸς τὸν Βασιλέα τῆς Συνόδου ὑπὲρ τοῦ Λέοντος, ὑπὸ τῶν Εὐτυχιανῶν συκοφαντουμένου ὡς καινοτόμου, καὶ ὧν εἶπε περὶ αὐτοῦ ἐγκωμίων, ὧν ἐπιλαμβανόμενοι οἱ παπισταὶ εἰς σύστασιν τοῦ παπισμοῦ, καθαιροῦνται διὰ πολλῶν ἀποδείξεων καὶ παραθέσεων τῶν ἀγωνισαμένων ὑπὲρ τῆς πίστεως, καὶ μείζω ἐγκώμια τοῦ Ῥώμης ἀκουσάντων. καὶ ὅτι οὐχ ἡ αὐτὴ ἐστὶν ἡ ἐν Σαρδικῇ τῇ ἐν Νικαίᾳ, ὡς λέγει ἡ Σύνοδος ἐνταῦθα. ἐξ ὧν πάντων δείκνυται ἴσον εἶναι τὸν Ῥώμης τοῖς λοιποῖς Πατριάρχαις, καὶ μήτε μόνον συντάττειν περὶ πίστεως ὡς μονάρχην δύνασθαι, τὴν δὲ ἐσχάτην ψῆφον εἶναι τῆς Οἰκουμενικῆς Συνόδου, τοὺς δ' Ἡγεμόνας ἐν ταῖς Συνόδοις πολλοὺς, καὶ τὰ ἐγκώμια παρὰ τῶν Συνόδων εἰς τοὺς ἁγίους κοινὰ, καὶ πλάσμα τὸ αὐτιχριστιανικὸν ἀξίωμα τοῦ Ῥώμης.

Ἐν

Ἐν τῷ πρὸς τὸν Αὐτοκράτορα τῆς Συνόδου προσφωνητικῷ θεωρητέον πρῶτον, ὅτι ἡ μὲν πρώτη ἐν Νικαίᾳ Οἰκουμενικὴ Σύνοδος, ἡ ἀρχὴ καὶ ῥίζα καὶ τὸ θεμέλιον πασῶν τῶν Οἰκουμενικῶν Συνόδων ἑρμηνεύσασα τὴν γραφὴν, ἐδογμάτισε τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρὶ, τὸ δὲ ἅγιον Πνεῦμα ὁμοούσιον Πατρὶ καὶ Υἱῷ. εἰποῦσα γὰρ ὅτι πιστεύει καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ἔδειξεν ὅτι Θεός ἐστιν, ὥσπερ ὁ Πατὴρ καὶ ὁ Υἱός. εἰ δὲ Θεὸς, ἄρα καὶ ὁμοούσιον. καὶ γὰρ οὐκ εἰς κτίσμα, ἀλλ' εἰς Τριάδα ὁμοούσιον πιστεύομεν. τοῦτ' αὐτὸ ἐκείνη καὶ δι' ὧν ἔλεγε πρὸς τὸν φιλόσοφον διὰ τοῦ Ἐπισκόπου Λεοντίου τρανῶς ἀνεκήρυξε, καὶ ἰδὲ τὸν Γελάσιον ἐν τῷ δευτέρῳ βιβλίῳ. [illegible] καὶ Μαρκέλλος ἑτέραν κατὰ τοῦ Υἱοῦ βλασφημίαν ἐκαινοτόμησαν, οὐκ εἶναι τοῦτον παντελῶς ταῖς συκοφαντίαις ἀρνούμενοι, ἀλλὰ τὸν αὐτὸν Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα καλεῖσθαι διαβεβαιούμενοι, καὶ μέχρι μόνον φωνῆς τῶν κλήσεων τὸ διάφορον ὁριζόμενοι, οἱ κατὰ καιροὺς ἅγιοι πατέρες ἑρμηνεύσαντες τὴν γραφὴν, καὶ ἀναπτύξαντες τὴν περὶ πίστεως τῶν πατέρων διδασκαλίαν, τὸ τῶν τριῶν ὑποστάσεων ἀντεισήγαγον δόγμα. ἀλλ' ἐπειδὴ πάντολμοι οὖσαι αἱ τῶν Αἱρετικῶν εὑρεσιολογίαι, αἷς παρακολουθοῦσιν ἀμφιβολίαι καὶ παρερμηνεύσεις τῆς ἁγίας γραφῆς, οἱ περὶ Μακεδόνιον κτίσμα εἶπον τὸ Πνεῦμα τὸ ἅγιον. διὸ ὁ μέγας Θεοδόσιος Σύνοδον ἀθροίσας τὴν δευτέραν, ἡρμήνευσε δι' αὐτῆς τὴν περὶ τοῦ Πνεύματος διδασκαλίαν, Κύριον γὰρ αὐτὸ καὶ Θεὸν, καὶ ἐκ Πατρὸς ἔχον τὴν ἐκπόρευσιν, ἤτοι τὴν ὕπαρξιν κατὰ τὴν τῆς πίστεως διάνοιαν ἀπεφήναντο. ἀλλ' ἐπειδὴ πάλιν ὁ Νεστόριος ἀναφανεὶς ὥσπερ ἄλλος τὶς ὄφις, ἢ ὡς εἶπεν αὐτὸν ὁ μέγας Κύριλλος, δράκων ἐν τῷ παραδείσῳ τῆς Ἐκκλησίας, ἔτεμε τὸν Κύριον εἰς δύο Υἱοὺς, ὁ μέγας Κύριλλος ἠγωνίσθη κατ' αὐτοῦ πᾶσι τρόποις, καὶ πάσῃ δυνάμει, καὶ δὴ καὶ ἐν τῇ τρίτῃ Συνόδῳ ἠρίστευσε κατὰ πᾶν, ὁ δὲ Ἀντιοχείας Ἰωάννης ὁπωσδήποτε ἐναντιούμενος αὐτῷ, ἔλεγεν, ὅτι οἱ ἀναθεματισμοὶ, οὓς συνέθετο κατὰ Νεστορίου, εἰσὶ τῆς Αἱρέσεως Ἀπολιναρίου, Ἀρείου, καὶ Εὐνομίου, ὅθεν καὶ μετὰ τοῦ ἀποστατικοῦ συνεδρίου ἐκάθηρεν αὐτὸν, καὶ Μέμνονα τὸν Ἐφέσου, καὶ ἐπὶ τούτοις ἔγραψε πολλὰ εἰς τὸν Αὐτοκράτορα καὶ τὴν Σύγκλητον, καὶ πρὸς πολλοὺς Ἀρχιερεῖς καὶ Κληρικοὺς τοσοῦτον, ὥστε τὴν τρίτην Οἰκουμενικὴν Σύνοδον, ἐφ' ἧς ταῦτα ἐγένοντο, ἀπολογήσασθαι ὑπὲρ αὐτῶν πρός τε τὸν Βασιλέα καὶ τοὺς Ἄρχοντας, ἔχουσαν συναγωνιζομένους Ἀρχιερεῖς, Κληρικοὺς, Μοναχοὺς, καὶ σχεδὸν πᾶσαν τὴν Οἰκουμένην, ὡς εἴρηται ἀνωτέρω βιβλίου τρίτου κεφαλαίῳ δεκάτῳ πέμπτῳ. ἔλεγε δὲ ἡ Σύνοδος ἡ τρίτη πρὸς ἔπαινον Κυρίλλου καὶ Μέμνονος, ὅτι εἰσὶ κεφαλαὶ τῶν συνειλεγμένων, καὶ πρῶτοι, καὶ πρόεδροι, καὶ Ἔξαρχοι αὐτῆς. ἐν δὲ τῇ πρὸς τὸν Κωνσταντινουπόλεως Κλῆρον ἐπιστολῇ ἔλεγε περὶ αὐτῶν, ἀλλὰ καὶ μεγάλης δόξης καὶ στεφάνων ἡγούμεθα μόνους καὶ πρώτους ὑπὲρ τοὺς ἄλλους ἅπαντας ζήλῳ τῷ κατὰ Θεὸν κινηθέντας, καὶ παντοίους γενομένους ἐκκόψαι τὸν τῆς ἀσεβείας κήρυκα Νεστόριον, καὶ τὰς Ἐκκλησίας τοῦ τοιούτου καθαρθῆναι μύσους, οὔτε νῦν ἀνεξόμεθα τῆς τῶν προειρημένων ἁγιωτάτων Ἐπισκόπων κοινωνίας χωρισθῆναι, ἀλλὰ καὶ συνεξορισθῆναι αὐτοῖς κέρδος μέγιστον ἡγούμεθα. ἰδίως δὲ ὁ Κωνσταντινουπόλεως Κλῆρος ἔλεγε περὶ Κυρίλλου ἐν τῇ πρὸς τὸν Βασιλέα αὐτοῦ ἀναφορᾷ, εἰ γὰρ τῆς Οἰκουμενικῆς Συνόδου ὁ καθηγητὴς, ᾧ σύμψηφοι πάντες δι' ὧν κατέθεντο γεγόνασι. καὶ ἰδὲ περὶ τούτου τοὺς τόπους ἀνωτέρω βιβλίου τρίτου κεφαλαίῳ δεκάτῳ πέμπτῳ. μεταταῦτα ὥσπερ ῥίζα τὶς ἄνω φύουσα φανεὶς ὁ Εὐτυχὴς, ποτὲ μὲν ἔλεγεν, ὅτι ἡ σὰρξ τοῦ Κυρίου οὐκ ἔστιν ὁμοούσιος τῇ μητρὶ αὐτοῦ, καὶ ἡμῖν, ποτὲ δὲ, ὅτι πρὸ μὲν τῆς ἑνώσεως, δύο φύσεις, μετὰ δὲ τὴν ἕνωσιν, μίαν. ὁ δὲ Πάπας Λέων ἔγραψεν ἐπιστολὴν πρὸς τὸν Φλαυϊανὸν Κωνσταντινουπόλεως, διατρανῶν τὰ περὶ τῆς ὀρθοδόξου πίστεως, ἀλλὰ τῶν Εὐτυχιανῶν συκοφαντούντων αὐτὸν, ὅτι ἐνόμιζε διαίρεσιν ἐν τῷ Χριστῷ τῶν προσώπων, καὶ ἔλεγε δύο Υἱοὺς, ἡ ἐν Χαλκηδόνι Σύνοδος ἀθροισθεῖσα κατὰ Εὐτυχοῦς, ἔλυσε τὰς ἀμφιβολίας, καὶ ἐδογμάτισεν ὡς περιέχεται ἐν τῷ ὅρῳ αὐτῆς ῥητῶς ταῦτα, ἑπόμενοι τοίνυν τοῖς θείοις πατράσιν, ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συμφώνως ἅπαντες ἐκδιδάσκομεν, τέλειον τὸν αὐτὸν ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος, ὁμοούσιον τῷ Πατρὶ κατὰ τὴν Θεότητα, καὶ ὁμοούσιον τὸν αὐτὸν ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, κατὰ πάντα ὅμοιον ἡμῖν, χωρὶς ἁμαρτίας, πρὸ αἰώνων μὲν ἐκ τοῦ Πατρὸς γεννηθέντα κατὰ τὴν Θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς Παρθένου τῆς Θεοτόκου κατὰ τὴν ἀνθρωπότητα, ἕνα καὶ τὸν αὐτὸν Χριστὸν, Υἱὸν, Κύριον, μονογενῆ, ἐκ δύο φύσεων ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα μεριζόμενον, ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Υἱὸν καὶ μονογενῆ, Θεὸν Λόγον, Κύριον Ἰησοῦν Χριστὸν, καθάπερ ἄνωθεν οἱ Προφῆται περὶ αὐτοῦ, καὶ αὐτὸς ἡμᾶς ὁ Κύριος Ἰησοῦς Χριστὸς ἐξεπαίδευσε, καὶ τὸ τῶν πατέρων ἡμῖν παραδέδωκε Σύμβολον. ταῦτα ἐν τῷ Ὅρῳ ἡ Σύνοδος. ἀλλ' ἐπειδὴ πάλιν οἱ Εὐτυχιανοὶ, ἐσυκοφάντουν τὸν Λέοντα, ὡς μὴ εἰπόντα δῆθεν κατὰ τοὺς πατέρας, ἀλλὰ καινοτομήσαντα, καὶ ὅτι ἀσύνηθες τὸ ἔργον τοῦ Λέοντος, γράψαντος τὴν ἑρμηνείαν τῆς πίστεως δι' ἐπιστολῆς, ἡ Σύνοδος καὶ τὸ σύνηθες προσφωνοῦσα τῷ Βασιλεῖ, καὶ ἀπολογουμένη ὑπὲρ τοῦ Λέοντος

Λέοντος, γράφει πρῶτον, ὅτι οὐ καινοτομῶν ὁ Λέων ἐξέθετο τὴν πρὸς τὸν Φλαυϊανὸν ἐπιστολὴν, ἀλλὰ τοῖς ἁγίοις πατράσιν ἑπόμενος, ἐδίδαξε περὶ τῶν ἐπὶ Χριστοῦ δύο φύσεων, καὶ τῆς μιᾶς ὑποστάσεως. δεύτερον, ὅτι τοῦτο τῇ Ἐκκλησίᾳ συνήθες ἐστιν, ἵνα καὶ δι' ἐπιστολῶν ἑρμηνεύηται ἡ ἁγία γραφὴ, καὶ διατρανῶται τὸ μυστήριον τῆς ἁγίας Τριάδος, καὶ τῆς ἐνσάρκου οἰκονομίας ὑπὸ τῶν ἁγίων πατέρων. τρίτον, ὡς εἶπεν ἡ τρίτη Σύνοδος, ἀπολογουμένη ὑπὲρ Κυρίλλου, τὰ ἄνω εἰρημένα ἐγκώμια, οὕτως ἡ παροῦσα Σύνοδος ἀπολογουμένη ὑπὲρ τοῦ Λέοντος, εἶπεν αὐτὸν ἄτρωτον πρόμαχον, καὶ μαχόμενον, ὡς ὁ Πέτρος ζήλῳ θερμῷ. ἀλλ' οἱ παπισταὶ καινοτομοῦντες, καὶ προσάπτοντες τῷ Ἐπισκόπῳ Ῥώμης τὸ ἀντιχριστιανικὸν ἀξίωμα, εἰς περικάλυμμα τοῦ ψεύδους αὐτῶν λέγουσιν, ἰδοὺ ἡ ἐν Χαλκηδόνι Σύνοδος μεγάλα τινὰ εἶπε περὶ τοῦ Λέοντος καὶ τῆς ἐπιστολῆς αὐτοῦ, ἅτινα οὐ προσωπικῶς ἁρμόζει τῷ Λέοντι, ἀλλὰ τῷ αὐτοκρατορικῷ τῆς Ῥωμαίων Ἐκκλησίας προσάπτεται ἀξιώματι, τουτέστιν αὐτῷ τῷ ἁγίῳ Πέτρῳ, τῷ ἐξαίρετον λαβόντι ἐξουσίαν παρὰ Χριστοῦ, παρ' ἣν ἔλαβον οἱ λοιποὶ Ἀπόστολοι. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, πρῶτον, ὅτι μείζονα τὰ ἐγκώμια ἃ εἶπεν ἡ τρίτη Σύνοδος τῷ Κυρίλλῳ. καὶ καθὼς ὁ Κύριλλος οὐκ ἔλαβεν ἐξ ἐκείνων ἀξιώματι ἰδικὸν ἐν τῇ Ἐκκλησίᾳ, οὕτως οὐδὲ ὁ Λέων ἐκτούτων λαμβάνει τι τοιοῦτον ἀξίωμα ἐν αὐτῇ. δεύτερον, ὅτι εἰ εἶπεν ἡ τρίτη μεγάλα ἐγκώμια τῷ ἁγίῳ Κυρίλλῳ, ἡ δὲ παροῦσα ἐλάττονα περὶ τοῦ Λέοντος, οὐκ ἔστιν ἀπὸ τούτων ὁ μὲν Κύριλλος μείζων, ὁ δὲ Λέων ἐλάττων, ἡ γὰρ Ἐκκλησία κατὰ τοὺς καιροὺς οἰκονομοῦσα τὰ πράγματα, λέγει περὶ τῶν ἁγίων ἅπερ προσήκει, ἔχει ὅμως τοὺς ἁγίους ἐν ἐξαιρέτῳ τιμῇ καὶ ἐγκωμίοις. τρίτον, ὅτι καὶ ἄλλοις πατράσι παρὰ τὸν Κύριλλον καὶ Λέοντα εἶπον οἱ πατέρες καὶ ἰδίως καὶ συνοδικῶς μεγάλα ἐγκώμια, ὡς εἴπομεν ἐν πολλοῖς ἀνωτέρω, καὶ ἐροῦμεν μεταταῦτα, καὶ ἰδίως ἐροῦμεν ἐν τῷ δεκάτῳ βιβλίῳ. ἀλλὰ παρὰ τῶν ἐγκωμίων οὐκ ἔλαβον οἱ πατέρες τὶ ἀξίωμα ἰδικὸν ἐξουσίας ἐν τῇ Ἐκκλησίᾳ. τέταρτον, ἡ ἐπιστολὴ τοῦ Λέοντος οὐ καινόν τι ἐφεῦρεν ὅπερ οὐκ εἶπον οἱ πατέρες, ἀλλὰ πρὸς τὰς καινοτομίας τῶν Αἱρετικῶν προϋπήντησε, καὶ τὰ πρόσφορα ἐπενόησε, καὶ ταῖς αὐτῶν μηχαναῖς ἀντιπαρετάξατο τοῖς προσφόροις νοήμασί τε καὶ ῥήμασι. πέμπτον, ὅτι οὐμόνος ὁ Λέων τοῦτο πεποίηκεν, ἀλλὰ καὶ οἱ πρὸ αὐτοῦ πατέρες ταύτῃ τῇ ὁδῷ κατὰ τῶν Αἱρετικῶν ἐχρήσαντο, ὡς ἡ Σύνοδος ἐν τούτῳ τῷ προσφωνητικῷ αὐτῆς διαβεβαιοῦται. ὁ γὰρ μέγας Βασίλειος δι' ἐπιστολῆς, τῆς πρὸς τὸν ἀδελφὸν αὐτοῦ δηλονότι, ἡρμήνευσε καὶ ἐτράνωσε τὴν περὶ μιᾶς οὐσίας καὶ τριῶν ὑποστάσεων θεολογίαν. ἀλλὰ δὴ καὶ ὁ Πάπας Δάμασος δι' ἐπιστολῆς, ἣν ἔπεμψε πρὸς Παυλῖνον τὸν Θεσσαλονίκης, τὴν ὀρθοδοξίαν ὑπέγραψε, καὶ ἰδὲ ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ τρίτου βιβλίου. καὶ ἡ ἐν Σαρδικῇ Σύνοδος δι' ἐπιστολῶν ἔγραψε τοῖς ἐν Ἀλεξανδρείᾳ, καὶ τοῖς ἁπανταχοῦ Ἐπισκόποις ἅπερ ἔπραξεν, ὡς εἴρηται ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίῳ ἕκτῳ. καὶ ἡ τρίτη Οἰκουμενικὴ Σύνοδος βεβαιοῦσα τὴν ἐπιστολὴν Κυρίλλου, παρέστησε τὴν ἐπὶ τῶν δύο φύσεων ἐν ἑνὶ προσώπῳ καὶ μιᾷ ὑποστάσει τοῦ Σωτῆρος θεολογίαν. καὶ ὁ μέγας Ἀθανάσιος διὰ τῆς πρὸς Ἐπίκτητον ἐπιστολῆς, καὶ ὁ μέγας Γρηγόριος διὰ τῶν πρὸς Κληδόνιον ἐπιστολῶν ἠγωνίσαντο κατὰ Ἀπολιναρίου. καὶ τέως ὁ μέγας Κύριλλος δι' ἐπιστολῆς πρὸς τοὺς Ἀνατολικοὺς διαφερομένους πρὸς αὐτὸν, καὶ πρὸς τὴν Οἰκουμενικὴν Σύνοδον τὸ ἐκκλησιαστικὸν ἐτράνωσε φρόνημα, ὡς καὶ ὁ Πρόκλος τὴν πρὸς Ἀρμενίους ἐπιστολὴν πρὸς συμφωνίας ἐπίδειξιν ἔπεμψε. καὶ πρὸς τούτοις ὁ Ἀντιοχείας Ἰωάννης δι' ἐπιστολῆς τῆς πρὸς τὸν ἅγιον Κύριλλον τῇ Οἰκουμενικῇ συνεφώνησεν Ἐκκλησίᾳ. καὶ πάντες οἱ καθεξῆς πατέρες, ἀμφισβητήσεων ἀναφανεισῶν, ταῖς τῶν πατέρων ἑρμηνείαις τὰς ἰδίας αὐτῶν ἐπισυνάψαντες ὁμολογίας, καὶ πείθοντες ὡς οὐκ ἀπᾴδον ταῖς ἐκείνων διανοίαις ἐπιδείκνυνται φρόνημα, ἀλλὰ μάρτυσιν ἐκείνοις χρῶνται πρὸς τὴν τῆς πίστεως βεβαίωσιν. τῷ αὐτῷ οὖν τρόπῳ καὶ αἱ Σύνοδοι ἐπὶ τῆς τῶν Αἱρετικῶν ἀθροισθεῖσαι καινίσμασι, καὶ νῦν ὡς σύμψηφοι τὴν ὑπὲρ τῆς ποίμνης ψῆφον ἐξήνεγκαν. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ὡς οἱ πρὸ τοῦ Λέοντος πατέρες δι' ἐπιστολῶν διήρθρωσαν καὶ ἡρμήνευσαν τὴν ὀρθόδοξον πίστιν, οὕτω καὶ ὁ Λέων πεποίηκεν, ἐκείνοις ἑπόμενος, οἷς καὶ μάρτυσι χρῆται, καὶ οὐδέν τι καινοτόμον ἐξ ἑαυτοῦ εἶπε. δεύτερον, ὅτι ὡς ὁ Βασίλειος διὰ συγκαταθέσεων καὶ ὑπογραφῶν τινῶν συμποιμένων ἐβεβαίωσε τὴν ἐπιστολὴν αὐτοῦ, οὕτως ὁ Λέων συνοδικῶς ἐξέθετο τὴν ἐπιστολὴν αὐτοῦ, διὸ καὶ ἐγκύκλιος λέγεται. τρίτον, ὅτι ἐξίσου τιμᾶται ὁ Λέων μετὰ τῶν λοιπῶν πατέρων, ὧν μέμνηται ἡ Σύνοδος. τέταρτον, ὅτι ἐν ταῖς Συνόδοις κοινῶς ὡς σύμψηφοι οἱ πατέρες τὴν περὶ πίστεως ἐξάγουσι ψῆφον, ὡς ἔλεγε καὶ αὐτὸς ὁ Λέων ἐν τῇ ἀρχῇ τοῦ παρόντος κεφαλαίου, καὶ ἰδὲ τὰς σημειώσεις εἰς τὰς ἐπιστολὰς τοῦ Λέοντος πρὸς τοὺς Βασιλεῖς ἐν τῇ ἀρχῇ τοῦ παρόντος κεφαλαίου. πέμπτον, ὅτι ἡ ἐν Σαρδικῇ κατὰ τῶν λειψάνων τοῦ Ἀρείου ἠγωνίσατο, ἡ δὲ πρώτη τὴν ὀρθόδοξον ἡρμήνευσε πίστιν, λέγει ἡ Σύνοδος ἐνταῦθα. ἐν οἷς σημείωσαι, ὅτι οὐκ ἔστιν ἄρα τῶν δύο Συνόδων ἡ αὐτὴ ὑπόθεσις, ἄρα οὐδὲ μία νομίζονται αἱ δύο Σύνοδοι. εἶτα ἰδίως ἀριθμοῦνται ἐνταῦθα, καὶ ἰδίαις ἐνεργείαις ἡ πρώτη, καὶ ἡ ἐν Σαρδικῇ, οὐκ ἄρα ἡ αὐτή ἐστιν ἡ ἐν Σαρδικῇ τῇ ἐν Νικαίᾳ, ὡς ἀσχημονοῦσιν οἱ παπισταί. ἕκτον, ὅτι τῆς ἐν Σαρδικῇ ἐξῆρχεν ὁ Ὅσιος, οὐχ ὡς λεγάτος τοῦ Ῥώμης, ἐπειδὴ εἰ ἦν ἂν τοῦτο, εἶπεν ἂν καὶ τοῖς σὺν αὐτῷ λεγάτοις, ἀλλὰ διὰ τὸ γῆρας καὶ τὴν σοφίαν, καὶ ἰδὲ τοὺς τόπους βιβλίου δευτέρου κεφαλαίῳ πέμπτῳ καὶ ἕκτῳ. ἕβδομον, ὅτι ἐν τῇ δευτέρᾳ Οἰκουμενικῇ Νεκτάριος καὶ Γρηγόριος εἶχον τὴν ἡγεμονίαν,

καὶ

καὶ πῶς τὸ τῶν παπιστῶν, ὅτι ὁ Δάμασος μόνος εἶχεν αὐτήν; ἐδείχθη οὖν καὶ ἐκ τοῦ παρόντος προσφωνητικοῦ, ὅτι οὐκ ἔστι μοναρχικὸν ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ. ὅτι ὁ Πάπας ὀρθοδόξων, καὶ ἅγιος ὤν, εἷς ἐστι τῶν ὀρθοδόξων ἁγίων πατέρων. ὅτι ὁ Λέων οὐδὲν εἶπεν ἐξ ἑαυτοῦ, ἀλλ' ἅπερ εἶπον οἱ πρὸ αὐτοῦ πατέρες ἡρμήνευσεν. ὅτι τοῦτο καὶ τῶν λοιπῶν πατέρων ἐστὶν ἴδιον. ὅτι οὐκ ἀξιόπιστος ἐστὶν ὁ Ῥώμης μόνος, εἰ καὶ τὰ ἀληθῆ λέγει, πρὸς Διάλυσιν ἀμφιβολίας ἐν τῇ Ἐκκλησίᾳ. ὅτι ὁ Ῥώμης κρίνεται ὑπὸ τῶν Συνόδων, καὶ βεβαιοῦται ὑπὸ τῶν Συνόδων. ὅτι ὁ Ῥώμης οὐδὲν συντάττειν δύναται μόνος ὡς μονάρχης περὶ πίστεως, ἀλλὰ μετὰ τῆς ἰδίας Συνόδου, ἥτις ὑπὸ τῆς Οἰκουμενικῆς ἀνακρίνεται. ὅτι ἐν τοῖς περὶ πίστεως οὐδενὶ ἐστὶν ἴδιον ἡ ἐσχάτη ψῆφος, ἀλλὰ τῇ καθόλου κοινότητι, ἤτοι τῇ Οἰκουμενικῇ Συνόδῳ. καὶ ὅτι ἐν ταῖς Συνόδοις πολλοὶ οἱ πρῶτοι, οἱ πρόεδροι, οἱ Ἔξαρχοι, οἱ προεξάρχοντες, οἱ αὐθεντοῦντες, καὶ οἱ Ἡγεμόνες, καὶ αἱ κεφαλαί. καὶ ὅτι εἰ καὶ λέγονται παρὰ τῶν Συνόδων ἐγκώμια εἰς τοὺς ἁγίους, ἀλλὰ κοινά ἐστι πᾶσι τοῖς ἁγίοις. ψεῦδος ἄρα καὶ πλάσμα τὸ ἀντιχριστιανικὸν ἀξίωμα τοῦ Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΖ'.

Περὶ τῆς πρὸς τὸν Λέοντα Ῥώμης ἐπιστολῆς καὶ τῶν πρακτικῶν τῆς Συνόδου, καὶ τῶν δωδεκαχῶς μετὰ τῆς ἐπιγραφῆς θεωρουμένων ἐν αὐτῇ, ἢν οἱ Λατῖνοι ὑπὲρ τοῦ παπισμοῦ προβάλλονται.

Ἀλλ' εἴδωμεν καὶ ἀπὸ τῆς πρὸς τὸν Πάπαν Λέοντα τῆς παρούσης Συνόδου ἐπιστολῆς, ἣν ὡς ἀπόρθητον ἀκρόπολιν προβάλλονται οἱ παπισταὶ περὶ τῆς μοναρχίας τοῦ Πάπα αὐτῶν, τί συνάγεται. θεωρητέον οὖν ἐν αὐτῇ πρῶτον τὴν ἐπιγραφήν. Ἡ ἁγία, καὶ μεγάλη, καὶ Οἰκουμενικὴ Συνόδος, ἡ κατὰ Θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων, καὶ φιλοχρίστων ἡμῶν Βασιλέων συναχθεῖσα, τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ τῆς Ῥωμαίων Ἀρχιεπισκόπῳ Λέοντι. δεύτερον, ὅτι ἐγκωμιάζουσα αὐτὸν, λέγει, καὶ τί γὰρ τῆς πίστεως πρὸς εὐφροσύνην ἀνώτερον, τί δὲ τῆς δεσποτικῆς γνώσεως πρὸς χορείαν φαιδρότερον. Καὶ, ἣν αὐτὸς ὥσπερ χρυσῆν σειρὰν τῷ προστάγματι τοῦ θεμένου εἰς ἡμᾶς διεφύλαξας, πᾶσι τῆς τοῦ μακαρίου Πέτρου φωνῆς ἑρμηνεὺς καθιστάμενος, ὅθεν καὶ ἡμεῖς ὡς ἀρχηγῷ τοῦ καλοῦ πρὸς ὠφέλειαν χρησάμενοι τῆς ἀληθείας, τοῖς τῆς Ἐκκλησίας τέκνοις τὸν κλῆρον ἐδείξαμεν. τρίτον, οὐκαθ' ἕνα ἕκαστος ἐν παραβύστῳ τὴν διδασκαλίαν ποιούμενοι, ἀλλὰ κοινῷ πνεύματι, μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τῆς πίστεως τὴν ὁμολογίαν γνωρίσαντες. τέταρτον, εἰ γὰρ ὅπου εἰσὶ δύο, ἢ τρεῖς συνηγμένοι εἰς τὸ αὐτοῦ ὄνομα, ἐκεῖ ἔφη εἶναι ἐν μέσῳ αὐτῶν, πόσην περὶ πεντακοσίους εἴκοσιν Ἱερέας τὴν οἰκείωσιν ἀπεδείκνυτο, οἳ καὶ πατρίδος καὶ πόνου τῆς εἰς αὐτὸν ὁμολογίας τὴν γνῶσιν προέθηκαν. πέμπτον, ὧν σὺ μὲν ὡς κεφαλὴ μελῶν ἡγεμόνευες, ἐν τοῖς τὴν σὴν τάξιν ἐπέχουσι τὴν εὔνοιαν ἐπιδεικνύμενος. ἕκτον, ὅτι ὁ Διόσκορος τὸν Φλαυϊανὸν, τὴν ἀποστολικὴν προϊσχόμενον πίστιν, παρὰ πᾶσαν τὴν τῶν Κανόνων ἀκολουθίαν καθεῖλεν. ἕβδομον, ὅτι τῷ Εὐτυχεῖ, (ὁ Διόσκορος) τὴν παρὰ τῆς σῆς ὁσιότητος, ὥσπερ ἀναξίῳ τῆς χάριτος, ἀφαιρεθεῖσαν ἀξίαν, ἀπέδωκεν. ὄγδοον, ὅτι πρὸς τούτοις πᾶσιν (εἷς ἐποίησε κἀκεῖσε ὁ Διόσκορος) καὶ κατ' αὐτοῦ τοῦ τῆς ἀμπέλου τὴν φυλακὴν παρὰ τοῦ Σωτῆρος ἐπιπετραμμένου τὴν μανίαν ἐξέτεινε, λέγομεν δὴ τῆς σῆς ὁσιότητος. ἔνατον, τὸ γὰρ ἀπὸ πολλοῦ κρατῆσαν ἔθος, ὅπερ ἔσχεν ἡ τῶν Κωνσταντινουπολιτῶν ἁγία τοῦ Θεοῦ Ἐκκλησία εἰς τὸ χειροτονεῖν Μητροπολίτας τῶν Διοικήσεων, τῆς τε Ἀσιανῆς, καὶ Ποντικῆς, καὶ Θρᾳκικῆς κατὰ συνοδικὴν ἐκυρώσαμεν ψῆφον. δέκατον, ἐβεβαιώσαμεν δὲ καὶ τὸν τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων Κανόνα, τὸν λέγοντα, μετὰ τὸν ὑμέτερον ἁγιώτατον καὶ ἀποστολικὸν τὰ πρεσβεῖα τὸν Κωνσταντινουπόλεως ἔχειν. ἑνδέκατον, ἅπερ τοίνυν ὡρίσαμεν πρὸς ἀναίρεσιν μὲν πάσης συγχύσεως, βεβαίωσιν δὲ τῆς ἐκκλησιαστικῆς εὐταξίας, ταῦτα ὡς οἰκεῖα καὶ φίλα καὶ πρὸς εὐκοσμίαν ἁρμόδια περιπτύξασθαι καταξίωσον ἁγιώτατε καὶ σεβασμιώτατε πάτερ. οἱ γὰρ Τοποτηρηταὶ τοῖς οὕτω τυπωθεῖσιν ἀντειπεῖν σφοδρῶς ἐπειράθησαν, καὶ παρακαλοῦμεν τοίνυν τίμησον καὶ ταῖς ψήφοις τὴν κρίσιν. ὥσπερ ἡμεῖς τῇ κεφαλῇ τὴν ἐν τοῖς καλοῖς συμφωνίαν εἰσενηνόχαμεν, οὕτω καὶ ἡ κορυφὴ τοῖς παισὶν ἀναπληρώσει τὸ πρέπον, οὕτω γὰρ καὶ Βασιλεῖς θεραπευθήσονται, οἱ τὴν τῆς σῆς ὁσιότητος ὡς Νόμον βεβαιώσαντες κρίσιν, καὶ τῷ ζήλῳ συνάψαι ἑαυτὸν ἡμῖν πρὸς ὁμόνοιαν. δωδέκατον, ἵνα δὲ γνῶτε, ὡς οὐδὲν πρὸς χάριν, ἢ πρὸς ἀπέχθειαν πεποιήκαμεν, ἀλλὰ θείῳ κυβερνώμενοι νεύματι πᾶσαν ὑμῖν τῶν πεπραγμένων τὴν δύναμιν ἐγνωρίσαμεν εἰς σύστασιν ἡμετέραν, καὶ τῶν πεπραγμένων βεβαίωσίν τε καὶ συγκατάθεσιν. ταῦτα οἱ πατέρες τῷ Λέοντι.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΗ'

Περὶ διασαφήσεως τῆς ἀνωτέρω δωδεκαχῶς διαιρεθείσης ἐπιστολῆς τῆς Συνόδου κατὰ τὴν δωδεκαχῶς γενομένην διαίρεσιν, ἐν ᾗ καὶ ἡ αἰτία τῶν προνομίων τοῦ Κωνσταντινουπόλεως διασαφηνίζεται, καὶ δείκνυται ἐν πάσαις ταῖς διαιρέσεσι διὰ πολλῶν ὑποθέσεων Ἐκκλησιαστικῶν, καὶ Συνόδων, καὶ παραδειγμάτων, καὶ

καὶ παραθέσεων οἱ παπισταὶ ἀντικείμενοι τῇ δευτέρᾳ Οἰκουμενικῇ Συνόδῳ, καὶ τῇ παρούσῃ, καὶ ἀναθέματι ὑποκείμενοι, καὶ ὁ Πάπας αὐτῶν οὐβεβαιωτὴς τῶν Συνόδων, ἀλλ' ὑπὸ τὰς Συνόδους καὶ τοὺς Βασιλεῖς, οὔτε μονάρχης ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἀλλὰ μερικὸς μερικῆς Ἐκκλησίας Ἐπίσκοπος.

Πρὸς ταῦτα ῥητέον, εἰς μὲν τὸ πρῶτον, ἡ Σύνοδος λέγει περὶ ἑαυτῆς, ὅτι συνήχθη κατὰ θέσπισμα τῶν Βασιλέων. καὶ σημείωσαι, ὅτι οὐκ ἀληθεύουσιν οἱ παπισταὶ, λέγοντες ἐκείνην Οἰκουμενικὴν Σύνοδον, ἥτις οὐκ ἔστι κεκλημένη ἀπὸ βασιλικοῦ ὀνόματος, ἀλλὰ κυρίως καὶ ἐξόχως ἀπὸ τῆς ἐξουσίας τοῦ θρόνου τοῦ Πέτρου. ἰδοὺ γὰρ ὡς τὰς προλαβούσας τρεῖς Οἰκουμενικὰς, οὕτω καὶ ταύτην τὴν ἐν Χαλκηδόνι ἐν πᾶσι τοῖς πρὸ τῶν πράξεων αὐτῆς βασιλικοῖς καὶ πατριαρχικοῖς καὶ ἄλλοις ἐπισκοπικοῖς γράμμασι, καὶ ἐν πᾶσι τῆς ἐν αὐτῇ ὑπὸ διαφόρων πρόστε τοὺς Βασιλεῖς καὶ Ἄρχοντας καὶ πρὸς αὐτὴν δοθεῖσι λιβέλλοις, καὶ ἐν τῷ πρὸς τὸν Βασιλέα προσφωνητικῷ, καὶ ἐν ταύτῃ τῇ πρὸς τὸν Ῥώμης ἐπιστολῇ αὐτῆς λέγεται καθαρῶς καὶ ἀναμφιβόλως καὶ κυρίως καὶ ἐξόχως ἠθροῖσθαι τῇ τοῦ αὐτοκράτορος Μαρκιανοῦ ἰδίᾳ ἀρεσκείᾳ, καὶ γνώμῃ, καὶ θελήσει, καὶ προτροπῇ, καὶ προσταγῇ, καὶ θεσπίσματι, συμμαρτυροῦντος εἰς τοῦτο λαμπρῶς καὶ τοῦ Πάπα Λέοντος κατὰ διαφόρους τρόπους, ὅστις τῷ αὐτῷ τρόπῳ, ᾧπερ ἐκλήθησαν πάντες οἱ ἁπανταχοῦ πρωτεύοντες τῶν ἁγίων Ἐκκλησιῶν, καὶ οἱ προεστῶτες τῆς Ἱερωσύνης, καὶ οἱ Ἐπίσκοποι τῶν Μητροπόλεων, ἐκλήθη εἰς τὴν Σύνοδον τοῦ εἶναι μέρος αὐτῆς, καὶ οὐδὲν πλέον. δεύτερον, ἰδοὺ τοῦ Πάπα τὸ ἀξίωμα, ὅτι ἐστὶν Ἀρχιεπίσκοπος μόνον τῆς Ῥωμαίων, καὶ δηλονότι οὐδὲν πλέον. εἰ γὰρ ἦν αὐτῷ καί τι πλέον, εἶπον ἂν τοῦτο αἱ προλαβοῦσαι καθολικαὶ Σύνοδοι, ἢ ἡ παροῦσα, ἢ αἱ μετ' αὐτὴν τρεῖς, ἀλλ' οὐκ εἶπον, ἐπειδὴ οὔτε ἦν, οὔτε ἐστὶν, οὔτε ἔσται ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ ἀντιχριστιανικὸν ἀξίωμα. τρίτον, ὅτι τὸ Ἀρχιεπίσκοπος ὄνομα ἐν τῷ Ῥώμης οὐδὲν πλέον σημαίνει τοῦ ὅπερ σημαίνει ἐν τοῖς λοιποῖς Πατριάρχαις. τοῦτο μὲν, ὅτι ἐν τῇ ἐν Σαρδικῇ Συνόδῳ, καὶ ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ ταῖς Οἰκουμενικαῖς, καὶ ἐν πάσαις ταῖς κατὰ μέρος ἕως ἄρτι Συνόδοις, καὶ ὑπὸ πάντων τῶν κατ' ἐκείνους τοὺς καιροὺς ἁγίων πατέρων καὶ Αὐτοκρατόρων ὁ Πάπας τῆς Ῥώμης Ἐπίσκοπος μόνον τῆς Ῥώμης ἐκλήθη. τοῦτο δὲ, ὅτι ἡ τρίτη γράφουσα τῷ Πάπᾳ Κελεστίνῳ, Ἐπίσκοπον αὐτὸν εἶπεν, οὐμακαριώτατον, οὐχ ἁγιώτατον, ἀλλ' ἢ μόνον Ἐπίσκοπον. ὑπότινων ὅμως ἐν αὐτῇ ἐκλήθη Ἀρχιεπίσκοπος, ἀλλ' οὐμόνος, οὐδ' ἐξοχικῶς, ἀλλὰ μετὰ καὶ ἄλλων συντεταγμένως. οἱ γὰρ ἐν Κωνσταντινουπόλει εὑρεθέντες Ἀρχιερεῖς γράφοντες τῇ τρίτῃ Συνόδῳ, εἶπον, τοῖς παναγίοις καὶ θεοφιλεστάτοις Ἀρχιεπισκόποις καὶ πατράσι Κελεστίνῳ, Κυρίλλῳ, Ἰουβεναλίῳ, Φίρμῳ, Φλαυϊανῷ, Μέμνονι, Ἐρινιανῷ, Θεοδότῳ, Ἀκακίῳ, καὶ πάσῃ τῇ καθ' ὑμᾶς ἁγίᾳ Συνόδῳ. καὶ ὁ Ἀντιοχείας Ἰωάννης γράφων ἑνωτικὴν ἐπιστολὴν πρὸς τὴν καθόλου Ἐκκλησίαν, εἶπεν, τοῖς ὁσιωτάτοις καὶ θεοφιλεστάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς Ξύστῳ, Κυρίλλῳ, Μαξιμιανῷ. καὶ ἀνωτέρω πράξει δεκάτῃ τεταρτῇ ὁ Πέρρης Σαβινιανὸς ἐν τῷ πρὸς τὴν Σύνοδον λιβέλλῳ αὐτοῦ εἶπε, τοῖς τὰ πάντα θεοφιλεστάτοις ἁγίοις πατράσι καὶ Ἀρχιεπισκόποις Λέοντι, Ἀνατολίῳ, Μαξίμῳ, καὶ πάσῃ τῇ λοιπῇ ἁγίᾳ Συνόδῳ. καὶ σημείωσαι, ὅτι οὐμόνον σὺν τοῖς λοιποῖς Πατριάρχαις λέγεται ὁ Πάπας Ἀρχιεπίσκοπος, ἀλλὰ καὶ σὺν τοῖς Μητροπολίταις. τέταρτον, ὅτι ἀπὸ τῆς προτάξεως τῶν ὀνομάτων οὐδίδοται ἀξίωμά τι ἐν τῇ Ἐκκλησίᾳ ὡς ἀπὸ ἀναγκαίου αἰτίου. ἡ γὰρ πρώτη Οἰκουμενικὴ γράφουσα πρὸς τοὺς Ἀλεξανδρεῖς, εἶπε, τῇ ἁγίᾳ καὶ μεγάλῃ χάριτι Θεοῦ Ἀλεξανδρέων Ἐκκλησίᾳ, καὶ τοῖς κατ' Αἴγυπτον, Λιβύην, καὶ Πεντάπολιν ἀγαπητοῖς ἀδελφοῖς οἱ ἐν Νικαίᾳ συναχθέντες καὶ τὴν μεγάλην καὶ ἁγίαν συγκροτήσαντες Σύνοδον Ἐπίσκοποι, Θεοδώριτος βιβλίῳ πρώτῳ κεφαλαίῳ ὀγδόῳ. καὶ ἡ τρίτη Σύνοδος γράφουσα πρὸς τοὺς ἐν Κωνσταντινουπόλει εὑρεθέντας Ἐπισκόπους, εἶπε, τοῖς εὐλαβεστάτοις καὶ θεοφιλεστάτοις συλλειτουργοῖς Εὐλαλίῳ, Εὐτροπίῳ, καὶ τοῖς λοιποῖς, ἡ ἁγία Σύνοδος ἡ κατὰ χάριν Θεοῦ καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν Βασιλέων συγκροτηθεῖσα ἐν τῇ Ἐφεσίων Μητροπόλει. καὶ Μαρτῖνος ὁ Πάπας γράφων εἰς τὸν Καρθαγένης, καὶ εἰς Ἰωάννην τὸν Φιλαδελφείας, καὶ εἰς Θεόδωρον Ἐπίσκοπον Ἐσβούντων, καὶ εἰς Παντολέοντα, καὶ εἰς Πέτρον Ἰλλούστριον, καὶ εἰς τὸν ἐν Ἱεροσολύμοις Κλῆρον, καὶ πρὸς Παῦλον τὸν Θεσσαλονίκης, καὶ εἰς τὸν Κλῆρον αὐτοῦ, πάντων τούτων τὰ ὀνόματα προτάττει, τὸ δὲ ἑαυτοῦ ὑποτάττει, τόμῳ ἕκτῳ τῶν Συνόδων, ἀλλ' οὐδεὶς τῶν εἰρημένων ἦν μείζων τοῦ Πάπα. πλὴν Θεοῦ εὐδοκοῦντος, ἵνα πάντοτε καταβάλλητο καὶ κατὰ προηγόρευσιν τὸ ἐπινοηθὲν μεταταῦτα τοῖς Ῥωμαίοις μοναρχικὸν ἀξίωμα, καὶ ἡ τρίτη οἰκουμενικὴ, καὶ ἡ παροῦσα, καὶ ἡ ἕκτη γράφουσαι τῷ Ῥώμης, τὸ ὄνομα αὐτοῦ οὐ προτάττουσιν, ἀλλ' ὑποτάττουσιν. Ἡ ἁγία Σύνοδος ἡ κατὰ Θεοῦ χάριν συναχθεῖσα ἐν τῇ Ἐφεσίων Μητροπόλει Κελεστίνῳ Ἐπισκόπῳ. Ἡ ἁγία καὶ Οἰκουμενικὴ Σύνοδος ἡ κατὰ Θεοῦ χάριν, καὶ πανευσεβὲς θέσπισμα συναχθεῖσα ἐν Κωνσταντινουπόλει, τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνι. καὶ ταῦτα πρὸς τὸ πρῶτον. πρὸς δὲ τὸ δεύτερον ῥητέον, ὅτι οὐμόνον ὁ Ῥώμης ὀρθοδοξῶν, καὶ ἅγιος ὤν, ἀλλὰ καὶ πάντες οἱ ἅγιοι πατέρες, καὶ τοῦ Πέτρου, καὶ πάσης τῆς ἁγίας γραφῆς ἐξίσου εἰσὶν ἑρμηνεῖς, ὅπερ ὡς ὁμολο-

ὁμολογούμενον οὐδεῖται ἀποδείξεων. ἀλλὰ δὴ καὶ ἀπὸ τῶν λατινικῶν Συνόδων τοῦτ' αὐτὸ συνίσταται, καὶ ἰδὲ κατωτέρω βιβλίῳ ἑνδεκάτῳ τὰ περὶ τῆς ἐν Τριδέντῳ Συνόδου. καὶ ὁ Πάπας τὰς ἐπιστολὰς αὐτοῦ διὰ μαρτυριῶν τῶν ἁγίων πατέρων βεβαιοῖ, ὡς καὶ τὴν παροῦσαν ἐπιστολὴν αὐτοῦ, τὴν καὶ στήλην ὀρθοδοξίας κληθεῖσαν, ἐβεβαίωσε διὰ μαρτυριῶν Ἱλαρίου, Γρηγορίου τοῦ Θεολόγου, Ἀμβροσίου, Χρυσοστόμου, Αὐγουστίνου, καὶ Κυρίλλου Ἀλεξανδρείας, καὶ ἰδὲ πράξει τετάρτῃ τὴν ἐπιστολὴν, ὅθεν καὶ ὅτι ἕπεται τοῖς ἁγίοις πατράσιν ἐν πᾶσιν ἀνακηρύττει. ἰδικῶς δὲ πρὸς τὸ προκείμενον ῥητέον, ὅτι ἀνωτέρω πράξει πρώτῃ ἐλέγετο παρὰ τῆς Συνόδου, ὁ Πέτρος τὰ Πέτρου φρονεῖ, ὅπερ ταὐτόν ἐστι τῷ, ὅτι ὁ Λέων τῆς φωνῆς τοῦ Πέτρου ἐστὶν ἑρμηνεύς. καὶ ὁ Πάπας Ἀγάθων ἐν τῇ πρὸς τοὺς Βασιλεῖς αὐτοῦ ἀναφορᾷ λέγει περὶ αὐτοῦ τοῦ Βασιλέως Κωνσταντίνου τοῦ πωγωνάτου, ἡ χάρις τοῦ παναγίου Πνεύματος τῷ καλάμῳ τῆς βασιλικῆς γλώττης ἐκτοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ὑπηγόρευσεν, ὅπερ μεῖζον τοῦ, ὅτι ὁ Λέων τῆς τοῦ Πέτρου φωνῆς ἐστὶν ἑρμηνεύς, καὶ γὰρ οὐ κατὰ Πέτρον ἐλάλησεν ὁ Βασιλεὺς, ἀλλὰ κατὰ Χριστὸν αὐτὸν, ὡς ὑφηγεῖται ἐκεῖ ἡ Σύνοδος. ἀλλὰ δὴ καὶ ἡ ἕκτη Σύνοδος ἐν τῷ πρὸς τὸν αὐτὸν Βασιλέα προσφωνητικῷ εἰποῦσα, δι' Ἀγάθωνος ὁ Πέτρος ἐφθέγξατο, ἐπεῖπε, τῷ Βασιλεῖ παντοκράτορι Βασιλεὺς αὐτοκράτωρ συνεψηφίζου, σὺ θεοψήφιστε, ὅπερ καὶ αὐτὸ μεῖζον ἐστὶ τοῦ, ὅτι ὁ Λέων τῆς τοῦ Πέτρου φωνῆς ἐστὶν ἑρμηνεύς. πρὸς τούτοις ὁ λόγος προσωπικός ἐστιν, ἦν γὰρ τῆς Πέτρου φωνῆς ἑρμηνεὺς ὁ Λέων καὶ οἱ κατ' αὐτὸν ἅγιοι Πάπαι ὡς ἅγιοι, οὐ μὴν καὶ οἱ Αἱρετικοὶ Πάπαι, οἵτινες παρεξηγηταὶ καὶ παρερμηνευταὶ μᾶλλον ῥηθεῖεν. ἀρχηγὸς δὲ τοῦ καλοῦ ὁ Λέων, ἀλλ' οὐ μόνος, οὐδὲ πρῶτος, ὡς εἶπε πᾶσα ἡ τρίτη Οἰκουμενικὴ περὶ Κυρίλλου καὶ Μέμνονος, ὅτι πρῶτοι καὶ μόνοι κατὰ Νεστορίου ἠγωνίσθησαν, ἧς προσηγορίας οὐκ ἠξιώθη ὁ Λέων παρὰ τῆς παρούσης Συνόδου. καὶ γὰρ εἶπεν ἡ Σύνοδος ἀνωτέρω ἐν τῷ πρὸς τὸν Βασιλέα προσφωνητικῷ, ὑπεραπολογουμένη τῆς ἐπιστολῆς τοῦ Λέοντος, ὅτι οὐδὲν καινὸν εἶπεν, ἀλλὰ τὰ τῶν πατέρων. καὶ ὁ Βασιλεὺς Μαρκιανὸς γράφων τοῖς ἐν Ἀλεξανδρείᾳ μονάζουσιν, εἶπε, τὸ πρόπαν ἡ ἁγία καὶ καθολικὴ Σύνοδος ἡ ἐν Χαλκηδόνι γενομένη περὶ τὴν ἀποστολικὴν πίστιν οὐδὲν ἐκαινοτόμησεν, διὰ πάντων δὲ τῇ Ἀθανασίου καὶ Θεοφίλου καὶ Κυρίλλου τῶν τῆς εὐλαβοῦς μνήμης γενομένων Ἐπισκόπων τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀκολουθήσασα διδασκαλίᾳ, καθεῖλε τὴν Εὐτυχοῦς βλασφημίαν. ῥητέον οὖν, ὅτι καθὼς ἡ ἐν Χαλκηδόνι Σύνοδος ἐχρήσατο ἀρχηγῷ τῷ Λέοντι, οὕτως ἐχρήσατο ἡ αὐτὴ ἀρχηγοῖς Ἀθανασίῳ, Κυρίλλῳ, καὶ Θεοφίλῳ. τούτῳ τῷ τρόπῳ καὶ ἡ ἕκτη Σύνοδος ἔλεγε τῷ Βασιλεῖ ἐν τῷ εἰς αὐτὸν προσφωνητικῷ, ἴσθι γὰρ ὦ Βασιλεῦ γαληνότατε, ὡς οὐδὲν τῶν ἐν ταῖς ὅλαις Συνόδοις καὶ παρὰ τῶν ἐγκρίτων πατέρων ὑποτυπωθέντων παρεχαράξαμεν, μᾶλλον δὲ ἐβεβαιώσαμεν, τουτέστιν ἀρχηγοῖς χρησάμενοι τοῖς πατράσιν, ὡρίσαμεν. καὶ ἔξεστιν ἀμφισβητήσεως φυείσης ταῖς τῶν πατέρων ἑρμηνείαις τὴν ἡμετέραν ἐπισυνάπτειν ὁμολογίαν, καὶ πείθειν ὡς οὐκ ἀπάδον τῆς ἐκείνων διανοίας ἐπιδεικνύμεθα φρόνημα, ἀλλὰ μάρτυσιν αὐτοῖς πρὸς τὴν τῆς ἡμετέρας πίστεως βεβαίωσιν χρώμεθα, ἀλλὰ δὴ καὶ ἐν τοῖς Ὅροις, καὶ ἐν ταῖς ἐπιστολαῖς αὐτῶν αἱ Οἰκουμενικαὶ Σύνοδοι λέγουσιν, ὅτι ἀκολουθοῦντες τοῖς προηγησαμένοις ἁγίοις πατράσιν, ὡρίσαμεν. καὶ ἰδὲ τοὺς τόπους, καὶ μάλιστα τὸν Ὅρον τῆς παρούσης Συνόδου, οὗ τὴν ἀπόφασιν ἐθήκαμεν ἀνωτέρω. οὕτω καὶ ὁ Πάπας Κελεστῖνος ἐπιστολῇ πρὸς Κύριλλον, τοὺς πρὸ Κυρίλλου Ἐπισκόπους Ἀλεξανδρείας ἐκδίκους τοῦ ὀρθοδόξου δόγματος ἀποκαλεῖ, καὶ τὸν Κύριλλον αὐτὸν Ποιμένα λέγει καλὸν καὶ ἀγαθὸν, καὶ ἔκδικον ἰσχυρότατον, καὶ τῆς πίστεως ὀχύρωμα, καὶ ἑτοιμοτάτην θεραπείαν, δι' ἧς ἡ λοιμώδης νόσος (Νεστορίου) ὑγιεινῷ φαρμάκῳ ἀπελαθείη, καὶ ἔκροιαν καθαρᾶς πηγῆς, δι' ἧς πᾶσα καθαριεῖται ἰλὺς τοῦ κακῶς διαχεομένου ῥείθρου, καὶ πᾶσιν ἀνοίγεται ὁ τρόπος τῆς δεούσης περὶ τὴν πίστιν ἐννοίας. ἀλλὰ καὶ ἀπὸ τῆς τρίτης Οἰκουμενικῆς, καὶ ὑπὸ τῶν μεταταῦτα Συνόδων καὶ Πατέρων καὶ Βασιλέων διαφόρως καὶ ἐξόχως ἐνεκωμιάσθη ὁ Κύριλλος. ἄρα οὐ μόνος οὐδὲ πρῶτος ὁ Λέων ἀρχηγὸς τοῦ καλοῦ, καὶ ἑρμηνεὺς τῆς τοῦ Πέτρου φωνῆς, ἀλλὰ καὶ ἄλλοι πρὸ αὐτοῦ, καὶ ἐπ' αὐτοῦ, καὶ μετ' αὐτόν. κεφάλαιον δὲ τῶν εἰρημένων, ὅπερ ἀνωτέρω ἡ παροῦσα Σύνοδος προσφωνοῦσα τοῖς Βασιλεῦσιν, εἶπε περὶ τῶν Πατέρων, ἀλλ' ὡς φωστῆρας εὐθὺς τοῖς ἐν πλάνῃ τοὺς πατέρας ἀνέδειξε, τῆς πίστεως ἅπασιν ἀναπτύξαντας τὴν διάνοιαν, ὅπερ ταὐτόν ἐστι τῷ, ὅτι οἱ Πατέρες τῆς φωνῆς τοῦ Πέτρου εἰσὶν ἑρμηνεῖς, οἷς ἀκολουθήσας ὁ Λέων, συνεγένετο καὶ αὐτὸς τῆς τοῦ Πέτρου φωνῆς ἑρμηνεύς. ὥστε καὶ ἐκ τούτων λαμπρῶς καταστρέφεται τὸ μοναρχικὸν τοῦ Πάπα ἀξίωμα, οὐ συνίσταται, φησὶ γὰρ ἡ Σύνοδος, ὅτι χρησαμένη αὐτῷ ὡς ἀρχηγῷ τὸν κλῆρον ἔδειξεν, ὃν ἐκεῖνος δηλαδὴ δεῖξαι οὐκ ἠδυνήθη. πολλὰ γὰρ εἰπὼν, καὶ εἰς πολλοὺς γράψας, καὶ Σύνοδον ἐν Ῥώμῃ συγκροτήσας, καὶ πολλὰ δακρύσας, καὶ θρηνήσας, καὶ ἱκετεύσας ἐν τῇ Ἐκκλησίᾳ τοῦ ἁγίου Πέτρου ἐν τῷ Βατικανῷ, ἔνθα ὁ μέγας Κωνσταντῖνος ἔδωκεν αὐτῷ τὰ βασιλικὰ ἄμφια καὶ παλάτια, καὶ τὴν ἐξουσίαν τοῦ εἶναι ὑπὲρ τοὺς Βασιλεῖς, καὶ μάλιστα Βασιλέα τῶν Βασιλέων, ὡς μυθοπλαστοῦσιν οἱ Ῥωμαῖοι, ἐκεῖ (ὦ τῆς δυστυχίας) ἐδέετο ὡς δοῦλος τῶν Βασιλέων, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου ἐσχάτου Παράγραφον δέκατον ἕκτον. καὶ ταῦτα ποιῶν, καὶ κοπιῶν ἐν πολλοῖς ἔτεσι, τὰ ἀμφίβολα λῦσαι οὐκ ἠδυνήθη. ἡ ἐν Χαλκηδόνι δὲ Σύνοδος ὑπὸ τοῦ Μαρκιανοῦ συγκροτηθεῖσα,

τὴν

τὴν ἀλήθειαν ἔδειξε, καὶ τὰς Ἐκκλησίας εἰρήνευσε. πρὸς δὲ τὸ τρίτον ῥητέον, ὅτι ἰδοὺ πάλιν ἡ κατάλυσις τῆς παπικῆς μοναρχίας, καὶ τὸ κράτος τῆς Συνόδου δείκνυται. φησὶ γὰρ, ὅτι οὐκαθ' ἕνα ἕκαστος ἐν παραβύστῳ, ὅπερ ταὐτόν ἐστι τῷ, οὐχ ὡς οἱ Αἱρετικοὶ ἐν ταῖς παρασυναγωγαῖς, καὶ οἱ Πάπαι ἐν ταῖς ἰδίαις παρ' αὐτῶν γωνίαις ἀθροίζουσι Συνόδους, ἀλλὰ κοινῷ Πνεύματι, μιᾷ συμπνοίᾳ, καὶ ὁμονοίᾳ πασῶν τῶν Ἐκκλησιῶν τὴν ἀλήθειαν τῆς πίστεως τοῖς πᾶσιν ἐγνώρισαν, ὥσπερ δήπου εἴρηται ἀνωτέρω ἐπὶ τῆς τρίτης Συνόδου ἐν πολλοῖς, καὶ ἐκεῖνο ἐν τῇ τρίτῃ πράξει τοῦ Φιλίππου, κατὰ τὸν τύπον πασῶν τῶν Ἐκκλησιῶν, καὶ ἰδὲ τὸν τόπον. πρὸς δὲ τὸ τέταρτον ῥητέον, ὅτι τὸ πλῆθος τῶν πατέρων εἰς σύστασιν πίστεως προβάλλει ἡ πρώτη Σύνοδος ἐπιστολῇ πρὸς τοὺς Ἀλεξανδρεῖς, καὶ ὁ μέγας Κωνσταντῖνος γράφων εἰς πολλοὺς, καὶ οἱ μεγάλοι Ἀθανάσιος καὶ Βασίλειος ἐν πολλοῖς τόποις, οὓς ἰδὲ ἀνωτέρω βιβλίῳ πρώτῳ καὶ δευτέρῳ, καὶ ὁ Πάπας Κελεστῖνος ἐπιστολῇ πρὸς τὴν τρίτην Σύνοδον, καὶ ἡ Οἰκουμενικὴ ἕκτη ἐν τῷ Ὅρῳ αὐτῆς, καὶ ἰδὲ τοὺς τόπους. καὶ σημείωσαι ὅτι ὁ Πάπας μόνον ἑαυτὸν προβάλλων εἰς σύστασιν τῆς πίστεως, ἀντικείμενα λέγει τῇ γραφῇ, ἀντίδοξα φρονεῖ ταῖς Συνόδοις, καὶ ἀπάδοντα πάσῃ ἐκκλησιαστικῇ παραδόσει καὶ ἀληθείᾳ, ὅθεν καὶ καταφρονητέα καὶ ἀποβλητέα τὰ παρ' αὐτοῦ ὡς ἀπὸ μονάρχου καὶ ἀναμαρτήτου διοριζόμενα. πρὸς δὲ τὸ πέμπτον ῥητέον, ὅτι ἐῤῥέθη ὁ Λέων κεφαλὴ τῶν τῆς Συνόδου πατέρων, ὃν τρόπον ἐῤῥέθησαν ἐν τῇ τρίτῃ ὁ Κύριλλος καὶ Μέμνων κεφαλαὶ αὐτῆς, καὶ ἰδὲ βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν, ἀλλὰ δὴ καὶ ἡ παροῦσα Σύνοδος ἀνωτέρω προσεχῶς ἐν τῷ προσφωνητικῷ φησὶν, ὅτι Νεκτάριος καὶ Γρηγόριος τὴν Ἡγεμονίαν εἶχον ἐν τῇ δευτέρᾳ Συνόδῳ, καὶ ὁ Βασιλεὺς Μαρκιανὸς ἐν τῇ προτεθείσῃ ἐν Κωνσταντινουπόλει περὶ τῆς παρούσης Συνόδου διατάξει λέγει, Κελεστῖνος καὶ Κύριλλος τῆς τρίτης Συνόδου ἐξῆρχον. καὶ σημείωσαι ὅτι εἶχον τὴν Ἡγεμονίαν ἐν τῇ δευτέρᾳ Συνόδῳ Νεκτάριος καὶ Γρηγόριος, καὶ ἐξῆρχον τῆς τρίτης Κελεστῖνος καὶ Κύριλλος, οὐκ ἄλλως μέντοι, ἀλλ' ἢ ὡς κεφαλαὶ ὡσαύτως ἡγεμονεύουσαι καὶ ἐξάρχουσαι, διὸ καὶ τῆς αὐτῆς ἦσαν τιμῆς, τοῦ αὐτοῦ βαθμοῦ, τῆς αὐτῆς Αὐθεντίας καὶ ἐξουσίας, καὶ τῶν αὐτῶν ἐγκωμίων, καὶ διὰ τὸ αὐτὸ αἴτιον. ὡς γὰρ ἡ τρίτη Σύνοδος ἔγραφε πρὸς τὸν Κλῆρον Κωνσταντινουπόλεως περὶ Κυρίλλου καὶ Μέμνονος, ἀλλὰ μεγάλης δόξης καὶ στεφάνων ἡγούμεθα μόνους καὶ πρώτους ὑπὲρ τοὺς ἄλλους ἅπαντας ζήλῳ τῷ κατὰ Θεὸν κινηθέντας, ἐκκόψαι τὸν τῆς ἀσεβείας κήρυκα Νεστόριον, καὶ διατοῦτο καὶ κεφαλαὶ ἐκλήθησαν ἐκείνης τῆς Συνόδου, οὕτως ἐν τῇ παρούσῃ ὁ Λέων διὰ τὴν εὔνοιαν, ἣν ἔδειξε διὰ τῶν Τοποτηρητῶν αὐτοῦ, κατὰ μέντοι τὸ ἐπισκοπικὸν δίκαιον, καὶ τὴν ἐπισκοπικὴν σύνταξιν ὁ Λέων μέρος ἦν τῆς Συνόδου, οὐ μὴν καὶ κεφαλὴ, ἀλλ' ἀδελφὸς, λέγει γὰρ ἡ Σύνοδος πρὸς αὐτὸν, Ταῦτα ἐστὶν, ἅπερ σὺν σοὶ τῷ πνεύματι παρόντι καὶ συνευδοκεῖν ὡς ἀδελφοῖς ἐγνωκότι, καὶ μονονουχὶ διὰ τῆς τῶν σῶν Τοποτηρητῶν ὁρωμένῳ σοφίας εἰργάσμεθα. καὶ ὅρα παπίδιον ὅτι ἀδελφὸς ὁ Λέων πάντων τῶν πατέρων τῆς Συνόδου ὡς Ἐπίσκοπος καὶ Πάπας, καὶ οὐ πατὴρ, καὶ ἰδὲ περὶ κεφαλῆς κατωτέρω βιβλίου πέμπτου κεφάλαιον δέκατον ἕνατον, καὶ βιβλίου δεκάτου μέρους δευτέρου κεφάλαιον ἕβδομον, καὶ μέρους τετάρτου κεφαλαίου πρώτου Παράγραφον δέκατον ἕβδομον. πρὸς δὲ τὸ ἕκτον ῥητέον, ὅτι τὸ, ὁ Φλαυϊανὸς τὴν ἀποστολικὴν προϊσχόμενος πίστιν, ταὐτόν ἐστι τῷ, ὅτι ὁ Λέων τῆς τοῦ Πέτρου φωνῆς ἐστὶν ἑρμηνεὺς, καὶ γὰρ ὡς ὁ Λέων, καὶ αὐτὸς ἐγένετο ἀρχηγὸς τοῦ καλοῦ τῇ Συνόδῳ, ἤτοι ἀφορμὰς ἔδωκεν αὐτῇ προσφόρως εἰπεῖν περὶ τοῦ προκειμένου κατὰ τοῦ Εὐτυχοῦς, οὗτινος καὶ τὴν ἔκθεσιν τῆς πίστεως, ἣν συνέθετο κατὰ τῆς Αἱρέσεως τοῦ αὐτοῦ, ἡ παροῦσα Σύνοδος ἐν τῇ πρώτῃ πράξει δοκιμάσασα, ἐπήνεσε καὶ ἐβεβαίωσεν, ὡς εἴρηται ἀνωτέρω Παραγράφῳ ἐνάτῳ. καὶ σημείωσαι ὅτι ὁ Πάπας διδασκόμενος διδάσκει, καὶ οὐκ ἀφ' ἑαυτοῦ εὑρίσκει τὰς λύσεις τῶν ἀμφιβολιῶν ὡς ἐξ ἀποκαλύψεως, ἢ ἐμπνεύσεως, ἢ ὡς μὴ δυνάμενος ἁμαρτεῖν τὰ τῆς πίστεως διορίζων, ἀλλ' ἑπόμενος τοῖς πατράσιν, εὑρίσκει τὸ ἀληθὲς, ὡς καὶ αὐτὸς ὁ Λέων μόνος παρίστησιν ἐν τῇ πρὸς τὸν Φλαυϊανὸν αὐτοῦ ἐπιστολῇ, καὶ ἰδὲ ἀνωτέρω Παράγραφον δέκατον. τοῦτο δὲ ἴδιόν ἐστι παντὸς σοφοῦ καὶ ὀρθοδόξου Ἐπισκόπου, καὶ οὐμόνου τοῦ Πάπα. πρὸς δὲ τὸ ἕβδομον ῥητέον, ὅτι ὁ Λέων καθεῖλε τὸν Εὐτυχῆ, ἀλλὰ πρὸ αὐτοῦ καθαιρέσει ὑπέβαλεν αὐτὸν ὁ Φλαυϊανὸς συνοδικῶς, εἶπε δὲ ἡ Σύνοδος ἐνταῦθα μόνον τὸν Λέοντα, ἐπειδὴ πρὸς ἐκεῖνον ἔγραφε διὰ τιμὴν αὐτοῦ, οὐ μὴν καὶ διά τι ἀξίωμα ἰδικὸν, ὅτι δὲ μᾶλλον τῆς καθαιρέσεως τοῦ Εὐτυχοῦς ὑπὸ τοῦ Ῥώμης εἶχε τὴν ἰσχὺν ἡ καθαίρεσις αὐτοῦ, ἤτοι τοῦ Φλαυϊανοῦ, δείκνυται ἐκ τῆς διαλαλιᾶς, ἣν εἶπον οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης ἐν τῇ καθαιρέσει τοῦ Διοσκόρου. πρὸς δὲ τὸ ὄγδοον ῥητέον, ὅτι ἄμπελος καλεῖται ἡ πίστις μεταφορικῶς καὶ ἡ Ἐκκλησία, Ἐπιφάνιος Αἱρέσει τεσσαρακοστῇ πέμπτῃ φησὶ, φυτεία Θεοῦ καὶ ἀμπελὼν ἡ καθολικὴ Ἐκκλησία. καὶ ὁ Κύριος φησὶν, ἄνθρωπός τις ἦν οἰκοδεσπότης, καὶ ἐφύτευσεν ἀμπελῶνα, Ματθαίου κεφαλαίῳ εἰκοστῷ πρώτῳ. καὶ τῆς Ἐκκλησίας δὲ φύλαξ ἐῤῥέθη ὁ Βασιλεὺς Θεοδόσιος ἐν τῇ ἐπὶ Φλαυϊανοῦ ἐν Κωνσταντινουπόλει πράξει ἑβδόμῃ, καὶ ἡ παροῦσα Σύνοδος πράξει ἕκτῃ ἐπαινοῦσα τὸν Μαρκιανὸν, εἶπε, τὸν φύλακα τῆς πίστεως ὁ Θεὸς φυλάξει. καὶ ἡ ἐπὶ Μηνᾶ ἐν τῇ πέμπτῃ πράξει τὸν Ἰουστινιανὸν φύλακα τῆς πίστεως εἶπε. καὶ ἡ ἑβδόμη Σύνοδος πράξει τρίτῃ εἶπε τοὺς Βασιλεῖς

ὑπερα-

ὑπερασπιστὰς τῆς Ἐκκλησίας, καὶ φύλακας τῆς πίστεως. καὶ πράξει τετάρτῃ ἀναγνωσθείσης τῆς ἐπιστολῆς τοῦ ἁγίου Γερμανοῦ πρὸς Θωμᾶν Κλαυδιουπόλεως, ὁ ἅγιος Ταράσιος εἶπεν, ἐβόησαν οἱ φύλακες τῆς καθολικῆς Ἐκκλησίας ἅγιοι πατέρες ἡμῶν. ἀλλὰ δὴ καὶ ἡ ἕκτη Σύνοδος πράξει δεκάτῃ ἕκτῃ εἶπε τὸν Βασιλέα φύλακα τῆς ὀρθοδοξίας, στήριγμα τῶν Ἐκκλησιῶν, φύλακα τῆς πίστεως. καὶ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου ἐσχάτου Παραγράφῳ δεκάτῳ ὁ Πάπας Λέων φύλακα τῆς πίστεως εἶπε τὸν Ἀρχιμανδρίτην Φαῦστον, καὶ ἰδὲ τὸν τόπον. καὶ ὁ Χρυσόστομος λόγῳ εἰς τοὺς δώδεκα Ἀποστόλους φησὶν, ἡγείσθω τοῦ λόγου ὁ Πέτρος, ἐπειδὴ πρῶτος εἰς τὸν ἀμπελῶνα ὑπὸ τοῦ Κυρίου μεμίσθωται. πρῶτος φησὶ, καὶ οὐ μόνος, ὥστε καὶ τῷ Πάπᾳ ὀρθοδοξοῦντι ἐπιτέτραπται ἡ φυλακὴ τῆς πίστεως καὶ τῆς Ἐκκλησίας, ἀλλ' οὐ μόνῳ, ἀλλὰ καὶ παντὶ ὀρθοδοξοῦντι Ἐπισκόπῳ καὶ Διδασκάλῳ. ἰδὲ καὶ βιβλίου δεκάτου μέρους πέμπτου κεφάλαιον πρῶτον. πρὸς τούτοις, εἰ μόνος ἦν ὁ Πάπας τῆς ἀμπέλου φύλαξ, οὐκ ἂν εἶπεν ἡ Σύνοδος, λέγομεν δὴ τῆς σῆς ὁσιότητος, ἀλλ' ἐπειδὴ πολλοί εἰσιν οἱ τοιοῦτοι φύλακες, εἶπεν αὐτῷ τὸ, λέγομεν τῆς σῆς ὁσιότητος, πρὸς σαφήνειαν ὅτι περὶ ἐκείνου τὸν λόγον εἶπε. πρὸς δὲ τὸ ἔνατο ῥητέον, ὅτι ἡ Σύνοδος ἄνευ τῆς τοῦ Πάπα γνώμης ἢ θελήσεως, ἐκεῖνο ὅπερ τὸ ἔθος ἔδωκε τῷ Κωνσταντινουπόλεως, ἵνα χειροτονῇ τοὺς Μητροπολίτας τῶν τάδε Ἐπαρχιῶν, ἐβεβαίωσε διὰ τῆς οἰκείας ἐξουσίας, δεικνύοντος τοῦ Θεοῦ πάντοτε καὶ διὰ πάντων τὸ κράτος τῶν Συνόδων ἐπίτε τοῦ Ῥώμης καὶ τῶν λοιπῶν Πατριαρχῶν, καὶ ἐπὶ παντὸς χριστιανοῦ, εἰ καὶ Βασιλεύς ἐστιν. ὥστε οὐκ ἐπὶ τῶν Συνόδων ὁ Πάπας, ἀλλ' ἡ Σύνοδος ἐπὶ τοῦ Πάπα. πρὸς δὲ τὸ δέκατον παλιλλογητέον, ὅτι ἡ Σύνοδος τῶν ἑκατὸν πεντήκοντα πατέρων τὸν Κανόνα περὶ τῶν πρεσβείων τοῦ Κωνσταντινουπόλεως ἀνεκαίνισε καὶ ἐβεβαίωσε, διότι ὁ Διόσκορος τὸν Κωνσταντινουπόλεως Φλαυϊανὸν ἐν τῇ κατ' αὐτὸν ἐν Ἐφέσῳ Συνόδῳ πέμπτον ἔταξεν, ὅπερ βίαιον καὶ παρὰ Κανόνας ἦν, ὡς εἴρηται, καὶ ῥηθήσεται. δέδωκε δὲ ὁ Κανὼν τῷ Κωνσταντινουπόλεως τὸ πατριαρχικὸν ἀξίωμα, καὶ τοῦτο ἐβεβαίωσεν αὐτῷ καὶ ἡ παροῦσα Σύνοδος, οὐ μὴν ἔδωκεν αὐτῷ καὶ τίποτε ἄλλο πρωτεῖον ἐξαίρετον, παρ' ὃ ἔχουσιν οἱ λοιποὶ Πατριάρχαι, ἢ ἔδωκεν αὐτῷ ἐξουσίαν καθόλου Ἐκκλήτου, ὡς τερατεύονταί τινες, παρεξηγούμενοι τὸν ἔνατον καὶ τὸν δέκατον ἕβδομον τοὺς Κανόνας αὐτῆς. εἶναι δὲ μετὰ τὸν Ῥώμης τὸν Κωνσταντινουπόλεως ὥρισαν αἱ Σύνοδοι, οὐχ ὅτι ὁ Ῥώμης ἔχει ἀξίωμά τι παρὰ τὸ πατριαρχικὸν, ὥστε ἔχειν καὶ τὸν Κωνσταντινουπόλεως τοῦτο μετ' αὐτὸν, ἀλλὰ κατὰ μὲν τὴν τάξιν εἴη δεύτερος ὁ Κωνσταντινουπόλεως, πρῶτος δὲ ὁ Ῥώμης, κατὰ δὲ τὸ ἀξίωμα τῆς Πατριαρχείας εἴη ἴσος αὐτῷ. ὅθεν λέγει ἡ Σύνοδος ἐν τῷ εἰκοστῷ ὀγδόῳ Κανόνι, τὸν Κωνσταντινουπόλεως μεγαλύνεσθαι ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν ὡς τὸν Ῥώμης, ὥστε ἡ διαφορὰ ἐστὶν ἐν μόνῃ τῇ τάξει, ἡ ἰσότης δὲ ἐστὶν ἐν τῷ αὐτῷ ἀξιώματι, καὶ τῇ αὐτῇ ἀξίᾳ, καὶ πάσαις ταῖς ἐνεργείαις αὐτοῦ. οὐχ ὥρισε δὲ ταῦτα ἡ Σύνοδος, ὡς εἴρηται, ἵνα προσάψῃ ἢ τῷ Ῥώμης ἕτερόν τι ἀξίωμα παρὰ τὸ πατριαρχικὸν, ἢ τῷ Κωνσταντινουπόλεως πρωτεῖόν τι ἄλλο παρὰ τὸ πατριαρχικὸν, ἢ ἐξουσίαν γενικῆς Ἐκκλήτου, ἢ ἄλλης δυνάμεως, ἀλλὰ πρὸς ἀναίρεσιν συγχύσεων, ἃς πραγματικῶς ἔγνω ἡ Σύνοδος ἐν ἄλλοις, καὶ ἐπὶ τῆς Μητροπόλεως Ἐφέσου, μαχομένων τῶν Μητροπολιτῶν Βασιανοῦ καὶ Στεφάνου, καὶ συμμαχομένων αὐτοῖς τῶν Βασιλέων, καὶ πάντων τῶν Πατριαρχῶν, ὡς εἴρηται ἀνωτέρω Παραγράφῳ εἰκοστῷ τρίτῳ, καὶ ἕνεκεν ἐκκλησιαστικῆς εὐταξίας, ἵνα μὴ ὁ Κωνσταντινουπόλεως ποτὲ μὲν δεύτερος, ποτὲ δὲ πέμπτος τάττηται ἐν ταῖς Συνόδοις, καὶ προξενῶνται σκάνδαλα καὶ ταραχαὶ, καὶ αὔξησις τῶν Αἱρέσεων. σημείωσαι οὖν δύο τινὰ, εὖ μὲν, ὅτι ὁ σκοπὸς τῆς Συνόδου ἦν, ἵνα πρὸς ἀναίρεσιν τῶν κατὰ τὰς εἰρημένας Ἐπαρχίας συγχύσεων χειροτονῇ ὁ Κωνσταντινουπόλεως τοὺς ἐν αὐτῇ τῇ Ἐφέσῳ Μητροπολίτας. δεύτερον δὲ, ἵνα ᾖ ὁ Κωνσταντινουπόλεως Πατριάρχης μὲν, ἀλλὰ τῇ τάξει δεύτερος. καὶ τρίτον, ὅτι οὐδιώρισε καινόντι, ἀλλὰ καθὼς ἐλέγετο ἐν τῷ ἕκτῳ Κανόνι τῆς πρώτης Συνόδου, ἵνα ὁ Ἀλεξανδρείας ἔχῃ τὴν ἐξουσίαν πάσης Αἰγύπτου (ὅπερ οὐ καινόν ἐστιν) ἐπειδὴ καὶ τῷ Ῥώμης σύνηθές ἐστιν ἔχειν τὴν ἐξουσίαν πασῶν τῶν Δυτικῶν Ἐκκλησιῶν. οὕτω καὶ ἐνταῦθα. ἐπειδὴ γὰρ καὶ ὁ Ῥώμης καὶ οἱ Πατριάρχαι τῆς Ἀνατολῆς κατ' ὀλίγον παρὰ τοῦ ἔθους ἔλαβον χειροτονεῖν τοὺς ἐν ταῖς νυνὶ ἐνορίαις αὐτῶν Μητροπολίτας, ἔδει οὖν καὶ τοὺς λοιποὺς Μητροπολίτας, οἵτινες οὐκ ἦσαν ὑποκείμενοι τινὶ Πατριάρχῃ χειροτονεῖσθαι ὑπό τινος Πατριάρχου διὰ τὸ αὐτὸ αἴτιον, ἤτοι διὰ τὸ ἀσύγχυτον, ἀλλ' ἐπειδὴ ἦσαν αἱ τοιαῦται Ἐπαρχίαι περὶ τὴν Κωνσταντινούπολιν, καὶ ἐν ταῖς ἐγκρίτοις αὐτῶν οἱ Πατριάρχαι Κωνσταντινουπόλεως πολλάκις καὶ κατὰ διαφόρους καιροὺς ἐχειροτόνησαν Μητροπολίτας, ἔδει τὸν Κωνσταντινουπόλεως τούτους χειροτονεῖν, καὶ οὐκ ἄλλόν τινα Πατριάρχην. εἶτα τοῦτο οὐ μόνον ὑπὸ τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς ἐκυρώθη, ἀλλὰ καὶ ὑπὸ τοῦ Πάπα Λέοντος προεδέχθη, καὶ γὰρ ἐμάχετο τοῖς ὑπὸ τοῦ Διοσκόρου πεπραγμένοις, ἐν οἷς ἐμέμφετο καὶ τοῦτο, ὅτι τὸν Κωνσταντινουπόλεως πέμπτον ἔταξεν ὁ Διόσκορος, ὅπερ καὶ ὡς ἔγκλημα τῷ Διοσκόρῳ οἱ Τοποτηρηταὶ τοῦ Πάπα προσήνεγκαν ἐν τῇ καθαιρέσει αὐτοῦ. καὶ Εὐσέβιος ὁ Δορυλαίου εἰς Ῥώμην ἀνελθὼν μετὰ τὴν διάλυσιν τῆς λῃστρικῆς ἐπὶ τοῦ Διοσκόρου Συνόδου, πρὸς τοῖς ἄλλοις ἀθεμίτοις, οἷς ἐνεκάλει αὐτῷ, εἶπε καὶ τοῦτο, ὅτι τὸν Φλαυϊανὸν πέμπτον ἔταξε, καὶ ἀνέγνω τὸν τρίτον Κανόνα τῆς δευτέρας Οἰκουμενικῆς ἐπὶ τοῦ Πάπα, παρόντων καὶ Κληρικῶν τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, ὁ δὲ Πάπας τὸν Κανόνα ἀπεδέξατο

δέξατο. τέως οἱ παρόντες τῇ Συνόδῳ ἔγκριτοι Μητροπολῖται ὑπεδέξαντο χειροτονεῖσθαι ὑπὸ τοῦ Κωνσταντινουπόλεως. ταῦτα δὲ καὶ τοῖς Βασιλεῦσιν ἤρεσκεν, οἵτινες ἐβούλοντο μένειν ἀεὶ καὶ βεβαιοῦσθαι τὰ ἀρχαῖα καὶ πάτρια, πρὸς εὐταξίαν ἐκκλησιαστικὴν, καὶ πρὸς ἐπίδοσιν τῆς ὀρθοδόξου πίστεως ἀνήκοντα. τούτων οὕτως ἐχόντων, οἱ Πάπαι μαχόμενοι τοῖς πρεσβείοις Κωνσταντινουπόλεως, μάχονται τῷ ἔθει καὶ τῇ ἐκκλησιαστικῇ εὐταξίᾳ, ἀποδέχονται τὰς συγχύσεις, καταφρονοῦσι τοῦ προσήκοντος, ἀντίκεινται ἀποτόμως τῇ δευτέρᾳ Οἰκουμενικῇ Συνόδῳ, καὶ τῇ παρούσῃ, ὥστε προξενοῦσι τρία τινὰ, πρῶτον, ὅτι διδάσκουσι τοὺς Αἱρετικοὺς, τῶν καθολικῶν Συνόδων τὰ μὲν δέχεσθαι ὡς καλὰ, τὰ δὲ ἀποβάλλεσθαι ὡς παράνομα, ὅπερ ὅτι ἀσεβέστατόν ἐστιν ἔργον, πρόδηλον καὶ ἐξ ἑαυτοῦ, ῥηθήσεται ὅμως περὶ αὐτοῦ καὶ κατωτέρω βιβλίῳ ἑκτῷ κεφαλαίῳ δεκάτῳ. δεύτερον, ὅτι ὑποπίπτουσι τῷ ἀναθέματι τῆς δευτέρας Συνόδου, καὶ τῶν λοιπῶν τῶν δεξαμένων καὶ βεβαιωσασῶν αὐτὰς, ἃς πᾶσα ἡ καθολικὴ Ἐκκλησία δέχεται ὡς τὰ τέσσαρα Εὐαγγέλια. τρίτον, ὅτι ἐθισθέντες ἀντικεῖσθαι ταῖ ἁγίαις Συνόδοις οἱ Ῥωμαῖοι, παραχωρήσει Θεοῦ ὑπέπεσον πολλοῖς καὶ διαφόροις ἀτοπήμασι. πρὸς δὲ τὸ ἑνδέκατον ῥητέον, ὅτι ὁ μέγας Ἀθανάσιος γράφει Ἐπικτήτῳ, Συνόδους τινὰς γεγονέναι ἐν Γαλλίᾳ καὶ Ἱσπανίᾳ καὶ Ῥώμῃ, καὶ πρὸς βεβαίωσιν τῆς ἐν Νικαίᾳ Συνόδου, καὶ ἰδὲ ἀνωτέρω βιβλίου πρώτου κεφαλαίου δεκάτου ἑβδόμου Παράγραφον δεύτερον. δηλοῦται δὲ διὰ τούτων τρία τινὰ, πρῶτον, ὅτι ἡ ἐν Ῥώμῃ Σύνοδος κατὰ τὸ εἰκὸς εἶχε τὸν Πάπαν προεδρεύοντα ἑαυτῆς. δεύτερον, ὅτι οὐκ ἄλλῃ ἐξουσίᾳ καὶ δυνάμει, ἀλλ' αὐτῇ ἐκείνῃ, ᾗ ἐβεβαίωσαν τὴν ἐν Νικαίᾳ αἱ ἐν Γαλλίᾳ καὶ Ἱσπανίᾳ Σύνοδοι, ἐβεβαίωσεν αὐτὴν καὶ ἡ ἐν Ῥώμῃ. τρίτον, ὅτι τὸ ἐβεβαίωσαν αἱ ἐν Γαλλίᾳ καὶ Ἱσπανίᾳ Σύνοδοι τὴν ἐν Νικαίᾳ, οὐ δηλοῖ ἄλλό τι, ἀλλ' ἢ τὸ, ὅτι παρεδέξαντο αὐτὴν καὶ συνεφώνησαν αὐτῇ. τούτῳ ἄρα τῷ τρόπῳ ἐβεβαίωσεν αὐτὴν καὶ ἡ ἐν Ῥώμῃ. καὶ τούτῳ αὐτῷ τῷ τρόπῳ αἰτοῦνται καὶ οἱ πατέρες τῆς ἐν Χαλκηδόνι Συνόδου, ἵνα ὁ Λέων βεβαιώσῃ, ἤτοι ἵνα συμφωνήσῃ αὐτῇ περὶ τῶν πρεσβείων Κωνσταντινουπόλεως, ὅθεν πρὸς τὸν Λέοντα ἡ Σύνοδος γράφουσα, μετὰ τὸ εἰπεῖν, εἰς βεβαίωσιν τῆς τῶν Ἐκκλησιῶν εὐταξίας ὡρίσαμεν, ἐπήγαγε, πεπειμένοι καὶ τὴν ὑμετέραν ἁγιωσύνην διδαχθεῖσαν ἀποδεχθῆναί τε ταῦτα καὶ βεβαιοῦν. τῷ αὐτῷ τρόπῳ καὶ ἐν ταῖς συγκαταθέσεσι περὶ τῆς ἐπιστολῆς Κυρίλλου Ἡσύχιος Ἐπίσκοπος Παρίου εἶπε, τὴν ἐν Νικαίᾳ πίστιν ἐκύρωσεν ὁ ἁγιώτατος καὶ θεοφιλέστατος Ἐπίσκοπος Κύριλλος διὰ τῆς ἐπιστολῆς τῆς γραφείσης πρὸς Νεστόριον, Συνόδῳ τρίτῃ, πράξει πρώτῃ. οὐμὴν ὅτι εἰ μὴ συνεφώνησεν ὁ Λέων, ἦν ἡ τῆς Συνόδου ἐπικύρωσις ἀβέβαιος, ὡς εἰ μὴ συνεφώνουν αἱ εἰρημέναι Σύνοδοι τῇ ἐν Νικαίᾳ, τὰ ἐν αὐτῇ ὡρισμένα ἦσαν ἀβέβαια. αἱ γὰρ Οἰκουμενικαὶ Σύνοδοι βεβαιοῦσι τὰς μερικὰς, καὶ αἱ ἐπικυρώσεις τῶν καθολικῶν Συνόδων τὴν ἐσχάτην ἔχουσι ψῆφόν τε καὶ βεβαίωσιν, οὐμὴν καὶ ἀνάπαλιν. εἶτα ὡς αἱ ἐν Γαλλίᾳ καὶ Ἱσπανίᾳ Σύνοδοι βεβαιοῦσαι τὴν ἐν Νικαίᾳ, οὐκ ἦσαν αὐτῆς μείζονες, οὕτω καὶ ἡ ἐν Ῥώμῃ τότε Σύνοδος βεβαιοῦσα τὴν αὐτὴν, οὐκ ἦν αὐτῆς μείζων. καὶ ὁ Λέων ἄρα αἰτούμενος ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου, ἵνα βεβαιώσῃ τὰ παρ' αὐτῆς ὡρισμένα, οὐκ ἦν αὐτῆς μείζων. πρὸς σαφεστέραν κατάληψιν τῶν λεγομένων σημειωτέον τρία τινὰ, πρῶτον, ὅτι τοῦτο ἴδιόν ἐστι τῶν Συνόδων αἰτεῖσθαι βεβαίωσιν, ἤτοι συμφωνίαν τῶν παρ' αὐτῶν διωρισμένων, ὡς μαρτυρεῖ ταῦτα τὰ ῥήματα τοῦ ἁγίου Ἀθανασίου, ὃς ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ μετὰ τὴν καταγραφὴν τῆς δευτέρας ἐπιστολῆς τῆς ἐν Σαρδικῇ Συνόδου, λέγει, ταῦτα γράψασα ἡ ἐν Σαρδικῇ Σύνοδος, ἀπέστειλε καὶ πρὸς τοὺς μὴ δυνηθέντας ἀπαντῆσαι, καὶ γεγόνασι καὶ αὐτοὶ σύμψηφοι τοῖς κριθεῖσι, καὶ ἰδὲ ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου ἑκτοῦ Παράγραφον ἑνδέκατον. δεύτερον, ὅτι ἡ Σύνοδος οὐκ ἔγραψε τῷ Λέοντι ἵνα ἐπικυρώσῃ ἅπερ ἐκείνη ἐκύρωσεν, εἰ γὰρ τοῦτο ἦν, ἔδει αὐτὴν αἰτῆσαι ἵνα αὐτὴν ἐπικυρώσῃ, ἀλλ' αὐτὴ μὲν ἐκύρωσε, τὸν δὲ Ῥώμης ᾔτησε ἵνα συμφωνήσῃ αὐτῇ κατὰ τὸ ἔθος τῶν Συνόδων πρὸς τοὺς μὴ παρόντας ἐν αὐταῖς. ὅθεν περὶ μὲν ἑαυτῆς εἶπεν αὐτῷ, ὅτι τὴν συνήθειαν τοῦ χειροτονεῖν τὸν Κωνσταντινουπόμεως τοὺς Μητροπολίτας τῶν τάδε Ἐπαρχιῶν, συνοδικῶς ἐκύρωσε, καὶ ὅτι τὸν Κανόνα τῶν ἑκατὸν πεντήκοντα πατέρων ἐβεβαίωσε, τῷ δὲ Λέοντι ἔγραψεν ἵνα βεβαιώσῃ, τουτέστιν ἵνα παραδέξηται καὶ συμφωνήσῃ, ὅπερ ἐκείνου (τοῦ Λέοντος) μὴ ποιήσαντος, ἡ μὲν τῆς Συνόδου ἀπόφασις (καίτοι πολλὰ ἀγωνισαμένου αὐτοῦ καὶ γράψαντος πρός τε Βασιλεῖς καὶ Πατριάρχας) μεμένηκεν ἀμετάπτωτος, ἡ δὲ ἀσυμφωνία τοῦ Λέοντος εἰς οὐδὲν ἐλογίσθη. τρίτον, ὅτι εἰς τοῦτο ἥμαρτεν ὁ Λέων, οὐ μόνον ὡς ἀντειπὼν τῇ Συνόδῳ, ἐν ᾗ ἐκρίθη καὶ ἀνεκρίθη αὐτὸς καὶ ἡ ἐπιστολὴ αὐτοῦ, ἀλλὰ καὶ ὡς αὐτὸς ἑαυτῷ μαχόμενος, ἐπειδὴ ὡς ἐμαρτύρησεν ὁ Δορυλαίου ἐπὶ τῆς Συνόδου, τὸν Κανόνα τῶν ἑκατὸν πεντήκοντα πατέρων ἐν Ῥώμῃ ἐδέξατο, καὶ οἱ Τοποτηρηταὶ αὐτοῦ ἐν τῇ πρώτῃ πράξει τῆς παρούσης Συνόδου τοῦ μὲν Διοσκόρου κατεφρόνησαν, πέμπτον τάξαντος τὸν Κωνσταντινουπόλεως Φλαυϊανὸν ἐν τῇ κατ' αὐτὸν Συνόδῳ, τὸν δὲ Ἀνατόλιον ὡμολόγησαν ὅτι εἶχον ἑαυτοῖς πρῶτον. μεταταῦτα δὲ οἱ αὐτοὶ Τοποτηρηταὶ ἐμάχοντο οἷς εἶπον καὶ ἔπραξαν, καὶ ὁ Λέων παρασυρεὶς ὑπ' αὐτῶν, καὶ αὐτὸς παρὰ Κανόνας περὶ τούτου εἶπε καὶ ἔπραξε. τέταρτον, ὅτι ὁ Βασιλεὺς τὴν κρίσιν τοῦ Πάπα περὶ τῆς Αἱρέσεως Εὐτυχοῦς, ἥτις περιείχετο ἐν τῇ ἐπιστολῇ αὐτοῦ, ἐβεβαίωσεν ὡς Νόμον, τουτέστιν ἐκείνην τὴν ἐπιστολὴν τοῦ Λέοντος πρὸς Φλαυϊανὸν,

ἐν

ἐν τῇ ἐνομίζετο εἶναί τινα ἀμφίβολα καὶ ἀντίδοξα, ἡ παροῦσα ἐν Χαλκηδόνι Σύνοδος ἐγύμνασεν, ἐψηλάφησεν, ἐξήτασεν, ἐδοκίμασεν, ἔκρινεν, ἀνέκρινεν, ὡς καὶ ἡ τρίτη ἔκρινε καὶ ἀνέκρινε τὴν ἐπιστολὴν τοῦ ἁγίου Κυρίλλου, καὶ εὑροῦσα ὀρθόδοξον, ἡρμήνευσε καὶ ἐβεβαίωσεν ἔχειν αὐτὴν τὸ κῦρος, καὶ τὴν παραδοχὴν ἐν τῇ Ἐκκλησίᾳ. ἐκείνην αὐτὴν καὶ οἱ Βασιλεῖς ἑπόμενοι τῇ Συνόδῳ, ὡς Χριστιανοὶ ἐδέχθησαν. ὡς δὲ ἔχοντες ἐν τῇ πολιτείᾳ τὴν ἄκραν ἐξουσίαν, καὶ διατοῦτο ἔκδικοι ὄντες τῆς καθολικῆς πίστεως, ἐβεβαίωσαν αὐτὴν ὡς Νόμον, ὥστε εἴτις ἀντιλέγει αὐτῇ, ὡς Αἱρετικὸς νομίζεσθαι καὶ παιδεύεσθαι. καὶ ἐκ τούτων οὖν φανεροῦται, ὅτι ἡ Σύνοδος κριτὴς τοῦ Πάπα οὖσα, καὶ μείζων αὐτοῦ ἐστι, καὶ ὁ βεβαιῶν τὰ τοῦ Πάπα Βασιλεὺς, ὡς Βασιλεὺς μείζων αὐτοῦ ἐστιν. εἰ δὲ ἡ καθόλου τῆς Ἐκκλησίας κοινότης καὶ ἡ ἄκρα ἐξουσία ἐν τῇ πολιτείᾳ, καὶ ἄμφω μείζω εἰσὶ τοῦ Ῥώμης, οὐκ ἔστιν ὁ Πάπας ἐπὶ τῶν Συνόδων καὶ ἐπὶ τῶν Αὐτοκρατόρων, ἀλλ' ὑπὸ τὴν Σύνοδον, καὶ ὑπὸ τοὺς Αὐτοκρατορας. πρὸς δὲ τὸ δωδέκατον ῥητέον, ὅτι οἱ πατέρες τῆς Συνόδου εἰπόντες ὅτι ἐγνώρισαν, ἤτοι ἐφανέρωσαν τῆς πίστεως τὴν ὁμολογίαν, καὶ παραστήσαντες τὸ κράτος ἑαυτῶν τῷ εἰπεῖν, εἰ ὅπου εἰσὶ δύο, ἢ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματι τοῦ Κυρίου (ὡς ἔγραψεν ὁ Κελεστῖνος τῇ τρίτῃ Συνόδῳ, καὶ ἰδὲ ἀνωτέρω τὸν τόπον) ἐκεῖ ἐστιν ἐν μέσῳ αὐτῶν, πόσῳ μᾶλλον πάρεστιν ἐν τοῖς πεντακοσίοις καὶ εἴκοσι, καὶ ὅτι τὴν Οἰκουμένην τοῦ καθαροῦ σίτου ἐπλήρωσαν, καὶ ὅτι ὡς ἐκριζοῦν καὶ καταφυτεύειν ἐν τῇ Ἐκκλησίᾳ τὴν ἐξουσίαν δεξάμενοι, παρὰ τοῦ Θεοῦ δηλονότι, τὸν μὲν Διόσκορον ἐξερρίζωσαν, τῶν δὲ καλῶν τὴν εὐκαρπίαν ἐρρίζωσαν. τοιαῦτα εἰπόντες, πάλιν ἐπήγαγον, τὸ κράτος αὐτῶν ἐπιδείξαντες, ὅτι τὸ ἔθος τοῦ χειροτονεῖν τὸν Κωνσταντινουπόλεως τοὺς τάδε Μητροπολίτας, κατὰ συνοδικὴν ἐκυρώσαμεν ψῆφον, καὶ ὅτι τὸν Κανόνα τῶν ἑκατὸν πεντήκοντα ἐβεβαιώσαμεν, ταῦτα διηγησάμενοι, εἶπον, ἅπερ ὡρίσαμεν, παρακαλοῦμεν περιπτύξασθαι καταξίωσον, καὶ τῷ ζήλῳ σύναψον ἡμῖν πρὸς ὁμόνοιαν. λέγομεν πάλιν, ὅτι ταῦτα πάντα εἰπόντες, καὶ ὡς σόμα ὄντες Χριστοῦ, ἢ καὶ αὐτὸς ὁ Χριστὸς, οἰκονομοῦντες, καὶ πῇ μὲν προστάττοντες τῷ Λέοντι, πῇ δὲ ἐκμειλίσσοντες αὐτοῦ τὸ μετέωρον φρόνημα, κατὰ τὸ πρὸς τούτους καὶ τοὺς τοιούτους ἴδιον τῶν Συνόδων, ἔλυσαν δοκοῦσαν ἀντιλογίαν, ἢ μᾶλλον εἰπεῖν προφητικῶς γνόντες τὴν τοῦ Λέοντος γενησομένην περὶ τοῦ Κωνσταντινουπόλεως ἀντιλογίαν, ἔλυσαν αὐτὴν εἰπόντες, ὅτι οὐδὲν πεποιήκασι πρὸς χάριν τοῦ Κωνσταντινουπόλεως, καθὼς οὐδὲν πεποιήκασι πρὸς ἀπέχθειαν κατὰ τοῦ Διοσκόρου, ἀλλὰ καθὼς περὶ τῆς ἐπιστολῆς τοῦ Λέοντος, καὶ τῆς κακοτροπίας τοῦ Διοσκόρου, καὶ τῆς Αἱρέσεως τοῦ Εὐτυχοῦς, καὶ τῆς ἐκθέσεως τῆς ὀρθοδόξου πίστεως, ἐξερρίζωσαμεν, καὶ κατεφυτεύσαμεν, τουτέστι δικαίως ἐκρίναμεν καὶ διωρίσαμεν, οὕτω καὶ περὶ τοῦ Κωνσταντινουπόλεως, θείῳ κυβερνώμενοι νεύματι ἐκυρώσαμεν καὶ ἐβεβαιώσαμεν, ἅπερ ἵνα γένηται καὶ αὐτῷ σοι τῷ Λέοντι κατάδηλα, τὴν δύναμιν τῶν πεπραγμένων αὐτῶν πᾶσαν ἐγνωρίσαμέν σοι εἰς σύστασιν ἡμετέραν (ὅτι δηλονότι κυβερνώμενοι θείῳ νεύματι, πεπράχαμεν τὴν περὶ τῶν πεπραγμένων βεβαίωσιν) ἵνα δὲ μήτις τὴν βεβαίωσιν ἐκλάβῃ κακῶς, ὡς ἐκλαμβάνουσιν οἱ παπισταὶ, προσέθετο, καὶ συγκατάθεσιν, ἤτοι γνῶσιν, φανέρωσιν, εὐμάθειαν καὶ παραδοχήν. ὅτι δὲ τοῦτο οὕτως ἔχει, ἀρκεῖ πρὸς μαρτυρίαν οὐ μόνον τὸ ὕφος τῆς ἐπιστολῆς, ἀλλὰ καὶ ἡ ἐπιστολὴ ἣν ἔγραψεν ἡ τρίτη Σύνοδος τῷ Πάπᾳ Κελεστίνῳ, ἧς πρὸς τὸ τέλος φησὶν, ὑπὲρ δὲ ἀκριβοῦς εὐμαθείας ἁπάντων τῶν πεπραγμένων, ἀπεστείλαμεν τὰ ὑπομνήματα καὶ τὰς ὑπογραφὰς τῆς Συνόδου, καὶ ἰδὲ τὸν τόπον βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παραγράφῳ τριακοστῷ δευτέρῳ. εἰ δὲ ἦν ἀναγκαῖον βεβαιοῦσθαι τὰς Οἰκουμενικὰς Συνόδους ὑπὸ τοῦ Ῥώμης, ἵν' ὦσιν Οἰκουμενικαὶ, ὡς τερατεύονται οἱ παπισταὶ. πᾶσαι αἱ καθολικαὶ Σύνοδοι ἀπῄτουν τοῦτο παρ' αὐτοῦ, ἀλλ' ὁρῶμεν ὅτι οὔτε αἱ Οἰκουμενικαὶ, οὔτε αἱ μερικαὶ ἀπῄτησαν τοιοῦτόν τι παρ' αὐτοῦ, ἀλλὰ μόνην συμφωνίαν καὶ ἕνωσιν καὶ παραδοχὴν καὶ ὁμόνοιαν. ὅτι δὲ ἡ συγκατάθεσις μόνῳ τῷ Ῥώμης προσήκει, ἀλλὰ καὶ ἄλλοις, καὶ ἐξηγεῖται καὶ τὸν τρόπον τοῦτον, μάρτυς αὐτὸς ὁ Λέων, ὃς ἐν τῇ ἐπιστολῇ ἐκείνῃ, ἐν ᾗ εὐχαριστεῖ τῷ Θεοδωρίτῳ, ὑπερασπιστῇ γενομένῳ τῆς αὐτοῦ ἐπιστολῆς πρὸς Φλαυϊανὸν, ταῦτα λέγει, καυχώμεθα ἐν τῷ Κυρίῳ μετὰ τοῦ Προφήτου ᾄδοντες, ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου τοῦ ποιήσαντος τὸν Οὐρανὸν καὶ τὴν γῆν, ὅστις οὐ συνεχώρησεν ἡμᾶς ζημιωθῆναι ἐν τοῖς ἀδελφοῖς ἡμῶν, ἀλλ' ὅσα διὰ τῆς ἡμῶν ὑπηρεσίας διώρισεν, ἁπάσης τῆς ἀδελφότητος ἐστερέωσε τῇ συγκαταθέσει. καὶ σημείωσαι, συγκατάθεσις τοῦ Πάπα, συγκατάθεσις τῆς ἀδελφότητος, ὥστε εἴτι σημαίνει ἐν τῇ ἀδελφότητι, σημαίνει καὶ ἐν τῷ Πάπᾳ. σημειωτέον δὲ, ὅτι μαχομένων τῶν Ῥωμαίων τῷ Ἀντιοχείας Φλαυϊανῷ, ὡς ἐμάχετο ὁ Λέων τοῖς πρεσβείοις τοῦ Κωνσταντινουπόλεως, ἔγραψαν οἱ πατέρες τῆς δευτέρας Συνόδου προστακτικῶς καὶ οἰκονομικῶς πρὸς ἐκείνους, ἵνα μὴ σχίζωσι τὴν Ἐκκλησίαν τῷ αὐτῷ τρόπῳ, ᾧπερ ἔγραψαν οἱ πατέρες τῆς παρούσης Συνόδου τῷ Λέοντι, εἶπον γὰρ ἐκεῖνοι πρὸς τὸ τέλος τῆς ἐπιστολῆς ταῦτα, οἷς ἐνθέσμως καὶ κανονικῶς κεκρατηκόσι, καὶ τὴν ὑμετέραν συγχαίρειν παρακαλοῦμεν εὐλάβειαν, καὶ τῆς πνευματικῆς μεσιτευούσης ἀγάπης, καὶ τοῦ κυριακοῦ φόβου, πᾶσαν μὲν καταστέλλοντος ἀνθρωπίνην προσπάθειαν, τὴν δὲ τῶν Ἐκκλησιῶν οἰκοδομὴν προτιμοτέραν ποιοῦντος τῆς πρὸς τὸν καθ' ἕνα συμπαθείας, ἢ χάριτος. οὕτω γὰρ τοῦτε τῆς πίστεως συμφωνηθέντος λόγου, καὶ τῆς χριστιανικῆς κυρωθείσης ἀγάπης

ἀγάπης, παυσόμεθα λέγοντες, ἐγὼ μὲν εἰμὶ Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ. πάντες δὲ, Χριστοῦ φανέντος, ὃς ἐν ἡμῖν οὐ μεμέρισται, Θεοῦ καταξιοῦντος, ἄσειστον τὸ σῶμα τῆς Ἐκκλησίας τηρήσωμεν, καὶ τῷ βήματι τοῦ Χριστοῦ μετὰ παῤῥησίας παραστησώμεθα. καὶ σημείωσαι πάλιν, ὅτι ὡς ἔγραψε τοῖς Ῥωμάνοις ἡδευτέρα, τῷ αὐτῷ τρόπῳ ἔγραψε καὶ ἡ παροῦσα Συνόδος τῷ Λέοντι, καὶ πρόσχες, ἡ παροῦσα εἶπεν, ἅπερ ὡρίσαμεν πρὸς ἀναίρεσιν πάσης συγχύσεως, βεβαίωσιν δὲ τῆς ἐκκλησιαστικῆς εὐταξίας, περιπτύξασθαι καταξίωσον. Καὶ, παρακαλοῦμεν τίμησον καὶ ταῖς σαῖς ψήφοις τὴν κρίσιν, καὶ τῷ ζήλῳ σύναψον ἑαυτὸν ἡμῖν πρὸς ὁμόνοιαν. ἐκείνη δὲ εἶπε, καὶ τὴν ὑμετέραν συγχαίρειν παρακαλοῦμεν εὐλάβειαν. Καὶ, τοῦ τε τῆς πίστεως συμφωνηθέντος λόγου, καὶ τῆς πνευματικῆς κυρωθείσης ἀγάπης. καὶ ὡς ἡ παροῦσα λέγει, οὐδὲν πρὸς χάριν, ἢ πρὸς ἀπέχθειαν πεποιήκαμεν. οὕτως ἐκείνη εἶπεν, οὐ κατὰ ἀπέχθειαν, ἢ προσπάθειαν, ἀλλ' ἐνθέσμως καὶ κανονικῶς. καὶ ὡς ἡ παροῦσα ἔφη, καὶ τῶν πεπραγμένων βεβαίωσίν τε καὶ συγκατάθεσιν, οὕτως ἡ τρίτη εἶπεν, ὑπὲρ δὲ ἀκριβοῦς εὐμαθείας ἀπεστείλαμεν τὰ ὑπομνήματα καὶ τὰς ὑπογραφὰς τῆς Συνόδου. πάντα οὖν ταῦτα καὶ τῶν τριῶν Συνόδων τὰ ῥήματα οὐ σημαίνει, οὐδὲ προσάπτει ἰδικόντι ἀξίωμα τῷ Ῥώμης, ἀλλὰ τὴν συμφωνίαν καὶ ὁμόνοιαν τῶν Ἐκκλησιῶν ὑποδηλοῖ. σημείωσαι, ὅτι Ἰωάννης ὁ Καππάδοξ πέμπων τῷ Ἱεροσολύμων Ἰωάννῃ τὰ πρακτικὰ τῆς κατ' αὐτὸν Συνόδου, λέγει, ἵνα ἐπισφραγίσῃ αὐτὰ τῷ λόγῳ τῆς ἀληθείας, καὶ ἰδὲ κατωτέρω βιβλίου δεκάτου, μέρους τρίτου, κεφαλαίου τρίτου, τμήματος πέμπτου, Παράγραφον δέκατον. καὶ ἐπὶ πᾶσι τούτοις, ἀρκεῖ πρὸς λαμπρὰν καὶ ἀναμφίβολον καὶ ἀναντίῤῥητον μαρτυρίαν ἐκεῖνο πρὸς τὸν Λέοντα τῆς παρούσης Συνόδου τὸ, καὶ τῷ ζήλῳ σύναψον ἑαυτὸν ἡμῖν πρὸς ὁμόνοιαν, ὅπερ ἀνακεφαλαίωσίς ἐστι τῶν, βεβαίωσον, περιπτύξασθαι, καταξίωσον, καὶ τῶν λοιπῶν, ἐπειδὴ πάντα δηλοῦσι καὶ ἀπαιτοῦσι τὴν ὁμόνοιαν καὶ συμφωνίαν τῶν Ἐκκλησιῶν, καὶ οὐδὲν ἕτερον. πρόσθες καὶ ἕτερον ἀναγκαῖον, ἡ Συνόδος πράξει ἕκτῃ εἶπε τὸν Μαρκιανὸν νέον Κωνσταντῖνον, νέον Παῦλον, νέον Δαβὶδ, εἰρήνην τῆς Οἰκουμένης, καὶ ὅτι τὴν ὀρθοδοξίαν ἐβεβαίωσας, ὑμεῖς φωστῆρες τῆς ὀρθοδοξίας, φωστῆρες εἰρήνης, φωστῆρες Οἰκουμένης, φύλακες τῆς πίστεως. ὡς δὴ ταῦτα καὶ τὸ, τὴν ὀρθοδοξίαν ἐβεβαίωσας, οὐ παρέχουσι τοῖς Βασιλεῦσιν ἰδικόντι ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ, ὥστε εἶναι αὐτοὺς τῆς Ἐκκλησίας μονάρχας, ὥστε ποιεῖν ἐν τῇ Ἐκκλησίᾳ ἃ βούλονται αὐτουργικῶς, οὕτως οὐδὲ πρὸς τὸν Πάπαν, ἢ ἄλλον τινὰ Ἐπίσκοπον ῥηθὲν τὸ βεβαίωσον, προσάπτει αὐτῷ γενικόν τι ἐπὶ τῆς Ἐκκλησίας ἀξίωμα. ἰδὲ κατωτέρω βιβλίου πέμπτου κεφαλαίου πρώτου Παράγραφον πέμπτον, καὶ κεφαλαίου δεκάτου Παράγραφον ἔσχατον, καὶ κεφαλαίου δεκάτου πέμπτου Παράγραφον δωδέκατον, καὶ βιβλίου ἕκτου, κεφαλαίου ἑβδόμου Παράγραφον δέκατον τρίτον, καὶ βιβλίου δεκάτου, μέρους τρίτου, κεφάλαιον πέμπτον, καὶ τοὺς τόπους τῆς πρώτης καὶ ἕκτης τῶν Οἰκουμενικῶν Συνόδων

ΠΑΡΑΓΡΑΦΟΝ ΚΘ'.

Ὅτι τὸ, παρακαλοῦμεν, τὸ, περιπτύξασθαι καταξίωσον, καὶ τὰ λοιπὰ τὰ ἐν τῇ πρὸς τὸν Λέοντα ἐπιστολῇ τῆς Συνόδου, οὐ προσάπτουσι τῷ Ῥώμης ἀξίωμά τι μοναρχικὸν, ὡς δείκνυται ἐν ταῦθα ἐκ πολλῶν, ἀλλὰ ὁμόνοιαν δηλοῦσι.

Μὴ θορυβείτω δέ τινα τὸ, παρακαλοῦμεν, καὶ τὸ, περιπτύξασθαι καταξίωσον, καὶ τὰ λοιπὰ τοιαῦτα ῥήματα, ἐπειδὴ ὁμόνοιαν καὶ συμφωνίαν δηλοῦσι καὶ ταῦτα, καὶ οὐκ ἰδικόντι ἀξίωμα τιμῆς, ἢ πρωτείου, καὶ ἄθρει. ὁ μέγας Κωνσταντῖνος γράφων πρὸς Νικομηδεῖς, λέγει αὐτοῖς, ἱκετεύω τίς ἐστιν ὁ ταῦτα διδάξας; καὶ ἀκούσατε παρακαλῶ. καὶ ἐπιστολῇ πρὸς Ἀλεξανδρεῖς φησὶ, τοίνυν ὑμῖν αὐτοῖς παρακαλῶ, τὸ φίλτρον τὸ ἡμέτερον ἀγαπήσατε. καὶ Κύριλλος καὶ Κελεστῖνος παρεκάλουν τὸν Νεστόριον, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον εἰκοστὸν ἕνατον. καὶ ὁ Κωνσταντινουπόλεως Πρόκλος, καὶ ὁ Ἀλεξανδρείας μέγας Κύριλλος ἔγραφον τῷ Ἀντιοχείας Δόμνῳ ὑπὲρ Ἀθανασίου Πέῤῥης, ὁ μὲν, ἀλλ' αὐτὸς θεοφιλέστατε ἀδελφὲ καταξίωσον παρ' ἡμῶν δυσωπούμενος. ὁ δὲ, καταξίωσον ἡ σὴ ὁσιότης. ἰδὲ ἀνωτέρω πράξει δεκάτῃ τετάρτῃ, καὶ πράξει δεκάτῃ φαίνεται, ὅτι ὁ Πάπας Λέων ἱκέτευε καὶ ἐδέετο τοῦ Βασιλέως, ἵνα ἄπρακτα μείνῃ τὰ ἐν Ἐφέσῳ ὑπὸ Διοσκόρου πεπραγμένα, καὶ μετὰ δακρύων καὶ οἰμωγῶν ἱκέτευε καὶ ἐδέετο τῶν Βασιλέων Οὐαλεντιανοῦ, Πλακιδίας, καὶ Εὐδοξίας. καὶ Μάξιμος ὁ Κωνσταντινουπόλεως ἐπιστολῇ πρὸς τὸν ἅγιον Κύριλλον Ἀλεξανδρείας φησὶν αὐτῷ, καταξίωσον εὐχαῖς ὑποστηρίζειν καὶ συμβουλαῖς στοιχειοῦν. καὶ Κύριλλος ἀπολογίᾳ τῇ πρὸς τὸν Βασιλέα Θεοδόσιον γράφει, ὅτι ὁ Νεστόριος παρεκαλεῖτο πλειστάκις, ὑπὸ τοῦ Ῥώμης καὶ Ἀλεξανδρείας δηλονότι, μέρει τρίτῳ τῆς τρίτης Συνόδου. καὶ ἄλλα τοιαῦτοι μυρία παραδείγματα εὑρήσεις εἰς τὰ συγγράμματα τῶν ἁγίων πατέρων, ἰδὲ καὶ ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου ἕκτου Παράγραφον δέκατον καὶ ἑνδέκατον, καὶ βιβλίου πρώτου κεφάλαιον δέκατον ἕβδομον. ἀλλὰ καὶ τοῖς λοιποῖς Πατριάρχαις πέμπουσιν αἱ Οἰκουμενικαὶ Συνόδοι τὰ πεπραγμένα αὐταῖς, καὶ ἰδὲ ἐν τῇ δεκάτῃ ὀγδόῃ πράξει τῆς ἕκτης Συνόδου, πῶς ἐκείνη ἔπεμψε τὰ πε-

πραγ-

πραγμένα ἐν αὐτῇ τοῖς πέντε Πατριαρχικοῖς θρόνοις.

ΠΑΡΑΓΡΑΦΟΝ Λ'.

Περὶ τοῦ ὅτι οὐ μόνον τοῖς Πατριαρχικοῖς θρόνοις αἱ Συνόδοι τὰ αὐταῖς πεπραγμένα πέμπουσιν, ἀλλὰ καὶ ταῖς λοιπαῖς Ἐκκλησίαις. καὶ περὶ τοῦ τίνες τίσιν ἔπεμψαν ταῦτα, καὶ ὧν γεγράφασι.

Ὅτι δὲ οὐ μόνον τοῖς Πατριαρχικοῖς θρόνοις πέμπουσιν αἱ Συνόδοι τὰ πεπραγμένα αὐταῖς, ἀλλὰ καὶ πρὸς τὰς λοιπὰς Ἐκκλησίας, καὶ πρὸς Ἀρχιερεῖς, καὶ Κληρικοὺς, καὶ πρὸς πάντα ὀρθόδοξον, οἷς, καὶ ἵνα ὑποδέχωνται τὰ ὑπ' αὐτῶν ὡρισθέντα, γράφουσι, δῆλον. ἡ ἐν Νικαίᾳ πρώτη, ἐπιστολῇ πρὸς τοὺς Ἀλεξανδρεῖς λέγει, ἐξ ἁπάσης τῆς ἱερᾶς Συνόδου ἀναγκαῖον ἐφάνη καὶ πρὸς ὑμᾶς σταλῆναι γράμματα, ἵν' εἰδέναι ἔχοιτε, τίνα μὲν ἐκινήθη καὶ ἐξετάσθη, τίνα δὲ ἔδοξε καὶ ἐκρατύνθη. Καὶ, χαίροντες οὖν ἐπὶ τοῖς κατορθώμασι, καὶ ἐπὶ τῇ κοινῇ εἰρήνῃ καὶ συμφωνίᾳ. Καὶ, εὔχεσθε δὲ καὶ ὑπὲρ ἡμῶν ἁπάντων, ἵνα τὰ καλῶς ἔχειν δόξαντα, βέβαια μένῃ διὰ τοῦ παντοκράτορος Θεοῦ, καὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατ' εὐδοκίαν γεγενημένα ἐν Πνεύματι ἁγίῳ. ὁ μέγας Κωνσταντῖνος ἐπιστολῇ πρὸς τὰς Ἐκκλησίας φησὶν, ἀσμένως δέχεσθε τὴν τοῦ Θεοῦ χάριν, καὶ θείαν ἀληθῶς ἐντολὴν, διὸ πᾶσι τοῖς ἀγαπητοῖς ὑμῶν ἀδελφοῖς ἐμφανίσαντες τὰ πεπραγμένα, ἀποδέχεσθαί τε καὶ διατάττειν ὀφείλετε. Καὶ, ἀκμαζούσης πανταχοῦ τῆς ὑμετέρας πίστεως, καὶ εἰρήνης, καὶ ὁμονοίας. Ὁ αὐτὸς γράφων Ἀλεξανδρεῦσι, φησὶν, ὃ τοῖς τριακοσίοις ἤρεσεν Ἐπισκόποις, οὐδέν ἐστιν ἕτερον, ἢ τοῦ Θεοῦ γνώμη, μάλιστα δὲ ὅπου τὸ ἅγιον Πνεῦμα τοιούτων καὶ τηλικούτων ἀνδρῶν ταῖς διανοίαις ἐγκείμενον, τὴν θείαν βούλησιν ἐξεφώνησε, διὸ μηδεὶς ὑπερτιθέσθω, ἀλλὰ προθύμως πάντες εἰς τὴν ἀληθεστάτην ὁδὸν ἐπάνειτε. ἰδὲ καὶ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου ἐσχάτου Παράγραφον ἕβδομον. Καὶ ὁ Κύριλλος τῷ λαῷ καὶ Κλήρῳ Ἀλεξανδρείας, μέλλομεν οὖν, τοὺς χάρτας τελειώσαντες, τοὺς γενομένους ἐν τῇ καθαιρέσει αὐτοῦ (τοῦ Νεστορίου) λοιπὸν ἐπιταχύνειν πρὸς ὑμᾶς. Ὁ αὐτὸς τοῖς τὸν μονήρη βίον ἀσκοῦσι φησὶ, καὶ ὡς τέκνα γνήσια πατράσι συμπράττετε, νόσον ὥσπερ τινὰ λοιμικὴν τὴν Νεστορίου κακοδοξίαν ἐκκόψατε. Ἡ τρίτη Συνόδος γράφουσα ἐν Κωνσταντινουπόλει περὶ τῆς καθαιρέσεως Νεστορίου, λέγει πάντα τὰ πεπραγμένα αὐτῇ ἐν συντόμῳ, ἐν οἷς καὶ τοῦτο, νήψατε διδάσκοντες, ὅτι οὔπω τὰ ὑπομνήματα τὰ πεπραγμένα ἐπὶ τῇ καθαιρέσει αὐτοῦ ἐτελειώθησαν ἐν χάρταις, διὸ οὐκ ἐδυνήθημεν οὔτε τὴν ἀναφορὰν πέμψαι, τὴν ὀφείλουσαν πεμφθῆναι πρὸς τοὺς εὐσεβεῖς ἡμῶν Βασιλεῖς, σὺν Θεῷ δὲ εἰπεῖν, καταλήψεται ἡ ἀναφορὰ μετὰ τῶν ὑπομνημάτων, πράξει πρώτῃ. Οἱ πεμφθέντες πρεσβευταὶ παρ' αὐτῆς τῆς ἐν Ἐφέσῳ ἁγίας Συνόδου εἰς Κωνσταντινούπολιν Ἰουβενάλιος, Ἀρκάδιος, Φίλιππος, Φλαυϊανὸς, Φίρμος, Θεόδοτος, Ἀκάκιος, Εὐόπτιος, Δανιὴλ, καὶ ὁ Κωνσταντινουπόλεως Μαξιμιανὸς, καὶ ἡ συμπαροῦσα αὐτοῖς ἁγία Συνόδος γράφοντες τοῖς ἐν τῇ Ἠπείρῳ Ἐπισκόποις, εἶπον, ὑπὲρ δὲ πλείονος ἀσφαλείας, καὶ τοῦ γνῶναι ὑμᾶς, ὅτι οὐχ ἡμετέροις πειθαρχεῖτε γράμμασιν, ἀλλὰ καὶ τοῖς δόγμασι τῆς ἁγίας καὶ Οἰκουμενικῆς Συνόδου τῆς ἐν Ἐφέσῳ, ὑπετάξαμεν τὸ συνοδικὸν γράμμα, ὥστε ὑμᾶς καὶ ἐξ ἐκείνου πληροφορηθῆναι τίνα τέ ἐστι τὰ τυπωθέντα περὶ τῶν ἀποστατησάντων, καὶ τὰ Νεστορίου φρονησάντων, καὶ οἷα τὰ ἐπιτίμια κατὰ τῶν κοινωνεῖν αὐτοῖς τολμώντων, μέρει τρίτῳ τῆς τρίτης Συνόδου. Μαρτῖνος ὁ Πάπας ἐν τῇ ἐγκυκλίῳ ἐπιστολῇ φησὶν, ἵνα καὶ ὑμεῖς πάντες οἱ κατὰ πᾶσαν παροικοῦντες τὴν οἰκουμένην εὐσεβεῖς καὶ ὀρθόδοξοι ταῦτα παρ' ἡμῶν εὐσεβῶς πραχθέντα γινώσκοντες, εἰς ἀσφάλειαν τῆς καθολικῆς Ἐκκλησίας συμφώνως ἡμῖν τὰ ὅμοια πράξητε, κυρώσητε μὲν πάντας τοὺς ἁγίους πατέρας, ἐγγράφως συναινοῦντες αὐτοῖς τε καὶ ἡμῖν εἰς τὴν ὀρθόδοξον πίστιν. Καὶ, διατοῦτο γὰρ τὰ παρ' ἡμῶν ὑπὲρ τῆς καθολικῆς Ἐκκλησίας συνοδικῶς πραχθέντα, πανταχοῦ τοῖς πᾶσιν ἐστείλαμεν, ἵνα τὸ τοῦ σκοποῦ πληρώσαντες ἔργον, ἡμεῖς μὲν ἑαυτοὺς ἀνευθύνους ὄντας γνωρίσωμεν, ἀναπολογήτους δὲ τοὺς μὴ πειθομένους ἀποδείξωμεν. καὶ ταῦτα μὲν πρὸς τὴν ἐπιστολὴν τῆς Συνόδου πρὸς τὸν Πάπαν Λέοντα. ἰδὲ καὶ ἀνωτέρω ὅλον τὸ εἰκοστὸν ὄγδοον Παράγραφον.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΑ'.

Ὅτι ἐκ τῶν πρὸς τοὺς Ἄρχοντας αὐτοῦ διατάξεων Μαρκιανοῦ τοῦ Βασιλέως ὑπὲρ τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ τῶν ἐπιστολῶν αὐτοῦ καὶ τῆς Πουλχερίας, τῶν πρὸς οὓς ἐνταῦθα ἐροῦμεν, δείκνυται ὅτι ἡ ἐν Χαλκηδόνι Σύνοδος τὴν πίστιν ἐβεβαίωσεν, εὑροῦσα θείᾳ ἐπιπνοίᾳ τὸ μυστήριον τῶν δύο φύσεων, καὶ τῆς μιᾶς ὑποστάσεως, καὶ ἑνὸς προσώπου, ὥστε οὐκ ἔστι μοναρχικὸν ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ ἑνὸς Ἐπισκόπου, ἀλλὰ τῆς οἰκουμενικῆς Συνόδου ἰδικώτατα εἷς ὁ Χριστὸς κεφαλή.

Ἐν ταῖς διατάξεσι τοῦ Βασιλέως Μαρκιανοῦ πρὸς τοὺς Ἄρχοντας ὑπὲρ τῆς ἐν Χαλκηδόνι ταύτης Συνό-

Συνόδου, καὶ ἐν ταῖς ἐπιστολαῖς πρὸς Αἰγυπτίους μονάζοντας, καὶ πρὸς τοὺς ἐν Αἰλίᾳ Ἀρχιμανδρίτας, καὶ πρὸς τὴν ἐν Αἰλίᾳ Σύνοδον, καὶ ἐν τῇ τῆς Πουλχερίας ἐπιστολῇ πρὸς Βάσσαν Ἡγουμένην τὰ αὐτὰ λέγονται, ἤγουν ὅτι ἡ ἐν Χαλκηδόνι Σύνοδος τὴν πίστιν ἐβεβαίωσε, τοῖς πατράσιν ἀκολουθήσασα, καὶ οὐδὲν προσέθηκεν, ἢ ἀφῄρησε τοῦ Συμβόλου τῆς πρώτης καὶ δευτέρας καὶ τρίτης τῶν Συνόδων, καὶ ὅτι τῆς ἐν Ἐφέσῳ Συνόδου προήδρευε Κελεστῖνος καὶ Κύριλλος. Ἐν δὲ τῇ πρὸς Αἰγυπτίους φησὶν, ὅτι ἡ Σύνοδος οὐδὲν ἐκαινοτόμησεν, διὰ πάντων δὲ τῇ Ἀθανασίου καὶ Θεοφίλου καὶ Κυρίλλου διδασκαλίᾳ ἀκολουθήσασα, καθεῖλε τὸν Εὐτυχῆ. οὐδεμία δὲ περὶ μοναρχίας μνήμη τοῦ Πάπα, πλὴν ὅτι ηὐθέντει ἐν τῇ Συνόδῳ ὁ Ῥώμης. μάλιστα δὲ πρὸς τοῖς εἰρημένοις γράφει καὶ τοῦτο ἐν τῇ προτεθείσῃ ἐν τῇ Κωνσταντινουπόλει περὶ τῆς Συνόδου διατάξει, ὅπερ παντὸς ἐν τῇ Ἐκκλησίᾳ μοναρχικοῦ ἀξιώματος ἀναιρετικόν ἐστι, ἐπειδήπερ οὐχ εἷς καὶ δεύτερος εὑρεῖν οἷά τε ἦν τὸ τοσοῦτον μυστήριον, ὁπότε μάλιστα σὺν καμάτῳ μεγίστῳ, καὶ μεγάλαις εὐχαῖς τοσοῦτοι ἅγιοι Ἱερεῖς, εἰμὴ Θεοῦ, καθάπερ πιστευτέον ἐστὶν, ἡγουμένου, φθάσαι πρὸς τὴν τῆς ἀληθείας ἀνίχνευσιν οὐκ ἠδυνήθησαν. καὶ σημείωσαι πρῶτον, ὅτι συμφώνως ταῖς πρὸ αὐτῆς Συνόδοις ἡ ἐν Χαλκηδόνι τὴν περὶ τῆς πίστεως ἐξήνεγκε ψῆφον. δεύτερον, ὅτι ὡς προήδρευεν ὁ Λέων ἐν τῇ τετάρτῃ, προήδρευεν ἐν τῇ τρίτῃ Κύριλλος καὶ Κελεστῖνος. τρίτον, ὅτι ἀκολουθήσασα ἡ Σύνοδος τῇ διδασκαλίᾳ Ἀθανασίου, Θεοφίλου καὶ Κυρίλλου, καθεῖλε τὸν Εὐτυχῆ, καὶ ποῦ λοιπὸν τοῦ Ῥώμης τὸ μεγαλεῖον, ὅταν ἡ Σύνοδος ταῖς ἑτέρων διδασκαλίαις, καὶ πρὸς ταύταις τῶν Ἐπισκόπων Ἀλεξανδρείας ἀκολουθήσασα, κρίνῃ τὴν ἐγκύκλιον ἐπιστολὴν τοῦ Ῥώμης, ἤτοι τὸν Ῥώμης καὶ τὴν Σύνοδον αὐτοῦ; εἶτα πόσων μέμψεων ἄξιοι οἱ παπισταὶ, βλασφημοῦντες τὸν Θεόφιλον; ὃν ἡ παροῦσα καὶ ἡ τρίτη καὶ ἡ ἕκτη φέρουσιν εἰς βεβαίωσιν τῆς πίστεως, καὶ ἅγιον ἀποκαλοῦσι. τέταρτον, ὅτι οὐχ εἷς καὶ δύο εὑρεῖν ἐδυνήθησαν τὸ τοσοῦτον μυστήριον, τουτέστιν οὐκ ἠδυνήθησαν εὑρεῖν τὸ τοσοῦτον τῆς ἁγίας Τριάδος μυστήριον, δηλονότι τὸ Ὁμοούσιον ὁ Ἀλεξανδρείας Ἀλέξανδρος καὶ ὁ Ῥώμης Σίλβεστρος, καὶ ἕτεροι. εἰγὰρ καί τινες εἶπον αὐτὸ καὶ πρὸ τῆς πρώτης Συνόδου, ἀλλ' οὐχ οὕτως ἦν βέβαιον, ὡς ἐξετάσασα καὶ διευκρινήσασα, ἐβεβαίωσεν αὐτὸ ἡ Σύνοδος, οὕτως οὐκ ἠδυνήθησαν εὑρεῖν τὸ τοσοῦτον μυστήριον τῆς καθ' ὑπόστασιν ἑνώσεως, ὥστε παραδοῦναι αὐτὸ τῇ Ἐκκλησίᾳ ἀμφιβολίας ἐκτὸς, εἷς καὶ δύο, ἤτοι Κελεστῖνος καὶ Κύριλλος, ἀλλ' ἡ Οἰκουμενικὴ τρίτη Σύνοδος. οὐδὲ ἠδυνήθησαν εὑρεῖν τὸ τοσοῦτον μυστήριον τῶν δύο φύσεων, καὶ τῆς μιᾶς ὑποστάσεως, καὶ ἑνὸς προσώπου, ὥστε ἀναμφίβολον τοῖς πᾶσιν ὀρθοδόξοις ἀποκαταστῆσαι εἷς καὶ δύο, ἤτοι Λέων καὶ Φλαυϊανὸς, ταὐτὸν εἰπεῖν αἱ ἐν Ῥώμῃ καὶ ἐν Κωνσταντινουπόλει Σύνοδοι, ἀλλ' ἡ ἐν Χαλκηδόνι Σύνοδος πολλῷ καμάτῳ καὶ μεγάλαις εὐχαῖς διὰ τοσούτων ἁγίων Ἱερέων εὗρεν. ὥστε καὶ ἔπαυσε τὰς ἀμφιβολίας ἀπὸ τῆς καθόλου Ἐκκλησίας, ὃ οὐκ ἠδυνήθη εἷς καὶ δύο ποιῆσαι, κἂν καὶ ἠγωνίσθησαν πᾶσι τρόποις καὶ πάσῃ δυνάμει ὑπὲρ τῆς πίστεως. οὐκ ἔστιν ἄρα ἐν τῇ Ἐκκλησίᾳ μοναρχικὸν, ἢ ἀναμάρτητον ἀξίωμα ἔν τινι Ἐπισκόπῳ, ἢ ἔν τινι πατριαρχικῇ, ἢ παπικῇ Συνόδῳ, ἀλλ' ἡ καθόλου κοινότης ἐστὶ τοῦτο, ᾗ τινι καὶ ὁ Κύριος ὡς κεφαλὴ πάρεστι, καὶ τοῦτο αὐτῇ ἰδικώτατα παρέχει.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἔτι περὶ τῆς Συνόδου, ἀπὸ τῆς ἐπιτομῆς Εὐαγρίου Σχολαστικοῦ, ἀπὸ ἄλλων τινῶν, ἐν οἷς ἀριθμοῦνται δέκα ἐγκλήματα πεποιηκέναι τὸν Διόσκορον, τῆς ἐν Ἐφέσῳ προεδρεύοντα Συνόδου.

Εἰς τὴν συνέλευσιν, ἐν ᾗ ἦν ἀρχὴ τοῦ θεωρηθῆναι τὰ τῆς Συνόδου, ἀπόντος τοῦ Βασιλέως, καὶ παρόντων τῶν Ἀρχόντων, ἐγερθεὶς ὁ Πασχασῖνος, εἶπεν, ὅτι οὐκ ἔδει τὸν Διόσκορον καθίσαι εἰς τὴν Σύνοδον, καθότι καὶ ὁ Λέων οὕτω παρήγγειλεν. οἱ Ἄρχοντες ὅμως ἠρώτησαν τὸ διατὶ, καὶ μαθόντες τὴν αἰτίαν ἄλογον, ἠνάγκασαν τὸν Διόσκορον καθίσαι εἰς τὸ μέσον. εἶτα ἔστη εἰς τὸ μέσον ὁ Δορυλαίου Εὐσέβιος, καὶ εἶπεν, ἠδικήθη ὑπὸ τοῦ Διοσκόρου, ἡ πίστις ἐβλάβη, ὁ Φλαυϊανὸς ἐφονεύθη, παρακαλῶ ἵνα ἀναγνώσητε τὸν λίβελλον, ὃν ἔδωκα τῷ Βασιλεῖ. ἔπειτα ἀνεγνώσθησαν τὰ πεπραγμένα εἰς τὴν ληστρικὴν Σύνοδον ἐπὶ Διοσκόρου, καὶ τῇ ἑξῆς συνελεύσει προσκαλεῖται εἰς τὴν Σύνοδον ὁ Διόσκορος τρισάκις τοῦ ἐλθεῖν καὶ ἀπολογηθῆναι, καὶ εἰ καὶ ἐζήτει παρεῖναι καὶ τοὺς Ἄρχοντας εἰς τὴν Σύνοδον, καὶ αὐτὸν τὸν Βασιλέα, ὡς δῆθεν κρίνωσιν αὐτὸν δικαίως, πλὴν οὐδὲν ὠφελήθη, ἀλλὰ καθῃρέθη, πρῶτον, ὅτι τὸν Εὐτυχῆ καθαιρεθέντα ὑπὸ τοῦ Κωνσταντινουπόλεως Φλαυϊανοῦ συνοδικῶς, ὁ Διόσκορος χωρὶς τοῦ ἀνακρῖναι τὰ κατ' αὐτὸν τὴν Οἰκουμενικὴν Σύνοδον, αὐτὸς ἐδέξατο εἰς κοινωνίαν. δεύτερον, ὅτι οὐκ εἴασε τὴν Σύνοδον ἀνακρῖναι τὰ κατὰ τὸν Εὐτυχῆ, καὶ τὰ κατὰ τὸν Φλαυϊανὸν; ἀλλ'

αὐτὸς

αὐτὸς ἔλαβε πρόσωπον κριτοῦ τυραννικῶς, καὶ μόνος ἐξήνεγκε ψῆφον ὡς ἠθέλησε. τρίτον, ὅτι οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης ἐζήτησαν ἀναγνωσθῆναι τὴν ἐπιστολὴν, τὴν σταλεῖσαν ὑπὸ τοῦ Λέοντος πρὸς τὸν Φλαυϊανὸν, καὶ ἐξετασθῆναι τὰ περὶ τῆς Αἱρέσεως τοῦ Εὐτυχοῦς, ἀλλὰ καὶ τῶν λεγάτων τοῦ Λέοντος κατεφρόνησε, μεθ' ὅρκου γὰρ εἶπεν, ὅτι οὐκ ἀναγινώσκει αὐτήν. χωρὶς κοινῆς ἐξετάσεως καὶ γνώμης ἐβεβαίωσε τὴν Αἵρεσιν, ὅτι ἐκ δύο φύσεων ὁ Χριστὸς, ὅμως μετὰ τὴν ἕνωσιν μία. τέταρτον, ὅτι τὸν Κωνσταντινουπόλεως Φλαυϊανὸν ἐκάθισεν εἰς τὸν πέμπτον τόπον παρὰ τοὺς Κανόνας τῆς δευτέρας Συνόδου. πέμπτον, ὅτι ὅσα διώρισεν ἡ ἐν Κωνσταντινουπόλει ἐπὶ Φλαυϊανοῦ Τοπικὴ Σύνοδος περὶ πίστεως καὶ τοῦ Εὐτυχοῦς, χωρὶς τῆς ψηλαφήσεως καὶ τῆς ἀνακρίσεως τοῦ Οἰκουμενικοῦ συνεδρίου, ἠθέτησε, καὶ ἐδικαίωσε μὲν τὸν Εὐτυχῆ, καθεῖλε δὲ Φλαυϊανὸν, ἢ ὡς λέγει ὁ Εὐάγριος τὴν καθαίρεσιν Φλαυϊανοῦ ἐν ἡμέρᾳ μιᾷ ποιησάμενος, ἐν ἀγράφῳ τε χάρτῃ παρεσκεύασε τοὺς κληθέντας Ἐπισκόπους ὑποσημήνασθαι, τὴν καθαίρεσιν Φλαυϊανοῦ περιέχοντι. βιβλίῳ δευτέρῳ κεφαλαίῳ τεταρτῷ. ἕκτον, ὅτι τὸν Φλαυϊανὸν ὤθησε, καὶ τέλος ἀπέκτεινεν. ἕβδομον, ὅτι παρὰ τὴν ἀρχαίαν συνήθειαν καὶ τοὺς Κανόνας, τῷ Μητροπολίτῃ Ἐφέσου ἔδωκε Πατριαρχικὸν δίκαιον. καὶ ὅτι τὸν Ῥώμης Λέοντα Εὐσεβέστατον καὶ ἁγιώτατον ὄντα, χωρὶς κοινῆς γνώμης καὶ χωρὶς τινὸς δικαίου, ἐποίησεν ἀκοινώνητον. ὄγδοον, ὅτι καὶ ἄλλοι Πρεσβύτεροι καὶ Διάκονοι ἐκ τῆς Ἀλεξανδρείας δεδώκασιν εἰς τὸν Βασιλέα καὶ τὴν Σύνοδον λιβέλλους διὰ ἀδικίας καὶ ἄλλας αὐτοῦ ἀθεμιτουργίας, καὶ οὐκ ἦλθεν εἰς ἀπολογίαν. ἔνατον, ὅτι εἰς τὴν Σύνοδον ἐφάνη ἀπειθὴς, καὶ τρισάκις προσκληθεὶς, οὐκ ἦλθεν ἀπολογηθῆναι. δέκατον, ὅτι πολλοὺς Ἐπισκόπους ἰδίᾳ αὐτοῦ ἐξουσίᾳ ἐκάθηρεν, καὶ πολλοὺς καθῃρημένους ὑπὸ ἑτέρων Συνόδων παρὰ Κανόνας ἐδικαίωσε. καὶ ἔτι εἰς τὴν Ἔφεσον ἐβίασε καὶ ἐδυνάστευσε τοὺς Ἐπισκόπους καὶ ὑπέγραψαν εἰς τὴν Αἵρεσιν. καὶ οὕτως ἐκάθηραν τὸν Διόσκορον, καὶ ἀνεθεμάτισαν καὶ αὐτὸν καὶ τὸν Εὐτυχῆ. εἰς ἐκεῖνο δὲ ὅπερ εἶπεν ὁ Ἀνατόλιος, ὅτι ὁ Διόσκορος οὐ καθῃρέθη διὰ πίστιν, καὶ εὑρόντες τοῦτο οἱονεὶ βοήθημα αὐτῶν ὕστερον οἱ Μονοφυσῖται καὶ οἱ Μονοθελῆται, ἔλεγον, ὡς ἐκεῖνος ἐπίστευε, καὶ ἡμεῖς, ῥητέον, ὅτι μηνυθεὶς, καὶ μὴ ἐλθὼν, καθῃρέθη, οὐμὴν ὅτι ἦν εὐσεβὴς, εἰ γὰρ ἤρχετο εἰς τὴν Σύνοδον, καθῃρέθη ἂν διὰ τὴν πίστιν, ὅθεν τῶν Μονοθελητῶν τὸ εἰρημένον, ὅτι ὡς ἐκεῖνος ἐπίστευεν, οὕτω πιστεύομεν, μάταιον.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν συμπροέδρων τῷ Διοσκόρῳ ἐν τῇ κατ' Ἔφεσον Συνόδῳ, καὶ τῆς ἀπολογίας αὐτῶν ἐν τῇ παρούσῃ ἐν Χαλκηδόνι Συνόδῳ, καὶ ἀθῳώσεως αὐτῶν, ὁμοίως καὶ τοῦ Θεοδωρίτου Κύρου.

Αἰτιᾶται ἡ Σύνοδος τὸν Ἱεροσολύμων Ἰουβενάλιον, τὸν Καισαρείας Καππαδοκίας Θαλάσσιον, τὸν Ἁρμενίας Εὐσέβιον, τὸν Βηρυτοῦ Εὐστάθιον, τὸν Σελευκείας Βασίλειον, καὶ ἄλλους, ὡς ἐσχηκότας καὶ αὐτοὺς προσταγὴν βασιλικὴν συναυθεντεῖν τῷ Διοσκόρῳ ἐν τῇ Συνόδῳ, καὶ εἶτα ἀμελήσαντας, καὶ ἀφέντας αὐτὸν γενέσθαι τοσούτων κακῶν αἰτίαν, καὶ δὴ καὶ ὑπογράψαντας καὶ εἰς τὰ δόξαντα Διοσκόρῳ. αὐτοὶ ὅμως ἀπεκρίθησαν πρῶτον, ὅτι οὐκ ἤκουσεν αὐτῶν ὁ Διόσκορος. δεύτερον, ὅτι ἔφερε χάρτην ἄγραφον, καὶ στρατιωτικῇ, καὶ φονικῶν ὀργάνων ἀνάγκῃ ἐβίασεν αὐτοὺς, καὶ ὑπέγραψαν, τινῶν δὲ καὶ τοὺς δακτύλους κατεῖχον, καὶ ὑπέγραφον. τρίτον, ἐζήτουν συγχώρησιν παρὰ τῆς Συνόδου, καὶ δὴ συνεχωρήθησαν γνώμῃ καὶ τοῦ Βασιλέως καὶ τῶν Ἀρχόντων, καὶ δεήσει τῶν Ἐπισκόπων τοῦ Ἰλλυρικοῦ. συγχωρηθέντες δὲ, ὑπέγραψαν εἰς τὴν καθαίρεσιν τοῦ Διοσκόρου, καὶ ἀνεθεμάτισαν αὐτὸν καὶ τὸν Εὐτυχῆ, καὶ οὕτως ἐκάθισαν εἰς τὸν τόπον αὐτῶν. ἀλλὰ καὶ ὁ Θεοδώριτος Κύρου ἦλθεν εἰς τὴν Σύνοδον, ἔχων καὶ γράμμα βοηθείας διὰ τὴν καλὴν αὐτοῦ μετάνοιαν ἀπὸ τοῦ Λέοντος. καὶ εἰ καὶ ἐβόησαν οἱ Ἐπίσκοποι Παλαιστίνης, Αἰγύπτου, καὶ Ἰλλυρικοῦ, λέγοντες αὐτὸν Νεστοριανὸν, ἀλλ' ἡ Σύνοδος καὶ ἡ Σύγκλητος μετὰ τὰ πολλὰ ῥητῶς ἀναθεματίσαντα καὶ Εὐτυχέα καὶ Νεστόριον καὶ πᾶσαν Αἵρεσιν, ὡς καλῶς μετανοήσαντα ἐδικαίωσαν, καὶ ἔδωκαν αὐτῷ καὶ τὸν τόπον αὐτοῦ εἰς τὴν Σύνοδον, καὶ τὴν Ἐπαρχίαν αὐτοῦ, καὶ ὑπέγραψεν εἰς τὰ δόξαντα.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ ἀναψηλαφήσεως τῶν τῆς πίστεως, καὶ βεβαιώσεως τοῦ Συμβόλου τῆς πρώτης καὶ δευτέρας τῶν Οἰκουμενικῶν Συνόδων, καὶ ἀναθεματισμοῦ κατὰ τῶν προσθήκην, ἢ ἀφαίρεσιν ἐν αὐτῷ ποιησόντων, καὶ δημηγορίας τοῦ Βασιλέως ἐν τῇ Συνόδῳ, καὶ διορισμοῦ τῶν ὁρίων τοῦ Ἱεροσολύμων καὶ Ἀντιοχείας, καὶ ἀφαιρέσεως ἀπὸ τοῦ Ἐφέσου τοῦ πατριαρχικοῦ δικαίου, βεβαιώσεώς τε τοῦ τόπου τοῦ Κωνσταντινουπόλεως, καὶ τέλους τοῦ συλλόγου.

Ἀνα-

Ἀναψηλαφῶνται λοιπὸν τὰ τῆς πίστεως, καὶ βεβαιοῦται τὸ Σύμβολον τῆς πρώτης καὶ δευτέρας τῶν Συνόδων, καὶ αἱ ἐπιστολαὶ τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας, ἡμία ἡ εἰς τὸν Νεστόριον, καὶ αἱ ἄλλαι αἱ εἰς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς, καὶ ἡ ἐπιστολὴ ἡ ἀποσταλεῖσα παρὰ τοῦ Ῥώμης Λέοντος εἰς τὸν Φλαυϊανὸν, καὶ διορίζουσι καὶ περὶ τῶν δύο τοῦ Χριστοῦ φύσεων τὰ πανευσεβῆ, καὶ ἀναθεματίζουσι τὸν εἰς τὸ Σύμβολον τῆς πρώτης καὶ δευτέρας Συνόδου ποιήσοντα προσθήκην, ἢ ἀφαίρεσιν, ἢ συγράψοντα ἕτερον. εἶτα ἔρχεται ὁ Βασιλεὺς εἰς τὴν Σύνοδον καὶ δημηγορεῖ, καὶ ἐπαινεῖ τοὺς πατέρας, καὶ εὐχαριστεῖ, καὶ ὑπογράφουσιν οἱ πατέρες. εἶτα διορίζονται τὰ ὅρια τοῦ Ἱεροσολύμων καὶ Ἀντιοχείας, ὡς προείρηται, καὶ διορίζεται χειροτονηθῆναι Ἐφέσου μητροπολίτης, οἱ δὲ δύο οἱ προχειροτονηθέντες Ἐπίσκοποι Ἐφέσου παρὰ Κανόνας, ἀποβάλλονται τῆς Ἐπισκοπῆς, οὐμὴν καὶ τῆς Ἀρχιερωσύνης, καὶ διορίζεται, ἵνα ἔχῃ ἑκάτερος αὐτῶν, ἀπὸ τῆς Ἐκκλησίας Ἐφέσου διὰ ζωοτροφίαν αὐτοῦ καθ' ἕκαστον χρόνον φλωρία διακόσια. καὶ αἴρεται ἀπὸ τῆς Ἐφέσου τὸ Πατριαρχικὸν δίκαιον, καὶ βεβαιοῦται ὁ δεύτερος τῶν Πατριαρχῶν τόπος εἰς τὸν Κωνσταντινουπόλεως, καὶ ἐκτίθεται καὶ Κανόνας ἀναγκαίους, καὶ ὑπογράφουσιν οἱ πατέρες, καὶ λύεται τὸ θεοσύλλεκτον ἄθροισμα.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ἐπιστολῆς τοῦ Λέοντος, ἣν ἐν τῷ Ὅρῳ ἡ Σύνοδος στήλην καὶ τῶν κακοδοξούντων εἶπεν, οὐχ ὡς ἀπὸ μονάρχου συντεθεῖσαν, ἀλλ' ὡς εὑρεθεῖσαν διὰ δοκιμῆς καὶ ἀνακρίσεως ὀρθόδοξον, ὡς ἐνταῦθα καὶ δεκαεπτὰ ἀποδείξεις δείκνυται. καὶ ὅτι μήτηρ κοινὴ, καὶ στήλη τῆς ἀληθείας μόνη ἡ Οἰκουμενικὴ Σύνοδος.

Γράφει ἡ Σύνοδος εἰς τὸν Ὅρον αὐτῆς περὶ τῆς ἐπιστολῆς τῆς σταλείσης παρὰ τοῦ Ῥώμης Λέοντος εἰς τὸν Κωνσταντινουπόλεως Φλαυϊανὸν, ὅτι ἐστὶ στήλη κατὰ τῶν κακοδοξούντων, καὶ ἄλλα τινὰ ἐγκώμια, ἐπειδὴ ἀνακριθεῖσα ὑπὸ τῆς Συνόδου, εὑρέθη ὀρθόδοξος, καὶ οὐχ ὅτιγε ἦν ἐπιστολὴ ἁπλῶς τοῦ Ῥωμαίων Ἐπισκόπου. πρῶτον ὅμως εἶπεν ἡ Σύνοδος, ὅτι δέχεται τὰς τοῦ Κυρίλλου ἐπιστολὰς, εἶτα τὴν τοῦ Λέοντος. οὐκ ἔδωκαν δὲ τῷ Κυρίλλῳ αἱ ἐπιστολαὶ αὐτοῦ πρωτεῖον εἰς τὴν Ἐκκλησίαν, ὥστε οὐδὲ τῷ Λέοντι. δεύτερον, ὅτι ἁπλῶς οὐκ ἐδέχθησαν ὑπὸ τῶν πατέρων αἱ ἐπιστολαὶ, ἀλλ' ὅτε ἐξετάσθησαν. τρίτον, ὅτι πολλάκις ἀνεγνώσθη ἡ ἐπιστολὴ τοῦ Λέοντος, ἀλλ' οὐχ ὑπετάχθησαν εἰς τὴν ἐπιστολὴν οἱ πατέρες, ἀλλ' εἰς τὴν κρίσιν τῆς Συνόδου ἀπεῖδον. τέταρτον, εἶπον τινὲς τετυπωκέναι τὸν Ῥώμης κατ' εὐχὴν τὰ τῆς πίστεως, ἀλλὰ οὐκ ἤκουσαν αὐτῶν οἱ πατέρες, μόνον καθ' ἕνα Πατριάρχην μετὰ μερικῶν ἰδίων αὐτῶν ἠρώτησαν εἰπεῖν τὴν γνώμην αὐτῶν, καὶ ὁ Σάρδεων Φλωρέντιος ἐζήτησε διωρίαν καιροῦ, ἵνα συλλογισθῶσι καλῶς, καὶ μετὰ τῶν σκεμμάτων ἔλθωσιν εἰς τὴν ἀλήθειαν. πέμπτον, Κεκρόπιος Ἐπίσκοπος Σεβαστουπόλεως εἰπὼν, ἡ πίστις τῶν ἐν Νικαίᾳ ἐβεβαιώθη ὑπὸ τῶν ἁγίων πατέρων Ἀθανασίου, Κυρίλλου, Κελεστίνου, Ἱλαρίωνος, Βασιλείου, Γρηγορίου, καὶ νῦν διὰ τοῦ Λέοντος, συνέταξε καὶ Κελεστῖνον Ῥώμης καὶ Λέοντα μετὰ Ἱλαρίωνος, Βασιλείου, Γρηγορίου, καὶ Ἀθανασίου, καὶ οὐ πιστεύει ἁπλῶς τῷ Λέοντι, ἀλλὰ τοῖς πατράσι κοινῶς. ἕκτον, ὅτι μήτε τοῖς πατράσιν ἁπλῶς ἐπίστευσε δι' ἀκοῆς προλαβούσης, ἀλλ' ἐζήτησεν ἀναγνωσθῆναι τὰ πρακτικὰ τῆς πρώτης Συνόδου, καὶ ὅτε ἀνεγνώσθησαν, ἐβόησαν ὅλοι, αὕτη ἡ πίστις τῶν ὀρθοδόξων, οὕτω πιστεύομεν πάντες. ἕβδομον, ὅτι εἶπον, ὁ Πάπας Λέων οὕτω πιστεύει, εἶτα προσέθηκαν, Κύριλλος οὕτως ἐπίστευσεν, ὁ Πάπας οὕτως ἡρμήνευσεν. ὄγδοον, ὅτι οὐκ ἤρκεσαν ἐκεῖνα, ἀλλ' εἰς ἄλλην συνέλευσιν ἀναγνώσαντες τὰ πρακτικὰ τῆς δευτέρας Οἰκουμενικῆς, ἐβόησαν, αὕτη πάντων ἡ πίστις τῶν ὀρθοδόξων. ἔνατον, ὅτι καὶ ὁ Κύριλλος ἔγραψε πρὸς Νεστόριον, ἀλλ' ἐδοκίμασε τὴν ἐπιστολὴν ἡ ἐν Ἐφέσῳ Σύνοδος πρῶτον, εἶτα ἐβεβαίωσεν αὐτὴν, οὕτω δὴ καὶ ἡ τετάρτη τὴν τοῦ Λέοντος, καὶ ἡ ἕκτη τὴν τοῦ Ἀγάθωνος, καὶ τὴν τοῦ Ἱεροσολύμων σωφρονίου, καὶ ἡ ἑβδόμη τὰς τοῦ Ταρασίου, καὶ Ἀδριανοῦ, καὶ τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς, καὶ τὸ Συνοδικὸν τοῦ Ἱεροσολύμων Θεοδώρου. δέκατον, ὅτι ἀναγνωσθείσης τῆς ἐπιστολῆς τοῦ Κυρίλλου, ἐβεβαίωσεν αὐτὴν ἡ Σύνοδος τοῖς αὐτοῖς ῥήμασι, Λέων καὶ Ἀνατόλιος οὕτω πιστεύουσι, καὶ ἡμεῖς οὕτω πιστεύομεν. Κύριλλος οὕτω πιστεύει, αἰωνία ἡ μνήμη Κυρίλλου. ἑνδέκατον, ὅτι ἀναγνωσθείσης τῆς ἐπιστολῆς Λέοντος, ἐβόησαν, αὕτη ἡ πίστις τῶν πατέρων, αὕτη ἡ πίστις τῶν Ἀποστόλων, Πέτρος διὰ Λέοντος ταῦτα ἐφώνησεν, εἶτα προσέθηκαν, οἱ Ἀπόστολοι οὕτως ἐδίδαξαν, εὐσεβῶς καὶ ἀληθῶς Λέων ἐδίδαξε, Κύριλλος οὕτως ἐδίδαξε, Λέων καὶ Κύριλλος ὅμοια ἐδίδαξαν. καὶ πιστὸν ἀποφαίνονται εἰ πατέρες τὸν Λέοντα ἀπὸ τῆς πρὸς τὸν Κύριλλον συμφωνίας. δωδέκατον, ὅτι ἔτι Ἐπισκόπων Ἰλλυρικοῦ καὶ Παλαιστίνης ἀμφιβαλόντων εἰς τὰ τῆς ἐπιστολῆς Λέοντος, ὁ Ἀρχιδιάκονος Ἀέτιος θεραπεύει αὐτοὺς, καὶ βεβαιοῖ τὸ δόγμα κεφαλαίῳ τοῦ ἁγίου Κυρίλλου. δέκατον τρίτον, Ἀττικὸς Ἐπίσκοπος Νικοπόλεως Ἀμφιβάλλων, ἐζήτησε διωρίαν ἰδεῖν τὰ δοκοῦντα Θεῷ, καὶ τοῖς ἁγίοις πατράσι τυπωθέντα, καὶ οὐτῇ ἐπιστολῇ μόνῃ Λέοντος. δέκατον τέταρτον, αὐτὸς ὁ Ἀττικὸς οὐκ ἐζήτησε τὴν ἐπιστολὴν τοῦ Λέοντος, ἵνα λύσῃ τὴν ἀμφιβολίαν αὐτοῦ, ἀλλὰ

τὴν

τὴν πρὸς Νεστόριον Κυρίλλου ἐπιστολὴν, πιστεύων Κυρίλλῳ μᾶλλον ἢ Λέοντι, καὶ ἔλαβε διωρίαν ἡμερῶν πέντε. δέκατον πέμπτον, ὅτι οἱ συνειλεγμένοι Ἐπίσκοποι ἠρωτήθησαν, εἰ τοῦ Λέοντος τὰ γράμματα συνάδουσι τῇ πίστει τῆς πρώτης καὶ δευτέρας τῶν Οἰκουμενικῶν, καὶ ἀπεκρίθησαν Ἀνατόλιος ὁ Κωνσταντινουπόλεως καὶ οἱ λοιποὶ, ὅτι συνάδουσι. καὶ ὅσοι ὑπέγραψαν εἰς αὐτὴν, ἐλογίσθησαν ὀρθόδοξοι, ὅσοι δὲ μὴ, Αἱρετικοί. δέκατον ἕκτον, ὅτι εἶπον, ἵνα αὐτὴν βάλλωσιν ἔνδον ἐν τῷ Ὅρῳ τῆς Συνόδου, καὶ ἡ Σύνοδος ἠρκέσθη εἰς τὸν Ὅρον, ὡς Οἰκουμενικῆς Συνόδου ἀπόφασιν, ὅστις τὴν ἐπιστολὴν, ὡς εἴρηται, ἀνακριθεῖσαν καὶ δοκιμασθεῖσαν ἐβεβαίωσε. δέκατον ἕβδομον, ὅτι ἡ Σύνοδος ἐβεβαίωσε τῷ Κωνσταντινουπόλεως τὰ δοθέντα προνόμια ὑπὸ τῆς δευτέρας, καὶ πολλὰ ἠγωνίσθησαν τότε οἱ Λεγᾶτοι τοῦ Ῥώμης, καὶ ὕστερον ὁ Λέων, γράφων εἰς τὸν Μαρκιανὸν καὶ τὴν Πουλχερίαν καὶ τὸν Ἀνατόλιον, ἀλλ' οὐδὲν ἴσχυσεν, ὅτι μήτηρ κοινὴ καὶ στήλη καὶ ἑδραίωμα τῆς ἀληθείας ἡ Οἰκουμενικὴ Σύνοδος. διατοῦτο καὶ τὰ διοριζόμενα ὑπὸ Πατριαρχῶν ὡς ἐξ ἰδίας αὐθεντίας, ἐνεκρώθησαν, τὰ δὲ ὑπὸ τῶν Συνόδων ἀεὶ ἀναθάλλουσι, καὶ μένουσιν ἀδιάσειστα εἰς τοὺς ἐκδεχομένους κριτὴν τὸν Σωτῆρα Χριστόν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ γενομένου θαύματος ἐν τῷ Ὅρῳ τῆς παρούσης Συνόδου, τεθέντι ἐν τῇ λάρνακι τῆς πανευφήμου Εὐφημίας μετὰ τοῦ τόμου τῶν Αἱρετικῶν.

Καθὼς εἰς τὴν πρώτην Σύνοδον ὑπέγραψαν οἱ δύο ἀποθανόντες Ἐπίσκοποι εἰς τὸ Σύμβολον τῆς ὀρθοδόξου πίστεως, οὕτω καὶ εἰς τὴν τετάρτην οἱ πατέρες τῆς Συνόδου τὸν Ὅρον, εἰς ὃν ἐβεβαίωσαν τοῦ Χριστοῦ τὰς δύο φύσεις ἐν μιᾷ ὑποστάσει, ἤνοιξαν τὴν λάρνακα τῆς ἁγίας Εὐφημίας, καὶ ἔθηκαν αὐτὸν ἐπὶ τοῦ λειψάνου αὐτῆς, ἔβαλον δὲ ὁμοῦ καὶ τὸν τόμον τῶν Αἱρετικῶν, εἶτα ἔκλεισαν τὴν λάρνακα, καὶ ἐσφράγισαν αὐτὴν οἱ ἔγκριτοι τῆς Συνόδου καὶ ὁ Βασιλεὺς καὶ ἡ σύγλητος, ἔπειτα ἐδέοντο μετὰ ὕμνων καὶ δακρύων καὶ στάσεων πάννυχίων τοῦ Θεοῦ, ἵνα ἀποκαλύψῃ αὐτοῖς τὸ ὀρθόδοξον. ἀνοίξαντες δὲ τὸ μνῆμα, εὗρον τὸν μὲν τόμον τῶν Αἱρετικῶν, εἰς τοὺς πόδας τῆς ἁγίας ἐῤῥιμένον, τὸν δὲ Ὅρον τῶν ἁγίων πατέρων κρατούμενον ὑπὸ τῆς δεξιᾶς αὐτῆς χειρὸς, ὃν, ἁπλώσασα τὴν χεῖρα αὐτῆς ἡ ἁγία, ἔδωκε τῷ Βασιλεῖ, καὶ τῇ Συνόδῳ, εἰς δόξαν Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ ἀριθμοῦ τῶν Κανόνων τῆς παρούσης τετάρτης Οἰκουμενικῆς Συνόδου, καὶ τῆς ἑρμηνείας τοῦ εἰκοστοῦ ὀγδόου Κανόνος αὐτῆς, τὰ πρεσβεῖα τοῦ Κωνσταντινουπόλεως διαλαμβάνοντος. καὶ περὶ τῆς αἰτίας, δι' ἣν τῇ νέᾳ καὶ τῇ παλαιᾷ Ῥώμῃ τὰ πρεσβεῖα δέδονται.

Ἐν τῇ δεκάτῃ πέμπτῃ πράξει ἡ Σύνοδος ἐξέθετο Κανόνας τριάκοντα, ὧν ὁ εἰκοστὸς ὄγδοος καὶ οἱ μετ' αὐτὸν δύο ἀκόλουθοι, οὔτε ἐν τῇ συλλογῇ τῶν Κανόνων Ἰωάννου τοῦ Ἀντιοχείας, οὔτε ἐν τῷ Νομοκάνονι Ἰωάννου Κωνσταντινουπόλεως τοῦ ἀπὸ σχολαστικῶν, ἑορταζομένου Φεβρουαρίου εἰκοστῇ πρώτῃ, οὔτε ἐν τῇ Ἀραβικῇ μεταφράσει Ἰωάννου τοῦ Αἰγυπτίου κεῖνται. εὑρίσκεται ὅμως ὁ προκείμενος Κανὼν ἐν ταῖς ἑρμηνείαις τῶν συνοδικῶν Ὅρων τοῦ Βαλσαμῶνος, τοῦ Ζωναρᾶ, καὶ τοῦ Ἀριστηνοῦ, καὶ ἐν τῷ Νομοκάνονι τοῦ ἱεροῦ Φωτίου, Τίτλῳ πρώτῳ, κεφαλαίῳ πέμπτῳ καὶ ἕκτῳ. τὰ αἴτια δὲ, ὧν ἕνεκεν ἐξετέθη ὁ παρὼν Κανὼν, εἰσὶ ταῦτα, πρῶτον, ἐπειδὴ ἡ δευτέρα Οἰκουμενικὴ ἔδωκε τῷ Κωνσταντινουπόλεως πρεσβεῖα τιμῆς, ἀνενέωσεν αὐτὰ ἡ παροῦσα, δι' ἃς ἐροῦμεν αἰτίας. καὶ ἐπειδὴ τὰ πρεσβεῖα τῆς τιμῆς ἀπήτουν καὶ πρεσβεῖα ἐξουσίας τινὸς, ὡς ἦν ἐν τοῖς λοιποῖς Πατριάρχαις, καὶ μάλιστα ἐπειδὴ τοῦτο ἀπήτουν καὶ ἄλλαι διάφοροι ἀναγκαῖαι αἰτίαι, ἐπειδὴ γὰρ γεγόνασι σκάνδαλα διὰ τὰς παρανόμους χειροτονίας Στεφάνου καὶ Βασιανοῦ εἰς τὴν Ἔφεσον, καὶ σκάνδαλα τοῦ Νικομηδείας Εὐνομίου καὶ τοῦ Νικαίας Ἀναστασίου διὰ τὴν Ἐπισκοπὴν Βασιλινούπολιν, ὡς φαίνεται ἐν τῇ δεκάτῃ τρίτῃ πράξει τῆς παρούσης Συνόδου, καὶ ἠκολούθησαν πολλὰ τούτοις παρόμοια εἰς τὴν Ἀσίαν, καὶ Πόντον, καὶ Θρᾴκην, ὅπου τῶν Μητροπολιτῶν χειροτονουμένων ὑπὸ τῶν Ἐπισκόπων, συνέβαινον εἴς τε τὰς ψήφους καὶ τὰς χειροτονίας σκάνδαλα καὶ ταραχαὶ, καὶ διότι ἐχειροτόνησαν πολλοὺς Μητροπολίτας οἱ Κωνσταντινουπόλεως Πατριάρχαι, καὶ ὁ Χρυσόστομος ἐχειροτόνησε τὸν Ἡρακλείδην Ἐφέσου, καὶ ἀπερχόμενος εἰς Ἔφεσον, καὶ ἐπανερχόμενος εἰς Κωνσταντινούπολιν δεκατρεῖς Ἐπισκόπους ἐκάθηρε, καὶ ὁ Ἀγκύρας ὡμολόγησεν, ὅτι εἰς Κωνσταντινούπολιν ἐχειροτονήθη, καὶ Μέμνων ὁ Ἐφέσου ὁ ἐπὶ τῆς τρίτης ἀριστεύσας Συνόδου, ἀπὸ τοῦ Κωνσταντινουπόλεως

εἶχε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

εἶχε τὴν χειροτονίαν, καὶ ἐχρημάτισε τοῦτο ἔθος ἐν τῇ Ἐκκλησίᾳ Κωνσταντινουπόλεως, καὶ ἐπειδὴ εἰς Κωνσταντινούπολιν ἔρχονται διάφοροι Πατριάρχαι, καὶ πρέπει ἵνα εὑρίσκωσι καὶ Ἐπίσκοπον Πατριάρχην, καὶ ἐπειδὴ εἰς τὸν Βασιλέα ἔρχονται ἵνα προσκλαύσωνται διάφοροι ἠδικημένοι Ἀρχιερεῖς, καὶ ἔστι κανονικὸν δίκαιον ἔχειν τῆς πόλεως τὸν Ἐπίσκοπον βοηθὸν καὶ συνεργὸν αὐτοῖς, τοὺς δὲ Ἐπισκόπους τοὺς κατὰ τὴν βασιλίδα πόλιν παραγενομένους, οἱασδήποτε εἶεν Διοικήσεως, πρὸ πάντων ἀπιέναι πρὸς τὸν μακαριώτατον Ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως, καὶ οὕτω δι' αὐτοῦ πρὸς τὴν ἡμετέραν εἰσιέναι γαληνότητα. τοῦτο δὲ εἶπεν ὁ Ἰουστινιανὸς, οὐκαινῶς νομοθετῶν, ἀλλὰ τὸ ἀρχαῖον ἔθος βεβαιῶν, ὅθεν ὁ Λαοδικείας Νουνέχιος εἶπεν ἐν τῇ δεκάτῃ ἑκτῇ πράξει, ὅτε ἐμάχοντο οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης περὶ τῶν πρεσβείων Κωνσταντινουπόλεως, ἡ δόξα Κωνσταντινουπόλεως, δόξα ἡμῶν ἐστιν, ἐπειδὴ καὶ τὰς μέριμνας ἡμῶν ἀναδέχεται. καὶ διὰ ταύτας οὖν τὰς αἰτίας ἔδωκεν αὐτῷ καὶ πρεσβεῖα ἐξουσίας, ὥστε δηλονότι χειροτονεῖν Μητροπολίτας τινάς. ἐπαναλαμβάνοντες δὲ τὴν ὑπόθεσιν, λέγομεν, ἐπειδὴ ἡ Ῥώμη, διὰ τὸ χρηματίσαι ἐκεῖ τὴν παγκόσμιον βασιλείαν, ἐτιμήθη παρὰ τῶν πατέρων, ὥστε εἶναι αὐτὴν πρώτην τῶν Ἐκκλησιῶν, ἐχρημάτισε δὲ καὶ ἡ Κωνσταντινούπολις τοιαύτη βασίλειος πόλις, οἱ αὐτοὶ πατέρες, ἤτοι οἱ τῆς δευτέρας Οἰκουμενικῆς δεδώκασι τῇ ἐν αὐτῇ Ἐκκλησίᾳ τὰ αὐτὰ πρεσβεῖα, ἅπερ δεδώκασι τῇ ἐν Ῥώμῃ. παρατρέψαντος δὲ ταῦτα τοῦ Διοσκόρου, ἡ παροῦσα Σύνοδος ἀνανεοῦσα αὐτὰ ἐβεβαίωσε, καὶ ἀπέδωκε τῇ Ἐκκλησίᾳ Κωνσταντινουπόλεως διὰ τούτου τοῦ Κανόνος τὰ ἀρχαῖα καὶ πάτρια δίκαια, προσθεῖσα καὶ δωρησαμένη αὐτῇ, καὶ διὰ τὸ βασιλεύειν τὴν πόλιν, καὶ διὰ πάσας τὰς προσεχῶς ἄνω εἰρημένας αἰτίας, καὶ πρεσβεῖα ἐξουσίας, ἵνα χειροτονῇ δηλονότι τῶν δείνων καὶ δείνων Ἐπαρχιῶν τοὺς Μητροπολίτας. συμπεραίνομεν δὲ, ὅτι καθὼς ἡ Κωνσταντινούπολις ἔσχε τὰ πρεσβεῖα τῆς τιμῆς καὶ τῆς ἐξουσίας ἀπὸ μόνων τοῦ ἔθους καὶ τῶν συνοδικῶν Κανόνων, οὕτω καὶ ἡ Ῥώμη ἔσχε τὰ πρεσβεῖα, οὐ διότι ἦν καθέδρα τοῦ ἁγίου Πέτρου, μήτε διότι ὁ Ἐπίσκοπος αὐτῆς λέγεται εἶναι βικάριος τοῦ Χριστοῦ, ἀλλ' ἀπὸ τοῦ ἔθους καὶ τῶν Κανόνων, ταὐτὸν εἰπεῖν διὰ τὸ βασιλεύειν τὴν πόλιν, καὶ γὰρ ἡ τοιαύτη Βασιλεία ἐγένετο πρόξενος ἀμφοτέρων, τοῦ τε ἔθους δηλονότι καὶ τῶν Κανόνων. δηλοῖ δὲ τὰ πρεσβεῖα καὶ τὰ πρωτεῖα οὐκ οἰκουμενικὸν, ἢ μοναρχικὸν, ἢ ἀναμαρτητόν τι ἀξίωμα, ἀλλὰ μόνον τὸ πατριαρχικὸν, τῇ μὲν τάξει, πρῶτον ἐν τῇ Ῥώμῃ, δεύτερον δὲ, ἐν τῇ Κωνσταντινουπόλει, τῇ δὲ μεγαλειότητι καὶ δυνάμει καὶ τιμῇ καὶ ἐξουσίᾳ ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασι τὸ αὐτὸ καὶ ἴσον κατὰ πάντα, καὶ ἐν τῇ Ῥώμῃ καὶ ἐν τῇ Κωνσταντινουπόλει. σημείωσαι ἐνταῦθα ὥσπερ τι πόρισμα, ὅτι εἰ οἱ πατέρες τῆς ἐν Χαλκηδόνι Συνόδου ἐπίστευον, ἢ ὅλως ἐγίνωσκον τοσαύτην Αὐθεντίαν παρὰ Χριστοῦ δεδόσθαι τῷ Ἐπισκόπῳ Ῥώμης, ὁπόσην τὰ νῦν αὐτὸς ἑαυτῷ τίθησιν, οὐκ ἂν ἀντεῖπον τότε ἐκείνῳ ἐκτὸς πάσης ἀμφιβολίας, μήτε ἄλλω τινὶ ἐθέσπιζον ἂν ἴσα προνόμια.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι τὴν ΜΕΤΑ', ἐν τῷ εἰπεῖν τὸν Κανόνα, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν, οὐ τῇ τιμῇ τῶν πρεσβείων φασὶ τινὲς τῶν δυτικῶν δεῖ ἀκουστέον, ἀλλὰ τῷ χρόνῳ. καὶ ἀπόδειξις, ὅτι ἡ ΜΕΤΑ', τιμὴν καὶ τάξιν μόνην δηλοῖ.

Τινὲς τῶν δυτικῶν λέγουσιν, ὅτι ἐπειδὴ ὁ Κανὼν τὰ ἴσα φησὶ, τῷ ἐφεξῆς εἰρημένῳ ΔΕΥΤΕΡΑΝ ΜΕΤ' ΕΚΕΙΝΗΝ, καὶ εἴπου ἄλλοθι γέγραπται τὸ δευτερεύειν, οὐ τῇ τιμῇ τῶν πρεσβείων χρὴ ἐννοεῖν, οὐ γὰρ ἂν αὐτὸς ἑαυτῷ διεμάχετο ὁ Κανὼν, ἀλλὰ τῷ χρόνῳ ἀκουστέον, καὶ τὸ ἀληθὲς γὰρ οὕτως ἔχει, καὶ ὁ Κανὼν ἕξει τὸ μὴ ἀναιρεῖν ἑαυτὸν, εἴπερ γὰρ ἡ Βασιλεία εἰς ἴσον ἄγει τὰς δύο καθέδρας, ἡ ζημιωθεῖσα ταύτης κατὰ τὸν ἱερὸν τοῦτον Κανόνα, ἐζημιώθη ἂν καὶ τὴν ἰσότητα. ταῦτα οἱ Καλβῖνοι. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι τὸ δηλοῦν ἐνταῦθα τὴν, ΜΕΤΑ', πρόθεσιν χρόνον, μῦθός ἐστιν, ἐπειδὴ ὁ Κανὼν τίθησι διαφορὰν, λέγων, πρὸ πάντων δὲ τὰ πρωτεῖα καὶ τὴν ἐξαίρετον τιμὴν φυλάττεσθαι τῷ Ῥώμης, συνηγορῶν δὲ τῷ Κανόνι ὁ μέγας Ἰουστινιανὸς, φησὶ Νεαρᾷ ἑκατοστῇ τριακοστῇ, κειμένῃ Βασιλικῶν βιβλίῳ πέμπτῳ, Τίτλῳ τρίτῳ, θεσπίζομεν κατὰ τοὺς τῶν ἁγίων Συνόδων Ὅρους, τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης Πάπαν πρῶτον εἶναι πάντων τῶν Ἱερέων, τὸν δὲ μακαριώτατον Ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως τῆς νέας Ῥώμης δευτέραν τάξιν ἐπέχειν μετὰ τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον τῆς πρεσβυτέρας Ῥώμης. καὶ σημείωσαι ὅτι τὸ, ΔΕΥΤΕΡΑΝ ΜΕΤ' ΕΚΕΙΝΗΝ, ταὐτόν ἐστι τῷ δευτέραν τάξιν ἐπέχειν. δεύτερον, ὅτι ἀντίκειν ταῖ τῇ ἀντιθέσει, ἔτι καὶ τὸ προκαθῆσθαι οὐ μόνον τὸν Ῥώμης τοῦ Κωνσταντινουπόλεως, ὡς ἐροῦμεν ἐν τῷ πέμπτῳ βιβλίῳ περὶ Ἰωάννου καὶ Ἀγαπητοῦ καὶ Βιγιλίου τῶν Παπῶν, ἀλλὰ καὶ τοὺς Τοποτηρητὰς αὐτῶν προκαθῆσθαι τοῦ Κωνσταντινουπόλεως, καὶ προϋπογράφειν τοῦ αὐτοῦ ἀεὶ ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις καὶ ἐν παντὶ συλλόγῳ. ὥστε μάταιόν ἐστι τὸ λέγειν, τῷ χρόνῳ δευτερεύειν τὸν Κωνσταντινουπόλεως τοῦ Ῥώμης. ἀλλὰ καὶ ὁ Ζωναρᾶς λέγων ἐν τῇ ἑρμηνείᾳ τοῦ τρίτου Κανόνος τῆς δευτέρας Οἰκουμενικῆς τὴν, ΜΕΤΑ', πρόθεσιν ἐνταῦθα σημαίνειν ὑποβιβασμὸν τῆς

τιμῆς

τιμῆς, ὅτι κατὰ τάξιν ἐνόησε τὸν ὑποβιβασμὸν, δῆλον. προτίθησι γὰρ τούτων τῶν ῥημάτων τὴν ἀνωτέρω μαρτυρίαν τοῦ Ἰουστινιανοῦ, λέγουσαν ῥητῶς, δευτερεύειν τὸν Κωνσταντινουπόλεως τοῦ Ῥώμης κατὰ τὴν τάξιν. μετὰ δὲ ταῦτα τίθησι παραδείγματα, ὅτι ἀνάγκη ἐν ταῖς ἀναφοραῖς τῶν ὀνομάτων, τὸν μὲν πρωτεύειν, τὸν δὲ δευτερεύειν, καὶ ἐν ταῖς καθέδραις, ὅτε συνέλθοιεν, καὶ ἐν ὑπογραφαῖς, ὅτε τούτου δεήσει, καὶ πρὸς τούτοις ἐπιφέρει εἰς μαρτυρίαν τὸν τριακοστὸν ἕκτον Κανόνα τῆς ἐν Τρούλλῳ Συνόδου, τάττοντα μετὰ τὸν Ῥώμης τὸν Κωνσταντινουπόλεως. Ὁ αὐτὸς ἑρμηνεύων τὸν εἰκοστὸν ὄγδοον τοῦτον Κανόνα, λέγει, ζητητέον, ἤτοι ταῦτα τὰ ἐν τῷ τρίτῳ Κανόνι τῆς δευτέρας Συνόδου εἰρημένα, ἀρκοῦντα εἰς ἀπόδειξιν τοῦ δευτέραν ταύτην τὴν βασιλίδα πόλιν εἶναι κατὰ τάξιν τῆς τιμῆς. ἐξ ὧν δείκνυται ὅπερ εἴπομεν, ὅτι ὁ ὑποβιβασμὸς τῆς τιμῆς οὐκ ἔστι κατὰ δύναμιν, ἢ ἐξουσίαν, ἢ ἐνέργειαν ἰδικὴν, ἀλλὰ κατὰ μόνην τὴν τάξιν. ἰδὲ περὶ τούτου καὶ ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου τετάρτου Παράγραφον ἕκτον.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἑρμηνεία τοῦ ἐν τῷ παρόντι εἰκοστῷ ὀγδόῳ Κανόνι ῥητοῦ τοῦ, τῶν αὐτῶν ἀπολαύειν πρεσβείων, καὶ ἵνα μεγαλύνηται ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ὁ Ῥώμης. καὶ τὶ δηλοῖ πρεσβεῖα καὶ μεγαλεῖον. καὶ ὅτι μέτρον τῶν πρεσβείων καὶ τῆς ἐξουσίας τοῦ Ῥώμης ὁ Κωνσταντινουπόλεως. καὶ πρόθεσις ἀμφοτέρων, οὐδὲν ἰδικὸν ἀξίωμα παριστῶσα ἔχειν αὐτοὺς ἐκ τῶν Συνόδων, πλὴν τῶν πρεσβείων τῆς τιμῆς καὶ ἐξουσίας. καὶ τὶς ἡ αἰτία τῶν πρεσβείων τοῦ Κωνσταντινουπόλεως καὶ τὴν πρὸς τὸν Λέοντα Ῥώμης ἐπιστολὴν τῆς Συνόδου.

Ὅτι δὲ, ὡς εἴρηται ἀνωτέρω, τὸ, Μεγαλύνεσθαι ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν, οὐ δέδωκε τῷ Ῥώμης προνόμιόν τι ἰδικὸν ἐξουσίας ἐν τῇ καθόλου Ἐκκλησίᾳ, φανερόν ἐστιν. ὁ γὰρ Κωνσταντινουπόλεως τῆς τιμῆς καὶ ἐξουσίας καὶ τοῦ μεγαλείου τοῦ Ῥώμης μέτρον ἐστί. λέγει γὰρ ὁ Κανὼν, τῶν αὐτῶν ἀπολαύειν πρεσβείων, καὶ μεγαλύνεσθαι ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς τὸν Ῥώμης, ἄνευ τινὸς διαφορᾶς δηλονότι. ὡς δὲ ὁ Κωνσταντινουπόλεως οὐκ ἔλαβεν ἐκ τῶν Συνόδων προνόμιόν τι ἰδικὸν ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἀλλὰ μόνον τὰ πρεσβεῖα τῆς τιμῆς καὶ τῆς ἐξουσίας, ὧν τὸ πρῶτον δηλοῖ τὸ Πατριαρχικὸν ἀξίωμα, τὸ δὲ δεύτερον τὴν χειροτονίαν τῶν τάδε Μητροπολιτῶν. οὕτω γοῦν καὶ ὁ Ῥώμης ἔχει τὰ πρεσβεῖα τῆς τιμῆς διὰ τὸ αὐτὸ Πατριαρχικὸν ἀξίωμα, καὶ τὰ πρεσβεῖα τῆς ἐξουσίας, ὥστε ἄρχειν τῆς ἰδίας ἐνορίας, ἤτοι τῶν Ἑσπερίων. ὅτι δὲ καὶ ἡ στάθμη καὶ τὸ μέτρον τῶν πρεσβείων καὶ τῆς ἐξουσίας τοῦ Ῥώμης ὁ Κωνσταντινουπόλεως (οὐ γὰρ ἔλαβεν οὔτε παρὰ τῆς δευτέρας Συνόδου, οὔτε παρὰ τῆς ἐν Χαλκηδόνι, ὡς εἴρηται ἀνωτέρω, οὔτε οἰκουμενικὸν, οὔτε μοναρχικὸν, οὔτε ἀναμάρτητον, οὔτε ἄλλό τι ἀξίωμα, ἢ μόνον τὸ προηγεῖσθαι τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς κατὰ μόνην τὴν τάξιν) μάρτυς ὁ διαληφεὶς εἰκοστὸς ὄγδοος Κανὼν τῆς παρούσης Συνόδου, φησὶ γὰρ, πανταχοῦ τοῖς τῶν ἁγίων πατέρων Ὅροις ἑπόμενοι, καὶ γνωρίζοντες τὸν τρίτον Κανόνα τῆς δευτέρας Συνόδου, τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως. καὶ σημείωσαι, ὅτι τὰ αὐτά φησι, καὶ οὐκ ἄλλα, ἢ μείζονα, ἢ ἐλάττονα, ἀλλὰ τὰ αὐτὰ πρεσβεῖα τῆς τιμῆς ἅπερ ἔδωκεν ἡ δευτέρα, ἔδωκε καὶ ἡ ἐν Χαλκηδόνι. εἶτα ἡ δοῦσα τὰ πρεσβεῖα τῆς τιμῆς τῷ Κωνσταντινουπόλεως δευτέρα Οἰκουμενικὴ, ἡ αὐτὴ ἐν τῷ δευτέρῳ αὐτῆς Κανόνι ὥρισε τοὺς ὑπὲρ Διοίκησιν Ἐπισκόπους ταῖς ὑπερορίοις ἐνορίαις μὴ ἐπιέναι, μηδὲ συγχέειν τὰς Ἐκκλησίας, καὶ ἰδὲ τὴν ἑρμηνείαν ἀνωτέρω βιβλίου τρίτου κεφαλαίῳ τετάρτῳ. οὗτος δὲ ὁ Κανὼν, μετὰ τὸ ἀναγνωσθῆναι τὸν εἰκοστὸν ὄγδοον Κανόνα ἐν τῇ δεκάτῃ ἕκτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου, ἀνεγνώσθη ἐπ' ὄψει καὶ ἀκοῇ τῶν Ἀρχόντων καὶ τῆς Συγκλήτου, καὶ πάντων τῶν ἁγίων πατέρων, καὶ ἐβεβαιώθη παρὰ πάντων τούτων μεγάλῃ καὶ διαπρυσίῳ τῇ φωνῇ. πρὸς τούτοις ἔχομεν περὶ τούτου σχεδὸν ἀναριθμήτους μαρτυρίας εἰπεῖν, ἀλλὰ διὰ τὴν ἐπαγγελίαν τῆς ἐπιτομῆς, μίαν καὶ μόνην λέγομεν, καὶ ἀρκεῖ ὑπὲρ μυρίων ἄλλων μαρτυριῶν, καὶ αὕτη ἐστὶν ἡ ἐπιστολὴ, ἣν ἔγραψεν ἡ ἁγία αὕτη Συνόδος πρὸς τὸν Πάπαν Λέοντα, ἐν ᾗ λίαν σαφῶς λέγει τίνα ἀπέδωκε, καὶ τίνα διωρίσατο τῷ Κωνσταντινουπόλεως θρόνῳ. γράφει οὖν πρὸς αὐτὸν ταῦτα ῥητῶς, Τὸ γὰρ ἐκ πολλοῦ κρατῆσαν ἔθος, ὅπερ ἔσχεν ἡ τῶν Κωνσταντινουπολιτῶν ἁγία τοῦ Θεοῦ Ἐκκλησία εἰς τὸ χειροτονεῖν Μητροπολίτας τῶν Διοικήσεων, τῆς τε Ἀσιανῆς καὶ Ποντικῆς καὶ Θρᾳκικῆς, καὶ νῦν καὶ συνοδικὴν ἐκυρώσαμεν ψῆφον, οὐτοσοῦτον τῷ θρόνῳ Κωνσταντινουπόλεώς τι παρέχοντες, ὅσον ταῖς Μητροπόλεσι τὴν εὐταξίαν πρυτανεύοντες, διὰ τὸ πολλοὺς πολλάκις, τελευτώντων τῶν Ἐπισκόπων, ἀνακύπτειν θορύβους, ἀνηγεμονεύτων ὄντων τῶν ἐν αὐταῖς Κληρικῶν τε καὶ λαϊκῶν, καὶ τὴν ἐκκλησιαστικὴν τάξιν συγχεόντων, ὅπερ οὐδὲ τὴν ὑμετέραν ἔλαθεν ἁγιότητα, μάλιστα τῶν Ἐφεσίων ἕνεκεν πλεονάκις ὑμῶν διενοχληθέντων. ἐβεβαιώσαμεν δὲ καὶ τὸν τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων, τῶν ἐν Κωνσταντινουπόλει συναθροισθέντων ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης μεγάλου Θεοδοσίου Κανόνα, τὸν διαγορεύοντα, μετὰ τὸν ὑμέτερον ἁγιώτατον καὶ ἀποστολικὸν, τὰ πρεσβεῖα τὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὸν Κωνσταντινουπόλεως ἔχειν. καὶ κατωτέρω, ἡμεῖς γὰρ θεραπεύοντες τούστε εὐσεβεστάτους καὶ φιλοχρίστους Βασιλέας, ἐπὶ τοῦτο ἡδομένους, τήν τε λαμπρὰν Σύγκλητον, καὶ πᾶσαν ὡς εἰπεῖν τὴν βασιλεύουσαν, ἔυκαιρον ἐνομίσαμεν τὴν ἐπ' αὐτῇ παρὰ τῆς Οἰκουμενικῆς Συνόδου βεβαίωσιν τῆς τιμῆς. ταῦτα οἱ ἐν Χαλκηδόνι πατέρες πρὸς τὸν Πάπαν Λέοντα, ἐξ ὧν λαμπρῶς δείκνυται τρία τινὰ, πρῶτον, ὅτι τὸ ἔθος, δι' οὗ ἐχειροτόνει ὁ Κωνσταντινουπόλεως τινὰς Μητροπολίτας, βεβαιώσασα ἡ Συνόδος, ἔδωκεν αὐτῷ πρεσβεῖα ἐξουσίας, ἵνα δηλονότι κανονικῶς χειροτονῇ πάντας τοὺς Μητροπολίτας τῶν εἰρημένων Διοικήσεων. δεύτερον, ὅτι τὰ πρεσβεῖα τῆς τιμῆς, ἅτινα ἔδωκεν αὐτῷ ἡ δευτέρα Οἰκουμενικὴ, ἐβεβαίωσε. τρίτον, ὅτι οὐδὲν πλέον ἔδωκεν αὐτῷ, εἰ γὰρ ἔδωκεν, ἔγραψεν ἂν αὐτὸ πρὸς τὸν Πάπαν, ἀλλ' οὐκ ἔγραψεν, ἐπειδὴ οὐκ ἔδωκεν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ ἑπτὰ τινῶν, ὧν ἐπιλαμβάνονται οἱ Λατῖνοι κατὰ τοῦ παρόντος εἰκοστοῦ ὀγδόου Κανόνος.

Ἐπιλαμβάνονται οἱ Λατῖνοι, ὡς φαίνεται ἐν τῇ Ταργᾳ τῆς ἀπωλείας, τοῦ Κανόνος τούτου, καὶ λέγουσιν ἑπτὰ τινὰ, πρῶτον, ὅτι τέ ἐστιν ὑποβολιμαῖος, ὡς ὅτι οὐχ ὑπέγραψαν οἱ ἑξακόσιοι τριάκοντα πατέρες, ἀλλὰ μόνον διακόσιοι, χαριζόμενοι Ἀνατολίῳ. δεύτερον, ὅτι ἀδόκιμος, ὡς ὅτι ὁ Λέων οὐκ ἀπεδέξατο αὐτὸν, ἀλλὰ καὶ ἠναντιώθη αὐτῷ. τρίτον, ὅτι ἐστὶ κίβδηλος, ἐπειδὴ λέγει ὅτι ἐξετέθη κατὰ τὸν τρίτον Κανόνα τῆς δευτέρας Συνόδου, ἀλλ' ἐκεῖνος δεύτερον εἶπε τοῦ Ῥώμης τὸν Κωνσταντινουπόλεως, οὐκ ἴσον, ὡς ὁ παρὼν Κανὼν βούλεται. τέταρτον, ὅτι ἐστὶ φλύαρος, ἐπειδὴ λέγει ὅτι εἶχεν ὁ Ῥώμης τὴν ἐξουσίαν διὰ τὸ βασιλεύειν τὴν Ῥώμην, καὶ οὐχὶ διότι ἦν Τοποτηρητὴς τοῦ Πέτρου. πέμπτον, ὅτι ἄκυρος, διότι ἡ Ἐκκλησία οὐκ ἐδέξατό ποτε ἵνα ἔχῃ ὁ Κωνσταντινουπόλεως ἴσην ἐξουσίαν τῷ Ῥώμης. ἕκτον, ὅτι μάχεται τῷ πέμπτῳ τῆς ἐν Νικαίᾳ Κανόνι, καὶ τῷ δευτέρῳ τῆς δευτέρας. ἕβδομον, ὅτι εἰ εἶχεν ὁ Κωνσταντινουπόλεως τὰ ἴσα τῷ Ῥώμης, ἡ ἐν Τρούλλῳ ἐν τῷ τριακοστῷ ἕκτῳ Κανόνι αὐτῆς ἔλεγεν ἵνα ἔχῃ ὁ Κωνσταντινουπόλεως τὰ ἴσα τῷ Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ ἀνατροπῆς τοῦ πρώτου ἐπιχειρήματος τῶν Λατίνων, οὐχ ὑποβολιμαῖον, ἀλλ' ἀληθῆ καὶ ἅγιον τὸν Κανόνα ἀποδεικνυούσης.

Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι καὶ ἐνταῦθα οἱ Λατῖνοι ψεύδονται, ἁμάρτυρα λέγοντες, ἐπειδὴ ὅτι διακόσιοι μόνοι ὑπέγραψαν, αὐτοὶ τοῦτο λέγουσιν, οὐδεὶς δὲ τῶν ἀξιοπίστων, ἢ τῶν ἀρχαίων ἱστορικῶν τοῦ τοιούτου ἐμνήσθη, οὔτε μὴν ἐν τοῖς πρακτικοῖς τοιοῦτόν τι σημειοῦται, ἀλλ' ὅσοι ὑπέγραψαν, τοὺς τριάκοντα Κανόνας ὑπέγραψαν, ἐν οἷς καὶ ὁ εἰκοστὸς ὄγδοος, εἰ καὶ μόνοι τρεῖς οἱ λεγάτοι τοῦ Ῥώμης ἐλειποθύμησαν ὑπὸ φιλαρχίας περὶ αὐτοῦ. δεύτερον, ἡ Συνόδος οὐκ εἶχε χρείαν ἵνα κολακεύσῃ τὸν Ἀνατόλιον, οὖσα Οἰκουμενικὴ, καὶ ὑπὲρ τὸν Ἀνατόλιον. καὶ δείκνυται ἐκ τοῦ ἀθετῆσαι αὐτοῦ τὸ ζήτημα, δι' οὗ ἐβούλετο, ἵνα ἐν Κωνσταντινουπόλει γίγνηται Συνόδος καὶ κρίσις περὶ παντὸς βουλομένου, κἂν καὶ ἀπὸ ἐξωτέρας εἴη Ἐπαρχίας. καὶ ἰδὲ ἀνωτέρω κεφαλαίου πρώτου Παράγραφον δέκατον ἕκτον. ἀλλὰ δίκαια ἔπραξεν, ἵνα χειροτονῇ ὁ Κωνσταντινουπόλεως τοὺς Μητροπολίτας τοὺς μὴ ὑποκειμένους Πατριάρχῃ τινὶ, διὰ τὰ αἴτια ἅπερ εἴπομεν εἰς τὸν τόπον τοῦ Κανόνος. τρίτον, οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης, κἂν καὶ πολλὰ εἶπον, ἀλλὰ τέλος πάντων κριθέντες ἐπὶ τῆς Συνόδου μετὰ τῶν Κωνσταντινουπολιτῶν, καὶ προβαλόντες Κανόνα ὑποβολιμαῖον, καὶ ἐπιτιμηθέντες, ἐσιώπησαν. τέταρτον, οἱ πατέρες ὅλοι ὡμολόγησαν, ὅτι οὐ βίᾳ, ἀλλὰ ἰδίῳ αὐτῶν θελήματι ἔδωκαν τὰ πρεσβεῖα τῷ Κωνσταντινουπόλεως. καὶ οὕτως ὁ Κανὼν οὐκ ἔστιν ὑποβολιμαῖος, ἀλλ' ἀληθὴς, φανερὸς, ἅγιος, ὡς ὑπὸ Οἰκουμενικῆς προηγμένος Συνόδου. καὶ εἰ οἱ Τοποτηρηταὶ οὐκ ἐδέξαντο αὐτὸν, οὐδὲν τὸ κωλύον, τῶν γὰρ πλειόνων ἐστὶν ἡ ψῆφος κατὰ τὸν ἕκτον Κανόνα τῆς ἐν Νικαίᾳ Συνόδου. εἶτα οὐδεῖ τὸν αὐτὸν καὶ κριτὴν καὶ κρινόμενον εἶναι, ἐκρίθησαν γὰρ ὑπὸ τῆς Συνόδου καὶ τῶν Ἀρχόντων, καὶ πῶς ἐδύναντο οἱ κρινόμενοι κρῖναι; εἰς ὃ δὲ οὐκ ἐπείσθησαν οἱ ῥωμαῖοι τῇ Συνόδῳ, ἐβλασφήμησαν. ἔπειτα τὸ εἶναι τὸν Κωνσταντινουπόλεως δεύτερον, ὡς διορίζεται ὁ Κανὼν, καὶ οὐ πέμπτον, ὡς φρονοῦσιν οἱ παπισταὶ, ἑπόμενοι τῷ Αἱρετικῷ Διοσκόρῳ, μάρτυς ἡ Συνόδος ἐν τῇ πρώτῃ αὐτῆς πράξει, εἶπον γὰρ ἐκεῖ οἱ Τοποτηρηταὶ τοῦ Πάπα περὶ τοῦ Κωνσταντινουπόλεως Ἀνατολίου, ὅτι οὐ πέμπτον, ἀλλὰ πρῶτον ἔχουσι, καὶ ἰδὲ ἀνωτέρω τὸν τόπον.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ ἀνατροπῆς τοῦ δευτέρου ἐπιχειρήματος τῶν Λατίνων, οὐκ ἀδόκιμον, ἀλλὰ δόκιμον τῇ ψήφῳ, καὶ δυνάμει τῆς Συνόδου, καὶ τῇ τῶν λοιπῶν Πατριαρχῶν συγκαταθέσει τὸν Κανόνα παριστώσης.

Πρὸς δὲ τὸ δεύτερον, ῥητέον ὅτι οἱ πατέρες γράφοντες εἰς τὸν Ῥώμης διὰ τὰ πρεσβεῖα τοῦ Κωνσταντινουπόλεως, εἶπον αὐτῷ, ὅτι ἐποίησαν νόμιμα, καὶ ἵνα βεβαιώσῃ αὐτὰ κἀκεῖνος, ἤγουν ἵνα συναινέσῃ καὶ συμφωνήσῃ. ἐκείνη δὲ ἡ ἀξίωσις ἦν προσταγὴ, ἐπειδὴ σχεδὸν ἐπέπληττεν αὐτὸν, ὡς ἡ δευτέρα τὸν Δάμασον περὶ Φλαυϊανοῦ, καὶ ἰδὲ τὸν τόπον. δεύτερον, ὅτι οὐκ ἔγραψαν οἱ διακόσιοι, ἀλλ' ὅλη ἡ Συνόδος, ὡς ἐδείχθη ἀνωτέρω, ὥστε ψεύδονται οἱ Λατῖνοι, λέγοντες ὅτι μόνοι διακόσιοι τὸν Κανόνα ἐξήνεγκαν. τρίτον, ὅτι εἰ ὁ Λέων οὐκ ἐδέξατο αὐτὸν, καὶ ἔγραψε καὶ τῷ Ἀνατολίῳ καὶ τῷ Βασιλεῖ Μαρκιανῷ, πολλὰ ἁμαρτήσας ἐν τῷ μέρει τούτῳ, καίτοι τἄλλα ἅγιος ὤν, ἀλλ' ὑπερίσχυσε τῆς Συνόδου ἡ ψῆφος. καὶ δὴ καὶ τοὺς Πατριάρχας παρεκίνει γράφων, ἵνα μὴ δέξωνται ἀνώτερον ἑαυτῶν τὸν Κωνσταντινουπόλεως, ἀλλ' ἐκεῖνοι ἀφορῶντες εἰς τοὺς συνοδικοὺς Κανόνας, καὶ γινώσκοντες τὸ κράτος τῶν Συνόδων, τῶν ἐχουσῶν ἐξουσίαν ὑπὲρ τὸν Ῥώμης, καὶ ἐπὶ τοῦ Ῥώμης, ὡς καὶ ἐπὶ παντὸς ἄλλου Ἐπισκόπου, οὐδὲν ἐφρόντισαν, οὔτε διότι πρὸ αὐτῶν τέτακται ὁ Κωνσταντινουπόλεως, οὔτε περὶ ὧν ὁ Λέων ἠγωνίζετο. τέταρτον, οἱ μετέπειτα πατέρες ἰδόντες, ὅτι τὸν Πάπαν Λέοντα ὡς ὀρθόδοξον περιεποιήθησαν πολλὰ οἱ τῆς τετάρτης Συνόδου πατέρες, καὶ ἐκεῖνος κατεχρήσατο τὴν περιποίησιν, καὶ ἤθελεν, ἵνα προστάττῃ, λοιπὸν μετριώτερα ἔγραφον καὶ ἐτίμων τοὺς μετ' αὐτὸν Πάπας. ὁ Κανὼν λοιπὸν ἐστὶ δοκιμώτατος, ὡς κρίσει Οἰκουμενικῆς Συνόδου προαχθεὶς, καὶ ὑπὸ τοῦ Βασιλέως καὶ τῆς Συγκλήτου βεβαιωθείς. σημείωσαι ὅτι καὶ Δάμασος, καὶ Σιρίκιος, καὶ Ἀναστάσιος οἱ Πάπαι ἐλυποῦντο κατὰ τοῦ Ἀντιοχείας Φλαυϊανοῦ, ἀλλ' ὑπερίσχυσε τῆς δευτέρας Συνόδου ἡ ψῆφος, ὡς καὶ ἐνταῦθα νικᾷ ἡ τῆς Συνόδου ἀλήθεια.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ ἀνατροπῆς τοῦ τρίτου ἐπιχειρήματος τῶν Λατίνων, οὐ κίβδηλον, ἀλλὰ σύμφωνον τῷ τρίτῳ Κανόνι τῆς δευτέρας Συνόδου τὸν Κανόνα ἀποδεικνυούσης.

Πρὸς δὲ τὸ τρίτον λέγομεν, ὅτι σύμφωνός ἐστιν ὁ Κανὼν μετὰ τοῦ τρίτου τῆς δευτέρας Συνόδου, ᾧ καὶ ἠκολούθησεν, ἐπειδὴ καὶ ἐκεῖνος καὶ οὗτος τὸν Ῥώμης εἶπον πρῶτον, τὸν δὲ Κωνσταντινουπόλεως δεύτερον κατὰ τὴν τάξιν καὶ μόνην. ἴσον δὲ ἐτίμησε (μᾶλλον δὲ οὐκ ἐτίμησεν, ἀλλ' ἐβεβαίωσε τὴν κρίσιν τῆς δευτέρας Συνόδου, ὡς γράφει καὶ εἰς τὴν πρὸς τὸν Ῥώμης Λέοντα ἐπιστολὴν αὐτῆς) ἡ τετάρτη τὸν Κωνσταντινουπόλεως τῷ Ῥώμης, ἑρμηνεύσασα ποῖον ἐστὶ τὸ πρεσβεῖον δηλονότι, οὐ τὸ ἀξίωμα τῆς Ἐπισκοπῆς, ἀλλὰ τὸ πατριαρχικὸν, ἐπειδὴ τοῦ πατριαρχικοῦ ἀξιώματος οὐδέν ἐστιν ἕτερον μεῖζον εἰς τὴν Ἐκκλησίαν, ὅπερ εἶχεν ὁ Κωνσταντινουπόλεως ἀπὸ τῆς δευτέρας, ὅθεν καὶ ἐξίσου κατηγορεῖται εἰς τοὺς πέντε Πατριαρχικοὺς θρόνους. διατοῦτο καὶ ὁ Κανὼν οὐκ ἔστι κίβδηλος, ἀλλὰ συμφωνότατος τῷ τρίτῳ τῆς δευτέρας.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ ἀνατροπῆς τοῦ τετάρτου ἐπιχειρήματος τῶν Λατίνων, οὐ φλύαρον, ἀλλ' εὔφημον τὸν Κανόνα παριστώσης, λέγοντα μὴ ἔχειν τὸν Ῥώμης ἀπὸ τοῦ Πέτρου τὰ πρωτεῖα, ἀλλ' ἀπὸ τῶν πατέρων.

Πρὸς δὲ τὸ τέταρτον φαμὲν, ὅτι πρῶτον ἔχει ἕκαστος τῶν Πατριαρχῶν τὸ ἀξίωμα ἀπὸ τῆς πόλεως, ἀφ' ἧς ὀνομάζεται. εἶτα ἔχει αὐτὸ ἑπομένως ὅπου καὶ ἂν εἴη, ὅτι εἰ οὐκ ἦν Ἀλεξανδρείας Ἐπίσκοπος ὁ ἅγιος Ἀθανάσιος εἰς τὴν Αἴγυπτον, οὔτε εἰς τὴν Ῥώμην ἦν, ἢ Τρίβεριν, ἢ Σαρδικὴν, ἢ Τύρον, ἢ Κωνσταντινούπολιν, ἢ Ἱερουσαλήμ. καὶ εἰ οὐκ ἦσαν ὁ Ἀγαπητὸς καὶ Βιγίλιος καὶ Ἰωάννης Ἐπίσκοποι Ῥώμης πρῶτον, οὔτε εἰς τὴν Κωνσταντινούπολιν ἦσαν τοιοῦτοι. ὅθεν ὁ Ἱεροσολύμων διὰ τὴν ἁγιότητα τῆς πόλεως, ὁ Ἀντιοχείας διὰ τὸ χρηματίσαι ἐκεῖ τὸ ὄνομα τῶν Χριστιανῶν, ἡ Ἀλεξάνδρεια διὰ τὸ προκαθῆσθαι Αἰγύπτου καὶ Λιβύης καὶ Αἰθιοπίας, ἡ Ῥώμη διὰ τὸ χρηματίσαι βασίλειον πόλιν, καὶ οὐχὶ διὰ τὸν Πέτρον, τοῦτο γὰρ ἐστὶ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. ἀλλὰ διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐδικαιώθησαν ὑπὸ τῶν πατέρων ἵνα ἔχωσι τὸ πρωτεῖον κατὰ τὴν τάξιν. καὶ λοιπὸν καὶ ἡ Κωνσταντινούπολις διὰ τὴν αὐτὴν αἰτίαν ἐδικαιώθη ὑπὸ τῆς δευτέρας εἶναι θρόνος Πατριαρχικὸς, καὶ μεγαλύνεσθαι ὡς τὴν Ῥώμην, ἵνα προτιμᾶται τῶν ἄλλων Πατριαρχῶν, καὶ ἔχῃ τὰ

ἴσα

ἴσα τῷ Ῥώμης, ἵνα χειροτονῇ τοὺς Μητροπολίτας ἐφ' ὧν διωρίσθη. δεύτερον, κρινόμενοι ὁ Ῥώμης καὶ ὁ Κωνσταντινουπόλεως, ὁ Ῥώμης ἔχει μόνον ἑαυτὸν καὶ τοὺς περὶ αὐτὸν μάρτυρας, λέγων, ὅτι οὐκ ἀπὸ τῶν πατέρων ἔχει τὸ πρωτεῖον, ἀλλ' ἀπὸ τοῦ Πέτρου. ὁ δὲ Κωνσταντινουπόλεως ἔχει ἑξακοσίους τριάκοντα πατέρας μάρτυρας τῆς παρούσης ἁγίας Συνόδου, καὶ τοσούτους Ἄρχοντας, καὶ τὴν Σύγκλητον, καὶ τὸν Αὐτοκράτορα, καὶ ἑκατὸν πεντήκοντα ἀξιοτιμήτους πατέρας τῆς δευτέρας Οἰκουμενικῆς, ὧν οὐκ ἔστιν ὁ κόσμος ὅλος ἄξιος, λέγων, ὅτι ἀπὸ τῶν πατέρων ἔχει ὁ Ῥώμης τὸ πρῶτον, καὶ αὐτὸς τὸ δεύτερον κατὰ μόνην τὴν τάξιν, καὶ τὰ ἴσα ὡς Πατριάρχης, καὶ μεγαλύνεται ὡς ἐκεῖνος διὰ τὰς χειροτονίας. τρίτον, οἱ πατέρες εἶπον, τὰ αὐτὰ τῷ τρίτῳ Κανόνι τῆς δευτέρας Συνόδου ὁρίζομεν, ἐπειδὴ ὁ Διόσκορος κατεφρόνησε τοῦ Φλαυϊανοῦ, καὶ ἐκάθισεν αὐτὸν ἐν τῇ Ἐφέσῳ εἰς πέμπτον τόπον, διατοῦτο οἱ τῆς τετάρτης Συνόδου παρέχοντες καὶ αὐτοὶ τὰ δευτερεῖα τῆς τάξεως τῷ Κωνσταντινουπόλεως, εἶπον τὰ αὐτὰ τῷ τρίτῳ Κανόνι τῆς δευτέρας ὁρίζομεν. ὥστε ἁμαρτάνει ὁ Ῥώμης ἀθετῶν τὴν Οἰκουμενικὴν Σύνοδον, καὶ τερατεύεται κατὰ τῶν ἁγίων Κανόνων τῆς Ἐκκλησίας, καὶ συκοφαντεῖ τὴν ἁγίαν Σύνοδον, καὶ προβάλλει Κανόνας δολίους, καὶ ζητεῖ αὐτὸς μόνος ὅπερ οὐκ ἔρρωται. ὁ δὲ Κανὼν ἀληθὴς καὶ ἀνύποπτος.

ΠΑΡΑΓΡΑΦΟΝ Ο'.

Περὶ ἀνατροπῆς τοῦ πέμπτου ἐπιχειρήματος τῶν Λατίνων, οὐκ ἄκυρον, ἀλλὰ κεκυρωμένον, καὶ βεβαιότατον τὸν Κανόνα ἀποδεικνυούσης, ὡς τὰ ἴσα τοῦ Ῥώμης κατὰ τοὺς Κανόνας καὶ Συνόδους τῷ Κωνσταντινουπόλεως διδόντα.

Πρὸς δὲ τὸ πέμπτον, ὅτι οἱ Λατῖνοι πονηρίᾳ χρώμενοι, ὑποτιθέασι λέγειν ἡμᾶς ὅπερ ἀποπτύομεν, καὶ διατοῦτο λέγουσιν, ὅτι οὐκ ἔχει ὁ Κωνσταντινουπόλεως τὰ ἴσα τῷ Ῥώμης. ἀποπτύομεν δὲ ἡμεῖς τὸ ἔχειν τὸν Ῥώμης ἀξίωμά τι ἰδικὸν, ἢ ἀπὸ τοῦ Πέτρου, ἢ ἀπὸ τῆς Ἐκκλησίας, παρ' ὃ ἔχουσιν οἱ λοιποὶ Πατριάρχαι, ὡσαύτως καὶ ὁ Κωνσταντινουπόλεως, καὶ μόνον τὸ πρωτεῖον τῆς τάξεως δίδομεν ἔχειν τὸν Ῥώμης, οὐκ ἀπὸ τοῦ Πέτρου, ἀλλ' ἀπὸ τῆς Ἐκκλησίας, καὶ τὴν δευτέραν τάξιν τὸν Κωνσταντινουπόλεως. ὥστε ἡ Ἐκκλησία οὔτε τὸν Κωνσταντινουπόλεως ἐδέξατο ποτὲ ἔχειν ἐξουσίαν τινὰ ἐπὶ τῶν Πατριαρχῶν καὶ τῆς καθόλου Ἐκκλησίας, οὔτε τὸν Ῥώμης, ὡς μαρτυροῦσιν αἱ Σύνοδοι, οἱ Κανόνες, τὰ συγγράμματα τῶν πατέρων, καὶ αἱ καθημεριναὶ πράξεις, ἅπερ μάλιστα λέγουσιν ὅλον τὸ ἐναντίον. ὥστε ὁ μὲν Κανὼν ἐστὶ κεκυρωμένος καὶ βεβαιωμένος, οἱ δὲ Λατῖνοι λέγουσι περὶ αὐτοῦ ἀνυπόστατα, πεπλασμένα καὶ ἄκυρα.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ ἀνατροπῆς τοῦ ἕκτου ἐπιχειρήματος τῶν Λατίνων, ὑμαχόμενον τῷ πέμπτῳ τῆς ἐν Νικαίᾳ Συνόδου Κανόνι, οὔτε τῷ δευτέρῳ τῆς δευτέρας Συνόδου Κανόνι τὸν Κανόνα παριστώσης, ἀλλὰ σύμφωνον αὐτοῖς, ὡς τὰ ἴσα πρεσβεῖα τοῖς τε Πατριάρχαις καὶ τῷ Ῥώμης παραχοῦσιν, εἰς ὡς παραβάτης καὶ ὑβριστὴς αὐτῶν ὁ Ῥώμης μάχεται.

Πρὸς δὲ τὸ ἕκτον ῥητέον, ὅτι ὁ Ῥώμης ἐστὶ παραβάτης τοῦ πέμπτου Κανόνος τῆς ἐν Νικαίᾳ ἁγίας Συνόδου, καὶ τοῦ δευτέρου τῆς δευτέρας, καὶ ἄλλων ἀποστολικῶν καὶ πατρικῶν Κανόνων. ζητεῖ γὰρ ἀθετεῖσθαι ὅλας τὰς Συνόδους τῆς Ἐκκλησίας, καὶ μόνον τὸν διορισμὸν αὐτοῦ ἔχειν τὸ κῦρος. δεύτερον, ὅτι ὁ Κανὼν ὁ πέμπτος τῆς πρώτης ἑπόμενος τοῖς ἱεροῖς Ἀποστόλοις, λέγει, τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας, ὑφ' ἑτέρων μὴ προσίεσθαι, ἀλλὰ διδόναι τὴν Συνόδον τῆς Ἐπαρχίας τὴν τελείαν ἀπόφασιν, κρατούσης τῆς ψήφου τῶν πλειόνων. ὁ δὲ Ῥώμης τοὺς ὑφ' ἑτέρων ἀποβεβλημένους καὶ Μητροπολιτῶν καὶ Πατριαρχῶν προσίεται, καὶ ζητεῖ ἵνα ἀνακρίνῃ. ὅθεν στέλλει εἰς Ἀφρικὴν ἵνα ἀνακρίνῃ, καὶ ἐπιτιμᾶται, ἀφορίζει εἰς τὴν Ἀνατολὴν, καὶ οὐδὲν λογίζεται, καὶ ἐν πᾶσι τοῖς τοιούτοις ἀεὶ παρανομεῖ. τρίτον, ὁ παρὼν Κανὼν οὐκ ἔστιν ἐκείνῳ ἐναντίος, ἐπειδὴ τοὺς Μητροπολίτας τοὺς μὴ ὑποκειμένους Πατριάρχῃ τινὶ, ἔδωκεν ἵνα χειροτονῇ ὁ Κωνσταντινουπόλεως. καὶ καθ' ὃν τρόπον, ἤτοι διὰ τὸ ἔθος ἔδωκεν ἵνα χειροτονῶσι τοὺς Μητροπολίτας τῶν τάδε Ἐπαρχιῶν οἱ τέσσαρες Πατριάρχαι, ἔδωκε καὶ τῷ Κωνσταντινουπόλεως ἵνα χειροτονῇ διὰ τὴν αὐτὴν αἰτίαν τοὺς Μητροπολίτας τῶν εἰρημένων ἐν τῷ Κανόνι Ἐπαρχιῶν. καὶ καθὼς ἐν τῷ ἕκτῳ καὶ ἑβδόμῳ Κανόνι παρέχουσα ἡ πρώτη τὰ πρεσβεῖα τῷ Ῥώμη, Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ Ἱεροσολύμων, οὐκ ἀθετεῖ τὸν πέμπτον Κανόνα αὐτῆς, οὕτω δὴ καὶ ἡ τετάρτη παρέχουσα τὰ ἴσα πρεσβεῖα τῷ Κωνσταντινουπόλεως, οὐκ ἐναντιοῦται ἐκείνῳ τῷ Κανόνι, καὶ διατοῦτο σύμφωνα, οὐκ ἀντίδοξα εἶπεν ἡ ἐν Χαλκηδόνι καὶ εἰς τοῦτον τὸν Κανόνα τῇ ἐν Νικαίᾳ, ἀλλὰ καὶ τῷ δευτέρῳ τῆς δευτέρας σύμφωνος ὁ παρὼν Κανὼν, ἐπειδὴ μηδεμιᾶς Ἐκκλησίας

σίας πρεσβεῖα λυμηνάμενος, ἀλλὰ διὰ τὰς προαρημένας αἰτίας, ἔδωκε τῷ Κωνσταντινουπόλεως τὴν χειροτονίαν τῶν μὴ ὑποκειμένων εἴς τινα Πατριάρχην Μητροπολιτῶν, ὅθεν ἀσυγκρίτως σεβασμιώτεροι οἱ Πατριάρχαι τοῦ Ῥώμης. εἰ γὰρ καὶ εἰς καιροὺς ἀνάγκης προὐβάλετο Πατριάρχας τινὰς ὁ Κωνσταντινουπόλεως τῆς Ἀνατολῆς, καὶ δὴ καὶ τὸν Μαρτύριον Ἀντιοχείας συνίστησιν ὁ Γεννάδιος, καὶ ὁ Κναφεὺς ἀπολογεῖται εἰς τὸν Κωνσταντινουπόλεως Ἀκάκιον διὰ τὴν πρὸς τὴν ἐν Χαλκηδόνι Σύνοδον βλασφημίαν, ἀλλ' οὐδέποτε ἐνόησε, μήτε ἐζήτησεν ὁ Κωνσταντινουπόλεως ἵνα ἔχῃ ἐξουσίαν εἰς τοὺς πατριαρχικοὺς θρόνους, μήτε ὅρια αἰώνια τῶν πατέρων διενοήθη μεταβαλεῖν, ὡς σπουδάζει ὁ Ῥώμης ποιεῖν διὰ τὸ δῆθεν συνδραμεῖν τῷ ἁγίῳ Ἀθανασίῳ, καὶ δι' ἄλλας αἰτίας ἑώλους, ὅπου καὶ ὁ Θεόφιλος καθεῖλε τὸν Χρυσόστομον, καὶ ὁ Ἀλεξανδρείας Πέτρος ἐχειροτόνησε Κωνσταντινουπόλεως τὸν Μάξιμον, καὶ ὁ Ἀλεξανδρείας Διόσκορος ἐχειροτόνησε Κωνσταντινουπόλεως τὸν Ἀνατόλιον, ἀλλ' οὐδέποτε ἐφαντάσθησαν οἱ Ἀλεξανδρινοὶ ἔχειν ἀξίωμα διὰ τοιούτων αἰτιῶν εἰς τὸν θρόνον Κωνσταντινουπόλεως. ὁ Ῥώμης δὲ ὁ ῥηθεὶς πρῶτος εἰς τὴν δευτέραν, ἔμεινε πρῶτος. ὁ Κωνσταντινουπόλεως δὲ ἐρρέθη δεύτερος διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν ἐρρέθη ὁ Ῥώμης πρῶτος, ὅθεν καὶ ὡς μὴ ὄντα τὸν Κανόνα ἐναντίον τοῖς Πατριάρχαις, ἐκεῖνοι πρώτως μάλιστα αὐτὸν διωρίσαντο, ἀποβλέποντες εἰς τὸ συμφέρον τῆς Ἐκκλησίας, καὶ οὐκ εἰς τὸ ἴδιον. ὥστε ὁ παρὼν Κανὼν τοῖς διαλειφθεῖσι Κανόσι τῆς πρώτης καὶ τῆς δευτέρας σύμφωνος, ὁ Ῥώμη δέ ἐστιν ὁ τοὺς Κανόνας ἐξυβρίζων, τινὰς μὲν παραγράφων, τινὰς δὲ κιβδηλεύων, καὶ ἄλλους ἀναφανδὸν ἀθετῶν, καὶ συγχέων τὰ πράγματα τῶν Ἐπαρχιῶν, πρᾶγμα ποιῶν καὶ ἄδικον καὶ παράνομον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ ἀνατροπῆς τοῦ ἑβδόμου ἐπιχειρήματος τῶν Λατίνων καὶ ἀπὸ τῆς ἐν Τρούλλῳ Συνόδου, τῆς τὰ πρεσβεῖα τοῦ Κωνσταντινουπόλεως ἐν τῷ τριακοστῷ ἕκτῳ αὐτῆς Κανόνι ἀνανεωσάσης. καὶ ὅτι τῇ τάξει μόνον πρῶτος ὁ Ῥώμης. καὶ ὁ θρόνος αὐτοῦ ἀποστολικὸς, ἀλλ' οὐ μόνος. καὶ ὅτι ἐν τῇ Ἐκκλησίᾳ οὐκ ἔστι τὸ προαριθμούμενον κατά τινα ἰδικὴν ἐξουσίαν.

Πρὸς δὲ τὸ ἕβδομον λέγομεν, ὅτι ἡ ἐν Τρούλλῳ Σύνοδος ἔδωκε τὰ ἴσα τοῦ Ῥώμης τῷ Κωνσταντινουπόλεως, οὐχ ὅτι οὐκ εἶχεν αὐτὰ, ἀλλ' ὅτι τοῦ Διοσκόρου εἰς τὴν ἐν Ἐφέσῳ λῃστρικὴν ἀθετήσαντος τὸν τρίτον Κανόνα τῆς δευτέρας, καὶ τάξαντος εἰς τὸν πέμπτον τόπον τὸν Φλαυϊανὸν, ἡ παροῦσα τετάρτη ἀνενέωσε τὸν Κανόνα. καὶ πάλιν Βασιλίσκου τοῦ τυράννου ἀθετήσαντος αὐτὰ μετὰ Χρυσοβούλλου, καὶ εἰ καὶ ὁ αὐτὸς Βασιλίσκος διωρθώσατο αὐτὰ τοῖς ἀντεγκυκλίοις, ὁ Ἰουστινιανὸς διωρίσατο τὰ αὐτὰ ταῖς Οἰκουμενικαῖς Συνόδοις περὶ τοῦ Κωνσταντινουπόλεως. ἀλλὰ πάλιν μεταταῦτα τοῦ τυράννου Φωκᾶ δεδωκότος πρωτεῖον τῷ Ῥώμης, ὡς ῥηθήσεται εἰς τὸν τόπον, ὅπερ εἰ καὶ ἀνήρηκεν ὁ Αὐτοκράτωρ Ἡράκλειος, ἀλλ' ἡ ἐν Τρούλλῳ Σύνοδος ὡς κεκτημένη ἀξίωμα Οἰκουμενικῆς Συνόδου, ἀνανεουμένη τὸν τρίτον τῆς δευτέρας, καὶ τὸν παρόντα εἰκοστὸν ὄγδοον, ἐξέθετο τὸν τριακοστὸν ἕκτον Κανόνα αὐτῆς περὶ τῶν πρεσβείων τοῦ Κωνσταντινουπόλεως. εἶτα καὶ τὸ, ὡς τὴν Ῥώμην μεγαλυνέσθαι, οὐκ ἐννοοῦμεν δηλοῦν ἄλλο τι περὶ τοῦ Κωνσταντινουπόλεως, ἀλλ' ἢ τὸ πατριαρχικὸν ἀξίωμα, καὶ τὰς χειροτονίας τῶν τάδε Μητροπολιτῶν. ὥστε τοῦτο ἐννοοῦμεν καὶ περὶ τοῦ Ῥώμης, καὶ οὐδὲν ἕτερον, καὶ μὴ προσαπτέσθωσαν ἡμῶν Λατῖνοι περὶ τοῦ Κωνσταντινουπόλεως ὅπερ οὐφρονοῦμεν, σοφιζόμενοι ἵνα ὑψώσωσι τοῦ Ῥώμης τὸ ἀξίωμα παρὰ Κανόνας. ἐπειδὴ ἡμεῖς καὶ ἐκεῖνο ὅπερ λέγει ὁ ἔνατος καὶ δέκατος ἕβδομος Κανὼν τῆς ἐν Χαλκηδόνι περὶ τῶν ὑποκειμένων τῷ Κωνσταντινουπόλεως Ἀρχιερέων, ἐννοοῦμεν, καὶ ἑρμηνεύομεν (ὡς ῥηθήσεται) οὐ περὶ τῶν ὑποκειμένων τοῖς ἄλλοις πατριαρχικοῖς θρόνοις, καθὼς εἴρηται καὶ περὶ τοῦ Ῥώμης ἐν τῇ κατὰ Σαρδικὴν Συνόδῳ. ὅτι δὲ ὁ μὲν Κωνσταντινουπόλεως ἐφύλαξε καὶ φυλάττει τὰς χειροτονίας καὶ τὴν Διοίκησιν τῶν ὑπ' αὐτῷ Ἐκκλησιῶν, ὁ δὲ Ῥώμης ποιεῖ τὸ ἐναντίον, κατὰ τῶν Κανόνων φερόμενος ἀναιδῶς, ἐροῦμεν ἐν τῷ δεκάτῳ βιβλίῳ. ὅπερ δὲ προσφέρουσιν οἱ παπολάτραι ἐνταῦθα ἀπὸ τῶν δώδεκα κεφαλαίων τῶν συγγραφέντων ὑπὸ τοῦ ὁμολογητοῦ Νικηφόρου Κωνσταντινουπόλεως καὶ τῶν Εἰκονομάχων, εἰπόντος τὸν θρόνον τῆς Ῥώμης πρῶτον καὶ ἀποστολικὸν, καὶ ἡμεῖς συνομολογοῦμεν εἶναι πρῶτον, ἀλλὰ καὶ μόνην τὴν τάξιν. ἀποστολικὸν δὲ, ἀλλ' οὐ μόνον, ὡς εἴρηται, καὶ ῥηθήσεται ἐν τοῖς πρακτικοῖς τῶν ἁγίων Συνόδων, μάλιστα καὶ αὐτὸς ὁ ἅγιος Νικηφόρος γράφων πρὸς τὸν τότε Ῥώμης Λέοντα, βεβαιοῖ τὰ ἴσα τοῦ Κωνσταντινουπόλεως καὶ τοῦ Ῥώμης, λέγει γὰρ, κατ' οὐδὲν ἐν πίστει οἰκληρωσάμενοι τὸ νέον ὄνομα τῶν Ῥωμαίων ἀποφέρεσθαι τὰ δεύτερα τῶν πρεσβυτέρων, ἅτε δὴ ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ θεμελίου οἰκοδομημένοι τῆς πίστεως, φαμὲν δὲ τῶν Ἀποστόλων καὶ τῶν Προφητῶν πανσόφων τεχνητευμάτων, τεθέντος ἀκρογωνιαίου λίθου τοῦ πάντων ἡμῶν καὶ Σωτῆρος Χριστοῦ τοῦ Θεοῦ. ταῦτα ὁ ἅγιος, ἐν οἷς οὐ λέγει θεμέλιον Πέτρον, ἢ Πάπαν, ἀλλὰ τὸν Ἰησοῦν, καὶ ἴσα τὰ τῆς δευτέρας Ῥώμης τοῖς τῆς πρώτης, ἐν γὰρ τῇ Ἐκκλησίᾳ οὐκ ἔστι τὸ προαριθμούμενον κατά τινα ἰδικὴν ἐξουσίαν, καθάπερ οὐκ ἔστιν Ἰουδαῖος, ἢ Ἕλλην, ἢ βάρβαρος, ἢ Σκύθης, ἢ δοῦλος, ἢ ἐλεύθερος, ἀλλὰ πάντες εἷς ἐσμὲν κατὰ Παῦλον,

Παῦλον, καὶ τοῦτο ἐστὶν, ὅπερ ἔγραφεν ἡ ἐν Κωνσταντινουπόλει πρώτη Συνοδος τῷ Πάπᾳ Δαμάσῳ καὶ τῇ Συνόδῳ αὐτοῦ, πασόμεθα λέγειν τὸ ῥητὸν τῶν Ἀποστόλων κατεγνωσμένοι, ἐγὼ μὲν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ κηφᾶ. πάντες δὲ, χριστὸς φανέντες, ὡς ἐν ἡμῖν ἐμερίσθη, θεοῦ καὶ ἐξουσίαν ἄρχιστον τὸ σῶμα τῆς Ἐκκλησίας τηρήσωμεν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ τῆς τεταρτώδους ἐξηγήσεως τοῦ αὐτοῦ Κανόνος τῆς ἐν Νικαίᾳ πρώτης οἰκουμενικῆς Συνόδου, ἣν οὐδὲ σύσασιν τὸ βαπτισμὸν ποιοῦσιν οἱ τῶν Λατίνων Σχολαστικοὶ, καὶ ὧν ἅπτεται Πασχασίνος.

Εἰπόντες οἱ Σχολαστικοὶ τὰ ἀνωτέρω περὶ τοῦ ἀκριβοῦς καὶ ὀγδόου Κανόνος τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ νυπόμνηστοι τῷ ψυχιῷ, ὅτι οὐδὲν συμπέρασιν, ἑτέρως καὶ αὐτοῦ ἐπιχειρεῖν, καὶ δὴ γράφουσιν, ὅτι ἡ ἐν Νικαίᾳ πρώτη Οἰκουμενικὴ Συνοδος οὐδέποτε τῷ ἐδέξατο τὸ πρωτεῖον τῆς ἐξουσίας τοῦ Πάπα, βεβαιοῖ γὰρ αὐτὸ ἐν τῷ οἰκείᾳ αὐτῆς Κανόνι, λέγουσα, Τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, ὥστε τὸν Ἀλεξανδρείας Ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν ἐξουσίαν, ἐπειδὴ καὶ τῷ τῆς Ῥώμης Ἐπισκόπῳ τοῦτο συνήθες ἐστιν. ὥστε φασὶν, ἡ Σύνοδος Δηλοῖ σαφῶς καὶ ἐβεβαίωσε τοῦτον τὸν περιεχτικὸν τοῦ Κανόνος, καὶ λοιπὸν ἐγνωσμένον ἦν καὶ ὅτι τῆς ἐν Νικαίᾳ Συνόδου τὸ μοναρχικὸν πρωτεῖον τοῦ Πάπα, τὸ ἄρα, ΕΠΕΙΔΗ, καὶ τῷ τῆς Ῥώμης Ἐπισκόπῳ τοῦτο συνήθες ἐστιν, ἐσημαίνει σύγκλητον, αὐτοκρατορικὴν γὰρ ἔστιν ἡ τοιαύτη σύνοδος, καὶ ἀναξία συναινέσεως τοσούτων πατέρων, ὥστε ἡ ἐξήγησις τοῦ Βησσαρίωνος ἐστὶν ἀκριβεστάτη, ἧς ἐστὶν ὅτι ὁ Ἀρχιερεὺς τῆς Ῥώμης πρῶτος ἐστίν. ἔξωθεν δὲ ὑπὸ πάσι κεκράτηται, ὥστε δεύτερον εἶναι παρ' αὐτὸν τὸν Ἀλεξανδρείας, ὃς προέστατο τῆς Λιβύης, διόπερ καὶ ὁ Ῥώμης Ἐπίσκοπος, ὃς ἐστι πρῶτος, τοῦτο τῇ συνηθείᾳ ὑπῆκουσι. διὸ καὶ οἱ Ἀρχιεπίσκοποι, ἐπόντος τοῦ Πασχασίνου τὸν Κανόνα τοιούτῳ σκοπῷ, ἐπήγαγον, συμφωνῶν τοῖς πάντων μὲν τὰ πρωτεῖα καὶ τὴν ἐξαίρετον τιμὴν τοῖς Κανόνας τῷ τῆς πρεσβυτέρας Ῥώμης θεοφιλεστάτῳ Ἀρχιεπισκόπῳ φυλάττεσθαι, Κανόνας δὲ λέγει ἡ Σύνοδος οὐκ ἄλλας, ἀλλὰ τὰς προσεσυνεχθείσας τοῖς Πασχασίνου, ποίας δὲ ἦσαν ἴσμεν, δηλονότι τῆς ἐν Νικαίᾳ Κανόνας. καὶ ἆρ' ὁ ἐν Νικαίᾳ Κανὼν τὸ πρωτεῖον τοῦ Πάπα βεβαιοῖ; μὴ γένοιτο· οὐ γὰρ τοῦ Πάπα ἀρχὴ ἐχρήζετο συνοδικῆς βεβαιώσεως. ἀλλὰ τίφησι φυλάττεσθαι; δηλαδὴ ὀλαβῶς φέρεσθαι καὶ χρεωστικῶς. ταῦτα οἱ παπισταί.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ λύσεως τῆς τεταρτώδους ἐξηγήσεως τοῦ αὐτοῦ Κανόνος, καὶ τῆς αἰτίας τῆς ὀνομασίας αὐτοῦ ὑπὸ τῆς πρώτης Συνόδου, καὶ τῆς κυρίας ἑρμηνείας αὐτοῦ, καὶ τῆς μετὰ δόλου παρεμβάσεως αὐτοῦ ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου ὑπὸ τοῦ Πασχασίνου. καὶ περὶ ἀναντιῤῥήτου βεβαιώσεως δεκαχῶς τῶν πρωτείων τοῦ Κωνσταντινουπόλεως ὑπὸ τῶν Συνόδων, ἀφ' ὧν καὶ τὰ ὑπὲρ Ῥώμης ἔχουσι τὸ κῦρος, καὶ οὐ ὑπὸ τοῦ Πέτρου.

Ἀλλὰ ῥητέον πρὸς τοῦτο, ὅτι ἐπεὶ καὶ περὶ τοῦ αὐτοῦ Κανόνος τῆς ἐν Νικαίᾳ εἴρηται ἱκανῶς αὐτοτέρω βιβλίῳ δευτέρῳ κεφαλαίῳ τελίτῳ, ῥητέον ὅμως καὶνταῦθα πάλιν περὶ τούτου ἵνα, καὶ ἔτι περὶ τῶν προσεχῶς τοῖς τῶν πατριαρχῶν ἐγκλήμασιν, καὶ πρῶτον, ὅτι ἡ ἐπισκοπὴ τοῦ μελετίου ἦν αἴτιον ἵνα γράψῃ τοῦτον τὸν Κανόνα ἡ ἐν Νικαίᾳ Σύνοδος, ὅτινες ἐποίησε σχίσμα ἐν τῇ κατ' Αἴγυπτον Ἐκκλησίᾳ, διὸ

διὸ ὥρισαν ἡ Συνόδ@ , ἵνα μὴ ὦσι δύο Ἐπίσκοποι ἐφεξῆς μέρη τῆς Ἐκκλησίας ἐκείνης , ἀλλ' ἀκωλυθῆν πᾶσαν τὴν Αἰγυπτιακὴν Διοίκησιν τῷ Ἀρχιεπισκόπῳ Ἀλεξανδρείας , ὡς ἔχει καὶ ὁ Ἐπίσκοπ@ Ῥώμης ταύτην τὴν συνήθειαν ἐν τῇ Διοικήσει τῶν Ἑσπερίων μερῶν . καὶ περὶ μὲν τῆς Ῥώμης ὅτι εἶχε τὴν τῶν Ἑσπερίων ἐξουσίαν , ἐπὶ φανερόν , γίνεται δὲ καὶ περὶ τῆς Ἀλεξανδρείας δῆλον ἀπὸ τῆς ἐφεσχώς ἑρμηνείας κεφαλαίᾳ τῷ ἐν τῷ δευτέρῳ βιβλίῳ , ἡγοῦ χείρι@ ἐνέργεια ἔθ@ αὐτοῖς ἐγένετο . ἔγραψεν οὖν ἡ Συνόδος τὸν Κανόνα , ἵν@ ἦ σύνοια ἔσῃ , ὅτι εἰ καὶ ἐκ ἔστιν ἀπὸ Κανόνων διοικεῖν τὸν Ἀλεξανδρείας πᾶσαν τὴν Ἐκκλησίαν Αἰγύπτ@ , ἔστιν ὅμως ἀπὸ συνηθείας , ὥστε τὸν Ἀλεξανδρείας Ἐπίσκοπον τῶν ἐν Αἰγύπτῳ , καὶ Λιβύῃ , καὶ Πενταπόλει ἔχειν πάντων τούτων τὴν ἐξουσίαν , καὶ λοιπὸν ὀφείλομεν ταῦτα τὰ ἀρχαῖα ἔθη κρατεῖν , καὶ ἐν ἑκάστῃ ἄλλῃ Ἐκκλησίᾳ αὕτη ἡ συνήθεια ἐκ ἔστιν ἐξολοκλήρ@ , καὶ δοκεῖ καμνόντι , ὅμως συνήθες ἐστι καὶ τῇ Ῥώμης διοικεῖν τὰς ὑποκειμένας αὐτῇ Ἐπαρχίας , καὶ τούτων πάντων ἔχειν τὴν ἐξουσίαν . καὶ ὡς τὸ ἐν Ῥώμῃ ἔθ@ ἐν πάσαις ταῖς ὑποκειμέναις αὐτῷ Ἐκκλησίαις κρατεῖ , οὕτω καὶ τὸ ἐν Ἀλεξανδρείᾳ ἔθ@ περὶ τῶν Ἐκκλησιῶν Αἰγύπτ@ , Λιβύης , καὶ Πενταπόλεως κρατείτω . ὥστε ἀκωλυθῆν πᾶσαν τὴν Αἰγυπτιακὴν Διοίκησιν τῷ Ἀρχιεπισκόπῳ Ἀλεξανδρείας , καὶ μηδὲν ὅλχα αὐτὸ περαίνεσθαι περὶ ἑνὸς τῶν ὑπὸ τὸν Ἐπίσκοπον τοῦτον . ἔτος ὁσκοπὸς τῆς Συνόδου περὶ τοῦ Κανόν@ , καὶ αὕτη ἀναντιῤῥήτως ἡ ἑρμηνεία αὐτῶ . δεύτερον , περὶ τῶν ἀρχαίων ἀρχαίως δεῖ μαρτυρας προσφέρειν , ἔχομεν δὲ μάρτυρας τῆς ἑρμηνείας ταύτης μόνον Βαλσαμῶνα , Ζωναρᾶν , Ἀριστηνὸν , Νεῖλον , ἀλλὰ καὶ τοὺς ἀρχαιοτάτους Λατίνους καὶ Ἕλληνας , Ῥυφῖνον , Σωκράτη , Σωζόμενον , Θεοδώριτον , Ἐπιφάνιον , Ἀθανάσιον τὸν μέγαν , καὶ πάσας τὰς Συνόδους Οἰκουμενικὰς καὶ Τοπικὰς , καὶ παῦτα τὸν χορὸν τῶν ἁγίων πατέρων , καὶ πᾶσαν βασιλικὴν γραφὴν δοθεῖσαν τῇ Ἐκκλησίᾳ , καὶ τὴν πρᾶξιν καὶ ᾠδὴν δοσιν τῆς καθολικῆς Ἐκκλησίας , καὶ πρὸς τούτοις τὴν πρὸς Ἀλεξανδρεῖς καὶ Λιβύας ὑπεξολὴν αὐτῆς ταύτης τῆς πρώτης Οἰκουμενικῆς Συνόδου . τέλον , ὁ Παχασίν@ , ὡς φαίνεται ἐν τῇ δεκάτῃ ὀκτῇ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου , τοῦτον τὸν Κανόνα προεβάλετο δολίως , ὡς προεβάλετο αὐτὸν καὶ ὁ Πάπας Φίλιξ , μαχόμενος Ἀκακίῳ , ἀλλ' ἐκ ἠδυνήθη ἀπατῆσαι . ἀδὲ καὶ ἡ Συνόδ@ ἐσιώπησε , καὶ ἐκ ἤλεγξεν αὐτὸν , ἀλλ' ἐᾶν@ τοῦτο ἐβεβαιώθη τὸ πλασμάτιον , φησὶ γὰρ ὁ μέγας Ἰουστινιανὸς , γράφων τῷ τῆς καθολικῆς Ἐκκλησίας πληρώματι , πλὴν κἀκεῖνο δεῖ προσέχειν τοὺς τὴν ἀλήθειαν ἐρευνῶντας , ὅτι πολλάκις ἐν ταῖς Συνόδοις ἔνιοι ἐν αὐταῖς διορισμοῖς λέγονται , ἢ κατὰ προσποίησιν , ἢ καθ' ὑπόκρισιν , ἢ καθ' ἄγνοιαν , ἀφεὶς δὲ προσέχει τοῖς κατὰ μέρος ἔνιων λεγομένοις , ἀλλὰ μόνοις τοῖς κατὰ κοινὸν συναινέσεσιν ἔνθα πάντων ὁρίζομένοις , ἐπεὶ γὰρ καθ' ἑκάστην βληθεῖσι τοῖς προσέχειν ταῖς τοιαύταις ἐναντιώσεσιν , ἑκάστη Σύνοδ@ διείσκεται ἑαυτὴν ἀνατρέπουσα . ταῦτα ἑκᾶ , ἐξ ὧν δείκνυται , ὅτι τῆς ἐν Νικαίᾳ Συνόδου τοὺς κοινοὺς διορισμοὺς ἀποδεχόμεθα , ἐκ τῶν λεγομένων τὸ Πάπα τὰς ἐνταῦθα ἀβολεχίας καὶ παρεξηγήσεις , καὶ τὴν ἀκριβεστέραν τῶν Κανόνων . ἀλλὰ δὴ καὶ ἄλλοι ἄλλων Παπῶν Τοποτηρηταὶ εἶπον ἵνα ὑπερέγκλημα εἰ ταῖς Συνόδοις , ἀλλ' οὐ Συνόδοι ἐς μόνον ἔθ@ προσκαμμα ἀποβλέψασαι τὸν διορισμὸν , παρέβλεπον τὰ μὴ ὄντα λόγου ἄξια , καὶ μάλιστα ἀφ' ὧν ἔργων ἀπεποιοῦντο τὰ ὀγκώδη τῶν Ῥωμαίων , ἀεὶ κοινῶς κεῖνται καὶ τὰ τῶν Παπῶν , καὶ ἀνακεῖνται , καὶ τὸς Πάπας προσκάπτουσι . ὅθεν ἐκείνοις ὡς ὁρισμὸς ἔπεμπον τὰ προσπόμματα , ἅτινα ὅτι καὶ οἱ τότε Πάπαι ἐδέχοντο μεθ' ὑπερβολῆς , μάρτυρες αὐτοὶ ἐκεῖνοι , ὡς εἴρηται , καὶ ἐπιθήσεται ἐν πολλοῖς . τέταρτον , ψεῦδος ἐστιν , ὅτι ἡ Συνόδ@ ἐκ αὐτᾶπε τῷ Παχασίνῳ , ἐπειδήπερ αὐτᾶπον , οἱ γὰρ Ἄρχοντες εἶπον , ἑκάτερον μέρος , ἤτοι Ῥώμης καὶ Κωνσταντινουπόλεως τοὺς Κανόνας προβαλέτω . ὁ Παχασῖν@ ἀπὸ τοῦ μέρους τῆς Ῥώμης ἀνέγνω τὸν προειρημένον δόλιον κανόνα . ὁ Κωνσταντῖνος Σκυρηλάριος λαβὼν ὥρᾳ Ἀβλὶξ Ἀρχιδιακόνου Κωνσταντινουπόλεως ἀνέγνω τὸν Κανόνα αὐτοῦ τοῦτον , καὶ ἀνέγνω ἕν καὶ τὸν τέλιον Κανόνα τῆς δευτέρας Συνόδου . εἶτα εἶπον οἱ Ἄρχοντες , λεγέτωσαν οἱ ὑπογράψαντες τῷ ἀναγνωσθέντι Τόμῳ Ἐπίσκοποι , εἴγε οἰκείᾳ γνώμῃ , ἢ ἀναγκης τινὸς ἐπαχθείσης , ὑπέγραψαν . τούτων οὕτως ἑρμηνευθέντων , οἱ πατέρες τινὲς ἀπὸ μέρους ἑτέρου , εἶτα δὲ οἱ πάντες ἐβόησαν , πάντες ὑπεγράψαμεν . οἱ Ἄρχοντες εἶπον , ἐκ τῶν Κανόνων συνορᾶτε , ἵνα φυλάττηται τῷ Θεοφιλεστάτῳ Ἀρχιεπισκόπῳ Ῥώμης τὰ πρωτεῖα καὶ ἡ ἐξαίρετος τιμή . χρῆναι δὲ καὶ τὸν ὁσιώτατον Ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως τῶν αὐτῶν πρεσβείων τῆς τιμῆς ἀπολαύειν . οἱ δὲ λαβέσθαι Ἐπίσκοποι ἐβόησαν , αὕτη δικαία ψῆφ@ , ταῦτα πάντες λέγομεν , ταῦτα πᾶσιν ἀρέσκει , αὕτη δικαία κρίσις , τὰ τυπωθέντα κρατείτω , αὕτη δικαία ψῆφος , πάντα δικαίως ἐτυπώθη . πρᾶξις δεκάτη ἕκτη . δῆλον οὖν ἐκ τῶν εἰρημένων , ὅτι ἡ Συνόδος ἐκ ἐσιώπησε , ἀλλ' αὐτᾶπε τῷ Παχασίνῳ , ὁρίσασα τὰ κατὰ ἀμφοτέρους αὐτοκέφαλα τῷ ἀγῶνι καὶ τῷ προτεταγμένῳ Κανόνι , καὶ τῇ γνώμῃ τῶ Παχασίνα . πέμπτον , ἐμόνον αὐτᾶπεν ἡ Συνόδ@ τοῖς Λεγάτοις τῆς Ῥώμης , ἀλλὰ καὶ ἕκαστον αὐτούς . ὀλιγοψυχούντων γὰρ αὐτῶν , καὶ ἀπόντων τοῖς Ἄρχουσι , τῇ χθὲς ἡμέρᾳ ἀναχωρησάσης τῆς ὑμετέρας ὑπεροχῆς , καὶ τῆς ἡμετέρας παρεινώσεως , ὑπομνήματά τινα λέγεται πεπρᾶχθαι , ἅπερ ἡμεῖς ὑπεναντίον τῶν Κανόνων καὶ τῆς ἐκκλησιαστικῆς βλασφημίας φάσκοντες γεγονῆσθαι , ταῦτα αὐτὰ ἵνα ὑμετέρα ἐνδοξότης προσάξῃ ἀναγνωσθῆναι , ἵνα πᾶσα γνῶ ἡ ἀδελφότης πότερον , δίκαια , ἢ ἄδικα τὰ πεπραγμένα . καὶ ὕτω προσαχθέντων τῶν Ἀρχόντων ἀνεγνώσθη ἡ γονομένη πρᾶξις , ἥτις ἐγένετο γνώμη παντων

πάντων τῶν Ἐπισκόπων ἀκολούθως καὶ κανονικῶς, ὡς ἐκεῖ λέγεται. καὶ λοιπὸν ἀνεγνώσθη ὁ ἐκτεθεὶς Κανὼν τῆς δευτέρας μετὰ τοῦ διορισμοῦ τῆς τετάρτης, καὶ τῶν ὑπογραφῶν τῶν τῆς Συνόδου πατέρων, καὶ μετὰ τὴν ἀνάγνωσιν ὁ λεγᾶτος τοῦ Ῥώμης Λουκήνσιος εἶπε πρὸς τοὺς Ἄρχοντας, πρώην ἡ ὑμετέρα ἐνδοξότης ἐδοκίμασεν ὅσα ἐπὶ παρουσίᾳ τῶν Ἐπισκόπων ἐπράχθη, ἵνα μή τις κατὰ ἀνάγκην ὑπογράψαι τοῖς μνημονευθεῖσι βιασθῇ. οἱ εὐλαβέστατοι Ἐπίσκοποι ἐβόησαν, οὐδεὶς ἠναγκάσθη. καὶ τούτων εἰρημένων, οἱ Ἄρχοντες ἠρώτησαν, εἰ ἑκουσίως ὑπέγραψαν, καὶ πάντες ἐβόησαν, ἑκόντες ὑπεγράψαμεν. ἕκτον, ἀναγνωσθείσης τῆς πράξεως καὶ τῶν Κανόνων, καὶ εἰπόντων τῶν Ἐπισκόπων, ὅτι ἑκόντες ὑπέγραψαν, οἱ ἐνδοξότατοι Ἄρχοντες εἶπον, ἐκ τῶν πεπραγμένων, καὶ ἐκ τῆς ἑκάστου καταθέσεως συνορῶμεν πρὸ πάντων μὲν τὰ πρωτεῖα καὶ τὴν ἐξαίρετον τιμὴν κατὰ τοὺς Κανόνας τῷ τῆς πρεσβύτιδος Ῥώμης θεοφιλεστάτῳ Ἀρχιεπισκόπῳ φυλάττεσθαι, χρῆναι δὲ καὶ τὸν ὁσιώτατον Ἀρχιεπίσκοπον τῆς βασιλίδος Κωνσταντινουπόλεως νέας Ῥώμης τῶν αὐτῶν πρεσβείων τῆς τιμῆς ἀπολαύειν, καὶ αὐτὸν ἐξ αὐθεντίας ἔχειν χειροτονεῖν τοὺς τάδε Μητροπολίτας, καὶ καθεξῆς εἰπόντες ὅλον τὸν Κανόνα οἱ Ἄρχοντες, ἐπεῖπον, ταῦτα παρ' ἡμῶν ἐσκοπήθη, τὰ δὲ παριστάμενα αὐτῇ, ἡ ἁγία καὶ οἰκουμενικὴ Σύνοδος διδάξαι καταξιωσάτω. οἱ πατέρες ἐβόησαν, αὕτη δικαία ψῆφος, ταῦτα πάντες λέγομεν, ταῦτα πᾶσιν ἀρέσκει, αὕτη δικαία κρίσις, τὰ τυπωθέντα κρατείτω, πάντα εὐτάκτως ἠτυπώθη. τούτων οὕτω γενομένων, Λουκήνσιος ὁ Λεγᾶτος τοῦ Ῥώμης εἶπε πρὸς τοὺς Ἄρχοντας ὑπέρογκά τινα ᾧδε, ἀλλὰ γινώσκειν ἡμᾶς σαφῶς τὶ τῷ ἀποστολικῷ καὶ πάσης Ἐκκλησίας προὔχοντι Ἐπισκόπῳ ἐνεγκεῖν, ἵνα αὐτὸς ἢ περὶ τῆς οἰκείας τοῦ θρόνου ὕβρεως, ἢ περὶ τῆς ἀνατροπῆς τῶν Κανόνων δυνηθῇ ἀποφήνασθαι, καὶ τὸ τέλος, ὅτι εἴτι ἐπράχθη χθὲς, ἀπόντων ἡμῶν, αἰτοῦμεν τὴν ὑμετέραν ὑπεροχὴν ὥστε κελεῦσαι περιαιρεθῆναι. οἱ Ἄρχοντες εἶπον, ὅσα διελαλήσαμεν, πάντα ἡ Σύνοδος ἐκύρωσεν. οὕτως ἀπωσμένων τῶν περὶ τοῦ Κωνσταντινουπόλεως ῥημάτων τῶν Λεγάτων τοῦ Ῥώμης, οἱ Σχολαστικοὶ ἀντὶ τοῦ εἰπεῖν, ὅτι ἡ Σύνοδος ἠκύρωσε τὰ τῶν Λεγάτων τοῦ Πάπα, καὶ ἐκύρωσε τὰ περὶ τοῦ Κωνσταντινουπόλεως, εἶπον, ὅτι ἡ Σύνοδος ἐκύρωσε τὰ τοῦ Πασχασίνου, εἰπόντες κἀνταῦθα ψευδῆ κατὰ τὴν πάτριον ἀναισχυντίαν αὐτῶν. ἕβδομον, οἱ Ἄρχοντες εἰπόντες, ἵνα ἔχῃ τὰ πρωτεῖα ὁ Ῥώμης, καὶ τὰ αὐτὰ πρεσβεῖα ὁ Κωνσταντινουπόλεως κατὰ τοὺς Κανόνας, οὐκ εἶπον Κανόνας τῆς πρώτης Συνόδου, ὡς τερατεύονται οἱ Σχολαστικοὶ, μάλιστα ἀναγνωσθέντος ὑπὸ τῶν δύο μερῶν τοῦ Κανόνος τῆς πρώτης Συνόδου, οὐδὲν ἐγένετο, ὅθεν ἀνεγνώσθη ὁ τρίτος τῆς δευτέρας Κανὼν, λέγων εἶναι τὸν Κωνσταντινουπόλεως μετὰ τὸν Ῥώμης, καὶ ὁ ἀνανεῶν αὐτὸν εἰκοστὸς ὄγδοος αὐτῆς τῆς τετάρτης, ὥστε ἡ ἐν Χαλκηδόνι Σύνοδος τὸν εἰρημένον Κανόνα τῆς πρώτης οὔτε ἐκύρωσεν, οὔτε ἀπεκύρωσεν, ἀναγνοῦσα δὲ τὸν τῆς δευτέρας, καὶ τὸν ἑαυτῆς, ἐβεβαίωσε τὴν ἀπόφασιν αὐτῆς, καὶ τούτων τῶν Κανόνων τῇ δυνάμει ἐβεβαίωσαν καὶ οἱ Ἄρχοντες τὰ περὶ τοῦ Ῥώμης καὶ τοῦ Κωνσταντινουπόλεως ἐξενηνεγμένα, ἅτινα καὶ κοινῶς οἱ πατέρες ἐβεβαίωσαν. ὄγδοον, ἡ ἐν Χαλκηδόνι Σύνοδος, ὡς εἴρηται πολλάκις, τῷ Κωνσταντινουπόλεως οὐδὲν ἔδωκε καινὸν, ἀλλὰ τὸ διορισθὲν ὑπὸ τῆς δευτέρας, καὶ ἐπιβουλευθὲν ὑπὸ τοῦ Διοσκόρου ἐν Ἐφέσῳ, ὅστις ἔταξε τὸν Κωνσταντινουπόλεως Φλαυϊανὸν ἐν τῷ πέμπτῳ τόπῳ, ἀνενέωσεν. εἰποῦσα δὲ πρωτεῖα, καὶ τιμὴν ἐξαίρετον, καὶ τῶν αὐτῶν πρεσβείων, οὐδὲν καινὸν εἶπε διὰ τούτων, ἀλλὰ τὸν Κανόνα τῆς δευτέρας ἡρμήνευσεν, οὐχ ὅτι ἤργει ἡ ἀπόφασις τοῦ Κανόνος, ἀλλ' ἵνα μήποτε ποιήσῃ ὁ φθόνος τῷ θρόνῳ Κωνσταντινουπόλεως ἐκεῖνο, ὅπερ ἐποίησεν ὁ Διόσκορος. ὅτι δὲ οὐκ ἦν ἀργὸς ὁ Κανὼν τῆς δευτέρας, ἀλλ' ἐνεργὸς, δῆλον. ἐν γὰρ τῇ πρώτῃ πράξει τῆς αὐτῆς Συνόδου οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς Ἐπίσκοποι ἐξεβόησαν, Φλαυϊανὸς ἐν τῷ ἰδίῳ τόπῳ οὐκ ἐκαθέσθη, τὸν Κωνσταντινουπόλεως Ἐπίσκοπον διατὶ πέμπτον ἔταξαν; πρὸς ὃ Πασχασῖνος ὁ Λεγᾶτος τοῦ Ῥώμης εἶπεν, ἴδε ἡμεῖς, Θεοῦ θέλοντος, Κύριον τὸν Ἀνατόλιον πρῶτον ἔχομεν. οὗτοι (οἱ περὶ τὸν Διόσκορον) πέμπτον ἔταξαν τὸν μακάριον Φλαυϊανόν. Διογένης Κυζίκου εἶπεν, ἐπειδὴ ὑμεῖς τοὺς Κανόνας οἴδατε, λέγων περὶ τοῦ Κανόνος τῆς δευτέρας Συνόδου. ἰδὲ καὶ ἀνωτέρω κεφαλαίου πρώτου παράγραφον δέκατον. ἀλλὰ καὶ ὅτε οἱ πατέρες ὑπὸ τῶν Ἀρχόντων ἠρωτήθησαν, εἰ βίᾳ ὑπέγραψαν, καὶ ἀπεκρίθησαν, ὅτι ἑκόντες ὑπέγραψαν, Ἀντίοχος Ἐπίσκοπος Σινώπης εἶπεν, ἑκὼν ὑπέγραψα, ἀκολουθήσας τῷ Μητροπολίτῃ μου, καὶ τῷ Κανόνι τῶν ἑκατὸν πεντήκοντα πατέρων. καὶ Εὐσέβιος Δορυλαίου εἶπεν, ἑκὼν ὑπέγραψα, ἐπειδὴ καὶ τὸν Κανόνα τοῦτον τῷ ἁγιωτάτῳ Πάπᾳ ἐν Ῥώμῃ ἀνέγνων, παρόντων τῶν Κληρικῶν Κωνσταντινουπόλεως, καὶ ἀπεδέξατο αὐτόν. ἔνατον, ἐπειδὴ ὁ Κανὼν ὁ ἀπὸ τῆς δευτέρας Συνόδου ἐκτεθεὶς, ἔσχεν εὐθὺς τὸ κῦρος, καὶ ὁ Πάπας Λέων ἐν τῇ Ῥώμῃ ἐδέξατο αὐτὸν, καὶ οἱ Λεγᾶτοι αὐτοῦ ἐν Χαλκηδόνι ἐμέμψαντο τὸν Διόσκορον, πέμπτον τάξαντα τὸν Φλαυϊανὸν, διατὶ ἄρα ἐμέμψαντο τοὺς πατέρας τῆς ἐν Χαλκηδόνι Συνόδου, βεβαιώσαντας αὐτόν; οὐκ ἦν ἄλλο τὸ αἴτιον αὐτοῖς, ἀλλ' ἢ ὁ φθόνος. δοθέντος γὰρ τῷ Κωνσταντινουπόλεως τοῦ ἐξουσιάζειν ἐξ αὐθεντίας τοσούτων τόπων, καὶ πλατυνθέντων τῶν ὁρίων αὐτοῦ, ὅπερ εἰ καὶ ἡ Σύνοδος ἐποίησεν, ἀλλ' ὡς εἴρηται, ἕνεκα ἐκκλησιαστικῆς εὐταξίας, ὁ φθόνος ἐπελάβετο, τυφλὸς ὢν, τοῦ εὐτάκτου καὶ ἀβλαβοῦς. εἰ γὰρ ἐπιβλαβὲς ἦν, οὐκ ἐξήνεγκεν ἡ Σύνοδος, οὐδὲ ἐδέξαντο αὐτὸν οἱ

τῆς

τῆς Ἀνατολῆς Πατριάρχαι, ἀλλ' ἐδέξαντο δι' αἰτίας, ἃς εἴπομεν ἀνωτέρω κεφαλαίῳ τρίτῳ. καὶ ὁ Λέων ὁ τὸν Κανόνα πρότερον δεχθεὶς ἐν Ῥώμῃ, ὥστε εἶναι μετὰ τὸν Ῥώμης τὸν Κωνσταντινουπόλεως, ὕστερον ἔγραφε καὶ εἰς Βασιλεῖς καὶ εἰς Πατριάρχας εἶναι πέμπτον, ἀλλ' ἐκράτησε, καὶ κρατεῖ τῶν πλειόνων ἡ ψῆφος. δέκατον, οὐ μόνον ὁ Πασχασῖνος προσέφερε τὸν Κανόνα τῆς πρώτης Συνόδου ἐπίπλαστον ἐν τῇ ἀρχῇ, ἀλλὰ καὶ ὁ ἕτερος Λεγᾶτος Βονιφάτιος εἶπεν, ὅτι ἐνετείλατο αὐτοῖς ὁ Πάπας, τὸν Ὅρον τῶν ἁγίων πατέρων, ἤτοι τὸ Σύμβολον τῆς πίστεως μηδεμιᾷ προπετείᾳ ἐλαττοῦσθαι, ἢ μειοῦσθαι. Φυλαττέσθω τοιγαροῦν τοῦ ἡμετέρου προσώπου ἡ ἀξία πᾶσι τρόποις ἐν ὑμῖν. καὶ οὗτος οὖν ὁ λόγος τοῦ Βονιφατίου παράλογός ἐστιν, ὁ γὰρ Ὅρος τῶν ἁγίων πατέρων προαναγνωσθεὶς, ἐκυρώθη ἐν τῷ Ὅρῳ, ὃν ἐξέθετο ἡ παροῦσα Σύνοδος. τίνα δὲ οἰκειότητα ἔχει ὁ Ὅρος τῶν ἁγίων πατέρων, ὅς ἐστι περὶ τῆς ὀρθοδόξου πίστεως θεῖον καὶ τέλειον μάθημα, μετὰ τῆς ἀξίας τοῦ προσώπου τοῦ Λέοντος; ἢ πῶς ἀπὸ τῶν εἰρημένων Κανόνων τῆς δευτέρας καὶ τῆς παρούσης τῶν Συνόδων περὶ τῶν πρεσβείων Ῥώμης καὶ Κωνσταντινουπόλεως μειοῦται, ἢ ἐλαττοῦται ὁ Ὅρος τῆς πίστεως; σὺ δὲ σημείωσαι πρῶτον, ὅτι τὰ ἔσχατα μαχόμενοι καὶ οἱ τρεῖς Λεγᾶτοι τοῦ Ῥώμης κατὰ τῶν πρεσβείων τοῦ θρόνου Κωνσταντινουπόλεως, καὶ λέγοντες περὶ τοῦ Ῥώμης πολλὰ ὑψαύχενα, οὐκ ἐδυνήθησαν προβάλλειν τὸ, σὺ εἶ Πέτρος ἡ πέτρα, καὶ ἐκεῖνο τὸ ἄθεον, ὅπερ ἀνωτέρω εἶπον οἱ Σχολαστικοὶ, ὅτι ἡ ἀρχὴ τοῦ Πάπα οὐ χρῄζει συνοδικῆς βεβαιώσεως, ἀλλὰ μόνον ἀπὸ Κανόνων ἠγωνίζοντο βεβαιῶσαι τοὺς λόγους αὐτῶν. ὁ μὲν γὰρ Πασχασῖνος εἶπεν, ὑπομνήματά τινα λέγεται πεπρᾶχθαι, ἅπερ ἡμεῖς ὑπεναντίον τῶν Κανόνων καὶ τῆς Ἐκκλησιαστικῆς ἐπιστήμης φάσκομεν γεγενῆσθαι. ὁ δὲ Λουκήνσιος εἶπε, φαίνεται προσεσωρεῦσθαι τοῖς Ὅροις τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, καὶ τοῖς μεταταῦτα ἑκατὸν πεντήκοντα τὰ νῦν μνημονευθέντα, μὴ ἐμφερόμενα δὲ τοῖς Κανόσι, ταῦτα φάσκουσιν ὡρίσθαι. καὶ ἐν τῷ τέλει ὁ αὐτὸς, εἴ τι δήποτε πρὸ τοῦ δικαστηρίου παρὰ Κανόνας τῇ χθὲς ἡμέρᾳ ἐπράχθη. ὁ δὲ Βονιφάτιος ἔφη, τὸν Ὅρον τῶν ἁγίων πατέρων μηδεμιᾷ προπετείᾳ ἐλαττοῦσθαι, ἢ μειοῦσθαι. ταῦτα ἐν τῷ ἀγῶνι οἱ Τοποτηρηταὶ τοῦ Πάπα. ποῦ δὲ ἄρα ὅσα λέγουσι μετὰ τὸ σχίσμα οἱ παπισταὶ περὶ τούτου τοῦ τυραννικοῦ ἀξιώματος; οἱ γὰρ Ἄρχοντες εἰπόντες, συνορῶμεν πρὸ πάντων μὲν τὰ πρωτεῖα καὶ τὴν ἐξαίρετον τιμὴν κατὰ τοὺς Κανόνας τῷ τῆς πρεσβύτιδος Ῥώμης θεοφιλεστάτῳ Ἀρχιεπισκόπῳ φυλάττεσθαι, ἔδειξαν ὅτι οὐκ ἀπὸ τοῦ Χριστοῦ, ἢ τοῦ Πέτρου, ἀλλ' ἀπὸ τῶν Κανόνων ἔχει ὁ Ῥώμης τὰ πρωτεῖα. λέγοντες γὰρ θεοφιλέστατον Ἀρχιεπίσκοπον Ῥώμης, δεικνύουσιν εἶναι αὐτὸν μερικῆς Ἐκκλησίας Ἀρχιεπίσκοπον, καὶ οὐ τῆς καθόλου, ὥσπερ καὶ τῷ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως ἐν τῷ αὐτῷ τόπῳ τὸ αὐτὸ ἐννοεῖται. καὶ λοιπὸν ἀσεβέστατοί εἰσιν οἱ λέγοντες μὴ ἔχειν τὸν Ῥώμης χρείαν, ἐφ' ᾧ εἶναι αὐτὸν πρῶτον τῶν Οἰκουμενικῶν Συνόδων. ταῦτα πρὸς τὴν ἀντίθεσιν τῶν Λατίνων.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ὅτι μεμφόμενοι οἱ Λατῖνοι Γεωργίῳ τῷ κορεσσίῳ, εἰπόντι, τοῖς ἴσοις προνομίοις, ἴση ἡ ἐξουσία, διδόασι τῷ Ῥώμης κατὰ πρόταξιν τῶν Πατριαρχῶν τὴν ὑπέρτατον ἐξουσίαν, ὡς μόνον ἐν ἑνὶ θρόνῳ αὐτὴν δύνασθαι ἵστασθαι, ὡς ἐν ἄκρῳ γένει. καὶ παράλυσις τοῦ ἐπιχειρήματος τούτου ἔκ τε τοῦ ἴσου, καὶ τοῦ μείζονος, καὶ τῶν ἐν τῷ Κανόνι λεχθέντων. καὶ περὶ τοῦ ποσαχῶς τὸ μεῖζον. καὶ κατὰ τὶ μείζων τῶν Πατριαρχῶν ὁ Ῥώμης.

Σημειωτέον, ὅτι οἱ αὐτοὶ μέμφονται τὸν μακαρίτην Γεώργιον τὸν Κορέσσιον, εἰπόντα, τοῖς ἴσοις προνομίοις ἐτιμήθη ὁ Κωνσταντινουπόλεως τῷ Ῥώμης, ἄρα καὶ τῇ ἴσῃ ἐξουσίᾳ. καὶ προσαντιπίπτοντες, λέγουσι, τοῖς ἴσοις προνομίοις, πλὴν ὅμως τῆς ὑπερτάτης ἐξουσίας ἐστὶν ὁ Ῥώμης, αὕτη γὰρ ἐν ἑνὶ μόνῳ θρόνῳ δύναται σταθῆναι, τὸ γὰρ ἐν ἑνὶ γένει ἄκρον καὶ ὑπέρτατόν ἐστιν, ὥστε καθὼς μείζων ἐστὶν ἡ ἐξουσία τοῦ Κωνσταντινουπόλεως τῆς τοῦ Ἀλεξανδρείας, ὡς ὑμεῖς ἐπιχειρεῖτε, οὕτω μείζων ἡ ἐξουσία τοῦ Ῥώμης τῆς τοῦ Κωνσταντινουπόλεως, ὥστε ἡ λέγουσα Σύνοδος πρῶτον εἶναι Πατριάρχην τὸν Ῥώμης, δι' αὐτῆς ὁμολογεῖ καὶ τὴν ἄκραν ἐξουσίαν αὐτοῦ. ταῦτα οἱ Λατῖνοι. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι τὸ ἴσον τῷ αὐτῷ κατὰ πάντα τρόπον ἴσῳ παραβαλλόμενον, τὸ αὐτό ἐστι κατὰ τὸν λόγον τοῦ ἴσου. εἰ δὲ ἔχει τινὰ ὑπεροχὴν θάτερον, οὐκ ἔστιν ἴσον, ἀλλ' ἄνισον. ἡ Σύνοδος δὲ οὐκ εἶπε διαφοράν τινα τῆς ἰσότητος τοῦ Ῥώμης καὶ τοῦ Κωνσταντινουπόλεως, ἀλλὰ τὴν αὐτήν. καὶ σκόπει τὴν μὲν Σύνοδον λέγουσαν δύο τινὰ, πρωτεῖα, καὶ τιμὴν ἐξαίρετον, τὸν δὲ Κανόνα λέγοντα τρία τινὰ, ἴσα πρεσβεῖα, τῶν ἴσων ἀπολαύουσαν πρεσβείων, καὶ ὡς ἐκείνην ἐν τοῖς ἐκκλησιαστικοῖς μεγαλύνεσθαι πράγμασι. ταῦτα τοῦ Κανόνος διὰ τὸ πατριαρχικὸν ἀξίωμα. τὸ δὲ, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν, διὰ τὴν τάξιν. ἡ τάξις, πρῶτος, δεύτερος. ἡ ἐξουσία, μία. ἄλλο γὰρ τάξις, καὶ ἄλλο ἐξουσία. οἱ δὲ Ἄρχοντες εἶπον τὴν ἐξαίρετον τιμὴν καὶ τὰ πρωτεῖα τοῦ Ῥώμης φυλάττεσθαι διὰ τὴν τάξιν, οὗπερ εἶχε πατριαρχικοῦ ἀξιώματος. τῶν αὐτῶν ἀπολαύειν πρεσβείων, διὰ τὸ ἀξίωμα, ἤτοι ἵνα ᾖ ὁ Κωνσταντινουπόλεως Ἐπίσκοπος Πατριάρχης τοῖς αὐτοῖς πρεσβείοις, οἷς ἦν καὶ ὁ Ῥώμης. τὰ ἴσα δὲ πρεσβεῖα καὶ

καὶ τὰ αὐτὰ πρεσβεῖα, καὶ τὸ ὡς τὸν Ῥώμης μεγαλωϊσθαι τὸν Κωνσταντινουπόλεως, παντάπασι κωλύσει τὸν Ῥώμης εἶναι μοναρχίαν εἰς τὴν Ἐκκλησίαν, ὥστε ἔχειν ἐν αὐτῇ πρωτεῖον μείζονός τινος ἐξουσίας. τὸ γὰρ τὸν μέγαν Βασίλειον τὸ μεῖζον λέγεται, ἢ μεγέθει, ἢ χρόνῳ, ἢ ἀξιώματι, ἢ δυνάμει, ἢ ὡς ἄλλον, ἢ τιμῇ. οὐκ ἔστι δὲ ὁ Ῥώμης μείζων τῶν Πατριαρχῶν τῷ μεγέθει, πολλοὶ γὰρ ὡς εἰκὸς Πάπαι ἦσαν μεγέθει τινῶν Πατριαρχῶν μείζονες, τινῶν δὲ οὔ. ὡσαύτως καὶ τῷ χρόνῳ, εἰ γὰρ ὁ Λέων καὶ Δάμασος ἦσαν τῇ ἡλικίᾳ προβεβηκότες, καὶ διὰ τοῦτο τῶν Ἀνατολικῶν πατέρες ἐκλήθησαν, ὡς καὶ Ἰωάννης Ἀντιοχείας ὁ τῇ τοῦ Νεστορίου αὐτοῦ ὑπατολῇ τὸν Βερροίας Ἀνάκιον κοινὸν πατέρα εἶπον αὐτοῦ καὶ τοῦ Κωνσταντινουπόλεως. καὶ τὸν Κωνσταντινουπόλεως Μάξιμον ὁ αὐτὸς Κύριλλος πατέρα ἔφη. ἀλλὰ καὶ πολλοὶ Πατριάρχαι ἦσαν τινῶν Παπῶν γηραιότεροι. τῷ δὲ ἀξιώματι πάντες οἱ Πατριάρχαι ἴσοι καὶ ὁμοτίμοις, καὶ ὁμοτίμοις ἴσοι καὶ ὁμοτίμοις ἴσοι καὶ ὁμοτίμοις ἴσοι

ὑπὸ μόνων οἰκονομοῦνται τῶν αἰσθήσεων, αἵδε εἰσὶν, Ὅρασις, Ὄσφρησις, Ἀκοὴ, Γεῦσις, καὶ Ἁφή. καὶ τὸ σῶμα δὲ πάλιν τοῦ Χριστοῦ, ἡ τῶν πιστῶν δὲ λέγω Ἐκκλησία ἐν διαφόροις, ὥσπερ μέλεσι, συναρμολογουμένη ἔθνεσι. καὶ ὡς ὑπὸ πέντε αἰσθήσεων οἰκονομουμένη, τῶν εἰρημένων μεγάλων θρόνων, ὑπὸ μιᾶς ἄγεται κεφαλῆς τὸν Χριστόν. καὶ ὥσπερ ὑπὸ τὰς πέντε αἰσθήσεις ἑτέρα τις αἴσθησις οὐκ ἔστιν, οὕτως οὐδὲ ὑπὲρ τοὺς πέντε Πατριάρχας ἕτερον Πατριάρχην δώσει τις εἶναι. ὑπὸ πέντε γοῦν τῶν θρόνων τούτων, ὥσπερ αἰσθήσεων ὄντων ἐν τῷ σώματι τοῦ Χριστοῦ, καὶ τὰ ἑξῆς. πάντες οὖν οἱ Ἐπίσκοποι, διωρισμένως λαμβανομένου τοῦ ὀνόματος, ἀναλογοῦνται μὴ εἰς ἕνα Ἐπίσκοπον, ὅτι μήγε συντεταγμένως καὶ συναριθμουμένως προεδρεύοντα καὶ προαριθμούμενον, ἀλλ' εἰς ἕνα Μητροπολίτην. πάντες πάλιν οἱ Μητροπολῖται οὐχὶ εἰς ἕνα συμμητροπολίτην, ἀλλ' εἰς ἕνα Πατριάρχην. ὡσαύτως πάλιν πάντες οἱ Πατριάρχαι μὴ εἰς ἕνα Συμπατριάρχην, ἀλλ' εἰς ἕνα Χριστὸν, ὅς ἐστιν Αὐτοπατριάρχης, ἐξ οὗ πᾶσα πατριὰ ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς, καὶ ἐξ αὐτοῦ πάντες οἱ Πατριάρχαι ἐν τῇ αὐτῇ ἀξίᾳ τῆς Πατριαρχείας εἰσὶ συμπατριαρχεύοντες, κατὰ τὴν αὐτὴν θέσιν καὶ τὴν αὐτόψηφον ἐκλογὴν, καὶ σφραγῖδα μίαν ἀπαράλλακτον, τῆς αὐτῆς μιᾶς χάριτος καὶ ἐξουσίας πατριαρχοποιούσης αὐτοὺς, διακρινομένους μόνον τοῖς ὑποκειμένοις, τῇ τε προαριθμήσει καὶ ἐπαριθμήσει τῆς αὐτῆς ὁμοταγοῦς συναριθμήσεως. οὕτω καὶ τὸν Πάπαν συνευδοκοῦντα πρὸ τῆς τυραννίας καὶ ἀδελφοκτόνου ἀρχῆς, πρῶτον τῶν Ἱερέων ὀνομάζομεν, ἅμα τε φιλοτιμοῦντες αὐτὸν ταῖς πρεπούσαις φήμαις καὶ τιμαῖς ἐν τοῖς διπτύχοις. μεθ' ὃν, ὡς δεύτερον πρῶτον συναριθμούμενον Πατριάρχην Κωνσταντινουπόλεως τίθεμεν, νῦν δὲ προαριθμούμενον, καὶ πρῶτον τῶν Ἱερέων ὑπάρχοντα διὰ τὴν ἀποστασίαν τοῦ ἤδη προκεκριμένου, εἶτα τοῖς αὐτοῖς μέτροις καὶ Ὅροις καὶ τοὺς λοιποὺς, πάντας συναριθμουμένους, καὶ συντατταμένους, καὶ συγκαθεζομένους, καὶ συμμετρουμένους, τῷ αὐτῷ Ὅρῳ, τῷ αὐτῷ Κανόνι στοιχειουμένους, καὶ τῷ αὐτῷ χαρακτῆρι χαρακτηριζομένους παρὰ τοῦ Αὐτοαρχιερέως, ἐξ οὗ, καὶ δι' οὗ, καὶ εἰς ὃν τὰ πάντα. ταῦτα Νικόλαος Ἰατροφιλόσοφος ἐξ Ἰωαννίνων ὁ Κεραμεὺς ἐν τῷ κατὰ τῆς ἀρχῆς τοῦ Πάπᾳ βιβλίῳ αὐτοῦ. σὺ δὲ σημείωσαι ὅτι καὶ αἱ ἐνταῦθα τῶν παπιστῶν ἀντιθέσεις ἰσχυρῶς κατερράγησαν. περὶ ἰσοτιμίας τῶν πατριαρχῶν ἰδὲ καὶ Ἰωάννην τὸν Νομοφύλακα ἐν τῇ ἀντιρρήσει τοῦ Φλωρεντινοῦ Ὅρου, κείμενον ἐν τῷ Τόμῳ τῆς Καταλλαγῆς, καὶ ἰδὲ ἐκεῖ κεφάλαιον δέκατον τρίτον, καὶ κατωτέρω βιβλίου πέμπτου κεφάλαιον εἰκοστὸν, καὶ βιβλίου δεκάτου μέρους δευτέρου κεφαλαίου δευτέρου Παράγραφον ὄγδοον, ὅπου τὰ αὐτὰ λέγει ὁ Ἀναστάσιος τῷ Βαλσαμῶνι καὶ Πέτρῳ, καὶ ἔτι ἰδὲ τοῦ Στουδίτου τὸ Πεντακόρυφον κατωτέρω, βιβλίου δεκάτου μέρους τρίτου κεφαλαίου δωδεκάτου ἀντιθέσει ὀγδόῃ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἑρμηνεία τοῦ ἑνάτου καὶ δεκάτου ἑβδόμου τῶν Κανόνων τῆς ἐν Χαλκηδόνι τετάρτης Συνόδου. καὶ ὅτι τούτοις καὶ ἕτεροι Κανόνες ἀποστολικοὶ καὶ συνοδικοὶ σύμφωνοι. καὶ περὶ Σταυροπηγίων καὶ Ἐξάρχων.

Ἡ Καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία συμφώνως τῷ ἱερῷ Εὐαγγελίῳ πολλοῖς ὁμοφωνοῦσιν ὀρθοδόξοις Ἐπισκόποις δέδωκε τὸ ἀναμάρτητον, καὶ τὸ κρίνειν καὶ διορίζειν καὶ ἀποφαίνεσθαι περὶ τῶν συμβαινουσῶν ἐν ταῖς Ἐκκλησίαις ἀμφιβολιῶν, ὥς εἰσιν αἱ Συνόδοι, καὶ ἐπὶ πάντων τούτων αἱ νόμιμοι καὶ κανονικαὶ Οἰκουμενικαί. πᾶσαν δὲ ἰδικὴν καὶ μοναρχικὴν καὶ ἀναμάρτητον ἐξουσίαν ἀπὸ παντὸς ἑνὸς προσώπου ἀπεβάλετο, οὐμὴν ἀλλὰ καὶ Κανόσιν ἐβεβαίωσε, τὸ μηδένα Ἐπίσκοπον ἰδικὴν, ἢ γενικὴν ἐξουσίαν ἔχειν. αὐτίκα γὰρ ὁ τριακοστὸς τέταρτος Κανὼν τῶν ἁγίων Ἀποστόλων ὁρίζει, Τοὺς Ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλήν. ἐν οἷς σημείωσαι ὅτι οὐκ εἶπεν τὸν ἐν πᾶσι τοῖς ἔθνεσι πρῶτον κοινῶς, ἀλλὰ τὸν ἐν ἑκάστῳ ἔθνει πρῶτον ἡγεῖσθαι ὡς κεφαλήν. ὥστε ἐν ἑκάστῳ ἔθνει κεφαλὴ, καὶ οὐδεμία ἐπὶ πάντων τούτων. ὅνπερ Κανόνα ἐξηγούμενος ὁ τέταρτος τῆς ἐν Νικαίᾳ πρώτης, φησὶ, Τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι ἐν ἑκάστῃ Ἐπαρχίᾳ τῷ Μητροπολίτῃ. πῶς δὲ ἐννοεῖται ὁ Μητροπολίτης, ἰδὲ ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον τρίτον. Ἡ αὐτὴ ἐν τῷ πέμπτῳ Κανόνι φησὶ, Τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας, ὑφ' ἑτέρων μὴ δέχεσθαι, καὶ ἰδὲ τὸν αὐτὸν τόπον. ἀλλὰ δὴ καὶ ἐν τῷ ἕκτῳ Κανόνι ἡ αὐτὴ διορίζει σώζεσθαι τὰ πρεσβεῖα ταῖς Ἐκκλησίαις, ἥπερ ἀκολουθήσασα ἡ δευτέρα Οἰκουμενικὴ, ὥρισεν ἐν τῷ δευτέρῳ Κανόνι, μηδένα Ἐπίσκοπον ἐπιβαίνειν ἀλλοτρίᾳ Ἐπαρχίᾳ, καὶ ἰδὲ τὸν τόπον ἐκεῖ. ταῦτα διωρίσατο καὶ ἡ τρίτη ἐν τῷ ὀγδόῳ αὐτῆς Κανόνι. ἀλλὰ δὴ καὶ Συνόδους ἐν ἑκάστῳ ἔτει ὥρισε γίνεσθαι ἡ καθολικὴ Ἐκκλησία, καὶ τὰς συμπεπτωκυίας μεγάλας ἀμφιβολίας, Συνόδους Οἰκουμενικὰς ἀγείρουσα, ἔλυσε. τούτων οὕτως ἐχόντων, ἡ ἐν Χαλκηδόνι, ἥτις ἐστὶ σφραγὶς τῆς ὀρθοδο-

ὀρθοδοξίας ἢ εἴπέ τι ἐναντίον ταῖς ἁγίαις αὐτῆς, ἀλλὰ πάντα ἐν πᾶσιν, ὅθεν καὶ τοὺς Κανόνας τούτους ἐκτεθεῖσθαι, ἢ εἶχε σκοπὸν, ἵνα δώσῃ μοναρχίαν τῇ Ῥώμης, ἢ ἄλλῳ τινὶ Πατριάρχῃ. ἀλλ' ἐπειδὴ τοὺς Μητροπολίτας τῶν Διοικήσεων Ἀσίας, Πόντου, καὶ Θρᾴκης δέδωκε χειροτονεῖσθαι ὑπὸ τοῦ Κωνσταντινουπόλεως, ἦσαν δὲ οἱ πάντες μὲν Ἔξαρχοι τῶν ἰδίων Ἐπαρχιῶν, τινὲς δὲ αὐτῶν ἦσαν καὶ Ἔξαρχοι τῶν Διοικήσεων, ὡς ἐρῶμεν κατωτέρω, ἐν οἷς ἐτελοῦντο πᾶσα κρίσις μὴ τεμνομένη ὑπὸ τῶν Ἐξάρχων τῆς Ἐπαρχίας, καὶ γὰρ αἱ συμβαίνουσαι ἀμφιβολίαι ἐν τοῖς ἄλλοις Πατριαρχικοῖς θρόνοις, ἐθεωροῦντο πρῶτον παρὰ τῷ Ἐπισκόπῳ, εἶτα ἐν τῇ Συνόδῳ τῆς Ἐπαρχίας, εἰ δὲ μὴ ἐτέμνοντο παρ' αὐτῆς, ἐθεωροῦντο ἐν τῇ Συνόδῳ ἑκάστου τῶν Πατριαρχῶν, τῶν δὲ μὴ ὑποκειμένων τοῖς Πατριάρχαις Ἐκκλησιῶν αἱ ἀμφιβολίαι, ἐτελειοῦντο πρὸς τῆς Συνόδου τῆς Διοικήσεως. ἀλλ' ἐπειδὴ φημὶ ἡ ἐν Χαλκηδόνι ὥρισε τοὺς τοιούτους χειροτονεῖσθαι ὑπὸ τοῦ Κωνσταντινουπόλεως, φυλάττουσα καὶ τούτων τὴν τιμὴν, καὶ τοῦ Κωνσταντινουπόλεως τὸ ἀξίωμα, ὥρισε τὰ μὴ τεμνόμενα πρὸς τῆς Συνόδου τῆς Ἐπαρχίας, τέμνεσθαι ἢ ὑπὸ τῆς Συνόδου τῆς Διοικήσεως, ἢ πρὸς τοῦ Πατριάρχου Κωνσταντινουπόλεως. ὥστε ἐννοεῖσθαι τὸν Κανόνα περὶ μόνων τῶν ὑποκειμένων τῷ Κωνσταντινουπόλεως. εἰ δὲ ἀδιορίστως ἐξεφωνήθησαν οἱ Κανόνες, ἀλλὰ τοῦτο ἀρχαία φορὰ ἰσχύει ἐν τῇ Ἐκκλησίᾳ, ὅθεν λέγεται, ὡς σεσημείωται ἀνωτέρω βιβλίῳ δευτέρῳ κεφαλαίῳ τρίτῳ Παραγράφῳ δεκάτῳ, ὅτι πάντων τῶν Μητροπόλεων καὶ Ἐπισκοπείων καὶ Μοναστηρίων καὶ Ἐκκλησιῶν ἡσυχία καὶ ἡ φροντὶς, ἔτι δὲ καὶ κρίσις καὶ κατάκρισις καὶ ἀθῴωσις τῷ οἰκείῳ Πατριάρχῃ ἀνάκειται. τῷ δὲ Κωνσταντινουπόλεως πρεσβείῳ ἔξεστι καὶ ἐν ταῖς τῶν ἄλλων θρόνων ἐπαρχίαις, ἐν αἷς ἐκ ἔστι πρωθιερωσύνη Ναοῦ, Σταυροπήγια δίδοναι, καὶ τοὺς ἐν τοῖς ἄλλοις θρόνοις ἀναφυομένας ἀμφισβητήσεις ἐπιτηρεῖν καὶ διορθοῦσθαι, καὶ πέρας ἐπιτιθέναι ταῖς κρίσεσιν. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι ἕκαστος Πατριάρχης θεωρεῖ μόνος μετὰ τῆς οἰκείας Συνόδου πάντα τὰ ἴδια, καὶ τέως τὴν κρίσιν, κατάκρισιν, καὶ ἀθῴωσιν. δεύτερον, ἄλλων θρόνων ἐπαρχίαι ἐννοοῦνται αἱ ὑποκείμεναι αὐτῷ, ἤτοι τῷ Κωνσταντινουπόλεως. καὶ γὰρ μόνοις τοῖς ὑποκειμένοις αὐτῷ πέμπει Σταυροπήγια, ὥστε καὶ τὸ τοὺς ἐν τοῖς ἄλλοις θρόνοις ἀναφυομένας ἀμφισβητήσεις ἐπιτηρεῖν καὶ διορθοῦσθαι, καὶ πέρας ἐπιτιθέναι ταῖς κρίσεσι, περὶ μόνων τῶν ὑποκειμένων αὐτῷ ἐννοεῖται, καὶ οὐδὲν πλέον. ὅθεν ὁ Βαλσαμὼν ἐν τῇ ἑρμηνείᾳ τοῦ τεσσαρακοστοῦ πρώτου Κανόνος τῶν ἁγίων Ἀποστόλων φησὶ, τούτων δὲ οὕτως ἐχόντων, ἤτοι τῶν πασῶν ἐπαρχιῶν τῆς Οἰκουμένης τοῖς Πατριάρχαις ἀπονεμηθεισῶν, καὶ κατὰ τὸν περὶ ληψιν τοῦ ἕκτου Κανόνος καὶ τοῦ ἑβδόμου τῆς πρώτης Συνόδου, καὶ τοῦ δευτέρου καὶ τρίτου τῆς δευτέρας, ἀνακεινόντες τοὺς διέποντας ταύτας Ἀρχιερεῖς, καὶ κανονικῶς διορθοῦμεν, δικαίως καὶ Σταυροπήγια δώσασιν εἰς πόλεις καὶ παροικίας. τούτων δὲ οὕτως ἐχόντων, οὐδενὶ τῶν Πατριαρχῶν ἐπ' ἀδείας ἔσται εἰς ἑτέρου Πατριάρχου ἐπαρχίαν ὑποσπεῖλαι Σταυροπήγια, ἀλλ' οὐδὲ Κληρικὸν αὐτοῦ ἁρπᾶσαι, ἵνα μὴ συγχέωνται τὰ δίκαια τῶν Ἐκκλησιῶν. ταῦτα ὁ Βαλσαμὼν, ἐξ ὧν δείκνυται, ὅτι ὥσπερ ἐνορίαι τῶν ἄλλων θρόνων ἐννοοῦνται αἱ ἐνορίαι τῶν ὑπ' αὐτοὺς Μητροπολιτῶν καὶ Ἐπισκόπων, οὕτω καὶ τὸ ἐπιτηρεῖν καὶ διορθοῦσθαι τὰς ἀναφυομένας ἀμφισβητήσεις ἐν τοῖς ἄλλοις θρόνοις, ἐννοοῦνται οἱ θρόνοι τῶν ὑποκειμένων αὐτοῖς Μητροπολιτῶν καὶ Ἐπισκόπων. εἰ δέποτε γεγόνασι τοῦ Κωνσταντινουπόλεως καὶ τοῦ Ῥώμης ἐν ἀλλοτρίαις ἐνορίαις ἐνέργειαί τινες ἐν καιρῷ ἀνάγκης, ἀλλὰ ῥητέον, ὅτι ἐν καιρῷ ἀνάγκης καὶ ἄλλοι ἐνήργησαν παρ' ἐνορίαν, καὶ Πατριάρχαι καὶ Μητροπολίται, καὶ ἰδοὺ αὐτοτέρω βιβλίῳ δευτέρῳ κεφαλαίῳ πέμπτῳ Παραγράφων δέκατον, καὶ κεφάλαιον δέκατον ὄγδοον, καὶ κατωτέρω βιβλίῳ πέμπτῳ, κεφαλαίῳ ἑνδεκάτῳ Παραγράφων τεσσαρακοστὸν δεύτερον. περὶ μόνων λοιπὸν τῶν ὑποκειμένων αὐτῷ, ὡς εἴρηται, ἐννοοῦνται οἱ Κανόνες. ὅθεν ὁ εἰκοστὸς πέμπτος Κανὼν τῆς ἐν Τρούλλῳ καθόλου τὸν λόγον ποιούμενος περὶ τῶν ἀγρεστικῶν καὶ ἐγχωρίων Παροικιῶν, περὶ ὧν δηλονότι λαμβάνει καὶ ὁ παρὼν δέκατος ἕβδομος Κανὼν, ἐκ εἶπε τὸν Κωνσταντινουπόλεως ἔχαρον κρείττω, ἀλλὰ τὴν Συνόδον τῆς Ἐπαρχίας. Ἐπαρχίαν δὲ ἐκεῖ ἐννοητέον καὶ τὴν τοῦ μητροπολίτου, καὶ τὴν τοῦ Πατριάρχου Σύνοδον, ὡς εἴρηται αὐτοτέρω ἐν τῇ ἑρμηνείᾳ τοῦ δευτέρου Κανόνος τῆς δευτέρας Οἰκουμενικῆς (ἔστι γὰρ ὁ Κανὼν οὗτος τῆς ἐν Τρούλλῳ φανερὸς ἐξηγητὴς τοῦ ὑπατοῦθα δεκάτου ἑβδόμου, καὶ ἰδοὺ ἐκεῖ εἰς τὸν τόπον καὶ τὸν Κανόνα ῥητῶς, καὶ τοὺς ἐξηγητὰς αὐτοῦ) ὁδὲ Ἔξαρχος τῆς Διοικήσεως ἐσωπήθη, ἐπειδὴ ἢ δύο, ἢ ὀλίγον μετὰ τὴν ἐν Χαλκηδόνι Συνόδον αὐτὴ ἡ Σύνοδος, καὶ ὅτος ὁ Ἔξαρχος τῇ λήθῃ παρεδόθησαν. ὅθεν ὁ Ἰουστινιανὸς ὅλως ἐμνήσθη αὐτῶν, ἀλλὰ τὸ τῶν Πατριάρχων κριτήριον μόνον ἔχαιρεν ὥρισε τῶν ὑποκειμένων ἑκάστῳ αὐτῶν. διὸ ὁ Βαλσαμὼν ἐξηγούμενος τὸν παρόντα ὕστερον Κανόνα, φησὶν, ὁμοίως Ἔξαρχος τῆς Διοικήσεως ἐστὶν, ὡς ἐμοὶ δοκεῖ, οὐχ ὁ ἑκάστης Ἐπαρχίας Μητροπολίτης, ἀλλ' ὁ τῆς ὅλης Διοικήσεως Μητροπολίτης. Διοίκησις δέ ἐστιν, ἡ πολλὰς Ἐπαρχίας ἔχουσα ἐν ἑαυτῇ. τοῦτο δὲ τὸ τῶν Ἐξάρχων θεσμόμενον σήμερον οὐκ ἐνεργεῖται, καὶν γὰρ λέγωνται Ἔξαρχοί τινες τῶν Μητροπολιτῶν, ἀλλὰ τοὺς ἐν ταῖς Διοικήσεσιν ὄντας ἑτέρους Μητροπολίτας οὐκ ἔχουσιν ὅλως ὑποκειμένους αὐτοῖς. ἔοικεν ἴσως ἑτέρους τινὰς εἶναι καὶ τοὺς τότε καιροὺς Ἐξάρχους τῶν Διοικήσεων, ἢ τούτους μὲν εἶναι, ἀπεκτῆσθαι δὲ τὰ ὑπὸ τῶν Κανόνων δοθέντα τούτοις θεσμόμενα. ὅτι δὲ ἐν τοῖς καιροῖς τοῦ Ἰουστινιανοῦ οὐκ ἦσαν Σύνοδοι, ὅτε Ἔξαρχος τῆς ἐν τοῖς Κανόσι τούτοις λεγομένης Διοικήσεως, δῆλον. λέγει γὰρ ὁ αὐτὸς συλλογῇ ἐκκλησιαστικῇ ἐκ τῶν Νεαρῶν, βιβλίῳ τρίτῳ, κεφαλαίῳ δευτέρῳ, οἱ

Πατριάρ-

Πατριάρχαι καὶ οἱ Μητροπολῖται ἅπαξ, ἢ δὶς τοῦ ἐνιαυτοῦ κοινὰς ποιείτωσαν Συνόδους, ὑμνημονεύει δὲ καὶ Συνόδου Διοικήσεως, ἥτις εἰ ἦν, οὐκ ἂν ἐσιώπησεν αὐτήν. ὅτι δὲ περὶ μόνων τῶν ὑποκειμένων τῷ Κωνσταντινουπόλεως ἐστὶν ὁ σκοπὸς τῶν Κανόνων, λέγει τοῦτο ὁ Ζωναρᾶς ἐν τῇ ἑρμηνείᾳ τοῦ δεκάτου ἑβδόμου Κανόνος, οὐ πάντων δὲ τῶν Μητροπολιτῶν πάντως ὁ Κωνσταντινουπόλεως καθιεῖται δικαστὴς, ἀλλὰ τῶν ὑποκειμένων αὐτῷ, οὐ γὰρ δὴ καὶ τοὺς τῆς Συρίας Μητροπολίτας, ἢ τοὺς τῆς Παλαιστίνης καὶ Φοινίκης, ἢ τοὺς τῆς Αἰγύπτου ἄκοντας ἑλκύσει δικάσασθαι παρ' αὐτῷ, ἀλλ' οἱ μὲν τῆς Συρίας τῷ τοῦ Ἀντιοχείας φόρῳ ὑπόκεινται, οἱ δὲ τῆς Παλαιστίνης τῷ τοῦ Ἱεροσολύμων, οἱ δὲ τῆς Αἰγύπτου παρὰ τῷ Ἀλεξανδρείας δικάσονται, παρ' ὧν καὶ χειροτονοῦνται, καὶ οἷσπερ ὑπόκεινται. ἐλέγοντο δὲ Ἔξαρχοι καὶ ἕτεροι, ἤγουν ὁ Καισαρείας Καππαδοκίας, καὶ ὁ Ἐφέσου, καὶ ὁ Θεσσαλονίκης, καὶ ὁ Κορίνθου, οἷς λέγεται διατοῦτο καὶ προνόμιον δοθῆναι πολυσταύριον φορεῖν ἐν ταῖς Ἐκκλησίαις αὐτῶν. ταῦτα ὁ Βαλσαμών.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ σαφεστέρας θεωρίας τῶν ἀνωτέρω δύο Κανόνων, καὶ πρῶτον τοῦ, ΠΡΟΤΕΡΟΝ, ἐπιῤῥήματος. καὶ περὶ τίνων ὑποθέσεων Κληρικοὶ καὶ Ἐπίσκοποι, καὶ οἱ λοιποὶ ἐκκλησιαστικοὶ ἐν δικαστηρίοις πολιτικοῖς κρίνονται, ὡς οἱ Κανόνες καὶ αἱ Νεαραὶ τοῦ Ἰουστινιανοῦ δηλοῦσιν, ἐξ ὧν δείκνυται τόντε Ῥώμης, καὶ τοὺς λοιποὺς Πατριάρχας μὴ ἔχειν Ἔκκλητον ἐν ταῖς μὴ ὑποκειμένοις αὐτοῖς ἐνορίαις.

Πρὸς κατάληψιν σαφῆ τῶν Κανόνων θεωρητέον ἐνταῦθα τὸ ἐπίῤῥημα, ΠΡΟΤΕΡΟΝ, καὶ γὰρ διὰ τοῦ παρόντος Κανόνος οὐ κωλύονται μήτε οἱ Κληρικοὶ, μήτε οἱ πολιτικοὶ κρίνεσθαι παρὰ πολιτικῶν κριτῶν, μόνον δὲ πρότερον τὸν Ἐπίσκοπον, ὑφ' ὃν ἕκαστος ὑπόκειται, τὰς ὑποθέσεις θεωρῆσαι, καὶ εἰ δυνατὸν, καὶ τέλος ἐπιθεῖναι. τοῦτο καὶ παρὰ τοῦ Ἰουστινιανοῦ θεσπίζεται, καὶ γὰρ νενομοθέτηκεν, εἴτις κατά τινος Κληρικοῦ, ἢ Μοναχοῦ, ἢ Διακονίσσης, ἢ Μοναστρίας, ἢ Ἀσκητρίας ἔχοι τινὰ ἀγωγὴν, διδασκέτω πρότερον τὸν Ἐπίσκοπον, ᾧτινι τούτων ἕκαστος ὑπόκειται, ὁ δὲ τὸ πρᾶγμα μεταξὺ αὐτῶν διακρινέτω, καὶ εἰ κρίνοι τὰ ἀρέσκοντα τοῖς μέρεσιν ὁ Ἐπίσκοπος, ὀφείλει ὁ Ἄρχων ἐκβιβάσαι τὰ ἀπὸ τῆς καταδίκης, Βασιλικῶν βιβλίῳ τρίτῳ, Τίτλῳ πρώτῳ, κεφαλαίῳ τριακοστῷ πέμπτῳ, καὶ Ἰουστινιανοῦ Νεαρᾷ ἑκατοστῇ εἰκοστῇ τρίτῃ, κεφαλαίῳ εἰκοστῷ πρώτῳ. εἶτα ἐν ταῖς ἐκκλησιαστικαῖς ὑποθέσεσιν ἄλλως κρίνονται τὰ πράγματα. καὶ γὰρ εἰ ἡ ὑπόθεσις ἐκκλησιαστικὴ εἴη, οὐδεμίαν κοινωνίαν ἔχουσιν οἱ πολιτικοὶ κριταὶ πρὸς τὴν ταύτης ἐξέτασιν, ἀλλ' οἱ ἁγιώτατοι Ἐπίσκοποι τιθέασι πέρας τῇ ὑποθέσει κατὰ τοὺς ἱεροὺς Κανόνας. ὅθεν ὁ Ἰουστινιανὸς ἐν τῇ αὐτῇ Νεαρᾷ, Εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ πρᾶγμα, μηδεμίαν κοινωνίαν ἐχέτωσαν οἱ πολιτικοὶ Ἄρχοντες πρὸς τὴν τοιαύτην ἐξέτασιν, ἀλλ' οἱ ὁσιώτατοι Ἐπίσκοποι κατὰ τοὺς ἱεροὺς Κανόνας τῷ πράγματι πέρας ἐπιτιθέτωσαν, Βασιλικῶν βιβλίῳ τρίτῳ, Τίτλῳ πρώτῳ, κεφαλαίῳ τριακοστῷ ἕκτῳ. Ἔτι πρὸς τὸν ἴδιον, ἢ πρὸς ἕτερον Ἐπίσκοπον τὰ κεφάλαια τὰ ἐνταῦθα εὑρισκόμενα περὶ τῶν κατὰ τῶν Ἐπισκόπων δικῶν, ὁμοίως καὶ παρὰ τῶν πολιτικῶν Νόμων προσεπικυροῦνται. ὅθεν ὁ Ἰουστινιανὸς φησὶν, Ἀλλ' οὐδὲ ὑπέρ τινος χρηματικῆς, ἢ ἐγκληματικῆς αἰτίας Ἐπίσκοπον, πρὸς Ἄρχοντα πολιτικὸν, ἢ στρατιωτικὸν, ἄκοντα ἢ διάγεσθαι, ἢ παρίστασθαι δίχα βασιλικῆς κελεύσεως συγχωροῦμεν, Νεαρᾷ ἑκατοστῇ εἰκοστῇ τρίτῃ. κεφαλαίῳ ὀγδόῳ. Ἐὰν Ἐπίσκοπος εἴη ὁ κατηγορούμενος, τὸν τούτου Μητροπολίτην ἐξετάζειν τὰ λεγόμενα χρή. εἰ δὲ Μητροπολίτης εἴη, τὸν μακαριώτατον Ἀρχιεπίσκοπον, ὑφ' ὃν τελεῖ. εἰ δὲ Πρεσβύτερος, ἢ Διάκονος, ἢ ἄλλος Κληρικὸς, ἢ Ἡγούμενος, ἢ Μοναχὸς, τὸν ὁσιώτατον Ἐπίσκοπον, ὑφ' ὃν οὗτοι τελοῦσιν, ἐξετάζειν τὰ προσαγγελλόμενα, καὶ τῆς ἀληθείας ἐξεταζομένης, καὶ ἀποδεικνυμένης, ἕκαστον πρὸς τὸ πταῖσμα κανονικοῖς ἐπιτιμίοις ὑποβάλλεσθαι τῷ κρίματι τοῦ ἐξετάζοντος. τὰ αὐτὰ βεβαιοῦνται καὶ Βασιλικῶν βιβλίῳ τρίτῳ, τίτλῳ πρώτῳ, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ. καὶ Νεαρᾷ Ἰουστινιανοῦ ἑκατοστῇ εἰκοστῇ τρίτῃ, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ. Εἴτινες δὲ ὁσιώτατοι Ἐπίσκοποι τῆς αὐτῆς Συνόδου ἀμφισβήτησιν τινὰ πρὸς ἀλλήλους ἔχοιεν, εἴτε ὑπὲρ ἐκκλησιαστικοῦ δικαίου, εἴτε ὑπὲρ ἄλλων τινῶν πραγμάτων, πρότερον ὁ Μητροπολίτης αὐτῶν μεθ' ἑτέρων δύο ἐκ τῆς ἰδίας Συνόδου Ἐπισκόπων τὸ πρᾶγμα κρινέτω, καὶ εἰ μὴ ἐμμείνῃ ἑκάτερον μέρος τοῖς κεκριμένοις, τηνικαῦτα ὁ μακαριώτατος Πατριάρχης ἐκείνης τῆς Διοικήσεως μεταξὺ αὐτῶν ἀκροάσθω, Βασιλικῶν βιβλίῳ τρίτῳ, Τίτλῳ πρώτῳ, κεφαλαίῳ τριακοστῷ ὀγδόῳ. σημείωσαι ἐν τούτοις, ὅτι μήτε τὰ βασιλικὰ, μήτε ὁ Ἰουστινιανὸς ἐμνήσθησαν ἰδικῶς ἢ τοῦ Ῥώμης, ἢ τοῦ Κωνσταντινουπόλεως, οὔτε εἶπον αὐτοὺς ἢ πρώτους, ἢ ἐσχάτους κριτὰς, ἢ ἔχειν τὴν Ἔκκλητον τῶν λοιπῶν Ἐκκλησιῶν, τῶν μὴ ὑποκειμένων αὐτοῖς.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι τὰ πατριαρχικὰ κριτήρια Ἐκκλήτῳ οὐχ ὑπόκειται. καὶ ὅθεν τοὺς αἰτίας κατ' ἀλλήλων κινοῦντας Ἐπισκόπους δεῖ ἄρχεσθαι κρίνεσθαι, ὡς αἱ Νεαραὶ τῶν Βασιλέων σύμφωνα τοῖς ἐκκλησιαστικοῖς Κανόσιν ἀποφαίνονται.

Ῥητῶς

Ῥητῶς δὲ διαγορεύουσι καὶ τὰ βασιλικὰ, καὶ ὁ Ἰουστινιανὸς, καὶ Λέων ὁ σοφὸς, ὅτι τὰ Πατριαρχικὰ κριτήρια Ἐκκλήτῳ οὐχ ὑπόκεινται. λέγει γὰρ ὁ Ἰουστινιανὸς, Ἐπίσκοποί τινες κατ' ἀλλήλων κινοῦντες αἰτίας, παρὰ τῷ ἰδίῳ δικαζέσθωσαν Μητροπολίτῃ, συνακροωμένων δύο Ἐπισκόπων τῇ Συνόδῳ, θατέρου δὲ μὴ στοιχοῦντος τῇ τούτων κρίσει, ὁ ἁρμόδιος Πατριάρχης ἐξετάσει τὴν ψῆφον, μὴ δεδιὼς Ἔκκλητον. ταῦτα συναγωγῇ ἐκκλησιαστικῇ ἐκ τῶν Νεαρῶν, βιβλίου τρίτου, κεφαλαίου δευτέρου. καὶ Λέων καὶ Κωνσταντῖνος οἱ Αὐτοκράτορες φασὶ, πασῶν τῶν Μητροπόλεων καὶ Ἐπισκοπείων, Μοναστηρίων τε καὶ Ἐκκλησιῶν ἡ πρόνοια καὶ φροντὶς, ἔτι δὲ καὶ κρίσις, καὶ κατάκρισις, καὶ ἀθῴωσις τῷ οἰκείῳ Πατριάρχῃ ἀνάκειται. πρὸς τούτοις εἰσυμβαίη τοὺς Ἐπισκόπους τῆς αὐτῆς Ἐπαρχίας ἀμφισβήτησίν τινα ἔχειν ἐν ἑαυτοῖς, ἢ περὶ ἐκκλησιαστικοῦ δικαίου, ἢ περὶ ἄλλης τινὸς ὑποθέσεως, πρῶτον ὁ Μητροπολίτης μετὰ δύο Ἐπισκόπων τῆς αὐτῆς Συνόδου, ἢ Ἐπαρχίας ἀνακρινέτω τὸ πρᾶγμα, καὶ εἰ μὴ ἐφησυχάσει ἑκάτερον μέρος τῇ τοιαύτῃ κρίσει, τηνικαῦτα ὁ μακαριώτατος Πατριάρχης τῆς Διοικήσεως ἐκείνης μεταξὺ αὐτῶν ἀκροάσθω, κἀκεῖνα ὁριζέτω, ἅτινα τοῖς ἐκκλησιαστικοῖς Κανόσι καὶ τοῖς Νόμοις συνᾴδει, οὐδενὸς μέρους κατὰ τῆς ψήφου αὐτοῦ ἀντιλέγειν δυναμένου. ταῦτα συνωδὰ τῷ Ἰουστινιανῷ, ὡς εἴρηται ἀνωτέρω Νεαρᾷ ἑκατοστῇ εἰκοστῇ τρίτῃ, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, Βασιλικῶν βιβλίῳ τρίτῳ, Τίτλῳ πρώτῳ, κεφαλαίῳ τριακοστῷ ὀγδόῳ. καὶ γὰρ οὐκ ἐκκαλοῦνται αἱ τῶν Πατριαρχῶν ψῆφοι. καὶ ὁ Φώτιος φησὶν ἐν τῷ Νομοκανόνι, ὅτι ἡ εἰκοστὴ ἐνάτη διάταξις τοῦ τετάρτου Τίτλου τοῦ πρώτου βιβλίου φησὶν, εἴτε μόνος Μητροπολίτης, εἴτε μετὰ τῆς Συνόδου αὐτοῦ δικάσει Ἐπισκόπῳ, ἢ Κληρικῷ, καὶ μὴ στερχθῇ τὰ τετυπωμένα, ὁ τῆς Διοικήσεως Πατριάρχης σκοπεῖ, καὶ τοῖς ἐξ αὐτοῦ κεκριμένοις ἐμμένουσιν, ὡσανεὶ αὐτὸς ἐξ ἀρχῆς ἐδίκαζεν, οὔτε γὰρ ἐκκαλοῦνται αἱ τῶν Πατριαρχῶν ψῆφοι. ἔνθα ὁ Σχολιαστὴς Βαλσαμὼν φησὶν, ἀνάγνωθι καὶ τὸ τεσσαρακοστὸν πέμπτον κεφάλαιον τοῦ πρώτου Τίτλου τοῦ τρίτου βιβλίου τῶν Βασιλικῶν, μέρος ὂν τῆς ἑκατοστῆς εἰκοστῆς τρίτης Ἰουστινιανείου Νεαρᾶς, καὶ λέγον ταῦτα, Οἵτινες δὲ ὁσιώτατοι Ἐπίσκοποι τῆς αὐτῆς Συνόδου ἀμφισβήτησίν τινα πρὸς ἀλλήλους ἔχοιεν, εἴτε ὑπὲρ ἐκκλησιαστικοῦ δικαίου, εἴτε ὑπὲρ ἄλλων τινῶν πραγμάτων, πρότερον ὁ Μητροπολίτης αὐτῶν μεθ' ἑτέρων δύο ἐκ τῶν τῆς αὐτῆς Συνόδου Ἐπισκόπων τὸ πρᾶγμα κρινέτω, καὶ εἰ μὴ ἐμμένῃ ἑκάτερον μέρος τοῖς κεκριμένοις, τηνικαῦτα ὁ μακαριώτατος Πατριάρχης τῆς Διοικήσεως ἐκείνης μεταξὺ αὐτῶν ἀκροάσθω, κἀκεῖνα ὁριζέτω, ἅτινα τοῖς ἐκκλησιαστικοῖς Κανόσι καὶ τοῖς Νόμοις συνᾴδει, οὐδενὸς μέρους κατὰ τῆς ψήφου αὐτοῦ ἀντιλέγειν δυναμένου. καὶ συναγωγῇ διαταγῆς ἐκκλησιαστικῆς ἐκ τοῦ πρώτου βιβλίου τοῦ κώδικος, Τίτλῳ τετάρτῳ, ἀριθμῷ εἰκοστῷ ἐνάτῳ, Μηδεὶς ἐκ πρώτης αἰτιάσθω Κληρικὸν παρὰ τῷ Πατριάρχῃ, ἀλλὰ παρὰ τῷ Ἐπισκόπῳ αὐτοῦ, εἰ δὲ πρὸς αὐτὸν ὑπόπτως ἔχει, παρὰ τῷ Μητροπολίτῃ, εἰ δὲ κἀκεῖνος ὕποπτός ἐστι, δεῖ συνδικάζειν αὐτῷ ἐκ προσώπου τῆς ὅλης συνόδου τρεῖς τοὺς κατὰ τὴν τάξιν τῆς χειροτονίας πρωτεύοντας, καὶ εἰ μὴ στερχθῇ τὰ κεκριμένα, τὸν τῆς Διοικήσεως Πατριάρχην ἐπικαλεῖσθαι, καὶ τοῖς παρ' αὐτοῦ κρινομένοις ἐμμένειν, ὡσανεὶ ἐξ ἀρχῆς αὐτὸς ἐδίκασεν, οὔτε γὰρ ἐκκαλοῦνται αἱ τῶν Πατριαρχῶν ψῆφοι. ταῦτα ἐκεῖ. ἐν δὲ βιβλίῳ πρώτῳ, Τίτλῳ τετάρτῳ, κεφαλαίῳ εἰκοστῷ ἐνάτῳ τοῦ κώδικος πλατύτερον φησὶν ὁ αὐτὸς, Θεσπίζομεν μηδένα τῶν εὐλαβεστάτων Κληρικῶν, εἴτε παρά τινος Συγκλητικοῦ, εἴτε παρὰ τῶν καλουμένων λαϊκῶν τινὸς, εὐθὺς καὶ ἐκ πρώτης ἐν αἰτιάσει γίνεσθαι παρὰ τοῖς μακαριωτάτοις Πατριάρχαις Διοικήσεως ἑκάστης, ἀλλὰ πρῶτον κατὰ τοὺς ἱεροὺς θεσμοὺς παρὰ τῷ τῆς πόλεως Ἐπισκόπῳ, καθ' ἣν ὁ Κληρικὸς διάγει, εἰ δὲ ὑπόπτως ἔχει πρὸς ἐκεῖνον, παρὰ τῷ τῆς Μητροπόλεως Ἐπισκόπῳ τοῦτο πράττειν, εἰ δὲ, ὡς εἰκὸς, οὔτε τὰ κατ' ἐκεῖνον αὐτῷ ἀρέσκει, τηνικαῦτα πρὸς τὴν εὐαγῆ Σύνοδον τῆς Ἐπαρχίας, ἤτοι τοῦ Μητροπολίτου, καὶ τῶν Ἐπισκόπων, εἰ δὲ καὶ παρ' αὐτῆς οἰηθείη βεβλάφθαι, τηνικαῦτα ἐπικαλεῖσθαι τὸν μακαριώτατον Πατριάρχην τῆς Διοικήσεως ἐκείνης, καὶ τοῖς παρ' αὐτοῦ κρινομένοις πάντως ἐμμένειν, ὡσανεὶ ἔτυχεν ἐξ ἀρχῆς αὐτὸς ἠρημένος δικαστὴς, κατὰ γὰρ δὴ τῶν τοιούτων Ἐπισκόπων ἀποφάσεων, οὐκ εἶναι χώραν Ἐκκλήτου τοῖς πρὸ ἡμῶν νενομοθέτηται, καὶ τὰ ἑξῆς. καὶ σημείωσαι ὅτι οὐχ ὁ Ἰουστινιανὸς πρῶτος ἐνομοθέτησε μὴ ὑποκεῖσθαι τὰ κριτήρια τῶν Πατριαρχῶν Ἐκκλήτῳ, ἀλλὰ τοῖς πρὸ αὐτοῦ οὕτως ὁρισαμένοις κατηκολούθησε. προσέτι τοῦ δωδεκάτου Κανόνος τῆς ἐν Ἀντιοχείᾳ λέγοντος, τὸν ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου καθαιρεθέντα, δέον ἐπὶ μείζονα Ἐπισκόπων Σύνοδον τρέπεσθαι, καὶ ἃ νομίζει δίκαια ἔχειν, προσαναφέρειν πλείοσιν Ἐπισκόποις, καὶ τὴν παρ' αὐτῶν ἐξέτασίν τε καὶ ἐπικουρίαν ἐκδέχεσθαι. ὁ Βαλσαμὼν ἑρμηνεύων τοῦτο, φησὶν, ἐμοὶ δοκεῖ, τὸν Κανόνα ἐκφωνηθῆναι διὰ τὰς ἀποφάσεις τῶν ἄλλων Ἐπισκόπων, καὶ τῶν Μητροπολιτῶν, οὐμὴν καὶ τῶν Πατριαρχῶν, αἱ ψῆφοι γὰρ τούτων Ἐκκλήτῳ οὐχ ὑπόκεινται. καὶ δὴ καὶ ὁ Ἐφέσου Ἰσαὰκ ἔλεγε Μιχαὴλ τῷ πρώτῳ τῶν Παλαιολόγων, ὅτι ὁ Κωνσταντινουπόλεως οὐκ ἐκτείνει τὴν ἐξουσίαν αὐτοῦ ἐπὶ τὰ Πατριαρχεῖα τῆς Ἀνατολῆς. καὶ ἰδὲ Γεώργιον τὸν Παχυμέρην βιβλίῳ ἕκτῳ, κεφαλαίῳ ἑνδεκάτῳ. εἰ δὲ ὁ Ἀριστηνὸς λέγει ἐν τῇ ἑρμηνείᾳ τοῦ παρόντος ἐνάτου Κανόνος Ἐξάρχους τῶν Διοικήσεων τοὺς Πατριάρχας, ἀλλὰ ῥητέον πρῶτον, ὅτι παραλογίζεται, μαχόμενος τοῖς ἐκκλησιαστικοῖς Κανόσι, καὶ γὰρ αὐτός ἐστιν ὁ ἀναιδῶς ἀντειπὼν τῷ ἁγιωτάτῳ Πατριάρχῃ τῆς ἁγίας πόλεως Νικηφόρῳ, καὶ ἐν τῷ

τριακοστῷ

τριακοστῷ ἕκτῳ Κανόνι τῆς ἐν Τρούλλῳ Συνόδου γελοίως ἀπεφήνατο εἰπών, ὥστε μὴ κατὰ τὴν τιμὴν δεύτερον τοῦ Ῥώμης τάττεσθαι τὸν Κωνσταντινουπόλεως, ἀλλὰ κατὰ τοὺς χρόνους, καὶ τὴν, ΜΕΤΑ, πρόθεσιν τοῦ χρόνου εἶναι δηλωτικὴν, ἀλλ' οὐ τῆς τιμῆς. τί δὲ ἔδει αὐτὸν εἰπεῖν, ἰδὲ ἀνωτέρω κεφαλαίου τρίτου Παράγραφον δεύτερον. δεύτερον, ὅτι ὡς εἴπομεν ἀνωτέρω βιβλίου δευτέρου, κεφαλαίου πέμπτου, Παραγράφῳ δωδεκάτῳ, τοῖς ἑρμηνευταῖς προσήκει τἀληθῆ λέγειν καὶ ἱστορεῖν, καὶ οὐκ ἰδίαν γνώμην εἰσάγειν, ὅθεν τοῦ Ἀριστηνοῦ τὰ ἀπὸ τῆς κοιλίας αὐτοῦ ἀποβάλλομεν, ἃ δὲ λέγει ἀληθῆ, ἀποδεχόμεθα. λέγει δὲ ἐν τῇ ἑρμηνείᾳ τοῦ ἕκτου Κανόνος τῆς πρώτης ἐν Νικαίᾳ, Ἕκαστος τῶν Πατριαρχῶν τοῖς ἰδίοις προνομίοις ἀρκεῖσθαι ὀφείλει, καὶ μή τινα τούτων Ἐπαρχίαν ἑτέραν, οὐκ οὖσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ χεῖρα, ὑφαρπάζειν, τοῦτο γὰρ τύφος ἐστὶ κοσμικῆς ἐξουσίας.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι τὸ μὴ ὑποκεῖσθαι Ἐκκλήτῳ, καὶ μὴ ἀναψηλαφᾶσθαι τὰ τῶν Πατριαρχῶν κριτήρια, τούς τε Κανόνας τάξιν Νόμων ἐπέχειν, τόν τε Κωνσταντινουπόλεως μὴ ἔχειν Ἔκκλητον πρὸς τοὺς λοιποὺς Πατριάρχας, τούς τε παρόντας Κανόνας μὴ διαγορεύειν περὶ Ἐκκλήτου, ἐκ τῶν ἐνταῦθα νομίμων, καὶ Νεαρῶν τῶν Βασιλέων δείκνυται.

Καὶ Λέων ὁ σοφὸς ἐν τῷ πρώτῳ Τίτλῳ τῆς νομικῆς αὐτοῦ ἐπιτομῆς λέγει, τὸ τοῦ Πατριάρχου κριτήριον Ἐκκλήτῳ οὐχ ὑπόκειται, οὐδὲ ἀναψηλαφᾶται ὑφ' ἑτέρου, ὡς ἀρχὴ καὶ αὐτὸ τῶν ἐκκλησιαστικῶν κριτηρίων, ἐξ αὐτοῦ γὰρ πάντα τὰ ἐκκλησιαστικὰ κριτήρια, καὶ εἰς αὐτὸ ἀναλύει καὶ ἀναστρέφεται, αὐτὸ δὲ οὔτε ἕκτινος, οὔτε πρὸς ἕτερον, τοιοῦτον γὰρ ἡ ἀρχή. ἐπανακρίνεται δὲ καὶ αὐτὸ πνευματικῶς ὑφ' ἑαυτοῦ, καθὰ καὶ τὸ βασιλικὸν, ὁ γὰρ θεόπτης Μωϋσῆς τὸ ἀνακρίνειν τὰς κρίσεις εἰς Νόμον ἔθετο. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι οὔτε τὰ βασιλικὰ καλούμενα νόμιμα, οὔτε ἄλλος τὶς τῶν Αὐτοκρατόρων, οὔτε οἱ ἐκκλησιαστικοὶ Κανόνες, οὔτε οἱ ἔγκριτοι ἐξηγηταὶ αὐτῶν εἶπον τὸν Ῥώμης, ἢ τὸν Κωνσταντινουπόλεως πρῶτον, ἢ ἔσχατον, ἢ ἀνακρίνοντα κριτήν. δεύτερον, ὅτι πάντες εἶπον, ὅτι τῶν Πατριαρχῶν τὰ κριτήρια οὐκ ἀναψηλαφῶνται, οὔτε Ἔκκλητον φοβοῦνται, οὔτε Ἐκκλήτῳ ὑπόκεινται. εἰ δὲ εἶχον οἱ παρόντες Κανόνες σκοπὸν Ἐκκλήτου τῶν Πατριαρχῶν πρὸς τὸν Κωνσταντινουπόλεως, οὐκ ἂν ἐναντία τῶν Κανόνων ἐθέσπιζον, ἐγίνωσκον γὰρ, ὅτι καθὼς ἡ ἐν Χαλκηδόνι Σύνοδος μετὰ τῶν Ἀρχόντων καὶ τοῦ Αὐτοκράτορος Μαρκιανοῦ ἐθέσπισαν, πράξει τετάρτῃ, τοὺς πραγματικοὺς τύπους, ἤγουν τοὺς πολιτικοὺς Νόμους καὶ τὰ βασιλικὰ θεσπίσματα μένειν ἀργὰ, καὶ μόνους τοὺς Κανόνας ἔχειν τὸ κῦρος. καὶ ἡ ἐν Ἐφέσῳ Οἰκουμενικὴ Κανόνι ὀγδόῳ φησὶν, εἰδέτις μαχόμενον τύπον τοῖς νῦν ὡρισμένοις προσκομίσει, ἄκυρον τοῦτον εἶναι ἔδοξε πάσῃ τῇ ἁγίᾳ καὶ Οἰκουμενικῇ Συνόδῳ. εἶτα Ἰουστινιανός ἐστιν ὁ θεσπίζων ἔχειν τοὺς Κανόνας κατὰ πάντα τὸ κῦρος, φησὶ γὰρ ἐν τῇ ἑκατοστῇ τριακοστῇ πρώτῃ Νεαρᾷ, θεσπίζομεν τάξιν Νόμων ἐπέχειν τοὺς ἁγίους καὶ ἐκκλησιαστικοὺς Κανόνας, τοὺς ὑπὸ τῶν ἁγίων τεσσάρων Συνόδων ἐκτεθέντας, ἢ βεβαιωθέντας, καὶ τοὺς Ὅρους αὐτῶν δέχεσθαι ὡς τὰ τέσσαρα Εὐαγγέλια. καὶ Λέων ὁ σοφός ἐστιν ὁ λέγων Βασιλικῶν βιβλίῳ πέμπτῳ, Τίτλῳ τρίτῳ, κεφαλαίῳ πρώτῳ, ὅτι δέχεται τὰς ἁγίας ἑπτὰ Οἰκουμενικὰς Συνόδους ὡς τὸ ἅγιον Εὐαγγέλιον. λέγομεν οὖν πάλιν, ὅτι εἰ οἱ παρόντες Κανόνες εἶχον σκοπὸν Ἐκκλήτου, οὐκ ἂν ἐναντία τούτων κατὰ διάμετρον οἱ Αὐτοκράτορες καὶ οἱ λοιποὶ πάντων τῶν ἁγίων Συνόδων Κανόνες ἐθέσπισαν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἑρμηνείας τῶν παρόντων Κανόνων ὑπὸ τῶν κατὰ τῆς ἀναμαρτησίας τοῦ Ῥώμης φερομένων μὲν ὀρθῶς νέων Αἱρετικῶν, κριτὴν δὲ τὸν Κωνσταντινουπόλεως τοῦ Ῥώμης καὶ τῶν Πατριαρχῶν ψευδῶς λεγόντων. καὶ περὶ ἑτέρων τινῶν, μάρτυρας τῆς τοῦ Κωνσταντινουπόλεως καθόλου Ἐκκλήτου τὴν Ἀλεξιάδα, τὸν Κωνσταντινουπόλεως Ἱερεμίαν, Νικόλαον Μεθώνης, καὶ Μακάριον Ἀγκύρας προσφερόντων, καὶ τῆς ἐκτούτων ἐπεισαγωγῆς τῶν Λατίνων ὑπὲρ τῆς ἐπὶ πάντων Ἐκκλήτου τοῦ Ῥώμης.

Οἱ νέοι Αἱρετικοὶ ὅτε φέρονται κατὰ τῆς ἀναμαρτησίας τοῦ Πάπα τῆς Ῥώμης λέγουσι, τοῦτο οὐδενὶ Ἐπισκόπῳ δέδωκεν ὁ Θεὸς, ἀλλ' οὐδὲ αἱ Σύνοδοι, ἐπειδὴ οὐδεμία Σύνοδος Οἰκουμενικὴ δύναται τὸ ἀξίωμα αὐτῆς δοῦναι ἀνθρώπῳ τινί. ὅτε δὲ ἑρμηνεύουσι τοὺς παρόντας Κανόνας, λέγουσι, πάντων καὶ Πατριαρχῶν καὶ αὐτοῦ τοῦ Πάπα κριτὴς ἐστὶν ὁ Κωνσταντινουπόλεως, ὅπερ προνόμιον οὐδεμία δέδωκε Σύνοδος ἑτέρῳ τινὶ Ἐπισκόπῳ. Ἀλλὰ ῥητέον, ὅτι τὰ μὲν περὶ τοῦ Πάπα καλῶς λέγουσιν, καὶ ἡμεῖς τὰ αὐτὰ εἴπομεν ἀνωτέρω βιβλίῳ δευτέρῳ, διαλεγόμενοι περὶ τῆς ἐν Σαρδικῇ Συνόδου. τὰ δὲ περὶ τοῦ Κωνσταντινουπόλεως, ἐχθρικῶς κατὰ τοῦ Πάπα φερόμενοι, ψευδῶς λέγουσιν, καὶ ἡμᾶς συκοφαντοῦσιν,

φαντοῦσιν, ἐπειδὴ μήτε ἡ ἐν Κωνσταντινουπόλει Ἐκκλησία τοιαύτην γνώμην εἶχεν, ἢ ἔχει, μήτε ἡμεῖς περὶ αὐτῆς τοιοῦτόν τι ἔχομεν, ἢ ἔξομεν, οὐ μὴν ἀλλὰ καὶ ἄλλοι τινὲς φερόμενοι κατὰ τῆς μοναρχίας τοῦ Ῥώμης, τοιοῦτόν τι βούλεσθαι τοὺς παρόντας Κανόνας διϊσχυρίζονται, καὶ συστάσεις προβάλλονται, πρῶτον τὴν Ἀλεξιάδα, ἐν τῷ πρώτῳ βιβλίῳ τῆς ἱστορίας αὐτῆς λέγουσαν, τὴν ἐν Χαλκηδόνι Σύνοδον δεδωκέναι τῷ Κωνσταντινουπόλεως τὴν καθόλου Ἔκκλητον. δεύτερον τὸν Κωνσταντινουπόλεως Ἱερεμίαν, λέγοντα ἐπιστολῇ πρὸς Λουτέρους, ἐπεὶ τοίνυν ἡ καθ' ἡμᾶς Ἐκκλησία πατρὶς τῶν Ἐκκλησιῶν, καὶ ἡγεμονεῖ ἐν τῇ γνώσει, καὶ τὸ ἄσπιλον αὐχεῖ ἐν ταῖς λαμπρότησι τῶν ἀποστολικῶν καὶ πατρικῶν διαταγμάτων, καὶ ἥδε ἡ νέα τὰ πρεσβεῖα τῆς ὀρθοδοξίας εἴληφε, καὶ εἰς κεφαλὴν τέτακται. τρίτον, ὅτι Νικόλαος ὁ Μεθώνης καὶ Μακάριος ὁ Ἀγκύρας λέγουσιν Ἔξαρχον Διοικήσεως εἶναι ἕκαστον Πατριάρχην, τὸν δὲ Κωνσταντινουπόλεως τοὺς πάντας ἀνακρίνοντα. σπουδάζουσι δὲ βεβαιῶσαι τὸ πλαστούργημα αὐτῶν ἐκτίνων παρεξηγήσεων, ὡς ἐροῦμεν, καὶ μάλιστα τὰ τοιαῦτα ἐπεισάγουσιν οἱ Ῥωμᾶνοι, ἵν' ἔχωσι λέγειν, τοιοῦτον λέγουσιν οἱ Ἀνατολικοὶ τὸν Κωνσταντινουπόλεως, καὶ ὅμως τοιοῦτος μόνος ἐστὶν ὁ Ῥώμης, καὶ ὅτι ἀληθῆ εἰσὶ τὰ εἰρημένα περὶ τοῦ Κωνσταντινουπόλεως, καθ' ὅσον ἐστὶ κριτὴς πρῶτος, ὁ Ῥώμης ὅμως ἐστὶ κριτὴς ἔσχατος.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ἀπάντησις εἰς τὴν μαρτυρίαν τῆς Ἀλεξιάδος, καὶ τῆς ἐπεισαγωγῆς τῶν Λατίνων. καὶ ὅτι μέχρι τῶν ἀποστολικῶν μόνον πράξεων, ἁπλῶς δεῖ δέχεσθαι ἡμᾶς τὰς ἱστορίας.

Ἀλλὰ ῥητέον πρὸς μὲν τὴν Ἀλεξιάδα πρῶτον, ὅπερ εἶπον ἐν τῇ ἑβδόμῃ συνελεύσει τοῦ Φλωρεντινοῦ συλόγου οἱ πατέρες ἡμῶν τοῖς λατίνοις, προσοισαμένοις εἰς μαρτυρίαν τὸν Σωζόμενον μάρτυρα, ἀπεκρίθησαν γὰρ διὰ τοῦ Βασιλέως καὶ εἶπον, εἰ προσῆκόν ἐστιν ἐν πράγμασι συνοδικοῖς ἱστορικοὺς ἀναγινώσκεσθαι. καὶ Λεόντιος ὁ σχολαστικὸς λέγει ἐν τῇ τρίτῃ πράξει τῆς ἱστορίας αὐτοῦ, μέχρι τῶν πράξεων τῶν ἁγίων Ἀποστόλων κεκανόνισται ἡμῖν δέχεσθαι τὰς ἱστορίας ἁπλῶς, τὰς δὲ μετέπειτα ἁπλῶς οὐκαταδεχόμεθα. δεύτερον, ὅτι ἰδοὺ καὶ ἐνταῦθα τοῦ παπισμοῦ τὸ ἰδίωμα, ὃς ἵνα συστήσῃ τὰς καινοτομίας αὐτοῦ, προβάλλει γυναῖκας προφήτιδας εἰς μαρτυρίαν δι' ὀνειράτων, ταὐτὸν εἰπεῖν διὰ φασμάτων καὶ δι' ἄλλων τοιούτων, οὕτω καὶ οὗτοι καταφλυαροῦσιν, ὑφαίνοντες ἀράχνης ἱστόν. εἶτα ἡ Ἀλεξιὰς εἰ παρέχει τὴν καθόλου Ἔκκλητον τῷ Κωνσταντινουπόλεως, καταγέλαστός ἐστι, τὸ μὲν, ὅτι ἐκεῖνο, ὅπερ οὐδεὶς τῶν πρὸ αὐτῆς εἶπεν ἕτερος, οὐ μόνον ἅγιος, ἀλλ' οὐδὲ ἱστορικὸς δεκτὸς τῇ Ἐκκλησίᾳ, εἶπεν αὐτή. τὸ δὲ, ὅτι ἀντίκειται τοῖς Κανόσι τοῖς ἀνωτέρω εἰρημένοις πᾶσιν, οἵτινες ῥητῶς λέγουσιν εἶναι τὸν Κωνσταντινουπόλεως μετὰ τὸν Ῥώμης, αὐτὴ δὲ ἐπιτίθησι τὸν Κωνσταντινουπόλεως καὶ τῷ Ῥώμης, οὐδεὶς δὲ ἀντιλέγων ταῖς Οἰκουμενικαῖς Συνόδοις εἰσακουστέος, ἀλλὰ γενναίως ἀποβλητέος.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ἀπάντησις εἰς τὰ τοῦ Ἀγκύρας Μακαρίου, καὶ τῶν λοιπῶν, ὅτι τὸ λέγεσθαι τοὺς Πατριάρχας Ἐξάρχους Διοικήσεως, καὶ ἔχειν τὴν καθόλου Ἔκκλητον τὸν Κωσταντινουπόλεως ἀπὸ τῶν συνοδικῶν Κανόνων, καὶ βασιλικῶν Διαταγῶν, ψευδῶς δείκνυται ἐνταῦθα ἠρεῖσθαι. καὶ περὶ τοῦ ποσαχῶς λέγεται Ἔξαρχος ἐν τῇ Ἐκκλησίᾳ.

Πρὸς δὲ τὸν Ἀγκύρας καὶ τοὺς περὶ αὐτὸν λέγομεν, ὅτι ἀληθῶς καὶ ὀρθοδόξως περὶ τῶν λοιπῶν ἔγραψεν ἡ πανιερότης αὐτοῦ, περὶ δὲ τοῦ παρόντος κεφαλαίου, ὅσον μὲν πρὸς τὴν Ἐπαρχίαν, καλῶς εἶπε, τὴν μέντοι Διοίκησιν κολοβοῖ, περισφίγγει γὰρ αὐτὴν ἐπὶ μόνην τὴν τοῦ Πατριάρχου ἐνορίαν, ὅπερ οὐχ οὕτως ἔχει, καθότι ἡ Διοίκησις ἐστὶ τῶν πολλαχῶς λεγομένων, ὡς ἐροῦμεν βιβλίου δεκάτου, μέρους τρίτου, κεφαλαίῳ ἐνάτῳ. εἶτα ψευδῶς λέγει, ὅτι ὁ Πατριάρχης λέγεται Ἔξαρχος. Ἔξαρχος μὲν γὰρ λέγεται ἐν τῇ Ἐκκλησίᾳ ὀκταχῶς, πρῶτον, ὁ ἔχων πρεσβεῖα τιμῆς ἢ ἀπὸ τοῦ ἰδίου θρόνου, ἢ ἀπὸ τῆς ἀρετῆς, ἢ καὶ ἀπὸ τοῦ θρόνου καὶ τῆς ἀρετῆς, ὡς ἦσαν ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις οἱ τάδε καὶ τάδε Ἐπίσκοποι Ἔξαρχοι, καθὼς γράφει τὸ Συνοδικὸν, καὶ Φώτιος καὶ Γερμανὸς οἱ Κωνσταντινουπόλεως Πατριάρχαι, καὶ Νεῖλος ὁ Ῥόδου, καὶ τινες ἀνώνυμοι, καὶ ἄλλοι ἔγκριτοι ἱστορικοί. δεύτερον, ὁ ἔχων αὐθεντίαν ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις, ὡς ἐλέγοντο ὁ μέγας Κύριλλος καὶ Μέμνων ὁ Ἐφέσου ἐν τῇ τρίτῃ Οἰκουμενικῇ, καὶ ὁ Πάπας Λέων καὶ ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος ἐν τῇ ἐν Χαλκηδόνι, καὶ ἰδὲ ἀνωτέρω τοὺς τόπους. τρίτον, ὁ αἴτιος, ἢ ὑπέρμαχος Αἱρέσεως τινὸς, ὡς ἐλέγοντο ὁ Νεστόριος καὶ ἄλλοι Αἱρεσιάρχαι, καὶ οἱ ἔκδικοι τῶν Αἱρέσεων αὐτῶν παρὰ τῶν Οἰκουμενικῶν καὶ ἄλλων Συνόδων καὶ πατέρων. τέταρτον, ὁ συστήματός τινος ὁμοφώνου, ἐπί τισιν αἰτίαις ἡγού-

ἡγούμενος, ὡς ἐλέγετο ὁ Ἀντιοχείας Ἰωάννης παρὰ τῆς τρίτης Οἰκουμενικῆς, ποιήσατο γὰρ τοῦ ἀποστατικοῦ συνεδρίου. πέμπτον, ὁ Μητροπολίτης τῆς Ἐπαρχίας κατὰ τὸν ἕκτον Κανόνα τῆς ἐν Σαρδικῇ Συνόδου. ἕκτον, ὁ Μητροπολίτης, ἤτοι ὁ πρῶτος τῇ τάξει τῶν Μητροπολιτῶν ἑκάστης Διοικήσεως, ὡς λέγει ὁ ἕκτος Κανὼν τῆς δευτέρας Οἰκουμενικῆς. ἕβδομον, οἱ ἐπίτροποι τῶν Πατριαρχῶν, πεμπόμενοι εἰς ἐξέτασιν καὶ διόρθωσιν τῶν ἐκκλησιαστικῶν πραγμάτων ἐν ταῖς ἰδίαις ἐνορίαις. ὄγδοον, οἱ ἐπίτροποι πάντων τῶν Ἐπισκόπων, πεμπόμενοι εἰς τὸ συνάγειν τὰ δικαιώματα αὐτῶν ἐκ τῶν ὑποκειμένων αὐτοῖς λαῶν. ἐπὶ τούτων οὖν καὶ μόνον ἐρρέθη τὸ ὄνομα Ἔξαρχος ἐν τῇ Ἐκκλησίᾳ. ἐπὶ δὲ τῶν Πατριαρχῶν, ὅτι εἰσὶν Ἔξαρχοι τῶν Διοικήσεων, οὐδέποτε. ἐπὶ τούτων δὲ τῶν δύο Κανόνων ἐρρέθη τὸ Ἔξαρχος κατὰ τὸν ἕκτον τρόπον, εἶπε γὰρ Ἔξαρχον τῆς Διοικήσεως ἡ ἐν Χαλκηδόνι συμφώνως τῷ ἕκτῳ Κανόνι τῆς δευτέρας Συνόδου, ἥτις εἶπε τὴν Σύνοδον τῆς Διοικήσεως μείζονα τῆς Συνόδου τῆς Ἐπαρχίας, ἔστι δὲ ὁ λόγος εἷς καὶ ὁ αὐτὸς, ἡ μὲν γὰρ δευτέρα Σύνοδος εἶπε Σύνοδον Διοικήσεως, ἀφῆκε δὲ ἐννοεῖσθαι τῆς τοιαύτης Συνόδου τὸν πρωτεύοντα, τὸν πρῶτον δηλονότι Μητροπολίτην τῆς Διοικήσεως. ἡ δὲ ἐν Χαλκηδόνι εἶπεν Ἔξαρχον Διοικήσεως, ἀφῆκε δὲ ἐννοεῖσθαι τὸν πρῶτον κριτὴν τῆς Διοικήσεως Μητροπολίτην, τὸν κρίνοντα μετὰ τῶν Ἐπισκόπων τῆς τῶν Ἐπαρχιῶν Διοικήσεως, ὥστε εἷς καὶ ὁ αὐτὸς τῶν Συνόδων λόγος καὶ σκοπός ἐστι. καὶ γὰρ οἱ τῆς ἐν Χαλκηδόνι Συνόδου Κανόνες τῷ ἕκτῳ τῆς δευτέρας Οἰκουμενικῆς Κανόνι ἠκολούθησαν καὶ ἐβεβαίωσαν. ὁ δὲ αὐτὸς Κανὼν τῆς δευτέρας, εἰ καὶ καθόλου ἐστὶν, ὅμως ἀποβλέπει καὶ εἰς τοὺς Ἐξάρχους ἐκείνους τῶν Διοικήσεων, αἵτινες οὐκ ἦσαν ὑποκείμεναι Πατριάρχῃ τινί. ὅθεν καὶ ἡ ἐν Χαλκηδόνι δοῦσα τῷ Κωνσταντινουπόλεως ἐκείνων τῶν Μητροπολιτῶν τὰς χειροτονίας, αἵτινες ἔτι ἦσαν μεγάλων καὶ ἐνδόξων καὶ γειτνιουσῶν πόλεων τῇ βασιλευούσῃ πόλει, ἔδωκεν αὐτῷ καὶ τὴν κρίσιν ἐκείνων, ὡς εἴρηται, φυλάττουσα τὰ διωρισμένα ἐν Νικαίᾳ, ἵνα δηλαδὴ ἡ τῆς Ἐπαρχίας Σύνοδος τὰ τῆς Ἐπαρχίας θεωρῇ. φυλάττουσα δὲ καὶ τὴν ἀπόφασιν τῆς δευτέρας, οὐχ ἵνα τὰ τῆς Ἐπαρχίας ἀναθεωρῇ, ταῦτα γὰρ ἀδιάλυτα παντάτασιν εἶναι βούλεται ὅ,τε πέμπτος τῆς πρώτης Συνόδου Κανὼν, καὶ ὁ δεύτερος τῆς δευτέρας, ἀλλ' εἰ συμβαίη ἀδυνατῆσαι τοὺς Ἐπαρχιώτας πρὸς διόρθωσιν τῶν ἐπιφερομένων ἐγκλημάτων τῷ Ἐπισκόπῳ, τότε αὐτοὺς προσιέναι μείζονι Συνόδῳ τῶν τῆς Διοικήσεως Ἐπισκόπων ἐκείνης, ὑπὲρ τῆς αἰτίας ταύτης συγκαλουμένους. ἐπειδὴ δὲ ἔδωκε τῷ Κωνσταντινουπόλεως τὰς χειροτονίας τῶν Μητροπολιτῶν, εἰποῦσα, εἰ δὲ πρὸς τὸν τῆς Ἐπαρχίας Μητροπολίτην Ἐπίσκοπος, ἢ Κληρικὸς ἀμφισβητοίη, καταλαμβανέτω ἢ τὸν Ἔξαρχον τῆς Διοικήσεως, καὶ ἐπ' αὐτῷ δικαζέσθω, προσέθηκεν, ἢ τὸν τῆς βασιλευούσης πόλεως θρόνον, καὶ ἐπ' αὐτῷ δικαζέσθω. παλιλλογητέον. ἡ πρώτη Οἰκουμενικὴ εἶπεν ἐν τῷ πέμπτῳ Κανόνι, τῶν ἀκοινωνήτων γενομένων ὑπὸ τῶν καθ' ἑκάστην Ἐπαρχίαν Ἐπισκόπων, κρατείτω ἡ γνώμη κατὰ τὸν Κανόνα τὸν διαγορεύοντα, τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας, ὑφ' ἑτέρων μὴ προσίεσθαι. ἡ δευτέρα Οἰκουμενικὴ εἶπεν ἐν τῷ δευτέρῳ Κανόνι, τὰ καθ' ἑκάστην Ἐπαρχίαν ἡ τῆς Ἐπαρχίας Σύνοδος διοικήσει κατὰ τὰ ἐν Νικαίᾳ ὡρισμένα. ἡ τετάρτη εἶπεν ἐν τῷ ἐνάτῳ Κανόνι, εἰ Κληρικὸς ἔχει πρᾶγμα πρὸς τὸν ἴδιον Ἐπίσκοπον, ἢ πρὸς ἕτερον, παρὰ τῆς Συνόδου τῆς Ἐπαρχίας δικαζέσθω. ἡ δευτέρα Οἰκουμενικὴ προσέθηκεν ἐν τῷ ἕκτῳ Κανόνι, εἰ ἀδυνατήσει ἡ τῆς Ἐπαρχίας Σύνοδος, ἡ μείζων Σύνοδος, ἤτοι ἡ τῆς Διοικήσεως τὰ ζητούμενα διαλύσει. ἡ τετάρτη τοῦτο τὸ ἐν τῷ ἕκτῳ Κανόνι τῆς δευτέρας εἰρημένον, περὶ μόνων τῶν ἐχόντων δικαιολογίαν τινὰ μετὰ τοῦ Μητροπολίτου αὐτῶν ἐξέλαβεν, ὁρίσασα ἵνα ταύτην ἢ ὁ Ἔξαρχος, ἤτοι ἡ Σύνοδος τῆς Διοικήσεως, ἢ ὁ Κωνσταντινουπόλεως Πατριάρχης διαλύσῃ. οὐκ ἔδωκε δὲ οὔτε τῇ Συνόδῳ τῆς Διοικήσεως ἵνα ἀνακρίνῃ τὰ τῆς Συνόδου τῆς Ἐπαρχίας, οὔτε τῷ Κωνσταντινουπόλεως ἵνα ἀνακρίνῃ τὰ τῆς Συνόδου τῆς Διοικήσεως, ἀλλὰ φυλάξασα τὴν τιμὴν τῆς Συνόδου τῆς Διοικήσεως, ἀφῆκεν εἰς τὸν ἔχοντα τὴν κρίσιν μετὰ τοῦ Μητροπολίτου, ἵνα, ἐὰν μὴ βουληθῇ κριθῆναι εἰς τὴν Σύνοδον τῆς Διοικήσεως, κριθῇ εἰς τὸν Πατριάρχην Κωνσταντινουπόλεως, καὶ τοῦτο, ἐν τοῖς ὑποκειμένοις αὐτῷ Ἐπισκόποις, ἅπερ εἰ καὶ πασίδηλα, ἀλλ' ἀριδηλότερον γίνεται ὑπὸ τῶν ἀνωτέρω ἐν τῷ παρόντι κεφαλαίῳ εἰρημένων. οὐκ ἄρα ἀληθεύει ὁ Ἀγκύρας, τοὺς Πατριάρχας Ἐξάρχους λέγων τῶν Διοικήσεων, καὶ τὴν Ἔκκλητον ἢ τῶν ὑπ' αὐτοῖς Ἐπισκόπων καὶ Μητροπολιτῶν, ἢ αὐτῶν τῶν Πατριαρχῶν ἔχειν τὸν Κωνσταντινουπόλεως, ἀντικείμενον γάρ ἐστι τοῦτο τῇ τε θείᾳ γραφῇ καὶ τοῖς Κανόσι, καὶ ταῖς βασιλικαῖς διαταγαῖς, καὶ τῇ παραδόσει καὶ πράξει τῆς καθολικῆς Ἐκκλησίας. δεύτερον, ψεύδεται ὁ Ἀγκύρας, συκοφαντῶν τὸν μέγαν Ἰουστινιανὸν, ὁ γὰρ Ἰουστινιανὸς τὰς ἐνορίας τῶν Πατριαρχῶν Διοικήσεις εἶπεν, οὐμὴν εἶπε καὶ τοὺς Πατριάρχας Ἐξάρχους τῶν Διοικήσεων. τρίτον, ὁ αὐτὸς λέγων διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐδόθη τῷ Κωνσταντινουπόλεως ἡ Ἔκκλητος, τερατεύεται ἕνεκεν δύο τινῶν, ὧν τὸ μέν ἐστιν, ὅτι ὁ τρίτος Κανὼν τῆς δευτέρας Οἰκουμενικῆς ἔδωκε τῷ Κωνσταντινουπόλεως πρεσβεῖα τιμῆς, Πατριαρχικὸν ἀξίωμα δηλονότι, καὶ οὐκ Ἔκκλητον, ἐπειδὴ τὴν Ἔκκλητον τῶν Ἐπισκόπων τῶν ἐν τῇ Ἐπισκοπῇ καὶ τῇ Μητροπόλει συμβαινόντων ἔδωκε τῇ Συνόδῳ τῆς Διοικήσεως, καὶ κριτήριον ἕτερον οὐκ εἶπε, ἀλλ' ἢ μόνον τὴν Οἰκουμενικὴν Σύνοδον, ἐπήγαγε γὰρ ἐν τῷ ἕκτῳ Κανόνι, εἰ δέ τις καταφρονήσας τῶν κατὰ τὰ προδηλωθέντα δεδογμένων τολμήσειεν, ἢ βασιλικὰς ἐνοχλεῖν ἀκοὰς, ἢ κοσμικῶν Ἀρχόντων δικαστήρια, ἢ Οἰκου-

Οἰκουμενικὴν Σύνοδον ταράσσειν. πάντας ἀτιμάσας τοὺς τῆς Διοικήσεως Ἐπισκόπους, τὸν τοιοῦτον τὸ ὀρθάπαν εἰς κατηγορίαν μὴ εἶναι δεκτὸν, ὡς καθυβρίσαντα τοὺς Κανόνας, καὶ τὴν ἐκκλησιαστικὴν λυμηνάμενον εὐταξίαν, οὐδὲ ἄρα ἡ ἐν Χαλκηδόνι οἶδε μείζονα Σύνοδον τῆς Συνόδου τῆς Διοικήσεως ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἀλλ' ἢ μόνην τὴν Οἰκουμενικήν. τὸ δὲ ἕτερον ἐστὶ, τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. ἐνταῦθα σημείωσαι, ὅτι καὶ ἐκ τούτου δείκνυται ἀναντιῤῥήτως ἕκαστον τῶν Πατριαρχῶν μὴ λέγεσθαι Ἔξαρχον τῆς Διοικήσεως, λέγει γὰρ ὁ ἕκτος Κανὼν τῆς δευτέρας Οἰκουμενικῆς, πάντας ἀτιμάσας τοὺς τῆς Διοικήσεως Ἐπισκόπους, ὅπερ ταὐτόν ἐστι τῷ ἀνωτέρω εἰρημένῳ, ὅτι Σύνοδος Διοικήσεως καὶ Ἔξαρχος Διοικήσεως ἑτέραν τάξιν ἔχουσι, παρ' ἣν ἔχει ἕκαστος τῶν Πατριαρχῶν μετὰ τῶν ὑποκειμένων αὐτῷ Ἐπισκόπων. τέταρτον, ἡ ἐν Χαλκηδόνι εἰποῦσα ἐν τῷ εἰκοστῷ ὀγδόῳ Κανόνι περὶ τοῦ Κωνσταντινουπόλεως πολλὰ καὶ μεγάλα, ἐμέτρησεν αὐτὰ τοῖς πρεσβείοις τοῦ Ῥώμης, πλὴν τῆς τάξεως, οὐκ ἔχει δὲ ὁ Ῥώμης ἐν τῇ Ἐκκλησίᾳ καθόλου Ἔκκλητον, ἄρα οὐδὲ ὁ Κωνσταντινουπόλεως ἔχει. εἶτα ἐσαφήνισεν ἡ αὐτὴ ἐν τῷ αὐτῷ Κανόνι, ὅτι ὅσα ἔδωκεν αὐτὴ τῷ Κωνσταντινουπόλεως, ἦσαν ἐκεῖνα καὶ μόνα, ἅπερ ἔδωκεν αὐτῷ ἡ Οἰκουμενικὴ δευτέρα, ὅθεν καὶ ἐν τῷ Κανόνι καὶ ἐν τῇ πρὸς τὸν Ῥώμης ἐπιστολῇ εἶπεν, ὅτι ἀνενέωσε τὸν τρίτον Κανόνα τῆς δευτέρας, καὶ οὐδὲν πλέον. ὥστε οὐδὲν τῷ Κωνσταντινουπόλεως καινὸν ἔδωκεν ἡ ἐν Χαλκηδόνι, ἀλλ' ἅπερ ἔδωκεν αὐτῷ ἡ δευτέρα, αὐτὴ ἀνέπτυξε καὶ ἐβεβαίωσεν, εἰ δὲ καὶ ἔδωκεν αὐτῷ καίτι καινὸν, ἀλλὰ τοῦτο μόνον ἐστὶν αἱ χειροτονίαι τῶν Μητροπολιτῶν, καὶ οὐδὲν ἕτερον, οὐ παρέχει δὲ τοῦτο τῷ Κωνσταντινουπόλεως δύναμιν Ἐκκλήτου ἐν ἀλλοτρίαις ἐνορίαις. πέμπτον, ἡ ἐν Χαλκηδόνι ἐβεβαίωσε τὰ πρεσβεῖα τοῦ Κωνσταντινουπόλεως, ἅπερ ἔδωκεν αὐτῷ ἡ δευτέρα, ἀλλ' ἡ δευτέρα δοῦσα τῷ Κωνσταντινουπόλεως πρεσβεῖα, ὥρισε μὴ ὑπερβαίνειν τινὰ Ἐπίσκοπον ταῖς ἀλλοτρίαις Διοικήσεσιν, οὔτε περὶ χειροτονιῶν, οὔτε περὶ οἰκονομιῶν, ἀλλὰ τὰ τῆς Ἐπαρχίας ἡ Σύνοδος τῆς Ἐπαρχίας θεωρήσῃ κατὰ τὰ ἐν Νικαίᾳ ὡρισμένα, καὶ ἰδὲ ἀνωτέρω κεφάλαιον τρίτον. ἕκτον, ἡ δευτέρα Οἰκουμενικὴ οὐκ ἔδωκεν τῇ Συνόδῳ τῆς Διοικήσεως Ἔκκλητον καὶ ἀνάκρισιν τῆς ἀποφάσεως, ἣν ποιήσει ἡ Σύνοδος τῆς Ἐπαρχίας, ἀλλ' εἶπεν ὅτι, εἰ δὲ μὴ δυνηθῇ ἡ τῆς Ἐπαρχίας Σύνοδος διακρῖναι, ἡ Σύνοδος τῆς Διοικήσεως διακρινεῖ, ὡς οὖσα μείζων τῆς Ἐπαρχιακῆς Συνόδου. καὶ ὁ ἔνατος τῆς ἐν Χαλκηδόνι οὐκ εἶπε τὸν Κωνσταντινουπόλεως ἔχειν τὴν Ἔκκλητον τῆς ἀποφάσεως, ἣν ποιήσει ἡ Σύνοδος τῆς Διοικήσεως, ἀλλ' εἶπεν ὅτι, ὁ κριόμενος μετὰ τοῦ Μητροπολίτου, καταλαμβανέτω ἢ τὸν Ἔξαρχον, ἤτοι τὴν Σύνοδον τῆς Διοικήσεως, ἢ τὸν Κωνσταντινουπόλεως Πατριάρχην, καὶ ἐπ' αὐτῷ δικαζέσθω. τὸ δ' ἐπ' αὐτῷ δικαζέσθω, κοινόν ἐστι καὶ τῷ Ἐξάρχῳ τῆς Διοικήσεως, καὶ τῷ Κωνσταντινουπόλεως Πατριάρχῃ. ἕβδομον, ὁ Ἀγκύρας ἔτι παρεξηγεῖται τὸ μέρος τοῦ Κανόνος τὸ, καταλαμβανέτω, καὶ λέγει, καταλαμβανέτω, τουτέστι μήτε τὸν Ῥώμης, μήτε ἄλλον Πατριάρχην δύνασθαι κωλύειν τοὺς ἀπὸ τῆς Ἐπαρχίας αὐτῶν ἀπερχομένους πρὸς τὸν Κωνσταντινουπόλεως Ἐκκλήτου χάριν. Ἀλλὰ ῥητέον, ὅτι τὸ καταλαμβανέτω, κοινὸν ἐστὶ τῷ Ἐξάρχῳ τῆς Διοικήσεως καὶ τῷ Κωνσταντινουπόλεως Πατριάρχῃ, ὡς καὶ τὸ, ἐπ' αὐτῷ δικαζέσθω. εἶτα οὐδέποτε ἐνομίσθη ἢ ἐν Συνόδῳ, ἢ ἐν ἄλλῃ ἐκκλησιαστικῇ ὑποθέσει ὁ Κωνσταντινουπόλεως πρωτεύων τοῦ Ῥώμης, καὶ ἰδὲ τῶν Οἰκουμενικῶν Συνόδων τὰς πράξεις, καὶ πᾶσαν ἐκκλησιαστικὴν καὶ βασιλικὴν καὶ ἱστορικὴν συγγραφήν. καὶ ἐπὶ Ἰουστίνου τοῦ Θρᾳκὸς ἠβουλήθη ὁ Κωνσταντινουπόλεως Ἐπιφάνιος προκαθίσαι τοῦ Πάπα Ἰωάννου, ἀλλ' οὐκ ἠδυνήθη, καὶ ἰδὲ κατωτέρω βιβλίον πέμπτον. εἰ δὲ καὶ ὁ Βιγίλιος ἐπετιμήθη ἐπὶ τοῦ μεγάλου Ἰουστινιανοῦ, οὐκ ἐπετίμησεν ὅμως αὐτῷ ὁ Κωνσταντινουπόλεως, ἀλλ' ἡ Οἰκουμενικὴ Σύνοδος, οὗ μετὰ τὴν ἐπανέλευσιν ἀπὸ τῆς ἐξορίας, καὶ συγκατάθεσιν ἐν τοῖς τρισὶ κεφαλαίοις, ἡ Σύνοδος ἐφύλαξε τὰ πρωτεῖα τῆς τάξεως διόλου ἀκίβδηλα. καὶ ἐν ταῖς διαφοραῖς Σιμπλικίου καὶ Φίληκος μετὰ Ἀκακίου καὶ Εὐθυμίου καὶ Μακεδονίου, καὶ μεταταῦτα ἐν ταῖς μάχαις Γρηγορίου τοῦ διαλόγου καὶ Ἰωάννου τοῦ νηστευτοῦ, καὶ καθεξῆς, οὐδέποτε οὐδεὶς Χριστιανὸς εἶπε τὸν Κωνσταντινουπόλεως μείζονα τοῦ Ῥώμης, οὔτε ἔχειν, εἶπέ τις, τὸν Κωνσταντινουπόλεως τὴν Ἔκκλητον τοῦ Ῥώμης, οὔτε αὐτοὶ οἱ Κωνσταντινουπόλεως Πατριάρχαι, διαφερόμενοι πολλάκις μετὰ τῶν Παπῶν, εἶπόν τι τοιοῦτον, ἀλλὰ μόνον τὰ ἴσα πρεσβεῖα. ὥστε τοῦτο μόνοι τρεῖς ἐφαντάσθησαν, Νικόλαος Μεθώνης, Μακάριος Ἀγκύρας, καὶ ἡ Ἀλεξιὰς (οἷς ἠκολούθησαν καὶ οἱ νέοι Αἱρετικοὶ) ἀγωνιζόμενοι κατὰ τῆς ἀναφυείσης ἐν ἐσχάτοις καιροῖς τυραννίδος τοῦ Ῥώμης, δέον ὅμως τἀληθῆ προτιμᾶν πάσης ἄλλης πειθοῦς καὶ εὑρεσιολογίας. σὺ δὲ πρόσθες, ὅτι ἐν πάσαις ταῖς διαφοραῖς ταῖς συμβεβηκυίαις ἀναμεταξὺ τῶν δύο θρόνων Ῥώμης καὶ Κωνσταντινουπόλεως, οὐ προὐβάλετο ὁ Κωνσταντινουπόλεως τούτους τοὺς Κανόνας, ἵνα δείξῃ ὅτι πρωτεύει τοῦ Ῥώμης, ὡς καὶ ὁ Ῥώμης οὐ προὔτεινε τὸ θέσπισμα τοῦ μεγάλου Κωνσταντίνου, ἵνα δείξῃ ὅτι πρωτεύει ἐξουσιαστικῶς τοῦ Κωνσταντινουπόλεως. καὶ ἰδὲ ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον εἰκοστὸν πρῶτον. ὄγδοον, ὁ αὐτὸς Ἀγκύρας παρεξηγεῖται τὸν ἕκτον Κανόνα τῆς δευτέρας, λέγων Ἐξάρχους Διοικήσεως τοὺς Πατριάρχας, καθότι ἐκείνη εἶπε Σύνοδον Ἐπαρχίας καὶ Διοικήσεως, καὶ Οἰκουμενικὴν, οὐμὴν καὶ τοὺς Πατριάρχας ἐνόησεν Ἐξάρχους τῆς Διοικήσεως, ἐπειδὴ τότε οὐκ εἶχον πάντες οἱ Πατριάρχαι ἐξουσίαν, ὡς ἔχουσι νῦν εἰς τὰς Ἐπαρχίας, ὅθεν μήτε ἐχειροτόνουν ἁπλῶς τοὺς Μητροπολίτας, ἀλλ' ἔλαβον αὐτὴν τελείως εὐταξίας χάριν ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ. εἶτα καθ' ἑαυτοῦ λαλεῖ ὁ Ἀγκύρας, ἡ γὰρ δευτέρα Οἰκουμενικὴ

ὥρισεν

ὥρισεν ἵνα κρίνῃ τελείως ἡ Σύνοδος τῆς Διοικήσεως, ὅπερ ἐὰν εἴπωμεν κατὰ τὸν Ἀγκύρας, ὅτι ἐστὶν ἡ τοῦ Πατριάρχου, οὐκ ἀφεῖκεν ἡ Σύνοδος εἶναι κριτὴν ἕτερον ἀνακρινοῦντα τὴν κρίσιν τοῦ Ἐξάρχου τῆς Διοικήσεως, ἀλλ' ἢ μόνην τὴν Οἰκουμενικὴν Σύνοδον, καὶ ἰδὲ τὸν Κανόνα. ἔνατον, ψεύδεται ἔτι προφανῶς ὁ αὐτὸς, μαχομένης γὰρ τῆς τοιαύτης ἐπιπλάστου Ἐκκλήτου τοῖς ἀνωτέρω πολλάκις σημειωθεῖσιν ἀποστολικοῖς καὶ συνοδικοῖς Κανόσι, καὶ ταῖς βασιλικαῖς Νεαραῖς, λέγει, ὅτι οὐκ ἐμποδίζουσιν οἱ Κανόνες, ἐὰν, οὔσης Οἰκουμενικῆς Συνόδου, κριθῇ ἐν αὐτῇ ὁ βουλόμενος, ἀλλ' ἵνα, μὴ οὔσης Οἰκουμενικῆς, κρίνῃ ὁ Κωνσταντινουπόλεως, ἤτοι ἐν ὥρᾳ ἀνάγκης, ἀλλὰ περὶ τούτου διείληπται ἀνωτέρω κεφαλαίου πρώτου Παραγράφῳ δεκάτῳ ἕκτῳ, ὅπου ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος ζητήσας τοῦτο παρὰ τῆς Συνόδου, καὶ πολλὰ ἀγωνισάμενος, καὶ πολλὰ εἰπὼν, οὐδὲ κἂν λόγου ἠξιώθη παρ' αὐτῆς. τῶν γὰρ εἰρημένων Κανόνων ὁ σκοπὸς ἐστὶν, ἵνα, μὴ οὔσης Οἰκουμενικῆς Συνόδου, κρίνῃ ἡ Ἐπαρχία, καὶ ἡ Διοίκησις, καὶ ἐπειδὴ, ὡς εἴρηται, ἡ τετάρτη ἔδωκε τῷ Κωνσταντινουπόλεως τὰς χειροτονίας τῶν Μητροπολιτῶν, γέγονε μείζων ἡ Πατριαρχικὴ Σύνοδος τῆς Συνόδου τῆς Διοικήσεως, οὐκ ἀνήρηκε μέντοι τὴν Σύνοδον τῆς Διοικήσεως, ἀλλὰ μόνην ἔδωκε χώραν τῷ βουλομένῳ, ἂν μὴ βουληθῇ κριθῆναι εἰς τὸν Ἔξαρχον τῆς Διοικήσεως, κριθῆναι εἰς τὸν Πατριάρχην Κωνσταντινουπόλεως. δέκατον, ψεύδεται ὁ αὐτὸς, λέγων, ὅτι τοὺς Κανόνας τούτους, ἤτοι τὸν ἔνατον καὶ δέκατον ἕβδομον τῆς ἐν Χαλκηδόνι οὕτως ἐννοουμένους, ἐδέξατο ὁ Πάπας Ῥώμης, καὶ ἡ ἐν Ῥώμῃ Ἐκκλησία, καθότι ἡ ἐν Ῥώμῃ Ἐκκλησία (εἰ καὶ παραλόγως) ἐβούλετο ἔχειν τὸν Κωνσταντινουπόλεως τὸν πέμπτον τόπον, καὶ μὴ τὸν δεύτερον. καὶ πῶς ἐδέχθη, ἵνα ἔχῃ ὁ Κωνσταντινουπόλεως τὴν καθόλου Ἔκκλητον, μὴ εἰδότων μάλιστα παντελῶς μήτε τοῦ Πάπα Λέοντος, μήτε τῆς ἐν Ῥώμῃ Ἐκκλησίας, μήτε ἄλλης, μήτε αὐτῆς τῆς ἐν Κωνσταντινουπόλει τὸ τοιοῦτον τῆς καθόλου Ἐκκλήτου ἀσεβέστατον καὶ πρᾶγμα καὶ ὄνομα. ἐνδέκατον, ἔτι ψεύδεται ὁ αὐτὸς, λέγων, ὅτι ὁ Κωνσταντινουπόλεως, εἰ καὶ τῇ τάξει ἐλάττων ἐστὶ τοῦ Πάπα, ἔχει ὅμως τὴν καθόλου Ἔκκλητον, ὁ δὲ λόγος οὗτος τὸ τὸν ἐλάττονος ὄντα βαθμοῦ δύνασθαι μείζονα ἔχειν ἀξίαν, παπιστικός ἐστιν ὑπὲρ τῶν Καρδηνάλεων, καὶ ἰδὲ κατωτέρω βιβλίου δεκάτου μέρους ἕκτου κεφάλαιον πρῶτον. δωδέκατον, ὁ αὐτὸς προβάλλει ἐπιχειρήματα ἀπὸ τῶν Νεαρῶν καὶ Κανόνων, ἅπερ ἡμεῖς τεθείκαμεν ἀνωτέρω ἐν τῷ παρόντι κεφαλαίῳ μετὰ τῆς ἑρμηνείας αὐτῶν, καὶ γὰρ ἀπεδείξαμεν λαμπρῶς, ὅτι ἕκαστος Πατριάρχης κριτὴς καὶ οἰκονόμος ἐστὶ τῶν ἐν τῇ Ἐπαρχίᾳ αὐτοῦ συμβαινόντων, ὅτι ὁ Κωνσταντινουπόλεως οὐ πέμπει Σταυροπήγια ἐν ταῖς ἐνορίαις τῶν ἄλλων Πατριαρχῶν, ἀλλ' ἐν ταῖς Ἐπαρχίαις τῶν ὑπ' αὐτῷ Μητροπολιτῶν, ὅτι μόνων τῶν ὑπ' αὐτῷ τὰς ἀμφισβητήσεις ἐπιδιορθοῖ, καὶ μόνοις αὐτοῖς τῶν συμβαινόντων καθίσταται διαιτητὴς καὶ οἰκονόμος. ἀλλὰ καὶ τοῦτο ῥητέον, ὅτι καὶ πρὸ τοῦ Ἰουστινιανοῦ προσέτι ἡ Κωνσταντινουπόλεως Ἐκκλησία ἐλέγετο κεφαλὴ πασῶν τῶν Ἐκκλησιῶν, καὶ ὅτι τῶν ἄλλων τὴν προεδρίαν ἔχει, ἀλλ' ἐννοοῦνται οἱ λόγοι περὶ μόνων τῶν ὑποκειμένων αὐτῇ, καὶ ἰδὲ κατωτέρω βιβλίου πέμπτου κεφάλαιον δέκατον ἔνατον. δέκατον τρίτον, ὁ αὐτὸς ἀπᾴδοντα λαλεῖ, προβάλλων γὰρ τὸ τοῦ Ἰουστινιανοῦ, ὅτι τὰς ἀναφυομένας κανονικὰς ἀμφισβητήσεις ἐν τῷ Ἰλλυρικῷ οὐδεῖ τέμνεσθαι παρὰ γνώμην τοῦ Κωνσταντινουπόλεως καὶ τῆς αὐτοῦ Συνόδου, ὅτι ἔχει τὰ προνόμια τῆς ἀρχαίας Ῥώμης, καὶ βούλεται καὶ ἐκτούτου τὸν Κωνσταντινουπόλεως μείζονα εἶναι τοῦ Ῥώμης, καὶ τὴν Ἔκκλητον ἔχειν τῶν Πατριαρχῶν. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἀνωτέρω εἶπεν, ὅτι ἔχοντος τοῦ Κωνσταντινουπόλεως τὴν Ἔκκλητον καὶ τῶν ὑποκειμένων τῷ Ῥώμης, οὐδὲν ὁ Ῥώμης ὑστερήθη, ὧν εἴληφεν ἐξ ἀρχῆς. νῦν δὲ λέγει, ὅτι ἡ Κωνσταντινούπολις ἔχει τὰ προνόμια τῆς ἀρχαίας Ῥώμης, ἅπερ ἐὰν ἐννοήσωμεν, ὅτι ὅσα ἔχει ὁ Ῥώμης, ἔχει καὶ ὁ Κωνσταντινουπόλεως κατὰ τι ἰδικὸν ἀξίωμα, πρόκειται ὁ παπισμὸς βεβαιούμενος, καὶ εἰ ἔχει ὁ Ῥώμης, μόνος ἔχει, οὐμὴν καὶ δεύτερος, ἀλλὰ πάλιν βεβαιοῦται ὁ παπισμὸς, οὐδὲν γὰρ ἔχει ὁ Ῥώμης, πλὴν τῆς τάξεως, ὅπερ οὐκ ἔχουσι καὶ ὁ Κωνσταντινουπόλεως, καὶ οἱ λοιποὶ Πατριάρχαι. εἰ δὲ ὅτι ὁ Ῥώμης εἶχε πρεσβεῖα Ἐκκλήτου, ἀλλὰ ταῦτα λαβὼν ἔχει ὁ Κωνσταντινουπόλεως, εἰπάτωσαν οἱ περὶ τὸν Ἀγκύρας, πότε ἔλαβε, καὶ παρὰ τίνος ἔλαβε; καὶ ὅτι μὴ γὰρ τοῦ Πάπα ἀποστατήσαντος, μείνας ὁ Κωνσταντινουπόλεως ἐν τῇ ἰδίᾳ τάξει, ἐστὶ πρῶτος τῶν Πατριαρχῶν κατ' αὐτὴν καὶ μόνην τὴν τάξιν, δῆλον, οὐμὴν δὲ καὶ ἔλαβέτι τρόπῳ τοιούτῳ, ὥστε τυραννεῖν τὴν Ἐκκλησίαν ὥσπερ ὁ Πάπας, εἰ ἀφέντα τὸν Πάπαν τοὺς νεωτερισμοὺς, καὶ ἐλθόντα εἰς τὴν ἀρχαίαν λαμπρότητα τῆς εὐσεβείας, μὴ δύνασθαι εἶναι ἐκεῖνον πρῶτον, καὶ δεύτερον τὸν Κωνσταντινουπόλεως; τοῦτο γὰρ γελοῖον, καὶ οὐδενὶ χριστιανῷ φορητόν. δεύτερον, ὅτι ὁ σκοπὸς τοῦ Ἰουστινιανοῦ ἐστὶν, ὅτι ἐπειδὴ ἡ Θεσσαλονίκη ὑποκειμένη οὖσα τῷ θρόνῳ Κωνσταντινουπόλεως, εἶχεν ὑφ' ἑαυτὴν σχεδὸν πᾶσαν τὴν ἐνορίαν, ἣν ἔδωκεν ὁ Ἰουστινιανὸς τῷ Ἀρχιεπισκόπῳ Ἀχρίδος, ὡρίσθη, ἵνα, ἐπειδὴ ὁ Ἀχρίδος ἀπεσπάσθη μέρος τῆς Κωνσταντινουπόλεως, ἔχῃ ὁ Κωνσταντινουπόλεως ἐν ἐκείνῃ τῇ ἐνορίᾳ λύειν τὰς προσπιπτούσας ἀμφιβολίας, οὐμὴν ὅτι ἐκτούτου ἔλαβεν Ἔκκλητον ὁ Κωνσταντινουπόλεως ἐν τῇ καθόλου Ἐκκλησίᾳ. τοσαῦτα εἰπὼν ὁ Ἀγκύρας θυμῷ τῷ πρὸς τὸν Ῥώμης, καὶ παρέχων τὴν καθόλου Ἔκκλητον τῷ Κωνσταντινουπόλεως, οὐκ ἐδυνήθη κἂν ἓν καὶ μόνον παράδειγμα εἰπεῖν, ἀλλ' ἢ μόνον ὅτι ὁ Ἀκραγαντίνων Γρηγόριος ἐκρίθη κελεύσει τοῦ Βασιλέως, καὶ γνώμῃ καὶ Τοποτηρηταῖς τοῦ Κωνσταντινου-

τινουπόλεως ὑπὸ τοῦ Πάπα. Ἀλλὰ ῥητέον, ὅτι τοῦτο οὐδίδωσιν Ἔκκλητον τῷ Ῥώμης, ἢ τῷ Κωνσταντινουπόλεως, ἀλλὰ παρέχει τὴν δύναμιν τῆς κρίσεως τῇ Συνόδῳ, ὅπερ ἐστὶ Νόμος φυσικὸς καὶ θεῖος ἐν τῇ Ἐκκλησίᾳ, ἵνα ἡ καθόλου κοινότης, ἀναμάρτητος οὖσα, κρίνῃ, ἀνακρίνῃ, καὶ διακρίνῃ Πάπας καὶ Πατριάρχας καὶ πάντα Ἐπίσκοπον καὶ πάντα Χριστιανόν. ὁ δὲ Ῥώμης καὶ Κωνσταντινουπόλεως πολλάκις ἥμαρτον οὐ μόνον ἠθικῶς, ἀλλὰ καὶ ἐν ταῖς ἀσεβεστάταις Αἱρέσεσιν, Ἀρειανῶν δηλονότι, Πνευματομάχων, Νεστοριανῶν, Μονοφυσιτῶν, Μομοθελητῶν καὶ Εἰκονομάχων, καὶ ἐκρίθησαν καὶ κατεκρίθησαν καὶ οὗτοι ὑπὸ τῶν Οἰκουμενικῶν Συνόδων, ὡς καὶ πᾶς ἄλλος τοιοῦτος χρηματίσας Αἱρετικός. μεματαίωνται ἄρα μετὰ τῶν ἐπιχειρημάτων τῶν περὶ τοῦ Ἀγκύρας καὶ οἱ πεισματικοὶ λόγοι τῶν Νέων Αἱρετικῶν περὶ τῆς ἐπὶ πάντων Ἐκκλήτου τοῦ Κωνσταντινουπόλεως. τίνα δὲ τιμὴν ἔχει ἰδικὴν ὁ Κωνσταντινουπόλεως ἐπὶ τῶν Πατριαρχῶν, ἰδὲ κατωτέρω βιβλίου δεκάτου, μέρους δευτέρου, κεφάλαιον ἕκτον.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ Ἐκκλήτου, καὶ τί ἐστιν Ἔκκλητος, καὶ πῶς δέχεται αὐτὴν ἡ Ἐκκλησία, καὶ πῶς ἐννοεῖται τὸ μὴ ὑποκεῖσθαι Ἐκκλήτῳ ἑκάστου τῶν Πατριαρχῶν τὸ κριτήριον, καὶ τίνα ἀναλογεῖ ἡ Οἰκουμενικὴ Σύνοδος.

Ἐν τῷ πρώτῳ τόμῳ τῶν Βασιλικῶν λέγεται, τὴν ἀδικίαν καὶ τὴν ἀπειρίαν τοῦ δικάσαντος ἐπανορθοῦται ἡ Ἔκκλητος. Ἔκκλητος δέ ἐστιν αἰτίασις καὶ μέμψις ἀποφάσεως. ἄλλως. Ἔκκλητός ἐστιν ἡ ἀπὸ δικαστηρίου οἱουδήποτε ἐφ' ἕτερον μεῖζον δικαστήριον ἀγωγή. βιβλίῳ ἐνάτῳ, Τίτλῳ πρώτῳ. ὁ Σουΐδας δὲ ὑπογράφει αὐτὴν λέγων, Ἔκκλητός ἐστιν ἡ ἐπὶ Σύνοδον παραίτησις. συνᾴδει δὲ τὰ βασιλικὰ μετὰ τῶν ἐκκλησιαστικῶν Ἐκκλήτων, ἐν τῷ ἀνωτέρῳ γὰρ κεφαλαίῳ ἐῤῥέθη παρὰ τῶν Βασιλέων, ὁ δὲ ἔχων ἀγωγὴν Κληρικὸς, καὶ ὑπόπτως ἔχει πρὸ τὸν Ἐπίσκοπον, τουτέστι διὰ πάθος τι, ὃ ἔχει ὁ Ἐπίσκοπος κατ' αὐτοῦ, ἢ δι' ἀπειρίαν τῶν Κανόνων, ἵνα ἀπέρχηται πρὸς τὸν Μητροπολίτην τῆς Ἐπαρχίας καὶ τὴν Σύνοδον αὐτοῦ, εἰ δὲ καὶ παρ' αὐτῆς, ἤτοι τῆς Συνόδου τῆς Ἐπαρχίας οἰηθείη βεβλάφθαι, ἵνα, διὰ τὰ αὐτὰ αἴτια τῆς ἀδικίας καὶ τῆς ἀπειρίας, ἐπικαλῆται τὸν Πατριάρχην τῆς Διοικήσεως, πρὸς διόρθωσιν δηλονότι τῆς ἀδικίας καὶ τῆς ἀπειρίας, εἰ ἐκρίθη. τῆς αὐτῆς δέ ἐστι δυνάμεως καὶ ὁ ἕτερος ὅρος ὁ λέγων, ἀγωγὴ ἀπὸ δικαστηρίου ἐφ' ἕτερον μεῖζον δικαστήριον, ὅπερ ταὐτόν ἐστι τῷ, ἡ ἐπὶ Σύνοδον παραίτησις, τουτέστιν ἀπὸ τῆς ἐλάττονος ἐπὶ τὴν μείζονα. ἐπειδὴ δὲ ἐν τοῖς πολιτικοῖς ἡ τοῦ Ἐπάρχου ἀπόφασις Ἔκκλητον οὐκ ἐπιδέχεται, οὕτως ἐν τοῖς ἐκκλησιαστικοῖς ἡ τοῦ Πατριάρχου ἀπόφασις Ἐκκλήτῳ οὐχ ὑπόκειται, οὐ δὲ ἀναψηλαφᾶται ὑπ' ἄλλου τινός. ἀλλ' ἐπειδὴ πολλάκις συμβαίνουσιν ἀμφιβολίαι τινὲς τῶν δίκην ἐχόντων, ἃς τεμεῖν οὐ δύναται ὁ Ἔπαρχος, θεωρεῖ ταύτας καὶ ἀποφαίνεται αὐτὸς ὁ ἴδιος Βασιλεύς. οὕτω καὶ ἐν τῇ Ἐκκλησίᾳ συμβαίνουσί τινες ἀμφιβολίαι, ἃς οὐ δύναται τεμεῖν οὔτε ὁ Πατριάρχης, οὔτε τινες τῶν Πατριαρχῶν, εἰ δὲ καὶ τέμνωσιν, ἀλλ' ἐπισφαλῶς, ἢ ἀπιθάνως, οὐ γὰρ πιστεύουσι μόνοις αὐτοῖς οἱ λαοὶ, λύει δὲ ταύτας, καὶ βεβαιοῖ τὰς τῶν πιστῶν συνειδήσεις ἡ Οἰκουμενικὴ Σύνοδος, ἥτις εἰ καὶ τῶν Πατριαρχῶν τινὶ κέκριταί τι, ἢ ἀδικίαν, ἢ ἀπειρίαν ὑποσημαῖνον, ἐξετάζει, ἀναψηλαφᾷ, καὶ διορθοῖ, ἅτινα καὶ ἀποδέχεται πᾶς ὀρθόδοξος, πλὴν τῶν ἀποβεβλημένων, οἵτινες ἀντιπίπτοντες ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ, καὶ αὐτῇ τῇ ἁγίᾳ γραφῇ ἀντίκεινται. οὕτως ἔκριναν αἱ Σύνοδοι τὰ τῶν Αἱρετικῶν προβλήματα, οὕτω τὴν ἁγίαν γραφὴν ἡρμήνευσαν, οὕτω τὴν ὀρθόδοξον πίστιν ἐβεβαίωσαν, οὕτως ἐξήτασαν τὰς ἐπιστολὰς τῶν Πατριαρχῶν καὶ τῶν Παπῶν, Κελεστίνου, Λέοντος, Ἀγάθωνος, Ἀδριανοῦ, Κυρίλλου, Σωφρονίου, Σεργίου, Ὀνωρίου, Κύρου, καὶ Θεοδώρου Ἱεροσολύμων, καὶ τὰς μὲν εὐσεβεῖς ἐδέξαντο, τὰς δὲ κιβδήλους κατέκρινον, καὶ γὰρ εἰ καὶ ἑκάστου τῶν Πατριαρχῶν τὸ κριτήριον Ἐκκλήτῳ οὐχ ὑπόκειται, ἀλλὰ τοῦτο ἐννοεῖται περὶ τοῦ μὴ δύνασθαί τινα τῶν Πατριαρχῶν κριτὴν γενέσθαι ἐπὶ τὴν τοῦ ἑτέρου Πατριάρχου ἀπόφασιν, οὐ περὶ τῆς Οἰκουμενικῆς Συνόδου, ἥτις ἀνακρίνει τὰ κεκριμένα πάντα ὑπὸ πάντων τῶν Πατριαρχῶν, ὡσεὶ μὴ ὅλως ἐκρίθησαν. εἰ δὲ ἐν τοῖς περὶ πίστεως καὶ ὁ ἐλάττων Ἐπίσκοπος καὶ μερικὴ Σύνοδος μέμφεται, εἴπερ τις Πατριάρχης ἐφρόνησεν, ἢ ἔκρινε κακῶς, ἀλλὰ καὶ τοῦτο ἐν Οἰκουμενικῇ Συνόδῳ ἀναθεωρεῖται καὶ διακρίνεται, ὥστε ἀναντίῤῥητόν ἐστι τὸ εἰρημένον, ἤτοι τὸ, ὅντινα λόγον ἔχει ὁ Αὐτοκράτωρ ἐν τῇ πολιτείᾳ, τὸν αὐτὸν ἔχει ἡ Οἰκουμενικὴ Σύνοδος ἐν τῇ Ἐκκλησίᾳ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ τὶς μόνος καὶ πρῶτος τοῖς αὐτὸν καθῃρηκόσι βιβλίον Ἐκκλήτου διαπεμψάμενος, μεῖζον ἐπεκαλέσατο κριτήριον, ὁμοίως καὶ ἄλλοι μετ' αὐτὸν, καὶ πῶς ἡ τοιαύτη Ἔκκλητος ἐννοεῖται, καὶ πῶς ἐκκαλοῦνται οἱ καθαιρεθέντες, καὶ ὅτι οὐ συμφωνεῖ ἡ Ἔκκλητος αὕτη τοῖς πολιτικοῖς Νόμοις.

Ὁ Σωκράτης ἱστορεῖ βιβλίῳ δευτέρῳ κεφαλαίῳ τεσσαρακοστῷ, λέγων, ἰστέον ὅτι Κύριλλος ὁ Ἱεροσολύμων ὕστερον κατηγόρητο, καὶ διατὶ μὲν, οὐκ ἔχω φράσαι, καθῃρέθη δὲ, ὅτι ἐπὶ τὸ κριθῆναι καλούμενος ἐφεξῆς δύς ἐνιαυτῶν διέφυγε, τὰς κατηγορίας εὐλαβούμενος, καθαιρεθεὶς δ' ὅμως, Ἐκκλήτου βιβλίον τοῖς καθελοῦσι διαπεμψάμενος, μεῖζον ἐπεκαλέσατο δικαστήριον, οὗτῃ Ἐκκλήτῳ καὶ ὁ Βασιλεὺς Κωνσταντίος ἐγεγόνει σύμψηφος. τοῦτο μὲν οὖν μόνος καὶ πρῶτος παρὰ τὸ σύνηθες ἐκκλησιαστικῷ Κανόνι Κύριλλος ἐποίησεν, Ἔκκλητον ὡς ἐν δημοσίῳ δικαστηρίῳ χρησάμενος, τότε δὲ ἐν τῇ Σελευκείᾳ παρὴν κριθησόμενος. ταῦτα ὁ Σωκράτης. τοῦτο δὲ τοῦ Κυρίλλου, ὡς οἶμαι, οὕτως ἐννοητέον, ὅτι οἱ καθαιρεθέντες ὁπωσδήποτε Ἐπίσκοποι, ἔμενον ἐν τῇ κρίσει τῆς καθαιρησάσης αὐτοὺς Συνόδου, ἐζήτουν δὲ μείζονα Σύνοδον ἀπολογηθῆναι πρὸς ἀνάκρισιν καὶ δικαίωσιν, ὡς σαφῶς διορίζεται ὁ δωδέκατος Κανὼν τῆς ἐν Ἀντιοχείᾳ Συνόδου. ὁ δὲ Κύριλλος καθαιρεθεὶς, κατεφρόνησε τῆς καθαιρέσεως, καὶ μεῖζον ἐπεκαλέσατο δικαστήριον, χωρὶς τοῦ μεῖναι ἐν τῇ κατακρίσει, ἣν πεποιήκασιν αὐτῷ οἱ καθήραντες αὐτὸν, ὅπερ ἀντίκειται τῷ ἐκκλησιαστικῷ Κανόνι καὶ τῇ ἐκκλησιαστικῇ παραδόσει, τοῦτο δὲ βεβαιοῖ ὁ τέταρτος Κανὼν τῆς ἐν Ἀντιοχείᾳ Συνόδου. ἐμέμφθη τὸν Κανόνα ὁ Χρυσόστομος καὶ ὁ Ῥώμης Ἰννοκέντιος, ὡς μαρτυροῦσι Σωκράτης καὶ Σωζόμενος, ἀλλ' οὐδὲν ἐδυνήθησαν, ἐπειδὴ ἐβεβαίου αὐτὸν ἡ ἀρχαία συνήθεια. ὅθεν καὶ ἐν τῇ τετάρτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου ἀνεγνώσθη καὶ ἐβεβαιώθη. ὅτι δὲ ἀντικείμενόν ἐστι τῷ ἐκκλησιαστικῷ Κανόνι τὸ κριθῆναι ὑπὸ Συνόδου, καὶ χωρὶς ἀπολογίας πρὸς ἑτέραν Σύνοδον ἐνεργεῖν τὰ ἐκκλησιαστικὰ, μάρτυς ὁμέγας Ἀθανάσιος, λέγων ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ, Πέτρος παρ' ἡμῖν, πρὸ μὲν τοῦ διωγμοῦ γέγονεν Ἐπίσκοπος, ἐν δὲ τῷ διωγμῷ καὶ ἐμαρτύρησεν, οὗτος Μελήτιον ἀπὸ τῆς Αἰγύπτου, λεγόμενον Ἐπίσκοπον, ἐπὶ πολλαῖς ἐλεγχθέντα παρανομίαις καὶ θυσίᾳ, ἐν κοινῇ Συνόδῳ τῶν Ἐπισκόπων καθεῖλεν. ἀλλὰ Μελήτιος οὐ πρὸς ἑτέραν Σύνοδον κατέφυγεν, οὐδὲ ἐσπούδασεν ἀπολογήσασθαι τοῖς μεταταῦτα, σχίσμα δὲ πεποίηκε. καὶ κατωτέρω, εὐθὺς δὲ τοὺς Ἐπισκόπους λοιδορεῖν ἤρξατο, καὶ τὰ ἑξῆς. καὶ σημείωσαι, ὅτι Μελήτιος μὴ ὑπείξας τῇ καθαιρέσει, κατεκρίθη, τοῦτο ὅμως τοῖς πολιτικοῖς Νόμοις οὐ συμφωνεῖ, ἐν γὰρ τοῖς πολιτικοῖς Νόμοις, γενομένης ἀποφάσεως τοῦ δικαστοῦ, ὁ μὴ εὐθὺς, ἢ μετὰ τοσαύτας διωρισμένας ἡμέρας ἀπαγορεύσας αὐτὴν, ἀλλὰ σιωπήσας, οὐ δύναται τοῦ λοιποῦ ἐφ' ἕτερον δικαστήριον ἐκκαλέσασθαι τὴν δίκην. ἐν δὲ τῇ Ἐκκλησίᾳ, ὁμείνας ἐν τῇ ἀποφάσει τῆς Συνόδου, δύναται ἐφ' ἕτερον δικαστήριον τὴν ἀγωγὴν ἐκκαλέσασθαι καὶ πολλοῦ διαγενομένου χρόνου. εἰ δὲ παραιτήσηται τὴν κατ' αὐτοῦ τῆς Συνόδου ἀπόφασιν, ὑστέρηται πάσης ἀπολογίας, ἐπειδὴ οὐ δύναται ἐφ' ἑτέραν Σύνοδον ἀγαγεῖν τὴν δίκην αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τῶν εἰρημένων ἀνωτέρω περὶ Ἐκκλήτου, δείκνυται ἐνταῦθα τὴν πατριαρχικὴν ἀπόφασιν μὴ δέχεσθαι Ἔκκλητον ἐπ' ἄλλον Πατριάρχην, ἀλλ' ἢ ἐπὶ οἰκουμενικὴν Σύνοδον. καὶ περὶ ἑρμηνείας διεφθαρμένης τοῦ ἐνάτου καὶ δεκάτου ἑβδόμου Κανόνος τῆς παρούσης Συνόδου ὑπὸ τῶν σοφῶν παπιστῶν, οὐ περὶ Ἐκκλήτου ἀποφαίνεσθαι τοὺς Κανόνας λεγόντων, κατὰ τὸν Μεθώνης, ἀλλὰ κατὰ Βησσαρίωνα περὶ τοῦ πρώτου κριτηρίου, ὅ ἐστι τὸ ἔσχατον τοῦ κοινοῦ πατρὸς καὶ Διδασκάλου, δηλαδὴ τοῦ Ῥώμης. καὶ περὶ τῆς ὀρθῆς ἑρμηνείας τοῦ ἐνάτου Κανόνος, δι' ἧς ἡ ἀναίρεσις τῆς ἐθελοθρησκείας τοῦ Μεθώνης Νικολάου.

Οὕτω διωρισμένης τῆς Ἐκκλήτου δι' ἐναποδείκτων λόγων ἐνταῦθα, φανερόν ἐστιν, ὅτι ἡ Πατριαρχικὴ ἀπόφασις οὐ δέχεται Ἔκκλητον ἐπ' ἄλλον Πατριάρχην, ἀλλ' ἢ εἰς οἰκουμενικὴν Σύνοδον, καὶ τοῦτο περὶ τῶν αἰτίων ὧν εἴπομεν ἀνωτέρω. οἱ δὲ παπισταὶ ζητοῦντες συστῆσαι τὸ μοναρχικὸν ἐν τῇ Ἐκκλησίᾳ ἀξίωμα, καὶ ὑποθέμενοι καινὴν καὶ πρόσφατον Ἔκκλητον, οὐ λέγουσιν αὐτὴν πάντοτε Ἔκκλητον, ἀλλὰ διαφόροις ὀνόμασι προσαγορεύουσι, καὶ δὴ καὶ τὸν Κωνσταντινουπόλεως ποτὲ μὲν πέμπτον τιθέασι, ποτὲ δὲ πρῶτον λέγουσι, καὶ πάντοτε σοφίζονται πρὸς ἀπάτην τῶν ἁπλουστέρων. λέγουσιν οὖν ἐνταῦθα, δῆθεν δυσχεραίνοντες πρὸς τοὺς λόγους τοῦ Μεθώνης Νικολάου, βιβλίῳ πρώτῳ κατὰ τῆς ἀρχῆς τοῦ Πάπα, προβάλλοντος τοὺς διαληφθέντας Κανόνας τῆς ἐν Χαλκηδόνι Συνόδου τὸν ἔνατον καὶ δέκατον ἕβδομον, τοὺς λέγοντας, εἴτις Κληρικὸς πρᾶγμα ἔχει πρὸς τὸν ἴδιον, ἢ καὶ πρὸς ἕτερον Ἐπίσκοπον, παρὰ τῇ Συνόδῳ τῆς Ἐπαρχίας δικαζέσθω. εἰ δὲ πρὸς τὸν τῆς αὐτῆς Ἐπαρχίας Μητροπολίτην Ἐπίσκοπος, ἢ Κληρικὸς ἀμφισβητοίη, καταλαμβανέτω ἢ τὸν Ἔξαρχον τῆς Διοικήσεως, ἢ τὸν τῆς βασιλευούσης Κωνσταντινουπόλεως θρόνον,

θρόνον, καὶ ἐπ' αὐτῷ δικαζέσθω. συνάγειν οὖν δοκεῖ ἐκ τούτου ὁ Νικόλαος, ὅτι ἡ καθόλου Ἔκκλητος ἐδόθη ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου τῷ Κωνσταντινουπόλεως. Ἀποκρίνονται πρὸς τοῦτο οἱ παπισταὶ ὥσπερ καὶ εἰς τὰ τοῦ Ἀγκύρας, διαιροῦντες πονηρίᾳ καὶ σοφιστείᾳ, καὶ χρώμενοι λέξεσιν ἀσυνήθεσι, καὶ εἰσφέροντες ἀξιώματα ἐν τῇ Ἐκκλησίᾳ οὐδαμῶς παραὐτῆς ἢ ὁμολογούμενα, ἢ γινωσκόμενα, καὶ δὴ προσθήκας καὶ ἀφαιρέσεις ποιοῦντες ἐν τοῖς συνοδικοῖς Κανόσι, μὴ αἰσχυνόμενοι τὸ πρᾶγμαν, καὶ λοιπὸν λέγουσιν, ὅτι οὐ περὶ Ἐκκλήτου ἀποφαίνονται οἱ Κανόνες, ἀλλὰ περὶ τοῦ πρώτου κριτηρίου, καθὼς σημειοῖ Βησσαρίων ἐπιστολῇ πρώτῃ πρὸς Φιλανθρωπινὸν λέγων, ὁ δὲ τῆς ἐν Χαλκηδόνι Συνόδου Κανὼν ὁ ἔνατος οὐ περὶ τῆς Ἐκκλήτου ἐστὶν, ἀλλὰ περὶ τῆς ἐν ἀρχῇ δίκης, αὕτη μὲν τάξιν ἔχει τὴν δοθεῖσαν παρὰ τῆς Συνόδου, ἡ δὲ Ἔκκλητος ἐκ τοῦ ἔθους ἡμῖν παραδίδοται, πρώτη μὲν παρὰ τῆς Συνόδου, ἢ Ἐξάρχου, δευτέρα δὲ παρὰ Πατριάρχου τῆς βασιλευούσης, ἀλλ' ἡ ἐσχάτη παρὰ τοῦ τῆς Ῥώμης κοινοῦ πατρός τε καὶ κριτοῦ καὶ διδασκάλου. Ἐπιλέγουσι δ' ἐν τούτοις οἱ αὐτοὶ, ὅτι ὥσπερ ὁ Κληρικὸς δικαζόμενος μετὰ τοῦ Ἐπισκόπου, πρὸς τὸ πρῶτον κριτήριον δύναται ἀπελθεῖν, ὅπερ ἐστὶν ἡ Σύνοδος τῆς Ἐπαρχίας, καὶ ὁ μετὰ τοῦ ἰδίου Μητροπολίτου κρινόμενος Ἐπίσκοπος τὸν Ἔξαρχον τῆς Διοικήσεως, ἢ τὸν πρῶτον, δηλαδὴ τὸν Πατριάρχην ἔχει κριτὴν, οὕτως ὁ δικαζόμενος μετὰ τοῦ πρώτου, ἤτοι τοῦ Πατριάρχου, πρὸς τὸν Πατριάρχην Κωνσταντινουπόλεως ὡς εἰς πρῶτον κριτὴν δύναται ἀνελθεῖν, αὐτοῦ γάρ ἐστι τοῦτο προνόμιον ἐπὶ τοὺς λοιπούς. ταῦτα οἱ Λατῖνοι. Ἀλλὰ ῥητέον καὶ αὖθις, πρὸς μὲν τὰ τοῦ Νικολάου, ὅτι εἰ καὶ εἴρηται ἀνωτέρω ἱκανῶς τὰ ἀνήκοντα πρὸς ἀναίρεσιν τῆς ἐθελοθρησκείας αὐτοῦ, καὶ ἤδη ῥητέον, ὅτι ὁ Κανὼν λέγει, εἰ δὲ πρὸς τὸν τῆς αὐτῆς Ἐπαρχίας Μητροπολίτην Ἐπίσκοπος, ἢ Κληρικὸς ἀμφισβητοίη, καταλαμβανέτω ἢ τὸν Ἔξαρχον τῆς Διοικήσεως, ἢ τὸν θρόνον Κωνσταντινουπόλεως, ὅπερ ταὐτόν ἐστιν, ὅτι οἱ ὑποκείμενοι Κληρικοὶ καὶ Μητροπολῖται τῷ θρόνῳ Κωνσταντινουπόλεως ἢ εἰς τὸν Ἔξαρχον τῆς Διοικήσεως, ἐν ᾗ πάρεισι, κριθήτωσαν, ἢ εἰς τὸν Κωνσταντινουπόλεως ὡς εἰς ἴδιον Πατριάρχην. οὐ λέγει δὲ, ὅτι εἴτις ἀμφισβητοίη Κληρικὸς, πρὸς ἀλλοτρίας ἐνορίας Μητροπολίτην, ἢ Μητροπολίτης ἀμφισβητοίη, πρὸς ἄλλον Μητροπολίτην ὁποιασδήποτε ἐνορίας ἵνα κρίνωνται πρὸς τὸν Κωνσταντινουπόλεως. ὥστε ὁ σκοπὸς τοῦ Κανόνος ἐστὶν, ἵνα ὁ Κωνσταντινουπόλεως τῆς ἰδίας ἐνορίας ἔχῃ τὴν δίκην, καὶ οὐδεμιᾶς ἀλλοτρίας.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ ἀναιρέσεως τῶν ἀνωτέρω μωρολογιῶν τοῦ Βησσαρίωνος εἰς σύστασιν τοῦ παπισμοῦ, καὶ ἀποδείξεως ἐκ τοῦ αὐτοῦ ἐνάτου Κανόνος, ὅτι οὐμέμνηται ὁ Κανὼν, πλὴν τῶν τριῶν κριτῶν, ἄλλου κριτοῦ ἐσχάτου καὶ κοινοῦ, οὔτε Ἔξαρχον τῆς Διοικήσεως τὸν Κωνσταντινουπόλεως, ἢ κριτὴν τῶν Πατριαρχῶν, πλὴν τῶν ὑπ' αὐτῷ Μητροπολιτῶν, λέγει. καὶ ὅτι εἰ κρίνει τοὺς Πατριάρχας ὁ Κωνσταντινουπόλεως κατὰ τοὺς Λατίνους, τοῦ Κανόνος ἐξαίρεσιν μὴ ποιοῦντος, κρινεῖ ἄρα καὶ τὸν Ῥώμης.

Πρὸς δὲ τὸν Βησσαρίωνα ῥητέον πρῶτον, ὅτι Ἔκκλητος καὶ κριτὴς ἔσχατος καὶ κοινὸς ταὐτόν ἐστιν. οὗτος δὲ διῄρηκε πραγματικῶς τὰ πολυώνυμα μὲν, μὴ διαιρούμενα δὲ κατὰ πρᾶγμα, καὶ τοῦτο πρὸς ἀπάτην τῶν ἁπλουστέρων, ἢ ἵνα δείξῃ ὅτι σοφός ἐστιν ὁ μωρολόγος καὶ σοφιστής. δεύτερον, ὅτι ὁ Κανὼν τρεῖς μόνους εἰσάγει κριτὰς, τὴν Σύνοδον τῆς Ἐπαρχίας, τὸν Ἔξαρχον, ἤτοι τὴν Σύνοδον τῆς Διοικήσεως, καὶ τὸν θρόνον, ἤτοι τὴν Σύνοδον Κωνσταντινουπόλεως, ἔσχατον δὲ καὶ κοινὸν κριτὴν οὔτε εἶπεν, οὔτε ὑπαινίξατο. ὁ δὲ ἕκτος Κανὼν τῆς δευτέρας Οἰκουμενικῆς, μετὰ τὴν τῆς Διοικήσεως Σύνοδον, Οἰκουμενικῆς ἐμνήσθη, καὶ οὐχ ἑτέρου τινὸς ἢ ἐσχάτου, ἢ κοινοῦ κριτοῦ. τρίτον, ὥσπερ ὁ Κληρικὸς μετὰ τοῦ Ἐπισκόπου δικάζεται παρὰ τῇ Συνόδῳ τῆς Ἐπαρχίας, οὕτως ὁ μετὰ τοῦ Μητροπολίτου ἀμφισβητῶν, ἢ πρὸς τὸν Ἔξαρχον τῆς Διοικήσεως, ἢ πρὸς τὸν Κωνσταντινουπόλεως θρόνον δικάζεται. τὸ δὲ τὸν Ἔξαρχον τῆς Διοικήσεως εἶναι τὸν Πατριάρχην, καὶ τὸ τὸν Κωνσταντινουπόλεως κρίνειν τοὺς ἀλλοτρίους Μητροπολίτας καὶ τοὺς λοιποὺς Πατριάρχας, παπιστική ἐστι προσθήκη, καὶ φλυαρία ἐν τοῖς Κανόσι, καὶ ἐκ τούτων ἔμαθον οἱ περὶ τὸν Μεθώνης καὶ τὸν Ἀγκύρας συμφλυαρεῖν καὶ συμπροστιθέναι. ὑποτιθέασι δὲ ταῦτα οἱ Λατῖνοι, ἵνα δῆθεν συνάξωσιν ὅπερ εἶπον ἀνωτέρω, δηλαδὴ ὡς κρίνει ὁ Κωνσταντινουπόλεως τοὺς λοιποὺς Πατριάρχας, κρίνει καὶ ὁ Πάπας τὸν Κωνσταντινουπόλεως, ὅπερ ἐστὶ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, καὶ ἀσεβείας ἀγχίθυρον. ὅτι μὲν γὰρ ὁ κρινόμενος Κληρικὸς μετὰ τοῦ Ἐπισκόπου πρὸς τὸ πρῶτον κριτήριον, ὅπερ ἐστὶν ἡ Σύνοδος τῆς Ἐπαρχίας, δύναται ἀπελθεῖν, διορίζει αὐτὸ ὁ Κανὼν, ὁ δὲ μετὰ τοῦ Μητροπολίτου διαφερόμενος, οὐκ ἔχει ἀναγκαῖον κριτὴν πρῶτον, ἢ μόνον τὸν Κωνσταντινουπόλεως, ἀλλ' ἢ τὸν Ἔξαρχον τῆς Διοικήσεως, ἢ τὸν Κωνσταντινουπόλεως, οὐ λέγει δὲ εἰ δικασθείη παρὰ τῷ Ἐξάρχῳ τῆς Διοικήσεως, ἵνα ἀνακριθῇ ὑπὸ τοῦ Κωνσταντινουπόλεως, ἀλλὰ καταλαμβανέτω ἢ τὸν Ἔξαρχον τῆς Διοικήσεως, καὶ ἐπ' αὐτῷ δικαζέσθω, ἢ τὸν Κωνσταντινουπόλεως Πατριάρχην, καὶ ἐπ' αὐτῷ δικαζέσθω. καὶ γὰρ κοινόν ἐστι καὶ τῷ Ἐξάρχῳ τῆς Διοικήσεως

καὶ

καὶ τῷ Κωνσταντινουπόλεως Πατριάρχῃ τὸ καταλαμβανέτω, καὶ τὸ ἐπ' αὐτῷ δικαζέσθω, ἐν ὁποίῳ γὰρ ἂν κριτηρίῳ ἐκ τῶν δύο τούτων δικάσονται, τελείως δικάζονται, καὶ ὑπὸ τοῦ ἑτέρου οὐκ ἀνακρίνονται, εἰμήπου ὑπὸ Οἰκουμενικῆς Συνόδου, ὡς εἴρηται ἀνωτέρω ἐν πολλοῖς. ἔτι, εἰ τὸν Κωνσταντινουπόλεως διϊσχυρίζονται οἱ Λατῖνοι κρίνειν τοὺς Πατριάρχας, καὶ ἀνακρίνειν τὰς κρίσεις αὐτῶν, ἐπειδὴ οὐ ποιεῖ ἐξαίρεσιν ὁ Κανὼν, κρινεῖ ἄρα καὶ ἀνακρινεῖ ὁ αὐτὸς καὶ τὸν Ῥώμης, καὶ οὕτως ἔσται ὁ Κωνσταντινουπόλεως καὶ πρῶτος καὶ ἔσχατος καὶ κοινὸς κριτὴς ὡσαύτως πάντων τῶν Ἐπισκόπων, καὶ αὐτοῦ τοῦ ὑπερτάτου Πάπα. οὕτως ἁλίσκονται καὶ καταῤῥάσσονται οἱ παπισταὶ ὑπὸ τῶν ἰδίων ἐπινοιῶν, ἡ δὲ ἀλήθεια ἀκαινοτόμητος μένει μεθ' ἡμῶν, ἄμωμος, ἄσπιλος καὶ ἀκίβδηλος. ὅτι μὲν γὰρ ἤδη τῆς Συνόδου τῆς Διοικήσεως μήτε ἐνεργούσης, μήτε οὔσης, ὁ Κωνσταντινουπόλεώς ἐστι κριτὴς πρῶτος καὶ μόνος καὶ ἔσχατος τῶν ὑπ' αὐτῷ Μητροπολιτῶν, οὓς καὶ χειροτονεῖ, ἀληθές ἐστιν, ὅτι δὲ προνόμιον ἔχει ἐπὶ τοὺς λοιποὺς Πατριάρχας πρώτου κριτοῦ, ἢ καὶ ὅλως κριτοῦ, οὔτε ἐγένετο, οὔτε γενήσεται, οὔτε τοιοῦτόν τι θεσπίζουσιν, ἢ καὶ ὅλως οἴδασιν οἱ Κανόνες.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι οἱ παπισταὶ διὰ Βησσαρίωνος λέγοντες, μὴ λέγεσθαι τὸν Κωνσταντινουπόλεως ἐν τῷ ἐνάτῳ τῆς ἐν Χαλκηδόνι Συνόδου Κανόνι ἔσχατον κριτὴν, τὸν δὲ Ῥώμης, διὰ μαρτυρίας Θεοδώρου προδρόμου γραικολατίνου, οἱ Γιεζουβῖται ἔσχατον κριτὴν λέγοντες, ἀναιδεῖς καὶ ἀναίσθητοι ἐνταῦθα δείκνυνται. μαρτυροῦντος δὲ καὶ τοῦ Βησσαρίωνος τὴν Ἔκκλητον τῷ Ῥώμης ἐξ ἔθους, οἴχεται ἄρδην ὁ παπισμός.

Ἐπαναλαμβάνοντες τὸ τοῦ Βησσαρίωνος ῥῆμα τὸ, ὅθεν οὐδαμοῦ ἐν ἐκείνῳ τῷ Κανόνι λέγεται ὁ Κωνσταντινουπόλεως ἔσχατος κριτὴς, ἐρωτήσωμεν τοὺς παπιστὰς, εἰ ὁ Κωνσταντινουπόλεως οὐ λέγεται ἔσχατος κριτὴς, καὶ τοῦτο ἀληθές ἐστιν, εἰπάτωσαν αὐτοὶ, ποῖος ἐστὶν ὁ τοιοῦτος κριτής. καὶ εἰ μὲν εἴπωσι τὸ οἰκουμενικὸν ἄθροισμα, καλῶς λέγουσιν, εἰ δὲ φαῖεν τὸν Πάπαν τῆς Ῥώμης, πάλιν ἐρωτήσωμεν αὐτοὺς, ἐκ ποίας Συνόδου, ἢ ἐκ τίνων ἁγίων ἡ ἀπόδειξις; καὶ ἀποκρινόμενοι οἱ Γιεζουβῖται ἐροῦσι, παρὰ Θεοδώρου τοῦ προδρόμου, λέγοντος ἐν τῇ ἑρμηνείᾳ τῶν Κανόνων τῆς ἐν Σαρδικῇ Συνόδου, πάντοτε καὶ ἐν πᾶσι τῇ κρίσει τοῖς κατακριθεῖσιν ἔξεστι τὸν Ῥώμης τῆς πρεσβυτέρας ἐπικαλέσαι, κἀκείνου ὁρίζοντος κριθῆναι πάλιν παρά τε αὐτοῦ, ἢ τῶν ἀποστόλων αὐτοῦ. ἀλλ' ἐρωτήσωμεν πάλιν αὐτοὺς, καὶ τίς ἐστιν οὗτος ὁ πρόδρομος, Ἀπόστολός ἐστιν, ἢ ἅγιός ἐστι; καὶ πάντως ἐροῦσιν ὅτι γραικολατῖνος παπιστής ἐστιν. ἀλλ' εἰ ἐν τῇ ἕκτῃ Συνόδῳ τὰς προσκομισθείσας χρήσεις τῶν ἐγκρίτων πατέρων ἀπὸ τῆς Ῥώμης περὶ τῶν δύο θελημάτων τοῦ Σωτῆρος ἡμῶν Θεοῦ ἀπότε τῶν Λεγάτων τοῦ μακαρίου Πάπα Ἀγάθωνος, καὶ τῶν Λεγάτων τῆς ἐν Ῥώμῃ ἁγίας Συνόδου, ἡ Οἰκουμενικὴ Σύνοδος συγκρίνασα μετὰ τῶν ἐν Κωνσταντινουπόλει ἐν τῷ Πατριαρχείῳ πρωτοτύπων βιβλίων τῶν ἁγίων ἐδέχθη, καὶ περὶ τοῦ Ἀντιοχείας Ἀναστασίου ἐγένετο λόγος ἐν τῇ ἕκτῃ Συνόδῳ, εἰ ἐστὶν ἅγιος, καὶ οὕτως ἐδέχθη ἡ μαρτυρία περὶ αὐτοῦ, πῶς ἡμεῖς ἀφέντες τὰς ἁγίας Οἰκουμενικὰς Συνόδους, καὶ τοὺς ἁγίους Ἀποστόλους, καὶ τοὺς ἁγίους, ὧν ταῖς μαρτυρίαις αἱ Οἰκουμενικαὶ Σύνοδοι συνεπέρανον τὰς ἀποφάσεις αὐτῶν, πιστεύσωμεν Θεοδώρῳ τῷ προδρόμῳ τοῦ ψεύδους; πῶς δεχθῶμεν μαρτυρίαν παπιστοῦ εἰς βεβαίωσιν Ἐκκλήτου τοῦ Ῥώμης; πῶς δεχθῶμεν μαρτυρίαν, ἣν ἡ Σύνοδος οὔτε εἶπεν, οὔτε ἐβεβαίωσε; καὶ γὰρ εἴτις τοιαύτην Ἔκκλητον διαβεβαιοῖ Σύνοδος, ἐκ τοῦ διαβόλου ἐστίν. Ἀκούσατε πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν Οἰκουμένην τῶν παπιστῶν τὴν ἀναίδειαν, τὴν ἀναισθησίαν καὶ τὴν ἀπόνοιαν, ἀκούσατε ἀπὸ ποίου θεμελίου καὶ ἀρχῆς καὶ μαρτυρίας κρέμαται ἡ Ἔκκλητος τοῦ Πάπα, παρὰ Θεοδώρου τοῦ προδρόμου. ἔχομεν ὅμως χάριν τῷ κὺρ Βησσαρίωνι, ἐπειδὴ λέγει ὅτι ἡ Ἔκκλητος τοῦ Ῥώμης ἐκ τοῦ ἔθους ἐστὶ, βεβαιοῖ γὰρ ὅτι οὐδεμίαν δύναμιν Ἐκκλήτου ἔχει ὁ Ῥώμης ἀπὸ τοῦ Χριστοῦ, ἢ τοῦ Πέτρου, ἢ τῶν Οἰκουμενικῶν Συνόδων. καὶ οἴχεται ἄρδην τὸ, ὅτι ὁ Πάπας ἔχει ἐξουσίαν ἐπὶ τῆς καθόλου Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι μαρτυροῦντος τοῦ Βησσαρίωνος τὴν Ἔκκλητον τῷ Ῥώμης ἐξ ἔθους δεδόσθαι ἀναποδείκτως, δείκνυται τοῦτο εἶναι καινοτομία παπιστῶν.

Ἀλλὰ ἀκούσωμεν πάλιν τοῦ Βησσαρίωνος. ἡ δὲ Ἔκκλητος ἐκ τοῦ ἔθους ἡμῖν παραδίδοται. καὶ εἰπὲ κὺρ Βησσαρίων, τὸ ἔθος τοῦτο ἐκεῖνο ἐστὶν, ὅπερ προὐβάλετο ὁ Γούλιος; ἀλλ' εἴρηται περὶ τούτου ἐν τῷ δευτέρῳ βιβλίῳ, ὅτι οὐδεμίαν εἶχεν Ἐκκλήτου δύναμιν ἐκεῖνο τὸ ἔθος. προὐβάλετο ὁ Κωνσταντινουπόλεως Ἀναγόλιος τὸ τοιοῦτον ἔθος, ἀλλ' ὀξύτατα ἀπεκρούσθη ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου, πράξει τετάρτῃ. ὅτι μὲν γὰρ Ἐπισκόπους κατέστησαν οἱ μακάριοι Ἀπόστολοι, καὶ ἐκ τοῦ ἔθους ἔχουσιν οἱ Πατριάρ-

τριάρχαι τὰ πρεσβεῖα κατὰ τοὺς Κανόνας, ἀληθὲς ἐστὶν, ὅτι δὲ ἐκ τοῦ ἔθους Ἔκκλητος ἡμῖν παραδίδοται τοῦ Ῥώμης, ποία γραφὴ, ἢ ποῖος ἅγιος, ἢ ποία Σύνοδος εἶπεν ἢ ἐβεβαίωσε τοῦτο; ὅτι μὲν γὰρ ὁ Πάπας ὀρθοδοξῶν, εἷς Πατριάρχης ἐστὶ πρῶτος τῇ τάξει, ἔσχατον δὲ κριτήριον ἐν τῇ Ἐκκλησίᾳ ἐστὶν ἡ Οἰκουμενικὴ Σύνοδος, εἴρηται πολλαχῶς ἀνωτέρω. ὅτι δὲ καθόλου Ἔκκλητον ἔχει ὁ Πάπας, μόνοι ὑμεῖς οἱ παπισταὶ ἐγεννήσατε αὐτὸ, πολλὰ λέγεις ἀποστάτα Βησσαρίων, ἀλλ' οὐδέποτε δυνήσῃ ἀποδεῖξαι ἅπερ καινοτομεῖς.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ ὧν ἀριθμεῖ ἐξ ἔθους Ἐκκλήτων ὁ Βησσαρίων, καὶ περὶ πρώτης καὶ ἐσχάτης Ἐκκλήτου τῶν ἐννόμων, ἐν αἷς ἡ τοῦ Ῥώμης κατὰ Βησσαρίωνα Ἔκκλητος δείκνυται ἀσύστατός τε καὶ παράνομος.

Παλιλλογητέον. λέγει ὁ Βησσαρίων, ἡ δὲ Ἔκκλητος ἐκ τοῦ ἔθους ἡμῖν παραδίδοται, πρώτη μὲν παρὰ τῆς Συνόδου, ἢ Ἐξάρχου, δευτέρα δὲ παρὰ Πατριάρχου τῆς βασιλευούσης, ἀλλ' ἡ ἐσχάτη παρὰ τοῦ τῆς Ῥώμης κοινοῦ πατρός τε καὶ κριτοῦ καὶ Διδασκάλου. ἀλλὰ λέγομέν σοι, ὅσον εἰς τὸ, ἡ Ἔκκλητος ἐκ τοῦ ἔθους ἐστὶν, ὅτι χάριν ἔχομεν τοῖς παπισταῖς ταῦτα εἰποῦσιν, ἀναγκαζόμενοι γὰρ ὑπὸ τῆς ἀληθείας, ὁμολογοῦσιν ὅτι τὸ πρωτεῖον τοῦ Ῥώμης οὐκ ἀπὸ τοῦ Χριστοῦ, ἢ ἀπὸ τοῦ Πέτρου ἐστὶν, ἀλλ' ἀπὸ τοῦ ἔθους, καὶ οἴχονται ἄρδην τὰ δύο ἀσύστατα ἀξιώματα, ὅτι ὁ Πέτρος δηλαδὴ Ποιμὴν τῶν Ἀποστόλων, καὶ ὅτι ὁ Ῥώμης καὶ ὅτι ἰδικὸν ἀξίωμα διάδοχος τοῦ Πέτρου. ὅσον δὲ εἰς τὸ, πρώτη Ἔκκλητος παρὰ Συνόδου, ἢ Ἐξάρχου, δευτέρα παρὰ Πατριάρχου τῆς βασιλευούσης, λέγομεν, ὅτι πρώτη Ἔκκλητός ἐστι τοῦ Κληρικοῦ ἐν τῇ Συνόδῳ τῆς Ἐπαρχίας, τοῦ δὲ Μητροπολίτου, καὶ αὐτοῦ, κρίσις μία, ἢ εἰς τὸν Ἔξαρχον τῆς Διοικήσεως, ἢ εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον περὶ μόνων τῶν ὑποκειμένων αὐτῷ Μητροπολιτῶν. εἰ δὲ καὶ εἴπωμεν ἔσχατον κριτὴν καὶ τίνα ἄλλον παρὰ τὴν Οἰκουμενικὴν Σύνοδον, λέγομεν ἕκαστον Πατριάρχην ἐν τῇ ἰδίᾳ ἐνορίᾳ ἔσχατον κριτὴν, καὶ οὕτως ἐστὶ καὶ ὁ Κωνσταντινουπόλεως ἐν τῇ ἰδίᾳ ἐνορίᾳ, καὶ ὁ Ῥώμης ὁμοῦ εἰς τὰ ἴδια, ὅθεν εἰς τὸ, ἀλλ' ἡ ἐσχάτη παρὰ τοῦ τῆς Ῥώμης κοινοῦ πατρὸς καὶ κριτοῦ καὶ Διδασκάλου, λέγομεν, ἀσύστατα παρὰ τῆς γραφῆς, ἄγνωστα τοῖς πατρασιν, ἀβέβαια ὑπὸ τῶν Συνόδων, ἀσυνήθη ἐν τῇ πράξει τῆς Ἐκκλησίας, ἄγνωστα τῇ παραδόσει, ἀνήκουστα τοῖς Ἀποστόλοις καὶ τῇ ἀρχαίᾳ Ἐκκλησίᾳ, ἐναντία τῇ γραφῇ καὶ τοῖς Κανόσιν ἐστὶ ταῦτα τὰ ῥήματα τῆς ἀνομίας. ἀλλ' ἡ ἐσχάτη παρὰ τοῦ Ῥώμης ὡς κριτοῦ καὶ πατρὸς καὶ Διδασκάλου. ἀλλ' ὦ σοφισταὶ, πατὴρ ὁ Ῥώμης ὀρθοδοξῶν, ἀλλ' οὐμόνος. καὶ Διδάσκαλος, ἀλλ' οἱ ἔγκριτοι πατέρες Διδάσκαλοι καὶ τοῦ Ῥώμης. καὶ κριτὴς, ἀλλὰ μόνων τῶν εὑρισκομένων ἐν τῇ ἐνορίᾳ αὐτοῦ. ἐδείχθη ἄρα ὅτι ὁ Πάπας οὐδεμίαν ἔχει Ἔκκλητον ἐν τῇ καθόλου Ἐκκλησίᾳ, καὶ τὰ ῥήματα, ὅτι ἔχει ὑπερτάτην ἐξουσίαν, ὅτι μέγιστος ἁπάντων, καὶ ὅτι ἔχει ἐξουσίαν ἐπὶ πάντων, προφανῆ εἰσὶ ῥήματα ἀνομίας.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ ὧν προσφέρουσιν οἱ παπισταὶ εἰς σύστασιν τῆς Ἐκκλήτου τοῦ Ῥώμης, καὶ περὶ τῆς ἐκ τῶν αὐτῶν ἀληθοῦς ἀποδείξεως, ὅτι ὁ Ῥώμης, πρὸς τῷ μηδένα τῶν καταδικασθέντων δικαιῶσαι, ἢ ὑπεῖξαι αὐτῷ εὐσεβῆ τινὰ κελεύοντι, καὶ οὓς ἐδικαίωσε κατεκρίθησαν, καὶ πολλοὶ ἅγιοι καὶ Σύνοδοι αὐτῷ σφοδρῶς ἀντέστησαν.

Οἱ αὐτοὶ εἰς σύστασιν τῆς πεπλασμένης ταύτης Ἐκκλήτου λέγουσι, δειξάτωσαν οἱ Ἀνατολικοὶ κἂν ἕνα τινὰ δικαιωθέντα μὲν παρὰ τοῦ Ῥώμης Ἐπισκόπου, παρὰ τοῖς μεταταῦτα δὲ ὡς ὀρθόδοξον μὴ παραδεχθέντα. Ἀλλὰ ῥητέον, ὅτι οὐδένα ἔκρινεν, ἢ ἐδικαίωσεν ὁ Ῥώμης, ὥστε ἡμᾶς ἔχειν εἰπεῖν καὶ τοιοῦτον παράδειγμα, οὓς δὲ κολακευθέντες ἐδικαίωσαν οἱ Πάπαι, οὗτοι κατεκρίθησαν, καὶ ἄθρει. τὸν Ἀπιάριον ἐδικαίωσαν οἱ Πάπαι, ἀλλὰ κατέκριναν αὐτὸν οἱ Ἄφροι. ἐδικαίωσεν ὁ Ἰούλιος Μαρκέλλον τὸν Γαλάτην, ἀλλὰ μεταταῦτα κατέκρινεν αὐτὸν ὁ μέγας Βασίλειος καὶ πᾶσα ἡ Ἐκκλησία, μάλιστα ὁ μέγας Βασίλειος μέμφεται τὸν Ἰούλιον δικαιώσαντα τὸν ἀσεβῆ, εἰ δὲ καὶ ἐδικαίωσεν αὐτὸν καὶ ἡ ἐν Σαρδικῇ Σύνοδος, ἀλλ' ἰδὲ ἀνωτέρω τὸν τόπον αὐτῆς. ἐδικαίωσεν ὁ Λέων τὸν Θεοδώριτον, ἀλλὰ κατέκρινεν αὐτὸν ἡ ἐν Χαλκηδόνι Σύνοδος. ἐδικαίωσαν τὸν Ἀντιοχείας Παυλῖνον καὶ τὸν Οὐϊτάλιον, καὶ ὅμως ἰδὲ περὶ τούτων ἐν τῷ τρίτῳ βιβλίῳ τὸν Βασίλειον καὶ Γρηγόριον. ἐδικαίωσαν τὸν Ὀνώριον, ἀλλ' ἰδὲ ἐν τῷ ἑκτῷ βιβλίῳ πόσοι κατέκριναν αὐτόν. ἐδικαίωσαν τὸν Ἀλεξανδρείας Ἰωάννην, ἀλλ' οὐδὲν ἴσχυσαν, καὶ ἰδὲ κατωτέρω τὸν τόπον. λέγουσιν ὅτι ἐδικαίωσαν τὸν Χρυσόστομον καὶ τὸν Φλαυϊανὸν, ἀλλὰ καὶ περὶ τούτων ὅτι ψεύδονται, ἰδὲ ἀνωτέρω τοὺς τόπους. Ἀλλὰ φασὶ ζητητέον, εἰ ἀνὴρ εὐσεβὴς καὶ φήμης ἀγαθῆς ἄξιος καὶ διδασκαλίας ἀνεπιλήπτου, τῷ νομίμῳ διαδόχῳ τοῦ Πέτρου κελεύοντι καὶ ἀποφαινομένῳ ἐτόλμησεν ἀντιστῆναι. ταῦτα οἱ παπισταί. Σὺ δὲ ὀρθόδοξε ἰδὲ ἐν πολλοῖς

ἀνωτέρω

αὐτέρω καὶ κατωτέρω, καὶ μάλιστα βιβλίῳ πρώτῳ κεφαλαίῳ ἑχάτῳ, καὶ βιβλίῳ δεκάτῳ, μέρει πρώτῳ, κεφαλαίῳ ενδεκάτῳ, Παραγεγράφῳ οὕτῳ. Ἱναὶ ὐχ ἁπλῶς ὁσίοι, ἀλλὰ καὶ ἐγκείτοι ἁγίοι, καὶ Οἰκουμενικαὶ ἁγίαι Συνόδοι ὑμόνοιαν αὐτεπόντας, ἀλλὰ καὶ ὑπτιμήσαντας τοῖς Πάπαις σφοδρῶς, θελήσασι κεῖναι ἐν οἷς ὁσὐκ ἐχίῳ αὐτοῖς τόποις τε καὶ προσώποις.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῆς παρεξηγήσεως τοῦ αὐτοῦ Κανόνος τῆς παρούσης Συνόδου ὑπὸ τοῦ Πάπα Νικολάου, ὃν ἔπεμψε Μιχαὴλ τῷ Αὐτοκράτορι Διὰ τὸ καθαιρεθῆναι αὐτὸν ὑπὸ τοῦ Φωτίου, ἐν ᾗ καὶ Ἔξαρχον Διοικήσεως ἐνεῶν τὸν Κανόνα λέγει τὸν βικάριον αὐτὸν μόνον τοῦ Πέτρου, ἀλλὰ καὶ τοὺς Βρυσαείωνα, Βίνιον, καὶ βελλαρμῖνον ἀσυμφώνως περὶ τὰς παρεξηγήσεις αὐτῶν ἔχει. καὶ περὶ ἀποδέξεως αὐτῆς σαφηνείας τοῦ Κανόνος, καὶ ἐξ αὐτῆς τῆς παρεξηγήσεως, ὅτι Ἐκκλητον ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἢ πρωτεῖον ὁ Ῥώμης οὐκ ἔχει. καὶ αἱ Συνόδοι καὶ οἱ Κανόνες ὑπὸ τοῦ Ῥώμης, καὶ ὁ τοῦ ἀναπαλιν.

Ὁ Πάπας Νικόλαος ὁ πρῶτος μαχόμενος τῷ ἱερῷ Φωτίῳ, καθημένῳ αὐτόν, καὶ γράφων κατ' αὐτοῦ πρὸς Μιχαὴλ τὸν Αὐτοκράτορα, προβάλλεται τοὺς Κανόνας τούτους μετὰ παρεξηγήσεως, λέγει γάρ, ἀλλ' ὅπως μὴ δόξωμεν λέγειν τι αὐθ' ἑαυτοῖς ἀνόμοιον, τὰς νεωτάτας ἀποφάσεις τῆς ἐν Χαλκηδόνι Συνόδου εἰς νῦν ἀναλάβωμεν, ἵνα διορίζομένου, εἰ κληρικὸς δίκην ἔχει καὶ τοῦ οἰκείου Ἐπισκόπου, ἢ κατ' ἄλλου τινός, κρινέσθω πρὸς τῆς Ἐπαρχίας Συνόδου, εἰ δὲ κατ' αὐτοῦ τοῦ Μητροπολίτου τῆς αὐτῆς Ἐπαρχίας Ἐπίσκοπος, ἢ κληρικὸς ἔχει δίκην, ἀπαιτείτω τὸν τῆς Διοικήσεως Ἔξαρχον, ἢ τὸν Θρόνου τῆς βασιλευούσης Κωνσταντινουπόλεως, ἐν οἷς τοῦτο ἀκριβῶς σημειωτέον, ἵνα εἴτις κληρικὸς, ἢ Ἐπίσκοπος δίκην ἔχει μετὰ τοῦ ἰδίου Μητροπολίτου, καὶ διὰ τοσαύτης ἀνάγκης βιαζόμενος, μὴ δυνάμενος φέρειν τὸ τοιοῦτον βάρος, ἀπαιτείτω τὸν Ἔξαρχον τῆς Διοικήσεως, ὅπου ἂν ᾖ, ἐὰν ὅμως εἴη τις τούτων τῶν Μητροπολιτῶν κεχειροτονημένος πλησίον τῆς Κωνσταντινουπόλεως, καὶ ἀρκεῖται τῇ ἀποφάσει τοῦ θρόνου ἐκείνης μόνης τῆς πόλεως, ἀπελθέτω πρὸς τὸν αὐτὸν βασιλικὸν πόλιν. Νῦν δὲ ἔφη ἀπελθέτω πρὸς τὸν Ἔξαρχον τῆς Διοικήσεως, ἀποφασιν πεποίηκεν ἡ αὐτὴ ἁγία Σύνοδος, καὶ Κανόνα ἐπέθηκεν, ἐπειδὴ ὅμως προσέθετο συνοδικῷ Δογματικῷ, ἢ τὸν Θρόνον Κωνσταντινουπόλεως, ἔξεσι φανερῶς, καὶ γὰρ τοῦτο κατὰ συγχώρησιν καὶ παραίτησιν εἶασεν, ἄτινα ἵνα ἐννοηθέα, ἤγουν, τούτοις μὴ τοῖς ῥήμασιν, αἰτείτω τὸν Ἔξαρχον τῆς Διοικήσεως, ἢ Συνόδος ἐνταῦθα τέθεικε, τούτοις δὲ, ἢ τὸν Θρόνον Κωνσταντινουπόλεως, συγχώρησιν μόνον καὶ ἄδειαν δέδωκε. ταῦτα ὁ Νικόλαος. ἄτινα, τὰ ῥήματα τοῦ Κανόνος ἐδέχονται ὅλως, καὶ γὰρ ἁπλούστως ἐνταῦθα διορίζεται, ὥστε εἴτις ἔχοι κατὰ τοῦ Μητροπολίτου, κρινέσθω ἢ συνόδῳ τῇ τῆς Ἐπαρχίας τῆς Διοικήσεως, ἢ συνόδῳ τῷ Θρόνῳ Κωνσταντινουπόλεως, ὡς δόξοι δηλονότι τοῖς κεκτημένοις τὴν δίκην. ὥστε ἐπισάπονται ἐνταῦθα δύο ἀποφάσεις, μήτε συμπάσεται, ἑτέρᾳ δὲ συγχωρεῖται, ἀλλὰ μία καὶ μόνη ἐστὶν ἀπόφασις, ἥτις ἐάτω τῇ θελήσει τῶν δικαζομένων, ἵνα ἡδίκη θεωρηθῇ ἢ συνόδῳ τῷ Ἐξάρχῳ τῆς Διοικήσεως, ἢ συνόδῳ τῷ Θρόνῳ Κωνσταντινουπόλεως, καὶ κεκυρωμένον ἐστὶν, ἵνα αἱ ἐπὶ τὸν αὐτὸν Θρόνου τοιοῦτοι ἅπασαι δίκαι ἐνταῦθα, ἢ ἐκεῖσε ἀκούωνται καὶ διορίζωνται. ἔτι, ὁ αὐτὸς Νικόλαος εὐθὺς μετὰ τὰ προειρημένα ῥήματα (εἰ καὶ λίαν αὐαιδῶς) φησὶν, Ἔξαρχον τῆς Διοικήσεως ἐν τούτῳ τῷ Κανόνι ἐνοητέον ἑκάστου ἄλλον, ἢ μόνον τὸν Πάπαν τῆς Ῥώμης, καὶ γὰρ ποῖον ἄλλον Θρόνον Ἔξαρχον τῆς Διοικήσεως εἶπον ἡ ἁγία Σύνοδος, ἢ μόνον τὸν βικάριον τοῦ πρώτου Ἀποστόλου, ἐκτὸς γὰρ ἐκείνου ἑκάστου ἑτέρου ἐννοεῖται, ἐκεῖνος γάρ ἐστιν Ἔξαρχος, ὅστις καὶ πρῶτος καὶ ἄκρος καὶ ἐστὶ καὶ νομίζεται. τοῦτο ὅμως τὸ ὑπερέχημα εἰσαχθὲν ἐκ τῆς ὁμοιότητος τῶν φωνῶν, καὶ αὐτὸς ὁ Νικόλαος ἐπελάβετο ὅτι ἐστὶν ἀνίσχυρον, διότι ἡ Σύνοδος οὐκ ἁπλῶς εἶπε πρῶτον, ἀλλὰ πρῶτον τῆς Διοικήσεως, ὅθεν ἠγωνίσθη τελείως καταστρέψαι ταύτην τὴν φωνὴν, καὶ ἰδοὺ τὰ ῥήματα αὐτοῦ, ἵνα δὲ μήτις τινὰ σύγχυσιν λάβοι, ἔτι ἐν συνόδῳ ἀριθμῷ εἴρηται Διοικήσεως, δέον γινώσκειν, ὅτι τοιαύτην δύναμιν ἔχει τὸ πρῶτον τῆς Διοικήσεως, ὡς εἶναι πρῶτον τῶν Διοικήσεων, γέγραπται γὰρ αἰτίας γεγραφαὶ τῶν τοιούτων φράσεων, δηλαδὴ ὡς ἐν τῷ δευτέρῳ τῆς Τονέσεως λέγεται, πηγὴ ἀνέβαινον ἀπὸ τῆς γῆς, ἐνταῦθα πολλαὶ πηγαὶ ἐννοητέαι, ἵνα ἐνταῦθα οἱ πατέρες ἀριθμῷ συνόδου Διοικήσεως αὐτὶ πληθυντικῆς διοικήσεων ἐχρήσαντο. ταῦτα ὁ Νικόλαος, ἐν οἷς σημειωτέον ἐν τίσιν ἀγῶσι καὶ κρημνοῖς ὑποβάλλουσιν ἑαυτοὺς οἱ τοῦ ἀρχαίου τοῦ Πάπα τοῖς Κανόσι βεβλημένοι συμφωνῆσαι, καὶ γὰρ ἀναγκάζονται καὶ αὐτοὶ, καὶ ἄλλως ἀναγκάζουσι μεταβαίνειν καὶ καταφθείρειν τοὺς Νόμους καὶ τοὺς Κανόνας, ὡς πασίδηλόν ἐστιν, ἐν τούτῳ γὰρ τῷ Καιρῷ οἱ πατέρες τῆς ἐν Χαλκηδόνι Συνόδου ἐθέσπισαν, ὅπως αἱ τῶν Μητροπολιτῶν δίκαι συνόδῳ τῷ Ἐξάρχῳ τῆς Διοικήσεως διακάζωνται, ἵνα ῥήματα ἵνα ἐκλύσωσι τοῦ τὸν ἑαυτῶν ματαιότητα, ὁ μὲν Βίνιος, αὐτὶ τοῦ Ἐξάρχου τῆς Διοικήσεως, αὐτέθηκε πρῶτον τῆς χερσαιακῆς Διοικήσεως, ὁ δὲ Τσελαιὸς δὲ, πρῶτον τῆς καθόλου Διοικήσεως, καὶ ὁ Νικόλαος, πρῶτον

πρῶτον τῶν Διοικήσεων, καὶ ἀνωτέρω ὁ μὲν Βησσαρίων, Βίνιος, καὶ Βελλαρμῖνος τὸν Κωνσταντινουπόλεως ἔλεγον ἐπὶ πάντων κριτὴν πρῶτον, ἐνταῦθα δὲ ὁ Νικόλαος περιγράφει αὐτοῦ τὴν ἐξουσίαν ἕως ἐγγὺς τῶν τειχῶν τῆς Κωνσταντινουπόλεως, μιμούμενος τὸν Πάπαν Λέοντα, ποτὲ μὲν δεχόμενον τὸν τρίτον Κανόνα τῆς δευτέρας Οἰκουμενικῆς, καὶ ἀποδεχόμενον τὸν Κωνσταντινουπόλεως εἶναι δεύτερον Πατριάρχην, ποτὲ δὲ σπουδάζοντα ἀποκαταστῆσαι αὐτὸν πέμπτον. ἔτι ὁ Νικόλαος Ἔξαρχον τῆς Διοικήσεως νομίζει εἶναι τὸν πρῶτον, τουτέστι τὸν Ῥώμης, ἀλλ' ἀνωτέρω ὁ Βησσαρίων, Βίνιος, καὶ Βελλαρμῖνος πρῶτον εἶπον τὸν Κωνσταντινουπόλεως. ἔτι, πόθεν ἔλαβεν ὁ Νικόλαος εἰπεῖν τὸν Πάπαν βικάριον τοῦ πρώτου Ἀποστόλου καὶ ἄκρον, ὃν ἀνωτέρω εἶπον οἱ σοφισταὶ ἔσχατον; ὄντως πολυσχιδές ἐστι τὸ ψεῦδος κακὸν, τοιοῦτον δὲ ὂν ὁ παπισμὸς, πολυσχιδής ἐστιν, ὅθεν καὶ ἀσύμφωνοι καὶ οἱ Πάπαι, καὶ οἱ περὶ αὐτοὺς σοφισταὶ, καὶ ἡ ἀσυμφωνία γεννᾷ παρ' αὐτοῖς τὰς προσθήκας καὶ ἀφαιρέσεις καὶ τὰς παρενθήκας, διὸ καὶ παίζουσι μετὰ τῶν Κανόνων τῶν ἁγίων Οἰκουμενικῶν Συνόδων, καὶ ἀφαιροῦσι πᾶσαν τὴν αὐθεντίαν αὐτῶν, καὶ ἕκαστος ἑρμηνεύει τὴν φυσικὴν καὶ γνησίαν αὐτῶν συμφωνίαν κατὰ τὴν ἰδίαν αὐτοῦ ἀρέσκειαν. ῥητέον ὅμως, ἆρα οὖν καὶ ἐκ τῶν λόγων τούτων τοῦ Νικολάου, ὅτι δηλαδὴ πρῶτος τῆς Διοικήσεως ἐννοεῖται ὁ Ῥώμης, ἕπεται δοθῆναι τῷ Ῥώμης τὸ καθόλου πρωτεῖον; οὐδαμῶς, μάλιστα δὲ τὸ ἐναντίον, καὶ γὰρ εἰ συγχωρήσομεν, ὅτι ἡ διδομένη ἐξουσία τῷ πρώτῳ τῆς Διοικήσεως, αὕτη ἐστὶν ἡ διδομένη τῷ Ῥώμης, αὐτὴ ἐκείνη δίδοται καὶ βεβαιοῦται καὶ τῷ Κωνσταντινουπόλεως, καὶ γὰρ φησὶν, εἴτις κατὰ τοῦ Μητροπολίτου ἔχει δίκην. ἡ αἵρεσις ἐστὶν ἐλευθέρα διὰ τοῦ παρόντος Κανόνος, ἵνα ἐκλέξῃ ὅντινα κριτὴν βουληθείη, δηλαδὴ ἢ τὸν Ῥώμης, ἢ τὸν Κωνσταντινουπόλεως, ὥστε ἴση καὶ ὁμοία ἐξουσία πρὸς τὸ κρίνειν τῶν Μητροπολιτῶν τὰς δίκας ἐν ἑκατέρῳ ἐνταῦθα κυροῦται, καὶ οὕτω ταῦτα τὰ ῥήματα καὶ οὕτως ἐσφαλμένως ὑποτιθέμενα, καὶ οἱ Κανόνες οὕτω παρεξηγούμενοι, οὐδαμῶς βοηθοῦσι τῷ παπισμῷ, ἀλλὰ μᾶλλον καταφθείρουσιν αὐτὸν, καὶ εἰς τὸ οὐδὲν παραπέμπουσιν. ῥητέον καὶ τοῦτο, εἰ ὁ Νικόλαος φέρει εἰς βεβαίωσιν τῶν λόγων αὐτοῦ τὴν αὐθεντίαν τῶν Κανόνων, καὶ μάλιστα ἐκ τῆς ἀνάγκης παρατετραμμένως, συνάγεται πρῶτον, ὅτι ἐγίνωσκεν ἄνευ κανονικῆς μαρτυρίας εἶναι τοὺς λόγους αὐτοῦ ἀνισχύρους. δεύτερον, ὅτι αἱ Σύνοδοι καὶ οἱ Κανόνες αὐτῶν ἐπὶ τοῦ Πάπα, καὶ οὐ τὸ ἀνάπαλιν, ὡς κομπάζουσιν οἱ Γιεζουβῖται.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ἀνθυποφορὰ Λατίνων, τὴν ἐν Σαρδικῇ Σύνοδον δεδωκέναι τῷ Ῥώμης τὴν ἐπὶ πασῶν τῶν Ἐκκλησιῶν Ἔκκλητον λεγόντων, καὶ λύσις αὐτῆς διὰ πολλῶν ἀποδείξεων, ἐν μόνῃ γὰρ τῇ αὐτοῦ ἐνορίᾳ ὁ Ῥώμης, ὡς καὶ οἱ λοιποὶ Πατριάρχαι, τὴν Ἔκκλητον ἔχει.

Ἀνθυποφέρουσιν οἱ μηχανορράφοι παπισταὶ, ὅτι ἡ ἐν Σαρδικῇ Σύνοδος ὥρισε τὸν Πάπαν ἔχειν τὴν Ἔκκλητον πασῶν τῶν Ἐκκλησιῶν. Ἀλλὰ ῥητέον πρὸς τοῦτο, ὅτι εἴρηται ἐν τῷ πέμπτῳ καὶ ἕκτῳ τοῖς κεφαλαίοις τοῦ δευτέρου βιβλίου περὶ τούτου, καὶ ἤδη ῥητέον συντόμως, πρῶτον, ὅτι ἐκεῖνος ὁ διορισμὸς ἦν βέβαια εἰς τὸν Πάπαν νέος, πρὸς κατάλυσιν τῆς ἐξουσίας τῶν Εὐσεβιανῶν, ὅμως ἀθέμιτος ὤν, εὐθὺς μετὰ τοῦ γραφῆναι διελύθη εἰς τὸ μηδὲν, καὶ οὐκ ἔλαβεν ὑπόστασίν τινα, οὔτε κἂν ἐν στιγμῇ. δεύτερον, διωρίσθη διὰ τὴν ἀνάγκην τοῦ καιροῦ, ἐπειδὴ ἴσχυον οἱ Αἱρετικοὶ, ἔχοντες Βασιλεῖς παρατετραμμένους. εἰρήνης δ' ἀναφανείσης ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος ἀνέτρεψε τῷ δευτέρῳ Κανόνι τὰ γεγονότα ὑπερορίως ἐν τῷ καιρῷ τῆς ἀνάγκης, ἐπειδὴ ὡς μαρτυρεῖ ὁ Σωκράτης ἐκκλησιαστικῆς ἱστορίας βιβλίῳ πέμπτῳ, κεφαλαίῳ ὀγδόῳ, τοῦτο τὸ ὑπερορίως ἐνεργεῖν, πρότερον διὰ τοὺς διωγμοὺς ἐγίνετο ἀδιαφόρως, ὥρισε δὲ ἡ δευτέρα Οἰκουμενικὴ, ἵνα τὰ καθ' ἑκάστην Ἐπαρχίαν ἡ τῆς Ἐπαρχίας Σύνοδος διοικήσῃ κατὰ τὰ ἐν Νικαίᾳ διωρισμένα, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τρίτου κεφάλαιον τέταρτον. ὅθεν τοῦτο περὶ τοῦ Πάπα τῆς μερικῆς Συνόδου ἀνέτρεψε μάλα γενναίως ἡ Οἰκουμενικὴ, καὶ ἰδὲ τὸν Αὐγουστῖνον κατωτέρω βιβλίου δεκάτου, μέρους τρίτου, κεφαλαίου ἑνδεκάτου, Παραγράφῳ ἑβδόμῳ, ἔνθα δείκνυται ὅτι αἱ Οἰκουμενικαὶ διορθοῦσι τὰς μερικάς. τρίτον, εἰ δὲ καὶ ὁ Βαλσαμὼν ἀφορῶν εἰς μόνον τὸ κείμενον τῶν ἐν Σαρδικῇ τούτων Κανόνων, οὕτω τοῦ θέλειν πείθοντος, λέγει, ὅτι ἐδόθη τῷ Πάπᾳ ἰδικὸν προνόμιον, καὶ σὺν αὐτῷ ἐδόθη τὸ αὐτὸ καὶ τῷ Κωνσταντινουπόλεως, ὡς ἔχοντι τὰ ἴσα τῆς ἐξουσίας τοῦ Πάπα. ἀλλὰ ῥητέον, ὅτι ὁ Βαλσαμὼν ἐν τοῖς αὐτοῖς Κανόσι βιαζόμενος ὑπὸ τῆς ἀληθείας, ἐπιλέγει ἐν τῇ ἑρμηνείᾳ τοῦ τετάρτου Κανόνος, ὅτι τὰ διοριζόμενα περὶ τοῦ Πάπα, ἐνταῦθα κρατεῖν ὀφείλει, ἔνθα ἐξεφωνήθη, ἤτοι ἐν μόνῃ τῇ ἐνορίᾳ αὐτοῦ. περὶ δὲ τοῦ Κωνσταντινουπόλεως λέγει ὁ Ζωναρᾶς ἐν τῇ ἑρμηνείᾳ τοῦ πέμπτου Κανόνος, οὐ πάσας τὰς Ἐκκλήτους τῶν Ἐπισκόπων ἀνατίθησιν αὐτῷ (τῷ Ῥώμης ὁ Κανὼν) ἀλλὰ τῶν ὑποκειμένων αὐτῷ, ἐξ ὧν τινὲς ὕστερον τῷ Κωνσταντινουπόλεως ὑπετέθησαν, ὡς ἐκείνῳ λοιπὸν καὶ τὰς Ἐκκλήτους αὐτῶν ἀνήκειν, ἤτοι μόνων τῶν ὑποκειμένων τῷ Ῥώμης ἔχει ὁ Ῥώμης τὰς Ἐκκλήτους,

καὶ

καὶ μόνων τῶν ὑποκειμένων τῷ Κωνσταντινουπόλεως ἔχει ὁ Κωνσταντινουπόλεως τὰς Ἐκκλήτους. τέταρτον, ἐν σχολείῳ λέγεται ταῦτα, σκόπει, ὡς οἱ Κανόνες μικροῦ ξύμπαντες ταύτης τῆς Συνόδου μερικὰς, καὶ οὐκαθολικὰς κανονίζουσι πράξεις, καὶ μόνας ἐκείνας, αἳ τῇ ἐνορίᾳ τοῦ Ῥωμαϊκοῦ ἀνήκουσι θρόνου. ὥστε εἴ τις ἐθέλει σώζεσθαι καὶ τιμᾶσθαι τούτους, οὐκ ἂν αὐτοὺς εἰς καθολικὸν ἐκβιάσαιτο σχῆμα, οὐ δὲ γὰρ αὐτὰ τὰ πράγματα ἐᾷ, ἀλλ' ἐξ ὧν περὶ τοῦ Ῥώμης οὗτοι διορίζουσι, δύναται καὶ ἕκαστος τῶν λοιπῶν τεσσάρων Πατριαρχῶν ὑπὲρ τῶν εἰς τὴν ἰδίαν τῆς Πατριαρχείας ἐνορίαν πραττομένων χρᾶσθαι αὐτοῖς, οὐ γὰρ ὑπὸ τὸν ῥωμαϊκὸν θρόνον ἁπάσας ἀναφέρουσι τὰς Διοικήσεις, τοῦτο γὰρ ἀδύνατον καὶ ξένον τῆς Ἐκκλησίας, ἀλλ' ἐξ ὧν τὰ τῇ ῥωμαϊκῇ ἐνορίᾳ διοικούμενα, εἰς τὴν τοῦ Ῥώμης προέδρου ἀναφέρουσι γνώμην, ἐκ τῶν αὐτῶν ἐστι ἐννοεῖν, ὅτι καὶ τὰς ἐν ἑκάστοις τῶν ἄλλων Πατριαρχῶν Διοικήσεις εἰς τὴν τοῦ οἰκείου Πατριάρχου ἀνάγεσθαι διδόασι κρίσιν, οὕτω γὰρ καὶ ἡ ἐν Βενεθαλίᾳ Συνόδος τὸν Κανόνα τοῦτον ἐνόησεν. ἰδὲ περὶ καθόλου κριτοῦ ἀνωτέρω βιβλίου δευτέρου, κεφαλαίου ἕκτου, Παράγραφον τέταρτον. ταῦτα καὶ περὶ τῆς ἐν Χαλκηδόνι Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ Προτερίου Ἀλεξανδρείας, καὶ στάσεως τοῦ δήμου, καὶ ὧν συνέβησαν κακῶν, διὰ τὸ τινὰς μὲν τὸν Προτέριον, τινὰς δὲ τὸν Διόσκορον ἐθέλειν, καὶ τῆς κατὰ τῶν στασιωτῶν, κελεύσει τοῦ Βασιλέως Μαρκιανοῦ, τιμωρίας καὶ καταισχύνης. καὶ περὶ τοῦ Μονοφυσίτου Θεοδοσίου, τοῦ τὸν Ἰουβεναλιον διὰ τοῦ μοναδικοῦ τῆς Παλαιστίνης βιάσαντος ἀναθεματίσαι τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ εἰς φυγὴν τρέψαντος, καὶ προχειρισθέντος αὐτοῦ Ἱεροσολύμων. καὶ ἀποκαταστάσεως τοῦ Ἰουβεναλίου εἰς τὸν θρόνον, καὶ ἀπαγωγῆς τοῦ Θεοδοσίου, κελεύσει τοῦ Βασιλέως, εἰς Βυζάντιον.

Ἐξωρίσθη ὁ Διόσκορος εἰς Γάγγραν, ἐν δὲ τῇ Ἀλεξανδρείᾳ ἔγραψεν ὁ Μαρκιανὸς τῷ Αὐγουσταλίῳ Θεοδώρῳ, ἵνα γένηται ἄθροισις ἡ πρέπουσα, καὶ ψηφισθῇ κοινῶς καὶ κανονικῶς Πατριάρχης ἄνθρωπος ἄξιος. καὶ δὴ τῷ τοιούτῳ τρόπῳ ἐψηφίσθη ὁ Προτέριος, ὃν καὶ ὁ Διόσκορος ἐπίτροπον αὐτοῦ πρότερον εἶχε καὶ Ἀρχιπρεσβύτερον. καὶ δὴ ἐνεθρονιάσθη ἐν ἔτει τετρακοσιοστῷ πεντηκοστῷ δευτέρῳ, παρόντων καὶ ἐκείνων τῶν Ἐπισκόπων καὶ Κληρικῶν, οἳ ἦσαν εἰς τὴν Σύνοδον, ὡς ὁ Λιμπερᾶτος κεφαλαίῳ δεκάτῳ τετάρτῳ. ὁ δὲ Εὐάγριος βιβλίῳ πρώτῳ, κεφαλαίῳ τετάρτῳ καὶ πέμπτῳ λέγει, ὅτι Προτέριος τὴν Ἐπισκοπὴν ψήφῳ κοινῇ τῆς Συνόδου τὴν Ἀλεξανδρέων κληροῦται, ὃς ἐπειδὴ τὸν οἰκεῖον κατειλήφει θρόνον, μέγιστος καὶ ἀνύποιστος τάραχος τῷ δήμῳ ἀνέστη, Διόσκορον θελόντων τινῶν. ἐγένοντο λοιπὸν πολλαὶ συγχύσεις, καθότι τινὲς ἐζήτουν πάλιν τὸν Διόσκορον, τινὲς δὲ ἤθελον τὸν Προτέριον. ὁ δὲ Προτέριος εἶχεν ἐξωτερικὴν φύλαξιν διὰ τὰς ἐπαναστάσεις, καθότι ἐκεῖνος ὁπονηρὸς δῆμος, ὁ πολλάκις ποιήσας στάσεις, ἐστασίασε καὶ διὰ τὸν ἐνθρονιασμὸν τοῦ Προτερίου, καὶ λιθοβολεῖ τοὺς Ἄρχοντας, καὶ ἄλλα γίνονται παίδεινα. καὶ δὴ καὶ εἰς τὴν Παλαιστίνην ἀπὸ τῆς Οἰκουμενικῆς Συνόδου φυγὼν Θεοδόσιός τις, ἀπῆλθεν ἀγγελιαφόρος, ὃς πρώτιστος ἀπὸ τοῦ μέρους τῶν Μονοφυσιτῶν ἐναντιοῦται, καὶ διασύρει, καὶ βλασφημεῖ τὴν ἁγίαν Σύνοδον, εἶτα διεγείρει τὸ μοναδικὸν κατὰ τῆς ὀρθοδοξίας, ἔπειτα φθάσαντα εἰς Ἱερουσαλὴμ καὶ τὸν Ἰουβενάλιον, ἐβίαζον αὐτὸν ὅ,τε Θεοδόσιος καὶ οἱ ὁμόφρονες αὐτῷ, ἵνα ἀναθεματίσῃ αὐτὴν τὴν ἐν Χαλκηδόνι Σύνοδον, ὁ δὲ ἔφυγε, καὶ ὑπέστρεψεν εἰς τὸν Μαρκιανὸν εἰς Κωνσταντινούπολιν. ὅθεν χειροτονοῦσιν οἱ Μονοφυσῖται τὸν Θεοδόσιον Ἱεροσολύμων Ἐπίσκοπον, ἄνθρωπον, ὃς καὶ εἰς τὴν Ἀλεξάνδρειαν πρότερον ἔπαθε πολλὰς καταισχύνας, καθὼς τὸ μοναδικὸν τῆς Παλαιστίνης ἔγραψεν ὕστερον πρὸς Ἀλκίσωνα, καὶ ἀρχηγὸς Αἱρέσεως κατέστη κατὰ τὸν Δαμασκηνὸν, ἐξ αὐτοῦ γὰρ οἱ Θεοδοσιανοὶ, καθὼς ἀπὸ τοῦ Ἰακώβου ὕστερον οἱ αὐτοὶ ἐκλήθησαν Ἰακωβῖται (ἢ Θεοδοσιανοὶ ἐπὶ Θεοδοσίου Ἀλεξανδρείας τοῦ ἐπὶ Ἰουστινιανοῦ) ὁ δὲ Μαρκιανὸς εἰς μὲν τὴν Ἀλεξάνδρειαν ἔστειλε στρατιώτας, καὶ ἔφθασαν ἀπὸ τοῦ Βυζαντίου εἰς ἓξ ἡμέρας, καὶ ἐποίησαν πολλὰς παιδεύσεις καὶ καταισχύνας τοῖς Ἀλεξανδρινοῖς, ἕως οὗ Φλῶρος ὁ Ἡγεμὼν, δεηθεῖσιν αὐτοῦ, συνεχώρησεν αὐτοῖς. εἰς δὲ τὴν Παλαιστίνην πέμπει τὸν Ἰουβενάλιον πάλιν, καὶ γράφει εἰς τοὺς ἐξουσιαστὰς τῆς Παλαιστίνης, ἵνα τοὺς Ἐπισκόπους τοὺς χειροτονηθέντας ὑπὸ τοῦ Θεοδοσίου διώξωσι, ἐξ ὧν ἦν καὶ Πέτρος Ἴβηρ, χειροτονηθεὶς Μαϊουμᾶ, τὸν δὲ Θεοδόσιον πέμψωσιν εἰς τὴν Κωνσταντινούπολιν, ὅστις εἰ καὶ ἔφυγεν εἰς τὸ Σίναιον ὄρος, ἀλλὰ πιάσαντες ἔπεμψαν αὐτὸν εἰς Κωνσταντινούπολιν, ὡς ἐστὶ γεγραμμένον καὶ εἰς τὸν βίον Δανιὴλ τοῦ στυλίτου.

ΙΑΡΑ

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῶν φόνων καὶ τιμωριῶν πρός τε Ἀρχιερεῖς, καὶ τοὺς λοιποὺς τοῦ ἱεροῦ καταλόγου τοὺς ἐν Παλαιστίνῃ ὑπὸ τοῦ Μονοφυσίτου Θεοδοσίου, τῇ Βασιλίσσῃ Εὐδοκίᾳ φίλου ὄντος, καὶ τοῖς αὐτῆς στρατιώταις περιεστοιχισμένου. καὶ ὅπως ἐπέμφθη τῇ πρὸς Δωρόθεον Ἡγεμόνα Παλαιστίνης προσταγῇ τοῦ Βασιλέως ὁ φονεὺς οὗτος Θεοδόσιος εἰς Βυζάντιον. καὶ πόθεν ἡ μεταβολὴ τῆς Βασιλίσσης Εὐδοκίας πρὸς τὴν ὀρθοδοξίαν. καὶ περὶ τῆς πανοικεὶ ἁλώσεως τοῦ Βασιλέως Ῥώμης Ὀλυμβρίου, γαμβροῦ τῆς Εὐδοκίας.

Καὶ λοιπὸν τότε ἐκοσκινίθησαν, ἵνα εἴπω εὐαγγελικῶς, ποῖοι ἦσαν οἱ ἀγαθοὶ, καὶ ποῖοι οἱ κακοὶ, ποῖοι οἱ ἅρπαγες Λύκοι, καὶ ποῖοι οἱ ἀληθινοὶ λατρευταὶ τοῦ Ἀρχιποίμενος Ἰησοῦ. πλήν γε ὁ Θεοδόσιος ἦν τῆς Εὐδοκίας τῆς Βασιλίσσης φίλος κατὰ τὸν Νικηφόρον εὑρισκόμενος τέως εἰς τὰ Ἱεροσόλυμα, καθότι κατὰ τὸν Θεοφάνην ἡ Εὐδοκία ἐξ ὅτου χρόνου ἐμίσει τὸν Φλαυϊανὸν, ὡς εἴρηται εἰς τὸ πρὸ τούτου βιβλίον, ἠγάπα τὸν Διόσκορον πάθει τῷ πρὸς τὸν Φλαυϊανὸν, ὅθεν ὁ Θεοδόσιος ἔχων καὶ ἐκείνης τὸ θάρρος, ἐγένετο θηριογνώμων, καὶ δὴ καὶ Σεβηριανὸν Σκυθοπόλεως Ἐπίσκοπον, διὰ τὸ μὴ συγκοινωνεῖν αὐτῷ, ἐφόνευσεν, ὃς καὶ ὡς ἱερομάρτυς ἑορτάζεται ὑπὸ τῆς Ἐκκλησίας. ἀλλὰ καὶ ὡς τύραννος τινῶν μὲν ἐλάμβανε τὰ ὑπάρχοντα, ἄλλους δὲ ἔκαιεν, ἄλλους ἠχμαλώτιζε, καὶ ἄλλους κατεβασανίζεν. ὅθεν εἷς τις Ἀθανάσιος Ἱεροδιάκονος τῆς ἁγίας Ἀναστάσεως εἰς τὸ μέσον τῆς Ἐκκλησίας ἐξεφώνησε μετὰ πλείστης ἐλευθεροστομίας, παῦσον ὦ Θεοδόσιε τοσοῦτον φόνον ἐργαζόμενος, παῦσον τοῦ πολεμεῖν τοσοῦτον τὸν Χριστὸν, καὶ τὸ ποίμνιον αὐτοῦ, καὶ διώκειν αὐτὸ ὥσπερ Λῄστάρχος ἀπὸ τῆς θείας αὐτοῦ μάνδρας, δεῖξον κἂν εἰς τὸ ὕστερον στοργὴν καὶ ἀγάπην πρὸς τὸν ἀληθινὸν Ποιμενάρχην ἡμῶν. ταῦτα λέγων καὶ τὰ τοιαῦτα, ἡρπάγη ὑπὸ τῶν στρατιωτῶν τοῦ Θεοδοσίου, καὶ τυπτόμενος, καὶ φυλακιζόμενος, καὶ μυρία βασανιζόμενος, πρὸς Κύριον ἀπεδήμησε, τὸ δὲ ἅγιον αὐτοῦ σκῆνος προσέταξε ῥιφθῆναι εἰς κύνας ἵνα φάγωσιν αὐτὸ, ἑορτάζεται δὲ καὶ τούτου ἡμνήμη εἰς τὸ Μαρτυρολόγιον. μαθὼν δὲ ταῦτα πάντα τῆς Παλαιστίνης ὁ Ἡγεμὼν ὁ Δωρόθεος, ἀφ' οὗ ἐλυτρώθη ἀπὸ τῶν ἐν Μωαβίτιδι βαρβάρων, κατανικήσας αὐτοὺς, ἐπορεύθη κατ' εὐθεῖαν εἰς τὰ Ἱεροσόλυμα μετὰ τῶν στρατιωτῶν αὐτοῦ, ἀλλὰ τοῦ Θεοδοσίου μετὰ τῆς στρατιωτικῆς δυνάμεως τῆς Εὐδοκίας ὄντος περιεστοιχισμένου, οὐκ ἠδυνήθη ὁ Δωρόθεος ποιῆσαί τι, μάλιστα καὶ ἠναγκάσθη, ἵνα συμφωνήσῃ τῷ πλήθει τῶν μοναχῶν, καὶ εἰσέλθῃ ἔνδον εἰς τὸ περιτετειχισμένον κάστρον τῆς Ἱερουσαλήμ. ἀκούσας οὖν ὁ Μαρκιανὸς τὰ γενόμενα (ὅτι καὶ ὁ Δωρόθεος προέγραψε ταῦτα τῷ Βασιλεῖ) ἔπεμψεν ὁρισμὸν, ἵνα πιάσωσι τὸν Θεοδόσιον, ἀλλ' αὐτὸς προμαθὼν τὴν ἀπόφασιν, ἔφυγεν εἰς τὸ Σίναιον ὄρος κατὰ τὸν Νικηφόρον καὶ Θεοφάνην. ὁ δὲ Εὐάγριος λέγει, ὅτι ἐστάλθη σιδηροδέσμιος εἰς τὴν Κωνσταντινούπολιν, ἴσως ὅμως μετὰ τὴν εἰς τὸ Σίναιον φυγήν. εἰς δὲ τὴν Εὐδοκίαν τὴν προαπατηθεῖσαν ὑπὸ τοῦ ψευδεπισκόπου, μετὰ τὴν ἐπανέλευσιν τοῦ Ἰουβεναλίου εἰς Ἱερουσαλὴμ, ἔγραψεν ὁ ἀδελφὸς αὐτῆς Οὐαλέριος, καὶ ὁ ἐπὶ τῇ θυγατρὶ αὐτῆς Πλακιδίᾳ γαμβρὸς αὐτῆς Ὀλύμβριος, ὃν ἐποίησεν ὁ Λέων Βασιλέα τῆς Ῥώμης, ἵνα φρονῇ τὰ τῆς καθόλου Ἐκκλησίας, εἶτα μαθοῦσα καὶ τὸν γαμβρὸν ἀποκτανθέντα, καὶ τὴν θυγατέρα καὶ τὰ τέκνα ἀπαχθέντα εἰς Καρθαγένην ὑπὸ τοῦ Γιζερίχου, εἶπεν, ἡπαιδεία σου αὐτὴ μὲ διδάξει, καὶ οὕτως ἔστειλε τὸν Χωρεπίσκοπον Ἀναστάσιον εἰς Συμεὼν τὸν στυλίτην, ἐρωτῶσα ποῖόν ἐστι τὸ ὀρθόδοξον φρόνημα. ἐκεῖνος δὲ ἐμήνυσεν αὐτῇ, ὅτι αὐτοῦ ἔχεις τὸν μέγαν Εὐθύμιον, καὶ ἐμὲ τί ἐρωτᾷς; ὅθεν ἐκατήχησεν αὐτὴν ὁ ἅγιος Εὐθύμιος, καὶ διώρθωσεν αὐτὴν, ὡς μαρτυρεῖ ὁ μαθητὴς τοῦ Εὐθυμίου ὁ Κύριλλος, ὅστις περιγράφει τὰς κακώσεις πάσας τοῦ μιαροῦ τούτου Θεοδοσίου, καὶ ὅλην τὴν ἀσέβειαν καὶ βδελυρὰν αὐτοῦ πολιτείαν, καὶ ὅτι ἔσυρε κατόπιν αὐτοῦ μερικοὺς μοναχοὺς ταῖς κακοδοξίαις αὐτοῦ, ὀλίγοι ὅμως ἔμειναν μετὰ τοῦ μεγάλου Εὐθυμίου, ὅστις διὰ τὸ ὑπερασπίζεσθαι ὡς ὀρθόδοξος τῶν δογμάτων τῆς ἐν Χαλκηδόνι Συνόδου, ἦν μεμισημένος, καὶ σχεδὸν εἰπεῖν ὡς ἀποσυνάγωγος, διὰ τὸ μὴ συγκοινωνεῖν τῷ κακοθεοδοσίῳ, ὅστις καὶ τὸν Ἐλπίδιον καὶ τὸν Γερόντιον ἔστειλεν ὡς ἀποκρισιαρίους αὐτοῦ, ἵνα καταπείσωσι τὸν ἅγιον συνομιλῆσαι μετ' αὐτοῦ, ἀλλὰ παντάπασιν, εἶπεν ὁ Εὐθύμιος, οὐ συγκοινωνῶ ἀνθρώπῳ Αἱρετικῷ καὶ φονεῖ, καὶ ὁ μολογοῦντι συνουσίωσιν, ἤγουν φυρμὸν τῶν δύο φύσεων εἰς τὸν Θεάνθρωπον Ἰησοῦν, καὶ ταῦτα εἰπὼν, ἀνεχώρησεν εἰς τὴν ἔρημον, μιμούμενος τὸν προφήτην Ἠλίαν, τὸν διὰ τὴν ἀσέβειαν τῆς Ἰεζάβελ καὶ τοῦ Ἀχαὰβ ἀπομακρύναντα ἀπ' αὐτῶν, καὶ προσέτι διὰ πολλοὺς Ἀσκητὰς εὑρισκομένους εἰς τὴν ἔρημον, ἵνα μὴ ἀπατηθῶσι καὶ ἀκολουθήσωσι τῷ Θεοδοσίῳ, κράζοντι Νεστοριανοὺς τοὺς ὀρθοδόξους. ἀπῆλθεν, ἵνα μαθητεύσῃ αὐτοὺς ἐμμένει στερεοὺς τοῖς τῆς Συνόδου δόγμασι.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς παρατροπῆς εἰς τὸ τοῦ δυσσεβοῦς Θεοδοσίου τοῦ Μονοφυσίτου δόγμα Γερασίμου τοῦ θαυματουργοῦ, τοῦ ἐν Ἰορδάνῃ, καὶ τῆς διορθώσεως αὐτοῦτε καὶ ἄλλων πολλῶν ὑπὸ τοῦ μεγάλου Εὐθυμίου.

Εὑρί-

Εὑρίσκετο δὲ εἰς τὰ μέρη τοῦ Ἰορδάνου ὁ μέγας ἀναχωρητὴς Γεράσιμος, ὃς εὔαγχος ἐλθὼν ἀπὸ τῆς Αυκίας καὶ θαυματοποιῶν, ἁλοῦται ὑπὸ Θεοδοσίου πλανηθεὶς, ἀκούων ὅμως τὴν φήμην τοῦ Εὐθυμίου, ἔσπευσεν ἀπελθεῖν καὶ συνομιλῆσαι μετ' αὐτοῦ εἰς τὸν τόπον Ῥοβὰν, ἐν ᾧ ὁ ἅγιος ἡσύχαζε. καὶ ἀναμεταξὺ τῶν πολλῶν ὧν συνελάλησαν λόγων, ἦλθον καὶ εἰς τὰ ἄρθρα τῆς πίστεως, καὶ ἐφάνη ὁ γηραιὸς Γεράσιμος ὀλίγον παρασεσυρμένος, καὶ ἐπιβλαβῶς δεδιδαγμένος ὑπὸ τῶν ἀκολούθων τοῦ Θεοδοσίου, ἀλλὰ διωρθώθη καὶ αὐτὸς ὑπὸ τῶν θεοῤῥήτων λογίων τοῦ ἀνδρὸς, τοῦ καὶ ψυχὴν καὶ σῶμα χαροποιοῦντος, καθὼς καὶ ὁ Πέτρος, καὶ ὁ Μάρκος Ἰούλλων, καὶ Σιλβανὸς οἱ ἀναχωρηταὶ, οἱ προενωθέντες μὲν καὶ συγκοινωνήσαντες τῷ Θεοδοσίῳ, διδαχθέντες δὲ ὑπὸ τοῦ ἁγίου, μετεβλήθησαν, ψάλλοντες τὴν παλινῳδίαν. οὗτός ἐστιν ὁ Γεράσιμος ὁ χρησάμενος ἀντὶ τοῦ πεφονευμένου αὐτοῦ ὄνου ὑπὸ τοῦ Λέοντος αὐτὸν τὸν Λέοντα, εἰς ὃν καὶ φορτία ἐπετίθει, καὶ εἰς πᾶσαν ἄλλην ὑπηρεσίαν αὐτοῦ μετεχειρίζετο αὐτόν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῶν πανούργων γραμμάτων τῶν ἐν Παλαιστίνῃ Εὐτυχιανῶν πρὸς τὴν Βασίλισσαν Εὐδοκίαν, ἵνα ἑλκύσωσιν αὐτὴν, καὶ δι' αὐτῆς τὴν Πουλχερίαν καὶ τὸν Βασιλέα Μαρκιανὸν πρὸς τὴν Αἵρεσιν αὐτῶν, καὶ τῆς πρὸς αὐτοὺς ἀπειλῆς τοῦ Βασιλέως καὶ τῆς Πουλχερίας.

Ἐτεχνήσαντο οἱ Εὐτυχιανοὶ, οὐμόνον ἑλκύσαι τὴν Εὐδοκίαν, ἀλλὰ καὶ αὐτὴν τὴν Πουλχερίαν εἰς τὴν γνώμην αὐτῶν, ἐλπίζοντες τρόπῳ τοιούτῳ ποιήσειν ὅλον τὸ βασίλειον αἱρετικὸν, καὶ μετατρέψειν καὶ τὸν Μαρκιανὸν Βασιλέα εἰς τὴν κακοδοξίαν αὐτῶν, ἀλλ' οὐ παρεχώρησεν ὁ τῶν ὅλων Θεὸς γενέσθαι τοσαύτην παρανομίαν, ἡ γὰρ Αὐγούστα τὰ παρὰ τῶν Αἱρετικῶν αὐτῇ πεμφθέντα γράμματα ἔδειξε τῷ ἀνδρὶ αὐτῆς τῷ Βασιλεῖ, ποιήσασα παραπλησίως τῇ Σαμαρείτιδι, τῇ ἀκουσάσῃ παρὰ τοῦ Χριστοῦ, φώνησόν σου τὸν ἄνδρα, καὶ κατὰ τὴν νουθεσίαν τοῦ Ἀποστόλου, γράφοντος εἰς τὴν πρώτην πρὸς Κορινθίους, αἱ γυναῖκες ὑμῶν εἴτι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· τοιγαροῦν ὁ Μαρκιανὸς κατανοήσας τὴν ἀναισχυντίαν τῶν Παλαιστινῶν Αἱρετικῶν, ἐθυμώθη λίαν, ὅτι ἐσκέπαζον τὴν προπέτειαν αὐτῶν διὰ ποικίλων πανουργιῶν, καὶ ἀντὶ τοῦ ζητεῖν μανθάνειν, ἐτόλμων φαίνεσθαι διδάσκειν, καταλιπόντες τὰ Μοναστήρια αὐτῶν καὶ τὰς σκήτας αὐτῶν, καὶ εὑρισκόμενοι εἰς τὴν μέσην τῆς Ἱερουσαλὴμ, ἐμπλεκόμενοι ταῖς τοῦ βίου πραγματείαις, ἀνοίγοντες καὶ κλείοντες τὰς πόρτας τοῦ κάστρου ὥσπερ βασιλικοὶ στρατιῶται, καταισχύνοντες τὸ ἅγιον σχῆμα, καὶ παραβαίνοντες τοὺς θεσμοὺς τῆς Ἐκκλησίας, πρὸς οὓς ἔγραψεν ὁ Βασιλεὺς μετὰ τὰ πολλὰ, ὅτι Ἰουβεναλίου τοῦ ἁγιωτάτου ἀνδρὸς καὶ τῶν σὺν αὐτῷ Ἱερωμένων ἐδιψᾶτε πιεῖν ὡς αἱ βδέλαι τὸ ἀθῷον αἷμα αὐτῶν, καὶ τὸν Θεοδόσιον τὸν Ἀπολιναριστὴν καὶ Εὐτυχιανὸν ἐθεοποιεῖτε, τὸν ὄντα βλάσφημον εἰς τὴν καθολικὴν Ἐκκλησίαν καὶ καθαιρέτην τῆς εἰρήνης ὡς Ἀρχιληστὴν καὶ δεύτερον Βαραββᾶν, καὶ λοιπὸν ἐλπίζομεν ὅτι μετανοήσετε καθὼς ὑπέσχετο ἡμῖν ὁ ἁγιώτατος Ἰουβενάλιος, οὗ τῇ δεήσει ταῦτα πρὸς ὑμᾶς ἐσχεδιάσαμεν, καὶ λοιπὸν εἰς τὰ Μοναστήρια ὑμῶν καθέζεσθε καὶ ἡσυχάζετε καθὼς ἁρμόζει ὑμῖν, ἵνα μὴ πέσητε εἰς ἄλλας ἀνάγκας. ἔγραψεν αὐτοῖς καὶ ἡ Αὐγοῦστα Πουλχερία, πλὴν ἕως οὗ ἦν ὁ Θεοδόσιος εἰς τὰ μέρη τῆς Παλαιστίνης οὐδεμία ἦν καλοκἀγαθία. ἔμεινεν οὖν ὁ τύραννος Θεοδόσιος κατὰ τὸν Κάλλιστον Νικηφόρον εἰς τὸν θρόνον Μῆνας εἴκοσι.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ διορθώσεως τῶν ἐν Παλαιστίνῃ εἰς τὰ τοῦ Εὐτυχοῦς δόγματα παρατραπέντων, καὶ τελευτῆς Πουλχερίας, ἐπανακάμψεώς τε Ἰουβεναλίου εἰς Ἱεροσόλυμα ἀπὸ Βυζαντίου, καὶ ἐπιστολῆς αὐτοῦ πρὸς Λέοντα Ῥώμης μετὰ τιμίου ξύλου, καὶ Λέοντος πρὸς αὐτὸν, καὶ ἀθροίσεως Συνόδου ὑπὸ Ἰουβεναλίου ἐν Ἱερουσαλὴμ εἰς σύστασιν παντὸς δόγματος ἐκκλησιαστικοῦ, καὶ τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ εἰς κατάκρισιν πάσης Αἱρέσεως.

Ἐγένετο καὶ διόρθωσις σὺν Θεῷ καὶ εἰς τοὺς τινὰς Μοναχοὺς, καὶ ἄλλους τῆς Παλαιστίνης, οἵτινες ἐκράτουν τοῦ Εὐτυχοῦς τὰ δόγματα, καὶ ἀπὸ τοῦ Θεοδοσίου ἐχώρισε τελείως καὶ βάσσα ἡ Ἡγουμένη, καὶ οἱ λοιποὶ, ὡς φαίνεται ἀπὸ τῆς ἐπιστολῆς, ἣν ἔγραψεν ἡ Βασίλισσα Πουλχερία, ἥτις καὶ σωφρόνως ζήσασα, εἰς τὸ τέταρτον ἔτος τῆς Βασιλείας τοῦ Μαρκιανοῦ θεαρέστως ἐκοιμήθη. καὶ ὁ ἀξιοτίμητος Ἰουβενάλιος ἐπανῆλθε πάλιν εἰς Ἱεροσόλυμα κατὰ τὴν χειμερινὴν ἰσημερίαν. ἔπεμψε δὲ ὁ Ἰουβενάλιος εἰς τὸν Λέοντα Ῥώμης φιλικὰς ἐπιστολὰς διὰ τοῦ πρεσβυτέρου Ἀνδρέου καὶ Ἱεροδιακόνου Πέτρου, καὶ μέρος τιμίου ξύλου, ὅπερ πανευλαβῶς ἐδέχθη ὁ ὁσιώτατος Λέων, καὶ ἀντέγραψε καὶ αὐτὸς, καὶ σημειοῖ εἰς τὸ τέλος τῆς ἐπιστολῆς, ὅτι εἰ καὶ μηδενὶ Ἀρχιερεῖ προσήκει μὴ εἰδέναι ἐκεῖνο, ὅπερ ἐπαγγέλλεται διδάσκειν, καθότι ὁ ἀγνοῶν ἀγνοηθήσεται, ἀναπολόγητος ὅμως ἐστὶ πᾶς Χριστιανὸς ὁ κατοικῶν

τὴν

τὴν Ἱερουσαλὴμ καὶ φαίνεται ἀμαθὴς, ἵνα γὰρ γνῶ τὴν δύναμιν τοῦ Εὐαγγελίου, οὐδεῖται βιβλίου τοσοῦτον, ὅσον τῆς ἱστορίας καὶ τοποθεσίας. καὶ λοιπὸν ἐρχόμενος εἰς Ἱερουσαλὴμ ὁ Ἰουβενάλιος, ἤθροισε τὴν Σύνοδον τῆς Ἐπαρχίας, καὶ ὡς ἀποστολικὸς ἄνθρωπος συνέστησε πᾶν δόγμα Ἐκκλησιαστικὸν, καὶ ἐβεβαίωσε τὴν ἐν Χαλκηδόνι Οἰκουμενικὴν Σύνοδον, καὶ πᾶσαν Αἵρεσιν κατήλεγξε, καὶ μάλιστα τὴν τοῦ Νεστορίου καὶ Εὐτυχοῦς καὶ Διοσκόρου, καὶ ἐγένετο εἰρήνη τῇ χάριτι τοῦ Θεοῦ εἰς ἐκείνην τὴν μητέρα τῶν Ἐκκλησιῶν, καταστραφέντων τῶν ζιζανίων, τῶν ἐπηρεαζόντων τὸν σπόρον τὸν ἡτοιμασμένον εἰς τὴν ἀποθήκην τοῦ Χριστοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς κοιμήσεως Μαρκιανοῦ, καὶ βασιλείας Λέοντος τοῦ μεγάλου. καὶ περὶ τοῦ Τιμοθέου Αἰλούρου, τοῦ φονεύσαντος τὸν Προτέριον, καὶ πατριαρχεύσαντος ἐν Ἀλεξανδρείᾳ, καὶ τῶν ἀσεβειῶν αὐτοῦ, καὶ τῶν κατ' αὐτοῦ καὶ ὑπὲρ αὐτοῦ πρὸς τὸν Βασιλέα ἀναφορῶν.

Ἐκοιμήθη καὶ ὁ Μαρκιανὸς ἐν ἔτει τετρακοσιοστῷ πεντηκοστῷ ἑβδόμῳ μετὰ τὸν Κωνσταντῖνον, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσας εἰς τὴν Βασιλείαν, ἄνθρωπος οὐμόνον εὐσεβέστατος, ἀλλὰ καὶ εὐλαβέστατος, πεζὸς γὰρ ἐλιτάνευεν ἐν τῷ πεδίῳ, ὅθεν ἠναγκάζετο καὶ ὁ Ἀνατόλιος οὐκ ἐν φορείῳ, ἀλλὰ πεζὸς λιτανεύειν κατὰ τὸν Θεοφάνην. Οἱ Ἀλεξανδρεῖς λοιπὸν, ἀπόντος Διονυσίου τοῦ Στρατηλάτου, χειροτονοῦσιν Ἀλεξανδρείας τινὰ Τιμόθεον Αἴλουρον, ὅστις μεταχειρισθεὶς σχῆμα μέλαν, περιεπάτει κατὰ νύκτα περὶ τὰ κελλία τῶν Μοναχῶν, καὶ κράζων ἕκαστον ὀνομαστὶ, ἔλεγεν αὐτοῖς, ὅτι ἐστὶν Ἄγγελος ἀπεσταλμένος παρὰ Θεοῦ, εἰπεῖν αὐτοῖς ἀπέχεσθαι ἀπὸ τῆς κοινωνίας τοῦ Προτερίου, καὶ ἔχειν Ἐπίσκοπον τὸν Αἴλουρον. τοῦ δὲ Διονυσίου ἐλθόντος ταχέως ἕνεκεν τοῦ σβέσαι τὴν στάσιν, ὁ Αἴλουρος κατασκευάζει εἰς τὸ πρῶτον ἔτος τοῦ Λέοντος, καὶ σφάζουσι τὸν Προτέριον εἰς τὴν κολυμβήθραν τοῦ βαπτίσματος, φυγόντα ἐκεῖ ἵνα διασωθῇ, ὥσαντες ξίφος εἰς τὰ σπλάγχνα αὐτοῦ οἱ Μονοφυσῖται, οἵτινες ὡς θῆρες ἔφαγον καὶ τὰ σπλάγχνα αὐτοῦ, συγκατασφάττουσι δὲ ἐκεῖ οἱ αὐτοὶ καὶ ἑτέρους ἕξ, καὶ εἶτα σύραντες αὐτὸν σχοινίοις κατὰ πάσης τῆς πόλεως, τὸ μὲν ἐν τοῦ σώματος αὐτοῦ μέρος ἔδωκαν τοῖς κυσὶ, τὸ δὲ κατέκαυσαν κατὰ τὴν μεγάλην ἑβδομάδα, τῷ ἔτει τετρακοσιοστῷ πεντηκοστῷ ἑβδόμῳ. ἦν δὲ ἐν τούτοις τοῖς τολμήμασιν ἀρχηγὸς ὁ Αἴλουρος, ὃς Διάκονος ἦν ποτε, καὶ ὡς λεγουσί τινες, καὶ ἀδελφιδοῦς τοῦ Διοσκόρου. γράφει δὲ ὁ Θεοφάνης, ὅτι ὁ Αἴλουρος ἐχειροτόνει, μὴ ὢν Ἐπίσκοπος, καὶ ἐβάπτιζε, μὴ ὢν Πρεσβύτερος, ὅθεν καὶ πρόδρομον αὐτὸν τοῦ Ἀντιχρίστου καλεῖ. γράφουσι λοιπὸν οἱ Αἰγύπτιοι Ἐπίσκοποι πάντες, καὶ ὁ Κλῆρος Ἀλεξανδρείας εἰς τὸν μετὰ Μαρκιανὸν βασιλεύσαντα Λέοντα, ὅτι ἄνευ παρουσίας τῶν Ἐπισκόπων τῆς Αἰγύπτου, καὶ ὅτι διὰ πέντε ἀχρείων Ἐπισκόπων, ἔτι ζῶντος τοῦ ἁγιωτάτου Ἀρχιεπισκόπου Προτερίου, ὁ Αἴλουρος χειροτονεῖται, καὶ χωρὶς εὐλαβείας ἔσυρεν ἀπὸ τοῦ βαπτιστηρίου τὸν Προτέριον, καὶ ἐφόνευσαν αὐτὸν οἱ Μονοφυσῖται, καὶ κατεκέντησαν τὸ νεκρὸν αὐτοῦ, καὶ καύσαντες αὐτὸ, ἔρριψαν τὴν κόνιν αὐτοῦ εἰς τὸν ἀέρα. καὶ δὴ καὶ τὴν ἐν Χαλκηδόνι Σύνοδον ἀναθεματίζει ὁ Αἴλουρος καὶ οἱ περὶ αὐτὸν, ἀλλὰ καὶ τὰ βιβλία τοῦ ἁγίου Κυρίλλου ἐνόθευσεν ἐν πολλοῖς ὁ Αἴλουρος, ὡς ἱστορεῖ Πέτρος πρεσβύτερος Ἀλεξανδρείας. ὁ δὲ Αἴλουρος καὶ αὐτὸς ἔπεμψεν εἰς τὸν Αὐτοκράτορα γράμματα, δικαιῶν ἑαυτὸν, καὶ ὁ δῆμος Ἀλεξανδρείας καὶ οἱ ἀξιωματικοὶ καὶ πολιτευόμενοι, καὶ οἱ Ναύκληροι ἔπεμψαν ἀναφορὰν εἰς τὸν Βασιλέα, ζητοῦντες τὸν Αἴλουρον βεβαιωθῆναι Ἀλεξανδρείας.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ ἀναφορᾶς τῆς ἐν Αἰγύπτῳ Συνόδου πρὸς Λέοντα τὸν μέγαν κατὰ τῆς ἀσεβείας τοῦ Αἰλούρου, καὶ ἐρωτήσεως τοῦ Βασιλέως πρὸς πάντας τοὺς προέδρους τῶν Ἐκκλησιῶν, ἀφ' ὧν διδαχθεὶς τὸ δίκαιον, κατέγνω τοῦ φονέως Αἰλούρου.

Ὁ τοῦν Βασιλεὺς ἀθροῖσαι πάλιν Οἰκουμενικὴν Σύνοδον, οὐκ ἐνόμιζε συμφέρον, ἀλλὰ τοὺς μὲν ἀποκτείναντας τὸν ἅγιον Προτέριον, ἀπέστειλε καὶ ἐγλωσσοτόμησε, περὶ δὲ τῆς πίστεως ἔπεμψε τὰ ἴσα τῶν ἀπ' Ἀλεξανδρείας ἀναφορῶν εἴς τε τὸν Κωνσταντινουπόλεως Ἀνατόλιον, καὶ εἰς ὅλους τοὺς Πατριάρχας, καὶ τοὺς κατὰ τὰς Ἐπαρχίας Μητροπολίτας, καὶ εἰς Συμεὼν τὸν στυλίτην, καὶ εἰς τὸν μοναχὸν

Βαρ-

Βαρδάνην καὶ εἰς τὸν θαυματουργὸν Ἰάκωβον, ζητῶν μαθεῖν ἀπὸ κοινῆς γνώμης τὰ δίκαια. ἔγραφε δὲ οὕτως, Εἴπατε τὸ δοκοῦν περὶ τοῦ προειρημένου Τιμοθέου, καὶ τῆς ἐν Χαλκηδόνι Συνόδου, ἄνευ τινὸς ἀνθρωπίνου φόβου, καὶ δίχα χάριτος καὶ ἀπεχθείας, μόνον τὸν τοῦ Παντοκράτορος Θεοῦ φόβον πρὸ ὀφθαλμῶν τιθέμενοι, ἐπειδὴ ἴστε ὡς περὶ τοῦ γράμματος τούτου τῇ ἀχράντῳ Θεότητι λόγον δώσετε, ἵνα παρὰ πάντων δι' ὑμετέρων γραμμάτων τελείως διδαχθέντες, τὸν ἁρμόζοντα τύπον δοῦναι δυνηθῶμεν. ταῦτα ὁ Βασιλεύς. Εὐάγριος βιβλίῳ δευτέρῳ. ὠνομάσθησαν δὲ τὰ τοιαῦτα εἰς τοὺς Ἐπισκόπους γράμματα ἐγκύκλια. Ἀπεκρίθησαν δὲ τῷ Βασιλεῖ οἱ Ἐπίσκοποι ἀπὸ Ἀνατολῆς καὶ Δύσεως, ἀσπαζόμενοι τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ κατακρίνοντες τὸν Αἴλουρον, μόνος δὲ ὁ Σίδης Ἀμφιλόχιος καταβοᾷ μὲν τοῦ Αἰλούρου, ἀλλὰ μέμφεται τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ ἄλλος οὐδείς. εἶτα καὶ ὁ στυλίτης Συμεὼν γράφει εἰς τὸν Ἀντιοχείας Βασίλειον, ὁσιώτατον καὶ ἁγιώτατον ἐπιγραφόμενος αὐτὸν, καὶ δεχόμενος τὴν ἐν Χαλκηδόνι Σύνοδον, λέγει αὐτῷ, ἵνα ἰσχύῃ καὶ ἀνδρίζηται ὡς τὸν Ἰησοῦν τοῦ Ναυῆ ὑπὲρ τῆς Ἐκκλησίας, καὶ χαιρετᾷ καὶ τὸν λαόν. λέγει δὲ ὁ Εὐάγριος, ὅτι ὁ Ῥώμης Λέων πρῶτος ἔγραψεν ἐπιστολὴν εἰς τὸν Λέοντα κατὰ τῆς παρανομίας τοῦ Αἰλούρου, ἣν ἔπεμψεν ὁ Βασιλεὺς τῷ Αἰλούρῳ, ὁ δὲ ἀντέγραψε πρὸς τὸν Βασιλέα, μεμφόμενος καὶ τὴν ἐπιστολὴν καὶ τὴν ἐν Χαλκηδόνι Σύνοδον. ὅθεν ὁ Βασιλεὺς ἔπεμψεν ἐρωτῶν τοὺς Μητροπολίτας τὰ περὶ πίστεως, πιστεύων δηλονότι μᾶλλον τοῖς πολλοῖς, ἢ μόνῳ τῷ Ῥώμης. Καὶ λοιπὸν ἐξορίζεται ὁ Αἴλουρος, καὶ ὁ Μαϊουμᾶς Πέτρος εἰς τὴν Γάγγραν, ὅπου καὶ ὁ Διόσκορος. καὶ ἐπειδὴ ἐποίει παρασυναγωγὰς ὁ Αἴλουρος, ἐξωρίσθη ἐκεῖθεν εἰς τὴν Χερσῶνα, κἀκεῖθεν εἰς τὴν Ὄασιν. Σειμειοῖ δὲ παρὰ τῷ Θεοφάνει Πέτρος Ἀλεξανδρείας πρεσβύτερος, ὅτι ὁ Αἴλουρος ἐνόθευσε τὰ βιβλία τοῦ ἁγίου Κυρίλλου, καὶ ἅμα τῷ Διοσκόρῳ ἐξορισθῆναι αὐτὸν εἰς τὴν Χερσῶνα. εἰς δὲ τὴν Ἀλεξανδρειαν ἔγραψεν ὁ Βασιλεὺς εἰς τὸν Ἡγεμόνα Στύλον, ὥς φησι Λιμπεράτος, φροντίσαι, ἵνα ἐκλεχθῇ Πατριάρχης ἄξιος, καὶ δὴ κοινῇ ψήφῳ κατέστη Ἐπίσκοπος Τιμόθεος, ὁ ἐπιλεγόμενος Βασιλικὸς, ἢ Σαλοφακίολος, τῷ ἔτει τετρακοσιοστῷ πεντηκοστῷ ἐνάτῳ. τοῦ δὲ Ἀνατολίου κοιμηθέντος τῷ ἔτει τετρακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ, ἀνάγεται εἰς τὸν θρόνον Κωνσταντινουπόλεως ὁ Ἱερὸς Γεννάδιος, ὁ ἁγιώτατος καὶ ἀσκητικώτατος. ἦσαν δὲ οἱ ἐξάρχοντες ὀρθόδοξοι Ἐπίσκοποι τῆς Αἰγυπτιακῆς Συνόδου, Θεόφιλος, Ἰωάννης, Ἀθανάσιος, Ἀβραὰμ, Δανιὴλ, Ἰωάννης, Παφνούτιος, Μουρσαῖος, Πανούλβιος, καὶ Πέτρος, πρὸς οὓς, καὶ πρὸς τὸν χειροτονηθέντα ὀρθόδοξον Τιμόθεον ἔγραψε συμβουλευτικῶς ὁ Ῥώμης, καὶ ἄλλοι πολλοί. εἰς τὴν ἀναφορὰν δὲ, ἣν ἔγραψαν πρὸς τὸν Ἀνατόλιον οἱ Αἰγύπτιοι οὗτοι Ἐπίσκοποι, ἦν τοιαύτη ἐπιγραφὴ, Ἀνατολίῳ τῷ ἁγιωτάτῳ καὶ θεοφιλεστάτῳ Ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως καὶ τοῦς καθολικῆς Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἀπαριθμήσεως τῶν προέδρων τῶν Ἐκκλησιῶν, τῶν τὰς πρὸς τὸν Βασιλέα Λέοντα ἀποκρίσεις κατὰ τοῦ Αἰλούρου πεμψάντων, ἐξ ὧν δείκνυται κατὰ τρεῖς τρόπους, καὶ κατὰ πρᾶσθεσιν μὴ εἶναι τὸν Ῥώμης κοινὸν πατέρα, οὔτε ἰδικῷ τρόπῳ κοινὸν Διδάσκαλον, οὔτε γενικῷ τρόπῳ πρῶτον, οὔτε ἀναμάρτητον, ἀλλ' ἕνα Πατριάρχην πρῶτον μόνῃ τῇ τάξει.

Τὰ γράμματα, ἅπερ ἔγραψαν εἰς τὸν Αὐτοκράτορα Λέοντα, ἀποκρινόμενοι εἰς τὰ ἐγκύκλια, ὅσα εὑρίσκονται, εἰσὶ ταῦτα, πρῶτον, ἓν καθολικὸν, ἐν ᾧ ἦσαν Λέων ὁ Ῥώμης, Βασίλειος Ἀντιοχείας, Ἰουβενάλιος Ἱεροσολύμων, καὶ ἕτεροι Ἐπίσκοποι, ὅλοι δύο πρὸς τοῖς ἑξήκοντα. δεύτερον, τῶν Αἰγυπτίων, ἐν ᾧ ἦσαν Ἐπίσκοποι τεσσαρεσκαίδεκα, Πρεσβύτεροι τρεῖς, καὶ Διάκονος εἷς. τρίτον, Εὐρώπης, ἐν ᾧ Ἐπίσκοποι τέσσαρες. τέταρτον, Μυσίας δευτέρας, ἐν ᾧ Ἐπίσκοποι ἕξ. πέμπτον, τῆς πρώτης Συρίας, ἐν ᾧ Ἐπίσκοποι ἐννέα. ἕκτον, δευτέρας Συρίας, ἐν ᾧ Ἐπίσκοποι πέντε. ἕβδομον, Μεσοποταμίας, ἐν ᾧ Ἐπίσκοποι ἐννέα. ὄγδοον, Φοινίκης, ἐν ᾧ Ἐπίσκοποι ἑπτά. ἔνατον, τῆς δευτέρας Φοινίκης, ἐν ᾧ Ἐπίσκοποι ἕνδεκα. δέκατον, Ἰσαυρίας, ἐν ᾧ Ἐπίσκοποι δεκαεπτά. ἑνδέκατον, πρώτης Κιλικίας, ἐν ᾧ Ἐπίσκοποι ἑπτά. δωδέκατον, Πισιδίας, ἐν ᾧ Ἐπίσκοποι πεντεκαίδεκα. δέκατον τρίτον, Σαρδέων Λυδίας, ἐν ᾧ Ἐπίσκοποι εἴκοσι. δέκατον τέταρτον, Παμφυλίας, ἐν ᾧ Ἐπίσκοποι πεντεκαίδεκα. δέκατον πέμπτον, Μυρέων, ἐν ᾧ Ἐπίσκοποι ἑπτακαίδεκα, Πρεσβύτεροι τέσσαρες, Διάκονος εἷς. δέκατον ἕκτον, Κυζίκου, ἐν ᾧ Ἐπίσκοποι ἑκκαίδεκα. δέκατον ἕβδομον, Ἁρμενίας πρώτης, ἐν ᾧ Ἐπίσκοποι ἕξ. δέκατον ὄγδοον, Ἁρμενίας δευτέρας, ἐν ᾧ Ἐπίσκοποι τρεῖς. δέκατον ἔνατον, Καππαδοκίας πρώτης, ἐν ᾧ Ἐπίσκοποι δύο. εἰκοστὸν, Καππαδοκίας δευτέρας, ἐν ᾧ Ἐπίσκοποι ὀκτώ. εἰκοστὸν πρῶτον, Πόντου, ἐν ᾧ Ἐπίσκοποι τέσσαρες. εἰκοστὸν δεύτερον, Παφλαγονίας, ἐν ᾧ Ἐπίσκοποι πέντε. εἰκοστὸν τρίτον, Σαρδηνίας, ἐν ᾧ Ἐπίσκοποι τρεῖς. εἰκοστὸν τέταρτον, Κορίνθου, ἐν ᾧ Ἐπίσκοποι εἴκοσι καὶ εἷς. εἰκοστὸν πέμπτον, Γαλατίας πρώτης, ἐν ᾧ Ἐπίσκοποι ἑπτά. εἰκοστὸν ἕκτον, παλαιᾶς Ἠπείρου, ἐν ᾧ Ἐπίσκοποι ἐννέα.

εἰκοστὸν

εἰκοστὸν ἕβδομον, νέας Ἠπείρου, ἐν ᾧ Ἐπίσκοποι ἑπτά. εἰκοστὸν ὄγδοον, Κρήτης, ἐν ᾧ Ἐπίσκοποι ὀκτώ. ἔγραψαν δὲ καὶ οὗτοι χωρὶς, Ἐπίκτητος Διοκλητιανουπόλεως, Βαλεντῖνος Φιλιππουπόλεως, Θεότιμος Σκυθίας, Ἰουλιανὸς Κώου, Λουκιανὸς Βιζύης, Σεβηριανὸς καὶ Ἀγαπητὸς (ὧν οὐκ ἔχομεν τὰς Ἐπαρχίας) λέγουσι δὲ τὸν Βασιλέα χριστιανικώτατον. γράφων δὲ εἰς τὸν Βασιλέα καί τις Βαρέντατος μοναχὸς, λέγει αὐτὸν τῆς γῆς καὶ τῆς θαλάσσης καὶ πασῶν τῶν γαιῶν κύριον. Σὺ δὲ κἀνταῦθα σημείωσαι πρῶτον, ὅτι οἱ Αἰγύπτιοι τόσον οἱ πιστοὶ ὅσον καὶ οἱ ἀποστάται γράφοντες τὰ περὶ τῆς Ἐκκλησίας Ἀλεξανδρείας, οὐδεμίαν ποιοῦσι μνήμην τοῦ Πάπα Ῥώμης. δεύτερον, ὅτι ὁ Ἀνατόλιος λέγεται τῆς καθόλου Ἐκκλησίας Ἐπίσκοπος, καὶ οὐλαμβάνει ἐκ τούτου ἐν τῇ Ἐκκλησίᾳ ἀξίωμα, ὥστε καὶ ὁ Ῥώμης οὕτω λεγόμενος, οὐλαμβάνει τοιοῦτόν τι. τρίτον, ὁ Βασιλεὺς οὐ ζητεῖ ἀπὸ μόνου τοῦ Ῥώμης τὴν ἀλήθειαν, μήτε ἀπὸ μόνων τῶν Πατριαρχῶν, ἀλλὰ καὶ ἀπ' αὐτῶν, καὶ ἀπὸ τῶν Μητροπολιτῶν συνοδικῶς, διατοῦτο ἔγραφε τῷ Ἀνατολίῳ ἵνα συνάξῃ τοὺς πρωτυχόντας εἰς Κωνσταντινούπολιν ὀρθοδόξους Ἐπισκόπους, καὶ τοὺς εὐλαβεστάτους Κληρικοὺς, καὶ ἐξετάσῃ τὰ γράμματα τῶν Αἰγυπτίων, καὶ μετὰ τὴν δοκιμὴν αὐτῶν τῶν γραμμάτων δοῦναι ἀπόκρισιν αὐτῷ. ὧν οὕτως ἐχόντων, καὶ ὁ Ῥώμης ὀρθοδοξῶν, οὔτε κοινός ἐστι πατὴρ, οὔτε κοινὸς ἰδικῷ τρόπῳ Διδάσκαλος, οὔτε γενικῷ τρόπῳ πρῶτος, οὔτε ἀναμάρτητος, ἀλλ' εἷς ἐστὶ Πατριάρχης πρῶτος μόνῃ τῇ τάξει, καὶ οὐδὲν ἕτερον.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς κοιμήσεως, καὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας τοῦ Ἰουβεναλίου Ἱεροσολύμων, καὶ ὧν ἔγραψε περὶ τῆς κοιμήσεως καὶ μεταστάσεως τῆς Θεοτόκου. καὶ ὅτι οὐχ ὁ τάφος τῆς Θεοτόκου, ἀλλ' οἱ περὶ τὸν τάφον αὐτῆς λίθοι ἤχθησαν εἰς βυζάντιον.

Ἀνεπαύθη καὶ ὁ Ἰουβενάλιος ἐν ἔτει τετρακοσιοστῷ πεντηκοστῷ ἑβδόμῳ, πατριαρχεύσας χρόνους εἰκοσιοκτὼ, ὡς φαίνεται εἰς τὸν βίον τοῦ ἁγίου Σάββα, εἰ καὶ ἀλλαχοῦ λέγεται ζῆσαι χρόνους τέσσαρας πρὸς τοῖς τεσσαράκοντα εἰς τὸ Πατριαρχεῖον, ὡς φαίνεται καὶ εἰς τὸν βίον τοῦ ἁγίου Εὐθυμίου, καὶ ἰδὲ τὰ περὶ τούτου πλατύτερον ἐν τῷ δευτέρῳ βιβλίῳ Εὐαγρίου, καὶ Λιμπεράτου ἐν τῷ Πρεβιαρίῳ, κεφαλαίῳ δεκάτῳ τρίτῳ. οὗτός ἐστιν ὁ γράψας περὶ τῆς κοιμήσεως τῆς Παναγίας καὶ τῆς μετὰ τρεῖς ἡμέρας μεταστάσεως τοῦ Θεοδόχου αὐτῆς σκήνους εἰς τὸν Οὐρανόν. ἐκεῖνο δὲ ὅπερ σημειοῖ ὁ Ξανθόπουλος, ὅτι ἐκομίσθη τὸ μνῆμα τῆς Παναγίας εἰς Κωνσταντινούπολιν, ἐννοεῖται διὰ τὰς ἔξωθεν πέτρας, ἐπειδὴ ὁ τάφος τῆς Θεοτόκου σπήλαιόν ἐστι πετροπελέκητον. ἔμεινε δὲ μερικὸν καιρὸν ὁ θρόνος χωρὶς Πατριάρχου, καὶ τότε καὶ ὁ ἅγιος Σάββας ἦλθε νέος εἰς Ἱεροσόλυμα εἰς τὸν μέγαν Εὐθύμιον.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἐν Ἱεροσολύμοις Ἀρχιερατείας Ἀναστασίου, καὶ τῆς προῤῥήσεως μετὰ σημείων τοῦ μεγάλου Εὐθυμίου περὶ τῆς Πατριαρχείας τοῦ αὐτοῦ.

Διεδέξατο τὸν θρόνον μετὰ ἕνα χρόνον ἀπὸ τῆς τελευτῆς τοῦ Ἰουβεναλίου, ἐν ἔτει τετρακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ, ὁ Ἀναστάσιος Πρεσβύτερος, ὃς ἦν οὐκ ἄνευ προφητείας κεχειροτονημένος, τὸ ἀξίωμα Σκευοφύλαξ τοῦ ἁγίου τάφου καὶ Χωρεπίσκοπος. οὗτος συχνάκις ἐβάδιζεν εἰς τὸν μέγαν Εὐθύμιον, τὸν προειπόντα αὐτῷ καὶ τὴν χειροτονίαν αὐτοῦ, ὡς κατὰ πλάτος τοῦτο διηγεῖται ὁ ἄνωθεν Κύριλλος, ὅς τις ἱστορεῖ, ὅτι ἦν καὶ ὁ Φεῖδος τῆς Ἰόππης Ἐπίσκοπος καὶ ὁ Κοσμᾶς Σταυροφύλαξ, καὶ Οἰκονόμος τῆς Λαύρας ὁ Χρύσιππος, ὅς τις ἀκούσας ἀπὸ τοῦ ἁγίου Εὐθυμίου, ὅτι ἦλθεν εἰς τὸ Μοναστήριον ὁ Πατριάρχης, ἔκυψεν εἰς τὸ ὠτίον τοῦ Εὐθυμίου καὶ εἶπεν, ἐνταῦθα οὐχ ὁρῶ τινὰ Πατριάρχην, ἀλλὰ μόνον τὸν Σκευοφύλακα Ἀναστάσιον, καὶ ὁ ἅγιος ἀπεκρίθη πρὸς αὐτὸν, οὐ θεωρεῖς τὰ λαμπρὰ αὐτοῦ ἄμφια τὰ σηρικὰ καὶ διάλευκα, ἅπερ οὐ δύναται ἄλλος τὶς φορέσαι, ἀλλ' ἢ ὁ Ἱεροσολύμων Πατριάρχης; Σημείωσαι ὦ φιλαναγνῶστα, ὅτι οἱ Πατριάρχαι τῆς Ἱερουσαλὴμ κατὰ μίμησιν τοῦ πρώτου Ἱεράρχου τῶν Ἱεροσολύμων Ἰακώβου τοῦ ἀδελφοθέου, ὅς τις ἐφόρει τὴν σινδόνα τὴν λευκὴν, ὅλοι ἐλευκοφόρουν, καὶ λευκὰ μεταξωτὰ ἐφόρουν, καὶ ἀπὸ τοῦ ἱματισμοῦ τοῦ λαμπροῦ προεῖδεν ὁ ἅγιος ὅτι μέλλει ὁ Ἀναστάσιος πατριαρχεύσειν, καθὼς συνέβη κατ' ἀλήθειαν καὶ ἐπατριάρχευσε.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἐν Παλαιστίνῃ τελευτῆς τῆς Βασιλίσσης Εὐδοκίας, τῆς συζύγου τοῦ νέου Θεοδοσίου, καὶ τῶν θείων οἰκοδομιῶν, ὧν ἐκεῖ ἐποίησεν.

Εἰς τὸν ἴδιον καιρὸν ἀπέθανε καὶ ἡ βασίλισσα Εὐδοκία, ἡ γυνὴ τοῦ νέου Θεοδοσίου, ἐν τῇ Παλαιστίνῃ, μετὰ τὸ οἰκοδομῆσαι τὸν περίφημον Ναὸν τοῦ Ἀρχιδιακόνου Στεφάνου, ἐν ᾧ τρόπῳ ἐλιθοβολήθη, καθὼς ἱστορεῖ ὁ Κάλλιστος Νικηφόρος εἰς τὸ δέκατον τέταρτον τῆς ἱστορίας αὐτοῦ. ἔστι δὲ ὁ Ναὸς ἐγγὺς τοῦ τάφου τῆς Παναγίας κατὰ τὸ μέρος τῆς Ἱερουσαλὴμ, νυῦν δὲ μήτε ἴχνος ἔμεινεν. ἔνδον ἐν τούτῳ τῷ Ναῷ ἐτάφη αὐτὴ ἡ Βασίλισσα. παρεσίθησιν ὁμοναχὸς Κύριλλος εἰς τὸν βίον τοῦ ἁγίου Εὐθυμίου, ὅτι ἔκτισε καὶ πολλὰ Γηροκομεῖα εἰς τὰ Ἱεροσόλυμα ἡ Εὐδοκία, καὶ μίαν Ἐκκλησίαν τοῦ ἁγίου Πέτρου αὐτικρὺ τῆς Λαύρας τοῦ ἁγίου Εὐθυμίου μετὰ μιᾶς μεγίστης δεξαμενῆς, ἀπεχούσης χεδὸν ἕκοσι σάδια τῶν κελλίων τῶν Μοναχῶν, ἅπερ βλέπουσα ἡ Αὐγοῦστα, ἐξεφώνησεν ἐκεῖνο τοῦ Βαλαὰμ, ὡς καλοί σου οἱ οἶκοι Ἰακὼβ, καὶ αἱ σκηναί σου Ἰσραὴλ, καὶ πληροφορηθεῖσα, ἐδεήθη ἐλθεῖν εἰς συνομιλίαν μετὰ τοῦ μεγάλου Εὐθυμίου περὶ ἱκανῶν εἰσοδημάτων τῶν πατέρων, ὅπερ παραδῶς ὡς παραρτικώτατος ὁ ἅγιος, ἀπεκάλυψεν αὐτῇ τὴν βουλὴν αὐτῆς, καὶ θαυμάσασα ἡ Βασίλισσα, ἡμίλυπις ἀπῆλθε, καὶ ἐκοινολόγησε τὰ ἐνδόμυχα Διαβούλια τῷ Πατριάρχῃ Ἀνασασίῳ Διὰ τῶν εἰσοδημάτων τὴν ὑπόθεσιν, καὶ συνεβούλευσεν αὐτῇ προικίσαι τὰς Ναὰς καὶ τὰ ξενοδοχεῖα, ἅπερ αἰέσησεν εἰς ἰδίαν αὐτῆς ψυχωφέλειαν καὶ τιμὴν, καὶ κατὰ τὴν συμβουλὴν ἐποίησεν ἡ Βασίλισσα, ἡ νέα Ἑλένη, ὡς κτίτωρ εἰς τὰ Ἱεροσόλυμα, ἥτις τελειώσασα ταῦτα πάντα, ὑπὸ ψυχικῆς δυφροσύνης ἔλεγε, διὰ ἐμὲ εἶπεν ὁ Δαβὶδ, ἀγάθυνον Κύριε ἐν τῇ Εὐδοκίᾳ σου τὴν Σιών.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς θυγατρὸς τῆς Εὐδοκίας Βασιλίσσης τῆς Εὐδοκίας, τῆς τῷ Ὀνωρίχῳ συζυγηθείσης, καὶ τοῦ τρόπου τῆς εἰς Ἱερουσαλὴμ ἀποδημίας αὐτῆς, ἐν ᾗ καὶ ἐτελεύτησε. καὶ περὶ τοῦ Κυριακοῦ τοῦ ἀναχωρητοῦ, καὶ Δανιὴλ τοῦ συλίτου, καὶ τοῦ λεψάνου τοῦ προφήτου Ἐλισσαίου.

Ἡ τοῦ Θεοδοσίου καὶ τῆς Εὐδοκίας θυγάτηρ Εὐδοξία, ἡ γυνὴ τοῦ Οὐαλεντιανοῦ καὶ Ὀλυμβρίου, ἦλθον ἀπὸ Ἀφρικῆς εἰς Κωνσταντινούπολιν, ἡ δὲ θυγάτηρ αὐτῆς Εὐδοκία συζυγηθεῖσα Ὀνωρίχῳ υἱῷ Γονσερίχου ἀρχηγοῦ Καρχηδόνος, καὶ γεννήσασα αὐτῷ υἱὸν Ἱλδέριχον, ἔμειναν εἰς Λιβύλλαν, ὕστερον ὅμως βλέπουσα τὸν ἄνδρα αὐτῆς Ἀριανὸν, ἐβδελύξατο αὐτὸν, καὶ λάθρα αὐτοῦ, καὶ τρόπῳ τοῦ ὡς δῆθεν προσκυνῆσαι εἰς Ἱερουσαλὴμ, ἀνεχώρησε μετὰ οἰκείδεκα ἔτη, καὶ κατὰ μίμησιν τῆς μάμμης αὐτῆς ἀπῆλθον εἰς τὰ Ἱεροσόλυμα, καὶ ἴσρησε μετὰ πολλῆς εὐλαβείας τοὺς τόπους, ὅπου μείνασα ὀλίγον καιρὸν, ἀνεπαύθη, καὶ ἐτάφη πλησίον τοῦ τάφου τῆς μάμμης αὐτῆς τῆς Εὐδοκίας, καὶ ὅσα εἶχον, ἔμειναν ὅλα εἰς τὸν Πατριάρχιον, λέγει ὁ Θεοφάνης. εἰς τὸν ἑβδομον χρόνον τότε τοῦ Βασιλέως ἀπῆλθεν εἰς Ἱερουσόλυμα ὁ Κυριακὸς ὁ ἀναχωρητὴς, ὃς ἔζησεν ἔτη ἑκατὸν ἑπτά. καὶ εἰς τὸν ὀγδοον χρόνον τοῦ Βασιλέως ἀνέβη εἰς τὸν στύλον Δανιὴλ ὁ συλίτης. καὶ τοῦ προφήτου Ἐλισσαίου τὸ λείψανον ἦλθε εἰς Ἀλεξάνδρειαν εἰς τὸν μοναχὸν Παῦλον τὸν λεπρὸν, λεπρὸν γὰρ ἰάτρευσε τὸν Νεεμάν, λεπρὸν ἐποίησε τὸν Γιεζῆ, καὶ εἰς τὸν μονὴν τοῦ λεπροῦ κατετέθη.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν ἐν Ἀντιοχείᾳ Πατριαρχῶν Μαξίμου, Βασιλείου, Ἀνακίου, ἐφ' οὗ ὁ φερικτὸς ἐν Ἀντιοχείᾳ σασμὸς, καὶ Μαρτυρίου, καὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας αὐτῶν. καὶ περὶ Πέτρου τοῦ Κναφέως, καὶ τῆς Αἱρέσεως αὐτοῦ, καὶ ὅπως ἔλαβε τὸν θρόνον Ἀντιοχείας. καὶ τῆς πρὸς τὸν Μαρτύριον βοηθείας τοῦ Κωνσταντινουπόλεως Γεννα δίου, καὶ ἐξορίας τοῦ Κναφέως, καὶ παραιτήσεως τοῦ Μαρτυρίου, καὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας αὐτοῦ, καὶ τοῦ Ἰουλιανοῦ τοῦ μετ' αὐτὸν Ἀντιοχείας.

Ὁ ἐπὶ τῆς ἐν χαλκηδόνι Συνόδου Ἀντιοχείας Μάξιμος ἐκάθη εἰς τὸν θρόνον ἔτη τέσσαρα. ἐφεξῆς ἐκεῖνον δὲ Βασίλειος ἔτη δύο, εἰς οὗ ἔγραψεν ὁ συλίτης Συμεὼν ἐπιστολὴν περὶ τῆς ὀρθοδοξίας, ὡς

ὡς ὁ Εὐάγριος βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ, εἶτα Ἀκάκιος ἔτος ἕν, ἐφ' οὗ τῷ δευτέρῳ ἔτει τῆς βασιλείας Λέοντος ἐγένετο ὁ φοβερὸς σεισμὸς εἰς Ἀντιόχειαν, εἶτα Μαρτύριος. ἰστέον δὲ ὅτι εἰς τὸ Μοναστήριον τῶν Ἀκοιμήτων ἦν τις μοναχὸς, οἷος ἦν ὁ Ἰούδας ἐνμέσῳ τῶν Ἀποστόλων, Κναφεὺς τὴν τέχνην, ὅστις ἐμίσει λίαν τὴν ἐν Χαλκηδόνι Σύνοδον, ὅθεν οἱ Μοναχοὶ ὡς Αἱρετικὸν ἐδίωξαν αὐτὸν ἐκ τῆς Μονῆς αὐτῶν. ὁ δὲ ἐλθὼν εἰς Κωνσταντινούπολιν, κατήντησεν εἰς τὴν Χαλκηδόνα εἰς τὸν Ναὸν Βάσσης τῆς μάρτυρος, Πρεσβύτερος ὤν. ἀπερχομένῳ δὲ εἰς τὴν Ἀντιόχειαν τῷ Στρατηλάτῃ τῷ γαμβρῷ τοῦ Βασιλέως Ζήνωνος, ἠκολούθησεν αὐτῷ, καὶ μισθωσάμενος Ἀπολιναριστάς τινας, πλάττει συκοφαντίας κατὰ τοῦ Πατριάρχου Μαρτυρίου, καὶ τέλος πάντων, πείθει καὶ τὸν Ζήνωνα διὰ χρυσίου, καὶ γίνεται Πατριάρχης Ἀντιοχείας ὁ Κναφεὺς, καὶ εἶτα γίνεται Αἱρέσεως ἀρχηγὸς, ἀναθεματίζων τοὺς μὴ λέγοντας, ὅτι Θεὸς ἐσταυρώθη, καὶ προσέθηκεν εἰς τὸ Τρισάγιον τὸ, ὁ Σταυρωθεὶς δι' ἡμᾶς. ὁ δὲ Ἀντιοχείας Μαρτύριος ἀναδραμὼν εἰς τὴν Κωνσταντινούπολιν πρὸς τὸν Βασιλέα, εἶπε τὰ κατὰ τὸν Κναφέα. ἐβοήθησε δὲ τῷ Μαρτυρίῳ ὁ Κωνσταντινουπόλεως Γεννάδιος, καὶ λαμβάνει τὸν θρόνον Ἀντιοχείας, καὶ ἐπανῆλθεν μετὰ βασιλικῆς ἐξουσίας καὶ τιμῆς πολλῆς, εὑρὼν δὲ τὸν λαὸν εἰς στάσεις, καὶ σχίσματα, παρῃτήθη εἰπὼν, Κλήρῳ ἀνυποτάκτῳ, καὶ λαῷ ἀπειθεῖ, καὶ Ἐκκλησίᾳ ἐρρυπωμένῃ ἀποτάττομαι, φυλάττων ἐμαυτῷ τὸ τῆς Ἱερωσύνης ἀξίωμα. ἀνεχώρησεν οὖν, Πατριαρχεύσας ἔτη δεκατρία. εὑρὼν δὲ καιρὸν ὁ Κναφεὺς, πηδᾷ πάλιν εἰς τὸν θρόνον Ἀντιοχείας, καὶ πείθει ὁ Γεννάδιος τὸν Βασιλέα ἐξορίσαι τὸν Κναφέα, ὅστις προμαθὼν τὴν ἐξορίαν αὐτοῦ, ἔφυγεν, εἰ καὶ ὁ Κωνσταντινουπόλεως Ἀκάκιος γράφει, ὅτι ἐξωρίσθη εἰς τὴν Σάμον, καὶ ὁ Βαρώνιος, ὅτι εἰς τὴν Ὄασιν. ὁ Κλῆρος ὅμως ἐχειροτόνησαν Ἰουλιανόντινα Ἐπίσκοπον Ἀντιοχείας κατὰ τὸν Εὐάγριον, ὅστις ἐπατριάρχευσεν ἔτη δεκαπέντε.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ Κωνσταντινουπόλεως Γενναδίου, καὶ τῶν ἐπ' αὐτοῦ θαυμάτων, καὶ οὗ εἶδε φάσματος δαιμονίου ἐν τῷ θυσιαστηρίῳ, καὶ ὧν ἐπατριάρχευσεν ἐτῶν, καὶ τῆς τελευτῆς αὐτοῦ, καὶ τοῦ διαδόχου αὐτοῦ Ἀκακίου, καὶ τῶν ἐτῶν τῆς πατριαρχείας αὐτοῦ. καὶ περὶ τῆς ἐν τῇ Κυριακῇ ἀργίας.

Οὗτός ἐστιν ὁ Γεννάδιος, ὁ εἰπὼν ὡς πρὸς ζῶντι Ἐλευθερίῳ τῷ μάρτυρι περίτινος Κληρικοῦ τοῦ Ναοῦ αὐτοῦ, ἢ διόρθωσον αὐτὸν ἵνα μὴ ἀδικῇ, ἢ πάταξον, καὶ ἀπέθανεν εὐθύς. καὶ ἐπὶ τούτου, ζωγράφου τινὸς θέλοντος ζωγραφῆσαι τὸν Χριστὸν εἰς τὸ σχῆμα τοῦ Διὸς, ἐξηράνθη ἡχεὶρ αὐτοῦ. καὶ ὁ Μαρκιανὸς Οἰκονόμος τῆς μεγάλης Ἐκκλησίας, τὰ εἰσοδήματα τῶν ἄλλων Ἐκκλησιῶν, ἅπερ ἐλάμβανεν ἡμεγάλη Ἐκκλησία πρότερον, ἅμα τῷ γενέσθαι Οἰκονόμος, ἐτύπωσεν ἵνα λαμβάνωσιν αὐτὰ οἱ Κληρικοὶ ἑκάστης Ἐκκλησίας. Εὐχόμενος δὲ εἰς τὸ θυσιαστήριον ὁ Γεννάδιος, εἶδε φάντασμα δαιμονικὸν καὶ ἐφοβήθη, ἐκεῖνο δὲ εἶπεν αὐτῷ, εἰς τὸν καιρόνσου ἡσυχάζω, μετὰ δὲ τὸν θανατόνσου ταράξω τὴν Ἐκκλησίαν, καὶ κλαίων λοιπὸν, καὶ εὐχόμενος ὁ Γεννάδιος, μετὰ μικρὸν ἐτελεύτησεν. ἐπατριάρχευσε δὲ ἔτη ὀκτὼ, προεβιβάσθη γὰρ εἰς τὸν θρόνον ἐν ἔτει τετρακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ, τῷ αὐτῷ ἔτει δηλονότι τῆς κοιμήσεως τοῦ ἱεροῦ Ἀνατολίου, τοῦ χειροτονηθέντος, ὡς εἴπομεν, Κωνσταντινουπόλεως ὑπὸ τῆς ἐν Ἐφέσῳ λῃστρικῆς Συνόδου ἐν ἔτει τετρακοσιοστῷ τεσσαρακοστῷ ἐνάτῳ. ἐχειροτονήθη δὲ Κωνσταντινουπόλεως μετὰ τὸν Γεννάδιον ὁ Ἀκάκιος Πρεσβύτερος, ὃς ἐπατριάρχευσεν ἔτη δεκαεπτὰ καὶ Μῆνας ἐννέα. ἐπὶ τούτου τοῦ Γενναδίου ὁ Βασιλεὺς Λέων ἐτύπωσεν εἶναι παντάπασιν ἄπρακτον τὴν Κυριακήν. ἐπὶ τούτου ἤκμαζε καὶ Βικτωρῖνος ἀπὸ Ἀκουϊτανίας, ἄριστος Ἀστρονόμος, ὅστις μετὰ Θεόφιλον καὶ Εὐσέβιον τοὺς Μητροπολίτας Καισαρείας τῆς Παλαιστίνης, πολλὰ καὶ ἀξιόλογα συνέταξε περὶ τοῦ ἁγίου Πάσχα.

ΠΑΡΑΓΡΑΦΟΝ Γ',

Περὶ τῆς ἐν Κωνσταντινουπόλει ἐπὶ Γενναδίου Συνόδου κατὰ σιμωνιακῶν, καὶ τῆς δι' ἐπιστολῆς αὐτῆς διορθώσεως τῆς ἐν Ῥώμῃ Συνόδου, ἐξ ἧς δείκνυται μὴ εἶναι ἀναμάρτητον, ἢ μοναρχικὴν τὴν ἐν Ῥώμῃ Ἐκκλησίαν.

Ἐπὶ τούτου τοῦ Γενναδίου Σύνοδος ἠθροίσθη ἐν Κωνσταντινουπόλει ἐν ἔτει τετρακοσιοστῷ πεντηκοστῷ ἐνάτῳ ὑπὸ ὀγδοήκοντα καὶ ἑνὸς Ἐπισκόπων κατὰ Σιμωνιακῶν, ἔγραψε δὲ τὴν ἀπόφασιν αὐτῆς ἐν ἐπιστολῇ, ἣν ἀπέστειλε πρὸς τὴν ἐν Ῥώμῃ Σύνοδον. ἦσαν δὲ οἱ πατέρες οὐ πάντες ἀπὸ τῶν ὑποκειμένων τῷ θρόνῳ Κωνσταντινουπόλεως, ἀλλὰ καὶ ἀπὸ ἄλλων θρόνων παρεπιδημοῦντες, ὡς καὶ ἐπὶ Φλαυϊανοῦ κατὰ Εὐτυχοῦς ἀπὸ διαφόρων Ἐπαρχιῶν ἦσαν συνειλεγμένοι. ἐν οἷς σημείωσαι, ὅτι ἡ ἐν Κωνσταντινουπόλει Σύνοδος ἐπιδιορθοῖ τὴν ἐν Ῥώμῃ, ὥστε οὐκ ἔστιν ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ οὔτε ἀναμαρτησία, οὔτε μοναρχία.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς Βασιλείας Λέοντος, ἐγγόνου τοῦ μεγάλου Λέοντος, καὶ τῆς μετ' αὐτὸν Ζήνωνος τοῦ πατρὸς αὐτοῦ, καὶ τῆς τοῦ Βασιλίσκου, τοῦ γαμβροῦ Ζήνωνος, τοῦ διωχθέντος τῆς βασιλείας, ἀνακλήσεώς τε Αἰλούρου καὶ Κναφέως, καὶ ἐγκυκλίων γραμμάτων κατὰ τῆς ἐν Χαλκηδόνι Συνόδου καὶ τοῦ τόμου Λέοντος παρὰ τοῦ Βασιλίσκου, τοῦ τῆς Συνόδου ἐχθροῦ, καὶ ἐξώσεως Ἀναστασίου Ἱεροσολύμων, καὶ προχειρίσεως Γεροντίου ὑπὸ τῶν Μονοφυσιτῶν, καὶ περὶ διαφορᾶς τῶν Αἱρέσεων τῶν Εὐτυχιανῶν καὶ Μονοφυσιτῶν.

Ἐβασίλευσε Λέων ὁ ἔγγονος τοῦ μεγάλου Λέοντος, ὅστις ἀποθνήσκων, ἔστεψε τὸν πατέρα αὐτοῦ Ζήνωνα Βασιλέα τῷ ἔτει τετρακοσιοστῷ ἑβδομηκοστῷ τετάρτῳ, ἄνθρωπον ἡδοναῖς καὶ ἀκρασίαις ἀεὶ πυρούμενον, οὗ εἰς τὸν καιρὸν Ἄραβες οἱ Σκυνῆται ἐκάκουν τὰ Ἀνατολικὰ μέρη, καὶ οὖνοι οἱ πάλαι Μασσαγέται λεγόμενοι διαβάντες τὸν Δούναβιν, κατῴκουν τὴν Θρᾴκην, καὶ αὐτὸς ὁ Ζήνων ἦν τρίτος πολιορκητὴς, φθείρων τὴν Βασιλείαν διὰ τῆς μιαρᾶς αὐτοῦ ζωῆς, ὅθεν Θεοῦ παραχωρήσει διώκεται ἀπὸ τοῦ βασιλικοῦ θρόνου, καὶ φεύγει εἰς τὴν πατρίδα αὐτοῦ τὴν Ἰσαυρίαν, πρὸ δὲ τοῦ διωχθῆναι εὑρισκόμενος εἰς τὴν ἀνάγκην, ἀπῆλθεν εἰς Δανιὴλ τὸν στυλίτην, ἔχοντα τὸν στύλον αὐτοῦ εἰς τὴν Προποντίδα εἰς τὸν Ἀνάπλουν, καὶ ὁ ἅγιος προεῖπεν αὐτῷ, ὅτι ἐκπεσεῖται τῆς βασιλείας αὐτοῦ, καὶ ἐξορισθήσεται, καὶ πεινάσει, καὶ μετὰ τοσαῦτα βάσανα πάλιν βασιλεύσει, καθὼς ἔπαθε δηλονότι καὶ ὁ Ναβουχοδονόσορ. καὶ λοιπὸν διώκεται, καὶ βασιλεύει Βασιλίσκος ὁ γαμβρὸς αὐτοῦ, ὁ ἐχθρὸς τῆς ὀρθοδόξου πίστεως, ὅστις μισῶν τὴν ἐν Χαλκηδόνι Σύνοδον, ἀνακαλεῖται τὸν Αἴλουρον Τιμόθεον, ὄντα δεκαοτὼ χρόνους εἰς τὴν ἐξορίαν. ἐξείρπυσε καὶ ὁ Κναφεὺς, ὢν κεκρυμμένος εἰς τὴν Μονὴν τῶν Ἀκοιμήτων, καὶ ὅσοι ἄλλοι ἦσαν ἐχθροὶ τῆς ἐν Χαλκηδόνι Συνόδου ἐπαρρησιάσθησαν. ταῦτα ὁ Ἀναγνώστης Θεόδωρος. ὁ Θεοφάνης ὅμως λέγει, ὅτι ὁ Ζήνων ἀνεκάλεσε καὶ τὸν Αἴλουρον καὶ τὸν Κναφέα. ἐπὶ δὲ Βασιλίσκου ὀνοφορουμένου τοῦ Αἰλούρου μετά τινων Αἰγυπτίων εἰς τὴν Κωνσταντινούπολιν, ἐξῆλθον οἱ Μονοφυσῖται καὶ προϋπήντησαν αὐτῷ μετὰ θριάμβου καὶ προπομπῆς, ψάλλοντες αὐτῷ εὐλογημένος ὁ ἐρχόμενος. ἀπὸ δὲ τοῦ παλατίου τοῦ Βασιλίσκου ἀπερχόμενος εἰς τὴν Ἐκκλησίαν καβαλλάριος ὡς Αἰγίπτιος εἰς τὸν ὄνον αὐτοῦ, μετὰ πλήθους πολλοῦ Ναυτῶν Αἰγυπτίων συμπροπεμπόμενος, ὡς εἴρηται, ὁ Πατριαρχαναιρέτης οὗτος, ἔπεσε καὶ συνέτριψε τὸν πόδα αὐτοῦ. πείθει δὲ τὸν Βασιλίσκον καὶ ἔγραψεν ἐγκύκλια γράμματα, καὶ ἀπέβαλε τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ τὸν Τόμον Λέοντος, καὶ ὑπέγραψεν αὐτὰ ὁ Αἴλουρος καὶ ὁ Κναφεύς. ὁ δὲ Εὐάγριος εἰσάγει τινὰ Ζαχαρίαν Μονοθελήτην ἱστορικὸν λέγοντα, ὅτι σχεδὸν πεντακόσιοι Ἐπίσκοποι ὑπέγραψαν εἰς τὰ ἐγκύκλια τοῦ Βασιλίσκου, καὶ δὴ καὶ ὁ Ἱεροσολύμων Ἀναστάσιος. ἀλλ' ὅσον περὶ τοῦ Ἀναστασίου ψεύδεται ὁ Ζαχαρίας, καθότι ὁ μοναχὸς Κύριλλος γράφει τὸ ἐναντίον, ὅτι δηλαδὴ ὁ Ἀναστάσιος ἐφάνη ἐναντίος τοῖς Εὐτυχιανοῖς καὶ ὑπέρμαχος τῆς Συνόδου, μάλιστα ἐξώσθη καὶ τοῦ θρόνου αὐτοῦ ὑπὲρ τῆς ὀρθοδοξίας, καὶ ὅτι οἱ Μονοφυσῖται ἔβαλον ἀντ' αὐτοῦ εἰς τὸν τῶν Ἱεροσολύμων θρόνον φλαμπουριάριόν τινα τῆς Αἱρέσεως αὐτῶν Γερόντιον μοναχόν. ὁ δὲ Εὐτυχιανὸς Ζαχαρίας ἀντὶ τοῦ εἰπεῖν ὑπέγραψεν ὁ Γερόντιος, εἶπεν ὁ Ἀναστάσιος, ψευδόμενος κατὰ τὴν συνήθειαν τῶν Αἱρετικῶν, τῶν πάντοτε λεγόντων ἄλλο ἀντ' ἄλλου. Σημείωσαι δὲ ὅτι διαφέρουσιν οἱ Εὐτυχιανοὶ τῶν Μονοφυσιτῶν, ὅτι οἱ μὲν λέγουσι τὴν σάρκα τοῦ Χριστοῦ μὴ εἶναι ἡμῖν ὁμοούσιον, οἱ δὲ Μονοφυσῖται ὁμοούσιον μὲν λέγουσιν, ὅμως φύσιν Θεότητος καὶ ἀνθρωπότητος τοῦ Χριστοῦ μίαν. Ἐγένετο λοιπὸν ὁ Γερόντιος Πατριάρχης εἰς Ἱεροσόλυμα, καὶ ὁ Κναφεὺς τρέχει εἰς Ἀντιόχειαν. ὁ δὲ Αἴλουρος ἀπερχόμενος εἰς τὴν Ἀλεξάνδρειαν, καὶ ὁδεύων διὰ τῆς Ἐφέσου, ἔδωκε τῇ Μητροπόλει Ἐφεσίων τὸ Πατριαρχικὸν ἀξίωμα, ὅπερ πρότερον καὶ ὁ Διόσκορος δέδωκε, καὶ ἀφεῖλεν αὐτὸ ἡ ἐν Χαλκηδόνι Σύνοδος. ἀπερχόμενος δὲ κατὰ πόλεις καὶ χώρας, ἀνεθεμάτιζε τὴν ἐν Χαλκηδόνι Σύνοδον καὶ τὸν τόμον Λέοντος. φθάσαντος δὲ εἰς Ἀλεξάνδρειαν τοῦ Αἰλούρου τούτου, καὶ εἰσερχομένου, οἱ σπουδασταὶ αὐτοῦ ἐφώνησαν, ἐψώμισας τοὺς ἐχθρούς σου ὦ Πάπα, ὁ δὲ ἀπεκρίνατο, ναὶ, ἐψώμισα. σημειωτέον, ὅτι ἔγραψαν καὶ ἀπὸ τῆς Ἐφέσου πολλοὶ τῶν Ἀσιανῶν Ἐπισκόπων πρὸς τὸν Βασιλίσκον, βλασφημοῦντες τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ μακαρίζοντες αὐτὸν διὰ τὰ ἐγκύκλια, προσθέντες καὶ τὸ τιμωρεῖσθαι αὐτὸν τοὺς μὴ οὕτω φρονοῦντας, καὶ ὅτι ἵνα ἐκβληθῇ καὶ ὁ Ἀκάκιος τοῦ θρόνου, ἀλλὰ καὶ οἱ Τοποτηρηταὶ Αἰλούρου καὶ Κναφέως συνηγόρησαν ἵνα ἐκβληθῇ ὁ Ἀκάκιος, Εὐάγριος βιβλίῳ τρίτῳ, κεφαλαίῳ πέμπτῳ.

ΠΑΡΑΓΡΑΔΟΝ Ε'.

Περὶ τῆς κελεύσεως τοῦ Βασιλέως Βασιλίσκου τοῦ ὑπογράψαι τὸν Πατριάρχην Ἀκάκιον τὰ κατὰ τῆς ἐν Χαλκηδόνι Συνόδου ἀπὸ Ἐφέσου ἐλθόντα γράμματα τῶν Ἀσιανῶν Ἐπισκόπων, καὶ ἀθροίσεως ὑπ' Ἀκακίου τοῦ δήμου, καὶ ἀναχωρήσεως ἀπὸ τῆς πόλεως τοῦ Βασιλίσκου φόβῳ στάσεως, καὶ περὶ ὧν ὁ στυλίτης

Δανιὴλ

ΠΕΡΙΤΩΝΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

Δανιὴλ καὶ ὁ μοναχὸς Ὀλύμπιος εἶπον καὶ ἔπραξαν ὑπὲρ τῆς ὀρθοδοξίας, καὶ τῆς βίας αὐτῶν πρὸς τὸν Βασιλίσκον τοῦ ὑπογράψαι εἰς τὰ ὀρθὰ δόγματα, καὶ ἀθετήσεως ὑπὸ τοῦ βαλίσκου τῶν ἐγκυλίων αὐτοῦ γραμμάτων δι' ἀντεγκυκλίων.

Ἐλθόντων τῶν γραμμάτων ἀπὸ τῆς ἐν Ἐφέσῳ Συνόδου τῶν εἰρημένων Ἐπισκόπων, ἐκέλευσεν ὁ Βασιλίσκος τῷ Ἀκακίῳ ὑπογράψαι αὐτὰ, καὶ κηρῦξαι. ἀλλ' ὁ Ἀκάκιος ἔπεισε τὸ μοναδικὸν καὶ τὸν δῆμον Κωνσταντινουπόλεως πιστεῦσαι, ὅτι ἐστὶν Αἱρετικὸς ὁ Βασιλίσκος, καὶ ἀθροίζεται ὅλη ἡ πόλις ἄνδρες τε καὶ γυναῖκες εἰς τὴν μεγάλην Ἐκκλησίαν, καὶ εὗρον τὸν Ἀκάκιον καὶ τὸν θρόνον καὶ τὸ θυσιαστήριον μετὰ ἀμφίων μελάνων (εἰ καὶ ὁ Θεοφάνης λέγει, ὅτι ὁ Ἀκάκιος ἐφαίνετο ὀρθόδοξος καθ' ὑπόκρισιν, φοβούμενος τὸν ὀρθόδοξον λαόν) κατέβη δὲ καὶ ὁ Δανιὴλ ὁ στυλίτης, καὶ ἦλθε καὶ συνεκκλησίαζε τῷ Ἀκακίῳ, ὁ δὲ Βασιλεὺς φοβηθεὶς, ἵνα μὴ γένηται στάσις, ἐξῆλθε τῆς Κωνσταντινουπόλεως. λαβὼν δὲ ὁ στυλίτης Δανιὴλ τὸ μοναδικὸν, καὶ πλῆθος ἐκ τοῦ λαοῦ, παρεγένετο ἔξω εἰς τὸν Βασιλέα, ὃν ἤλεγξεν ὁ μοναχὸς Ὀλύμπιος. ὁ δὲ στυλίτης ἔγραψε τὰ θεῖα δόγματα ἐν λιβέλλῳ, καὶ ἔδωκεν αὐτὰ τῷ Βασιλίσκῳ, καὶ ἐβίαζεν αὐτὸν ὑπογράψαι αὐτά. ἐν τούτοις, ὁ Βασιλίσκος μαθὼν, ὅτι ἔρχεται ὁ Ζήνων ἐκ τῆς Ἰσαυρίας μετὰ δυνάμεως, λαβὼν τὴν γυναῖκα αὐτοῦ, ἦλθεν εἰς τὴν Ἐκκλησίαν, καὶ ἀπελογήσατο τῷ Ἀκακίῳ, καὶ τῷ Κλήρῳ, καὶ τῷ λαῷ, καὶ ἔδωκε πάλιν τὰ δίκαια τῷ θρόνῳ Κωνσταντινουπόλεως, ἅπερ προαφήρηκε πεισματικῶς τοῦ Ἀκακίου, καὶ δὴ ἔγραψεν Ἤδικτον, βεβαιῶν τὴν ὀρθόδοξον πίστιν, καὶ ἀθετῶν τὰ ἐγκύκλια αὐτοῦ; ὠνομάσθησαν δὲ τὰ γράμματα ταῦτα ἀντεγκύκλια. Σὺ δὲ σημείωσαι πρῶτον, ὅτι δίκαια τῷ Κωνσταντινουπόλεως θρόνῳ οὐδὲν ἕτερόν ἐστιν, εἰ μὴ αἱ χειροτονίαι τῶν Μητροπολιτῶν, ἃς αὐτῷ δέδωκεν ἡ ἐν Χαλκηδόνι Σύνοδος, ὡς λέγει ὁ Εὐάγριος βιβλίῳ τρίτῳ, κεφαλαίῳ ἑβδόμῳ. ὁ Βασιλίσκος εἰς τὰ ἀντεγκύκλια δίδωσι τὰς χειροτονίας, ὡς καὶ πρότερον, τῷ θρόνῳ Κωνσταντινουπόλεως, καὶ ἐν τοῖς ἀντεγκυκλίοις ῥητῶς λέγει ἐν τῷ αὐτῷ κεφαλαίῳ, ἀποδοθῆναι δὲ τὰς Ἐπαρχίας τῷ εὐλαβεστάτῳ καὶ ἁγιωτάτῳ Πατριάρχῃ καὶ Ἀρχιεπισκόπῳ Ἀκακίῳ, ὧν τὴν χειροτονίαν εἶχεν ὁ θρόνος ταύτης τῆς βασιλίδος καὶ ἐνδόξου πόλεως. καὶ δεύτερον, ὅτι οὐ μόνον ὁ Κωνσταντινουπόλεως, ἀλλὰ καὶ Μοναχοὶ ἐλέγχουσι τοὺς Βασιλεῖς διὰ τὴν ὀρθοδοξίαν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς Ζήνωνος ἐπανόδου εἰς τὴν βασιλείαν, καὶ καθαιρέσεως καὶ ἐξορίας τοῦ Κναφέως, καὶ ἀποδιώξεως τοῦ Ἐφέσου Παύλου, καὶ τῆς οὗ ἔλαβε πατριαρχικοῦ προνομίου ἀφαιρέσεως, καὶ περὶ τῶν Πατριαρχῶν Ἀντιοχείας Ἰωάννου, Στεφάνου, Ἰωάννου, καὶ Καλανδίωνος, καὶ Πέτρου Ἀλεξανδρείας τοῦ μογγοῦ, καὶ διώξεως αὐτοῦ, καὶ περὶ Τιμοθέου Ἀλεξανδρείας ὀρθοδόξου, καὶ ὧν συνέβησαν περὶ αὐτούς.

Ἐπανῆλθεν ὁ Ζήνων εἰς τὸ βασίλειον διὰ πρεσβειῶν τῆς πρωτομάρτυρος Θέκλης, καὶ τὸ πρῶτον ἔργον, ὅπερ ἐποίησεν, ἦν ἡ ἀποδίωξις τῶν Ἐπισκόπων ἐκείνων, ὅσους ὁ Βασιλίσκος ἔβαλεν. ὅθεν διώκεται ἀπὸ τῆς Ἀντιοχείας ὁ Κναφεὺς, ὃς ἐποίει ἐκεῖ πολλὰ κακὰ, καθότι ὁ Ζήνων ἀπεστράφη αὐτὸν διὰ τὸ πρὸς τὸν Βασιλίσκον μῖσος, ψήφῳ δὲ τῆς ἀνατολικῆς Συνόδου πρότερον καθαιρέσει ὑποβαλὼν αὐτὸν, ὕστερον ἐξώρισεν εἰς Πιτυοῦντα, ἀλλὰ ἀπατήσας τοὺς ἀπάγοντας, φεύγει εἰς τὰ Εὐχαΐτα. καὶ ἀπὸ τῆς Ἐφέσου διώκεται ὁ Παῦλος, ὃν ἐνεθρονίασεν ἐκεῖ ὁ Αἴλουρος, καὶ ἀφαιρεῖται τῆς Ἐφέσου παντάπασι τὸ πατριαρχικὸν δίκαιον ὡς παράνομον, πατριαρχικὸν δὲ δίκαιον ἦν, οὐχ οἷον τὸ νῦν τῶν Πατριαρχῶν, ἀλλὰ τὸ μητροπολιτικὸν αὐτοδέσποτον καὶ μὴ ὑποκείμενον τῷ Κωνσταντινουπόλεως. οἱ δὲ ἀνατολικοὶ Ἀρχιερεῖς, ὡς σημειοῖ εἰς τὸ ἔνατον κεφάλαιον τοῦ τρίτου βιβλίου αὐτοῦ ὁ Εὐάγριος, ἡμερούμενοι τὸν Ἀκάκιον, ἔγραψαν αὐτῷ λιβέλλους μετανοίας (ἀπῆλθε γὰρ εἰς αὐτοὺς ὁ ἀναπληρῶν τὸν τόπον αὐτοῦ) ἵνα συγχωρήσῃ αὐτοῖς, καθότι εἰς τὰ ἐγκύκλια τοῦ Βασιλίσκου ὑπέγραψαν ἄκοντες, καὶ ὡρκομότουν, ὅτι καθὼς ἐδίδαξεν ἡ ἐν Χαλκηδόνι Σύνοδος πιστεύουσι. λέγει γὰρ ὁ Εὐάγριος βιβλίῳ τρίτῳ, κεφαλαίῳ ἐνάτῳ, οἱ τῆς Ἀσίας Ἐπίσκοποι, ἐπανελθόντος Ζήνωνος, καὶ μεμφομένου αὐτοὺς Ἀκακίου, ὡς συνθεμένους τοῖς ἐγκυκλίοις Βασιλίσκου, ἡμερούμενοι αὐτὸν, ἔγραφον ὡς οὐ κατὰ πρόθεσιν, ἀλλ' ἐξ ἀνάγκης, γράμμασιν, ἀλλ' οὐ καρδίᾳ συνθέμενοι. ἐγένετο δὲ Ἀντιοχείας, μετὰ τὴν φυγὴν τοῦ Κναφέως, Ἰωάννης τὶς, ὅστις μετὰ τρίμηνον ἐκβληθεὶς, γίνεται Στέφανος, ἄνθρωπος εὐλαβὴς, ὅστις κατηγορηθεὶς ὑπὸ τῶν ὁμοφρόνων τοῦ Πέτρου ὡς Νεστοριανὸς, ὑπὸ τῆς συνελθούσης τότε ἀνατολικῆς Συνόδου εἰς Λαοδίκειαν προστάξει τοῦ Βασιλέως ἀθῳοῦται, ὃν οἱ περὶ Κναφέα εἰς τὸν Ναὸν τοῦ ἁγίου Βαρλαὰμ καλάμοις ὀξυτάτοις ἀποσφάττουσι, καὶ εἰς Ὀῤῥόντην τὸν ποταμὸν ἀποῤῥίπτουσιν. εἶτα ἐγένετο Πατριάρχης Στέφανος ἕτερος ἔτος ἕν, καὶ τούτου θανόντος, ὁ Ζήνων ἐκέλευσεν Ἀκακίῳ, καὶ ἐχειροτόνησεν Ἀντιοχείας τὸν Καλανδίωνα. ἐπειδὴ δὲ καὶ οἱ Ἀντιοχεῖς ἐχειροτόνησαν Ἰωάννην τινὰ, ὁ Καλανδίων αὐτῷ ἔδωκε τὴν Τύρον, καὶ πρωτόθρονον ἐποίησεν, αὐτὸς δὲ

δὲ μείνας εἰς Ἀντιόχειαν, παρεσκεύαζον ἀναθεματίζεσθαι τὸν Ἄϊλουρον, καὶ τὰ Ἐγκύκλια Βασιλίσκου, ὁ δὲ Ἄϊλουρος ὑπέργηρως ὢν, ἀφήθη ὑπὸ τοῦ Ζήνωνος ἀτιμώρητος, ἀλλὰ ἔκρυψεν αὐτὸν ὁ Θεὸς, καὶ προχειρίζονται οἱ Ἀλεξανδρεῖς Πατριάρχην ἑαυτῶν Πέτρον τὸν μογγὸν, χειροτονηθέντα ὑφ' ὧν καὶ μόνων Ἐπισκόπων. ὅθεν τελέσαντα καὶ ἓξ ἡμέρας μόνον πατριαρχεύσαντα, διώκεται ὑπὸ τῶν Μοναχῶν, εἶτα ὄντα θανάτου αὐτὸν κρίναντες καὶ ὁ Ζήνων, ἔγραψεν Ἀνθεμίῳ Αὐγουσταλίῳ καὶ ἀπελαύνει αὐτὸν τοῦ θρόνου, καὶ προσκαλεῖται τὸν ὀρθόδοξον Τιμόθεον, ὅς ἐστι, Διά τινα φασὶ τοῦ δήμου, ἧτις ἐπεχείρει, καθ' ὃν καιρὸν ἀπῆλθεν ὁ Ἄϊλουρος εἰς Ἀλεξάνδρειαν, ὑπὸ τῶν Μονοφυσιτῶν, κατῴκει εἰς τὸ Μοναστήριον τὸ εἰς τὸ Κύπριον, καὶ ἐπανελθὼν, λαμβάνει τὸν θρόνον αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς ἐκθρόσεως τοῦ Ζήνωνος πρὸς τοὺς Κληρικοὺς Ἀλεξανδρείας τοῦ χειροτονεῖσθαι τὸν Πατριάρχην αὐτῶν ἄνευ εἰδήσεως βασιλικῆς, καὶ τῆς μετὰ Τιμόθεον Πατριαρχείας Ἰωάννου Οἰκονόμου, τοὺς δόντες ὅρκον τῷ Βασιλεῖ ὑπὲρ τοῦ μηδέποτε πατριαρχεῦσαι ἐν Ἀλεξανδρείᾳ, καὶ τῆς ἐξώσεως αὐτοῦ ἀπὸ τοῦ θρόνου, καὶ ἀντεισάξεως τοῦ μογγοῦ, καὶ περὶ τοῦ σωληνοῦ τόμου τοῦ Ζήνωνος, ᾧ καὶ ὁ Ἀκάκιος προσετέθη.

Ἐπαναλαβόντος τὸν θρόνον τοῦ Τιμοθέου, ἦλθον Κληρικοὶ καὶ ἄλλοι ἐκκλησιαστικοὶ Ἀλεξανδρείας εἰς τὸν Ζήνωνα, ἵνα αὐτῷ εὐχαριστήσωσιν, ἐν οἷς ἦν καὶ Ἰωάννης τὶς Οἰκονόμος τοῦ ἐν Ἀλεξανδρείᾳ Ναοῦ τοῦ Προδρόμου, ὅστις ἐδεήθη τοῦ Βασιλέως ἐᾶσαι τὸ κανονικὸν δίκημον εἰς τὴν Ἀλεξάνδρειαν, ἵνα χειροτονῇ δηλαδὴ ἡ τῆς Ἐπαρχίας Σιωδὸς τὸν Ἀλεξανδρείας χωρὶς τῆς τοῦ Βασιλέως βουλῆς. ὁ δὲ Ζήνων λαβὼν ὅρκον ἀπὸ τοῦ Ἰωάννου τοῦ μὴ ζητῆσαι γενέσθαί ποτε αὐτὸν Ἀλεξανδρείας, συγκατανεύει, καὶ θεατίζει, ἵνα μετὰ τὸν θάνατον τοῦ Τιμοθέου ὁ Κλῆρος καὶ τὸ κοινὸν τῆς Ἀλεξανδρείας προχειρίζωνται Ἀλεξανδρείας μετὰ ἐκλογῆς καὶ ψήφων νομίμων. ἀποθανόντος δὲ τοῦ Τιμοθέου, ὁ Ἰωάννης ἀλογήσας τῶν ὅρκων, δίδωσι χρήματά τισι, ἵν' προβιβάζεται Ἀλεξανδρείας. γοιόμενος δὲ, ὅν ἐφθέντιζε πέμψαι τὰ ἐξ ἔθους σιωδικὰ εἰς τοὺς Πατριάρχας, ἐγίνωσκε δὲ τὸν ὅρκον τοῦ Ἰωάννου ὁ Ἀκάκιος, εἶχε δὲ φίλον ὁ Ἰωάννης εἰς Βυζάντιον Ἄρχοντά τινα ὀνόματι Ἰλλῆν, καὶ ἔγραψεν αὐτῷ τὸν ἐνθρονιασμὸν αὐτοῦ, καὶ ἔστειλεν αὐτῷ καὶ χρήματα, ἵνα διαπαύσῃ εἰς τὸν ἐν τῷ θρόνῳ αὐτοῦ βεβαίωσιν, τῷ δὲ Βασιλεῖ τόσον μόνον ἔγραψεν, ὅτι τὰ καθ' αὐτὸν γνώσεται παρὰ τοῦ Ἰλλῆν. ὁ δὲ κομίσας τὰ γράμματα οὐχ εὗρε τὸν Ἄρχοντα εἰς Βυζάντιον, καθότι ἔπεμψεν αὐτὸν ὁ Βασιλεὺς μετὰ στρατευμάτων κατά τινος Λεοντίου ἀποστατήσαντος εἰς Ἀντιόχειαν. ὅθεν οὐκ ἔδωκεν οὔτε τὰ τοῦ Βασιλέως, οὔτε τὰ τοῦ Πατριάρχου γράμματα. ὁ δὲν Ἀκάκιος μὴ λαβὼν τὴν συνήθη ἀποσολὴν, ἀνέφερε τῷ Βασιλεῖ τὰ κατὰ τὸν Ἰωάννην, καὶ παρεκίνησεν αὐτὸν καὶ ἔγραψεν εἰς τὸν Αὐγουσάλιον Ἀπολλώνιον, καὶ εἰς τὸν Δᾶκα Περγάμιον, καὶ ἐδίωξαν τὸν Ἰωάννην τῆς Ἀλεξανδρείας ὡς ἀόρκον. Εὐάγριος βιβλίῳ τέτῳ. ὁ Θεοφάνης ὅμως λέγει, ὅτι διὰ τὸ εἶναι σοφὸν καὶ ὀρθόδοξον τὸν Ἰωάννην, εἰσπεδασαί τοῦ Μογγοῦ κατεσκέυασαν καὶ ἀπεβλήθη. προσεκαλέσατο δὲ ὁ Ζήνων τὸν μογγὸν ἀπὸ τῶν Εὐχαΐτων, καὶ εἶπεν αὐτῷ κοινωνεῖν τῷ Ἀκακίῳ καὶ τῷ Ῥώμης Σιμπλικίῳ, καὶ ῥητῶς, ἐὰν πέμψῃ τὰ σιωδικὰ εἰς Ῥώμην, καὶ τοὺς λοιποὺς Πατριάρχας, εἶναι αὐτὸν Ἀλεξανδρείας. ἔγραψε δὲ καὶ ὁ Ἀκάκιος, ἀπελθόντα τὸν μογγὸν εἰς τὴν Ἀλεξάνδρειαν, ἵνα οἱ Ἀλεξανδρεῖς δεχθῶσιν. ὁ δὲ Ἰωάννης, καίτοι ἑτοίμως ἔχοντος τοῦ λαοῦ ἀποθανεῖν ὑπὲρ αὐτοῦ, ἡσύχως ἐξῆλθε. σωτίθησι δὲ ὁ Ζήνων, ὥσπερ λέγουσιν ὑποθήκης Ἀκακίου, πίστιν ἰδίαν, εἰς ἣν δολίως θεατίζει, ἵνα τὸ μὴν Σύμβολον τῆς πρώτης καὶ δευτέρας τῶν Σιωδῶν ἔχῃ τὸ κῦρος ἐν τῇ Ἐκκλησίᾳ, ἄλλο δὲ Σύμβολον, ἢ μάθημα, ἢ Ὅρον ἢ γενόμενα ἀπόντων, ἢ ἀπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου, εἶναι ἀπόβλητα. ἐκάλεσε δὲ τὸ θεάτισμα Ἑνωτικὸν, καὶ ἔστειλε αὐτὸ μετὰ τοῦ Ἐπάρχου τῆς Αἰγύπτου Περγαμίου τῷ δεκάτῳ τοῦ βασιλέως αὐτοῦ ἔτει εἰς τὴν Ἀλεξάνδρειαν, καὶ προσαγγέλλει, ὅτι ἐὰν ὁ μογγὸς ὑπογράψῃ εἰς αὐτὸ, καὶ δεχθῇ τοὺς ὄντας ἀπὸ τῆς μοίρας Πρωτερίου καὶ Τιμοθέου, εἶναι αὐτὸν Ἀλεξανδρείας, ἅπερ δεχόμενος ὁ Μογγὸς, ἔμεινεν εἰς τὸν θρόνον Ἀλεξανδρείας, καὶ εἰς ἡμέραν ἑορτῆς ἀναμνώσκει εἰς τὸν λαὸν τὸ Ἑνωτικόν. ὁ δὲ Ἀκάκιος, ὃς πρότερον προετίμα τὸν θάνατον τῆς ζωῆς διὰ τὴν ὀρθοδοξίαν, τότε καὶ αὐτὸς, ὡς λέγεται, ἐποίησε συγκατάθεσιν εἰς τὸ Ἑνωτικόν. ἦν δὲ ὁσημποὺς ὅλος τοῦ Ἑνωτικοῦ, ἵνα ἡ ἐν Χαλκηδόνι Σιωδος ἀθετῆται, ἐμὴν ἵνα ἀναθεματίζηται, καὶ τοῦτο, ἵνα μὴ πλεονάσῃ τὸ σκάνδαλον. ἦν ὅμως πονηρία καὶ ὑπουλότης ὡς εἴρηται.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς εἰς Ἀντιόχειαν πρὸς Ἰλλῆν τὸν ὑποστάτην φυγῆς τοῦ Ἰωάννου Ἀλεξανδρείας, καὶ γραμμάτων τοῦ Ἀντιοχείας Καλανδίωνος καὶ τοῦ Μογγοῦ πρὸς Ζήνωνα καὶ Ἀκάκιον τὸν Κωνσταντινουπόλεως, καὶ πρὸς τὸν Ῥώμης Σιμπλί-

ΒΙΒΛΙΟΘΗΚΗ ΑΡΤΕΚΟΥ Ν. ΠΑΠΑΚΩΣΤΑ

Σιμπλίκιον, καὶ ἐξορίας τοῦ Καλανδίωνος, καὶ τοῦ Κναφέως αὖθις εἰς τὸν θρόνον Ἀντιοχείας ἀποκαταστάσεως, καὶ περὶ τοῦ Ξεναΐα, καὶ τῶν ἀσεβειῶν αὐτοῦ τε καὶ τοῦ Κναφέως.

Φυγὼν οὖν ὁ Ἰωάννης Ἀλεξανδρείας, ἦλθεν εἰς Ἀντιόχειαν εἰς Ἰλλοῦν, ὅστις Ἰλλοῦς ἀποστατήσας καὶ αὐτὸς τοῦ Βασιλέως, συνεφώνησε μετὰ τοῦ Λεοντίου. ἀθρόισας δὲ Σύνοδον ἐκεῖ ὁ Καλανδίων, ἔγραψεν εἰς τὸν Ζήνωνα καὶ Ἀκάκιον, ὅτι ὁ Μογγὸς ἐστὶ μοιχὸς, πρῶτον, ὅτι χωρὶς γνώμης κοινῆς καὶ ψήφων κανονικῶν προεβιβάσθη. δεύτερον, ὅτι ἀνεθεμάτισε χειροτονηθεὶς τὴν ἐν Χαλκηδόνι Σύνοδον. ἀλλὰ διὰ τὸ γενέσθαι τότε ἀποστάτας τοῦ Ζήνωνος τὸν Ἰλλοῦν καὶ Λεόντιον, ὡς εἴρηται, καὶ ὑποπτευθῆναι κοινωνὸν αὐτοῖς εἶναι τὸν Καλανδίωνα, οὐκ εἰσήκουσεν αὐτοῦ ὁ Βασιλεύς. ὅθεν λαβὼν γράμματα τοῦ Καλανδίωνος ὁ Ἰωάννης, ἀπῆλθεν εἰς τὴν Ῥώμην πρὸς τὸν Σιμπλίκιον. καὶ δὴ καὶ ὁ Καλανδίων, καταστραφέντων Ἰλλοῦ καὶ Λεοντίου, ἐξορίζεται εἰς τὴν Ὄασιν, καὶ πάλιν πηδᾷ εἰς τὸν θρόνον Ἀντιοχείας ὁ Κναφεὺς, καὶ ὑπογράφει εἰς τὸ Ἑνωτικὸν Ζήνωνος, καὶ δέχεται αὐτὸν καὶ ὁ Κωνσταντινουπόλεως Ἀκάκιος, μετὰ ὑποσχέσεως ὅμως πρὸς Ζήνωνα καὶ Ἀκάκιον τοῦ μὴ ἀναθεματίζειν τὴν ἐν Χαλκηδόνι Σύνοδον, ἵνα μὴ προξενῶνται σκάνδαλα εἰς τὸν λαόν. οὐ μόνον δὲ Καλανδίωνα ἐξώρισεν ὁ Ζήνων, ἀλλὰ καὶ ἄλλους Ἀρχιερεῖς, ὅτι δῆθεν ἐκοινώνησαν τοῖς ἀνταρταις, ἡ ἀλήθεια ὅμως ἦν, διότι οὐκ ἐκοινώνησαν τῷ Ἑνωτικῷ αὐτοῦ. ὁ δὲ Κναφεὺς πάλιν ἀναθεματίζει τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ δυσανασχετεῖ ὁ Ἀκάκιος, καὶ πάλιν ὁ παλίμβολος Κναφεὺς γράφει Ἀκακίῳ καὶ ἀπολογεῖται, καὶ εὐχαριστεῖ τῷ Ἀκακίῳ, τῷ πείσαντι αὐτὸν διὰ πολλῶν παραδειγμάτων, ὅτι ἡ ἐν Χαλκηδόνι Σύνοδος τὰ αὐτὰ φρονεῖ τῇ ἐν Νικαίᾳ Σύνοδῳ, καὶ ὅτι καὶ αὐτὸς τοῦτο ἔγνω, καὶ οὕτως ἐπίστευσε, καὶ ὅτι τὴν ἐν Χαλκηδόνι Σύνοδον, ᾗ ἐπίστευσε, καὶ ἣν ἐβεβαίωσε, πῶς ἦν δυνατὸν ἀναθεματίσαι; καὶ ὅτι λόγον εἶπεν οἰκονομικῶς διὰ τοὺς σκανδαλιζομένους, μηδὲν ἐνοχλοῦντα τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ ὅτι τινὲς τῶν Μοναχῶν ἐσυκοφάντησαν αὐτὸν, καὶ ὅτι ἵνα πείσῃ τὸν Βασιλέα ἐμποδίσαι δι' ὁρισμοῦ τοὺς ἐπηρεάζοντας τὴν ἐκκλησιαστικὴν εἰρήνην. ταῦτα ἔγραψεν ὁ Κναφεὺς, ἀλλοῖος φαινόμενος κατὰ τὸ ἴδιον τῶν Αἱρετικῶν, ἢ δοῦλος τοῦ Σατανᾶ, ὡς λέγει ὁ Θεοφάνης. καί τινα Ξεναΐαν Πέρσην τὸ γένος, καὶ τὴν τύχην δοῦλον, Εὐάγριος βιβλίῳ τρίτῳ κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ, βλασφημοῦντα εἰς τὴν δεσποτικὴν Εἰκόνα καὶ τῶν ἁγίων, πρὸ τοῦ Ἰσαύρου ὄζοντα τὴν Εἰκονομαχίαν, ἀβάπτιστον ὄντα, καὶ πλαττόμενον εἶναι Κληρικὸν, καὶ ἀπελαθέντα ὑπὸ τοῦ Καλανδίωνος, ὁ Κναφεὺς Ἱεραπόλεως Ἐπίσκοπον χειροτονήσας, ὠνόμασε Φιλόξενον, οὗ Ξεναΐα, ἤτοι Φιλοξένου φανερωθέντος ἀβαπτίστου, ὁ Κναφεὺς εἶπεν, ὅτι ἀρκεῖ αὐτῷ ἡ χειροτονία ἀντὶ βαπτίσματος.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ γραμμάτων Σιμπλικίου Ῥώμης πρὸς Ζήνωνα, καὶ τῆς πρὸς αὐτὸν ἀποκρίσεως Ζήνωνος μετὰ τῆς αἰτίας, καὶ περὶ Φίληκος Ῥώμης, καὶ γραμμάτων αὐτοῦ πρὸς Ζήνωνα κατὰ Μογγοῦ καὶ Ἀκακίου, καὶ ὑπομνημάτων αὐτοῦ ὑπὲρ τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ περὶ τῶν ἐν Ἀφρικῇ Βανδάλων.

Ὁ δὲ Ἰωάννης Φυγὼν ἀπὸ Ἀλεξανδρείας εἰς Ῥώμην, ταράττει τὸν Σιμπλίκιον, εἰπὼν ὅτι διὰ τὴν ἐν Χαλκηδόνι Σύνοδον καὶ τὸν τόμον τοῦ Λέοντος ἐδιώχθη ἀπὸ τοῦ θρόνου, ὃν καὶ ἔλαβεν ὁ Μογγός. ὅθεν ἔγραψεν ὁ Σιμπλίκιος εἰς τὸν Ζήνωνα ἐπιμελημένως, πρὸς ὃν ἀπεκρίθη ὁ Ζήνων, ὅτι ὁ Ἰωάννης οὐδέτερον, ἀλλὰ διότι ἐπιώρκησεν, ἀπελάθη τοῦ θρόνου. μεταστάντος δὲ τοῦ Σιμπλικίου εἰς τὴν ἄνω ζωὴν, ὁμετ' ἐκεῖνον Φίληξ ἠνωχλεῖτο ὑπὸ τοῦ Ἰωάννου, λέγοντος, ὅτι ὁ Ἀκάκιος κοινωνεῖ ἀδίκως τῷ Μογγῷ, καὶ ὅτι πράττει καὶ ἄλλα παράνομα. εἶτα συνέβη καὶ ἄλλο τι, τῶν γὰρ Ἀνατολικῶν γραψάντων τῷ Ἀκακίῳ, καὶ μεμφομένων αὐτῷ διότι ἐκοινώνησε τῷ Μογγῷ, ἐκεῖνος οὐ μόνον κατεφρόνει αὐτῶν, ἀλλὰ καὶ ἠνάγκαζε κοινωνῆσαι κἀκείνους τῷ Μογγῷ, ὅθεν ἔγραψαν τῷ Φίληκι, ὅτι ὁ Ἀκάκιός ἐστιν αἰτία πάντων τῶν κακῶν. ὁ οὖν Φίληξ οὐκ ἔγραψε πρῶτον εἰς τὸν Ἀκάκιον κατὰ τὴν ἀρχαίαν συνήθειαν ἀδελφικῶς, ἢ καὶ ἐπιπληκτικῶς πρὸς διόρθωσιν, ἀλλὰ Σύνοδον ἀθρόισας ἐν τῷ Ναῷ τῶν ἁγίων Ἀποστόλων, καὶ κατὰ τὸν Κεδρηνὸν στέλλει τὰ συνοδικὰ εἰς τὸν Ζήνωνα μετὰ δύο Ἐπισκόπων Βιταλίου καὶ Μισσίνου, ἔγραφε δὲ ἀποτόμως καὶ παρὰ Κανόνας, ἵνα ὁ Βασιλεὺς δηλαδὴ τὸν Μογγὸν ὡς Αἱρετικὸν ἀποδιώξῃ τοῦ θρόνου Ἀλεξανδρείας, τὸν δὲ Ἀκάκιον ἀποστείλλῃ εἰς Ῥώμην. τὰ αὐτὰ δὲ καὶ ὁ Δάμασος τῷ μεγάλῳ Θεοδοσίῳ ἔγραφεν, ἵνα ἀποστείλλῃ δηλονότι τὸν Ἀντιοχείας Φλαυϊανὸν εἰς τὴν Ῥώμην. ἐν τούτοις, καὶ Κύριλλός τις Ἡγούμενος τῆς Μονῆς τῶν Ἀκοιμήτων ἔγραψεν ἀδιορίστως εἰς τὸν Φίληκα, μεμφόμενος αὐτῷ, ὅτι ἐχρόνισε ποιῆσαι τὰ πρέποντα, παρορωμένης τῆς ὀρθοδοξίας. ὅθεν γράφει εὐθὺς ὁ Φίληξ τοῖς δυσὶν Ἐπισκόποις μηδὲν ἐνεργῆσαι, πρὶν ἢ συλλαλῆσαι τῷ Κυρίλλῳ, καὶ παρ' αὐτοῦ τὸ πρακτέον μαθεῖν. ἔγραψε δὲ ὁ Φίληξ καὶ ἄλλα ὑπομνήματα εἰς τὸν Ζήνωνα περὶ τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ τὸν διωγμὸν, ὃν ἐποίησαν οἱ κατάρχοντες τῆς Ἀφρικῆς Βάνταλοι κατὰ τῶν εἰς τὴν Ἀφρικὴν ὀρθοδόξων.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ ἀποκρίσεως Ζήνωνος πρὸς Φίληκα κατὰ Ἰωάννου Ἀντιοχείας καὶ ὑπὲρ Μογγοῦ, καὶ ἐναντίων τῇ τοῦ Ζήνωνος ἀποκρίσει γραμμάτων παρὰ τῶν Ἡγουμένων καὶ Ἀρχιμανδριτῶν τῆς Κωνσταντινουπόλεως καὶ τῶν Αἰγυπτίων Ἐπισκόπων πρὸς τὸν Ῥώμης ὑπὲρ Ἰωάννου Ἀντιοχείας καὶ κατὰ Μογγοῦ, καὶ περὶ τῶν λοιπῶν ἀκολούθως ἀνωμαλιῶν.

Ἀντέγραψε δὲ ὁ Ζήνων τῷ Φίληκι, ὅτι ὁ Ἰωάννης διὰ ἐπιορκίαν ἐδιώχθη, καὶ ὁ Πέτρος οὐκ ἀβασανίστως προήχθη, ἀλλὰ γράψας ὅτι δέχεται τὴν ἐν Νικαίᾳ Σύνοδον, ᾗτινι καὶ ἡ ἐν Χαλκηδόνι ἠκολούθησε. καὶ ὅτι ὁ Πέτρος καὶ αἱ ἄλλαι Ἐκκλησίαι δέχονται τὴν ἐν Χαλκηδόνι Σύνοδον, ὡς συνεστηκυῖαν τῇ πίστει τῶν ἐν Νικαίᾳ. ἐλθόντων δὲ Βιταλίου καὶ Μισσίνου τῶν Ἐπισκόπων πρὸς Ζήνωνα, ὁ Ἀκάκιος παρωξύνθη διὰ τὴν πρὸς αὐτὸν ἀποτομίαν τοῦ Φίληκος, ὅμως οὐδὲ αὐτὸς καταλλήλως τῷ δικαίῳ ἐβάδισεν, ἵνα δηλαδὴ συναινέσῃ αὐτῷ, καὶ καταβάλλῃ τὸν Μογγὸν, ἀλλὰ πεισματικῶς συνίστησι τὸν Μογγὸν, καὶ ὁπωσδήποτε πείθει καὶ Βιτάλιον καὶ Μισσῖνον τοὺς Ἐπισκόπους τοῦ Πάπα, καὶ συνεργοῦσιν εἰς τὰ πραττόμενα. ἐπανελθόντων δὲ τῶν Ἐπισκόπων εἰς Ῥώμην, ὁ ῥηθεὶς Κύριλλος καὶ ἄλλοι Ἀρχιμανδρῖται Μοναστηρίων Κωνσταντινουπόλεως, καὶ Αἰγύπτιοι Ἐπίσκοποι καὶ Κληρικοὶ γράφουσι πρὸς τὸν Φίληκα, ὅτι ὁ Ἰωάννης ἦν ὀρθόδοξος καὶ κανονικῶς κεχειροτονημένος, ὁ δὲ Μογγὸς Αἱρετικὸς, καὶ ὑπὸ δύο μόνων Ἐπισκόπων, καὶ αὐτῶν Αἱρετικῶν ἐχειροτονήθη, καὶ ὅτι μετὰ τὴν φυγὴν Ἰωάννου ἐποίησεν εἰς τὴν Αἴγυπτον παράνομα καὶ ἄθεσμα, καὶ ὅτι ταῦτα πάντα γινώσκων ὁ Ἀκάκιος, καὶ ἐσιώπησεν αὐτὰ, καὶ συνεργὸς αὐτῷ ἐφαίη, καὶ ὅτι ἀφ' οὗ ἦλθε Βιτάλιος καὶ Μισσῖνος, φανερῶς εἰς τὰ δίπτυχα μνημονεύεται ὁ Μογγὸς, καὶ ὅτι οὐκ ἠξίωσαν ὅ,τε Βιτάλιος καὶ Μισσῖνος συνομιλεῖν ὀρθοδόξῳ τινὶ, μήτε γράμματα ὀρθοδόξων δέχεσθαι, καὶ ὅτι μηδὲν πρᾶγμα περὶ τῆς ὀρθῆς πίστεως ἠκρίβωσαν. ἔλεγχε δὲ αὐτοὺς παῤῥησία ὁ παραγενόμενος εἰς Ῥώμην Συμεώνης μοναχὸς μετὰ τῶν γραμμάτων Κυρίλλου τῶν Ἀκοιμήτων, ὅτι παρόντων αὐτῶν, ἐμνημονεύθη ὁ Μογγὸς ὀνομαστὶ εἰς τὰ δίπτυχα, καὶ ἐβεβαίου τὸν λόγον καὶ Σιλβανὸς ὁ Πρεσβύτερος, ὁ ἐλθὼν μετ' αὐτῶν ἀπὸ τῆς Ῥώμης εἰς Κωνσταντινούπολιν. Εὐάγριος βιβλίῳ τρίτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῆς ὑπὸ Φίληκος ἐν Ῥώμῃ Συνόδου κατὰ Μογγοῦ καὶ Ἀκακίου, καὶ τῆς ἐν Κωνσταντινουπόλει ὑπὸ Ἀκακίου ἐξώσεως τοῦ Φίληκος ἀπὸ τῶν διπτύχων, καὶ ὧν ἐποίησεν ὁ Μογγὸς τοῖς ἐν Ἀλεξανδρείᾳ Μοναχοῖς κακώσεων, καὶ ἀναθεματισμῶν τοῦ τόμου Λέοντος καὶ τῆς ἐν Χαλκηδόνι Συνόδου, δι' ἃ γράφων ἀπειλὰς ὁ Βασιλεὺς, οὐδὲν ἤνυσεν.

Ἀθροίζει οὖν πάλιν Σύνοδον ἐν Ῥώμῃ ὁ Φίληξ καὶ ἀποφαίνεται, ὅτι Πέτρον τὸν Μογγὸν, ὃν καὶ πρότερον ἡ ἀποστολικὴ καθέδρα κατέκρινεν, ἀπεκήρυξε καὶ ἀνεθεμάτισεν, ἡ Ἐκκλησία Ῥωμαίων οὐδέχεται, ὅστις εἰ καὶ μὴ ἄλλο ἔγκλημα εἶχεν, ἀλλὰ μόνον ὅτι ἐχειροτονήθη ὑπὸ Αἱρετικῶν, ἄρχειν ὀρθοδόξων οὐδύναται, καὶ ὁ Ἀκάκιος Κωνσταντινουπόλεως μεγάλης παιδείας ἄξιος, ὅτι οὔτε εἰς τὸν Σιμπλίκιον ἔγραψε τὴν Αἵρεσιν τοῦ Μογγοῦ, οὔτε τῷ Βασιλεῖ ταύτην ἐφανέρωσεν. ὁ δὲ ἐπιφερόμενος τὴν καθαίρεσιν τοῦ Ἀκακίου λαθὼν τοὺς φυλάσσοντας εἰς τὴν Ἄβυδον διὰ τὰ τοιαῦτα, καταλαμβάνει εἰς Κωνσταντινούπολιν τὴν Μονὴν τοῦ Δίου, ἧστινος Μονῆς οἱ Μοναχοὶ ἔδωκαν τὴν καθαίρεσιν τῷ Ἀκακίῳ, ὅθεν οἱ περὶ Ἀκάκιον τινὰς μὲν τῶν Μοναχῶν ἐτραυμάτισαν, τινὰς δὲ καθεῖρξαν, τινὰς δὲ καὶ ἀπέκτειναν, Ἀκάκιος δὲ ἀναισθήτως ἔχων εἰς τὴν καθαίρεσιν, ἐξέβαλε καὶ τὸ ὄνομα τοῦ Φίληκος ἀπὸ τῶν διπτύχων. εὑρισκομένων δὲ τῶν Ἐκκλησιῶν εἰς τοιοῦτον σχίσμα, ὁ Μογγὸς προστίθησι κακὸν εἰς τὸ κακὸν, καὶ πείθει τινὰς Ἐπισκόπους καὶ Κληρικοὺς καὶ συγκοινωνοῦσιν αὐτῷ, καὶ ἀναθεματίζει τὸν τόμον Λέοντος, καὶ τὰ ἐν Χαλκηδόνι πεπραγμένα, καὶ τοὺς μὴ δεχομένους τὰ συγγράμματα τοῦ Αἰλούρου καὶ Διοσκόρου, καὶ ὅσους οὐκ ἐδύνατο καταπεῖσαι ἵνα συγκοινωνήσωσιν αὐτῷ, ἐδίωκεν αὐτοὺς τῶν Μοναστηρίων αὐτῶν, Ἀρχιμανδρίτας φημὶ καὶ ἄλλους τοιούτους. Νηφάλιός τις δὲ ἐλθὼν εἰς Κωνσταντινούπολιν, ἀνήγγειλε ταῦτα τῷ Ζήνωνι, ὅθεν μέμφεται ὁ Ζήνων τὸν Μογγὸν, ὅτι τῇ τραχύτητι αὐτοῦ ἐποίησε σχίσμα εἰς τὴν Ἐκκλησίαν, καὶ πέμπει τὰ γράμματα διά τινος ὑπασπιστοῦ αὐτοῦ Κοσμᾶ μετὰ μυρίων ἀπειλῶν, ἵνα διὰ τὸ σχίσμα ὅπερ προεξένησεν ὁ Μογγὸς ποιήσῃ ἕνωσιν. ἀλλὰ μόνα καταγώγια τινῶν Ἐκκλησιαστικῶν, ἅπερ ἥρπασεν ὁ Μογγὸς, ἐδυνήθη δοῦναι ὁ Κοσμᾶς αὐτοῖς, καὶ οὐδὲν ἕτερον, εἶτα ὑπέστρεψεν εἰς τὸν Βασιλέα ἄπρακτος, διὰ τοῦτο Ἀρσένιον Ἡγεμόνα Αἰγύπτου καὶ τῶν στρατιωτικῶν ταγμάτων προχειρισάμενος ὁ Βασιλεὺς, πέμπει εἰς διόρθωσιν τοῦ Μογγοῦ, ἀλλὰ καὶ αὐτὸς οὐδὲν ἴσχυσε.

Παρά

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ τῆς τελευτῆς τοῦ Κωνσταντινουπόλεως Ἀκακίου, καὶ προβιβασμοῦ εἰς τὸν θρόνον, μετὰ τρόπου πανούργου καὶ ἀπάτης, Φλαβίτου, ὃν ἡ θεία δίκη ταχὺ ἐξήγαγε τοῦ βίου, καὶ τῶν διπτύχων ὁ Εὐθύμιος. καὶ περὶ τοῦ ποῦ ὁ Ἰωάννης Ἀντιοχείας ἐτελεύτησε.

Ἀπέθανεν ἐν τούτοις ὁ Ἀκάκιος, ὅστις ἔχαιρεν ὁρᾶν τὰς εἰκόνας αὐτοῦ ἐζωγραφημένας εἰς τὰς Ἐκκλησίας, πρᾶγμα, ὅπερ οὐδέποτε ἄλλος Πατριάρχης πεποίηκεν, ὡς ἱστορεῖ ὁ Σουΐδας, καὶ ἀντ' αὐτοῦ ἐγένετο ὁ Φλαβίτης, ἄνθρωπος πανοῦργος, καὶ κατὰ τὸν Νικηφόρον ἄλλος Πρωτεύς, εἰς γὰρ τὸν χάρτην, ὃν ἔθεντο οἱ πατέρες ἐν τῇ ἁγίᾳ τραπέζῃ ἄγραφον, ἵνα μάθωσι διὰ προσευχῆς, ποῖον ἐκλέγεται ὁ Θεὸς δι' ἀποκαλύψεώς τινος Πατριάρχην, ὁ Φλαβίτης ἀπατήσας τὸν Φύλακα τοῦ Ναοῦ διὰ χρυσίου, γράφει τὸ ὄνομα αὐτοῦ, καὶ δέδωκεν ἐννοῆσαι αὐτοὺς, ὅτι ἔγραψεν αὐτὸ Ἄγγελος. πλὴν εἰς τέσσαρας Μῆνας ἡ θεία δίκη ἔκοψεν αὐτὸν, καὶ ἐφωράθη καὶ ἡ πονηρία αὐτοῦ, ὅτι οἱ δανεισταὶ ἀπῄτουν τὸ χρυσίον ὅπερ ἐδάνεισαν αὐτῷ, δι' οὗ ἠπάτησε τὸν Νεωκόρον. ὅθεν καὶ ὁ Ζήνων ἐβόησεν, ὁ χρυσὸς καὶ οὐχ ὁ Χριστὸς τὸν Φλαβίτην ἐχειροτόνησεν Ἐπίσκοπον. ἔστειλε δὲ ὁ Φλαβίτης συνοδικὰ τῷ τε Φίληκι καὶ τῷ Μογγῷ, καὶ τῷ μὲν ἔλεγεν, ὅτι ἐκείνῳ κοινωνεῖ, καὶ οὐ τῷ Μογγῷ, τῷ δὲ, ὅτι ἐκείνῳ, καὶ οὐ τῷ Φίληκι κοινωνεῖ. ὁ Μογγὸς ὅμως ἀντεπέστειλεν αὐτῷ συνοδικὰ βλασφημοῦντα τὴν ἐν Χαλκηδόνι Σύνοδον, ὧν ἐλθόντων εἰς χεῖρας τοῦ μετὰ Φλαβίτην Εὐθυμίου, ἐξέβαλεν αὐτὸν ἀπὸ τῶν διπτύχων. περὶ δὲ τοῦ Ἰωάννου σημειοῖ ὁ Λιμπεράτος, ὅτι ἔλαβεν ἀπὸ τοῦ Φίληκος καὶ Σιμπλικίου τὴν Νολάβαν Ἐκκλησίαν εἰς τὴν Ἐπαρχίαν τῆς Καμπανίας, καὶ ἔζη ἐκεῖ, ὅπου καὶ ἀπέθανε.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ τῆς Πατριαρχείας, ἐν μὲν Κωνσταντινουπόλει, τοῦ ἱεροῦ Εὐθυμίου, ἐν δ' Ἀλεξανδρείᾳ, μετὰ θάνατον τοῦ Μογγοῦ, Ἀθανασίου, εἶτα Ἰωάννου, καὶ ἐν Ἀντιοχείᾳ, μετὰ θάνατον τοῦ Κναφέως, Παλλαδίου, εἶτα Φλαυϊανοῦ. καὶ περὶ τῆς θεοργίστου τελευτῆς Ζήνωνος.

Ἀντὶ Φλαβίτου πατριαρχεύει Κωνσταντινουπόλεως ὁ ἱερὸς Εὐθύμιος, καὶ ἰδὼν τὰς συνοδικὰς ἐπιστολὰς ἅσπερ ἔστειλεν ὁ Φλαβίτης εἰς τὸν Μογγὸν, καὶ ὁ Μογγὸς πρὸς αὐτὸν, καὶ ἰδὼν τὴν ἐπιστολὴν τοῦ Μογγοῦ, ἐν ᾗ ἀνεθεμάτιζε τὴν ἐν Χαλκηδόνι Σύνοδον, ἐκβάλλει αὐτὸν ἀπὸ τῶν διπτύχων, ὡς εἴρηται, καὶ βάλλει εἰς αὐτὰ τὸ ὄνομα τοῦ Φίληκος, καὶ βουλομένου τοῦ Εὐθυμίου ποιῆσαι Σύνοδον κατὰ τοῦ Μογγοῦ, ὃ καὶ ὁ Μογγὸς κατὰ Εὐθυμίου βουληθεὶς, ἀπάγεται εἰς τὰ ἐκεῖσε δικαιωτήρια, καὶ χειροτονεῖται Ἀλεξανδρείας Ἀθανάσιος ὀρθόδοξος. θνήσκει καὶ ὁ Κναφεὺς, πολλῶν ἀνομιῶν αἰτία γενόμενος, καὶ Αἱρεσιάρχης τοῦ, ὁ σταυρωθεὶς δι' ἡμᾶς χρηματίσας, καὶ χειροτονεῖται Ἀντιοχείας ὁ Παλλάδιος Πρεσβύτερος Ἐκκλησίας τῆς ἐν Σελευκείᾳ ἁγίας Θέκλης, πρὸς ὃν Παλλάδιον συνοδικῶς γράφων ὁ Ἀθανάσιος, βεβαιοῖ τὴν ἐν Χαλκηδόνι Σύνοδον. μεταχωρήσαντος δὲ Ἀθανασίου εἰς τὴν ἀμείνω ζωὴν, τὰ αὐτὰ ἐποίησεν ὁ μετ' αὐτὸν Ἀλεξανδρείας Ἰωάννης. τελευτήσαντος δὲ Παλλαδίου, ὁμετ' ἐκεῖνον Φλαυϊανὸς συνοδικὰς ἐπιστολὰς στέλλει εἰς τὸν Ἰωάννην μετὰ τοῦ Σολομῶντος Πρεσβυτέρου, βεβαιῶν τὴν ἐν Χαλκηδόνι Σύνοδον. τὰ ὅμοια ἐποίησε καὶ Ἰωάννης Ἀλεξανδρείας, ὁ μετὰ τὸν πρῶτον Ἰωάννην ἐκεῖσε Πατριάρχης γενόμενος. ταῦτα ἐγίνοντο ἕως Ἀναστασίου τοῦ Βασιλέως, κυβερνοῦντος τὴν Ἐκκλησίαν ἄριστα τοῦ πανευφήμου Εὐθυμίου. σημείωσαι ὅτι ὁ Φίληξ τὰ συνοδικὰ ἐδέξατο τοῦ Εὐθυμίου ὡς ὀρθοδόξου, ἀλλ' εἰς τὰ δίπτυχα τῆς Ῥώμης οὐκ ἔβαλεν αὐτὸν, διότι εἰς τὴν Κωνσταντινούπολιν ἐν τοῖς διπτύχοις ἦν τὸ ὄνομα τοῦ Ἀκακίου. μεταταῦτα ἀπέθανε καὶ ὁ Ζήνων, ὅστις, ὡς ὁ Κεδρηνὸς λέγει, ἀπὸ θεϊκῆς ὀργῆς ἀοράτως ἐκαρατομήθη, καὶ πάλιν ὁ αὐτὸς καὶ ὁ Ζωναρᾶς λέγουσιν, ὅτι ἐτάφη ζώθαπτος, καὶ ἤκουσαν οἱ φύλακες αὐτοῦ λέγοντος, ἐλεήσατέ με, ἐλεήσατέ με. τῶν δὲ φυλάκων εἰπόντων, ἄλλος βασιλεύει, ἀπεκρίθη, ἀγάγετέ με εἰς Μοναστήριον.

Κεφά.

ΚΕΦΑΛΑΙΟΝ Ι'

Ὅτι τὰ ἀνωτέρω ἐπὶ Ζήνωνος εἰρημένα, ἤγουν τὰ περὶ τῆς καθαιρέσεως Ἀκακίου, τοῦ τε Κναφέως καὶ τοῦ Μογγοῦ, τῆς ὑπὸ τοῦ Ῥώμης, ἄλλῳ τρόπῳ οἱ παπισταὶ προβάλλοντες, βούλονται συμπεραίνειν ἐξ αὐτῶν τὸν Ῥώμης κεφαλὴν τῆς καθόλου Ἐκκλησίας.

Τὰ ἀνωτέρω εἰρημένα περὶ Σιμπλικίου καὶ Φίληκος καὶ Ἀκακίου καὶ τοῦ Μογγοῦ καὶ Κναφέως, ἅπερ ἡμεῖς συλλέξαντες ἀπὸ τοῦ Εὐαγρίου καὶ Λιμπεράτου καὶ Θεοφάνους καὶ Θεοδώρου Ἀναγνώστου καὶ Νικηφόρου καὶ ἄλλων ἐθήκαμεν ἐνταῦθα, ἄλλῳ τρόπῳ ταῦτα ἱστοροῦσιν οἱ Λατῖνοι, βουλόμενοι καὶ ἀπ' αὐτῶν συμπεραῖναι, ὅτι ὁ Ῥώμης ἐστὶ κεφαλὴ τῆς καθόλου Ἐκκλησίας, καὶ δὴ λέγουσιν, ἐπὶ Ζήνωνος δεήσει τοῦ Κωνσταντινουπόλεως Ἀκακίου ὁ Ῥώμης Σιμπλίκιος ἐκάθηρε Πέτρον τὸν Ἀλεξανδρείας, δηλονότι τὸν Μογγὸν, καὶ φαίνεται ἐκ τούτου εἶναι τὴν Ῥώμην πρώτην τῶν Ἐκκλησιῶν. καὶ ἔτι ἐπὶ τοῦ αὐτοῦ Βασιλέως ἀκούσας ὁ Ῥώμης Φίληξ, ὅτι συνεργείᾳ τοῦ εἰρημένου Ἀκακίου ἠλευθερώθη τῆς ἐξορίας ὁ Μογγὸς, τῇ ἐξουσίᾳ τοῦ ἀποστολικοῦ θρόνου ἐκάθηρε καὶ τὸν Ἀκάκιον καὶ τὸν Μογγὸν, μετὰ δὲ τρεῖς χρόνους δόντος τῷ Φίληκι πίστιν τοῦ Ζήνωνος, ὅτι τυχὸν μετενόησαν καὶ οἱ δύο, ἔστειλεν ὁ Φίληξ δύο Ἐπισκόπους Βιτάλιον καὶ Μισσῖνον συγχώρησιν δοῦναι τοῖς καθηρημένοις, οἵτινες Ἐπίσκοποι ἐλθόντες ἕως Ἡρακλείας, ἐφθάρησαν δι' ἀργυρίων, καὶ οὐκ ἐποίησαν κατὰ τὴν προσταγὴν τοῦ Ῥώμης, ὅθεν συνοδικῶς αὐτοὺς ἐκάθηρε, καὶ μόνῳ τῷ Μισσίνῳ ὁμολογήσαντι τὸ πταῖσμα αὐτοῦ ἔδωκε καιρὸν μετανοίας.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ἔλεγχος κατὰ παπιστῶν, ὅτι τὸ δεηθῆναι τὸν Ἀκάκιον Σιμπλικίου περὶ τοῦ καθῆραι τὸν Μογγὸν, πλάσμα ἐστὶ, εἰ δὲ μὴ πλάσμα εἶναι δοίημεν, κανονικὸν τὸ ἔργον, ὅπερ καὶ κατὰ παράθεσιν ἀποσίεται τοῦ Ῥώμης τὴν γενικὴν ἐξουσίαν.

Ἀλλὰ ῥητέον, πρὸς μὲν τὸ πρῶτον, ὅτι τὸ τὸν Ἀκάκιον δεηθῆναι τοῦ Σιμπλικίου καθῆραι τὸν Μογγὸν, πλάσμα ἐστιν, ἐπειδὴ ὁ Εὐάγριος ἐξηκριβωμένως ἱστορῶν τὰ τοιαῦτα, τοιοῦτόν τι οὐ λέγει, ἀλλ' ὅτι τελευτήσαντος τοῦ Αἰλούρου, τὸν Μογγὸν ἁρπάσαντα τὸν θρόνον, ὁ Ζήνων ἄξιον θανάτου κρίνας, ἐφυγάδευσε. Τιμόθεον δὲ ἀνακαλέσας τῆς ἐξορίας τὸν ὀρθόδοξον, ἀπέδωκε τὸν θρόνον αὐτῷ, καὶ ποῦ ἐνταῦθα ἡ δέησις τοῦ Ἀκακίου, ἢ τοῦ Σιμπλικίου ἡ καθαίρεσις; δεύτερον, διὰ τὸ ὑπογράψαι τινὰς τῶν Ἀσιανῶν Ἐπισκόπων εἰς τὰ ἐγκύκλια τοῦ Βασιλίσκου, ὁ Ἀκάκιος μόνος αὐτὸς ἔστειλεν εἰς τὴν Ἀσίαν ἄνθρωπον ἐπέχοντα τὸν τόπον αὐτοῦ μετὰ γραμμάτων, καὶ ἤλεγξε διαφόρως καὶ αὐτοὺς καὶ τὸν Ἀντιοχείας Πέτρον τὸν Κναφέα, ἐβλασφήμησαν γὰρ τὴν ἐν Χαλκηδόνι Σύνοδον, ὡς δηλοῦσιν αἱ ἀπολογίαι αὐτῶν πρὸς τὸν Ἀκάκιον, κείμεναι εἰς τὸ ἔνατον καὶ δέκατον ἔνατον τὰ κεφάλαια τοῦ τρίτου βιβλίου Εὐαγρίου, καὶ πῶς διὰ τὸν Μογγὸν ἐδεήθη τοῦ Σιμπλικίου ὁ Ἀκάκιος, ἔχων μάλιστα καὶ τὸν Ζήνωνα μαινόμενον κατὰ τοῦ Μογγοῦ, καὶ μὴ ἔχων τὸν ἐναντιούμενον αὐτῷ; τρίτον, ἡ Ἀλεξάνδρεια σχεδὸν ἡ περισσοτέρα καὶ ἡ Ἀντιόχεια τότε ἐκράτουν τὰ δόγματα τοῦ Εὐτυχοῦς καὶ Διοσκόρου, καὶ ἐξεναντίας Συρία καὶ Περσία ἐκεῖνα τοῦ Νεστορίου, οὗτινος εἰς τὴν Ἔδεσσαν φαιερὰ ἐκήρυττον τὴν Αἵρεσιν οἱ Νεστοριανοὶ, καθὼς εἰς τὸ δεύτερον βιβλίον τῆς ἱστορίας αὐτοῦ λέγει Θεόδωρος ὁ Ἀναγνώστης, καὶ εἰ ὁ Ἀκάκιος τότε ὀρθοδοξῶν, παρεκίνησε καὶ τὸν μακάριον Σιμπλίκιον, ἵνα κινηθῇ κατὰ τοῦ Μογγοῦ, προκατάρχοντος μυρίων κακῶν, κανονικὸν ἔργον ἐποίησεν. οὐ δίδωσιν ὅμως τοῦτο τῇ Ῥώμῃ ἀξίωμα εἶναι πρώτην τῶν Ἐκκλησιῶν κατά τινα ἐξουσίαν μοναρχικὴν, ἐπειδὴ καὶ ὁ ἅγιος Κύριλλος ἀγωνιζόμενος κατὰ Νεστορίου, οὐ μόνῳ τῷ Ῥώμης ἔγραψεν, ἢ τῷ Ἀντιοχείας καὶ Ἱεροσολύμων, ἀλλὰ καὶ Ἀκακίῳ Βερροίας, καὶ Δονάτῳ Ἠπείρου, καὶ πρὸς Μοναχοὺς καὶ Κληρικοὺς καὶ Βασιλεῖς, ὡς καὶ Βασίλειος ἔγραψε τῷ ἁγίῳ Ἀθανασίῳ καὶ τοῖς Δυτικοῖς, ἵνα συνδράμωσιν εἰς διόρθωσιν τῶν συμβάντων εἰς Ἀντιόχειαν ὑπὸ Μελετίου, Οὐϊταλίου, καὶ Παυλίνου, καὶ τῷ Σαμοσάτων Εὐσεβίῳ ἔγραψεν ἐρωτῶν αὐτὸν, ἀλλὰ οὐκ ἔδωκαν ἐκεῖνα τινὶ ἀξίωμα εἰς τὴν καθόλου Ἐκκλησίαν, ἄρα μήτε ἡ δέησις Ἀκακίου πρὸς Σιμπλίκιον, δοθεῖσα ἀληθὴς εἶναι, δίδωσι προνόμιόν τι τῷ Ῥώμης. τέταρτον, ὁ Κναφεὺς ὅτε ἐποίησε τὴν προσθήκην εἰς τὸν Τρισάγιον ὕμνον, ἔγραψε τῷ Φίληκι ὁ Ἀκάκιος τὴν Αἵρεσιν, καὶ μετὰ τὰ πολλὰ, ἅπερ ἔγραψαν ἀμφότεροι πρὸς τὸν Κναφέα χάριν διορθώσεως, μείναντα δὲ ἀδιόρθωτον, ἐκάθηρεν αὐτὸν ὁ Φίληξ, ἀλλ' οὐ μόνος, λέγει γὰρ αὐτῷ, ὑπ' ἐμοῦ, καὶ τῶν διεπόντων μετ' ἐμοῦ τὸν ἀποστολικὸν θρόνον, καὶ Ἀκακίου τοῦ ποιμένος Κωνσταντινουπόλεως, καὶ τῶν ὑποκειμένων εἰς τὴν ἐνορίαν αὐτοῦ Ἐπισκόπων. ὅθεν ὃν τρόπον ἔγραψεν ὁ Ἀκάκιος τῷ Φίληκι διὰ τὸν Κναφέα, ἔγραψε καὶ διὰ τὸν Μογγὸν, εἰ ἔγραψεν.

ἔγραψεν, ἔγραψε δὲ διὰ τὴν ἐκκλησιαστικὴν εἰρήνην καὶ ὁμόνοιαν καὶ συμπάθειαν, ἀγαθοὶ γὰρ οἱ δύο ὑπὲρ τὸν ἕνα, οὕτω λοιπὸν ἔγραψε καὶ διὰ τὸν Μογγόν. ὁ Πλάτινας λοιπὸν καὶ οἱ περὶ αὐτὸν τερατεύονται, ψευδῆ ἱστοροῦντες.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἔλεγχος δεύτερος κατὰ παπιστῶν, ὅτι τὸ συνθέσθαι τὸν Ἀκάκιον τῷ ἑνωτικῷ Ζήνωνος, καὶ προκατακεκριμένῃ Αἱρέσει κοινωνῆσαι, καὶ καθαιρεθῆναι ὑπὸ τοῦ Ῥώμης, εἰς οὐδὲν δὲ νομισθῆναι τὴν καθαίρεσιν αὐτοῦ, οὐδίδωσι τῷ Ῥώμης γενικὸν ἀξίωμα, ὡς καὶ ἐν παραθέσει πολλῶν ὀκταχῶς ἐνταῦθα δείκνυται.

Πρὸς δὲ τὸ δεύτερον ῥητέον πρῶτον, ὅτι συνέθετο ὁ Ἀκάκιος τῷ Ἑνωτικῷ Ζήνωνος, καὶ συνήργησεν εἰς τὴν ἐλευθερίαν καὶ ἀποκατάστασιν τοῦ Μογγοῦ, καὶ ἦν ἡ μὲν Ἀλεξάνδρεια κακουμένη ὑπὸ τοῦ Πέτρου, ἡ δὲ Ἀντιόχεια ἐστερήθη τοῦ Καλανδίωνος, ἐξέκλινε καὶ ὁ Ἀκάκιος, ἡ Ῥώμη δὲ, εἰ καὶ εἶχε τοὺς πειρασμοὺς τῶν Ἀρειανῶν Γότθων, ἀλλ' ἀπὸ τῆς Αἱρέσεως τῶν Μονοφυσιτῶν ἦν παντάπασιν ἐλευθέρα, ὅθεν ὁμακάριος Φίληξ καὶ ὡς Πατριάρχης, καὶ Πατριάρχης πρῶτος δικαίως, μάλιστα δὲ ἐγκαίρως ἠγανάκτει κατὰ τοῦ Ἀκακίου, οὐμὴν ὅτι ἡ ἀγανάκτησις δέδωκεν αὐτῷ προνόμια μοναρχίας εἰς τὴν καθόλου Ἐκκλησίαν. ἀνάγνωθι πόσοι τινὲς Ἐπίσκοποι ἁπλῶς ὄντες, ἔγραψαν μετὰ ἐλέγχων καὶ ἀναθεματισμῶν καὶ ἀφορισμῶν τῷ Κναφεῖ Πέτρῳ, πόσῳ δὲ μᾶλλον ἔπρεπε γράφειν τὸν Ῥώμης. δεύτερον, ὁ Ῥώμης Ἀδριανὸς ὁ δεύτερος εἰς τὴν ἐν Ῥώμῃ Σύνοδον κατὰ Φωτίου ἔλεγεν, ὅτι διὰ τὴν Αἵρεσιν δύνανται κατεξανίστασθαι οἱ ἐλάττονες τῶν μειζόνων, καὶ λοιπὸν πόσῳ μᾶλλον δύνανται κατεξανίστασθαι, θριαμβευούσης Αἱρέσεως, οἱ μείζονες καὶ τῶν ὁμοίων καὶ τῶν ἐλαττόνων, ἀλλ' οὐ λαμβάνουσιν ἐκ τοῦ ἔργου τούτου ἀξίωμα οἱ μείζονες, ὥσπερ οὐδὲ οἱ ἐλάττονες. τρίτον, ὅτι ὁ Ἀκάκιος ὀρθοδοξῶν ἔτι, φερόμενος κατὰ τοῦ Ἀντιοχείας Πέτρου, οὐκ ἔλαβεν εἰς τὴν καθόλου Ἐκκλησίαν ἀξίωμα, ὅθεν οὐδὲ ὁ Φίληξ ἀγωνιζόμενος κατὰ τοῦ Ἀκακίου παρανομοῦντος, λαβεῖν τι ἀξίωμα εἰς τὴν Ἐκκλησίαν δύναται. τέταρτον, ὁ Φίληξ ἐπειδὴ οὐκ ἔγραψε καὶ πρὸς ἄλλους προεστῶτας Ἀρχιερεῖς κατὰ τὸ ἀρχαῖον κανονικὸν δίκαιον, ἵνα ἀγωνισθῶσι κοινῶς κἀκεῖνοι κατὰ τοῦ Ἀκακίου καὶ Μογγοῦ, ἀλλὰ μόνος βουληθεὶς κρῖναι καὶ κατακρῖναι, κατεφρονήθη μὴ εἰσακουσθείς. ταῦτα δὲ οὐ μόνον τὸ μοναρχικὸν ἀξίωμα ἀναιροῦσιν, ἀλλὰ καὶ αἴτια γεγόνασιν αὐξάνεσθαι τὴν Αἵρεσιν. ἰδὲ καὶ ἀνωτέρω, ὅπου ἐσημειώσαμεν, ὅτι ὁ Φίληξ καθαιρῶν τὸν Κναφέα, λέγει αὐτῷ, ὅτι καθαιρεῖ αὐτὸν ἐκεῖνος καὶ ἡ Σύνοδος αὐτοῦ μετὰ καὶ Ἀκακίου Κωνσταντινουπόλεως καὶ τῶν Ἐπισκόπων τῆς ἐνορίας αὐτοῦ, διατοῦτο λοιπὸν ἴσχυσε κατὰ τοῦ Κναφέως. ἤδη δὲ μονώτατος καθαιρῶν τὸν Ἀκάκιον, ὡς παρὰ Κανόνας ποιῶν, εἰς οὐδὲν λογίζεται. πέμπτον, ὁ Φώτιος ἐν οἷς ἀριθμεῖ ὅσα οὐκ ἴσχυσαν οἱ Ῥωμαῖοι βουληθέντες διαπράξασθαι, λέγει καὶ τοῦτο, ὅτι ἐπὶ Ζήνωνος ὁ Φίληξ πέμψας Ἀκακίῳ καθαίρεσιν διὰ Βιταλίου καὶ Μισσίνου τῶν Ἐπισκόπων, ἐβεβαίου διὰ ψευδοῦς Κανόνος τὸν Ῥώμης Ἐπίσκοπον ἐν ἑκάστῃ Συνόδῳ τὸ κῦρος ἔχειν, ὃν ἔλεγεν εἶναι τῆς πρώτης Συνόδου. καὶ σημείωσαι ὅτι οὐμόνον οὐδὲν ἀξίωμα ὁ Ῥώμης λαμβάνει ἀφ' ὧν ἔπραξε κατὰ Ἀκακίου, ἀλλὰ καὶ κατηγορεῖται ὡς προβαλλόμενος Κανόνα δόλιον, καὶ ἀγωνιζόμενος οὐ διὰ τὴν καθαίρεσιν τῆς Αἱρέσεως, ἀλλ' ἵνα συστήσῃ ἴδια πρωτεῖα, καὶ ἴσως οὐθαυμαστὸν τοῦτο, ἐπειδὴ ἡ Ῥώμη εἴθισται ἀπαταῦ διὰ φιλαρχίαν, ὡς μαρτυρεῖ τὰ ἐν Καρθαγένῃ ὑπὸ Ζωσίμου, Βονιφατίου καὶ Κελεστίνου, καὶ τὰ εἰς τὴν τελευταίαν πρᾶξιν τῆς ἐν Χαλκηδόνι Συνόδου πεπραγμένα ὑπὸ τῶν περὶ Πασχασῖνον, εἰ καὶ ἀπατᾶται, οὐκ ἀπατᾷ. ἕκτον, ὅτι κάλλιον ἦν βοηθεῖν τῇ Ἐκκλησίᾳ τὸν Ῥώμης εἰς τὸν δέοντα καιρὸν κατὰ τὴν ἐκκλησιαστικὴν συνήθειαν, καὶ μακαρίζεσθαι ὡς Πέτρον, ἢ ζῆν ταῖς παρεξηγήσεσιν ὀνομάτων, πρωτείων, πρεσβείων, πρώτων, ἄκρων, καὶ ἄλλων τοιούτων, καὶ ταῖς ψευδέσι Κανόσι, καὶ προφανεῖ τυραννίδι, δι' ἃ ἀποβάλλεται, καὶ καταφρονεῖται, καὶ εἰς οὐδὲν λογίζεται, ὡς ἐπὶ Ἰουλίου, Στεφάνου, Κορνηλίου, Βίκτορος καὶ Λέοντος καὶ ἑτέρων, καθὼς τὰ ὑπὸ τῶν ἐν Ἀντιοχείᾳ καὶ Ἀσίᾳ καὶ Ἀφρικῇ καὶ Χαλκηδόνι, καὶ τὰ παρόντα μαρτυρεῖ. ἕβδομον, μόνοι οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης λαμβάνοντες δῶρα, φθείρουσι τὰ τῆς πίστεως, καὶ κοινωνοῦσιν Αἱρετικοῖς, ὡς Βιτάλιος καὶ Μισσῖνος, καὶ οἱ κατὰ Φωτίου ὑπὲρ Ἰγνατίου ἀγωνισάμενοι, Ἕλληνες δὲ λεγᾶτοι τοιοῦτόν ποτε οὐκ ἔπραξαν, οἱ γὰρ ἐν Φλωρεντείᾳ ὀρθόδοξοι προηγουμένως δι' ἀνάγκην, οὐ διὰ φιλοχρηματίαν ἐγένοντο προδόται τῆς ὀρθοδοξίας, εἰ δὲ ἦσαν καὶ φιλοχρήματοι ἐν Φλωρεντείᾳ, ἀλλ' ἦσαν οἱ προφανῶς κοινωνήσαντες τοῖς παπισταῖς, καὶ οὐχ οἱ ὀρθόδοξοι, οὓς μεταταῦτα ὁμολογήσαντας τὴν πλάνην, ἐδέχθη ἡ Ἐκκλησία, ὡς Φίληξ τὸν Μισσῖνον μετανοήσαντα. ὄγδοον, ὅτι τὴν Αἵρεσιν τὴν ἀναφύουσαν, ἐὰν ἐξαπλωθῇ, κρίνει καὶ κατακρίνει ἡ Οἰκουμενικὴ Σύνοδος, μετὰ δὲ τὴν κατάκρισιν ὅλοι οἱ Ἐπίσκοποι ἁπλῶς κατακρίνουσιν. ἡ δὲ Αἵρεσις τῶν Μονοφυσιτῶν ἐκρίθη καὶ κατεκρίθη ἀπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου, ᾗτινι κοινωνήσας ὁ Ἀκάκιος φανερῶς, ὑπὸ τοῦ τυχόντος Ἐπισκόπου ἐδύνατο κατακριθῆναι, ὡς μαρτυροῦσιν ὅσα γεγόνασιν εἰς τὴν Ἐκκλησίαν κατὰ τῶν Αἱρετικῶν, καὶ κατὰ τῆς παρούσης Αἱρέσεως, περὶ ἧς δύο Ἐπίσκοποι ἐπὶ

Ἀνωστα-

Ἀναστασίου τοῦ Βασιλέως ἔστειλαν. τὴν καθαίρεσιν τοῦ Σεβήρου Ἀντιοχείας, Ἐπίσκοποι καὶ μόνοι δύο καθαιρέσει ὑποβαλόντες Πατριάρχην. καὶ ὅσοι ἀνεθεμάτισαν τὸν Κναφέα οἱ πλείους ἦσαν ἁπλῶς Ἐπίσκοποι, ὅθεν διὰ τοὺς ὄντας τῆς κατακεκριμένης Αἱρέσεως Ἐπισκόπους συντείνει ὅπερ εἶπεν ὁ Βελλαρμῖνος εἰς τὸ τέταρτον βιβλίον περὶ τῆς ἀρχῆς τοῦ Πάπα, τὸν αἱρετικὸν φανερὸν Πάπαν, τὸν κριθέντα δηλονότι, ἢ τὴν κατακριθεῖσαν Αἵρεσιν πρεσβεύοντα, μηκέτι εἶναι μήτε κεφαλὴν, μήτε Πάπαν, μήτε Χριστιανὸν, μήτε μέρος τῆς Ἐκκλησίας, καὶ διατοῦτο δύναται τιμωρεῖσθαι ὑπὸ τῆς Ἐκκλησίας, ὅθεν καὶ ὁ Ἀκάκιος κατακεκριμένης Αἱρέσεως κοινωνὸς φανεὶς, εἰ κατεκρίθη ὑπὸ τοῦ Φίληκος, οὐ δίδωσιν αὐτῷ ἀξίωμα μοναρχίας εἰς τὴν Ἐκκλησίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι τὸ τοὺς Πάπας βούλεσθαι λέγειν, ἃ δεῖ τοὺς πολλοὺς λέγειν, καὶ καταφρονεῖσθαι ὑπ' Ἀκακίου, ἢν ὁ ἀγὼν αὐτῶν κατὰ Ἀκακίου, καὶ οὐ διὰ τὴν Εὐσέβειαν.

Σημειωτέον δὲ, ὅτι ὁ Γελάσιος Ῥώμης ἔγραψε κατὰ Ἀκακίου εἰς τοὺς Ἐπισκόπους Δαρδανίας καὶ Ἰλλυρικοῦ, λέγει δὲ εἰς τὴν ἑνδεκάτην ἐπιστολὴν αὐτοῦ, ὅτι οὐ περὶ ἠθῶν ἡ διαφορὰ, ἀλλὰ περὶ αὐτῆς τῆς εὐσεβείας, ἦν ὅμως ὁ ἀγὼν ὁ κατὰ Ἀκακίου, οὐ τόσον διὰ τὴν εὐσέβειαν, ὅσον διὰ τὸν Ἀκάκιον, ὡς ἐξουθενοῦντα τοὺς Πάπας, μόνους βουλομένους λέγειν, ἃ τοὺς πολλοὺς ἔδει λέγειν. καὶ τοῦτο ἐστὶ φανερὸν ἀπὸ τῆς δεκάτης τρίτης ἐπιστολῆς αὐτοῦ τοῦ Γελασίου πρὸς τοὺς εἰρημένους, ὅπου κλαυθμυρίζει διὰ τὴν καταφρόνησιν ἣν ἐποίει ὁ Ἀκάκιος εἰς τὸν θρόνον τῆς Ῥώμης, καὶ ὀδύρεται, ὅτι οἱ Ἀνατολικοὶ εἶχον τριάκοντα καὶ δύο ἔτη τὸν Ἀκάκιον εἰς τὰ δίπτυχα, ἀλλ' οὐδεὶς προσεῖχεν αὐτῷ. ἰδὲ καὶ βιβλίου πέμπτου κεφαλαίου δεκάτου ἑβδόμου περὶ Ἀκακίου Παράγραφον δωδέκατον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ ἐπιστολῶν Ἐπισκόπων, Παπῶν, καὶ Πατριαρχῶν πρὸς Κναφέα, προσθήκην ποιήσαντα ἐν τῷ Τρισαγίῳ, καὶ ὧν γράφει Φίληξ πρὸς Ζήνωνα ἐν τῇ τοῦ Κναφέως καθαιρέσει, ἐξ ὧν πάντων δείκνυται σαφέστατα ἡνόσον τῆς φιλαρχίας τῶν Παπῶν, καὶ τὸ ἐπὶ τῶν Συνόδων εἶναι τὸν Ῥώμης ὡς μονάρχην ψεῦδος.

Ἔγραψε τῷ Κναφεῖ διὰ τὴν εἰς τὸ Τρισάγιον προσθήκην Ἀντέων Ἐπίσκοπος Ἀρσινόης, ἐλέγχων αὐτὸν καὶ γραφικῶς καὶ ὀνειδιστικῶς. καὶ Φαῦστος Ἐπίσκοπος Ἀπολλωνιάδος, ὅς τις λέγει αὐτῷ καὶ τοῦτο, οἱ ἔσχατοι εὐσεβεῖς νύττουσι τοὺς πρώτους Ἐπισκόπους, τοὺς δὲ πρώτους ὡς κακοδιδασκάλους σιωπᾶν, ὧν ἡ διδασκαλία ἐστὶ καινοτομία διὰ κενοδοξίαν. καὶ σημείωσαι τῆς καινοτομίας τὸ αἴτιον ὅτι ἐστὶν ἡ φιλαρχία καὶ κατὰ τὸν Χρυσόστομον. καὶ Πάμφιλος Ἐπίσκοπος Ἀβύδων πολυκέφαλον αἱρετικὸν τὸν Κναφέα ἀποδείκνυσι, Καὶ, ἔγραψεν αὐτῷ ὡς κυρίῳ καὶ πατρὶ, καὶ ἐπειδὴ οὐδιωρθώθη, λοιπὸν ἐπιτιμᾷ αὐτῷ. σημείωσαι ὅτι εἶπεν αὐτὸν κύριον καὶ πατέρα, καὶ ὅτι Ἐπίσκοπος Πατριάρχῃ ἐπιτιμᾷ. καὶ Ἀσκληπιάδης Ἐπίσκοπος Τράλλεων λέγει αὐτῷ, ὅτι καὶ Σαμοσατεὺς καὶ Φωτεινὸς ἐβλασφήμουν τὴν Θεότητα τοῦ Χριστοῦ, ἀλλ' οἱ πατέρες οὐδιωρθώσαντο αὐτοὺς διὰ προσθήκης, καθὼς αὐτὸς μετὰ προσθήκης ἀντιτείνει τῷ Νεστορίῳ. καὶ σημείωσαι ὅτι οἱ Λατῖνοι εἰπόντες εἰς τὴν φλωρεντινὴν συναγωγὴν, διά τινας Αἱρετικοὺς ἐγένετο ἡ εἰς τὸ Σύμβολον προσθήκη, κακῶς εἶπον. δεύτερον, ποιεῖ ἀναθεματισμοὺς κατὰ τῆς προσθήκης καὶ τοῦ δόγματος τῶν λεγόντων τὸ, ὁσταυρωθεὶς δι' ἡμᾶς. καὶ σημείωσαι ὅτι Ἐπίσκοπος νομοθετεῖ καὶ δογματίζει τὴν πίστιν. καὶ Ἰουστικηνὸς Ἐπίσκοπος Σικελίας γράφει αὐτῷ θαυμαστὰ περὶ τοῦ Τρισαγίου, λέγει γὰρ αὐτῷ μετανόησον, μήπως ὁ Ῥώμης Φίληξ ἀποφήνηται, κατὰ σοῦ δηλονότι, ἐπειδὴ ἔγραψέσοι καὶ ἐκεῖνος καὶ ὁ Κωνσταντινουπόλεως Ἀκάκιος ἵνα διορθωθῇς, καὶ ἂν παρακούσῃς, ἀποφαίνεται κατὰ σοῦ, ὡς Πατριάρχης καὶ ὀρθόδοξος δηλονότι, ἀλλ' οὐμόνος, ὡς φανήσεται ἐκ τῆς Φίληκος πρὸς τὸν Κναφέα ἐπιστολῆς. καὶ σημείωσαι ὅτι καὶ αὐτὸς λέγει αὐτῷ, δέξαι τοίνυν ἀδελφοῦ παραίνεσιν, καὶ ἰδὲ ὅτι Ἐπίσκοπος παραινεῖ Πατριάρχην. σημείωσαι δεύτερον, ὅτι λέγει αὐτῷ, καλὸν τὸ πείθεσθαι τοῖς πατράσι, καὶ μὴ ἐπισπᾶσθαι καινοτομίας. καὶ γνῶθι πρῶτον, ὅτι οὐ τῷ Ῥώμης δεῖ ἀκολουθεῖν, ἀλλ' ἁπλῶς τοῖς πατράσι, καὶ δεύτερον, ὅτι ἡ καινοτομία Αἵρεσίς ἐστι. καὶ Κυντιανὸς Ἀρκουλιανῶν Ἐπίσκοπος ἔγραψεν αὐτῷ, ἐν ᾧ καὶ σημείωσαι πρῶτον, ὅτι τῇ ἐν Χαλκηδόνι Συνόδῳ παραινεῖ αὐτὸν πείθεσθαι, οὐ τῷ Πάπᾳ, ἢ Πατριάρχῃ. δεύτερον, ὅτι ὡς ὁ ἅγιος Κύριλλος μετὰ τῆς Συνόδου τοῦ θρόνου Ἀλεξανδρείας συνέγραψεν ἀναθεματισμοὺς κατὰ τῆς Αἱρέσεως Νεστορίου, οὕτω καὶ Κυντιανὸς μόνος καθαιρέσεις καὶ ἀναθεματισμοὺς δώδεκα γράφει κατὰ τοῦ Κναφέως. τρίτον, ὅτι τὸ Τρισάγιον ἀποκάλυψιν γεγονυῖαν τῷ Κωνσταντινουπόλεως Πρόκλῳ φησί. καὶ Φίληξ ὁ Ῥώμης παραινεῖ αὐτὸν (τὸν Κναφέα) πρὸς μετάνοιαν, ἐν ᾧ σημείωσαι πρῶτον, ὅτι ἦν ἀποστολικὸς

λικὸς ἄνθρωπος, λέγει γὰρ, ἥμαρτες, μηκέτι ἁμάρτανε. δεύτερον, ὅτι γράφει αὐτῷ οὐκ ἀπὸ τρίποδος, ὡς οἱ νῦν Πάπαι, ἀλλὰ συνοδικῶς. γράφει αὐτῷ καὶ ὁ Κωνσταντινουπόλεως Ἀκάκιος. καὶ σημείωσαι πρῶτον, ὅτι λέγει τὸν Πρόκλον πατέρα αὐτοῦ κατὰ τῶν καυχωμένων, διὰ τὸ εἰπεῖν τὴν τετάρτην Σύνοδον πατέρα τὸν Λέοντα. δεύτερον, ὅτι ἂν μὴ μετανοήσῃ, ἡ ἀξίνη κεῖται εἰς τὴν ῥίζαν τοῦ δένδρου, ἡ τομὴ τῆς Ἐκκλησίας κοινῶς δηλονότι, οὐ τοῦ δεῖνος ἡ ἐξουσία. γράφει κατ' αὐτοῦ ὁ Φίληξ καθαίρεσιν, ἐν ᾗ σημείωσαι πρῶτον, ὅτι τὴν καινοτομίαν λέγει βέβηλον καὶ ἀσεβὲς δόγμα. δεύτερον, ὅτι ἕπονται τῷ Εὐαγγελίῳ οἱ Ἀπόστολοι καὶ οἱ πατέρες κοινῶς, οὐχ ὁ Πάπας μόνος ἕπεται δηλονότι. σημείωσαι τρίτον λόγον ἀποστολικώτατον, ἔστω, λέγει, ἡ καθαίρεσις αὕτη ὑπ' ἐμοῦ, καὶ τῶν διεπόντων μετ' ἐμοῦ τὸν ἀποστολικὸν θρόνον (ἤγουν τῆς ἐν Ῥώμῃ Συνόδου) καὶ Ἀκακίου τοῦ τῆς Κωνσταντινουπόλεως Ἐκκλησίας ποιμένος, καὶ τῶν αὐτῷ τιμίων ὑποκειμένων ὑπ' ἐνορίᾳ Ἐπισκόπων. τέταρτον, τοὺς ἀκολουθοῦντας τῷ Κναφεῖ ἀλλοτρίους ἡγεῖται τῆς ὀρθοδόξου πίστεως καὶ τῆς καθολικῆς Ἐκκλησίας, οὐ μὴν τῆς Ῥωμαϊκῆς. γράφει ὁ Φίληξ καὶ πρὸς τὸν Ζήνωνα Βασιλέα καθαίρεσιν κατὰ τοῦ Κναφέως, ἐν ᾗ σημείωσαι πρῶτον, ὅτι λέγει τὸν Κναφέα πρωτότοκον υἱὸν τοῦ Ἀντιχρίστου, καθὼς ἔλεγε καὶ ὁ μέγας Ἀθανάσιος δευτέρῳ λόγῳ κατὰ Ἀρείου, ὅτι χριστομάχος ἐκλήθη, καὶ πρόδρομος ἐλογίσθη τοῦ Ἀντιχρίστου. ἔτι λέγει αὐτῷ, ὅτι ἐμίανεν ὁ Κναφεὺς τὸν θρόνον Ἰγνατίου, ὃς τῇ δεξιᾷ τοῦ Πέτρου τὴν χειροτονίαν ἐδέξατο. καὶ τρίτον, ὅτι τὸν θρόνον ἐμίανε τοῦ ὁμολογητοῦ Εὐσταθίου, ὃς ἦν πρόεδρος τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων τῶν ἐν Νικαίᾳ ἀθροισθέντων. καὶ γνῶθι τὴν Ἀντιόχειαν θρόνον τοῦ Πέτρου. καὶ εἰ ὁ Εὐστάθιος πρόεδρος τῆς ἐν Νικαίᾳ Συνόδου, πῦ ὁ νῦν τύφος τοῦ Ῥώμης; πῦ τὸ, ὁ Ῥώμης πρῶτος τῶν Συνόδων; πῦ τὸ θρυλλούμενον, ὅτι Κωνσταντῖνος καὶ Σίλβεστρος μόνοι τὴν πρώτην ἤθροισαν Σύνοδον; σημείωσαι τέταρτον, ὅτι οὐ λέγει, ἐγὼ οὕτω γινώσκω, ἀλλ' ἀποδείκνυσιν οὐκ ἀπὸ τῶν Ῥωμαίων Ἐπισκόπων τοὺς λόγους, ἀλλὰ κοινῶς ἀπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου. καὶ πέμπτον, ὅτι οὐ προστάσσει τῷ Βασιλεῖ, ἀλλὰ δέεται καὶ ἀντιβολεῖ μετὰ χριστομιμήτων λογίων, ἵνα ἐξορισθῇ ὁ Κναφεύς. αὗται αἱ ἐπιστολαὶ κεῖνται ἐν τῷ πέμπτῳ τῶν Συνόδων, ἔνθα γράφεται ἡ ἐπὶ Μηνᾶ Σύνοδος, καὶ ἰδὲ τὸν τόπον.

ΚΕΦΑ'ΛΑΙΟΝ ΙΑ'.

Περὶ Μαρτυρίου, Σαλουστίου, καὶ Ἠλία Ἐπισκόπων τῶν Ἱεροσολύμων, καὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας Μαρτυρίου καὶ Σαλουστίου.

Ἀνεπαύθη ὁ θεῖος οὗτος Μαρτύριος, κυβερνήσας σεμνοπρεπῶς τὸν ἀποστολικὸν θρόνον ἐκεῖνον ἔτη ὀκτὼ, τοσαῦτα γὰρ ἔτη διδόασιν αὐτῷ ὁ Νικηφόρος καὶ ὁ Κύριλλος. Φλυαρείτω ὁ Εὐτυχιανὸς Ζαχαρίας, καὶ μετ' αὐτοῦ ὁ Εὐάγριος, εἰπόντες τὸν Μαρτύριον ἐγκαινίσαι τὸν Ναὸν τοῦ ἁγίου Εὐθυμίου, καὶ τὸ κοινόβιον μετὰ πλείστης λαμπαδουχίας καὶ συνάξεως τῶν Μοναχῶν. ἀρχιεράτευσε δὲ μετὰ τὸν Μαρτύριον ὁ Σαλούστιος, ὁ χειροτονήσας Ἱερέα τὸν ἅγιον Σάββαν, εὐσεβὴς καὶ ὀρθόδοξος καὶ ἐγκώμιον μέγιστον, ὅτι κατ' ἐκεῖνον τὸν καιρὸν ἡ Αἵρεσις ἐθριάμβευεν, καὶ ἔπινεν, ὡς λέγεται, τὸν ἄκρατον, ἐν ταῖς χερσὶν αὐτῆς κατέχουσα χρυσοῦν ποτήριον. σημειοῖ ὁ Κωνσταντινουπόλεως ἅγιος Νικηφόρος εἰς τὸ χρονικὸν αὐτοῦ, ὅτι ὁ Ῥώμης ἀπέσχισεν ἑαυτὸν τοῦ Σαλουστίου, ὡς δῆθεν δεξαμένου τὸ Ἑνωτικὸν Ζήνωνος, ἀγνοεῖται ὅμως πόθεν ἔλαβεν αὐτὸ ὁ Νικηφόρος καὶ εἶπεν. ἀλλ' οὖν γε ὅτι ἦν ὁ Σαλούστιος ὀρθοδοξότατος, καὶ οὐδεμιᾷ ποτὲ Αἱρέσει ἐκοινώνησε, μάλιστα δὲ ἀντικείμενος τοῖς Αἱρετικοῖς, ἐστὶ πασίδηλον. ἐκοιμήθη δὲ, πατριαρχεύσας ἔτη ὀκτὼ, ὡς γράφει ὁ Κύριλλος, ὅστις διηγεῖται, ὅτι ἵνα μὴ γένηται σχίσμα εἰς τὴν Ἐκκλησίαν, ἔκραξεν ὅλους τοὺς μοναστηριακοὺς, καὶ παρήγγειλεν αὐτοῖς ἔχειν τὸν θεῖον Σάββαν καὶ τὸν Θεοδόσιον καθηγουμένους αὐτῶν. μετὰ τὸν Σαλούστιον ἐπατριάρχευσεν ὁ Ἠλίας, εἷς καὶ αὐτὸς ὢν τῶν ἐπαινουμένων μαθητῶν τοῦ ἱεροῦ Εὐθυμίου. προεῖπε γὰρ ὁ Εὐθύμιος, ὅτι αὐτὸς καὶ ὁ Μαρτύριος λήψονται τοῦ Ἰακώβου τὴν ἀποστολικὴν καθέδραν, οἵτινες προενεδύθησαν τὸ μοναχικὸν σχῆμα καὶ οἱ δύο εἰς τὴν Αἴγυπτον, διὰ δὲ τὰς ἐκεῖ συγχύσεις καὶ ταραχὰς ἀνεχώρησαν, ἤγουν ἀπὸ τοῦ ὄρους τῆς Νιτρίας, καὶ ἦλθον εἰς τὸν μέγαν Εὐθύμιον. ἦν δὲ ὁ Ἠλίας Ἄραψ τὸ γένος.

Κεφά-

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῆς βασιλείας Ἀναστασίου τοῦ Δικόρου, καὶ τῆς ἐν Κωνσταντινουπόλει ὑπὸ τοῦ Κωνσταντινουπόλεως Εὐθυμίου Συνόδου εἰς κύρωσιν τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ τῆς ὑπὸ τοῦ Βασιλέως βιαίας λήψεως τοῦ ἰδίου ἐγγράφου τῆς πίστεως, ὃ ἔδωκε τῷ Εὐθυμίῳ, καὶ τῆς φονικῆς ἐπιβουλῆς αὐτοῦ κατ' Εὐθυμίου, καὶ τῆς διὰ Συνόδου καὶ συκοφαντίας αὐτοῦ καθαιρέσεως καὶ ἐξορίας τοῦ Εὐθυμίου, καὶ προβιβασμοῦ εἰς τὸν θρόνον τοῦ Σκευοφύλακος Μακεδονίου.

Αὐτάρχησεν ὁ Δίκορος Ἀναστάσιος, ὁρμώμενος ἀπὸ τοῦ Δυῤῥαχίου, ὅστις διὰ τὸ ἔχειν Μητέρα φρονοῦσαν τὰ Μανιχαίου, καὶ Θεῖον Ἀρειανὸν, ὕποπτος ἦν τῷ Εὐθυμίῳ, ὅθεν ἀπῄτησεν αὐτὸν ὁ Εὐθύμιος ἔγγραφον ὁμόλογον, ἵνα ἐμμένῃ δηλαδὴ εἰς τὴν ὀρθοδοξίαν, καὶ μὴ ἐνοχλήσῃ τὴν ἐν Χαλκηδόνι Σύνοδον, ἀλλὰ ἔχῃ εἰς Ὅρον πίστεως τὰ δόγματα αὐτῆς, ὃ καὶ δέδωκεν αὐτῷ. οἱ Μανιχαῖοι ὅμως ἔχαιρον, διὰ τὸ τὴν μὲν Μητέρα τοῦ Βασιλέως, ὡς εἴρηται, φρονεῖν τὰ τῶν Μανιχαίων αὐτῶν, τὸν δὲ Θεῖον αὐτοῦ Κλέαρχον εἶναι Ἀρειανόν. ὁ Εὐθύμιος μέντοι καιροῦ λαβόμενος ἐπιτηδείου, Σύνοδον Τοπικὴν ἀθροίζει εἰς Κωνσταντινούπολιν, καὶ βεβαιοῖ τὴν ἐν Χαλκηδόνι Σύνοδον. ὁ δὲ Ἀναστάσιος ἐπειδὴ τοῦ εὐλαβέστατος, πρὸ γὰρ τῆς ἀλεκτριοφωνίας κατὰ τὰς νύκτας ἐγειρόμενος, ἐβάδιζεν εἰς τὴν Ἐκκλησίαν, καὶ εἱστήκει μέχρι τῆς ἀπολύσεως, νηστεύων καὶ δεόμενος, καὶ τὰ ὑπάρχοντα αὐτοῦ παρέχων πτωχοῖς, διατοῦτο εἰς τὸ κάθισμα τοῦ Ἱπποδρόμου ἐβόα εὐφώνως πρὸς αὐτὸν ὁ λαὸς, ὡς ἔζησας, οὕτω καὶ βασίλευσον Δέσποτα. ἀπέστειλαν δὲ καὶ οἱ Ἱεροσολυμῖται τὸν Γάζης Τιμόθεον διὰ τέλεσμα τὸ καλούμενον Χρυσάργυρον, ὃ καὶ ἐχαρίσατο αὐτοῖς ὁ Ἀναστάσιος, ἀφανίσας αὐτὸ παντελῶς, καὶ ἦν Χρηστὸς εἰς τὸ ὑπήκοον, ἀλλὰ τῶν τιμίων καὶ ἀξιωματικῶν ἀνθρώπων φθορεὺς, καὶ τῆς καθολικῆς Ἐκκλησίας ἀδυσώπητος ἐχθρὸς, καὶ ὅλος Μονοφυσίτης. ὁ Εὐθύμιος ὅμως, ὡς εἴρηται, ἅμα τῷ βασιλεῦσαι τὸν ἀναστάσιον, Σύνοδον ἀθροίσας τῶν ἐνδημούντων Ἐπισκόπων ἐν Κωνσταντινουπόλει, τὴν ἐν Χαλκηδόνι Σύνοδον ἐκύρωσεν. ὁ δὲ Ἀλεξανδρείας Ἰωάννης ὁ Ταβεννησιώτης, ὅστις ἦν διὰ τὸν Ζήνωνα φυγὰς εἰς Ῥώμην, ἀκούσας ὅτι ἐβασίλευσεν ὁ Ἀναστάσιος, ᾧ ἀνάγκην ἔχοντι ὤφθη βοηθός ποτε κατὰ τὴν Ἀλεξάνδρειαν, ἦλθεν εἰς Βυζάντιον, ἀγαθὰ ἐλπίζων, μαθὼν δὲ ὅτι ὁ Ἀναστάσιος μέλλει ἐξορίσειν αὐτὸν, ἔφυγε πάλιν εἰς Ῥώμην. μετέπειτα ὁ Ἀναστάσιος ἀρχόμενος φανεροῦν τὴν Αἵρεσιν αὐτοῦ, τὸ ἔγγραφον τῆς πίστεως, ὅπερ ἔδωκε τῷ Εὐθυμίῳ, βίᾳ ἔλαβε. καὶ βλέποντες οἱ ἐχθροὶ τοῦ Εὐθυμίου τὴν πρὸς αὐτὸν τοῦ Βασιλέως διάθεσιν, παρεσκεύασαν ἄνθρωπον φονέα, καὶ ἐγύμνωσε σπάθην, καὶ ὥρμησε τύψαι τὸν Εὐθύμιον εἰς τὴν κεφαλὴν, ἀλλ' ὁ Ἔκδικος τῆς Ἐκκλησίας Παῦλος μῆκος σώματος ἔχων, ἔλαβε τὴν πληγὴν καὶ ἐκινδύνευσε, τὸν δὲ φονέα ἀπέκτεινεν ἄνθρωπός τις ἐκκλησιαστικός. ὁ δὲ Ἀναστάσιος διὰ τὸ ποιῆσαι τότε τοὺς Ἰσαύρους Λογγῖνον καὶ Ἀθηνόδωρον ἀνταρσίαν, βλέπων τὸ κακὸν προβαῖνον εἰς αὔξησιν, εἶπε μυστικῶς τῷ Εὐθυμίῳ, ὅτι βούλεται εἰρηνεῦσαι, καὶ ἀθροῖσαι αὐτὸν, ἤγουν τὸν Εὐθύμιον Ἐπισκόπους, καὶ δεηθῆναι αὐτοῦ, ἤγουν τοῦ Βασιλέως μετ' αὐτῶν περὶ εἰρήνης, ἵνα φανῇ ἡ ἀρχὴ ἐξ αὐτῶν, καὶ μὴ ἐξ αὐτοῦ, ἤτοι τοῦ Βασιλέως. ἦν δὲ ὁ πενθερὸς τοῦ Ἀθηνοδώρου Ἰωάννης Πατρίκιος εἰς τὸ Βυζάντιον, πρὸς ὃν εἶπεν ὁ Εὐθύμιος τὸ μυστικὸν διὰ οἰκονομίαν, ἐκεῖνος δὲ πάλιν αὐτὸ εἶπε τῷ Ἀναστασίῳ, ὅθεν ὁ Βασιλεὺς συκοφαντήσας τὸν Εὐθύμιον ὡς κοινωνὸν τοῖς ἀποστάταις, ἀθροίζει Σύνοδον μερικῶν Ἐπισκόπων, οἵτινες τῷ Βασιλεῖ χαριζόμενοι, ἐκάθηραν αὐτὸν, καὶ χειροτονοῦσι Μακεδόνιον Σκευοφύλακα, καὶ εἰ καὶ ὁ λαὸς ἐστασίαζε διὰ τὸν Εὐθύμιον, ἀλλ' ἴσχυσεν ἡ Βασιλέως ἔνστασις. σὺ δὲ σημείωσαι, ὅτι καὶ Τοπικὴ ὀλιγίστη Σύνοδος Πατριάρχην καθαιρεῖ. οὕτω καὶ τὸν Πάπαν τῆς Ῥώμης Σίξστον ἐπὶ Θεοδοσίου τοῦ μικροῦ κατηγορηθέντα ὑπότινος Βάσσου, τριῶν Ἐπισκόπων Σύνοδος κρίνασα, καὶ τὰ κατ' αὐτὸν κανονικῶς ἐξετάσασα, ἐδικαίωσε. τὸν δὲ Βάσσον ἐξώρισεν ὁ Οὐαλεντιανὸς καὶ ἡ Μητὴρ αὐτοῦ Πλακιδία.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ἧς ἐποίησεν εὐποιΐας ὁ Κωνσταντινουπόλεως Μακεδόνιος πρὸς τὸν Εὐθύμιον, καὶ οὗ ὑπέγραψεν Ἑνωτικοῦ, καὶ ἧς ἤθροισε Σύνοδου εἰς βεβαίωσιν τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ ὧν συνέβησαν ἀταξιῶν ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ ὑπὸ τῶν Μονοφυσιτῶν, παρόντος τοῦ Βασιλέως, καὶ τῇ αὐτοῦ κελεύσει τυφθέντος τοῦ Πατριάρχου, καὶ περὶ τῆς ὁρμῆς τοῦ λαοῦ ὑπὲρ τοῦ Πατριάρχου κατὰ τοῦ Βασιλέως.

Τοῦ τοίνυν Εὐθυμίου ἐκβληθέντος, Μακεδόνιος Σκευοφύλαξ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας προχειρίζεται Πατριάρχης, ἀσκητικώτατος καὶ λίαν ἐνάρετος, ἦν γὰρ τρόφιμος καὶ μαθητὴς τοῦ ἱεροῦ Γεννα-

Γενναδίου, καὶ ἀνεψιὸς αὐτοῦ, ὥστινες λέγουσι. μέλλων δὲ ὁ Εὐθύμιος ἀπιέναι εἰς τὰ Εὐχαΐτα ἐξωρισμένος κατὰ τὸν Ἀναγνώστην Θεόδωρον, ἐζήτησε βεβαιότητα διὰ τοῦ Μακεδονίου, καθεζόμενος εἰς τὸ βαπτιστήριον, ἵνα ἀπέλθῃ εἰς τὸν ὡρισμένον τόπον χωρὶς ἐπιβουλῆς τινός. ὁ δὲ Μακεδόνιος ἀποδυσάμενος τὸ ὠμόφορον αὐτοῦ, ἐπορεύθη ὡς ἰδιώτης εἰς τὸν Εὐθύμιον, καὶ δανεισθεὶς χρήματα, ἔδωκε τῷ Εὐθυμίῳ ἐξοριζομένῳ διὰ κυβέρνησιν αὐτοῦ κατὰ τὸν Θεοφάνην, ἄξια τῆς ἀνωτάτω ἀρετῆς ἔργα πράξας. βιασθεὶς δὲ ὁ Μακεδόνιος ὑπὸ τοῦ Δικόρου, ὑπέγραψεν εἰς τὸ Ἑνωτικὸν Ζήνωνος, οἰκονομῶν τὸν κακότροπον Βασιλέα, ἐσχίσθησαν ὅμως ἀπ' αὐτοῦ οἱ Ἀρχιμανδρῖται καὶ Ἡγούμενοι, οὓς θέλων ἑνῶσαι ὁ Μακεδόνιος, συνεβούλευσε τῷ Βασιλεῖ Σύνοδον ἀγεῖραι, καὶ τὰ ἐν Χαλκηδόνι βεβαιῶσαι, ὅπερ καὶ γέγονε δι' ἐγγράφου πράξεως τῷ ὀγδόῳ ἔτει τοῦ Βασιλέως, καὶ ἐσπούδαζε καὶ τὰ Μοναστήρια πρὸς ἕνωσιν ἀγαγεῖν. καθότι τοὺς ἐνδημοῦντας Ἐπισκόπους ἀθροίσας, τὰ ἐν Χαλκηδόνι πεπραγμένα ἐβεβαίωσεν, εἰ καὶ οἱ Μοναχοὶ τῆς μονῆς τοῦ Δίου, καὶ οἱ τῆς Βασσιανοῦ (ἰδὲ καὶ τὸ Συναξάριον Ὀκτωβρίου δεκάτῃ περὶ Βασσιανοῦ) καὶ οἱ τῶν Ἀκοιμήτων, καὶ οἱ τῆς Ματρώνης, καὶ Ματρῶνα καὶ Σοφία αἱ μοναχαὶ οὐκ ἠθέλησαν κοινωνῆσαι αὐτῷ, μόνον ὅτι ὑπέγραψεν εἰς τὸ Ἑνωτικόν. βουλομένου δὲ τοῦ Δικόρου κακοποιῆσαι αὐτοὺς, ἐκώλυσεν αὐτὸν ὁ Μακεδόνιος, ἡ δὲ Ματρῶνα πολλὰ παθοῦσα ὑπὸ τοῦ Διακόνου Χρυσαορίου, οὐκ ἐνέδωκεν, ἀλλ' ὑπέμεινε γενναίως. ὁ Ἀναστάσιος ὅμως μεταταῦτα βουλόμενος βοηθεῖν τῇ Αἱρέσει, καὶ μὴ δυνάμενος ἔχειν ὁμόφρονα ἑαυτῷ τὸν Μακεδόνιον, τρόπους ἐπενόει κατὰ τῆς ὀρθοδοξίας, καὶ δὴ κατεσκεύασε, καὶ πολλοὶ Ἐπίσκοποι χαριζόμενοι αὐτῷ, ἀντέπιπτον τῇ ἐν Χαλκηδόνι Συνόδῳ. ἀλλὰ καὶ εἰς τὴν μονὴν τοῦ Ἀρχαγγέλου τὴν εἰς τὸ παλάτιον ἐλθόντες οἱ Μονοφυσῖται, ἔνθα οἱ ψάλται ἔψαλον τὸ Τρισάγιον, αὐτοὶ ἀντέψαλον μετὰ τῆς προσθήκης τῆς ὁ σταυρωθείς. τὸ αὐτὸ ἐποίησαν καὶ εἰς τὴν μεγάλην Ἐκκλησίαν, ἐλθόντες ῥαβδοφόροι τῇ ἐρχομένῃ Κυριακῇ. ἀλλ' ὁ λαὸς ζηλώσας, ἐβόα τὸ Τρισάγιον χωρὶς προσθήκης. ὑβριζόμενοι δὲ, ἀνθύβριζον, τυπτόμενοι, ἀντέτυπτον, καὶ γίνεται στάσις. ἦσαν δὲ ἡγούμενοι τῶν Αἱρετικῶν Ἰουλιανὸς Ἐπίσκοπος Ἁλικαρνασσοῦ, καὶ ὁ Σεβῆρος, ἔτι μοναχὸς ὤν, οἷς, καί τισιν Ἄρχουσι προσέταξεν ὁ Βασιλεὺς παρὼν τύπτειν τὸν Μακεδόνιον. ὁ δὲ λαὸς τῆς Κωνσταντινουπόλεως ἄνδρες καὶ γυναῖκες καὶ τὸ μοναδικὸν συνδεδραμήκασιν ὅλοι, καὶ ἔκραξαν, καιρὸς Χριστιανοὶ μαρτυρίου, τὸν πατέρα μηδεὶς καταλείπῃ. ὕβριζον δὲ τὸν Βασιλέα, Μανιχαῖον ἀποκαλοῦντες καὶ τῆς βασιλείας ἀνάξιον. καὶ δὴ δραπετεύει εἰς τὰ βασίλεια ὁ Δίκορος, καὶ κλείει τὰς πύλας, καὶ πλοῖα ἑτοιμάζει εἰς φυγὴν τῷ εἰκοστῷ ἔτει τῆς Βασιλείας αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν συκοφαντιῶν καὶ ποικίλων πονηριῶν τοῦ Δικόρου κατὰ τοῦ Πατριάρχου Μακεδονίου, καὶ ἐξορίας αὐτοῦ τοῦ Μακεδονίου εἰς τὰ Εὐχαΐτα, καὶ περιορισμοῦ εἰς Γάγγραν, ἐν ᾗ καὶ ἀνεπαύθη. καὶ περὶ τῆς Πατριαρχείας ἐν Κωνσταντιουπόλει τοῦ παγκακίστου Τιμοθέου. καὶ περὶ Θεοδώρου, τοῦ δόντος βιβλίον τῷ Δικόρῳ.

Τοῦ Δικόρου μέλλοντος στέφεσθαι Βασιλέως, γινώσκων αὐτοῦ τὸ κακότροπον ὁ Εὐθύμιος, ζητήσας ἔλαβε παρ' αὐτοῦ ἐγγράφως καὶ μετὰ Φρικτῶν ὅρκων (ὡς εἴρηται ἀνωτέρω) τὸ μὴ καινοτομεῖν εἰς τὴν ὀρθόδοξον πίστιν, ὅπερ ὁ Μακεδόνιος ὡς Σκευοφύλαξ εἶχεν εἰς φύλαξιν, καὶ εἰς τὰς ἡμέρας τῆς Πατριαρχείας αὐτοῦ ὁ Δίκορος εὑρὼν ἄνεσι ἀπὸ τῶν πολέμων καὶ τῶν ἀποστατῶν, ἐμαίνετο κατὰ τῆς Ἐκκλησίας, καὶ ἐζήτει τὸ ἔγγραφον τῆς πίστεως ἀπὸ τοῦ Μακεδονίου. ὁ δὲ μιμούμενος τὸν Σαμοσάτων Εὐσέβιον, ὡς εἴπομεν εἰς τὸ δεύτερον βιβλίον, οὐκ ἐδίδου αὐτῷ τὸ ἔγγραφον. ἠγριοῦτο οὖν ὁ Δίκορος, εἶτα συκοφαντεῖ αὐτὸν, ὡς δῆθεν νενοθευκότα τὸ κείμενον τοῦ Ἀποστόλου εἰς τὴν πρὸς Τιμόθεον, καὶ προσθέντα τὸ ὡς μετὰ τοῦ ω μεγάλου ἀντὶ τοῦ ο μικροῦ, ἵνα ᾖ ὡς Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν Πνεύματι, καὶ ἵνα δηλοῖ ἀντὶ τοῦ ἐφανερώθη ἐν σαρκὶ, ὅτι ἐφανερώθη διὰ σαρκὸς, καὶ ποιήσαντα ἐναλλαγὴν εἰς τὸ γράμμα, ἵνα μεταφέρῃ καὶ τὸ νόημα. δεύτερον, ὑπάτησεν αὐτὸν διὰ Κέλωρος Μαγίστρου, καὶ ἐποίησεν ὑπομνηστικὸν, ἐν ᾧ ἔγραψεν ὅτι δέχεται τὰς δύο Συνόδους, τὰς δὲ ἐν Ἐφέσῳ καὶ Χαλκηδόνι εἴασεν, ἔδοξε γὰρ δέχεσθαι τὸ Ἑνωτικὸν Ζήνωνος. ἀπολογησαμένου δὲ τοῦ Μακεδονίου εἰς τὴν Δαλμότου Μονὴν, ἐν ᾗ τοὺς Μοναχοὺς καὶ Κληρικοὺς ἤθροισε, καὶ ὁμολογήσαντος ὅτι δέχεται τὴν ἐν Χαλκηδόνι, ὁ Δίκορος ἐσυκοφάντησεν αὐτὸν τρίτον, καθότι παρεσκεύασε δύο τινὰς ἀθλίους καὶ κατηγόρησαν τοῦ ἀνθρώπου τοῦ Θεοῦ ὡς παιδεραστοῦ καὶ Αἱρετικοῦ, καὶ ἔδωκαν λιβέλλους τῷ Ἐπάρχῳ καὶ τῷ Μαγίστρῳ. ὁμοίως δὲ καὶ κατὰ πρεσβυτέρων καὶ ὀρθοδόξων τὴν αὐτὴν πονηρίαν ἐποίησεν ὁ παμπόνηρος Βασιλεύς. ὁ δὲ Μακεδόνιος, καίτοι γε ἔχων ἀπολογεῖσθαι ἑτοίμως οὐ μόνον εἰς πραιτώριον, ἀλλὰ καὶ εἰς θέατρον, οὐκ εἰσηκούσθη, ἀλλ' ἐξώσθη τοῦ θρόνου. πλὴν ὁ Δίκορος διὰ φόβον ἐπαναστάσεως παριδὼν ὃν ἐποίησεν ὅρκον μὴ ἰδεῖν ποτὲ τὸν Μακεδόνιον, προσκαλεῖται αὐτὸν εἰς τὸ Παλάτιον μετὰ ὑποκρίσεως, καὶ σχηματίζεται ὅτι ἑνοῦται τῇ Ἐκκλησίᾳ, καὶ τὴν νύκτα ἐκείνην ἐξώρισεν αὐτὸν εἰς τὰ Εὐχαΐτα. τῷ δὲ εἰκοστῷ πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, τὸ αὐθεντικὸν βιβλίον, ὅπερ εἶχε τὰ ἐν Χαλκηδόνι πεπραγμένα,

ἐζήτει

ἐζήτει βιαίως ὁ Δίκορος ἀπὸ τοῦ Μακεδονίου, ὁ δὲ Μακεδόνιος ἐπισφραγίσας αὐτὸ, καὶ βαλὼν εἰς τὸ θυσιαστήριον, ἀπῆλθεν. ὁ Κολοπόδιος ὅμως Οἰκονόμος ἔλαβεν αὐτὸ, καὶ δέδωκε τῷ Δικόρῳ. ἔφυγον δὲ πολλοὶ Κληρικοὶ καὶ Ἀρχιερεῖς εἰς πολλοὺς τόπους, ἵνα μὴ συμφωνήσωσι τῷ παρανόμῳ Βασιλεῖ. ἀντικατέστησε δὲ Πατριάρχην Τιμόθεον τινὰ χείρονα τοῦ Αἰλούρου. τοσοῦτον δὲ εἶχεν εἰς πάθος τὸν Μακεδόνιον ὁ Δίκορος, ὥστε, τῷ εἰκοστῷ πέμπτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, τῶν Οὔνων διαβάντων τὰς Κασσίας πύλας, καὶ λῃσαμένων τὴν Ἀσίαν, καὶ ἐλθόντων καὶ ἕως Εὐχαΐτων, τὸν ἄνθρωπον τοῦ Θεοῦ διὰ τὸν κίνδυνον ἀπελθόντα εἰς Γάγγραν, κἀκεῖσε περιορίσαι, ὅπου καὶ ἐκοιμήθη, πολλὰ θαύματα ποιήσας. ἀπέστελλε δὲ αὐτῷ τὰ πρὸς ζωοτροφίαν Πομπήϊος ὁ ἀνεψιὸς τοῦ Βασιλέως καὶ ἡ γυνὴ αὐτοῦ, οἵτινες, καίτοι πολλὰ διὰ τοῦτο παθόντες παρὰ τοῦ Ἀναστασίου, οὐκ ἔπαυσαν ὅμως ποιοῦντες τοῦτο. ἀλλὰ καὶ ὅτε ἐξέβαλεν αὐτὸν τοῦ Πατριαρχείου ὁ Δίκορος, ποίησε Σύνοδον εἰς Κλαυδιούπολιν, ὄντων τῶν αὐτῶν καὶ κατηγόρων καὶ μαρτύρων, καὶ ἀνεθεμάτισεν αὐτόν. ἐρωτήσαντος δὲ τοῦ Μακεδονίου τὸν ἀποκομίσαντα αὐτῷ τὸ τοῦ ἀναθεματισμοῦ γράμμα, ποῖοι ἀνεθεμάτισάν με; εἶπεν ὁ ἀποκομιστὴς, ὅτι ὁ Κολοπόδιος, καὶ ὅλοι ὅσοι οὐ δέχονται τὴν ἐν Χαλκηδόνι Σύνοδον. τὸ λοιπὸν (ἀπεκρίθη) εἰ οἱ Ἀρειανοὶ καὶ Μακεδονιανοὶ ἀνεθεμάτιζόν με, ἔψαυέ μου τὸ ἀνάθεμα; οὕτως ἦν ἄρα ὅλος τῆς ἐν Χαλκηδόνι Συνόδου ὁ Μακεδόνιος. ἀλλὰ καίτις Ἀλεξανδρινὸς Θεόδωρος μοναχὸς πολύστιχον βιβλίον ἔγραψεν ὑπὲρ τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ ἔδωκεν αὐτὸ τῷ Ἀναστασίῳ διὰ Μάγνας γυναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ, ἐκεῖνος ὅμως ἐξώρισεν αὐτὸν εἰς τὴν Ὄασιν, ἐξουθενήσας καὶ τὴν ἐπιγραφὴν τῆς βίβλου, ἥτις ἦν τραγῳδία, ἤτοι προφητεία τῆς νῦν ἀνταρσίας κατὰ τῆς πίστεως, ὥπερ λέγουσι ποιῆσαι καὶ τὸν μέγαν Βασίλειον, γράφοντα κατὰ Ἰουλιανοῦ, ὡς ἱστορεῖ ὁ Θεοφάνης.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῶν συμβάντων τῷ Φλαυϊανῷ Ἀντιοχείας διὰ τοῦ Ξεναΐα καὶ ἑτέρων Ἐπισκόπων, καὶ τῆς πρὸς αὐτὸν βίας αὐτῶν δι' ὧν ἤθροισαν ψευδομονάχων, ἵνα ἀναθεματίσῃ τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ ἀναιρέσεως τῶν ψευδομονάχων ὑπὸ τοῦ λαοῦ, καὶ ἐξορίας αὐτοῦ τοῦ Φλαυϊανοῦ ὑπὸ τοῦ Δικόρου, καὶ προχειρίσεως εἰς τὸν θρόνον Ἀντιοχείας Σεβήρου τοῦ Αἱρετικοῦ.

Θέλοντες εἰπεῖν τὰ περὶ Φλαυϊανοῦ Ἀντιοχείας καὶ Ἠλία Ἱεροσολύμων, οὐ κατὰ τὸν Θεοφάνη λέγομεν, ἐπειδὴ οὐ συνᾴδει τοῖς συγγράψασι τοὺς βίους τῶν ἁγίων, ἀλλὰ κατ' ἄλλους, καὶ κατ' αὐτοὺς τοὺς βίους τῶν ἁγίων λέγομεν, Σάββα καὶ Θεοδοσίου τοῦ Κοινοβιάρχου, οἵτινες ἀξιοπιστότεροι δοκοῦσι τοῦ Θεοφάνους, ἀρχόμεθα οὖν ἀπὸ τοῦ δεκάτου ὀγδόου ἔτους τῆς αὐταρχίας αὐτοῦ τοῦ Δικόρου. ὁ τοίνυν Πέρσης Ξεναΐας, ὃν ἐχειροτόνησεν ὁ Κναφεὺς Ἱεραπόλεως, κατεξανίσταται τοῦ Ἀντιοχείας Φλαυϊανοῦ, θαρρῶν εἰς τοῦ Βασιλέως τὴν ἀσέβειαν, εἰπὼν αὐτὸν Νεστοριανόν. ἀνεθεμάτισε δὲ τὸν Νεστόριον ὁ Φλαυϊανὸς πρὸς ἀθῴωσιν αὐτοῦ, ἀλλ' ὁ Ξεναΐας εἶπεν αὐτῷ ἀναθεματίσαι καὶ τινας ἄλλους, οἵτινες ἀπέθανον εἰς τὴν κοινωνίαν τῆς Ἐκκλησίας, ὁ δὲ Φλαυϊανὸς ἀντιτείνων, καὶ βιαζόμενος προσέτι ὑπὸ Ἐλευσίου Καππαδοκικοῦ Ἐπισκόπου, καὶ Νικίου Λαοδικείας, οὐκ οἶδ' ὅπως παρατραπεὶς, ἀνεθεμάτισεν αὐτούς. εἶτα βιάζουσιν αὐτὸν ἀναθεματίσαι καὶ τὴν ἐν Χαλκηδόνι Σύνοδον, αὐτὸς δὲ ἐποίησεν ἔκθεσιν πίστεως καὶ ἔλεγεν, ὅτι ἡ ἐν Χαλκηδόνι Σύνοδος ἔκθεσιν οὐκ ἐποίησε πίστεως, μόνον τὴν ἀρχαίαν πίστιν ἐβεβαίωσεν, οἱ δὲ ἐχωρίσθησαν ἀπ' αὐτοῦ καὶ τοῦ Μακεδονίου, καὶ ἐποίησαν σύγγραμμα κατὰ τῆς ἐν Χαλκηδόνι Συνόδου, ἐν ᾧ ἔλεγον, ὅτι καὶ ὁ Ἱεροσολύμων ὑπέγραψε, καίπερ ὁ Ἱεροσολύμων ἐγγράφως ἔλεγεν αὐτοὺς ψεύστας καὶ συκοφάντας, καθὼς καὶ οἱ ἀπολιναρισταὶ πολλὰ ψευδοσυγγράμματα αὐτῶν εἶπον ὅτι εἰσὶν Ἀθανασίου, Γρηγορίου καὶ Ἰουλίου. καὶ ἔγραψαν καὶ ἄλλο ὅμοιον τῷ τοῦ Φλαυϊανοῦ, καὶ ἔστειλαν αὐτὸ εἰς τὸν Βασιλέα. ὁ Ξεναΐας καὶ οἱ Μονοφυσῖται λοιπὸν κατασκευάζουσι καὶ ἔρχονται ἀπὸ τῶν περιχώρων τῆς Ἀντιοχείας οἱ ψευδομόναχοι, καὶ ἀναγκάζουσι τὸν Φλαυϊανὸν ἀναθεματίσαι τὴν ἐν Χαλκηδόνι Σύνοδον, τοῦ δὲ Φλαυϊανοῦ μὴ θέλοντος, καὶ τῶν μοναχῶν βιαζόντων, ἐγείρεται ὁ λαὸς καὶ ἄλλοι Μοναχοὶ φίλοι τῆς ἀληθείας, καὶ βοηθοῦντες τῷ Φλαυϊανῷ, φονεύουσι τοὺς κακομονάχους. καὶ γίνεται ἡ αἱματεκχυσία, καὶ εὑρίσκει αἰτίαν ὁ Δίκορος, καὶ ἐξορίζει τὸν Φλαυϊανὸν εἰς τὴν Πέτραν τῆς Ἀραβίας, καὶ γίνεται Ἀντιοχείας ἡ καρδία τοῦ Σατανᾶ ὁ Σεβῆρος. ἐξωρίσθη δὲ καὶ Ἰωάννης ὁ Ἐπίσκοπος Πλαντοῦ.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν ἀσεβειῶν τοῦ Κωνσταντινουπόλεως Τιμοθέου, καὶ ἐθίμων τινῶν αὐτοῦ τε καὶ τοῦ Κναφέως, καὶ τοῦ Ἰουστινιανοῦ ἐν τῇ Ἐκκλησίᾳ, καὶ ψεύδεται ὁ Πλάτινας ἐκ τοιούτων τινῶν τὸ τυραννικὸν ἀξίωμα συνάγων τῷ Ῥώμης.

Εἰς ὁποίαν Ἐκκλησίαν εἰσήρχετο ὁ γενόμενος Κωνσταντινουπόλεως Τιμόθεος, πρῶτον κατέσσα τὰς Εἰκόνας τοῦ Μακεδονίου, εἶτα ἀρχὴν ἐποίει ἐπιτελεῖν τὴν Λειτουργίαν. καὶ ἀποθανόντος τοῦ Ἡγουμένου τῆς Μονῆς τῶν Στουδίων, ἢ κατὰ τὸν Θεοφάνη τοῦ Δίου, Συνέβη ἀπελθεῖν ἐκεῖ τὸν Τιμόθεον, ἵνα χειροτονήσῃ Ἐπίσκοπόντινα (ἢ ὡς ὁ Θεοφάνης φησὶν Ἡγούμενον) ὁ δὲ ἄνθρωπος ὁ μέλλων χειροτονεῖσθαι εἶπε τῷ Τιμοθέῳ, ὅτι οὐχ ὑπομένει χειροτονηθῆναι ὑπὸ ἀνθρώπου ἀναθεματίζοντος τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ ὁ Τιμόθεος εὐθὺς εἶπεν, ἀνάθεμα παντὶ ἀνθρώπῳ ἀποστρεφομένῳ, ἢ ἀναθεματίζοντι τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ οὕτως ἐγένετο ἡ χειροτονία. ἀλλὰ Ἰωάννης τὸς Ἀρχιδιάκονος Μανιχαῖος ὤν, ὕβρισε τὸν Τιμόθεον, εἶτα τρέχει καὶ ἐγκαλεῖ αὐτὸν εἰς τὸν Βασιλέα, καὶ λοιπὸν ἀτιμαζόμενος ὁ Τιμόθεος διὰ τοῦτο, εἶπε τῷ Βασιλεῖ, ἀνάθεμα παντὶ ἀνθρώπῳ τὴν ἐν Χαλκηδόνι δεχομένῳ Σύνοδον. οὗτος ὁ Τιμόθεος τὸ Σύμβολον τῆς πίστεως, ἤγουν τὸ, Πιστεύω εἰς ἕνα Θεὸν, παρεσκεύασεν ἀναγινώσκεσθαι εἰς ἑκάστην ἀκολουθίαν, ἐπεὶ πρῶτον εἰς μόνην τὴν μεγάλην Παρασκευὴν ἀνεγινώσκετο εἰς τὴν κατήχησιν διὰ τοὺς μέλλοντας βαπτίζεσθαι τῷ μεγάλῳ Σαββάτῳ, καθὼς καὶ ὁ Κναφεὺς ἐπονόησε γίνεσθαι τὸν ἁγιασμὸν τῶν Θεοφανείων καὶ τὸ ἑσπέρας, καὶ εἰς ἑκάστην εὐχὴν ὀνομάζεσθαι τὴν Θεοτόκον, καὶ περὶ τοῦ Συμβόλου ἐκεῖνο τὸ παρασκευασθὲν ὑπὸ τοῦ νυνὶ Τιμοθέου, ὁ Κναφεὺς πρῶτος ἤρξατο διατάττειν. ὁ Πλάτινας τινὰ ἤθη καὶ τάξεις καὶ ὁρισμοὺς περὶ ἐκκλησιαστικῆς καταστάσεως, ὧν τινὰ μὲν εἰσὶν ἀπὸ τοῦ καιροῦ τῶν Ἀποστόλων, τινὰ δὲ παρὰ Συνόδων καὶ Αὐτοκρατόρων διωρίσθησαν, ἐπιγράφει τῷ Πάπᾳ, λέγων, ὅτι ὁ δεῖνα Πάπας διώρισεν ἐκεῖνο, καὶ ὁ δεῖνα τοῦτο, νομίζων καὶ διὰ τῶν τοιούτων πλασμάτων τὸ τυραννικὸν παπικὸν ἀξίωμα συστῆσαι. ἀλλ' εἰ καὶ ἀληθῆ ἔλεγεν ὁ Πλάτινας, ματαία ἦν καὶ ἡ τοιαύτη αὐτοῦ ἐπίνοια, καθότι ἰδοὺ καὶ Αἱρετικοὶ εἰς τὴν Ἐκκλησίαν τινὰ διεταξάντο, καὶ ὁ Ἰουστινιανὸς ὥρισε ψάλλεσθαι τὸ Ὁμονογενὴς Υἱὸς ἐν τῇ Λειτουργίᾳ, ἀλλ' οὐδὲν ἀξίωμα ἰδικὸν ἐν τῇ Ἐκκλησίᾳ ἐκ τούτων ἢ Τιμοθέῳ καὶ Πέτρῳ τοῖς Αἱρετικοῖς, ἢ τῷ ὀρθοδόξῳ Ἰουστινιανῷ προσεγένετο, ὥστε οὐδὲ τῷ Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς πατρίδος τοῦ Ἀντιοχείας Σεβήρου, καὶ οὗ ἐβαπτίσθη καὶ ἐγένετο μοναχὸς τόπου, καὶ τῆς συνεργείας αὐτοῦ μετὰ Ἰωάννου Ἀλεξανδρείας πρὸς τὸν Δίκορον κατὰ τοῦ Κωνσταντινουπόλεως Μακεδονίου καὶ τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ περὶ τῆς ἀντιστάσεως τοῦ Μακεδονίου, καὶ περὶ τοῦ ἐν Παλαιστίνῃ ἐπὶ Ἠλία Ἱεροσολύμων ἀναθεματισμοῦ τῶν Σεβήρου συνοδικῶν, καὶ αὐτοῦ, καὶ τῶν κοινωνῶν αὐτῷ, καὶ περὶ τῆς ἐπ' Ἄμβωνος ἀναγνώσεως ἐν Ἀλεξανδρείᾳ τῶν συνοδικῶν Τιμοθέου, καὶ τοῦ ὑπὸ Ἰωάννου Ἀλεξανδρείας ἐμποδισμοῦ τῆς εἰς Ἱερουσαλὴμ ἀποδημίας τῶν Αἰγυπτίων, καὶ περὶ τῆς μετὰ Ἰωάννην διττῆς χειροτονίας τοῦ Διοσκόρου, καὶ τῶν συμβάντων ὑπὸ τοῦ λαοῦ φόνων.

Ὁ Σεβῆρος ἦν ἀπὸ τῆς Σωζωπόλεως τῆς Πισιδίας, ἔμαθε δὲ Νόμους εἰς τὸ Βεροῦτι, καὶ ἐβαπτίσθη εἰς παραθαλάσσιον Μοναστήριον τῆς Τριπόλεως Λεοντίου τοῦ μάρτυρος, ἐνεδύσατο τὸ μοναχικὸν σχῆμα εἰς Μοναστήριον κείμενον ἀναμεταξὺ Γάζης καὶ Μαϊουμᾶ, ἔνθα ἦν πρῶτον Πέτρος ὁ Ἴβηρ, ὁ συνεργὸς καὶ ὁμόφρων τοῦ Αἰλούρου καὶ Θεοδοσίου. ὁ γοῦν Σεβῆρος διαλέγεται ἐκεῖ μετὰ τοῦ Εὐλαλίου, τοῦ ἐκ μετανοίας ἀπὸ τῶν Μονοφυσιτῶν προστεθέντος εἰς τὴν ὀρθοδοξίαν, καὶ γνωρισθεὶς Μονοφυσίτης, ἀπελαύνεται, καὶ ἀνέρχεται εἰς Κωνσταντινούπολιν, καὶ γενόμενος διὰ τὴν Αἵρεσιν γνώριμος τῷ Δικόρῳ, συνήργει μετὰ Ἰουλιανοῦ τοῦ Ἁλικαρνασσέως καὶ τινων ἄλλων Μοναχῶν Μονοφυσιτῶν, ἐλθόντων ἀπὸ Ἀνατολῆς σὺν αὐτῷ εἰς Βυζάντιον κατὰ Μακεδονίου καὶ τῆς ἐν Χαλκηδόνι Συνόδου, οὓς ὁ Ἀναστάσιος ἐντίμως ἐδέξατο. καὶ δὴ καὶ Ἰωάννης Ἀλεξανδρείας ὁ Αἱρετικὸς δύο χιλιάδας λίτρας χρυσίου ὑπέσχετο δοῦναι τῷ Βασιλεῖ, εἰ τὴν ἐν Χαλκηδόνι Σύνοδον ἐκβάλλοι ταχέως, ὅθεν ὁ Βασιλεὺς ἐβίαζε τὸν Μακεδόνιον δέχεσθαι τὴν Ἰωάννου πρεσβείαν, ὁ δὲ Μακεδόνιος ἀντέτεινε λέγων, μὴ δέχεσθαι αὐτοὺς, ἂν μὴ τὴν ἐν Χαλκηδόνι ὁμολογήσωσι μητέρα καὶ διδάσκαλον, καὶ ὅτι χωρὶς Οἰκουμενικῆς Συνόδου, ἐχούσης πρόεδρον τὸν Ῥώμης Ἐπίσκοπον, οὐδύναται τοῦτο ποιῆσαι. ταῦτα ὁ Θεοφάνης. τὸν δὲ Σεβῆρον μετὰ Φλαυϊανὸν Ἀντιοχείας γενόμενον, ἔβαλεν εἰς φρικτοὺς ὅρκους ὁ Ἀναστάσιος, ἵνα μὴ ἀναθεματίζῃ τὴν ἐν Χαλκηδόνι Σύνοδον, οὐχ ὡς ἀγαπῶν αὐτὴν, ὅτι πολλὰ αὐτὴν ἐμίσει, ἀλλ' ἵνα μὴ γίνωνται σχίσματα, καὶ αἱματεκχυσίαι, καθότι τὰ πλήθη ἦσαν τοῦ μέρους τῆς Συνόδου. ὁ δὲ Σεβῆρος εὐθὺς ἀνεθεμάτισε τὴν Σύνοδον, ἀλλὰ καὶ συνοδικὰ γράφων εἰς τοὺς Πατριάρχας, ἀνεθεμάτιζε τὴν ἐν Χαλκηδόνι ταύτην ἁγίαν Σύνοδον, ἔγραψε δὲ καὶ εἰς Ἱεροσόλυμα. τὸ δὲ μοναδικὸν Παλαιστίνης γράφει πρὸς Ἀλκίσωνα ὅτι τὰ

τὰ συνοδικὰ Τιμοθέου Κωνσταντινουπόλεως καὶ ἡ καθαίρεσις Μακεδονίου καὶ Φλαυϊανοῦ οὐκ ἐδέχθησαν ἐν Παλαιστίνῃ, ἀλλ' οὐδὲ τὰ συνοδικὰ Σεβήρου, μάλιστα οἱ ταῦτα ἀποκομίσαντες, ὑβρισθέντες καὶ ἀτιμασθέντες ἔφυγον, κινηθέντων κατ' αὐτῶν τοῦ δήμου καὶ τῶν Μοναχῶν, ῥητῶς γὰρ γράφει ὁ Κύριλλος εἰς τὸν βίον τοῦ ἁγίου Σάββα, ὅπερ ἀνεγνώσθη εἰς τὴν πρώτην πρᾶξιν τῆς ἑβδόμης Συνόδου, τὰ συνοδικὰ ἔστειλεν ὁ Σεβῆρος Ἠλίᾳ τῷ Ἱεροσολύμων, ἅτινα ἐκεῖνος μὴ δεξάμενος, ἔστειλεν αὐτὰ δεύτερον ὁ Σεβῆρος μετὰ δυνάμεως βασιλικῆς, ἀλλ' ὁμέγας Σάββας συνάξας τὰ πλήθη τῶν Μοναχῶν, ἐδίωξε τοὺς κομίσαντας, αὐτὸς δὲ μετὰ τῶν Μοναχῶν καὶ τῶν λαῶν ἑνωθέντες, ἔμπροσθεν τοῦ ἁγίου Κρανίου ἐβόησαν, ἀνάθεμα Σεβήρῳ καὶ τοῖς κοινωνοῦσιν αὐτῷ. τῶν ὑποκειμένων ὅμως εἰς τὴν Ἀντιόχειαν τινὲς, φιλοδοξίας χάριν ἐκοινώνησαν τῷ Σεβήρῳ, ἐξ ὧν καὶ Μαρῖνος ὁ Βηρυτοῦ, τινὲς δὲ δι' ἀνάγκην ὑπέγραψαν εἰς τὰ συνοδικὰ αὐτοῦ, τὰ ἀναθεματίζοντα τὴν Σύνοδον, καὶ τοὺς εἰπόντας δύο φύσεις, ἢ δύο ἰδιότητας ἐπὶ Χριστοῦ, οἵτινες καὶ μετεμελήθησαν, ἄλλοι δὲ οὐκ ἐκοινώνησαν ὁλοτελῶς τοῖς περὶ τὸν Σεβῆρον, ὡς Ἐπιφάνιος Τύρου καὶ Πέτρος Δαμασκοῦ, οἱ δὲ Ἴσαυροι καὶ αὐτοὶ τὸν Σεβῆρον μεταμεληθέντες ἀναθεματίζουσι, τινὲς δὲ καὶ ἔφυγον, ὡς ὁ Δαμασκοῦ Πέτρος καὶ Ἰουλιανὸς ὁ Βόστρων, εἰς Παλαιστίνην, τὰ δὲ ἐν Παλαιστίνῃ Μοναστήρια καὶ τὰ Ἱεροσόλυμα ὁμονοοῦσι περὶ τὴν πίστιν. ἔστειλεν ὁ Τιμόθεος συνοδικὰ καὶ εἰς τὸν Ἀλεξανδρείας Ἰωάννην τὸν Νικαιώτην, οὐχ ὕπουλα, ἀλλὰ προφανῶς βλασφημοῦντα, ὁ δὲ λαβὼν, ἐπ' Ἄμβωνος ἀνεθεμάτισε τὴν ἐν Χαλκηδόνι Σύνοδον, ἐκώλυσε δὲ καὶ τοὺς Αἰγυπτίους τῆς εἰς τὴν Ἱερουσαλὴμ ὁδοιπορίας, ἵνα μὴ συγκοινωνῶσιν εἰς τὴν ὕψωσιν τοῖς Ἱεροσολυμίταις, τοῖς δεχομένοις τὴν ἐν Χαλκηδόνι Σύνοδον. σημείωσαι, ὅτι μετὰ τὸν θάνατον τοῦ Ἰωάννου ἐνθρονισθεὶς ὑπὸ τῶν Ἀρχόντων Πατριάρχης Ἀλεξανδρείας ὁ ἀνεψιὸς τοῦ Αἰλούρου Διόσκορος, καὶ αἰτησάντων τῶν λαῶν ἵνα χειροτονηθῇ κατὰ τοὺς Κανόνας τῶν ἁγίων Ἀποστόλων, ἐχειροτονήθη καὶ δεύτερον, δυσχεραινόντων δὲ τῶν Ἀρχόντων, οἱ λαοὶ ἀπέκτειναν τὸν υἱὸν τοῦ Αὐγουσταλίου. Εὐάγριος βιβλίῳ τρίτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς καθαιρέσεως Σεβήρου ὑπὸ τοῦ Ἀπαμείας καὶ τοῦ Ἀρεθούσης τῶν Ἐπισκόπων, καὶ τοῦ τρόπου τῆς δόσεως τῆς καθαιρέσεως εἰς χεῖρας Σεβήρου.

Ὁ Ἀπαμείας Κοσμᾶς, καὶ Σεβηριανὸς Ἀρεθούσης ταραχθέντες εἰς τὰ συνοδικὰ Σεβήρου, καθαιροῦσι τὸν Σεβῆρον, καὶ πέμπουσιν αὐτῷ τὴν καθαίρεσιν αὐτοῦ μετάτινος Αὐρηλιανοῦ Ἀρχιδιακόνου, ὁ δὲ φοβηθεὶς διὰ τὸ μεγαλεῖον τοῦ θρόνου τὸν Σεβῆρον, φορεῖ γυναικεῖα ἱμάτια, καὶ δίδωσιν αὐτὸ τὴν καθαίρεσιν αὐτοῦ, δῆθεν ὥς τις πωχὴ λίβελλον περὶ βοηθείας, ὁ δὲ γνοὺς μὲν, ἀλογήσας δὲ, περιέμενεν εἰς τὸν θρόνον. ὁ Ἀναστάσιος δὲ μαθὼν ταῦτα, ἐμήνυσε τῷ Ἀσιατικῷ Ἡγεμόνι Συρίας καὶ Φοινίκης, ἵνα τὸν Κοσμᾶν καὶ Σεβηριανὸν διώξῃ ἀπὸ τῶν θρόνων αὐτῶν, ἀλλ' οἰκονομίᾳ τοῦ Ἡγεμόνος ὁ Κοσμᾶς καὶ Σεβηριανὸς οὐκ ἐξωρίσθησαν. Εὐάγριος βιβλίῳ τρίτῳ, κεφαλαίῳ τριακοστῷ τετάρτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῶν μετὰ Τιμόθεον πονηριῶν καὶ κακῶν τοῦ Δικόρου κατὰ τῶν ὑπερασπιζομένων τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ τῆς κατ' αὐτοῦ ἐπαναστάσεως τοῦ λαοῦ, καὶ τῶν γενομένων φόνων.

Ἐπελαθόμεθα εἰπεῖν καὶ ἄλλην μανίαν τοῦ Δικόρου, τοῦ μετὰ τὸν Τιμόθεον πολλὰ κακὰ πονηρευσαμένου κατὰ τῶν ἀγωνιζομένων ὑπὲρ τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ δὴ ὑπακούσας τῷ Σεβήρῳ, τὸν Λογοθέτην καὶ τὸν Ἔπαρχον ἀναβιβάζει εἰς τὸν Ἄμβωνα εἰπεῖν τὸ Τρισάγιον μετὰ τῆς προσθήκης τῆς, ὁ σταυρωθεὶς, ὅθεν ὁ λαὸς τῆς Κωνσταντινουπόλεως στασιάζει, καὶ ὑβρίζουσι τὸν Βασιλέα, καὶ ἀνάψαντες πυρκαϊὰν, ἔκαυσαν πολλὰ ἀξιόλογα κτίρια τῆς πόλεως, καὶ ἀγροῖκον Μοναχὸν εὑρόντες περὶ τὸν οἶκον Μαρίνου τοῦ Ὁροῦ, νομίσαντες αὐτὸν εἶναι ὁδηγὸν τοῦ Δικόρου εἰς τὰ τοιαῦτα ὡς γνωστὸν καὶ ὁμόφρονα, ἔκοψαν αὐτοῦ τὴν κεφαλὴν, καὶ ἔβαλον αὐτὴν ἐν δόρατι, καὶ ἔκραζον, οὗτός ἐστιν ὁ ἐχθρὸς τῆς ἁγίας Τριάδος, καὶ Ἀσκήτριαν ἔγκλειστρον, ἣν εὐλαβεῖτο ὁ Δίκορος, ἀπέκτειναν, καὶ σύροντες καὶ τῶν δύο τὰ σώματα, ἔκαυσαν αὐτὰ εἰς τὴν Μονὴν τῶν Στουδίων, εἰς ταῦτα τὰ συμβάντα ὁ Βασιλεὺς χωρὶς στέμματος ἱκετεύσας τὸν λαὸν, εἰρείνευσε, καὶ συνεστάλη καὶ αὐτὸς ὀλίγον ἀπὸ τῆς Αἱρέσεως.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τοῦ ἐπιχειρήματος τοῦ Δικόρου, ἵνα διὰ τῶν τρόπῳ τῆς πρὸς τοὺς πωχοὺς ἐλεημοσύνης ἀργυρίων, ὧν

ΠΕΡΙΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

ὧν ὑπέσχετο τῷ Κοινοβιάρχῃ Θεοδοσίῳ, ἑλκύσῃ αὐτὸν τὸν Θεοδόσιον εἰς τὴν Αἵρεσιν.

Ἀλλὰ τελείως οὐκ ἔπαυσεν, ἐπειδὴ ἐκινήθη ἐπιπόνως ἵνα ἑλκύσῃ πρὸς ἑαυτὸν τοὺς φωστῆρας τοῦ καιροῦ ἐκείνου, καὶ ἐν πρώτοις τὸν Κοινοβιάρχην Θεοδόσιον τὸν περιβόητον εἰς ὅλην τὴν Παλαιστίνην. ἀλλὰ ἀκέφαλος ἦν κατὰ ἀλήθειαν συγκοινωνῶν ὁ Ἀναστάσιος τῇ τῶν Ἀκεφάλων Αἱρέσει, καὶ οὐκ ἐγίνωσκεν ὅ,τι ἐπεχείρει ὁ ἀνούστατος, χρυσίον καὶ ἀργύριον προὐβάλετο τῷ Θεοδοσίῳ ἐν ὑστέροις, καὶ χρυσίον ἕως τριάκοντα λιτρῶν καλύμματι τῆς δολιότητος, ἵνα διαμερίσῃ πρὸς τοὺς πτωχοὺς ὁμέγας Θεοδόσιος καὶ εἰς τοὺς εὑρισκομένους εἰς τὸ Γηροκομεῖον καὶ Νοσοκομεῖον. ἀλλὰ κατενόησεν ὁ ἔργω καὶ λόγῳ πολὺς, ὁ Ἀετὸς ὁ ὑψιπέτης, ὁ πετόμενος εἰς τὰ νέφη τὰ ἔνυδρα, καὶ ὅτε ἐνόμιζεν ὁ Βασιλεὺς ὅτι εἶχε δεδεμένον τὸν Λέοντα, τότε ἦν ὅλως διόλου ἐλεύθερος. οἴδαμεν ὅτι αἱ θυσίαι τῶν ἀσεβῶν εἰσὶ βδέλυγμα εἰς τὸν Κύριον, εἰς μαρτυρεῖ τοῦτο καὶ ὁ Ἡσαΐας εἰς τὸ πρῶτον κεφάλαιον λέγων, ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοι ἐστὶ, λούσασθε καὶ καθαροὶ γίνεσθε, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν. ἀλλὰ καὶ ὁ Δαβὶδ ἔψαλεν, ἔλεον ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. αὕτη ἡ διδασκαλία ἔχει ἐξάπαντος ἐπεκτείνεσθαι καὶ εἰς ὅλους ὅσοι εἰσὶν Αἱρετικοὶ, ὅτι καὶ αὐτῶν τὰ δῶρα οὐδέχεται ἡ ἀποστολικὴ Ἐκκλησία, ὡς ὄντων ἀποσυναγώγων, τουτέστιν ἀφωρισμένων καὶ ἔξω τῆς Χριστοῦ Ἐκκλησίας. λοιπὸν τὸ χρυσίον ὅπερ ἔπεμπεν εἰς τὰ Ἱεροσόλυμα ὁ Ἀναστάσιος διὰ ἐλεημοσύνην τριάκοντα λιτρῶν, ὑπῆρχε μία εὐποιΐα, ἵνα δι' αὐτῆς συγχωρήσῃ αὐτῷ ὁ Θεὸς τὰς ἁμαρτίας αὐτοῦ, κατὰ τὴν συμβουλὴν τοῦ προφήτου Δανιὴλ πρὸς τὸν ἀσεβῆ Βασιλέα τὸν Ναβουχοδονόσορ, Διατοῦτο Βασιλεῦ ἡ βουλήμου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων, ἴσως ἔσται μακρόθυμος τοῖς παραπτώμασί σου ὁ Θεός. καὶ οὕτως, εἴγε ἐδέξατο ὁ Θεοδόσιος τὴν ἐλεημοσύνην τοῦ Βασιλέως, ἦν πάντως ἵνα φωτίσῃ αὐτὸν ὁ Θεὸς, καὶ ἀνοίξῃ αὐτοῦ τὰ σπλάγχνα.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς πρὸς τὸν Δίκορον ἀποκρίσεως τοῦ Κοινοβιάρχου Θεοδοσίου, καὶ τοῦ κατὰ τῶν μὴ τιμώντων τὰς τέσσαρας Συνόδους ἐπ' ἄμβωνος ὑπ' αὐτοῦ ἐκφωνηθέντος ἀναθεματισμοῦ. καὶ περὶ ὧν ἱστορεῖ Κύριλλος κατὰ τῶν Νεστορίου, Εὐτυχοῦς, Διοσκόρου, καὶ Σεβήρου Αἱρέσεων, τῶν ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου ἀναιρεθεισῶν, τῆς μίαν ὑπόστασιν ἐν δύο φύσεσι τὸν Χριστὸν δογματισάσης. καὶ περὶ τῆς ἀποδημίας τοῦ ἁγίου Σάββα εἰς Βυζάντιον πρὸς τὸν Βασιλέα ὑπὲρ τοῦ Ἱεροσολύμων Ἠλία. καὶ περὶ τῶν ἐπιπλάστων γραμμάτων Τιμοθέου Κωνσταντινουπόλεως πρὸς Ἠλίαν Ἱεροσολύμων καὶ Φλαυϊανὸν Ἀντιοχείας, τὸ ὀρθόδοξον ὑποκρινομένου. καὶ ὅτι τὸ τὸν Ἱεροσολύμων Ἠλίαν ἀπορρίψαι τὴν ἐν Χαλκηδόνι Συνόδον ψεῦδος ἐστίν.

Ἀντέγραψεν ὁ ἅγιος Θεοδόσιος πρὸς τὸν Αὐτοκράτορα Ἀναστάσιον, ὅτι προέκρινε χιλιάκις ἀποθανεῖν, ἢ ἔξω γενέσθαι τῶν Ὅρων τῶν ἁγίων τεσσάρων Οἰκουμενικῶν Συνόδων, αἵτινες μετὰ τῶν τεσσάρων Εὐαγγελιστῶν ἔχουσι τὰ πρεσβεῖα καὶ τὰ ἴσα σχεδὸν, ὅθεν ἀφόβως ἀνέβη εἰς τὸν ἄμβωνα καὶ εἶπε ταῦτα μετὰ παῤῥησίας ἔμπροσθεν τοῦ λαοῦ, εἴτις οὐ τιμᾷ τὰς τέσσαρας ἁγίας Συνόδους, καὶ οὐνομίζει αὐτὰς ὥσπερ τὰ τέσσαρα Εὐαγγέλια, ἐχέτω τὸ ἀνάθεμα. ταῦτα ἀκούοντες μικροὶ καὶ μεγάλοι ἐθαύμασαν, καὶ ἐξ ἐκείνου ἐποίησε καὶ τὰ πρακτικὰ τῶν τεσσάρων ἁγίων Συνόδων, ἵνα εὑρίσκωνται πεφυλαγμένα ἔνδον εἰς τὰ δίπτυχα. ταῦτα καὶ ἄλλα ἱστορεῖ κατὰ πλάτος ὁ Κύριλλος, ὅστις συμπεραίνει θεολογικώτατα λέγων, ὅτι ἡ ἐν Χαλκηδόνι Συνόδος ὁμολογοῦσα εἰς τὸν Χριστὸν ἐν πρόσωπον, ἀποδιώκει τὴν ἀσεβῆ γνώμην τοῦ Νεστορίου, τοῦ τὸν Χριστὸν μερίζοντος εἰς δύο Υἱοὺς καὶ ὑποστάσεις. καὶ πάλιν μὴ ἀρνουμένη τὰς δύο φύσεις, ἀπορρίπτει τοῦ Εὐτυχοῦς καὶ Διοσκόρου καὶ Σεβήρου τὴν Αἵρεσιν, τῶν συγχεόντων εἰς μίαν φύσιν τοῦ Χριστοῦ τὴν Θεότητα καὶ ἀνθρωπότητα, καθότι ἑκάτεροι ἐξέκλιναν τῆς βασιλικωτάτης ὁδοῦ τῆς ἀληθείας, ὁ εἷς διαιρῶν, καὶ ὁ ἕτερος φύρων καὶ συγχέων, διὸ καὶ ἠναγκάζετο εἰπεῖν, ὅτι ἔπαθεν ἐπὶ τοῦ Σταυροῦ καὶ ἡ Θεότης, ἐπειδὴ καὶ ἦν συμπεφυρμένη μετὰ τῆς ἀνθρωπότητος, ὅπερ ἐστὶν ἀκροτάτη βλασφημία. πλὴν εἴπωμεν τίνι τρόπῳ ἀπῆλθεν εἰς τὸν Ἀναστάσιον ὁ θειότατος Σάββας ἀποκρισιάριος, ἐκμέρους τοῦ Πατριάρχου Ἠλία ἀπεσταλμένος, ὢν τότε ἑβδομηκοντούτης ὁ ἅγιος. καὶ λοιπὸν ὅτε εἶδεν ὁ Πατριάρχης Τιμόθεος ὅτι ἐξωρίσθη ὁ Μακεδόνιος διὰ τὴν εὐσέβειαν, ὑπόπτευσεν ἵνα μὴ πάθῃ καὶ αὐτὸς τὸ αὐτὸ, ὅθεν προέλαβε, καὶ μάλιστα ὁ Τιμόθεος ὑπεκρίνετο εἶναι ὀρθόδοξος, καὶ ἔγραψε τόσον τῷ Φλαυϊανῷ εἰς τὴν Ἀντιόχειαν, ὅσον καὶ τῷ Ἠλίᾳ εἰς τὰ Ἱεροσόλυμα, ὅτι ἐδέχετο δηλονότι τὴν ἐν Χαλκηδόνι, ὅμως ἄλλα ἔγραφε, καὶ ἄλλα ἐποίει ὁ ἀλιτήριος, καὶ ἐκαυχᾶτο ἔχειν συγκοινωνοὺς τοὺς δύο Πατριάρχας, ἀλλ' ὅτε τοῦτο ἔγνω ὁ Ἠλίας, ἐφάνη κατὰ ἀλήθειαν Ἠλίας ζηλωτὴς, καὶ ἐποίησε τὴν ὁμολογίαν τῆς πίστεως, καὶ ἐπαῤῥησιάσθη σφοδρὸς ὑπερασπιστὴς τῆς ἐν Χαλκηδόνι Συνόδου, αἴτιον δὲ τῆς παῤῥησίας αὐτοῦ, ὅτι κρυφίως

καὶ

καὶ δολίως ἐφαίνετο μία ἐπαγγελία τοῦ Ἠλία, ἀπορρίπτουσα τὰ πρακτικὰ τῆς ἐν Χαλκηδόνι, ἣν ἀμαθῶς τινὲς ἀναφέρουσιν ὡς γνησίαν αὐτῷ, συκοφαντοῦντες τὸν ἅγιον ἀδίκως καὶ παραλόγως, πρᾶγμα συμβαῖνον καθ' ἑκάστην εἰς τοὺς δικαίους ἀνθρώπους. ἀλλὰ δὴ καὶ οἱ Μοναχοὶ τῆς ἐρήμου Ἱεροσολύμων κατὰ τὸν Θεοφάνη τέσσαρας διαμαρτυρίας συντάξαντες, ἔστειλαν τῷ Βασιλεῖ τὰς δύο, καὶ μίαν τοῖς Ἄρχουσι τῆς χώρας, καὶ μίαν τῷ Ἐπισκόπῳ Ἱεροσολύμων, διαμαρτυράμενοι μήτε τὴν ἐν Χαλκηδόνι Σύνοδον δύνανται παρελθεῖν, μήτε τῷ Σεβήρῳ κοινωνεῖν.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς ἐν Σιδῶνι Συνόδου τῆς κατὰ τῆς ἐν Χαλκηδόνι Συνόδου διὰ τῆς πρὸς τὸν Βασιλέα παρακινήσεως τοῦ Καισαρείας Καππαδοκίας Σωτηρίχου. καὶ ὧν ᾠκονομήθησαν ἐν αὐτῇ διὰ τῶν τοῦ Ἱεροσολύμων Ἠλία καὶ τοῦ Ἀντιοχείας Φλαυϊανοῦ γραμμάτων πρὸς τὸν Βασιλέα, καὶ περὶ τῆς μετὰ τοῦ Βασιλέως συνομιλίας τοῦ ἁγίου Σάββα, καὶ περὶ ὧν εἶπε τῷ Βασιλεῖ, καὶ ὧν ἤκουσε παρ' αὐτοῦ κατὰ τοῦ Ἱεροσολύμων Ἠλία.

Ὄντος ἔτι τοῦ Φλαυϊανοῦ εἰς Ἀντιόχειαν, ἐκέλευσεν ὁ Ἀναστάσιος συναχθῆναι Σύνοδον εἰς τὴν Σιδῶνα τῷ εἰκοστῷ ἔτει τῆς βασιλείας αὐτοῦ, ἵνα ἀναθεματίσῃ τὴν ἐν Χαλκηδόνι ἁγίαν Σύνοδον. παρεγένοντο δὲ εἰς Σιδῶνα ὁ Ἀντιοχείας Φλαυϊανὸς καὶ ὁ Ἱεροσολύμων Ἠλίας, καὶ χρησάμενοι κολακευτικὰ καὶ οἰκονομικὰ γράμματα εἰς τὸν Βασιλέα, διέλυσαν τὴν Σύνοδον, καὶ ἐπανῆλθον εἰς τοὺς θρόνους αὐτῶν. ἀλλ' ὁ Σωτήριχος τῆς Καισαρείας Καππαδοκίας (ὅστις χειροτονούμενος Καισαρείας ὑπὸ τοῦ Μακεδονίου, ὑπέσχετο αὐτῷ μεθ' ὅρκου, ἵνα ἔσχῃ τὴν ἐν Χαλκηδόνι Σύνοδον εἰς Ὅρον πίστεως, μεταταῦτα δὲ ἑνωθεὶς τῷ Ξεναΐα, παρεκίνησε τὸν Βασιλέα ἀθροῖσαι τὴν ἐν Σιδῶνι Σύνοδον) καὶ ὁ Φιλόξενος τῆς Ἱεραπόλεως ἀπέρριψαν τὰ τῆς ἐν Χαλκηδόνι δόγματα καὶ διδάγματα, καὶ κατὰ τοῦ Φλαυϊανοῦ καὶ Ἠλία πολλὰ ἐφλυάρησαν, μὴ εἰδότες ὅτι ὁ ἅγιος Σάββας ἀπῆλθε πρεσβευτὴς εἰς τὸν Βασιλέα. ἔφθασε τοίνυν ὁ θεῖος Σάββας εἰς τὸν Ἀναστάσιον ταπεινῷ τῷ σχήματι, φορῶν τὸν τρίχινον σάκκον, ὅθεν οἱ τὰ μαλακὰ φοροῦντες ἐκώλυον αὐτὸν εἰσελθεῖν εἰς τὰ ἐνδότερα τῆς αὐλῆς διὰ τὰ ἐνδύματα. ἀλλὰ λαβὼν καὶ ἀναγνοὺς τὸ γράμμα τὸ Πατριαρχικὸν ὁ Ἀναστάσιος. καὶ εὑρὼν ῥητῶς τὸ ὄνομα τοῦ ἁγίου Σάββα, ἐκέλευσεν εἰσελθεῖν αὐτὸν ἔνδον ἐν τῷ βασιλικῷ αὐτοῦ οἴκῳ, καὶ ὡς εἶδε τὸν ἅγιον, ἐδόκει αὐτῷ ὁρᾶν Ἄγγελον Κυρίου λαμπροφόρον, ὅθεν ἐξανέστη τοῦ τόπου οὗ ἐκάθητο εἰς τιμὴν τοῦ ἁγίου, καὶ μετὰ πολλῆς περιποιήσεως ἐδεξιώθη αὐτὸν, καὶ ἔπεισεν αὐτὸν ἵνα καθίσῃ, καὶ ὅπερ ἦν τὸ ζήτημα αὐτοῦ, εἶπεν, ἵνα μετὰ θάρρους προβάλλῃ, ὅτι ὡς πύλας εἶχε τὰς ἀκοὰς αὐτοῦ ἀνεωγμένας εἰς ὑποδοχὴν τῶν ῥημάτων αὐτοῦ. ἐγὼ (εἶπεν ὁ Σάββας) ἔλαβον τὸν τόσον κόπον ἐλθεῖν ἕως ὧδε, ἵνα προσκυνήσω τὴν μεγάλην σου βασιλείαν, καὶ παρακαλέσω αὐτὴν διὰ τὴν ἁγίαν τοῦ Θεοῦ πόλιν Ἱερουσαλὴμ, καὶ διὰ τὸν ἐκεῖ εὑρισκόμενον προεστῶτα, ἵνα μὴ ᾖ τεταλαιπωρημένος, ἀλλὰ ζῇ καὶ ἡσυχάζῃ ἐν εἰρήνῃ, ὅτι τοῦτο ποιῶν, ἕξεις ἵλεων καὶ βοηθὸν τὸν Θεὸν, καὶ τὰ νικητήρια κατὰ τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν σου. ἐθαύμασεν ὁ Βασιλεὺς εἰς τὰ λόγια τοῦ ἁγίου, καὶ πῶς οὐκ ἐλάλησε διὰ πρόσκαιρα καὶ διὰ γήϊνα, μόνον διὰ τὸ κοινὸν καὶ ὠφέλιμον τῆς Ἐκκλησίας. ὅθεν τοῖς μὲν ἄλλοις ἔδωκε δαπάνην ἀρκετὴν διὰ τὴν ὁδοιπορίαν αὐτῶν, τῷ δὲ ἁγίῳ Σάββᾳ ἐχαρίσατο πάμπολλα, ἵνα διαμερίσῃ αὐτὰ εἰς τὰ Μοναστήρια, ὑποσχεθεὶς τῷ ἁγίῳ ἐλευθέραν καὶ τὴν πρὸς αὐτὸν εἴσοδον, ὁπότε καὶ ἂν ἐθέλοι εἰσελθεῖν, καὶ συνομιλῆσαι μετ' αὐτοῦ τὰ ψυχωφελῆ καὶ σωτηριώδη αἰτήματα. περὶ δὲ τοῦ Πατριάρχου ἤρξατο ὁ Βασιλεὺς μιᾷ τῶν ἡμερῶν λέγειν πρὸς τὸν ἅγιον Σάββαν ταῦτα τὰ λόγια, φαίνεταί μοι ὦ σεβάσμιε πάτερ, ὅτι ὁ προεστὼς ὑμῶν ἐστὶν ὀλίγον ἐλαφροκέφαλος, διότι οὐ μόνον ἐπιχειρεῖ συστῆσαι τὴν ἐν Χαλκηδόνι Σύνοδον, τὴν στερεώσασαν τὴν γνώμην τοῦ Νεστορίου, ἀλλὰ εἵλκυσε πρὸς ἑαυτὸν καὶ τὸν Φλαυϊανὸν τῆς Ἀντιοχείας, καὶ ἀνθίστανται καὶ οἱ δύο τῇ Συνόδῳ, τῇ τῷ θελήματί μου συναχθείσῃ εἰς τὴν Σιδῶνα τὸ κάστρον, ἀλλ' ἀρκεῖ εἰς τοσοῦτον, ἰδοὺ προστάττομεν ἵνα διωχθῇ, καὶ προχειρισθῇ ἄλλος ἀντ' αὐτοῦ, οὐ γὰρ ἁρμόζει τοὺς ἁγίους τόπους μιαίνεσθαι ὑπ' αὐτοῦ. ποία μείζων μαρτυρία διὰ τὴν θεοσέβειαν τοῦ Ἠλία ἐστὶν, ἀλλ' ἢ ἡ μαρτυρία ἑνὸς Βασιλέως βεβυθισμένου εἰς τὴν Αἵρεσιν τῶν Θεοπασχιτῶν τῶν καὶ Ἀκεφάλων; πλὴν τόσον ἐγίνωσκεν ὁ ἅγιος Σάββας κυβερνῆσαι τὴν γνώμην τοῦ Βασιλέως, ὥστε καὶ ἐποίησεν αὐτὸν ἀναχαιτίσαι τὸ ῥεῖθρον τοῦ θυμοῦ αὐτοῦ, ὡς ποτὲ ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω διὰ τῆς Κιβωτοῦ τὴν διάβασιν. ἦν δὲ ἐκείνη ἡ ψευδοσύναξις τῆς Σιδῶνος κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ, τῇ βουλῇ τοῦ Βασιλέως μόνον συνηγμένη, καὶ ὑπὸ τῶν Αἱρετικῶν Ἐπισκόπων συνηθροισμένη, πρὸς τοῦτον καὶ μόνον ἀφορῶσα τὸν σκοπὸν, ὅπως καταδύσῃ τοὺς δύο φωστῆρας τοὺς μεγάλους Φλαυϊανὸν καὶ Ἠλίαν τοὺς Πατριάρχας, καὶ ἐκβάλλῃ αὐτοὺς ἀπὸ τῶν θρόνων αὐτῶν, καὶ εἰσάξῃ ἀντ' αὐτῶν τοὺς Ἄρχοντας τοῦ σκότους, τοὺς μεταμεμορφωμένους διαβόλους διὰ συνδρομῆς τινῶν ψευδομονάχων. ἔφθασεν ὁ χειμὼν, καὶ πλοῖον οὐκ ἐδύνατο περᾶσαι τὸ Αἰγαῖον καὶ Παρθένιον πέλαγος, ὅθεν ἠναγκάσθη ὁ θεοφόρος Σάββας παραχειμάσαι ἔξω τῆς Κωνσταντινουπόλεως, ἤγουν εἰς τὸ προάστειον τοῦ Ῥουφίνου, ὅπου συνέτρεχον ἄνδρες τε καὶ γυναῖκες,

καὶ

καὶ ἐκ τῶν Ἀρχοντισσῶν τοῦ Βαλεντιανοῦ ἡ ἀνεψιὰ ἡ Ἰουλιανὴ, καὶ ἡ γυνὴ τοῦ Πομπηΐου ἡ Ἀναστασία, ἥτις ἠσκήτευσεν εἰς τὸ ὄρος τῶν ἐλαιῶν μεταταῦτα. ἔλαμψεν ἡ πρωτοκαίριος ὥρα τοῦ Ἔαρος, ὅταν ἡ γῆ ζωγραφῆται τοῖς ποικίλοις ἄνθεσι, καὶ καλλωπίζεται ταῖς χλόαις καὶ πόαις, καὶ ὁ ἅγιος Σάββας οὔρῳ πλέων ἀνέμῳ, ἔφθασεν εἰς τὸν λιμένα τῆς Ἰόππης αἰσίως καὶ δεξιῶς, καὶ κοινολογησάμενος τὰ πάντα μετὰ τοῦ Πατριάρχου Ἠλία, καὶ τὴν μῆνιν τοῦ Βασιλέως πρὸς αὐτὸν, καὶ τὰ ἑξῆς, ἐπορεύθη πρὸς τὴν Λαῦραν αὐτοῦ, καὶ εὑρών τινα Μάμαντα, ὃς ἦν προεστὼς εἰς τὴν Ἐλευθερούπολιν, τῇ τοῦ Σεβήρου Αἱρέσει ὑποκεκλιμένον, ἐχειραγώγησεν αὐτὸν τοῖς μελιῤῥήτοις λόγοις αὐτοῦ εἰς τὴν θεοσέβειαν, καὶ ἄλλους πολλοὺς ἐν ὑστέροις ἔφερεν εἰς τὴν ὀρθοδοξίαν, τῆς τοῦ Σεβήρου Αἱρέσεως ἀπαλλάττων αὐτοὺς μετὰ ἐπιτηδειότητος.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῆς ὑπὸ τοῦ Βασιλέως Ἀναστασίου διὰ Σωτηρίχου καὶ Ξεναΐα ἐξορίας Φλαυϊανοῦ Ἀντιοχείας καὶ Ἠλία Ἱεροσολύμων, καὶ ἀποκαταστάσεως ἐν Ἀντιοχείᾳ Σεβήρου, καὶ προχειρίσεως ἐν Ἱεροσολύμοις Ἰωάννου, καὶ ὧν συνέβη τοῖς δυσὶν ἐξορισθεῖσι Πατριάρχαις τῇ προσταγῇ τοῦ Βασιλέως.

Ἀλλὰ πάλιν νικᾷ ἡ κακία Σωτηρίχου καὶ Φιλοξένου, καὶ πείθουσι τὸν Βασιλέα ὅτι ἠπατήθη ὑπὸ τῶν Πατριαρχῶν, καὶ λαβόντες ἣν ἤθελον ἐξουσίαν, καὶ δόντες χρυσίον τῷ δήμῳ Ἀντιοχείας, καὶ θλίψαντες, καὶ σχεδὸν ἀποπνίξαντες τὸν Φλαυϊανὸν, ἵνα ἀναθεματίσῃ τὴν Σύνοδον, καὶ μὴ δυνηθέντες, ἐδίωξαν αὐτὸν καὶ ἐξώρισαν, καὶ γνοὺς ὁ Βασιλεὺς, καὶ περιχαρὴς γενόμενος, τὸν Σεβῆρον πάλιν εἰς Ἀντιόχειαν ἀποκατέστησεν, ὃς ἔστειλε τὰ συνοδικὰ αὐτοῦ εἰς Ἱερουσαλὴμ πρὸς τὸν Ἠλίαν, τοῦ δὲ Ἠλία μὴ δεξαμένου, ἔστειλεν αὐτὰ μετὰ βασιλικῆς δυνάμεως καὶ βίας. ἐμήνυσε δὲ τῷ Ἠλίᾳ ὁ Βασιλεὺς ἢ κοινωνῆσαι τῷ Σεβήρῳ, ἢ ἀναχωρῆσαι τοῦ Πατριαρχείου, καὶ προὔκρινε τὸ δεύτερον. μὴ θέλοντος δὲ τοῦ Ἠλία συγκοινωνῆσαι αὐτῷ, καὶ ὑπογράψαι εἰς τὴν ψευδοσύνοδον αὐτοῦ, ἔστειλε στρατιώτας εἰς Ἱεροσόλυμα ἵνα καταδυναστεύσωσιν αὐτοῦ, πλήγε ὅμως οὐκ ἀφῆκεν ὁ ἁγιώτατος Σάββας, ἀλλὰ συναγαγὼν τῶν Μοναστῶν τὰ πλήθη, ἔδραμεν εἰς βοήθειαν τοῦ Πατριάρχου, εἰς οὐδὲν αὐτοὺς θέμενος. φεῦ τῆς μεγαλοψυχίας τοῦ ἀνδρὸς, τοῦ εἰδότος πότε ἔδει ταπεινοῦν ἑαυτὸν, καὶ πότε τολμηρὸν ποιεῖν. ἀλλὰ κατέβη σὺν πᾶσι τοῖς στρατεύμασι τῆς Παλαιστίνης ὁ Στρατάρχης Ὀλύμπιος, καὶ βασιλικῷ τῷ προστάγματι ἐξώρισε τὸν Ἠλίαν, καὶ ἀντ' αὐτοῦ ἐνεθρόνισεν Ἰωάννην τινὰ Σταυροφύλακα, προϋποσχεθέντα ποιῆσαι εἴτι θέλει ὁ Δίκορος καὶ ὁ Σεβῆρος, ὅπερ μαθὼν ὁ ἅγιος Σάββας, πάλιν λαβὼν μεθ' ἑαυτοῦ τῶν Μοναχῶν τὰς φάλαγγας, ὥρμησε πρὸς τὸν νέον Ἱεροσολύμων, καὶ τοσαῦτα εἶπεν αὐτῷ, καὶ τοσοῦτον κατέπεισεν, ὥστε καὶ ἐδέξατο τὴν ἐν Χαλκηδόνι, καὶ τὸν Σεβῆρον ἀνεθεμάτισε.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τοῦ ὑποσχεθέντος τῷ Δικόρῳ πεῖσαι τὸν Ἱεροσολύμων Ἰωάννην κοινωνῆσαι Σεβήρῳ, καὶ ὧν ἐποίησεν ὁ Ἱεροσολύμων Ἰωάννης μετὰ Σάββα, Εὐθυμίου, καὶ τῶν λοιπῶν Μοναχῶν ἐπ' Ἐκκλησίας, παρόντος Ὑπατίου ἀνεψιοῦ τοῦ Βασιλέως.

Ἀναστάσιός τις ἐπιθυμῶν γενέσθαι Δοὺξ Παλαιστίνης, ὑπέσχετο τῷ Ἀναστασίῳ Βασιλεῖ καταπεῖσαι τὸν Ἰωάννην, ὥστε κοινωνῆσαι Σεβήρῳ, εἰ δὲ μὴ, διδόναι τῷ ταμείῳ τριακοσίας λίτρας χρυσίου. ἐλθὼν οὖν εἰς Ἱερουσαλὴμ, καὶ μὴ δυνάμενος πεῖσαι τὸν Ἰωάννην, ἔθετο αὐτὸν ἐν φυλακῇ. Ζαχαρίας δέ τις Παλαιστινὸς συνεβούλευσε τῷ Ἰωάννῃ εἰπεῖν τῷ Ἀναστασίῳ, ὅλα ταῦτα ποιεῖ ἐὰν ἀποκατασταθῇ εἰς τὸν θρόνον αὐτοῦ. ἀπολύσαντος δὲ αὐτὸν τοῦ Ἀναστασίου, καὶ ἀποκαταστήσαντος, συναγαγὼν τοὺς ἐντοῖς Μοναστηρίοις ὁ Ἰωάννης, καὶ πιάσας τῇ μιᾷ χειρὶ τὸν ἅγιον Σάββας, καὶ τῇ ἑτέρᾳ τὸν ἅγιον Θεοδόσιον, ἦλθεν εἰς τὸν Ναὸν τοῦ πρωτομάρτυρος Στεφάνου, καὶ μετὰ τὴν συνειθισμένην προσκύνησιν, ἀνέβη εἰς τὸν Ἄμβωνα, καὶ ἐβόησε μεγαλοφώνως αὐτὸς καὶ οἱ κορυφαῖοι καὶ ἡγεμόνες τῶν Μοναχῶν Σάββας καὶ Θεοδόσιος οἱ τρεῖς, ὅστις ὁμοφωνεῖ καὶ συγκοινωνεῖ τῷ Νεστορίῳ, τῷ Εὐτυχεῖ, τῷ Σεβήρῳ καὶ τῷ Σωτηρίχῳ τῆς Καισαρείας Καππαδοκίας ἐχέτω τὸ ἀνάθεμα. παρῆν δὲ ἐκεῖ Ὑπάτιος ὁ ἀνεψιὸς τοῦ Βασιλέως. φίλος τῆς ὀρθοδοξίας, ὅστις ἔδωκε τῷ Πατριάρχῃ Ἰωάννῃ καὶ Θεοδοσίῳ τῷ Ἐξάρχῳ τῶν Μοναστηρίων ἑκατὸν λίτρας χρυσίου, ἵνα μερίσωσιν αὐτὸ ἐλεημοσύνην. ἄγε δὴ ἀρνήσθητι, ὡς οὐκ ἐχρημάτισε νέος Παῦλος ὁ Ἰωάννης, ὅστις ἀντὶ τοῦ πορθεῖν τὴν Ἐκκλησίαν ταῖς βλασφημίαις, ἐκήρυττε τὸν Χριστὸν ὀρθοδόξως, ἀναθεματίσας τοὺς κακοδόξους.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῆς πρὸς τὸν Βασιλέα Ἀναστάσιον ἱκετικῆς ἐπιστολῆς τοῦ ἁγίου Σάββα ὑπὲρ τῆς ἀληθοῦς πίστεως, καὶ ἀνέσεως τῶν ἐν Ἱεροσολύμοις.

Ἀλλ' ἵνα μὴ χειρόνως θυμωθῇ ὁ Βασιλεὺς διὰ τὸν νεωτερισμὸν τοῦ Ἰωάννου, ἔγραψεν ἐπιστολὴν ὁ ὅσιος Σάββας πρὸς τὸν Ἀναστάσιον, λέγων οὕτω, γνωστόν ἐστι τοῖς πᾶσιν, ὅτι ἡ ἁγία Ἱερουσαλὴμ ἐστὶ καὶ μήτηρ τῶν Ἐκκλησιῶν, καὶ ἀπ' αὐτῆς τῆς Ἐκκλησίας ἤρξατο τῆς ἀληθοῦς πίστεως τὸ μέγα μυστήριον καὶ ἔφθασεν ἕως τῶν περάτων τῆς Οἰκουμένης, ὅθεν καὶ ἡμεῖς οἱ κατοικοῦντες τούτους τοὺς ἁγιωτάτους τόπους ἐξ ἀρχῆς καὶ ἄνωθεν, ὃ καὶ παρελάβομεν ἕως τῆς σήμερον, τοῦτο διαφυλάττομεν. καὶ τῇ τοῦ Θεοῦ χάριτι ἐσμὲν ἄξιοι ἵνα πάντοτε διαφυλάξωμεν αὐτὸ, μηδαμῶς παρασυρόμενοι ὑπὸ ἀνδρῶν καινοτόμων καὶ κακοπίστων. νῦν δὲ ἡμεῖς θαυμαζόμεθα, πῶς εἰς τὸν καιρὸν τῆς μεγάλης σου βασιλείας γέγονε τοσαύτη σύγχυσις εἰς τὴν μητέρα τῶν Ἐκκλησιῶν, ὥστε τοὺς ἡσυχάζοντας ἐκ νεαρᾶς αὐτῶν ἡλικίας ἐμπαίζεσθαι ὑπὸ τῶν Ἰουδαίων, καὶ σύρεσθαι ὑπὸ τῶν ἀλλοφύλων, καὶ χλευάζεσθαι ὑπὸ τῶν Αἱρετικῶν, καὶ σκανδαλίζεσθαι πάντας, βλέποντας, ὅτι ταῦτα οὐ γίνονται διὰ ψυχωφέλειαν, μόνον διὰ γέλωτα καὶ καταισχύνην. διὰ τοῦτο ἐκλιπαροῦμεν τὴν μεγάλην σου γαληνότητα, ἵνα ἔχωμεν εἰς τὸν καιρὸν αὐτῆς ὀλίγην ἄνεσιν καὶ παραμυθίαν, διότι ὅλων τῶν κακῶν ἡ αἰτία ἐστὶν ὁ πρόεδρος τῶν Ἀντιοχέων Σεβῆρος, ὅστις οὐ μόνον ἐστὶν ἀφανιστὴς τῆς ψυχῆς αὐτοῦ, ἀλλὰ καὶ πάσης τῆς Ἐκκλησίας. ἀλλὰ πῶς οὐκ ἔστι καὶ ἄτοπον, ἡμᾶς ἤδη τοὺς Ἱεροσολυμίτας ἄρχεσθαι μανθάνειν τὰ περὶ τῆς πίστεως, οἵτινες ἐσμὲν εἰς αὐτὴν ἀνατεθραμμένοι, καὶ φαίνεσθαι ὀψιμαθεῖς καὶ νεοπαγεῖς πρὸς τὴν θεοσέβειαν; οὐ χρήζομεν τῆς μαθήσεως αὐτῶν, πλείονα γὰρ φέρει καταστροφὴν τῆς ὀρθοδοξίας, ἢ διόρθωσιν, οἵτινες παραχαράττουσι τὴν ἀλήθειαν ὡς οἱ τὰ βασιλικὰ νομίσματα νοθεύοντες καὶ φθείροντες. καὶ λοιπὸν ἡμεῖς οὐκ ἀγαπῶμεν ἔξω τῶν ὅρων τῶν ἁγίων πατέρων οὔτε προσθεῖναι, οὔτε ἐκβαλεῖν τι, ὅτι κάλλιον ἡμῖν ἐστὶν ἐκχέαι τὸ αἷμα ἡμῶν, ἢ καινοτομῆσαι ἓν ἰῶτα. δῴη Κύριος ὁ Θεὸς τελειωθῆναι τὰ θελήματα ἡμῶν τῷ νεύματι τῆς σῆς γαληνότητος, ἀμήν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι τὸ μὴ δοῦναι ἀπόκρισιν τὸν Βασιλέα τῷ ἁγίῳ Σάββᾳ, ἦν ἐξ αἰτίας τῶν πολεμίων βαρβάρων, καὶ περὶ τῆς εἰς τὴν ὀρθοδοξίαν στερρότητος τοῦ Ἱεροσολύμων Ἰωάννου, καὶ τῆς ἐνστάσεως αὐτοῦ κατὰ τῶν Σεβηριανῶν.

Οὐκ ἐδυνήθη τότε δοῦναι ἀπόκρισιν καθαρὰν ὁ Ἀναστάσιος διὰ τὴν σύγχυσιν τὴν συμβεβηκυῖαν αὐτῷ παρὰ τῶν βαρβάρων, πλὴν τὰ συμβάντα ὅλα, τὰ μεταξὺ τοῦ Σάββα, Ἠλία καὶ Ἀναστασίου μεσολαβήσαντα ἱστορεῖ κατὰ πλάτος ὁ Νικηφόρος εἰς τὸ δέκατον ἕκτον τῆς ἱστορίας αὐτοῦ, γράφει γοῦν οὕτως ἐν συντόμῳ, εἰ καὶ ὁ Βασιλεὺς Ἀναστάσιος ἐναντίον τῇ Ἐκκλησίᾳ τῶν Ἱεροσολύμων, ἐπαγγελλομένην τὴν εὐσέβειαν, πολλὰ κατεσκεύασεν, ὅμως ὅλα ἦσαν ἄκυρα καὶ μάταια, καὶ τὸ θαυμασιώτερον, ὅτι καὶ τὸν Ἰωάννην, ὃν ἔβαλεν ὡς συμμύστην τῆς θρησκείας αὐτοῦ, ἐπέστρεψαν εἰς τὴν ὀρθοδοξίαν, ὃς καὶ στερρὸς ἀθλητὴς ἵστατο κατὰ τῶν Σεβηριανῶν. ὄντως θαυμαστὰ τὰ ἔργα τοῦ Θεοῦ, τοῦ καὶ τὴν γαυρουμένην θάλασσαν ταπεινοῦντος καὶ ξηραίνοντος, καὶ τὰς ἀγόνους πέτρας εἰς πηγὰς ὑδάτων μεταστρέφοντος. ἰδοὺ δὴ ἀπὸ τῆς ἀκροτόμου Πέτρας τῆς Αἱρέσεως ἐξῆλθον κρουνοὶ ναμάτων ὀρθοδοξίας καὶ ἀληθείας. ἀλλὰ καὶ εἰς ξηραν μετεποίησε τὴν στρατιωτικὴν παλάμην καὶ ὑπερήφανον, ἵνα μηδεὶς καυχήσηται ἔμπροσθεν τοῦ ὑψίστου, ὅτι ἔχει δυνάμιν τινα, ὄντος μονωτάτου τοῦ Κυρίου τῶν δυνάμεων.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ τῆς δευτέρας ἀποδημίας τοῦ ἁγίου Σάββα εἰς Βυζάντιον πρὸς τὸν Βασιλέα διὰ τὴν ἀνάγκην τοῦ χρυσαργύρου, καὶ τῆς πρὸ τοῦ Βασιλέως ἀντιλογίας τοῦ Αἱρετικοῦ Μαρίνου, καὶ ὧν προεφήτευσε κατ' αὐτοῦ ὁ ἅγιος.

Καὶ λοιπὸν διὰ τὸν πολὺν λιμὸν, καὶ τὴν πολλὴν ἀσθένειαν, καὶ τὴν ἀνάγκην τοῦ χρυσαργύρου ἠναγκάσθη ἀπιέναι καὶ δεύτερον εἰς τὴν βασιλίδα τῶν πόλεων, καὶ λαμῆσαι τῷ Βασιλεῖ ὁ ἅγιος Σάββας, ὃν ἰδὼν ὁ Ἀναστάσιος, καὶ ἀκούσας παρ' αὐτοῦ τὴν πτωχείαν τῶν οἰκητόρων τῆς Ἱερουσαλὴμ, καὶ ὅτι οὐκ ἐδύναντο δοῦναι τόσον τέλος, εἴτοι χαράτζιον, ἀπὸ τῆς αἰδοῦς αὐτοῦ καὶ ἀπὸ τῆς εὐλαβείας τῆς πρὸς τὸν ὅσον ἔνευσεν εἰς τὴν αἴτησιν αὐτοῦ. εὑρέθη δὲ τότε παρὼν Αἱρετικός τις Μαρῖνος τὸ ὄνομα, ὅστις εἶχε πολλὴν παρρησίαν πρὸς τὸν Βασιλέα, καὶ στὰς εἰς τὸ μέσον, εἶπεν, οὐ πρέπει αὐτοῖς ὦ Αὐτοκράτωρ ἡ τοταύτη δωρεὰ, ὅτι οἱ ἄνθρωποι τῆς Ἱερουσαλὴμ ὅλως διόλου εἰσὶ Νεστοριανοί. οὐκ ἐσιώπησε δὲ ὁ

Σάββας

Σάββας ὁ παρθενόφυτος, ἀλλ' εἶπεν αὐτῷ, εὐφήμει, καὶ μὴ συγχέεις τὸν Βασιλέα, καὶ μετανόησον καὶ σὺ, ἵνα μὴ διαβῇ τὸ ὄνομά σου μετ' ἤχου. καὶ δὴ λαβὼν πάλιν ἐλεημοσύνην καὶ βασιλικοὺς ὁρισμοὺς, ἐστράφη εἰς τὴν Παλαιστίνην κατὰ τὸν Κύριλλον, ὅς τις ἱστορεῖ καὶ διὰ τὸν κακόστομον Μαρῖνον, ὅτι ἐδυστύχησε κατὰ τὴν πρόῤῥησιν τοῦ ἁγίου.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ τῶν ἐνεργηθέντων κατὰ τοῦ Βασιλέως Ἀναστασίου ὑπὸ τοῦ περὶ τὸν Δούναβιν Δουκὸς Βιταλιανοῦ ὑπὲρ τῆς ὀρθοδοξίας, καὶ μέχρι τοῦ Γαλατᾶ μετὰ δυνάμεως ἐλθόντος, καὶ τῆς ὀρθοδόξου πρὸς αὐτὸν ὑποσχέσεως μεθ' ὅρκου τοῦ Βασιλέως, καὶ αὖθις ἀθετήσεως αὐτῆς.

Ὑπῆρχεν εἰς τὰ περιδουνάβια μέρη Δοὺξ Βιταλιανός τις ὀρθόδοξος, ὃς διὰ τὴν ὀρθοδοξίαν ἀντῆρεν Ἀναστασίῳ, ὥστε καὶ Ὑπάτιον ἀνεψιὸν τοῦ Βασιλέως, ἀπελθόντα κατ' αὐτοῦ, χειρωσάμενος εἶχε ζῶντα, τὸν δὲ μετ' αὐτοῦ στρατὸν, ἑξηκονταπέντε χιλιάδας ὄντα, ἀνεῖλεν. ὕστερον δὲ προσλαβὼν πλῆθος Οὔνων καὶ Βουλγάρων, ἐλθὼν ἐστρατοπέδευσεν εἰς Σωσθένειον, κατὰ δὲ τὸν Εὐάγριον εἰς Συκὰς, ἤτοι ἀντικρὺ τῆς Κωνσταντινουπόλεως, ἔνθα ἐστὶν ὀνυνὶ γαλατᾶς. Ἀναστάσιος δὲ ἀπογνοὺς, ἔστειλεν Ἐπισκόπους περὶ εἰρήνης, ὤμοσε δὲ μετὰ τῆς Συγκλήτου, ἵνα ἐπανακαλέσῃ τοὺς ἐξορίστους Ἐπισκόπους, καὶ ἀθροισθῇ Σύνοδος εἰς τὴν Ἡράκλειαν τῆς Θρᾴκης. προσέθηκε δὲ ὁ Βιταλιανὸς, συνομόσαι τοὺς προεστῶτας τῶν σχολῶν, προσέτι δὲ ἀνακληθῆναι καὶ Φλαυϊανὸν καὶ Ἠλίαν καὶ Μακεδόνιον τοὺς Πατριάρχας. καὶ ἐλθεῖν καὶ τὸν Πάπαν τῆς Ῥώμης, καὶ τοὺς ἁπανταχοῦ Ἐπισκόπους ἵνα συγκροτηθῇ Σύνοδος εἰς τὴν Ἡράκλειαν, καὶ δοκιμασθῇ τὰ συμβάντα κατὰ τῶν ὀρθοδόξων. καὶ ἐπειδὴ ὑπέσχοντο ταῦτα πάντα, καὶ ἔδωκε καὶ Σάκραν ὁ Ἀναστάσιος ἐλθεῖν τὸν Ῥώμης, ἀνεχώρησεν ὁ Βιταλιανὸς, ἀφεὶς καὶ τὸν Ὑπάτιον ὡς ὀρθόδοξον. εἰς δὲ τὴν Ῥώμην πέμψαντος τοῦ Βιταλιανοῦ τὴν Σάκραν, ὁ Ἰταλίας ἀρχηγὸς Θευδέριχος ἐβίαζε τὸν Πάπαν Ὁρμίσδαν ἐλθεῖν εἰς τὴν Ἡράκλειαν, εἰ καὶ ὁ Ἀναστάσιος ἀλογήσας τῶν ὅρκων, ἐμήνυσε τῷ Πάπᾳ μὴ ἐλθεῖν, πλὴν ἐκεῖνος χαριζόμενος Βιταλιανῷ, ἔστειλεν Εὐόδιον Ἐπίσκοπον καὶ Βιταλιανὸν Ἀρχιδιάκονον. ἦλθον δὲ καὶ Ἐπίσκοποι ἐκ διαφόρων τόπων σχεδὸν διακόσιοι εἰς Ἡράκλειαν, ἀλλὰ πάντες ἐμπαιχθέντες ὑπὸ Ἀναστασίου καὶ Τιμοθέου, ἀνεχώρησαν. λοιδορούμενος δὲ ὁ Δίκορος διὰ τὴν ἐπιορκίαν, ἔλεγεν εἶναι Νόμον διατάσσοντα δύνασθαι τὸν βασιλέα δι' ἀνάγκην καὶ ἐπιορκεῖν καὶ ψεύδεσθαι. τοῦ δὲ Θεσσαλονίκης Μητροπολίτου προκοινωνήσαντος τῷ Τιμοθέῳ διὰ φόβον τοῦ Βασιλέως, οἱ Ἐπίσκοποι Ἑλλάδος καὶ Ἰλλυρικοῦ τὸν ἀριθμὸν τεσσαράκοντα ἀπέστησαν ἀπ' αὐτοῦ ὡς ἀπὸ τοῦ ἰδίου αὐτῶν Μητροπολίτου, καὶ ἐκοινώνησαν τῷ Ῥώμης ἐγγράφως. εἶπε δὲ τὸν Θεσσαλονίκης ὁ ἱστορικὸς Θεόδωρος Πατριάρχην, κατ' οὐδένα τρόπον καλῶς εἰπὼν τὸ τοιοῦτον, ἴσως δὲ καὶ εἶπε τοῦτο, διότι πολλῶν προΐστατο Ἐπαρχιῶν καὶ Ἐπισκοπῶν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ τοῦ χριστιανισμοῦ τοῦ τῶν Σαρακηνῶν ἀρχηγοῦ Ἀλαμουνδάρου, καὶ τῆς ἀστείας ἐλέγξεως αὐτοῦ πρὸς τοὺς τοῦ Σεβήρου Ἐπισκόπους.

Ἐχριστιάνισεν ὁ Ἀλαμούνδαρος ὁ πρῶτος τῶν Σαρακηνῶν, ὡς εἴρηται, καὶ τὸ βάπτισμα ἐδέξατο ἀπὸ ὀρθοδόξων Ἐπισκόπων. ὁ δὲ Σεβῆρος ἔσπευσε ἑλκύσαι αὐτὸν πρὸς τὴν Αἵρεσιν αὐτοῦ, καὶ στέλλει ἐξεπίτηδες δύο ἰδίους αὐτοῦ Ἐπισκόπους. ὁ δὲ Ἀλαμούνδαρος θέλων ἐλέγξαι αὐτοὺς, ἀλλ' οὐκ οἴδατε, εἶπε, ὡς γράμματα ἦλθον πρός με, καὶ ἔνδον ἐν αὐτοῖς φανεροῦσίμοι οἱ πέμψαντες, ὅτι ἀπέθανεν ὁ Ἀρχάγγελος Μιχαήλ. εἶπον δὲ αὐτῷ οἱ τοῦ Σεβήρου, ὅτι τοῦτο ἐστὶν ἀδύνατον. καὶ εἰ οὐκ εἶχε δύο φύσεις ὁ Χριστὸς, ἀπεκρίθη ὁ Ἀλαμούνδαρος, πῶς ἐδύνατο παθεῖν καὶ ἀποθανεῖν ἐπὶ τοῦ Σταυροῦ, εἰ ἡ Θεότης ἐστὶν ἀπαθὴς καὶ οὐκ ἀποθνήσκει;

ΠΑΡΑΓΡΑΦΟΝ ΙΣ'.

Περὶ τῆς ἐν Παλαιστίνῃ ἀνομβρίας μετὰ τὴν τοῦ Ἱεροσολύμων Ἠλία ἐξορίαν.

Ἀφοῦ ἐξωρίσθη ὀνόμιμος Πατριάρχης Ἠλίας, συνέβη εἰς ὅλην τὴν Παλαιστίνην μεγάλη ἀνομβρία. καὶ εἰς μὲν τὸν καιρὸν τοῦ προφήτου Ἠλιοῦ τρεῖς καὶ ἥμισυ χρόνους οὐκ ἔβρεξεν, εἰς δὲ τὸν καιρὸν τῆς ἐξορίας τοῦ Πατριάρχου Ἠλία πάντε χρόνους ἐπεκράτει ἡ ἀνυδρία, ὥστε νομίζεσθαι τὸν Οὐρανὸν γεγονέναι χάλκεον, διὰ πρεσβειῶν ὅμως τοῦ θεσπισίου Σάββα εἰς τὰ Μοναστήρια αὐτοῦ πρῶτον, ἔπειτα εἰς ὅλην τὴν Ἱερουσα-

ἱερουσαλὴμ ἐγένετο βροχὴ ἀρκετὴ, ὥστε πάντας εὐχαριστηθῆναι, ὁ δὲ Ἰωάννης ὁρῶν τὴν τοσαύτην ὀργὴν τοῦ Θεοῦ, ἔφευγεν ἀπὸ τόπου εἰς τόπον, φρέατα ὀρύττων καὶ βρύσεις, πλὴν ματαίως.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Περὶ τοῦ ἐν Περσίᾳ τῇ τοῦ Περσάρχου προσκλήσει γεγονότος θαύματος ὑπὸ τῶν Χριστιανῶν, οὓς ὁ Περσάρχης προετίμησε τῶν Ἰουδαίων καὶ Μανιχαίων, τῶν πρὸ τῶν Χριστιανῶν προσκληθέντων, καὶ μὴ δυνηθέντων διενεργῆσαι εἰς ὃ προσεκληθησαν.

Κακὰ ἦσαν εἰς τὸν καιρὸν τοῦ Ἀναστασίου καὶ θλίψεις, ὅθεν ὁ Θεὸς εἰς ἀπίστους Βασιλεῖς ἠυδόκει καὶ ἐτιμᾶτο ἡ ὀρθοδοξία, καθότι τῷ εἰκοστῷ πέμπτῳ ἔτει τῆς Βασιλείας αὐτοῦ εἰς τὰ μεθόρια τῆς Περσίας καὶ Ῥωμανίας ἦν κάστρον, ἐν ᾧ ἦσαν χρυσίον, ἀργύριον καὶ λίθοι τίμιοι, καὶ μὴ δυνηθεὶς ὁ Περσάρχης Καββάδης λαβεῖν αὐτὰ διὰ τοὺς κατοικοῦντας ἐκεῖ δαίμονας, ἐδεήθη Ἰουδαίων καὶ Μανιχαίων ἵνα διώξωσιν αὐτοὺς, ἀλλ' ἐπειδὴ ἐκεῖνοι οὐκ ἐδυνήθησαν, προσκαλεῖται τὸν Ἐπίσκοπον τῶν ὀρθοδόξων εἰς τὸ ἔργον. ὅστις μετὰ συνάξεως ὀρθοδόξων ἱερουργήσας καὶ μεταλαβὼν, ἀπῆλθε καὶ ἐδίωξε τοὺς δαίμονας, καὶ τὸ κάστρον τῷ Καββάδῃ Περσάρχῃ ἔδωκεν. ὅθεν ἐκέλευσεν ὁ Καββάδης προτιμᾶσθαι τοὺς ὀρθοδόξους τῶν Ἰουδαίων καὶ Μανιχαίων, οἵτινες πρότερον προετιμῶντο τῶν ὀρθοδόξων.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Περὶ τοῦ θανάτου τοῦ Βασιλέως Ἀναστασίου τοῦ Δικόρου, καὶ τῶν ὀπτασιῶν ὧν προεῖδον περὶ τῆς τελευτῆς αὐτοῦ οἱ ὑπ' αὐτοῦ ἐξορισθέντες Πατριάρχαι, καὶ ὁ ἅγιος Σάββας.

Ἐπλησίασε καὶ ὁ Ἀναστάσιος εἰς τὸν θάνατον, καὶ εἰς τοὺς ὀρθοδόξους αὐλικοὺς ἔδειξε μεγάλον θυμὸν, ἐξαιρέτως εἰς τὸν Ἰουστῖνον καὶ Ἰουστινιανὸν, οὓς διενοεῖτο ἀποκτεῖναι, πλὴν θεόθεν ἠλευθερώθησαν, ἐφάνη γὰρ τὴν νύκτα φοβερός τις ἀνὴρ ἐκφοβῶν τὸν Βασιλέα καὶ λέγων αὐτῷ, ἄπεχε ἀπὸ τοῦ κακοποιῆσαι τὸν Ἰουστῖνον καὶ τὸν Ἰουστινιανὸν, ὅτι καὶ οἱ δύο μέλλουσί μοι ὑπηρετήσειν εἰς καιρὸν ἁρμόδιον καὶ ἐπιτήδειον. οὕτως ἱστοροῦσι τοῦτο ὁ Ζωναρᾶς καὶ ὁ Κεδρηνός. ἀλλὰ τρομερὸν διήγημα γράφει ὁ Κύριλλος διὰ τὸν Βασιλέα Ἀναστάσιον εἰς τὸν βίον τοῦ ἁγίου Σάββα, ὅτι δηλαδὴ ὁ ὅσιος πατὴρ Σάββας ἀπῆλθε τότε μετὰ δύο καθηγουμένων Στεφάνου καὶ Εὐθαλίου ἰδεῖν τὸν Πατριάρχην Ἠλίαν, εἰς τὴν Αἴλὰ ἐξωρισμένον ὄντα, οὓς ὡς εἶδεν ὁ Πατριάρχης εὐφράνθη μυστικῶς, καὶ ἠγαλλίασε τὸ πνεῦμα αὐτοῦ, καὶ ἐκράτησεν αὐτοὺς μερικὰς ἡμέρας εἰς ὁμιλίαν, καὶ μιᾷ ἑσπέρᾳ προσμενόντων τῶν πατέρων ἵνα ἐξέλθῃ ὁ Πατριάρχης καὶ δειπνήσωσι, φάγετε, εἶπε, πατέρες, ἐγὼ γὰρ οὐτρώγω, καὶ ταῦτα εἰπὼν, ἀνεστέναξε, καὶ ἔχεε θερμὰ δάκρυα, καὶ αὐτῶν ἐρωτώντων τὴν αἰτίαν τοῦ τόσου ὀλοφυρμοῦ, ἤδη ἐξέψυξεν, ἀπεκρίθη, ὁ Βασιλεὺς Ἀναστάσιος, καὶ ἐστὶ χρεία ἀπελθεῖν κἀμὲ μετὰ δέκα ἡμέρας, καὶ παρασταθῆναι τῷ κριτηρίῳ τοῦ Θεοῦ μετ' αὐτοῦ. τὰ αὐτὰ εἶπεν εἰς τὰ Εὐχάϊτα ἀποθνήσκων καὶ ὁ ἱερὸς Μακεδόνιος. ὁ δὲ Σάββας εἶδεν ἄλλην ὀπτασίαν, ὅτι κατέβαινον κεραυνοὶ κατὰ τοῦ Ἀναστασίου, καὶ κατέκαυσαν αὐτόν. ἀλλὰ καὶ ὁ Πατριάρχης Φλαυϊανὸς, ὃς ἦν καὶ αὐτὸς εἰς τὴν Πέτραν ἐξωρισμένος διὰ τὴν ἐν Χαλκηδόνι Συνοδον, προεῖδε τὸν θάνατον τοῦ Ἀναστασίου, ὅθεν ἔλεγεν, ἀπελθωμεν καὶ ἡμεῖς ἵνα κριθῶμεν μετ' αὐτοῦ, καὶ μετὰ δύο ἡμέρας ἀπέθανεν, ὡς διηγεῖται τοῦτο ὁ Πατριάρχης Σωφρόνιος, ὅστις διηγεῖται τὸ ὑπὸ τοῦ Ἀββᾶ Πολυχρονίου βεβαιούμενον περὶ τοῦ Πατριάρχου Ἠλία, ὅτι οὐ μόνον Μοναχὸς ὢν, ἀλλὰ καὶ Πατριάρχης γενόμενος, οἶνον οὐκ ἔπιέποτε, καὶ πάντοτε τὴν τοῦ οἴνου ἐγκράτειαν εἶχε. τοιοῦτον τέλος ἔδωκαν οἱ χωρὶς αἵματος ἅγιοι μάρτυρες καὶ σεβασμιώτατοι Πατριάρχαι. ὁ δὲ Ἀναστάσιος καὶ ὁ Ζήνων ἀπὸ τῶν Διπτύχων ἐξηλείφθησαν, καὶ ἐβεβαιώθη περὶ αὐτῶν τὸ ψαλμικὸν, ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.

ΒΙΒΛΙΟΘΗΚΗ Κ. ΒΛΑΧΟΓΙΑΝΝΗ

κεφά-

ΚΕΦΑ'ΛΑΙΟΝ ΙΔ'.

Κατὰ παπιστῶν, μονάρχην τῆς Ἐκκλησίας τὸν Πάπαν λεγόντων, διὰ τὸ τοὺς Πάπας Γελάσιον καὶ Ἀναστάσιον ἀφορίσαι τὸν Βασιλέα Ἀναστάσιον, καὶ περὶ διαῤῥήξεως τῆς μοναρχίας τοῦ Πάπα διὰ πολλῶν τοιούτων, τῶν καὶ ὑπὸ Μοναχῶν γεγενημένων.

Σημειοῦσιν οἱ νεωτερισταὶ, ὅτι ὁ Γελάσιος Ἀρχιεπίσκοπος Ῥώμης, καὶ ὁ μετ' ἐκεῖνον Ἀναστάσιος ἀφώρισαν τὸν Βασιλέα Ἀναστάσιον ὡς βοηθὸν Ἀκακίου καὶ Πέτρου τῶν Αἱρετικῶν, ὅθεν γίνεται φανερὸν, ὅτι ὁ Πάπας ἔχει ἐξουσίαν ἐπιτιμᾶν καὶ τοῖς βασιλεῦσιν ὅταν σφάλλωσιν εἰς τὴν πίστιν, καὶ νουθετούμενοι οὐκ ἀκούωσι, καὶ ἕπεται καὶ ἐκ τούτου ἔχειν αὐτοὺς καθόλου ἀξίωμα εἰς τὴν Ἐκκλησίαν. Ἀλλὰ ῥητέον, ὅτι καὶ ὁ Ἀκάκιος ἤλεγξε τὸν Βασιλίσκον, καὶ ὁ Εὐθύμιος καὶ ὁ Μακεδόνιος τὸν Δίκορον καὶ ἤλεγξαν, καὶ μετὰ τοῦ αἵματος αὐτῶν αὐτοῖς ἀντέστησαν, ὡς καὶ ὁ στυλίτης τὸν Βασιλίσκον καὶ ὁ μοναχὸς Ὀλύμπιος, καὶ δὴ ὁ Κοινοβιάρχης Θεοδόσιος, καὶ ὁ ἅγιος Σάββας πολυειδῶς κατήλεγξαν τὸν αὐτὸν Ἀναστάσιον, καίτοι Μοναχοὶ ὄντες, εἰς ὃν καὶ τὸ κοινὸν τῆς Κωνσταντινουπόλεως ἐβλασφήμησεν, ὡς καὶ Μοναχός τις Πρεσβύτερος τὸν μικρὸν Θεοδόσιον τῆς ἐκκλησιαστικῆς κοινωνίας ἐκώλυσε, καὶ ἰδὲ τὸ τριακοστὸν ἕβδομον κεφάλαιον τοῦ πέμπτου βιβλίου Θεοδωρίτου. καὶ ὁ ἅγιος Ἀμβρόσιος τὸν μέγαν Θεοδόσιον τῆς Ἐκκλησίας ἐξέβαλε, καὶ ὁ Μοναχὸς Ἰσαάκιος τὸν Οὐάλεντα κατὰ πρόσωπον ἤλεγξε, καὶ κατὰ τὸν Κεδρηνὸν, Ἐπίσκοπόν τινα τῶν οἰνιάδων λεγόμενον ἀκούσας ὁ Ἀναστάσιος ὡς εὐφυῶς διαλέγεται, ἐδεήθη αὐτοῦ γενέσθαι τῆς μοίρας αὐτοῦ, καὶ δοῦναι αὐτῷ ὅ, τι βούλεται, ὁ δὲ Ἐπίσκοπος εἶπεν αὐτῷ, γενοῦ σὺ τῆς ἐμῆς μοίρας, καὶ μὴ ἀκολουθῇς Εὐτυχεῖ, Διοσκόρῳ καὶ Σεβήρῳ, ἵνα μὴ κληρονομήσῃς τὸ αἰώνιον πῦρ, καὶ δεικνύων αὐτῷ τὴν πορφύραν, εἶπε, τοῦτο σὺν σοὶ οὐ καταβαίνει εἰς τὸν ᾅδην, ἀλλὰ μόνη ἡ θεοσέβεια καὶ ἀρετῶν ἡ κτῆσις, ἀμαθὴς εἶ καὶ ἀσυλλόγιστος, καὶ οὐδὲν τῶν τῆς Ἐκκλησίας δογμάτων οἶδας, μόνον πλάναις καὶ βορβορολογίαις ἐκφοβεῖς τοὺς ἀνθρώπους. ἀρκεῖ Βασιλεῦ ἀρκεῖ, ἀρκέσθητι τῷ ἀξιώματί σου, καὶ τοὺς προεστῶτας τῆς Ἐκκλησίας μὴ ἐνόχλει. καὶ κατηγχύνθη εἰς τὰ τοιαῦτα ὁ Βασιλεὺς, καὶ ἔμεινεν ἄφωνος. ὁ δὲ Ἐπίσκοπος πενέστατος ὤν, οὐδὲν ἔλαβε παρὰ τοῦ Βασιλέως, περιποιούμενος μόνην τὴν ὀρθοδοξίαν. καὶ ὁ μικρὸς Θεοδόσιος δελεασθεὶς, ἀφῆκεν Ἰουδαίοις τὰς πρότερον συναγωγὰς, ἤλεγξε δ' αὐτὸν Συμεών τις, ὁ δὲ αἴρει αὐτὰς, καὶ τὸν Ὕπαρχον αἴτιον ὄντα μετακινεῖ τῆς ἀρχῆς. καὶ ὁ Θεοδόσιος ὁ μέγας ἐλέγχεται περὶ Ναοῦ Ἰουδαϊκοῦ ἐν τοῖς Χαλκοπρατείοις ὑπὸ Ἀμβροσίου, καὶ καταδέχεται ὥς φησιν ὁ Ζωναρᾶς. ὡς οὖν οἱ εἰρημένοι καὶ Πατριάρχαι καὶ Ἐπίσκοποι καὶ Πρεσβύτεροι καὶ Μοναχοὶ ἀφωρίσαντες καὶ ἐλέγξαντες τοὺς Βασιλεῖς, ἀξίωμα εἰς τὴν καθόλου Ἐκκλησίαν οὐκ ἔλαβον, οὕτω καὶ Γελάσιος καὶ Ἀναστάσιος οἱ Πάπαι τοιοῦτόν τι οὐκ ἔλαβον καὶ ἀπὸ τοῦ παρόντος κεφαλαίου.

ΠΑΡΑ'ΓΡΑΦΟΝ Β'.

Περὶ τῆς πρὸς τὸν Πάπαν Ἀναστάσιον ἀκοινωνησίας τοῦ Κλήρου τῆς Ῥώμης, διὰ τὸ κοινωνῆσαι αὐτὸν Ἀκακίῳ καὶ Φωτεινῷ τοῖς Αἱρετικοῖς, καὶ τοῦ κατὰ Ἄρειον θανάτου αὐτοῦ ἐπὶ μαρτυρίᾳ ἑπτὰ μαρτύρων, καὶ ἑτέρων πολλῶν, ἐξ ὧν δείκνυται κεκαθῃρημένον τὸ μοναρχικὸν ἀξίωμα τῶν Παπῶν.

Ὅτι ὁ ἀνωτέρω εἰρημένος Ἀναστάσιος Ῥώμης πλανηθείς ποτε ὑπὸ τοῦ Αἱρετικοῦ Ἀκακίου, ἔσπευδεν ἀθῳῶσαι αὐτὸν τὸν Ἀκάκιον κρυφίως, ὅθεν ἐμισεῖτο ὑπὸ τοῦ Κλήρου Ῥώμης, καὶ οὐ συνεκοινωνεῖτο. ἔτι ὁ αὐτὸς χωρὶς τῆς γνώμης τῶν ὀρθοδόξων συνεκοινώνησε καὶ τῷ Φωτεινῷ Διακόνῳ Θεσσαλονίκης καὶ συμμύστῃ Ἀκακίου, ὅθεν λέγουσιν ὅτι πληγεὶς ἐκ Θεοῦ, ἀπέθανεν αἰφνιδίῳ θανάτῳ. ἄλλοι λέγουσιν ὅτι καθόλου ἔῤῥευσαν τὰ ἔντερα αὐτοῦ καθημένου εἰς τὴν χρείαν αὐτοῦ. σὺ δὲ σημείωσαι, ὅτι ἐφάνη καὶ ἄλλος Ῥώμης Ἐπίσκοπος πεπλανημένος. δεύτερον, ὅτι Αἱρετικὸς Μονοφυσίτης. τρίτον, ὅτι χωρὶς κοινῆς γνώμης ὁ Ῥώμης ἐνεργῶν, παράνομα πράττει. τέταρτον, ὅτι κρίνεται ὑπὸ τοῦ Κλήρου καὶ ὑστερεῖται τῆς κοινωνίας. πέμπτον, ὅτι μετὰ Ἄρειον καὶ Νεστόριον ἰδοὺ καὶ τρίτος ἐχαρίσατο τὰ ἴδια σπλάγχνα τῇ καταχρήσει, ἅτινα προφανῶς καθαιροῦσι τὸ μοναδικὸν ἀξίωμα τοῦ Ῥώμης, παρὰ τοῖς μὴ ἐσχάτως μελαγχολῶσι δηλονότι. ὅτι δὲ τοιοῦτος ὁ παρὼν Ἀναστάσιος, μάρτυρες ἑπτὰ, πρῶτος, Ἀναστάσιος ὁ Βιβλιοφύλαξ, ὃς λέγει, πολλοὶ καὶ Κληρικοὶ καὶ Πρεσβύτεροι ἐξωρίσθησαν διὰ τὸ μὴ συγκοινωνεῖν Ἀναστασίῳ, δεξαμένῳ Φωτεινὸν Διάκονον τοῦ Θεσσαλονίκης καὶ κοινωνὸν Ἀκακίου. δεύτερος, Μαριανὸς Σκότος, ὃς φησίν, ὅτι ὁ Ἀναστάσιος ἤθελε κρυφίως ἀνακαλέσαι τὸν ἀποβεβλημένον Ἀκάκιον, ὅθεν ἔῤῥευσε. τρίτος, Σιγγιβέρτος Γεμπλακένσος, τοῦ Ἀναστασίου Πάπα, λέγει, τὸν Ἀκάκιον ἀνακαλέσαντος,

πολλοὶ

πολλοὶ τῶν Ῥωμαίων οὐκ ἐκοινώνησαν αὐτῷ. τέταρτος, Πλάτινας λέγει, ὁ Ἀναστάσιος πλανηθεὶς ὑπὸ Ἀκακίου, ἔσπευδεν ἀθῳῶσαι αὐτὸν κρυφίως, ὅθεν πολλὰ ἐμίσησεν αὐτὸν ὁ Κλῆρος τῆς Ῥώμης, καὶ οὐκ ἤθελε παντελῶς συγκοινωνῆσαι αὐτῷ, δηλαδὴ τῷ Πάπᾳ, ὅστις προσέτι χωρὶς γνώμης τῶν ὀρθοδόξων συνεκοινώνησε Φωτεινῷ τῷ Διακόνῳ τοῦ Θεσσαλονίκης καὶ ἀκολούθῳ Ἀκακίου τοῦ Αἱρετικοῦ, περὶ οὗ Πάπᾳ λέγουσιν, ὅτι πληγεὶς ἐκ Θεοῦ, ἀπέθανεν αἰφνιδίῳ θανάτῳ, ἄλλοι δὲ λέγουσιν, ὅτι γε ἔῤῥευσαν τὰ ἔντερα αὐτοῦ καθημένου εἰς χρείαν. πέμπτος, ὁ Σαβέλικος λέγει εἰς τὴν ὀγδόην ἐννεάδα, βιβλίῳ δευτέρῳ, ὁ Ἀναστάσιος ἠπατήθη ὑπὸ τοῦ Ἀκακίου διὰ Φωτεινοῦ, καὶ ἐγένετο ἀκοινώνητος, καὶ ἔῤῥευσεν. ἕκτος, Γρατιανὸς φησὶν, ὅτι ὁ Ἀναστάσιος ἐξώσθη τῆς Ἐκκλησίας, καὶ ἐτρώθη ἐπὶ Θεοδωρίκου, πολλοὶ γὰρ ἐπ' αὐτοῦ γεγόνασιν ἀκοινώνητοι Ἐπίσκοποι καὶ Κληρικοὶ καὶ Πρεσβύτεροι, ὅτι χωρὶς Συνόδου ἐδέχετο Ἀκάκιον, καὶ τέως ὅτι ἔπεσεν εἰς τὴν Αἵρεσιν διὰ Φωτεινοῦ, ὅθεν ἐμονώθη καὶ ἐθραύσθη. ἕβδομος, Γουλίερμος ὤκαν βιβλίῳ πέμπτῳ τῶν Αἱρέσεων φησὶν, ὅτι ὁ Ἀναστάσιος ἐνομίζετο Αἱρετικὸς, κοινωνήσας Ἀκακίῳ καὶ Φωτεινῷ, καὶ ἄλλοι πολλοὶ λέγουσι τὰ αὐτά. εἰ δὲ καὶ τέταρτον τοιοῦτον ζητεῖς, ἰδὲ τὸν Θεοφάνη εἰς τὸ εἰκοστὸν ἕκτον ἔτος τοῦ Δικόρου, καὶ τὸν Δαμασκηνὸν εἰς τὸν τρίτον λόγον περὶ Εἰκόνων, ὅτι Ὀλύμπιός τις Ἀρειανὸς δεινῶς βλασφημήσας, τέθνηκεν ἐν τῷ νεροφόρῳ, ἤτοι τὰ ἔγκατα αὐτοῦ ἐξεχύθησαν, ὅπερ τινὲς ἔγραψαν εἰς Εἰκόνα διὰ αἰσχύνην τῶν Ἀρειανῶν, ἀλλ' οἱ Ἀρειανοὶ ἔδωκαν δῶρα Εὐτυχιανῷ τινὶ Νοταρίῳ καὶ καθεῖλε τὴν Εἰκόνα, ὅθεν θείᾳ ἀγανακτήσει ὁ Εὐτυχιανὸς ἐτάκει εὐθὺς, καὶ τέθνηκεν ἐλεεινῶς.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ προχειρίσεως αὐθημερὸν δύο Παπῶν Ῥώμης, Λαυρεντίου καὶ Συμμάχου, καὶ τῆς δι' αὐτῶν γενομένης συγχύσεως καὶ φόνων, καὶ τῆς διὰ Τοπικῆς Συνόδου κυρώσεως τοῦ ἑνὸς καὶ ἐξορίας τοῦ ἑτέρου, ἐξ ὧν δείκνυται πᾶς Πάπας Ῥώμης ὑπὸ τὰς Συνόδους.

Τῷ ἐνάτῳ ἔτει τῆς αὐταρχίας τοῦ Δικόρου Φῆστος Συγκλητικὸς Ῥώμης ἐλθὼν εἰς Βυζάντιον, ἐζήτησε γίνεσθαι λαμπροτέραν τὴν ἑορτὴν τῶν πρωτοκορυφαίων καὶ εἰς τὴν Κωνσταντινούπολιν, ὃ καὶ γέγονεν. ἐπαναστρέφων δὲ εἰς τὰ ἴδια, ὑπεσχέθη τῷ Δικόρῳ καταπεῖσαι τὸν Πάπαν Ἀναστάσιον ὑπογράψαι τὸ Ἑνωτικὸν Ζήνωνος. εὑρὼν δὲ τεθνηκότα τὸν Ἀναστάσιον, πείθει πολλοὺς πλήθει χρημάτων, καὶ ψηφίζονται Πάπαν Λαυρέντιόν τινα ἐν τῇ βασιλικῇ τῆς Θεοτόκου, ἐψηφίσατο δὲ τῇ αὐτῇ ἡμέρᾳ καὶ τὸ ἕτερον μέρος τῶν Ῥωμαίων Πάπαν τὸν Σύμμαχον εἰς τὸν Ναὸν τοῦ ἁγίου Κωνσταντίνου. γενομένης δὲ συγχύσεως καὶ διαιρέσεως τοῦ τε Κλήρου καὶ τοῦ λαοῦ, κοινῇ γνώμῃ ἀθροίζεται κατὰ τὸν Ζωναραῦ καὶ ἄλλους Συνόδος εἰς τὴν Ῥάβενναν προτροπῇ Θεοδωρίκου ἀρχηγοῦ Ἰταλίας, καίτοι Ἀρειανοῦ ὄντος, καὶ ἐξεταθείσης καλῶς τῆς ὑποθέσεως, παρόντος καὶ Θεοδωρίκου, ἀποκατέστη εἰς τὸν θρόνον ὁ Σύμμαχος, διότι πρῶτος ἐχειροτονήθη, καὶ διότι ὑπὸ πλειόνων ἐψήφιστο, τῷ δὲ Λαυρεντίῳ ἔδωκαν τὴν Ἐπισκοπὴν Νουκέρων. μετὰ τέσσαρα ὅμως ἔτη Κληρικός τις Φῆστον καὶ Προβῖνον Ἄρχοντας χρώμενος, μετακαλεῖται τὸν Λαυρέντιον εἰς τὴν Ἐπισκοπὴν Ῥώμης. ἀλλὰ Θευδέριχος θυμωθεὶς, ἔστειλεν εἰς Ῥώμην Ἐπίσκοπόν τινα Ἀλτῖνον λεγόμενον διῶξαι ἀμφοτέρους, τὸν δὲ Ἀλτῖνον αὐτὸν κρατεῖν τοῦ θρόνου ἐπιτροπικῶς. ὁ Σύμμαχος μέντοι ἀθροίσας ἑκατονείκοσιν Ἐπισκόπων Σύνοδον, ἠθῳώθη. ὅθεν καὶ κοινῇ γνώμῃ κρίνεται ἐξορισθῆναι τὸν Λαυρέντιον. ἀλλὰ γενομένων τούτων, ἠκολούθησε σύγχυσις, ὥστε καὶ πολλοὺς ἀναιρεθῆναι, καὶ ἰδὲ περὶ τούτων τὸν Βιβλιοθηκάριον Ἀναστάσιον. σὺ δὲ σημείωσαι πρῶτον, ὅτι Πάπας καὶ ἀντίπαπας εἰς τὴν Ῥώμην, καὶ ἔριδες καὶ μάχαι καὶ φόνοι, καὶ ποῦ τὸ ἀναμάρτητον τοῦ Ῥώμης; δεύτερον, ὅτι ἰδοὺ καὶ ἄλλη τοπικὴ Σύνοδος κρίνει, ἀνακρίνει, δικαιοῖ καὶ κατακρίνει τοὺς Ἐπισκόπους τῆς Ῥώμης, καὶ πῶς ἐστὶν ὁ Ῥώμης ἐπὶ τῶν Οἰκουμενικῶν Συνόδων;

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἐκ τοῦ εἰπεῖν τὸν Μακεδόνιον Κωνσταντινουπόλεως πρόεδρον τὸν Ῥώμης Οἰκουμενικῆς Συνόδου, οἱ παπισταὶ ἐπὶ τῶν Συνόδων αὐτὸν εἶναι λέγοντες, ἐλέγχονται ἐνταῦθα ψεῦσαι.

Προσφέρουσιν οἱ παπισταὶ τὸν Ἀναγνώστην Θεόδωρον ἐν τῷ τρίτῳ βιβλίῳ, καὶ δὴ καὶ τὸν Θεοφάνην λέγοντας, ὅτι ὁ Βασιλεὺς Ἀναστάσιος ἐπέκειτο τῷ Κωνσταντινουπόλεως Μακεδονίῳ ἀναθεματίσαι τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ αὐτὸς ὁ Μακεδόνιος χωρὶς Οἰκουμενικῆς Συνόδου, ἐχούσης πρόεδρον τὸν τῆς μεγάλης Ῥώμης Ἐπίσκοπον οὐδὲν ποιεῖν ἔλεγεν, ἐξ οὗ δείκνυται, ὅτι ἐπειδὴ πρόεδρος ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις ὁ Ῥώμης, μείζων ἐστὶ τῶν Συνόδων καὶ ἐπ' αὐτῶν ἐστίν. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι οὐ μόνον ὁ Ῥώμης πρόεδρός ἐστιν ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις, ἀλλὰ καὶ ἕτεροι, καὶ ἰδὲ ἀνωτέρω τῶν τεσσάρων Συνόδων

Συνόδων τοὺς τόπους. δεύτερον, ὅτι τοῦ Ἀναστασίου βιαζομένου τὸν Ἀντιοχείας καὶ Ἱεροσολύμων καὶ τοῦτον τὸν Κωνσταντινουπόλεως ἀναθεματίσαι τὴν ἐν Χαλκηδόνι Σύνοδον, τὸν δὲ Ῥώμης μὴ δυναμένου βιάσαι, διὰ τὸ εἶναι ἐκεῖ ἑτέραν πολιτικὴν ἀρχὴν, ἤτοι τὴν τῶν Γότθων, ὁ Μακεδόνιος μόνου ἐμνήσθη τοῦ Ῥώμης, καὶ οὐδενὸς ἑτέρου. τρίτον, ἰδὲ περὶ τοῦ πρόεδρος καὶ σύνεδρος κατωτέρω βιβλίου πέμπτου, κεφαλαίου δεκάτου πέμπτου, Παράγραφον ἕκτον, καὶ βιβλίου δεκάτου, μέρους τρίτου, κεφάλαιον δέκατον τέταρτον, καὶ βιβλίου ἕκτου, κεφαλαίου ἑβδόμου, Παράγραφον ἕνατον, καὶ ἀνωτέρω κεφαλαίου δεκάτου, Παράγραφον ἔσχατον, ἔνθα ὁ Ἀντιοχείας Εὐστάθιος ἐκλήθη ὑπὸ τοῦ Ῥώμης πρόεδρος τῆς πρώτης Οἰκουμενικῆς Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι καὶ ἐξ ὧν λέγουσιν οἱ παπισταὶ γραμμάτων τοῦ Πάπα Ὁρμίσδου πρὸς τὸν Κωνσταντινουπόλεως Ἰωάννην τὸν Καππάδοκα νουθετητικῶν, καίτοι δείκνυνται ψευδεπίπλαστα ἀπὸ τῆς ἀσυμφωνίας τοῦ χρόνου, ἀναιρεῖται τὸ μοναρχικὸν τοῦ Ῥώμης, εἷς γὰρ ὢν ὁ Ῥώμης, οὐκ ἔστι Σύνοδος, ἀλλ' ὑπὸ τὴν Σύνοδον.

Ἀλλὰ καὶ ὁ μετὰ Σύμμαχον Πάπας Ὁρμίσδας, πλατυνομένης τῆς Αἱρέσεως τῶν Μονοφυσιτῶν, ἀθροίζει Σύνοδον εἰς τὴν Ἰταλίαν γνώμῃ Θεοδωρίκου, καὶ ἀνακαινίζει τὴν κατάκρισιν αὐτῆς, καθὼς ἐπὶ Κωνσταντίου καὶ Ἰοβιανοῦ διὰ κατάκρισιν τῶν Ἀρειανῶν καὶ Ἀνομοίων ἠθροίσθησαν Σύνοδοι Τοπικαὶ εἴς τε τὴν Ἀλεξάνδρειαν ἐπὶ Ἀθανασίου, καὶ εἰς Σαρδικὴν ἐπὶ Ἰουλίου, καὶ εἰς Ἀντιόχειαν ἐπὶ Μελετίου. λέγουσι καὶ τοῦτο, ὅτι ὁ μετὰ Τιμόθεον Ἰωάννης ὁ Καππάδοξ, καίτοι ἐπὶ Ἰουστίνου φανεὶς μέγας ὀρθόδοξος καὶ μέγας διώκτης τῶν Εὐτυχιανῶν, ὅμως ἐπὶ Ἀναστασίου ἢ χαριζόμενος, ἢ μὴ δυνάμενος ἀντιτείνειν Ἀναστασίῳ, ἐσιώπα τὴν Αἵρεσιν, ὡς καὶ περὶ τοῦ Μακεδονίου εἴπομεν ὅτι ὑπέγραψεν εἰς τὸ Ἑνωτικὸν Ζήνωνος, καίτοι ὀρθοδοξότατος ὤν. ὁ Πάπας ὅμως Ὁρμίσδας στέλλει γράμματα καὶ πρέσβεις εἰς τὸν Ἰωάννην, νουθετῶν αὐτὸν, ἵνα καταφρονῇ τῆς μονοφύσεως, πλὴν ὁ Ἀναστάσιος καταφρονήσας τῶν πρέσβεων παρὰ τὴν συνήθειαν, ἔβαλεν αὐτοὺς εἰς ἓν παλαιὸν πλοῖον, παραγγείλας τοῖς μὲν Ναύταις μὴ ἐλλιμενίσαι εἰς οὐδένα αἰγιαλὸν ἄλλον, ἀλλ' ἢ εἰς τὴν Ἰταλίαν, τοῖς δὲ πρέσβεσιν, εἰπεῖν τῷ Πάπᾳ, ὅτι ἴδιόν ἐστι τῷ Βασιλεῖ προστάττειν, Πάπας ὅμως, ἢ ἄλλος τοιοῦτος Βασιλεῖ οὐ προστάττει. σὺ δὲ σημείωσαι πρῶτον, ὅτι ὁ Θεοφάνης λέγει γενέσθαι τὸν Καππάδοκα Ἰωάννην Πατριάρχην τῇ τρίτῃ ἡμέρᾳ τοῦ Πάσχα, καὶ φορέσαι τὴν ἀποστολικὴν στολὴν τῷ εἰκοστῷ ἑβδόμῳ ἔτει Ἀναστασίου, καὶ τὸν λαὸν στάσιν πεποιηκέναι πάλιν, βιάζοντα τὸν Πατριάρχην ἀναθεματίσαι τὸν Σεβῆρον, τῷ δ' αὐτῷ ἔτει ἀποθανεῖν καὶ τὸν Ἀναστάσιον Μηνὸς Ἀπριλλίου ἐνάτῃ, καὶ πότε ἠκούσθη ἠχειροτονία τοῦ Ἰωάννου Καππάδοκος εἰς τὴν Ῥώμην; πότε ἦλθον οἱ πρέσβεις εἰς τὸ Βυζάντιον; δεύτερον, ὑποσθεμένης τῆς ἱστορίας ἀληθοῦς, ἐνδέχεται γὰρ ἐσφάλθαι εἰς τὴν χρονολογίαν τὸν Θεοφάνην, σημείωσαι, πρῶτον, ὅτι πρέσβεις ἦσαν Εὐόδιος ὁ Τινικίου, Φουρτουνᾶτος ὁ Κατίνας, Βενέτικος Πρεσβύτερος καὶ Βιτάλιος Διάκονος. δεύτερον, ὅτι ὁ Ὁρμίσδας μόνος ἐπιτιμῆσαι βουληθεὶς τῷ Ἀναστασίῳ, ἢ ἐξουσιαστικῶς φερόμενος κατὰ τοῦ Ἰωάννου, εἰς οὐδὲν ἐλογίσθη, ἀλλ' ἀπεκρούσθη, ὡς καὶ Φίληξ, ὅστις ἕως οὗ σὺν Ἀκακίῳ ἐφέρετο κατὰ τοῦ Κναφέως, ἴσχυεν, ὅτε δὲ, καὶ ἄλλων ὄντων ὀρθοδόξων Ἐπισκόπων καὶ Πατριαρχῶν, αὐτὸς μόνος ἐφέρετο κατὰ τοῦ Ἀκακίου, κατεφρονεῖτο, καὶ τοῦτο δικαίως, ἐπειδὴ ὁ Πάπας οὐκ ἔστιν ἐν τῇ Ἐκκλησίᾳ πρῶτος ὡς μονὰς, τοῦτο γὰρ καὶ βλάσφημόν ἐστι καὶ ἀδύνατον, ἀλλ' ὡς πρῶτος τοῦ χοροῦ κατὰ μόνην τάξιν, οὐ γὰρ μόνῳ τῷ Πάπᾳ, ἀλλὰ συλλήβδην πᾶσι τὸ σύμπαν κανονίζειν τὸ παμμελὲς ἀπονενέμηται, οὐ γὰρ ὁ Πάπας τῆς κοινῆς Συνόδου ἐστὶν ὑπέρτερος. μᾶλλον τὸ ἓν μετὰ τῶν πλειόνων ἰσχύει, ἄνευ γὰρ τῶν Πατριαρχῶν οὐ γίνεται Οἰκουμενικὴ Σύνοδος, καὶ κατὰ τὴν ἑβδόμην Σύνοδον. Σύνοδος γὰρ ἐξ ἀνάγκης κανονίζει, ὁ δὲ Πάπας εἷς ὤν, οὐκ ἔστι Σύνοδος, ὅθεν οὐδὲ κανονίζει, ἀλλὰ μᾶλλον κανονίζεται, ὡς εὐσεβῶς ὁ Ἀμυρούτζης πρότερον, καὶ μεταταῦτα ἡ ἐν τῇ ἁγίᾳ Σοφίᾳ Σύνοδος ἀπεφήνατο.

Εἴληφε τέρμα καὶ τέταρτον βιβλίον.

ΠΑΝΕΠΙΣΤ. ΒΙΒΛΙΟΘΗΚΗ

ΔΟΣΙΘΕΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ.

ΒΙΒΛΙΟΝ Ε'. ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ παραδειγμάτων τῆς πρὸς ἡμᾶς τοῦ Θεοῦ κρίσεως καὶ φιλανθρωπίας, καὶ περὶ τῆς βασιλείας Ἰουστίνου τοῦ Θρᾳκός.

Ἐίποτε ἐν τοῖς μεγάλοις δυστυχήμασιν, ἅπερ ἡ δικαία κρίσις τοῦ Θεοῦ συγχωρεῖ γίνεσθαι εἰς τὸν λαὸν αὐτοῦ, δίδωσι κατόπιν ἡ ἄπειρος αὐτοῦ εὐσπλαγχνία ἱκανὴν τὴν παρηγορίαν, καὶ ἔχομεν εἰς τοῦτο μυρία παραδείγματα, ἐγγύτερα δὲ, ὅτι μετὰ τὰ συμβάντα εἰς τὴν Χριστοῦ Ἐκκλησίαν περίπου τὰ τριακόσια ἔτη ἀπό τε ἀσεβῶν καὶ Αἱρετικῶν, ἦλθε φῶς τοῖς ἐν σκότει ἡ ἡγεμονία τοῦ ἰσαποστόλου Κωνσταντίνου. εἶτα μετὰ τὸν χειμῶνα τοῦ Κωνσταντίου, καὶ τὴν ζάλην Ἰουλιανοῦ καὶ Οὐάλεντος, ἐπεδήμησε τὸ Ἔαρ τοῦ μεγάλου Θεοδοσίου ἡ αὐταρχία. ἔπειτα μετὰ τὴν λύσσαν τοῦ τριπλόκου ὄφεως Βασιλίσκου, Ζήνωνος καὶ Ἀναστασίου, ἔφθασεν ἡ εὐδαιμονία τοῦ Ἰουστίνου, ἐφ' οὗ ἐβεβαιοῦντο αἱ τέσσαρες Οἰκουμενικαὶ Σύνοδοι, ὡς τὰ τέσσαρα Εὐαγγέλια τιμώμεναι, ἐπειδὴ ἦσαν καρποὶ τῶν Εὐαγγελίων σωτηριωδέστατοι, ἠλευθεροῦντο οἱ ἐξωρισμένοι Ἐπίσκοποι, ἐφυγαδεύοντο οἱ Αἱρετικοὶ, ἡνοῦτο ἡ Ἐκκλησία Ἀνατολῆς καὶ Δύσεως, ὥστε περὶ ἐκείνου τοῦ καιροῦ εἶπεν ὁ θεῖος Δαβὶδ, μὴ ἐπιλήσεται ὁ Θεὸς τοῦ οἰκτειρῆσαι; αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ λιβέλλου τῶν Μοναχῶν καὶ Κληρικῶν τοῦ ἀποστολικοῦ θρόνου τῆς Ἀντιοχείας πρὸς τὴν ἐν Κωνσταντινουπόλει ἐπὶ Ἰωάννου τοῦ Καππάδοκος Σύνοδον κατὰ Σεβήρου, καὶ ὧν περιέχει ὁ λίβελλος.

Βασιλεύοντος τοίνυν τούτου τοῦ Ἰουστίνου, καὶ πατριαρχεύοντος ἐν Κωνσταντινουπόλει Ἰωάννου τοῦ Καππάδοκος, ἤρξατο ἡ εὐσέβεια βεβαιοῦσθαι, καὶ καθαιρεῖσθαι ἡ Αἵρεσις τῶν Μονοφυσιτῶν, ὅθεν καὶ οἱ Μοναχοὶ καὶ Κληρικοὶ τοῦ ἀποστολικοῦ θρόνου Ἀντιοχείας μὴ δυνάμενοι πλέον ὑποφέρειν τὰ κακὰ τοῦ Σεβήρου, στέλλονται πορείαν ἀοίδιμον, καὶ ἔρχονται εἰς Κωνσταντινούπολιν, ἀκούσαντες θριαμβεύουσαν τὴν ὀρθοδοξίαν. καὶ δὴ γράφουσιν εἰς τὸν Κωνσταντινουπόλεως Ἰωάννην λίβελλον, τῷ ὁσιωτάτῳ καὶ μακαριωτάτῳ Ἀρχιεπισκόπῳ καὶ Οἰκουμενικῷ Πατριάρχῃ Ἰωάννῃ, καὶ τῇ ἐνδημούσῃ ἁγίᾳ Συνόδῳ ἀξίωσις παρὰ Κληρικῶν καὶ Μοναχῶν τοῦ ἀποστολικοῦ θρόνου Ἀντιοχείας. περιέχει δὲ ὁ λίβελλος ταῦτα, ὅτι ὁ Σεβῆρος οὐ δεμιᾷ ἐκοινώνησεν ὀρθοδόξῳ καθολικῇ Ἐκκλησίᾳ, ὅτι συκοφαντήσας ἐξέβαλε τὸν Φλαυϊανὸν ἀπὸ τοῦ θρόνου Ἀντιοχείας, ὅτι βλασφημεῖ τὰς Συνόδους, τὴν ἐν Χαλκηδόνι καὶ τὰς ὑπὲρ αὐτῆς, ὅτι φόνους Μοναχῶν ἔπραξε διὰ Ἰουδαϊκῶν χειρῶν ὑπὲρ τοὺς τριακοσίους, οὕσπερ Μοναχοὺς ἔφαγον τὰ πετεινὰ καὶ τὰ θηρία, ὅτι εἰς τὴν Δάφνην ἐποίησεν ἐπικλήσεις δαιμόνων, ὅπερ τυχὸν ἴδιον Εἰδωλολατρῶν καὶ Μάγων. ὅτι τὰς χρυσᾶς Περιστερὰς, αἵτινες ἦσαν ἐπάνω τῆς κολυμβήθρας εἰς τύπον τοῦ ἁγίου Πνεύματος, κατέσπασεν εἰκονο-

430

εἰκονομαχῶν, ὅλη εἰς δάνεια ἔβαλε τὴν Ἐκκλησίαν. λοιπὸν δεόμεθα, ἵνα σείσῃ ὁ Βασιλεὺς αὐθρωπον, δι' ἧς γνώσεται βεβαίως ὅτι ταῦτα ἀληθῆ εἰσὶ, καὶ φυλάξῃ ὅσα ἔμειναν, ἵνα μὴ φθάρῃ καὶ ταῦτα ὁ Σεβῆρος· καὶ ἔτι ἵνα ἀνακληθῶσιν οἱ Ἐπίσκοποι καὶ Μοναχοὶ καὶ Κληρικοὶ οἱ ὄντες ἐξόριστοι, καὶ λάβωσι τὰς τόπας αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἀναφορᾶς τῆς Συνόδου πρὸς τὸν Πατριάρχην, καὶ δι' αὐτῆς πρὸς τὸν Βασιλέα, ἐν ᾗ ἦν τὰ θεωρηθέντα ὑπ' αὐτῆς ζητήματα τῶν Ἀνθιοχέων, καὶ τὰ ἐγκλήματα τοῦ Σεβήρου καὶ ὁ κατ' αὐτοῦ ἀναθεματισμός· καὶ περὶ τοῦ ἀριθμοῦ τῶν τῆς Συνόδου πατέρων.

Ταῦτα λαβοῦσα ἡ ἁγιωτάτη Σύνοδος ἡ Κωνσταντινουπόλεως, καθότι ὁ λαὸς Κωνσταντινουπόλεως ἔδωκαν καὶ εἰς αὐτὴν λίβελλον, γράφει εἰς τὸν Πατριάρχην Ἰωάννην, μετὰ τὸν, Τῷ δεσπότῃ ἡμῶν τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πατρὶ πατέρων Ἀρχιεπισκόπῳ καὶ Οἰκουμενικῷ Πατριάρχῃ Ἰωάννῃ, Τίτλον, ὅτι ὁ λαὸς ὁμοφώνως ἐπαινέτεσε Διὰ τὴν δυσέβειαν σε, ἐζήτησαν ἵνα ἀνακομισθῶσιν εἰς τὴν μεγάλην Ἐκκλησίαν τὰ λείψανα Εὐθυμίου καὶ Μακεδονίου. καὶ ἔτι οἱ Ἀρχιμανδρῖται καὶ Μοναχοὶ διαφόρων Μοναστηρίων ἔδωκαν λίβελλον εἰς τὴν Σύνοδον ἡμῶν, ζητοῦντες ἵνα δοκιμάσωμεν τὰ ζητήματα αὐτῶν, καὶ δώσωμεν καὶ πέρας, ἅπερ ἐπειδὴ ἐποιήσαμεν, φανερὸν ἐποιήσαμεν αὐτοῖς, καὶ Διὰ σὲ τὸν Βασιλέα, εἰσὶ δὲ ταῦτα, πρῶτον, ἵνα ἀνακομισθῶσι τὰ λείψανα Εὐθυμίου καὶ Μακεδονίου, καὶ πεθῶσι καὶ εἰς τὰ Δίπτυχα, καθὼς ἐγένετο καὶ ἑτέρων, τυχὸν εἰς τὰ τοῦ Παύλου, Χρυσοστόμου καὶ Φλαβιανοῦ τῶν Ἐπισκόπων Κωνσταντινουπόλεως.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῶν κραυγῶν τοῦ λαοῦ κατὰ Σεβήρου, καὶ περὶ τῆς φήμης τοῦ Πατριάρχου καὶ τῶν Βασιλέων, καὶ ἀναθεματισμοῦ ἐπ' Ἐκκλησίας τοῦ Σεβήρου, καὶ περὶ τῶν ἐν τοῖς Διπτύχοις τεθέντων ὀνομάτων Λέοντος Ῥώμης, Εὐθυμίου καὶ Μακεδονίου Κωνσταντινουπόλεως, καὶ τῶν τεσσάρων Συνόδων.

Οἱ λαοὶ δὲ, οἱ δόντες τοὺς λιβέλλους ἔστε τὸν Ἰωάννην καὶ τὴν Σύνοδον ἐβόων, καὶ ἦσαν αἱ βοαὶ αὐτῶν, πολλὰ τὰ ἔτη τοῦ Πατριάρχου, Ἰωάννου βασιλεύσει, τὸν ἐν Χαλκηδόνι Σύνοδον κήρυξον ἄξιε τοῦ θρόνου Πατριάρχα, ἡ ἁγία Μαρία Θεοτόκος ἐστὶν, Ἰωάννου βασιλεύσει, τὸν Σεβῆρον τὸν νέον Ἰούδαν τὸν Μαυριχαῖον τὸν ἀπόβλητον τῆς Τριάδος ἔξω βάλλε. ἀδελφοὶ μία ψυχή. τὸν Σεβῆρον ἀνάθεμα τίσον. τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη. τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη. ἐν τούτοις ὁ Ἰωάννης ἐπήνεσε τὴν θεοθυμίαν τοῦ λαοῦ, καὶ εἶπε τῷ λαῷ ἵν' ἔχῃ ὑπομονὴν, ὅπως ἂν γένοιτο καὶ μετὰ γνώμης τοῦ Βασιλέως ὁ τοῦ Σεβήρου ἀναθεματισμὸς, καὶ τῶν τεσσάρων Συνόδων ἡ κήρυξις. ὁ λαὸς ἐβόησεν, Ἄξιε, ἄξιε νῦν. ὁ Ἰωάννης ἀπεκρίθη, ποιήσωμεν τοῦτο τῇ ἐρχομένῃ Κυριακῇ Ἰουλίᾳ δεκάτῃ ἕκτῃ. ὁ λαὸς, ἐκ περιχώρου μεθα, τὸν Σεβῆρον ἀνάθεματισον. καὶ ἔτω, παρόντων καὶ τινων Ἀρχιερέων, ἐπ' Ἐκκλησίας ἀνεθεμάτισεν αὐτὸν, καὶ εἰς τὴν ἐρχομένην Κυριακὴν ἐβόησεν ὁ λαὸς τὰ αὐτὰ, καὶ ὅτι τὸν Λέοντα, καὶ τὰς τέσσαρας Συνόδους τοῖς Διπτύχοις, καὶ μετὰ τὰ πολλὰ ἐλάλησεν ὁ Πατριάρχης, Λέοντα, Εὐθύμιον, καὶ Μακεδόνιον, καὶ τὰς τέσσαρας Οἰκουμενικὰς Συνόδους ἐβάλομεν εἰς τὰ Δίπτυχα, καὶ ἐγένετο ἡ Λειτουργία, καὶ εἰς τὸν ἡμέτερον, καθ' ὃν μνημονεύονται οἱ ὧν τοῖς Διπτύχοις, ἔθεμεν ὁ λαὸς περὶ τὸ θυσιαστήριον, καὶ ὡς ἤκουσαν αὐτῶν μνημονευομένων, εἶπον κοινῶς, δόξα σοι ὁ Θεός.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἀπιστολῆς τοῦ Κωνσταντινουπόλεως Ἰωάννου πρὸς τὸν Ἱεροσολύμων Ἰωάννην μετὰ τῶν ὑπὸ τὴν Συνόδου πεπραγμένων, καὶ πρὸς τὸν Ἐπιφάνιον Τύρου, καὶ ἀπιγραφῆς τούτων πρὸς τὸν αὐτὸν, καὶ περὶ τοῦ ἐν Ἱερουσαλὴμ καὶ Τύρῳ ἀναθεματισμοῦ καὶ Εὐτυχοῦς, Νεστορίου, Μαΐντος, Σεβήρου, καὶ τῶν συγγραμμάτων αὐτῶν.

Γράφει

Γράφει ὁ Κωνσταντινουπόλεως Ἰωάννης τῷ Ἱεροσολύμων Ἰωάννῃ τὰ γενόμενα ἐν Κωνσταντινουπόλει (ἦν γὰρ ὁ μὲν Πατριάρχης Ἱεροσολύμων ἅγιος καὶ μέγας ἄνθρωπος, ἡ δὲ Ἱερουσαλὴμ καθαρὰ τῶν Αἱρέσεων) καὶ πέμπει αὐτῷ καὶ τὰ πεπραγμένα, καὶ ἀξιοῖ ἵνα ἐπισφραγίσῃ αὐτὰ τῷ λόγῳ τῆς ἀληθείας. γράφει καὶ τῷ Τύρου Ἐπιφανίῳ, περὶ οὗ εἴπομεν ὅτι φανερὰ ἀνθίσατο τῷ Σεβήρῳ διὰ ζῆλον ὀρθοδοξίας, καὶ πέμπει καὶ αὐτῷ τὰ πεπραγμένα, λέγει δὲ αὐτῷ, ἵνα ὡς ὁμόψυχος ὤν, ποιήσῃ μαθεῖν ταῦτα καὶ τοὺς πέριξ Ἐπισκόπους καὶ Κληρικοὺς, καθὼς τυχὸν ἔγραφεν ὁ μακάριος Παῦλος πρὸς Κολοσσαεῖς ἵνα ποιήσωσιν ἀναγνωσθῆναι τὴν ἐπιστολὴν καὶ ἐν Λαοδικείᾳ. ὁ δὲ Ἱεροσολύμων Ἰωάννης ἀποκριθεὶς, γράφει τῷ Ἰωάννῃ, Τῷ δεσπότῃ μου τῷ θεοφιλεστάτῳ καὶ ὁσιωτάτῳ συλλειτουργῷ Ἰωάννῃ, καὶ τῇ ἐνδημούσῃ Συνόδῳ Ἰωάννης Ἐπίσκοπος Ἱεροσολύμων, καὶ ἡ ἐνδημοῦσα ἐν Ἱεροσολύμοις Σύνοδος. καὶ ἐπαινεῖ αὐτὸν εἰς τὸ ἔργον, δέχεται τὰ γενόμενα, ἀναθεματίζει Εὐτυχῆ, Νεστόριον, Μάνεεντα καὶ Σεβῆρον καὶ τὰ συγγράμματα αὐτῶν, δέχεται τὰς τέσσαρας Οἰκουμενικὰς Συνόδους, καὶ τὰς θεοφράστους ἐπιστολὰς τοῦ Ῥώμης Ἀρχιεπισκόπου καὶ Πατριάρχου Λέοντος, ὑπέγραψαν τὴν ἐπιστολὴν Ἐπίσκοποι τριακοντατρεῖς. ἀλλὰ καὶ ὁ Τύρου Ἐπιφάνιος γράφει μετὰ τῶν Ἐπισκόπων αὐτοῦ πρὸς τὴν ἐν Κωνσταντινουπόλει Σύνοδον, καὶ δέχεται τὰ πεπραγμένα, καὶ ζητεῖ ἵνα καὶ ὁ Ἀντιοχείας Φλαυϊανὸς ἀνακομισθῇ εἰς τὴν Ἀντιόχειαν, καὶ τεθῇ καὶ εἰς τὰ Δίπτυχα. γίνονται δὲ καὶ εἰς τὴν Τύρον βοαὶ τοῦ λαοῦ πλείονες σχεδὸν τῶν γεγενημένων εἰς τὴν Κωνσταντινούπολιν, καὶ εὐφημοῦνται εἰς αὐτὰς ὁ Βασιλεὺς, ἡ Αὐγοῦστα, ἡ Σύγκλητος, οἱ Ἔπαρχοι, ὁ Ἰωάννης Κόμης, Βιταλιανὸς Πατρίκιος, ὁ Κωνσταντινουπόλεως Ἰωάννης καὶ ὁ Ἐπιφάνιος Τύρου, ὃν καὶ Ἀρχιεπίσκοπον λέγουσι.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Περὶ τῆς φυγῆς Σεβήρου, καὶ προχειρίσεως εἰς τὸν θρόνον Ἀντιοχείας Παύλου, ἐξορίας τε ξεναΐα καὶ Πέτρου Ἀπαμείας, καὶ ἐλευθερίας τῶν ἐξορίστων, Εὐφρασίου τε μετὰ Παῦλον Ἀντιοχείας, καὶ κηρύξεως τῆς ὀρθοδοξίας ὑπὸ τοῦ ἁγίου Σάββα. καὶ περὶ τῆς τελευτῆς Ἰωάννου Ἱεροσολύμων, καὶ προχειρίσεως ἐν τῷ θρόνῳ Πέτρου, καὶ περὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας Ἠλία καὶ Ἰωάννου τῶν Ἱεροσολύμων.

Τούτων γενομένων ἐν Κωνσταντινουπόλει καὶ Συρίᾳ, ὁ Αὐτοκράτωρ Ἰουστῖνος καὶ διὰ τὸ δίκαιον, καὶ ὑπὸ τοῦ Βιταλιανοῦ ἄκρου ἐχθροῦ τῷ Σεβήρῳ, τοῦ τότε ἐλθόντος ἀπὸ Σκυθίας, καὶ οἰκειωθέντος τῷ Ἰουστίνῳ, καὶ ὑπατεύσαντος, παρακινηθεὶς, οὐ δι' ἄλλό τι, ἀλλὰ διὰ τὴν Ἄρεσιν, ἧς ὁ Σεβῆρος ἡγεμὼν ἦν. γράφει Εἰρηναίῳ Ἐπάρχῳ Ἀντιοχείας, ἵνα κόψῃ τὴν γλῶσσαν τοῦ Σεβήρου, ἔφυγεν ὅμως ὁ ἀσεβὴς εἰς Αἴγυπτον μετὰ τοῦ Ἁλικαρνασσέως Ἰουλιανοῦ. ἐξορίζει δὲ τὸν ῥηθέντα Ἱεραπόλεως Ξεναΐαν, καὶ Πέτρον τὸν Ἀπαμείας, καὶ ἐλευθεροῖ ὅλους τοὺς ἐξωρισμένους, καὶ δίδωσιν αὐτοῖς τοὺς τόπους αὐτῶν. εἰς δὲ τὴν Ἀντιόχειαν προχειρίζεται Παῦλος Πατριάρχης, οὗ ἀποθανόντος μετὰ ἕνα χρόνον, ἀνάγεται ὁ Εὐφράσιος εἰς τὸν θρόνον Ἀντιοχείας, ἐλθὼν ἀπὸ τῶν Ἱεροσολύμων. ὁ δὲ μέγας Σάββας ἀπὸ τόπου εἰς τόπον μεταβαίνων, εἰ καὶ ἦν ὀγδοηκοντούτης, ἐκήρυττε τὴν ὀρθοδοξίαν, σαλπίζων τοῦ εὐσεβοῦς Ἰουστίνου τὸ πρόσταγμα ὑπὲρ τῆς εὐσεβείας, καὶ στερεῶν τὰ πρακτικὰ τῶν ἁγίων Συνόδων τόσον εἰς τὴν Καισάρειαν, ὅσον καὶ εἰς τὴν Σκυθόπολιν, εἰς ἣν ἦν τις Σαμαρείτης Σιλβανὸς ὀνόματι, ἐχθρὸς τῶν Χριστιανῶν, περὶ οὗ προεῖπεν ὁ ἅγιος ὅτι ἔμελλεν ἀνυπερθέτως δεινὰ πείσεσθαι, ὡς καὶ ἐγένετο, ὅτι ὡς ἀσεβὴς κατεκαίη. ἀναμέσον τῶν ἐξορίστων διὰ τὴν θεοσέβειαν ἦν καὶ ὁ Ἀρχιμανδρίτης Θεοδόσιος ὁ Κοινοβιάρχης, ὃν ἐλευθερώσας ὁ ἅγιος, ἤγαγε μεθ' ἑαυτοῦ πρὸς τὸν Ἱεροσολύμων Ἰωάννην, ὅστις λίαν ἐδεξιώσατο αὐτοὺς, καὶ τραπέζης ἠξιώσατο εὐφροσύνου. εὑρέθη δὲ τότε ὁ Ἀσκάλωνος Ἀντώνιος ἀδελφὸς τοῦ Πατριάρχου. προεῖπε δὲ καὶ ὁ ἅγιος Θεοδόσιος ὅτι μέλλει κατακαυθήσεσθαι τὸ Μοναστήριον τῶν Σεβηριανῶν Μοναχῶν, καὶ μὴ μεῖναι λίθον ἐπὶ λίθον, καὶ αὐτοὺς αἰχμαλωτισθήσεσθαι, ὡς καὶ ἐγένετο, ὥρμησαν γὰρ οἱ Ἀγαρηνοὶ, καὶ τὸ Μοναστήριον ἔκαυσαν, καὶ ἐκείνους ᾐχμαλώτισαν. ἔζησε δὲ ὁ Ἰωάννης ἕνδεκα χρόνους εἰς τὸν θρόνον κατὰ τὸ χρονικὸν τοῦ Νικηφόρου, καθ' ὃ καὶ ὁ Ἠλίας χρόνους εἰκοσιτρεῖς, καὶ ἐτελεύτησε, καὶ ἀρχιεράτευσεν ἀντ' αὐτοῦ ὁ Πέτρος, ἄνθρωπος ἐνάρετος, ὡς λέγει ὁ μοναχὸς Κύριλλος εἰς τὸν βίον τοῦ ἁγίου Σάββα.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῶν μιαρῶν πράξεων καὶ τῆς βλασφημίας Πέτρου Ἀπαμείας, καὶ τῶν κατ' αὐτοῦ λιβέλλων πρὸς τὴν ἐν Συρίᾳ Σύνοδον, καὶ ἐλέγχων τῶν κακιῶν καὶ φόνων Σεβήρου καὶ τοῦ αὐτοῦ Πέτρου, καὶ διώξεως ἀμφοτέρων, καὶ περὶ ἀναφορᾶς τῶν πεπραγμένων ὑπὸ τῆς Συνόδου ταύτης πρὸς τὸν Κωνσταντινουπόλεως καὶ τὴν ἐκεῖ Σύνοδον.

Ὁ προαρπάσας τὸν θρόνον τῆς Μητροπόλεως Ἀπαμείας Συρίας Πέτρος, ὁ ἐν τῷ ἀνωτέρῳ Παραγράφῳ ὑπὸ ἰου-

Ἰουστίνου ἐξορισθεὶς, εἰς τὴν μιαρὰν αὐτοῦ ζωὴν καὶ βλασφημίαν προσέθηκε καὶ τοῦτο, ζητούντων γὰρ Ἱερωμένων τινῶν χειροτονηθῆναι εἰς μείζονα βαθμὸν, ὡς ἦν τὸ δίκαιον, ἅτε ὄντος τοῦ καιροῦ τῆς ἡλικίας αὐτῶν ἁρμοδίου, ὁ Πέτρος ἀνένευε. Βιαζόντων δὲ αὐτῶν τὸν Πέτρον, αὐτὸς τέλος πάντων θυμωθεὶς, εἶπε, μὰ τὸν Ἰησοῦν ἐδοκίμασα τὴν νύκτα ταύτην ποιῆσαι ὑμᾶς ἀπὸ Ἀναγνωστῶν Διακόνους, ἵνα αὐτὸς ὁ σταυρωθεὶς κατελθὼν μὴ λυτρώσηται ὑμᾶς ἐκ τῶν χειρῶνμου. οἱ δὲ φρίξαντες εἰς τὴν βλασφημίαν, διδόασι λίβελλον τοῖς Ἐπισκόποις τῆς δευτέρας Συρίας, ὄντος ἔτι εἰς τὴν Ἀντιόχειαν τοῦ Σεβήρου. καὶ ἐξετάζουσιν οἱ Ἐπίσκοποι, καὶ εὑρίσκουσιν ἀληθινὰ τὰ ἐγκαλούμενα διὰ εἰκοσιπέντε μαρτύρων. εἶτα δέονται τῶν Ἐπισκόπων οἱ Κληρικοὶ, ἵνα ἀναφέρωσιν αὐτὰ τοῖς Ἄρχουσι τῆς Ἐπαρχίας, οἱ δὲ ἀνέφερον αὐτὰ πρῶτον τῷ Ἄρχοντι, δεηθέντες αὐτοῦ, ἵνα ἀναφέρῃ αὐτὰ τῷ Πατρικίῳ τῶν Ὀφφικίων, καὶ τοῖς Ἄρχουσιν ἑκατέρων τῶν δυνάμεων, τοῖς οὖσιν ἐν ἐκείνοις τοῖς μέρεσι, καὶ ἐκεῖνοι ἀναφέρωσιν αὐτὰ τῷ Βασιλεῖ, καθὼς καὶ ἡ Σύνοδος αὕτη τῶν Ἐπισκόπων προανέφερεν αὐτὰ τῷ Κωνσταντινουπόλεως. καὶ γίνονται βοαὶ ὑπὸ τοῦ λαοῦ τοιαῦται, τοῦ Βασιλέως καὶ τῆς Αὐγούστης, τῆς Συγκλήτου, τοῦ Ἐπάρχου Πρόβου, Ὑπάτου Βιταλιανοῦ καὶ Στρατηλάτου, Εὐτυχιανοῦ Κόμητος, Πατρικίου Μαγίστρου, τοῦ Πατριάρχου πολλὰ τὰ ἔτη. λέγουσιν ὁ λαὸς τὸν Σεβῆρον καὶ τοῦτον τὸν Πέτρον φονευτὰς, ἱεροσύλους, βλασφήμους, ἀσελγεῖς. ἔπειτα ζητοῦσιν οἱ Ἄρχοντες παρὰ τῶν Ἐπισκόπων τὴν γνώμην τῶν Κληρικῶν τῆς Ἀπαμείας, τί ἔτι βούλονται, καὶ ἀποκρίνονται διὰ Ῥωμανοῦ Ἀρχιδιακόνου, ἵνα μνημονεύωνται τὰ ὀνόματα τῶν Ἐπισκόπων Ἀντιοχείας τῶν ὀρθοδόξων ἀπὸ Δόμνου ἕως Ἰσαακίου, καὶ κρατῇ καὶ ἡ ἀρχαία κατάστασις. πρὸς τούτοις διδόασι τοῖς Ἄρχουσι καὶ τῇ ἐν Συρίᾳ συνόδῳ λίβελλον οἱ Μοναχοὶ τῶν Μοναστηρίων Ἀπαμείας Ἀρχιμανδρῖται δεκαεννέα καὶ ἄλλοι, λέγοντες τοὺς φόνους καὶ τὰ κακὰ Σεβήρου καὶ Πέτρου, καὶ ζητοῦσι κατὰ τὰ πεπραγμένα ἐν Κωνσταντινουπόλει ἐπὶ τοῦ Καππάδοκος διωχθῆναι Σεβῆρον καὶ Πέτρον. τέλος πάντων γράφει ἡ ἐν Συρίᾳ Σύνοδος πρὸς τὸν Κωνσταντινουπόλεως Ἰωάννην καὶ τὴν ἐνδημοῦσαν Σύνοδον, τῷ δεσπότῃ ἡμῶν τὰ πάντα ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πατρὶ πατέρων Ἀρχιεπισκόπῳ καὶ Οἰκουμενικῷ Πατριάρχῃ Ἰωάννῃ, καὶ τῇ κατὰ τὴν βασιλίδα τῶν πόλεων ἐνδημούσῃ ἁγίᾳ καὶ θεοτιμήτῳ Συνόδῳ. οἱ ἐλάχιστοι Ἐπίσκοποι τῆς δευτέρας Συρίας εὐχαριστοῦσιν, ὅτι ἔδωκεν ὁ Θεὸς Βασιλέα εὐσεβῆ, καὶ Ἀρχιερέα ψήφῳ τῆς θείας χάριτος ἀναφανέντα καὶ τὴν βασιλίδα τῶν πόλεων, τῶν ἀποστολικῶν ὑπερμαχοῦντα δογμάτων. ἀναφέρουσιν ὅσα ἔπραξαν κατὰ Πέτρου καὶ Σεβήρου, χαίρουσιν ὅτι καὶ ἐν Κωνσταντινουπόλει ταῦτα γέγονε, δέονται ἀποβληθῆναι καὶ τοὺς δύο, ἵνα ἔχωσιν αἱ Ἐκκλησίαι εἰρήνην.

ΠΑΡΑΓΡΑΦΟΝ Η΄.

Περὶ ἐπαναλήψεως συνοπτικῶς τῶν ἐν τῷ πρὸ τούτου βιβλίῳ συμβάντων σχισμάτων μεταξὺ Κωνσταντινουπολιτῶν καὶ Ῥωμαίων ἐπὶ Ἀκακίου Κωνσταντινουπόλεως καὶ Φίληκος Ῥώμης, καὶ τῶν καθεξῆς Πατριαρχῶν καὶ Παπῶν ἀπὸ Ζήνωνος μέχρις Ἰουστίνου τοῦ θρακὸς τῶν Βασιλέων, καὶ περὶ τῆς ἐπὶ Ἰουστίνου τούτου καὶ Ἰωάννου Κωνσταντινουπόλεως τοῦ Καππάδοκος Συνόδου, καὶ τῶν τοῦ Ὁρμίσδου Ῥώμης Λεγάτων, καὶ περὶ ὧν πλάττουσιν οἱ παπισταὶ παρὰ τοῦ Βασιλέως πρὸς τὸν Ῥώμης πρέσβεων εἰς στερέωσιν τῆς παπικῆς ἐξουσίας, καὶ ὧν λέγουσι ψευδολογιῶν καὶ τῶν ἐκ μέρους τοῦ Ἀκακίου ὄντων.

Εἴρηται εἰς τὸ πρὸ τούτου βιβλίον τὰ συμβάντα ἀναμεταξὺ τῶν Κωνσταντινουπολιτῶν καὶ Ῥωμαίων, ἀλλ' οὐδὲν κωλύει συνοπτικώτατα εἰπεῖν καὶ νῦν τινὰ περὶ αὐτῶν, συντείνοντα εἰς τὴν παροῦσαν ὑπόθεσιν. ὁ Ἀκάκιος τοσοῦτον μαχεσάμενος Βασιλίσκῳ διὰ τὴν ὀρθοδοξίαν, καὶ ἀγωνισάμενος μετὰ Σιμπλικίου καὶ Φίληκος τῶν Παπῶν κατὰ τοῦ Κναφέως τοῦ προσθέντος τὸ, ὁ σταυρωθεὶς δι' ἡμᾶς, ὡς Εὐάγριος καὶ ὁβίος Δανιὴλ τοῦ στυλίτου μαρτυροῦσιν, ὕστερον δὲ συναινέσας τῷ Ἑνωτικῷ Ζήνωνος, καὶ εἰς τὴν ἀνάκλησιν ἀπὸ τῆς ἐξορίας τοῦ Μογγοῦ συνθέμενος, πάλιν σφοδρῶς ἐφέρετο κατὰ τῶν ὁπωσδήποτε βλασφημούντων τὴν ἐν Χαλκηδόνι Σύνοδον, ὅθεν καὶ σχεδὸν οἰκονομικῶς φαίνεται κοινωνῆσαι τῷ Ἑνωτικῷ, ὡς ἐροῦμεν κατωτέρω κεφαλαίῳ δευτέρῳ, καὶ τῇ ἐπανακλήσει τοῦ Μογγοῦ. ὁ δὲ Πάπας τῆς Ῥώμης Φίληξ οὐκ ἔγραψεν εἰρηνικὰ τῷ Ἀκακίῳ, καὶ εἰ οὐκ εἰσήκουεν αὐτοῦ, ἵνα γράψῃ καὶ τῷ Ἱεροσολύμων ὄντι ὀρθοδοξοτάτῳ, καί τισιν ἄλλοις ἐγκρίτοις καὶ Ἀρχιερεῦσι καὶ ὁσίοις καὶ τὴν ἀρχαίαν συνήθειαν, οἷοι ἦσαν ὁ Δαμασκοῦ Πέτρος, Ἐπιφάνιος Τύρου, οἱ τῆς δευτέρας Συρίας Ἐπίσκοποι, καὶ τῆς Ἑλλάδος καὶ Θρᾴκης πολλοὶ, ἀλλὰ φερόμενος παρὰ Κανόνας, ἤτοι μόνος καὶ τοῦ Ἀκακίου, κρίνει αὐτὸν μόνος ὡς ἐξ ἰδίας αὐθεντίας, ἀλογήσας δὲ καὶ ὁ Ἀκάκιος τῶν ἐπιτιμήσεων τοῦ Φίληκος, καταφρονεῖ τῶν ἀφορισμῶν αὐτοῦ, καὶ διώκει τοὺς ἀνθρώπους αὐτοῦ ἀπράκτους, καὶ τέλος πάντων ἐκβάλλει αὐτὸν καὶ ἀπὸ τῶν Διπτύχων. μετὰ δὲ τὸν Ἀκάκιον γενόμενοι Πατριάρχαι ὅ, τε Εὐθύμιος καὶ Μακεδόνιος, ἄνθρωποι ὀρθοδοξότατοι καὶ ἁγιώτατοι, πάλιν εἶχον διχόνοιαν μετὰ τῶν Παπῶν, οἱ γὰρ Πάπαι ἔλεγον μὴ μνημονεύεσθαι εἰς Κωνσταντινούπολιν ἐν τοῖς Διπτύχοις τὸν Ἀκάκιον ὡς Αἱρετικὸν, οἱ δὲ Εὐθύμιος καὶ Μακεδόνιος γινώσκοντες τὸν Ἀκάκιον διὰ οἰκονομίαν συνθέμενον οὐς τὸ

ἑνωτικὸν

Ἑνωλικὸν Ζήνωνος, ἢ μεμφόμενοι ἴσως τῷ Ἀκακίῳ τοιαύτῃ οἰκονομίαν ὡς σφαλερὰν ἔσαν παρανομίαν, ἀλλ' οἰκονομοῦντες αὐτοί, οἱ γὰρ Βασιλεῖς καὶ ἄλλοι πολλοὶ ἀξιόλογοι εἶχοντο τοῦ Ἀκακίου, λοιπὸν ἐμνημόνευον αὐτοῦ ἐν τοῖς Διπτύχοις, ἔχοντες εἰς τοῦτο ὑπόδειγμα τὸν ἅγιον Κύριλλον, ὃς τὴν Θεόδωρον τὴν Μοψουεστίας ἀσεβέστατον γενόμενον πάντων ἀνθρώπων, ἔγραφε τῷ Κωνσταντινουπόλεως Πρόκλῳ μὴ ἐκβληθῆναι τῶν Διπτύχων, ἐπειδὴ πολλοὶ ἐν τῇ Ἀναγκῇ εἶχον αὐτὸν δι' ὀλιγωρίας, καὶ πρόξενεῖτο σχίσμα. ἀλλὰ δὴ καὶ ὅτε Κωνσταντίου ἐν Ῥώμῃ ὁ τότε Φίλιππος ὑπὸ Ἀρειανῶν χειροτονηθεὶς, καὶ τῶν Ἀρειανῶν συναινέτης ὤν, καὶ ζῶντος Λιβερίου, δι' οἰκονομίαν ἐδέχετο ὑπὸ τῆς καθόλου Ἐκκλησίας, ὥστε μετὰ τὴν ἐπανάκλησιν ὑπὸ τῆς ἐξορίας καὶ τὴν εἰς τὸν ἀρειανισμὸν συναίνεσιν Λιβερίου τοὺς δύο ὑποσκοπεῖν ἐν τῇ Ῥώμῃ καὶ τὸν αὐτὸν καιρόν. ἐμνημόνευον τοίνυν τοῦ Ἀκακίου καὶ οἱ δύο αὐτοί, καὶ ὁ μετ' ἐκείνους Φλαβίτης Τιμόθεος, καὶ Ἰωάννης ὁ Καππάδοξ, τοὺς δὲ Πάπας Φίλικα, Γελάσιον, Ἀνασάσιον, Σύμμαχον καὶ Ὁρμίσδαν μαχομένως πολυειδῶς καθ' αὐτῶν παρέβλεπον, καὶ εἰς ὕβριν ἐλογίζοντο. καὶ ἦν λοιπὸν σχίσμα εἰς τὰς δύο Ἐκκλησίας ἀπὸ Ζήνωνος ἕως τῆς ἀναῤῥήσεως τοῦ παρόντος Ἰουστίνου, ὃς λύσατο τὸν Κωνσταντινουπόλεως Ἰωάννου ἵνα ποιήσῃ Τοπικὸν Σώδον, πρὸς δὲ τοῖς ἄλλοις, καὶ τὰς Ἐκκλησίας Ῥώμης καὶ Κωνσταντινουπόλεως σύνοδον. γενομένης δὲ τῆς Σώδου, ἐσιωπήθησαν παντελῶς τὰ κατὰ τὸν Ἀκάκιον. τίθενται δὲ ἐν τοῖς Διπτύχοις Λέων ὁ Ῥώμης καὶ Εὐθύμιος καὶ Μακεδόνιος. καὶ ἐν μὲν τοῖς πρακτικοῖς τῆς Σώδου ταύτης οὐχ ὑφίσκεται παρεῖναι καὶ Λεγάτους τοῦ Ῥώμης, ὁ Κεδρηνὸς ὅμως ἴσορρεῖ παρεῖναι τῇ Σώδῳ τοὺς Ῥώμης πρέσβεις, οἵτινες συνεργείᾳ Βιταλίου τοῦ γράτου ἐπέμφθησαν ὑπὸ τοῦ Ὁρμίσδου Ῥωμαίων Ἐπισκόπου, καὶ δὴ καὶ ὁ Θεοφάνης λέγει, Ἐπισκόπους καὶ Κληρικοὺς ἐλθεῖν παρὰ Ῥώμης μετὰ αὐθεντίας τοῦ Ὁρμίσδου Πάπα εἰς Κωνσταντινούπολιν, ἦσαν δὲ ἔτοι, Γερμανὸς καὶ Ἰωάννης Ἐπίσκοποι, Φίληξ καὶ Διόσκορος Διάκονοι, καὶ Ελαίτης Πρεσβύτερος. ἀλλ' οἱ παπισαὶ ἱστορᾶσιν, ὡς δῆθεν ἔσταλεν ὁ Ἰουστῖνος πρέσβεις εἰς τὴν Ῥώμης Ὁρμίσδαν, ἵνα στερεώσῃ τὴν ἐξουσίαν τοῦ ἀποστολικοῦ θρόνου, καὶ σύνοδον τὰς Ἐκκλησίας, ᾗ ὅτι ὁ Ὁρμίσδας ἀθροισθεὶς σὺν τούτων, μετὰ καὶ τῆς γνώμης τοῦ ἀρχηγοῦ Θεοδωρίκου ἔσταλε πρέσβεις Ἐπισκόπους, Πρεσβυτέρους καὶ Διακόνους ἀνὰ δύο, καὶ ὅτι ἐδέξατο αὐτοὺς ὁ Βασιλεὺς μετὰ δορυφορείας ἐκκλησιαστικῆς, καὶ ὅτι ὁ Κλῆρος Κωνσταντινουπόλεως καὶ αὐτὸς Ἰωάννης ὁ Πατριάρχης, ἐχάρησαν. ὅσοι ὅμως ἦσαν ἀπὸ τοῦ μέρους τοῦ Ἀκακίου μαθόντες τὴν ἄφιξιν τῶν ἀποσολικῶν πρέσβεων, ἔφυγον εἰς σὰ Ναὸν, κἀκεῖθεν ἐμήνυσαν τῷ Βασιλεῖ, ὅτι καθ' ὁδὸν τρόπον κοινωνοῦσι τῇ γνώμῃ τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ἕως ἂν μὴ ἀποδώσῃ τὴν αἰτίαν ὁ Ῥώμης, δι' ἣν κατέκρινε τὸν Ἀκάκιον, ἀλλ' ὁ Βασιλεὺς ἐκβαλὼν αὐτοὺς βίᾳ, ἐδίωξε τῆς πόλεως. ταῦτα οἱ Λατῖνοι.

30

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι καὶ ἐκ τῆς ὑποσολῆς τοῦ Πάπα Ὁρμίσδου πρὸς τὸν Κωνσταντινουπόλεως Ἐπιφάνιον δείκνυται, ὅτι ἦσαν ἐν τῇ παρούσῃ ὑπὸ Ἰουστίνου τοῦ Θρᾳκὸς Σώδῳ Λεγᾶτοι τοῦ Πάπα, καὶ περὶ ὧν περιέχει ἡ ὑποσολὴ αὕτη, καὶ περὶ τῆς ὑπ' Ἐπιφανίου τοῦ Κωνσταντινουπόλεως Σώδου.

Καὶ ἐκ τῆς ὑποσολῆς, ἧς ἔσταλεν ὁ Ὁρμίσδας τῷ μετὰ τὸν Ἰωάννην Ἐπιφανίῳ Κωνσταντινουπόλεως, καιμένης καὶ αὐτῆς ἐν τοῖς ὑπὸ μηνᾶ πρακτικοῖς, φαίνεται ὅτι ἦσαν οἱ πρέσβεις αὐτοῦ εἰς Κωνσταντινούπολιν, οἵτινες, ὡς δοκεῖ, ἀποθανόντος μετὰ τὴν Σώδον τοῦ Ἰωάννου, ἀπῆλθον εἰς τὴν Ῥώμην μετὰ τῶν γραμμάτων τοῦ Ἐπιφανίου. Δι' ἃ τάττει ὁ Ὁρμίσδας γράφει αὐτῷ, καὶ συγχαίρει περὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης, καὶ αἰτεῖ αὐτῷ, ὅσοι τῶν Ἐπισκόπων ἐκοινώνησαν τοῖς Αἱρετικοῖς ἢ Διὰ φόβον, ἢ ἐξ ἀφροσύνης, καὶ ὑποτρέφονται εἰς τὴν σύνοδον τῆς καθολικῆς Ἐκκλησίας, καὶ δέχεται αὐτοὺς ὁ Ἐπιφάνιος, ἵνα δέχηται προσέτι αὐτοὺς καὶ ὡς ἐκ προσώπου αὐτοῦ, καὶ ποιῇ τὰ πρόσφορα, καὶ εἶτα πέμπῃ αὐτῷ εἴδησιν εἰς τὴν Ῥώμην, τί περιέχουσιν οἱ λίβελλοι. καὶ δὴ καὶ οἱ Ἱεροσολυμῖται Διὰ τὸ καυχηθῆναι τοὺς Μονοφυσίτας ὑπάρξαι ὁμόφρονα αὐτοῖς Ἰωάννην τὸν χρηματίσαντα Ἱεροσολύμων μετὰ τὸν Ἠλίαν, ὡς ἐνοεῖται ἀπὸ τῆς ὑποσολῆς τοῦ Παλαισινοῦ μοχικοῦ πρὸς Ἀλκίσωνα, καιμένης ἐν τῷ τέλει βιβλίῳ τοῦ Εὐαγγελίου, χρεία ἐστὶν ἵνα πέμψωσι καὶ εἰς ἡμᾶς τὴν ὁμολογίαν αὐτῶν ἢ μετὰ τῶν πρέσβεων ἡμῶν, ἢ Διὰ σοῦ, ἵνα ᾖ κοινὸς ἀνωφθὴ εἰς τὴν δυσέβειαν ἡ Ἐκκλησία, καὶ ὅτι τὰ τῶν πατέρων εἰσὶ τέλεια, καὶ προσθήκην οὐ δέχεται. ἔπεμψε δὲ μετὰ τοῦ γράμματος καὶ Ἐπίσκοπον Ἰωάννην καὶ Ἡράκλειανὸν Πρεσβύτερον καὶ Κωνσταντῖνον Διάκονον, καὶ ἐποίησε καὶ ὁ Ἐπιφάνιος Σώδον, καὶ ἀνεθεμάτισε Σεβῆρον, Πέτρον καὶ Ζώραν ἄλλον Αἱρετικὸν Μονοφυσίτην.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ἀποδείξεως ἐκ τοῦ δευτέρου, τρίτου καὶ τετάρτου τῶν Παραγράφων τοῦ πρώτου κεφαλαίου, ὅτι ὥσπερ ἐκ τοῦ Τίτλου οὐδέδοται τῷ Κωνσταντινουπόλεως μοναρχία ἐν τῇ καθόλου Ἐκκλησίᾳ, οὕτως οὐδὲ τῷ Ῥώμης ἐκ τοῦ Τίτλου, καὶ ὅτι καὶ Τοπικὴ Σύνοδος κρίνει καὶ Πάπας καὶ Πατριάρχας καὶ νομοθετεῖ, ἐξ ὧν, καὶ ἐκ τοῦ μηδεμίαν γεγονέναι μνήμην τοῦ Ῥώμης ἐν ταῖς πρὸς τὸν Βασιλέα καὶ τοὺς Ἄρχοντας καὶ τὸν Πατριάρχην εὐφημίαις, δείκνυται μὴ εἶναι αὐτὸν μονάρχην, ἢ κεφαλὴν ἐν τῇ καθόλου Ἐκκλησίᾳ.

Σημειωτέον εἰς τὰ ἀνωτέρω Παράγραφα, εἰς μὲν τὸ δεύτερον, ὅτι ἡ δευτέρα Συρία ἐκίνησεν ἀγωγὴν κατὰ τοῦ Σεβήρου Ἀντιοχείας πρὸς μόνον τὸν Κωνσταντινουπόλεως. δεύτερον, ὅτι γράφουσιν αὐτὸν Οἰκουμενικὸν, καὶ μάλιστα παρόντων καὶ τῶν Τοποτηρητῶν τοῦ Ῥώμης. εἰς δὲ τὸ τρίτον, ὅτι ὁ Κλῆρος καὶ ὁλαὸς Κωνσταντινουπόλεως τὸν Ἰωάννην ἐπιγράφουσιν ἁγιώτατον καὶ μακαριώτατον, λέγουσιν αὐτὸν πατέρα πατέρων, φημίζουσιν αὐτὸν Οἰκουμενικὸν Πατριάρχην, καὶ λοιπὸν μὴ ἐκθαμβοῦ βλέπων Θεόδωρον καὶ Ἰσχυρίωνα τοὺς Διακόνους, καὶ Ἀθανάσιον Πρεσβύτερον, καὶ Σωφρόνιον Χριστιανὸν, λέγοντας εἰς τοὺς κατὰ Διοσκόρου λιβέλλους αὐτῶν ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ τὸν Ῥώμης Λέοντα ἁγιώτατον καὶ μακαριώτατον καὶ Οἰκουμενικὸν Ἀρχιεπίσκοπον καὶ Πατριάρχην, ἐπειδὴ καθὼς ἐνταῦθα οἱ τοιοῦτοι Τίτλοι οὐκ ἔδωκαν τῷ Κωνσταντινουπόλεως ἀξίωμα εἰς τὴν καθόλου Ἐκκλησίαν, οὕτω μήτε ἐκεῖ δεδώκασιν οἱ τοιοῦτοι μοναρχίαν τῷ Ῥώμης. δεύτερον δὲ, ὃ καὶ παράδοξον, ὅτι ἡ ἐνδημοῦσα Σύνοδος εἰς Κωνσταντινούπολιν, καίτοι Τοπικὴ οὖσα, ὅμως ἐξετάσασα ὅσα ἐζήτει ὁ Κλῆρος καὶ ὁλαὸς χωρὶς τοῦ Πατριάρχου, ἐποίησε καὶ τὴν ἀπόφασιν, καὶ ὁρίζει τὸν Κωνσταντινουπόλεως τὸν Οἰκουμενικὸν πατέρα τῶν πατέρων ἡ Τοπικὴ Σύνοδος, ἵνα τὰ διωρισμένα παρ' αὐτῆς ἀναφέρῃ τῷ Βασιλεῖ. τρίτον, ἡ αὐτὴ Σύνοδος (καὶ ἰδὲ τὸ τοιοῦτον γράμμα κείμενον εἰς τὰ ἐπὶ Μηνᾶ ἐπὶ Ἰουστινιανοῦ πεπραγμένα) κρίνει καὶ τὸν Ῥώμης, ζητήσαντος γὰρ τοῦ Κλήρου καὶ τοῦ λαοῦ ἵνα τεθῶσιν ὁ Εὐθύμιος καὶ Μακεδόνιος οἱ Κωνσταντινουπόλεως Πατριάρχαι ἐν τοῖς Διπτύχοις, καὶ ἀνακομισθῶσι καὶ τὰ λείψανα αὐτῶν, καὶ προσέτι ἵνα τεθῇ ὁ Λέων Ῥώμης ἐν τοῖς Διπτύχοις, καὶ ἀναθεματισθῇ ὁ Σεβῆρος, ἡ Σύνοδος ἐποίησε ταῦτα, πρῶτον, ὅσα εἶπον περὶ τοῦ Ἀκακίου οἱ Πάπαι, μαχόμενοι Εὐθυμίῳ καὶ Μακεδονίῳ, καὶ εἰς ὅσα ἔσφαλεν ὁ Ἀκάκιος, ἐσιώπησε ταῦτα παντελῶς. δεύτερον, ὅσα εἶπον οἱ Πάπαι φερόμενοι κατὰ Εὐθυμίου καὶ Μακεδονίου, εἶπεν, ἐξετάσαντες ταῦτα, εὕρομεν ὅτι οὐκ ἐγένοντο μετὰ ἀκριβείας, ἐπειδὴ οὐπαρεσάλευσάν τι (οἱ κατηγορούμενοι οὗτοι δύο Πατριάρχαι) τῶν πρότερον τῇ ὀρθοδοξίᾳ πεφυλαγμένων, καὶ μαρτυρεῖ δικαίους ἡ Σύνοδος ἐκείνους, οὓς περ ὁ Φίληξ, Γελάσιος, Ἀναστάσιος, Σύμμαχος καὶ Ὁρμίσδας οἱ Πάπαι εἶχον ἀποβεβλημένους, καὶ δικαιοῖ ἐκείνους οὓς περ τοῦ Ῥώμης τὰ διπλώματα κατεφρόνουν, καὶ μάλιστα τοῦ Ὁρμίσδου ζῶντος καὶ τῶν Λεγάτων αὐτοῦ παρόντων. τρίτον, βάλλει εἰς τὰ Δίπτυχα Εὐθύμιον καὶ Μακεδόνιον, οὓς οἱ ποντίφικες τῆς Ῥώμης εἶχον ἀφωρισμένους καὶ καθῃρημένους. τέταρτον, βάλλει εἰς τὰ Δίπτυχα καὶ τὸν Λέοντα Ῥώμης. πέμπτον, ὁρίζει ἵνα ἀνακομισθῶσι τὰ λείψανα Εὐθυμίου καὶ Μακεδονίου. ἕκτον, κατατάττει αὐτοὺς μετὰ Παύλου τοῦ ὁμολογητοῦ καὶ τοῦ Χρυσοστόμου καὶ τοῦ ὁμολογητοῦ Φλαυϊανοῦ τῶν Πατριαρχῶν Κωνσταντινουπόλεως, οὓς καὶ οἱ Ῥωμαῖοι ἔχουσιν ἁγίους. ἕβδομον, ἐγένοντο ταῦτα, ὡς εἴρηται, παρόντων τῶν πρέσβεων τοῦ Ῥώμης, καὶ ὅτι καὶ Τοπικὴ Σύνοδος κρίνει καὶ ἀνακρίνει καὶ κατακρίνει καὶ δικαιοῖ Πάπας καὶ Πατριάρχας, καὶ νομοθετεῖ ἐν τῇ Ἐκκλησίᾳ τὰ μέγιστα. εἰς δὲ τὸ τέταρτον, ὁ λαὸς ἐξίσου εὐφημεῖ Βασιλέα, Ἄρχοντας, Πατριάρχην, καὶ οὐδεμία μνήμη τοῦ Ῥώμης. δεύτερον, ὅτι καὶ Κλῆρος καὶ λαὸς ἐκδικοῦσι τὴν ὀρθοδοξίαν, ὡς καὶ ἐπὶ Βασιλίσκου καὶ Ἀναστασίου, καὶ πῦ ἡ φλυαρία, ὅτι ὁ Ῥώμης ἐλέγχων τοὺς Βασιλεῖς, ἐστὶ κεφαλὴ τῆς καθόλου Ἐκκλησίας;

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ἀποδείξεως ἐκ τοῦ πέμπτου καὶ ἕκτου τῶν Παραγράφων τοῦ πρώτου κεφαλαίου, ὅτι αἱ πρὸς τοὺς ὑπὲρ τῆς πίστεως ἀγωνισαμένους Πατριάρχας, Πάπας, Μητροπολίτας καὶ Παπὰς εὐφημίαι, οὐπαρέχουσιν αὐτοῖς ἰδικὸν, ἢ μοναρχικὸν ἀξίωμα ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἀλλὰ κοινὴν καὶ ἀδελφικὴν κυβέρνησιν δηλοῦσιν.

Εἰς δὲ τὸ πέμπτον Παράγραφον, ἰδὲ ἁγιότητα τοῦ Κωνσταντινουπόλεως Ἰωάννου, πῶς τῆς μὲν Ῥώμης ἔχων τοὺς πρέσβεις, εἶτα μετὰ Συνόδου καὶ Βασιλέως ἔκρινεν. ἀλλ' εἰδὼς τὴν κυβέρνησιν τῆς Ἐκκλησίας μὴ εἶναι μοναρχικὴν, ἀλλὰ κοινὴν καὶ ἀδελφικὴν, καὶ εἰς τὸν Ἱεροσολύμων Ἰωάννην γράφει, ἵνα βεβαιώσῃ τὰ γενόμενα, καὶ εἰς τὸν Τύρου Ἐπιφάνιον, ἵνα ὦσι μόνιμα τὰ διορισθέντα, ὡς ἀπὸ κοινῆς γνώμης προηγμένα, ὅθεν καὶ ὁ Ἱεροσολύμων συνοδικῶς ἀποκρίνεται αὐτῷ, οὐδεμία δὲ μνεία ἰδικὴ τοῦ Ῥώμης. ἰδὲ ὅτι καὶ εἰς Τύρον γίνονται ἀναβοήσεις τοῦ λαοῦ, εὐφημοῦντος τὸν Βασιλέα, τὴν Αὐγοῦσταν, τοὺς Ἄρχοντας, τὸν Κωσταν-

Κωνσταντινουπόλεως, τὸν Τύρου ὡς ἀγωνιζόμενον ὑπὲρ τῆς εὐσεβείας ὡς τὸν Κωνσταντινουπόλεως τοῦτον Ἰωάννην, καὶ γνῶθι ὅτι καὶ Λέοντα οὕτως ἡ τετάρτη Σύνοδος ὑπερεπήνεσεν οὐ διὰ τὸν θρόνον, ἀλλὰ διὰ τὸν ἀγῶνα ὃν ἠγωνίσατο κατὰ Διοσκόρου καὶ Εὐτυχοῦς. ὅθεν οὐ πάντοτε καὶ πάντες οἱ Πατριάρχαι τοιουτοτρόπως εὐφημοῦνται, ἀλλ' ὅσοι, καὶ ὅτε κανονικῶς ἀγωνίζονται διὰ τὸ ὀρθόδοξον σέβας, οὐμέτοιγε ἔχουσιν ἐκ τῶν τοιούτων εὐφημιῶν ἀξίωμα ἐπὶ τῆς καθόλου Ἐκκλησίας. εἰς δὲ τὸ ἕκτον, ἰδὲ ὅτι ὁ θεοφόρος Σάββας καὶ Θεοδόσιος ὁ Κοινοβιάρχης, καίτοι Παπαὶ ὄντες καὶ οὐ Πάπαι, ἀγωνιζόμενοι ὑπὲρ τῆς εὐσεβείας, φυτεύουσι, καὶ ἐκριζοῦσι κατὰ τὸν Ἱερεμίαν, ἀλλ' οὐκ ἔχουσιν ἐκ τούτου ἀξίωμά τι ἐπὶ τῆς καθόλου Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ ἀποδείξεως ἐκ τοῦ ἑβδόμου Παραγράφου τοῦ πρώτου κεφαλαίου, ὅτι ἐξίσου ἐπιτιμῶσι τοῖς Κωνσταντινουπολίταις, καὶ ἐπιτιμῶνται παρ' αὐτῶν οἱ Πάπαι, καὶ ὅτι εἰ δῶμεν ἀληθὲς εἶναι τὸ τὸν Βασιλέα πέμψαι πρὸς τὸν Ῥώμης πρέσβεις, καὶ φυγεῖν, ἢ διωχθῆναι τοὺς ἐκ μέρους τοῦ Ἀκακίου ὄντας, οὐδιδόασι ταῦτα τῷ Ῥώμης μοναρχίαν, ὡς δείκνυται καὶ κατὰ παράθεσιν πολλῶν, ἀλλὰ μᾶλλον ὕφεσιν.

Εἰς δὲ τὸ ἕβδομον, ἰδὲ πρῶτον, ὅτι οἱ Πάπαι ἐπιτιμῶντες τοῖς Κωνσταντινουπολίταις, ἐξίσου ἀντεπιτιμῶνται, καὶ αἱ καθαιρέσεις εἰς οὐδὲν λογίζονται. δεύτερον, ὁ Θεοφάνης λέγει, ὅτι ὁ Ῥώμης Ὁρμίσδας ἔστειλε πρέσβεις εἰς Βυζάντιον, δοὺς αὐτοῖς τὴν ἰδίαν αὐθεντίαν, οὐμὴν ὅτι ἔστειλεν ὁ Ἰουστῖνος πρέσβεις εἰς Ῥώμην λέγει, ὅμως δοθέντος τοῦ ἔστειλε, μήτε τοῦτο ἀξίωμά τι δίδωσι τῷ Ῥώμης, ἐπειδὴ καὶ ὁ μέγας Κωνσταντῖνος ἔστειλεν εἰς τὸν Ἀλεξανδρείας Ἀλέξανδρον Ὅπον τὸν Κουδρούβης, καὶ Θεοδόσιος ὁ μικρὸς καὶ πρέσβεις Ἄρχοντας καὶ γράμματα ἔστειλεν εἰς Ἰωάννην τὸν Ἀντιοχείας, ὡς γράφει αὐτὸς ὁ Ἰωάννης εἰς τὸν Ῥώμης Ξύστον, καὶ εἰς Κύριλλον τὸν Ἀλεξανδρείας, καὶ εἰς τὸν Κωνσταντινουπόλεως Μαξιμιανὸν, καὶ Συμεὼν τὸν στυλίτην ἔβαλε μεσίτην ὁ Βασιλεὺς ἵνα εἰρηνοποιήσῃ μετὰ τοῦ ἁγίου Κυρίλλου τὸν Ἀντιοχείας, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν ἕκτον. ἀλλ' ἐκ τούτου μήτε ὁ Ἀλεξανδρείας Ἀλέξανδρος, μήτε ὁ Ἀντιοχείας Ἰωάννης ἔλαβον ἀξίωμα ἐπὶ τῆς καθόλου Ἐκκλησίας, ἄρα οὔτε ἡ Ῥώμη ἔλαβε τοιοῦτον ἀξίωμα διὰ τὸ πέμψαι τὸν Ἰουστῖνον εἰς τὴν Ῥώμην περὶ εἰρήνης καὶ ὁμονοίας ἐκκλησιαστικῆς πρέσβεις. τρίτον, ὅτι οἱ τοιοῦτοι πρέσβεις εἰ ἀπῆλθον ἵνα στερεώσωσι τοῦ ἀποστολικοῦ θρόνου τὴν ἐξουσίαν, ἡ ἐξουσία αὕτη ὅμως δοθεῖσα, οὐκ ἔχει λοιπὸν τὴν ἀρχὴν ἀπὸ τοῦ Χριστοῦ ἢ τοῦ Πέτρου, ἀλλ' ἀπὸ τῶν Βασιλέων, ὡς βούλεται τὸ θέσπισμα τοῦ Κωνσταντίνου, ἀλλ' ἐκεῖνο ἐδείχθη πλάσμα, ἄρα ἡ τοιαύτη ἐξουσία πλάσμα. τέταρτον, οἱ πρέσβεις τίνα στερέωσιν ἐποίησαν εἰς τὴν Ῥώμην τοῦ ἀποστολικοῦ θρόνου, ἡμῖν ἄδηλον, ἐξ ἀδήλων δὲ τὶ συμπεραίνεται; πέμπτον, ἐλθόντων τῶν πρέσβεων τοῦ Πάπαι εἰς τὴν Κωνσταντινούπολιν, καὶ παρόντων εἰς τὴν Σύνοδον, τὸ ἐναντίον τῆς ἐξουσίας τοῦ ἀποστολικοῦ θρόνου ὡρίσθη, καθότι ὅσα οἱ Πάπαι κατὰ Ἀκακίου πεποιήκασιν, ἐσιωπήθησαν, ὅσα δὲ κατὰ Εὐθυμίου καὶ Μακεδονίου διεπράξαντο, ὡς παράλογα ἀπεβλήθησαν, οἱ καθαιρεθέντες, ὑπὸ τῶν Συνόδων ἐδικαιώθησαν, εἰς τὰ Δίπτυχα ἐτέθησαν, τὰ λείψανα αὐτῶν ἀνεκομίσθησαν, μετὰ τῶν ἐγκρίτων ἁγίων συνετάχθησαν. ὥστε ἐπειδὴ ὅλα γεγόνασιν εἰς τὴν Σύνοδον τὰ ἐναντία τῆς ἐξουσίας τοῦ ἀποστολικοῦ θρόνου, οἱ πρέσβεις καθὼς ἱστοροῦσιν οἱ ἀρχαῖοι οὐκ ἀπῆλθον, μήτε ἦλθον δι' ἄλλην αἰτίαν, εἰ μὴ διὰ τὴν ἕνωσιν τῶν Ἐκκλησιῶν, ὅπερ καὶ γέγονεν. ἕκτον, οἱ φυγόντες, ἢ καὶ διωχθέντες διὰ τὴν εἰς Βυζάντιον ἄφιξιν τῶν Λεγάτων τοῦ Ῥώμης, ὡς δῆθεν ὄντες ἀπὸ τοῦ μέρους τοῦ Ἀκακίου, δοθέντος τοῦ εἶναι ἀλήθειαν, ἀξίωμα οὐδιδόασι τῷ Ῥώμης μοναρχίας, μάλιστα δὲ ὕφεσιν, ἐπειδὴ ἐζήτουν εἰς τὸν Βασιλέα κριθῆναι μετὰ τοῦ Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'

Περὶ ἀποδείξεως ἐκ τοῦ ὀγδόου καὶ ἐνάτου τῶν Παραγράφων τοῦ πρώτου κεφαλαίου, ὅτι ἐκ τοῦ τοὺς τῆς Ἀπαμείας Κληρικοὺς, ὄντος Αἱρετικοῦ τοῦ Ἀντιοχείας, κριθῆναι εἰς τοὺς τῆς Ἐπαρχίας Ἐπισκόπους καὶ εἰς τοὺς Ἄρχοντας ἄνευ τινὸς μνήμης τοῦ Ῥώμης, καὶ ἐκ τοῦ ἔγκλημα μέγιστον εἶναι τὸ μὴ ἐξακολουθεῖν κατὰ τὸν Ἐπιφάνιον τοῖς διαλάμψασιν ἐν τοῖς μεγίστοις πατριαρχικοῖς θρόνοις, πᾶσα καθαίρεσις τῆς μοναρχικῆς ἐξουσίας τοῦ Ῥώμης μαρτυρεῖται.

Εἰς τὸ ὄγδοον, ἰδὲ πρῶτον, πῶς οἱ Κληρικοὶ τῆς Ἀπαμείας, ὄντος τοῦ Πατριάρχου Ἀντιοχείας Αἱρετικοῦ, κρίνονται εἰς τοὺς Ἐπισκόπους τῆς Ἐπαρχίας καὶ εἰς τοὺς Ἄρχοντας, καὶ οὐκ ἔστι μνήμη τοῦ Ῥώμης, ἀλλὰ τοῦ Κωνσταντινουπόλεως ὡς δυναμένου παρὰ τῷ Βασιλεῖ, καὶ ὀρθοδόξως ἀγωνιζομένου κατὰ τῆς Αἱρέσεως ὅση δύναμις. δεύτερον, ἰδοὺ πάλιν ἵνα λάβωσι τέλος τὰ κεκριμένα, ἔρχονται εἰς Πατριάρχην καὶ εἰς τὸν Βασιλέα, τὸν δὲ Κωνσταντινουπόλεως πάλιν πατέρα καὶ τὰ πάντα ἁγιώτατον καὶ μακαριώτατον καὶ Οἰκου-

Οἰκουμενικὸν λέγουσι, καὶ ἄλλα αὐτῷ λέγουσιν ἐγκώμια, καὶ ἰδὲ τοὺς τόπους, ἅτινα πάντα καθαίρεσιν πάσης μοναρχικῆς ἐξουσίας εἰς τὴν Ἐκκλησίαν μαρτυροῦσι, καὶ δῆλον ὅτι καὶ οἱ τότε Πάπαι ἦσαν ἀνώτεροι τῶν τήμερον ἤδη νεωτερισμῶν, καὶ μήτε καὶ εἰς νοῦν ταῦτα εἶχον, ἀλλὰ διὰ τὸ ὀρθόδοξον σέβας πολυειδῶς ἠγωνίζοντο, καὶ διὰ λόγων καὶ διὰ γραμμάτων παῤῥησιαζόμενοι ἐνώπιον Βασιλέων καὶ λαῶν, καθὼς ἀπῄτει ὁ καιρὸς καὶ τὰ πράγματα, ὡς καὶ οἱ λοιποὶ ὀρθόδοξοι καὶ ἅγιοι πατέρες. εἰς δὲ τὸ ἔνατον, εἰς τὴν ἀπόφασιν ἣν ἐποίησεν ἐν ἐκείνῃ τῇ Συνόδῳ ὁ Ἐπιφάνιος λέγει, ὥστε καὶ ἐγκλήματος ἐστὶ μεγίστου τὸ μὴ τούτοις ἐξακολουθεῖν τοῖς οὐμικροὺς ἱδρῶτας ἐσχηκόσιν ὑπὲρ τῆς κοινῆς τῶν ἁγιωτάτων Ἐκκλησιῶν εἰρήνης, καὶ ἐν τοῖς μεγάλοις καὶ Πατριαρχικοῖς διαλάμψασι θρόνοις. καὶ σὺ λοιπὸν ἰδὲ πῶς τὸ ἀξίωμα τοῦ Ῥώμης ὡς μονάρχου καὶ αὐτοκράτορος τῆς Ἐκκλησίας, ὅταν ἐξίσου οἱ Πατριαρχικοὶ θρόνοι καὶ μνημονεύωνται καὶ τιμῶνται, καὶ ἐξίσου μεγάλοι ὀνομάζωνται.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη, κατὰ τῶν Νεστοριανῶν τοῦτο Μοναχῶν τινῶν Σκυθῶν καλουμένων λεγόντων, καὶ περὶ Βίκτορός τινος Διακόνου σὺν τοῖς ἐν Κωνσταντινουπόλει οὖσι Λεγάτοις τοῦ Ὁρμίσδου Ῥώμης βλάσφημον τὸ ῥητὸν τοῦτο τῶν Μοναχῶν, καὶ κατὰ τῶν τεσσάρων Συνόδων καὶ τοῦ τόμου τοῦ Λέοντος εἶναι ἀμαθῶς λεγόντων.

Ἐν ἔτει πεντακοσιοστῷ τεσσαρεσκαιδεκάτῳ ἐπατριάρχευσεν εἰς τὴν Ῥώμην ὁ Ὁρμίσδας, τίμιος, καὶ εἴπερ τις ἄλλος τῆς εὐσεβείας ἐραστὴς, ὅς τις εἶχεν εἰς Κωνσταντινούπολιν πρέσβεις Γερμανὸν καὶ Ἰωάννην Ἐπισκόπους, Φίληκα καὶ Διόσκορον Διακόνους, καὶ Βλάντον Πρεσβύτερον, ὡς εἴρηται ἀνωτέρω. συνέβη δὲ ζήτημα ἀναμέσον τινῶν μοναχῶν Σκυθῶν ἐπικαλουμένων καὶ Διακόνου τινὸς Βίκτορος καλουμένου, ἔλεγον γὰρ οἱ μὲν Σκῦθαι, ὅτι ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη, ὁ δὲ Βίκτωρ ὡς βλάσφημον ἀπεποιεῖτο τὸν λόγον. συνεφώνησαν δὲ οἱ πρέσβεις τοῦ Ὁρμίσδου τῷ Βίκτορι, διϊσχυριζόμενοι, ὅτι οὐ δεῖ λέγειν ἡμᾶς ἐσταυρώθη ὁ εἷς τῆς Τριάδος, ἵνα μὴ δόξῃ λέγειν ἡμᾶς καινόν τι, ὅπερ οὐκ εἶπον αἱ τέσσαρες Σύνοδοι, μήτε ὁ τόμος τοῦ Λέοντος, ὅθεν ἄνευ ὕβρεως τῶν τεσσάρων Συνόδων καὶ τοῦ τόμου τοῦ Λέοντος καὶ τῆς καθολικῆς Ἐκκλησίας οὐκ ἔστι δυνατὸν λέγεσθαι τὸν λόγον τοῦτον, οὗπερ διηυθέντων οἱ Μοναχοὶ Σκῦθαι, εἰ καὶ προσεποιοῦντο λέγειν αὐτὸν διὰ τοὺς Νεστοριανούς. οἱ δὲ Μοναχοὶ Σκῦθαι ἔλεγον, ὅτι οὐκ ἠθέτουν οὔτ' ἐν βραχεῖ τὰς τέσσαρας ἁγίας Συνόδους καὶ τὸν τόμον Λέοντος, καὶ ὅτι κατὰ τὴν ἐξουσίαν τοῦ ἐπαγγέλματος αὐτῶν ἡ ἔννοια καθ' ἣν ἐκλαμβάνουσι τὸν λόγον οὐκ ἔστι δυνατὸν μήτε ἀποβληθῆναι μήτε κατακριθῆναι, ἐπειδὴ δι' ἀποβολὴν τῶν Νεστοριανῶν, καὶ ἵνα μὴ φαίνωνται εἰς οὐδὲν κοινωνεῖν Νεστοριανοῖς, καὶ ἵνα μὴ ἔχῃ ἡ Αἵρεσις λαβήντινα εἰς τὴν Ἐκκλησίαν ἔλεγον τὸν λόγον, τοσοῦτον, ὅτι ὁ μὴ λέγων οὕτως, ἐστὶ Νεστοριανός. ταῦτα δὲ λέγοντες, εἰς οὐδὲν ἐλογίζοντο τοὺς πρέσβεις λέγοντας, ὅτι δι' εὐλάβειαν τῶν τεσσάρων Συνόδων καὶ διὰ τὸν τόμον Λέοντος, οὐχ ἁρμόζει γίνεσθαί τινα καινοτομίαν οὔτε κἂν εἰς τινὰ λέξιν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς εἰς Ῥώμην πρὸς τὸν Πάπαν Ὁρμίσδαν ἀποδημίας τῶν Μοναχῶν Σκυθῶν, καὶ τῆς ὑπ' αὐτοῦ διώξεως αὐτῶν ὡς Αἱρετικῶν, διὰ τὸ μὴ δυνηθῆναι δοῦναι αὐτοῖς ἀπόκρισιν εἰς τὸ ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη.

Ἀποποιησάμενοι τοὺς πρέσβεις τῆς Ῥώμης ὡς Νεστοριανοὺς οἱ Μοναχοὶ Σκῦθαι, ἀπῆλθον εἰς Ῥώμην, ἐλπίζοντες λήψεσθαι τὴν τοῦ Πάπα συναίνεσιν, καὶ καταφρονῆσαι τῶν λόγων τῶν Λεγάτων. ἀλλ' ὁ πάπας προμαθὼν ταῦτα ἀπὸ ἐπιστολῶν τῶν Λεγάτων, ἤτοι τῶν πρέσβεων αὐτοῦ, καὶ μὴ δυνηθεὶς ἀποδοῦναι λόγον τοῖς Μοναχοῖς Σκύθαις, ἀπεδίωξεν αὐτούς. λέγεται δὲ ταῦτα εἰς τὴν προσβολὴν, εἴτουν ἀντίληψιν τούτων τῶν πρέσβεων εἰς Ὁρμίσδαν, ἥτις ἄρχεται, ΕΠΕΙΔΗ ΘΕΙΩ ΕΛΕΕΙ. καὶ ἐν τῇ ἀντιλήψει Διοσκόρου Διακόνου, ἥτις ἄρχεται, ΑΛΗΘΕΣ ΕΣΤΙΝ. αἵτινες εὑρίσκονται εἰς τὸ δεύτερον βιβλίον τῶν ἐπιστολῶν τοῦ Ὁρμίσδου μετὰ τὴν ἑξηκοστὴν πέμπτην ἐπιστολὴν καὶ τὴν προσβολὴν τοῦ Διοσκόρου εἰς τὸν Ὁρμίσδαν, ἧς ἡ ἀρχὴ, ΔΙΑ ΕΥΛΟΓΙΟΥ. καὶ εὑρίσκεται καὶ αὕτη μετὰ τὴν ἑξηκοστὴν ἑβδόμην ἐπιστολὴν τοῦ Ὁρμίσδου εἰς τὴν ἑβδομηκοστὴν ἐπιστολὴν τοῦ αὐτοῦ Ὁρμίσδου, ἣν ἔστειλε πρὸς Πεσώριον Ἐπίσκοπον Ἀφρικῆς, καὶ εἰς τὴν ἀπόκρισιν Ἰωάννου Πρεσβυτέρου καὶ Ἀρχιμανδρίτου τοῦ

Μαξεν-

Μαξεντίου, ἀνδρὸς σοφωτάτου, ὃς ἤκμαζε τότε εἰς Κωνσταντινούπολιν, ὃς ἔγραψε κατ' αὐτῆς τῆς πρὸς Πεσώριον ἐπιστολῆς τοῦ Ὀρμίσδου, δι' ὧν φαίνεται ὅτι διὰ τὸ ὁμολογεῖν τοὺς Μοναχοὺς Σκύθας ὅτι ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη, καὶ φρονεῖν ὅτι λέγουσι τοῦτο κατὰ τὴν ἔννοιαν τῶν τεσσάρων Συνόδων, ὁ Ὀρμίσδας καὶ οἱ πρέσβεις αὐτοῦ ἔλεγον εἶναι αὐτοὺς Αἱρετικοὺς, ὡς δηλοῦσι καὶ αἱ ἐνστάσεις καὶ λύσεις αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς διαλέξεως τῶν Μοναχῶν Σκυθῶν μετὰ τῶν περὶ τὸν Πάπαν Ὀρμίσδαν εἰς τὸ ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη ῥητόν.

Οἱ Σκῦθαι ἔλεγον, ὅτι ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη, οἱ περὶ Ὀρμίσδαν ἔλεγον, τοῦτο οὔτε οἱ πατέρες οὔτε αἱ Σύνοδοι εἶπον, καὶ ἀρκεῖ εἰς διδασκαλίαν πᾶσαν ἡ ἁγία ἐν Χαλκηδόνι Σύνοδος ἔλεγον, ἐν ᾗ συμπεριέχονται καὶ αἱ λοιπαὶ Σύνοδοι καὶ ὁ τόμος Λέοντος, νεωτερισμὸν δὲ εἰσαγαγεῖν τινὰ εἰς τὴν Ἐκκλησίαν, οὔτε βουλόμεθα, οὔτε πρέπει, καὶ εἴτι νέον προσήχθη, ἀποβλητέον, καθότι τὸ μὴ γεγραμμένον εἰς τὰς Συνόδους καὶ εἰς τὸν τόμον, οὔτε λέγομεν, οὔτε δεχόμεθα. οἱ δὲ Σκῦθαι ἔλεγον, ἡμεῖς ἐδεξάμεθα τὸν λόγον, καὶ αἰτοῦμεν ἵνα ἑρμηνεύσητε τοῦτον ἡμῖν, ὅτι οὐκ ἀρκεῖ ὡς ἐξετέθη, ἐὰν μὴ ἑρμηνευθῇ ὁ σκοπὸς τῆς Συνόδου. ἡμεῖς κατὰ τῆς Αἱρέσεως τοῦ Νεστορίου ὁμολογοῦμεν σταυρωθῆναι τὸν ἕνα τῆς Τριάδος, καὶ κατὰ ταύτην τὴν ἔκθεσιν δεῖ ἐξηγηθῆναι καὶ τὴν Σύνοδον, τὸ γὰρ ἄλλως λέγειν, Νεστοριανῶν ἐστίν. οἱ περὶ Ὀρμίσδαν πάλιν ἔλεγον, ὁ λόγος οὗτος οὐδέποτε παρὰ τῶν πατέρων εἰσήχθη, ἐπειδὴ ἀναμφιβόλως ἀπρεπής ἐστι τῇ καθολικῇ πίστει, καθότι ἐστὶν ἰὸς καὶ παμβέβηλον σπέρμα τῶν διαβολικῶν ζιζανίων, ὅθεν καὶ αἱ λέξεις αὗται σφαλεραὶ καὶ ἡ διάνοια αἱρετική.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς πρὸς Πεσώριον ἐπιστολῆς τοῦ Πάπα Ὀρμίσδου κατὰ τῶν Μοναχῶν Σκυθῶν, καὶ τῆς κατ' αὐτῆς συγγραφῆς Ἰωάννου τοῦ Μαξεντίου, καὶ ἀναθεματισμῶν ὡς ἐκ μέρους τῶν Σκυθῶν κατὰ τῶν μὴ φρονούντων ὡς οἱ Μοναχοὶ Σκῦθαι φρονοῦσι.

Ἐπανῆλθον οἱ Σκῦθαι εἰς Βυζάντιον, καὶ ἰδόντες τὴν ἐπιστολὴν τοῦ Ὀρμίσδου γραφεῖσαν κατ' αὐτῶν πρὸς Πεσώριον, ἵνα καυχῶνται ἐν αὐτῇ οἱ ἐχθροὶ αὐτῶν, καὶ οἱ βοηθοὶ τῶν Νεστοριανῶν, ἐδυσχέραινον, ὅθεν ὁ ὁμόφρων αὐτοῖς Ἰωάννης ὁ Μαξέντιος συγγράψας, ἰσχυρῶς κατεφρόνησε καὶ ἀπέβαλε τὴν ἐπιστολὴ τοῦ Ὀρμίσδου, εἰ καὶ δι' εὐλάβειαν οὐκ αἰτιᾶται τὸν Ὀρμίσδαν, ἀλλὰ τοὺς Νεστοριανοὺς, ὑφ' ὧν καὶ πεπλασμένην ἐνόμιζε τὴν ἐπιστολὴν, ὕστερον ὅμως βεβαιωθεὶς εἶναι αὐτὴν τοῦ Ὀρμίσδου, ἐβόησεν ἰσχυρῶς, καὶ μετὰ πολλῶν μαρτυριῶν ἐφανέρωσε τὸν συγγραφέα τῆς ἐπιστολῆς ταύτης Αἱρετικὸν εἶναι καὶ ἐχθρὸν τῆς καθολικῆς Ἐκκλησίας, εἴτε Ὀρμίσδας εἴη ὁ τοιοῦτος, εἴτε ἄλλος τίς. εἶτα ἐκ μέρους τῶν Μοναχῶν συνέθετο αὐτὸς ὁ Ἰωάννης δέκα ἀναθεματισμοὺς κατὰ τῶν μὴ οὕτω φρονούντων ὡς οἱ Σκῦθαι ἐφρόνουν, οὓς εὑρήσεις εἰς τοὺς εἰρημένους τόπους, ἀφ' ὧν ἐνομίσθησαν Εὐτυχιανισταὶ οἱ Σκῦθαι. εἰ δὲ δοκεῖ, ῥητέον τινὰ ἐξ ὧν ἔγραψεν ὁ Μαξέντιος κατὰ τῆς ἐπιστολῆς τοῦ Ὀρμίσδου. λέγει γοῦν ταῦτα ῥητῶς, τὸν ποιητὴν τῆς ἐπιστολῆς ταύτης Αἱρετικὸν εἶναι ὁποιοσοῦν εἴη, καὶ ἐχθρὸν τῆς καθολικῆς Ἐκκλησίας, ἀναμφίβολόν ἐστιν. αὐτοὶ γὰρ οἱ Αἱρετικοὶ πανταχοῦ αὐτὴν τὴν ἐπιστολὴν πρὸς ἣν ἀποκρινόμεθα περιφέρουσιν, ὡς καὶ οἱ πάντες σχεδὸν ἐκ τῆς ἐξουσίας αὐτοῦ τοῦ Ῥώμης Ἐπισκόπου κωλύονται Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ ἕνα ὁμολογεῖν τῆς Τριάδος. ἀλλὰ τὶς τὴν δόξαν ταύτην μὴ εἶναι καθολικὴν ἐτόλμησεν ὁμολογῆσαι, ἥνπερ ἡ οἰκουμενικὴ σέβεται καὶ δέχεται τοῦ Θεοῦ Ἐκκλησία; τολμῶ γὰρ εἰπεῖν, εἰ οὐμόνον δι' ἐπιστολῆς, ἀλλ' εἰ καὶ διὰ φωνῆς ζώσης ὧδε παρὼν αὐτὸς ὁ Ῥώμης ἐμαρτύρει Ἐπίσκοπος, κωλύων ὁμολογεῖν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ ἕνα τῆς ἁγίας καὶ ἀδιαιρέτου Τριάδος, οὐδέποτε ἂν ἔμεινεν αὐτῷ τοῦ Θεοῦ ἡ Ἐκκλησία, οὐδέποτε αὐτὸν ὡς Ἐπίσκοπον καθολικὸν ἐσέβετο, ἀλλ' ὡς Αἱρετικὸν κατηρᾶτο. ἐν οἷς σημείωσαι ὅτι ὁ περί τινος τοιαῦτα ὁμιλῶν, ἄρα ἐνόμιζεν ἐκεῖνον ἢ αὐτοκράτορα, ἢ ἀναμάρτητον;

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ τίνες ἀντέστησαν τῷ Πάπᾳ Ὀρμίσδᾳ καὶ τῷ μετ' αὐτὸν Ἰωάννῃ, ἁμαρτήσασιν εἰς τὸ ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη ῥητὸν, καὶ ὅτι Βαρώνιος καὶ Βίνιος εἰς τὰς διαυθεντεύσεις ὁμολογοῦσι καλὴν τὴν ἔννοιαν τῶν Σκυθῶν, ἐξ ὧν δείκνυται σφαλῆναι Φίληκα τὸν τέταρτον, τὸν τοὺς Μοναχοὺς Σκύθας κατακρίναντα.

Ῥητέον ὅμως καὶ ἡμῖν πρῶτον, ὅτι ἔδει τὸν Πάπαν διαιρῆσαι πῶς ἐννοούμενος ὁ λόγος ὁ, ἐσταυρώθη ὁ εἷς

ὁ εἷς τῆς Τριάδος, οὐδέχεται αὐτὸν ἡ Ἐκκλησία, καὶ μὴ ἁπλῶς αὐτὸν πρῶτον ἀποβαλεῖν τὸν λόγον, καὶ ὕστερον τὸν μετ' αὐτὸν Πάπαν Ἰωάννην τὸν δεύτερον ἐν τῷ πεντακοσιοστῷ τριακοστῷ τετάρτῳ ἔτει, ὅτι τοῦτο ἐστὶν Αἵρεσις, ὅθεν ἀντήχθη αὐτοῖς ὁ Μαξέντιος, ὁ Αὐτοκράτωρ Ἰουστινιανὸς καὶ ἡ πέμπτη Οἰκουμενικὴ Σύνοδος, εἰποῦσα ὅτι ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη. δεύτερον, ὅτι καθ' ἣν οἱ Σκῦθαι ἔννοιαν ἔλεγον τὸν λόγον οὐχ ἡμάρτανον, μάρτυς ὁ Βαρώνιος ἐν τῷ ἔτει πεντακοσιοστῷ τριακοστῷ τρίτῳ, λέγων, τοῦ λοιποῦ ἐν τούτῳ τῷ ζητήματι μνημονευτέον ταύτην τὴν γνώμην, ἐν ᾗ ὁ εἷς τῆς Τριάδος σαρκὶ σταυρωθῆναι λέγεται, μηδέποτε ἀποβληθεῖσαν παρὰ τοῦ ἀποστολικοῦ θρόνου ὡς αἱρετικὴν, ἀλλὰ πρὸς καιρὸν μόνον ἐξορισθεῖσαν ὡσεὶ νέαν καὶ ὕποπτον, ἵνα μὴ ὑπὸ τῆς γνώμης τῶν Σκυθῶν Μοναχῶν ἡ τῶν Εὐτυχιανῶν κακοδοξία ὑποκρύπτηται, ὅμως εἰ ὁ δόλος ἀπέστη, οὐκ ἦν ἀποβλητέα, ὅθεν μεταβληθέντων τῶν προσώπων, καὶ ἤδη καταχρωμένων τῶν Νεστοριανῶν καὶ τῶν Ὠριγενιαστῶν, τῇ ἐξουσίᾳ τῇ ἀποστολικῇ καὶ αὐτοῦ τοῦ Ὁρμίσδου ἄνευ ὕβρεως τοῦ θρόνου ἔδοξεν ἀναμφιβόλως μετακαλέσαι τὴν γνώμην αὐτὸν ἐκεῖνον. ἔτι ἐν ταῖς διαυθεντεύσεσιν, ἃς ποιοῦσιν ὁ Βαρώνιος καὶ Βίνιος, λέγουσιν, οἱ Σκῦθαι οὐ τῇ αὐτῇ ἐννοίᾳ σταυρωθῆναι εἰρήκασι τὸν ἕνα τῆς Τριάδος, καθ' ἣν κατεκρίθησαν ὑπὸ τοῦ τετάρτου Φίληκος, καὶ καθ' ἣν Πέτρος ὁ Φούλων ὁ Εὐτυχιανὸς ὁ Αἱρετικὸς ἐλάμβανεν αὐτὴν, τὸν ἕνα τῆς Τριάδος λέγων σταυρωθῆναι ὑπὲρ ἡμῶν ἐν τῇ οὐσίᾳ τῆς Θεότητος. καὶ λοιπὸν δῆλον, ὅτι τῇ ἐννοίᾳ καθ' ἣν αὕτη ἡ γνώμη παρὰ τῶν Σκυθῶν καὶ τοῦ Μαξεντίου διηυθεντεῖτο, μὴ εἶναι αἱρετικὴν ὁμολογοῦσι Βαρώνιος καὶ Βίνιος. εἰ οὖν καλὴ, ἔσφαλε Φίληξ ὁ τέταρτος ὁ κρίνας ταύτην αἱρετικήν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ Βαρωνίου καὶ Βινίου τῶν τὴν ἀλήθειαν λυμαινομένων τρισὶ ψεύδεσιν εἰς κατάκρισιν τῶν Μοναχῶν Σκυθῶν καὶ ἀθῴωσιν Ὁρμίσδου καὶ Φίληκος, καὶ περὶ ἀνατροπῆς τῆς πρώτης αὐτῶν ψευδολογίας, τῆς ὅτι οἱ Μοναχοὶ Σκῦθαι ἦσαν Αἱρετικοί.

Καίπερ ἡ ἀπολογία Βαρωνίου καὶ Βινίου μαρτυρεῖ τὸν λόγον τῶν Σκυθῶν μὴ εἶναι αἱρετικὸν, ὅμως λυμαίνεται τὴν ἀλήθειαν πρὸς ἀθῴωσιν Ὁρμίσδου καὶ Φίληκος καὶ κατάκρισιν τῶν Σκυθῶν τρισὶ ψευδέσιν ὑποθέσεσιν, ὧν καταστραφεισῶν, οἴχεται ἡ ἀπολογία, καὶ μένουσι καθαροὶ περὶ τὴν πίστιν ἡμαρτηκότες οἱ Πάπαι. εἰσὶ δὲ αὗται. πρώτη ὑπόθεσις, ὅτι οἱ Σκῦθαι εἰσὶν Αἱρετικοὶ, ὡς γάρ φησι Βίνιος, τὴν ἐξουσίαν τῆς ἐν Χαλκηδόνι Συνόδου καὶ τὴν Θεότητα τοῦ Χριστοῦ ἐπούδαζον ἀφαιρεῖν, ἀλλὰ ψευδὴς δείκνυται ἐξ ὧν ἔλεγον αἰωτέρω Βαρώνιος καὶ Βίνιος. ἔτι ὁ Διάκονος Διόσκορος ἔλεγεν αὐτοὺς Αἱρετικοὺς καὶ διότι ἔλεγον τὸν Χριστὸν σύνθετον. ἀλλὰ ῥητέον ὅτι καὶ τοῦτο οἱ ὀρθόδοξοι λέγουσι, καὶ ἡ πέμπτη Σύνοδος Κανόνι τετάρτῳ ἀναθεματίζει τοὺς τοῦτο ἀρνουμένους. ἔτι Φουλγέντιος καὶ ἕτεροι Ἐπίσκοποι Ἀφρικῆς ἀναγνόντες τὸ βιβλίον τῶν Μοναχῶν περὶ ἐνσάρκου οἰκονομίας καὶ χάριτος τοῦ Κυρίου, ἐπαινοῦσι τὴν σωτηριώδη αὐτῶν πίστιν, καὶ λοιπὸν οὐκ ἦσαν Αἱρετικοί.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ ἀνατροπῆς τῆς δευτέρας ψευδολογίας Βαρωνίου καὶ Βινίου, τῆς ὅτι τὸ ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη ῥητὸν ὡς νέον καὶ ὕποπτον καὶ ἀσύνηθες ὑπὸ τοῦ Πάπα Ὁρμίσδου ἐξωρίσθη, καὶ περὶ ὧν ἐφρόνει ὁ Κναφεὺς καὶ Θεμίστιος εἰς τὴν σάρκωσιν τοῦ Κυρίου, καὶ περὶ ὧν θεολογοῦσιν εἰς αὐτὴν οἱ πατέρες καὶ αἱ Σύνοδοι.

Δεύτερον αἰτιολόγημα, ἡ γνώμη ἐκείνη καθ' ἣν ὁ Χριστὸς ὁ παθὼν ὑπὲρ ἡμῶν τῇ σαρκὶ ἐλέγετο εἷς τῆς Τριάδος τότε, ὅτε παρὰ τοῦ Ὁρμίσδου ἐξωρίσθη, ὡς νέα καὶ ὕποπτος καὶ ἀσυνήθης ἐξωρίσθη, ὅθεν οὐχ ἥμαρτεν ὁ Πάπας. Ἀλλὰ ῥητέον, ὅτι τὴν γνώμην ταύτην ὀρθόδοξόν φησιν ὁ Πάπας Ἰωάννης ὁ δεύτερος ἐπιστολῇ πρὸς τοὺς Ἀδιένων Γερουσιάρχας Λιβέριον, Σεβηρῖνον καὶ ἄλλους, οὕτως ἐχούσῃ, Ἰουστινιανὸς Αὐτοκράτων ὁ υἱὸς ἡμῶν, καθὼς καὶ ὑμεῖς ἀπὸ τῆς ἐπιστολῆς αὐτοῦ ἔγνωτε περὶ τῶν τριῶν τούτων ζητημάτων γενέσθαι λέγει τὸν ἀγῶνα, πρῶτον, πότερον δύναται λέγεσθαι εἷς ἐκ τῆς Τριάδος ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν, τουτέστιν ἐκ τῶν τριῶν τῆς ἁγίας Τριάδος προσώπων ἓν πρόσωπον; δεύτερον, εἰ ὁ Χριστὸς καὶ Θεὸς ἔπαθε σαρκὶ ἀπαθεῖ τῇ Θεότητι. τρίτον, εἰ κυρίως καὶ ἀληθῶς τὴν μητέρα τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ Μαρίαν χρὴ λέγεσθαι ἀεὶ Παρθένον. ἐπῃνέσαμεν οὖν ἐν τούτοις τὴν εὐσεβῆ τοῦ Αὐτοκράτορος πίστιν, καὶ οὕτως ἔχειν προφητικαῖς καὶ ἀποστολικαῖς καὶ πατρικαῖς ἐκυρώσαμεν μαρτυρίαις, ἕνα γὰρ ἐκ τῆς ἁγίας Τριάδος εἶναι τὸν Χριστὸν, τουτέστιν ἓν ἅγιον πρόσωπον ἐκ τῶν τριῶν τῆς ἁγίας Τριάδος προσώπων, ἢ ὑπόστασιν ἐν ταύταις ἀριδήλως παρεστήσαμεν ταῖς μαρτυρίαις. Ὁ αὐτὸς τὸν αὐτὸν τρόπον καὶ τὰς λοιπὰς δύο ἐμπεδοῖ τοῦ Ἰουστινιανοῦ θέσεις, ὅτι τε ὁ Θεὸς σαρκὶ ἔπαθε,

ἔπαθε, καὶ ὅτι ἡ μακαρία Παρθένος Μαρία ἰδίως καὶ ἀληθῶς λέγεται γεννήτρια καὶ μήτηρ τοῦ Θεοῦ Λόγου τοῦ ἐξ αὐτῆς σαρκωθέντος. ὁ μὲν οὖν Αἱρετικὸς Πέτρος Κναφεὺς ἔλεγε τὸν ἕνα τῆς Τριάδος παθεῖν, ὅθεν προσέθηκεν ἐν τῷ Τρισαγίῳ ὕμνῳ τὸ, ὁ σταυρωθεὶς δι' ἡμᾶς. ὁ δὲ Θεμίστιος ὁ ἀρχηγὸς τῶν Ἀγνωϊτῶν ἔλεγε μίαν ἐπὶ Χριστοῦ φύσιν σύνθετον, ᾧ ἠκολούθησεν ὁ καθολικὸς τῶν Ἀρμενίων, τῇ Αἱρέσει τοῦ Εὐτυχοῦς συγκείμενος, ὅθεν ἔλεγε μίαν φύσιν λέγω σύνθετον ἐκ Θεότητος καὶ ἀνθρωπότητος, ὡς φησὶ Θεοδωριανὸς ἐν τῷ Διαλόγῳ, ὃν ἐποιήσατο μετ' αὐτῶν. ἀλλὰ Καντιανὸς Ἑρκουλιανῶν Ἐπίσκοπος εἰς τοὺς ἀναθεματισμοὺς τοὺς κατὰ τοῦ Κναφέως φησὶν, εἴτις θεανθρωπείαν καὶ οὐχὶ Θεὸν καὶ ἄνθρωπον μᾶλλον λέγει, ἀναθεματιζέσθω. ὁ μέγας Ἀθανάσιος λόγῳ περὶ τῆς ἐν Νικαίᾳ Συνόδου φησὶν, αὕτη ἡ σὰρξ οὐχ ἑτέρου, ἀλλὰ τοῦ Λόγου ἐστί. καὶ λόγῳ τρίτῳ κατὰ Ἀρείου, ἄνθρωπος δὲ γέγονεν, οὐκ εἰς ἄνθρωπον ἦλθεν. καὶ ἐν τῷ περὶ ἐνσάρκου οἰκονομίας, ἐν ᾧ ἔλεγεν ὁ Αἱρετικὸς, ὅτι ἄλλος ἐστὶν ὁ Υἱὸς ὁ παθὼν, καὶ ἄλλος ὁ μὴ παθὼν, ὁ ἅγιος εἶπεν, οὐ γὰρ ἕτερος ἐστὶ, καὶ ἰδία, οὐχ ὁμοούσιος οὖσα ἡ σὰρξ τῆς τοῦ Θεοῦ Λόγου φύσεως ὡς συναΐδιος, ἀλλ' ἰδία καὶ κατὰ φύσιν γινομένη, καὶ ἀδιαίρετος καθ' ἕνωσιν. ὁ Θεολόγος πρὸς Κληδόνιον, εἴτις ὡς ἐν προφήτῃ λέγει κατὰ χάριν ἐνηργηκέναι, ἀλλὰ μὴ κατ' οὐσίαν συνῆφθαί τε καὶ ἡνῶσθαι, εἴη κενὸς τῆς κρείττονος ἐνεργείας. Κύριλλος ἐπιστολῇ πρὸς Νεστόριον, ἡνῶσθαι φαμὲν σαρκὶ καθ' ὑπόστασιν ὁμολογοῦντες τὸν Λόγον, ἕνα προσκυνοῦμεν Υἱὸν, καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ὁ αὐτὸς ἐπιστολῇ πρὸς τοὺς ἐν Κωνσταντινουπόλει Κληρικοὺς στασιάζοντας, μέρει πρώτῳ τῆς τρίτης Συνόδου φησὶν, εἰ καὶ τὰ μάλιστα (ἡ πρώτη Σύνοδος) τῇ δυνάμει τῶν ἐννοιῶν οἶδε Θεοτόκον τὴν ἁγίαν Παρθένον Μαρίαν, αὐτὸν γὰρ λέγει τὸν γεννηθέντα ἐκ Πατρὸς, τὸν δι' οὗ τὰ πάντα ἐγένετο σαρκωθῆναι, ἐνανθρωπῆσαι, παθεῖν, ἀναστῆναι ἐκ νεκρῶν. καὶ μετ' ὀλίγα, ἀλλ' ὅτι ἑνωθεὶς τῇ σαρκὶ, εἶτα πασχούσης αὐτῆς, ὡς τοῦ ἰδίου πάσχοντος σώματος, αὐτὸς πρὸς ἑαυτὸν οἰκειοῦται τὸ πάθος. ἡ πέμπτη Οἰκουμενικὴ Σύνοδος ἐν ἀναθεματισμῷ ἕκτῳ, εἴτις οὐχ ὁμολογεῖ τὸν ἐσταυρωμένον σαρκὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν Θεὸν εἶναι ἀληθινὸν καὶ Κύριον τῆς δόξης, καὶ ἕνα τῆς ἁγίας Τριάδος, ὁ τοιοῦτος ἀνάθεμα ἔστω, συμφώνως τῇ ἐν Νικαίᾳ πρώτῃ Οἰκουμενικῇ ἐν τῇ ἐκθέσει κατὰ Παύλου τοῦ Σαμοσατέως, κειμένῃ ἐν τῷ τρίτῳ μέρει τῆς ἐν Ἐφέσῳ Συνόδου λέγουσα τὸν Χριστὸν εἶναι ἐν πρόσωπον σύνθετον ἐκ Θεότητος οὐρανίου καὶ ἀνθρωπείας σαρκός.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ ἀνατροπῆς τῆς τρίτης ψευδολογίας Βαρωνίου καὶ Βινίου καὶ ἐξ ἄλλων πολλῶν, καὶ ἐξ αὐτοῦ τοῦ Ῥώμης Ὁρμίσδου, τοῦ βεβαιώσαντος τὸ ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη ῥητὸν Αἱρετικὸν, καὶ σπέρμα Διαβολικῶν ζιζανίων εἰπόντος.

Τρίτον αἰτιολόγημα, ὅτι ἡγνώμη αὕτη ἀπεβλήθη ὑπὸ τοῦ Ὁρμίσδου οὐχ ὡς αἱρετική. Ἀλλὰ ῥητέον, ὅτι ψεύδονται, Αἱρετικὴν γὰρ εἶπεν αὐτὴν ὁ Διόσκορος Διάκονος, ἣν γνώμην τοῦ Διοσκόρου ἐβεβαίωσεν ὁ Πάπας Ὁρμίσδας. ἔτι αἱρετικὴν αὐτὴν εἶπεν ὁ Ὁρμίσδας αὐτὸς, λέγων τὸν λόγον τῶν Σκυθῶν σπέρμα τῶν Διαβολικῶν ζιζανίων, ἅτινα εὑρήσεις εἰς τὸ ψιθύρισμα τοῦ Διοσκόρου μετὰ τὴν ἑξηκοστὴν πέμπτην ἐπιστολὴν τοῦ Ὁρμίσδου, καὶ μερικὰ εἰς τὴν ἑβδομηκοστὴν ἐπιστολὴν, καὶ ἐπιστολῇ εἰκοστῇ ἑβδόμῃ πρὸς Ἰουστινιανὸν τοῦ αὐτοῦ, ἐξῶν δῆλον, ὅτι περὶ πίστεως ἦν τὸ ζήτημα, ὡς εἴρηται καὶ ἐν τῇ πρὸς τοὺς Ἀδιένων Γερουσιάρχας τοῦ Ἰωάννου ἐπιστολῇ. καὶ δὴ καὶ ὁ ῥηθεὶς Διόσκορος μετὰ τὴν ἑξηκοστὴν ἑβδόμην ἐπιστολὴν σημειοῖ, ὅτι πρὸ τοῦ ἐλθεῖν αὐτὸν καὶ τοὺς λοιποὺς πρέσβεις εἰς τὸ βυζάντιον, ἦν ἀναμεταξὺ τοῦ Βίκτορος καὶ τῶν Σκυθῶν ἡ Διαφορὰ, ἐξῶν δῆλον, ὅτι περὶ πίστεως ἦν τὸ ζήτημα, περὶ οὗ, τοῦ Ὁρμίσδου, καὶ ἴσως Ἰωάννου καὶ Φίληκος αἱ ἀποφάσεις εἰσὶν ἀπὸ τῆς παπικῆς καθέδρας, ἃς ἀποφάσεις τῶν παπῶν κατὰ τῶν Σκυθῶν καὶ Βίνιος καὶ Βαρώνιος (εἰ καὶ κακοτρόπως) ὁμολογοῦσιν, οἷς συμφωνεῖ Μαργαρῖνος ἀπὸ Παρισίων, λέγων ἐν τῷ πρώτῳ μέρει τοῦ τετάρτου τόμου τῆς τῶν πατέρων βιβλιοθήκης τὸν Μαξέντιον καὶ τοὺς Μοναχοὺς ἐκείνους εἶναι συμφώνους τῇ Αἱρέσει τοῦ Εὐτυχοῦς, δήλου ἄντικρυς ὄντος ἔκτε τῆς πρὸς Φουλγέντιον καὶ ἄλλους Ἐπισκόπους Λιβύης ἐκείνων τῶν Μοναχῶν Σκυθῶν βίβλου περὶ τῆς ἐνσάρκου οἰκονομίας καὶ χάριτος, καὶ ἐκ τῶν συγγραφέντων Ἰωάννῃ τῷ Μαξεντίῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι ἐκ τῶν Φουλγεντίου καὶ Φερράνδου πρὸς τὸν Πάπαν Ἰωάννην τὸν δεύτερον ἀποκρίσεων, καὶ τῆς τοῦ αὐτοῦ Πάπα πρὸς τὸν Αὐτοκράτορα Ἰουστινιανὸν ἀποκρίσεως περὶ τοῦ ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη ῥητοῦ τῶν Μοναχῶν Σκυθῶν, δείκνυται ἐσφάλθαι τὸν Ὁρμίσδαν καὶ Φίληκα τοὺς Πάπας εἰς τὴν πίστιν. καὶ ὅτι ὁ Ὁρμίσδας κινηθεὶς κατὰ τῶν Σκυθῶν, παρ' οὐδενὸς ὡς δῆθεν ἀναμάρτητος μέχρι τοῦ νῦν ἐδικαιώθη.

Ἐπειδὴ

440

Ἐπειδὴ δὲ Φουλγεντίου ἐμνήσθημεν, ῥητέον τινὰ πρὸς κατάληψιν. μετὰ τὴν κατάκρισιν τῶν Σκυθῶν ὑπὸ τῆς ῥωμαϊκῆς Ἐκκλησίας ὁ Αὐτοκράτωρ Ἰουστινιανὸς ἔγραψε πρὸς Ἰωάννην τὸν δεύτερον, ὅτι τοῦτο τὸ, ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη, στέργεται παρὰ πάντων τῶν Ἀνατολικῶν Ἐπισκόπων τε καὶ Ἀρχιμανδριτῶν, καὶ ἵνα δεχθῇ αὐτὸ καὶ ἐκεῖνος ὡς ὀρθόδοξον. ἀπορούντων δὲ τῶν Ῥωμαίων περὶ τοῦ τὶ δεῖ ποιῆσαι, Ἀνατόλιός τις Διάκονος ἔγραψε περὶ τῆς ὑποθέσεως ταύτης πρὸς Φερράνδον Διάκονον Καρθαγένης, περίφημον εἰς τὴν πολυμάθειαν. ὁ δὲ Φερράνδος ἀνέφερε τὸ πρᾶγμα πρὸς Φουλγεντιον Ἐπίσκοπον Ἀφρικῆς, εἶτα καὶ οἱ δύο ὁμοῦ ἀπεκρίθησαν, ὅτι ὀρθῶς μὲν λέγεται τὸ ὁ εἷς τῆς Τριάδος ἐσταυρώθη, πλὴν ἀσφαλέστερόν ἐστι προστιθέναι ὅτι ἔπαθε σαρκί. τοῦτο οὕτως οὖν διωρισθὲν, ἀπεδέξατο καὶ ὁ Πάπας Ἰωάννης, καὶ ἔγραψε τὴν ἀποδοχὴν πρὸς τὸν Ἰουστινιανὸν, ὡς σημειοῖ ὁ Λιμπεράτος κεφαλαίῳ εἰκοστῷ. δῆλον οὖν ἐστὶν, ὅτι τὴν κρίσιν τοῦ Ὀρμίσδου καὶ Φίληκος οὐκ ἐδέξαντο οἱ Σκῦθαι, ὁ Μαξέντιος καὶ οἱ Ἀνατολικοὶ Ἐπίσκοποι καὶ οἱ Ἀρχιμανδρῖται, οὔτε ὁ Ἰουστινιανὸς, οὔτε οἱ ἐν Ἀφρικῇ πατέρες, οὔτε ὁ Διάδοχος αὐτῶν Ἰωάννης ὁ δεύτερος, οὗ τὴν κρίσιν καὶ ὁ μετ' αὐτὸν Ἀγαπητὸς Πάπας ἐβεβαίωσε, καὶ τέλος ἐπεκύρωσεν αὐτὴν ἡ πέμπτη Οἰκουμενικὴ ὡς εἴρηται, Σημειώσεως δὲ ἄξιον, ὅτι ὁ Μαξέντιος εἰς τὴν βασιλεύουσαν τῶν πόλεων ἐνώπιον πασῶν τῶν Ἐκκλησιῶν ὑπερασπιζόμενος τῶν Σκυθῶν, καὶ συγγράφων φανερῶς κατὰ τοῦ Πάπα καὶ τῶν αὐτοῦ πρέσβεων, καὶ ἀναβοῶν ἐν ἰσχύϊ, ὅτι ὁ Ῥώμης Ὀρμίσδας ἦν Αἱρετικὸς καὶ ἐχθρὸς τῆς καθολικῆς Ἐκκλησίας, παρ' οὐδενὸς ἐκωλύετο ἢ ἀντελέγετο, καὶ ἕως ἄρτι χιλίων ἑκατονπεντήκοντα παρελθόντων ἐνιαυτῶν, οὐδεὶς εὑρέθη οὔτε εἰς Δύσιν, οὔτε εἰς Ἀνατολὴν, οὔτε εἰς Ἀφρικὴν κατακρῖναι αὐτὸν, ἢ ὡς Αἱρετικὸν, ἢ ὡς θρασυστομήσαντα κατὰ τοῦ Πάπα Ὀρμίσδου, οὔτε μὴν δικαιολογῆσαι τὸν Ὀρμίσδαν ὅτι ἀναμαρτήτως ἐκινήθη κατὰ τῶν Σκυθῶν.

ΚΕΦΑ'ΛΑΙΟΝ Δ'.

περὶ τῆς πέμψεως εἰς Κωνσταντινούπολιν τοῦ Πάπα Ἰωάννου ὑπὸ τοῦ Θεοδωρίκου, καὶ τοῦ μετὰ τὴν εἰς Ῥώμην ἐπάνοδον αὐτοῦ διὰ λιμοῦ θανάτου αὐτοῦ τε καὶ Βοετίου καὶ Συμμάχου τῶν φιλοσόφων ὑπὸ τοῦ Θεοδωρίκου. καὶ περὶ τοῦ τίνι τρόπῳ τέθνηκεν ὁ Θεοδώρικος, καὶ ἧς εἶδεν ὀπτασίας κατ' αὐτοῦ εἷς τις ἀναχωρητής.

Ἀνεπαύθη ὁ Ῥώμης Ὀρμίσδας, καὶ γέγονεν ἀντ' αὐτοῦ ὁ Ἰωάννης, περὶ οὗ γράφει ὁ Βιβλιοθηκάριος Ἀναστάσιος καὶ ὁ Πλάτινας, ὅτι διὰ τὸ λαβεῖν τὸν Ἰουστῖνον τὰς Ἐκκλησίας τῶν Ἀρειανῶν, τὰς οὔσας εἰς τὴν βασιλείαν αὐτοῦ, καὶ δοῦναι ταύτας τοῖς ὀρθοδόξοις, ὁ Θεοδώρικος Γότθος ἀρχηγὸς τῆς Ἰταλίας ἀπέστειλε τὸν Πάπαν Ἰωάννην καὶ Ἀγαπητὸν καὶ ἕτερον Ἀγαπητὸν δύο ῥήτορας πρέσβεις εἰς τὴν Κωνσταντινούπολιν πρὸς τὸν Ἰουστῖνον, ζητῶν ἵνα δώσῃ ὁ Ἰουστῖνος τὰς Ἐκκλησίας τοῖς Ἀρειανοῖς, εἰ δὲ μὴ, λαμβάνει καὶ ἐκεῖνος τὰς Ἐκκλησίας τῶν ὀρθοδόξων τὰς ἐν τῇ Ἰταλίᾳ, ἃς καὶ διαφθερεῖ διὰ πεισμονήν. μὴ κατανεύοντος δὲ Ἰουστίνου, οἱ Ἀγαπητοὶ καὶ μάλιστα ὁ Πάπας Ἰωάννης γονυπετήσας ἐνώπιον τοῦ Ἰουστίνου, ἐδέετο αὐτοῦ μὴ ἀφιέναι διαφθαρῆναι τὰς Ἐκκλησίας τῆς Ἰταλίας ὑπὸ τοῦ Θεοδωρίκου, ὅθεν ὑπεσχέθη ὁ Ἰουστῖνος ἀγαγεῖν τοὺς Ἀρειανοὺς εἰς τὴν Κωνσταντινούπολιν. ὁ Θεοδώρικος ὅμως ὑποστρέψαντα τὸν Ἰωάννην εἰς τὴν Ἰταλίαν ἔβαλεν εἰς τὴν φυλακὴν, καὶ λιμοκτονήσας αὐτὸν, ἀπέκτεινε, προσέτι καὶ τοὺς δύο μεγάλους σοφοὺς τῆς Ἰταλίας Βοέτιον καὶ Σύμμαχον. ἐν μιᾷ δὲ τῶν ἡμερῶν τοῦ κακοτρόπου Θεοδωρίκου ἐσθίοντος, ἔφερον ἐν τῇ τραπέζῃ ἑνὸς ὀψαρίου μεγάλην κεφαλὴν, ὁ δὲ Θεοδώρικος εἰπὼν ἰδοὺ ἡ κάρα τοῦ Συμμάχου, εὐθὺς ἐθορυβήθη, καὶ ἐφοβήθη τόσον, ὥστε μετὰ τρόμου πεσεῖν ἐπὶ τὸν κράββατον καὶ ἀποψύξαι. ὢ πόσον δύναται ἡ συνείδησις, ἐπιβοᾷ ὁ Προκόπιος εἰς τὸ δεύτερον βιβλίον αὐτοῦ. ἀλλὰ καὶ ὁ Μακάριος Παῦλος εἰς τὴν πρὸς Ἑβραίους κάλλιστα λέγει, ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο, κρίσις. καθότι εἷς ἀναχωρητὴς εἶδε τὸν Θεοδώρικον ἑλκόμενον δεδεμένον, γυμνὸν καὶ ἀνυπόδητον ἀναμέσον τοῦ Πάπα Ἰωάννου καὶ τοῦ Συμμάχου καὶ τῶν λοιπῶν οὓς ἐτιμωρήσατο ὀρθοδόξων, καὶ ῥιφθέντα ἔνδον εἰς τὴν πυρκαϊὰν ἵνα καταφλογίζηται μετὰ τοῦ παραβολικοῦ πλουσίου ἐν τῷ ᾅδῃ αἰωνίως, ὅπου ἐστὶ τοῦ Ἡφαίστου ἡ χύτρα. ἰδὲ περὶ τούτου βιβλίον ἕβδομον τῶν Διαλόγων τοῦ Γρηγορίου.

ΠΑΡΑ'ΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἐν Κωνσταντινουπόλει ὑπαντῆς τοῦ Πάπα Ἰωάννου, ἣν πλάττει ὁ τῆς Ῥώμης Κληρικὸς Ἀναστάσιος τραγελαφικῶς, καὶ τοῦ πρὸς αὐτὸν καὶ τοὺς παπιστὰς ἐλέγχου ἔκ τε τῆς ἱστορίας τοῦ Διαλόγου καὶ ἐξ ἄλλων

πολλῶν

ἄλλων πολλῶν ἱστοριῶν καὶ παραδειγμάτων, καὶ ἐκ τῆς γονυπετήσεως αὐτοῦ τοῦ Πάπα Ἰωάννου ἐνώπιον τοῦ Βασιλέως, καὶ ὅτι ψεῦδος ἡ τοῦ Ἰουστίνου στέψις ὑπὸ τούτου τοῦ Πάπα Ἰωάννου ἐνταῦθα δείκνυται, καὶ ὁ Ῥώμης ἄνευ μοναρχίας.

Λέγει δὲ ὁ ῥηθεὶς Ἀναστάσιος, ὅτι ἐλθόντος τοῦ Ἰωάννου Πάπα εἰς Κωνσταντινούπολιν, ἐξῆλθεν ὁ λαὸς καὶ ὁ Κλῆρος μετὰ Σταυρῶν καὶ κηρίων μέχρι δώδεκα μιλίων εἰς ὑπαντὴν αὐτοῦ, καὶ ὁ Βασιλεὺς Ἰουστῖνος ἅμα τῷ Πατριάρχῃ προϋπαντήσας προσεκύνησε. ῥητέον ὅμως ὅτι τὰ τοιαῦτα πλάσματά εἰσι τῶν εἰπόντων, ὁ γὰρ Διάλογος ἱστορῶν τὴν ἄφιξιν τοῦ Ἰωάννου, οὐδὲν λέγει τοιοῦτον, ἀλλ' ὅτι ὁ Πατριάρχης Ἰωάννης διὰ Κορίνθου ἀνῆλθεν εἰς Βυζάντιον διὰ ξηρᾶς, καὶ ὅτι ἤκουσεν (ὁ Διάλογος) παρὰ πρεσβυτῶν ὡς ἐν Κωνσταντινουπόλει ἐν τῇ χρυσῇ πύλῃ ἐλθόντος αὐτοῦ, τὰ πλήθη τῶν λαῶν εἰς ἀπάντησιν αὐτοῦ ἦλθον, καὶ ἐνώπιον αὐτῶν τυφλὸν ἐθεράπευσε, τῶν διαλογικῶν βιβλίῳ τρίτῳ κεφαλαίῳ δευτέρῳ. ἀκούεις μυθοπλάστα Λατῖνε; ἐν τῇ χρυσῇ πύλῃ λέγει ὁ ἅγιος Γρηγόριος ὁ Διάλογος ὅτι ὑπήντησαν τῷ Πάπᾳ τὰ πλήθη καὶ οὐχὶ ὁ Βασιλεὺς, ὅτι εἰ προϋπήντα καὶ ὁ Βασιλεὺς, πῶς ὁ Διάλογος τὸ μὲν μικρὸν εἶπε, τὸ δὲ μέγα εἴασεν; ὅμως διὰ πλείονα καταῤῥαγὴν τοῦ ψεύδους σου, ῥητέον ὅτι εἰ ἦν τὰ τοιαῦτα ἀληθῆ, οὐκ ἦν θαυμαστὸν, ἰδὲ γὰρ τὸν Νικηφόρον λέγοντα, ὅτι ὁ μέγας Ἰουστινιανὸς προϋπήντησε τὸν ἅγιον Σάββαν παπᾶν ὄντα οὐ Πάπαν, καὶ τοῦ Καλανδίωνος Ἐπισκόπου Ἀντιοχείας ζητήσαντος ὑπὸ τοῦ Ζήνωνος τὸ λείψανον τοῦ ἁγίου Εὐσταθίου, ὃ ἦν ἐν τῇ Θρᾴκῃ, ἐξῆλθον οἱ Ἀντιοχεῖς εἰς ὑπαντὴν τοῦ λειψάνου δέκα καὶ ὀκτὼ μίλια ἀπὸ πάσης ἡλικίας, ὅτε καὶ τὸ σχίσμα τὸ γεγονὸς διὰ τὴν ἐξορίαν τοῦ Εὐσταθίου ἔπαυσε, παρατεῖναν σχεδὸν ἑκατὸν χρόνους, εἰ γὰρ καὶ ὁ Φλαυϊανὸς μετὰ τοῦ Ἀλεξανδρείας καὶ Ῥώμης εἰρήνευσεν, ἀλλ' οἱ τοῦ μέρους τοῦ Εὐσταθίου μετὰ καὶ τῶν Ἐπισκόπων Ἀντιοχείας εἶχον ἔνστασιν, ἕως οὗ διὰ τῆς ἀνακομιδῆς τοῦ λειψάνου εἰρήνευσαν. καὶ Θεοδόσιος ὁ μικρὸς Ἐπισκόπου τινὸς Χεβρὼν τελευτήσαντος εἰς Κωνσταντινούπολιν, τὸν σάκκον αὐτοῦ σφόδρα ἐῤῥυπωμένον περιεβάλετο, πιστεύσας μεταλαβεῖν τι ἐκ τῆς τοῦ τελευτήσαντος ἁγιότητος, ὡς ὁ Σωκράτης εἰς τὸ εἰκοστὸν δεύτερον κεφάλαιον τοῦ ἑβδόμου βιβλίου. καὶ Μαρκιανὸς ὁ Βασιλεὺς ἐν σχήματι ἰδιώτου πρὸς τὸν ὅσιον Συμεῶνα ἀφανῶς παρεγένετο, ὥσφησιν εἰς τὸ δεύτερον βιβλίον Θεόδωρος ὁ Ἀναγνώστης. καὶ Εὐτυχιανοῦ μοναχοῦ ἀσκητεύοντος εἰς τὸν Ὄλυμπον τὰς αἰτήσεις ἐπλήρου ὁ μέγας Κωνσταντῖνος, σφόδρα γὰρ καὶ ἐν πλείστῃ τιμῇ εἶχε τὸν ἄνδρα, ὡς ὁ Σωζόμενος εἰς τὸ δέκατον τέταρτον κεφάλαιον τοῦ πρώτου βιβλίου λέγει. Ὁ αὐτὸς μέγας Κωνσταντῖνος, ὡς λέγει ὁ Εὐσέβιος εἰς τὸ τρίτον βιβλίον τοῦ βίου αὐτοῦ, ἀπερχόμενος εἰς τὴν πρώτην Σύνοδον, οὐκ ἐκάθισεν, ἕως οὗ ἐπένευσαν αὐτῷ οἱ πατέρες, καὶ ἐκάθισεν εἰς θρονίον μικρόν. Ὁ αὐτὸς, ὡς λέγει πάλιν ὁ Εὐσέβιος εἰς τὸ πρῶτον βιβλίον τοῦ βίου αὐτοῦ, εἶχεν ὁμοτραπέζους τινὰς εὐτελεῖς Μοναχοὺς, καὶ δὴ καὶ τοὺς Ἐπισκόπους ἐκάλεσεν εἰς ἑστίασιν, ὡς εἴπομεν εἰς τὴν ἀρχὴν τοῦ τρίτου βιβλίου. καὶ Ζήνων ὁ Βασιλεὺς ἀπῆλθε μόνος εἰς Δανιὴλ τὸν στυλίτην. τὶ θαυμαστὸν λοιπὸν εἰ καὶ θεοφιλέστατον Ἀρχιερέα Ῥωμαίων, ὅστις σχεδὸν εἰς τὴν Κωνσταντινούπολιν οὐκ ἀφίκετό ποτε, καὶ πρῶτον Πατριάρχην καὶ τῆς βασιλίδος Ῥώμης Ἀρχιεπίσκοπον ἐτίμησαν οἱ Κωνσταντινουπολῖται; χριστιανικὰ ἐποίησαν τοῦτο καὶ θεοφιλέστατα, καθὼς καὶ εἰς τὴν βασιλεύουσαν Μοσχοβίαν ποιοῦσι τοῦτο τοῖς Πατριάρχαις τῆς Ἀνατολῆς ἐκεῖσε ἐπιδημοῦσι. καὶ εἰ ὁ Βασιλεὺς ἐξελθὼν ἠσπάσατο τοὺς πόδας τοῦ Ἰωάννου, ἐποίησεν ἔργον εὐσεβέστατον, καθὼς ὁ ἀοίδιμος Αὐτοκράτωρ Μοσχοβίας Ἀλέξιος Μιχαηλοβίτζης μέχρις ἑνὸς σταθμοῦ ἐξῆλθε καὶ προϋπήντησε τὸν Ἀλεξανδρείας Παΐσιον, καὶ Ἀντιοχείας Μακάριον, καὶ πάλιν μέχρι τοσούτου ὑποστρεφομένους προέπεψεν. ὅμως τῷ Ἀναστασίῳ Κληρικῷ ὄντι τῆς Ῥώμης καὶ γράφοντι ὅτι ἠσπάσατο ὁ Βασιλεὺς τοὺς πόδας τοῦ Ἰωάννου ἐπ' ἔλαττον πιστεύομεν, λέγει γὰρ καὶ ἄλλα ὑπέρογκα ὁ αὐτὸς εἰς τὴν ἱστορίαν αὐτοῦ. μάλιστα εἰ ἦν ἀληθὲς τοῦτο, προσεκύνησεν ἂν τὸν Ῥώμης καὶ ἠσπάσατο τοὺς πόδας αὐτοῦ ὁ μέγας Κωνσταντῖνος, ἢ ὁ Κωνσταντίνος, ὁ εἰπὼν τῷ Λιβερίῳ, ποστὸν εἶ μέρος τῆς Οἰκουμένης, ὅτι σὺ μόνος συναίρῃ Ἀθανασίῳ; ἢ ὁ μέγας Θεοδόσιος, ὅστις δι' εὐλαβείας εἶχε μᾶλλον τῶν Πατριαρχῶν τὸν θεῖον Ἀμβρόσιον, ἢ ὁ Οὐαλεντιανὸς, ὅστις ἐδέετο τοῦ Θεοδοσίου κατανεῦσαι καὶ ἀκοῦσαι τοῦ Λέοντος ἵνα γένηται Σύνοδος εἰς τὴν Ἰταλίαν. καὶ τὸ δὴ θαυμαστὸν, εἰ ὁ Ἰουστῖνος ἠσπάσατο τοὺς πόδας τοῦ Ἰωάννου, πῶς εἴασεν αὐτὸν ὁ αὐτὸς Ἰουστῖνος ὕστερον γονυπετῆσαι ἔμπροσθεν αὐτοῦ, καὶ ἐκλιπαρεῖν αὐτὸν ἵνα δώσῃ τὰς Ἐκκλησίας τοῖς Ἀρειανοῖς κατὰ τὴν αἴτησιν Θεοδωρίκου; πρὸς τούτοις, ὁ Θεοφάνης ὁ ἐπαινούμενος ὑπὸ Λατίνων καὶ ὑπὸ τοῦ Ἀναστασίου Βιβλιοθηκαρίου ὡς φιλαλήθης, ἱστορεῖ τὴν ἄφιξιν τοῦ Ἰωάννου εἰς τὸ Βυζάντιον, τὴν δὲ τοιαύτην ὑπαντὴν οὐ λέγει. ἔπειτα λέγει ὁ αὐτὸς Θεοφάνης, ὅτι ὁ Κωνσταντινουπόλεως Ἐπιφάνιος ἠβουλήθη προκαθίσαι τοῦ Πάπα Ἰωάννου. καὶ εἰ προϋπήντησεν αὐτῷ ὡς κεφαλῇ πάντων, πῶς πάλιν ἐζήτει ἵνα καθίσῃ αὐτὸν ὑφ' ἑαυτόν; ψεῦδος οὖν τῆς ἀποστασίας τῶν Λατίνων καὶ τοῦτο τὸ πεπλασμένον μυθάριον. λέγουσιν οἱ αὐτοὶ, ὅτι ὁ Ῥώμης οὗτος Ἰωάννης ἔστεψε Βασιλέα τὸν Ἰουστῖνον, ὅμως οὐχ ὁ Ἀναστάσιος, οὗ βασιλεύσαντος ἔχαιρον οἱ Μανιχαῖοι καὶ οἱ Ἀρειανοὶ, ἔλαβε τὰς Ἐκκλησίας τῶν Ἀρειανῶν, πρὸς ὃν ἐλθόντος τοῦ Ἰωάννου πρέσβεως, συνέβη γενέσθαι τὸν Ἰουστῖνον Βασιλέα, καὶ ὑπὸ τοῦ Ἰωάννου στεφθῆναι, ὥσφασιν οὗτοι, ἀλλ' ὁ Ἰουστῖνος τὰς Ἐκκλησίας ἔλαβε, καὶ

καὶ εἰς τοῦτον ἤδη στεφθέντα ἦλθε πρεσβευτὴς ὁ Ῥώμης Ἰωάννης τῷ ἕκτῳ ἔτει τῆς βασιλείας αὐτοῦ κατὰ τὸν Θεοφάνη, καὶ λοιπὸν οὐχ ὁ Ῥώμης, ἀλλ' ὁ Πατριάρχης Κωνσταντινουπόλεως ἔστεψεν αὐτὸν καὶ ἡ Σύγκλητος. ἔτι τοὺς βασιλεῖς τῶν Χριστιανῶν οἱ Πατριάρχαι Κωνσταντινουπόλεως ἔστεφον, ἀλλ' οὐκ ἔχουσιν ἐκ τούτου μείζονα τάξιν τῶν Πατριαρχῶν τῆς Ῥώμης τῶν μὴ στεφόντων αὐτοὺς, ὅθεν οὔτε ὁ Ῥώμης Ἰωάννης, εἰ καθ' ὑπόθεσιν ἔστεψε τὸν Ἰουστῖνον, ἔλαβεν ἀξίωμά τι περισσότερον παρ' ὃ δέδωκεν αὐτῷ ἡ Ἐκκλησία, ὡς ῥηθήσεται ἐν τῷ περὶ Λέοντος καὶ Καρόλου. ἰδὲ κατωτέρω βιβλίου ἑβδόμου κεφάλαιον ἑνδέκατον.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς παλιμβολίας τοῦ Ἀντιοχείας Ἐφραμίου, καὶ τῆς ἁγιότητος τοῦ Ἀντιοχείας Ἐφραὶμ, καὶ οὗ ἐποίησε θαύματος ἐν ἑαυτῷ ὑπὲρ ἐπιστροφῆς Μοναχοῦ τινὸς στυλίτου ἀπὸ τῆς Αἱρέσεως Σεβήρου. καὶ περὶ τῶν γεγονότων ἐπ' αὐτοῦ θαυμάτων εἰς στηριγμὸν τῆς ὀρθοδοξίας, καὶ περὶ τῆς δευτέρας καταπτώσεως τῆς Ἀντιοχείας ὑφ' ἣν καὶ Ἐφράμιος, ἐξ ἧς καὶ Θεούπολις ὠνομάσθη.

Ὁ Ἀντιοχείας Πατριάρχης Ἐφράμιος τὴν ἐν Χαλκηδόνι Σύνοδον ἐξέβαλε τῶν Διπτύχων καὶ τὸ ὄνομα τοῦ Πάπα Λέοντος, μετὰ δὲ ταῦτα φοβηθεὶς, τὰς τέσσαρας Συνόδους ἐκήρυττεν. ἀπέθανε δὲ εἰς τὴν κατάπτωσιν τῆς Ἀντιοχείας, περὶ ἧς καταπτώσεως ὁ Βασιλεὺς Ἰουστῖνος ὁπείους τινὰς θρήνους ἐποίησε, καὶ πῶς ἐβοήθησεν εἰς ἀνακαίνισιν τῆς πόλεως, ἰδὲ τὸν Θεοφάνη. Ἐφραὶμ δὲ ὁ Ἀμιδηνὸς Κόμης ὢν τῆς Ἀνατολῆς, ἐλθὼν εἰς ἐπίσκεψιν καὶ ἀνακαινισμὸν Ἀντιοχείας, νεύματι βασιλικῷ προχειρίζεται ὑπὸ τοῦ λαοῦ Ἀντιοχείας Ἐπίσκοπος, ὥσποτε Μεδιολάνων ὁ θεῖος Ἀμβρόσιος, καὶ ὁ Νεκτάριος Κωνσταντινουπόλεως. ἦν δὲ ὁ Ἐφραὶμ μέγας ἀντίπαλος τῶν Μονοφυσιτῶν, καθ' ὧν καὶ ἔγραψεν ἰσχυρῶς κατὰ τὸν Φώτιον. οὗτος ἤκουσεν ὅτι εἰς τὴν Ἱεράπολιν εὑρίσκετο μοναχός τις στυλίτης τοῦ Σεβήρου ἀκόλουθος, καὶ λαπὸν θείῳ ζήλῳ κινούμενος, ἔδραμε πρὸς ἐκεῖνον, καὶ ἤρξατο νουθετεῖν καὶ διδάσκειν αὐτὸν τὴν θεοσέβειαν, ἀλλ' ἐκεῖνος οὐδ' ὅλως ἐπείθετο, μόνον εἶπεν, εἰσέλθωμεν εἰς τὸ πῦρ, καὶ ὅντινα ἡμῶν οὐ βλάψει ἡ φλὸξ, ἐκεῖνος ἔχει τὰ νικητήρια. ταῦτα δὲ ἔλεγεν, ἵνα φοβηθῇ ὁ Πατριάρχης. ἀλλ' ὁ Ἐφραὶμ φέρετε, εἶπεν, ἐνταῦθα ξύλα καὶ πῦρ, καὶ ἐγὼ τὸ θάρρος μου ὅλον βάλλω εἰς τὸν παντοδύναμον, μόνον κατάβα ἀπὸ τοῦ στύλου. πλὴν ἐκεῖνος οὐκ ἤθελε. καὶ ὁ Πατριάρχης ἐκβάλλει τὴν χλαῖναν αὐτοῦ, καὶ προσευξάμενος, ἔρριψεν ἑαυτὸν εἰς τὴν πυρκαϊὰν, καὶ τὰ ξύλα ἐσβέσθησαν, καὶ ἡ χλαῖνα τοῦ ἁγίου ἔμεινεν ἄφλεκτος. ἰδὼν δὲ τὸ τοσοῦτον θαῦμα ὁ στυλίτης, κατέβη ἀπὸ τοῦ στύλου, καὶ ἀνεθεμάτισε τὸν Σεβῆρον, καὶ ἡνώθη τῇ Ἐκκλησίᾳ. λέγει δὲ ταῦτα ὁ Σωφρόνιος. τοῦτο συνέβη καὶ ἐπὶ Ἀναστασίου, κατὰ γὰρ τὸν κεδρηνὸν δύο Ἐπίσκοποι Ἀρειανὸς Διαλεκτικὸς καὶ ὀρθόδοξος ἁπλοῦς, ὁ μὲν ὀρθόδοξος παρῄνει, ἵνα ἐάσωσι τὴν Διάλεξιν, καὶ εἰσέλθωσιν εἰς τὴν πυρκαϊὰν, καὶ ὁ μὴ κατακαεὶς, ἐστὶν ὀρθῶς φρονῶν, παρῃτεῖτο δὲ ὁ Ἀρειανὸς, ἀλλ' ὁ ὀρθόδοξος εἰσῆλθεν εἰς τὴν πυρκαϊὰν, καὶ ἐξῆλθεν ὅλος ἀβλαβής. ἦν δὲ ἡ κατάπτωσις αὕτη τῆς Ἀντιοχείας ἡ δευτέρα, ὅτε καὶ Θεούπολις ἐπωνομάσθη, ὅτι κατὰ τὸν Νικηφόρον εἰς τὸ δέκατον ἕβδομον βιβλίον, ἡ ἀνάγκη ἐδίδαξεν αὐτοὺς ἵνα γράφῃ ἕκαστος τῶν Ἀντιοχέων εἰς τὴν θύραν αὐτοῦ, Ὁ ΧΡΙΣΤΟΣ ΜΕΘ' ἩΜΩΝ ΣΤΗΤΩ. ἀλλὰ καὶ ὑπὸ τοῦ Χοσρόου ᾐχμαλωτίσθη καὶ κατεκαύθη ἡ τόση ὡραία πόλις, ἥτις ὅσον ἦν ἐν τῇ θεοσεβείᾳ, ἤνθει καὶ ὑπερέλαμπεν, ὅτε δὲ ἔκλινεν εἰς Αἵρεσιν, κατεφθείρετο καὶ δύσμορφος ἐγίνετο.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῆς βασιλείας τοῦ μεγάλου Ἰουστινιανοῦ, καὶ τοῦ ποιητοῦ τοῦ Ὁμονογενὴς Υἱὸς τροπαρίου.

Ἔφθασεν εἰς τὸ ῥωμαϊκὸν βασίλειον ὁ Αὐτοκράτωρ Ἰουστινιανὸς μετὰ κοινῆς εὐφροσύνης καὶ ἀγαλλιάσεως, ἄνθρωπος, ὅστις ἐνήστευεν ἐν ὅλῃ τῇ μεγάλῃ τεσσαρακοστῇ μετὰ πολλῆς ἐγκρατείας κατὰ τὸν Προκόπιον, νικητὴς καὶ τροπαιοῦχος κατὰ Περσῶν καὶ Γότθων. ὅθεν λέγει ὁ Σουΐδας, ὅτι ἐφαίνετο καβαλλάριος, ἔχων εἰς τὴν ἀριστερὰν χεῖρα μίαν σφαῖραν μετὰ τοῦ Σταυροῦ, καὶ τὴν δεξιὰν αὐτοῦ ἐξηπλωμένην, μονονουχὶ τοὺς Πέρσας ἐκφοβῶν ἵνα μὴ εἰσέλθωσιν εἰς τὰς ῥωμαϊκὰς Ἐπαρχίας. καὶ ἀπὸ

τὸν Ἰουστινιανὸν λέγει ὁ Σουΐδας ἀναλφάβητον, ὡς μὴ μαθόντα ποτὲ τὸ ἀλφάβητον, ἀλλ' ὅμως φαίνεται εἶναί τινα ὑπερβολὴν, καθότι αὐτὸς ὑπέγραφε καὶ ἀνεγίνωσκεν ὡς Μαρτυρεῖ τοῦτο ὁ Εὐστάθιος, μάλιστα καὶ τὸ Τροπάριον, Ὁ ΜΟΝΟΓΕΝΗΣ ΥΙΟΣ, ἄδεται συντεθεῖσθαι ὑπὸ τοῦ Βασιλέως Ἰουστινιανοῦ (εἰ καὶ ἕτεροι λέγουσι συντεθεῖσθαι ἐν Ἐφέσῳ ὑπὸ τῆς τρίτης Συνόδου, καὶ ἄλλοι ὑπὸ Ἰωσὴφ τοῦ Ἀριμαθαίου) καὶ προσέτι διατετάχθαι ὑπ' αὐτοῦ ψάλλεσθαι τὴν Λειτουργίαν μεγαλοφώνως, καὶ ἄλλα.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν συντεθέντων Νόμων ὑπὸ τοῦ Βασιλέως Ἰουστινιανοῦ, τῶν Διγέστων καὶ τοῦ Κώδικος καὶ τῶν Ἰνστιτούτων καὶ Ἠδίκτων καὶ Νεαρῶν, καὶ ἑτέρων αὐτοῦ ἀγαθοεργιῶν.

Ὁ Ἰουστινιανὸς ψέγεται ὑπότινων ὅτι ἀνεμίγνυτο λίαν πάνυ τοῖς ἐκκλησιαστικοῖς, τόσον ὥστε πεποιηκέναι καὶ Νόμους, πρᾶγμα μὴ ἁρμόζον τοῖς βασιλεῦσιν, ἀλλὰ τοῖς Ἀρχιερεῦσι. πλὴν τοῦτο ἐστὶ πάθος παλαιὸν τῶν Μεγιστάνων, ὅθεν ἔλεγεν ὁ θεῖος Ἀμβρόσιος, ὅτι πλείονες τῶν Βασιλέων μᾶλλον ὀρέγονται τῆς Ἱερωσύνης, ἢ οἱ Ἱερεῖς τοῦ βασιλείου, ἀλλὰ καὶ ὁ Αὐγουστῖνος γράφων πρὸς τὸν Βαλεντιανὸν εἶπεν, εἰ μέλλει ὁ Ἐπίσκοπος διδάσκεσθαι ὑπὸ τοῦ λαϊκοῦ, τὶ ἀκολουθεῖ; ὁ λαϊκὸς τοίνυν ἐπιχειρείτω, καὶ ὁ Ἐπίσκοπος ἀκουέτω, πλὴν οὐχ ἁρμόζει τελείως, ὅτι οἱ Ἐπίσκοποι ἔχουσι κρίνειν τοὺς Βασιλεῖς, καὶ οἱ Βασιλεῖς τότε εἰσὶ καλοὶ, ὅτε εἰσὶν ἐντὸς τῆς Ἐκκλησίας, οὐχὶ ἐπὶ τῆς Ἐκκλησίας, καὶ τοῖς Βασιλεῦσιν ἐδόθησαν τὰ παλάτια, καὶ τοῖς Ἀρχιερεῦσι τὰ ἐκκλησιαστήρια. γέγραπται γὰρ, ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ, καθότι οὕτω φυλάττεται ἡ ἐπαινουμένη ἔντε γῇ καὶ Οὐρανῷ εὐταξία. πλὴν τούτων οὕτως ἐχόντων, ἴδωμεν πῶς καὶ οἱ Βασιλεῖς ἐν καιροῖς ἀνάγκης εἰς πολλὰ καὶ μεγάλα ὠφέλησαν τὴν Ἐκκλησίαν, καὶ εἰς τοὺς Νόμους αὐτοῦ ὁ Ἰουστινιανὸς καὶ εἰς τὰ ἐκκλησιαστικὰ εἶπεν ὀρθὰ καὶ μεγαλοπρεπῆ καὶ ἄξια τῆς καθολικῆς πίστεως, καὶ ἡ τάξις ἣν ἔβαλεν εἰς τοὺς πολιτικοὺς Νόμους, σύγκρισιν οὐκ ἔχει, μήτε εὑρεθήσεται ἄλλος εἰπεῖν ἢ γράψαι καλλίονα, ἐπειδὴ τοὺς Νόμους τῶν Ῥωμαίων, οἳ ἦσαν, ὡς λέγουσι, πλείονες τῶν δύο χιλιάδων βιβλίων, οἱ γὰρ Ῥωμαῖοι λαβόντες τοὺς Νόμους τῶν Ἑλλήνων, προσέθηκαν αὐτοῖς κατ' ὀλίγον ἕως τοῦ Ἰουστινιανοῦ, καὶ ὑπὸ τοῦ πλήθους τῶν βιβλίων, καὶ ἐκ τῆς διαφόρου θεωρίας, ἣ συνέβαινεν εἰς ἕκαστον πρᾶγμα, ἐγένοντο δυσνόητοι καὶ δυσεπιχείρητοι, ὁ Ἰουστινιανὸς χρώμενος Ἰωάννην Πατρίκιον τὸν Τριβουνιανὸν, Θεόφιλον καὶ Δωρόθεον τοὺς σοφοὺς, ἐποίησεν ἐπιτομὴν τῶν Νόμων ἀπ' αὐτῶν θαυμασιωτάτην, ὥς ἐστι φανερὸν καὶ ὁμολογούμενον εἰς τοὺς σοφοὺς καὶ νομικούς. ὁ αὐτὸς ἔγραψε καὶ λόγον περὶ ὀρθοδόξου πίστεως πλατὺν καὶ ὀρθοδοξότατον, καὶ Σάκρας ὡραιοτάτας εἰς τὴν πέμπτην Σύνοδον, ἣν αὐτὸς ἤθροισε, καὶ τὰς ἐπὶ Μηνᾶ Συνόδους ἤθροισε, καὶ κατὰ τῶν Αἱρετικῶν διαφόρως ἠγωνίσθη, καὶ κατὰ τῶν Ἑλλήνων, καὶ δὴ καὶ ἔγραψεν, ἀλλὰ καὶ πρὸς Ζώϊλον Ἀλεξανδρείας ἐπιστολὴν ἔγραψεν, ἣν ὠνόμασε θησαυρὸν, ὡς Φώτιος ἀναγνώσει διακοσιοστῇ τριακοστῇ πρώτῃ. καὶ ἕτερον Ἤδικτον ἔγραψε περὶ πίστεως, καὶ ἀπέστειλεν εἰς Καισάρειαν, Κύζικον, Τραπεζοῦντα, Ἱερουσαλὴμ, Ἀπάμειαν, Ἰουστινιανούπολιν, Θεούπολιν, Σεβάστειαν, Ταρσὸν καὶ Ἄγκυραν.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς ἀποστασίας τῶν Σαμαρειτῶν, καὶ ὧν ἐποίησαν Βασιλέων ἐν Σαμαρείᾳ καὶ Παλαιστίνῃ, καὶ τοῖς Χριστιανοῖς φόνων, καὶ περὶ τῆς καταστροφῆς αὐτῶν, καὶ τῆς παράτινος Ἀρσενίου πρὸς τὸν Βασιλέα κατὰ τῶν Παλαιστινῶν διαβολῆς ὡς αἰτίων τῆς ἀποστασίας.

Εἰς τὸν καιρὸν τοῦ Ἰουστινιανοῦ οἱ Σαμαρεῖται ἀνηγόρευσαν Βασιλέα ἑαυτῶν τινὰ Ἰουλιανὸν ὀνόματι, καὶ τὸν Σιλβανὸν εἰς τὴν Παλαιστίνην, οἵτινες ἐφόνευσαν πολλοὺς Χριστιανοὺς, καὶ συνεφώνησαν καὶ τοῖς Σαρακηνοῖς, καίπερ κατεπολεμήθησαν ὑπὸ τοῦ Ἰουστινιανοῦ ὕστερον. οἵτινες καὶ τὸν Ἐπίσκοπον τῆς Νικοπόλεως ἐφόνευσαν, καὶ μελῃδὸν κατέκοψαν. ἀποστέλλει γοῦν ὁ Ἰουστινιανὸς πολλὴν δύναμιν κατ' αὐτῶν, καὶ τὸν μὲν Ἰουλιανὸν νικήσαντες κατέσφαξαν, τὸν δὲ Σιλβανὸν εἰς τὴν σκυθόπολιν συλλαβόντες, ἔρριψαν ζῶντα εἰς τὴν πυρκαϊὰν κατὰ τὴν πρόρρησιν τοῦ ἁγίου Σάββα, ὡς γράφει ὁ Κύριλλος, ὅστις διηγεῖται ὅτι Ἀρσένιός τις ἀπῆλθεν εἰς τὸν Βασιλέα καὶ διέβαλε τοὺς Χριστιανοὺς τῆς Παλαιστίνης, λέγων ὅτι αὐτοὶ ὤφθησαν αἴτιοι ἀποστατῆσαι τοὺς Σαμαρείτας κατὰ τοῦ Βασιλέως.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἀποδημίας εἰς Κωνσταντινούπολιν πρὸς τὸν Βασιλέα τὸν ἁγίου Σάββα διὰ πρεσβείας τοῦ Ἱεροσολύμων Πέτρου εἰς ἐξάλειψιν τῆς Ἀρσενίου καὶ τῶν Παλαισινῶν Συκοφαντίας, καὶ περὶ ὧν ἐκέλευσεν ὁ Βασιλεὺς καὶ τῶν Συναγωγῶν καὶ Κληρονομιῶν τῶν Σαμαρειτῶν, καὶ ὧν ᾠκοδόμησαν ἐν τῷ Γαριζὶν ὄρει οἰκοδομιῶν.

Ἀκούσας δὲ ὁ Πατριάρχης τὴν ἄδικον ταύτην συκοφαντίαν, ὁ Πέτρος δηλονότι, ἐπορεύθη εἰς τὸν ἅγιον Σάββαν, καὶ παρεκάλεσεν αὐτὸν ἀπιέναι ἀποκρισιάριον πρὸς τὸν Αὐγουστάτορα, καὶ ἐξαλεῖψαι τὴν κατηγορίαν, εἰδὼς ὅτι καὶ ἡ ψευδὴς διαβολὴ παύγε βλάπτει, καὶ μάλιστα ὅταν εἰς ὦτα Βασιλέως εἰσέλθῃ. καὶ ὁ ἅγιος Σάββας ὁ ὢν εἰς τὴν ἀσκησιν μεμαθητευμένος ὑπήκουσε, καὶ αὐθωρεὶ ἤρξατο τῆς ὁδοιπορίας, μηδέν τι προφασιζόμενος, γέρων ὢν καὶ συνεσταλμένος τὴν ἡλικίαν. ὡς γὰρ ἤκουσε τὴν ἀφιξιν αὐτοῦ ὁ Ἰουστινιανὸς, ἔπεμψε τὸν Πατριάρχην Ἐπιφάνιον μετὰ βασιλικῶν δεήσεων, καὶ τὴν σύγκλητον καὶ τὸν κλῆρον ὁμοῦ εἰς ὑπαντὴν αὐτοῦ, ἐπειδὴ καὶ ὅλοι ὡς μόνον ἄνθρωπον ἐνόμιζον αὐτὸν τῆς Ἱερουσαλὴμ, ἀλλ' Ἄγγελον ἐξ Οὐρανοῦ ἀπεσταλμένον, καθότι τῷ Βασιλεῖ ἐφάνετο ὅτε πρῶτον εἶδον αὐτὸν, ὅλη εἶχε διάδημα εἰς τὴν κεφαλὴν αὐτοῦ φωτεινὸν καὶ ὑπέρλαμπρον. ἀφ' οὗ δὲ ἐδεξιώθη αὐτὸν ὁ Βασιλεὺς, ἔπεμψεν αὐτὸν καὶ εἰς τὴν βασίλισσαν Θεοδώραν, ἥτις τὸν ἅγιον παρεκάλεσε διὰ τέκνου, ἀλλ' αὐτὸς εἰδὼς αὐτὴν πεπιστισμένην ὑπὸ τῶν τοῦ Σεβήρου δογμάτων, οὐκ ἐπένευσεν εἰς τὴν αἴτησιν αὐτῆς. καὶ λοιπὸν ὥρισεν ὁ Βασιλεὺς μηκέτι ἔχωσιν εἰς τὴν Παλαισίνην συναγωγὰς οἱ Σαμαρεῖται, μήτε κληρονομῶσιν ἀλλήλους, ἵνα μὴ ὑπερπλεονάσωσι καὶ αὐξανώνται, καὶ ἵνα ὅσοι ἦσαν αἴτιοι τῆς ἀποστασίας φονευθῶσι. τότε ἐφοβήθη ὁ Ἀρσένιος, Σαμαρείτης ὢν καὶ αὐτὸς, ὅθεν προσελθὼν τῷ ἁγίῳ, καὶ βαπτισθεὶς, ἔτυχε τῆς συγχωρήσεως. εἰς δὲ τὸ ὄρος Γαριζὶν, ἐν ᾧ Ζήνων ὁ Βασιλεὺς ἔκτισε Φρέαρ καὶ Ναὸν, ἐσασίασαν γὰρ καὶ τότε καὶ ἔκτειναν Τερέβινθον τὸν Ἀρχιερέα οἱ Σαμαρεῖται, καὶ τὸ Φρέαρ ἐκρήμνισαν, ὁ Ἰουστινιανὸς ἔκλισε καὶ τὰ δύο ἀξιόλογα πάλιν διὰ τὴν ἐπανάστασιν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ ὧν ἠθέλησεν ὁ Βασιλεὺς δοῦναι τῷ ἁγίῳ Σάββα ἐλεημοσυνῶν, καὶ ὧν ἤτησε τὸν Βασιλέα ὁ ἅγιος Σάββας οἰκοδομιῶν ποιῆσαι ἐν Παλαισίνῃ εἰς κοινὴν ὠφέλειαν.

Ἐζήτησεν ὁ Βασιλεὺς φιλοδωρήσασθαι τῷ ἁγίῳ, καὶ δοῦναι αὐτῷ ἐλεημοσύνην ἵνα διαμερίσῃ αὐτὴν εἰς ὅλα τῆς Παλαισίνης τὰ μοναστήρια. πλὴν ὁ ἅγιος προσκρίνας τὸ κοινὸν καλὸν τὸ μερικὸν συμφέρον, ἐζήτησεν ἵνα ἔχωσι τὴν ἐκκλησιαστικὴν αὐτέλειαν καὶ ἐλευθερίαν, καὶ ἵνα οἰκοδομηθῶσι κελλία διὰ τοὺς προσκυνητὰς τοῦ ἁγίου τάφου, καὶ Νοσοκομεῖον, εἴπερ συμβαίη τινὰς τῶν προσκυνητῶν ἐκεῖ ἀρρωστῆσαι. μάλιστα εἶπεν, ὅτι καὶ ὁ Ναὸς τῆς Θεοτόκου Μαρίας, ὃν ἤρξατο οἰκοδομεῖν ὁ Πατριάρχης Ἠλίας, ἔμεινεν ἀτελὴς, καὶ τὰ μοναστήρια μου μὴ ἔχοντα πύργους καὶ φυλακὰς, δυσκόλως καταπατοῦνται ὑπὸ τῶν ἐχθρῶν καὶ τῶν κατασκόπων. τέλος δὲ τῆς προσκλήσεώς μου ἐστὶν ὅπως μέμψεται Βασιλεὺς ἐξελθεῖν τῆς Ἱερουσαλὴμ τοὺς Ἀρμενίους καὶ τοὺς Ὠριγενιαστὰς, ἐπειδὴ εἰσὶν ἡμᾶς εἰρηνεύουσαι. ταῦτα πάντα γεγράφει ὁ Κύριός.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς Ἐπινεύσεως τοῦ Βασιλέως εἰς τὰ αἰτήματα τοῦ ἁγίου Σάββα, καὶ τοῦ διὰ ὁρισμοῦ ἀπαρτισμοῦ αὐλῶν αὐυπερθέτως.

Συγκατένευσεν ὁ Ἰουστινιανὸς τελειῶσαι ὅλα τὰ σωτηριώδη αἰτήματα τοῦ ὁσίου, καὶ ἵνα πληροφορήσῃ αὐτὸν, ἔγραψεν ὁρισμὸς γενέσθαι ταῦτα τὴν ταχίστην. ἐπόησεν ὅμως τὴν αὐταμοιβὴν ταχέως καὶ ὁ Κύριος τῷ Βασιλεῖ διὰ τὴν προθυμίαν αὐτοῦ, ὅτι ἐνίκησε τοὺς δύο μεγάλους τυράννους, τὸν Γελίμερα εἰς τὴν Καρχηδόνα, καὶ εἰς τὴν Ῥώμην τὸν Βιτζιγιν (οἵτινες παρεκτὸς τῶν κακῶν ὧν ἐποίησαν εἰς τὴν πολιτείαν τῶν Ῥωμαίων, ἐργάσαντο μυρία μαρτύρια τοὺς ὀρθοδόξους Ἰταλίας καὶ Ἀφρικῆς, ὄντες καὶ αὐτοὶ καὶ οἱ πρόγονοι αὐτῶν ἀφ' οὗ ἡμέρᾳ τῇ Ὀνωρίου ἔλαβον τὴν Ῥώμην, καὶ καθ' ὅλην τὴν Ἀφρικὴν, ἕως οὗ ὁ μέγας Ἰουστινιανὸς ἐτροπώσατο αὐτοὺς καὶ ἠφάνισε τελείως) ἀπέστειλε καὶ ὁρισμὸν πρὸς τοὺς Ἐπισκόπους τὸν Ἀντώνιον τῆς Ἀσκάλωνος καὶ τὸν Ζαχαρίαν τῆς Πέτρας, ἵνα συναθροίσωσιν ὅλας τὰς κεκαυμένας οἰκοδομίας τῆς Παλαισίνης, καὶ ἀναμνήσωσιν αὐτὰς διὰ βασιλικῆς δαπάνης, καὶ ὅσα ἔφθειραν οἱ Σαμαρεῖται δι' ἰδίων οἱ αὐτοὶ ἀναλώματων ἀναμνήσωσιν αὐτά. ἀλλὰ καὶ Νοσοκομεῖον προσέταξε κληθῆναι εἰς τὴν ἁγίαν πόλιν, καὶ ἔχειν εἰσόδημα χίλια ὀκτακόσια καὶ πεντήκοντα χρυσᾶ καθ' ἕκαστον χρόνον, καὶ ἄλλην μεγάλην οἰκίαν διὰ κατοίκησιν τῶν ξένων τῶν ἐρχομένων εἰς προσκύνησιν.

σκιώπην, τὸν δὲ Ναὸν τῆς Παναγιωτάτης Δεσποίνης ἡμῶν ἐξωραΐσαι καὶ οἰκοδομῆσαι εἰς κάλλος, ὅσπερ καὶ τὴν σήμερον φαίνεται ἐν τῇ Βηθλεέμ, ἐμοὶ δὲ ἀλλὰ καὶ τῷ Λαῷ τὰ ὅσια ἐνθωμαμώσαι πύργοις, ὥστε μὴ ἔχειν ληὰ ἐνόχλησιν τὰς μοναχὰς ὑπὸ τῶν βαρβάρων, τὰς δὲ Αἱρετικὰς, περὶ ὧν ἀνέφερον ὁ ἅγιος, διώξαι καὶ ἀναθεματίσαι παῤῥησίᾳ. ταῦτα πάντα ῥήτως ὁ Αὐτοκράτωρ ἐκέλευσε γενέσθαι, χαριζόμενος τῷ ἁγίῳ Σάββᾳ τὸν Κύριλλον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ ἐν Βηθλεέμ Ναοῦ τῆς Θεοτόκου, καὶ τῆς περιγραφῆς αὐτοῦ, καὶ ὧν ᾠκοδόμησεν ὁ Ἰουστινιανὸς οἰκοδομιῶν ἐν Ἱερουσαλὴμ, ἐν Σινᾷ καὶ ἐν Κωνσταντινουπόλει, καὶ περὶ τῆς κοιμήσεως τοῦ ἁγίου Σάββα.

Καὶ ὅσον μὲν ἀφορᾷ τὸν Ναὸν τῆς Θεοτόκου Μαρίας ὁ Πρεσβύτερος διηγεῖται μετὰ δύο ἡμέρας πλείστης, ἣν αὐτὸς προσέθηκε ὁ μεταφραστὴς Συμεών. νέαν Ἐκκλησίαν οἱ ἐντόπιοι ὀνομάζουσι τὸν Ναὸν τοῦτον (ἔστι δὲ ὁ ἐπάνω τοῦ ἁγίου Σπηλαίου ἐν τῇ Βηθλεέμ κείμενος μέγας Ναὸς) ἔστι δὲ δρομικὴ, καὶ μετὰ δύο μόρφων κιόνων ἐσολισμένη, καὶ ὑπὸ γεωλόφων περιεσοχισμένη, ἣν ἐκάτωθεν σαθρωθεῖσαν καὶ κινδυνεύουσαν πεσεῖν, ἀνεκτίσαμεν καὶ ἡμεῖς κατὰ μέρος, ὡς ὁ ἴδιος τόπος δηλώσει. ᾠκοδόμησε καὶ ἄλλον Ναὸν ἐπὶ τοῦ Ἴβηρας ὁ Βασιλεύς, ἴσως ἐπὶ τοῦ τιμίου Σταυροῦ Μοναστήριον, ὅπερ καὶ νῦν οἱ Ἴβηρες ἔχουσι. καὶ ἄλλον ἐπὶ τοῦ Λαζοῦ εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, ὕστινος τὸν σήμερον τόπος ἀφάνεται παντελῶς. ἐποίησε θεμέλιον βρύσεως καὶ φρέατα ἐν τῇ Βηθλεέμ, καὶ ἄλλας πλείστας οἰκοδομίας, ναὶ μὴν καὶ ἐν τῷ Σινᾳίῳ τῷ ὄρει ᾠκοδόμησε Ναὸν εἰς δόξαν τῆς Ἀειπαρθένου Μαρίας, καὶ τὸ Μοναστήριον ὅπερ νῦν ἐστιν ἐκεῖ ἐν τῷ Χωρὴβ ἐν τῇ ὑπωρείᾳ τοῦ ὄρους Σινᾶ ἐπὶ τῆς παρουσιώσεως τοῦ ἁγίου πατρὸς Σάββα. γλαφυρόν τε ὕδωρ ἐκ τοῦ ὄρους ἀναβλύζον ἐν τῷ Μοναστηρίῳ τούτῳ ἐστὶ, καὶ ἐν τῷ ἐν Βηθλεέμ. ὁ δὲ λέγει ὁ Κωδινὸς περὶ τοῦ Ἰουστινιανοῦ, ὅτι ἔκτισεν ἐν τῇ Κωνσταντινουπόλει τεῖα ἐξαίρετα θανάτου, ζωῆς καὶ ὑγιείας. καὶ θανάτου μὲν ἔκτισε τὸ Ξενοτροφεῖον τοῦ ἁγίου Λουκᾶ, ζωῆς δὲ τὸ Πισοδοχεῖον, ὑγιείας δὲ τὸν Ξενῶνα τοῦ Σαμψὼν ἐπὶ τοῦ ἀῤῥώστου, ἐπειδὴ ἰάτρευσεν αὐτὸν ἀπό τινος ἀσθενείας αὐτοῦ ὁ ἅγιος Σαμψὼν, ὃν καὶ ξενοδόχον ἐκεῖ ἐποίησε. πλούσιος ὅμως ἔδωκε τὸ κοινὸν χρέος ὁ ἅγιος Σάββας ὡς ἄνθρωπος, ζήσας ἔτη ἐνενηκοντα καὶ δύο, πλήρης ἀγαθοεργειῶν καὶ μεσὸς ἀρετῶν καὶ χαρίτων, ὡς γράφει ὁ Κύριλλος εἰς τὸν βίον τοῦ Θεοδοσίου τοῦ Κοινοβιάρχου. διηγεῖται δὲ, ὅτι πολὺ ἦν ἀπιθανεῖν ἀπῆλθεν εἰς προσκύνησιν τῶν ἱερῶν καὶ σεβασμίων τόπων ὁ ἅγιος, περὶ οὗ ἤκουσεν αὐτὸς ὁ Κύριλλος ὅτι ἦν πένεως τὰ λοίσθια τῆς ζωῆς, ὃ εἰς ὑπόνοιαν ἦλθε ὁ Πατριάρχης ἀπῆρε δεσμαῖος, ὁδὲ ἅγιος λαβὼν καὶ δὺς ἀμοιβαίως τὸν τελευταῖον ἀσπασμὸν, ἐκοιμήθη ἐν εἰρήνῃ, καὶ ἐτάφη εἰς τὸν Λαῦραν αὐτοῦ, κλαιόντων αὐτὸν καὶ τῶν Σαμαρειτῶν.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς καταδρομῆς τῶν Οὔνων, Βανδάλων καὶ Γότθων εἰς Δύσιν καὶ Ἀφρικὴν, καὶ τῆς καταγραφῆς τῶν ὑπὸ Ὀνωρίχ Βασιλέων Ῥώμης μέχρι τοῦ τελευταίου Βασιλέως αὐτῆς Αὐγουστύλλου.

Ἐπὶ Θεοδοσίου τοῦ μικροῦ Οὖνοι καὶ Οὐλδὶς ὁ Ἡγέμων αὐτῶν διώσαντες πολλὰ μέρη τῆς Θρᾴκης καὶ Μυσίας, κατεσκάφησαν ὑπὸ Ῥωμαίων, ὥστε πολλοὺς εἰς βιθυνίαν σαλπῆναι ἐξ αὐτῶν ζωγρηθέντας παῤῥησίας, εἰς δὲ τὴν Δύσιν Ἀλάριχος Γότθος κατεξανίσταται Ὀνωρίῳ, καὶ ἐπολιόρκει τὴν Ῥώμην, ὅτε καί τινες τῆς Συγκλήτου Ἕλληνες ὄντες, ἵνα δὴ θεὸν κατενέγκῃ ὁ Ζεὺς σκηπτοὺς καὶ βέλη καὶ διώξωσι τοὺς Γότθους, ἠθέλησαν θυσιάσαι εἰς τὸ καπετόλιον, ἐψεύσαντο ὅμως, ὅτι ὁ Ἀλάριχος λαβὼν δῶρα, ἀνεχώρησε τῆς Ῥώμης, εἰ καὶ ὕστερον ἐξεπόρθησεν αὐτήν. αὐτέση δὲ καὶ Ἄτταλος ὕπαρχος βασιλεύσας, καὶ πολιορκεῖ τὴν Λιβύην. καὶ εἰς τὴν Ἀγγλίαν οἱ στρατιῶται Μάρκον τινὰ, εἶτα Κωνσταντῖνον ἀναγορεύουσι Βασιλέα, καὶ περαιοῦται καὶ κακοχεῖ Γαλλίαν καὶ Ἱσπανίαν, ἀλλὰ κατατροπωθεὶς εἰς Λιγυρίαν ὑπὸ τῶν Στρατηγῶν Ὀνωρίου, ταπεινοῦται. καὶ Βανδάλοι καὶ Σουῆβοι καὶ Ἀλανοὶ κυριεύουσι τῆς Ἱσπανίας. ὁ δὲ Ὀνωρίου γαμβρὸς Κωνσταντῖνος πάντας ἀφανίσας, ἀσωζε τῷ Ὀνωρίῳ τὴν βασιλείαν, καὶ ταινιοῦται ὑπὸ Ὀνωρίου καὶ αὐτὸς Βασιλεὺς ἀπὸ τότου, ὃν καὶ ὁ υἱὸς αὐτοῦ Οὐαλεντιανὸς γίνεται τῆς βασιλείας ἀφάδοχος, καὶ ἀπὸ τοῦ εἶναι αὐτὸν καὶ τοῦ Θεοδοσίου γαμβρὸν ὑπὸ Εὐδοξίᾳ τῇ θυγατρὶ αὐτοῦ, ὅλους τοὺς ἐπανισταμένους αὐτῷ τυράννους ὁ Θεοδόσιος ἀφόρως κατηφάνισεν. ἐν τούτοις, Βανδάλοι καὶ Ἀλανοὶ καὶ Γότθοι διαβαίνουσιν ὑπὸ τῆς Ἱσπανίας, καὶ

καὶ κυριεύουσι τῆς Ἀφρικῆς μετὰ τοῦ ἀρχηγοῦ αὐτῶν Γενσερίκου ἢ Γογδικίκλου, καὶ μεταδιδοῦσιν ἐκεῖ καὶ τὴν ἀρειανικὴν λώβην, ἧς μέτοχοι γεγόνασιν ἐν τοῖς καιροῖς Κωνσταντίου καὶ Οὐάλεντος. ἐκεῖθεν δὲ ἐλθόντες, ἐληΐσαντο τὴν Σικελίαν, ἀλλὰ καὶ εἰς Βρεττανίαν γίνεται ἐπανάστασις διὰ Ἀετίου, καὶ Οὖνοι καταπατοῦσι τὴν Ἰταλίαν, ἀποκτείνει δὲ δόλῳ τὸν Οὐαλεντιανὸν ἐπὶ Μαρκιανοῦ Μάξιμος, καὶ λαμβάνει ὁ Μάξιμος τὴν βασιλείαν, καὶ συμφθείρεται τῇ Εὐδοξίᾳ, ὅθεν ἐκείνη καλεῖ ἀπὸ Ἀφρικῆς πρὸς βοήθειαν τὸν Γιζέριχον, ὁ δὲ ἐλθὼν ἀπροσδοκήτως, οὐ βοηθεῖ, ἀλλὰ λεηλατεῖ τὴν Ῥώμην. καὶ ἀγόμενος καὶ τὴν Εὐδοξίαν καὶ τὰς δύο αὐτῆς θυγατέρας, συνοικίζει Ὀνωρίχῳ τῷ υἱῷ αὐτοῦ Εὐδοκίαν τὴν μείζονα θυγατέρα, τὴν δὲ Εὐδοξίαν καὶ Πλακιδίαν τὴν μικροτέραν πέμπει εἰς Κωνσταντινούπολιν. γίνεται δὲ μετὰ Μάξιμον Βασιλεὺς Ῥώμης Ἄβιτος, εἶτα Μαιουρῖνος, ἔπειτα Σεβῆρος, ὅτε καὶ Μαρκιανοῦ τελευτήσαντος ἐβασίλευσεν εἰς Βυζάντιον Λέων ὁ μέγας, ἐφ' οὗ σκῦθαι κατέδραμον Θρᾴκης. μετὰ δὲ Σεβῆρον πέμπεται Ἀνθέμιος γαμβρὸς τοῦ Μαρκιανοῦ Βασιλεὺς εἰς τὴν Ῥώμην ἀπὸ Κωνσταντινουπόλεως, εἶτα γίνεται Βασιλεὺς εἰς Ῥώμην Ὀλύμβριος, εἶτα γλυκέριος, εἶτα Νέπους, εἶτα Ὀρέστης, εἶτα Μωμῦλος ὁ ἐπιλεγόμενος αὐγουστοῦλος, ἔσχατος καταστασθεὶς Αὐτοκράτωρ Ῥωμαίων ἐν Ῥώμῃ μετὰ χιλίους τριακοσίους καὶ τρεῖς χρόνους τῆς Ῥωμύλου Βασιλείας. Αὔγουστος οὖν βασιλεύσας Ῥώμης, ὁ Αὐγουστοῦλος ἐτελείωσε τὸ βασίλειον, ὡς τοῦ Βυζαντίου ὁ Κωνσταντῖνος ἦρξε, καὶ Κωνσταντῖνος ἐτελείωσε, καὶ τελευτᾷ καὶ Λέων ὁ Βασιλεὺς εἰς Κωνσταντινούπολιν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς γενομένης διανομῆς τῆς Ἀφρικῆς ἐπὶ Οὐαλεντιανοῦ καὶ Γενσερίκου ἀρχηγοῦ Βανδάλων μεταξὺ ἀμφοτέρων, καὶ περὶ τοῦ Βέλδα καὶ Ἀττήλα καὶ τῶν ὑπ' αὐτῶν καταδρομῶν, καὶ περὶ τῶν Ἀβάρων καὶ τῶν ὑπ' αὐτῶν καταδρομῶν ἐπὶ Γάλλου καὶ Βαλοσιανοῦ, καὶ περὶ τῶν συμμάχων τοῦ Στρατηγοῦ Ῥώμης Ἀετίου καὶ τοῦ πολέμου αὐτοῦ μετὰ τῶν Οὔνων, καὶ περὶ Γενσερίκου καὶ Ὀδοάκρου, καὶ ὧν ἐποίησαν πολέμων ἐν Ῥώμῃ ἐπὶ Λέοντος καὶ Ζήνωνος τῶν Βασιλέων.

Ἀλλ' ἔλθωμεν εἰς τὸ προκείμενον. ὁ Οὐαλεντιανὸς ἔτι ζῶν ἐμέρισε τὴν Ἀφρικὴν μετὰ τοῦ Γενσερίκου τοῦ λαβόντος αὐτήν. παρέλαβε δὲ καὶ τὴν Καρχηδόνα ὁ Γενσέρικος μετὰ πεντακοσίους ἑβδομήκοντα καὶ τέσσαρας χρόνους, ἀφ' οὗ ἔλαβον αὐτὴν οἱ Ῥωμαῖοι. ἐν τούτοις, Βέλδος καὶ Ἀττήλας οἱ ἀδελφοὶ Οὖνοι μὴ ἀρκούμενοι εἰς τὴν ἐπαίω καὶ κάτω Οὐγγρίαν, κατέδραμον τὴν Μυσίαν, Μακεδονίαν καὶ Θρᾴκην ἕως Ῥηγίου καὶ Ἀχαΐας καὶ Ἀθηνῶν (καὶ ὤφθησαν μετριώτεροι τούτων οἱ Σκῦθαι, ὧν Συθῶν ἐπὶ Κλαυδίου Καίσαρος τοῦ μετὰ Οὐαλεριανὸν κατατρεχόντων τῆς Ἑλλάδος, καὶ θελόντων κατακαῦσαι τὰς βιβλιοθήκας, εἷς ἐξ αὐτῶν εἶπεν, ἄφετε ταύτας ἀναγινώσκειν τοὺς Ἕλληνας, καὶ μὴ μανθάνειν πολεμεῖν. τὰ αὐτὰ ἐποίησαν καὶ οἱ Ἄβαρες ἐπὶ Οὐάλεντος, ἦσαν δὲ οἱ αὐτοὶ τοῖς παροῦσιν Οὔνοις, ἐπειδὴ οἱ Ἄβαρες οἱ δυτικοὶ εἰσὶν Οὖνοι, οἱ καὶ μετέπειτα Οὖγγροι, ἴσως τοῦ αὐτοῦ γένους ἦσαν οἱ ἐπὶ γάλλου καὶ Βολοσιανοῦ, οἱ περάσαντες τὸν Ἴστρον, καὶ Δύσιν καὶ Ἰταλίαν καὶ τὴν Ἀνατολὴν ἐκπορθήσαντες πλὴν Ἰλίου καὶ Κυζίκου) καὶ ἑνωθεὶς ὁ στρατηγὸς Ῥώμης Ἀέτιος μετὰ Θεοδωρίκου τοῦ ῥηγὸς Γότθων, ἔχοντες βοηθοὺς καὶ Ἀλανοὺς, Βουργουνδιώνας, Φράγγους, Σάξονας καὶ ἄλλα ἔθνη τῆς Δύσεως, πολεμοῦσι τοὺς Οὔνους, καὶ πίπτουσιν εἰς τὴν μάχην ἑκατὸν ὀγδοήκοντα χιλιάδες ἐξ ἑκατέρου μέρους, ἀλλὰ καὶ ὕστερον πολλὰ πράγματα κατέφθειρεν εἰς τὴν Ἰταλίαν ὁ Ἀττήλας. καὶ Γενσέρικος ὁ Ἀρχηγὸς τῶν Βανδάλων ἀπὸ Λιβύης κινεῖται κατὰ Ῥώμης, καὶ προνοεῖται ὁ Λέων βοήθειαν τοῦ Ἀνθεμίου, καὶ νικᾷ τὸν Γενσέρικον, τὸν δὲ Ὀδόακρον τὸν κυριεύσαντα τῆς Ἰταλίας πέμψας Ζήνων ὁ Βασιλεὺς Θεοδώρικον τὸν Βασιλέα τῶν Γότθων, κατεπολέμησε, καὶ ἔλαβεν ἐκεῖνος τὴν βασιλείαν, ὅστις πολεμήσας προσέτι καὶ Φράγγους καὶ Ἀλάρικον Γότθων Βασιλέα τῶν Βοζογότθων, ἐξουσιάζει Δαλματίας, Ἰλλυρικοῦ, Σικελίας καὶ Φραύτζας.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν κακώσεων ὧν εἰργάσατο τοὺς ἐν Ἀφρικῇ ὀρθοδόξους ὁ τῶν Βανδάλων ἀρχηγὸς Τρασμοῦσδος, καὶ περὶ τοῦ κατὰ Ἀρειανῶν θαύματος, καὶ ἀνέσεως τῶν ἐν Ἀφρικῇ ὀρθοδόξων ὑπὸ Ἰλδερίχου υἱοῦ Ὀνωρίχου ἐπὶ Ἰουστίνου τοῦ Θρᾳκός.

Ἐπὶ δὲ Ἀναστασίου Τρασμοῦσδος ὁ ἀρχηγὸς τῶν Βανδάλων ἔκλεισε τὰς Ἐκκλησίας τῶν ὀρθοδόξων εἰς τὴν Ἀφρικὴν, καὶ ἐξώρισεν εἰς τὴν νῆσον Σαρδηνίαν ἑκατὸν καὶ εἴκοσιν Ἐπισκόπους. καὶ τινὸς Ἀρειανοῦ ὀνόματι βαρβάρου (κατ' ἄλλους δὲ ὁ βαπτιζόμενος ἤκουε βάρβαρος) θέλοντος βαπτίσε τινὰ, καὶ εἰπόντος βαπτίζει τὸν δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρὸς δι' υἱοῦ ἐν ἁγίῳ Πνεύματι, ἐξηράνθη παντάπασιν ἡ κολυμβήθρα. ἐπὶ δὲ Ἰουστίνου τοῦ Θρᾳκὸς ὁ υἱὸς

ὁ υἱὸς τοῦ Ὀνωρίχου Ἰλδέριχος διδαχθεὶς ὑπὸ τῆς μητρὸς αὐτοῦ ὀρθοδόξου οὔσης, ἀνακαλεῖται τοὺς Ἐπισκόπους ἀπὸ τῆς ἐξορίας, καὶ ἀνοίγει τὰς Ἐκκλησίας, καὶ ἀφίησιν ἕκαστον θρησκεύειν ὡς βούλεται.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῶν ἐν Ἀφρικῇ διωγμῶν ὑπ' Ὀνωρίχου τοῦ Γιζερίχου καὶ Γουδεβοῦντος καὶ τῶν λοιπῶν ἀρχηγῶν, καὶ περὶ τῶν γλωσσοτομηθέντων ὑπ' αὐτῶν, καὶ τῆς ἐναρθρου φωνῆς μὴ στερηθέντων.

Ἀλλὰ καὶ Ὀνώριχος ὁ Γιζερίχου καὶ Γουδεβοῦν καὶ οἱ λοιποὶ Ἀρχηγοὶ εἰς πῦρ ἔβαλον, ἔκαιον, ἔκοπτον, καὶ μυρία κακὰ εἰργάζοντο τοὺς ὀρθοδόξους, καὶ τὰς γλώσσας αὐτῶν ἔκοπτον ῥιζόθεν, καὶ ὅμως καὶ μετὰ τὴν ἐκκοπὴν πάλιν ἐλάλουν ὡς καὶ τὸ πρότερον, καὶ διὰ μείζονα πίστωσιν, λέγει ὁ Βίκτωρ, ὅτι εὑρίσκετο εἰς τὸ παλάτιον τοῦ Ζήνωνος ὑποδιάκονός τις Ῥεστρᾶτος τὴν κλῆσιν, ὅστις ἐλάλει καθαρώτατα χωρὶς τοῦ τραυλίζειν τὴν γλῶσσαν αὐτοῦ, ἢ δυσκόλως καὶ κακῶς λαλεῖν. ὄντως τὰ κρίματα τοῦ Θεοῦ ἄβυσσος πολλὴ, οὐ γὰρ ἔδει τὴν γλῶσσαν ἐκείνην τὴν θεολογήσασαν τὸν τοῦ Θεοῦ Λόγον Υἱὸν ἀληθινὸν τοῦ Θεοῦ καὶ Πατρὸς σχεθῆναι καὶ σβεσθῆναι, ἀλλ' ὑπὲρ τὴν μεγιστόφωνον σάλπιγγα κηρύττειν τὸ Ὁμοούσιον, καὶ λαλεῖν τὰς δυναστείας τοῦ Κυρίου, καὶ βεβαιωθῆναι τὸ ψαλμικὸν, καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ, καὶ ὅτι φωνὴ Κυρίου ἐν ἰσχυῖ, φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ, Λέων ἐρεύξεται, καὶ τὶς οὐφοβηθήσεται; Κύριος ἐλάλησε, καὶ τὶς προφητεύσει; ὅθεν ὁ μέγας Ἰουστινιανὸς βεβαιοῖ, ὅτι εἴδομεν εὐλαβητικοὺς ἄνδρας χωρὶς γνώσσης λαλοῦντας. ταῦτα βεβαιοῖ καὶ ὁ Διάλογος λέγων βιβλίῳ δευτέρῳ, κεφαλαίῳ τριακοστῷ δευτέρῳ τῶν Διαλόγων, ἐπιδημήσας εἰς Βασιλέα εἰς Βυζάντιον, ἤκουσε γέροντος Ἐπισκόπου, ὅτι οἱ τοιοῦτοι ἤνοιγον τὰ στόματα, καὶ πάντων ὁρώντων, μὴ ἔχοντες γλώσσας ἐλάλουν. εἷς δὲ ἐξ ἐκείνων εἰς πορνείαν ἐξοκείλας, ὑστερήθη τοῦ χαρίσματος, ὁ γὰρ τὸ σῶμα μὴ φυλάξας καθαρὸν, πῶς ἠδύνατο ἔχειν τὴν χάριν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῶν λεχθέντων ὑπ' Αἰνείου Γαζαίου ἐγκωμιαστικῶς καὶ θαυμαστικῶς ὑπὲρ τῶν γλωσσοτομηθέντων Ἱερέων.

Οὐμὴν ἀλλὰ καὶ ὁ Γαζαῖος Αἰνείας ὁ πλατωνικὸς τοῦ καιροῦ ἐκείνου εἰς τὸν Διάλογον τὸν ἐπιγραφόμενον Θεόφραστος, ἤκουσες, λέγει, θαῤῥῶ, ὅτι διὰ τὸ μὴ ἐθέλειν τινὰς Ἱερεῖς ἀρνήσασθαι τὰ καλὰ αὐτῶν δόγματα, φεῦ τῆς ἀσεβείας, ἀπετμήθησαν τὴν περιλημένην αὐτῶν γλῶσσαν ὑπὸ τοῦ τυράννου, τοῦ τὸν μυθικὸν Τηρέα μιμησαμένου τὸν Θρᾷκα. καὶ τοῦτο ἐγὼ εἶχον ὡς δύσκολον, πῶς δηλαδὴ τὸν κιθαρῳδὸν χωρὶς κιθάρας κιθαρίζειν, καὶ χωρὶς αὐλοῦ τὸν αὐλητὴν ἀγραυλίζειν, πλὴν ὅπου Θεὸς βούλεται νικᾶται φύσεως τάξις ὡς γέγραπται. καὶ εἰ μὴ εἶδον αὐτὸς ἐγὼ τούτους τοῖς ὄμμασίμου, οὐκ ἄνποτε ἐπίστευσα τῷ θαύματι τούτῳ, συμπεραίνει ὁ Γαζαῖος Αἰνείας, ὁ ἔχων τὴν τοιαύτην ἐπωνυμίαν οὐκ ἀπὸ τοῦ Τρῳαδίτου Αἰνείου, ἀλλ' ἀπὸ τοῦ Γάζης Αἰνείου τοῦ Ἀρχιεπισκόπου, τοῦ χρηματίσαντος εἰς τόπον τοῦ Εἰρηνίωνος πρὶν ἢ χειροτονηθῆναι τὸν Πορφύριον.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς ἐν Ἀφρικῇ Βασιλείας τοῦ Γελίμερος, καὶ τοῦ ἀδίκου θανάτου Ἀμαλασούνθης Βασιλίσσης Ἰταλίας.

Ἐβασίλευσε δὲ ὕστερος εἰς τὴν Ἀφρικὴν ὁ Γελίμερ, εἰς δὲ Ἰταλίαν θανόντος Θεοδωρίκου, Ἀμαλασούνθη ἡγυνὴ αὐτοῦ, ἀποθανόντος Ἀταλαρίκου τοῦ υἱοῦ αὐτῆς, λαμβάνει κοινωνὸν τῆς Βασιλείας Θεοδᾶτον τὸν ἐξάδελφον αὐτῆς, ἀπέκτεινεν ὅμως αὐτὴν ὁ ἀχάριστος, καὶ παροξύνεται εἰς τοῦτο ὁ Ἰουστινιανὸς, ἠγάπα γὰρ τὴν Ἀμαλασούνθην ὡς καλότροπον. ἰδὲ τὰ περὶ τούτων καὶ τὸν κατάλογον αὐτῶν εἰς τὸ ἕβδομον ἔτος τοῦ μεγάλου Ἰουστινιανοῦ παρὰ τῷ Θεοφάνει.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς διαφθορᾶς τῶν ἐν Ἰταλίᾳ καὶ Ἀφρικῇ Βανδάλων, Οὔνων καὶ Γότθων ὑπὸ τοῦ μεγάλου Ἰουστινιανοῦ διὰ τοῦ Βελισαρίου, καὶ τί τὸ κινῆσαν τὸν Βασιλέα κατ' αὐτῶν.

Εἰς τὴν ἐκκλησιαστικὴν ἱστορίαν τὶς ἡ χρεία τῆς τῶν κοσμικῶν Βασιλέων μνήμης; οὐδὲ ἄλλο ὅμως, ἀλλ' ὅτι οὐκ εἰσὶν εἰς τοὺς κοινοὺς χρονογράφους τὰ ὀνόματα αὐτῶν, καὶ διὰ μέγαν ἔπαινον τοῦ Ἰουστινιανοῦ,

νιανοῦ, ὅτι ταῦτα τὰ θηρία οἱ Βάνδαλοι καὶ Γότθοι καὶ Οὖνοι οἱ ἐξουσιάσαντες εἰς τὴν Δύσιν καὶ τὴν Ἀφρικὴν, ὄντες Ἀρειανοὶ, οὐδὲν ἀφῆκαν εἶδος τυραννίδος ὅπερ μὴ ἐπενόησαν κατὰ τῶν ὀρθοδόξων, εἰς μὲν γὰρ τὰ κοσμικὰ, ἐπυρπόλησαν, ἔφθειραν, ἐδούλωσαν τοὺς ὀρθοδόξους, εἰς δὲ τὰ περὶ πίστεως, ὑπερεῖχον εἰς τὴν κακίαν τὸν Δέκιον, τὸν Διοκλητιανὸν καὶ Μαξιμιανὸν καὶ αὐτὸν τὸν Ἰουλιανόν. καὶ εἰ οἱ πρότεροι Βασιλεῖς Κωνσταντινουπόλεως ἐβοήθησαν τοῖς ὀρθοδόξοις, ἀλλ' οὐχ ὅσον ἔδει, ὁ Ἰουστινιανὸς ὅμως πέμψας τὸν Βελισάριον πρῶτον, καὶ ὕστερον τὸν Ναρσῆν κατετροπώσατο καὶ ἠφάνισε καὶ εἰς τὴν Ἀφρικὴν καὶ Ἰταλίαν τῶν εἰρημένων τὴν τυραννίδα, καὶ ἀπὸ μὲν Λιβύης ἐθριάμβευσεν εἰς Κωνσταντινούπολιν ὁ Βελισάριος τὸν Γελίμερα, ἀπὸ δὲ Ἰταλίας τὸν μετὰ Θεοδᾶτον Οὔτζιγιν, καὶ ἰδὲ τὸν Προκόπιον, ἵνα μάθῃς καὶ ποίους ἄλλους προσέτι Ἀρχηγοὺς τῶν βαρβάρων ἐκείνων ὁ Ἰουστινιανὸς κατεπολέμησεν. ἱστορεῖ δὲ ὁ Εὐάγριος εἰς τὸ δέκατον ἕκτον κεφάλαιον τοῦ τετάρτου βιβλίου, ὅτι εἶρξε τῆς στρατείας ταύτης τὸν Ἰουστινιανὸν Ἰωάννης Ἔπαρχος τῆς αὐλῆς, ἀλλ' ὤφθη αὐτῷ ἐν ὀνείρῳ θεία ἐπιταγὴ εἰς τὸν ἕβδομον χρόνον τῆς βασιλείας αὐτοῦ, ἵνα στρατεύσῃ κατὰ Βανδάλων διὰ τὴν ἀγάπην τῶν ἐκεῖσε Χριστιανῶν. λέγει δὲ ὁ Θεοφάνης, ὅτι τὸ ὄνειρον εἶδεν Ἐπίσκοπός τις τῶν ἐκ τῆς Ἀνατολῆς, καὶ ὄντος τοῦ Ἰουστινιανοῦ πεπεισμένου τῇ βουλῇ τῆς Συγκλήτου μὴ στρατεῦσαι κατὰ τῆς Ἀφρικῆς, ἦλθε καὶ ὁ Ἐπίσκοπος, καὶ εἶπεν αὐτῷ τὸ θεῖον πρόσταγμα, ὅθεν καὶ ἐκίνησε τὸν πόλεμον. ἀλλὰ δὴ καὶ ὁ ἱερομάρτυς Κυπριανὸς ἐν τῇ Καρθαγένῃ πολλάκις τοῖς πιστοῖς τυραννουμένοις προεῖπε τὴν ἀπώλειαν τῶν Βανδάλων, ἥτις γέγονεν ὑπὸ Βελισαρίου, ὥστε ἀπὸ τῆς Λιβύης ἐκλιπεῖν καὶ Βανδάλους καὶ Ἀρειανοὺς μετὰ ἐννενηκονταπέντε χρόνους τῆς ἐξουσίας αὐτῶν εἰς τὴν Λιβύην, καὶ ἑξήκοντα εἰς τὴν Ῥώμην.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῶν μετωνυμιῶν ὧν ἔχουσιν ἤδη τὰ ἔθνη, τὰ διωχθέντα πάλαι ὑπὸ Ἰησοῦ τοῦ Ναυῆ ἀπὸ τῆς Παλαιστίνης κατὰ Προκόπιον καὶ ἄλλους ἄλλως.

Λέγει παραδοξόντι ὁ Προκόπιος, ὅτι δῆθεν τὸ Λιβύων ἔθνος εἰσὶν οἱ Γεργεσαῖοι καὶ Ἰεβουσαῖοι καὶ τὰ λοιπὰ ἔθνη ἅπερ ἐδίωξεν ἀπὸ τῆς Παλαιστίνης ὁ Ἰησοῦς τοῦ Ναυῆ, ἐπειδὴ εἰς στύλους μαρμαρέους, ὄντας εἴστινα βρύσιν ἐκεῖ, ἐστὶ γεγραμμένον γράμμασι Φοινίκων τὸ παρὸν ἐπίγραμμα. ἡμεῖς ἐσμὲν οἱ φυγόντες ἀπὸ προσώπου τοῦ λῃστοῦ Ἰησοῦ τοῦ ναυῆ. ἄλλοι δέ τινες λέγουσιν, ὅτι τὰ ἔθνη ἐκεῖνα ἔφυγον εἰς τὸν Εὔξεινον, καὶ κατῴκησαν ἀπὸ Μαιώτιδος ἕως Κολχίδος, ὅθεν Κερκέται λέγονται οἱ Γεργεσαῖοι, Ἀχαιοὶ οἱ Χεταῖοι. ὅθεν καὶ ὅπερ λέγεται διὰ τὸν Σέσωστριν, ὅτι ἀφῆκε τοὺς Ἀκαμάτους εἰς τὴν Κολχίδα, πταῖσμα εἶναι λέγουσιν οἱ τὰ παρόντα ἱστοροῦντες.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τοῦ ὅπως τὰ ὑπὸ Τίτου αἰχμαλωτισθέντα σκεύη τῆς Ἱερουσαλὴμ ἐπανῆλθον εἰς αὐτὴν ἐπὶ τοῦ μεγάλου Ἰουστινιανοῦ.

Σημειοῖ δὲ ὁ Προκόπιος καὶ τοῦτο, ὅτι τὰ ἅγια σκεύη τοῦ Ἱεροῦ, ἅπερ ἔλαβέποτε ὁ Αὐτοκράτωρ Τῖτος, καὶ ἦσαν εἰς τὴν Ῥώμην, ἔλαβε ταῦτα ὁ Γιζέριχος, ἅπερ εὑρὼν εἰς τὴν Καρθαγένην ὁ Βελισάριος, ἔφερεν εἰς τὸ Βυζάντιον μετὰ τοῦ Γελίμερος, ὁ δὲ Ἰουστινιανὸς ἀπέστειλεν αὐτὰ εἰς τὴν Ἱερουσαλὴμ ἵνα εὑρίσκωνται ἐκεῖ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τοῦ κατὰ Ῥωμαίων πολέμου ὑπὸ τοῦ Περσάρχου Χοσρόου, καὶ ἀποδιώξεως αὐτοῦ διὰ θαυματουργιῶν, καὶ περὶ τῆς σωτηρίας αὐτοῦ ἐν τῷ τέλει τοῦ βίου αὐτοῦ.

Ἀκούσας ὅμως Χοσρόης ὁ Περσάρχης τὰς εὐτυχίας Ἰουστινιανοῦ, φθονήσας πόλεμον ἐκίνησε κατὰ Ῥωμαίων, ὅτε καὶ τὴν Ἀντιόχειαν ἐνεπύρισεν. εἰς δὲ τὴν Ἀπάμειαν ὁ Μητροπολίτης Θωμᾶς λιτανεύων μετὰ μέρους τιμίου ξύλου τοῦ ζωοποιοῦ Σταυροῦ, ἐφαίνετο πῦρ οὐράνιον περὶ τὸ ξύλον ἐκεῖνο τὸ ἅγιον. ὅθεν καὶ οἱ Ἀπαμεῖς τοιούτου σημείου τετυχηκότες, δόντες δῶρα τῷ Χοσρόῃ, ἔμειναν αἰχμαλωσίας ἐκτός. εἰς δὲ τὴν Ἔδεσσαν τὸ ἅγιον μανδήλιον ἐκβαλόντων καὶ λιτανευόντων τῶν χριστιανῶν, ἔμειναν μάταια ὅλα τοῦ Χοσρόου τὰ κατὰ τῆς πόλεως τεχνάσματα, καθὼς εἰς τὴν Σεργιούπολιν πέπονθε τὰ ὅμοια ἐκ τῆς βοηθείας τοῦ ἁγίου Σεργίου, ὅθεν καὶ ὑπεραγάμενος τὴν ὀρθόδοξον πίστιν, ἀνεχώρησεν, ὃν καὶ εἰς τὰ τέλη αὐτοῦ τοῦ θείου ἀξιωθῆναί φασι βαπτίσματος.

Κεφά-

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ ἀποδείξεως προφανοῦς ὅτι ψεύδονται οἱ Λατῖνοι, τὸν μετὰ Ἰωάννην Φίληκα Ῥώμης ἀναθεματίσαι τὸν Κωνσταντινουπόλεως λέγοντες. καὶ περὶ τοῦ σχίσματος Βονιφατίου τοῦ δευτέρου καὶ Διοσκόρου τῶν Παπῶν, καὶ τοῦ ἀναθεματισμοῦ Διοσκόρου μετὰ θάνατον αὐτοῦ ὑπὸ τοῦ Βονιφατίου, ὃς καὶ συνοδικὴν διαταγὴν περὶ τοῦ διαδόχου αὐτοῦ ποιήσας, κατέκαυσε μεταμεληθείς.

Ὁ μετὰ Ἰωάννην Πάπας τῆς Ῥώμης Φίληξ, λέγουσιν οἱ Λατῖνοι ὅτι ἀνεθεμάτισε τὸν Κωνσταντινουπόλεως, ἐκκλίναντα τῆς ὀρθοδόξου πίστεως. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι πασιδήλως ψεύδονται οἱ τὰ τοιαῦτα φρονοῦντες, καθότι Κωνσταντινουπόλεως Πατριάρχης Αἱρετικὸς ἐγένετο ὁ Ἄνθιμος, ἀλλ' εἰς τοὺς καιροὺς τοῦ Ἀγαπητοῦ, ἐπὶ δὲ τοῦ παρόντος Φίληκος ἦν ὁ Ἐπιφάνιος, ἄνθρωπος ἁγιώτατος. δεύτερον, ὅτι οἱ τοιοῦτοι ἀναθεματισμοὶ εἰς μόνην τὴν Ῥώμην περιορίζονται, οὔποτε δὲ εἰς τὴν Ἀνατολὴν ἢ ἐδέχθησαν ἢ ἱστορήθησαν ἢ ὅλως ἠκούσθησαν. εἴδωμεν ὅμως, ὅτι μετὰ Φίληκα γενομένου Ῥώμης τοῦ Βονιφατίου, πάλιν σχίσματα καὶ μάχαι εἰς Ῥώμην, τὸ γὰρ ἐν μέρος ἐψηφίσατο αὐτὸν, καὶ τὸ ἕτερον Διόσκορόν τινα, ὃς ἦν ποτε εἰς Κωνσταντινούπολιν πρεσβευτὴς τοῦ Πάπα Ὁρμίσδου, ἐγένετο δὲ εἰς τοὺς πεντακοσίους τριάκοντα τὸ σχίσμα ἐπὶ Ἰουστινιανοῦ Βασιλέως καὶ Ἀλαρίκου Γότθου, ἦν δὲ τὸ πλεῖον μέρος μετὰ τοῦ Διοσκόρου, καὶ ἐπεκράτησεν ἡ διαφορὰ ἡμέρας εἰκοσιμία, ἐν ᾗ ἀποθανόντος τοῦ Διοσκόρου, εἰρηνοποιήσας τὸν Κλῆρον ὁ Βονιφάτιος, ἀνεθεμάτισε τὸν Διόσκορον τεθνηκότα ἐκ πεισμονῆς καὶ φθόνου καὶ οὐκ ἀπό τινος νομικοῦ δικαίου. μεταταῦτα ἀθροίσας Συνόδον καὶ ποιήσας διαταγὴν, ἐψηφίσατο διάδοχον αὐτοῦ, καὶ ἔβαλε τοὺς πατέρας καὶ ὑπέγραψαν μεθ' ὅρκου, οἵτινες οὐκ ἀντεῖπον αὐτῷ διὰ τὴν εὐλάβειαν τοῦ θρόνου, καὶ μάλιστα διὰ τὸ φονικὸν αὐτοῦ ἦθος, ὁ δὲ ψηφισθεὶς διάδοχος ἦν Βιγίλιος ὁ μεταταῦτα γενόμενος Πάπας ὑπούλῳ καὶ τυραννικῷ τρόπῳ, ὡς ῥηθήσεται. μετέπειτα ὁ Βονιφάτιος εἰδὼς ὅτι τὸ κατόρθωμα τοῦτο ἦν προφανῶς παράνομον καὶ κατὰ τῶν θείων Κανόνων, ὡμολόγησεν αὐτὸς ἑαυτὸν πταίστην, καὶ ἀθροίσας Συνόδον κατέκαυσε τὴν περὶ τῆς διαδοχῆς διαταγὴν αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ μετὰ Βονιφάτιον καὶ Ἰωάννην Ἀγαπητοῦ Ῥώμης, καὶ τῆς ὑπ' αὐτοῦ κατακαύσεως ἐπ' Ἐκκλησίας τῶν κατὰ Διοσκόρου ἀναθεματισμῶν τοῦ Βονιφατίου.

Ἀποθανόντος τοῦ Βονιφατίου, ἐγένετο διάδοχος Ἰωάννης δεύτερος ὁ ἐπικληθεὶς Μερκούριος, ὅνπερ διεδέξατο ὁ θεῖος Ἀγαπητὸς, ὅστις εἰς τὴν ἀρχὴν τῆς Ἐπισκοπῆς αὐτοῦ, τὰ χαρτία ἅπερ εἶχον τοὺς ἀναθεματισμοὺς οὓς ἐποίησεν ὁ Βονιφάτιος κατὰ τοῦ Διοσκόρου, λαβὼν ἀπὸ τῶν χειρῶν τῶν Πρεσβυτέρων ὑπογεγραμμένα βίᾳ καὶ δυναστείᾳ, ἐν μέσῳ τῆς Ἐκκλησίας ἔκαυσε, καὶ ἠλευθέρωσε τὴν Ἐκκλησίαν ἀπὸ τοῦ τοιούτου μύσους, καὶ ἰδὲ τὸν Βιβλιοθηκάριον εἰς τὴν ζωὴν τούτων τῶν Πατῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ φλυαρίας παπικῆς, ὅτι εὑρέθη ἐπιστολὴ Βονιφατίου τοῦ δευτέρου, διαβολικῆς ἐνεργείας τὴν ἐπ' Αὐρηλίου Συνόδον λέγουσα, καὶ κεχωρισμένην τῆς κοινωνίας τῆς Ῥώμης, καὶ δεδέχθαι ἐπ' αὐτοῦ τὸν Καρθαγένης Εὐλάλιον τὴν Ἔκκλητον τοῦ Ῥώμης βεβαιοῦσα. καὶ περὶ τοῦ κατ' αὐτῆς ἐλέγχου καὶ ὡς ψευδεστάτης, καὶ ἐξ ὧν περιέχει ἀτόπων,

Ἔτι εἴρηται εἰς τὸ δέκατον τρίτον κεφάλαιον τοῦ τρίτου βιβλίου περὶ τῆς ἐν Καρθαγένῃ ἐπὶ Αὐρηλίου Συνόδου, ὅτι ἀπέβαλε τὴν Ἔκκλητον τοῦ Ῥώμης ἀπὸ τῆς Ἀφρικῆς, ἐν ᾗ γνώμῃ καὶ οἱ μετέπειτα Ἐπίσκοποι τῆς Ἀφρικῆς γενναίως ἔμειναν καὶ ἀπερασαλεύτως. ὁ Βονιφάτιος ὅμως οὗτος ὁ δεύτερος λέγουσιν ὅτι ἔγραψεν εἰς τὸν Ἀλεξανδρείας Εὐλάλιον, ἢ καθὼς λέγουσιν ὁ Λικτᾶνος καὶ ὁ Ἀρδίγγος, εἰς τὸν Θεσσαλονίκης. εὑρίσκεται δὲ ἡ ἐπιστολὴ εἰς τὸν τρίτον τόμον τῶν Συνόδων. λέγει γοῦν ὁ Βονιφάτιος εἰς αὐτὴν, ὅτι ἡ ἐν Καρθαγένῃ Ἐκκλησία, Θεοῦ εὐδοκοῦντος, ἐπανῆλθεν εἰς τὴν ἡμετέραν κοινωνίαν, καθότι Αὐρήλιος ὁ ποτὲ τῆς Καρθαγένης Ἐπίσκοπος μετὰ τῶν ὀπαδῶν αὐτοῦ, τοῦ διαβόλου ἐνεργοῦντος, ἤρξαντο ὑπερηφανεύεσθαι εἰς τοὺς χρόνους τῶν προγενεστέρων ἡμῶν Βονιφατίου καὶ Κελεστίνου κατὰ τῆς ῥωμαϊκῆς Ἐκκλησίας. ἀλλ' ὁρῶν νῦν ὁ Καρθαγένης Εὐλάλιος ἑαυτὸν τοῖς ἁμαρτήμασι τοῦ Αὐρηλίου ὑποβ

ὑποβεβλημένον, καὶ κεχωρισμένον ἀπὸ τῆς κοινωνίας τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ταπεινωθεὶς, ἔγνω τὴν εἰρήνην καὶ τὴν κοινωνίαν τῆς ῥωμαϊκῆς Ἐκκλησίας ζητεῖν, καὶ μετὰ τῶν σὺν αὐτῷ κατέκρινεν ἀποστολικῇ ἐξουσίᾳ πάντα τὰ συγράμματα ὅσα κατὰ τῶν προνομίων τῆς ῥωμαϊκῆς Ἐκκλησίας ὁποίῳ δὴ λόγῳ ἐγένετόποτε ὑπότινων· καὶ ταῦτα μὲν ὁ Βονιφάτιος. Ῥητέον ὅμως πρῶτον, ὅτι εἰ εἰσὶ ταῦτ' ἀληθῆ, ἕπεται τὸν Αὐρήλιον καὶ τὸν ἱερὸν Αὐγουστῖνον καὶ Εὐγένιον καὶ Φουλγέντιον καὶ ὅλους τοὺς λοιποὺς Ἐπισκόπους τῆς Ἀφρικῆς, οἵτινες ἦσαν εἰς τὴν ἐν Καρθαγένῃ Σύνοδον, καὶ ὅλους ὅσοι ἦσαν ἀπὸ τοῦ καιροῦ τῆς Συνόδου ἐκείνης ἕως τοῦ Βονιφατίου τούτου, ὄντων σχεδὸν ἐτῶν πλειόνων τῶν ἑκατὸν, ἀποθανεῖν πάντας κεχωρισμένους τῆς κοινωνίας τῆς Ῥώμης. δεύτερον, ὅτι καὶ ὅσοι ἀπέθανον εἰς τὸν διωγμὸν τῶν Ἀρειανῶν Βανδάλων εἰς τὴν Ἀφρικὴν, ὅστις διωγμὸς, ὡς προείρηται, ἐγράφη εἰς τρία βιβλία ὑπὸ τοῦ Βίκτορος Ἐπισκόπου Οὐτικένσου, λέγοντος στεφθῆναι μυριαρίθμους τῷ στεφάνῳ τοῦ μαρτυρίου; καὶ ὁμολογητὰς ἄλλους χρηματίσαι ἐκεῖ πολλοὺς, καὶ ἄλλους εἰς τὴν ἀρετὴν περιβοήτους, ἀκόλουθόν ἐστι καὶ τούτους πάντας καὶ μάρτυρας καὶ ὁμολογητὰς ἀποθανεῖν ἀκοινωνήτους τῇ Ῥώμῃ. τρίτον, ὅτι ἐκ τούτων καὶ τῶν πρώτων καὶ τῶν ὑστέρων ἡ Ῥώμη ἑορτάζει πολλοὺς ὡς ἁγίους, καὶ πῶς οἱ ἅγιοι οὓς τιμᾷ ἦσαν ἀκοινώνητοι αὐτῇ; ἔτι εἰς τὴν ἐν Ἐφέσῳ Οἰκουμενικὴν τρίτην Σύνοδον, ἥτις ἠθροίσθη μετὰ τὴν ἐν Καρθαγένῃ τὴν ἐπὶ Αὐρηλίου, ἦλθον λεγᾶτοι τῆς Ἐκκλησίας Καρχηδόνος, καὶ ἔφερον ἐπιστολὴν Καπραιόλου Καρθαγένης, ἥτις καὶ ἐτάχθη εἰς τὰ ὑπομνήματα, καὶ πῶς οἱ κοινωνοῦντες τῇ καθόλου Ἐκκλησίᾳ, ἦσαν ἀκοινώνητοι τῇ τῆς Ῥώμης; ὅτι δὲ καὶ ὁ σοφιστὴς ὁ Βαρώνιος πολλὰ ἀληθῆ παραγράφει, ἵνα συστήσῃ τὸν παπισμὸν, ἐνταῦθα ὅμως οὐκ ἠδυνήθη μὴ εἰπεῖν τὴν ἀλήθειαν, ὅθεν εἰς τὰς σημειώσεις αὐτοῦ εἰς τὸ μαρτυρολόγιον εἰς τὰς δεκαὲξ τοῦ Ὀκτωβρίου, καὶ Σεβηρῖνος ὁ Βίνιος εἰς τὰς σημειώσεις αὐτοῦ εἰς τὴν ἐπιστολὴν τοῦ Βονιφατίου τούτου τοῦ δευτέρου ψευδῆ εἶναι καὶ νόθην βούλονται τὴν ἐπιστολὴν ταύτην.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τοῦ τίνες εἰσὶν οἱ δεχόμενοι τὴν ἀνωτέρω ἐπιστολὴν ὡς ἀληθινὴν, καὶ ὅτι ἐκ τῶν κατ' ἀλλήλων ἔργων καὶ παρανομιῶν αὐτῶν οἱ Πάπαι δείκνυνται ἐναμάρτητοι, καὶ οἱ λέγοντες ὑποταγῆναι τῇ Ῥώμῃ τὴν ἐν Καρθαγένῃ Σύνοδον, εἰσὶ ψευδέστατοι.

Οἱ δὲ θέλοντες αὐτὴν ἀληθῆ εἶναι, εἰσὶν οὗτοι, Ἀντώνιος, Αὐγουστῖνος Ἀρχιεπίσκοπος Τερακονένσου εἰς τὰς σημειώσεις αὐτοῦ τὰς εἰς τοὺς Κανόνας τοὺς ἀθροισθέντας ὑπὸ τοῦ Ἀδριανοῦ, κεφαλαίῳ δωδεκάτῳ, τόμῳ πέμπτῳ, καὶ Θωμᾶς ὁ Ἄρδιγγος ἐν τῇ Διαλέξει τοῦ κατὰ Ἰβέλου, ἄρθρῳ τετάρτῳ, τμήματι εἰκοστῷ ὀγδόῳ, καὶ Φραγγίσκος Κοστέρος εἰς τὸ ἐγχειρίδιον τῶν Διαφορῶν, κεφαλαίῳ τρίτῳ εἰς τὴν λύσιν τῆς ἑνδεκάτης ἐνστάσεως, καὶ Γουλίελμος ὁ Λιτᾶνος εἰς τὴν εὐαγγελικὴν αὐτοῦ πανοπλίαν, βιβλίῳ τετάρτῳ, κεφαλαίῳ ὀγδοηκοστῷ ἐνάτῳ, καὶ Ἰάκωβος ὁ Παμμέλιος εἰς τὴν πεντηκοστὴν πρώτην ἐπιστολὴν τοῦ Κυπριανοῦ, καὶ Βαρθολομαῖος ὁ Καραγγιὰς εἰς τὴν συλλογὴν τῶν Κανόνων, καὶ πρὸ πεντακοσίων ἐτῶν ὁ Γρατιανὸς ἐκ τῆς ἐπιστολῆς τοῦ Βονιφατίου ἐξέλαβεν ἐκεῖνον τὸν Κανόνα, ὃς εὑρίσκεται διαιρέσει ὀγδοηκοστῇ ἐνάτῃ, εἰς τὴν αὐτὴν γνώμην, κατατακτέον καὶ τὸν Βιβλιοθηκάριον; εἰς τὴν ζωὴν τοῦ Βονιφατίου λέγοντα, τῷ αὐτῷ καιρῷ ἀναφορὰ ἦλθεν ἀπὸ τῶν Ἐπισκόπων τῆς Ἀφρικῆς περὶ διορθώσεως, καὶ ὅτι μετὰ συμβουλῆς τοῦ ἀποστολικοῦ θρόνου πάντα ποιεῖν τὸν Ἐπίσκοπον τῆς Καρθαγένης, οὕτω φρονεῖ καὶ Ἀντώνιος Ἐπίσκοπος Φλωρεντείας, καὶ Λινδᾶνος εἶναι δῆθεν τὴν ἐπιστολὴν γνησίαν. Σὺ ὅμως ὀρθόδοξε ἰδὲ πρῶτον, ὅτι οἱ Πάπαι ἀλλήλους καταβάλλουσι, καὶ ἀναθεματίζουσι, πῶς ἐναντία τῶν Κανόνων διορίζονται συνοδικῶς, πῶς ὁμολογοῦσιν ὅτι ἁμαρτάνουσι, πῶς ὁ εἷς Πάπας κάει ἐπ' Ἐκκλησίας τοῦ ἑτέρου Πάπα τὰς ἀποφάσεις, καὶ πῶς τοὺς ἁγίους ἐξυβρίζουσι, καὶ βλασφημοῦσι τοὺς μάρτυρας καὶ ὁμολογητὰς, καὶ πῶς καταψεύδονται καὶ πλάττουσι ψευδῆ, ἵνα μόνον συστήσωσι τὸν παπισμόν. ἰδὲ δεύτερον, πόσοι καὶ τόσοι καὶ μεγάλοι θεολόγοι Λατῖνοι πλανῶνται εὐκόλως, καὶ θέλουσιν εἶναι ἀλήθειαν τὸ προφανέστατον ψεῦδος. καὶ τρίτον, ὅτι καὶ ἐκεῖνα ἅπερ εἶπον οἱ Λατῖνοι, καὶ ἡ κατὰ Φωτίου Σύνοδος ὡς ἐσημειώσαμεν ἐν τῷ δευτέρῳ καὶ τρίτῳ τοῖς ἀνωτέρῳ βιβλίοις, ὅτι ἡ ἐν Καρχηδόνι Σύνοδος ὑπετάγη τῇ Ἐκκλησίᾳ Ῥωμαίων, καὶ ἐκ τοῦ παρόντος κεφαλαίου δείκνυνται προφανῶς ψευδέστατα.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῆς εἰς Βυζάντιον ἐλεύσεως τοῦ Πάπα Ἀγαπητοῦ, ἀποσταλέντος ἀποκρισιαρίου ὑπὸ τοῦ ἀρχηγοῦ τῶν Γότθων Θεοδάτου, καὶ τῆς συνοδικῆς καθαιρέσεως τοῦ Κωνσταντινουπόλεως Ἀνθίμου, καὶ προβλήσεως εἰς τὸν θρόνον τοῦ Μηνᾶ.

Ἐγένετο Πάπας Ῥώμης ὁ ἐν ἁγίοις Ἀγαπητὸς, ὅνπερ ἀπέστειλε τῶν Γότθων ὁ ἀρχηγὸς Θεοδάτος ἀποκρισιάριον αὐτοῦ εἰς τὴν βασιλεύουσαν, ἀφ' οὗ ἀπεστερήθη τὴν Δαλματίαν καὶ ὅλην τὴν Σικελίαν, φοβούμενος ἵνα μὴ ἀποστερηθῇ καὶ τὴν γειτονεύουσαν Ἰταλίαν, εἰς ἣν παρεχείμαζε τοῦ Ἄρεος τὸ βέλος ὁ σεβαστὸς Βελισάριος, τῆς Βολισσοῦ τὸ μέγα κλέος καὶ καύχημα. ἔφθασεν ὁ Πατριάρχης Ἀγαπητὸς εἰς τὴν Κωνσταντινούπολιν, ἀνελθὼν διὰ τῆς Ἑλλάδος, ὡς ὁ Διάλογος λέγει βιβλίῳ τρίτῳ τῶν διαλογικῶν, καὶ ἐνέτυχε τῷ Ἰουστινιανῷ, καὶ τὴν πρεσβείαν αὐτοῦ διηγήσατο αὐτῷ, τὸν δὲ Ἄνθιμον ὡς Αἱρετικὸν παντελῶς ἢ ἀσπάσασθαι, ἢ καὶ ἰδεῖν οὐκ ἠθέλησεν, εἰδὼς αὐτὸν Αἱρετικὸν ὄντα, ἀλλὰ καὶ μετὰ τῆς Τοπικῆς Συνόδου τῆς Κωνσταντινουπόλεως ἐκάθηρεν αὐτὸν, ὅθεν ἠναγκάσθη ὁ Ἄνθιμος ἀποκομίσαι τὸ ὠμοφόριον εἰς τὸν Βασιλέα, καὶ ἀναχωρῆσαι. ἐχειροτονήθη γοῦν ὑπὸ τοῦ Ἀγαπητοῦ Πάπα ὁ Μηνᾶς, τὸ γένος Ἀλεξανδρινὸς, Πατριάρχης ὀρθόδοξος κατὰ τὸν Ζωναρᾶν. ἐβεβαίωσαι δὲ τοῦ Ἀνθίμου τὴν καθαίρεσιν Πέτρος ὁ Ἱεροσολύμων Πατριάρχης, καὶ μετ' αὐτοῦ οἱ Ἐπίσκοποι καὶ Ἡγούμενοι τῶν Μοναστηρίων τῆς Παλαιστίνης, ὡς βεβαιοῖ ὁ Νικηφόρος εἰς τὸ δέκατον ἕβδομον, μάλιστα καὶ φαίνεται μία ἐπιστολὴ τοῦ Ἀγαπητοῦ Πάπα πρὸς τὸν Πέτρον, εἰς ἣν διηγεῖται, ὅτι διὰ τὸ ὀφθῆναι τὸν Ἄνθιμον Αἱρετικὸν καὶ ἀκόλουθον τοῦ Εὐτυχοῦς, ἐκάθηρεν αὐτὸν, καὶ ἐγένετο ἀντ' αὐτοῦ ὁ Μηνᾶς.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν παρὰ τοῦ Ἱεροσολύμων εἰς Βυζάντιον κατὰ Σεβήρου ἀποσταλέντων, καὶ λίβελλον δόντων παρευρεθέντι τῷ Ἀγαπητῷ κατὰ Σεβήρου καὶ Ἀνθίμου, καὶ περὶ τῆς κοιμήσεως τοῦ Ἀγαπητοῦ καὶ τῆς εἰς Ῥώμην αὐτοῦ ἀνακομιδῆς,

Καθηρέθη καὶ ἀνεθεματίσθη ὁ κακότροπος Σεβῆρος, ὡς εἴρηται, ἐπὶ Ἰουστίνου ὑπὸ τῶν γενομένων Συνόδων, ὑπό τε Ἰωάννου καὶ Ἐπιφανίου τῶν Πατριαρχῶν Κωνσταντινουπόλεως καὶ ὑπὸ τοῦ Ἱεροσολύμων Ἰωάννου καὶ τοῦ Τύρου Ἐπιφανίου, ὅμως πάλιν πολλῶν καὶ μεγάλων κακῶν αἰτία ἐγένετο εἰς τὴν Ἀνατολὴν καὶ Αἴγυπτον. ἐπὶ δὲ τῆς παρούσης ἡγεμονίας Πέτρος ὁ Ἱεροσολύμων, καίτοι ἀγωνιζόμενος κατὰ Σεβήρου, ἀλλὰ γνοὺς μείζονος δυνάμεως τὸ πρᾶγμα δεόμενον, τουτέστι βασιλικῆς, πέμπει τοὺς Ἀρχιμανδρίτας τῆς ἁγίας Ἱερουσαλὴμ εἰς τὴν Κωνσταντινούπολιν, καὶ μετ' αὐτῶν ἦλθον καὶ ἄλλοι Ἱερομόναχοι τὸν ἀριθμὸν ἐννενήκοντα, περιῆν δὲ προσέτι καὶ ὁ Κοινοβιάρχης Θεοδόσιος, ὅστις καὶ ἐπίτροπον αὐτοῦ ἔπεμψεν Ἡσυχιόντινα. ἐρχόμενοι δὲ ἐκεῖνοι εἰς τὴν βασιλεύουσαν, καὶ εὑρόντες ἐκεῖ τὸν Ἀγαπητὸν, ἔδωκαν αὐτῷ λίβελλον κατὰ Σεβήρου καὶ Ἀνθίμου, ἀλλὰ τί συνέβη; ἀνεπαύθη μετὰ τῶν ἁγίων ὁ ἔργῳ καὶ λόγῳ Ἀγαπητὸς εἰς τὴν βασιλεύουσαν, ἐγένετο ὅμως ἀνακομιδὴ τοῦ λειψάνου αὐτοῦ ἀπὸ τῆς νέας εἰς τὴν πρεσβυραν Ῥώμην, καὶ ἐκηδεύθη εἰς τὴν βασιλικὴν Ἐκκλησίαν τοῦ κορυφαίου τῶν Ἀποστόλων κατὰ τὸν Ἀναστάσιον. ἔδραμον τότε εἰς τὴν ταφὴν αὐτοῦ πολλοὶ Ἐπίσκοποι, καὶ οἱ χοροὶ τῶν Μοναχῶν καὶ τῶν Ἱερέων καὶ λαϊκῶν τὴν πόλιν ἐγέμισαν, καὶ σφάλμα μεγάλον ἐνόμιζεν ἕκαστος τὸ μὴ ἀσπασθῆναι ἐκεῖνο τὸ ἱερώτατον σκῆνος, ἐπειδὴ εἰς τοὺς τοιούτους ὁσίους ἄνδρας τοιαύτην εἶχον συνήθειαν οἱ Πολῖται.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ ἐλέγχου τοῦ τῶν παπιστῶν πρώτου κόμπου, τὸν Αὐτοκράτορα Ἰουστινιανὸν λεγόντων προϋπαντῆσαι τῷ Ἀγαπητῷ Πάπᾳ.

Πάλιν καὶ ἐνταῦθα ἐπεισπηδῶσιν οἱ Λατῖνοι, καὶ παρέχουσιν ἀξίωμα τῷ Πάπᾳ τῆς Ῥώμης ὑπέρογκον, ὅτι δηλαδὴ τῷ Ἀγαπητῷ ἐλθόντι εἰς τὴν Κωνσταντινούπολιν ἐγένετο ὑπαντὴ ὑπὸ τοῦ Βασιλέως, ὡς λέγουσι καὶ περὶ τοῦ Ἰωάννου ἐπὶ Ἰουστίνου, καὶ ὅτι καθεῖλε τὸν Ἄνθιμον, καὶ ὅτι ἐχειροτόνησε τὸν Μηνᾶν. ἀλλ' ὅσον πρὸς τὸ πρῶτον ἀρκεῖ τὰ εἰρημένα περὶ τῆς λεγομένης τοῦ Ἰωάννου ὑπαντῆς. δεύτερον, ὅτι τὸ διδασκαλικὸν ὅπερ ἔδωκαν οἱ Μοναχοὶ διὰ Μαρκιανοῦ Ἀρχιμανδρίτου καὶ Ἐξάρχου τῇ Συνόδῳ ἐπὶ Μηνᾶ, καὶ ἀνεγνώσθη ὑπὸ Χριστοδώρου Διακόνου καὶ Νοταρίου λέγει, ὅτι ἐλθὼν εἰς Κωνσταντινούπολιν ὁ Ἀγα

ὁ Ἀγαπητὸς, καὶ μαθὼν διάτε πλείστων λιβέλλων τὰ ἀθέσμως τολμηθέντα τῷ Ἀνθίμῳ, οὐδὲ εἰς θέαν καθάπαξ παραδέξασθαι ἠβουλήθη τὸν κατὰ τῶν θείων Κανόνων μανέντα Ἄνθιμον. δῆλον οὖν, ὡς ὅτε ἦλθεν ὁ Ἀγαπητὸς, ἔμαθε κατ' εἶδος τὴν κακίαν τοῦ Ἀνθίμου τότε εὐθὺς, καὶ οὐχὶ πρότερον, καὶ οὐκ ἠθέλησεν ἐλθεῖν εἰς συνομιλίαν μετὰ τοῦ Ἀνθίμου, λοιπὸν μήτε ἐξῆλθεν εἰς ὑπαντὴν αὐτοῦ ὁ Ἄνθιμος, εἰ γὰρ ἐξῆλθεν, ἔβλεπεν ἂν αὐτὸν ὁ Ἀγαπητὸς, ὡς δὲ οὐκ ἐξῆλθεν ὁ Πατριάρχης, πολλῷ μᾶλλον ὁ Βασιλεύς. τρίτον, ἀνάγνωθι κατωτέρω πῶς ἐφέρετο ὁ Ἰουστινιανὸς κατὰ Ἀγαπητοῦ καὶ Βιγιλίου καὶ Σιλβερίου, καὶ τί λέγουσι καὶ οἱ Λατῖνοι ἱστορικοὶ μαινόμενοι κατὰ Ἰουστινιανοῦ, λέγοντες αὐτὸν ἄλλον Διοκλητιανὸν, καὶ γνῶθι ὅτι παντελῶς ὁ ἴδιος Βασιλεὺς οὐ προϋπήντησε τὸν Ἀγαπητὸν, εἰ γὰρ ὁ Πατριάρχης οὐκ ἐξῆλθεν εἰς ὑπαντὴν, πολλῷ μᾶλλον οὐκ ἐξῆλθεν ὁ Βασιλεύς. εἶτα καὶ Πλάτινας καίτοι ἀπειράκις ψευδόμενος κατὰ τῶν Ἀνατολικῶν, καὶ ὑβρίζων αὐτοὺς, οὐκ ἀπετόλμησεν εἰπεῖν καὶ αὐτὸς τὸ τοιοῦτον τοῦ Βιβλιοθηκαρίου πλάσμα, ἀλλὰ τόσον μόνον εἶπεν, ὅτι ὁ Ἀγαπητὸς ἐδέχθη μετὰ τῆς προσηκούσης τιμῆς. τέταρτον, ὅτι αὐτὸ μήτε ἱστορικός τις μήτε ἡ κοινὴ παράδοσις ὅλως εἶπεν, ἀλλὰ μόνον ὁ Βιβλιοθηκάριος τῆς Ῥώμης καὶ οἱ κατ' αὐτὸν μυθοπλάσται.

ΠΑΡΑΓΡΑΦΟΔ'.

Περὶ ἐλέγχου τοῦ τῶν παπιστῶν δευτέρου κόμπου, τὸν Ἀγαπητὸν Ῥώμης ὡς μονάρχην λεγόντων καθῃρηκέναι τὸν Αἱρετικὸν Ἄνθιμον, καὶ μὴ δηλονότι τῇ συνεργείᾳ τῆς ἐνδημούσης Συνόδου καὶ τοῦ Κλήρου τῆς Κωνσταντινουπόλεως.

Πρὸς δὲ τὸ δεύτερον ῥητέον, ὅτι τοῦ Ἀνθίμου ἔχοντος τὴν Βασίλισσαν Θεοδώραν βοηθὸν ὡς ὁμόφρονα, ἡ Βασίλισσα διείργει τὸν Βασιλέα ἀκοῦσαι τῶν αὐτοχθόνων περὶ τοῦ Ἀνθίμου. τινὲς δὲ χαριζόμενοι τῇ Βασιλίσσῃ, ἐσιώπων. ἐλθόντος δὲ τοῦ Ἀγαπητοῦ, ἔδραμον οἱ δόκιμοι εὐθὺς, οἱ ἐνδημοῦντες πατέρες, ἔδωκαν λιβέλλους, ἔγνω τὴν κακίαν τοῦ Ἀνθίμου ἐκεῖνος, καὶ παρεκινήθη ὑπὸ κανονικοῦ δικαίου θεωρῆσαι τὰ κατὰ τὸν Ἄνθιμον ὡς Πατριάρχης ὀρθόδοξος, ὡς εἴπομεν περί τε τοῦ Κναφέως καὶ Σεβήρου καὶ ἄλλων εἰς τὰ πρότερα βιβλία, ὅτι καὶ Ἐπίσκοποι καθαιροῦσι καὶ χειροτονοῦσι Πατριάρχας. ὁ δὲ Ζωναρᾶς λέγει, ὅτι τινὲς Ἐπίσκοποι χαριζόμενοι τῇ Βασιλίσσῃ, αὐτέτεινον τῷ Ἀγαπητῷ φερομένῳ κατὰ Ἀνθίμου, καὶ ποῦ ἐνταῦθα ἡ καθόλου τῆς Ῥώμης ἐξουσία, ὅτε αὐτιλέγουσιν αὐτῷ καὶ οἱ τυχόντες; ἔτι λέγει ὁ αὐτὸς, ὅτι ὁ Βασιλεὺς εἶπε τῷ Ἀγαπητῷ σιωπᾶν, καὶ ὅ,τι εἴπῃ ὁ Βασιλεὺς γίνεται, καὶ ὅτι ἐφόβησε τὸν Βασιλέα καὶ ὁ Ἀγαπητὸς εἰπὼν, ὅτι ἐστὶν ἕτοιμος εἰς πᾶσαν ἀνάγκην ἕνεκεν τοῦ ἐκκλησιαστικοῦ δικαίου, ὃν εὐλαβηθεὶς ὁ Βασιλεὺς, ἀφεῖκεν ἰδεῖν κανονικῶς τὰ κατὰ τὸν Ἄνθιμον, καὶ εἰ εἶχε τότε ὁ Ῥώμης τὴν νῦν νομιζομένην ἐξουσίαν, ὁ Ἰουστινιανὸς νομοθέτης ὢν καὶ ὀρθοδοξότατος, οὐκ ἂν ἀντέστη τῇ ἐξουσίᾳ τοῦ Πάπα, ἀλλ' ἀντέστη, ὅτι ἐγίνωσκε τὸν Ἀγαπητὸν μόνων τῶν Ἑσπερίων Πατριάρχην, καὶ πρῶτον τοῦ χοροῦ τῶν Ἱερέων τῇ τάξει, καὶ οὐχ ὡς μονάδα καὶ αὐτοκράτορα. ὅθεν οὐχ ὑπὸ μόνου τοῦ Ἀγαπητοῦ, ἀλλὰ συνεργείᾳ τῆς ἐνδημούσης Συνόδου καὶ τοῦ Κλήρου Κωνσταντινουπόλεως καθῃρέθη ὁ Ἄνθιμος, ἐν ᾧ φησὶν ὁ Ζωναρᾶς, ὅτι καθῃρέθη ὁ Ἄνθιμος, αἰδεσθέντος τοῦ Βασιλέως τὸν Πάπαν καὶ τὴν ἀλήθειαν, καὶ ἰδὲ καὶ τὴν διάταξιν Ἰουστινιανοῦ διὰ τὴν καθαίρεσιν Ἀνθίμου. τοῦτο καὶ ὁ Θεοφάνης μαρτυρεῖ λέγων, Ἀγαπητὸς δὲ ὁ Ἐπίσκοπος Ῥώμης ἐν τούτῳ τῷ χρόνῳ ἀνελθὼν ἐν Κωνσταντινουπόλει, Συνόδον ἐκρότησε κατὰ τῶν δυσσεβῶν Σεβήρου καὶ Ἰουλιανοῦ Ἁλικαρνασσέως, καὶ τῶν λοιπῶν Θεοπασχιτῶν, καὶ ὁ Ἄνθιμος ὁ Ἐπίσκοπος Κωνσταντινουπόλεως ὡς ὁμόφρων αὐτοῖς ἐξεβλήθη. διὰ Συνόδου οὖν ἐνήργησεν ὁ Ἀγαπητὸς, ὅπερ καὶ παντὶ ἄλλου θρόνου Πατριάρχῃ ἴδιόν ἐστι.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι μυθοπλάσται οἱ παπισταὶ ὡς καὶ ἐκ τοῦ Εὐαγρίου καὶ Ζωναρᾶ δείκνυται, λέγοντες τὸν Ἰουστινιανὸν βιάσαι τὸν Ἀγαπητὸν δέξασθαι τὴν Αἵρεσιν τῶν Μονοφυσιτῶν. καὶ ὅτι ἐξ ὧν ἐποίησεν, ἐνήργησέ τε καὶ συνέγραψεν ὁ Ἰουστινιανὸς δείκνυται ὀρθοδοξότατος.

Ἐντεῦθεν δὲ δῆλον, ὅτι μυθοπλάσται οἱ Λατῖνοι, λέγοντες ὅτι ὁ Ἀγαπητὸς ἠνωχλήθη ὑπὸ τοῦ Ἰουστινιανοῦ, ἵνα δεχθῇ τὴν Αἵρεσιν τῶν Μονοφυσιτῶν, καὶ οὐκ ἠθέλησε, μάλιστα δὲ ἀποκριθεὶς τῷ Βασιλεῖ εἶπεν, ἐπεθύμησα ἰδεῖν Ἰουστινιανὸν, καὶ εὗρον Διοκλητιανὸν, ὅθεν ὁ Ἰουστινιανὸς παρακινηθεὶς, ἐνηγκαλίσατο τὴν ὀρθοδοξίαν. Ἀλλὰ μᾶλλον πιστεύομεν τῷ Εὐαγρίῳ ἢ τοῖς μυθοπλάσταις, λέγοντι εἰς τὸ δέκατον κεφάλαιον τοῦ τετάρτου βιβλίου, Ἰουστινιανὸς μὲν οὖν τῶν ἐν Χαλκηδόνι συνεληλυθότων, καὶ τῶν παρ' αὐτῶν ἐκτεθειμένων μάλα γενικῶς ἀντείχετο, ἀλλὰ δὴ καὶ τῷ Ζωναρᾷ, ἐξ οὗ συνάγεται, ὅτι ὁ Ἰουστινιανὸς οὐκ ἐβίαζε τὸν Ἀγαπητὸν δέξασθαι τὴν μονόφυσιν, ἀλλὰ δελεαζόμενος ὑπὸ τῆς ὑποκρίσεως τοῦ Ἀνθίμου, μή πως οὐκ ἔστιν ὡς κατηγορεῖτο, οὐκ ἐδέχετο κακωθῆναι τὸν Ἄνθιμον, διδαχθεὶς ὅμως

τὴν ἀλήθειαν, ἐπέτρεψε γενέσθαι τὴν κρίσιν. πρὸς τούτοις ὁ Ἰουστινιανὸς ὅτι ἦν ὀρθοδοξότατος, ἔδειξαν ὅσα ἠγωνίσθη κατὰ Ἀνθίμου καὶ Σεβήρου καὶ Ζωόρα καὶ Πέτρου, καὶ συνεστήσατο καὶ τὴν πέμπτην Οἰκουμενικὴν Σύνοδον, καὶ λόγον συνέγραψε περὶ τῆς ἐνσάρκου οἰκονομίας, καὶ αὐτῆς τῆς Θεότητος, ᾧ λόγῳ ὅμοιος μήτε ἐγένετο μήτε γενήσεται. ἀλλὰ δὴ καὶ ἄλλας διαταγὰς ἔγραψεν ὑπὲρ τῆς ὀρθοδόξου πίστεως, καὶ ἰδὲ εἰς τὸ πρῶτον καὶ εἰς τὰ καθεξῆς βιβλία τοῦ κώδικος, ὅθεν Αἱρετικὸν αὐτὸν λέγοντες οἱ παπισταὶ, ψεύδονται προφανῶς. ἰδὲ καὶ κατωτέρω κεφαλαίου ἐσχάτου Παράγραφον τέταρτον.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ ἐλέγχου τοῦ τῶν παπιστῶν τρίτου κόμπου, τὸν Ἀγαπητὸν ὡς μοναρχὴν λεγόντων τὴν τοῦ Μηνᾶ ἐκλογὴν πεποιηκέναι, γεγονῆαν ὅμως κοινῶς ἀπὸ τοῦ Βασιλέως τοῦ τε Κλήρου καὶ τοῦ δήμου, ὡς καὶ ἐκ τῆς πρὸς τὸν Ἱεροσολύμων ἐπιστολῆς τοῦ Ἀγαπητοῦ δείκνυται.

Πρὸς δὲ τὸ τρίτον, ἀρκεῖ πάλιν τὰ ἀνωτέρω εἰρημένα, καὶ ἔτι αὐτὸς ὁ Ἀγαπητὸς μάρτυς ἐν τῇ πρὸς τὸν Ἱεροσολύμων Πέτρον ἐπιστολῇ λέγων, τὴν καθαίρεσιν Ἀνθίμου καὶ ἐκλογὴν τοῦ Μηνᾶ γεγονέναι κοινῶς ἀπὸ τοῦ Βασιλέως καὶ τοῦ Κλήρου καὶ τοῦ δήμου, ὥστε ἕκαστον αὐτῶν νενομικέναι τὴν ἐκλογὴν ποιῆσαι διὰ τὴν ἐνάρετον ζωὴν τοῦ Μηνᾶ. τὸ αὐτὸ λέγει καὶ τὸ εἰρημένον διδασκαλικὸν κατὰ λέξιν, κείμενον εἰς τὴν ἀρχὴν τῶν κατὰ Ἀνθίμου πεπραγμένων. δεύτερον, ὅτι τὸν Πέτρον ἀξιοῖ ὁ Ἀγαπητὸς αὐτολεξεὶ λέγων διὰ τὴν χειροτονίαν τοῦ Μηνᾶ, κοινὴν τοιγαροῦν χαρὰν ἀδελφοὶ εὐσεβεῖ ἀγαλλιάσει ὑποδέξασθε, καὶ ὁπόσον τῆς ἀποστολικῆς ἡμῶν καθέδρας τὴν κρίσιν ἀποδέχεσθε, τῇ συνήθει σημάνατε ἀντιγραφῇ. τοῦτο δὲ τὸ ἀποδέχεσθαι τὰ κεκριμένα ὅτι κοινόν ἐστι, καὶ οὐκ ἴδιον μόνῳ τῷ Ῥώμης, ἰδὲ ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου ἕκτου Παράγραφον ἑνδέκατον, καὶ βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον τριακοστὸν, καὶ κατωτέρω κεφαλαίου δεκάτου πέμπτου Παράγραφον δωδέκατον.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ ἐπαναλήψεως τῆς ἐπὶ Μηνᾶ Συνόδου, καὶ καθεξῆς τῶν ἐπὶ Ἰωάννου καὶ Πέτρου τῶν Ἱεροσολύμων Συνόδων μέχρι τῶν μοναδικῶν τῶν δόντων λιβέλλους τῷ Βασιλεῖ κατὰ Ἀνθίμου, Σεβήρου, Πέτρου Ἀπαμείας καὶ Ζωόρα τῶν Αἱρετικῶν, καὶ περὶ τῶν γενομένων ἐπὶ Μηνᾶ ἐν Κωνσταντινουπόλει δύο Συνόδων, καὶ μιᾶς ἐν Ἱεροσολύμοις κατὰ τῶν ῥηθέντων Αἱρετικῶν.

Τῆς ἐπὶ Μηνᾶ Συνόδου τὴν αἰτίαν ἐσημειώσαμεν ἀνωτέρω, ὅμως πάλιν ῥητέον περὶ αὐτῆς εἰς σαφεστέραν γνῶσιν, ὅτι τὰ συνοδικὰ τοῦ Σεβήρου, ἅπερ ἀπέστειλεν εἰς Παλαιστίνην ὁ Σεβῆρος, ὅτε ἐγένετο Ἀντιοχείας, οὐκ ἐδέχθησαν ὑπὸ τῶν Παλαιστινῶν, ἀλλὰ καὶ οἱ κομίσαντες ἐκεῖνα κακῶς ἔφυγον, ὡς γράφει τὸ μοναδικὸν Παλαιστίνης πρὸς Ἀλκίσωνα, καὶ ὁ βίος τοῦ ἁγίου Σάββα μαρτυρεῖ, μάλιστα καὶ εἰς Ἱεροσόλυμα καθῃρέθη ὁ Σεβῆρος ἐπὶ Ἰωάννου Ἱεροσολύμων, ὡς εἴρηται ἀνωτέρω. ὁ δὲ Ἱεροσολύμων Πέτρος ἁγιώτατος ὢν, καὶ ἔχων Θεοῦ ζῆλον, πατριαρχεύσας ἤθροισε Σύνοδον, καὶ ἐκάθηρε πάλιν καὶ ἀνεθεμάτισε τὸν Σεβῆρον, εἶτα καὶ τὸν Πέτρον Ἀπαμείας, ὡς ἐκάθηραν αὐτὸν οἱ Ἐπίσκοποι τῆς δευτέρας Συρίας καὶ ὁ Ἱεροσολύμων Ἰωάννης, ὡς ἐστὶν εἰκάσαι ἀπὸ τῆς ἐπιστολῆς τοῦ Μηνᾶ πρὸς τὸν αὐτὸν Πέτρον. εἶτα τὸ μοναδικὸν τοῦ ἀποστολικοῦ θρόνου τῶν Ἱεροσολύμων εὑρισκόμενον εἴς τε Σκυθόπολιν καὶ τὰς τρεῖς Παλαιστίνας ἁπλῶς καὶ εἰς Φαρὰν καὶ Σινὰ καὶ Ῥαϊθὼ, πέμπεται ὑπὸ τοῦ Πέτρου εἰς Κωνσταντινούπολιν, καὶ ἐρχόμενον περιτυγχάνει τῷ μοναδικῷ τῆς δευτέρας Συρίας, καὶ ἔρχονται εἰς τὴν βασιλεύουσαν. εὑρίσκουσι δὲ τὸν Ἄνθιμον Αἱρετικὸν, μὴ ἐλπίσαντες ἔσεσθαι αὐτὸν τοιοῦτον. καὶ ἴσως ὁ Πέτρος ἀπατηθεὶς, ἐδέξατο τὰ συνοδικὰ αὐτοῦ, ὡς ὑπαινίττεται ὁ Ἀγαπητὸς γράφων αὐτῷ. εὑρίσκουσι λοιπὸν εἰς τὴν πόλιν τὸν Ἀγαπητὸν, τὸν δὲ Ἄνθιμον καθῃρημένον, καὶ σύμφωνοι γενόμενοι τῷ μοναδικῷ τῆς Κωνσταντινουπόλεως, διδοῦσι λιβέλλους τῷ Ἀγαπητῷ καὶ τῷ Βασιλεῖ. κοιμηθέντος δὲ ταχέως τοῦ Ἀγαπητοῦ τὴν αἰωνίαν λῆξιν, διδοῦσι πάλιν λιβέλλους τῷ Βασιλεῖ κατὰ Ἀνθίμου καὶ Σεβήρου καὶ Πέτρου Ἀπαμείας καὶ Ζωόρα, καὶ λέγουσι τὰς κακίας αὐτῶν, καὶ αἰτοῦνται πάλιν καθαίρεσιν καὶ ἀναθεματισμὸν καὶ ἐξορίαν κατ' αὐτῶν. καὶ δὴ προστάττει ὁ Βασιλεὺς, ἵνα ὁ Μηνᾶς μετὰ τῆς συνοδίας τοῦ Ἀγαπητοῦ καὶ μετὰ τῶν εὑρεθέντων Τοποτηρητῶν τοῦ Ἀντιοχείας Ἐφραὶμ καὶ τοῦ Ἱεροσολύμων Πέτρου καὶ τῶν παρευρεθέντων λοιπῶν Ἐπισκόπων ἐν Κωνσταντινουπόλει εἴδωσι τοὺς λιβέλλους καὶ ἐξετάσωσι καὶ ὁρίσωσι κανονικῶς. καὶ εἰς

τέσσαρας

τέσσαρας Μῆνας τρεῖς Σύνοδοι ἐγένοντο, δύο εἰς Κωνσταντινούπολιν καὶ μία εἰς Ἱεροσόλυμα.

ΠΑΡΆΓΡΑΦΟΝ Β'.

Περὶ τῶν ἀνωτέρω εἰρημένων Συνόδων, πότε, καὶ πῦ, καὶ κατὰ τίνων ἐγένοντο, καὶ περὶ τῆς τελείας καθαιρέσεως καὶ ἀναθεματισμῦ τῦ Ἀνθίμυ.

Ἡ πρώτη ἐγένετο κατὰ Ἀνθίμυ Μηνὶ Μαΐω, Ἰνδικτιῶνος δεκάτῃ τετάρτῃ, ὁ γὰρ Ἀγαπητὸς δέδωκε διωρίαν τῷ Ἀνθίμῳ, ὅτι ἐὰν μετανοήσῃ ἀπὸ τῆς Αἱρέσεως αὐτῦ, ἔχειν αὐτὸν τὴν Ἀρχιερωσύνην αὐτῦ καὶ τὴν Ἐπαρχίαν Τραπεζῦντος, ἐπειδὴ ὐκῆν ἐκεῖ ἄλλος κεχειροτονημένος. γενομένης δὲ τῆς παρούσης Συνόδυ, ἐπειδὴ τρίτον καλεσθεὶς ὁ Ἄνθιμος ἐκρύβη, καὶ οὐκ ἦλθεν ὔτε εἰς ἀπολογίαν ὔτε εἰς ὁμολογίαν πίστεως ὀρθοδόξυ, καθῃρέθη καὶ ἀνεθεματίσθη τελείως. ἡ δὲ δευτέρα Σύνοδος γέγονε τὸν Ἰούνιον τῆς αὐτῆς Ἰνδικτιῶνος ὑπὸ Μηνᾶ καὶ τῶν λοιπῶν, οἳ ἦσαν εἰς τὴν πρώτην κατὰ Σεβήρυ καὶ Ζωόρα καὶ Πέτρυ. ἡ δὲ τρίτη γέγονεν εἰς Ἱεροσόλυμα τὸν Σεπτέμβριον Μῆνα τῆς δεκάτης πέμπτης Ἰνδικτιῶνος, ἐν ᾗ ἀνεγνώσθησαν τὰ ἐν Κωνσταντινυπόλει κατὰ Ἀνθίμυ πεπραγμένα, καὶ ἀναθεματίζεται ὁ Ἄνθιμος. ἐγένετο δὲ ἡ σύναξις εἰς τὸ Πατριαρχεῖον τῆς Ἱερυσαλήμ.

ΠΑΡΆΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν ἐν τῇ πρώτῃ πράξει τῆς ἐπὶ Μηνᾶ Συνόδυ, καὶ τῶν δοθέντων λιβέλλων, ἐξ ὧν πάντων δείκνυται ἐννεαχῶς ὁ Βασιλεὺς βεβαιωτὴς, λικμήτωρ τῶν ἀσεβῶν καὶ ἔσχατος κριτὴς τῶν αἰτηθέντων ἐν τῇ Συνόδῳ, καὶ ὐχὶ ὁ Ῥώμης, ὐδὲ ἕτερός τις ἰδικὸς Ἐπίσκοπος ἐν τῇ Ἐκκλησίᾳ.

Ἐν τῇ πρώτῃ πράξει σημείωσαι πρῶτον, ὅτι προεκάθητο ὁ Κωνσταντινυπόλεως Μηνᾶς, ἐπειδὴ οἱ παρόντες ἐν αὐτῇ ἀπὸ τῆς ῥωμαϊκῆς Ἐκκλησίας καὶ τῶν λοιπῶν Πατριαρχῶν ἀπεσταλμένοι ὐκ ἦσαν Τοποτηρηταὶ ἐξεπίτηδες διὰ τὴν Σύνοδον πεμφθέντες, ἀλλ' οἱ μὲν ἀπὸ Ῥώμης ἦσαν συνοδία τῦ Ἀγαπητῦ, οἱ δὲ τῦ Ἀντιοχείας καὶ Ἱεροσολύμων, ἀποκρισιάριοι καὶ μόνοι, τηρῦντες τὰς ἀποκρίσεις τῶν ἰδίων Πατριαρχῶν, οἵτινες κατὰ τὸ ἔθος ὑποκάθηνται, ὐ προκάθηνται τῶν Πατριαρχῶν, καὶ διατῦτο μή τε τῦ Κωνσταντινυπόλεως. δεύτερον, ὅτι οἱ ἀπὸ τῆς Ῥώμης ἐκάθηντο ἐκ τῦ δεξιῦ μέρυς, οἱ δὲ τῦ Ἀντιοχείας καὶ Ἱεροσολύμων ἐκ τῦ εὐωνύμυ, ὐκ ἦσαν δὲ μείζονες οἱ τῶν Πατριαρχῶν ἀποκρισιάριοι τῶν ἀπὸ τῆς Ῥώμης, ὥστε μάταιον τὸ τῶν παπιστῶν, ὅτι τὸ εὐώνυμον μέρος μεῖζον τῦ δεξιῦ, ὐμὴν ἀλλὰ καὶ κατὰ τὴν πολιτικὴν τάξιν τιμιώτερα τὰ δεξιὰ τῶν ἀριστερῶν, ἱστορεῖ γὰρ Πρίσκος ὁ ῥήτωρ περὶ τῦ Ἀττήλα, λέγων περὶ τῶν συνδειπνύντων αὐτῷ, πρώτην μὲν ἐνόμιζον τῶν δειπνύντων τάξιν τὴν ἐν δεξιᾷ τῦ Ἀττήλα, δευτέραν δὲ τὴν εὐώνυμον. ἰδὲ καὶ κατωτέρω βιβλίυ δεκάτυ, μέρυς τρίτυ, κεφαλαίυ δεκάτυ Παράγραφον ἔνατον. τρίτον, οἱ Μοναχοὶ τῶν Μοναστηρίων Κωνσταντινυπόλεως, Ἀντιοχείας καὶ Ἱεροσολύμων ὐκ ἔδωκαν κατὰ πρῶτον λόγον τὸν λίβελλον αὐτῶν τῷ Μηνᾷ, ἀλλὰ τῷ Βασιλεῖ, ὅθεν ὁ Βασιλεὺς ὥρισε γενέσθαι τὴν Σύνοδον, καὶ τὸν λίβελλον καὶ τὺς Μοναχὺς ἔπεμψεν ἐν αὐτῇ, ἵνα κανονικῶς διατυπώσῃ τὸ δοκῦν. τέταρτον, ἐν τῷ λιβέλλῳ τύτῳ οἱ Μοναχοὶ πρὸς τὸν Βασιλέα τοῖς θείοις Κανόσιν, οἷς δηλαδὴ ἐχρήσατο ὁ Πάπας Ἀγαπητὸς, ἔφασαν ὅτι συνεπήμυνε, καὶ συνεπίσχυσεν ὁ Βασιλεὺς, καὶ ὅτι ὁ Ἀγαπητὸς τὺς δοθέντας αὐτῷ λιβέλλυς κατὰ Ἀνθίμυ ἔπεμψε τῷ Βασιλεῖ, ἵνα τὰ ὑπὸ τῦ Ἀγαπητῦ δικαίως καὶ κανονικῶς κεκριμένα ὁ Βασιλεὺς βασιλικῇ ἐξυσίᾳ κυρώσῃ. καὶ σημείωσαι ὅτι ὐδὲν δύναται ὁ Πάπας ἄνευ τῦ Βασιλέως, ὅτι ὁ Βασιλεὺς συνίστησι καὶ βεβαιοῖ τὰ ὑπὸ τῦ Πάπα κεκριμένα, ὅτι τὰ ὑπὸ τῦ Πάπα κεκριμένα καὶ βεβαιωθέντα ἦσαν δικαίως καὶ κανονικῶς κεκριμένα. καὶ σημείωσαι ὅτι τὰ ἀδίκως καὶ ἀκανονίστως ὑπὸ τῦ Πάπα κρινόμενα ὐ κυρῦται, ἀλλ' ἀκυρῦται, καὶ εἰς ὐδὲν λογίζεται. πέμπτον, φασὶν ὅτι ὁ Βασιλεύς ἐστιν ὁλικμήτωρ τῶν ἀσεβῶν. καὶ λοιπὸν ὐχ ὁ Ῥώμης, ὐθ' ἕτερός τις ἰδικὸς Ἐπίσκοπος, ἀλλ' ἡ πολιτικὴ ἐξυσία. ἕκτον, ὅτι ὁ Χριστόδωρος ὁ Διάκονος τὸν λόγον ποιούμενος περὶ τῶν γενομένων ἐπὶ Ἀγαπητῦ τῦ Πάπα ἐν Κωνσταντινυπόλει, εἶπεν, ὅτι τῶν θείων Κανόνων ἡ ἐκδίκησις μόνοις ἁρμόζει τοῖς Ἀρχιερεῦσιν, ἡ δὲ τῆς ὀρθοδόξυ πίστεως ὐ μόνον Ἀρχιερεῦσιν, ἀλλὰ καὶ παντὶ Χριστιανῷ. καὶ σημείωσαι κατὰ παπιστῶν, μὴ βυλομένων παρεῖναι ἐν τῇ Συνόδῳ τὺς Βασιλεῖς καὶ Ἄρχοντας, καθὼς ἀνόμως κέκρικεν ἡ ἐν Τριδέντῳ Σύνοδος. ἕβδομον, ὅτι ἐν τῇ χειροτονίᾳ τῦ Μηνᾶ ἦν ἡ ἐπιλογὴ καὶ ψῆφος τῦ Βασιλέως καὶ τῆς Συγκλήτυ καὶ τῶν Μοναχῶν καὶ πάντων τῶν ἐν Κωνσταντινυπόλει Χριστιανῶν, ὅθεν ματαίως θρυλλῦσιν οἱ Λατῖνοι, ὅτι ὁ Πάπας Ἀγαπητὸς ἐχειροτόνησε μόνος τὸν Μηνᾶν Κωνσταντινυπόλεως, ἰδὺ γὰρ ὅτι μετὰ κοινῆς ἐκλογῆς καὶ ψήφυ ἐχειροτόνησεν ὁ Ἀγαπητὸς, ὡς καὶ ὁ Ἡρακλείας τὸν Κωνσταντινυπόλεως καὶ τὺς λοιπὺς Πατριάρχας, καὶ αὐτὸν τὸν Ῥώμης χειροτονῦσιν ἁπλῶς Ἐπίσκοποι. ὄγδοον, ὅτι τὰς δεήσεις τῶν Μοναχῶν κατὰ τῦ Ἀνθίμυ δεξάμενος ὁ Ἀγαπητὸς,

ἀφαν-

ἀφανῆ δὲ γινόμενον, καὶ κρυβέντα τὸν Ἄθιμον καταδικάσας, ἀπέστειλε τοὺς λιβέλλους τῶν Μοναχῶν τῷ Βασιλεῖ, ἐφ' ᾧ τὰ ἐν αὐτοῖς αἰτηθέντα πέρατι παραδοσθῆναι παρὰ τῆς αὐτοῦ εὐσεβείας. καὶ σημείωσαι ὅτι τὸ πέρας τῶν αἰτηθέντων ὁ Βασιλεὺς τίθησιν, οὐχ ὁ Πάπας, ὥστε οὐκ ἔσχατος κριτὴς ὁ Πάπας, ἀλλ' ὁ Βασιλεύς. ἔνατον, τὰ αὐτὰ συνάγεται καὶ ἀπὸ τῶν λοιπῶν λιβέλλων τῶν δοθέντων τῷ Πάπᾳ Ἀγαπητῷ, καίπερ δεήσεις ἐγένοντο πρὸς αὐτὸν κατὰ Ἀνθίμου καὶ Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα, ἀλλὰ μείζους ἐγένοντο περὶ αὐτῶν πρὸς τὸν Κωνσταντινουπόλεως Ἰωάννην, καὶ ἰδὲ ἀνωτέρω κεφάλαιον πρῶτον, καὶ ἐνταῦθα πρᾶξιν πέμπτην. εἰς ἐκεῖνο δὲ ὅ φασιν οἱ λίβελλοι τῷ Ἀγαπητῷ, ἵνα ποιήσῃ Ἀνθίμῳ ὡς πεποίηκεν ὁ Κελεστῖνος Νεστορίῳ, ἰδὲ ἀνωτέρω βιβλίῳ τρίτῳ, κεφαλαίῳ δεκάτῳ ἕκτῳ τὰ περὶ τῆς τρίτης Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς πρὸς τὸν Ἱεροσολύμων Πέτρον ἐπιστολῆς τοῦ Ῥώμης Ἀγαπητοῦ, ἐξ ἧς δείκνυνται οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐκκλησιαστικῶν Κανόνων παπισταὶ μεμπτέοι, καὶ αἱ τοῦ Ῥώμης καὶ τῶν Πατριαρχῶν ψῆφοι ἴσαι, καὶ αἱ κατακρίσεις τῶν Αἱρετικῶν οὐ τοῦ Ῥώμης, ἀλλὰ τῆς κοινότητος ἔργον.

Ἐν τῇ ἐπιστολῇ τοῦ Πάπα Ἀγαπητοῦ πρὸς τὸν Πατριάρχην Ἱεροσολύμων Πέτρον σημείωσαι πρῶτον ὅπου φησὶ, μηδένα ἢ διὰ χάριν ἢ διὰ φόβον ἀπὸ τῶν ἐκκλησιαστικῶν Κανόνων ἐκκλίνειν. καὶ σημείωσαι πόσων μέμψεων ἄξιοί εἰσιν οἱ διὰ χάριν ἢ φόβον ἐκκλίνοντες ἀπὸ τῶν ἐκκλησιαστικῶν Κανόνων καὶ προστιθέμενοι τοῖς νεωτερισμοῖς τοῦ παπισμοῦ. δεύτερον, ὅτι φησὶ, τὴν ὕβριν τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας, τὴν παρὰ τοῦ Ἀνθίμου δηλονότι γενομένην, ψήφῳ τῆς ἀποστολικῆς καθέδρας καὶ τῇ βοηθείᾳ τοῦ Βασιλέως διωρθώσατο. καὶ σημείωσαι πρῶτον, ὅτι κατωτέρω πράξει τετάρτῃ λέγει, ψῆφος τοῦ Μηνᾶ κατὰ Ἀνθίμου, καὶ πράξει πέμπτῃ, ψῆφος Ἐπιφανίου Κωνσταντινουπόλεως, καὶ ψῆφος Μηνᾶ κατὰ Σεβήρου καὶ Ζωόρα καὶ Πέτρου, καὶ ἐν τῇ ἐν Ἱεροσολύμοις Συνόδῳ, ψῆφος τοῦ Πέτρου κατὰ Ἀνθίμου. ὡς οὖν ταῖς ψήφοις Μηνᾶ καὶ Πέτρου ἀνεθεματίσθησαν Ἄνθιμος, Σεβῆρος, Ζωόρας καὶ Πέτρος, οὕτω καὶ τῇ ψήφῳ τοῦ Ἀγαπητοῦ διωρθώθη ἡ ὕβρις, τουτέστι καθῃρέθη Ἄνθιμος ὁ Κωνσταντινουπόλεως. δεύτερον, ὅτι οὐ μόνος ὁ Ῥώμης, ἀλλὰ καὶ ὁ Βασιλεὺς τὴν Σύνοδον ἀγείρας, προσέταξε κανονικῶς θεωρηθῆναι τὰ κατὰ τὸν Ἄνθιμον. τρίτον, ὡς αἱ ψῆφοι τοῦ Ἐπιφανίου καὶ τοῦ Μηνᾶ καὶ τοῦ Πέτρου ἐννοοῦνται ἐκείνων μὲν γὰρ ἐπιμελείᾳ, κρίσει δὲ καὶ συμψηφίσει τῶν κατ' αὐτοὺς Συνόδων, οὕτω καὶ ἡ τοῦ Ἀγαπητοῦ κρίσει καὶ συμψηφίσει τῆς ἐνδημούσης ἐν Κωνσταντινουπόλει Συνόδου, ἧς προεκάθητο, οὐχ ὡς μοναρχης, ἀλλ' ὡς πρόεδρος διὰ τὴν τάξιν καὶ σύνεδρος διὰ τὴν αὐτὴν Ἐπισκοπικὴν ἀξίαν, καὶ ἰδὲ τὰ ἑπόμενα τῆς ἐπιστολῆς. τρίτον, λέγει ὅτι τὴν ἐκλογὴν πεποίηκεν ἡ ἐπιλογὴ τοῦ Βασιλέως, καὶ ἡ συναίνεσις τοῦ Κλήρου καὶ τοῦ λαοῦ προεβάλετο Πατριάρχην τὸν Μηνᾶν. καὶ σημείωσαι ὅτι οὐ μόνον τοῦ Ῥώμης ἔργον ἦν, καὶ μάτην κομπάζουσιν οἱ παπισταὶ, λέγοντες ὅτι ὁ Ἀγαπητὸς μόνῃ τῇ ἰδίᾳ αὐθεντίᾳ προεχείρισε τὸν Μηνᾶν Πατριάρχην Κωνσταντινουπόλεως. τέταρτον, ὅτι φησὶ τῷ Πέτρῳ, τοὺς ἀποστραφέντας παρὰ τῆς ἀποστολικῆς καθέδρας παραπλησίως ἡ ὑμετέρα ἀγάπη ἀποστραφήτω, καὶ σύνες πρῶτον, ὅτι οὐκ ἦν μόνος ὁ Πάπας ἱκανὸς πρὸς παντελῆ τῶν ἀσεβῶν κατάκρισιν, ἀλλ' ἀναγκαίως ἐγένετο χρεία καὶ τῆς κοινῆς συναινέσεως τῶν Ἐκκλησιῶν καὶ τοῦ λάχιστον τῶν πρώτων, ἤτοι τῶν Πατριαρχικῶν, ἐπειδὴ πρὸς ἐκείνας ἀνάγονται αἱ λοιπαί. δεύτερον, ὅτι τοῦτο τὸ, ἀποστραφήτω ἡ ὑμετέρα ἀγάπη, καὶ τὸ, ὁπόσον ὑμεῖς τῆς ἀποστολικῆς καθέδρας ἀποδέχεσθε τὴν κρίσιν, τῇ συνήθει σημάνατε ἀντιγραφῇ, ταὐτὸν ἐστὶν ἐκείνῳ τῷ τῆς ἐν Χαλκηδόνι Συνόδου πρὸς τὸν Πάπαν Λέοντα, καὶ τῷ ζήλῳ συνάψας ἑαυτὸν ἡμῖν πρὸς ὁμόνοιαν, ὡς εἴρηται, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τετάρτου, κεφαλαίου πρώτου Παράγραφον εἰκοστὸν ἔνατον, καὶ τριακοστὸν πρῶτον. καὶ τῷ, ἀγανακτησάτω τῆς τρίτης Συνόδου, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τρίτου, κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν δεύτερον. πέμπτον, ὅτι ἡ ἐπιστολὴ τοῦ Ἀγαπητοῦ αὕτη συνοδικὴ ἦν, ὡς φαίνεται ἀπὸ τῆς ἐπιγραφῆς αὐτῆς καὶ ἀπὸ τῶν διαλαλιῶν τοῦτε Μηνᾶ καὶ τῶν μετ' αὐτοῦ Ῥωμαίων, καὶ σημείωσαι ὅτι ὅσα λέγεται τῷ Ἀγαπητῷ ἐν τοῖς λιβέλλοις παρὰ τῶν Μοναχῶν οὐ ζητεῖ ἵνα μόνος αὐτὸς κρίνῃ, ἀλλὰ συνοδικῶς καὶ κανονικῶς, ὡς πεποίηκεν ὁ Ἰούλιος, ὁ Κελεστῖνος, ὁ Ἰννοκέντιος, ὁ Λέων καὶ ὁ Καππάδοξ καὶ Ἐπιφάνιος καὶ Κύριλλος καὶ Μηνᾶς καὶ Ἰωάννης καὶ Πέτρος, εἶτα ὅσα λέγει αὐτὸς πρὸς τὸν Πέτρον, ἤτοι τὴν κρίσιν τῆς ἀποστολικῆς καθέδρας, καὶ ἐκεῖνο ἐν τῷ τέλει τῆς ἐπιστολῆς, ὅτι ἡ παράβασις κίνησιν αὐστηρίας ἀπαιτεῖ, οὐκ ἐννοεῖ ὡς ἀφ' ἑαυτοῦ μόνου, ἀλλὰ τὴν Σύνοδον ὑπαινίττεται, δι' ἧς καὶ μεθ' ἧς αὐτὸς ἐνήργει. ἔπειτα ὅσα ἐλέγετο ἐν τῇ ἐπὶ Μηνᾶ Συνόδῳ ὅτι πεποίηκεν ὁ Ἀγαπητὸς, δεῖ ἐννοεῖν, ὅτι μετὰ Συνόδου, καὶ Συνόδου οὐ τῆς Ῥωμαϊκῆς, ἀλλὰ τῆς συνισταμένης μετὰ τῶν ἐνδημούντων ἐν Κωνσταντινουπόλει ἀπὸ διαφόρων Ἐπαρχιῶν Ἐπισκόπων. δῆλον δὲ, ὡς πολλάκις εἴρηται καὶ ῥηθήσεται, ὅτι τὸ συνοδικῶς ἐνεργεῖν κοινόν ἐστιν ἔργον καὶ τῶν Πατριαρχῶν καὶ πάντων τῶν ἐγκρίτων ἐν τῇ Ἐκκλησίᾳ Ἐπισκόπων.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῶν ἐν τῇ Διαλαλιᾷ τοῦ Μηνᾶ ἐν τῇ πρώτῃ πράξει πρὸς τὸ τέλος ῥηθέντων, ἐξ ὧν δείκνυνται οἱ πάλαι Πάπαι Διατηρηταὶ τῶν κοινῇ κεκριμένων, καὶ τὸ κῦρος τῆς κοινότητος, καὶ οὐ τοῦ Ῥώμης.

Ἐν τῷ τέλει τῆς αὐτῆς πράξεως ἐν τῇ Διαλαλιᾷ τοῦ Κωνσταντινουπόλεως Μηνᾶ σημείωσαι πρῶτον τὸν Μηνᾶν λέγοντα, ὅτι ὁ ἀποστολικὸς θρόνος τοὺς θεσμοὺς τῶν Ἐκκλησιῶν ἀπαρεγχειρήτους Διατηρεῖ, καὶ τὰ τῆς ὀρθῆς πίστεως ἐκδικεῖ, οἱ γὰρ ἀρχαῖοι καὶ πρὸ τοῦ σχίσματος Πάπαι οὐκ ἤθελον ἐν τῇ Ἐκκλησίᾳ καινοτομεῖν ὥσπερ οἱ μετὰ τὸ σχίσμα βούλονται Πάπαι, ἀλλὰ τὰ κοινῇ δικαίως καὶ καινονικῶς κεκριμένα ἐσπούδαζον ἀπαρεγχείρητα Διατηρεῖν καὶ ἐκδικεῖν, ὅπερ ταὐτόν ἐστι καὶ τοῖς λοιποῖς Πατριάρχαις καὶ παντὶ ὀρθοδόξῳ Ἐπισκόπῳ, ὡς εἶπεν ἀνωτέρω ὁ Χριστόδωρος, Παραγράφῳ τρίτῳ. δεύτερον, ὅτι τὴν ἐπιστολὴν τοῦ Ἀγαπητοῦ πρὸς τὸν Πέτρον συνοδικὴν φησὶν εἶναι ὁ Μηνᾶς, ὅπερ ταὐτὸν ἐστὶν ὅτι ὁ Ἀγαπητὸς εἴτι ἔπραττεν, ἐνήργει, ἔκρινε καὶ ἔγραφε, διὰ Συνόδου καὶ μετὰ Συνόδου ἐποίει, καὶ οὐδὲν μόνος, ὅπερ ταὐτόν ἐστι τῷ, τὸ κῦρος ἐν τῇ Ἐκκλησίᾳ ἐστὶ τῆς κοινότητος καὶ οὐ τοῦ Πάπα μόνου, οὐ δὲ ἑτέρου τινὸς Ἐπισκόπου ἰδιαζόντως.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῶν ἐν τῇ δευτέρᾳ πράξει τῆς ἐπὶ Μηνᾶ Συνόδου θεωρουμένων, ἐξ ὧν δείκνυται ἴσος κατὰ τὴν ἀξίαν τῷ Μηνᾷ ὁ Ἀγαπητὸς, καὶ μείζων ἀμφοτέρων ἡ Σύνοδος.

Ἐν τῇ δευτέρᾳ πράξει σημείωσαι πρῶτον, ὅτι ὡς ὁ Ἀγαπητὸς ἔκρινε συνοδικῶς τὸν Ἄνθιμον, οὕτως ἔκρινε καὶ ὁ Μηνᾶς, ὡς γὰρ ὁ Ἀγαπητὸς κρυβέντα αὐτὸν κατέκρινεν, οὕτω κατέκρινεν αὐτὸν καὶ ὁ Μηνᾶς διὰ τὴν αὐτὴν αἰτίαν. δεύτερον, ὅτι ὡς ἀκούοντες, ὅτι ὁ Ἀγαπητὸς ἔκρινε τὸν Ἄνθιμον, ἐννοοῦμεν ὅτι συνοδικῶς, οὕτως ἀκούοντες, ὅτι ἔκρινεν αὐτὸν ὁ Μηνᾶς, πάλιν συνοδικῶς ἐννοοῦμεν. καὶ σημείωσαι ὅτι παρὰ τοῦ Βασιλέως καὶ πρὸς τὸν Ἀγαπητὸν καὶ πρὸς τὸν Ἄνθιμον ἡ αὐτὴ καὶ ὡσαύτως ἐπιταγὴ, καὶ παρὰ τῶν Μοναχῶν καὶ Ἐπισκόπων ἐξίσου καὶ πρὸς τοὺς δύο οἱ λίβελλοι, Ἀγαπητὸς καὶ Μηνᾶς, συνοδικῶς καὶ συνοδικῶς, ἔκρινε καὶ ἔκρινεν, ἡ αὐτὴ κρίσις, ἡ αὐτὴ τάξις, κατὰ τὸν αὐτὸν τρόπον ἡ κρίσις καὶ ἡ τάξις, καὶ διὰ τὸ αὐτὸ αἴτιον, ἄρα καὶ τὸ αὐτὸ ἀξίωμα. καὶ ἐν τοῖς δυσὶ μεῖζον τοῦ πατριαρχικοῦ καὶ παπικοῦ ἀξιώματος τὸ κοινὸν, ἄρα.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς ἐν τῇ τρίτῃ πράξει πρὸς τὸν Ἄνθιμον τοῦ Μηνᾶ προθεσμίας, ἧς κατὰ παράθεσιν καὶ πολλῶν ἄλλων, οὐχ ὡς μονάρχης καὶ ὁ Ἀγαπητὸς τῷ αὐτῷ Ἀνθίμῳ προθεσμίαν δέδωκεν, ἀλλ' ὡς κοινὸν ἔργον ποιῶν.

Πράξει τρίτῃ σημείωσαι πρῶτον, ὅτι προθεσμία ὥρισται ὑπὸ τοῦ Μηνᾶ καὶ τῆς κατ' αὐτὸν Συνόδου περὶ τοῦ Ἀνθίμου, ὅθεν καὶ ὁποία προθεσμία ἐδίδοτο παρὰ τοῦ Ἰουλίου τοῖς Εὐσεβιανοῖς, καὶ παρὰ τοῦ Κελεστίνου τῷ Νεστορίῳ, καὶ παρὰ τοῦ Ἀγαπητοῦ τῷ Ἀνθίμῳ, κοινὸν ἐπληροῦτο ἐκκλησιαστικὸν ἔργον, καὶ οὐδὲν καινὸν καὶ παράδοξον, ὥστε καὶ μοναρχικὸν ἀξίωμα προσμαρτυρεῖν, ἢ βεβαιοῦν τῷ Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῶν ἐν τῇ τετάρτῃ πράξει τῆς ἐπὶ Μηνᾶ Συνόδου θεωρουμένων, ἐξ ὧν δείκνυται τὰς πρὸς τοὺς Αἱρετικοὺς παρὰ Παπῶν καὶ Πατριαρχῶν προθεσμίας εἶναι συνοδικὰς, καὶ τὸ κῦρος τῶν Συνόδων, ὑφ' ἃς πᾶς Ἐπίσκοπος, ὧν ἡ ἐξουσία ἡ αὐτὴ τῇ τοῦ Ῥώμης. καὶ περὶ τῆς δυνάμεως καὶ ἀναγκαίας χρείας τοῦ Βασιλέως ἐν ταῖς Συνόδοις.

Πράξει τετάρτῃ σημείωσαι πρῶτον, ὅτι ἡ ἐπὶ τοῦ Ἰουλίου προθεσμία τοῖς Εὐσεβιανοῖς, ἡ ἀπὸ Κελεστίνου τῷ Νεστορίῳ, καὶ ἡ παρὰ Ἀγαπητοῦ τῷ Ἀνθίμῳ ταυτίζονται τῇ προθεσμίᾳ τῇ παρὰ Μηνᾶ τῷ Ἀνθίμῳ, ἀλλὰ τοῦ Μηνᾶ, ὡς φαίνεται ἀπὸ τῆς Διαλαλιᾶς τῶν Νοταρίων πρὸς τὸν Μηνᾶν περὶ τῆς αὐτῆς προθεσμίας, ἦν συνοδικὴ, τοιαῦται δὲ ἦσαν, ἤτοι συνοδικαὶ καὶ ἡ ἐπὶ Ἰουλίου καὶ Κελεστίνου καὶ Ἀγαπητοῦ, καὶ ἰδὲ ἀνωτέρω τοὺς τόπους. ἄρα τῆς Συνόδου ἐστὶ τὸ ἔσχατον κῦρος καὶ περὶ τῆς κατ' αὐτὴν προθεσμίας, καὶ οὐ μόνον τῶν Πατριαρχῶν, ἐν οἷς καὶ ὁ Πάπας. δεύτερον, ὅτι ὁ Μηνᾶς τὰ αἴτια, ὧν ἕνεκεν καθαιρέσεως ἄξιος ἦν ὁ Ἄνθιμος, προβαλὼν τῇ Συνόδῳ, ἤτει τὴν γνώμην αὐτῆς, ἡ δὲ Σύνοδος δι'

Ὑπατίου

ὑπατίου Ἐφέσου ἀπεκρίθη καθαιρεθῆναι αὐτὸν καὶ μηδὲ καθολικὸν προσαγορεύεσθαι. ἠκολούθησε δὲ ὁ Μηνᾶς τῇ ψήφῳ τῆς Συνόδου, ὥστε μείζων ἡ Σύνοδος τοῦ Πατριάρχου. τρίτον, ὁ Μηνᾶς ἐν τῇ καθαιρέσει τοῦ Ἀνθίμου φησὶν, ὅτι ὁ Χριστὸς ἔδωκεν ἐξουσίαν τοῖς οἰκείοις Ἱερεῦσιν ἐκτίλλειν καὶ καταφυτεύειν, καθαιρεῖν τε καὶ οἰκοδομεῖν. καὶ σημείωσαι ὅτι οὐ μόνῳ τῷ Πέτρῳ ἢ τῷ Ῥώμης, ἀλλὰ κοινῶς ἔδωκε τοῖς Ἱερεῦσιν, ἤτοι τοῖς Ἐπισκόποις πᾶσι τὴν αὐτὴν ἐξουσίαν. δεύτερον, τὴν Ἀγαπητοῦ κανονικὴν φησὶν ἀγανάκτησιν, καὶ οὐκ ἐξουσίας αὐθεντικῆς καὶ ἀπολελυμένης δηλονότι, ὡς βούλονται οἱ νῦν Πάπαι, τὰς ψήφους αὐτῶν μείζονας τῶν συνοδικῶν ψήφων ἀποφαινόμενοι εἶναι, διὸ καὶ ἐναντίοι τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ δικαίως καλοῦνται, ἐπειδὴ ὁ Κύριος ὅπου εἰσὶ δύο ἢ τρεῖς εἶπε, καὶ οὐχ ὅπου ἐστὶν εἷς. ταῦτα τοίνυν ὁ Μηνᾶς προβαλὼν, ἐπήγαγε καὶ αὐτὸς τὴν ἰδίαν ψῆφον τῆς καθαιρέσεως τοῦ Ἀνθίμου, ἐξ ἧς ἀδελφικὴ σύμπνοια καὶ ὁμοφωνία δείκνυται τοῦ Ἀγαπητοῦ, καὶ τῆς ἐπὶ Μηνᾶ Συνόδου καὶ τοῦ Μηνᾶ, οὐδέτις δὲ μοναρχία αὐτοῦ. τέταρτον, τῶν τῆς Ἀνατολῆς καὶ ἑτέρων Ἐπισκόπων καὶ Μοναχῶν καὶ Κληρικῶν βοώντων καὶ πολυχρονούντων, ὁ Μηνᾶς εἶπε κατὰ Πέτρου καὶ Ζωόρα καὶ Σεβήρου νομίζομεν μηδὲ τὴν ὑμετέραν ἀγάπην ἀγνοεῖν τὴν προαίρεσιν καὶ τὸν ζῆλον τοῦ εὐσεβοῦς καὶ θεοφυλάκτου ἡμῶν Βασιλέως, ὃν ἐπὶ τῇ ὀρθοδόξῳ ἡμῶν ἔχει πίστει, καὶ προσήκει μηδὲν τῶν ἐν τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ κινουμένων παρὰ γνώμην αὐτοῦ καὶ κέλευσιν γενέσθαι. παρακαλοῦμεν τοίνυν τὴν ὑμετέραν ἀγάπην ἐπὶ τοῦ παρόντος ἡσυχάσαι, ὥστε καὶ καιρὸν ἡμᾶς λαβεῖν ἀνενεγκεῖν εἰς τὰς εὐσεβεῖς αὐτοῦ ἀκοὰς τὰ παρ' ἡμῶν βεβαιωθέντα. καὶ σημείωσαι τὴν δύναμιν καὶ ἀναγκαίαν χρείαν τοῦ Βασιλέως ἐν ταῖς Συνόδοις.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῶν ἐξακολουθοῦμεν καὶ πειθόμεθα τῷ ἀποστολικῷ θρόνῳ λέξεων, ἃς ὁ Μηνᾶς εἶπεν ἐν τῇ κατὰ τὴν τετάρτην πρᾶξιν πρὸς τὴν διαλαλιὰν τῶν Νοταρίων ἀποκρίσει, καὶ περὶ τῶν ἐπιλαμβανομένων τῶν λέξεων τούτων εἰς σύστασιν τοῦ παπισμοῦ Λατίνων, καὶ περὶ σαφοῦς ἀποδείξεως διὰ πολλῶν παραδειγμάτων καὶ παραθέσεων, καὶ διὰ τῶν αὐτῶν λέξεων, τῶν σημαινουσῶν ἐν πολλοῖς τὸ συγκοινωνεῖν καὶ συγκατατίθεσθαι, ὅτι πρὸς τῷ μὴ παρέχειν ταύτας τὰς λέξεις τῷ Ῥώμης μοναρχικὸν ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ, καταστρέφουσιν αὐτοῦ τὴν τυραννικὴν ἀρχήν.

Ἐν τῇ αὐτῇ διαλαλιᾷ ὁ Μηνᾶς εἶπεν, ἡμεῖς γὰρ ὡς καὶ ἡ ὑμῶν ἐπίσταται ἀγάπη τῷ ἀποστολικῷ θρόνῳ ἐξακολουθοῦμέν τε καὶ πειθόμεθα, καὶ τοὺς κοινωνικοὺς αὐτοῦ κοινωνικοὺς ἔχομεν, καὶ τοὺς ὑπ' αὐτοῦ κατακριθέντας καὶ ἡμεῖς κατακρίνομεν. ἐπιλαμβάνονται δὲ οἱ Λατῖνοι τῶν ῥημάτων, ἐξακολουθοῦμεν καὶ πειθόμεθα, πρὸς σύστασιν τοῦ παπισμοῦ. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ ἐξακολουθοῦμεν πρῶτον, ὅτι κοινόν ἐστι καὶ τοῖς Πατριάρχαις καὶ τοῖς λοιποῖς Ἐπισκόποις καὶ ταῖς Συνόδοις, αὐτίκα γὰρ αἱ Οἰκουμενικαὶ Σύνοδοι ἐν τοῖς αὐτῶν ὅροις, ἑπόμεναι τοῖς ἁγίοις πατράσι, τὰ αὐτὰ λέγουσι, καὶ οἱ πλεῖστοι τῶν πατέρων ἐν ταῖς ὑπογραφαῖς καὶ συγκαταθέσεσιν αὐτῶν ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις, καὶ ἵνα τὰ πολλὰ ἀφέντες ποιήσωμεν τὴν ἀπόδειξιν περὶ τῶν Πατριαρχῶν ἀπότινων τόπων τῆς παρούσης Συνόδου, ὁ Κωνσταντινουπόλεως Ἐπιφανίος ἐν τῇ κατὰ Σεβήρου καὶ Πέτρου ψήφῳ φησὶν, ὥστε ἐγκλήματος μεγίστου εἶναι τὸ μὴ τούτοις ἐξακολουθεῖν τοῖς οὐ μικροὺς ἱδρῶτας ἐσχηκόσιν ὑπὲρ τῆς κοινῆς τῶν ἁγιωτάτων Ἐκκλησιῶν εἰρήνης, καὶ τοῖς μεγάλοις καὶ Πατριαρχικοῖς διαλάμψασι θρόνοις. Καὶ, ἐξακολουθούντων ἡμῶν τοῖς μνημονευθεῖσιν ἁγίοις πατράσι. καὶ ὁ Μηνᾶς ἐν τῇ κατ' αὐτὸν ψήφῳ, διὰ ταῦτα τοιγαροῦν ταῖς τῶν ἁγίων πατέρων ἡμῶν ἑπόμενοι ψήφοις, καὶ τοῖς εὐαγγελικοῖς τε καὶ πατρικοῖς ἀκολουθοῦντες θεσμοῖς. καὶ ὁ Βασιλεὺς Ἰουστινιανὸς ἐν τῇ κατ' αὐτὸν διατάξει, ταῦτα ψηφιζόμεθα τοῖς τῶν ἁγίων πατέρων κατακολουθοῦντες δόγμασι. καὶ ἡ παροῦσα ἐπὶ Μηνᾶ Συνόδος ἐν τῇ κατὰ Ἀνθίμου ψήφῳ φησὶ, τοῖς εὐαγέσι τῶν ἁγίων πατέρων ἀκολουθοῦντες Κανόσι. Καὶ, ἀκολουθοῦντες καὶ τοῖς ὑπὸ τοῦ Ἀγαπητοῦ καλῶς δεδοκιμασμένοις. καὶ ἰδίως ὁ Μηνᾶς ἐν τῇ κατὰ Ἀνθίμου ψήφῳ, ἑπόμενοι τῇ φωνῇ τοῦ Χριστοῦ, ἀποβλέποντες καὶ εἰς τὰ παραστάντα τῷ Πάπᾳ Ἀγαπητῷ, καὶ πρὸς τὰ νῦν παρὰ τοῖς συνοῦσιν ἡμῖν κεκριμένα ἐν τῇ Συνόδῳ, πράξει τετάρτῃ, ὅπου ἰσοτίμως τίθησι τὸν Πάπαν Ἀγαπητὸν καὶ τὴν κατ' αὐτὸν Σύνοδον ὁ Μηνᾶς. καὶ ὁ Μαριανὸς Ἀρχιμανδρίτης καὶ οἱ Μοναχοὶ Κωνσταντινουπόλεως, Ἀντιοχείας καὶ Ἱεροσολύμων ἐν τῷ λιβέλλῳ αὐτῶν πρὸς τὸν Μηνᾶν καὶ τὴν κατ' αὐτὸν Σύνοδον λέγουσι, δυσωποῦμεν τὴν ὑμετέραν μακαριότητα καὶ τὸν ἱερὸν ὑμῶν σύλλογον ἐξακολουθῆσαι τοῖς ὁρισθεῖσι κατ' αὐτῶν (τῶν εἰρημένων Αἱρετικῶν) παρὰ τῶν τοὺς εἰρημένους Πατριαρχικοὺς θρόνους κατακοσμησάντων ἡμῶν ἁγίων πατέρων, πράξει πέμπτῃ. ἰδὲ καὶ ἀνωτέρω βιβλίου τετάρτου, κεφαλαίου πρώτου Παράγραφον εἰκοστὸν ὄγδοον. πρὸς δὲ τὸ δεύτερον ῥητέον πρῶτον, ὅτι ἡ ἀποστολικὴ καθέδρα λέγεται διχῶς, ὁ Ἐπίσκοπος Ῥώμης καὶ ἡ περὶ αὐτὸν τῶν δυτικῶν Ἐπισκόπων Σύνοδος, ἢ ὁ Ἐπίσκοπος Ῥώμης, ἐπιφέρων τὸ πρόσωπον τῆς κατ' αὐτὸν Συνόδου, ἤτοι τῶν Δυτικῶν Ἐπισκόπων. καὶ κατὰ μὲν τὸν πρῶτον τρόπον ἔλεγεν ὁ Κύριλλος γράφων πρὸς τὸν Ἀντιοχείας Ἰωάννην, ὅτι οἷς πείθεσθαι ἀνάγκη

νάγκη, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τρίτου, κεφαλαίου δεκάτου πέμπτου Παράγραφον εἰκοστὸν τέταρτον, κατὰ δὲ τὸν δεύτερον τρόπον ἐλέγετο ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ ὁ τύπος τῆς Δυτικῆς Συνόδου τύπος τοῦ Κελεστίνου. ἡ ἐγκύκλιος ἐπιστολὴ τῆς Δυτικῆς Συνόδου ἐλέγετο ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ ἐπιστολὴ καὶ τόμος τοῦ Πάπα Λέοντος, καὶ ἐνταῦθα ὁ Ἀγαπητὸς λέγεται ἀποστολικὴ καθέδρα, εἰ γὰρ καὶ μετὰ τῆς ἐν Κωνσταντινουπόλει ἀπὸ διαφόρων Ἐπαρχιῶν ἐνδημούσης Συνόδου, καὶ τῇ συναινέσει τοῦ Κλήρου καὶ τοῦ λαοῦ ἐνήργει, ἀλλ' εἶχε καὶ πρόσωπον τῆς Δυτικῆς Ἐκκλησίας, ὅπερ ἴδιόν ἐστι καὶ τοῖς λοιποῖς Πατριάρχαις καὶ Μητροπολίταις. εἶπεν οὖν ὁ Μηνᾶς, ὅτι τῷ ἀποστολικῷ θρόνῳ πειθόμεθα, ἤτοι τῷ Ἀγαπητῷ, οὐχ ὡς μονάρχῃ, ἤ τινα γενικὴν ἐξουσίαν ἔχοντι ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἀλλὰ διὰ τὸ ὀρθοδοξεῖν τότε τὴν Δυτικὴν Ἐκκλησίαν, ἧς πρόσωπον εἶχεν ὁ Πατριάρχης αὐτῆς Ἀγαπητὸς, ἐν ᾧ ἐνόει τὸ πείθεσθαι ὁ Μηνᾶς, ὡς ἐνόησεν αὐτὸ ὁ Κύριλλος, καὶ ἰδὲ τὸν εἰρημένον τόπον, ταὐτὸν γὰρ ἐστὶν ἐνταῦθα τὸ πείθεσθαι τῷ κοινωνεῖν διὰ τὴν αὐτὴν πίστιν. δεύτερον, τὸ πείθεσθαι καὶ τὸ ἐξακολουθεῖν ταὐτόν ἐστιν, ὁ γὰρ Κύριλλος εἰπὼν τῷ Ἀντιοχείας Ἰωάννῃ ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ τοῦ Κελεστίνου καὶ τῆς κατ' αὐτὸν Συνόδου, οἷς ἀνάγκη πείθεσθαι τοὺς ἀντεχομένους τῆς πρὸς ἅπασαν τὴν Δύσιν κοινωνίας, ἐπήγαγεν, ἡμεῖς γὰρ τοῖς παρ' αὐτοῦ, ἤτοι τοῦ Κελεστίνου ἐξακολουθήσωμεν κρίμασι. πρῶτον εἶπε πείθεσθαι, εἶτα εἶπεν ἐξακολουθήσωμεν. ἐνταῦθα δὲ ὁ Μηνᾶς πρῶτον εἶπεν ἐξακολουθοῦμεν, εἶτα εἶπε καὶ πειθόμεθα, ὥστε ταὐτόν ἐστι τὸ πείθεσθαι τῷ ἐξακολουθεῖν, καὶ ἀνάπαλιν. δηλοῖ δὲ, ὡς εἴρηται ἀνωτέρω, τὸ ἐξακολουθεῖν τὸ συγκατατίθεσθαι καὶ συμφωνεῖν, τουτέστι κοινωνεῖν, καθὼς ῥητῶς καὶ ὁ Κύριλλος ἑαυτὸν ὑπεξηγούμενος εἶπεν. ἄρα καὶ τὸ πειθόμεθα οὐδὲν ἕτερον σημαίνει, ἢ τὸ συγκατατίθεσθαι καὶ κοινωνεῖν. τρίτον, τὸ πείθεσθαι οὐ πάντοτε ὑποταγὴν καὶ ἐλάττωσιν δηλοῖ, ἀλλὰ καὶ αὐτὸ τοῦτο τὸ συγκατατίθεσθαι, ὡς λέγεται Ματθαίου κεφαλαίῳ ἐχάτῳ, ὅτι ἔλεγον τοῖς στρατιώταις οἱ Ἀρχιερεῖς τῶν Ἰουδαίων περὶ τοῦ Πιλάτου, ἡμεῖς δὲ πείσομεν αὐτόν. καὶ ἵνα τὰ πολλὰ ἐάσωμεν, ἀρκεῖ τὸ ἐν τῷ δεκάτῳ ἐνάτῳ κεφαλαίῳ λεγόμενον περὶ τοῦ Παύλου, ἤτοι τὸ διαλεγόμενος, καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ. καὶ λοιπὸν σημείωσαι ὅπερ οἱ Λατῖνοι λέγουσιν, ὅτι ἀπὸ τῆς τετάρτης πράξεως τῆς ἐπὶ Μηνᾶ Συνόδου δείκνυται ἡ ἀρχὴ τοῦ Πάπα, ἐννοοῦντες ταῦτα τὰ ῥήματα ἐξακολουθοῦμεν καὶ πειθόμεθα, τοῦτο αὐτὸ κατὰ τῆς τυραννικῆς ἀρχῆς τοῦ Πάπα συνέβη, καὶ οὐχ ὑπὲρ τῆς τυραννίδος αὐτοῦ. ἰδὲ (λέγομεν πάλιν) ἀνωτέρω βιβλίου τρίτου, κεφαλαίου δεκάτου πέμπτου Παράγραφον εἰκοστὸν τέταρτον, καὶ κατωτέρω βιβλίου δεκάτου, μέρους τρίτου, κεφαλαίου τρίτου, τμήματος ὀγδόου Παράγραφον ἕκτον, ὅπου οἱ Τοποτηρηταὶ τοῦ Πάπα εἶπον ὅτι πείθονται εἰς τὴν ἐπιστολὴν τοῦ Ταρασίου, καὶ κατωτέρω κεφαλαίου δεκάτου ἑβδόμου Παράγραφον ὄγδοον, καὶ βιβλίου ἑβδόμου, κεφαλαίου πρώτου Παράγραφον δέκατον πέμπτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι ἀποστολικὸς θρόνος καὶ καθέδρα ταὐτὸν, ὃ μετὰ διορισμοῦ πρὸς τὸν Ῥώμης ῥηθὲν ἐν τῇ πρώτῃ πράξει, ἀναιρεῖ τὸ μοναρχικὸν αὐτοῦ.

Ὁ θρόνος Ἀντιοχείας ἀποστολικὸς θρόνος καλεῖται, ἀποστολικὸς δὲ θρόνος καὶ ἀποστολικὴ καθέδρα τὸ αὐτόν ἐστιν, ὅθεν ἀνωτέρω ἔλεγεν ὁ Μηνᾶς, τῷ ἀποστολικῷ θρόνῳ ἐξακολουθοῦμεν, καὶ πράξει πέμπτῃ, οἱ Διάκονοι τῆς ἀποστολικῆς καθέδρας. ἵνα δὲ μήτις ἀκούων ἀποστολικὴν καθέδραν, καὶ ἀποστολικὸν θρόνον τὸν τῆς Ῥώμης θρόνον ἀπολύτως λεγόμενον, νομίσῃ ἔμφασίν τινα ἀξιώματος ὑπαινίττεσθαι, ἐῤῥέθη ἐνταῦθα ἐν τῇ πρώτῃ πράξει μετὰ τοῦ διορισμοῦ, Μηνᾶς ὁ θεοσεβέστατος Ἀναγνώστης τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ἀνέγνω. ἰδὲ καὶ βιβλίου δεκάτου, μέρους δευτέρου, κεφαλαίου ἕκτου Παράγραφον εἰκοστὸν δεύτερον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῶν ἐν τῇ πέμπτῃ πράξει τῆς ἐπὶ Μηνᾶ Συνόδου θεωρουμένων, ἐν οἷς δείκνυται οὔτε ἴσος οὔτε μείζων τοῦ Βασιλέως ὁ Ῥώμης, καὶ κοινῶς οἱ πατέρες τῆς πίστεως διδάσκαλοι, καὶ οὐμόνος ὁ Ῥώμης, ἡ δὲ Σύνοδος ἐπὶ πάντων.

Πράξει πέμπτη, ἐν ᾗ θεωρεῖται τὰ κατὰ Πέτρον τὸν Ἀπαμείας Ἐπίσκοπον, καὶ σημείωσαι ἐν τῷ λιβέλλῳ τῶν Ἐπισκόπων τῆς δευτέρας Συρίας πρὸς τὸν Βασιλέα λεγόντων, πρῶτον, ὅτι ὁ Πάπας Ἀγαπητὸς ἠξιώθη τῶν εὐσεβῶν ἰχνῶν τοῦ Βασιλέως, καὶ σημείωσαι ὅτι ὁ Πάπας οὐκ ἔστι τοῦ Βασιλέως οὔτε μείζων οὔτε ἴσος, ἐπειδὴ τοῖς ἴχνεσιν αὐτοῦ, ἤτοι εἰς προσκύνησιν αὐτοῦ προσῆλθε. δεύτερον, ὅτι τὸν Βασιλέα λέγουσι φύλακα τῆς πίστεως, ὅπερ ταὐτόν ἐστι τῷ εἰρημένῳ τῷ Πάπα Λέοντι παρὰ τῆς ἐν Χαλκηδόνι Συνόδου, ὅτι ἦν φύλαξ τῆς ἀμπέλου. τρίτον, ὅτι τὴν πίστιν οὐχ εἷς παρέδωκεν (ἢ ὁ Ῥώμης ἢ ἑτερός τις) ἀλλὰ κοινῶς οἱ ἅγιοι πατέρες, ὥστε κοινῶς οἱ πατέρες καὶ ἐξίσου καὶ ὡσαύτως

Διδά

διδάσκαλοι, καὶ οὐμόνος ἢ ἰδιοτρόπως ὁ Ῥώμης. ἐν τῷ λιβέλλῳ πρὸς τὸν Βασιλέα τῶν Κωνσταντινουπολιτῶν καὶ Ἀντιοχέων καὶ Παλαιστινῶν σημείωσαι ὅτι φασὶν ἵνα πέμψῃ ὁ Βασιλεὺς τὸν λίβελλον, ὥστε θεωρηθῆναι, καὶ κανονικῶς πέρας δέξασθαι ὑπὸ τοῦ Μηνᾶ καὶ τῶν Ῥωμαίων καὶ τῆς λοιπῆς ἐνδημούσης Συνόδου. καὶ σημείωσαι ὅτι τὰ αὐτὰ ἐῤῥέθη καὶ περὶ τοῦ Ἀγαπητοῦ, καὶ ὅτι οὐδὲν δύναται μόνος ὁ Κωνσταντινουπόλεως ἢ ὁ Ῥώμης, ἀλλὰ Συνοδικῶς, ὅπερ ἐστιν, ὅτι ἡ Σύνοδος ἐπὶ πάντων ἐστί.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ΄.

Περὶ τῶν περιεχομένων ἐν τῷ πρὸς τὸν Βασιλέα λιβέλλῳ τῶν Κωνσταντινουπολιτῶν, τῶν Ἀντιοχέων καὶ τῶν Παλαιστινῶν, ἐξ ὧν δείκνυται ὅτι ἰδίᾳ αὐθεντίᾳ ὁ Βασιλεὺς ἀθροίζει τὴν Σύνοδον, καὶ ἡ Σύνοδος καθαρίζει τὴν Ἐκκλησίαν, καὶ μοναρχία οὐδενὸς ἐν τῇ Ἐκκλησίᾳ, ἀλλὰ πᾶσιν ἡ αὐτὴ ἐξουσία κατὰ τῶν Αἱρετικῶν ὑπὲρ τοῦ ἐκκλησιαστικοῦ δικαίου τοῖς τε Πατριάρχαις καὶ τῷ Ῥώμης.

Ἐν τῷ λιβέλλῳ τῶν αὐτῶν πρὸς τὴν Σύνοδον σημείωσαι πρῶτον, ὅτι φασὶ, τῆς ἐπὶ Ἀνθίμῳ κρίσεως πληρωθείσης, καὶ τῆς κατ' αὐτοῦ ψήφου παρ' ὑμῶν τῶν ἁγιωτάτων δικαίως ἐξενεχθείσης. Καὶ, εὐχαριστοῦμεν τῷ Θεῷ τῷ διὰ τῆς σπουδῆς τοῦ εὐσεβεστάτου ἡμῶν Βασιλέως τὸν ἱερὸν ὑμῶν σύλλογον εἰς τὸ ἓν συναγαγόντι, ἵνα καθαρίσῃ τὴν αὐτοῦ Ἐκκλησίαν, καὶ παραστήσῃ αὐτὴν ἑαυτῷ ὡς ἀεὶ ἔνδοξον, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἢ τὶ τῶν Αἱρετικῶν ζιζανίων. καὶ ὅτι ὁ Βασιλεὺς ἐκέλευσε καὶ προσέταξε περὶ πάντων τῶν περιεχομένων ἐν τῇ δεήσει ἡμῶν σκοπῆσαι. ἐν οἷς σημείωσαι ὅτι ὁ Βασιλεὺς ἰδίᾳ αὐθεντίᾳ καὶ κελεύσει καὶ προσταγῇ ἀθροίζει τὴν Σύνοδον, καὶ ἡ Σύνοδος καθαρίζει τὴν Ἐκκλησίαν, καὶ παρίστησιν αὐτὴν ἄμωμον τῷ Χριστῷ, καὶ οὐμόνοι Ῥώμης ἢ Κωνσταντινουπόλεως ἢ ἄλλος τὶς Ἐπίσκοπος μόνως ἢ ἰδικῶς. καὶ ὅτι ἡ κατὰ Ἀνθίμου ψῆφος ὑπὸ τῆς ἐπὶ Μηνᾶ Συνόδου ἐπληρώθη, ὅπερ μεῖζον ἐστὶ τοῦ ὅτι ὁ Ῥώμης Ἀγαπητὸς καθήρηκε τὸν αὐτόν. δεύτερον, ὅτι φασὶ, κατακριθῆναι τοὺς περὶ Σεβῆρον συνοδικῶς ἐν Ῥώμῃ, ἐν Κωνσταντινουπόλει, ἐν Ἀντιοχείᾳ καὶ ἐν Ἱεροσολύμοις. τρίτον, ὁρκίζουσι τοὺς πατέρας τῆς Συνόδου, ἵνα ἐξακολουθοῦντες τῇ προθέσει τοῦ Πάπα Ἀγαπητοῦ καὶ τῶν Πατριαρχῶν Κωνσταντινουπόλεως, ἤτοι Ἰωάννου τοῦ Καππάδοκος καὶ Ἐπιφανίου καὶ τοῖς μακαριωτάτοις Πατριάρχαις Θεουπόλεως καὶ Ἱεροσολύμων, ἤτοι Φλαυϊανῷ καὶ Ἰωάννῃ καὶ τοῖς ἄλλοις Ἀρχιερεῦσιν, ἀναθεματίσωσι Σεβῆρον καὶ Πέτρον καὶ Ζωόραν. τέταρτον, ἵνα ἐξακολουθήσῃ ὁ Μηνᾶς καὶ ἡ συνεδρεύουσα αὐτῷ Σύνοδος τοῖς ὁρισθεῖσι κατὰ τῶν Αἱρετικῶν παρὰ τῶν τοὺς εἰρημένους Πατριαρχικοὺς θρόνους κατακοσμησάντων ἡμῶν ἁγίων πατέρων, καὶ ἀναθεματίσῃ τοὺς εἰρημένους καὶ τοὺς ἀκολουθοῦντας αὐτοῖς, καὶ πάντα ἐκκήρυκτον γενόμενον ὑπό τε τοῦ ἀποστολικοῦ θρόνου καὶ πάσης ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας. ἐξ ὧν δείκνυται οὐμοναρχία τοῦ Ῥώμης ἢ τοῦ Κωνσταντινουπόλεως, οὐδὲ ἐξουσία τὶς ἰδικὴ, ἀλλ' ἀδελφικὴ σκέψις καὶ κρίσις καὶ ἀνάκρισις καὶ κατάκρισις, ὁμοίως καὶ ὡσαύτως ἔχουσα κατὰ τῶν Αἱρετικῶν ὑπὲρ τοῦ ἐκκλησιαστικοῦ δικαίου. Ἀλλαμὴν ἡ αὐτὴ ἐνέργεια, καὶ ὁ αὐτὸς τρόπος, ἄρα καὶ τὸ αὐτὸ ἀξίωμα καὶ ἡ αὐτὴ ἐξουσία.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ΄.

Περὶ τῶν ἐν τῇ ἐπὶ Μηνᾶ συνελεύσει πέμπτῃ ἀναγνωσθέντων πρακτικῶν τῆς ἐπὶ τοῦ Καππάδοκος Συνόδου, καὶ τῶν δύο ἐπιστολῶν Ὁρμίσδου πρὸς τοὺς τῆς Ἀνατολῆς Ἐπισκόπους καὶ τὸν Κωνσταντινουπόλεως Ἐπιφάνιον, ἐξ ὧν δείκνυται τὸ ἔσχατον κριτήριον καὶ ἑρμηνευτήριον καὶ βεβαιωτήριον ἡ Σύνοδος, καὶ οὐχ ὁ Ῥώμης.

Ἐν ταύτῃ τῇ πέμπτῃ ἐπὶ Μηνᾶ συνελεύσει ἀναγινώσκονται τὰ πρακτικὰ τῆς ἐπὶ Ἰωάννου τοῦ Καππάδοκος Συνόδου, ἐν οἷς καὶ αἱ δύο ἐπιστολαὶ τοῦ Πάπα Ὁρμίσδου πρὸς τοὺς Ἐπισκόπους τῆς Ἀνατολῆς καὶ πρὸς τὸν Κωνσταντινουπόλεως Ἐπιφάνιον. καὶ σημείωσαι πρῶτον, ὅτι τὸ κῦρος ἐν τῇ Ἐκκλησίᾳ παρέχει ὁ Ὁρμίσδας κοινῶς τοῖς πατράσι καὶ οὐδὲν ἰδικὸν ἀξίωμα τῷ Ῥώμης προσάπτει. δεύτερον, ἐν τῇ πρὸς τὸν Κωνσταντινουπόλεως ἐπιστολῇ φησὶν, ὅτι τὰ τῶν πατέρων εἰσὶ τέλεια καὶ προσθήκης οὐδέονται, καὶ καλῶς βέβαια, καὶ διὰ τοῦτο οὐκ ἀνταμειπτέα. ταῦτα εἰπὼν, ἐπὶ λέγει περὶ τῆς ἐν Χαλκηδόνι Συνόδου, ὅτι τῶν πρὸ αὐτῆς Συνόδων ὁμοίως τὰ δόγματα ἢ τηλαυγέστερον ἐφανέρωσεν, ἢ ἐπαναληφθεῖσα τῇ αὐθεντίᾳ ἐβεβαίωσεν, ἰδικόντινα κατὰ Νεστορίου καὶ Εὐτυχοῦς ἀναδεξαμένη ἀγῶνα. ταῦτα καὶ τὰ λοιπὰ γεγραμμένα ἐν τῇ ἐπιστολῇ συμφωνίαν καὶ ὁμοψυχίαν τῶν Ἐκκλησιῶν μαρτυρεῖ, καὶ οὐδεμίαν μοναρχίαν. καὶ σημείωσαι ὅτι ὁ Λέων οὐδὲν ἠδυνήθη τελειῶσαι κατὰ Εὐτυχοῦς, καίτοι πολλὰ γράψας καὶ ἀγωνισθεὶς, ἕως οὗ ἡ ἐν Χαλκηδόνι Σύνοδος ἰδικὸν ἀγῶνα δεξαμένη, τὰ τῶν πρὸ αὐτῆς Συνόδων καὶ πατέρων ἐφανέρωσεν, ἤτοι ἡρμήνευσε καὶ ἐβεβαίωσε. καὶ πρόσχες, ὅτι ἡ Σύνοδός ἐστι τὸ ἔσχατον κριτήριον καὶ βεβαιωτήριον καὶ ἑρμηνευτήριον, καὶ ἔμεινεν εἶναι ματαιότητα προφανῆ, τὸ τὸν Ῥώμης εἶναι ἰδικὸν ἑρμηνέα τῶν πατέρων, καὶ ἔσχατον βεβαιωτὴν τῶν Συνόδων.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ τῆς πρὸς τὸν Ἱεροσολύμων Ἰωάννην ἐπιστολῆς Ἰωάννου Κωνσταντινουπόλεως, αἰτοῦντος ἐν αὐτῇ βεβαιῶσαι αὐτὸν τὰ πεπραγμένα συνοδικῶς κατὰ Σεβήρου, ἐξ ἧς τοῦ Ἱεροσολύμων γενικόν τι ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ μὴ λαβόντος, οὔτε ὁ Ῥώμης ἀπὸ τοιούτων παρομοίων ῥημάτων λήψεται.

Ἐν τῇ ἐπιστολῇ Ἰωάννου τοῦ Κωνσταντινουπόλεως πρὸς Ἰωάννην Πατριάρχην Ἱεροσολύμων σημείωσαι πρῶτον, ὅτι λέγει αὐτῷ, τὰ πεπραγμένα (ἐν τῇ κατ' αὐτὸν ἐν Κωνσταντινουπόλει κατὰ Σεβήρου Συνόδῳ) ἀναγκαῖον ἐλογισάμην σημᾶναι τῇ σῇ θεοσεβείᾳ, ἵνα τῇ συνεργείᾳ τοῦ παναγίου Πνεύματος ταῦτα γνοῦσα, ἐπισφραγίσῃ τῷ λόγῳ τῆς ἀληθείας. δεύτερον φησὶν, ὅτι ἡ ἐν Κωνσταντινουπόλει Σύνοδος αἰτήσει τοῦ λαοῦ καὶ τοῦ μοναχικοῦ τάγματος, τάδε ὥρισε, καὶ ταῦτα τῇ σῇ ἁγιότητι διὰ τάχους ἐκπέμψαι ἐσπουδάσατο. ἐν οἷς σημείωσαι ὅτι τὰ ἐν Κωνσταντινουπόλει ὁρισθέντα συνοδικῶς ἵνα ὁ Ἱεροσολύμων ἐπισφραγίσῃ τῷ λόγῳ τῆς ἀληθείας, τουτέστιν ἵνα ταῦτα βεβαιώσῃ, ἤτοι προσδεχθῇ καὶ συμφωνήσῃ ὡς καλῶς ἔχοντα, ὅπερ ταὐτόν ἐστιν ἐκείνῳ ὅπερ ἔγραψεν ἡ ἐν Χαλκηδόνι Σύνοδος τῷ Πάπᾳ Λέοντι περὶ ὧν αὐτὴ ὥρισεν, ἵνα συναφθῇ αὐτῇ πρὸς ὁμόνοιαν. δεύτερον, ὅτι ἡ συμφωνία καὶ ἡ ἀποδοχὴ καὶ ἡ ἐπισφράγισις ἡ παρὰ τοῦ Ἱεροσολύμων συνέτεινε πρὸς βοήθειαν τοῦ ἐκκλησιαστικοῦ δόγματος, ἐπειδὴ τὰ πλήθη τῶν ὀρθοδόξων ἀπέβλεπον πρὸς τὴν ἑνότητα τῶν Ἐκκλησιῶν, καὶ μάλιστα τῶν καθολικῶν θρόνων. ἦσαν δὲ ἐν τῇ ἐν Κωνσταντινουπόλει Συνόδῳ πρέσβεις τοῦ Ῥώμης Ὁρμίσδου, ὅθεν ἡ συμφωνία Ῥώμης καὶ Κωνσταντινουπόλεως ἦν φανερὰ, ἐζήτει δὲ ὁ Ἰωάννης, ἵνα καὶ ἡ συμφωνία τῆς Ἱερουσαλὴμ μετὰ Ῥώμης καὶ Κωνσταντινουπόλεως ᾖ καὶ αὕτη προφανὴς διὰ τὴν αὐτὴν αἰτίαν. οὐκ ἔλαβε δὲ ὁ Ἱεροσολύμων ἐκ τοιούτων μεγίστων, καὶ ὄγκον μέγιστον ἐχόντων ῥημάτων ἰδικόν τι ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ, ἄρα οὐδὲ ὁ Ῥώμης ἀπὸ τοιούτων ῥημάτων καὶ προσρημάτων λαμβάνει γενικόν τι ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Ὅτι ἐκ τῶν εἰρημένων ἐν τῇ πρὸς Ἐπιφάνιον Τύρου ἐπιστολῇ τοῦ Κωνσταντινουπόλεως Ἰωάννου, ἵνα δηλονότι σύμψηφος καὶ αὐτὸς γένηται τοῖς κατὰ τῶν Αἱρετικῶν πεπραγμένοις, καὶ δηλώσῃ ταῦτα καὶ ἑτέροις, οὐδὲν ἰδικὸν ἀξίωμα δηλοῦται, ἀλλ' ἡ συμφωνία καὶ συνέργεια εἰς ταῦτα.

Ἐν τῇ ἐπιστολῇ τοῦ αὐτοῦ Κωνσταντινουπόλεως Ἰωάννου πρὸς τὸν Ἐπιφάνιον Μητροπολίτην Τύρου σημείωσαι πρῶτον, ὅτι φησὶν αὐτῷ, τοιγαροῦν τῆς ἐνδημούσης ἁγίας Συνόδου τῇ φιλοχρίστῳ βασιλίδι πόλει ἐκ διαφόρων Ἐπαρχιῶν δηλοποιησάσης τὰ πραχθέντα κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας, ἀναγκαῖον ἔκρινα τῇ σῇ πεμφθῆναι θεοσεβείᾳ, ἵνα τὰ παρ' αὐτῶν, καὶ δι' αὐτῶν τυπωθέντα ἀναγνοὺς καὶ γνοὺς ὁσιώτατε, σύμψηφος καὶ ὁμόψηφος ἔσῃ, καὶ κἂν ὀψέποτε τῶν κυκλωσάντων σε ἐχθρῶν λυτρωθῇς. δεύτερόν φησιν, ἅπαντα τοίνυν τὰ πεπραγμένα κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας δῆλα ποιῆσαι τοῖς εἰς τὰ αὐτόθι ὀρθοδόξοις, καθὼς ἂν συνιδῇς, σπούδασον θεοφιλέστατε. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι ἐν ταῖς καταδρομαῖς τῶν Αἱρετικῶν Πατριαρχῶν Ἀντιοχείας, Πέτρου τοῦ Κναφέως καὶ Σεβήρου δηλονότι, ὁ Τύρου Ἐπιφάνιος ἔμεινεν ὅτι μάλιστα στερεὸς ἐν τῇ πίστει, ὅθεν καὶ ὡς ὁμοπίστῳ καὶ ζηλωτῇ πέμπει ὁ Ἰωάννης τὰ ἐν Κωνσταντινουπόλει πεπραγμένα αὐτῷ, ἵνα σύμφωνος καὶ ὁμόψυχος ᾖ, ὅπερ ταὐτόν ἐστιν ἐκείνοις οἷς εἴρηται ἀνωτέρω περὶ τοῦ Ἱεροσολύμων Ἰωάννου καὶ τῆς ἐν Χαλκηδόνι Συνόδου πρὸς Λέοντα τὸν Πάπαν. δεύτερον, ἵνα γνωσθέντων τῶν ἐν Κωνσταντινουπόλει ὑπὸ τῶν Ἐπισκόπων τῶν συνελθόντων ἀπὸ διαφόρων Ἐπαρχιῶν πραχθέντων, οἱ ἐν Τύρῳ Χριστιανοὶ μείνωσι στερεώτεροι ἐν τῇ πίστει, οὐδι' ἄλλό τι, ἀλλὰ διὰ τὴν συμφωνίαν τῶν Ἐκκλησιῶν Ῥώμης, Κωνσταντινουπόλεως καὶ τῶν λοιπῶν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΣ'.

Ὅτι ἐκ τῶν εἰρημένων ἐν τῇ συνοδικῇ ἐπιστολῇ τοῦ Ἱεροσολύμων Ἰωάννου πρὸς Ἰωάννην τὸν Κωνσταντινουπόλεως καὶ τὴν κατ' αὐτὸν Σύνοδον, δείκνυται τὸ δεσμεῖν τε καὶ λύειν παντὶ δεδόσθαι Ἐπισκόπῳ, καὶ διαφερόντως ταῖς Συνόδοις, καὶ οὐμόνῳ τῷ Πέτρῳ. καὶ περὶ τῆς Τύρου ἐπιστολῆς πρὸς τὸν αὐτὸν Κωνσταντινουπόλεως καὶ τὴν Σύνοδον, τῆς τὰ αὐτὰ καὶ ταύτης λεγούσης.

Ἐν τῇ συνοδικῇ ἐπιστολῇ τοῦ Ἱεροσολύμων Ἰωάννου πρὸς Ἰωάννην Κωνσταντινουπόλεως καὶ τὴν κατ' αὐτὸν Σύνοδον σημείωσαι πρῶτον, ὅτι φησὶν, ὁ γὰρ παρεσχηκὼς Ἱερεμίᾳ τῷ προφήτῃ τὸ ἀνοικοδομεῖν καὶ κατασκάπτειν καὶ ἐκριζοῦν καὶ καταφυτεύειν, καὶ Πέτρῳ τῷ Ἀποστόλῳ τὸ λύειν καὶ δεσμεῖν, καὶ τῇ κοινῇ

τοῦ

τοῦτο ἐφιλοτιμήσατο Ἱερωσύνῃ. δεύτερον λέγει, καὶ ἡμεῖς δὲ τοῖς πραχθεῖσι καὶ ἐπισταλεῖσι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης ὁμόφρονες καὶ ὁμόψυχοι τυγχάνομεν, καὶ συναινοῦμεν καὶ κοινωνοί ἐσμεν ὑμῖν. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι οὐ μόνος ὁ Ῥώμης ἐκριζοῖ καὶ καταφυτεύει, ὡς εἴρηται καὶ ἀνωτέρω βιβλίῳ τετάρτῳ κεφαλαίῳ πρώτῳ Παραγράφῳ εἰκοστῷ ἑβδόμῳ. δεύτερον, ὅτι ὅπερ δέδοται τῷ Πέτρῳ λύειν καὶ δεσμεῖν, τοῦτο κατὰ πάντα καὶ ὡσαύτως δέδοται αὐτῷ ἐκείνῳ καὶ τῇ κοινότητι τῆς Ἐκκλησίας, ἤτοι παντὶ Ἐπισκόπῳ, διαφερόντως δὲ ταῖς θείαις καὶ κανονικαῖς Συνόδοις. τρίτον, ὅτι ὁμόφρονες καὶ κοινωνικοὶ οὕτως ἦσαν οἱ Ἱεροσολυμῖται πρὸς τοὺς ἐν Κωνσταντινουπόλει, ὡς ἦσαν οἱ Κωνσταντινουπολῖται πρὸς τὴν ἀποστολικὴν καθέδραν τῆς Ῥώμης, ὡσαύτως δηλονότι καὶ ἀπαραλλάκτως. ἰδὲ περὶ κοινωνίας βιβλίου τρίτου, κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν ἕκτον. τὰ αὐτὰ λέγεται καὶ ἐν τῇ ἐπιστολῇ τοῦ Τύρου Ἐπιφανίου καὶ τῶν ὑπ' αὐτῷ Ἐπισκόπων πρὸς τὴν ἐν Κωνσταντινουπόλει ἐνδημοῦσαν Συνόδον, καὶ ὅτι ἀκολουθεῖ αὐτοῖς, ὥστε καὶ τὸ ἀνωτέρω εἰρημένον τῷ Μηνᾷ, ὅτι ἀκολουθεῖ τῇ ἀποστολικῇ καθέδρᾳ, κοινόν ἐστιν, ὡς εἴρηται, πᾶσι τοῖς Ἐπισκόποις. ἐπιλέγει δὲ ὁ Ἐπιφάνιος ἐν τῇ ἐπιστολῇ, ἵνα ἀνακομισθῇ τὸ λείψανον Φλαυϊανοῦ ἀπὸ τῆς ἐξορίας, καὶ κατατεθῇ εἰς τὸν ἀποστολικὸν θρόνον Ἀντιοχείας, ὡς τὰ Εὐθυμίου καὶ Μακεδονίου ἐν Κωνσταντινουπόλει. καὶ σημείωσαι ὅτι ἀποστολικὸς θρόνος πολλάκις λέγεται ἐν τῇ Συνόδῳ ταύτῃ ὁ θρόνος Ἀντιοχείας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Ὅτι ἐκ τῶν ἀναγνωσθέντων ἐπιστολῶν τοῦ Κωνσταντινουπόλεως Ἰωάννου καὶ τοῦ Ἡρακλείας Θεοφίλου καὶ τῶν πρακτικῶν τῆς κατὰ Βυζάντιον Συνόδου ἐν Τύρῳ, καὶ ἐκ τῶν λεχθέντων ὑπὸ τοῦ λαοῦ, δείκνυται μερικῆς Ἐκκλησίας Ἐπίσκοπος ὁ Ῥώμης.

Ἀναγνωσθεισῶν ἐν Τύρῳ ἐπ' Ἐκκλησίας τῶν ἐπιστολῶν Ἰωάννου Κωνσταντινουπόλεως, καὶ τοῦ Ἡρακλείας Θεοφίλου, καὶ τῶν πρακτικῶν τῆς ἐν Κωνσταντινουπόλει Συνόδου, ὁ λαὸς εὐφήμησε τὸν Βασιλέα, τὴν Βασίλισσαν, τὸν Πατριάρχην Κωνσταντινουπόλεως καὶ τοὺς Ἐπισκόπους τῆς κατ' αὐτὸν Συνόδου, τὸν Τύρου Ἐπιφάνιον, τὸν Στρατηλάτην Βιταλιανὸν καὶ τὸν Κόμητα τῆς Τύρου Ἰωάννην, τοῦ δὲ Ῥώμης οὐδεμία μνήμη. ἔπαινος τοῦ Κωνσταντινουπόλεως Ἰωάννου καὶ τοῦ Βασιλέως καὶ τῆς ἐν Κωνσταντινουπόλει Συνόδου, οὐδεμία δὲ μνήμη ἢ φήμη τοῦ Ῥώμης. ἐῤῥέθη δὲ ἐν αὐτῇ ὁ Τύρου Ἐπιφάνιος ἁγιώτατος καὶ μακαριώτατος Ἀρχιεπίσκοπος καὶ Μητροπολίτης. ἐμνήσθησαν δὲ τοῦ Ῥώμης, εἰ ἦν μονάρχης καὶ ἀμέσως Ἐπίσκοπος μόνος παρὰ Χριστοῦ ἐν τῇ Ἐκκλησίᾳ, ἀλλ' οὐκ ἐμνήσθησαν, ἐπειδὴ μιᾶς μερικῆς Ἐκκλησίας Ἐπίσκοπος ἦν, καὶ οὐ τῆς καθολικῆς, ἧς μόνος Ἐπίσκοπός ἐστιν ὁ Χριστός. καὶ ἐκ τοῦ ἐναντίου, ὡς οὐ δεδώκασιν αἱ φῆμαι τῷ Κωνσταντινουπόλεως ἰδικόν τι ἀξίωμα, οὔτε τῷ Ῥώμης, ἐν ἄλλοις εὐφημουμένῳ μόνῳ, παρέχουσιν ἰδικήν τινα ἐξουσίαν,

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Ὅτι ἐκ τῆς πρὸς τοὺς τῆς δευτέρας Συρίας Ἐπισκόπους ἐπιστολῆς τῶν Ἀπαμείας Κληρικῶν, δείκνυται ἰσότιμος τοῖς Πατριάρχαις ὁ Ῥώμης.

Οἱ τῆς Ἀπαμέων Κληρικοὶ γράφοντες πρὸς τοὺς Ἐπισκόπους τῆς δευτέρας Συρίας κατὰ τοῦ Ἀπαμείας Πέτρου, δέονται αὐτῶν δὶς καὶ τρὶς, ἵνα τὰ κατὰ τὸν Πέτρον φανερὰ ποιήσωσι τῷ Βασιλεῖ καὶ τοῖς μακαριωτάτοις Πατριάρχαις, οὐδεμία δὲ ἰδικὴ μνήμη τοῦ Ῥώμης Ἐπισκόπου, ἐπειδὴ καὶ ὁ Ῥώμης συντεταγμένως ὡσαύτως καὶ ἰσοτίμως ἐστὶ μετὰ τῶν Πατριαρχῶν, καὶ εἷς ἐστὶ Πατριάρχης ἰσότιμος καὶ ἰσοδύναμος τοῖς λοιποῖς Πατριάρχαις.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'.

Ὅτι ἐκ τῶν εἰρημένων Ἐπιφανίῳ Τύρου μετὰ τὴν ἀνάγνωσιν τῶν κατὰ τοῦ Σεβήρου καὶ Ἀπαμείας Πέτρου καὶ Ζωόρα ψηφισθέντων, δείκνυνται ἐξίσου κριταὶ καὶ μεγάλοι οἱ ἐν τοῖς πατριαρχικοῖς θρόνοις.

Μετὰ τὴν ἀνάγνωσιν τῶν εἰρημένων ἐν τῇ δευτέρᾳ Συρίᾳ κατὰ τοῦ διαληφθέντος Πέτρου ἐπὶ Ἐπιφανίου Πατριάρχου Κωνσταντινουπόλεως, ὁ Ἐπιφάνιος ἐν τῇ ψήφῳ τῇ κατὰ Σεβήρου καὶ Πέτρου καὶ Ζωόρα πρὸς τοῖς ἄλλοις φησὶν, ὥστε καὶ ἐγκλήματος εἶναι μεγίστου τὸ μὴ ἐξακολουθεῖν τοῖς οὐμικροὺς ἱδρῶτας ἐσχηκόσιν ὑπὲρ τῆς κοινῆς τῶν ἁγιωτάτων Ἐκκλησιῶν εἰρήνης, καὶ ἐν τοῖς μεγάλοις καὶ Πατριαρχικοῖς διαλάμψασι θρόνοις, Πατριάρχας μεγάλους εἰπὼν τὸν Κωνσταντινουπόλεως Ἰωάννην, τὸν Ῥώμης

Ὁρμίσδαν

Ὁρμίσδαν καὶ τὸν Ἱεροσολύμων Ἰωάννην. καὶ σημείωσαι ὅτι οἱ Πατριάρχαι κήδονται ἐξίσου πασῶν τῶν Ἐκκλησιῶν, καὶ κοινοὶ κριταί εἰσι, καὶ οἱ θρόνοι αὐτῶν ἐξίσου μεγάλοι, καὶ μάτην κομπάζουσιν οἱ Λατῖνοι διὰ τὸ ἀνωτέρω εἰρῆσθαι τὴν Ῥώμην μεγάλην καθέδραν.

ΠΑΡΑΓΡΑΦΟΝ Κ'.

Ὅτι ἐκ τῶν λεχθέντων ἐν τῇ πέμπτῃ πράξει τῆς Συνόδου ὑπὸ τοῦ Μηνᾶ περὶ ἀνακρίσεως τοῦ ἔντινι Συνόδῳ προκατακριθέντος, δείκνυται λευκότατα μήτε Ἔκκλητον μήτε μοναρχικὸν ἀξίωμα ἔχειν τὸν Ῥώμης ἐν τῇ Ἐκκλησίᾳ, τὴν δὲ Σύνοδον ἔχειν τὴν ἐσχάτην ψῆφον.

Ἐπειδὴ ἐν τῇ παρούσῃ πέμπτῃ πράξει τῆς ἐπὶ Μηνᾶ Συνόδου ὁ λόγος ἦν περὶ Σεβήρου καὶ Ζωόρα καὶ Πέτρου, ὧν ἵνα γνωσταὶ γένωνται αἱ κακίαι, ἀνεγνώσθησαν τὰ προγεγονότα κατ' αὐτῶν ἐν Κωνσταντινουπόλει καὶ Ἱεροσαλὴμ καὶ Τύρῳ, ὁ Κωνσταντινουπόλεως Μηνᾶς μετὰ τὴν ἀνάγνωσιν πάντων ὁρίζεται καὶ αὐτὸς τὴν κατ' αὐτῶν ψῆφον. ἐν οἷς σημείωσαι πρῶτον λέγοντα αὐτὸν, τὸν κατακεκριμένον ἔντινι Συνόδῳ, μηδέτινι τρόπῳ δύνασθαι λειτουργίας ἱερατικῆς ἐπιλαβέσθαι, μέχρις ἂν ἐξετάσεως ἐπ' αὐτῷ γενομένης ὑφ' ἑτέρας Συνόδου, ἀθῷον αὐτὸν ἀποδείξῃ, συμφώνως τῷ Ἀλεξανδρείας Πέτρῳ ὄντως, εἰπόντι περὶ τοῦ καθαιρεθέντος ὑπ' αὐτοῦ Μελητίου, ὡς ὁ ἅγιος Ἀθανάσιος λέγει ἐν τῇ δευτέρᾳ ἀπολογίᾳ. οὐ λέγει δὲ οὔτε ἐκεῖνος οὔτε οὗτος ἵνα γένηται τοῦ κατακεκριμένου ἐν Συνόδῳ ἀνάκρισις εἰς τὸν Ῥώμης, ἀλλ' εἶπον Σύνοδον ἑτέραν, ὥστε ἐψεύσθη προφανῶς ὁ Πάπας Ἰωάννης, γράφων Λέοντι καὶ Ἀλεξάνδρῳ τοῖς Βασιλεῦσιν, ὅτι ὁ Πέτρου θρόνος ἔχει ἐξουσίαν λύειν τὰ ὑπὸ Ἀρχιερέων δεσμευθέντα. καὶ ἰδὲ ἀνωτέρω βιβλίου πρώτου, κεφαλαίου δεκάτου Παράγραφον ἔσχατον. δεύτερον λεκτέον, ὅτι οὐ λέγει τὸν κατακεκριμένον ἔντινι Συνόδῳ ὑπὸ τοῦ Πάπα ἀνακρίνεσθαι, ἀλλ' ὑφ' ἑτέρας Συνόδου, ὥστε λευκότατον ψεῦδος ἐστὶν ἡ περὶ Ἐκκλήτου τῶν Λατίνων θέσις πρὸς τὸν Πάπαν αὐτῶν, καὶ γὰρ ἐπὶ τοῦ Μηνᾶ οὐδ' ὅλως ἐγινώσκετο τοῦτο τὸ πομπηϊκὸν πλαστούργημα. τρίτον, ὅτι κατακρίνων ὁ Μηνᾶς τοὺς εἰρημένους τρεῖς Αἱρετικοὺς, λέγει ῥητῶς τὴν αἰτίαν τῆς κατακρίσεως οὕτω, καταφρονήσαντες μὲν τῆς ἐν τῇ Ῥωμαίων ἁγιωτάτῃ Ἐκκλησίᾳ τῶν Ἀποστόλων διαδοχῆς, τὴν κατ' αὐτῶν ἀπόφασιν ποιησαμένης (ἤτοι τοῦ Πάπα Ὁμίσδου) εἰς οὐδὲν δὲ λογισάμενοι καὶ τοῦ τῆσδε τῆς βασιλευούσης Πατριαρχικοῦ θρόνου (τὸν Ἰωάννην δηλονότι καὶ Ἐπιφάνιον) τοὺς Πατριάρχας, καὶ πᾶσαν τὴν ὑφ' αὐτῶν ἁγίαν Σύνοδον, τήν τε αὐτοῦ τοῦ Δεσπότου καὶ Σωτῆρος τῶν ὅλων ἐν τοῖς ἁγίοις τόποις ἀποστολικὴν διαδοχὴν, (τὸν Πατριάρχην δηλαδὴ Ἱεροσολύμων Ἰωάννην) καὶ πρὸς πᾶσι τούτοις τὴν πάσης Ἀνατολικῆς Διοικήσεως κατ' αὐτῶν ψῆφον γεγενημένην, καὶ ὅτι ἀκολουθῶν τοῖς εἰρημένοις, ἤτοι τοῖς Πατριάρχαις καὶ ταῖς Συνόδοις, ἐπάγει τὴν κατὰ τῶν εἰρημένων Αἱρετικῶν ψῆφον, ἅπερ πάντα τηλαυγῶς παρίστησι τρία τινὰ, ὅτι ἰσότιμοι οἱ Πατριάρχαι, ὅτι οὐκ ἔστιν ἐν τῇ Ἐκκλησίᾳ μοναρχικὸν ἀξίωμα, καὶ ὅτι ἐν τῇ Ἐκκλησίᾳ ἡ ἐσχάτη ψῆφος ἐστὶ τῆς Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Ὅτι ἐκ τῆς κατὰ τῶν εἰρημένων Αἱρετικῶν διατάξεως τοῦ Αὐτοκράτορος Ἰουστινιανοῦ, δείκνυται τὴν ψῆφον τῆς Συνόδου, καὶ οὐ τὸν Ῥώμης ὡς μονάρχην κατακρῖναι τοὺς Αἱρετικοὺς, καὶ τοὺς πατριαρχικοὺς θρόνους εἶναι ἐν ταῖς ὑφ' ἑαυτοὺς Ἐκκλησίαις πρῶτα καὶ ἔσχατα κριτήρια, ἀλλ' οὐ πρὸς ἀλλήλους, ὄντας ἰσοτίμους, τὴν δὲ Σύνοδον ἐπ' αὐτῶν.

Ἐν τῇ διατάξει τοῦ Αὐτοκράτορος Ἰουστινιανοῦ κατὰ τῶν εἰρημένων Αἱρετικῶν σημείωσαι πρῶτον, ὅτι φησὶ, κοινῇ ψήφῳ τοῦ προέδρου τῆς Ῥώμης Ἀγαπητοῦ, καὶ τῆς ἐν Κωνσταντινουπόλει Συνόδου ἀπηλάθη τοῦ θρόνου Κωνσταντινουπόλεως ὁ Ἄνθιμος. καὶ πρόσχες, ὅτι τοῦτο οὐμαρτυρεῖ μοναρχίαν τοῦ Ἀγαπητοῦ, ἀλλὰ συνεδρίαν συνοδικὴν καὶ κρίσιν συνοδικὴν, ὅπερ καὶ παντὶ ἔξεστι Πατριάρχῃ. δεύτερον, ὅτι φησὶν, οὐμὴν οὐδὲ τὴν δικαίως ἐξενεχθεῖσαν κατὰ Σεβήρου ψῆφον τὴν ἐκ πάντων ὡς εἰπεῖν τῶν Ἀρχιερατικῶν τε καὶ Πατριαρχικῶν μετὰ τῆς μοναχικῆς συναινέσεως προελθοῦσαν θρόνων. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι οὐχ ὁ Ῥώμης μόνος, ἀλλ' ἡ ψῆφος τῶν Πατριαρχικῶν καὶ Ἀρχιερατικῶν θρόνων κατέκρινε τοὺς Αἱρετικοὺς. δεύτερον, ὅτι πρῶτον εἶπεν Ἀρχιερατικοὺς καὶ ὕστερον Πατριαρχικοὺς, δεικνύων ὅτι πάντες οἱ Πατριαρχικοὶ θρόνοι ἰσοτίμως καὶ ἰσοδυνάμως εἰσὶν ἀναγκαῖοι ἐν ταῖς κοιναῖς συνελεύσεσι, καθ' ἑαυτοὺς δὲ θεωρούμενοι, πρῶτα καὶ ἔσχατα κριτήρια εἰσὶν ἐν ταῖς ὑφ' ἑαυτοὺς Ἐκκλησίαις, ὥστε παραλογίζονται ἑαυτοὺς οἱ παπισταὶ, λέγοντες πρῶτον κριτήριον τὸν Κωνσταντινουπόλεως καὶ ἔσχατον τὸν Ῥώμης. τρίτον, ὅτι δεικνύων τὸ ἀξίωμα τῶν Συνόδων, μόνην ἐκθειάζει τὴν κατὰ τῶν Αἱρετικῶν τῶν Πατριαρχῶν καὶ Ἐπισκόπων ψῆφον, ὅπερ ταὐτόν ἐστιν, ὅτι οἱ Πατριάρχαι μόνοι ἄνευ τῶν Συνόδων οὐδὲν δύνανται ἐν τῇ Ἐκκλησίᾳ, καὶ μάτην οἱ Ῥωμαῖοι ποιοῦσι διαίρεσιν Ῥωμαϊκῆς Ἐκκλησίας καὶ Δυτικῆς Ἐκ-

Ἐκκλησίας, ἐπειδὴ οὐδὲν δύναται μόνη ἡ Ῥωμαϊκὴ Ἐκκλησία ἄνευ τῆς Δυτικῆς, καὶ ὅτε μοναχῶς λέγεται ἡ Ῥωμαϊκὴ Ἐκκλησία καὶ ἡ ἀποστολικὴ καθέδρα, ἐννοεῖται ὁ Ἐπίσκοπος Ῥώμης καὶ οἱ ὑπ' αὐτὸν Ἐπίσκοποι, οὐδέ ποτε γὰρ ὁ Ῥώμης ἐδυνήθη ἀξιόλογόν τι ἐν τῇ κοινότητι ἄνευ τῆς τῶν Δυτικῶν Ἐπισκόπων Συνόδου, ἧς προκάθηται διὰ τὴν τάξιν, συνεδρεύει δὲ διὰ τὸ ἰσότιμον τοῦ ἐπισκοπικοῦ ἀξιώματος, ὡς εἴρηται ἐν πολλοῖς καὶ ῥηθήσεται.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΒ'.

Ὅτι ἐκ τῶν λεχθέντων ἐν τῇ ἐν Ἱεροσολύμοις ἐπὶ Πέτρου Συνόδῳ, δείκνυται τὸ συνοδικῶς ἐνεργεῖν, ψηφίζεσθαι καὶ κρίνειν κοινὸν Πατριάρχαις πάπαις καὶ Ἐπισκόποις.

Ἐν τῇ Ἱερουσαλὴμ ἡ κατὰ τῶν εἰρημένων Αἱρετικῶν Σύνοδος ἐπὶ Πέτρου Ἱεροσολύμων Πατριάρχου σημείωσαι πρῶτον, ὅτι φησὶ, προκαθημένου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου Ἀρχιεπισκόπου καὶ Πατριάρχου ἐν τῷ Σεκρέτῳ τοῦ εὐαγοῦς Ἐπισκοπείου τῆς αὐτοῦ μακαριότητος, συνεδρευόντων δὲ τῇ αὐτοῦ Ἀρχιερωσύνῃ καὶ τῶν ὁσιωτάτων Ἐπισκόπων τῆς κατὰ Παλαιστίνας τρεῖς ὑπὸ τοὺς ἁγίους τελούσας τόπους εὐαγεστάτης Συνόδου. καὶ σημείωσαι, ὅτι καὶ ὁ Ἱεροσολύμων συνοδικῶς ἐνεργεῖ, ὡς καὶ ἐν Κωνσταντινουπόλει ὁ Ῥώμης Ἀγαπητὸς, καὶ οἱ Ἐπίσκοποι αὐτῆς Ἰωάννης, Ἐπιφάνιος καὶ Μηνᾶς. δεύτερον, ὅτι ὁ Ἱεροσολύμων προκάθηται τῆς κατ' αὐτὸν Συνόδου διὰ τὴν τάξιν, συνεδρεύουσι δὲ αὐτῷ οἱ ὑπ' αὐτὸν Ἐπίσκοποι, τουτέστι συνεδρεύει τῇ κατ' αὐτὸν Συνόδῳ διὰ τὸ ἰσότιμον τοῦ ἐπισκοπικοῦ ἀξιώματος, καὶ διὰ τὸ ἐξίσου κριτὰς καὶ ψηφιστὰς εἶναι ἐν τῇ Συνόδῳ τόν τε Πατριάρχην καὶ τοὺς Ἐπισκόπους, καὶ διατοῦτο ὁ Κύριλλος τὸν Ῥώμης Κελεστῖνον ποτὲ μὲν λέγει ὅτι προήδρευε, καὶ ποτὲ ὅτι συνήδρευε τῆς κατ' αὐτὸν ἐν Ῥώμῃ Συνόδου, δὸς δ' εἰπεῖν καὶ τῆς Οἰκουμενικῆς. ταῦτα ῥητέον καὶ περὶ τοῦ Ἀγαπητοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΓ'.

Ὅτι ἐκ τῶν συναγομένων ἀπὸ τῆς πρὸς τὸν Ἱεροσολύμων Πέτρον ἐπιστολῆς τοῦ Κωνσταντινουπόλεως Μηνᾶ, πλὴν τῆς συμφωνίας καὶ ταυτοδυναμίας Παπῶν καὶ Πατριαρχῶν, οὐδεμία ἰδικὴ ἀξία, ἢ ἐξουσία ἐν τῇ καθόλου Ἐκκλησίᾳ μαρτυρεῖται.

Ἐν τῇ Ἐπιστολῇ τοῦ Κωνσταντινουπόλεως Μηνᾶ πρὸς τοῦτον τὸν Ἱεροσολύμων Πέτρον σημείωσαι πρῶτον, ὅτι λέγει αὐτὸν, τὸν τοῦ Ἰακώβου δέξασθαι θρόνον, καὶ φύλακα γενέσθαι τῆς ὀρθοδόξου πίστεως, ὅπερ ταὐτόν ἐστι τῷ ὁ Ῥώμης Λέων φύλαξ ἐκλήθη τῆς ἀμπέλου. δεύτερον, ὅτι κατὰ Σεβήρου πρῶτον ὁ Ἱεροσολύμων ἠγωνίσατο χωρὶς εἰδήσεως ἢ προτροπῆς τοῦ Ῥώμης. τρίτον, ὅτι γέγονεν ὁ Μηνᾶς τῷ Πέτρῳ κατὰ Σεβήρου Σύμψηφος. τέταρτον, ὅτι κατεκρίθησαν ἐν Κωνσταντινουπόλει Ἄνθιμος καὶ Ζωόρας, καὶ κεκοινωνήκασι τῷ Μηνᾷ ἐνταύτῃ τῇ κατακρίσει αἱ ἀπὸ Ῥώμης καὶ ἐν Κωνσταντινουπόλει Σύνοδοι. πέμπτον, ὅτι ὥσπερ τῷ Ἱεροσολύμων καθαιρέσει ὑποβαλόντι τὸν Σεβῆρον (ὡς ἐκάθηρεν αὐτὸν δηλονότι τὸ πρότερον ὁ Κωνσταντινουπόλεως Ἰωάννης καὶ ὁ Ἱεροσολύμων Ἰωάννης καὶ ὁ Ῥώμης Ὁρμίσδας) ἐγένετο ὁ Μηνᾶς αὐτῷ σύμψηφος, οὕτως ἐπειδὴ ἐν Κωνσταντινουπόλει συγκατεκρίθη Ζωόρας, Πέτρος καὶ Ἄνθιμος, ἵνα ἀκολουθήσῃ ὁ Πέτρος αὐτῷ, πέμπει τῷ Πέτρῳ ὁ Μηνᾶς καὶ τὰ ἐν Κωνσταντινουπόλει περὶ τούτων πεπραγμένα, ἵνα πέμψῃ αὐτῷ τὴν συναίνεσιν αὐτοῦ καὶ τῶν ὑπ' αὐτῷ Ἐπισκόπων ὁ Πέτρος ἐγγράφως ἐν Κωνσταντινουπόλει, καὶ ἔχῃ ἐν Ἱεροσολύμοις ταῦτα τὰ πεπραγμένα, καὶ μεταδῷ καὶ ἄλλοις, ἅπερ πάντα ἀδελφικὴν σύμπνοιαν καὶ συμφωνίαν καὶ ἰσότητα καὶ ταυτοδυναμίαν μαρτυρεῖ, καὶ οὐδεμίαν ἰδικὴν ἀξίαν ἢ ἐξουσίαν ἐν τῇ καθόλου Ἐκκλησίᾳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΔ'.

Ὅτι ἐξ ὧν εἶπεν ὁ Ἱεροσολύμων Πέτρος, ὅτε σύμψηφος ἐγένετο τῇ κατὰ Ἀνθίμου ψήφῳ, συνάγεται ὁμοφωνία ἐκκλησιαστικὴ, πᾶσα δὲ μοναρχία ἐς κόρας καταπέμπεται.

Ἐν τῇ κατὰ Ἀνθίμου ψήφῳ ὁ Πέτρος μετὰ τῆς Συνόδου αὐτοῦ σύμψηφος γενόμενος, λέγει περὶ Ἀνθίμου ὅτι καθαιρέσεως αὐτῷ προῆλθε ψῆφος, ἀρχθεῖσα μὲν ἀπὸ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας καὶ ἀϊδίου μνήμης προέδρου τῆς πρεσβυτέρας Ῥώμης, συμπερανθεῖσα δὲ παρὰ Μηνᾶ τοῦ ἁγιωτάτου τῆς βασιλίδος Πατριάρχου καὶ τῆς παρ' αὐτῷ συγκροτηθείσης εὐαγεστάτης Συνόδου. δεύτερον, ὅτι σύμψηφοι γενόμενοι τοῖς εὖ διατετυπωμένοις ὑπὸ Ἀγαπητοῦ τῆς ὁσίας καὶ μακαρίας μνήμης καὶ τοῖς ὡρισμένοις παρὰ Μηνᾶ τοῦ ἁγιωτάτου Πατριάρχου τῆς βασιλίδος πόλεως καὶ τῆς παρ' αὐτοῦ ἀθροισθείσης εὐαγεστάτης Συνόδου, καὶ τρίτον,

τρίτον, ὅτι ἀκολουθοῦντες καὶ τῇ περὶ τούτων κυρώσει τοῦ θείου καὶ βασιλικοῦ Νόμου, προσιέμεθα τῇ ἐπὶ Ἀνθίμου καθαιρέσει. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ἅπερ ἤρξατο ὁ Ἀγαπητὸς, ταῦτα ὁ Μηνᾶς ἐτελείωσε. δεύτερον, ὅτι τύπον λέγει τὴν κρίσιν τοῦ Ἀγαπητοῦ, ὁρισμὸν δὲ τὴν κρίσιν τοῦ Μηνᾶ, ἅπερ ταὐτά ἐστι. τρίτον, ὅτι συνοδικῶς οἱ Πατριάρχαι ἐτύπωσαν καὶ ὥρισαν, οὐκ ἀφ' ἑαυτῶν ὡς ἀπὸ μοναρχίας ἢ ἀναμαρτήτου ἀποκαλύψεως. τέταρτον, ὅτι ταὐτὸν ἡγεῖται τὴν βασιλικὴν διάταξιν ταῖς ἀποφάσεσιν τῶν Συνόδων. πέμπτον, ὅτι οὐκ ἐδέξατο τὰς ἀποφάσεις τοῦ Ἀγαπητοῦ καὶ Μηνᾶ ἁπλῶς, ἀλλὰ πρῶτον ἐθεώρησεν ἰδικῶς, καὶ ἀνέγνω κατὰ τάξιν, καὶ ἐδοκίμασε καταλεπτῶς τὰ ὑπ' αὐτῶν πεπραγμένα, καὶ οὕτως ἐψηφίσατο, ἤτοι ἐτύπωσε, τουτέστιν ὥρισε καὶ αὐτὸς συνοδικῶς, ἅπερ ἰσότητα, ὁμοφωνίαν, ὁμοψυχίαν, συμφωνίαν καὶ συμπάθειαν ἐκκλησιαστικὴν παρίστησι, πᾶσαν δὲ ἐξουσίαν ὑπεροχικὴν, ἢ ἰδικὴν ὑπεροχὴν, ἢ αὐθεντίαν καὶ μεγαλειότητα ἰδικὴν, καὶ τέως μοναρχίαν ἐς κόρακας καταπέμπει.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΕ.

Ὅτι ἐκ τῶν διὰ λιβέλλων καὶ Ἐπισκόπων ἐν τῇ πρώτῃ, δευτέρᾳ, τρίτῃ, τετάρτῃ καὶ πέμπτῃ πράξει τῶν Συνόδων ἐπὶ Ἀγαπητοῦ καὶ Μηνᾶ εἰρημένων προσωπικῶν ἐγκωμίων εἰς τὸν Ἀγαπητὸν καὶ τὸν Μηνᾶν, οὐ συνάγεται ἔχειν ἰδικόντι ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ ὥσπερ τὸν Μηνᾶν, οὕτως οὐδὲ τὸν Ἀγαπητόν.

Ἐν τῇ πρώτῃ πράξει οἱ Μοναχοὶ διαφόρων Μοναστηρίων εἶπον τὸν Πάπαν Ἀγαπητὸν, Τῷ δεσπότῃ ἡμῶν τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Ἀρχιεπισκόπῳ τῆς πρεσβυτέρας Ῥώμης καὶ Οἰκουμενικῷ Πατριάρχῃ Ἀγαπητῷ. ἐν τῇ αὐτῇ πράξει Ἐπίσκοποι Ἀντιοχεῖς καὶ Παλαιστινοὶ εἶπον τὸν αὐτὸν, Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πατρὶ πατέρων. ἐν τῇ δευτέρᾳ πράξει ὁ Κωνσταντινουπόλεως λέγει περὶ ἑαυτοῦ, Μηνᾶς Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης. καὶ ἐν τῇ τετάρτῃ πράξει ἐν τῇ καθαιρέσει Ἀνθίμου λέγεται, Ὁ ἁγιώτατος καὶ μακαριώτατος Ἀρχιεπίσκοπος καὶ Οἰκουμενικὸς Πατριάρχης. καὶ οἱ Ἐπίσκοποι τῆς δευτέρας Συρίας καὶ ἡ ἐν Κωνσταντινουπόλει Συνόδος εἶπον τὸν Κωνσταντινουπόλεως Ἰωάννην, Ἀρχιεπισκόπῳ πατρὶ πατέρων καὶ Οἰκουμενικῷ Πατριάρχῃ. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι ἐξίσου λέγονται Ἀρχιεπίσκοποι καὶ πατέρες πατέρων καὶ Οἰκουμενικοὶ Πατριάρχαι ὅ,τε Ῥώμης καὶ ὁ Κωνσταντινουπόλεως, οὐκ ἀπὸ Κανόνων, ἀλλὰ διὰ τὸν ζῆλον τῶν τότε πατριαρχούντων, καὶ προσωπικῶς, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον δωδέκατον. ὅθεν ὡς οὔσης τῆς τοιαύτης προσηγορίας ὑπὸ μόνης τῆς προαιρέσεως τῶν διδόντων τοὺς λιβέλλους, καὶ οὐκ ἀπὸ Κανόνων, ἢ ἀποφάσεων Συνόδων Οἰκουμενικῶν, οὐκ εἶπον τούτους πάντοτε καὶ πάντες οὕτω, καὶ γὰρ ὡς σεσημείωται, οἱ μὲν εἶπον τὸν Ἀγαπητὸν Οἰκουμενικὸν, οὐμὴν καὶ πατέρα πατέρων, οἱ δὲ εἶπον αὐτὸν πατέρα πατέρων, οὐ μὴν καὶ Οἰκουμενικόν. οὕτω καὶ τὸν Μηνᾶν, οἱ μὲν εἶπον Οἰκουμενικὸν Πατριάρχην, οἱ δὲ εἶπον αὐτὸν μόνον Πατριάρχην, πράξει τρίτῃ καὶ τετάρτῃ καὶ πέμπτῃ. ἀλλὰ δὴ καὶ τὸν Κωνσταντινουπόλεως Ἰωάννην εἶπεν ἡ κατ' αὐτὸν Σύνοδος, Τῷ δεσπότῃ ἡμῶν τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πατρὶ πατέρων Ἀρχιεπισκόπῳ καὶ Οἰκουμενικῷ Πατριάρχῃ. ὁ δὲ Ἱεροσολύμων ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ οὐκ εἶπεν αὐτὸν οὔτε Οἰκουμενικὸν οὔτε πατέρα πατέρων, ἀλλὰ μόνον θεοφιλέστατον καὶ ὁσιώτατον συλλειτουργόν. οὐδέδωκε δὲ τὰ προσρήματα ταῦτα τῷ Κωνσταντινουπόλεως ἰδικόντι ἀξίωμα, ἄρα οὐδὲ τῷ Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ Κϛ'.

Περὶ ἀποδείξεως κατὰ παράθεσιν, ὅτι οὐδεμίαν ἐξουσίαν ὁ Ἀγαπητὸς Πάπας καὶ οἱ Κωνσταντινουπόλεως Πατριάρχαι ἔλαβον ἔξω τῶν ὑφ' ἑαυτοὺς Ἐπαρχιῶν διὰ τὸ κληθῆναι συνεκδοχικῶς Οἰκουμενικούς.

Ὡς εἴρηται ἐν τῷ δωδεκάτῳ Παραγράφῳ τοῦ πρώτου κεφαλαίου τοῦ τετάρτου βιβλίου, ὅτι ἐλέγετο ὁ Μαρκιανὸς πάσης τῆς Οἰκουμένης καὶ γῆς καὶ θαλάσσης καὶ παντὸς ἔθνους καὶ γένους Δεσπότης, καὶ ὁ Εὐάγριος ἱστόρισεν εἰρῆσθαι τὸν Βασιλέα Ζήνωνα Δεσπότην τῆς Οἰκουμένης, καὶ ἐν τῇ ἐπὶ τοῦ Καππάδοκος ἐν Κωνσταντινουπόλει Συνόδῳ ὁ λαὸς ἐν ταῖς φήμαις τὸν Αὐτοκράτορα Ἰουστῖνον καὶ τὴν Βασίλισσαν αὐτοῦ Εὐφημίαν εἶπον τῆς Οἰκουμένης Δεσπότας, οὕτως ὁ Ἰουστινιανὸς ἐνταῦθα λέγεται ἐν τοῖς λιβέλλοις ὅλης τῆς Οἰκουμένης Δεσπότης. οὐκ ἦσαν δὲ ὁ Μαρκιανὸς καὶ Ζήνων καὶ Ἰουστῖνος καὶ Ἰουστινιανὸς, εἰμὴ ὧν ἐξῆρχον ἐνοριῶν, Δεσπόται, ἀλλὰ συνεκδοχικῶς ἐρρέθησαν ὅλης τῆς Οἰκουμένης Δεσπόται, οὐκ ἀπὸ τῶν Τίτλων, ἢ τῶν ἐπιγραφῶν αὐτῶν, ἀλλ' ἀπὸ μόνης τῆς προαιρέσεως τῶν διδόντων τοὺς λιβέλλους, καὶ διὰ τὴν φροντίδα καὶ τὸν ζῆλον ὃν εἶχον ὑπὲρ τοῦ ἐκκλησιαστικοῦ δόγματος. οὕτως ὁ Ἀγαπητὸς καὶ Ἰωάννης καὶ Μηνᾶς συνεκδοχικῶς ἐρρέθησαν Οἰκουμενικοὶ Πατριάρχαι, οὐμὴν ὅτι καὶ ἔλαβόν τινα ἐξουσίαν ἢ δύναμιν ἐκ τούτου ἐν ταῖς μὴ ὑποκειμέναις αὐτοῖς Ἐπαρχίαις.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΚΖ'.

Ὅτι ἐκ τοῦ ἐξίσου λεχθῆναι παράτινων τὸν Ἀγαπητὸν Ῥώμης καὶ τὸν Μηναῖν καὶ τὸν Ἰωάννην τοὺς Κωνσταντινουπόλεως Πατριάρχας Δεσπότας, πλὴν τιμῆς προσωπικῆς, οὐδεμία ἰδικὴ ἐξουσία προσγίνεται αὐτοῖς.

Τὸν Ῥώμης Ἀγαπητὸν οἱ εἰπόντες Οἰκουμενικὸν καὶ πατέρα πατέρων, εἶπον καὶ τῷ Δεσπότῃ ἡμῶν. ἀλλὰ καὶ τοὺς Κωνσταντινουπόλεως Ἐπισκόπους Μηναῖν καὶ Ἰωάννην οἱ Οἰκουμενικοὺς καὶ πατέρας πατέρων εἰπόντες, καὶ τῷ Δεσπότῃ ἡμῶν εἶπον, καὶ δὴ καὶ ὁ Ἱεροσολύμων Ἰωάννης τῷ Κωνσταντινουπόλεως Ἰωάννῃ, τῷ Δεσπότῃ μου εἶπον. ὥστε καὶ τοῦτο ὅτι ἐῤῥέθη ὁ Ῥώμης Δεσπότης, ἐξουσίαν τινὰ ἰδικὴν οὐκ ἔλαβεν ἐκ τούτου, ἀλλὰ μόνην τιμὴν, καὶ μάλιστα προσωπικὴν, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τεταρτου, κεφαλαίου πρώτου Παράγραφον δέκατον τρίτον, καὶ κατωτέρω βιβλίου δεκάτου, μέρους δευτέρου, κεφαλαίου ἑβδόμου Παράγραφον εἰκοστὸν πρῶτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΗ'.

Ὅτι ἐκ τῶν ἀνωτέρω εἰρημένων δέδεικται, μὴ μοναρχικῶς, ἀλλὰ κανονικῶς μετὰ πληρεστάτης Συνόδου τὸν Ἀγαπητὸν Ῥώμης κρῖναι τὰ κατὰ Ἄνθιμον, καὶ τῇ τοῦ Κλήρου καὶ τοῦ λαοῦ τῆς Κωνσταντινουπόλεως ἐκλογῇ καὶ συναινέσει, καὶ οὐκ αὐθεντικῶς χειροτονῆσαι τὸν Μηναῖν, καὶ μηδὲν ἀξίωμα, κατὰ παράθεσιν πολλῶν τοιούτων γεγονότων, ἐπὶ τὸν Κωνσταντινουπόλεως θρόνον τὸν Ἀγαπητὸν εἰληφέναι.

Καὶ τοῖς παιδίοις λοιπὸν ἐκ τῶν εἰρημένων ἔγνωσται, ὅτι ὁ Ἀγαπητὸς ἐν Κωνσταντινουπόλει οὐμόνον ὡς πρόσωπον ἐπιφέρων τῆς Δυτικῆς Συνόδου, ἀλλὰ καὶ μετὰ Συνόδου πληρεστάτης ἔκρινε τὰ κατὰ τὸν Ἄνθιμον, οὐκ ἐξουσιαστικῶς καὶ ὡς βούλονται οἱ νέοι Πάπαι μοναρχικῶς, τουτέστι τυραννικῶς, ἀλλὰ κανονικῶς, ὅθεν οἱ περὶ Μαριανὸν Μοναχοὶ ἐν τῷ πρὸς αὐτὸν λιβέλλῳ ἔλεγον, καίπερ δεόμενοι τούτους ἐξωθῆσαι, ὅμως γοῦν κανονικὴν κρίσιν παρὰ τοῦ Ἀρχιερέως τῆς πρεσβυτέρας Ῥώμης ἐπίτε αὐτῷ Ἀνθίμῳ καὶ τοῖς εἰρημένοις Αἱρετικοῖς καλῶς ποιοῦντες. ἀλλὰ δὴ καὶ περὶ τῆς χειροτονίας τοῦ Μηνᾶ ὅτι κοινῇ ἐκλογῇ καὶ συναινέσει καὶ τοῦ Κλήρου καὶ τοῦ λαοῦ ἐγένετο, ἱκανῶς ἀποδέδεικται. παλιλλογητέον ὅμως εἰς βεβαιωτέραν κατάληψιν. τοίνυν καὶ τὸν Χρυσόστομον ψηφίσματι κοινῷ ὁμοῦ πάντων Κλήρου τέφημι καὶ λαοῦ ὁ Βασιλεὺς αὐτὸν Ἀρκάδιος μετεπέμπετο, διὰ δὲ τὸ ἀξιόπιστον τῆς χειροτονίας παρῆσαν ἐκ βασιλικοῦ προστάγματος πολλοί τε ἄλλοι Ἐπίσκοποι καὶ ὁ Ἀλεξανδρείας Θεόφιλος, καὶ ταῦτα φοβηθεὶς ὁ Θεόφιλος τὸν Ἰωάννην ἐχειροτόνησε, Σωκράτης βιβλίῳ ἕκτῳ, κεφαλαίῳ δευτέρῳ, καὶ ὁ Σωζόμενος, ὅτι ψηφίσματι τοῦ λαοῦ καὶ τοῦ Κλήρου, βιβλίῳ ὀγδόῳ, κεφαλαίῳ δευτέρῳ. καὶ ὁ Νικηφόρος, τῇ τοῦ λαοῦ καὶ τοῦ Κλήρου καὶ τῇ τῶν πολλῶν ψήφῳ, βιβλίῳ δεκάτῳ τρίτῳ, κεφαλαίῳ τεταρτῳ. καὶ σημείωσαι, ὅτι οὐκ ἔλαβεν ὁ Ἀλεξανδρείας προνόμιον ἀπὸ τούτου ἐν τῷ θρόνῳ Κωνσταντινουπόλεως, ὥστε οὐδὲ ἡ Ῥώμη διὰ τὸ χειροτονηθῆναι τὸν Μηναῖν ὑπὸ τοῦ Ἀγαπητοῦ ἔλαβε τοιοῦτόν τι. εἶτα τὸν Ἀνατόλιον ὁ Ἀλεξανδρείας Διόσκορος ἐχειροτόνησε Κωνσταντινουπόλεως, ὁπωσδήποτε γὰρ καθαιρεθέντος τοῦ ἐν ἁγίοις Φλαυϊανοῦ, τὸν Ἀνατόλιον ὁ Διόσκορος, ἔχων τότε τὴν αὐθεντίαν τῆς Συνόδου, ἐχειροτόνησεν, ἀλλ' οὐδὲν ἔλαβεν ἐκ τούτου ἀξίωμα ὁ θρόνος Ἀλεξανδρείας ἐπὶ τὴν Ἐκκλησίαν Κωνσταντινουπόλεως. εἰ δὲ καὶ Λατῖνοι σοφίζονται περὶ Ἀνατολίου, ἀλλ' ἰδὲ ἀνωτέρω βιβλίου τεταρτου, κεφαλαίου πρώτου Παράγραφον ἕνατον. ἰδὲ περὶ τούτων τὸν Ἀγκύρας Μακάριον ἐν τῇ Καταλλαγῇ κεφαλαίῳ εἰκοστῷ ἑνάτῳ. εἰ δὲ καὶ Λατῖνοι ἐπιλαμβάνονται τοῦ Ἀγκύρας, ὅτι ἀντὶ Ἀγαπητοῦ εἶπε Βιγίλιον, ἀλλὰ ῥητέον ὅτι οὐ τῆς διανοίας, ἀλλὰ τοῦ κονδυλίου ἦν ἡ παραδρομὴ, ὅπερ οὐδὲν λυμαίνεται τὸ προκείμενον. εἰ δὲ καὶ κατὰ τὸν Λιμπεράτον ἐν τῷ Πρεβιαρίῳ οἱ Λεγᾶτοι τοῦ Ῥώμης ἀντέστησαν τῇ χειροτονίᾳ τοῦ Ἀνατολίου, ἀλλὰ ῥητέον ὅτι τοῦτό ἐστι τὸ παράδοξον, ὅτι καὶ ἀκόντων τῶν Ῥωμαίων, ἐδέχθη ὁ Ἀνατόλιος παρὰ πάσης τῆς καθόλου Ἐκκλησίας. εἰ δέφασιν ὅτι ὁ Λέων συνεχώρησεν αὐτῷ, ἀλλὰ καὶ τοῦτο Λῆρός ἐστιν ἁπλῶς λεγόμενος. ποίῳ γὰρ τρόπῳ ἐδέχθη ἡ χειροτονία αὐτοῦ παρὰ τοῦ Λέοντος, ἰδὲ τὸν ἀνωτέρω τόπον ἐν τῷ τεταρτῳ βιβλίῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΘ'.

Ὅτι τὸ ἐκλογῇ τοῦ Κλήρου καὶ τοῦ λαοῦ γίνεσθαι τὰς χειροτονίας τῶν Κωνσταντινουπόλεως Πατριαρχῶν, ἔθος ἐστὶν ἀρχαῖον, ὅθεν ἐκ τοῦ λέγεσθαι τὸν Ῥώμης ἐπικυροῦν αὐτὰς, οὐδὲν προσγίνεται αὐτῷ ἰδικὸν προνόμιον ἐν τῇ Ἐκκλησίᾳ.

Σημείωσαι τὸ, ὅτι τῇ ἐκλογῇ καὶ συναινέσει τοῦ Κλήρου καὶ τοῦ λαοῦ ἐγένοντο αἱ ψῆφοι καὶ αἱ χειροτονίαι τοῦ Χρυσοστόμου καὶ τοῦ Μηνᾶ, οὐκ ἦν καινὸν καὶ πρόσφατον, ἀλλ' ἀρχαῖον καὶ πάτριον ἔθος. καὶ

466

καὶ ἐπὶ τῆς ἐκλογῆς γὰρ τοῦ Κωνσταντινουπόλεως Νεκταρίου οὕτως ἐγένετο, λεγόντος τῆς βουλέρας οἰκουμενικῆς Συνόδου ἐν τῇ ταύτης τὸν Δυτικὸν ἐπισκοπεῖν τὸν Θεοφιλέστατον Νικαίας ἐπίσκοπον κεχειροτονῆσθαι ὑπὸ τῆς Οἰκουμενικῆς Συνόδου μετὰ κοινῆς ὁμονοίας, ἐφ' ὅψει καὶ τοῦ Θεοφιλεστάτου Βασιλέως Θεοδοσίου, παντός τε τοῦ Κλήρου καὶ πάσης ἐπιψηφιζομένης τῆς πόλεως. καὶ σημείωσαι τὸ, ὅτι ἡ πόλις ἐπιψηφίζεται, ὅταν ὅτε λέγεται ὅτι ὁ Ῥώμης Ἐπίσκοπος ἐπιψηφίζεται καὶ ἐπικυροῖ, ἁδοὶ καὶ ἐκ τούτου νενόμιον ἰδικὸν λαμβάνει ἐν τῇ Ἐκκλησίᾳ, ἐπειδὴ καὶ κοινῶς ἡ πόλις ἐπιψηφίζεται, ταὐτὸν εἰπεῖν ἐπικυροῖ, τοῦτέστι συμφωνεῖ.

ΠΑΡΑΓΡΑΦΟΝ Λ'.

Ὅτι οἱ Πάπαι ἐπιχειροῦντες χειροτονεῖν τοὺς Πατριάρχας, ὡς τοὺς ἑαυτοὺς Μητροπολίτας οἱ Πατριάρχαι, τῶν ἐπισκηνῆς παιζόντων ἁδοὶ ἀφαίρεσιν, ὀνόματα πλάττοντες πραγμάτων ἔρημα, ὅθεν καὶ παρανομώτατοί εἰσι.

Πινῶν Ἀνατολικῶν πατέρων εἰπόντων, ἤτοι τοῦ μὲν Βαρλαὰμ, ὅτι τοὺς Μητροπολίτας ὑπὸ τῶν Πατριαρχῶν χειροτονεῖσθαι ἐφ' ὧν κάσης αἰῶνος θεσμοὶ Νόμοι ἐθέσπισαν, Πατριάρχας δὲ ὑπὸ τοῦ Πάπα χειροτονεῖσθαι, ἐδεὶς Νόμῳ ἐκέλευσε, κεφαλαίῳ ἑνὶ τῷ δὲ Ἀλεξανδρείας Μελετίῳ ἐπιτοληῇ τοῦς τὸ Χίῳ ὀρθοδόξως, ἐπειδὴ πότε ὁ Ῥώμης κεχειροτόνηκε Πατριάρχην Κωνσταντινουπόλεως, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων τῶν λοιπῶν καὶ ἰσοταγῶν θρόνων Ἀρχιερεῖς, ἃ νῦν βλέπομεν, ἢ ὡς ἐν ἀγορᾷ παιδίων, ἢ ὡς ἐν σκηνῇ τερψικῇ παιζόμενα; καὶ δὴ καὶ τοῦ Μακαρίου Ἀγκύρας εἰπόντος, εἴγε καὶ αὐτὸς ὁ Ῥώμης εἰκῇ φυσιόμενος, ἐφ' ὁμόνου τοῦ τὰς Κανόνας πάσας ποιεῖ τὰς χειροτονίας, ἀλλὰ καὶ εἰς τὰς μηδέποτε ὑποκειμένας αὐτῷ Ἐπαρχίας καὶ Διοικήσεις Πατριάρχας καὶ Ἐπισκόπους καθίστησιν, ὀνόματα πλάττων πραγμάτων ἔρημα, ὡς διὰ πάντων σιωπᾶσθαι μήτε τὸν χειροτονήσαντα μήτε τὸν χειροτονηθέντα εἶναι Κανονικὰς Ἐπισκόπους, δῆλον καθίσταται ὅτι ὁ Ῥώμης τοῦ Κανόνας ἐνεργεῖ.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΑ.

Ὅτι τὸ τὰς Λατίνους ἐπὶ μαρτυρίᾳ δῆθεν τοῦ Βαλσαμῶνος λέγειν, ὥσπερ καὶ ἡ Ἀνατολικὴ Ἐκκλησία κεχειροτόνηκε Πατριάρχας, τὰς ἀποκεκληρωμένας αὐτοῖς θρόνους μὴ ἔχοντας, ἅτω καὶ ὁ Πάπας ἤδη ἐν Ῥώμῃ χειροτονεῖ Πατριάρχας, δέικνυται ἐνταῦθα ἐπαχὼς, ψεύδεις, καὶ ἐκ διαμέτρου ἀντικείμενοι οἱ εὐαγγελόμενοι ἐν Ῥώμῃ Πατριάρχαι τοῖς ἐνόμως χειροτονηθεῖσι ποτὲ ἐν Κωνσταντινουπόλει Πατριάρχαις τῆς Ἀνατολῆς.

Πρὸς ταῦτα οἱ Λατῖνοι ἀντιφερόμενοι λέγουσιν, ὅτι καὶ ἡ Ἀνατολικὴ Ἐκκλησία περὶ τῶν Πατριαρχῶν τοιαῦτα ποιεῖ, προσφέρουσι δὲ εἰς μαρτυρίαν τὸν Βαλσαμῶνα λέγοντα, ἐν μιᾷ τῇ μελέτῃ περὶ τῶν Πατριαρχῶν, διὰ τοῦτο τὸ αὐτίον, ὡς ἔοικε, προτετύπωται προβάλλεσθαι κατὰ τὸ ἀπαραίτητον τοὺς μὴ ἔχοντας Πατριάρχας τοὺς ἀποκληρωθέντας αὐτοῖς ἁγίους θρόνους διὰ τῶν ἐπιθεσμίων τῶν ἐθνῶν, τὸν Ἀντιοχείας καὶ Ἱεροσολύμων φημί, εἰ γὰρ καὶ ἐξώθησαν τῆς δόξης τῶν θρόνων αὐτῶν, ἀλλ' ἡ πνευματικὴ χάρις κατὰ τὸν Δαβὶδ ἀπαλαιωθήσεται. ὁ δὲ τῇ ἑρμηνείᾳ τὸ εἰκοστὸ ἕβδομον Κανόνος τῆς ἐν Τρούλλῳ Συνόδου ἀναδιδάσκει τοὺς ἐντυγχάνοντας τῇ παρούσῃ γραφῇ, ὡς καὶ προσαξίς ἐστι τοῦ ἀοιδίμου Βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, κατὰ τὸν Νοέμβριον μῆνα τῆς δευτέρας ἰνδικτιῶνος ἀπολυθεῖσα, καὶ τοῖς δημοσιακοῖς καὶ ἐκκλησιαστικοῖς Σεκρέτοις κατασρωθεῖσα, καὶ διορίζομένη, μὴ μόνον ἀπαρεμποδίστως Ἀρχιερεῖς ψηφίζεσθαι εἰς τὰς Ἀνατολικὰς Ἐκκλησίας τοὺς ἀπὸ τῶν ἐθνῶν κατεχομένας, καὶ ἀδιώκτους εἶναι οἱ ἐν αὐταῖς ἐπικηρυττόμενοι καταλαμβάνειν τοὺς λαχόντας τούτους θρόνους διὰ τοῦ ἐθνικοῦ κακίαν, ἀλλὰ καὶ μετὰ τοῦ χειροτονίαν ἔχειν ὅσα καὶ ταύτης ἔχουν κατὰ τὴν μεγαλόπολιν δίκημα, ἡγεμονείας δηλαδὴ ἀδελφάτων, στηρέσια, καὶ τὰ λοιπά. Ἀλλὰ καὶ ταῦτα ῥητέον πρῶτον, ὅτι ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ ἐχειροτονήθησαν Πατριάρχαι κατὰ τὸν αὐτέρω τρόπον οὓς ἐκτίθησιν ὁ Βαλσαμών, ἀλλ' ἐχειροτονήθησαν ἰσότιμοι καὶ ὁμοταγεῖς τοῦ Κωνσταντινουπόλεως. δεύτερον, καὶ διὰ τῆς τοιαύτης χειροτονίας ἐδεμία ὕφεσις ἢ καινοτομία ἐγένετο τοῖς καθεστῶσι τῶν Πατριαρχικῶν θρόνων. τρίτον, οὐκ ἐζήτησεν ὁ Κωνσταντινουπόλεως καὶ τῶν χειροτονηθέντων Πατριαρχῶν τῆς Ἀνατολῆς γράμματα ὑποστατικὰ καὶ ὁρκωμοτικὰ ἵνα ὦσιν οἱ Πατριάρχαι δῆλοι αὐτῷ, ὡς ποιοῦσιν οἱ Πάπαι τοῖς παρ' αὐτῶν χειροτονηθεῖσι Πατριάρχαις, καὶ ἰδὲ κατωτέρω βιβλίῳ οὐδὲ κεφάλαιον δέκατον ἕβδομον. τέταρτον, τῶν ἐν τῇ Ἀνατολῇ τόπων εἰρήνης τυχόντων, οὐκ ἐζήτησαν οἱ Πατριάρχαι Κωνσταντινουπόλεως χειροτονεῖν καὶ αὖθις Πατριάρχας ἐν αὐτοῖς, ἀλλ' ἐχειροτόνει καὶ χειροτονεῖ ἡ κατὰ τόπους Σύνοδος τῇ ἐκλογῇ τοῦ Κλήρου καὶ τῶν ἐγκρίτων τοῦ λαοῦ. πέμπτον, οἱ Πατριάρχαι Κωνσταντινουπόλεως οὐκ ἐχειρο-

χειροτόνουν ἐξ ἰδίας αὐθεντίας Πατριάρχας ἐν τῇ Ἀνατολῇ, ἀλλὰ κατὰ τοὺς Κανόνας βοηθοῦντες ταῖς Ἐκκλησίαις, ὅπερ καὶ ἀρχαῖον ἐστὶν ἔθος. ἐκτὸν, οὐκ ἐχειροτόνουν Πατριάρχας Στρατηγοὺς, καὶ αἵματι πεφυρμένους, ὡς ἦν ὁ ψευδαλεξανδρείας ἐπὶ τοῦ Πάπα Εὐγενίου, καὶ ἰδὲ κατωτέρω βιβλίου δεκάτου, μέρος δεύτερον περὶ Πατριαρχῶν. περὶ δὲ τοῦ ψευδαλεξανδρείας καὶ Στρατηγοῦ, ἰδὲ ἐν τῇ Καταλλαγῇ ἐν τῇ ἀντιῤῥήσει τοῦ Ὅρου κεφάλαιον δεύτερον. ἕβδομον, ἐχειροτόνουν οὐκ Εἴδωλα, ἀλλ' ὄντων ἐν τοῖς θρόνοις Μητροπολιτῶν, Ἀρχιεπισκόπων καὶ Ἐπισκόπων καὶ χριστιανικῶν λαῶν, οἷς οὐκ ἐμάχοντο τοσοῦτον οἱ Σαρακηνοὶ, ὡς ἐμάχοντο τοῖς Πατριάρχαις. ἐχειροτόνουν Πατριάρχας, ἵν' ἔχωσιν ἐκείνων τὴν φροντίδα καὶ μακρόθεν κατὰ τὸ δυνατὸν αὐτοῖς. οἱ δὲ Πάπαι χειροτονοῦσι Πατριάρχας ἐν τῇ Ῥώμῃ ἐπ' ὀνόματι μόνῳ τῶν ἐν τῇ Ἀνατολῇ Ἐκκλησιῶν ἀντικειμένως τοῖς Κανόσι καὶ τῇ παραδόσει καὶ τοῖς πράγμασιν αὐτοῖς, καὶ πρὸς τούτοις πρὸς αἰσχύνην καὶ ὕβριν τῆς χριστιανικῆς πίστεως, ὅθεν καὶ καλῶς εἶπον οἱ εἰρημένοι Ἀνατολικοὶ πατέρες τὰς εἰρημένας ἐνοχὰς περὶ τῶν ἐν τῇ Ῥώμῃ κωμῳδίας τρόπῳ χειροτονούντων καὶ χειροτονουμένων Πατριαρχῶν. Σὺ δὲ καὶ τοῦτο σημείωσαι, ὅτι ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ πολλὰ ἐκοπίασεν ὁ Πάπας Εὐγένιος καὶ οἱ Λατῖνοι, ἵνα χειροτονήσωσιν ἐκεῖ Πατριάρχην Κωνσταντινουπόλεως, ἀλλ' οὐκ ἐδυνήθησαν, καὶ τὸ δὴ κύριον, ὅτι οὐκ ἐτόλμησαν εἰπεῖν τὸ τοῦ Μηνᾶ παράδειγμα πρὸς παράστασιν δικαιώματος, ὅτι ὁ Πάπας ἔχει ἐξουσίαν χειροτονεῖν Πατριάρχας ἐν τοῖς εἰς τὴν Ἀνατολὴν ἀρχιερατικοῖς θρόνοις.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΒ'.

Ὅτι οὐμόνον ὁ Ῥώμης, ἀλλὰ καὶ οἱ λοιποὶ Πατριάρχαι, καὶ ἁπλῶς Ἐπίσκοποι ἐνήργησαν παρ' ἐνορίαν ἐν τοῖς αὐτοῖς πράγμασιν, ὅπερ διττῶς θεωρεῖται ἐν τῇ Ἐκκλησίᾳ, ἢ λόγῳ ἀξιώσεως, ἢ λόγῳ ἀνάγκης.

Οὐ μόνον ὁ Ῥώμης καὶ ὁ Κωνσταντινουπόλεως ἐνήργησαν παρὰ ἐνορίαν ἐν καιρῷ ἀνάγκης, ἀλλὰ καὶ ἄλλοι Πατριάρχαι, καὶ ἁπλῶς Ἐπίσκοποι ἐν τοῖς αὐτοῖς πράγμασι. διττῶς γὰρ θεωροῦνται τὰ ἐν τῇ Ἐκκλησίᾳ πράγματα, ἢ λόγῳ ἀξιώσεως, ἢ λόγῳ ἀνάγκης. καὶ κατὰ μὲν τὸν πρῶτον τρόπον, εἶπον πολλοὶ Κανόνες τοὺς ὑπὲρ Διοίκησιν Ἐπισκόπους ταῖς ὑπερορίοις Ἐκκλησίαις μὴ ἐπιέναι, ἀλλὰ τὰ αὐτῶν μόνα οἰκονομεῖν. κατὰ δὲ τὸν δεύτερον τρόπον, ἐπ' ὠφελείᾳ τῆς Ἐκκλησίας καὶ πόῤῥω τῶν ἰδίων ὁρίων δύνανται ἐπιέναι, ἢ ἐνεργεῖν. ὅθεν ὁ Βασίλειος δεῖται τοῦ Ἀθανασίου διαλῦσαι τὰ συμβάντα σκάνδαλα εἰς τὴν Ἀντιόχειαν. καὶ κατὰ τὸν Θεολόγον ὁ Ἀθανάσιος διδάσκει τοὺς Ῥωμαίους τὰ περὶ οὐσίας καὶ ὑποστάσεως. ὁ Ῥώμης Ἰούλιος καλεῖ εἰς κρίσιν τοὺς Εὐσεβιανοὺς καὶ τὸν ἅγιον Ἀθανάσιον. ὁ Ῥώμης Ἰννοκέντιος ἐν τῇ Δεκρετάλει ἐπιστολῇ κεφαλαίῳ ὀγδόῳ, βούλεται ἁμαρτάνων ὑπὸ τῶν ἐπιστατῶν τῆς πίστεως κρίνεσθαι. καὶ οἱ ἁπανταχοῦ Ἐπίσκοποι ἐπὶ Ἰουστινιανοῦ εἰς Ἀναστάσιον τὸν Ἀντιοχείας ἀπέβλεπον. καὶ ὁ Διάλογος βιβλίῳ δευτέρῳ ἐπιστολῇ τριακοστῇ ἑβδόμῃ εἶπεν, ὅτι ἐστὶν ἕτοιμος διορθοῦσθαι ὑπὸ παντός. καὶ οἱ Κωνσταντινουπολῖται διὰ τοῦ Μαξίμου τὰ συνοδικὰ τοῦ Πάπα Μαρτίνου ἐξετάζουσι. καὶ ὁ Θεολόγος ἐξετάζει καὶ ἀποδοκιμάζει τὸν Δάμασον διὰ τοὺς λόγους τοῦ Ἀντιοχείας Οὐϊταλίου. ὁ Καισαρείας Παλαιστίνης Ἀκάκιος τὸν Ἱεροσολύμων Κύριλλον καὶ τὸν Κωνσταντινουπόλεως Μακεδόνιον καθεῖλε κατὰ τὸν Σωκράτη, βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ τρίτῳ, ὁ αὐτὸς καθεῖλε τὸν Ῥώμης Λιβέριον καὶ ἀντεισῆξε χειροτονήσας τὸν Φίληκα, ὡς μαρτυρεῖ ὁ Ἱερώνυμος ἐν τοῖς βίοις τῶν ἀρίστων συγγραφέων καὶ ἕτεροι. ὁ Ῥώμης Ἰούλιος καὶ ὁ Ἱεροσολύμων Μάξιμος τὸν Ἀθανάσιον εἰς τὸν θρόνον Ἀλεξανδρείας ἀποκατέστησαν. ὁ Ἀντιοχείας Μελέτιος, καὶ πρότερον ὁ Ἀλεξανδρείας Πέτρος κατὰ Γρηγόριον Πρεσβύτερον τὸν θρόνον Κωνσταντινουπόλεως ἐβεβαίωσε τῷ Θεολόγῳ. ὁ Ἀλεξανδρείας Πέτρος ἐχειροτόνησε Μάξιμον τὸν κυνικὸν Κωνσταντινουπόλεως. ὁ Κωνσταντινουπόλεως Γεννάδιος ἀποκαθίστησι τὸν Ἀντιοχείας Μαρτύριον. ὁ Σιμπλίκιος Ῥώμης καὶ Φίληξ Ἀκάκιον τὸν Κωνσταντινουπόλεως καθαιροῦσι. καὶ ὁ Φίληξ καὶ Ἀκάκιος καθαιροῦσι τὸν Κναφέα. ὁ Κωνσταντινουπόλεως Ἀκάκιος ἐλέγχει καὶ ἀπειλεῖ τοὺς ἐχθροὺς τῆς ἐν Χαλκηδόνι Συνόδου Ἀντιοχεῖς καὶ ἄλλους, καὶ ἐκεῖνοι ἀπολογοῦνται ἡμερούμενοι αὐτόν. Ὁ αὐτὸς ἐχειροτόνησεν Ἀντιοχείας τὸν Καλανδίωνα. Ἰωάννης ὁ Καππάδοξ καθαιρεῖ Σεβῆρον, καὶ διορθοῦται τὴν Ἐκκλησίαν Ἀντιοχείας. ὁ Ἀγαπητὸς καθαιρεῖ τὸν Ἄνθιμον. ὁ Ἀλεξανδρείας Κύριλλος τὸν Νεστόριον καταδικάζει, καὶ μετ' ἐκεῖνον ὁ Ῥώμης Κελεστῖνος, καθὼς ὁ Λέων τὸν Διόσκορον. καὶ δύο Ἐπίσκοποι Συρίας καθαιροῦσι τὸν Σεβῆρον. ὁ Ἱεροσολύμων Σωφρόνιος κρίνει τὴν Αἵρεσιν τῶν Μονοθελητῶν, καὶ ἀναθεματίζει τοὺς ἀντεχομένους, οἵτινες ἦσαν Ὀνώριος ὁ Ῥώμης, Σέργιος ὁ Κωνσταντινουπόλεως καὶ Κῦρος ὁ Ἀλεξανδρείας. ὁ Ἱεροσολύμων Ἠλίας κατὰ τὸν Ἀλεξανδρείας Εὐτύχιον Χριστόδουλόν τινα Ἀλεξανδρείας Πατριάρχην χειροτονεῖ, καὶ μόνος αὐτὸς ἀπῆλθεν εἰς Ἀλεξάνδρειαν καὶ ἐνεθρόνισεν αὐτόν. ὁ Στουδίτης Θεόδωρος τὸν Ῥώμης καὶ Ἀλεξανδρείας καὶ Ἱεροσολύμων καλεῖ εἰς βοήθειαν τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως. ὁ Πάπας Λέων ὁ τρίτος εἰς τὸν Ἱεροσολύμων Θωμᾶν ἔγραψε καὶ ἐζήτησε πρὸς βοήθειαν τῆς Ἐκκλησίας Ῥωμαίων Διδασκάλους. ἰδὲ κατωτέρω βιβλίου ἕκτου, κεφαλαίου δεκάτου ἑβδόμου Παράγραφον ἕνατον, καὶ ἀνωτέρω

ἀνωτέρω βιβλίου τρίτου κεφάλαιον ἑνδέκατον, καὶ βιβλίου τεταρτου κεφάλαιον πέμπτον, καὶ βιβλίου πρώτου κεφάλαιον ἔσχατον, καὶ βιβλίου δευτέρου κεφάλαιον πέμπτον καὶ ἕκτον, καὶ βιβλίου τρίτου κεφάλαιον δέκατον τέταρτον, καὶ βιβλίου τεταρτου κεφάλαιον τέταρτον, καὶ ἀλλαχοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΓ'.

Ὅτι τὰ πρακτικὰ τῶν ἐπὶ Μηνᾶ Συνόδων ἀνόθευτα, καὶ Πατριάρχης Οἰκουμενικὸς ὑπὸ πολλῶν Συνόδων καὶ Βασιλέων ὁ Κωνσταντινουπόλεως λέγεται, καὶ ὁ Βαρώνιος ψευδολόγος ἐν τούτοις ὑπὲρ τῆς μοναρχίας τοῦ Πάπα μυθολογῶν δείκνυται.

Ὁ Βαρώνιος βλέπων καὶ τὰς παρούσας ἁγίας Συνόδους, καταβαλούσας τὴν παρ' αὐτοῦ βοηθουμένην μοναρχίαν τοῦ Πάπα, καθὼς ἀνωτέρω ἐδείχθη εἰς τὰς σημειώσεις, χρώμενος τῇ συνήθει αὐτοῦ ψευδολογίᾳ, λέγει, ὅτι δῆθεν ἐνοθεύθησαν ταῦτα τὰ πρακτικὰ αὐτῶν. Ἀλλὰ ῥητέον ὅτι τῆς ἀποφάσεως τοῦ Πάπα ἐνήργησαν ἐναντίως καὶ Τοπικαὶ καὶ Οἰκουμενικαὶ Σύνοδοι, ὡς ἐδείχθη καὶ δειχθήσεται, καὶ κατ' ἐκείνας ἐνήργησαν καὶ αἱ παροῦσαι, τῇ ἐξουσίᾳ αὐτῶν βοηθοῦσαι τῇ ἀληθείᾳ μᾶλλον τῆς βοηθείας τοῦ Πάπα. καὶ ὅτι οὐ μόνον ἐν ταύταις οἱ Κωνσταντινουπόλεως Πατριάρχαι ἐῤῥέθησαν Οἰκουμενικοὶ, ἀλλὰ καὶ ὑπὸ Αὐτοκρατόρων, Πατριαρχῶν καὶ Οἰκουμενικῶν Συνόδων, ὡς ῥηθήσεται. ὅθεν τῶν ἁγίων Συνόδων τούτων τὰ πρακτικὰ ἀνόθευτα, καὶ προφανῶς ψεύδεται ὁ πρόμαχος τοῦ Πάπα Βαρώνιος.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῶν μετὰ Πέτρον μογγὸν Ἀλεξανδρείας Πατριαρχῶν μέχρι Τιμοθέου. καὶ τί ἐστι συνοδικὰ γράμματα, ἀμοιβαῖαι ἐπιστολαὶ καὶ ἐνθρονιαστικαί. καὶ περὶ διενέξεως Τιμοθέου καὶ Ἰουλιανοῦ Ἁλικαρνασέως περὶ φθαρτοῦ καὶ ἀφθάρτου.

Τελευτήσαντος Πέτρου τοῦ μογγοῦ, γίνεται Ἀλεξανδρείας Ἀθανάσιος Αἱρετικὸς, εἶτα Ἰωάννης ὁ Μέλας, εἶτα Ἰωάννης Νικιώτης ἢ Μαχιώτης, ἀμφότεροι ὀρθόδοξοι, εἶτα Διόσκορος καὶ Τιμόθεος Αἱρετικοὶ, οἵτινες ἐδέξαντο τὰ Συνοδικὰ τοῦ Σεβήρου, ὄντος τότε Πατριάρχου Ἀντιοχείας. Συνοδικὰ δὲ ἐλέγοντο αἱ γραφαὶ ἃς ἕκαστος τῶν Πατριαρχῶν ὅτε ἐγένετο Πατριάρχης ἔπεμπεν εἰς τοὺς ἄλλους Πατριάρχας, ὁμολογῶν τὴν ὀρθόδοξον πίστιν κατὰ τὴν γνώμην τῆς καθολικῆς Ἐκκλησίας, αἵτινες ἐλέγοντο καὶ Συνοδικὰ, ὅτι συνοδικῶς ἐγράφοντο, καὶ Ἀμοιβαῖαι ἐπιστολαὶ, ὅτι ἀπήτουν τοὺς Πατριάρχας ἵνα συναινέσωσι δι' ἀποκρίσεως εἰς τὴν χειροτονίαν τοῦ Πατριάρχου ἐκείνου, καὶ Ἐνθρονιαστικαὶ, ὅτι ἐγίνοντο εἰς τὴν ἀρχὴν τῆς εἰς τὸν Πατριαρχικὸν θρόνον προβιβάσεως. ὅθεν ἔλεγεν ὁ Ἱεροσολύμων Σωφρόνιος εἰς τὴν συνοδικὴν αὐτοῦ ἐπιστολὴν, ἐπειδὴ ἀποστολική τις καὶ ἀρχαία παράδοσις εἰς τὰς κατὰ πᾶσαν τὴν Οἰκουμένην ἁγίας Ἐκκλησίας κεκράτηκεν, ὅπως οἱ πρὸς Ἱεραρχίαν ἀγόμενοι τοῖς πρὸ αὐτῶν τὰς Ἱεραρχίας χειρίζουσι πάντα εἰλικρινῶς ἀνατίθωνται ὅπως φρονεῖν, καὶ ὅπως πίστεως ἔχοιεν, ἣν Παῦλος αὐτοῖς ὁ σοφώτατος ἄγαν ἀσφαλῶς παραδέδωκεν, ἵνα μὴ εἰς κενὸν τὰ δρομήματα τρέχοιεν, κενὸς γὰρ αὐτοῖς ἅπας ὁ δρόμος ἐγίγνετο, ἀδικουμένης κατά τι τῆς πίστεως. τούτῳ τοιγαροῦν καὶ ἡμεῖς τῷ ἔθει δουλεύοντες, καὶ Νόμον ἡγούμενοι κάλλιστον πᾶν τὸ τοῖς πάλαι πρεπόντως γινόμενον, ἀποστολικῷ μάλιστα κρατυνθὲν ἐγχειρήματι, τὸ ὅπως ἔχομεν περὶ πίστεως γράφομεν, καὶ τοῖς θεοσόφοις ὑμῖν πρὸς δοκιμὴν ἀποστέλλομεν, ἵνα μὴ ὅρια μετατιθέντες αἰώνια ἅπερ ἡμῖν οἱ πατέρες ἔθεντο. καὶ ὁ Κωνσταντινουπόλεως Σέργιος πρὸ τοῦ λαβεῖν τὴν ἐπιστολὴν ταύτην ἔγραφεν εἰς τὸν Ῥώμης Ὀνώριον διὰ τὸν Σωφρόνιον, οὔπω γὰρ αὐτοῦ τὰ ἐξ ἔθους Συνοδικὰ μέχρι τοῦ νυνὶ ἐδεξάμεθα. ἰδὲ ἀνωτέρω βιβλίου τετάρτου, κεφαλαίου ἑνάτου Παράγραφον δέκατον τρίτον, καὶ τοῦ αὐτοῦ βιβλίου, κεφαλαίου δεκάτου τρίτου Παράγραφον τρίτον, καὶ κατωτέρω βιβλίου ἑβδόμου, κεφαλαίου ὀγδόου Παράγραφον ἕκτον. τοῦ οὖν Σεβήρου ἐκβαλόντος τὸν Φλαυϊανὸν, καὶ γενομένου Ἀντιοχείας, τὰ τοιαῦτα Συνοδικὰ, ὡς εἴπομεν πολλάκις, εἰς μὲν τὴν Ἱερουσαλὴμ οὐκ ἐδέχθησαν, μάλιστα οἱ κομίσαντες ταῦτα ἐκεῖ, κακῶς ἀπήλλαξαν. ἀλλὰ καὶ εἰς Κωνσταντινούπολιν τὶ συνέβη, ἰδὲ ἀνωτέρω βιβλίον τέταρτον. εἰς δὲ τὴν Ἀλεξάνδρειαν οἱ μὲν Ἰωάνναι οὐκ ἐδέξαντο αὐτὰ, Διόσκορος δὲ καὶ ὁ μετ' ἐκεῖνον Τιμόθεος ἐδέξαντο αὐτά. Φυγὼν δὲ μετέπειτα ἀπ' Ἀντιοχείας ἐπὶ Ἰουστίνου ὁ Σεβῆρος, εὗρε τὸν Διόσκορον Ἀλεξανδρείας, συνέφυγε δὲ καὶ ἐκεῖ ὁ Ἁλικαρνασσεὺς Ἰουλιανὸς, ἐπὶ δὲ τοῦ Τιμοθέου Ἀλεξανδρείας διηνέχθησαν περὶ φθαρτοῦ καὶ ἀφθάρτου.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς θεολογίας τῶν ἐπὶ Χριστοῦ δύο φύσεων, καὶ πῶς χρῶνται οἱ ὀρθόδοξοι ταῖς ἐπὶ Χριστοῦ δύο φύσεσι, καὶ πῶς ὁ Νεστόριος, καὶ περὶ ἑρμηνείας τοῦ Ὅρου τῶν ἐπὶ Χριστοῦ δύο φύσεων. καὶ περὶ Αἱρέσεως Νεστορίου καὶ Μονοφυσιτῶν, καὶ Διαφορᾶς τῶν Σεβήρου καὶ Ἰουλιανοῦ Ἁλικαρνασσέως Αἱρέσεων, καὶ τῆς διενέξεως αὐτῶν.

Ὥστε δὲ σαφηνισθῆναι τὰ ῥηθησόμενα, χρεία ἡμῖν προειπεῖν τινὰ, καὶ ἔστωσαν, εἰ δοκεῖ, ὡς σαφῆ ἀπὸ τῆς ἑρμηνείας Θεοδώρου πρεσβυτέρου Ῥαϊθὼ, κειμένης ἐν τῇ Βιβλιοθήκῃ τῶν πατέρων, πρῶτον, ὅτι οἱ ὀρθόδοξοι χρῶνται ταῖς δύο φύσεσιν ἐπὶ Χριστοῦ, ἵνα σαφηνίσωσι τὴν ἀλήθειαν τῆς ἐπὶ Χριστοῦ Θεότητός τε καὶ ἀνθρωπότητος, καὶ τούτων τὴν ἀτρεψίαν καὶ ἐπιμονὴν καὶ ἀσυγχυσίαν φανερώσωσι. δεύτερον, ὅτι ὁ Νεστόριος χρῶται ταῖς δύο φύσεσιν, ἵνα φανερώσῃ δύο πρόσωπα, λαμβάνων κακούργως τὴν φύσιν ἀντὶ τῶν προσώπων, ὡς τυχὸν Παῦλος καὶ Θεόδωρος δύο φύσεις ἰδιοπεριόριστοι, σχέσει δέ τινι ἀλλήλους οἰκειωμένοι. τρίτον, ὅτι οἱ πιστοὶ τὰς δύο φύσεις ὁμολογοῦσιν οὐσιωδῶς ἡνωμένας ἑνώσει τῇ καθ' ὑπόστασιν, ἀδιασπάστως ὅμως καὶ ἀσυγχύτως. ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΟΡΟΥ. δύο φύσεις, τὸ ἑτερογενὲς καὶ ἑτεροούσιον τῶν συνελθουσῶν δύο φύσεων, τῆς τε προλαβούσης Θεότητος καὶ τῆς προσειλημμένης ἀνθρωπότητος. τὸ δὲ οὐσιωδῶς, τὸ μὴ κατ' εὐδοκίαν, ἤτοι μὴ κατὰ χάριν, ἢ κατ' ἐνέργειαν, ἢ κατ' ἀξίαν, ἢ κατ' ἰσοτιμίαν, ἢ κατ' αὐθεντίαν, ἢ ἀναφορὰν, ἢ σχέσιν, ἢ δύναμιν, ἢ ἑτέραν τινὰ σχετικὴν ἕνωσιν νοεῖσθαι τὴν τῶν δύο φύσεων ἕνωσιν, ἀλλ' αὐτῇ οὐσίᾳ καὶ ὑποκειμένῳ καὶ πράγματι συνυφεστάναι ταύτην καὶ συντεθεῖσθαι. τὸ δὲ ἑνώσει τῇ καθ' ὑπόστασιν, τὸ μὴ πρότερον διαπεπλᾶσθαι τὴν ἀνθρωπότητα, καὶ οὕτως εἰς αὐτὴν ἐλθεῖν τὴν Θεότητα, ἀλλ' ὅτι κατ' αὐτὸ τὸ ὑφίστασθαι τὴν πρώτην ἀρχὴν ἥνωτο τῇ Θεότητι. τὸ δὲ ἀδιασπάστως ἅμα καὶ ἀσυγχύτως, σημαίνει τὸ μηδὲ καινοτομηθῆναι τὰς συνελθούσας φύσεις διὰ τῆς ἑνότητος, ἀλλὰ καὶ τὴν ἕνωσιν τούτων ἀεί τε καὶ ὡσαύτως διαπεφυλάχθαι, καὶ ἑκατέραν τῶν φύσεων μένειν ἀμειώτως ἐπὶ τῷ οὐσιώδει Ὅρῳ καὶ Λόγῳ. οἱ γὰρ Νεστοριανοὶ, ὥς φησιν Ἰωάννης ὁ Μαξέντιος ἐν τῷ τρίτῳ ἀναθεματισμῷ κατ' αὐτῶν, ἕνα ὡμολόγουν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ Υἱὸν τῆς Παρθένου Μαρίας, ἑνώσει τῶν δύο προσώπων, ἤτοι τοῦ θείου τε καὶ τοῦ ἀνθρωπίνου, καὶ ταύτην ἐκάλουν ἕνωσιν, ἢ ἑνότητα οὐσιώδη, ἢ προσωπικὴν, ὡσαύτως καὶ ἑταιρικὴν διὰ τῆς ἐνοικήσεως τοῦ Λόγου ἐν τῷ προσληφθέντι ἀνθρώπῳ, καὶ Λόγῳ ἑνωθέντι κατὰ διάθεσιν καὶ χάριν καὶ ἀξίαν καὶ συνάφειαν καὶ ἑταιρίαν. ἠρνοῦντο δὲ τὸν Θεὸν Λόγον ἐκ τῆς Παρθένου γεννηθῆναι, καὶ γεννηθέντα συνᾶψαι ἑαυτῷ τὴν ἀνθρωπότητα, καθ' ἣν ἐκ Παρθένου φύσει γεγέννηται χωρὶς προσλήψεως νέας ὑποστάσεως, ἣν ἕνωσιν, ἢ ἑνότητα ἐν τῷ γεννᾶσθαι οἱ θεῖοι πατέρες ὀρθοδόξως οὐ μόνον καθ' ὑπόστασιν, ἢ προσωπικὴν κατὰ διάφορον ἀπὸ τῶν Νεστοριανῶν ἔννοιαν, ἀλλὰ κατὰ φύσιν καὶ φυσικὴν ἐκαλέσαντο. οὐ γὰρ πρότερον ἦν ἄνθρωπος ἐκεῖνος, πρὶν ἢ αὐτῷ τὸν Θεὸν Λόγον ἑνωθῆναι, οὔτε μὴν ἐλήφθη δι' ἑταιρίαν ἀνθρώπινον πρόσωπον, ἀλλ' αὐτὸς ὁ Θεὸς Λόγος χωρὶς ἀποβολῆς, ἢ τροπῆς, ἢ μειώσεως, ἢ συμμίξεως τῆς οἰκείας Θεότητος ἐγένετο σὰρξ, τουτέστι τέλειος ἄνθρωπος, διὸ καὶ ἀνεθεμάτισαν οἱ πατέρες τοὺς ἀρνουμένους τὴν φυσικὴν καὶ κατ' οὐσίαν ἕνωσιν, ὡς ἀνωτέρω εἴρηται. ἐπειδὴ δὲ κακῶς λαμβάνουσι τὴν φυσικὴν καὶ οὐσιώδη ἕνωσιν οἱ Μονοφυσῖται, οἱ ὀρθόδοξοι καὶ αὐτοὺς ἀποστρέφονται καὶ ἀναθεματίζουσι. τέταρτον, ὅτι ὁ Σεβῆρος καὶ Ἰουλιανὸς ὁ Ἁλικαρνασσεὺς ἔλεγον μίαν φύσιν ἐπὶ Χριστοῦ, ἀλλ' ὁ μὲν Ἰουλιανὸς ἔλεγε μίαν φύσιν ἄφθαρτον καὶ ἄνευ διαφορᾶς, ἤτοι ἀσύγχυτα τὰ μέρη, ἐν δὲ τὸ ἀποτέλεσμα χωρὶς διαφορᾶς, ἐπειδὴ τὸ κρεῖττον ἅμα τῇ συναφείᾳ πρὸς τὸ ἑαυτοῦ ἰδίωμα τὸ ἧττον ἐν ἀκαρεῖ μεθήρμοσε τῆς κατ' αὐτὸ φυσικῆς ἰδιότητος, ἤτοι τὸ χεῖρον μετῆλθεν εἰς τὸ κρεῖττον, τουτέστι τὸ φθαρτὸν εἰς τὸ ἄφθαρτον. ὁ δὲ Σεβῆρος ἔλεγε μίαν φύσιν ἄφθαρτον καὶ διαφορὰν, ἤτοι ἀσύγχυτα τὰ μέρη, μὴ μέντοι διαφόρους φύσεις, ὅθεν εἰς τὰ τοῦ Ἰουλιανοῦ οὐκ ἠρκέσθη, καθότι ἔβλεπεν, ὅτι φανεροῦσιν ἀνάχυσιν καὶ σύμφυρσιν, ὅθεν δεχόμενος τὴν διαφορὰν τῶν φύσεων καὶ τῶν ἰδιοτήτων, τὰς φύσεις, περὶ ἃς ἡ διαφορὰ καὶ αἱ ἰδιότητες θεωροῦνται, ἠρνεῖτο. καταγέλαστοι δὲ καὶ οἱ δύο, τοιαῦτα φρονοῦντες, εἶτα ἀντίκεινται ἄμφω τῇ ἐν Χαλκηδόνι ἁγίᾳ Συνόδῳ, ἐπειδὴ ἐκείνη τὰ μέρη εἶπε δύο, ὃν τρόπον διωρίσθη ἀνωτέρω, τὸ δὲ ἀποτέλεσμα, ἤτοι τὴν ὑπόστασιν εἶπε μίαν. διῃρέθησαν οὖν οἱ Αἱρετικοί. ἔλεγε δὲ κατὰ τὸν μοναχὸν καὶ σχολαστικὸν Λεόντιον τὸν Βυζάντιον ὁ Σεβῆρος, εἰ μὴ γὰρ εἴπομεν αὐτὸν ἄφθαρτον, ἀλλὰ φθαρτὸν, διαφορὰν εἰσάγομεν πρὸς τὸν Λόγον τοῦ Θεοῦ, διαφορᾶς δὲ εἰσαγομένης, δύο φύσεις εὑρίσκονται ἐν τῷ Χριστῷ, καὶ τί ἀκαίρως μαχόμεθα τῇ Συνόδῳ, ἤτοι τῇ ἐν Χαλκηδόνι;

ΠΑΡΑΓΡΑΦΟΝΝ Γ'.

Περὶ ὧν Σεβῆρος καὶ Ἰουλιανὸς Ἁλικαρνασσεὺς ἐχειροτόνησαν, τελευτήσαντος Τιμοθέου, ἐν Ἀλεξανδρείᾳ Πατριαρχῶν, καὶ τῆς ἐξορίας αὐτῶν, καὶ περὶ Παύλου Ἀλεξανδρείας ὀρθοδόξου.

Διενε-

Διενεχθέντες Σεβῆρος καὶ Ἰουλιανὸς, καὶ τελευτήσαντος τοῦ Ἀλεξανδρείας Τιμοθέου, ὁ Σεβῆρος μετὰ τῶν ἐκ τοῦ μέρους αὐτοῦ ἐχειροτόνησεν Ἀλεξανδρείας Θεοδόσιόν τινα. ὁ δὲ Ἰουλιανὸς μετὰ τῶν ἐκ τοῦ μέρους αὐτοῦ, τινὰ Γαϊνᾶν. καὶ ἐπισκοπεύει ὁ μὲν Γαϊνᾶς ἔτος ἕν, ὁ δὲ Θεοδόσιος ἔτη δύο, οὓς ἀμφοτέρους ἔφερον εἰς τὸ Βυζάντιον ὁ Ἰουστινιανὸς, καὶ διεχώρισεν ἀπ' ἀλλήλων, καὶ τέλος ἐξώρισεν αὐτοὺς εἰς διαφόρους τόπους, καὶ ἐχειροτονήθη Παῦλος εἰς τὴν Ἀλεξάνδρειαν ὀρθόδοξος, περὶ οὗ ῥηθήσεται κατωτέρω.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'

Τί τὸ αἴτιον λέγεσθαι τοὺς Μονοφυσίτας καὶ Μονοθελήτας Ἀκεφάλους. καὶ περὶ τῶν καλουμένων ἀπὸ τῶν Αἱρεσιαρχῶν Σεβήρου, Θεοδοσίου, Ἰακώβου Σύρου τοῦ καὶ Ζανζάλου, ἢ Τζαντζάλου, Ἰουλιανοῦ καὶ Γαϊνᾶ, Σεβηριανῶν, Θεοδοσιανῶν, Ἀφθαρτοδοκιτῶν, Ἰακωβιτῶν, ἐν οἷς καὶ οἱ Μονοφυσῖται Ἁρμένιοι οἱ καὶ Χατζάριοι, καὶ Γαϊανιτῶν, οἷς ἠκολούθησαν οἱ λεγόμενοι Αἰγύπτιοι Κόπται.

Ἰστέον δὲ, ὅτι ὁ Σεβῆρος ἔγραψε καὶ εἰς Ἰουστινιανὸν καὶ Θεοδώραν, καὶ ἦλθε καὶ εἰς Κωνσταντινούπολιν ἐπὶ Ἀνθίμου, καὶ καυχᾶται εἰς μίαν αὐτοῦ ἐπιστολὴν, ὅτι εὑρὼν τῆς ὁμοίας αὐτῷ δόξης τὸν Ἄνθιμον, ἔπεισεν αὐτὸν παραιτήσασθαι τὸν θρόνον, καὶ μὴ ἀφιέναι τὴν γνώμην αὐτοῦ, ἐδιώχθη ὅμως καὶ ἀπὸ τοῦ Βυζαντίου ὑπὸ τοῦ Ἰουστινιανοῦ, καὶ τέλος πάντων, οἱ ἑκάστης Διοικήσεως Πατριάρχαι συνεφώνουν εἰς τὴν ὀρθοδοξίαν, οἵτε Ἐπίσκοποι ἀκολουθοῦντες τοῖς ἰδίοις Ἐξάρχοις, ἐκήρυττον τὰς τέσσαρας Συνόδους ἐπ' Ἐκκλησίας, ἔμειναν δὲ οἱ Μονοφυσῖται καὶ ὄντες καὶ λεγόμενοι Ἀκέφαλοι, πρῶτον, ὅτι καθὼς ὁ Λεόντιος λέγει, ὁ μογγὸς δεξάμενος τὸ Ἑνωτικὸν Ζήνωνος, ἔλαβε καὶ τὸν θρόνον Ἀλεξανδρείας, διὰ τὴν ὑπερβολὴν ὅμως τοῦ μίσους ὅπερ εἶχον τινὲς εἰς τὴν ἐν Χαλκηδόνι Σύνοδον, ἀπεσχίσθησαν ἐξ αὐτοῦ, καὶ οὐ συνεκοινώνουν αὐτῷ, ὡς μὴ φανερῶς ἀναθεματίζοντι τὴν Σύνοδον, καὶ ὠνομάσθησαν οἱ τοιοῦτοι Ἀκέφαλοι, διότι τῷ ἰδίῳ Πατριάρχῃ οὐκ ἐπείθοντο. ἀλλ' ἀπεσχίζοντο. ὁρῶν δὲ ὁ μογγὸς τὸν λαὸν σχιζόμενον, ἀνεθεμάτισε φανερὰ τὴν Σύνοδον, ἀλλὰ πάλιν ἐσχίζοντο, διὰ τὸ μὴ πεποιηκέναι τοῦτο αὐτὸν εὐθὺς, ὅτε ἐδέχθη τὸ Ἑνωτικόν. δεύτερον, ὅτι καὶ ὁ μετὰ τὸν Μογγὸν Ἀθανάσιος δεξάμενος τὸ Ἑνωτικὸν, ἀνεθεμάτισε τὴν Σύνοδον, ἀλλὰ διότι ἐδέχετο τὸν Μογγὸν, ἀπεσχίζοντο καὶ ἀπ' αὐτοῦ, καὶ ἐλέγοντο πάλιν Ἀκέφαλοι. τρίτον, ὅτι ὡς λέγει ὁ Κάλλιστος Νικηφόρος εἰς τὸ ἔνατον κεφάλαιον τοῦ δεκάτου ἑβδόμου βιβλίου, καὶ οἱ Μοναχοὶ εἰς τὸν πρὸς τὸν Ἀγαπητὸν Ῥώμης λίβελλον κατὰ Σεβήρου, Ζωόρα καὶ Πέτρου, εἰς τὴν Ἀνατολὴν ἐποίησαν οἱ τοιοῦτοι Αἱρετικοὶ ἀρρητουργίας, ὡς καὶ ὁ Σεβῆρος ἐποίει μαγείας, ἤτουν μαγγανείας εἰς τὴν Δάφνην, καὶ ἐποίουν καὶ παρασυναγωγὰς, καὶ παρασυνάξεις, καὶ ἐκαινοτόμουν καὶ παραβαπτίσματα, βαπτίζοντες εἰς τὰς οἰκίας παρανόμως, καὶ οὐκ εἰς τὴν Ἐκκλησίαν. ὅθεν ἔλεγεν ὁ λαὸς εἰς τὴν ἐπὶ Μηνᾶ Σύνοδον, τοὺς κατ' οἶκον βαπτίζοντας, τοὺς λάθρα τὰ τοῖς Κανόσιν ἀπηγορευμένα διαπραττομένους, τοὺς παρασυνάξεις καὶ παραβαπτίσματα ποιοῦντας ἔξω βάλλε. ὡς οὖν τὰ τοιαῦτα παρὰ γνώμην ποιοῦντες τῆς Ἐκκλησίας, Ἀκέφαλοι ὠνομάσθησαν. τέταρτον, ὅτι εἰς τὴν Ἀλεξάνδρειαν, ὡς εἴρηται, ἐσχίσθησαν ὅ,τε Σεβῆρος καὶ Ἰουλιανὸς περὶ φθαρτοῦ καὶ ἀφθάρτου, καὶ ὅσοι ἠκολούθουν Σεβήρῳ καὶ Θεοδοσίῳ ἐλέγοντο πρῶτον Σεβηριανοὶ, εἶτα Θεοδοσιανοὶ καὶ Ἀφθαρτοδοκῖται, οἵτινες ὕστερον ἠκολούθησαν Ἰακώβῳ τῷ Σύρῳ τῷ ἐπιλεγομένῳ Ζανζάλῳ ἢ Τζαντζάλῳ, οὗτινος εἰς τὰ πάντα ἤκουσαν οἱ Σύροι, καὶ λέγονται Ἰακωβῖται καὶ οἱ Ἁρμένιοι, ὅμως ἔχουσιν οὗτοι τὸ πρωτότυπον ὄνομα μόνον Μονοφυσῖται, εἰ καὶ διῃρέθησαν καὶ αὐτοὶ ἐν τῷ ἀναμεταξὺ αὐτῶν, Χατζάριοι ὀνομαζόμενοι, ἤγουν σταυρωτοὶ, ἐπειδὴ Χάκι ὁ Σταυρὸς συριστὶ, καὶ αὐτοὶ λέγουσι τὸ, ὁ σταυρωθεὶς δι' ἡμᾶς. ὅσοι δὲ ἠκολούθησαν Ἰουλιανῷ καὶ Γαϊνᾷ ὠνομάσθησαν Γαϊανῖται, καὶ ὑπὸ τοῦ Δαμασκηνοῦ ὀνομάζονται Αἰγύπτιοι, οἱ γὰρ Κόπται τούτοις ἠκολούθησαν. ὡς οὖν διαφόρως ἀποσχισθέντες ἀπ' ἀλλήλων, λέγονται Ἀκέφαλοι, καὶ ὡς μίαν θέλησιν λέγοντες οἱ αὐτοὶ ἐπὶ Χριστοῦ, λέγονται καὶ Μονοθελῖται.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ Θεμιστίου τοῦ γενομένου Αἱρεσιάρχου τῶν Ἀγνωϊτῶν, καὶ τῆς Αἱρέσεως αὐτῶν, ἀπόσχισμα οὔσης τῶν Θεοδοσιανῶν, καὶ τὴν ἀρχὴν ἐχούσης ἀπὸ Ἀρείου.

Ἀλλὰ καὶ ὁ Θεμίστιος ἐγένετο Αἱρεσιάρχης τῶν Ἀγνωϊτῶν, εἶχε δὲ ἡ τοιαύτη Αἵρεσις τὰς ἀρχὰς ἀπὸ τοῦ Ἀρείου, καὶ ἀπόσχισμα ἦν τῶν Θεοδοσιανῶν καὶ τὸν Δαμασκηνόν. ἔλεγε δὲ ἡ Αἵρεσις, ὅτι ὁ Χριστὸς οὐκ οἶδε τὴν ἡμέραν τῆς κρίσεως, κακῶς ἐννοοῦντες τὰ οἰκονομικῶς παρὰ τοῦ Σωτῆρος εἰρημένα, πῶς δὲ ἐννοεῖται τὸ ῥητὸν, φησὶν ὁ Χρυσόστομος εἰς τὸν πέμπτον Τόμον, λόγῳ ἑκατοστῷ δεκάτῳ ἑβδόμῳ, ἀγνοεῖ τοίνυν κατὰ τὸ σχῆμα τῆς ἀνθρωπότητος ὁ γινώσκων τὰ πάντα κατὰ τὴν δύναμιν τῆς Θεότητος.

καὶ

καὶ Ὁμιλίᾳ ἑξηκοστῇ ἑβδόμῃ εἰς τὸν Ματθαῖον φησὶ, τῷ μὲν οὖν εἰπεῖν, οὐδὲ οἱ Ἄγγελοι, ἐπεστόμισεν αὐτοὺς, ὥστε μὴ ζητῆσαι μαθεῖν ὅπερ ἐκεῖνοι οὐκ ἴσασι, τῷ δὲ εἰπεῖν, οὐδὲ ὁ Υἱὸς, κωλύει οὐμόνον μὴ μαθεῖν, ἀλλὰ μὴ δὲ ζητῆσαι. οὐκ ἔστι γὰρ κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. ὅθεν ὁ Ἀλεξανδρείας Εὐλόγιος περὶ Φωτίῳ κατὰ Ἀγνωϊτῶν φησὶν, οὔτε κατὰ τὸ ἀνθρώπινον, πολλῷ δὲ μᾶλλον οὔτε κατὰ τὸ θεῖον ἀγνοεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οὔτε τὸν τάφον τοῦ Λαζάρου, οὔτε τὴν τέλειον ἡμέραν. λέγεται δὲ ἀγνοεῖν τὸν Θεὸν καίτινα, ἅπερ θέλει ἀναφέρειν ἡμᾶς εἰς αὐτὸν, ὅθεν πρὸς Φιλιππησίους ὁ Παῦλος, τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν. καί τις φησὶ, ταύτας ἐπιγινώσκει τὰς εὐχὰς ὁ Θεὸς, τὰς δὲ ἄλλας οὐκ οἶδεν, οὐκοῦν τοιαῦτα εὔχεσθε, ὥστε ἐπιγινώσκεσθαι.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τοῦ τίνες συνέγραψαν κατὰ πασῶν τῶν Αἱρέσεων, καὶ περὶ Ἡσαΐου καὶ Ἰωάννου Φιλοπόνου τοῦ τριθεΐτου, ἐξ ὧν Ἡσαϊανοὶ καὶ τριθεῖται, καὶ τῆς Αἱρέσεως αὐτῶν, καὶ τῆς κατ' αὐτῆς θεολογίας τῶν ἁγίων πατέρων, ἤτοι τοῦ ὀρθοῦ δόγματος τῆς ἁγίας Τριάδος.

Κατὰ τούτων πάντων ἔγραψε μάλιστα ὁ Ἀντιοχείας Ἐφραὶμ, Εὐλόγιος ὁ Ἀλεξανδρείας, καὶ ὁ Εὐθύμιος εἰς τὴν Πανοπλίαν. χρηματίσαντες οὖν οἱ αὐτοὶ Εὐτυχιανοὶ, Διοσκορῖται, Σεβηριανοὶ, Θεοδοσιανοὶ, Γαϊανῖται, Ἀγνωῖται, Ἰακωβῖται, Μονοφυσῖται, Ἀφθαρτοδοκῆται, Αἰγύπτιοι, Χατζάριοι, καὶ ὕστερον Μονοθελῆται. ἐλέγοντο Ἀκέφαλοι, θαῦμα ὅμως μέγα πῶς οἱ λεγόμενοι Ἀκέφαλοι ἐχωρίσθησαν εἰς τόσας κεφαλὰς κατὰ τὴν λαρναίαν Ὕδραν τὴν πολυκάρινον. σημειοῖ δὲ ὁ Λιμπεράτος, ὅτι εἰς τὴν Παλαιστίνην ἐχειροτονήθη Ἡσαΐας τὶς Ἐπίσκοπος, καὶ ἐστάλη εἰς Ἀλεξάνδρειαν, ὅθεν οἱ Ἀκέφαλοι Ἡσαϊανοὶ ἐκλήθησαν, καὶ οὕτω λέγονται οἱ αὐτοὶ καὶ Τριθεῖται ἀπὸ Ἰωάννου Ἀλεξανδρέως τοῦ Φιλοπόνου τοῦ Τριθεΐτου, ἅτε δὴ οὗτος τρεῖς Θεοὺς εἶναι συνεχώρει, καὶ κατὰ τῆς τετάρτης Συνόδου ἐφλυάρει. ὡς γὰρ ὁ Φώτιος λέγει ἀναγνώσει εἰκοστῇ τετάρτῃ, ἔλεγε Τριάδα ὁμοούσιον καὶ ὁμοφυῆ, καὶ Θεὸν ἕνα, καὶ μίαν Θεότητα, ἐβλασφήμει δὲ λέγων μερικὰς οὐσίας καὶ ἰδικὰς θεότητας, καὶ ἰδικὰς φύσεις. ἐγένετο δὲ τῆς Αἱρέσεως ἡ ἀρχὴ οὕτως, ἐκινήθη εἰ ταὐτὸν φύσις καὶ ὑπόστασις, καὶ ἀπεκρίνατο ὁ Φιλόπονος, ὅτι ἐπὶ τῆς ἁγίας Τριάδος ἐστὶν εἰπεῖν φύσιν μερικὴν ἑκάστου προσώπου, καὶ φύσιν καθόλου, ἤτοι κοινὴν τῶν τριῶν προσώπων, ὅπερ φανερὰ ἐστὶ βλασφημία, καθότι ἐπὶ τῆς ἁγίας Τριάδος οὐκ ἔστι κοινὴ οὐσία, ἀλλὰ μία τῷ ἀριθμῷ, ὅθεν τὰ τρία πρόσωπα λέγομεν οὐμόνον μιᾶς οὐσίας, ἀλλὰ καὶ μίαν οὐσίαν. διαιροῦνται γὰρ τὰ πρόσωπα ἡνωμένως, ἐπειδὴ μία οὐσία, καὶ ἑνοῦνται διαιρετῶς, ἐπειδὴ ἄλλη ὑπόστασις τοῦ Πατρὸς, ἄλλη τοῦ Υἱοῦ, καὶ ἄλλη τοῦ ἁγίου Πνεύματος, ὅθεν πιστεύομεν ὅτι ἐστὶ ἕν, καὶ εἰσὶ τρία. καὶ εἰσὶ τρία, καὶ ἐστὶν ἕν. τρία πρόσωπά εἰσι, καὶ εἰσὶ τὰ τρία μία οὐσία. μία οὐσία ἐστὶ, καὶ ἐστὶν ἡ μία οὐσία τρία πρόσωπα, ὅθεν καὶ ἕνα Θεὸν πιστεύομεν, ἐπειδὴ τὰ τρία πρόσωπα ἐστὶ μία οὐσία τῷ ἀριθμῷ. ἔλεγεν ἔτι ὁ αὐτὸς, ὅτι καὶ τὰς ψυχὰς μὴ λαμβάνειν τὰ ἴδια σώματα, ἀλλὰ ἕτερα, καθότι ἡ ὕλη φθείρεται ἅμα τῷ εἴδει αὐτῆς. ἐναντίον δὲ εἰς τοῦτο ἔγραψε Λεόντιος ὁ σχολαστικὸς ὑψηλότατα, καὶ Δαμασκηνὸς ὁ Ἰωάννης ἐν τῷ περὶ Αἱρέσεων, ἀλλὰ καὶ ὁ Πισίδης Γεώργιος σκώπτων εἰς τὸν ἴδιον Φιλόπονον, μετὰ μὲν τῶν ὀρθοδόξων συγχωροῦντα δύο φύσεις εἰς τὸν Χριστὸν, ἀνθρωπότητα καὶ Θεότητα, βλασφημοῦντα δὲ καὶ μετὰ τὴν ἕνωσιν μὴ μένειν ἔτι τὰς δύο φύσεις, ἀλλὰ γεγονέναι μίαν συνθετὸν φύσιν, καθὼς φλυαρεῖ ἡ Αἵρεσις τῶν Μονοφυσιτῶν, ναὶ δὴ καὶ τῶν Μονοθελητῶν. ἰαμβίζων οὖν ὁ Πισίδης, οὕτω κατεγέλα τοῦ Φιλοπόνου.

Ψηφίζεται θᾶττον μίαν τε καὶ μίαν,
εἰ γὰρ μίαν τε καὶ μίαν λέγεις μίαν,
γέλως τὸ λεχθὲν γίγνεται καὶ παιδίοις.

καὶ ἔχει ἡ ἔννοια οὕτως, εἰ ὁμολογεῖς ὦ Φιλόπονε δύο φύσεις εἰς τὸν Χριστὸν, πῶς πάλιν τὰς δύο συστέλλεις εἰς μίαν; διότι ἡ μία καὶ μία γίνονται δύο, καὶ οὐχὶ πάλιν μία. ἀλλὰ καὶ Θεοδόσιος μοναχὸς, καὶ Κώνων, καὶ Εὐγένιος ἐπὶ τοῦ μετὰ Ἰουστινιανὸν Ἰουστίνου, καίτοι κατὰ Φιλόπονον καὶ Σεβῆρον Μονοφυσῖται ὄντες, ἔγραψαν κατὰ τῶν βλασφημιῶν τοῦ Φιλοπόνου, ὡς Φώτιος ἀναγνώσει εἰκοστῇ δευτέρᾳ καὶ εἰκοστῇ τρίτῃ. κατὰ δὲ μονοφύσεως ἔγραψε Νικίας μοναχὸς, Φωτίου ἀναγνώσει πεντηκοστῇ. καὶ Εὐλόγιος Ἀλεξανδρείας, Φωτίου ἀναγνώσει διακοσιοστῇ εἰκοστῇ πέμπτῃ, διακοσιοστῇ εἰκοστῇ ἕκτῃ, καὶ διακοσιοστῇ εἰκοστῇ ἑβδόμῃ. οὕτω μὲν ἡ μονόφυσις ἀρξαμένη τὸ πρῶτον ἀπὸ τοῦ Ἀρείου, καὶ δεύτερον ἀπὸ τοῦ Ἀπολιναρίου, καὶ πολυπλασιασθεῖσα, εἰς τριθεΐαν κατήντησε.

Κεφά

ΚΕΦΑ΄ΛΑΙΟΝ ΙΓ΄.

Περὶ τῶν αἰτιῶν τῆς καθαιρέσεως Παύλου τοῦ Ἀλεξανδρείας, καὶ περὶ Ζωΐλου καὶ τοῦ μετ' αὐτὸν Ἀπολιναρίου τῶν Ἀλεξανδρείας Πατριαρχῶν.

Ὁ Ἀλεξανδρείας Παῦλος πορευόμενος εἰς τὴν Αἴγυπτον ἀπὸ Βυζαντίου, καὶ παραγγελίαν ἔχων ἀπὸ τοῦ Ἰουστινιανοῦ ἵνα ἐπιμεληθῇ μεταφέρειν τοὺς Μονοφυσίτας εἰς τὴν καθόλου Ἐκκλησίαν, ἔλαβε καὶ Ἀρσένιόν τινα Σαμαρείτην μὲν, ἀλλὰ διὰ δόξαν Χριστιανὸν γεγονότα, ὑπηρετεῖν αὐτῷ εἰς τὰ παρηγγελμένα. ὁ δὲ Παῦλος εὗρεν ἐπιστολάς τινας γράμμασιν αἰγυπτιακοῖς γεγραμμένας, καὶ ὑπωπτεύθη ἵνα μὴ πάθῃ τὰ ὅμοια τῷ Προτερίῳ, ὅθεν πιάσας Ψόην τινὰ Διάκονον, παρέδωκεν αὐτὸν Ῥύδωνι τῷ Ἐπάρχῳ Αἰγύπτου βασανίσαι αὐτὸν, ἢ ὡς λέγει ὁ Προκόπιος εἰς τὰ ἀνέκδοτα, ἀποκτεῖναι αὐτόν. ὁ δὲ ῥηθεὶς Ἀρσένιος χάριν δῆθεν τοῦ χαροποιῆσαι τὸν Παῦλον συνεργεῖ καὶ θνήσκει ὑπὸ τῶν πολλῶν τιμωριῶν ὁ Ψόης. ἐλθόντων δὲ τῶν συγγενῶν αὐτοῦ, καὶ θρηνούντων τὸν ἄδικον θάνατον εἰς τὸν Βασιλέα, ἀπέστειλεν ὁ Βασιλεὺς Λιβέριόν τινα Πατρίκιον Ἔπαρχον Ἀλεξανδρείας, ὅστις ἐξετάσας, εὗρεν αἰτίους τοῦ θανάτου τοῦ Ψόη καὶ τοὺς τρεῖς, ὅθεν τὸν μὲν Ῥύδωνα καὶ Ἀρσένιον ἀγαγόντος τοῦ Λιβερίου εἰς Κωνσταντινούπολιν, ὁ Βασιλεὺς τοῦ μὲν ἀφαιρεῖται τὴν κεφαλὴν, τὸν δὲ ἀνεσκολόπισε τὸν Σαμαρείτην, ὁ δὲ Παῦλος ἐξορίζεται εἰς τὴν Γάζαν, εἰς ἣν Ὑπάτιος ὁ Ἐφέσου καὶ Ἐφραὶμ ὁ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων Πέτρος, τοῦ Βασιλέως Πελάγιον τὸν Ἀρχιδιάκονον καὶ ἀποκρισιάριον τοῦ Πάπα πέμψαντος μετὰ γραμμάτων πρὸς αὐτοὺς, ἀπῆλθον, καὶ κατακρίναντες τὸν Παῦλον κατὰ πρόσωπον, ἐκάθηραν αὐτὸν, λαβόντες καὶ τὸ ὠμοφόριον αὐτοῦ. προστίθησιν ὅμως ὁ Προκόπιος, ὅτι ὁ Παῦλος ἐπανελθὼν εἰς Κωνσταντινούπολιν, καὶ ὑποσχεθεὶς χρήματα τῷ Ἰουστινιανῷ, ἤλπιζε λήψεσθαι πάλιν τὴν Ἀλεξάνδρειαν, ἀλλὰ Βιγίλιος εἰς τὸ Βυζάντιον εὑρισκόμενος, ἐκώλυσε τοῦτο, εἰπὼν, ὅτι οὐ δύναται μεταβάλλειν τὴν ἀπόφασιν αὐτοῦ, λέγων ἰδίαν ἀπόφασιν τὴν τοῦ Πελαγίου μετὰ τῶν Ἀρχιερέων κρίσιν. καὶ ταῦτα μὲν ὁ Προκόπιος εἰς τὰ ἀνέκδοτα. ἀληθέστερος ὅμως δοκεῖ ὁ Θεοφάνης, ὅστι λέγει, ὅτι τῷ δεκάτῳ πέμπτῳ ἔτει Ἰουστινιανοῦ ὁ Παῦλος διὰ τὸ μνημονεῦσαι Σεβήρου τοῦ Αἱρετικοῦ, ἐξεβλήθη τῆς Ἐπισκοπῆς ὀργῇ τοῦ Βασιλέως, καὶ ἐλθὼν εἰς τὰ Ἱεροσόλυμα διέτριβεν. ὁπωσδήποτε οὖν ὁ Παῦλος ἐξωσθεὶς, ἀποκατέστη Ζωΐλος εἰς Ἀλεξάνδρειαν, μεθ' οὗ ἐγένετο Ἀπολινάριος ὁ ἐπὶ τῆς πέμπτης Συνόδου.

ΠΑΡΑ΄ΓΡΑΦΟΝ Ε΄.

Περὶ τῆς τελευτῆς Ἐφραὶμ τοῦ Ἀντιοχείας, καὶ προβιβασμοῦ Δομνίνου εἰς τὸν θρόνον, καὶ τελευτῆς καὶ ἁγιότητος Πέτρου Ἱεροσολύμων, καὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας αὐτοῦ, καὶ προβιβασμοῦ ἀντ' αὐτοῦ Μακαρίου, εἶτα Εὐστοχίου.

Ἐν τούτοις δὲ, ἀπέθανε καὶ ὁ Ἀντιοχείας Ἐφραὶμ, καὶ γίνεται Ἀντιοχείας ὁ Δομνῖνος, καὶ τελευτᾷ καὶ ὁ Ἱεροσολύμων Πέτρος, πατριαρχεύσας χρόνους εἴκοσι, καὶ γίνεται Ἱεροσολύμων ὁ Μακάριος. ὅσα δὲ πρὸ τῆς τελευτῆς τοῦ Πέτρου προεφητεύθησαν, διηγεῖται τινὰ τούτων ὁ τρισόλβιος Ἱεροσολύμων Σωφρόνιος. Κατῴκει εἰς τὸ Σίναιον ὄρος ὁ Ἀββᾶς Γεώργιος, νηστευτὴς λίαν ὢν καὶ ἐνάρετος, οὗτος ἐπεθύμησε μεταλαβεῖν ἔνδον ἐν τῷ Ναῷ τῆς Χριστοῦ Ἀναστάσεως, καὶ ὢ τοῦ θαύματος, εὑρέθη παρὼν εἰς τὴν σύναξιν, καὶ ἐκοινώνησε διὰ τῶν χειρῶν τοῦ Ἀρχιεπισκόπου Πέτρου τῶν θείων Μυστηρίων, καὶ μετὰ τὴν κοινωνίαν λέγει ὁ Πέτρος πρὸς τὸν συγκάθεδρον αὐτοῦ τὸν Μηναῖν, πότε ἦλθεν ὁ Ἀββᾶς οὗτος ὁ Σιναΐτης, καὶ ἐκεῖνος εἶπε, δι' εὐχῶν σου, καὶ ἐγὼ νῦν αὐτὸν εἶδον. ποίησον λοιπὸν, ἔφη ὁ Πέτρος, ἵνα μείνῃ φαγεῖν μεθ' ἡμῶν παξαμαί. προσεκαλέσατο οὖν αὐτὸν ὁ Μηνᾶς, καὶ ὁ Γεώργιος ἀπεκρίθη, γενηθήτω τὸ θέλημα τοῦ Θεοῦ, καὶ προσευξάμενος καὶ προσκυνήσας, ἐν τῷ ἅμα εὑρέθη εἰς τὴν κέλλαν αὐτοῦ. εἰς τὴν ὥραν δὲ τῆς τραπέζης ἐζήτουν τὸν Ἀββᾶν Γεώργιον, καὶ ἐν οὐδενὶ μέρει ἐφαίνετο, ὅθεν ὡς ἀπειθὴς κατηγορήθη, καὶ μεταταῦτα ἀπέστειλεν ὁ Πατριάρχης εἰς τὸν Ἐπίσκοπον τῆς Φαρᾶν τὸν Ἀββᾶν Φωτεινὸν μετὰ γραμμάτων εἰς τοὺς πατέρας, ἵνα ἀποστείλωσιν αὐτῷ τὸν Γεώργιον. ἐθαύμασαν δὲ οἱ πατέρες ἰδόντες τὰ γεγραμμένα, καὶ ὡμολόγησαν ἐν καθαρῷ τῷ συνειδότι, ὅτι ὁ γέρων Ἀββᾶς οὐκ ἐξῆλθεν ἀπὸ τοῦ Σινᾶ, ἀλλὰ ἐκεῖ πάντοτε εὑρίσκετο. καὶ πρὸς ἀπολογίαν τε καὶ ἀθῴωσιν ἐστάλθησαν τρεῖς Ἱερομόναχοι ὁ Ἀββᾶς Στέφανος ὁ Καππαδόκης, ὁ Ἀββᾶς Ζώσιμος καὶ ὁ Ἀββᾶς Δουλίτιος πρὸς τὸν Πατριάρχην, πρὸς ὃν ἔγραψε καὶ αὐτὸς ὁ Γεώργιος λέγων, συγχώρησόν μοι σεβασμιώτατε πάτερ, ἑβδομήκοντα χρόνοι εἰσὶν ἀφ' οὗ δὴ οὐκ ἐξῆλθον ἀπὸ τοῦ Σινᾶ ὄρους, οὔτε εἰς τὴν Παλαιστίνην ἀπῆλθον, εἰ δὲ ἦλθον, οὐκ ἠτίμασα ἂν τὸν Ἄγγελόν σου, πλὴν ἡ μακαριότης σου γινωσκέτω, ὅτι μετὰ ἓξ Μῆνας ἐλευσόμεθα

εἰς τὴν

ἐς τὸ συναντῆσαι τῷ Κυρίῳ, καὶ ἡμᾶς συνεσόμεθα, καὶ ὀπίσθιον μετὰ τὰς ἓξ Μῆνας ἑκάτερος ἀπέθανε, καὶ πέρας ἔλαβον ἡ ἀσφῆτεία τοῦ Ἀββᾶ Σιναΐτου Γεωργίου. Ἐξεβλήθη ὁ Μακάριος, καὶ ἐγένετο Ἱεροσολύμων ὁ Εὐσόχιος, οἱ δὲ Ἀποκρισιάριοι ἦσαν ἐς τὸ πέμπτον Οἰκουμενικὸν Σύνοδον.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῆς μάχης Σιλβερίου καὶ Βιγιλίου τῶν Παπῶν, καὶ τοῦ αἰτίου καὶ τοῦ τρόπου καὶ μέσου δι' ὧν ἐξεβλήθη τοῦ θρόνου, καὶ ἐξωρίσθη, καὶ ἐπελθόντος τοῦ Σιλβερίου, καὶ αὐτεισήχθη Βιγίλιος.

Μετὰ τὸν θάνατον τοῦ Ῥώμης Ἀγαπητοῦ, ἐγένετο Πάπας Ῥώμης ἐς τοὺς πεντακοσίους τριάκοντα καὶ ἑπτὰ χρόνους ὁ Σιλβέριος ὑποδιάκονος, υἱὸς Ὁρμίσδα ἠνὸς Ἐπισκόπου, ἢ Πάπα. ἐβασίλευε δὲ ἐς μὲν τὴν Κωνσταντινούπολιν ὁ μέγας Ἰουστινιανὸς, ἐς δὲ τὴν Ἰταλίαν ἦν ὁ Θεοδωρικός. ἐπειδὴ δὲ ἦν ἀναγκαία σωτηρία βεβαιοῦσθαι τοὺς Πάπας ὑπὸ μόνων τῶν Αὐτοκρατόρων, ὁ Θεοδωρικὸς ἀφθαρεὶς ὑπὸ τοῦ Σιλβερίου δώροις, ἐβίασε τὴν ἐν Ῥώμῃ Σινόδου καὶ ἐψηφίσατο αὐτὸν τὸν Σιλβέριον, εἶπε γὰρ, ὅτι ὅστις ἂν συναινέσει τῇ χειροτονίᾳ, ξίφει ἀποκτείνεται. εἰς γὰρ τὴν ἐκλογὴν τινὲς μὴ ἐβούλοντο, φυλάττοντες τὴν ἐν τῶν Αὐτοκράτορα παλαιὰν σωτηρίαν, ἵνας δὲ ὑπέγραψαν, ἀλλ' ἐς τὴν χειροτονίαν πάντες ἀφὸ τὸν φόβον τοῦ Ῥηγὸς ὑπέγραψαν, καὶ μάλιστα ἵνα ἦ ἐς τὴν Ἐκκλησίαν σῴσις τῆς πίστεως. ταῦτα Λιμπεράτος, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ. ὁ δὲ Πλατίνας λέγει, ὅτι Σιλβέριος τὸ γένος Καμπάνος, ἦ πατὴρ Ὁρμίσδας, κατὰ πρόσταγὴν Θεοδωράτου ἐγένετο Πάπας. καὶ γὰρ εἰ καὶ πρότερον σωτηρία ἦν βεβαιοῦσθαι τοὺς Πάπας ὑπὸ τοῦ Αὐτοκράτορος, ἀλλ' αἱ ἀπειλαὶ τοῦ Θεοδωράτου ἴσχυσαν μᾶλλον τοῦ Βασιλέως ἀφὸ τὸν φόβον τοῦ θανάτου, καὶ γέγονε ὁ πόλεμος ἀφὸ τούτου καὶ ἀφὸ τὴν Ἀμαλασούνθης Ἰουστινιανοῦ κατὰ τῶν ἐν Ἰταλίᾳ Τότθων. ὁ δὲ Εὐάγριος λέγει, ὅτι ὁ Βελισάριος τὸν Σιλβέριον γυμνὸν ὑπέβαλλον τῶν Ῥωμαίων, ἐξώρισε, καὶ αὐτεισήχθη ὁ Βιγίλιος. ὅμως ὁ Λιμπεράτος ἱστορεῖ, ὅτι ἡ γυνὴ τοῦ Ἰουστινιανοῦ Θεοδώρα, ἐπειδὴ ἦν ἐς τὴν Αἵρεσιν τῶν Ἀκεφάλων, καὶ ἐξεβλήθη ὁ Αἱρετικὸς Ἄνθιμος ἀπὸ τοῦ θρόνου Κωνσταντινουπόλεως, καὶ δὴ καὶ καθηρέθη καὶ ἀνεθεματίσθη καὶ αὐτὸς καὶ ὁ Σεβῆρος, ἔγραψε πρὸς τὸν Ῥώμης Σιλβέριον, ἵνα φανῇ συμβοηθὸς τοῦ Ἀνθίμου καὶ κατήγορος τοῦ Μηνᾶ. ἀποβαλόντος δὲ τοῦ Σιλβερίου τὸ ζήτημα ὡς αἱρετικὸν, περιποιεῖται ἡ Βασίλισσα Βιγίλιον τὸν Ἀρχιδιάκονον, ὃς ἦν ἐς τὸ Βυζάντιον ἀποκρισιάριος τοῦ Σιλβερίου, καὶ ζητεῖ παρ' αὐτοῦ τοῦτο, ὅτι ἀφανείη, ὅσον τὸ καθ' αὐτὸν δηλονότι, κατήγορος τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ ἀνακαλέσῃ τὸν Ἄνθιμον καὶ τὸν Σεβῆρον δι' οἰκείας ἐπιστολῆς ἐς τὴν τιμὴν αὐτῶν, καὶ ἁπλῶς βεβαιώσῃ τὰ δόγματα τῶν Ἀκεφάλων, ἐνεργήσαι καὶ αὐτῷ ἐς τὸ γενέσθαι αὐτὸν Πάπαν, καὶ δῶναι αὐτῷ τὴν ἑπτὰ κεντηνάρια χρυσίου. ὁ δὲ Βιγίλιος ἡδυνηθεὶς εἴς τε τὸ ἀξίωμα καὶ τὸ χρυσίον, ἐδέξατο τὸν λόγον μετὰ χαρᾶς, καὶ ὑπέσχετο τῇ Βασιλίδι ποιῆσαι ὅσα εἶπον αὐτῷ. ὅθεν ἡ Αὐγοῦστα ἔπεμψε δύο κεντηνάρια χρυσίου τῷ Βελισαρίῳ, ὅτε τότε Στρατηγῶ κατὰ τῶν Γότθων ἐς τὴν Ἰταλίαν, καὶ δὴ καὶ ἔγραψεν αὐτῷ ἐξοδεῦσαι τρόπον, καὶ ἐκβαλεῖν τοῦ παπᾶτος τὸν Σιλβέριον, ἀποκατεστῆσαι δὲ Πάπαν τὸν Βιγίλιον, πέμψασα ὁμοῦ καὶ τὸν Βιγίλιον ἐκεῖσε. συγκατεύδουσα δὲ ὁ Βελισάριος ἐς τὰ ἐρωτικὰ τῆς Αὐγούστης ἀσχαπόμμα, εἶπεν, δότω λόγον τῷ Θεῷ ὁ αἴτιος τῆς ἀποβολῆς τοῦ Σιλβερίου, καὶ ἐπειδὴ ἐκεῖνος ἠχολεῖτο ἐς τὰ πολεμικὰ, γράφει ἐς τὴν Ῥώμην πρὸς τὴν γυναῖκα αὐτοῦ Ἀντωνίνην, ὡς λέγει ὁ Πλατίνας, ἵνα κείνη τὸν Σιλβέριον, ἢ καθὼς λέγουσιν ἄλλοι, μόνος αὐτὸς ὁ Βελισάριος ἐκείνου αὐτὸν, καθίσας ἐς τὸ λεγόμενον Πινκιανὸν παλάτιον ἐς τὴν Ῥώμην, ὅθα τινὲς ἐμαρτύρησαν, ὅτι ὁ Σιλβέριος ἔγραψε Γότθοις ἀσελθεῖν ἐς τὴν Ῥώμην. ἔκραξε δὲ ὁ Βελισάριος τὸν Κλῆρον ἐς τὸ παλάτιον, ἔκραξον ἐκεῖσε καὶ τὸν Σιλβέριον, ἠκολούθει δὲ τῇ ὄχλος πολὺς, ἀλλ' ἦν ὁ Σιλβέριος ἐμποδιζόμενος καταπατάσματί τινι τοῦ μὴ θεωρεῖσθαι, εἰσῆλθον δὲ ἐς τὸν Στρατηγὸν ὁ Σιλβέριος καὶ ὁ Βιγίλιος μόνοι, καὶ σύθυς ἐς ὑποδιάκονος ἀφείλετο τὸν Μανδύαν, καὶ ἔτι καὶ τὸ Ὠμοφόριον ἀπὸ τοῦ τραχήλου τοῦ Σιλβερίου, εἶτα εἴς τι δῶμα ἀναβιβάσας αὐτὸν, ἐνέδυσεν αὐτὸν τὰ μοναχικὰ ἄμφια. εἶπε δὲ μεταταῦτα ἐς τὸν Κλῆρον Σίξτός τις Διάκονος, ὅτι τὸν Σιλβέριον ἐποίησαν Μοναχὸν, καὶ ἔχουσιν αὐτὸν καὶ ἐς φύλαξιν. ἐγένετο δὲ πρόσταγὴ, ἵνα ἐκλέξωνται ἄλλον Πάπαν, ἀποκατέστη δὲ Πάπας ὁ Βιγίλιος, καθότι ἤδεσαν τῷ γνώμῃ τοῦ Βελισαρίου ῥέψασαν εἰς τοῦτο, τὸν δὲ Σιλβέριον ἐξώρισαν εἰς τὰ Πάταρα τῆς Λυκίας, ἀφὸ μεσιτείας ὅμως τοῦ Ἐπισκόπου Πατάρων εἰς τὸν Αὐτοκράτορα ἐλυτρώθη ὁ Σιλβέριος, καὶ ἀνῆλθον εἰς τὴν Ῥώμην. ἀλλ' ὁ Βιγίλιος ἐνεργεῖ εἰς τὸν Βελισάριον, καὶ ἐξορίζεται ὁ Σιλβέριος ἀφανομώτατα εἰς τὴν Νῆσον Παλμαρίαν, ὅθα ὑπὸ δύο πονηρῶν φυλάκων πιεζόμενος, ὑπό τε πείνης δηλονότι καὶ ἀψῆς, ἀπῆλθε πρὸς Κύριον. τὸν δὲ Βιγίλιον ἔχοντα τὴν Αἵρεσιν ἐνεθρονίασαν. τοῦτα ὁ Λιμπεράτος.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ὑπογραφῆς καὶ βεβαιώσεως τῆς ἐπιστολῆ τῶν Μονοφυσιτῶν ὑπὸ τοῦ Πάπα Βιγιλίου, καὶ ὧν περιέχει ἡ ἐπιστολὴ αὕτη μετὰ ἀναθεματισμοῦ βλασφημιῶν κατὰ τῶν ἐπὶ Χριστοῦ δύο φύσεων.

Ἀποθανόντος τοῦ Σιλβερίου, καθεζόμενος εἰς τὸν θρόνον τῆς Ῥώμης βέβαιος ὁ Βιγίλιος, ἐπλήρωσε τῆς Βασιλίδος τὸ ἔσχατον ζήτημα, καθότι ἐβεβαίωσε τὴν ἐπιστολὴν τῶν Αἱρετικῶν, ἥτις ἦν αὐτὴ ἡ Αἵρεσις τῶν Μονοφυσιτῶν, ἦν γὰρ πρὸς Ἄνθιμον καὶ Σεβῆρον καὶ Θεοδόσιον τοὺς Αἱρετικοὺς, καὶ περιεῖχε κατάκρισιν τῆς ἐν Χαλκηδόνι Συνόδου, ἀπηγόρευε δὲ καὶ τὸν τόμον τοῦ ἐν ἁγίοις Λέοντος, ὃν ἡ ἐν Χαλκηδόνι Σύνοδος ὠνόμασε στήλην ὀρθοδοξίας, λέγει γάρ, ὅτι οὐ δύο φύσεις ἐπὶ Χριστοῦ λέγομεν, ἀλλ' ἐκ τῶν δύο φύσεων συντίθεμεν ἕνα Υἱὸν, ἕνα Χριστὸν, ἕνα Κύριον. καὶ πάλιν, εἴτις λέγει, ὅτι ἐπὶ Χριστοῦ αἱ δύο φύσεις συνῆλθον ἐν μιᾷ ὑποστάσει, καὶ οὐχ ὁμολογεῖ ἓν πρόσωπον, μίαν οὐσίαν, ἀνάθεμα ἔστω. εἴτις λέγει, καθὸ ἄνθρωπος ὁ Χριστὸς ἐσταυρώθη, καὶ οὐ λέγει, ὅτι αὐτὸς ὁ Υἱὸς τοῦ Θεοῦ ἐσταυρώθη δι' ἡμᾶς, ἀνάθεμα ἔστω. ἀναθεματίζομεν λοιπὸν, φησὶν ἡ ἐπιστολὴ, Παῦλον τὸν Σαμοσατέα, Θεόδωρον (τὸν Μοψουεστίας) καὶ Θεοδώριτον, καὶ πάντας τοὺς ἐκείνοις ὁμόφρονας. ἔγραψε δὲ, ὡς εἴρηται, ταῦτα ὁ Βιγίλιος Πάπας ὤν, καὶ ἐπὶ τῆς καθέδρας εὑρισκόμενος, ὡς ὁ Λιμπερᾶτος λέγει εἰς τὸ εἰκοστὸν δεύτερον κεφάλαιον, ἔνθα γράφει περὶ τῆς αἰτίας τῆς Αἱρέσεως τῶν Νεστοριανῶν καὶ Εὐτυχιανῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'

Περὶ τῆς μεταμελείας Βιγιλίου ἀπὸ τῆς Αἱρέσεως, καὶ ἀπαγωγῆς αὐτοῦ εἰς Βυζάντιον μηχανῇ τῆς Βασιλίσσης Θεοδώρας, καὶ ὧν ἔλεγε κατ' αὐτοῦ ἀρῶν ἀπαγομένου ὁ λαὸς τῆς Ῥώμης.

Ἡ Βασιλὶς ὅμως οὐκ ἠρκέσθη εἰς τὴν ἐπιστολὴν, ἀλλ' ἐζήτει καὶ τὴν ἀνάκλησιν τοῦ Ἀνθίμου, ὁ δὲ Βιγίλιος ἐλθὼν εἰς ἑαυτὸν, ὡμολόγησεν ἡμαρτηκέναι εἴστε τὰ γενόμενα κατὰ Σιλβερίου, καὶ εἰς τὴν βεβαίωσιν τῆς αἱρετικῆς ἐπιστολῆς. ὅθεν κατασκευάζει ἡ Θεοδώρα, καὶ μεταπέμπεται παρὰ τοῦ Ἰουστινιανοῦ εἰς Κωνσταντινούπολιν ὁ Βιγίλιος, οὗ ἐπιβαίνοντος ἐπὶ πλοιαρίου εἰς τὸν Τίβεριν, ἔρριπτεν ὁ λαὸς τῆς Ῥώμης (λέγει ὁ Πλάτινας) λίθους κατ' αὐτοῦ, λέγοντες, ἡ φήμησου μετὰ σοῦ, ὁ θάνατος μετὰ σοῦ, κακὰ ἐποίησας εἰς τὴν Ῥώμην, κακὰ εὑρεῖν σε ὅπου καὶ ἂν ἀπέλθοις.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ἐκθέσεως τῆς κατὰ Μονοφυσίτας πίστεως τοῦ Βιγιλίου, καὶ ἐπιστολῆς αὐτοῦ πρὸς τὴν Βασίλισσαν Θεοδώραν, ἀποβάλλοντος ἐν αὐτῇ τὰς δύο ἐπὶ Χριστοῦ φύσεις, καὶ μίαν σύνετον φύσιν ὁμολογοῦντος.

Ἐπιλέγει ὁ Λιμπερᾶτος (παλιλλογητέον γὰρ) ὅτι ὁ Βιγίλιος συντρέχων εἰς τὸ θέλημα τῆς Αὐγούστης, ἤθελεν ἀποσκυβαλίσαι τὸ πρόσταγμα τοῦ Βασιλέως, ἵνα μὴ ὑποστρέψῃ ὁ Σιλβέριος εἰς Ῥώμην, ἀλλ' ὑπεριοχύσαντος τοῦ βασιλικοῦ προστάγματος, ἀνεκλήθη. ὅθεν φοβηθεὶς ὁ Βιγίλιος, ἐδεήθη τοῦ Βελισαρίου δοῦναι αὐτῷ τὸν Σιλβέριον, καὶ ποιῆσαι αὐτῷ ὃ βούλεται, καὶ οὕτως ἔγραψε διὰ τῆς Ἀντωνίνης τὴν ἔκθεσιν αὐτοῦ πρὸς τὴν Αὐγοῦσταν, καὶ τοιαύτην ἐπιστολὴν, ΚΥΡΙΟΙΣ ΚΑΙ ΧΡΗΣΤΟΙΣ ΒΙΓΙΛΙΟΣ. Οἶδα ὅτι πρὸς τὴν ὑμετέραν ἁγιότητα πρότερον ἡ ὁμολογία τῆς ἐμῆς πίστεως ἔφθασε Θεοῦ βοηθοῦντος, ἀλλ' ἐπειδὴ νῦν ἡ ἔνδοξος ἐμὴ θυγάτηρ Πατρικία Ἀντωνίνα ἐποίησε πληρωθῆναι τὰ ἐμὰ χριστιανικὰ καταθύμια, ἵνα τῇ ὑμετέρᾳ ἀδελφότητι ἀποστείλλω τὰ παρόντα ἔγγραφα. ἀσπαζόμενος οὖν ὑμᾶς τῇ χάριτι, ᾗ ἡμεῖς τῷ Θεῷ τῷ ἡμετέρῳ Χριστῷ τῷ Σωτῆρι ἑνούμεθα, κἀκείνην τὴν πίστιν ἣν κατέχετε, Θεοῦ βοηθοῦντος, δηλοποιῶ ὡς κατεῖχον καὶ κατέχω. γινώσκω, ὅτι ἐκεῖνο ἐν ὑμῖν κηρύττομεν καὶ διαγινώσκομεν, ἵνα καὶ μία ᾖ ψυχὴ καὶ καρδία ἐν Θεῷ. ἡ ἐμὴ ὁμολογία, ἥτις ἐστὶν ὑμετέρα, Θεοῦ βοηθοῦντος, ἐπλήρωσε τὴν χαρὰν ὑμῶν ἐκ τῆς ἐμῆς ψυχῆς, εἰδὼς τὴν ἀδελφότητα ὑμῶν ταῦτα δέχεσθαι καὶ μετὰ χαρᾶς περιπτύσσεσθαι. δεῖ δὲ μηδένα εἰδέναι ταῦτα ἅπερ ὑμῖν γράφω, ἀλλὰ μᾶλλον ὥς τινα ὕποπτον ἡ ὑμετέρα σοφία παρὰ τοὺς ἄλλους ἐν ὑπολήψει ἐχέτω ἐνταῦθα, ἵνα δυνηθῶ ῥᾴδιον ἅπερ οὐρξάμην ἐνεργῆσαι καὶ τελειῶσαι. Ἡ ὑπογραφή. εὔχεσθε ὑπὲρ ἡμῶν τῷ Θεῷ ἀδελφοί μου ἐν Χριστῷ τῷ Κυρίῳ ἡμῶν ἡνωμένοι τῇ ἀγάπῃ. ἐν ταύτῃ τῇ ἐπιστολῇ ἔγραψε τὴν πίστιν αὐτοῦ ὁ Βιγίλιος, ἐν ᾗ ἀποβάλλει τὰς δύο ἐπὶ Χριστοῦ φύσεις, καὶ διαλύσας τὸν τόμον τοῦ Λέοντος, οὕτως εἶπεν, οὐχὶ δύο φύσεις ἐπὶ Χριστοῦ ὁμολογοῦμεν, ἀλλ' ἐκ δύο φύσεων σύνθετον ἕνα Υἱὸν, ἕνα Χριστὸν, ἕνα Κύριον. Καὶ, ὁ λέγων ἐν Χριστῷ δύο φύσεις ἐνεργούσας ἑκατέρας μετὰ τῆς θατέρου κοινωνίας, καὶ

οὐχ

οὐχ ὁμολογεῖ ἐν πρόσωπον, μίαν οὐσίαν, ἀνάθεμα ἔστω. Καὶ, ὁ λέγων τοῦτο μὲν θαύματα ἐποίει, τοῦτο δὲ τοῖς πάθεσιν ὑπέκυπτεν, καὶ οὐχ ὁμολογεῖ, ὅτι τὰ θαύματα καὶ τὰ πάθη ἑνὸς καὶ τοῦ αὐτοῦ, ἅπερ ἑκουσίως ἐν τῇ ἑαυτοῦ ὑπέμεινε σαρκὶ τῇ ὁμουσίῳ ἡμῖν, ἀνάθεμα ἔστω. ὁ λέγων ὅτι ὁ Χριστὸς ὡς ἄνθρωπος ἠλέει, καὶ οὔφησιν αὐτὸν Θεὸν Λόγον, καὶ ἐσταυρωμένον εἶναι, ἵνα ἐλεήσῃ ἡμᾶς, ἀνάθεμα ἔστω. ἀναθεματίζομεν λοιπὸν Παῦλον τὸν Σαμοσατέα, Διόδωρον, Θεόδωρον, καὶ Θεοδώριτον καὶ τοὺς τιμῶντας τὰ ἐκείνων. καὶ ταῦτα γράφων ὁ Πάπας Βιγίλιος Αἱρετικοῖς κρυφίως, διέμενεν ἐν τῷ θρόνῳ τῆς Ῥώμης. ταῦτα ὁ Λιμπερᾶτος περὶ Εὐτυχιανῶν καὶ Νεστοριανῶν κεφαλαίῳ εἰκοστῷ δευτέρῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ ὧν λέγει ὁ Ὀνούφριος ἐπὶ μαρτυρίᾳ τοῦ Βιβλιοθηκαρίου Ἀναστασίου καὶ Βινίου καὶ Βαρωνίου παρανομιῶν τοῦ Βιγιλίου, ὑφ' οὗ καὶ ὁ τοῦ Σιλβερίου φόνος, καὶ περὶ τῆς καθαιρέσεως Βιγιλίου ὑπὸ Σιλβερίου, ἔτι ὄντος ἐν ἐξορίᾳ.

Ὁ Ὀνούφριος παρὰ Πλάτινᾳ ἐν τῷ βίῳ τοῦ Βιγιλίου φησὶ, τοῦ Βιγιλίου ἡ εἴσοδος ὀλίγον ἦν ἔννομος, ἐπειδὴ παρὰ τοὺς ἐκκλησιαστικοὺς Κανόνας, ζῶντος τοῦ προκατόχου αὐτοῦ Σιλβερίου, δυναστικῶς ἐγένετο Πάπας, καὶ διατοῦτο τὸ ἕκτον σχίσμα συνέβη, ὅπερ ἔπαυσεν ὁ θάνατος τοῦ Σιλβερίου, καὶ ἀναμφιβόλως ὁ Βιγίλιος πνεύματι ἀμφιβολίας ἦν ἐπὶ πολὺν χρόνον, διότι οὐ πολὺ πρότερον ἐπὶ τοῦ Πάπα Βονιφατίου δευτέρου ἐποίησεν ἑαυτὸν συμβοηθὸν εἰς τὸ παπᾶτον, καὶ τοῦ πράγματος προβάντος τέως κατὰ τὸν σκοπὸν αὐτοῦ, μετ' ὀλίγον ἥρπασε καὶ τὸν τόπον τοῦ Σιλβερίου, ἅτινα ὁ Σιλβέριος ἐξόριστος ὤν, ἐν μιᾷ τινὶ ἐπιστολῇ, κειμένῃ ἐν τῷ πέμπτῳ τόμῳ τῶν Συνόδων, ἀνασκευάζει, φέρει δὲ εἰς ταῦτα μάρτυρα ὁ Ὀνούφριος τὸν Βιβλιοθηκάριον. ἔγραψε δὲ καὶ καθαίρεσιν τοῦ Βιγιλίου καὶ τῶν ὀπαδῶν αὐτοῦ, ἣν οὕτως ὑπογράφει, Καίλιος Σιλβέριος Πάπας πόλεως Ῥώμης τῷ παρόντι Δεκρέτῳ τοῦ ἀναθέματος τῷ κατὰ Βιγιλίου τοῦ ἅρπαγος γενομένου συμφωνῶν ὑπέγραψα. ὑπέγραψαν ἔτι καὶ Ἐπίσκοποι τέσσαρες, ἐδόθη δὲ τὸ γράμμα διὰ τοῦ Ὑποδιακόνου Ἀναστασίου. ταῦτα ἐκεῖ. ὃ δὲ λέγει ὁ Ἀναστάσιος ἐν τῷ τέλει τοῦ βίου τοῦ Σιλβερίου, ὅτι ἔπαυσεν ἡ Ἐπισκοπὴ ἡμέρας ἕξ, τοῦτο συνάγει ὁ Βίνιος ἐν ταῖς σημειώσεσιν αὐτοῦ λέγων, εἰκός ἐστι τὸν Βιγίλιον μετὰ τὸν θάνατον Σιλβερίου παραιτήσασθαι τὸ παπᾶτον, ὅπερ σιμωνιακῶς ἔλαβε, καὶ ἐξώρισε καὶ ἀπέκτεινε τὸν Σιλβέριον, καὶ μετὰ μηχανῆς ἐκλήθη ὑπὸ τοῦ Βελισαρίου καὶ τοῦ Κλήρου, καὶ φέρει καὶ μάρτυρα τὸν Βαρώνιον, καὶ ὅμως ἐκείνας τὰς ἓξ ἡμέρας πρέπει ἐννοῆσαι, ὅτι ἐμεσολάβησαν εἰς τὴν παραίτησιν τοῦ Σιλβερίου καὶ τὸν ἐνθρονιασμὸν Βιγιλίου, λέγει ὁ αὐτός.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῶν ἀσεβειῶν καὶ παρανομιῶν καὶ συκοφαντιῶν καὶ τοῦ φόνου, ἃ ἐποίησεν ὁ Βιγίλιος τῷ Σιλβερίῳ, καὶ τῆς κατακρίσεως Σιλβερίου ὑπὸ Βελισαρίου καὶ τῆς γυναικὸς αὐτοῦ, ἐξ ὧν οἴχονται αἱ δύο ἐπίπλαστοι μάχαιραι τοῦ Ῥώμης.

Αὐτὸς δὲ σημείωσαι πρῶτον, πῶς ὁ φιλάργυρος καὶ συκοφάντης καὶ σχεδὸν φονεὺς τοῦ Σιλβερίου Βιγίλιος γίνεται Πάπας. δεύτερον, πῶς ὁ Σιλβέριος Πάπας ὤν, κρίνεται ὑπὸ τῆς γυναικὸς τοῦ Στρατηγοῦ, καὶ ὑπ' αὐτοῦ τοῦ Στρατηγοῦ, καὶ καταδικάζεται καὶ ἐξορίζεται, καὶ πῦ αἱ δύο μάχαιραι τοῦ Πάπα Ῥώμης; πῦ τὸ, ὅτι ὁ Πάπας Ῥώμης κρίνει, οὐ κρίνεται; πῦ τὸ, ὅτι ἐστὶν ὑπὲρ τοὺς Αὐτοκράτορας; τρίτον, πῶς ὁ Βιγίλιος ὅτε μετὰ τὸν θάνατον τοῦ Σιλβερίου ἔγραψε τὴν αἱρετικὴν ἐπιστολὴν, ὅτε εἶχεν αὐτὸν ὅλος ὁ κόσμος ὡς Πάπαν, καὶ ἐκυβέρνα ὡς Πάπας τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, ὑπογράφει καὶ βεβαιοῖ τὴν Αἵρεσιν, ταὐτὸν εἰπεῖν, ὁ Πάπας Βιγίλιος ἦν Αἱρετικὸς Μονοφυσίτης, ἀναθεματίζων τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ ἀναθεματιζόμενος ὑπ' αὐτῆς, καὶ γνῶθι καὶ ἐκ τούτων, ὅτι ὁ Ἐπίσκοπος τῆς Ῥώμης οὔτε ἀναμάρτητος οὔτε κεφαλὴ τῆς καθόλου Ἐκκλησίας ἐστὶν, ἀλλ' ὀρθοδοξῶν μὲν, Ἐπίσκοπος Ῥώμης, κακοδοξῶν δὲ, ἀπόβλητος, καὶ οὐδὲ Ἐπίσκοπος, οὐδὲ Χριστιανός.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ὁ Πλάτινας ὑπαντὴν, ῥαβδισμοὺς, καταισχύνην, κάθειρξιν, καὶ ἀπαγωγὴν εἰς κρίσιν ὡς φονεῖ τῷ Βιγιλίῳ ὑπὸ τοῦ Βασιλέως Ἰουστινιανοῦ ἐν ταὐτῷ γενόμενα ἱστορῶν, καθαρώτατος ἐν ταῦθα δείκνυται ψεύστης.

Συγχέει ἐν ταῦθα ὁ Πλάτινας τὴν ἀλήθειαν τρισίτισι, πρῶτον λέγων, ὅτι τῷ Βιγιλίῳ προϋπήντησεν αὐτὸς ὁ ἴδιος Ἰουστινιανὸς, καὶ ἔφερεν αὐτὸν ἕως εἰς τὴν ἁγίαν Σοφίαν. δεύτερον, ὅτι ὁ Βασιλεὺς ἀκούων

ἀκούων τῆς Βασιλίσσης βοηθούσης τῇ Αἱρέσει τῶν Ἀκεφάλων, ἐκέλευσε καὶ ἔδειραν τὸν Βιγίλιον, ὅστις φεύγων τὴν ἀνάγκην, ἐκρύβη εἰς τὸν Ναὸν τῆς ἁγίας Εὐφημίας, ἀφ' οὗ ἐκβαλόντες αὐτὸν οἱ τοῦ Βασιλέως ὑπηρέται, καὶ δήσαντες σχοινίῳ, ἔσυραν εἰς ὅλην τὴν πόλιν, εἶτα ἀπέκλεισαν αὐτὸν εἰς μίαν σκοτεινὴν φυλακὴν, καὶ ἔζη μόνῳ ἄρτῳ καὶ ὕδατι, καὶ τοὺς σὺν αὐτῷ Κληρικοὺς ἐξώρισεν εἰς διαφόρους τόπους, διὰ δὲ τὸ δεηθῆναι τοὺς Ῥωμαίους Ναρσῆ τοῦ Στρατηγοῦ, ἔγραψεν ἐκεῖνος τῷ Βασιλεῖ καὶ ἀφῆκεν αὐτοὺς ὅλους. Ἀλλὰ ῥητέον, πρὸς μὲν τὸ πρῶτον μάχεται αὐτὸς ἑαυτῷ ὁ Πλάτινας, καθότι λέγει, ὅτι ἡ Βασίλισσα ἔχουσα καί τινας Ῥωμαίους συνεργοὺς, ἔκραξε τὸν Βιγίλιον εἰς κρίσιν, ἐγκαλοῦσα αὐτῷ ὅτι ἐνήργησεν ἐξορισθῆναι τὸν Σιλβέριον, καὶ ὅτι τῇ προσταγῇ αὐτοῦ ἐφονεύθη ὁ υἱὸς Ἀστερίου τοῦ γερουσιάρχου, καὶ δὴ λέγει, ὅτι καὶ Ἄνθιμόν τινα ἔστειλεν εἰς Ῥώμην, καὶ ἔδησε τὸν Βιγίλιον ἔνδον εἰς τὸν Ναὸν τῆς ἁγίας Κιλικίας, καὶ ἔφερεν αὐτὸν εἰς τὸ Βυζάντιον. καὶ λοιπὸν εἰ ἤχθη εἰς τὸ Βυζάντιον ὁ Βιγίλιος ἵνα κριθῇ ὡς συκοφάντης καὶ ὡς φονεὺς, καὶ μάλιστα δεδεμένος, πῶς προϋπήντησεν αὐτῷ ὁ Ἰουστινιανός; ἀλλὰ περὶ τοιούτων εἴρηται ἀνωτέρω καὶ ῥηθήσεται ἐν πολλοῖς. πρὸς δὲ τὸ δεύτερον, καὶ τοῦτο γὰρ ψεῦδος, πρῶτον, ὅτι μήτε Ἀρείῳ μήτε Νεστορίῳ ἐγένετο τοιαύτη αἰσχύνη, μήτε ἑτέρῳ τινὶ Αἱρεσιάρχῃ, καὶ πῶς ἐγένετο τῷ Βιγιλίῳ; ὅστις καὶ ἐν τῷ θρόνῳ ἦν ἔτι, καὶ εἰς τὸ φανερὸν ὁμόπιστος τῷ Βασιλεῖ. δεύτερον, ὅτι ἡ Βασίλισσα εἰ ἐδύνατο ποιῆσαί τι τοιοῦτον τῷ Βιγιλίῳ, ἐποίει τοῦτο καὶ Μηνᾷ καὶ Ἀγαπητῷ, ἀλλ' οὐκ ἐδυνήθη, ἄρα. ἔπειτα οἱ Ἀνατολικοὶ, καὶ μάλιστα οἱ ἐχθροὶ τοῦ Ἰουστινιανοῦ Εὐάγριος καὶ Προκόπιος οἱ ἱστορικοὶ, οἱ εἰπόντες πολλὰ κατ' αὐτοῦ, εἶχον ἂν εἰπεῖν αὐτὸ τοῦτο πρῶτον, ὅτι δηλονότι Πατριάρχην τὸν πρῶτον ἀδίκως τοσοῦτον ἐκάκωσε, καὶ μάλιστα ὁ Προκόπιος, ὅστις τὰ κατὰ Παῦλον τὸν Ἀλεξανδρείας εἶπεν εἰς ψόγον τοῦ Βασιλέως, καὶ πῶς τοῦτο ἐσιώπησεν; ἀλλ' οὐκ εἶπόν τι τοιοῦτον, ἄρα ψεύδεται ὁ Πλάτινας, καὶ ὅσοι ἄλλοι λέγουσι τὰ τοιαῦτα, ὅστις ἀντὶ τοῦ εἰπεῖν τὰ παρατιώματα τοῦ Βιγιλίου εἰς τὴν ὀρθόδοξον πίστιν, εἶπεν ὅτι ἵνα μὴ συγκοινωνήσῃ τῇ Αἱρέσει ἔπαθε κακῶς.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἐκ τοῦ ἀντεπιτιμηθῆναι ὑπὸ τοῦ Κωνσταντινουπόλεως Μηνᾶ τὸν Βιγίλιον Ῥώμης, προπέμψαντα αὐτῷ ἀλόγως ἀκοινωνησίαν, καὶ ἐκ τοῦ ἑλκυσθῆναι ἀπὸ τῆς ἁγίας τραπέζης τὸν Βιγίλιον, καὶ ἀνατρέψαι αὐτὴν συρόμενον ὑπὸ τῶν εἰς ἀπαγωγὴν αὐτοῦ σταλέντων παρὰ τοῦ Βασιλέως Ἰουστινιανοῦ στρατιωτῶν, διὰ τὸ μὴ τὴν διόρθωσιν, ὡς ὑπέσχετο τῷ Βασιλεῖ, τριῶν τινῶν αἱρετικῶν κεφαλαίων ποιῆσαι πρὸς ἕνωσιν τῶν Ἐκκλησιῶν κατὰ τὴν ἀληθῆ ἱστορίαν τοῦ Θεοφάνους, δείκνυται μὴ εἶναι αὐτοκράτορα τῆς Ἐκκλησίας τὸν Ῥώμης, μήτε ὡς βικάριον Χριστοῦ τιμώμενον, ἀλλ' ὡς Πατριάρχην Ῥώμης.

Αὐτὸς ὅμως φιλαναγνῶστα ἰδὲ τὴν ἀληθινὴν ἱστορίαν εἰς τὸν Θεοφάνη, ὅστι λέγει, ὅτι ὁ Ῥώμης Βιγίλιος ἐλθὼν εἰς τὸ Βυζάντιον τῷ εἰκοστῷ ἔτει Ἰουστινιανοῦ, ἐδέχθη μετὰ μεγάλης τιμῆς, ὑπεσχέθη δὲ ἑνῶσαι τὴν Ἐκκλησίαν διὰ τὰ τρία κεφάλαια τῆς Αἱρέσεως, περὶ ὧν λέξομεν, ὀγκωθεὶς ὅμως ὑπὸ τῆς τιμῆς, ἔπεμψε τῷ Κωνσταντινουπόλεως Πατριάρχῃ Μηνᾷ ἀκοινωνησίαν τεσσάρων Μηνῶν, πλὴν ἀντέπεμψε καὶ ὁ Μηνᾶς τῷ Βιγιλίῳ τὸ αὐτὸ ἐπιτίμιον. ἀγανακτήσας δὲ ὁ Βασιλεὺς διὰ τὴν παρανομίαν τοῦ Βιγιλίου ταύτην, καὶ διότι συνεπέραινε διορθῶσαι τὸ ζήτημα τῶν τριῶν κεφαλαίων, ἀπέστειλε τοὺς ἄξοντας αὐτὸν πρὸς ἑαυτὸν, φοβηθεὶς δὲ ὁ Βιγίλιος τὴν ὀργὴν τοῦ Βασιλέως, προσέφυγεν εἰς τὴν Ἐκκλησίαν τοῦ ἁγίου Σεργίου τὴν λεγομένην τοῦ Ὁρμίσδου, καὶ ἐπελάβετο τῶν κιόνων τῆς ἁγίας τραπέζης, συρόμενος δὲ βίᾳ ὑπὸ τῶν στρατιωτῶν, ἐκρήμνισε τὴν ἁγίαν τράπεζαν βαρὺς ὤν. μεταμεληθεὶς ὅμως ὁ Βασιλεὺς συνεχώρησεν αὐτῷ. ὕστερον δὲ ἡ Βασίλισσα μεσιτεύσασα εἰρήνευσε τὸν Βιγίλιον μετὰ τοῦ Μηνᾶ. Σημείωσαι δὲ, εἰ ἦν ὁ Ῥώμης αὐτοκράτωρ τῆς Ἐκκλησίας, πῶς ὁ Μηνᾶς ἀντεπετίμησεν αὐτῷ; καὶ πῶς ὁ Βασιλεὺς οὐκ ἐπαίδευσε τὸν Μηνᾶν τὸ πρόβατον, τὸ ἀργία καθυποβαλὸν τὸν ποιμένα Βιγίλιον; καὶ εἰ προϋπήντησε τὸν Βιγίλιον ὁ Βασιλεὺς, πῶς πάλιν ἕλκει αὐτὸν βιαίως ἀπὸ τοῦ θυσιαστηρίου; καὶ εἰ ὁ Ῥώμης οὐσφάλλεται εἰς τὴν πίστιν, πῶς ἐκακοτρόπει εἰς τὴν διόρθωσιν τῶν τριῶν κεφαλαίων; Σημείωσαι ὅτι ἡ τιμὴ, ὁποία ἄρα εἴη, οὐκ ἐγένετο αὐτῷ ὡς βικαρίῳ τοῦ Χριστοῦ, ἀλλ' ὡς Πατριάρχῃ τῆς Ῥώμης, ᾗ ἐπειδὴ κατεχρήσατο, ἐξουθενώθη. ἐκεῖνο δὲ, ὅτι ἐδεήθη ἡ Βασιλὶς Σιλβερίῳ καὶ Βιγιλίῳ ἀποβαλεῖν τὸν Μηνᾶν, καὶ ἀποκαταστῆσαι Ἄνθιμον καὶ Σεβῆρον, ἐστὶ κόμπος λατινικὸς, καθότι μόνοι καὶ χωρὶς Συνόδου τοιοῦτόν τι πρᾶξαι οὐκ ἐδύναντο, ὡς δηλοῖ τὰ οὐ πολὺ πρότερον εἰρημένα, ἀλλὰ μόνους συγκοινωνοὺς αὐτοὺς ἤθελεν, ἐπειδὴ ἀπὸ τῶν Ἀνατολικῶν Πατριαρχῶν ἦν ἀπηλπισμένη, καὶ ἤλπιζεν ἀπὸ τῶν Ῥωμαίων μερικὴν βοήθειαν, καθὼς ὁ Ζήνων ἀπὸ τοῦ Μογγοῦ καὶ ἀπὸ τοῦ Κναφέως, καὶ ὁ Κωνσταντίος ἀπὸ τοῦ Ὁσίου, ὃν ἐβίασε καὶ ὑπέγραψεν εἰς τὸν ἀρειανισμόν.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ ὧν ὁ Βίνιος, Βαρωνίῳ καὶ Βελλαρμίνῳ ἑπόμενος, ἐπιχειρεῖ τριῶν αἰτιαμάτων, ἐπιλαμβανόμενος

τοῦ

τοῦ Λιμπεράτου, ὅπως ἀποδείξῃ τὴν πρὸς Θεοδώραν Βασίλισσαν ἐπιστολὴν τοῦ Βιγιλίου πεπλασμένην, καὶ περὶ λύσεως πρὸς τὰς δύο αὐτοῦ αἰτίας, πρὸς δὲ τὴν τρίτην, ἐξίσου δείκνυνται ἐνταῦθα οἱ τρεῖς οὗτοι Γίγαντες τῆς παπολατρείας ψευδόμενοι.

Ὁ Βίνιος ἑπόμενος Βαρωνίῳ καὶ Βελλαρμίνῳ, ἐπιλαμβάνεται τοῦ Λιμπεράτου, ὅπως ἀποδείξῃ τὴν πρὸς Θεοδώραν τοῦ Βιγιλίου ἐπιστολὴν πεπλασμένην, οὗ τὰ κυριώτερα αἰτιάματα εἰσὶ ταῦτα, ὅτι ἡ ἕκτη Οἰκουμενικὴ λέγει ἐν τῇ δεκάτῃ τετάρτῃ αὐτῆς πράξει, ἀνάθεμα τῷ βιβλίῳ, ὃ λέγεται Μηνᾶ πρὸς Βιγίλιον, ἀνάθεμα τοῖς βιβλιαρίοις, ἃ λέγεται ὑπὸ Βιγιλίου ἐκτεθεῖναι πρὸς Ἰουστινιανὸν καὶ Θεοδώραν, οὓς ἡ ἐπιγραφὴ τῆς ἐπιστολῆς κυρίους ἀποκαλεῖ. δεύτερον, ὅτι λέγει τὸν Κύριλλον ἐπαινέσαι τὸν Μοψουεστίας Θεόδωρον, ὅπερ ἀντίκειται τοῖς Κυρίλλου συγγράμμασι καὶ τῇ τρίτῃ Οἰκουμενικῇ Συνόδῳ. τρίτον, εἰ ἦν ἡ ἐπιστολὴ Βιγιλίου πρὸς Θεοδώραν ἀληθὴς, πῶς οὐκ ὠνείδισαν αὐτῷ τοῦτο οἱ πατέρες τῆς πέμπτης Συνόδου; ταῦτα ὁ Βίνιος. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι ἀληθῶς ὁ Κύριλλος οἰκονομίας τρόπῳ ἐσιώπησε πρὸς καιρὸν τὰς ἀσεβείας τοῦ Μοψουεστίας, ὡς γράφει πρὸς Κωνσταντινουπόλεως Πρόκλον, ὅθεν ἐκείνην τὴν οἰκονομίαν ἴσως ὑπεσημείωσεν ὁ Λιμπεράτος, εἰ καὶ μὴ ὀνομαστὶ, καὶ οὐχ ἁπλῶς εἶπεν, ὅτι ὁ Κύριλλος ἐπῄνεσε τὸν Αἱρετικόν. πρὸς δὲ τὸ δεύτερον, ὅτι ὁ Βιγίλιος περὶ τῶν τριῶν κεφαλαίων ἄλλα εἶπεν ἐν τῷ Ἰλλυρικῷ, ἄλλα ἐν Ἰταλίᾳ, καὶ ἄλλα εἶπε καὶ ἔπλασεν ἐν Κωνσταντινουπόλει. ἡ πέμπτη Σύνοδος ὅμως περὶ πάντων τούτων ἐσιώπησεν, οἰκονομικῶς μέντοι, οὕτως οὖν ἐσιώπησε καὶ τὰς ἄλλας τοῦ Βιγιλίου παρατροπάς. δεύτερον, ἡ Σύνοδος ἐσιώπησεν, ἀλλ' οὐχ οἱ Ἄφροι καὶ Γάλλοι, οἵτινες ἠγωνίσθησαν κατὰ τοῦ Βιγιλίου καὶ μετὰ τὴν Σύνοδον, ὡς εἴρηται ἀνωτέρω, οὕτω καὶ τὰ σιωπηθέντα τῇ Συνόδῳ τοῦ Βιγιλίου πρὸς Θεοδώραν εἶπον ἄλλοι, καὶ ἱστόρησεν ὁ Λιμπεράτος. τρίτον, τὰ πρὸς Θεοδώραν τοῦ Βιγιλίου γράμματα ἐγράφησαν οὐ συνοδικῶς, ἀλλ' ἰδίως, καὶ ἴσως μεμενήκασιν ἀνήκουστα τοῖς τότε πατράσι κοινῶς, μεταταῦτα δὲ ἀκουσθέντα καὶ γνωσθέντα, ἱστορήθησαν, ὡς καὶ ἄλλα πολλὰ τοιαῦτα γεγόνασι. πρὸς δὲ τὸ τρίτον, ψεύδονται ἐξίσου καὶ οἱ τρεῖς Γίγαντες τῆς παπολατρείας, ἐπειδὴ ἐν τῇ ἕκτῃ Συνόδῳ οὐκ ἀνεθεματίσθη ἡ ἐπιστολὴ, ἤτουν ὁ λίβελλος Βιγιλίου πρὸς Θεοδώραν, ἀλλ' οἱ λίβελλοι Βιγιλίου πρὸς Ἰουστινιανὸν καὶ Θεοδώραν, καὶ γὰρ διαφέρουσιν, ἐπειδὴ ὁ μὲν γράφει πρὸς Θεοδώραν μόνην, οἱ δὲ πεπλασμένοι εἰσὶ, καὶ ἐπιγράφονται Βιγιλίου πρὸς Ἰουστινιανὸν καὶ Θεοδώραν. καὶ ὁ μὲν ἀναθεματίζει τὸν Σαμοσατέα, Διόδωρον, καὶ Θεοδώριτον, οἱ δὲ μόνους Διόδωρον, Θεοδωρίτου τὰ γραφέντα κατὰ τῶν δώδεκα κεφαλαίων, καὶ Θεόδωρον. καὶ ὁ μὲν μόνην τὴν Αἵρεσιν τῶν Μονοφυσιτῶν ὑπογράφει, οἱ δὲ λέγουσι τὸν Μοψουεστίας εἰπεῖν τὸν Χριστὸν μίαν ὑπόστασιν, ἓν πρόσωπον, καὶ μίαν ἐνέργειαν. πρὸς τούτοις ῥητῶς ἀπεδείχθη ἐν τῇ ἕκτῃ Συνόδῳ, ὅτι ἐκεῖνοι οἱ λίβελλοι ἐπλάσθησαν ὑπὸ τῶν Αἱρετικῶν, καὶ ἐτέθησαν ἐν τῇ ἑβδόμῃ πράξει τῆς πέμπτης Συνόδου. εἶτα ψεῦδός ἐστι ὅτι ἐῤῥέθη ἐν τῇ Συνόδῳ, οὓς ἡ ἐπιγραφὴ τῶν λιβέλλων κυρίους ἀποκαλεῖ, καὶ ἰδὲ τὸν τόπον. ὥστε φθορεύς ἐστι τῆς Συνόδου ὁ Βίνιος. δῆλον οὖν ἐστὶν ἄλλον εἶναι τὸν πρὸς Θεοδώραν λίβελλον, ὃς καὶ ἀληθής ἐστι, καὶ ἀνέλεγκτος ἔμεινε, καὶ ἄλλοι οἱ πεπλασμένοι λίβελλοι, οὓς ἡ Σύνοδος ἀνεθεμάτισεν. ὥστε διαπεφώνηκε καὶ ἐνταῦθα ὁ Βίνιος. ἐκεῖνο δὲ, ὅτι εἶπεν ὁ Πάπας δηλονότι ἐν τῇ πρὸς Θεοδώραν ἐπιστολῇ, ἤτουν λιβέλλῳ τοὺς Βασιλεῖς κυρίους, οὐ καινὸν ἐστὶ, καὶ γὰρ ὁ αὐτὸς Βιγίλιος ἐν τῇ πρὸς Εὐτύχιον ὑπὲρ τῆς πέμπτης Συνόδου ἐπιστολῇ, τὸν Ἰουστινιανὸν Δεσπότην αὐτοῦ εἶπε, καὶ ἰδὲ κατωτέρω κεφαλαίου δεκάτου ἕκτου Παράγραφον δέκατον. καὶ ὁ Πάπας Μαρτῖνος ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα Κῶνσταν ἀναφορᾷ, Δεσπότην αὐτοῦ εἶπε τὸν Κῶνσταν. καὶ ἰδὲ κατωτέρω βιβλίου ἕκτου, κεφαλαίου ἑβδόμου Παράγραφον ὄγδοον.

ΚΕΦΑ'ΛΑΙΟΝ ΙΕ'.

Περὶ συνοπτικῆς διηγήσεως τῶν κατὰ Ὠριγένους Συνόδων, καὶ τῶν τριῶν κεφαλαίων ἐπὶ Μηνᾶ. καὶ τί ἐστι ταῦτα τὰ τρία κεφάλαια, καὶ τὶς ὁ αἴτιος τῇ συναινέσει τοῦ Βασιλέως Ἰουστινιανοῦ εἰς τὴν τῶν τριῶν κεφαλαίων κατάκρισιν, παριδόντος τὴν κατὰ Ὠριγένους, Εὐαγρίου καὶ Διδύμου ἀγωγὴν τῶν Παλαιστινῶν Μοναχῶν, καὶ περὶ τῶν μεταξὺ Βιγιλίου καὶ Μηνᾶ ἀντικαθαιρέσεων, καὶ τῶν ἐν Ἀνατολῇ καὶ Δύσει συγχύσεων ἕνεκεν τῶν τριῶν τούτων κεφαλαίων.

Εἰ καὶ ὁ Ἀλεξανδρείας Θεόφιλος, καὶ ὁ Κύπρου Ἐπιφάνιος μετὰ τῶν οἰκείων Συνόδων κατέκρινον τὸν Ὠριγένη καὶ τὰ συγγράμματα αὐτοῦ, ὡς ἱστορεῖ ὁ Σωκράτης βιβλίῳ ἕκτῳ, κεφαλαίῳ δεκάτῳ τρίτῳ, καὶ τὴν κατάκρισιν ταύτην ἐδέξατο καὶ ὁ Ῥώμης Ἐπίσκοπος Ἀναστάσιος, βεβαιώσας μετὰ πάσης τῆς Δυτικῆς Συνόδου τὰ ἐν Ἀλεξανδρείᾳ κατὰ τοῦ Ὠριγένους πεπραγμένα, ὡς λέγει ὁ Ἰουστινιανὸν ἐν τῷ πρὸς Μηνᾶν αὐτοῦ

αὐτοῦ λόγῳ, ἀλλὰ καὶ ἐπὶ Μηνᾶ, γενομένης Συνόδου προσαγῇ τοῦ Ἰουστινιανοῦ ἐν Κωνσταντινουπόλει, ἐν ἔτει πεντακοσιοστῷ τεσσαρακοστῷ πρώτῳ, κατεκρίθησαν ὡσαύτως. καὶ ὁ Βασιλεὺς πραγματείαν ἐξέθετο περὶ τῶν σφαλμάτων τοῦ Ὠριγένους, ἣν καὶ πρὸς Μηνᾶν τοῦτον τὸν Κωνσταντινουπόλεως ἐπέγραψε. Θεόδωρος ὅμως Μητροπολίτης τῆς Καισαρείας Καππαδοκίας ὁ ἐπικαλούμενος Ἀσκιδᾶς, διάπυρος ὢν τοῦ Ὠριγένους ὑπεραπιστὴς, καὶ τοῦ Ἰουστινιανοῦ ἀκρότατος φίλος, ἰδὼν τὰ Ὠριγένους οὕτω ψήφοις συνοδικαῖς κατακριθέντα, καὶ βουλόμενος ἀποστρέψαι τὴν τοῦ Βασιλέως γνώμην τῶν συνόδων τούτων, εὗρε καὶ ἑτέραν βοήθειαν τῆς γνώμης αὐτοῦ, εἰς γὰρ τὴν Παλαιστίνην ἐν τῇ νέᾳ Λαύρᾳ, ἥτις κεῖται καταβαίνουσιν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ δεξιὰ, τινὲς Μοναχοὶ εἶχον τὸν Ὠριγένη εἰς ἔπαινον, οὓς ὡς καθάρματα ἐδίωξεν ὁ Ἱεροσολύμων Εὐστόχιος καὶ διέσπειρεν, εἶτα πέμπει εἰς τὸν Βασιλέα Ῥοῦφον Ἡγούμενον τῆς Μονῆς Θεοδοσίου τοῦ Κοινοβιάρχου, καὶ Κόνωνα Ἡγούμενον τῆς Λαύρας, δυνατοὺς ἀπὸ τῆς ἀρετῆς, καὶ πρώτους ἀπὸ τῶν Μοναστηρίων αὐτῶν, οἷς συνηκολούθησαν καὶ ἕτεροι τοιοῦτο περίφημοι πολλοὶ, οἵτινες ἐλθόντες εἰς Κωνσταντινούπολιν, ἐκίνησαν ἀγωγὴν κατὰ τῶν βλασφήμων Ὠριγένους, Εὐαγρίου, καὶ Διδύμου. ὁ Ἀσκιδᾶς οὖν νομίσας ἐκβαλεῖν αὐτοὺς τοῦ προκειμένου σκοποῦ, ἔπεισε καὶ ἐκίνησαν ἀγωγὴν καὶ κατὰ τῶν τριῶν κεφαλαίων, ἤτοι κατὰ τῶν βλασφημιῶν Θεοδώρου Μοψουεστίας, καὶ τῶν γραφέντων Θεοδωρίτῳ κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ τῆς ἐν Ἐφέσῳ ἁγίας Συνόδου, καὶ τῆς λεγομένης ἐπιστολῆς Ἴβα πρὸς Μάρην τὸν Πέρσην, Εὐάγριος βιβλίῳ τετάρτῳ, κεφαλαίῳ εἰκοστῷ ὀγδόῳ. κατὰ γὰρ τοῦτον τὸν χρόνον ἦσαν Αἱρετικῶν γένη, μάλιστα δύο συγχέοντα τὴν Ἐκκλησίαν, Νεστοριανοὶ καὶ Μονοφυσῖται. οἱ μὲν γὰρ Νεστοριανοὶ ὁρῶντες ἑαυτοὺς τῇ αὐθεντίᾳ τῆς ἐν Ἐφέσῳ Συνόδου καταβαλλομένους, καὶ μηκέτι δυναμένους γυμνῇ τῇ κεφαλῇ τὴν ἑαυτῶν κηρύττειν ἀσέβειαν, δι' ἐνέδρας ποικίλης ἐσκευώρουν, ἔσπευδόν τε διαφόρως ὑποκρύπτεσθαι ἑαυτοὺς ὡς πρὸς κρησφύγετον τὴν ἐν Χαλκηδόνι Σύνοδον, μεγάλοις τε ἐγκωμίοις ἐξαίροντες τοὺς εἰρημένους, Θεόδωδωρόν τε τὸν Μοψουεστίας, Θεοδώριτον Κύρου, καὶ Ἴβαν Ἐδέσσης, τὸν μὲν Θεόδωρον ὡς οἰκεῖον, ἐν γὰρ ταῖς ἐκδοθείσαις αὐτῷ βίβλοις βοηθεῖν ἐδόκει αὐτοῖς, τὸν δὲ Θεοδώριτον, ὡς γενναίως ἀντιστάντα τῇ ἐν Ἐφέσῳ Συνόδῳ, καὶ τοῖς Κυρίλλου κεφαλαίοις, τὸν δὲ Ἴβαν, διότι ἐν τῇ πρὸς Μάρην τὸν Πέρσην ἐπιστολῇ ἐπελάβετο μὲν τοῦ Κυρίλλου, ἐπῄνεσε δὲ τὸν Θεοδώριτον, καὶ πρὰ ταῦτα εἶπε τινὰ τοῖς Νεστοριανοῖς σύμφρονα. τοῦτο δὲ ἐποίουν μάλιστα, διότι τούτους καὶ τὰ τούτων συγγράμματα ἡ ἐν Χαλκηδόνι Σύνοδος ἢ ἀπεδέξατο, ἢ οὐκ ἀπεδοκίμασεν. ὅτου χάριν τὴν περίβλεπτον ἐκείνην Σύνοδον ἔσπευδον, καίτοι διεστραμμένως, παρασῦραι εἰς βοήθειαν τῆς ἰδίας αὐτῶν Αἱρέσεως. ἐκ τοῦ ἐναντίου δὲ οἱ Μονοφυσῖται ἀπεβάλλοντο τὴν ἐν Χαλκηδόνι Σύνοδον δι' αἰτίαν τῶν τριῶν τούτων κεφαλαίων, διότι ἐδέξατο εἰς κοινωνίαν τὸν Θεοδώριτον, Ἴβαν δὲ καὶ τὴν ἐκείνου ἐπιστολὴν ἐπεκύρωσεν, ἅπερ δοκοῦσι τῇ Αἱρέσει τοῦ Νεστορίου συναρήγειν. τούτων οὕτως ἐχόντων, ὁ Ἀσκιδᾶς ἔπεισε τὸν Βασιλέα εἰς τὴν τῶν τριῶν κεφαλαίων κατάκρισιν, ἔλεγε γὰρ αὐτῷ, ὅτι ἐὰν καταδικάσῃ Θεοδώριτον καὶ Ἴβαν, ῥᾳδίως μεταγάγοιτο ἂν τοὺς Ἀκεφάλους πρὸς τὴν αὐτοῦ ἔννοιαν καὶ ὁμοφροσύνην, ἦν δὲ καὶ βοηθὸς αὐτῷ πρὸς τὸν Βασιλέα περὶ τούτων Δομετιανὸς ὁ τῶν ἀπορρήτων μύστης, ὡς μαρτυροῦσιν οἱ τότε ζῶντες καὶ συγγράψαντες τὰ περὶ τούτων φακοῦνδος, βιβλίῳ πρώτῳ, κεφαλαίῳ δευτέρῳ, καὶ βιβλίῳ τετάρτῳ, κεφαλαίῳ τετάρτῳ, καὶ Λιμπεράτος, κεφαλαίῳ εἰκοστῷ τετάρτῳ. συνῄνεσεν οὖν ὁ Βασιλεὺς τῷ δολίῳ Ἀσκιδᾷ, καὶ ἔδωκεν Ἤδικτον παραυτίκα κατὰ τῶν τριῶν κεφαλαίων, καὶ δὴ καὶ Σύνοδον ἤθροισε περὶ τούτων ἐν Κωνσταντινουπόλει, ἐν ἔτει πεντακοσιοστῷ τεσσαρακοστῷ ἕκτῳ ἐπὶ Μηνᾶ, βεβαιοῦσαν τὴν ἀπόφασιν αὐτοῦ κατὰ τῶν τριῶν κεφαλαίων. ἐν τούτοις ὁ Πάπας Βιγίλιος ἐξῆλθε τῆς Ῥώμης Νοεμβρίου εἰκοστῇ δευτέρᾳ, τῷ διαληφθέντι ἔτει, ἤτοι τῷ πεντακοσιοστῷ τεσσαρακοστῷ ἕκτῳ, καὶ ἦλθεν εἰς Κωνσταντινούπολιν διὰ τοῦ Ἰλλυρικοῦ Ἰαννουαρίου εἰκοστῇ πέμπτῃ, ἔτι δὲ ὢν ἐν τῇ ὁδῷ, καὶ μαθὼν ὅτι τὰ τρία κεφάλαια συνοδικῶς κατέκρινεν ὁ Μηνᾶς, ἠπείλησεν αὐτῷ, καὶ τοὺς σὺν αὐτῷ ἀναθεματίσαι, εἰ μὴ μεταγνοῖεν, ὧν ἔπραξαν. φθάσας δὲ εἰς Κωνσταντινούπολιν, καὶ ἐξετάσας τὰ τοῦ Μηνᾶ, ἐκάθηρεν αὐτὸν, καὶ καθεξῆς γεγόνασι τὰ εἰρημένα ἐν τῷ ἀνωτέρῳ προσεχῶς κεφαλαίῳ. εἰρηνεύσας δὲ μετὰ τοῦ Μηνᾶ, συνήθροισε τῷ ἑξῆς ἔτει, ἤτοι τῷ πεντακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ τριάκοντα Ἐπισκόπων Σύνοδον, ἢ καὶ ἄλλοι λέγουσιν ὅτι ἦσαν ἑβδομήκοντα, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. λαληθέντων οὖν ἐξ ἑκατέρου μέρους καὶ ἀκουσθέντων λόγων πολλῶν, τὴν περὶ τῶν τριῶν κεφαλαίων ἀντιλογίαν ἀναβλητέαν εἶναι μέχρι τοῦ γενέσθαι Οἰκουμενικὴν Σύνοδον, ἐν ᾗ γενήσεσθαι τὴν περὶ τούτων ἀπόφασιν, ὁ Βιγίλιος ὑπετύπωσεν, ὅπερ ταὐτόν ἐστιν, ὅτι τὰ κεφάλαια ἅπερ ἀνεθεμάτισε πρότερον ὑπούλως, περιεποιήθη, κρίνας τὴν περὶ τούτων ψῆφον ἐκδέχεσθαι Οἰκουμενικὴν Σύνοδον. συμβέβηκε δὲ ἀπὸ τούτου σκάδαλα ἐν τῇ Ἀνατολῇ, γενομένων ζητήσεων, καὶ γὰρ ἐζητήθησαν αἱ γνῶμαι τῶν Πατριαρχῶν καὶ τῶν Μητροπολιτῶν τῆς Ἀνατολῆς. ἵνα γὰρ κατακριθῶσι τὰ τρία ταῦτα κεφάλαια, μετὰ πολλῆς ἐπιμελείας οἱ πλεῖστοι τῶν ὀρθοδόξων ἠγωνίζοντο, ἄλλοι δὲ ἀνθίσταντο, φοβούμενοι μὴ φανῶσι κατὰ τοῦτον τὸν τρόπον τὴν ἐν Χαλκηδόνι Σύνοδον κατακρίνοντες. οὐ μὴν ἀλλὰ καὶ εἰς τὴν Δύσιν ἐγένετο περισσοτέρα σύγχυσις, καταβοώντων τῶν Ἀφρικανῶν καὶ τῶν Δυτικῶν Ἀρχιερέων τοῦ Βιγιλίου, ὅτι καθυπέβαλε τὴν ἐξουσίαν τῆς ἐν Χαλκηδόνι Σύνοδου, προδέδωκε τὴν πίστιν, καὶ ἐμόλυνε τὴν Ἐκκλησίαν δόγματι πονηρῷ. καὶ κατ' ἐκεῖνο καιροῦ στοφὸς

ἀνὴρ

ἀνὴρ ὁ Φακοῦνδος ἔγραψε κατὰ Βιγιλίου, διὰ πολλῶν ὕβρεων ψέγων αὐτὸν καὶ διαμεμφόμενος ἐν τῷ κατὰ Μοκιανοῦ βιβλίῳ. καὶ οὐ μόνον ἐν τῇ Δύσει, ἀλλὰ καὶ ἐν Κωνσταντινουπόλει πολλοὶ τὸν Βιγίλιον ἔψεγον, ὧν πρῶτος ἦν Φίληξ Μοναχὸς τοῦ Γιλλιτανοῦ Μοναστηρίου Ἡγούμενος, ὃς καὶ ἄλλους πολλοὺς ὑπέσυρεν ἐν τῇ γνώμῃ αὐτοῦ, καὶ ἔτι Ῥουστικὸν καὶ Σεβαστιανὸν Διακόνους, ὄντας πρότερον κήρυκας τοῦ Ἰουδικάτου, ἤτοι τῆς κρίσεως τοῦ Βιγιλίου, ὅθεν καὶ ἐχωρίσθησαν τῆς κοινωνίας αὐτοῦ, ὡς ἱστορεῖ διὰ πολλῶν ὁ Φακοῦνδος, βιβλίῳ δευτέρῳ, κεφαλαίῳ δευτέρῳ, καὶ βιβλίῳ τετάρτῳ, κεφαλαίῳ τρίτῳ καὶ τετάρτῳ, καὶ Λιμπεράτος ἐν τῷ Συνοπτικῷ, κεφαλαίῳ εἰκοστῷ τετάρτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν ἐν Ἰλλυρικῷ καὶ Ἀφρικῇ Συνόδων ὑπὲρ τῶν τριῶν κεφαλαίων, καὶ τῆς κατακρίσεως Βιγιλίου ὑπὸ τῆς ἐν Ἀφρικῇ Συνόδου, καὶ περὶ τῶν περιτροπῶν τοῦ Βιγιλίου, ποτὲ μὲν ἀποβάλλοντος, ποτὲ δὲ ἀποδεχομένου τὰ τρία κεφάλαια.

Οἱ Ἰλλυριοὶ Ἐπίσκοποι, διαβαίνοντος ἐκεῖθεν τοῦ Βιγιλίου, ἐδεήθησαν αὐτοῦ μὴ παραδεχθῆναι καινοτομίαν τινὰ περὶ τῶν τριῶν κεφαλαίων. παραγενομένου δὲ εἰς Βυζάντιον τοῦ Βιγιλίου, ἀκούσαντες οἱ Ἰλλυριοὶ ὅτι ἐξέθετο τὸ Ἰουδικάτον, ἤτοι τὸ ὁρισθὲν περὶ τῶν τριῶν κεφαλαίων, συνεφώνησαν, ὥστε τὴν ἐν Ἰλλυρικῷ τὸ δεύτερον συγκροτηθῆναι Σύνοδον ἐν ἔτει πεντακοσιοστῷ πεντηκοστῷ δι' αἰτίαν τῶν τριῶν κεφαλαίων, ἐν ᾗ, ὥς φησι Βίκτωρ Τουνουνένσης ἐν τῷ χρονικῷ, ἐνάτῳ ἔτει μετὰ τὴν Ὑπατείαν Βασιλείου ἐγράφησαν ἐπιστολαὶ συνοδικαὶ εἰς ὑπερασπισμὸν τῶν τριῶν κεφαλαίων πρὸς τὸν Αὔγουστον Ἰουστινιανὸν, καὶ Βενενᾶτος ὁ τῆς πρώτης Ἰουστινιανῆς πόλεως Ἐπίσκοπος, ὁ τὰ τοιαῦτα κεφάλαια δριμύτερον διασύρας, κατακρίνεται, τῷ δὲ ἑξῆς ἔτει, ἤτοι τῷ πεντακοσιοστῷ πεντηκοστῷ πρώτῳ, ἡ ἐν Ἀφρικῇ τὸ πρῶτον Σύνοδος συνεκροτήθη περὶ τῆς αὐτῆς ὑποθέσεως, ἐν ᾗ, ὡς μαρτυρεῖ ὁ αὐτὸς Βίκτωρ, τῷ ἑξῆς ἔτει οἱ ἐν Ἀφρικῇ Ἐπίσκοποι Βιγίλιον τὸν Ῥώμης Ἐπίσκοπον, διὰ τὸ κατακρῖναι τὰ τρία κεφάλαια, συνοδικῶς τῆς καθολικῆς κοινωνίας ἀπέκλεισαν, τηρήσαντες αὐτῷ τόπον μετανοίας, καὶ εἰς ὑπερασπισμὸν τῶν εἰρημένων τριῶν κεφαλαίων ἔπεμψαν ἐπιστολὰς ἁρμοδίους πρὸς Ἰουστινιανὸν τὸν Ἡγεμόνα δι' Ὀλυμπίου Μαγιστριανοῦ. καὶ σημείωσαι ὅτι περ ἡ τῆς ἐν Ἀφρικῇ Ἐκκλησίας κρίσις τὴν ἄκραν τῆς Ἐκκλησίας τῆς καθολικῆς κεφαλὴν (ὡς λέγειν φιλοῦσιν οἱ παπισταὶ) τῆς διαστρόφου καὶ σφαλερᾶς περὶ τῶν τριῶν κεφαλαίων γνώμης συνοδικῇ ψήφῳ καταδικάζει, καὶ τῆς καθόλου κοινωνίας ἀποδιώκει. ἀλλὰ καὶ ὁ Γαρνέριος σημειοῖ γεγραφέναι αὐτῷ Αὐρηλιανὸν τὸν ἐπίτροπον τοῦ Βιγιλίου ἐν Γαλλίαις, ὅτι ἐν Γαλλίαις ἠκούσθη ὁρίσαι τὸν Βιγίλιον αὐτὸν ἐν τῷ Ἰουδικάτῳ ἐναντία τῶν πρώην Ἀρχιερέων καὶ τῇ πίστει τῶν Συνόδων. μὴ ὑποφέρων οὖν ὁ Βιγίλιος τὰ κατ' αὐτοῦ λεγόμενα, μεταμεληθεὶς, ἐπεχείρησε πάλιν διαυθεντεῖν τῶν τριῶν κεφαλαίων. καὶ ἐπειδὴ ὁ Ἰουστινιανὸς νέῳ θεσπίσματι κατέκρινε πάλιν τὰ κεφάλαια, ὁ Βιγίλιος ἐν τῷ Πλακιδιανῷ οἴκῳ προσκαλεσάμενος τοὺς Λατίνους καὶ Γραικοὺς Ἐπισκόπους κατὰ τὸν Ὀνώριν, παρήγγειλεν εἰπὼν, εἴτις ὑπακούσει τοῖς τοῦ Βασιλέως θεσπίσμασι, γινωσκέτω ὅτι ἐστὶ κεχωρισμένος τῆς κοινωνίας τοῦ ἀποστολικοῦ θρόνου. καὶ ἐπειδὴ ὁ Κωνσταντινουπόλεως Μηνᾶς καὶ Θεόδωρος ὁ Ἀσκιδᾶς ἔκρινον ὑπακοῦσαι μᾶλλον τῷ Βασιλεῖ, ἢ τῷ Βιγιλίῳ, ὁ Βιγίλιος τὸν μὲν Θεόδωρον ὑστέρησε τῆς Ἐπισκοπῆς, τὸν δὲ Μηνᾶν τῆς κοινωνίας. τέλος πάντων, μετὰ τὴν ἔναρξιν τῆς πέμπτης Συνόδου, συνέθετο ὁ Βιγίλιος τὸ λεγόμενον Κωνστιτοῦτον, ἤτοι ὁμολόγημα, ἐν ᾧ ἐν ἐπιτιμίῳ ἀφορισμοῦ ἀπηγόρευσε τὴν κατάκρισιν τῶν τριῶν κεφαλαίων. ἡ Σύνοδος ὅμως καταφρονήσασα τοῦ Κωνστιτούτου, ἀνεθεμάτισε τὰ κεφάλαια.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἐν Κωνσταντινουπόλει πέμπτης Οἰκουμενικῆς Συνόδου κελεύσει τοῦ Αὐτοκράτορος Ἰουστινιανοῦ ἐπὶ Εὐτυχίου Κωνσταντινουπόλεως, καὶ πότε ἠθροίσθη, καὶ τίνας κατέκρινεν Αἱρέσεις μετὰ τὴν κατάκρισιν τῶν τριῶν κεφαλαίων, δι' ἃ καὶ ἠθροίσθη, καὶ περὶ τοῦ ἀριθμοῦ τῶν ἐν αὐτῇ πατέρων, καὶ τῆς κουφότητος τοῦ Βιγιλίου Ῥώμης, καὶ τῶν συνελεύσεων τῆς Συνόδου.

Ἡ ἐν Κωνσταντινουπόλει τὸ δεύτερον συναθροισθεῖσα Σύνοδος, ἥτις ἐστὶ τῶν Οἰκουμενικῶν ἡ πέμπτη, συνεκροτήθη κατὰ κέλευσιν Ἰουστινιανοῦ τοῦ Βασιλέως ὑπὸ Ἐπισκόπων ἑκατὸν ἑξήκοντα πέντε, προκαθημένου Εὐτυχίου Πατριάρχου ἐν τῷ Πατριαρχικῷ Σεκρέτῳ, κατὰ τὸ πεντακοσιοστὸν πεντηκοστὸν τρίτον ἔτος, ἐν Μηνὶ Μαΐῳ, πρὸς ἐξέτασιν καὶ ἀποβολὴν τῶν τριῶν κεφαλαίων, περὶ ὧν πολλάκις καὶ πρότερον μετὰ πολλῆς σπουδῆς ἐγένετο οὐκ ὀλίγη διατριβή. ἐν ταύτῃ πρῶτον μὲν ἐκυρώθη ἡ τῶν προγεγονυιῶν τεσσάρων Συνόδων καθολικὴ ἀπόφασις. δεύτερον, κατεκρίθη Ὠριγένης καὶ τὰ ἐκείνου σφάλματα, μάλιστα δὲ καὶ

καὶ πρὸ πάντων τὰ τρία κεφάλαια, δηλονότι περὶ τῆς κατακρίσεως Θεοδώρου τοῦ Μοψουεστίας, καὶ τῶν Θεοδωρίτου κατὰ Κυρίλλου συγγραφέντων, καὶ τῆς Ἴβα ἐπιστολῆς πρὸς Μάρην τὸν Πέρσην. σφοδρῶς ἐν τούτοις ἀνθισταμένου, καὶ ποικίλως ἑαυτὸν συστρέφοντος Βιγιλίου τοῦ Πάπα, ὃς τῷ τηνικαῦτα παρῆν ἐν Κωνσταντινουπόλει, καίτοι καὶ ἀπαναινομένου παραγενέσθαι εἰς τὴν Σύνοδον, πρότερον μὲν ταῦτα κατακρίνοντος, ὕστερον δὲ μεταβαλλομένου τὴν ψῆφον, ἔπειτα τὴν περὶ τούτων ἀπόφασιν ἐξαρτῶντος εἰς Σύνοδον Οἰκουμενικὴν, συγκροτηθείσης δὲ ἐπὶ τούτοις Συνόδου Οἰκουμενικῆς, μὴ βουλομένου εἰς τὴν περὶ τούτων συνοδικὴν ψῆφον ὑπογράψαι; ταύτης δὲ τῆς Συνόδου πέρας λαβούσης, διπλοῖς γράμμασι τὰς τῆς Συνόδου ἀποφάσεις ἐπικυροῦντος, καὶ τὰ τρία κεφάλαια καθυποβάλλοντος ἀναθέματι. ὅθεν δήλη γίνεται ἡ τοῦ ἀνδρὸς κουφότης, τό, τε ἄστατον αὐτοῦ καὶ περὶ τὴν πίστιν ἀβέβαιον. ταῦτα εἰσὶ τὰ τὸν ἄνδρα τοῦτον μιαίνοντα ἐς τοσοῦτον, ὥστε μήτε πάσας τὰς ἐν Ῥώμῃ κρυερὰς πηγὰς, μητ' αὐτὸν τὸν Τίβεριν δύνασθαι τοῦτον ἀποπλῦναι. τὰ πρακτικὰ δὲ τῆς Συνόδου ταύτης οὐχ εὑρίσκονται πάντα ἑλληνιστὶ, ἀλλὰ λατινιστὶ, διαιροῦνται δὲ εἰς συνελεύσεις ὀκτώ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῶν λαληθέντων, πραχθέντων καὶ ἀναγνωσθεισῶν ἐπιστολῶν, καὶ διορισθέντων ἐν ταῖς ὀκτὼ συνελεύσεσι τῆς παρούσης Συνόδου, καὶ τῶν ἀναθεματισθέντων τριῶν κεφαλαίων σὺν τοῖς Αἱρεσιάρχαις, ἐν οἷς καὶ ὁ Ὠριγένης, καὶ τῆς πρὸς Βιγίλιον Ῥώμης ἐν τῇ ὀγδόῃ συνελεύσει μέμψεως ὑπὸ τοῦ Κωσταντινουπόλεως Εὐτυχίου, διὰ τὸ μὴ ἀπαντῆσαι πρὸς τὴν Σύνοδον, ἐξ ἧς δείκνυται τὸ κράτος τῶν Οἰκουμενικῶν Συνόδων ἐπὶ πάντων, καὶ ἐπὶ τοῦ Ῥώμης.

Ἐν τῇ πρώτῃ συνελεύσει ἀνεγνώσθησαν αἱ τρεῖς ἐπιστολαὶ, ἡ τοῦ Βασιλέως Ἰουστινιανοῦ δηλονότι πρὸς τὴν Σύνοδον, ἐν ᾗ πάσας τὰς Αἱρέσεις τὰς ὑπὸ τῶν τεσσάρων Οἰκουμενικῶν Συνόδων κατακριθείσας διέξεισι, τήν τε ἀρχὴν καὶ αὔξησιν τῶν τριῶν κεφαλαίων ἐκτίθεται, καὶ πρὸς τὰ ἐπιχειρήματα, οἷς εἰώθασι χρῆσθαι οἱ ἐκείνων ὑπερασπισταὶ, πειρᾶται ἀπανταῖν, καὶ τελευταῖον τὴν περὶ τούτων ἔρευναν ἀνατίθεται τῇ Συνόδῳ. ἡ Εὐτυχίου Κωνσταντινουπόλεως πρὸς Βιγίλιον Πάπαν, ἐν ᾗ τὴν καθολικὴν πίστιν καὶ τὰς τέσσαρας Οἰκουμενικὰς Συνόδους ὁμολογεῖ, καὶ ἵνα τῇ διακρίσει τῶν τριῶν κεφαλαίων προΐστασθαι θελήσῃ Βιγίλιος ὁ Πάπας αἰτεῖ. ἡ Βιγιλίου πρὸς Εὐτύχιον ἀπόκρισις, ἐν ᾗ τὰ αὐτὰ ἐνστερνίζεσθαι καὶ ἀποδέχεσθαι ἑαυτὸν ὁμολογεῖ. τούτων ἀναγνωσθεισῶν, ἀπεστάλησαν παρὰ τῆς Συνόδου τρεῖς Πατριάρχαι, ὁ Κωνσταντινουπόλεως, ὁ Ἀλεξανδρείας, καὶ ὁ Ἀντιοχείας, καὶ δεκαεπτὰ Ἐπίσκοποι πρὸς Βιγίλιον Πάπαν, ὅπως προσκαλέσωνται αὐτὸν εἰς τὴν Σύνοδον τὴν περὶ τῶν τριῶν κεφαλαίων συγκροτηθεῖσαν, ὁ δὲ αὔριον ἔφη περὶ τούτου ἀποκριθήσομαι. Ἐν τῇ δευτέρᾳ συνελεύσει οἱ πρὸς Βιγίλιον ἀποσταλέντες Πατριάρχαι καὶ Μητροπολῖται ὑπὸ τῆς Συνόδου ἐρωτηθέντες, τοιαύτην παρ' ἐκείνου ἀπόκρισιν ἀπεκόμισαν, ὅτι οὐ δύναται ἐλθεῖν, ἐπειδὴ πολλοὶ, ἔφη, Ἀνατολικοὶ Ἐπίσκοποί εἰσι μεθ' ὑμῶν, ὀλίγοι δὲ Δυτικοὶ μετ' αὐτοῦ, τὴν μέντοι περὶ τῶν τριῶν κεφαλαίων γνώμην αὐτοῦ παραδηλώσειν ἔφη τῷ Βασιλεῖ. ἡμεῖς δὲ εἴπομεν αὐτῷ, γινώσκεις ὅτι ἐν τούτοις, ἅτινα ἐγράφησαν ἀναμεταξὺ ὑμῶν καὶ ἡμῶν, καὶ ὑπεσχέθης ὁμοῦ σὺν τοῖς Ἐπισκόποις, οἵτινες μεθ' ὑμῶν ἡνωμένοι εἰσὶν, ἵνα συνέλθητε, καὶ γένηται ἐξέτασις τούτων τῶν τριῶν κεφαλαίων, ἡμεῖς δὲ κοινωνοὶ ὑμῶν ἐσμὲν, καὶ οὐ πρέπον ἐστὶν, ἵνα ἀναβάλληται ἡ συνέλευσις τῶν Ἀνατολικῶν ἕνεκεν τῶν Δυτικῶν, οὐ δὲ γὰρ ἐν ταῖς προηγησαμέναις τέσσαρσιν Οἰκουμενικαῖς Συνόδοις πλῆθος Δυτικῶν Ἐπισκόπων εὑρέθη ποτὲ, ἀλλὰ δύο, ἢ τρεῖς Ἐπίσκοποι, καί τινες Κληρικοὶ, τὰ νῦν δὲ πάρεστιν ἡ σὴ μακαριότης, καὶ πολὺ πλείονες Ἐπίσκοποι ἄλλοι ἐκ τῆς Ἰταλίας καὶ τῆς Ἀφρικῆς καὶ ἀπὸ τοῦ Ἰλλυρικοῦ, καὶ οὐδέν ἐστι τὸ κωλύον συνελθεῖν ὑμᾶς μεθ' ἡμῶν κατ' ἐκεῖνα τὰ γραφέντα παρ' ὑμῶν καὶ ἡμῶν. Καὶ, κρεῖττόν ἐστιν ἂν μετὰ ἀγάπης οἱ Ἱερεῖς συνέρχωνται, καὶ μίαν ὑπὲρ τῆς αἰτίας γνώμην διατάττωσιν, ἵνα λαμβάνῃ καὶ ἡ ἐξέτασις κοινὸν ἔγγραφον Ὅρον, εἰ δὲ οὐ θελήσεις κατὰ τὰ δόξαντα καὶ γραφέντα συνελθεῖν, γινωσκέτω ἡ μακαριότης σου, ὅτι ἡμεῖς συνερχόμεθα εἰς ἕν, καὶ φανεροῦμεν τὴν γνώμην ἡμῶν, διότι οὐ δίκαιον, οὔτε τὸν Βασιλέα, οὔτε τοὺς πιστοὺς σκανδαλίσαι διὰ τῆς βραδυτῆτος, ἥτις γίνεται περὶ τὴν ἀπόκρισιν. ἀπεστάλησαν ἔπειτα ὑπὸ τοῦ Βασιλέως τινὲς Ἄρχοντες τοῦ παλατίου ἐπιφανεῖς, καὶ ὑπὸ τῆς Συνόδου οἱ αὐτοὶ σχεδὸν Ἐπίσκοποι, εἰπόντες τῷ Πάπᾳ τὰ αὐτὰ, καὶ ὅτι διὰ τῆς κοινῆς συμφωνίας πάντων λαβεῖν τέλος τὴν αἰτίαν τῶν τριῶν κεφαλαίων, ὁ δὲ τὰ αὐτὰ πάλιν ὡς καὶ πρότερον ἀπεκρίθη, κατ' ἰδίαν δηλονότι περὶ τοῦ πράγματος τούτου θεωρῆσαι, καὶ τὴν οἰκείαν γνώμην τῷ Αὐτοκράτορι ἀνενεγκεῖν. οἱ δὲ Ἄρχοντες καὶ Ἐπίσκοποι πρὸς αὐτὸν εἶπον, ὅτι μόνοι πολλάκις ἐγγράφως καὶ ἀγράφως κατεδικάσατε τὰ τρία κεφάλαια, ὁ Βασιλεὺς ὅμως θέλει, ἵνα ἐν τῷ κοινῷ μετὰ τῶν ἄλλων συνέλθῃς, καὶ οὕτω περὶ αὐτῶν γενέσθαι τὴν κρίσιν, κατηγοροῦσι γὰρ οἱ Αἱρετικοὶ τοὺς Ἱερεῖς τῆς καθολικῆς Ἐκκλησίας ὡς ὀπαδοὺς τοῦ Νεστορίου, καὶ οὐ δεῖ τὸν καιρὸν ἀναβάλλεσθαι. ταῦτα πρὸς τὸν Πάπαν. πρὸς τοὺς παρεπιδημοῦντας δὲ ἐν Βυζαντίῳ Δυτικοὺς Ἐπισκόπους ἕτεροι παρὰ τῆς Συνόδου ἐπέμφθησαν, προσκαλοῦντες αὐτοὺς, ὅπως σὺν

ἅμα

ἅμα τὴν περὶ τούτων ποιήσωνται σκέψιν. ἀπεκρίθησαν δὲ, οἱ μὲν Ἰταλοὶ καὶ Ἄφροι, ὅτι οὐ δύνανται συνελθεῖν, ἀπόντος τοῦ Πάπα, οἱ δὲ Ἰλλύριοι, ὅτι οὐ δύνανται χωρὶς τῆς γνώμης τοῦ ἰδίου Ἀρχιεπισκόπου παρεῖναι, ἡ Σύνοδος ὅμως περὶ τῶν δευτέρων εἶπεν, ἡμεῖς ἔχομεν τὴν γνώμην τοῦ Ἀρχιεπισκόπου, δηλονότι τοῦ Ἀχρίδος, καὶ ἀρκεῖ. Ἐν τῇ τρίτῃ συνελεύσει ὁμολογίαν τινὰ τῆς πίστεως γενικὴν κατὰ τὰς ἀποφάσεις τῶν τεσσάρων Οἰκουμενικῶν Συνόδων ἐκτίθενται, τὰ παρ' ἐκείνων ἀποδεχόμενα ἀποδεχόμενοι καὶ αὐτοὶ, τὰ δὲ ἀθετούμενα καὶ ἀποβαλλόμενα, συναποβάλλοντες. καὶ ὅτι (εἰ ὁ Πάπας οὐ συνῆλθεν ἀλλ' ἡμῖν) ἀρκεῖ πρὸς βεβαιότητα ὀρθοδοξίας καὶ καθαίρεσιν τῶν τριῶν κεφαλαίων, καὶ ὅτι ἀκολουθοῦμεν τοῖς ἁγίοις πατράσι καὶ Διδασκάλοις τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας Ἀθανασίῳ, Ἱλαρίῳ, Βασιλείῳ, Γρηγορίῳ τῷ Θεολόγῳ, Γρηγορίῳ τῷ Νύσσης, Ἀμβροσίῳ, Αὐγουστίνῳ, Θεοφίλῳ, Κυρίλλῳ, Ἰωάννῃ τῷ Κωνσταντινουπόλεως, Λέοντι, Πρόκλῳ, καὶ πάντα τὰ παρ' αὐτῶν συγγραφέντα περὶ τῆς ὀρθῆς πίστεως, καὶ πρὸς κατάκρισιν τῶν Αἱρετικῶν δεχόμεθα. Ἐν τῇ τετάρτῃ συνελεύσει ἄρχονται οἱ πατέρες τοῦ περὶ τῶν τριῶν κεφαλαίων ἀγῶνος, καὶ πρῶτον μὲν ἀνεγνώσθησαν τινὰ τεμάχια ἐκ τῶν βιβλίων Θεοδώρου τοῦ Μοψουεστίας, ἐξ ὧν δῆλον ἐγένετο τῆς κοινῆς τῶν ἁγίων πατέρων διδασκαλίας τὸν Θεόδωρον μακρὰν ἵστασθαι, καὶ κατ' ἄλλον σαφῶς τρόπον περὶ τῆς ἐνσάρκου οἰκονομίας καὶ τῶν δύο τοῦ Χριστοῦ φύσεων εἰρηκέναι. ἐντεῦθεν τὰ ἐκείνου δόγματα, πάσης τῆς Συνόδου βοώσης, ἀποβάλλονται, κατακρίνονται καὶ ἀναθεματίζονται. Ἐν δὲ τῇ πέμπτῃ συνελεύσει ἀποσπάσματα πλεῖστα εἰς μέσον προβάλλονται ἐκ τῶν βίβλων αὐτῶν οἱ Θεοδώρῳ τῷ Μοψουεστίας ἀντιταξάμενοι, Κυρίλλου φημὶ καὶ Πρόκλου καὶ Ῥαβουλᾶ Ἐδέσσης καὶ ἄλλων τινῶν συνάψαντες πατέρων ῥητὰ, οἷς πρὸς τὸ κατασκευάσαι τὴν τοῦ Θεοδώρου ὑπόληψιν ἐχρήσαντο οἱ ἐκείνου σύμφρονες, κἀντούτοις ἦσαν Γρηγορίου τοῦ Ναζιανζηνοῦ πρὸς Θεόδωρον διάφοραι ἐπιστολαὶ, ταύτας μέντοι μὴ πρὸς Θεόδωρον τὸν Μοψουεστίας, ἀλλὰ πρὸς Θεόδωρον τῶν Τυάνων γεγράφθαι πάσῃ τῇ Συνόδῳ δῆλον γίνεται. τούτων γενομένων, προβάλλεται τὸ πολυθρύλλητον ἐκεῖνο ζήτημα πρὸς ἐξέτασιν, πότερον οἱ Αἱρετικοὶ μετὰ τὸν θάνατον αὐτῶν δύνανται κατακριθῆναι; ὅπερ ὅτι ὀρθῶς δύναται γίνεσθαι, διὰ πολλῶν τῶν ἁγίων πατέρων λόγων καὶ πράξεων δείκνυται. ἀναγνωσθέντων ἔτι διὰ ταῦτα τῶν πρακτικῶν τῆς πρὸ τριῶν ἐτῶν γενομένης ἐν Μοψουεστία Συνόδου, ἐξ ὧν δῆλον ἐγένετο τὸ τοῦ Μοψουεστίας Θεοδώρου ὄνομα ἐν τοῖς διπτύχοις τῆς Ἐκκλησίας ἐκείνης οὐδέποτε ἀναγνωσθῆναι, προβληθέντων ἐν τῷ τέλει καί τινων ἐκ τῶν συγγραμμάτων Θεοδωρίτου, ἐξ ὧν ἐτεκμήραντο αὐτὸν τοῖς Νεστορίου δόγμασι μὴ ἀπαρέσκεσθαι, καὶ πρὸς Κύριλλον ἀπεχθῶς ἐσχηκέναι. Ἐν δὲ τῇ ἕκτῃ συνελεύσει μεταβαίνει ἡ Σύνοδος ἀπὸ τοῦ Θεοδωρίτου πρὸς τὴν ἐξέτασιν τῆς γνώμης Ἴβα τοῦ Ἐδέσσης, ἀναγνωσθείσης πρότερον τῆς ἐκείνου πρὸς Μάρην τὸν Πέρσην ἐπιστολῆς, ἐν ᾗ τὸν Ἴβαν ἡ Σύνοδος σύμφρονα Νεστορίῳ εὑρίσκει, διὰ τὸ μὴ βουληθῆναι καὶ αὐτὸν Θεοτόκον εἰπεῖν τὴν Παρθένον Μαρίαν, καὶ προσέτι καὶ Κυρίλλῳ ἀντίξουν, καὶ γὰρ συκοφαντεῖ αὐτὸν τὸν Κύριλλον ὁ ῥηθεὶς Ἴβας λέγων, ὅτι ἑπόμενος τῷ Ἀπολιναρίου δόγματι, μίαν εἶναι Θεότητος καὶ ἀνθρωπότητος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φύσιν ἐκύρωσε, πρὸς δὲ τούτοις, καὶ Θεόδωρον τὸν Μοψουεστίας οὐμόνον διὰ τὴν τοῦ βίου δῆθεν ἄκραν ἁγιωσύνην, ἀλλὰ καὶ διὰ τὴν ἀκριβῆ τῆς ὀρθοδόξου πίστεως διδασκαλίαν αὐτοῦ, τὴν ἔν τε λόγοις καὶ γράμμασι, μεγάλοις ἐπαίνοις ἐξαίρει. βέβαιόν ἐστι τὸν Ἴβαν κατὰ τὸ κοινὸν τῶν Ἀνατολικῶν πρὸς τὸν Κύριλλον μῖσος πρὸ τοῦ γενέσθαι τὴν ὁμόνοιαν καὶ διαλλαγὴν ἀγωνίσασθαι, ὅπερ οὐχ ἅπαξ φανερῶς ὡμολόγησε. διότι δὲ τὸν Θεόδωρον οὕτω διαφερόντως ἐπῄνεσεν, ἐντεῦθεν δάκρυα, ἐντεῦθεν ἀνάμνησις τῶν κατ' αὐτοῦ ποτὲ λαληθέντων σφαλμάτων, καίτοι πολλάκις περὶ τούτων αὐτῷ συγγνώμης δοθείσης ἐν διαφόροις Συνόδοις, τῇ τε ἐν Τύρῳ φημὶ καὶ Βηρυτῷ καὶ ἐν Χαλκηδόνι. ἐντεῦθεν τοσαῦται κατ' αὐτοῦ ἐπενοήθησαν μηχαναὶ, δι' ὧν ἐπεχείρουν δεῖξαι αὐτὸν, καίτοι φανερῶς ἀνάθεμα λέγοντα Νεστορίῳ, καὶ ὑπὸ τῶν ἐν Χαλκηδόνι πατέρων συγγνώμης τυχόντα, καὶ μετὰ τῶν ὀρθοδόξων ὑπ' ἐκείνων ταχθέντα, οὐδὲν ἧττον διὰ ταύτην τὴν ἐπιστολὴν, καὶ διὰ τὴν ἄκραν πρὸς Θεόδωρον εὔνοιαν εἶναι ἔνοχον Νεστοριανισμοῦ. τελευταῖον, μετὰ τὴν ἀνάγνωσιν τοῦ πλείστου μέρους τῶν Συνόδων τῆς τε ἐν Ἐφέσῳ καὶ Χαλκηδόνι, ταύτην τὴν Ἴβα ἐπιστολὴν ὡς αἱρετικὴν καὶ βλάσφημον ἀπέβαλον καὶ ἀνεθεμάτισαν. Ἐν δὲ τῇ ἑβδόμῃ συνελεύσει ἀπέστειλε πρὸς τὴν Σύνοδον ὁ Αὐτοκράτωρ ἐπιστολάς τινας ἀφορώσας πρὸς διάγνωσιν τῶν τριῶν κεφαλαίων, αἳ καὶ ἀνεγνώσθησαν, τρεῖς δηλονότι Βιγιλίου τοῦ Πάπα ἐπιστολὰς, ἐν αἷς κατέκρινε τὰ τρία κεφάλαια, ἡ πρώτη ἦν πρὸς Ῥουστικὸν καὶ Σεβαστιανὸν τοὺς Διακόνους αὐτοῦ, ἐν ᾗ τούτους διὰ τὰς περὶ αὐτοῦ διασπαρείσας ψευδεῖς φήμας, καὶ διὰ τὸ δημοσιεῦσαι ἐκείνους καὶ εἰς διαφόρους διανεῖμαι τὰ ἀντίγραφα τοῦ διατάγματος αὐτοῦ, μὴ γινώσκοντος αὐτοῦ καὶ ἀνθισταμένου, ἐλέγχει σφοδρῶς, καὶ ἐγκαλέσας αὐτοὺς τοὺς ἀχαρίστους καὶ ὑπερηφάνους καὶ δολίους καὶ ἀπειθεῖς ὁμοῦ μετὰ καὶ ἄλλων τῶν σὺν αὐτοῖς, τῆς διακονίας αὐτῶν καθαιρεῖται. ἦσαν δὲ καὶ ἄλλαι δύο τοῦ αὐτοῦ ἐπιστολαὶ πρὸς Βαλεντιανὸν τὸν ἐν Σκυθίᾳ Τομέων Ἐπίσκοπον, καὶ πρὸς Αὐρήλιον Ἀρελάτου. ἐν ταύτῃ τῇ Συνόδῳ ἀνηγγέλθησαν καί τινα ἐν συνόψει ἐκ τῶν ἐν Ἀντιοχείᾳ πρακτικῶν περὶ τῆς τιμῆς, ἥν τινες τῶν Νεστοριανῶν ἐποίησαν τῇ εἰκόνι τοῦ Θεοδωρίτου, ἐνθέντες αὐτὴν ἐπὶ ἅμαξαν ἐν τῇ Κύρῳ τῇ πόλει. Ἐν δὲ τῇ ὀγδόῃ συνελεύσει κεῖται ἡ μέμψις Εὐτυχίου Κωνσταντινουπόλεως πρὸς τὸν Πάπαν Βιγίλιον, διότι οὐκ ἀπήντησε πρὸς τὴν Σύνοδον. ἔνθα ἰδεῖν

ἰδεῖν ἐστὶν ὁποίας ἀξίας ἐστὶν ὁ Πάπας τῆς Ῥώμης, καὶ ὁποῖον ἐστὶ τὸ κράτος τῶν Οἰκουμενικῶν Συνόδων. εἶτα εἰς πλάτος ὁ συνοδικὸς Ὅρος, ἐν ᾧ μετὰ τὴν ἔκθεσιν πάντων τῶν ἐνταύτῃ τῇ Συνόδῳ πραχθέντων κατακρίνονται τὰ τρία κεφάλαια, καὶ τὰ Θεοδώρου τοῦ Μοψουεστίας συγγράμματα, τὰ δὲ Θεοδωρίτου κατὰ Κυρίλλου κεφάλαια, καὶ ἡ πρὸς Μάρην ἐπιστολὴ τοῦ Ἴβα ἀναθεματίζονται. πρόσκεινται δὲ καὶ δεκατέσσαρα κεφάλαια, ἢ ἀναθεματισμοὶ κατὰ Νεστοριανῶν καὶ Εὐτυχιανῶν, ἐν οἷς οὐ μόνον τὰ τρία κεφάλαια, ἀλλὰ καὶ ὁποιαιδηποτοῦν Αἱρέσεις, αἱ ὑπὸ τῆς καθολικῆς Ἐκκλησίας καὶ τῶν ἁγίων τεσσάρων Συνόδων κατακριθεῖσαι, ἀθετοῦνται καὶ ἀποβάλλονται, συνταττομένου τοῖς Αἱρεσιάρχαις Ἀρείῳ, Εὐνομίῳ, Μακεδονίῳ, Ἀπολιναρίῳ καὶ τοῖς ἑξῆς, καὶ αὐτοῦ Ὠριγένους.

ΠΑΡΑΓΡΑΦΟΝ Ε.

Περὶ ἐκλογῶν τινῶν ἑλληνιστὶ καὶ ῥωμαϊστὶ γεγραμμένων, ἐν τῷ τέλει τῆς παρούσης Συνόδου κειμένων, καὶ ὧν πειρᾶται ὁ Βιγίλιος δεῖξαι ψευδῆ, καὶ ὧν ἀποδιοπομπεῖται ὡς ἐναντίων, καὶ περὶ τῆς πρὸς τοὺς τῆς Ἱστρίας Ἐπισκόπους ἐπιστολῆς τοῦ Πάπα Πελαγίου κατὰ τῶν τριῶν κεφαλαίων. καὶ περὶ ὧν συνέγραψεν ὁ μέγας Ἰουστινιανὸς κατὰ Ὠριγένους, καὶ κατὰ τῶν τριῶν κεφαλαίων ὑπὲρ τῆς πίστεως.

Ἐν τῷ τέλει τῆς Συνόδου ταύτης πρόσκεινται καί τινες ἐκλογαὶ ἑλληνιστὶ καὶ λατινιστὶ ἔκ τε τῆς ἐν Φλωρεντείᾳ Συνόδου πέμπτης συνελεύσεως, καὶ ἀπὸ τῆς ἕκτης Συνόδου, πράξει τεταρτῃ, ἔκ τε Εὐαγρίου τοῦ σχολαστικοῦ, βιβλίῳ ἕκτῳ, κεφαλαίῳ τριακοστῷ ὀγδόῳ, ἔκ τε τοῦ Κεδρηνοῦ κατὰ τὸ εἰκοστὸν πέμπτον ἔτος Ἰουστινιανοῦ τοῦ Βασιλέως, καὶ ἐκ τοῦ Μανουὴλ τοῦ Καλέκα περὶ τοῦ ἁγίου Πνεύματος, βιβλίῳ δευτέρῳ, καὶ ἐκ τῆς δογματικῆς ἐπιστολῆς Βιγιλίου, ἣν ἔγραψε κατὰ Εὐτυχιανῶν πρὸς βεβαίωσιν τῆς πέμπτης Συνόδου. τὸ δὲ ὑπὸ Βιγιλίου κατὰ τῶν τριῶν κεφαλαίων ἐκδοθὲν δόγμα κατὰ τὸ πεντακοσιοστὸν πεντηκοστὸν τέταρτον ἔτος, εἰς φῶς ἐξέδωκε λατινιστὶ Βαλούζιος ἐν τῇ συναγωγῇ τῶν Συνόδων, ἐν ᾧ ὁ Βιγίλιος Ἴβαν τὸν Ἐδέσσης ὡς ὀρθόδοξον δέχεται, ὡς καὶ ὑπὸ τῆς ἐν Χαλκηδόνι δῆθεν Συνόδου οὕτω δοκιμασθέντα, τὴν δὲ πρὸς Μάρην τοῦ αὐτοῦ ἐπιστολὴν πειρᾶται δεῖξαι μὴ εἶναι αὐτοῦ, ἀλλ' ὑπὸ τῶν ἐναντίων αὐτῷ συμπλασθῆναι. περὶ δὲ τῶν συγγραμμάτων Θεοδώρου τοῦ Μοψουεστίας πρῶτον σημειοῖ, τοὺς Νεστοριανοὺς μηκέτι δυναμένους φανερῶς παῤῥησιάσαι τὰ δόγματα τοῦ αὐτῶν Διδασκάλου, ὑποκρύψαι ἑαυτοὺς ὑπὸ τὸ Θεοδώρου ὄνομα, ὅς τις ἐν εἰρήνῃ προκεκοίμηται. ἔπειτα πολλά τινα ἐκ τῶν συγγραμμάτων τούτων εἰς μέσον ἐκθεὶς, ἐναντία καὶ βλάσφημα εἶναι ἀποφαίνεται. τὰ δέ γε συγγραφέντα ὑπὸ Θεοδωρίτου κατὰ τῶν Κυρίλλου κεφαλαίων καὶ τῆς ἐν Ἐφέσῳ Συνόδου, πρὸς ὑπεραπολογίαν Νεστορίου καὶ Θεοδώρου χωρίς τινος ἀμφιβολίας ὡς ἐναντία τῆς ὀρθῆς πίστεως ἀποδιοπομπεῖται καὶ ἀποδοκιμάζει. τὸ δὲ κεφάλαιον πάντων, τὰ τρία ταῦτα κεφάλαια ἀναθέματι καθυποβάλλει, καὶ πάντας τοὺς ταῦτα δεχομένους, ἢ ὑπερασπιζομένους τῷ αὐτῷ ἀναθέματι καταδικάζει. ὅσα δὲ ἢ ἐξ ἰδίου ὀνόματος, ἢ παρ' ἄλλων τινῶν ὑπὲρ βοηθείας τούτων τῶν κεφαλαίων ἐγράφησαν, τῇ αὐθεντίᾳ τοῦ παρόντος διατάγματος ἀκυροῖ ὅλως καὶ ἀποβάλλεται. ἀπορίας ὅμως ἐστὶν ἄξιον, πῶς ἄν τις τὰ τοιαῦτα συμφωνήσειε τῷ προτέρῳ τοῦ Πάπα περὶ τούτων ζήλῳ, εἰπάτωσαν οἱ βουλόμενοι. ἕπεται ἡ Πελαγίου Πάπα δευτέρου πρὸς τοὺς Ἐπισκόπους τῆς Ἱστρίας ἐπιστολὴ, οἵτινες τῇ κατακρίσει τῶν τριῶν κεφαλαίων οὐ συγκατετίθεντο, ἢ μᾶλλον εἰπεῖν πραγματεία πεπλατυσμένη, ἐν ᾗ διὰ πολλῶν διαλαμβάνει περὶ τῆς αὐθεντίας τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ τῆς τῶν τριῶν κεφαλαίων κατακρίσεως. μετὰ ταῦτα κεῖται ἑλληνιστὶ καὶ λατινιστὶ Ἰουστινιανοῦ τοῦ Αὐτοκράτορος κατὰ τῶν σφαλμάτων τοῦ Ὠριγένους πραγματεία, γενομένη ἐν ἔτει πεντακοσιοστῷ τεσσαρακοστῷ πρώτῳ, ἐν ᾗ τὰ ἐκείνου περὶ τῆς ἁγίας Τριάδος δόγματα, καὶ περὶ τῆς φύσεως τῶν ψυχῶν, καὶ μάλιστα τῆς προϋπάρξεως αὐτῶν, καὶ περὶ τῶν ποινῶν τῶν ἁμαρτησάντων διαλαμβάνει, καὶ οὐ μόνον ἐπιχειρήμασιν, ἀλλὰ καὶ μαρτυρίαις τῶν ἁγίων πατέρων ἀποδοκιμάζει, καὶ τὸν συγγράψαντα ταῦτα Ὠριγένη. τοῦ αὐτοῦ ἐπιστολαὶ πρὸς τὴν ἐν Κωνσταντινουπόλει Σύνοδον, γενομένην ἐν ἔτει πεντακοσιοστῷ τεσσαρακοστῷ ἕκτῳ περὶ Ὠριγένους καὶ τῶν ὀπαδῶν αὐτοῦ, ἐκ τοῦ Κεδρηνοῦ ἐκβληθεῖσαι, τοῦ αὐτοῦ ὁμολογία τῆς ὀρθῆς πίστεως, ἐν ᾗ τὰ τρία κεφάλαια εἰς πλάτος ἐκτίθεται, καὶ ἀνασκευάζει, συνάπτων καὶ τὴν αὐτοῦ πρὸς τὴν ἐν Κωνσταντινουπόλει Σύνοδον ἐπιστολὴν, διαλαμβάνουσαν περὶ Θεοδώρου τοῦ Μοψουεστίας, καὶ ἄλλων, εὑρίσκεται δὲ αὕτη λατινιστὶ ἐν Τμήματι πρώτῳ, Σελίδι τετρακοσιοστῇ δεκάτῃ ἐνάτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς πρὸς Βιγίλιον ἐπιστολῆς τοῦ Κωνσταντινουπόλεως Εὐτυχίου, ἐξ ἧς δείκνυται, ὅτι καθολικὴ καθέδρα, ὡς καὶ καθολικὴ Ἐκκλησία, καὶ πᾶσα μερικὴ Ἐκκλησία, καὶ αἱ Σύνοδοι ἐπὶ τοῦ Πάπα, κρίνουσαι αὐτὸν, καί τοι πρῶτον ὄντα τῇ τάξει. καὶ ὅτι παλίμβολος ὁ Πάπας Βιγίλιος.

Ἐν

Ἐν τῇ πρώτῃ συνελεύσει, ἐν τῇ ἐπιστολῇ Εὐτυχίου πρὸς Βιγίλιον σημείωσαι πρῶτον, ὅτι λέγει ὁ Εὐτύχιος τὴν καθολικὴν καθέδραν τῆς σῆς μακαριότητος. δεύτερον λέγει, ὅτι ἐφυλάξαμεν καὶ φυλάττομεν τὴν πίστιν τὴν ἐξ ἀρχῆς παραδοθεῖσαν παρὰ τοῦ Χριστοῦ τοῖς Ἀποστόλοις, καὶ παρ' ἐκείνων ἐν παντὶ τῷ κόσμῳ κηρυχθεῖσαν, καὶ ὑπὸ τῶν ἁγίων πατέρων σαφηνισθεῖσαν, καὶ μάλιστα ὑπὸ τῶν ἐν ταῖς ἁγίαις τέσσαρσι Συνόδοις συνελθόντων, οἷς διαπαντὸς καὶ ἐν πᾶσιν ἀκολουθοῦμεν καὶ δεχόμεθα. τρίτον λέγει, δῆλον ποιοῦμεν, ὅτι πάντα τὰ ὑπὸ τῶν προηγησαμένων ἁγίων τεσσάρων Συνόδων κριθέντα καὶ ὁρισθέντα καὶ ἐφυλάξαμεν καὶ φυλάττομεν, καὶ τὰς ἐπιστολὰς τῶν προέδρων τῆς ἐν Ῥώμῃ ἀποστολικῆς καθέδρας ὁμοίως. τέταρτον λέγει, διατοῦτο αἰτοῦμεν, προκαθημένης ἡμῶν τῆς ὑμετέρας μακαριότητος, ἀταράχως καὶ μετὰ εἰρηνικῆς ἱερατικῆς πρᾳότητος, τῶν ἁγίων προκειμένων Εὐαγγελίων, τὰ αὐτὰ κεφάλαια ἐν μέσῳ προτιθέμενα, κοινῶς ζητηθῆναι καὶ ἀντιβληθῆναι, καὶ προστεθῆναι τῇ ζητήσει τὸ τῷ Θεῷ ἀρέσκον, καὶ σύμφωνον τοῖς παρὰ τῶν ἁγίων τεσσάρων Συνόδων ὁρισθεῖσι, τοῦ σεβάσματος τῶν ἁγίων Συνόδων ἐν ἅπασι φυλαττομένου. πέμπτον λέγει, ὅτι ὁ αὐτὸς λίβελλος ἐγένετο παρὰ τοῦ Ἀλεξανδρείας καὶ Ἀντιοχείας καὶ τῶν ὑπ' αὐτοὺς Ἐπισκόπων, τῶν καὶ ἐνδημούντων ἐν Κωνσταντινουπόλει πρὸς τὸν Βιγίλιον, καὶ ἀνάπαλιν, τοῦ Βιγιλίου πρὸς αὐτούς. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι καθολικὴ καθέδρα ὡς καὶ καθολικὴ Ἐκκλησία λέγεται καὶ πᾶσα μερικὴ Ἐκκλησία, καὶ ἰδὲ ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον δέκατον πέμπτον. καὶ ἐν τῇ λατινικῇ μεταφράσει ἀποστολικὴ λέγεται, οὐ καθολική. καὶ ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ, πράξει πέμπτῃ, ἀναγνωσθείσης τῆς Βιγιλίου ἀμοιβαίας πρὸς τὸν Εὐτύχιον, ἀποστολικὴ ἐν αὐτῇ ἐῤῥέθη καθέδρα. πρὸς δὲ τὸ δεύτερον, ὅτι τὸ, ἐφυλάξαμεν καὶ φυλάττομεν ταὐτόν ἐστι τῷ, ὅτι ὁ Πάπας Λέων φύλαξ ἐστὶ τῆς ἀμπέλου. καὶ τὸ, σαφηνισθεῖσαν ὑπὸ τῶν ἁγίων πατέρων, ταὐτόν ἐστι τῷ, ὅτι ὁ Λέων τῆς τοῦ Πέτρου φωνῆς ἐστὶν ἑρμηνεὺς, ὥστε οὐμόνον ὁ Ῥώμης φύλαξ τῆς ἀμπέλου καὶ ἑρμηνεὺς τῆς τοῦ Πέτρου φωνῆς. καὶ τὸ, ἀκολουθοῦμεν καὶ δεχόμεθα τὰς Συνόδους, ταὐτόν ἐστι τῷ ἀνωτέρω εἰρημένῳ παρὰ τοῦ Μηνᾶ, ὅτι ἐξακολουθοῦμεν καὶ πειθόμεθα τῇ ἀποστολικῇ καθέδρᾳ. σημείωσαι δὲ, ὅτι πρῶτον λέγει, ἕπεται ταῖς Συνόδοις, εἶτα δέχεται τὰς ἐπιστολὰς τῶν Παπῶν, ὥστε οὐχ οἱ Πάπαι ἐπὶ τῶν Συνόδων, ἀλλ' αἱ Σύνοδοι ἐπὶ τῶν Παπῶν. ἔτι λέγει, τῶν προέδρων τῆς ἐν Ῥώμῃ ἀποστολικῆς καθέδρας, ὥστε οὐ πανταχοῦ ὁρίζει ἡ ἐν Ῥώμῃ καθέδρα, καὶ οὐμόνη ἀποστολικὴ καθέδρα, ἐπειδὴ καὶ ἕτεραι οὕτω λέγονται. εἰ δὲ καὶ κατάτι τῶν ἀρχαίων ἰδίωμα πολλάκις λέγεται ἄνευ προσδιορισμοῦ ἡ Ῥώμη ἀποστολικὴ καθέδρα, ἀλλ' ἐννοητέον ἀεὶ τὴν ἐν Ῥώμῃ ἀποστολικὴν καθέδραν. πρὸς δὲ τὸ τρίτον, ὅτι τὰ ὑπὸ τῶν Συνόδων κριθέντα καὶ ὁριθέντα φυλάττομεν, ταὐτόν ἐστι τῷ, αἱ Σύνοδοι ἔκριναν καὶ τοὺς Πάπας, καὶ ὥρισαν τὰ περὶ πίστεως. πρὸς δὲ τὸ τέταρτον, ὅτι τὸ, προκαθημένου τοῦ Βιγιλίου, ζητηθῆναι καὶ ἀντιβληθῆναι τὰ περὶ τούτων, οὐ δηλοῖ μοναρχίαν, ἀλλὰ τάξιν, καὶ γὰρ οὐκ εἶπεν, ἵνα ἐκεῖνος κρίνῃ, ἀλλ' ἵνα κοινῶς καὶ ἀταράχως καὶ ἱερατικῶς ζητηθῇ καὶ ἀντιβληθῇ τὸ τῷ Θεῷ ἀρέσκον, καὶ σύμφωνον οὐ τῷ Πάπᾳ, ἀλλὰ τοῖς ὁρισθεῖσιν ὑπὸ τῶν τεσσάρων Συνόδων, καὶ ἵνα φυλαχθῇ τὸ σέβας ἀσάλευτον, οὐ τῶν Παπῶν, ἀλλὰ τῶν τεσσάρων Συνόδων. εἶτα ἐν τῇ πέμπτῃ Οἰκουμενικῇ ταύτῃ Συνόδῳ ὁ Εὐτύχιος προὐκάθητο, ἀλλὰ ἀπὸ τούτου οὐκ ἔλαβεν οὐδεμίαν ἰδικὴν ἐξουσίαν. ἐξ ὧν πάντων δείκνυται τῶν μὲν Πατριαρχῶν καὶ τοῦ Πάπα καὶ τῶν λοιπῶν Ἐπισκόπων ἀδελφικὴ ὁμόνοια καὶ συμφωνία, τῶν δὲ Συνόδων ἡ κοινὴ μεγίστη καὶ πρώτη καὶ ἄκρα ἐξουσία, ἣν σέβονται ἐξίσου τοῖς λοιποῖς καὶ οἱ Πάπαι. πρὸς δὲ τὸ πέμπτον, ὅτι ἠρέμα πρὸς κρίσιν προσκαλοῦνται οἱ Ἀνατολικοὶ τὸν Βιγίλιον, φροντιζόντων ἐστὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης, ἣν σχίσαι ὑπώπτευεν ἡ τοῦ Βιγιλίου περὶ τῶν τριῶν κεφαλαίων παλίμβολος κρίσις. εἶτα ὁ αὐτὸς λίβελλος ἐγένετο παρὰ τῶν Πατριαρχῶν καὶ τῶν λοιπῶν Ἐπισκόπων πρὸς τὸν Βιγίλιον, οὐ δίδωσι δὲ αὐτῷ τιμήντινα ἰδικὴν, ὡς γὰρ ὁ Φώτιος γράφει ἐν τῇ πρὸς Μιχαὴλ Ἄρχοντα Βουλγάρων ἐπιστολῇ, ὁ Βιγίλιος τὴν κοινὴν πίστιν ἐπεκύρου λιβέλλῳ. καὶ σημείωσαι λίβελλον οἱ Πατριάρχαι, καὶ λίβελλον ὁ Βιγίλιος, ὅπερ ταὐτοδυναμίαν δηλοῖ, καὶ οὐδὲν πλέον. τὰ αὐτὰ συνάγεται καὶ ἀπὸ τῆς ἐπιστολῆς τοῦ Βιγιλίου πρὸς Εὐτύχιον, ἥτις καὶ αὐτὴ ἐν τῇ πρώτῃ πράξει κεῖται, ὡς εἴρηται, τῆς παρούσης Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἐκ τῶν τοῦ Κυρίλλου Ἀλεξανδρείας ἐπιστολῶν πρὸς τὸν Ἀντιοχείας Ἰωάννην καὶ Λάμπονα καὶ Πρόκλον διὰ τὰ συγγράμματα τοῦ Μοψουεστίας, ὡς σημειοῦται ἐν τῇ πέμπτῃ πράξει τῆς παρούσης Συνόδου, καὶ ἐκ τῆς πρὸς τὸν Βασιλέα καὶ τὰς Βασιλίδας πεμφθείσης ὑπ' αὐτοῦ εἰς τὸ Σύμβολον ἑρμηνείας, δείκνυται καὶ παράθεσιν τῶν πρὸς τοὺς Πάπας ἐπιστολῶν αὐτοῦ, καὶ τοῦ πρὸ αὐτοῦ Διονυσίου, καὶ τῆς ἐν Χαλκηδόνι Συνόδου ψευδὴς ἡ ἐν τῇ καθόλου Ἐκκλησίᾳ μοναρχία τοῦ Πάπα, καὶ ἡ τῶν Αἱρέσεως κρίσις καὶ διδασκαλία οὐκ αὐτοῦ μόνου.

Ἐν τῇ πέμπτῃ πράξει, σημείωσαι ἐν τῇ ἐπιστολῇ Κυρίλλου πρὸς Λάμπονα πρεσβύτερον, ὅτι ἐπειδὴ ἐν Ἀντιοχείᾳ τὸ ὄνομα τοῦ Νεστορίου ἀπεστράφη, τὰ δὲ συγγράμματα Θεοδώρου Μοψουεστίας περιεποιοῦντο, οἱ ἐν

οἱ ἐν Ἀντιοχείᾳ ὀρθόδοξοι οὐκ ἔγραψαν τῷ Πάπᾳ Ῥώμης, ἀλλὰ τῷ ἁγίῳ Κυρίλλῳ, ὁ δὲ Κύριλλος ἔγραψε πρὸς τὸν Ἀντιοχείας Ἰωάννην, ὅτι τὰ Θεοδώρου συγγράμματα μηδεὶς ἐν Ἐκκλησίᾳ λαλείτω. ἡρμήνευσε δὲ καὶ τὸ ἅγιον Σύμβολον, ἵνα μὴ παρά τινος παρεξηγῆται, καὶ ἔπεμψε τοὺς τόμους τῶν ἐξηγήσεων ἀπ' Ἀλεξανδρείας πρός τε τὸν Βασιλέα καὶ τὰς Βασιλίσσας εἰς Κωνσταντινούπολιν. καὶ σημείωσαι, ὅτι οὐκ ἠρώτησε τὸν Ῥώμης ὁ Κύριλλος περὶ νέας Αἱρέσεως, ἀλλὰ μόνος ἔκρινε, καὶ ἔγραψε πρός τε τὸν Ἀντιοχείας, καὶ πρὸς τοὺς Βασιλεῖς καὶ Κληρικοὺς, καὶ πρὸς τὸν Λάμπονα, καὶ τὸ Σύμβολον ἡρμήνευσεν, ὥστε ἐκεῖνο, ὅπερ πρὸς Νεστόριον ἔγραψε πρὸ τοῦ Ῥώμης, καὶ τὸ, ἡ ἐν Ῥώμῃ Σύνοδος φανερὰ τετύπωκεν, οὐκ εἴρηνται τῷ Κυρίλλῳ διὰ τὸ εἶναι δῆθεν τὸν Ῥώμης μονάρχην, ἀλλὰ δι' οἰκονομίαν, καὶ αἰτίας, ἃς εἴπομεν ἀνωτέρω ἐν τῷ τόπῳ τῆς τρίτης Συνόδου. ἀνάγνωθι ἔτι τοῦ Κυρίλλου τὴν ἐπιστολὴν πρὸς Πρόκλον τὸν Κωνσταντινουπόλεως, ἔνθα φησὶ περὶ τοῦ Μοψουεστίας, εἰ τοίνυν συναρέσκει ταῦτα τῇ σῇ ὁσιότητι, μηνύσαι καταξίωσον, ἵνα καὶ κοινῷ γράμματι κατασταλῇ ἡ ἐν τῇ Ἐκκλησίᾳ φήμη, δηλονότι τοῦ Θεοδώρου. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι τὸ καταξίωσον, ὅπερ ἔγραψε καὶ ὁ Ἀλεξανδρείας Διονύσιος πρὸς τὸν Ῥώμης Διονύσιον, οὐ δηλοῖ δεσποτείαν, ἀλλὰ πρὸς συμφωνίαν προτρέπει. δεύτερον, ὅτι τὸ κοινὸν αὐτοῦ τε καὶ τοῦ Πρόκλου γράμμα μᾶλλον ἰσχύει τοῦ ἰδικοῦ, ἢ τοῦ Κυρίλλου, ἢ τοῦ Πρόκλου, τοῦτο δὲ ταὐτὸν ἐκείνῳ, ὅπερ ἔγραφεν ὁ Κύριλλος πρὸς Κελεστῖνον, ἵνα γράψῃ καὶ ἐκεῖνος κατὰ Νεστορίου, καὶ ἐκεῖνο, ὅπερ ἡ ἐν Χαλκηδόνι Σύνοδος ἔγραψε τῷ Πάπᾳ Λέοντι, καταξίωσον συνάψαι σεαυτὸν ἡμῖν πρὸς ὁμόνοιαν. τρίτον, οἱ Ἀντιοχεῖς περὶ τοῦ Μοψουεστίας οὐκ ἔγραψαν πρὸν τὸν Πάπαν, ἢ πρὸς τὸν Κωνσταντινουπόλεως, ἀλλὰ πρὸς τὸν σοφώτερον καὶ οἰκονομικώτερον Ἀλεξανδρείας Κύριλλον, ὁ δὲ Κύριλλος, μὴ οὔσης χρείας, ἐπελάθετο τῶν ἀρχαίων αὐτοῦ ἐθῶν, οὐκ ἔγραψε γὰρ πρὸς τὸν Ῥώμης πρῶτον, ἀλλὰ πρὸς τὸν Κωνσταντινουπόλεως, ὄντα μετ' αὐτὸν σοφὸν καὶ δυνάμενον, ὡς ἔχοντα παρὰ τῷ Βασιλεῖ Θεοδοσίῳ μεγίστην οἰκειότητα τοῦ βοηθῆσαι ταῖς Ἐκκλησίαις. ἰδοὺ τοίνυν κρίνεται ὁ Μοψουεστίας, καὶ ἡ Αἵρεσις καὶ τὰ συγγράμματα αὐτοῦ, καὶ ἑρμηνεύεται ἡ ὀρθόδοξος πίστις, καὶ οὐδεμία μνήμη τοῦ Ῥώμης. ψεῦδος ἄρα, ὅτι ὁ Ῥώμης μοναρχικὴ κεφαλὴ ἐστὶ τῆς καθόλου Ἐκκλησίας, ἢ μόνος, ἢ πρῶτος, ἢ ἐξαίρετος, ἢ ἀληθέστερος Διδάσκαλος ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ, ἢ κριτὴς τῶν Αἱρέσεων. τὰ αὐτὰ συνάγεται καὶ ἀπὸ τῆς ἐπιστολῆς Κυρίλλου πρὸς Ἀκάκιον τὸν Μελιτηνῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἡ Θεοδωρίτου πρὸς Δόμνον ἐπιστολὴ, ἡ πρὸς Ἰωάννην ἐσφαλμένως ἐπιγραφεῖσα, οὐκ ἐτέθη ἐν τοῖς πρακτικοῖς τῆς Συνόδου, ὡς ἐν τῇ ἕκτῃ συνελεύσει σημειοῦται.

Ἐν τῇ ἕκτῃ συνελεύσει σημείωσαι τὴν ἐπιστολὴν Θεοδωρίτου πρὸς Ἰωάννην τὸν Ἀντιοχείας, ἔχουσαν τὴν ἐπιγραφὴν ἡμαρτημένην, ἀντὶ γὰρ Δόμνου Ἰωάννην ἔχει. ὁ γὰρ Ἰωάννης πρὸ τοῦ Κυρίλλου τέθνηκεν, ὡς ῥηθήσεται. σφάλλουσι δὲ ὅσοι λέγουσιν, ὅτι ἡ ἐπιστολὴ ἐτέθη ἐν τοῖς πρακτικοῖς τῆς Συνόδου ὑπό τινος Εὐτυχιανοῦ, ἐπειδὴ ὁ Θεοδώριτος ἦν εἰρηνικὸς μετὰ τοῦ Κυρίλλου. Ἀλλὰ ῥητέον, ὅτι ἦν εἰρηνικὸς διὰ τὴν ἀνάγκην τοῦ καιροῦ, οὐμὴν καὶ ἐν ἀληθείᾳ, ὡς φαίνεται ἐκ πολλῶν ἐπιστολῶν αὐτοῦ, καὶ ἐπὶ Δόμνου Ἀντιοχείας εἶπεν ὁ αὐτὸς, ὅτι ἀποθανόντος τοῦ Κυρίλλου, εἰρήνευσεν Ἀνατολὴ καὶ Αἴγυπτος.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῶν ἐν τῇ ὀγδόῃ πράξει λεχθέντων ὑπὸ τοῦ Κωνσταντινουπόλεως Εὐτυχίου, διὰ τὸ μὴ ἀπαντῆσαι τῇ Συνόδῳ τὸν Βιγίλιον Ῥώμης, ἐξ ὧν δείκνυται καὶ ἄνευ τοῦ Πάπα γίνεσθαι Οἰκουμενικὴν Σύνοδον, καὶ τὸ κράτος τῶν Οἰκουμενικῶν Συνόδων ἀσυγκρίτως εἶναι ἐπὶ πάντων, καὶ ἐπὶ τοῦ Πάπα.

Ἐν τῇ ὀγδόῃ πράξει σημειοῦμεν πλατύτερον τὴν μέμψιν Εὐτυχίου Κωνσταντινουπόλεως πρὸς τὸν Πάπαν Βιγίλιον, προκαθήμενος γὰρ τῆς Οἰκουμενικῆς Συνόδου, εἶπεν ἐνώπιον τῶν πατέρων ταῦτα ῥητῶς, ὁ Κύριος κατακρίνει οὐ μόνον ἐκείνους τοὺς μὴ ποιοῦντας αὔξησιν εἰς τὸ τάλαντον, ἀλλὰ καὶ ἐκείνους τοὺς φυλάττοντας μὲν αὐτὸ ἀκέραιον, ὅμως οὐκ ἐπιμελοῦνται, ἵνα αὐξήσωσιν αὐτό. καὶ ἡμεῖς, ἐπειδὴ λοιπὸν ἐφάνησαν κατὰ τῆς ἀληθείας βλάσφημα λαλοῦντες οἵ τε ἀκόλουθοι τοῦ Νεστορίου διὰ τοῦ Θεοδώρου καὶ Θεοδωρίτου καὶ τῆς ἐπιστολῆς τοῦ Ἴβα, θελήσει Θεοῦ, καὶ προστάξει τοῦ Αὐτοκράτορος, συνήχθημεν ἐν τῇ βασιλευούσῃ τῶν πόλεων. καὶ ἐπειδὴ συνέβη εὑρεθῆναι καὶ τὸν αἰδεσιμώτατον Βιγίλιον ἐν ταύτῃ τῇ βασιλευούσῃ πόλει, καὶ συμφέρει πᾶσι περὶ ἐκείνων τῶν σημειωθέντων ἐν τούτοις τοῖς τρισὶ κεφαλαίοις, ἅπερ πολλάκις ἐγγράφως καὶ ἀγράφως κατέκρινε, καὶ ἐν ὑστέροις συνέθετο ἐγγράφως, συμπαρεῖναι τῇ Συνόδῳ, καὶ συνδιαλεχθῆναι ὁμοῦ μεθ' ἡμῶν περὶ τῶν τριῶν τούτων κεφαλαίων, ἵνα ἐκτεθῇ ὅρος τῆς ἀληθείας παρὰ πάντων ἡμῶν κοινῶς. ὁ εὐσεβέστατος Βασιλεὺς κατὰ τὴν θέλησιν ἡμῶν παρεκίνησε τόσον ἐκεῖνον, ὅσον καὶ ἡμᾶς συνελθεῖν κοινῶς, πρέπει γὰρ τοῖς Ἱερεῦσι, περὶ ὧν ζητοῦνται κοινῶς, προσφέρειν

καὶ

καὶ κοινὸν ὅρον. λοιπὸν ἐξ ἀνάγκης ἐζητήσαμεν, ἵνα ἀναπληρώσῃ ἡ αἰδεσιμότης αὐτῶν τὰς ὑποσχέσεις, ἃς ἐγγράφως ἐποίησαν, ἐγγὺς ἐστὶ δίκαιον αὐξάνειν τὸ σκάνδαλον ἐπιπλέον περὶ τῶν τελῶν κεφαλαίων ἐκείνων, καὶ συγχεῖσθαι τῷ Ἐκκλησίαν τοῦ Θεοῦ, περὶ ὧν εἰς μνήμην ἤγομεν αὐτῷ καὶ τὰ μεγάλα ἐκεῖνα σωζόμενα τῶν Ἀποστόλων, καὶ τὰς παραδόσεις τῶν πατέρων. καθάπερ γὰρ καὶ ἦν δυνατὸν, τῆς χάριτος τοῦ ἁγίου Πνεύματος πλεοναζούσης ἐν ἑκάστῳ τῶν Ἀποστόλων, μὴ ζητεῖν αὐτοὺς ξένην συμβουλὴν περὶ ὧν ἔδει γενέσθαι, ὅμως οὐκ ἠθέλησαν κατὰ ἄλλον τρόπον διορίσαι περὶ τῆς ὑποθέσεως ἐκείνης τῆς τότε κινηθείσης, εἰ ἔδει δηλονότι περιτέμνεσθαι τὰ ἔθνη, πρὶν ἢ σωθῆναι κοινῶς, καὶ βεβαιῶσαι ἕκαστον αὐτῶν τοὺς λόγους αὐτοῦ ταῖς μαρτυρίαις τῆς ἁγίας γραφῆς. ὅθεν κοινῶς περὶ ταύτης τῆς ὑποθέσεως διώρισαν, γράφοντες τοῖς τὰ ἔθνη, ἔδοξε τῷ ἁγίῳ Πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος, πλὴν τῶν ἐπάναγκες τούτων, καὶ τὰ ἑξῆς. ἀλλὰ καὶ οἱ ἅγιοι πατέρες οἱ συνελθόντες κατὰ καιροὺς εἰς τὰς τέσσαρας ἁγίας Συνόδους, χρώμενοι τοῖς παλαιοῖς ὑποδείγμασι, κανόνας περὶ τῶν γινομένων Αἱρέσεων καὶ ζητήσεων ὡκονόμησαν, οὕτως βεβαίως, ὥστε ἐν ταῖς κοιναῖς Διαλέξεσι προβαλλομένων τῶν ἐξεταχθησομένων ἀφ' ἑκατέρων τῶν μερῶν, τὸ φῶς τῆς ἀληθείας ἀποδιώκει τὰ νέφη τοῦ ψεύδους, μήτε δυνατόν ἐστιν ἐν ταῖς κοιναῖς ἀμφισβητήσεσι τῆς πίστεως φανερωθῆναι καθ' ἄλλον τρόπον τὴν ἀλήθειαν, ἐπειδὴ ἕκαστος δεῖται τῆς βοηθείας τοῦ πλησίον, καθὼς λέγει ὁ Σολομὼν ἐν ταῖς Παροιμίαις,

ΠΑΡΑΓΡΑΦΟΝ Ί.

Ὅτι ἐκ τῆς μετὰ τὴν Σύνοδον ἐπισολῆς Βιγιλίου πρὸς τὸν Κωνσταντινουπόλεως Εὐτύχιον, ἔξ τινα βεβαιοῦνται, αἱ Σύνοδοι μείζονες τοῦ Πάπα, ἡ ἀλλοτρίωσις ἀπὸ τῆς Ἐκκλησίας τῶν μὴ ἀκολουθούντων Παπῶν τοῖς ὁρισθεῖσιν ὑπὸ τῶν Συνόδων, ἡ εὕρεσις τῆς ἀληθείας ἀπὸ τῶν συγγραμμάτων τῶν πατέρων, τὸ πείθεσθαι τοὺς Πάπας ταῖς Συνόδοις, τὸ ἁμαρτάνειν τοὺς αὐτοὺς περὶ τὴν πίστιν, καὶ τὸ δεσπότας αὐτῶν ἔχειν τοὺς Βασιλεῖς, ἐξ ὧν καὶ ἡ ἀπώλεια τῶν δύο μαχαιρῶν τῶν Παπῶν.

Ἐν τῇ ἐπισολῇ Βιγιλίου, ἣν ἔπεμψε πρὸς Εὐτύχιον Κωνσταντινουπόλεως μετὰ τὴν Σύνοδον, δι' ἧς ἠθῴωθη ἀπὸ τῆς κατακρίσεως, καὶ συνεχωρήθη ἐπανελθεῖν ἀπὸ τῆς ἐξορίας, σημείωσαι πρῶτον, ὅτι λέγει τὰς τέσσαρας Συνόδους σὺν τοῖς ἐμοῖς ἀδελφοῖς ἀποδεχόμεθα, καὶ θεοφιλεῖ διανοίᾳ προσκυνοῦμεν, καὶ ὁμοψύχως φυλάττομεν. καὶ σημείωσαι, ὅτι εἰ ὁ Πάπας τῆς Ῥώμης ἐξίσα τοῖς λοιποῖς ἀδελφοῖς δέχεται τὰς Συνόδους, καὶ θεοφιλεῖ Διανοίᾳ προσκυνεῖ, καὶ ὁμοψύχως φυλάττει, αἱ Σύνοδοι ἀναγκαίως μείζονες τοῦ Πάπα, καὶ ὥσπερ ὑπέρκεινται τῶν λοιπῶν Ἐπισκόπων, οὕτω καὶ τοῦ Πάπα, καὶ ὁμοῦ Πάπας προσκυνεῖ καὶ σέβεται αὐτὰς, ἐμοῦ καὶ αὖ πάλιν. δεύτερον, ὅτι φησὶ, καὶ εἶναι δήποτε ταῖς ἁγίαις Συνόδοις ὁ Πάπας τοῖς ὑπ' αὐτῶν περὶ τῆς ἁγίας πίστεως ὁρισθεῖσιν οὐκ ἀκολουθῶν, τότε ἀλλοτρίας τοῦ ἁγίου συλλόγου τῆς ἁγίας καὶ καθολικῆς Ἐκκλησίας κείνομεν. οἷς σημείωσαι, ὅτι οἱ μετὰ τὸ σχίσμα Πάπαι μὴ ἀκολουθοῦντες τοῖς ὁρισθεῖσι ταῖς ἁγίαις Συνόδοις περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, καὶ τῆς παπολατρείας, καὶ ἐκείνου τοῦ ἀσεβεστάτου, ὅτι ὁ Πάπας ὑπερέχει τῶν Οἰκουμενικῶν Συνόδων, ἀλλότριοί εἰσι τοῦ ἁγίου συλλόγου τῆς ἁγίας καὶ καθολικῆς Ἐκκλησίας, εἶπον, ὅτι φησὶ, τὸ περὶ τῶν τελῶν κεφαλαίων σφαλεφθὸν σφὸ τῶν πατέρων εἰς τὸ ἀναθεματισθῆναι, εὑρεθὲν δὲ μεταταῦτα, καὶ ὑπὸ τοῦ αὐτοῦ Βιγιλίου εὑρεθῆναι (ἐκατὸν ἀποκάλυψιν ἄμεσον ἀφὸ τοῦ ἰδικοῦ Δεσποτικοῦ τοῦ Πέτρου) ἀλλὰ δι' ἐρεύνης, καὶ τῶν συγγραμμάτων τῶν ἁγίων πατέρων. Ἀλλὰ ῥητέον, ὅτι τοῦτο παντὶ ἔξεστιν Ἐπισκόπῳ, καὶ παντὶ Χριστιανῷ, ἐλέγετο γὰρ ἀνωτέρω κεφαλαίου ὀνδεκάτου σφαγεφῷ τρίτῳ, ὅτι τὰ τῶν

Κανό-

Κανόνων οἱ Ἐπίσκοποι ἐκδικοῦσι, τὰ δὲ τῆς πίστεως καὶ πᾶς Χριστιανὸς ὀρθόδοξος ἐκδικεῖ, οὐκ ἄρα ὁ Πάπας ἔχει τὶ ἐν τῇ Ἐκκλησίᾳ, ὅπερ οὐκ ἔχουσι καὶ οἱ ἄλλοι, ὅθεν οὐδὲ μονάρχης. τέταρτον, ὁ αὐτὸς, ἤτοι ὁ Βιγίλιος ἄνω καὶ κάτω τὰς προσηγορίας τῶν Συνόδων ἐκθειάζει, καὶ ταύταις πείθεσθαι προτρέπει. πέμπτον, ἀδελφοὺς καὶ συνιερεῖς ὁρίζεται τοὺς κατακρίναντας τὰ τρία κεφάλαια, καὶ εἴ τινα δήποτε εἴτε παρ' ἐμοῦ φησὶν, εἴτε παρ' ἄλλων πρὸς ἐκδίκησιν τῶν προειρημένων τριῶν κεφαλαίων γεγένηται, τῇ διατυπώσει τοῦ παρόντος ἡμῶν γράμματος κατηγορούμεν. καὶ σημείωσαι ὅτι ὁ Βιγίλιος μόνος ὁμολογεῖ ποιῆσαι καὶ συγγράψαι τινὰ πρὸς ἐκδίκησιν τῶν τριῶν κεφαλαίων, μεταταῦτα δὲ παρὰ τῆς διδασκαλίας τῶν ἁγίων πατέρων εὑρεῖν τὸ ἐκκλησιαστικὸν δίκαιον, τάτε ὑπ' αὐτοῦ τάτε ὑπ' ἄλλων πρὸς βοήθειαν τῶν τριῶν κεφαλαίων γεγονότα κατακρῖναι, ὅπερ ταὐτόν ἐστιν, ὅτι αἱρετικὰ φρονήσας καὶ λόγοις καὶ συγγράμμασι, τῆς ἀληθείας παρετράπη, εὗρε δὲ αὐτὴν, διδαχθεὶς παρὰ τῶν ἁγίων πατέρων. φλυαρία ἄρα σαφής ἐστι τὸ τῶν παπιστῶν, ὅτι ὁ Πάπας οὐχ ἁμαρτάνει πώποτε περὶ τὴν πίστιν, καὶ ἐκεῖνο, ὅτι ἐξαίρετός ἐστι τῆς Ἐκκλησίας Διδάσκαλος. ἕκτον, ἐν τῇ ὑπογραφῇ τῆς ἐπιστολῆς γράφει, Βιγίλιος βασιλείας τοῦ Δεσπότου ἡμῶν Ἰουστινιανοῦ τοῦ αἰωνίου Αὐγούστου ἔτους εἰκοστοῦ ἑβδόμου. καὶ σημείωσαι ὅτι εἰ ὁ Βασιλεὺς Δεσπότης τοῦ Πάπα, οὐχ ὁ Πάπας ἐπὶ τοὺς Βασιλεῖς, ἀλλ' οἱ Βασιλεῖς ἐπὶ τοὺς Πάπας, καὶ ποῦ τὸ τῶν παπιστῶν, ὅτι ὁ Πάπας ἔχει δύο μαχαίρας; καὶ φλυαρία σαφὴς τὸ, ὅτι ὁ Ῥώμης ἐρρέθη Δεσπότης; καὶ διατοῦτο καὶ μονάρχης, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τετάρτου, κεφαλαίου πρώτου Παράγραφον δέκατον τρίτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῆς ἐξορίας, καὶ αὖθις ἀνακλήσεως τοῦ Βιγιλίου διὰ τὸ δέξασθαι τὰ παρὰ τῆς Συνόδου ὡρισμένα. καὶ ὅτι ἡ παροῦσα Σύνοδος Οἰκουμενική ἐστι. καὶ περὶ ἀπαντήσεως εἰς τὰ ἐπιχειρήματα Βαρωνίου, τὴν παροῦσαν Σύνοδον σπεύδοντος ἀποδεῖξαι ὑπὲρ Βιγιλίου ἀδόκιμον.

Σημειωτέον ἔτι τὸν Ἀναστάσιον φάσκοντα περὶ Βιγιλίου, ὅτι ἐξωρίσθη ὑπὸ τοῦ Ἰουστινιανοῦ μετά τινων Ἐπισκόπων, ἀνεκλήθη δὲ διὰ δεήσεως τοῦ Ναρσῆ, καὶ τινῶν Ῥωμαίων, ὅτε καὶ τὴν συμφωνητικὴν ἐπιστολὴν ἔγραψεν, ἀποδεξάμενος τὰ παρὰ τῆς Συνόδου διωρισμένα. ὅτι δὲ Οἰκουμενική ἐστιν ἡ Σύνοδος, δῆλον, ἀπὸ μὲν γὰρ τῶν Ἀνατολικῶν ἀπετελέσθη, ὑπὸ δὲ τῶν Δυτικῶν ἀπεδέχθη, καὶ μάρτυρες Πελάγιος ὁ πρῶτος, καὶ ὁ μέγας Γρηγόριος, καὶ οἱ μεταταῦτα Πάπαι, καὶ τοσοῦτοι ἱστορικοὶ καὶ πατέρες καὶ Βασιλεῖς καὶ Οἰκουμενικαὶ Σύνοδοι. ὅτι δὲ ἀντετάξατο τῇ ἀποφάσει τῆς Συνόδου ὁ Βιγίλιος, λέγει τοῦτο ὁ Ἀναστάσιος καὶ Πελάγιος ὁ δεύτερος ἐπιστολῇ πρὸς τοὺς Ἐπισκόπους τῆς Ἱστρίας, ὅπου φησὶν, ὅτι ὁ Βιγίλιος πολὺν χρόνον διηυθέντησε τῶν τριῶν κεφαλαίων, ὕστερον δὲ τῇ Συνόδῳ συνέθετο. εἰ δὲ καὶ πρῶτον κατεκρίθη, ὕστερον ὅμως ἐπηνέθη. λαμπρῶς δὲ κληθεὶς ὁ Βιγίλιος εἰς τὴν Σύνοδον, καὶ μὴ ἀπαντήσας, οὐκ ἐβιάσθη ἐλθεῖν, οἰκονομικῶς μέντοι, ἵνα μὴ εἴπωσιν οἱ Αἱρετικοὶ, ὅτι ἡ Σύνοδος βίᾳ ἔκρινε, καὶ ἐκύρωσεν οὐκ ἐλευθέρᾳ θελήσει τῶν πατέρων. ἔμεινε δὲ ἐν τῇ ἐξορίᾳ κατά τινας μὲν ἔτος ἕν, κατὰ δὲ τὸν Ἀναστάσιον Μῆνας ἕξ, καὶ γὰρ τῷ εἰκοστῷ ἑβδόμῳ ἔτει τοῦ Ἰουστινιανοῦ, Μηνὶ Μαΐῳ ἠθροίσθη ἡ Σύνοδος, ἐν ἔτει πεντακοσιοστῷ πεντηκοστῷ τρίτῳ, Ἰουνίου δὲ τετάρτῃ ἐγένετο ἡ ἀπόφασις αὐτῆς, καὶ τῷ αὐτῷ ἔτει ἐγένετο καὶ ἡ ἐπάνοδος τοῦ Βιγιλίου ἀπὸ τῆς ἐξορίας. ὁ μέντοι Βαρώνιος δυσμενέστατος ἐν τοῖς μάλιστα φαίνεται πρὸς τὴν Σύνοδον ταύτην, βουλόμενος γὰρ ὑπεραπολογήσασθαι Βιγιλίου, πάντα λίθον κινεῖ, ὥστε ἀδόκιμον ταύτην ἀποφῆναι, ταύτης καταψευδόμενος, νενοθευμένα εἶναι λέγων τὰ πρακτικὰ ταύτης, κολοβὰ καὶ παρακεκομμένα, ἀλλ' οὐδὲν ὅλως ἀνύει. καὶ ὅτι μὲν ταῦτα ἑλληνιστὶ οὐχ εὑρίσκονται, οὐδεὶς ἀντιλέγει, τὰ δὲ λατινιστὶ σωζόμενα εἶναι ἀτελῆ, τὶς ἡμῖν ἔχει δεῖξαι; τὰ γὰρ ἀρχαῖα πρωτότυπα, ὅσα διὰ χειρὸς, οὐ πλείονα περιέχουσι τούτων, καὶ οἱ ἐκ τούτων μαρτυρίας προσφέροντες συγγραφεῖς, τὸν χρόνον ἐκεῖνον οὐ πλείονα τούτου ἡμῖν δεικνύουσιν, οἷός ἐστι Λιβερᾶτος Διάκονος, Πελάγιος πρῶτος καὶ δεύτερος, καὶ Γρηγόριος ὁ μέγας. ἀλλ' ἐλλείπουσι, φησὶ, τὰ περὶ τῆς κατακρίσεως Ὡριγένους πραχθέντα. καὶ πόθεν δῆλον τὴν Ὡριγένους δίκην ἐν ταύτῃ τῇ Συνόδῳ καθ' αὑτὸ ἐξετασθῆναι; τὸ γὰρ ἐξ Εὐαγρίου καὶ Κεδρηνοῦ προβαλλόμενον, ἀσαφές ἐστι, καὶ πρὸς ἄλλην Σύνοδον ἀναφέρεται μᾶλλον. τὰ δὲ Ὡριγένους δόγματα τοσοῦτον διὰ προστάγματος Ἰουστινιανοῦ τοῦ Βασιλέως, ὅσον καὶ ἐν τῇ Συνόδῳ τῇ γενομένῃ ἐν Κωνσταντινουπόλει ἐπὶ Μηνᾶ πρὸ ὀλίγων ἐτῶν κατεκρίθησαν, ὅτου χάριν οἱ πατέρες ἐν κεφαλαίῳ ἑνδεκάτῳ ταῦτα πάλιν διὰ βραχέων ἀναθέματι καθυπέβαλον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'

Περὶ τῶν εἰς τὴν Ἱερουσαλὴμ πεμφθέντων πρακτικῶν τῆς παρούσης Συνόδου ὑπὸ τοῦ Αὐτοκράτορος Ἰουστινιανοῦ, καὶ συνοδικῶς κυρωθέντων ὑπὸ τοῦ Ἱεροσολύμων Εὐστοχίου.

Διηγεῖται ὁ Μοναχὸς Κύριλλος ὅπερ ἀνεγνώσθη καὶ εἰς τὴν ἑβδόμην Οἰκουμενικὴν ὅτι ὁ Βασιλεὺς Ἰουστινιανὸς, ἀπέστει-

ἀπέϛειλε τὰ πρακτικὰ τῆς πέμπτης Συνόδου εἰς τὰ Ἱεροσόλυμα, καὶ τὸν ἀναθεματισμὸν κατὰ τοῦ Ὠριγένους, καὶ ὅσα ἐλήρησε περὶ τῆς τῶν ψυχῶν προϋπάρξεως, καὶ ἐγένετο ἡ σύναξις εἰς τὰ Ἱεροσόλυμα, καὶ οἱ πάντες ἔϛερξαν τῇ συνοδικῇ ἀποφάσει, τοῦ Ἐπισκόπου μόνον τῆς Ἀβίλης ἐναντιωθέντος, ὅς τις νουθετούμενος ὀκτὼ Μῆνας, καὶ μὴ διορθωθεὶς, ἐδιώχθη ἀπὸ τῆς Ἐπισκοπῆς, καὶ ἀπῆλθεν εἰς τὴν βασιλεύουσαν, καὶ εἰς τὸν μέγαν σεισμὸν, τὸν συμβάντα τότε εἰς τὸ Βυζάντιον, κατεχώσθη ὡς ἄλλως Δαθὰν καὶ Ἀβειρών. οὐ μὴν δὲ ἀλλὰ καὶ οἱ Νεολαυρῖται οἱ κατοικοῦντες τὴν νέαν Λαῦραν τοῦ ἁγίου Σάββα οὐ συνεκοινώνησαν τοῖς ἄλλοις, ὅθεν ὁ Πατριάρχης Εὐϛόχιος ὀκτὼ Μῆνας αὐτοὺς ἐκατήχει, καὶ ὁρῶν αὐτοὺς ἀπειθεῖς, Βασιλικῇ προϛαγῇ ἀπεδίωξε τῆς Λαύρας

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Περὶ τῶν ἀναθεματισθέντων ὑπὸ τῆς Συνόδου συγγραμμάτων τοῦ Μοψουεϛίας, καὶ τῆς τοῦ Ἴβα ἐπιϛολῆς, καὶ τῶν τοῦ Θεοδωρίτου συγγραμμάτων, ὅσα μέντοι γε κατὰ τῆς ὀρθῆς πίϛεως ἦσαν τοῦ Θεοδωρίτου.

Ἀνεθεματίσθησαν τὰ συγγράμματα τοῦ Μοψουεϛίας καὶ ἡ ἐπιϛολὴ Ἴβα, τὰ μέντοι Θεοδωρίτου συγγράμματα οὐκ ἀνεθεματίσθησαν ἁπλῶς, ἀλλ' ὅσα ἐν αὐτοῖς παρεξηγοῦνται τὸν Κύριλλον, καὶ συνάγουσιν αὐτὸν Αἱρετικὸν, ἅτινα ὁ ποιά εἰσι, πάλιν ἐκ τῶν ἀντιρρητικῶν Κυρίλλου διασαφοῦνται, ἤτοι σχετικὴν λέγει τὴν ἕνωσιν τοῦ Θεοῦ Λόγου πρὸς τὸν ἄνθρωπον ὁ Θεοδώριτος, καὶ τοὺς λέγοντας τὴν καθ' ὑπόϛασιν ἕνωσιν ἀναθεματίζει, φησὶ γὰρ, τὴν δὲ καθ' ὑπόϛασιν ἕνωσιν παντάπασιν ἀγνοοῦμεν ὡς ξένην καὶ ἀλλόφυλον τῶν θείων γραφῶν, καὶ τῶν ταύτας ἡρμηνευκότων πατέρων. Καὶ, περιττὴ ἡ καθ' ὑπόϛασιν ἕνωσις, ἣν ἀντὶ κράσεως ἡμῖν, ὡς οἶμαι, προβάλλουσι, καὶ πρὸς τούτοις, Θεοτόκον οὐ λέγει τὴν ἁγίαν Παρθένον, οὐ κατὰ Νεϛόριον φρονῶν, ἀλλὰ κατὰ πεισμονὴν ἀντιλέγων τῷ ἁγίῳ Κυρίλλῳ, καὶ κατασοφιζόμενος παρεξηγήσεσι καὶ πρατροπαῖς ἐθελοκακούργοις. ταῦτα εἰσὶ τὰ ἐν τοῖς συγγραφεῖσι Θεοδωρίτῳ κατὰ τῶν κεφαλαίων τοῦ ἁγίου Κυρίλλου, καὶ τέως ὅσα ὁ ἅγιος Κύριλλος ἀνατρέπει, ἢ νομίζει ἐν τοῖς πρὸς Θεοδώριτον ἀντιρρητικοῖς βλάσφημα, καὶ εἴτις ταῦτα ἐπαινεῖ, ἀνάθεμα ἔϛω. τὰ τοιαῦτα οὖν ἡ παροῦσα ἁγία Σύνοδος ἀνεθεμάτισε τοῦ Θεοδωρίτου ἐν κεφαλαίῳ δωδεκάτῳ, καὶ οὐδὲν ἕτερον.

ΠΑΡΑΤΡΑΦΟΝ Β'.

Ὅτι οἱ Λατῖνοι δόγμα Νεϛορίου καὶ Θεοδωρίτου εἶναι τὴν μήτε ἐξ Υἱοῦ μήτε δι' Υἱοῦ ὕπαρξιν τοῦ ἁγίου Πνεύματος ἐκ ψευδῶν προτάσεων συμπεραίνοντες, καὶ τοῦτο τὴν πέμπτην Σύνοδον, καὶ τὸν Ἰουϛινιανὸν, καὶ τοὺς ἱϛορικοὺς, καὶ πολλοὺς τῶν πατέρων ἀναθεματίσαι λέγοντες, δείκνυνται ἑξαχῶς διασαφῶν ἀποδείξεων ψευδόμενοι σὺν τῷ πρώτως τοῦτο εἰπόντι τερατολόγῳ Θωμᾷ Ἀκβίνᾳ.

Ἡ Σύνοδος ἐν τῷ δεκάτῳ τρίτῳ κεφαλαίῳ τοῦ Ὅρου αὐτῆς, καὶ οἱ συγγραψάμενοι τὰς ἐκκλησιαϛικὰς ἱϛορίας, καὶ τοῦ Ἰουϛινιανοῦ αἱ Σάκραι πρὸς τὴν Σύνοδον ἀναθεματίζουσι τὰ συγγράμματα αὐτοῦ, τοῦ Θεοδωρίτου δηλονότι, τὰ γραφέντα κατὰ τῆς ὀρθῆς πίϛεως, καὶ κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ τῆς ἐν Ἐφέσῳ Συνόδου, καὶ τὰ ὑπὲρ τῶν συγγραμμάτων Θεοδώρου καὶ Νεϛορίου, ὧνπερ δὴ οὕτως ἐχόντων, οἱ Λατῖνοι λέγουσιν, ἐπειδὴ φρόνημα ἦν Νεϛορίου, μήτε ἐξ Υἱοῦ μήτε δι' Υἱοῦ ἔχειν τὴν ὕπαρξιν τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐκ τοῦ Πατρὸς μόνου, καὶ ὁ Θεοδώριτος συναπαχθεὶς τῷ φρονήματι τούτῳ, ὡς φαίνεται ἐξ ὧν φησὶν ἐν τῇ ἀνατροπῇ τοῦ ἐνάτου ἀναθεματισμοῦ τοῦ Κυρίλλου, ἄρα καὶ τοῦτο τὸ δόγμα Νεϛορίου καὶ Θεοδωρίτου, καὶ τοὺς τοῦτο φρονοῦντας ἡ πέμπτη Σύνοδος, καὶ οἱ διαληφθέντες, ἤτοι ὁ Ἰουϛινιανὸς, οἱ ἱϛορικοὶ, καὶ πολλοὶ τῶν πατέρων ἀνεθεμάτισαν. ταῦτα οἱ Λατῖνοι. Ἀλλὰ ῥητέον πρῶτον, οὐκ ἦν φρόνημα τοῦ Νεϛορίου τὸ μὴ ἔχειν τὴν ὕπαρξιν τὸ Πνεῦμα τὸ ἅγιον ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ, ἀλλ' ἦν καὶ ἔϛι φρόνημα τῆς καθολικῆς Ἐκκλησίας, καὶ δῆλον, οὔτε γὰρ ὁ Κύριλλος γράψας τὸ πρῶτον κατὰ τῆς Αἱρέσεως Νεϛορίου, ἤτοι πρὸς τοὺς τὸν μονήρη βίον ἀσκοῦντας ἐν Αἰγύπτῳ, καὶ μεταταῦτα πρὸ τῆς κατ' αὐτὸν ἐν Ἐφέσῳ Συνόδου πρὸς τοὺς Βασιλεῖς, καὶ πρὸς τὸν Κλῆρον Κωνϛαντινουπόλεως, καὶ πρὸς τὸν Νεϛόριον αὐτὸν, καὶ πρὸς τὸν Πάπαν Κελεϛῖνον, καὶ πρὸς τοὺς Πατριάρχας Ἀντιοχείας καὶ Ἱεροσολύμων, καὶ πρὸς Ἀκάκιον τὸν Βερροίας, καὶ ἄλλους πολλοὺς, καὶ μετὰ τὴν Σύνοδον εἰς διαφόρους, ἀλλὰ δὴ οὔτε ἐν τοῖς γράμμασιν οἷς ὑπεμνημάτισε μέρη τινὰ τῆς ἁγίας γραφῆς, καὶ ἐν οἷς ἔγραψεν ἀντιρρητικοῖς κατὰ Νεϛορίου, καὶ πρὸς τούτοις, οὔτε ἐν τοῖς δώδεκα ἀναθεματισμοῖς, ἐν οἷς ἐϛηλίτευσε τὴν Αἵρεσιν Νεϛορίου, καὶ ἐπὶ πᾶσι τούτοις, οὔτε ἐν τῇ κατ' αὐτὸν ἐν Ἐφέσῳ Συνόδῳ, ἐν ᾗ ὁ μέγιϛος ἀγὼν κατὰ τῆς Αἱρέσεως Νεϛορίου, καὶ ἡ κατά-

κατάκρισις καὶ ἀποβολὴ τοῦ Συμβόλου αὐτοῦ, ὅπερ προσέφερεν ἐκεῖ ὁ πρεσβύτερος Χαρίνσιος, ἢ ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ εἶπεν, ἢ ἐφανέρωσεν, ὅτι ὁ Νεστόριος ἐβλασφήμει εἰς τὴν ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος, ἤτοι αἱρετικός ἐστιν ὁ λόγος τοῦ Νεστορίου, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐξ Υἱοῦ τὴν ὕπαρξιν ἔχει, ἀλλὰ ἐκ τοῦ Πατρός. δεύτερον, ὅτε ὁ Πάπας Κελεστῖνος ἐν οἷς ἔγραψε πρὸς τὸν Κύριλλον, καὶ τὸν Κλῆρον καὶ τὸν λαὸν Κωνσταντινουπόλεως, καὶ εἰς τὴν ἐν Ἐφέσῳ Σύνοδον κατὰ Νεστορίου εἶπεν, ὅτι ὁ Νεστόριος βλασφημεῖ καὶ εἰς τὴν ὕπαρξιν τοῦ ἁγίου Πνεύματος. τρίτον, ὅτε ὁ Ἀντιοχείας Ἰωάννης, ὅτε Ἀκάκιος ὁ Βερροίας, γράψαντες Νεστορίῳ συμβουλευτικῶς πρὸς διόρθωσιν, εἶπον αὐτῷ ἵνα μὴ βλασφημῇ καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἢ μόνον ἵνα εἴπῃ Θεοτόκον τὴν ἁγίαν Παρθένον, καὶ οὐδὲν ἕτερον. τέταρτον, ὅτε οἱ Βασιλεῖς πρὸ τῆς Συνόδου καὶ μετὰ τὴν Σύνοδον ἐν αἷς γεγραφήκασι Σάκραις κατὰ Νεστορίου εἶπον περὶ αὐτοῦ, ὅτι ἐβλασφήμησε καὶ εἰς τὴν ὕπαρξιν τοῦ ἁγίου Πνεύματος. πέμπτον, ὅτε οἱ κατ' ἐκεῖνο καιροῦ, καὶ οἱ μεταταῦτα ἐκκλησιαστικοὶ ἱστορικοὶ καὶ πατέρες καὶ Σύνοδοι Οἰκουμενικαί τε καὶ Τοπικαὶ εἶπον τοιοῦτόν τι περὶ Νεστορίου, ἀλλὰ πρῶτος ὁ τοῦτο εἰπὼν, ἐστὶν ὁ τερατολόγος Θωμᾶς ὁ Ἀκβίνας, ὁ ἀθέως εἰπὼν νεστοριανὴν τὴν Ἀνατολικὴν Ἐκκλησίαν. ἕκτον, ὅτι μὲν γὰρ ὁ Νεστόριος ἐβλασφήμει εἰς τὸν ἐνανθρωπήσαντα Υἱὸν τοῦ Θεοῦ, λέγων πρὸς τοῖς ἄλλοις, ὅτι ὡς ἀλλοτρίᾳ δυνάμει ἐκέχρητο τῷ Πνεύματι τῷ ἁγίῳ, ἀληθές ἐστι, καὶ γὰρ καὶ Σύνοδοι, καὶ πατέρες, καὶ τὰ Κυρίλλου συγγράμματα, καὶ οἱ δώδεκα ἀναθεματισμοὶ αὐτοῦ, καὶ τὰ συγγράμματα τοῦ Νεστορίου τοῦτο παριστῶσιν, οὐ μὴν καὶ ὅτι διὰ τὸ εἰπεῖν αὐτὸν ἐν τῷ ἰδίῳ Συμβόλῳ, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς τοῦ Θεοῦ τυγχάνον οὐσίας, οὐχ Υἱὸν, Θεὸν δὲ ὄντα τῇ οὐσίᾳ, ὡς ἐκείνης ὂν τῆς οὐσίας, ἧσπερ καὶ ὁ Θεὸς καὶ Πατὴρ, ἐξ οὗπερ κατ' οὐσίαν ἐστὶν ἰδιάζοντι τῷ λόγῳ παρὰ πᾶσαν τὴν κτίσιν, ἢ οὐ κατ' οὐσίαν, ἀλλ' αἰτίᾳ δημιουργίας ἐκ Θεοῦ νομίζομεν εἶναι, καὶ ὅτε Υἱὸν νομίζομεν εἶναι, ὅτε δι' Υἱοῦ τὴν ὕπαρξιν εἰληφέναι. ταῦτα εἰπὼν ὁ Νεστόριος, οὐκ ἐμέμφθη, ὅτε κατηγορήθη ὡς βλάσφημος, ὅτε παρὰ Κυρίλλου, ὅτε παρὰ Βασιλέων, ἢ Πατριαρχῶν, ἢ Συνόδων, ἤτινος τῶν ἐγκρίτων ἁγίων πατέρων, ἢ τέως τῶν ἱστορικῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τῆς ἀπολογίας τοῦ θείου Κυρίλλου, ἐν τῷ ἐπιλαβέσθαι αὐτοῦ τὸν Θεοδώριτον, εἰπόντος ἴδιον τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα, καὶ ἐκ τῆς Θεοδωρίτου πρὸς τὸν Ἀντιοχείας Ἰωάννην ἐπιστολῆς περὶ τῶν πρὸς ἐκεῖνον ἐπιστολῶν τοῦ Κυρίλλου, καὶ ἐκ τοῦ τεταρτου λόγου αὐτοῦ, ἐν ᾧ ὑπογράφει τὴν Αἵρεσιν τοῦ Νεστορίου, συμπεραίνεται λαμπρότατα εἶναι σύμφωνον τὸν Κύριλλον τῷ Θεοδωρίτῳ, ἐκ μόνου τοῦ Πατρὸς τὴν ὕπαρξιν τοῦ ἁγίου Πνεύματος λέγοντι, καὶ ὀρθόδοξον τὸν Θεοδώριτον, καὶ τὰ συγγράμματα αὐτοῦ, πλὴν τῶν συναγόντων τὸν Κύριλλον Αἱρετικὸν, ὅθεν δείκνυται πλάσμα, καὶ ἀναμφίβολος πνευματομαχία τὸ θεματίζειν τοὺς Λατίνους καὶ ἐκ τοῦ Υἱοῦ τὴν ὕπαρξιν τοῦ ἁγίου Πνεύματος.

Τοῦ Κυρίλλου εἰπόντος ἐν τῷ ἐνάτῳ ἀναθεματισμῷ, τὸ ἅγιον Πνεῦμα ἴδιόν ἐστι τοῦ Υἱοῦ, ὁ Θεοδώριτος ἐπιλαβόμενος τοῦ λόγου τούτου ἐν τῇ ἀνατροπῇ τοῦ αὐτοῦ ἀναθεματισμοῦ, εἶπεν, ἴδιον μὲν τὸ Πνεῦμα τοῦ Υἱοῦ, εἰ μὲν ὡς ὁμοφυὲς καὶ ἐκ Πατρὸς ἐκπορευόμενον ἔφη (ἤτοι ὁ Κύριλλος) συνομολογήσομεν, καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνὴν, εἰ δ' ὡς ἐξ Υἱοῦ ἢ δ' Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ὡς βλάσφημον τοῦτο καὶ ὡς δυσσεβὲς ἀπορρίψομεν. πιστεύσωμεν γὰρ τῷ Κυρίῳ λέγοντι, τὸ Πνεῦμα, ὃ ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ τὰ ἑξῆς. πρὸς ταῦτα ὁ Κύριλλος ἀπολογούμενος, οὐκ εἶπεν ὅτι ὁ Θεοδώριτος βλάσφημός ἐστιν, Αἱρετικός ἐστι, καὶ μάλιστα ἑτεροζυγεῖ Νεστορίῳ κατὰ τὴν ἀσέβειαν, καθότι ὁ μὲν βλασφημεῖ εἰς τὸν Υἱὸν, Θεοδώριτος δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἔφη, ἐκπορεύεται μὲν γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, ἀλλ' οὐκ ἀλλότριον δὲ ἐστὶ τοῦ Υἱοῦ, καὶ τὰ ἑξῆς. τὶ δὲ δηλοῖ τὸ οὐκ ἀλλότριον ἐστὶ τοῦ Υἱοῦ, πάλιν αὐτὸς ὁ Κύριλλος ἐξηγητὴς αὐτοῦ ἐστὶ, γράφων γὰρ Ἰωάννῃ τῷ Ἀντιοχείας, λέγει, ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον, τουτέστιν ἴδιόν ἐστι τοῦ Υἱοῦ οὐ κατ' ἄλλην τινὰ αἰτίαν, ἀλλ' ἢ ὅτι ὁμοούσιον αὐτῷ ἐστὶ, καὶ ἰδὲ ἀνωτέρω βιβλίου τρίτου, κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν τρίτον, ἰδὲ καὶ τὴν πρὸς Εὐόπιον ἐπιστολὴν Κυρίλλου, καὶ ὅλην τὴν ἀπολογίαν περὶ τοῦ δόγματος τούτου ἐν τῷ ἐνάτῳ ἀναθεματισμῷ. δεύτερον, μετὰ τὰς διαλλαγὰς Κυρίλλου καὶ τοῦ Ἀντιοχείας Ἰωάννου ὁ Θεοδώριτος γράφων πρὸς τὸν Ἀντιοχείας Ἰωάννην περὶ τῶν ἐπιστολῶν, ἃς αὐτῷ τῷ Ἰωάννῃ ὁ Κύριλλος ἔπεμψε, φησὶ πρὸς τοῖς ἄλλοις, καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον οὐκ ἐξ Υἱοῦ ἢ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ἀλλ' ἐκ Πατρὸς ἐκπορευόμενον, ἴδιον δὲ τοῦ Υἱοῦ ὡς ὁμοούσιον ὀνομαζόμενον. ταύτην τὴν ὀρθότητα ἐν τοῖς γράμμασι θεασάμενοι, ὑμνήσωμεν τὸν τὰς ψελλιζούσας γλώσσας ἰατρεύσαντα, καὶ τὸν ἀπηχῆ φθόγγον εἰς ἰδίαν ἁρμονίαν μεταποιήσαντα. πρὸς ταῦτα ὁ Κύριλλος, ἔτι ζῶν, οὐδὲν ἀντέγραψε, μάλιστα γράφων πρὸς Οὐαλεριανὸν Ἐπίσκοπον, δέχεται τῶν τῆς Ἀνατολῆς Ἐπισκόπων τὴν πίστιν, ἐν οἷς καὶ ὁ Θεοδώριτος. ἀλλ' ὅτε ἕτερός τις μετὰ τὸν Κύριλλον ἐπελάβετο τοῦ Θεοδωρίτου ὡς Νεστοριανοῦ, ἢ ὅλως Αἱρετικοῦ, ταῦτα εἰπόντος, πλὴν, ὡς εἴρηται, Θωμᾶ τοῦ σοφιστοῦ. τρίτον, ὁ Θεοδώριτος ἤκμασεν ἕως τῆς ἐν Χαλκηδόνι Συνόδου,

ὁ δὲ

ὁ δὲ Κύριλλος ἤκμασε καὶ αὐτὸς χρόνον πολὺν, μετὰ γὰρ τὴν ἐν Ἐφέσῳ Σύνοδον ἐχειροτονήθη Κωνσταντινουπόλεως ὁ Μαξιμιανὸς, μεθ' ὃν ἐγένετο Κωνσταντινουπόλεως ὁ ἱερώτατος Πρόκλος, καὶ ἐπὶ τούτου ἤκμαζεν ἔτι ὁ ἅγιος Κύριλλος, ὡς φαίνεται ἐκ τῶν ἐπιστολῶν ἃς ἔγραψαν Κύριλλος καὶ Πρόκλος πρὸς τὸν Ἀντιοχείας Δόμνον περὶ Ἀθανασίου Ἐπισκόπου Πέρρης, κεῖνται δὲ αἱ ἐπιστολαὶ ἐν τῇ δεκάτῃ τετάρτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου, ἦν δὲ πρὸ τοῦ Δόμνου ὁ Ἰωάννης, πρὸς ὃν ἔγραφεν ὁ Θεοδώριτος περὶ Κυρίλλου, τὸν ἀπηχῆ φθόγγον, καὶ τὰς ψελλιζούσας γλώσσας, καὶ τὸ, ὅτι τὸ ἅγιον Πνεῦμα οὐκ ἔχει τὴν ὕπαρξιν ἐκ τοῦ Υἱοῦ, ἀλλ' ἐκ τοῦ Πατρός. τοσαῦτα οὖν ἔτη μετὰ τὴν ἐπιστολὴν ζήσας ὁ μακάριος Κύριλλος, οὐκ ἔγραψε κατὰ τούτου, ἤτοι τοῦ περὶ τοῦ ἁγίου Πνεύματος τοῦ Θεοδωρίτου, καὶ τὸ αἴτιον πρόδηλον, ἤτοι ὅτι οὐκ ἐνόμιζε τὸν Θεοδώριτον διὰ ταῦτα Αἱρετικὸν, ἀλλ' ὀρθόδοξον. τέταρτον, ὁ Θεοδώριτος ἐν τῷ τετάρτῳ λόγῳ περὶ αἱρετικῆς κακομυθίας ὑπογράφων καθαρῶς τὴν Αἵρεσιν Νεστορίου, περὶ μὲν τοῦ ὅτι ἐβλασφήμει εἰς τὸν Υἱὸν τοῦ Θεοῦ ὁ Νεστόριος καθαρῶς ἐκτίθησι, καὶ διὰ πολλῶν ἐλέγχει, ὅτι δὲ κακῶς ἐφρόνει περὶ τοῦ ἁγίου Πνεύματος ὁ Νεστόριος, οὐκ ἐξήλεγξε, καὶ οὐδεὶς αὐτὸν ἐμέμψατο ὡς ἐλλιπῶς συγγράψαντα τὴν Αἵρεσιν τοῦ ἀλάστορος. Ἀλλ' ἀνθυποφέρουσιν οἱ Λατῖνοι, ὅτι ἡ διαληφθεῖσα ἐπιστολὴ Θεοδωρίτου πρὸς Ἰωάννην Ἀντιοχείας νόθος ἐστὶν, ὥς φησι Λεόντιος σχολαστικὸς ὁ Βυζάντιος ἐν τῇ ἕκτῃ πράξει τῆς ἱστορίας αὐτοῦ. δεύτερον, ὁ Ἀλάτιος φησὶν, ὅτι οὐκ ἔστι σύμφωνος, ἀλλὰ ἀσύμφωνος αὐτὴ ἑαυτῇ ἡ ἐπιστολή. τρίτον, ὅτι ἐγράφη τρόπῳ διαλέξεως, ὅθεν οὐδὲ δογματική ἐστι. Ἀλλὰ ῥητέον, πρὸς μὲν τὸ πρῶτον, ὅτι ὁ Λεόντιος ταῦτα ῥητῶς ἐκεῖ φησὶ, πλὴν οὐδὲ ὁ Θεοδώριτος φαίνεται πώποτε τὸν Νεστόριον ἀποδεχόμενος, ἀλλὰ μόνον τὸν Κύριλλον ἀπομεμφόμενος διὰ τὴν συμβᾶσαν εἰς Ἰωάννην ἀτιμίαν. Καὶ, ἰστέον δὲ καὶ τοῦτο, ὅτι φαίνονταί τινες ἐπιστολαὶ Θεοδωρίτου καὶ Νεστορίου, ἐν αἷς ἀλλήλους ἀποδέχονται, πλασταὶ δέ εἰσι, πλάττουσι δὲ αὐτὰς οἱ Αἱρετικοὶ ἵνα μάχωνται δι' αὐτῶν εἰς τὴν Σύνοδον. καὶ σημείωσαι, ὅτι οὐ περὶ ταύτης τῆς ἐπιστολῆς φησὶν ὁ Λεόντιος ὅτι πλαστή ἐστιν, ἀλλὰ περὶ ἀμοιβαίων Νεστορίου καὶ Θεοδωρίτου, ἐξ ὧν οὐκ ἔστιν ἡ παροῦσα, ἐπειδὴ ἐγράφη εἰς Ἰωάννην τὸν Ἀντιοχείας, καὶ οὐκ εἰς Νεστόριον. εἶτα τὴν ἐπιστολὴν τοῦ Θεοδωρίτου ταύτην πρὸς τὸν Ἀντιοχείας Ἰωάννην προσφέρει ὡς ἀληθῆ ἡ παροῦσα Οἰκουμενικὴ Σύνοδος ἐν τῇ ἕκτῃ αὐτῆς συνελεύσει, καὶ τὸ μέρος τῆς ἐπιστολῆς ὅπερ μέμφεται τὸν ἅγιον Κύριλλον ὡς βλασφημήσαντα ἐν τοῖς ἀναθεματισμοῖς εἰς τὴν ἔνσαρκον τοῦ Σωτῆρος οἰκονομίαν, ἐκτίθησιν ἡ Σύνοδος πρὸς παράστασιν τοῦ ὅτι ὁ Θεοδώριτος ἐσυκοφάντησε τὸν ἅγιον Κύριλλον, τὸ μέντοι μέρος αὐτῆς, ἐν ᾧ λέγεται, καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐξ Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ἀλλ' ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ἀπεσιώπησεν, οὐ δι' ἄλλην τινὰ αἰτίαν, ἀλλ' ἢ διότι ἦν ὀρθόδοξον. πρὸς δὲ τὸ δεύτερον, ὅτι συμφωνοτάτη ἐστὶν αὐτὴ ἑαυτῇ ἡ ἐπιστολὴ, καὶ ἀποδείξεως οὐ δεῖται, ὁ δὲ ταῦτα εἰπὼν Αἱρεσιάρχης Ἀλάτιος μαίνεται. πρὸς δὲ τὸ τρίτον, ὅτι οἱ πατέρες τρόπῳ διαλέξεως ἐσαφήνισαν τὰ ἐκκλησιαστικὰ δόγματα, ὥστε ἡ ἐπιστολὴ δογματική ἐστιν. εἶτα ἡ ἐπιστολὴ οὐκ ἐγράφη διαλεκτικῶς, ἀλλὰ θετικῶς καὶ ὑπὸ πολλῶν εἰς Πατριάρχην, μεθ' οὗ ἐννοεῖται καὶ ἡ ἐνδημοῦσα παρ' αὐτῷ Σύνοδος. προβάλλει κατ' αὐτῆς καὶ ἕτερά τινα ὁ Ἀλάτιος, ἀλλ' ἀποδείκνυσιν ὡς ψευδῆ Ἰησοΐτης Ἰωάννης ὁ Καρνέριος τόμῳ πέμπτῳ τῶν συγγραμμάτων Θεοδωρίτου, ὅθεν ἡμεῖς οὐδένα τῶν τοιούτων λόγον ποιοῦμεν. πέμπτον, ὁ Ἰουστινιανὸς ἐν τῷ προγράμματι, ἤτοι ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως αὐτοῦ περὶ τῶν τριῶν κεφαλαίων ἐν τῷ δωδεκάτῳ ἀναθεματισμῷ μεταφράζων τὸ δέκατον τρίτον κεφάλαιον τοῦ Ὅρου τῆς παρούσης Συνόδου φησὶν, εἴτις ἀντιποιεῖται τῶν συγγραμμάτων Θεοδωρίτου, ἅπερ ἐξέθετο ὑπὲρ Νεστορίου τοῦ Αἱρετικοῦ, καὶ κατὰ τῆς ὀρθῆς πίστεως, καὶ τῆς ἐν Ἐφέσῳ πρώτης ἁγίας Συνόδου, καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ τῶν δώδεκα αὐτοῦ κεφαλαίων, ἐν οἷς ἀσεβέσι γράμμασι σχετικὴν λέγει τὴν ἕνωσιν τοῦ Θεοῦ Λόγου πρὸς τὸν τινὰ ἄνθρωπον, περὶ οὗ βλασφημῶν λέγει, ὅτι ἐψηλάφησε Θωμᾶς τὸν ἀναστάντα, καὶ προσεκύνησε τὸν ἐγείραντα, καὶ διὰ τοῦτο ἀσεβεῖς καλεῖ τοὺς τῆς Ἐκκλησίας Διδασκάλους, τοὺς καθ' ὑπόστασιν τὴν ἕνωσιν τοῦ Θεοῦ Λόγου πρὸς τὴν σάρκα ὁμολογοῦντας, καὶ πρὸς τούτοις, Θεοτόκον ἀπαρνεῖται τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν, εἴτις τοίνυν τὰ εἰρημένα συγγράμματα Θεοδωρίτου ἐπαινεῖ, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὰ, ἀνάθεμα ἔστω. διὰ ταύτας γὰρ τὰς βλασφημίας τῆς Ἐπισκοπῆς ἐξεβλήθη, καὶ μεταταῦτα ἐν τῇ ἁγίᾳ Συνόδῳ τῇ ἐν Χαλκηδόνι Συνωθήθη πάντα τὰ ἐναντία τοῖς μνημονευθεῖσιν αὐτοῦ συγγράμμασι ποιῆσαι, καὶ τὴν ὀρθὴν πίστιν ὁμολογῆσαι. ταῦτα ὁ Ἰουστινιανός. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ὡς εἴρηται ἐν τῷ πρώτῳ Παραγράφῳ ἀπὸ τῶν εἰρημένων συγγραμμάτων τοῦ Θεοδωρίτου μόνα τὰ τρία ταῦτα ἀνεθεματίσθησαν ὑπότε Συνόδων καὶ Βασιλέων, καὶ τῶν λοιπῶν ὧν εἴρηται ἀνωτέρω, ἤτοι τὸ, ὅτι λέγει σχετικὴν ἕνωσιν τοῦ Θεοῦ Λόγου πρὸς τὸν ἄνθρωπον, τὸ, ἀπέβαλε τὴν καθ' ὑπόστασιν ἕνωσιν, καὶ τὸ, ἀπαρνεῖται Θεοτόκον εἶναι τὴν ἁγίαν Παρθένον. δεύτερον, ὅτι διὰ ταύτας τὰς βλασφημίας καὶ μόνας τῆς ἐπισκοπῆς ἐξεβλήθη, καὶ οὐ διὰ τὸ εἰπεῖν μὴ ἔχειν τὴν ὕπαρξιν καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. τρίτον, ὅτι ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ πάντα τὰ ἐναντία τοῖς μνημονευθεῖσιν αὐτοῦ συγγράμμασιν ἐποίησε, καὶ τὴν ὀρθόδοξον πίστιν ὡμολόγησεν, ἀλλὰ τούτοις τοῖς ῥήμασι τῷ, ἀνάθεμα τῷ εἰς δύο Υἱοὺς μερίζοντι, καὶ τῷ, ὅτι Θεοτόκος ἐστὶν ἡ Παρθένος, ἐν τούτοις γὰρ περιέχεται καὶ τὸ μὴ εἶναι τὴν ἕνωσιν σχετικὴν, ἀλλὰ καθ' ὑπόστασιν. συμπεραίνομεν οὖν λαμπρότατα, ὅτι συγγράμματα τοῦ Θεοδωρίτου ἀσεβῆ καὶ ὑπὸ τῆς Συνόδου ταύτης καὶ τῶν λοιπῶν ὧν εἴρηται ἀνωτέρω ἀναθεματισθέντα, οὐκ ἔστιν ἕτερα, ἀλλ' ἢ μόνα τὰ

τῷ

τῷ μερίζοντι εἰς δύο υἱοὺς τὸν Κύριον, καὶ τῷ ἀπαρνεῖσθαι τὸ ὅτι Θεοτόκος ἐστὶν ἡ Παρθένος. καὶ ἔμεινεν εἶναι ἡ θέσις τῶν Λατίνων, ὅτι τὸ ἅγιον Πνεῦμα ἔχει τὴν ὕπαρξιν καὶ ἐκ τοῦ υἱοῦ, πλάσμα καὶ ἀναμφίβολος Πνευματομαχία.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι οἱ Λατῖνοι λέγοντες πάλιν ἁμαρτῆσαι τὸν Θεοδώριτον, μὴ καὶ διὰ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον εἰπόντα, καὶ διατοῦτο καθαιρεθέντα, ὡς μαρτυρεῖ τοῦτο δῆθεν Νικηφόρος ὁ Βλεμμίδης, δείκνυνται ἐνταῦθα πενταχῶς τῷ Βλεμμίδει συμψευδόμενοι.

Ἀλλὰ πάλιν φασὶν οἱ αὐτοὶ, ὅτι ὁ Θεοδώριτος ἥμαρτεν εἰπὼν μὴ καὶ διὰ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ φέρουσιν εἰς παράστασιν μάρτυρα Νικηφόρον τὸν Βλεμμίδη, εἰπόντα πρὸς Θεόδωρον τὸν Λάσκαριν ἐν τῷ δευτέρῳ λόγῳ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, τὸ δὲ μὴ διὰ τοῦ υἱοῦ, οὐδεὶς τῇ θεολογίᾳ προσέθηκε, πλὴν εἰμήτις εἰσάγει τὸ τοῦ Θεοδωρίτου φιλόνεικον, διὸ καὶ καθήρηστο, καὶ ἀποκεκήρυκτο, κἂν ὕστερον κατεγνωκὼς καὶ αὐτὸς ἑαυτοῦ, καὶ τοὺς οἰκείους λόγους, ὅσοι τῆς θεοστυγοῦς ἔριδος, ἀποσκευασάμενος, ἀλλὰ καὶ ταῖς τοῦ ἀναθέματος ἀραῖς καθυποβαλὼν, μόλις οὕτω προσδέδεκτο. ταῦτα ὁ Βλεμμίδης. Ἀλλὰ ῥητέον, περὶ μὲν τοῦ βλεμμίδους, ὁποίας δόξης ἦν, ἐροῦμεν ἐν τῷ ὀγδόῳ βιβλίῳ, ἃ δὲ τὸν Θεοδώριτον εἰσάγουσιν οἱ Λατῖνοι λέγειν, ψευδέστατά εἰσι προφανῶς, ἐπειδὴ ὁ Θεοδώριτος οὐ καθηρέθη περὶ βλασφημίας εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὔτε, δεχθεὶς παρὰ τῆς ἐν Χαλκηδόνι Συνόδου, ἀραῖς καθυπέβαλεν ἅπερ εἶπε περὶ τοῦ ἁγίου Πνεύματος, καὶ ἰδὲ ἀνωτέρω τὸν τόπον. εἰ δὲ δοκεῖ, καὶ ἤδη ῥητέον τινὰ ἐξ ὧν εἶπεν ἐκεῖ. καταδικαζόμενος τοίνυν ὡς Αἱρετικὸς, καὶ ὑπὸ τῶν πατέρων τῆς ἁγίας ἐν Χαλκηδόνι Συνόδου διωκόμενος ἔξω, πρὸς τοῖς ἄλλοις εἶπε καὶ ταῦτα ῥητῶς, ὀρθοδοξός εἰμι, καὶ Νεστόριον καὶ Εὐτυχῆ καὶ πάντα ἄνθρωπον δύο υἱοὺς λέγοντα ἀναθεματίζω. Καὶ, ἀνάθεμα Νεστορίῳ, καὶ τῷ μὴ λέγοντι τὴν ἁγίαν Παρθένον Μαρίαν Θεοτόκον, καὶ τῷ εἰς δύο υἱοὺς μερίζοντι τὸν ἕνα υἱὸν τὸν μονογενῆ, ἐγὼ δὲ καὶ τῷ ὅρῳ τῆς πίστεως ὑπέγραψα, καὶ τῇ ἐπιστολῇ τοῦ Λέοντος, καὶ οὕτω φρονῶ. ταῦτα εἰπόντος Θεοδωρίτου, οἱ πατέρες ἐβόησαν, Θεοδώριτος ἄξιος τοῦ θρόνου, καὶ τὰ ἑξῆς. ἐν οἷς σημείωσαι, ὅτι ὁ Θεοδώριτος ἐμέμφετο ὡς Νεστοριανὸς καὶ Εὐτυχιανιστὴς, ὅθεν τούτους καὶ μόνους ἀναθεματίσας, ἀνεκλήθη. δεύτερον, ὅτι τὴν Αἵρεσιν Εὐτυχοῦς καὶ Νεστορίου ὑπογράψας, ἐν συντόμῳ εἶπεν ἐκεῖνα καὶ μόνα τὰ δύο τῶν δύο ἀσεβῶν θεμέλια, ἤτοι τὸ, ἀνάθεμα τῷ εἰς δύο υἱοὺς μερίζοντι τὸν ἕνα υἱὸν τὸν μονογενῆ, καὶ τὸ, ὅτι Θεοτόκος ἐστὶν ἡ Παρθένος Μαρία. τρίτον, ὅτι οὔτε ὁ Ῥώμης, γράψας περὶ Θεοδωρίτου πρὸς τὴν ἐν Χαλκηδόνι Σύνοδον, οὔτε οἱ πατέρες, βάλλοντες ἔξω τὸν Θεοδώριτον ὡς Αἱρετικὸν, οὔτε οἱ Ἄρχοντες καὶ ἡ Σύγκλητος, πολλὰ εἰπόντες ὑπὲρ Θεοδωρίτου, οὔτε ὁ Θεοδώριτος ἀπολογούμενος, οὔτε οἱ πατέρες, ἀποδεχόμενοι αὐτὸν ὡς ὀρθόδοξον, καὶ παρέχοντες αὐτῷ τὴν Ἐκκλησίαν αὐτοῦ εἶπόν τι οὐδὲ γρὺ περὶ τῆς ὑπάρξεως τοῦ ἁγίου Πνεύματος, ἢ ὅλως ὅτι ὁ Θεοδώριτος ἐβλασφήμησεν εἰς τὴν ἐκπόρευσιν, ἤτοι εἰς τὴν ὕπαρξιν τοῦ ἁγίου Πνεύματος. τέταρτον, ὅτι ὁ Θεοδώριτος ὑπέγραψεν ἐν τῷ Ὅρῳ τῆς πίστεως, ἤτοι ἐν ἐκείνῳ, ᾧ ἐξέθετο ἡ ἐν Χαλκηδόνι Σύνοδος, οὐδὲν δὲ τὸ παράπαν ἐν τῷ Ὅρῳ περὶ τῆς ὑπάρξεως τοῦ ἁγίου Πνεύματος λέγεται. πέμπτον, ὅτι ὑπέγραψεν αὐτὸς ἐν τῇ ἐπιστολῇ τοῦ Λέοντος, οὐδὲν δὲ οὔτε ἐν τῇ ἐπιστολῇ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος εἴρηται. ἐψεύσθη ἄρα ὁ ψευδοβλεμμίδης εἰπὼν τὰ ἀνωτέρω εἰρημένα, καὶ ὅτι καθηρέθη ὁ Θεοδώριτος, ἐπειδὴ φιλονεικῶν, ἥμαρτεν εἰπὼν μὴ καὶ διὰ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ συνεψεύσθησαν αὐτῷ προφανῶς καὶ οἱ φίλοι Λατῖνοι.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι οἱ Λατῖνοι εἰς σύστασιν τῆς καὶ ἐκ τοῦ υἱοῦ ὑπάρξεως τοῦ ἁγίου Πνεύματος Ἰωάνην τὸν Δαμασκηνὸν προσφέροντες, δι' υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα εἰπόντα, δείκνυνται κἀνταῦθα ψεῦσται ἐξ αὐτῶν τοῦ Δαμασκηνοῦ τῶν ῥητῶν, τὸ δι' υἱοῦ, τὴν χορηγίαν δηλοῦν λέγοντος, καὶ ἐκ μόνου τοῦ Πατρὸς τὴν τοῦ ἁγίου Πνεύματος ὕπαρξιν πρεσβεύοντος.

Οἱ αὐτοὶ πρὸς σύστασιν τοῦ καὶ ἐκ τοῦ υἱοῦ ἔχειν τὴν ὕπαρξιν τὸ Πνεῦμα τὸ ἅγιον, προσφέρουσιν ἐν τούτῳ τῷ τόπῳ τὸν Δαμασκηνὸν λέγοντα, τὸ Πνεῦμα τὸ ἅγιον, ἡ ἐκφαντορικὴ τοῦ κρυφίου τῆς Θεότητος δύναμις τοῦ Πατρὸς, ἐκ Πατρὸς δι' υἱοῦ ἐκπορευομένη. Ἀλλὰ ῥητέον, ὅτι τὸ δι' υἱοῦ οὐ δηλοῖ τὴν ὕπαρξιν, ἀλλὰ τὴν χορηγίαν. ὅτι δὲ ὁ Δαμασκηνὸς ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐπρέσβευε, δῆλον, φησὶ γὰρ, χρὴ δὲ γινώσκειν, ὅτι τὸν Πατέρα οὐ λέγομεν ἔκτινος, λέγομεν δὲ αὐτὸν τοῦ υἱοῦ Πατέρα, τὸν δὲ υἱὸν οὐ λέγομεν αἴτιον, οὔτε Πατέρα, λέγομεν δὲ αὐτὸν καὶ ἐκ τοῦ Πατρὸς καὶ υἱὸν τοῦ Πατρὸς, τὸ δὲ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ Πατρὸς λέγομεν, καὶ Πνεῦμα Πατρὸς ὀνομάζομεν,

ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν, Πνεῦμα δὲ Υἱοῦ ὀνομάζομεν. εἴτις γὰρ Πνεῦμα Χριστοῦ οὐκ ἔχει, φησὶν ὁ θεῖος Ἀπόστολος. καὶ δι' Υἱοῦ πεφανερῶσθαι, καὶ μεταδίδοσθαι ἡμῖν ὁμολογοῦμεν. ἐνεφύσησε γὰρ φησὶ, καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ, λάβετε Πνεῦμα ἅγιον. ὥσπερ ἐκ τοῦ Ἡλίου μὲν ἡ ἀκτὶς καὶ ἡ ἔλλαμψις, αὐτὸς γάρ ἐστιν ἡ πηγὴ τῆς ἀκτῖνος καὶ τῆς ἐλλάμψεως, διὰ δὲ τῆς ἀκτῖνος ἡ ἔλλαμψις ἡμῖν μεταδίδοται, καὶ αὐτή ἐστιν ἡ φωτίζουσα ἡμᾶς, καὶ μετεχομένη ἀφ' ἡμῶν. τὸν δὲ Υἱὸν οὔτε τοῦ Πνεύματος λέγομεν, οὔτε μὴν ἐκ τοῦ Πνεύματος. ὅσα οὖν ἁρμόζει Αἰτίῳ, Πατρὶ, Πηγῇ, Γεννήτορι, τῷ Πατρὶ μόνῳ προσαρμοστέον, ὅσα δὲ Αἰτιατῷ Γεννητῷ, Υἱῷ, Λόγῳ, Δυνάμει προκαταρκτικῇ, Θελήσει, Σοφίᾳ, τῷ Υἱῷ. ὅσα δὲ Αἰτιατῷ, Ἐκπορευτῷ, Ἐκφαντορικῷ, τελεσιουργικῇ Δυνάμει, τῷ ἁγίῳ Πνεύματι. ὁ Πατὴρ πηγὴ καὶ αἰτία Υἱοῦ καὶ ἁγίου Πνεύματος, Πατὴρ δὲ Υἱοῦ μόνου, καὶ Προβολεὺς τοῦ ἁγίου Πνεύματος. ὁ Υἱὸς, Υἱὸς, Λόγος, Σοφία καὶ Δύναμις, Εἰκὼν, Ἀπαύγασμα, Χαρακτὴρ τοῦ Πατρὸς, καὶ ἐκ τοῦ Πατρός. οὐχ Υἱὸς δὲ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, Πνεῦμα τοῦ Πατρὸς, ὡς ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ Υἱοῦ δὲ Πνεῦμα, οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, μόνος γὰρ αἴτιος ὁ Πατήρ. καὶ ἐν τῷ εἰς τὴν σωτήριον ταφὴν λόγῳ φησὶν ὁ αὐτὸς, τοῦτο ἡμῖν τὸ λατρευόμενον, Πατὴρ Υἱοῦ γεννήτωρ ἀγέννητος, οὐ γὰρ ἔκτινος. Υἱὸς τοῦ Πατρὸς γέννημα, ὡς ἐξ αὐτοῦ γεγεννημένος. Πνεῦμα ἅγιον τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς ἐξ αὐτοῦ ἐκπορευόμενον, ὅπερ καὶ τοῦ Υἱοῦ λέγεται, ὡς δι' αὐτοῦ φανερούμενον, καὶ τῇ κτίσει μεταδιδόμενον, ἀλλ' οὐκ ἐξ αὐτοῦ ἔχον τὴν ὕπαρξιν. ταῦτα ὁ Δαμασκηνός. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι τοῦ Θεοδωρίτου τὸ, καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον οὐκ ἐξ Υἱοῦ ἢ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχει, καὶ τοῦ Δαμασκηνοῦ, ἀλλ' οὐκ ἐξ αὐτοῦ ἔχει τὴν ὕπαρξιν, ταὐτόν ἐστι πάντῃ καὶ πάντως. ὅθεν καὶ Θωμᾶς ὁ Ἀκβίνας μὴ δυνηθεὶς παρεξηγήσασθαι τὸν Δαμασκηνὸν, ὡς σπεύδουσι ποιῆσαι Ἀλάτιος καὶ οἱ λοιποὶ σοφοὶ τῶν παπιστῶν, ψευδόμενοι προφανῶς, καὶ βουλόμενος συστῆσαι τὴν πεσμονὴν αὐτοῦ κατὰ τῆς ἀληθείας, ἐσυκοφάντησεν αὐτὸν, εἰπὼν Νεστοριανὸν εἶναι, καὶ τοὺς κατ' αὐτὸν πιστεύοντας περὶ τοῦ ἁγίου Πνεύματος Νεστοριανοὺς, τουτέστι Θωμᾶς ὁ Ἀκβίνας τὴν Ἀνατολικὴν Ἐκκλησίαν ὠνόμασε Νεστοριανήν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ἀνθυπορὰ Λατίνων, λεγόντων, οἱ Ἕλληνες διὰ τὸ αἰσχύνεσθαι λέγειν ἀρχηγὸν τοῦ μὴ καὶ ἐκ τοῦ Υἱοῦ ἔχειν τὴν ὕπαρξιν τὸ ἅγιον Πνεῦμα τὸν Νεστόριον, λέγουσι τὸν Θεοδώριτον, προφανῶς δὲ ψευδομένων, ἐκ τοῦ μὴ εἶναι τῆς διδαχῆς ταύτης ἀρχηγὸν τὸν Νεστόριον, ἀλλὰ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. καὶ περὶ ἀπαριθμήσεως ὀνομαστὶ Παύλου τοῦ Ἀποστόλου καὶ ἁγίων πατέρων, τὴν ἐκ μόνου τοῦ Πατρὸς ὕπαρξιν τοῦ ἁγίου Πνεύματος θεολογούντων, ὧν τῆς θεολογίας ἀρχηγὸς ὁ Χριστός.

Ἀνθυποφέρουσιν οἱ Λατῖνοι λέγοντες, ὅτι οἱ Ἕλληνες αἰσχυνόμενοι λέγειν τὸν Νεστόριον ἀρχηγὸν τοῦ μὴ ἔχειν τὴν ὕπαρξιν τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ Υἱοῦ, λέγουσι τὸν Θεοδώριτον. Ἀλλὰ ῥητέον, ὅτι ἀρχηγὸς τῆς διδαχῆς ταύτης ἐστὶν ὁ ἀποκαλύψας καὶ διδάξας αὐτὴν Ἰησοῦς ὁ Χριστὸς, αὐτὸς γάρ ἐστιν ὁ εἰπὼν τὸ, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἣν διδασκαλίαν ἔλαβον οἱ ἅγιοι Ἀπόστολοι, καὶ παρέδωκαν τοῖς ἁγίοις πατράσι, καὶ ἐφυλάχθη ἄχρις ἡμῶν. ὁ μακάριος Παῦλος, ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. Διονύσιος ὁ Ἀρεοπαγίτης λέγει, μία πηγὴ τῆς ὑπερουσίου Θεότητος ὁ Πατήρ. ἑρμηνεύων δὲ αὐτὸν ὁ Γεώργιος ὁ Παχυμέρης φησὶ, κοινὸν μὲν γὰρ Πατρὸς καὶ Υἱοῦ τὸ εἶναι τὸ Πνεῦμα τὸ ἅγιον καὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἴδιον δὲ, ὅτι Πατρὸς μὲν Πνεῦμα, ὡς ἐκ Πατρὸς ἐκπορευόμενον. Υἱοῦ δὲ Πνεῦμα, ὡς συνουσιούμενον καὶ ἴδιον αὐτοῦ. Ἰουστῖνος ὁ Φιλόσοφος ἐν τῇ ἐκθέσει τῆς πίστεως, ὥσπερ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, οὕτω καὶ τὸ Πνεῦμα, πλήν γε δὴ τῷ τρόπῳ τῆς ὑπάρξεως διοίσει, ὁ μὲν φῶς ἐκ φωτὸς ἐξέλαμψε, τὸ δὲ φῶς μὲν ἐκ φωτὸς καὶ αὐτὸ, οὐ μὴν γεννητῶς, ἀλλ' ἐκπορευτῶς προῆλθεν. Ἐν τῇ πρώτῃ οἰκουμενικῇ ἔλεγον οἱ πατέρες πρὸς τὸν Φιλόσοφον, δέχου μίαν Θεότητα τοῦ Πατρὸς, τοῦ γεννήσαντος τὸν Υἱὸν ἀνεκφράστως, καὶ τοῦ Υἱοῦ τοῦ γεγεννημένου ἐξ αὐτοῦ, καὶ τοῦ ἁγίου Πνεύματος τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ Πατρὸς, ἰδίου δὲ ὄντος τοῦ Υἱοῦ, καθάπερ φησὶν ὁ Ἀπόστολος, εἴτις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. τὰ ἐν τῇ τετάρτῃ Συνόδῳ περὶ τοῦ ἁγίου Πνεύματος εἰρημένα ἰδὲ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίῳ πέμπτῳ. ὁ μέγας Ἀθανάσιος ἐν τῷ αὐτοῦ Συμβόλῳ, τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Πατρὸς οὐ πεποιημένον, οὔτε δεδημιουργημένον, οὔτε γεγεννημένον, ἀλλ' ἐκπορευτόν. καὶ ἐρωτήσει τετάρτῃ, ὁ Θεὸς καὶ Πατὴρ αὐτὸς μόνος ἐστὶν αἴτιος τοῖς δυσὶ καὶ ἀγέννητος, ὁ δὲ Υἱὸς ἐκ μόνου τοῦ Πατρὸς αἰτιατὸς, καὶ γεννητός. καὶ αὐτὸ τὸ Πνεῦμα ἐκ μόνου τοῦ Πατρὸς αἰτιατὸν καὶ ἐκπορευτὸν, διὰ δὲ τοῦ Υἱοῦ ἐν τῷ κόσμῳ ἀποστελλόμενον. τὰ αὐτά φησι καὶ ἐρωτήσει ἑνδεκάτῃ. ὁ μέγας Βασίλειος ἐπιστολῇ πρὸς Γρηγόριον τὸν ἀδελφὸν περὶ διαφορᾶς οὐσίας καὶ ὑποστάσεως, ἐπεὶ τοίνυν τὸ ἅγιον Πνεῦμα τοῦ Υἱοῦ μὲν ἤρτηται, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται, τῆς δὲ τοῦ Πατρὸς αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι, ὅθεν καὶ ἐκπορεύεται, τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τὸ μετὰ τοῦ Υἱοῦ καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ τὸ ἐκ τοῦ Πατρὸς ὑφεστάναι. ὁ δὲ Υἱὸς ὁ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον Πνεῦμα δι' ἑαυτοῦ καὶ μετ' αὐτοῦ γνωρί-

γνωρίζων μόνως μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, οὐδεμίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων τὴν κοινωνίαν ἔχει πρὸς τὸν Πατέρα ἢ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον. καὶ λόγῳ περὶ τοῦ ἁγίου Πνεύματος φησὶν, οὐδὲν ἔχον ἐν ἑαυτῷ ἐπίκτητον, ἀλλ' ἰδίως πάντα ἔχον ὡς Πνεῦμα Θεοῦ, καὶ ἐξ αὐτοῦ πεφηνὸς, αἴτιον αὐτοῦ ἔχον ὡς πηγὴν αὐτοῦ, κἀκεῖθεν πηγάζεται, πηγὴ δὲ καὶ αὐτὸ τῶν προειρημένων ἀγαθῶν, ἀλλὰ τὸ μὲν ἐκ Θεοῦ πηγάζον ἐνυπόστατόν ἐστι, τὰ δὲ ἐξ αὐτοῦ πηγάζοντα, ἐνέργειαι αὐτοῦ εἰσί. καὶ ἐν τῇ ἑρμηνείᾳ τοῦ τριακοστοῦ δευτέρου ψαλμοῦ, ἐκ Θεοῦ ἔχει τὸ Πνεῦμα τὴν ὑπόστασιν. καὶ ἐν τῇ κατὰ Σαβελλιανῶν καὶ Ἀρείου καὶ Ἀνομοίων ὁμιλίᾳ φησὶν, ἀλλὰ κυρίως ὁ Υἱὸς ἐκ τοῦ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ, ἐπειδὴ καὶ ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς ἐξῆλθε, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, ἀλλ' ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς γεννητῶς, τὸ δὲ Πνεῦμα ἀῤῥήτως ἐκ τοῦ Θεοῦ. Γρηγόριος ὁ Θεολόγος περὶ θεολογίας λόγῳ τετάρτῳ, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ὃ καθ' ὅσον μὲν ἐκεῖθεν ἐκπορεύεται, οὐ κτίσμα, καθ' ὅσον δὲ οὐ γεννητὸν, οὐχ Υἱὸς, καθ' ὅσον δὲ ἀγεννήτου καὶ γεννητοῦ μέσον, Θεός. καὶ ἐν τῷ περὶ τῆς ἐν ταῖς διαλέξεσιν εὐταξίας, δέον ἕνα Θεὸν Πατέρα γινώσκειν ἄναρχον, καὶ ἀγέννητον, καὶ Υἱὸν ἕνα γεγεννημένον ἐκ τοῦ Πατρὸς, καὶ Πνεῦμα ἓν ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον. Καὶ, ὅτι ἡ ἰδιότης ἀκίνητος, καὶ πάντα ὅσα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, πλὴν τῆς αἰτίας. Γρηγόριος ὁ Νύσσης λόγῳ πρὸς Ἕλληνας, ἓν γὰρ καὶ τὸ αὐτὸ πρόσωπον τοῦ Πατρὸς ἐξ οὗ ὁ Υἱὸς γεννᾶται, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται, διὸ καὶ κυρίως τὸν ἕνα αἴτιον ὄντα τῶν αὐτοῦ αἰτιατῶν, ἕνα Θεὸν φαμέν. καὶ κατ' Εὐνομίου λόγῳ πρώτῳ, Πατὴρ μὲν ἄναρχος, καὶ ἀγέννητος, καὶ ἀεὶ Πατὴρ νοεῖται, ἐξ αὐτοῦ δὲ κατὰ τὸ προσεχὲς ἀδιαστάτως ὁ μονογενὴς Υἱὸς τῷ Πατρὶ συνεπινοεῖται, δι' αὐτοῦ δὲ καὶ μετ' αὐτοῦ πρίν τι κενόντε καὶ ἀνυπόστατον διὰ μέσου παρεμπεσεῖν νόημα, εὐθὺς καὶ τὸ Πνεῦμα τὸ ἅγιον συνημμένως καταλαμβάνεται, οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν Υἱὸν, ὥστε ποτε τὸν μονογενῆ δίχα τοῦ Πνεύματος νοηθῆναι, ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων καὶ αὐτὸ τὴν αἰτίαν ἔχον τοῦ εἶναι, ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς, διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν. καὶ κατωτέρω, ἐξ ἀγεννήτου Ἡλίου ἄλλον Ἥλιον ὁμοῦ τῇ τοῦ πρώτου ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεκλάμποντα. καὶ κατὰ πάντα ὡσαύτως ἔχοντα. καὶ πάλιν, ἕτερον τοιοῦτον φῶς κατὰ τὸν αὐτὸν τρόπον, οὐ χρονικῷ τινὶ διαστήματι τοῦ γεννητῶς φωτὸς ἀποτεμνόμενον, ἀλλὰ δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ αἰτίαν τῆς ὑποστάσεως ἔχον ἐκ τοῦ πρωτοτύπου φωτός. καὶ ἐν τῷ περὶ θεογνωσίας, ὡς κεῖται ἐν πολλοῖς ἀντιγράφοις ἐν τῇ καθ' ἡμᾶς βιβλιοθήκῃ, τούτου γὰρ ἕνεκεν φησὶ, καὶ Πνεῦμα στόματος ὁ Δαβὶδ εἴρηκεν, ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα τῷ Πατρὶ μόνῳ προσοῦσαν πιστώσηται. καὶ πρὸς Ἀβλάβιον γράφων φησὶν, ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων καὶ αὐτὸ τὴν ὕπαρξιν ἔχον τοῦ εἶναι, ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς, διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν. καὶ ἐν τῇ εἰς τὸ Πάτερ ἡμῶν ὁμιλίᾳ, ὁ γὰρ μονογενὴς Υἱὸς ἐκ τοῦ Πατρὸς παρὰ τῆς ἁγίας γραφῆς ὀνομάζεται, καὶ μέχρι τούτου ὁ λόγος ἵστησιν αὐτῷ τὸ ἰδίωμα. τὸ δὲ ἅγιον Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται. ὁ Χρυσόστομος ἐν τῇ εἰς τὸ ἅγιον Πνεῦμα ὁμιλίᾳ, ἔστιν οὖν Θεοῦ Πνεῦμα, καὶ ἐκ Θεοῦ Πατρὸς Πνεῦμα, καὶ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, οὐκ εἶσε γεννᾶται. ἃ γὰρ οὐ γέγραπται, οὐ δεῖ φρονεῖν. Υἱὸς ἐκ Πατρὸς γεννηθεὶς, Πνεῦμα ἐκ Πατρὸς ἐκπορευόμενον. καὶ ἐν τῇ περὶ τοῦ ἁγίου Πνεύματος ὁμιλίᾳ ἰσχυρῶς ἀποδείκνυσιν, οὐ τὴν ὑπόστασιν, τὸ ἅγιον Πνεῦμα δηλονότι πέμπεσθαι, ἀλλὰ τὴν δωρεὰν, τουτέστι τὰ χαρίσματα. Σωφρόνιος ὁ Ἱεροσολύμων ἐν τῇ συνοδικῇ αὐτοῦ ἐπιστολῇ, καὶ εἰς ἓν Πνεῦμα ἅγιον τὸ ἀϊδίως ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον, τὸ φῶς καὶ Θεὸν αὐτὸ γνωριζόμενον. Μιχαὴλ ὁ Σύγκελλος ἐν τῷ εἰς τὸ μέγαν Διονύσιον λόγῳ, τὸ Πνεῦμα φησὶν ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι. Αὐγουστῖνος ἐν τῷ δεκάτῳ πέμπτῳ κεφαλαίῳ περὶ Τριάδος φησὶν, ὁ Πατὴρ γὰρ μόνος οὐκ ἔστιν ἐξ ἑτέρου, ὁ δὲ Υἱὸς ἐκ τοῦ Πατρὸς ἐγεννήθη, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἀρχικῶς. Ἱλάριος ἐν τῷ κατὰ Ἀρειανῶν βιβλίῳ, καὶ ἐμοὶ μὲν ὦ Πάτερ τοῦτο τῆς ἐμῆς πίστεως καὶ ἐπαγγελίας ἔργον ἐστὶ, τὸν Κύριον καὶ Θεόν μου τὸν μονογενῆσου Χριστὸν Ἰησοῦν κτίσμα ἀρνεῖσθαι, τούτου ἔγωγε τοῦ ὀνόματος τὴν συνδρομὴν οὐδὲ ἐπὶ τοῦ ἁγίου σου Πνεύματος νοεῖν ποτὲ ὑποίσομαι, τοῦ ἐκ σοῦ ἐκπορευθέντος, καὶ δι' αὐτοῦ πεμφθέντος. ὁ Ἱερὸς Μάξιμος ἐπιστολῇ πρὸς Μαρῖνον φησὶ, συμφώνους παρήγαγον χρήσεις Ῥωμαίων πατέρων (οἱ Λατῖνοι) ἔτι γε μὴν καὶ Κυρίλλου Ἀλεξανδρείας, ἐξ ὧν οὐκ αἰτίαν τὸν Υἱὸν ποιοῦντας τοῦ Πνεύματος σφᾶς αὐτοὺς ἀπέδειξαν, μίαν γὰρ εἴσασιν Υἱοῦ καὶ Πνεύματος τὸν Πατέρα αἰτίαν, τοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν. Κύριλλος ὁ Ἀλεξανδρείας ἐν τῇ ἐξηγήσει τοῦ Συμβόλου, καὶ προχεῖται μὲν, ἤγουν ἐκπορεύεται, καθάτερ ἀπὸ πηγῆς τοῦ Θεοῦ καὶ Πατρὸς, χορηγεῖται δὲ τῇ κτίσει διὰ τοῦ Υἱοῦ. καὶ ἀλλαχοῦ, ὥσπερ ὁ δάκτυλος ἀπήρτηται τῆς χειρὸς, οὐκ ἀλλότριος ὢν αὐτῆς, ἀλλ' ἐν αὐτῇ φυσικῶς, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον τῷ τῆς ὁμοουσιότητος λόγῳ συνῆπται πρὸς ἕνωσιν τῷ Υἱῷ, καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορεύεται. Καὶ, ὅπερ ἐστὶ τῆς Θεότητος ἴδιον, κατὰ φύσιν ἐπάγεται, πηγὴν μὲν ὥσπερ ἔχον τὴν τοῦ Πατρὸς ὑπόστασιν, προχεόμενον δὲ, ὥσπερ ἐκ Πατρὸς δι' Υἱοῦ, καὶ ἁγιάζον τὴν κτίσιν. καὶ ἐν τῷ περὶ Τριάδος φησὶν, εἷς γὰρ παρ' ἡμῖν ἀμφοῖν τοῖν προσώποιν αἴτιος ὁ Πατήρ. καὶ ἐν τῇ εἰς τὸ κατὰ Λουκᾶν ἐξηγήσει, οὐκοῦν ἐκπορεύεται μὲν, ὡς ἔφην, ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, χορηγεῖ δὲ αὐτὸ τῇ κτίσει, καὶ δίδωσι τοῖς ἀξίοις ὡς φύσειτε καὶ ἀληθῶς Υἱὸς ὁμονογενὴς αὐτοῦ Λόγος, καὶ τοῖς τοῦ Πατρὸς ἀξιώμασι διαπρέπων. ὁ αὐτὸς ἐν τῇ αὐτῇ πραγματείᾳ, κάτοι Θεὸς ὢν φύσει, καὶ τὸ

ἐκ τοῦ

ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον Πνεῦμα διδοὺς αὐτός. σημείωσαι δὲ, ὅτι ἦν ἀναμεταξὺ τοῦ Νεστορίου καὶ τοῦ Κυρίλλου ἡ διάλεξις οὐ περὶ τῆς ὑπάρξεως τοῦ ἁγίου Πνεύματος, ἀλλὰ περὶ τῆς δωρεᾶς καὶ τῆς πέμψεως, ὅθεν ἐν τῇ πρὸς Θεοδώριτον ἀπολογίᾳ φησὶν, ἐκπορεύεται μὲν γὰρ ὡς ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, οὐκ ἀλλότριον δὲ ἐστὶ τοῦ Υἱοῦ, φανερώτερον δὲ εἶπε τοῦτο ἐν τῇ πρὸς Εὐόπιον ἐπιστολῇ, λέγων, ἀλλ' οὐχ οὕτω φαμὲν αὐτὸν τὸν Υἱὸν, καθάπερ ἀμέλει καὶ τῶν ἁγίων ἕκαστον, ὡς ἀλλοτρίᾳ δυνάμει κεχρῆσθαι τῇ τοῦ Πνεύματος, ἦν γὰρ καὶ ἐστὶν αὐτοῦ τὸ Πνεῦμα, καθάπερ ἀμέλει καὶ τοῦ Πατρὸς, ἐκπορεύεται μὲν γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, οὐκ ἀλλότριον δὲ ἐστὶ τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. καὶ κατὰ τοῦτον τὸν τρόπον ἔλεγεν ὁ Κύριλλος τὸ Πνεῦμα προϊέναι ἐκ τοῦ Υἱοῦ, καὶ εἶναι τοῦ Υἱοῦ, καὶ προχεῖσθαι ἐκ τοῦ Υἱοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς κατὰ τὴν ῥῆσιν, ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ. Καὶ, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. Ὁ αὐτὸς, ὡς μαρτυρεῖ Ἰωάννης ὁ Νομοφύλαξ ἐν τῇ ἀντιῤῥήσει τοῦ φλωρεντινοῦ Ὅρου, φησὶ, καὶ ἐν Πνεύματι ἁγίῳ ζωοποιῷ προσκυνουμένῳ, τῷ ἐκπορευομένῳ ἐκ τοῦ Πατρὸς, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, ἵνα μὴ δύο Υἱοὶ ἐν τῇ Τριάδι, ἀλλ' ἐκπορευομένῳ, καθάπερ εἴρηται, ἐκ μόνου τοῦ Πατρὸς ὡς ἀπὸ στόματος, πεφηνότι δὲ δι' Υἱοῦ. ἰδὲ ἐν τῷ αὐτῷ τόπῳ τοῦ Νομοφύλακος καὶ τῶν λοιπῶν πατέρων μαρτυρίας περὶ τοῦ ὅτι ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον. σημείωσαι ἔτι, ὅτι ὁ ἅγιος Κύριλλος ἐν τῇ πρὸς Ἰωάννην Ἀντιοχείας ἐπιστολῇ αὐτοῦ τάδε αὐταῖς λέξεσι φησὶν, ὅταν τινὲς τῶν τὰ ὀρθὰ διαστρέφειν εἰωθότων τὰς ἐμὰς παραφθείρωσι φωνὰς, μὴ θαυμαζέτω τοῦτο ἡ σὴ ὁσιότης, εἰδυῖα ὅτι καὶ οἱ ἀπὸ πάσης Αἱρέσεως ἐκ τῆς θεοπνεύστου γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμὰς, τὰ διὰ τοῦ ἁγίου Πνεύματος ὀρθῶς εἰρημένα ταῖς ἑαυτῶν κακονοίαις παραφθείροντες, καὶ ταῖς ἑαυτῶν κεφαλαῖς τὴν ἄσβεστον ἐπαντλοῦντες φλόγα, οὐκοῦν ὁπότε ὁ μακάριος Κύριλλος ἀπολογίαν δίδωσιν ἐν οἷς αὐτοῦ ὁ Θεοδώριτος, ὡς ἐκ τοῦ Υἱοῦ λέγοντος τὸ Πνεῦμα, ἐπιλαμβάνεται, διὰ τὸ ἴδιον αὐτὸ λέγειν τοῦ Υἱοῦ, καὶ αὐτὸς ἑαυτὸν ἐφερμηνεύων ἐρίσκεται, ἄξιον ἅπασαν φωνὴν τοῦ ἁγίου Κυρίλλου, ὑποψίαν ἔχουσαν τοῦ λέγειν καὶ τὸν Υἱὸν εἶναι αἴτιον τοῦ Πνεύματος, πρὸς τὴν εἰρημένην ἀπευθύνειν ἀπολογίαν, ἣν δὴ καὶ ὡς κοινὸν Κανόνα κατὰ πάσης ἑαυτοῦ ὑπόπτου φωνῆς τέθεικεν, ὁ δὲ ἄλλως, ἢ ὡς οὗτος, ἐκλαμβάνων τὰ ἐκείνου, πάντως ἀκούσεται, ὅτι διαστρέφει καὶ παραφθείρει πρὸς τὴν οἰκείαν κακόνοιαν τὰ καλῶς εἰρημένα. Γρηγόριος ὁ θαυματουργὸς, ἤτουν ἡ Θεοτόκος, ἓν Πνεῦμα ἅγιον ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, καὶ δι' Υἱοῦ πεφηνὸς, δηλαδὴ τοῖς ἀνθρώποις. Θεοφύλακτος ὁ Βουλγαρίας εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, κεφαλαίῳ τρίτῳ, ἄλλο ἐστὶ τὸ ἐκ τινος εἶναι, καὶ ἄλλο τὸ εἶναι τινὸς, καὶ οἷον τὸ Πνεῦμα εἶναι μὲν τοῦ Υἱοῦ Πνεῦμα, ἀναμφίβολον, καὶ παρὰ τῆς γραφῆς πάσης βεβαιούμενον, εἶναι δὲ ἐκ τοῦ Υἱοῦ, οὐδεμία γραφὴ μαρτυρεῖ, ἵνα μὴ δύο τοὺς αἰτίους τοῦ Πνεύματος εἰσάξωμεν, τόν τε Πατέρα καὶ τὸν Υἱόν. καὶ κατωτέρῳ, λέγεται δὲ τὸ Πνεῦμα εἶναι τοῦ Υἱοῦ, ἐπειδὴ δι' Υἱοῦ χορηγεῖται τοῖς ἀνθρώποις. πίστευε σὺ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς μὲν προϊέναι, δι' Υἱοῦ δὲ χορηγεῖσθαι τῇ κτίσει, καὶ οὗτος ἔσταισοι Κανὼν ὀρθοδοξίας. Θεόδωρος ὁ Στουδίτης ψάλλει,

Μόνου μονογεννήτωρ, μονογενοῦς Υἱοῦ Πατὴρ, καὶ μόνον μόνου, φῶς φωτὸς ἀπαύγασμα, καὶ μόνον μόνως μόνου, Θεοῦ ἅγιον Πνεῦμα.

ἔτι δὲ καὶ ὁ ἅγιος Νεῖλος ἐν τῷ περὶ Τριάδος αὐτοῦ λόγῳ οὕτως ἐκτίθεται λέγων, ἡ ἁγία καὶ καθολικὴ Ἐκκλησία τὸν μὲν Πατέρα δογματίζει ἀγέννητον, τὸν Υἱὸν δὲ γεννητὸν ἐκ Πατρὸς, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς, ἀλλ' οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ. καὶ Συνέσιος ὁ Πτολεμαΐδος ἐν τοῖς ἱεροῖς αὐτοῦ ὕμνοις φησὶ,

Μία πηγὴ, μία ῥίζα, τριφαὴς ἔλαμψε μορφὰ,
Ἵνα γὰρ βυθὸς πρῶτος, τόθι καὶ κύδιμος Υἱὸς,
Κραδιαῖόν τι λόχευμα σοφίας, κοσμοτεχνῆτις,
Ἐνοτήσιόν τε φέγγος, ἁγίας ἔλαμψε πνοιᾶς.

καὶ πάλιν,

Μία πηγὰ, μία ῥίζα, ἀγαθῶν ἀνέσχεν ὄλβον,
Ὑπερούσιόν τε βλάσταν, γονίμοις ζέουσαν ὁρμαῖς.

Θεόδωρος ὁ γραπτὸς ἐν τῷ κατὰ Εἰκονομάχων φησὶ, καὶ εἰς ἓν Πνεῦμα ἅγιον ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς προϊὸν, καὶ Πατρὶ καὶ Υἱῷ συνθεολογούμενόν τε καὶ συνδοξαζόμενον ὡς συμφυὲς καὶ συναΐδιον. ἐν τούτοις πᾶσι σημείωσαι ὅτι μόνος αἴτιος ὁ Πατὴρ, καὶ μόνος ἐκπορεύει τὸ Πνεῦμα τὸ ἅγιον. ἐκ Πατρὸς δὲ καὶ Υἱοῦ, καὶ ἐκ Πατρὸς δι' Υἱοῦ χορηγεῖται, φανεροῦται, δίδοται, ἀναβλύζει, ἀποστέλλεται, δωρεῖται, ἐκχεῖται, καὶ πέμπεται πρὸς ἁγιασμὸν τῆς κτίσεως, καὶ πρὸς ὑπόστασιν καὶ μόρφωσιν κτίσεως, καὶ ὅτι καλῶς καὶ ὀρθοδόξως εἴρηται τὸ, μήτε ἐξ Υἱοῦ, μήτε δι' Υἱοῦ ἔχει τὴν ὕπαρξιν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ὅτι μία ἐστὶν ἡ πίστις καὶ περὶ τοῦ ἁγίου Πνεύματος Κυρίλλου, Θεοδωρίτου, Δαμασκηνοῦ, καὶ πάντων τῶν ἁγίων πατέρων, καὶ ὅτι ἐστὶν ἀρχηγὸς πρώτιστος τῆς διδασκαλίας ταύτης ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅτι αὐτῷ ἡ ἀΐδιος δόξα ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι ἐπ' ἀϊδίους αἰῶνας, ἀμήν.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ δύο προβλημάτων Λατίνων, ὧν τὸ πρῶτον ἐστὶν, ὅτι πρὸ τοῦ Φωτίου οὐδεὶς κατεῖπε τῆς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύσεως, ὃ καὶ λύεται ἐνταῦθα, καὶ τὸ δεύτερον, ὅτι ὁ Κύριλλος τὴν βλασμίαν Θεοδωρίτου καὶ Νεστορίου

εἰς

εἰς τὴν ἐκ μόνου τοῦ Πατρὸς ὕπαρξιν τοῦ ἁγίου Πνεύματος φόβῳ συγχύσεως ἐσιώπησεν, ὃ καὶ διαιρεῖται τετραχῶς.

Πρὸς ἐκεῖνα δὲ, ἅπερ λέγουσιν οἱ Λατῖνοι, ὅτι πρὸ τοῦ Φωτίου οὐδεὶς εἶπέ τι κατὰ τῆς ἐκ τοῦ Υἱοῦ ἐκπορεύσεως, καὶ ὅτι ἵνα μὴ γένηται μείζων σύγχυσις εἰς τὰς Ἐκκλησίας, ἐσιώπησεν ὁ Κύριλλος τὴν εἰς τὸ ἅγιον Πνεῦμα βλασφημίαν Θεοδωρίτου καὶ Νεστορίου, ῥητέον, πρὸς μὲν τὸ πρῶτον, ὅτι οὐδεὶς πρὸ τοῦ Φωτίου ἤλεγξε τὴν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν, ἐπειδὴ πρὸ τοῦ Φωτίου παρ' οὐδενὸς ἐρρέθη, οὔτε καθ' ὅλως ἠκούσθη ἡ βλασφημία αὕτη εἰς τὸ κοινὸν τῆς Ἐκκλησίας, καὶ ἰδὲ κατωτέρω βιβλίου ὀγδόου κεφάλαιον δεύτερον καὶ δέκατον, ὅπῃ δὲ γῆς μέρους ἠκούσθη πρὸ τοῦ Φωτίου, παρευθὺς ἐξηλέγχθη, ὡς παριστῶσι τὰ διαληφθέντα δύο κεφάλαια τοῦ ὀγδόου βιβλίου, καὶ προσέτι δείκνυται τοῦτο ἀνωτέρω, βιβλίου ἑβδόμου κεφαλαίῳ ὀγδόῳ. πρὸς δὲ τὸ δεύτερον, ῥητέον, ὅτι εἰ καὶ εἴρηται ἀνωτέρω ἐν τούτῳ τῷ κεφαλαίῳ περὶ τούτου ἱκανῶς, ἐνταῦθα ὅμως ἐκθετέον πλατύτερον τὸ λεγόμενον ἐν τῷ Συμβόλῳ τοῦ Νεστορίου περὶ τοῦ ἁγίου Πνεύματος. δεύτερον, τὴν πίστιν τοῦ Νεστορίου, ἧς καὶ κατέγνω ὁ Κύριλλος καὶ ἡ ἐν Ἐφέσῳ συνόδος. τρίτον, εἰ ἦν βλασφημία τὸ μὴ καὶ ἐκ τοῦ Υἱοῦ ἔχειν τὴν ὕπαρξιν τὸ Πνεῦμα τὸ ἅγιον, ἀδύνατον ἦν σιωπῆσαι τὸν Κύριλλον. τέταρτον, ὅτι οὐκ ἦν βλασφημία τὸ μὴ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ πίστις ἀποστολικὴ, καὶ δόγμα τῆς καθολικῆς Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς ἐκθέσεως τοῦ Συμβόλου τοῦ Νεστορίου, καὶ τῆς πίστεως αὐτοῦ, καὶ βεβαιώσεως διὰ πολλῶν ἀποδείξεων, ὅτι ἐν τῷ Συμβόλῳ αὐτοῦ ὁ Νεστόριος οὐκ ἐβλασφήμησεν εἰς τὴν ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος, ἀλλ' εἰς τὴν ἐνσωμάτωσιν μόνον τοῦ Κυρίου, δι' ἣν καὶ κατεκρίθη.

Λέγεται λοιπὸν ἐν τῷ Συμβόλῳ τοῦ Νεστορίου, Καὶ εἰς τὸ Πνεῦμα δὲ τὸ ἅγιον ἐκ τῆς Θεοῦ τυγχάνον οὐσίας, οὐχ Υἱὸν, Θεὸν δὲ ὄντα τῇ οὐσίᾳ, ὡς ἐκείνης ὂν τῆς οὐσίας, ἧς πέρ ἐστιν ὁ Θεὸς καὶ Πατὴρ, ἐξ οὗπερ κατ' οὐσίαν ἐστὶ, καὶ οὔτε Υἱὸν νομίζομεν, οὔτε δι' Υἱοῦ τὴν ὕπαρξιν εἰληφός.

Ἡ πίστις τοῦ Νεστορίου, ἧς κατέγνω ὁ Κύριλλος. Γράφει οὖν ἡ Συνόδος πρὸς τοὺς Αὐτοκράτορας περὶ Νεστορίου, ἐξετάσαντες τὰ παρ' αὐτοῦ ἐγγράφως ἐκτεθέντα περὶ τῆς ἐνσωματώσεως τοῦ Δεσπότου Χριστοῦ ἀσεβῆ δόγματα, αὐτά τε ἐκεῖνα ἀνεθεματίσαμεν. καὶ ὁ Κύριλλος ἐν τῇ πρὸς Νεστόριον συνοδικῇ ἐπιστολῇ φησὶν, ἀλλὰ γὰρ ἀκόλουθον ἐγγράφως καὶ ἐνωμότως ὁμολογῆσαι, ὅτι ἀναθεματίζεις μὲν τὰ σαυτοῦ μιαρὰ καὶ βέβηλα δόγματα, φρονήσεις δὲ καὶ διδάξεις ἃ καὶ ἡμεῖς ἅπαντες. καὶ ἐν τῷ τέλει τῆς ἐπιστολῆς, τούτοις ἅπασι καὶ τὴν σὴν εὐλάβειαν συναινέσαι χρὴ, καὶ συνθέσθαι δίχα λόγου παντός. καὶ ἐν τῇ πρὸς τοὺς Αὐτοκράτορας ἐπιστολῇ, ἐπειδὴ δὲ λοιπὸν ἔλειπε τὸ δοκιμασθῆναι τὰ δόγματα τὰ κηρυχθέντα παρὰ τοῦ Νεστορίου, οὐ γὰρ ἄδηλα ἦν ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ διαῤῥήδην κηρυττόμενα, καὶ ἐν βιβλίοις, καὶ ἐν ταῖς δημοσίαις διαλέξεσιν ἐκβοώμενα. ἰδοὺ λοιπὸν πάντα τὰ ἀσεβῆ, καὶ μιαρὰ καὶ βέβηλα, καὶ ἀναθεματισθέντα, καὶ ἐν τῷ Συμβόλῳ αὐτοῦ κείμενα, καὶ ἐν βιβλίοις κηρυττόμενα, καὶ ἐν διαλέξεσιν ἐκβοώμενα ἀσεβῆ δόγματα Νεστορίου, οὐκ ἦσαν ἄλλα τινὰ, ἀλλὰ μόνον τὰ περὶ τῆς ἐνσωματώσεως τοῦ Δεσπότου Χριστοῦ, ἅτινα ἤλεγξε μὲν ὁ Κύριλλος, ἀνεθεμάτισε δὲ ἡ Συνόδος. τοῦτο δείκνυται καὶ ἀπὸ τοῦ λιβέλλου τοῦ πρεσβυτέρου Χαρινσίου, ἐν ᾧ λέγεται τὸ Σύμβολον τοῦ ἀσεβοῦς Νεστορίου ἔκθεσις κακοδοξίας, κακοδοξίαν δὲ λέγει μόνην τὴν περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ ἀσέβειαν μεθ' ὑπογραφῆς τῶν ἠπατημένων. τοῦτο αὐτὸ βεβαιοῖ καὶ ὁ μέγας Ἰουστινιανὸς ἐν τῇ ἐκθέσει τῆς πίστεως, φησὶ γὰρ, τοῦτο δὲ τὸ ἀσεβὲς τοῦ Θεοδώρου Σύμβολον (σημείωσαι ὅτι Θεοδώρου καὶ Νεστορίου Σύμβολον τὸ αὐτό ἐστιν, ἐπειδὴ τὴν συνθέσιν εἶχε τὸ πρῶτον παρὰ Θεοδώρου τοῦ Μοψουεστίας καὶ Διδασκάλου Νεστορίου) καὶ ἐν τῇ κατ' Ἔφεσον πρώτῃ Συνόδῳ προκομισθὲν, καὶ ἐν Χαλκηδόνι ἀναγνωσθὲν, ὑφ' ἑκατέρας Συνόδου μετὰ τοῦ ἐκθεμένου καὶ τῶν δεξαμένων αὐτὸ κατεκρίθη. ἰδοὺ καὶ ὁ Αὐτοκράτωρ Ἰουστινιανὸς μαρτυρεῖ, ὅτι ἐν τῷ Συμβόλῳ τοῦ Νεστορίου μόνη ἔκειτο βλασφημία ἡ περὶ τῆς ἐνσωματώσεως τοῦ Δεσπότου Χριστοῦ, ἥτις καὶ ἀνεθεματίσθη παρὰ τῶν Συνόδων τῆς ἐν Ἐφέσῳ καὶ τῆς ἐν Χαλκηδόνι. ἀλλὰ καὶ ἐν τῷ Κανόνι τῆς ἐν Ἐφέσῳ Συνόδου λέγεται, κατὰ τὸν ἴσον τρόπον εἰφωραθεῖεν τινὲς, εἴτε Ἐπίσκοποι, εἴτε φρονοῦντες Κληρικοὶ, ἢ διδάσκοντες τὰ ἐν τῇ προσκομισθείσῃ ἐκθέσει παρὰ Χαρινσίου πρεσβυτέρου περὶ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἤγουν τὰ μιαρὰ καὶ διεστραμμένα Νεστορίου δόγματα, ἃ καὶ ὑποτέτακται, ὑποκείσθωσαν τῇ ἀποφάσει τῆς ἁγίας ταύτης καὶ Οἰκουμενικῆς Συνόδου, ὥστε δηλονότι τὸν μὲν Ἐπίσκοπον ἀλλοτριοῦσθαι τῆς Ἐπισκοπῆς. φανερὸν οὖν ἐστὶν, ὅτι ὁ Νεστόριος εἰς μόνην τὴν ἔνσαρκον οἰκονομίαν ἐβλασφήμει, οὐχ ἡμάρτανε δὲ εἰς τὴν θεολογίαν τοῦ Πνεύματος τοῦ ἁγίου, ὅθεν Λεόντιος ὁ Βυζάντιος λέγει ἐν τῇ ἕκτῃ πράξει τοῦ βιβλίου αὐτοῦ, ὁ μὲν γὰρ Νεστόριος εἰ καὶ ψιλὸν ἄνθρωπον ἔλεγε τὸν Χριστὸν, ἀλλ' οὖν τὸν αὐθυπόστατον Λόγον τοῦ Θεοῦ καὶ Υἱὸν ἔλεγε γενέσθαι ἐν τῷ ἀνθρώπῳ ἐκείνῳ, περὶ γὰρ τὴν Τριάδα οὐχ ἥμαρτεν ὁ Νεστόριος.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ἀπόδειξις κ τ δ δ τέρ π βλήματος, ὅτι εἰ ἦν βλασφημία τ Νεσορίυ τὸ μὴ καὶ σὺν τ υἱ ἔχειν τὸ ὑπαρξιν τὸ ἅγιον Πνεῦμα, ἀδιώατον ἦν σωπῆσαι τὸν Κύριλλον, καὶ ὅτι ὁ Νεσόριος περὶ τ ἁγίυ Πνεύματος ὀρθῶς ἐφρόνει.

Πρὸς τὸ δεύτερον ῥητέον, πῶς ἦν δυατὸν τὸν Κύριλλον ἀγωνιᾶσθαι μὴ περὶ τῆς ἀσωματώσεως τ Δεσπότυ Χριστ, περὶ δὲ τῆς Θεολογίας τ ἁγίυ Πνεύματος σωπῆσαι; καὶ τί γὰρ εἶχε μεῖζον, ἢ διαπρύσιον ποιήσασθαι τὴν ἔμπυσαν ὧν ἔπασχον ὑπὸ Θεοδωρήτυ κακῶς; πῶ δ' ἂν ἐγκαιρότερον τὸν ὑπὲρ τῆς ἀληθείας ἔθηξε ζῆλον; πῶς δὲ ὁ Κύριλλος οὐκ ἐγίνωσκον, ὅτι ἢ διὰ φόβον ἢ διὰ ἀμέλειαν, ἢ ἄλλως ὁπωσδήποτε ἐσιώπα, τ παναγίυ Πνεύματος ὑβριζομένυ, ἀπῃτεῖτο τὸν λόγον τῆς σωπῆς ἐν τῷ ἀδεκάστῳ τ Θεοῦ κριτηρίῳ; ὡς πυ αὐτός φησιν ὁ Κύριλλος, γεγράφων Νεσορίῳ, πῶς ἓν σὺν σωπῆσαι, πίστεως ἀδικυμένης, κ τοιούτων διεσταλμένων; ἢ ὑ φοβηθησόμεθα τὸ βῆμα τ Χριστ; οὐκ ἀπολογησόμεθα δὲ τῆς ἀκοῆς σωπῆς ἕνεκα; καίτοιγε τεταγμένοι παρ' αὐτ εἰς τὸ λέγειν ἃ δεῖ. Καὶ, πίστεως γὰρ ἀδικυμένης, ἐρρέτω μᾶλλον ὡς ἕωλος καὶ ἐπισφαλὴς ἡ εἰς γονέας αἰδώς, ἠρεμεῖτο δὲ καὶ ὁ τῆς εἰς τέκνα καὶ ἀδελφὰς Φιλοσοργίας Νόμος, καὶ τ ζῆν ἀμείνων ἔσω λοιπὸν τοῖς δυσεβέσιν ὁ θάνατος, ἵνα κρεῖττον ἀνασάσεως τύχωσι κ τὸ γεγραμμένον. καὶ ἐπισαλῆ εἰς Θεοδόσιον τὸν Βασιλέα. καὶ τῶν Ἱερέων ἕκαστος, ἐπειδὴ τέθαται εἰς Θεοῦ σκηπὸς, εἰμὶ ἐπαγγέλλα τοῖς ὑπὸ χάρα λαοῖς τὸ πεφυκὸς ἀδικεῖν, σεφανὺν εἰσόμενον ἑαυτῷ τὸ χρῆμα ποιήσεται, περιπεσεῖται δὲ πάλιν τοῖς ἐκ τῆς θείας ὀργῆς ἐπισυμβαίνσι κακοῖς, ἀδικήσας ἀμετρίως ταῖς σωπαῖς τὸ ταῖς παρ' αὐτ φωναῖς εἰς ὀρθότητα διοικούμενον. καὶ κατωτέρω, ἐπειδὴ δὲ ὑπὲρ Θεοῦ τεθείμεθα σκοποὶ καὶ τῶν λαῶν κηδεμόνες, πῶς οὐκ ἔδει καὶ μάλα εἰκότως τὸν ἱερᾶν τε καὶ ἐκκλησιαστικὸν λαβόντας σάλπιγγα, τοῖς δυσεβεῖν ἑλομένοις τῆς τ Δεσπότυ παιδὸς καταστομῶσαι τὴν ἔφοδον; τίνα γὰρ ἐπήρτησε δίκην τοῖς σωπῶσι Θεός; τὸ αἷμα φησὶν ἐκ χειρὸς σ ζητήσω. ἀλλὰ καὶ πρὸς Κλεικὸς Κωνσανυπόλεως γράφων, δείκνυσι τὴν μεγάλην ἐπιμέλειαν καὶ τὸν μεγάλον ἀγῶνα, ὃν εἶχε περὶ τῆς ὀρθοδόξυ πίστεως, Οὐχὰρ μὴ δώσω, φησὶν, ὕπνον, κ τ νυσταγμὸν, κ ἀνάπαυσιν τοῖς κροτάφοισμ, ἕως ἂ ἀγωνίσωμαι τὸν ὑπὲρ τῆς ἁπάντων σωτηρίας ἀγῶνα. τοιαῦτα μεμαθηκότες τῷ ἡμῶν γνώμονι, ἀναθείσαθε, ἤδη γὰρ κ γενήσονται παρ' ἡμῖν γράμματα ἃ δεῖ καὶ πρὸς ἃ δεῖ, σκοπὸς γάρμοι Δ τὴν εἰς Χριστὸν πίστιν καὶ καμεῖν καὶ ὑποσῆναι παῦ ὅτιῶν τῶν νομιζομένων εἶναι δεινῶν ἐν βασάνοις, ἕως ἂ καὶ τὸν ἡδυμόν Δ τὸν ὑπομείνω θάνατον. δείκνυται δ' ἐκ τούτυ, ὅτι ὁ Κύριλλος ὅτε ἐδειλία, ὅτε ἠμέλει, ἀλλὰ πρὸς τὴν αὐαφυσῶσαν Αἵρεσιν ἠγωνίσατο ποικίλως καὶ πολυτρόπως, περὶ δὲ τ ἁγίυ Πνεύματος οὐδὲν αὐτοῖς Νεσορίῳ, ἐπειδὴ περὶ τούτυ ὀρθῶς ἐφρόνει ὁ Νεσόριος.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι φλυαρία τῶν Λατίνων δείκνυται τὸ σωπῆσαι τὸν Κύριλλον τὸ εἰς τὸ ἅγιον Πνεῦμα βλασφημίαν τ Νεσορίυ, ἵνα μὴ γένηται δῆθεν μείζων σύγχυσις, καὶ ὅτι ἡ τρίτη Συνόδ ἀπεδέξατο τὸ περὶ τ ἁγίυ Πνεύματος δόγμα τ Νεσορίυ, ὡς ὀρθῶς ἔχον.

Φλύαρον δὲ παύτο, ἵνα μὴ γένηται σύγχυσις μείζων, ἐσιώπησεν ὁ Κύριλλος. κ γὰρ ἅπαντες οἱ κ τὴν Ἑσπέραν καὶ τὴν Ἑῴαν Ἐπίσκοποι καὶ Διδάσκαλοι καὶ λαῶν Ἡγεμόνες, καὶ πρὸς τούτοις, οἱ Πατριάρχαι Κυρίλλ, Κελεσῖνος, Ἰωάννης καὶ Γερβασάλιος, κ οἱ περὶ αὐτούς Συνόδοι, καὶ ἡ Σύγκλητος, καὶ ὁ Κλήρος Κωνσανυπόλεως, καὶ ὁ Αὐτοκράτωρ Θεοδόσιος, καὶ αἱ Βασίλισσαι Εὐδοκία καὶ Πυλχερία ἦσαν ἐν Φρυγίδι περὶ τῆς ὀρθοδόξυ πίστεως, ὡς φαίνεται ἐκ τῶν συγγραμμάτων Κυρίλλ, καὶ τῶν πρακτικῶν τῆς ἁγίας Συνόδυ, ἀμφὶ ἀλλὰ καὶ πᾶσαι αἱ πόλεις ἦσαν ἐν ταραχῇ πάλιν περὶ τῆς ὀρθοδόξυ πίστεως, ὅθεν ἔγραφεν ὁ Αὐτοκράτωρ πρὸς τὸν Κύριλλον, ἡμᾶς μόγιστα σωταράσσεσθαι τὰς πόλεις καὶ τὰς Ἐκκλησίας ἐκ ἀνεχόμεθα. ποίαν δ' ἂν ταύτης τῆς συγχύσεως μείζονα ἐλαβέσθαι ὁ Κύριλλος, ἠνείχετο βλασφημεῖσθαι τὸ Πνεῦμα τὸ ἅγιον; ἔνιοι ἀνόητοί ἐσε Λατῖνοι, καὶ ἄφρονες οἱ καθ' ὑμᾶς θεολόγοι, ἐκ γὰρ πασμονῆς τυφλώσεως, καταφρονεῖτε τῆς ἀληθείας, καὶ βοηθεῖτε τῷ ψεύδει. ταύτην τὴν ἀφροσύνην ἐλέγχων καὶ ὁ μακάριος Ἰωσὴφ ὁ Βρυεννίος ἐν τῷ ἑβδόμῳ λόγῳ περὶ Τριάδ, καὶ Νεῖλ ὁ Θεσσαλονίκης μετ' αὐτ λέγει· σὺ δὲ καὶ τὸ γράψαι μὲν τὸν δυσεβῆ Νεσόριον ἐν τῷ ἰδίῳ Συμβόλῳ, πιστεῦσαι καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐκ τ Πατρὸς ἐκπορευόμενον, ἀλλ' οὐχὶ ἐκ τ Υἱ, τήν τε τελείαν Συνόδον ἀποδέξασθαι τὸ δόγμα, καὶ ὅλως ἐν τούτῳ μὴ αὐτοπᾶν, ἰσχυρότατον καὶ ἀκραιφνέσατον τῆς καθ' ἡμᾶς ὀρθοδοξίας γνώρισμα κέκτησο, ἔθος γὰρ κεκρατηκότος πάλαι ἐν τοῖς Οἰκουμενικοῖς τῶν Συνόδων, τὰ μὲν ὑπὲρ τῶν δογμάτων ἀκίνητα ἐᾶν, τὰ δὲ μὴ ἔτως ἔχοντα,

ἔχοντα, πάντα ἐξελέγχειν, καὶ γραφικαῖς ἀνάγκαις, καὶ δημοσίοις ἀποκηρύξεσι, καὶ τοῖς ἄλλοις ἐπιτιμίοις. πῶς οὐχ ὑπέρδεινον, τὴν μακαρίαν ταύτην Σύνοδον πάντα μὲν μετὰ τοῦ προσήκοντος ὁρίσαι σχήματος, τὸν δὲ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος λόγον πρὸς Νεστορίου διαγραφέντα σιγῇ παρελθεῖν; πῶς δὲ καὶ ἀμφότερα Νεστορίου λέγοντος, ὅτι τε ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐκ ἔχει τὴν ὕπαρξιν, καὶ ὅτι ὁ Χριστὸς ψιλὸς ἄνθρωπος, συνῆλθον μὲν τῷ ἑνὶ, ἐπὶ τῷ ἑτέρῳ δὲ οὐ συνῆλθον; ἢ ᾠδὶ μὲν ἐμίσουν τὸ ψεῦδος, ᾠδὶ δὲ ὑπεδέχοντο.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ἔλεγχος κατὰ παπιστῶν Δημητρίου Χρυσολωρᾶ καὶ Μακαρίου Ἀγκύρας, ὅτι εἰ ἦν βλάσφημος ὁ Νεστόριος εἰς τὴν τῆς ἁγίας Τριάδος θεολογίαν, οὐκ ἂν παρεῖδεν ὁ Κύριλλος τὸ μεῖζον, τοῦ δὲ ἐλάττονος, τῆς οἰκονομίας δηλονότι, ἐφρόντισε.

Πρὸς τούτοις, ἐπειδὴ μείζων ἡ περὶ Τριάδος θεολογία τῆς περὶ τῆς ἐνσάρκου οἰκονομίας, πῶς ὁ Κύριλλος τῆς μὲν μείζονος ὑπερεῖδε, τῆς δὲ ἐφρόντισε; τοῦτον τὸν παραλογισμὸν τῶν Λατίνων ἐλέγχων Δημήτριος ὁ Χρυσολωρᾶς ἐν τῷ ἀντιθετικῷ διαλόγῳ κατὰ Δημητρίου τοῦ Κηδώνη, λέγει, ὅσον ὑπερέχει Θεὸς, τοσοῦτον ἡ τῶν θείων προσώπων ἀναίρεσις τὴν ἐπὶ Χριστοῦ τῆς ὑποστάσεως ἀναίρεσιν ὑπερβαίνει, καὶ μαρτυρεῖ τῷ λόγῳ ὁ πρὸς ἑκάτερον, ὡς οὐχρεὼν ἀτιμαζόμενον, εἰπὼν, Ὁ βλασφημήσας εἰς τὸν Υἱὸν, ἀφεθήσεται, ὁ δὲ βλασφημήσας εἰς τὸ ἅγιον Πνεῦμα, οὐκ ἀφεθήσεται. εἰ γοῦν ὁ τῶν μακαρίων ἐκείνων κύκλος μεγάλων ἀνέχεται τῶν ἀγώνων ἐν τῇ σαρκώσει τοῦ Χριστοῦ αὐτοῦ, τὶ ἂν εἰς τὸ μεῖζον ἐποίει τῆς θεολογίας μέρος αὐτοῦ; δῆλον ὡς πάμπολλα καὶ μεγάλα, οὐκ ἄρα σιγῶσιν, ὅτι Νεστορίῳ τῆς θεολογίας οὐσκοπὸς ἦν, ἀλλ' ὅτι δίκαιον αὐτοῖς καὶ εὐσεβὲς τὸ λεγόμενον ἐλογίζετο. τὰ αὐτὰ λέγει καὶ ὁ Μακάριος Ἀγκύρας ἐν κεφαλαίῳ ἑξηκοστῷ ἑβδόμῳ, Τὶ γὰρ καὶ πλέον ἦν τὸ κατεπεῖγον καὶ ἀναγκαιότερον, οὐκ ἀκριβωθῆναι πρῶτον τὸ τῆς θεολογίας, εἶτα τὸ τῆς οἰκονομίας; τὸ μὲν γὰρ προηγεῖται, τὸ δὲ ἐπακολουθεῖ. οὐκ ἄρα οὖν ὡς καὶ οἱ λίθοι κεκράξονται τὸ τῆς θεολογίας πρῶτον ἔδει ἐξετασθῆναι, ἐνστερνισθῆναί τε καὶ παῤῥησιασθῆναι, εἶτα ὡσαύτως γενέσθαι καὶ τὸ τῆς οἰκονομίας; ἐκείνης γὰρ, ἤγουν τῆς θεολογίας ἐχούσης τὸ εἰλικρινὲς καὶ θεοπρεπὲς, ὀρθόδοξόν τε καὶ πάγιον, καὶ ὡς ἐπὶ Θεοῦ δοξάζειν τοὺς εὐσεβεῖς ἄξιον ἐκ τῶν θεοπνεύστων γραφῶν, καὶ αὕτη ἡ οἰκονομία τὰ ὅμοια πλουτεῖ, ὡς καὶ πᾶν τοὐναντίον ἐξ ἀνάγκης περιΐσταται, ἐκείνης γὰρ τῆς θεολογίας τὸ βέβαιον μὴ ἐχούσης, καὶ αὐτῆς, τουτέστι τῆς οἰκονομίας τὸ ἀβέβαιον κατακρατεῖ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι ὁ ἅγιος Κύριλλος οὐκ ἀντεῖπε Θεοδωρίτῳ, καὶ Νεστορίου οὐκ ἤλεγξε τὴν περὶ τοῦ ἁγίου Πνεύματος θεολογίαν, δῆλον καὶ ἐκ τῆς ἐνταῦθα ἐπιστολῆς Θεοδωρίτου πρὸς τὸν Ἀντιοχείας Ἰωάννην, περὶ Κυρίλλου καὶ τῶν συγγραμμάτων αὐτοῦ διαλαμβανούσης.

Ἔμεινε λοιπὸν γινώσκειν ἡμᾶς βεβαίως, ὅτι ὁ ἅγιος Κύριλλος οὐκ ἀντεῖπε Θεοδωρίτῳ, οὔτε ἤλεγξε τοῦ Νεστορίου τὴν περὶ τοῦ ἁγίου Πνεύματος θεολογίαν, ἐπειδὴ ὀρθὰ ἐφρόνει ὁ Νεστόριος καὶ Θεοδώριτος περὶ τοῦ ἁγίου Πνεύματος, ὅθεν μετὰ τὰς διαλλαγὰς τοῦ ἁγίου Κυρίλλου καὶ Ἰωάννου τοῦ Ἀντιοχείας, ἔγραφε Θεοδώριτος πρὸς αὐτὸν τὸν Ἀντιοχείας Ἰωάννην περὶ Κυρίλλου καὶ τῶν συγγραμμάτων, ὧν ἀντέγραψεν ὁ Κύριλλος ἀπ' Ἀλεξανδρείας εἰς Ἀντιόχειαν μετὰ Παύλου τοῦ Ἐμέσης, Ὁ πάντα σοφῶς πρυτανεύων Θεὸς, καὶ τῆς ἡμετέρας προμηθούμενος ὁμονοίας, καὶ τῆς τῶν λαῶν κηδόμενος σωτηρίας, συναθροισθῆναι ἡμᾶς κατὰ ταὐτὸν παρεσκεύασε, καὶ συμφώνους ἀλλήλοις τὰς πάντων ἔδειξε γνώμας, ἐν κοινῷ γὰρ ἀναγνόντες τὰ Αἰγύπτια γράμματα, καὶ ἐξετάσαντες αὐτῶν ἀκριβῶς τὴν διάνοιαν, εὑρομὲν σύμφωνα τοῖς εἰρημένοις τὰ ἐκεῖθεν ἀπεσταλμένα. Καὶ, τὰ δὲ νῦν ἀπεσταλμένα τῇ εὐαγγελικῇ εὐγενείᾳ καλλύνεται, Θεὸς γὰρ τέλειος καὶ ἄνθρωπος τέλειος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν αὐτοῖς αἰαγορεύεται. Καὶ, τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐξ Υἱοῦ ἢ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ἀλλ' ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ἴδιον δὲ τοῦ Υἱοῦ ὡς ὁμοούσιον ὀνομαζόμενον. ταύτην τὴν ὀρθότητα ἐν τοῖς γράμμασι θεασάμενοι, ὑμνήσαμεν τὸν τὰς ψελλιζούσας γλώσσας ἰατρεύσαντα, καὶ τὸν ἀπηχῆ φθόγγον εἰς ἡδυῖαν ἁρμονίαν μεταῤῥυθμίζοντα. ταῦτα δημοσίως καὶ τρανῇ τῇ φωνῇ περὶ Κυρίλλου ὁ Θεοδώριτος. ἐν οἷς σημείωσαι, ὅτι πολλὰ μεταταῦτα ἔτη ἐπιζήσας ὁ ἅγιος Κύριλλος, οὔτε αὐτὸς, οὔτε ἑτερός τις ἐπελάβετο τοῦ Θεοδωρίτου περὶ τούτου, ἀλλὰ Κύριλλος καὶ πᾶσα ἡ Ἐκκλησία σύμφωνοι ἦσαν περὶ αὐτῶν τῷ Θεοδωρίτῳ, ὡς εἴπομεν ἀνωτέρω.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Συμπέρασμα τῆς περὶ τοῦ ἁγίου Πνεύματος θεολογίας τοῦ Θεοδωρίτου, ὅτι συνήνεσεν αὐτῇ ὁ Κύριλλος. καὶ ἀντιθέσεις Λατίνων δύο, τὸ Σύμβολον τοῦ Νεστορίου κατακριθῆναι λεγόντων, καὶ οἰκονομικῶς σιωπηθῆναι τὴν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν ὑπὸ τοῦ Κυρίλλου, καὶ λύσις αὐτῶν.

Συμπεραίνομεν οὖν, καὶ λέγομεν μετὰ Μακαρίου τοῦ Ἀγκύρας ἐν τῷ ἑξηκοστῷ ἑβδόμῳ κεφαλαίῳ, ἡμεῖς δὲ τῇ χάριτι καὶ δωρεᾷ τοῦ ἁγίου Πνεύματος καὶ ἐδείξαμεν καὶ δείξομεν ἀκριβῶς, ὅτι οὐ μόνον οὐκ ἀντεῖπεν ὁ θεῖος Κύριλλος πώποτε τῇ περὶ τοῦ ἁγίου Πνεύματος θεολογίᾳ τοῦ μακαρίτου Θεοδωρίτου, ἀλλά γε μᾶλλον καὶ συνήνεσε ταύτῃ, καὶ ἀπεδέξατο, καὶ ἠσπάσατο αὐτὴν ὡς ἑπομένην τῇ τε θεοπνεύστῳ γραφῇ καὶ πᾶσι τοῖς θεολόγοις. ΑΝΤΙΘΕΣΙΣ ΠΡΩΤΗ. τὸ Σύμβολον τοῦ Νεστορίου κατεκρίθη ἐν τῇ ἐν Ἐφέσῳ καὶ Χαλκηδόνι ταῖς Συνόδοις. Ἀλλὰ ῥητέον, ὅτι κατεκρίθη, ὡς εἴρηται, μόνον περὶ τῆς ἐνσάρκου οἰκονομίας, οὐ μὴν καὶ περὶ τοῦ Πνεύματος τοῦ ἁγίου, γράφει γὰρ ὁ Κύριλλος πρὸς Εὐλόγιον, ὡς οὐ πάντα ὅσα λέγουσιν οἱ Αἱρετικοὶ φεύγειν καὶ παραιτεῖσθαι χρή. ΑΝΤΙΘΕΣΙΣ ΔΕΥΤΕΡΑ. ὁ Κύριλλος γράφων πρὸς τὸν Κλῆρον Κωνσταντινουπόλεως περὶ τῆς ΘΕΟΤΟΚΟΣ φωνῆς λέγει, ἐγὼ δὲ γέγραφα, ὅτι εἰ καὶ μὴ ἐμνήσθη ἡ Σύνοδος (τουτέστιν ἡ πρώτη) τῆς λέξεως, καλῶς ἐποίησεν, οὔτε γὰρ ἐκινήθη τοιοῦτόν τι κατ' ἐκεῖνο καιροῦ, ἐπειδὴ οὔτε ἦν ἀνάγκη τὰ μὴ ζητούμενα φέρειν εἰς μέσον. Ἀλλὰ ῥητέον, ὅτι ἐν τῇ ἐν Νικαίᾳ Συνόδῳ τὸ ζήτημα ἦν μάλιστα περὶ τῆς ὁμοουσιότητος τῆς ἁγίας Τριάδος, ἡ δὲ Σύνοδος εἶπε τὰ εἰκότα καὶ περὶ τῆς ἐνσάρκου οἰκονομίας, καὶ εἰ οὐκ ἐῤῥέθη ἐν αὐτοῖς ῥητῶς ἡ ΘΕΟΤΟΚΟΣ φωνὴ, ἀλλ' ἐῤῥέθησαν λέξεις παριστῶσαι ταύτην ἀναμφιβόλως, ἐνταῦθα δὲ ῥητῶς ὁ Νεστόριος παρῃτεῖτο τὴν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν, καὶ δημοσίως ὁ Θεοδώριτος ἐμάχετο περὶ τούτου Κυρίλλῳ, ὅθεν οὐ κατ' οἰκονομίαν ἐσιωπήθη ἡ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσις παρὰ Κυρίλλου, ἀλλ' ἡ μὴ καὶ ἐκ τοῦ Υἱοῦ ὕπαρξις, ἀλλ' ἐκ τοῦ Πατρὸς μόνου δηλονότι ἀληθὴς οὖσα, ἐσιωπήθη.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ὅτι λέγοντες οἱ Λατῖνοι ὑπὸ Διοσκόρου καὶ Σεβηριανοῦ τινὸς διεφθάρθαι τὰ βιβλία τοῦ Κυρίλλου, κάτινα ῥητὰ τῆς γραφῆς προσφέροντες εἰς σύστασιν τῆς καὶ ἐκ τοῦ Υἱοῦ ὑπάρξεως τοῦ ἁγίου Πνεύματος, μάταιοι κἀντούτοις ἐνταῦθα καὶ σοφισταὶ δείκνυνται.

Οἱ σοφοὶ τῶν Πνευματομάχων προσφέρουσι Λεόντιον τὸν Βυζάντιον ἐν τῇ ὀγδόῃ πράξει, καὶ Ἀναστάσιον τὸν Ἀντιοχείας ἐν τῷ δεκάτῳ κεφαλαίῳ κατὰ Ἀκεφάλων, ὅτι ὁ Διόσκορος καὶ Σεβηριανός τις ἔφθειρον τὰ βιβλία τοῦ ἁγίου Κυρίλλου. Ἀλλὰ ῥητέον, ὅτι ὁ λόγος Λεοντίου καὶ Ἀναστασίου ἦν περὶ τῶν δύο ἐπὶ Χριστοῦ φύσεων κατὰ Ἀκεφάλων, καὶ περὶ τούτων ἦν ἡ τῆς φθορᾶς ὑποψία, περὶ δὲ τοῦ ἁγίου Πνεύματος οὐδεὶς λόγος ἐκινήθη, οὔτε ὑπὸ Διοσκόρου, οὔτε ὑπὸ Σεβηριανοῦ, καθ' ὧν ἠγωνίζοντο καὶ οἱ δύο πατέρες, ἀλλὰ περὶ μόνης τῆς ἐνσωματώσεως τοῦ Σωτῆρος. ὥστε μάταιον καὶ τοῦτο τὸ σόφισμα τῶν Λατίνων. τέλος πάντων οἱ γεννᾶδαι Λατῖνοι βλέποντες ἀνίσχυρα ὅσα ἠγωνίσθησαν περὶ τῆς ἐκ τοῦ Υἱοῦ ἐκπορεύσεως, καταφεύγουσιν ἐπὶ τοῖς ῥητοῖς, ἴδιον τοῦ Υἱοῦ, ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ, Πνεῦμα τοῦ Υἱοῦ, ἐκπορεύεται δι' Υἱοῦ, ἐπὶ τῆς πέμψεως, ἐπὶ τῆς λήψεως, καὶ ἐπὶ τῶν λοιπῶν τοιούτων, ἅτινα οἱ πατέρες ἡμῶν ἡρμήνευσαν ἀποστολικῶς, τὰς δὲ ἐπ' αὐτοῖς παρεξηγήσεις τῶν Λατίνων γενναίως καὶ ἰσχυρῶς καὶ κατακράτος ἀπέβαλον.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Ἔτι περὶ τῶν τριῶν κεφαλαίων, τῶν θεωρηθέντων ἐν τῇ παρούσῃ πέμπτῃ Συνόδῳ, καὶ τῆς ἐναντιότητος τοῦ Πάπα Βιγιλίου εἰς ταῦτα, δι' ἣν καὶ ἐξωρίσθη.

Ῥητέον πάλιν, ὅτι ὁ Ῥώμης Βιγίλιος οὐκ ἠρκέσθη ὑπογράψας χάριν τῆς Βασιλίσσης εἰς τὰ τρία κεφάλαια τῆς μονοφύσεως, ὡς εἴρηται ἀνωτέρω, ἀλλὰ καὶ ἐν τῷ καιρῷ τῆς ἀθροίσεως τῆς πέμπτης Συνόδου παρὼν εἰς Βυζάντιον, οὐ μόνον οὐκ ἀπήντησε σωματικῶς εἰς τὴν Σύνοδον, ἀλλ' ἀντέλεγε τῇ Συνόδῳ, καὶ τῷ Ὅρῳ καὶ τῇ ἀποφάσει αὐτῆς ἠναντιώθη, συνθέμενος τοῖς τρισὶ κεφαλαίοις τοῖς Αἱρετικοῖς, ὅθεν καὶ

καὶ ἐξωρίσθη ὑπὸ τοῦ Βασιλέως. παλιλλογοῦντες λέγομεν, ὅτι εἰς τὴν παροῦσαν Σύνοδον ἐθεωρήθησαν τρία, ὡς εἴρηται, ὁ δὲ Βιγίλιος ἀντέλεγε καὶ τοῖς τρισὶ, λέγων, περὶ μὲν τῶν γραφέντων Θεοδωρίτῳ κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ ἁγίου Κυρίλλου, ὅτι οὐκ ἔδει τὴν Σύνοδον ἀναθεματίσαι ταῦτα, ἐπειδὴ ἡ ἐν Χαλκηδόνι Σύνοδος ταῦτα ἐδέξατο, ὡς μὴ ταῦτα ἀναθεματίσασα. περὶ δὲ Θεοδώρου τοῦ Μοψουεστίας ἔλεγεν, ὅτι ἐν εἰρήνῃ τῆς Ἐκκλησίας ἀπέθανεν, ὅθεν οὐκ ἔδει ἀναθεματισθῆναι, ἐπειδὴ οὐκ ἦν δυνατὸν μήτε κριθῆναι, τεθνηκότα ὄντα, ἐπηρείδετο δὲ ταῦτα, φέρων εἰς μαρτυρίαν τὰ πρακτικὰ τῆς τρίτης Σύνοδου, καὶ τὰ τοῦ Κυρίλλου, γράφοντος τῷ Κωνσταντινουπόλεως Πρόκλῳ, καὶ ἐπιστολὴν τοῦ Πρόκλου πρὸς Λέοντα τὸν Ῥώμης. περὶ δὲ τῆς Ἴβα ἐπιστολῆς ἔλεγεν, ὅτι ἡ ἐν Χαλκηδόνι Σύνοδος ἐδέξατο αὐτὴν ὡς ὀρθόδοξον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι δικαιῶν τὸν Μοψουεστίας Θεόδωρον ὁ Πάπας Βιγίλιος, καὶ λέγων, ὅτι οὐκ ἔδει ἀναθεματισθῆναι προτετελευτηκότα, καὶ ἐν τῇ εἰρήνῃ τῆς Ἐκκλησίας μάλιστα θανόντα, δείκνυται ἐνταῦθα διὰ πολλῶν ἀποδείξεων αὐτὸς μὲν ψευδόμενος, ὁ δὲ Μοψουεστίας δικαίως καὶ μετὰ θάνατον ὑπὸ τῆς παρούσης πέμπτης Συνόδου ἀναθέματι καθυποβεβλημένος.

Ἀλλὰ περὶ μὲν τοῦ πρώτου λέγει ἡ Σύνοδος εἰς τὴν πέμπτην συνέλευσιν αὐτῆς, ὅτι ψευδῶς προφέρεται ἡ ἐπιστολὴ Κυρίλλου ὑπὸ τῶν ὑπερασπιστῶν τοῦ Θεοδώρου, ἐπειδὴ εἰς τὴν ἐν Ἐφέσῳ Σύνοδον ἀνεθεματίσθη ὁ Θεόδωρος. καὶ δὴ τοὺς λόγους Κυρίλλου κατὰ τῶν Συνουσιαστῶν ματαίως ἐκλαβάνουσιν εἰς ἄλλην ἔννοιαν, ὁ γὰρ Κύριλλος λέγει ἄνευ αἰτίας οὐδεῖ λέγειν κατὰ τῶν τεθνηκότων (λέγει ῥητῶς ἡ Σύνοδος) ἵνα μὴ φαίνηται ἔχθρας εἶναι τὸ ἔργον. λοιπὸν ἐπειδὴ προεβλήθη ἐξέτασις, κἂν καὶ ἐκεῖνοι ὦσι τεθνηκότες, δεῖ ἡμᾶς ἐξετάσαι καὶ ἀνασκευάσαι ἅπερ ἐκεῖνοι εἶπον κακῶς. οὕτως ἔδειξαν οἱ πατέρες ὅτι ὁ Κύριλλος καὶ Πρόκλος ἔγραψαν κατὰ Θεοδώρου ἤδη ἀποθανόντος, ὃν καὶ συνηρίθμησαν μετὰ Ἰουδαίων καὶ ἀσεβῶν καὶ Σοδομιτῶν καὶ Αἱρετικῶν. ὃ δὲ λέγουσι τινὲς, ὅτι ὁ Θεόδωρος τέθνηκεν ἐν τῇ κοινωνίᾳ καὶ ἐν τῇ εἰρήνῃ τῆς Ἐκκλησίας, ψευδές ἐστιν, ὅτι ἐκεῖνος ἀποθνήσκει ἐν τῇ κοινωνίᾳ καὶ ἐν τῇ εἰρήνῃ τῆς Ἐκκλησίας, ὃς ὀρθῶς μέχρι θανάτου φυλάττει καὶ κηρύττει τὰ ὀρθὰ τῆς Ἐκκλησίας δόγματα, ὁ δὲ Θεόδωρος οὐκ ἐφύλαξεν, ἄρα. καὶ ἐν τῷ τέλει τῆς τετάρτης συνελεύσεως ἐβόησεν ἡ Σύνοδος περὶ τούτου τοῦ Θεοδώρου, τοῦτο τὸ Σύμβολον ἡ ἐν Ἐφέσῳ πρώτη Σύνοδος ἀνεθεμάτισε μετὰ τοῦ ἰδίου συγγραφέως, Ἀνάθεμα Θεοδώρῳ τῷ Μοψουεστίας καὶ τοῖς μὴ ἀναθεματίζουσιν αὐτόν. οἱ ὑπερασπισταίσου Ἰουδαῖοι εἰσὶ, καὶ οἱ ἀκόλουθοί σου ἐθνικοί. ὁ δὲ Βιγίλιος μάτην ἔφερε μαρτυρίαν ἀπὸ τοῦ Λέοντος, ὡς φαίνεται ἀπὸ τῆς ἐπιστολῆς Πελαγίου τοῦ δευτέρου πρὸς Ἠλίαν Ἀκυληΐας Ἐπίσκοπον, κεφαλαίῳ ἐνάτῳ. λέγομεν δὲ καὶ ἡμεῖς, εἰ ἦν καὶ ἡ τοῦ Κυρίλλου ἐπιστολὴ ἀληθὴς, ἀλλ' ἐκεῖνος οὐκ ἀθῳοῖ τὸν Θεόδωρον, ἀλλ' οἰκονομικῶς συνεβούλευσεν, ἵνα μὴ ἀναθεματισθῇ. ὅτε δὲ τὰ συγγράμματα αὐτοῦ γεγόνασιν αἴτια αὐξάνειν τὸν Νεστοριανισμὸν, καὶ ἀθετεῖσθαι τὴν ἐν Χαλκηδόνι Σύνοδον, δικαίως ἀνεθεματίσθη, ὡς εἴρηται αἰωτέρω, καὶ ὡς συνέβη γενέσθαι ὑπὸ Θεοφίλου καὶ Ἐπιφανίου περὶ Ὠριγένους, ὧν τὰ κατὰ Ὠριγένους συγγράμματα ἐβεβαίωσεν ἡ παροῦσα Σύνοδος, συμφώνως ἀποφηναμένη. ἠκολούθησε δὲ ταύτῃ τῇ τότε γνώμῃ τοῦ Βιγιλίου Ἰσίδωρος Ἰσπαλένσης, φλυαρῶν γὰρ δικαιοῖ τὸν Μοψουεστίας, καὶ τοὺς ἐκεῖνον καταδικάσαντας καλεῖ Ἐπισκόπους Ἀκεφάλων, βιβλίῳ περὶ διαταγῶν ἐπιφανῶν, κεφαλαίῳ τετάρτῳ. φέρει δὲ μάρτυρας οὐ τοὺς ἁγίους, ἀλλὰ Λατίνους τινὰς ἀποκρύφους, πρὸς τοῖς ἄλλοις ὅμως ἀντίκειται αὐτῷ Γελάσιος ὁ Πάπας, ὃς γράφει πρὸς τοὺς Ἐπισκόπους Γερμανίας, ἀποθανόντος Ἀκακίου τοῦ Κωνσταντινουπόλεως, ὅτι οὐδεῖ συγχωρεῖν τεθνηκόσιν, οἵτινες συγχώρησιν οὐκ ἐζήτησαν, τοῦτο δὲ ἦν ἀντικείμενον τῷ Βιγιλίῳ. Ὁ αὐτὸς Γελάσιος τῇ ἐν Ῥώμῃ, περὶ τοῦ εἰ δεῖ συγχωρηθῆναι τὸν Ἐμεσηνὸν Ἐπίσκοπον, ἐν ἔτει τετρακοσιοστῷ ἐννενηκοστῷ πέμπτῳ, ἔλεγεν, ὃ γὰρ εἶπε δήσετε καὶ λύσετε ἐπὶ τῆς γῆς, ὁ δὲ τεθνηκὼς οὐκ ἔστιν ἐπὶ τῆς γῆς, καὶ ὅτι ἡ Ἐκκλησία οὐδύναται ἔχειν ὅπερ οὐκ ἐδόθη τοῖς Ἀποστόλοις, καὶ τοῦτο ἀντίκειται Βιγιλίῳ. καὶ γὰρ οὐκ ἐδύνατο ὁ Πάπας τὸν Αἱρετικὸν ἀποθανόντα δικαιῶσαι.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι τὰ γραφέντα Θεοδωρίτῳ κατὰ τῶν δώδεκα κεφαλαίων, διϊσχυριζομένου τοῦ Πάπα Βιγιλίου μὴ ἀναθεματισθῆναι, ἡ Σύνοδος ἀνεθεμάτισε.

Περὶ δὲ τῶν συγγραφέντων τῷ Θεοδωρίτῳ κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου, φανερὸν, ὅτι εἰσὶ κατάκριτα, ἅτινα καὶ αὐτὸς μόνος ὁ Θεοδώριτος ἀπέβαλε, καὶ κατὰ Νεστορίου ἀσεβῆ λέγων καὶ ἄδικα τὰ τοιαῦτα. ὁ δὲ Βιγίλιος ἠναντιώθη τῇ κατακρίσει τῶν συγγραμμάτων τούτων, μὴ ἁρμόζειν λέγων,

λέγων, μάλιστα διϊσχυρίζετο μὴ ἀναθεματισθῆναι, ὡς δῆθεν τοῦτό ἐστι σύμφωνον τοῖς θείοις πατράσιν, ὅμως ἡ Σύνοδος τἀναντία διώρισεν, ὅθεν τοῦ Θεοδωρίτου τὰ καλὰ δεχόμεθα, ὅτι καὶ ἡ Σύνοδος ἐδέξατο, τὰ δὲ κακὰ ἀναθεματίζομεν, ὅτι καὶ ἡ Σύνοδος ἀνεθεμάτισε.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ὁ Πάπας Βιγίλιος σπεύδων δεῖξαι κακοτρόπως τὴν Ἴβα ἐπιστολὴν ὀρθόδοξον, τὴν ἀναθεματισθεῖσαν ὑπὸ τῆς παρούσης Συνόδου, δείκνυται Αἱρετικός.

Περὶ δὲ τῆς Ἴβα ἐπιστολῆς λέγομεν, ὅτι ὁ Ἰουστινιανὸς ἐν οἷς γράφει τῇ Συνόδῳ, λέγει, θέλοντες τινὲς ἀποδεῖξαι ὀρθόδοξον τὴν Ἴβα ἐπιστολὴν, λέγουσιν ὅτι ἐδέξατο αὐτὴν ἡ ἐν Χαλκηδόνι Σύνοδος, φέροντες δύο τινῶν μαρτυρίας τῶν συνελθόντων ἐκεῖσε, ὅπου ἠθέλησαν συμβιβάσαι αὐτὴν, ἣν καὶ ἔφερον εἰς ἀνάγνωσιν, ἀλλ' ἡ Σύνοδος κατέκρινεν αὐτὴν, καὶ ἀνεθεμάτισε, καὶ ὁμὴ ἀναθεματίζων ὑπὸ ἀνάθεμά ἐστιν, ἀναθεματίζει δὲ αὐτὴν ἡ Σύνοδος εἰς τὴν ἑκτὴν πρᾶξιν αὐτῆς. ὁ δὲ Βιγίλιος σπεύδει δεῖξαι τὴν ἐπιστολὴν βασιλικὴν καὶ ὀρθόδοξον, φέρων κακοτρόπως καὶ παρεξηγημένως τὴν ἐν Χαλκηδόνι Σύνοδον, ὅθεν καὶ Αἱρετικὸς ἦν, καὶ τὴν ἐν Χαλκηδόνι Σύνοδον ἠθέτει, φησὶν γὰρ ἡ Σύνοδος, ἐπειδὴ καὶ ὁ εὐσεβέστατος Βασιλεὺς, ἐν οἷς πρὸς ἡμᾶς ἔγραψε, καὶ τοῦτο προσέθηκεν, ὅτι τινὲς βουλόμενοι ὑπερασπισθῆναι τῆς ἐπιστολῆς Ἴβα, ὡς δῆθεν δεχθεῖσαν ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου, λόγοις χρώμενοι ἑνὸς ἢ δύο εὐλαβεστάτων Ἐπισκόπων, οἵτινες παρῆσαν ἐν τῇ Συνόδῳ, ὡσανεὶ ὑπὲρ ἐκείνης τῆς ἐπιστολῆς εἰρημένοις, ἐπειδὴ πάντες οἱ ἄλλοι οὐ τῆς αὐτῆς ἦσαν θελήσεως, ἀναγκαῖον ἡγούμεθα ἀναγνωσθῆναι τὴν ἐπιστολήν. καὶ γεγονυίας συγκρίσεως τῆς ἐπιστολῆς μετὰ τοῦ Ὅρου τῆς ἐν Χαλκηδόνι Συνόδου, πάντες οἱ Ἐπίσκοποι ἀνεβόησαν, ἡ ἐπιστολὴ αἱρετική ἐστιν, ἀλλὰ δὴ καὶ παρ' ἄλλων, ἃ ἐζητήθησαν καὶ ἐκρίθησαν ἐν ταύτῃ τῇ πέμπτῃ Συνόδῳ, εὑρέθη ἐκ διαμέτρου φρονοῦσα ἡ ἔκθεσις Βιγιλίου τῇ ἐν Χαλκηδόνι Συνόδῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι δι' ἑπτὰ μαρτυριῶν δείκνυται ὁ Πάπας Βιγίλιος ἐναντίος μὲν τοῖς τρισὶ κεφαλαίοις, ἤτοι ὑπερασπιζόμενος αὐτῶν, μετὰ δὲ τὴν ἐξορίαν αὐτοῦ καὶ δι' ὑπογραφῆς τῇ Συνόδῳ συνθέμενος.

Σημείωσαι ἔτι πρῶτον, ἀπὸ τοῦ Βινίου, καὶ ἄκων λέγοντος, ὅτι ὁ Βιγίλιος παρῆν καὶ ἐν τῇ Συνόδῳ, ἀλλὰ διὰ τὸ φανῆναι ἐναντίον εἰς τρία κεφάλαια, ἐξωρίσθη ὑπὸ τοῦ Βασιλέως, καὶ μετὰ ἕνα χρόνον μετανοήσας, καὶ ἀνακληθεὶς, ἐβεβαίωσε τὴν Σύνοδον, συμφωνήσας αὐτῇ περὶ τῶν τριῶν κεφαλαίων, ἤτοι διαφορῶν. δεύτερον, ἀπὸ τῆς ἐπιστολῆς τοῦ Βασιλέως εἰς τοὺς Ἐπισκόπους, ἥτις κεῖται εἰς τὴν πέμπτην πρᾶξιν τῆς παρούσης Συνόδου. τρίτον, ἀπὸ τῆς ἐννοίας τῆς Συνόδου εἰς τὴν ὀγδόην συνέλευσιν. τέταρτον, ἀπὸ τοῦ Νικηφόρου Καλλίστου, βιβλίῳ δεκάτῳ ἑβδόμῳ, κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ καὶ εἰκοστῷ ὀγδόῳ. πέμπτον, ἀπὸ τοῦ Λιμπεράτου, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ καὶ εἰκοστῷ τεταρτῷ. ἕκτον, ἀπὸ τοῦ Ἀναστασίου βιβλιοθηκαρίου εἰς τὸν βίον τοῦ Βιγιλίου. ἕβδομον, ἀπὸ τῆς διαταγῆς τοῦ Βιγιλίου, ἣν ἔγραψεν εἰς τὸν καιρὸν τῆς Συνόδου, καὶ ἴδε ἐν τῷ πέμπτῳ τόμῳ τῶν συνοδικῶν μετὰ τῆς ἐπιστολῆς τοῦ Βιγιλίου περὶ τῶν τριῶν κεφαλαίων ἃ ὑπέγραψεν, ἥτις κεῖται ἐν τῇ ἐν Βατικάνῳ βιβλιοθήκῃ, καὶ ἐν τοῖς χρονικοῖς Βερηνίου καὶ Μεσσινίου.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς γενομένης ἐν Ἀκυληΐᾳ Συνόδου κατὰ τῆς παρούσης πέμπτης Συνόδου, ὄντος ἐν ἐξορίᾳ τοῦ Πάπα Βιγιλίου, καὶ τοῦ πολυχρονίου σχίσματος τῶν Ἐκκλησιῶν, καὶ περὶ τῆς ἀνακλήσεως ἀπὸ τῆς ἐξορίας Βιγιλίου κατὰ Πελάγιον τὸν πρῶτον.

Εἰς τὸν καιρὸν καθ' ὃν ἦν ἐξωρισμένος ὁ Βιγίλιος, συνήχθησαν τινὲς Ἐπίσκοποι Διτικοὶ εἰς τὴν Ἀκυληΐαν, καὶ ἔκριναν ἀπόβλητον τὴν ἁγίαν ταύτην Οἰκουμενικὴν πέμπτην Σύνοδον, νομίσαντες αὐτὴν πολεμίαν τῶν πατέρων, καὶ τῶν προηγησαμένων τεσσάρων Συνόδων, καὶ ἔμεινε τὸ σχίσμα περίπου τὰ ἑκατὸν ἔτη, ἕως τῶν ἡμερῶν Σεργίου Πάπα τοῦ πρώτου, ὡς μαρτυρεῖ ὁ Βέδας ἐν τῷ περὶ χρόνων, κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ, εἰς τὰς ἡμέρας Τιβερίου Καίσαρος τοῦ ὀρθοδόξου. μαρτυρεῖ δὲ καὶ Πελάγιος. ὁ πρῶτος οἱ τῇ δεκάτῃ τεταρτῇ ἐπιστολῇ, ὅτι τὸν δεύτερον χρόνον, μετὰ τὸ τελειωθῆναι τὴν Σύνοδον, ἀνεκλήθη ὁ Βιγίλιος διὰ τὸ δέξασθαι αὐτὸν τὴν διαυθέντευσιν τῶν τριῶν κεφαλαίων.

ΠΑΡΑ-

500

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἐξ αἰτίας τῦ Πάπα Βιγιλίυ οἱ ἔγκριτοι Ἀρχιερεῖς Λίγυρες, Βενέτικοι καὶ Ἴσριοι μείναντες εἰς τὸ σχίσμα, ὐκ ἐδέχοντο τὴν πέμπτην Συνόδον, οἱ καὶ τὸν Ναρσῆν ἀφώρισαν, πεισματωθέντες διὰ τὰς πρὸς αὐτὸν καὶ' αὐτῶν ὑπομολὰς τῦ Πάπα Πελαγίυ.

Ἐδέξαντο δὲ τὴν Συνόδον, μεταμεληθεὶς ὁ Βιγίλιος, ἀλλ' οἱ περὶ τὴν Ῥώμην ἔγκριτοι Ἀρχιερεῖς Λίγυρες, Βενέτικοι, καὶ Ἴσριοι ἔμφυον ἐν τῷ σχίματι, καὶ ὐκ ἐδέχοντο αὐτὴν, ἀγαρ ὡς ἐδυνήθη σχίσαι ὁ Πάπας, ἕτως ἐδυνήθη καὶ συνάψαι, ὅθεν Πελάγιος ὁ πρῶτος ἔγραψε Ναρσῇ τῷ Στρατηγῷ τῦ Ἰσσινιανῦ, ἵνα διορθώσῃ αὐτὸς τῇ δυνάμει τῦ Βασιλέως, ὡς μαρτυρεῖ ἡ ὑπομολὴ τῦ Πελαγίυ πρὸς τὸν τὸν Ναρσῆν, ἧς ἡ ἀρχὴ, Ἡμεῖς ὐκ απεχόμεθα ὑπὸ ἀνθρωπίνων ματαιολογιῶν, ἢ μὴ ἀργήτωσαν ὑμᾶς εἰς τὸ θεῖον ἔργον αἱ ματαιολογίαι τῶν ἀνθρώπων. ὐκ απατρέχονται, ἀλλ' οἱ ὐκ αἱρέσεως ἀπλέξαντες τὸ κακόν. καὶ εἰς τὸ τέλος, ἰδὲ κύριε ἡ ψυχή συ δήλη ἐσὶ λίαν, μὴ θέλουσα καταπρέχειν τὰς ἐχθρὰς τῦ Θεῦ. ὑπόφασις δ' ἐσὶ καὶ Θεῦ καὶ ἀνθρώπων τὰς ποιῦντας τὰ σχίσματα ἐν τῇ ἁγίᾳ τῦ Θεῦ Ἐκκλησίᾳ, ὐ μόνον διωγμοῖς καὶ ἐξορίαις, ἀλλὰ καὶ ἀφαιρέσεσι τῶν ὑπαρχόντων καὶ δεινῶν φυλακῶν διὰ τῆς ἐξωτερικῆς δυνάμεως ἐτάζεσθαι. Καὶ; αὐτά ἐσι κύριε ἄτινα ἀναφέρομέν σοι, ὐ μόνον ἵνα ὑπερμαχήσῃς διὰ τὰ πάτρια ἤθη καὶ τὴν ἀγαθὴν κατάσασιν τῶν Ἐκκλησιῶν, ἀλλ' ἵνα διορθώσῃς καὶ πᾶσαν ταραχὴν ὀλισθομολίαν εἰς τὸν λαόν. ἀφώρισαν οἱ σχισματικοὶ τὸν Ναρσῆν διὰ πεῖσμα τὸν τῦ Πάπαν, ὅθεν παρεκινήθη καὶ ἔγραψε δεύτερον τῷ Ναρσῇ ὁ Πελάγιος, ἵνα καταβάλλῃ πᾶσι τρόποις τὴν αὐθάδειαν αὐτῶν, φθασάντων εἰς τοσῦτον, ὥ νομισάντων τὸ σχίσμα αὐτῶν εἶναι τὴν καθόλυ Ἐκκλησίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς πρὸς τὸν Πάπαν Πελάγιον ἀκοινωνησίας τῶν ἀνωτέρω ἐθνῶν καὶ τῶν Τεύτονων διὰ τὸ δεχθῆναι τὴν πέμπτην Σύνοδον, καὶ περὶ τῆς πρὸς αὐτὸν ὁμολογίας τῆς πίσεως αὐτῦ, καὶ τῆς πρὸς τὸν λαὸν ἐγκυκλίυ αὐτῦ ὑπομολῆς, παρισῶντος ἑαυτὸν αἴτιον τῦ σχίσματος, ὥ μαρτυροῦντος μεθ' ὅρκυ ἔχειν ἀσάλευτα ὥ ἐν τῇ πέμπτῃ Συνόδῳ τὰ τῶν τεσσάρων Συνόδων δόγματα τῆς πίσεως, ἐξ ὧν δείκνυται ταῖς Συνόδοις πειθήνιος.

Οὐμὴν ἀλλὰ καὶ διὰ τὸ δεχθῆναι τὸν Πελάγιον τὴν πέμπτην Οἰκυμενικὴν, τὰ ἐγκλήματα ἔθνη, καὶ μεσσέτι οἱ Τεύτονοι ἐχωρίσθησαν τῆς κοινωνίας αὐτῦ, καθὼς ἡ Πελαγίυ πρὸς Ναρσῆν ὑπομολὴ δεκάτη τρίτη μαρτυρεῖ, γεγράφοντος πρὸς αὐτὸς, μὴ ἴσασθαι ἐν τῇ ὁδῷ τῶν ἁμαρτωλῶν, ἀλλ' ἐλθεῖν εἰς τὴν δυσέβειαν, καὶ ἐν πᾶσι τύτοις ἀπερεβάλετο ὁ Πελάγιος τὴν ἀναμαρτησίαν τῦ Πάπα, ὅτε εἰς τὸν Ναρσῆν, ὅτε εἰς τὸς σχισματικὸς, ἀλλὰ ταπεινῷ τῷ σχήματι ἔσπευδον εἰς τὴν διόρθωσιν, καὶ ἵνα μὴ νομίζωσιν ὅτι ἄλλως λέγει καὶ ἄλλως πισεύει, καὶ μάλισα ἵνα δείξῃ ὅτι ὐκ ἔσιν αὐτὸς αἰτία τῦ σχίσματος, ἔγραψεν εἰς αὐτὸς καὶ τὴν ὁμολογίαν τῆς πίσεως αὐτῦ ἰδιοχείρως τύτοις τοῖς ῥήμασι, καὶ ἵνα μὴ μείνῃ ἀμφιβολία τὶς εἰς ὑμᾶς ἢ εἰς τὰς ἄλλας Ἐκκλησίας περὶ τῆς πίσεως ἡμῶν, θέλομεν καὶ ὁμολογῦμεν καὶ μεθ' ὅρκυ μαρτυρῦμεν, ὅτι ὅσα ἡ ἱερὰ τῶν θείων Ἀποσόλων διδασκαλία, καὶ ἡ τῆς ἐν Νικαίᾳ Συνόδυ ἐξυσία, καὶ ἡ τῶν ἐν Κωνσαντινυπόλει καὶ ἐν Ἐφέσῳ καὶ ἐν Χαλκηδόνι Συνόδων αὐθεντία ἐκύρωσαν, ὁδὸν ἐξ αὐτῶν μετασαλεῦσαι ἢ ἡμᾶς ἢ ἄλλυς ἡγούμεθα, ὅτε πρόσκυτας ὅτε ἀφαιρέντας, ἀλλ' ἅπαντα διαφυλάτειν. Ἢ πρόσδιόρθρῳ τῷ αὐτῷ ἔτει ἢ ἡμᾶς, εἴτε καὶ ἑτέρυς αὐθισαμένυς τὰς δόξας τῶν ἁγίων Συνόδων, καὶ εἴτις ἀμφιβάλλει μὴ εἶναι ἡμᾶς τοιύτυς, ἐλθέτω ἐνταῦθα, καὶ γνώσεται ἢ δι' ἑτέρων μαρτυριῶν. καὶ εἰς ὑπομολὴν δεκάτην τετάρτην, ἥτις καὶ ἐγκυκλικὴ ἐκλήθη, πρὸς ἅπαντα τὸν λαὸν τῦ Θεῦ λέγει, ἵνα καταπεγύνωμεν τὰς καρδίας τῶν ἀνθρώπων, καὶ ἐκβάλωμεν πᾶσαν ὑποψίαν, ἣν ἔχυσι καθ' ἡμῶν, ἠδυνάμεθα, συνεργύσης τῆς θείας χάριτος, ἀποδεῖξαι, ὅτι ὅτε ἐν μιᾷ κεφαλῇ φρονῦμεν ἐναντίον τῆς πίσεως τῶν πατέρων, καὶ τῶν τεσσάρων Συνόδων, ὅπερ καὶ ἐποιήσαμεν εἰς τὴν πέμπτην Σύνοδον, ἵνα μὴ ἔχῃ τὶς ἀμφιβάλλειν, καὶ φυλάτω τὰς τέσσαρας Συνόδυς, καὶ πείθομαι εἰς αὐτὰς, ὡς καὶ πᾶς Ἀρχιερεὺς ἔχει χρέος φυλάτειν. αὕτη ἡ πίσις καὶ ἡ ἐλπίς μυ, δι' ἧς εὐρίσκομαι ζῶν εἰς τὸν οἶκον τῦ Θεῦ, δι' αὐτῆς ἐπιθυμῶ ζῆν, καὶ δι' αὐτῆς θάψασθῆναι εἰς τὸ ῆμα τῦ Χριςῦ, δι' ἧς πισεύω συγχωρηθῆναι τὰς ἁμαρτίας μυ, καὶ εὑρεθῆναί με εἰς τὴν δεξιὰν, ὅπυ οἱ ἐκλεκτοί.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῆς πρὸς Χιλδιβέρτον Ῥῆγα Φραγγίας πεμφθείσης ἐπισολῆς τῦ Πάπα Λέοντος ὑπὸ τῦ Πάπα Πελαγίυ μετὰ καὶ ἰδίας αὐτῦ ὑπομολῆς, τὴν ὁμολογίαν τῆς πίσεως αὐτῦ δηλύσης, οἷσπερ ἑνώσεως τῶν ἀποχιθέντων αὐτῦ ἐθνῶν καὶ τῶν τῆς Ἰβεργίας Ἐπισκόπων.

Ἔγραψε

Ἔγραψε δὲ καὶ πρὸς Χιλδιβέρτον Ῥῆγα Φραγγίας τὴν ἐπιστολὴν Λέοντος ἰδίᾳ χειρὶ, ὡς φαίνεται εἰς τὴν δεκάτην πέμπτην ἐπιστολὴν αὐτοῦ, ἥτις ἐστὶ πρὸς αὐτὸν τὸν Ῥῆγα, ἧς ἡ ἀρχὴ, Ὁσωτὴρ καὶ Κύριος τοὺς ἑαυτοῦ μαθητὰς διδάσκων, εἶπεν, οὐκ ἔστι θέλημα τοῦ Πατρός μου τοῦ ἐν Οὐρανοῖς ἀπολέσθαι ἕνα τῶν μικρῶν τούτων, περὶ ὧν καὶ τὸ σκανδαλίζειν ἕνα τῶν μικρῶν τούτων, μεγάλης παιδεύσεώς ἐστιν. ὅθεν οὐ μόνον μικροῖς, ἀλλὰ καὶ τοῖς Ῥηξὶ δίδομεν τὴν ὁμολογίαν ἡμῶν, ἵνα μὴ σκανδαλίσωμεν, ἐπειδὴ προσταγήεστι τῆς ἁγίας γραφῆς πείθεσθαι ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις. καὶ ταῦτα μὲν ὁ πρῶτος Πελάγιος. σημειωτέον δὲ, ὅτι διὰ τὴν αὐτὴν αἰτίαν ἐσχίσθησαν καὶ οἱ Ἐπίσκοποι τῆς Ἰβερνίας, ὡς φαίνεται ἀπὸ τοῦ δευτέρου βιβλίου τῶν ἐπιστολῶν Γρηγορίου τοῦ Διαλόγου, κεφαλαίῳ τριακοστῷ ἕκτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τοῦ βιβλίου καὶ τῶν ἐπιστολῶν τοῦ Πάπα Πελαγίου πρὸς τὸν Ἀκυληΐας Ἠλίαν καὶ πάντας τοὺς τῆς Ἰστρίας Ἐπισκόπους ὑπὲρ τοῦ σβέσαι τὸ σχίσμα τῆς ἐν Ἀκυληΐᾳ Συνόδου, τὸ κατὰ τῆς πέμπτης Συνόδου γενόμενον, καὶ περὶ τῶν περιεχομένων ἐν τῷ βιβλίῳ αὐτοῦ ὑπὲρ τῆς πέμπτης Συνόδου.

Ἔτι ὁ Πελάγιος ὁ δεύτερος ἀγωνιζόμενος σβέσαι τὸ σχίσμα τῆς ἐν Ἀκυληΐᾳ Συνόδου κατὰ τῆς πέμπτης Συνόδου, ἔγραψε βιβλίον καὶ ἐπιστολὰς, ὡς λέγει ὁ Βίνιος, ἅτινα ἀπέστειλε πρὸς Ἠλίαν τὸν Ἀκυληΐας καὶ ὅλους τοὺς Ἐπισκόπους Ἰστρίας, περὶ ἧς ἐπιστολῆς λέγει ὁ Βίνιος εἰς τὴν ζωὴν τούτου, ὅτι διὰ τὴν ἐπανάστασιν τῶν Λογγιβαρδῶν ἦν εἰς δυστυχίαν ἡ Ἐκκλησία, ὥστε καὶ τοὺς Βρένους ἀποσχισθῆναι τῆς Ῥώμης, ἅτινα ἵνα ἀπαλείψῃ, ἔγραψε βιβλίον ὑπὲρ τῆς πέμπτης Συνόδου, καὶ ἀνεθεμάτιζε τὰ τρία κεφάλαια, εὑρίσκεται δὲ εἰς τὴν συλλογὴν τῆς πέμπτης. ἔτι λέγει ὁ Πελάγιος, ὅτι ὅσα εἰς τοῦ ἐν εὐσεβεῖ τῇ λήξει Ἰουστινιανοῦ ἐπράχθησαν, ἔχει ὑποψίαν ἡ ἀδελφότης ὑμῶν ὅτι ἀποβάλλουσι τὴν ἐν Χαλκηδόνι Συνόδον, ἀλλ' ἄπαγε, οὐγαί ἐστι τοῦτο ἔργον χριστιανικὸν, καθότι εἰς αὐτὴν τὴν ἐν Χαλκηδόνι ἐβεβαιώθησαν αἱτρεῖς, καὶ ὅστις αὐτὴν ἀθετεῖ, ἀθετεῖ πάσας, ὅπερ καὶ ἡμεῖς ἀποβάλλομεν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι ἐκ τῆς πρὸς Θεολίνδαν Ῥήγισσαν οἰκονομικῆς ἐπιστολῆς τοῦ Διαλόγου, δῆλον γίνεται καὶ τὴν ἐν τῷ Ἑνωτικῷ τοῦ Ζήνωνος ὑπογραφὴν τοῦ Κωνσταντινουπόλεως Ἀκακίου οἰκονομικὴν ὑπάρξαι.

Ἔτι Θεολίνδα ἡ Ῥήγισσα Λογγιβαρδῶν ἀπεστρέφετο τὴν κοινωνίαν τῆς Ῥώμης, ὅθεν ἐπέστειλεν αὐτῇ ὁ Διάλογος ἐπιστολὴν νουθετικὴν πρὸς διόρθωσιν, ἀλλὰ Κωνσταντίος Ἐπίσκοπος Μεδιολάνων οὐκ ἔδωκεν αὐτὴν, ἵνα μὴ σχίσῃ αὐτὴν, καὶ γένηται ἀηδὴς πρὸς πᾶσαν νουθεσίαν. καὶ διατοῦτο ὁ Διάλογος ἔγραψεν αὐτῇ ἄλλην ἐπιστολὴν, ἔχουσαν μόνας τὰς τέσσαρας Συνόδους, καὶ γίνεται δῆλον, ὅτι καὶ ὁ Ἀκάκιος μετὰ τὸ Ἑνωτικὸν ἦν ἄδικος τῆς ἐν Χαλκηδόνι Συνόδου, ὑπέγραψε δὲ ἐκεῖνο, οἰκονομῶν τὸν ἄδικον Βασιλέα, ἵνα μὴ χείρονα καὶ φανερὰ κακὰ προξενήσῃ ἐν τῇ Ἐκκλησίᾳ, ὡς καὶ οἱ μετ' ἐκεῖνον ἐποίησαν Εὐθύμιος καὶ Μακεδόνιος, ὅθεν ἡ ἐπὶ Ἰωάννου τοῦ Καππάδοκος ἐν Κωνσταντινουπόλει Συνόδος οὐκ ἐμέμψατο αὐτὸν, ἀλλὰ σιωπῇ παρῆλθεν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι τοῖς ἀποβάλλουσι τὴν πέμπτην Συνόδον ὁ Διάλογος καὶ οἱ διάδοχοι αὐτοῦ ἐκοινώνουν.

Ἀλλὰ καὶ Λέανδρος Ἐπίσκοπος Ἰσσάλου, καὶ ἄλλοι Ἐπίσκοποι Ἰσσανίας εἰς τὴν ἐν Τολέτῳ τρίτην Συνόδον μετὰ τὴν ἐν Χαλκηδόνι ἔταξαν τὴν ἕκτην Συνόδον, ὡς μὴ δεχόμενοι τὴν πέμπτην. ναὶ δὴ καὶ ὁ ἀδελφὸς τοῦ Λεάνδρου Ἰσίδωρος εἰς τὸ βιβλίον περὶ τῶν ἐνδοξοτέρων, κεφαλαίῳ τετάρτῳ, φανερῶς ἀποβάλλει τὴν πέμπτην ἁγίαν Συνόδον, καὶ ὅμως ὁ Διάλογος καὶ οἱ διάδοχοι αὐτοῦ, ὡς φαίνεται ἐκ τῶν ἐπιστολῶν τοῦ Διαλόγου εἰς Λέανδρον, ἐκοινώνουν τοῖς ἀποβάλλουσι τὴν πέμπτην, περὶ ὧν ἴδε καὶ τὸ τριακοστὸν κεφάλαιον τῶν ἐπιστολῶν αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι ὥσπερ τοὺς εἰς τὴν ἐν Τολέτῳ τετάρτην Συνόδον Ἐπισκόπους καὶ τὴν Θεολίνδαν οἰκονομικῶς ἐδέχετο ὁ Διάλογος, οὕτω καὶ τοὺς ὑπογράψαντας εἰς τὸ Ἑνωτικὸν τοῦ Ζήνωνος ὁ Ἀκάκιος.

Καὶ εἰς τὴν τετάρτην ἐν Τολέτῳ, ἐν ᾗ προεκάθητο αὐτὸς ὁ Ἰσίδωρος, βλέπομεν τὸν αὐτὸν μέγαν Γρηγόριον, ἵνα

ἵνα οἰκονομήσῃ τοὺς σχισματικοὺς, μεταχειρισθέντα τῇ ἰδίᾳ μεθόδῳ, ᾗ μετεχειρίσθη καὶ ὁ Κωνσταντινουπόλεως Ἀκάκιος, δεχόμενος τοὺς ὑπογράψαντας τὸ Ἑνωτικὸν τοῦ Ζήνωνος, ἵνα καταπαύσῃ τὸν θόρυβον τῶν Αἱρετικῶν, εἰ καὶ ἐμάχοντο αὐτῷ οἱ Πάπαι, συκοφαντοῦντες αὐτὸν, καὶ ὅμως οὐδεὶς δύναται εἰπεῖν, ὅτι ἦν κακία τοῦ Διαλόγου κοινωνήσαντος τῇ Θεολίνδᾳ, καὶ τοῖς Ἐπισκόποις αὐτῆς, μὴ δεχομένοις τὴν πέμπτην, ὃ συνεβούλευε καὶ ὁ Μεδιολαίων Κωνσταντίου ποιῆσαι, ὡς φαίνεται βιβλίῳ τρίτῳ, ἐπιστολῇ τριακοστῇ ἑβδόμῃ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ὅτι οὐκ ἠθροίσθη ἡ πέμπτη Σύνοδος περὶ κεφαλαίων τινῶν ἁπλῶς, ὡς ὁ Βίνιος σοφιστεύεται ἀποδεῖξαι τὸν Πάπαν Βιγίλιον περὶ τὴν πίστιν ἀναμάρτητον, ἀλλὰ περὶ κεφαλαίων Αἱρετικῶν, καθάπαξ ἀναιρούντων τὴν ἐν Χαλκηδόνι Σύνοδον. καὶ ὅτι ὁ Πάπας Βιγίλιος ἥμαρτεν εἰς τὴν πίστιν, καὶ πᾶς Πάπας οὐκ ἀναμάρτητος, ἁμαρτωλὸς δηλαδὴ, καὶ σφάλλων καὶ κρινόμενος, δείκνυται ἐνταῦθα τρισκαιδεκάκις ἀπό τε τῶν ἐπιστολῶν Πελαγίου πρώτου καὶ δευτέρου, καὶ Γρηγορίου τοῦ Διαλόγου, καὶ ἐξ ἄλλων πολλῶν. καὶ ὅτι ἡ ἀπόφασις τῆς Συνόδου ταύτης ᾗ ἀντέστη ὁ Βιγίλιος, σύμφωνός ἐστι τοῖς πατράσι καὶ ταῖς Συνόδοις.

Σοφιστεύεται ὁ Βίνιος ἀθῳῶσαι τὸν Βιγίλιον, καὶ δὴ λέγει ὅτι ἡ Σύνοδος οὐκ ἠθροίσθη ὑπὲρ πίστεως, ἀλλὰ περὶ τινων κεφαλαίων, ὅθεν ἀντειπὼν ταύτῃ ὁ Βιγίλιος, οὐχ ἥμαρτεν εἰς τὴν πίστιν. Ἀλλὰ ῥητέον, ὅτι οὐκ ἠθροίσθη περὶ κεφαλαίων ἁπλῶς τινῶν, ἀλλὰ περὶ κεφαλαίων Αἱρετικῶν, καὶ τοιαῦτα αἱρετικὰ ἦν, ὥστε καὶ ἀνῄρουν καθάπαξ τὴν ἁγίαν ἐν Χαλκηδόνι Σύνοδον, καὶ ἐβεβαίουν τὰ Νεστορίου καὶ Εὐτυχοῦς, καὶ δὴ καὶ αὐτὰ τοῦ Ἀρείου, ἐπειδὴ οὐκ εἴων τὸν εἰσηγητὴν τοῦ Ἀρειανισμοῦ Ὠριγένη ἀναθεματισθῆναι οἱ προφασιζόμενοι προφάσεις ἐν ἁμαρτίαις τὸ δὴ λεγόμενον, ὅθεν καὶ τιμητέα ἡ ἁγία αὕτη Σύνοδος, ὥσπερ καὶ τὰς προηγησαμένας τέσσαρας, ἐπειδὴ αὕτη, καὶ τὸν Πελάγιον Πάπαν ἀνωτέρω, ἐβεβαίωσεν ἐκείνας, ὅθεν καὶ τοὺς δεχομένους τὰ κεφάλαια Ἱερωμένους μὲν καθαιρεῖ, λαϊκοὺς δὲ ἀναθεματίζει. εἰ δὲ καὶ ὁ μέγας Γρηγόριος ἔλεγεν εἰς τοὺς Σχισματικοὺς, ὅτι οὐχ ὑπὲρ πίστεως, ἀλλὰ περὶ κατακρίσεως τινῶν προσώπων ἠθροίσθη, ἐποίει τοῦτο οἰκονομικῶς, οὐμὴν ὅτι οὐκ ἐνόμιζεν Αἱρετικοὺς τοὺς μὴ δεχομένους αὐτήν. μάτην ἄρα ὁ Βίνιος σπεύδει κλῶσαι τὰ ἄκλωστα, ἐπειγόμενος ἀθῳῶσαι τὸν Βιγίλιον, πρῶτον, ὅτι οὐκ ἦν δυνατὸν φυλάττεσθαι τὴν πίστιν, διαυθεντουμένων τῶν κεφαλαίων, ὡς ὁ Πελάγιος ἔγραφε πρὸς Ἠλίαν. δεύτερον, ὅτι ὁ Βιγίλιος ἀντιστὰς τῇ πέμπτῃ Συνόδῳ, ἀντέστη τῇ δικαιοσύνῃ καὶ ἀληθείᾳ, ἐπειδὴ ἡ Σύνοδος δικαίως διώριζεν, ὡς εἴρηται ἀνωτέρω. τρίτον, ὁ αὐτὸς ἀντέστη τῇ ἀληθείᾳ δι' ἄγνοιαν τῆς ἀληθείας, καὶ τὸ ἀδόκιμον περὶ τὴν πίστιν, ὡς μαρτυρεῖται ὑπὸ τῆς δευτέρας ἐπιστολῆς τοῦ Πελαγίου πρὸς Ἠλίαν, κεφαλαίῳ ἑβδόμῳ καὶ ὀγδόῳ, καὶ τοῖς λόγοις τοῦ Βέδα εἰς τὸ βιβλίον περὶ χρόνων. τέταρτον, τοῦ σχίσματος Βιγιλίου καὶ τῆς πέμπτης Συνόδου, τὸ ἁμάρτημα ἦν τοῦ Βιγιλίου, οὐκ ἦν λοιπὸν ἡ Σύνοδος σχισματικὴ, ἀλλ' ὁ Βιγίλιος, ἐν ὅσῳ καιρῷ ἔμενεν ἐν τῷ σχίσματι, νομίζων τὸ σχίσμα αὐτοῦ καθολικὴν Ἐκκλησίαν, καὶ ἕπεται τοῦτο ἐξ ὧν εἶπεν ὁ Πελάγιος ὁ πρῶτος ἐπιστολῇ τετάρτῃ, καὶ ὁ δεύτερος πρὸς Ἠλίαν κεφαλαίῳ ἑβδόμῳ, ὀγδόῳ καὶ εἰκοστῷ δευτέρῳ. πέμπτον, ὁ Βιγίλιος ἀνθιστάμενος τῇ πέμπτῃ Συνόδῳ περὶ τῶν τριῶν κεφαλαίων, εἶχε ζῆλον Θεοῦ, ἀλλ' οὐ χωρὶς ἁμαρτήματος, καθότι οὐκατ' ἐπίγνωσιν, ὡς ἦν καὶ ὁ ζῆλος τῶν Ἰουδαίων ἀνθιστάμενων τῷ Εὐαγγελίῳ, ὡς ὁ πρῶτος Πελάγιος λέγει ἐπιστολῇ δεκάτῃ τετάρτῃ, καὶ ὁ δεύτερος πρὸς Ἠλίαν, κεφαλαίῳ ἑβδόμῳ καὶ ὀγδόῳ. ἕκτον, ὁ Βιγίλιος σχίσμα ποιῶν ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ, δικαίως διὰ τῆς ἐξωτερικῆς δυνάμεως ἐπετιμήθη, καὶ διὰ τὴν ἀποστροφὴν τὴν ἀπὸ τῆς ἀληθείας δικαίως καὶ ἐκρίθη καὶ ἔπαθε, καὶ οὐκ ἐδύνατο διὰ ταῦτα καυχᾶσθαι, ὡς δῆθεν πεπονθέναι ταῦτα ὑπὲρ Χριστοῦ, οὐδενὶ γὰρ πρέπει μισθὸς διὰ τὸ ἁμάρτημα αὐτοῦ, ἐπειδὴ καὶ τὸν μάρτυρα οὐ ποιοῦσι τὰ βάσανα, ἀλλ' ὁ τρόπος καὶ ἡ αἰτία, ὡς λέγει ὁ πρῶτος Πελάγιος ἐπιστολῇ τρίτῃ καὶ τετάρτῃ, καὶ ὁ δεύτερος πρὸς Ἠλίαν, καὶ ὁ Γρηγόριος βιβλίῳ δευτέρῳ τῶν ἐπιστολῶν. ἕβδομον, ὅτι ὄντος τοῦ Βιγιλίου εἰς τὴν ἐξορίαν, τὸ συμφωνοῦν αὐτῷ μέρος ἦν σχισματικὸν, τὸ δὲ ἀνθιστάμενον ἦν καθολικόν. ὄγδοον, ἡ ὑποταγὴ καὶ εὐπείθεια πρὸς τοὺς κοσμικοὺς Ἄρχοντας ἀπὸ θείας ἐπιταγῆς ἐκτείνεται καὶ πρὸς τοὺς ἐκκλησιαστικοὺς, μὴ ἐξαιρουμένου μήτε Πάπα ᾗ Πάπα, καὶ αὐτὸ δὲ τὸ μὴ ὑποκεῖσθαι ἤδη τὸν Πάπαν, οὐκ ἔστι διὰ τὸ εἶναι αὐτὸν Πάπαν, ἀλλὰ διὰ τὸν θρόνον, ὅπερ ἐστὶν ἐξουσία ἐξωτερικὴ, ταὐτὸν εἰπεῖν κοσμική. καὶ σημείωσαι, ὅτι ὅτε ἐξουσίαζον οἱ νόμιμοι Αὐτοκράτορες εἰς τὴν Ῥώμην, καὶ δὴ καὶ οἱ Γότθοι, ὅλοι οἱ Πάπαι ὑπέκειντο, ὡς ὁ Πελάγιός φησιν ἐπιστολῇ δεκάτῃ, καὶ ἡμεῖς εἴπομεν ἀνωτέρω βιβλίῳ πρώτῳ κεφαλαίῳ εἰκοστῷ πρώτῳ. ἔνατον, ἡ ἀπόφασις τῆς Συνόδου ᾗ ἀντέστη ὁ Βιγίλιος ἐστὶν ἡ συμφωνοῦσα τοῖς πατράσι καὶ ταῖς Συνόδοις, ὡς ὁ Πελάγιος καὶ ὁ τόμος Λέοντος μαρτυροῦσι. δέκατον, ὁ πρῶτος Πελάγιος καὶ ὁ μέγας Γρηγόριος ὁμολογοῦσιν, ὁ μὲν εἰς δεκάτην τετάρτην ἐπιστολὴν, ὁ δὲ Γρηγόριος εἰς βιβλίον πρῶτον, ἐπιστολῇ εἰκοστῇ τετάρτῃ, ὅτι δέχονται καὶ προσκυνοῦσι τὰ παρὰ τῶν ἁγίων Συνόδων, καὶ φυλάττουσιν αὐτὰ καὶ αὐτοὶ, ἵνα μὴ ὦσιν ἔξω τῆς οἰκοδομῆς τῆς

Ἐκκλη-

Ἐκκλησίας, ἅτινα τῶν νῦν Παπῶν πάντῃ ἀλλότριά εἰσιν, ὅθεν οὐδὲ Πάπαι, ἀλλ' ἀντίπαπαι. ἐνδέκατον, ἄγνωστον ἦν καὶ εἰς τοὺς Ἀνατολικοὺς καὶ Δυτικοὺς τὸ χθιζὸν περὶ τῆς ἀναμαρτησίας τοῦ Πάπα, ὥστε οὐδὲ τοὺς Ἐπισκόπους τῆς Ῥώμης φανταστῆναι τοῦτο πώποτε. καὶ σημείωσαι, ὅτι ἀνθισταμένου, γράφοντος, καὶ βοῶντος τοῦ Ἐπισκόπου τῆς Ῥώμης, οἱ Ἀνατολικοὶ κατέκρινον τὰ τρία κεφάλαια, καὶ τὸ πλεῖστον μέρος τῶν Δυτικῶν ἀπεσχίσθη τῆς κοινωνίας Πελαγίου τοῦ πρώτου καὶ τῶν Διαδόχων αὐτοῦ, οὐδὶ ἄλλο, εἰ μὴ ὅτι ὑπώπτευεν αὐτοὺς μὴ ἔχειν πίστιν ὀρθήν. δωδέκατον, ἐκεῖνο, ὅπερ λέγει τοῖς πιστοῖς ὁ Πέτρος, ἕτοιμοι ἀεὶ ἐστὲ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος, ἐννοεῖται καὶ εἰς τοὺς Πάπας χρεωστικῶς, καὶ εἰς τὰ βρέφη αὐτὰ σχεδὸν, ἐπειδὴ οὐκ εἰσὶν ἀσύμφωνα τῇ ἀποστολικῇ καὶ πατρικῇ πίστει, ὡς ὁ Πελάγιος ἐπιστολῇ δεκάτῃ τρίτῃ, δεκάτῃ τετάρτῃ, καὶ δεκάτῃ ἕκτῃ λέγει, καθότι οὐ δεῖ σκανδαλίσαι ἕνα τῶν ἐλαχίστων, ὡς ὁ Πελάγιος ἐπιστολῇ δεκάτῃ ἕκτῃ. δέκατον τρίτον, ὅτι ὡς ὑπέπεσεν ἀγνωσίᾳ τοῦ πρακτέου ὁ Πέτρος εἰς Ἀντιόχειαν, οὕτως ὑπέπεσεν ἀγνωσίᾳ ὁ Ῥώμης Βιγίλιος περὶ τῶν τριῶν κεφαλαίων, ἐπειδὴ ζητουμένη ἡ ἀλήθεια, οὐκ ἐγνώσθη ὑπὸ τοῦ προεστῶτος τοῦ θρόνου Ῥώμης, τοῦ νομιζομένου ὑπὸ τῶν παπιστῶν πάσης τῆς Ἐκκλησίας πρώτου, καὶ ἐστὶ φανερὸν, ὅτι οὐ δύναται εἶναι ἀναμάρτητος, καθότι ἐκεῖνο, καθ' οὗ πρῶτον ἔλεγε καὶ λόγοις καὶ γράμμασι καὶ ἔργοις αὐτοῖς, ὕστερον ἐδέξατο, ὁμολογῶν καὶ λόγοις καὶ γράμμασιν ἡμαρτηκέναι. ματαίως ἄρα ὁ Πάπας καυχᾶται μὴ ἁμαρτάνειν εἰς τὴν πίστιν, μάλιστα εἰς πολλὰ καὶ μεγάλα καινοτομῶν καὶ ἁμαρτάνων καὶ ἀπαιτούμενος εὐθύνας, καταφεύγει εἰς τὸ ἄνομον, ἵνα μὴ εἴπω ἄθεον ἐπιχείρημα. ὅθεν δικαίως περὶ αὐτοῦ λέγεται, ὅτι κάθηται εἰς τὸν Ναὸν τοῦ Θεοῦ ὡς Θεός τις, ἀθέως καὶ παρανόμως καταφρονῶν πάντων, εἰ καὶ ἄκων πολλάκις καὶ κρίνεται, καὶ κατακρίνεται, καὶ ὑπὸ πολλῶν, καὶ ὑπὸ ὀλίγων, καὶ πάλιν βοᾷ, ὅτι ἐστὶν ἄπταιστος καὶ ἄκριτος. οὐ γὰρ ἔχει πῦ κρυβῆναι, ἀλλ' ἢ εἰς τὸν τοιοῦτον ἀχυρῶνα τοῦ Οὐάλεντος, ἵνα καὶ συγκατακαυθῇ ἐκείνῳ ἐν τῷ αἰωνίῳ πυρί. καὶ ταῦτα μὲν περὶ τῆς πέμπτης ἁγίας Οἰκουμενικῆς συνόδου.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Κατὰ Λατίνων, τὴν πέμπτην Σύνοδον δέξασθαι τὰ συγγράμματα τοῦ Αὐγουστίνου λεγόντων. καὶ περὶ τοῦ ποῖα τῶν πατέρων βιβλία δεχόμεθα, καὶ πόσον.

Ἐν τῇ τρίτῃ συνελεύσει αὐτῆς ἡ παροῦσα Σύνοδος λέγει, ἀκολουθοῦμεν τοῖς ἁγίοις πατράσι κατὰ πάντα καὶ Διδασκάλοις τῆς Ἐκκλησίας, Ἀθανασίῳ, Ἱλαρίῳ, Βασιλείῳ, Γρηγορίῳ τῷ Θεολόγῳ, Γρηγορίῳ τῷ Νύσσης, Ἀμβροσίῳ, Αὐγουστίνῳ, Θεοφίλῳ, Ἰωάννῃ τῷ Κωνσταντινουπόλεως, Κυρίλλῳ, Λέοντι, Πρόκλῳ, καὶ δεχόμεθα πάντα ὅσα περὶ τῆς ὀρθῆς πίστεως καὶ πρὸς τὸν τῶν Αἱρετικῶν ἔλεγχον ἐξέθεντο. συλλογίζονται δὲ ἐνταῦθα οἱ Λατῖνοι, ὅτι ὁ Αὐγουστῖνος εἰς τὸ περὶ Τριάδος καὶ εἰς τὴν ἑρμηνείαν τοῦ κατὰ Ἰωάννην λέγει, τὸ Πνεῦμα τὸ ἅγιον οὕτως ἐστὶν ἐκ τοῦ Υἱοῦ, ὥσπερ καὶ ἐκ τοῦ Πατρὸς, ἄρα. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι τὰ συγγράμματα τοῦ Αὐγουστίνου εἰς πολλὰ ἁμαρτάνουσιν, ἐπειδὴ οὐ συμφωνοῦσι τῇ γνώμῃ τῶν τε Ἀποστόλων καὶ τῶν Συνόδων, καὶ ἴδε ἀνωτέρω βιβλίου τρίτου, κεφαλαίου δεκάτου πέμπτου Παράγραφον πέμπτον. δεύτερον, ὅτι εἰς πολλὰ ἐνοθεύθησαν, ὅπερ τοῦτο καὶ ἐν ἄλλων πατέρων βιβλίοις παρὰ τῶν Αἱρετικῶν ἐνεσπάρη, ὡς ὁ Κύριλλος μαρτυρεῖ, γράφων πρὸς Ἀκάκιον τὸν Βερροίας, ὅπου περὶ τοῦ βιβλίου τοῦ συγγραφέντος πρὸς Ἐπίκτητον ὑπὸ τοῦ ἁγίου Ἀθανασίου εἶπεν ὅτι ἐνοθεύθη ὑπὸ τῶν Αἱρετικῶν, καὶ ἔπεμψεν ἐκεῖνος τὸ πρωτότυπον, ἵνα μεταγράψῃ αὐτὸ ἡ Ἐκκλησία τῶν Ἀντιοχέων, ἡ αἰτήσασα αὐτὸ, καὶ ἐπιλέγει, εἰ τινὲς Φιλίππου τοῦ πρεσβυτέρου κομίζουσιν ἐπιστολὴν, ὅτι δῆθεν ὁ Ῥώμης Ξύστος ἐδυσχέραινεν εἰς τὴν καθαίρεσιν Νεστορίου, ἢ αὐτοῦ τοῦ Κυρίλλου, εἰ λέγουσιν, ὅτι ἔχουσι γράμματα δηλοῦντα μεταμέλειαν τοῦ Κυρίλλου εἰς τὴν καθαίρεσιν Νεστορίου, μὴ πιστεῦσαι τοῖς τοιούτοις γράμμασι, καθότι νόθα εἰσὶν, ὥσπερ πεποιήκασιν οἱ πάλαι Αἱρετικοὶ τοῖς συγγράμμασιν Ἰουλίου Ῥώμης, ποτὲ μὲν ἐκεῖνα φθείροντες, ποτὲ δὲ ὡς ἐξ ἐκείνων ἐκθέμενοι ψευδεπίπλαστα. καὶ δὴ καὶ αἱ Διαταγαὶ τῶν Ἀποστόλων παρὰ Κλήμεντος συγγραφεῖσαι, καὶ πολλὰ ἀναγκαῖα ἔχουσαι, ἐνοθεύθησαν, ὅθεν ἡ ἐν Τρούλλῳ εἰς τὸν δεύτερον αὐτῆς Κανόνα ἐκώλυσε τὴν ἀνάγνωσιν καὶ χρῆσιν αὐτῶν, καὶ ἄλλα τοιαῦτα συνέβησαν, ἅτινα ἡ σύνοψις τῆς ἱστορίας ἐμποδίζει ἡμᾶς εἰπεῖν πάντα. εἰ δὲ λέγουσιν, ὅτι κατὰ ἀλήθειαν ἀνόθευτά εἰσι τὰ συγγράμματα τοῦ Αὐγουστίνου, ῥητέον ἐκεῖνα, ἅπερ οἱ Ἀνατολικοὶ ἔλεγον εἰς τὸν ἐν Φλωρεντείᾳ σύλλογον, ὡς φαίνεται εἰς τὸ τρίτον κεφάλαιον τοῦ ἐνάτου τμήματος τοῦ Συροπούλου, ὅτι ἐὰν εἰς πολλὰ τοῦ Χρυσοστόμου ἔχωμεν ἀμφιβολίαν, καὶ οὐ δυνάμεθα ἔχειν περὶ αὐτῶν τὴν ἀκριβῆ κρίσιν τῆς φράσεως καὶ τῆς ἰδέας ἡμεῖς οἱ ἀνατραφέντες εἰς τὴν ἑλληνικὴν γλῶσσαν, πῶς δυνάμεθα πιστεῦσαι περὶ Αὐγουστίνου, οὗ τὰ συγγράμματα οἱ ἀρχαῖοι οὐ μετεγλώττισαν; εἶτα τῆς λατινικῆς γλώσσης οὔτε φράσιν, οὔτε ἰδέαν,

οὔτε

οὔτε ὑφὴν, οὔτε ῥυθμόντινα λόγου οἴδαμεν, καὶ τὸ δὴ κύριον, ὅτι οἱ Λατῖνοι εἰς τὴν Φλωρεντείαν προεβάλοντο χωρὶς φόβου Θεοῦ τὸ Σύμβολον τὸ κοινὸν νενοθευμένον, συκοφαντοῦντες τὴν Οἰκουμενικὴν ἑβδόμην Σύνοδον, καὶ πῶς πιστεύσωμεν αὐτοῖς περὶ Αὐγουστίνου; τρίτον, ὅτι πολλὰ καὶ ἡ γραφὴ καὶ οἱ πατέρες εἰρήκασιν οἰκονομικῶς, ὡς ὁ Βασίλειος ἐν τῷ τετάρτῳ τῶν πρὸς Εὐνόμιον τὸ, Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον, καὶ ὁ Κύριλλος ἐν τοῖς Θησαυροῖς τὸ, οὐδεὶς ἀγαθὸς, εἰμὴ εἷς ὁ Θεὸς, καὶ ὁ Χρυσόστομος τὸ, οὐδεὶς οἶδεν, οὔτε ὁ Υἱὸς, εἰμὴ ὁ Πατὴρ, οἰκονομικῶς εἶπον ῥηθῆναι τὰ ῥητὰ, καθὼς αὐτὸς ὁ Χρυσόστομος λέγει πεποιηκέναι τὸν Παῦλον γράφοντα πρὸς Ῥωμαίους, καὶ ὁ Βασίλειος πρὸς Νεοκαισαρεῖς περὶ τοῦ θαυματουργοῦ Γρηγορίου, εἰπόντος ἐπινοία εἶναι δύο τὸν Πατέρα καὶ τὸν Υἱὸν, ὑποστάσει δὲ ἓν, ἀγωνιστικῶς λέγει οὕτως αὐτὸν εἰπεῖν. ἴσως λοιπὸν καὶ ὁ Αὐγουστῖνος, λεγόντων τῶν τότε Αἱρετικῶν ἐλάττονα τὸν Υἱὸν τοῦ Πατρὸς, οἰκονομικῶς, ἢ ἀγωνιστικῶς οὕτως εἶπε. τέταρτον, ὅτι αὐτὸ εἰς τὴν γραφὴν οὐκ ἔστι, μήτε συνάγεται καθὼς τὸ Ὁμοούσιον καὶ ἡ καθ' ὑπόστασιν ἕνωσις συνάγονται προφανῶς ἐκ τῆς γραφῆς, καὶ κοινῶς ταῦτα εἶπον οἱ πατέρες, καὶ πολλαῖς ἐβεβαιώθησαν ἀποκαλύψεσι. πέμπτον, ὅτι ἐκεῖνα τῶν ἁγίων δεχόμεθα ἁπλῶς ὅσα συνᾴδουσι τῇ γραφῇ καὶ ταῖς Οἰκουμενικαῖς συνόδοις, καὶ τοὐλάχιστον κἂν ἔχωσι συνᾴδειν ἀλλήλοις, ἢ τῇ δόξῃ τῇ κοινῇ τῆς καθόλου Ἐκκλησίας, οὐμὴν καὶ τὰ μὴ τοιαῦτα, ἐπειδὴ καὶ πολλοὶ τῶν πατέρων ὡς ἄνθρωποι παρεσύρησαν, ὡς ὁ Βασίλειος λέγει περὶ τοῦ Γρηγορίου Νεοκαισαρείας εἴστε τοὺς Νεοκαισαρεῖς, ὡς εἴρηται, καὶ εἰς τὸν ἴδιον ἀδελφὸν, ὅτι διαλεγόμενος χωρὶς ἀκριβείας τῶν λέξεων μετὰ τῶν Ἑλλήνων, πολλὴν λαβὴν ἔδωκε τοῖς Αἱρετικοῖς, καὶ περὶ Διονυσίου τοῦ Ἀλεξανδρείας λέγει πρὸς Μάξιμον τὸν φιλόσοφον, ὅτι ἀντιτείνων τῷ Σαβελλίῳ, ἔδωκε τοῖς Ἀρειανοῖς λαβὴν, καὶ εἰς τοὺς Κανόνας αὐτοῦ λέγει, ὅτι ὁ Διονύσιος περὶ ἀναβαπτίσεως ἔσφαλε. καὶ πρὸς Κληδόνιον ὁ Θεολόγος λέγει, ὅτι ὁ Ῥώμης Δάμασος ἠπατήθη ἐξ ἁπλότητος, καὶ ὁ μέγας Ἀθανάσιος ἀπολογεῖται περὶ τῆς εἰς τὴν Ἀντιόχειαν κατὰ τοῦ Σαμοσατέως Συνόδου, μὴ εἰπούσης τὸ Ὁμοούσιον, ἀλλ' ἁπλῶς ἐκινήθη κατὰ τοῦ Αἱρετικοῦ. καὶ τῆς ἐν Νεοκαισαρείᾳ Τοπικῆς Συνόδου Κανόνα ἐκθεμένης περὶ τῶν ἑπτὰ Διακόνων, ἡ ἐν Τρούλλῳ ἀνέτρεψεν αὐτὸν, εἰποῦσα μὴ εἶναι τὸν λόγον τῆς γραφῆς περὶ Ἱεροδιακόνων. ἀλλὰ καὶ Μεθόδιος ὁ Πατάρων καὶ Πάνταινος ὁ Ἀλεξανδρεὺς, καὶ Κλήμης ὁ Στρωματεὺς, καὶ Πιέριος, καὶ Πάμφιλος, καὶ Θεόγνωστος, καὶ Εἰρηναῖος ὁ Λουγδούνων, καὶ Παπίας ὁ Ἱεραπόλεως, καὶ ἄλλοι πολλοὶ τῶν πατέρων εἴς τινα παρεσύρησαν, τὶ θαυμαστὸν οὖν εἰ καὶ Αὐγουστῖνος, καὶ ἄλλος τοιοῦτος τοιαῦτα πεπόνθασιν; ἕκτον, ὅτι τοῦτο ὕβρις οὐκ ἔστι τῶν ἁγίων, ἐπειδὴ Αὐγουστῖνος πρὸς Ἱερώνυμον, καὶ εἰς τὸν εἰκοστὸν τέταρτον Κανόνα τῆς ἐν Καρθαγένῃ Συνόδου, μέρος ὢν ἐκείνης, λέγει, ὅτι μόνη ἡ ἁγία γραφὴ ἔχει ἁπλῶς τὸ ἀξιόπιστον, τὰ δὲ βιβλία τῶν Ἐπισκόπων μὴ δέχεσθαι ὡς τὰς θείας γραφὰς, ἐν οἷς δηλονότι οὐ συνᾴδει τῇ γραφῇ καὶ ταῖς Οἰκουμενικαῖς Συνόδοις, καὶ τῇ κοινῇ καὶ ἀρχαίᾳ δόξῃ τῆς καθόλου Ἐκκλησίας, ἀλλὰ καὶ περὶ ἑαυτοῦ εὔχεται ὁ Αὐγουστῖνος, εἰ εἰσὶν εἰς τὰ βιβλία αὐτοῦ τινὰ οὐκ ἀπὸ τοῦ Πνεύματος, ἀλλ' ἀφ' ἑαυτοῦ, δοῦναι αὐτῷ συγγνώμην καὶ τὸν Θεὸν καὶ τοὺς Θεοῦ. εἶτα ὁ Αὐγουστῖνος διώρθωσε τὰ βιβλία αὐτοῦ ὡς ἔχοντα πολλὰ σφάλματα, καὶ ἡμεῖς πῶς τοῦ τοιούτου τοὺς λόγους δεχόμεθα ὡς ἐναποδείκτους; ἔπειτα αὐτὸς οὗτος εἰς τὸ τρίτον περὶ Τριάδος, καὶ εἰς τὸ λεγόμενον αὐτοῦ σύγγραμμα Νικητὴς τῶν νικώντων, καὶ ἐν τῷ περὶ μοναδικοῦ Βαπτίσματος, καὶ εἰς τὸ πρῶτον περὶ Τριάδος, κεφαλαίῳ τρίτῳ, ἅπασαν τὴν αὐθεντίαν παρέχει ταῖς ἁγίαις γραφαῖς, περὶ αὐτοῦ δὲ χαίρει, εἰ διορθοῦται ὑπὸ τῶν εἰδότων μᾶλλον αὐτοῦ ἐν τοῖς ἀπᾴδουσι τὴν ἀλήθειαν. ἕβδομον, εἰς ὃ δὲ λέγει ἡ Σύνοδος, ἀκολουθοῦμεν κατὰ πάντα, λέγομεν περὶ Αὐγουστίνου, Ἀμβροσίου, καὶ Λέοντος, ὅτι ἐκεῖνα ἐννοεῖ ἡ Σύνοδος δέχεσθαι πάντα τὰ ἐκείνων, ὅσα συμφωνεῖ ταῖς Οἰκουμενικαῖς Συνόδοις καὶ τοῖς λοιποῖς τοῦ οὓς εἶπε πατέρων, οὐμὴν περὶ πάντων ἁπλῶς τῶν συγγραφομένων, ἐπειδὴ ἐκεῖνα ἡ Σύνοδος λατινικὰ ὄντα οὐκ ἐγίνωσκεν, ὅθεν ὡς οὐδεχόμεθα ἁπλῶς τοῦ Νύσσης τὸ περὶ Ἀποκαταστάσεως (εἰ καὶ ὁ θεῖος Μάξιμος καὶ ἕτεροι τῶν πατέρων πρὸς τὸ ἀναμάρτητον ἕλκουσι) καὶ τινων, ἐξ ὧν ἡ παροῦσα Σύνοδος ἠρίθμησέ τινα, οὕτως οὐδὲ τοῦ Αὐγουστίνου τὰ πάντα. ὅτι δὲ τὸ, ΠΆΝΤΑ, ἐνταῦθα οὐ καθόλου ἐστὶ, μαρτυρεῖ αὐτὴ ἡ Σύνοδος ὑπεξηγουμένη αὐτὴν, καὶ εἰποῦσα μετ' ὀλίγα, καὶ δεχόμεθα πάντα ὅσα περὶ τῆς ὀρθῆς πίστεως καὶ πρὸς τὸν τῶν Αἱρετικῶν ἔλεγχον ἐξέθεντο. τέως ῥητέον περὶ Αὐγουστίνου τὸ εἰρημένον τῷ Ταρασίῳ πράξει πρώτῃ τῆς ἑβδόμης Συνόδου, οἱ πατέρες ἀλλήλοις σύμφωνοί εἰσιν, ἐναντίωσις δὲ οὐδεμία ἐστὶν αὐτοῖς, ἀλλ' ἐναντιοῦνται αὐτοῖς οἱ τὰς οἰκονομίας καὶ τοὺς σκοποὺς αὐτῶν μὴ ἐπιστάμενοι. σύμφωνος οὖν καὶ ὁ ἱερὸς Αὐγουστῖνος τοῖς πατράσι, Λατῖνοι δὲ κακουργοῦντες, παρεξηγοῦσιν αὐτόν. ὁ φιλαναγνώστης ἰδέτω περὶ τούτου καὶ τὸν Σχολάριον εἰς τὸ Σύνταγμα αὐτοῦ, καὶ ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως, ἥτις κεῖται ἐν τῷ τόμῳ τῆς Ἀγάπης, καὶ Νείλου κεφάλαιον τριακοστὸν τρίτον τῶν ἀντιῤῥητικῶν περὶ τοῦ ἁγίου Πνεύματος, καὶ Θεοδώρου Ἀγαλλιανοῦ τὰ ἀντιῤῥητικὰ εἰς τὴν ἐπιστολὴν τοῦ Ἀργυροπούλου πρὸς τὸν μέγαν Δοῦκαν, ἅτινα καὶ αὐτὰ κεῖται ἐν τῷ εἰρημένῳ τόμῳ τῆς Ἀγάπης. ὄγδοον, μὴ θορυβείτω τὸ, ἐὰν συνᾴδωσι τῇ ἁγίᾳ γραφῇ καὶ ταῖς Οἰκουμενικαῖς Συνόδοις, ἐπειδὴ ἡ Ἐκκλησία οὕτω παρέδωκεν, ἵνα δοκιμάζωνται τὰ συγγράμματα τῶν Διδασκάλων τῇ ἁγίᾳ γραφῇ καὶ τῇ κοινῇ ἀρχαίᾳ δόξῃ τῆς καθολικῆς Ἐκκλησίας, ὅθεν Κλήμης ὁ Ἀλεξανδρινὸς φησὶ στρωματέων βιβλίῳ τρίτῳ, οὐχ ἁπλῶς ἀποφθέγγουσιν ἀνθρώποις πίστιν ἔχομεν, οἷς ἔξεστι τὸ ἐναντίον ἀποφθέγγεσθαι, οὐκ ἀρκεῖ τούτοις ἁπλῶς

εἰπεῖν

εἰπεῖν τὸ δοκοῦν, ἀλλὰ δεῖ ἀποδεῖξαι τὸ λεχθὲν, οὔτε προσδοκῶμεν τὴν διδομένην παρὰ τῶν ἀνθρώπων μαρτυρίαν, ἀλλὰ τῇ φωνῇ τοῦ Θεοῦ δοκιμάζομεν τὸ ζητούμενον, καὶ ὁ Βασίλειος Ἀσκητικῶν Ὅρῳ ἑβδομηκοστῷ δευτέρῳ, δεῖ τῶν ἀκροατῶν τοὺς πεπαιδευμένους ταῖς γραφαῖς δοκιμάζειν τὰ παρὰ τῶν Διδασκάλων λεγόμενα, καὶ τὰ μὲν σύμφωνα ταῖς γραφαῖς δέχεσθαι, τὰ δὲ ἀλλότρια ἀποβάλλειν, καὶ τοὺς τοιούτοις διδάγμασιν ἐπιμένοντας ἀποστρέφεσθαι σφοδρότερον καὶ ὁ Χρυσόστομος ἐν ψαλμῷ ἐννενηκοστῷ ἐνάτῳ, εἴτι λέγεται ἄνευ γραφῆς, τῶν ἀκροατῶν ἡ διάνοια χωλαίνει, νῦν μὲν νεύουσα, νῦν δὲ ἀποροῦσα, ἐνίοτε τὸν λόγον ὡς φλυαρώδη ἀποστρεφομένη, ἐνίοτε δὲ ὡς πιθανὸν δεχομένη, ἀλλ' ὅπου παρὰ τῆς θείας γραφῆς ἡ μαρτυρία προέρχεται, καὶ τοῦ λέγοντος τὸν λόγον καὶ τοῦ ἀκούοντος τὴν διάνοιαν στερεοῖ. καὶ Ὀπτᾶτος βιβλίῳ πέμπτῳ φησὶν, ὑμεῖς λέγετε, ἔξεστι, ἡμεῖς λέγομεν, οὐκ ἔξεστι, ἀναμεταξὺ τοῦ ὑμετέρου καὶ τοῦ ἡμετέρου ἔξεστιν ἀποροῦσι τῶν λαῶν αἱ διάνοιαι, οὐδεὶς ὑμῖν πιστεύετω, οὐδεὶς ἡμῖν, πάντες φιλόνεικοι ἄνδρες ἐσμὲν, κριταί εἰσι ζητητέοι, εἰ Χριστιανοὶ ἐξ ἑκατέρου μέρους ὑπάρχειν οὐδύνανται, ἑκατέρου γὰρ μέρους τῇ σπουδῇ ἡ ἀλήθεια καλύπτεται; ἔξωθεν ζητητέος ὁ κριτής. ἢ ἐθνικὸς οὐδύναται εἰδέναι τῶν χριστιανῶν τὰ ἀπόκρυφα, ἢ Ἰουδαῖος ἐχθρός ἐστι τοῦ χριστιανικοῦ Βαπτίσματος, ἄρα ἐν γῇ οὐδεμία περὶ τούτου εὑρεθῆναι δυνήσεται κρίσις, ἐξ Οὐρανοῦ ζητητέος ὁ κριτής. ἀλλ' ἱνατὶ κρούομεν πρὸς Οὐρανὸν, ἔχοντες ὧδε ἐν τῷ Εὐαγγελίῳ τὴν μαρτυρίαν; μετὰ τὴν γραφὴν δέ ἐστιν ἡ κοινὴ συμφωνία καὶ δόξα τῶν ἑρμηνέων τῆς ἁγίας γραφῆς ἁγίων πατέρων, ὧν ἡ συμφωνία καὶ τῶν Οἰκουμενικῶν Συνόδων αἱ ἀποφάσεις ταυτίζονται τῇ ἁγίᾳ γραφῇ, ὅθεν οἱ ἅγιοι πατέρες καὶ οἱ ἐπ' εὐσεβείᾳ διαπρέψαντες Αὐτοκράτορες δέχονται τὰς ἑπτὰ Οἰκουμενικὰς Συνόδους ὡς τὰ ἅγια Εὐαγγέλια, ὡς ἐροῦμεν βιβλίου δεκάτου, μέρους τρίτου κεφαλαίῳ δεκάτῳ, καὶ ἀλλαχοῦ ἐν πολλοῖς. περὶ δὲ τῶν ἐν τῇ Ἐκκλησίᾳ ἀγράφων παραδόσεων, ἴδε τοῦ μεγάλου Βασιλείου ἐν τοῖς πρὸς Ἀμφιλόχιον κεφαλαίοις τὸ εἰκοστὸν ἕβδομον καὶ τὸ εἰκοστὸν ἔνατον, καὶ ἀνωτέρω καὶ κατωτέρω ἐν πολλοῖς ἐν τῇ παρούσῃ συγγραφῇ, καὶ βιβλίου ἑνδεκάτου, κεφαλαίου πέμπτου Παράγραφον ἕκτον, καὶ βιβλίου πρώτου, κεφαλαίου ἑνδεκάτου Παράγραφον ἕκτον.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι τὰ ἐν τῷ παρόντι κεφαλαίῳ εἰρημένα ἐκ τῆς τρίτης συνελεύσεως τῆς πέμπτης Συνόδου, καὶ ἐξ ἄλλων, τετραχῶς ἀναιροῦσι τὸ πάντολμον ἀναμάρτητον καὶ αὐτοκρατορικὸν πρωτεῖον τῶν Παπῶν Ῥώμης.

Κἀντεῦθεν ἀναιρεῖται ἡ τοῦ Πάπα τυραννὶς, πρῶτον, ὅτι ἡ Σύνοδος οὐ λέγει ἀκολουθοῦμεν τῷ Πάπᾳ, ἀλλὰ τοῖς πατράσι. δεύτερον, ὅτι εἰς τὴν ἀπαρίθμησιν τῶν πατέρων πρῶτον τάττει πολλοὺς τῶν πατέρων, εἶτα τὸν Λέοντα Ῥώμης. τρίτον, ὅτι συνάριθμος κἀκεῖνος τοῖς λοιποῖς πατράσι. τέταρτον, ὅτι ὀλίγοι εὑρέθησαν Πάπαι, οἷς ἠκολούθει ἡ Σύνοδος, καὶ πολλοὶ ἄλλοι διαφόρων τάξεων καὶ βαθμῶν πατέρες, καὶ ἴδε καὶ τὰς μαρτυρίας, αἷς χρῶνται αἱ Σύνοδοι ἀπὸ τῶν πατέρων, ἵνα ἴδῃς τὰ ὅμοια πάντῃ καὶ πάντως, καὶ τὸ δὴ θαυμαστὸν, ὅτι καὶ Λέων καὶ Ἀγάθων καὶ Κελεστῖνος εἰς τὰς συνοδικὰς αὐτῶν ἐπιστολὰς οὐκ ἀποδεικνύουσι τὴν προκειμένην πίστιν ἀπὸ τῶν Παπῶν, ἀλλὰ τὸ πλεῖον, ἢ μᾶλλον εἰπεῖν τὸ ὅλον ἀπὸ τῶν πατέρων, Πατριαρχῶν, Μητροπολιτῶν, καὶ Ἐπισκόπων, καθότι ἐκεῖνοι οἱ ἅγιοι πατέρες καὶ οἱ ἅγιοι Πάπαι τῆς Ῥώμης τὸ νῦν ἤδη πάντολμον ἀναμάρτητον, καὶ αὐτοκρατορικὸν πρωτεῖον τῶν ἀρχιτυράννων Παπῶν οὐδέποτε οὐδὲ καὶ νῦν ἀνεπόλησαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τοῦ ποίῳ τρόπῳ ὁ Πάπας πρῶτος τῶν Ἱερέων.

Ἐν τῇ ἑκατοστῇ τριακοστῇ πρώτῃ αὐτοῦ Νεαρᾷ ὁ Ἰουστινιανὸς θεσπίζει εἶναι τὸν Πάπαν τῆς Ῥώμης καὶ τοὺς Ὅρους τῶν ἁγίων πατέρων πρῶτον τῶν Ἱερέων, τὸν δὲ τῆς νέας Ῥώμης ἔχειν μετὰ τὸν Ῥώμης δευτέραν τάξιν, τῶν δὲ ἄλλων ἁπάντων προτιμᾶσθαι. τὸν δὲ Ἀχρίδος εἶναι αὐτοκέφαλον, καὶ χειροτονεῖν τοὺς Ἐπισκόπους τῶν Ἐπαρχιῶν Δακίας Ῥιπενσίας καὶ Δακίας Μεδιτερρανέας, Τριβωλλίας, Δαρδανίας, Μυσίας τῆς ἄνω καὶ Παννονίας. εἰς δὲ τὸ Πριβιλέγειον προστίθησιν, ὅτι καὶ δευτέρας Μακεδονίας, καὶ ἐν ταῖς ὑποκειμέναις αὐτῷ Ἐπαρχίαις ἐπέχειν τὸν τόπον τοῦ Ῥώμης καὶ τὰ ὁρισθέντα ὑπὸ τοῦ Πάπα Βιγιλίου. καὶ λοιπὸν σημείωσαι πρῶτον, ὅτι ὁ Ῥώμης ἔχει τὰ πρωτεῖα ἀπὸ τῶν Ὅρων τῶν ἁγίων πατέρων, οὐκ ἀπὸ τῆς γραφῆς καὶ τοῦ Πέτρου, ἔτι ἐπειδὴ, ὡς εἴρηται πολλάκις, αὐτελέγετο ὑπὸ τῶν Δυτικῶν εἶναι δεύτερον τὸν Κωνσταντινουπόλεως, καὶ ἡ ἐν Ἐφέσῳ λῃστρικὴ εἶχε ταύτην τὴν γνώμην, καὶ δὴ καὶ ὁ Βασιλίσκος ἔγραψε καὶ τῶν πρεσβείων

πρεσβείων τῆς Ἐκκλησίας ταύτης, ὃς εἰ καὶ ἔγραψεν ἀντεγκύκλια καὶ ἠκύρωσεν εἴ τι τοιοῦτον διωρίσατο, ὅμως καὶ ὁ Ἰουστινιανὸς νομικὸς ὤν, ἐβεβαίωσε προτιμᾶσθαι τὸν Κωνσταντινουπόλεως τῶν ἄλλων Πατριαρχῶν, ἵνα δὲ μὴ νομισθῇ καὶ πρὸ τοῦ Ῥώμης πρῶτος, καὶ δόξῃ ἀντικείμενος τοῖς Κανόσιν, ἐσαφήνισεν, ὅτι εἰ καὶ προτιμᾶται τῶν ἄλλων, τοῦ Ῥώμης ὅμως εἶναι αὐτὸν δεύτερον, εἰς τὴν τάξιν δηλονότι καὶ οὐκ εἰς τὴν ἀξίαν, καθότι τὸ πατριαρχικὸν ἀξίωμα ἐπὶ πᾶσιν ἐστὶ τῆς αὐτῆς ἀξίας.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ἀντίθεσις Λατίνων, ἐκ τῆς πρὸς τὸν Κωνσταντινουπόλεως Ἐπιφάνιον ἐπιστολῆς τοῦ Ἰουστινιανοῦ τὸν Πάπαν ἔχειν ἰδικὸν ἀξίωμα ἐν τῇ καθόλου Ἐκκλησίᾳ συναγόντων, καὶ λύσις αὐτῆς, καὶ ἔλεγχος ἐπιπλάστων ἐπιστολῶν αὐτῶν. καὶ περὶ κεφαλῆς τῆς Ἐκκλησίας.

Ἀλλὰ λέγουσιν οἱ Λατῖνοι, ὅτι ὁ Ἰουστινιανὸς γράφων τῷ Κωνσταντινουπόλεως Ἐπιφανίῳ, ὡς κεῖται εἰς τὸν πρῶτον Τίτλον τοῦ πρώτου βιβλίου τοῦ κώδικος, τοιάδε φησὶν, Ἀλλὰ διὰ πάντων φυλάττοντες τὴν κατάστασιν τῆς ἑνώσεως τῶν ἁγίων Ἐκκλησιῶν τῆς πρὸς τὸν ἁγιώτατον Πάπαν τῆς πρεσβυτέρας Ῥώμης καὶ Πατριαρχῶν, πρὸς ὃν καὶ τὰ ὅμοια τούτοις γεγράφαμεν. οὔτε γὰρ ἀνεχόμεθά τι τῶν εἰς ἐκκλησιαστικὴν ὁρώντων κατάστασιν μὴ καὶ τῇ αὐτοῦ ἀναφέρεσθαι μακαριότητι ὡς κεφαλῇ οὔσῃ πάντων τῶν ὁσιωτάτων τοῦ Θεοῦ Ἱερέων. Καὶ, ἐπειδὴ ὁσάκις ἐν τούτοις τοῖς μέρεσιν Αἱρετικοὶ ἀνεφύησαν, τῇ γνώμῃ καὶ ὀρθῇ κρίσει ἐκείνου τοῦ σεβασμίου θρόνου κατηργήθησαν. συνάγεται οὖν ἐκ τούτων, λέγουσιν οἱ αὐτοὶ, ἤτοι παπισταὶ, ὅτι ὁ Ῥώμης ἐστὶ πρῶτος, τουτέστι κεφαλὴ τῶν Ἱερέων, καὶ ἑπομένως ἔχει ἰδικὸν ἀξίωμα εἰς τὴν καθόλου Ἐκκλησίαν, Ἀλλὰ ῥητέον, ὅτι καὶ αὕτη ἡ ἐπιστολὴ, καὶ ἡ τοῦ Ἰουστινιανοῦ πρὸς τὸν Πάπαν Ἰωάννην τὸν δεύτερον, τὸν καλούμενον Μερκούριον, ἐν ἔτει πεντακοσιοστῷ τριακοστῷ δευτέρῳ, καὶ ἡ ἐπιστολὴ τούτου τοῦ Ἰωάννου πρὸς Ἰουστινιανὸν, κείμεναι καὶ αἱ δύο ἐν τῷ αὐτῷ πρώτῳ βιβλίῳ τοῦ κώδικος, Τίτλῳ περὶ τῆς ἁγίας Τριάδος, ψευδεῖς εἰσὶ καὶ πεπλασμέναι, καθότι οὐ συμφωνοῦσι μετὰ τῶν διαταγῶν τοῦ Ἰουστινιανοῦ καὶ μετὰ τῶν γραφέντων αὐτῷ καὶ διαφόρους καιροὺς περὶ ἐκκλησιαστικῶν ὑποθέσεων, οὔτε μετὰ τῶν ἱστορικῶν, τῶν λεγόντων, ὅτι ἔδωκεν ὁ Φωκᾶς τὸ πρωτεῖον Βονιφατίῳ τῷ τρίτῳ. τοῦτο δὲ καὶ πολλοὶ τῶν θεολόγων ἀποδεικνύουσιν ἐπιχειρήμασι καὶ λόγοις, καὶ μάρτυς Ἰάκωβος Λέκτιος νομικὸς βιβλίῳ πρώτῳ περὶ θεολογικῶν ἐπιγραφῶν, κεφαλαίῳ πρώτῳ, καὶ βιβλίῳ δευτέρῳ, σημείῳ πέμπτῳ. εἰ δὲ καὶ ταύτην τὴν πρὸς Ἐπιφάνιον ἐπιστολὴν τοῦ Ἰουστινιανοῦ καθ' ὑπόθεσιν ἀληθῆ εἴπωμεν, φαμὲν, ὅτι πρῶτος καὶ κεφαλὴ λέγεται καὶ μόνην τὴν τάξιν, ὡς καὶ ἡ παροῦσα Νεαρὰ σαφέστατα μαρτυρεῖ, εἰποῦσα ἔχειν τὸν Κωνσταντινουπόλεως δευτέραν τάξιν μετὰ τὸν Ῥώμης, ἤτοι ὡς προτιμᾶται ὁ Ῥώμης τοῦ Κωνσταντινουπόλεως, οὕτω καὶ τὸν Κωνσταντινουπόλεως προτιμᾶσθαι τῶν ἄλλων Πατριαρχῶν, ἀλλ' ὁ Κωνσταντινουπόλεως προτιμᾶται τῶν ἄλλων καὶ μόνην τὴν τάξιν, ἄρα καὶ ὁ Ῥώμης προτιμᾶται τοῦ Κωνσταντινουπόλεως κατὰ μόνην τὴν τάξιν, ἀλλ' ἡ δευτέρα τοῦ Κωνσταντινουπόλεως τάξις οὐκ ἔχει ἰδικὸν ἀξίωμα, ἐν οἷς προτιμᾶται, ἄρα μήτε τοῦ Ῥώμης ἡ πρώτη τάξις ἔχει ἰδικὸν ἀξίωμα εἰς τοὺς μετ' αὐτόν. Ἔτι εἰ ἦν ὁ Ῥώμης κεφαλὴ τῶν Ἱερέων κατά τινα ἄλλην ἐξουσίαν, καὶ μὴ κατὰ μόνην τὴν τάξιν, οὐκ ἔλεγεν ὁ Ἰουστινιανὸς, καὶ πρὸς ἐκεῖνον ἐγράψαμεν, οὔτε ἔλεγεν, οὐκ ἀνεχόμεθα μὴ ἔχειν κἀκεῖνον εἴδησιν, εἰ γὰρ εἶχεν ὁ Ῥώμης τοιαύτην ἐξουσίαν, καὶ χωρὶς τοῦ προστάγματος τοῦ Βασιλέως ἀναγκαίως αὐτὸν ἠρώτων οἱ Πατριάρχαι. Ὁ αὐτὸς Βασιλεὺς εἰς τὸ πρῶτον βιβλίον τοῦ κώδικος, Τίτλῳ πρώτῳ, Διαταγῇ ἕκτῃ, κεφαλαίῳ εἰκοστῷ τετάρτῳ, καὶ Τίτλῳ δευτέρῳ, Διαταγῇ ἕκτῃ, λέγει, ὅτι ἡ Κωνσταντινουπόλεως Ἐκκλησία πασῶν τῶν ἄλλων ἐστὶ κεφαλή. καὶ κεφαλαίῳ δεκάτῳ ἕκτῳ ἄκυρά φησιν εἶναι τὰ γεγονότα ἐν τῇ κατὰ Ζήνωνος τυραννίδι (ὑπὸ τοῦ Βασιλίσκου δηλονότι) βασιλικὰ θεσπίσματα κατὰ τῆς ἐκκλησιαστικῆς καταστάσεως, καὶ τὸν Κωνσταντινουπόλεως ἔχειν τῶν ἄλλων πάντων τὴν προεδρίαν. καὶ Διαταγῇ δεκάτῃ ἕκτῃ τοῦ δευτέρου Τίτλου τοῦ πρώτου βιβλίου τοῦ κώδικος, ὁ Κωνσταντινουπόλεως ἔχει τῶν ἄλλων τὴν προεδρίαν. ἀλλὰ καὶ Μανουὴλ ὁ Κομνηνὸς ἔν τινι Νεαρᾷ, ἥτις κεῖται ἐν τῷ δωδεκάτῳ Κανόνι τῆς ἑβδόμης Συνόδου παρὰ τῷ Βαλσαμῶνι, τὴν ἁγίαν Σοφίαν λέγει προκαθημένην πασῶν τῶν Ἐκκλησιῶν, μητέρα πασῶν τῶν Ἐκκλησιῶν, καὶ νέαν Σιών. ἴδε καὶ τὸν προσφωνητικὸν τῆς ἕκτης Συνόδου πρὸς τὸν Πωγωνᾶτον περὶ τῆς Ἐκκλησίας ταύτης, ἤτοι τῆς Κωνσταντινουπόλεως, ἀλλ' οὐ παρὰ τῶν ἐγκωμίων τούτων ὁ Κωνσταντινουπόλεως τῶν Κανόνων ὑπερέβη. Ἔτι ἐπὶ τῆς Πατριαρχείας τοῦ Ἐπιφανίου ἦσαν εἰς μὲν τὴν Ῥώμην Πάπαι ἅγιοι ἄνθρωποι, εἰς δὲ τὰς Ἐκκλησίας Ἀντιοχείας καὶ Ἀλεξανδρείας συγχύσεις καὶ ταραχαὶ ὑπὸ τῶν Αἱρετικῶν, ἀλλὰ δὴ καὶ εἰς τὴν Κωνσταντινούπολιν κρίσεις καὶ συγχύσεις, ὡς εἴρηται εἰς τὴν ἀρχὴν τοῦ παρόντος βιβλίου, ὅθεν ὁ Βασιλεὺς δικαίως ἔλεγεν, ἵνα ἔχωσι κοινωνίαν μετὰ τῆς Ἐκκλησίας Ῥωμαίων, ὀρθοδοξούσης τότε, καὶ γαλήνης ἀπολαυούσης βαθείας περὶ τὴν πίστιν, ἂν ὅμως εἴη γεγραφὼς τὴν Νεαρὰν ὁ Ἰουστινιανὸς μετέπειτα, ὄντος Πάπα τοῦ Βιγιλίου (ἐῶ λέγειν τοὺς ἄλλους τοιούτους) ὃς ἐκοινώνει τοῖς Αἱρετικοῖς, οὐκ ἂν εἶπεν αὐτοῖς κοινωνεῖν τῷ Πάπᾳ, ἀλλ' ἀποστρέφεσθαι αὐτὸν, καθὼς καὶ ἐγένετο ὅτε ἐξωρίσθη καὶ κατεφρονήθη διὰ τὴν Αἵρεσιν ὁ Βιγίλιος. Ἔτι Θεοδόσιος ὁ μικρὸς καὶ Οὐαλεντιανὸς γράφοντες

Ὁρμίσδᾳ

Ὁρμίσδᾳ Ἐπάρχῳ, ὡς κεῖται ἐν ἀρχῇ τοῦ πρώτου βιβλίου τοῦ κώδικος, ἔλεγον, ἐπειδὴ ἦλθεν εἰς τὰς εὐσεβεῖς ἡμῶν ἀκοὰς, ὡς τινὲς διδασκαλίας τινὰς συνέγραψαν, καὶ ἐξέθεντο ἀμφιβόλους καὶ οὐκ ἀκριβῶς συμφωνούσας τῇ ἐκτεθείσῃ ὀρθοδόξῳ πίστει παρὰ τῆς ἁγίας Συνόδου τῶν συνελθόντων ἐν Νικαίᾳ καὶ ἐν Ἐφέσῳ ἁγίων πατέρων καὶ Κυρίλλου τοῦ τῆς εὐσεβοῦς μνήμης. καὶ σημείωσαι, ὅτι βεβαιοῦσι τὰ δόγματα τῶν Συνόδων ἀπὸ τῆς πρὸς τὸν ἅγιον Κύριλλον αὐτῶν συμφωνίας. ὡς οὖν ὁ Κύριλλος Κανὼν ὥσπερ γινόμενος τῶν οἰκουμενικῶν ἁγίων Συνόδων, οὐκ εἶχεν ἀπὸ τούτου εἰς τὴν καθόλου Ἐκκλησίαν ἰδικὸν ἀξίωμα, οὕτως οὐδὲ ὁ Ῥώμης, ἀπὸ τοῦ εἰπεῖν τὸν Ἰουστινιανὸν ἵνα φυλάττωσι τὴν πρὸς αὐτὸν ἕνωσιν αἱ Ἐκκλησίαι, εἶχέ τι τοιοῦτον ἀξίωμα ἰδικὸν εἰς τὴν Ἐκκλησίαν. Ἔτι ὁ αὐτὸς Νεαρᾷ ἑκατοστῇ εἰκοστῇ περὶ ἐκποιήσεως καὶ ἐμφυτεύσεως τῶν ἐκκλησιαστικῶν ἀκινήτων, καὶ Νεαρᾷ ἑκατοστῇ εἰκοστῇ τρίτῃ, θεσπίζει ἵνα γίνωνται δύο Σύνοδοι κατ' ἔτος εἰς πᾶσαν Ἐπαρχίαν. καὶ περὶ δωρεᾶς τῶν χειροτονουμένων Ἱερέων εἰς τοὺς χειροτονοῦντας λέγει, κελεύομεν τοὺς μακαριωτάτους Ἀρχιεπισκόπους καὶ Πατριάρχας, τουτέστι τῆς πρεσβυτέρας Ῥώμης καὶ Κωνσταντινουπόλεως καὶ Ἀλεξανδρείας καὶ Θεουπόλεως καὶ Ἱεροσολύμων, καὶ προστάσσει σφοδρῶς καὶ μετὰ ἐπιτιμίων καὶ τῷ Πάπᾳ καὶ τοῖς Πατριάρχαις καθὼς καὶ τοῖς λοιποῖς Ἐπισκόποις μένειν ἀπροφασίστως εἰς τὰ ὑπ' αὐτοῦ ὡρισμένα. εἰ δὲ ὁ Πάπας ἦν κεφαλὴ τῶν Ἱερέων κατά τινα ἰδιάζουσαν ἐξουσίαν, ἐνομοθέτει καὶ ἐκέλευεν, ἀλλ' ἤδη ἰσαριθμεῖται τοῖς λοιποῖς Πατριάρχαις, νομοθετεῖται, ὁρίζεται καὶ ἐπιτιμίοις καθυποβάλλεται, ἄρα οὐκ ἔστι κεφαλὴ τῶν Ἱερέων κατ' ἄλλον τρόπον, ἀλλ' ἢ κατὰ μόνην τὴν τάξιν. τὸ αὐτὸ πρόσταγμα ἴδε καὶ βασιλικῶν βιβλίῳ τρίτῳ, Τίτλῳ πρώτῳ. Ἔτι ὁ αὐτὸς θεσπίζει εἶναι τῶν Πατριαρχῶν τὰς ἀποφάσεις ἀμετακρίτους, καὶ τὴν ἐσχάτην κρίσιν ἐν τῇ καθόλου Ἐκκλησίᾳ οὐ τῷ Πάπᾳ, ἀλλὰ τῇ Συνόδῳ παρέχει, οὐκ εἶπε δὲ μόνον, ἀλλ' ὡς εἶπεν, οὕτω καὶ ἐποίησεν, ἐπειδὴ περὶ τῶν Αἱρετικῶν ἤθροισε τὴν πέμπτην Σύνοδον χωρὶς τῆς τοῦ Ῥώμης παρουσίας, ἢ ἐπιστολῆς, ἢ Λεγάτων, καὶ δὴ καὶ Αἱρετικὸν ὄντα ἐξώρισε, διώρθωσεν. Ἔτι ὁ αὐτὸς καθόλου Ἐκκλησίαν οὐ λέγει τὴν πειθομένην, ἢ διοικουμένην ὑπὸ μόνου τοῦ Πάπα, ἀλλὰ τὴν κοινὴν τῶν Πατριαρχῶν καὶ τῶν λοιπῶν ἐκκλησιαστικῶν σύμπνοιαν, ὅθεν Νεαρᾷ ἑκατοστῇ ἐνάτῃ λέγει, Αἱρετικοὺς ἐκείνους εἰρήκασιν (ἤτοι οἱ πρὸ αὐτοῦ Βασιλεῖς) καὶ ἡμεῖς λέγομεν πάντας τοὺς μὴ ὄντας μέλος τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, ἐν ᾗ πάντες ὁμοφώνως οἱ ἁγιώτατοι πάσης τῆς Οἰκουμένης Πατριάρχαι, ὅ,τε τῆς Ἑσπερίας Ῥώμης, καὶ ὁ ταύτης τῆς βασιλίδος πόλεως, καὶ Ἀλεξανδρείας, καὶ Θεουπόλεως, καὶ Ἱεροσολύμων, καὶ πάντες οἱ ὑπ' αὐτοὺς τεταγμένοι ὁσιώτατοι Ἐπίσκοποι τὴν ἀποστολικὴν κηρύττουσι πίστιν τε καὶ παράδοσιν. καὶ Νεαρᾷ ἑκατοστῇ δεκάτῃ πέμπτῃ λέγει, εἴτις ἐκ τῶν μνημονευθέντων γονέων ὀρθόδοξος ὑπάρχων, αἴσθηται τὸν ἴδιον παῖδα, ἢ παῖδας μὴ εἶναι τῆς καθολικῆς πίστεως, καὶ μηδὲ ἐν τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ κοινωνεῖν, ἐν ᾗ πάντες οἱ ἁγιώτατοι Πατριάρχαι μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τὴν ὀρθὴν πίστιν κηρύττουσι κατὰ τὰς (προηγησαμένας δηλονότι) τέσσαρας Συνόδους, καὶ τὰ ἑξῆς. ῥητῶς ταῦτα βεβαιοῖ καὶ Λέων ὁ σοφὸς βασιλικῶν βιβλίῳ τριακοστῷ πέμπτῳ, Τίτλῳ ὀγδόῳ, κεφαλαίῳ τετάρτῳ. τῇ γνώμῃ τοῦ Ἰουστινιανοῦ συνᾴδει καὶ ἡ ἑβδόμη Σύνοδος, ἐν τῇ πρώτῃ γὰρ αὐτῆς πράξει λέγει ὁ Ἀγκύρας Βασίλειος, προαιρούμενος ἑνωθῆναι τῇ καθολικῇ Ἐκκλησίᾳ, Ἀδριανῷ Πάπᾳ Ῥώμης, Ταρασίῳ Κωνσταντινουπόλεως, τοῖς τε ἀποστολικοῖς θρόνοις Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ τῆς ἁγίας πόλεως. καὶ προσάγω ὑμῖν τοῖς ἐξ ἀποστολικῆς αὐθεντίας λαβοῦσι τὴν ἐξουσίαν. οἷς σύμφωνος καὶ ἡ ἐπὶ τοῦ Πάπα Μαρτίνου ἐν Λατεράνῳ Σύνοδος, λέγουσα Κανόνι δεκάτῳ ὀγδόῳ, εἴτις κατὰ τοὺς ἁγίους πατέρας ὁμοφώνως ἡμῖν καὶ ὁμοπίστως οὐκ ἀθετεῖ καὶ ἀναθεματίζει ψυχῇ τε καὶ στόματι πάντας ἐκείνους, οὓς ἀθετεῖ καὶ ἀναθεματίζει, δηλονότι τοὺς πονηροτάτους Αἱρετικοὺς, μετὰ πάντων τῶν ἀσεβῶν αὐτῶν συγγραμμάτων ἕως μιᾶς κεραίας ἡ ἁγία τοῦ Χριστοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, τουτέστιν αἱ ἅγιαι καθολικαὶ πέντε Σύνοδοι, καὶ συμφώνως πάντες οἱ δόκιμοι τῆς Ἐκκλησίας πατέρες, καὶ τὰ ἑξῆς. καὶ λοιπὸν εἰ καὶ κατὰ Ἰουστινιανὸν ἴσοι οἱ Πατριάρχαι ἐν τῇ καθόλου Ἐκκλησίᾳ, καὶ ἡ σύμπνοια καὶ ἡ ὁμόνοια αὐτῶν ἐστὶν ἡ καθόλου Ἐκκλησία, καὶ ὅλοι οἱ Πατριάρχαι τῆς Οἰκουμένης εἰσὶ Πατριάρχαι, καὶ ἔσχατον κριτήριον ἡ Σύνοδος, καὶ κεφαλὴ ὁ Κωνσταντινουπόλεως ὡς καὶ ὁ Ῥώμης, καὶ τὰ λοιπὰ εἰρημένα ἀνωτέρω, πρόδηλον, ὅτι ὁ Ῥώμης κατὰ μόνην τὴν τάξιν ἦν πρῶτος τῶν Ἱερέων, καὶ οὐ κατ' ἄλλην τινὰ δύναμιν, ἢ ἐξουσίαν. πρὸς ὃ δὲ λέγει, ὅτι αἱ ἀναφανεῖσαι εἰς τὴν Ἀνατολὴν Αἱρέσεις τῇ γνώμῃ καὶ ὀρθῇ κρίσει τοῦ θρόνου Ῥώμης κατηργήθησαν, ἀληθές ἐστιν, ἀλλ' οὐ πάντοτε, οὔτε ἐκ μόνου, ὡς μαρτυροῦσιν αἱ πράξεις τῶν Οἰκουμενικῶν Συνόδων, καὶ τὰ συμβάντα ἀπ' ἀρχῆς ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ὅθεν ἐν τῇ ἑβδόμῃ Συνόδῳ πράξει δευτέρᾳ ὅλοι οἱ Ἐπίσκοποι εἶπον κατὰ τὴν ἐπιστολὴν τοῦ Ῥώμης, καὶ τὴν διδασκαλίαν Ταρασίου, καὶ τὴν παράδοσιν τῶν Ἀποστόλων καὶ θείων Διδασκάλων. ἴδε καὶ ἀνωτέρω βιβλίου τρίτου κεφάλαιον δέκατον τέταρτον, καὶ ἀλλαχοῦ ἐν πολλοῖς ἀνωτέρω καὶ κατωτέρω.

Κεφά-

ΚΕΦΑ΄ΛΑΙΟΝ Κ΄.

Περὶ τῆς πρώτης Ἰουστινιανῆς ἐν τῇ Ἀχρίδι, καὶ τῶν ὑπ' αὐτὴν Μητροπολιτῶν καὶ Ἐπισκόπων.

Ὁ Καισαρεὺς Προκόπιος εἰς τὸ τέταρτον περὶ τῶν κτισμάτων Ἰουστινιανοῦ, κεφαλαίῳ πρώτῳ λέγει, ὅτι ἐγγὺς τοῦ κάστρου Βεδεριανὰ ἦν χωρίον λέγομεν Ταυρήσιον, καὶ ἐξ αὐτοῦ ἦν ὁ Ἰουστινιανὸς, ἐγγὺς δὲ ἐκείνου ἔκτισε πόλιν, καὶ ὠνόμασεν αὐτὴν πρώτην Ἰουστινιανὴν, εἰς δὲ τὴν Δαρδανίαν πόλιν τινὰ Οὐλπιανὰ λεγομένην ἀνακαινίσας, ὠνόμασε δευτέραν Ἰουστινιανήν. τιμήσας δὲ τὴν πρώτην Ἰουστινιανὴν Ἀρχιεπισκόπῳ αὐτοκεφάλῳ, ἔδωκεν αὐτῷ ἵνα ἔχῃ τὰς χειροτονίας τῶν Ἐπαρχιῶν Δακίας Μεδιτερρανέας, Δακίας Ῥιπενσίας, Τριβαλλέας, Δαρδανίας, Μυσίας τῆς ἀνωτέρας καὶ Παννονίας. σήμερον ὅμως εὑρίσκονται μόναι Ἐπισκοπαὶ δεκατρεῖς ὑπ' αὐτὴν, ἐξ ὧν Μητροπολῖται μὲν εἰσὶν ὁ Καστορίας, ὁ Βελεγράδων, ὁ Κοριτζᾶς, ὁ Γρεβενοῦ, ὁ Σισανίου, ὁ Βοδενῶν, ὁ Πελαγωνίας. Ἐπισκοπαὶ δὲ ὁ Δεβρῶν, ὁ Μογλινοῦ, ὁ Βελεσσοῦ, ὁ Πρεσσῶν, ὁ Αὐλῶνος, ὁ Κανίων, ὁ Κιτζάβων, καὶ ὁ Μολισκοῦ. οὐκ ἔχουσι δὲ οἱ Μητροπολῖται Ἐπισκόπους, ἐπειδὴ ἦσαν καὶ αὐτοὶ Ἐπίσκοποι, καὶ ἡ καινοτομία ἐποίησεν αὐτοὺς Μητροπολίτας.

ΠΑΡΑ΄ΓΡΑΦΟΝ Β΄.

Πότε ἐβεβαιώθη ἡ Ἐπισκοπὴ τῆς Ἀχρίδος αὐτοκέφαλος, καὶ πότε ἐξέλιπε, καὶ περὶ τοῦ ἀποσπασθέντος μέρους αὐτῆς, ὃ ἔχει μέχρι τοῦ νῦν ὁ Πεκίου.

Ἐπὶ Ἰουστινιανοῦ περὶ τῆς πέμπτης Οἰκουμενικῆς Συνόδου, παρόντος ἐν Κωνσταντινουπόλει καὶ τοῦ Πάπα Ῥώμης Βιγιλίου, ἐβεβαιώθη ἡ Ἀχρὶς Ἀρχιεπισκοπὴ αὐτοκέφαλος, ἤτοι μὴ ὑποτελοῦσα ὑπὸ ἀποστολικὸν θρόνον, τουτέστιν ὑπὸ Πατριάρχην ὥσπερ οἱ Μητροπολῖται. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ πωγωνάτου, ὃς ἐβασίλευσεν ἐν ἔτει ἑξακοσιοστῷ ἑξηκοστῷ ὀγδόῳ, οἱ Βούλγαροι παρέλαβον τὴν κάτω Μυσίαν, καὶ κατ' ὀλίγον ἐπιθέμενοι Ῥωμαίοις, πολεμουμένοις ὑπὸ τῶν Ἀράβων, ἐξηπλώθησαν ἕως Ἀχρίδος, καὶ ἐκυρίευσαν αὐτῆς καὶ τῶν πέριξ αὐτῆς Ἐπαρχιῶν. Εἰδωλολατρῶν δὲ ὄντων, καὶ πολλὰ μαρτύρια ποιούντων τοῖς ὀρθοδόξοις, ἔοικεν ἐκλελοιπέναι καὶ Ἀρχιεπίσκοπον ἐκ τῆς Ἀχρίδος. ὅθεν ἐπὶ Μιχαὴλ καὶ Θεοδώρας, οἳ ἐβασίλευσαν ἐν ἔτει ὀκτακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ, καὶ Φωτίου Κωνσταντινουπόλεως Πατριάρχου, χριστιανισάντων τῶν Βουλγάρων, ἀπὸ Κωνσταντινουπόλεως ἐπέμφθη Ἀρχιεπίσκοπος εἰς Βουλγαρίαν, καὶ περὶ τῆς Βουλγαρίας ἦν ἅμιλα ἀναμεταξὺ τῶν Ἐπισκόπων τῆς πρεσβυτέρας καὶ τῆς νέας Ῥώμης, ὡς ἐρουμεν ἐν τῷ ἑβδόμῳ βιβλίῳ. πότε δὲ ἐπαύσαντο οἱ Ἐπίσκοποι Κωνσταντινουπόλεως χειροτονεῖν καὶ πέμπειν εἰς Βουλγαρίαν Ἀρχιεπίσκοπον, καὶ διατοῦτο ἐχειροτονεῖτο ὁ Βουλγαρίας Ἀρχιεπίσκοπος ὑπὸ τῆς οἰκείας Συνόδου, οὐκ ἔχομεν εἰπεῖν, τόσον δὲ μόνον λέγομεν, ὅτι γενομένης τῆς Ἀρχιεπισκοπῆς Πεκίου αὐτοκεφάλου, ἀπὸ τῆς ἐνορίας τοῦ Ἀχρίδος ἀπεσπάσθη ὅλον τὸ δοθὲν αὐτῇ μέρος, ὅπερ οὐκ ἔτι ἐδυνήθη ἐπαναλαβεῖν ὁ Ἀρχιεπίσκοπος τῆς Ἀχρίδος ἄχρι τῆς δεῦρο.

ΠΑΡΑ΄ΓΡΑΦΟΝ Γ΄.

Περὶ τῆς Ἀρχιεπισκοπῆς Κύπρου τῆς νέας Ἰουστινιανῆς, καὶ τῶν διαφορῶν αὐτῆς μετὰ τοῦ Ἀντιοχείας, καὶ περὶ τῆς ἅπαξ καὶ δὶς βεβαιώσεως αὐτῆς ἐν τῇ αὐτοκεφάλῳ κλήσει.

Οἱ προεστῶτες Ἐπίσκοποι τῆς ἐν Κύπρῳ Ἐκκλησίας ἐποίουν τὰς χειροτονίας τῶν ἐν τῇ Κύπρῳ Ἐπισκόπων, χειροτονούμενοι καὶ αὐτοὶ ὑπὸ τῶν Ἐπισκόπων κατὰ τὴν ἀποστολικὴν παράδοσιν. οἱ Πατριάρχαι ὅμως Ἀντιοχείας, διὰ τὸ πέμπειν τὸν Στρατηγὸν Ἀντιοχείας Ὑποστράτηγον εἰς τὴν Κύπρον, ἐζήτουν ὑποτάξαι ἑαυτοῖς τοὺς Ἐπισκόπου Κύπρου, ὅπερ ἐπειδὴ Ῥηγῖνος Κωνσταντίας, Ζήνων Κυρήνης, Εὐάγριος Σόλων, καὶ Πατρίκιος Πάφου ἀνέφερον διὰ λιβέλλου τῇ Οἰκουμενικῇ τρίτῃ Συνόδῳ, διώρισεν ἡ Σύνοδος ἐν τῇ ἑβδόμῃ αὐτῆς πράξει ἵνα ἔχωσι τὸ ἀνεπηρέαστον καὶ ἀβίαστον οἱ τῶν ἁγίων Ἐκκλησιῶν τῶν κατὰ τὴν Κύπρον προεστῶτες, καὶ κατὰ τοὺς Κανόνας τῶν ἁγίων πατέρων καὶ τὴν ἀρχαίαν συνήθειαν δι' ἑαυτῶν τὰς χειροτονίας τῶν εὐλαβεστάτων Ἐπισκόπων ποιῶσιν. Ἐπὶ δὲ Ζήνωνος, ὅτε ἐφαίνοντο οἱ Εὐτυχιανοὶ εὐτυχοῦντες, ἐφάνη ὁ ἀπόστολος Βαρνάβας σὺν τῷ ἱερῷ Εὐαγγελίῳ τοῦ Ματθαίου, τῷ βεβαιοῦντι κυρίως τὴν ἀληθινὴν τοῦ Χριστοῦ ἀνθρωπότητα ἐναντίον αὐτοῖς. καὶ λοιπὸν Πέτρος ὁ Κναφεὺς πάλιν ἤρξατο ἐνοχλεῖν τοῖς Κυπρίοις καὶ σπεύδειν ὑποτάξαι αὐτοὺς ἑτέρᾳ προφάσει, ὅτι δῆθεν ὑπὸ τῆς Ἀντιοχείας

τιοχείας ἐμαθητεύθησαν τὴν ὀρθόδοξον πίστιν οἱ Κύπριοι, ἐναντιούμενος ὡς Αἱρεσιάρχης κἀνταῦθα καὶ τῇ ἀποφάσει τῆς τρίτης Συνόδου. ἀλλ' ἐν τούτοις εὑρίσκετο εἰς τὴν Σαλαμῖνα Ἐπίσκοπος ὁ Ἀνθέμιτος, ὅστις εἶδε κατ' ὄναρ τὸν Ἀπόστολον Βαρνάβαν παρακινοῦντα αὐτὸν ἀπελθεῖν εἰς Κωνσταντινούπολιν πρὸς τὸν Βασιλέα, ᾧ Ἀνθεμίτῳ ἀπεκάλυψε καὶ τὸν τόπον, ὅπου ἦν τεθαμμένος αὐτὸς ὁ Ἀπόστολος, καὶ εἶπεν αὐτῷ ἵνα σκάψῃ ὑπὸ τὴν Κερατωνίαν τὸ δένδρον, ὅτι ἐκεῖ εὑρήσει τὸ λείψανον αὐτοῦ, καὶ τὸ ἱερὸν Εὐαγγέλιον τοῦ Ματθαίου εἰς τὸ στῆθος αὐτοῦ, ὃ ἰδίᾳ χειρὶ ἔγραψε, καὶ εἶπεν ἔτι αὐτῷ, ὅτε οἱ ἀντίπαλοι τῆς Κύπρου προβάλλουσίσοι, ὅτι ὁ θρόνος τῆς Ἀντιοχείας ἐστὶν ἀποστολικὸς, εἰπὲ καὶ σὺ, ὅτι καὶ ἡ Κύπρος ἐστὶν ἀποστολικὴ, καθότι ἔχει καὶ Ἀπόστολον εἰς τὸν τόπον αὐτῆς. ἀπῆλθεν ὁ Ἀνθέμιτος σὺν τῷ Κλήρῳ αὐτοῦ εἰς τὴν Κερατωνίαν τὸ δένδρον, ἤτοι ξυλοκερατίαν, καὶ μετὰ τὴν προσευχὴν ἔσκαψε, καὶ εὗρε σπήλαιον, καὶ ἔνδον εἰς αὐτὸ μίαν θήκην, ἐν ᾗ ἦν τοῦ Ἀποστόλου τὸ σεβάσμιον σκῆνος, ἔχον εἰς τὸ στῆθος αὐτοῦ τὸ ἅγιον Εὐαγγέλιον τὸ κατὰ Ματθαῖον εἰς ἑλληνικὴν γλῶσσαν γεγραμμένον, ὡς εἴπομεν ὅτι ἔγραψεν αὐτὸ ἰδίᾳ χειρὶ ὁ Βαρνάβας, ὅπερ λαβὼν ἀπῆλθεν εἰς τὴν Κωνσταντινούπολιν ὁ Ἀνθέμιτος πρὸς τὸν Ζήνωνα, καὶ ὁ Ζήνων προσέταξε τῷ Ἀκακίῳ θεωρῆσαι συνοδικῶς τὴν ὑπόθεσιν. καὶ λοιπὸν προβληθέντων τῶν δικαίων τῶν Ἀντιοχέων, ὅτι δηλαδὴ ἡ Ἀντιόχεια ἐστὶ τοῦ Πέτρου πρώτη καθέδρα, καὶ ὅτι τοῦ χριστιανισμοῦ τὸ ὄνομα ἐξῆλθεν ἀπ' αὐτῆς, ἀπεκρίθη ὁ Ἀνθέμιτος κατὰ τὴν μάθησιν τοῦ Βαρνάβα, καὶ μάλιστα ὅτι ἡ τρίτη Σύνοδος δέδωκε τῇ Κύπρῳ τὴν ἐλευθερίαν, καὶ ῥητῶς ἀπὸ τοῦ θρόνου Ἀντιοχείας. τοῦτο ἀκούσαντες οἱ ἀντίπαλοι, ᾐσχύνθησαν, ἐχάρη δὲ ὁ Βασιλεὺς, ὅτι γέγονε τοιοῦτον θαῦμα εἰς τὸν καιρὸν αὐτοῦ. τὸ δὲ ἱερὸν Εὐαγγέλιον κοσμήσας, ἔβαλεν εἰς τὸ παλάτιον αὐτοῦ ἐν τῷ Ναῷ τοῦ ἁγίου Στεφάνου, καὶ ἀνεγινώσκετο κατ' ἐνιαυτὸν τῇ μεγάλῃ Παρασκευῇ, ὡς λέγει ὁ Ἰωὴλ εἰς τὸ χρονικὸν αὐτοῦ. τὴν δὲ Σαλαμῖνα κατέστησεν Ἀρχιεπισκοπὴν πάσης Κύπρου, καὶ τῷ Ἀντιοχείας προσέταξε πόῤῥω ἀπέχειν τοῦ διενοχλεῖν τὴν Κύπρον, ὥς φησιν ὁ Μοναχὸς Κύριλλος, ὁ Ἀναγνώστης Θεόδωρος, καὶ ὁ Σουΐδας. ὁ δὲ Νικηφόρος ὁ τὴν εὕρεσιν τοῦ ἀποστολικοῦ λειψάνου καὶ τοῦ Εὐαγγελίου ἀνάγων εἰς τὸν καιρὸν τοῦ Ἀναστασίου, λανθάνεται. καὶ γὰρ ὁ Βαλσαμὼν ἐν τῇ ἑρμηνείᾳ τοῦ τριακοστοῦ Κανόνος τῆς ἐν Τρούλλῳ Συνόδου λέγει, ὅτι τὴν Σαλαμῖνα, ἥτις καὶ Κωνσταντία ἐλέγετο (νῦν δὲ λέγεται Ἀμόχοστος) Ἰουστινιανὸς ὁ ῥινότμητος ἀνακαινίσας εἰς κάλλος, ὠνόμασε νέαν Ἰουστινιανήν. ὅθεν γίνεται δῆλον ἐκ τούτου, ὅτι οὐ λέγεται ἡ Κύπρος δευτέρα Ἰουστινιανὴ, ἀλλὰ νέα Ἰουστινιανὴ, καὶ ὅσοι λέγουσιν αὐτὴν δευτέραν Ἰουστινιανὴν, πλανῶνται ἐξ ἀγνοίας. εἶτα εἴρηται ἀνωτέρω, ὅτι πρώτη Ἰουστινιανὴ λέγεται ἡ Ἀχρὶς, δευτέρα δὲ τὰ Οὐλπιανὰ καὶ οὐχ ἡ Κύπρος. ἦσαν δὲ Ἐπισκοπαὶ πολλαὶ εἰς τὴν Κύπρον, ὅθεν ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ διὰ τὸ τὸν Ἐπίσκοπον Κύπρου κρῖναι καὶ καθῆραι Ἐπίσκοπον μετὰ ἕνδεκα Ἐπισκόπων Συνόδου, ὁ Κωνσταντινουπόλεως Λουκᾶς ἠθέτησε τὴν τοιαύτην κρίσιν παρανόμως, καὶ ἴδε κατωτέρω βιβλίου ὀγδόου κεφάλαιον εἰκοστὸν πρῶτον. νῦν δὲ εἰσὶ μόναι τέσσαρες, ἡ Ἀρχιεπισκοπὴ, ἡ Πάφος, ἡ Λεμεσσὸς καὶ ἡ Κυρηνία, ἴδε περὶ τῆς Κύπρου κατωτέρω βιβλίου ὀγδόου κεφάλαιον δέκατον ἕβδομον καὶ δέκατον ὄγδοον.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς Ἀρχιεπισκοπῆς Καρθαγένης, καὶ ὅτι πρώτη πασῶν τῶν ἐν Ἀφρικῇ Ἐκκλησιῶν, τὸ δὲ πρωτεῖον αὐτῆς παρὰ τοῦ Ἰουστινιανοῦ κατὰ θέσπισμα.

Ὁ Καρθαγένης ὅτι ἦν Ἀρχιεπίσκοπος ἀρχαῖος καὶ πρῶτος πασῶν τῶν Ἐκκλησιῶν τῆς Ἀφρικῆς, μάρτυρες πρῶτον ὁ Κυπριανὸς καὶ αἱ παρ' αὐτοῦ ἀθροισθεῖσαι δύο Σύνοδοι. δεύτερον, ἡ Σύνοδος περὶ ἧς διείληπται ἀνωτέρω βιβίου τρίτου κεφαλαίῳ δεκάτῳ τρίτῳ, ἧς ἐξῆρχεν ὁ Καρθαγένης Αὐρήλιος. τρίτον, Καπραίολος Ἀρχιεπίσκοπος Καρθαγένης, ὁ πέμψας ἐπιστολὴν ἐκ προσώπου πάσης τῆς Ἀφρικῆς εἰς τὴν τρίτην Οἰκουμενικὴν Σύνοδον, ὡς εἴρηται ἀνωτέρω βιβλίου τρίτου, κεφαλαίου δεκάτου πέμπτου Παραγράφῳ εἰκοστῷ ἐνάτῳ. ἀλλ' ἐπειδὴ οἱ Βάνδαλοι λαβόντες τὴν Ἀφρικὴν συγκεχύκασι τὰς ἐκεῖσε Ἐκκλησίας, ὁ Ἰουστινιανὸς λαβὼν τὴν Ἀφρικὴν παρ' αὐτῶν, καὶ ἀνακαινίσας τοῦ Καρχηδόνος τὸ ἀξίωμα, ἐθέσπισεν εἶναι αὐτὸν πρῶτον τῶν Ἐκκλησιῶν τῆς Ἀφρικῆς, καθὼς ὁ Ἀχρίδος τῶν τάδε Ἐπαρχιῶν. Διαλαμβάνει δὲ περὶ Καρχηδόνος ἐν τῷ αὐτῷ πριβιλεγείῳ, ἐν ᾧ γράφει καὶ περὶ τοῦ Ἀχρίδος αὐτολεξεὶ ταῦτα, τοῦτο τὸ δίκαιον ὅπερ ἐδώκαμεν τῇ Ἀχρίδι, ἐδώκαμεν καὶ τῷ Ἐπισκόπῳ Καρχηδόνος τῆς Ἀφρικῆς, μετὰ τὸ παραδοῦναι ταύτην ὁ Κύριος ταῖς χερσὶν ἡμῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς Ἀρχιεπισκοπῆς τῆς κάτω Ἰβηρίας, καὶ τῶν Ἐπαρχιῶν αὐτῆς, καὶ τῆς παλαιᾶς ὀνομασίας αὐτῆς.

Ἐν τῇ Ἰβηρίᾳ εἰσὶν Ἀρχιεπίσκοποι αὐτοκέφαλοι δύο, οὓς οἱ Ἴβηρες καθολικοὺς ὀνομάζουσι. καὶ ἡ μὲν κάτω Ἰβηρία

Ἰβηρία, ἥτις τὸ παλαιὸν ἐλέγετο Κολχικὴ καὶ Λαζικὴ, ἔχει Ἐπαρχίας τὸ Ἰμερέτι, τὴν Γγουρίαν, τὴν Μεγγρελίαν, τὴν Ἀπχαζίαν, καὶ τὴν Σουανίαν, καὶ μέρος τῆς Μοσχικῆς. ἦσαν δὲ αἱ Ἐπαρχίαι αὗται ὑποκείμεναι τῷ θρόνῳ Κωνσταντινουπόλεως, ἔχουσαι Μητροπολίτην τὸν Φάσιδος, ὡς φαίνεται εἰς τὴν ἔκθεσιν τῆς τάξεως τῶν Μητροπολιτῶν, ἥτις ἦν εἰς τὸ Χαρτοφυλάκιον Ἐπαρχία εἰκοστὴ ἑβδόμη Λαζικῆς, ἐν ᾗ Μητροπολίτης ὁ Φάσιδος, ὃς εἶχεν Ἐπισκοπὰς τὴν Ῥοδοπόλεως, τὴν Ἀβισηνῶν, ἢ Σαΐνων, τὴν Πετρῶν, τὴν Τζηγανέων, ἢ Ζυγανῆς. ἐπὶ δὲ Ἡρακλείου ἦν Μητροπολίτης Φάσιδος Κῦρος ὁ Αἱρεσιάρχης, ὁ γενόμενος Ἐπίσκοπος Ἀλεξανδρείας, καὶ ἀναθεματισθεὶς ὑπὸ τῆς ἑκτῆς Συνόδου. ἐπὶ δὲ τῆς ἐν Τρούλλῳ Συνόδου ἦν Θεόδωρος Φασίτου, ἤτοι Λαζῶν χώρας. καὶ Ἰωάννης Ἐπίσκοπος Πετρῶν τῆς Λαζῶν χώρας, ἐπὶ μέντοι Λέοντος τοῦ Ἰσαύρου ἦν καθολικὸς εἰς τὴν κάτω Ἰβηρίαν, ἐπειδὴ λέγει Μαυρίκιος ὁ συναξαριστὴς Ἰουνίου εἰκοστῇ ἑκτῇ, ὅτι Ἰωάννης Ἐπίσκοπος Γοτθίας ἐχειροτονήθη ὑπὸ τοῦ καθολικοῦ τῆς Ἰβηρίας, ἐπειδὴ εἰς Κωνσταντινούπολιν ἐβασίλευον Εἰκονομάχοι. ὥστε μετὰ τὸν Ἡράκλειον καὶ πρὸ τοῦ Ἰσαύρου γέγονεν ἡ κάτω Ἰβηρία Ἀρχιεπισκοπὴ αὐτοκέφαλος, οὐκ οἴδαμεν δὲ ἐπὶ τίνος Αὐτοκράτορος καὶ ὑπὸ ποίας Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς Ἀρχιεπισκοπῆς τῆς ἄνω Ἰβηρίας, καὶ τῶν Ἐπαρχιῶν αὐτῆς, καὶ τοῦ χρόνου αὐτῆς.

Ἡ ἄνω Ἰβηρία ἐγένετο Ἀρχιεπισκοπὴ αὐτοκέφαλος ἐπὶ Κωνσταντίνου Βασιλέως τοῦ Μονομάχου, καὶ Πέτρου Πατριάρχου Ἀντιοχείας. ἔχει δὲ Ἐπαρχίας τὸ Κάρτελι, ὅπερ καὶ κυρίως Ἰβηρία λέγεται, τὴν Ἀλβανίαν καὶ τὰ Καυκάσια ὄρη ἕως Λέτζκων καὶ τῶν Κεραυνίων ὀρῶν, ἐν οἷς καὶ αἱ Κάσσιαι πύλαι. ἔχει δὲ ἔτι καὶ μέρος τῆς Μοσχικῆς. ἔστι δὲ ὁ θρόνος αὐτῆς ἡ Σχέτα, ὅπου ἑνοῦνται ὁ Κῦρος καὶ ὁ Ἄρραγος οἱ ποταμοί. ἦσαν δὲ πρότερον αἱ Ἐπαρχίαι ὑπὸ τὸν Ἀντιοχείας. ἔστι δὲ σύνορον τῆς ἄνω καὶ κάτω Ἰβηρίας τὸ ὄρος τὸ ἀρχόμενον ἀπὸ τῶν Καυκασίων ὀρῶν καὶ παρατεῖνον εἰς Μοσχικὴν, καὶ λέγεται ἰβηριστὶ Κουλπαργή. ἔστι δὲ ὁ μὲν τῆς κάτω Ἰβηρίας καθολικὸς τῇ τάξει μείζων, ὁ δὲ τῆς ἄνω ἐλάττων, ἦν γὰρ ἐπὶ μὲν τοῦ Ἰσαύρου ἐν ἔτει ἑπτακοσιοστῷ εἰκοστῷ καθολικὸς εἰς τὴν κάτω Ἰβηρίαν, ὁ δὲ τῆς ἄνω ἐγένετο ἐν ἔτει χιλιοστῷ τεσσαρακοστῷ πέμπτῳ, ἀλλὰ δὴ καὶ οἱ Ἴβηρες τὸν τῆς κάτω ἔχουσι μείζονα τοῦ τῆς ἄνω, καθότι ὁ Μέπες ἤτοι ὁ Ἄρχων τοῦ Ἰμερετίου λέγεται παρ' αὐτῶν Βασιλεὺς τῶν Βασιλέων πάσης Ἰβηρίας. ὅθεν καὶ οἱ Βασιλεῖς Κωνσταντινουπόλεως καλοῦσιν αὐτὸν ἐν ταῖς γραφαῖς Μελίκη, ὅπερ ἐστὶ βασιλόπαις, τοὺς δὲ λοιποὺς αὐθέντας τῆς ἄνω καὶ κάτω Ἰβηρίας ὀνομάζουσι καὶ ὁ Βασιλεὺς τῆς Κωνσταντινουπόλεως καὶ ὁ Περσάρχης τοὺς μὲν, Χὰν, τοὺς δὲ, Ἡγεμόνας.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῶν Ἀρχιεπισκοπῶν Πεκίου, Τουρνόβου, καὶ Ἀρμενίων.

Περὶ τῆς Ἀρχιεπισκοπῆς Πεκίου, Τουρνόβου καὶ Ἀρμενίων ἴδε κατωτέρω βιβλίου ὀγδόου κεφάλαιον δέκατον τρίτον, καὶ κεφάλαιον δέκατον ὄγδοον, καὶ βιβλίου δωδεκάτου κεφάλαιον ἕβδομον. ἦσαν δὲ καὶ ἄλλοι Ἀρχιεπίσκοποι καὶ καθολικοὶ τοιοῦτοι ὑπὸ τοῦ Ἀντιοχείας προβαλλόμενοι, καθότι ὁ Ἀντιοχείας Πέτρος, ὃς ἦν ἐπὶ Κωνσταντίνου τοῦ Μονομάχου, γράφων πρὸς τὸν Ἀρχιεπίσκοπον Ἀκυληΐας, αὐτιποιούμενον τοῦ Πατριαρχικοῦ ὀνόματος, λέγει, ἀναλόγισαι ὅσον τῆς κατὰ σὲ χώρας μείζων ἡ Βουλγαρία, ὅσον δὲ ταύτης πάλιν Βαβυλὼν ἡ μεγάλη, καὶ ἡ Ῥωμάγυρις, ἤτοι τὸ Χωρασᾶν, καὶ αἱ λοιπαὶ τῆς ὅλης Ἀνατολῆς Ἐπαρχίαι, ἐν αἷς Ἀρχιεπίσκοποι παρ' ἡμῶν πέμπονται, καὶ καθολικοὶ χειροτονοῦνται ἐν ἐκείνοις τοῖς μέρεσι, Μητροπολίτας ἔχοντες ὑπ' αὐτοὺς καὶ Ἐπισκόπους πολλοὺς, ἀλλ' οὐδεὶς ἐξ αὐτῶν ἐκλήθη Πατριάρχης, ἐπειδὴ ἀπὸ τῶν πέντε τούτων Πατριαρχικῶν θρόνων καὶ αἱ κατὰ τόπον Ἐπισκοπαὶ οἰκονομοῦνται καὶ θεοπρεπῶς διεξάγονται ὥσπερ ἐν μιᾷ κεφαλῇ Χριστῷ τῷ Θεῷ ἡμῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τοῦ ποῖον ἐστὶ τὸ ἀξίωμα τῶν αὐτοκεφάλων Ἀρχιεπισκόπων, καὶ κατὰ τί εἰσι μείζονες τῶν Μητροπολιτῶν. καὶ ὅτι ἄνευ τῆς γνώμης τῶν πλησιοχώρων Πατριαρχῶν οὐδύνανται διακρῖναι τὰς ἐκκλησιαστικὰς ἀμφιβολίας.

Τὸ ἀξίωμα τῶν τοιούτων οὐδέν ἐστιν ἕτερον, ἀλλ' ἢ Μητροπολιτικὸν αὐτοκέφαλον, ὅθεν ἐν τῇ τρίτῃ Συνόδῳ Πέτρος Πριμμικήριος εἶπεν, ὁ εὐλαβέστατος καὶ θεοσεβέστατος Μητροπολίτης καὶ Ἐπίσκοπος τῆς Καρθαγένης Καπραίολος διὰ Βεσούλα Διακόνου, πράξει πρώτῃ. ἴδε τὸ Μητροπολίτης ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίῳ τρίτῳ. εἰ δὲ καὶ λέγεται Διαταγῇ ὀγδόῃ τοῦ πρώτου Τίτλου τῶν Νεαρῶν, ὅτι ὁ Ἰουστινιανῆς μείζων

ἐστὶ

ἐστὶ τοῦ Μητροπολίτου, τὸ μεῖζον ἐννοεῖται κατὰ τὸ μὴ ὑποκεῖσθαι αὐτὸν Πατριάρχῃ, μάλιστα δὲ οἱ τοιοῦτοι Ἀρχιεπίσκοποι οὐ προτιμῶνται τῶν πρώτων Μητροπολιτῶν τῶν ὑποκειμένων τοῖς Πατριαρχικοῖς θρόνοις, ὡς ῥηθήσεται. καὶ τοῦτο ἐστὶ τὸ αἴτιον, ὅταν συμβῇ ἀμφιβολία τὶς ἐκκλησιαστικὴ, οὐ δύνανται μόνοι αὐτοὶ διακρῖναι περὶ αὐτῆς χωρὶς τῆς γνώμης τῶν πλησιοχώρων Πατριαρχῶν, ὁ δὲ Ἀχρίδος καὶ διωρισμένως χωρὶς τῆς γνώμης τοῦ Κωνσταντινουπόλεως, οὐ δύναται δηλονότι, καὶ διατοῦτο λέγεται βιβλίῳ πρώτῳ, Τίτλῳ δευτέρῳ τοῦ κώδικος, κεφαλαίῳ ἕκτῳ, τὰς ἀναφυομένας ἀμφισβητήσεις ἐν ὅλῳ τῷ Ἰλλυρικῷ μὴ τέμνεσθαι παρὰ γνώμην τοῦ Κωνσταντινουπόλεως, καὶ βιβλίῳ πρώτῳ, Τίτλῳ ὀγδόῳ, Διαταγῇ ἕκτῃ, ἐν τῷ Ἰλλυρικῷ οἱ παλαιοὶ Κανόνες τῶν Ἐκκλησιῶν κρατείτωσαν. ὥστε ἡνίκα ἂν ἐκκλησιαστικόν τι ἀνακύψῃ, τέμνεσθαι τῇ γνώμῃ τοῦ Ἐπισκόπου Κωνσταντινουπόλεως, γινομένης Συνόδου. καὶ Τίτλῳ τῷ αὐτῷ, Διαταγῇ τρίτῃ, ὁ Ἀρχιεπίσκοπος τῆς πρώτης Ἰουστινιανῆς τὸν τόπον ἐπέχει ἐν ταῖς ὑπ' αὐτὸν Ἐπαρχίαις τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης, χειροτονῶν τοὺς Ἐπισκόπους τῶν πόλεων τῶν τάδε Ἐπαρχιῶν, ὡς εἴρηται ἀνωτέρω. εἶτα φησὶ, καὶ τὸν ὅμοιον τῆς Ἱερωσύνης βαθμὸν ἐδώκαμεν τῷ Ἐπισκόπῳ Καρθαγένης τῆς Ἀφρικῆς, καὶ φυλαττέσθω καὶ τῷ Ἐπισκόπῳ Ἀφρικῆς τὸ ἱερατικὸν δίκαιον, καὶ τὸ δοθὲν αὐτῷ προνόμιον. ὅθεν δικαίως κατακρίνεται ὁ Ἀχρίδος Δημήτριος, ὁ Θεόδωρον ἀδελφὸν Μιχαὴλ τοῦ Ἀγγέλου, Ἄρχοντα Θετταλίας καὶ Ἠπείρου, χρίσας Βασιλέα ἐπὶ Θεοδώρου τοῦ Λασκάρεως, οὔτε γὰρ ὁ Ἄρχων τῆς Ἠπείρου Βασιλεὺς γένοιτο, οὔτε ὁ Βουλγαρίας Βασιλέα στέφειν ἠδύνατο, διωρισμένος ὤν, ἵνα ἐρωτᾷ τὸν Κωνσταντινουπόλεως ἐν πᾶσιν ἀπὸ τοῦ Ῥώμης Βιγιλίου, ἤτοι ἀπὸ συνοδικῆς ψήφου ἧς ἐξῆρχεν ὁ Βιγίλιος, γενομένης ἐν Κωνσταντινουπόλει πρὸ τῆς πέμπτης Οἰκουμενικῆς Συνόδου, καὶ ἴδε ἀνωτέρω Παράγραφον δεύτερον. πρὸς τοῦτο συντρέχει καὶ ἐκεῖνο, ὅπερ ὁ Ἀντιοχείας ἔγραψεν εἰς τὴν Ἰβηρίαν, ἵνα ὁ ἀπὸ Ἰβηρίας πεμφθησόμενος Τοποτηρητὴς εἰς τὸν φλωρεντινὸν σύλλογον μηδὲν δέξηται ἐναντίον τῇ δόξῃ τῆς καθολικῆς Ἐκκλησίας, ὡς ἱστορεῖ ὁ Συρόπουλος ἐν τῷ δωδεκάτῳ κεφαλαίῳ τοῦ ἐνάτου τμήματος.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι οἱ Πατριάρχαι πρὸς μὲν Πατριάρχας ἐνσφράγιστον καὶ συμβουλευτικῶς, πρὸς δὲ τοὺς Ἀρχιεπισκόπους ἀσφράγιστον καὶ προστακτικῶς γράμμα πέμπουσιν, εἰ αἰτίαμα τινὸς τῶν ὑπ' αὐτοὺς συμβαίη.

Εἰς τὰς Ἐπαρχίας αὐτῶν, ὅταν συμβῇ τι αἰτίαμα τινὸς τῶν ὑπὸ τὴν Ἐπαρχίαν αὐτῶν, πέμπουσιν οἱ Πατριάρχαι γράμματα ὑπὲρ τοῦ δικαίου, πλὴν οὐ πέμπουσι συνοδικὴν ἐπιστολὴν ἔξωθεν ἐσφραγισμένην καὶ συμβουλευτικῶς, καθ' ὃν τρόπον ἐπιστέλλει Πατριάρχης πρὸς Πατριάρχην, ὡς παρίστησι τὰ γράμματα Κυρίλλου Ἀλεξανδρείας καὶ Πρόκλου Κωνσταντινουπόλεως πρὸς τὸν Ἀντιοχείας Δόμνον περὶ τοῦ Ἐπισκόπου Πέρρης, ἀλλὰ συνοδικὸν γράμμα ἀνοικτὸν, καὶ προστακτικῶς.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τοῦ εἰ συλλειτουργήσοι Μητροπολίτῃ αὐτοκέφαλος ἐν ἀλλοτρίᾳ Ἐπαρχίᾳ, τίνος δεῖ τὸν Μητροπολίτην μνημονεῦσαι, ὡσαύτως καὶ Πατριάρχης. καὶ περὶ τοῦ πῶς δεῖ μνημονεύειν τοὺς αὐτοκεφάλους τοῦ Πατριάρχου, αὐτῷ συλλειτουργοῦντας ἔν τε ταῖς Ἀρχιεπισκοπαῖς αὐτῶν, καὶ ἀλλαχοῦ, ἢ πῶς βαδίζειν αὐτοὺς χρὴ εἰς τοὺς πατριαρχικοὺς θρόνους.

Ἔτι τοῖς αὐτοῖς Ἀρχιεπισκόποις, εἰς ξένην Ἐπαρχίαν λειτουργοῦσιν, εἰ συλλειτουργεῖ ὁ κατὰ τόπον Μητροπολίτης οὐ μνημονεύει αὐτῶν, ἀλλὰ τοῦ ἰδίου Πατριάρχου, ὅπερ εἰς τοὺς Πατριάρχας οὐ γίνεται, τοῦ γὰρ Πατριάρχου μεθ' οὗ λειτουργοῦσιν οἱ Μητροπολῖται μνημονεύουσιν. εἰς δὲ τοὺς Πατριαρχικοὺς θρόνους περιπατοῦσι χωρὶς βακτηρίας, καὶ ἐὰν λειτουργήσωσι μετὰ τοῦ Πατριάρχου, μνημονεύουσι τοῦ Πατριάρχου, καὶ οὐχὶ πάσης Ἐπισκοπῆς ὀρθοδόξων, καὶ εἰς τὸν τόπον αὐτῶν ἐὰν ἐπιδημῇ Πατριάρχης, ἐκείνου ἱερουργοῦντες μνημονεύουσιν, ὡς ποιοῦσι καὶ οἱ δύο καθολικοὶ τῆς Ἰβηρίας ἕως τοῦ νῦν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι οἱ αὐτοκέφαλοι Ἀρχιεπίσκοποι οὔτε μείζονες εἰσὶ τῶν ὑπὸ τοὺς Πατριάρχας ἐγκρίτων Μητροπολιτῶν, οἷς καὶ ὑποκάθηνται, οὔτε Τίτλους, ἢ γράμμασι κοκκίνοις, ἢ πρασίνοις γράφουσι πρὸς τοὺς Πατριάρχας, ἢ τοὺς μὴ ὑποκειμένους αὐτοῖς Μητροπολίτας.

Νῦν δὲ ἐρχομένων τῶν Ἀρχιεπισκόπων τούτων εἰς Κωνσταντινούπολιν, τιθέασιν αὐτοὺς εἰς τὸν θρόνον τοῦ Καισαρείας, πρὸ πάντων δηλονότι τῶν Μητροπολιτῶν, ὅπερ εἰ καὶ οὐδὲν προξενεῖ ἁμάρτημα, ἢ ἄτοπον εἰς τὴν Ἐκκλη-

Ἐκκλησίαν, πλὴν αὐτοὶ οἱ Ἀρχιεπίσκοποι οὐκ εἰσὶ μείζονες τῶν προεστώτων Μητροπολιτῶν τῶν ὑποκειμένων τοῖς Πατριαρχικοῖς θρόνοις, ὅθεν ἐν τῇ ἐν Χαλκηδόνι Ἐπιφάνιος Ἐπίσκοπος Λεγᾶτος Ὀλυμπίου Ἐπισκόπου Κωνσταντίας, ἤτοι τοῦ Ἀρχιεπισκόπου Κύπρου ἐκάθητο ἐν τόπῳ εἰκοστῷ ἐνάτῳ. καὶ εἰς τὴν ἕκτην Οἰκουμενικὴν ὁ Λεγᾶτος τοῦ Κύπρου ἐκάθητο καὶ ὑπέγραψε μετὰ τὸν Καισαρείας καὶ Θεσσαλονίκης. εἰς τὴν ἑβδόμην παρὼν ὁ Κύπρου Κωνσταντῖνος ἐκάθητο καὶ ὑπέγραψε μετὰ τὸν Καισαρείας καὶ Ἐφέσου. ἐν δὲ τῇ πέμπτῃ Οἰκουμενικῇ ὁ Καρθαγένης Σεκστιλιανὸς εἶχε τόπον δέκατον, καὶ διατοῦτο ἐν τῇ δεκάτῃ τετάρτῃ πράξει τῆς ἕκτης Συνόδου Κωνσταντῖνος Πρεσβύτερος καὶ γραμματικὸς ῥωμαϊκὸς εἶπεν, ἐπὶ τῶν χρόνων Παύλου Κωνσταντινουπόλεως ἐλθόντος Φουρτουνάτου Καρθαγένης, καὶ μέλλοντος λειτουργεῖν ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, ἐζήτει ὁ Κωνσταντινουπόλεως Παῦλος ὅπως ὀφείλει τὸν Φουρτουνᾶτον καθῆσθαι, εἴτε πρὸ τῶν Μητροπολιτῶν τῶν ἐνδημούντων ἐνταῦθα, εἴτε μετ' αὐτοὺς, καὶ εὑρέθη τὸ βιβλίον τῆς πέμπτης Συνόδου, ἐν ᾧ δηλονότι Σεκστιλιανὸς ὁ Καρχηδόνος ἐκάθητο μετὰ τὸν Ἐφέσου, καὶ εἶχε τόπον δέκατον, ὅθεν ὁ αὐτὸς Παῦλος ἐποίησεν αὐτὸν κατὰ τάξιν καθῆσθαι, ἤτοι εἰς τὸν τόπον οὗ ἐκάθισεν ὁ προκάτοχος αὐτοῦ ἐν τῇ πέμπτῃ Συνόδῳ. εἰ δὲ καὶ ἐπὶ τῆς ἐν Τρούλλῳ ὑπέγραψε μετὰ τοὺς Πατριάρχας εὐθὺς ὁ Κύπρου Ἰωάννης, ἀλλὰ γέγονε χάριν τοῦ ἀθροίσαντος τὴν Σύνοδον Ἰουστινιανοῦ, τοῦ καὶ τὴν Σαλαμῖνα ἀνακαινίσαντος, καὶ νέαν Ἰουστινιανὴν καλέσαντος, ἀλλ' οὐ γέγονε τὸ ἅπαξ καὶ ἀκανόνιστον Νόμος, ὅθεν ἐν τῇ ἑβδόμῃ Συνόδῳ, ὡς εἴρηται, ὁ Κύπρου Κωνσταντῖνος ὑπέγραψε μετὰ τὸν Καισαρείας καὶ Ἐφέσου. εἰ δὲ καὶ ὁ Κουροπαλάτης λέγει, ὅτι οἱ Βασιλεῖς προὐβάλοντο καὶ τοὺς τοιούτους Ἀρχιεπισκόπους, χειροτονουμένους εἰς Κωνσταντινούπολιν πολλάκις. ἀλλὰ ῥητέον εἰ ἦν ἡ πρόβλησις πρὸ συνοδικῆς σκέψεως καὶ κρίσεως, ἐλέγομεν δικαίως, ὅτι ἡ τοιαύτη πρόβλησις οὐκ ἀπὸ Κανόνων, ἀλλ' ὑπὸ φιλοτιμίας δυναστικῆς προηγμένη, ἀλλ' εἴρηται ἀνωτέρω ἐν πολλοῖς, ὅτι οἱ ἐναντιούμενοι τοῖς Κανόσι πραγματικοὶ τύποι ἄκυροί εἰσιν. εἰ δὲ συνοδικῇ κρίσει ψηφισθέντος Ἀρχιεπισκόπου, ὁ Βασιλεὺς παρέχει Βακτηρίαν, τοῦτο οὐδίδωσί τι ἀξίωμα μεῖζον τοῦ διωρισμένου ὑπὸ τῶν Κανόνων, καθότι οἱ Βασιλεῖς προβάλλουσι καὶ Ἡγουμένους καὶ Ἀρχιμανδρίτας Μοναστηρίων, ὡς ἐστιν ἰδεῖν ἐν ἄλλοις καὶ περὶ τῷ Συροπούλῳ, τὶ θαυμαστὸν αὖ καὶ Ἀρχιεπισκόπους προβάλλωσιν, ὧν ὁ βαθμὸς καὶ ἡ τάξις περὶ τῶν Κανόνων καὶ τῶν πρακτικῶν τῶν Οἰκουμενικῶν Συνόδων διώρισται; Ἔτι οἱ αὐτοὶ Ἀρχιεπίσκοποι γράφοντες εἰς τοὺς Πατριάρχας, οὐκ ἐπιγράφουσι Τίτλον, οὐχ ὑπογράφουσι κοκκίνοις, ἢ πρασίνοις γράμμασιν, ἀλλ' οὔτε εἰς τοὺς Μητροπολίτας καὶ Ἐπισκόπους τοὺς μὴ ὄντας εἰς τὴν Ἐπαρχίαν αὐτῶν γράφουσιν οὕτως, ἀλλὰ γράφουσιν ὡς καὶ οἱ λοιποὶ Μητροπολῖται, ὅθεν ὁ Ἀρχιεπίσκοπος Κύπρου Ἐπιφάνιος γράφων πρὸς Ἰγνάτιον Κωνσταντινουπόλεως ἐν ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ, μέρει πρώτῳ τῆς κατὰ Φωτίου Συνόδου, λέγει, τολμῶν ὁ ἀνάξιος καὶ πανευτελὴς τοῦ πανιέρου καὶ ἰσαγγέλου Δεσπότου μου δοῦλος γράφω.

ΚΕΦΑ'ΛΑΙΟΝ ΚΑ'.

περὶ τῆς κατὰ Ἰουστινιανοῦ ἐπαναστάσεως, καὶ ἐμπρησμοῦ τῆς ξυλίνης ἁγίας Σοφίας, νίκης τε Ἰουστινιανοῦ καὶ αἱματεκχυσίας. καὶ περὶ τῆς οἰκοδομῆς τῆς ἁγίας Σοφίας, καὶ τοῦ ἀριθμοῦ τῶν δαπανῶν ἐν αὐτῇ τοῦ Ἰουστινιανοῦ, Ἱερέων τε καὶ Διακόνων καὶ πυλωρῶν καὶ εἰσοδημάτων, καὶ περὶ τῶν ἐγκαινίων αὐτῆς. καὶ περὶ τῆς τελευτῆς τοῦ Κωνσταντινουπόλεως Μηνᾶ, καὶ προβιβασμοῦ τοῦ Εὐτυχίου, καὶ ἁλώσεως τῆς Ῥώμης ὑπὸ τοῦ Στρατηγοῦ Ναρσῆ.

Ἔπαθέ τι ἀνθρώπιον καὶ ὁ τηλικοῦτος Ἰουστινιανὸς καὶ προετίμα τοὺς Πρασίνους τῶν Βενέτων, ὅθεν συνέβη στάσις ὑπὸ τοῦ δήμου τῷ πέμπτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, καὶ προεχειρίσθη καὶ Βασιλεὺς ἄλλος, καὶ εἰ καὶ ἐνίκησεν ὁ Ἰουστινιανὸς, ἐφονεύθησαν ὅμως πλείονες τῶν τριάκοντα χιλιάδων ἄνθρωποι, καὶ ἐγένετο μεγάλη πυρκαϊὰ, ὅτε ἐκάη καὶ ὁ Ναὸς τῆς ἁγίας Σοφίας, ὃν πρὸ αὐτοῦ ἔκτισεν ὁ μέγας Κωνσταντῖνος ξυλόστεγον, παρηγορῶν δὲ ὁ Βασιλεὺς τοὺς πολίτας, καὶ ἐξιλεούμενος καὶ τὸ θεῖον διὰ τὰ συμβάντα, ἐν τοῖς ἄλλοις οἷς ἐποίησεν, ἤρξατο τῷ αὐτῷ ἔτει κτίζειν τὸν Ναὸν τῆς ἁγίας Σοφίας τὸν περιβόητον. λέγει δὲ ὁ Κωδινὸς, ὅτι ἐδαπάνησεν εἰς τὴν οἰκοδομὴν αὐτοῦ χωρὶς τῶν ἐνδυμάτων καὶ τῆς ἄλλης ὕλης κεντηναρία χρυσίου τρεῖς χιλιάδας καὶ διακόσια, καὶ εἰς τὸν Ἄμβωνα καὶ τὴν Σωλαίαν τριακοσία ἑξήκοντα πέντε. κατεσκεύασε δὲ ἐπάνω τοῦ κιβωρίου τῆς ἁγίας τραπέζης καὶ σφαῖραν χρυσῆν λιτρῶν ἑκατὸν δέκα καὶ ὀκτὼ, καὶ ἐπάνω αὐτῆς κρίνα χρυσᾶ λίτρας ἕξ, καὶ ἐπάνω αὐτῶν Σταυρὸν χρυσοῦν κατὰ τὴν ἡλικίαν τοῦ Χριστοῦ, ἧς τὸ μέτρον μετεπέμψατο ἀπὸ Ἱεροσολύμων, μετὰ καὶ πολυτίμων δυσευρέτων πετραδίων, τὸ βάρος αὐτοῦ λίτρας χρυσοῦ ἑβδομήκοντα. κατεσκεύασε δὲ καὶ τὴν θάλασσαν τῆς

ἁγίας

ἁγίας τραπέζης μετὰ ἀξιοτιμήτων λίθων, καὶ κατεχρύσωσεν. ἐπειδὴ δὲ ἦν ὑψηλὴ ἡ ἁγία τράπεζα, ἐποίησε κλίμακα χρυσῆν, δι' ἧς ἀνέβαινον οἱ Ἱερεῖς καὶ ἠσπάζοντο αὐτήν. ἔταξε δὲ Ἱερεῖς ἑξήκοντα, Διακόνους ἑκατὸν ἄνδρας καὶ τεσσαράκοντα θηλείας, Ὑποδιακόνους ἐννενήκοντα, Ἀναγνώστας ἑκατὸν δέκα, Ψάλτας εἰκοσιπέντε, ὅλοι τετρακόσιοι εἰκοσιπέντε χωρὶς τῶν Πυλωρῶν, ἑκατὸν ὄντων, λέγει δὲ ὁ Κωδινὸς, ὅτι ἦσαν οἱ πάντες χίλιοι. ἔδωκε δὲ χωρία τριακόσια ἑξήκοντα πέντε, καὶ ἐργαστήρια πολλὰ, ἐξ ὧν μόνα τὰ χίλια ἦσαν ἀφορολόγητα. ἀπὸ δὲ τοῦ ἐμπρησμοῦ ἕως τῆς οἰκοδομῆς παρῆλθον ἔτη πέντε, Μῆνες ἕνδεκα, ἡμέραι ἕνδεκα. εἰς δὲ τὴν λιτὴν τῶν ἐγκαινίων τοῦ Ναοῦ ἐκάθητο ὁ Μηνᾶς εἰς τὴν βασιλικὴν ἅμαξαν, ὁ δὲ Βασιλεὺς συνελιτάνευε τῷ λαῷ. ἀλλὰ καὶ τῷ εἰκοστῷ τρίτῳ ἔτει τῆς βασιλείας αὐτοῦ καθ' ὃ ἐγένοντο τὰ ἐγκαίνια τοῦ Ναοῦ τῶν ἁγίων Ἀποστόλων, καὶ ἡ κατάθεσις τῶν ἁγίων λειψάνων Ἀνδρέου, Λουκᾶ καὶ Τιμοθέου, καὶ ἦν πάλιν εἰς τὴν λιτανείαν ὁ Μηνᾶς, εἰς τὴν βασιλικὴν ἅμαξαν τὴν χρυσῆν καὶ διάλιθον ἐκάθητο, βαστάζων τρεῖς θήκας ἐπὶ τῶν γονάτων αὐτοῦ, καὶ οὕτως ἐγένοντο τὰ ἐγκαίνια. ἔτι εἰς τὸ εἰκοστὸν πέμπτον ἔτος τῆς Βασιλείας αὐτοῦ γεγόνασι τὰ ἐγκαίνια τοῦ Ναοῦ τῆς ἁγίας Εἰρήνης ἐν Συκαῖς, ἤτοι εἰς τὸν Γαλαταῦ, καὶ ἐξῆλθον μετὰ τῶν ἁγίων λειψάνων ἀπὸ τοῦ Ναοῦ τῆς ἁγίας Σοφίας καὶ οἱ δύο Πατριάρχαι, Μηνᾶς Κωνσταντινουπόλεως, καὶ Ἀπολινάριος Ἀλεξανδρείας, καθήμενοι εἰς τὴν βασιλικὴν ἅμαξαν, καὶ βαστάζοντες τὰ ἅγια λείψανα ἐπὶ τῶν γονάτων αὐτῶν, ἦλθον εἰς τὴν θάλασσαν, καὶ διαπεράσαντας εἰς τὸν Γαλαταῦ προϋπήντησεν αὐτοὺς ὁ Βασιλεύς. μετ' οὐ πολὺ δὲ ἀπέθανε καὶ ὁ Μηνᾶς, καὶ τοῦ λειψάνου αὐτοῦ κειμένου, ἦλθον ἀγγελίαι, ὅτι παρέλαβεν ὁ Ναρσῆς τὴν Ῥώμην, καὶ ἀπέκτεινε τὸν Γότθον Τώτιλαν. τῷ δὲ τριακοστῷ ἕκτῳ ἔτει γεγόνασι τὰ δεύτερα ἐγκαίνια τοῦ Ναοῦ τῆς ἁγίας Σοφίας, καὶ ἡ μὲν παννυχὶς ἐτελέσθη εἰς τὸν Ναὸν τοῦ ἁγίου Πλάτωνος, ἐξῆλθε δὲ ἐκεῖθεν ὁ Εὐτύχιος, καὶ ἦν παρὼν καὶ ὁ Βασιλεὺς, ὁ δὲ Πατριάρχης ἐκάθητο εἰς τὴν βασιλικὴν ἅμαξαν, φορῶν τὴν ἀποστολικὴν στολὴν, καὶ κρατῶν τὸ ἅγιον Εὐαγγέλιον, καὶ οἱ λαοὶ ἔψαλον τὸ, Ἄρατε πύλας. ἔχεις οὖν φιλαναγνῶστα εἰς τὸ παρὸν βιβλίον καὶ τὸν τρόπον τῶν ἐγκαινίων. σημείωσαι ὅτι εἰς τὰ ἐγκαίνια τοῦ Ναοῦ τῆς ἁγίας Εἰρήνης λείψανα ἦσαν τὰ τῶν ἁγίαν τεσσαράκοντα μαρτύρων τῶν ἐν μελιτηνῇ, ὡς φαίνεται ἀπὸ τοῦ Προκοπίου ἐκ τοῦ περὶ κτισμάτων Ἰουστινιανοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς τελευτῆς Σιλεντιαρίου, καὶ Δόμνου Ἀντιοχείας, καὶ προβιβασμοῦ Ἀναστασίου Σιναΐτου.

Ἐτελεύτησε καὶ ὁ Σιλεντιάριος Ἰωάννης εἰς τὴν Παλαιστίνην, ὅστις Ἐπίσκοπος ὢν Κολωνίας, ἐγένετο ἀναχωρητὴς, ζήσας ἑκατὸν καὶ τέσσαρας χρόνους, καὶ ὅλος ἠγωνίσθη ὑπὲρ τῆς εὐσεβείας, καὶ μάλιστα κατὰ τῶν Ὠριγενιαστῶν πολλὰ καὶ καλὰ ἐμονομάχησε, λέγει ὁ Κύριλλος εἰς τὸν βίον αὐτοῦ. ἀπέθανε καὶ ὁ Δόμνος τῆς Ἀντιοχείας ὁ Πατριάρχης, καὶ ἀντ' αὐτοῦ ἐχειροτονήθη ὁ Σιναΐτης Ἀναστάσιος.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς Αἱρέσεως τῶν Μονοφυσιτῶν, ἤτοι Ἀφθαρτοδοκητῶν, ἣ παρεσύρη καὶ ὁ Ἰουστινιανὸς, ὁ καὶ μηχανησάμενος ἑλκύσαι εἰς αὐτὴν τοὺς Ἀρχιερεῖς, καὶ περὶ τῶν ἀγώνων τοῦ Ἀντιοχείας Ἀναστασίου λόγοις καὶ συγγράμμασι κατὰ τῆς Αἱρέσεως ταύτης, καὶ ἐξορίας τοῦ Κωνσταντινουπόλεως Εὐτυχίου, καὶ προβιβασμοῦ Ἰωάννου τοῦ ἀπὸ σχολαστικῶν, καὶ περὶ τῆς τελευτῆς τοῦ Ἰουστινιανοῦ, καὶ βασιλείας Ἰουστίνου, καὶ περὶ τοῦ διαποικιλθέντος καλύμματος τοῦ τάφου τοῦ Ἰουστινιανοῦ τοῖς αὐτοῦ ἀνδραγαθήμασιν ὑπὸ τῆς τοῦ Ἰουστίνου συζύγου Σοφίας.

Πλὴν οὐαὶ τοῖς Αἱρετικοῖς τοῖς μὴ μαθοῦσι πίνειν ἀπὸ τῶν ἀγγείων τοῦ ἁγίου Πνεύματος, ἀλλ' ἀπὸ τῶν θολερῶν λάκκων τῶν Αἰγυπτίων. Ὑὲ πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων καὶ ἀπὸ σῶν φρεάτων πηγῆς, συμβουλεύει ὁ πάνσοφος Σολομὼν εἰς τὰς Παροιμίας αὐτοῦ. οὐκ ἔπιον οἱ Μονοφυσῖται ἀπὸ τῶν ἁγίων πατέρων καὶ Οἰκουμενικῶν Διδασκάλων τὰ εἰλικρινῆ νάματα, ἀλλὰ θέλοντες ἀπὸ τῶν κιστερνῶν καὶ μερικῶν κακοδιδασκαλιῶν ἐκροφεῖν τῆς Μερρᾶς τὰ πικρότατα ῥεῖθρα, ἐφαρμακεύθησαν ἀνίατα καὶ αἰώνια τόσον, ὥστε καὶ ἀφῆκαν ἡμᾶς μονῳδεῖν τὸν θρῆνον τοῦ Ἱερεμίου περὶ αὐτῶν ἀναστενάζοντας, Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἡ γῆ ἔφριξεν ἐπιπλεῖστον σφόδρα, ὅτι δύο πονηρὰ ἐποίησεν ὁ λαός μου, ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐδυνήσονται ὕδωρ συνέχειν. τούτων λοιπὸν τῶν Μονοφυσιτῶν ἦν δόγμα, ὡς εἴρηται ἀνωτέρω, λέγον, ὅτι ἡ σὰρξ τοῦ Χριστοῦ οὐκ ἦν τοῖς φυσικοῖς πάθεσιν ὑποκειμένη, καὶ ὅτι ὁ Χριστὸς τόσον πρὸ τοῦ πάθους ἔφαγεν, ὅσον καὶ μετὰ τὴν τριήμερον ἀνάστασιν, καθότι οὐκ ἔπαθε τροπὴν τινὰ, ἢ ἀλλοίωσιν ἐξ αὐτῆς τῆς θείας σαρκώσεως. λέγει δὲ ὁ Εὐάγριος εἰς τὸ τριακοστὸν ἔνατον κεφάλαιον τοῦ τετάρτου βιβλίου, ὅτι καὶ ὁ μέγας Ἰουστινιανὸς παρεσύρη εἰς τὴν Αἵρεσιν ταύτην, καὶ ἔγραψε καὶ Ἤδικτον, καὶ ἐβίαζε τοὺς ἁπανταχοῦ Ἐπισκόπους συναινέσαι τῇ Αἱρέσει. ἀλλ' ἐπειδὴ ὁ Ἀντιο-

514

Ἀντιοχείας οὗτος Ἀναστάσιος ἦν ἐνάρετος καὶ σοφώτατος ἄνθρωπος, καὶ ἔγραφεν εἰς τὸ μοναδικὸν τῆς δευτέρας Συρίας, καὶ τυχὸν καὶ εἰς τοὺς ἁπανταχοῦ Ἐπισκόπους καταφρονεῖν τοῦ αἱρετικοῦ δόγματος τούτου, καὶ μένειν ἐρριζομένους εἰς τὴν ὀρθοδοξίαν, ὅλοι εἰπόντες ὅτι εἰς Ἀναστάσιον τὸν Ἀντιοχείας ἀποκαραδοκοῦσιν, εὐθὺς καὶ κατὰ τὴν πρώτην πεῖραν τὴν γνώμην τοῦ Βασιλέως ἀπεκρούσαντο, ὁ δὲ ἵνα συστήσῃ τὴν γνώμην αὐτοῦ, ἐχρήσατο παντοίαις μηχαναῖς ἵνα ἑλκύσῃ τὸν Ἀρχιερέα εἰς ἑαυτὸν, διανοούμενος ὅτι ἐὰν τοῦτον τὸν ἄσειστον καὶ ἀκλόνητον πύργον· διασείσῃ, ῥᾳδίως παρατρέψει καὶ τοὺς λοιποὺς Ἐπισκόπους, ἀλλὰ παντάπασιν ἀπέτυχε τοῦ σκοποῦ, καὶ κατακράτος ἀπεκρούσθη, μάλιστα ἔγραψεν ὁ ἅγιος πρὸς τὸν Βασιλέα, ὅτι τὸ σῶμα τοῦ Κυρίου ἦν παθητὸν, καὶ φθορᾷ ὑποκείμενον, εἰ καὶ διαφθορὰν οὐκ οἶδε τὸ πανάχραντον σῶμα τοῦ λυτρωτοῦ ἡμῶν, καὶ μετὰ τὴν ἀνάστασιν ἐγένετο αὐτὸ καθ' ἑαυτὸ ἀδιάφθαρτον κατὰ τὸν Εὐστάθιον, τὸν γράψαντα τὸν βίον τοῦ Κωνσταντινουπόλεως Εὐτυχίου, εἰ γὰρ ἦν ἀπαθὲς καὶ διαπαντὸς ἄφθαρτον, πῶς περιετμήθη; πῶς ἐσταυρώθη; πῶς ἐκεντήθη; ἀλλὰ καὶ πρὸς ἀγῶνα ὑπαλείφων τοὺς τῆς Ἐκκλησίας, καὶ ἐξορίαν ὑποπτεύων, συντακτήριον συνέταξεν ὡραιότατον, ὥς φησιν Εὐάγριος βιβλίῳ ἕκτῳ, κεφαλαίῳ εἰκοστῷ τετάρτῳ. ὁ Βασιλεὺς ὅμως πρὸ τοῦ κακοποιῆσαι τὸν Ἀναστάσιον ἐτελεύτησε, τὸν μέντοι Κωνσταντινουπόλεως Εὐτύχιον ἐξώρισε, καὶ ἀντεισήγαγε τὸν ἀπὸ σχολαστικῶν Ἰωάννην, Ἀποκρισιάριον ὄντα τοῦ θρόνου Ἀντιοχείας ἐν Κωνσταντινουπόλει κατὰ τὸν Ζωναρᾶν. ἐβασίλευσε δὲ ὁ Ἰουστῖνος, οὗτινος ἡ γυνὴ Σοφία τὸν τάφον τοῦ Ἰουστινιανοῦ ἐσκέπασε μετὰ ἑνὸς χρυσοῦ περικαλύμματος, ἐν ᾧ ἦν ὑπ' αὐτῆς πεποικιλμένα πάντα τὰ ἀνδραγαθήματα καὶ γενναῖα προτερήματα αὐτοῦ, ὡς ἔμελψε τοῦτο καὶ ὁ Κόριππος. σὺ δὲ σημείωσαι ὅτι πάντες ἀπέβλεπον οἱ Ἐπίσκοποι εἰς τὸν Ἀντιοχείας Ἀναστάσιον, καὶ διανοήθητι κατὰ παπιστῶν, ὅτι καὶ εἰς Λέοντα τὸν Ῥώμης ἐπὶ Μαρκιανοῦ, καὶ εἰς τὸν ἅγιον Κύριλλον ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, καὶ εἰς τοὺς Πάπας πρὸ τοῦ Βιγιλίου ἐπὶ Ἰουστινιανοῦ, καὶ ἄλλοτε εἰς ἄλλους Πατριάρχας, καθὼς ἐπὶ Κωνσταντίου εἰς τὸν μέγαν Ἀθανάσιον, καὶ ἐπὶ τοῦ κώνστα εἰς τὸν ἱερὸν Μάξιμον, διὰ ταύτην τὴν αἰτίαν ἀπέβλεπον καὶ οἱ Βασιλεῖς καὶ οἱ ἁπανταχοῦ Ἐπίσκοποι, ἤτοι διὰ τὴν προσωπικὴν αὐτῶν ἀξίαν, καὶ τὸν κατὰ Χριστὸν ζῆλον, καὶ οὐ διὰ μοναρχικὸν ἀξίωμα, ἢ ἐξουσίαν γενικὴν εἰς τὴν Ἐκκλησίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι οἱ λέγοντες διὰ τὸ μὴ βούλεσθαι τὸν Ἰουστινιανὸν ταπεινόν τι ἀκούειν περὶ τοῦ Χριστοῦ, διὰ τὴν πρὸς αὐτὸν ἄκραν ἀγάπην, γενέσθαι Ἀφθαρτοδοκήτην, γελοῖοι. καὶ περὶ μαρτυριῶν ἁγίων Συνόδων καὶ Παπῶν, ὅτι ἐξ ἀγνοίας ὁ Ἰουστινιανὸς τοῦ ὀρθοῦ δόγματος παρετράπη. καὶ περὶ ἧς ὁμολογεῖ ἡ Ἐκκλησία σαρκὸς τοῦ Κυρίου. καὶ ὅτι οἱ Μονοφυσῖται ἦσαν καὶ Μονοθελῆται, καὶ οἱ Ἀφθαρτοδοκῆται ἦσαν καὶ Ἀγνωῖται, καὶ τὶ δηλοῖ Ἀγνωῖται.

Γελοῖοι δὲ δοκοῦσι τινὲς, οἵτινες προβαλλόμενοι τὸν Νικηφόρον ὡς ἀρχηγὸν αὐτῶν, λέγουσιν, ὅτι ἐκ τῆς ἄκρας ἀγάπης ἣν εἶχε πρὸς τὸν Χριστὸν ὁ Βασιλεὺς Ἰουστινιανὸς, οὐκ ἤθελεν ἀκούειν περὶ τοῦ Χριστοῦ ταπεινόν τι καὶ ἀνθρώπινον πάθος. κατὰ γὰρ τὸν Ἀπόστολον εἰς τὴν πρώτην πρὸς Κορινθίους, ἡ ἀγάπη οὐ περπερεύεται, ἤγουν οὐδὲν μάτην ποιεῖ, ἀπὸ τῶν Περπέρων τῶν ἀδελφῶν τῶν Κεκροπιδῶν τῆς λέξεως ταύτης μεταφερομένος, οἵτινες ματαίως καὶ ἀκαίρως ἐκοπίαζον, ἀγαπῶντες ἀνάξια πρόσωπα. σημείωσαι ὅμως, ὅτι εἰ ἐξ ἀγνοίας εἶπε τοιοῦτόν τι ὁ Ἰουστινιανὸς, οὐκ ἔστι μόνος, ἐπειδὴ, ὡς εἴρηται, καὶ ἅγιοι ἔσφαλον εἰς τινὰ κατὰ μέρος. πολλὴν σοφίαν ὅμως ἐμαρτύρησε τῷ Ἰουστινιανῷ Ῥιχάρδος ὁ Κρανκανθόρπιος, ὅστις εἰς τὰ κεφάλαια τῆς κοιμήσεως τοῦ Βιγιλίου λέγει τὸν Εὐάγριον ψευσθῆναι, εἰπόντα, ὅτι ἔπεσεν ὁ Ἰουστινιανὸς εἰς τὴν τοιαύτην Αἵρεσιν τῶν Ἀφθαρτοδοκητῶν, ἐπειδὴ ἐν πολλοῖς καὶ διαφόροις τρόποις ἐγνωρίσθη, δηλονότι ἡ ἐν πᾶσιν αὐτοῦ ὀρθοδοξία. τοῦτο βούλεται (λέγει) καὶ ὁ Εὐστάθιος εἰς τὸν βίον τοῦ Πατριάρχου Εὐτυχίου, ἔνθα σημειοῖ ὅτι ὁ Ἰουστινιανὸς ζητητικὸς ὢν περὶ τῶν θείων δογμάτων, νυκτὸς καὶ ἡμέρας διὰ συλλογιστικῶν ἀποδείξεων καὶ μαρτυριῶν γραφικῶν ἐτροποῦτο τοὺς Αἱρετικούς. εἰς τοῦτο συντρέχει καὶ τὰ κεφάλαια Ἀγαπητοῦ Διακόνου, ἀλλὰ δὴ καὶ ἡ ἕκτη Σύνοδος λέγει περὶ τῆς πέμπτης Συνόδου, ἡ ἁγία Σύνοδος ἡ ὑπὸ τοῦ τῆς σεβασμίας μνήμης Ἰουστινιανοῦ ἐν Κωνσταντινουπόλει συναθροισθεῖσα, πράξει τετάρτῃ. ἡ αὐτὴ λέγει, χρῆσις τοῦ ἐν ἁγίοις Ἰουστινιανοῦ πρὸς Ζωΐλον Πατριάρχην Ἀλεξανδρείας, πράξει δεκάτῃ. καὶ ὁ Πάπας Ἀγάθων ἐν τῇ πρὸς τὸν Πωγωνᾶτον ἀναφορᾷ μέγαν ποιεῖ ἔπαινον τοῦ Ἰουστινιανοῦ ἐπ' εὐσεβείᾳ. καὶ οἱ Πατριάρχαι τῆς Ἀνατολῆς ἐν τῇ πρὸς Ταράσιον Κωνσταντινουπόλεως ἐπιστολῇ λέγουσιν, ὅτι ὁ Ἰουστινιανὸς σοφὸς Ἄναξ καὶ ἐν Βασιλεῦσιν ἅγιος καὶ μακαριστότατος. περὶ μέντοι τοῦ προβλήματος ἡ καθολικὴ Ἐκκλησία ὁμολογεῖ τὸν Θεὸν Λόγον εἰληφέναι ἀληθινὴν σάρκα, παθητὴν, ἀναμάρτητον, σὺν πᾶσιν αὐτῆς τοῖς παθήμασι καὶ τοῖς ἰδιώμασι τοῖς χαρακτηριστικοῖς καὶ ἀφοριστικοῖς γνωρίσμασι τῆς ἀνθρωπίνης ἡμῶν φύσεως, ἅτινα διὰ τὸ ἔχειν, ἦν καὶ φύσει τέλειος ἄνθρωπος, ἐν δυσὶ φύσεσι καὶ θελήσεσι γνωριζόμενος Θεὸς καὶ ἄνθρωπος, καὶ γὰρ κατὰ τὸν μακάριον Κύριλλον σεσάρκωται ὁ Λόγος, καὶ τῆς οἰκείας ἀϋλότητος οὐκ ἐξέστη, καὶ ὅλος σεσάρκωται, καὶ ὅλος ἐστὶν ἀπερίγραπτος, σμικρύνεται

σωμα-

σωματικῶς, καὶ συστέλλεται Θεϊκῶς, ὅμως ἐστὶν ἀπερίγραπτος, ὅθεν ὅσοι ἦσαν Μονοφυσῖται ἦσαν καὶ Μονοθελῆται, καὶ ὅσοι ἦσαν Ἀφθαρτοδοκῆται, ἦσαν προσέτι καὶ Ἀγνωῖται, ἐπειδὴ ἔλεγον καὶ τὸν Χριστὸν αὐτὸν ἀγνοεῖν τὸν καιρὸν τῆς μεγάλης καὶ κοινῆς κρίσεως, ὡς εἴρηται ἀνωτέρω.

ΠΑΡΑΓΡΑΦΟΝ Ε΄.

Περὶ τῶν πεπραγμένων ὑπὸ τῶν Θεοδοσιανῶν καὶ Γαϊανιτῶν Αἱρετικῶν ἐν Ἀλεξανδρείᾳ κατὰ τὸ τελευταῖον τοῦ Ἰουστινιανοῦ ἔτος, καὶ περὶ τοῦ σταλέντος ἐν Ἀλεξανδρείᾳ Φωτεινοῦ μετ' ἐξουσίας ὑπὸ τοῦ Βασιλέως Ἰουστίνου τοῦ εἰρηνεῦσαι πάσας τὰς Αἰγύπτου καὶ Ἀλεξανδρείας Ἐκκλησίας, καὶ τοῦ προγράμματος τοῦ Βασιλέως πρὸς τοὺς ἁπανταχοῦ Ἐπισκόπους περὶ τῆς ὀρθῆς πίστεως, καὶ τοῦ προστάγματος αὐτοῦ, ἵνα εἰς πᾶσαν τὴν καθολικὴν Ἐκκλησίαν ἀναγινώσκηται τὸ Σύμβολον τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου, ἐξ ὧν δείκνυται, ὅτι καὶ κοσμικοὶ καὶ Ἐπίσκοποι δογματίζουσι περὶ πίστεως, καὶ τὸ Σύμβολον τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου ἔκθεσις, καὶ οὐ τοῦ Ῥώμης, ὡς οὐδὲ ἡ παράδοσις τῶν ὀρθῶν δογμάτων.

Τῷ τελευταίῳ ἔτει Ἰουστινιανοῦ Θεοδοσιανοὶ καὶ Γαϊανῖται συντακτήρια ἔκτιζον εἰς Ἀλεξάνδρειαν, εἶτα αὐθεντήσαντες, οἱ μὲν Γαϊανῖται Ἐλπίδιον Ἀρχιδιάκονον Ἐπίσκοπον ἐχειροτόνησαν, ὃς κελεύσει τοῦ Ἰουστινιανοῦ δέσμιος ἀγόμενος εἰς Βυζάντιον, ἀπέθανεν εἰς Σίγριν. οἱ Θεοδοσιανοὶ δὲ προεχειρίσαντο Δωρόθεον, ὃν καὶ οἱ Γαϊανῖται ἐδέξαντο. Ἰωάννου δὲ τινὸς, ὃν οἱ Γαϊανῖται ἐνόμισαν ἐμπαῖξαι αὐτοῖς, τὸν πώγωνα μετὰ τοῦ δέρματος καὶ τῆς σαρκὸς ἐξέδηραν. ὅθεν ὁ Ἰουστῖνος βασιλεύσας, ἀπέστειλε τὸν Ἀββᾶν Φωτεινὸν τὸν πρόγονον Βελισαρίου Πατρικίου, δοὺς αὐτῷ ἐξουσίαν κατὰ παντὸς προσώπου καὶ πράγματος, ἵνα εἰρηνεύσῃ πάσας τὰς Ἐκκλησίας Αἰγύπτου καὶ Ἀλεξανδρείας, οὐμὴν ἀλλὰ καὶ πρόγραμμα ἔγραψε τοῖς ἁπανταχοῦ Ἐπισκόποις περὶ τῆς ὀρθοδόξου πίστεως, ὡς λέγει ὁ Εὐάγριος βιβλίῳ πέμπτῳ, κεφαλαίῳ τετάρτῳ. ἐν ᾧ σημείωσαι πρῶτον, ὅτι καὶ Βασιλεὺς ποιεῖ ἔκθεσιν πίστεως, καθὼς καὶ ὁ Ἰουστινιανὸς καὶ Μαρκιανὸς καὶ Θεοδόσιος καὶ ὁμέγας Κωνσταντῖνος ἔγραψαν πολλὰ τοιαῦτα, ἐπιγράφοντες αὐτὰ Ἐπισκόποις καὶ λαοῖς, καὶ εἰς τὴν καθολικὴν Ἐκκλησίαν, καὶ γνῶθι, ὅτι οὐμόνον ὁ Ῥώμης καὶ ἄλλοι Ἐπίσκοποι, ἀλλὰ καὶ κοσμικοὶ, ἑπόμενοι κοινῶς τοῖς πατράσι, διορίζουσι περὶ πίστεως. δεύτερον, ὅτι λέγει, κρίνομεν ἔξω εἶναι τῆς Ἐκκλησίας τοὺς φρονοῦντας παρὰ τὸ ἅγιον Σύμβολον, δῆλον δὲ, ὅτι τὸ Σύμβολον οὐκ ἦν τοῦ Ῥώμης ἔκθεσις, ἀλλὰ τῆς πρώτης Συνόδου καὶ τῆς δευτέρας, ἐν ᾗ οὐδὲ παρῆν ὁ Ῥώμης, οὔτε Λεγᾶτος αὐτοῦ. τρίτον λέγει, τὰ ὀρθὰ δόγματα εἰσὶ παραδεδομένα παρὰ τῶν ἁγίων πατέρων, καὶ ποῦ ὅτι ὁ Ῥώμης μόνος διορίζει, ἐπειδὴ οἱ πατέρες κοινῶς παραδιδόασι; τέταρτον, λέγει τοῖς λαοῖς, ὅτι παρακαλοῦμεν ὑμᾶς, εἰ καὶ ἐν ὑπεροχῇ βασιλείας ἐσμὲν, διὰ τὴν ὁμοφροσύνην καὶ χριστιανικὴν ἕνωσιν. καὶ γνῶθι, ὅτι εἰ ὁ Θρᾷξ Ἰουστῖνος ἀπέστειλε πρέσβεις εἰς τὴν Ῥώμην διὰ τὴν ἕνωσιν τῶν Ἐκκλησιῶν, οὐκ ἔδωκε τῷ Ῥώμης προνόμιον, καθότι ὁ Βασιλεὺς νῦν πέμπει καὶ παρακαλεῖ διὰ τὴν ὀρθοδοξίαν καὶ αὐτοὺς τοὺς καπήλους, οὐδεμία δὲ μνήμη ἰδικὴ ἐν αὐτῷ τοῦ Ῥώμης, ἀλλὰ πάλιν καὶ πολλάκις κοινῶς τῶν ἁγίων πατέρων. σημείωσαι, ὅτι ὁ Ἰωάννης ὁ Βικλαρίας λέγει, τὸ Σύμβολον τῶν ἐν Κωνσταντινουπόλει ἑκατὸν πεντήκοντα πατέρων, ἐν ἔτει πεντακοσιοστῷ ἑξηκοστῷ ἕκτῳ, διὰ προστάγματος τούτου τοῦ Βασιλέως Ἰουστίνου, τῷ πρώτῳ ἔτει τῆς αὐταρχίας αὐτοῦ ἐπέμφθη εἰς πᾶσαν τὴν καθολικὴν Ἐκκλησίαν ψάλλεσθαι ὑπὸ τοῦ λαοῦ πρὸ τῆς κυριακῆς εὐχῆς. ἴδε κατωτέρω βιβλίου ὀγδόου, κεφαλαίου δευτέρου Παράγραφον τρίτον.

Πέρας τύπῳ εἴληφε πέμπτον βιβλίον.

ΔΟΣΙ.

ΔΟΣΙΘΕΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ.

ΒΙΒΛΙΟΝ ϛ'. ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς ἀποκρίσεως τοῦ δαιμονίου φάσματος ἐπὶ Λέοντος τοῦ μεγάλου πρὸς τὸν Κωνσταντινουπόλεως Γεννάδιον, ἐπιτιμήσαντα αὐτῷ ὀφθέντι ἐν τῷ θυσιαστηρίῳ, καὶ τὰς ἐπὶ Ζήνωνος, καὶ Βασιλίσκου, καὶ Ἀναστασίου κακώσεις αὐτῷ ἐξειπόντι. καὶ περὶ τῆς αὐταρχίας Τιβερίου, καὶ τῆς κατ' ὄναρ ἀγγελίας πρὸς αὐτὸν τοῦ Θεοῦ δι' Ἀγγέλου.

Ἱστορεῖ ὁ Ἀναγνώστης Θεόδωρος εἰς τὸ πρῶτον βιβλίον αὐτοῦ, ὅτι ὁ ἐν ἁγίοις Γεννάδιος ὁ Κωνσταντινουπόλεως Πατριάρχης ἐπὶ λέοντος τοῦ μεγάλου νυκτὸς κατελθὼν εἰς τὸ θυσιαστήριον τοῦ προσεύξασθαι, εἶδε φάντασμά τι δαιμόνιον, ὅπερ ἐπιτιμηθὲν παρ' αὐτοῦ, εἶπεν αὐτῷ, ὅτι ζῶντος μὲν αὐτοῦ, ἡσυχάζει, μετὰ μέντοι τὸν θάνατον αὐτοῦ διενοχλήσει τὴν Ἐκκλησίαν, τοῦτον τὸν λόγον φοβηθεὶς ὁ Γεννάδιος, καὶ πολλὰ τὸν Θεὸν ἱκετεύων ὑπὲρ τῆς Ἐκκλησίας, ἐτελεύτησεν. ἠκολούθησαν δὲ ὕστερον εἰς τὴν Ἐκκλησίαν, ὅσα ἐμνήσθη ἡ παροῦσα ἱστορία κατὰ μέρος εἰς τὸ τέταρτον βιβλίον ἐπὶ Ζήνωνος, Βασιλίσκου καὶ Ἀναστασίου. ἐπὶ δὲ τοῦ παρόντος καιροῦ αὐταρχήσαντι τῷ Τιβερίῳ, ὤφθη αὐτῷ Ἄγγελος κατ' ὄναρ, καὶ εἶπεν αὐτῷ τάδε λέγει τὸ Τρισάγιον, οἱ τύραννοι τῆς βασιλείας ἐπὶ σῶν οὐ φοιτήσουσι χρόνων. ὅθεν μετὰ τὸν Τιβέριον ἐγένετο ὁ Μαυρίκιος μετὰ τὴν τυραννίαν τοῦ Φωκᾶ. φαίνεται δὲ ὅτι ἡ φύσις θέλουσα μεταβαλεῖν τὰ Ῥωμαίων πράγματα εἰς τὸ ἄκρως ἐναντίον, ἔδειξεν ὅλας αὐτῆς τὰς ἀρετὰς εἰς τοῦτον τὸν Τιβέριον Βασιλέα, ἐπειδὴ τοιοῦτος οὔπω ἐφάνη Αὐτοκράτωρ, ἦν γὰρ Βασιλεὺς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής. ἀλλὰ ταῦτα μὲν ἅλις.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς στέψεως τοῦ Βασιλέως Τιβερίου ὑπὸ τοῦ Εὐτυχίου τοῦ ἀπὸ τῆς ἐξορίας εἰς τὸν θρόνον ἐπανελθόντος, καὶ τῶν εὑρεθέντων κεκρυμμένων ἐν γῇ θησαυρῶν τοῦ Ναρσῆ ἐπὶ τούτου τοῦ Βασιλέως.

Ἐβασίλευσε λοιπὸν ὁ Τιβέριος, στεφθεὶς ὑπὸ τοῦ Πατριάρχου Εὐτυχίου, τοῦ ὑποστρέψαντος μετὰ μεγάλης παῤῥησίας εἰς τὴν Κωνσταντινούπολιν ἐπὶ τὸ πατριαρχεῦσαι τὸ δεύτερον. ἦν δὲ ὁ Τιβέριος λίαν ἐλεήμων, ὥστε τὴν Βασίλισσαν Ἀναστασίαν ἐλέγχειν αὐτὸν διασκορπίζοντα τοὺς θησαυροὺς οὓς συνήθροισεν ὁ Ἰουστῖνος δεῦρο κἀκεῖσε εἰς τὰς χεῖρας τῶν πενήτων, πρὸς ἣν ἔλεγεν ὁ Τιβέριος τὸ κυριακὸν λόγιον, θησαυρίσατε ὑμῖν θησαυροὺς ἐν Οὐρανῷ, ἵνα ποιήσωμεν ἑαυτοῖς καὶ χρεώστην τὸν ὕψιστον, ὅθεν ὁ Θεὸς ἀπεκάλυψεν αὐτῷ τοὺς ἀπείρους θησαυροὺς τοῦ Ναρσῆ, ὄντας παρακεχωσμένους ἔνδον εἰς μίαν δεξαμενὴν, ἤτοι στέρναν, ὅπουγε καὶ πολλαὶ ἡμέραι ἐδαπανήθησαν εἰς τὴν ἐκεῖθεν ἐκκένωσιν τοῦ τοσούτου χρυσίου καὶ ἀργυρίου, λέγει ὁ Τουρονένσης Γρηγόριος καὶ Παῦλος ὁ Διάκονος, εἰς αὐταμοιβὴν τῆς ἐλεημοσύνης ἣν ἐποίησε πρὸς τοὺς πτωχοὺς ὁ Τιβέριος.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς κοιμήσεως Εὐτυχίου Κωνσταντινουπόλεως, καὶ πατριαρχείας Ἰωάννου τοῦ Νηστευτοῦ, καὶ κοιμήσεως Τιβερίου Βασιλέως, καὶ Βασιλείας Μαυρικίου.

Ἐκοιμήθη καὶ ὁ Εὐτύχιος ὁ Πατριάρχης, ὃν δικαίως ἡ Ἀνατολικὴ Ἐκκλησία ὡς ἅγιον ἑορτάζει, ὅτι ὀρθόδοξος ἀπέθανε, καθὼς τοῦτο γράφει καὶ ὁ Εὐστάθιος εἰς τὸν βίον αὐτοῦ, καὶ ἀντ' αὐτοῦ ἐγένετο ὁ Νηστευτὴς Ἰωάννης, καὶ δὴ καὶ ὁ Τιβέριος ἀνεπαύθη, καὶ ἀντ' ἐκείνου ἐβασίλευσεν ὁ Μαυρίκιος, ὃς ἦν ἡ ἀρχὴ τῶν ὠδίνων. διηγεῖται ὁ Κάλλιστος Νικηφόρος τὰ λόγια, ἅπερ εἶπεν ὁ Βασιλεὺς Τιβέριος πρὸς τὸν Μαυρίκιον ἀποθνήσκων, παραδοὺς αὐτῷ τὴν πρὸς πάντας εὔνοιαν, τὴν ἀρετὴν καὶ τὴν φιλομάθειαν, καὶ διηγεῖται, ὅτι αὐτὸς ὁ ἴδιος ὁ Τιβέριος ἔστεψε τὸν Μαυρίκιον τῷ βασιλικῷ διαδήματι, καὶ ἐνέδυσεν αὐτὸν τὴν χλαμίδα, καὶ ἤυξατο ὑπὲρ αὐτοῦ ἐξ ὅλης ψυχῆς αὐτοῦ καὶ διανοίας.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ Ἰωάννου, Ἀμὼς, Ἰσαακίου, Ζαχαρίου, Μοδέστου, καὶ Σωφρονίου τῶν Ἱεροσολύμων Πατριαρχῶν, καὶ τῶν ἐτῶν τῆς πατριαρχείας αὐτῶν.

Ἀλλὰ μὴ μακρυνώμεν ἀπὸ τῆς διαδοχῆς τῶν Πατριαρχῶν ἡμῶν. γράφει γοῦν ὁ Ζωναρᾶς εἰς τὴν ἐπιτομὴν αὐτοῦ, ὅτι μετὰ τὸν Εὐστόχιον ἐπατριάρχευσεν ὁ Μακάριος τὸ δεύτερον, ἔτη τέσσαρα βιώσας, καὶ μετ' αὐτὸν ὁ Ἡγούμενος τῶν Ἀκοιμήτων ὁ Ἰσαάκιος, ὁ ζήσας χρόνους ὀκτὼ, ἢ εἰκοσιοκτὼ, καὶ μετὰ τὸν Ἰσαάκιον ἐγένετο Ἱεροσολύμων ὁ Ἀμὼς, ὅστις ὡς λέγουσι τινὲς ἦν Κωνσταντινουπόλεως πρότερον, καὶ μετὰ τὸν Ἀμὼς ἐγένετο ὁ Ζαχαρίας, καὶ μετὰ τὸν Ζαχαρίαν ἀριθμεῖ τὸν Μόδεστον, καὶ εἰς τοῦτον τελειοῖ τὴν ἀποκεφαλαίωσιν αὐτοῦ τῶν πατριαρχευσάντων ἐν Ἱεροσολύμοις ὁ προῤῥηθεὶς Ζωναρᾶς. Νικηφόρος ὅμως ὁ Κάλλιστος βεβαιοῖ, ὅτι ἑκουσίᾳ βουλῇ καὶ γνώμῃ ἐποίησεν παραίτησιν ὁ Μακάριος, καὶ ἐγένετο ὁ Εὐστόχιος, καὶ μετὰ τὸν θάνατον τοῦ Εὐστοχίου ἐπατριάρχευσε πάλιν ὁ Μακάριος, καὶ μετὰ τὸν Μακάριον ἐγένετο ὁ Ἰωάννης, ὁ ζήσας χρόνους ὀκτὼ, οὕτω γράφει καὶ Βαρώνιος εἰς τὴν ἀρχὴν τοῦ ὀγδόου αὐτοῦ τόμου, ὅστις λέγει καὶ μετὰ τὸν Ἰωάννην ἀρχιερατεῦσαι τὸν Ἀμὼς, πρὸς ὃν ἀπέστειλεν ἐπιστολὴν ὁ Πάπας Γρηγόριος ὁ Διάλογος, ὥστε ἄλλον εἶναι τὸν Ἰωάννην καὶ ἄλλον τὸν Ἰσαάκιον, καθότι ὁ Ἰσαάκιος ἐγένετο μετὰ τὸν Ἀμὼς, ᾧτινι ὁ Ζωναρᾶς δίδωσι χρόνους εἰκοσιοκτὼ, τῷ δὲ Ἀμὼς χρόνους δεκατέσσαρας, καὶ τῷ Ζαχαρίᾳ χρόνους εἰκοσιπέντε, εἰ καὶ ἄλλοι ἄλλως ἱστοροῦσι. περὶ δὲ τοῦ Εὐστοχίου ὁ Θεοφάνης λέγει, ὅτι ἦν Μοναχὸς καὶ Οἰκονόμος Ἀλεξανδρείας, τοῦ δὲ Ἀγάθωνος τοῦ ἀδελφοῦ τοῦ Ἀπολιναρίου Ἀλεξανδρείας ἀπαιτοῦντος αὐτὸν λογαριασμὸν, ἔφυγε, καὶ ἐλθὼν εἰς Βυζάντιον, τοῦ Μακαρίου ἐκβληθέντος τότε τῆς Ἐκκλησίας, ἐχειροτονήθη Ἱεροσολύμων, διὰ δὲ τὸ μῖσος ὃ εἶχεν εἰς τὸν Ἀπολινάριον καὶ Ἀγάθωνα καὶ Μακάριον, τινὰς Μοναχοὺς τῆς νέας Λαύρας ἐξέβαλεν ὡς Ὠριγενιαστὰς, καὶ διατοῦτο ἐξεβλήθη, καὶ ἐγένετο πάλιν ὁ Μακάριος τῷ πέμπτῳ ἔτει τοῦ Ἰουστίνου. ὁ Εὐάγριος ὅμως λέγει βιβλίῳ τετάρτῳ, κεφαλαίῳ τριακοστῷ ἐνάτῳ, ὅτι ὁ Μακάριος ἀναθεματίσας Εὐάγριον, Δίδυμον καὶ Ὠριγένη, ἀναλαμβάνει τὰ Ἱεροσόλυμα, Εὐστοχίου καθαιρεθέντος. ὁ δὲ ἅγιος Νικηφόρος γράφει, ὁ Μακάριος ἔτη δύο, καὶ ἐξεβλήθη, ὁ Εὐστόχιος ἔτος ἕν, ὁ Μακάριος πάλιν ἔτη τέσσαρα, Ἰωάννης ἔτει εἰκοσιδύο, Ἀμὼς ἔτη ὀκτὼ, Ἰσαάκιος ἔτη ὀκτὼ, Ζαχαρίας ἔτη εἰκοσιδύο, Μόδεστος ἔτος ἕν, εἶτα ὁ Σωφρόνιος. ἄλλοι δὲ γράφουσι, Μακάριος ἔτη δύο, Εὐστόχιος ἔτος ἕν, οὗτινος οἱ Λεγᾶτοι ἦσαν εἰς τὴν Οἰκουμενικὴν πέμπτην Σύνοδον. Μακάριος τὸ δεύτερον ἔτη τέσσαρα, Ἰωάννης ἔτη ὀκτὼ, Ἀμὼς ἔτη ὀκτὼ, Ἡσύχιος ἢ Ἰσαάκιος ἔτη ὀκτὼ, καὶ πρὸς τοῦτον ἔγραψε Γρηγόριος ὁ Διάλογος, ὡς φαίνεται βιβλίῳ ἐνάτῳ, ἐπιστολῇ τεσσαρακοστῇ. καὶ ταῦτα μὲν οὕτω. σημείωσαι ὅτι τὸ Ἀλεξανδρινὸν ἱστορικὸν λέγει περὶ τοῦ Ἰσαακίου ὅτι ἐξεβλήθη, λέγει γὰρ, σφάζεται ὁ Πάπας Ἀλεξανδρείας, παύεται καὶ Ἰσαάκιος ἀπὸ Ἱεροσολύμων, καὶ γίνεται ἀντ' αὐτοῦ ὁ Ζαρίας.

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς ὑπὸ Ἰουστίνου ἐξορίας τοῦ Ἀντιοχείας Ἀναστασίου, καὶ τῆς αἰτίας δι' ἣν ἐξωρίσθη, καὶ προβιβασμοῦ εἰς τὸν θρόνον Γρηγορίου.

Ἐξώρισεν ὁ Βασιλεὺς Ἰουστῖνος τὸν Ἀντιοχείας Ἀναστάσιον, καθότι ἐσκόρπισε τὸν θησαυρὸν τῆς Ἐκκλησίας, ὃς καὶ ἐρωτηθεὶς διατὶ αὐτὸν ἐσκόρπισεν, ἀπεκρίθη, ἵνα μὴ λάβῃ αὐτὸν ὁ Ἰουστῖνος. ὁ γὰρ Βασιλεὺς ἐζήτησεν αὐτὸν ἀργύρια, ἅπερ ὁ Πατριάρχης οὐκ ἠθέλησε δοῦναι, τὸ σιμωνιακὸν εὐλαβούμενος, ὅθεν ὁ Βασιλεὺς ὠργίσθη αὐτῷ, καὶ ἀντ' αὐτοῦ ἔβαλε τὸν Γρηγόριον, ὡς ἱστορεῖ ὁ Εὐάγριος, ὁ κατήγορος Ἰουστινιανοῦ καὶ Ἰουστίνου. ὁ Θεοφάνης ὅμως λέγει, ὅτι ὁ Ἀναστάσιος διὰ τὸ καθάψασθαι τῶν συνοδικῶν Ἰωάννου Κωνσταντινουπόλεως τοῦ χειροτονήσαντος Ἰωάννην τὸν Ἀλεξανδρείας, καὶ ἀχρειῶσαι ταῦτα, ἐξεβλήθη τῆς Ἐπισκοπῆς κατὰ ἀγανάκτησιν Ἰουστίνου, καὶ ἐχειροτονήθη Γρηγόριος Μοναχὸς καὶ ἀποκρισιάριος τῆς Μονῆς τῶν Βυζαντίων. ἐπαινεῖ δὲ ὁ Εὐάγριος τὸν Γρηγόριον ὡς ποιητικώτατον καὶ μοναστηριακώτατον, ἀνετράφη γὰρ καὶ ἐχρημάτισε προεστὼς Μοναστηρίου εἰς Κωνσταντινούπολιν, ἐστάλη δὲ ὑπὸ Ἰουστίνου εἰς τὸ Σίναιον ὄρος, κἀκεῖθεν ἐκλήθη εἰς τὸ Πατριαρχεῖον.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ φιλονεικίας Γρηγορίου Ἀντιοχείας καὶ Ἀστερίου Ἄρχοντος Ἑώας, καὶ τῶν κατὰ Γρηγορίου συκοφαντῶν, καὶ περὶ τῆς συνοδικῆς ἀθῳώσεως αὐτοῦ.

Ἐγένετο Σύνοδος εἰς Κωνσταντινούπολιν θεσπίσματι τοῦ Αὐτοκράτορος Τιβερίου, ἐν ᾗ ἦσαν τινὲς μὲν τῶν Πατριαρχῶν σωματικῶς, τινὲς δὲ διὰ Τοποτηρητῶν, καὶ ἔτι πολλοὶ τῶν Ἀρχόντων τῆς Συγκλήτου καὶ τῶν ἁπανταχοῦ λογάδων Μητροπολιτῶν, ἔστι δὲ ἡ ὑπόθεσις αὕτη. συνέβη φιλονεικία μεταξὺ τοῦ Ἀστερίου τοῦ Ἄρχοντος τῆς Ἑώας καὶ τοῦ Ἀντιοχείας Γρηγορίου, τὸ δὲ πλεῖον μέρος τῆς Ἀντιοχείας ἦν μετὰ τοῦ Ἀστερίου, καὶ ἔλεγον κατὰ τοῦ Πατριάρχου συκοφαντίας αἰσχροτάτας. ὁ δὲ Τιβέριος τὸν μὲν Ἀστέριον παρέλυσε τῆς ἀρχῆς, περὶ δὲ Γρηγορίου ἤθροισε τὴν Σύνοδον, ἐν ᾗ ἀθῴου φανέντος τοῦ Γρηγορίου, ὁ συκοφάντης αὐτοῦ κατεδικάσθη. ἐποίησε δὲ λόγον ἔμπροσθεν τῶν Ἀρχόντων γονυκλινὴς ὁ Γρηγόριος, καθὼς λέγεται πεποιηκέναι καὶ τὸν Δημοσθένη εἰς τὸν περὶ Στεφάνου λόγον, εἰπόντα γονυκλιτῶς τὴν πρώτην ὅλην περίοδον τοῦ προοιμίου, ἵνα λάβῃ πλείονα τὴν εὔνοιαν, καὶ ἀκροάσωνται αὐτοῦ μετὰ καλλίονος προθυμίας, βλέποντες αὐτοῦ τὸ σχῆμα τὸ ταπεινὸν καὶ χαμαίζηλον. οὕτω καὶ Ἰωάννης ὁ Πάπας ἐλθὼν πρεσβευτὴς εἰς τὸν Ἰουστῖνον, ἔκλινε γόνυ ἐνώπιον τοῦ Αὐτοκράτορος δεόμενος, ὡς ἱστορεῖ ὁ Πλάτινας. καὶ μανθανέτωσαν ἐντεῦθεν καὶ αὐτοὶ οἱ Ἀρχιερεῖς ταπεινοῦσθαι ἔθ' ὅτε εἰς τοὺς λαϊκοὺς, ὅτε καιρός ἐστι περὶ ψυχωφελείας, ἢ ἑλκυσμοῦ εἰς ἄλλα μείζονα καὶ καλλίονα. ὑπέστρεψε δὲ ὁ Γρηγόριος ἐνδόξως εἰς τὴν Ἀντιόχειαν, καὶ διαπονούμενος ὑπὸ ποδάγρας, πιὼν ἑρμοδάκτυλον ἐτελεύτησε. λέγουσι δὲ τινὲς, ὅτι τὴν Σύνοδον ταύτην ἤθροισεν ὁ Νηστευτὴς, εἰς μὲν τὸ φανερὸν διὰ τὸν Γρηγόριον, εἰς δὲ τὸ μυστικὸν ἵνα βεβαιώσῃ τὸν Τίτλον αὐτοῦ, ὅνπερ οὐκ ἠθέλησεν ὁ Ῥώμης Πελάγιος κυρῶσαι, μάλιστα δὲ ἔγραψεν ὁ Πελάγιος τῷ Ἀρχιδιακόνῳ αὐτοῦ, εἰς Κωνσταντινούπολιν ὄντι, μηκέτι συγκοινωνεῖν τῷ Νηστευτῇ εἰς τὴν Λειτουργίαν. Σὺ δὲ σημείωσαι πρῶτον, ὅτι Πατριάρχου κρινομένου, οὐ προσκαλοῦσι τὸν Πάπαν κριτὴν, ἀλλὰ Σύνοδον Οἰκουμενικήν. δεύτερον, ὅτι εἰ καὶ ἦν ἡ Σύνοδος Οἰκουμενικὴ, ἀλλ' ἐπειδὴ μὴ ἦν θεωρηθῆναι δόγμα πίστεως, ἢ διορισθῆναί τι περὶ πίστεως, ἢ κρινομένης Αἱρέσεως, ἡ Σύνοδος Οἰκουμενικὴ οὐκ ἐνομίσθη. περὶ τῆς Συνόδου ταύτης καὶ τοῦ Τίτλου ῥηθήσεται κατωτέρω ἐν πολλοῖς.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ δευτέρας περιστάσεως τοῦ Γρηγορίου Ἀντιοχείας διά τινα Ἄρχοντα Ἀνατόλιον μάγον καὶ περὶ τῶν συμβάντων τῷ μάγῳ καὶ τοῖς συμμύσταις αὐτοῦ, καὶ ὧν κατ' αὐτοῦ ἐθαυματούργησεν ἡ Θεοτόκος, καὶ περὶ τοῦ ἐν τῷ κατὰ τὴν Ἡράκλειαν Ναῷ τῆς ἁγίας Γλυκερίας γεγονότος θαύματος κατὰ τῆς χρυσῆς λεκάνης Παυλίνου τοῦ γόητος, καὶ τῆς ἀναιρέσεως αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ.

Συμβέβηκε τῷ αὐτῷ Γρηγορίῳ καὶ ἄλλη περίστασις, Ἀνατόλιος γάρ τις Ἄρχων ἦν λίαν φίλος αὐτοῦ, καὶ ἐφανερώθη ὅτι ἐθυσίαζε, καὶ ὅτι ἦν καὶ μέγας μάγος. κατηγορήθη δὲ καὶ ὁ Γρηγόριος ὅτι συνεθυσίαζε

τῷ

τῷ Ἀνατολίῳ, καὶ ἦλθεν εἰς μεγάλον κίνδυνον. ἄγει οὖν ὁ Τιβέριος τὸν Ἀνατόλιον καὶ τοὺς συμμύστας αὐτοῦ εἰς Κωνσταντινούπολιν, καὶ τιμωρούμενος αὐτοὺς, ἔγνω τὴν ἀθῳότητα τοῦ Ἀρχιερέως, καὶ ὁ μὲν Ἀνατόλιος ἐδόθη τοῖς Θηρίοις εἰς τὸ Ἀμφιθέατρον, καὶ σπαραχθεὶς, ἀνεσκολοπίσθη, εἶτα παραδόξως Λύκοι τὸ μιαρὸν αὐτοῦ σῶμα καταγαγόντες, κατενείμαντο, τοὺς δὲ συμμύστας αὐτοῦ ἐξορίᾳ κατεδίκασεν, ἀλλ' ὁ λαὸς τῆς Κωνσταντινουπόλεως κατεβόων μὲν καὶ τοῦ Βασιλέως καὶ τοῦ Πατριάρχου Εὐτυχίου ὡς τὴν πίστιν προδόντων, ἐκείνους δὲ βαλόντες εἰς ἀκάτιον, ζῶντας κατέκαυσαν. ὄντος δὲ τοῦ Ἀνατολίου εἰς τὴν φυλακὴν δεδεμένου, καὶ οὔσης ἐκεῖ ἀπηωρημένης Εἰκόνος τῆς Θεομήτορος, καὶ παρακαλοῦντος αὐτὴν ἵνα λυτρωθῇ τῶν δεσμῶν, ὦ τοῦ θαύματος, ἔστρεψεν ἡ Εἰκὼν τὸ πρόσωπον αὐτῆς εἰς τὸν τοῖχον. καί τις Φιλόχριστος εἶδεν εἰς τὸν ὕπνον αὐτοῦ τὴν Παναγίαν παρακινοῦσαν αὐτὸν κατὰ τοῦ Ἀνατολίου, καὶ λέγουσαν αὐτῷ, ὅτι ὕβρισεν εἰς τὸν Υἱὸν αὐτῆς ὁ Ἀνατόλιος. καί τις Ἄρχων Βασιλικὸς βοηθῶν τῷ Ἀνατολίῳ, εἶδε τὴν Παναγίαν λέγουσαν αὐτῷ, μέχρι τίνος ἀντέχῃ Ἀνατολίῳ, τῷ βλασφημήσαντι καὶ εἰς ἐμὲ καὶ εἰς τὸν Υἱόν μου; γνώτωσαν οὖν ἐντεῦθεν ὅσοι περιποιοῦνται τοὺς μάγους καὶ γόητας, ὁποία τὶς κακὴ καὶ ἐπώδυνος ἐκδίκησις αὐτοὺς περιμένει. Σημείωσαι δὲ ἐνταῦθα ἱστοροῦντα τὸν Θεοφύλακτον, ὅτι εἰς τὴν Ἡράκλειαν διὰ τὸν ἁγιασμὸν καὶ τὰ θεόῤῥυτα μῦρα, ἅπερ ἀνέβρυον ἀπὸ τοῦ τάφου τῆς ἁγίας Γλυκερίας, ἦν λεκάνη χαλκίνη ἡ δεχομένη ταῦτα, καὶ ἐγένοντο τόσα θαύματα. ὁ δὲ τότε Ἡρακλείας εὑρὼν εἰς Κωνσταντινούπολιν εἰς τὸν φόρον λεκάνην χρυσῆν θαυμαστὴν, ἠγόρασεν αὐτὴν, καὶ ἔταξεν ἀντὶ τῆς χαλκίνης ἐν αὐτῇ γίνεσθαι τὸν ἁγιασμὸν εἰς τὸν τάφον τῆς μάρτυρος, καὶ οὐκ ἔτι ἐγίνοντο τὰ θαύματα, διὰ δὲ τὰ δάκρυα καὶ τὰς προσευχὰς τοῦ Ἀρχιερέως ἀπεκαλύφθη αὐτῷ τὸ ἀκάθαρτον τῆς λεκάνης, ὅθεν ἔφερεν αὐτὴν εἰς τὸν Νηστευτὴν, καὶ ἐξετάσας ἐκεῖνος, ἦυρεν ὅτι Παυλῖνος τὶς ἄρχων σοφὸς γόης ἔχεεν εἰς αὐτὴν αἵματα, τρόπῳ δηλονότι θυσίας, καὶ ἐγοήτευε τῇ ἐπικλήσει τῶν δαιμόνων, γενόμενος Εἰδωλολάτρης, ὅθεν ἀνέφερε τῷ Μαυρικίῳ τὸ δρᾶμα, καὶ ὁ μὲν Βασιλεὺς ἐζήτει ποιῆσαι διόρθωσιν τῷ Παυλίνῳ, ὁ Πατριάρχης ὅμως διϊσχυρίζετο ἀπὸ γραφικῶν ῥητῶν, δεῖν ἐπάγεσθαι αὐτῷ λέγων παιδείαν νομικὴν, ὅθεν ἀχθεὶς εἰς κρίσιν ὁ Παυλῖνος, αὐτὸς μὲν ἀνασκολοπίζεται, οἱ δὲ ἡ οἱ αὐτοῦ ὡς συμμῦσται τέμνονται τὰς κεφαλὰς.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆ ὁμολογίας τοῦ Συμεῶνος διὰ τὸν χιτῶνα τοῦ Σωτῆρος καὶ τοῦ ἱματίου τοῦ Χριστοῦ, τοῦ μὲν ἐν Ἰόππῃ ἐπὶ Ἰωάννου Ἱεροσολύμων, τοῦ δὲ ἐν πόλει Ζαφὰτ εὑρεθέντων.

Εἰς τὸν καιρὸν τούτου τοῦ Ἱεροσολύμων Ἰωάννου εὑρέθη εἰς τὴν Ἰόππην ἡ ὁμολογία τοῦ Ἰουδαίου συμεῶνος περὶ τοῦ χιτῶνος τοῦ Σωτῆρος ἡμῶν, ὅθεν καὶ μετὰ πλείστης εὐλαβείας φέρεται εἰς τὴν ἁγίαν πόλιν, ὡς ἱστορεῖ ὁ Σιγηβέρτος. εὑρέθη δὲ καὶ εἰς τὴν πόλιν ζαφὰτ (λέγει ὁ Πλάτινας) ἔνδον εἰς ἓν μαρμάρειον κιβώτιον τὸ ἱμάτιον τοῦ Ἰησοῦ, ὅπερ κλήροις ἐμερίσαντο οἱ στρατιῶται, ὅτε ἐσταύρωσαν αὐτὸν, καὶ ἦν τεθειμένον ἐκεῖ ἀπὸ τοῦ καιροῦ Θωμᾶ τοῦ Ἱεροσολύμων, Ἰωάννου Κωνσταντινουπόλεως, καὶ Γρηγορίου Ἀντιοχείας. δεῦρο δὴ αὐτὸς ἀκούων Θωμᾶν ἐνταῦθα Ἱεροσολύμων, καὶ εἰς τὸν βίον τοῦ Χρυσοστόμου Σιλβανὸν πάλιν Ἱεροσολύμων, καὶ εἰς τὴν ἐν Τρούλλῳ Συνόδον Ἀναστάσιον Ἱεροσολύμων, δυνήθητι καταριθμῆσαι τοὺς Πατριάρχας Ἱεροσολύμων.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς αἰτίας τοῦ μετὰ Περσῶν πολέμου τῶν Ῥωμαίων ἐπὶ Ἰουστίνου Βασιλέως, καὶ τῆς τελευτῆς αὐτοῦ, καὶ τῶν ἐτῶν τῆς βασιλείας αὐτοῦ, μεθ' ὃν Τιβέριος ὁ Θρᾷξ ἐβασίλευσεν, ὡς εἴρηται ἀνωτέρω.

Οἱ εὑρισκόμενοι εἰς τὴν μεγάλην Ἀρμενίαν (ἥτις καὶ Περσαρμενία ὠνόμασται) ἦσαν Ῥωμαίοις κατήκοοι, καὶ ἐπὶ Φιλίππου τοῦ μετὰ Γορδιανὸν Καίσαρος ὑπετάχθησαν τοῖς Πέρσαις, καὶ ἔμεινε μόνη ἡ μικρὰ Ἀρμενία εἰς τοὺς Ῥωμαίους, ἐπὶ δὲ Ἰουστίνου κακῶς πάσχοντες ὑπὸ Περσῶν, βουλήσει τοῦ Ἰουστίνου σφάττουσι τοὺς Ἄρχοντας αὐτῶν, ἔχοντες προὔχοντα Οὐαρδάνην Ἀρμένιον, καὶ προχωροῦσι Ῥωμαίοις. ἐγκαλοῦντα δὲ Ῥωμαίοις Χοσρόην τὸν Περσάρχην, ὁ Ἰουστῖνος ἀπεβάλετο αὐτὸν, λέγων, οὐκ ἔστι δίκαιον ἀπορρίψαι τοὺς ὁμοπίστους ἐν καιρῷ πολέμου. γίνεται οὖν διάφορος καὶ πολυχρόνιος πόλεμος Ῥωμαίων καὶ Περσῶν, καὶ ὁ Τιβέριος τῷ γένει Θρᾷξ, ὁ καταπολεμήσας τοὺς Ἄβαρας, πέμπεται ὕστερος Στρατηγὸς κατὰ Περσῶν, ἀλλὰ τῶν στρατιωτῶν κακῶς οἰκονομηθέντων παρὰ τῶν πρότερον Στρατηγῶν, καὶ δειλιώντων, ἐκινδύνευσεν ὁ Τιβέριος, ὅθεν Τραϊανὸς Ἄρχων πέμπεται πρεσβευτὴς ὡς ἀπὸ τῆς Βασιλίσσης Σοφίας εἰς Χοσρόην, ἐπειδὴ ἐμελαγχόλησεν ὁ Ἰουστῖνος. ἐν τούτοις δὲ, λαμβάνουσιν οἱ Ἄβαρες τὸ Σίρμιον, ὅπερ πρότερον ἔλαβεν ὁ Ἰουστῖνος ἀπὸ τῶν Γηπαίδων. ἀπέθανε δὲ καὶ ὁ Ἰουστῖνος, αὐταρχήσας ἔτη δεκαὲξ, καὶ ἐβασίλευσεν ὁ Τιβέριος.

ΠΑΡΑ-

ΠΑΡΆΓΡΑΦΟΝ ϛ'.

Περὶ τοῦ ἐπὶ Ἰουστίνου πολέμου, τοῦ διαρκέσαντος μέχρι Μαυρικίου, καὶ περὶ τῆς ἀναιρέσεως τοῦ Περσάρχου Ὁρμίσδου, καὶ βασιλείας τοῦ υἱοῦ αὐτοῦ Χοσρόου, καὶ τοῦ ἀντιθέου Τίτλου αὐτοῦ, καὶ φυγῆς αὐτοῦ ἐξ ἐπιβουλῆς, καὶ πάλιν ἀποκαταστάσεως εἰς τὴν βασιλείαν βοηθείᾳ Μαυρικίου, καὶ περὶ τῶν δύο Σταυρῶν οὓς ἔπεμψε τῷ Γρηγορίῳ Ἀντιοχείας, καὶ περὶ χριστιανισμοῦ Νααμάνου τῶν Σκηνιτῶν Φυλάρχου, καὶ τῶν προσαχθέντων Χριστῷ φυλῶν διὰ Γρηγορίου Ἀντιοχείας.

Ἀρξάμενος οὗτος ὁ πόλεμος ἐπὶ Ἰουστίνου ὑπὲρ τῶν Χριστιανῶν μετὰ τῶν Περσῶν, ὡς ἔοικε πλασάμενος καὶ ἄλλας αἰτίας, ἔμεινεν ἕως Μαυρικίου. μετὰ τὰ πολλὰ δὲ ἅπερ ὁ Μαυρίκιος κατειργάσατο κατὰ Περσῶν, ἐφόνευσαν καὶ οἱ Πέρσαι τὸν Ὁρμίσδαν ἄδικον ὄντα, καὶ φονέα τοῦ ὑπηκόου, καὶ ἐποίησαν Βασιλέα τὸν Χοσρόην, ὅστις ὑπερέβη εἰς τὴν κακίαν καὶ Ξέρξην, καὶ Κῦρον, καὶ ὅλους τοὺς πρὸ αὐτοῦ. φησὶν ὁ Ἱστορικὸς Ἀγαθίας, υἱὸς τοῦ Ὁρμίσδου κακοῦ Κόρακος κακὸν ᾠὸν, χιλιάκις χείρων τοῦ πατρὸς αὐτοῦ, καίτοιγε εὐηργετημένος ὅτι μάλιστα ὑπὸ τοῦ Βασιλέως Μαυρικίου, ἀλλ' ὁ Λύκος πάντοτε Λύκος καὶ αἱμοβόρος, καὶ τὸ φυσικὸν αὐξάνει πάντοτε, καὶ οὐδέποτε ἐκλείπει. ὁ Θεοφύλακτος ἱστορεῖ εἰς τὸ τέταρτον βιβλίον, ὅτι ἅμα τῷ βασιλεῦσαι ὁ Χοσρόης ἐκλήθη Βασιλεὺς Βασιλέων, Κύριος τῶν κυριευόντων, τῶν ἐθνῶν Δεσπότης, Ἄρχων τῆς εἰρήνης, τῶν ἀνθρώπων σωτηρία, ἀναμεταξὺ μὲν τῶν Θεῶν ἀγαθὸς ἀνὴρ καὶ ἀΐδιος, ἀναμεταξὺ δὲ τῶν ἀνθρώπων Θεὸς λαμπρότατος, νικητὴς ὑπερενδοξότατος, τῷ Ἡλίῳ συνανατέλλων, καὶ τὴν νύκτα φωτίζων τοῖς τῶν Ἀστέρων ὄμμασιν, εὐγενὴς ἀπὸ προγόνων Βασιλεὺς, ἐχθρὸς τῆς μάχης, εὐεργέτης εἰς πάντας, Στρατοπεδάρχης, καὶ Περσοφύλαξ. οὗτος ἐστὶν ὁ Τίτλος αὐτοῦ. τὶς μὴ ἐπιφωνήσῃ τὸ, ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται; καὶ τὸ, ὃς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ οἶκον, ζητεῖ συντριβήν; καθότι Κύριος ὑπερηφάνοις ἀντιτάσσεται. ὅθεν Θεοῦ παραχωρήσει ἐπιβουλευθὴς ὑπό τινος Βαράμου, ἐδιώχθη τῆς βασιλείας, καὶ ἔφυγεν εἰς τὴν γῆν τῶν Ῥωμαίων, βοηθεῖ ὅμως αὐτῷ ὁ Μαυρίκιος, καὶ ὑπάγει μετὰ τῶν Ῥωμαϊκῶν δυνάμεων εἰς τὴν Περσίαν, καὶ ἀποκτείνας τὸν Βάραμον, ἔλαβε τὴν πατρικὴν αὐτοῦ ἀρχήν. βεβαιοῖ δὲ ὁ Εὐάγριος εἰς τὸ ἕκτον τῆς ἱστορίας αὐτοῦ, ὅτι ἔπεμψε τῷ Ἀντιοχείας Γρηγορίῳ ὁ Χοσρόης πρὸς τιμὴν τοῦ ἁγίου Σεργίου Σταυρὸν χρυσοῦν καὶ ἐξησκημένον λίθοις πολυτίμοις, καὶ ἄλλον Σταυρὸν χρυσοῦν ἑλληνικοῖς ψηφίοις ἐγκεκοσμημένον, ἔλεγον δὲ τὰ ψηφία τὴν συμφορὰν αὐτοῦ, καὶ τὴν ἐπανάκλησιν εἰς τὸν θρόνον αὐτοῦ, ἐγκώμιά τε Ῥωμαίων, καὶ ἐτήσια δόματα εἰς τὸν Ναὸν τοῦ ἁγίου Σεργίου, καὶ εὐχαριστίαν εἰς τὸν Θεὸν τῶν Χριστιανῶν, ὅθεν μετὰ μεγάλης προπομπῆς καὶ λιτανείας ἔφερε τοὺς Σταυροὺς τούτους εἰς τὸν Ναὸν τοῦ ἁγίου Σεργίου ὁ Πατριάρχης, καὶ ἀφιέρωσεν αὐτοὺς ἐκεῖ μετὰ ἑνὸς δίσκου χρυσοῦ ὡραιοτάτου. οἶμαι δὲ ταῦτα παραχωρῆσαι τὸν Θεὸν γενέσθαι εἰς ἔλεγχον τῶν Αἱρετικῶν τοῦ καθ' ἡμᾶς καιροῦ, καθὼς ἀφῆκε καὶ τὸν Βαλαὰμ προφητεῦσαι, ἵνα κατακλεισθῶσι καὶ τῶν ἐθνικῶν τὰ στόματα καὶ ἐκ τούτου τοῦ Βαλαὰμ, λέγοντος τὴν ἀλήθειαν, καθὼς καὶ Σαοὺλ ἐφάνη προφητεύων ἐν Προφήταις, καὶ Καϊάφας, ὃς ἦν Ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. τοῦτον τὸν λίθοις πολυτίμοις ἐξησκημένον Σταυρὸν προκατεσκεύασεν ἡ Βασίλισσα Θεοδώρα ἡ γυνὴ τοῦ Ἰουστινιανοῦ, ὃν οἱ Πέρσαι αἰχμαλωτίσαντες τὴν Ἀντιόχειαν ἔλαβον. καὶ καθὼς τὰ σκεύη τῆς Ἱερουσαλὴμ ἠχμαλωτίσθησαν, καὶ πάλιν εἰς τὰ Ἱεροσόλυμα μετηνέχθησαν, οὕτω καὶ τὰ σκεύη τῆς Ἀντιοχείας αἰχμαλωτισθέντα, πάλιν ἐστράφησαν εἰς τὴν Ἀντιόχειαν κατὰ τὸν λόγον τῆς ἀντιδόσεως. ὅτε ἠχμαλώτισε τὴν Θεούπολιν ὁ Χοσρόης εἶχε σκοπὸν ἀπελθεῖν εἰς τὴν Ἱερουσαλὴμ, ἤκουε γὰρ εἶναι ἐκεῖ σκεύη ὡραιότατα καὶ δυσπόριστα, ἀλλ' ἐκωλύθη ὑπὸ τοῦ Βελισαρίου, καὶ οὐκ ἤγαγεν εἰς ἔργον τὸ πονηρὸν τῆς καρδίας αὐτοῦ διαβούλιον, ὡς λέγει ὁ Εὐάγριος καὶ αὐτὸς ὁ Προκόπιος εἰς τὸ δεύτερον βιβλίον τοῦ περὶ τοῦ περσικοῦ πολέμου. σημείωσαι δὲ, ὅτι καὶ Νααμάνης ὁ Φύλαρχος τῶν Σκηνιτῶν Ἕλλην ὤν, καὶ ἀνθρώπους σφάζων ἰδίᾳ χειρὶ εἰς θυσίαν τῶν δαιμόνων, κατατήξας πυρὶ τὴν χρυσῆν αὐτοῦ Ἀφροδίτην, καὶ δοὺς πτωχοῖς ἐβαπτίσθη, ὅ,τε Ἀντιοχείας παιεύφημος Γρηγόριος νεύματι τοῦ Βασιλέως εἰς τὴν ἔρημον, ἐν ᾗ ἦν οἱ λεγόμενοι Λιμνῖται, οἱ ἑπόμενοι τοῖς δόγμασι τοῦ Σεβήρου, περινοστῶν, πολλὰ Φρούρια καὶ Κώμας καὶ Μοναστήρια καὶ φυλὰς ὁλοκλήρους προσηγάγετο τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ.

ΠΑΡΆΓΡΑΦΟΝ Ζ.

Περὶ τῶν ἐπὶ Μαυρικίου πρῶτον ἐν Ἀσίᾳ ὀφθέντων Τούρκων, καὶ περὶ τοῦ ἐγκεχαραγμένου Σταυροῦ ἐν τοῖς μετώποις αὐτῶν, καὶ τῆς αἰτίας τῆς ἐγχαράξεως.

Ἐπὶ Μαυρικίου ὤφθησαν πρῶτον οἱ Τοῦρκοι εἰς τὴν Ἀσίαν, περὶ ὧν διηγεῖται ὁ Θεοφάνης ὁμοῦ καὶ ὁ Σιμοκάτης βιβλίῳ πέμπτῳ, κεφαλαίῳ δεκάτῳ, πρᾶγμα ἐξαίσιον, ὅτι ληφθέντες ὑπὸ τῶν Ῥωμαίων αἰχμάλωτοι, εἶχον οἱ πάντες αὐτῶν Σταυρὸν ἐγκεχαραγμένον εἰς τὸ μέτωπον, καὶ ἐρωτηθέντες ὑπὸ τῶν

Κωνσταν-

Κωνσταντινουπολιτῶν, διατὶ τῷ τοιούτῳ ἦσαν σεσημειωμένοι σημείῳ, ἀπεκρίθησαν, ὅτι μία μεγαλωτάτη πανοῦκλα ἐπεδήμησεν εἰς τὴν χώραν αὐτῶν, καὶ ἐδίδαξαν αὐτοὺς οἱ Χριστιανοὶ στιγματισθῆναι τῷ Σταυρῷ, καὶ ποιήσαντες τοῦτο, ἐπέτυχον τῆς ὑγιείας αὐτῶν, καὶ ἐξ ἐκείνου ἐκράτησε καὶ σταυροτυποῦνται.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς τελευτῆς ἑρμοδακτύλῳ Γρηγορίου Ἀντιοχείας, καὶ ἐπανακλήσεως εἰς τὸν θρόνον Ἀναστασίου τοῦ Σιναΐτου. καὶ τελευτῆς Ἰωάννου νέας Ῥώμης, Εὐλογίου τε Ἀλεξανδρείας καὶ Ἰωάννου Ἱεροσολύμων, οὗ διάδοχος Ἀμὼς, μεθ' ὃν Ἰσαάκιος ὁ καὶ Ἡσύχιος.

Ἐτελεύτησεν ὁ παρὼν Ἀντιοχείας Γρηγόριος, ὅς τις ὡς εἴπομεν εἶχε ποδάγραν, καὶ εἶπεν αὐτῷ Ἰατρός τις πιεῖν ἑρμοδάκτυλον, καὶ πιὼν ἐτελεύτησεν, ὡς λέγει ὁ Εὐάγριος εἰς τὸ ἕκτον βιβλίον αὐτοῦ. ἀπέθανε καὶ ὁ Ἰωάννης τῆς νέας Ῥώμης, καὶ ὁ Εὐλόγιος τῆς Ἀλεξανδρείας, καὶ ὁ Ἰωάννης τῶν Ἱεροσολύμων, μεθ' ὃν οὐδεὶς οὕτω παραχρῆμα κεχειροτόνηται, ὡς συμπεραίνει ὁ ἄνωθεν Εὐάγριος. μετὰ τὸν θάνατον γοῦν τοῦ Γρηγορίου εἰσῆλθε πάλιν ὁ Σιναΐτης Ἀναστάσιος, πρὸς ὃν, ὡς εἴπομεν, ἔγραφεν ὁ Διάλογος οὐμόνον ὅτε δεύτερον ἔλαβε τὸν θρόνον αὐτοῦ, ἀλλ' ἔτι καὶ πρὸ τοῦ λαβεῖν αὐτὸν, λέγων, ὅτι αὐτὸς ἠκολούθει τῇ Θεϊκῇ ἄνωθεν ψήφῳ, καὶ οὐ τῇ τῶν ἀνθρώπων γνώμῃ, οἵτινες ποιοῦσι καὶ μεταποιοῦσιν ὡς δοκεῖ αὐτοῖς. τοῦ Θεοῦ τὰ χαρίσματα εἰσὶν ἀμεταμέλητα, ὅθεν ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει, καὶ σφραγὶς οὐκ ἀναιρεῖται, καθότι ἔγνω ὁ Θεὸς τοὺς ὄντας αὐτοῦ. μετὰ τὸν Ἰωάννην δὲ ἐπατριάρχευσεν ὁ Ἀμὼς, οὗ ποιεῖται ἀνάμνησιν ὁ Σωφρόνιος, διηγούμενος τοιαύτην διήγησιν, ὅτε προεβιβάσθη ὁ Ἀμὼς, κατέβησαν σὺν αὐτῷ ὅλοι τῶν Μοναστηρίων οἱ Ἀββάδες, ἵνα ἀποδώσωσιν αὐτῷ τὴν ὀφειλομένην μετάνοιαν καὶ χρεωστουμένην προσκύνησιν, καὶ ὁ Πατριάρχης εἶπεν αὐτοῖς, ὅτι μεγάλον βάρος ἐστὶ τὸ ἀξίωμα τῆς Ἀρχιερωσύνης, καὶ μόλις ὑπὸ τῶν οὐρανίων Δυνάμεων βασταζόμενον. ἦν δ' ἐσκανδαλισμένος ὁ τῆς νέας Μονῆς Ἀναστάσιος (Μοναστήριον περίβλεπτον ὑπὸ τοῦ ἁγίου Σάββα τεθεμελιωμένον, καὶ τετελειωμένον ὑπὸ τοῦ Θεοδοσίου) μετὰ τοῦ Ἱεροσολύμων Ἀμὼς, καὶ ὁ Διάλογος γράφει αὐτῷ εἰρηνεῦσαι καὶ λαβεῖν συγχώρησιν παρὰ τοῦ Ἀρχιερέως αὐτοῦ. γράφει δὲ καὶ πρὸς τὸν Σιναΐτην Ἰωάννην, πρὸς ὃν ἔστειλε καὶ ἱκανὴν ἐλεημοσύνην, καὶ εἰς τὸ τέλος λέγει αὐτῷ δέεσθαι τοῦ Θεοῦ ὑπὲρ αὐτοῦ. οὕτως ἐπολιτεύετο τότε τὸ ἄτυφον καὶ τὸ φιλάδελφον εἰς τοὺς μεγάλους Ἀρχιερεῖς τῆς Ἐκκλησίας, οἵτινες καὶ ἀλλήλων καὶ τῶν μικροτάτων πραγμάτων ἐφρόντιζον. φαίνεται καὶ εἰς τὸν καιρὸν καθ' ὃν ἀπέθανεν ὁ σοφὸς καὶ ἅγιος Ἀναστάσιος εἰς τὴν Θεούπολιν, κατ' αὐτὸν ἀποθανεῖν καὶ τὸν Ἀμὼς, διότι ὡς εἴπομεν ἀνωτέρω, ὁ Διάλογος γράφει μίαν ἐπιστολὴν εὑρισκομένην εἰς τὸ ἔνατον βιβλίον αὐτοῦ, ἀπεσταλμένην πρὸς τὸν Ἡσύχιον Πατριάρχην Ἱεροσολύμων κατὰ τὸ δέκατον τέταρτον ἔτος τῆς Βασιλείας Μαυρικίου, ὥστε ὁ Ἡσύχιος οὗτος δοκεῖ εἶναι ὁ αὐτὸς τῷ ὑπὸ τοῦ Ζωναρᾷ καὶ Καλλίστου Νικηφόρου λεγομένῳ Ἰσαακίῳ, καθὼς φθάσαντες προεγράψαμεν εἰς τὸ τέλος τοῦ τεσσαρακοστοῦ δευτέρου Πατριάρχου.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ Πελαγίου Ῥώμης τοῦ δευτέρου, καὶ τῆς αἰτίας δι' ἣν ἄνευ ἐκδόσεως βασιλικῆς κεχειροτόνηται, καὶ τῆς μεταταῦτα διορθώσεως αὐτοῦ. καὶ τὶς ἡ αἰτία τοῦ μὴ χειροτονεῖσθαι τὸν Ῥώμης ἄνευ βεβαιώσεως τοῦ Βασιλέως, καὶ τὶς Βασιλεὺς ἐποίησε μετὰ δόσιν χρημάτων δίδοσθαι ὁρισμὸν τοῦ χειροτονεῖσθαι Πάπαν Ῥώμης, καὶ τὶ τὸ αἴτιον.

Ἐπὶ Ἰουστίνου τῷ ἔτει πεντακοσιοστῷ ἑβδομηκοστῷ ὀγδόῳ Πελάγιος ὁ δεύτερος ἐχειροτονήθη Πάπας χωρὶς τῆς βασιλικῆς ἐκδόσεως, καθότι οἱ Λογγίβαρδοι εἶχον περικεκυκλωμένην τὴν Ῥώμην, καὶ πολλὰ κακὰ εἰργάζοντο τὴν Ἰταλίαν. ὁμοίως γράφουσιν εἰς τὰ χρονικὰ αὐτῶν Μαριανὸς ὁ Σκότος, καὶ Μαρτῖνος ὁ Πολῶνος, καὶ δὴ καὶ Ἀντώνιος ὁ Φλωρεντινὸς ἐν τῷ δευτέρῳ μέρει τῶν ἱστορικῶν, Τίτλῳ δωδεκάτῳ, κεφαλαίῳ δευτέρῳ λέγει, θανόντος τοῦ Βενεδίκτου, γίνεται Πάπας ὁ Πελάγιος διὰ τὴν τότε ἐπικράτειαν τῶν Λογγιβάρδων εἰς τὴν Ἰταλίαν. συμμαρτυρεῖ τούτοις καὶ ὁ Πλάτινας λέγων, αὕτη δὲ μία ἐστάθη αἰτία δι' ἣν ὁ Πελάγιος γέγονεν Ἀρχιερεὺς ἄνευ τῆς προσταγῆς τοῦ Βασιλέως, ὅτι οὐδεὶς ἐδύνατο ἐξελθεῖν τῆς πόλεως τῆς περικυκλουμένης καὶ ἀπελθεῖν εἰς τὸν Αὐτοκράτορα, καθότι οὐκ ἴσχυεν ἡ ἐκλογὴ τοῦ Κλήρου, εἰμὴ ἐδοκίμαζεν αὐτὴν ὁ Βασιλεὺς, καὶ οὕτω Γρηγόριος Ἀρχιδιάκονος (ὁ μεταταῦτα χρηματίσας Πάπας, καὶ ἐπικληθεὶς διὰ τὰς πολλὰς καὶ μεγάλας ἀρετὰς αὐτοῦ μέγας καὶ Διάλογος) ἐπέμφθη εἰς Κωνσταντινούπολιν ἐξιλεῶσαι τὸν Βασιλέα. εἰς ἃ δὲ λέγει ὁ Πλάτινας, ὅτι ἦν ἀδύνατον μόνῃ τῇ ἐκλογῇ

ἐκλογῇ τοῦ Κλήρου χωρὶς τῆς ψήφου τοῦ Αὐτοκράτορος γενέσθαι Πάπαν εἰς Ῥώμην, σημειοῖ ὁ Ὀνούφριος καὶ λέγει, τῶν Γότθων διωχθέντων ἀπὸ Ἰταλίας διὰ τοῦ Πατρικίου Ναρσῆ, καὶ οὔσης τῆς Ἰταλίας ὑπὸ τὸν Αὐτοκράτορα Κωνσταντινουπόλεως, καὶ αὐτῆς τῆς Ῥώμης, νέα συνήθεια ἀνεφύη εἰς τὰ ἀρχιερατικὰ ὑπὸ τοῦ Βιγιλίου Πάπα, καθότι οὗτος ἐστάθη αἰτία, καὶ ὅτε ὁ Κλῆρος ψηφίζεται Πάπαν τῆς Ῥώμης, μὴ δύνασθαι αὐτὸν Ἀρχιερέα τῆς Ῥώμης χειροτονηθῆναι ὑπὸ τῶν Ἐπισκόπων, πρὶν ἢ βεβαιωθῆναι τὴν ἐκλογὴν αὐτοῦ ὑπὸ τοῦ Αὐτοκράτορος, ὑφ' οὗπερ ἦν ἀναγκαία χρεία δοθῆναι θέλημα δι' ἐγγράφου ὁρισμοῦ αὐτοῦ, καὶ εἶτα χειροτονεῖσθαι τὸν Ἀρχιερέα τῆς Ῥώμης, καὶ τότε ἔχειν καὶ τὴν ἐξουσίαν τῆς Ἀρχιερατείας, δι' ἣν ἐξουσίαν καὶ ἄδειαν ἦν ἀνάγκη τὸν ἐκλεγέντα πέμψαι μερικὴν ποσότητα χρημάτων, καθότι μετὰ τὴν δόσιν τῶν χρημάτων ἐδίδοτο ὁ ὁρισμὸς διὰ τὴν χειροτονίαν. ἐποίησε δὲ τοῦτο ὁ Ἰουστινιανὸς εὐλόγως, διότι ἀπόντων τῶν Αὐτοκρατόρων τῆς Ἰταλίας, ᾠκονόμησεν οὕτω τὰς χειροτονίας τῶν Παπῶν γίγνεσθαι, ὡς μὴ χειροτονηθείη Πάπας σκανδαλοποιός τις, ἢ ἐχθρὸς τοῦ Βασιλέως, καὶ προδοίη τὴν Ῥώμην τοῖς ὁμόροις βαρβάροις, καθὼς ἐνοήθη ὅτι ἔμελλε ποιήσειν τοιοῦτόν τι ὁ Πάπας Σιλβέριος, καὶ ἐξωρίσθη ὑπὸ τοῦ Βελισαρίου, ὅθεν ὡς ἐπιτοπλεῖστον εἰς τὰς ἐκλογὰς τῶν Παπῶν ὁ Κλῆρος ἐκεῖνον ἐψηφίζετο Πάπαν, εἰς ὃν ἐγίνωσκε νεύουσαν τὴν γνώμην τοῦ Βασιλέως. καὶ αὕτη ἡ συνήθεια ἐκράτησεν ἕως τοῦ Πωγωνάτου, ὡς ἐροῦμεν. πλὴν ἐπὶ τοῦ παρόντος καιροῦ διὰ τὸ τὸν Πελάγιον ἀρχιερατεῦσαι χωρὶς τοῦ ὁρισμοῦ τοῦ Βασιλέως, ἦλθεν ὁ Γρηγόριος καὶ εἰρήνευσε τὸν Βασιλέα.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς πλημμύρας καὶ τοῦ δι' αὐτὴν θανατικοῦ καὶ πείνης ἐν Ῥώμῃ ἐπὶ τοῦ Πάπα Πελαγίου, ὃς πρῶτος τελευτᾷ τῷ τοιούτῳ πάθει τοῦ θανατικοῦ. καὶ περὶ τοῦ πόθεν ἐπεκράτησε λέγεσθαι πρὸς τοὺς πταρμιζομένους ὑγίειαν.

Ἐπὶ τούτου τοῦ Πελαγίου διὰ τὸ γεγενῆσθαι πλημμύραν μεγάλην, καὶ συρῆναι ὑπ' αὐτῆς εἰς τὴν θάλασσαν ὄφεις καὶ ἄλλα ἰοβόλα ζῶα, καὶ εἶτα ῥιφθῆναι ταῦτα ὑπὸ τῆς θαλάσσης εἰς τοὺς αἰγιαλοὺς, ἔλαβεν ὁ Ἀὴρ σῆψιν, ἐξ ἧς προὐξενήθη λοιμικὴ νόσος καὶ μέγα θανατικὸν, μάλιστα δὲ καὶ ἀλλόκοτον, καθότι οἱ ἄνθρωποι περιπατοῦντες καὶ καθήμενοι ἀπέθνησκον ἐξαίφνης μόνῳ πταρμῷ, ὅστις δὲ πταρνύμενος οὐκ ἀπέθνησκεν, εἶχον τοῦτο διὰ θαῦμα, ὅθεν καὶ ἐξ ἐκείνου εἴθισται λέγεσθαι εἰς τὸν πταρμὸν, ὑγίειαν. καὶ ὑπὸ τούτου ἀπέθανε καὶ ὁ Πάπας οὗτος Πελάγιος πρῶτος ἁπάντων, ὡς Πλοῦδος ὁ Φλάβιος ἐν τῇ πρώτῃ δεκάδι τῶν ἱστοριῶν, βιβλίῳ ὀγδόῳ, καὶ ὁ Πλάτινας. Ὁ φιλαναγνώστης ἰδέτω περὶ τούτων πλατύτερον Γρηγόριον Τουρονένσην, Μαριανὸν, Σιγιβέρτον, καὶ τὸν Σαβέλικον ἐν τῇ ὀγδόῃ ἐννεάδι, βιβλίῳ πέμπτῳ, ὅστις λέγει, διὰ ἐκείνης τῆς πλημμύρας τῶν ὑδάτων συμβέβηκε σκεπασθῆναι ὑπὸ τοῦ πηλοῦ ὅλας τὰς ῥίζας, καὶ οὐκ ἐδύναντο ἀναφυῆναι, μήτε τὴν ξηρὰν ἐδύναντο τελείως οἱ ἄνθρωποι ἐργάσασθαι, τῶν ὑδάτων καὶ τῆς ἰλύος ἐπικρατούντων τὰ πάντα, καὶ οὕτως ἐγένετο μεγάλη πεῖνα, καὶ τὸ θανατικὸν εἰς τὴν Ἰταλίαν. περὶ δὲ τοῦ θανατικοῦ τούτου σημειοῖ λεπτομερέστερον Σουφρίδιος ὁ Πρεσβύτερος ὁ Μιζνίσιος ἐν τῷ πρώτῳ βιβλίῳ τῆς ἐπιτομῆς αὐτοῦ, ὅτι ἐκαλεῖτο γονατῶδες, καθότι ἦν ἀπόστεμα ἐν τῷ γόνατι τόσον κακὸν, ὥστε τοὺς ἀνθρώπους εἰς τὴν στράταν, εἰς τὴν τράπεζαν, εἰς τὰ παίγνια, καὶ εἰς τὰς συνομιλίας εὐθὺς ἀποθνήσκειν, καὶ ἔτι τῷ πταρμῷ συνεξέρχεσθαι καὶ τὴν ψυχὴν τοῦ ἀνθρώπου. ταῦτα περὶ τῆς τελευτῆς τοῦ Πελαγίου, ἐξειλημμένα ἀπὸ τῶν περὶ αὐτοῦ ὑπομνημάτων. ἦν δὲ ὁ Πελάγιος ὅσιος καὶ ἅγιος ἄνθρωπος, καὶ εἰ ἀπέθανε τοιούτῳ θανάτῳ, ὅμως οὐκ ἔστιν ἐκ τῶν ἀνομοίων ἐκείνοις οἷς συναπέθανον καὶ ἄλλοι πολλοὶ ἔνδοξοι καὶ καλοῦ βίου ἄνθρωποι, καὶ μάλιστα ἅγιοι μάρτυρες, ὡς φαίνεται εἰς τὰ μαρτυρολόγια. εἰ δὲ καὶ αἰφνιδίως ἀπέθανεν, ἀλλὰ καὶ τὰ παιδία τοῦ Ἰὼβ δίκαια ὄντα ἐξαίφνης ἀπέθανον, ὅθεν ῥητέον τὸ τοῦ ἁγίου Αὐγουστίνου, οὐκ ἔστι νομίζειν κακὸν θάνατον, οὗτινος ἀγαθὸς βίος προηγεῖτο, διότι οὐ ποιεῖ κακὸν θάνατον, εἰμὴ ὅσα ἀκολουθεῖ τῷ θανάτῳ. καὶ οὐκ ἔστι πρέπον ἵνα πολυφροντίζωμεν περὶ ἐκείνων οἱ μέλλουσι θνήξεσθαι ὁποίῳ τρόπῳ ἀποθνήσκουσιν, ἀλλ' ἵνα πολυφροντίζωμεν ἀποθνήσκοντες, πῶς διάζονται ἀπέρχεσθαι. οἱ γὰρ Χριστιανοὶ γινώσκουσι καλλίονα εἶναι ἐκεῖνον τὸν θάνατον τοῦ ὁσίου πτωχοῦ, οὗτινος ἔγλυφον τὰς πληγὰς οἱ κύνες, τοῦ θανάτου τοῦ ἀνοσίου πλουσίου, τοῦ ἀποθανόντος ἐν τῇ πορφύρᾳ καὶ τῷ βύσσῳ. ταῦτα ὁ Αὐγουστῖνος βιβλίῳ πρώτῳ περὶ πόλεως Θεοῦ, κεφαλαίῳ ἑνδεκάτῳ. ὅρα τοῦ αὐτοῦ ὁμιλίᾳ ἐν ψαλμῷ τριακοστῷ τρίτῳ περὶ τὸ τέλος, ἐν ἐκείνῳ τῷ ἐδαφίῳ, θάνατος ἁμαρτωλῶν πονηρὸς, καὶ τῆς σοφίας κεφαλαίῳ τετάρτῳ, ἐδαφίῳ ἑβδόμῳ λεγούσης, δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται, καὶ τὰ ἑξῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι Πάπαις, Πατριάρχαις καὶ Μητροπολίταις ἔθος, ἔχειν παρὰ τῇ βασιλείᾳ Ἀποκρισιαρίους, καὶ περὶ τοῦ Γρηγορίου Διαλόγου τοῦ Ἀποκρισιαρίου τοῦ Ῥώμης Πελαγίου, καὶ ἐν τῇ μετὰ τοῦ Κωνσταντινουπόλεως Εὐτυχίου

διαλέξει

διαλέξει ψηλαφητὴν μετὰ τὴν ἀνάστασιν κατὰ ὡριγένη τὴν σάρκα τοῦ Κυρίου φρονεῖν ὀφθέντος, καὶ διορθωθέντος ὑπὸ τοῦ Εὐτυχίου, καὶ καύσαντος καὶ ὃ συνέγραψε περὶ ἀναστάσεως βιβλίον.

Εἴρηται ὅτι ἦλθεν ὁ Διάλογος ἀποκρισιάριος τοῦ Πελαγίου, καθότι ἦν συνήθεια τῶν Παπῶν ἀποστέλλειν τοὺς Διακόνους αὐτῶν Ἀποκρισιαρίους εἰς τοὺς Αὐτοκράτορας ὡς μυστικωτέρους τῶν λοιπῶν ἄλλων τῆς αὐλῆς αὐτῶν. ὅτι ὅμως καὶ οἱ λοιποὶ Πατριάρχαι εἶχον ἀεὶ Ἀποκρισιαρίους εἰς τὴν βασιλείαν, φανερόν ἐστι, καὶ γὰρ ἡ πρώτη διάταξις τοῦ πρώτου Τίτλου τῶν Νεαρῶν λέγει περὶ τῶν ἐπιδημούντων εἰς Κωνσταντινούπολιν Μητροπολιτῶν καὶ Ἐπισκόπων, ἔξεστι δὲ αὐτοῖς καὶ διὰ τῶν Ῥαιφερενδαρίων τῆς μεγάλης Ἐκκλησίας, καὶ διὰ τῶν Ἀποκρισιαρίων τῶν Πατριαρχῶν τὰ αὐτὰ ἀναφέρειν τῷ Βασιλεῖ. καὶ ὁ Ἀνατόλιος ἦν τοῦ Διοσκόρου Ἀποκρισιάριος εἰς τὸν Βασιλέα, καὶ ἐν τῇ ἐπὶ Μηνᾷ Συνόδῳ ἦσαν οἱ Ἀποκρισιάριοι τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς, καὶ μὴν καὶ Μητροπολῖται εἶχον Ἀποκρισιαρίους τοὺς Ἐξάρχους λεγομένους, ὡς ἦν ἐπὶ Ἰουστινιανοῦ ὁ χρηματίσας Κωνσταντινουπόλεως Εὐτύχιος τοῦ Ἀμασείας Ἀποκρισιάριος, καὶ ἄλλοι πολλοί, οὓς διὰ τὴν ἐπιτομὴν ἀφήκαμεν. καὶ λοιπὸν ἀπελθὼν εἰς τὴν Κωνσταντινούπολιν ὁ Γρηγόριος, διηλέχθη μετὰ τοῦ Εὐτυχίου Κωνσταντινουπόλεως, ὅστις Γρηγόριος συνεγράψατο πρότερον ἓν βιβλίον περὶ ἀναστάσεως τῶν νεκρῶν, ἐκεῖ ὅμως λεληθότως ἐξέκλινεν εἰς τὴν γνώμην τοῦ Ὡριγένους, πῶς ἡσαρξ ἐκείνη οὐκ ἔσεται ψηλαφητή; ὅθεν ὕστερον διδαχθεὶς, καὶ μεταμεληθεὶς, ἔκαυσεν ὅλον τὸ βιβλίον, καὶ πάλιν ἐγένετο ὁ Ἥλιος ὁλόφωτος, ὁ παρ' ὀλίγον ἐκκλίνας εἰς τὴν Δύσιν. τὸ μεῖζον δὲ ἐπιχείρημα ὃ προέβαλεν ὁ Γρηγόριος πρὸς τὸν Εὐτύχιον ἦν ἐκεῖνο τοῦ Κυρίου, εἰπόντος πρὸς τὸν Λουκᾶν καὶ Κλεώπαν, ἴδετε τὰς χεῖράσμου καὶ τοὺς πόδασμου, ὅτι αὐτὸς ἐγώ εἰμι, ψηλαφήσατέμε καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ τὰ ἐφεξῆς, ναὶ, ναὶ, ἔφασκεν ὁ Εὐτύχιος, ἀλλ' εἰ ἐστὶ λεπτὸν καὶ ἔνδοξον τὸ ἐγηγερμένον σῶμα, πῶς δύναται εἶναι καὶ ψηλαφητόν; ἀπεκρίνετο αὐτῷ ὁ Γρηγόριος, ὅτι οὐκ ἀπόλλυσι τὰς διαθέσεις αὐτοῦ τὰς φυσικὰς, τὴν τραχύτητα, τὴν σκληρότητα, τὴν χαυνότητα, τὴν πυκνότητα, τὸ δὲ ψηλαφώμενον ἐστὶ σημεῖον τοῦ εἶναι συντεθειμένον ἐκ τῶν τεσσάρων στοιχείων, καὶ ἐξ ἐναντίων ποιοτήτων πεποιημένον, ὅθεν καὶ μετὰ τὴν ἀνάστασιν εἰ καὶ ἐστὶ τὸ σῶμα δεδοξασμένον, ὅμως καὶ ψηλαφᾶται, καίπερ ἀεὶ ἄφθαρτον καὶ ἀδιάφθορον, οὐχὶ δὲ ἄποιον καὶ ἀερώδες, ἀλλὰ μόνον λεπτὸν καὶ φωτεινὸν, καὶ ταῖς πέντε αἰσθήσεσιν ὑποκείμενον, ὁράσει, ἁφῇ, ἀκοῇ, ναὶ μὴν καὶ φωνῇ, καὶ μορφῇ, καὶ προσώπῳ, καὶ σχήματι, καὶ περιπατήματι, ἐξ ὧν ἐγνώσθη ὁ Χριστὸς τοῖς Ἀποστόλοις αὐτοῦ ταῖς ἐνδεκάκις ἐμφανείαις αὐτοῦ καὶ φανερώσεσιν ὅτι ἀνέστη τριήμερος. Ὁ φιλαναγνώστης ἰδέτω περὶ τούτου τὸ εἰκοστὸν τέταρτον τῶν ἠθικῶν τοῦ Διαλόγου. καὶ ἐπὶ τῆς ἑβδόμης Συνόδου ἐν τῇ ἕκτῃ πράξει τόμῳ τετάρτῳ λέγει ὁ Διάκονος Ἐπιφάνιος, ἆρα οὖν οἱ πρὸς οὓς ὁ λόγος ἄσαρκον αὐτὸν τεθέανται Λόγον ἀναφοιτῶντα πρὸς τὸν Πατέρα, ἤγουν ἀποβεβληκότα τὴν πρὸς ἡμᾶς ὁμοίωσιν, καὶ οὐκ ὄντα μὲν ἐν ἁπτῷ τε καὶ ὁρατῷ σώματι, μετεσκευασμένον δὲ μᾶλλον εἰς ἀναφῆ τε καὶ ἀόρατον φύσιν; εἶτα τὶς ὁ φάναι τοῦτο τολμῶν; εἰ δὲ οὕτως ἐλεύσεται καθὰ καὶ ἀνέβη, πῶς οὐκ ἀληθὲς εἰπεῖν, καὶ τὰ ἑξῆς. ὁ λόγος δὲ οὗτος τοῦ Κυρίλλου καὶ τοῦ Χρυσοστόμου ἐστὶ, καὶ ἴδε τὸν τόπον ἐκεῖ. ἔτι ἴδε τὴν Σάκραν τοῦ μεγάλου Ἰουστινιανοῦ πρὸς τὸν Κωνσταντινουπόλεως Μηνᾶν, καὶ τὸ πρόγραμμα αὐτοῦ πρὸς τὸ πλήρωμα τῆς καθολικῆς Ἐκκλησίας. ἐν τούτοις, ἐξέλιπε τοῦ βίου καὶ ὁ Ἀπολινάριος ὁ τῆς Ἀλεξανδρέων Ἐκκλησίας ἐλεημονικώτατος πρόεδρος, καταλιπὼν πᾶσι τοῖς Ἀρχιερεῦσι μίμησιν καὶ παράδειγμα τοῦ πῶς δύνασθαι κυβερνηθῆναι τοὺς δυστυχήσαντας παῖδας τῶν Ἀρχόντων, καὶ ἴδε τὸ πνευματικὸν τοῦ ἡμετέρου Σωφρονίου Λειμωνάριον.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς κοιμήσεως τοῦ Πελαγίου Ῥώμης, καὶ τῆς Γρηγορίου τοῦ Διαλόγου Ἀρχιερατείας, καὶ ἐπιστολῆς αὐτοῦ πρὸς Ἀναστάσιον Ἀντιοχείας, καὶ τῆς τούτου πρὸς αὐτὸν, καὶ περὶ τῆς φιλονεικίας αὐτοῦ τοῦ Γρηγορίου καὶ Ἰωάννου τοῦ Νηστευτοῦ διὰ τὴν οἰκουμενικὸς προσηγορίαν.

Κοιμηθέντος τοῦ Πελαγίου, ἡ Σύνοδος καὶ ὁ Κλῆρος Ῥώμης ἐψηφίσαντο Ἐπίσκοπον Ῥώμης τὸν Διάλογον. αὐτὸς ὅμως φοβούμενος τὸ μέγεθος τοῦ ἀξιώματος, ἔπεμψε γράμματα εἰς τὸν Αὐτοκράτορα Μαυρίκιον, ἵνα ἀκυρώσῃ τὴν ψῆφον τοῦ λαοῦ τοῦ ψηφισαμένου αὐτὸν Πάπαν, ὁ Ἔπαρχος ὅμως ἀναγνοὺς τὰ γράμματα, ἔσχισεν αὐτὰ, καὶ ἔγραψεν ἄλλα τῷ Βασιλεῖ ἐκ προσώπου τοῦ Γρηγορίου, ἵνα κυρώσῃ τὴν ψῆφον. λαβὼν οὖν ὁ Αὐτοκράτωρ τὰ γράμματα, καὶ περιχαρὴς γενόμενος, ἀπέστειλε τοὺς ἐνθρονίσοντας τὸν Γρηγόριον. ἐγένετο δὲ ταῦτα τῷ πέμπτῳ ἔτει τῆς βασιλείας Μαυρικίου. τότε καὶ ὁ Σιναΐτης Ἀναστάσιος, ἀποθανόντος τοῦ Γρηγορίου, ἐπανῆλθεν εἰς τὸν θρόνον Ἀντιοχείας, ᾧ τινι Ἀναστασίῳ ὁ μὲν Διάλογος συνεχάρη διὰ θαυμασίας ἐπιστολῆς, ὡς εἴρηται, ὁ δὲ Ἀναστάσιος ἔπεμψεν αὐτῷ τῷ Διαλόγῳ Γρηγορίῳ ὀλίγον ῥίνημα ἀπὸ τῶν ἁλύσεων τοῦ ἁγίου Πέτρου δῶρον ἔνδον εἰς μίαν κλεῖδα ἀργυρᾶν ἐσφραγισμένην. ὅμως μετὰ τοῦ Νηστευτοῦ

Νηστευτοῦ Ἰωάννου ἦλθεν εἰς φιλονεικίαν ὁ Γρηγόριος διὰ τὴν καινοτομίαν τοῦ Οἰκουμενικὸς Τίτλου, ὡς ῥηθήσεται.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ πότε καὶ παρὰ τίνων ἐχριστιάνισαν οἱ Βρεττανοὶ καὶ Σκότοι, καὶ τῆς περὶ αὐτῶν τούτων διαφορᾶς τῶν Ἱστορικῶν, καὶ περὶ τοῦ Ἀββᾶ Κολουμβάνου τοῦ ἐν τῇ Σχὴ Νήσῳ κτίσαντος Μονὴν, καὶ ὧν ἔπραξεν εἰς Σκοτείαν καὶ Πικτείαν, καὶ τίνι τρόπῳ τὴν τῶν Ἐπισκόπων πρὸς αὐτὸν ὑποταγὴν ἐκληπτέον.

Ἀναστάσιος ὁ βιβλιοθηκάριος γράφει, ὅτι ἐπὶ τοῦ Διαλόγου ἐχριστιάνισαν οἱ Ἐγκλέζοι, εἷς ἀπέστειλεν ὁ Διάλογος Αὐγουστῖνον, Μελίτωνα καὶ Ἰωάννην καὶ ἐδίδαξαν αὐτοὺς, ὡς λέγει καὶ ὁ Βέδας εἰς τὸ χρονικὸν αὐτοῦ. ἦν δὲ εἰς Νῆσον καλουμένην Σχὴ Μοναστήριον, ὅπερ ἔκτισεν ὁ ἀπὸ Ἰβερνίας Ἀββᾶς Κολουμβᾶνος, καὶ ἐκεῖθεν ἀπέστειλαν οἱ Σκότοι καὶ ἐχριστιάνισαν τοὺς Ἐγκλέζους εἰς τὸ πεντακοσιοστὸν ἑξηκοστὸν πέμπτον ἔτος ἀπὸ Χριστοῦ, καὶ ἐξ ἐκείνου ἡ Νῆσος Σχὴ ὠνομάσθη τοῦ Κολουμβάνου, ὡς λέγει ὁ Βέδας εἰς τὸ χρονικὸν αὐτοῦ βιβλίῳ τρίτῳ κεφαλαίῳ τρίτῳ, καὶ ἐπιλέγει, ὅτι ὁ Ἀββᾶς ἐκεῖνος τοιοῦτος ἦν, ὥστε καὶ εἰς ὅλην τὴν Σκοτείαν καὶ Πικτείαν καὶ Ἐκκλησιῶν καὶ Μοναστηρίων προΐστατο. ἐν δὲ τῷ τετάρτῳ κεφαλαίῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας τῶν Ἐγκλέζων λέγει ὁ αὐτὸς, ὅτι εἶχεν ἡ Νῆσος καθεξῆς Ἡγούμενον Πρεσβύτερον, ᾧ ὑπετάσσοντο καὶ οἱ Ἐπίσκοποι τῆς Ἐπαρχίας, διὰ τὸ ὑπάρξαι τὸν Κολουμβᾶνον Πρεσβύτερον καὶ μὴ Ἐπίσκοπον. ἐννοεῖται δὲ ἡ ὑποταγὴ (ἐὰν μὴ ᾖ ὁ λόγος παρέγγραπτος καὶ πλασματώδης) καὶ κυβέρνησιν χρειῶν τινῶν, οὐμὴν καὶ ἐσχήκεναι ἐκεῖνον τὸν Πρεσβύτερον τῷ Ἐπισκοπικῷ ἀξιώματι ἰσότητα τινὰ, ἤτουν ὑπεροχὴν εἰς ἐκκλησιαστικὴν ἐνέργειαν. θέλουσι δὲ τινὲς, ὡς καὶ Ἰωάννης ὁ Λεσλέος Ἐπίσκοπος Ῥωσάτου βιβλίῳ τρίτῳ τῶν πρακτικῶν τῶν Σκότων, Δονάλδον τὸν πρῶτον Βασιλέα τῶν εἰκοσιεπτὰ Βασιλέων τῶν Σκότων δέξασθαι τὸ βάπτισμα σὺν τοῖς Ἄρχουσιν αὐτοῦ εἰς τὸ διακοσιοστὸν τρίτον σωτήριον ἔτος, καθὼς εὑρίσκονται εἰς τὸ μνῆμα Ἰσδοναλδιανοῦ στίχοι τινὲς λέγοντες, ὅτι μετὰ τὸ παρελθεῖν ἀπὸ Χριστοῦ ἔτη διακόσια τρία ἡ Σκοτεία ἔλαβε τὴν πίστιν. ταῦτα καὶ Τερτουλλιανὸς μαρτυρεῖ που, ὃς ἦν κατ' ἐκείνους τοὺς καιρούς. Γίλδος δὲ ὁ λεγόμενος σοφὸς βιβλίῳ περὶ τῆς καταστροφῆς τῶν Βρεττανῶν λέγει, ὅτι ἀπὸ τοῦ καιροῦ τῶν Ἀποστόλων ἐδέχθησαν τὴν πίστιν οἱ Βρεττανοί. καὶ δὴ καὶ ὁ Κάλλιστος βιβλίῳ εἰκοστῷ, κεφαλαίῳ τεσσαρακοστῷ λέγει, ὅτι Σίμων ὁ Ζηλωτὴς ἐχριστιάνισε διδάξας Βρεττανίαν καὶ τὰς περιξ αὐτῆς Νήσους. καὶ Ἰακώβος ὁ Παμμέλιος εἰς τὸ κατὰ Ἰουδαίων βιβλίον τοῦ Τερτουλλιανοῦ, κεφαλαίῳ ἑβδόμῳ, σημειώσει τεσσαρακοστῇ τρίτῃ διηγεῖται ὡς ἀπὸ μέρους τοῦ Πολυδώρου, ὅτι ἐθεμελίωσε τὴν Ἐκκλησίαν τῶν Βρεττανῶν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, περὶ οὗ εἴπομεν ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ πρώτου βιβλίου. καὶ ὁ Βαρώνιος εἰς τὸ δέκατον πέμπτον ἔτος περὶ τῶν Ἐγκλέζων συμμαρτυρεῖ μου τῷ λόγῳ γράφων, ὅτι αὐτὸς ὁ Ἰωσὴφ ἀπὸ τῆς Φράντζας ἔπλευσεν εἰς Βρεττανίαν, καὶ ὅτι ἐκεῖ ἀπέθανεν. εἰ δὲ λέγει Ἰωάννης ὁ Λεσλέος διακόσια τρία ἔτη, ὅμως λέγει καὶ παλαιότερα, καὶ ὅτι εἶχεν ὁ Ἰωσὴφ τὸν θρόνον αὐτοῦ εἰς τὸ κάστρον τῆς Γλασηβουρίας ἐν ᾧ καὶ ἐτάφη. ὁ δὲ Μεταφραστὴς λέγει ἐν τῇ περιηγήσει καὶ τῷ μαρτυρίῳ Πέτρου καὶ Παύλου τῶν Ἀποστόλων, ὅτι ὁ μακάριος Πέτρος ἀπεδήμησεν ἀπὸ Ῥώμης εἰς Βρεττανίαν, κἀκεῖθεν ἐπανελθὼν εἰς Ῥώμην ἐμαρτύρησεν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς ἄκρας φιλίας Γρηγορίου Διαλόγου καὶ Λεάνδρου Ἱσπάλου, καὶ τῶν ἡδίστων ἠθικῶν τοῦ Διαλόγου, καὶ περὶ τοῦ Βασιλέως Πισιγότθων Λεβιγίλδου, καὶ τῶν υἱῶν αὐτοῦ Ἑρμηνιγίλδου καὶ Ῥεκαρέδου, καὶ τῆς πρὸς τὴν ὀρθοδοξίαν ἐπιστροφῆς Λεβιγίλδου, καὶ δι' αὐτοῦ τῶν Πισιγότθων, καὶ τῆς δι' οἰκονομίαν συγχωρηθείσης αὐτοῖς παρὰ τοῦ Διαλόγου ἐν μιᾷ καταδύσει βαπτίσεως, ἐξ ἧς ἐθισθέντες οἱ Λατῖνοι, ὑπέπεσον μυρίαις καινοτομίαις, ὧν μία καὶ τὸ ῥαντισμῷ ἀβαπτίστως βαπτίζεσθαι εἰς ἀθέτησιν τοῦ Μυστηρίου τοῦ βαπτίσματος.

Ὁ Διάλογος ὅτε ἦλθεν εἰς Κωνσταντινούπολιν, εὗρε Λέανδρον τὸν Ἐπίσκοπον τῆς Ἱσπάλου, καὶ ἐποίησε μετ' αὐτοῦ ἐκείνην τὴν ἁγιωτάτην φιλίαν, ἥτις διέμεινε σταθηρῶς μέχρι τέλους τῆς ζωῆς αὐτῶν. ἀπὸ παρακινήσεως τοῦ Λεάνδρου συνέγραψεν ὁ Γρηγόριος τὸ θαυμαστὸν ἐκεῖνον ἔργον, ἤτοι τὰ ἠθικὰ εἰς τὸ βιβλίον τοῦ Ἰὼβ, ὅπερ ἐπανελθὼν εἰς Ῥώμην, ἔπεμψε τῷ Λεάνδρῳ, ἀπελθόντι κἀκείνῳ εἰς Ἱσπανίαν. λέγει δὲ ὁ αὐτὸς, γράφων πρὸς Λέανδρον βιβλίῳ πρώτῳ τῶν ἐπιστολῶν, ἐπιστολῇ τεσσαρακοστῇ πρώτῃ, ὅτι τὸ βιβλίον τὸ ἠθικὸν ἔγραψε διὰ τὴν ἀγάπην αὐτοῦ, καὶ εἰς τὴν πρὸς αὐτὸν ἐπιστολὴν, ἥτις κεῖται ἐν ἀρχῇ τῶν ἠθικῶν, λέγει πρὸς τοῖς ἄλλοις σοφῶς καὶ ἁγίως ῥηθεῖσιν, ὅτι ἡθεία γραφὴ ὥσπερ ἐν τοῖς Μυστηρίοις τοὺς φρονίμους ἐξασκεῖ, οὕτως ὡς τὰ πολλὰ τοὺς ἁπλοῦς ζωπυρεῖ, τοὺς νηπίους τρέφει, τοὺς νόας τῶν ψυχῶν ἐν ἐκπλήξει ἐξεγείρει. οἷον εἰπεῖν ἐστὶν ὡς ποταμὸς κατ' ἐπιφάνειαν καὶ κατὰ βάθος, ἐν ᾧ καὶ ὁ Ἀμνὸς ὁδεύει, καὶ ὁ Ἐλέφας πλεῖ. εἰσὶ δὲ τὰ ἠθικὰ ταῦτα τόπον ἡδέα, ὥστε πέμψαντος αὐτὰ τοῦ Γρηγορίου Θεολίνδα

Ῥηγίσσῃ

Ρήγισσῃ Λογγιβαρδων, δύλαβεῖ ὔσῃ, καὶ εἰρήνης ἀναμιμνησκούσης ταῦτα τῷ ἀνδρὶ αὐτῆς, ἡμερῶθαι πρὸς ἀγελότητα αὐτῆ. σημείωσαι δὲ ἐνταῦθα τὸ τῦ Πλάτωνα, ὅτι ὁ Διάλογος ὅσα συνέγραψεν, ἐδοκίμασεν αὐτὰ συνόδῳ ἑκοσιτεσσάρων Ἐπισκόπων. εἶτα συλλογιστέον, εἰ συνόδου μερική ὑπερέχει τῦ Πάπα, μᾶλλον ὑπερέχει αὐτῆ καὶ πάντων ἡ Οἰκουμενική. τῦ Λεάνδρου διδασκόντος τὴν ἰσπανικὴν Ἐκκλησίαν, Λεβιγίλδος ὁ Βασιλεὺς τῶν Πισιγότθων ἐβασίλευσεν ἐκεῖ, ἦν δὲ Ἀρειανὸς, ἔσχε δὲ υἱὸς δύο Ἐρμενιγίλδον καὶ Ῥεκαρέδον. τῷ Ἐρμενιγίλδῳ ἔδωκεν εἰς γυναῖκα ὁ Βασιλεὺς τῶν Φράγγων Χιλδεβέρτος τὴν ἀδελφὴν αὐτῦ ὀρθόδοξον ὖσαν, ἧς τῇ συνδιαιτήσει, καὶ ταῖς διδαχαῖς τῦ Λεάνδρου ὁ Ἑρμενιγίλδος προσῆλθε τῇ καθολικῇ πίστει. ὁ δὲ Λεβιγίλδος ἔπεισεν ὑποχέσεσι καὶ ἀπειλαῖς μεταφέρειν αὐτὸν εἰς τὸν Ἀρειανισμὸν, ἀλλ' ὁδὸν ἴσχυσε μαλάξαι τὸν Ἀδάμαντα, ἔπεμψεν ὁ Ἑρμενιγίλδος τὸν Λέανδρον εἰς τὸν μέγαν Ἰουστινιανὸν πρὸς βοήθειαν, ἀλλ' ὁ πατὴρ αὐτῦ Λεβιγίλδος ὑστέρησεν αὐτὸν τῆς βασιλείας, καὶ δεσμεύσας μάλα ἰσχυρῶς, ἔθετο ἐν φυλακῇ, κἀκεῖσε ἔπεμψε κατὰ τὴν ἑορτὴν τῦ Πάσχα τῶν Ἀρειανῶν τὸν Ἐπίσκοπον, ἵνα μεταβάλῃ αὐτὸν, καὶ μὴ δυνηθέντος τῦ Ἐπισκόπου μεταβαλεῖν αὐτὸν, ἔπεμψε καὶ ἀπέκτεινον αὐτὸν, παταχθέντα κατὰ κεφαλῆς πελέκει. μεταταῦτα μετανοήσας ὁ Λεβιγίλδος, ἔδωκε τῷ Ῥεκαρέδῳ τὴν βασιλείαν, ἢ παρέδωκεν αὐτὸν τῷ Λεάνδρῳ πρὸς μάθησιν. ἐξ οὗπερ ἀποθανόντος, ἔλαβε πάλιν τὴν βασιλείαν ὁ Λεβιγίλδος, ὅστις ὅτε ὀρθοδόξησε προσήνεγκε τῇ καθολικῇ πίστει τὸν υἱὸν αὐτῦ Ῥεκαρέδον, καὶ ὅλον τὸν ὄντα τῇ Ἱσπανίᾳ γένος τῶν Πισιγότθων. ταῦτα ἴδε ἐν τῷ Μηνολογίῳ Νοεμβρίῳ πρώτῃ. διηγεῖται δὲ ταῦτα καὶ ὁ Γρηγόριος βιβλίῳ πρώτῳ τῶν Διαλόγων, κεφαλαίῳ τριακοστῷ πρώτῳ, καὶ ἐν τῇ πρὸς Λέανδρον ἐπιστολῇ τῇ πρὸ τῶν ἠθικῶν, καὶ Γρηγόριος ὁ Τουρωνόσιος βιβλίῳ πρώτῳ τῶν ἱστοριῶν τῶν Φράγγων, κεφαλαίῳ τριακοστῷ ὀγδόῳ, καὶ ἀλλαχῦ, καὶ ἕτεροι ἱστορικοὶ πολλοί. διέκειτο δὲ αὖτη ἡ ἐπιστροφὴ τῶν Πισιγότθων εἰς τὴν ἀσέβειαν ἐν ταῖς πράξεσι τῆς ἐν Τολέτῳ τρίτης Συνόδου, καὶ βιβλίῳ πρώτῳ τῶν ἐπιστολῶν, ἐπιστολῇ τεσσαρακοστῇ πρώτῃ. εἰς ταύτην τὴν ἐπιστροφὴν τῶν Πισιγότθων εἰς τὴν ὀρθοδοξίαν τί συμβέβηκε; ἵνα πιστώσωμαι καὶ ὁμολογήσωμεν τὸ Ὁμοούσιον τῆς ἁγίας Τριάδος, ἐβάπτιζον αὐτὸς εἰς μίαν κατάδυσιν. ἔπεσε τὸ πρᾶγμα εἰς δόξαν, καὶ ἠρώτησαν τὸν Διάλογον Γρηγόριον, ἐὰν ἔχῃ τὸ ἀξιόλογον τὸ τοιοῦτον βάπτισμα, καθότι ὅλοι ἡμεῖς βαπτίζομεν εἰς τρεῖς καταδύσεις καὶ ἀναδύσεις διὰ τὸ τελέσαι τὸ Κυρίου καὶ ἀνάστασιν, ἐπειδὴ καὶ ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτῦ ἐβαπτίσθημεν. ἀπεκρίθη αὐτοῖς ὁ Γρηγόριος, ὅτι κωλύει γίνεσθαι εἰς μίαν κατάδυσιν, εἰ σκοπὸς ἐστὶ διὰ τὸ Ὁμοούσιον πίστιν κηρύξαι, διότι καὶ ἡ Τριὰς ἐν Μονάδι δοξάζεται, μάλιστα ἵνα μὴ γένηται διαίρεσις τῶν προσώπων ταῖς τρισὶ ταύταις καταδύσεσι, καὶ χωρισμὸς τῆς Θεότητος εἰς τὸ μεῖζον καὶ ἔλαττον, γινέσθω, εἶπε, τὸ βάπτισμα εἰς μίαν κατάδυσιν, καὶ οὐχ ὅλιγον τὸ βάπτισμα τὸ γινόμενον εἰς τρεῖς καταδύσεις ἐστὶ κακὸν, ἀλλ' ὅτι καὶ εἰς τὰ καλὰ οὐκ ἔχομεν ὅλως συγκοινωνεῖν τοῖς Ἀρειανοῖς, διὸ καὶ αὐτοὶ πάντοτε καθ' ἑαυτὸς βασάζουσι τὸν κακὸν αὐτῶν γνώμην, καὶ τὸν πονηρὸν σκοπὸν κρυφίως. τῦτο ὅμως τὸ ἔργον τῆς οἰκονομίας γέγονε μεγάλων κακῶν αἰτία, καθότι ἐθισθέντες οἱ Λατῖνοι συγχωρεῖν τὰ τοιαῦτα χωρὶς γνώμης τῆς καθόλου Ἐκκλησίας, ὑπέπεσον εἰς μυρίας καινοτομίας, ἐξ ὧν αἰτίων καὶ ἡ προσθήκη εἰς τὸ κοινὸν Σύμβολον. εἶτα τὸ βάπτισμα τὸ παραδοθὲν ὑπὸ τῶν Ἀποστόλων καὶ ἁγίων πατέρων ἀπαυτεῖ τρεῖς καταδύσεις, καὶ τρεῖς ἀναδύσεις, καὶ κινδυνεύει εἶναι ἀβάπτιστος ὁ μὴ οὕτω βαπτιζόμενος χωρὶς ἀναγκαίας αἰτίας. ὅθεν οἱ Λατῖνοι ποιοῦντες αὐτὸ ἐμπαθισμῷ, καθ' ὃν ἐκλείπουσιν ἀπὸ καταδύσεις καὶ αἱ ἀναδύσεις, θανασίμως ἁμαρτάνουσι. καὶ διατῦτο ἔλεγον εἰς τὸν φλωρεντινὸν σύλλογον, ὡς ἱερεῖ ὁ Ἐκκλησιάρχης, ὁ μέγας Πρωτοσύγκελλος, διαλεγόμενος μετὰ τῶν Λατίνων, ὅτι τὸ Λατίνους κινδυνεύει εἶναι ἀβάπτιστος. καὶ εἰ λέγει ποτὲ ἵνα συσκήσῃ ὡς ἔυλογον τῦτο τὸ ἄπρεπον ἀνόμημα ἡ Ταρτάρια φυσικοῖς συλλογισμοῖς καὶ ἀληθέσι, καὶ νεωτερικαῖς μαρτυσιν, ὅμως ὁ Αὐγεστῖνος ἀπροσδιόνυσος ἑκατοστῇ δεκάτῃ οὐδόμῃ λέγει, χρὴ πιστεῦσαι, ὅπερ ποιεῖ πᾶσα ἡ Ἐκκλησία. ἔπειτα οὐκ ἁρμόζει τὸ σὺν ὥρᾳ ἀνάγκης οἰκονομούμενον ἔχειν τὸ κῦρος, ἃ γὰρ Νόμος τὸ σπάνιον καὶ κατὰ τὸν Θεολόγον, ἐπὶ καὶ ὁ Παῦλος περιέτεμε τὸν Τιμόθεον, καὶ ἁγνισθεὶς εἰς Ἱερουσαλὴμ, προσήυχετο μετὰ τῶν κυριακτόνων εἰς Ἱερουσαλὴμ, Γαλάταις δὲ γέγραφε, ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐκ ὠφελήσει. ἴδε Εὐλόγιον Ἀλεξανδρείας φατῖς ἀναγνώσει Δ΄ κοσιοστῇ ἑκτῇ περὶ οἰκονομίας, καὶ ὅτι ὁ Νόμος τὸ σπάνιον οὐκ ἔτι λοιπὸν τὸ σπάνιον Νόμος, ἀλλὰ τὰ κοινῶς διωρισμένα ἐνεργεῖσθαι, ὅτι εἰς ὥραν ἀνάγκης καὶ πασμικοὶ καὶ γυναῖκες βαπτίζουσιν, ὡς καὶ ὁ μέγας Ἀθανάσιος νεανίσκον ὤν, ἐβάπτισε, καὶ ἐδέξατο ἐκεῖνο τὸ βάπτισμα ὁ Ἀλεξανδρείας Ἀλέξανδρος, ἀμὴν τῦτο μόνον, φησὶ δυνατὸν, ἐπειδὴ ἡ Ἐκκλησία ὑπεργὸν τὸν Ἱερέα τὸ Μυστηρίου διώρισον εἶναι, καὶ γὰρ τὸν Βασίλειον εἰς τὸ ὀκτὸν ἕβδομον κεφάλαιον πρὸς Ἀμφιλόχιον, τῶν ἐν τῇ Ἐκκλησίᾳ δογμάτων καὶ κηρυγμάτων τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας, τὰ δὲ ἐκ τῆς τῶν Ἀποστόλων παραδόσεως δεδομένα ἡμῖν, ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχειν πρὸς εὐσέβειαν. ὅτι δὲ καὶ ἡ εἰς τὸ βάπτισμα κοινοτομία τὸ πρῶτον Μυστήριον τῶν Χριστιανῶν νομιζόμενον, ἐστὶν ἄνευ αἱρέσεως αὐτικειμένη καὶ τῇ σωτηρίᾳ καὶ τοῖς Κανόσι, προδηλον. καὶ μὴ σαφιζέσθωσαν οἱ Λατῖνοι, εἶναι λέγοντες ἀρχαῖον ἔθος τῦτο τῆς Δυτικῆς Ἐκκλησίας, ψευδόμενοι προφανῶς, ἐπειδὴ αἱ Σύνοδοι αἱ καὶ Κανόσι διορίσασαι τὴν ἀρχαίαν παράδοσιν τὸ βαπτίσματος γίνεσθαι εἰς τρεῖς καταδύσεις καὶ τρεῖς ἀναδύσεις, ἦσαν συγκείμεναι ὑπὸ τῶν πάντε Πατριαρχῶν, ἐν οἷς

ἐν οἷς καὶ ὁ Ῥώμης καὶ οἱ Δυτικοὶ πατέρες, καὶ πρὸς τούτοις οἱ ἅγιοι πατέρες οἱ ἔγκριτοι ἔγραφον σύμφωνα τοῖς κανόσι. καὶ λοιπὸν ἔμεινεν εἶναι τὸν ῥαντισμὸν εὑρεσιολογίαν νεωτερικὴν καὶ ἀθέτησιν τοῦ Μυστηρίου.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ.

Ὅτι οἱ λέγοντες πανταχοῦ ἐστὶν ὁ ἅγιος τάφος, ἐλέγχονται ἐξ ὧν εἶπεν ὁ Διάλογος πρὸς τὴν Ῥουστικιανὴν Πατρικίαν.

Τῷ καιρῷ ἐκείνῳ ὑπέσχετό τις Ῥουστικιανὴ Πατρικία Ῥωμαία ἀπελθεῖν καὶ προσκυνῆσαι τοὺς θεοβαδίστους ἁγίους τόπους, καὶ μετὰ τοιούτου σκοποῦ ὥδευσεν εἰς τὴν Κωνσταντινούπολιν, ἵνα ἐκεῖθεν ἀπέλθῃ εἰς τοὺς ἁγίους τόπους. χρονοτριβήσασαν δὲ εἰς τὴν Κωνσταντινούπολιν, ἐλέγχει αὐτὴν σφοδρῶς ὁ Διάλογος, ὅτι οὐκ ἀποπληροῖ τὴν ὑπόσχεσιν αὐτῆς. ἀκούετε ὦ (ἀλλὰ τί καὶ εἰπὼν ἀξίως ἐπονομάσαιμι) οἱ ληροῦντες καὶ λέγοντες, ὅτι πανταχοῦ ἐστὶν ὁ ἅγιος τάφος, καὶ ἐν παντὶ τόπῳ τῆς δεσποτίας αὐτοῦ προσκυνεῖται ὁ Κύριος. ἰδοὺ δὴ ὁ μέγας Γρηγόριος τὴν Ῥουστικιανὴν ὀνειδίζει, ὅτι ἐμάκρυνε τὸν καιρὸν τοῦ ἀπελθεῖν εἰς τὰ Ἱεροσόλυμα εἰς τὴν προσκύνησιν τῶν ἁγίων τόπων καθὼς ὑπεσχέθη. τί λαμπρότερον παρὰ τοῦτο; πλὴν οἱ κιμμέριοι ἄνθρωποι οἱ συνεθισθέντες εἰς τὸ ἑξάμηνον σκότος οὐ θεωροῦσι τοῦτο τὸ κατὰ Θεῖκὴν ἀγάπην γενόμενον ἔργον, ἐπειδὴ εἰσὶ Γλαῦκες καὶ ἴδιοι τυφλόμυες καὶ ἀσπάλακες.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τοῦ ἐλαίου τοῦ ζωοποιοῦ Σταυροῦ, ὡς ἐκ τῆς πρὸς Λεόντιον πρώην Ὕπατον τῆς νέας Ῥώμης ἐπιστολῆς τοῦ Γρηγορίου φαίνεται, καὶ πόθεν ῥεῖ κατὰ Βέδα τοῦτο τὸ ἔλαιον. καὶ περὶ τῶν θαυματρουγιῶν τοῦ ἐν ταῖς κανδήλαις τῶν ἁγίων ἐλαίου.

Εἰς τὴν ἐπιστολὴν ἣν ἔπεμψε πρὸς τὸν Λεόντιον πρώην Ὕπατον τῆς Νέας Ῥώμης ὁ Γρηγόριος γράφει πρᾶγμα παράδοξον, ἔλαβον φησὶ τὸ ἔλαιον τοῦ τιμίου Σταυροῦ καὶ τὸ ξύλον τῆς ἀλόης, τὸ ἐν πρὸς ἁγιασμὸν, καὶ τὸ ἕτερον πρὸς εὐοσμίας ὄσφρησιν, καὶ δὴ ὥδευον τῷ νῷ, συλλογιζόμενος μήτιγε ἦν τοῦτο, ὅπερ ἡμεῖς οἱ Ἀνατολικοὶ κράζομεν ἅγιον ἔλαιον, ᾧ ἀλειφόμεθα εἰς τὰς ἑορτὰς ἀπὸ τῆς κανδήλας, ὅπερ ἀνάπτει ἔμπροσθεν τῆς Εἰκόνος. γράφει γὰρ ὁ Μοναχὸς Κύριλλος, ὅτι ὁ ὅσιος Σάββας τοιούτῳ ἐλαίῳ πολλὰ θαύματα ἐποίησε, καὶ πολλὰ δαιμόνια ἐξέβαλεν. ἀλλὰ καὶ ὁ Θεοδώριτος ἱστορεῖ, ὅτι τὸν Ἀββᾶν Ἰάκωβον ἐλαίῳ τῆς κανδήλας τῆς ἡμμένης ἔμπροσθεν τῶν ἁγίων Εἰκόνων τῶν μαρτύρων (ὅθεν καὶ μαρτύρων ἔλαιον ἐπονομάζεται) ἰατρεῦσαι πολλὰ πάθη καὶ ἀῤῥωστήματα. ἔλεγον γοῦν καὶ ἐκ τοῦ ἐλαίου τῆς κανδήλας τῆς ἡμμένης ἔμπροσθεν τοῦ τιμίου Σταυροῦ ἴσως ἐλάμβανον οἱ Χριστιανοὶ, καὶ ἔκραζον αὐτὸ ἔλαιον τοῦ Σταυροῦ. πλὴν ὁ Βέδας ἄλλην ἔνοιαν προὔτεινεν εἰς τὴν ἐπιτομὴν τῶν ἁγίων τόπων, βεβαιοῖ γὰρ ὅτι ἀπὸ τῶν ὄζων ἢ κόμβων τοῦ ξύλου τοῦ ζωηφόρου Σταυροῦ, ὅπερ ἔφερεν ὁ Ἡράκλειος ἀπὸ τῆς Ἱερουσαλὴμ εἰς τὴν βασιλεύουσαν, ἔῤῥεε χυμός τις εὐωδέστατος, ὅστις ἐθεράπευε παν εἶδος ἀῤῥωστίας. ἀπέστειλεν οὖν πρὸς τὸν Λεόντιον καὶ χάριν αὐτὶ χάριτος ὁ Γρηγόριος ἀπὸ τῶν ῥινημάτων τῶν ἁγίων ἁλύσεων εἰς μίαν κλεῖδα ἀργυρᾶν.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι ἡ Προηγιασμένη Λειτουργία ἐκ τῶν Διαδόχων ἐστὶ τῶν Ἀποστόλων, καὶ οὐ ποίημα Γρηγορίου τοῦ Διαλόγου. καὶ περὶ τῆς ὑπὸ τοῦ Πάπα Ζαχαρίου μεταφράσεως εἰς τὴν ἑλληνίδα διάλεκτον τῶν τοῦ Διαλόγου διαλόγων.

Πάντοτε ἦν ἅμιλλα εἰς τὰς τάξεις τῆς Ἐκκλησίας μεταξὺ τῶν Ἀνατολικῶν καὶ τῶν Δυτικῶν, ὅθεν ἑκάτερον μέρος αὐτῶν ἔσπευδεν ὑπερνικῆσαι. λοιπὸν ἔλεγον οἱ μὲν Ἀνατολικοὶ, ὅτι ὑμεῖς οἱ Δυτικοὶ δανείζεσθε παρ' ἡμῶν τὸ Κύριε ἐλέησον, καὶ τὸ Ἀλληλούϊα, οἱ δὲ Δυτικοὶ, ὅτι ὑμεῖς ἔχετε τὴν Προηγιασμένην Λειτουργίαν παρ' ἡμῶν, τὴν παραδοθεῖσαν ὑμῖν ὑπὸ τοῦ Πάπα Γρηγορίου, καὶ ἐὰν λέγωμεν ἡμεῖς τὸ Κύριε ἐλέησον, ὑμεῖς οὐκ ἔχετε τὸ Χριστὲ ἐλέησον. ταῦτα καὶ ἄλλα τοιαῦτα ἔφερον τὸ ἔσχατον σχίσμα. ὅμως σὺν ἀφορμῇ τῆς Προηγιασμένης ὅλοι ἡμεῖς εἰς τὴν ἀπόλυσιν μνημονεύομεν τοῦ Ῥώμης Διαλόγου, καὶ ὁ Μάξιμος ὁ Κυθήρων ὁ εἰς τὴν κοινὴν γλῶσσαν μεταφράσας τὰ συναξάρια Μαυρικίου τοῦ Ἱεροδιακόνου τῆς μεγάλης Ἐκκλησίας, εἰς τὴν δωδεκάτην τοῦ Μαρτίου γράφει οὕτω κατὰ λέξιν, λέγουσι δὲ ὅτι οὗτος ὁ ἅγιος Γρηγόριος ἦν ἐκεῖνος ὁ νομοθετήσας λέγεσθαι παρὰ τοῖς Ῥωμαίοις Λειτουργίαν ἐν ταῖς ἡμέραις τῆς νηστείας, ὅπερ ἐπικρατεῖ παρ' αὐτοῖς ἕως τῆς σήμερον. πλὴν ὁ Γρηγόριος, ὡς ὁ αὐτὸς ὁμολογεῖ, τὴν ἑλληνικὴν γλῶσσαν οὐκ ἐγίνωσκε, λέγει γὰρ εἰς τὴν εἰκοστὴν ἐνάτην ἐπιστολὴν τοῦ ἕκτου βιβλίου, καίτοι ἐν πολλοῖς ἐνασχολούμενος καὶ τῆς ἑλληνίδος φωνῆς ἄμοιρος. καὶ πρὸς τὴν κυρίαν Δομνίκην

γράφε

γράφει, οὐκ ἀπεκρίθην, ὅτι οὖσα αὐτὴ λατίνισσα ἔγραψέ μοι ἑλληνιστὶ, καὶ εἰ ἑλληνικὴν γλῶσσαν οὐκ ἐγίνωσκεν ὁ Διάλογος, πῶς συντέθεικε τὴν Λειτουργίαν τῶν Προηγιασμένων; καὶ πῶς οὐχ εὑρίσκεται ἐν τοῖς συγγράμμασιν αὐτοῦ; φαίνεται ὅμως εὐλογωτέραν αἰτίαν κατά τινας εἶναι ταύτην, ὅτι οἱ Ἀνατολικοὶ οὐκ ἐλειτούργουν καθ' ἡμέραν, καὶ ἴδε τὸν Χρυσόστομον εἰς τὸν πρόλογον τῶν ἐπιστολῶν τοῦ Παύλου λέγοντα, ὅτι ὅτε ἐστὶ μαρτύρων μνήμη, ἀκούει εἰς τὴν Ἐκκλησίαν τὸν Ἀπόστολον, ἤγουν ὅτε εἰς ἑορτὰς ἐγίνετο ἡ Λειτουργία. καὶ ὁ Διάλογος κατὰ τὴν τάξιν τῶν Δυτικῶν παρεκίνησε τοὺς Ἀνατολικοὺς ἱερουργεῖν καθ' ἡμέραν, καὶ ἐπειδὴ κατὰ τὴν τεσσαρακοστὴν ἡ παλαιὰ συνήθεια ἐκώλυε τελείαν Λειτουργίαν γίνεσθαι, ἐπενοήθη ἡ Προηγιασμένη, δι' ἣν ἐπίνοιαν τοῦ Διαλόγου, ὡς δόντος τὴν βουλὴν, καὶ ποιήσαντος τὴν πρᾶκίνησιν, ἡ Ἐκκλησία μνημονεύει ἐν τῇ Προηγιασμένῃ, καίπερ ἐστὶ δυσνόητον τὸ τοῦ Συναξαριστοῦ, ἐπειδὴ λέγει, ὅτι παρέδωκε τὴν Λειτουργίαν ταύτην εἰς τοὺς Ῥωμαίους ὁ Διάλογος, ποίους δὲ ἐννοεῖ Ῥωμαίους, ἀμφίβολον. εἶτα καὶ τοῦτο, ὅτι οἱ Δυτικοὶ ἐλειτούργουν καθ' ἡμέραν, οὐκ ἀληθές ἐστιν, ὁ γὰρ ἅγιος Ἀμβρόσιος ἐν τῇ ἑρμηνείᾳ τῆς πρώτης πρὸς Τιμόθεον, κεφαλαίῳ ἑβδόμῳ, δὶς μόνον τῆς ἑβδομάδος λέγει ὅτι ἐλειτούργουν οἱ Ἱερεῖς; ἔπειτα ἡ Λειτουργία τῶν Προηγιασμένων ἐστὶν ἀπὸ τοῦ καιροῦ τῶν Ἀποστόλων, ὡς ἡ ἐν Λαοδικείᾳ Σύνοδος λέγει Κανόνι τεσσαρακοστῷ ἐνάτῳ, καὶ ἡ ἐν Τρούλλῳ Κανόνι πεντηκοστῷ δευτέρῳ; καὶ Συμεὼν ὁ Θεσσαλονίκης ἐν τῇ πεντηκοστῇ ἕκτῃ ἀποκρίσει πρὸς τὸν Πενταπόλεως Γαβριὴλ, ἡ Προηγιασμένη Λειτουργία, λέγει, ἄνωθεν καὶ ἐκ τῶν Διαδόχων τῶν Ἀποστόλων ἐστὶν, ὡς καὶ αἱ εὐχαὶ μαρτυροῦσι, καὶ ἡ παράδοσις αὐτὴ, ἀρχαία οὖσα, καὶ ἀληθῶς τῶν Ἀποστόλων εἶναι ταύτην πιστεύομεν, ἐξ ἀρχῆς γενομένην δι' αὐτὴν τὴν νηστείαν, ὡς πενθεῖν δέον καὶ μὴ ἑορτάζειν ἡμᾶς ἐν ταῖς τοῦ πένθους ἡμέραις, ὡς καὶ ἐν ἄλλοις περὶ τούτου πρότερον εἴρηται. ἵνα οὖν μὴ καθόλου ἀμέτοχοι τῆς ἀπὸ τῶν Χριστοῦ Μυστηρίων τυγχάνωμεν χάριτος, καὶ τοῦ διὰ τῶν ἱερῶν εὐχῶν ἱλασμοῦ, τοῦτο ἐπινενόηται τοῖς πατράσιν. ἐξ ἀρχῆς οὖν οὔσης τῆς Προηγιασμένης καὶ ἐκ τῶν Ἀποστόλων, ἐροῦμεν περὶ τοῦ Διαλόγου, ἢ ὅτι λέγει Μιχαὴλ ὁ Κωνσταντινουπολίτης, Ἀλλὰ καὶ ἐν πολλαῖς τῶν ἡμετέρων ἐκθέσεσιν ἱστορεῖται καὶ ἀναφέρεται, ὅτι καὶ ὁ ἅγιος Γρηγόριος ὁ Διάλογος ἐν τοῖς Ῥωμαίων ταύτην τὴν μυσταγωγίαν ἐπιτελεῖσθαι κατὰ τὰς εὐαγεῖς καὶ ἱλαστηρίους ἡμέρας τῆς τεσσαρακοστῆς παραδέδωκεν, εἴπερ τέως καὶ ἄρτι παρὰ τῇ παλαιᾷ Ῥώμῃ γίνεται. ταῦτα ὁ Μιχαὴλ. καὶ σημείωσαι, ὅτι ὁ Μιχαὴλ ἑρμηνεύς ἐστι τοῦ Συναξαριστοῦ, λέγει γὰρ, ὅτι ἡ Προηγιασμένη ἀρχαία ἐστὶ, παραδέδοται δὲ εἰς τοὺς Ῥωμαίους, ἤτοι εἰς τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν ἐπιτελεῖσθαι, ὡς ἐγίνετο καὶ ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ. καὶ ταῦτα περὶ τῆς Λειτουργίας τῶν Προηγιασμένων περὶ δὲ τῶν Διαλόγων τοῦ Γρηγορίου γνωστόν ἐστι τοῖς πᾶσιν; ὅτι ὁ Πάπας Ζαχαρίας Ἕλλην τὸ γένος πεφυκὼς, ἐκ τοῦ λατινικοῦ εἰς τὸ ἑλληνικὸν αὐτοὺς μετέφρασεν εἰς τὸν καιρὸν τῆς βασιλείας τοῦ νέου Κωνσταντίνου μετὰ ἑκατὸν ἑξήκοντα πέντε ἔτη τῆς κοιμήσεως τοῦ Διαλόγου, ὡς Φώτιος ἀναγνώσει διακοσιοστῇ εἰκοστῇ πέμπτῃ, ἔνθα λέγει καὶ τοῦτο ὁ Φώτιος, ὅτι τοῖς Πατριάρχαις ἦν συνήθεια καλεῖν εἰς ἑστίασιν ἐν καιρῷ δώδεκα πτωχοὺς, ὧν ἑστιάτωρ γενόμενος ὁ Γρηγόριος, εἶδε μεταξὺ αὐτῶν δέκατον τρίτον, τὸν Χριστὸν δηλονότι. ἀπὸ δὲ τῆς ἀποκρίσεως ἧς ἔπεμψε πρὸς τὸν Ἱεροσολύμων Ἡσύχιον ὁ Γρηγόριος, δοκεῖ ὁ Ἡσύχιος προγράψαι τῷ Διαλόγῳ τὴν ἐνθρονιαστικὴν ἐπιστολήν. ἐπαινεῖ ὅμως αὐτὸν ὁ Γρηγόριος εἰς τὴν ὀρθοδοξίαν, καὶ βεβαιοῖ, ὅτι εὑρίσκεται εἰς τὴν μυστικὴν Κιβωτὸν τοῦ Νῶε Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ λοιπὸν ἡ πίστιν ὑμῶν πίστις ἐστὶν ἡμετέρα, ἐκεῖνα τηροῦμεν, ἃ καὶ ὑμεῖς λέγετε. ἴδε τὰ περὶ τοῦ Διαλόγου Φωτίου ἀναγνώσει διακοσιοστῇ πεντηκοστῇ δευτέρᾳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῆς κοιμήσεως Γρηγορίου τοῦ Διαλόγου, καὶ παπάτου Σαβίνου καὶ κακίας αὐτοῦ καὶ θεοπλήκτου τέλους αὐτοῦ. καὶ περὶ τῆς κοιμήσεως Εὐλογίου Ἀλεξανδρείας, καὶ τῆς ὑπὲρ αὐτοῦ ὀπτασίας Θεοδώρου Κουβικουλαρίου. καὶ κοιμήσεως Ἡσυχίου Ἱεροσολύμων, καὶ Ἀρχιερατείας Ζαχαρίου, ἀναιρέσεώς τε ἐν Ἀντιοχείᾳ πολλῶν Χριστιανῶν καὶ αὐτοῦ Ἀναστασίου Πατριάρχου ὑπὸ τῶν Ἑβραίων, καὶ περὶ φόνου τῶν αὐτῶν Ἑβραίων ὑπὸ τοῦ τυράννου Φωκᾶ.

Εἰς τὸ δεύτερον ἔτος τοῦ Φωκᾶ ἐκοιμήθη ὁ Διάλογος, ἅγιος καὶ θαυμάσιος ἄνθρωπος, καὶ γέγονε Πάπας τῆς Ῥώμης ὁ Σαβῖνος, ἔχων κακίας κατὰ διάμετρον ἀντικειμένας ταῖς ἀρεταῖς καὶ τῇ ἁγιότητι τοῦ Διαλόγου, ὅστις Σαβῖνος κατέκρινε καὶ τὸν Διάλογον, ὡς ἐξ ὑπερηφανίας δῆθεν δαπανήσαντα τῆς Ἐκκλησίας τὰ χρήματα, καὶ μικροῦ ἐδέησε κατακαῦσαι τὰ βιβλία τοῦ πανευφήμου ἀνδρὸς, ἀπεστέρησεν αὐτὸν τῆς ζωῆς ὅμως ὁ Θεὸς, καθότι ἕνα καὶ μόνον χρόνον ἐπατριάρχευσε καὶ πέντε Μῆνας, οὗ τὸ λείψανον ἀπὸ τῆς λεγομένης Γαϊδαρινῆς πόρτας ἐκκομίσαντες ἔθαψαν. μεταταῦτα ἔδωκε τὸ τέλος τῆς ζωῆς αὐτοῦ καὶ ὁ Πατριάρχης τῆς Ἀλεξανδρείας Εὐλόγιος, ὅστις ὑπερησπίζετο τοῦ Λέοντος καὶ τοῦ Κυρίλλου διὰ τὴν ὑποστατικὴν ἕνωσιν, ἄνθρωπος εὐλογημένος ὑπὸ τοῦ Θεοῦ καὶ ὑπὸ τῶν ἀνθρώπων. γράφει δὲ ὁ Ἱεροσολυμίτης Σωφρόνιος, ὅτι ὁ Ἐπίσκοπος Θεόδωρος, οὗ ἡ Ἐπισκοπὴ ἦν εἰς τὰ μέρη τῆς Λιβύης, εἶδε μίαν ὀπτασίαν, ὅτε ἦν Κουβικουλάριος τοῦ Πατριάρχου, εἶδον, λέγει, ἕνα ἄνθρωπον ὑψηλὸν εἰς τὸν ὕπνον μου, ἄξιον πολλῆς τιμῆς καὶ εὐλαβείας, εἰπόντα μοι, μήνυσαι τῷ Πάπᾳ Εὐλογίῳ, ὅτι ἦλθεν ὁ Πάπας τῆς Ῥώμης ὁ Λέων τοῦ ἐντυχεῖν

ἐντυχεῖν σοι. ἔδραμον γοῦν ἐγὼ εἰς τὸν Πατριάρχην, καὶ εἶπον τὴν ἄφιξιν τοῦ τοσούτου Ἀρχιερέως. προσεῖπον οὖν ἀλλήλοις καὶ ἠσπάσαντο, καὶ μετ' ὀλίγα εἶπεν ὁ Λέων πρὸς τὸν Εὐλόγιον, οἶδας διατὶ ἦλθον; ἦλθον ἵνασοι εὐχαριστήσω, ὅτι λίαν καλῶς ἐνόησας τὴν ἐπιστολήν μου, καὶ προΐστασο αὐτῆς. γίνωσκε δὲ ὅτι οὐ μόνον ἐμοὶ, ἀλλὰ καὶ τῷ Κορυφαίῳ Πέτρῳ ἄριστα πεποίηκας, καὶ ταῦτα εἰπὼν ἀπῆλθε. τὸ πρωῒ διηγησάμην ταῦτα, λέγει ὁ Θεόδωρος, τῷ Πατριάρχῃ, καὶ ἐκεῖνος κλαίων εὐχαρίστησε τῷ Θεῷ, τῷ ποιήσαντι αὐτὸν κήρυκα τῆς ἀληθείας. ἀλλὰ καὶ ὁ Πατριάρχης Ἡσύχιος μετὰ τὸ κυβερνῆσαι τὸν θρόνον τῶν Ἱεροσολύμων εὐαγῶς καὶ ὁσίως ὀκτὼ χρόνους καὶ τὸν Νικηφόρον, πρὸς τὸν Κύριον ἐξεδήμησεν εἰς τὸ ἕκτον ἔτος τῆς τυραννίδος τοῦ Φωκᾶ, καὶ αὐτ' ἐκείνου ἐγένετο ὁ Ζαχαρίας, οὗτινος ἡμνήμη ἐστὶν εἰς τοὺς Ἱστορικοὺς πολλὴ καὶ μεγάλη, ὡς κατιὼν ὁ λόγος ἀποδείξει τοῦτο. εἰς δὲ τὴν Ἀντιόχειαν οἱ Ἑβραῖοι ἀναιροῦσι παμπόλλους Χριστιανοὺς καὶ αὐτὸν τὸν Πατριάρχην Ἀναστάσιον, ὅθεν ὁ Φωκᾶς ἀνεῖλε πολλοὺς, καὶ ἄλλους ἠκρωτηρίασεν ἀπὸ τῶν Ἑβραίων. καὶ δὴ καὶ ἐπὶ τοῦ μεγάλου Ἰουστινιανοῦ πάλιν συνεχέθησαν οἱ Ἰουδαῖοι ὁμοῦ καὶ οἱ Σαμαρεῖται εἰς τὴν Παλαιστίνην, καὶ ἔνδον εἰς τὴν Καισάρειαν ἐφόνευσαν πολλοὺς Χριστιανοὺς, ἐξαιρέτως τὸν Ἔπαρχον τῆς πόλεως Στέφανον. εἰς αὐτὸ τὸ Πραιτώριον, ὅθεν ἡ γυνὴ αὐτοῦ ἀπῆλθεν εἰς τὴν Κωνσταντινούπολιν θρηνῳδοῦσα τὴν ἄδικον σφαγὴν τοῦ ἀνδρὸς αὐτῆς. ἐθυμώθη δὲ πάνυ σφόδρα ὁ Αὐτοκράτωρ, καὶ ὥρισε τὸν Μάγιστρον Ἀδαμάντιον ἀπελθεῖν μετὰ στρατιωτικῆς παλάμης εἰς τὴν Παλαιστίνην, καὶ ἐκδικῆσαι τὸ ἀθῷον αἷμα τοῦ καλοῦ Ἄρχοντος, ὡς καὶ ἐποίησεν, ἄλλους ἀποκεφαλίζων, καὶ ἄλλους σκολοπίζων, τόσον ὥστε φοβηθῆναι πάντας τοὺς κατοικοῦντας εἰς τὰ μέρη τῆς Ἀνατολῆς. ἐγένοντο δὲ ταῦτα τῷ εἰκοστῷ ἐνάτῳ ἔτει κατὰ τὸν Θεοφάνη.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς ἧς ἔπαθεν ὁ Βασιλεὺς Μαυρίκιος πανοικεὶ σφαγῆς ὑπὸ τοῦ ἀσεβοῦς Φωκᾶ, καὶ περὶ τῶν σημείων καὶ τεράτων τῶν ἐν Οὐρανῷ καὶ γῇ καὶ θαλάσσῃ φανέντων, καὶ περὶ τῆς προῤῥήσεως τοῦ ξιφήρους Μοναχοῦ κατὰ τοῦ Μαυρικίου.

Ὁ Κεδρηνὸς καὶ Θεοφάνης καὶ ἄλλοι ἱστορικοὶ βεβαιοῦσιν, ὅτι ἐδεήθη τοῦ Θεοῦ διὰ τὴν ἁμαρτίαν ἣν ἐποίησεν ὁ Μαυρίκιος, μὴ ἐξαγοράσας τοὺς αἰχμαλώτους ὀλίγου ἕνεκεν ἀργυρίου, ἵνα ἀνταποδώσῃ αὐτῷ ὁ δίκαιος κριτὴς τὴν ἱκανοποίησιν τῆς ποινῆς αὐτοῦ ἐν τῇ παρούσῃ ζωῇ, μάλιστα δὲ ἀπέστειλε καὶ εἰς τὰ Πατριαρχεῖα, καὶ εἰς πολλὰς ὑπὸ τοὺς Πατριάρχας Ἐκκλησίας, καὶ δὴ καὶ εἰς τὰ Ἱεροσόλυμα, εἴς τε τὸν Πατριάρχην καὶ εἰς τὰ Μοναστήρια τῆς ἐρήμου καὶ εἰς τὰς Λαύρας θυμιάματα, κηροὺς, καὶ ἔλαιον τοῦ παρακαλέσαι τὸν Κύριον, ἵνα ἐν τῷ παρόντι καιρῷ ἔχῃ τὴν ἀνταπόδοσιν καὶ τὴν παιδείαν, ὧν ἥμαρτεν. ὁ δὲ ἀποσταλεὶς Μαγιστριανὸς ἔφερεν ἀπόκρισιν τῶν πατέρων τῆς ἐρήμου, ὁ Θεὸς δεξάμενος τὴν μετάνοιάν σου, σώζει τὴν ψυχήν σου πανοικεὶ μετὰ τῶν ἁγίων, τῆς δὲ βασιλείας μετὰ ἀτιμίας καὶ κινδύνων ἐκπίπτεις. λέγουσι δὲ οἱ ἱστορικοὶ καὶ τὰ λοιπὰ, ὅτι εἶδε τὸν θάνατον τῶν παιδίων αὐτοῦ, καὶ ὅτι ἡ τίτθη ἔδωκε τὸ παιδίον αὐτῆς ἀντὶ τοῦ παιδὸς τοῦ Μαυρικίου, καὶ αὐτὸς οὐκ ἠθέλησε, καὶ ὅτι ὁ ἴδιος αὐτὸς ἔκραζε, δίκαιος εἶ Κύριε καὶ εὐθεῖαι αἱ κρίσεις σου. καὶ ὅτι τῷ πέμπτῳ ἔτει τῆς αὐταρχίας αὐτοῦ ὁ Φωκᾶς ἀπεκεφάλισε καὶ Κωνσταντῖναν τὴν Βασίλισσαν σὺν ταῖς τρισὶ θυγατράσιν αὐτῆς. καὶ ὅτι εἰς τὴν Ἀλεξάνδρειαν εὐλαβής τις καλλιγράφος ἐκ παννυχίδος ἀπερχόμενος οἴκαδε μέσης νυκτὸς, ἴδε τοὺς Ἀνδριάντας ἐκ τῶν βωμῶν καθελκυσθέντας καὶ βοῶντας, Μαυρίκιος τέθνηκεν, ὅπερ εὑρέθη ὡς εἶπον οἱ δαίμονες. ταῦτα καὶ τὰ τοιαῦτα καταλιμπάνω, ἵνα εἰς ἄλλους ὁ φιλαναγνώστης ἀναγινώσκῃ, καὶ μάλιστα εἰς τὸ ἱστορικὸν Θεοφάνους, ὅστις ἀσιατικῶς τὰ πάντα περιγράφει. σημειοῖ ὅμως ὁ Ἐλεύσιος εἰς τὸν βίον Θεοδώρου τοῦ Συκεώτου, καὶ δὴ καὶ ὁ Σούριος, ὅτι αὐτὸς ὁ Συκεώτης ὁ Ἐπίσκοπος Ἀναστασιουπόλεως εὑρίσκετο ἔνδον ἐν τῷ Ναῷ τοῦ Μοναστηρίου, καὶ σβεσθείσης ἐξαίφνης τῆς κανδήλας, ἐν ᾗ ἀνεγίνωσκε τὴν ἀκολουθίαν αὐτοῦ, ἀνῆψεν αὐτὴν πολλάκις καὶ πάλιν ἐσβέννυτο. ἐσήμανεν ὅμως καὶ ἦλθον οἱ ἀδελφοὶ, καὶ ἐξετάσας τὴν συνείδησιν αὐτῶν, καὶ μὴ εὑρὼν εἰς αὐτοὺς αἴτιον τοιούτου κακοῦ σημείου, ἐδεήθη κοινῶς, καὶ ἰδὼν ὀπτασίαν, ἐβόησεν, ἀληθῶς Ἡσαΐα ἐθεώρησες, ὅτι πᾶς ἄνθρωπος χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου, καθότι ὁ Μαυρίκιος μέλλει κακοπαθεῖν, χείρονα ὅμως μέλλει μεταχειρίζεσθαι ὅστις μετ' αὐτὸν βασιλεύσει. ὁ δὲ Κεδρηνὸς σημειοῖ, ὅτι Μοναχός τις ἔτρεχεν εἰς τὸν δρόμον, φέρων τῇ χειρὶ σπάθην γυμνὴν, καὶ προλέγων τοῦ Μαυρικίου τὸν θάνατον. καὶ ὅτι παιδίον ἓν χωρὶς βλεφάρων καὶ ὀφθαλμῶν καὶ χειρῶν ἔχον καὶ οὐρὰν ἐγεννήθη εἰς Θράκην. ἄλλοι δὲ λέγουσιν, ὅτι ἐφάνη καί τις Κομίτης λαμπρὸς, καὶ ὅτι ἐγεννήθη παιδίον ἓν εἰς τὸ Βυζάντιον τέσσαρας ἔχον πόδας, καὶ ὅτι ἐξήγαγεν ἡ θάλασσα

εἰ τὴν

εἰς τὴν Νῆσον τῶν Δήλων ὀψάρια ἔχοντα πρόσωπα ἀνθρώπινα, ἀλλὰ καὶ ὁ Νικηφόρος εἰς τὸ δέκατον ὄγδοον βιβλίον αὐτοῦ διηγεῖται προῤῥηθῆναι τῷ Βασιλεῖ, ὅτι ἀπὸ ἑνὸς ἔχοντος τὸ Φ'. εἰς τὴν ἀρχὴν τοῦ ὀνόματος αὐτοῦ μέλλει φονευθήσεσθαι, ὅθεν ὑπωπτεύθη εἰς Φιλιππικὸν τὸν ἄνδρα τῆς ἀδελφῆς αὐτοῦ, ἀλλὰ ἀπεκαλύφθη αὐτῷ θεόθεν, ὅτι οὐκ ἦν ἐκεῖνος, ὅθεν ὁ Μαυρίκιος ἔκραξεν αὐτὸν νυκτὸς, καὶ ἔλαβε παρ' αὐτοῦ συγχώρησιν. σημειοῖ δὲ ὁ Θεοφάνης τὸν Μαυρίκιον ἰδεῖν ἐνόνειρῳ, ὅτι ἵστατο εἰς τὴν χαλκῆν πύλην τοῦ Παλατίου ἐνώπιον τῆς Εἰκόνος τοῦ Σωτῆρος, καὶ ἐγένετο φωνὴ ἐκ τῆς Εἰκόνος, δότε Μαυρίκιον, καὶ συλλαβόντες οἱ ὑπηρέται παρέστησαν αὐτὸν τῇ Εἰκόνι. εἶτα εἶπεν αὐτῷ πῦ θέλεις ἀποδώσωσοι ἐνταῦθα, ἢ εἰς τὸν μέλλοντα αἰῶνα; ὁ δὲ Μαυρίκιος εἶπεν, ἐνταῦθα, καὶ ἐκέλευσε παραδοῦναι Μαυρίκιον καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα φωκᾷ τῷ στρατιώτῃ. σημείωσαι δε, ὅτι ὁ Ἡράκλειος γενόμενος Βασιλεὺς, καὶ ποιήσας καταγραφὴν τῶν στρατιωτῶν, ἐξ ὧν ἐποίησαν τὴν στάσιν κατὰ Μαυρικίου δύο καὶ μόνους εὗρεν, οἱ δὲ ἄλλοι πάντες κακῶς ἀπώλοντο.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ἐπιχειρημάτων παπιστῶν ἀπὸ τῶν περὶ τὸν Μαυρίκιον καὶ τὸν Διάλογον καὶ τὸν Νηστευτὴν συμβάντων ὑπὲρ τοῦ πρωτείου τοῦ Ῥώμης, καὶ τῆς λύσεως αὐτῶν, καὶ περὶ τῶν Μύρων τῶν ἐκ τοῦ τάφου τῆς ἁγίας Εὐφημίας βλυσάντων.

Οἱ παπισταὶ οἱ μὴ εἰδότες ἄλλο, ἀλλ' ἢ καταρᾶσθαι καὶ ἐπιπηδᾶν εἰς τῆς προνοίας τὰς παραχωρήσεις, καὶ λέγειν εἶναι τὸν Πάπαν συναίτιον, λέγουσιν, ὅτι διὰ τὸ τὸν Μαυρίκιον μὴ ἐμποδίσαι τὸν Νηστευτὴν ἀπὸ τοῦ Οἰκουμενικὸς προσρήματος, ἦλθεν ἐπ' αὐτῷ ἡ ὀργή. πλὴν ἀηδείας μεστὰ καὶ φρονοῦσι καὶ λέγουσιν. ὁ μὲν γὰρ Μαυρίκιος ἀπέθανεν ὡς Μάρτυς, οἱ δὲ καινοτόμοι καὶ ἀνθρωπολάτραι πλανῶντες ἑαυτοὺς, σπεύδουσι συστῆσαι καὶ ἐντεῦθεν τὸ τυραννικὸν πρωτεῖον, ὥσπερ αἱ δυσειδέστατοι γυναῖκες στολίζονται ψιμμιθίῳ, καὶ δὴ λέγουσιν, ὅτι διὰ τὸ νικῆσαι τὸν Μαυρίκιον τοὺς Λογγιβάρδους εἰς τὴν Ἐτουρίαν καὶ Καμπανίαν, παρετράπη εἰς πᾶσαν κακίαν, ὅθεν διώρισε στρατιώτην μὴ μονάζειν ἐὰν μὴ τελειώσῃ ὁ καιρὸς τῆς στρατείας, ὁ δὲ Διάλογος ἐνουθέτει αὐτὸν μὴ καταφρονεῖν τοῦ τάγματος, οὗτινος τῆς ἀγαθότητος ἕνεκεν ἔφθασεν εἰς τὸ βασίλειον. δεύτερον, ὅτι ὁ Μαυρίκιος ἔγραψε τῷ Διαλόγῳ, ἵνα πεισθῇ τῷ Νηστευτῇ καὶ τῇ Συνόδῳ διὰ τὸ Οἰκουμενικὸς ὄνομα, καὶ ἀπεκρίθη αὐτῷ ὁ Διάλογος, ὅτι τὴν ἐξουσίαν τοῦ δεσμεῖν τε καὶ λύειν ἔδωκεν ὁ Χριστὸς τῷ Πέτρῳ καὶ τοῖς αὐτοῦ διαδόχοις, οὐ μὴν καὶ τοῖς Πατριάρχαις Κωνσταντινουπόλεως, ὅθεν ὁ Μαυρίκιος παρεκινήθη ἀπᾶραι τὰ στρατεύματα αὐτοῦ ἀπὸ τῆς Ἰταλίας, καὶ ἦλθον οἱ Λογγίβαρδοι πάλιν, ναὶ μὴν καὶ Αἰγιοῦλφος ὁ ἀρχηγὸς αὐτῶν εὑρὼν καιρὸν ἁρμόδιον, ἦλθεν ἀπὸ τῶν κάτω Γαλλιῶν καίων τὴν Ἰταλίαν ὅθεν παρώδευε, καὶ ἀπέκλεισεν ἕνα χρόνον τὴν Ῥώμην, καὶ ἀπορήσας τῆς ἁλώσεως, εἰσῆλθεν εἰς Μεδιόλανα, ὁ δὲ Μαυρίκιος φοβηθεὶς τὸ σημεῖον τοῦ Μοναχοῦ, τοῦ τρέχοντος εἰς τὸ Βυζάντιον μετὰ γεγυμνωμένης σπάθης, ἐζήτησε συγχώρησιν παρὰ τοῦ Διαλόγου. Ἀλλὰ ῥητέον, πρὸς μὲν τὸ πρῶτον, ὅτι καὶ ἁπλῶς Μοναχοὶ ἤλεγξαν Βασιλεῖς, μὴ ὅτι γε Πατριάρχαι καὶ Πάπαι, ὡς εἴρηται ἐν πολλοῖς. πρὸς δὲ τὸ δεύτερον, ὅτι ἐστὶ πάντῃ καὶ πάντως ψεῦδος καὶ πλάσμα τῶν Ῥωμαίων ὁ λόγος, καὶ συκοφαντία πρὸς τὸν Διάλογον, ἐπειδὴ τὴν ἐξουσίαν τοῦ δεσμεῖν τε καὶ λύειν ἔδωκεν ὁ Κύριος πᾶσι τοῖς Ἀποστόλοις, καὶ ἔχουσιν αὐτὴν ὅλοι οἱ Ἐπίσκοποι, καὶ οὐ μόνος ὁ Πέτρος, ἢ ὁ Ῥώμης. ὅθεν ὁ Βασίλειος Πέτρε, φησὶ, φιλεῖς με πλεῖον τούτων; ποίμενε τὰ πρόβατά μου. καὶ πᾶσι δὲ τοῖς ἐφεξῆς ποιμέσι καὶ Διδασκάλοις τὴν ἴσην παρέσχεν ἐξουσίαν, καὶ τούτου σημεῖον τὸ δεσμεῖν ἅπαντας ὁμοίως, καὶ λύειν ὥσπερ ἐκεῖνος, καὶ τὸ δὴ θαυμαστὸν, ὅτι ἂν οἱ Πάπαι νεωτερίζωσι, μήτε Πέτρου μήτε ἄλλου Ἀποστόλου εἰσὶ διάδοχοι. λέγει γὰρ ὁ Ναζιανζηνὸς, τὸ μὲν ὁμόγνωμον, καὶ ὁμόθρονον, τὸ δὲ ἀντίδοξον, καὶ ἀντίθρονον, καὶ ἡ μὲν προσηγορίαν, ἡ δὲ ἀλήθειαν ἔχει διαδοχῆς, καθότι οὐκ ἔχει Πέτρου κλῆρον ὁ μὴ ἔχων τὴν πίστιν τοῦ Πέτρου φησὶν ὁ Ἀμβρόσιος ἐν τῷ περὶ μετανοίας βιβλίῳ πρώτῳ, κεφαλαίῳ δευτέρῳ. καὶ ὁ Ἱερώνυμος ἐν τῇ πρὸς Ἡλιόδωρον ἐπιστολῇ, οὐχ ἁγίων εἰσὶν υἱοὶ οἱ ἔχοντες τοὺς τόπους τῶν ἁγίων, ἀλλ' οἱ ἐγχειροῦντες ταῖς πράξεσι τῶν ἁγίων. σύμφωνος δὲ ἦν ὁ Διάλογος τοῖς ἁγίοις καὶ οὐκ ἀντίδοξος. πρὸς δὲ τὸ τρίτον, ὅτι τοπικῆς Συνόδου ὁ Διάλογος διὰ τοιοῦτον πρόβλημα μὴ ἀκούσας, οὐ κατακρίνεται. πρὸς δὲ τὸ τέταρτον, ὁ Μαυρίκιος εἰ εἶχε μετὰ τοῦ Ῥώμης πάθος, ἐγίνωσκε ποιῆσαι εἴτι ἐποίησεν ὁ Ἰουστινιανὸς Βιγιλίῳ, καὶ οὐκ ἐλάμβανε τοὺς στρατιώτας διὰ τὴν πρὸς τὸν Ῥώμης πεισμονὴν, εἰ δὲ καὶ ἔσφαλεν εἰς τὴν κυβέρνησιν, τί διὰ τοῦτο τῷ Ῥώμης; πρὸς δὲ τὸ πέμπτον, Θεοδόσιος ὁ μικρὸς ἐζήτησε συγχώρησιν παρ' ἑνὸς Μοναχοῦ, καὶ τί θαυμαστὸν, εἰ ὁ Μαυρίκιος ἐζήτησε συγχώρησιν παρ' Ἀρχιερέως, καὶ μάλιστα Πατριάρχου; καὶ γὰρ καὶ εἰς τὰ Μεδιόλανα ὁ μέγας Θεοδόσιος ἔδωκε τύπον πῶς πείθεσθαι δεῖ τοῖς Ἐπισκόποις τοὺς Βασιλεῖς. εἶτα εἰ ἦν ἀλήθεια, ὅτι ἐζήτησε συγχώρησιν, ἐκώλυσεν ἂν τὸν Κωνσταντινουπόλεως λέγεσθαι Οἰκουμενικὸν, ἀλλὰ τὸ τοιοῦτον οὐ γέγονεν, ἄρα. οὐδὲν οὖν καὶ ἐκ τούτων συνῆκται τοῖς Παπισταῖς, καὶ μάτην φρίσσουσι μεγαλορρημονοῦντες. ἐκεῖνο δὲ οὗ ἕνεκεν τὸν Νηστευτὴν μυσάττονται οἱ Λατῖνοι, ἐστὶ μάταιον, καὶ ἴδε εἰς τὰ πρακτικὰ τῆς ἑβδό-

ἑβδόμης Συνόδου πράξει τεταρτῃ, καὶ ἴδε τὸν τόπον κατωτέρω βιβλίου ἑβδόμου, κεφαλαίου πρώτου Παραγράφῳ δεκάτῳ ὀγδόῳ. ὁ δὲ σιμοκάτης Θεοφύλακτος ἱστορεῖ, ὅτι ὁ Νηστευτὴς ἔλαβε τόσα τάλαντα δανειακῶς ἀπὸ τοῦ Μαυρικίου καὶ ἔδωκεν ὁμολογίαν, ἔδωκε δὲ τὰ χρήματα τοῖς πτωχοῖς. ἀλλ' ὅτε ἀπέθανεν, ἐζήτησεν ὁ Αὐτοκράτωρ εὑρεῖν χρήματα, καὶ ἦυρε μόνον ἕνα κράββατον ξύλινον, καὶ ἓν ῥεῖσον παλαιὸν, καὶ μίαν ἐξ ἐρίου καλύπτραν, ἤτοι κάπαν, καὶ ἐνόμισε ταῦτα τιμιώτερα χρυσίου καὶ λιθοκολλήτων, ἐν οἷς εἰς τοὺς καιροὺς τῆς νηστείας ἀνεπαύετο, χαίρειν εἰπὼν τοῖς βασιλικοῖς μαλακοῖς ὁ τοσοῦτος Αὐτοκράτωρ. λέγει δὲ ὁ αὐτὸς εἰς τὸ ὄγδοον βιβλίον, ὅτι ἤδη τετρακόσια ἔτη κειμένου τοῦ σώματος τῆς μάρτυρος Εὐφημίας, ὁ Ἱερεὺς εἰς τὴν ἑορτὴν αὐτῆς ἐσπόγγιζεν ἀναβλύζοντα αἵματα μύροις αὐτοφυέσι συγκεκραμένα, καὶ ἐδίδου εἰς ὑαλία τοῖ πιστοῖς. ὁ Μαυρίκιος δὲ ἀπιστῶν, καὶ νομίζων εἶναι πλάσμα, ἐσφράγισε τὴν θήκην, ἐπειδὴ δὲ ἐγίνοντο τὰ ὅμοια, μετὰ δακρύων εὐχαρίστει τῷ Θεῷ ἐπὶ τοῖς γινομένοις.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ αὐταρχίας τοῦ Τυράννου Φωκᾶ, καὶ περὶ τῆς τυραννίας τοῦ Πάπα, ἀπὸ Εἰδωλολατρῶν καὶ τυράννων Βασιλέων τὴν ἀρχὴν ἐχούσης, ἀπὸ τοῦ Φωκᾶ ἀρξαμένης διὰ τοῦ πνευματικοῦ ξίφους κατατρέχειν τῆς Ἐκκλησίας. τὸ δὲ λέγειν τοὺς παπιστὰς βεβαιῶσαι τὸν Φωκᾶν τῷ Πάπᾳ δίκαιον ἀρχαῖον, ψεῦδος ἐστίν.

Αὐταρχεῖ ὁ τύραννος Φωκᾶς, καὶ δέχεται ὑπὸ τῶν Ἐπισκόπων τῆς παλαιᾶς Ῥώμης μᾶλλον τοῦ ἁγίου Κωνσταντίνου, καὶ τοῦτο δικαίως, ἡ γὰρ ἐν Ῥώμῃ εἰσφρήσασα τυραννικὴ ἐξουσία τῶν Παπῶν, ἀπὸ τῶν τυράννων Βασιλέων ἔχει τὴν ἀρχὴν καὶ τὴν δύναμιν, πρῶτον ἀπὸ τῆς Συγκλήτου Ῥώμης, τῆς ψηφιζομένης Θεοὺς. δεύτερον ἀπὸ Αὐρηλιανοῦ τοῦ Εἰδωλολάτρου, τοῦ εἰπόντος, ἐὰν μὴ ὁμοφρονῇ ὁ Σαμοσατεὺς τοῖς Ἰταλοῖς, ἀποβληθῆναι τοῦ θρόνου Ἀντιοχείας. τρίτον, ἀπὸ τοῦ Βασιλίσκου, τοῦ γράψαντος κατὰ τῶν προνομίων τῆς Κωνσταντινουπόλεως. τέταρτον, ἀπὸ τοῦ Φωκᾶ, καὶ πέμπτον, ἀπὸ Καρόλου, ὡς ῥηθήσεται. ὁ οὖν Φωκᾶς ἐλεγχόμενος ὑπὸ τοῦ Κωνσταντινουπόλεως Κυριακοῦ μετὰ τὸ στεφθῆναι διὰ τὸ πρὸς τὸν Μαυρίκιον ἀσέβημα, καὶ περιποιούμενος ὑπὸ τῆς Ῥώμης, ἔγραψε κατὰ τῶν πρεσβείων τοῦ θρόνου Κωνσταντινουπόλεως, καὶ ἐκ τοῦ ἐναντίου ἐπήνεσε τὸ πρωτεῖον τῆς Ῥώμης παρανομώτατα, ἐπειδὴ παρεῖδε τὸ κανονικὸν πρωτεῖον, καὶ διώρισε καινὸν καὶ ἐξωτερικὸν, τουτέστι τυραννικόν. ὅθεν χαριέντως λέγουσιν οἱ Λατῖνοι, ὅτι τὸ παπᾶτον ἐβεβαιώθη παρὰ τοῦ Φωκᾶ, ὅστις εἶπε τὸν Ῥώμης κεφαλὴν καὶ ἀρχὴν τῶν ἐκκλησιαστικῶν πάντων, καὶ ἐμακαρίσθη ὑπὸ τῶν μακαριωτάτων Παπῶν, καίτοιγε ψεύδονται καὶ ἐνταῦθα, αὐτὶ γὰρ τοῦ εἰπεῖν ὅτι τὸ πρωτεῖον τοῦ Ῥώμης ἐκαινοτομήθη παρὰ τοῦ Φωκᾶ, λέγουσιν ὅτι ἐβεβαιώθη. ἀλλὰ φησὶν ὁ Χριστὸς πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου, ἐκριζωθήσεται, καὶ οὕτω καὶ ἡ ἀνατροπὴ τῶν δικαίων ὑπὸ τοῦ Φωκᾶ, καὶ ὁ εἰς τοὺς τυράννους συγχαιρετισμὸς τῶν Λατίνων ταχέως συναπεσβέσθη, μάλιστα ἐπειδὴ ἡ κατάρα τοῦ Ῥώμης κτείνει τὸν ὀρθόδοξον Μαυρίκιον, ἔοικεν ὅτι ἡ εὐχὴ αὐτοῦ κατεδίκασε καὶ ψυχικῶς καὶ σωματικῶς τὸν Φωκᾶν καὶ τοὺς ὀπαδοὺς αὐτοῦ, καὶ τρέχει ἡ Θεϊκὴ ὀργὴ ὑπὸ αἰτίας τοῦ Φωκᾶ καὶ τοῦ Ῥώμης εἰς τὴν Ἐκκλησίαν ἕως καὶ τῆς σήμερον, οὐμὴν ἀπὸ αἰτίας τοῦ Μαυρικίου. Σὺ δὲ σημείωσαι, ὅτι διττή ἐστιν ἡ παρουσία τῶν κατ' ἐξοχὴν καὶ ἐξαιρέτων προδρόμων τοῦ Ἀντιχρίστου, ἡ μὲν διὰ τοῦ πνευματικοῦ, ἡ δὲ διὰ τοῦ κοσμικοῦ ξίφους, ἐπὶ δὲ Φωκᾶ ἤρξατο ἡ διὰ τοῦ πνευματικοῦ ξίφους, ὅτε ὁ τύραννος αὐτὸς εἶπε τὸν Ῥώμης κεφαλὴν πασῶν τῶν Ἐκκλησιῶν, ἀλλὰ ἠθέτησεν ἐκεῖνα Ἡράκλειος, καὶ πᾶσα ἡ Ἐκκλησία εἰς οὐδὲν ἐλογίσατο. ἡ προσεχὴς αἰτία δι' ἣν ὁ Φωκᾶς ἔδωκε πρωτεῖον τῷ Ῥώμης ἦν, ὅτι γυναῖκες τινὲς ἔφυγον εἰς τὴν Ἐκκλησίαν, καὶ ὁ Κυριακὸς μὴ ἀφεὶς τὸν Φωκᾶν ἐκβαλεῖν αὐτὰς, ἐγένετο ἔχθρα, καὶ ἔδωκε τὸ πρωτεῖον τῷ Ῥώμης. ὁ δὲ Βίνιος γράφων περὶ τούτου, φέρει μάρτυρα τὸν Θεοφάνη καὶ Παῦλον τὸν Διάκονον. ὁ δὲ Ἀναστάσιος φησὶν, ὅτι ὁ Βονιφάτιος ὁ τρίτος ἐν ἔτει ἑξακοσιοστῷ πέμπτῳ ἔλαβε παρὰ Φωκᾶ τὸ πρωτεῖον, ὅτι ἐγράφετο πρώτη πασῶν τῶν Ἐκκλησιῶν ἡ Κωνσταντινούπολις. τοῦτο προσέτι λέγουσιν ᾄδοντες ὁ Βιενένσης καὶ ὁ Μαριανὸς καὶ ὁ Σιγιμπέρτος ἐν τοῖς χρονικοῖς, καὶ ὁ Βαρώνιος ἔτει ἑξακοσιοστῷ πέμπτῳ, τούτοις συνᾴδει καὶ ὁ Ἀββᾶς Οὐρσπεργένσης. Αὐτὸς δὲ ὀρθόδοξε σημείωσαι καὶ ἐνταῦθα, ὅτι ἡ Κωνσταντινουπόλεως Ἐκκλησία ἐρρέθη ὑπὸ τοῦ Ἰουστινιανοῦ κεφαλὴ καὶ πρώτη τῶν Ἐκκλησιῶν, ἀλλ' οὐ καὶ τοῦ Ῥώμης, καὶ γὰρ ὁ Ἰουστινιανός ἐστιν ὁ εἰπὼν τὸν Κωνσταντινουπόλεως μετὰ τὸν Ῥώμης ἔχειν τὴν τάξιν. οἱ δὲ Λατῖνοι αἰσχυνόμενοι λέγειν ἀπὸ τοῦ Φωκᾶ ἔχειν τὸ πρωτεῖον τὸν Ῥώμης, ἐξ οὗ ἀκολουθεῖ μὴ ἔχειν αὐτὸ παρὰ Χριστοῦ, λέγουσιν ὅτι διὰ τὸ ῥηθῆναι πρῶτον τὸν Κωνσταντινουπόλεως, ὁ Φωκᾶς ἐβεβαίωσε τὸ ἀρχαῖον δίκαιον τῷ Ῥώμης, ὅπερ ψεῦδος ἐστὶ προφανέστατον ἐκ τῶν εἰρημένων καὶ ἐξ ἄλλων πολλῶν.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ἀσεβείας τοῦ Πάπα Βονιφατίου τοῦ τρίτου, καὶ ὧν συνοδικῶς ὡς σημείων τῆς ἐξουσίας αὐτοῦ, ὁρίζω, προστάττω, ἐκύρωσε ῥημάτων, καὶ πῶς ταῦτα ἐξελάμβανεν αὐτὸς, καὶ πῶς οἱ νῦν Πάπαι, ἐξ ὧν δείκνυται ἡ Σύνοδος ἐπὶ τοῦ Πάπα.

Βονιφάτιος οὗτος ὁ τρίτος ἀθροίσας Σύνοδον ἑβδομηκονταδύο Ἐπισκόπων, καὶ Πρεσβυτέρων τριάκοντα, καὶ Διακόνων τριῶν, ἐνομοθέτησε μετὰ ἀναθέματος μὴ γίνεσθαι Πάπαν, ἢ Ἐπίσκοπον, πρὶν ἢ παρελθεῖν τοὐλάχιστον τρεῖς ἡμέρας, καὶ τοὺς διὰ δώρων ψηφιζομένους Ἐπισκόπους ἀναθεματίζεσθαι, καὶ τὴν ἐκλογὴν γίνεσθαι ὑπὸ τοῦ λαοῦ καὶ τοῦ Κλήρου, καὶ βεβαιοῦσθαι αὐτὴν ὑπὸ τοῦ ἐν τῷ τόπῳ Βασιλέως, ἢ Ἀρχηγοῦ. καὶ μέχρι μὲν τοῦδε καλῶς διωρίσατο, ἀπὸ τούτου ὅμως καὶ εἰς τὸ ἑξῆς ἀσεβέστατα ἐνομοθέτησε, καθότι εἶπε, τὴν ἐξουσίαν τοῦ Πάπα τὴν οὖσαν ἐπὶ πάντων τῶν ἄλλων χαρακτηρίζεσθαι τούτοις τοῖς ὀνόμασιν, ὁρίζομεν, προστάττομεν. καὶ ὁ μὲν Διάλογος πᾶσι τρόποις ἔσπευδε δεῖξαι τὸν καλούμενον μὲν καθολικὸν Ἐπίσκοπον, νομίζοντα δὲ ἔχειν ἀπολελυμένην καὶ γενικὴν ἐξουσίαν εἰς πᾶσαν τὴν Ἐκκλησίαν, ἐκεῖνον εἶναι τὸν πρόδρομον τοῦ Ἀντιχρίστου, ὁ δὲ παρὼν Βονιφάτιος ἐνομοθέτησε κατὰ διάμετρον τοῦ Διαλόγου, ὁρίζομεν, προστάττομεν, βουλόμενος εἶναι τύραννος εἰς τὴν Ἐκκλησίαν, ὅτε ἦν ὁ τύραννος εἰς τὴν Βασιλείαν. ὅθεν καλῶς λέγεται, ὅτι ἐπὶ τοῦ Φωκᾶ ὁ Ῥώμης ἐῤῥέθη πρῶτος. Σὺ δὲ σημείωσαι πρῶτον, ὅτι Σύνοδον ἀγείρει ὁ Πάπας, ἀλλ' ἀθετεῖται ὑπὸ τῶν μετέπειτα Παπῶν, καὶ ἴδε τίνες ἔχουσι τοὺς ἀφορισμοὺς τῆς Συνόδου. δεύτερον, ὅτι καὶ αὐτὸς συνοδικῶς ἐνεργεῖ, καὶ γνῶθι ὅτι ὑπὲρ τὸν Πάπαν ἡ Σύνοδος, κἂν καὶ τοπική. τρίτον, ὅτι τὰ λόγια τοῦ τεταρτοῦ διορισμοῦ εἰσὶ κατὰ τὸν Δαβὶδ ῥήματα καταποντισμοῦ. ἵνα δὲ ὁ λόγος ᾖ ἐνταῦθα σαφὴς, σημειωτέον ἔτει τέσσαρά τινα, πρῶτον, ὅτι ὁ Ῥώμης καὶ Κωνσταντινουπόλεως καὶ ἕτεροι Ἐπίσκοποι πολλῶν θρόνων εἰς καιροὺς ἀνάγκης ἐνήργησαν, ἀγωνιζόμενοι κατὰ τῶν Αἱρετικῶν, καὶ ὑπερορίως, ἀλλ' οἱ μὲν ἄλλοι μετὰ τοὺς ἀγῶνας ἔμειναν εἰς τὰ ἴδια ὅρια, ὁ Ῥώμης δὲ Κανόνας ψευδεῖς καὶ ἱστορίας πεπλασμένας προβάλλων, ἐζήτει ἵνα ἔχῃ τοῦτο ὡς ἴδιον, καίπερ παρηκούετο, καὶ ἐπετιμᾶτο καὶ κοινῶς καὶ ἰδίως διὰ τὴν τοιαύτην θρασύτητα, ὅμως ἦν ἕνωσις εἰς τὴν Ἀνατολικὴν καὶ Δυτικὴν Ἐκκλησίαν, ἐπειδὴ κατὰ τοῦτο ὁ Ῥώμης οὐκ ἐζήτει καινοτομεῖν εἰς τὴν καθόλου Ἐκκλησίαν, καὶ ἀθετεῖν τὰ κοινῶς διωρισμένα, ἀλλ' εἶναι μόνον κοινὸς προστάτης καὶ ἔκδικος τῶν κοινῶς διωρισμένων καὶ παραδεδομένων, καὶ τοῦτό ἐστιν ὅπερ ὁ Φωκᾶς ἐδίδου αὐτῷ ἔχειν μόνος μετὰ Πριβιλεγείων, καὶ ἐποίησε καὶ τὸν Βονιφάτιον αὐτὸ ἀποδεχθῆναι καὶ λέγειν, ὁρίζω, προστάττω, καὶ τοῦτό ἐστι, περὶ οὗ Ἡράκλειος ἠθέτησε τὰ πεπραγμένα τοῦ Φωκᾶ ἀκυρώσας, ἐπειδὴ τὸ κοινὸν ἔργον τῶν ἐκκλησιαστικῶν προέδρων παρεῖχε μόνῳ τῷ Ῥώμης. ὅτι δὲ τοῦτο κοινόν ἐστιν, ἴδε ἀνωτέρω βιβλίου πέμπτου, κεφαλαίου ἑνδεκάτου Παράγραφον πέμπτον. καὶ ἔτι ἴδε τὸν Πάπαν Μαρτῖνον ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ δεκάτῳ ἐν τῷ τέλει τοῦ τελευταίου Παραγράφου. δεύτερον, ὕστερον ἐκ τούτων τῶν κακῶν ἀρχῶν κατήντησε τὸ πρωτεῖον τοῦ Ῥώμης εἰς προφανῆ τυραννίδα, καὶ λέγει ἑαυτὸν εἶναι κριτὴν τῶν Συνόδων, καὶ πιστεύειν τοὺς ἀνθρώπους εἰς αὐτὸν, ὅθεν τῶν μὲν κοινῶς διωρισμένων καὶ παραδεδομένων τινὰ μὲν ἠθέτησε, τινὰ δὲ ἠλλοίωσεν, ἄλλα δὲ ξένα καὶ ἀλλόκοτα ἀντεισήγαγεν εἰς τὴν Ἐκκλησίαν, φημιζόμενος καθολικὸς Ἐπίσκοπος καὶ μονάρχης τῆς Ἐκκλησίας, ὡς μόνος ὢν δῆθεν ἀναμάρτητος, καὶ μὴ δυνάμενος ἁμαρτάνειν, καὶ διατοῦτο καὶ πιστεύειν εἰς αὐτὸν τοὺς σύμπαντας Χριστιανούς. τρίτον, ὅτι ὅσα οἱ Πάπαι ἐχρῶντο ἵνα ἐνεργῶσιν ὑπερορίως, καὶ ὅσα ἐνήργησαν, ταῦτα χρῶνται οἱ μετέπειτα καὶ ἐπὶ τῆς τυραννίδος παπισταὶ διὰ σύστασιν τοῦ παπισμοῦ, ἀλλὰ κατὰ ἄλλην ἔννοιαν, καὶ ἔχε εἴδησιν ἵνα δυνῇ διακρίνειν τὸ πρωτεῖον ἀπὸ τῆς τυραννίδος, καὶ διαλύειν εὐκόλως τοῦ παπισμοῦ τὰ σοφίσματα. τέταρτον, ὅτι καὶ αὐτὸ ὅπερ ἐζήτουν οἱ παπισταὶ τὸ ἐξουσιάζειν ὑπερορίως ἵνα φυλάττωσι τὰ κοινῶς διωρισμένα, οὐκ ἐζήτουν αὐτὸ, ὡς εἴρηται, οἱ Πάπαι ὡς ἴδιον αὐτοῖς μόνοις, ἐπειδὴ ἰδιόν ἐστι καὶ τοῖς λοιποῖς Πατριάρχαις, καὶ ἄλλοις Ἐπισκόποις ἐν ὥρᾳ ἀνάγκης, καὶ ἴδε ἀνωτέρω καὶ κατωτέρω ἐν πολλοῖς.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ Βονιφατίου τοῦ τεταρτου, καὶ τοῦ Πανθέου Ναοῦ, καὶ περὶ τοῦ μετὰ Βονιφάτιον Δοσιθέου Πάπα καὶ τῆς ἀρετῆς αὐτοῦ. καὶ περὶ σφαγῆς Ἐλευθερίου, ἑαυτὸν Βασιλέα Ῥώμης ψηφισαμένου ἐπὶ Ἡρακλείου.

Βονιφάτιος ὁ τέταρτος ἐζήτησεν ἀπὸ τοῦ Φωκᾶ τὸν Ναὸν, ἤτοι τὸ πολυώνυμον Πάνθεον, ᾠκοδομημένον ὑπὸ τοῦ Μάρκου Ἀγρίππα εἰς τιμὴν τοῦ Διὸς τοῦ ἐκδικητοῦ, ἀνεγηγερμένον μετὰ πλείστης πολυτελείας καὶ δαψιλείας, καὶ ἔκτισεν αὐτὸ εἰς μνήμην τῆς ὑπεραγίας Θεοτόκου καὶ τῶν Μαρτύρων μετὰ ἑξακοσίους τριάκοντα δύο χρόνους ἀπὸ τῆς οἰκοδομῆς αὐτοῦ, μαρτυρεῖ δὲ τοῦτο ὁ Ἀναστάσιος καὶ ὁ Σαβέλικος. ἔμεινε δὲ τόσον καιρὸν ἀκατάλυτος ὁ τόσος μέγας βωμὸς διὰ τὸ κάλλος καὶ τὴν στερεότητα αὐτοῦ, ὅθεν ἐγένετο καὶ μίμημα

μίμημα τοῦ μεγάλου Ναοῦ τῆς ἁγίας Σοφίας εἰς τὴν νέαν Ῥώμην, ὥστε κατὰ μίμησιν καὶ κατὰ τὸν τύπον τούτου τοῦ Πανθέου ἐστὶ καὶ ὁ Ἰουστινιάνειος Ναός. ἔφθασε δὲ καὶ κατὰ Θεϊκὴν εὐδοκίαν εἰς τὴν Ῥώμην γενέσθαι Πάπας μετὰ τὸν Βονιφάτιον ὁ πανεύφημος Δοσίθεος, καλύπτων τοῦ Σαβίνου τὸ χαμαίζηλον, καὶ τοῦ τρίτου Βονιφατίου τὸ ὑπέρογκον. τόσον δὲ ἦν ἁγίας συνειδήσεως ἄνθρωπος, ὅτι ἀπαντήσας ἕνα λεπρὸν εἰς τὸν δρόμον, καὶ φιλήσας, ἰάτρευσεν αὐτὸν, εἰς γὰρ τοὺς καιροὺς ἐκείνους ἦσαν πάγκοινα κακὰ σεισμοὶ καὶ λέπρα, ἥτις σχεδὸν ἠλλοίου τὴν ἀνθρωπίνην μορφήν. μείναντος δὲ εἰς τὸν θρόνον τοῦ Πέτρου τοῦ καλοῦ Ἀρχιερέως Δοσιθέου χρόνους τρεῖς καὶ εἰκοσιτρεῖς ἡμέρας, καὶ κοιμηθέντος, γίνεται διάδοχος αὐτοῦ Βονιφάτιος ὁ πέμπτος, πρᾶος καὶ ἀγαθὸς ἄνθρωπος, ἐν δὲ τῇ τελευτῇ τοῦ Δοσιθέου οὐδύναμαι εἰπεῖν τίνα ἦσαν περὶ αὐτὸν τὰ πλείω ἐκ μέρους τοῦ Κλήρου καὶ τοῦ λαοῦ, τὰ δάκρυα διὰ τὴν στέρησιν, ἢ τὰ ἐγκώμια διὰ τὰς ἀρετὰς τοῦ ποιμένος. ἐπειδὴ δὲ περίπου τὸν καιρὸν ἐκεῖνον ἀπεκτάνθη ὁ βασιλικὸς Ἔξαρχος Ἰωάννης, ἀπέστειλεν ὁ Ἡράκλειος τὸν Πατρίκιον Ἐλευθέριον ἐκδικῆσαι τὸν θάνατον αὐτοῦ. ἀλλὰ μετὰ τὴν ἐκδίκησιν ψηφίζεται αὐτὸς ἑαυτὸν Βασιλέα τῆς Ἰταλίας. τέμνεται ὅμως ἡ χωρὶς μυελῶν κεφαλὴ αὐτοῦ εἰσερχομένου εἰς τὴν Ῥώμην ὑπὸ τῶν στρατιωτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ παραδείγματος τῆς ἀνέκαθεν τιμῆς τῶν τῆς Ἱερουσαλὴμ θείων παραγμάτων ἐκ τοῦ Σταυροῦ τοῦ Δομιτίου.

Ἀλλ' ἔλθωμεν εἰς τὸ προκείμενον. Ἄρχων τὶς Δομίτιος Πατρίκιος ὑπέσχετο ποιῆσαι ἕνα χρυσοῦν Σταυρὸν τῷ Συκεώτῃ Θεοδώρῳ δῶρον, ἐμήνυσεν ὅμως τῷ Χρυσοχόῳ μὴ χρυσοχοῆσαι εὐθὺς τὸν Σταυρὸν, ἀλλὰ προσμεῖναι μικρὸν, ἕως ἂν βάλλῃ ἐν αὐτῷ πράγματά τινα ἅπαρ αὐτῷ δέδωκεν ὁ τῆς Κωνσταντινουπόλεως Πατριάρχης Θωμᾶς, τὰ δὲ ἦσαν τμήματα, ἓν ἀπὸ τοῦ ἁγίου ξύλου, καὶ ἕτερον ἀπ' αὐτοῦ τοῦ Θεοδέγμονος τάφου τοῦ Κυρίου ἡμῶν, καὶ ἄλλο ἀπὸ τῆς σκέπης ἐκείνης τῆς Θεοτόκου, ἅπαρ ἔκρυψεν εἰς τὸν ὀμφαλὸν τοῦ χρυσοῦ Σταυροῦ κατὰ τὸν Ἐλάσιον. ὁρᾷς εἰς πόσην τιμὴν ἦσαν τὰ πράγματα τῆς Ἱερουσαλὴμ ὦ φιλαναγνῶστα;

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῶν συντετυμμένων ἀλλήλοις Σταυρῶν ἀοράτως ἐπὶ Φωκᾶ, καὶ ἁλώσεως Μεσοποταμίας, Συρίας, Καππαδοκίας καὶ τῆς Ἱερουσαλὴμ καὶ τοῦ τιμίου ξύλου τοῦ Σταυροῦ ὑπὸ τοῦ Περσάρχου Χοσρόου.

Συνέβη δὲ τότε καί τινας Σταυροὺς μεταξὺ αὐτῶν συντρίβεσθαι καὶ συντύττεσθαι, ὅπερ δὴ τέρας ἀακούων καὶ ὁ Φωκᾶς, ἐταράχθη λίαν, καὶ ἠρώτησε τὸν θεῖον Θεόδωρον, τί ἂν ἄρα τοῦτο ἐσήμαινε, ὁ δὲ Θεόδωρος καὶ ἄκων τὸ γεγονὸς τέρας ἐξηγήσατο, ὅτι δηλαδὴ μέλλει πολλοὺς ἀποστατήσειν τῆς χριστιανικῆς πίστεως, καὶ ἐπιδρομὰς γενήσεσθαι ἀλλοφύλων, καὶ ὁρμὰς ἐχθρῶν, καὶ ἑπομένως αἱματεκχυσίας καὶ ἐπαναστάσεις, ζημίας τῶν Ἐκκλησιῶν, καὶ τῆς βασιλείας μείωσίν τε καὶ ἐλάττωσιν. καθότι ἐκτὸς τῶν φόνων ὧν ἐποίησαν οἱ Πέρσαι ἐναντίον ἡμῶν εἰς τὰ μέρη τῆς Ἀνατολῆς, ὁ Περσάρχης Χοσρόης ἐκδικῶν δῆθεν τὸν σκληρότατον θάνατον τοῦ εὐεργέτου αὐτοῦ Μαυρικίου, ἤγειρε πόλεμον κατὰ τῶν Ῥωμαίων, καὶ ἔλαβε Μεσοποταμίαν, Συρίαν, Καππαδοκίαν, καὶ τέως εἰπεῖν ὅλην τὴν Ἀνατολὴν ἕως Χαλκηδόνος. ἠχμαλωτίσθη καὶ ἡ ἁγία πόλις, καὶ ὁ ζωοποιὸς καὶ τίμιος Σταυρὸς μετεκομίσθη εἰς τὴν Περσίαν.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τοῦ πολέμου Ἡρακλείου καὶ Φωκᾶ τυράννου, καὶ νίκης Ἡρακλείου καὶ Βασιλείας, καὶ κατακαύσεως τοῦ Φωκᾶ.

Ἦλθε καὶ ὁ Ἡράκλειος ἀπὸ τῆς Ἀφρικῆς μετὰ πλοίων εἰς τὴν Ἄβυδον, ὅπου εἰσὶ νῦν τὰ Καστέλλια, καὶ ὅσους ἐξορίστους Ἄρχοντας ηὗρεν ἐκεῖ ἔλαβε μεθ' ἑαυτοῦ, καὶ φιλοδωρηθεὶς ὑπὸ Στεφάνου Μητροπολίτου Κυζίκου, ὥρμησεν εἰς τὴν Κωνσταντινούπολιν, καὶ πολεμήσας μετὰ τοῦ τυράννου, κατετρόπωσεν αὐτόν. ὁ δὲ λαὸς συλλαβὼν τὸν Φωκᾶν καὶ κατακόψας, ἔρριψεν αὐτὸν ἐν τῇ εἰς τὸν φόρον τοῦ Ταύρου ἀνημμένῃ πυρκαϊᾷ, ὡς γράφει ὁ Θεοφάνης. περὶ δὲ τοῦ γενέσθαι ταῦτα εἶπεν ὁ Πατριάχης Θωμᾶς Θεοδώρῳ τῷ Συκεώτῃ παραι-

παραινέσαι τὸν Φωκᾶν παύσασθαι ἀπὸ τῶν φόνον, ὁ δὲ τύραννος ᾔτησε ῥυσθῆναι τῆς ποδάγρας καὶ παύσασθαι, οὗ γεγονότος, ὁ Φωκᾶς πάλιν Φωκᾶς ἦν, ὅθεν εἶπεν αὐτῷ ὁ Θεόδωρος τὴν καταστροφὴν αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἀχειροποιήτου Εἰκόνος τοῦ Κυρίου, ἣν ἀπ' Ἀφρικῆς ἔφερεν ὁ Ἡράκλειος, καὶ περὶ τῶν βουληθέντων βεβαιῶσαι Μάρτυρας τοὺς ἐν πολέμῳ ἀναιρουμένους.

Θέλει ὁ Κεδρηνὸς κομίσαι τὸν Ἡράκλειον μεθ' ἑαυτοῦ ἀπὸ τῆς Ἀφρικῆς καὶ τὴν Ἀχειροποίητον Εἰκόνα τοῦ Κυρίου, ἣν εἶχε προσέτι ὅτε ἤγειρε τὸν πόλεμον κατὰ τοῦ Χοσρόου. οὗτος ὁ Φωκᾶς ἤθελε τοὺς ἐν τῷ πολέμῳ πίπτοντας, Μάρτυρας πάντας κηρύττεσθαι, ἀλλ' οὐκ εἰσηκούσθη διὰ τὸν Κανόνα τοῦ μεγάλου Βασιλείου, ὅστις κανονίζει τοὺς ἐν τῷ πολέμῳ αἱματεκχυσίαν ποιοῦντας, ὡς ἐσημείωσε τοῦτο καὶ ὁ Βαλσαμὼν Θεόδωρος εἰς τὸν δέκατον τρίτον Κανόνα τοῦ ἁγίου πρὸς Ἀμφιλόχιον. τοῦτο καὶ ὁ Νικηφόρος ὁ Φωκᾶς ἠβουλήθη ὕστερον ποιῆσαι, ἐν μόνῳ τῷ πολέμῳ τὴν σωτηρίαν τιθέμενος καὶ ἐν οὐδενὶ ἄλλῳ, ἀλλ' ἀπεκρούσθη κἀκεῖνος τῷ ὁμοίῳ Κανόνι ὑπὸ τῆς τότε Συνόδου, πολλοὺς ὅμως ἐξώρισεν, οὓς ὁ Τζιμισκὴς ἐπανήγαγε, καὶ ἴδε τὸν τόπον ἐκεῖ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς στέψεως Ἡρακλείου, καὶ τοῦ γένους αὐτοῦ, καὶ περὶ ἁλώσεως Δαμασκοῦ, Συρίας καὶ Ἱερουσαλὴμ, ὡς εἴρηται, σὺν τῷ Πατριάρχῃ Ζαχαρίᾳ καὶ τῷ τοῦ Σταυροῦ τιμίῳ ξύλῳ, καὶ ἐμπρήσεως τοῦ δεσποτικοῦ τάφου, τοῦ Γολγοθᾶ, καὶ τῶν Παλαιστίνης Μοναστηρίων ὑπὸ τοῦ Χοσρόου, καὶ περὶ τῶν ἐννενήκοντα χιλιάδων Χριστιανῶν τῶν ὑπὸ τῶν Ἑβραίων ἀγορασθέντων καὶ φονευθέντων. καὶ περὶ τῆς τοῦ Ἰωάννου ἐλεήμονος ἐν Ἀλεξανδρείᾳ Πατριαρχείας, καὶ τοῦ θρήνου αὐτοῦ διὰ τὴν ἅλωσιν τῆς Ἱερουσαλὴμ, καὶ ἐλέους αὐτοῦ πρὸς τοὺς ἐκεῖσε φυγόντας Ἱεροσολυμίτας.

Ἐστέφθη ὁ Ἡράκλειος ὑπὸ τοῦ Σεργίου καὶ ἡγυνὴ αὐτοῦ Εὐδοκία, Καππαδόκης τὸ γένος κατὰ τὸν Γλυκᾶν. τότε ἐπατριάρχευσεν εἰς τὴν Ἀλεξάνδρειαν καὶ Ἰωάννης ὁ ἐλεήμων, οὗ τὸν βίον ἔγραψεν ὁ Λεόντιος, Κύπριος καὶ αὐτὸς, πλὴν καὶ Φιλαλήθης, καθότι καὶ τὴν ἱστορίαν αὐτοῦ ἐδέξατο ἡ Οἰκουμενικὴ ἑβδόμη Σύνοδος. μετὰ τὸ νικῆσαι τὰ στρατεύματα τῶν Ῥωμαίων ὁ Περσάρχης Χοσρόης, ὥρμησε κατὰ τῆς Δαμασκοῦ, ἣν καὶ ἔλαβε. πέμψαντος δὲ πρὸς αὐτὸν Ἀποκρισιαρίους τοῦ Ἡρακλείου, ἀπέστειλεν αὐτοὺς ὀπίσω ἀπράκτους, ὡς λέγει ὁ Θεοφάνης. ὅθεν ἦλθεν εἰς τὴν Συρίαν μετὰ πλήθους στρατιᾶς, καὶ κυριεύσας αὐτῆς, ἐστρατοπέδευσεν εἰς Ἱεροσόλυμα, καὶ παρέλαβεν αὐτὰ, καὶ ᾐχμαλώτισε πολλοὺς Χριστιανοὺς, ἐξ ὧν ἐπώλει τοῖς Ἑβραίοις ἀργυρίου ὀλίγου, ἀγοράζοντες δὲ αὐτοὺς οἱ Ἑβραῖοι, ἀπέκτειναν Χριστιανοὺς χιλιάδας ἐννενήκοντα. μεταξὺ ὅμως τῶν αἰχμαλωτισθέντων ἄγεται αἰχμάλωτος εἰς Περσίαν (ὦ τῆς ἐλεεινῆς τραγῳδίας) ὁ Πατριάρχης Ζαχαρίας καὶ τὸ τίμιον ξύλον τοῦ Σταυροῦ, ὅπερ ἦν φυλαττόμενον ἐν τῷ ἁγίῳ Γολγοθᾷ ἔνδον εἰς θήκην ἐσφραγισμένην. σημειοῖ τὸ Ἀλεξανδρινὸν ἱστορικὸν καὶ λέγει, ἐν τῷ δευτέρῳ ἔτει Ἡρακλείου ἑάλω ἡ Ἱερουσαλὴμ, ἐμπίπραται τὸ δεσποτικὸν μνῆμα, καὶ οἱ περιβόητοι τοῦ Θεοῦ Ναοὶ καὶ τὰ τίμια καθαιρεῖται, καὶ τὰ τίμια ξύλα σὺν τοῖς ἀναριθμήτοις ἱεροῖς σκεύεσι καὶ Ζαχαρίας ὁ Πατριάρχης ἐλήφθησαν ἐν Ὀλυμπιάδι τριακοσιοστῇ τεσσαρακοστῇ ὀγδόῃ. πολλοὶ τότε στενοχωρούμενοι, ἔδραμον εἰς τὴν Ἀλεξάνδρειαν, ὅπου εὑρόντες τὸν κοινὸν πτωχοτρόφον πατέρα τὸ ἐλεήμονα Ἰωάννην, ἠλεοῦντο παρ' αὐτοῦ κατὰ τὸν Λεόντιον, ὅστις διαμαρτύρεται, ὅτι ὅτε ἤκουσεν ὁ Ἰωάννης τὴν αἰχμαλωσίαν τῶν Ἱεροσολύμων, καὶ τῶν ἁγίων Μοναστηρίων τὴν κατάκαυσιν, ἤρξατο θρηνεῖν ὡς ἄλλος Ἱερεμίας, καὶ κλαίειν τὴν πικροτάτην αὐτῶν ἅλωσιν. σημείωσαι δὲ, ὅτι τότε ἔκαυσαν οἱ Πέρσαι τὸν εἰς τὸ ὄρος τῶν ἐλαιῶν περίφημον Ναὸν, καὶ πλέον οὐκ οἰκοδομήθη, οἷος ἦν πρότερον, εἰ καὶ ὕστερον ᾠκοδομήθη, μικρὸς ὅμως, καὶ οὐχ ὡς ἦν πρότερον. ἀλλὰ δὴ καὶ τὸν ἅγιον Γολγοθᾶν ἔκαυσαν, καὶ τὸν Ναὸν τοῦ ἁγίου τάφου, καὶ ἄλλα περικαλλέστατα Μοναστήρια Γαλιλαίας καὶ Σαμαρείας, καὶ ἁπλῶς τῆς Παλαιστίνης.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τοῦ θρήνου τοῦ ὁσίου Ἀντιόχου διὰ τὴν τῆς Ἱερουσαλὴμ αἰχμαλωσίαν, καὶ τῶν ὁμιλιῶν αὐτοῦ πρὸς τοὺς Μοναχοὺς αὐτοῦ.

Πλὴν οὐκ ἦν μόνος ὁ Ἰωάννης εἰς τὴν μονῳδίαν τῆς Ἱερουσαλὴμ, ἀλλ' εὗρε καὶ σύντροφον τὸν Παλαιστινὸν ὅσιον Ἀντίοχον, ὅστις συγγραψάμενος ἑκατὸν τριάκοντα ὁμιλίας, οὐκ ἀφῆκεν ἐν αὐταῖς ἀθρήνητα τὰ Ἱεροσό-

Ἱεροσόλυμα, λέγει γὰρ οὕτω, μέλλομεν ἐκχέειν θερμὰ δάκρυα, ὅτι κατεκάη τοῦ Θεοῦ ἡ ἁγία πόλις, ὅτι ἐλήφθη τοῦ Κυρίου ὁ τίμιος Σταυρὸς, ὅτι ἐφονεύθησαν καὶ ᾐχμαλωτίσθησαν τόσοι πιστοὶ, διατοῦτο δεῦτε καὶ κλαύσατε κατὰ τὸν Ἰωὴλ ἀναμέσον τῆς κρηπῖδος τοῦ Θυσιαστηρίου, καὶ εἴπατε, φείσαι Κύριε τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος τοῦ κατάρξαι αὐτῶν ἔθνη, ὅπως μὴ εἴπωσιν ἐν τοῖς ἔθνεσι, ποῦ ἐστὶν ὁ Θεὸς αὐτῶν; ἤδη λαμβάνει τέλος καὶ ἡ προφητεία ἐκείνη τοῦ Ἡσαΐου, ἡ λέγουσα, ἥξουσι καὶ κατακαύσουσι τὴν πόλιν ταύτην ἐν πυρὶ, ἕως πότε ἀποστραφήσῃ θυγάτηρ ἠτιμωμένη. κατῃσχύνθημεν ἐπ' ἀληθείας, καὶ τὸ πρόσωπον ἡμῶν ἐκάλυψεν ἐντροπὴ, ὅτι εἰσῆλθον εἰς τὸ ἅγιον τῶν ἁγίων οἱ ἀλλόφυλοι καὶ κατεμίαναν αὐτὸ, ὅθεν τρέπεται εἰς δέησιν ὁ ὅσιος οὗτος πατὴρ, καὶ ποιεῖ ὁμοῦ καὶ τὴν ἐξομολόγησιν αὐτοῦ, ὅτι ταῦτα πάντα πεπόνθαμεν διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ τὰς ἀσεβείας ἡμῶν τὰς πολλάς. πλήνγε ὅμως οὐχ ὥσπερ ἐπὶ τοῦ Σεδεκίου συμβέβηκε παρελθεῖν ἑβδομήκοντα ἔτη ἀπὸ τῆς ἐρημώσεως τῆς Ἱερουσαλὴμ ἕως τῆς δευτέρας αὐτῆς ἀνακαινίσεως, οὐ δὲ ὥσπερ ἐπὶ τοῦ Τίτου υἱοῦ τοῦ Οὐεσπεσιανοῦ, ὑφ' οὗ ἑάλω ἡ Ἱερουσαλὴμ, ἐχρόνισεν ἕως τοῦ Ἀδριανοῦ Αἰλίου γενέσθαι ἡ ἀνάκτισις αὐτῆς, τοῦ Αἰλίαν αὐτὴν τῇ ἀνακτίσει μετονομάσαντος, οὕτω συνέβη καὶ κατὰ τόνδε τὸν καιρὸν, καθ' ὃν ἑάλω ὑπὸ τοῦ Χοσρόου, ἀλλ' ἐπανελθόντος τοῦ Ζαχαρίου μετὰ τοῦ Ἡρακλείου τοῦ νικητοῦ καὶ τροπαιούχου τῶν Περσῶν, ἀνεκαινίσθη αὖθις ἡ Ἱερουσαλὴμ, καὶ ἐγένετο ὡς Ἀετοῦ ἡ νεότης αὐτῆς, ὅτε ὑψώθη ὁ τίμιος Σταυρὸς ταῖς ἱερωτάταις παλάμαις τοῦ πολυπαθοῦς γέροντος Ζαχαρίου.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἐπιγραφῆς τῆς βίβλου τῶν ὁμιλιῶν τοῦ ὁσίου Ἀντιόχου, καὶ τῆς ἀναιρέσεως τῶν Μοναχῶν τῆς Λαύρας αὐτοῦ ὑπὸ τῶν βαρβάρων, καὶ τὶ δηλοῖ Λαῦρα, καὶ περὶ τῶν ἐπαίνων καὶ τῆς πολιτείας τῶν ἀναιρεθέντων Μοναχῶν.

Πλὴν χρή σε γινώσκειν ὦ φιλαναγνῶστα, ὅτι ὁ προειρημένος ὅσιος Ἀντίοχος ταύτας τὰς ὁμιλίας συνήγαγε χάριν ψυχωφελείας τῶν Μοναχῶν αὐτοῦ, διασκορπισθέντων δεῦρο κἀκεῖσε διὰ τὸν φόβον τῶν Περσῶν, τῶν κυκλωσάντων ὅλον τὸν τόπον. ὅθεν ὥσπερ ἔβαλον τὸν παξαμᾶν αὐτῶν εἰς τὰ δισάκκια αὐτῶν, οὕτως ἔβαλον καὶ τὸν πνευματικὸν ἄρτον τῆς διδαχῆς εἰς αὐτὰ, ἵνα μὴ λιμοκτονήσωσι ψυχικῶς, ὡς αὐτὸς ὁ ἴδιος ὁ θεοφόρος πατὴρ τοῦτο ἐβεβαίωσε, λέγων πρὸς τὸν Εὐστάθιον, διὰ τὸ μὴ δύνασθαί με περιελθεῖν τὰ σεπτὰ Μοναστήρια, ἐνόμισα ποιῆσαι μίαν κοινὴν καὶ σύντομον διδασκαλίαν, ἵνα ᾖ πᾶσι κοινόβιος, καὶ τῆς στράτας ἐφόδιον, ὅμως οὐκ εἴασεν ἀδιήγητα τὰ δεινὰ μαρτύρια ἅπερ ἔπαθον οἱ Ἱεροσολυμῖται Μοναχοὶ πρὸ ὀκτὼ ἡμερῶν τῆς ἁλώσεως τῶν Ἱεροσολύμων, εἶχε γὰρ τὴν ἐπιστασίαν τῆς Λαύρας τοῦ ἁγίου Σάββα (Λαύρας δὲ ὀνομάζουσιν οἱ ἡμέτεροι τὰ μεγάλα Μοναστήρια καὶ πολυάνθρωπα μεταφορικῶς ἀπὸ τῆς λαύρας, ἤγουν τῆς ἐνδομύχου καύσεως, ἢ ἀπὸ τοῦ λίαν αὔρας ἔχειν, ἤτοι πολλὰς πνοάς) ἔστι δὲ ἡ ἐπιγραφὴ, Βίβλος ἡ καλουμένη Πανδέκτη τοῦ Μοναχοῦ Ἀντιόχου τῆς Λαύρας τοῦ ἁγίου Σάββα πρὸς Εὐστάθιον Ἡγούμενον Μονῆς Ἀτταλινῆς, ἔχουσα κεφάλαια διάφορα ἑκατὸν τριάκοντα. λέγει οὖν ὁ Ἀντίοχος τῷ Εὐσταθίῳ, ἐρωτᾷς με διὰ τοὺς ἁγίους πατέρας τῆς Λαύρας ἡμῶν τοὺς νεωστὶ φονευθέντας, καὶ ὅσον διὰ τὴν ζωὴν καὶ τὴν πολιτείαν αὐτῶν ἡ γλωσσάμου οὐ φθάνει ἑρμηνεῦσαι αὐτὴν ὡς δεῖ, μόνον τόσον ἀρκεῖ, ὅτι ἀπορῶ πότερον αὐτοὺς χρὴ ὀνομάσαι Ἀγγέλους, ἢ ἀνθρώπους; ἐξ ἁπαλῶν γὰρ ὀνύχων ἔλαβον τὸν γλυκὺν τοῦ Κυρίου ζυγὸν ἐπ' ὤμων ἀράμενοι, ὑπομένοντες καὶ τῆς μοναδικῆς διαίτης τὸν ἀμύθητον καύσωνα, οἱ δὲ πλείονες αὐτῶν ἦσαν πλήρεις ἁγίων ἡμερῶν, ταπεινοὶ, πρᾷοι, τίμιοι, ἄμεμπτοι, εὐλαβεῖς, ἀλλότριοι πάσης κακουργίας καὶ μέμψεως, πάσαις ταῖς ἀρεταῖς κεκοσμημένοι, καὶ Θεϊκῶν χαρισμάτων πεπληρωμένοι, τινὲς ἐξ αὐτῶν ὑπὲρ τὰ ἑκατὸν ἔτη ἦσαν, διετέλεσαν δὲ μοναστηριακῶς ζῶντες, οὔτε ἐξερχόμενοι τῆς Λαύρας, οὔτε εἰς τὸ Κάστρον ἀπερχόμενοι, μόλις δὲ μόνον ἐπορεύοντο Σαββάτῳ καὶ Κυριακῇ εἰς τὴν Ἐκκλησίαν, μελετῶντες νυκτὸς καὶ ἡμέρας τὸ φοβερὸν τοῦ θανάτου μυστήριον, ὄντως οὐράνιοι ἄνθρωποι καὶ ἐπίγειοι Ἄγγελοι, ἀνθ' ὧν καὶ ἐκληρονόμησαν τὰ τῆς νίκης βραβεῖα οἱ ἀξιομακάριστοι καὶ ἀείμνηστοι ἀδελφοὶ καὶ πατέρες ἡμῶν. ἐὰν δὲ ἐρωτᾷς τὶς αὐτοὺς ἐφόνευσε, λέγω σοι οἱ Ἰσμαηλῖται, καθότι ὅτε ἐπλησίασαν εἰς τὸ Μοναστήριον ἡμῶν, τινὲς μὲν τῶν Μοναχῶν ἔφυγον, τινὲς δὲ ἀπέμειναν, ὅσοι δηλαδὴ ἐνόμιζον ἑαυτοὺς μᾶλλον δυνατωτέρους καὶ νεωτέρους. ἀλλ' οἱ κλέπται καὶ βάρβαροι μετὰ τὸ παραλαβεῖν εἴτιγε καὶ εὗρον εἰς τὸ πλουσιοπάροχον Μοναστήριον, εἰργάσαντο τὴν ἄδικον ἐκείνην σφαγὴν, προβασανίσαντες αὐτοὺς, ἵνα φανερώσωσι τὸν πλοῦτον καὶ τὰ σκεύη αὐτῶν αὐτοὶ οἱ ἀφέντες τὰ πάντα, ἵνα κερδήσωσιν αὐτὸν τὸν Χριστόν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ ὧν εἶπον ἀπὸ τῆς γραφῆς ῥητῶν οἱ Ἀββάδες Νικομήδης καὶ Μόδεστος ἐπὶ τῶν ἀναιρεθέντων Μοναχῶν, καὶ τοῦ ἀριθμοῦ αὐτῶν, καὶ περὶ ὧν ἐποίουν οἱ Ἑβραῖοι τιμωριῶν τοῖς ὑπ' αὐτῶν προεωνηθεῖσι Χριστιανοῖς,

καὶ

καὶ περὶ τῆς καταισχύνης τῶν Ἑβραίων, ὅτε ἐπανῆλθεν ὁ ζωοποιὸς Σταυρὸς εἰς Ἱεροσόλυμα ἀπὸ Περσίας.

Καὶ λοιπὸν μετὰ τὸ αἰχμαλωτίσαι καὶ φονεῦσαι ὅσους ἤθελον, ἀπῆλθον, ἀφέντες τὰ σώματα τῶν πατέρων ἄταφα, δεῦρο κἀκεῖσε ἐῤῥιμένα, ἅπερ ἰδὼν ὁ Ἀββᾶς Νικομήδης, ἐνεβριμήσατο, καὶ ἐτάραξεν ἑαυτὸν, καὶ εἶπε τὰ τοῦ Ἡσαΐου, ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ. ἀπὸ γὰρ προσώπου ἀδικίας ἦρται ὁ δίκαιος, ἔσται ἐν εἰρήνῃ, ἡ ταφὴ αὐτοῦ ἦρται ἐκ μέσου. καὶ πάλιν ἐβόησε τὰ τοῦ Σολομῶντος, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. ἦλθε καὶ ὁ Μόδεστος, καὶ αὐτὸς ἁγιώτατος Ἀββᾶς, καὶ ὡς εἶδεν ἔρημα τὰ κελλία ὅλα, οὐκ ἐδύνατο ἐπισχεῖν τὰ δάκρυα, ἔδραμε δὲ κατασπαζόμενος τὰ ἱερώτατα λείψανα τῶν ὁσίων πατέρων τῶν παρελθόντων τὴν ζωὴν αὐτῶν εἰς τὴν τῆς θεοσεβείας ἄσκησιν, εἰς τὴν τῆς μετανοίας στενὴν καὶ τεθλιμένην ὁδὸν καὶ τῆς ἀθλήσεως. ἦσαν οἱ μαρτυρήσαντες Μοναχοὶ τὸν ἀριθμὸν τεσσαράκοντα τέσσαρες, ὧν ἡ μνήμη εὑρίσκεται εἰς τὸ Μαρτυρολόγιον. εὗρον δὲ τότε πρόχειρον αἰτίαν οἱ Ἰουδαῖοι τοῦ καταβασανίζειν τοὺς αἰχμαλώτους Χριστιανοὺς οὓς προηγόρασαν ἀπὸ τῶν βαρβάρων, καὶ ὅλως διόλου ἐνόμισαν διὰ τὸ ληφθῆναι τὸ τίμιον καὶ νικοποιὸν ξύλον τοῦ Σταυροῦ ὑπὸ τῶν Περσῶν, ἀπολεσθῆναι καὶ τὸ ὄνομα τῶν Χριστιανῶν, καὶ τὸ κράτος τῆς βασιλείας αὐτῶν, ἀλλὰ κατῃσχύνθησαν ὅτε πάλιν εἶδον ἀνυψωθέντα τὸ κέρας τῶν εὐσεβῶν, καὶ τὸν ζωηφόρον Σταυρὸν μετακομισθέντα μετὰ θριάμβων καὶ τροπαίων εἰς τὰ Ἱεροσόλυμα. μάλιστα καὶ ὁ Χοσρόης τὸ θριαμβευτικὸν ὅπλον τοῦ Σταυροῦ μετὰ τιμῆς ἐφύλαξεν, ἀλλ' οὔτε ἀπετόλμησεν ἐκβαλεῖν αὐτὸ ἀπὸ τῆς θήκης αὐτοῦ, ἀλλ' ἀφῆκεν αὐτὸ ἄθικτον ὡς ἔλαβεν αὐτὸ ἀπὸ τῆς Ἱερουσαλὴμ, μάλιστα δὲ καὶ ὡς ἦν ἐσφραγισμένον. πλήν γε καθὼς ὅτε τὴν κιβωτὸν τῆς διαθήκης οἱ Φυλισταῖοι ἔλαβον, τότε κατετροπώθησαν ὑπὸ τῶν Ἰσραηλιτῶν, ὡσαύτως καὶ οἱ Πέρσαι τότε κατενικήθησαν ὑπὸ τῶν Ῥωμαίων, ὅτε εἰς τὰς χεῖρας αὐτῶν παρέλαβον τὸ νικοποιὸν ὄργανον τοῦ Θεοῦ ἡμῶν. ὅθεν ἔντρομοι ἐγένοντο οἱ Πέρσαι, λέγοντες πρὸς ἀλλήλους, ἦλθεν ὁ Θεὸς τῶν Χριστιανῶν εἰς τὸν τόπον ἡμῶν, τί ἆρα ἔσται περὶ ἡμῶν, ἐλθούσης νῦν τῆς ἀγρύπνου ῥάβδου αὐτοῦ τοῦ σκήπτρου τοῦ ζῶντος; μήτιγε καὶ γένηται ἡμῖν ῥᾴβδος σιδηρᾶ καὶ οὐχὶ παρακλήσεως; ὅθεν γράφει ὁ μεταφραστὴς Συμεὼν εἰς τὸ μαρτύριον τοῦ μεγαλομάρτυρος Ἀναστασίου τοῦ Πέρσου, λέγων, ὅτε ἐλήφθη ὑπὸ τοῦ Περσάρχου τῆς ἡμῶν σωτηρίας τὸ τρόπαιον, τὸ τὰ τοῦ θανάτου δεσμὰ λῦσαν, καὶ τὴν δύναμιν τῆς ἁμαρτίας περιελὸν, τότε τὴν περσικὴν ἀσέβειαν ἔσβεσε, καὶ τὴν πυσολατρείαν κατήργησε, καὶ φαινόμενον ἠχμαλωτισμένον, ἠχμαλώτισεν αὐτῶν τὰς ψυχὰς, καθότι ἐφώτισε τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους, ἀνάψαν τὸ ἐσωτερικὸν πῦρ, ὅπερ ἦλθεν ὁ Σωτὴρ βαλεῖν ἐπὶ τῆ γῆς, δηλαδὴ τῆς ἀγάπης καὶ πίστεως, ὅπερ ὥριζε πάντοτε μένειν ἀνημμένον ἔνδον ἐν τῷ Θυσιαστηρίῳ ὁ Θεὸς τῶν ἁπάντων εἰς τὴν παλαιὰν διαθήκην, ὡς δῆθεν σύμβολον τῆς πρὸς ἀλλήλους ἑνώσεως. διεθερμάνθη δὲ περισσότερον ὁ ἱερὸς Ἀναστάσιος, ὅτε εἰσῆλθεν εἰς τὰς Ἐκκλησίας, καὶ εἶδε τοὺς ἀγῶνας καὶ τοὺς ἄθλους τῶν ἁγίων Μαρτύρων εἰς τοὺς τοίχους περιεζωγραφημένους, καὶ οὕτως ἔδραμεν εἰς τὰ Ἱεροσόλυμα, καὶ ἐκεῖ ἐβαπτίσθη ὑπὸ τοῦ προέδρου τῶν Ἱεροσολύμων Μοδέστου, Τοποτηρητοῦ τοῦ Πατριάρχου Ζαχαρίου.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς νεύσει θείᾳ προγνωσθείσης τῷ Βασιλεῖ Ἡρακλείῳ ἐσομένης τοῖς Ῥωμαίοις ζημίας ὑπὸ τῶν ἐμπεριτμήτων, καὶ ἧς ἐποίησε βίας ὁ Βασιλεὺς καὶ ἐν ἄλλοις τόποις βαπτισθῆναι τοὺς Ἑβραίους, τούτους εἶναι ἐμπεριτμήτους νομίσας, ἦσαν δὲ οἱ τοῦρκοι.

Ὁ Ἡράκλειος ἦν λίαν μαθηματικὸς, ὅθεν ἔγνω θείᾳ νεύσει τὴν μέλλουσαν ἔσεσθαι μεγάλην ζημίαν εἰς τὸ Ῥωμαϊκὸν Βασίλειον ὑπὸ τῶν περιτετμημένων. νομίσας δὲ εἶναι τούτους Ἑβραίους, καὶ οὐχὶ Σαρακηνοὺς, ἔγραψεν εἰς τὸν Δαγοβέρτον τῶν Κελτῶν Βασιλέα, παρακαλῶν αὐτὸν ἀναγκάσαι ὅλους τοὺς εὑρισκομένους ἐν τῇ βασιλείᾳ αὐτοῦ Ἑβραίους βαπτισθῆναι, νομίζων διὰ τούτου τοῦ ἔργου φυγεῖν τὰ γεγραμμένα τῆς Εἰμαρμένης. ἐκέλευσε δὲ καὶ αὐτὸς ὁ Αὐτοκράτωρ τὸ ὅμοιον γενέσθαι ἐν πάσῃ αὐτοῦ τῇ Βασιλείᾳ καὶ ἐν Ἱερουσαλὴμ, βαπτισθῆναι δηλαδὴ ἑκοντὶ ἅμα καὶ ἀκοντὶ τοὺς Ἑβραίους, ὡς μαρτυρεῖ τοῦτο ὁ Τουρονένσης Γρηγόριος γράφων, ὅτι ἐβαπτίσθησαν μόνον εἰς τὴν Φράντζαν ἐννενήκοντα χιλιάδες Ἑβραῖοι. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ὁ Χοσρόης καὶ εἰς Αἴγυπτον καὶ Λιβύην καὶ Καρχηδόνα κατατρέχων εἰσῆλθε, καὶ περὶ τοῦ διγάμου πλουσίου, δι' ἀργυρίων ἐν καιρῷ ἀνάγκης τὴν ἱεροδιακονίαν λήψεσθαι παρὰ τοῦ ἐλεήμονος Ἰωάννου ἐλπίσαντος, καὶ ὧν εἴρηκεν αὐτῷ λογίων ὁ ἅγιος.

Ὁ Χοσ-

536

Ὁ Χοσρόης λοιπὸν λαβὼν θάῤῥος, εἰσῆλθε καὶ εἰς τὴν Αἴγυπτον, καὶ τὴν Λιβύην καὶ Καρχηδόνα κατατρέχων, πολλοὺς ᾐχμαλώτισεν, ὡς ἱστορεῖ ὁ Λεόντιος, ὅστις διηγεῖται, ὅτι ὁ ἅγιος Ἰωάννης ὁ ἐλεήμων ἵνα διαθρέψῃ τοὺς εἰς τὴν Ἀλεξάνδρειαν προσδραμόντας ξένους Χριστιανοὺς (ὅπου ἦν καὶ πεῖνα διὰ τὸ μὴ κατ' ἐκεῖνο τὸ ἔτος πλημμυρῆσαι τὸν Νεῖλον) ἔλαβε δανειακῶς λίτρας χρυσίου χιλίας, ἦν γὰρ πολὺ πλῆθος δυστυχὲς λαοῦ φυγάδος ἐκεῖ. ὡς δὲ ἐνόησε δίγαμός τις ὑπέρπλουτος τὴν τοῦ Πατριάρχου ἀνάγκην, ὑπέσχετο δοῦναι αὐτῷ σῖτον ὅσον ἤθελε, καὶ λίτρας χρυσίου ἑκατὸν πεντήκοντα, ἵνα μόνον χειροτονήσῃ αὐτὸν Ἱεροδιάκονα. ὢ τῆς κακοτεχνίας τοῦ σιμωνιακοῦ. προσκαλεῖ αὐτὸν μυστικῶς ὁ ἅγιος, καὶ λέγει αὐτῷ, ἡ προσφορὰ ἣν προσάγεις νῦν, οὐκ ἦν ἀπορρίπτεαμοι διὰ τοῦ καιροῦ τὴν περίστασιν, οὐκ ἔστιν ὅμως δεκτὴ, ἐπειδὴ οὐ δὲ κανονική ἐστιν. οὐκ οἶδας ὅτι καὶ τοῦ Νόμου τὰ πρόβατα, καίπερ καλὰ καὶ μεγάλα ὄντα, ὅμως ταῦτα πάντα, εἴγε ἦσαν μωμητὰ καὶ ψεκτὰ οὐκ ἐθυσιάζοντο; διατοῦτο καὶ τὰ δῶρα τοῦ Κάϊν οὐκ ἦσαν δεκτὰ, ἐπειδὴ οὐκ ἦσαν ἄμωμα καὶ ἄψεκτα. λέγεισμοι ἐξ ἀνάγκης καὶ Νόμου μετάθεσις γίνεται, καὶ ἑπομένως γενέσθαι συγκατάθεσιν καὶ συγκατάβασιν καὶ πρὸς σὲ, οὐ γίνεται συγκατάβασις εἰς τὴν νέαν διαθήκην, καὶ ἐκεῖνα τοῦ Ἀποστόλου τὰ λόγια οὐ περὶ τῆς νέας γραφῆς ἀλλὰ περὶ τῆς παλαιᾶς ἐννοοῦται. διδάσκει γὰρ ἡμᾶς ὁ Ἀδελφόθεος λέγων, ὅστις ὅλον τὸν Νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος. καὶ οὕτως οὐδεμία χρείαμοι ἐστὶ τοῦ σοῦ σίτου καὶ τοῦ σοῦ χρυσίου, μόνον ἄπελθε, καὶ ὁ Θεὸς ὁμέχρι τοῦ νῦν κυβερνήσας ἡμᾶς, κυβερνήσει καὶ μεταταῦτα, κάλλιον γὰρ φαίνεταίμοι ἐκλεῖψαι τὸν Ἥλιον, ἢ λεῖψαι τὸν θεῖον Νόμον.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῆς κατ' ἐπιτροπικὴν προεδρίας ἐν Ἱεροσολύμοις Μοδέστου, καὶ ὧν ἀνεκαίνισεν ἱερῶν Ναῶν, καὶ περὶ τῶν πρὸς Χοσρόην Ἀποκρισιαρίων τοῦ Ἡρακλείου, καὶ ὧν ἤκουσαν παρ' αὐτοῦ ἀσεβειῶν οἱ Ἀποκρισιάριοι.

Ἐπειδὴ δὲ ὁ Ἱεροσολύμων Ζαχαρίας ἀπήχθη εἰς Περσίαν αἰχμάλωτος, καὶ οὐδεὶς ἔμεινε κυβερνῆσαι τὴν Ἐκκλησίαν τῶν Ἱεροσολύμων, ἐκλέγη ἐπιτροπικῶς ὁ τῆς Λαύρας τοῦ ἁγίου Θεοδοσίου Ἀρχιμανδρίτης Μόδεστος κατὰ τὸν Θεοφάνη εἰς τὴν Παλαιστίνην, λίαν καλὸς καὶ ἐνάρετος, καὶ δεύτερος Ζοροβάβελ εἰς τὴν ἀνακαίνισιν τῶν κατακαυθέντων Μοναστηρίων, καθὼς τοῦτο καὶ ὁ Ἀντίοχος μαρτυρεῖ εἰς τὴν πρὸς Εὐστάθιον ἐπιστολὴν, νέον Βεσελεὴλ καὶ ἄλλον νέον Ζοροβάβελ τὸν Μόδεστον ὀνομάζων, τὸν καὶ τὸ κατακαυθὲν δῶμα τοῦ Γολγοθᾶ, καὶ τὸ τοῦ Σταυροῦ Σκευοφυλάκιον, καὶ ἐκεῖνο τὸ τῆς Χριστοῦ Ἀναστάσεως ἀνακαινίσαντα, ὅπερ ἐστὶ τῶν Ἐκκλησιῶν ἡμήτηρ, ὡς συμπεραίνει ὁ ὅσιος θεῖος Αὐγουστῖνος, ἐξηγούμενος τὸ ῥᾷβδον δυνάμεως, καὶ ὁ Ἱερώνυμος εἰς τὸ δεύτερον κεφάλαιον τοῦ Ἡσαΐου, καὶ εἰς τὴν πρὸς Μαρκελῖνον ἐπιστολὴν, καὶ ὁ Θεοδώριτος εἰς τὸ πέμπτον βιβλίον, κεφαλαίῳ ἐνάτῳ, ἀλλὰ καὶ τὴν ἁγίαν Βηθλεὲμ ἀνεκαίνισεν. οὐκ ἐγένετο λοιπὸν Πατριάρχης τότε ὁ Μόδεστος, ἦν γὰρ ἔτι ζῶν ὁ νόμιμος Πατριάρχης Ζαχαρίας, ἐν δ' ἑνὶ θρόνῳ δύο ἀρχιερατεύειν οὐδυνατὸν, ἀλλὰ μόνον προσεκλήθη προεστὼς καὶ πρόεδρος τῶν Ἱεροσολύμων ὁ ἔργῳ καὶ λόγῳ Μόδεστος, ὁ ἑρμηνευόμενος κόσμιος, κοσμῶν καὶ καλλωπίζων τὰ ἐκεῖ σεμνεῖα, οὔτε τοὺς Ἰουδαίους φοβούμενος, οὔτε τοὺς Πέρσας, καίπερ τυραννοῦντας ὑπερεκπληττόμενος. ὁ δὲ Ἡράκλειος ἔπεμψε καὶ δεύτερον εἰς τὴν Περσίαν πρὸς τὸν Χοσρόην Ἀποκρισιαρίους χάριν τῆς ἀγάπης, ἀλλ' ὁ ὑπερήφανος Περσάρχης οὐκ ἀπεδέξατο αὐτοὺς εἰπὼν, ἕως οὗ μὴ ἀρνῆσθε τὸν Χριστὸν καὶ προσκυνήσητε τὸν Θεόνμου τὸν Ἥλιον, οὐ συγχωρῶ ἡμῖν τὴν εἰρήνην.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῆς αἰχμαλωσίας τῶν προαστείων τοῦ Βυζαντίου ὑπὸ τοῦ τῶν Ἀβάρων ἀρχηγοῦ Χαγάνου, καὶ περὶ τῶν ἀποφάσεων τοῦ Ἡρακλείου ἵνα μὴ προχειρίζωνται Κληρικοὶ πρὶν ἢ ἀποθανεῖν τοὺς παλαιοὺς, καὶ ἵνα ὁ αὐτὸς ἀπέλθῃ εἰς τὸν κατὰ Χοσρόου πόλεμον.

Ὁ δὲ τῶν Ἀβάρων ἀρχηγὸς Χαγάνος ὑπούλως κλέπτων τὴν ἀγάπην, ἐδελέασε τὸν Ἡράκλειον, καὶ ἦλθε καὶ ᾐχμαλώτισε τὰ προάστεια τῆς πόλεως μετὰ πλείστης ζημίας καὶ αἰσχύνης, ὡς λέγει ὁ Κεδρηνὸς καὶ ὁ Θεοφάνης. τότε δὴ ἐποίησε τὴν πραγματικὴν ἀπόφασιν ὁ Ἡράκλειος (ζητοῦντος αὐτὴν τοῦ Πατριάρχου Σεργίου) τοῦ μὴ γίνεσθαι ἄλλους νέους Κληρικοὺς, ἐὰν μὴ ἀποθάνωσιν οἱ παλαιοὶ, τὸ δὲ αἴτιον, ἵνα ὦσιν αὐτάρκη αὐτοῖς τὰ εἰσοδήματα, ὅπερ μέχρι τῆς σήμερον φυλάττεται ἐν τῇ Ἱερουσαλήμ. ὅτε γοῦν ἤκουσεν ὁ Βασιλεὺς ὅτι ὁ Χοσρόης ᾐχμαλώτισε τὴν Γαλατίαν καὶ τὴν Μητρόπολιν αὐτῆς τὴν Ἄγκυραν, ἀπόφασιν ἐποίησεν ἀπελθεῖν ὁ αὐτὸς εἰς τὸν πόλεμον, ποιήσας μετὰ τοῦ Χάνη εἰρήνην, ἔλεγε γὰρ, πολεμεῖν τινὰ δυσὶ, δυσκολία αὐτῷ προσγίνεται.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῆς κατὰ Περσῶν ἐκστρατείας τοῦ Ἡρακλείου, καὶ τῶν δημηγοριῶν αὐτοῦ ἐνώπιον τῶν Στρατευμάτων καὶ τοῦ Πατριάρχου, καὶ δεήσεως αὐτοῦ ἐπ' Ἐκκλησίας,

Καὶ λοιπὸν ὁ Ἡράκλειος κατὰ τὸ δωδέκατον ἔτος τῆς αὐτοκρατορίας αὐτοῦ μετὰ τὴν τοῦ Πάσχα ἑορτὴν ἐξῆλθε τῆς Κωνσταντινουπόλεως διὰ τοῦ λεγομένου Πόρτα τόπου κατὰ τὸν Θεοφάνη, ὃς ἱστορεῖ λαβεῖν τὸν Ἡράκλειον τὴν Ἀχειροποίητον Εἰκόνα μεθ' ἑαυτοῦ, καὶ ὀμωμοκέναι ἐνώπιον πάντων τῶν Στρατευμάτων ὅτι μετ' ἐκείνης μέχρι θανάτου ἕτοιμός ἐστι πολεμῆσαι, μετὰ δὲ τὸν ὅρκον μετὰ δακρύων τὰ τοιαῦτα εἰπεῖν, θεωρεῖτε ἀδελφοί μου καὶ τέκνα μου, ὅτι οἱ ἐχθροὶ τοῦ Θεοῦ κατεπάτησαν τοὺς τόπους ἡμῶν, ὅτι κατέκαυσαν τὰς Ἐκκλησίας ἡμῶν, ὅτι κατερημωθῆναι ἐποίησαν τὰ βασιλικὰ Μοναστήρια ἡμῶν, ὅτι ἔλαβον τὰ Κάστρα ἡμῶν, ὅτι τὰ Θυσιαστήρια ἡμῶν καὶ τὰ Εἰκονίσματα ἡμῶν συνέτριψαν, πάντα ἐμόλυναν, πάντα κατέφθειραν οἱ παμμίαροι καὶ παγκάκιστοι, ἔπειτα στραφέντα πρὸς τὸν Πατριάρχην Σέργιον εἰπεῖν, εἰς χεῖρας τοῦ Θεοῦ καὶ τῆς Παναγίας καὶ εἰς σὲ παραδίδωμι τὴν πόλιν ταύτην καὶ τὸν Υἱόν μου, εἶτα εἰσελθόντα εἰς τὴν μεγάλην Ἐκκλησίαν μετὰ μελάνων ὑποδημάτων προσευχόμενον εἰπεῖν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν μὴ ποιήσῃς διὰ τὰς ἁμαρτίας ἡμῶν χαρῆναι τοὺς ἐχθρούς σου, ἀλλ' ἴδε ἡμᾶς, καὶ ἐλέησον ἡμᾶς, καὶ δὸς ἡμῖν τὰ νικητήρια, ἵνα μὴ καυχῶνται οἱ ἄνομοι, καὶ τὴν κληρονομίαν σου καταισχύνωσιν. ὁ δὲ Πισίδης Γεώργιος προσαγορεύων τὸν Βασιλέα, ἤυξατο ὑπὲρ αὐτοῦ εἰπὼν,

Μελεμβαφὲς πέδηλον εἰλίσας Ἄναξ,
Βάψεις ἐρυθρὸν περσικῶν ἐξ αἱμάτων.

οὕτως οὖν ὁ Βασιλεὺς διαθέμενος, ἔπλευσεν εἰς τὸν Εὔξεινον πόντον, κατὰ τῶν Περσῶν ὁρμώμενος, ἅπασαν αὐτοῦ τὴν ἐλπίδα εἰς τὸν Θεὸν ἔχων, καὶ ψάλλων μετὰ τοῦ Δαβὶδ, Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ τῶν ἀπὸ τῶν πρώτων Ἀρχόντων ὑπὸ τοῦ Ἡρακλείου σταλέντων ὀγδοήκοντα πρὸς Χοσρόην δι' ἀπάτης τοῦ Στρατοπεδάρχου Σαΐν, εἰς Χαλκηδόνα ἐλθόντος, καὶ ὧν ἔπαθεν ὑπὸ Χοσρόου ὁ Σαΐν καὶ οἱ τοῦ Βασιλέως Ἄρχοντες, καὶ περὶ τῆς ἀθλήσεως Ἀναστασίου τοῦ Πέρσου, καὶ ὧν εἶπεν ὁ Ἡράκλειος ῥητῶν τοῦ Ἀποστόλου διὰ τὴν πρὸς αὐτὸν ἀπάτην τοῦ Σαΐν.

Φθάσας δὲ εἰς τὴν ἔνδοξον Χαλκηδόνα ὁ τοῦ Χοσρόου Στρατοπεδάρχης Σαΐν ἐν σχήματι φιλίας, ἐδελέασε τὸν Ἡράκλειον καὶ ἀπέστειλε μετ' αὐτοῦ τοῦ Σαΐν περὶ σπονδῶν καὶ συνθηκῶν ὀγδοήκοντα ἀπὸ τῶν πρώτων Ἄρχοντας εἰς τὴν Περσίαν ὡς Ἀποκρισιαρίους. ἀλλ' ὁ Χοσρόης ὡς εἶδε τοὺς Ἄρχοντας καὶ ἤκουσε τὴν πρεσβείαν τοῦ Ἡρακλείου ἐθυμώθη λίαν, καὶ τὸν μὲν Σαΐν διὰ τὸ ἐᾶσαι τὸν Ἡράκλειον καὶ μὴ συλλαβεῖν ζῶντα καὶ ἀγαγεῖν πρὸς αὐτὸν ἐξέδηρε, τοὺς δὲ Ἄρχοντας ἔθετο ἐν φυλακῇ, προστάξας τοῖς φυλακάτοροι θλίβειν καὶ ταλαιπωρεῖν αὐτούς. τότε ἔφυγεν ἀπὸ τοῦ περσικοῦ Στρατεύματος καὶ ὁ Πέρσης Ἀναστάσιος καὶ ἐχριστιάνισε, καὶ πολλοῖς βασάνοις τιμωρηθεὶς, πρὸς Κύριον ἐξεδήμησεν. ὡς οὖν ἐνόησε τὴν ἐπιβουλὴν ὁ Ἡράκλειος, ἐν οὐδενὶ τινὶ παρηγορεῖτο, ἀλλ' ἢ τοῖς λογίοις τῆς θείας γραφῆς, καὶ ποτὲ μὲν ἀνεπόλει κατὰ νοῦν ἐκεῖνα τοῦ Σωτῆρος τὰ ῥήματα, Ἐν τῷ κόσμῳ θλίψιν ἔχετε, ἀλλὰ θαρσεῖτε, ἐγὼ τὸν κόσμον νενίκηκα. ἐδόθημοι πᾶσα ἐξουσία ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς. ποτὲ δὲ ἀνεμίμνησκε τοῦ μακαρίου Παύλου τὰς φωνὰς, Οἱ ἅγιοι διὰ πίστεως κατηγωνίσαντο βασιλείας (ὁ Γεδεὼν ὁ Βαρὰκ ὁ Δαβὶδ) εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν (ὁ Ἰησοῦς τοῦ Ναυῆ ὁ Χαλὲβ καὶ οἱ λοιποὶ Ἰσραηλῖται οἱ κληρονομήσαντες τὴν γῆν τῆς ἐπαγγελίας) ἔφραξαν στόματα Λεόντων (ὁ Σαμψὼν ὁ Δαβὶδ ὁ Δανιὴλ) ἔσβεσαν δύναμιν πυρὸς (οἱ τρεῖς παῖδες εἰς τὴν ἑπταπλασίως καιομένην κάμινον) ἔφυγον στόματα μαχαίρας (ὁ Δαβὶδ ἐκείνην τοῦ Σαοὺλ, καὶ ὁ Ἠλίας ἐκείνην τῆς Ἰεζάβελ) ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας (ὁ Ἰὼβ ὁ Ἐζεκίας καὶ ὁ Τωβὶτ) ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων. καὶ τέλος πάντων ἔλεγεν ὡς ὁ Ἰωνάθαν καὶ ὁ Ἀσὰ εἰς τὴν δευτέραν τῶν Παραλειπομένων, Κύριε οὐκ ἀδυνατεῖ παρὰ σοὶ σώζειν ἐν πολλοῖς καὶ ἐν ὀλίγοις, κατίσχυσον Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι ἐπὶ σοὶ πεποίθαμεν, καὶ ἐπὶ τῷ ὀνόματί σου ἤλθομεν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ τῆς εἰσολεύσεως τοῦ Ἡρακλείου εἰς Περσίαν, καὶ τῆς νίκης αὐτοῦ κατὰ Χοσρόου κατὰ Γαζακότην τὸ κάστρον, καὶ τῆς φυγῆς Χοσρόου.

Πλὴν διὰ τὸ προστάσσειν τὸν Θεὸν ἐν τῷ Λευϊτικῷ ζητεῖσθαι πρὸ τοῦ πολέμου τὴν εἰρήνην, Ἐὰν προσέλθῃς

538

θης (φησὶ) πρὸς πόλιν ἐκπολεμῆσαι αὐτὴν, ἐκκαλέσεις αὐτοὺς πρὸς εἰρήνην. ἐζήτησεν ὁ καλὸς Βασιλεὺς τὴν εἰρήνην, ἀλλ' οὐδέποτε κατεδέξατο αὐτὴν ὁ πάντοτε νικητὴς καὶ τροπαιοῦχος Χοσρόης, ἕως οὗ ὁ Θεὸς ἐταπείνωσεν αὐτόν. εἰσελθόντος οὖν τοῦ Βασιλέως εἰς τὴν Περσίαν, καὶ δημηγοροῦντος πάλιν τὰ χρήσιμα πρὸς τὰ Στρατεύματα, ὅτι δηλαδὴ μέλλουσι πολεμεῖν ὑπὲρ πατρίδος καὶ πίστεως, ἀντιφωνοῦντες δὲ τὸ, ἐκχέομεν ὅλοι τὸ αἷμα ἡμῶν διὰ τὴν εὐσέβειαν, ἔτρεχον ὡς Λέοντες κατὰ τῶν ἀθέων Περσῶν, καὶ πρῶτος αὐτὸς ὁ Ἡράκλειος, ὅστις δοκεῖ πως ἀκηκοέναι ἐκεῖνα τὰ λόγια ἅπερ προεῖπεν ὁ Ἡσαΐας περὶ τοῦ Κύρου, Ἐγὼ ἔμπροσθέν σου πορεύσομαι, καὶ ὄρη ὁμαλιῶ, καὶ θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συνθλάσω. καὶ δώσω σοι θησαυροὺς σκοτεινοὺς, ἀποκρύφους, ἀοράτους ἀνοίξω σοι. καὶ κατὰ ἀλήθειαν ὁ Θεὸς ἦν ἀντίκρυς σκεπαστὴς καὶ βοηθὸς τῶν Ῥωμαίων. καὶ γὰρ οἱ Οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινά. βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ Θεὸς τῇ κληρονομίᾳ σου κατὰ τὸ ἡλιοστάσιμον, ὅτι κατ' οὐδὲν ἔβλαψεν αὐτοὺς ἡ καῦσις τοῦ Ἡλίου, ὡς οὐδὲ ἡ Σελήνη προσέτι τὴν νύκτα, ὥστε μὴ μόνον περὶ τῶν Ἑβραίων βεβαιωθῆναι τὸ, ἡμέρας ὁ Ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ Σελήνη τὴν νύκτα, ἀλλὰ προσέτι καὶ περὶ τῶν Ῥωμαίων. οἵτινες ὡς ἤκουσαν ὅτι ὁ Χοσρόης εὑρίσκεται εἰς τὴν Γαζακότην τὸ Κάστρον μετὰ τεσσαράκοντα χιλιάδων ἐκλεκτοῦ Στρατεύματος, ὥρμησαν κατ' αὐτῶν, καὶ συρραγέντες τοῖς Πέρσαις, συνέτριψαν αὐτοὺς τοσοῦτον, ὥστε τὸν Χοσρόην χρήσασθαι φυγῇ, λιπόντα ἔρημον τὸ Κάστρον. τὶς ἐνταῦθα μὴ ὁμολογήσει Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν; ὄντως ἐπληρώθη τὸ ῥητὸν τοῦ Δευτερονομίου τὸ φάσκον, Οὐκ ἀντιστήσει οὐδεὶς κατὰ πρόσωπον ὑμῶν, τὸν φόβον ὑμῶν καὶ τὸν τρόμον ἐπιθήσει Κύριος ὁ Θεὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς, ἐφ' ἧς ἂν ἐπιβῆτε ἐπ' αὐτῆς. τὶ δὲ τὰ μεταταῦτα; λεγέτω ταῦτα ὁ Θεοφάνης.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'

Περὶ πυρπολήσεως τοῦ Κροισολύδου, τοῦ Ναοῦ τοῦ πυρὸς καὶ τοῦ κατὰ μίμησιν τοῦ Οὐρανοῦ τὴν κατασκευὴν ἔχοντος Ἀγάλματος τοῦ Χοσρόου ὑπὸ τοῦ Ἡρακλείου, καὶ περὶ τῶν ἐλευθερωθέντων ὑπὸ τοῦ Ἡρακλείου πεντήκοντα χιλιάδων Περσῶν, καὶ ὑπὲρ αὐτοῦ δεηθέντων.

Ὡς ἔφθασεν εἰς Γαζακότην ὁ Βασιλεὺς, ἦλθον οἱ Πέρσαι καὶ εἶπον αὐτῷ, ὅτι διέβη ὁ Χοσρόης εἰς τὴν Βεθατμὰν, ὅπου ἦν κεκρυμμένος ὁ θησαυρὸς τοῦ Κροίσου τοῦ Βασιλέως τῶν Λυδῶν κατὰ τὸν Κεδρηνὸν; ὅθεν ὁ Αὐτοκράτωρ ἐγκαρδιωθεὶς, ἦν γὰρ μεγαλόψυχος, ἐπορεύθη εἰς τὸ Κροισόλυδον, ὅπερ ἐφημίζετο Ποδυλόχρυσον, καὶ ἐνέπρησεν αὐτὸ (ἦσαν δὲ ἔνδον ἄνθρακες ἐσβεσμένοι καὶ οὐχρυσᾶ φλωρία) οὐμὴν δὲ ἀλλὰ καὶ τοῦ πυρὸς τὸν Ναὸν ἐνέπρησε, καὶ αὐτὸ τοῦ Χοσρόου τὸ Ἄγαλμα, τὸ ὡς ἐπ' Οὐρανοῦ ἐποχούμενον, καὶ ἔχον κύκλω αὐτοῦ τὸν Ἥλιον, τὴν Σελήνην καὶ τὰ Ἄστρα ὡσανεὶ ὑπηρετεῖν αὐτῷ φαινόμενα, καὶ τὰ ἄλλα τεχνικὰ κύλινδρα, τὰ βροντῶντα καὶ ἀστράπτοντα καὶ ὕοντα μετὰ πολλῆς ἐκπλήξεως τῶν ὁρώντων καὶ ἀκουόντων ἀνδρῶν, ὡς λέγει ὁ Κεδρηνὸς εἰς τὴν συνόψιν, ὥστε ἀληθεῦσαι ὃ καὶ προείπομεν, ὅτι εἰς ἀφανισμὸν τῶν περσικῶν Εἰδώλων ἀπήχθη ὁ Σταυρὸς τοῦ Κυρίου εἰς τὴν Περσίαν, καθὰ καὶ ὅτε ἀπῆλθεν εἰς τὴν Αἴγυπτον ὁ Χριστὸς νήπιον συνέτριψε τὰ Εἴδωλα τῆς Αἰγύπτου, ὡς καὶ ἀνωτέρω προεγράψαμεν. ἔλαβεν ὅμως ὁ Βασιλεὺς Ἡράκλειος πολλοὺς αἰχμαλώτους, σχεδὸν πεντήκοντα χιλιάδας, καὶ πάντας διὰ τὸν βαρὺν χειμῶνα ἠλευθέρωσεν, οἵτινες ἰδόντες τὸ ἄπειρον ἔλεος τοῦ Βασιλέως πρὸς αὐτοὺς, ἐδεήθησαν τοῦ Θεοῦ δοῦναι αὐτῷ καὶ ὅλης τῆς Περσίας λαβεῖν τὰ νικητήρια καὶ τὰ θριαμβευτήρια.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ τῆς εἰς Ἰβηρίαν ἐφόδου τοῦ Ἡρακλείου, καὶ ἀναιρέσεως ὑπ' αὐτοῦ τοῦ αὐθέντου αὐτῆς Στεφανοῦ βοηθοῦντος Πέρσαις, καὶ προχειρίσεως εἰς Βασιλέα Ἰβήρων Ἀντάρνασε, καὶ περὶ τοῦ τρόπου τοῦ θανάτου τοῦ ἐν τῷ Τιφλιζίῳ Ἀρχηγοῦ ὑπὸ τοῦ Ἀντάρνασε διὰ τὴν πρὸς τὸν Ἡράκλειον αὐτοῦ εἰρωνείαν.

Γράφει ὁ ἰβηρικὸς χρονογράφος, ὅτι ὁ Ἡράκλειος ἀπελθὼν εἰς τὴν ἄνω Ἰβηρίαν, τὸν αὐθέντην αὐτῆς Στέφανον ὀνόματι Πέρσαις βοηθοῦντα, καὶ αὐτῷ ἀντιταξάμενον ἐνίκησεν, εἶτα καὶ ἀπέκτεινεν. ἀπελθὼν δὲ εἰς τὴν πόλιν Τιφλίζιον, μετεπέμψατο ἀπὸ Καχέτη Ἀνταρνάσε τινὰ ἀπὸ τοῦ γένους τοῦ Βαχταῦ καὶ ἐποίησεν αὐτὸν Βασιλέα Ἰβήρων. εἶχον δὲ τὸ Κάστρον Τιφλίζιον οἱ Πέρσαι, ὧν ὁ Ἀρχηγὸς εἶπεν ἀπὸ τοῦ πύργου τῷ Βασιλεῖ Ἡρακλείῳ εἰρωνευόμενος, ὦ Ἡράκλειε, αὐτὸς εἶ ὁ Τράγος τοῦ προφήτου Δανιὴλ, ὁ θέλων ἀφανίσαι τὴν Περσίαν; ὃν ὕστερον ὁ Ἀντάρνασε συλλαβὼν, πρῶτον μὲν ἐγέμισε τὸ στόμα αὐτοῦ φλωρίων, καθότι ἀληθὼς προεφήτευσεν, εἶτα διὰ τὴν πρὸς τὸν Αὐτοκράτορα εἰρωνείαν ἐξέδηρε ζῶντα, καὶ ἔπεμψε τὸ δέρμα αὐτοῦ πλῆρες ἀχύρων τῷ Ἡρακλείῳ ὄντι εἰς Περσίαν. ἔλαβε δὲ ὁ Ἡράκλειος τὴν σανίδα ἣν ὁ μέγας Κωνσταντῖνος ἔπεψεν εἰς Ἰβηρίαν, ἥτις ἦν ἐν τῷ Ῥουσιέτῃ. ἐγένετο δὲ Βασιλεὺς Ἰβήρων ὁ υἱὸς τοῦ Ἀντάρνασε Στέφανος, καλὸς ἄνθρωπος, ὃς περιετείχισε τὴν καθολικὴν εἰς τὴν Σχέταν.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Ιϛ'.

Περὶ τῶν ὑπὸ Χοσρόου ἀποσταλέντων Σαραβλάκα Στρατηγοῦ καὶ Σαρβαρᾶ Στρατάρχου κατὰ τοῦ Ἡρακλείου, καὶ τῆς κατὰ ἀμφοτέρων νίκης τοῦ Ἡρακλείου, καὶ περὶ τῶν ἀναιρεθέντων καὶ ἀποπνιγέντων Περσῶν ὑπὸ τῶν Ῥωμαίων ἐν τῷ ποταμῷ Εὐφράτῃ.

Εἰς δὲ τὸ δέκατον τέταρτον ἔτος τῆς βασιλείας Ἡρακλείου, ὁ Χοσρόης ἔβαλεν Στρατηγὸν αὐτοῦ τὸν Σαραβλάκαν, ἄνθρωπον ἄγριον καὶ μεμιασμένον, ὅς τις λαβὼν τοὺς Χοσροΐτας καὶ τοὺς Περοζίτας ἀπῆλθεν εἰς φύλαξιν τῆς ὁδοῦ τῆς Περσίας, καὶ ἔστειλε καὶ δεύτερον Στρατάρχην ὁ Χοσρόης Σαρβαρᾶν ὀνομαζόμενον ἵνα περικυκλώσῃ τοὺς Ῥωμαίους, παραχειμάζοντας ἐν τοῖς μέρεσι τῆς Ἀλβανίας. τῶν δὲ Ῥωμαϊκῶν Στρατευμάτων εἴς τινα ἐπιτήδειον πεδιάδα ἐξελθόντων, νομίσαντες οἱ Πέρσαι τοὺς Ῥωμαίους πεφευγέναι, ἐδίωκον αὐτοὺς ἀτάκτως φερόμενοι, καὶ οὕτως ἐπανακάμψαντες οἱ Χριστώνυμοι Ῥωμαῖοι ὁμοθυμαδὸν ἐπικλήσει τοῦ ὀνόματος τοῦ Χριστοῦ ἐπολέμουν αὐτοῖς, καὶ τὸν μὲν Σαραβλάκαν ταῖς σπάθαις κατέκοψαν (εἰ καὶ οἱ Λαζοὶ καὶ Ἀβασγοὶ δεδώκασι νῶτα) τοὺς δὲ Πέρσας ἕως ἑσπέρας διώκοντες, ἠνάγκασαν αὐτοὺς εἰσδῦναι ἐν ὕδασι καὶ λιμέσι. τότε ἐξῆλθον καὶ οἱ Ἁρμένιοι τῶν Περσῶν εἰς ἔνεδραν. οὐκοῦν ὁ Ἡράκλειος καιροφυλακήσας, καὶ ἐκλεξάμενος τοὺς εὐζώνους τῶν στρατιωτῶν, καὶ αὐτοῦπου περὶ τὰς μέσας νύκτας ἀναστὰς, ἐπικαταλαμβάνει τὸν Σαρβαρᾶν γυμνὸν κοιμώμενον. ὁ δὲ ὡς εἶδε τοὺς Ῥωμαίους κατ' αὐτοῦ, ἠναγκάσθη ὑπὸ τῆς βίας αὐτοῦ γυμνὸς ἐπὶ γυμνοῦ ἵππου ἐπιβῆναι, καταλιπὼν τούς τε Σατράπας καὶ τὰς γυναῖκας αὐτοῦ. ὅθεν οἱ μὲν κατεκόπησαν, οἱ δὲ κατεφλέχθησαν, καὶ ἄλλοι ἠχμαλωτίσθησαν, καὶ οὐδεὶς τοῦ τοσούτου μυριαρίθμου Στρατεύματος προέφθασε φυγεῖν σὺν τῷ Σαρβαρᾷ. τότε, ναὶ δὴ καὶ ἐνεπλήσθησαν οἱ Ῥωμαῖοι σπαθῶν ἀργυροχρύσων καὶ ζωναρίων πολυτίμων καὶ πετραδίων καὶ στολιδίων, μὴ ἀποβλέποντες εἰς τὰ ὑποδεέστερα τοῦ ἀναριθμήτου πλήθους τῶν σκύλων καὶ λαφύρων, ὡς μαρτυροῦσι πάντες οἱ συγγραφεῖς οἱ τὰς Ῥωμαϊκὰς συγγραψάμενοι ἱστορίας, καὶ ἰδίως Κεδρηνὸς καὶ Θεοφάνης. ἔμελλε λοιπὸν ψάλλειν ὁ Ἡράκλειος μετὰ τοῦ Δαβὶδ, Κύριε Κύριε δύναμις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. καὶ δὴ διαβὰς τὸν Τίγριν καὶ αὐτὸν τὸν Νύμφαιον ποταμὸν, ἔφθασεν εἰς τὸν Εὐφράτην, καὶ εὑρὼν αὐτὸν ἕτοιμον γεφυρωμένον, παραδόξως ἐπέρασεν. ἦλθον δὲ καὶ οἱ Πέρσαι διαπερᾶσαι αὐτὸν, ἀλλ' οἱ πλείονες ἐφονεύθησαν ὑπὸ τῶν ἡμετέρων, ἄλλοι δὲ ἀπὸ τοῦ φόβου αὐτῶν κατέπεσαν εἰς τὸν ποταμὸν καὶ ἐπνίγησαν, καὶ ἄλλοι ἐκρημνίσθησαν ἀπὸ τῆς γεφύρας οὔσης ἐκ σχοινίων καὶ ἐρίων πεπλεγμένης, καὶ οὕτως ἐξ ἑαυτῶν ἠφανίζοντο, τοῦ φόβου καὶ τοῦ τρόμου κατακρατήσαντος αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Περὶ συνθηκῶν Χοσρόου μετὰ πάντων τῶν ἄλλων Τοπαρχῶν αὐτοῦ, τοῦ καὶ Σλάβους καὶ Βουλγάρους κατὰ τῆς Κωνσταντινουπόλεως διεγείραντος, καὶ περὶ τῆς ἄνωθεν πρὸς τοὺς Ῥωμαίους βοηθείας, Χαλάζῃ τοὺς Πέρσας φονευσάσης, καὶ τοὺς Χαζαρίους τῷ Ἡρακλείῳ προσελθεῖν καὶ προσκυνῆσαι παρασκευασάσης, καὶ τὸν Χάνην αὐτῶν κατηχυμένον ὑποστρέψαι ποιησάσης, καὶ περὶ τοῦ ἀκαθίστου ὕμνου, ὑπὸ Σεργίου τότε παρρησιασθέντος.

Συνεχέθη ὁ ὑπερήφανος Χοσρόης, ὢν συνειθισμένος νικᾶν καὶ μὴ νικᾶσθαι, καὶ ἐπεχείρησε κρατερῶς ποιῆσαι τὸ τελευταῖον τῆς δυνάμεως αὐτοῦ, καὶ συνθήκας ποιησάμενος μετὰ πάντων τῶν ἄλλων Τοπαρχῶν, ἠρέθισεν αὐτοὺς κατὰ τοῦ Βασιλέως, Σλάβους φημὶ καὶ Βουλγάρους ἀπελθεῖν εἰς τὰ μέρη τῆς Θρᾴκης, ἵνα ἀναγκασθῇ ὁ Βασιλεὺς ὑποστρέψαι εἰς τὴν Κωνσταντινούπολιν. ἀλλ' ἄνωθεν ἡ θεία πρόνοια καλῶς ταῦτα κυβερνήσασα, ἐκώλυσε καὶ Οὔνους καὶ Τούρκους τοὺς πρὶν λεγομένους Χαζάρους, καθότι ἐν τῷ πολεμεῖν τὸν Χοσρόην μετὰ τοῦ Θεοδώρου ἀδελφοῦ τοῦ Βασιλέως καὶ μάχεσθαι, ἔπεσε χάλαζα φονεύουσα μὲν τοὺς Πέρσας, ἀβλαβεῖς δὲ τοὺς Ῥωμαίους τηροῦσα. καὶ οἱ μὲν Χαζάροι μετὰ τοῦ ἀρχηγοῦ αὐτῶν τοῦ Ζιεβὶλ ἐλθόντες προσεκύνησαν τὸν Ἡράκλειον, καὶ ἡνώθησαν τεσσαράκοντα χιλιάδες ὄντες τοῖς Ῥωμαίοις κατὰ τῶν Περσῶν. ὁ δὲ Χάνης αὐτῶν ὁ μετὰ ἀναριθμήτων πλοίων τὸν ἴστρον διαπεράσας, τῇ χάριτι καὶ πρεσβείᾳ τῆς Θεοτόκου ὑπέστρεψεν ἀπὸ τῆς πόλεως κατηχυμένος, ὅτε ἐπαρρησιάσθη καὶ ὁ Ἀκάθιστος ὕμνος ὑπὸ τοῦ τότε Πατριάρχου Σεργίου εἰς τιμὴν τῆς Τριπαρθένου, ἥτις ὤφθη ἐπὶ τῆς ἐν Βλαχέρναις πόρτας ὑπὸ ὡραιοτάτους εὐνούχους συμπροπεμπομένη.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Περὶ τοῦ τελευταίου πολέμου τοῦ Χοσρόου μετὰ Ἡρακλείου, καὶ τῆς νίκης Ἡρακλείου, καὶ περὶ τῆς πρὸς Ἡράκλειον φιλίας τοῦ Σαρβαρᾶ, δι' οὗ καὶ φόνος Χοσρόου ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Συρόου, ὃν ὁ Ἡράκλειος κατέστησε Βασιλέα Περσῶν.

Ἀλλὰ

Ἀλλὰ τὴν ἀνδρείαν καὶ τὴν μεγαλοψυχίαν τοῦ Ἡρακλείου Αὐτοκράτορος τίς διηγήσεται; ὄντως ἐφάνη ἀνὴρ ἀγαθὸς αἰχμητής τε κραταιὸς, πάντοτε γὰρ ἦν πρῶτος ἐν τῷ πολέμῳ, ἐγκαρδιῶν τοὺς Ῥωμαίους (οἱ γὰρ Τοῦρκοι ὑπέστρεψαν μὴ ὑποφέροντες τὴν πολλὴν ἐν τῷ πολέμῳ κακοπάθειαν) ἤρξατο ὁ πόλεμος, καὶ πόλεμος τοσοῦτος, ὅτι ἀπὸ πρωΐ ἕως ἑσπέρας διήρκεσε, καὶ ἀεὶ νικητὴς καὶ τροπαιοῦχος ὁ Αὐτοκράτωρ Ἡράκλειος. ὁ δὲ Χοσρόης ἐκ τῆς πικρίας αὐτοῦ ἔπεσεν εἰς δυσεντερίαν, καὶ μάλιστα ὅτε ἤκουσε καὶ περὶ τοῦ Σαρβαρᾶ ὅτι ὑπέστρεψεν ἄπρακτος, ὅθεν ἔγραψε πρὸς τὸν Σαρδαρίγαν τὸν συστράτηγον αὐτῷ, ἵνα ἀποκεφαλίσῃ αὐτὸν, μεπέπεσεν ὅμως ἡ ἐπιστολὴ εἰς ἄλλας χεῖρας, ἧς ἰδὼν τὴν ἀπόφασιν ὁ Σαρβαρᾶς, ἐφιλιώθη μετὰ τοῦ Ἡρακλείου. τοσοῦτον δὲ ἐγίνωσκεν ὁ Σαρβαρᾶς, ἐπιτηδεῦσαι τὴν ἐπανάστασιν, ὥστε καὶ διήγειρε τὸν τοῦ Χοσρόου υἱὸν τὸν Συρόην καὶ ἐφόνευσε τὸν πατέρα αὐτοῦ, ὅτι ἠθέλησε ποιῆσαι Βασιλέα τῆς Περσίας οὐκ αὐτὸν τὸν Συρόην, ἀλλὰ τὸν ἕτερον ἀδελφὸν αὐτοῦ τὸν Μαρδεσᾶν τὸν νεώτερον. τὰ πλείω περιτέμνω διὰ τὴν φίλην βαρχυλογίαν. πλὴν ἐκεῖνο μόνον μὴ ἐάσωμεν, ὃ λέγει ὁ Πλάτινας, ὅτι ὁ Ἡράκλειος πρῶτον ἐβάπτισε τὸν υἱὸν τοῦ Χοσρόου, εἶτα κατέστησεν αὐτὸν Βασιλέα Περσῶν, ἀλλὰ τέρατι δοκεῖ παραπλήσιον τὸ τοιοῦτον, ὡς μὴ καὶ ὑπὸ Ἀνατολικοῦ, ἢ καὶ ἀρχαίου τινὸς ἱστορηθέν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'

Περὶ ἀπολυτρώσεως τῶν ἐν Περσίᾳ αἰχμαλώτων καὶ τοῦ Ἱεροσολύμων Ζαχαρίου κατὰ τὰς συνθήκας τοῦ Περσάρχου καὶ τοῦ Βασιλέως, καὶ ἀποδόσεως τοῦ τιμίου ξύλου τοῦ Σταυροῦ, καὶ περὶ διαφορᾶς τῶν ἱστορικῶν διὰ τὴν ἢ εἰς Ἱερουσαλὴμ, ἢ εἰς Κωνσταντινούπολιν τοῦ Βασιλέως ἐπάνοδον, καὶ τοῦ Ζαχαρίου καὶ Μοδέστου τῶν Ἱεροσολύμων Πατριαρχῶν, καὶ περὶ τοῦ περὶ τὸν Βασιλέα θαύματος ἐν τῇ τοῦ Γολγοθᾶ πύλῃ, καὶ τῆς ὑψώσεως ἐν αὐτῷ τοῦ Σταυροῦ.

Κατὰ γοῦν τὰς γενομένας μυστικὰς συνθήκας τοῦ Συρόη μετὰ τοῦ Ἡρακλείου, ἐλυτρώθησαν ὅλοι οἱ Ῥωμαῖοι ἀπὸ τῆς αἰχμαλωσίας, ἐν οἷς καὶ ὁ Πατριάρχης Ζαχαρίας, ἐδόθη σῷον καὶ ἀκέραιον τὸ τίμιον ξύλον τοῦ ζωηφόρου Σταυροῦ, ὅπερ ὅτε εἶδον οἱ Πέρσαι, εὑρέθη γὰρ ἐσφραγισμένον ὥσπερ ἦν ἐν τοῖς Ἱεροσολύμοις, ὡς μαρτυρεῖ τοῦτο καὶ ὁ Σοΐδας. ἀπέθανεν ὅμως καθ' ὁδὸν ὑπὸ τῆς κακοπαθείας ὁ Πατριάρχης Ζαχαρίας, ὅθεν ἐνθρονίζεται ὁ πρόεδρος Μόδεστος, καὶ ὑψοῖ καὶ τὸν Σταυρὸν, ὡς γνήσιος διάδοχος τῶν Ἱεροσολύμων. οἶδα ὅτι ὁ Θεοφάνης θέλει πεφθακέναι τὸν Ζαχαρίαν ὑγιᾶ εἰς τὸν θρόνον αὐτοῦ, καὶ ὑψῶσαι καὶ τὸν Σταυρὸν ἔμπροσθεν τοῦ λαοῦ, ὥπερ συνᾴδων καὶ ὁ Ζωναρᾶς λέγει, ὅτι ὁ Ἡράκλειος ἀποκατέστησεν εἰς Ἱεροσόλυμα τὰ τίμια ξύλα καὶ τὸν Πατριάρχην αὐτὸν, πλὴν ἄλλοι οὐχ ἕπονται αὐτῷ, ἀλλὰ λέγουσιν, ὅτι πρῶτον ἐπανῆλθεν εἰς Κωνσταντινούπολιν ὁ Βασιλεὺς (ὅτε ἐξῆλθεν ὁ λαὸς ὅλος βαστάζων κλάδους ἐλαίας) ἔχων μεθ' ἑαυτοῦ τὸ τίμιον ξύλον τοῦ Σταυροῦ, καὶ τὸ ἐπιὸν ἔτος ἐπορεύθη εἰς Ἱεροσόλυμα μετὰ προπομπῆς καὶ θριάμβου. σημείωσαι δὲ τὸν ἅγιον Νικηφόρον εἰς τὸ χρονικὸν αὐτοῦ λέγοντα, ὅτι ὅτε ἦλθον τὰ τίμια ξύλα εἰς τὴν Κωνσταντινούπολιν ἔτι ἐσφραγισμένα, ὕψωσεν αὐτὰ ὁ Πατριάρχης Σέργιος ἐν τῷ τῆς Βλαχέρνας Ναῷ. ὁ Ζωναρᾶς δὲ θέλει, ὡς εἴρηται, πρῶτον παραγεγονέναι εἰς Ἱερουσαλὴμ τὸν Βασιλέα μεθ' οὗ καὶ ὁ Ζαχαρίας. ἐβάστασε γοῦν ὁ ἴδιος Βασιλεὺς τὸ τίμιον ξύλον τοῦ ζωοποιοῦ Σταυροῦ, ὅμως ὅτε ἔφθασεν εἰς τὴν ὡραίαν πύλην τὴν ἀπέναντι τοῦ Γολγοθᾶ, οὐκ ἠδύνατο πλέον περιπατῆσαι, ἔγνω δὲ τὸ μυστήριον ὁ Ἱεροσολύμων (ὅστις καὶ ἂν εἴη ἢ ὁ Μόδεστος κατὰ τὸν Σοΐδαν καὶ ἄλλους, ἢ ὁ Ζαχαρίας κατὰ τὸν Θεοφάνην καὶ ἄλλους) καὶ στραφεὶς πρὸς τὸν Αὐτοκράτορα εἶπε, Βασιλεῦ ἡμεγάλησου βασιλεία ἐστολισμένη χρυσοϋφάντοις ἱματίοις πολυτίμοις πετραδίοις ἐγκεκοσμημένοις, σπουδάζεις εἰσελθεῖν εἰς τὴν ἁγίαν πύλην, ἣν ὁ Θεάνθρωπος Ἰησοῦς διῆλθεν ἡμαγμένος καὶ ὠνειδισμένος; καὶ οὐ μετὰ προπομπῆς καὶ θριάμβου; κατεπείσθη ὁ Ἡράκλειος, καὶ ἐνδυθεὶς ἱμάτια πενιχρὰ, ἀνῆλθε γυμνόπους εἰς τὸν Γολγοθᾶν, καὶ παρέδωκε τὸν Σταυρὸν ταῖς χερσὶ τοῦ Πατριάρχου, ὁ δὲ Πατριάρχης ὕψωσεν αὐτὸν, καὶ εὐλόγησε μετ' αὐτοῦ τὸν Αὐτοκράτορα καὶ τοὺς Ἄρχοντας, καὶ τὸν κατόπιν τοῦ Βασιλέως ἐλθόντα Κλῆρον. ἐξ ἐκείνου δὲ ἐτυπώθη ὑψοῦσθαι τὸν Σταυρὸν εἰς τὸν ἅγιον Γολγοθᾶν, πρῶτον μὲν, ὅτε εὑρέθη ὑπὸ τῆς ἁγίας ἰσαποστόλου Ἑλένης, δεύτερον δὲ, ὅτε ὑπὸ τοῦ Ἡρακλείου ἐκομίσθη μετὰ νίκης καὶ τροπαίων, τότε ὑπὸ τοῦ Μακαρίου, καὶ νῦν ὑπὸ τοῦ Μοδέστου ἀνυψώθη κατὰ τὸν Θεοφάνη. τῷ πέμπτῳ ἔτει Ἡρακλείου ἔλαβον οἱ Πέρσαι τοὺς ἁγίους τόπους, τῷ δὲ ἕκτῳ ἐστράτευσαν εἰς Λιβύην, τῷ ἑβδόμῳ παρέλαβον Καρχηδόνα, τῷ δὲ δεκάτῳ ἐνάτῳ ἀπῆλθεν ὁ Βασιλεὺς εἰς Ἱερουσαλὴμ μετὰ τῶν τιμίων ξύλων.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῆς Αἱρέσεως τῶν Μονοθελητῶν, καὶ τῶν ἀρχηγῶν αὐτῆς, καὶ πρῶτον τοῦ Κωνσταντινουπόλεως Σεργίου, καὶ ὅπως ἐδελεάσθη ὁ Βασιλεὺς Ἡράκλειος, διαλεγόμενος τοῖς Μονοφυσίταις.

Εἰς τὴν Ἔδεσσαν εὑρισκόμενος ὁ Βασιλεὺς, ἢ ὡς Κεδρηνὸς λέγει εἰς Ἱεράπολιν, ἢ κατὰ τὸν Ζωναρᾶν εἰς Ἱεροσόλυμα, ἐκάθητο ἀμέριμνος, καὶ ἤρξατο διαλέγεσθαι περὶ ἐκκλησιαστικῶν δογμάτων μετὰ τῶν ἐκεῖ Πρεσβυτέρων, ὡσανεὶ ἦν Ἐπίσκοπος, καὶ μάλιστα μετάτινος Παύλου προστάτου τῆς μονοφύσεως Κεφαλαιώτου ἐπικαλουμένου, περὶ οὗ λέγεται ἐν τῇ δωδεκάτῃ πράξει τῆς ἕκτης Συνόδου, Παῦλος προστατεύων ἦν τῆς Αἱρέσεως τῶν Ἀκεφάλων, ᾧ ἐν τῇ Ἀρμενίᾳ ἐνέτυχεν ὁ Ἡράκλειος. καὶ διὰ τὸ τοὺς Εὐτυχιανοὺς ποιῆσαι ἀπόφασιν κηρύττειν ἐπὶ Χριστοῦ μίαν θέλησιν, ἕνεκεν τοῦ ἑλκύσαι πάντας τοὺς Αἱρετικοὺς εἰς μίαν γνώμην, ἦλθον καὶ ἡνώθησαν αὐτοῖς οἱ Νεστοριανοὶ, οἱ θέλοντες καὶ τὸν Λόγον τοῦ Θεοῦ ἡνῶσθαι τῷ ἀνθρώπῳ κατὰ τὴν θέλησιν, καὶ οἱ Ἀπολιναρισταὶ, οἱ λέγοντες καὶ τὸν Θεὸν Λόγον ὑπάρξαι ἐν τῷ Χριστῷ ἀντὶ νοὸς καὶ ψυχῆς, καὶ οὕτως ἐδελεάσθη ὁ Βασιλεύς. ὅτι δὲ οἱ Μονοφυσῖται ἦσαν ἀρχηγοὶ τῆς μονοθελήσεως, δῆλον, ὁ γὰρ Σεβῆρος, ὡς κεῖται ἐν τῇ δεκάτῃ πράξει τῆς ἕκτης Συνόδου, οὕτω λέγει, εἰ τοίνυν μετεστοιχείωσεν ὁ Λόγος ἣν ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν ἀνθρωπότητα οὐκ εἰς μίαν φύσιν, ἔμεινε γὰρ τοῦτο ὅπερ ἦν, ἀλλὰ εἰς τὴν αὐτοῦ δόξαντε καὶ ἐνέργειαν, καὶ τὰ τῆς σαρκὸς ἴδια γέγονεν ἴδια τοῦ Λόγου, πῶς ἑκατέραν μορφὴν ἐνεργεῖν τὰ ἴδια δώσωμεν; ἀναθεματιστέον οὖν τοὺς ἐν δύο φύσεσιν ὁρισαμένους τὸν ἕνα Χριστὸν, καὶ ἑκατέραν τῶν φύσεων ἐνεργεῖν τὰ ἴδια λέγοντας. τῶν μὲν γὰρ ἐνεργουμένων καὶ πραττομένων παρὰ τοῦ ἑνὸς Χριστοῦ πολὺ τὸ διάφορον, τὰ μὲν γὰρ ἐστὶ Θεοπρεπῆ, τὰ δὲ ἀνθρώπινα, οἷον τὸ σωματικῶς ἐπὶ γῆς ἰέναι καὶ ὁδοιπορεῖν, ὁμολογοῦμεν ὡς ἀνθρώπινον, τὸ δὲ τοῖς τὰ σκέλη πεπηρωμένοις τὸ ὑγιῶς βαδίζειν χαρίσασθαι, Θεοπρεπῶς, ἀλλ' εἷς ὁ σαρκωθεὶς Λόγος τοῦτο κἀκεῖνο ἐνήργησεν, καὶ οὐ τὸ μὲν τῆσδε, τὸ δὲ τῆσδε φύσεως, οὐκ ἐπειδὴ διάφορα τὰ ἐνεργηθέντα διατοῦτο δύο τὰς ἐνεργούσας φύσεις, ἤτοι μορφὰς δικαίως ὁριούμεθα. Καὶ, μιᾶς οὖν ὑποστάσεως ὁμολογουμένης τοῦ Ἐμμανουὴλ, ἀκόλουθον μίαν φύσιν ὁμολογεῖν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην, καὶ αὐτὴν ἐνεργοῦσαν τὰ Θεοπρεπῆ καὶ ἀνθρώπινα, καὶ οὐ κατὰ τὸν Λέοντος τόμον ἐνεργούσας δύο φύσεις καὶ μορφὰς ὑποτίθεσθαι, κοινωνούσας ἀλλήλαις κατὰ συνάφειαν σχετικὴν, τοῦτο γὰρ βούλεται τὸ βλάσφημον ἐκεῖνο, Ἐνεργεῖ μετὰ τῆς θατέρου κοινωνίας ἑκατέρα μορφή. ταῦτα ὁ Σεβῆρος. ἡ μὲν οὖν ἀρχὴ τῆς μονοθελήσεως ἐκ τῶν Μονοφυσιτῶν προῆλθεν, ὁ Κωνσταντινουπόλεως δὲ Σέργιος ἰδίως συνεστήσατο τὴν μίαν θέλησιν καὶ μίαν ἐπὶ Χριστοῦ ἐνέργειαν, καὶ τὴν μὲν ἐν Χαλκηδόνι Σύνοδον ἐδέχετο, καὶ τὰς δύο φύσεις ὡμολόγει, ἀνοήτως δὲ ὑπετίθετο μίαν θέλησιν καὶ μίαν ἐνέργειαν. καὶ ὅτι μὲν ὁ Σέργιος ἦν πρώτιστος Αἱρεσιάρχης, δηλοῖ ἡ τοῦ Κύρου πρὸς αὐτὸν ἐπιστολὴ, κειμένη εἰς τὴν δεκάτην τρίτην πρᾶξιν τῆς ἕκτης Συνόδου, ὅτι δὲ ἐδέχετο ἡ Αἵρεσις τὰς δύο φύσεις, ἐπρέσβευε δὲ μίαν θέλησιν, δῆλον ἀπὸ τοῦ Ἀντιοχείας Μακαρίου, εἰπόντος, ὁρᾷς ὅπως, εἰπὼν ἐνεργεῖν ἑκατέραν μορφὴν διὰ τὴν μετὰ θατέρου κοινωνίαν, μίαν αὐτῶν τὴν ἐνέργειαν ἀπεφήνατο; οὐ γὰρ ἐκ τοῦ καθάπερ εἰπεῖν, ζωοποιῶν ὡς Θεὸς, ζωοποιῶν δὲ καὶ ἐκ τῆς ἁφῆς, ἤδη κατὰ τοὺς νέους τούτους δογματιστὰς, δύο ζωοποιήσεις καὶ ἐνεργείας δύο νοεῖν ἡμᾶς ἐξεπαίδευσεν, ὁ Λέοντος τόμος δηλονότι.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ἧς ἠπάτησε τὸν Βασιλέα Ἡράκλειον ἀπάτης ὁ καθολικὸς τῶν Ἰακωβιτῶν Ἀθανάσιος, μίαν ἐνέργειαν καὶ μίαν θέλησιν ἐπὶ Χριστοῦ ὀρθόδοξον εἶναι πεπιστευκότα, καὶ ὅπως ὁ Φάσιδος Κῦρος τῇ αἰτίᾳ τῆς πρὸς Σέργιον αὐτοῦ ἀναφορᾶς ἐγένετο Αἱρεσιάρχης τῆς μονοθελήσεως.

Τοῦ οὖν Ἡρακλείου μετὰ τὰς διαλέξεις ταύτας εὑρισκομένου εἰς τὴν Ἱεράπολιν, ἦλθεν εἰς αὐτὸν κατὰ τὸν Κεδρηνὸν καὶ Ζωναρᾶν καὶ τὸν Βρενέρων Ῥολιβίνκον τὸν Καθορσιανὸν ἐν τῷ περὶ χρόνων αὐτοῦ βιβλίῳ, ὁ καθολικὸς τῶν Ἰακωβιτῶν Ἀθανάσιος, πορηρὸν ἀγγεῖον τοῦ διαβόλου (εἰ καί τινες τοῦτον εἶναι τὸν ἀνωτέρω Παῦλον καλούμενον λέγουσι) καὶ τόσον ἐτεχνήσατο, ὥστε καὶ ὑπέσχετο αὐτῷ ὁ Βασιλεὺς ποιῆσαι αὐτὸν Ἀντιοχείας Πατριάρχην, εἴγε ἐδέχετο καὶ ὡμολόγει τὴν ἐν Χαλκηδόνι Σύνοδον. φεῦ, τὸν ψευδοπατριάρχην καὶ ἀνάξιον τοῦ Πατριαρχικοῦ τούτου ἀξιώματος τιμηθῆναι καὶ ἀναβιβασθῆναι εἰς τὸν ἀποστολικὸν θρόνον διὰ μόνον τὴν ἐπίπλαστον θεοσέβειαν. οὐχ οὕτως ἡμᾶς διδάσκει ὁ Θεολόγος Ἰωάννης εἰς τὴν ἐπιστολὴν αὐτοῦ, ἀλλὰ φησὶν ἀποφεύγειν ἡμᾶς τοὺς τοιούτους, λέγει γὰρ ῥητῶς κεφαλαίῳ πρώτῳ, Εἴτις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐφέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ

χαίρειν

χαίρειν αὐτῷ μὴ λέγετε. δύσκολον γὰρ τὸν ἅπαξ μείναντα ἐν ἑνὶ δόγματι ἀποσπασθῆναι ἐκείνου τελείως. ὁ οὖν Ἀθανάσιος μετὰ τὸ οἰκειωθῆναι τῷ Βασιλεῖ, καὶ δεχθῆναι ἐπιπλάστως ὁμολογεῖν τὰς δύο φύσεις ἐπὶ Χριστοῦ, λέγει πρὸς τὸν Ἡράκλειον, νυῦ, ἐπειδὴ καὶ ὁ Χριστὸς ἔχει δύο φύσεις, ἔχομεν βεβαιοῦν, ὅτι γε ἔχει καὶ δύο θελήσεις καὶ ἐνεργείας. οἴμοι, ὁ Βασιλεὺς ἔκλινε καὶ εἰς τὸ φρόνημα, ὅτι τὸ ἐπὶ Χριστοῦ λέγειν μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ἐστὶν ὀρθόδοξον, ὅθεν γράψας πρὸς τὸν Κύπρου Ἀρκάδιον πρόσταγμα ἵνα συγγράψῃ κατὰ τῶν Αἱρέσεων τοῦ Κεφαλαιώτου, ἔλεγεν εἰς τὸ πρόσταγμα μίαν Χριστοῦ ἐνέργειαν. εὑρισκόμενος ὁ Βασιλεὺς ἔτι εἰς τὸν κατὰ τῶν Περσῶν πόλεμον, καὶ ἀπελθὼν εἰς Λαζικὴν ὅπου ἦν Μητροπολίτης ὁ Κῦρος, ἀνεμνήσθη τῶν μετὰ Παύλου διαλέξεων, καὶ ἔλεγεν, ὅτι ἐπὶ Χριστοῦ μίαν δεῖ λέγειν ἐνέργειαν, ἀντιλέγοντος δὲ αὐτῷ τοῦ Κύρου καὶ ἐπιχειροῦντος ἀπὸ τῆς ἐπιστολῆς τοῦ Λέοντος τῆς λεγούσης, ἐνεργεῖ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας, ὁ Βασιλεὺς προσέταξεν αὐτῷ γράψαι ἀναφορὰν εἰς τὸν Κωνσταντινουπόλεως Σέργιον, νομίζων αὐτὸν ὀρθόδοξον, καὶ ζητῆσαι παρ' αὐτοῦ τὸ πρακτέον. ὁ δὲ Σέργιος συρογενὴς ὢν, καὶ κρύφιος Αἱρετικὸς, ἔγραψεν αὐτῷ ὅτι καλῶς ἔχει ὁ λόγος τοῦ Βασιλέως. ἐπείσθη οὖν ὁ Κῦρος τῷ Σεργίῳ, καὶ συμβέβηκεν αὐτὸν γενέσθαι διπλάσιον τοῦ Σεργίου Αἱρεσιάρχην τῆς μονοθελήσεως, ὅθεν ἐκαυχῶντο οἵ τε Ἰακωβῖται καὶ οἱ Θεοδοσιανοὶ, Κόπται καὶ Ἀρμένιοι, λέγοντες, οὐχ ἡμεῖς ἡνώθημεν τῇ ἐν Χαλκηδόνι Συνόδῳ, ἀλλ' ἐκείνη ἡνώθη ἡμῖν, καὶ ἐχλεύαζον τοὺς ἀπὸ τῆς καθόλου Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἐν Ἀλεξανδρείᾳ πατριαρχείας τοῦ Φάσιδος Κύρου, καὶ ἑνώσεως αὐτοῦ καὶ συμφωνίας μετὰ τοῦ Θεοδώρου Φαρὰν καὶ ἄλλων Αἱρετικῶν, ἵνα μὴ ὁμολογῶσι μήτε μίαν μήτε δύο ἐνεργείας ἐπὶ Χριστοῦ, ἀλλὰ μόνον ἐνέργειαν Θεανδρικὴν, καὶ περὶ τῆς πρὸς Κῦρον καὶ Σέργιον ἐναντιώσεως ὑπὲρ τοῦ ὀρθοῦ δόγματος Μοναχοῦ τινὸς Σωφρονίου, τοῦ ὕστερον χρηματίσαντος Ἱεροσολύμων Πατριάρχου.

Θανόντος τοῦ Ἀλεξανδρείας Γεωργίου, προεβλήθη Ἀλεξανδρείας ὁ ῥηθεὶς Φάσιδος Κῦρος περί που τὰ χίλια τριάκοντα ἔτη, καὶ ἀπελθὼν ἐκεῖσε, καὶ ἑνωθεὶς τῷ Ἐπισκόπῳ Φαρὰν Θεοδώρῳ, ἐκίνησε τὸ ζήτημα τοῦτο, πῶς δηλονότι προσήκει ἡμᾶς ὁμολογεῖν ἐπὶ Χριστοῦ, μίαν θέλησιν καὶ μίαν ἐνέργειαν, ἢ δύο; καὶ ἐποίησαν τὴν ὑδροβαφῆ ἐκείνην ἕνωσιν, ὅτι μήτε μίαν μήτε δύο ὁμολογεῖν, ἀλλ' ἐνέργειαν Θεανδρικὴν, καθὼς ἐφλυάρει Ἀναστάσιος Σύρος ὁ Ἀποζυγάριος λεγόμενος, λέγων οὕτως, αὐτοῦ τὰ πάντα τοῦ ἑνὸς Υἱοῦ διαβεβαιούμεθα, καὶ πάσας αὐτοῦ τὰς φωνὰς καὶ τὰς ἐνεργείας πιστεύομεν, καὶ αἱ μὲν αὐτοῦ εἰσὶ Θεοπρεπεῖς, αἱ δὲ οὕτω πάλιν ἀνθρωποπρεπεῖς, αἱ δὲ μέσην τινὰ τάξιν ἔχουσιν, ὡς ἔχουσαι τὸ Θεοπρεπὲς ἐν ταὐτῷ καὶ ἀνθρώπινον, ταύτης δὲ φαμὲν τῆς δυνάμεως καὶ τὴν κοινὴν καὶ Θεανδρικὴν λεγομένην ἐνέργειαν οὐ μίαν ὑπάρχουσαν, ἀλλ' ἑτερογενῆ καὶ διάφορον κατὰ τὸν Ἀρεοπαγίτην τυχὸν Διονύσιον. ὡς οὖν δὲ ὁ Κῦρος καὶ Θεόδωρος εὗρον τὴν μήτε μίαν μήτε δύο, ἀλλὰ τρίτην τινὰ λεγομένην Θεανδρικὴν, καὶ ἐν τούτοις μιγέντες τισὶν Αἱρετικοῖς Μονοφυσίταις, εὑρισκομένοις εἰς Αἴγυπτον, Θεοδοσιανοῖς, Θεμιστιανοῖς καὶ Γαϊανίταις, ἐποίησαν ἕνωσιν τινὰ, ὁμολογοῦντες μὲν τὰς δύο φύσεις ἐπὶ Χριστοῦ, μίαν δὲ ἐνέργειαν, συντάξαντες καὶ ἐννέα κεφάλαια, ὧν τὸ ἕβδομον ἦν περὶ τῆς μιᾶς ἐνεργείας. τούτων οὕτω γινομένων, θείᾳ οἰκονομίᾳ εὑρέθη εἰς τὴν Ἀλεξάνδρειαν παρὰ τῷ Κύρῳ εἷς τις Μοναχὸς Ἱεροσολυμίτης, ἀσκητικώτατος ἄνθρωπος, ὡς μαρτυρεῖ ὁ πνευματικὸς Κῆπος καὶ ὁ βίος Μαρίας τῆς Αἰγυπτίας καὶ ἄλλα αὐτοῦ συγγράμματα, ὀνόματι Σωφρόνιος, οὗτος ἠναντιώθη τῷ Κύρῳ περὶ τῆς μιᾶς ἐνεργείας, προέβαλέ τε ὁ Κῦρος χρήσεις πατέρων ἵνα βεβαιώσῃ τὴν μίαν ἐνέργειαν, ὁ δὲ Σωφρόνιος ἀντιπροέβαλε τῷ Κύρῳ χρήσεις σαφεῖς καὶ ἀναμφιβόλους τῶν ἐγκρίτων πατέρων. καὶ μὴ δυνηθεὶς ὁ Κῦρος ἐπιστομίσαι αὐτὸν, ἀπέστειλεν αὐτὸν μετὰ γραμμάτων αὐτοῦ πρὸς τὸν Σέργιον εἰς Βυζάντιον. ἀλλ' εἰπὼν τῷ Σωφρονίῳ τὰ ὅμοια τοῦ Κύρου ὁ Σέργιος, καὶ παθὼν τὰ αὐτὰ τῷ Κύρῳ παρὰ Σωφρονίου, ἦυρε πρόφασιν ὅτι προξενοῦσιν αἱ ἐναντιολογίαι Αἵρεσιν. ὅθεν τῆς μὲν κατὰ τῆς ἀληθείας ἀντιλογίας οὐ παρῃτήθη, τοῦ δὲ ὑπὲρ τῆς ἀληθείας ἀγῶνος τοῦ θείου Σωφρονίου καταφρονήσας, ἔγραψε πρὸς Κῦρον ἔχεσθαι τοῦ προκειμένου, ἤτοι μὴ λέγειν μήτε μίαν μήτε δύο, ἀλλὰ Θεανδρικήν. καὶ λοιπὸν ἰδὼν ὁ Σωφρόνιος καὶ τὸν Σέργιον ἀσεβοῦντα, ὥσπερ καὶ τὸν Κῦρον, καὶ γνοὺς καὶ τὸν Οἰκουμενικὸν Πάπαν Ὀνώριον τὰ αὐτὰ φρονοῦντα τῷ Οἰκουμενικῷ Πατριάρχῃ, καὶ τῷ κριτῇ τῆς Οἰκουμένης, τὸν ἐνόντα τρόπον καὶ εἰπὼν καὶ ποιήσας, ἀνεχώρησεν εἰς Ἱερουσαλήμ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ἀπόκρισις Ὀνωρίου Πάπα Ῥώμης πρὸς Σέργιον Κωνσταντινουπόλεως προγράψαντα αὐτῷ τὰ μεταξὺ Κύρου καὶ Σωφρονίου συμβάντα, ἐξ ἧς δείκνυται Αἱρεσιάρχης ὁ Ὀνώριος καὶ ὑπερασπιστὴς τῆς μονοθελήσεως, καὶ περὶ τῆς ὑπὸ τοῦ Πατριάρχου Ἱεροσολύμων Σωφρονίου συγκροτηθείσης Συνόδου, καὶ ἀναθεματισάσης τοὺς

Μονοθε-

Μονοθελήτας, ἐν οἷς καὶ ὁ Πάπας Ὀνώριος, καὶ περὶ ἐπιστολῶν τοῦ Σωφρονίου κατὰ τῆς Αἱρέσεως, καὶ περὶ τῆς καταγελάστου Ἐκθέσεως τοῦ Ἡρακλείου.

Γράφει τὰ γενόμενα πρὸς τὸν Ὀνώριον ὁ Σέργιος, καὶ ἐκεῖνος ἀπεκρίθη αὐτῷ ταῦτα μετὰ τὰ πολλὰ, Οὐ μὴν ἀλλὰ καὶ πρὸς Κῦρον τὸν ἀδελφὸν ἡμῶν τὸν πρόεδρον τῆς Ἀλεξανδρείας (σημειωτέον δηλονότι) εἰς τὸ ἀνατραπῆναι τὴν ὀνομασίαν τῆς νέας ἐφευρέσεως, ὅτι ἐστὶ μία ἢ δύο ἐνέργειαι ἐπὶ Χριστοῦ, καὶ ἐκβληθῆναι τὴν προσηγορίαν τὴν νεωστὶ ἐφευρεθεῖσαν, ὅτι ἐστὶ δηλαδὴ μία ἢ δύο ἐνέργειαι. Καὶ, μιᾶς δὲ ἐνεργείας ἢ δύο εἶναι ἢ γεγονέναι τὸν μεσίτην Θεοῦ καὶ ἀνθρώπων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν νοεῖν, ἢ προφέρειν, πάνυ μάταιον, καὶ ἐν ἐπιτομῇ ἔγραφε, μήτε τὸν Κῦρον λέγειν μίαν, μήτε τὸν Σωφρόνιον δύο, ἀλλὰ λέγειν αὐτοὺς μίαν ἡγουμενικὴν, λέγων ῥητῶς, ἐν θέλημα ὁμολογοῦμεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. μαινόμενος δὲ ὁ Σέργιος ὡς ἂν συστήσῃ τὴν Αἵρεσιν αὐτοῦ, ἔγραψεν εἰς Ἀλεξάνδρειαν πρὸς Γεώργιον τὸν λεγόμενον Ἀρσὰν (ἢ Βαρσὰν) Παυλικιανιστὴν ὄντα, ἀποστεῖλαι αὐτῷ χρήσεις περὶ μιᾶς ἐνεργείας, ὡς λέγει ὁ ἱερὸς Μάξιμος ἐν τῷ πρὸς Πύῤῥον αὐτοῦ διαλόγῳ. ἐν τούτοις δὲ πλατυνομένης τῆς Αἱρέσεως, ὁ ῥηθεὶς Σωφρόνιος, τοῦ Μοδέστου κοιμηθέντος, γίνεται ψήφῳ τῆς ἐν Ἱερουσαλὴμ Συνόδου, ἐν ἔτει χιλιοστῷ τριακοστῷ τρίτῳ, Πατριάρχης Ἱεροσολύμων, καὶ συναγαγὼν καὶ τοὺς λοιποὺς ὑπ' αὐτὸν Ἐπισκόπους, καὶ συστήσας Σύνοδον Τοπικὴν, ἀνεθεμάτισε τοὺς Μονοθελήτας, καὶ δὴ ἔγραψε κατ' αὐτῆς τῆς Αἱρέσεως πρὸς τοὺς ἁπανταχοῦ τῶν Ἐκκλησιῶν προεστῶτας, καὶ εἰς αὐτὸν Σέργιον τῶν Βυζαντίων Ἐπίσκοπον ἀπέστειλε τὰ συνοδικὰ αὐτοῦ. Φησὶ γὰρ ὁ Ζωναρᾶς, Σωφρονίου μέντοι τοῦ ἱεροῦ τοῦ ἐν Ἱεροσολύμοις ἀρχιερατεύοντος τότε τοὺς Ἀρχιερεῖς τοὺς ὑφ' ἑαυτὸν συναθροίσαντος, καὶ συνοδικῶς τοὺς μίαν λέγοντας θέλησιν καὶ ἐνέργειαν ἐπὶ τῶν δύο φύσεων τοῦ Χριστοῦ, ὡς μίαν αὐτίκρυς φύσιν κηρύττοντας ἀναθεματίσαντος, σύμψηφον σχῶντος ἐπὶ τοῦτο καὶ τὸν τῆς Ῥώμης Ἰωάννην, ὁ Βασιλεὺς ἔθετο πρόγραμμα μήτε μίαν μήτε δύο λέγειν, ὅπερ καταγέλαστόν ἐστιν. ἀκούσας δὲ ταῦτα ὁ Βασιλεὺς Ἡράκλειος, ἠσχύνθη, καὶ ἀθετῆσαι τὴν παρατροπὴν αὐτοῦ εἰς τὴν Αἵρεσιν οὐκ ἠθέλησε, καὶ πάλιν τὸν ὀνειδισμὸν ὅτι Αἱρετικός ἐστι μὴ φέρων, συντίθησιν Ἔκθεσιν περιέχουσαν μήτε μίαν μήτε δύο ἐνεργείας ὁμολογεῖν ἐν Χριστῷ. ὁ Ἀλεξανδρείας Εὐτύχιος λέγει, διὰ τὸ συναθροῖσαι τὸν Σωφρόνιον τοὺς Μοναχοὺς καὶ τοὺς λοιποὺς ἐκκλησιαστικοὺς εἰς Ἱερουσαλὴμ, καὶ εἰπεῖν αὐτοῖς τὰ τῶν Πατριαρχῶν, ὅτι ἦσαν δηλονότι καὶ αὐτοὶ καὶ ὁ Πάπας Αἱρετικοὶ, καὶ διδάξαι αὐτοὺς τὸ ὀρθόδοξον δόγμα δι' ἀσφάλειαν, ἐκεῖνοι δι' εὐλάβειαν, κοιμηθέντος τοῦ Μοδέστου, ἐψηφίσαντο αὐτὸν εἰς Πατριάρχην. οὐμόνον δὲ εἰς τὸν Σέργιον ἀπέστειλε τὰ συνοδικὰ αὐτοῦ ὁ Σωφρόνιος, ἀλλὰ καὶ εἰς τὸν Πάπαν Ὀνώριον, ὡς γράφει ὁ Ὀνώριος τῷ Σεργίῳ τῆς Συνόδου πράξει δωδεκάτῃ. Σὺ δὲ σημείωσαι πρῶτον, ὅτι ὁ τότε ἀγὼν τοῦ Σωφρονίου παρεκίνησεν ἀθροισθῆναι ὕστερον τὴν Οἰκουμενικὴν Σύνοδον, ἐν ᾗ καὶ ἡ ἐγκύκλιος αὐτοῦ ἐπιστολὴ ἀνεγνώσθη, φανέντος προβόλου τῆς ὀρθοδόξου πίστεως, καθὼς ἐφάνησαν καὶ οἱ πρὸ αὐτοῦ, ἀναθεματίζοντες αὐτοὶ ἄλλους, καὶ ὑπ' οὐδενὸς αὐτοὶ ἀναθεματιζόμενοι. δεύτερον, ὅτι καὶ οἱ τρεῖς Οἰκουμενικοὶ καλούμενοι ἦσαν ἐν ταὐτῷ Αἱρετικοὶ, καὶ τοῦ τὸ ὁ Ῥώμης οὐσφάλλει περὶ τὴν πίστιν, τῶν Παπῶν γινομένων Αἱρεσιαρχῶν καὶ κρινομένων καὶ ἀναθεματιζομένων ὑπὸ Τοπικῆς Συνόδου; τρίτον, ὅτι οὐμόνον ὁ Ῥώμης κριτὴς τῶν Αἱρέσεων, ἀλλὰ καὶ πᾶς τις ὀρθόδοξος Ἐπίσκοπος. τέταρτον, ὅτι οὐκ ἔστιν ὁ Πάπας κεφαλὴ τῆς Ἐκκλησίας, ἐπειδὴ Αἱρετικὸς γινόμενος, οὐκ ἔστιν οὔτε ποὺς τῆς Ἐκκλησίας, ἀλλὰ μέρος τοῦ Σατανᾶ ἀφ' οὗ καὶ λαλεῖ. σημείωσαι ὅτι τοῦ τὸν Ἡράκλειον ποιῆσαι τὸ πρόσταγμα, ἤτοι τὴν Ἔκθεσιν τὸ κυρίως αἴτιον ἦν ἡ κατὰ Σεργίου καὶ Κύρου, οἷς σύμφωνος ἐγένετο καὶ ὁ Ὀνώριος, ἐναντιότης τοῦ Σωφρονίου. ἰδόντες γὰρ Σέργιος καὶ Κῦρος ἀνθιστάμενον αὐτοῖς τὸν Σωφρόνιον, παρεκίνησαν τὸν Βασιλέα ποιῆσαι πρόσταγμα, ἵνα δι' αὐτοῦ βεβαιωθῇ ἡ Αἵρεσις αὐτῶν, καὶ μὴ δυνηθῇ τις ταύτῃ ἀντειπεῖν. ἐκλήθη δὲ, ὡς εἴρηται, τὸ πρόσταγμα Ἔκθεσις, ἣν καὶ ὁ Σέργιος, ἀθροίσας ἐν Κωνσταντινουπόλει Σύνοδον, ἐβεβαίωσεν, οὕτως ἐποίησε μετὰ τὸν Σέργιον καὶ ὁ Πύῤῥος, ἀλλὰ δὴ καὶ ὁ Κῦρος μετὰ τὴν Σύνοδον τοῦ Σεργίου ἐποίησε τὰ αὐτὰ, καὶ ἔγραψε καὶ ἐπιστολὰς πρὸς τὸν Σέργιον, αἵτινες κεῖνται ἐν τῇ τρίτῃ συμβουλῇ, ἤτοι συνελεύσει τῆς ἐπὶ Μαρτίνου Συνόδου ἐν τῷ Λατεράνῳ, ἐν ᾗ εὑρίσκεται καὶ ἡ Ἔκθεσις τοῦ Ἡρακλείου.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῶν ἀθροισθεισῶν Συνόδων, καὶ ἀναθεματισασῶν τὴν Αἵρεσιν τῶν Μονοθελητῶν καὶ τοὺς Μονοθελήτας.

Τελευτήσαντος Ὀνωρίου Πάπα Ῥώμης ἐν τῇ Αἱρέσει, καὶ τοῦ διαδόχου αὐτοῦ Σεβερίνου, ὁ μεταταῦτα Πάπας Ἰωάννης Σύνοδον ἀθροίσας ἐν Ῥώμῃ, ἀνεθεμάτισε τὴν Αἵρεσιν τῶν Μονοθελητῶν καὶ τοὺς ἀντεχομένους αὐτῆς. ὁμοίως καὶ οἱ ἐν Ἀφρικῇ καὶ Βυζακίῳ καὶ Νουμηδείαις καὶ Μαυριτανίᾳ Ἐπίσκοποι ἀθροισθέντες, ἀνεθεμάτισαν τοὺς Μονοθελήτας παρομοίως τῷ Σωφρονίῳ καὶ Ἰωάννῃ, ὡς ὁ Ζωναρᾶς φησὶ καὶ ἄλλοι.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Ἀπαρίθμησις τῶν ἐκπεπωκότων τῆς ὀρθῆς ἡμῶν πίστεως Παπῶν μέχρις Ὀνωρίου τοῦ τῆς μονοθελήσεως Αἱρεσιάρχου, καὶ μαρτυρία ἐκ ὀλίγων τῆς Αἱρεσιαρχείας Ὀνωρίου, ὃν ἡ καὶ τέθνηκε.

Τί φησὶ ἡμᾶς; εἰ ὁ τοῦ Σωτῆρος φησὶ θεόδοτος λέγεται Ἰούδας, καὶ ἔχομεν τῷ ὀνόματι τούτῳ Ἰούδαν ἀπὸ τῆς ἁγίας σειρᾶς τῶν δώδεκα, οὐδέν. ἔτε λοιπὸν ἀτιμάζεται τοῦ Αὐτοκράτορος Ὀνωρίου τὸ τίμιον ὄνομα, ἐξιτήλως γεγονότος περὶ τὴν ὀρθοδοξίαν τοῦ Πάπα Ὀνωρίου, ἔτε μὴν ἡ τοῦ Πέτρου καθέδρα ἀπὸ τοῦτον μολύνεται, καθὰ ἔτε ὁ τοῦ Ἀαρὼν θρόνος ἐμιάνθη ἀπὸ τὸν Καϊάφαν. ἔχομεν καὶ εἰδωλολατρήσαντα Πάπαν Μαρκελῖνον (ὃς καὶ ὕστερον ἐμαρτύρησεν) ἔχομεν καὶ ἀρειανίσαντα Πάπαν Λιβέριον. καὶ δὴ καὶ μονοφυσίτην γεγονότα (εἰ καὶ διωρθώθη ὕστερον) Πάπαν Βιγίλιον. εἶδε ἔχομεν καὶ Αἱρεσιάρχην τῆς μονοθελήσεως Πάπαν τῆς Ῥώμης Ὀνώριον, καὶ μάλιστα ἀμεταμέλητα θνήξαντα, καὶ Λατῖνοι τὸ δεῦμα συσκιάσαι βυλόμενοι τερατεύονται. ὅτι δὲ τοιοῦτος ἦν ὁ Ὀνώριος, ἴδε πρῶτον μὲν ἐπὶ τοῦ αὐτοῦ Ὀνωρίου τοῦ Σέργιον Κωνσταντινουπόλεως (ὅτις ἐμαρτυρήθη ἀληθεσάτη ὑπὸ τῆς ὁσίας Συνόδου, εὑρεθεῖσα τότε εἰς τὸ Χαρτοφυλάκιον τοῦ Πατριαρχείου τῆς Κωνσταντινουπόλεως) λέγουσαν ταῦτα, μιᾶς δὲ ἐνεργείας, ἢ δύο εἶναι, ἢ γεγονέναι τὸν Κύριον νοεῖν, ἢ φρονεῖν, μάταιον παῦν. καὶ ἔτι ἔγραφε τῷ Σεργίῳ εἰπεῖν τῷ Κύρῳ, μὴ λέγειν μίαν, καὶ τῷ Σωφρονίῳ, μὴ λέγειν δύο. Καὶ, οὗ θέλημα ὁμολογοῦμεν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. δεύτερον, ὁ Πάπας Ἀγάθων γράφων εἰς Κωνσταντῖνον τὸν Πωγωνᾶτον, μαρτυρεῖ Αἱρετικὸν τὸν Ὀνώριον. τρίτον, ὁ Πωγωνᾶτος εἰς τὸ Ἤδικτον αὐτοῦ λέγει, ἀναθεματίζομεν καὶ ἀποβαλλόμεθα τοὺς τῶν ἡμετέρων καὶ νέων δογμάτων Αἱρεσιάρχας καὶ αὐτιλήπορας, φαμὶ δὴ Θεόδωρον τὸν Φαρᾶν, καὶ μετ' ὀλίγα, ἔτι δὲ καὶ Ὀνώριον τὸν τῆς πρεσβυτέρας Ῥώμης Πάπαν γενόμενον, τὸν κατὰ πάντα τούτοις συναιρέτην καὶ συνόδευμον καὶ βεβαιωτὴν τῆς Αἱρέσεως. τέταρτον, ἡ ἁγία Οἰκουμενικὴ Σύνοδος λέγει πρᾶξει δεκάτῃ τρίτῃ, ὅτι τούτοις δὲ, ἐκβληθῆναι τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας καὶ ἀναθεματισθῆναι συνέδομεν Ὀνώριον τὸν γενόμενον Πάπαν τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ εὑρηκέναι ἡμᾶς διὰ τῶν γεγραμμένων παρ' αὐτοῦ γεγραμμάτων πρὸς Σέργιον κατὰ πάντα τῇ ἐκείνου γνώμῃ ἐξακολουθήσαντα, καὶ τὰ αὐτοῦ ἀσεβῆ κυρώσαντα δόγματα. ἦν δὲ ἐν τῇ Συνόδῳ Λεγᾶτος τοῦ Ῥώμης Ἰωάννης ὁμετέπειτα χρηματίσας Πάπας, Ἰωάννης πέμπτος κληθεὶς, οὗ Ἀναστάσιος ὁ Χαρτοφύλαξ Ῥώμης γράφων ἐπαινεῖ. ἔτως ἂν καὶ οἱ λοιποὶ Λεγᾶτοι ὑπέγραψαν εἰς τὸν ἀναθεματισμὸν τοῦ Ὀνωρίου, καὶ ἐλθόντες εἰς Ῥώμην διηγήσαντο τῷ μετὰ τὸν Ἀγάθωνα Πάπᾳ Λέοντι τὴν καθαίρεσιν Ὀνωρίου, ὡς μαρτυρεῖ αἱ πράξεις. πέμπτον, ἡ ἐν Τρούλλῳ Συνόδος εἰς τὸν πρῶτον αὐτῆς Κανόνα μαρτυρεῖ αὐτὸν Αἱρετικὸν καὶ ἀναθεματίζει. εἶτα, Θεόδωρος ὁ Πατριάρχης Ἱεροσολύμων συνοδικῶς αὐτὸν ἀνεθεμάτισε, καὶ ἡ συνοδικὴ αὐτοῦ ὑπιστολὴ ἀνεγνώσθη εἰς τὴν ἑβδόμην Σύνοδον. ἕβδομον, Λέων Πάπας ὁ δεύτερος γράφων εἰς Κωνσταντῖνον τὸν Πωγωνᾶτον, καὶ τοὺς Ἱσπανοὺς καθολικὴν αὐτοῦ ὑπιστολὴν, καὶ εἰς τὸν Ἐρβίγιον Ῥῆγα Ἱσπανίας, μαρτυρεῖ αὐτὸν Αἱρετικὸν καὶ ἀναθεματίζει. ὄγδοον, ἡ ἑβδόμη Οἰκουμενικὴ Σύνοδος εἰς πολλοὺς τόπους λέγει αὐτὸν Αἱρετικὸν καὶ ἀναθεματίζει. ἔνατον, ὁ Πάπας Ἀδριανὸς δεύτερος ἐν ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ ἑνάτῳ εἰς τὴν ἐν Ῥώμῃ κατὰ Φωτίου Σύνοδον, ὡς κεῖται εἰς τὴν ὀγδόην κατὰ Λατίνους Σύνοδον, γενομένην ἐν Κωνσταντινουπόλει ἐν ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ ἑνάτῳ, θρηνῶν καὶ ὀλοφυρόμενος διὰ τὴν ἐκ τοῦ Πάπας ἀντιλογίαν τοῦ Φωτίου, τάδε εἶπεν, ἀνύπιστός ἐστιν ἡ τόλμη αὕτη ἀγαπητοί μου ἀδελφοί, καὶ ταύτην τὰ ὦτα τῆς καρδίας μου ὑπενεγκεῖν οὐδυάται. οὐδέποτε τὸν τῶν Ῥωμαίων Ἀρχιερέα ὑπὸ τῶν λοιπῶν Ἐκκλησιῶν ἀνέγνωμεν κεκινόμενον, ἀλλὰ πάντας ὑπ' ἐκείνου κεκινημένους οἴδαμεν, καὶ γὰρ εἰ καὶ τῷ Ὀνωρίῳ ὑπὸ τῶν Ἀναστασίων μετὰ θάνατον ἀνάθεμα ἐρρέθη, ὅμως γνωστὸν ἐστὶν, ὅτι ὑπὸ Αἱρέσει κατηγορήθη, δι' ἣν καὶ μόνον ἔξεστι τοῖς ὑποδεεστέροις τῶν μειζόνων κατεξαίρεσθαι, ἀλλὰ κἀκεῖ ὅτε Πατριαρχῶν ὅτε ἑτέρωντις πρεσβέρων ἐξενεγκεῖν ἠδυνήθη τὴν ἀπόφασιν, εἰ μὴ ἡ τῆς αὐτῆς πρώτης καθέδρας αὐθεντία σωρήνεσεν ὑπὲρ τούτου. καὶ λοιπὸν πρόσθες δέκατον, ὅτι ἰδὲ καὶ ὑπὸ τοῦ Πάπα Ῥώμης Ἀδριανοῦ ὀρθοδόξως συνοδικῶς ὁ Ὀνώριος Αἱρετικὸς μαρτυρεῖται, καὶ ἀναθέματι ὑποβεβλημένος. ἑνδέκατον, ἴδε τοὺς τόπους ἐν τῇ παρούσῃ συγγραφῇ τῶν ἁγιωτάτων Συνόδων τῶν τεσσάρων, καὶ τῆς ἕκτης ἐν Τρούλλῳ, ἑβδόμης, καὶ τῆς κατὰ Φωτίου. δωδέκατον, ὁ Φώτιος εἰς τὸν βιβλιοθήκην αὐτοῦ, καὶ ἐν τῷ περὶ τῶν ἑπτὰ Συνόδων, καὶ ὁ ἅγιος Γερμανὸς Κωνσταντινουπόλεως Πατριάρχης, καὶ ὁ Ψελλὸς, καὶ ἄλλοι πολλοὶ περὶ τῶν Οἰκουμενικῶν ἑπτὰ Συνόδων, καὶ ὁ Κεδρηνὸς εἰς τὸ συνόψιον αὐτοῦ, καὶ ὁ Βέδας λέγουσιν, ἀθροισθῆναι τὴν ἕκτην Σύνοδον κατὰ Σεργίου, Κύρου, Ὀνωρίου, Πύρρου, Πέτρου καὶ Παύλου. δέκατον τρίτον, ὁ Ἀντιοχείας Μακάριος, ὁ ἀναθεματισθεὶς εἰς τὴν ἕκτην Σύνοδον, καταριθμῶν τοὺς πρώτους τῆς μονοθελήσεως λέγει, Σεργίου, Παύλου, Πέτρου, εἶτα ὑπολέγει, καὶ Ὀνωρίου τοῦ Θεοφρονοῦς. καὶ πρόσθες ὀγδόῃ τῆς αὐτῆς Συνόδου ὁ Μακάριος, πάλιν σύμφωνοι ἐσμὲν Ὀνωρίῳ, Σεργίῳ, Παύλῳ καὶ Πέτρῳ. καὶ ὁ τοῦ λιβέλλου αὐτοῦ, Ὀνώριος φημὶ καὶ Σέργιος καὶ Κῦρος καὶ οἱ ἐφεξῆς τῶν Ἐκκλησιῶν Ἡγεμόνες καὶ Ἔξαρχοι.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τριῶν Ἀντιθέσεων τῶν παπιστῶν ὑπὲρ Ὀνωρίου Πάπα, καὶ τῶν τριῶν λύσεων πρὸς αὐτὰς διὰ πολλῶν ἀποδείξεων, ἐξ ὧν ὁ Ὀνώριος ἀναμφιβόλως δείκνυται Αἱρεσιάρχης.

Ἀντιθέσεις ὑπὲρ Ὀνωρίου παπιστῶν τρεῖς, ὧν πρώτη ἐστὶν, ὅτι ὁ Ὀνώριος ἔγραψε τὴν πρὸς Σέργιον ἐπιστολὴν οἰκονομικῶς, τὸ λοιπὸν οὐκ ἔστιν Αἱρετικός. ΛΥΣΙΣ. Μάλιστα Αἱρεσιάρχης, ὅτι ἑρμηνεύει καὶ βεβαιοῖ ῥητῶς καὶ διωρισμένως τὴν Αἵρεσιν, εἰπὼν ἓν θέλημα ὁμολογοῦμεν, ὅπερ οὐκ οἰκονομία, ἀλλὰ βλασφημία. εἶτα ἡ ἕκτη ἡ ἐν Τρούλλῳ, καὶ ἡ ἑβδόμη αἱ Συνόδοι, καὶ τοσοῦτοι Πάπαι, Πατριάρχαι, Βασιλεῖς καὶ ἱστορικοὶ ἔκριναν αὐτὸν Αἱρετικὸν καὶ ἀνεθεμάτισαν, καὶ εἰσὶν ἀξιοπιστότεροι τῶν νεωτεριστῶν. ἔπειτα ἐπειδὴ περὶ ἀναφυομένης Αἱρέσεως ἔγραφεν, οὐκ ἔδει σιωπῆσαι τὴν ἀλήθειαν, καὶ γίνεσθαι αἴτιον πλάνης. φησὶ γὰρ ὁ μέγας Βασίλειος εἰς τὰ ἠθικὰ αὐτοῦ, ὅτι ὁ ἐμπιστευθεὶς τὸν λόγον τῆς διδασκαλίας, ἐὰν σιωπήσῃ τὶ τῶν ἀναγκαίων εἰς τὴν πρὸς Θεὸν εὐαρέστησιν, ἔνοχος ἐστὶ τοῦ αἵματος τῶν κινδυνευόντων. ΑΝΤΙΘΕΣΙΣ ΔΕΥΤΕΡΑ. Ὁ Ταράσιος εἰς τὴν δευτέραν πρᾶξιν τῆς ἑβδόμης Συνόδου λέγει, ὅτι ἡ ἕκτη μόνον τοὺς τέσσαρας, Σέργιον, Πύῤῥον, Παῦλον καὶ Πέτρον ἀνεθεμάτισεν, ἄρα οὐ τὸν Ὀνώριον, καὶ εἰσὶ προσθήκη τὰ κατὰ Ὀνωρίου. ΛΥΣΙΣ. Ὅτι ἐκεῖ ὁ Ταράσιος διαλαμβάνων περὶ μόνων τῶν Πατριαρχῶν Κωνσταντινουπόλεως, ἐκείνους μόνους καὶ εἶπεν. ὅτι δὲ μετὰ τούτων καὶ τὸν Ὀνώριον καὶ Κῦρον καὶ Μακάριον καὶ ἄλλους ἡ ἕκτη ἀνεθεμάτισε, πασίδηλον, καὶ ἴδε τὸν τόπον ἐκεῖ. ΑΝΤΙΘΕΣΙΣ ΤΡΙΤΗ. Διονύσιος ὁ Ἀλεξανδρείας καὶ ὁ θαυματουργὸς Γρηγόριος καὶ ἄλλοι ἥμαρτον ἔντισιν ἀπὸ ζήλου καὶ ἀγῶνος, καὶ ὅμως Αἱρετικοὶ οὐκ εἰσὶν, ἀλλ' ἅγιοι, οὕτω καὶ ὁ Ὀνώριος. ΛΥΣΙΣ. Ἐκεῖνοι εἶπον ἀγωνιστικῶς, ἀλλ' οὐκ ἐδογμάτισαν καθὼς ὁ Ὀνώριος. εἶτα ἐξ ἄλλων συγγραμμάτων αὐτῶν φαίνεται αὐτῶν ἡ ὀρθοδοξία, ὁ δὲ Ὀνώριος ἐδογμάτισε, καὶ πάντοτε ἦν Αἱρετικὸς, ὥστε ἐκεῖνοι ἅγιοι, καὶ οὗτος Αἱρεσιάρχης, ἴδε καὶ εἰς τὰς σημειώσεις τὰς ἐν τῇ δεκάτῃ τρίτῃ πράξει τῆς ἕκτης Συνόδου, καὶ τὰ μετὰ τὴν Σύνοδον περὶ τῆς Αἱρέσεως Ὀνωρίου λεγόμενα κατωτέρω, ἐξ ὧν ἀναμφιβόλως ὁ Ὀνώριος Αἱρεσιάρχης δείκνυται.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς ἐν Κωνσταντινουπόλει Συνόδου τῶν Μονοθελητῶν ἐπὶ τοῦ Πατριάρχου Σεργίου ἐπὶ κυρώσει τῆ Ἐκθέσεως Ἡρακλείου.

Ἐγένετο καὶ Τοπικὴ Σύνοδος εἰς τὴν κωνσταντινούπολιν ὑπὸ τοῦ Σεργίου, ὡς εἴρηται ἀνωτέρω, ἵνα κυρωθῇ τοῦ Βασιλέως Ἡρακλείου ἡ Ἔκθεσις, ἣν ὅμως ὁ Ἀββᾶς καὶ ὁμολογητὴς Μάξιμος οὐκ ἀπεδέξατο, ὅθεν καὶ ψευδοσύνοδον αὐτὴν καλεῖ, καθότι οὐκ ἐγένετο κατὰ τοὺς Νόμους καὶ τοὺς Κανόνα τῶν προτέρων ἁγίων Συνόδων, χωρὶς γὰρ τινὸς ἐγκυκλίου ἐπιστολῆς, πρὸς τοὺς Πατριάρχας ἀπεσταλμένης, χωρὶς εἰδήσεως καιροῦ καὶ τόπου ποῦ ποτὲ συνήχθη τοιαύτη Σύνοδος; καὶ χωρὶς κατηγόρου καὶ κατηγορουμένου, καὶ ἄλλων περιστατικῶν χρειωδῶν; ὡς ῥηθήσεται εἰς τὸ δέκατον βιβλίον, ἵνα εὐφημῆται ὀρθὴ Σύνοδος, φησὶ γὰρ ταῦτα ῥητῶς περίπου τὸ τέλος τῆς μετὰ τοῦ Πύῤῥου διαλέξεως. ΠΥΡΡΟΣ. ἀλλ' εἰ τοῦτο γένηται, εὑρίσκονται τούτοις συμβαλλόμενοι Σέργιός τε καὶ ἡ ἐπ' ἐμοῦ Σύνοδος. ΜΑΞΙΜΟΣ. θαυμάζειν ὑπεστίμοι πῶς Σύνοδον ἀποκαλεῖς τὴν μὴ κατὰ Νόμους καὶ Κανόνας συνοδικοὺς ἢ θεσμοὺς γενομένην ἐκκλησιαστικούς; οὔτε γὰρ ἐπιστολὴ ἐγκύκλιος κατὰ συναίνεσιν τῶν Πατριαρχῶν γέγονεν, οὔτε τόπος ἢ ἡμέρα ὑπαντήσεως ὡρίσθη.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς τελευτῆς Σεργίου, καὶ πατριαρχείας Πύῤῥου Μονοθελήτου, καὶ τῆς Ἡρακλείου Βασιλέως τελευτῆς, καὶ περὶ διηγήσεως τῶν πανδείνων κακῶν τῆς Ἀνατολῆς, καὶ τῶν διωγμῶν καὶ θλίψεων τῆς Ἐκκλησίας.

Ἦλθεν ὅμως καὶ τὸ κοινὸν χρέος τοῦ θανάτου καὶ εἰς τὸν Σέργιον τὸν Πατριάρχην, καὶ εἰς τὸν Ἡράκλειον τὸν Βασιλέα ἐν ἔτει ἑξακοσιοστῷ τεσσαρακοστῷ. αὐτὶ δὲ τοῦ Σεργίου ἐχειροτονήθη ὁ Πύῤῥος, καὶ αὐτὸς Μονοθελήτης. Τὶς μέλλει τοσαύταις μεγάλαις καὶ κακαῖς ἀνθίστασθαι κεφαλαῖς; ὁ Σωφρόνιος; ἀλλ' ἀπέθα-

ἀπέθανεν. ὁ Μάξιμος; καὶ ἀποδημεῖ ἀπὸ τῆς Κωνσταντινουπόλεως καὶ διαβαίνει εἰς τὴν Ἀφρικὴν, μελετῶν καταλαβεῖν τὴν Ῥώμην. τὰ ἐπίλοιπα Πατριαρχεῖα ἠχμαλωτισμένα, μάλιστα εἰς μὲν τὴν Ἀντιόχειαν γέγονε Πατριάρχης Μονοθελήτης ὁ Μακεδόνιος, εἰς δὲ τὴν Ἀλεξάνδρειαν Πέτρος, καὶ αὐτὸς Μονοθελήτης, ὡς λέγει ὁ Πάπας Μαρτῖνος ἐν τῇ πρὸς τοὺς Ἐπισκόπους καὶ Κληρικοὺς τοὺς ὑποκειμένους τῷ ἀποστολικῷ θρόνῳ τῆς πόλεως τῆς ἁγίας ἐπιστολῇ αὐτοῦ. ὦ, ἐβόα ὁ πολυπαθὴς ἐκεῖνος Ἰὼβ, Τίς γὰρ ἂν δοίη γραφῆναι τὰ ῥήματά μου, τεθῆναι δὲ αὐτὰ ἐν βίβλῳ εἰς τὸν αἰῶνα; ἐνγραφείῳ σιδηρῷ καὶ μολύβδῳ, ἢ ἐν πέτραις ἐγγλυφῆναι; τρία ἐζήτει ἔχειν ὁ ὑπομονητικώτατος ἄνθρωπος οὗτος πρὸς μνήμην τῶν παθημάτων αὐτοῦ αἰωνίαν εἰς τοὺς μεταγενεστέρους, σχεδιασθῆναι εἰς χάρτην, ἢ εἰς μόλυβδον καὶ εἰς σκληρὰν πέτραν τὰ πάθη αὐτοῦ. ἀλλὰ τὰ βάσανα τῆς Ἀνατολῆς, τοὺς διωγμοὺς τῆς Ἐκκλησίας, τὰς θλίψεις τῆς Ἱερουσαλὴμ οὐκ ἀρκεῖ γραφῆναι οὔτε εἰς χάρτας οὔτε εἰς μολύβδους οὔτε εἰς λίθους μαρμαρέους, τόσον εἰσὶν ἀνεκδιήγητα, ἐπειδὴ οὐ μόνον ἦσαν πάνδεινα, ἀλλὰ γεγόνασι καὶ πολυχρόνια.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἐν Κωνσταντινουπόλει Συνόδου τῶν Μονοθελητῶν ἐπὶ Πύῤῥου ἐπὶ βεβαιώσει τῆς Ἐκθέσεως Ἡρακλείου, καὶ τοῦ διὰ φαρμάκου θανάτου Κωνσταντίνου υἱοῦ Ἡρακλείου ἐκ συμφωνίας τῶν οἰκείων καὶ Πύῤῥου, καὶ βασιλείας Ἡρακλωνᾶ, καὶ ἐξορίας αὐτοῦ τε καὶ τοῦ Πύῤῥου, καὶ πατριαρχείας Παύλου Αἱρετικοῦ, καὶ περὶ τῆς ἐν Ῥώμῃ διαλέξεως τοῦ Ὁμολογητοῦ Μαξίμου καὶ τοῦ Πύῤῥου, καὶ ἐπιστροφῆς εἰς τὴν ὀρθοδοξίαν Πύῤῥου, καὶ αὖθις ἐπανακάμψεως εἰς τὸν ἴδιον ἔμετον, καὶ ἀναθεματισμοῦ αὐτοῦ ὑπὸ τοῦ Ῥώμης Θεοδώρου, τῷ αἵματι τοῦ Χριστοῦ γράψαντος τὴν καθαίρεσιν αὐτοῦ, καὶ περὶ δευτέρας πατριαρχείας Πύῤῥου.

Ῥητέον δὲ πάλιν, ὅτι θανόντος Σεργίου, γίνεται Κωνσταντινουπόλεως ὁ Πύῤῥος, ὃς καὶ αὐτὸς Σύνοδον συστήσας, ἐβεβαίωσε τὴν Ἔκθεσιν τοῦ Ἡρακλείου, τῶν δὲ Ἐπισκόπων τινὰς μὲν ἐφόβησε, τινὰς δὲ ἠπάτησε καὶ ὑπέγραψαν εἰς αὐτήν. μεταταῦτα δὲ γενομένου διαδόχου τοῦ Ἡρακλείου τοῦ υἱοῦ αὐτοῦ τοῦ Κωνσταντίνου, διὰ τὸ εἶναι ὀρθόδοξον, ὁμοφωνεῖ Πύῤῥος, καὶ Μαρτίνη ἡ ἀνεψιὰ καὶ γυνὴ Ἡρακλείου, καὶ Ἡρακλωνᾶς ὁ υἱὸς αὐτῆς, καὶ φαρμακεύουσι τὸν Κωνσταντῖνον, καὶ βασιλεύει ὁ Ἡρακλωνᾶς, ὅστις εἰ καὶ ἐφαίνετο εὐγνώμων, καὶ γὰρ δέδωκεν εἰς τὴν ἁγίαν Σοφίαν τὸ στέμμα ὅπερ ἔλαβεν ὁ ἀδελφὸς αὐτοῦ Κωνσταντῖνος ἀπὸ τοῦ τάφου τοῦ πατρὸς αὐτοῦ, καὶ ἔδωκε καὶ ἐλεημοσύνην πολλὴν διὰ τὴν σωτηρίαν τοῦ ἀδελφοῦ αὐτοῦ, ὅμως εἰς τὰ ἐκκλησιαστικὰ ἐμαίνετο, παρακινούμενος γὰρ ὑπὸ τοῦ Πύῤῥου, εἰργάζετο μυρίους φόνους καὶ πολλοὺς διωγμοὺς, ὡς ἂν συστήσῃ τὴν μονοθέλησιν. ἀλλὰ μισηθεὶς σὺν τῇ μητρὶ διὰ τὸν Κωνσταντίνου θάνατον, ἐκβάλλεται καὶ ῥινοτομεῖται καὶ ἐξορίζεται, καὶ ἀποθνήσκει ἀτίμως εἰς Μοναστήριον, τῆς δὲ Μαρτίνης ἔκοψαν τὴν γλῶσσαν, τὸν δὲ Πύῤῥον ἐκβάλλουσι, καὶ προχειρίζονται εἰς Πατριάρχην Παῦλον Διάκονον, ὁ δὲ Πύῤῥος φεύγει, ἢ κατ' ἄλλους ἐξορίζεται εἰς Ἀφρικήν. ἀπερχόμενος δὲ εἰς Ῥώμην ὁ ἅγιος Μάξιμος, καὶ περιτυχὼν ἐκεῖ τῷ Πύῤῥῳ, διηλέχθη αὐτῷ τοσοῦτον, ὥστε φανῆναι τὸν Πύῤῥον κατεγνωσμένον καὶ μετανενοημένον, καὶ ᾆσαι παλινῳδίαν, καὶ ἀπελθόντα εἰς Ῥώμην ἀπὸ τῆς Ἀφρικῆς, ὡς Πατριάρχην ὀρθόδοξον ὑπὸ τοῦ Ῥώμης Θεοδώρου κηρυχθῆναι, ἀναθεματίσαντα τοὺς Μονοθελήτας, ὡς μαρτυροῦσι τοῦτο ὁ Θεοφάνης καὶ ὁ Φώτιος καὶ ἄλλοι πολλοὶ, οἵτινες ἐπιλέγουσιν, ὅτι πορευθεὶς εἰς Ῥώμην ὁ Πύῤῥος, ἔδωκε τὸν τόμον τῆς πίστεως αὐτοῦ, ὑπογραφέντα ἰδιοχείρως ὑπὸ τοῦ Πάπα Θεοδώρου, ὅστις μετὰ τῆς Συνόδου αὐτοῦ τὸν Πύῤῥον ἐτίμησε, δοὺς αὐτῷ καὶ θρόνον αὐτῷ προσήκοντα καθίσαι. πλὴν ἐπανερχόμενος ἀπὸ τῆς Ῥώμης ὁ Πύῤῥος εἰς Κωνσταντινούπολιν, ἔτι ὢν ἐν τῇ ὁδῷ, ἤτοι ἐν τῇ Ῥαβέννῃ, κατὰ τὸν Ζωναρᾶν ὑπανέστρεψεν εἰς τὸν πρῶτον ἔμετον, ὅθεν συνοδικῶς καὶ ἀνεθεματίσθη τὸ δεύτερον ὑπὸ τοῦ μακαρίου Πάπα Θεοδώρου. ἐποίησεν ὅμως πρᾶγμα φοβερὸν καὶ ἀνήκουστον ὁ Ῥώμης Θεόδωρος, ὡς λέγει ὁ Ἀναστάσιος καὶ Θεοφάνης, ἔλαβε γὰρ ἀπὸ τοῦ αἵματος τοῦ Σωτῆρος ἡμῶν, ὃ ἦν ἐν τῇ βασιλικῇ Ἐκκλησίᾳ τοῦ ἁγίου Πέτρου, καὶ ἔσταξεν αὐτὸ ἔνδον εἰς τὸ μελανοδοχεῖον, καὶ λαβὼν ἐκεῖθεν ἔγραψε τὴν καθαίρεσιν τοῦ Πύῤῥου ἔμπροσθεν τόσων καὶ τοσούτων, οὓς ἐπίτηδες ἤθροισεν, Ἱερέων καὶ Ἐπισκόπων, καὶ τοῦτο ποιήσας μετ' ὀλίγας ἡμέρας ἀπέθανε, καὶ ἐγένετο ἀντ' αὐτοῦ ὁ Μαρτῖνος. ὁ Πύῤῥος δὲ εὑρισκόμενος Αἱρετικὸς εἰς τὸ Βυζάντιον, μετὰ δώδεκα χρόνους ἀπὸ τῆς Πατριαρχείας τοῦ Αἱρετικοῦ Παῦλου, ἐπατριάρχευσε δεύτερον.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς βασιλείας Κώνσταν ἐγγόνου Ἡρακλείου, καὶ τῶν προσταγμάτων αὐτοῦ τὴν μονοθέλησιν βεβαιούντων, καὶ τοῦ οὗ εἶχε σκοποῦ μεταθεῖναι εἰς Ῥώμην τὸ βασίλειον, καὶ περὶ τῆς συνοδικῆς ἐξετάσεως τῆς Ἐκθέσεως τοῦ Ἡρακλείου ἐν Ῥώμῃ ὑπὸ Σεβερίνου καὶ Ἰωάννου τῶν Παπῶν, καὶ ἀποδοκιμάσεως αὐτῆς καὶ ἐν Ῥώμῃ καὶ ἐν ὅλῃ τῇ Ἀφρικῇ, καὶ περὶ τῆς κατακρίσεως τοῦ Τύπου τοῦ Κώνστα καὶ τοῦ Παύλου Κωνσταντινουπόλεως ὑπὸ τοῦ Πάπα Θεοδώρου.

Ἐν

Ἐν τῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ ἔτει ἐβασίλευσεν ὁ ἔγγονος τοῦ Ἡρακλείου Κώνστας, ὃς ἐποίησε πρόσταγμα βεβαιοῦν τὴν μονοθέλησιν, ὅπερ καὶ Τύπος ἐκλήθη. ὕστερον ὅμως μετενόησε καὶ ἠρνήθη τὴν Αἵρεσιν, ὡς λέγει ὁ Οὐσσεργένσης, καὶ Ὄθων Φρισιγένσης βιβλίῳ πέμπτῳ κεφαλαίῳ ἑνδεκάτῳ, οἳ καὶ ἐπιλέγουσιν, ὅτι εἶχε σκοπὸν ὁ Κώνστας μεταφέρειν τὸ βασίλειον εἰς τὴν Ῥώμην διὰ τὸ τοὺς Βυζαντίους κακοποιῆσαι τὴν Μαρτίναν, περὶ ἧς μετοικήσεως τοῦ βασιλείου σημειοῖ καὶ ὁ Ζωναρᾶς. τὴν ἐπ' ὀνόματι Ἡρακλείου Ἔκθεσιν ὁ Σέργιος ἔπεμψεν εἰς Ῥώμην, ἵνα ὑπογράψῃ αὐτὴν ὁ μετὰ Ὀνώριον Πάπας Σεβερῖνος, ὡς φαίνεται ἐν τῇ ἐπιστολῇ τοῦ Ἀλεξανδρείας Κύρου πρὸς τὸν Σέργιον, κειμένῃ ἐν τῇ τρίτῃ πράξει τῆς ἐπὶ Μαρτίνου Συνόδου. ὁ δὲ καίτοι ἀσεβῆ ταύτην γινώσκων, ἀλλὰ διὰ τὸν φόβον τοῦ Ἡρακλείου Σύνοδον ἀθροίσας ἐν Ῥώμῃ, καὶ οὕτως ἐξετάσας, ἀπεδοκίμασεν αὐτὴν καὶ ἀπέβαλε. πατριαρχεύσας δὲ ὀλίγον, ἤτοι Μῆνας ἕνδεκα, ἀπέθανε. μεινάσης δὲ τῆς καθέδρας χηρευούσης Μῆνας πέντε, γέγονε Πάπας Ἰωάννης ὁ τέταρτος. ἀπέθανε δὲ καὶ ὁ Σέργιος. ὁ δὲ Ἰωάννης βεβαιωθεὶς κατὰ τὴν συνήθειαν ὑπὸ τοῦ Ἡρακλείου, ἤθροισε Σύνοδον εἰς Ῥώμην καὶ προέβαλε τὴν Ἔκθεσιν Ἡρακλείου, ἣν ἐξετάσας, κατέκρινε. τὰ αὐτὰ ἐγένοντο περὶ αὐτῆς καὶ ἐν ὅλῃ τῇ Ἀφρικῇ. μετὰ τὸν Σέργιον γέγονε Κωνσταντινουπόλεως, ὡς εἴρηται, ὁ Πύῤῥος, ὃς καὶ αὐτὸς Σύνοδον τινῶν ἀθλίων Ἐπισκόπων ποιήσας, ἐβεβαίωσε τὴν Ἔκθεσιν Ἡρακλείου, πείσας τῶν Ἐπισκόπων τοὺς μὲν κολακείᾳ, τοὺς δὲ φόβῳ ὑπογράψαι ἐν τοῖς ὑπ' αὐτοῦ διορισθεῖσιν, ἅτινα καὶ ἐκρέμασεν ἄνωθεν τῶν θυρῶν τῆς μεγάλης Ἐκκλησίας. γέγονε μετὰ τὸν Ἰωάννην Ῥώμης Πατριάρχης ὁ Θεόδωρος, ἐφ' οὗ ὁ Κωνσταντινουπόλεως Παῦλος, ὃς ἐπατριάρχευσε τῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ ἔτει, Μονοθελήτης ὤν, καὶ ὁρῶν πολλοὺς ἐναντιουμένους τῇ αὐτοῦ Αἱρέσει, ἐνήργησε πρὸς τὸν Βασιλέα Κώνσταν πέμψαι τὸν Τύπον αὐτοῦ εἰς τὸν Πάπαν Θεόδωρον πρὸς ἀποδοχὴν αὐτοῦ, καὶ προσέτι γράψαι αὐτῷ, ἵνα παύσωνται καὶ τῶν Κωνσταντινουπολιτῶν καὶ τῶν Ῥωμάνων οἱ λόγοι, τῇ ἀποδοχῇ δηλαδὴ τοῦ Τύπου. ἔγραψε δὲ καὶ ὁ Παῦλος πρὸς τὸν Θεόδωρον, καὶ παρεκίνει πρεσβεύειν κἀκεῖνον μίαν θέλησιν, ἵνα μὴ γένηται διαφορὰ καὶ ἐναντιότης θελήσεων ἐν τῷ αὐτῷ προσώπῳ. ἔλεγε δὲ ὁ Παῦλος ἐν τῇ ἐπιστολῇ, ὅτι οὐ λέγω ταῦτα παρ' ἐμοῦ, ἀλλ' ἅπερ εἶπον αἱ Σύνοδοι καὶ οἱ πατέρες. ἐπέλεγε δὲ, ὅτι καὶ Ὀνώριος καὶ Σέργιος οὕτως ἐδίδαξαν. ὁ δὲ Θεόδωρος Συνοδικῶς καὶ αὐτὸς τὸν Τύπον κατακρίνας, καὶ τῷ Παύλῳ πέμψας ἐπιστολὰς καὶ Ἀποκρισιαρίους, ἐνουθέτησεν ἀπολιπεῖν τὴν Αἵρεσιν, καὶ ἐπειδὴ εὗρεν αὐτὸν ἀνίατον, κατέκρινε.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῶν τοῦ Μαρτίνου παραινετικῶν ἐπιστολῶν πρὸς τὸν Κωνσταντινουπόλεως Παῦλον, καὶ καθείρξεως καὶ ἐξορίας τῶν Λεγάτων αὐτοῦ ὑπὸ τοῦ Παύλου, καὶ περὶ τῆς ἀθροισθείσης ἐν Ῥώμῃ Συνόδου ὑπὸ Μαρτίνου, καὶ ἀναθεματισάσης Ἔκθεσιν Ἡρακλείου, Τύπον Κώνστα, ἐπιστολὴν Παύλου πρὸς Θεόδωρον, Θεόδωρον Φαρὰν, Κῦρον, Σέργιον, Πύῤῥον καὶ Παῦλον, καὶ περὶ τῆς ἐξορίας Μαρτίνου Πάπα καὶ Μαξίμου τοῦ ὁμολογητοῦ, καὶ περὶ τῶν μετὰ Μαρτῖνον Παπῶν Εὐγενίου, Βιταλιανοῦ, Δόνου καὶ Ἀγάθωνος, καὶ τῶν μετὰ Παῦλον Πατριαρχῶν Κωνσταντινουπόλεως Πύῤῥου, Πέτρου, Θωμᾶ, Ἰωάννου, Θεοδώρου καὶ Γεωργίου.

Ὁ μετὰ τὸν Θεόδωρον Πάπας Μαρτῖνος ἔπεμψε καὶ αὐτὸς εἰς Βυζάντιον Λεγάτους καὶ ἐπιστολὰς πρὸς νουθεσίαν τοῦ Παύλου. ὁ δὲ λαβὼν ἐξουσίαν παρὰ τοῦ Βασιλέως, τῶν Λεγάτων τοὺς μὲν ἐν φυλακῇ ἔθετο, τοὺς δὲ ἐξώρισεν. ὅθεν ὁ Μαρτῖνος συνεργείᾳ καὶ τοῦ ἁγίου Μαξίμου, τότε ἐν Ῥώμῃ εὑρισκομένου, ὡς λέγει ὁ Ζωναρᾶς, καὶ πλατύτερον ὁ ἱερὸς Θεοφάνης, ἤθροισε Σύνοδον ἐν Ῥώμῃ ἑκατὸν πέντε Ἐπισκόπων ἐν ἔτει ἑξακοσιοστῷ τεσσαρακοστῷ ἐνάτῳ, ἐν ᾗ προβαλὼν τὴν Ἔκθεσιν Ἡρακλείου, τὸν Τύπον τοῦ κώνστα καὶ τὴν ἐπιστολὴν τοῦ Παύλου πρὸς Θεόδωρον, κατέκρινε καὶ ταῦτα καὶ τὴν Αἵρεσιν, ἀνεθεμάτισε δὲ καὶ Θεόδωρον τὸν Φαρὰν, Κῦρον, Σέργιον, Πύῤῥον καὶ Παῦλον. ἀπατηθεὶς δὲ ὁ Βασιλεὺς ὑπὸ τοῦ Παύλου, ἔγραψεν εἰς Θεόδωρον τὸν ἐπικαλούμενον Καλλιόπην, Ἔξαρχον ὄντα Ῥαβέννης καὶ συνέλαβε τὸν Μαρτῖνον καὶ τὸν Μάξιμον καὶ ἔστειλεν αὐτοὺς εἰς Βυζάντιον, οὓς ὁ Βασιλεὺς ἐξώρισε, καὶ ἀπέθανον εἰς τὴν ἐξορίαν, ὁ μὲν Μαρτῖνος ἐν ἔτει ἑξακοσιοστῷ πεντηκοστῷ τετάρτῳ, ὁ δὲ Μάξιμος ἐν ἔτει ἑξακοσιοστῷ ἑξηκοστῷ. μετὰ τὸν Μαρτῖνον ἐγένετο Πάπας ὁ Εὐγένιος, εἶτα ὁ Βιταλιανὸς, εἶτα Δόνος, ἔπειτα Ἀγάθων. ἐν δὲ Κωνσταντινουπόλει μετὰ τὸν Παῦλον ἐγένετο ὁ Πύῤῥος, διαρκέσας Μῆνας τέσσαρας, εἶτα Πέτρος ἔτη δώδεκα, καὶ οἱ τέσσαρες, Σέργιος, Παῦλος, Πύῤῥος, Πέτρος Αἱρετικοὶ, εἶτα Θωμᾶς, εἶτα Ἰωάννης, εἶτα Θεόδωρος Σύγκελλος ἐν ἔτει ἑξακοσιοστῷ ἑβδομηκοστῷ ἑβδόμῳ κατὰ τὸν Βαρώνιον, εἶτα Γεώργιος, καὶ οἱ τέσσαρες ὀρθόδοξοι. ἐπὶ δὲ Ἀγάθωνος καὶ Γεωργίου ἐγένετο ἡ ἕκτη Οἰκουμενικὴ Σύνοδος.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῶν πράξεων τῆς ἐπὶ Μαρτίνου Συνόδου, καὶ τῆς ἐγκυκλίου ἐπιστολῆς πρὸς τον Βασιλέα Κώνσταν, καὶ τῶν δέκα ἐπιστολῶν Μαρτίνου.

Τῆς

548

Τῆς ἁγίας Μαρτίνε Συνόδε φέρονται πράξεις πόντε, καὶ ἐγκύκλιος ἐπιστολὴ πρὸς τὸν Αὐτοκράτορα Κώνσαν, καὶ ἐπιστολαὶ τοῦ Πάπα Μαρτίνε, πρώτη πρὸς τὸν Ἐπίσκοπον Καρθαγενύης καὶ τὴν συνοδον αὐτοῦ, δευτέρα πρὸς Ἰωάννην τὸν Ἐπίσκοπον Φιλαδελφείας, τρίτη πρὸς Θεόδωρον Ἐπίσκοπον Ἐσβόντων, τεταρτη πρὸς Ἀντώνιον Ἐπίσκοπον Βακαθῶν, πέμπτη πρὸς Γεώργιον Ἀρχιμανδρίτην, ἕκτη πρός τινα Παντολέοντα, ἑβδόμη πρός τινα Πέτρον Ἰλλύσιον, ὀγδόη πρὸς τοὺς ἐν Ἱεροσολύμοις Ἐπισκόπους καὶ Κληρικούς, ἐνάτη πρὸς Παῦλον Ἐπίσκοπον Θεσσαλονίκης, δεκάτη πρὸς τὸν Κλῆρον Θεσσαλονίκης.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῶν θεωρηθέντων, ἀναγνωσθέντων καὶ κατὰ τῆς μονοθελήσεως συμπερανθέντων ἐν ταῖς πόντε πράξεσι τῆς ἁγίας Μαρτίνε Συνόδε, καὶ τοῦ Ὅρε αὐτῆς ἐν εἴκοσι κεφαλαίοις.

Ἐν τῇ πρώτῃ πράξει λόγος γίνεται τῶν πατέρων περὶ Σεργίε, Πύρρε καὶ Παύλε Κωνσαντινουπόλεως, Κύρε Ἀλεξανδρείας, καὶ Θεοδώρε Φαρᾶν, ὅτι ἐγένοντο ἐφευρεταὶ καὶ στασιασταὶ τῆς Αἱρέσεως τῶν Μονοθελητῶν. ἐν τῇ δευτέρᾳ ἀναγινώσκονται λίβελλοι κατὰ τῶν εἰρημένων, πρῶτος Στεφάνε Ἐπισκόπε Δώρων, δεύτερος Μοναχῶν τινῶν Γραικῶν παροικούντων ἐν τῇ Ῥώμῃ, τρίτος Σεργίε Ἐπισκόπε Κύπρε. τέταρτος Κολούβε Ἐπισκόπε τοῦ πρώτου Θρόνου τῆς ἐν Βυζακίῳ Συνόδου, καὶ Ῥεσπέκτε τοῦ πρώτου Θρόνου τῆς ἐν Μαυριτανίᾳ Συνόδου, καὶ τῶν ὑπ' αὐτὸν Ἐπισκόπων. πέμπτος λίβελλος τοῦ Βασιλέα Στεφάνε Ἐπισκόπε Βυζακίε. οὗτος λίβελλος τοῦ πρὸς τὸν Κωνσαντινουπόλεως Παῦλον Γολόσε καὶ Πέρσε, καὶ τῶν Ἐπισκόπων τῆς Περσαρμενίας, καὶ Βίκτορος Ἐπισκόπε Καρθαγενύης. ἐν τῇ τρίτῃ ἀναγινώσκονται χρήσεις διάφοροι ἀπὸ συγγραμμάτων τῶν εἰρημένων πόντε Αἱρετικῶν, καὶ ἐπιστολαί τινων ἐξ αὐτῶν, καὶ ἡ Ἔκθεσις Ἡρακλείε, καὶ ἐπιστολὴ τοῦ Κύρε πρὸς Σέργιον. ἐν τῇ τετάρτῃ ἀνεγνώσθη ἐπιστολὴ Παύλε Κωνσαντινουπόλεως πρὸς τὸν Ῥώμης Θεόδωρον, καὶ αἱ Ἐκθέσεις τῆς ὀρθοδόξε πίστεως ὑπὸ τῶν πόντε Οἰκουμενικῶν Θρόνων. ἐν δὲ τῇ πέμπτῃ ἀνεγνώσθησαν χρήσεις ἁγίων πατέρων περὶ τῶν ἐπὶ χριστοῦ δύο θελημάτων καὶ δύο ἐνεργειῶν, ἐκ χρήσεις ἀρχαίων κατεγνωσμένων Αἱρετικῶν, φρονούντων ἐπὶ Χριστοῦ μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ὡς καὶ μίαν φύσιν, ὥστε καὶ πάντων τούτων γνωσθῆναι τὸ φρόνημα τὸ περὶ μιᾶς θελήσεως καὶ μιᾶς ἐνεργείας ὅτι ἐστὶν ἀλλότριον τῆς εὐσεβείας, καὶ ἄρνησις σαφὴς τῆς εἰς Χριστὸν πίστεως. ὅθεν εἰς σωφρονισμὸν τῆς ὀρθοδοξίας, κατάκεισιν δὲ τῶν Αἱρετικῶν καὶ τῆς Αἱρέσεως αὐτῶν ἐξέθετο ἡ παροῦσα ἁγία Σύνοδος ὅρον περιεχόμενον ἐν κεφαλαίοις εἴκοσι.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι τὰ ἐν τῇ πρώτῃ πράξει τῆς παρούσης Συνόδε, καὶ ἐν τῇ πρώτῃ Δελαλιᾷ, καὶ καθεξῆς τὰ ὑπὸ τοῦ Πάπα Μαρτίνε καὶ τοῦ Ῥαβέννης Μάυρε ῥηθέντα, καὶ τὰ λοιπά, ὅτε τοῦ Μαρτίνε Τίτλος, καὶ ἡ ἐπιγραφὴ τῆς πρὸς τὸν Μαρτῖνον ἐπιστολῆς τοῦ Ῥαβέννης Μάυρε καὶ ἡ ἑαυτοῦ, ταῦτα πάντα ἑρμηνευόμενα ἐνταῦθα, δεικνύουσα φέσατα μὴ εἶναι μοναρχικὸν ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ.

γράφῳ πέμπτῳ. ἴδε καὶ τοὺς τόπους τῆς τρίτης καὶ τῆς πέμπτης τῶν Συνόδων, καὶ κατωτέρω βιβλίου δεκάτου μέρους τρίτου κεφάλαιον δέκατον τέταρτον. καὶ ἐνταῦθα πράξει πέμπτῃ λέγονται οἱ διαληφθείτες Αἱρεσιάρχαι Ἔξαρχοι τῆς καινοτομίας. δεύτερον, ὅτι τὸ ἐξάρχω, καὶ τὸ Ἱερέων Ἱερεὺς, ὡς λέγεται κατωτέρω πράξει δευτέρᾳ, ταὐτόν ἐστι τῷ ὅτι κατὰ τοὺς ὅρους τῶν πατέρων πρῶτος ἐστὶν ὁ Ῥώμης, ὡς εἶπεν ὁ Ἰουστινιανὸς, καὶ ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφάλαιον δέκατον ἔνατον, ἤτοι τὸ πρῶτον οὐ κατὰ βαθμὸν, οὐ κατὰ ἐξουσίαν, ἀλλὰ κατὰ μόνην τὴν τάξιν, ὅθεν ἐπιφέρει, εἰς ἐκδίκησιν τῶν πατρικῶν καὶ συνοδικῶν δογμάτων, οὐ τῶν παπικῶν δηλονότι, ὅπερ εἶπεν ἄν, εἴπερ εἶχεν ἐξουσίαν τινὰ γενικὴν ὁ Ῥώμης ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ὅτι πᾶς Ἐπίσκοπος ἐξάρχει οὕτω τῆς κατὰ πᾶσαν τὴν ὑφ' Ἥλιον Ἱεραρχίας, καὶ ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίου ἑνδεκάτου Παράγραφον τριακοστὸν δεύτερον. ἐν τῇ ἀρχῇ τῆς πράξεως φησὶ, βασιλεύοντος τοῦ Δεσπότου ἡμῶν Κώνστα τοῦ εὐσεβεστάτου Αὐγούστου. ἐν ᾧ σημείωσαι, ὅτι Δεσπότην αὐτοῦ καλεῖ τὸν Βασιλέα ὁ Πάπας ἐξίσου μετὰ τῶν λοιπῶν πατέρων, καὶ ποῦ τὸ, ὅτι ὁ Ῥώμης μείζων τῶν Βασιλέων, εἴπερ Δεσπότης αὐτοῦ ἐστὶν ὁ Βασιλεὺς ὥσπερ καὶ τῶν λοιπῶν; καὶ ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον δέκατον. δεύτερον, ὅτι ἀνόμοιος ἐστὶν ἡ ἐν Φλωρεντείᾳ Σύνοδος τῇ παρούσῃ ἁγίᾳ Συνόδῳ καὶ διὰ τοῦτο, ὅτι ἐνταῦθα κατὰ τὸ ἀρχαῖον ἐκκλησιαστικὸν δίκαιον ὁ Βασιλεὺς προτάττεται, ἐκεῖ δὲ ὁ Πάπας Εὐγένιος, ὥστε ἡ παροῦσα ἁγία, ἐκείνη δὲ ἀθλία καὶ ἀνοσία. πρὸς τούτοις τὸν Βασιλέα Αἱρετικὸν ὄντα καὶ ἀσεβέστατον ἡ Σύνοδος εὐφήμως εὐσεβέστατον λέγει. ὅθεν μετὰ τὸ σχίσμα εἴτε Βασιλεῖς, εἴτε Πατριάρχαι, εἴτε ἄλλοι ὀρθόδοξοι εἶπον τὸν Πάπαν μακαριώτατον, ἢ ἁγιώτατον, οὕτως εἶπον αὐτὸν διὰ τὴν συνήθη τῶν τῳόντι ἐκκλησιαστικῶν εὐφημίαν, ἄναγνος ὅμως ἦν καὶ ἐστὶ καὶ ἀλλότριος παντὸς μακαρισμοῦ. ἔτι φησὶ, προκαθημένου τοῦ Πάπα. καὶ σημείωσαι, ὅτι καὶ περὶ τοῦ Κωνσταντινουπόλεως Μηνᾶ οὕτω λέγεται, καὶ πᾶς Πατριάρχης καὶ Μητροπολίτης τῆς ἰδίας Συνόδου προκάθηται, καὶ ἐνταῦθα οὕτω γέγονε, φησὶ γὰρ, συγκαθεζομένων αὐτῷ καὶ συνακροωμένων τῶν θεοφιλεστάτων Ἱερέων. συγκαθεζομένων λέγει, οὐχ ὑποκαθεζομένων, ὡς κάθηνται ἄρτι ὑπὸ τὸν Πάπαν οἱ Ἐπίσκοποι. τὸ δὲ συνακροωμένων, δηλοῖ ὅτι ἐξίσου ὁ Πάπας κριτὴς ἐν τῇ Συνόδῳ μετὰ τῶν λοιπῶν τῆς Συνόδου πατέρων, καὶ οὐχὶ ἀνάπαλιν. ὥστε καὶ ἰσότιμοι καὶ ταὐτοδύναμοι, καὶ λοιπὸν οὐκ ἔστιν ὁ μὲν ἀμέσως, οἱ δὲ ἐμμέσως καὶ δι' αὐτοῦ Ἐπίσκοποι παρὰ Θεοῦ, ὡς βούλεται ἡ παπολατρεία, ἀλλ' ὡσαύτως ἀμέσως Ἐπίσκοποι καὶ ὁ Πάπας καὶ οἱ πατέρες παρὰ Θεοῦ. ἐν τῇ πρώτῃ διαλαλιᾷ τῆς Συνόδου σημείωσαι πρῶτον, ὅτι φησὶν, οἱ Πάπαι ἤγειραν Συνόδους κανονικῶς ἐξ αὐθεντίας ἀποστολικῆς, ἐννοητέον δὲ τὸ ἀποστολικῆς, ἀντὶ τοῦ Κανονικῆς. ἴδε καὶ κατωτέρω βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παράγραφον δέκατον τρίτον, ὅπου λέγονται πάντες οἱ πατέρες ἀποστολικοὶ ἐκδίκοι. δεύτερον σημείωσαι, ὅτι φησὶν ἀγεῖραι τὸν Μαρτῖνον τὴν Σύνοδον πρὸς ἀποστροφὴν μὲν τῆς Αἱρέσεως, πρὸς φυλακὴν δὲ τῆς πίστεως. καὶ σημείωσαι, ὅτι ἡ κοινότης ἐν τῇ Ἐκκλησίᾳ ἐστὶ κοινῶς τῶν διοριζομένων τὸ κεφάλαιον, οὐδέποτε δὲ ἐν μόνῳ τῷ Ῥώμης. τρίτον φησὶν, ὅτι οἱ πατέρες τῆς Συνόδου προκάθηνται, ἀνωτέρω δὲ εἶπε συγκαθέζονται. τὶ δὲ σημαίνει τὸ προκαθέζεσθαι καὶ συγκαθέζεσθαι ἐν ταῖς Συνόδοις, ἴδε ἀνωτέρω τὸν τόπον τῆς τρίτης Οἰκουμενικῆς καὶ τῆς τετάρτης, καὶ κατωτέρω βιβλίου δεκάτου μέρους τρίτου κεφάλαιον δέκατον τέταρτον. τέταρτον, ὅτι εἶπε, προλάμπειν τὸν Πάπαν καὶ ὑπερκεῖσθαι ἀποστολικῶς τῶν ἁπανταχοῦ Ἱερέων. καὶ σημείωσαι, ὅτι τὸ προλάμπειν προσωπικόν ἐστι διὰ τὸν ζῆλον καὶ τὸν ἁγιώτατον Μαρτῖνον, ὅπερ καὶ ἄλλοις μυρίοις ἐρρέθη πατράσι. τὸ δὲ ὑπερκεῖσθαι ἀποστολικῶς, ταὐτόν ἐστι τῷ ὅτι κανονικῶς πρῶτος ἐστὶ τῇ τάξει τῶν ἁπανταχοῦ Ἱερέων, κανονικῶς ὅμως, ἤτοι ἀπὸ διορισμοῦ τῶν Κανόνων, καὶ οὐκ ἀπὸ Χριστοῦ, ἢ τοῦ Πέτρου. ὁ γὰρ Μαρτῖνος ἑαυτὸν μὲν κανονικῶς εἶπε συνάξαι τοὺς πατέρας, τοὺς δὲ πατέρας εἶπε μαχητὰς, τὴν πανοπλίαν τοῦ ἁγίου Πνεύματος ἔχοντας, εἰς ἐκδίκησιν μὲν τῆς καθολικῆς Ἐκκλησίας, ἀναίρεσιν δὲ πάσης παρανομίας. καὶ σημείωσαι, ὅτι τὸ ἤδη ἄκρον πρωτεῖον καὶ ἡ μοναρχία τοῦ Πάπα καινόν τι ἐστὶ καὶ μιαρὸν ἐν τῇ Ἐκκλησίᾳ ἐφεύρεμα κακοδαιμόνων ἀνθρώπων, οὐκ ἀρχαῖον καὶ πάτριον. ἰδοὺ γὰρ ἐξίσου καὶ ἰσοτίμως μαχηταί εἰσιν ὁ Ῥώμης καὶ οἱ πατέρες, καὶ οὐχὶ ἀνάπαλιν, ὅτι καὶ ἐνταῦθα ἡ Σύνοδος, καὶ μεταταῦτα πολλάκις ἡ αὐτὴ κοινῶς, καὶ ἰδικῶς τινες τῶν πατέρων, καὶ αὐτὸς ὁ Πάπας Μαρτῖνος λέγουσιν, ὅτι οἱ ἔγκριτοι τῆς καθολικῆς Ἐκκλησίας πατέρες, καὶ αἱ ἅγιαι καὶ οἰκουμενικαὶ πέντε Σύνοδοι τὴν εἰς αὐτὸν τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν πίστιν ἐκύρωσαν. καὶ σημείωσαι, ὅτι τὸ λέγειν τοὺς Ἰταλοὺς εἶναι τὸν Πάπαν βεβαιωτὴν τῶν Συνόδων, καὶ κατὰ τὸν Ὅρον τοῦ Φλωρεντινοῦ συνεδρίου Διδάσκαλον μόνον καὶ κατ' ἐξοχὴν δηλονότι πάντων τῶν Χριστιανῶν, ἀντιλογία ἐστὶ πρὸ τὴν παροῦσαν Σύνοδον, καὶ πρὸς πάντας τοὺς ἁγίους πατέρας. ὅτι ὁ Πάπας Μαρτῖνος ἐν τῇ ἀρχῇ τῆς Συνόδου, καὶ ἐνταῦθα, καὶ μεταταῦτα, ὁσάκις περὶ ἑαυτοῦ λέγει, καὶ ἡ Σύνοδος ὁσάκις περὶ αὐτοῦ λέγει, καὶ ὁ Πάπας πάλιν ἐν τῇ ὑπογραφῇ τῆς Συνόδου, καὶ ἐν πάσαις αὐτοῦ ταῖς ἐπιστολαῖς, οὐ λέγει Μαρτῖνος ἄκρος, ἢ καθολικὸς, ἢ γενικὸς, ἢ μοναρχὴς Ἐπίσκοπος, ἀλλὰ Μαρτῖνος χάριτι Θεοῦ, ἢ κατὰ χάριν Θεοῦ Ἐπίσκοπος τῆς τῶν Ῥωμαίων ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας. καὶ σημείωσαι, ὅτι οἱ μεταταῦτα Τίτλοι καὶ αἱ ὑπογραφαὶ τοῦ Ῥώμης ἀντίκεινται καὶ τῷ Πάπᾳ Μαρτίνῳ, καὶ τῇ παρούσῃ ἁγίᾳ Συνόδῳ. ὅτι ὁ Μαρτῖνος ἐν τῇ διαλαλιᾷ ταύτῃ φέρει μάρτυρας εἰς πίστωσιν τῆς ὀρθοδοξίας Βασίλειον, Κύριλλον, Λέοντα καὶ Διονύσιον. καὶ σημείωσαι, ὅτι οἱ πατέρες ἐξίσου πατέρες, καὶ προτάττεται τοῦ Ῥώμης ὁ Ἀλεξανδρείας καὶ ὁ Καισαρείας καὶ ὁ Ἀθηνῶν, ἐπειδὴ τὸ

κῦρος

κῦρος ἐν τῇ Ἐκκλησίᾳ τῶν πολλῶν καὶ οὐ τοῦ ἑνός ἐστιν. ὅτι ὁ Μαρτῖνος λέγει πολλάκις, Τῇ καθ' ἡμᾶς ἀποστολικῇ καθέδρᾳ, καὶ τὴν καθ' ἡμᾶς ἀποστολικὴν καθέδραν, καὶ πρὸς τὸν καθ' ἡμᾶς ἀποστολικὸν θρόνον. ἐν οἷς σημείωσαι, ὅτι ταὐτόν ἐστιν ἀποστολικὸς θρόνος καὶ ἀποστολικὴ καθέδρα. καὶ ὅτι οὐ μόνος λέγεται ὁ ἐν τῇ Ῥώμῃ ἐπισκοπικὸς θρόνος ἀποστολικὴ καθέδρα, ἀλλὰ καὶ ἄλλοι δήπου εἰσὶν, ὡς εἴρηται καὶ ῥηθήσεται πολλάκις. καὶ ὅτι τοῦτο συνεχῶς καὶ πολλάκις τὸ καθ' ἡμᾶς, ἀναιρετικόν ἐστιν ἐκείνου τοῦ παπιστικοῦ, ἤτοι τοῦ, ἡ Ῥώμη ἀπολελυμένως ἀποστολικὴ λέγεται καθέδρα, καὶ διὰ τοῦτο ἰδικῷ τρόπῳ πρώτη. ἐν ᾧ δὲ φησὶν, ὅτι ἠναγκάσθησαν ἐκ διαφόρων τόπων πρὸς τὴν καθ' ἡμᾶς ἀποστολικὴν καθέδραν πλεῖστοι τῶν ὀρθοδόξων τὰς κατ' αὐτῶν, ἢ τῶν Αἱρετικῶν ἐγκλήσεις, ἤτοι αἰτίας εἰσποιήσασθαι, ῥητέον, ὅτι καὶ ἐν Κωνσταντινουπόλει ἐπὶ Ἰωάννου τοῦ Καππάδοκος κατὰ Σεβήρου πάντες σχεδὸν οἱ ὑποκείμενοι τοῖς δυσὶν ἀποστολικοῖς θρόνοις Ἱεροσολύμων καὶ Ἀντιοχείας ἐπέδωκαν τὰς κατὰ Σεβήρου καὶ Ζωόρα καὶ Πέτρου ἐγκλήσεις τῇ ἐν Κωνσταντινουπόλει Συνόδῳ, ταὐτὸν εἰπεῖν τῷ Κωνσταντινουπόλεως θρόνῳ, ἤτοι τῇ ἐν Κωνσταντινουπόλει καθολικῇ καὶ ἀποστολικῇ καθέδρᾳ, ἀλλ' οὐκ ἔλαβεν ἐκ τούτου ὁ Κωνσταντινουπόλεως προνόμιον μοναρχίας, ὅθεν οὐδὲ ὁ Ῥώμης διὰ τὰς δοθείσας αὐτῷ ἐγκλήσεις, ἤτοι αἰτίας, μοναρχικὸν ἐν τῇ Ἐκκλησίᾳ ἀξίωμα. ἔτι φησὶν, ὅτι ἐγένετο ὑπόμνησις τοῦ Κωνσταντινουπόλεως Παύλου κατ' ἐπιτροπὴν τῆς ἀποστολικῆς αὐθεντίας. Ἀλλὰ ῥητέον, ὅτι ἀποστολικὴ αὐθεντία κἀνταῦθα ἡ κανονικὴ εἴρηται, κατωτέρω γὰρ ὁ αὐτὸς εἶπεν, ὅτι οἱ Πάπαι ποτὲ μὲν παρακαλοῦντες, ποτὲ δὲ κανονικῶς ἀπειλοῦντες. καὶ σημείωσαι, ὅτι κανονικὴ ἀπειλὴ καὶ κανονικῆς αὐθεντίας ὑπόμνησις ταὐτόν ἐστιν. ἀλλαμὴν πᾶσαι αἱ Συνόδοι καὶ πάντες οἱ Πατριάρχαι καὶ πάντες οἱ ἅγιοι πατέρες κατὰ τῶν Αἱρετικῶν κοινὴν ἔχουσιν αὐθεντίαν ἀποστολικὴν καὶ κανονικὴν ἀπειλὴν καὶ πνευματικὴν κρίσιν, ὡς καὶ ἐνταῦθα ὁ Μαρτῖνος τοὺς πατέρας τῆς Συνόδου ὁρκίζει κοινῶς σκέψασθαι, καὶ κοινῶς ἀποφήνασθαι, ἄρα καὶ ἐκ τούτων ἀνήρηται ἡ μοναρχία ἀπὸ τῆς Ἐκκλησίας. Μαῦρος Ἐπίσκοπος Ῥαβέννης ἐν τῇ ἐπιγραφῇ τῆς πρὸς Μαρτῖνον ἐπιστολῆς αὐτοῦ λέγει τὸν Μαρτῖνον ἀποστολικὸν καὶ Οἰκουμενικὸν Ἀρχιερέα. Ἀλλὰ ῥητέον, ὅτι καὶ ἄλλοι πατέρες ἐῤῥέθησαν ἀποστολικοὶ, καὶ ἴδε ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον δέκατον τρίτον. περὶ δὲ τοῦ Οἰκουμενικὸς εἴρηται πολλάκις ἀνωτέρω βιβλίῳ τετάρτῳ καὶ πέμπτῳ, καὶ νῦν ῥητέον, ὅτι ὁ Αὐτοκράτωρ Κώνστας λέγεται ἐν τῇ δευτέρᾳ πράξει παρὰ τῶν Ἐπισκόπων τῆς Ἀφρικῆς γῆς καὶ θαλάσσης Δεσπότης, ἀλλ' οὐκ ἦν ὁ Κώνστας πάσης γῆς καὶ θαλάσσης Δεσπότης, ἀλλὰ μόνον τῆς ἰδίας ἐνορίας, ἄρα καὶ ὁ Ῥώμης καὶ ὁ Κωνσταντινουπόλεως Οἰκουμενικοὶ λεγόμενοι, μόνης τῆς ἰδίας ἐνορίας εἰσὶ τοιοῦτοι, καὶ οὐδεμιᾶς ἀλλοτρίας. ὁ Μαῦρος Ῥαβέννης ἐπιγράφεται δοῦλος τῶν δούλων τοῦ Θεοῦ, ἄρα οὔτε τοῦτο τὸ προσρηματίδιον ἀφωσίωται μόνῳ τῷ Ῥώμης, καὶ μάτην μεγαλαυχεῖ καὶ ἐπὶ τούτῳ. σημείωσαι, ὅτι καὶ Ἐπίσκοποι πέμπουσιν ἐπιστολὰς εἰς τὰς Συνόδους, καὶ οὐ μόνον οἱ Πατριάρχαι καὶ οἱ αὐτοκέφαλοι Ἀρχιεπίσκοποι, καὶ συντάττονται τοῖς πραττομένοις ἐν ταῖς Συνόδοις, ὡς καὶ αἱ τῶν Παπῶν καὶ τῶν Πατριαρχῶν. καὶ διαλαλιὰ τῆς Συνόδου ἡ ἐσχάτη ἐν ταύτῃ τῇ πράξει τὴν ἐξέτασιν περὶ τῶν Αἱρετικῶν καὶ τὴν κρίσιν κοινῶς καὶ ἴσως καὶ ταὐτοτρόπως τῇ Συνόδῳ ἀποδίδωσι, καὶ οὐδὲν ἰδικῶς τῷ Πάπᾳ παρέχει, οὐκ ἔστιν ἄρα μοναρχικὸν ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῶν ἐν τῇ δευτέρᾳ πράξει ὑπὸ τοῦ Μαρτίνου Πάπα λεχθέντων, ἐν ᾗ συνεδρεύειν αὐτῷ τοὺς Ἀρχιερεῖς τῆς Συνόδου εἶπε, καὶ περὶ τῶν ἐν τοῖς λιβέλλοις Στεφάνου Δώρων καὶ τῶν ἐν Ῥώμῃ Γραικῶν καὶ Σεργίου Κυπρίων Ἐπισκόπου λεγομένων, καὶ τῶν γεγραμμένων ἐν ταῖς πρὸς τὸν Πάπαν Θεόδωρον ἐπιστολαῖς Κολούθου, Ῥεπαράτου καὶ Βίκτορος Καρθαγένης, καὶ τῆς παρὰ Μαρτίνου πρὸς Βίκτορα ἀναξίας ἀποκρίσεως, καὶ περὶ τῆς τούτων πάντων ἐνταῦθα διασαφήσεως, ἐξ ἧς ἀποσκορακίζεται ἡ ἐπάρατος μοναρχία πόῤῥω τῆς Ἐκκλησίας, καὶ δείκνυται, ἐξαιρουμένων τῶν ψευδολογιῶν, ἡ ἐσχάτη ψῆφος τῆς κοινότητος.

Ἐν τῇ δευτέρᾳ πράξει σημείωσαι πρῶτον, ὅτι ὁ Πάπας Μαρτῖνος λέγει, ἡ συνεδρεύουσα ἡμῖν ἁγία Συνόδος τῶν θεοφιλεστάτων Ἀρχιερέων. Καὶ, ὡς ἂν οὕτω κατ' εὐχὰς συμπαρομαρτοῦντα λάβοιμεν καὶ συνεδρεύοντα τὸν εἰπόντα Θεὸν, ὅπου εἰσὶ δύο, ἢ τρεῖς συνηγμένοι ἐπὶ τῷ ὀνόματίμου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. καὶ σημείωσαι, ὅτι τὸ συνεδρεύω λέγει ὁ Πάπας ἐξίσου ἐπί τε τῶν πατέρων τῆς Συνόδου καὶ ἐπὶ τοῦ Θεοῦ, οὐκ ἔστι δέ τι μεῖζον Θεοῦ, ἄρα οὐδὲ τῆς Συνόδου. ἔτι οὐκ ἔστι τὶ μεταξὺ τοῦ Θεοῦ καὶ τῆς Συνόδου; ἄρα οὐδὲ ἔστι τὶ ἕτερον πλὴν τοῦ Θεοῦ μεῖζον τῆς Συνόδου. ὅθεν καὶ ἐκ τοῦ τόπου τούτου πᾶσα μοναρχία καταργεῖται ἐκ τῆς Ἐκκλησίας, καὶ ἡ ἐσχάτη ψῆφος ἐστὶ τῆς κοινότητος. ἐν τῷ λιβέλλῳ τοῦ Στεφάνου Δώρων σημείωσαι πρῶτον, ὅτι ἡ Συνόδος ἠθροίσθη εἰς βεβαίωσιν ἱερὰν καὶ ἐκδίκησιν τῶν πατρικῶν καὶ συνοδικῶν τῆς καθολικῆς Ἐκκλησίας Ὅρων καὶ θεσπισμάτων, ὅπερ ταὐτόν ἐστι τῷ οὐχ ἵνα βεβαιώσῃ τὶ ἰδικῶς ὁρισθὲν παρὰ τῶν Ἐπισκόπων Ῥώμης, καὶ παροραθὲν παρὰ τῶν Αἱρετικῶν, ἀλλ' ἵνα ἐπικυρώσῃ τὰ παρὰ τῶν πατέρων καὶ τῶν Συνόδων ἐκτεθέντα, ὅθεν κἀντεῦθεν παντάπασιν ἀναιρεῖται ἡ βέβηλος μοναρχία. δεύτερον φησὶν, ὅτι ἡ συνοδικὴ κέλευσις παρακαλεῖ τοὺς θλιβομένους ὑπὸ τῶν Αἱρετικῶν. καὶ σημείωσαι, ὅτι οὐδένα

παρα-

καλεῖ κυρίως θλιβόμενον μόνον ὁ Ῥώμης, ἀλλὰ μετὰ τῆς Σωόδου σωπεταγμένως ἐξίσου, ὥστε δὲ μοναρχης. τρίτον, ὅτι ὁμοῦ Στέφανον ἐνταῦθα λέγει, ὃν πρώτοις Θεόδωρος ὁ Φαρὰν ἐφόρεσε τῷ Αἱρεσιν τῶν Μονοθελητῶν, ἐν δὲ τῇ δεκάτῃ τρίτῃ πράξει τῆς αὐτῆς Οἰκουμενικῆς λέγεται, ὅτι ὁ Κωνσταντινουπόλεως Σέργιος ἐγένετο εἰσηγητὴς αὐτῆς, ἀληθέστερα δέ ἐστιν ἡ Οἰκουμενικὴ Σύνοδος τὸν Στέφανον, καὶ ἴδε κατωτέρω τὸν τρόπον τῆς Συνόδου. τέταρτον, φησὶν ὁ Στέφανος πρὸς τὴν Ἐκκλησίαν Ῥωμαίων, Ταῦτα ἀναγέλομεν τῇ πασῶν ἀρχέσῃ καὶ ὑπερκειμένῃ καθέδρᾳ, λέγω δὲ τῇ καθ' ἡμᾶς κορυφαίᾳ καὶ ὑπερφυεῖ πρὸς τὸ τὰ πάντων ἴασιν τραύματος, ἐπειδὴ δὲ τοῦτο πράττειν ἐξυσιαστικῶς οὐκ ἦν καὶ ἐξ ἀρχῆς ἐξ ἀποστολικῆς, ἤτοι κανονικῆς ἔθους αὐθεντίας, διὸ καὶ προδήλως ἐμόνον τὰς κλεῖς τῶν Οὐρανῶν πιστευθεὶς μόνος πρὸς πάντας ἔλυσεν ὁ Πέτρος, ἀλλ' ὅτι καὶ ποιμαίνειν πρῶτος ἐπετράπη τὰ προβατα πάσης τῆς καθολικῆς Ἐκκλησίας, καὶ μήτοι πάλιν καθ' ἑξαίρετον ἰδιοπροσώπως αὐτὸς βεβαιοτέραν εἶχεν ὑπὲρ πάντας τὸν εἰς αὐτὸν τὸν Κύριον ἡμῶν καὶ ἀμετάτρεπτον πίστιν, ὑπερέβαλλεν ποτὲ καὶ ὑποσπείζειν σαλευομένους τὰς ὁμοταγεῖς αὐτῷ καὶ πνευματικὰς ἀδελφὰς, οἷα προνοητικὸς ὑπὲρ πάντων αὐτῶν, ἐξ αὐτοῦ τοῦ δι' ἡμᾶς σαρκωθέντος Θεοῦ τὸ κύριος κεκτημένου καὶ τὸν ἱεραλικὸν αὐθεντίαν. ταῦτα ὁ Στέφανος. ἐν οἷς ῥητέον πρῶτον, ὅτι, ὡς εἴρηται, τὸ ἐξυσιαστικῶς πράττειν, ταυτόν ἐστὶ τῷ κανονικῶς. κανονικῶς δὲ πράττων, ἀκ ἔστι μοναρχης, ἐπειδὴ οἱ Κανόνες τῇ κοινότητι ἀποδιδόασι τὸ κύριος. δεύτερον, ὅτι κολακευτικῶς, ἤτοι ψευδῶς, ἢ ὑπεκέστερον εἰπεῖν ῥητορικῶς εἴρηκε τὰ λοιπὰ, ἐπειδὴ πόθεν ἀποδείκνυσι τὸ πιστευθῆναι μόνον πρὸς πάντας τὸν Πέτρον τὰς κλεῖς τῶν Οὐρανῶν; καὶ πότε πρὸς τοὺς λοιποὺς Ἀποστόλους ἀνήργησέ τι ὁ Πέτρος, ἢ ὑπὲρ τοὺς λοιποὺς Ἀποστόλους; ὅτι γὰρ ἐπετράπη αὐτῷ ποιμαίνειν τὰ προβατα, δῆλον, καὶ τοῦτο ἐῤῥέθη αὐτῷ ῥητῶς καὶ τελείως, πρὸς συγχώρησιν μήτοι τῆς τελείας ἀρνήσεως, ἅμα καὶ μόνῳ, ἢ πρώτῳ καὶ ὑπὲρ πάντας, ἐπειδὴ κοινῶς ἐῤῥέθη πρὸς πάντας τοὺς Ἀποστόλους τὸ, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. ἴδε καὶ ἀνωτέρω κεφαλαίῳ τεταρτῳ Παραγράφῳ δευτέρῳ. ἀλλὰ μὴν καὶ τὸ, Καὶ μήτοι πάλιν καθ' ἑξαίρετον ἰδιοπροσώπως ὁ Πέτρος βεβαιοτέραν εἶχεν ὑπὲρ πάντας τὴν εἰς Χριστὸν πίστιν καὶ ἀμετάτρεπτον, ψεῦδος ἐστὶ πρόφασις, μετὰ γὰρ τὸ ῥηθῆναι αὐτῷ, Καὶ σύποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου, ἐρνήσατο τρὶς, καὶ τοῦτο μετὰ ὅρκων καὶ ἀναθεματισμῶν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον, ἐξ ὧν ἀβέβαιος καὶ τρεπτὴ ἐδείχθη ἡ πίστις αὐτοῦ. εἶτα πόθεν ὁ Στέφανος ἀποδείκνυσιν, ὅτι ὁ Πάπας ἐξαιρέτως καὶ ἰδιοπροσώπως ἐστὶ τοῦ Πέτρου Διάδοχος; ὅπερ καὶ τῇ γραφῇ καὶ τοῖς πατράσιν ἀντικείμενόν ἐστιν, ἀποδείχθη γὰρ καὶ ἀποδειχθήσεται, ὅτι πάντες οἱ Ἐπίσκοποι τοῦ Πέτρου καὶ τῶν Ἀποστόλων πάντων ἐξίσου Διάδοχοί εἰσι. καὶ σημείωσαι, ὅτι ταῦτα τὰ ῥήματα τοῦ Στεφάνου ἢ ψευδῆ εἰσὶν, ἢ ῥητορικῶς εἰρημένα, ὡς εἴρηται ἀνωτέρω, ἢ πεπλασμένα καὶ διεστραμμένα ἀναφιβόλως. ἀφοῦ τούτοις ἐμένον ὁ Πέτρος ἀφενοητικῶς εἶχεν ἐπὶ πάντων, ἀλλὰ καὶ οἱ λοιποὶ Ἀπόστολοι πάντες ἐξίσου, ὅθεν ὁ Παῦλος τοῦ μέρους ἦν εἶχε πασῶν τῶν Ἐκκλησιῶν, καὶ αὐτὸν τὸν Πέτρον ἁμαρτήσαντα κατήλεγξεν ἐπ' αὐτοφώρῳ. ἔπειτα τίς ἐκ τῶν Ἀποστόλων ἁμαρτήσας περὶ τὸ πίστιν ἐστηρίχθη ἀφ' ἑαυτοῦ τοῦ Πέτρου; ἢ τυχὸν τοῦτο ματαίως ὁ Κύριος εἴρηκε; μὴ γένοιτο. ἴδε τὰ περὶ τούτου βιβλίου δεκάτου μέρει τεταρτῳ. ἀδοὺ ἄρα καὶ ἐκ τοῦ Στεφάνου τούτου σωζῆται τοῖς παπολάτραις περὶ μοναρχίας τοῦ Ῥώμης. ἔτι φησὶν ὁ αὐτὸς, ὅτι ὁ ἅγιος Σωφρόνιος εἶπεν αὐτῷ ἀπελθεῖν εἰς Ῥώμην, ὅπου τῶν δυσεβῶν δογμάτων εἰσὶν αἱ κρηπῖδες. ἀλλὰ καὶ τοῦτο ψεῦδος ἐστὶν, ἐπειδὴ ὁ Σωφρόνιος ἦν αὐτίπαλος τοῖς Μονοθελήταις, καὶ πρὸς τὸν Ῥώμης Ὀνώριον ἐπιστολὴν καὶ πρέσβεις ἀπέστειλε κατὰ τῆς αἱρέσεως, ᾗ ὁ Ὀνώριος ἀδιόρθωτος μείνας, αὐτέγραψε τῷ Σωφρονίῳ μὴ λέγειν δύο θελήσεις καὶ ἐνεργείας, ὡς δείκνυται ἐκ τῆς ἐπιστολῆς τοῦ Ὀνωρίου πρὸς Σέργιον. ᾗ πρὸς τούτοις ὁ Στέφανος λέγει, ὅτι ὁ Σωφρόνιος ἐν δυσὶ βιβλίοις συνήγαγεν ἐξακοσίας πατερικὰς χρήσεις εἰς ἔλεγχον τῆς μονοθελήσεως, καὶ πῶς πάλιν ἔπεμπον εἰς Ῥώμην; καὶ πῶς ἔλεγον ἐπὶ τῆς Ῥώμης εἶναι τὰς κρηπῖδας τῶν δυσεβῶν δογμάτων; ἢ τυχὸν ἀκούσας ὅτι ὁ Σεβεριανὸς καὶ Ἰωάννης ἀνεθεμάτισαν τὴν Ἔκθεσιν τοῦ Ἡρακλείου, ἔπεμπον εἰς Ῥώμην, ἀλλὰ τῷ παντὶ ὀρθοδοξοῦντι Ἐπισκόπῳ ἰδιόν ἐστιν. εἶτα ὁ Σωφρόνιος ἔπεμψεν εἰς Ῥώμην, καὶ οἱ Πάπαι ἔγραψαν εἰς Ἱεροσόλυμα συγχωροῦντες, καθαιροῦντες, ἐπιτιμῶντες, συγκαλοῦντες, καὶ ἐν ἄλλοις οἰκονομοῦντες, ἀλλὰ ῥητέον, ὅτι ἐν Κωνσταντινουπόλει καὶ Ἀλεξανδρείᾳ καὶ Ἀντιοχείᾳ ὄντων τῶν Πατριαρχῶν Αἱρετικῶν, ἐν δὲ τῇ Ἀνατολῇ τῶν Σαρακηνῶν ἀναφανέντων καὶ λεηλατούντων. δικαίως ὁ Σωφρόνιος ἔπεμψεν εἰς Ῥώμην συμμαχίας χάριν, ὡς καὶ οἱ περὶ αὐτὸν Πατριάρχαι Ἱεροσολύμων Ἰωάννης, Πέτρος καὶ Εὐσόχιος ἔπεμψαν εἰς Κωνσταντινούπολιν κατὰ Σεβήρου καὶ τῶν Ὠριγενιαστῶν. ὡκονόμουν δὲ πολλὰ εἰς τὴν Παλαιστίνην οἱ Ἐπίσκοποι Ῥώμης, ἀλλὰ ἴδε αὐτοτέρω βιβλίῳ δευτέρῳ τὰ περὶ Ἰουλίου, καὶ βιβλίου τοῦ αὐτοῦ κεφάλαιον ἕκτον καὶ δέκατον ἕνατον, καὶ βιβλίου πέμπτου κεφαλαίῳ ἑνδεκάτῳ Παραγράφου τελευταίου δευτέρου, ἐν οἷς δείκνυται, ὅτι πολλοὶ εἰσὶν οἱ εἰς ἀλλοτρίας Διοικήσεις καὶ Ἐπαρχίας οἰκονομοῦντες. ἔτι λέγει, ὅτι ὁ Σέργιος Ἐπίσκοπος Ἰόππης ὑπὸ τῶν ἐξωτερικῶν τὴν διαμαρτύρησιν τοῦ θρόνου Ἱεροσολύμων λαβὼν, συγκρότησε χαρτουλαρίας ἑτοίμους. καὶ σημείωσαι, ὅτι λέγοντές τινες τὸν Σέργιον τοῦτον γεγονέναι Πατριάρχην Ἱεροσολύμων, ψεύδονται φανερῶς, καὶ ἴδε κατωτέρω βιβλίου ἑβδόμου κεφαλαίου ἕκτου. Οἱ ἐν τῇ Ῥώμῃ παροικοῦντες Γραικοὶ ἐν τῷ λιβέλλῳ αὐτῶν λέγουσι πᾶσι τοῖς πατράσι τῆς Συνόδου ἐξίσου, ἐπειδὴ πάντων εἰς ὑμᾶς ἤρτηνται

μετὰ

μετὰ Θεὸν αἱ καρδίαι, κορυφαίους ὑμᾶς ὑπὸ Χριστοῦ τεθειμένους, ἐπισταμένων τῶν Ἐκκλησιῶν κεφαλήν. καὶ σημείωσαι, ὅτι τοῦτο ταὐτόν ἐστι τῷ εἰρημένῳ ἐν τῇ τρίτῃ Συνόδῳ, ὅτι Κύριλλος καὶ Μέμνων κεφαλαί εἰσι τῶν συνειλεγμένων, ὅθεν κατὰ τοῦτον τὸν τρόπον λέγεται καὶ ὁ Πάπας καὶ οἱ λοιποὶ Πατριάρχαι, εἴπερ λέγονται, καὶ ὅπου λέγονται, ἐξῃρημένως κεφαλαὶ, εἴτε ὁ Πάπας Λέων παρὰ τοῦ Τοποτηρητοῦ αὐτοῦ ἐν τῇ τετάρτῃ Συνόδῳ, εἴτε ἄλλος τὶς κοινῶς παρὰ τῶν Συνόδων, καὶ ἰδικῶς παρά τινων πατέρων, καὶ ἴδε τοὺς τόπους τῶν Συνόδων βιβλίῳ τρίτῳ καὶ τεταρτῳ. ψεῦδος ἄρα ὅτι ὁ Πάπας μόνος κεφαλὴ λέγεται, καὶ ἐστὶν ἐξῃρημένως ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἐπειδὴ καθόλου κεφαλὴ τῆς καθόλου Ἐκκλησίας μόνος ἐστὶν ὁ Χριστὸς, ὅθεν Γόλουσος καὶ Πρόβος ἐν τῇ πρὸς τὸν Κωνσταντινουπόλεως Παῦλον ἐπιστολῇ, κειμένῃ ἐν τῇ παρούσῃ πράξει λέγουσι, κεφαλὴ, ἢ καὶ θεμέλιος ὑπάρχει τῆς ὀρθοδόξου πίστεως καὶ τῆς καθολικῆς Ἐκκλησίας ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστός. ὅτι δὲ καὶ ῥητῶς ὁ λίβελλος οὗτος τῶν ἐν Ῥώμῃ Γραικῶν πᾶσαν μοναρχικὴν ἐξουσίαν ἀναιρεῖ ἀπὸ τῆς Ἐκκλησίας, δῆλον, λέγει γὰρ πρὸς τοὺς πατέρας ἐν οἷς καὶ ὁ Πάπας, Καὶ νῦν δὲ παρακαλοῦμεν καὶ προσπίπτομεν καὶ ἐνευχόμεθα πάντας ὑμᾶς τοὺς ἁγίους πατέρας, ἤτοι τὸν ἀποστολικὸν καὶ κορυφαῖον θρόνον. Καὶ, εἰς ὑμᾶς παρεπέμφθη τοὺς ἁγιωτάτους μὴ παριδεῖν τῶν ἐν τοσούτοις χρόνοις πανταχόθεν πρός τε τὸν Θεὸν ἐπίσης, καὶ τοὺς ἁγιωτάτους ὑμᾶς ἐκτεινομένων Χριστιανῶν τὰς ἱκεσίας, μήτε μὴν ἡμῶν τῶν ταπεινῶν καὶ ἀπόντων καὶ παρόντων τὰς περὶ τούτων μετὰ δακρύων δεήσεις, ἀλλὰ κανονικῶς τε καὶ συνοδικῶς τὴν ὑπὸ τῶν εἰρημένων ἀνδρῶν πολεμηθεῖσαν ἁγίαν πίστιν διεκδικῆσαι. ἐν τούτοις σημείωσαι δύο τινὰ, πρῶτον, ὅτι ὁ ἀποστολικὸς θρόνος ἐννοεῖται ὁ Ἐπίσκοπος Ῥώμης μετὰ τῆς Συνόδου αὐτοῦ, καὶ οὐ μόνος. δεύτερον, ὅτι τὸ κῦρος ἐν τῇ Ἐκκλησίᾳ ἐστὶ τῆς Συνόδου, τοῦ δὲ Πάπα μόνου οὐκ ἔστι τόπος οὐδεὶς ἐνεργείας κοινῆς ἐκκλησιαστικῆς. Ἐν τῷ λιβέλλῳ Σεργίου Κυπρίων Ἐπισκόπου σημείωσαι, ὅτι λέγει τὸν Πάπαν πατέρα πατέρων καὶ Οἰκουμενικὸν Πατριάρχην, ἀλλὰ περὶ τούτου εἴρηται ἀνωτέρω ὅτι ἐῤῥέθη καὶ ἄλλοις, περὶ δὲ τῶν ἐγκωμίων ἴδε κατωτέρω βιβλίου ἑβδόμου κεφάλαιον ἕνατον, ὅπου μείζονα τούτων ἐγκώμια λέγει ὁ τότε Κύπρου τῷ Κωνσταντινουπόλεως Ἰγνατίῳ. ἔτι φησὶ περὶ τῶν εἰρημένων Αἱρεσιαρχῶν, Μέχρι γὰρ καὶ τήμερον οἰκονομίαν τινὰ πραγματευομένοις ἐσιγήκαμεν, οἰόμενοι πρὸς τὰ κρείττω μετακινῆσαι αὐτοὺς τὰ οἰκεῖα διδάγματα. καὶ σημείωσαι, ὅτι καὶ οἱ Ἀνατολικοὶ οἰκονομικῶς σεσιγήκασιν ἐπὶ πολὺν καιρὸν, οἰόμενοι τοὺς Ἰταλοὺς πρὸς τὰ κρείττω μετακινῆσαι τὰς καινοτομίας αὐτῶν, μείναντας δὲ ἐν τῇ οἰκείᾳ πεισμονῇ, ἀπέβαλον αὐτοὺς τῆς ἐκκλησιαστικῆς ἑνώσεως, καὶ ὁ Κύριλλος διατοῦτο οὐκ ἐποίησεν ἀκοινώνητον τὸν Νεστόριον μόνος, καὶ ἴδε τὸν τόπον ἀνωτέρω τῆς τρίτης Συνόδου. Ἐν τῇ ἐπιστολῇ Κολούθου καὶ Ῥεπράτου πρὸς τὸν Πάπαν Θεόδωρον σημείωσαι πρῶτον, ὅτι φασὶν, αὐτὸς ὁ ὑμέτερος ἀποστολικὸς θρόνος ἰδιοτρόπως, ἤτοι μονογενῶς κατὰ θεῖον κεκλήρωται θέσπισμα τὰ ἱερὰ τῆς Ἐκκλησίας δόγματα διερευνᾶσθαι καὶ ἀναψηλαφᾶν. Καὶ, ἀρχῆθεν γὰρ αὕτη πέφυκεν ἡ συνήθεια, ὥστε παρὰ τῶν ἀρχαίων τῆς κορυφαίας καὶ ἀποστολικῆς τὰ φαῦλα μὲν κατακρίνεσθαι, βεβαιοῦσθαι δὲ τὰ προσήκοντα. ἐπεὶ οὖν οἱ ἐξ ἀρχῆς Κανόνες θεσπίζουσιν ὅπουπερ ἂν ἐκκλησιαστικὸν πρᾶγμα κινῆται, μὴ πρότερον ψηλαφᾶσθαι καθάπαξ, ἢ προσδέχεσθαι, κἂν ὅτι μάλιστα τὰ κινούμενα τύχοιεν ὄντα ἐν ἀπῳκισμέναις τισὶ καὶ πορρωτάταις Ἐπαρχίαις, ἄχρις ἂν ἐπὶ τὸν ἀποστολικὸν ἀνακομισθῇ θρόνον, ἵνα ἐκ τῆς κατ' αὐτὸν αὐθεντίας τοῦ ζητουμένου δοκιμασθέντος οἷον καὶ τρανωθέντος, ἐξ αὐτοῦ, καθάπερ ἔκτινος πηγῆς ἱερᾶς ἡ τοῦ κηρύγματος ἔναρξις γένηται, καὶ οὕτω καθεξῆς πασῶν τοῦ Θεοῦ προσδεχομένων Ἐκκλησιῶν τὸ δοκιμασθὲν, πρὸς τὰ τοῦ κόσμου πέρατα διαμείνωσιν ἀμειώτως τῆς ἀκραιφνοῦς πίστεως τὰ Μυστήρια. ἀλλὰ πρὸς ταῦτα ῥητέον πρῶτον ἅπερ ἐῤῥέθη περὶ τῶν τοιούτων παπικῶν τερατολογιῶν βιβλίου πρώτου κεφαλαίῳ ἑνδεκάτῳ καὶ δεκάτῳ ἕκτῳ, καὶ βιβλίου τρίτου κεφαλαίου δεκάτου τρίτου Παραγράφῳ ἑνδεκάτῳ. δεύτερον, ὅτι διόλου ῥητορικά εἰσι καὶ οἰκονομικὰ διὰ τὸν τότε καιρὸν πρὸς ἔπαινον τοῦ Μαρτίνου, ὑπερμαχοῦντος τῆς ὀρθοδοξίας, καὶ γὰρ ποῖον ἐστὶ τὸ Θέσπισμα ὅπερ τῷ Ῥώμης δέδοται ἵνα ἰδιοτρόπως καὶ μονογενῶς τὰ τῆς Ἐκκλησίας δόγματα διερευνᾷ καὶ ἀναψηλαφᾷ; ποῖοι εἰσὶν οἱ Νόμοι ἐκεῖνοι οἱ θεσπίζοντες τὰ εἰρημένα; ποία ἐστὶν ἡ συνήθεια ἡ παραδοῦσα τοῖς Πάπαις τὰ τοιαῦτα ἐνεργεῖν; ἀλλαμὴν τὰ τοιαῦτα Θεσπίσματα καὶ Νόμοι οὐκ εἰσὶν, ἄρα καὶ τὰ εἰρημένα ἢ πλάσματα εἰσὶν, ἢ οἰκονομικῶς ἐῤῥέθησαν. τρίτον ῥητέον κατὰ συγχώρησιν, εἴπερ Θεσπίσματα καὶ Κανόνες καὶ συνήθεια τὰ τοιαῦτα τῷ Ῥώμης δεδώκασιν, ἄρα οὐκ ἔχει τὰ τοιαῦτα παρὰ τοῦ Χριστοῦ καὶ τοῦ Πέτρου, ὡς διαφυσῶσιν οἱ παπολάτραι. τέταρτον, ὅτι οἱ λόγοι οὗτοι ἦσαν τοῦ Πάπα Ζωσίμου, ἀλλ' ἐκεῖνοι ἐξηλέγχθησαν ὡς νόθοι καὶ ἐπίβουλοι τῆς χριστιανικῆς εἰρήνης, καὶ ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου πέμπτου Παράγραφον δέκατον ἕκτον, καὶ βιβλίου τρίτου κεφάλαιον δέκατον τέταρτον, καὶ ἄλλους τόπους πολλοὺς ἐνταῦθα. πέμπτον, οἱ κατὰ καιροὺς πατέρες τὰς ἀναφυείσας Αἱρέσεις ἄνευ εἰδήσεως, ἢ γνώμης, ἢ ἐπιτροπῆς τοῦ θρόνου Ῥώμης ἐψηλάφησαν, ἠρεύνησαν, ἔκριναν καὶ ἀπέβαλον, καὶ αἰτίας δεδώκασι διὰ τούτων ταῖς Οἰκουμενικαῖς Συνόδοις πρὸς τὰ ἴδια συμπεράσματα, ὥστε οἱ παρόντες λόγοι τῶν Ἀφρικανῶν εἰ μὴ νόθοι εἶεν, οἰκονομικοί εἰσιν, ὡς καὶ πολλοὶ παρὰ τῶν Μοναχῶν Συρίας καὶ Παλαιστίνης πρὸς τὸν Καππάδοκα καὶ Μηναῖν καὶ αὐτὸν τὸν Ἀγαπητὸν Νόμῳ ἐγκωμίων εἰρημένοι, ἵνα πρὸς μείζονα ζῆλον ἐρεθίσωσι τοὺς προέδρους τῶν Ἐκκλησιῶν. ἕκτον, τὴν αὐστηρίαν τοῦ θρόνου Ῥώμης, ἣν προβάλλουσιν οἱ Ἄφροι, ὁ Κωνσταντινουπόλεως

Παῦλος

Παῦλος ὑπροσήκατο. ὅθεν εἰς τὸν Παῦλον ἔγραψαν σὺν εὐλαβείᾳ ἀναφορὰν πρὸς διόρθωσιν, ἣν δὴ καὶ αὐτὴν ὑπροσδεξάμενος ὁ Παῦλος, κατεκρίθη ὑπὸ τοῦ Ῥώμης, ἀλλ' οὐδὲν ἴσχυσεν ἡ τοιαύτη κατάκρισις, ὥσπερ οὐδὲν ἴσχυσεν οὐδὲ τῆς παρούσης Συνόδου, ἕως οὗ ἀθροισθεῖσα ἡ Οἰκουμενικὴ ἕκτη Σύνοδος, πέρας τοῖς πράγμασιν ἔθηκεν. οὕτω καὶ ἡ αὐστηρία Κελεστίνου καὶ Κυρίλλου οὐδὲν ἴσχυσαν κατὰ Νεστορίου, ἕως οὗ ἀθροισθεῖσα ἡ τρίτη Σύνοδος, ἀπέτεμε τὸν εἰσηγητὴν τῆς ἀσεβείας. καὶ ἡ αὐστηρία Λέοντος καὶ Φλαυϊανοῦ οὐδ' ὅλως ἴσχυσε κατὰ τοῦ Εὐτυχοῦς, ἕως οὗ ἡ ἐν Χαλκηδόνι Σύνοδος κατεδίκασε τὸν ἀλάστορα. ὥστε ἐν τῇ Ἐκκλησίᾳ τὸ κῦρος τῆς κοινότητος ἐστὶ, καὶ οὐχ ἑνὸς τινός. ἕβδομον, οἱ Ἐπίσκοποι Ἄφροι οὐ μόνον εἰς τὸν Κωνσταντινουπόλεως ἔγραψαν ἐλέγχους περὶ διορθώσεως, ἀλλὰ καὶ πρὸς τὸν Βασιλέα, ἵνα πρὸς τοῦτο τῷ Παύλῳ ἐπιτρέψῃ, ἀλλ' οὐδὲν ἴσχυσαν, ὥσπερ οὐδὲ ὁ Ῥώμης Φίληξ, γράψας πρὸς τὸν Βασιλέα Ζήνωνα κατὰ Ἀκακίου, τὰ γὰρ μερικὰ οὐδὲν ἰσχύει. καὶ ἀπελήλαται καὶ ἐν τεῦθεν ἡ ἐπάρατος μοναρχία, ὅθεν ἐν τῇ ἐπιστολῇ ταύτῃ πρὸς τὸν Παῦλον οἱ Ἀφρικανοὶ οὐδεμίαν ἰδικὴν μνήμην τοῦ Ῥώμης πεποιήκασι, μάλιστα δὲ λέγουσι κατέχειν ἐκεῖνα ἅπερ ἡ καθολικὴ Ἐκκλησία κατέχει, καὶ μαρτυρίας τῶν ἁγίων πατέρων ὑπὲρ τῆς ὀρθοδοξίας προσήνεγκαν Ἀμβροσίου καὶ Αὐγουστίνου, οὐδένα δὲ Ῥώμης Ἐπίσκοπον, καὶ πρὸς τούτοις, αὐθεντικῶς κατακρίνουσι τὸν Κωνσταντινουπόλεως Σέργιον, καὶ τὰ ὑπ' ἐκείνου ἐφευρεθέντα, καὶ ἴδε τὸν τόπον. ὄγδοον, ὡς πολλάκις οἱ Πάπαι καὶ ἄλλοι Πατριάρχαι καὶ διδάσκαλοι γεγραφήκασιν εἰς Αἱρετικοὺς πρὸς διόρθωσιν, οὕτω πεποιήκασι καὶ οὗτοι οἱ Ἄφροι, καὶ μάλιστα εἰς τὸν Οἰκουμενικὸν Κωνσταντινουπόλεως, ὅθεν καὶ ἐκ τῶν τοιούτων ἐπιστολῶν πρὸς τοὺς Πάπας οὐδὲν ὠφελοῦνται οἱ παπολάτραι ἐν τῇ περὶ μοναρχίας αὐτῶν καινοτομίᾳ. Ἐν τῇ ἐπιστολῇ τοῦ Καρθαγένης Βίκτορος πρὸς τὸν Πάπαν Θεόδωρον σημείωσαι πρῶτον, ὅτι μεγαλόφρων ἦν ὁ ἀνὴρ, καὶ γὰρ οὐκ ἔγραψεν αὐτῷ τι κολακευτικὸν, ἢ ἀμαθὲς, ἀλλ' ὅπερ ἦν, ἤτοι τὸ ἀληθὲς, Τῷ τιμιωτάτῳ καὶ μακαριωτάτῳ ἀδελφῷ Θεοδώρῳ. ὅντινα ἐπαινεῖ οὐκ ἀπὸ τοῦ θρόνου. ἀλλ' ἀπὸ τῶν ἀρετῶν. δεύτερον, ὅτι οὐκ εἶπε περὶ ἑαυτοῦ τῆς ὁδεῖνα πόλεως Ἐπίσκοπος, ἀλλὰ Βίκτωρ Ἐπίσκοπος, καὶ οἴχεται τὰ τῶν Ἰταλῶν, ὅτι ὁ Ῥώμης ἐπιγραφόμενος μόνον Ἐπίσκοπος, πρῶτος κατ' ἀξίαν πάντων τῶν Ἐπισκόπων ἐστί. τρίτον, ὅτι ἀδελφικῶς γράφει αὐτῷ, καὶ ἀδελφικὴν σύμπνοιαν καὶ ἀγῶνα ζητεῖ παρ' αὐτοῦ, καὶ ὅτι ἕπεται αὐτῷ ἐν πᾶσιν, ὅπερ ὅτι κοινόν ἐστι καὶ Συνόδοις καὶ πατράσιν, ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφάλαιον ἑνδέκατον. τέταρτον, σημείωσαι ὅτι ὁ Πάπας μαρτῖνος πρὸς ταῦτα τοῦ Βίκτορος ἀποκρινόμενος, πηδᾷ ὑπὲρ τὰ ἐσκαμμένα, καὶ πρὸς τούτοις συκοφαντεῖ τὸν Βίκτορα οὐδ' ὁποσοῦν εἰπόντα ἅπερ αὐτὸς λέγει. λέγει δὲ περὶ τοῦ Πέτρου ἅπερ εἶπεν ἀνωτέρω καὶ ὁ Στέφανος Δώρων, ἀνάξια εἰπὼν καὶ τιμῆς καὶ εὐλαβείας αὐτοῦ. καὶ μάλιστα ὅτι ἐναντιοῦνται κατὰ διάμετρον τοῖς λοιποῖς αὐτοῦ λόγοις καὶ ταῖς πράξεσι τῆς παρούσης Συνόδου. ὅθεν καὶ κίβδηλα ὑπονοεῖται, καὶ γὰρ εἰ μόνος ἐπιστεύθη λαβεῖν ὑπὲρ πάντας τὰς κλεῖς παρὰ Χριστοῦ ὁ μακάριος Πέτρος, πόθεν ἀποδείκνυσιν ὁ Μαρτῖνος εἶναι τὸν Ῥώμης μόνον τοιοῦτον τοῦ Πέτρου διάδοχον; τίς χρεία τῆς Συνόδου; καίτοιγε συνεχῶς καταριθμεῖ ἑαυτὸν ὁμοταγῶς τοῖς τῆς Συνόδου πατράσι, καὶ ἰσοδυνάμως καὶ ἰσοτίμως αὐτοὺς ἐν ἅπασι κριτὰς ἐπικαλεῖται, καὶ ἐν πάσῃ τῇ Συνόδῳ τὸ κῦρος τῇ κοινότητι ἀποδίδωσι προφανῶς. εἰ δὲ καὶ ἀληθεῖς οἱ λόγοι τοῦ Μαρτίνου εἰσὶν, ἔστωσαν ὡς καὶ οἱ τοῦ Ζωσίμου, καὶ μάλιστα τοῦ Ὀνωρίου. ἐφ' ὧν οὐ πρώτως οὐδὲ μόνως ἐχρᾶτο τὰς κλεῖς ὁ Ῥώμης, ἀλλὰ γενναίως ἀποτινάξας κατέστρεψε.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι ἐκ τῶν διαλαλιῶν Μαρτίνου καὶ τῶν πατέρων, καὶ ὧν ἔκρινον καὶ κατέκρινον οἱ πατέρες ὑποθέσεων ἐν τῇ τρίτῃ καὶ τετάρτῃ καὶ πέμπτῃ ταῖς πράξεσι, καὶ ἐκ τῶν Ἐκθέσεων τῶν πέντε Οἰκουμενικῶν Συνόδων, καὶ ἐκ τῶν ἁγίων πατέρων, δείκνυται ἔχειν τὴν Σύνοδον τὸ κῦρος, καὶ τὸν Πάπαν εἶναι πάσης μοναρχίας καὶ ἰδικῆς διδασκαλίας ἐκτὸς ἐν τῇ Ἐκκλησίᾳ, καὶ ὁμοδύναμον τοῖς πατράσιν ἔν τε ταῖς τῶν Αἱρετικῶν καταδικάσεσι καὶ ταῖς τῶν δογμάτων ἐπικυρώσεσι καὶ ταῖς τῶν Ὅρων Ἐκθέσεσιν.

Ἐν τῇ τρίτῃ πράξει σημείωσαι, ὅτι ἀπότε τῶν διαλαλιῶν τοῦ Μαρτίνου, καὶ τῶν πατέρων καὶ Κληρικῶν, τὸ κῦρος τῆς Συνόδου ἐστὶ καὶ οὐδαμῶς τοῦ Πάπα. ἐν δὲ τῇ τετάρτῃ τὸ αὐτὸ δείκνυται, οἱ γὰρ πατέρες κοινῶς ἐζήτησαν, ἐψηλάφησαν, ἐδοκίμασαν, ἔκρινον καὶ κατέκρινον, καὶ τέως, τὰ πάντα γέγονεν οὕτως, ὥστε οὐδὲ ἴχνος μοναρχίας ἢ ἐξουσίας ἰδικῆς μεμενηκέναι ἔχειν τὴν Ἐκκλησίαν τῶν Ῥωμαίων. δεύτερον, ὅτι ἀπὸ τῶν Ἐκθέσεων τῶν πέντε Οἰκουμενικῶν Συνόδων ἐδείχθη τὸ ὀρθόδοξον φρόνημα, οὐδεμία δὲ ἰδικὴ μνήμη διδασκαλίας ἢ ἐξουσίας τοῦ Ῥώμης. ὡσαύτως καὶ ἐν τῇ πέμπτῃ σημείωσαι, ὅτι ἀπὸ τῶν ἁγίων πατέρων, Ἀμβροσίου, Αὐγουστίνου, Βασιλείου, Νύσσης, Κυρίλλου Ἀλεξανδρείας, Ναζιανζηνοῦ, Ἀμφιλοχίου, Ἱππολύτου, Λέοντος Ῥώμης, Ἀθανασίου, Χρυσοστόμου, Θεοφίλου, Σεβηριανοῦ, Ἱλαρίου, Διονυσίου, Κυρίλλου Ἱεροσολύμων, Ἰωάννου Σκυθοπόλεως, Ἐφραὶμ καὶ Ἀναστασίου Ἀντιοχείας ἀποδεικνύουσιν οἱ πατέρες τὴν ἐκκλησιαστικὴν ἀλήθειαν. καὶ ὅτι ἡ Συνόδος κοινῶς, ἤτοι ὁ Πάπας Μαρτῖνος καὶ οἱ τῆς Συνόδου

νόδου πατέρες, τουτέστιν οἱ πατέρες τῆς Συνόδου καὶ ὁ Πάπας Μαρτῖνος ἐξ ἰδίας ὁμοτίμου καὶ ὁμοδυνάμου καὶ ὁμοτρόπου, καὶ πρώτης καὶ κανονικῆς, ταὐτὸν εἰπεῖν ἀποστολικῆς αὐθεντίας κατεδίκασαν τοὺς Αἱρετικοὺς, ἐβεβαίωσαν δὲ καὶ ἐκύρωσαν τὰ δόγματα καὶ τὰ θεσπίσματα τῶν ἁγίων πατέρων, καὶ τῶν πέντε Οἰκουμενικῶν Συνόδων, καὶ ὅτι κοινῶς οἱ πατέρες καὶ ἐν πᾶσιν ὁμοτίμως καὶ ἀπαραλλάκτως ἐξέθεντο Ὅρον περιεχόμενον ἐν εἴκοσι κεφαλαίοις, καὶ ἴδε τὸν τόπον τόμῳ τῶν Συνόδων ἕκτῳ, φύλλοις τριακοσίοις τεσσαράκοντα ἐννέα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι ἐκ τοῦ Ὅρου τῆς Συνόδου, ἤτοι τῶν εἴκοσι κεφαλαίων, καὶ τοῦ ἐπιλόγου αὐτῆς, καὶ τῆς ἐν τῷ Ὅρῳ ὑπογραφῆς τοῦ Πάπα Μαρτίνου καὶ τῶν πατέρων, δείκνυται τί ἐστιν ἡ καθόλου Ἐκκλησία καὶ τὰ ἔργα αὐτῆς, καὶ ὅτι ἡ ῥωμαϊκὴ μερικὴ, καὶ ὁ Πάπας Μαρτῖνος ἰσοδυνάμως τοῖς πατράσι τῆς Συνόδου αὐτοῦ καὶ οὐ μονάρχης, καὶ τέρατι ὅμοια τὰ ὑπὸ Στεφάνου Δώρων καὶ τῶν Ἀφρικανῶν καὶ τοῦ Πάπα Μαρτίνου ἀνωτέρω εἰρημένα ἀμαθῶς, μόνῳ τῷ Πέτρῳ δοθῆναι τὰς κλεῖς μυθολογησάντων.

Ἐν τῷ Ὅρῳ, ἤτοι ἐν τοῖς εἴκοσι κεφαλαίοις σημείωσαι πρῶτον, ὅτι φασὶν, εἴτις οὐχ ὁμολογεῖ κατὰ τοὺς ἁγίους πατέρας. οὐκ εἶπον κατὰ τὴν τοῦ Πάπα κρίσιν καὶ διδασκαλίαν καὶ ἀπόφασιν, ἀλλὰ κατὰ τοὺς ἁγίους πατέρας. οὐκ εἶπον κατὰ τοὺς Ἐπισκόπους τῆς Ῥώμης, ἀλλὰ κοινῶς κατὰ τοὺς ἁγίους πατέρας. δεύτερον, ἐν τῷ δεκάτῳ ὀγδόῳ κεφαλαίῳ λέγουσιν, ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, ταὐτὸν δὲ λέγειν αἱ ἅγιαι καὶ Οἰκουμενικαὶ πέντε Σύνοδοι, καὶ αὐτοὶ πάντες ὁμόφρονες οἱ ἔγκριτοι τῆς Ἐκκλησίας πατέρες. καὶ σημείωσαι ποία ἐστὶν ἡ καθολικὴ Ἐκκλησία, καὶ ὅτι οὐχ ἡ Ῥώμη, ἥτις ὀρθοδοξοῦσα, μόνον μερική ἐστιν, ὡς ἔγραφε καὶ ὁ Πάπας Κελεστῖνος Κωνσταντινουπολίταις κατὰ Νεστορίου, ὡς εἴρηται ἀνωτέρω βιβλίῳ τρίτῳ, ἴδε καὶ βιβλίου πέμπτου κεφάλαιον δέκατον ἔνατον τὶς ἡ καθόλου Ἐκκλησία. ἐν δὲ τῷ ἐπιλόγῳ αὐτῆς ἡ Σύνοδος δείκνυσι τὴν ἰσοτιμίαν καὶ ἰσοδυναμίαν καὶ ταὐτότητα ἐν πᾶσι τῆς ἐξουσίας αὐτῆς μετὰ τοῦ Ἐπισκόπου Μαρτίνου, ὥστε τὰ παρὰ Στεφάνου καὶ τῶν Ἀφρικανῶν Ἐπισκόπων καὶ τοῦ Πάπα Μαρτίνου ἀνωτέρω εἰρημένα, ὅτι μόνῳ καὶ πρώτῳ ὑπὲρ ἅπαντας τῷ Πέτρῳ ἐδόθησαν αἱ κλεῖς, ἔμειναν εἶναι τέρας τὶ ἐν μέσῳ τῶν φυσικῶν ἀγαθῶν τῆς οὐρανίου ἀληθείας τῶν ἁγίων πατέρων ἀναφανὲν μὲν, καὶ σημειωθὲν δολίως καὶ ὑποκριτικῶς, καὶ ὡς εἰπεῖν πλαστουργικῶς ἢ καὶ ἀμαθῶς ἢ εὐγνωμονέστερον εἰπεῖν ῥητορικῶς ἢ καὶ οἰκονομικῶς, ὡς εἴρηται, τουτέστιν ἀγωνιστικῶς διὰ τὰς ἀνωτέρω εἰρημένας αἰτίας, οὕτω γὰρ διὰ τὴν ἀνάγκην τοῦ καιροῦ οἱ τῆς Συρίας καὶ Παλαιστίνης πατέρες εἶπον τὸν Κωνσταντινουπόλεως Οἰκουμενικὸν Πατριάρχην καὶ ἄλλους, ὡς ἐσημειώσαμεν ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίῳ πρώτῳ καὶ ἑνδεκάτῳ, διαλυθὲν δὲ ἀπ' αὐτῶν τούτων καὶ ἀπὸ τῆς κοινότητος τῶν ἁγίων πατέρων, ὥσπερ περὶ αὐτοῦ εἴρηται, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. Ἐν δὲ τῇ ὑπογραφῇ τοῦ Ὅρου ὁ Πάπας Μαρτῖνος δείκνυσιν ὅτι οὐκ ἔστι μονάρχης, οὔτε Πέτρος, οὔτε πρῶτος, οὔτε μόνος, οὔτε ὑπὲρ πάντας, ἀλλ' ἰσότιμος τοῖς λοιποῖς πατράσιν, ὅθεν μετ' αὐτὸν πάντες οἱ πατέρες ὑπέγραψαν ὁμοίως, ἤτοι συντεταγμένως καὶ ἰσοτίμως. μετὰ δὲ τὰς ὑπογραφὰς τῶν πατέρων Ἰωάννης Ἐπίσκοπος Μεδιολάνων συνθέμενος τοῖς ὁρισθεῖσιν ὑπὸ τῆς Συνόδου, φησὶ, πᾶσι τοῖς ἰδικῶς ὁρισθεῖσι παρὰ τῶν ἁγιωτάτων ὑμῶν συναινῶν ἰδιοχείρως ὑπέγραψα. οὕτω καὶ Μελλιόδωρος Ἐπίσκοπος Δόρτωνος, καὶ Ἰουστινιανὸς Καράλλεως. ἐν οἷς σημείωσαι, τοῖς πατράσι συνέθεντο κοινῶς, ἐπειδὴ οὐδένα μονάρχην ἐγίνωσκον ἐν τῇ Ἐκκλησίᾳ, καὶ βεβαιοῦσι τὴν Σύνοδον, ὡς οἱ Πάπαι καὶ ἄλλοι Ἐπίσκοποι βεβαιοῦσιν, ὑπογράφοντες τὰς Οἰκουμενικὰς καὶ λοιπὰς Συνόδους.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι καὶ ἐκ τῆς ἐγκυκλίου ἐπιστολῆς τῆς Συνόδου, δείκνυται ἡ ἰσοτιμία καὶ ἡ ἐξουσία τοῦτε Ῥώμης καὶ τῶν Ἐπισκόπων ἡ αὐτὴ, καὶ ἡ ἄκρα ἐξουσία τῆς Συνόδου, καὶ ἡ καταστροφὴ πάσης μοναρχίας ἐν τῇ Ἐκκλησίᾳ, καὶ περὶ ἀναθέματος Συνοδικοῦ κατὰ τῶν παραχαραττόντων τὰς ἀποστολικὰς καὶ συνοδικὰς ἀποφάσεις, ὧν πρῶτος ὁ Ῥώμης.

Ἐν τῇ ἐγκυκλίῳ, ἤτοι συνοδικῇ ἐπιστολῇ τῆς Συνόδου θεωρητέον πρῶτον, ὅτι πᾶσα ἐστὶ πρὸς βεβαίωσιν τῶν πατρικῶν συνοδικῶν Ὅρων, καὶ οὐδὲν ἰδικῶς περὶ ὁρισμοῦ, ἢ διορισμοῦ τῆς ῥωμαϊκῆς Ἐκκλησίας, καὶ ὅτι ὁ Ῥώμης Μαρτῖνος τοὺς πάντας μετὰ τῶν πατέρων ἰσοδυνάμως διδάσκει, καὶ οὐδεμία εἰκασία ἰδικῆς ἐξουσίας. σημειωτέον ὅμως πρὸς σαφεστέραν παράστασιν ὅτι οὐκ ἔστιν ἐν τῇ Ἐκκλησίᾳ μοναρχικὸν ἀξίωμα, πρῶτον, ὅτι ἰσοτίμως γράφει ὁ Πάπας καὶ οἱ πατέρες τὴν ἐπιστολὴν, ὅθεν φησὶν ὁ αὐτὸς Μαρτῖνος, ἅμα τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ Συνόδῳ τῶν θεοφιλεστάτων ἱερέων τῶν ἐνθάδε ἡμῖν κανονικῶς συνδεδραμηκότων. δεύτερον, ὅτι φησὶ, προνοητικῶς οὐμόνον οἱ Ῥώμης Ἐπίσκοποι, ἀλλὰ καὶ

διά-

διάφοροι εὐλαβεῖς Ἐπίσκοποι καὶ ὁλόκληροι Σύνοδοι ἔγραψαν πρὸς Σέργιον, Πύῤῥον καὶ Παῦλον διορθωθῆναι, καὶ οὐκ ἤθελον, ἀλλὰ καὶ ἡμεῖς αὐτοὶ, ἤτοι ὁ ἡμέτερος ἀποστολικὸς θρόνος. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι οὐμόνον οἱ Πάπαι, ἀλλὰ καὶ ἄλλοι ἰσότιμοι προτρέπουσι τοὺς Αἱρετικοὺς πρὸς διόρθωσιν, καὶ ἴδε τὰ περὶ τοῦ Κναφέως ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίῳ δεκάτῳ. δεύτερον, ὅτι φησὶν, ὁ ἀποστολικὸς θρόνος ἐλέγετο ὁ Ῥώμης καὶ ἡ παροῦσα τῶν Δυτικῶν Σύνοδος. τρίτον, ὅτι ἀγαπητικῶς ὑπεμιμνήσκοντο οἱ Αἱρετικοὶ ὑπό τε τῶν Ῥωμαίων καὶ τῶν λοιπῶν Ἐπισκόπων, ὥστε ἡ αὐτὴ τάξις, ἄρα καὶ ἡ αὐτὴ ἐξουσία. τέταρτον, ὅτι φησὶ, πολλοὶ τῶν πατέρων ἔγραφον ἵνα συναγωνισθῇ ὁ θρόνος τῆς Ῥώμης, ἤτοι ἡ ἐν Ῥώμῃ Σύνοδος, τουτέστιν ὁ Ῥώμης μετὰ τῶν Δυτικῶν Ἐπισκόπων, ἀλλὰ τὸ αἴτιον ἦν διὰ τὴν ὀρθοδοξίαν καὶ διὰ τὸ πλῆθος, ὅπερ κοινόν ἐστι καὶ ἄλλοις, καὶ ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον δέκατον ἕβδομον, καὶ βιβλίου τρίτου κεφάλαιον ἕβδομον. ἄρα μάτην ἐῤῥέθη ἀνωτέρω τὸ μόνος, τὸ πρῶτος, καὶ τὸ ὑπὲρ πάντας, ἐπειδὴ τὰ πάντα κοινῶς γίνεται πέμπτον, ὅτι λέγουσι, προθύμως χάριτι Χριστοῦ συνεληλύθαμεν ἐν ταύτῃ τῇ φιλοχρίστῳ Ῥωμαίων πόλει. Καὶ, ἐπειδὴ τὰ ἐκ συνδρομῆς ἱερᾶς καὶ πνευματικῆς γινόμενα συμφωνίας τῶν ἁγίων πατέρων ἰσχυρὰν ἔχει καὶ ἀκαταμάχητον κατὰ τῶν ἀντικειμένων τὴν δύναμιν, ἐπὶ στόματος γάρ φησι δύο, ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, καὶ τὸ σπαρτίον οὐταχέως ἀποῤῥαγήσεται, καὶ ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ ὑψηλὴ, ἰσχύει δὲ ὥσπερ τεθεμελιωμένον βασίλειον, οὗ χάριν, ὡς εἴρηται, καὶ ἡμεῖς κατὰ τὴν ἀδιαίρετον κοινωνίαν τοῦ Πνεύματος ἐπιτοαυτὸ συνελθόντες. ταῦτα τὰ ῥήματα τὰ αὐτά εἰσι τοῖς εἰρημένοις τῷ Πάπᾳ Κελεστίνῳ ἐν τῇ τρίτῃ Συνόδῳ, καὶ τῇ ἐν Χαλκηδόνι πρὸς τὸν Λέοντα, καὶ τῷ Κωνσταντινουπόλεως Εὐτυχίῳ ἐν τῇ ὀγδόῃ πράξει τῆς πέμπτης Οἰκουμενικῆς, ἅτινα πάντα λαμπρῶς ἀποδείκνυσι τῶν Συνόδων τὴν ἄκραν ἐξουσίαν, καὶ πᾶσαν ὁπωσδήποτε μοναρχικὴν ἐξουσίαν καταβάλλει. ὅθεν κατωτέρω ἐν τῇ ἐπιστολῇ λέγουσιν, ὅτι τῶν Ἀποστόλων καὶ Προφητῶν καὶ Διδασκάλων καὶ τῶν Οἰκουμενικῶν πέντε Συνόδων τὰ δόγματα Νόμος τῆς καθολικῆς Ἐκκλησίας ὑπάρχουσιν. οὐμόνον δὲ πᾶσαν ἰδικὴν ἐξουσίαν γενναίως καταστρέφει καὶ ἡ παροῦσα Σύνοδος, ἀλλὰ καὶ πᾶσαν ἀλλοίωσιν, ἢ προσθήκην, ἢ ἀφαίρεσιν τῶν γραφικῶν καὶ ἀποστολικῶν καὶ συνοδικῶν Οἰκουμενικῶν ἀποφάσεων ἀναιρεῖ. φασὶ γὰρ οἱ πατέρες ἐν τῇ ἐπιστολῇ καὶ ταῦτα, ἐὰν ἡμεῖς, ἢ Ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν παρ' ὃ παρελάβομεν ἐκ τε τῶν ἁγίων Ἀποστόλων καὶ τῶν ἐγκρίτων πατέρων καὶ τῶν Οἰκουμενικῶν πέντε Συνόδων, ἀνάθεμα ἔστω. καὶ σημείωσαι, ὅτι ὁ Πάπας μεταβάλλων τοὺς Κανόνας καὶ τὰς παραδόσεις τῶν πατέρων καὶ Οἰκουμενικῶν Συνόδων δῆθεν δι' οἰκονομίας τινὰς, ἐπειδὴ ὡς μονάρχης τυχὸν ἔχει τοιαύτην ἐξουσίαν, ἀναθέματι ἐστὶν ὑποπεπτωκὼς, καὶ ἴδε τὰ αὐτὰ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παραγράφῳ τετάρτῳ, καὶ βιβλίου πέμπτου κεφαλαίου ἑνδεκάτου Παραγράφῳ δεκάτῳ τρίτῳ. ἕκτον, ὅτι λέγουσι πρὸς πάντας τοὺς πιστοὺς, ταῦτα πραχθέντα παρ' ἡμῶν εὐσεβῆ γινώσκοντες, εἰς ἀσφάλειαν τῆς καθολικῆς Ἐκκλησίας συμφώνως ἡμῖν τὰ ὅμοια πράξητε, καὶ κυρώσητε μὲν πάντας τοὺς ἁγίους πατέρας, ἐγγράφως συναινοῦντες αὐτοῖς καὶ ἡμῖν εἰς τὴν ὀρθόδοξον πίστιν. Καὶ, ἀλλὰ παρακαλοῦντες, καὶ τοσοῦτον μᾶλλον, ὅσον βλέπομεν ἐγγίζουσαν τὴν ἡμέραν. ἅπερ ταὐτά εἰσι τοῖς εἰρημένοις ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παραγράφῳ τριακοστῷ, καὶ βιβλίου δευτέρου κεφαλαίῳ ἕκτῳ περὶ βεβαιώσεως καὶ ἐπικυρώσεως τῶν ὁρισθέντων ἐκεῖ ὑπὸ τοῦ Πάπα καὶ ἄλλων.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι καὶ ἐκ τῆς πρὸς τὸν Αὐτοκράτορα ἐπιστολῆς τῆς Συνόδου, δείκνυται τῶν Συνόδων τὸ κράτος καὶ ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ, ὁ δὲ Πάπας καὶ οἱ τῆς Συνόδου πατέρες δοῦλοι τοῦ Βασιλέως ὁμολογοῦνται.

Ἐν πάσῃ τῇ ἐπιστολῇ τῆς Συνόδου πρὸς τὸν Αὐτοκράτορα δείκνυται οὐδὲν ἕτερον, ἢ μόνον καθαρῶς δύο ταῦτα, πρῶτον, ὅτι τὸ κράτος τῶν Συνόδων ἐστὶ τὸ πρῶτον ἐν τῇ Ἐκκλησίᾳ ἀξίωμα. δεύτερον, ὅτι οἱ πατέρες καὶ ὁ Πάπας τὸν μὲν Αὐτοκράτορα Κώνσταν λέγουσι Δεσπότην αὐτῶν, αὐτοὺς δὲ ἐξίσου δούλους τοῦ Αὐτοκράτορος ὁμολογοῦσι. λέγουσι γὰρ, ἡμεῖς οἱ κατὰ χάριν Θεοῦ ὑπάρχοντες Ἱερεῖς ἐκδιδάσκομεν διὰ ταύτης τῆς μετρίας ἡμῶν ἀναφορᾶς τὸ εὐσεβὲς ὑμῶν καὶ γαλήνιον κράτος, ὅτι κατὰ τὴν φιλόχριστον καὶ δουλικὴν ἡμῶν τῶν Ῥωμαίων πόλιν ἐπιτοαυτὸ συνελθόντες. Καὶ, ἡμεῖς οἱ πάντες οἱ τῆς σῆς ἡμερότητος πρόσφυγες ἐξ ἀποστολικῆς, ἤγουν πνευματικῆς ὁμοψυχίας τε καὶ συμφωνίας ἐν τῷ αὐτῷ νοΐ καὶ τῇ αὐτῇ γνώμῃ τὸν εὐσεβῆ τῆς ὀρθοδόξου πίστεως ἐκυρώσαμεν Ὅρον, ἀπεκυρώσαμεν δὲ τὸν τῶν Αἱρετικῶν ἀσύμβατον λόγον. καὶ σημείωσαι ὅπερ εἴρηται, ἤτοι τὴν Σύνοδον ἡγεῖσθαι τῶν μερικῶν, ἐν οἷς ἐστι καὶ ὁ Πάπας, καὶ τὸν Πάπαν συντεταγμένον εἶναι τοῖς λοιποῖς Ἐπισκόποις, καὶ ἕνα εἶναι αὐτὸν τῶν πατέρων τῆς Συνόδου ὁμοταγῶς.

ΠΑΡΑ-

ΠΑΡΆΓΡΑΦΟΝ ΙΔ'.

Ὅτι καὶ ἐκ τοῦ μὴ πλανηθῆναι τὴν Σύνοδον ταύτην, ἀλλὰ τὸν Πάπαν, δείκνυνται καταγέλαστοι οἱ παπισταὶ, τὴν Σύνοδον δύνασθαι καὶ οὐ τὸν Πάπαν πλανηθῆναι λέγοντες.

Καὶ ἐκ τῆς Συνόδου ταύτης καταγέλαστοι δείκνυνται οἱ σοφοὶ τῶν παπιστῶν, λέγοντες, ἡ Σύνοδος ἄνευ τοῦ Πάπα δύναται πλανηθῆναι, ὁ δὲ Πάπας μόνος ἄνευ τῆς Συνόδου οὐ δύναται πλανηθῆναι. ἰδοὺ γὰρ ἐνταῦθα ἡ Σύνοδος οὐδ' ὁπωσοῦν ἐπλανήθη, καὶ γὰρ οὐκ εἶπε τὸν Ῥώμης ὑπὲρ ἑαυτῆς καὶ μονάρχην. τοῦ δὲ Μαρτῖνου ὑπέρογκά τινα εἰπόντος περὶ αὐτοῦ, ἐσημειώθη τὰ αἴτια ἀνωτέρω.

ΠΑΡΆΓΡΑΦΟΝ ΙΕ'.

Ὅτι λέγοντες οἱ παπολάτραι συνειλημμένης τῆς Συνόδου μετὰ τοῦ Πάπα, τὴν ἀσφάλειαν αὐτῆς ἐξ αὐτοῦ ἀρτᾶσθαι, δείκνυνται ἐνταῦθα ψευδέστατοι.

Καὶ ἐκεῖνο ὅπερ λέγουσιν οἱ αὐτοὶ ψεῦδος ἐστὶν, ἤτοι τὸ, συνημμένης καὶ συνειλημμένης τῆς Συνόδου μετὰ τοῦ Πάπα, πᾶσα ἡ τῆς Συνόδου ἀσφάλεια ἐκ τοῦ Πάπα ἐξαρτᾶται καὶ παράγεται, καὶ οὐ τὸ ἀνάπαλιν. ἰδοὺ γὰρ συνημμένης καὶ συνειλημμένης τῆς Συνόδου μετὰ τοῦ Πάπα, ὁ μὲν Πάπας καὶ ἐν ταῖς ἐπιστολαῖς, καὶ ἔν τισι τῶν ἐν τῇ Συνόδῳ αὐτοῦ διαλαλιῶν ἥμαρτεν ὁπωσδήποτε, μόνῳ καὶ πρώτῳ καὶ ὑπὲρ πάντας ἀποδεξάμενος καὶ εἰπὼν τῷ Πέτρῳ δοθῆναι τὰς κλεῖς, ἡ δὲ Σύνοδος σωφρόνως καὶ ἀποστολικῶς ὥρισε καὶ ἐκύρωσε τὰ τῆς πίστεως, καὶ περὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων κανονικῶς διηγόρευσεν, εἰ δὲ καὶ ἠνέσχετο τινῶν, καὶ αὐτοῦ τοῦ Πάπα ἔν τισιν, ἀλλὰ καὶ τοῦτο ἴδιόν ἐστι τῶν ἁγίων Συνόδων περὶ τῶν προκειμένων καὶ ἀναγκαίων φροντίζειν, περὶ δὲ τῶν παρέργων, ἢ ἀγωνιστικῶν οἰκονομικῶς ἀνέχεσθαι καὶ σιωπᾶν.

ΠΑΡΆΓΡΑΦΟΝ ΙΣ'.

Ὅτι ἐκ τῆς πρὸς Μαρῖνον ἐπιστολῆς τοῦ Μαξίμου δείκνυται ἀπολογεῖσθαι τοὺς Ῥωμαίους τοῖς Κωνσταντινουπολίταις ἐπιλαμβανομένοις τῶν συνοδικῶν τοῦ Πάπα, ὡς δῆθεν καὶ ἐκ τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα, καὶ μὴ εἶναι χωρὶς τῆς προπατορικῆς ἁμαρτίας τὸν Κύριον εἰπόντος.

Τῶν τοῦ τότε Πάπα συνοδικῶν οἱ Κωνσταντινουπολῖται ἐπελαμβάνοντο εἰς δύο τινὰ, ὡς ὁ πολὺς τὰ θεῖα Μάξιμος γράφει πρὸς Μαρῖνον Πρεσβύτερον Κύπρου, πρῶτον, ὅτι τυχὸν καὶ ἐκ τοῦ Υἱοῦ εἶπεν ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον. δεύτερον δὲ, ὅτι ὁ Κύριος καθὸ ἄνθρωπος οὐκ ἦν χωρὶς τῆς προπατορικῆς ἁμαρτίας. ἀλλ' οἱ Ῥωμαῖοι ἔχοντες μεσίτην τὸν ἅγιον Μάξιμον, ἀπολογούμενοι, ὅσον περὶ τοῦ πρώτου προσέφερον χρήσεις τῶν Δυτικῶν ἁγίων καὶ τοῦ Ἀλεξανδρείας Κυρίλλου εἰς τὸν Ἰωάννην, ἐξ ὧν ἔδειξαν ἑαυτοὺς ὅτι οὐκ ἐπρέσβευσαν αἰτίαν τὸν Υἱὸν τοῦ Πνεύματος, ἐπειδὴ μίαν γινώσκουσιν αἰτίαν τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος τὸν Πατέρα, τοῦ μὲν κατὰ γέννησιν, τοῦ δὲ κατὰ ἐκπόρευσιν, ἀλλ' οὕτως εἶπον, ἵνα δηλώσαντες τὸ διὰ τοῦ Υἱοῦ προϊέναι τὸ Πνεῦμα τὸ ἅγιον, τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσι τῶν τριῶν ὑποστάσεων. Σημείωσαι πρῶτον, πῶς ἀπηγορεύετο τὸ δόγμα τοῦτο καὶ πρὸ τῆς ἕκτης Συνόδου εἰς τὴν Δύσιν. δεύτερον, ὅτι ἐγκαλοῦνται καὶ κρίνονται ὑπὸ τῶν Κωνσταντινουπολιτῶν οἱ Ῥωμαῖοι. τρίτον, ὅτι ἀπολογοῦνται διὰ τοῦ ἁγίου Μαξίμου, ἦν γὰρ ὁ τότε Ἐπίσκοπος Ῥώμης ἅγιος, καὶ ἔζη κατὰ τοὺς Ὅρους καὶ τοὺς Κανόνας καὶ τὴν κοινὴν δόξαν τῆς καθολικῆς Ἐκκλησίας. τέταρτον, ὅτι ἐστὶν ἡ ἐπιστολὴ γνησία τοῦ ἁγίου Μαξίμου, μάρτυς πρὸς τοῖς ἄλλοις λατινόφρων ὁμετοχίτης Γεώργιος ἐν ταῖς πρὸς τὸν Κρήτης Ἠλίαν ἀποκρίσεσιν, ἔνθα μαρτυρεῖ, ὅτι πρὸς τοῖς ἄλλοις κατὰ καιροὺς πατράσι καὶ ὁ Μάξιμος εἰς τοὺς καιροὺς αὐτοῦ ἐκώλυσε μεσιτεύσας τὴν διχόνοιαν τῶν Ἐκκλησιῶν, ὡς μαρτυρεῖ διὰ τῆς ἐπιστολῆς αὐτοῦ. ἀλλὰ δὴ καὶ Γεώργιος ὁ Σχολάριος εἰς τὴν ὁμολογίαν τῆς πίστεως καὶ ἀλλαχοῦ λέγει, ὅτι ἡ ἐπιστολὴ ἐστὶ γνησία, ἐπειδὴ ὑπὸ Δυτικῶν καὶ Ἀνατολικῶν δέχεται πρὸς βοήθειαν, καὶ δῆλον, ὅτι καὶ τὰ δύο μέρη χρῶνται ταύτῃ. εἶτα καὶ ὁ χαρακτὴρ τῆς φράσεως ἐστὶ συγγενέστατος τοῖς λοιποῖς αὐτοῦ συγγράμμασιν. ἔπειτα συμφωνεῖ καὶ τῇ γνώμῃ αὐτοῦ, καθότι οὐκ ἐφρόνει εἶναι ἀρχὴν, ἢ αἰτίαν τὸν Υἱὸν τοῦ ἁγίου Πνεύματος, ἢ ἐκπορεύεσθαι, ἢ λαμβάνειν παρὰ τοῦ Υἱοῦ τὸ εἶναι τὸ ἅγιον Πνεῦμα. ἴδε περὶ τῆς ἐπιστολῆς ταύτης Νείλου Θεσσαλονίκης ἐν τῷ πέμπτῳ λόγῳ τὸ κατὰ Λατίνων συμπέρασμα περὶ τοῦ ἁγίου Πνεύματος.

ΠΑΡΆΓΡΑΦΟΝ ΙΖ.

Περὶ τῆς τυραννίας τοῦ Βασιλέως Κώνστα κατὰ τῶν ἁγίων Μαρτίνου, Μαξίμου καὶ ἑτέρων πολλῶν, καὶ περὶ τοῦ ὃ

εἶδεν

εἶδεν ὁράματος καὶ τῆς ἐξηγήσεως, καὶ τῆς ἀπὸ τοῦ πολέμου φυγῆς αὐτοῦ, καὶ τῶν παρ' αὐτοῦ ἀποσταλέντων δώρων τῷ Βιταλιανῷ Ῥώμης, ὧν ἐπιλαμβάνονται οἱ Λατῖνοι εἰς σύστασιν μοναρχίας τοῦ Πάπα, καὶ περὶ τῆς κακῆς τελευτῆς τοῦ αὐτοῦ Κώνστα.

Οὐ μόνον τοὺς ἁγίους Μαρτῖνον καὶ Μάξιμον, ἀλλὰ καὶ ἄλλους ἐτυράννισεν ὁ Κώνστας διὰ τὴν μονοθέλησιν, καὶ ἠκίσατο, καὶ ἐδήμευσε, καὶ ἐξώρισεν. εὑρισκόμενος δὲ ὁ Κώνστας οὗτος εἰς τὸν Φοίνικα τῆς Λυκίας κατὰ τῶν Σαρακηνῶν, καὶ ἰδὼν ὅραμα ὡσανεὶ ἦν εἰς τὴν Θεσσαλονίκην, ἐξύπνισε, καὶ τὸ πρωῒ ἐκάλεσε τὸν Ὀνειροκρίτην καὶ διηγήσατο αὐτῷ τὸ ὅραμα αὐτοῦ. ὁ δὲ Ὀνειροκρίτης εἶπεν αὐτῷ, πολὺ κάλλιον εἴη εἰ μὴ ἑώρακας τοιοῦτον ὅραμα Βασιλεῦ, διότι Θεσσαλονίκη βούλεται εἰπεῖν, θὲς ἄλλῳ νίκην, ὅθεν ὁ ἐχθρός σου μέλλει σε νικήσειν. ὁ δὲ Βασιλεὺς εἰς οὐδὲν ἐλογίσατο τοῦτο, μάλιστα ὠνείδισε καὶ τὸν ἐξηγητὴν τῶν ὀνειράτων, καὶ βιάζεται ἑτοιμάζειν τὰ καράβια αὐτοῦ πρὸς τὸν πόλεμον. γέγονεν ἡ θάλασσα ὅλη αἱμοβαφὴς τόσον, ὥστε τὸν Βασιλέα ἀναγκασθῆναι δοῦναι τὰ βασιλικὰ αὐτοῦ ἱμάτια ἑτέρῳ, καὶ φυγεῖν ἐν μονοξύλῳ τινὶ εἰς Βυζάντιον, ἀπολιπόντα ὅλον αὐτοῦ τὸν στόλον ἐκεῖ, ὡς λέγει ὁ Θεοφάνης. οὕτω καταισχύνονται οἱ ἐχθροὶ τῆς ἀκραιφνοῦς πίστεως, ὅπερ συνιδὼν καὶ ὁ Κώνστας, προσεποιήθη κατὰ τὸ φαινόμενον τὴν εὐσέβειαν. οἴονται δὲ λαμβάνειν καὶ ἐντεῦθεν οἱ παπισταὶ προνόμιον, διὰ τὸ τὸν Κώνσταν ἀποστεῖλαι τῷ Ῥώμης Βιταλιανῷ, ὡς λέγει ὁ Πλάτινας, ἐν Εὐαγγέλιον ἐγκεκοσμημένον δῶρον καὶ σύμβολον τῆς ὀρθοδοξίας αὐτοῦ. Ἀλλὰ ῥητέον, καὶ βάναυσοι καὶ κάπηλοι διδόασι τοῖς Πατριάρχαις καὶ Ἐπισκόποις ἀφιερώματα, καὶ ἐκ τῶν τοιούτων δώρων οὐδεὶς οὐδ' ὁ τοῦν λαμβάνει εἰς τὴν Ἐκκλησίαν ἀξίωμα, μάλιστα ὁ αὐτὸς λέγει, ὅτι εἰς τὴν ἀρχὴν τῆς βασιλείας αὐτοῦ ἦν ὁ Κώνστας εὐσεβὴς, καὶ ἀπέστειλεν εἰς τὴν Ῥώμην διάφορα ἀναθήματα, εἰ καὶ ὕστερον ἐκεῖσε ἀπελθὼν ἀπεγύμνωσε τὴν Ῥώμην, ληϊσάμενος αὐτὴν χεῖρον τῶν βαρβάρων τῶν ἐξουσιασάντων αὐτῆς διακόσια πεντήκοντα καὶ ὀκτὼ ἔτη. ἐφονεύθη δὲ ὁ ταλαίπωρος Κώνστας κατὰ τὴν Συρακοῦσαν ἔντινι λουτρῷ ὑπὸ τοῦ Ἀνδρέου ἡγοῦ τοῦ Τρωΐλου. μισηθεὶς γὰρ ὑπὸ τῆς Συγκλήτου καὶ τοῦ Στρατοῦ διὰ τὸν θάνατον Θεοδοσίου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ τὴν ἐξορίαν Μαρτίνου καὶ Μαξίμου, ἀπήει εἰς τὴν Ἰταλίαν, ἔνθα κακῶς τελευτᾷ, καὶ βασιλεύει ἀντ' αὐτοῦ Κωνσταντῖνος ὁ Πωγωνᾶτος. λέγουσιν ὅμως μετανοῆσαι τὸν Κώνσταν ἀπὸ τῆς Αἱρέσεως, ὡς εἴρηται ἀνωτέρω.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Ὅτι ἐκ τῆς γενομένης ὑπὸ τοῦ Βιταλιανοῦ Πάπα ὑπαντῆς τῷ Βασιλεῖ Κώνστᾳ, δείκνυνται οἱ νῦν Πάπαι ἀντίπαπαι.

Ἐπὶ τοῦ διαληφθέντος Πάπα Βιταλιανοῦ, τοῦ πατριαρχεύσαντος εἰς τὸ ἑξακοσιοστὸν πεντηκοστὸν πέμπτον ἔτος, ὁ Αἱρετικὸς οὗτος Κώνστας ἐστράτευσεν εἰς τὴν Ἰταλίαν κατὰ τῶν Λογγιβάρδων, ἀπήει δὲ καὶ εἰς τὴν Ῥώμην, καὶ ἐξελθὼν ὁ Πάπας Βιταλιανὸς προϋπήντησεν αὐτῷ μετὰ τοῦ Κλήρου καὶ τοῦ λαοῦ ἕως ἔξω τῆς πόλεως. ταῦτα ὁ Πλάτινας. Σὺ δὲ σημείωσαι πρῶτον, τὸν τότε Πάπαν ἐξελθόντα εἰς ὑπαντὴν τοῦ Βασιλέως, καὶ τὸν νῦν διδόντα αὐτοῦ τὸν πόδα ἀσπάσασθαι τοῖς Βασιλεῦσι, καὶ γνῶθι, ὅτι ὁ μὲν Βιταλιανὸς ἦν Πάπας, οἱ δὲ νῦν Πάπαι ἀντίπαπαι ὅτι καὶ ἀντίδοξοι. δεύτερον, ὅτι ὁ Κλῆρος προϋπαντᾷ, καὶ ὅτι οἱ νῦν σεμνοὶ Κληρικοὶ Καρδηνάλεις νομίζονται ἰσότιμοι τοῖς Βασιλεῦσι, καὶ γνῶθι, ὅτι καθὼς εἰς τὸ κοινὸν ἤλλαξαν τὸ ὄνομα τοῦ σχήματος, ἤλλαξαν καὶ τὸ ἀξίωμα, ὄντες οὐ τῆς Ἐκκλησίας, ἀλλὰ τῆς ἀποστασίας ὑπηρέται.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου, καὶ ἐπιμελείας αὐτοῦ διὰ τὴν ἐκκλησιαστικὴν εἰρήνην καὶ ἕνωσιν, καὶ περὶ τῆς Σάκρας αὐτοῦ πρὸς τὸν Πάπαν Ῥώμης, καὶ τῆς διαφωνίας τῶν Ἱστορικῶν περὶ τὸν ἀριθμὸν τῶν πατέρων τῆς παρούσης Οἰκουμενικῆς ἕκτης Συνόδου, καὶ περὶ τοῦ πότε ἡ Σύνοδος αὕτη ἠθροίσθη, καὶ ἐπὶ τίνων Πατριαρχῶν, καὶ κατὰ τίνων.

Ὁ Κωνσταντῖνος ὁ Πωγωνᾶτος βασιλεύσας, ἐφρόντισεν ἐπιμελῶς τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ ἑνώσεως, ὅθεν ἐκοινολογήσατο τὴν ὑπόθεσιν τῷ Κωνσταντινουπόλεως Θεοδώρῳ καὶ τῷ Ἀντιοχείας Μακαρίῳ, εἶτα ἔγραψε καὶ πρὸς τὸν μακάριον Δόνον Ῥώμης διὰ τὴν ἕνωσιν τῆς Ἀνατολικῆς καὶ Δυτικῆς Ἐκκλησίας. καὶ τὸν μὲν Ἀντιοχείας Μακάριον, καίτοι Αἱρεσιάρχην ὄντα, ἀφῆκεν ἵνα κριθῇ τὰ κατ' αὐτὸν ἐν τῇ Οἰκουμενικῇ

558

νικῇ Σωόδῳ, τὸν δὲ Κωνσαντινουπόλεως Θεόδωρον ὁρῶν σωοδοκοῦντα τῷ Μακαρίῳ ἵνα ἐκβληθῇ τῶν διπτύχων ὁ Ῥώμης Βιταλιανὸς, ἀπέβαλε, καὶ ἐσθεβάλετο Πατριάρχῃ τὸν Γεώργιον, ἵνα ᾖ ὄργανον δυσεβὲς ἐν τῷ θρόνῳ Κωνσαντινουπόλεως εἰς κατόρθωσιν κανονικῆς τῆς Οἰκουμενικῆς Σωόδου. ἡμῖν δὲ ἐν Σάκρᾳ ἀπελθοῦσα εἰς Ῥώμην, εὗρε τὸν Δόνον ἐσθοκοιμηθέντα, Πάπαν δὲ γεγονότα τὸν ἱερὸν Ἀγάθωνα. Οὐσυμφωνοῦσιν οἱ ἰσορικοὶ περὶ τὸν ἀριθμὸν τῶν συναθροισθέντων πατέρων εἰς ταύτην τὴν Οἰκουμενικὴν Σύνοδον. ὁ Κεδρηνὸς θέλει εἶναι αὐτοὺς διακοσίους ὀγδοήκοντα ἑννέα, ὁ Φώτιος ἀριθμεῖ μόνον ἑκατὸν ἑβδομήκοντα, Παῦλος ὁ Διάκονος τίθησιν ἑκατὸν πεντήκοντα, ὁ Βαλσαμὼν ἑκατὸν ἑβδομήκοντα καὶ ἕνα, εἰς δὲ τὴν ὑστέραν πρᾶξιν φαίνονται ὑπογεγραμμένοι ἑκατὸν ἑξηκονταέξ. ἦσαν δὲ ἔτη ἀπὸ Χριστοῦ ἑξακόσια ὀγδοήκοντα καὶ ἕν, Πατριάρχαι δὲ Ῥώμης μὲν Ἀγάθων, Ἀντιοχείας δὲ Θεοφάνης, Κωνσαντινουπόλεως Γεώργιος, Πέτρος Τοποτηρητὴς τοῦ Ἀλεξανδρείας, καὶ Γεώργιος Λεγᾶτος Θεοδώρου Τοποτηρητοῦ Ἱεροσολύμων. ἠθροίσθη δὲ κατὰ Ὀνωρίου Ῥώμης, Σεργίου, Πύρρου, Παύλου καὶ Πέτρου Κωνσαντινουπόλεως, Μακαρίου Ἀντιοχείας καὶ Στεφάνου τοῦ μαθητοῦ αὐτοῦ, καὶ Πολυχρονίου, Κύρου Ἀλεξανδρείας καὶ Θεοδώρου Φαρὰν, τῶν λεγόντων μὴ δύο Φύσεις ἐπὶ Χριστοῦ, ἀλλὰ βλασφημούντων ἐν τῷ λέγειν ποτὲ μὲν μίαν ἐνέργειαν, ποτὲ δὲ μήτε μίαν μήτε δύο, ἀλλά τινα σύμικτον Θεανδρικὴν λεγομένην.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν γεγραμμένων ἐν τῇ Σάκρᾳ τοῦ Βασιλέως πρὸς τὸν Πάπαν Ῥώμης, καὶ τῶν πεμφθέντων γραμμάτων καὶ Τοποτηρητῶν τοῦ τε τοῦ Ῥώμης καὶ τῆς καθ' αὐτὸν Σωόδου πρὸς τὸν Βασιλέα.

Ἐν τῇ Σάκρᾳ αὐτοῦ ὁ Βασιλεὺς πρὸς τὸν Πάπαν Δόνον λέγει πολλάκις, Ἐθελησάντων τινῶν κίνησιν ποιήσασθαι περὶ τῶν φιλονεικημένων ὑπὲρ τοῦ τῆς εὐσεβείας δόγματος μεταξὺ τῶν μέρους τῆς τε καθ' ὑμᾶς ἁγιωτάτης Ἐκκλησίας καὶ τῶν τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας καὶ ἀμφισβητήσαι, διεκωλύσαμεν τοῦτο γενέσθαι, τοῦ καιροῦ μὴ ὑποδεχομένου, γινώσκοντες ὡς ἀπὸ μερικῆς ἀμφισβητήσεως πρὸς οἷς σῴζουσιν γενέσθαι οὐκ ἐδέχετο, ἀλλὰ καὶ τὸ κακὸν ἠὔξανε. Καὶ, τὴν καὶ τὰ πρέποντα ἡμῖν ὑποτηθειότητα χρῆναι πρὸς καθολικὴν συνάθροισιν τῶν ἀμφοτέρων θρόνων πρὸς τὸ κανονίζοντας αὐτοὺς τοὺς Ὁρισμοὺς τῶν ἁγίων πέντε Σωόδων, καὶ τὰς Ἐκθέσεις τῶν ἁγίων ἐγκρίτων πατέρων πληροφορίαν ἐμποιῆσαι αὐτοῖς τοῦ συνελθεῖν εἰς ἑνὶ σώματι καὶ μιᾷ καρδίᾳ δοξάζειν τὸ πάντιμον ὄνομα τοῦ Θεοῦ ἡμῶν. Καὶ, ἐπεὶ ἓν ὁ χρόνος οὐκ ὑποδέχεται τελείαν συνάθροισιν γενέσθαι, πρέπουσαν τὴν ὑμετέραν πατρικὴν μακαριότητα διὰ τῆς παρούσης ἡμῶν εὐσεβοῦς Σάκρας σπεῦσαι ἄνδρας χρησίμους τε καὶ ἐπιεικεῖς, ἐν ᾗ ἔχοντας πάσης θεοπνεύστου γραφῆς καὶ πεῖραν ἀπείληπτον κεκτημένους δογμάτων, ἐνδεδυμένους τὸ πρόσωπον τοῦ καθ' ὑμᾶς ἀποστολικοῦ θρόνου. Καὶ, τὸ ἀσφαλὲς ἐχόντων τῶν καταλαμβανόντων ἐκ μέρους τοῦ καθ' ὑμᾶς ἀποστολικοῦ θρόνου διὰ τῆς παρούσης ἡμῶν εὐσεβοῦς Σάκρας, μὰ τὸν γὰρ Θεὸν Παντοκράτορα οὐκ ἔστι παρ' ἡμῖν ἑτερομέρησις οἱαδήποτε, ἀλλ' ἰσότητα τοῖς ἀμφοτέροις φυλάξομεν. Καὶ, ὁ εὐδοκήσας κινηθῆναι τὰ τοῦ κεφαλαίου ἐπὶ τοῦ παρόντος, δι' οὗ τοῦ ἁγίου Πνεύματος εὐδοκῆσαι ἔχει τοῦτο φανερωθῆναι τὴν ἀλήθειαν, καὶ ἐπισῆναι πάντας χωρὶς χίσματος καὶ ἔριδος τῇ ἀληθείᾳ. Καὶ, πᾶσαν δὲ σωάθροισιν ἐκελεύσαμεν τοῖς ἐρχομένοις δι' ἐκεῖνον Θεόδωρον τὸν ἐνδοξότατον Πατρίκιον καὶ Ἔξαρχον τῆς Ἰταλῶν ἡμῶν Φιλοχείσου χώρας εἶναι πλοῖον καὶ δαπάνας καὶ πᾶσαν χρείαν αὐτῶν, καὶ εἰ ἡ χρεία καλέσει, καὶ κατελθόντας καρέβας δι' ἐκείνου εἰς Δέρσωσιν αὐτῶν πρὸς ἡμᾶς. ταῦτα ὁ Βασιλεύς. ἀπῆλθον δὲ ἡ Σάκρα εἰς Ῥώμην, καὶ εὗρον, ὡς ἔφηται, τὸν Δόνον ἐσθοκοιμηθέντα, Πάπαν δὲ τὸν ὁσιώτατον Ἀγάθωνα. ὁ δὲ Ἀγάθων καὶ τῷ πρὸς αὐτὸν βασιλικῇ κέλευσιν ἠθροισε Σωόδον ἐν Ῥώμῃ ἑκατὸν εἰκοσιπόντε Ἐπισκόπων, καὶ ἔπεμψεν εἰς Κωνσαντινούπολιν δύο ὑποσολάς, τὴν μίαν αὐτὸς μόνος, τὴν δὲ ἑτέραν αὐτὸς καὶ ἡ Σωόδος αὐτοῦ, καὶ Τοποτηρητὰς ἑαυτοῦ μὲν τρεῖς, Θεόδωρον καὶ Γεώργιον τοὺς Ἱερεῖς καὶ Ἰωάννην Διάκονον· ἐκ προσώπου δὲ τῆς Σωόδου αὐτοῦ, Ἰωάννην, Ἀβουνδάντιον καὶ Ἰωάννην Ἐπισκόπους ὁμοῦ μετὰ καὶ ἄλλων Κληρικῶν καὶ Μοναχῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τῆς πρὸς τὸν Ῥώμης Σάκρας τοῦ Βασιλέως σωάγεται εἶναι τὸν μὲν Βασιλέα τῶν Πατριαρχῶν Ῥώμης καὶ Κωνσαντινουπόλεως ἀνώτερον καὶ ἀθροίσεως τῆς Σωόδου, αὐτὸς δὲ ἰσότιμος, καὶ μοναρχίας καὶ ἀναμαρτησίας ἐκτὸς τὸν ἕτερον, ἤτοι τὸν Ῥώμης, τὴν δὲ ἀπόφασιν τῶν Οἰκουμενικῶν Σωόδων καὶ ἐν τοῦ Ῥώμης, ἐξ ὧν δείκνυται πλάσμα ἡ μοναρχία τῆς ἐν Ῥώμῃ Ἐκκλησίας, καὶ ὁ Ἐπίσκοπος αὐτῆς Ἄρχων κοσμικὸς, καὶ οἷον ὁ τῆς Φλωρεντείας Δέξ.

Ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι φιλονεικούντων καὶ μαχομένων ἐρισικῶς τῶν δύο θρόνων Ῥώμης καὶ Κωνσαντινου-

τινουπόλεως, ἐπιεικέστερος καὶ ἁγιώτερος ἐφάνη ὁ συνάξας αὐτοὺς Βασιλεύς. δεύτερον, ὅτι ὁ Βασιλεὺς κελεύει καὶ ἀγείρεται Σύνοδος Οἰκουμενικὴ, καὶ οὐχ ὁ Ῥώμης, ὅστις προστάττεται, οὐ προστάττει. τρίτον, οὐ λέγει ὅτι οἱ Κωνσταντινουπολῖται γεγόνασι παρήκοοι τῷ Ῥώμης, οὐ λέγει ἵνα ὑποταχθῇ ὁ Κωνσταντινουπόλεως τῷ Ῥώμης, ἀλλ' ἀμφοτέρους ἐξισάζει, καὶ ὑπόσχεται ἵνα φυλάξῃ ἰσότητα καὶ ἐν τοῖς δυσὶ μέρεσι, καὶ μὴ προτιμήσῃ τὸ ἓν τοῦ ἑτέρου, καὶ λοιπὸν πῦ ἡ εἰσακουομένη τοῦ Ῥώμης ὑπεροχή; ὅθεν καὶ τὸν ἕνα καὶ τὸν ἄλλον μακαριώτατον καλεῖ, ἀλλὰ δὴ καὶ τὸν Ἀντιοχείας μακαριώτατον καὶ ἁγιώτατον ὀνομάζει, καὶ τοῦτο δι' οὐδὲν ἕτερον, ἀλλὰ διὰ τὸ εἶναι τοὺς Πατριάρχας ἐξίσου Πατριάρχας. τέταρτον, ὅτι παραγγέλλει τῷ Πάπᾳ ἀποστεῖλαι Τοποτηρητὰς καὶ ἀφ' ἑαυτοῦ καὶ ἀπὸ τῆς Συνόδου αὐτοῦ καὶ ἀπὸ τινων Μοναστηρίων τῶν ἐν τῇ Ῥώμῃ, καὶ πῦ λοιπὸν τοῦ Πάπα ἡ μοναρχικὴ ἡγεμονία; πῦ ἡ ἀναμαρτησία ἐν τοῖς περὶ πίστεως ὅτε πολλοὶ καλοῦνται κριταὶ περὶ πίστεως, καὶ μάλιστα ἰσοτίμως; ὅθεν πατρικὴν μακαριότητα γράφει καὶ τῷ Ῥώμης καὶ τῷ Κωνσταντινουπόλεως, καὶ τὴν μὲν Ῥώμην καλεῖ ἁγιωτάτην Ἐκκλησίαν, τὴν δὲ Κωνσταντινούπολιν ἁγιωτάτην μεγάλην Ἐκκλησίαν. πέμπτον, ὅτι λέγει τοὺς Ὁρισμοὺς τῶν ἁγίων πέντε Συνόδων, καὶ τὰς Ἐκθέσεις τῶν ἁγίων ἐγκρίτων πατέρων κανονίζοντας πληροφορίαν ἐμποιῆσαι αὐτοῖς, καὶ συνελθεῖν ἐν ἑνὶ στόματι, καὶ πῦ τὸ διορίζειν τὸν Ῥώμης μόνον, καὶ ἐκ θείας ἀποκαλύψεως διορίζειν τὴν ἀλήθειαν, καὶ πληροφορίαν ἐμποιεῖν; ἕκτον, σημείωσαι ὅτι Σεβερῖνος, Ἰωάννης, Θεόδωρος, Μαρτῖνος, Εὐγένιος, Βιταλιανὸς, Θεοδᾶτος, Δόνος καὶ Ἀγάθων Ἐπίσκοποι Ῥώμης διά τε Συνόδων μεγάλων διά τε ἐπιστολῶν καὶ διὰ πολλῶν ἄλλων σπουδῶν ἀγωνισάμενοι ἀπὸ τοῦ ἑξακοσιοστοῦ τριακοστοῦ ἐνάτου ἔτους ἕως τοῦ ἑξακοσιοστοῦ ὀγδοηκοστοῦ ἔτους κατὰ τῶν Μονοθελητῶν, οὐδαμῶς ἴσχυσαν πληροφορίαν ἐμποιῆσαι τῇ καθολικῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, καὶ συνελθεῖν τὰς καθολικὰς καὶ ἀποστολικὰς Ἐκκλησίας ἐν ἑνὶ στόματι δοξάζειν τὸ ὄνομα τοῦ Θεοῦ. ὅθεν ὁ Βασιλεὺς εὔχεται ὅτι Οἰκουμενικῆς Συνόδου γενομένης διὰ τοῦ ἁγίου Πνεύματος φανερωθήσεται ἡ ἀλήθεια, καὶ ἐπιστῆναι πάντας χωρὶς σχίσματος καὶ ἔριδος τῇ ἀληθείᾳ, καὶ ἐν ἑνὶ στόματι δοξάζειν τὸν Θεόν. ἐξ ὧν δῆλον, ὅτι ὁ Πάπας Ἐπίσκοπος ἐστὶ μιᾶς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, καὶ οὐδὲν δύναται μόνος, ἢ καὶ μετὰ τῆς Συνόδου αὐτοῦ, ἀλλ' ἡ ἐκκλησιαστικὴ καθόλου κοινότης τὰς ἐκκλησιαστικὰς ἀμφιβολίας διαλύει, καὶ τὴν πληροφορίαν ἐμποιεῖ. ὥστε ἔμεινε τὴν ἐν τῇ Ῥώμῃ μοναρχικὴν ἡγεμονίαν πλάσμα καὶ ἀναίδειαν εἶναι ἀσεβεστάτων ἀνθρώπων, καὶ οὐδὲν ἕτερον. ἕβδομον, σημείωσαι ὅτι ἡ Ῥωμαϊκὴ Ἐκκλησία ἦν πτωχὴ καὶ ἐνδεὴς κοσμικοῦ πλούτου, ὡς ἦσαν οἱ ἀρχαῖοι Πάπαι καὶ οἱ ἅγιοι Ἀπόστολοι, ἡ δὲ νῦν ἐν Ῥώμῃ ἐξουσία, καὶ ὁ πλοῦτος αὐτῆς καινά εἰσι καὶ κοσμικὰ, καὶ πάσης ἐκκλησιαστικῆς παραδόσεως καὶ ἰδιότητος πάντῃ καὶ πάντως ἀλλότρια, καὶ ἑπομένως ὁ τῶν τοιούτων προϊστάμενος καὶ ἐξάρχων κοσμικός ἐστι, καὶ οὐκ ἐκκλησιαστικὸς, καὶ κοσμικὸς τοιοῦτος, ὥστε μὴ εἶναι αὐτὸν ἢ καθόλου μοναρχὴν, ἢ μὴν βασιλέα, ἀλλ' ὥσπερ τὸν Δοῦκα Φλωρεντείας, Δοῦκα τῆς παλαιᾶς Ῥώμης, ἢ Ἀνθύπατον τοῦ Βασιλέως τῆς Γερμανίας, καὶ διὰ μόνης ἀπάτης καὶ ὑποκρίσεως ἀλλοῖον φαινόμενον πρὸς δεισιδαίμονα ἀνθρωπάρια, οὐ μὴν καὶ πρὸς τοὺς σῷον τὸν ἐγκέφαλον ἔχοντας.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῶν ἐτῶν ἀπὸ τῆς Βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου ἕως τῆς ἀθροίσεως τῆς παρούσης Συνόδου καὶ τοῦ Μηνὸς καὶ τῆς Ἰνδικτιῶνος, καὶ πῦ ἠθροίσθη, καὶ περὶ τῶν καθισμάτων τοῦ Βασιλέως, τῆς Συγκλήτου, τῶν Πατριαρχῶν, τῶν Τοποτηρητῶν καὶ τῶν Ἐπισκόπων, καὶ ὧν εἶπον οἱ τοῦ Ῥώμης Λεγᾶτοι κατὰ τῶν Αἱρετικῶν, καὶ ὧν ἀπεκρίθησαν οἱ Αἱρετικοὶ ματαίων, καὶ ὅτι ἐκ τοῦ πρὸς τὸν Βασιλέα λόγου τῶν τοῦ Ῥώμης Λεγάτων δείκνυται ὁ τῆς Ῥώμης θρόνος δοῦλος τοῦ Βασιλέως.

Ἠθροίσθη ἡ Σύνοδος τῷ εἰκοστῷ ἑβδόμῳ ἔτει, εἰ καὶ ἐν τῇ δεκάτῃ ὀγδόῃ πράξει φαίνεται τῷ εἰκοστῷ ὀγδόῳ, καὶ μετὰ ἔτη δεκατρία τῆς Ὑπατείας αὐτοῦ, τῇ ἑβδόμῃ τοῦ Νοεμβρίου, Ἰνδικτιῶνι ἐνάτῃ. ἠθροίσθη δὲ εἰς τὸ βασιλικὸν Παλάτιον εἰς τὸ Σεκρέτον, τροῦλλος λεγόμενον. προεκάθισεν ὁ Αὐτοκράτωρ Κωνσταντῖνος, καὶ ἡ περὶ αὐτὸν Σύγκλητος ἐκάθισεν ἐκ πλαγίων αὐτοῦ. εἶτα εἰς τὸ ἀριστερὸν μέρος ἐκάθισαν οἱ Λεγᾶτοι τοῦ Πάπα καὶ οἱ ἐλθόντες ἐκ προσώπου τῆς Συνόδου Ῥώμης Ἐπίσκοποι, καὶ Γεώργιος Πρεσβύτερος Μοναχὸς καὶ Λεγᾶτος Θεοδώρου τοῦ Τοποτηρητοῦ τοῦ ἀποστολικοῦ θρόνου Ἱεροσολύμων, καὶ οἱ ἀπὸ Ῥώμης λοιποί. εἰς δὲ τὸ δεξιὸν μέρος ἐκάθισαν ὁ Κωνσταντινουπόλεως Γεώργιος, ὁ Ἀντιοχείας Μακάριος, καὶ Πέτρος Πρεσβύτερος Μοναχὸς καὶ Τοποτηρητὴς τοῦ Ἀλεξανδρείας, καὶ οἱ περὶ αὐτοὺς Ἐπίσκοποι. εἶτα ἠγέρθησαν οἱ Λεγᾶτοι τοῦ Ῥώμης καὶ εἶπον, ἐπειδὴ καινοφωνίας εἰσήγαγων Σέργιος, Παῦλος, Πύῤῥος, Πέτρος, οἱ κωνσταντινουπόλεως Πατριάρχαι καὶ ὁ Ἀλεξανδρείας Κῦρος καὶ Θεόδωρος ὁ Φαρὰν καί τινες σὺν αὐτοῖς, ἓν θέλημα καὶ μίαν ἐνέργειαν λέγοντες ἐπὶ Χριστοῦ, ἀποδειξάτωσαν. εἶτα ἀπεκρίθησαν ὁ Ἀντιοχείας Μακάριος καὶ Στέφανος ὁ μαθητὴς αὐτοῦ καὶ ἄλλοι, ὅτι καινοφωνίας οὐκ εἴπομεν, ἀλλ' ἐκ τῶν πατέρων, καὶ λαβὼν ὁ Στέφανος τῆς τρίτης Συνόδου τὰ πρακτικὰ, ἐνόμισεν εἰπεῖν τι, ἀλλ' ἐφάνη

λίαν

λίαν ματαιόφρων. σημείωσαι, ὅτι οἱ Λεγᾶτοι τοῦ Πάπα ποιούμενοι τὸν λόγον εἰς τὸν Βασιλέα, εἶπον, ἀπεστάλημεν παρὰ Ἀγάθωνος εἰς τὰ ἴχνη τῆς θεοστηρίκτου ὑμῶν γαλήνης, καὶ ἴδε πῶς οὐκ ἐξισοῦται ὁ Καρδηνάλις Βασιλεῦσι καθὼς ἡ Ῥώμη νῦν καινοτομεῖ. δεύτερον, ὅτι εἶπον τῷ Βασιλεῖ, πολλάκις τοῦ δουλικοῦ ὑμῶν τοῦ καθ' ἡμᾶς ἀποστολικοῦ θρόνου (τοὺς εἰρημένους Πατριάρχας) περὶ τούτου ὑποκρούσαντος, εἶτα δὲ καὶ παρακαλέσαντος, καὶ τὰ ἑξῆς. καὶ σημείωσαι, εἰ ἐστὶν ὁ θρόνος Ῥώμης δουλικὸς τοῦ Βασιλέως, πῶς νῦν ὁ Πάπας οἴεται εἶναι ὑπὲρ τοὺς Βασιλεῖς; ἀλλὰ καὶ εἰς τὴν δευτέραν πρᾶξιν τὸ προστεθὲν ὑπὸ τῶν Αἱρετικῶν τούτων ἀπὸ τῆς τετάρτης Συνόδου ἀπὸ τοῦ τόμου Λέοντος τῇ εὐσεβείᾳ συνῆσαι. καὶ ἀπὸ τῆς πέμπτης προεβάλοντο ὁ Μακάριος καὶ οἱ ὀπαδοὶ αὐτοῦ ἐπιστολὴν ἣν ἔστειλεν ὁ Κωνσταντινουπόλεως Μηνᾶς πρὸς τὸν Ῥώμης Βιγίλιον, ἀλλ' εὑρέθη πλαστὴ καὶ ψευδεπίπλαστος. ἀλλ' οὔτε ἀπὸ τῆς πέμπτης Συνόδου τοιοῦτόν τι ἀποδεῖξαι ἐδυνήθησαν ὡς εἶπον, καὶ ἐζητήθη ἀναγνωσθῆναι τὰς ἐπιστολὰς τοῦ Ῥώμης Ἀγάθωνος.

ΠΑΡΑΓΡΑΦΟΝ Ε.

Ὅτι ἐκ τῆς πρὸς τὸν Βασιλέα ἀποκρίσεως τοῦ Πάπα Ἀγάθωνος ἐν τῇ πρώτῃ πράξει, δείκνυται μὴ εἰληφέναι προνόμιον ἐν τῇ Ἐκκλησίᾳ ὥσπερ τὸν Βασιλέα παρὰ τῆς Συνόδου ταύτης, οὕτω καὶ τὸν Πάπαν Λέοντα παρὰ τῆς τετάρτης Συνόδου, καὶ ὅτι οἱ Λεγᾶτοι αὐτοῦ δοῦλοι τοῦ Βασιλέως, καὶ ἡ πίστις ἐκ τῶν πέντε Οἰκουμενικῶν Συνόδων, ἐξ ὧν συνάγεται πρῶτος κριτὴς ἡ Οἰκουμενικὴ Σύνοδος, ὁ δὲ Ῥώμης μέρος αὐτῆς.

Σημείωσαι ἐν τῇ πρώτῃ πράξει, ὅτι ὁ Ἀγάθων, εἰπόντων τῶν Βασιλέων εἰς τὴν Σάκραν, μὴ καταναγκάζειν, ἀλλὰ ἐκκλησιαστικῶς βούλεσθαι θεωρηθῆναι τὰ περὶ τοῦ δόγματος, ἀντιγράφων αὐτοῖς, λέγει, τὰ τοιαῦτα ἡ χάρις τοῦ ἁγίου Πνεύματος καλάμῳ τῆς βασιλικῆς γλώττης ἐκ τοῦ καθαροῦ θησαυροῦ τῆς καρδίας ὑπηγόρευσεν. ὡς δὲ τοῦτο οὐδίδωσι τῷ Βασιλεῖ ἐν τῇ Ἐκκλησίᾳ προνόμιον, οὕτω καὶ ἡ τετάρτη Σύνοδος ἡ εἰποῦσα τὴν ἐπιστολὴν τοῦ Λέοντος συμβαίνειν τῇ ὁμολογίᾳ τοῦ Πέτρου, δέδωκε τῷ Πάπᾳ προνόμιόν τι ἐν τῇ Ἐκκλησίᾳ. δεύτερον λέγει, ὅτι οἱ Λεγᾶτοι αὐτοῦ ἀπεύδουσιν ἐπὶ τὰ ἴχνη τοῦ Βασιλέως, καὶ ἴδε πόσον τὸ ἀξίωμα τῶν τοῦ Πάπα Λεγάτων, καὶ ὅτι δοῦλοι τοῦ Βασιλέως ὡς καὶ πᾶς τις ἕτερος ἄνθρωπος ὑποκείμενος αὐτῷ. σημείωσαι τρίτον ὅτι λέγει, ἐν τῇ Δύσει σοφοὶ οὐκ ἦσαν τότε, καὶ ὅτι ἡ πίστις φησὶν οὐκ ἀπὸ τῆς σοφίας (ὡς οἱ νυνὶ παπισταὶ) ἀλλὰ ἀπὸ τῶν Κανόνων τῶν πέντε προηγησαμένων Συνόδων ἐστὶν ὡρισμένη ἐν ἁπλότητι καρδίας. τέταρτον, ὅτι εὔχεται ἵνα μηδὲν μειωθῇ (ἀπὸ τῶν κανονικῶς ὁρισθέντων ὑπὸ τῶν ἁγίων πέντε Συνόδων) μηδὲν ἀλλαγῇ, ἢ προστεθῇ, ἀλλὰ ταὐτὰ καὶ ῥήμασι καὶ νοήμασιν ἀπαράτρωτα φυλαχθῶσι, καὶ ἴδε καλῶς τὸ, μηδὲ ῥήμασι, κατὰ τῶν ποιησάντων τὴν προσθήκην εἰς τὸ Σύμβολον, καὶ τὰς λοιπὰς καινοτομίας τοῦ Πάπα. πέμπτον, ὅτι Ἔκθεσιν πίστεως γράφων, οὐ λέγει ἐκείνην ἣν ἐλάβομεν δηλαδὴ ἀπὸ τῶν Παπῶν, ἢ παρὰ τῶν ὧν ἐποίησαν περὶ τοῦ προβλήματος τούτου οἱ Πάπαι ἐν Ῥώμῃ Συνόδων, ἀλλὰ ἀπὸ τῶν πέντε Οἰκουμενικῶν Συνόδων, καὶ γνῶθι ποῖος ὁ πρῶτος κριτὴς καὶ πρῶτος εἰκαστὴς, καὶ ὅτι ἡ Σύνοδος οἱ Οἰκουμενικὴ, καὶ οὐχὶ κατὰ μέρος Πάπας ἢ Πατριάρχης καὶ αἱ κατ' αὐτοὺς μερικαὶ Σύνοδοι.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἐν τῇ αὐτῇ πράξει ἐκ τῆς ἐν Ῥώμῃ Συνόδου ἐπιστολῆς πρὸς τὸν Βασιλέα μαρτυρεῖται δοῦλος τοῦ Βασιλέως ὁ Ἀγάθων, καὶ τὶς ὁ τρόπος τοῦ τὸν Πέτρον κορυφαῖον λέγεσθαι, καὶ ὅτι πᾶς Ἀρχιερεὺς καὶ ὁ Ῥώμης ἐξίσου μαθηταὶ τῶν Ἀποστόλων, καὶ ἡ πίστις ἀπὸ τῶν πατέρων, καὶ περὶ τῶν ὑπογραψάντων ἐν τῇ Συνόδῳ, ὧν πρῶτος ὁ Ἀγάθων.

Ἀναγινώσκεται εἰς αὐτὴν τὴν πρᾶξιν καὶ ἡ συνοδικὴ ἐπιστολὴ ἣν ἀπέστειλεν ἡ ἐν τῇ Ῥώμῃ συναχθεῖσα Συνόδος ἐπὶ Ἀγάθωνος, ἐν ᾗ σημείωσαι πρῶτον, ὅτι λέγει οὕτως αὐτολεξεὶ, Ἡμεῖς πάντες οἱ ἐλάχιστοι τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ πρόεδροι, οἱ δοῦλοι τοῦ χριστιανικωτάτου ὑμῶν κράτους. καὶ λοιπὸν εἰ ἦν ὁ Ἀγάθων δοῦλος τοῦ Αὐτοκράτορος Κωνσταντίνου, πῶς νῦν ὁ Πάπας οὐκ αἰσχύνεται αὐχεῖν εἶναι ἐπὶ τῶν Αὐτοκρατόρων; πῶς Γρηγορίου τοῦ ἑβδόμου ἡ ἀπόφασις, ὅτι ὁ μὴ πειθόμενος ταῖς ἐπιταγαῖς τοῦ Πάπα κἂν Βασιλεύς τιν, Εἰδωλολάτρης ἐστί; δεύτερον ὅτι λέγει, Τὸ φῶς τῆς καθολικῆς πίστεως λάμπει ὡς δι' ἀκτίνων Πέτρου καὶ Παύλου τῶν κορυφαίων τῶν Ἀποστόλων, καὶ ἴδε ὅτι καὶ τὸν Παῦλον κορυφαῖον τῶν Ἀποστόλων λέγει, καὶ τοὺς Πάπας μαθητὰς αὐτῶν, καὶ γνῶθι κατὰ τὶ τρόπον λέγεται λοιπὸν καὶ ὁ Πέτρος κορυφαῖος, καὶ ὅτι πᾶς ὀρθόδοξος Ἀρχιερεὺς μαθητὴς τῶν Ἀποστόλων, ὃν τρόπον καὶ ὁ Ῥώμης. τρίτον, ὅτι εἰς τὴν Δύσιν ἦσαν συχνοὶ πόλεμοι, διατοῦτο καὶ Ἀρχιερεῖς οὐκ ἦσαν σοφοὶ, καὶ ἦσαν καὶ πτωχοὶ, διατοῦτο καὶ τὴν πίστιν οὐκ ἀπὸ σοφίας καὶ πλούτου ἤθελον, ἀλλ' ἀπὸ τῶν πατρικῶν διδασκαλιῶν καὶ τῶν Κανόνων, ὅθεν καὶ πολλὰ λέγουσι κατὰ τῆς κοσμικῆς σοφίας, ἣν νῦν οἱ Ῥωμᾶνοι ἔμιξαν τῷ Εὐαγγελίῳ. καὶ σημείωσαι, ὅτι οὐκ ἔχουσιν οἱ τοιοῦτοι τὴν πίστιν τῆς Συνόδου ταύτης. ἦσαν δὲ ὡς εἴρεται οἱ ὑπογράψαντες Ἐπίσκοποι ἑκατὸν εἰκοσιπέντε, καὶ πρῶτος ὁ Ἀγάθων.

ΠΑΡΑ-

ΒΙΒΛΙΟΝ ς'. ΚΕΦΑΛΑΙΟΝ Η'.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῶν περιεχομένων ἐν ταῖς πρὸς τὸν Βασιλέα ἀπὸ Ῥώμης ὑποτολαῖς ταῖς ἐν τῇ πρώτῃ πράξει ἀναγνωσθείσαις, ἐξ ὧν δείκνυται καθαρῶς ὅ,τε Πάπας καὶ οἱ λοιποὶ πατέρες δοῦλοι τοῦ Βασιλέως, ὁ δὲ κύριος ἐν τῇ Ἐκκλησίᾳ τῆς σωτῆρος, καὶ οἱ ἐκεῖ Πάπαι αὐτίπαπαι καὶ ψευδεπίσκοποι.

Εἰς τὴν πρώτην πρᾶξιν, ὡς εἴρηται, ἀναγινώσκονται αἱ ἀπὸ Ῥώμης ὑποτολαί, ἐν αἷς ἔστι σημείωσαι πρῶτον, ὅτι λέγει τὸν Βασιλέα ὁ Πάπας δεσπότας καὶ τέκνα, καὶ συνεχῶς λέγει ἑαυτὸν καὶ τὸν κληρον καὶ τὴν Σιώδον αὐτοῦ δοῦλος τοῦ Βασιλέως. Καὶ, ἀπὸ τῆς δουλικῆς τοῦ ὑμετέρου κράτους πόλεως Ῥώμης. Καὶ, κατὰ τὴν δυσεβεσάτην κέλευσιν τῆς θεοσκεπάστου ὑμῶν ἡμερότητος. Καὶ, γονυπετοῦντες τῇ Δεσποίᾳ, ἱκετεύομεν τὴν ὑμετέραν φιλανθρωπίαν. Καὶ, ἡ ἡμετέρα σμικρότης τὸ κελευσθὲν μετ' ὑπακοῆς ἐπλήρωσε. Καὶ, Ἀγάθων καὶ ἡ Σιώδος οἱ ἐλάχιστοι τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ θεόδουλοι, δοῦλοι τοῦ χριστιανικωτάτου ὑμῶν κράτους. Καὶ, Ἀγάθων ἅμα τῇ Σιώδῳ ὑπέγραψα. Καὶ, Ἀνδρέας χάριτι Χριστοῦ Ἐπίσκοπος τῆς ἐν τῇ Ὄσῃ Ἐκκλησίας ἐν ταύτῃ τῇ ἀναφορᾷ ἣν ὑπὲρ τῆς ὑποτολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, καὶ οἱ λοιποὶ ὁμοίως. Ἐν τούτοις δείκνυται καθαρῶς καὶ ὁ Πάπας αὐτὸς δοῦλος τοῦ Βασιλέως, ὡς καὶ οἱ λοιποὶ πατέρες κατὰ πάντα ἐξίσου, ὡς ἦν καὶ ὁ Πάπας Μαρτῖνος. καὶ σημείωσαι, ὅτι νῦν φρονιζόμενος ὁ Πάπας μείζων τῶν Βασιλέων, αὐτίπαπας ἐστὶ καὶ ὁ Πάπας. δεύτερον, τὸ κύριος ἐν τῇ Ἐκκλησίᾳ τῆς Σιώδου ἐστίν, ἐπειδὴ ἴσος ὁ Πάπας τοῖς τῆς Σιώδου πατράσι, καὶ οἴχεται καθάπαξ ἡ νῦν μοναρχία τοῦ ψευδεπισκόπου Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῶν ἐν τῇ πέμπτῃ, ἕκτῃ, ἑβδόμῃ καὶ ὀγδόῃ ταῖς πράξεσι ῥηθέντων, ἀναγνωσθέντων, ἐξεταθέντων καὶ βεβαιωθέντων, ἐξ ὧν δείκνυται τὸν Πάπα ἀθεμίτερον οἱ πατέρες, καὶ Κανὼν πίστεως οἱ αὐτοὶ καὶ ὄχ ὁ Ῥώμης.

Εἰς τὴν πέμπτην πρᾶξιν, ἐπειδὴ οὐκ ἠξίωσε λόγου ὁ Ἀντιοχείας τὰς ἀπὸ Ῥώμης ὑποτολὰς, ὁ Βασιλεὺς οὐκ εἶπον αὐτῷ, διατί ἀπέθετο τὸν Πάπαν, ὡς ὤφελεν τυχὸν ὁ Χριστὸς, ἢ ὡς διώρισαν οἱ πατέρες, ἢ ὡς ἡ συνήθεια παρέδωκεν εἶναι τὸν Πάπαν ἐξαίρετον βικάριον τοῦ Χριστοῦ, ἢ τοῦ Πέτρου ἰδιοτρόπως, ἢ μονοτρόπως διάδοχον; ἀλλὰ ἐζήτησε παρ' αὐτοῦ τὴν ἀπόδειξιν ὧν ἔλεγε, καὶ ἔφερε δύο κωδίκια χρήσεις πατέρων περιέχοντα, καὶ ἀνεγνώσθησαν. εἰς δὲ τὴν ἕκτην πρᾶξιν ἔφερε καὶ τρίτον κωδίκιον, ἀλλ' οἱ ἀπὸ Ῥώμης εἶπον, ὅτι αἱ μαρτυρίαι τῶν πατέρων αἱ περιεχόμεναι ἐν τοῖς τρισὶ κωδικίοις τοῦ Μακαρίου περὶ ἑνὸς θελήματος καὶ ἐνεργείας, εἰσὶ κολοβαὶ καὶ διακεκομμέναι, αὐτοὶ ὅμως εἶχον χρήσεις τῶν ἐγκειμένων πατέρων περὶ τῶν δύο ἐνεργειῶν καὶ θελημάτων τοῦ Σωτῆρος, καὶ εἰς τὴν ἑβδόμην πρᾶξιν ἀνεγνώσθησαν. καὶ ἐρωτήσας ὁ Βασιλεὺς τὸν Κωνσταντινουπόλεως καὶ Ἀντιοχείας εἰ συμφωνοῦσιν αὐταῖς καὶ ταῖς τοῦ Πάπα ὑποτολαῖς καὶ τῆς καθ' αὐτὸν Σιώδου, ἀπεκρίθησαν ὁ Κωνσταντινουπόλεως καὶ Ἀντιοχείας, ὅτι δεῖ πρῶτον βασιλεῦσαι αὐτὰς τοῖς ἐν τῷ τῆς Κωνσταντινουπόλεως Πατριαρχείῳ ὄσι πρωτοτύποις, καὶ ἔπειτα δοῦναι ἀπόκρισιν. καὶ εἰς τὴν ὀγδόην πρᾶξιν τὴν ἀπόκρισιν ποιησάμενος ὁ Κωνσταντινουπόλεως, εἶπε, ταὶς ἀπὸ Ῥώμης ἀναφοραὶς ἀνέγνων, καὶ τὰς τῶν ἐγκειμένων πατέρων χρήσεις παρέβαλον τοῖς πρωτοτύποις, καὶ λοιπὸν στοιχῶ κατὰ τὴν γνώμην Ἀγάθωνος, καὶ ὅτως ὁμολογῶ καὶ πιστεύω, καὶ ὅτως εἶπον καὶ πολλοὶ τῶν Ἀρχιερέων, καὶ πάντες οἱ ὑπὸ τὸν Κωνσταντινουπόλεως Ἀρχιερεῖς τὰ αὐτὰ ἐξεφώνησαν. Σὺ δὲ σημείωσαι καὶ ταῦτα πῶς ἐξετάζονται τοῦ Ῥώμης αἱ ὑποτολαὶ, καὶ αἱ ὑποταλεῖσαι χρήσεις διὰ πολλῶν εἰς τέλος βεβαιοῦνται, οὐ διὰ τὴν κρίσιν τοῦ Πάπα Ἀγάθωνος, ἀλλὰ διὰ τὴν μαρτυρίαν τῶν ἁγίων πατέρων, καὶ γνῶθι, ὅτι συμφωνοῦνται οἱ πατέρες καὶ τοῦ Πάπα καὶ τῆς καθ' αὐτὸν Σιώδου, καὶ Κανὼν πίστεως οἱ πατέρες, οὐχ ὁ Ῥώμης. ὅθεν καὶ ὁ Ἀντιοχείας μὴ ἀξιώσας λόγου τὰς ὑποτολὰς τοῦ Ῥώμης οὐκ ἐπετιμήθη, ἀλλ' ἐζήτησεν ὁ Βασιλεὺς ἀποδεῖξαι ἅπερ ἔλεγε.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τοῦ ἐν τῇ Σιώδῳ χάρτου τοῦ Μελιτηνῆς Θεοδώρου, καὶ ὧν περιέχει, καὶ περὶ τῆς Βιταλιανοῦ Ῥώμης ἐν τοῖς διπτύχοις τάξεως, πολυχρονισμοῦ τε τοῦ Βασιλέως, τοῦ Ἀγάθωνος, τοῦ Κωνσταντινουπόλεως καὶ τῆς συγκλήτου ἀπὸ τῆς Σιώδου, καὶ περὶ τῆς ὁμολογίας τῆς πίστεως χρησεών τε καὶ διαλέξεων βλασφήμων καὶ ψευδῶν ἐν αὐτῇ συνάξει πράξεως καὶ καθαιρέσεως τοῦ Ἀντιοχείας Μακαρίου καὶ τοῦ μαθητοῦ αὐτοῦ Στεφάνου καὶ ἀναθεματίσεως, καὶ περὶ τῶν ἐν τῇ δεκάτῃ πράξει ἀναγνωσθεισῶν χρήσεων ἁγίων πατέρων καὶ ἄλλων, καὶ τῆς ἐπιστολῆς τοῦ Ἱερουσολύμων Σωφρονίου πρὸς Σέργιον τῆς ἐν τῇ ἑνδεκάτῃ πράξει ἀναγνωσθείσης.

Ἐγέρθη

ΠΕΡΙΤΩΝΕΝΙΕΡΟΣΟΛΥΜΟΙΣΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

562

Ἠγέρθη ὅμως ὁ Μελιτηνῆς Θεόδωρος καὶ ἔδωκε χάρτην, ἐν ᾧ ἔλεγεν, ὥσπερ ἡ πέμπτη Σύνοδος ἐδογμάτισε τὸν Χριστὸν ἐκ δύο φύσεων καὶ ἐν δυσὶ φύσεσιν, οὕτω πιστεύω καὶ τὸν αὐτὸν ποιεῖν καὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα. καὶ ἐρωτηθεὶς, εἶπε τοὺς ὀπαδοὺς αὐτοῦ, ἐκεῖνοι δὲ ἠρνήσαντο. δέεται δὲ τοῦ Βασιλέως ὁ Κωνσταντινουπόλεως τεθῆναι ἐν τοῖς Διπτύχοις τὸν Βιταλιανὸν Ῥώμης, ἐκβληθέντα ἐξ αἰτίας τοῦ Ἀντιοχείας, καὶ εἰσακούεται εὐθεὶς, καὶ ἡ Σύνοδος πολυχρονίζει τὸν Βασιλέα, καὶ τὸν Ἀγάθωνα, καὶ τὸν Κωνσταντινουπόλεως, καὶ τὴν Σύγκλητον. συνεφώνησαν ὅμως καὶ οἱ ὑπὸ τὸν Ἀντιοχείας Ἐπίσκοποι τῷ τε Κωνσταντινουπόλεως καὶ τῷ Ῥώμης. ὁ δὲ Ἀντιοχείας Μακάριος ἔδωκε τὴν ὁμολογίαν τῆς πίστεως αὐτοῦ, καὶ ἐφάνη ἐς τὰ μάλιστα βλάσφημος, παρέθεντο δὲ καὶ τὰς χρήσεις τῶν πατέρων, ἃς προέβαλε, τοῖς αὐθεντικοῖς βιβλίοις, καὶ εὑρέθησαν κολοβαὶ καὶ ἀποκεκομμέναι, διηλέχθη καὶ τῷ στόματι, καὶ ἐφάνη ψεύστης καὶ ἀχρεῖος. τὰ αὐτὰ γεγόνασι καὶ εἰς τὴν ἐνάτην πρᾶξιν, Διάτοι τοῦτο καὶ Μακάριος καὶ Στέφανος ὁ μαθητὴς καθαιροῦνται καὶ διώκονται. εἰς δὲ τὴν δεκάτην πρᾶξιν ἀνεγνώσθησαν εἰς πλάτος αἱ χρήσεις τῶν ἐγκρίτων πατέρων Λέοντος, Ἀμβροσίου, Χρυσοστόμου, Ἀθανασίου, Νύσσης, Κυρίλλου, Ἐπιφανίου, Ναζιανζηνοῦ, Αὐγουστίνου, Ἰουστίνου, Ἰουστινιανοῦ Βασιλέως, Ἐφραὶμ καὶ Ἀναστασίου Ἀντιοχείας, Ἰωάννου Ἐπισκόπου Σκυθοπόλεως, αἵτινες, ὡς εἴρηται, ἐστάλησαν παρὰ Ἀγάθωνος, καὶ παρεβλήθησαν τοῖς πρωτοτύποις. ἀνεγνώσθησαν οὖν αὗται, καὶ εὑρέθησαν συνιστῶσαι τὸ ἅγιον δόγμα. ἀνεγνώσθησαν καὶ χρήσεις τῶν Αἱρετικῶν βλασφημοῦσαι, καὶ ἐγνώσθη ἐκ τῶν ἁγίων ἡ ἀλήθεια συνισταμένη, καὶ ἐκ τῶν βεβήλων ἀντιλεγομένη. εἰς δὲ τὴν ἑνδεκάτην πρᾶξιν ἀνεγνώσθη ἡ συνοδικὴ ἐπιστολὴ τοῦ Ἱεροσολύμων Σωφρονίου, ἡ σταλεῖσα πρὸς Σέργιον τὸν Κωνσταντινουπόλεως, καὶ ἐφάνη καὶ ἐξ αὐτοῦ ἡ τῆς ἀληθείας ὑπεροχή. ἀφῆκε δὲ ὁ Βασιλεὺς τινὰς Ἄρχοντας συμπαρῆναι τῇ Συνόδῳ, διότι εἶχε πολιτικὰς φροντίδας.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῶν ἐν τῇ ἑνδεκάτῃ πράξει καὶ μέχρι τῆς τεσσαρεσκαιδεκάτης πράξεως τῆς παρούσης Συνόδου ἀναγνωσθέντων κῳδικίων, ἐπιστολῶν καὶ ἀπὸ τῆς πέμπτης Συνόδου πράξεων, καὶ κατακρίσεως Σεργίου, Πύῤῥου, Παύλου, Πέτρου, Κύρου καὶ Ὀνωρίου, καὶ ἐξετάσεως συγγραμμάτων Αἱρετικῶν, ὀρθοδόξων καὶ χρήσεων.

Εἰς τὴν ἑνδεκάτην πρᾶξιν ἔδωκεν ὁ Βασιλεὺς λίβελλον, ὃν αὐτῷ ἔδωκεν ὁ Μακάριος ἵνα ἀναγνωσθῇ ἐν τῇ Συνόδῳ, καὶ ἀνεγνώσθη. ἦσαν δὲ τρία κῳδίκια ἐν τῷ δοθέντι λιβέλλῳ, ἔχοντα μαρτυρίας Αἱρετικῶν περὶ τῆς Αἱρέσεως αὐτοῦ, καὶ εἰς τὴν δωδεκάτην πρᾶξιν παρωράθησαν. ἀνεγνώσθη δὲ ἡ ἐπιστολὴ Σεργίου Κωνσταντινουπόλεως πρὸς τὸν Φάσιδος Κῦρον περιεχομένη ἐν τῷ κῳδικίῳ, καὶ προσέτι ἐπιστολὴ τοῦ Μηνᾶ πρὸς Βιγίλιον, ἀλλ' αὕτη εὑρέθη πλαστή. καὶ προσέτι ἀνεγνώσθησαν ἡ ἑβδόμη καὶ ἡ ὀγδόη αἱ πράξεις τῆς πέμπτης Συνόδου. ἀλλὰ καὶ ἡ ἑβδόμη εὑρέθη φαύλη καὶ πλαστὴ, ὅτι οἱ λίβελλοι πρὸς Ἰουστινιανὸν καὶ Θεοδώραν ἦσαν πλαστοί. ἀνεγνώσθη δὲ καὶ ἕτερον κῳδίκιον Σεργίου πρὸς Ὀνώριον Ῥώμης, καὶ ἕτερον τοῦ Ὀνωρίου Ῥώμης πρὸς Σέργιον, καὶ εὑρέθησαν καὶ εἰς τὸν κῳδικα τοῦ Πατριαρχείου Κωνσταντινουπόλεως. εἰς δὲ τὴν δεκάτην τρίτην πρᾶξιν κατακρίνονται Σέργιος, Πύῤῥος, Παῦλος, Πέτρος Κωνσταντινουπόλεως Πατριάρχαι, Κῦρος Ἀλεξανδρείας καὶ Θεόδωρος Φαρὰν καὶ ὁ Ῥώμης Ὀνώριος, καὶ ἐπαινεῖται ἡ ἐπιστολὴ τοῦ Ἱεροσολύμων Σωφρονίου, ἣν ἀπέστειλε πρὸς τὸν Κωνσταντινουπόλεως Σέργιον, ἀλλὰ δὴ καὶ πρὸς τὸν Ῥώμης Ὀνώριον, ὡς Φώτιος ἀναγνώσει Διακοσιοστῇ τριακοστῇ πρώτῃ. καὶ ἐξετάζονται τὰ συγγράμματα τῶν εἰρημένων Αἱρετικῶν, καὶ εὑρίσκονται πάσης Αἱρέσεως μεστά. ἐξετάζονται δὲ καὶ τὰ συνοδικὰ Θωμᾶ, Ἰωάννου καὶ Κωνσταντίνου τῶν Κωνσταντινουπόλεως Πατριαρχῶν, καὶ εὑρίσκονται ὀρθόδοξοι. ἀνεγνώσθη δὲ αὖθις ἡ τοῦ Ὀνωρίου πρὸς Σέργιον ἐπιστολὴ, ἐν ᾗ περὶ τοῦ Ἱεροσολύμων Σωφρονίου λέγει, ἵνα προτρέψῃ αὐτὸν μὴ λέγειν δύο ἐνεργείας, τὸν δὲ Κῦρον μὴ λέγειν μίαν, ἀλλὰ λέγειν ὅτι ὁ εἷς Χριστὸς ἐνεργεῖ ἐν ἑκατέραις ταῖς φύσεσιν. εἰς δὲ τὴν δεκάτην τετάρτην πρᾶξιν καὶ οἱ Ἐπίσκοποι Κύπρου χρήσεις ἁγίων ἔφερον, αἵτινες καὶ ἀνεγνώσθησαν, καὶ εὑρέθησαν σύμφωνοι τῇ δόξῃ τῆς καθολικῆς Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τοῦ αἱρετικοῦ χάρτου τοῦ Πολυχρονίου, ὑποσχεθέντος τῇ Συνόδῳ νεκρὸν δι' αὐτοῦ ἐγεῖραι καὶ μὴ ἐγείραντος, καὶ τῶν ψευδῶν ὁπτασιῶν αὐτοῦ, ὃν καὶ τοὺς λοιποὺς Αἱρετικοὺς ἀνεθεμάτισεν ἡ Σύνοδος.

Εἰς τὴν δεκάτην πέμπτην πρᾶξιν ὁ μαθητὴς Μακαρίου τὸ κακὸν ἀγγεῖον, ἔφερε χάρτην τῆς Αἱρέσεως αὐτοῦ ὡς πρὸς τὸν Βασιλέα γεγραμμένον, καὶ εἶπε τῇ Συνόδῳ, ἐπιθεῖναι αὐτὸν νεκρῷ καὶ ἐγερθῆναι. εἶπε δεύτερον, ὅτι εἶδε πλῆθος ἀνδρῶν λευχειμονούντων, καὶ ἐν μέσῳ αὐτῶν ἄνδρα θαυμάσιον, εἰπόντα αὐτῷ, σπεῦσον εἰπὲ τῷ Βασιλεῖ νέαν πίστιν μὴ ποιῆσαι, μήτε καταδέξασθαι. εἶπε τρίτον, ὅτι ἐλθὼν ἀπὸ Ἡρακλείας εἰς Χρυσόπολιν, εἶδεν ἄνδρα λευχειμονοῦντα πάνυ φοβερὸν, καὶ εἶπεν αὐτῷ ἐκεῖνος, ὁ μὴ ὁμολο-

ὁμολογῶν οὐ θέλημα ϗ Θεανδρικὴν ἐνέργειαν ἐκ ἔστι Χριστιανὸς, καὶ αὐτὸς εἶπε περὶ τὸν ὀφθέντα, καὶ ὁ Βασιλεὺς Κωνσταντῖνος οὕτω περιώρισε, καὶ ἀπεκρίθη αὐτῷ ἐκεῖνος, παύου καλῶς. εἶτα ἐξῆλθον οἱ Ἄρχοντες καὶ ὅλη ἡ Σύνοδος εἰς τὸ μεσαύλιον τοῦ δημοσίου λατρεῖ τοῦ Ζωξίππου, παρόντος καὶ πολλοῦ πλήθους λαοῦ, ὅπου σκῆπτρον νεκρός τις, καὶ ἐπέθηκεν ὁ Πολυχρόνιος τὸν χάρτην αὐτοῦ ἐπὶ τὸν νεκρὸν, καὶ ἐμψιθυρίσας αὐτῷ πολὺ, εἶπεν, ἃ δύναμαι ἐγεῖραι. ὁ δὲ ἐσὼς λαὸς ἐβόησε, τῷ νέῳ Σίμωνι ἀνάθεμα, Πολυχρονίῳ τῷ λαοπλάνῳ ἀνάθεμα. εἶτα μείναντι εἰς τὸν παρόντα, ἡ Σύνοδος ἀπεφήνατο, Μακαρίῳ, Στεφάνῳ καὶ Πολυχρονίῳ ἀνάθεμα, ἡ Τελαὶ τὰς τρεῖς καθεῖλον. εἰς δὲ τὴν δεκάτην σύνταξιν ἐφάνη καὶ ἡ τοῦ Κωνσταντῖνος ὡς ὁ Πολυχρόνιος. πολυχρονίζεται ὁ Βασιλεὺς, οἱ Ἄρχοντες, ὁ Ῥώμης, ὁ Κωνσταντινουπόλεως, ὁ Ἀντιοχείας Θεοφάνης, καὶ ἡ Σύνοδος. ἀναθεματίζεται δὲ Σέργιος, Κῦρος, Ὀννώριος, Πύρρος, Παῦλος, Θεόδωρος, Πέτρος, Μακάριος, Στέφανος, Πολυχρόνιος, Ἀπέργιος, Πέργης, καὶ οἱ ὀπαδοὶ αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ.

Περὶ τῆς ἀκφωνήσεως τοῦ Ὅρου τῆς Συνόδου εἰς τὴν ὀκτωκαιδεκάτην πρᾶξιν, ἐν ᾗ ἦλθον καὶ οἱ Ἀποκρισιάριοι τοῦ Ἱεροσολύμων, καὶ τῶν ὑπογεγραφότων τῶν πατέρων καὶ τοῦ Βασιλέως, ὑφ' ὃ ὁ Ὅρος δείκνυσι τῶν πατέρων πέμπεται εἰς τὰ πέντε Πατριαρχεῖα, καὶ τῆς ἐπιστολῆς τῆς Συνόδου πρὸς Ἀγάθωνα, καὶ Σακρῶν τοῦ Βασιλέως πρὸς τὸν αὐτὸν καὶ τὴν Σύνοδον αὐτοῦ.

Εἰς τὴν δεκάτην ὀγδόην πρᾶξιν ἐφάνησαν εἰς τὸ τέλος τῆς συντάξεως τῶν Ἐπισκόπων Ἰορδάνης καὶ Πολυχρόνιος Μοναχοὶ καὶ Πρεσβύτεροι, Ἀποκριτάριοι τῆς ἁγίας Ἀναστάσεως τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως πόλεως Ἱεροσολύμων. ἐξεφωνήθη ὁ Ὅρος τῆς ἁγίας Συνόδου, διορίζων τὰ δύο φυσικὰ τοῦ Σωτῆρος θελήματα, καὶ τὰς δύο ἐνεργείας, καὶ ὑπογράφουσι κατὰ τάξιν οἱ πατέρες, καὶ τέλος πάντων ὁ Βασιλεύς. εἶτα ἐρωτᾷ ὁ Βασιλεὺς τὴν Σύνοδον, εἰ συναινέσει πάντων ὁ Ὅρος ἐξεφωνήθη, καὶ εἶπον, Ναί. ἔπειτα ἐπολυχρόνισαν τὸν Βασιλέα, καὶ ἀνεθεμάτισαν τοὺς Αἱρετικοὺς καθ' ὄνομα. περὶ τούτοις ὁ Βασιλεὺς εἶπε τὴν προθυμίαν ἣν ἐποίησεν ἵνα γένηται ἡ Σύνοδος, καὶ ὅτι χειρήσεται εἰς τοῦ Θεοῦ τὸ κειμήλιον μετὰ τῶν πατέρων, εἰ ἔστι τι ἐλλιπὲς ἢ ἀνεξέτασον καὶ παρεσιώπησαν αὐτὸ, ἡ Σύνοδος ἐπολυχρόνισεν αὐτὸν, καὶ ὁ Βασιλεὺς ἐπήνεσεν αὐτοὺς, καὶ δι' χαρίσησεν ἕνεκεν τοῦ κόπου αὐτῶν. εἶτα ἀνεγνώσθη ὁ προσφωνητικὸς εἰς τὸν Βασιλέα, καὶ ὁ κατακριθεὶς προτέρου ὁ Σαρδηνείας Κιτωνᾶτος ἀθωῶται. δέεται ἡ Σύνοδος ἵνα ὁ Ὅρος ὑπογεγραμμένος ὑπὸ τοῦ Βασιλέως σταλῇ εἰς τοὺς πέντε Πατριαρχικοὺς θρόνους, καὶ γίνεται. γράφει ἡ Σύνοδος ἐπιστολὴν εἰς τὸν Ῥώμης Ἀγάθωνα. γράφει ὁ Βασιλεὺς Ἤδικτον, καὶ βάλλει αὐτὸν εἰς τὸν τρίτον Νάρθηκα τῆς μεγάλης Ἐκκλησίας, ὅπου ποτὲ ὁ Σέργιος καὶ Πύρρος καὶ Παῦλος ἐχρέμασαν τὴν Ἔκθεσιν καὶ τὸν Τύπον τῆς ἀνομίας. γράφει καὶ Σάκρον εἰς τὸν Ῥώμης, καὶ δεύτερον εἰς τὴν Σύνοδον Ῥώμης, καὶ τελειοῦται ἡ Σύνοδος.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ.

Περὶ δέκα σημειώσεων ἐκ τῆς ἑβδόμης, ὀγδόης, δεκάτης καὶ ἑνδεκάτης τῶν πράξεων τῆς παρούσης Συνόδου, καὶ ὅθεν τὸ Παναγιώτατος ὄνομα ἔσχε τὴν ἀρχήν.

Σὺ δὲ ἔτι σημείωσαι εἰς τὴν ἑβδόμην πρᾶξιν, ὅτι οὐκ ἀπὸ τῆς ἐξουσίας τοῦ Πάπα τῆς Ῥώμης, ἀλλ' ἀπὸ τῶν ἁγίων πατέρων βεβαιοῦσι τὰ τῆς πίστεως οἱ πατέρες. σημείωσαι πρῶτον εἰς τὴν ὀγδόην πρᾶξιν, ὅτι Γεώργιος ὁ Κωνσταντινουπόλεως καὶ ὁ Ἀντιοχείας ἐπίστευσιν ἁπλῶς τῷ Πάπᾳ καὶ τῇ Ῥωμαϊκῇ Συνόδῳ, ἀλλὰ τὰς χρήσεις τῶν πατέρων τὰς ἀπὸ Ῥώμης προσφερομένας ἐξετάζουσι, καὶ ζητοῦσι ἡμέραν ἵνα παραβάλωσιν αὐτὰς τοῖς πρωτοτύποις, ἃς ὁ Γεώργιος ἀληθινὰς εὗρεν, συμφώνησε καὶ αὐτὸς καὶ οἱ σὺν αὐτόν. δεύτερον, ὅτι ὁ Στέφανος ἦσαν ὀπίσω τοῦ θρόνου τοῦ Ἀντιοχείας Μακαρίου, ἐπειδὴ Πρεσβύτεροι οἱ μὴ ὄντες λεγάτοι Ἀρχιερέως ἐν Οἰκουμενικῇ Συνόδῳ ἐκάθηντο εἰς τὴν Σύνοδον χωρὶς προεδρίας ἀρχιερατικῆς, ἢ βασιλικῆς. τρίτον, ὅτι οὐκ οἱ λεγάτοι τοῦ Ῥώμης, ἀλλ' ὁ Βασιλεὺς ὁρίζει καὶ βάλλεται ἐν τοῖς Διπτύχοις τὸ ὄνομα τοῦ Βιταλιανοῦ Ῥώμης. τέταρτον, ὅτι ὁ Μακάριος ἐν τῇ Ἐκθέσει τῆς ὁμολογίας αὐτοῦ λέγει τὸν Κωνσταντινουπόλεως Πέτρον παναγιώτατον Οἰκουμενικὸν Πατριάρχην, καὶ γνῶθι πότε ἔσχε τὴν ἀρχὴν τὸ παναγιώτατος ὄνομα. πέμπτον, ὅτι Σύνοδος ἠθροίσθη εἰς Κωνσταντινούπολιν Πέτρου Κωνσταντινουπόλεως, Μακεδονίου Ἀντιοχείας, καὶ Τοποτηρητοῦ Ἀλεξανδρείας Θεοδώρου, ἤτοι τοῦ Πέτρου, ὡς εἴρηται ἀνωτέρω ἐν τῇ ἁγίᾳ Μαρτίνου Συνόδῳ κεφαλαίου ἑβδόμου Παραγράφῳ πέμπτῳ, καὶ τῆς Συγκλήτου ἁγίας Κώνσταντος, ϗ ἀνεθεμάτισαν τὸν μέγαν Μάξιμον, καὶ δὴ καὶ ἐξώρισαν μετὰ τῶν μαθητῶν αὐτοῦ. ἕκτον, εἰς τὴν δεκάτην σημείωσαι τὸ ἀξίωμα Ἀναστασίου Ἀντιοχείας, ὁμολογησαμένου ὑπὲρ τοῦ τόμου Λέοντος. ἕβδομον, εἰς τὴν ἑνδεκάτην, ὅπου γράφων ὁ Κωνσταντινουπόλεως Σέργιος

Σέργιος εἰς τὸν Ῥώμης Ὀνώριον λέγει, ὅτι ὁ Κῦρος εἶχεν εἰς τὴν Λαζίαν μητροπολιτικὸν ἀξίωμα, καὶ γνῶθι ὅτι ἡ κάτω Ἰβηρία, ἥτις καὶ Λαζία ἐλέγετο, Μητρόπολις ἦν ὑπὸ τὸν Κωνσταντινουπόλεως κειμένη. ὄγδοον, ὅτι ὁ Κῦρος ἢ οἰκειότερον εἰπεῖν ὁ Σέργιος ἦν ἀρχηγὸς τῆς Αἱρέσεως ἐπ' αὐτοφόρῳ, καὶ ὁ Ἱεροσολύμων Σωφρόνιος τῆς Αἱρέσεως ὁ πρῶτος ἀντίπαλος. ἔνατον, σημείωσαι τὴν ἐπιστολὴν Ὀνωρίου πρὸς Σέργιον, καὶ γνῶθι ὅτι Αἱρετικὸς ὁ Ῥώμης Ὀνώριος, κἂν καὶ οἱ παπισταὶ τερατεύωνται, ἐπειδὴ ἡ Σύνοδος ἐζήτησε καὶ εὗρεν εἰς τὸ Πατριαρχεῖον Κωνσταντινουπόλεως τὰ ἴσα τῶν τοιούτων ἐπιστολῶν. δέκατον, ὅτι οἱ Λεγᾶτοι τοῦ Ῥώμης, ἀναθεματιζομένου τοῦ Ὀνωρίου, ἦσαν ἀμέριμνοι, ἐπειδὴ τότε ἔλιπεν ἡ νῦν τοῦ Ῥώμης φλυαρία, ὅτι δηλαδὴ ὁ Ῥώμης ἀναμάρτητος.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ ὀκτὼ σημειώσεων ἀπὸ τῆς τρισκαιδεκάτης, τεσσαρεσκαιδεκάτης, ἑκκαιδεκάτης καὶ ὀκτωκαιδεκάτης τῶν πράξεων τῆς παρούσης Συνόδου, ἐν αἷς δείκνυται κοινὸν καὶ ἀρχικὸν κριτήριον μόνη ἡ Οἰκουμενικὴ Σύνοδος, καὶ ἴσος τοῖς Πατριάρχαις ὁ Ῥώμης, καὶ ἡ τοῦ ἁγίου Πνεύματος ἐκπόρευσις ἐκ τοῦ Πατρὸς, καὶ τῆς Συνόδου ἀθροιστὴς ὁ Βασιλεύς.

Εἰς τὴν δεκάτην τρίτην πρᾶξιν προσέτι κρίνει, ἐξετάζει καὶ βεβαιοῖ ἡ Σύνοδος τὴν ἐπιστολὴν τοῦ Ἱεροσολύμων Σωφρονίου. καὶ σημείωσαι, ὅτι καὶ τὸν τόμον Λέοντος ἡ τετάρτη ἔκρινε καὶ ἐκύρωσεν, ὥσπερ ἡ τρίτη τὰς ἐπιστολὰς Κυρίλλου καὶ Κελεστίνου καὶ τοῦ Καρθαγένης, καὶ ἡ ἑβδόμη τὰς ἐπιστολὰς τοῦ Ῥώμης, τοῦ Κωνσταντινουπόλεως καὶ τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς, ὥστε κοινὸν καὶ ἀρχικὸν κριτήριον ἡ Οἰκουμενικὴ Σύνοδος, καὶ οὐδεὶς ἄλλος. δεύτερον, ὅτι καίτοι ὁ Ῥώμης ἔγραφε τοὺς Αἱρετικοὺς κατ' ὄνομα, ἤτοι Σέργιον, Πύῤῥον, Παῦλον, Πέτρον, Θεόδωρον καὶ Κῦρον, ἀλλ' ἡ Σύνοδος οὐκ ἀρκεῖται, ἀλλὰ ζητεῖ τὴν ἑκάστου Αἵρεσιν ἀποδειχθῆναι, καὶ δὴ καὶ ἀποδείκνυται ἡ ἑκάστου Αἵρεσις ἀπὸ τῶν ἑκάστου συγγραμμάτων, καὶ τότε ἀνεθεματίσθησαν. τρίτον, ὅτι ὁ Κῦρος Ἀλεξανδρείας τῷ Κωνσταντινουπόλεως Σεργίῳ γράφει, Τῷ θεοτιμήτῳ Δεσπότῃ ἀγαθῷ Ἀρχιποίμενι, πατρὶ πατέρων, Οἰκουμενικῷ Πατριάρχῃ. ὥστε οὐ μόνος ὁ Ῥώμης πατὴρ πατέρων, οὐδὲ μόνος Οἰκουμενικός. τέταρτον, εἰς τὴν δεκάτην τετάρτην τῶν Λεγάτων τοῦ Ῥώμης εἰπόντων εἶναι νενοθευμένην τὴν ἑβδόμην πρᾶξιν τῆς πέμπτης Συνόδου, καὶ ἄλλα, ἡ Σύνοδος πρὸς τούτοις ἐξήτασε πολυτρόπως, καὶ εὑροῦσα διὰ καθαρᾶς ἀποδείξεως τὴν ἀλήθειαν, συνήνεσεν, ὥστε ἡ Σύνοδος κριτήριον ἐπὶ τῆς καθόλου Ἐκκλησίας, ἴδε περὶ τούτου πλατύτερον κατωτέρω ἐν πολλοῖς. πέμπτον, εἰς τὴν δεκάτην ἕκτην ἴδε πῶς ἡ Κωνσταντινούπολις λέγεται καθολικὴ ἀποστολικὴ καὶ μεγάλη Ἐκκλησία, καὶ γνῶθι ὅτι πάντες οἱ Πατριαρχικοὶ θρόνοι καθολικοὶ καὶ ἀποστολικοὶ θρόνοι ἐπιγράφονται καὶ λέγονται, ὥστε οὐ μόνον ὁ Ῥώμης. καὶ δεύτερον ἴδε πῶς ὁ Βασιλεὺς φύλαξ τῆς ὀρθοδοξίας, στήριγμα τῶν Ἐκκλησιῶν, φύλαξ τῆς πίστεως καλεῖται ὑπὸ τῆς Συνόδου, καὶ τὶ καυχῶνται οἱ παπισταὶ προσπλέκοντες τῷ Ῥώμης προνόμιον ἀπὸ τοῦ εἰπεῖν τὴν τετάρτην φύλακα τῆς ἀμπέλου τὸν Λέοντα, ὅπου γε ὁ Βασιλεὺς πλείονα ἀκούων ἐγκώμια, προνόμιον ἐν τῇ Ἐκκλησίᾳ οὐκ ἔλαβεν; ἕκτον, εἰς τὴν δεκάτην ὀγδόην ἴδε πῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ τοῦ Πατρὸς, καὶ ποῦ ἡ προσθήκη τῶν Λατίνων; καὶ ἕβδομον ἴδε πῶς αἱ τοῦ Ἀγάθωνος ἐπιστολαῖ βεβαιοῦνται ὑπὸ τῆς Συνόδου, καὶ διορίζεται τὰ τῆς πίστεως, καὶ πῶς ἀποβάλλει πᾶσαν προσθήκην καὶ καινοτομίαν. ὄγδοον, εἰς τὰς εὐφημίας τοῦ Βασιλέως λέγει τῷ Βασιλεῖ, διὰ σοῦ ἡ Οἰκουμένη εἰρήνευσε, καὶ ποῦ ἡ βλασφημία, ὅτι ὁ Ῥώμης ἀγείρει τὰς Οἰκουμενικὰς Συνόδους; ἴδε ὅτι ὁ Βασιλεὺς ἤθροισε, καὶ πλεῖον τοῦ Ῥώμης ἐκοπίασε, καὶ ἐν ταὐτῷ ἴδε ὅπου πάλιν λέγει ἡ Σύνοδος, Σεργίῳ καὶ Ὀνωρίῳ ἀνάθεμα, καὶ ποῦ τοῦ Ῥώμης τὸ ἀναμάρτητον; καὶ ἴδε πῶς οὐκ αἰσχύνονται οἱ Λατῖνοι δικαιοῦν τὸν Ὀνώριον, κατὰ τῆς τοιαύτης Συνόδου ἀπαυθαδιαζόμενοι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ σημειώσεων τινῶν ἀπὸ τοῦ πρὸς τὸν Βασιλέα προσφωνητικοῦ τῆς Συνόδου καὶ τῆς πρὸς τὸν Ῥώμης Σάκρας αὐτοῦ, ἐν αἷς δείκνυται ὁ Βασιλεὺς ἀθροιστὴς τῆς Συνόδου καὶ ὁ Πάπας ὑπὸ τὸν Βασιλέα, καὶ ποίῳ τρόπῳ ἀθροισταὶ Συνόδων Πάπαι καὶ Πατριάρχαι, καὶ ὅτι κρίσει καὶ ἁμαρτίαις ὑπόκειται ὁ Ῥώμης, καὶ ἴσος τοῖς Πατριάρχαις, καὶ βεβαιωτὴς τῆς Συνόδου ὁ Βασιλεύς.

Εἰς τὸν προσφωνητικὸν λόγον αὐτῆς ἡ Σύνοδος λέγει τῷ Βασιλεῖ, καὶ δὴ ταῖς θειοτάταις ὑμῶν προστάξεσιν εἴξαντες ὅ,τε τῆς πρεσβυτέρας Ῥώμης καὶ ἀποστολικῆς ἀκροπόλεως ἀρχιερατικώτατος πρόεδρος, καὶ ἡμεῖς οἱ ἐλάχιστοι, Χριστοῦ δὲ ὅμως Ἱερεῖς καὶ θεράποντες. καὶ σημείωσαι κατὰ παπιστῶν, τὶς ὁ ἀγείρων τὴν Σύνοδον, καὶ δεύτερον, πῶς ὁ Πάπας πείθεται τοῖς Βασιλεῦσι, καὶ προστάττεται ὑπὸ τοῦ Βασιλέως. ἔτι λέγει, ὅτι Κωνσταντῖνος καὶ Σίλβεστρος τὴν πρώτην συγκροτοῦσι Σύνοδον, καὶ ὅμως κατὰ τὸν Εὐσέβιον καὶ

ἄλλους

ἄλλους ἱστορικοὺς ἐκκλησιαστικοὺς ὁ Σίλβεστρος ὑπαρῆν τῇ Συνόδῳ, καὶ κατὰ τὸν Πάπαν Φίληκα ἐν τῇ πρὸς Ζήνωνα αὐτοῦ ἐπιστολῇ ὁ Ἀντιοχείας Εὐστάθιος ἦν πρόεδρος τῆς πρώτης Συνόδου, καὶ ὁ Ἀλεξανδρείας Ἀλέξανδρος ἦν κύριος τῆς Συνόδου, ὡς ἡ Σύνοδος ἡ πρώτη γράφει εἰς Ἀλεξάνδρειαν, ἴδε ὅμως περὶ τούτου ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον δέκατον ἕβδομον, καὶ βιβλίου δευτέρου κεφαλαίου δευτέρου Παράγραφον ὄγδοον. ἔτι τὴν δευτέραν λέγει ὅτι ὁ Θεοδόσιος καὶ Δάμασος ἤθροισαν καὶ ὁ Γρηγόριος καὶ Νεκτάριος, καίτοι ὁ Δάμασος μήτε ὢν παρὼν, μήτε Λεγᾶτοι αὐτοῦ ἦσαν, ὥστε τὴν σύμπνοιαν παρουσίαν λέγει ἡ Σύνοδος, καὶ ἔτι ὅτι οὐ μόνος ὁ Ῥώμης ἀθροίζει, ἀλλὰ καὶ κοινῶς οἱ Πατριάρχαι, ποίῳ δὲ τρόπῳ, ἴδε βιβλίου τρίτου κεφάλαιον τρίτον. εἶτα λέγει ὅτι ὁ Κελεστῖνος καὶ Κύριλλος τὸν Νεστόριον κατέβαλον, καὶ λοιπὸν οὐ μόνος ὁ Ῥώμης. καὶ εἰς τὴν πέμπτην ὁ Βιγίλιος ὤκνει, καὶ παρῃτεῖτο τὴν παρουσίαν εἰς τὴν Σύνοδον, ἀλλὰ διὰ τὴν μεταταῦτα συναίνεσιν ἡ Σύνοδος τὸ τῆς πέμπτης δι' αὐτοῦ λέγει συνέστη συνέδριον, καὶ ἴδε βιβλίου πέμπτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον δέκατον, ἐν δὲ πᾶσι προηγεῖτο ἡ βασιλικὴ ἐπιμέλεια καὶ προσταγή. σημείωσαι ἔτι πῶς ἀναθεματίζουσα τοὺς Αἱρετικοὺς λέγει, καὶ Ὀνώριον τὸν Ῥώμης γενόμενον πρόεδρον, ὡς ἐκείνοις ἐν τούτοις ἐξακολουθήσαντα, καὶ γνῶθι ὅτι καὶ Πάπας κρίνεται καὶ κατακρίνεται, καὶ οὐκ ἔστιν ὁ Πάπας ἀναμάρτητος. σημείωσαι μετὰ τὸν προσφωνητικὸν ὅπου ἡ Σύνοδος ζητεῖ τὸν Βασιλέα πέμψαι τὸν Ὅρον τὸν ὑπογεγραμμένον εἰς τοὺς πέντε Πατριαρχικοὺς θρόνους, καὶ γνῶθι ὅτι Πατριαρχικοὶ ἐξίσου καὶ οἱ πέντε θρόνοι, καὶ σύνες ποίῳ τρόπῳ ἀπέστειλεν ὁ Ἰουστῖνος ὁ Θρᾷξ τοὺς πρέσβεις εἰς τὴν Ῥώμην διὰ τὴν ἕνωσιν τῆς Ἐκκλησίας, καὶ πῶς ὁ μετὰ Ἰουστινιανὸν Ἰουστῖνος εἰς τὸ πρόγραμμα αὐτοῦ παρακαλεῖ τὸ κοινὸν τῶν Χριστιανῶν διὰ τὴν ὀρθοδοξίαν, καὶ ὁ παρὼν Βασιλεὺς γράφει ἐν τῇ πρὸς τὸν Ῥώμης Σάκρα, Προτρέπεσθαι γὰρ καὶ παρακαλεῖν δυνάμεθα ἐπὶ πάσῃ κατορθώσει τε καὶ ἑνώσει πάντων τῶν Χριστιανῶν, καταναγάζειν δὲ οὐδαμῶς βουλόμεθα. ἴδε καὶ βιβλίου πρώτου κεφαλαίου δεκάτου ἑβδόμου Παράγραφον δεύτερον, καὶ βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον τέταρτον. σημείωσαι πῶς τὸν θρόνον Ῥώμης λέγει τοῦ Πέτρου, τοῦ Κωνσταντινουπόλεως λέγει ἁγιωτάτην καθολικὴν καὶ ἀποστολικὴν μεγάλην Ἐκκλησίαν. Κωνσταντινουπόλεως Γεωργίῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Πατριάρχῃ, ναὶ μὴν καὶ τὸν τοῦ Ἀλεξανδρείας ἀποστολικὸν θρόνον. τὴν Ἱερουσαλὴμ λέγει θρόνον τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως, καὶ τιμιώτατον θρόνον. καὶ ὅτι ὁ Λεγᾶτος Γεώργιος Μοναχὸς ὁ Σεβαστινὸς καὶ μετέπειτα Ἀντιοχείας Πατριάρχης ἐγένετο. σημείωσαι μεγάλα ἐγκώμια τῆς Κωνσταντινουπόλεως. σημείωσαι πῶς ζητεῖ ἀπὸ τοῦ Βασιλέως τὴν βεβαίωσιν ἡ Σύνοδος, οὐκ ἀπὸ τοῦ Πάπα, φησὶ γὰρ, τοῖς παρ' ἡμῶν ὁρισθεῖσι σφραγῖδα παράσχου τὴν ὑμετέραν ἔγγραφον βασιλικὴν ἐπικύρωσιν, ὥστε μηδένα τοῖς πραχθεῖσιν ἢ ἀντιφθέγγεσθαι, ἢ κοινότερον ζήτημα μηχανᾶσθαι.

ΠΑΡΑΓΡΑΦΟΝ ιϛ'.

Ὅτι ἐκ τῆς πρὸς τὸν Ἀγάθωνα κανονικῆς ἐπιστολῆς τῆς Συνόδου, καὶ τῶν ἐπιστολῶν τοῦ Βασιλέως πρὸς Λέοντα τὸν μετὰ Ἀγάθωνα καὶ τὴν Σύνοδον αὐτοῦ, δείκνυται οὐ μονόθρονος οὐδὲ μονάρχης ὁ Ῥώμης, ἀλλ' ἡ Σύνοδος τῆς καθόλου Ἐκκλησίας κριτήριον, καὶ σύνθρονοι οἱ Πατριάρχαι τῷ Ῥώμης, καὶ τοῦ Βασιλέως δοῦλοι οἱ τοῦ Ῥώμης Λεγᾶτοι, καὶ τὸ κῦρος τῶν Οἰκουμενικῶν Συνόδων, καὶ τίνι τρόπῳ ἐπέμφθη εἰς Ῥώμην ὁ Ἀντιοχείας.

Ἡ Σύνοδος πέμπει κανονικὴν ἐπιστολὴν εἰς τὸν Ῥώμης Ἀγάθωνα, καὶ πάλιν Ὀνώριον κατακρίνει καὶ ἀναθεματίζει, λέγει δὲ τῷ Ἀγάθωνι, ὅτι ὡς πρωτοθρόνῳ τῆς καθολικῆς Ἐκκλησίας τὸ πρακτέον παρατιθέμεθα. Ἀλλὰ ῥητέον, ὅτι καὶ ἡμεῖς εἰς τὴν τάξιν πρωτόθρονον τῆς Οἰκουμενικῆς Ἐκκλησίας γινώσκομεν τὸν Ῥώμης ὀρθοδοξοῦντα, οὐ μὴν μονόθρονον καὶ καθολικὸν Ἐπίσκοπον καὶ μονάρχην. λέγει αὐτῷ ἔτι, ταῖς ὑμετέραις διδασκαλίαις ὁδηγούμενοι, τὰ δυσχερῆ τῆς δυσσεβείας ἀπεκρουσάμεθα δόγματα, τὴν εὐθυτάτην τρίβον τῆς ὀρθοδοξίας ἐξομαλίσαντες. Ἀλλὰ ῥητέον πρῶτον, ὡδηγεῖτο ἡ Σύνοδος ὑπ' Ἀγάθωνος, ἀλλ' οὐχ ὡς ὑπὸ βικαρίου τοῦ Χριστοῦ μονάρχου, ἀλλ' ὡς ἁγίου καὶ τὰ θεῖα σοφοῦ, καθὼς καὶ ὑπὸ τῶν λοιπῶν τοιούτων πατέρων, οὐ μὴν ὡδηγεῖτο ὑπὸ Μαρκελίνου, ἢ Λιβερίου, ἢ Φίληκος, ἢ Βιγιλίου, ὅτε Αἱρέσει ὑπέπεσεν ἕκαστος, ἢ ὑπὸ Ὀνωρίου Αἱρετικοῦ γενομένου καὶ ἀναθεματισθέντος; καὶ ὁ Πάπας Μαρτῖνος ὑπὸ πολλῶν Συνόδων καὶ Ἐπισκόπων ἐλάμβανε τὰς ἐγκλήσεις, ἤτοι αἰτίας, ὅτι Σέργιος, Πύρρος, Παῦλος, Κῦρος καὶ Θεόδωρος ἦσαν Αἱρετικοὶ, καὶ ἴδε ἀνωτέρω τοῦ παρόντος κεφαλαίου Παράγραφον ὄγδοον, ἴδε καὶ βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον εἰκοστὸν ἕβδομον. δεύτερον, ὡδηγεῖτο, ἤτοι αἰτίας ἐλάμβανεν ὡς καὶ ὁ Μαρτῖνος παρὰ πολλῶν, εἶτα οὐχ ἁπλῶς ὡδηγεῖτο, ἐπειδὴ τὴν ἐπιστολὴν Ἀγάθωνος ἐδοκίμασεν, ἐψηλάφησε, παρέβαλε μετὰ τῶν ἁγίων, καὶ ὕστερον ἐβεβαίωσεν, ὅθεν εἶπεν ὅτι ἐξωμάλισε τὴν εὐθεῖαν ὁδὸν, ἤγουν ἔκρινεν, ἐκύρωσε, καὶ ἐκ τούτων τοίνυν κριτήριον ἡ Σύνοδος τῆς καθόλου Ἐκκλησίας, οὐχ ὁ Ῥώμης. εἰς τὸ Ἤδικτον ὁ Βασιλεὺς τὸν μέγαν Βασίλειον τοῦ κόσμου φωστῆρα λέγει, καὶ πρόσεχε ὅταν ὁ Ἱεροσολύμων Σωφρόνιος εἰς τὴν συνοδικὴν αὐτοῦ ἐπιστολὴν τοῦ κόσμου φωστῆρα λέγῃ τὸν Ῥώμης Λέοντα, ἵνα μὴ νομίσῃς τὸν Ῥώμης εἶναι ἀξιώματός τινος ἰδικοῦ, καὶ πλεῖον τῶν ἄλλων. σημείωσαι κατὰ παπιστῶν, ὅτι ἐξίσου Κελεστῖνον

καὶ

καὶ Κύριλλον Ἐξάρχους λέγει τῆς τρίτης Συνόδου. γράφει ὁ Βασιλεὺς τῷ μετὰ Ἀγάθωνα Ῥώμης Λέοντι, καὶ σημείωσαι πῶς ὁ Βασιλεὺς ὁρίζει τοὺς λαοὺς ἐμμένειν τῇ ὀρθοδόξῳ πίστει φόβῳ καὶ παιδείᾳ, τὶς ὁ ἀγείρων τὰς Συνόδους, ὅτι κατὰ πλάτος διαλαμβάνει. γράφει δὲ τῷ Λέοντι, καὶ λέγει ῥητῶς, Καὶ δὴ κατὰ τὴν ἡμετέραν προσκλησίν τε καὶ πρόσταξιν τῶν τοῦ μέρους τῆς ὑμετέρας μακαριότητος, τῶν τε συνθρόνων αὐτῇ μετ' αὐτὴν ἁγιωτάτων Πατριαρχῶν καὶ τῶν λοιπῶν ἁπάντων ὁσιωτάτων Ἐπισκόπων τῇ ἡμετέρᾳ συνελθόντων καὶ συνεδρευσάντων γαληνότητι, ὁ περὶ πίστεως ἐγυμνάζετο λόγος. ὥστε ἡ Οἰκουμενικὴ Σύνοδος τὸ ἔσχατον κριτήριον, καὶ οἱ Πατριάρχαι τῷ Ῥώμης σύνθρονοι, οὐχ ὑπόθρονοι, μετ' αὐτὸν δὲ κατὰ τάξιν, οὐ κατά τινα ἐξουσίαν. γράφει δὲ αὐτῷ ἵνα ἀποστείλλῃ Ἀποκρισιάριον αὐτοῦ εἶναι ἐν τῇ πόλει, ὅτι τοῦτο ἔθος ἐστὶ ποιεῖν καὶ τοὺς ἄλλους πατριαρχικοὺς θρόνους, ὡς καὶ Ἀνατόλιος ὦν Ἀποκρισιάριος τοῦ Διοσκόρου, καὶ ἴδε ἀνωτέρω κεφαλαίου τρίτου Παράγραφον τρίτον. πέμπει δὲ εἰς Ῥώμην τὸν καθαιρεθέντα Ἀντιοχείας Μακάριον δεήσει τῶν πατέρων, καὶ δίδωσι τῷ Ῥώμης ἐξουσίαν ποιῆσαι τὸ δοκοῦν, ὅθεν λέγει, Τῇ σῇ πατρικῇ κρίσει τὸ πᾶν ἐπιτρέψαντες. πεποιήκασι δὲ τοῦτο οἱ πατέρες οἰκονομικῶς, καιρὸν δηλονότι μετανοίας τῷ Μακαρίῳ δόντες ὅ,τε Βασιλεὺς καὶ ἡ Σύνοδος, καιροῦ γάρ τινος παρελθόντος ἐν τῷ μεταξὺ, ἴσως ἤρχετο εἰς διόρθωσιν ὁ Μακάριος. γράφει καὶ εἰς τὴν Σύνοδον Ῥώμης ὁ Βασιλεὺς, καὶ ὅρα πῶς τοὺς πατέρας κοινῶς λέγει ὀφθαλμοὺς τῆς Ἐκκλησίας, πῶς ὁ Βασιλεὺς ἀγείρει τὴν Σύνοδον, καὶ τὰς ἀπὸ Ῥώμης σταλείσας ἐπιστολὰς ἡ Οἰκουμενικὴ Σύνοδος συγκρίνασα τοῖς τῶν ἐγκρίτων πατέρων γράμμασιν, ἔκρινε καὶ συνέκρινε καὶ ἐβεβαίωσε, καὶ γνῶθι καὶ ἐκ τούτων τὴν Οἰκουμενικὴν Σύνοδον τῆς καθόλου Ἐκκλησίας κριτήριον. γράφει ὁ Ῥώμης Λέων τῷ Βασιλεῖ, Τῷ εὐσεβεστάτῳ καὶ γαληνοτάτῳ Δεσπότῃ, καὶ λέγει αὐτῷ ἐγκώμια ὑπὲρ ἄνθρωπον, ἐν οἷς ἴδε πῶς τοὺς τῆς Ῥώμης Λεγάτους οἰκέτας τοῦ Βασιλέως καλεῖ, καὶ πῶς οἱ νῦν ἀντιπροσωποῦντες τῷ Πάπᾳ ἐξισάζουσιν ἑαυτοὺς τοῖς Βασιλεῦσι. σημείωσαι ὅλην τὴν ἐπιστολὴν, καὶ γνῶθι ὅτι βεβαιοῖ ὁ Ῥώμης, ἀλλὰ καὶ ὁ Ἀντιοχείας Ἰωάννης ἐβεβαίωσε τὴν τρίτην, καὶ ἄλλοι. σημείωσαι ὅτι τὸ βεβαιῶ καὶ στέργω, τὸ συντίθεμαι δηλοῖ. σημείωσαι ἔτι ἁγιότητα τοῦ Λέοντος, λέγει γὰρ περὶ τῶν πέντε Συνόδων, ὅτι κηρύττομεν καὶ ἀποδεχόμεθα αὐτὰς, εἶτα παρέχει τὸ ἀξίωμα τῇ καθόλου Ἐκκλησίᾳ καὶ τὸ ἔσχατον κῦρος καὶ λέγει, ταύτας καὶ πᾶσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία κυροῖ. σημείωσαι πῶς ἀναθεματίζει τὸν Ὀνώριον, καὶ γνῶθι ὅτι ἕως ὀρθοδοξῇ ὁ Ῥώμης, προσκυνητὸς καὶ ἀποστολικός ἐστι θρόνος ὡς καὶ οἱ λοιποὶ Πατριαρχικοὶ, ὅτε δέ ἐστιν Αἱρετικὸς, τοὐναντίον ἐστί.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Ὅτι οὐπάντοτε προαριθμεῖται τῶν Πατριαρχῶν ὁ Ῥώμης, ἀλλὰ καὶ ὑπαριθμεῖται, καὶ πάντες οἱ πατριαρχικοὶ θρόνοι ἐξίσου καὶ ὁμοτίμως ἀρχηγοὶ, οἷς ἴσος καὶ ὁ Ῥώμης. καὶ περὶ τῶν ἐτῶν καὶ τῆς τελευτῆς Κωνσταντίνου τοῦ Πωγωνάτου, καὶ Βασιλείας τοῦ υἱοῦ αὐτοῦ Ἰουστινιανοῦ, ὑφ' οὗ οἱ ἐν Ἀρμενίᾳ Μανιχαῖοι πυρὶ παρεδόθησαν πλὴν τοῦ Παῦλου, ἀφ' οὗ Παυλιανοί.

Ἰστέον ὅτι ἐν τῷ Συνοδικῷ λέγεται, Τῆς ἕκτης Συνόδου ἐξῆρχον προκαθεζόμενοι οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης, ὁ Κωνσταντινουπόλεως Γεώργιος, Θεοφάνης Ἀντιοχείας καὶ Πέτρος Πρεσβύτερος Τοποτηρητὴς τοῦ Ἀλεξανδρείας καὶ Ἱεροσολύμων. ὁ δὲ Κωνσταντινουπόλεως Φώτιος λέγει, ἑκατὸν ἑβδομήκοντα πατέρες ἦσαν ἐν τῇ ἕκτῃ Συνόδῳ, ἐν αὐτῇ δὲ ἀρχηγοὶ Γεώργιος Κωνσταντινουπόλεως, οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης, Πέτρος τοῦ Ἀλεξανδρείας Τοποτηρητὴς καὶ Γεώργιος τοῦ Ἱεροσολύμων. ὁ δὲ Νεῖλος φησὶ, τῆς ἕκτης Συνόδου ἡγοῦντο Ἀγάθων Ῥώμης, Γεώργιος Κωνσταντινουπόλεως καὶ Πέτρος Τοποτηρητὴς τοῦ Ἀλεξανδρείας καὶ Θεοφάνης Ἀντιοχείας. ὁ δὲ ἅγιος Γερμανὸς λέγει, ὅτι ἐν αὐτῇ προήδρευεν ὁ Κωνσταντινουπόλεως Γεώργιος. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι οὐπάντοτε προαριθμεῖται ὁ Ῥώμης. δεύτερον, ὅτι ἐξίσου καὶ ὁμοτίμως καλοῦνται πάντες οἱ Πατριαρχικοὶ θρόνοι Ἐξάρχοντες, προκαθήμενοι, Ἀρχηγοὶ καὶ Ἡγούμενοι. ὡς δὲ ἐκ τούτων οἱ λοιποὶ Πατριαρχικοὶ θρόνοι ἡγεμονίαν τινὰ ἰδικὴν ἐν τῇ καθόλου Ἐκκλησίᾳ οὐκ ἔλαβον, οὕτως οὐκ ἔλαβεν οὐδὲ ὁ Ῥώμης, μάλιστα δείκνυται ἀπαραλάκτως ἴσος τοῖ ἄλλοις. Ἔζησε δὲ δεκαεπτὰ χρόνους ὁ Πωγωνᾶτος εἰς τὴν βασιλείαν, καὶ ἀνεπαύθη, καὶ ἀντ' αὐτοῦ ἐβασίλευσεν ὁ Υἱὸς αὐτοῦ ὁ Ἰουστινιανὸς, ὅστις πάντας τοὺς ἐν τῇ Ἀρμενίᾳ Μανιχαίους κατέκαυσεν, εἷς δὲ ἐξ αὐτῶν ὑπεξέφυγε Παῦλος λεγόμενος, ὅστις ἀνεκαίνισε τὴν Αἵρεσιν τοῦ Μανιχαίου, καὶ ὠνομάσθησαν ἀπὸ τούτου τοῦ τρισκαταράτου Παυλιανοὶ, μικρὸν διαφέροντες τῶν Μανιχαίων.

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Συνόψις τῶν γενομένων περὶ τῆς Αἱρέσεως τῶν Μονοθελητῶν, καὶ πρῶτον περὶ τριῶν τινῶν πονηρῶν τῶν Μονοθελητῶν, καὶ περὶ τοῦ πῶς δεῖ τοὺς ὀρθοδόξους ὁμολογεῖν τὰς δύο θελήσεις καὶ δύο ἐνεργείας ἐπὶ Χριστοῦ κατὰ τὴν βεβαίωσιν τῶν τῆς Συνόδου πατέρων, καὶ περὶ τῶν λεγόντων παπιστῶν τὰς πρὸς ἀλλήλους αἱρετικὰς ἐπιστολὰς Σεργίου καὶ Ὀνωρίου εἶναι ἐπιπλάστους, καὶ ἐμβληθῆναι ἐν τοῖς πρακτικοῖς τῆς ἕκτης Συνόδου καὶ συνταγῆναι καὶ τὸ τοῦ Ὀνωρίου ὄνομα ἐν αὐτοῖς ὑπὸ Θεοδώρου Συγκέλλου Κωσταντινουπόλεως Πατριάχου, ὃν φασιν ἀπατῆσαι τοὺς Ῥώμης Λεγάτους καὶ λαβεῖν τὰ πρακτικὰ καὶ νοθεῦσαι, καὶ οὕτως αὐτὰ δοῦναι αὐτοῖς νενοθευμένα.

Τρία εἶχον οἱ Μονοθελῆται πονηρὰ, πλὴν τῆς Αἱρέσεως, πρῶτον ὑπόκρισιν σφαλεραὶ, ἔλεγον γὰρ ἵνα φύγωμεν τὴν ἠθικὴν ἐναντίωσιν τῶν θελήσεων ἐπὶ Χριστοῦ, καὶ τὴν σωματικὴν πλημμέλειαν, καὶ ὅμως οὐκ ἔστι μάχη ἐπὶ τῶν θελήσεων, οὔτε πλημμέλεια σαρκική. διελογίζοντο οἱ Αἱρετικοὶ ἵνα ἀφαιρήσωσι τὴν διαίρεσιν καὶ φυσικὴν διαφορὰν τῶν δύο θελήσεων ἐπὶ Χριστοῦ καὶ δύο ἐνεργειῶν ἀσυγχύτων, ἣν διαφορὰν ἀναγκάως εἰσάγει τὸ διττὸν τῶν ἀσυγχύτων ἐπὶ Χριστοῦ φύσεων, διὸ ὁ Μακάριος πράξει ὀρθόῃ ἐλέγχεται ἀρνούμενος τὸ φυσικὸν ἐπὶ Χριστοῦ θέλημα. ἐβεβαίωσαν δὲ οἱ πατέρες τῆς Συνόδου, ὅτι ὁ Χριστὸς ὡς ἔχει δύο φύσεις, οὕτω καὶ δύο φυσικὰς θελήσεις, ἤτοι δύο θελήματα ἐν αὐτῷ, καὶ δύο φυσικὰς ἐνεργείας δέον τοὺς ὀρθοδόξους ὁμολογεῖν ἀδιαιρέτως, ἀτρέπτως, ἀμερίστως καὶ ἀσυγχύτως. δεύτερον, ὅτι εἰ καὶ ἐμακρύνοντο ἀπὸ τῶν Συνόδων καὶ τῆς τῶν πατέρων διδασκαλίας, ὅμως ἔλεγον ἔχεσθαι αὐτῶν καὶ οὐδὲν ἐναντίον αὐταῖς φρονεῖν, καὶ τοιουτοτρόπως ἤθελον ἀπαταῦ, ὡς καὶ ὁ Μαρτῖνος ἐν τῇ ἰδίᾳ Συνόδῳ φανεροῖ πράξει τρίτῃ. τρίτον, ὅτι ὑπεκρίνοντο δι' ἀγάπην δῆθεν καὶ εἰρήνην ἔλεγον τὴν μίαν θέλησιν, ἐν ᾧ τρόπῳ ἐδελέαζον τοὺς πιστοὺς, ἤλεγξαν ὅμως τὰς ὑποκρίσεις τῆς μονοθελήσεως οἱ πατέρες ἐπὶ Μαρτίνου, οἳ καὶ τέλος πάντων κατέκριναν τὰ συγγράμματα καὶ τὰ πρόσωπα ἅπερ εἴπομεν ἀνωτέρω, ἅτινα κεῖνται ῥητῶς καὶ ἐν τῷ δεκάτῳ ὀγδόῳ Κανόνι τῆς αὐτῆς Συνόδου. ἐν τούτοις ὄντος πρωτοσυνηγόρου τοῦ Ὀνωρίου Πάπα, καὶ διατοῦτο ἀναθεματισθέντος ἐν τῇ ἕκτῃ Συνόδῳ ὑπὸ τοσούτων πατέρων καὶ Παπῶν καὶ Βασιλέων καὶ τῆς ἐν Τρούλλῳ καὶ τῆς ἑβδόμης τῶν Συνόδων, οἱ παπισταὶ ἀναισθητοῦντες διὰ τὸ φρονεῖν αὐτοὺς εἶναι τὸν Πάπαν ἀναμάρτητον καὶ κεφαλὴν τῆς καθόλου Ἐκκλησίας, ἀναιδεῖ τῷ προσώπῳ λέγουσιν, ὅτι αἱ ἐπιστολαὶ Σεργίου πρὸς Ὀνώριον καὶ Ὀνωρίου πρὸς Σέργιον, ἐν αἷς λίαν σαφῶς διαγράφεται ἡ Αἵρεσις τοῦ Ὀνωρίου, εἰσὶ ψευδεῖς, ἐπίπλαστοι καὶ παρὰ Αἱρετικῶν ἐμβεβλημέναι ἐν τοῖς πρακτικοῖς τῆς ἕκτης Συνόδου, ἀλλὰ δὴ καὶ τὸ ὄνομα Ὀνωρίου ὑπὸ κακούργων τινῶν συνετάγη ἐν τοῖς αὐτοῖς πρακτικοῖς. εἰ δὲ ζητεῖς ὑπὸ τίνος καὶ πότε ἐνοθεύθησαν τὰ πρακτικὰ τῆς ἕκτης Συνόδου, ἀποκρίνονται Βαρώνιος, Βίνιος, Σκότος καὶ οἱ λοιποὶ νεώτεροι, λέγοντες Θεόδωρον Σύγκελλον Πατριάρχην Κωνσταντινουπόλεως νοθεῦσαι αὐτὰ, μάλιστα λέγουσι περὶ τούτου, ὅτι ἐξέβαλε τὸ ὄνομα τοῦ Ῥώμης Βιταλιανοῦ ἀπὸ τῶν Διπτύχων ἄνευ γνώμης τοῦ Βασιλέως, οὗ χάριν καὶ τοῦ θρόνου ἐξεβλήθη τῆς Κωνσταντινουπόλεως, καὶ γέγονεν αὐτ' αὐτοῦ ὁ Γεωργιος, καὶ μετὰ τὸν θάνατον τοῦ Γεωγίου ὑποκριθεὶς ὁ Θεόδωρος τὴν ὀρθοδοξίαν, τῷ ἑξῆς ἔτει ἀποκατέστη εἰς τὸν θρόνον Κωνσταντινουπόλεως. τοῦτον, φασὶν οἱ αὐτοὶ, τὸν Θεόδωρον ὡς Αἱρετικὸν ἀνεθεμάτισεν ἡ ἕκτη Συνόδος, ὅμως μετὰ τὸ ἀποκατασταθῆναι αὖθις αὐτὸν εἰς τὸν θρόνον αὐτοῦ, εἰληφέναι τὰ πρωτότυπα τῆς ἕκτης Συνόδου δι' ἀπάτης ἀπὸ τῶν τοῦ Πάπα Λεγάτων, ἔτι εὑρισκομένων ἐν Κωνσταντινουπόλει, καὶ ἐκβαλεῖν μὲν τὸ ὄνομα αὐτοῦ, ἐνθεῖναι δὲ τὸ τοῦ Ὀνωρίου διὰ τὴν εὔκολον τῶν γραμμάτων ἐναλλαγὴν, εἶτα δοῦναι αὐτὰ τοῖς Λεγάτοις, οἵπερ ἀπῆλθον εἰς Ῥώμην, καὶ ὅτι μὲν ἦν ὁ Θεόδωρος Αἱρετικὸς, καὶ κατεκρίθη ὑπὸ τῆς ἕκτης Συνόδου, βεβαιοῦσι τοῦτο ἀπὸ τοῦ βιβλιοθηκαρίου Ἀναστασίου ἐν τῷ βίῳ τοῦ Ἀγάθωνος, ὅτι δὲ ἀποκατέστη πάλιν εἰς τὸν θρόνον μετὰ τὸν θάνατον Γεωργίου, βεβαιοῦσι τοῦτο ἀπὸ τοῦ Χρονικοῦ τοῦ ἁγίου Νικηφόρου. σπεύδουσι δὲ ἀποδεῖξαι ταῦτα καὶ λόγοις καὶ μαρτυρίαις.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ὧν λέγουσιν οἱ παπισταὶ τεσσάρων τινῶν ὑπὲρ Ὀνωρίου, ὅτι παρενεβλήθησαν ἐν τοῖς πρακτικοῖς τῆς Συνόδου ἐπίπλαστα κατὰ τὸ ἔθος τῶν φθειρόντων τὰ βιβλία Ἑλλήνων, ὅτι οὐκ ἐδύνατο ἡ Σύνοδος κατακρῖναι τὸν Ὀνώριον, ἡ γὰρ ῥωμαϊκὴ Ἐκκλησία κατὰ τὸν Ἀγάθωνα ἄπταιστος, ὅτι οἱ τοῦ Ῥώμης Λεγάτοι κατὰ τὸ Κομμονιτώριον οὐ κατεδίκασαν τὸν Ὀνώριον, καὶ τέταρτον ὅτι σημεῖον πλάνης ἠκολούθησεν αὖ, εἰ τὸν ὑπ' οὐδενὸς κρινόμενον πάντας δὲ κρίνοντα ἡ Σύνοδος κατέκρινε, καὶ περὶ ὧν χρῶνται μαρτυριῶν ὑπὲρ αὐτοῦ.

Πρῶτος

Πρῶτος λόγος ἐστὶν αὐτοῖς, ὅτι λέγουσιν ὑπὸ τῶν Μονοθελητῶν παρεμβληθῆναι ἐν τοῖς πρακτικοῖς τῆς πέμπτης Συνόδου ἐπίπλαστά τινα γραφέντα Μηνᾷ ὑπὸ Βιγιλίου, ὡς ἐγνώσθησαν ἐν τῇ ἕκτῃ Συνόδῳ πράξει τρίτῃ, δωδεκάτῃ καὶ δεκάτῃ τετάρτῃ, οἰκεῖον γάρ φασι τοῖς Ἕλλησιν ἦν διαφθείρειν τὰ βιβλία. δεύτερος λόγος ἐστὶν ἐκ τοῦ ἀτόπου, οὐ γὰρ ἐδύνατο φασὶν ἡ Σύνοδος καταδικάσαι τὸν Ὀνώριον ὡς Αἱρετικὸν, εἰ μὴ πρότερον ἀντέλεγε τῇ ἐπιστολῇ τοῦ Ἀγάθωνος πρὸς τὸν Βασιλέα, καὶ διατοῦτο ἕπεται τὴν Σύνοδον αὐτὴν ἑαυτῇ ἀντειπεῖν, ἐδέξατο γὰρ καὶ ἐβεβαίωσαι τὴν ἐπιστολὴν τοῦ Ἀγάθωνος; ἐν αὐτῇ δὲ γράφει ὁ Ἀγάθων ὅτι ἡ Ῥωμαϊκὴ Ἐκκλησία οὐδέποτε ἐκπέπτωκε τῆς πίστεως, καὶ οἱ Ἐπίσκοποι αὐτῆς, τουτέστιν οἱ Πάπαι ἀεὶ εὐσεβεῖς, ὡς εἶπεν ὁ Χριστὸς τῷ Πέτρῳ, σὺ εἶ Πέτρος ἡ πέτρα, καὶ τὰ ἑξῆς. ὁ τρίτος λόγος ἐστὶν, ὅτι οἱ Λεγᾶτοι ἔλαβον διωρισμένον Κομμονιτώριον, καὶ ἑπόμενοι τῇ ἐπιστολῇ, οὐ κατεδίκασαν τὸν Ὀνώριον. ὁ τέταρτος λόγος ἐστὶ καὶ αὐτοῖς ἐκ τοῦ ἀτόπου, ὅτι εἰ ἡ Σύνοδος κατεδίκασε τὸν Ὀνώριον ὡς Αἱρετικὸν, ἠκολούθησεν ἂν ἀνεξάλειπτον ἀνυπομονήτου πλάνης καὶ αἰσχύνης καὶ ἀδικίας σημεῖον, ἐκ τοῦ μὴ κατανοῆσαι τὰς ἐπιστολὰς τοῦ Ὀνωρίου, καὶ ἐκ τοῦ καταδικάσαι τὸν θρόνον τὸν ἀποστολικὸν, ὅστις κρίνει τοὺς πάντας καὶ ὑπ' οὐδενὸς αὐτὸς κρίνεται, καὶ ἐκ τῆς ἀδίκου ἀποφάσεως κατὰ τοῦ ἀνεγκλήτου, καθότι εἰς τὰς ἐπιστολὰς τοῦ Ὀνωρίου οὐδεμία πλάνη περιέχεται. αἱ μαρτυρίαι δὲ αἷς χρῶνται εἰσὶ μέρος μὲν ἀπὸ τῶν πρὸ τῆς ἕκτης Συνόδου γενομένων Συνόδων, ὡς ἦν ἡ ἐπὶ Θεοδώρου καὶ Μαρτίνου, καὶ ἀπὸ τοῦ διαλόγου τοῦ ἁγίου Μαξίμου μετὰ τοῦ Πύῤῥου, μέρος δὲ ἐκ τῶν μετὰ τὴν ἕκτην Σύνοδον ἱστορικῶν Θεοφάνους, Ἀναστασίου, Νικολάου τοῦ πρώτου, Ζωναρᾶ, Μανουὴλ Καλέκα, καὶ ἑτέρων παρὰ Λατίνοις χρονογράφων, οἵτινες πάντες φασὶν, ὅτι τοῦ Ὀνωρίου ὡς εὐσεβοῦς ἐμνήσθησαν, καὶ οὐ δὲ καταδικάζουσιν αὐτόν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἀπόδειξις ὅτι τὸ κατακριθῆναι τὸν Θεόδωρον ἐν τῇ ἕκτῃ Συνόδῳ, καὶ ἐνσῦραι τὸ τοῦ Ὀνωρίου ὄνομα εἰς τὸν κατάλογον τῶν ἀποβεβλημένων ψεῦδος παπιστῶν ἐστὶ, καὶ πλάσμα τῆς ἀναιδείας τῶν νέων ψευδοθεολόγων αὐτῶν.

Τὸ γεγραφέναι τὸν Ἀναστάσιον ὅτι ὁ Θεόδωρος ἐν τῇ ἕκτῃ κατεδικάσθη, ψεῦδος ἐστὶ, τόσον δὲ μόνον λέγει, ὅτι περιήχθη ἐν τῇ Συνόδῳ τὸ κίβδηλον μετὰ ὑπογραφῶν Μακαρίου καὶ Θεοδώρου τῶν Πατριαρχῶν, καὶ μεταταῦτα ὁ μὲν Μακάριος ἐρωτηθεὶς, φησὶν, εἰ συμφωνεῖ τῇ πίστει, καὶ μὴ συναινέσας, κατεδικάσθη, περὶ δὲ Θεοδώρου ἐξετάσεως, ἢ κατακρίσεως οὐδὲν λέγει. καὶ ἡμεῖς λέγομεν ὅτι οὔτε τὸ ὄνομα αὐτοῦ συνηριθμήθη μετὰ τῶν κατακριθέντων, οὔτε ὁ Θεόδωρος εἶχεν ἀνάγκην ἐξαλεῖψαι τὸ ὄνομα αὐτοῦ ἀπὸ τοῦ καταλόγου τῶν κατακριθέντων ἵνα φύγῃ τὴν τοιαύτην κατάκρισιν, εἴγε καὶ ἦν γεγραμμένον, ἀρκετὴ γὰρ ἦν ἡ τῆς Αἱρέσεως ἄρνησις, ὡς ἐγένετο ἐπὶ πολλῶν τοιούτων ἐπὶ τῆς τετάρτης καὶ ἑβδόμης τῶν Συνόδων. ὅτι δὲ ἠρνήσατο αὐτὸς τὴν Αἵρεσιν ὁ Θεόδωρος, γινώσκεται ἐκ τούτων τῶν δύο, ἑνὸς μὲν, ὅτι οὐ κατεκρίθη ὀνομαστὶ ἐν τῇ Συνόδῳ, δευτέρου δὲ, ὅτι ἀποκατέστη εἰς τὸν θρόνον ὑπὸ τοῦ Βασιλέως τοῦ ὑπερασπιστοῦ τῆς Συνόδου. εἶτα τὸ ἐξωσθῆναι τὸν Θεόδωρον τοῦ θρόνου, καὶ καθίσαι ἔτη τρία καὶ τόσους Μῆνας ἀργὸν, καὶ ἀποκατασταθῆναι εἰς τὸν θρόνον, λέγει τοῦτο ὁ Νικηφόρος, ἐκκλῖναι ὅμως εἰς τοὺς Μονοθελήτας ἢ ὑποκριθῆναι τὴν ὀρθοδοξίαν, ἢ πρὶν ἢ ἀπελθεῖν ἀπὸ τῆς Κωνσταντινουπόλεως τοὺς Λεγάτους τοῦ Ῥώμης θανεῖν τὸν Γεώργιον καὶ ἀποκατασταθῆναι εἰς τὸν θρόνον τὸν Θεόδωρον, κἀκείνους τοὺς Λεγάτους λαβεῖν παρὰ τοῦ Θεοδώρου τὰ πρακτικὰ, καὶ τὰ τοιαῦτα, ὁ Νικηφόρος οὐκ ἔγραψεν, ἀλλ' οὔτε τὶς ἄλλος τῶν παλαιῶν συγγραφέων. περὶ τῶν ἀρχαίων δὲ ἀρχαίους δεῖ μάρτυρας προσφέρειν. πρὸς τούτοις ὁ Θεόδωρος κλίνας πρὸς τοὺς Μονοθελήτας, ἐτίμα τὸν Ὀνώριον παρὰ πάντας τοὺς Πάπας τοὺς διαδόχους τοῦ Ὀνωρίου, ἐμνημόνευέ τε αὐτοῦ ἐν τοῖς Διπτύχοις, παρατρέχων τοὺς διαδόχους αὐτοῦ, ὡς ὁ Βασιλεὺς γράφει ἐν τῇ πρὸς Δόνον Σάκρᾳ. γελοῖον δὲ καὶ τὸ ἐπίπλαστον τῶν παπιστῶν, λέγουσι γὰρ τὸν Θεόδωρον πρὸς εὐεργεσίαν τῆς Αἱρέσεως τῶν Μονοθελητῶν, καὶ μῖσος τῆς Ῥωμαϊκῆς καθέδρας ἐνσῦραι τὸ ὄνομα τοῦ Ὀνωρίου εἰς τὸν κατάλογον τῶν ἀποβεβλημένων, κατὰ γὰρ τοῦτον τὸν τρόπον ἐστερήθησαν ἂν οἱ Μονοθελῆται τῆς βοηθείας τῆς Ῥωμαϊκῆς καθέδρας, κατακριθέντος Ὀνωρίου. εἶτα εἴπερ ἠβουλήθη δόλον ποιῆσαι ἐν τοῖς πρακτικοῖς ὁ Θεόδωρος, ἤλλαξεν ἂν φωνὰς τινὰς συγκριτικὰς, καὶ οὐ τοὔνομα τοῦ Ὀνωρίου. ἔπειτα τῆς ἀναιδείας τῶν παπιστῶν ἐστὶν ὃ λέγουσι περὶ τῆς ῥάστης τῶν στοιχείων μεταβολῆς ἐν τῷ γράψαι Ὀνώριον ἀντὶ Θεοδώρου, τοῦτο μὲν, ὅτι οὐ κεῖται τὸ ὄνομα Ὀνωρίου μόνον ἐν τοῖς πρακτικοῖς, ἀλλὰ λέγεται, Ὀνώριον τὸν γενόμενον Πάπαν τῆς πρεσβυτέρας Ῥώμης καὶ βεβαιωτὴν τῆς Αἱρέσεως. τοῦτο δὲ, ὅτι οὐ γράφεται ἐν ἑνὶ τόπῳ, ἀλλ' ἐν πολλοῖς καὶ διαφόροις καὶ διὰ πολλῶν, ἅτινα οὐμόνον δι' ἑνὸς στοιχείου μεταβολὴν οὐδυνατὸν δέξασθαι, ἀλλ' οὐ δὲ διὰ ὀλίγων λέξεων. καὶ λοιπὸν ψεῦσται σαφεῖς οἱ νεώτεροι τῶν Λατίνων Θεολόγοι.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ἔλεγχος προφανὴς τῆς συκοφαντίας τῶν παπιστῶν, τοὺς Ἕλληνας φθείρειν τὰ βιβλία λεγόντων, καὶ ἀπόδειξις ἐκ τῶν ἐξεταθέντων ἐν τῇ παρούσῃ ἕκτῃ Συνόδῳ ὅτι οὐ φθορεῖς οἱ Ἀνατολικοὶ πατέρες τῶν βιβλίων, ἀλλ' ὀρθόδοξοι.

Ἐλέγχεται δὲ προφανῶς ἡ συκοφαντία τῶν παπιστῶν ὅτι οἱ Ἕλληνες φθορεῖς εἰσὶ τῶν βιβλίων, πρῶτον, ὅτι ἀπὸ μερικοῦ τὸ ἐπιχείρημα. δεύτερον, ὅτι οὐ συμφωνεῖ τὸ παράδειγμα ὅπερ βεβαιοῦται ὑπὸ δύο ἱστορικῶν διηγήσεων, ὧν ἡ πρώτη ἐστὶ διὰ τὴν νόθευσιν τῶν πρακτικῶν τῆς πέμπτης Συνόδου, ἡ δὲ ἑτέρα λαμβάνεται ἀπὸ τῶν ἀναγινωσκομένων ἐν τῇ ἕκτῃ Συνόδῳ, ὅπου τῶν Μονοθελητῶν προβαλόντων τὴν δύναμιν τῶν Οἰκουμενικῶν Συνόδων, ἐδεήθησαν οἱ πατέρες καὶ ἔφερεν ὁ Βασιλεὺς ἀπὸ τοῦ Χαρτοφυλακίου τοῦ Πατριαρχείου τὰ πρακτικὰ, καὶ ἴδε πρᾶξιν πρώτην. εἶτα ἐν τῇ τρίτῃ πράξει ἀναγνωσθέντων τῶν πρακτικῶν τῆς πέμπτης Συνόδου, εὐθὺς ἐγένετο λόγος περὶ λόγου Μηνᾶ πρὸς Βιγίλιον, ὃς διελάμβανε μίαν θέλησιν ἐπὶ Χριστοῦ, καὶ ἀναστάντες οἱ Λεγᾶτοι τοῦ Ῥώμης ἐβόησαν, ἐπιεικέστατε κύριε νενοθευμένον ἐστὶ τὸ βιβλίον, ἀλλὰ κέλευσον ἐπιμελῶς ἐξεταχθῆναι. ἐν τῷ εἰκοστῷ πρώτῳ ἔτει τοῦ Ἰουστινιανοῦ ἀπέθανεν ὁ Μηνᾶς, ἐν δὲ τῷ εἰκοστῷ ἑβδόμῳ ἐγένετο ἡ πέμπτη Σύνοδος πατριαρχοῦντος Εὐτυχίου, καὶ ἰδὼν ὁ Βασιλεὺς βιβλίον μετὰ τῶν ἐνδόξων αὐτοῦ καὶ τινων πατέρων τῆς ἁγίας Συνόδου, εὗρε τρία τετράδια εἰς τὴν ἀρχὴν αὐτοῦ προστεθειμένα, ἅτινα οὐκ εἶχον ὑποσημείωσιν ἀριθμητικὴν, ἢ κατὰ τὴν συνήθειαν ἐγγράφεται ἐν τοῖς τετραδίοις, καὶ ἔτι εὗρον ὅτι ἐν τῷ τετάρτῳ τετραδίῳ ἦν ἀριθμὸς πρῶτος, ἐν δὲ τῷ ἑπομένῳ δεύτερος, καὶ τρίτος ἐν τοῖς ἐφεξῆς, προσέτι καὶ ὁ χαρακτὴρ τῆς γραφῆς ἦν διάφορος. εἶπε δὲ ὁ Βασιλεὺς, ἀναγνωσθήτω ὁ λόγος οὗτος, ἀναγινωσκομένης δὲ καὶ τῆς ἑβδόμης πράξεως τῆς πέμπτης Συνόδου, εὑρέθησαν ἐν αὐτῇ δύο βιβλία ὕπουλα ἐξ ὀνόματος τοῦ Πάπα Βιγιλίου πρὸς τὸν μέγαν Ἰουστινιανὸν καὶ πρὸς Θεοδώραν αὐγοῦσαν, ἐν οἷς ἐλέγετο μία ἐπὶ Χριστοῦ ἐνέργεια, καὶ πάλιν ἀναστάντες οἱ Λεγᾶτοι τοῦ Ῥώμης, ἀνεβόησαν μὴ εἶναι ταῦτα τοῦ Βιγιλίου, ἀλλ' εἶναι νενοθευμένα, καθὼς καὶ τὰ προλαβόντα τῆς αὐτῆς πέμπτης συνόδου, ἐπεῖπον δὲ, ὅτι εἰ ὁ Βιγίλιος ἔγραψε μίαν ἐνέργειαν, καὶ ἐδέξατο τοῦτο ἡ Σύνοδος, ἔσεται τοῦτο καὶ ἐν τῷ Ὅρῳ τῆς Συνόδου, καὶ λοιπὸν ἀκολούθως ἀναγνωσθέντος τοῦ βιβλίου καὶ τοῦ Ὅρου, οὐδὲν εὕρηται ἐν αὐτῷ περιεχόμενον περὶ μιᾶς ἐνεργείας. οἱ Λεγᾶτοι ἐδεήθησαν ἵνα ἐξεταθῇ ἐν καιρῷ, καὶ τὸ εὑρεθὲν, ἵνα παρρησιασθῇ, καὶ κατένευσεν ὁ Βασιλεὺς, πράξει τρίτῃ. ἐν δὲ τῇ δωδεκάτῃ πράξει προσηνέχθη ἕτερος λόγος Μηνᾶ πρὸς Βιγίλιον, καὶ ἐγνώσθη καὶ οὗτος νόθος, ἐπειδὴ ἐν τοῖς ἀντιγράφοις τῶν ἐπιστολῶν τοῦ Μηνᾶ, κειμένοις ἐν τῇ βιβλιοθήκῃ τοῦ Πατριαρχείου, οὐχ εὑρέθη ὁ τοιοῦτος λόγος. ἐν δὲ τῇ δεκάτῃ τετάρτῃ πράξει γενομένης παραθέσεως τῶν διεφθαρμένων μετὰ τῶν ἄλλων τῶν ἀρχαίων καὶ ἀνεπιβουλεύτων βιβλίων τῆς πέμπτης Συνόδου, καὶ ἔτι μετά τινος βιβλίου ἐκ χάρτου, ὅπερ προσηνέχθη ἀπὸ τῆς βιβλιοθήκης τοῦ Πατριαρχείου Κωνσταντινουπόλεως, ἔχον καὶ τὴν Σύνοδον ταύτην, καὶ οὕτω γνωσθείσης τῆς νοθεύσεως, ἀπεδοκιμάσθησαν τὰ βιβλία τὰ περιέχοντα τὸ νόθον, ὁμοῦ καὶ ἐκεῖνα τὰ τετράδια τὰ παρεμβεβλημένα. περὶ δὲ τὴν ἑβδόμην πρᾶξιν μετεβλήθη τὸ τετράδιον τὸ δέκατον πέμπτον, καὶ ἀντεπεισήχθη ἕτερον τετράδιον ἀνεπίγραφον πρὸ τοῦ δεκάτου ἕκτου τετραδίου, ἐν ᾧ ἦσαν ἐκεῖνοι οἱ δύο ψευδεπίπλαστοι λίβελλοι, οἵτινες ἐλέγοντο εἶναι Βιγιλίου, ἀμφότερα ἀνεπίγραφα. εἰς δὲ τὰ ἀληθῆ τῆς πέμπτης οὐδὲν τῶν λιβέλλων καὶ λόγων εὑρέθη, οὔτε ἐν τῷ ἀδιαφθόρῳ τῷ ἐκ χάρτου εὑρέθησαν, καὶ μόνα τὰ τρία ἀντίγραφα ἦσαν διεφθαρμένα. ἦσαν δὲ οἱ παραγράψαντες Γεώργιος Μοναχὸς, Σέργιος Διάκονος, ᾧ ὑπηγόρευσεν ὁ Κωνσταντῖνος πρεσβύτερος, ὃς καὶ ἐνώπιον τῆς Συνόδου ὡμολόγησε φθορέα τούτων ἑαυτὸν γεγενῆσθαι, καὶ ἀκολούθως ἡ Σύνοδος ἀνεθεμάτισεν ἐκεῖνα, πράξει δεκάτῃ τετάρτῃ. οὐφθείρουσι λοιπὸν τὰ βιβλία οἱ Ἀνατολικοὶ πατέρες, καὶ λοιπὸν ὀρθόδοξοι, ἐπειδὴ ἐν τῷ Πατριαρχείῳ εὑρέθησαν τὰ ἀληθῆ καὶ τῆς πέμπτης Συνόδου, καὶ μάλιστα τὰ σταλέντα παρὰ τοῦ Ῥώμης μετὰ τῶν ἐν τῷ Πατριαρχείῳ κειμένων παρενεβλήθησαν, καὶ ἐβεβαιώθησαν, ἀλλὰ φθορεῖς τῶν βιβλίων εἰσὶν οἱ Λατῖνοι, ὡς εἴρηται καὶ ῥηθήσεται.

ΠΑΡΑΓΡΑΦΟΖ Ε'.

Ἀπόδειξις ὅτι τὰ πρακτικὰ τῆς ἕκτης Συνόδου οἱ τοῦ Ῥώμης Λεγᾶτοι οὐκ ἔλαβον παρὰ τοῦ Θεοδώρου, ἀλλὰ παρὰ τῆς Συνόδου, καὶ τὸ τὸν Θεόδωρον ἐκβαλεῖν τὸ ἑαυτοῦ ὄνομα καὶ γράψαι τὸ τοῦ Ὀνωρίου καὶ πλάσαι τὰς ἐπιστολὰς Ὀνωρίου καὶ ἐνσύραι ἐν τοῖς πρακτικοῖς ψεῦδος καὶ φλύαρον δείκνυται, καὶ ὅτι τὰ ἀντίγραφα ἐδόθησαν τοῖς Λεγάτοις τοῦ Ῥώμης πατριαρχοῦντος Γεωργίου, ἐφ' οὗ καὶ ἀπῆλθον εἰς Ῥώμην, καὶ οὐχὶ ἐπὶ τοῦ Θεοδώρου.

Ῥητέον ἔτι πρῶτον, ὅτι ὁ Ἀντιοχείας Μακάριος ἐπήνεσε τὸν Ὀνώριον, πράξει πρώτῃ τῆς Συνόδου. δεύτερον, οἱ τῶν Πατριαρχῶν Λεγᾶτοι ἔλαβον τὰ ἴσα τῶν πρακτικῶν ἀπὸ τῆς Συνόδου, καὶ οὐ παρὰ τοῦ Θεοδώρου, ἢ ἑτέρου τινὸς, πράξει δεκάτῃ ὀγδόῃ. τρίτον, ἐν τοῖς Λεγάτοις τοῦ Ῥώμης ἦν καὶ Ἰωάννης ὁ μετα-

ὁ μεταταῦτα χρηματίσας Πάπας, ὃς εἶχε μετὰ τῶν πρακτικῶν τῆς ἕκτης Συνόδου καὶ ἐπιστολὰς τοῦ Βασιλέως καὶ τῆς Συνόδου, καὶ ἐδόθησαν τῷ μετὰ τὸν Ἀγάθωνα Πάπᾳ Λέοντι; ἐπειδὴ ὁ Ἀγάθων προκεκοίμητο. τέταρτον, ἐν ταῖς συνοδικαῖς ἐπιστολαῖς ὑπέγραψαν Γεώργιος Κωνσταντινουπόλεως, Θεοφάνης Ἀντιοχείας καὶ οἱ Λεγᾶτοι τῶν Πατριαρχῶν Ἀλεξανδρείας καὶ Ἱεροσολύμων καὶ οἱ λοιποὶ πατέρες καὶ οἱ Λεγᾶτοι τοῦ Ῥώμης καὶ πάντες, μεθ' ὧν καὶ οἱ Λεγᾶτοι τοῦ Ῥώμης τὸν Ὀνώριον ἀνεθεμάτισαν. πέμπτον, καὶ λοιπὸν τὸ τοῦ Βιγίλου καὶ τῶν περὶ αὐτὸν ὅτι ὁ Θεόδωρος ἐξέβαλε τὸ ὄνομα αὐτοῦ καὶ ἔγραψε τὸ τοῦ Ὀνωρίου, καὶ ἐκ τούτων τῶν προσεχῶς εἰρημένων γινώσκεται εἶναι ψεῦδος. ἕκτον, ἡ κατὰ Θεοδώρου κατάκρισις οὔτε ἐγένετο, οὔτε ἠκούσθη ποτὲ ἐν τοῖς ἀρχαίοις. ἕβδομον, οὐχ ἁρμόζουσι τὰ εἰρημένα τῇ Συνόδῳ, εἰ μὴ τῷ Ὀνωρίῳ τῷ συγχρόνῳ τοῦ Σεργίου, πρὸς ὃν γράφων ὁ Ὀνώριος ἦν Πάπας τῆς Ῥώμης, οὗ καὶ αἱ αὐθεντικαὶ λατινικαὶ ἐπιστολαὶ κατακριθεῖσαι ἐκαύθησαν. ὄγδοον, καὶ ἐκεῖνο τὸ, ὁ Θεόδωρος ταῦτα πάντα καὶ τὰς ἐπιστολὰς Ὀνωρίου ἔπλασε καὶ ἐνέσυρεν ἐν τοῖς πρακτικοῖς φλυαρόν ἐστι, καὶ προσφερόμενον κατὰ τὸ ἔθος τῶν μὴ δυναμένων, ὑπὸ δὲ ἀνάγκης ἐριζόντων, ψεῦδος γὰρ τοῦτο ἀποδεικνύουσι τὰ πρακτικὰ, κῴδικες, ὑπομνήματα, ἐπιστολαὶ, Βασιλεὺς, Πάπαι καὶ πᾶσα ἡ κατ' ἐκεῖνο καιροῦ ἁγίου Ἐκκλησία, οὔτε γὰρ ἐγίνοντο τὰ τοιαῦτα χωρὶς ἐλεγμοῦ, οὔτε οἱ Λεγᾶτοι οἱ βοῶντες κατὰ τῶν νόθων τῆς πέμπτης Συνόδου ἐσιώπων, οὔτε ἐβεβαίουν αὐτὰ, οὔτε οἱ ἄλλοι θρόνοι ἐσιώπων, καὶ τὰ ἀντίγραφα ἐδόθησαν Γεωργίου πατριαρχοῦντος καὶ οὐ Θεοδώρου, καὶ οἱ Λεγᾶτοι ἀπῆλθον εἰς Ῥώμην Γεωργίου πατριαρχοῦντος, ἀλλ' οὔτε μὴν ἐδύνατο ὁ Θεόδωρος τοσαῦτα νοθεῦσαι, ὅθεν ὡς ἐψεύσθησαν οἱ Λατῖνοι εἰπόντες ἀνωτέρω βιβλίῳ δευτέρῳ ὅτι ἐφθάρησαν τὰ πρακτικὰ τῆς πρώτης Συνόδου, οὕτω ψεύδονται κἀνταῦθα περὶ τῶν πρακτικῶν τῆς ἕκτης Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῶν περὶ Βιγιλίου καὶ Μηνᾶ ἐν τοῖς πρακτικοῖς τῆς πέμπτης Συνόδου γνωσθέντων νόθων ἐν τῇ παρούσῃ ἕκτῃ Συνόδῳ, καὶ πότε καὶ παρὰ τίνων ἐνοθεύθησαν, καὶ ὅπως ὁ δόλος εὕρεται διὰ παραθέσεως τῶν ἀνεπιβουλεύτων.

Τὰ περὶ Βιγιλίου καὶ Μηνᾶ ἐν τοῖς πρακτικοῖς τῆς πέμπτης Συνόδου ἐγνώσθησαν νόθα, πρῶτον, ὅτι οἱ καιροὶ καὶ τὰ πρόσωπα οὐ συνήρχοντο, Μηνᾶ γὰρ θανόντος, Εὐτύχιος ἦν. δεύτερον, ὅτι ὅτε τὰ πρακτικὰ τῆς πέμπτης Συνόδου ἐκηρύχθη, οὐκ ἦσαν διεφθαρμένα, οὔτε ἔζων οἱ πατέρες τῆς Συνόδου ἐκείνης, ἀλλὰ μετὰ ἑκατὸν εἰκοσιοκτὼ ἔτη. τρίτον, ὅτι γέγονε τὸ σφάλμα διὰ τῶν τετραδίων ἐν τῇ πρώτῃ πράξει, καὶ διὰ τῆς παρενθήκης τοῦ τετραφύλλου πρὸ τοῦ δεκάτου ἕκτου τετραδίου ἐν τῇ ἑβδόμῃ πράξει. τέταρτον, ὅτι τὰ προστεθειμένα τετράδια καὶ τὸ τετράφυλλον ἦσαν ἀνεπίγραφα, καὶ οὔτε εἶχον ἐπισημείωσιν ἀριθμητικήν. πέμπτον, ὅτι οὔτε οἱ χαρακτῆρες τῶν γραμμάτων ἦσαν οἱ αὐτοί. ἕκτον, ὅτι ἐν τοῖς ἀντιγράφοις τῶν ἐπιστολῶν τοῖς φυλαττομένοις ἐν τῷ Πατριαρχείῳ οὐχ εὑρέθη ὁ λόγος πρὸς Βιγίλιον τοῦ Μηνᾶ. ἕβδομον, ὅτι οἱ Λεγᾶτοι τοῦ Πάπα κατέφυγον εἰς τὸν Ὅρον τῆς Συνόδου ὡς μὴ νόθον. ὄγδοον, εἰ καὶ ἀπὸ τῆς πέμπτης Συνόδου παρῆλθον πλείω τῶν ἑκατὸν εἴκοσιν ἔτη, εὑρίσκοντο ὅμως τὰ πρακτικὰ τῆς πέμπτης Συνόδου ἀνεπιβούλευτα, καὶ ἄλλος χάρτης περιέχων τὰ αὐτὰ, δι' ὧν τῆς παραθέσεως εὑρέθη ὁ δόλος. ἔνατον, ὅτι καὶ οἱ νοθεύσαντες εὑρέθησαν, καὶ ὡμολόγησαν, ἐπὶ δὲ Ὀνωρίου καὶ Θεοδώρου οὐδὲν τοιοῦτον, ἀλλὰ μάλιστα ὁ Ὀνώριος καὶ Σέργιος ἦσαν σύγχρονοι, καὶ περὶ τοῦ αὐτοῦ δόγματος ἀμοιβαίως ἔγραφον καὶ πασιδήλως, ἄρα.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἡ περὶ τοῦ μηδέποτε ἐκδοθῆναι τὰ τῆς ἕκτης Συνόδου πρακτικὰ ἀδιάφθορα πλασματώδης τῶν παπιστῶν ψευδολογία λῆρος οὖσα προφανὴς καὶ φλυαρία, οὐ δεῖται ἀπολογίας.

Οἱ παπισταὶ πλάττουσιν ὅτι τὰ πρακτικὰ τῆς ἕκτης Συνόδου οὐδέποτε ἐξεδόθησαν ἀδιάφθορα, καὶ ὅτι μετὰ τὸ τέλος τῆς Συνόδου οἱ τοῦ Πάπα Λεγᾶτοι ἐστάθησαν εἰς τὸ Βυζάντιον ἔτος ἓν πρὸ τοῦ λαβεῖν τὰ ἀντίγραφα, καὶ ὅτι τῶν ἄλλων θρόνων οἱ Ἐπίσκοποι καὶ οἱ Λεγᾶτοι ἐπὶ πολὺν χρόνον ὑστεροῦντο τῶν ἀντιγράφων τούτων, ἅτινα ὕστερον ἐδόθησαν διεφθαρμένα, ἅπερ καίτοι διεφθαρμένα, ἐβεβαίωσαν ὡς ἀληθῆ ἐπιστραφέντες εἰς τοὺς θρόνους αὐτῶν, ἃ καὶ Λέων ὁ δεύτερος ἐπεκύρωσε, καὶ εἰς λατίνα μετέφρασεν, ὡς μαρτυρεῖ Ἀντωνῖνος Ἀρχιεπίσκοπος Φλωρεντείας ἐν τοῖς χρονικοῖς αὐτοῦ ἐν τῷ δευτέρῳ μέρει, καὶ ἀπέστειλεν αὐτὰ καὶ εἰς τοὺς τῆς Ἱσπανίας Ἐπισκόπους βεβαιῶσαι αὐτὰ, καὶ δὴ καὶ Ἰωάννης πέμπτος ὁ Πάπας, ὃς ἦν παρὼν ἐν τῇ Συνόδῳ, καίτοι διεφθαρμένα, ἐβεβαίωσεν αὐτά. λέγουσιν οἱ αὐτοὶ ὅτι οὐμόνον διὰ παρενθήκης ἐνοθεύθησαν, ἀλλὰ καὶ διὰ ξυσμάτων, καὶ ἑνώσεων σειρῶν, καταβατῶν, καὶ ἑτέρων τοιούτων, ὥστε μήτε τοὺς τότε παρόντας συνιέναι. Ἀλλὰ ῥητέον, ὅτι ταῦτα πάντα λῆρος τῶν παπιστῶν

καὶ

καὶ προφανὴς φλυαρία, διὰ γὰρ τούτων δηλοῦται μάλιστα εἶναι ἀνόθευτα τὰ πρακτικὰ τῆς Συνόδου, ἐπειδὴ τοιαύτη μεγίστη μεταβολὴ οὐκ ἦν δυνατὸν γενέσθαι, κἄπειτα περικαλυφθῆναι.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ἐπιχείρημα Βελλαρμίνου καὶ Γρετζέρου λεγόντων τοὺς Ἕλληνας φθείρειν τὰ τῶν πατέρων βιβλία, καὶ Λέοντα τὸν πρῶτον εἰς μαρτυρίαν προβαλλομένων, καὶ καταφρόνησις αὐτῶν τε καὶ τοῦ φλυάρου Βινίου ὡς συκοφαντῶν ἐξ ὧν ἔπεμψεν ὁ Ἀγάθων ῥητῶν εἰς τὴν Σύνοδον, καὶ ἐκ τῶν ῥητῶν τοῦ Λέοντος περὶ τῆς ἐπιστολῆς αὐτοῦ.

Ἡπεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος, λέγει ὁ ἅγιος Ἀπόστολος, ὅθεν Βελλαρμῖνος καὶ ὁ ἐξηγητὴς αὐτοῦ Γρετζέρος παρακινούμενοι ἀπὸ τοῦ πνεύματος τῆς πλάνης, μετὰ τοσαύτας ἀποκρίσεις πάλιν κατὰ τὸ ἀρχαῖον ἔθος τῶν Λατίνων κατὰ τῶν Ἑλλήνων σκληρυνόμενοι, λέγουσιν ὅτι οἱ Ἕλληνες φθείρουσι τὰ βιβλία τῶν πατέρων, καὶ προβάλλονται μάρτυρας εἰς τοῦτο Λέοντα τὸν πρῶτον καὶ Γρηγόριον τὸν διάλογον, ἀλλ' εὐθὺς ὡς συκοφάνται καταφρονοῦνται, εἴρηται γὰρ, ὅτι τὰ ῥητὰ τῶν ἁγίων, ἅπερ εἶχον τὰ τοῦ Ἀγάθωνος συνοδικὰ, ἐν οἷς ἦσαν καὶ τὰ τῶν πέντε Συνόδων, καὶ ἐκεῖνα τὰ ῥητὰ τῶν ἐγκρίτων πατέρων, ἅπερ ἀπέστειλε μετὰ τῶν Λεγάτων αὐτοῦ ὁ Ἀγάθων εἰς βεβαίωσιν τῶν δύο ἐνεργειῶν καὶ δύο θελήσεων ἐπὶ Χριστοῦ παραβληθέντα τοῖς ἐν τῷ Πατριαρχείῳ τῆς Κωνσταντινουπόλεως κῴδιξιν, ἐβεβαιώθησαν, καὶ ἴδε τὸ ἀνωτέρω προσεχῶς κεφάλαιον, καὶ γνῶθι ὅτι διὰ τῶν κῳδίκων τῶν Ἑλλήνων ἐβεβαιώθη ἡ ἀλήθεια, ὥστε τὸ φθείρειν τοὺς Ἕλληνας τὰ βιβλία ἐστὶν ἀδύνατον καὶ ἄπιστον, καὶ ἐθελούσιος τῶν παπιστῶν φλυαρία. ἀλλ' οὐδὲ τὰ Λέοντος καὶ Γρηγορίου βοηθεῖ αὐτοῖς, ὁ γὰρ Λέων ὑποπτευθεὶς παρεξηγηθῆναι ὑπότινων τὴν πρὸς Φλαυϊανὸν αὐτοῦ ἐπιστολὴν, ἐν τῇ ὀγδοηκοστῇ τρίτῃ ἐπιστολῇ πρὸς Παλαιστινοὺς σημειοῖ τὴν γνώμην αὐτοῦ καὶ λέγει, προσέχειν αὐτοὺς ἀπὸ τῶν ἐσφαλμένων μεθερμηνεύσεων. Ὁ αὐτὸς ἐν τῇ ἑξηκοστῇ ἐνάτῃ ἐπιστολῇ αὐτοῦ ἐξορκίζει τὸν Αὐτοκράτορα Μαρκιανὸν ἐπιτηδείῳ ἑρμηνεῖ προστάξαι μεθερμηνεῦσαι αὐτὴν ἐπιμελῶς, καὶ διὰ πιστοῦ ἀνθρώπου δοῦναι αὐτὴν τοῖς κριταῖς τῆς Ἀλεξανδρείας, ποῦ δὲ ἐνταῦθα ὁμοιότης τοῦ ἔφθειραν οἱ Γραικοὶ τὰ πρακτικὰ τῆς ἕκτης Συνόδου, ὅπου ἡ ἐπιστολὴ τοῦ Λέοντος ἡ ἀρχέτυπος εὑρίσκετο ἐν τῇ Ῥώμῃ, ἐν τοῖς Ἕλλησι καὶ ἐν τοῖς πρακτικοῖς τῆς ἐν Χαλκηδόνι Συνόδου; φλυαρεῖ καὶ ὁ Βίνιος ἀνόμοιον λέγων τὴν ἐπιστολὴν τῷ λατινικῷ, ὡς ὁ Ἀναστάσιος μεθηρμήνευσεν. ἐν γὰρ τῇ ἐν Χαλκηδόνι Συνόδῳ ἀντιλεγόντων πολλῶν, ἐξητάσθη ἡ ἐπιστολὴ σχεδὸν καὶ κατὰ τὰς συλλαβὰς καὶ τὰ στοιχεῖα αὐτῆς, οὐ μὴν καὶ κατὰ μόνας τὰς λέξεις.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ἔτι ἐπιχείρημα Βελλαρμίνου καὶ Γρετζέρου περὶ τῶν αὐτῶν, Γρηγόριον τὸν διάλογον εἰς μαρτυρίαν προβαλλομένων ἐν τῇ πρὸς Ναρσῆν αὐτοῦ ἐπιστολῇ λέγοντα περὶ Ἀδελφειοῦ καὶ Σάββα τῶν κατακριθέντων ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ καὶ μὴ εὑρισκομένων ὀνομαστὶ ἐν αὐτῇ, καὶ νομίζοντα διεφθάρθαι τὴν Σύνοδον, καὶ ἐκ τούτου συναγόντων ὅτι καὶ τὴν ἕκτην Σύνοδον διεφθάρθαι δυνατόν ἐστι, καὶ ἀπόκρισις πρὸς τὸ ἐπιχείρημα μετὰ ἀποδείξεως, ἐξ ἧς λῆρος Βελλαρμῖνος καὶ Γρετζέρος δείκνυνται, ἐκ γὰρ τοῦ δυνατοῦ οὐχ ἕπεται ἡ τῆς ἐνεργείας θέσις, καὶ τὸ παράδειγμα περὶ Ὀνωρίου ἄνισον.

Περὶ δὲ τοῦ Διαλόγου ῥητέον, ὅτι βιβλίῳ πέμπτῳ, ἐπιστολῇ δεκάτῃ τετάρτῃ πρὸς Ναρσῆν λέγει, τὴν ἐν Ἐφέσῳ Σύνοδον ἐρευνῶντες, οὐδὲν ὁρῶμεν περὶ Ἀδελφειοῦ καὶ Σάββα καὶ ἄλλων τινῶν, οἳ λέγονται ἐν ἐκείνῃ κατακριθῆναι, ὅθεν νομίζομεν καθὼς ἡ ἐν Χαλκηδόνι Σύνοδος ἐν ἑνὶ τόπῳ διεφθάρη ὑπὸ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας, οὕτω καὶ ἄλλο τι γεγενῆσθαι τοιοῦτον ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ. ἡ σὴ τοίνυν ἀγάπη ζητησάτω τοὺς παλαιοὺς κῴδικας τῆς αὐτῆς Συνόδου, καὶ σκεψάτω, εἴ τι τοιοῦτον εὑρίσκεται, ἐμοί τε τὸν αὐτὸν κῴδικα, ὃν αὖ εὕροις, ἀπόστειλον, ὃν εὐθὺς μετὰ τὸ ἀναγνῶναί με ἀποστελῶσοι, τοῖς γὰρ παρὰ πολλοῖς εὑρισκομένοις νέοις κῴδιξι μὴ πιστεύετω, ἐκ τούτου γὰρ τοῦ παραδείγματος ἐνέπεσον εἰς ἀμφιβολίαν ἐγὼ, καὶ οὔπω οὐδὲν βεβούλευμαι γράψαι περὶ τούτου τοῦ παραδείγματος τῷ εἰρημένῳ μοι ἀδελφῷ Ἰωάννῃ τῷ Ἐπισκόπῳ, οἱ δὲ ἐν Ῥώμῃ κῴδικες ἀληθέστεροί εἰσι παρὰ τοὺς τῶν Γραικῶν, ὅτι καὶ ἡμέτεροι. ταῦτα ὁ Γρηγόριος. ἐπιχειροῦσι δὲ ἐντεῦθεν οἱ διαληφθέντες σοφισταὶ, ἐπειδὴ ὁ Γρηγόριος λέγει ὅτι οἱ ἐν Κωνσταντινουπόλει ἔφθειραν τὴν ἐν Χαλκηδόνι ἔντινι τόπῳ, καὶ ὑποπεύεται καὶ περὶ τῆς ἐν Ἐφέσῳ, καὶ προστίθησιν ὅτι οἱ ἐν Ῥώμῃ κῴδικες ἀληθέστεροί εἰσι παρὰ τοὺς τῶν Γραικῶν, οὐδὲν θαυμαστὸν εἰ καὶ οἱ Γραικοὶ ἔφθειραν τὰ πρακτικὰ τῆς ἕκτης. Ἀλλὰ ῥητέον ὅτι διὰ τούτου τοῦ ἐπιχειρήματος δύνασθε ὦ παπισταὶ εἰπεῖν ἐκεῖνο, ὅπερ ἐλέγετε ὅτι οἱ Ἀρειανοὶ ἔφθειραν τὰ πρακτικὰ τῆς πρώτης Συνόδου, εἰπεῖν ὅτι ἔφθειραν αὐτὰ οἱ Γραικοὶ, καὶ ἔτι εἰπεῖν, οὐ θαυμαστὸν ἐστὶν, εἰ παρὰ τῶν Γραικῶν διέφθαρται ἥτε πρώτη καὶ ἡ δευτέρα Σύνοδος, διὰ τὸ καὶ ἐν ταῖς ἀποφάσεσιν ἐκείνων ταῖς γενομέναις κατὰ Ἀρείου καὶ Μακεδονίου εὑρίσκε-

εὑρίσκεσθαι διαφθοράς. δεύτερον, ὅτι ἐκ τοῦ δυνατοῦ οὐκ ἀκολουθεῖ ἡ θέσις τῆς ἐνεργείας, ἤτοι τῆς πράξεως. τρίτον, ἡ διαφθορὰ ἐν τῇ ἕκτῃ οὐ γέγονε περὶ ἐκείνων, ἅτινα ἐλέγετο περὶ Ὀνωρίου, ἀλλ' ὁ Αἱρετικὸς Μακάριος ἦν φθορεὺς τῶν ἁγίων, ὃν ὑμεῖς κακουργοῦντες σιωπᾶτε, τοὺς δὲ τῆς ἀληθείας ὑπερασπιστὰς συκοφαντεῖτε. τέταρτον, τὸν Ναρσῆν πέμπει ὁ Γρηγόριος πρὸς τοὺς ἀρχαίους κῴδικας τῆς ἐν Ἐφέσῳ Συνόδου, παρασκευάζων πληροφορεῖσθαι ἐκ τῆς ἐκείνων μαρτυρίας, οὐ πέμπει δὲ αὐτὸν πρὸς τὸν ἐν Ῥώμῃ κῴδικα, ἀλλ' ἐκεῖνον εὑρεῖν παρασκευάζει, οὐ λατινικὸν, ἀλλ' ἑλληνικὸν, ὡς δηλοῦται ἐκ τῶν εἰρημένων, πρὸς μείζονα αὐτοῦ βεβαιότητα περὶ ὧν διηπόρει. πέμπτον, τοὺς κῴδικας τοὺς ἐν Ῥώμῃ προτίθησι τῶν Γραικικῶν ὑπὸ τῆς πατρίου φιλοτιμίας νικώμενος ὁ Γρηγόριος. οἱ δὲ γεννᾶδαι οὗτοι, καὶ ἁπλῶς οἱ παπισταὶ οὐδένα καταλείπουσιν ἡμῖν ἀρχαῖον κῴδικα, ἢ ἑλληνικὸν, ἢ ῥωμαϊκὸν, ᾧ δυνησόμεθα πιστεῦσαι. ἕκτον, Γρηγόριος λέγει τὴν ἐν Χαλκηδόνι Σύνοδον ἐν ἑνὶ τόπῳ διαφθαρῆναι, οἱ δὲ νυνὶ Ῥωμαῖοι τὴν ἕκτην Σύνοδον λέγουσιν ἐν πολλοῖς τόποις διαφθαρῆναι. ἕβδομον, οὐ παραδεχόμεθα τὸ τοῦ Γρηγορίου ὅτι ἡ ἐν Χαλκηδόνι Σύνοδος διέφθαρται, οὔτε μὴν περὶ τῆς ἐν Ἐφέσῳ ἀμφιβάλλομεν, πρῶτον, ὅτι τοῦτο οὐδεὶς ἕτερος εἶπε, πλὴν τοῦ Γρηγορίου. δεύτερον, ὅτι πολλοὶ ἦσαν οἱ ἐχθροὶ τῆς Συνόδου, καὶ τοῦ Ἡγεμόνος αὐτῆς Κυρίλλου καὶ ἐκ τοῦ μέρους τῶν Αἱρετικῶν καὶ ἐκ τοῦ μέρους τῶν ἀποστατῶν, ὅθεν ἦν μεγάλη προσοχὴ καὶ φύλαξις ὑπὸ τῶν πατέρων διὰ τὸ ὀρθόδοξον δόγμα, καὶ ἀκολούθως καὶ διὰ τὰ πρακτικά. περὶ δὲ τῆς ἐν Χαλκηδόνι Λέων ὁ Πάπας ὁ πρῶτος, οὗ οἱ Λεγᾶτοι παρῆσαν ἐν αὐτῇ, δεξάμενος τὰ πρακτικὰ παρ' αὐτῶν ἐκείνης οὐδεμίαν εὗρε παραφθορὰν, ἣν εἰ εὗρεν, οὐκ ἂν ἐσιώπησεν, ὡς οὐκ ἐσιώπησε περὶ τοῦ δευτέρου τόπου τοῦ Κωνσταντινουπόλεως, ἀλλ' ἔγραψεν εἰς Μαρκιανὸν, Ἀνατόλιον καὶ Πουλχερίαν. οὕτως οὖν τούτων ἐχόντων, λῆρος ἐστὶν ὁ Γρετζέρος, λέγων ὅτι ἀπέδειξεν ὁ Γρηγόριος τὴν παραφθορὰν τῆς Συνόδου, λέγει γὰρ, ὡς εἰ περὶ τῆς ἰσότητος τοῦ Κωνσταντινουπόλεως μετὰ τοῦ Ῥώμης ἐν τοῖς ἀντιγράφοις τῆς ἐν Χαλκηδόνι Συνόδου εὑρίσκεται γεγραμμένον, τοῦτο παρὰ τῶν Γραικῶν παραβέβληται ἐν τῇ Συνόδῳ. ταῦτα ἐκεῖνος. καίτοι ἐν τῇ Συνόδῳ τὸ μὲν πρᾶγμα ἐγένετο καὶ ὑπεγράφει, καὶ πρὸς Λέοντα ἀνεκηρύχθη δι' ἐπιστολῆς συνοδικῆς, καὶ ὁ Λέων αὐτὸς ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ ὁμολογεῖ τὸ πρᾶγμα γεγονέναι, οὐ μὴν δικαίως τε καὶ νομίμως, τέως μέντοι ὁμολογεῖ ὅτι ἐγένετο ἀληθῶς. ἐνταῦθα δὲ περὶ Ὀνωρίου ἄνισόν ἐστι τὸ παράδειγμα ὅπερ προβάλλει ὁ Γρετζέρος, οὐ γὰρ ζητεῖται τὸ οὐ καλῶς ἀνεθεματίσθη, ἀλλὰ τὸ οὐδ' ὅλως ἀνεθεματίσθη ὁ Ὀνώριος.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι Γρηγόριος ὁ Διάλογος ἀναποδείκτως εἰπὼν προῆχθαι τῷ Πάπᾳ ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου τὸ τοῦ καθόλου Ἐπισκόπου ὄνομα, δείκνυται κακῶς περὶ τὴν Σύνοδον διατεθειμένος, ἡ δὲ Σύνοδος ἀδιάφθορος.

Ὁ Γρηγόριος βιβλίῳ τετάρτῳ, ἤτοι ἐπιστολῇ τριακοστῇ ἕκτῃ γράφει, ὅτι ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου προσηνέχθη τῷ Πάπᾳ τὸ τοῦ καθόλου Ἐπισκόπου ὄνομα, οὐ μέντοι συνεχώρησε τινὶ τῶν αὐτοῦ διαδόχων τούτῳ τῷ πομπηϊκῷ ὀνόματι χρήσασθαι, εἰ γὰρ εἶπεν ὅτι προήχθη ὑπὸ τῆς Συνόδου, ἀλλὰ τὸν τόπον οὐ δείκνυσιν, ἐπειδὴ τοῦτο οὐδ' εἰς ἔννοιαν ἦλθέ ποτε τῆς Συνόδου, καὶ δείκνυται ἐκ τούτου, ὅτι ὅσα προνόμια καὶ τιμὰς καὶ δυνάμεις ἔδωκεν ἡ ἐν Χαλκηδόνι Σύνοδος τῷ Κωνσταντινουπόλεως, τὰ αὐτὰ ἦσαν ἅπερ ἐδόθη καὶ τῷ Ῥώμης, καὶ ἐναντιουμένων τῶν πρέσβεων τοῦ Λέοντος, ὁ Λέων ἐν ταῖς ἐπιστολαῖς περὶ τῶν γεγενημένων ἐν τῇ Συνόδῳ τοῦτο μόνον ὀνειδίζει, ὅτι οὐκ ἐφυλάχθη ὁ δεύτερος τόπος τῷ Ἀλεξανδρείας, καὶ ὁ τρίτος τῷ Ἀντιοχείας, ἀλλὰ προετέθη ὁ Κωνσταντινουπόλεως. ὀνομάζει δὲ ἡ Σύνοδος τὸν Ῥώμης Ἐπίσκοπον καὶ Ἀρχιεπίσκοπον, οὐδέποτε δὲ καθόλου, ὡς εἶπον αὐτὸν οἱ Ἀλεξανδρινοὶ, καὶ ἴδε ἀνωτέρω βιβλίου τετάρτου, κεφαλαίου πρώτου Παράγραφον δωδέκατον. οὐκ ἐψεύσθη λοιπὸν ἡ Σύνοδος, οὐδὲ διεφθάρη, ἀλλὰ κακῶς διατεθεὶς ὁ Γρηγόριος, ἐνόμισε κακῶς περὶ τῆς Συνόδου, ὅπερ οὐδεμίαν προξενεῖ τῇ Συνόδῳ ζημίαν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι οὐκ ἠλήθευσεν ὁ Διάλογος ὑποπτευθεὶς τὴν ἐν Ἐφέσῳ Σύνοδον διαφθαρῆναι, καὶ ὅτι τὸ ἐκ μερικοῦ ἐπιχείρημα τῶν Λατίνων ὑπὲρ Ὀνωρίου ἐκ τῆς διαφθορᾶς τῶν πρακτικῶν τῆς ἕκτης Συνόδου ἀνακόλουθον, καὶ οὕτως ἀναπόδεικτον.

Περὶ δὲ τῆς ἐν Ἐφέσῳ Συνόδου, ὅτι μὴ εὑρὼν ἐν αὐτῇ τὰ περὶ Σάββα καὶ Ἀδελφειοῦ, καὶ ἑτέρων Αἱρετικῶν, ὑπωπτεύθη, ῥητέον, ὅτι εἰ καὶ ἐν τοῖς πρακτικοῖς οὐκ εἰσὶ τὰ ὀνόματα, ἀλλ' ἡ Αἵρεσις, ἧς ἐκεῖνοι ἀρχηγοὶ γεγόνασιν, εὑρίσκεται ἐν τῷ δευτέρῳ μέρει τῆς Συνόδου κατακεκριμένη πράξει ἑβδόμῃ, ἔνθα τοὺς Μασσαλιανοὺς καὶ Ἐνθουσιαστὰς καὶ Εὐχίτας καταδικάζει. ἀντεῖπε τῷ Γρετζέρῳ Φραγγίσκος Ἰούνιος περὶ τούτου, ἀλλ' ὁ Γρετζέρος φησὶ, μᾶλλον πιστεύομεν Γρηγορίῳ, ἢ Ἰουνίῳ. Ἀλλὰ ῥητέον ὅτι λίαν ψυχρὰ ἡ ἀντιλογία αὕτη,

αὕτη, ποῖος γὰρ τοῦτο ἀρνεῖται; κατὰ τὸ παρὸν ὅμως οὔτε Ἰούνιος οὔτε ἡμεῖς τὰς ἡμετέρας μαρτυρίας ἄγομεν, ἀλλὰ τὰ ὑπὸ πάσης τῆς Οἰκουμένης ἀπαράθραυστα μαρτυρούμενα πρακτικὰ τῆς Συνόδου, ἀλλ' ὁ Γρετζέρος ταῦτα παρατρέχει, νομίζων ἀπατῆσαι πᾶσαν τὴν Οἰκουμένην. ὅτι μὲν οὖν οὐκ ἀληθῆ εἴρηκεν ὁ Γρηγόριος, σαφέστατόν ἐστιν, ἀλλὰ κἀκεῖνο οὐ δεῖ ἡμᾶς λανθάνειν, ὅτι ἡ ἐκ μερικοῦ ἐπιχείρησις ἀνακόλουθος ἐστὶν, ὥστε μηδεμίαν ἐκ τούτων ἀναχθῆναι ἀπόδειξιν περὶ ὧν ἀντιτείνουσι, λέγοντες διαφθαρῆναι τὰ πρακτικὰ τῆς ἕκτης Συνόδου δι' αἰτίαν τοῦ Ὀνωρίου, ἀνόμοιον γὰρ τὸ παράδειγμα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι ἐκ τῆς πρὸς Φώτιον ἐπιστολῆς τοῦ Πάπα Νικολάου, καὶ ἐκ τῆς ἐν τῷ τρίτῳ τόμῳ τῶν Συνόδων ἐπιστολῆς τοῦ αὐτοῦ, Βελλαρμίνου καὶ Γρετζέρου συμπεραινόντων τὴν ἑβδόμην καὶ ἀκολούθως καὶ τὴν ἕκτην τὰς Συνόδους ὑπὸ τῶν Γραικῶν διαφθαρῆναι, τὸ ἐκ ψευδῶν συμπεραίνειν, ἀπόδειξις ἐστὶν ἀληθὴς ὅτι ἀμφότεραι αἱ Σύνοδοι ἀδιάφθοροι.

Φησὶν ὁ Βελλαρμῖνος, ὅτι Νικόλαος ὁ πρῶτος ἐν τῇ πρὸς Μιχαὴλ τὸν Βασιλέα ἐπιστολῇ πέμπων τὸν Βασιλέα εἰς τὴν ἐπιστολὴν τοῦ Ἀδριανοῦ λέγει, πλὴν εἰμὴ διέφθαρται κατὰ τὸ ἔθος τῶν Γραικῶν, ἀλλ' ὡς ἀπὸ τῆς καθέδρας τῆς ἀποστολικῆς ἀπεστάλη μέχρι τούτου νῦν παρὰ τῇ Ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως διακρατεῖται. λέγει δὲ ὁ Βελλαρμῖνος, ὅτι οὐ χωρὶς αἰτίας τοῦτο εἴρηκεν, ἃ γὰρ ὁ Νικόλαος προβάλλεται ἐν τῇ πρὸς Φώτιον ἐπιστολῇ ἐκ τῆς Ἀδριανοῦ πρὸς Ταράσιον ἐπιστολῆς οὐχ εὑρίσκεται ἐν ἐκείνῃ τῇ ἐπιστολῇ, ὡς φαίνεται ἐν τῇ ἑβδόμῃ Συνόδῳ, ἐξήλειψαν γὰρ οἱ Γραικοὶ τὸν τόπον ἐκεῖνον, ὅτι ἐναντίος ἦν τῆς τιμῆς τοῦ Ταρασίου. ἐκ τούτων οὖν συνάγει ὁ Βελλαρμῖνος, ὅτι οἱ Γραικοὶ διέφθειραν τὴν ἑβδόμην Σύνοδον, καὶ διατοῦτο οὐ θαυμαστὸν, εἰ καὶ τὴν ἕκτην ἔφθειραν. τὸ αὐτὸ προβάλλεται ἀποδεῖξαι καὶ ὁ Γρετζέρος καὶ διὰ μαρτυρίας τοῦ Ἀναστασίου, καὶ προβάλλεται τὴν ἐπιστολὴν Ἀδριανοῦ τὴν ἐν τῷ τρίτῳ Τόμῳ τῶν Συνόδων. Ἀλλὰ ῥητέον πρῶτον, οὐ λέγει ὁ Νικόλαος τὰ ἀντίγραφα τῆς ἑβδόμης Συνόδου κατὰ πρῶτον ἐδείχθησαν εὐθὺς διεφθαρμένα, καὶ τὰ πρακτικὰ ὑπὸ τῶν Ἑλλήνων διεφθαρμένα καὶ ἐσφραγισμένα τῷ βασιλικῷ σημείῳ τότε πρῶτον προσέφερον τῷ Ἀδριανῷ οἱ ἐν τῇ Συνόδῳ πρέσβεις αὐτοῦ, ἅτινα ἀνοίξας καὶ ἰδὼν ὁ Ἀδριανὸς, εὐθὺς ἀπέδειξε διεφθαρμένα, καθὼς περὶ τῆς διαφθορᾶς τῶν πρακτικῶν τῆς ἕκτης Συνόδου τεκμαίρονται οἱ παπισταὶ, περὶ οὗ ψεύδους αὐτῶν οὐδεμία τοῦ ἀληθοῦς δύναται συναχθῆναι ἐκ τοῦ τόπου τούτου τοῦ Νικολάου ζημία. ὅτι δὲ τὰ πρακτικὰ τῆς ἑβδόμης Συνόδου ἦσαν ἀδιάφθορα καὶ ἀκέραια, καὶ τοιαῦτα ἀνῆλθον πρὸς τὸν Ἀδριανὸν εἰς τὴν Ῥώμην, δῆλον καὶ ἐκ τῶν λόγων τοῦ Ἀναστασίου, ὃς εἶπε περὶ αὐτῆς ἐν τῷ βίῳ τοῦ πρώτου Ἀδριανοῦ ταῦτα, ἣν Σύνοδον οἱ ἤδη λεχθέντες Λεγᾶτοι Γραικιστὶ μεθ' ἑαυτῶν προσήνεγκαν, καὶ ταῖς ἱεραῖς χερσὶ τοῦ Βασιλέως ὑπογεγραμμένην, ταύτην δὲ ὁ προειρημένος Ἀρχιερεὺς εἰς λατινικὴν γλῶσσαν ἐκέλευσε μεταφρασθῆναι, καὶ ἐν τῇ ἱερᾷ βιβλιοθήκῃ ἐπιτεθῆναι. δεύτερον, ὅτι ὁ Νικόλαος ἃ λέγει σύμφωνά εἰσι τοῖς λόγοις τοῦ Ἀδριανοῦ εἰ καὶ μὴ κατὰ λέξιν, οὐ γὰρ ἦν ἀνάγκη συμφωνεῖν καὶ κατὰ λέξιν. εἶτα ὁ Νικόλαος λέγει, ὅτι ἡ Σύνοδος ἦν εἰς Κωνσταντινούπολιν ἄψευστος ἐπιστολῇ πρὸς Μιχαὴλ καὶ ἐπιστολῇ ἕκτῃ πρὸς Φώτιον. εἰ γὰρ μόνον ἐν τῇ Ῥώμῃ εὑρίσκοντο τὰ πρακτικὰ τῆς ἑβδόμης ἀδιάφθορα, οὐκ ἂν ἐλάμβανεν εἰς μαρτυρίαν βεβαίως καὶ πεπεισμένως τὰ ἐν Κωνσταντινουπόλει. καὶ εἰ ἐφρόνει ὅτι οὐκ ἦσαν ἐν Κωνσταντινουπόλει σῷα, οὐκ ἂν ἐβεβαίωσεν εὑρεῖν αὐτοὺς ἐκεῖ τοῦ Ἀδριανοῦ τὴν γνώμην, λέγουσαν οὐ δεῖ γίνεσθαι ἀπὸ λαϊκῶν εὐθὺς εἰς Πατριάρχας, ἀλλὰ βεβαιοῖ ὅτι ἐκεῖ εὑρήσουσι τὴν ἀλήθειαν, ἄρα. εἰ δὲ καὶ ὕστερον χωλαίνουσι κατὰ Φωτίου, καὶ Μιχαὴλ ἄλλως λαλεῖ, οὐ μεταβάλλεται ἡ ἀλήθεια ἐκ τῆς μεταβολῆς τοῦ Νικολάου.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι τοῦ Γρετζέρου πρὸς Βιτάτζερον λέγοντος, οὐ θαυμαστὸν φθαρῆναι τὰ τῆς ἕκτης καὶ τὰ ἐν Ῥώμῃ, ὡς καὶ τὰ τῆς πρώτης ὑπὸ τῶν Ἀρειανῶν, ἀποδείκνυται ἐνταῦθα δεκαχῶς εἶναι ταῦτα τῶν νεωτεριστῶν Λατίνων πλάσματα εἰς σύστασιν τῆς παπολατρείας, ὡς οἴονται.

Ὁ Γρετζέρος βοηθῶν Βελλαρμίνῳ, φησὶ πρὸς Βιτάτζερον, οὐκ ἔστι θαυμαστὸν ἵνα φθαρῶσι τὰ τῆς ἕκτης καὶ τὰ ἐν Ῥώμῃ, ὡς καὶ τὰ τῆς πρώτης ὑπὸ τῶν Ἀρειανῶν. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι φησὶν ὁ Βαρώνιος ἐν τῇ ἐπιτομῇ παρὰ Σπονδάνῳ τῷ τριακοσιοστῷ εἰκοστῷ πέμπτῳ ἔτει, ὅτι τὰ πρακτικὰ τῆς ἐν Νικαίᾳ, εἰ καὶ ἀρχῆθεν ἐγράφησαν καθαρώτατα καὶ ἀκίβδηλα, τῇ δὲ τοῦ χρόνου λύμῃ καὶ ταῖς Ἀρειανῶν ἐγχειρήσεσι ναυάγιον ἔπαθον. ὅμως οὐκ ἀρνεῖται ὅτι εὑρίσκοντο αὐτὰ ἀνόθευτα εἰς τοὺς Ἄραβας καὶ Ἀλεξάνδρειαν, εἰ καὶ τοῦτο οὐκ ἐγκρίνεται ἀληθὲς, καὶ ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου πέμπτου Παράγραφον δέκατον ἕκτον. δεύτερον, ὅτι τῶν ἐν ἐκείνῃ τῇ Συνόδῳ πραχθέντων τὴν ἀληθῆ

ἀληθῆ ἱστορίαν δυνάμεθα συνάξαι ἀπὸ τῶν ὑπομνημάτων τῶν ἁγίων πατέρων καὶ τῶν λοιπῶν Συνόδων. ὅθεν ὁ Βαρώνιος ἐν τῷ αὐτῷ τριακοσιοστῷ εἰκοστῷ πέμπτῳ ἔτει διηγεῖται θαυμαστόν τι ἐκ τοῦ Γρηγορίου πρεσβυτέρου Καισαρέως τῶν νεωτέρων συγγραφέων, ὅπερ γράφουσιν ὅτι συνέβη ἐν τῷ καιρῷ τῆς ἐν Νικαίᾳ Συνόδου εἰς στερέωσιν τῆς ὀρθοδοξίας, καὶ οὐδὲ ἴχνος ἐστὶ τούτου παρὰ τῷ Ἀθανασίῳ εὑρεῖν καὶ Ἱλαρίῳ καὶ ἄλλοις, οἵτινες οὐδὲν ἄψαυστον ἔλιπον, δι' οὗ ἐδύνατο ἡ Σύνοδος τὴν Αἵρεσιν τοῦ Ἀρείου παντελῶς καθελεῖν. τρίτον, εἰ δοτέον ὅτι ἐφθάρη τινὰ, οὐ μὴν καὶ πάντα, τὸ γὰρ ἀποτελεσθὲν καὶ ἡ ἀπόφασις τῆς Συνόδου μένουσιν ἀδιάφθορα. τέταρτον, ψευδές ἐστι τὸ τοῦ Γρετζέρου, λέγοντος ὅτι τελείως ἐφθάρησαν τὰ πρακτικὰ τῆς ἐν Νικαίᾳ Συνόδου παρὰ τῶν Ἀρειανῶν καὶ ἄλλων τινῶν, καὶ δῆλον, ἐπειδὴ μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον παρελθόντων σχεδὸν ἑκατὸν ἐτῶν, ἡ ἐν Ἀφρικῇ Σύνοδος ἐκ τῶν αὐθεντικῶν κῳδίκων τῆς ἐν Νικαίᾳ Συνόδου, οἵτινες εὑρίσκοντο ἐν Κωνσταντινουπόλει, ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Ἀντιοχείᾳ, ἔλαβεν αὐτίγραφον τοῦ Συμβόλου καὶ τῶν Κανόνων ὑπὸ Ἀττικοῦ καὶ Κυρίλλου, ἅτινα καὶ τῷ Ῥώμης Βονιφατίῳ ἔπεμψε. πέμπτον, Γρηγόριος ὁ Διάλογος δέχεται τὰς τέσσαρας Συνόδους βιβλίῳ πρώτῳ, ἐπιστολῇ εἰκοστῇ τετάρτῃ, ἅπερ εἰ ἐνόμιζεν εἶναι διεφθαρμένα, οὐκ ἂν οὕτως εἶπεν. ἕκτον, ἡ ἐπιστολὴ τῆς Συνόδου πρὸς Ἀλεξανδρεῖς εὑρίσκεται ἀληθὴς παρὰ Θεοδωρίτῳ τῷ σοφῷ. ἕβδομον, οὐδεμία Σύνοδος Οἰκουμενικὴ τῶν μετὰ τὴν ἐν Νικαίᾳ τοῦτο ἢ ἐφρόνησεν, ἢ εἶπεν. ὄγδοον, τοῦτο οὔτε εἶδεν, οὔτε ἐφρόνησεν, οὔτε ἐνόμισέ ποτε ἡ Ἀνατολικὴ Ἐκκλησία. ἔνατον, ὅτι οὔτε ἐν Φερράρᾳ ὅτε ἐγένετο βία τῶν Ἀνατολικῶν ἵνα ἀναγνωσθῶσι τὰ πρακτικὰ τῶν Συνόδων, τοιοῦτόν τι ἐρρέθη παρὰ τῶν Λατίνων περί τινος τῶν Συνόδων. δέκατον, οὔτε τῶν πατέρων τὶς, ἢ τῶν ἐκκλησιαστικῶν συγγραφέων, ἢ τῶν συμπάντων Κληρικῶν καὶ λοιπῶν Χριστιανῶν τῶν εὑρισκομένων ἀπ' ἀρχῆς ἕως ἄρτι ἐν τοῖς τέσσαρσι πατριαρχικοῖς θρόνοις καὶ ἐν τοῖς αὐτοκεφάλοις Ἐπισκόποις ἐσημείωσεν, ἢ ὑπωπτεύθη, ἢ ἔγραψεν, ἀλλὰ μόνοι οἱ νεωτερισταὶ τερατώδεις Λατῖνοι, καὶ τοῦτο διὰ σύστασιν τῆς παπολατρείας, ὡς οἴονται.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ἀπάντησις ἀπὸ τῆς κρίσεως τῆς εἰς τὴν ἐπιστολὴν τοῦ Ἀγάθωνος Συνόδου πρὸς τὸ δεύτερον ἐπιχείρημα τῶν πατιστῶν, σπευδόντων δι' αὐτοῦ βεβαιῶσαι ὅτι ἡ ἕκτη Σύνοδος ἐνοθεύθη περὶ Ὀνωρίου, καὶ διαίρεσις τῶν ἀναφορῶν τοῦ Ἀγάθωνος εἰς τέσσαρας ἀποκρίσεις, ὧν ἡ πρώτη ἐστὶ περὶ τῶν δύο ἐπὶ Χριστοῦ θελήσεων μόνον καὶ δύο ἐνεργειῶν τῶν βεβαιωθεισῶν ὑπὸ τῆς Συνόδου, καὶ οὐδὲν περὶ ἀναμαρτησίας τοῦ Ῥώμης. ἡ δευτέρα, ὅτι οὐκ ἀντεῖπε τῇ ἑαυτῆς κρίσει ἡ Σύνοδος ἀνθεματίσασα τὸν Ὀνώριον. ἡ τρίτη, ὅτι ἡ ἐπὶ Μαρτίνου Σύνοδος οἰκονομικῶς παρέδραμε τὴν Ὀνωρίου κατάκρισιν. ἡ δὲ τετάρτη, ὅτι τοῦ Ἀγάθωνος ἀπᾴδοντα τινὰ εἰπόντος ἡ Σύνοδος ὡς παρέργα παρεσιώπησε.

Λόγον δεύτερον λαμβάνουσι παρὰ τῆς κρίσεως ἣν ἐποίησεν ἡ Σύνοδος περὶ τῆς ἐπιστολῆς τοῦ Ἀγάθωνος, καὶ δὴ συλλογίζονται λέγοντες, ἀδύνατόν ἐστι τὴν Σύνοδον καταδικάσαι τὸν Ὀνώριον, εἰ μή που καὶ αὐτὴ ἑαυτῇ ἀντιλέγει, ἐν γὰρ τῇ ἐπιστολῇ τοῦ Ἀγάθωνος γέγραπται ὅτι ἀδύνατον τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν τῆς πίστεως ἐκπεσεῖν, καὶ ὅτι καθῆκον ἦν τῇ ἀποστολικῇ καθέδρᾳ τοὺς λοιποὺς διορθοῦν, ταύτην δὲ τὴν ἐπιστολὴν ἡ Σύνοδος ἐδέξατο καὶ ἐκύρωσεν. Ἀλλὰ ῥητέον πρῶτον, πόθεν δείκνυται ὅτι τὴν ἐπιστολὴν τοῦ Ἀγάθωνος ἡ Σύνοδος ἐκύρωσε; καὶ εἰ ταύτην ἐκύρωσε, δηλονότι καὶ τὸν Ὀνώριον οὐ κατέκρινεν, ἀλλ' οὐ δὲ δυνατὸν ἐπιχειρῆσαι ἐκ τῆς ἐπικυρώσεως τῆς ἐπιστολῆς ὅτι οὐ κατεκρίθη ὁ Ὀνώριος, ἀλλ' οὐδὲ διότι κατέκρινε τὸν Ὀνώριον, οὐκ ἂν ἐπεκύρωσε τὴν ἐπιστολήν. Ἀλλὰ πρὸς ταῦτα ῥητέον τέσσαρά τινα, πρῶτον, ὅτι καθ' ἣν ἔννοιαν ἡ Σύνοδος ἐκύρωσε τὴν ἐπιστολὴν τοῦ Ἀγάθωνος, δῆλον ἐκ τῶν πρακτικῶν τῆς αὐτῆς Συνόδου, ἥτις ἀνεγνώσθη ἐν τῇ τετάρτῃ πράξει, ἐν δὲ τῇ ἑβδόμῃ πράξει οἱ Λεγᾶτοι τοῦ Ῥώμης προσέφερον καὶ ἑτέρας μαρτυρίας, εἶτα ἐδεήθησαν τοῦ Αὐτοκράτορος ὅπως ἐρωτήσῃ Γεώργιον τὸν Κωνσταντινουπόλεως καὶ τὴν αὐτῷ ὑποκειμένην Σύνοδον καὶ τὸν Ἀντιοχείας Μακάριον καὶ τοὺς αὐτῷ ὑποκειμένους Ἐπισκόπους, εἰ σύμφωνοί εἰσι ταύταις ταῖς δυσὶν ἀναφοραῖς, καὶ ἀποκριθέντες Γεώργιος καὶ Μακάριος εἶπον, δότε ἡμῖν τὰ αὐτίγραφα ἑκατέρων τῶν ἀναφορῶν ἵνα συγκρίνωμεν αὐτὰς μετὰ τῶν πρωτοτύπων τῶν εὑρισκομένων ἐν τῷ Πατριαρχείῳ Κωνσταντινουπόλεως, καὶ εἶτα ἀποκριθῶμεν. καὶ ἐν τῇ ὀγδόῃ πράξει ἐρωτηθέντες οἱ αὐτοὶ ὑπὸ τῆς Συνόδου, ἀποκριθεὶς ὁ Κωνσταντινουπόλεως εἶπεν, ἐντετυχηκὼς πάσῃ δυνάμει τῶν ἀναφορῶν Ἀγάθωνος καὶ τῆς κατ' αὐτὸν Συνόδου, καὶ ἐρευνήσας τὰς βίβλους τῶν πατέρων τὰς ἀποκειμένας ἐν τῷ κατ' ἐμὲ Πατριαρχείῳ, εὗρον συναδούσας τοῖς ἁγίοις καὶ ἐγκρίτοις πατράσι, καὶ στοιχῶ αὐταῖς, καὶ οὕτως ὁμολογῶ καὶ πιστεύω. καὶ λοιπὸν δῆλον, ὅτι ἡ Σύνοδος ἐδοκίμασε τὰς δύο ἀναφορὰς περὶ μόνου τοῦ δόγματος τῶν δύο ἐνεργειῶν καὶ δύο θελήσεων, καὶ ὅτι οὐκ ἔφερεν ὁ Ἀγάθων μαρτυρίας περί τινων ἄλλων, ἢ περὶ ἀναμαρ-

ἀναμαρτησίας τοῦ Ῥώμης, ἀλλὰ περὶ μόνων τῶν δύο θελήσεων καὶ δύο ἐνεργειῶν. δεύτερον, ἡ Σύνοδος ἀναθεματίσασα τὸν Ὀνώριον, οὐκ ἐναντιοῦται τῇ κρίσει αὐτῆς ἣν ἐποίησε περὶ τῶν ἀναφορῶν, μάλιστα δὲ τὴν ἀπόφασιν αὐτῆς ἐβεβαίωσε, δεχθεῖσα γὰρ τὸ ὀρθὸν δόγμα, καὶ ἀποβαλοῦσα τὸ ἐναντίον, δηλοῖ ὅτι ἀπεδοκίμασε καὶ τοὺς αὐτοῦ δογματιστὰς, ὅπερ αὐτὸ θέλει καὶ ὁ Ἀγάθων, καὶ παρακινεῖ καὶ παρακαλεῖ περὶ τούτου τὸν Βασιλέα. τρίτον, ὅτι εἰ καὶ ἐν τῇ ἐπιστολῇ τοῦ Κωνσταντινουπόλεως Παύλου πρὸς τὸν Ῥώμης Θεόδωρον, ἥτις κεῖται ἐν τῇ τετάρτῃ πράξει τῆς ἐπὶ Μαρτίνου Συνόδου, εὑρίσκεται ἡ συμφωνία Ὀνωρίου μετὰ τοῦ Σεργίου, ὅμως οἱ πατέρες ἐκείνης τῆς Συνόδου μὴ φροντίσαντες περὶ παιδείας Ὀνωρίου, περὶ τοῦ δόγματος ἀποτείνονται, καὶ τὸν Ὀνώριον παρατρέχουσιν, ἵνα μὴ καυχῶνται οἱ Αἱρετικοὶ, ὡς ἐποίησαν οἱ Λεγᾶτοι ἐν τῇ ἕκτῃ ὑπὲρ Βιγιλίου, ὃν καὶ τὸν Μηνᾶν οἰκειοποιοῦντο οἱ Αἱρετικοὶ πρὸς δόξαν αὐτῶν, ὡς ἐποίησεν ὁ μέγας Ἀθανάσιος μὴ κατακρίνας τὸν Καισαρείας Εὐσέβιον, Ἀρειανὸν μὲν ὄντα, ἀλλ' ἐπὶ σοφίᾳ ὀνομαστὸν, καὶ ὡς ἐποίησε Κύριλλος τὸ πρῶτον περὶ Θεοδώρου Μοψουεστίας. ἀλλ' οἱ τῆς ἕκτης Συνόδου πατέρες βλέποντες τοὺς Αἱρετικοὺς καυχωμένους πρὸς τοῖς ἄλλοις Αἱρεσιάρχαις καὶ Ὀνωρίῳ, ἐξήτασαν, καὶ εὑρόντες αὐτὸν πασιδήλως ἄνομον, τῷ ἀναθέματι παρέπεμψαν. οὐδεῖ δὲ τὰ κατ' οἰκονομίαν γινόμενα κακοτρόπως δέχεσθαι φησὶν ὁ μέγας Ἀθανάσιος ἐν ᾧ γράφει περὶ Διονυσίου Ἀλεξανδρείας ἀπολογούμενος. τέταρτον, ὅτι ἕκαστα ὅσα ὁ Ἀγάθων ἐν τῇ ἀναφορᾷ αὐτοῦ παρέργως ἐξύφανεν, οὐκ εἶχεν ἡ Σύνοδος σκοπὸν περὶ πάντων εἰπεῖν, ὅθεν καὶ τοῦ Ἀγάθωνος ζῆλον ἔχοντος τῆς Ῥώμης κατά τι ἔθος τῆς Ῥώμης, καὶ φιλοτιμηθέντος, καὶ εἰπόντος ἀπάδοντα τῇ ὑποθέσει, ὡς πάρεργα ταῦτα παρεσιώπησεν, ὡς εἴρηται.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι μᾶλλον πιστεύειν δεῖ ἡμᾶς τοῖς πατράσι περὶ τῶν πρὸς τὸν Πέτρον κυριακῶν ῥημάτων, Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, καὶ τὰ ἑξῆς, ἢ τῷ τῇ μαρτυρίᾳ τῶν πατέρων τὰ περὶ τῆς πίστεως αὐτοῦ βεβαιοῦντι Ἀγάθωνι, ἐσφαλμένως αὐτά τε καὶ τὸ πάσας τὰς Συνόδους ἀκολουθῆσαι τῷ Ῥώμης ἐκλαμβάνοντι ἐν τῇ ἀναφορᾷ αὐτοῦ καὶ ψευδῶς.

Περὶ τῶν κυριακῶν ῥημάτων, ἅτινα καὶ ὁ Μαρτῖνος ἐν τῇ δευτέρᾳ πράξει τῆς κατ' αὐτὸν Συνόδου προέβαλε, καὶ ὁ Ἀγάθων ἐν τῇ ἀναφορᾷ εἶπεν, ἤτοι τῶν, Πέτρε, ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου, καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου, ῥητέον ἅπερ εἴρηται ἀνωτέρω κεφαλαίου ἑβδόμου Παραγράφῳ ἐνάτῳ. εἶτα ὁ Ἀγάθων ἐπειδὴ τὰ ῥήματα αὐτοῦ περὶ πίστεως βεβαιοῖ διὰ τῆς μαρτυρίας τῶν ἐγκρίτων πατέρων, μᾶλλον πιστεύομεν ἐκείνοις τοῖς πατράσιν ἢ τῷ Ἀγάθωνι, ὅθεν καὶ τὰ ῥήματα ταῦτα τοῦ Κυρίου ὡς ἡρμήνευσαν αὐτὰ οἱ ἅγιοι πατέρες, οὕτως ἐκδεχόμεθα, καὶ οὐ κατὰ τὸν σκοπὸν τοῦ Ἀγάθωνος, ἐπειδὴ ἀντίκειται τοῖς ἐγκρίτοις πατράσιν, οἷς μᾶλλον ἑαυτοῦ ἐπίστευσεν ὁ Ἀγάθων, καὶ ἴδε κατωτέρω βιβλίου δεκάτου μέρει τετάρτῳ τὴν ἑρμηνείαν τῶν πατέρων. ἰδικώτερον δὲ φησὶν ὁ Ἀγάθων, ὅτι ἡ Ἐκκλησία ἡ ῥωμαϊκὴ οὐδέποτε ἐκ τῆς ὁδοῦ τῆς ἀληθείας ἐν ὁτωοῦν μέρει ἐπλανήθη, καὶ ἀεὶ ἡ καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία καὶ πᾶσαι αἱ Οἰκουμενικαὶ Σύνοδοι πιστῶς ἐνηγκαλίσαντο καὶ ἠκολούθησαν τῇ αὐθεντίᾳ τῆς ῥωμαϊκῆς Ἐκκλησίας, οἱονεὶ θρόνου τοῦ Πέτρου τοῦ Ἡγεμόνος πάντων τῶν Ἀποστόλων. ταῦτα ὁ Ἀγάθων. Ἀλλ' εἰ καὶ περὶ τούτων εἴρηται καὶ ῥηθήσεται, ὅμως κατὰ τὸ παρὸν περὶ τῶν Συνόδων μόνων ῥητέον, πρῶτον, ὅτι τοῦτο ψεῦδός ἐστιν, ἐπείπερ ἡ πρώτη ἐν Νικαίᾳ Οἰκουμενικὴ οὐδεμιᾶς μερικῆς Ἐκκλησίας, ὁποία ἐστὶ καὶ ἡ ῥωμαϊκὴ, αὐθεντίᾳ ἠκολούθησεν, ἀλλ' ὡς ἔλεγεν ὁ Αὐτοκράτωρ Μαρκιανὸς περὶ τῶν πατέρων τῆς ἐν Χαλκηδόνι Συνόδου ἐν ταῖς διατάξεσι, Σὺν καμάτῳ μεγίστῳ, καὶ μεγάλαις εὐχαῖς τὴν ἀνίχνευσιν εὗρον τῆς ἀληθείας, οὕτως ἡ πρώτη Οἰκουμενικὴ πλεῖον τῶν τριῶν ἐτῶν διατρίψασα καὶ κοπιάσασα καὶ εὐχομένη διηνεκῶς, εὗρε τὴν ἀλήθειαν, καὶ ἔλυσε τὰς ἀμφιβολίας, εἰ δὲ καὶ ἠκολούθησέ τινι Ἐκκλησίᾳ, ἠκολούθησεν, ὡς εἴρηται ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου δευτέρου Παραγράφῳ δεκάτῳ, τῇ Ἀλεξανδρινῇ, κατὰ δὲ τὴν ἐξουσίαν καὶ αὐθεντίαν αὐτῆς ἐφ' ὅσον κατὰ τὸ δόγμα τὸ, Ὁμοούσιον, ἠκολούθησε τῇ γραφῇ. περὶ δὲ τῆς λέξεως τοῦ Ὁμοουσίου ἠκολούθησε δεξαμένη Ἀνατολικοὺς τινὰς λογίους καὶ ἐπιφανεῖς Ἐπισκόπους καὶ συγγραφέας, ὡς Θεοδώριτος λόγῳ πρώτῳ κεφαλαίῳ ὀγδόῳ. ἐν δὲ τῇ δευτέρᾳ Οἰκουμενικῇ οὐδεὶς παρῆν Ἰταλὸς, καὶ οἱ Ἕλληνες μόνοι τῇ αὐθεντίᾳ τῆς Συνόδου ἀνέπτυξαν τὸ Σύμβολον καὶ τὴν περὶ τοῦ ἁγίου Πνεύματος θεολογίαν, ἑπόμενοι τῇ γραφῇ καὶ τοῖς πρὸ αὐτῶν ἁγίοις πατράσιν, οἷς ἠκολούθησαν καὶ περὶ τῶν λέξεων. ἐν δὲ τῇ τρίτῃ ἠρίστευεν ὁ μέγας Κύριλλος, ὃς καὶ Διδάσκαλος τοῦ Πάπα Κελεστίνου ἐχρημάτισε, καὶ ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον δέκατον ἔνατον. κατὰ δὲ τὴν αὐθεντίαν, ὅσον πρὸς τὸ δόγμα τὸ, ΚΑΘ' ὑΠΟΣΤΑΣΙΝ ἘΝΩΣΙΣ, ἠκολούθησε τῇ γραφῇ, τὴν δὲ λέξιν ἐφεῦρεν αὐτὸς ὁ Κύριλλος ἐξ ἑαυτοῦ μόνος ἐκ θείας ἀμέσου ἀποκαλύψεως, καὶ αἱ ἐπιστολαὶ αὐτοῦ ὅρος γεγόνασι τῆς τρίτης Συνόδου, ᾧ ἠκολούθησε καὶ ὁ Ῥώμης καὶ ἡ τρίτη Σύνοδος καὶ ἅπας ὁ κόσμος, ὡς ἔγραφε καὶ ὁ Βασιλεὺς Θεοδόσιος τῷ Ἀντιοχείας Ἰωάννῃ, καὶ ἴδε τὸν τόπον τῆς Συνόδου. ἐν δὲ τῇ τετάρτῃ, κατὰ τὴν αὐθεντίαν, ἐφ' ὅσον κατὰ τὸ δόγμα τῶν δύο ἐπὶ Χριστοῦ φύσεων, ἠκολούθησεν ἡ Σύνοδος τῇ γραφῇ, τὰς δὲ λέξεις προεῖπεν ὁ Κωνσταντινουπόλεως

Φλαυϊανὸς

Φλαυϊανὲς κατὰ τὴν διδασκαλίαν τὴ Κυρίλλ ἐν τῇ πρὸς Ἰωάννην Ἀντιοχείας ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, ΕΥΦΡΑΙΝΈΣΘΩΣΑΝ ΟΙ ΟΥΡΑΝΟΊ, ᾧ ἀκολουθήσας ὁ Λέων ἔγραψε τὴν ἐπιστολὴν, ὡς εἴρηται ἐν τῇ πρώτῃ πράξει ἐκεῖ. τὴν δὲ ἐπιστολὴν τὴ Λέοντος ἔλαβε καὶ ἀπεδέχθη ἡ Συνοδος, ἐμὴν ἁπλῶς διὰ τὴν αὐθεντίαν τὴ ῥωμαϊκὴ θρόνυ ὥσπερ ἡγεμόνος τῶν Ἀποστόλων, ἀλλὰ συμβαλλῆσα τῷ Συμβόλῳ τῆς πρώτης καὶ δευτέρας τῶν Συνόδων, καὶ ταῖς ἐπιστολαῖς τὴ Κυρίλλ, καὶ ταῖς μαρτυρίαις τῶν ἐγκρίτων πατέρων ἀπεδέξατο· ἀλλὰ δὴ καὶ τὸ ἐν τῷ τόμῳ τὴ Λέοντ, ἑκατέρα μορφὴ ἐνεργεῖ μετὰ τῆς θατέρυ κοινωνίας, ὁ Ἀντιοχείας Ἐφραὶμ σαφῶς φωτίῳ φησὶν ὅτι παντάκις ὑπὸ Κυρίλλ ἐρρέθη, καὶ πρὸς αὐτὸ εἶπον αὐτὸ ὁμόγας Βασίλει. ἐν δὲ τῇ πέμπτῃ Οἰκυμενικῇ ὑδὲς τῷ ὀνόματι τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἦν παρὼν, καὶ ἅπαξ ἀνομάσθη τὸ Πάπα Βιγιλίυ παρεῖναι ἐν τῇ Συνόδῳ ἢ μόνυ, ἢ διὰ λεγάτυ, οἱ Ἀνατολικοὶ πατέρες μόνοι ἐτελείωσαν τὴν ὑπόφασιν περὶ τῶν τριῶν κεφαλαίων, ἐπόμφαι τῇ αὐθεντίᾳ τῆς γραφῆς καὶ τοῖς πρὸ αὐτῶν ἐγκρίτοις πατράσι καὶ ταῖς τέσσαρσιν Οἰκυμενικαῖς Συνόδοις, οἷς μεταταῦτα ἠκολούθησε καὶ ὁ Βιγίλιος, καὶ ὑπὸ αὐάπαλιν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'

Ὅτι καὶ ἐν τῇ ὀκτῇ Συνόδῳ περὶ τὴ κεφαλαίυ τῆς προτιμήσεως ἡ ῥωμαϊκὴ Ἐκκλησία αὐτὴ ἑαυτῇ αὐτιλέγει, ἐκ δὲ τῆς ἀναφορᾶς τὴ Ἀγάθωνος καὶ ὀκτῆς Συνόδυ καὶ ἐξ ἄλλων δείκνυται εἶναι τὴν ἄκραν ἐξουσίαν τῶν Οἰκυμενικῶν Συνόδων, τὰς δὲ λοιπὰς Ἐκκλησίας καὶ τὴν Ῥώμης ὡς μερικὰς τῇ καθολικῇ Ἐκκλησίᾳ ἀκολούθυς.

Ἀλλὰ καὶ ἐν τῇ ἕκτῃ Συνόδῳ ἡ ῥωμαϊκὴ Ἐκκλησία περὶ τούτυ τὴ κεφαλαίυ τῆς προτιμήσεως αὐτὴ ἑαυτῇ αὐτιλέγει, πρῶτον, ὅτι ἐν τῇ ἀναφορᾷ ἐκ ὀκτίθησιν ὁ Ἀγάθων τὴν ὀρθόδοξον πίστιν ἐξ ἀποκαλύψεως τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ἢ ἁμαρτησίας αὐτῆς, ἀλλ' ἀπὸ τῆς διδασκαλίας κοινῶς τῶν Συνόδων καὶ τῶν ἐγκρίτων πατέρων, οἷς καὶ ῥητῶς ἠκολούθησε, φησὶ γὰρ ἐν τῇ αὐτῇ ἀναφορᾷ, ἀληθῶς γὰρ ἐκ Διαφόρων ἐγκρίτων πατέρων τὴν ἀλήθειαν ὁριοθῆναι. ἦσαν δὲ οἱ τὴν ἀλήθειαν τῷ Ἀγάθωνι ὑποδείξαντες, ὃς καὶ αὐτὸς ἐκεῖ καταριθμεῖ, Ἀμβρόσιον, Ἀθανάσιος, Αὐγυστῖνος, Λέων, Ναζιανζηνὸς, Συνόδοι ἡ ἐν Χαλκηδόνι καὶ ἡ πέμπτη, Νύσσης, Ἰωάννης ὁ Χρυσόστομος, Κύριλλος Ἀλεξανδρείας, Διονύσιος Ἀρεοπαγίτης, Ἰωάννης Σκυθοπόλεως, Εὐλόγιος Ἀλεξανδρείας, Ἐφραὶμ καὶ Ἀνασάσιος Θεσπόλεως καὶ ὁ μέγας Ἰυστινιανὸς Αὐτοκράτωρ. δεύτερον, ὅτι ἐν τῇ αὐτῇ ἀναφορᾷ τὴν ἐλάττω διδασκαλίαν παρέχει τῇ καθολικῇ Ἐκκλησίᾳ ὁ Ἀγάθων, φησὶ γὰρ, ἀκολούθως τοίνυν ταῖς τῶν Καυόνα τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς τὴ Χριστὴ Ἐκκλησίας, καὶ δύο φυσικὰ θελήματα καὶ δύο φυσικὰς ἐνεργείας ἐν τῇ Χριστῷ ὁμολογεῖ καὶ κηρύττει, ἤτοι ἡ ῥωμαϊκὴ Ἐκκλησία, ὅπερ ἐστὶν ὅτι ἕπεται ἡ ῥωμαϊκὴ τῇ καθολικῇ, καὶ ὑπὸ αὐάπαλιν. τρίτον, ῥητῶς φησὶν ἐν τῇ ἀναφορᾷ ὅτι ἕπεται ταῖς Οἰκυμενικαῖς Συνόδοις, ὡς ἐρῶμεν κατωτέρω. τέταρτον, ὅτι καὶ ἡ Συνόδ ἡ ἕκτη πρὸς τοῖς ἄλλοις δι' ὧν δείκνυσι τὸ δόγμα, τὴν αὐθεντίαν τῆς βεβαιώσεως αὐτὸ ἐκ ἀναφέρει πρὸς τὸν Ῥώμης, ὑπαρέχει τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἀλλ' ἑαυτῇ καὶ τοῖς πρὸ αὐτῆς πατράσι κοινῶς, ὅθεν συνεχῶς, καὶ μάλιστα πάντοτε λέγει ὅτι ἕπεται τοῖς πατράσι καὶ ταῖς πρὸ αὐτῆς Οἰκυμενικαῖς Συνόδοις, ὡς ἔλεγε καὶ ἡ ἐν Μαρτίνυ Συνόδ ἐν πάντες οἱ Πάπαι, ὅθεν μάρτυρας φέρει ἐν τῇ ὀγδόῃ πράξει Ἀθανάσιον, Αὐγυστῖνον, Ἀμβρόσιον, Διονύσιον καὶ Χρυσόστομον. ἐν δὲ τῇ ἑνάτῃ Ἀθανάσιον καὶ Κύριλλον. ἐν δὲ τῇ δεκάτῃ, ὡς εἴρηται αὐωτέρω, ἐπιμελῶς κρίνει καὶ ἐξετάζει τὴν ῥωμαϊκὴν Ἐκκλησίαν ὡς μίαν τῶν λοιπῶν Ἐκκλησιῶν, λέγεται γὰρ ἐκεῖ, ὡς εἴρηται πρεσεχῶς αὐωτέρω, ὅτι πρεσπνέχθη κῶδίκιον ἐσφραγισμένον πρὸ τὰ μέρυς τὰ ἀποστολικὰ θρόνυ τῆς πρεσβυτέρας Ῥώμης, ἔχον ἐπιγραφὴν χρήσεις ἁγίων ἐγκρίτων πατέρων παρεισώσας δύο θελήματα καὶ δύο ἐνεργείας ἐπὶ τὰ Κυρίυ καὶ Θεὰ καὶ Σωτῆρος ἡμῶν Ἰησὰ Χριστὰ, καὶ ἀναγινωσκόμενα πρὸ Σολομῶντος Διακόνυ Κωνσταντινυπόλεως, συνεκρίνοντο καὶ ἐδοκιμάζοντο μία πρὸς μίαν μετὰ τῶν αὐθεντικῶν βιβλίων, καμφθὼν ἐν τῷ Πατριαρχείῳ Κωνσταντινυπόλεως, καὶ εὑρίσκοντο σοιχᾶσαι. ἦσαν δὲ αἱ χρήσεις Λέοντος, Ἀμβροσίυ, Χρυσοστόμυ, Ἀθανασίυ, Νύσσης, Ἐπιφανίυ, Ναζιανζηνᾶ, Αὐγυστίνυ, Ἰυστίνυ, Ἰυστινιανᾶ Βασιλέως, Ἐφραὶμ καὶ Ἀνασασίυ Ἀντιοχείας καὶ Ἰωάννυ Σκυθοπόλεως, ἐν οἷς ἅπασιν εἷς καὶ μόν ἦν Ῥώμης Ἐπίσκοπ, ἐχ ὡς Ἐπίσκοπος Ῥώμης ἁπλῶς πρσαγόμν εἰς μαρτυρίαν, ἀλλ' ὡς ἔγκριτος πατὴρ, ἤτοι διὰ τὴν ἁγιότητα αὐτᾶ. ἐπειδὴ ἦν ἐκείνετο ἡ Ῥώμη πρὸ τῆς Οἰκυμενικῆς Συνόδυ, φανερὸν ἐστὶν ὅτι τὴν ἄκραν αὐθεντίαν ἐν τῇ Ἐκκλησίᾳ ἔχει ἡ Συνόδ ἡ Οἰκυμενικὴ, ᾗ καὶ ἡ ῥωμαϊκὴ ἕπεται, ὡς καὶ πᾶσα μερικὴ Ἐκκλησία, καὶ ὑπὸ αὐάπαλιν. πέμπτον, ἐν τῇ δεκάτῃ τεταρτῃ πράξει πρσφέρυν Ἐπίσκοποι Κύπρυ χρῆσιν τὰ ἁγίυ Ἀθανασίυ, ἥτις καὶ αὐτὴ ἐδοκιμάσθη ὑπὸ τῆς Συνόδυ, καὶ ἐκρίθη ἡ Ἐκκλησία Κυπρίων ὡσαύτως τῇ Ἐκκλησίᾳ Ῥωμαίων. σὲχι, ἐν τῷ Ὅρῳ ἡ Συνόδ τὴν μὲν ἀναφορὰν τὰ Ἀγάθωνος λέγει ὅτι ἐδέξατο, τὴν δὲ τῆς κατ' αὐτὸν Συνόδυ ὅτι πρσήκατο, καὶ τοῦτο ὐχ ἁπλῶς, ἀλλὰ διότι συμφωνέσας εὗρε, φησὶ, τῇ ἐν Χαλκηδόνι Συνόδῳ καὶ τῷ τόμῳ Λέοντος. ἑπομένη δὲ ἡ τῇ ῥωμαϊκῇ

Φλαυϊανὲς κατὰ τὴν διδασκαλίαν τὰ Κυρίλλ ἐν τῇ πρὸς Ἰωάννην Ἀντιοχείας ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, ΕΥΦΡΑΙΝΈΣΘΩΣΑΝ ΟΙ ΟΥΡΑΝΟΊ, ᾧ ἀκολουθήσας ὁ Λέων ἔγραψε τὸν ἐπιστολὸν, ὡς εἴρηται ἐν τῇ πρώτῃ πράξει ἐκεῖ. τὸν δὲ ἐπιστολὸν τὰ Λέοντος ἔλαβε καὶ ἀπεδέχθη ἡ Συνόδος, ἐμὸν ἁπλῶς διὰ τὸν αὐθεντίαν τὰ ῥωμαϊκὰ θρόνυ ὥσπερ ἡγεμόνος τῶν Ἀποστόλων, ἀλλὰ συμβαλλῆσα τῷ Συμβόλῳ τῆς πρώτης καὶ δευτέρας τῶν Συνόδων, καὶ ταῖς ἐπιστολαῖς τὰ Κυρίλλ, καὶ ταῖς μαρτυρίαις τῶν ἐγκρίτων πατέρων ἀπεδέξατο· ἀλλὰ δὴ καὶ τὸ ἐν τῷ τόμῳ τὰ Λέοντ, ἑκατέρα μορφὴ ἐνεργεῖ μετὰ τῆς θατέρυ κοινωνίας, ὁ Ἀντιοχείας Ἐφραὶμ σαφῶς φωτίῳ φησὶν ὅτι παντάκις ὑπὸ Κυρίλλ ἐρρέθη, καὶ πρὸς αὐτὸ εἶπον αὐτὸ ὁμόγας Βασίλει. ἐν δὲ τῇ πέμπτῃ Οἰκυμενικῇ ὑδὲς τῷ ὀνόματι τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἦν παρὼν, καὶ ἅπαξ ἀνομάσθη τὸ Πάπα Βιγιλίυ παρεῖναι ἐν τῇ Συνόδῳ ἢ μόνυ, ἢ διὰ λεγάτυ, οἱ Ἀνατολικοὶ πατέρες μόνοι ἐτελείωσαν τὴν ὑπόφασιν περὶ τῶν τριῶν κεφαλαίων, ἐπόμφαι τῇ αὐθεντίᾳ τῆς γραφῆς καὶ τοῖς πρὸ αὐτῶν ἐγκρίτοις πατράσι καὶ ταῖς τέσσαρσιν Οἰκυμενικαῖς Συνόδοις, οἷς μεταταῦτα ἠκολούθησε καὶ ὁ Βιγίλιος, καὶ ὑπὸ αὐάπαλιν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'

Ὅτι καὶ ἐν τῇ ὀκτῇ Συνόδῳ περὶ τὴ κεφαλαίυ τῆς προτιμήσεως ἡ ῥωμαϊκὴ Ἐκκλησία αὐτὴ ἑαυτῇ αὐτιλέγει, ἐκ δὲ τῆς ἀναφορᾶς τὴ Ἀγάθωνος καὶ ὀκτῆς Συνόδυ καὶ ἐξ ἄλλων δείκνυται εἶναι τὴν ἄκραν ἐξουσίαν τῶν Οἰκυμενικῶν Συνόδων, τὰς δὲ λοιπὰς Ἐκκλησίας καὶ τὴν Ῥώμης ὡς μερικὰς τῇ καθολικῇ Ἐκκλησίᾳ ἀκολούθυς.

Ἀλλὰ καὶ ἐν τῇ ἕκτῃ Συνόδῳ ἡ ῥωμαϊκὴ Ἐκκλησία περὶ τούτυ τὴ κεφαλαίυ τῆς προτιμήσεως αὐτὴ ἑαυτῇ αὐτιλέγει, πρῶτον, ὅτι ἐν τῇ ἀναφορᾷ ὀκ ὀκτίθησιν ὁ Ἀγάθων τὴν ὀρθόδοξον πίστιν ἐξ ἀποκαλύψεως τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ἢ ἁμαρτησίας αὐτῆς, ἀλλ' ἀπὸ τῆς διδασκαλίας κοινῶς τῶν Συνόδων καὶ τῶν ἐγκρίτων πατέρων, οἷς καὶ ῥητῶς ἠκολούθησε, φησὶ γὰρ ἐν τῇ αὐτῇ ἀναφορᾷ, ἀληθῶς γὰρ ἐκ Διαφόρων ἐγκρίτων πατέρων τὴν ἀλήθειαν ὁριοθῆναι. ἦσαν δὲ οἱ τὴν ἀλήθειαν τῷ Ἀγάθωνι ὑποδείξαντες, ὃς καὶ αὐτὸς ἐκεῖ καταριθμεῖ, Ἀμβρόσιον, Ἀθανάσιος, Αὐγυστῖνος, Λέων, Ναζιανζηνὸς, Σύνοδοι ἡ ἐν Χαλκηδόνι καὶ ἡ πέμπτη, Νύσσης, Ἰωάννης ὁ Χρυσόστομος, Κύριλλος Ἀλεξανδρείας, Διονύσιος Ἀρεοπαγίτης, Ἰωάννης Σκυθοπόλεως, Εὐλόγιος Ἀλεξανδρείας, Ἐφραὶμ καὶ Ἀνασάσιος Θεσπόλεως καὶ ὁ μέγας Ἰυστινιανὸς Αὐτοκράτωρ. δεύτερον, ὅτι ἐν τῇ αὐτῇ ἀναφορᾷ τὸν ἐλάττω διδασκαλίαν παρέχει τῇ καθολικῇ Ἐκκλησίᾳ ὁ Ἀγάθων, φησὶ γὰρ, ἀκολούθως τοίνυν ταῖς τῶν Καυόνα τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς τὰ Χριστὰ Ἐκκλησίας, καὶ δύο φυσικὰ θελήματα καὶ δύο φυσικὰς ἐνεργείας ἐν τῷ Χριστῷ ὁμολογεῖ καὶ κηρύττει, ἤτοι ἡ ῥωμαϊκὴ Ἐκκλησία, ὅπερ ἐστὶν ὅτι ἕπεται ἡ ῥωμαϊκὴ τῇ καθολικῇ, καὶ ὑπὸ αὐάπαλιν. τρίτον, ῥητῶς φησὶν ἐν τῇ ἀναφορᾷ ὅτι ἕπεται ταῖς Οἰκυμενικαῖς Συνόδοις, ὡς ἐρῶμεν κατωτέρω. τέταρτον, ὅτι καὶ ἡ Συνόδ ἡ ἕκτη πρὸς τοῖς ἄλλοις δι' ὧν δείκνυσι τὸ δόγμα, τὴν αὐθεντίαν τῆς βεβαιώσεως αὐτὸ ὐκ ἀναφέρει πρὸς τὸν Ῥώμης, ὑπαρέχει τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἀλλ' ἑαυτῇ καὶ τοῖς πρὸ αὐτῆς πατράσι κοινῶς, ὅθεν συνεχῶς, καὶ μάλιστα πάντοτε λέγει ὅτι ἕπεται τοῖς πατράσι καὶ ταῖς πρὸ αὐτῆς Οἰκυμενικαῖς Συνόδοις, ὡς ἔλεγε καὶ ἡ ἐν Μαρτίνυ Συνόδ ἐν πάντες οἱ Πάπαι, ὅθεν μάρτυρας φέρει ἐν τῇ ὀγδόῃ πράξει Ἀθανάσιον, Αὐγυστῖνον, Ἀμβρόσιον, Διονύσιον καὶ Χρυσόστομον. ἐν δὲ τῇ ἑνάτῃ Ἀθανάσιον καὶ Κύριλλον. ἐν δὲ τῇ δεκάτῃ, ὡς εἴρηται αὐωτέρω, ἐπιμελῶς κρίνει καὶ ἐξετάζει τὴν ῥωμαϊκὴν Ἐκκλησίαν ὡς μίαν τῶν λοιπῶν Ἐκκλησιῶν, λέγεται γὰρ ἐκεῖ, ὡς εἴρηται πρεσεχῶς αὐωτέρω, ὅτι πρεσπνέχθη κῶδίκιον ἐσφραγισμένον πρὸ τὰ μέρυς τὰ ἀποστολικὰ θρόνυ τῆς πρεσβυτέρας Ῥώμης, ἔχον ἐπιγραφὴν χρήσεις ἁγίων ἐγκρίτων πατέρων παρεισώσας δύο θελήματα καὶ δύο ἐνεργείας ἐπὶ τὰ Κυρίυ καὶ Θεὰ καὶ Σωτῆρος ἡμῶν Ἰησὰ Χριστὰ, καὶ ἀναγινωσκόμενα πρὸ Σολομῶντος Διακόνυ Κωνσταντινυπόλεως, συνεκρίνοντο καὶ ἐδοκιμάζοντο μία πρὸς μίαν μετὰ τῶν αὐθεντικῶν βιβλίων, καμφθὼν ἐν τῷ Πατριαρχείῳ Κωνσταντινυπόλεως, καὶ εὑρίσκοντο σοιχᾶσαι. ἦσαν δὲ αἱ χρήσεις Λέοντος, Ἀμβροσίυ, Χρυσοστόμυ, Ἀθανασίυ, Νύσσης, Ἐπιφανίυ, Ναζιανζηνᾶ, Αὐγυστίνυ, Ἰυστίνυ, Ἰυστινιανᾶ Βασιλέως, Ἐφραὶμ καὶ Ἀνασασίυ Ἀντιοχείας καὶ Ἰωάννυ Σκυθοπόλεως, ἐν οἷς ἅπασιν εἷς καὶ μόν ἦν Ῥώμης Ἐπίσκοπ, ἐχ ὡς Ἐπίσκοπος Ῥώμης ἁπλῶς πρσαγόμν εἰς μαρτυρίαν, ἀλλ' ὡς ἔγκριτος πατὴρ, ἤτοι διὰ τὴν ἁγιότητα αὐτᾶ. ἐπειδὴ ἦν ἐκείνετο ἡ Ῥώμη πρὸ τῆς Οἰκυμενικῆς Συνόδυ, φανερὸν ἐστὶν ὅτι τὴν ἄκραν αὐθεντίαν ἐν τῇ Ἐκκλησίᾳ ἔχει ἡ Συνόδ ἡ Οἰκυμενικὴ, ᾗ καὶ ἡ ῥωμαϊκὴ ἕπεται, ὡς καὶ πᾶσα μερικὴ Ἐκκλησία, καὶ ὑπὸ αὐάπαλιν. πέμπτον, ἐν τῇ δεκάτῃ τεταρτῃ πράξει πρσφέρυν Ἐπίσκοποι Κύπρυ χρῆσιν τὰ ἁγίυ Ἀθανασίυ, ἥτις καὶ αὐτὴ ἐδοκιμάσθη ὑπὸ τῆς Συνόδυ, καὶ ἐκρίθη ἡ Ἐκκλησία Κυπρίων ὡσαύτως τῇ Ἐκκλησίᾳ Ῥωμαίων. σὲχι, ἐν τῷ Ὅρῳ ἡ Συνόδ τὴν μὲν ἀναφορὰν τὰ Ἀγάθωνος λέγει ὅτι ἐδέξατο, τὴν δὲ τῆς κατ' αὐτὸν Συνόδυ ὅτι πρσήκατο, καὶ τοῦτο ὐχ ἁπλῶς, ἀλλὰ διότι συμφωνέσας εὗρε, φησὶ, τῇ ἐν Χαλκηδόνι Συνόδῳ καὶ τῷ τόμῳ Λέοντος. ἑπομένη δὲ ἡ τῇ ῥωμαϊκῇ

ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἀλλὰ ταῖς συνοδικαῖς ἐπιστολαῖς τοῦ Κυρίλλου καὶ ταῖς ἁγίαις καὶ Οἰκουμενικαῖς πέντε Συνόδοις καὶ τοῖς ἁγίοις ἐγκρίτοις πατράσιν, ὥρισε, καὶ τὰ ἑξῆς. πρὸς τούτοις ἡ Σύνοδος γράφουσα τῷ Ῥώμης ὅτι δι' εὐχῶν αὐτοῦ ἡ χάρις τοῦ ἁγίου Πνεύματος τὴν ἐξουσίαν ἐχαρίσατο καὶ ἐξεφώνησε τὸν Ὅρον, οὐ παρέχει αὐτῷ τινὰ αὐθεντίαν ἐπ' αὐτὴν, τὸ γὰρ εὔχεσθαι ὑπὲρ τοῦ εὑρεῖν τὴν Σύνοδον τὴν ἀλήθειαν παντὶ Χριστιανῷ ἴδιον, ὥστε ἡ εὐχὴ ἦν τοῦ Πάπα, ὁ δὲ Ὅρος τῆς Συνόδου. ἕβδομον, ὁ Πάπας Λέων ὁ δεύτερος ἐπιστολῇ πρὸς τὸν Αὐτοκράτορα, ἥτις κεῖται ἐν τῷ τέλει τῶν πρακτικῶν τῆς ἕκτης Συνόδου, φησὶν, Ἡ ἕκτη Σύνοδος τὴν ἀλήθειαν τῆς πίστεως φανεροῖ, ἀπροσκόπτοις γὰρ ποσὶ κατακολουθήσασα τῷ τε ἀποστολικῷ κηρύγματι καὶ τοῖς Ὅροις τῶν ἁγίων Οἰκουμενικῶν πέντε Συνόδων, ὥρισε. Καὶ, τοιγαροῦν συνοδικαῖς ἀποφάσεσι καὶ ψήφῳ βασιλικοῦ προστάγματος καθάπερ τῇ τοῦ Πνεύματος διστόμῳ ῥομφαίᾳ σὺν ἅμα ταῖς παλαιαῖς Αἱρέσεσι καὶ ἡ πλάνη τῆς καινῆς φαυλότητος ἐξεκεντήθη. Καὶ, ἡ Οἰκουμενικὴ Σύνοδος τὸν Ἀγάθωνα ἐδέξατο καὶ περιεπτύξατο. Καὶ, ἡ Σύνοδος ἐν ἅπασι τῷ ἀποστολικῷ Κανόνι καὶ τῇ διδασκαλίᾳ τῶν ἐγκρίτων πατέρων ἐξακολουθήσασα, τὸν τῆς ὀρθῆς πίστεως Ὅρον τελείως ἐκήρυξεν, ὅνπερ καὶ ὁ ἀποστολικὸς θρόνος σεβασμίως ἐδέξατο, καὶ ὁμοψύχως τοῖς παρ' αὐτῆς ὁρισθεῖσι συναινεῖ, καὶ τῇ αὐθεντίᾳ τοῦ μακαρίου Πέτρου βεβαιοῖ καθάπερ ἐπὶ στερρᾷ πέτρᾳ, ἥτις ἐστὶν ὁ Χριστός. ταῦτα ὁ Λέων. εἰς τοῦτο συντρέχει καὶ ὅπερ εἴρηκεν ὁ Ῥωσίας Μητροπολίτης Ἰωάννης ἐπιστολῇ πρὸς Κλήμαντα τῶν Ῥωμαίων Ἀρχιερέα, Ταύταις ταῖς Συνόδοις πάντες οἱ πρόεδροι καὶ διάδοχοι τῆς τοῦ κορυφαίου τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων Πέτρου καθέδρας ὁμοφώνως ἐπηκολούθησαν καὶ συνήνεσαν. ἴδε καὶ κατωτέρω τὰ πρακτικὰ τῆς ἑβδόμης Συνόδου, ὅπου οἱ Ἀνατολικοὶ ἐδίδαξαν καὶ τὸν Ῥώμης, καὶ ἡ Σύνοδος ἠκολούθησεν οὐ τῷ Πάπᾳ, ἀλλὰ τῇ κοινότητι, καὶ ἴδε ἐκεῖ τὸ εἰκοστὸν πρῶτον Παράγραφον. δεικνυται δὲ ἐκ τούτων πάντων, ὅτι ἡ ἄκρα ἐξουσία ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ τῶν Οἰκουμενικῶν Συνόδων, αἳ καὶ τελείως τοὺς Ὅρους τῆς πίστεως ὁρίζουσι καὶ κηρύττουσι, καὶ πᾶσαι αἱ μερικαὶ Ἐκκλησίαι, ἐξ ὧν μία ἐστὶ καὶ ἡ ῥωμαϊκὴ, ὑπὸ τῶν καθολικῶν Συνόδων κρίνονται, καὶ αὐταῖς ἕπονται ἐν ἅπασι, καὶ οὐ τὸ ἀνάπαλιν, ὅθεν περὶ τοὺς ἐκκλησιαστικοὺς Κανόνας εἴρηκεν ὁ Ἀγάθων ὅτι ἕπονται αἱ Οἰκουμενικαὶ Σύνοδοι τῇ αὐθεντίᾳ τῆς ῥωμαϊκῆς Ἐκκλησίας. ἐψεύσθη ἄρα καὶ ὁ Φλωρεντινὸς Ὅρος, εἰπὼν ἰδίως Διδάσκαλον κοινὸν τὸν Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἐκ τῆς πρὸς τὴν ἕκτην Σύνοδον ἀναφορᾶς τῆς ἐπ' Ἀγάθωνος ἐν Ῥώμῃ Συνόδου, καὶ ἐκ τῶν παραπεπτωκότων Παπῶν, καὶ τοῦ Μανσουέντου Μεδιολαίων ἐπὶ Δαμάσου, καὶ τῆς Ἀγάθωνος μαρτυρίας, δεικνυται οὐκ ἀναμάρτητος ἡ ῥωμαϊκὴ Ἐκκλησία, ἀλλ' ἁμαρτωλὸς καὶ μερική.

Οἱ τῆς ἐπὶ Ἀγάθωνος ἐν Ῥώμῃ Συνόδου Ἐπίσκοποι οὐπολὺ μετὰ τὴν ἀρχὴν τῆς ἀναφορᾶς φασὶν, ὅτι οἱ προκάτοχοι αὐτῶν ἕως τοῦ νῦν ὑπερησπίσθησαν τῶν Ὅρων τῆς ἀληθοῦς πίστεως, οὓς ἄθεσμόν ἐστιν παραβῆναι, καὶ οὔτε κολακείαις ἠπατήθησαν, οὔτε κινδύνους ἐφοβήθησαν; ἀλλ' ἔργῳ τὴν εὐαγγελικὴν ἀπόφασιν ἐνεδείξαντο. τί; Ὅστις οὐχ ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ τὰ ἑξῆς. ὅτι καὶ πᾶσα Ἐκκλησία ὀρθόδοξος κατὰ τὸ ἀνῆκον αὐτῇ ὑπερησπίσθη τῷ αὐτῷ τρόπῳ ᾧ ἠγωνίσθη καὶ ὁ ῥωμαϊκὸς θρόνος τῶν Ὅρων τῆς ἀληθοῦς πίστεως διά τε Συνόδων, διά τε συγγραμμάτων, διά τε ἐπιστολῶν καὶ διὰ σπουδῶν καὶ κινδύνων, ἔσθ' ὅτε δὲ χρείας κατεπειγούσης καὶ διὰ θανάτου. δεύτερον, οὐ πάντοτε ὁ ῥωμαϊκὸς ἔμεινεν ἐκτὸς φόβου καὶ κολακείας καὶ ἀπάτης, ἐπειδὴ Μαρκελῖνος, Λιβέριος, Φίληξ καὶ ἄλλοι Πάπαι τοιούτοις ὑπέπεσον ἐγκλήμασιν. ἀλλ' οὐδὲ οἱ ἐν τῇ Συνόδῳ ταύτῃ Ἐπίσκοποι εἶχον τοὺς προηγησαμένους αὐτοὺς ἀναμαρτήτους, καὶ ἀρκεῖ εἰς ἀναίρεσιν τῆς προτάσεως αὐτῶν, ὅτι ἐν αὐτοῖς ἦν Μανσουέντος Ἐπίσκοπος Μεδιολαίων, ὃς εἶχε προηγησάμενον τὸν Αὐξέντιον, ὃν ὁ Πάπας Δάμασος ἀρειανικώτατον ὄντα οὐκ ἐδυνήθη καταβαλεῖν, καίτοι διὰ μυρίων Συνόδων ἀγωνισάμενος κατ' αὐτοῦ, ὡς εἴρηται ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίῳ εἰκοστῷ. ὥστε οὔτε ἐκ τούτου ὠφελήθησαν οἱ παπολάτραι ἵνα δείξωσιν ἀναμάρτητον τὸν ῥωμαϊκὸν θρόνον, πρόσθες ὅτι καὶ ἀπὸ τῆς ἕκτης Συνόδου ταύτης κατὰ ἄλλον τρόπον δεικνυται ὅτι ἐξίσου ταῖς λοιπαῖς Ἐκκλησίαις μερική ἐστι καὶ ἡ ῥωμαϊκὴ, ὁ γὰρ Πάπας Μαρτῖνος γράφων συνοδικῶς κατὰ τῶν Μονοθελητῶν, οὐκ ἐμνήσθη τῶν Συνόδων τῶν πρὸ αὐτοῦ Παπῶν, ἀλλὰ μόνον τῶν πέντε Οἰκουμενικῶν καὶ τῶν ἐγκρίτων πατέρων. ἡ δὲ παροῦσα Οἰκουμενικὴ οὔτε τὴν ἐπὶ Μαρτίνου Σύνοδον προσέφερεν εἰς μαρτυρίαν, οὔτε τῶν πρὸ Μαρτίνου, ἀλλ' οὔτε ὁ Ἀγάθων καὶ ἡ ἐπ' αὐτοῦ Σύνοδος ἔθηκαν ἐν τοῖς κῳδικίοις τὰς μαρτυρίας τῶν ἐν Ῥώμῃ κατὰ τῶν Μονοθελητῶν Συνόδων.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἡ πρὸς Ἐρβίγιον Βασιλέα Γότθων ἐν Ἱσπανίᾳ ἐπιστολὴ Λέοντος τοῦ δευτέρου οὐκ ἐννοεῖ τὸ μὴ δύνασθαι Πάπαν Ῥώμης σφαλῆναι, ἢ καταδικασθῆναι, ἀλλὰ τὸ νικᾶν τὴν Ἐκκλησίαν ἐν πόνοις.

Τὴν

ΠΕΡΙΤΩΝΕΝΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

578

Τὴν ῥωμαϊκὴν Ἐκκλησίαν ὁμοίῳ τινὶ ἐπαίνῳ ἐπικοσμεῖ Λέων ὁ δεύτερος ἐπιστολῇ πέμπτῃ πρὸς Ἐρβίγιον Βασιλέα Γότθων ἐν Ἱσπανίᾳ, λέγων, Ἐπειδὴ καὶ ἡ καθέδρα τῆς Ῥώμης ἔμεινεν ἐλευθέρα ἕως τοῦ νῦν ἀπὸ τῶν Αἱρέσεων παρὰ τὰς ἄλλας καθέδρας τὰς Πατριαρχικὰς, ὥστε ἐκεῖ αἱ Αἱρέσεις ἢ εἴσοδον οὐχ εὗρον, ἢ οὐ διέμειναν ἐπιπολὺ, οὔτε μὴν ἐξηπλώθησαν. τοῦτο ὅμως οὐχ οὕτως ὁ Λέων ἐννοεῖ, ὥστε λέγειν οὐδένα Ἐπίσκοπον Ῥώμης ἐσφάλθαι, ἢ μὴ δύνασθαι σφάλλειν εἰς τὴν πίστιν, ἢ μὴ δύνασθαί τινα Ἐπίσκοπον Ῥώμης καταδικασθῆναι ὡς Αἱρετικὸν, ὅθεν μετ' ὀλίγον ἐν τῇ ἐπιστολῇ λέγει τὸν Ὀνώριον κατακεκριμένον. εἶτα λόγοι εἰσὶ τοῦ Λέοντος ὅτι ἡ εὐαγγελικὴ ἀλήθεια νικᾷ, ἧς τὴν βεβαιότητα ἵνα φυλάξῃ ἡ καθολικὴ Ἐκκλησία, πολλὰ ὑπέμεινε δεινὰ καὶ ἔμεινεν ἀβλαβής. καὶ ὁ Αὐτοκράτωρ τῇ χάριτι τοῦ Χριστοῦ ὑπομείνας πόνον ὑπὲρ τῆς εὐσεβείας, τὴν τοῦ Θεοῦ Ἐκκλησίαν ἔσπευσε πάσης αἱρετικῆς κηλῖδος ἀποκαθᾶραι, καὶ διατοῦτο ἀνεθεμάτισε Κῦρον, Σέργιον, Θεόδωρον, Πύῤῥον, Παῦλον, Πέτρον καὶ τὸν Ὀνώριον, ὃς τὸν ἀμώμητον τῆς ἀποστολικῆς παραδόσεως Κανόνα, ὃν ἀνεδέξατο παρὰ τῶν προκατόχων, μιαῦναι ἠβουλήθη.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ἀπάντησις πρὸς τὸν τρίτον λόγον τῶν Παπιστῶν, τὸν λέγοντα λαβεῖν τοὺς Λεγάτους διωρισμένον Κομμονιτώριον, καὶ ἑπομένους αὐτῷ, μὴ καταδικάσαι τὸν Ὀνώριον.

Ἐπιχειροῦσιν οἱ Σχολαστικοὶ λέγοντες, τούτῳ τῷ τρόπῳ οἱ Λεγᾶτοι ἔλαβον ὑπὸ τοῦ Πάπα διωρισμένον Κομμονιτώριον εἰς τὸ φυλάξασθαι τὰ δόγματα τῆς πίστεως μόνον ἅπερ περιείχετο ἐν τῇ ἐπιστολῇ τοῦ Ἀγάθωνος, ἐπειδὴ λοιπὸν οἱ αὐτοὶ Λεγᾶτοι ὅσα κατὰ τοῦ Ὀνωρίου λέγονται ἐνθεῖναι ἢ πραχθῆναι σιγῇ παρέρχονται, ἐντεῦθεν συνάγουσιν (οἱ Σχολαστικοὶ) ὅτι ἄλλος τὶς δόλιος ἀνὴρ ἐξελὼν τὸ ὄνομα αὐτοῦ, τὸ τοῦ Ὀνωρίου ἐνέγραψεν. Ἀλλὰ ῥητέον πρῶτον, οἱ Λεγᾶτοι ὑπεῖξαν τῷ Κομμονιτωρίῳ, ὅτι ὑπὲρ τοῦ δόγματος στερρῶς ἠγωνίσθησαν τῶν δύο ἐνεργειῶν καὶ θελήσεων, καὶ προσέφερον μαρτυρίας πατέρων καὶ Αἱρετικῶν, αἵτινες περιείχοντο ἐν ταῖς δύο ἀναφοραῖς, οὐκ ἔλαβον ὅμως ἄλλο τι πρόσταγμα παρὰ τοῦ Πάπα, καθότι περὶ τοῦ δόγματος μόνου ἦν ἡ ἀντιλογία. δεύτερον, ἐν τῇ δωδεκάτῃ πράξει συνεκρίθη ἡ ἐπιστολὴ Ὀνωρίου ὑπὸ Ἰωάννου Ἐπισκόπου Πορτονένσης, ὃς ἦν καὶ Λεγᾶτος τῆς ἐπὶ Ῥώμης Συνόδου, καὶ δὴ καὶ ἐν τῇ κατακρίσει Ὀνωρίου ὑπέγραψαν οἱ τῆς Ῥώμης Λεγᾶτοι ἐν ἀληθείᾳ, καὶ λαβόντες τὰ πρακτικὰ τῆς ἁγίας Συνόδου ἀπῆλθον.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ἀπάντησις πρὸς τὸν τέταρτον λόγον τῶν παπιστῶν, τὸν λέγοντα, εἰ ἡ Σύνοδος κατεδίκαζε τὸν Ὀνώριον, ἠκολούθει αἰώνιος αἰσχύνη αὐτῇ, ὡς πλανηθείσῃ καὶ ὡς κρινάσῃ τὸν θρόνον ἐκεῖνον, ὃς κρίνει πάντας καὶ ὑπ' οὐδενὸς κρίνεται, καὶ ἀπόδειξις ἐκ τῶν Ἀποστόλων, πατέρων, Οἰκουμενικῶν Συνόδων καὶ τῆς ἐπὶ Μαρτίνου Συνόδου, ὅτι πᾶς Χριστιανὸς καὶ Πάπας καὶ Πατριάρχης μὴ ὑποκείμενος ταῖς Συνόδοις, ἀλλὰ λύει καὶ δεσμεῖ ἃ ἐκεῖναι ἔδησαν καὶ ἔλυσαν, ἐθνικὸς καὶ τελώνης ἐστὶ, καὶ τῷ ἀναθέματι ὑποβεβλημένος.

Ὁ τέταρτος λόγος ἐστὶ τῶν παπιστῶν, ὅτι οὐκ ἐδύνατο ἡ Σύνοδος καταδικάσαι τὸν Ὀνώριον, προεξένει γὰρ ἂν ἑαυτῇ ἀναισχυντίαν καὶ πλάνην καὶ ἀδικίαν, ὃ καὶ ὑπονοῆσαι ἄτοπον περὶ ταύτης, ἄρα ἡ Σύνοδος οὐ κατεδίκασαι τὸν Ὀνώριον. δεικνύουσι τὴν μείζονα διὰ τῶν πατέρων οὕτως, Ἀνυπόφορος καταισχύνη ἦν ἂν, εἰ ἡ Σύνοδος ἐκείνη ἐπεχείρει καταδικάσαι καθέδραν ἀποστολικὴν, ἥτις κρίνει πάντας καὶ ὑπ' οὐδενὸς κρίνεται, καὶ ἔτι πλάνη δ' ἂν ἦν μὴ συνιέναι τὰς ἐπιστολὰς τοῦ Ὀνωρίου, αὐτάς τε ὡς αἱρετικὰς κατακρῖναι, ἐν αἷς οὐδεμία περιέχεται πλάνη, ἄδικον δὲ τὸ καταδικάσαι Ὀνώριον ἄνδρα ἀνέγκλητον. Ἀλλὰ πρὸς ταῦτα ῥητέον τὸ ἐν τῷ δεκάτῳ ὀγδόῳ κεφαλαίῳ τῆς Ἀποκαλύψεως ὑπὸ τοῦ Ἀντιχρίστου εἰρημένον, Βασίλισσα κάθημαι. καὶ ἐν τῷ δευτέρῳ κεφαλαίῳ τῆς δευτέρας πρὸς Θεσσαλονικεῖς, Ὁ Ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν Ναὸν τοῦ Θεοῦ ὡς Θεὸν καθίσαι. καὶ ἔτι Ἀποκαλύψεως κεφαλαίῳ δεκάτῳ τρίτῳ, Τὶς ὅμοιος τῷ Θηρίῳ; τὶς δύναται πολεμῆσαι μετ' αὐτοῦ; καὶ γὰρ ὡς ἀληθῶς ὁ τὰς Οἰκουμενικὰς Συνόδους, αἵτινες ἔχουσι πρόσωπον τῆς καθόλου Ἐκκλησίας, ἀθετῶν καὶ παρακούων, ἐστὶν ὃν λέγει ὁ Διάλογος Ἀντίχριστον. τὶς κρίνει τὸν Πάπαν τῆς Ῥώμης; οὐδεὶς, ἄρα ὁ Πάπας ἔξω τῆς Ἐκκλησίας ἐστί. τίς ποτε τῶν Ἀποστόλων, ἢ τῶν ἀποστολικῶν, ἢ τῶν ἁγίων πατέρων εἶπε τοῦτο ὅτι κρίνει καὶ οὐ κρίνεται; ὁ μὴ κρινόμενος ὑπὸ τῆς Ἐκκλησίας, ἐθνικὸς καὶ τελώνης ἐστὶν ἄνευ ἐξετάσεως, καὶ οὐ μόνον οὐκ ἔστι τῆς Ἐκκλησίας κεφαλὴ, ἀλλ' οὐδὲ ὅλως Χριστιανός. ὅθεν Γρηγόριος ὁ Διάλογος βιβλίῳ πρώτῳ τῶν ἐπιστολῶν κεφαλαίῳ εἰκοστῷ τεταρτῷ, τὰς τέσσαρας Συνόδους δέχεται ὡς τὰ τέσσαρα Εὐαγγέλια, διότι εἰς αὐτὰς ὥσπερ εἰς τετράγονον λίθον ἀνοικοδομεῖται ἡ οἰκοδομὴ τῆς ἁγίας πίστεως

πίστεως, ὅθεν ὑπείκει ταῖς Συνόδοις ὡς εἰς καθολικὴν Ἐκκλησίαν, φησὶ γὰρ, εἴτις οὐ κρατεῖ τὴν σταθηρότητα ταύτην, οὗτος κεῖται ἔξω τῆς οἰκοδομῆς, τούτῳ συμφωνεῖ καὶ ἡ ἐπὶ Μαρτίνου Σύνοδος Κανόνι δεκάτῳ ὀγδόῳ. ἴδε καὶ βιβλίου πέμπτου κεφάλαιον δέκατον ἔνατον, ποία ἐστὶν ἡ καθολικὴ Ἐκκλησία. καὶ ὁ Ἀγάθων γράφει ἐν τῇ ἀναφορᾷ περὶ τῶν πέντε Συνόδων, Ἅπερ ἡμᾶς αἱ σεβάσμιαι αὗται Σύνοδοι πιστῶς ὑπομιμνήσκουσιν, ἀναγκαῖον ἐστὶ φυλάξαι. Καὶ, ἥν τινα πίστιν αἱ ἅγιαι Σύνοδοι καὶ μετὰ τὴν θαυμαστὴν ἕνωσιν ἐν πᾶσιν ἡμῖν παραφυλαχθησομένην ἐθέσπισαν, καὶ γνωρίζειν ἡμᾶς καὶ κηρύττειν παραδεδώκασιν, ὅπως τῇ αὐτῶν διδασκαλίᾳ ἐν πᾶσιν ἀκολουθοῦντες ἀποδειχθῶμεν. Καὶ, ἀληθῶς γὰρ ἐκ διαφόρων ἐγκρίτων πατέρων τῆς ὀρθοδόξου πίστεως ἡ ἀλήθεια ἐφάνη. ἴδε καὶ βιβλίου πέμπτου κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ τοὺς λόγους τοῦ Πάπα Πελαγίου. ἴδε καὶ πᾶσαν τὴν ἐπὶ Μαρτίνου Σύνοδον, ἥτις τὴν διδασκαλίαν τῶν πέντε οἰκουμενικῶν Συνόδων προτίθεται ὁδηγὸν, καὶ ἐπικυροῖ, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ ὀγδόῳ. καὶ λοιπὸν πᾶς Χριστιανὸς καὶ Πάπας καὶ Πατριάρχης χρέος ἔχει ὑπείκειν ταῖς ἁγίαις Συνόδοις ὡς εἰς καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν, εἰ γὰρ μὴ, ἀνάθεμα ἔστω. ἔχουσι γὰρ αἱ ἅγιαι καὶ μάλιστα Οἰκουμενικαὶ Σύνοδοι τὴν ἐξουσίαν τοῦ δεσμεῖν τε καὶ λύειν. καὶ ὃς λύει ἃ ἐκεῖναι δεσμοῦσι, καὶ δεσμεῖ ἃ ἐκεῖναι λύουσιν, ἀνάθεμα ἔστω. οὐκ ἐξαιροῦσι δὲ τὸν Ἐπίσκοπον Ῥώμης, καὶ γὰρ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται. ὅθεν καὶ ὁ Διάλογος λέγει, ἐκεῖνος ὁ Ἐπίσκοπος, ὃς σπουδάζει ἀνελθεῖν εἰς τὴν κορυφὴν τῆς καθολικότητος, ὥστε μηδενὶ ὑποτάσσεσθαι, καὶ πάντων ὑπερέχειν, ἐστὶ μιμητὴς τοῦ διαβόλου, βιβλίῳ τετάρτῳ ἐπιστολῇ τριακοστῇ ὀγδόῃ, ἤτοι κεφαλαίῳ εἰκοστῷ δευτέρῳ. ἡ αὐτὴ γνώμη ἦν τῆς κατὰ Φωτίου καὶ τῆς Οἰκουμενικῆς ἑβδόμης Συνόδου, καὶ γὰρ κἀκεῖναι τὸν Ὀνώριον ὁμολογοῦσιν ἀναθεματισθῆναι ὑπὸ τῆς ἕκτης Συνόδου, καὶ δὴ καὶ αὗται ἀναθεματίζουσιν αὐτόν. οὔτε μὴν ἦλθεν εἰς τὸν νοῦν τῶν ἀπὸ Χριστοῦ πατέρων ἕως τοῦ βεβήλου σχίσματος τῶν παπιστῶν τὸ ἀνυπεύθυνον τοῦ Πάπα, καὶ μάλιστα ἐπὶ αἰτίᾳ Αἱρέσεως.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἐκ τοῦ τὸν Ἀδριανὸν τὸν δεύτερον φόβῳ τοῦ παρὰ τῶν Συνόδων ἀναθεματισμοῦ ὁμολογῆσαι τὸν Ὀνώριον εἶναι ὑπὸ ἀνάθεμα ὡς Αἱρετικὸν, δείκνυται τὸ διεφθάρθαι τὴν ἕκτην Σύνοδον λῆρος τῶν παπιστῶν, καὶ ἀνίσχυρον τὸ προσφέρειν μάρτυρας τοὺς πρὸ τῆς ἕκτης Συνόδου.

Αἱ Σύνοδοι οὐ μόνον ἀναθεματίζουσι τοὺς παραβάτας τῶν ἀποφάσεων αὐτῶν, ἀλλὰ καὶ τοὺς ὑπερασπιζομένους τῶν ἀναθεματισθέντων ὑπὸ τῶν Συνόδων, καὶ διεκδικοῦντας τὰ ἐκείνων συγγράμματα, διότι μεγίστη εὐλαβείᾳ εἰσὶ δεκταὶ ὑπὸ τῆς Ῥώμης καὶ παντὸς Χριστιανοῦ αἱ πρὸ τῆς ἕκτης πέντε καὶ ἡ μετ' αὐτὴν ἑβδόμη. διατοῦτο Ἀδριανὸς ὁ δεύτερος εὐλαβούμενος τοῦτο τὸ ἀνάθεμα, ὡμολόγει ἐν τῇ ἐν Ῥώμῃ Συνόδῳ, ὅτι ὁ Ὀνώριος ἦν Αἱρετικὸς καὶ ἀναθέματι ὑποβεβλημένος ὑπὸ τῶν Ἀνατολικῶν τῇ εἰδήσει τῶν Ἐπισκόπων Ῥώμης. ἀλλὰ δὴ καὶ ἡ καθέδρα τῆς Ῥώμης οὐκ ἦν τότε τολμηρὰ, ὥστε τολμῆσαι αὐτὴν εἰπεῖν τὰ πρακτικὰ τὰ ἰδιόγραφα τὰ αὐθεντικὰ ὅτι ἦσαν διεφθαρμένα. ὥστε οὗτοι οἱ λῆροι, ὅτι ἡ Σύνοδος διεφθάρη, τόλμημά ἐστι τῶν παπιστῶν μόνον καὶ οὐδενὸς τῶν ἀρχαίων, οἵτινες προσφέρουσι καὶ μάρτυρας Ἰωάννην τὸν τέταρτον, τὸν Πάπαν Μαρτῖνον, τὸν ἱερὸν Μάξιμον, τὴν ἐπὶ Μαρτίνου Σύνοδον, οἳ ἦσαν πρὸ τῆς ἕκτης, ἀλλ' οὐδὲν ἰσχύουσιν αἱ τοιαῦται μαρτυρίαι περὶ τῶν γινομένων ὕστερον ἐν τῇ ἕκτῃ, καὶ γὰρ οὐχ ὑπὸ τῶν μὴ εἰδότων, ἢ ἄλλως πως σιωπώντων, ἀλλὰ παρὰ τῶν ἐπιμαρτυρουμένων τὴν ἀλήθειαν αἱ ἀποδείξεις γίνονται.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ ὧν χρῶνται οἱ Ὀνωριανοὶ μετὰ τὴν ἕκτην Σύνοδον κατ' αὐτῆς μαρτύρων ὑπὲρ Ὀνωρίου, καὶ ψευδῶς ὁ Βελλαρμῖνος τῷ Φωτίῳ. τοῦ δ' Ὀνωρίου καὶ ἐν τῇ κατὰ Φωτίου Συνόδῳ ὑπ' ἀνάθεμα μαρτυρηθέντος, δείκνυται ὁ Γρετζέρος πανάθλιος.

Οἱ συγγραφεῖς οἱ μετὰ τὴν ἕκτην, ὧν ταῖς μαρτυρίαις χρῶνται οἱ Ὀνωριανοὶ κατὰ τῆς ἀφθορίας τῶν πρακτικῶν τῆς ἕκτης περὶ Ὀνωρίου, εἰσὶν ὁ Θεοφάνης, Ἀναστάσιος, Νικόλαος ὁ πρῶτος, Ζωναρᾶς, Καλέκας, Παῦλος Διάκονος, Βέδας, Γλόντος, Ναύκληρος, Σαβέλικος καὶ Πλάτινας, τούτοις προστίθησιν ὁ Βελλαρμῖνος καὶ Φώτιον, ἀκολουθῶν τινὶ ψευδεῖ λατινικῇ μεταφράσει τοῦ βιβλίου ἐκείνου, ὅπερ συνέγραψεν ὁ Φώτιος περὶ τῶν ἑπτὰ Συνόδων, καὶ ὅμως εἰς τοὺς ἑλληνικοὺς κῴδικας ὁ Ὀνώριος μετρεῖται παρὰ Φωτίου μετὰ τῶν κατακεκριμένων, καὶ εἰς τὴν βιβλιοθήκην ὁμοῦ. ἀλλ' οὔτε τοῦ πονηροῦ Κόρακος τὸ μυδαλέον καὶ ὀζῶδες ᾠὸν, φημὶ τὸ κλούβιον ὁ Γρετζέρος πρὸς βοήθειαν τοῦ Βελλαρμίνου λέγει τὶ ἐνταῦθα, ἢ μόνον ὑλακτεῖ κατὰ τοῦ Φωτίου λέγων, οὐδὲ γὰρ ἄλλο τὶ ἐδύνατο ὁ Φώτιος εἰπεῖν,

580

εἰπεῖν, ὡμὸς ἐχθεὶς ὢν τῆς ῥωμαϊκῆς Ἐκκλησίας. ἵνα γνώσῃ ὅμως ἕκαστος πόσον ἐστὶν ἄθλιος ὁ ταῦθα ὁ παλαίπωρος Γρετζέρος, ὑπομνηθήτω, ὡς εἴρηται βραχέως ἀνωτέρω, Ἀθελανὸν τὸν δεύτερον συγκεχωρηκέναι τὴν Σιών ὑπὸ Κωνσταντινουπόλει, παρὸν-

των καὶ αὐτῶν λατίνων τῇ Φωτίου, ἥτις ἐστὶν ἡ ὑπὸ Λατίνοις καλουμένη ὀρθοδοξία, ἐν ᾗ τὰ αὐτὰ περὶ ὀνωρίου μαρτυρεῖται, ἅπερ καὶ ὁ Φώτιος καὶ πᾶσα ἡ Ἐκκλησία λέγει.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

ὅτι οὐκ ἐκ τοῦ μὴ εἰπεῖν τὸν Θεοφάνη, καὶ ἄλλως περὶ τῆς κατακρίσεως ὀνωρίου, καὶ ἐκ τοῦ καὶ ἐν ἄλλοις πολλοῖς σιωπῆσαι τὸν Ἀνασάσιον τὴν κατάκρισιν ὀνωρίου, ἀβλάπτεται ἡ τὸν ὀνώριον καταδικάσασα ἀλήθεια, ὡς ἐνταῦθα δείκνυται.

Ἐπιλέγουσιν οἱ αὐτοὶ ἀπὸ τοῦ Θεοφάνους, ὃν μετέφρασεν ὁ Ἀνασάσιος εἰς τὴν λατινικὴν γλῶσσαν, ὅτι ἁδὸν λέγει περὶ κατακρίσεως ὀνωρίου, τὰς ἄλλας αἱρετικὰς εἰπών, ἢ εἰ μὴ ὁ Ὀνώριος αἱρετικὸς, εἶπεν ἂν τοῦτο. ἀλλὰ δὴ καὶ ὁ Ἀνασάσιος τὰ αὐτὰ λέγει τῷ Θεοφάνει, τὸν βίον γὰρ τοῦ ὀνωρίου γεγράψας καὶ τοῦ Ἀγαθώνος, ἐν ᾧ διέσκωπται τί ἐπράχθησαν, καὶ ποῖοι αἱρετικοὶ ἐν τῇ αὐτῇ Σιών, ἐν ᾗ ἁδὸν περὶ κατακρίσεως Ὀνωρίου λέγει. εἰ δὲ καὶ εἰς τὸν βίον Λέοντος τοῦ δευτέρου λέγει ὁ Ἀνασάσιος τὰ περὶ Ὀνωρίου, ἀλλ' ἐκεῖ ἔφθειρέτις αὐτόν. Ἀλλὰ πρὸς ταῦτα ῥητέον πρῶτον, ὁ Θεοφάνης ἀπὸ Νικηφόρου ἔπαυσε τὸ γράφειν ἐν ἔτει ὀκτακοσιοστῷ δεκάτῳ πρώτῳ, ὃς ἔζησεν ἕως Λέοντος τοῦ Ἀρμενίου, ὡς ὁ Κεδρηνὸς ἐν τῷ τελευταίῳ Τόμῳ. ἦν δὲ μετὰ τὴν αὐτὴν Σιών ἔτη ἑκατὸν τελείωντα, καὶ ἑκατὸν εἴκοσι μετὰ τὴν ἑβδόμην, ἐν αἷς Σιών ὁδοις λαμπρῶς ὁ Ὀνώριος ἀναθεματίζεται, ἀλλ' οὐκ αὐτεῖπε ταῖς Σιών ὁδοις ταύταις ὁ Θεοφάνης, ἅτε ἠγνώσαν αὐτὸν ἁδὲ γε, ἅτε μηδὲ εἰς τὸν Ἀνασάσιον, ὃς ἦν καὶ αὐτὸς ἐν τῷ ὀκτάτῳ αἰῶνι, ἦν ἡ περὶ ὀνωρίου, ὡς καὶ ὁ Γρετζέρος ὁμολογεῖ. Ἔτι ὁ Ἀνασάσιος εἰς τὴν ἱστορίαν ἣν μετέφρασε τοῦ Θεοφάνους, τινὰ μὲν ἀφῆκε, τινὰ δὲ σιωπήσας ἐπεσκίασεν, ἁδὸν δὲ ἐσφάλη, ὡς αὐτὸς μόνος μαρτυρεῖ, καὶ ὁ Βαρώνιος συμμαρτυρεῖ ἐν τῷ ὀκτακοσιοστῷ δεκάτῳ τρίτῳ ἔτει. ζητεῖ δὲ ἡ Δαληφθεῖσα δυὰς τῶν σοφισῶν Διατί ἔλειψον ἀπὸ τοῦ Θεοφάνους ὁ Ὀνώριος καὶ ἀπὸ Παύλου τοῦ Διακόνου καὶ τοῦ Ζωναρᾶ; ἀλλὰ ζητεῖμεν καὶ ἡμεῖς ἀπὸ τῶν παπισῶν, ἆρα ἔτοι πάντων τῶν κατακριθέντων ὑπὸ τῆς αὐτῆς καὶ τῶν ἐν αὐτῇ λοιπῶν ἐμνήσθησαν; Διατί ὁ Ἀνασάσιος ἀμέμνηται τῆς Ὀνωρίου ἀποσολῆς; ὃς ἐν τῇ ζωῇ Λέοντος τοῦ πρώτου διηγεῖται τὰ τῆς τεταρτης Σιών ὁδου, καὶ ἐν τῇ τοῦ Ἀγαθώνος τὰ τῆς αὐτῆς, καὶ ἐν τῇ τοῦ Ἀδελανοῦ τὰ τῆς ἑβδόμης, καὶ ἐν τῇ τοῦ Ἀδελανοῦ τοῦ δευτέρου τὰ τῆς ὀγδόης. Διατὶ ἐν τῷ βίῳ τοῦ Δαμάσου ἀποιεῖται μνείαν τῆς ἐν Κωνσταντινουπόλει Σιών ὁδου, ἢ τῆς τότε γενομένης ἐν Ῥώμῃ; καὶ ἐν τοῖς περὶ τῆς ἐν Ἐφέσῳ ἁδὸν λέγει περὶ Κελεστίου καὶ Πελαγίου; Διατὶ οὐκ ἐμνημόνευσε τῆς πέμπτης Σιών ὁδου; καὶ μάλιστα τοῦ Βιγιλίου τότε ὄντος ἐν Κωνσταντινουπόλει; ὅτε διηγεῖται Διατὶ ὁ Βιγίλιος ἐσωπήλθε τῇ Σιών ὁδῳ, καὶ πῶς ἠναντιώθη εἰς τὰ τρία κεφάλαια, καὶ ὅσα ἔπαθε κακὰ ἐν Βυζαντίῳ; εἰ λοιπὸν ὁ Ἀνασάσιος ἐσιώπησε περὶ Ὀνωρίου, ὡς καὶ περὶ τῶν εἰρημένων, ἁβλάπτεται ἡ ἀλήθεια.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

ὅτι οὐ συμφέρουσιν οἱ παπισαὶ Ἀνασάσιον ὡς ἀξιόπιστον εἰς μαρτυρίαν, ἐν πολλοῖς μὲν ἐνταῦθα δείκνυται ψεύδους, τῇ δὲ Σιών ὁδῳ ἀναθεματισάσῃ Ὀνώριον ἐκ ἐναντίος.

Ὁ Ἀνασάσιος ἆρ' ἐν τῷ βίῳ Ἀγάθωνος οὐκ ἐμνήσθη Θεοδώρου τοῦ Φαρανᾶ, καὶ ἐν τῷ βίῳ Λέοντος τοῦ δευτέρου σημαίνει αὐτόν. τοῦ Ἀνασασίου ἐπόντος τῇ δεκάτῃ τοῦ Νοεμβρίου εἰσῆλθον οἱ λεγάτοι εἰς τὴν Σύνοδον, ἐλέγχει αὐτὸν ὁ Βιγίλιος ἀπὸ τῶν πρακτικῶν. λέγει ὅτι περὶ τὸ Πάσχα ἐτελειώθη ἡ Σιών ὁδος, καὶ ὅμως ἐτελειώθη τὸν Σεπτέμβριον. λέγει ὅτι ἐν τῇ αὐτῇ Σιών ὁδῳ εἰσὶ πράξεις ἑπτὰ, καὶ ὅμως εἰσὶ δεκαοκτώ λέγει Δόξοχον Μακαρίου Ἀντιοχείας Στέφανον, καὶ ὅμως ἦν ὁ Θεοφάνης. λέγει ὅτι ὁ Μακάριος καὶ ἄλλοι ἐσάλθησαν εἰς Ῥώμην, καὶ ὅμως ἐλέγχεται ὑπὸ Βαρωνίου καὶ Βινίου ἀπὸ τῆς βασιλικῆς ἀποσολῆς. ὅθεν τοιοῦτον ὄντα τὸν Ἀνασάσιον ἐσφαλμένον, τί ὡς ἀξιόπιστον μάρτυρα πορβάλλουσιν οἱ παπισαὶ εἰ καὶ τρόπῳ ἑτέρῳ ἡμετέρους ἐστί; καὶ γὰρ οὐκ ἠναντιώθη ὁ Ἀνασάσιος τῇ Σιών ὁδῳ περὶ Ὀνωρίου, οὐκ εἶπε τὴν Σιών ὁδον διεφθαρμένην, εἰ γὰρ καὶ ἐφιλοτιμεῖτο περὶ τοῦ θρόνου Ῥώμης, ἀλλ' οὐχ ὑπέφερε τὸν κόσμον πλανηθῆναι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

ὅτι οὐκ ἐκ τοῦ τὸν Παῦλον Διάκονον σιωπῇ παρελθεῖν τὸν Ὀνώριον, καὶ οὐκ ἐκ τοῦ τὸν Βόλφιον τὴν μεταφρασιὰν τοῦ Ζωναρᾶ ἐκβαλεῖν τὸν Ὀνώριον, ἁβλάπτεται ἡ ἀλήθεια.

Παῦλος

Παῦλος ὁ Διάκονος βιβλίῳ δεκάτῳ ὀγδόῳ λέγων περὶ τῶν Μονοθελητῶν καὶ τῆς ἑκτῆς Συνόδου, ἀφίησιν οὐ μόνον τὸν Ὀνώριον, ἀλλὰ καὶ Θεόδωρον Φαρὰν καὶ Σέργιον. περὶ δὲ τοῦ Ζωναρᾶ ῥητέον, ὅτι Βόλφιος ὁ μεταφραστὴς αὐτοῦ ἐν ταῖς σημειώσεσιν αὐτοῦ γράφει περὶ Ὀνωρίου Ῥώμης, καὶ ἐν τῷ ἐν Βιέννῃ κώδικι διὰ τὸ μὴ εἶναι τὸ ὄνομα τοῦ Ὀνωρίου, οὔτε ἡμεῖς αὐτὸ ἐβάλομεν, φησὶν ὁ Βόλφιος, καὶ ὅμως εἰ οὐχ εὗρεν ἐν Βιέννῃ, οὐκ ἔδει ἐκεῖνον ἐκβαλεῖν καὶ ταῦτα ἅπερ ἔχει ὁ Κεδρηνὸς, ᾧ ἕπεται ὁ Ζωναρᾶς. πρὸς τούτοις ῥητέον ἔτι, εἰ ἐσιώπησαν οὗτοι περὶ Ὀνωρίου, τὶ πρὸς τὴν ἀλήθειαν; μᾶλλον δύναται εἷς λέγων, ἢ μύριοι σιωπῶντες.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι Νικόλαος ὁ πρῶτος εἰπὼν ἐν τῇ πρὸς Μιχαὴλ Βασιλέα ἐπιστολῇ αὐτοῦ ὀρθοδόξους τοὺς πρὸ αὐτοῦ Πάπας ἐψεύσθη, καὶ περὶ Βέδα, Μανουὴλ καλέκα, Γλόντου καὶ Πλάτινα τῶν ὑπὲρ Ὀνωρίου μυθολογούντων.

Νικόλαος ὁ πρῶτος ἐπιστολῇ πρὸς Μιχαὴλ τὸν Βασιλέα φησὶν, ὅτι οἱ πρὸ αὐτοῦ Πάπαι οὐκ ἦσαν Αἱρετικοί. Ἀλλὰ ῥητέον, ὅτι οὐ περὶ πάντων φησὶν, ἀλλ' ὡς ἐπιτοπλεῖστον, καὶ περὶ τῶν παλαιοτέρων, εἰ δὲ μὴ φρονεῖ οὕτω, ψεύστης ἐστὶν ὡς καὶ ἐν ἄλλοις πολλοῖς, καὶ ἴδε τὰ περὶ αὐτοῦ ἀνωτέρω βιβλίου τεταρτου κεφαλαίου πέμπτου Παραγράφῳ ἐνάτῳ, καὶ κατωτέρω βιβλίου ἑβδόμου κεφάλαιον δέκατον τέταρτον ἐν τοῖς Παραγράφοις. εἰ δὲ ὁ Βέδας ἐν τῷ δευτέρῳ βιβλίῳ τῆς ἱστορίας τῶν Ἄγκλων καὶ ἐν ἄλλοις ἐπαινεῖ τὸν Ὀνώριον, ῥητέον κατὰ Ἱερώνυμον ἐν τῇ πρὸς Ῥουφῖνον ἀπολογίᾳ, οὐκ ἔστι παράδοξον ἀποθανόντα ποτὲ μὲν ἐπαινεῖν, ποτὲ δὲ ψέγειν, ὡς συμβέβηκε περὶ Ὠριγένους καὶ Θεοδώρου Μοψουεστίας. ἀλλὰ καὶ Μανουὴλ ὁ Καλέκας εἰς βιβλίον τέταρτον κεφάλαιον εἰκοστὸν ἕκτον κατὰ Γραικῶν φέρει μαρτυρίαν τοῦ ἁγίου Μαξίμου ὑπὲρ Ὀνωρίου. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἐστὶ χθεσινὸς, ἦν γὰρ ἐν τῷ χιλιοστῷ τετρακοσιοστῷ ἔτει, καὶ ὅμως περὶ τῶν ἀρχαίων ἀρχαίους μάρτυρας δεῖ προσφέρειν. δεύτερον, ὅτι καὶ ὁ Καλέκας οὐκ ἀρνεῖται ἀναθεματισθῆναι τὸν Ὀνώριον ἐν ταῖς εἰρημέναις Συνόδοις. τρίτον, ὅτι ὁ Καλέκας παπιστὴς ὢν, ὑπὲρ τῶν Παπῶν ἐμυθολόγει, ὅθεν εἰς οὐδὲν λογίζεται, ταὐτὸν γάρ ἐστι Βελλαρμῖνον, Γρετζέρον καὶ Καλέκαν εἰπεῖν, περὶ δὲ τοῦ ἁγίου Μαξίμου ῥητέον μεταταῦτα, Γλόντου δὲ καὶ Πλάτινα οὐδεὶς ἡμῖν λόγος ἐπὶ τοῦ παρόντος, παπιστῶν ὄντων, καὶ ἐκ τῆς κοιλίας αὐτῶν λαλούντων. ὅθεν οὐδὲν καὶ ἐκ τῶν ἱστορικῶν ὠφελοῦνται ὑπὲρ Ὀνωρίου οἱ παπισταί.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ πρώτου ἐπιχειρήματος τῶν παπιστῶν ὑπὲρ Ὀνωρίου ἀπὸ τῆς ὑπὸ τοῦ γραφέως αὐτοῦ ἐξηγήσεως τῆς ἐπιστολῆς αὐτοῦ παρὰ τῷ διαλόγῳ μετὰ Πύῤῥου τοῦ ἁγίου Μαξίμου, καὶ ὅτι ἐκ τοῦ διαλόγου τούτου, καὶ ἐκ τῶν τοῦ Πύῤῥου ἐπαίνων εἰς τὴν παρὰ τοῦ Μαξίμου ἑρμηνείαν τῶν λόγων τοῦ Ἀθανασίου, δείκνυται τὴν μὲν τοῦ Ὀνωρίου ἐπιστολὴν μὴ εἶναι πλαστὴν, τοὺς δὲ περὶ Σέργιον Αἱρετικοὺς, τοὺς δὲ παπιστὰς ψεύστας καὶ τῷ ἀναθέματι ὑποβεβλημένους.

Τὸ πρῶτον ἐπιχείρημα ἀπὸ τοῦ γραφέως τοῦ Ὀνωρίου παρὰ τῷ διαλόγῳ τοῦ ἁγίου Μαξίμου μετὰ τοῦ Αἱρετικοῦ Πύῤῥου ἐν τῇ Ἀφρικῇ. ΠΥΡΡΟΣ. τὶ δύνασαι ἀποκριθῆναι διὰ τὸν Ὀνώριον τὸν διδάξαντα φανερῶς εἰς τὸν προκάτοχόν μου (Σέργιον) μίαν ἐπὶ Χριστοῦ θέλησιν; ΜΑΞΙΜΟΣ. καὶ ποίῳ μᾶλλον πιστεύεις, τῷ ἐξηγητῇ τῆς ἐπιστολῆς ἐκείνης ἣν ἔγραψεν ἀπὸ προσώπου τοῦ Ὀνωρίου, ὃς καὶ ἔτι ζῇ, ὃς καὶ πᾶσαν τὴν Δύσιν διὰ τῶν ἀρετῶν καὶ εὐσεβῶν δογμάτων ἐλάμπρυνεν, ἢ ἐκείνοις τοῖς ἐν Κωνσταντινουπόλει τὰ τῆς καρδίας λαλοῦσι; ΠΥΡΡΟΣ. βεβαίως ἐκείνῳ, ὃς τὴν ἐπιστολὴν συνέθετο. ΜΑΞΙΜΟΣ. ὁ ἴδιος λοιπὸν ὅτε ἔγραψε πρὸς τὸν Αὐτοκράτορα ἐκ προσώπου τοῦ Πάπα Ἰωάννου τεταρτου περὶ τῆς αὐτῆς ἐπιστολῆς εἶπε, μίαν θέλησιν εἴπομεν ἐν τῷ Κυρίῳ, οὐ τῆς Θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος, ἀλλὰ τῆς ἀνθρωπότητος μόνης, ἐπειδὴ γὰρ καὶ ὁ Σέργιος ἔγραψε πῶς τινες ἔλεγον δύο θελήσεις ἐναντίας ἐν τῷ Χριστῷ, εἴπομεν ὅτι ὁ Χριστὸς ἐκεῖ οὐκ εἶχε δύο θελήσεις ἐναντίας, σαρκὸς λέγω καὶ πνεύματος, καθὼς ἡμεῖς ἔχομεν μετὰ τὴν ἁμαρτίαν, ἀλλὰ μίαν μόνην, ἥτις φυσικῶς τὴν αὐτοῦ ἀνθρωπότητα σημαίνει. τοῦτο δὲ ὅτι οὕτως ἔχει, σημεῖον φανερόν ἐστι, διότι ἀποκρίνεται εἰς ἐξυπακουομένην ἀπορίαν, εἴπερ τις εἴποι, διατὶ περὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ τὸν λόγον ποιούμενοι οὐκ ἐμνήσθητε καὶ τῆς Θεότητος; ἀποκρινόμεθα πρῶτον μὲν, ὅτι ἡ ἀπόκρισις ἐγένετο πρὸς τὴν ζήτησιν, εἶτα καθὼς ἐν πᾶσιν, οὕτω καὶ

καὶ ἐνταῦθα τὸ ἔθος τῆς γραφῆς ἠκολουθήσαμεν, ἥτις ἐνίοτε ἐκ τῆς Θεότητος αὐτοῦ μεταβαίνει, ὡς φησιν ὁ Ἀπόστολος, Θεοῦ δύναμις καὶ Θεοῦ σοφία. ἄλλοτε ἐκ τῆς ἀνθρωπότητος καὶ μόνον, Τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερόν ἐστι τῶν ἀνθρώπων, καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων. ΠΥΡΡΟΣ. ἁπλούστερον ὁ προκάτοχος ἐμοῦ ἐδέξατο τοῦτο πρὸς τὴν φωνὴν ἀποτεινόμενος. Ἀλλὰ ῥητέον πρῶτον, εἰ ὁ Διάλογος τοῦ Μαξίμου ἀληθής ἐστι, διατὶ οἱ παπισταὶ ἀρνοῦνται λέγοντες ὅτι ἡ Ἐπιστολὴ τοῦ Ὀνωρίου πλαστή ἐστιν; ἡ γὰρ Διάλεξις μαρτυρεῖ τὴν Ἐπιστολὴν τοῦ Ὀνωρίου ἀληθῆ. εἶτα ὁ ἅγιος Μάξιμος τοῦ δόγματος τούτου τὴν ἀλήθειαν περὶ τῶν δύο θελήσεων ἀνωτέρω ἀπέδειξε. μετὰ ἐπιχειρημάτων ἰσχυρῶν, καὶ ἐπιχειρημάτων τῶν ἁγίων, καὶ ὁ Πύῤῥος ἔγνω ὅτι νενίκηται ὑπὸ τοῦ Μαξίμου, καὶ χεῖρας ἔδωκεν. ὅσα λοιπὸν ὁ Πύῤῥος ἐκ τῶν πατέρων πρὸς ἐναντίωσιν ἐπιφέρει, ταῦτα προβάλλει ὡς ἐξ ἑτέρων γνώμης καὶ οὐχ ὡς ἐξ ἰδίας, διότι ἦν ἕτοιμος δέξασθαι τὸ δόγμα διδασκόμενος. ἔλεγε γὰρ ὁ Πύῤῥος, λίαν καλῶς ὁ λογαριασμὸς ἀπέδειξεν, ὅτι εἰσὶ φανερὰ τὰ τῶν Μονοθελητῶν ἀπαίσια, ὅμως τί ἐροῦμεν, ὅταν ἐκεῖνοι ἐπιχειρῶσιν ἀποδεῖξαι τὴν Αἵρεσιν καὶ ἐκ τῆς τῶν πατέρων μαρτυρίας; ὕστερον δὲ ἐπαινῶν τὴν ἑρμηνείαν τοῦ Μαξίμου, ἣν ἐποίησεν εἰς τοὺς λόγους τοῦ Ἀθανασίου, εἶπεν, ἀληθῶς φαίνονται οἱ περὶ Σέργιον δηλονότι Αἱρετικοὶ, οἷς γὰρ ἐπιχειρήμασι βούλονται πολεμῆσαι τῇ ἀληθείᾳ, τοῖς αὐτοῖς μὴ εἰδότες αὐτελέγχονται. δεῖ ὅμως ἡμᾶς ἐξηγήσασθαι καὶ τὴν ἄλλην μαρτυρίαν, ἣν ἀπὸ τοῦ αὐτοῦ προσφέρουσιν, ἵνα μὴ μείνῃ λαβήτις τῶν ἐναντίων καὶ τῆς ἀληθείας, καὶ μεταταῦτα οὐδὲν τούτων καθαρώτερον πρὸς ἀπόδειξιν τοῦ εἶναι φυσικὰς θελήσεις. ταῦτα πάντα ὡμολόγησεν εἰς τὴν Διάλεξιν ὁ Πύῤῥος πρὶν ἢ προβαλεῖν τὸ ζήτημα τοῦτο περὶ τοῦ Ὀνωρίου, ἔχων σκοπὸν ἵνα ἐκβάλλῃ τὸν Ὀνώριον ἀπὸ τῆς ὑπολήψεως τῶν Μονοθελητῶν, τοῦτο μὲν, ἵνα δείξῃ ὅτι τελείως ἀπεστράφη τὴν Αἵρεσιν, τοῦτο δὲ, ἵνα λάβῃ εὔνοιαν ὑπὸ τοῦ θρόνου τῆς Ῥώμης, ἐξόριστος ὢν, ὡς φαίνεται εἰς τὸ τέλος τῆς αὐτῆς Διαλέξεως. καὶ λοιπὸν ἐκ τούτου πῶς ὁ Πύῤῥος εὐκόλως πληροφορθεὶς ἀπὸ οἱασδήποτε ἐξηγήσεως τοῦ συγγραφέως ἐκείνου περὶ τῆς Ἐπιστολῆς Ὀνωρίου, καὶ εὐθὺς δεδωκὼς σχῆμα νικωμένου, ἔφερεν ἂν βοήθειαν μετὰ τὸν πόλεμον; εἶτα ὁ Μάξιμος ἠγάπα μὴ πεσεῖν χωρὶς ἀνάγκης εἰς ἀτιμίαν τὸν θρόνον τῆς Ῥώμης, ὁ καὶ μάλιστα τὸ δόγμα ἀποδείξας διὰ πολλῶν, καὶ ἤθελε σκεπάσαι τὴν Ῥώμην, μὴ παραβλαπτομένου τοῦ δόγματος. διὸ ὅτε ὁ Πύῤῥος ἐδεήθη τοῦ Μαξίμου λέγων, παρακαλῶ ἵνα εὑρεθῇ τρόπος ἐξαλειφθῆναι ταύτην τὴν ἐπεισαχθεῖσαν ἀσύμφωνον γνώμην, ἀπεκρίθη ὁ Μάξιμος, οὐκ ἔστιν ἄλλος τρόπος, ἢ σιωπᾶσθαι τὰ πρόσωπα, καὶ ἀναθεματίζεσθαι τὰ δόγματα. οὐ θαυμαστὸν λοιπὸν εἰ συνεχώρησεν ἐν τῇ ὑπολήψει Ὀνωρίου, καίτοι πλέον καὶ ἐπήνεσε τὸν γραφέα αὐτοῦ, ἤδη τὴν ἀλήθειαν τοῦ δόγματος ὁμολογήσαντι τῷ Πύῤῥῳ, εἰ δὲ οὐκ ἐπείσθη ὁ Πύῤῥος, οὐκ ἔμεινεν ὁ Μάξιμος ἐν τῇ μαρτυρίᾳ τοῦ συγγραφέως ἀλλ' ὡς ἡ Συνόδος ὕστερον ἐξήτασε, καὶ ἔμαθεν ἂν ὅτι εἰς ἐκείνην τὴν Ἐπιστολὴν συμφωνεῖ ὁ Ὀνώριος τοῖς Αἱρετικοῖς, καὶ καὶ διάμετρον ἀντίκειται τοῖς δόγμασιν αὐτοῦ. ὅθεν ὁ Μάξιμος τὴν μαρτυρίαν τοῦ γραφέως τοῦ Ὀνωρίου ὡς ὀρθοδόξου ἔλεγεν ἀληθεστέραν τῶν ἐν Κωνσταντινουπόλει, Αἱρετικῶν δηλαδὴ ὄντων. ἀλλ' εἰ ἦν μεταταῦτα ὅτε ἡ ἀλήθεια ἐρανισθεῖσα ἀνεφάνη, οὐκ ἂν ἤθελεν ἵνα πιστεύσωμεν μᾶλλον τοσούτων Παπῶν καὶ λοιπῶν πατέρων καὶ τοῦ Βασιλέως τῶν κριναντῶν τοὺς Αἱρετικοὺς τῷ γραφεῖ τοῦ Ὀνωρίου, καὶ οὐκ ἂν προετίμησε τὴν βεβιασμένην ταύτην τοῦ γραφέως ἑρμηνείαν τῆς ἁγίας Οἰκουμενικῆς Συνόδου, ἀλλ' ὅλῃ ψυχῇ καὶ καρδίᾳ συνεφώνει αὐτῇ. ἄρα ἔχουσιν οἱ Ὀνωριανοὶ ῥανίδα ἀληθείας; καὶ πότερον, περὶ τῆς ἐννοίας τῶν ἐν τῇ Ἐπιστολῇ τῷ γραφεῖ πιστεύουσιν, ἢ τῇ ἁγίᾳ Συνόδῳ; πάντως ἢ νενίκηνται, ἢ τῷ γραφεῖ ἀπατῶνται, βεβιασμένοις πιστεύοντες, μάλιστα δὲ καὶ τὸ εἰρημένον ἀνάθεμα κατὰ τῶν ὑπερασπιζομένων τῶν συγγραμμάτων τῶν Αἱρετικῶν λαμβάνουσιν ἐπὶ τὰς κεφαλὰς αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι σκοπὸς ἦν Ἰωάννου τοῦ τετάρτου ἀποδοῦναι τιμὴν Ὀνωρίῳ καὶ διὰ Πύῤῥου Σεργίῳ, καὶ ὅτι προθυμία ἦν τοῦ Κωνσταντινουπόλεως Γεωργίου κατακρῖναι τοὺς Αἱρετικοὺς Πατριάρχας μὴ ὀνομαστὶ, καθ' ὃ Ἰωάννης, Μαρτῖνος καὶ Θεόδωρος σιωπῇ παρῆλθον Ὀνώριον πρὸς τῆς Οἰκουμενικῆς Συνόδου Αἱρετικὸν ὄντα, δείκνυται ἐνταῦθα.

Τὸν Ἰωάννην τέταρτον, δι' οὗ τῆς προσταγῆς ἔγραψε τὴν ἐξήγησιν ὁ γραφεὺς πρὸς τὸν Αὐτοκράτορα, ἠνάγκαζεν ὁ αὐτὸς σκοπὸς ἵνα ἀποδώσῃ τιμὴν πρὸς τὸν Ὀνώριον, ὅθεν τὸν Πύῤῥον ἐβίαζεν ἀποδιδόναι τιμὴν πρὸς τὸν Σέργιον. οὕτω καὶ ὁ Κωνσταντινουπόλεως Γεώργιος πρόθυμος ἦν κατακρῖναι τοὺς πρὸ αὐτοῦ Αἱρετικοὺς Πατριάρχας, ἐδέετο ὅμως ἵνα μὴ κατ' ὄνομα ἀναθεματισθῶσιν, ἔλεγε γὰρ, ἐγὼ, καὶ τινὲς ὀλίγοι τῶν ὑπὸ τὸν κατ' ἐμὲ θρόνον ὁσιώτατοι δι' οἰκονομίαν τινὰ παρακαλοῦμεν, ἵνα, εἰ τῶν ἐνδεχομένων ἐστὶν, ὀνομαστὶ μὴ ἀναθεματισθῶσι τὰ πρόσωπα εἰς τὰς ἐκβοήσεις, τουτέστι Σέργιος, Πύῤῥος, Παῦλος καὶ Πέτρος, ταῦτα ὁ Γεώργιος. ἀλλὰ μὴ δυνηθεὶς, ἠκολούθησε τῇ Συνόδῳ, ὡς φαίνεται ἐν τῷ τέλει τῆς ἕκτης πράξεως. εἰ λοιπὸν καὶ Ἰωάννης καὶ Μαρτῖνος καὶ Θεόδωρος περὶ μὲν τοῦ δόγματος ἠγωνίσθησαν, περὶ δὲ Ὀνωρίου ἐσιώπησαν, καὶ πεποιήκασι τοῦτο πρὸ τῆς Οἰκουμενικῆς Συνόδου, ἧς

εἰ ἔζων

εἰ ἔζων, τῇ ἀποφάσει συνεφώνησαν πάντως, καὶ μαρτυρεῖ Ἀδριανὸς ὁ δεύτερος πράξει ἑβδόμῃ Συνόδου κατὰ Φωτίου, διαλαλιᾷ τρίτῃ, καὶ ἴδε ἀνωτέρω κεφαλαίου ἕκτου Παράγραφον πέμπτον. ἀλλὰ δὴ καὶ ὁ Ἀγάθων βλέπων ὅτι οὐκ ἠδύνατο καλύψαι καὶ ἡ τοῦ γραφέως ἐξήγησις τὸ τόλμημα τοῦ Ὀνωρίου, κατέκρινεν αὐτόν. καὶ Ἰωάννης ὁ τέταρτος οὐκ ἔγραψε περὶ τῆς ἐξηγήσεως τοῦ γραφέως, ἀλλ' ὡς ἀπὸ τοῦ γραφέως τοῦ ἐφευρετοῦ τοῦ σοφίσματος ἐκέλευσε γραφῆναι. πρὸς τούτοις ἐν ταῖς ἐπιστολαῖς Παύλου πρὸς Θεόδωρον, καὶ τεταρτῇ πράξει τῆς ἐπὶ Μαρτίνου Συνόδου ἐμαρτυρεῖτο, ὅτι καὶ ὁ Ὀνώριος συνεφώνει Σεργίῳ καὶ Παύλῳ, οἱ δὲ περὶ Μαρτῖνον ἐσιώπων, εἰ γὰρ ψεῦδος ἦν, ἀντεῖπον ἄν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι τὸ λέγειν τοὺς παπιστὰς τοὺς περὶ Μαρτῖνον καὶ Θεόδωρον μὴ ἐγγράψαι τοῖς Μονοθελήταις τὸν Ὀνώριον διὰ τὸ ἀδίκως Σεργίῳ συνταγῆναι, καὶ καθαρὸν ἐγκλήματος εἶναι, καὶ ἐγκωμίων μάλιστα ἀξιωθῆναι, μάταιον δείκνυται ἐνταῦθα.

Τῶν παπιστῶν ὁ λόγος μάταιος ἐστὶ, λέγουσι γὰρ, ὅτι ἐσιώπησαν οἱ περὶ Μαρτῖνον καὶ Θεόδωρον, εἰ δότες τὸν Ὀνώριον καθαρὸν τοῦ ἐγκλήματος, καὶ ὅτι ᾔδεσαν ἀδίκως συναριθμηθέντα τῷ Σεργίῳ, διὸ ἐν οἷς ἔγραψαν κατὰ Μονοθελητῶν, οὐκ ἔγραψαν τὸ ὄνομα Ὀνωρίου. Ἀλλὰ ῥητέον, διὰ τί, εἰπόντων τῶν ἐναντίων τὸ ὄνομα τοῦ Ὀνωρίου, οἱ περὶ Μαρτῖνον ἐσίγησαν; τί δύνανται εἰπεῖν οἱ Ὀνωριανοί; εἰ μὴ ὅτι σκοπὸν ἔθεντο μόνους τοὺς Ἀνατολικοὺς Αἱρετικοὺς κατακρῖναι, ὡς φαίνεται ἐν τῇ πρώτῃ πράξει τῆς ἐπὶ Μαρτίνου Συνόδου, τὴν δὲ Ὀνωρίου ἀθῴωσιν ἀδύνατον ὁρῶντες, ἐσίγησαν, εἰ καὶ ἐν τῇ ἀποφάσει περιέχεται καὶ ὁ Ὀνώριος, ἐπειδὴ κατακρίνουσι τοὺς συμφρονήσαντας τοῖς περὶ Σέργιον. ὅτι δὲ ὁ Πάπας Θεόδωρος οὐ συνέταξε τὸν Ὀνώριον μετὰ τῶν Αἱρετικῶν, οὐδέν ἐστι, καὶ γὰρ οὐδὲ τὸν Σέργιον καὶ τοὺς κατ' αὐτὸν λοιποὺς συνέταξεν, ἀλλὰ μόνους Πύῤῥον καὶ Παῦλον, ὡς φαίνεται ἐν τῇ πρώτῃ πράξει, καὶ ἐν τῷ βίῳ τοῦ Θεοδώρου, παρὰ Ἀναστασίου γραφέντι. πρὸς τούτοις, εἰ καὶ οὐ μόνον ἐσιώπησαν οἱ αὐτοὶ περὶ Ὀνωρίου, ἀλλὰ καὶ ἀγνοίᾳ, ἢ φιλοτιμίᾳ τῆς ῥωμαϊκῆς Ἐκκλησίας αὐτὸν ἐπῄνεσαν, οὐδὲ οὕτως ἠλευθεροῦτο τῆς κατακρίσεως ὑπὸ τῆς οἰκουμενικῆς Συνόδου Αἱρετικὸς γνωσθεὶς ὁ Ὀνώριος, φησὶ γὰρ ὁ μέγας Ἰουστινιανὸς ἐν τῷ κατὰ τῶν τριῶν κεφαλαίων Ἠδίκτῳ, Εὑρίσκομεν ὡς πολλοὶ τῶν ἁγίων πατέρων τινὰς τῶν Αἱρετικῶν ἀπεδέξαντο, ὥσπερ ὁ ἐν ἁγίοις Δάμασος καὶ Ἀθανάσιος καὶ Βασίλειος Ἀπολινάριον, καὶ Λέων δὲ ὁ τῆς ἁγίας μνήμης Εὐτυχέα, καὶ ὅμως ἐπειδὴ φανερὰ γέγονεν ἡ τούτων ἀσέβεια, οὐκ ἐξέφυγον διὰ τὴν αὐτὴν ἀποδοχὴν οἱ Αἱρετικοὶ τὴν μεταταῦτα εἰς οἰκεῖον πρόσωπον καὶ τὴν αὐτῶν ἀσέβειαν γενομένην κατάκρισίν τε καὶ ἀναθεματισμόν. ταῦτα ὁ Ἰουστινιανὸς περὶ Θεοδώρου Μοψουεστίας, Ὠριγένους καὶ τῶν κατ' αὐτοὺς Αἱρετικῶν, οἵτινες ὑπὸ πολλῶν πρότερον ἐγκωμιασθέντες, ὑπὸ τῆς πέμπτης οἰκουμενικῆς κατεκρίθησαν, μηδὲν ὠφεληθέντες ἐκ τῶν προγεγονότων ἐγκωμίων.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ δευτέρου ἐπιχειρήματος παπιστῶν, οὐ καλῶς ἔκρινεν ἡ Συνόδος περὶ Ὀνωρίου λεγόντων, ὡς μὴ ὀνομαστὶ μετὰ τῶν Μονοθελητῶν ἐν ταῖς ἐν Ῥώμῃ Συνόδοις κατακριθέντος, καὶ περὶ τῆς ἀπαντήσεως.

Τὸ δεύτερον ἐπιχείρημα τῶν Ὀνωριανῶν ἐστιν, ὅτι οὐ καλῶς περὶ τοῦ Ὀνωρίου ἡ Συνόδος ἔκρινεν, ὁ γὰρ Θεόδωρος καὶ Μαρτῖνος καὶ Ἀγάθων ἐποίησαν Συνόδους ἐν Ῥώμῃ κατὰ τῶν Μονοθελητῶν πρὸ τῆς ἕκτης, ἐν αἷς τινὰς Μονοθελήτας ὀνομαστὶ κατέκρινον, οὐδεμίαν δὲ μνήμην περὶ Ὀνωρίου ἐποίησαν, ἄρα οἱ μεταταῦτα ἐκεῖνον κατακρίναντες, ἠδίκησαν αὐτόν. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἀρκεῖ τὰ ἀνωτέρω εἰρημένα περὶ τῆς σιωπῆς τῶν τοιούτων. δεύτερον, εἰ ἀπὸ τῆς σιωπῆς τῆς προτέρας Συνόδου εἶχεν ἰσχὺν τὸ ἐπιχείρημα, ἠκολούθει καὶ τὸν Κῦρον καὶ τὸν Σέργιον ἀδίκως κατακεκρῖσθαι ὑπὸ Μαρτίνου καὶ Ἀγάθωνος, ὁ γὰρ Θεόδωρος ἐν τῇ Συνόδῳ αὐτοῦ τούτους οὐ κατέκρινε. καὶ τί ἐροῦμεν περὶ Ὠριγένους, Εὐαγρίου, Διδύμου, Θεοδώρου καὶ ἄλλων; οἳ πρότερον οὐ κατεκρίθησαν ὀνομαστὶ, ἡ δὲ πέμπτη οἰκουμενικὴ αὐτοὺς ἀνεθεμάτισε. τρίτον, ὅτι ὁ Ἀγάθων συνεφώνησε τῇ Ὀνωρίου καταδίκῃ, ὡς μαρτυρεῖ Ἀδριανὸς ὁ δεύτερος, καὶ οἱ Λεγᾶτοι αὐτοῦ ὑπέγραψαν. τέταρτον, ῥητῶς οἱ Πάπαι ἐδέξαντο τὴν κατάκρισιν αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τρίτου ἐπιχειρήματος παπιστῶν, τὰς πρὸς ἀλλήλους ἐπιστολὰς Ὀνωρίου καὶ Σεργίου οὐχ ὑπάρξαι αἱρετικὰς λεγόντων, ὡς δύο θελήσεις καὶ δύο ἐνεργείας λεγούσας, καὶ ὅτι αἱ φωναὶ ἀνήκουστοι τότε οὖσαι ἐσιωπήθησαν καὶ Σωφρονίῳ, καὶ περὶ ἀναιρέσεως τῶν τε ἐπιχειρημάτων αὐτῶν, καὶ τοῦ ὅμοιον τὸ περὶ

τὰς

τὰς τρεῖς ὑποστάσεις τοῦ Ἱερωνύμου τῷ τοῦ Ὀνωρίου διὰ τὸν καιρὸν, διὰ τῶν ἐνταῦθα ἕνδεκα προτάσεων.

Ἐπιχείρημα τρίτον, ὅτι ἐν τῇ ἐπιστολῇ οὐδὲν αἱρετικὸν περιέχεται, ἀλλ' οὐδὲ ἐν τῇ ἐπιστολῇ Σεργίου πρὸς Ὀνώριον περιέχεταί τι αἱρετικὸν διότι ταύτην ὁ Ὀνώριος ἀπεδέξατο καὶ ἐβεβαίωσεν. Ἀλλὰ ῥητέον, ὅτι οἱ πατέρες τῆς ἕκτης Συνόδου λέγουσι τὰς ἐπιστολὰς ταύτας ἀλλοτρίας τῶν ἀποστολικῶν δογμάτων πράξει δεκάτῃ τρίτῃ. Ἀλλ' ἀνθυποφέρουσιν οἱ Ὀνωριανοὶ οἱ καὶ παπισταὶ, ὅτι αἱ ἐπιστολαὶ δύο θελήσεις καὶ δύο ἐνεργείας λέγουσιν, ἐναῖς πραγματικῶς αὐτὰς ὀνομάζεσθαι ἐκωλύθη, τὰ γὰρ τοιαῦτα ὀνόματα τότε ἦσαν ἀνήκουστα, καλῶς οὖν ἐποίησαν Σέργιος καὶ Ὀνώριος, ἵνα τὰ σκάνδαλα ἐκ μέσου ἀρθῶσιν, εἰ δὲ ὁ Σέργιος ὕστερον ἐγνώσθη φανερῶς Αἱρετικὸς, ἀλλ' ὅτε πρὸς Ὀνώριον ἔγραφεν, οὐκ ἦν τοιοῦτος, καθὼς οὔτε ὁ Σωφρόνιος πρὸς Σέργιον γράψας, εἶπεν αὐτὸν Αἱρετικὸν, καὶ μάλιστα συνεφρόνησεν αὐτῷ λέγοντι, δεῖ σιωπᾶσθαι τὸ περὶ μιᾶς, ἢ δύο ἐνεργειῶν, ὡς μαρτυρεῖ ὁ Σέργιος πρὸς Ὀνώριον. ἐκεῖνο δὲ ὅπερ ὁ Ὀνώριος περὶ τῆς μιᾶς θελήσεως ἔγραψε, περὶ τῆς ἀνθρωπίνης μόνης θελήσεως ἐννοητέον, ὡς καὶ πρότερον ἡρμήνευσεν ὁ γραφεὺς αὐτοῦ, καὶ ὁ Μάξιμος μαρτυρεῖ ἐν τῇ μετὰ Πύῤῥου διαλέξει, καὶ εἰ ὁ Ἱερώνυμος λέγων οὐδεῖ λέγεσθαι τρεῖς ὑποστάσει, οὐκ ἐνομίζετο Αἱρετικὸς, οὕτω καὶ τὸν Ὀνώριον κωλύοντα τὸ λέγειν μίαν, ἢ δύο ἐνεργείας, οὐχ ἕπεται εἶναι αὐτὸν Αἱρετικὸν, καιροῦ δὲ προβάντος, ἄλλως ἐγένετο. ταῦτα οἱ παπισταί. Ἀλλὰ ῥητέον, ὅτι αἱ ἐπιστολαὶ περιέχουσιν ἐπισφαλῆ καὶ τῇ καθόλου Ἐκκλησίᾳ ἀντικείμενα. δεύτερον, ὅτι οὐμόνον τὰς φωνὰς ἐκώλυσεν ὁ Ὀνώριος τῶν δύο ἐνεργειῶν καὶ θελήσεων, ἀλλὰ καὶ τὴν ὀρθόδοξον ἔννοιαν. τρίτον, οὐκ ἦσαν αὗται αἱ φωναὶ νέαι καὶ ἀνήκουστοι, ἀλλὰ καὶ πρότερον ἦσαν γεγραμμέναι καὶ ἐνηχούμεναι. τέταρτον, ἀδύνατον σταθῆναι τὴν ὀρθόδοξον πίστιν ἀποβεβλημένων τῶν φωνῶν τῶν δύο ἐνεργειῶν καὶ θελήσεων. πέμπτον, ὁ Σέργιος ἐφανερώθη ὕστερον γράψας αἱρετικάτινα ἐν τῇ ἐπιστολῇ, ἣν ὁ Ὀνώριος ἐβεβαίωσεν. ἕκτον, ὁ Ὀνώριος τῇ ἐπιστολῇ αὐτοῦ ἐβεβαίωσε τὴν Αἵρεσιν τοῦ Σεργίου. ἕβδομον, οὐκ ἐλευθεροῖ τὸν Ὀνώριον ἡ περίστασις τοῦ καιροῦ. ὄγδοον, οὐδὲ ἀπὸ τοῦ παραδείγματος Σωφρονίου δύναται ὁ Ὀνώριος βοηθηθῆναι, ἀνόμοιον γὰρ, καὶ μάλιστα τοῦ Σεργίου προφανῶς ψευσθέντος, ἐπειδὴ ὁ Σωφρόνιος τὴν Αἵρεσιν συνοδικῶς ἀνεθεμάτισε, καὶ κατ' αὐτῆς ἔγραψε πρὸς τὸν Σέργιον καὶ Ἰωάννην, κατ' ἄλλους δὲ, πρὸς αὐτὸν τὸν Ὀνώριον, ὃ καὶ ἀληθέστερόν ἐστιν. ἔνατον, ἀλλ' οὐδὲ τῷ παραδείγματι τοῦ Ἱερωνύμου βοηθηθῆναι δύναται, καθότι ὁ Ἱερώνυμος μὴ λέγων ὑποστάσεις, ἔλεγε πρόσωπα, καὶ ἡ ἔννοια αὐτοῦ εὐσεβής. δέκατον, οὐδὲν θαυμαστὸν εἰ ὁ Ὀνώριος ἑαυτοῦ ἐπελάθετο, καὶ ἔγραψε περὶ τοῦ αὐτοῦ ζητήματος ἐναντία, εὕρηνται γὰρ καὶ παρὰ Σεργίῳ καὶ παρ' ἄλλοις Αἱρετικοῖς τοιαῦται ἐναντιότητες. ἑνδέκατον, οὐχ εὕρηται ὅτι ὁ Ὀνώριος μετημελήθη ὕστερον, ἀλλ' ὅτι ἔμεινε μέχρι θανάτου Αἱρετικός.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ἀπόδειξις τῆς πρώτης προτάσεως δεκαχῶς, πρῶτον, ἐκ τοῦ τὰς Σεργίου καὶ Ὀνωρίου, ἐν οἷς καὶ Πύῤῥος καὶ Θεόδωρος Φαρὰν, ἐπιστολὰς περιέχειν ἐπισφαλῆ καὶ αἱρετικὰ, καὶ πῶς νοοῦσι τὰς ἐπὶ Χριστοῦ δύο θελήσεις οἱ πατέρες. δεύτερον, ἐκ τῆς πρὸς Σέργιον δευτέρας ἐπιστολῆς Ὀνωρίου. τρίτον, ἐξ ἐπιχειρήματος Σεργίου, καὶ περὶ τοῦ πῶς δεῖ ἐννοεῖν τὰς ἐπὶ Χριστοῦ δύο φύσεις. τέταρτον, ἐκ τῆς συμφωνίας Σεργίου, Ὀνωρίου καὶ Πύῤῥου. πέμπτον, ἐκ τῆς πρώτης καὶ δευτέρας πρὸς Σέργιον ἐπιστολῆς Ὀνωρίου. ἕκτον, ἐκ τῆς πρὸς Ὀνώριον ἐπιστολῆς Σεργίου. ἕβδομον, ἐκ τοῦ ταὐτὰ εἶναι τῇ Ἐκθέσει Ἡρακλείου τὰ Ὀνωρίου καὶ Σεργίου. ὄγδοον, ἐκ τοῦ Πάπα Μαρτίνου, ἔνατον, ἐκ τοῦ μίαν θέλησιν ὁμολογεῖν τὰς Σεργίου καὶ Ὀνωρίου ἐπιστολάς. δέκατον, ἐκ τοῦ λέγειν ἐν τῇ πρὸς Ὀνώριον ἐπιστολῇ τὸν Σέργιον τὴν Θεότητα διὰ τῆς ἀνθρωπότητος τὸ πάθος ἐργάσασθαι, καὶ ἐκ τοῦ Πύῤῥου, τὸ πάθος κίνημα ἀνθρώπιον βεβαιοῦντος, ἐξ ὧν πάντων δείκνυνται αἱ ἐπιστολαὶ Ὀνωρίου καὶ Σεργίου αἱρετικαί.

Ἡ πρώτη πρότασις ἐστὶν, ὅτι αἱ ἐπιστολαὶ περιέχουσιν ἐπισφαλῆ καὶ αἱρετικὰ, διδάσκει γὰρ ὁ Σέργιος ἐν τῇ ἐπιστολῇ, ὅτι ἐξ ὁμολογίας τῶν δύο ἐνεργειῶν ἕπονται καὶ δύο θελήσεις, καὶ διὰ τῆς ὁμολογίας τῶν δύο θελήσεων εἰσάγονται δύο θέλοντες, ὅπερ βεβαιῶν ὁ Ὀνώριος, ὁμολογεῖ μίαν θέλησιν. ὁμοίως καὶ ὁ Πύῤῥος ἐν τῇ διαλέξει προβάλλων τὴν κοινὴν γνώμην τῶν Μονοθελητῶν, εἶπεν, ἀδύνατον τὸ μὴ τὰς θελήσεις μεθ' ἑαυτῶν φέρειν καὶ τοὺς θέλοντας. οὕτω καὶ Θεόδωρος ὁ Φαρὰν ἐκ τῆς ἑνότητος τοῦ ἐνεργοῦντος προσώπου ἐπιφέρει μίαν ἐνέργειαν, πράξει δεκάτῃ τρίτῃ. ἀλλ' οἱ πατέρες τὸ ἐναντίον ἐδίδαξαν. καὶ ὁ Μάξιμος τῷ Πύῤῥῳ ἀποκρίνεται λέγων, τοῦτο ἀληθῶς ἄτοπον, διότι ἂν δοθῇ ἵνα εἰσφέρωνται μετὰ τῶν θελήσεων καὶ οἱ θέλοντες, ἑπομένως καὶ ἀμοιβαίως ἐδόθη ἂν εἰσφέρεσθαι καὶ μετὰ τῶν θελόντων αἱ θελήσεις, καὶ εὑρέθη ἂν καθ' ὑμᾶς ἐν τῇ ὑπερουσίῳ Θεότητι μία μὲν ὑπόστασις, ὡς ὁ Σαβέλλιος, διότι μία ἐν αὐτῇ ἐστὶ θέλησις, τρεῖς δὲ θελήσεις, διότι ὥσπερ τρία πρόσωπά εἰσιν, οὕτω καὶ τρεῖς φύσεις, ὡς ὁ Ἄρειος, ἐπειδὴ καὶ κατὰ τοὺς ὅρους καὶ Κανόνας τῶν πατέρων ἡ διαφορὰ τῶν θελήσεων εἰσάγει μεθ' ἑαυτῆς καὶ τὴν διαφορὰν τῶν φύσεων. ταῦτα Μάξιμος. τὸ αὐτὸ ῥητέον καὶ περὶ τῶν ἐνεργειῶν, διδάσκουσι γὰρ οἱ πατέρες δύο θελήσεις καὶ δύο ἐνεργείας ἑνὸς Χριστοῦ θέλοντος καὶ ἐνεργοῦντος, θείως μὲν, κατὰ τὴν

θείαν

τὴν θείαν φύσιν, ἀνθρωπίνως δὲ, κατὰ τὴν ἀνθρωπίνην. Δεύτερον, ὁ Ὀνώριος ἐν τῇ πρώτῃ πρὸς Σέργιον ἐπιστολῇ φησὶ, Μίαν ὁμολογῶ θέλησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διότι ὑπὸ τῆς Θεότητος ἀνελήφθη ἡ ἡμετέρα φύσις, οὐχ ἡ ἁμαρτία. τῷ αὐτῷ ἐπιχειρήματι ὑπὲρ τῆς μιᾶς ἐν Χριστῷ θελήσεως καὶ Μακάριος ὁ Αἱρετικὸς χρᾶται, Σεργίῳ καὶ Ὀνωρίῳ ἑπόμενος, πράξει ὀγδόῃ, ἣν ἀνασκευάζει ὁ Θεοφάνης ἐκεῖ, διελὼν μεταξὺ τῆς θελήσεως τῆς θεϊκῆς, ἣν ὁ Θεὸς πλάσας τὸν Ἀδὰμ αὐτῷ ἐνέθηκε, καὶ θελήσεως σαρκικῆς, καὶ λογισμῶν ἁμαρτητικῶν, οἵτινες ἐκ τῆς διαβολικῆς σπορᾶς εἰσηνέχθησαν τῇ ἀνθρωπίνῃ φύσει, ἐκείνην δὲ τὴν ἀνθρωπίνην θέλησιν μετὰ τῆς ἄλλης τῆς θείας θεωρεῖσθαι ἐν τῷ Χριστῷ εἰπὼν, καὶ διατοῦτο δύο θελήσεις φυσικὰς εἶχεν ὁ Χριστὸς, τὴν δὲ ἁμαρτίαν οὐκ εἶχε. λοιπὸν κακῶς ἐπεχείρησαν οἱ τρεῖς ἐκ τῆς ἀναμαρτησίας τῆς ἀνθρωπίνης φύσεως τοῦ Χριστοῦ, ἀλόγως ἐπιφέροντες μίαν ἐπὶ Χριστοῦ θέλησιν, δηλονότι ἐξῃρημένης τῆς ἄλλης, τουτέστι τῆς ἀναμαρτήτου. ὅτι δὲ σύμψηφος Σέργιος καὶ ὁ Ὀνώριος, δῆλον. Τρίτον, ὁ Σέργιος ἀρνεῖται δύο θελήσεις ἐπὶ Χριστοῦ, καὶ ἐπιχειρεῖ οὕτως, Ἀδύνατόν ἐστιν ἑνὶ καὶ τῷ αὐτῷ ὑποκειμένῳ δύο κατὰ ταὐτὸν ἐναντίας θελήσεις εὑρίσκεσθαι, ὥσπερ δῆθεν μὴ εἶναι δυνατὸν εἶναι δύο, εἰ μὴ ἦσαν καὶ ἐναντίαι. καὶ τοῦτο τὸ ἐπιχείρημα βεβαιοῖ καὶ ὁ Ὀνώριος. τούτοις ἕπεται καὶ ὁ Πύῤῥος λέγων ἐν τῇ διαλέξει, Ἀδύνατόν ἐστιν ἐν ἑνὶ προσώπῳ δύο ὁμοῦ εἶναι μὴ ἐναντίας θελήσεις. ὅπερ Μάξιμος Ἀκυληίας Ἐπίσκοπος, καὶ Θεοδόσιος Σαρδηνίας ἐν ταῖς διαλαλιαῖς αὐτῶν ἐν τῇ πέμπτῃ πράξει τῆς ἐπὶ Μαρτίνου Συνόδου ὡς ἀσεβὲς ἀποβάλλονται. καὶ δὴ καὶ ὁ Ἀγάθων ἐν τῇ ἀναφορᾷ φησὶν, Ὁμολογοῦμεν δύο φύσεις καὶ δύο φυσικὰς θελήσεις καὶ δύο φυσικὰς ἐνεργείας ἐν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, λέγομεν δὲ ταύτας μὴ εἶναι ἐναντίας ἢ ἀντικειμένας ἀλλήλαις, ὥσπερ οἱ τῆς ὁδοῦ τῆς ἀληθείας πλανώμενοι τὴν ἀποστολικὴν παράδοσιν αἰτιῶνται. ἀφιστάσθω αὕτη ἡ ἀσέβεια ἐκ τῶν καρδιῶν τῶν πιστῶν. οὔτε ὥσπερ κεχωρισμένας ἐν δυσὶ προσώποις, ἢ ὑφισταμένοις, ἀλλὰ δύο λέγομεν τὸν ἕνα καὶ τὸν αὐτὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὥσπερ φύσεις, οὕτω καὶ φυσικὰς θελήσεις καὶ ἐνεργείας ἐν αὐτῷ ἔχειν, τὴν θείαν δηλαδὴ καὶ τὴν ἀνθρωπίνην. τὴν μὲν θείαν θέλησιν καὶ ἐνέργειαν ἔχειν ἐξ ἀϊδίου κοινὴν τῷ Θεῷ καὶ Πατρὶ, τὴν δὲ ἀνθρωπίνην χρονικῶς ἀφ' ἡμῶν σὺν τῇ ἡμετέρᾳ φύσει ληφθεῖσαν. αὕτη ἐστὶν ἡ ἀποστολικὴ καὶ εὐαγγελικὴ παράδοσις. ταῦτα ὁ Ἀγάθων. ἐξ ὧν δῆλον ὅτι ἁμαρτίαν ὁ Χριστὸς οὐκ εἶχεν, οὐ δὲ μὴν μάχην ἐν ταῖς φυσικαῖς θελήσεσι. τῷ αὐτῷ ἐπιχειρήματι Σεργίου, Ὀνωρίου καὶ Πύῤῥου ἐχρήσατο ὕστερον ὁ Μακάριος ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως πράξει ὀγδόῃ, καὶ διατοῦτο ὑπὸ τῆς Συνόδου κατεκρίθη σὺν τοῖς ὁμόφροσιν αὐτοῦ καὶ προηγουμένοις. Τέταρτον, σύμφωνοι ἦσαν, καὶ ἕπεται κατ' αὐτοὺς εἶναι ἓν θέλημα ὑποστατικὸν, πράξει ὀγδόῃ. ἀρνοῦνται αὐτοὶ τὴν θέλησιν εἶναι φυσικὴν, ἢ τὸ θέλειν εἶναι τῆς φύσεως, ὅμως τοῦτο οὐ θέλουσιν οἱ ὀρθόδοξοι ὡς Μάξιμος ἐν τῇ διαλέξει, καὶ Σωφρόνιος καὶ ἄλλοι. καὶ τὸ, Πάτερ, εἰ δυνατὸν τὸ ποτήριον, κακῶς ἑρμηνεύουσι Σέργιος καὶ Ὀνώριος. τὸ ἐναντίον γὰρ οἱ ὀρθόδοξοι κατέχουσι, Μάξιμος ἐν τῇ διαλέξει, καὶ Ἀγάθων ἐν τῇ ἀναφορᾷ. Πέμπτον, ὁ Ὀνώριος ἐν τῇ πρὸς Σέργιον ἐπιστολῇ λέγει, Οὐ πρέπον ἡμῖν ἐξετάζειν πότερον, μίαν, ἢ δύο ἐνεργείας λέγεσθαι, οὔτε δύο ἐπὶ Χριστοῦ ἐνεργείας ἐν ταῖς ἱεραῖς γραφαῖς, ἀλλὰ μόνον πολυειδῆ εὑρίσκεσθαι τὴν αὐτοῦ ἐνέργειαν. καὶ ἐν τῇ δευτέρᾳ ἐπιστολῇ πρὸς αὐτὸν ἐλέγχει αὐτοὺς ὡς μὴ συνιέντας τὰς θείας μαρτυρίας, ἀλλ' ὑπόπτως ἔχοντας εἰς τὴν φωνὴν τῆς διπλῆς φύσεως τοῦ Χριστοῦ καὶ τὴν διπλῆν ἐνέργειαν, καὶ ἐπιφέρει, Ὅτι ἄτοπόν ἐστιν ἐννοεῖν καὶ λέγειν ἡμᾶς ἐπὶ Χριστοῦ δύο ἐνεργείας, οὕτω φασὶ καὶ οἱ ὀπαδοὶ αὐτοῦ. ἀλλ' οἱ ὀρθόδοξοι, ὡς εἴπομεν, τὸ ἐναντίον, φασὶ γὰρ, Ἑκατέραν φυσικὴν ὁμολογοῦμεν ἐνέργειαν καὶ Μάξιμος καὶ Ἀγάθων, καὶ οἱ ἐν τῇ ἀναφορᾷ καὶ ἐν πάσῃ τῇ Συνόδῳ ἔγκριτοι πατέρες. Ἕκτον, Σέργιος ἐν τῇ πρὸς Ὀνώριον ἐπιστολῇ λέγει, Ἡ λέξις τῶν δύο ἐνεργειῶν ὑπ' οὐδενὸς τῶν τῆς Ἐκκλησίας διδασκάλων ἐῤῥέθη, καὶ διατοῦτο ἀπεστρέφεται ὁ Ὀνώριος τῷ Σεργίῳ ἑπόμενος τὰς δύο ἐνεργείας καὶ θελήσεις ὡς καινοτομίας σοφιστικάς. ὅμως ὁ Σωφρόνιος μετὰ τὸ ἀποδεῖξαι δύο ἐνεργείας, φησὶ, Ταῦτα φρονεῖν καὶ πιστεύειν δεῖ ἐκ τῆς ἀποστολικῆς καὶ εὐαγγελικῆς καὶ προφητικῆς καὶ νομικῆς ἔν τε πατρῴας καὶ διδασκαλικῆς παρειληφότες κηρύξεως, καὶ δεδρακότες ὑμῖν τοῖς πανσόφοις κατάδηλα, καὶ μηδὲν ὑμᾶς ἀποκρύψαντες. ταῦτα λέγουσι καὶ Μάξιμος καὶ Στέφανος Ἐπίσκοπος Δωρίδος Λεγάτος τοῦ θρόνου Ἱεροσολύμων πρὸς Μαρτῖνον Ῥώμης ἐν τῷ λιβέλλῳ ὃν ἔδωκεν ἐν τῇ ἐπὶ Μαρτίνου Συνόδῳ καὶ Βίκτωρ Ἐπίσκοπος Καρθαγένης ἐν τῇ ἐπιστολῇ ἣν ἔπεμψε τῷ Πάπᾳ Θεοδώρῳ καὶ ἀνεγνώσθη ἐν τῇ δευτέρᾳ πράξει τῆς ἐπὶ Μαρτίνου Συνόδου καὶ Μαρτῖνος ὁ Πάπας ἐνταύτῃ τῇ κατ' αὐτὸν Συνόδῳ. Ἕβδομον, ἡ Ἔκθεσις ἡ γενομένη ἐπὶ Ἡρακλείου περιέχει πολλὰ τινὰ ἐσφαλμένα καὶ αἱρετικὰ, ὡς μαρτυροῦσιν οἱτότε καιροῦ ὀρθόδοξοι, ἄρα αἱ ἐπιστολαὶ Σεργίου καὶ Ὀνωρίου περιέχουσι πολλὰ τοιαῦτα. οὐδὲν γὰρ ἄλλο περὶ τῆς θελήσεως καὶ τῶν ἐνεργειῶν τοῦ Χριστοῦ ἐνέθηκεν ὁ Σέργιος ἐν τῇ Ἐκθέσει, εἰ μὴ ὃ καὶ πρότερον ἔγραψε πρὸς Ὀνώριον καὶ ὁ Ὀνώριος ἐπεκύρωσε, μάλιστα οἱ λόγοι τῆς Ἐκθέσεως περὶ τῆς θελήσεως καὶ τῶν ἐνεργειῶν αὐτότατοί εἰσιν οἱ ἐν ταῖς Σεργίου καὶ Ὀνωρίου ἐπιστολαῖς. Ὄγδοον, ὁ Μαρτῖνος ἐν τῇ Συνόδῳ ἐν τῇ πέμπτῃ πράξει μετὰ τὴν ἀνάγνωσιν τῶν μαρτυριῶν τῶν παλαιῶν Αἱρετικῶν φησὶν, Ὅτι οἱ Ἔξαρχοι τῆς καινοτομίας τῶν Μονοθελητῶν συνεφώνησαν ἐκείνοις καὶ λόγῳ καὶ διανοίᾳ, ἤτοι τοῖς παλαιοῖς Αἱρετικοῖς, ἀλλὰ τούτοις συνᾴδουσι καὶ αἱ ἐπιστολαὶ Σεργίου καὶ Ὀνωρίου. Ἔνατον, ὁ Σέργιος ἐν τῇ πρὸς Ὀνώριον ἐπιστολῇ μίαν ὁμολογεῖ θέλησιν, καὶ ἀρνεῖται τὰ δύο θελήματα, λέγων, ἀδύνατον

ἀδύνατον γὰρ ἑνὶ καὶ τῷ αὐτῷ ὑποκειμένῳ δύο ἅμα κατὰ ταυτὸν ὑφεστάναι θελήματα. ταῦτα καὶ ὁ Ὀνώριος ἐν τῇ πρὸς Σέργιον λέγει ἐπιστολῇ, ὅθεν καὶ ἓν θέλημά φησιν ὁμολογοῦμεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. δείκνυται δὲ μάταιον ὅπερ λέγουσιν οἱ παπισταὶ περὶ Ὀνωρίου, ὅτι ἓν θέλημα ἔφη ἐπὶ Χριστοῦ οὐ τῆς Θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος, ἀλλὰ μόνης τῆς ἀνθρωπότητος, καθότι ὁ Ὀνώριος εἰπὼν ἓν θέλημα ὁμολογοῦμεν, ἐπήγαγε τὸ, Οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σὺ Πάτερ, εἰπὼν ὅτι ταῦτα διαφόρου θελήματος. καὶ δὴ πρὸς τοὺς ἄλλους δι' ὧν βεβαιοῖ ἐν τῇ ἐπιστολῇ πασιδήλως τὸ ἓν θέλημα, βεβαιοῖ αὐτὸ καὶ δι' ἐκείνου, νέαν εἶναι λέγων φωνὴν τὸ ἐπὶ Χριστοῦ φρονεῖν, ἢ λέγειν μίαν, ἢ δύο ἐνεργείας, δῆλον γὰρ ὅτι ἀνῃρημένων τῶν δύο ἐνεργειῶν, συνανῄρηνται κατ' αὐτοὺς καὶ τὰ δύο θελήματα, ὥστε αἱ ἐπιστολαὶ Σεργίου καὶ Ὀνωρίου ἄτοπα περιέχουσι, καθότι καὶ αἱρετικά. Δέκατον, ὁ Σέργιος ἐν τῇ πρὸς Ὀνώριον ἐπιστολῇ λέγει, Εἰ δὴ καὶ πάθος λέγεται ἐν τῷ Εὐαγγελίῳ περὶ αὐτοῦ, διὰ τῆς ἀνθρωπότητος, ἥτις ἀνέλαβε τὸ πάθος, τὸ τοιοῦτον εἰργάσατο, δηλονότι ἐργάζεται ἡ Θεότης διὰ τοῦ σώματος, ὃ περὶ αὐτὴν ἐστὶ τὴν σωτηρίαν πάντων, ὥστε εἶναι σαρκὸς μὲν πάθος, Θεοῦ δὲ ἐνέργειαν. ταῦτα ὁ Σέργιος. ὁ δὲ ΠΥΡΡΟΣ βεβαιοῖ ἐν τῇ διαλέξει, λέγων, τί οὖν; οὐχὶ καὶ οἱ πατέρες ἵνα διακρίνωσιν ἀπὸ τῆς θείας ἐνεργείας τὸ πάθος ἐκάλεσαν κίνημα ἀνθρώπινον; ΜΑΞΙΜΟΣ, μὴ γένοιτο, οὐδενὸς γὰρ πράγματος οὐσία, ἵνα καθόλου εἴπω, ἐκ παραβολῆς καὶ συγκρίσεως γινώσκεται, ἢ ὁρίζεται, ἄλλως γὰρ, εὑρεθήσονται τὰ πράγματα εἶναι ἀλλήλων αἴτια, εἰ γὰρ διότι ἡ ἐνέργεια ἐστὶ κίνημα θεῖον, τὸ πάθος ἐστὶ κίνημα ἀνθρώπινον, ἀναγκαίως καὶ διότι ἡ θεία φύσις ἐστὶν ἀγαθὴ, πονηρὰν ἕπεται εἶναι τὴν ἀνθρωπίνην, καὶ ὁμοίως κατὰ τὴν σὴν ἀμοιβαίαν ἀντίθεσιν διότι τὸ ἀνθρώπινον κίνημα πάθος λέγεται, τὸ θεῖον ἄρα ἐνέργεια λεχθήσεται, καὶ διότι πονηρόν ἐστι τὸ ἀνθρώπινον κίνημα, ἀγαθὸν ἔσται τὸ θεῖον, ἀλλ' ἄπαγε, ἀνόητα γὰρ ταῦτα φησὶν ὁ Μάξιμος ἐν τῇ διαλέξει. ἐκ δὲ τούτων δείκνυται ὅτι αἱ ἐπιστολαὶ πολλὰ περιέχουσιν ἀντικείμενα, διὸ καὶ κατεκρίθησαν μετὰ τῶν συγγραφέων αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ἀπόδειξις τῆς δευτέρας καὶ τρίτης τῶν προτάσεων, ὅτι ὁ Ὀνώριος καὶ τὰς φωνὰς καὶ τὴν ἔννοιαν τῶν δύο ἐνεργειῶν καὶ δύο θελήσεων ἐκώλυσε, καὶ ὅτι οὐκ ἦσαν αὗται αἱ φωναὶ νέαι καὶ ἀνήκουστοι. καὶ βεβαίωσις τῆς τετάρτης, ὅτι ἀδύνατον σταθῆναι τὴν ὀρθόδοξον πίστιν, ἀποβεβλημένων τῶν φωνῶν τῶν δύο θελήσεων καὶ ἐνεργειῶν.

Ἡ δευτέρα πρότασις ἦν αὕτη. ὁ Ὀνώριος οὐ μόνον τὰς φωνὰς τῶν δύο ἐνεργειῶν καὶ δύο θελήσεων ἐκώλυσεν, ἀλλὰ καὶ τὴν ἔννοιαν, καὶ δῆλον ἐξ ὧν εἴρηκεν ἐν τῇ δευτέρᾳ ἐπιστολῇ πρὸς Σέργιον, Μιᾶς δὲ ἐνεργείας ἢ δύο εἶναι τὸν μεσίτην Θεοῦ καὶ ἀνθρώπων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ νοεῖν καὶ λέγειν ἄτοπον. τὸ αὐτὸ καὶ μετὰ τοῦ Σεργίου συνομολογεῖ ἐν τῷ τέλει τῆς προτέρας ἐπιστολῆς πρὸς αὐτὸν τὸν Σέργιον. Ἡ τρίτη πρότασις, ἥτις ἐστὶν, ὅτι οὐκ ἦσαν αὗται αἱ φωναὶ νέαι καὶ ἀνήκουστοι, ἀλλὰ καὶ πρότερον ἦσαν γεγραμμέναι καὶ προενηχημέναι, δείκνυται ἐκ τῶν ἀναφορῶν τοῦ Ἀγάθωνος, ὅπου φησὶν, ὅτι τοιοῦτοι ἦσαν οἱ Ἀρειανοὶ καὶ οἱ Ἀπολιναρισταὶ καὶ οἱ Εὐτυχιανισταὶ καὶ οἱ Τιμοθεανοὶ καὶ οἱ Ἀκέφαλοι καὶ οἱ Θεοδοσιανοὶ καὶ οἱ Γαϊανῖται. ἀλλὰ καὶ ἀπὸ τῆς ἀναφορᾶς τῆς Συνόδου αὐτοῦ καὶ ἐκ τῶν πρακτικῶν τῆς ἐπὶ Μαρτίνου συνόδου καὶ τῆς ἑκτῆς οἰκουμενικῆς τοῦτ' αὐτὸ δείκνυται τρανῶς. Τὴν δὲ τετάρτην πρότασιν, ἥτις ἐστὶν, ἀδύνατον σταθῆναι τὴν ὀρθόδοξον πίστιν ἀποβεβλημένων τῶν φωνῶν τῶν δύο θελήσεων καὶ δύο ἐνεργειῶν, οὕτω βεβαιοῦμεν. Εἰ γὰρ διὰ τὴν φωνὴν τῆς μιᾶς θελήσεως τὸν Ἀπολινάριον καὶ Ἄρειον αἱ Συνόδοι ἀνεθεμάτισαν, πῶς δυνάμεθα εὐσεβεῖν, εἰ μὴ ὁμολογήσομεν τὰς ἐναντίας τοῖς Αἱρετικοῖς φωνὰς, ὡς εἴρηκε Μάξιμος; καὶ μάλιστα ἀνεθεματίσθησαν ὑπὸ τῆς Συνόδου ὅσοι τὰς τοιαύτας φωνὰς ἠρνοῦντο. ἀλλὰ καὶ ἡ ἐπὶ Μαρτίνου Συνόδος ἐν τῇ τετάρτῃ πράξει ἐν τῇ κρίσει τοῦ Τύπου λέγει, Τὸ ἀρνεῖσθαι τούτας τὰς φωνὰς, ἐστὶ διαστρέφειν τῶν ὀρθοδόξων πατέρων τὰ δόγματα. καὶ ὁ Πάπας Ἀγάθων ἐπιστολῇ πρὸς τὸν Βασιλέα περὶ τῶν δύο θελήσεων καὶ δύο ἐνεργειῶν τὰ αὐτὰ φησίν. ἐνταῦθα παρατήρησον περὶ τῆς ἀνάγκης τῆς ὁμολογίας, καὶ ὅσα λέγεται εἰς τὴν ἄρνησιν, πῶς συνέρχονται μετὰ τοῦ καιροῦ Ὀνωρίου καὶ μετὰ τῶν χρόνων Μαρτίνου καὶ Ἀγάθωνος, ἤτοι τὰ ἐπιχειρήματα τῶν πατέρων, ἵνα μὴ σωπῶνται ἢ ἀρνῶνται αἱ φωναὶ τῆς ὁμολογίας, διότι ζητοῦνται ὑπὸ τῆς διηνεκοῦς ὁμολογίας τῆς παραδοθείσης ἐν τῇ θείᾳ γραφῇ καὶ ὑπὸ τῆς ἀνάγκης, δεῖ γὰρ ἡμᾶς ὁμολογεῖν ὡς διδάσκουσιν οἱ πατέρες.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἐκ τῆς πρὸς Θεόδωρον Πάπαν προτρεπτικῆς ἐπιστολῆς Βίκτορος Καρθαγένης, ἀναγκαῖον δείκνυται τὸ κατὰ τῶν Μονοθελητῶν προφανῶς ὁπλίζεσθαι, καὶ ἐπιβλαβὲς τὸ σιωπᾶν, ὁμοίως καὶ ἐκ τῆς Ἀγάθωνος ἀναφορᾶς τοῖς διαστρέφουσιν ἢ σιωπῶσι τὴν ἀλήθειαν ἐπικεῖσθαι οὐ τὴν τυχοῦσαν βάσανον, καὶ περὶ τοῦ πῶς ἀποδοτέον τῷ Θεανθρώπῳ τὰς δύο θελήσεις καὶ ἐνεργείας, καὶ ὅτι οἱ ἀμελοῦντες τῶν Αἱρετικῶν

κατὰ

κατὰ Στέφανον τὸν Πάπαν σύμφρονες αὐτοῖς εἰσὶ, καθ' ὃ καὶ Ὀνώριος ἑξαχῶς Αἱρετικὸς ἐνταῦθα διὰ πολλῶν δείκνυται.

Βίκτωρ Ἐπίσκοπος Καρθαγένης προτρέπων δι' ἐπιστολῆς Θεόδωρον τὸν Πάπαν ἀνθίστασθαι ἀγρύπνως τοῖς Μονοθελήταις, προσεκτέον φησὶ μήποτε καταναρκωθέντες τῇ ἀκηδίᾳ, σιωπῆς ἐγκλήματι ὑπεύθυνοι γενώμεθα, καὶ κριθῶμεν ὡς συνεργοὶ, ῥᾳθυμοῦντες ἀπώσασθαι τὰ κατὰ τῆς καθολικῆς πίστεως, παρὰ γὰρ τοῦ μακαρίου Φίληκος τοῦ τῆς ὑμετέρας ἁγιότητος προκατόχου ἐῤῥέθη, Τὸ γὰρ ἀμελεῖν δυνάμενον διαταράξαι τοὺς ἐναντίους, οὐδὲν ἄλλο ἐστὶν, ἢ συνεργεῖν καὶ περιποιεῖσθαι, καὶ οὐκ ἀμοιρεῖ ὑποψίας συμφρονήσεως ἐγκρυφίου ὁ μὴ βουλόμενος φανερῶς καὶ ἐμπράκτως ἀντιπαρατάττεσθαι. αὕτη ἡ ἐπιστολὴ κεῖται ἐν τῷ τέλει τῆς δευτέρας πράξεως τῆς ἐν Λατεράνῳ ἐπὶ Μαρτίνου Συνόδου, ἐν οἷς τὴν παραίνεσιν καὶ προτροπὴν ταύτην τοῦ Βίκτορος ἀναλαμβάνει καὶ ἐκθειάζει ὁ Μαρτῖνος, καὶ ὑπόσχεται κατὰ ταύτην ποιῆσαι, ὡς ἐκεῖ εἴρηται εἰς τὸν τόπον. Ἀγάθων ἐν τῇ ἀναφορᾷ διαλεγόμενος περὶ τῆς τῶν δύο τούτων θελήσεων καὶ δύο ἐνεργειῶν τοῦ Χριστοῦ ὁμολογίας, ἢ ἀρνήσεως λέγει, οὐαί μοι ἔσται, εἰ σιγῇ καλύψω τὴν ἀλήθειαν, ἣν τοῖς τραπεζίταις βαλεῖν προσετάχθην, τουτέστι μεταδοῦναι τῷ Χριστιανικῷ λαῷ καὶ διδάξαι. τί εἴπω ἐν τῇ μελλούσῃ ἐξετάσει αὐτοῦ τοῦ Χριστοῦ, ἐὰν ἐνταῦθα (ὃ μὴ γένοιτο) κηρῦξαι τῶν λόγων αὐτοῦ τὴν ἀλήθειαν συγχέωμαι; τί περὶ ἐμαυτοῦ; τί περὶ τῶν ἐμπιστευθεισῶν ψυχῶν ἐκτίσω ἡνίκα περὶ τοῦ ἐμπιστευθέντος ἔργου λόγον ἐξηκριβωμένον ἀπαιτηθῶ; τίς οὖν ἐπιεικέστατοι καὶ εὐλαβέστατοι δεσπόται καὶ υἱεὶ (ὅπερ τρέμων καὶ πνεύματι συστελλόμενος λέγω) οὐκ ἀκούσεται μετὰ φόβου; Ὅστις με ὁμολογήσει ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν Οὐρανοῖς. καὶ τίνα τῶν πιστῶν οὐκ ἐκφοβήσει ἐκείνη ἡ αὐστηρὰ ἀπειλή; Ὅστις με ἀρνήσηται ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν τοῖς Οὐρανοῖς. ὅθεν καὶ Παῦλος πρὸς Γαλάτας κεφαλαίῳ πρώτῳ, Ἀλλ' εἰ καὶ Ἄγγελος ἐξ Οὐρανοῦ εὐγγελίζηται ὑμῖν, καὶ τὰ ἑξῆς. ἔνθα τοιγαροῦν τοιαύτη ἐπικρέμαται τοῖς διαστρέφουσιν, ἢ σιωπῶσι τὴν ἀλήθειαν βάσανος, πῶς οὐκ ἔστι φευκτέον τὸ ἀφαιρεῖν ἀπὸ τῆς ἀληθείας τῆς πίστεως τοῦ Κυρίου; καὶ μεταταῦτα ἐν τῇ αὐτῇ πράξει, Ἐπεὶ οὖν (φησὶ) ταῦθ' οὕτως ἔχει, δῆλον ὅτι ἐν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ δύο, τουτέστι Θεοῦ καὶ ἀνθρώπου φύσεις, ἢ οὐσίας ὁμολογοῦντας εἰς μίαν αὐτοῦ συνελθεῖν ὑπόστασιν, ἢ πρόσωπον, ἀνάγκη ἐστὶ καὶ δύο ἡμᾶς φυσικὰς ἐν αὐτῷ θελήσεις ὁμολογεῖν, θείαν δηλονότι καὶ ἀνθρωπίνην, καὶ ἀποδοῦναι τοιγαροῦν ἀνάγκη τὰ θεῖα αὐτῷ ὡς Θεῷ, τὰ δ' ἀνθρώπινα τῷ αὐτῷ ὡς ἀνθρώπῳ. εἰ οὖν αἱ ἰδιότητες τῶν φύσεων ἐν ἑνὶ καὶ τῷ αὐτῷ Ἰησοῦ Χριστῷ διὰ τὴν διαφορὰν συντηροῦνται, διατοῦτο καὶ διαφορὰν τῶν φυσικῶν αὐτοῦ θελήσεων καὶ φυσικῶν ἐνεργειῶν ἐν πίστει πεπληροφορημένους ἡμᾶς δίκαιον ὁμολογεῖν, ἵνα τῇ τῶν αὐτῶν (ἁγίων πατέρων) διδασκαλίᾳ ὀπαδοὶ ἐν πᾶσι φανῶμεν, καὶ οὐδὲν τῆς αἱρετικῆς καινοτομίας εἰς τὴν Χριστοῦ Ἐκκλησίαν συγχωρῶμεν. ταῦτα Ἀγάθων. Ἀλλὰ δὴ καὶ ἡ τοῦ Πάπα Στεφάνου γνώμη τίθεται εἰς τὰ Δεκρετάλια, λέγουσα, Ὁ ἄλλους δυνάμενος ἀπὸ Αἱρέσεως ἀνακαλέσαι, καὶ μὴ ἀνακαλέσας, ἑαυτὸν Αἱρετικὸν ἀποδείκνυσι. ταῦτα περὶ Αἱρετικῶν κεφαλαίῳ δευτέρῳ. ὁ δὲ Ὀνώριος ἠμέλησε τούτων πάντων, ὅστις (ἵνα τοῖς λόγοις Λέοντος τοῦ δευτέρου χρήσωμαι) τὴν φλόγα τοῦ αἱρετικοῦ δόγματος οὐχ ὡς ἔπρεπε τῇ ἀποστολικῇ αὐθεντίᾳ ἀρχομένην κατέσβεσεν, ἀλλ' ἀνεζωπύρησε ῥᾳθυμήσας. δεύτερον, τὸν Σέργιον πλανηθέντα οὐμόνον ἀπελέγξαι ἠμέλησεν ὁ Ὀνώριος, ἀλλὰ καὶ προσεπήνεσε τρίτον, τὴν ἑαυτοῦ σὺν τῷ Σεργίῳ ἐν τῇ αὐτῇ Αἱρέσει ὁμοφροσύνην ὁ Ὀνώριος παῤῥησίᾳ καθωμολόγησε. τέταρτον, τὴν Σεργίου αἱρετικὴν συγγραφὴν καὶ διὰ συλλογισμῶν ἐπεχείρησεν ἐνισχῦσαι. πέμπτον, τὸν Σέργιον προὔτρεψε διαμένειν ἐν τῇ αὐτῇ γνώμῃ. ἕκτον, ταύταις ταῖς φανεραῖς ἀποδείξεσι παρελθέτω καὶ ἡ τῆς ἕκτης Οἰκουμενικῆς Συνόδου πράξει δεκάτῃ τρίτῃ ἀπόφασις, τὸν Ὀνώριον ἀκολουθῆσαι λέγουσα κατὰ πάντα τῷ τοῦ Σεργίου φρονήματι, καὶ τὰ ἐκείνου δυσσεβῆ δόγματα βεβαιῶσαι, τὸ αὐτὸ μαρτυρεῖ καὶ Λέων Πάπας, καὶ ἄλλοι περὶ τοῦ Ὀνωρίου.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Βεβαίωσις τῆς πέμπτης καὶ ἕκτης τῶν προτάσεων, ὅτι ἐφανερώθη δηλαδὴ ὕστερον ὁ Σέργιος γράψας αἱρετικὰ ἐν τῇ ἣν ἐβεβαίωσεν Ὀνώριος ἐπιστολῇ αὐτοῦ, καὶ ὅτι ὁ Ὀνώριος τῇ ἐπιστολῇ αὐτοῦ ἐβεβαίωσε τὴν Σεργίου Αἵρεσιν, ἀπὸ τῆς τρισκαιδεκάτης πράξεως τῆς ἕκτης Συνόδου, Ἀμβροσίου, Βασιλείου, τῆς πέμπτης Οἰκουμενικῆς, Διαλόγου καὶ ἐξ ὧν παρεκίνει τὸν Σέργιον εἰς τὴν Αἵρεσιν.

Τὴν πέμπτην πρότασιν, ἥτις ἐστὶν ὅτι ἐφανερώθη ὕστερον ὁ Σέργιος γράψας τινὰ αἱρετικὰ ἐν τῇ ἐπιστολῇ, ἣν ὁ Ὀνώριος ἐβεβαίωσε, βεβαιοῦμεν ἀπὸ τῆς δεκάτης τρίτης πράξεως τῆς ἕκτης Συνόδου, ἐν ᾗ ἀνεγνώσθη ἐπιστολὴ Ὀνωρίου πρὸς Σέργιον, λέγουσα πρὸς τοῖς ἄλλοις, Ἐξαιροῦντες οὖν ὡς εἴπομεν τὸ σκάνδαλον τῆς νέας ἐφευρέσεως, οὐ δέον ἡμᾶς ὁρίζειν ἢ κηρύττειν μίαν ἢ δύο ἐνεργείας, καὶ τὰ ἑξῆς. ἁμαρτήσαντες

τήσαντες οὖν πρότερον Σέργιος καὶ Ὀνώριος, ὕστερον κατεκρίθησαν. Τὴν δὲ αἴτην πρότασιν, ἥτις ἐστὶν ὁ Ὀνώριος τῇ ἐπιστολῇ αὐτοῦ ἐβεβαίωσε τὴν Αἵρεσιν τοῦ Σεργίου, οὕτω βεβαιοῦμεν, ὁ Ὀνώριος τὸν Σέργιον γράφοντα φανερῶς Αἱρέσεις πρὸς αὐτὸν οὐκ ἤλεγξεν, οὐδὲ ἐνουθέτησεν ἵνα ἐάσῃ τὴν πλάνην αὐτοῦ. Διατοῦτο ὀρθῶς ὁ Ἀμβρόσιος ἐν τοῖς λόγοις περὶ τῶν ἁγίων λόγῳ πρώτῳ, ὅστις φησὶ τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλέγχει ἁμαρτάνοντα, τρόπῳ τινὶ παροτρύνει αὐτὸν εἰς τὸ ἁμαρτάνειν. τὰ αὐτὰ φησὶ καὶ Βασίλειος, καὶ ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον δέκατον ἕβδομον. καὶ ἡ πέμπτη Οἰκουμενικὴ Σύνοδος λέγει, Πᾶσιν ἐστὶ τοῖς πιστοῖς πρόδηλον, ὅτε κινεῖται περὶ πίστεως λόγος, οὐμόνον ὁ ἀσεβὴς κατακρίνεται, ἀλλὰ καὶ ὁ δυνάμενος μὲν κωλῦσαι τὴν ἀσέβειαν, ἀμελεῖ δὲ τῆς σωτηρίας τῶν ἄλλων, βιβλίου πέμπτου κεφαλαίῳ δεκάτῳ πέμπτῳ. καὶ Γρηγόριος ὁ Διάλογος φησὶ, Πῶς δύναται εἶναι ἀνύποπτος ἀπάτης ὁ συγγνώμην τῷ πλανωμένῳ παρέχων; βιβλίῳ ἑβδόμῳ ἐπιστολῇ ἕκτῃ. ἔνθα φησὶ καὶ τοῦτο, Ὁ μὴ διορθῶν τὰ ἀποκοπτέα, συγχωρεῖ αὐτά. τοιαῦτα λέγει καὶ ὁ Ἀγάθων ἐν τῇ ἀναφορᾷ, ὡς εἴρηται ἀνωτέρω. δεύτερον, ὁ Ὀνώριος οὐμόνον ἠμέλησε διορθώσασθαι τὸ Σέργιον πλανηθέντα, ἀλλὰ καὶ ἐπήνεσε. τρίτον, ὅτι φανερῶς ὁ Ὀνώριος ὁμολογεῖ συμφρονεῖν τῷ Σεργίῳ. τέταρτον, ὅτι καὶ βεβαιοῖ τὴν ἐπιστολὴν Σεργίου δι' οἰκείων ἐπιχειρημάτων. πέμπτον, παρακινεῖ τὸν Σέργιον ἵνα μένῃ ἀεὶ ἐν τῷ αὐτῷ σκοπῷ, καὶ διὰ ταῦτα ἡ παροῦσα, ἤτοι ἡ ἕκτη Σύνοδος πράξει δεκάτῃ τρίτῃ ἀπεφήνατο ἠκολουθηκέναι τὸν Ὀνώριον ἐν πᾶσι τῷ Σεργίῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ἀπόδειξις δι' ἐννέα συλλογισμῶν τῆς ἑβδόμης προτάσεως καὶ δι' ὧν φησὶν ὁ Ἀγάθων, ὅτι οὐκ ἐλευθεροῖ τῆς Αἱρέσεως τὸν Ὀνώριον ἡ τοῦ καιροῦ περίστασις, τὰς δύο θελήσεις καὶ ἐνεργείας, ἃς οὐκ ἔδει ἀρνήσασθαι ἀρνηθέντα.

Ἡ πρότασις ἡ ἑβδόμη ἐστὶν, ὅτι οὐκ ἐλευθεροῖ τὸν Ὀνώριον ἡ περίστασις τοῦ καιροῦ, περὶ ἧς εἰ καὶ εἰρήκαμεν ἀνωτέρω, ἀλλ' ἐπιλέγομεν, ὅτι καθάπερ ἄθεσμόν ἐστιν ἀρνεῖσθαι τὰς δύο ἐπὶ Χριστοῦ φύσεις, οὕτως ἄθεσμόν ἐστι καὶ τὰς δύο αὐτοῦ φυσικὰς ἐνεργείας καὶ θελήσεις ἀρνεῖσθαι, ἀλλαμὴν κατὰ τοὺς χρόνους Ὀνωρίου ἄθεσμον ἦν ἀρνεῖσθαι τὰς δύο φύσεις ἐπὶ Χριστοῦ, ἄρα. δεύτερον, εἰ ἄθεσμόν ἐστιν ἀντιλέγειν τῇ θείᾳ γραφῇ, ἄθεσμόν ἐστι καὶ τὸ ἀρνεῖσθαι τὰς δύο ἐπὶ Χριστοῦ θελήσεις, ἀλλαμὴν ἐν τοῖς χρόνοις Ὀνωρίου ἄθεσμον ἦν ἀρνεῖσθαι τὴν θείαν γραφὴν, ἄρα. τρίτον, ὅπερ ἐπὶ τοῦ Ὀνωρίου οἱ ὀρθόδοξοι ὡμολόγουν, τοῦτο ἄθεσμόν ἐστιν ἀρνεῖσθαι ὑπὸ Ὀνωρίου, ἀλλαμὴν ἐπὶ τοῦ Ὀνωρίου οἱ ὀρθόδοξοι ὡμολόγουν τὰς δύο ἐπὶ Χριστοῦ φυσικὰς θελήσεις καὶ ἐνεργείας, ἄρα. τέταρτον, οὐκ ἔστιν εὐσεβὴς ὁ μὴ βουλόμενος ὁμολογεῖν τὰς τοῖς Αἱρετικοῖς ἐφευρεθείσας ἐναντίας φωνὰς, ἀλλαμὴν ὁ Ὀνώριος οὐκ ἠβούλετο ὁμολογεῖν τὰς τοῖς Αἱρετικοῖς εὑρεθείσας ἐναντίας φωνὰς, ἄρα. πέμπτον, ὃς ὁποιανδήποτε φωνὴν ἀπόβλητον τῶν Αἱρετικῶν ἀποδείκνυσι καὶ δέχεται, κατακεκριμένος ἐστὶν, ἀλλαμὴν ὁ Ὀνώριος τὰς ἀποβεβλημένας τῶν Αἱρετικῶν φωνὰς ἀποδείκνυσι καὶ ἀποδέχεται, ἄρα. ἕκτον, ὅπερ ὁ Κύριος ἀπαραβάτως ὁμολογεῖν πᾶσιν ἐνετείλατο, τοῦτο οὐκ ἔδει ἀρνήσασθαι τὸν Ὀνώριον, ἀλλαμὴν τὰς δύο φυσικὰς θελήσεις καὶ δύο φυσικὰς αὐτοῦ ἐνεργείας ἀπαραβάτως ἐκέλευσεν ὁμολογεῖν, ἄρα. ἕβδομον, ὅπερ ἀδύνατόν ἐστιν ἀρνεῖσθαι, μὴ παραβαίνα τὴν τοῦ Κυρίου ἀλήθειαν τῆς πίστεως, τοῦτο οὐκ ἔδει ἀρνήσασθαι τὸν Ὀνώριον, ἀλλαμὴν ἀδύνατον ἀρνήσασθαι τὰς δύο ἐπὶ Χριστοῦ θελήσεις καὶ ἐνεργείας χωρὶς βλάβης ψυχῆς, ἄρα. ὄγδοον, ὅπερ οὐκ ἐδύνατο ὁ Ὀνώριος ἀρνήσασθαι χωρὶς τῆς ἀρνήσεως τοῦ Χριστοῦ, ἐκεῖνο ἄθεσμον ἦν αὐτῷ ἀρνήσασθαι, ἀλλαμὴν δύο θελήσεις καὶ ἐνεργείας οὐκ ἦν ἀρνήσασθαι ἄνευ τῆς ἀρνήσεως τοῦ Χριστοῦ, ἄρα. ἔνατον, τούτοις πρόσθες καὶ τὴν ἐναντίαν πρᾶξιν τῶν ὀρθοδόξων. ὁ Σωφρόνιος δύο ἐνεργείας καὶ δύο θελήσεις διὰ τῶν ἐπιστολῶν αὐτοῦ τῶν συνοδικῶν καὶ ἄλλων συγγραμμάτων ὁμολογῶν, καὶ ἐναντιωθεὶς περὶ τούτων Σεργίῳ καὶ ἄλλοις Μονοθελήταις τόσον ὁ Σωφρόνιος αὐτὸς ὅσον καὶ ὁ Μάξιμος, φρονίμως ἐποίησεν ἑκάτερος καὶ εὐσεβῶς. ἄρα ὁ Σέργιος καὶ Ὀνώριος τῷ αὐτῷ χρόνῳ τῇ ὀρθοδόξῳ ἐκείνων ὁμολογίᾳ ἀντειπόντες, καὶ δύο ἐπὶ Χριστοῦ θελήσεις καὶ ἐνεργείας μὴ ὁμολογήσαντες καθ' ἣν ἔννοιαν οἱ ὀρθόδοξοι ἐνόουν, ἀφρόνως ἐποίησαν ἀμφότεροι καὶ ἀσεβῶς. δέκατον, ἀκουσώμεθα ἔπειτα Ἀγάθωνος καὶ τῆς Συνόδου αὐτοῦ, τί φησὶν ἐν τῇ ἀναφορᾷ. Ὧν τινων αὐθένται ὑπάρχουσι Θεόδωρος, Κῦρος, Σέργιος, Πύῤῥος, Παῦλος, Πέτρος, καὶ οἱ τούτων ὁμόφρονες μέχρι τέλους ἀποδειχθέντες, οἵτινες τῆς καινῆς πλάνης αὐθένται, καὶ τῆς τελείας οἰκονομίας, ἐν ᾗ πάντες ἐσώθημεν, ἐχθροὶ, οὐμόνον τῆς ἀληθοῦς ὁμολογίας ἐναντίοι, ἀλλ' ἅτε δὴ πλανώμενοι ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας τὰ ἐναντία ἐδίδαξαν, ἄλλως καὶ ἄλλως δικαιολογούμενοι, καὶ ἀλλήλων τὰ δόγματα καταλύοντες, τὸ γὰρ μηδεμιᾷ ἀληθείᾳ θεμελιωθὲν, ἀναγκαῖον ἐστὶν ἵνα τῆς πλάνης τῷ ἀσυστάτῳ ποικίλληται, ἡ γὰρ ἀληθινὴ πίστις ἐναλλαγῆναι οὐδύναται, ἢ ποτὲ μὲν ἄλλως, ποτὲ δὲ ἄλλως μεταταῦτα κηρυχθῆναι, ἐπειδὴ ἔσται ἡμῶν, ὡς ὁ Ἀπόστολος διδάσκει, τὸ Ναὶ, Ναὶ, καὶ τὸ Οὔ, Οὔ, τὸ γὰρ πλέον ἀπὸ τοῦ πονηροῦ ἐστίν. ἐκ τούτων πάντων φανερόν ἐστιν ὅτι οὐκ ἔδει τὸν Ὀνώριον ἀρνηθῆναι τὰς δύο θελήσεις καὶ δύο ἐνεργείας, καὶ μάλιστα ὅτε ἀνεφάνη ἡ Αἵρεσις, διότι τότε ἔδει μᾶλλον σπουδάσαι ὑπὲρ τῆς ἀληθείας, οὐχὶ δὲ ἀφιέναι τὴν Αἵρεσιν ἀκανθωθῆναι.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ἀπόδειξις τῆς ὀγδόης, ἐνάτης, δεκάτης καὶ ἑνδεκάτης τῶν προτάσεων, ὅτι οὔτε ἀπὸ τοῦ παραδείγματος τοῦ Σωφρονίου δύναται ὁ Ὀνώριος βοηθηθῆναι, ἀνόμοιον γὰρ, οὔτε ἀπὸ τοῦ Ἱερωνύμου, καὶ ὅτι ἐν τῇ δευτέρᾳ αὐτοῦ ἐπιστολῇ ὁμολογήσας τὰς δύο φύσεις τοῦ Κυρίου ἰδίως ἐνεργεῖν, αὖθις ἠρνήσατο ἑαυτῷ μαχόμενος, καὶ ὅτι ἐν τῇ Αἱρέσει τέθνηκεν, ὡς Βασιλεῖς, Πάπαι, Σύνοδοι καὶ ἄλλοι κατέκριναν αὐτόν.

Ἡ ὀγδόη πρότασις ἦν, ὅτι οὐδὲ ἀπὸ τοῦ παραδείγματος τοῦ Σωφρονίου δύναται ὁ Ὀνώριος βοηθηθῆναι, ἀνόμοιον γάρ. πρὸς ἣν ῥητέον, εἰ καὶ γράφει ὁ Σέργιος ὅτι ὁ Σωφρόνιος συνεφώνησε περὶ τοῦ σιωπῆσαι τὰς δύο ἐνεργείας, δεῖ ὅμως ἡμᾶς πιστεῦσαι μᾶλλον Σωφρονίῳ, ὃς ἐκείνῳ τῷ ἔτει χειροτονηθεὶς Πατριάρχης Ἱεροσολύμων, ἔγραψε τὰς δύο θελήσεις καὶ δύο ἐνεργείας σαφῶς, καὶ ἀπέδειξεν ὡς ἀνάγκη ἐστὶ ταύτας ὁμολογεῖν, οὐκ ἄρα ὁ Σωφρόνιος συνεφώνησεν Ὀνωρίῳ περὶ τοῦ δεῖν σιωπᾶσθαι τὰς δύο ἐνεργείας. εἶτα τὰς ὅσας ἔδωκε Σέργιος Σωφρονίῳ χρήσεις ἐξετάσας ὁ Σωφρόνιος, εὗρε ψευδεῖς καὶ ἀσυμφώνους, καὶ διατοῦτο ἔγραψεν ἐγκυκλικὰς ἐπιστολὰς, καὶ ἕως οὗ ἔζη οὐκ ἔπαυσε σπουδάζων κατὰ Μονοθελητῶν. ὁ δὲ Ὀνώριος μετὰ τὴν Σύνοδον καὶ τὴν ἐπιστολὴν Σωφρονίου ἀντέγραψεν αὐτῷ μὴ λέγειν δύο θελήσεις καὶ ἐνεργείας, καίτοι ἔγραφεν ὁ Σωφρόνιος τῷ Ὀνωρίῳ ἵνα ἔχῃ τὸν Σέργιον Αἱρετικὸν, οὐκ ἤκουσεν ὅμως αὐτοῦ ὡς δείκνυται ἐκ τῆς δευτέρας ἐπιστολῆς Ὀνωρίου πρὸς Σέργιον. ἡ δὲ ἐνάτη πρότασις ἦν, ὅτι οὐ δύναται βοηθηθῆναι ὁ Ὀνώριος ἀπὸ τοῦ παραδείγματος τοῦ Ἱερωνύμου, ὁ γὰρ Ἱερώνυμος ἔγραψε Δαμάσῳ ἵνα ἀπέχῃ τοῦ ὀνόματος τῶν τριῶν ὑποστάσεων ὡς ἀμφιῤῥεποῦς, καὶ ὅτι ὅλοι οἱ γραφεῖς διὰ τῆς ὑποστάσεως ἐννοοῦσιν οὐσίαν, βιάζοντες αὐτὸν ὅμως οἱ Ἀνατολικοὶ καλῶς ἐννοεῖν, ἐδέξατο τὴν ἔννοιαν καὶ τὸ ὄνομα, ἄρα. πρὸς τὴν δεκάτην πρότασιν ῥητέον, ὅτι οἱ Μονοθελῆται λέγουσι τὸν Χριστὸν εἶναι ὅμοιον ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας. δεύτερον, εἶναι τέλειον ἐν ἑκατέρᾳ φύσει. τρίτον, τὸν αὐτὸν εἶναι Θεὸν ἀληθῆ καὶ ἄνθρωπον ἀληθῆ. τέταρτον, ἑκατέρας οὐσίας ἐν ἑνὶ προσώπῳ ἀπαραμειώτως φασὶ φυλάττεσθαι τὴν φυσικὴν ἰδιότητα. ταῦτα δὲ λόγοις μόνοις ὡμολόγουν, ἔργοις δ' οὔ, ἀρνούμενοι τὰς δύο θελήσεις καὶ δύο ἐνεργείας, λέγει γὰρ ὁ Μάξιμος ἐν τῷ διαλόγῳ, Ἀδύνατόν ἐστιν ὑπ' ἐκείνων ὁμολογεῖσθαι τὰ προειρημένα, ἀρνουμένων αὐτὰ διὰ τῆς σιγῆς. ὡς καὶ Γρηγόριος πρὸς Κληδόνιον ἐπιστολῇ δευτέρᾳ λέγει περὶ τῶν Ἀπολιναριστῶν, Τὰς μὲν εὐσεβεῖς λέξεις ὁμολογοῦσι, περὶ δὲ τὸν νοῦν κακουργοῦσιν. οὕτω καὶ Ὀνώριος ὁμολογεῖ ἐν τῇ δευτέρᾳ ἐπιστολῇ τὰς δύο φύσεις ἰδίως ἐνεργούσας, ὅμως πάλιν ἐν αὐτῇ φησὶν, Ἄτοπον ἐστὶ λέγειν ἐπὶ Χριστοῦ μίαν ἢ δύο ἐνεργείας, καὶ ἴδε ἐν τῇ ἕκτῃ Συνόδῳ τὶ λέγουσιν ὁ Βασιλεὺς καὶ ὁ Ἀγάθων περὶ Ὀνωρίου. ἐνταῦθα ὁ Βασιλεὺς ἐν τῷ Ἠδίκτῳ λέγει περὶ αὐτοῦ καὶ τοῦτο, ὅτι αὐτὸς ἑαυτῷ ἐμάχετο. μεγάλως λοιπὸν ἐφλυάρησαν οἱ ψευδήγοροι Βελλαρμῖνος καὶ Γρετζέρος, εἰπόντες, ὅτι εἰ ἐκλάβοις τὰ εἰρημένα κατὰ τὴν γνώμην τῶν Μονοθελητῶν, κακά ἐστι, δύνανται ὅμως καὶ ὀρθοδόξως ἐκλαμβάνεσθαι. πρὸς δὲ τὴν ἑνδεκάτην πρότασιν ῥητέον, ὅτι ἐν τούτοις πᾶσιν Αἱρετικὸς φανεὶς ὁ Ὀνώριος, οὐμετενόησεν, ἀλλ' οὕτως ἀπέθανε. διατοῦτο τῇ κατακρίσει τούτου συνεψηφίσαντο οὐ μόνον Κωνσταντῖνος Αὐτοκράτωρ, καὶ Λέων ὁ δεύτερος καὶ Βενέδικτος ὁ δεύτερος οἱ Πάπαι καὶ οἱ Ἐπίσκοποι τῆς Ἱσπανίας, ἀλλὰ καὶ Ἰωάννης ὁ πέμπτος καὶ Κόνων καὶ ἄλλοι Πάπαι, καὶ ὁ Βασιλεὺς Ἰουστινιανὸς ὁ δεύτερος καὶ ἄλλοι Αὐτοκάτορες καὶ ἡ πενθέκτη Σύνοδος καὶ ἄλλαι Σύνοδοι τῇ ἐκείνου συνεφώνησαν κατακρίσει.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ὅτι ἐκ τῆς μαρτυρίας Ἀναστασίου τοῦ Βιβλιοθηκαρίου εἰς τὸν βίον τοῦ δευτέρου Λέοντος, καὶ ἐκ τῶν πρὸς τὸν Αὐτοκράτορα Κωνσταντῖνον καὶ τοὺς Ἱσπανοὺς ἐπιστολῶν τοῦ αὐτοῦ Λέοντος, δείκνυται ἀποδεχθῆναι τὸν Λέοντα τουτονὶ τὴν ἕκτην Οἰκουμενικὴν Σύνοδον, καὶ συναινέσαι αὐτῇ; καὶ τὰ πρακτικὰ αὐτῆς μετὰ χαρᾶς προσήκασθαι, ἀναθεματίσαι τε τοὺς Αἱρετικοὺς, καὶ σὺν τοῖς Μονοθελήτας ὀνομαστὶ τὸν Ὀνώριον.

Ἀναστάτιος ὁ Βιβλιοθηκάριος μαρτυρεῖ ἐν τῷ βίῳ τοῦ δευτέρου Λέοντος τοῦ Πάπα Ῥώμης, ὅτι ὁ αὐτὸς δεύτερος Λέων ὁ Πάπας ἐδέξατο καὶ ὡμολόγησε τὴν ἁγίαν ἕκτην Σύνοδον, καὶ πάντας τοὺς ὑπ' αὐτῆς τῆς Συνόδου ἀναθεματισθέντας καὶ ἐν αὐτοῖς κατ' ὄνομα τὸν Ὀνώριον τῷ ἀναθέματι παρέδωκε. τοῦτ' αὐτὸ ὁμοίως μαρτυρεῖ ὁ αὐτὸς Λέων ἐν ἐκείνῃ τῇ ἐπιστολῇ, ἣν δεξάμενος τὰ πρακτικὰ τῆς Συνόδου καὶ τὰς αὐτοκρατορικὰς ἐπιστολὰς συγχαρεὶς ἔγραψε πρὸς Κωνσταντῖνον τὸν Αὐτοκράτορα, ὡσαύτως καὶ ἐν ταῖς ἄλλαις αὐτοῦ ἐπιστολαῖς, αἵτινες σὺν τῷ βίῳ αὐτοῦ ὑπάρχουσι μετὰ τὴν δωδεκάτην ἐν Τολέτῳ Σύνοδον καὶ τὴν Ῥοθομαγικήν. ὅστις Λέων ἐν τῇ αὐτοῦ ἐπιστολῇ πρὸς Κωνσταντῖνον τὸν Αὐτοκράτορα φησὶ, τοὺς

Ληγατα-

Ληγαταρίους τούτου τοῦ ἀποστολικοῦ θρόνου τῆς μητρὸς ὑμῶν τῆς Ῥωμαίων Ἐκκλησίας, τοὺς οἰκέτας τῆς ὑμετέρας εὐσεβείας Θεόδωρον καὶ Γεώργιον τοὺς Πρεσβυτέρους καὶ Ἰωάννην τὸν Διάκονον καὶ Ῥεγιωνάριον τῆς ἁγίας ἡμῶν Ἐκκλησίας μετὰ τῶν σὺν αὐτοῖς ἀποδημησάντων προσώπων, τῶν καὶ παρὰ τοῦ προηγησαμένου ἡμᾶς τῆς ἀποστολικῆς μνήμης Ἀγάθωνος τοῦ Πάπα κατὰ τὴν ὀγδόην ἐπινέμησιν ἕνεκεν τοῦ τῆς πίστεως πράγματος κατὰ κέλευσιν τῆς ὑμῶν εὐσεβείας αὐτόθι σταλέντων διὰ τῆς ἔναγχος διελθούσης δεκάτης ἐπινεμήσεως τῷ Ἰουλίῳ Μηνὶ μετὰ θείων κεραιῶν τῆς ὑμῶν φιλανθρωπίας ἅμα καὶ συνοδικοῖς ὑπομνήμασι μετὰ μεγάλης χαρᾶς καὶ εὐφροσύνης ἐπὶ τῷ Κυρίῳ ἀγαλλιώμενοι ἐδεξάμεθα. Καὶ, τοιγαροῦν τῶν συνοδικῶν τὸ ὕφος ἀναδραμόντες, καὶ ἐπιμελῶς περιεργασάμενοι, καὶ ἕκαστα τῶν ὑπομνημάτων ἀπαιτήσαντες, τὰ αὐτὰ ἅπερ καὶ οἱ τοῦ ἀποστολικοῦ θρόνου Ληγατάριοι ἐξηγήσαντο τοῖς συμφωνοῦσιν ἐγγράφοις εὕρομεν συμβαίνειν, καὶ γὰρ ἐπέγνωμεν ὅτι ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ ἕκτη Σύνοδος, ἥτις καὶ Θεοῦ χάριν τῷ βασιλικῷ προστάγματι ἔναγχος ἐν τῇ βασιλίδι συνηθροίσθη πόλει, τὰ αὐτὰ ἅπερ καὶ ἡ ῥωμαϊκὴ Σύνοδος, ἡ τῷ ἁγίῳ καὶ ἀποστολικῷ τούτῳ θρόνῳ συγκειμένη, ᾧ τινι καὶ τὴν διακονίαν ἐκτελοῦμεν, συνήνεσέ τε καὶ ἐψηφίσατο ἐπὶ τῇ ὁλοκληρίᾳ τῆς ὀρθοδόξου πίστεως καὶ τοῖς τῶν πατέρων Κανόσι, καὶ ὁμογνωμόνως ἅμα ἡμῖν συνωμολόγησε τὸν ἕνα τῆς ἁγίας καὶ ἀχωρίστου Τριάδος εἶναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ δύο καὶ ἐν δυσὶ φύσεσιν ἀσυγχύτως, ἀχωρίστως καὶ ἀδιαιρέτως τυγχάνοντα, καὶ τοῦτον τοίνυν τῆς ὀρθῆς καὶ ἀποστολικῆς παραδόσεως τὸν τύπον ὁ προηγησάμενός με Ἀγάθων ὁ τῆς ἀποστολικῆς μνήμης Πάπας ἅμα τῇ τιμίᾳ Συνόδῳ ἐκήρυξε, καὶ τοῦτον τοῖς προλαβοῦσιν ἐγγράφοις ἐν τῷ τῆς τιμίας ἀναφορᾶς παγηνῷ τῇ ὑμετέρᾳ εὐσεβείᾳ διὰ τῶν οἰκείων Ληγαταρίων ἀνέπεμψεν, ἀποδεικνύων καὶ ἐπικυρῶν ταῖς τῶν ἁγίων καὶ ἐγκρίτων τῆς Ἐκκλησίας Διδασκάλων χρήσεσιν, ὅντινα ἐπὶ τοῦ παρόντος ἡ ἁγία καὶ μεγάλη τοῦ Κυρίου Σύνοδος ἡ διὰ τῆς ὑμετέρας γενομένη σπουδῆς ἐδέξατο, καὶ ἐν ἅπασιν αὐτὸν σὺν ἡμῖν περιεπτύξατο, ὡς τὴν εἰλικρινῆ διδασκαλίαν τοῦ μακαρίου Πέτρου τοῦ κορυφαίου τῶν Ἀποστόλων ἐν αὐτῷ ἐπιγινώσκουσα, καὶ σημεῖα ὁλοκλήρου εὐσεβείας ἐν αὐτῷ τούτῳ διασκεπτομένη. Καὶ, προσεπιτούτοις συναναθεματίζομεν πάσας τὰς Αἱρέσεις, καὶ τοὺς τούτων ἅπαντας ἀρχηγοὺς καὶ ψεύστας, οἵτινες κατὰ τῆς ὀρθοδόξου καὶ ἀποστολικῆς πίστεως ταῖς τοῦ διαβόλου ἀπάταις κρατυνόμενοι, πλάνας ψεύδους ταῖς Ἐκκλησίαις ἐπεχείρησαν παρεισαγαγεῖν, τουτέστιν Ἄρειον, Σαβέλλιον, Μακεδόνιον, καὶ Ἀπολλινάριον. Καὶ, ὡσαύτως ἀναθεματίζομεν τοὺς ἐφευρετὰς τῆς νέας πλάνης, τουτέστι Θεόδωρον τὸν τῆς Φαρὰν Ἐπίσκοπον, Κῦρον τὸν Ἀλεξανδρείας, Σέργιον, Πύῤῥον, Παῦλον, Πέτρον τοὺς τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως ὑποκαθιστὰς μᾶλλον ἤπερ καθηγητὰς, οὐμὴν ἀλλὰ καὶ Ὀνώριον, ὅστις ταύτην τὴν ἀποστολικὴν Ἐκκλησίαν οὐκ ἐπεχείρησε διδασκαλίᾳ ἀποστολικῆς παραδόσεως ἁγνίσαι, ἀλλὰ τῇ βεβήλῳ προδοσίᾳ μιανθῆναι τὴν ἄσπιλον παρεχώρησε, καὶ πάντας δὲ τοὺς ἐν τῇ ἑαυτῶν πλάνῃ τελευτήσαντας ἀναθεματίζομεν. ταῦτα ὁ Λέων ἐν τῇ ῥηθείσῃ αὐτοῦ ἐπιστολῇ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι οἱ παπισταὶ μὴ τολμῶντες ἀρνηθῆναι τὴν ἀποδοχὴν τῶν πρακτικῶν τῆς ϛ'. Συνόδου πρὸς τοῦ Λέοντος, τὰς εἰς Βασιλέα καὶ Ἱσπανοὺς ἐπιστολὰς αὐτοῦ νόθας φασὶν, ἀπιστοῦντες καὶ αὐτῷ κατακρίναντι Ὀνώριον.

Οἱ παπισταὶ, καίτοι ἀρνηθῆναι οὐκ ἀποτολμῶσι τὸ δεδέχθαι τὸν Λέοντα τὰ πρακτικὰ τῆς ἕκτης Συνόδου καὶ τὰς γραφὰς τοῦ Αὐτοκράτορος Κωνσταντίνου, καὶ τὸν αὐτὸν Λέοντα ἀντιγράψαι τῷ Κωνσταντίνῳ Αὐτοκράτορι κατ' αὐτὴν τὴν γνώμην ἣν αὕτη ἡ ἤδη γραφεῖσα ἐπιστολὴ περιέχει, ὁμοίως προσέτι τὸν αὐτὸν γεγραφέναι πρὸς τοὺς Ἱσπανοὺς περὶ τῆς αὐτῆς Συνόδου, παρακινοῦντα αὐτοὺς ἵνα δεχθῶσι τὰ ὑπ' αὐτῆς πραχθέντα ἅτινα σὺν τοῖς γράμμασι τοῦ αὐτοῦ Λέοντος ἐπέμφθησαν πρὸς αὐτοὺς καὶ τῇ αὐτῶν συναινέσει προσβεβαιώσωσιν, ὥσπερ αὐτοὶ οἱ Ἱσπανοὶ, πρὸς οὓς ὁ Λέων ἔγραψε, μαρτυροῦσιν ἐν τῇ ἐν Τολέτῳ Συνόδῳ τῇ δεκάτῃ τετάρτῃ, οὔτ' ἔχουσιν ἀποδεῖξαι οἱ ἐναντίοι ἄλλας ἐπιστολὰς πεμφθείσας πρὸς Κωνσταντῖνον τὸν Αὔγουστον καὶ πρὸς τοὺς Ἱσπανοὺς ὑπὸ τοῦ Λέοντος ὑπὲρ ταύτης τῆς πραγματείας, καὶ αὗται, αἵτινες κοινῶς κεῖνται, νομίζονται μέχρι τοῦ νῦν ἀντὶ μόνων τῶν γνησίων ἐπιστολῶν τοῦ δευτέρου Λέοντος, ἐπεὶ δὲ βαρέως φέρουσι τὴν τοῦ Ὀνωρίου καταδίκην, ἐπὶ τὸ συνεθισθὲν τῆς ἀναισχυντίας ἄσυλον καταφεύγουσι καὶ βοῶσι, Ταύτας πάσας τὰς ἐπιστολὰς νόθας εἶναι, ἢ τοὐλάχιστον παρεφθαρμένας, ἢ τελευταῖον περὶ τῆς καταδίκης τοῦ Ὀνωρίου μὴ παρέχειν πίστιν τῷ Λέοντι. τὴν πρώτην τουτωνὶ τῶν ὁδῶν πειρᾶται ὁ Βαρώνιος, ᾧτινι ἕπονται Βίνιος καὶ ὁ Γρετζέρος. τὴν δευτέραν καὶ τρίτην ὁ Βελλαρμῖνος καὶ ὁ αὐτὸς Γρετζέρος, ἀλλ' ἀτυχῶς.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἀντίῤῥησις παπιστῶν πρὸς τὰς τοῦ Λέοντος ἐπιστολὰς ἀπὸ τοῦ μὴ συμφωνεῖν αὐτὰς τῷ χρόνῳ, καὶ ῥῆξις αὐτῆς ἀπὸ τῶν τῷ χρόνῳ ἀσυμφώνων μὲν, οὐ λυμαινομένων δὲ τὴν περὶ αὐτῶν πίστιν.

Μία

ΒΙΒΛΙΟΝ ϛ'. ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Μία ἐστὶν ἡ κοινὴ καὶ ἐξαίρετος αὐτῶν ἀντίῤῥησις πρὸς πάσας ταύτας τὰς ἐπιστολὰς, ἥτινι κέχρηνται ὁ Βαρώνιος καὶ οἱ αὐτῷ ἑπόμενοι δηλαδὴ, ὅτι φαίνεταί που ἡ σημείωσις τοῦ χρόνου μὴ συμφωνεῖν. πρὶν ἄρα εἰπεῖν ἑκάστης ἐπιστολῆς κατ' εἶδος τὰς ἐκδικήσεις, οὐκ ἄπο τοῦ σκοποῦ ἔσται ταυτησὶ τῆς ἀντιῤῥήσεως τὴν δύναμιν ἐκτεμεῖν, ὅπου γὰρ πάντα τἄλλα, τουτέστι τὰ πράγματα, οἱ τόποι καὶ τὰ πρόσωπα συνέρχονται, οὐ τοσαύτης δυνάμεώς ἐστι τὸ χρονικὸν σφάλμα, μάλιστα βραχὺ, ἢ προσέτι ἀβέβαιον, ὥστε δι' αὐτὸ ἀμφιβάλλεσθαι περὶ τῆς αὐθεντίας τοῦ γεγραμμένου. εἶτα πολλὰ πράγματα ὡς ἀναμφίβολα δεχόμεθα, ἀλλὰ τὸν καιρὸν οὐκ οἴδαμεν εὐκρινῶς, ὡς ἐστὶ τὸ ἔτος τῆς κοσμογενεσίας, περὶ οὗ διαφωνοῦσιν οἱ Ἑβραῖοι καὶ Σαμαρεῖται, Ἕλληνές τε καὶ Λατῖνοι, ἀλλὰ τὸ πρᾶγμα ἀναμφίβολόν ἐστι, καὶ οὐ λυμαίνεται τὴν περὶ αὐτοῦ πίστιν ἡ διαφωνία τοῦ χρόνου, οὕτω καὶ περὶ πολλῶν πράξεων Ἡγεμόνων καὶ Βασιλέων ὁ χρόνος διαφωνεῖται, ἀλλὰ τὰ πράγματα δέχονται ὡς πάντα ἀληθῆ, καὶ δὴ καὶ τὴν Σύνοδον τὴν περὶ Λατίνων γεγενημένην, ἤτοι Ἀρανσικιανὴν τὴν δευτέραν, τυπωθεῖσαν ἐν Κολωνίᾳ μετὰ τὰ ἔργα τοῦ Προσπέρος λέγεται συνελθεῖν ἐπὶ Λέοντος τοῦ πρώτου, ὁ Βίνος λέγει ἐν τῷ τόπῳ ὅτι συνῆλθεν ἐν ἔτει πεντακοσιοστῷ εἰκοστῷ ἐνάτῳ, πατριαρχοῦντος ἐν Ῥώμῃ Φίληκος τετάρτου, καὶ ἡ διαφορὰ ἔτη ὀγδοήκοντα. καὶ ἡ Σύνοδος Καρπεντορακτινὴ λέγουσιν ὅτι ἠθροίσθη ἐν ἔτει πεντακοσιοστῷ εἰκοστῷ ἐνάτῳ, ὁ δὲ Βίνιος λέγει ὅτι ὁ χρόνος ἐστὶν ἀβέβαιος, καὶ ἄλλα διάφορα περὶ τούτων λέγουσιν, ὥστε ὁ χρόνος ἀμφιβαλλόμενος ἐν τοῖς τοιούτοις, οὐδὲν λυμαίνεσθαι δύναται τὴν ἀληθειαν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ἀντίῤῥησις τετράψευδος τῶν παπιστῶν, νόθην δι' αὐτῆς τὴν πρὸς τὸν Αὐτοκράτορα Κωνσταντῖνον ἐπιστολὴν τοῦ Λέοντος ἀποδεῖξαι πειρωμένων ὑπὲρ ὀνωρίου, καὶ ἀναίρεσις αὐτῆς ἀληθεστάτη, ἐν ᾗ πάλιν κατάκριτος ὁ ὀνώριος δείκνυται.

Ἀλλ' οἱ παπισταὶ βουλόμενοι ἀποδεῖξαι νόθην εἶναι ταύτην τὴν ἐπιστολὴν τοῦ Λέοντος τὴν γραφεῖσαν πρὸς Κωνσταντῖνον τὸν Αὐτοκράτορα, τέσσαρας ἀντιῤῥήσεις προβάλλουσι, πρώτην, ὅτι περὶ τὸ τέλος τῆς ἐπιστολῆς τίθεται γραφῆναι ταύτην τῷ Μαΐῳ Μηνὶ τῆς δεκάτης Ἰνδικτιῶνος, ἥντινα αὐτὸς ὁμολογεῖ δεδέχθαι τῷ Ἰουλίῳ Μηνὶ τῆς αὐτῆς Ἰνδικτιῶνος, ἅτινα ἐὰν μὴ ψευδῆ ἀποδειχθῶσι, προδηλότατα ὅτι ἑαυτοῖς ἀντιλέγουσι. δευτέραν, ὅτι οὐδενὶ Ἰουλίῳ Μηνὶ ἠδύνατο ὁ Λέων Ἀρχιερεὺς εἶναι, ὅστις τῷ Αὐγούστῳ Μηνὶ κεχειροτόνηται, καὶ δέκα μόνον Μῆνας τὴν Ἀρχιερατείαν ἔσχηκε. τρίτην, ὅτι ὁμολογεῖ ταύτην τὴν ἐπιστολὴν γεγραφέναι τῇ δεκάτῃ Ἰνδικτιῶνι, καθ' ἣν οὔπω ἦν γεγονὼς Ἀρχιερεύς. τετάρτην, ὅτι τὸν ὀνώριον ἐν τῇ Αἱρέσει τῶν Μονοθελητῶν τεθνηκότα, καὶ διατοῦτο τῇ δικαίᾳ τοῦ ἀναθέματος ἀποφάσει καταδεδικασμένον εἶναι ἡ ἐπιστολῇ διαβεβαιοῖ, ὅντινα ἡ Ῥωμαϊκὴ Ἐκκλησία κοινῇ τιμῇ ἔθαψε, καὶ μεταξὺ τῶν ἁγίων Ἀρχιερέων ἐν τῇ Ἐκκλησίᾳ τοῦ ἁγίου Πέτρου ὡς ἑκάστῳ καθολικῷ Ἀρχιερεῖ ἐν πᾶσιν ἀπένειμε. τούτους τοὺς λόγους ἀναλαμβάνει ἐκ τοῦ Βαρωνίου ὁ Βίνιος ἐν ταῖς σημειώσεσι ταυτησὶ τῆς ἐπιστολῆς. Ἀλλὰ ῥητέον πρὸς μὲν τὴν πρώτην, ψευδὴς ὑποσημείωσίς ἐστιν, οὐ τοῦ συγγραφέως, ἀλλὰ τῇ κακίᾳ τῶν βιβλιαγράφων, ὡς ἔξεστι καταλαβεῖν καὶ διορθῶσαι ἐκ τῆς θεωρίας τῆς ἐπιστολῆς. ἡ ἐπιστολὴ τοίνυν τοῦ Λέοντος πρὸς τὸν Κωνσταντῖνον ἐδόθη τῷ Μαΐῳ Μηνὶ τῆς ἑνδεκάτης Ἰνδικτιῶνος. οὔτ' ἐν ταῦθα τὸ παράπτωμα τοῦ βιβλιαγράφου συντείνει τῇ αὐθεντίᾳ τῆς ἐπιστολῆς, ἥτις ἔνδον αὐτὴ δείκνυσι τίνα τρόπον δεῖ ἀναγνωσθῆναι τὴν ὑποσημείωσιν. πρὸς τὴν δευτέραν ἀντίῤῥησιν ῥητέον, ἔθος ἀρχαῖον κατ' ἐκεῖνον τὸν καιρὸν ἐπεκράτει, ὥστε τὸν ἐκλεχθέντα ὑπὸ τοῦ Κλήρου καὶ τοῦ λαοῦ εἰς τὴν Ῥωμαϊκὴν Ἀρχιερατείαν μὴ χειροτονεῖσθαι, ἐὰν μὴ πρότερον πιστωθεὶς ὁ Αὐτοκράτωρ προσβεβαιώσῃ τὴν ἐκλογὴν, καὶ τῇ αὐτοῦ προσταγῇ ἡ χειροτονία γένηται, ὡς δηλοῦται ἐκ τοῦ Ἀναστασίου ἐν τῷ βίῳ Ἀγάθωνος τοῦ Πάπα, τοῦ ἀμέσως πρὸ τοῦ δευτέρου Λέοντος χρηματίσαντος, καὶ ἐν τῷ βίῳ τοῦ δευτέρου Βενεδίκτου, τοῦ μετὰ τὸν Λέοντα ἀμέσως χρηματίσαντος, περὶ ἧς καὶ ἡμῖν εἴρηται ἀνωτέρω κεφαλαίῳ τρίτῳ. ὁ Αὐτοκράτωρ τοίνυν, γνωσθείσης τῆς ἐκλογῆς τοῦ Λέοντος, γράμματα πρὸς αὐτὸν ἔγραψεν, ἐν οἷς Πάπαν αὐτὸν προσηγόρευσε, καὶ τὴν ἑκτὴν Σύνοδον αὐτῷ ἀνεπτύξατο. ταῦτα τὰ αὐτοκρατορικὰ γράμματα ὁ Λέων τῷ Ἰουλίῳ Μηνὶ ἐδέξατο, καὶ εὐθὺς τῷ προσεχεῖ Αὐγούστῳ Μηνὶ ἡ αὐτοῦ χειροτονία ἐνδόξως, ὡς ἔθος ἦν, τετέλεσται, ἑνὸς ὄντος τῶν χειροτονησάντων αὐτὸν Ἰωάννου τοῦ Πορτουηνσίου Ἐπισκόπου, ὡς γράφει Ἀναστάσιος ἐν τῷ βίῳ τοῦ αὐτοῦ Λέοντος. οὗτος δὲ ὁ Ἰωάννης, ὡς εἴρηται πολλάκις, εἷς ἦν τῶν πρέσβεων τῆς Συνόδου τῆς ἐν Ῥώμῃ πρὸς τὴν Οἰκουμενικὴν ἑκτὴν Σύνοδον, καὶ ἤδη σὺν τοῖς λοιποῖς πρέσβεσιν ἐπανακάμψας, εἷς τῶν ἐν τῇ χειροτονίᾳ τοῦ Λέοντος γέγονε. χειροτονηθεὶς δὲ ὁ Λέων, αἰέγνω ἐν ὑστέροις τὰ πρὸς αὐτὸν πεμφθέντα πρακτικὰ τῆς Συνόδου ὑπὸ τοῦ Αὐτοκράτορος ἐπιμελῶς, καὶ ταῦτα σὺν τῇ ἀναφορᾷ τῶν πρέσβεων τοῦ Ἀγάθωνος κατὰ ἀκρίβειαν συνοδικῶς παρέβαλε, καὶ θεωρηθείσης τῆς συμφωνίας, ταύτην τὴν ἐπιστολὴν πρὸς τὸν Αὐτοκράτορα ἔγραψεν, ἐν ᾗ αὐτὸν ἐπαινεῖ, καὶ τὴν Σύνοδον προσδέχεται, καὶ τοὺς ὑπ' αὐτῆς καταδικασθέντας καὶ ἐν αὐτοῖς κατ' ὄνομα τὸν ὀνώριον ἀνα-

θεμα-

ἀναθεματίζει, καὶ περὶ τῆς εὐτυχοῦς διαδρομῆς ὅλης τῆς ἐγχειρήσεως εὐχαριστεῖ τῷ Θεῷ, καὶ τῇ μὲν ὁ τῆς ἀναγνώσεως χρονισμὸς, τῇ δὲ τὸ τραχὺ τοῦ χειμῶνος πεποίηκεν ὥστε μὴ πρὸ τοῦ Μαΐου Μηνὸς τὸν Λέοντα ταύτην τὴν ἐπιστολὴν πέμψαι. πρὸς τὴν τρίτην ἀντίῤῥησιν, ἤδη εἴρηται ἐν τῇ πρώτῃ ἀποκρίσει πρὸς τὴν πρώτην ἀντίῤῥησιν, ὁ γὰρ Λέων ἐν τῷ σώματι τῆς αὐτοῦ ἐπιστολῆς διαδήλως βεβαιοῖ ἑαυτὸν τὰ τοῦ Αὐτοκράτορος γράμματα σὺν τοῖς πρακτικοῖς τῆς Συνόδου εἰληφέναι διὰ τῆς ἀρτίως παρελθούσης δεκάτης Ἰνδικτιῶνος τῷ Ἰουλίῳ Μηνί. ἄρα προδηλότατα ὁμολογεῖ γεγραφέναι ταύτην τὴν ἐπιστολὴν τῇ ἐνδεκάτῃ Ἰνδικτιῶνι. πρὸς τὴν τετάρτην ῥητέον, πολλοὶ μετὰ τὸν θάνατον καὶ τὴν ἔντιμον ταφὴν κατεκρίθησαν δι' Αἱρεσιν, ὧν τὰ ὀστᾶ οὐδέποτε ἐξωρύξαντο, παραδείγματα ἔχομεν ἐν πολλοῖς Αἱρετικοῖς Ἐπισκόποις τῆς Ἀλεξανδρείας, οἵτινες τὸν θρόνον ἐκεῖνον ἐκράτησαν ἐν ἐκείνοις τοῖς χρόνοις τοῖς παρελθοῦσι μεταξὺ τῆς τετάρτης Οἰκουμενικῆς Συνόδου καὶ τῆς ἑκτῆς. οὐκ ἔστιν ἡ ζήτησις περὶ τῆς ταφῆς καὶ τῶν ἀνεσκαμμένων ὀστῶν, ἀλλὰ περὶ τῶν πρακτικῶν τῆς ἑκτῆς Συνόδου, καὶ τῶν ἄλλων Συνόδων, ἐφ' ὅσον κατὰ τὴν κατάκρισιν τοῦ Ὀνωρίου, ἥντινα τοσοῦτον νέφος μαρτύρων ἀκλονήτων ὁμοφώνως προσβεβαιοῖ. ἐγίνωσκε τὸν τάφον τοῦ Ὀνωρίου ὁ δεύτερος Ἀδριανὸς ὁ Πάπας, καὶ οἱ αὐτοῦ πρέσβεις πρὸς τὴν κατὰ Φωτίου Σύνοδον, καὶ οὐχ ἧττον τὴν αὐτοῦ κατάκρισιν ὡμολόγησαν σὺν ἄλλοις πολλοῖς.

ΠΑΡΑΓΡΑΦΟΝ Ε.

Ἀτιῤῥήσεις δύο Βινίου εἰς τὰ ἀνωτέρω εἰρημένα παρ' Ἀναστασίῳ καὶ Βαρωνίῳ ἐκ τοῦ μεταξὺ τῆς τελευτῆς καὶ ταφῆς τοῦ Ἀγάθωνος χρόνου ἐν τῇ χηρεύσει τοῦ θρόνου Ῥώμης, καὶ ἐκ τῆς τοῦ Λέοντος Ἀρχιερατείας, καὶ ἀναίρεσις τῆς πρώτης ἀντιῤῥήσεως ἀπὸ τῆς βασιλικῆς ἐπιστολῆς καὶ τῶν πρὸς Λέοντα πρακτικῶν τῆς Συνόδου, ἐξ ὧν δείκνυται ψεύστης ὁ Ἀναστάσιος καὶ ὁ Βαρώνιος, ὁ καὶ πλαστὴν Σύνοδον καὶ ἐπιστολὴν ἐπ' Ἀγάθωνος μετὰ τὴν ἐπανάκαμψιν τῶν πρέσβεων μυθολογῶν.

Ἀνθίστανται προσέτι τοῖς ῥηθεῖσι διττῶς, πρῶτον, ὁ Βίνιος ἐκ τοῦ Ἀναστασίου, λέγοντος ἐν τῷ βίῳ τοῦ Ἀγάθωνος, ὅτι μετὰ τὸν θάνατον αὐτοῦ τὸν θρόνον τῆς Ῥώμης χωρὶς Ἐπισκόπου διαμεῖναι ἔτος ἕν, Μῆνας ἑπτὰ, ἡμέρας πέντε. τουτὶ ὁ Βαρώνιος ἀρνεῖται ἀποβάλλων τὸν Ἀναστάσιον. ὁ Ἀναστάσιος λέγει ἐνταφιασθῆναι τὸν Ἀγάθωνα τῇ τετάρτῃ τῶν Εἰδῶν τοῦ Ἰαννουαρίου τῆς δεκάτης Ἰνδικτιῶνος, τουτέστιν ἐν ἀρχῇ τοῦ ἔτους ἀπὸ Χριστοῦ ἑξακοσιοστοῦ ὀγδοηκοστοῦ δευτέρου. ὁ δὲ Βαρώνιος, τῇ τετάρτῃ τῶν Εἰδῶν τοῦ Ἰουνίου τῆς ἐνδεκάτης Ἰνδικτιῶνος, ἐν ἔτει ἑξακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ, καὶ μετὰ τὸν θάνατον αὐτοῦ κενὸν διαμεῖναι τὸν θρόνον Μῆνας μόνον δύο καὶ ἡμέρας πέντε μέχρι τῆς χειροτονίας τοῦ Λέοντος, τῆς γεγονυίας τῇ δεκάτῃ πέμπτῃ τοῦ Αὐγούστου Μηνὸς τῇ ἐνδεκάτῃ Ἰνδικτιῶνι. οὕτω πρὸς ἀλλήλους ἀντιλέγουσιν ὁ Βίνιος καὶ ὁ Βαρώνιος. Ἀλλὰ ῥητέον, οὐ πιστευτέον τῷ Βαρωνίῳ, ἀλλὰ τῇ ἀρχαιότητι καὶ τῇ κοινότητι, μαρτυρούσῃ τὸν Λέοντα δεδέχθαι τὰ γράμματα σὺν τοῖς πρακτικοῖς ὑπὸ τῶν πρέσβεων τοῦ Ἀγάθωνος, ὡς εἴρηται. λίαν προσέτι ἄτοπόν ἐστι καὶ ὅπερ ὁ Βαρώνιος πλάττει, τὸν Ἀγάθωνα λέγων μετὰ τὴν ἐπανάκαμψιν τῶν πρέσβεων ἐκ τῆς Συνόδου τῆς ἐν Κωνσταντινουπόλει Σύνοδον συναθροῖσαι ἐν τῇ Ῥώμῃ Ἐπισκόπων σχεδὸν ἑκατὸν ἐν ἔτει ἑξακοσιοστῷ ὀγδοηκοστῷ δευτέρῳ, καὶ ὕστερον τῇ τελευταίᾳ ἡμέρᾳ τοῦ Φεβρουαρίου γεγραφέναι ἐπιστολὴν πρὸς τὸν Ἔδικτον τὸν Οὐιννήσιον, καὶ τελευταῖον τεθνηκέναι τῇ τετάρτῃ τῶν Εἰδῶν τοῦ προσεχοῦς Ἰουνίου. οὐδεμία γὰρ τοῦ Αὐτοκράτορος πρὸς τὸν Ἀγάθωνα ἐπιστολὴ διαλαμβάνουσα περὶ τῆς ἑκτῆς Συνόδου εὑρίσκεται, εὑρίσκεται ἔμπης πρὸς τὸν Λέοντα δοθεῖσα τῇ δεκάτῃ τρίτῃ τοῦ Δεκεμβρίου τῆς δεκάτης Ἰνδικτιῶνος ἐν ἔτει ἑξακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ ἐν τοῖς πρακτικοῖς τῆς ἑκτῆς Συνόδου πράξει δεκάτῃ ὀγδόῃ, ἥντινα ἐπιστολὴν ὁ Βαρώνιος ἐν ἔτει ἑξακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ ἀριθμῷ δεκάτῳ παρὰ τῷ Σπονδάνῳ, καὶ ὁ Βίνιος ἐν ταῖς σημειώσεσιν ἐν τῷ βίῳ τοῦ Ἀγάθωνος ἀποδέχονται γνησίαν εἶναι, καὶ ἐξ αὐτῆς ὡς ἐκ γνησίας ἐπιχειροῦσι, καίτοι ἐν ἄλλοις κατὰ τὴν αὐτῶν ἀσταθηρότητα καὶ ἀναισχυντίαν ἑαυτοῖς καὶ τῇ χριστιανικῇ Οἰκουμένῃ ἀντιλέγειν οὐκ ἐρυθριῶσι, τρισὶν ἐπερειδόμενοι ἀδρανέσι στοχασμοῖς, ὡς ἔξεστιν ἀναγνῶναι ἐν ταῖς σημειώσεσι τοῦ Βινίου πρὸς τὴν αὐτὴν ἐπιστολὴν τοῦ Αὐτοκράτορος Κωνσταντίνου πρὸς Λέοντα μετὰ τὸν βίον αὐτοῦ τοῦ Λέοντος. τούτους δὲ τοὺς κενοὺς στοχασμοὺς κατωτέρω παρέξομεν καὶ ἀνασκευάσομεν κεφαλαίῳ δεκάτῳ πέμπτῳ. τὸν Ἀγάθωνα δὲ λέγει ὁ Βίνιος τεθνηκέναι τῇ τετάρτῃ τῶν Εἰδῶν τοῦ Ἰαννουαρίου τῇ δεκάτῃ Ἰνδικτιῶνι ἐν ἔτει ἀπὸ Χριστοῦ ἑξακοσιοστῷ ὀγδοηκοστῷ δευτέρῳ, τοῦτο ὁ αὐτὸς ἐν ταῖς σημειώσεσι ἐν τῷ βίῳ αὐτοῦ τοῦ Ἀγάθωνος βεβαιοῖ, προσέτι ἀποδείκνυσιν αὐτὸ ἐκ τῶν ἐκκλησιαστικῶν σελίδων, καὶ ἐκ τῆς κατ' ἔτος αὐτοῦ μνήμης. ὁ μέντοι Ἀναστάσιος τὸν Ἀγάθωνα γράφει τῇ αὐτῇ ἡμέρᾳ τῷ τάφῳ παραδεδόσθαι. καὶ ταῦτα μὲν οὗτοι. τηρεῖ ὅμως ἡ Ἐκκλησία τὴν ἡμέραν ἐν ᾗ ἐτάφη ὁ Ἀγάθων, οὐ μὴν τὴν ἡμέραν ἐν ᾗ τέθνηκε. τεθνηκέναι γὰρ τὸν Ἀγάθωνα τῷ προηγουμένῳ Σεπτεμβρίῳ ἢ Ὀκτωβρίῳ ἐκεῖθεν ἐστὶ συνάξαι, ὅτι τῇ δεκάτῃ ἕκτῃ ἡμέρᾳ τοῦ Σεπτεμβρίου ἡ ἁγία Σύνοδος τὴν τελευταίαν πρᾶξιν ἄγουσα, πρὸς τὸν Ἀγάθωνα (προσέτι ζῶντα, ἢ τοὐλάχιστον μήπω ἀγγελθέντος τοῦ θανάτου αὐτοῦ ἐν Κωνσταντινουπόλει) τὰ γράμματα ἔγραψε, τῷ δὲ προσεχεῖ Δεκεμβρίῳ ὁ Αὐτοκράτωρ Κωνσταντῖνος λαβὼν τὴν ἀγγελίαν τοῦ θανάτου τοῦ Ἀγάθωνος, καὶ τῆς ἐκλογῆς τοῦ Λέοντος, γράμματα σὺν τοῖς πρακτικοῖς

τῆς

τῆς Σιωόδ πρὸς τὸν Λέοντα πέπομφεν, ἐν οἷς αὐτὸν Πάπαν προσηγόρευσε, τουτέστι πρὸ ἐκλογῆ αὐτοῦ προσεβεβαίωσεν. ὅθεν φαίνεται ἐκ τοῦ θανάτου τοῦ Ἀγαθωνος πρὸς τὴν ἐκλογὴν τοῦ Λέοντος λίαν ὀλίγον χρόνον παρεμπεσεῖν, καίτοι πρὸ τῆς χειροτονίας τοῦ αὐτοῦ Λέοντος μῆνες ἐννέα παρῆλθον. σφάλμα τοίνυν, ἢ ψεῦδος ἐστὶ τὸ λεγόμενον τῷ Ἀναστασίῳ ἐν τῷ Ἀγαθωνι περὶ τῆς τοῦ θρόνου χειροτονίας. σφάλεται προσέτι ὁ Βαρώνιος, τὸν βίον τοῦ Ἀγαθωνος προσωτέρω μηκύνων, ἢπερ τῇ ἀληθείᾳ ἔζησε.

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Ἀναίρεσις τῆς δευτέρας ἀντιρρήσεως Βινίου ὅτι τοῦ μὴ ἐπάρξαι ζῶντα τὸν Λέοντα ὑπὸ τῆς ἐν Τολέτῳ τεσσαρεσκαιδεκάτης Σιωόδου κατὰ τὰς πατέρας ταυτησὶ τῆς Σιωόδου, ὃν ζῶντα ἐπ' αὐτῆς ὑπάρξαι, καὶ πότε, καὶ πόσον ἀρχιερατεύσαι δολίως λέγοντες οἱ παπισαὶ, ψεύδονται κἀνταῦθα, αὐτοὶ ἑαυτοῖς ἀντιῤῥήτορες.

Ἡ ἑτέρα ἀντίῤῥησις, καθ' ἣν διϊσχυρίζονται δεῖξαι τὸν Λέοντα ἀρχιὼ πεποιηκέναι τῆς αὐτοῦ Ἀρχιερατείας ἐν τῷ τέλει τῆς ἑνδεκάτης ἰνδικτιῶνος τῷ Αὐγούστῳ Μηνὶ ἐν ἔτει ἑξακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ, ὅτως ἔχει, ὁ Λέων ὅτος ἀφ' ὁλοκλήρους ἑνδεκα Μῆνας ἐκάθισε εἰς τὸν θρόνον Ῥώμης, ἀλλὰ κατὰ τὸν Ἀνασάσιον Μῆνας δέκα, ἡμέρας δεκαπέντε. ἔζη οὖν τῷ χρόνῳ τῆς γενομένης δεκάτης τεταρτης Σιωόδου τῆς ἐν Τολέτῳ, ὡς σαφέστερον δείκνυσι καὶ βεβαιοῖ ὁ δεύτερος Κανὼν τῆς αὐτῆς Σιωόδου, ἧς γέγονεν ἐν ἔτει ἑξακοσιοστῷ ὀγδοηκοστῷ τετάρτῳ, οὗ φασι. τούτῳ τῷ ὑπολειπόμενῳ κέχρηνται ὁ Βαρώνιος πρὸς τῷ Σπονδανῷ ἐν ἔτει ἑξακοσιοστῷ ὀγδοηκοστῷ δευτέρῳ, ἀριθμῷ πρώτῳ, καὶ ὁ Βίνιος ἐν ταῖς σημειώσεσιν εἰς τὸν βίον Λέοντος τοῦ δευτέρου. Ἀλλὰ ῥητέον ὅτι ψεῦδος ἐστὶ τὸ ἐν ἐκείνῃ τῇ Σιωόδῳ τῇ ἐν τῇ Τολέτῳ βεβαιῶσαι τὸν Πάπαν Λέοντα, προσέτι ζῶντα ὄντα ὅτε ἐκείνη ἡ Σιωόδος ἐγίνετο, ἀλλὰ μόνον φασὶν, ὅτι ἐν τῷ παροχηκότι καιρῷ ἀφ' οὗ τὸ κομιστὸν τὸ πεμφθὲν παρὰ τοῦ Πάπα τὰς πράξεις τῆς ἐν Κωνσταντινουπόλει Οἰκουμενικῆς Σιωόδου ἦλθον πρὸς αὐτὸς, καὶ μετὰ τῶν πράξεων ἔλαβον καὶ ὑπομνηματικὸν προσκλητικὸν Λέοντος τοῦ Πάπα, ἵνα ἀμεταβεβαιώσωσι τὰς πράξεις. καὶ ὑπολέγουσιν, ὅτι ὅταν ἱσαρίθμων Βασιλεὺς Ἑρβίνος προσέταξεν αὐτοῖς συνελθεῖν, ἀλλ' ἐπειδὴ ἡ ἧς καιροῦ περίστασις ἐκώλυσεν ὑπ' αὐτοῦ πάντας συνελθεῖν τοὺς Ἐπισκόπους, ἔδοξε γοῦν αὐτῷ τὴν Τολέτῳ βασιλικὴν πόλιν γοῦν ικωτέραν Σιωόδου, καὶ μετὰ ταῦτα ἵνα καθ' Ἐπαρχίαν συνερχόμενοι οἱ Ἐπίσκοποι βεβαιώσιν ὑποδοχῇ καὶ συναινέσει τὰ διωρισμένα. ταῦτα οἱ τῆς δεκάτης τεταρτης Σιωόδου πατέρες, περὶ δὲ Λέοντος ὠδεῖς αὐτοῖς λόγος. ὅθεν ἀντίκεινται αὐτοὶ ἑαυτοῖς οἱ νεώτεροι, ἤτοι οἱ σοφισαὶ. τουτέστιν οἱ παπισαί.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι καὶ ἐν τῇ ὑπογραφῇ τῆς ἐν Τολέτῳ τεσσαρεσκαιδεκάτης Σιωόδου, καὶ κατὰ Βαρώνιον δείκνυται ἀθροισθῆναι αὐτὴν ὑπὸ Βενεδίκτου Διαδόχου τοῦ Λέοντος.

Ἔπειτα ἡ Σιωόδος ἠθρίσθη ὑπὸ Βενεδίκτου τοῦ δευτέρου καὶ Διαδόχου τοῦ Λέοντος, καὶ μάρτυς ἡ ἐπιγεγραφὴ τῆς Σιωόδου ἐν τῇ Ἐκθέσει τῇ Βινιανῇ, ὅπερ καὶ ὁ Βαρώνιος ὁμολογεῖ ἐν τῷ ἔτει ἑξακοσιοστῷ ὀγδοηκοστῷ τετάρτῳ, ὅπερ φησὶν, Ἀποθανόντος τοῦ Λέοντος, ἐδέξατο τὴν ἀρχὴν ὁ Βενέδικτος, καὶ ἐχειροτονήθη τούτῳ τῷ ἔτει Αὐγούστου εἰκοστῇ, καὶ τῷ μεταταῦτα Νοεμβρίῳ γέγονεν ἡ παροῦσα Σιωόδος, ἤτοι ἡ δεκάτη τετάρτη ἐπ' αἰτίᾳ τῆς πρὸς τὸν Αὐτοκράτορα ὑποψολῆς τοῦ Λέοντος καὶ τῶν πρακτικῶν τῆς συντης Σιωόδου. ὅπερ δὲ φησὶν ὁ Βαρώνιος, ὅτι ἐγράφετο ἡ Σιωόδος ὑπὸ Βενεδίκτου, δεχόμεθα. ὅτι δὲ ἔζησεν ὁ Λέων ἕως τῶν Καλανδῶν Ἰανουαρίου Ἰνδικτιῶνος δωδεκάτης ἐν ἔτει ἑξακοσιοστῷ ὀγδοηκοστῷ τετάρτῳ, ἀποδείκνυμι, ἀγαπᾷ καὶ τοῦτο ἀπὸ τῆς Σιωόδου δεικνύεται. ὅτι δὲ πρότερον ὁ Λέων ἀπέθανε, βεβαιοῖ τοῦτο ἡ Διαληφθεῖσα τῆς Σιωόδου Ἔκθεσις, ἤτοι ἡ Βινιανή· ὁμολογεῖ δὲ ὁ Βίνιος ὅτι ἔλαβε τὴν Σιωόδον ταύτην ἀπὸ Γερσὶν τοῦ Χοήσε, καὶ ἐντέθεικον αὐτὴν ἐν ταῖς Ἐκθέσεσι τῶν Σιωόδων.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἐν τῷ γράψαι τὸν Πάπαν Βενέδικτον πρὸς Πέτρον Νοτάριον ἵνα πρὸς Ἑρβίνον καὶ τοὺς Ἐπισκόπους Ἱσπανίας μετὰ τῶν πρακτικῶν τῆς αὐτῆς Σιωόδου ἀπέλθῃ, δείκνυται τεθνηκέναι τὸν Λέοντα πρὸ τῆς ἐν Τολέτῳ Σιωόδου, καὶ πότε, καὶ ὅτι τὸ προβαλλόμενον ὑπὸ τῶν παπισῶν ὑπὸ τοῦ δευτέρου Κανόνος τῆς ἐν Τολέτῳ Σιωόδου περὶ τῆς ζωῆς τοῦ Λέοντος ψεῦδος ἐστὶ, καὶ ψεύστης καὶ ὁ Βελλαρμῖνος παντάχως δείκνυται ἐνταῦθα, διεφθάρθαι λέγων ὑπὸ τῶν Μονοθελητῶν τὸν πρὸς τὸν Βασιλέα ὑποψολὴν τοῦ Λέοντος.

594

Πρὸς τούτοις, ὁ Πάπας Βενέδικτος γράφει πρὸς Πέτρον Νοτάριον Ῥεγιωνάριον, ἵνα ἀπέλθῃ εἰς Ἐρβίγιον καὶ τοὺς Ἐπισκόπους τῆς Ἱσπανίας μετὰ τῶν πρακτικῶν τῆς ἕκτης Συνόδου καὶ τοῦ προσφωνητικοῦ τῆς Συνόδου πρὸς τὸν Αὐτοκράτορα, καὶ τοῦ προστάγματος τοῦ αὐτοῦ Κωνσταντίνου, δι' οὗ βεβαιοῖ τὴν Σύνοδον, ὥστε ἐκ τούτων δῆλον, ὅτι πρὸ τῆς Συνόδου ἀπέθανεν ὁ Λέων, καὶ ἐγένετο ὁ Βενέδικτος. προσεπιτάττει δὲ ὁ Βενέδικτος, ἵνα ἐν τῇ γενησομένῃ Συνόδῳ προστεθῶσιν αἱ ὑπογραφαὶ τῶν πατέρων ἐν ταῖς ὑπογραφαῖς τῆς ἕκτης οἰκουμενικῆς. ἔστι δὲ ἡ ἐπιστολὴ αὕτη τοῦ Βενεδίκτου ἀνωτέρα τῶν σοφισμάτων Βαρωνίου, Βινίου, Γρετζέρου, Βελλαρμίνου καὶ τῶν λοιπῶν σοφιστῶν. εἶτα ὁ Πέτρος τῇ ἐντολῇ τοῦ Βενεδίκτου ἐτελείωσε τὸ ἔργον, ἐπεὶ ὁ Λέων, ὡς εἴρηται, προαπέθανεν. ἔδωκε δὲ ὁ Πέτρος τοὺς χάρτας τῷ Ἐρβιγίῳ. ἐγένετο δὲ ἡ δεκάτη τρίτη Σύνοδος ἐν Τολέτῳ, ὡς φαίνεται ἐκ τοῦ προοιμίου, τῷ ἔτει ἑξακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ, Νοεμβρίῳ Μηνὶ, ἧς διαλυθείσης, καὶ τῶν χαρτίων ἀπελθόντων, ἐκώλυσεν ἡ περίστασις τοῦ καιροῦ τὴν δευτέραν ἄθροισιν τῆς αὐτῆς, ἔδοξε δὲ ἵνα τῷ ἐρχομένῳ ἔτει γένηται. ταῦτα ὁ Βαρώνιος τῷ ἔτει ἑξακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ, ἀριθμῷ ὑστάτῳ. τὸ αὐτὸ προσμαρτυροῦσι καὶ αἱ πράξεις τῆς παρούσης δεκάτης τετάρτης Συνόδου, ἥτις ἐγένετο τῷ ἑπομένῳ ἔτει, Δεκεμβρίῳ Μηνί. ἐξ ὧν γίνεται δῆλον, ὅτι ὁ Λέων ἀπέθανεν ἐν ἔτει ἑξακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ Ἰνδικτιῶνι ἑνδεκάτῃ, ὀλίγον μετὰ τὸ δοθῆναι Πέτρῳ τῷ Νοταρίῳ τὰς γραφὰς καὶ τὰ χαρτία ἵνα κομίσῃ εἰς Ἱσπανίαν, ἤτοι τῷ τέλει τοῦ Ἰουνίου Μηνὸς τοῦ αὐτοῦ ἔτους, καὶ τῷ ἑνδεκάτῳ Μηνὶ τῆς χειροτονίας αὐτοῦ, ἥτις, ὡς εἴρηται, ἐγένετο Αὐγούστου δεκαπέντε. ψεῦδος ἄρα ἐστὶν ὅπερ προβάλλουσιν οἱ παπισταὶ ἀπὸ τοῦ δευτέρου Κανόνος τῆς ἐν Τολέτῳ δεκάτης τετάρτης Συνόδου περὶ τῆς ζωῆς τοῦ Λέοντος. Ἀλλ' ἀνθυποφέρει ὁ Βελλαρμῖνος λέγων, ὅτι ὑπὸ τῶν Μονοθελητῶν ἐφθάρη ἡ ἐπιστολή. Ἀλλὰ καὶ οὗτος προφανῶς ψεύδεται, πρῶτον, ὅτι ἡ ἐπιστολὴ τοῦ Λέοντος πρὸς τὸν Αὐτοκράτορα οὐκ ἐγράφη ἐν Κωσταντινουπόλει, ἀλλ' ἐν Ῥώμῃ, ὅπου οὐκ ἦν Μονοθελήτης. δεύτερον, οὐχ ὑπὸ τῶν Ἑλλήνων ἐλήφθη τὸ ἴσον, ἀλλ' ὑπὸ τῶν Ῥωμαίων, καὶ ἔμεινεν ἐν τῇ ἐν Ῥώμῃ βιβλιοθήκῃ πεφυλαγμένον μετὰ τῶν λοιπῶν ἐπιστολῶν τῶν Παπῶν. τρίτον, ὅτι παράλογος, οἱ γὰρ ἐναγόμενοι ἀποδεικνύουσι. τέταρτον, ὅτι σύμφωνος ταῖς λοιπαῖς ἐπιστολαῖς τοῦ Λέοντος πρὸς Ἱσπανοὺς περὶ Ὀνωρίου, αἵτινες μένουσιν ἀλάφθορα. πέμπτον, ὅτι συμφωνεῖ τῇ ἀρχαιότητι τῶν αἰώνων πάντων. ἕκτον, ὅτι τὰ αὐτά φησι.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς ἐπιστολῆς τοῦ Αὐτοκράτορος Κωνσταντίνου πρὸς Λέοντα τὸν δεύτερον, πράξει ΙΗ'. τῆς ϛ'. Συνόδου, ἐξ ἧς συνάγεται τοὺς παπιστὰς τὰ καλῶς πεπραγμένα συκοφαντοῦντας ἀναθέματι ὑποπεπτωκέναι.

Καὶ περὶ τῆς ἐπιστολῆς ταύτης φασὶν οἱ σοφισταὶ, ὅτι ὁ Λέων γέγονε Πάπας Μηνὶ Αὐγούστῳ, ὃν οὐκ ἐβεβαίωσεν ὁ Βασιλεὺς πρότερον, ἀλλὰ μετὰ τέσσαρας Μῆνας, ἤτοι τὸν Δεκέμβριον, ὅτε πρὸς αὐτὸν ἔγραψε τὴν στάσιν τῆς πίστεως. δεύτερον, ὅτι ἐν ἀρχῇ τῆς ἐπιστολῆς γράφεται δεδόσθαι ταύτην τῷ Λέοντι τῇ δεκάτῃ Ἰνδικτιῶνι, καθ' ὃν χρόνον ὁ Λέων οὔπω ἦν Ἀρχιερεύς, τὸ γὰρ πρῶτον ἔτος τοῦ Λέοντος συνέβη ἐν τῷ τέλει τῆς ἑνδεκάτης Ἰνδικτιῶνος καὶ ἐν τῇ ἀρχῇ τῆς δωδεκάτης. τρίτον, ὅτι ἐν τῇ ἐπιστολῇ λέγεται γεγραφέναι τὸν Βασιλέα πρὸς τὸν Ἀγάθωνα ἵνα φροντίσῃ τὰ ἀνήκοντα αὐτῷ πρὸς τὴν Σύνοδον, ὅπερ ψεῦδος ἐστὶ, καὶ γὰρ οὐ πρὸς τὸν Ἀγάθωνα ἀλλὰ πρὸς τὸν προκάτοχον αὐτοῦ Δόνον ἔγραψεν. Ἀλλὰ ῥητέον, ὅτι ἐπειδὴ ἐν ἄλλοις καὶ ἄκοντες ἀληθεύοντες οἱ σοφισταὶ Βίνιος καὶ Βαρώνιος, ἔγνωσαν τὴν αὐθεντίαν τῆς ἐπιστολῆς ταύτης, καὶ ἐξ αὐτῆς ὥσπερ ἐξ ἀρχῆς βεβαίας ἐπιχειροῦσι περὶ πολλῶν ἐκκλησιαστικῶν πραγμάτων, ἐνταῦθα δὲ ἀλλοῖοι φαινόμενοι ματαίως καθυλακτοῦσι. πρὸς δὲ τὰς Ἀντιθέσεις ῥητέον, πρὸς μὲν τὴν πρώτην, ὅτι ἐπερείδεται ἐπὶ ψευδεῖ ὑποθέσει, οἱ γὰρ εἰρημένοι ὑποτιθέασι τὴν χρονικὴν προσημασίαν τῆς ἐπιστολῆς, ἥτις σημειοῖ δεδόσθαι τῇ δεκάτῃ τρίτῃ τοῦ Νοεμβρίου, καὶ ἀναφέρεσθαι εἰς ἐκεῖνον τὸν Δεκέμβριον τὸν ἠκολουθηκότα τῇ χειροτονίᾳ τοῦ Λέοντος, καθότι τὸ πρᾶγμα διαφόρως εἶχεν, ὡς φαίνεται ἐξ αὐτῆς τῆς προσημασίας, ὅπου λέγεται πεμφθῆναι τὴν ἐπιστολὴν τῇ δεκάτῃ Ἰνδικτιῶνι, ἐννοεῖται δὲ ἐκεῖνος ὁ Δεκέμβριος ὁ προσεχῶς ἠκολουθηκὼς τῷ θανάτῳ τοῦ Ἀγάθωνος, καὶ τῇ ἐκλογῇ τοῦ Λέοντος, καὶ τῷ τελευταίῳ συγγράμματι τῆς ἕκτης Συνόδου. πρὸς δὲ τὸ δεύτερον, ὅτι οὔπω ἦν ὁ Λέων κεχειροτονημένος, ἀλλ' ἐκλελεγμένος, καὶ αὐτῆς τῆς ἐκλογῆς πρὸς βεβαίωσιν ὁ Βασιλεὺς τὸν Λέοντα διὰ γραμμάτων προσηγόρευσε Πάπαν, ἀλλὰ ψεῦδος ἐστὶ τὸ πρῶτον ἔτος τοῦ Λέοντος παρεμπεσεῖν ἐν τῷ τέλει τῆς ἑνδεκάτης Ἰνδικτιῶνος καὶ ἐν τῇ ἀρχῇ τῆς δωδεκάτης, ὁ γὰρ Ἀγάθων ὅτι ἀπέθανεν ἢ τὸν Σεπτέμβριον Μῆνα, ἢ τὸν Ὀκτώβριον συνάγεται ἐκ τῶν πρακτικῶν τῆς ἕκτης Συνόδου, ἥτις Σύνοδος τῇ δεκάτῃ ἕκτῃ τοῦ Σεπτεμβρίου

βρίου Ἰνδικτιῶνι δεκάτῃ ἐτελείωσε τὴν τελευταίαν πρᾶξιν, καὶ ἔγραψαν τὰ γράμματα οἱ πατέρες πρὸς τὸν Ἀγάθωνα, τῷ δὲ προσεχεῖ Δεκεμβρίῳ μαθὼν ὁ Βασιλεὺς τὸν θάνατον τοῦ Ἀγάθωνος καὶ τὴν ἐκλογὴν τοῦ Λέοντος, ἔπεμψε τὰ πρακτικὰ τῆς Συνόδου ὁμοῦ καὶ τὴν ἐπιστολὴν πρὸς τὸν Λέοντα, εἰς ἣν ἐβεβαίου καὶ τὴν ἐκλογὴν αὐτοῦ, ἐδόθησαν δὲ ὑπὸ τοῦ Βασιλέως τῷ πρέσβει Ἰωάννῃ τῷ Ἐπισκόπῳ τῇ δεκάτῃ τρίτῃ τοῦ Δεκεμβρίου Μηνὸς, Ἰνδικτιῶνι δεκάτῃ, ἐν ἔτει ἑξακοσιοστῷ ὀγιδοηκοστῷ πρώτῳ καὶ τὴν δεκάτην ὀγδόην πρᾶξιν τῆς ἑκτῆς Συνόδου, καὶ ἀπὸ τῆς ἐκλογῆς τοῦ Λέοντος ἕως τῆς χειροτονίας αὐτοῦ ἐμεσολάβησαν Μῆνες ἐννέα. τὴν ἐπιστολὴν τοῦ Βασιλέως ἐδέξατο ὁ Λέων ἐν τῷ Ἰουλίῳ Μηνὶ τῆς δεκάτης Ἰνδικτιῶνος, καὶ ἐν τῷ Αὐγούστῳ κεχειροτόνηται. ἐν τῇ χειροτονίᾳ τοῦ Λέοντος παρῆν καὶ Ἰωάννης ὁ πρὸς τὴν Σύνοδον Τοποτηρητὴς τοῦ Ἀγάθωνος. μετὰ τὴν χειροτονίαν αὐτοῦ ἐδόθησαν αὐτῷ τῷ Λέοντι τὰ πρακτικὰ τῆς Συνόδου, καὶ συνοδικῶς τὸν Ὀνώριον ἀνεθεμάτισε, καὶ αὐτέγραψε τῷ Βασιλεῖ τῇ ἑνδεκάτῃ Ἰνδικτιῶνι. ὥστε ψευδές ἐστι τὸ τὸ πρῶτον ἔτος τοῦ Λέοντος παρεμπεσεῖν τῇ ἑνδεκάτῃ καὶ δωδεκάτῃ Ἰνδικτιῶνι. πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὰ ῥήματα τοῦ Βασιλέως εἰσὶ ταῦτα, Διὸ δὴ τὴν μὲν τοῦ ἐν ἁγίοις Πάπα Ἀγάθωνος μακαριότητα δι' εὐσεβῶν ἡμῶν Κεραιῶν στεῖλαι τινὰς τοὺς τὸ πρόσωπον αὐτοῦ ἐπέχοντας προετρέψαμεν. τοῦτο οὐδύναται εἶναι ψεῦδος, ἐπειδὴ τὰ πρὸς Δόνον βασιλικὰ γράμματα ἔλαβεν ὁ Ἀγάθων, ὃς καὶ ὡς διάδοχος τοῦ θρόνου ἀπεκρίθη εἰς τὰ ἀπεσταλμένα, καὶ ὁμολογεῖ ἐν τῇ ἀναφορᾷ ἕτοιμον εἶναι εἰς τὰ αὐτοκρατορικὰ ἐντάλματα, ὡς καὶ ἐποίησεν, ἰδίῳ ὀνόματι πρέσβεις πέμψας διὰ τὴν προσταγήν. καὶ ἐπειδὴ ὁ Ἀγάθων ἦν ὁ διακονούμενος ἐν πᾶσι τοῖς ἐν τῇ Συνόδῳ, Ἀγάθωνα εἶπεν ὁ Βασιλεὺς εἰκότως, καὶ οὐ Δόνον. καὶ ἀναθεματίζονται οἱ παπισταὶ συκοφαντοῦντες τὰ καλῶς καὶ ἀληθῶς διωρισμένα.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τοῦ ἐπὶ Ἰουστινιανοῦ τοῦ δευτέρου μετὰ Βενέδικτον δεύτερον Πάπα Ῥώμης Ἰωάννου τοῦ πέμπτου τοῦ ὑπογράψαντος ἐν τῇ κατακρίσει Ὀνωρίου ὅτε ἦν Λεγᾶτος τοῦ Ἀγάθωνος, καὶ τῶν ἐτῶν τῆς Ἀρχιερατείας αὐτοῦ, καὶ τῆς πρὸς αὐτὸν ἐπιστολῆς τοῦ Ἰουστινιανοῦ διὰ τὴν εὕρεσιν τῶν πρακτικῶν τῆς ϛ'. Συνόδου, ἐγχειρισθείσης δὲ τῷ διαδόχῳ αὐτοῦ Κόνωνι. καὶ ὅτι θείᾳ προνοίᾳ ἐφυλάχθη τὰ πρακτικὰ ταῦτα, καὶ διατί.

Ἐν τῇ ἑκτῇ Συνόδῳ τῇ Ὀνωρίου κατακρίσει ὑπέγραψαν οἱ Λεγᾶτοι τοῦ Ἀγάθωνος, ἐν οἷς καὶ Ἰωάννης, ὃς καὶ διάδοχος ἐγένετο τοῦ θρόνου Βενεδίκτου δευτέρου, καὶ λέγεται Ἰωάννης πέμπτος (ὃν καὶ Ἀναστάσιος ἐπαινεῖ, διηγεῖται δὲ καὶ ὅπως ἐπέμφθη Λεγᾶτος Διάκονος ὢν ὑπὸ Ἀγάθωνος) καθ' ὃν ἐβασίλευσε καιρὸν Ἰουστινιανὸς ὁ δεύτερος μετὰ θάνατον τοῦ πατρὸς αὐτοῦ, ἐν τῇ ἀρχῇ τοῦ Σεπτεμβρίου, Ἰνδικτιῶνος δεκάτης τετάρτης. γράφει δὲ ὅτι ἐκάθισε Πάπας ἐνιαυτὸν ἕνα καὶ ἡμέρας ἐννέα, οὗ θανόντος ἐπαύσατο ἡ Ἐπισκοπὴ Μῆνας δύο καὶ ἡμέρας ὀκτωκαίδεκα. ὁ δὲ Ἰουστινιανὸς οὗτος ὁ δεύτερος ἐν τῇ ἀρχῇ τῆς βασιλείας αὐτοῦ συγκληθέντων τῶν Πατριαρχῶν, καὶ τοῦ Ἀποκρισιαρίου τοῦ Πάπα, καὶ τῆς ἱερωτάτης Γερουσίας, καὶ τῶν Μητροπολιτῶν καὶ Ἐπισκόπων τῶν διατριβόντων ἐν τῇ βασιλικῇ πόλει, καὶ τῶν ἐντοπίων Στρατιωτῶν τοῦ ἱεροῦ Παλατίου, προσέτι καὶ τῶν Ἀρχόντων τοῦ δήμου, καὶ τῶν Ἐξκουβιτόρων, προσέτι καὶ τῶν Στρατευμάτων διαφόρων Ἐπαρχιῶν, οἷς συνεδρεύων, ἐκέλευσε τὰ συνοδικὰ τὰ αὐθεντικὰ τῆς ἑκτῆς Συνόδου, ἐπὶ τοῦ πατρὸς αὐτοῦ γενομένης, ἔμπροσθεν αὐτῶν ἐλθεῖν καὶ ἀναγνωσθῆναι, καὶ πάντες οἱ ἀκούοντες ἐπιμελῶς ἐκείνους τοὺς χάρτας ἐσημείωσαν, καὶ οὕτως αὐτοὺς ἐν ταῖς χερσὶ τοῦ Ἰουστινιανοῦ ἐνεχείρισαν, ἵνα αὐτοὺς ἀπαραβιάστους διαφυλάττῃ, μήτε τινὶ ὕστερον ἐν οὐδενὶ χρόνῳ ἄδεια εἴη διαφθεῖραί τι, ἢ μεταβαλεῖν ἐκ τούτων τῶν ἐν τοῖς πρακτικοῖς τούτοις περιεχομένων. ὅπερ ὁ Αὐτοκράτωρ Ἰουστινιανὸς ἀνέλαβε ποιήσειν, καὶ περὶ τούτου τοῦ γεγονότος πράγματος βεβαιότερον ἐποίησε, διὰ γραμμάτων πρὸς τὸν Ῥώμης ἐπαγγελλόμενος μέχρι τελευταίας αὐτοῦ ἀναπνοῆς τοὺς χάρτας ἐκείνους ἀθίκτους καὶ ἀνενοχλήτους ἀεὶ διαφυλάξαι. ἐγράφησαν δὲ ἐπιστολαὶ ἐν τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ, Ἰνδικτιῶνος δεκάτης πέμπτης, καὶ ἐπέμφθησαν μὲν Ἰωάννῃ τῷ πέμπτῳ, ἐνεχειρίσθησαν δὲ τῷ διαδόχῳ αὐτοῦ Κόνωνι, ὡς διηγεῖται Ἀναστάσιος ἐν τῷ βίῳ τοῦ Κόνωνος, λέγων, οὗτος ὁ Κόνων ἔλαβε τὴν θείαν προσταγὴν τοῦ Ἰουστινιανοῦ, ἐν ᾗ ἐδήλου ὅτι εὗρε τὰ πρακτικὰ τῆς ἕκτης Συνόδου, ἣν ὁ πατὴρ αὐτοῦ ἤθροισε, καὶ κατέχει παρ' ἑαυτῷ, καὶ ὑπόσχεται ταῦτα ἀπαράτρωτα διατηρῆσαι. Θείᾳ δὲ προνοίᾳ ἐφυλάχθησαν τὰ πρακτικὰ ἐκεῖνα, τὸ μὲν, ἵνα μὴ νοθευθῶσιν ὑπὸ τῶν Αἱρετικῶν, τὸ δὲ, καὶ εἰς ἔλεγχον τῶν νῦν παπιστῶν, ὧν τὰς κατὰ τῆς Συνόδου ἐκείνης συκοφαντίας προεγίνωσκε τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα ἐμφραγῇ τὸ στόμα αὐτῶν.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ Βαρωνίου καὶ Βινίου τῶν φερομένων κατὰ τῆς ἐπιστολῆς τοῦ Ἰουστινιανοῦ ἐκ τοῦ χρόνου καὶ τῆς ἐπιγραφῆς καὶ ἐκ τοῦ λέγειν συναριθμηθῆναι τὸν Ἰουστινιανὸν ὑπὸ τοῦ Πάπα Νικολάου τοῖς Αἱρετικοῖς.

Ὁ δὲ Βαρώνιος φέρεται κατὰ τῆς ἐπιστολῆς ταύτης διὰ τὸν χρόνον, ἐξ οὗ δῆλον γίνεται, ὅτι ἐγράφει οὐκ Ἰωάννῃ, ἀλλὰ τῷ ἐκείνου διαδόχῳ Κόνωνι. συκοφαντεῖ δὲ καὶ τὸν Ἰουστινιανὸν ὡς Αἱρετικὸν, λέγων ἀπίθανον εἶναι τὸν Ἰουστινιανὸν τὰ πρακτικὰ ἐκεῖνα κατέχειν εἰς φύλαξιν, ἀπεδράθραυστον Αἱρετικὸν ὄντα, ὡς δῆλον ἐκ τῆς Νικολάου τοῦ πρώτου πρὸς Μιχαὴλ τὸν Αὐτοκράτορα ἐπιστολῆς. ὁ δὲ Βίνιος τὸ ἀπὸ τῆς σημειώσεως τοῦ χρόνου σόφισμα τοῦ Βαρωνίου ὡς ἀνίσχυρον ἀποβάλλεται, μὴ δυνάμενον τὴν ἐπιστολὴν ἐκείνην ἀνατρέψαι, καὶ φησὶ, Τῇ μαρτυρίᾳ τοῦ Ἀναστασίου ἡ ἐπιστολὴ ἐκείνη ἐδύνατο ἀνωτέρα πλάσματος ἀποδειχθῆναι, καίτοι ἴσως κατὰ λήθην ἐγένετο ἡ ἐπιγραφὴ, εἰ μὴ τὸν ἐκείνης συγγραφέα Νικόλαος ὁ Πάπας τοῖς ἀδοκίμοις Αὐτοκράτορσι καὶ Αἱρετικοῖς συνηρίθμει. ταῦτα Βίνιος ἐν ταῖς εἰς ταύτην τὴν ἐπιστολὴν σημειώσεσιν. αὕτη ἡ ἐπιστολὴ εὑρίσκεται πρὸς τὸ τέλος τῆς τελευταίας πράξεως τῆς ἕκτης συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τῶν λόγων τοῦ Πάπα Νικολάου οὐ δείκνυται λέγεσθαι τὸν Ἰουστινιανὸν Αἱρετικόν.

Οἱ λόγοι τοῦ Νικολάου εἰσὶν οὗτοι, Τοὺς τοσαύτης σωτηρίας Διακόνους διττῶς ἀποκτείναντες, ἐπειδὴ οἱ ποιήσαντες αὐτοὺς μετόχους τῆς ἑαυτῶν Αἱρέσεως, πνευματικῶς ἐθανάτωσαν, καθάπερ ἐν τοῖς χρόνοις τοῦ ἐνμακαρίᾳ τῇ μνήμῃ Κόνωνος Πάπα συμβέβηκεν, ὅστις ἦν μετὰ τὴν ἕκτην Σύνοδον, οἳ πάντως σωματικῶς ἐκείνους μὴ συμφρονήσαντας αὐτοῖς, ἐφόνευσαν, καθάπερ ἐπὶ τοῦ εὐλαβεστάτου Πάπα Γρηγορίου ἐγένετο, ὅστις μετὰ τὴν ἕκτην Σύνοδον ἦν, ὅτε διὰ ζῆλον τῆς πίστεως καὶ τὴν πρὸς τὰς ἁγίας Εἰκόνας τιμὴν ἄνδρες εὐλαβεῖς καὶ πιστοὶ τοῦ Θεοῦ διάκονοι εἰς ἐξορίαν ἐπέμφθησαν, καὶ μετὰ τῆς καλῆς ὁμολογίας ἐτελεύτησαν. ταῦτα Νικόλαος περὶ τῶν προκατόχων τοῦ Αὐτοκράτορος Μιχαὴλ, ὅτε ὁ Νικόλαος ὠργίσθη κατὰ τοῦ Μιχαὴλ διὰ τὴν καταφρόνησιν τῆς ἐξουσίας ἣν ἔπαθε. δύο δὲ Αὐτοκράτορας καταλέγει ὧν τὰς Αἱρέσεις ἐλέγχει, τὸν Ἰουστινιανὸν δηλονότι, τούτου ὅμως οὐκ ἀποδεικνύει τὴν Αἵρεσι, καὶ γὰρ οὐκ ἠδύνατο οὕτως ἀναφανδὸν ψευσθῆναι, καὶ εἰπεῖν τὸν ὀρθοδοξότατον Αἱρετικὸν, καὶ Λέοντα τὸν Ἴσαυρον, τὸν κατὰ τῶν θείων Εἰκόνων λυττήσαντα.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἐκ τῆς Πενθέκτης Συνόδου. καὶ τοῦ α'. Κανόνος αὐτῆς καὶ τῆς μαρτυρίας Ἀναστασίου ὀρθοδοξότατος δείκνυται ὁ Ἰουστινιανὸς, οἱ δὲ τοῦ Πάπα Νικολάου λόγοι νοοῦνται περὶ τῶν ἀποφάσεων τῆς Πενθέκτης καὶ τῶν καινοτομιῶν καὶ ἐθῶν τῆς Ῥωμαίων Ἐκκλησίας.

Ἡμεῖς δὲ περὶ τῆς Ἰουστινιανοῦ ἐπιστολῆς λέγομεν πλατύτερον, ὅτι αὐτὸς ἀλλότριος ἦν ἀεὶ τῆς μονοθελήσεως, ἐν τῇ ἕκτῃ Συνόδῳ κατακριθείσης, καὶ δῆλον ἀπὸ τοῦ πρώτου Κανόνος τῆς Πενθέκτης, ἐπὶ τῶν ἡμερῶν αὐτοῦ συγκροτηθείσης, ᾗ καὶ αὐτὸς Ἰουστινιανὸς ὑπέγραψε, καὶ αὐτὸν Ἀναστάσιος ἐν τῷ βίῳ Κωνσταντίνου τοῦ Πάπα χριστιανικώτατον καὶ ὀρθόδοξον ὀνομάζει, καὶ κοινωνήσαντα ἐκ τῆς χειρὸς Κωνσταντίνου τοῦ Πάπα ἐν Νικομηδείᾳ τῷ τελευταίῳ ἔτει τῆς βασιλείας αὐτοῦ. τοὺς δὲ λόγους τοῦ Νικολάου ἐννοεῖσθαι χρὴ περὶ ἐκείνων τῶν ἀποφάσεων τῆς Πενθέκτης, ἃς ὁ τοῦ Κόνωνος διάδοχος Σέργιος ὁ πρῶτος ἀπεδοκίμασε, καὶ δι' ἃς παρῃτήσατο παρὰ ταύτῃ τῇ Συνόδῳ ὑπογράψαι. ἐκεῖναι δὲ οὐδὲν περιεῖχον ἐναντίον τῇ πίστει τῆς ἕκτης Συνόδου, ἣν ἐν τῷ πρώτῳ Κανόνι οἱ τῆς Πενθέκτης Συνόδου πατέρες μετὰ τοῦ Ἰουστινιανοῦ ἀσφαλῶς τηρεῖν ὡμολόγησαν, ἀλλ' ἦσαν περί τινων ἐθῶν τῆς Ἐκκλησίας Ῥώμης, ἅπερ ἡ Σύνοδος ἐκείνη κανονικῶς ἀπεδοκίμασεν. ὅθεν Ἀναστάσιος ἐν τῷ βίῳ Σεργίου φησὶν, Ἐν τοῖς χρόνοις τούτου Ἰουστινιανὸς ὁ Αὐτοκράτωρ ἐν τῇ βασιλευούσῃ πόλει Σύνοδον ἐκέλευσε γενέσθαι, ἐν ᾗ καὶ οἱ πρέσβεις τῆς ἀποστολικῆς καθέδρας συνῆλθον, καὶ ἀπατηθέντες ὑπέγραψαν. κατεβιάζετο δὲ καὶ αὐτὸς (ὁ Πάπας Σέργιος) ὑπογράψαι, ἀλλ' οὐδ' ὅλως ἡσύχασε, διὰ τὸ τινὰ κεφάλαια περιέχεσθαι ἐν αὐτῇ παρὰ τὸ ἔθος τὸ ἐκκλησιαστικόν. ταῦτα Ἀναστάσιος.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι καὶ ἐκ τῶν χρόνων καὶ ἐκ τοῦ α'. Κανόνος τῆς Πενθέκτης διαβεβαιοῦται ἡ πρὸς τὸν πέμπτον Ἰωάννην ἐπιστολὴ τοῦ Ἰουστινιανοῦ γνησία, καὶ περὶ τοῦ τίνα τῶν τῆς Πενθέκτης ἀπεδοκίμασε Σέργιος Ῥώμης, καὶ τὶ ἀπεδέξατο.

Παρὰ

Παρὰ ταῦτα, ἐπειδὴ ἡ Πενθέκτη Συνόδος συνεκροτήθη ἑβδόμῳ (ἢ κατὰ τὸν Βαρώνιον ὀγδόῳ) ἔτει τῆς βασιλείας Ἰουστινιανοῦ, δῆλον ὅτι αἱ ἐπιστολαὶ ἐκεῖναι περὶ τῆς ἕκτης Συνόδου πρὸς τὸν Πάπαν Ῥώμης ἐδόθησαν ἕξ, ἢ τοὐλάχιστον πέντε πρὸ τῆς Πενθέκτης Συνόδου ἔτεσιν, ἐδόθησαν γὰρ δευτέρῳ ἔτει τῆς βασιλείας Ἰουστινιανοῦ, ὅθεν οὔθ' ὁ χρόνος, οὔτε τὸ ἐπιχείρημα τῆς Πενθέκτης Συνόδου κατ' οὐδὲν μέρος διασείει τὴν αὐθεντίαν τῆς μνημονευθείσης ἐπιστολῆς, ἀλλ' ἐκ τοῦ πρώτου Κανόνος τῆς Συνόδου ἐκείνης διαῤῥήδην αὕτη βεβαιοῦται. ἀληθὴς ἄρα ἡ περὶ ταύτης τῆς ἐπιστολῆς διήγησις τοῦ Ἀναστασίου, καὶ γνησία ἐστὶ τοῦ Ἰουστινιανοῦ, καὶ οὐκ ἀντιλέγει Νικόλαος. ὁ δὲ Σέργιος διὰ τὸ ἀποκιμάζειν ἐκεῖνα μόνον ἐν τῇ Πενθέκτῃ Συνόδῳ, ἅπερ τὰς καινοτομίας τῆς ῥωμαϊκῆς Ἐκκλησίας κατήλεγχε, παρῃτήσατο ὑπογράψαι, οὔτ' ἐκεῖνος ὅμως, οὔτε τὶς Ῥώμης Ἀρχιερεὺς τὸν πρῶτον ἐκείνης τῆς Συνόδου Κανόνα ἐμέμψατο. ἐμέμψατο γὰρ ἂν αὐτὸν, εἴπερ ἐνόμιζε δυνατὸν εἶναι ὑπ' αὐτοῦ τοῦτο γενέσθαι δικαίως, ἐπειδὴ καὶ ἄλλα τινὰ κατακρίνει. κατὰ τοῦτο δὲ καὶ ὁ Σέργιος Ῥώμης τὸν πρῶτον ἐκεῖνον Κανόνα ἀποδέχεται, καθ' ὃν ἡ τοῦ Ὀνωρίου κατάκρισις μνημονεύεται καὶ ἀναλαμβάνεται.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἀποδέδεικται κατακεκρίσθαι τὸν ά. Ὀνώριον Ῥώμης ὑπὸ Συνόδων, Βασιλέων καὶ Παπῶν, ὧν οὐδεὶς ἐγίνωσκε τὴν ἐπίπλαστον αἰαμαρτησίαν τοῦ Ῥώμης.

Τὴν δὲ Ὀνωρίου κατάκρισιν ἐκύρωσε παρὰ ταῦτα ἥ τε ἐν Νικαίᾳ τὸ δεύτερον Σύνοδος, καὶ οἱ Δεφένσορες ταύτης Κωνσταντῖνος καὶ Εἰρήνη, καὶ Ἀδριανὸς ὁ πρῶτος, ὅστις καὶ τὴν Πενθέκτην ἀπεδέξατο, καὶ ἡ ἐν Κωνσταντινουπόλει κατὰ Φωτίου Σύνοδος καὶ ὁ Δεφένσωρ αὐτῆς Βασίλειος ὁ Αὐτοκράτωρ, καὶ ἡ ἐν Ῥώμῃ Σύνοδος, καὶ ὁ προέδρος αὐτῆς Ἀδριανὸς ὁ δεύτερος, καὶ Ἰωάννης ὁ ὄγδοος ὁ ἐκείνου διάδοχος, ᾧ καὶ Ἀναστάσιος τὴν ἑαυτοῦ μετάφρασιν τῆς ἑβδόμης Συνόδου ἀνέθηκεν, ἐν ᾗ ὁ Ὀνώριος αὖθις καὶ αὖθις ἀναθεματίζεται, πρόσθες καὶ τοὺς λοιποὺς πάντας τοὺς ἐκείνας τὰς Συνόδους ἀποδεξαμένους. ἀλλὰ δὴ καὶ Σεβερῖνος καὶ Ἰωάννης καὶ Θεόδωρος καὶ Μαρτῖνος οἱ Πάπαι, καὶ αἱ κατ' ἐκείους Σύνοδοι οὐδὲν εἶπον περὶ δικαιώσεως αὐτοῦ. εἰ δὲ καὶ οὐ κατέκρινον αὐτὸν ῥητῶς, ἀλλὰ συνεπτυγμένως ἀνεθεμάτισαν αὐτὸν, ὡς εἴρηται ἀνωτέρω. ἐδείχθη ἄρα, ὅτι ὁ πρῶτος Ὀνώριος ἀληθῶς καὶ πραγματικῶς κατεκρίθη διὰ τὴν Ἄρεσιν ὑπὸ τῆς ἕκτης καὶ τῶν ἄλλων Συνόδων, ὑπό τε Αὐτοκρατόρων καὶ αὐτῶν τῶν Ῥώμης Ἀρχιερέων. καὶ δὴ αἱ Σύνοδοι ἐκεῖναι καὶ οἱ Αὐτοκράτορες καὶ οἱ Πάπαι οὐκ ἐγίνωσκον τὴν ἐπίπλαστον ταύτην τοῦ Πάπα Ῥώμης ἀναμαρτησίαν, ἣν ἀναιδῶς καὶ ἱεροσύλως καυχῶνται ἔχειν τὸν Πάπαν οἱ παπισταί.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Κατὰ τῆ ἐσχάτης καταστροφῆς τῶν παπιστῶν, λάθρα πλανηθῆναι ὡς πρόσωπον ἰδιάζον, οὐ μὴν παῤῥησίᾳ ὡς Πάπαν Ῥώμης τὸν Ὀνώριον λεγόντων, ὧν πρῶτος τερατολόγος Στανίσλαος ὅσιος Ἐπίσκοπος Βαρνιένσης.

Στανίσλαος Ὅσιος Ἐπίσκοπος Βαρνιένσης βιβλίῳ δευτέρῳ κατὰ Βρεντίου περὶ τῶν νομίμων κριτῶν τῶν ἐκκλησιαστικῶν πραγμάτων φησὶν, ἵνα πιστεύσωμεν ἀληθὲς εἶναι, ὅτι τοιοῦτόν τι Ὀνώριος ἔγραψεν, ἰδίαν οὗτος ἐπιστολὴν πρὸς Σέργιον ἔγραψεν, οὐδὲν ὅμως ἐκ τῆς ἀποφάσεως τῆς Συνόδου μὴ περὶ τοῦ πράγματος καλῶς καὶ ἐξηκριβωμένως βουλευσάμενος μετὰ τῶν ἀδελφῶν ἀπεφήνατο. εἰ οὖν τοιοῦτόν τι πεποίηκεν ὁ Ἀρχιερεὺς, εἰ μὲν κατ' ἰδίαν παρέδωκέ τι, τοῦτο οὐκ ἔστιν ὅλως ἀποδοτέον τῇ πέτρᾳ. καὶ κατωτέρω. Διεδέξαντο τοιγαροῦν πάντες οἱ τῆς Ῥώμης Ἀρχιερεῖς, εἰ μὴ τοσοῦτον κατὰ τὴν πρᾳότητα καὶ ἁγιωσύνην τὸν Πέτρον, ἀλλ' οὖν κατάγε τὴν πίστιν καὶ τὴν διδασκαλίαν, ἣν δὴ, καὶ οὐκ ἄλλην, δημοσίᾳ ἀεὶ ὡμολόγησαν. τὶ γὰρ ἐν τῇ καρδίᾳ ἑκάστου ἐγκέκλεισται, ἐκείνου ἐστὶ μόνου κρίνειν τοῦ ἐτάζοντος καρδίας καὶ νεφροὺς, ζητεῖ δὲ παῤῥήμων ἡ χριστιανικὴ ἀγάπη, ἵνα καλῶς περὶ πάντων ὑπολαμβάνωμεν, καὶ καθολικοὺς πάντας ἔχωμεν ἐκείνους, οὓς οὐδὲν τῇ καθολικῇ πίστει ἐναντίον παῤῥησίᾳ ὁρῶμεν ὁμολογήσαντας. ταῦτα ὁ Ὅσιος.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ δευτέρου τερατολόγου Μελχίορος Κάνου Ἐπισκόπου Καναριένσης, τὴν ἰδιάζουσαν κατὰ ψυχὴν πλάνην καὶ ἐσωτερικὴν πίστιν μὴ εἶναι ἀναγκαίαν τῇ Ἐκκλησίᾳ ἀποφαινομένου,

Ὁ δὲ

Ὁ δὲ μελχίωρ Κανὼς Ἐπίσκοπος Καναριένσης βιβλίῳ ἕκτῳ περὶ τόπων θεολογικῶν, κεφαλαίῳ ἑβδόμῳ. Οὐκ ἔστι φησὶν ἀρνηθῆναι ὅτι καὶ ὁ ἄκρος Ἀρχιερεὺς οὐ δύναται γενέσθαι Αἱρετικὸς, ἔχομεν εἰς παράδειγμα ἴσως ἕνα καὶ ἄλλον προενεγκεῖν, ἀλλ' ὅτι ἐν τῇ κρίσει τῆς πίστεως ἀποφηνάμενον κατὰ τῆς πίστεως οὐδένα δυνάμεθα εὑρεῖν, οὐ γάρ ἐστιν ἡ ἐσωτερικὴ πίστις τοῦ Ῥώμης ἀναγκαία τῇ Ἐκκλησίᾳ, οὔτε ἡ ἐκείνου κρυφία καὶ ἰδιάζουσα κατὰ ψυχὴν πλάνη τὴν Ἐκκλησίαν Χριστοῦ δύναται παραβλάψαι. ὅθεν οὐκ ἀνάγκη ἐπιστατεῖν ἀεὶ τὸν Θεὸν ἐπὶ τῇ διατηρήσει τῆς ἐσωτερικῆς πίστεως τῶν Ῥώμης Ἀρχιερέων, ἀλλ' ἵν', ὅταν ψηφίζωνται περὶ ἐκείνων ἅπερ εἰσὶ τοῖς πιστοῖς παραδεκτέα, καὶ ὅταν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν εὐθύνωσιν ἐν τῇ πίστει μὴ ἐκλείπωσιν, ἀλλὰ κρατῶνται ὑπὸ τῆς θείας χειρὸς, τοῦτο ἐστὶν ἀναγκαῖον τῇ Ἐκκλησίᾳ, τοῦτο δὲ τοῖς Ῥωμαίων Ἐπισκόποις, καίτοι ἀσθενέσι καὶ ἄλλως κατ' ἰδίαν πλανηθεῖσιν, οὐκ ἀρνησόμεθα, ἵνα μὴ δηλονότι διὰ τὴν πλάνην τῆς κοινῆς ἐξουσίας τὴν Ἐκκλησίαν ποιήσωσιν ἐν τῇ κοινῇ τῆς ἀληθείας ἀγνοίᾳ ἀναστρέφεσθαι. ταῦτα Κανὼς.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ τρίτου τερατολόγου Βελλαρμίνου, ἔνστασιν πρὸς ἑαυτὸν ποιοῦντος, καὶ τὸν Ὀνώριον ὡς ἰδιάζοντα ἄνθρωπον ὑποκρύπτοντα τὴν Αἵρεσιν, καὶ οὐχ ὡς Πάπαν παρασφαλῆναι λέγοντος.

Ὁ δὲ Βελλαρμῖνος βιβλίῳ τετάρτῳ περὶ τοῦ Πάπα, κεφαλαίῳ ἑνδεκάτῳ, παραγράφω ἘΡΕΙΣ, ἔνστασιν ποιεῖται πρὸς ἑαυτὸν λέγων, ὅτι αἱ Συνόδοι ἐπίστευσαν δύνασθαι τὸν Πάπαν παρασφαλῆναι, ἐπειδὴ τὸν Ὀνώριον ἐπίστευσαν Αἱρετικὸν γεγονέναι. ἀποκρίνομαι (φησὶν) ὅτι ἐπίστευσαν ἐκεῖνοι οἱ πατέρες μόνον τὸν Πάπαν δύνασθαι παρασφαλῆναι ὡς ἰδιάζοντα ἄνθρωπον, αὕτη δέ ἐστι γνώμη εὐπαράδεκτος, εἰ καὶ ἡ ἐναντία ταύτης ἡμῖν δοκεῖ εὐπαραδεκτοτέρα. τοῦτο γάρ ἐστι περὶ οὗ κατηγορεῖται Ὀνώριος, ὅτι ἐν ταῖς ἰδιαζούσαις ἐπιστολαῖς Αἵρεσιν ὑπέθαλπε καὶ ὑπέκρυπτε. ταῦτα ἐκεῖ. Ὁ αὐτὸς ἐν τῷ αὐτῷ βιβλίῳ, κεφαλαίῳ δευτέρῳ καὶ τρίτῳ, πειρᾶται βέβαιον δεῖξαι. ὅτι δηλαδὴ ὁ Ῥώμης καὶ μόνος καὶ ἄνευ Συνόδου κατὰ μηδένα δύναται τρόπον ἀποφήνασθαί τι αἱρετικὸν, παρὰ πάσης πιστευτέον τῆς Ἐκκλησίας, καὶ οὐ δύναται κατ' οὐδένα τρόπον παρασφαλῆναι, ὅταν πᾶσαν διδάσκῃ τὴν Ἐκκλησίαν περὶ ὧν ἀποβλέπουσι πρὸς τὴν πίστιν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τοῦ τετάρτου τερατολόγου Γρετζέρου, τὸν Πάπαν ἢ Πάπαν καὶ μόνον καὶ μετὰ Συνόδου οὐ δύνασθαι σφαλῆναι λέγοντος, τὴν δὲ Σύνοδον δύνασθαι, ἧς μείζων ὁ Πάπας ὅτι Πάπας, οὗ καὶ τὸ πᾶν τῆς Συνόδου ἐξήρτηται.

Τὸ αὐτὸ καὶ Γρετζέρος διδάσκει ἐν τῇ ἀπολογίᾳ ἐκείνων τῶν κεφαλαίων, φησὶ γὰρ, ὁ Πάπας καθὸ τοιοῦτος ἀποφαινόμενος περί τινος, οὐ μόνον μετὰ τῆς Οἰκουμενικῆς Συνόδου οὐ δύναται πλανηθῆναι, ἀλλ' οὐδὲ μόνος καὶ ἄνευ Συνόδου. ἡ μέντοι Σύνοδος ἄνευ τοῦ Πάπα δύναται πλανηθῆναι, ὅθεν μείζων ἐστὶν ἡ αὐθεντία τοῦ Πάπα, ἢ τῆς Συνόδου, μάλιστα συνημμένης καὶ συνειλημμένης μετὰ τοῦ Πάπα καὶ τῆς Συνόδου, πᾶσα ἡ τῆς Συνόδου ἀσφάλεια ἐκ τοῦ Πάπα ἐξήρτηται καὶ παράγεται, ἀλλ' οὐκ ἐξεναντίας. ἐντεῦθεν καὶ τὸ ἄλλο τοῦ Γρετζέρου σόφισμα ἐξελέγχεται, διατοῦτο γάρ φησιν ὁ Πάπας οὐ πλανᾶται σὺν τῇ συνόδῳ, διότι Πάπας ἐστὶ, καὶ οὐ δι' ἐκείνην τὴν αἰτίαν διότι φρονεῖ τὸ αὐτὸ μετὰ τῆς Συνόδου, ὡσανεὶ τὸ βέβαιον καὶ ἡ ἀσφάλεια τῆς γνώμης καὶ ἀποφάσεως ἀπὸ τῆς Συνόδου εἰς τὸν Πάπαν παρήγετο καὶ ἐξήρτητο. ταῦτα Γρετζέρος ἐν τῇ ἀντιλήψει τοῦ Βελλαρμίνου βιβλίῳ τετάρτῳ περὶ τοῦ Ῥώμης Ἀρχιερέως, κεφαλαίῳ δευτέρῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι τὴν γνώμην Νείλου, Γέρσωνος, Ἀλφόνσου Νδεκάστρο καὶ Ἀδριανοῦ Πάπα τὴν λέγουσαν δύνασθαι τὸν Πάπαν ἢ Πάπαν γενέσθαι Αἱρετικὸν, ὁ Βελλαρμῖνος αἱρετικὴν ὀνομάζει, καὶ ἕτερα τινὰ ἐρεσχελεῖ σὺν τῷ φλυάρῳ Σταπλετόνῳ.

Ὁ δὲ Βελλαρμῖνος ἐν τῇ ἀνασκέψει τοῦ αὐτοῦ κεφαλαίου τὴν γνώμην τοῦ Νείλου καὶ Γέρσωνος καὶ Ἀλμαΐνου καὶ Ἀλφόνσου Νδεκάστρο καὶ τοῦ Πάπα Ἀδριανοῦ αὐτοῦ λεγόντων τὸν Πάπαν καὶ ὡς Πάπαν δύνασθαι γενέσθαι Αἱρετικὸν καὶ διδάξαι Αἵρεσιν, εἰ χωρὶς Οἰκουμενικῆς Συνόδου ἀποφαίνηται, καὶ συμβεβηκέναι ποτὲ ἐμπράκτως, ταύτην φημὶ τὴν γνώμην κρίνει ὁ Βελλαρμῖνος εἶναι οὕτω σαφῶς ἐσφαλμένην, ὡς δύνασθαι δικαίως τῇ κρίσει τῆς Ἐκκλησίας καὶ αἱρετικὴν ὀνομάζεσθαι. Ὁ αὐτὸς βιβλίῳ

τετάρτῳ

τετάρτῳ περὶ τῦ Πάπα, κεφαλαίῳ τρίτῳ, Παραγράφῳ ΑΠΟΚΡΙΝΟΝΤΑΙ, ἀγωνίζεται ὅλον τὸ σεβάσμιον τῶν νομίμων Συνόδων δεῖξαι ὅτι ἐστὶν ὑπὸ τῦ Πάπα, καὶ ἡμεῖς μὲν ὑπὸ τῦ Πάπα, μέρος δὲ ὑπὸ τῆς Συνόδου. εἶτα φησὶ, Μὴ εἶναι ἀνάγκην πολλάκις συγκροτεῖσθαι Σύνοδον οἰκουμενικὴν, ὥσπερ ἦν ἀνάγκη ἐν τοῖς πρώτοις τετρακοσίοις ἕνεκα τῦ διωγμῦ. ἔπειτα ἐὰν ἡ Σύνοδος διαφωνήσῃ ὑπὸ τῦ Πάπα, ἔπεσθαι χρὴ τῷ Πάπᾳ ὡς ἀσφαλεστέρῳ κριτῇ, ἀφέντας τὴν Σύνοδον ὡς σφαλερόν. καὶ κεφαλαίῳ δευτέρῳ, Ἀδύνατον ἐστὶ τὸν Πάπαν καὶ μόνον σφαλῆναι καὶ ἐσφαλμένως ἀποφήνασθαι κ. τὸ αὐτὸ διδάσκει καὶ Σταπλετόνος κατὰ Βιτακέρ β βλίῳ πρώτῳ τῆς ἀντιλήψεως τῆς ἐκκλησιαστικῆς ἐξουσίας. Ἐν τῇ ῥωμαϊκῇ καθέδρᾳ (φησὶ Δελέδων βιβλίῳ τετάρτῳ περὶ ἐκκλησιαστικῶν δογμάτων, κεφαλαίῳ τρίτῳ, μέρει τρίτῳ) μέχρι τῦ νῦν ὑδεὶς ἐκάθισεν Αἱρεσιάρχης, ὃς διδάσκων ὡρίσατό τι τῇ ἡμετέρᾳ πίστει ἀντιμαχόμενον. ταύτῃ τῇ περὶ τῆς τῦ Πάπα καὶ μόνου ἀσφαλείας γνώμῃ ὁ Βελλαρμῖνος εἶναι λέγει καινοτάτην ἁπάντων χεδὸν τῶν παπισῶν.

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Περὶ ἧς φασὶν οἱ παπισαὶ, δι' ὧν ποιοῦσιν ἐνταῦθα ἐξαιρέσεων, διαφορᾶς μεταξὺ τῆς Πάπα ἢ Πάπα ὁμολογίας καὶ τῆς ὀνωρίου καθὸ ἀνθρώπου.

Ποία δὲ διαφορά ἐστι μεταξὺ τῆς παπικῆς ὁμολογίας ἐν τῇ διδασκαλίᾳ καθὸ ἐστὶ Πάπας, καὶ τῆς ὀνωριανῆς καθό ἐστιν Ὀνώριος πρόσωπον ἰδιάζον, διδάσκουσιν οἱ παπισαὶ διὰ τούτων τῶν ἐξαιρέσεων, πρῶτον, ὃ, ἢ λαθραίως καὶ ἐσωτερικῶς ἐν τῇ καρδίᾳ ἐγκεκρυμμένον κατέχει ὁ Πάπας, τοῦτο κατέχει ὡς πρόσωπον ἰδιάζον, ὃ, ἢ δὲ παῤῥησίᾳ ὁμολογεῖ, ἐκεῖνο ἐστὶ παπικόν. τὴν δὲ κατὰ παῤῥησίαν ὁμολογίαν ἐξηγεῖται ὁ Δελέδων, φησὶν, ὅτι ἐστὶν, ὅταν ὁ Πάπας διδάσκων ὑποφαίνεταί τι, ἢ διδάσκει ὑποφαντικῶς, ὁ δὲ Καῖος φησὶν, ὅτε ὁ Πάπας διακρίνει ἐκεῖνα ἅπερ εἰσὶ τοῖς Χριστιανοῖς πιστευτέα, καὶ ὅτε τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ἐν τῇ πίστει ῥυθμίζει. ἐκεῖνο δὲ πλάνην τοῦ Πάπα ὁ Καῖος καλεῖ ὡς παπικὴν καὶ δημοσίαν, ἥτις ἔτω φανερῶς προφέρεται ὑπὸ τοῦ Πάπα, ὥστε τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ὑπ' ἐκείνης τῆς πλάνης προβλαβῆναι, ἢ δυνάσθαι προβλαβῆναι. ὁ δὲ Βελλαρμῖνος δηλότερον φησὶν, ὅτε ὁ Πάπας ὑποφαίνεταί τι, προβῇ πάσης τῆς Ἐκκλησίας πιστευτέον, ἢ ὅτε πᾶσαν τὴν Ἐκκλησίαν διδάσκει.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς καταστροφῆς τῆς γελοιώδους διαφορᾶς τοῦ Πάπα ἢ Πάπα καὶ καθὸ ἀνθρώπου τοῦ αὐτοῦ, καὶ καὶ δεῖξις ὅτι καὶ ὡς Πάπας Αἱρετικὸς ὁ Ὀνώριος.

Πρὸς ταῦτα ῥητέον, γελοίως ἀληθῶς, ὡσανεὶ μὴ ἦν ἡ αὐτὴ ὅλης τῆς Ἐκκλησίας καὶ τῶν μερῶν αὐτῆς πίστις. τοῦτο ἐστὶν ἀληθῶς νοῦτα δοῦναι ἐν τῷ πολέμῳ, καὶ πᾶσαν αἰελεῖν ἐλπίδα τῶν μερικῶν ἀνθρώπων καὶ Ἐκκλησιῶν εἰς τὸ τί βέβαιον ἀκοῦσαι ὑπὸ τοῦ στόματος τοῦ Πάπα ὅταν ἐρωτῶσιν ἐκεῖνον περίλυπος ζητήματος τῆς χριστιανικῆς πίστεως, εἰ μὴ ἄρα πᾶσα καθόλου ἡ Ἐκκλησία τῆς οἰκουμένης ὅλης πρὸς τὸν Πάπαν συῤῥοῦσα περὶ ἐκείνου τοῦ ζητήματος ἐρωτήσασα, καὶ τῇ ἐκείνου ζῶσαν φωνῇ ἅμα ὑπομενοῦσα ἀκροασομένη, ἡ γὰρ ἀρκεῖ ἡ βοῦλλα, ἢ ἡ Δεκρετάλις ὑπόμνησις. ἐν γὰρ λόγῳ Καινόνος καὶ σάθμης ἐγγράφου ἀρκεῖ ἡ θεία γραφὴ τῆς παλαιᾶς καὶ νέας Διαθήκης, καὶ οἱ ἑρμηνευταὶ ταύτης ἅγιοι πατέρες διά τε συγγραμμάτων καὶ συνοδικῶν ὑποφάσεων, καὶ τὰ λάχιστον διὰ τῶν προέδρων τῆς Ἐκκλησίας, ὡς ἐρρέθη κατωτέρω βιβλίου δεκάτου, μέρους τρίτου, κεφαλαίου τρίτου, τμήματος ἕκτου Παραγράφῳ ἑβδόμῳ, οἷς ὁ ἀντιλέγων οὐκ ἔστι Χριστιανὸς, ὡς βοῶσι καὶ αἱ ἅγιαι Σύνοδοι κοινῶς καὶ οἱ ἅγιοι πατέρες ἰδίως. ἀλλ' οἱ καθ' ἡμᾶς σοφισταὶ τὴν τοῦ Πάπαν ζῶσαν φωνὴν φασὶν εἶναι ἄλλον Καινόνα ἄγραφον, κατὰ τοῦτο τῆς θείας γραφῆς καὶ τῶν ἁγίων πατέρων διαφέροντα, ὅτι ἡ μὲν γραφὴ κανών ἐστιν ἄψυχος, καὶ ἡ διδασκαλία τῆς Ἐκκλησιαστικῆς κοινότητος ἐστὶ λόγος ἄφωνος καὶ κωφὸς, ἡ δὲ τοῦ Πάπα φωνὴ κανών ἐστιν ἔμψυχος καὶ φωνητικὴ διὰ ζώσης φωνῆς. ἀλλ' ὦ ἄνδρες, ἀδύνατον τὴν τοῦ Πάπα φωνὴν ζῶσαν ἀκοῦσαι, ἢ κατανοεῖσθαι παρὰ πάντων καὶ τῶν καθ' ἕκαστα πάντων ἐθνῶν καὶ γλωσσῶν χριστιανῶν, οἷς ἐστὶ χρεία τῆς ἀνεπιγράφου γνώσεως τοῦ βεβαίου καὶ ἀρκοῦς κανόνος τῶν ἁγίων. ἀλλὰ ταῦτα εἰ βέλονται οἱ παπισαὶ εἰπεῖν ἀληθῆ, ἐροῦσιν ἀναμφιβόλως, τοσοῦτον ἀπεῖναι τὸν σήμερον Ῥώμης Πάπαν διὰ τοῦ χρησμοῦ τῆς αὐτοῦ ζώσης φωνῆς πᾶσαν τὴν Ἐκκλησίαν διδάξαι, ὥστε ἐκ τοῦ ἐναντίου δίκην Κυνὸς κωφοῦ μὴ δυναμένου ὑλακτῆσαι σαφῶς καθυπνοῦν, καὶ μηδεμίαν πάμπαν Ἐκκλησίαν διδάξαι, ἀλλὰ καταλείψαντα τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις, τουτέστιν εἰς τὸ περιφρεῖν καὶ περιοδεύειν τὸν πλοῦτον τῆς ἑαυτοῦ καθέδρας, καὶ περὶ τὴν ἐξωτερικὴν ἐξουσίαν ὅλον ἀναχολοῦσθαι. Οὐαὶ τῷ Ποιμένι καὶ Διδασκάλῳ, εἰ μὴ εὐαγγελίζηται, αὐτῷ γὰρ ἐμπεπλοκται ἡ οἰκονομία, ὡς Παῦλος πρώτῃ πρὸς Κορινθίους, κεφαλαίῳ ἑνάτῳ. ὅθεν καὶ Γρηγό-

Γρηγόριον πρῶτον Ῥώμης ὁμιλίᾳ δεκάτῃ ἑβδόμῃ εἰς τὰ Εὐαγγέλια, καὶ αὐωτέρω κεφαλαίου ἐνδεκάτου Παράγραφον δέκατον. Εἰ δὲ ἐδείξαμεν καὶ δείξομεν ὅτι ὁ Ὀνώριος τὴν ἑαυτοῦ μονοθελητικὴν πλάνην οὐμόνον ἔνδον ἔκρυπτε, καὶ ἰδίως παρέδωκεν, ἀλλὰ καὶ παῤῥησίᾳ ὡμολόγησε, καὶ πάσῃ τῇ Ἐκκλησίᾳ παρέδωκε, καὶ τὴν Ἐκκλησίαν παρέβλαψεν, ἔσται καὶ κατ' αὐτοὺς τοὺς ἐκκλησιαστικοὺς Κανόνας Αἱρετικὸς καὶ ὡς Πάπας.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ὁ Βελλαρμῖνος λέγων διὰ τὸ τεθαλπέναι τὸν Ὀνώριον Αἵρεσιν ἐν ἰδιαζούσαις Ἐπιστολαῖς κατακριθῆναι, δείκνυται ἐνταῦθα λῆρος, οὐσῶν Δεκρετάλεων αὐτοῦ τῶν Ἐπιστολῶν δι' ἃς καὶ κατεκρίθη, καὶ τὶ Δεκρετάλις Ἐπιστολὴ καὶ Δεκρέτον, καὶ περὶ διαιρέσεως τῶν Ἐπιστολῶν τῶν Ἐπισκόπων.

Ῥητέον οὖν πρῶτον, ὅτι ληρεῖ ὁ Βελλαρμῖνος γράφων κατηγορηθῆναι τὸν Ὀνώριον διὰ τὸ τεθαλπέναι ἐν ἰδιαζούσαις Ἐπιστολαῖς Αἵρεσιν, εἰ γὰρ δοίημεν ὑπάρξαι τὰς τοῦ Ὀνωρίου Ἐπιστολὰς ἰδιαζούσας, οὐκ ἔθαλπον ὅμως, ἀλλ' ἐκήρυττον, καὶ μάλιστα ἐβεβαίουν πολυτρόπως καὶ λίαν ἀναφανδὸν τὴν Αἵρεσιν τοῦ Σεργίου, διὸ καὶ κατεκρίθη ὡς γράψας, ὡς ὁ Νεστόριος κατεκρίθη γράψας πρὸς τὸν ἅγιον Κύριλλον ἐν ἰδιαζούσῃ Ἐπιστολῇ τὴν Αἵρεσιν αὐτοῦ, καὶ ἔτι ὡς ὁ Ἄρειος καὶ αὐτὸς ὁ Μανιχαῖος καὶ ἄλλοι Αἱρετικοὶ ἐν ἰδιαζούσαις Ἐπιστολαῖς γράψαντες τὰς Αἱρέσεις αὐτῶν κατεκρίθησαν. δεύτερον, ὅτι ἐν τῇ κατηγορίᾳ καὶ κατακρίσει τοῦ Ὀνωρίου ἐκεῖναι αἱ Ἐπιστολαὶ οὐδαμοῦ ἰδιάζουσαι λέγονται, ἀλλ' ἦσαν δογματικὰ διατάξεις, προβληθεῖσαι ὑπὸ τοῦ Πατριάρχου Ῥώμης δι' Ἐπιστολῶν Πατριαρχικῶν, καὶ ἦσαν Δεκρετάλεις Ἐπιστολαὶ, οἷαι καὶ ἄλλων πολλῶν Παπῶν, αἷς Νικόλαος ὁ Πάπας πρὰ Γρατιανῷ, διαιρέσει δεκάτῃ ἐνάτῃ, ἴσην αὐθεντίαν (ἢ καὶ προανόμως) τοῖς ἐκκλησιαστικοῖς Κανόσιν ἀπονέμει. αἱ γὰρ Δεκρετάλεις Ἐπιστολαὶ τοῦ Κανόνος καὶ τοῦ Δεκρέτου διαφέρουσιν, ὡς διδάσκει ὁ Γρατιανὸς διαιρέσει τρίτῃ Κανόνι ΠΑΝΤΕΣ. κοινωνοῦσι μὲν γὰρ ἐν τούτῳ, ὅτι εἰσὶ διατάξεις ἐκκλησιαστικαὶ, διαφέρουσι δὲ, ὅτι Κανὼν λέγεται ἐκεῖνο, ὅπερ ἐν τῇ Οἰκουμενικῇ Συνόδῳ διατάττεται καὶ διορίζεται, ἢ τὸ ὑπὸ Συνόδου μερικῆς διορισθὲν, ὑπὸ δὲ τῆς καθόλου βεβαιωθέν. Δεκρέτον δὲ, ὅπερ ὁ Πατριάρχης ἀποφαίνεται μετὰ τῆς Συνόδου αὐτοῦ πρὸς μηδενὸς συμβουλὴν ἢ ἀπόκρισιν. Δεκρετάλις δὲ Ἐπιστολὴ λέγεται, ἣν ὁ Πατριάρχης, ἤτοι ὁ Πάπας διατάττει ἢ μόνος, ἢ μετὰ τῆς Συνόδου αὐτοῦ πρὸς δογματικὴν συμβουλὴν τινός. Ὅτι δὲ ὁ Γρατιανὸς ἀληθέστερός ἐστι τοῦ Νικολάου, λέγομεν, ὅτι αἱ Ἐπιστολαὶ τῶν Ἐπισκόπων διαιροῦνται εἰς πέντε, πρῶτον, εἰς τὰς ἰδιαζούσας, ὡς εἴπομεν ἀνωτέρω. δεύτερον, εἰς τὰς ἐνθρονιαστικὰς, ὡς ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίῳ δωδεκάτῳ. τρίτον, εἰς τὰς συνοδικὰς διαταγὰς, αἵτινες οὐ πέμπονται, ἀλλ' ἐν τοῖς Κῴδιξι μόνον τῶν Ἐκκλησιῶν καταγράφονται, καὶ ταύτας ἰδιαίτερον οἱ μὲν Ἀνατολικοὶ Τόμους, οἱ δὲ Δυτικοὶ Δεκρέτα καλοῦσι. τέταρτον, εἰς τὰς συνοδικὰς, ὧν αἱ μὲν πέμπονται εἰς διάφορα πρόσωπα καὶ Ἐκκλησίας, αἱ δὲ ἀποστέλλονται εἰς τὰς Οἰκουμενικὰς Συνόδους, καὶ πᾶσαι διαλαμβάνουσιν ὑπὲρ τῆς καθολικῆς πίστεως, ὑπὲρ τῶν θείων δογμάτων, ὑπὲρ διαφόρων ἐκκλησιαστικῶν ὑποθέσεων, καὶ ὑπὲρ τῶν χριστιανικῶν ἠθῶν, καὶ αὗται πᾶσαι Δεκρετάλεις πρὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας καλοῦνται. πέμπτον, εἰς τὰς πρὰ τῶν Οἰκουμενικῶν Συνόδων εἰς διάφορα πρόσωπα καὶ Ἐκκλησίας πεμπομένας, αἵτινες ὡς Ὅροι καὶ Κανόνες τιμῶνται. αἱ μὲν γὰρ ἰδιάζουσαι καὶ αἱ λοιπαὶ πᾶσαι ποτὲ μὲν δέχονται, ποτὲ δὲ κατακρίνονται ἐξεταζόμεναι, ὡς λόγου χάριν ἡ Βασιλείου περὶ οὐσίας καὶ ὑποστάσεως πρὸς τὸν ἀδελφὸν ἐν τῷ προσφωνητικῷ τῆς ἐν Χαλκηδόνι Συνόδου ἐπαινεῖται, ἀθετοῦνται δὲ ὑπ' αὐτῆς αἱ τοῦ Πρόκλου καὶ Κυρίλλου πρὸς τὸν Ἀντιοχείας Δόμνον ὑπὲρ τοῦ Ἐπισκόπου Πέρρης Ἀθανασίου. αἱ ἐνθρονιαστικαὶ Σεβήρου ἀναθεματίζονται εἰς Ἱερουσαλὴμ, καὶ αἱ τοῦ Εὐθυμίου καὶ Μακεδονίου Ἐπισκόπων Κωνσταντινουπόλεως τοιαῦται καταφρονοῦνται ὑπὸ τῶν Ἐπισκόπων Ῥώμης, ἡ δὲ τοῦ Σωφρονίου ἐνθρονιαστικὴ ἐπαινεῖται ὑπὸ τῆς ἕκτης. βεβαιοῦνται πολλοὶ Τόμοι τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς, καὶ πολλὰ Δεκρέτα τοῦ Ῥώμης ὑπὸ τῶν μεταταῦτα Πατριαρχῶν καὶ τοῦ Πάπα, καὶ ἀθετοῦνται πολλοὶ Τόμοι καὶ πολλὰ Δεκρέτα ὑπὸ τῶν μεταγενεστέρων τοιούτων Ἐπισκόπων, ὡς εἴρηται καὶ ῥηθήσεται περὶ τῶν ἐν Ῥώμῃ καὶ ἐν τοῖς λοιποῖς Πατριαρχικοῖς θρόνοις σχισμάτων. τιμῶνται πρὰ τῆς Ἐκκλησίας τὰ συνοδικὰ, ἤτοι αἱ Δεκρετάλεις τοῦ Ἀλεξάνδρου κατὰ Ἀρείου, τοῦ Ἀθανασίου πρὸς Λιβύην, τοῦ Μαξίμου Ἱεροσολύμων εἰς Αἴγυπτον, τοῦ Κυρίλλου πρὸς Νεστόριον, τοῦ Δαμάσου πρὸς τὸν Θεσσαλονίκης, τοῦ Καππάδοκος καὶ τοῦ Μηνᾶ πρὸς τὸν Ἱεροσολύμων, καὶ ἀνάπαλιν. τὰ δὲ ἐν Ἐφέσῳ τοῦ Ῥώμης καὶ τῶν λοιπῶν Πατριαρχῶν δικαιοῦντα τὰ μὲν τὸν Βασσιανὸν, τὰ δὲ τὸν Στέφανον, ἀθετοῦνται καθάπαξ ὑπὸ τῆς τετάρτης Συνόδου. αἱ Ἐπιστολαὶ Κυρίλλου πρὸς τὴν τρίτην Σύνοδον, ἡ τοῦ Λέοντος πρὸς τὴν τετάρτην, ἡ τοῦ Ἀγάθωνος καὶ Σωφρονίου πρὸς τὴν ἕκτην, ἡ τοῦ Ἀδριανοῦ καὶ Ταρασίου καὶ Θεοδώρου Ἱεροσολύμων καὶ αἱ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς πρὸς τὴν ἑβδόμην, πᾶσαι ἐν ταῖς ῥηθείσαις Οἰκουμενικαῖς Συνόδοις μετὰ πολλῆς ἐρεύνης ἐξετασθεῖσαι, δοκιμασθεῖσαι καὶ κριθεῖσαι ἐδέχθησαν, καὶ ἴδε τοὺς τόπους. αἱ δὲ τῶν Οἰκουμενικῶν

Συνόδων

Συνόδων σωοδικὴ ἐπιστολὴ Κανόνος τάπον ἐπέχουσαι, καὶ μάλιστα τὸς Κανόνας καὶ τὸς Ὅρους τῶν Σωνόδων βεβαιῶσαι, ἃ δέποτε ἐκρίθησαν, ἢ κριθήσονται, ὁ γὰρ κρίνων αὐτὰς, ἢ ἀντιλέγων αὐταῖς, Αἱρετικός ἐστί. καλῶς ἂν καὶ δύσεβῶς διήρηκεν ὁ Γραμματικὸς τὸ Δεκρέτον, τὰς Δεκρεταλεις καὶ τὸς Κανόνας, καὶ ὀρθῶς παραινεῖ ὁ αὐτὸς, ὅτι ἐν ταῖς Δεκρεταλεσιν ἐπιστολαῖς τῶν Παπῶν δίρεθῆ τὰ ὠφελοῦντα τὰ Δεκρέτα τῶν πατέρων, ἢ τῶν διαγγελικῶν κανόνων ἐναντίον, ἀθετεῖσθαι αὐτὰς δικαίως, διαιρέσει δεκάτῃ ἑνάτῃ Παραγράφῳ ΤΟΥΤΟ ΔΕ'. ἐρχόμενοι δὲ εἰς τὸ ὠφελημένον λέγομεν, ὅτι Δεκρεταλεις ἦσαν αἱ ὠφὸς Σέργιον Ὀνωρίε ἐπιστολαὶ, καὶ τοιούτων ἐπιστολῶν αὐθεντίᾳ χρῆται τὸ πλέον μέρος τὰ ἀρχιερατικὰ δικαίᾳ ἐν τῷ Δεκρέτῳ καὶ ἐν ταῖς Δεκρεταλεσι. δικαίως ἄρα ὑπὸ τῆς ἁγίας Σωνόδε ἀποφαντικῶς ἅμα τῷ γεάψαντι κατεκρίθησαν.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι καὶ δι' ἐπιστολῶν καὶ Δι' ὅλης ὠφὸς τὰς τὰ Ἱεροσολύμων Λεγάτας ἀποκρίσεως αὐτὰ ὁ Ὀνώριος παρρησίᾳ τῇ Αἱρεσιν ὁμολογήσας κατεκρίθη.

Οὐ κατεκρίθη μόνον ὑπὸ τῆς ἁγίας Σωνόδε ὁ Ὀνώριος Δι' ἀθεμιτεάν τινα καὶ ἀΔικίαν αἱρεσιν, τῇ Ἐκκλησίαν μὴ ὠφελήσασαν, ἀλλὰ Δι' αὐτῇ παρρησιαστικῶς ὁμολογίαν τῆς πλάνης καὶ τῆς Αἱρέσεως καὶ βεβαίωσιν ταύτης, ἄγαν τῇ Ἐκκλησίαν ὠφελήσασαν. τῇ δὲ Αἱρεσιν ἐκείνῳ ὁ Ὀνώριος καὶ παρρησίᾳ ὡμολόγησε δι' ἐκείνων τῶν ἐπιστολῶν, ἃς ἔγίνωσκον ἐν τῇ κοινῇ βιβλιοθήκῃ τὰ Πατριαρχείε τῆς Κωνσταντινοπόλεως κατὰ τὸ ἔθος μετὰ καὶ ἄλλων τοιούτων γενῶν συγγραμμάτων Φυλαχθησομένων, καὶ τὰ ἐκείνων ἀντίγραφα τὸν Σέργιον καὶ τοῖς ἄλλοις Ἀνατολικοῖς Πατριάρχαις κοινωσόμενα, ὡς ἤδη καὶ γέγονε. τῇ αὐτῇ Αἱρεσιν ἀναφαιδὸν καὶ δημοσίᾳ ὡμολόγησεν ὁμόνοια ἐν τῇ αὐτὰ ὠφὸς τὰς Λεγάτας τὰ Ἱεροσολύμων Σωφρονίε ἀποκρίσει, ἀλλὰ καὶ ἐδίδασκεν αὐτὰς μὴ εἰς τὸ ἑξῆς τῇ τῶν δύο ἐνεργειῶν κηρύττειν φωνῇ, πεῖσαι δὲ δι' αὐτῶν καὶ τὸν ἑαυτῶν Ἀρχιερέα Σωφρόνιον, ὡς αὐτὸς Ὀνώριος ἐν τῇ ὠφὸς Σέργιον ὑσέρα ἐπιστολῇ μαρτυρεῖ· ἐν ᾗ παρετρώπει Σέργιον γράψαι τῇ αὐτῇ γνώμῃ Κύρῳ καὶ Σωφρονίῳ, ἵνα ὁ μὲν Κῦρος ἀποσῇ τῆς φωνῆς τῆς μιᾶς ἐνεργείας, ὁ δὲ Σωφρόνιος τῶν δύο ἐνεργειῶν. παρρησίᾳ λοιπὸν ταύτῃ τῇ Αἱρεσιν ὡμολόγησε.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι τῇ Αἱρεσιν ὁ Ὀνώριος ὡς καθολικὴν διδασκαλίαν πᾶσι κατέχειν ἐδίδαξεν, ἐκ τῶν ἐρημένων δείκνυται, καὶ ὅτι ἐχ ὡς ὠφὸς Δάσκαλον ὠφόσωπον, ἀλλ' ὡς ὠφὸς Ῥώμης Ἐπίσκοπον τὸν Ὀνώριον ἡ τὰ Σεργίε ἐρώτησις, ἐξ ἧς Βίνιος Ὀνωρίῳ Σέργιον ὑποτάπει.

Ὅτι δὲ ταύτῃ καὶ τοῖς πιστοῖς παρέδωκε, καὶ ὡς διδασκαλίαν καθολικὴν πᾶσι τοῖς Χριστιανοῖς κατέχειν ἐδίδαξε, καὶ καθ' αὐτῇ ἐρρύθμισεν ὅσον τὸ καθ' αὐτὸν τῇ Ἐκκλησίαν, δῆλον ἐγένετο ἐκ τῶν ἐρημένων (ἃ γὰρ ἐδικῶς κατὰ τρόπον ὠφενομίσε, ἀλλὰ γενικῶς κατὰ τρόπον γενικὰ καὶ κοινὰ Κανόνος πάντας κατεπείγοντος, ταῦτα ὠφὸς Σέργιον ἔγραψε, καὶ τοῖς Λεγάτοις συνεπήσατο Σωφρονίε ἢ ὑπέχετο γράψαι, καὶ Σέργιον ὠφετρέπει γράψαι Κύρῳ καὶ Σωφρονίῳ) ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς ἐμφανείας τῆς ἐπιστολῆς Σεργίε καὶ Ὀνωρίε, ὃν ἠρώτησεν ὁ Σέργιος ἐχ ὡς Δάσκαλον ὠφόσωπον, ἀλλ' ὡς Ἐπίσκοπον Ῥώμης, ὠφὸς ὃν ὃν πρώτοις, ὡς πρῶτον Πατριάρχῃ τῇ τάξει ἀποτάσσεται ἡ φρονιτὶς τὰ φυλάπειν τῇ ἀληθειαν ἢ τῇ ἐρήνῃ ἐν τῇ Ἐκκλησίᾳ. Δατὰ φησὶ Σέργιος (εἰ καὶ κολακευτικῶς κατὰ τὸ ἴδιον τῶν Αἱρετικῶν) Εὔλογον ἔκρινα ὁμᾶ καὶ αἰσχυνῶν, ἵνα αὐτὸς περὶ ἐκείνης τῆς Δαφορᾶς βεβαιότερον ποιήσῃ, ὠφοδοκῶν τῇ ὀκείᾳ κρίσιν, καὶ δεόμενος ἵν' ἔτι ἀτελῶς ὑπ' αὐτὰ εἰρηται, τοῦτο καταξιώσῃ ἀναπληρῶσαι ὁ Ὀνώριος, καὶ Δι' τῶν ἁγίων αὐτὰ συλλαβῶν δηλοποιῆσαι αὐτό. ὁ Βίνιος ἐν ταῖς εἰς ταύτῃ τῇ τὰ Σεργίε ἐπιστολῇ αὐτὰ σημειώσεσι (μεταξὺ τῶν ἐπιστολῶν Ὀνωρίε Τόμῳ τεταάρτῳ τῶν Σωνόδων ἐκδόσει Παρισινῇ) λέγει, ὅτι ὁ Σέργιος Δι' τούτων ἀγεάφει ὑπέταξε τῇ κρίσει τῆς Ἐκκλησίας καὶ τῆς ἀποστολικῆς καθέδρας ἑαυτὸν καὶ τὰ ἑαυτὰ· ἄρα ἔγραψε ὠφὸς αὐτὸν καθὸ Ἐπίσκοπον Ῥώμης φανερῶν καὶ ἀνεγκρύφιον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι ἐκ τῶν ὠφὸς Σέργιον δύο ἐπιστολῶν αὐτὰ ὁ Ὀνωρίε δείκνυται ἐνταῦθα δέξασθαί τε τῇ Αἱρεσιν αὐτὰ, καὶ παρετρῦναι καὶ αὐτὸν σαθερῶς αὐτῇ κατέχειν καὶ διδάσκειν.

Περὶ τούτε τὰ ζητήματος ἐρωτηθεὶς ὑπὸ Σεργίε Ὀνώριος, ἀπεκρίθη φανερῶς ὡς ἐδέχθη, ἅπερ σαφέστερον

στερον κατανοήσεις, εἰ μετὰ προσοχῆς διεξέλθῃς ἐκείνας τὰς Ὀνωρίου ἐπιστολάς, ἐν αἷς ἐπαινεῖ τὸ ἔργον καὶ τὴν κρίσιν Σεργίου, καὶ παραινεῖ αὐτὸν σταθερῶς ἐν τῷ αὐτῷ μένειν, καὶ ὑπόσχεται ἑαυτὸν ποιήσοντα τὸ αὐτὸ, καὶ τοῦτο διὰ ταῦτα τὰ τέλη, ἵνα πορεύωνται τὴν βασιλικὴν ὁδὸν, καὶ ἐκφύγωσι τὰς περικειμένας πανταχόθεν τῶν θηρευτῶν παγίδας, ἵνα τοῖς Ἰδουμαίοις, τουτέστι τοῖς γηΐνοις καὶ Αἱρετικοῖς τὰ ἴδια καταλείπωσιν, ἵνα τὰς καινοφωνίας ἀνασκευάσωσι, σκάνδαλα ταῖς ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις γεννώσας, ἵνα οἱ ἁπλοῖ καὶ τὰ πεινοὶ τῷ πνεύματι χριστιανικοὶ λαοὶ μὴ διαμείνωσι νήστεις, ἵνα φυλάττηται ἐν ταῖς Ἐκκλησίαις ἡ ὀρθόδοξος πίστις καὶ ἡ καθολικὴ ἑνότης. ταῦτα ἐν τῇ πρώτῃ ἐπιστολῇ. ἐν δὲ τῇ δευτέρᾳ φησὶν, ἵν' ἀποβληθείσης τῆς φωνῆς τῆς μιᾶς, ἢ τῶν δύο ἐνεργειῶν, νεωστὶ εὑρεθείσης, κατὰ τοῦ λαμπροῦ κηρύγματος τῶν τοῦ Θεοῦ Ἐκκλησιῶν οἱ τῶν ἀχλυωδῶν φιλονεικιῶν ζόφοι μὴ διαλυθῶσι, μηδὲ διασκεδασθῶσιν, ἵν' ἐκμέσου γένηται τοῦ κηρύγματος τῆς πίστεως ἡ τῆς μιᾶς, ἢ διπλῆς ἐνεργείας φωνὴ, ἵνα μὴ προσαφθῇ τῷ Χριστῷ ἐκεῖνο, ὅπερ νοεῖν περὶ ἐκείνου, ἢ προσάπτειν, ἄτοπόν ἐστιν, ἵνα διδαχθῇ ἡ εἴδησις τῶν ἀμφιβαλλόντων, ἵνα μὴ διδάσκωσιν Ὀνώριος καὶ Σέργιος καὶ οἱ ἄλλοι Πατριάρχαι καὶ Διδάσκαλοι ἅπερ ἐκείνους περὶ τοῦ ἐκκλησιαστικοῦ δόγματος κηρύττειν οὐ χρή.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ.

Ὅτι καὶ ὑπὸ τοῦ Αὐτοκράτορος Κωνσταντίνου ἐν τῷ Ἠδίκτῳ, καὶ τοῦ Πάπα Λέοντος τοῦ δευτέρου ἐν ταῖς πρὸς τὸν Αὐτοκράτορα καὶ τοὺς ἱσπανίας Ἐπισκόπους καὶ Ἐρβίγιον ἐπιστολαῖς αὐτοῦ, ὁ Ὀνώριος δι' ἃ γράφει ὡς Πάπας πρὸς Σέργιον ἀνεθεματίσθη, καὶ ὡς κοινὴν ἐσχηκὼς τὴν Αἵρεσιν μετὰ τοῦ Σεργίου, καὶ παῤῥησίᾳ αὐτὴν διδάξας, καὶ ὡς Πάπας Ῥώμης Αἱρετικὸς ἦν. τὸ δὲ τὸν Σέργιον ὑποτάξαι ἑαυτὸν Ὀνωρίῳ κατὰ Βίνιον, ἀνατρέπει ὁ αὐτὸς Ὀνώριος, καὶ ψεύδεται κἀνταῦθα ἡ τοῦ Πάπα μοναρχία.

Ταῦτα προβάλλεται ὁ Ὀνώριος ἑαυτῷ ὡς Οἰκουμενικὸς Πάπας τῷ Σεργίῳ ὡς Οἰκουμενικῷ Πατριάρχῃ. καὶ διὰ ταύτην τὴν δυσσέβειαν ὁ Αὐτοκράτωρ Κωνσταντῖνος ἐν τῷ ἐπικυρωτικῷ τῆς ἕκτης Συνόδου Ἠδίκτῳ συναριθμεῖ τούτους μετὰ τῶν ἱεροσύλων Ἱερέων τῶν τὰς Ἐκκλησίας διεστραμμένως κυβερνησάντων. καὶ Λέων ὁ δεύτερος Πάπας Ῥώμης ἐν τῇ πρὸς τὸν αὐτὸν Κωνσταντῖνον τὸν Αὔγουστον ἐπιστολῇ διατοῦτο ἀναθεματίζει τὸν Ὀνώριον, διότι τὴν ἀποστολικὴν Ἐκκλησίαν οὐκ ἀποστολικῆς παραδόσεως διδασκαλίᾳ ἐλάμπρυνεν, ἀλλὰ διὰ βεβήλου προδόσεως τὴν ἀμώμητον πίστιν ἐπεχείρησε καταστρέψαι. καὶ (ἐν τῇ πρὸς τοὺς Ἐπισκόπους τῆς Ἱσπανίας ἐπιστολῇ) διότι κατὰ τῆς ἀποστολικῆς αὐθεντίας Αἵρεσιν ἔτρεφε. καὶ (ἐν τῇ πρὸς Ἐρβίγιον τὸν Ῥῆγα ἐπιστολῇ) διότι τὸν ἀμώμητον τῆς ἀποστολικῆς παραδόσεως Κανόνα, ὃν ἔλαβεν ἀπὸ τῶν προκατόχων αὐτοῦ, ἐβουλήθη μολῦναι. τὴν Αἵρεσιν λοιπὸν ὁ Ὀνώριος, ἣν εἶχε μετὰ τοῦ Σεργίου κοινὴν ὡς ἱερόσυλος Ἱερεὺς καὶ διάστροφος κυβερνήτης κατὰ παράχρησιν τῆς ἀποστολικῆς ἐξουσίας διδάσκων, ἀπεφήνατο, παρέδωκε τοῖς πιστοῖς, ὅπως ἕπωνται ταύτῃ, καὶ κατὰ ταύτην, ὡσανεὶ διδασκαλίαν ὀρθόδοξον ὑπὸ πάντων ὀφειλομένην κατέχεσθαι τῶν Χριστιανῶν, τὴν Ἐκκλησίαν ἐῤῥύθμισε, καὶ οὕτως Αἵρεσιν ἔθαλψε, καὶ τὴν Ἐκκλησίαν παρέβλαψεν. ἄρα ἐπλανήθη, καὶ εἰς Αἵρεσιν ἔπεσε, καὶ ταύτην σαφῶς καὶ παῤῥησίᾳ καὶ ἰσχυρογνωμόνος ἔτρεφε, διὸ Αἱρετικὸς ἦν καὶ καθὸ Πάπας Ῥώμης, τουτέστιν ἐν αὐτῇ τῇ παπικῇ ἐπεξεργασίᾳ τε καὶ διακονίᾳ τοῦ παπικοῦ ὀφφικίου. ἐκεῖνο δὲ, ὅπερ ὁ Βίνιος τῆς κολακείας τοῦ Σεργίου δραξάμενος εἶπεν, ὅτι ὑπέταξεν ὁ Σέργιος ἑαυτὸν τῷ Ὀνωρίῳ, ὡς εἴρηται ἀνωτέρω ἐν τῷ τέλει τοῦ ἑνδεκάτου Παραγράφου, αὐτὸς ὁ Ὀνώριος, καίτοι Αἱρετικὸς ὤν, καὶ διατοῦτο κατακεκριμένος, ὡς δέδεικται, ἀνατρέπει. διδάσκει γὰρ ἐν τῇ πρώτῃ αὐτοῦ πρὸς Σέργιον ἐπιστολῇ, ὅτι οὐ δεῖ παραδέχεσθαι ἡμᾶς ποτέτι ὡς δόγμα ἐκκλησιαστικὸν, ὅπερ οὐ διώρισται, οὔτε μαρτυρίαις κανονικαῖς τῶν θείων γραφῶν, οὔτε διὰ Συνοδικῆς ἐξετάσεως ἐπ' αὐτῷ τούτῳ γεγενημένης. ἄρα οὐ δὲ αὐτοῖς παλαιοῖς Μονοθελήταις ἦν ἡ εὐήθεια αὕτη τῶν νέων Μονοθελητῶν: δηλαδὴ ὅτι χρὴ τὸν Πάπαν νομίζειν ἐν τῇ Ἐκκλησίᾳ πρῶτον, ὥστε ἔχειν αὐτὸν τινὰ ὁπωσοῦν ἐξουσίαν, ἢ ἡγεμονίαν ἰδικὴν ἐν αὐτῇ, ἧς ἕνεκεν δέον ἐστὶν ἀποδίδοσθαι πάντα τῇ θελήσει καὶ τῇ ἐξουσίᾳ αὐτοῦ μόνου.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι ἐκ τῶν ἀποκρίσεων τῶν παπιστῶν ἐρωτωμένων περὶ τοῦ ἀρειανισμοῦ Λιβερίου καὶ μονοθελήσεως Ὀνωρίου εἴτις τὴν ὑπὲρ Ὀνωρίου αὐτῶν ἀπόκρισιν Λιβερίῳ προσαρμόσειεν, ἀναφανεῖται πασιδήλως Αἱρετικὸς ὁ Ὀνώριος. καὶ ὅτι πᾶς ἄνθρωπος, κἂν Πάπας ᾖ, οἷον Λιβέριος, Ἀναστάσιος δεύτερος καὶ Κελεστῖνος τρίτος κατὰ Ἀλφόνσον Νδεκάστρο καὶ Πλάτινα δύναται παρασφαλῆναι ἐν τῇ πίστει καὶ πλανηθῆναι.

Σὺ δὲ παρατήρησον τὴν ἀκαταστασίαν καὶ ἀναίδειαν τῶν παπιστῶν τούτων τῶν ἀπλανοδοκητῶν ἐν ταῖς αὐτῶν ἀπολογίαις, ἃς ὑπὲρ τοῦ ἀντιχριστιανικοῦ τούτου δόγματος προβάλλονται. ὅταν γάρ τις ἀντεπενέγκῃ τὸν

ΣΥΛΛΟΓΗ
ΒΛΑΧΟΓΙΑΝΝΗ

τὸν τοῦ Λιβερίου ὄλισθον, ὅστις παῤῥησίᾳ ὡμολόγησε τοῖς Ἀρειανοῖς ἐπικουρεῖν καὶ συμφρονεῖν ἐκείνοις, ὑπογράφων εἰς τὴν Ἀθανασίου κατάκρισιν, καὶ κοινωνῶν φανερῶς τοῖς Ἀρειανοῖς, καὶ τῇ ἐκείνων ὑπογράφων Αἱρέσει, ὡς δῆλον ἐκ τῆς πρὸς τοὺς τὸν μονήρη βίον διάγοντας Ἀθανασίου ἐπιστολῆς, καὶ ἐκ τοῦ Ἱερωνύμου ἐν τῷ χρονικῷ, καὶ ἐν τῷ καταλόγῳ τῶν ἐκκλησιαστικῶν συγγραφέων κεφαλαίῳ ἑκατοστῷ ἑβδόμῳ ἐν τῷ Φορτουνατιανῷ, τὸ γὰρ ἐκεῖνα πράττειν ἅπερ ἐποίησεν ὁ Λιβέριος, τὴν ἀλήθειαν ἦν καταπροδοῦναι, τὸν τῶν Χριστιανῶν διωγμὸν ἐπιβεβαιοῦν, τὴν αἱρετικὴν ἀσέβειαν εἰς τὴν Ἐκκλησίαν εἰσάγειν, κατὰ τοῦ Χριστοῦ μάχεσθαι, τῶν Ἀρειανῶν τὰς γνώμας σαφῶς περιπτύσσεσθαι, τῇ ἀρειανικῇ Αἱρέσει ὑπογράφειν, μαρτυρούντων τῶν αὐτῶν πατέρων, δι' ὃν ὄλισθον δικαίως ἀπογυμνωθῆναι τῆς Ἀρχιερωσύνης Λιβέριον φησὶ καὶ ἄκων ὁ Βελλαρμῖνος βιβλίῳ τετάρτῳ περὶ τοῦ Πάπα, κεφαλαίῳ ἐνάτῳ. ὅταν (λέγω) ἀντεπενέγκῃ τὶς τὸν αἰσχρὸν τοῦτον εἰς ταύτην τὴν Αἵρεσιν ὄλισθον τοῦ Λιβερίου Πάπα, ἀποκρίνονται Βελλαρμῖνος καὶ Γρετζέρος ἐν τοῖς προειρημένοις τόποις, ὅτι ὁ Λιβέριος ἀφηγηματικῶς συνεφρόνησεν εἰς τὴν Αἵρεσιν, καὶ διὰ τὴν γενομένην μετὰ τῶν Ἀρειανῶν εἰρήνην δικαίως ἐκρίθη ὑπὸ τῶν ὀρθοδόξων Αἱρετικὸς, καὶ κατεκρίθη, καὶ ἀπεβλήθη, οὐ γὰρ ἐνέχονται οὐ δὲ δύνανται τὰς καρδίας ἐτάζειν οἱ ἄνθρωποι, ἀλλ' ὃν ὁρῶσι κατὰ τὰ ἔξω ἔργα εἶναι Αἱρετικὸν, ἁπλῶς ἀποφαίνονται Αἱρετικὸν, καὶ ὡς Αἱρετικὸν κατακρίνουσιν, ὁ δὲ Λιβέριος κατὰ τὰ ἔξω ἦν Αἱρετικὸς, ἀλλ' οὐ συγκατέθετο τῇ Αἱρέσει καὶ κατὰ τὴν διάνοιαν, καίτοι διὰ τὴν ἐξορίαν καὶ τὸν τοῦ θανάτου φόβον νικηθεὶς, ἥμαρτε κατὰ τὴν ἔξω ἐνέργειαν, καὶ πρὸς καιρὸν ἐξέλιπε τῆς ὀρθοδοξίας. οὕτως ἀποκρίνονται περὶ τοῦ Λιβερίου οἱ παπολάτραι. ἐξεναντίας ὅταν ἀντεπενέγκωμεν τὸν μονοθελησμὸν τοῦ Ὀνωρίου, ἀποκρίνονται οἱ αὐτοὶ, ὅτι ἐπλανήθη πλάνῃ νοὸς ἐγκρυφίῳ τε καὶ ἰδιαζούσῃ, κατ' ἰδίαν ἐδίδαξεν, ἀλλ' οὐ παῤῥησίᾳ τε καὶ ἀναφανδὸν τὴν Αἵρεσιν ὡμολόγησεν, οὔτε μὴν ἐδίδαξε τοὺς πιστοὺς κατέχειν αὐτὴν, καὶ τὰ ἑξῆς. ζητεῖ δὲ τοῦτο, φασὶ, παρ' ἡμῶν ἡ χριστιανικὴ ἀγάπη, ἵνα καλῶς περὶ πάντων ὑπολαμβάνωμεν, καὶ ὡς καθολικοὺς πάντας ἔχωμεν οὓς μηδὲν τῇ καθολικῇ ἐναντίον ἀναφανδὸν ὁμολογοῦντας ὁρῶμεν. Ἀλλὰ ῥητέον ὅτι δικαίᾳ τοῦ Θεοῦ κρίσει οἱ ψεῦσται πνεύματι λήθης παραδίδονται, ἵνα ὑπάρχωσιν ἐπιλήσμονες, εἰ γὰρ τὴν ὑπὲρ Ὀνωρίου τῶν παπιστῶν ἀπόκρισιν προσαρμόσῃς τῷ Λιβερίῳ, τετέλεσται τὰ κατ' αὐτὸν, ὁ δὲ Ὀνώριος Αἱρετικὸς πασιδήλως ἀναφανεῖται. Ἀλφόνσος Νδεκάστρο βιβλίῳ πρώτῳ κατὰ Αἱρέσεων, κεφαλαίῳ τετάρτῳ, γράφει ταῦτα, Πᾶς ἄνθρωπος δύναται ἐν τῇ πίστει παρασφαλῆναι, κἂν Πάπας ᾖ. περὶ γὰρ Λιβερίου λέγει ὁ Πλάτινας, ὅτι συνεφρόνησε τοῖς Ἀρειανοῖς. ἀλλὰ καὶ Ἀναστάσιος ὁ δεύτερος καθὼς δηλοῦσιν αἱ ἱστορίαι συνήργει τοῖς Ἀρειανοῖς. καὶ Κελεστῖνος ὁ τρίτος ἐπλανήθη περὶ τῶν γάμων τῶν πιστῶν, ἀλλ' οὐ δὲ ῥητέον ὅτι ὁ Κελεστῖνος ἐξ ἀμελείας ἥμαρτε καὶ ὡς ἴδιον πρόσωπον, καὶ οὐχ ὡς Πάπας, ὅστις ὀφείλει ἐν παντὶ σπουδαίῳ πράγματι ἄνδρας διδακτικοὺς καὶ σοφοὺς ἐρωταῖν, καὶ οὕτως ἀποφαίνεσθαι. ἡ δὲ τοῦ Κελεστίνου ἀπόφασις εὑρίσκεται εἰς τὰ ἀρχαῖα Δεκρετάλια ἐν Κανόνι ΛΑΟΥΔΑΒΙΛΕΜ, Τίτλῳ περὶ ἐπιστροφῆς τῶν πιστῶν, ἣν ἐγὼ ἑώρακα, φησὶ, καὶ ἀνέγνων. ταῦτα σωφρόνως ὁ Ἀλφόνσος. ὅρα δὲ τὰ περὶ τῶν ἁματημάτων τῶν Παπῶν κατωτέρω βιβλίῳ ἐνάτῳ ἐν τοῖς ἐσχάτοις κεφαλαίοις.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Περὶ τῆς ἐν Τρούλλῳ ἁγίας Πενθέκτης Συνόδου ἐπὶ Ἰουστινιανοῦ τοῦ δευτέρου, καὶ τοῦ ἀριθμοῦ τῶν πατέρων καὶ τῶν Κανόνων αὐτῆς. καὶ τίνας τῶν αὐτῆς Κανόνων οὐδέχονται οἱ παπισταὶ, καὶ διατὶ, καὶ ὅτι Οἰκουμενικὴ, καὶ τίνες ἐδέξαντο αὐτὴν καὶ κυρίως ἕκτην καὶ ἁγίαν ὠνόμασαν, καὶ πότε ἠθροίσθη, καὶ κατὰ τῶν ἀθέως συκοφαντούντων αὐτὴν παπιστῶν.

Ἡ ἐν Κωνσταντινουπόλει ἐν Τρούλλῳ Σύνοδος ἐγένετο κατὰ προσταγὴν Ἰουστινιανοῦ τοῦ δευτέρου ἐν ἔτει ἑξακοσιοστῷ ἐννενηκοστῷ δευτέρῳ, ἐν τῷ βασιλικῷ τούτῳ Σεκρέτῳ τῷ καλουμένῳ Τρούλλῳ. καλεῖται δὲ Πενθέκτη διὰ τὸ εἶναι τῆς πέμπτης καὶ ἕκτης Συνόδου ἀναπλήρωσιν. ἔγραψε Κανόνας περὶ Ἐπισκόπων καὶ Κληρικῶν καὶ ἄλλων πολλῶν, καὶ ἔστιν ἀληθῶς Σύνοδος Οἰκουμενικὴ, ὡς ἐν τῷ πρὸς τὸν Αὐτοκράτορα προσφωνητικῷ αὐτῆς λόγῳ φαίνεται, ἀλλὰ καὶ δείκνυται τρῶτον, ἀπὸ τῆς αὐθεντίας αὐτῆς καὶ τῆς ἐπιγραφῆς. δεύτερον, ὅτι νόμιμος, καὶ ὅτι κατὰ κέλευσιν τοῦ Βασιλέως δι' ἐπιστολῶν βασιλικῶν συνηθροίσθη, καὶ ὅτι τὰ συνοδικὰ ταύτης δόγματα ὁ Αὐτοκράτωρ ἐκύρωσε, καὶ ὡς ἔθος διέδωκε πανταχοῦ. τρίτον, ὅτι καὶ ὁ ἀριθμὸς τῶν Ἐπισκόπων πλήρης ἦν, ἦσαν γὰρ διακόσιοι εἰκοσιεπτὰ κατὰ τὸν Βαλσαμῶνα καὶ Ζυναραῖν, κατὰ δὲ τὸν συγγραφέα τοῦ συνοδικοῦ βιβλιαρίου διακόσιοι τεσσαράκοντα. τέταρτον, δείκνυσιν αὐτὴν Οἰκουμενικὴν εἶναι ἡ φύσις καὶ ὁ λόγος τῶν ἐν ταύτῃ θεσπισθέντων

θέτων Κανόνων. τάς τε γὰρ ὑπὸ αὐτῆς Συνόδους ἐκύρωσε, καὶ τὰς Αἱρέσεις ἀνεθεμάτισε, καὶ Κανόνας καὶ διδάγματα ὧν ἔχ ἑνὶ μέρει τῆς Οἰκουμένης Φυλάττεσθαι διωρίσατο, ἀλλ' ὧν πάσῃ τῇ Οἰκουμένῃ, ἐμόνον ὧν ταῖς Ἀνατολικαῖς Ἐκκλησίαις, ἀλλὰ καὶ ὧν ταῖς πόρρω, καὶ ὀνομαστὶ ὧν ταῖς ὧν Ἀφρικῇ, καὶ αὐτῇ Ῥώμῃ, μάλιστα καὶ ὧν ταῖς ὧν τοῖς Βαρβαρικοῖς ἔθνεσιν Ἐκκλησίαις ταῖς ἔξω τῶν ὁρίων τῆς ῥωμαϊκῆς ἀρχῆς, ὡς φαίνεται ὧν Κανόνι δωδεκάτῳ, δεκάτῳ τρίτῳ, δεκάτῳ ὀγδόῳ, εἰκοστῷ σιάτῳ, τριακοστῷ, τριακοστῷ ἑβδόμῳ, τριακοστῷ σιατῷ καὶ πεντηκοστῷ πέμπτῳ. γελοῖον δ' ἂν ἦν ἐκείνας νομοθετεῖν, εἰ μὴ ἦν Οἰκουμενικὴ Σύνοδος. πέμπτον, δεικνύσιν αὐτῷ οἰκουμενικῷ αἱ μαρτυρίαι τῶν παλαιῶν, καὶ μάλιστα οἱ τῶν μεθ' αὐτὸν Συνόδων πατέρες, οἱ ὧν Νικαία τὸ δεύτερον ὧν πολλοῖς τόποις, καὶ Ταρσὸς Πατριάρχης Κωνσταντινουπόλεως, ὃς καὶ τοὺς Κανόνας αὐτῆς ἐπεκύρωσε πρόξεν δεύτερα. ὁ συγγραφεὺς τὸ Συνοδικὸν βιβλίον ὑπὸ φωτίου, ὃς ταύτην θείαν καὶ ἱερὰν Σύνοδον καλεῖ. Ἀδριανὸς πρῶτος, Γρηγόριος δεύτερος Ἐπίσκοποι Ῥώμης, ἵνα τοὺς ἄλλους ἐάσωμεν. Ἀλλὰ φασὶν, Οὐ παρῆσαν οἱ ὑπὸ τοῦ Πάπα Λεγᾶτοι; ὅτε μὲν Τοποτηρηταί. ἔσω. Διὰ τοῦτο δὲ καὶ αὐτὴν καλεῖσθαι Οἰκουμενικήν; ἡ Σύνοδος ἡ ὧν Κωνσταντινουπόλει τὸ πρῶτον ὑπὸ Θεοδοσίου τοῦ μεγάλου συναθροισθεῖσα Οἰκουμενικὴ ἦσιν ἀληθῶς, καὶ ὅτω πιστεύεται, ὧν ταύτῃ ὅμως δυτικοὶ ἐπαρῆσαν ἐδὲ Λεγᾶτοι τοῦ Πάπα. ὁμῶς Θεόδωρος ὁ Βαλσαμὼν Πατριάρχης Ἀντιοχείας φησὶν, ὅτι καὶ τοῦ Πάπα Λεγᾶτοι παρῆσαν ὧν ταύτῃ Βασίλειος Γορτύνης καὶ τις Ἐπίσκοπος Ῥαβέννης ὑπὸ πάσης τῆς ὧν Ῥώμῃ Ἐκκλησίας Τοποτηρηταὶ καὶ ἐπίτροποι, καὶ τοῦτο φησὶν εὑρεῖν αὐτὸν ὧν παλαιογράφοις Νομοκανόνων κώδιξι γεγραμμένον, καὶ ταῖς ὑπογραφαῖς ταῖς νεῦ σωζομέναις ὁ Βασίλειος ὑπογράφεται ἅτω, Βασίλειος Ἐπίσκοπος τῆς Γορτυνέων Μητροπόλεως ὁ Χερσῷ ἀγαπητὸς Κρήτης Νήσου, καὶ τὸν τόπον ἐπέχων πάσης τῆς Συνόδου τῆς ἁγίας ῥωμαϊκῆς Ἐκκλησίας ὁρίσας ὑπέγραψα. ὁ δ' Ἀναστάσιος Βιβλιοθηκάριος Ῥώμης τὸ τῆς Ῥωμαϊκῆς αὐλῆς ἀνθρώπουον φησὶν, Ἐς ταύτην τὴν Σύνοδον ἀπεσταλκέναι ὑπὸ Ῥώμης Λεγάτους τοῦ Πάπα, ἀπατηθέντας ὅμως ὑπογράψαι. τὰ δὲ Βαρωνίου γεγραφότα ἐκὼν παρορῶμεν ὡς ἀνίσχυρα καὶ μάταια. τὸ δὲ αἴτιον τοῦ ὡς νόθον ταύτην λαβεῖν τὰς πίστεις, ὡς δῆθεν μὴ οὖσαν Οἰκουμενικὴν, σημειοῖ Βαλσαμὼν, ὑπὸ τῶν Κανόνων τῆς τοιαύτης Συνόδου (φησὶ) κωλύεσθαι πληθόμενοι, ὅπερ καὶ αὐτοὶ ἐκόντες ὁμολογοῦσιν ὧν τοῖς εἰς ταύτην τὴν Σύνοδον παλεγομένοις. ὧν γὰρ πρώτῳ Κανόνι Ὀνώριος ὁ Πάπας μετὰ τῶν λοιπῶν Μονοθελητῶν τῇ τῆς δύσεβείας ψήφῳ καταδικάζεται, ὧν δὲ τῷ δευτέρῳ Κανόνι δέχεται ἡ Σύνοδος ὀγδοηκονταπέντε Κανόνας τῶν Ἀποστόλων, ὅπερ ὁ Βαρώνιος ἀπλῶς ἀνεῖται. ἀλλὰ καὶ τίνας τῶν Κανόνων χρὴ ἡμᾶς δέχεσθαι διορίζει, ἐξαιροῦσα καὶ ἀκυροῦσα τοὺς ὑπὸ τῶν λατινικῶν Συνόδων ψευσθέντας Κανόνας, ὧν οἷς ὅσα περὶ Κυπριανοῦ καὶ τῆς ἐκείνης Συνόδου ἡ Σύνοδος διορίζεται, ὁ Βαρώνιος ὐκ ἀποδέχεται διὰ τὸ περὶ ἀναβαπτισμοῦ (φησὶ) τῶν Αἱρετικῶν διαλαμβάνειν, περὶ οὗ μεταξὺ Κυπριανοῦ καὶ Στεφάνου τοῦ Πάπα ἐγένετο μεγίστη ἔρις, καίτοι τοῦ Κανόνος τούτου ἀδεμίαν μνείαν περὶ ἀναβαπτισμοῦ ποιουμένου. ὧν δὲ τῷ αὐτῷ Κανόνι ἡ Σύνοδος συγχωρεῖ τοὺς γάμους τῶν Πρεσβυτέρων καὶ Διακόνων καὶ τῶν ἄλλων Κληρικῶν τοὺς γενομένους πρὸ τῆς χειροτονίας, ὅπερ οἱ τῆς Ῥώμης οὐκ ἀποδέχονται. ὧν δὲ τῷ δεκάτῳ τρίτῳ Κανόνι τὰ τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἔθη, ὅσα δηλαδὴ ἐναντία, διὰ πολλῶν ἀποβάλλεται. ὧν δὲ τῷ τριακοστῷ αὐτῷ Κανόνι τὰ ἴσα πρεσβεῖα τῆς Ῥώμης τῷ Κωνσταντινουπόλεως ἀποδίδωσι καὶ διορισθέντα ὑπὸ τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου καὶ τῆς ὧν Χαλκηδόνι. ὧν δὲ τῷ πεντηκοστῷ πέμπτῳ Κανόνι καταργεῖ τὴν τοῦ Σαββάτου Νηστείαν τὴν ὑπὸ τῶν Λατίνων φυλαττομένην, βεβαιοῦσα τοῦτο ὐκ τοῦ ἑξηκοστοῦ τετάρτου Κανόνος τῶν ἁγίων Ἀποστόλων, ὧν ἡ Ἐκκλησία τῆς Ῥώμης ἀδέχεται. ὧν δὲ τῷ ὀγδοηκοστῷ τρίτῳ Κανόνι κωλύει μὴ ἱερεῖσθαι τὸν χερσὶν ὧν εἰδέα ἀμυνῆ. Διὰ ταῦτα τοίνυν ὁ Βαρώνιος καὶ ὁ Βίνιος ἀποκαλοῦσιν αὐτὴν ψευδοσύνοδον, συμβολοποιημάτων, καὶ συναγωγὴν Διαβόλου, καὶ ἄλλα. Ἄξιον ὅμως θαυμάσαι πῶς ὁ Βίνιος τοὺς ὧν ταύτῃ τῇ Συνόδῳ συνελθόντας πατέρας μονοθελήτας καλεῖ, οἵτινες ὧν πρώτῳ Κανόνι τῆς ὐκ τῆς Συνόδου διδασκαλίαν περὶ τῶν δύο θελήσεων καὶ δύο ἐνεργειῶν διὰ πολλῶν λόγων ἀποκυροῦσι, καὶ τοὺς φρονοῦντας ταύτης ἀναθεματίζουσι, Θεόδωρόν τε τὸν Φαρανίτου, καὶ Κῦρον, καὶ Ὀνώριον, καὶ Σέργιον. ἀλλὰ τοῦτο σφάλμα Βαρωνίου τε καὶ Βινίου, οἵτινες ἔφασαν τὴν Σύνοδον ταύτην ὑπὸ Καλλινίκου Πατριάρχου συγκεκροτῆσθαι, ὑπὸ Παύλου Πατριάρχου συγκεκροτῆσθαι, καὶ ὐκ ὑπὸ Καλλινίκου, περὶ οὗ καὶ ἄλλως ἐρεῖμεν ὠδί, Τελευταία ἡ ὐκτη οἰκουμενικὴ Σύνοδος εἰς τὸν δέκατον τέταρτον χρόνον τοῦ Πωγωνάτου, καὶ ἀναχωρεῖσιν οἱ τῆς Συνόδου πατέρες εἰς τὰ ἴδια, ἢ μετὰ τέσσαρα ἢ πέντε ἔτη θεσπίσαντα Ἰουστινιανοῦ Αὐτοκράτορος ὑὸς Πωγωνάτου συνέρχονται εἰς τὸν περιφανῆ οἶκον Τρούλλου λεγόμενον διακόσιοι ἐκκλησιαστικοὶ πατέρες, ὅπερ καὶ ἡ προλαβοῦσα συνῆλθε Σύνοδος, καὶ ἐξέθεντο κανόνας ὑπὲρ τριᾶς, συνέζευκται δὲ αὐτῇ τῇ ὐκτῃ, καὶ ὐκτη λέγεται, πρῶτον, ὅτι ὐκ ἠθροίσθη περὶ ἐξετάσεως δογμάτων, κρίσεως Αἱρέσεως καὶ διορισμοῦ πίστεως, ὥστε χρὴ ἰδιαίτατα Σύνοδον ὀνομασθῆναι, ἀλλ' ἐπειδὴ ἐδέησε τῇ Ἐκκλησίᾳ πολλῶν διορθώσεων, συνήχθη, καὶ διωρίσατο Κανόνας ἀναγκαίους. ἐπεὶ δὲ ἡ πέμπτη καὶ ὐκτη αἱ οἰκουμενικαὶ Κανόνας ὐκ ἐξέθεντο, καὶ αὕτη ἐξέθετο, Πενθέκτη ὑπὸ τινων ὠνομάσθη, ὡς ἀναπληροῦσα τὸ ἐκείνων περὶ τοιοῦτον εἶδος ὑστέρημα. δεύτερον, ὅτι οἱ αὐτοὶ ὡς ἁπλούστατοι πατέρες οἱ ὄντες ἐν τῇ ὐκτῃ συνεχρέτησαν καὶ ταύτην τὴν ὐ Τρούλλῳ. ὅθεν εἰς τὴν ἑβδόμην

οἰκουμενι-

Οἰκουμενικὴν ἐρωτήσαντος Μοναχοῦ τινὸς Σάββα, διατὶ ἦσαν οἱ Κανόνες οὗτοι γεγραμμένοι εἰς χάρτην, καὶ οὐκ εἰς βιβλίον, ἀπεκρίθη ὁ Κωνσταντινουπόλεως Ταράσιος, τὸν χάρτην, εἰπὼν, εἶναι τὸ πρωτότυπον ἐν ᾧ ὑπέγραψαν οἱ ἅγιοι πατέρες, καὶ Ἠλίας Πρεσβύτερος τῶν Βλαχερνῶν ἀνέγνω τοὺς Ὅρους τῆς ἕκτης Συνόδου, καὶ ὁ Νικομηδείας Πέτρος ἐμαρτύρησεν ἐπὶ τῆς Συνόδου ἐκείνης ὡς εἶχε καὶ ἄλλον χάρτην μετὰ τῶν αὐτῶν Κανόνων, ὃν λαβὼν Νικήτας Νοτάριος καὶ Διάκονος ἀνέγνω. καὶ δὴ ἐξετάζει μετὰ τῶν εἰρημένων τοὺς λόγους τοῦ Σάββα ὁ ἅγιος Ταράσιος ἐπὶ τῆς Συνόδου, καὶ οὐ μόνον αἱ τῶν τῆς ἕκτης Συνόδου πατέρων ὑπογραφαὶ ἰδιόχειροι καὶ ἀπαράλλακτοι ἦσαν, ἀλλὰ καὶ ἐξ ἄλλων πολυειδῶς ἀπέδειξε τοὺς Κανόνας γνησίους εἶναι τῶν τῆς ἕκτης Συνόδου πατέρων, καὶ καθεξῆς ἐδέξατο αὐτοὺς ἡ ἑβδόμη Οἰκουμενικὴ Σύνοδος, ἥτις καὶ ἕκτην αὐτὴν μετ' εὐλαβείας ὀνομάζει, καὶ ἐν τῇ τετάρτῃ αὐτῆς πράξει καὶ ἐν τῷ πρώτῳ αὐτῆς Κανόνι Κανόνας τῆς ἕκτης ἁγίας καὶ Οἰκουμενικῆς Συνόδου αὐτοὺς καλεῖ, κἂν καὶ οἱ ἐξηγηταὶ τῶν Κανόνων ὕστεροι ὄντες διὰ τὴν εἰρημένην αἰτίαν Πενθέκτην αὐτὴν ὀνομάζωσιν ἐνίοτε, οὐδὲν ἧττον ἕκτην κυρίως καὶ οὖσαν καὶ ὀνομαζομένην, ὡς ταυτιζομένην τῇ ἕκτῃ διὰ τὰς εἰρημένας αἰτίας. Σὺ δὲ σημείωσαι ἐνταῦθα πρῶτον, ὅτι ταύτην καὶ ὁ Γρατιανὸς διαιρέσει δεκάτῃ ἕκτῃ ΗΡΕΣΕΝ, εἰσάγει τὴν ἕκτην Σύνοδον ἀθροισθεῖσαν πρῶτον ἐπὶ Κωνσταντίνου, δεύτερον ἐπὶ Ἰουστινιανοῦ. δεύτερον, ὅτι καὶ ὁ Ταράσιος εἶπεν, Οὐδενὸς ἐναντιουμένου, ἀλλὰ πάσης τῆς Συνόδου βεβαιούσης τοὺς Κανόνας καὶ ἀπὸ γνώμης αὐτῶν, ὡς φαίνεται καὶ ἐκ τῶν ἀναγνώσεων τῶν εἰρημένων, καὶ ἐκ τῆς ὀγδόης πράξεως, ὅπου ἡ ἑβδόμη Σύνοδος Κανόνας ἐκτίθεται, καὶ εὐλαβῶς μιημονεύει αὐτῆς τῆς ἐν Τρούλλῳ, ἕκτην ἀποκαλοῦσα. τρίτον, οἱ Λεγᾶτοι τοῦ Πάπα ἐν τῇ ἑβδόμῃ Συνόδῳ ἐβεβαίωσαν αὐτὴν, εἰ δὲ καὶ ὁ Ῥώμης Σέργιος οὐχ ὑπέγραψεν ὡς ἔχουσάν τινα ἀπαρέσκοντα Ῥωμαίοις, ὡς ὁ Ἀναστάσιος γράφει ἐν τῷ βίῳ αὐτοῦ τοῦ Σεργίου (εἰ δώσωμεν μὴ εἶναι τοῦτο λατινικὸν πλάσμα) ὕστερον ὅμως Ἀδριανὸς ὁ πρῶτος ἐδέξατο τοὺς Κανόνας αὐτῆς, ὡσεὶ ἦσαν τῆς κυρίως ἕκτης, πρὸς τὸν Ταράσιον γράφων. κεῖται δὲ ἡ ἐπιστολὴ πράξει δευτέρᾳ τῆς ἑβδόμης Συνόδου, καὶ ἴδε τὸν τόπον. Ὁ αὐτὸς γράφων πρὸς Σκάρλον Βασιλέα Γαλλίας ἐν κεφαλαίῳ δεκάτῳ ἐνάτῳ τὴν Πενθέκτην ταύτην ἕκτην καλεῖ ἁγίαν Σύνοδον. καὶ πάλιν ὁ Γρατιανὸς ἐπ' ὀνόματι τῆς κυρίως ἕκτης μέμνηται αὐτῆς. καὶ διαιρέσει εἰκοστῇ ὀγδόῃ, ΤΩΝ ΠΡΕΣΒΥΤΕΡΩΝ, καὶ τριακοστῇ πρώτῃ, ΕΠΕΙΔΗ, καὶ τριακοστῇ δευτέρᾳ, ΕΑΝΤΙΣ, Ἰννοκέντιος ὁ τρίτος πρὸς Κανόνα τριακοστὸν δεύτερον τῆς Συνόδου ταύτης ἀποβλέπων, καὶ τούτου τὴν αὐθεντίαν χρώμενος, λέγει, Διατέτακται ἐν τῇ ἕκτῃ Συνόδῳ, ἵνα εἴτις ἐκείνων ὅσοι πρὸς τὸν Κλῆρον ἀνάγονται, καὶ τὰ ἑξῆς. τέταρτον, ὁ Βίνιος περὶ τοῦ ὀγδοηκοστοῦ τρίτου Κανόνος τῆς Συνόδου λέγει, ὅτι ἡ Ἐκκλησία τῆς Ῥώμης ποιεῖ τὰ ἐναντία, καὶ λοιπὸν ἀπεδοκίμασεν αὐτὸν, καὶ ὅμως ὁ Ἀδριανὸς ὀνομάζει αὐτὸν Θεόπνευστον, καὶ ἡ ἑβδόμη Οἰκουμενικὴ πράξει ὀγδόῃ φανερῶς ἀσπάζεται αὐτὴν λέγουσα, Ἐκ τῶν Κανόνων τῆς ἁγίας καὶ Οἰκουμενικῆς ἕκτης Συνόδου, κεφαλαίῳ ὀγδοηκοστῷ τρίτῳ. ἡ Ἐκκλησία ὅμως τῆς Ῥώμης ἐκείνην τὴν τοῦ Ἀδριανοῦ κρίσιν περὶ τοῦ Κανόνος καὶ τῆς ἑβδόμης Συνόδου ἢ ἐδέξατο, ἢ τελείως οὐκ ἐβεβαίωσεν, ἀλλαμὴν τὸ πρῶτον, οὐκ ἄρα τὸ δεύτερον. ἐπιλέγει ὁ αὐτὸς, ὅτι οὐχ ἁπλῶς Ἀδριανὸς καὶ ἡ ἑβδόμη Σύνοδος χρῶνται τὴν δύναμιν ἐκείνου τοῦ Κανόνος, ἀλλ' ἐκ τοῦ σκοποῦ τῶν ἐναντίων τῶν δεχομένων ἐκείνους τοὺς Κανόνας δηλονότι. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὁ Ἀδριανὸς καὶ ἡ ἑβδόμη Σύνοδος οὐ προσέφερον τὸν Κανόνα, ἀλλ' ἢ ὡς ἀπὸ γνώμης τῶν ἀντικειμένων, οἵτινες δέχονται τοὺς Κανόνας αὐτοὺς ἐξ ἰδίας αὐτῶν γνώμης καὶ ἰδίας συγκαταθέσεως. Φλυαρεῖ ὅμως ὁ ταῦτα λέγων Βίνιος, καὶ πρὸς τῇ Φλυαρίᾳ ἀντίκειται καὶ τοῖς Πάπαις καὶ ταῖς Συνόδοις. πέμπτον, ὁ Ἀδριανὸς χωρὶς διαστολῆς δέχεται εὐλαβῶς πάντας τοὺς Κανόνας τῶν ἓξ Συνόδων, καὶ οὐ δίδωσιν ἐλάττονα δύναμιν τοῖς Κανόσι τῆς ἕκτης Συνόδου ἧς δίδωσι τοῖς λοιποῖς Κανόσι τῶν Συνόδων. ἕκτον, οὐ δίδωσι βοήθειάν τινα τοῖς παπισταῖς ἐκεῖνα τὰ λόγια τὰ, Ἐνθέσμως καὶ θειοδῶς. ἐπίσης γὰρ ἀποβλέπουσι πρὸς τοὺς Κανόνας τῶν ἓξ Συνόδων. ὅθεν δῆλον, ὅτι οἱ λόγοι τοῦ Ἀδριανοῦ οὐκ εἰσὶν ἀμφιβάλλοντος λόγοι, ἀλλ' ἐπεκδικοῦντος, ἤτοι ἀποδεχομένου καὶ ἐπαινοῦντος τοσοῦτον, ὥστε ἐκ τούτου συνάγεσθαι ἔχειν τοὺς Κανόνας ταύτης τῆς Συνόδου τὴν αὐτὴν ἰσχὺν ἣν ἔχουσι καὶ οἱ τῆς πρώτης ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν Οἰκουμενικῶν Συνόδων Κανόνες, ἴσα γὰρ δέχεται ὁ Ἀδριανὸς τούτους ὡς καὶ τοὺς τῶν προγεγενημένων Συνόδων, ὅπερ καὶ ὁ Γρατιανὸς στοχαζόμενος, καὶ βλέπων τὸν σκοπὸν τοῦ Ἀδριανοῦ, ἔφερεν εἰς μαρτυρίαν τοὺς λόγους τοῦ Ἀδριανοῦ ὡς ἀπολύτως ὑπ' ἐκείνου ῥηθέντας, καὶ ἄνευ διαστολῆς, λέγων οὕτω, Τὴν ἕκτην ἁγίαν Σύνοδον μετὰ πασῶν τῶν ἁγίων Συνόδων δέχομαι, διαιρέσει δεκάτῃ ἕκτῃ, Κανόνι ΤΗΣ ΕΚΤΗΣ. ἕβδομον, ἀλλὰ δὴ καὶ ὁ σκοπὸς τῆς ἑβδόμης ὁ αὐτὸς ἐστὶν, ἣν καὶ οἱ Ῥωμαῖοι δέχονται μεθ' ἡμῶν ὡς ἁγίαν καὶ κατὰ πάντα ὀρθόδοξον καὶ Οἰκουμενικήν. ὄγδοον, εἰ ὁ Βίνιος ἐναντιωθείη λέγων, ὅτι ὁ Ἀδριανὸς οὐκ ἐδέξατό τινος Συνόδου Οἰκουμενικῆς δόγματα, ἀλλ' ἢ τούτῳ τῷ διορισμῷ, καθ' ὅσον ἐνθέσμως καὶ θειοδῶς γεγόνασιν, ὅσα δὲ μὴ οὕτως ἐγένετο, οὐκ ἐδέξατο, ἐστὶ τοῦτο μεγάλη βοήθεια τῶν νέων Αἱρετικῶν, ἵνα τινὰ μὲν τῶν Συνόδων δέχωνται, τινὰ δὲ ἀποβάλλωνται. εἰς τὴν ἐπιστολὴν ὅμως τοῦ Πάπα πρὸς ἄλλον Πατριάρχην, ἐν ᾗ καθ' ὑπόθεσιν ζητεῖται κρίσις περὶ ταύτης τῆς Συνόδου καὶ τῶν Κανόνων αὐτῆς, εἰ δηλονότι ὁ Πάπας δέχεται αὐτὴν καὶ ὀνομάζει θείαν, ἢ μὴ, εἰς τοιαύτην ἐπιστολὴν φαίνεται ζητεῖν ἄλλο τι διωρισμένον καὶ κεκυρωμένον, καὶ πρὸς τὴν παροῦσαν ζήτησιν ἁρμοδιώτερον. ὅμως ὅπως ποτε τύχοι ἀληθῶς, διὰ τοῦ τοιούτου στοχασμοῦ οὐδὲν παραβλάπτεται ἡ δύναμις ταύτης τῆς Συνόδου μᾶλλον

μᾶλλον τῶν ἄλλων Συνόδων. ἔνατον, ἐπὶ τούτοις ὁ Βίνιος ὀνομάζει αὐτὴν ἀθροισμάτιον ψευδόεκτον καὶ πεπλανημένον, ὅμως ἡ ἑβδόμη Σύνοδος καὶ ὁ Πάπας Ἀδριανὸς τιμῶσιν αὐτὴν μετὰ ἐπαίνου, λέγοντες αὐτὴν ἁγίαν Σύνοδον, καὶ ταῖς ἓξ Οἰκουμενικαῖς Συνόδοις αὐτὴν συναριθμοῦσιν. ὁ δὲ Βίνιος ἐπειδὴ ἀκούει μᾶλλον τῆς ἰδίας αὐτοῦ γνώμης ἢ τῆς τῶν ἁγίων πατέρων, ἰδέτω αὐτὸς καὶ ὁ Πάπας καὶ οἱ παπισταὶ πῶς ἐξυβρίζουσι τὴν ἑβδόμην καὶ τὸν Ἀδριανὸν, καὶ φανερῶς λέγουσιν αὐτοὺς πεπλανημένους καὶ αἰαιδῶς, αὐτοὶ τοιοῦτοι ἀληθῶς ὄντες. δέκατον, ἐκεῖνος ὁ Ῥωμαῖος συγγραφεὺς εἰς τὰ προλεγόμενα ἅπερ ποιεῖ εἰς τὴν παροῦσαν Σύνοδον, εἰ καὶ οὐ λέγει καλῶς περὶ αὐτῆς, ὁμολογεῖ ὅμως ἐξ ἐκείνων τῶν Ἐπισκόπων τῶν εἰς τὴν ἕκτην Οἰκουμενικὴν Σύνοδον ὑπαρξάντων πρὸ ὀλίγων ἐτῶν ἐπὶ τοῦ Πωγωνάτου, ὑπάρξαι πάλιν καὶ εἰς ταύτην τὴν ἐπὶ Ἰουστινιανοῦ Σύνοδον, καὶ ὑπογράψαι τεσσαράκοντα τρεῖς. ἐκ δὲ τῶν λόγων τοῦ Ταρασίου τῶν ἀνωτέρω εἰρημένων εἰκὸς ἐστὶ καὶ πλείους εὑρεθῆναι καὶ ὑπογράψαι. ἑνδέκατον, ἡ διαφορὰ τῶν ὀνομάτων τῶν Ἐπισκόπων τῶν αὐτῶν θρόνων οὐκ ἀδύνατόν ἐστι συμβῆναι δι' ἐναλλαγῆς ἴσως Ἐπισκόπων ἐκ τῶν πρώτων θρόνων εἰς ἄλλους, ἤτοι ἐκ μεταθέσεως. δωδέκατον, ἦσαν δὲ ἐν αὐτῇ τῇ Συνόδῳ καὶ ἰδιοχείρως ὑπέγραψαν καὶ οἱ τέσσαρες Πατριάρχαι, καὶ λοιπὸν ψευδῶς εἶπεν ὁ Βαρώνιος ἐν ἔτει ἑξακοσιοστῷ ἐννενηκοστῷ γενέσθαι ταύτην τὴν Σύνοδον μετὰ τὸν θάνατον τοῦ Παύλου, τῶν δ' ἄλλων θρόνων τοὺς Πατριάρχας μήτε ὑπάρξαι ἐν αὐτῇ μήτε Λεγάτους πρὸς αὐτὴν πεπομφέναι. ψεύστης δὲ ἄρα ἐστὶν ὁ διάβολος καὶ ὁ πατὴρ αὐτοῦ (Ἰωάννου κεφαλαίῳ ὀγδόῳ, ἐδαφίῳ τεσσαρακοστῷ τετάρτῳ) ἤτοι ὁ Βίνιος καὶ ὁ Πάπας τῆς Ῥώμης, ταύτην τὴν ἁγίαν Σύνοδον ἀθροισμάτιον τῶν Μονοθελητῶν καλοῦντες ἐν ταῖς σημειώσεσι, Τόμῳ πέμπτῳ τῶν Συνόδων κατὰ τὸν ἐν Παρισίοις τύπον, Σελίδι τετρακοσιοστῇ δεκάτῃ ἐνάτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν ἕνδεκα ἐπιχειρημάτων τῶν Λατίνων κατὰ τῆς παρούτης ἁγίας Συνόδου.

Ἀλλ' οἱ Λατῖνοι καὶ ἄλλοι ἐπειδὴ οὐκ ἀνέχονται μανθάνειν, πάλιν μετὰ τοσαύτας ἀποδείξεις σκληρυνόμενοι, φέρονται ἀντιθετικῶς καὶ δι' ἄλλων ἐπιχειρημάτων κατὰ τῆς Συνόδου ταύτης, καὶ δὴ λέγουσι πρῶτον, ὅτι ἔχει ὄνομα σύνθετον, ΠΕΝΘΕΚΤΗ, ὅπερ ἐστὶν ἀσύνηθες τοῖς ὀνόμασι τῶν Συνόδων, ἐπειδὴ πᾶσαι δι' ἁπλῶν ὀνομάτων καλοῦνται. δεύτερον, ὅτι οὐκ εἶχε Λεγάτους τοῦ Ῥώμης, ὅπουγε ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ ἐγκαλῶν τῷ Διοσκόρῳ Πασχασῖνος ὁ Λεγᾶτος τοῦ Ῥώμης, ἔλεγεν ὅτι ἥρπασε πρόσωπον κριτοῦ ὅπερ οὐκ εἶχε, καὶ ἐποίησε Σύνοδον χωρὶς ἐπιτροπῆς τοῦ Ῥώμης, ὅπερ μήτε ἐγένετο μήτε γενήσεταί ποτε, οὐ μὴν ἀλλὰ καὶ οἱ πατέρες τῆς ἑβδόμης Συνόδου πράξει ἕκτῃ ἐλέγχοντες τὸν σύλλογον τῶν Εἰκονομάχων, γεγονότα ἐπὶ τοῦ Κοπρωνύμου, ὡς μὴ οἰκουμενικὸν, ἔλεγον, Πῶς Σύνοδος οἰκουμενικὴ, ἥτις οὐκ εἶχε συνεργὸν τὸν Πάπαν οὔτε τοὺς περὶ αὐτὸν Ἱερεῖς οὔτε διὰ Τοποτηρητῶν αὐτοῦ οὔτε δι' ἐγκυκλίου ἐπιστολῆς καθὼς Νόμος ἐστὶ ταῖς Συνόδοις; τρίτον, λέγουσιν ὅτι οὐκ ἐγένετο μετὰ τέσσαρα ἢ πέντε ἔτη τῆς ἕκτης Συνόδου, ἀλλὰ μετὰ εἰκοσιεπτὰ, ὄντος Ῥώμης τοῦ Σεργίου, ὅπερ μαρτυρεῖ καὶ ὁ Θεοφάνης, καὶ λοιπὸν οὐκ ἦσαν ἐν αὐτῇ οἱ τῆς ἕκτης Συνόδου πατέρες, καὶ ἑπομένως οὐ ταυτίζεται τῇ ἕκτῃ, καὶ πρὸς τούτοις ἡ Σύνοδος ἡ ἕκτη ἠθροίσθη ἵνα ἐλέγξῃ τὴν μονοθέλησιν, καὶ οὐχ ἵνα ποιήσῃ ὁρισμοὺς νέους. τέταρτον, ὅτι διὰ τὸ μὴ θελῆσαι τὸν Ῥώμης Σέργιον ὑπογράψαι τοῖς Κανόσι καὶ κυρῶσαι αὐτοὺς, ἀπέστειλεν ὁ Βασιλεὺς Ζαχαρίαν τὸν Πρωτοσπαθάριον δῆσαι αὐτὸν καὶ ἀποστεῖλαι εἰς Βυζάντιον, ἀλλὰ τοὺς Στρατιώτας τοῦ τῆς Ἰταλίας Ἐξάρχου μικροῦ ἐδέησεν ἀποκτεῖναι τὸν Ζαχαρίαν, ὃν φυλάξας εἰς τὸ ταμεῖον αὐτοῦ ὁ Σέργιος, ἀπέστειλεν ἀσινῆ εἰς Κωνσταντινούπολιν. πέμπτον, ὅτι ὁ Βαλσαμὼν, εἰ καὶ λέγει τὸν Κρήτης Βασίλειον ὑπογράψαι εἰς τὸν τόπον τοῦ Ῥώμης, ἐν τούτῳ γεμὴν ὅτι οὐβεβαιοῦται ἡ Σύνοδος ἐκ προσώπου τοῦ Ῥώμης, πρόδηλον. ἕκτον, ὅτι οὐδεὶς τῶν ὑπερεχόντων ἱστορικῶν τῆς Συνόδου ταύτης ἐμνήσθη. ἕβδομον, ὅτι εἰς τὸν δεύτερον αὐτῆς Κανόνα δέχεται ὀγδοηκονταπέντε Κανόνας τῶν ἁγίων Ἀποστόλων, καὶ ὅμως σφάλλει, ἐπειδὴ ἡ Ἐκκλησία τοσούτους Κανόνας τῶν ἁγίων Ἀποστόλων οὐκ οἶδεν. ὄγδοον, ὅτι μόνων τῶν Κανόνων τῶν ἐν τῇ Ἀνατολῇ Τοπικῶν καὶ πατέρων μνείαν ποιεῖται, τῶν δὲ Δυτικῶν οὔ, ὅθεν ἥμαρτε, καὶ λοιπὸν οὐ δὲ Σύνοδος Οἰκουμενική. ἔνατον, ὅτι ἐν τῷ δεκάτῳ τρίτῳ αὐτῆς Κανόνι τῇ Ῥωμαϊκῇ νομοθετεῖ Ἐκκλησίᾳ περὶ γάμων Ἱερέων, ὅπερ οὐκ ἔξεστιν, ἡ γὰρ Ῥώμη κανονίζει, οὐ κανονίζεται. δέκατον, ὅτι ἐν τῷ τριακοστῷ ἕκτῳ αὐτῆς Κανόνι βεβαιοῖ τὰ ἴσα πρεσβεῖα τοῦ Κωνσταντινουπόλεως μετὰ τοῦ Ῥώμης, ὅπερ παράνομον. ἑνδέκατον, ὅτι κανονίζει τοὺς Ῥωμαίους μὴ νηστεύειν τὸ Σάββατον, ὅπερ καὶ αὐτὸ παράνομον, ἡ γὰρ Ἐκκλησία Ῥώμης, ὡς εἴρηται, κανονίζει, οὐ κανονίζεται. διὰ ταῦτα οὖν οὐκ ἔστι Σύνοδος Οἰκουμενικὴ, καθότι αἱ οἰκουμενικαὶ Σύνοδοι ἀναμάρτητοι, αὕτη δὲ ἥμαρτε. ταῦτα δὲ λέγει τὸ πεῖσμα τῶν παπιστῶν. οἱ βουλόμενοι ὅμως σωθῆναι λέγουσι τὴν ἀλήθειαν, καὶ προσέτι Πέτρος ὁ Λομπάρδος διαιρέσει τριακοστῇ ἑβδόμῃ λέγει αὐτὴν Σύνοδον ἐντελῆ, καὶ ἕκτην αὐτὴν ὀνομάζει.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Διάλυσις τοῦ πρώτου ἐπιχειρήματος τῶν Λατίνων, ὅπερ ἐστὶ τὸ Πενθέκτην λέγεσθαι τὴν Σύνοδον.

Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι καὶ τὸ σύνθετον ὄνομα σύνηθές ἐστιν ἐν τῇ Ἐκκλησίᾳ ἐπὶ τῶν Συνόδων, καθότι καὶ ἄλλη Σύνοδος ἐστὶ πρώτη καὶ δευτέρα λεγομένη. δεύτερον, ὅτι τὸ σύνθετον ὄνομα πλεῖόν τι σημαίνει εἰς τὴν γραφὴν καὶ εἰς τὴν Ἐκκλησίαν ἐπὶ καλοῦ, εἰς μὲν τὴν γραφὴν, ΒΟΑΝΕΡΓΕΣ ὁ Ἰωάννης καὶ Ἰάκωβος οἱ Ἀπόστολοι ὡς υἱοὶ βροντῆς, καὶ ΣΙΜΩΝ Πέτρος, ὁ Πέτρος. εἰς δὲ τὴν Ἐκκλησίαν, Μητροφάνης, Θεοδόσιος καὶ ἄλλα μυρία. τρίτον, ὅτι Πενθέκτη λέγεται ὑπὸ τῶν ἐξηγητῶν τῶν Κανόνων ὡς πλεῖόν τι σημαίνουσα, δηλονότι ἀναπληροῦσα τῆς πέμπτης καὶ ἑκτῆς τὸ περὶ τῶν Κανόνων ὑστέρημα, ὑπὸ τῆς ἑβδόμης ὅμως Οἰκουμενικῆς ἑκτη ἁπλῶς καλεῖται. διὰ δὲ τὸ γεγονέναι δεύτερον συνάθροισμα, λέγεται τὸ δεύτερον ἐν Τρούλλῳ. τέταρτον, ὅτι τὸ τοιοῦτον ἄθροισμα οὐκ ἀσύνηθές ἐστιν ἐν τῇ Ἐκκλησίᾳ, ἐπειδὴ ἡ δευτέρα Οἰκουμενικὴ διαλυθεῖσα, πάλιν μετὰ ἓν ἔτος ἠθροίσθη ἡ αὐτὴ, ὡς εἴρηται ἐν τῷ τρίτῳ βιβλίῳ, καὶ λέγεται τὸ δεύτερον ἄθροισμα ὥσπερ καὶ τὸ πρῶτον ἁπλῶς δευτέρα Σύνοδος. ἀνίσχυρος οὖν ἡ πρώτη ἀντίθεσις Λατίνων καὶ εὐδιάλυτος.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Διάλυσις τοῦ δευτέρου ἐπιχειρήματος τῶν Λατίνων καὶ τῶν παραδειγμάτων αὐτῶν, ὅπερ ἐστὶν ὅτι ἡ Σύνοδος οὐκ εἶχε Λεγάτους τοῦ Ῥώμης.

Πρὸς δὲ τὸ δεύτερον ῥητέον πρῶτον, ὅτι κατὰ τὴν ἱστορίαν Ἀναστασίου, ὡς εἴπομεν ἀνωτέρω, ἦσαν ἐν τῇ Συνόδῳ ταύτῃ Λεγᾶτοι τοῦ Ῥώμης, εἰ δὲ καὶ καθ' ὑπόθεσιν ἡ Σύνοδος οὐκ εἶχε Λεγάτους τοῦ Ῥώμης, ἢ συνοδικὴν ἐπιστολὴν, τοῦτο οὐκωλύει, οὐ δὲ γὰρ εἰς τὴν δευτέραν ἦσαν τοῦ Δαμάσου, οὔτε εἰς τὴν πέμπτην τοῦ Βιγιλίου Λεγάτοι, ἢ ἐπιστολαὶ, ἀλλ' ὕστερον ἐκεῖνοι ἐκύρωσαν αὐτάς. εἴρηται δὲ πολλάκις τὶ δηλοῖ τὸ ἐκύρωσε. δεύτερον, ὅτι καὶ εἰς τὴν ἐν Ἐφέσῳ πρώτην οὐκ ἦν ὁ Ἀντιοχείας, καὶ ὅμως ἡ Σύνοδος ἠθροίσθη καὶ χωρὶ ἐκείνου, καὶ ὕστερον ἐβεβαίωσεν αὐτὴν κἀκεῖνος. τρίτον, ὅτι Μαρκίων ὁ Αἱρετικὸς κατέτεμε τὴν ἁγίαν γραφὴν, ἄλλα ἀφαιρῶν καὶ ἄλλα προσθέμενος, καὶ ὁ Ἀντιοχείας Μακάριος ὁ Αἱρετικὸς κατέτεμνε τὰ ῥητὰ τῶν ἁγίων, ἵνα συστήσῃ τὴν Αἵρεσιν αὐτοῦ, κατὰ δὲ τὸ ἴδιον τῶν Αἱρετικῶν κατατέμνουσι καὶ οἱ Λατῖνοι τὰ ῥητὰ τῶν ἁγίων, ἵνα συστήσωσι τὰς κακοδοξίας αὐτῶν. λέγει τοίνυν ἡ ἑβδόμη Σύνοδος, ὅτι οὐκ εἶχεν ἡ ψευδοσύνοδος τῶν Εἰκονομάχων συνεργὸν τὸν Πάπαν, ἀλλὰ πρότερον εἶπε, Πῶς μεγάλη καὶ Οἰκουμενικὴ, ἣν οὔτε ἐδέξαντο οὔτε συνεφώνησαν οἱ τῶν λοιπῶν Ἐκκλησιῶν πρόεδροι, ἀλλὰ ἀναθέματι ταύτην παρέπεμψαν; μετὰ δὲ τὸ εἰπεῖν τὰ περὶ τοῦ Ῥώμης, ταῦτα προσέθετο εὐθὺς, Ἀλλ' οὔτε συμφωνοῦντας αὐτῇ τοὺς Πατριάρχας τῆς Ἕω, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ τῆς ἁγίας πόλεως, ἢ τοὺς σὺν αὐτοῖς μύστας καὶ Ἀρχιερεῖς; καὶ σημείωσαι πρόεδρους τῶν Ἐκκλησιῶν. δεύτερον, Πάπαν. τρίτον, τοὺς περὶ αὐτὸν Ἱερεῖς. τέταρτον, τοὺς Πατριάρχας τῆς Ἕω. πέμπτον, Ἀρχιερεῖς συμμύστας τῶν Πατριαρχῶν, οἵτινες εἰσὶν ἐξίσου πρόεδροι τῶν Ἐκκλησιῶν, καὶ ἄθρει, Καθόλου περὶ πάντων πρόεδροι τῶν Ἐκκλησιῶν, μερικῶς δὲ Πάπαι, Σύνοδος Ῥώμης, Πατριάρχαι καὶ Σύνοδος αὐτῶν, ἐξ ὧν ἁπάντων συνίσταται τὸ Οἰκουμενικὸν κριτήριον. ὥστε ὀρθοδοξοῦντος τοῦ Πάπα τῆς Ῥώμης, χωρὶς αὐτοῦ καὶ τῆς Συνόδου αὐτοῦ οὐ συνίσταται Οἰκουμενικὴ Σύνοδος, ἀλλ' ὡς ἐστὶν ἀναγκαία ἡ συνέργεια αὐτοῦ, κατὰ τὸν αὐτὸν τρόπον ἐστὶν ἀναγκαιοτάτη καὶ ἡ τῶν λοιπῶν Πατριαρχῶν σύμπνοια. ἦσαν δὲ οἱ Πατριάρχαι εἰς τὴν ἐν Τρούλλῳ, ἐβεβαίωσαν αὐτὴν ὕστερον οἱ Πάπαι ἐκ τοῦ μέρους αὐτῶν, ὡς καὶ τὴν δευτέραν ὁ Δάμασος, ἄρα. τέταρτον, ὅτι περὶ τῶν εἰρημένων τῷ Πασχασίνῳ εἰς τὴν τετάρτην Σύνοδον, εἴρηται ἐκεῖ εἰς τὸν τόπον, καὶ ἴδε βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον δέκατον. οὐ μόνος τοίνυν ὁ Ῥώμης ἀναγκαῖος ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις, ἀλλὰ κοινῶς οἱ εἰρημένοι πάντες, ὡς εἴρηται καὶ ῥηθήσεται διὰ πολλῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Διάλυσις τοῦ τρίτου ἐπιχειρήματος τῶν Λατίνων, ὅπερ ἐστὶν ὅτι οὐ μετὰ πέντε, ἀλλὰ μετὰ εἰκοσιεπτὰ ἔτη τῆς ἑκτης Συνόδου ἡ ἐν Τρούλλῳ ἠθροίσθη.

Πρὸς δὲ τὸ τρίτον ῥητέον πρῶτον, ὅτι μετὰ τὴν διάλυσιν τῆς ἑκτης ὁ Πωγωνᾶτος ἔζησε τέσσαρα, ἢ πέντε ἔτη, ὁ δὲ Ἰουστινιανὸς δέκα τὸ πρῶτον, καὶ ἓξ τὸ ὕστερον, ἢ ὀκτὼ κατ' ἄλλους, καὶ εἰς τὴν πρώτην αὐτοῦ αὐταρχίαν συνῆλθεν ἡ ἐν Τρούλλῳ κατ' ἄλλους καὶ τὸν Πλάτινα, καὶ ποῦ τὰ εἰκοσιεπτὰ ἔτη;

δεύτερον,

δεύτερον, ἐπειδὴ οὐκ εἰσὶν οὔτε δεκαεπτὰ, πλάσμα ἡγούμεθα λατινικὸν τὰ εἰκοσιεπτά. τρίτον, μᾶλλον πιστεύομεν Ταρασίῳ καὶ τῇ ἑβδόμῃ Συνόδῳ ἢ Πλάτινα καὶ Ἀναστασίῳ καὶ τοῖς ὁμοίοις, ἔχουσιν ὅλον τὸν σκοπὸν τῆς ἱστορίας αὐτῶν, οὐχ ἵνα δώσωσι τῇ ἱστορίᾳ τὰ ὁπωσδήποτε γεγενημένα, ἀλλ' ἵνα τὰς καινοτομίας αὐτῶν συστήσωσι. τέσσαρα δὲ ἢ πέντε εἶπεν ἡ ἑβδόμη Σύνοδος ἔτη παρεληλυθέναι ἀπὸ τῆς ἕκτης ἕως τῆς ἐν Τρούλλῳ, ὥστε ταύτην εἶναι τὴν ἀλήθειαν; τοὺς δὲ Λατίνους ἀπατᾶσθαι. τέταρτον, ἴδιόν ἐστι Λατίνοις ψέγειν κατά τι τὰς Οἰκουμενικὰς Συνόδους, ὡς τὴν δευτέραν διὰ Φλαυϊανὸν ἠθέτουν, καὶ τὴν τετάρτην διὰ τὰ πρεσβεῖα τοῦ τῆς Κωνσταντινουπόλεως θρόνου, καὶ τὴν πέμπτην ὁ Βιγίλιος, καὶ τὴν ἕκτην διὰ τὸν Ὀνώριον εἶπον πεπλανημένην, καὶ νῦν τὴν ἐν Τρούλλῳ διὰ τὸ ἀντιτεῖναι ταῖς αὐτῶν καινοτομίαις, ἀξίωμα Συνόδου οἰκουμενικῆς ἔχουσαν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι οἱ Λατῖνοι τὸν Θεοφάνη μετὰ εἰκοσιεπτὰ ἔτη τῆς ἕκτης τὴν ἐν Τρούλλῳ γενέσθαι λέγοντα προσφέροντες, δείκνυνται ἐνταῦθα ἐκ τεττάρων σαφῶν καὶ ἀναντιρρήτων Ἐκθέσεων χρονικῶν σὺν τῷ ἐπιπλάστῳ Θεοφάνει ψευδόμενοι.

Περὶ δὲ τοῦ Θεοφάνους, λέγοντος, ὅτι φλυαροῦσι τινὲς, μετὰ τέσσαρα, ἢ πέντε ἔτη τῆς ἕκτης τὴν ἐν Τρούλλῳ γεγονέναι λέγοντες, ἐπειδὴ ἐγένετο μετὰ εἰκοσιεπτὰ ἔτη, καθότι δῆθεν ἡ ἀκριβὴς χρονολογία θέλει γεγονέναι τὴν ἕκτην ἐν ἔτει ἑξακισχιλιοστῷ ἑκατοστῷ ἑβδομηκοστῷ δευτέρῳ, εἰς τὸν δωδέκατον χρόνον τοῦ Πωγωνάτου, νομίζει δὲ ὁ Θεοφάνης συνιστᾶν τὰ εἰρημένα πρῶτον, ὅτι ἐπατριάρχευσεν ὁ Γεώργιος μετὰ τὴν διάλυσιν τῆς Συνόδου ἔτη τρία, καὶ ὁ Θεόδωρος τὸ δεύτερον τρία, ὁ Παῦλος ἑπτὰ, ὁ Καλλίνικος δώδεκα, τίθησι καὶ τοῦ Κύρου δύο, ἐφ' οὗ νομίζει γεγονέναι τὴν Σύνοδον. δεύτερον, καὶ ἀπὸ τῆς χρονολογίας τῶν Βασιλέων, καθότι μετὰ τὴν Σύνοδον ἐβασίλευσεν ὁ Πωγωνᾶτος ἔτη πέντε, ὁ Ἰουστινιανὸς δέκα, ὁ Λεόντιος τρία, ὁ Ἀψίμαρος ἑπτὰ, εἶτα ὁ Ἰουστινιανὸς ἐφ' οὗ ἐγένετο ἡ ἄθροισις. ῥητέον ὅμως πρῶτον τρία τινὰ συμβάλλοντα εἰς γνῶσιν τοῦ ζητουμένου, καὶ πρῶτον, ὅτι ἡ ἐν τρούλλῳ ἐγένετο ἐν ἔτει ἑξακισχιλιοστῷ ἑκατοστῷ ἐννενηκοστῷ ἐνάτῳ, ὡς φαίνεται ἐν τῷ τρίτῳ αὐτῆς Κανόνι. δεύτερον, ὅτι ἐγένετο ἐπὶ Παύλου Πατριάρχου Κωνσταντινουπόλεως, ὡς φαίνεται εἰς τὰς ἐν αὐτῇ ὑπογραφάς. τρίτον, ὅτι ἡ ἕκτη ἠθροίσθη εἰς τὸ δωδέκατον ἔτος τοῦ Πωγωνάτου, καὶ τούτων κειμένων, ῥητέον πρῶτον, ὅτι τὸ, φλυαροῦσιν, οὐ δοκεῖ εἶναι ἰδίωμα Θεοφάνους, ὅθεν δοκεῖ εἶναι εἰς τὴν ἱστορίαν αὐτοῦ τὰ εἰρημένα προσθήκη λατινική. δεύτερον, ὅτι μᾶλλον πιστεύομεν Ταρασίῳ καὶ τῇ ἑβδόμῃ Συνόδῳ, ἢ τῷ Θεοφάνει. τρίτον, ὅτι εἰς ταῦτα τὰ λόγια περιέχεται ἄτοπον, καθότι τὸ ζητούμενον τίθησιν ὡς ὁμολογούμενον, πόθεν γὰρ δῆλον, ὅτι εἰς τὸ ἑξακισχιλιοστὸν ἑκατοστὸν ἑβδομηκοστὸν δεύτερον ἔτος ἠθροίσθη ἡ ἕκτη; ὅπου μάλιστα τρεῖς χρόνων ἐπιτομὰς περιεχούσας Βασιλέων καὶ Πατριαρχῶν τὰ ἔτη ἔχομεν συνηγορούσας τῇ γνώμῃ τῆς καθολικῆς Ἐκκλησίας, καὶ ἀντιτεινούσας τῷ Θεοφάνει. ἡ πρώτη κεῖται εἰς τὸν δεύτερον Τόμον τοῦ Ζωναρᾶ, τυπωθέντα εἰς τὸ Παρίσιον κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν ἕβδομον ἔτος, γέγονε δὲ ἡ συλλογὴ ἐν ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ ὀγδόῳ, ἥτις τίθησι τὸν θάνατον τοῦ Κώνστα τῷ ἑξακισχιλιοστῷ ἑκατοστῷ ἑβδομηκοστῷ ἕκτῳ ἔτει, ἕπεται δὲ εἶναι τὸ δωδέκατον ἔτος τοῦ Πωγωνάτου τῷ ἑξακισχιλιοστῷ ἑκατοστῷ ὀγδοηκοστῷ ὀγδόῳ ἔτει, καὶ τὴν ἐν Τρούλλῳ ἀθροισθῆναι εἰς τὴν πρώτην αὐταρχίαν τοῦ Ἰουστινιανοῦ. ἡ δευτέρα δὲ ὁμοίως ἐτυπώθη εἰς τὸ Παρίσιον κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν τεσσαρακοστὸν ὄγδοον ἔτος, καὶ κεῖται εἰς τὸν λεγόμενον Τόμον Σῶμα τῶν χρονικῶν, συλλεγεῖσα ὑπὸ Καλλίστου τινὸς, ἀπὸ Στάχυος ἕως Ἰωσὴφ τοῦ ἐν τῷ Φλωρεντινῷ συλλόγῳ τῶν Ἐπισκόπων Βιζαντίου διαλαμβάνουσα, ἥτις καὶ εὑρίσκεται χειρόγραφος εἰς βασιλικὴν βιβλιοθήκην τοῦ αὐτοῦ Παρισίου, καὶ λέγει, ὅτι ὁ Γεώργιος μόνα τρία ἔτη ἐπατριάρχευσε, καὶ ὁ Θεόδωρος δύο. ἡ τρίτη ἐπιτομὴ, ἣν ὁ Δικαιοφύλαξ Διάκονος Θεόδωρος ὁ Ἀγαλλιανὸς ἔγραψεν ἐπὶ Κωνσταντίνου τοῦ Δραγώσου, περιέχει ἀπὸ Ἀδὰμ ἕως Κωνσταντίνου τούτου τοῦ Παλαιολόγου, ἐν ᾗ συνέγραψε καὶ κατάλογον τῶν Πατριαρχῶν Κωνσταντινουπόλεως, καὶ δίδωσι τῷ μὲν Γεωργίῳ μόνα ἔτη τρία, καὶ τῷ Θεοδώρῳ δύο, ἦν δὲ μετὰ Θεόδωρον ὁ Παῦλος, ἐφ' οὗ ἐγένετο ἡ Σύνοδος. σαφεῖς μὲν αἱ Ἐκθέσεις αὗται, εἰ καὶ δοκοῦσι παραλλάσσειν μικρόν τι. ἔχομεν ὅμως τετάρτην χρονικὴν ἀπόδειξιν σαφεστάτην καὶ ἀναντίρρητον, κοινῶς γὰρ συμφωνοῦσιν οἱ ἱστορικοὶ ἀποθανεῖν τὸν Ἡράκλειον τῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ πρώτῳ ἔτει, εἶτα βασιλεῦσαι τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον ἔτος ἕν, τὸν Ἡρακλωνᾶν μῆνας ἕξ, καὶ τὸν Κώνσταν ἔτη εἰκοσιεπτὰ, τίθεμεν δὲ καὶ τοῦ Πωγωνάτου ἔτη δώδεκα, καὶ γίνονται ἔτη ἑξακόσια ὀγδοηκονταδύο, καθ' ὃ σωτήριον ἔτος ἠθροίσθη ἡ ἕκτη Σύνοδος, ὅπερ ἐστὶ κοσμικὸν ἔτος ἑξακισχιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν ἔνατον, ἢ ἑξακισχιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν ὄγδοον, καὶ συμφωνεῖ τῇ ἀνωτέρῳ πρώτῃ χρονικῇ ἐπιτομῇ, τίθεμεν καὶ δύο ἔτη τοῦ Πωγωνάτου, καθότι ἡ ἕκτη διελύθη εἰς τὸν τεσσαρεσκαιδέκατον χρόνον τῆς αὐταρχίας αὐτοῦ, καὶ συναριθμοῦνται ἀπὸ Χριστοῦ ἔτη ἑξακόσια ὀγδοηκοντατέσσαρα.

ἀπέ-

ἀπέθανε δὲ ὁ Πωγωνᾶτος τῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ ἔτει, ἐγένετο δὲ ἡ ἐν Τρούλλῳ τῷ ἑξακοσιοστῷ ἐννενηκοστῷ δευτέρῳ ἔτει, ὅπερ ἐστὶ κοσμικὸν ἔτος ἑξακισχιλιοστὸν ἑκατοστὸν ἐννενηκοστὸν ἔνατον, ὡς λέγει ὁ τρίτος Κανὼν τῆς Συνόδου. εἰ δὲ καὶ ὁ Βελλαρμῖνος τίθησιν εἰς τὴν χρονολογίαν αὐτοῦ βασιλεῦσαι τὸν Πωγωνᾶτον ἐν ἔτει ἑξακοσιοστῷ ἑξηκοστῷ ὀγδόῳ, καὶ ἐν τῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ πέμπτῳ βασιλεῦσαι τὸν Ἰουστινιανὸν, καὶ τὴν ἐν Τρούλλῳ γενέσθαι τῷ ἑξακοσιοστῷ ἐννενηκοστῷ ἔτει, πάλιν ἡμῖν βοηθεῖ, καθότι δύο ἐτῶν διαφορὰν τίθησιν, ἥτις ὁπωσδήποτε μεσολαβεῖ, ὅτι ὅμως ἡ ἐν Τρούλλῳ ἠθροίσθη ἐν τῇ πρώτῃ αὐταρχίᾳ τοῦ Ἰουστινιανοῦ καὶ οὐμετὰ εἰκοσιεπτὰ, ἀλλὰ μετ' ὀλίγα ἔτη τῆς κοιμήσεως τοῦ Πωγωνάτου, βεβαιοῖ. ἔτι ὁ Ἀναστάσιος ἐν τῷ τοῦ πρώτου Σεγίου βίῳ λέγει, ἐν τοῖς χρόνοις τούτου τοῦ Πάπα ἐπὶ Ἰουστινιανοῦ, καὶ ἐπιλέγει, ὅτι ὁ Σέργιος ἐκάθισεν ἔτη δεκατρία καὶ Μῆνας ὀκτὼ καὶ ἡμέρας τινάς. λοιπὸν ἡ ἕκτη ἐκείνη Σύνοδος ἡ ἐπὶ τοῦ Πωγωνάτου ἐγένετο ἐπὶ Ἰνδικτιῶνος ἐνάτης, καὶ ἐτελειώθη τῷ πρώτῳ Μηνὶ τῆς δεκάτης Ἰνδικτιῶνος, ὡς μαρτυρεῖ τὰ πρακτικὰ, ταύτην δὲ τὴν Πενθέκτην γεγονέναι ἐπὶ Ἰνδικτιῶνος πέμπτης, δῆλον γίνεται ἐκ τοῦ τρίτου καὶ τοῦ δεκάτου ἑβδόμου Κανόνος. ὁ δὲ Ἰουστινιανὸς ἤρξατο βασιλεύειν Ἰνδικτιῶνι δεκάτῃ τετάρτῃ, ὄντος Ῥώμης Ἰωάννου πέμπτου, ὡς μαρτυρεῖ ὁ Ἀναστάσιος ἐν τῷ βίῳ τούτου τοῦ Ἰωάννου. ὁ αὐτὸς γράφει περὶ τοῦ Ἰωάννου ὅτι ἐκάθισεν ἔτος ἓν καὶ ἡμέρας ἐννέα, καὶ τούτου ἀποθανόντος, μεῖναι, φησὶ, τὸν θρόνον χηρεύοντα Ἀρχιερέως Μῆνας δύο καὶ ἡμέρας ὀκτωκαίδεκα, καὶ γεγονέναι διάδοχον Κόνωνα Μῆνας ἕνδεκα καὶ ἡμέρας εἰκοσιτρεῖς, εἶτα Σέργιον τὸν πρῶτον τρεῖς Μῆνας. ἰδοὺ λοιπὸν ὡς ἐδηλώθη ἡ πρώτη περίοδος, ἥτις περιέχει διάστημα δεκαπέντε Ἰνδικτιώνων, ἐν ᾧ ὁ πρῶτος χρόνος λέγεται Ἰνδικτιὼν πρώτη καὶ καθεξῆς, καὶ γίνεται ἐκ τούτου δῆλον, ὅτι τὴν πέμπτην Ἰνδικτιῶνα καθ' ἣν ἐγένετο ἡ ἐν Τρούλλῳ Σύνοδος δεῖ ἐννοεῖσθαι ὑπάρξαι ἐν τῇ περιόδῳ τῇ ἀρξαμένῃ ἐπὶ Ἰουστινιανοῦ ἀμέσως μετὰ τὴν προηγησαμένην ἢ παρελθοῦσαν ἐκείνην περίοδον, ἧς ἐν τῇ δεκάτῃ Ἰνδικτιῶνι ἐτελειώθη ἡ κυρίως ἕκτη Σύνοδος, ἧς ἐν τῇ δεκάτῃ τετάρτῃ Ἰνδικτιῶνι ἤρξατο βασιλεύειν ὁ Ἰουστινιανὸν τῷ τετάρτῳ ἢ τῷ πέμπτῳ δηλονότι ἔτει μετὰ τὴν ἐπὶ Πωγωνάτου ἕκτην Σύνοδον, καὶ οὕτω πασίδηλόν ἐστιν, ὅτι μεταξὺ τῆς κυρίως ἕκτης καὶ ταύτης τῆς ἐν Τρούλλῳ εἰσὶν ἔτη δέκα. ὁ δὲ Ταράσιος οὐκ ἀκριβῶς διελογίσατο τὸν καιρὸν, λέγων ταύτην τὴν Σύνοδον γεγονέναι μετὰ τέσσαρα ἢ πέντε ἔτη τῆς ἕκτης Συνόδου, ὅπερ οὐκ ἄτοπον, καθότι ὁ σκοπὸς ἦν αὐτῷ οὐχ ἵνα τὰ μεταξὺ τῶν Συνόδων ἔτη ἀκριβολογήσῃ, ἀλλ' ἵνα μόνον τὴν ἐξουσίαν ταύτης τῆς ἐν Τρούλλῳ ἀποδείξῃ. ψεύστης ἄρα ἐστὶ καὶ ὁ πεπλασμένος Θεοφάνης, καὶ οἱ τούτου εἰσηγηταὶ Λατῖνοι.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Διάλυσις τοῦ τετάρτου ἐπιχειρήματος τῶν Λατίνων, ὅ ἐστιν, ὅτι Σέργιος ὁ Ῥώμης βιασθεὶς ὑπὸ τοῦ Βασιλέως, καίτοι ἀνυνήτως, οὐχ ὑπέγραψεν εἰς τοὺς Κανόνας τῆς Συνόδου, οὔτε ἐκύρωσεν αὐτούς.

Πρὸς δὲ τὸ τέταρτον φαμὲν, διὰ τὸ μὴ ἔχειν ἡμᾶς τινὰ τῶν Ἀνατολικῶν ἱστορικῶν ἱστοροῦντα γεγονέναι τοιοῦτόν τι, δηλονότι τὸν Βασιλέα ἐπιθέσθαι βίαν τῷ Ῥώμης τοῦ συμπνεῦσαι τοῖς Κανόσι τῆς Συνόδου, ἀμφιβάλλομεν τῇ τοιαύτῃ ἀληθείᾳ. ὅθεν τῶν παρέργων περιφρονοῦντες, εἰς τὰ καίρια ἀποκρινόμεθα, ὅτι εἰ τυχὸν οὐκ ἐκύρωσεν ὁ Σέργιος (ὑποθετέον γὰρ ἀληθῆ εἶναι τὰ Λατίνοις περὶ Σεργίου ἱστορούμενα) τὴν Σύνοδον, ἐκύρωσεν αὐτὴν ὁ Ἀδριανὸς, ὃς, ὡς εἴρηται, τοὺς Κανόνας αὐτῆς πάντας θεοπνεύστους καλεῖ, γράφων πρὸς Ταράσιον, ὡς φαίνεται πράξει δευτέρᾳ τῆς ἑβδόμης Συνόδου, καὶ δέχεται αὐτοὺς ὡς θεοπνεύστους, ἀλλὰ καὶ πρὸς Κάρολον Ῥῆγα Φραγγίας πάνυγε αὐτοὺς εὐφημεῖ. δεύτερον, ὁ Πάπας Ἰννοκέντιος ὁ τρίτος δέχεται αὐτοὺς ὡς καὶ ὁ Ἀδριανός. τρίτον, ἡ ἑβδόμη Σύνοδος ἐξίσου τοῖς Κανόσι τῆς δευτέρας καὶ τρίτης καὶ τετάρτης τῶν Συνόδων δέχεται αὐτοὺς, καὶ Κανόνας τῆς ἕκτης Συνόδου αὐτοὺς καλεῖ ἀπολελυμένως εἰς τὴν τετάρτην πρᾶξιν καὶ εἰς τὸν πρῶτον αὐτῆς Κανόνα, καὶ τοὺς πατέρας τῆς Συνόδου ταύτης πάνυ εὐφημεῖ. τέταρτον, ὅτι οὐ καινὸν τὸ βεβαιοῦσθαι τὰς Συνόδους καὶ ὑπὸ τῶν μετέπειτα Πατριαρχῶν. καὶ σημείωσαι πρῶτον, ὁ Δάμασος ὕστερον ἐβεβαίωσε τὴν δευτέραν, ἡ Κυζικηνὴ Σύνοδος εἰς τὸν Αὐτοκράτορα Λέοντα γράφουσα κατὰ τοῦ Αἰλούρου, λέγει τὸν Προτέριον Ἀλεξανδρείας κυρῶσαι τὴν τετάρτην. ὁ Κωνσταντινουπόλεως Μάξιμος μετὰ τὸ τέλος τῆς τρίτης Συνόδου χειροτονηθεὶς, ἐβεβαίωσεν αὐτὴν ὕστερον, ὡς ὁ ἅγιος Κύριλλος γράφων αὐτῷ λέγει, Συνήλθομεν εἰς ὁμόνοιαν, συντρεχούσης πρὸς τοῦτο καὶ τῆς σῆς ὁσιότητος καὶ ἁπάντων τῶν ἄλλων, ἐξ ὧν καὶ τὸ τῆς ἁγίας Συνόδου γέγονε πλήρωμα. ὁ Ἀντιοχείας Ἰωάννης μετέπειτα τὴν αὐτὴν τρίτην δεξάμενος ἐβεβαίωσεν. ὁ Βιγίλιος μετέπειτα τὴν πέμπτην δεξάμενος ἐβεβαίωσεν. ἐν τῇ Ἱερουσαλὴμ τῷ καιρῷ τῆς ἕκτης Συνόδου οὐκ ἦν Πατριάρχης, ἀλλὰ πρόεδρος Θεόδωρος, καὶ μετέπειτα τὴν Σύνοδον ταύτην ἐβεβαίωσαν οἱ Πατριάρχαι. τὰς Τοπικὰς Συνόδους μετέπειτα ἐβεβαίωσαν οἱ Πατριάρχαι καὶ αἱ Οἰκουμενικαὶ Σύνοδοι. οὕτω λοιπὸν καὶ τὴν ἐν Τρούλλῳ ἐβεβαίωσαν καὶ Πάπαι Ἀδριανὸς καὶ Ἰννοκέντιος, καὶ ἡ ἑβδόμη Σύνοδος. καὶ ὁ ἀθετῶν αὐτὴν τολμητίας ἐστὶν, ὡς ἦν Νικόλαος ὁ πρῶτος καὶ οἱ κατ' αὐτὸν αὐθάδεις, ἔξουσιν ὅμως τὸ κρίμα ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Διάλυσις τοῦ πέμπτου ἐπιχειρήματος τῶν Λατίνων, ὅ ἐστι, τὸ ὑπογράψαι τὸν Κρήτης Βασίλειον ὡς Τοποτηρητὴν τοῦ Ῥώμης, οὐκ ἔστι βέβαιον.

Πρὸς δὲ τὸ πέμπτον λέγομεν, ὅτι εἰ μάταιον δοκεῖ ὅπερ λέγουσί τινες, δηλαδὴ τὸ τοὺς τὸν τόπον ἐπέχοντας τοῦ Ῥώμης βεβαιῶσαι τὴν Σύνοδον, ἅτε δὴ μὴ τοὺς τοιούτους, ἀλλὰ τοὺς ἐπίτηδες ἀπεσταλμένους συνέδρους καὶ Τοποτηρητὰς, ἔχοντας καὶ τὰς ἐξ ἔθους συνοδικὰς ἐπιστολὰς νομίζεσθαι Τοποτηρητὰς τῶν Πατριαρχῶν, καθ' ὃ οὐ καταφρόνητος καὶ ὁ τοῦ Βαλσαμῶνος λόγος, πλὴν ὅμως οὐ δύνανται εἰπεῖν μάταιον καὶ τὸ κύριον, τὸν Πάπαν δηλονότι Ἀδριανὸν τὸν πρῶτον, τὸν μετέπειτα τὴν Σύνοδον βεβαιώσαντα, ὅστις γράφων πρὸς Ταράσιον περὶ αὐτῆς λέγει, Μετὰ πάντων τῶν ἐνθέσμως καὶ θεοδῶς ἐκφωνηθέντων παρ' αὐτῆς Κανόνων ἐμφέρεται καὶ ὁ περὶ τῶν Εἰκόνων κανὼν, καὶ τὰ ἑξῆς. καὶ διατοῦτο καὶ ὁ Ταράσιος εἰς τὴν ἐγκύκλιον αὐτοῦ ἐπιστολὴν ἕκτην αὐτὴν ἁπλῶς ὀνομάζει Οἰκουμενικὴν καὶ ὑπερευφημεῖ. πρὸς τούτοις δέδεικται ἀνωτέρω, ὅτι ἀληθινοὶ ἦσαν οἱ Τοποτηρηταὶ τοῦ Πάπα, καὶ μάτην κατ' αὐτῶν ἐφλυάρησεν ὁ Ἀναστάσιος καὶ οἱ κατ' αὐτὸν Ῥωμαῖοι, λέγοντες αὐτοὺς ἀπατηθέντας ὑπογράψαι.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Διάλυσις τοῦ ἕκτου ἐπιχειρήματος τῶν Λατίνων, ὅ ἐστιν, ὅτι οὐδεὶς τῶν ὑπερεχόντων ἱστορικῶν τῆς Συνόδου ταύτης ἐμνήσθη.

Πρὸς δὲ τὸ ἕκτον ῥητέον πρῶτον, ὅτι μάλιστα ὁ Κεδρηνὸς ταύτης μέμνηται τῆς Συνόδου, καὶ νομίζει αὐτὴν ταύτην εἶναι τῇ κυρίως ἕκτῃ, ὥς ἐστι καὶ ἡ ἀλήθεια, λέγων γὰρ περὶ τῆς ἕκτης, προστίθησι τάδε, ὡσαύτως καὶ περὶ τῆς τῶν ἱερῶν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν οἰκονομίας συμβόλων ἐξέθετο οὕτως ἔντισι τῶν σεπτῶν Εἰκόνων γραφαῖς, λέγων περὶ τοῦ ὀγδοηκοστοῦ δευτέρου αὐτῆς Κανόνος, καὶ ἴδε τὸν Κεδρηνὸν αὐτὸν ἐν τῷ περὶ Πωγωνάτου Λατῖνε, ἵνα γνῶς ὅτι ψεύστης καὶ ἀναίσχυντος ὑπάρχεις, τὸ μὲν, ὅτι πλάττεις ψευδῆ, τὸ δὲ, ὅτι προσποιῇ μὴ εἰδέναι τἀληθές. εἶτα ἀρκεῖ ὅτι μέμνηται αὐτῆς ἅπας ὁ κόσμος διὰ τῶν συνειλεγμένων ἐν τῇ ἑβδόμῃ Συνόδῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Διάλυσις τοῦ ἑβδόμου ἐπιχειρήματος τῶν Λατίνων, ὅ ἐστιν, ὅτι ἔσφαλεν ἡ Σύνοδος, ὀγδοηκονταπέντε Κανόνας τῶν Ἀποστόλων δεξαμένη.

Πρὸς δὲ τὸ ἕβδομον λέγομεν, ὅτι ἡ Σύνοδος ἀληθεύει, ἐπειδὴ τοὺς ὀγδοήκοντα καὶ πέντε Κανόνας τῶν ἁγίων Ἀποστόλων δέχεται ἡ καθόλου Ἐκκλησία, εἰ καὶ ἡ Ῥώμη μετέπειτα ἀηδίασεν εἰς αὐτοὺς, διότι ἐλέγχουσι τὰς παραβάσεις αὐτῆς, καὶ καθὼς παρεξηγεῖται τὸν πέμπτον καὶ ἕκτον τοὺς Κανόνας τῆς πρώτης, καὶ ἐμάνη εἰς τὸν τρίτον τῆς δευτέρας, καὶ εἰς τὸν εἰκοστὸν ὄγδοον τῆς τετάρτης, ἰλιγγίασε καὶ εἰς τινὰς τῆς παρούσης. δεύτερον, ἡ Οἰκουμενικὴ ἑβδόμη δεχομένη τοὺς Κανόνας τῆς ἕκτης, ὧν ὁ πρῶτος ῥητῶς λέγει εἶναι τοὺς ἀποστολικοὺς Κανόνας ὀγδοήκοντα καὶ πέντε, ἀναθεματίζει τοὺς παραβάτας αὐτῶν, οὐχ ὑπεξαιρεῖ δὲ τινὰς αὐτῶν, ἀλλ' ὅλους ἁπλῶς δέχεται, ἀναθεματίζει δὲ καὶ ἀφορίζει καὶ ἐπιτιμᾷ τοὺς παραβάτας πάντας ἐν οἷς καὶ ὁ Ἐπίσκοπος Ῥώμης μετὰ τῶν περὶ αὐτὸν, καὶ ἰδέτωσαν οἱ Λατῖνοι τίσιν ἀφορισμοῖς ὑπόκεινται. τρίτον, ἡ αὐτὴ Οἰκουμενικὴ ἑβδόμη εἰς τὸν πρῶτον αὐτῆς Κανόνα ἁπλῶς δέχεται τοὺς Κανόνας τῶν ἁγίων Ἀποστόλων, καὶ εἴγε οὐκ ἦσαν ὀγδοηκονταπέντε, διώρισεν ἂν αὐτῶν τὸν ἀριθμὸν, ἐπειδὴ ἡ Οἰκουμενικὴ Σύνοδος καθαρῶς καὶ ἀναμφιβόλως λαλεῖ περὶ τῶν τοιούτων. Ἔτι τῶν ἀποστολικῶν Κανόνων μέμνηνται Θεοδόσιος καὶ Οὐαλεντιανὸς ἐν τῇ Σάκρᾳ, φερόμενοι κατὰ Εἰρηναίου Ἐπισκόπου Τύρου. τέταρτον, ὁ πρῶτος κανὼν τῆς Οἰκουμενικῆς πρώτης μέμνηται τῶν Κανόνων τῶν ἁγίων Ἀποστόλων, ἤτοι συμφωνεῖ τοῖς ἀποστολικοῖς Κανόσιν εἰκοστῷ πρώτῳ, εἰκοστῷ δευτέρῳ, εἰκοστῷ τρίτῳ καὶ εἰκοστῷ τετάρτῳ. ὁ δεύτερος τῆς αὐτῆς μέμνηται ὀγδοηκοστοῦ. ὁ δὲ πέμπτος, μέμνηται δωδεκάτου καὶ τριακοστοῦ δευτέρου. ὁ δὲ δέκατος πέμπτος, δεκάτου πέμπτου καὶ δωδεκάτου. ὁ δὲ δεύτερος τῆς δευτέρας Οἰκουμενικῆς μέμνηται δεκάτου τετάρτου. ἡ δὲ τρίτη Οἰκουμενικὴ πρὸς Θεοδόσιον Βασιλέα μέμνηται ἑβδομηκοστοῦ τετάρτου, ᾧτινι χρησαμένη καθεῖλε Νεστόριον. καὶ ἡ τετάρτη τῷ αὐτῷ Κανόνι χρησαμένη καθεῖλε Διόσκορον. ἔτι ἡ τετάρτη εἰς τὸν πέμπτον μέμνηται δεκάτου τετάρτου. ἡ ἐν Ἀντιοχείᾳ εἰς τὸν ἕνατον μέμνηται ῥητῶς τοῦ τριακοστοῦ τετάρτου. ὁ μέγας Βασίλειος εἰς τὸν δέκατον τέταρτον μνημονεύει τοῦ δεκάτου τετάρτου. καὶ ἡ ἕκτη ἰουστινιάνειος Νεαρὰ λέγει, Τοῦτο δὲ ἔσεσθαι πιστεύομεν,

ἅπερ

εἴπερ ἡ τῶν ἱερῶν Κανόνων παρατήρησις φυλάττοιτο, ἣν οἵτε δικαίως ὑμνούμενοι καὶ προσκυνητοὶ καὶ αὐτόπται καὶ ὑπηρέται τοῦ Θεοῦ Λόγου παραδεδώκασιν Ἀπόστολοι, καὶ οἱ ἅγιοι πατέρες ἐφύλαξαν τότε καὶ ὑφηγήσαντο. τὰ αὐτὰ λέγει καὶ ἑκατοστῇ τριακοστῇ ἑβδόμῃ Νεαρᾷ. καὶ ὁ Δαμασκηνὸς Ἰωάννης εἰς τὸ εἰκοστὸν ἕβδομον κεφάλαιον τῶν δογματικῶν, καὶ ὁ Ἐπιφάνιος εἰς τὴν Ἔκθεσιν τῆς ὀρθοδόξου πίστεως βεβαιοῖ τὸν ἑξηκοστὸν ἔνατον περὶ τῆς νηστείας Τετράδος καὶ Παρασκευῆς, καὶ ἔτι ἡ ἑβδόμη Οἰκουμενικὴ μέμνηται ῥητῶς τοῦ πεντηκοστοῦ τρίτου Κανόνος, ὃν καὶ αἰέγνω ..... Διάκονος. περὶ μὲν οὖν τῶν Κανόνων ῥητῶς εἶπεν ἡ ἐν Τρούλλῳ, ὅτι δὲ ἀποστολικοὶ, μάρτυρες καὶ Σύνοδοι καὶ Νεαραὶ, ὅτι δὲ εἰσὶν ὀγδοηκοντοπέντε, μάρτυς ἡ Σύνοδος αὕτη, καὶ ἡ ἑβδόμη, καὶ οἱ ἐξηγηταὶ τῶν Κανόνων, καὶ αἱ ἄλλαι μαρτυρίαι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ψευδολογία καὶ κακουργία καθ' ὕφεσιν καὶ ἀποβολὴν καὶ ἔλλειψιν Λέοντος Πάπα τοῦ ἐνάτου καὶ Οὐμπέρτου πρέσβεως αὐτοῦ καὶ παλιμβόλου Ἀναστασίου βιβλιοθηκαρίου περὶ τοὺς Κανόνας τῶν Ἀποστόλων.

Ὁ Λέων δὲ Πάπας ὁ ἔνατος γράφων πρὸς Νικήταν Ἡγούμενον ὅτι εἰσὶ μόνον πεντήκοντα οἱ τῶν ἁγίων Ἀποστόλων Κανόνες, θανασίμως ἁμαρτάνει, καὶ προφανῶς ψεύδεται. τὸ πρῶτον, ὅτι ἀντιτείνει ταῖς οἰκουμενικαῖς Συνόδοις, ταύτῃ καὶ τῇ ἑβδόμῃ. τὸ δὲ δεύτερον, ὅτι ἰδοὺ εὑρομεν ἕως ὀγδοήκοντα, καὶ σχεδὸν αὐτολεξεὶ χρῶνται αὐτοῖς καὶ Σύνοδοι καὶ πατέρες. ὁ δὲ Λέων καὶ ὡς ὑστερογενὴς καὶ ὡς ἐν τῷ σχίσματι ὢν ἐθελοντὶ κακουργεῖ, συγκακουργεῖ δὲ καὶ Οὐμπέρτος ὁ πρεσβευτὴς τούτου τοῦ Λέοντος, ὃς πρὸς ταῖς ἄλλαις αὐτοῦ ἃς λέγει ψευδολογίαις κατὰ τῶν ἁγίων τούτων Κανόνων, ἐπιλέγει, ὅτι ὁ θρόνος τῆς Ῥώμης οὐκ ἐδέξατο αὐτοὺς, καταψευδόμενος φανερῶς, καθότι ἐδέξατο καὶ ἐβεβαίωσεν αὐτούς. εἰς τοῦτο συντρέχει τὸ ἄτοπον καὶ ὅπερ λέγει ὁ ποικίλος καὶ παλίμβολος Ἀναστάσιος ὁ Βιβλιοθηκάριος, ὅτι εἰς οὐδενὸς Πατριαρχείου Σκευοφυλάκιον εὑρίσκοντο οἱ Κανόνες, ἀνακεκαλυμμένῳ τῷ προσώπῳ καταψευδόμενος καὶ οὗτος, καθότι οἱ τέσσαρες Πατριάρχαι παρῆσαν τῇ Συνόδῳ καὶ ὑπέγραψαν αὐτοὺς, καὶ εἶχον αὐτοὺς, ὅθεν εἰς τὴν ἑβδόμην Σύνοδον οὐμόνον αὐτοὺς ὁ Κωνσταντινουπόλεως εἶχεν, ἀλλὰ καὶ ὁ Νικομηδείας, καὶ ὡς διείληπται ὁ Πάπας Ἀδριανὸς αὐτοὺς καὶ εἶχε καὶ εὐφήμει καὶ ἐκύρωσε, καὶ ἔστιν εἰπεῖν, ὅτι ὥσπερ ἐν τῇ ἐπὶ Κοπρωνύμου Συνόδῳ οἱ Εἰκονοκλάσται ἕκτης μνησθέντες, ἐσιώπησαν τὴν ἐν Τρούλλῳ διὰ τὸν περὶ τῶν Εἰκόνων Κανόνα, οὕτω Λατῖνοι πονηρευόμενοι ἀθετοῦσι τὴν αὐτὴν διὰ τοὺς ἐλέγχοντας αὐτοὺς αὐτῆς Κανόνας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Πάπα Ζεφυρίνου καὶ Λέοντος ἐνάτου κατ' ἀλλήλων ψευδολογία περὶ τοὺς Κανόνας τῶν Ἀποστόλων.

Ὁ Πάπας Ζεφυρῖνος εἰς τὴν πρώτην ἐπιστολὴν πρὸς τοὺς τῆς Σικελίας Ἐπισκόπους γράφει, ὅτι εἰσὶ μόνοι ἑξήκοντα οἱ Κανόνες τῶν Ἀποστόλων, ἀλλὰ καὶ αὐτὸς (εἰ οὐ πέπλασται ἢ διέφθαρται ὑπὸ τῶν παπιστῶν ἡ ἐπιστολὴ) τοῖς ἴσοις ἐνέχεται τῷ Λέοντι ἐπιτιμίοις. εἶτα ὁ μὲν Λέων λέγει πεντήκοντα, ὁ δὲ Ζεφυρῖνος ἑξήκοντα, καὶ ἰδοὺ οἱ Λατῖνοι καὶ μάλιστα οἱ ἀναμάρτητοι Πάπαι διαφόρως λέγοντες, ψεύδονται, οἱ δὲ Ἀνατολικοὶ συμφωνοῦντες ἑαυτοῖς καὶ ταῖς Συνόδοις, ἀληθεύουσι. Σὺ δὲ κἀνταῦθα σημείωσαι, πῶς οἱ Πάπαι διαφόρως λέγοντες, ψεύδονται, καὶ ἀγνοοῦσι, καὶ ποῦ τὸ, ὁ Ῥώμης ἀναμάρτητος καὶ κοινὸς πάντων ἀψευδὴς Διδάσκαλος; ὁπότε οἱ Πάπαι εἰς τοιαῦτα μεγάλα πράγματα οὐκ οἴδασι τὶ λέγουσι, καὶ μάλιστα ἀλλήλους καταβάλλουσι, λέγοντες κατ' ἀλλήλων.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Διάλυσις τοῦ ὀγδόου ἐπιχειρήματος τῶν Λατίνων, ὃ ἐστὶν, ὅτι ἥμαρτεν ἡ Σύνοδος μὴ μνησθεῖσα καὶ τῶν δυτικῶν Κανόνων.

Πρὸς δὲ τὸ ὄγδοον ῥητέον, ὅτι ἐκείνων τῶν Συνόδων καὶ πατέρων Κανόνας κατηρίθμησεν, εἴτινες ἦσαν εἰς τὴν χρῆσιν τῆς Ἐκκλησίας, εἰ δὲ καὶ ἦσαν εἰς τὴν Δύσιν Σύνοδοι Τοπικαὶ καθὼς φαίνεται εἰς τὴν συλλογὴν τῶν Κανόνων ἣν ἐποίησεν ὁ Βαρθολομαῖος Καραγγιας καὶ ἄλλοι πρὸ αὐτοῦ πολλοὶ, καὶ μεταταῦτα κατεγράφησαν ἐν τοῖς συνοδικοῖς, φανερὸν ἐστὶν ὅτι ὅσαι συμφωνοῦσι τοῖς Κανόσι τῶν Οἰκουμενικῶν Συνόδων συνεδέχθησαν. δεύτερον, ὅτι ὅσα εἴρηται περὶ Αὐγουστίνου, Ἀμβροσίου καὶ τῶν Δυτικῶν ἁγίων, ῥηθήσεται καὶ περὶ τῶν ἐν Δύσει Συνόδων, ὅτι δηλαδὴ ὅσα ἦσαν γνωστὰ καὶ τῇ γνώμῃ καὶ τοῖς Κανόσι καὶ τῇ ἀρχαίᾳ παραδόσει συμβαίνοντα, ἐδέξατο καὶ ἡ Σύνοδος καὶ ἡμεῖς, οὐ μὴν ἁπλῶς δεχόμεθα ἅπερ οὐκ οἴδαμεν, τοῦ Ῥώμης ἐν αὐταῖς ὡς ἀπὸ Τρίποδος μάλιστα καινάτινα καὶ ἀλλόκοτα

λόκοτα θεσπίζοντος. ὅθεν καὶ αἱ πλείονες τῶν Τοπικῶν ἔσφαλον, καὶ ἐκ τῶν Τοπικῶν τῆς Δύσεως ἤρξατο καὶ ἡ προσθήκη, προελθοῦσα ἕως τοῦ κοινοῦ κακοῦ καὶ ἀνελπίστου σχίσματος. ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον εἰκοστὸν πέμπτον, καὶ βιβλίου δευτέρου κεφάλαιον δέκατον ἕκτον, καὶ ἐνταῦθα κεφαλαίου τεταρτοῦ Παράγραφον τέταρτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Διάλυσις τοῦ ἐνάτου ἐπιχειρήματος τῶν Λατίνων, ὅ ἐστιν, ὅτι οὐκ ἔξεστι τῇ Συνόδῳ νομοθετεῖν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ περὶ γάμων Ἱερέων, τῇ κανονιζούσῃ καὶ μὴ κανονιζομένῃ.

Πρὸς τὸ ἔνατον ἀπαντητέον, ὅτι ἡ Οἰκουμενικὴ Σύνοδος καθόλου Σύνοδος οὖσα, ὅλην τὴν Ἐκκλησίαν κανονίζει, καὶ ὁ παρακούων αὐτῆς, ἐθνικός ἐστι καὶ τελώνης. εἶτα εἰ ὁ Ἰουστινιανὸς, ὡς εἴρηται βιβλίου πέμπτου κεφαλαίῳ δεκάτῳ ἐνάτῳ, νομοθετεῖ καὶ προστάσσει τῷ Πάπᾳ καὶ τῇ Ἐκκλησίᾳ Ῥωμαίων, καθὰ καὶ ἄλλοι Βασιλεῖς, ὡς εἴρηται ἐν πολλοῖς, καὶ ἴδε καὶ τὸν Ἀγκύρας Μακάριον ἐν τῇ Καταλλαγῇ κεφαλαίῳ εἰκοστῷ πρώτῳ, πῶς ἡ τοιαύτη Σύνοδος τὸ πρῶτον κεκτημένη μετὰ Χριστὸν ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ, οὐ νομοθετεῖ καὶ εἰς τὴν Ῥώμην; δεύτερον, περὶ τοῦ βαπτίσματος πολλὰ διώρισεν ὁ Ῥώμης, καὶ Διονύσιος Ἀλεξανδρείας, καὶ ὁ Κυπριανὸς Καρθαγένης, καὶ περὶ τοῦ Πάσχα ὁμοίως ὅ τε Ῥώμης καὶ οἱ Ἀσιανοὶ, ἀλλ' εἰς οὐδὲν ἐλογίσθησαν ἅπαντες, ἕως οὗ διώρισεν ἡ πρώτη Σύνοδος περὶ τοῦ Πάσχα, καὶ ἡ δευτέρα περὶ τοῦ βαπτίσματος. τρίτον, αἱ Οἰκουμενικαὶ Σύνοδοι καθόλου οὖσαι, καθόλου καὶ πᾶσιν ἀποφαίνονται κοινῶς τοῖς Χριστιανοῖς Ἱερωμένοις καὶ λαϊκοῖς, ὅθεν καὶ τοῖς Πατριάρχαις, ὧν εἷς ἐστι καὶ ὁ Πάπας. καὶ ἔστιν ὁλόγος οὗτος φανερὸς καὶ ἀναντίρρητος, καθότι οὐδεμία Σύνοδος ἐν τινι ὅρῳ αὐτῆς ἢ ἀποφάσει πεποίηκεν ἐξαίρεσιν τινὸς Ἐπισκόπου, ἢ Βασιλέως, ἀλλὰ πᾶσι τοῖς βουλομένοις εἶναι ὀρθοδόξοις Χριστιανοῖς Ἱερωμένοις καὶ λαϊκοῖς ἐξίσου πᾶσαι αἱ Σύνοδοι διώρισαν. ὅθεν πάντες οἱ Χριστιανοὶ Ἱερωμένοι καὶ λαϊκοὶ ὁποιουδήτινος ἀξιώματος καὶ βαθμοῦ ἐξίσου ὑπόκεινται ταῖς ἁγίαις Συνόδοις, ὅθεν τελειουμένων τῶν Συνόδων πέμπονται πέντε ἀντίγραφα ἀπὸ ἑνὸς εἰς ἕκαστον Πατριαρχικὸν θρόνον διὰ φύλαξιν τῶν διωρισμένων, καὶ λοιπὸν τιμῶνται, πείθονται καὶ οἱ Πάπαι ταῖς Συνόδοις ὡς καὶ πᾶς Ἀρχιερεὺς, καὶ ἴδε τοῦτο λέγοντα ῥητῶς καὶ Πελάγιον τὸν δεύτερον ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ, καὶ τοὺς λοιποὺς τόπους τῶν Συνόδων, καὶ τὰ προσεχῶς ἀνωτέρω κεφάλαια. τέταρτον, ἡ Οἰκουμενικὴ Σύνοδος κατὰ πάντα ἕπεται τῇ γραφῇ καὶ ταῖς πρὸ αὐτῆς Συνόδοις, καὶ οἴχονται πάντα τὰ ἐπιχειρήματα Λατίνων περὶ τοῦ γάμου τῶν Ἱερέων, ἐπειδὴ ἥτε γραφὴ τὸν γάμον ἄλυτον βούλεται, καὶ ἡ πρώτη Σύνοδος ἀπέφυγεν ἀπὸ τούτου τοῦ μύσους τοῦ γίνεσθαι δηλονότι βίᾳ διαζύγιον ἐς τὸν γάμον τῶν Ἱερέων, ὅθεν ἡ παροῦσα Σύνοδος οὐχ ἥμαρτεν, ἀλλ' οἱ ἄλλως θέλοντες βλασφημοῦσι. πέμπτον, ἡ Ἐκκλησία ὅπερ ἦν ἀναγκαῖον διώρισε, καὶ αἱ Σύνοδοι αὐτὸ ἐβεβαίωσαν, ἵνα δηλονότι οἱ Ἀρχιερεῖς μὴ ἔρχωνται εἰς γάμου κοινωνίαν, καὶ ἵνα γινόμενοι Ἀρχιερεῖς χωρίζωσι τὰς γυναῖκας αὐτῶν πρότερον, οὐμέντοιγε βιαίως, ὥστε ἀναγκαίως τὴν γυναῖκα αὐτοῦ διὰ τὸ τὸν δεῖνα γίνεσθαι Ἀρχιερέα μὴ ἀντιλέγειν, ἀλλ' εἶναι τὴν διάζευξιν τῷ ἰδίῳ αὐτῆς θελήματι, καὶ πρῶτον μὲν αὐτὴν μονάσαι, εἶτα τὸν δεῖνα γίνεσθαι Ἐπίσκοπον. ὅθεν καὶ τὸν Ἐπίσκοπον ζητεῖ ἡ Ἐκκλησία εἶναι βίου ἁγίου, μὴ πορνεύοντα, μὴ συνεισάκτους ἔχοντα, καὶ ἄλλα. περὶ δὲ τῶν Ἱερέων οὐκ ἔστι τοσαύτη ἀνάγκη. τὶ γὰρ ἔχει ὁ Ἱερεὺς τῶν τῆς Ἐκκλησίας, ὥστε ἵνα μὴ ταῦτα τοῖς αὐτοῦ τέκνοις παρέχῃ μένειν ἄγαμον; μάλιστα ὁ Ἐπίσκοπος μεριμνᾷ περὶ τοῦ ποιμνίου, καὶ ἔχει ὥσπερ γυναῖκα τὴν Ἐπισκοπὴν, ὅθεν καὶ τὸν δύο λαβόντα Ἐπισκοπὰς δίγαμον λέγομεν. ὁ δὲ Ἱερεὺς περὶ μόνης παροικίας μικρᾶς, χωρίου δηλονότι, ἢ γειτονίας διωρίσθη, καθὼς ἡ γραφὴ νομοθετεῖ, εἶναι οἰκουρὸς, καὶ τὰ ἑξῆς. ἕκτον, ὁπότε τὶς τῶν Ἱερέων γνώμῃ τῆς συζύγου αὐτοῦ ἢ διαζεύγνυται, ἢ ἀπέχει πρὸς καιρὸν κατὰ τὸν Παῦλον, δεκτέον τὸ ἔργον, βιαίως δὲ χωρίζεσθαι, ἔστι παράνομον καὶ ἀντινομοθεσία κατὰ τοῦ ἁγίου Πνεύματος. ἕβδομον, ἡ Σύνοδος οὐδὲν διορίζει περὶ τῶν βουλομένων διάγειν ζωὴν κρείττονα, ἢ ἐγκρατεύεσθαι, ἢ πρὸς καιρὸν, ἢ ἀεὶ, ἀλλ' εἴργει τοὺς Λατίνους μὴ χωρίζειν βιαίως τὰ συνοικέσια, ὅ ἐστιν ἔργον τοῦ Ἀντιχρίστου, εἴπερ Ἀντίχριστος ὁ τῷ Χριστῷ ἀντινομοθετῶν. ὅθεν Ἀθανάσιος ἀπολογίᾳ δευτέρᾳ λέγει, Ἡ ἀρειανικὴ Αἵρεσις χριστομάχος, καὶ τοῦ Ἀντιχρίστου πρόδρομος. καὶ Φίληξ ὁ Ῥώμης ἐπιστολῇ πρὸς Ζήνωνα, Πέτρον τὸν Κναφέα πρωτότοκον υἱὸν λέγει τοῦ διαβόλου. ὅθεν ἁπλῶς κατηγοροῦντες τῆς Συνόδου οἱ Λατῖνοι, καὶ μὴ διορίζοντες ὅτι κατὰ τῶν βίᾳ διαζευγνύντων ἀποφαίνεται, ψεύδονται, καὶ θανασίμως ἁμαρτάνουσι, καὶ ἀντινομοθετοῦσιν αὐτῷ τῷ Χριστῷ, καὶ σιωπῶ τὸ ἑπόμενον. ὄγδοον, οἱ Ἱερεῖς μὴ χωριζόμενοι βιαίως, ζῶσιν ἐν Χριστῷ. οἱ δὲ χωριζόμενοι βιαίως (βίαιον δὲ λέγω, τὸ τινὰς μὲν τῆς Ἱερωσύνης ἐφίεσθαι τυχεῖν, μὴ ἐπιτυγχάνοντας δὲ διὰ τὸ ἔχειν γυναῖκας, χωρίζεσθαι αὐτῶν καὶ μὴ βουλομένους χάριν τοῦ ἐπιτυχεῖν τοῦ ἀξιώματος τῆς Ἱερωσύνης) πορνεύουσι καὶ ἀσελγαίνουσι τὰ χείριστα. ἔνατον, οἱ Λατῖνοι ὡς ἐπιτοπλεῖστον ἀντιπίπτουσι τῷ ἁγίῳ Πνεύματι, τὴν μὲν γὰρ μοιχευθεῖσαν οὐχωρίζουσιν, ὡς ὁ Κύριος ἐν τῷ δεκάτῳ ἐνάτῳ κεφα-

κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον διώρισε, τὸν δὲ νομίμως συναφθέντα γάμον αὖθις χωρίζουσι, κατὰ τοῦ Σωτῆρος ἀνακεκαλυμμένῳ προσώπῳ φερόμενοι. δέκατον, οἱ αὐτοὶ μαχόμενοι τῇ Συνόδῳ ἐλεγχούσῃ τὰς παρανομίας αὐτῶν, βλασφημοῦσιν, οὐμὴν καὶ ὅλως ἀπαναίνονται τὰ αὐτῇ διωρισμένα, ἐπειδὴ τῶν Μαρωνιτῶν ἔθνους κειμένου περὶ τὸ ὄρος τὸν Λίβανον καὶ τὴν Φοινίκην παπίζοντος, συγχωροῦσι τοὺς Ἱερεῖς αὐτῶν ἔχειν τὰς γυναῖκας αὐτῶν, τοῦτο τὸν Πάπαν συγχωρῆσαι προφασιζόμενοι. ἐνδέκατον, οἱ Λατῖνοι τῷ διορίζειν ἔχειν χρέος ἕκαστον τῶν Ἱερέων λειτουργεῖν καθ' ἡμέραν, συγχωροῦσι τοὺς τῶν Μαρωνιτῶν Ἱερεῖς μίγνυσθαι ταῖς ἰδίαις αὐτῶν γυναιξὶ καὶ λειτουργεῖν τῇ αὐτῇ ἡμέρᾳ, διὰ τὸ τὸν γάμον δῆθεν μὴ εἶναι ἁμαρτίαν, ἀντινομοθετοῦντες τῷ Παύλῳ εἰπόντι ἐγκρατεύεσθαι τοὺς Ἱερεῖς τῷ καιρῷ τῆς προσευχῆς, ἀλλὰ καὶ οἱ Κανόνες τῶν πατέρων καὶ ἡ παράδοσις τῆς Ἐκκλησίας βούλονται ἀγωνίζεσθαι καὶ Ἱερωμένους καὶ λαϊκοὺς ἐν καιρῷ μεταλήψεως. δωδέκατον, ἐν τῇ Λεχίᾳ τινὰς τῶν ὀρθοδόξων Ἱερέων δευτέροις γάμοις ὁμιλήσαντας, συγχωροῦσιν οἱ παπισταὶ τὴν ἱερωσύνην ἔχειν, ἐὰν μόνον δέξωνται τὸν παπισμόν. καὶ λοιπὸν ταῦτα καὶ ἄλλα τοιαῦτα παράνομα ἔργα ἀπὸ τῆς κοιλίας τοῦ Ῥώμης προσφερόμενα, καὶ τῇ γραφῇ ὄντα ἀντικείμενα, οὐ μόνον τοὺς Λατίνους ὡς παραβάτας ποιοῦσιν αἰωνίου κρίσεως ἐνόχους, ἀλλὰ καὶ αἰτία τῆς Αἱρέσεως τοῦ Λουτέρου γεγόνασιν, ὡς ῥηθήσεται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Ὅτι τὸ προσφέρειν τοὺς Λατίνους ἀπὸ τοῦ Ἐπιφανίου μὴ δέχεσθαι τὴν Ἐκκλησίαν τὸν μιᾶς γυναικὸς ἄνδρα εἰς Ἱερωσύνην, ἄδεκτόν ἐστιν ἀπότε τῆς συμφωνίας τῆς Συνόδου μετὰ τῆς γραφῆς, ἀπότε τῶν ἀποστολικῶν ῥητῶν καὶ Κανόνων καὶ Οἰκουμενικῶν Συνόδων καὶ Παπῶν, τῶν συνιστώντων τὸν γάμον τῶν Ἱερέων.

Περὶ ἐκείνου δὲ, ὃ προσφέρουσιν οἱ παπισταὶ ἀπὸ τοῦ Ἐπιφανίου Αἱρέσει πεντηκοστῇ, ἤτοι περὶ τῶν Καθαρῶν, ἐν ᾗ λέγει ἐκεῖνος, ὅτι τὸν μιᾶς γυναικὸς ἄνδρα οὐδέχεται ἡ Ἐκκλησία πρὸς Ἱερωσύνην, ἂν μὴ ἀπ' αὐτῆς ἐγκρατευθῇ, ᾧ συνᾴδει ὁ Πάπας Ἰννοκέντιος, καὶ ὁ Διάλογος καί τινες ἄλλοι, ῥητέον πρῶτον, ὅτι ἡμῖν οὐμέλει τὶ εἶπον, ἢ τὶ ἐφρόνησαν μερικοὶ τῶν πατέρων, ἀλλὰ τὶ ἡ γραφὴ λέγει, καὶ τὶ αἱ Οἰκουμενικαὶ Σύνοδοι καὶ ἡ κοινὴ τῶν πατέρων δόξα καὶ ἀρχαία τῆς καθόλου Ἐκκλησίας παράδοσις βούλονται, ἡ γὰρ γνώμη τινῶν οὐ συνίστησι δόγμα ἐν τῇ Ἐκκλησίᾳ. δεύτερον, ὅτι καὶ εἰς τὴν πρώτην ἐν Νικαίᾳ Σύνοδον τινῶν εἰσηγήσει ἠβουλήθη κωλυθῆναι τὸν γάμον τῶν Ἱερέων, ἀλλ' ὡς φησὶν ὁ Σωζόμενος βιβλίου πρώτου κεφαλαίῳ εἰκοστῷ τρίτῳ, Παφνούτιος ὁ ὁμολογητὴς οὐκ ἀφῆκεν, εἰπὼν σωφροσύνην εἶναι τὸν γάμον τῶν Ἱερέων, καὶ ἐᾶσαι ἕκαστον εἰς τὴν προαίρεσιν αὐτοῦ κατὰ τὴν ἀρχαίαν τῆς Ἐκκλησίας παράδοσιν, προκριτέα δὲ ἡ ἐπίκρισις τῆς Οἰκουμενικῆς Συνόδου τῆς τοῦ Ἐπιφανίου γνώμης καὶ τῶν λοιπῶν τῶν οὕτω λεγόντων. τρίτον, ὅτι καὶ αὐτὸς Ἐπιφάνιος ἐκεῖ ἐν τῷ αὐτῷ τόπῳ μαρτυρεῖ ἐκείνην τὴν γνώμην εἰς τινὰς κεκρατηκέναι καὶ οὐκ εἰς πάντας, καὶ ἴσως ὁ ἱερὸς Ἐπιφάνιος τοῦτο εἶπε τρόπῳ συμβουλευτικῷ καὶ οὐ βιαίῳ. ἐπειδὴ δὲ ἡ τοιαύτη γνώμη προεχώρησεν εἰς σκάνδαλον καὶ κοινὸν κακὸν, καθότι ἡ βία τῆς τοιαύτης ἐγκρατείας ἐγίνετο αἰτία πορνείας, ἡ ἐν Τρούλλῳ Σύνοδος αὕτη κατὰ τὸ ἀξίωμα αὐτῆς διώρισε τὰ δίκαια καὶ αἰαγκαῖα, ἑπομένη τῇ γραφῇ καὶ τῇ ἀρχαίᾳ τῆς καθόλου Ἐκκλησίας δόξῃ. τέταρτον, ὅτι τὸ κωλύειν τὸν γάμον τῶν Ἱερέων ἐστὶν Αἱρετικῶν φρόνημα, καὶ μάλιστα τῶν Μανιχαίων κατὰ τὸν Αὐγουστῖνον ἐπιστολῇ ἑβδομηκοστῇ τετάρτῃ, Αἱρέσει τεσσαρακοστῇ καὶ τεσσαρακοστῇ ἕκτῃ. τοσαῦτα καὶ περὶ τοῦ ἐνάτου. συμφωνεῖ δὲ ἡ Σύνοδος περὶ τοῦ γάμου τῶν Ἱερέων τῷ πέμπτῳ Κανόνι τῶν Ἀποστόλων λέγοντι, Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας, ἐὰν δὲ ἐκβάλῃ, ἀφοριζέσθω, ἐπιμένων δὲ, καθαιρείσθω. ὁ Παῦλος Τιμοθέῳ, Δεῖ τὸν Ἐπίσκοπον εἶναι μιᾶς γυναικὸς ἄνδρα. Καὶ, Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες. καὶ Τίτῳ, Εἴτις ἐστὶν ἀνέγκλητος μιᾶς γυναικὸς ἀνήρ. Οὐρβανὸς ὁ Πάπας Βίνωνι Ἐπισκόπῳ γράφει, Διγάμους καὶ χηρῶν ἄνδρας ἀπὸ τῶν ἱερῶν βαθμῶν ἀφορίζομεν. ἡ ἐν Γάγγρα Σύνοδος, Εἴτις διακρίνοιτο παρὰ Πρεσβυτέρου γεγαμηκότος μεταλαμβάνειν προσφορᾶς, ἀνάθεμα ἔστω. ἔτι Φίληξ ὁ Ῥώμης ὁ Ῥωμαῖος υἱὸς ἦν Φίληκος Ἱερέως. ὁ Πάπας Ἀγαπητὸς Γορδιανοῦ Πρεσβυτέρου ἦν υἱός. Γελάσιος ὁ Πάπας Ἀφρικανὸς ἦν, καὶ υἱὸς Βαλλερίου Ἐπισκόπου. τούτων οὕτως ἐχόντων, πῶς οἱ Λατῖνοι τὴν παράδοσιν καὶ τοὺς Κανόνας τῶν Ἀποστόλων, τῶν Συνόδων καὶ τῆς Ἐκκλησίας παραβαίνουσι, καὶ κωλύουσι βίᾳ τὸν γάμον τῶν Ἱερέων; συνεισάκτους δ' ἔχειν καὶ φανερῶς πορνεύειν τοὺς Ἱερεῖς αὐτῶν ἀναιδῶς παραβλέπουσι.

ΠΑΡΑΓΡΑΦΟΝ Ιϛ'.

Διάλυσις τοῦ δεκάτου ἐπιχειρήματος τῶν Λατίνων, ὃ ἐστὶν, ὅτι ἡ Σύνοδος βεβαιοῦσα τὰ ἴσα πρεσβεῖα τοῦ Κωνσταντινουπόλεως μετὰ τοῦ Ῥώμης, παρανομεῖ.

Πρὸς

Πρὸς δὲ τὸ δέκατον ῥητέον, ὅτι εἰ καὶ περὶ τούτου διείληπται ἀνωτέρω πολλάκις, ὅμως παλιλλογητέον, ὁ Κωνσταντινουπόλεως πρεσβεῖα ἔλαβεν εἰς τὴν δευτέραν Οἰκουμενικὴν Σύνοδον, ἵνα ᾖ δεύτερος τῇ τάξει Πατριάρχης, εἰς δὲ τὴν τετάρτην ἔλαβε τὸ μεγαλύνεσθαι ὡς τὸν Ῥώμης ἐν τοῖς ἐκκλησιαστικοῖς, ὅπερ οὐδὲν ἕτερον ἐστὶν, ἢ ἐξήγησις καὶ σαφήνεια τοῦ τρίτου Κανόνος τῆς αὐτῆς δευτέρας, καὶ τὸ χειροτονεῖν τοὺς Μητροπολίτας τῶν τάδε Ἐπαρχιῶν, καὶ ἴδε τὴν πρὸς τὸν Ῥώμης ἐπιστολὴν αὐτῆς τῆς ἐν Χαλκηδόνι Συνόδου. καὶ ἐπειδὴ ὁ Βασιλίσκος καὶ ὁ Φωκᾶς ἠναντιώθησαν τῷ ἀξιώματι τούτῳ, εἰ καὶ ὁ Βασιλίσκος ἀνῄρηκε τὰ οἰκεῖα, καὶ ὁ Ἰουστινιανὸς ὁμοίως, καὶ τὰ τοῦ Φωκᾶ ἀνῄρηκεν ὁ Ἡράκλειος, ὅμως ἡ Οἰκουμενικὴ Σύνοδος νῦν χάριν βεβαιώσεως τῶν ὑπὸ τῆς δευτέρας καὶ τετάρτης τῶν Συνόδων διορισθέντων ἐξέθετο τὸν Κανόνα, οὐμήνγε ἔδωκε τῷ Κωνσταντινουπόλεως πλεῖόντι. οὐδὲ γὰρ τὸ μεγαλύνεσθαι παρέχει ἀξίωμά τι κοινὸν εἰς τὴν Ἐκκλησίαν, οὐδὲ τὸ πολλάκις ὑπερορίως ἐνεργεῖν, καὶ ἐν ὥρᾳ ἀνάγκης, οὔτε τὸ ἐπιταγῇ βασιλικῇ θεωρεῖν πολλὰ συνοδικῶς εἰς Κωνσταντινούπολιν, οὔτε τὸ αἱρετὸς ὥσπερ κριτὴς προβαλλόμενος ἐν καιρῷ χρείας κατεπειγούσης, ὡς ἔλεγεν ὁ Στουδίτης περὶ τοῦ Ῥώμης εἰς τὴν πρὸς Ναυκράτην ἐπιστολὴν, καὶ οἱ Εὐσεβιανοὶ καὶ Ἀθανάσιος ἐκάλεσαν κριτὴν τὸν Ἰούλιον. ὁ Ἱεροσολύμων Ἰωάννης καὶ Ἐπιφάνιος καὶ Ἱερώνυμος μαχόμενοι, ἐκάλεσαν κριτὰς τὸν Ἀλεξανδρείας καὶ τὸν Ῥώμης. ὁ Εὐτυχὴς ἐκάλεσε κριτὴν τὸν Ῥώμης καὶ τοὺς λοιποὺς Πατριάρχας καὶ τὸν Θεσσαλονίκης, καὶ οἱ Μοναχοὶ τοῦ Θεοφίλου οἱ ἐχθροὶ τὸν Χρυσόστομον, καὶ οἱ Πρεσβύτεροι τῆς δευτέρας Συρίας κατὰ Πέτρου Ἀπαμείας τὴν Σύνοδον τῆς Ἐπαρχίας, καὶ οἱ Ἐπίσκοποι καὶ Μοναχοὶ Ἀντιοχείας καὶ Ἱεροσολύμων κατὰ Σεβήρου καὶ τῶν περὶ αὐτὸν τοὺς Κωνσταντινουπόλεως Πατριάρχας Ἰωάννην καὶ Μηναῦ, καὶ ἄλλοι ἄλλους, καὶ ἴδε ἀνωτέρω ἐν πολλοῖς τόποις. ταῦτα δὲ καὶ τὰ τούτοις ὅμοια οὐ διδόασί τι ἀξίωμα, ἢ ἡγεμονίαν μοναρχικὴν, ἢ τῷ Ῥώμης, ἢ τῷ Κωνσταντινουπόλεως, καὶ εἴρηται πολλάκις περὶ τούτων πρότερον, καὶ μεταταῦτα ῥηθήσεται ἰδικώτερον, ὅθεν καὶ ἐνταῦθα οὐκ ἀληθεύουσιν οἱ Λατῖνοι λέγοντες περὶ τῆς Συνόδου ὅπερ οὐκ ἐφρόνησε. δεύτερον, ἐπειδὴ ὁ Ῥώμης ἐνόμιζεν ἔχειν ἀξίωμά τι ἐν τῇ Ἐκκλησίᾳ ἴδιον ἵνα ἐνεργῇ ὑπερορίως, ἴδιον ποιούμενος τὸ κοινὸν τῶν Πατριαρχῶν ἀξίωμα, ἡ Σύνοδος λέγει, εἶναι τὸν Κωνσταντινουπόλεως ἴσον τῷ Ῥώμης, μετροῦσα διὰ τοῦ Κωνσταντινουπόλεως τὸ τοῦ Ῥώμης ἀξίωμα, καὶ ἀνάπαλιν, ὡσανεὶ ἔλεγε πλὴν τῆς τάξεως καθ' ἣν ἐστὶ πρῶτος ὁ Ῥώμης καὶ δεύτερος ὁ Κωνσταντινουπόλεως, ἐστὶν ὁ Ῥώμης ὅπερ ἐστὶν ὁ Κωνσταντινουπόλεως, καὶ τοῦ Κωνσταντινουπόλεως τὴν ἐξουσίαν ἐκτείνεσθαι ὡς ἐφαπλοῦται καὶ ἡ τοῦ Ῥώμης, ἀλλαμὴν ὁ Ῥώμης μόνων τῶν Ἑσπερίων ὀρθοδοξῶν ἐστὶ Πατριάρχης, καὶ ὁ Κωνσταντινουπόλεως μόνων τῶν διωρισμένων αὐτῷ ἐστὶ Πατριάρχης, ἀλλ' ὁ Ῥώμης ἐν ἀνάγκαις ἐνεργεῖ καὶ ὑπερορίως, ἄρα καὶ ὁ Κωνσταντινουπόλεως. ἐστὶ δὲ τὸ αὐτὸ ἀξίωμα καὶ ἐν τοῖς λοιποῖς Πατριάρχαις ἀπαραλλάκτως. ἤρκεσε δὲ ἡ μετὰ τοῦ Ῥώμης τοῦ Κωνσταντινουπόλεως σύγκρισις πρῶτον εἰς βεβαίωσιν τῶν πρεσβείων τοῦ θρόνου Κωνσταντινουπόλεως, ὥστε δηλαδὴ τὸν Κωνσταντινουπόλεως προτιμᾶσθαι τῇ τάξει τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς, καὶ εἶναι μετὰ τὸν Ῥώμης ἵνα μὴ ᾖ μετὰ τὸν Ἱεροσολύμων. τὶς δέ ἐστιν ἡ ἀνάγκη αὕτη καθ' ἣν οἱ Ἐπίσκοποι ἢ αὐτοὶ οἱ τῶν καθολικῶν θρόνων, ἤτοι οἱ Πατριάρχαι, ἢ καὶ οἱ λοιποὶ ἐνεργοῦσιν ὑπερορίως; εἴρηται καὶ περὶ τούτου ἐν πᾶσι τοῖς ἀνωτέρω βιβλίοις. δεύτερον, ὁ Ῥώμης τὸν μεθ' οὗ ῥητῶς συγκρίνεται οὐ δύναται εἰπεῖν εἶναί τι πλείω τοῦ μεθ' οὗ συγκρίνεται, εἰ μήπου μαίνοιτο προφανῶς, σπερμολογῶν καὶ λεξιθηρῶν καὶ εὑρεσιολογῶν πρὸς καθαίρεσιν μὲν τῶν καλῶς καὶ πολλάκις καὶ φανερῶς καὶ ὑφ' ὅλης τῆς Οἰκουμένης διωρισμένων, εἰς σύστασιν δὲ τῶν χθὲς καὶ πρότριτα ἐξευρημένων παρ' αὐτοῦ πρὸς φθορὰν πάντως τῶν ἐκκλησιαστικῶν δικαιωμάτων, δὸς δ' εἰπεῖν καὶ εὐσεβημάτων. ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφαιλαίου ἑνδεκάτου Παράγραφον τριακοστὸν δεύτερον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Διάλυσις τοῦ ἑνδεκάτου ἐπιχειρήματος τῶν Λατίνων, ὅπερ ἐστὶν, ὅτι ἡ Σύνοδος τὴν Ἐκκλησίαν Ῥώμης μὴ κανονιζομένην κανονίζουσα μὴ νηστεύειν τὸ Σάββατον, παρανομεῖ.

Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἐδείχθη προλαβὼν, ὡς οἱ Κανόνες τῶν Ἀποστόλων εἰσὶν ἀληθινοὶ καὶ ὀγδοηκονταπέντε, καὶ ἰδίως ὁ ἑξηκοστὸς ἔνατος ἐδείχθη ἀπὸ τοῦ Ἐπιφανίου ἀληθέστατος, ὡς καὶ οἱ ἐξηγηταὶ μαρτυροῦσι, καὶ ἡ παράδοσις βεβαιοῖ, καὶ κατὰ τὸν Βασίλειον εἰς τὴν ὁμιλίαν, Παρακαλεῖτε οἱ Ἱερεῖς, καὶ τὸν Χρυσόστομον εἰς τὴν ἑνδεκάτην ὁμιλίαν τῆς Ἑξαημέρου, καὶ αὐτὸν τὸν θεοφόρον Ἰγνάτιον, καὶ ἡ κοινὴ χρῆσις εἴστε Ἀνατολὴν καὶ Δύσιν καὶ εἰς πᾶσαν τὴν Οἰκουμένην βεβαιοῖ ὅτι ἐστὶν ἀποστολικὴ νομοθεσία ἡ νηστεία Τετράδος καὶ Παρασκευῆς, ἐν δὲ Σαββάτῳ οὐδεῖ νηστεύειν, ὁ γὰρ ἑξηκοστὸς τέταρτος ἀποστολικὸς Κανὼν τοῦτο κωλύει, καὶ μαρτυροῦσιν οἱ ἅγιοι πατέρες, οἵτε ἐξηγηταὶ τῶν Κανόνων, καὶ ἡ κοινὴ γνώμη τῆς καθόλου Ἐκκλησίας. ἐν δὲ ταῖς τῶν Ἀποστόλων Διαταγαῖς λέγεται, Χρὴ νηστεύειν μεγάλην ἑβδομάδα, καὶ Τετράδα καὶ Παρασκευήν. Καὶ, αὐτὸ δὲ νηστεῦσαι τὸ Σάββατον, οὐχ ὅτι δεῖ νηστεύειν τὸ Σάββατον κατάπαυσιν δημιουργίας ὑπάρχον, ἀλλὰ μόνον ἐκεῖνο χρὴ νηστεύειν τοῦ Δημιουργοῦ

ἐν

ἐν αὐτῷ ἔτι ὑπὸ γῆν ὄντος, βιβλίῳ πέμπτῳ κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ. ἔτι ἐν αὐταῖς λέγεται, Νηστεύειν Τετράδα καὶ Παρασκευὴν, οὐμὴν Σάββατον, ἢ Κυριακὴν, πλὴν τοῦ ἑνὸς, βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ. καὶ ὁ Βασίλειος εἰς τὴν εἰρημένην ὁμιλίαν λέγει ῥητῶς, Ἤδη σεαυτὸν ἄξιον παρασκεύασον τῆς σεμνοτάτης νηστείας, ἐπειδὴ πέντε ἡμερῶν νηστεία ἡμῖν προκεκήρυκται; ἄρα τῷ Σαββάτῳ νηστεία οὐκ ἦν. καὶ Χρυσόστομος εἰς τὴν ῥηθεῖσαν ὁμιλίαν λέγει, Τοῖς τὸν δρόμον τῆς νηστείας δεξαμένοις καθάπερ σταθμοὺς καὶ καταγώγια καὶ ἀκτὰς καὶ αἰγιαλοὺς καὶ λιμένας τὰς δύο ταύτας τῆς ἑβδομάδος, ἤγουν Σάββατον καὶ Κυριακὴν βραχύτι διαναπαύσασθαι κεχάρισται ὁ Δεσπότης, ἵνα καὶ τοῦ σώματος μικρὸν ἀνιέντες ἀπὸ τῶν πόνων τῆς νηστείας, καὶ τὴν ψυχὴν παραμυθησάμενοι, πάλιν παρελθουσῶν τῶν δύο τούτων ἡμερῶν, καὶ τὰ ἑξῆς. καὶ ἴδε καὶ Κλήμεντα τὸν Στρωματέα Στρωματέων βιβλίῳ ἑβδόμῳ, ἔνθα φησὶ, Δεῖ νηστεύειν Τετράδα καὶ Παρασκευήν. καὶ ὁ ἅγιος Ἐπιφάνιος ὡς ἀναγκαιότατον καὶ συμπεφωνημένον πᾶσι τοῖς κλίμασι τῆς Οἰκουμένης καὶ ἐν τῇ Ἐκκλησίᾳ ὡρισμένον Αἱρέσει ἑβδομηκοστῇ πέμπτῃ καὶ Αἱρέσει ἑβδομηκοστῇ λέγει, Ἐν τῇ τεσσαρακοστῇ νηστείᾳ, ξηροφαγία καὶ ἁγνεία. καὶ Χρυσόστομος λόγῳ Ἀνδριάντων τρίτῳ, Τὶ γὰρ ὄφελος ὅταν μὲν ὀρνίθων καὶ ἰχθύων ἀπεχώμεθα. τοὺς δὲ ἀδελφοὺς δάκνομεν. καὶ πάλιν ὁ Ἐπιφάνιος Αἱρέσει ἑβδομηκοστῇ πέμπτῃ, Ἐν ταῖς ἡμέραις τοῦ Πάσχα ὅτε παρ' ἡμῖν χαμευνεῖαι καὶ κακοπάθειαι, ξηροφαγίαι, εὐχαὶ, ἀγρυπνίαι, νηστεῖαι, αὐτοὶ ἀπέωθεν ὀψωνοῦσι κρέα καὶ οἶνον, πολλάκις Τετράδα νηστεύοντες οὐ θεσμῷ, ἀλλ' ἰδίᾳ προαιρέσει, καὶ ὅμως Τετρὰς καὶ Προσάββατον νηστεία ἐστὶν ἐν Ἐκκλησίᾳ ὡρισμένη. ὅθεν παλιλλογοῦμεν, λέγει γὰρ εἶναι ἐν τῇ Ἐκκλησίᾳ τὴν νηστείαν Τετράδος καὶ Παρασκευῆς. καὶ ἐν τῇ Ἐκθέσει τῆς ὀρθοδόξου πίστεως καὶ πάλιν Αἱρέσει ἑβδομηκοστῇ πέμπτῃ λέγει, ἀποστολικὴν παράδοσιν εἶναι τὸ νηστεύειν Τετράδα καὶ Παρασκευὴν πλὴν τῆς Πεντηκοστῆς. καὶ ἐν τῷ βίῳ τοῦ ἁγίου Ἀμβροσίου λέγεται, ὅτι ἦν ὁ σεβασμιώτατος οὗτος Ἀμβρόσιος ἐγκρατείας πλήρης, ἠγρύπνει τε πολλὰ καὶ ἐνήστευεν, εἰμὴ τῷ Σαββάτῳ καὶ τῇ Κυριακῇ, καὶ τὰ ἑξῆς. καὶ ὁ ἅγιος Ἱερώνυμος λέγει, Τετάρτῃ οὖν καὶ Παρασκευῇ οὐχρὴ λυθῆναι νηστείαν χωρὶς μεγάλης ἀνάγκης, τῇ γὰρ Τετάρτῃ ὁ Ἰούδας τὸν Κύριον προδέδωκε, καὶ τῇ Παρασκευῇ ἐσταυρώθη ὁ Ἰησοῦς, συμφώνως τῷ ἱερομάρτυρι Πέτρῳ τῷ Ἀλεξανδρείας, Κανόνι δεκάτῳ πέμπτῳ, καὶ Τιμοθέῳ Ἀλεξανδρείας, Κανόνι δεκάτῳ, τὸ γὰρ μεταλαμβάνειν ἐλαίου τὸν ἅπαξ ἐκτακέντα δίκαιόν ἐστι. τὰ αὐτὰ λέγει καὶ ὁ ἅγιος Αὐγουστῖνος. ὁ δὲ μακάριος Βενέδικτος ἐν τοῖς Κανόσιν οὓς ἐποίησε τῷ τάγματι αὐτοῦ, ἐν Κανόνι τεσσαρακοστῷ πρώτῳ συμφώνως τῷ ἀποστολικῷ Κανόνι, καὶ Ἰγνατίῳ, Πέτρῳ, Βασιλείῳ, Χρυσοστόμῳ, Ἐπιφανίῳ, Ἀμβροσίῳ, Ἱερωνύμῳ καὶ Αὐγουστίνῳ Τετράδα καὶ Παρασκευὴν ἐκέλευσεν ἕως ὥρας ἐνάτης, ἐν δὲ ταῖς λοιπαῖς ἡμέραις κατὰ τὴν ἕκτην ὥραν ἐσθίειν. ὅτι δὲ Τετράδος καὶ Παρασκευῆς καὶ τῆς μεγάλης τεσσαρακοστῆς ἡ νηστεία ξηροφαγία ἦν, μάρτυρες οἱ ἀνωτέρω πατέρες, καὶ ἡ ἐν Λαοδικείᾳ Σύνοδος Κανόνι πεντηκοστῷ. πρὸς ὃ δὲ οἱ Λατῖνοι προσφέρουσι περὶ τῶν Ἀσκητῶν τῶν καὶ τῷ Σαββάτῳ νηστευόντων, λέγομεν, ὅτι οὐκ εἰς τὸ κοινὸν, ἀλλὰ καταμόνας ἐνήστευον, καὶ ἑκουσίᾳ βουλῇ ὁτὲ μὲν ἐνήστευον, ὁτὲ δὲ κατέλυον, καθ' ἣν γνώμην ἔχει ἐννοεῖσθαι καὶ τὸ τοῦ Ἱερωνύμου πρὸς Λυκίνιον ἐρωτήσαντα, εἰ χρὴ νηστεύειν τὸ Σάββατον, ὁ δὲ ἅγιος ἀπεκρίθη αὐτῷ, ὡς ὄφελόν γε ἐδίδου ὁ Θεὸς δύνασθαι ἡμᾶς νηστεύειν καθ' ἡμέραν, δι' εὐλάβειαν δηλονότι, οὐμὴν διά τινα νομικὴν τήρησιν, ἄλλως γὰρ ἂν, ἥμαρτεν ὁ ἅγιος, καθότι ὁ δέκατος ὄγδοος Κανὼν τῆς ἐν Γάγγρᾳ ἀναθεματίζει τοὺς νηστεύοντας τὴν Κυριακήν. ἡ Σύνοδος τοίνυν ἀποτείνεται εἰς τοὺς Ῥωμαίους τοὺς ὡς Νόμον παραδεδωκότας τὴν νηστείαν τοῦ Σαββάτου κατὰ τῶν Ἀποστόλων καὶ τῆς Ἐκκλησίας. ὅτι δὲ οὐκ ἦν ἡ νηστεία ἐν τῇ Ῥώμῃ ἀπὸ τοῦ Πέτρου καὶ τοῦ Παύλου, ἀλλ' ἦν καινοτομία, μάρτυς καὶ ὁ ἱερὸς Αὐγουστῖνος ἐπιστολῇ ἑκατοστῇ δεκάτῃ ἐνάτῃ λέγων περὶ τῆς μητρὸς αὐτοῦ, ἀπὸ Ῥώμης αὐτῷ εἰς Μεδιόλανα ἀπερχομένῳ ἀκολουθησάσης, ὅστις εὑρὼν ἐκεῖ καταλυόμενον τὸ Σάββατον, ἠρώτησε τὸν ἅγιον Ἀμβρόσιον, κἀκεῖνος ἀπεκρίθη αὐτῷ οὕτως, Ἐγὼ ὅτε εἰς Ῥώμην ἀπέρχομαι, νηστεύω τὸ Σάββατον, ὅτε δὲ εἰς τὰ Μεδιόλανα, οὐ νηστεύω αὐτὸ, οὕτω ποίει καὶ σύ. καὶ ὁ Πλάτινας καθαρῶς ἱστορεῖ, ὅτι ὁ Πάπας Ἰννοκέντιος ὁ πρῶτος δηλονότι διώρισεν ἵνα νηστεύωσιν οἱ Χριστιανοὶ τὸ Σάββατον, τοῦτο μὲν, ὅτι τῇ αὐτῇ ἡμέρᾳ ἦν ὁ Κύριος ἐν τῷ τάφῳ, τοῦτο δὲ, ὅτι τῇ αὐτῇ ἡμέρᾳ ἐνήστευσαν οἱ Ἀπόστολοι. ἐπειδὴ λοιπὸν ἡ νηστεία τοῦ Σαββάτου οὐκ ἦν πανταχοῦ, ἀλλ' εἰς μόνην τὴν Ῥώμην, καὶ οὐκ ἦν προσέτι Νόμος τοῦτο, ἀλλὰ συνήθεια, ἐσιωπᾶτο. ὅτε δὲ ἤρξατο ἐφαπλοῦσθαι καὶ εἰσάγειν παρανομίαν εἰς τὴν Ἐκκλησίαν, ἡ νηστεία δηλονότι τοῦ Σαββάτου καὶ ἡ κατάλυσις τῆς Τετράδος, δικαίως ἡ Σύνοδος ἐκώλυσε τὴν τοιαύτην νηστείαν καὶ ὡς κεκωλυμένην καὶ ὡς αἰτίαν παρανομίας. ὅθεν καὶ οὐ καλῶς ὁ Ἰννοκέντιος διώρισε καταλύεσθαι τὴν νηστείαν τῆς Τετράδος, ἀντινομοθετῶν τοῖς Ἀποστόλοις καὶ τῇ Ἐκκλησίᾳ. λέγομεν τοίνυν πάλιν, ὅτι ὅσον μὲν ἦν τὸ Σάββατον εἰς τὴν Ῥώμην μόνην νηστευόμενον, παρεωρᾶτο. ὅτε δὲ γέγονε δόγμα καὶ πρὸς ἀνατροπὴν τῆς νηστείας τῆς Τετράδος, ἐκωλύθη. καθὼς καὶ αἱ δύο ἡμέραι τῆς πρώτης ἑβδομάδος ἐν ὅσῳ ἐγαστριμαργοῦντο μόνον εἰς τὴν Δύσιν, ἐσιωπῶντο, ὅτε δὲ ἤρξαντο διδάσκεσθαι καὶ εἰς Βουλγαρίαν, ἠλέγχθησαν παρὰ τοῦ Φωτίου. ἡ Σύνοδος τοίνυν δικαίως καὶ ἁγίως καὶ ἀποστολικῶς διώρισεν, οἱ δὲ παραβαίνοντες, βλασφημοῦσι καὶ ἀντιπράττουσι τῷ ἁγίῳ Πνεύματι. ὅτι δὲ οὐκ ἦν ἀπ' ἀρχῆς ἐν τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης ἡ νηστεία τοῦ Σαββάτου, μάρτυρες δύο ῥητῶς, πρῶτος ὁ Πλάτινας, ὃς λέγει ὅτι ὁ Πάπας Κάλλιστος ὁ πρῶτος διέταξε νηστεύειν

νηστεύειν τὸ Σάββατον τετράκις τοῦ χρόνου κατὰ τοὺς τέσσαρας καιροὺς· ὁ δὲ Ἰννοκέντιος ὁ πρῶτος διέταξε νηστεύειν αὐτὸ πάντοτε. δεύτερος μάρτυς ὁ ἅγιος Αὐγουστῖνος, ὡς εἴπομεν ἀνωτέρω, καὶ σαφέστατα ἴδε κατωτέρω βιβλίου δεκάτου μέρους πρώτου κεφάλαιον δέκατον τρίτον, ὅπουγε ἀναμφιβόλως ὁ Αὐγουστῖνος βεβαιοῖ εἰς μόνην τὴν Ῥώμην τὴν νηστείαν τοῦ Σαββάτου, τὴν κατάλυσιν δὲ αὐτοῦ εἰς πᾶσαν τὴν Οἰκουμένην, καὶ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον πέμπτον. ὅτι δὲ νηστεύεσθαι τὸ Σάββατον ὁρισμῷ ἐπισκοπικῷ, ἐστὶ δόγμα αἱρετικὸν, μάρτυς ὁ Ἐπιφάνιος ἔνθα φησὶ, Νηστείαν τοῦ Σαββάτου κηρύττει (ὁ Μαρκίων) τὸ δὲ Σάββατον νηστεύει διὰ τοιαύτην αἰτίαν, ἐπειδὴ, φησὶ, τοῦ Θεοῦ τῶν Ἰουδαίων ἐστὶν ἡ ἀνάπαυσις τοῦ πεποιηκότος τὸν κόσμον, καὶ ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀναπαυσαμένου, ἡμεῖς νηστεύομεν ταύτην ἵνα μὴ τὸ καθῆκον τοῦ Θεοῦ τῶν Ἰουδαίων ἐργαζώμεθα, Αἱρέσει περὶ Μαρκίωνος. δῆλον οὖν ἐκ τούτων, ὅτι ἡ καθολικὴ Ἐκκλησία τὸ Σάββατον οὐκ ἐνήστευε, καὶ ὅτι ἡ νηστεία τοῦ Σαββάτου ἐστὶν ὑπὸ τῶν Αἱρετικῶν ἐξευρημένη κατὰ τοῦ Θεοῦ τῶν ὅλων, καὶ ἡ νηστεία Τετράδος καὶ Παρασκευῆς ἐστὶν ὡρισμένῳ θεσμῷ. ὅτι δὲ εἰς τὴν Ῥώμην ἐνήστευον καὶ αὐτὰς τὰς δύο ἡμέρας τῆς μεγάλης τεσσαρακοστῆς οἱ παλαιοὶ, μάρτυς Εἰρηναῖος βιβλίῳ τρίτῳ κεφαλαίῳ τρίτῳ λέγων, ὅτι ἐπὶ Τελεσφόρου Πάπα ἐνάτου ἀπὸ τοῦ ἁγίου Πέτρου καὶ μάρτυρος ἦν ἡ νηστεία ἑπτὰ ἑβδομάδες. κακῶς οὖν οἱ Λατῖνοι τὰς δύο ἡμέρας καταλύουσιν. οὕτω καὶ Ἐπιφάνιος ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως ἑπτὰ ἑβδομάδας τῆς τεσσαρακοστῆς λέγει εἶναι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Ἀτιθέσεις ἐξ Λατίνων διὰ τὴν τοῦ Σαββάτου νηστείαν, καὶ ἀναίρεσις αὐτῶν ἐκ τῶν Κανόνων καὶ τῶν Διαταγῶν καὶ τῶν πατέρων, ἐξ ὧν δείκνυται παράνομος ἡ τῆς Τετράδος κατάλυσις καὶ ἡ τοῦ Σαββάτου νηστεία, καὶ περὶ διαφορᾶς διωρισμένων καὶ ἀορίστων νηστειῶν, καὶ τῆς ἐξ Ἅδου ἐλευθερίας, ἀλλ' οὐχὶ ἐν αὐτῷ μετανοίας, καὶ περὶ καταστροφῆς τῶν ψευδῶν ἱστοριῶν καὶ προτάσεων καὶ τῶν λοιπῶν ἀγώνων τῶν Λατίνων κατὰ τῆς Συνόδου.

Ἀντιθέσεις τινὲς τῶν Λατίνων ὑπὲρ τῆς νηστείας τοῦ Σαββάτου, ὧν ἀναιρεθεισῶν, πᾶσαι αἱ προβαλλόμεναι ἐνστάσεις περὶ τούτου διαλύονται. ΑΝΤΙΘΕΣΙΣ ΠΡΩΤΗ. Οἱ Ἕλληνες νηστεύουσι Τετράδα καὶ Παρασκευὴν, ἐπειδὴ δὲ νηστεία οὐκ ἔστι τὸ ἀπέχεσθαι κρεῶν καὶ ἰχθύων, καὶ ὅλως τὸ ξηροφαγεῖν, τοῦτο γὰρ ἐγκράτεια ἐστὶν, ἀλλὰ τὸ ἅπαξ τῆς ἡμέρας ἐσθίειν, ὅπερ οὐ ποιοῦντες οἱ αὐτοὶ ἐν ταύταις ταῖς ἡμέραις, οὐ νηστεύουσιν, ἀλλὰ μόνον ἐγκρατεύονται. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ὁ λόγος οὐκ ἔστι περὶ τοῦ τὶ ποιεῖ ὁδεῖνα καὶ ὁδεῖνα, ἀλλὰ περὶ τοῦ τὶ φρονεῖ καὶ διδάσκει ἡ Ἐκκλησία περὶ τῶν ἐν αὐτῇ νηστειῶν. πρόδηλον δὲ ὅτι διδάσκει ἅπερ εἶπον ἀνωτέρω οἱ ἅγιοι πατέρες. ἡ δὲ λατινὶς φρονεῖ καὶ διδάσκει τὴν κατάλυσιν εἰς ἰχθύας, τισὶ δὲ συγχωρεῖ ἀδεῶς καὶ τὴν κατάλυσιν τῶν κρεῶν, προφάσεις προβαλλομένοις μηδὲν ἀναγκαῖον ἐχούσας μεθ' ἑαυτῶν. αὐτίκειται δὲ τοῦτο τοῖς ἁγίοις πατράσι. δεύτερον, οἱ πλείονες τῶν Ἑλλήνων νηστεύουσι καὶ ἐγρατεύονται κατὰ τὴν παράδοσιν, εἰ δὲ τινὲς καταλύουσιν, οὐκ ἔστι τοῦτο κοινὸν πταῖσμα τῆς Ἐκκλησίας, ἀλλὰ μόνον τῶν ποιούντων τὴν τοιαύτην παρατροπὴν, ὅθεν καὶ ἐλέγχονται καὶ κανονίζονται παρὰ τῆς Ἐκκλησίας. τρίτον, ἐξ οὗ καιροῦ ἤρξαντο οἱ Λατῖνοι παρατρέπειν τὰς κοινὰς καὶ ἀρχαίας παραδόσεις, καὶ τὰς νηστείας διόλου ἀπεβάλοντο. ὅθεν ὁ ἱερὸς Μαργούνιος ἐν τῇ σημειώσει τοῦ εἰκοστοῦ Κανόνος τῆς ἐν Λαοδικείᾳ Συνόδου φησὶν, Οὐ νηστεύουσιν οἱ Λατῖνοι ποτὲ, καὶ σχεδὸν πᾶσα ἡ Δυτικὴ Ἐκκλησία ἐκ πολλοῦ ἀπέλιπε τὰς νηστείας, ἡμῶν τῶν ἐν τῇ ὀρθοδοξίᾳ τῶν διαβαλλομένων ἅπαντα βέβαια τηρούντων. ΑΝΤΙΘΕΣΙΣ ΔΕΥΤΕΡΑ. Καὶ νηστεύουσιν οἱ Λατῖνοι, καὶ πρὸ τῶν χειροτονιῶν νηστεύουσιν, οὔτε διαφέρουσι τῶν Γραικῶν, διότι καὶ Λέων ὁ Πάπας λέγει ἵνα γίνωνται χειροτονίαι καὶ τῇ Κυριακῇ τὸ πρωΐ, μάλιστα ἐκ τῆς ἐπιστολῆς αὐτοῦ πρὸς Διόσκορον Ἀλεξανδρείας μήπω Αἱρετικὸν γενόμενον δείκνυται ὅτι συνεφώνουν εἰς τὰς νηστείας καὶ αἱ δύο Ἐκκλησίαι, ὅθεν συνάγεται πρῶτον μὴ εἶναι ἕνα τῶν πολλῶν τὸν Λέοντα, ἀλλ' ὃν Ἰωάννης ὁ Μόσχος ἐν τῷ Λειμωναρίῳ λίαν ἐπαινεῖ, καὶ ἡ ἐν Χαλκηδόνι Συνόδος διὰ προστάγματος αὐτοῦ συνεκροτήθη, καὶ δεύτερον, ὅτι οὐ πρὸς Σκύθας ἀλλ' εἰς Ἕλληνας ἔγραψεν ἐπιτρεπτικῶς, ὅθεν ἀεὶ καὶ παρ' Ἕλλησιν ἦσαν νηστεῖαι πρὸ τῶν χειροτονιῶν, τότε δὲ πρῶτον ἐν Αἰγύπτῳ ἤρξαντο ἀμελεῖσθαι, ὅτε ὁ Διόσκορος ἐξέπεσεν εἰς Αἵρεσιν, ἄρα δῆλον ἐστὶν, ἐπειδὴ οὐδενὶ ἄλλῳ ἔγραψεν ὁ Λέων, καθότι οὐδεὶς ἄλλος παρετράπη τῆς παραδόσεως, καὶ δείκνυται ἐκ τούτου ἡ συμφωνία τῶν Ἐκκλησιῶν, ὅτι δὲ ὁ Λέων Ἕλλησι καταθύμιος, μάρτυς ὁ Παλαμᾶς ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος πέμπτῳ λόγῳ εἰπὼν, ὅτι ὁ Λέων Γραικὸς ἦν, καὶ γραικιστὶ συνέγραψεν. Ἀλλὰ ῥητέον πρὸς ταῦτα πρῶτον, ὅτι ὁ Λέων οὐκ ἦν αὐτίδοξος τοῖς τοσούτοις ἐγκρίτοις ἁγίοις πατράσι καὶ τοῖς Κανόσιν ἵνα καὶ αὐτοῖς ἐναντία φρονήσῃ καὶ γράψῃ, ὅθεν οἱ Λατῖνοι εὑρίσκονται φθείροντες τὰς βλίβλους τῶν ἁγίων καὶ τῶν Κανόνων καὶ τῶν Συνόδων καὶ τῶν ἐπιστολῶν τῶν Παπῶν, ὡς ῥηθήσεται βιβλίου δεκάτου μέρους ἕκτου κεφαλαίῳ πέμπτῳ, τὶ οὖν θαυμαστὸν εἰ διέφθειραν καὶ τὰς ἐπιστολὰς τοῦ Λέοντος; εἰ δὲ καὶ ὁ Ἀββᾶς Νεκτάριος ἔγραψεν ἑλληνικῶς, ἤτοι ἀληθῶς, ὅτι οὐ πάσας τὰς ἐπιστολὰς τοῦ Λέοντος ἔφθειραν,

ἀλλὰ

ἀλλὰ τινὰς, ἀρκεῖ ὅμως ὅτι ὅλως ἔφθειραν. καὶ ἡ ἐπιστολὴ αὕτη πρὸς Διόσκορον ἀντικειμένη οὖσα, ὡς εἴρηται, τοῖς Κανόσι τοῖς ἁγίοις καὶ τῇ παραδόσει, πάντως ἐκ τῶν διεφθαρμένων ἐστί. καὶ γὰρ καὶ τοῦτο ἔγκλημα τῶν Λατίνων ἵνα μὴ γίνωνται αἱ χειροτονίαι ἐν παντὶ καιρῷ, ἀλλ' ἐν χρόνοις διωρισμένοις. νηστεῖαι δὲ γίνονται πρὸ τῶν χειροτονιῶν καὶ δεήσεις πάντοτε ἐν τῇ ἀνατολικῇ Ἐκκλησίᾳ κατὰ τὸ ἀρχαῖον καὶ πάτριον ἔθος, οὐμὴν ἐν τοῖς τοιοῖσδε καιροῖς, καὶ μάλιστα ἐν ἡμέραις ὅτε ἀπηγορευμένον ἐστὶ τὸ νηστεύειν. δεύτερον, τῶν τοιούτων λατινικῶν νηστειῶν τῆς πράξεως οὐκ ἔστι μάρτυς οὔτε ἅγιος οὔτε ἀρχαῖος φανερὸς ἱστορικὸς οὔτε μὴν Συνόδός τις, ἀλλὰ γραικολατῖνοι, ταὐτὸν εἰπεῖν παπολάτραι τινὲς, Λέων Μαγνεντῖνος καὶ ὁ συμμύστης τοῦ λατινόφρονος Βέκκου ὁ Μετοχίτης, οἱ αὐτοὶ ὄντες καὶ μυθοπλάσται καὶ ψευδομάρτυρες. τρίτον, ὅτι ὁ Λέων εἰ οὕτως ἀληθῶς ἐφρόνησεν, οὐκ ἐφρόνησεν ὀρθῶς ἐν τούτῳ. καὶ γὰρ τίνα ἐξουσίαν εἶχεν ἵνα νομοθετῇ ἐν οἷς οὐκ ἐξῆν αὐτῷ, καὶ μάλιστα περὶ ἠθῶν ἀπηγορευμένων; τέταρτον, Ἰωάννης ὁ Μόσχος ἐπαινεῖ τὸν Λέοντα περὶ τῆς ἐπιστολῆς καὶ μόνης, ἀλλ' οὐκ ἐν πᾶσιν αὐτοῦ τοῖς ἔργοις, ὡς καὶ ὁ Πέτρος ἦν ἐπαινετὸς ἐν τοῖς ἄλλοις, οὐ μὴν καὶ ὅτε ὑπεστέλετο καὶ διεκρίνετο ἀπὸ τῶν ἐξ ἐθνῶν πιστῶν, φοβούμενος τοὺς ἐκ περιτομῆς. πέμπτον, ἡ ἐν Χαλκηδόνι Συνόδος οὐ συνέστη παρὰ τοῦ Λέοντος, ἀλλὰ παρὰ Θεοῦ καὶ τοῦ Βασιλέως, ὀργανικῶς δὲ ἤθροισεν αὐτὴν ὁ Λέων, ἀλλ' οὐ μόνος, ἀλλὰ καὶ ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος, ὡς εἴρηται ἀνωτέρω εἰς τὸν τόπον, ἥτις ἔλυσε τὰς ἀμφιβολίας πολλῶν, καὶ αὐτοῦ τοῦ Λέοντος. οἱ δὲ σοφοὶ τῶν παπιστῶν ἀντὶ τοῦ εἰπεῖν ὅτι ὁ Λέων μαχόμενος τῇ Συνόδῳ περὶ τοῦ θρόνου Κωνσταντινουπόλεως, κατεφρονήθη καὶ εἰς οὐδὲν ἐλογίσθη. λέγουσιν ὅτι τὴν Σύνοδον ἤθροισεν ἰδίῳ ὁρισμῷ, ψευδόμενοι ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων. ἕκτον, εἰ ὁ Παλαμᾶς εἶπε, χρὴ δέχεσθαι τὸν Λέοντα Γραικὸν ὄντα καὶ γραικιστὶ γράψαντα, ἀλλ' οὐ δὲ τοῦτο λόγου ἄξιον εἰπεῖν τι τὸν Παλαμᾶν διόλου ψευδὲς, καὶ ἐκ τούτου συνάγειν τοῦ Λέοντος τὴν μεγάλην ἁγιωσύνην, καθότι ὁ Λέων οὔτε Γραικὸς ἦν οὔτε γραικιστὶ συνέγραψεν. ΑΝΤΙΘΕΣΙΣ ΤΡΙΤΗ, Ὁ Μαργούνιος λέγει, ὅτι διὰ τοὺς Ἀπολιναριστὰς καὶ Κολλουθιανοὺς ἀπηγόρευται ἡ νηστεία τοῦ Σαββάτου, καὶ οἱ τοιοῦτοι Αἱρετικοὶ ἦσαν μετὰ τὸν μέγαν Κωνσταντῖνον, ὡς μαρτυρεῖται κοινῶς, ἡ δὲ νηστεία τοῦ Σαββάτου ἀπηγορεύθη διὰ Σίμωνα τὸν μάγον καὶ Μένανδρον καὶ Βασιλείδην καὶ Σαντορνῖνον καὶ Κήρινθον καὶ Καρποκράτη καὶ Μαρκίωνα, οἵτινες ἦσαν πρὸ τοῦ Κωνσταντίνου, καὶ ἐγγὺς τῶν Ἀποστόλων, ὅθεν δείκνυται καὶ ἐκ τούτου ὅτι ὁ Μαργούνιος ψευδέστατός ἐστιν. Ἀλλὰ ῥητέον, ὅτι οἱ Λατῖνοι μᾶλλον ψεῦσται καὶ συκοφάνται ῥηθεῖεν, ἐπειδὴ συκοφαντοῦσι τὸν Μαργούνιον λέγοντα ἐν τῇ σημειώσει τοῦ ἑνδεκάτου Κανόνος τῆς ἐν Ἀγκύρᾳ Συνόδου ταῦτα ῥητῶς, Ἀπείρηται δὲ ἐν τῷ Σαββάτῳ ἡ νηστεία, ἔξω τῶν εἰρημένων ἐν τοῖς περὶ τῶν Κανόνων, διὰ μὲν ἄλλην καὶ σοφωτέραν αἰτίαν, ἔστι δὲ ἡ αἰτία αὕτη, ἵνα μὴ δόξωμεν συμφωνεῖν τοῖς Κολλουθιανοῖς καὶ Ἀπολιναρίοις τοῖς σαββατίζουσι πρὸς λύτρωσιν τῶν κεκοιμημένων ἀδελφῶν. ἐνήστευον γὰρ λέγοντες, δύνασθαι τὴν νηστείαν λυτρῶσαι τοὺς ἀποθανόντας ἐν ἁμαρτίᾳ, καὶ ἔξω τοῦ ᾅδου ἀνάψυξιν ἀναμένοντας, ὃ καὶ ἡμᾶς ὁμολογεῖν τάχα ἐφαίνετο νηστεύοντας κατὰ τὸ Σάββατον, ἐν ᾧ ἑκάστῳ ὑπὲρ τῶν κεκοιμημένων προσευχόμεθα τὰ νεκρώσιμα ψάλλοντες. ἵνα οὖν φύγωμεν ταύτην τὴν Αἵρεσιν καὶ αἱρετικὴν συμφωνίαν, οὐ νηστεύομεν καθὼς οἱ Λατῖνοι, οἱ αὐτὴν ταύτην τὴν Αἵρεσιν ἀνανεώσαντες, δογματίζοντες εἶναι καθαρτήριον, ὃ λέγουσι Πουργατώριον, ἐν ᾧ περ αἱ ψυχαὶ κάθαρσιν διὰ πυρὸς τῶν ἀνομιῶν εὑρίσκουσι, καὶ διὰ τοῦτο νηστεύουσιν, οὐ τῷ λόγῳ μόνον, ἀλλὰ καὶ τῷ ἔργῳ τὸ κακοθρύλλητον Πουργατώριον διαμαρτυρόμενοι, καὶ φοβούμενοι εἰπεῖν, ὅτι καὶ ἐν ᾅδῃ λύτρωσίς ἐστιν, ὃ οἵτε πατέρες καὶ αἱ γραφαὶ ὁμολογοῦσιν, ἀρνούμενοι μὲν ἐν τῷ ᾅδῃ εἶναι μετάνοιαν, ἀλλ' οὐ λύτρωσιν, ἵνα μή τι ἀσύμφωνον τῷ μεγάλῳ ἐλέει τοῦ φιλανθρώπου Θεοῦ εἴπωσι, καὶ τὰ λοιπά. ἐν οἷς σημείωσαι, ὅτι οὐ λέγει ὁ Μαργούνιος καταλύειν τὸ Σάββατον διὰ τοὺς Ἀπολιναριστὰς καὶ Κολλουθιανοὺς, ἀλλ' ὅτι ὡρίσθη ὑπὸ τῶν Κανόνων καταλύεσθαι, χρησιμεύει ἔτι γεμὴν καὶ διὰ τοὺς πάλαι Αἱρετικοὺς, καὶ διὰ τοὺς Ἀπολιναριστὰς καὶ Κολλουθιανοὺς, ἐξ ὧν δείκνυται τὸν μὲν Μαργούνιον εὖ μάλα ἀληθεύειν, τοὺς καινοτόμους δὲ ψεύδεσθαι Λατίνους. ΑΝΤΙΘΕΣΙΣ ΤΕΤΑΡΤΗ, Ὅτι ἐγίνοντο νηστεῖαι πρὸ τῶν χειροτονιῶν, μαρτυρεῖ καὶ αὐτὸς Μαργούνιος ἐν τῷ βίῳ τοῦ ἁγίου Ἐπιφανίου, ὅπου φησὶν, ὅτι ἦν συνήθεια, ἵνα γίνωνται αἱ χειροτονίαι τὸ Σάββατον, διότι προηγοῦνται αἱ νηστεῖαι Τετράδος καὶ Παρασκευῆς. Ἀλλὰ ῥητέον πρῶτον, περὶ τοιούτων ἐκκλησιαστικῶν πραγμάτων Κανόνας καὶ ἀρχαίους ἱστορικοὺς καὶ τοὺς ἐγκρίτους πατέρας καὶ Συνόδους δεῖ προσφέρειν, οὐ νεωτέρους καὶ ἀπόκριφα Μηνολογίδεια καὶ ἐπιταφίδεια, ἐπειδὴ τὰ τοιαῦτα κἂν μυρίοι εἴπωσι, καὶ πολλαχῶς διαμαρτύρωνται οἱ Λατῖνοι, αὐτ' οὐδενὸς λογίζονται, καὶ γὰρ τὰ ἀρχαῖα καὶ κοινὰ παντάπασιν ἀμεταποίητά εἰσι καὶ ἀπαραλόγιστα. δεύτερον, ὅτι τοῦτο τοῦ Μαργουνίου ἡμῖν μᾶλλον βοηθεῖ, ἐπειδὴ τὴν κατάλυσιν τοῦ Σαββάτου καὶ τὴν νηστείαν Τετράδος καὶ Παρασκευῆς διὰ συντόμου ἱστορίας καθαρῶς διαμαρτύρεται. ΑΝΤΙΘΕΣΙΣ ΠΕΜΠΤΗ. Ὁ Μαργούνιος αἰτίαν δίδωσι τοῦ μὴ νηστεύεσθαι τὸ Σάββατον, διότι ἐν αὐτῇ τῇ ἡμέρᾳ αἰέστη ὁ Κύριος, τουτέστι τὸ ἑσπέρας, λέγοντος τοῦ Εὐαγγελιστοῦ, Ὀψὲ Σαββάτων, διατοῦτο ἑορτάζοντας τὴν ἁγίαν καὶ ὑπερθαύμαστον Ἀνάστασιν, ἑκάστοτε ἐν τῷ Σαββάτῳ οὐδεῖ νηστεύειν ἡμᾶς, ὡς προστάττουσιν ἡμῖν οἱ μεγαλορρήμονες Λατῖνοι. Ἀλλὰ ῥητέον, ὅτι ὁ σοφὸς Μαργούνιος οὕτω νομίζει τὸ ἀναστῆναι τὸν Κύριον ἐν τῇ ἑσπέρᾳ τοῦ Σαββάτου, ὡς ἐνόησαν καὶ ἡρμήνευσαν αὐτὸ οἱ ἅγιοι πατέρες, ἡρμήνευσαν δὲ ἐκεῖνοι τὸ, ὀψὲ, ταὐτὸν εἰπεῖν τοῦ Μαργουνίου τὸ ἑσπέρας ἀντὶ τοῦ ὄρθρου βαθέος, ὡς ῥητῶς φησὶν ὁ Εὐαγγελιστὴς Λουκᾶς

Λουκᾶς. καὶ ἐπειδὴ ἡ νὺξ ἐκείνη καθ' ἣ ἀνέστη ὁ Κύριος ἐστὶ τέλος μὲν τοῦ Σαββάτου, ἀρχὴ δὲ τῆς Κυριακῆς, καὶ τῷ αὐτῷ Σαββάτῳ ἑσπέρας ἀναγινώσκεται τὸ Εὐαγγέλιον τοῦ Ματθαίου, τῇ δὲ νυκτὶ τὰ τῶν λοιπῶν Εὐαγγελιστῶν, καὶ νομίζεται ἀρχὴ ἐκείνης τῆς νυκτὸς τὸ ἑσπέρας τοῦ Σαββάτου, ὡρίσθη ὑπὸ τῶν Κανόνων, καὶ ἀπεδέξατο ἡ Ἐκκλησία ἀπ' αὐτοῦ τοῦ καιροῦ τῶν Ἀποστόλων εἶναι χαρμοσύνας ἡμέρας καὶ τὸ Σάββατον καὶ τὴν Κυριακήν. ὅθεν ὁ Ἀμασείας Ἀστέριος ὁμιλίᾳ περὶ αἰδοῦς λέγει, Ζυγὸν ὀρέων, καὶ ἴσην τῷ Σαββάτῳ τὴν Κυριακήν. καλῶς οὖν εἶπεν ὁ Μαργούνιος καὶ ἀληθῶς περὶ τοῦ Σαββάτου, ὃν πεισματικῶς παρερμηνεύοντες οἱ Λατῖνοι, οὐδὲν ὠφελοῦνται. ΑΝΤΙΘΕΣΙΣ ΕΚΤΗ. Πολλοὶ τῶν πατέρων φασὶν, οὐδένα κωλύεσθαι τὰ τῆς μετανοίας καὶ τὰ περὶ τὴν ταπείνωσιν τῆς σαρκὸς ἐν παντὶ καιρῷ καὶ χρόνῳ καὶ ἡμέρᾳ ἐνεργεῖν, καὶ ἀσκεῖσθαι περὶ αὐτά. ἐν οἷς πάλιν προσφέρουσιν οἱ Λατῖνοι πλῆθος νεωτέρων παπιστῶν, ἤτοι ψευδολόγων πρὸς μαρτυρίαν. Ἀλλὰ ῥητέον, πρῶτον, ὅτι οὐκ ἔστιν ὁ λόγος περὶ τούτων, ἐπειδὴ καὶ ὁ Ἀπόστολος διδάσκων λέγει, Ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται. καὶ πᾶς Χριστιανὸς οὐ μόνον διὰ τὴν μετάνοιαν καὶ τὴν ταπείνωσιν τῆς σαρκὸς, ἀλλὰ δι' αὐτὴν τὴν κατὰ Χριστὸν ζωὴν ἐγκρατεύεται, καὶ αὗται αἱ διωρισμέναι νηστεῖαι οὐδὲν ὠφελοῦσιν ἄνευ τῆς ἀλλοτριώσεως τῶν κακῶν, ὡς οἱ Προφῆται κηρύττουσιν, καὶ οἱ ἅγιοι πατέρες καθαρώτατα ἑρμηνεύουσι. Φησὶ γὰρ ὁ Χρυσόστομος ὁμιλίᾳ τρίτῃ εἰς τὸν Ἀντιοχέα λαὸν, Οὐ τὴν τῶν βρωμάτων ἀποχὴν μόνον, ἀλλὰ καὶ τὴν τῶν ἁμαρτημάτων. καὶ Ἰσίδωρος βιβλίῳ πρώτῳ ἐπιστολῇ τετρακοσιοστῇ τρίτῃ, Οὐδὲν νηστεία βρωμάτων ὀνίνησι τοὺς μὴ πάσαις νηστεύοντας αἰσθήσεσιν, ὁ γὰρ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται. τὰ αὐτὰ λέγουσι πάντες οἱ ἅγιοι πατέρες, ἀλλὰ δὴ καὶ ὁ σκοπὸς τῆς ἱερᾶς γραφῆς οὗτος ἐστίν. ἀλλ' ὁ λόγος ἐστὶ περὶ τῶν διωρισμένων ἐν τῇ Ἐκκλησίᾳ νηστειῶν καὶ καταλύσεων μὴ γίνεσθαι ἐν αὐταῖς παρατροπὴν, ἀλλὰ φυλάττεσθαι ὡς διετάγησαν ὑπὸ τῶν κανόνων καὶ τῶν ἁγίων πατέρων. πῶς διετάγησαν; φησὶν ὁ πεντηκοστὸς Κανὼν τῆς ἐν Λαοδικείᾳ Συνόδου, Δεῖ πᾶσαν τὴν τεσσαρακοστὴν νηστεύειν ξηροφαγοῦντας. δῆλον δὲ ἀπὸ τοῦ ἑξηκοστοῦ ἐνάτου ἀποστολικοῦ Κανόνος, ὅτι ἡ νηστεία Τετράδος καὶ Παρασκευῆς καὶ τῆς μεγάλης τεσσαρακοστῆς ἡ αὐτὴ ἐστίν. ἀλλὰ δὴ καὶ ὁ Ἐπίφανιος φησὶ, Νηστεία Τετράδι καὶ προσαββάτῳ ἕως ὥρας ἐνάτης. καὶ Φιλοστόργιος βιβλίῳ δεκάτῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας φησὶν, ὅτι τῆς Τετράδος καὶ Παρασκευῆς τὴν νηστείαν οὐκ ἐν μόνῃ τῶν κρεῶν ἀποχῇ περιορίζεσθαι, ἀλλὰ καὶ τὸ μὴ δὲ τροφῆς ὅλως ἅπτεσθαι μέχρι τῆς ἑσπέρας Κανονίζεσθαι. ποῖοι δὲ οἱ διδάσκοντες; ἐπιλέγομεν, ὅτι οἱ Ἀπόστολοι καὶ οἱ πατέρες, ἀλλ' ἐκ προσώπου τοῦ Κυρίου, ὅθεν καὶ αὐτοῦ λέγεται εἶναι τὴν διαταγήν. λέγουσι γὰρ οἱ Ἀπόστολοι Διαταγῶν βιβλίῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ τετάρτῳ, Παρήγγειλεν ἡμῖν αὐτὸς νηστεύειν, Τετράδα καὶ Παρασκευὴν αὐτὸς προσέταξε νηστεύειν. καὶ περὶ τοῦ Σαββάτου οἱ αὐτοὶ φασὶν οὐ μόνον ἐν τῷ ἑξηκοστῷ τετάρτῳ Κανόνι, ἀλλὰ καὶ Διαταγῶν βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, Ἓν δὲ Σάββατον ἡμῖν φυλακτέον ἐν ὅλῳ τῷ ἐνιαυτῷ τὸ τῆς τοῦ Κυρίου ταφῆς. καὶ Σωκράτης βιβλίῳ πέμπτῳ, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, Τὰς πρὸ τοῦ Πάσχα ἑβδομάδας πλὴν Σαββάτου καὶ Κυριακῆς νηστεύουσι. καὶ Διαταγῶν βιβλίῳ πέμπτῳ, κεφαλαίῳ εἰκοστῷ, Πᾶν μέντοι Σάββατον ἄνευ τοῦ ἑνὸς, καὶ πᾶσαν Κυριακὴν ἐπιτελοῦντες Συνόδους εὐφραίνεσθε. ὅτι δὲ τὴν τῆς Τετράδος νηστείαν καταλύοντες οἱ Λατῖνοι, τὸ δὲ Σάββατον νηστεύοντες, ὑπὸ κατάραν εἰσὶ, δῆλον, τὸ γὰρ ἐξ ἡμισείας εὐσεβεῖν, ἀσεβεῖν ἐστὶ λέγουσιν οἱ ἅγιοι πατέρες. καὶ Ἰγνάτιος ὁ θεοφόρος ἐπιστολῇ πρὸς Φιλιππησίους φησὶν, Εἴτις Κυριακὴν καὶ Σάββατον νηστεύει, πλὴν τοῦ ἑνὸς Σαββάτου τοῦ Πάσχα, οὗτος χριστοκτόνος ἐστίν. ἀλλ' οὔτε διὰ νομιζομένην ἄσκησιν δύναταί τις νηστεύειν τὴν Κυριακὴν καὶ τὸ Σάββατον, φησὶ γὰρ ἡ ἐν Γάγγρᾳ Σύνοδος Κανόνι δεκάτῳ ὀγδόῳ, Εἴτις διὰ νομιζομένην ἄσκησιν ἐν τῇ Κυριακῇ νηστεύοι, ἀνάθεμα ἔστω. τῆς αὐτῆς ἐννοίας ἐστὶ καὶ ὅ φησιν ὁ πεντηκοστὸς πρῶτος Κανὼν τῆς ἐν Λαοδικείᾳ Συνόδου, Ὅτι οὐ δεῖ ἐν τεσσαρακοστῇ Μαρτύρων γενέθλια ἐπιτελεῖν, ἀλλὰ τῶν ἁγίων Μαρτύρων μνείαν ποιεῖν ἐν τοῖς Σαββάτοις καὶ ταῖς Κυριακαῖς. περὶ δὲ τῶν ἐρημιτῶν ῥητέον, ὅτι εἰ κἀκεῖνοι ἐν τῷ κόσμῳ ἢ ἐν κοινοβίῳ ἦσαν, καὶ ἐνήστευον ἐν Σαββάτῳ καὶ Κυριακῇ, τῆς αὐτῆς κατακρίσεως ἔνοχοι ἦσαν, διακρινόμενοι τῶν ἀδελφῶν. νῦν δὲ πενεστάτην διαγωγὴν ἔχοντες ἐν τῇ ἐρήμῳ, καὶ μηδενὶ σκανδάλου αἰτία γενόμενοι, οὔτε κατὰ ἐθελοθρησκείαν ἢ καταφρόνησιν τῶν Κανόνων καὶ τῶν ἁγίων πατέρων νηστεύοντες. ἀλλὰ δι' εὐτέλειαν καὶ ἄκραν ἔνδειαν, ἀνεύθυνοί εἰσιν. οἴχονται λοιπὸν κἀνταῦθα αἱ ψευδοϊστορίαι, αἱ ψευδομαρτυρίαι, οἱ λογαριασμοὶ, αἱ προφάσεις καὶ οἱ λοιποὶ ἀγῶνες τῶν Λατίνων περὶ τῆς ἁγίας Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'.

Ὅτι δωρολῆπται οἱ Λατῖνοι καὶ κατήγοροι καὶ τῶν οἰκείων, τοὺς Ἀποκρισιαρίους αὐτῶν καὶ πρέσβεις ἀπατωμένους καὶ δωρολήπτας λέγοντες, καὶ περὶ ἧς πλάττει ὁ Πλάτινας αἰτίας, λέγων τὸν Σέργιον Ῥώμης μὴ δέξασθαι τὰ τῆς ἐν Τρούλλῳ, τῷ δ' Ἰουστινιανῷ ἀποκριθῆναι ἄνευ Συνόδου εἰς τὴν Ὁμοούσιος λέξιν, καὶ περὶ δολίας Συνόδου κατὰ τῆς ἑβδόμης Συνόδου, καὶ ἀποδοχῆς καὶ ἐπαίνου τῆς τε ἑβδόμης καὶ τῆς ἐν Τρούλλῳ ὑπ' Ἀδριανοῦ Πάπα, ἐκ δὲ τούτων ψεῦσται καὶ συκοφάνται τῶν Ἀνατολικῶν οἱ Λατῖνοι δείκνυνται.

Σημειω-

Σημειωτέον δὲ ἔτι, ὅτι ὁ Πλάτινας εἰς τὸν βίον τοῦ Πάπα Σεργίου λέγει, διὰ τὸ ὑπογράψαι εἰς τὴν Σύνοδον τὸν ἐν τῇ Κωνσταντινουπόλει Ἀποκρισιάριον τοῦ Σεργίου, καὶ ἀποστεῖλαι εἰς τὴν Ῥώμην τὰ ὑπογραφέντα, οὐκ ἐδέξατο αὐτὰ ὁ Σέργιος. Ἀλλὰ καὶ γνῶθι πρῶτον, ὅτι καὶ τοῦτο ἴδιον τοῖς Λατίνοις, ἡ δωροληψία δηλονότι καὶ τὸ κατηγορεῖν καὶ τῶν οἰκείων. οὕτω καὶ ἐπὶ Φίληκος ἔλεγον λαβεῖν δῶρα τοὺς πρέσβεις παρὰ Ἀκακίου, καὶ ἐνταῦθα τὸν Ἀποκρισιάριον ἀπατηθῆναι, καὶ ἐπὶ τῆς κατὰ Ἰγνατίου τὸν Φώτιον ἀπατῆσαι τοὺς πρέσβεις τοῦ Ῥώμης. σημείωσαι δεύτερον, ὅτι τελειωθείσης τῆς Συνόδου τῆς ἑβδόμης, Ἐπίσκοποί τινες Θεοφύλακτος καὶ Στέφανος ἐπ' ὀνόματι τοῦ Ἀδριανοῦ Πάπα Ῥώμης ἤθροισαν Σύνοδον δολίως Φράγγων καὶ Γερμανῶν, ἐν ᾗ ἠθέτησαν τὴν ἑβδόμην Σύνοδον διὰ τὰς ἁγίας Εἰκόνας, ἀλλ' ὁ Ἀδριανὸς ἐπήνεσε τὴν ἑβδόμην Σύνοδον εἰς Κάρολον, καὶ εἰς τὰ Δυτικὰ ἔθνη, ἔνθα καὶ ταύτην τὴν ἐν Τρούλλῳ ὑπερευφήμησε. σημείωσαι ἔτι τὸν Πλάτινα ἐν τῷ βίῳ Σεργίου λέγοντα, ὅτι ὁ Ἀπορισιάριος τοῦ Πάπα ἔπεμψεν ἀπὸ τῆς Κωνσταντινουπόλεως εἰς τὴν Ῥώμην τοὺς Κανόνας τῆς Συνόδου ταύτης, καὶ οὐκ ἐδέξατο αὐτοὺς ὁ Σέργιος, ὡς οὐδύο φύσεις, ἀλλὰ μίαν ὁμολογοῦντας ἐπὶ Χριστοῦ, ἐν δὲ τῷ βίῳ Ἰωάννου τοῦ ἑβδόμου λέγοντα, ὅτι Ἰουστινιανὸς ὁ Ῥινότμητος ἔγραψε τῷ Ἰωάννῃ τούτῳ Πάπᾳ ἵνα διορίσῃ συνοδικῶς περὶ τοῦ Ὁμουσίου καθὼς ἐφρόνουν καὶ οἱ Ἀνατολικοί, ὁ δὲ Ἰωάννης ἀπεκρίθη χωρὶς Συνόδου τῷ Ῥινοτμήτῳ. καὶ ἐν τῷ βίῳ Γρηγορίου τοῦ τρίτου τὸν αὐτὸν λέγοντα, ὅτι ὁ Ἴσαυρος Λέων ἐβλασφήμει καὶ εἰς τὸ Ὁμοούσιον, καὶ γνῶθι, ὅτι οἱ τῶν Λατίνων ἱστορικοί, καὶ αὐτοὶ οἱ Σχολαστικοὶ ῥαγδαίως φερόμενοι κατὰ τῶν Ἀνατολικῶν, ψεύδονται ὡς ἐπιτοπλεῖστον, καὶ συκοφαντοῦσιν αὐτούς.

ΠΑΡΑΓΡΑΦΟΝ Κ'.

Περὶ τῆς ὀνειρώδους ὑπαντῆς τοῦ Πάπα Κωνσταντίνου ὑπὸ τοῦ Αὐτοκράτορος Ἰουστινιανοῦ, ἣν Ἀναστάσιος καὶ Πλάτινας μυθολογοῦσι, ὅτι ψευδὴς ἐστὶ καὶ ἀφ' ὧν ἔπαθον Σιλβέριος καὶ Βιγίλιος οἱ Πάπαι. καὶ περὶ τῆς ἐκτυφλώσεως Φίληκος Ῥαβέννης συνεργείᾳ τούτου τοῦ Πάπα Κωνσταντίνου.

Σημείωσαι δὲ τὸν Ἀναστάσιον καὶ Πλάτινα ἔτι λέγοντας, ὅτι μετεπέμψατο ὁ Ῥινότμητος τὸν μετὰ τὸν ἕβδομον Ἰωάννην Πάπαν Κωνσταντῖνον πρὸς ἑαυτὸν, ὅντινα φθάσαντα εἰς τὸ Βυζάντιον, ὁ υἱὸς τοῦ Βασιλέως Τιβέριος προϋπήντησε μετὰ καὶ Κύρου τοῦ Πατριάρχου καὶ τοῦ Κλήρου καὶ μετὰ πολλῆς δορυφορίας. καὶ ὅτι εἰς τὴν Νικομήδειαν διαβάντα, ὅπου ἦν ὁ Βασιλεὺς, τὸν Πάπαν, προϋπήντησεν αὐτὸν ὁ Βασιλεὺς, καὶ οὐμόνον ἐνηγκαλίσατο αὐτὸν ὁ Βασιλεὺς, ἀλλὰ καὶ κύψας ἠσπάσατο αὐτοῦ τοὺς πόδας. Ἀλλὰ ῥητέον, ὅσον μὲν περὶ τῆς ὑπαντῆς, εἴρηται ἐν τῷ πέμπτῳ βιβλίῳ, καὶ τῷ Στουδίτῃ ἐνὶ παπᾷ οὐχὶ Πάπᾳ ἐρχομένῳ ἀπὸ Θεσσαλονίκης εἰς Κωνσταντινούπολιν ἡ αὐτὴ ἐγένετο ὑπαντή. καὶ τὸν Κύπρου Ἐπιφάνιον ἔπεμψεν ὁ Χρυσόστομος πάντα τὸν Κλῆρον καὶ προϋπήντησεν αὐτὸν, Ἑρμείας βιβλίῳ ὀγδόῳ, κεφαλαίῳ δεκάτῳ τεταρτῷ. καὶ κατὰ τὸν Συναξαριστὴν Λέων καὶ Κωνσταντῖνος οἱ Βασιλεῖς ἠσπάζοντο τοὺς πόδας Λέοντος Κατάνης Ἐπισκόπου. ὅσον δὲ διὰ τὸ φίλημα τῶν ποδῶν, εἰ ἐποίησε τοῦτο ὁ Ἰουστινιανὸς τῷ τε Πάπᾳ καὶ ἑκάστῳ Ἐπισκόπῳ, ἔργον ἦν εὐλαβέστατον, οὐ πάνυγε μὴν πιστεύομεν τῷ πράγματι, μάλιστα δὲ καὶ ὅλως ἀπιστοῦμεν, ἐπειδὴ αὐτός ἐστιν ὁ Ἰουστινιανὸς ὁ κατὰ τοὺς αὐτοὺς Ἱστορικοὺς ἀποστείλας ἀγαγεῖν δεδεμένον τὸν Πάπαν Σέργιον, ὡς προείρηται, καὶ πῶς τοῦ Κωνσταντίνου ἐφίλησε τοὺς πόδας; ἴσως ὅμως ἐπελάθοντο τί ἱστόρησαν, περὶ Σιλβερίου καὶ Βιγιλίου τί ἔπαθον, οὐμόνον ὑπὸ Βασιλέων, ἀλλὰ καὶ ὑπὸ τῆς γυναικὸς τοῦ Βελισαρίου, κρινούσης, κατακρινούσης καὶ ἐξοριζούσης τοὺς Πάπας ὡς κακοποιοὺς καὶ προδότας, καὶ νῦν ἱστοροῦσι τὰ μήτε εἰς ὄνειρον ἐλθόντα τῶν Αὐτοκρατόρων. σημείωσαι δεύτερον, ὁ Ῥαβέννης Φίληξ ὑπέγραφε μετὰ Ἰνδικτιῶνος, καὶ αὐτέτεινε τῇ ἰδίᾳ κεφαλῇ τῷ Ῥώμης, ὅθεν ὁ Βασιλεὺς ἐμήνυσε Θεοδώρῳ τῷ Πατρικίῳ καὶ ἀπῆλθε μετὰ στόλου εἰς τὴν Ῥάβενναν, καὶ συλλαβὼν τὸν Φίληκα ἔπεμψεν εἰς Κωνσταντινούπολιν, καὶ ἐτύφλωσεν αὐτὸν ὁ Βασιλεὺς συνεργείᾳ τοῦ Πάπα, καὶ γνῶθι, εἴγε ἦν ὁ Κωνσταντῖνος λίαν χριστομίμητος τοιαῦτα πράττων κατὰ τῶν ἀδελφῶν αὐτοῦ, καίτοιγε μήτε τὰ Σιλβερίου καὶ Βιγιλίου, μήτε τὰ Κωνσταντίνου ἔχουσιν οὕτως, ὥσφασιν οἱ τοιοῦτοι ἱστορικοί. ἡμεῖς ὅμως εἰς τοὺς πλαττομένους Πάπας ἀποτεινόμεθα, οὐκ εἰς τοὺς ἁγίους ἐκείνους ἄνδρας τοὺς ἐσχηκότας ἐν αὐτοῖς ἔνοικον τὴν ταπείνωσιν τοῦ Χριστοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Ἀντίθεσις Λατίνων, τὴν ἐν Τρούλλῳ Σύνοδον λεγόντων δεδέχθαι τὸν ἀναβαπτισμὸν, ὡς τὸν τοῦ Κυπριανοῦ Κανόνα δεξαμένην, καὶ λύσις αὐτῆς. καὶ ὅτι κατὰ Εὐτύχιον Ἀλεξανδρείας ἡ ἐν Τρούλλῳ ἐβεβαίωσε τὴν ἕκτην καὶ τὰς περὶ αὐτῆς, ἀναθεματίσασα καὶ τὸν Ὀνώριον.

Προβάλλουσιν οἱ Λατῖνοι προσέτι ὡς ἔγκλημα ἀναντίῤῥητον κατὰ ταύτης τῆς Συνόδου, ὡς δῆθεν δεχομένη

δεχομένη τὸν Κανόνα τοῦ Κυπριανοῦ, δέχεται τὸν ἀναβαπτισμὸν, ὃς ἀπείρηται ἰσχυρῶς παρὰ πάσης τῆς Ἐκκλησίας. Ἀλλὰ ῥητέον, ὅτι ἡ Σύνοδος οὐδὲν εἶπε περὶ ἀναβαπτισμοῦ, τὸν δὲ Κανόνα ἀπεδέξατο καθ' ὃν τρόπον ἀπεδέξατο αὐτὸν ἡ ἐν Ἀρελάτῳ Σύνοδος καὶ ὁ μέγας Βασίλειος, καὶ ἴδε αἰωτέρω βιβλίου πρώτου κεφαλαίου δεκάτου ἕκτου Παράγραφον ἕνατον. ταῦτα καὶ περὶ τῆς ἐν Τρούλλῳ Συνόδου. Σημείωσαι τὸν Ἀλεξανδρείας Εὐτύχιον ἱστοροῦντα περίτινων, εἰπόντων τῷ ἰουστινιανῷ τούτῳ, Πολλοὶ μέμφονται τὴν ἕκτην Σύνοδον τὴν ἐπὶ τοῦ πατρός σου γεγονυῖαν. ὅθεν ἐκεῖνος συνήθροισε ταύτην δηλονότι τὴν ἐν Τρούλλῳ Σύνοδον, καὶ ἐβεβαίωσε τὴν ἕκτην καὶ τὰς πρὸ αὐτῆς πέντε Συνόδους, καὶ ἀνεθεμάτισεν ὅσους ἐκεῖναι ἀνεθεμάτισαν. λέγει δὲ ὁ Εὐτύχιος οὗτος ἐν τῷ αὐτῷ τόπῳ, ὅτι ἡ ἕκτη Σύνοδος ἀνεθεμάτισε καὶ τὸν Ῥώμης Ὀνώριον.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ Παπῶν τινῶν Ῥώμης ἐξ Ἑλλήνων καὶ Σύρων γενομένων. καὶ ἔτι κατὰ παπιστῶν συκοφαντούντων τοὺς ἐξ Ἑλλήνων γενομένους Πάπας, ὡς σπεύδοντας δῆθεν Ἕλλησιν ὑποβαλεῖν τὴν Ἐκκλησίαν Ῥώμης.

Ἀπέθανεν ὁ Πάπας Ἰωάννης ὁ πέμπτος, καὶ διεδέξατο αὐτὸν ἄλλος Ἰωάννης Ἕλλην τὸ γένος. οὕτως οὖν ὁ Βενέδικτος καὶ ὁ Ἰωάννης ἦσαν Σύροι τὸ γένος, ὁ Κόνων Θρᾷξ, ὁ Σέργιος Σύρος, ὁ ἕκτος οὗτος καὶ ὁ μετ' αὐτὸν Ἰωάννης ὁ ἕβδομος Ἕλληνες. ὁ Σισίνιος Σύρος, ὁ Ζαχαρίας Ἕλλην, Ῥωμαῖοι μόνον οἱ δύο Γρηγόριοι, πλὴν ἐπὶ Βενεδίκτου τοῦ τρίτου ἀπὸ Ἀγάθωνος ὁ πανευσεβέστατος Πωγωνᾶτος ἔδωκε διὰ Χρυσοβούλλου ἐξουσίαν τῷ Κλήρῳ, ἤτοι τῇ ἐν Ῥώμῃ Συνόδῳ καὶ τῷ λαῷ Ῥώμης ἐκλέγειν καὶ ἀποκαθιστᾶν Πάπαν ὅντινα ψηφίσονται χωρὶς τοῦ ἐρωτᾶν ἢ τὸν Αὐτοκράτορα ἢ τὸν Ἔξαρχον αὐτοῦ τὸν κατὰ καιροὺς ὄντα εἰς τὴν Ἰταλίαν, ὅπερ οὐκ ἐγένετο πρότερον οὕτως, εἰ μὴ ἐμεσολάβει εἰς τὰς ψήφους τοῦ Πάπα ἡ βασιλικὴ ἔκδοσις. ὅτι δὲ κανονικὸν ἔργον ἐποίησεν ὁ πανεύφημος Βασιλεὺς, πρόδηλον, εἰ καὶ πάλιν μετέπεσεν εἰς τὴν προτέραν τάξιν, ὡς εἴπομεν πεποιηκέναι τὸν Ἰουστινιανὸν εἰς τὴν τοῦ Βιγιλίου χειροτονίαν. ὁ Σπονδᾶνος προστίθησιν ἐν τῇ εἰς τὸν Βαρώνιον Συνόψει, καὶ λογιζόμενος δῆθεν τὰς τέχνας τῶν Ῥωμαίων, δι' ὧν ἤθελον καταβαλεῖν τὸν Πάπαν, ἤτοι τὸ πρωτεῖον αὐτοῦ, φησὶ πρῶτον, ὅτι τινὲς τῶν Ἑλλήνων ἐπεθύμησαν τοῦ παπάτου. δεύτερον, ὅτι ἔπεμψεν ὁ Ἰουστινιανὸς τοὺς Κανόνας τῆς ἐν Τρούλλῳ ταύτης Ἰωάννῃ τῷ ἑβδόμῳ Ἕλληνι ὄντι, ὁ δὲ ἀντεῖπεν, ὁ δὲ Ἰωάννης ὁ ἕκτος καὶ ὁ ἕβδομος οἱ Πάπαι Ἕλληνες ὄντες, ἔσπευδον ὑποβαλεῖν τὴν Ἐκκλησίαν τῆς Ῥώμης τοῖς Ἕλλησιν. Ἀλλὰ ῥητέον, πρὸς μὲν τὸ πρῶτον, ὅτι πῶς οὐκ ἀποδείκνυσιν ὁ Σπονδᾶνος ποῖοι τῶν Ἑλλήνων ἐζήτησαν γενέσθαι Πάπαι. δεύτερον, εἰ ἐγένετο τοῦτο, οὐκ ἦν παράδοξον, εἰς γὰρ τὴν Ῥώμην ποῖος γενέσθαι Πάπας, καὶ ἕως τῆς σήμερον ἐπιθυμοῦσιν ὅλα τὰ λατινικὰ φῦλα, καὶ μάλιστα σιμωνιακῶς. πρὸς δὲ τὸ δεύτερον, ὁ Σπονδᾶνος ὅσα εἶπεν, ἴσως ἔλαβεν αὐτὰ ἀπὸ Ἀναστασίου τοῦ Βιβλιοθηκαρίου, ὁ δὲ Ἀναστάσιος οὐλέγει ἀντειπᾶν τὸν Ἰωάννην, ἀλλ' ὅτι ὁ Πάπας φοβηθεὶς τὸν Βασιλέα, ἔστειλεν ὀπίσω τοὺς Τόμους, καὶ οὐκ ἐποίησε Σύνοδον. δεύτερον, εἰ καὶ ὁ Ἰωάννης ἔστειλεν ὀπίσω τὰ συνοδικὰ (καίτοιγε καὶ τοῦτο πλάσμα ἐστὶν Ἀναστασίου καὶ Πλάτινα) τὴν Σύνοδον ὅμως ἐβεβαίωσαν ὕστερον καὶ Πάπαι καὶ Οἰκουμενικαὶ Σύνοδοι, καὶ ἴδε αἰωτέρω. πρὸς δὲ τὸ τρίτον, τότε ἦν ἡ Ῥώμη ὑπὸ τὴν βασιλείαν καὶ ὑποταγὴν τῆς Κωνσταντινουπόλεως, καὶ ποίαν ἄλλην ὑποταγὴν ἤθελον ποιῆσαι τοῖς Ῥωμαίοις οἱ δύο Ἰωάνναι; τρίτον, κατ' αὐτοὺς ὁ ἕβδομος Ἰωάννης ἀντέστη τῷ Βασιλεῖ καὶ οὐχ ὑπέγραψε τὸν Τόμον τῆς ἐν Τρούλλῳ, καὶ πῶς πάλιν ἐβούλετο ὁ Πάπας ὑποτάξαι τὸ πρωτεῖον τοῦ Πάπα τοῖς Ἕλλησι; τέταρτον, ἡ Ἐκκλησία τῆς Ῥώμης ἦν ἡνωμένη τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, καὶ ἐτίμων αἱ Ἐκκλησίαι ἑκατέρα ἑκατέραν κατὰ τὸ εἰκὸς, ὡς μαρτυροῦσι πολλὰ γεγονότα ἐν τῷ μεταξὺ αὐτῶν μετὰ τὴν ἕκτην Σύνοδον, καὶ αὕτη ἡ ἑβδόμη Οἰκουμενικὴ, καὶ τὰ μετ' αὐτὴν συμβάντα ἐν τῇ Ἐκκλησίᾳ ἕως Νικολάου τοῦ πρώτου, καὶ λοιπὸν οἱ δύο Ἰωάνναι ποῖαν ὑποταγὴν ἐβούλοντο ποιῆσαι τῆς Ῥωμαϊκῆς Ἐκκλησίας εἰς τοὺς Ῥωμαίους; εἰς ὃ δὲ λέγει, ὅτι διὰ ταῦτα ὁ Κλῆρος τῆς Ῥώμης διώρισε Πάπαν μὴ φρονοῦντα τὰ ἑαυτῶν πλέον μὴ ποιεῖν, λέγομεν, ὅτι τοῦτο μάλιστα προεξένησε τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης τὰ ἄνομα καὶ ἀσεβῆ, μὴ θελόντων φρονεῖν τῶν Παπῶν καὶ τοῦ Κλήρου αὐτῶν τὰ τῆς καθόλου Ἐκκλησίας, ἀλλὰ τὰ τῆς Ῥωμαϊκῆς, ταὐτὸν εἰπεῖν τῆς σχισματικῆς καὶ ἀποβεβλημένης,

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ Ἰουστινιανοῦ τοῦ δευτέρου, καὶ ὧν ἐποίησαν κακῶν τοῖς πολίταις καὶ τοῖς πέριξ οἱ διοικηταὶ αὐτοῦ καὶ ὁ Ἔπαρχος, καὶ περὶ βασιλείας Λεοντίου, καὶ ῥινοτμήσεως καὶ ἐξορίας Ἰουστινιανοῦ, ἐκτυφλώσεώς τε Λεοντίου καὶ βασιλείας Ἀψιμάρου, καὶ αὖθις βασιλείας Ἰουστινιανοῦ, καὶ τῶν ἐσχάτων ὧν ἐποίησε κακῶν, καὶ ἀναιρέσεως αὐτοῦ, καὶ βασιλείας Φιλιππικοῦ.

Στέφανόν τινα Πέρσην εὐνοῦχον καὶ Θεόδοτον τινὰ Ἀββᾶν εἶχεν ὁ Βασιλεὺς Ἰουστινιανὸς διοικητὰς, οἵτινες, καὶ δὴ καὶ ὁ Ἔπαρχος αὐτοῦ πολλὰ κακὰ εἰργάσαντο τὴν Κωνσταντινούπολιν καὶ τὰ πέριξ. ἐν τούτοις καὶ αὐτὸς ὁ Βασιλεὺς προσέταξε τῷ Στεφάνῳ ἀποκτεῖναι τὸν λαὸν Κωνσταντινουπόλεως ἐξαίφνης νυκτός. εἶχε δὲ Λεόντιον τινὰ Πατρίκιον καὶ Στρατηγὸν δόκιμον τρία ἔτη περικεκλεισμένον, καὶ τότε παρ' ἐλπίδα ἐλευθερώσας αὐτὸν, ἀπέδειξε Στρατηγὸν τῆς Ἑλλάδος, δοὺς αὐτῷ καὶ κάτεργα τρία ἵνα ἀπέλθῃ αὐτίκα, ἀλλ' ὁ Μοναχὸς Μονῆς τοῦ Καλλιστράτου Παῦλος καὶ Γρηγόριός τις Καππάδοξ καὶ Μοναχὸς τὶς ἕτερος Μονῆς τοῦ Φλώρου φίλοι τοῦ Λεοντίου συνεβούλευσαν αὐτῷ θαρσοποιήσαντες, καὶ ἐπέθετο νυκτὸς κατὰ τοῦ Βασιλέως, καλέσας τὸν λαὸν εἰς τὴν ἁγίαν Σοφίαν, καὶ δὴ καὶ τὸν Πατριάρχην Καλλίνικον, οἵτινες ὥσπερ ψυχορραγοῦντες ὑπὸ τῶν εἰρημένων κακῶν, φημίζουσι Βασιλέα τὸν Λεόντιον, ἀποκτείνουσιν τὸν Στέφανον καὶ Θεόδοτον, τὸν δὲ Ἰουστινιανὸν ῥινοκοπήσαντες, ἐξώρισαν εἰς Χερσῶνα. ἐπιβουλεύει δὲ μετέπειτα τῷ Λεοντίῳ Ἀψίμαρος, ὃν καὶ συλλαβὼν ἐτύφλωσε, καὶ περιώρισεν. Ἰουστινιανὸς δὲ ἀπὸ Χερσῶνος φεύγει εἰς τὸν Χάνην τῶν Χαζάρων, κἀκεῖθεν εἰς Βουλγαρίαν, καὶ δὴ συνεργείᾳ τοῦ Ἄρχοντος Βουλγάρων ἔρχεται καὶ λαμβάνει τὴν Κωνσταντινούπολιν, καὶ ποιεῖ τὰ ἔσχατα κακὰ εἴς τε τὸν Ἀψίμαρον καὶ τοὺς Ἄρχοντας. εἰς δὲ τὴν Χερσῶνα ἀπέστειλεν ἵνα ἀφανίσωσιν αὐτὴν, καὶ ἐγένετο αἰτία φονευθῆναι, ὡς λέγουσιν, ἑβδομηκοντατρεῖς χιλιάδας ἀνθρώπους, ἐτύφλωσε Καλλίνικον τὸν Πατριάρχην, καὶ ἐξώρισεν εἰς Ῥώμην, καὶ ἀντ' αὐτοῦ προέβαλε Κῦρον, ὄντα πρότερον ἔγκλειστον εἰς τὴν Ἄμαστριν. οὐκ ἀπέβησαν αὐτῷ ὅμως ταῦτα εἰς καλὸν, ὁ γὰρ Βαρδάνης ὁ καὶ Φιλιππικὸς ἀποστατήσας αὐτοῦ, καὶ ἀποκτείνας αὐτὸν, ἐβασίλευσεν ἐν ἔτει ἑξακισχιλιοστῷ διακοσιοστῷ δεκάτῳ ἐνάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν σκευωριῶν τοῦ Φιλιππικοῦ τοῦ καὶ Βαρδάνου, καὶ τῆς ἀνόμου Συνόδου αὐτοῦ, καὶ ὧν ἐποίησε κακῶν Ἱερεῦσι καὶ Συγκλητικοῖς κατὰ τῆς ἕκτης Συνόδου φερόμενος, ἐξορίσας σὺν ἄλλοις καὶ τὸν Κωνσταντινουπόλεως Κῦρον καὶ ἀντεισάξας τὸν Αἱρετικὸν Ἰωάννην. ἀνθ' ὧν ἐκτυφλοῦται καὶ καθαιρεῖται τῆς βασιλείας, καὶ βασιλεύει Ἀναστάσιος. καὶ περὶ τῶν διαδοθέντων Τόμων τῆς ἕκτης Συνόδου εἰς τοὺς πατριαρχικοὺς θρόνους.

Σημειοῖ δὲ Ἀγάθων Διάκονος καὶ Χαρτοφύλαξ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας, ὅτι ὁ Βαρδάνης αὐτὸς ἦν μαθητὴς Πολυχρονίου Αἱρετικοῦ, τοῦ μαθητοῦ Μακαρίου Ἀντιοχείας, τοῦ ἀναθεματισθέντος εἰς τὴν ἕκτην Σύνοδον. ὅθεν καὶ πρὶν ἢ εἰσελθεῖν εἰς τὰ βασίλεια, τὴν Εἰκόνα τῆς ἕκτης Συνόδου, κειμένην εἰς τὰ βασιλικὰ προαύλια, καθεῖλε. δεύτερον, τὰ ὀνόματα Σεργίου καὶ Ὀνωρίου καὶ τῶν λοιπῶν τῶν ὑπὸ τῆς ἕκτης Συνόδου ἀναθεματισθέντων ἔβαλεν εἰς τὰ Δίπτυχα, καὶ τὰς Εἰκόνας αὐτῶν ἀνεστήλωσε. τρίτον, τὰ πρακτικὰ τῆς ἕκτης, κείμενα εἰς τὸ βασιλικὸν Παλάτιον, δηλονότι τὰ αὐθεντικὰ καὶ ἀρχέτυπα, κατέκαυσε. τέταρτον, ἐξέβαλε Κῦρον τὸν Πατριάρχην καὶ περιώρισεν εἰς τὴν Μονὴν τῆς Χώρας, ἀντεισήγαγε δὲ Ἰωάννην τινὰ συμμύστην αὐτοῦ. πέμπτον, κατὰ τὸν Ζωναρᾶν ὑποθήκαις Μοναχοῦ τινὸς Μονῆς τοῦ Καλλιστράτου, γνωστοῦ αὐτῷ ὄντος, διὰ τὸ προειπεῖν αὐτῷ τὴν ἐσομένην ἐπ' αὐτῷ βασιλείαν, καὶ συνεργείᾳ τοῦ Πατριάρχου Ἰωάννου καὶ τοῦ Κυζίκου Γερμανοῦ κατὰ τὸν Σουΐδαν, ἤθροισε συνέδριον παρανόμων, καὶ ἀνεθεμάτισε τὴν ἕκτην Σύνοδον, καὶ πολλοὺς Ἱερεῖς καὶ Συγκλητικούς. ἕκτον, ἤγειρε διωγμὸν μέγαν, καὶ ἐξώρισε καὶ πολλοὺς διὰ τὸ μὴ ὑπογράψαι αὐτοὺς εἰς τὸν ἄνομον Ὅρον τῆς ψευδοσυνόδου αὐτοῦ, ὅθεν καὶ μετὰ διετῆ χρόνον καὶ Μῆνας ὀκτὼ, τῷ Σαββάτῳ τῆς ἁγίας Πεντηκοστῆς καθαιρεῖται, καὶ ἐκτυφλοῦται, καὶ αὐταρχεῖ ὁ ὀρθόδοξος Ἀναστάσιος, στεφθεὶς τῇ ἡμέρᾳ τῆς ἁγίας Πεντηκοστῆς, καὶ εὐθὺς τὴν ὀρθοδοξίαν ἐκήρυξεν. ἕβδομον, προζωγραφήσαντος τοῦ Φιλιππικοῦ τὰς πέντε Οἰκουμενικὰς Συνόδους, καὶ εἰς τὸ μέσον στηλογραφήσαντος ἑαυτὸν καὶ τὸν Αἱρεσιάρχην Σέργιον, ὁ Ἀναστάσιος προσεζωγράφησε καὶ τὴν ἕκτην, καὶ ηὐφράνθη ὅ,τε Κλῆρος καὶ ὁ λαός. ὄγδοον, οἰκειοχείρως ἔτι Ἀναγνώστου ὄντος τοῦ Ἀγάθωνος γράψαντος τὰ πρακτικὰ τῆς ἕκτης καὶ τὸν Ὅρον αὐτῆς ὑπογεγραμμένον εἰς ἓξ Τόμους, ὁ μὲν εἷς Τόμος ἐβλήθη εἰς τὰ βασίλεια ὁρισμῷ τοῦ Βασιλέως, ἵνα εὑρίσκηται ἐκεῖ διὰ στηριγμὸν τῆς ὀρθοδοξίας, οἱ δὲ πέντε ἐστάλησαν καθεῖς εἰς ἕκαστον Πατριαρχεῖον.

ΠΑΡΑ-

ΠΑΡΆΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς πρὸς τὸν Ῥώμης Κωνσταντῖνον ἀπολογητικῆς ἐπιστολῆς τοῦ Κωνσταντινουπόλεως Ἰωάννου, καὶ τριῶν σημειώσεων ἔκ τε τοῦ Φιλιππικοῦ καὶ τῆς ἐπιστολῆς ταύτης, ἐξ ὧν δείκνυται Αἱρετικὸς ὁ Ὀνώριος, καὶ ὁ Ῥώμης ἄνευ μοναρχίας.

Ἔγραψεν ἐπιστολὴν ἐπὶ Ἀναστασίου ὁ Κωνσταντινουπόλεως Ἰωάννης (τοῦτον ὁ Ζωναρᾶς λέγει ὅτι ὁ Φιλιππικὸς ὡς ὁμόδοξον αὐτῷ εἰς Πατριάρχην προέβαλεν) εἰς τὸν Ῥώμης Κωνσταντῖνον, ἐν ᾗ λέγει, ὅτι οἰκονομικῶς ἠκολούθησε τῷ Φιλιππικῷ, καθὼς καὶ Βασίλειος εἰς τὴν περὶ τοῦ Πνεύματος θεολογίαν πολλὰ ᾠκονόμησεν, ὥς φησιν ὁ Ναζιανζηνὸς εἰς τὸν ἐπιτάφιον αὐτοῦ, καὶ δὴ καὶ Πρόκλος καὶ Κύριλλος ᾠκονόμησαν περὶ τοῦ Μοψουεστίας, καὶ λοιπὸν φησὶ, καθ' ὃν τρόπον καὶ ὁ Ἀαρὼν οὐκ ἐκρίθη Εἰδωλολάτρης, οὕτω καὶ αὐτὸς οἰκονομήσας μὴ νομισθήτω Αἱρετικὸς, εἰ δὲ καὶ μετρηθείη ἀληθῶς ἡμαρτηκέναι, ἐστὶ συγγνώμης ἄξιος, καθὼς καὶ οἱ εἰς τὴν ἐν Ἐφέσῳ ληστρικὴν ἁμαρτήσαντες, ἀλλὰ μετανοήσαντες, ἔτυχον συγγνώμης ὑπὸ τῆς ἐν Χαλκηδόνι. ἀλλὰ ταῦτα εἰπὼν, οὐδὲν ὠφελήθη ὁ Ἰωάννης, καθότι Αἱρετικὸς φανεὶς πολυχρόνιος καὶ ἀκριβέστατος, ἐξεβλήθη, καίτοι γε ὁ Θεοφάνης λέγει τεθνηκέναι αὐτὸν ἐν τῷ θρόνῳ, ὅμως ὡς ἀληθῶς ἐξεβλήθη. Σημείωσαι τρία τινὰ, πρῶτον, ὅτι τὸν Ὀνώριον ἔβαλεν ὁ Φιλιππικὸς εἰς τὰ Δίπτυχα, δῆλον δὲ, ὅτι διὰ τὸ εἶναι καθῃρημένον ὡς Αἱρετικὸν καὶ ἀποβεβλημένον ὑπὸ τῶν ὀρθοδόξων τὸν Ὀνώριον διατοῦτο περιεποιήσατο αὐτόν. δεύτερον, ὅτι καὶ οἱ Λατῖνοι λίαν δικαιολογοῦντες τὸν Ὀνώριον, ἀπὸ τῆς ψυχρολογίας τοῦ παρόντος Ἰωάννου ἔλαβον τὰς ἀφορμὰς, ἀλλ' εἰς μάτην κοπιῶσιν ἀμφότεροι. τρίτον, ὅτι καὶ ἀπὸ τῆς ἐπιστολῆς ταύτης τοῦ Ἰωάννου βούλονται συστῆσαι τὴν τοῦ Πάπα μοναρχίαν οἱ Λατῖνοι, διὰ τὸ λέγειν τὸν Ἰωάννην τοῦ Πάπα Κωνσταντίνου τὸ μεγαλεῖον ἀποστολικὴν προεδρίαν. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι λέγων ὁ Ἰωάννης ἀκουσίως αὐτοῦ πατριαρχεῦσαι, εἰς τὴν ἐπιστολὴν φησὶ περὶ ἑαυτοῦ, Οὐκ ἀπαθῶς καὶ ἀβαρῶς καὶ δίχα παντὸς ὀδυρμοῦ τὸ τοιοῦτον ὑπομείναντες, πρὸς τὴν τῆς Ἀρχιερωσύνης ἤχθημεν ἀξίαν καὶ κορυφὴν, λέγων τὸν θρόνον Κωνσταντινουπόλεως, ἀποστολικὴ δὲ προεδρία καὶ κορυφὴ Ἀρχιερωσύνης ταὐτόν. δεύτερον, ὅτι ἰσότιμον δηλοῖ τὸν Πάπαν εἰς τὴν ἐπιγραφὴν τῆς πρὸς ἐκεῖνον ἐπιστολῆς αὐτοῦ, οὕτωσὶ λέγων, Τῷ τὰ πάντα ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ κυρίῳ Κωνσταντίνῳ Ἰωάννης ἐν Κυρίῳ χαίρειν. εἶτα οὐδὲ τοῦτο συνίστησι μοναρχικὴν ἡγεμονίαν τῷ Ῥώμης, καὶ ἄλλοι γὰρ ἐγκαλούμενοι ὡς Αἱρετικοὶ, ἀπελογήσαντο οὐκ εἰς τὸν Ῥώμης, ἀλλ' εἰς ἄλλους Ἐπισκόπους, ὡς τινὲς καθαιρεθέντες ὑπὸ τῆς πρώτης ἐν Νικαίᾳ Οἰκουμενικῆς, ἀπελογήσαντο εἰς τοὺς κορυφαίους τῶν Ἐπισκόπων. καὶ ὁ Ἀπολινάριος καὶ Οὐϊτάλιος ἀπελογήσαντο εἰς τὸν μέγαν Ἀθανάσιον, ὡς μαρτυρεῖ ὁ μέγας Ἐπιφάνιος, καὶ ἄλλοι εἰς ἄλλους, ὡς εἴρηται ἀνωτέρω.

ΠΑΡΆΓΡΑΦΟΝ Δ'.

Περὶ ἐξώσεως τοῦ Αἱρετικοῦ Ἰωάννου ὑπὸ τοῦ Βασιλέως, καὶ μεταθέσεως ψήφῳ πάντων τῶν Κωνσταντινουπολιτῶν τοῦ ἁγίου Γερμανοῦ, ἐξ ὧν κόμπος Λατίνων λαμπρὸς ἡ περὶ τοῦ Πάπα καθαίρεσις τοῦ Ἰωάννου καὶ ἀντείσαξις τοῦ Γερμανοῦ. καὶ περὶ καταδρομῆς Σαρακηνῶν εἰς Ἀσίαν, Ἀφρικὴν καὶ Ἱσπανίαν, καὶ φθορᾶς αὐτῶν ὑπὸ Καρόλου Μαρτέλου τοῦ Ῥηγὸς, καὶ δυστυχοῦς ἐκδιώξεως τῶν αὐτῶν καὶ ἀπὸ τῆς Κωνσταντινουπόλεως.

Ὁ Βασιλεὺς Ἀναστάσιος τὸν Ἰωάννην κατήγαγεν ὡς μὴ ὀρθόδοξον, καὶ τὸν Κυζίκου Γερμανὸν εἰσήγαγε κατὰ τὸν Ζωναρᾶν. ἦν δὲ ὁ Κυζίκου Γερμανὸς ὁ εὐνουχισθεὶς ποτὲ διὰ προσταγῆς τοῦ Πωγωνάτου παῖς ὤν, ὡς γράφει ὁ αὐτὸς Ζωναρᾶς, ἄνθρωπος ἐνάρετος καὶ προορατικώτατος κατὰ τὸν Δαμασκηνὸν Ἰωάννην, ὅστις βεβαιοῖ, ὅτι πρὸς τοῦτον τὸν Γερμανὸν, ἀπερχόμενον εἰς τὸ ἐνθρονιασθῆναι, ἡ μήτηρ τοῦ ἁγίου Στεφάνου τοῦ νέου ἐβόησε λέγουσα, Εὐλόγησον Δέσποτά μου τὸν καρπὸν ὃν βαστάζω τῆς κοιλίας μου, ὁ δὲ Γερμανὸς προβλέπων τὸ μέλλον, ἀπεκρίθη αὐτῇ, Εὐλογησάτω αὐτὸν ὁ Κύριος διὰ πρεσβειῶν τοῦ πρωτομάρτυρος Στεφάνου. καὶ ἀπ' ἐκείνης τῆς ὥρας ὤφθη αὐτῇ φλὸξ ἀνημμένη ἐξελθοῦσα ἀπὸ τοῦ στόματος τοῦ ἁγίου Πατριάρχου, ὅθεν γεννηθεὶς, ὠνομάσθη Στέφανος ὁ παῖς κατὰ τὴν προῤῥήσιν τοῦ θεσπεσίου ἀνδρὸς, τὴν προμηνύουσαν προσέτι καὶ τὸ μέλλον τοῦ παιδὸς μαρτύριον. Λέγουσι δὲ κἀνταῦθα οἱ Λατῖνοι, ὅτι ὁ Ῥώμης Γρηγόριος ὁ δεύτερος καθελὼν τὸν προῤῥηθέντα Κωνσταντινουπόλεως Ἰωάννην τὸν Εἰκονομάχον, ἀντεισῆξε τὸν ἐν ἁγίοις Γερμανόν. Ἀλλὰ ῥητέον ὅτι καὶ τοῦτο κόμπος Λατινικὸς, πρῶτον, ὅτι ὁ Κῦρος ἐξεβλήθη, καὶ προεβλήθη ὁ Ἰωάννης ὑπὸ Φιλιππικοῦ ὡς κοινωνὸς ἐκείνῳ κατὰ τῆς ἕκτης Συνόδου. βασιλεύσαντος ὅμως τοῦ Ἀρτεμίου τοῦ καὶ Ἀναστασίου, καὶ ὄντος ὀρθοδόξου, ὁ Κλῆρος Βασιλέως ὀρθοδόξου τυχὼν, καθεῖλε τὸν Ἰωάννην, καὶ προεβίβασε κοινῇ ἐκλογῇ καὶ ψήφῳ τὸν Γερμανὸν, ὡς οἱ ἱστορικοὶ τῆς Ἀνατολῆς βοῶσιν, ἐν οἷς καὶ ὁ Θεοφάνης, ᾧ καὶ συμμαρτυρῶν ὁ ἀπὸ Παρισίου Ἰάκωβος Τόαρ λέγει, ὅτι εἰς τοὺς ἑπτακοσίους δεκατέσσαρας χρόνους ἀπὸ Χριστοῦ προεβλήθη οὗτος ὁ Γερμανὸς ψήφῳ καὶ δοκιμάλᾳ τῶν

θεοφίλε

θεοφιλεστάτων Πρεσβυτέρων καὶ Διακόνων καὶ παντὸς τοῦ εὐαγοῦς Κλήρου καὶ τῆς ἱερᾶς Συγκλήτου καὶ τοῦ θεοστηρίκτου λαοῦ ταύτης τῆς βασιλίδος τῶν πόλεων, Ἡ θεία χάρις μετατίθησι Γερμανὸν ἐκ Κυζίκου εἰς Κωνσταντινούπολιν. ἦν δὲ ἐκεῖ Ἀποκρισιάριος τοῦ Ῥώμης Μιχαὴλ Πρεσβύτερος, ἀλλ' οὔτε τοῦ Πάπα οὔτε τοῦ Ἀποκρισιαρίου αὐτοῦ τὸ ὄνομα μνήμης ἠξιώθη. σημείωσαι δὲ, ὅτι οὔτε Ζωναρᾶς οὔτε Κεδρηνὸς ἱστοροῦσι τὶ περὶ τούτου τοῦ Μιχαὴλ, ἀλλ' ἢ μόνον ὁ Θεοφάνης ἁπλῶς μέμνηται τῆς τοῦ Μιχαὴλ παρουσίας ἐν τῇ χειροτονίᾳ, οὐ μὴν δὲ ἐν αὐτῇ ἐγένετό τις μνήμη τοῦ ὀνόματος αὐτοῦ. τὰ δὲ περὶ χειροτονίας τῶν Πατριαρχῶν ἴδε εἰς τὸν κατὰ Αἱρέσεων Συμεὼν τοῦ Θεσσαλονίκης Διάλογον, καὶ Θεοδόσιον τὸν Ζυγσμαλᾶν εἰς τὴν Τουρκογραίτζιαν, καὶ τὸν Κωδινόν. ἦν δὲ ἡ πρόβλησις τοῦ Γερμανοῦ ὡς ἦσαν αἱ τοῦ Χρυσοστόμου καὶ τοῦ Μηνᾶ, καὶ ἴδε τὸν τόπον βιβλίου πέμπτου κεφαλαίῳ ἑνδεκάτῳ. Σημείωσαι, ὅτι διὰ τὰ μεταξὺ τῶν Ῥωμαίων τότε σκάνδαλα κατέτρεξαν οἱ Σαρακηνοὶ τὴν Ἀσίαν καὶ Ἀφρικὴν, καὶ μάλιστα τὴν Ἱσπανίαν, πλὴν τοῖς Βετικῆς, οἵτινες ἐβουλήθησαν παραγενέσθαι καὶ εἰς τὴν Φράντζαν, ἀλλ' ὡς λέγουσιν ἀπαντήσας αὐτοῖς ὁ Ῥὴξ Κάρολος Μάρτελος, ἀπέκτεινε τριακοσίας ἑξήκοντα χιλιάδας Σαρακηνοὺς, καὶ Χριστιανοὶ ἔπεσον μόνον χίλιοι ἑκατὸν τριάκοντα, ὅθεν οἱ Σαρακηνοὶ ὀργῆς κάτοχοι γενόμενοι, ἔτρεψαν τὸν θυμὸν αὐτῶν κατὰ τῆς Κωνσταντινουπόλεως, καίτοιγε κἀκεῖθεν μετὰ δυστυχίας ἀπηλάθησαν, ὡς ῥηθήσεται.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῆς μετὰ Ἀναστάσιον βασιλείας Θεοδοσίου, καὶ παραιτήσεως τῆς βασιλείας καὶ μονάσεως αὐτοῦ καὶ ἁγιότητος, καὶ βασιλείας Λέοντος τοῦ Ἰσαύρου.

Τῷ ἔτει ἑπτακοσιοστῷ δεκάτῳ πέμπτῳ ἐγένετο ὁ Θεοδόσιος Βασιλεὺς ἀπὸ τελώνου ὅπερ ἦν πρότερον, καὶ ἄκων κατὰ τὸν Θεοφάνην. ὁ δὲ Ἀναστάσιος κουρευθεὶς ἐγένετο Μοναχὸς ἔνθα ἦν ἐξόριστος. ἦν δὲ ὀρθόδοξος ὁ Θεοδόσιος, ὅθεν καὶ εἶχεν εἰς τὰς ἡμέρας αὐτοῦ μεγάλην παῤῥησίαν ἡ εὐσέβεια. οὐ παρῆλθε χρόνος, καὶ ἦλθεν ὁ Ἰσαυρος Λέων, καὶ ἐβασίλευσεν εἰς τὸ Βυζάντιον, τοῦ Θεοδοσίου παραίτησιν τοῦ βασιλικοῦ θρόνου ποιησαμένου, καὶ ἅμα τῷ ἡῷ αὐτοῦ ἐκκλησιαστικοῦ γενομένου, καὶ εἰρηνικῶς ἐν τῇ Ἐφέσῳ τὸ ὑπόλοιπον τῆς ζωῆς αὐτοῦ τελειωσαμένου, ὅστις προσέταξε γραφῆναι ἐν τῷ μνήματι αὐτοῦ τοῦτο καὶ μόνον, ΥΓΙΕΙΑ, καθότι ὁ ἀποθανὼν δεδικαίωται, ἤγουν ἔπαυσε τῆς ἁμαρτίας, καὶ ἐκέρδησε τὴν ἀπὸ τῶν παθῶν ἐλευθερίαν τῆς ψυχῆς αὐτοῦ. ὁμολογοῦσι δὲ οἱ ἐντόπιοι τὸν Θεοδόσιον τοῦτον χρηματίσαι ἅγιον, καὶ θαυματουργίαις τὸν τόπον, ἐν ᾧ ἐνεταφιάσθη, τιμῆσαι.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς τριέτους περικυκλώσεως τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Σαρακηνῶν, καὶ τῆς ἀπραξίας αὐτῶν τῇ προστασίᾳ τῆς Θεοτόκου, καὶ ἀφανισμοῦ τοῦ Στόλου αὐτῶν, καὶ ὅσων ἐπειράθησαν κακῶν προνικηθέντες καὶ ὑπὸ τῶν Βουλγάρων, καὶ ἀναδείξεως τοῦ Ἀκαθίστου ὕμνου, καὶ περὶ τοῦ μεγάλου θανατικοῦ ἐν Κωνσταντινουπόλει.

Ἀφίημι λέγειν τὴν ὑπόσχεσιν καὶ τὸν ὅρκον ἃ ἐποίησε μετὰ τῶν δεδιωγμένων εἰς τὴν Ἰσαυρίαν Ἑβραίων ὁ Κόνων ὁ καὶ Λέων ἀνήμερος, ὡς ὄντα τοῖς πᾶσι θρυλλούμενα, μόνον διηγοῦμαι τὴν στέψιν αὐτοῦ ὑπὸ τοῦ Πατριάρχου Γερμανοῦ, καὶ ἣν ἐποίησεν ὁμολογίαν τῆς πίστεως αὐτοῦ, ἧς τὸ ἴσον μετὰ τῶν εἰκόνων αὐτοῦ ἀπέστειλε καὶ εἰς τὸν Ῥώμης, καὶ τὴν ἐπέλευσιν τῶν Σαρακηνῶν ἕως ἔνδον ἐν τῇ Κωνσταντινουπόλει, ἣν καὶ περιεκύκλωσαν τρεῖς χρόνους, ἀλλ' οὖν ἄπρακτοι ἔφυγον, καὶ πολεμοῦντες τοῖς Βουλγάροις, ὑπ' αὐτῶν προσέτι ἐνικήθησαν, ὡς ἱστορεῖ τοῦτο ἐκ τῶν Λατίνων ὁ Βέδας, καὶ ἐκ τῶν Ῥωμαίων ὁ Κεδρηνὸς καὶ ὁ Θεοφάνης, ὃς καὶ τὸν τῶν Σαρακηνῶν Στόλον λέγει ἀφανισθῆναι ὑπὸ τῶν πυρφόρων καραβίων τοῦ Βασιλέως, πλὴν ἡ δύναμις τοῦ Θεοῦ ἦν καὶ ἡ χάρις τῆς Παναγίας τῆς τότε τὴν πόλιν φυλαξάσης ἀπὸ ἐκείνου τοῦ κινδύνου, καὶ ἀπὸ ἄλλων πολῶν, ὡς προστατευούσης τῆς Κωνσταντινουπόλεως, αὐτῇ ἀφιερωμένης. καὶ κατὰ ἀλήθειαν εἰ τὸ κάστρον Βετουλουὰ ἐφυλάχθη ὑπὸ τῆς Ἰουδὴθ, πόσῳ μᾶλλον τὴν μεγαλόπολιν μὴ λυτρωθῆναι ὑπὸ τῆς Τριπαρθένου καὶ δαυΐτιδος κόρης Μαρίας; ὡς λέγει ὁ Γρηγόριος ἐν τῇ πρὸς τὸν Γερμανὸν ἐπιστολῇ. ᾄδεται δὲ λόγος, ὅτι ἡ ἁγία Εἰκὼν τῆς Πανάγνου ἐπεφέρετο ἐπάνω τῶν τειχῶν μετὰ ἄκρας εὐλαβείας, ὅθεν καὶ αὐτὴ ὑπερησπίζετο τῆς πόλεως, ἐπεὶ ἡ αὐτὴ εἰς τὰ Ἄσματα τῶν Ἀσμάτων λέγει, Ἐγὼ τεῖχος, καὶ μαστοίμου ὡς πύργοι. ἐξ ἐκείνου ἤρξατο ὁ Ἀκάθιστος ὕμνος ψάλλεσθαι εἰς πᾶσαν τὴν Ἐκκλησίαν

σίαν ἡμῶν . τρεῖς δὲ χρόνους ἀπέκλεισαν τὴν πόλιν οἱ Σαρακηνοί, ἀφ' ἧς δὲ τὴν πεῖναν καὶ τὰ ἄλλα κακά, ἃ κατέλαβον αὐτοὺς, ἀνεχώρησαν ἄπρακτοι, τὸ θανατικὸν ὅμως τὸ ἐνσκῆψαν αὐτοῖς, διεδόθη καὶ τοῖς ἐνδον ἐν τῇ πόλει Ῥωμαίοις, καὶ ἀπέθανον ὑπ' αὐτῶν ὡς λέγουσιν ἀνθρώπων χιλιάδες τριακόσιαι .

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς τοῦ Κοπρωνύμου γεννήσεως, καὶ τῆς εἰς Καίσαρα τέψεως αὐτοῦ ὑπὸ τοῦ πατρὸς αὐτοῦ Ἰσαύρου .

Κατὰ δὲ τὸ τέταρτον ἔτος τῆς βασιλείας τοῦ Λέοντος ἐγεννήθη Κωνσταντῖνος ὁ ῥηθεὶς θεόδοσμος τοῦ Ἀντιχείσου, ὁ κοπρίσας τὴν ἁγίαν κολυμβήθραν ὅτε ὑπὸ τοῦ Πατριάρχου Γερμανοῦ ἐβαπτίζετο . τοῦτο θεωρῶν ὁ Γερμανὸς, προεφήτευσεν εἰπὼν εἶναι τεκμήριον πολλῆς μελλούσης ἐν τῇ Ἐκκλησίᾳ κακοπραγίας, καθὼς καὶ ἐγένετο . καὶ ἐξ ἐκείνου γράφουσιν οἱ ἱστορικοὶ πάντες ἐπονομασθῆναι Κοπρώνυμον τὸν Σκύμνον τοῦ αἱμοβόρου Λέοντος, τὸν καὶ τὸν Θεσσαλονίκης Ἀρχιεπίσκοπον Φονεύσαντα . ἔτι δὲ βρέφος ὄντα τὸν Κοπρώνυμον ἔσεψεν ὁ Λέων εἰς Καίσαρα, ᾧ τὸ Διάδημα ἀκύρως δέδωκε κατὰ τὸ Πάσχα ὁ ἅγιος Γερμανός.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ ἀφανισμοῦ τῶν ἁγίων Εἰκόνων ὑπ' Ἐζίδου ἀρχηγοῦ τῶν Ἀράβων ἐξ αἰτίας Ἑβραίου τινὸς Σσαραντα πήχεως ὀνομαζομένου . ἐκ δὲ τούτου τοῦ ἀκύρου, καὶ ἄκτινων Ἑβραίων, καὶ Βερσῆ τινὸς ὁ Ἴσαυρος Αἱρεσιάρχης τῆς Εἰκονομαχίας ἔγειρε .

Σημειοῖ ὁ Μοναχὸς Ἰωάννης ὁ Ἱεροσολυμίτης, ὅτε ἀποθανόντος τοῦ τῶν Ἀράβων ἀρχηγοῦ Σελεϊμὰν Διαδέχεται τοῦτον ὁ Ὦμερ, τοῦτον δὲ Διαδέχεται ὁ Ἔζιδος, ἤτοι Γιεζίτης . ἦν δὲ εἷς τῶν Τιβεριάδα εἷς τῶν Φαρμακομαύτις Ἑβραῖος ἐπονομαζόμενος Σσαραντάπηχος, λίαν ἐχθρὸς τῶν Χριστιανῶν, οὗ μαθὼν τὸν Γιεζίτην κακότητα, καὶ τὸν ἄσωτον καὶ ἀκτεθηλυμμένον βίον, ἀπῆλθον εἰς αὐτὸν, καὶ ἐπειδὴ ἐνομίσθη μαότις, ἐρωτηθεὶς ὑπὸ τοῦ Γιεζίτου περὶ τῶν χρόνων τῆς ζωῆς αὐτοῦ, εἶπεν ὅτι τριάκοντα χρόνους (ἄλλοι δὲ λέγουσι τεσσαράκοντα καὶ ἄλλοι ἑβδομήκοντα) ἐξουσιάσει, ἐὰν μόνον ποιήσῃ θεσπίσμα κοινὸν ἀφανίζον πᾶσαν εἰκονικὴν Διαζωγράφησιν τῶν Χριστιανῶν, κἂν τε εἰς τοίχους καὶ σανίδας ᾖ, καὶ ἱερὰ σκεύη καὶ ὀθόνας, κἂν τε εἰς τὰς ἀγορὰς θεὸς Διακόσμησιν . ὁ δὲ ἀποστείλας ἠφάνισε τὰς εἰς τὴν ἐξουσίαν αὐτοῦ τῶν Χριστιανῶν Εἰκόνας . ἐπεὶ δὲ οἱ Χριστιανοὶ ἀπέφυγον τὸ σωτηρίψαι τὰς ἁγίας Εἰκόνας, Σαρακηνοὶ τὸ ἔργον ἐπλήρων, καὶ δὴ καὶ τοὺς τοίχους τῶν Ἐκκλησιῶν ὡς μὴ κατέξεον, ἢ δὲ ἤλειφον βορβόρῳ. ἀλλὰ καί τις Ἐπίσκοπος Νικολείας καὶ τινες τῶν περὶ αὐτὸν Ἐζίδῳ μιμησάμενοι, τὰ ὅμοια ἐποίουν ταῖς Ἐκκλησίαις κακά . ἐνίσκει ὅμως μετὰ δύο καὶ ἥμισυ ἔτη ὁ Ἔζιδος, ὃν φαρμακεύσαι ὁ Ἑβραῖος ἐνομίσθη, ἔθνη Οὐλίδος ὁ υἱὸς αὐτοῦ ἀπέκτεινε τὸν Ἑβραῖον τῷ ὁμοίῳ τοῦ πατρὸς αὐτοῦ θανάτῳ, καὶ πάλιν αἱ Ἐκκλησίαι ἀπέλαβον τὸν σολισμὸν αὐτῶν . ἐκ τούτου ὅμως τοῦ ἀκύρου, καὶ ἄκτινων Ἑβραίων τῶν προμηνυσάντων αὐτῷ τὴν βασιλείαν, καὶ ἀπό τινος Βερσῆ τοῦ ἀρνησαμένου ἐν τῇ Συρίᾳ τὸν Χριστὸν, καὶ ἀναγραφέντες μὴ εἰς τοὺς Σαρακηνοὺς, ἐλθόντος δὲ εἰς Κωνσταντινούπολιν, ὃν ἔχων σύμβολον αὐτοῦ (καίτοιγε ὁ Κοπρώνυμος αὐτὸν ὕστερον ἀπέκτεινεν ὡς κακότερον) ὁ Ἴσαυρος ἔτος Λέοντι παρεκινήθη κατὰ τῶν ἁγίων Εἰκόνων, καὶ ἐχρημάτισεν Αἱρεσιάρχης . ὅθεν ἐκέλευσε κατὰ τὸ ἔναγον τῆς βασιλείας αὐτοῦ ἔτος μὴ προσκυνεῖσθαι τὰς ἁγίας Εἰκόνας .

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῶν πρὸς Λέοντα Ἴσαυρον ὑποσολῶν τοῦ Πάπα Γρηγορίου τοῦ δευτέρου, καὶ τῶν ἐξ αὐτῶν δεκαεννέα σημειώσεων, ἐξ ὧν δείκνυται τὶ Βασιλεὺς καὶ τὶ Πάπας οὔτε τοῖς πολιτικοῖς καὶ ἐκκλησιαστικοῖς, καὶ ὅτι ὁ Πατὴρ ἀνιστόρητος, καὶ περὶ τοῦ τὶ Ἱερανοποίησις, καὶ τὶς εἰσῆξε καὶ ἐξέβαλε τοῦ Ἱεροῦ τὸν χαλκοῦν Ὄφιν, καὶ τὶ ὁ Πέτρος πρὸς Δυτικοὺς, καὶ περὶ πολέμων καὶ μυελίων φόνων ἐν Ἰταλίᾳ, καὶ τῆς τοῦ Πάπα Γρηγορίου ὑποστασίας .

Ὁ Πάπας Γρηγόριος ὁ δεύτερος ἔγραψεν ὑποσολὴν πρὸς τὸν Λέοντα, ὅτι οὐ δεῖ τὸν Βασιλέα Διακρίνειν περὶ πίστεως καὶ νομοθετεῖν εἰς τὰ ἀρχαῖα δόγματα, ἅπερ οἱ ἅγιοι πατέρες ἐδογμάτισαν . ἐν ᾗ σημειώσει πρῶτον, ὅτι κεφαλὴν τῶν Χριστιανῶν τὸν Βασιλέα λέγει λόγῳ ἐγκωμίου, καὶ τοὺς ὀρθοδόξους Βασιλεῖς Βασιλεῖς καὶ Ἀρχιερεῖς, ὡς συμφωνοῦντας τοῖς Ἀρχιερεῦσι καὶ κοπιῶντας ὑπὲρ τῆς εὐσεβείας . δεύτερον, πολλὴν ἔπαινον ποιεῖ τοῖς πατράσιν, ὅθεν οἱ πατέρες κανονίζουσι καὶ οὐχ ὁ Πάπας . τρίτον, ὅτι ὁ Πατὴρ οὐχ ἱστορεῖται, ὅθεν κακῶς ποιοῦσιν ὅσοι τὸν Πατέρα ζωγραφοῦσιν ὡς γέροντα . τέταρτον, ὅτι τὸν χαλκοῦν Ὄφιν ὁ Δαβὶδ μετὰ τῆς Κιβωτοῦ εἰσήγαγον εἰς τὴν Ἱερουσαλήμ . πέμπτον, ὅτι ὁ Ὀζίας

ἦν ὁ ἐκβαλὼν τοῦ ἱεροῦ τὸν χαλκοῦν Ὄφιν ὡς ἄνομος, οὐχ ὁ Ἐζεκίας. ἕκτον, ὅτι ὁ ἅγιος Γερμανὸς ὁ Πατριάρχης ἦν τότε ἐννενηκονταπέντε ἐτῶν, ὃς ὑπηρετῶν ἑκάστῳ Πατριάρχῃ, καὶ γενόμενος καὶ αὐτὸς Πατριάρχης, εἶχε πεῖραν τῶν ἐκκλησιαστικῶν καὶ πολιτικῶν. ἕβδομον, ὅτι χωρὶς Βασιλέως εὐσεβοῦς οὐγίνεται Οἰκουμενικὴ Σύνοδος. ὄγδοον, ὅτι ὁ Κωνσταντινουπόλεως Γεώργιος καὶ ὁ Γερμανὸς (ἴσως ἦν τότε Κυζίκου) συνεβούλευσαν τῷ Πωγωνάτῳ περὶ τῆς ἕκτης Συνόδου. ἔνατον, ὅτι ἀκούσαντες τὰ εἰς τὰ χαλκοπρατεῖα γεγονότα κατὰ τῆς τοῦ Χριστοῦ Εἰκόνος οἱ Λογγίβαρδοι καὶ Σαρμᾶται, κατέδραμον τῆς Ἰταλίας, καὶ ἔλαβον καὶ τὴν Ῥάβενναν, ἐβούλοντο δὲ καὶ κατὰ τῆς Ῥώμης. δέκατον, ὅτι ὁ τάφος Μαρτίνου εἰς Χερσῶνα ἐποίει θαυματουργίας. ἑνδέκατον, βαρὺν λόγον λέγει, ὅτι δηλαδὴ τὸν Πέτρον οἱ Δυτικοὶ ὡς ἐπίγειον ἔχουσι Θεόν. δωδέκατον, ὅτι ἐζητήθη εἰς τὴν ἐσωτέραν Δύσιν ἵνα βαπτίσῃ Σεπτέτον τινὰ, καὶ ὅρα τὴν τότε τοῦ Πάπα ταπείνωσιν καὶ Ἀρχιερωσύνην. δέκατον τρίτον, τὴν Ῥώμην Βασίλειον τοῦ Κωνσταντινουπόλεως Βασιλέως λέγει, ὅθεν οὐκ ἦν ὁ Πάπας ἐξουσιαστὴς ὡς νῦν κομπάζει. γράφει καὶ δευτέραν ἐπιστολὴν, ἐν ᾗ σημείωσαι πρῶτον ἀπόδειξιν γλαφυρὰν, ὅτι τὰ ἐκκλησιαστικὰ τῶν Ἀρχιερέων ἐστὶ καὶ οὐ τῶν Βασιλέων. δεύτερον, περὶ τῆς ἱκανοποιήσεως ὁποία, λέγει δὲ ὅτι εἰς ἕντερα πεῖναν, εἰς τοὺς ὀφθαλμοὺς ἀγρυπνίαν, καὶ εἰς τὸ στόμα δοξολογίαν, καὶ οὕτω μεταδοτέον τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου. τρίτον, ὅτι οὐκ εἶχεν ὁ Πάπας τότε στρατιωτικὰ, οὔτε ἄλλην πολιτικὴν ἰσχύν. τέταρτον, Ἀρχιερεῖς καὶ Βασιλεῖς λέγει τοὺς ὀρθοδόξους Βασιλεῖς, ὡς εἶπον αὐτοὺς καὶ αἱ Οἰκουμενικαὶ Σύνοδοι. πέμπτον, ἰσάζει ἑαυτὸν τῷ Κωνσταντινουπόλεως Γερμανῷ, καὶ λέγει, ἔχομεν ἐξουσίαν λύειν τὰ οὐρανία καὶ τὰ ἐπίγεια, καὶ σημείωσαι κατὰ παπιστῶν. ἕκτον, οὐδ' ὅλως λέγει πείσθητι τῷ Πάπᾳ, ἀλλὰ κοινῶς τοῖς πατράσι. Σημείωσαι δὲ, ὅτι οὗτος ὁ Γρηγόριος ἕνεκεν δῆθεν τοῦ πρὸς τὸν Ἴσαυρον εἰκονοκλάστην ὄντα πείσματος, ἐνήργησε μὴ δίδοσθαι τοὺς βασιλικοὺς φόρους εἰς Κωνσταντινούπολιν, σπεισάμενος καὶ τοῖς Φράγγοις. ὅθεν οἱ Φράγγοι ἤρξαντο κατατρέχειν τὴν Λογγιβαρδίαν καὶ τὴν λοιπὴν Ἰταλίαν, ἕως οὗ τοὺς Ῥωμαίους κατ' ὀλίγον τελείως ἐκεῖθεν ἐξέβαλον. ῥητῶς γὰρ λέγει ὁ Ζωναρᾶς, ὅτι ὁ σαρὼν Πάπας τοὺς μέχρι τότε τῇ βασιλείᾳ κομιζομένους φόρους ἐπέσχε, τοῖς Φράγγοις σπεισάμενος, ὅθεν αὐτοῖς ἀφορμὴ γέγονε τοῦ κυριεῦσαι τῆς Ῥώμης, καὶ οὐ διέλιπον οἱ Φράγγοι πολεμεῖν Ῥωμαίοις. καὶ σημείωσαι, ὅτι οὐχ ὡς Ἀρχιερεὺς καὶ Βασιλεὺς ὁ Πάπας τοῦτο ἐνήργησεν, ἀλλ' ὡς ἀποστάτης καὶ ἀρχιτύραννος προφανὴς, ὅθεν σημειοῖ ὁ Πλάτινας, ὅτι ὁ Λέων οὗτος ἑνωθεὶς Λογγιβάρδοις, Παύλῳ τῷ Ἐξάρχῳ ἀντέτεινεν, ὅθεν εἰς Ῥάβενναν γεγόνασι μυρίοι φόνοι, μαχομένων τῶν μερῶν τοῦ Πάπα καὶ τοῦ Ἐξάρχου τοσοῦτον, ὥστε καὶ Βασιλέα εἰς Ἰταλίαν ἐψιθύριζον ποιῆσαι. ἔστειλεν ὅμως ὁ Ἴσαυρος κατὰ τοῦ Πάπα καὶ τῆς ἀποστασίας Ῥώμης καὶ Ἰταλίας Στόλον, ἀλλὰ ναυαγήσας ἀπώλετο.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς ἐν τῷ τῆς Κωνσταντινουπόλεως λαῷ συγχύσεως ἕνεκεν τοῦ κατὰ τῶν Εἰκόνων δόγματος τοῦ Ἰσαύρου, καὶ τῆς Ἰσαύρου πεπλασμένης δόλῳ ἀπολογίας.

Ἐπειδὴ γοῦν γέγονε πολλὴ σύγχυσις εἰς τὸν λαὸν τῆς Κωνσταντινουπόλεως διὰ τὸ ἄθεον ἐκεῖνο πρόσταγμα κατὰ τῶν θείων Εἰκόνων, προελέγξαντος τὸν Ἴσαυρον καὶ τοῦ ἁγίου Γερμανοῦ, στρέψας εὐθὺς ὁ Ἴσαυρος τὸ τοῦ Γύγου δακτυλίδιον κατὰ τὴν Παροιμίαν εἶπεν ἡμιδεδειλιακότως, οὐκ ἦν ἡγνώμη μου ἵνα ἐκβάλλω τελείως τὰς Εἰκόνας, ἀλλ' ἵνα μόνον ὑψοῦ τεθῶσι καὶ μὴ μιαίνωνται ὑπὸ τῶν στομάτων ἡμῶν, αὐτὰς καταφιλούντων, ποιεῖν δὲ ἔλεγε τοῦτο, ἵνα μὴ συχνάκις αὐτὰς ὁρῶντες, κατὰ μικρὸν αὐτῶν ἐπιλαθώμεθα. τὸ γὰρ μὴ βλεπόμενον ταχέως παραδίδοται λήθῃ, τὸ δὲ λίαν ἀγαπώμενον πρόσωπον, πάντοτε βουλόμεθα βλέπειν, καὶ πρὸ ὀφθαλμῶν ἡμῶν ἔχειν.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τοῦ ὑπερφυοῦς ἐγκωμίου τοῦ ἐν Κωνσταντινουπόλει Σπουδαστηρίου, καὶ ἐμπρήσεως αὐτοῦ ὑπὸ τοῦ Ἰσαύρου μετὰ τῶν Διδασκάλων καὶ Μαθητῶν καὶ τῶν ἀναριθμήτων βιβλίων. καὶ ὅσον ἤρκεσε χρόνον καὶ πῶς ὠνομάζετο.

Πλησίον τοῦ Ναοῦ τῆς ἁγίας Σοφίας ἦν ἐν ὡραιότατον Σπουδαστήριον ἀπὸ τοῦ καιροῦ τοῦ μεγάλου Κωνσταντίνου ᾠκοδομημένον, ὅπερ εἴγε ὠνόμαζες, φησὶ Κωνσταντῖνος ὁ Μανασσῆς, κῆπον ἐρώτων, οὐδ' ὅλως ἂν ἥμαρτες, εἰμὴ καθ' ὃ ἦσαν ἐν αὐτῷ ἀντὶ δένδρων τὰ βιβλία, ἦν γὰρ εἷς θησαυρὸς πλήρης διαφόρων βιβλίων. τοῦτο τὸ κέρας τῆς Ἀμαλθείας, τοῦτον τὸν Ἑλικῶνα τῶν Μουσῶν, τοῦτο τὸ φωτιστήριον μᾶλλον ἢ φροντιστήριον ἐφύλαττεν εἷς τῶν πλέον μεμουσωμένων καὶ χαριτογλώσσων καὶ πάντων τῶν σοφῶν τῆς Ἑλλάδος ὁμαθηματικώτερος, ὅστις ἦν ὡς ὁ Ἥλιος μεταξὺ τῶν Πλανητῶν, ὡς Ἀδὰμ γεωργὸς καὶ φύλαξ τῆς λογικῆς Ἐδὲμ τοῦ νοητοῦ Παραδείσου. δώδεκα Μουσιγέται Μαθηταὶ ἐκεῖ ἐσπούδαζον τρόφιμοι ἔνδον εἰς τὸ Ἑλληνο-

Ἑλληνομουσεῖον, τοῖς τοῦ ζωδιακοῦ κύκλου Ζωδίοις συγκρινόμενοι ἀραρότως, εἰς τὴν βουλὴν καὶ αὐλὴν τοῦ Βασιλέως διαπαντὸς εὑρισκόμενοι, καὶ προσκυνητῶς εἰσκαλούμενοι. ταῦτα τὰ σκεύη τῆς ἐκλογῆς, τὰ πυξία τῶν πνευματικῶν χαρισμάτων, τῆς μεγάλης Ἐκκλησίας τὰς μυροθήκας ὁ Βασιλεὺς ἐζήτησε μιᾶναι, καὶ μὴ δυνηθεὶς μετὰ καλοῦ τρόπου, ἐπεχείρησε κακοτρόπως. τί οὖν ἐπονηρεύσατο ὁ Μασσαγέτης, ὁ Σκύθης, ὁ Τυφῶν, ὁ τριβάρβαρος Κέρβερος, ὁ νέος Φάλαρις, ὁ δεύτερος Βούσιρις; προσέταξε συναχθῆναι πολλὰ ξηρὰ κλήματα καὶ ἄλλη παρόμοιος ὕλη περὶ τὸ Σχολεῖον, ἔπειτα ὥρισε τοὺς ἀνθρώπους αὐτοῦ ἐμβαλεῖν πῦρ τῇ περὶ αὐτὸ ὕλῃ, καὶ οὕτω γεγόνασι θυσία τῷ Θεῷ, λογικὰ θύματα τὰ ἀρνία τὰ ἄκακα. κατεκάησαν οὖν οἱ σπουδαῖοι, καὶ μετ' αὐτῶν κατετεφρώθησαν τὰ πολύτιμα βιβλία, ἡ ὡραιοτάτη Βιβλιοθήκη, τῶν Ἐπιστημῶν τὸ Γαζοφυλάκιον, μεταξὺ δὲ τούτων ἦσαν καὶ τοῦ Ὁμήρου ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια γεγραμμέναι ἐπὶ τοῦ δέρματος τοῦ Δράκοντος. τοῦτο ὡσανεὶ ὀλοφυρόμενοι ἐκτραγῳδοῦσι Γλυκᾶς, Κεδρηνὸς, Ζωναρᾶς, Μανασσῆς, Κωνσταντῖνος καὶ Κωδινὸς, ὅστις λέγει, ὅτι ἀπ' ἐκείνου τοῦ Σχολείου ἐχρημάτισαν πολλοὶ Πατριάρχαι καὶ Ἀρχιεπίσκοποι, καὶ ὅτε ἐκάη ἦσαν Διδάσκαλοι δεκαὲξ τὸ σχῆμα Μοναχοὶ, καὶ ὅτι ἐστάθη τὸ Σχολεῖον ἔτη τετρακόσια δεκατέσσαρα, ἐλέγετο δὲ Τετραδήσιον Ὀκτάγωνον

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ ἀποκινήσεως τοῦ θρόνου τοῦ ἁγίου Γερμανοῦ ὑπὸ τοῦ Ἰσαύρου καὶ ἀντεισάξεως Ἀναστασίου Συγκέλλου, καθ' οὗ καὶ λιθαμὸς γυναίων σεμνῶν, καὶ περὶ τῶν μαρτυρησάντων γυναίων ὑπὲρ τῆς ἐν τῇ χαλκῇ πόρτᾳ Δεσποτικῆς Εἰκόνος, καὶ περὶ τῆς ἐν θαλάσσῃ ῥιφθείσης Εἰκόνος τοῦ Κυρίου ὑπὸ τοῦ ἁγίου Γερμανοῦ καὶ εἰς Ῥώμην πλευσάσης.

Ἐξέβαλε τοῦ θρόνου αὐτοῦ τὸν Γερμανὸν Πατριάρχην ὁ Κόνων, ὁ τοῦ Ἀντιχρίστου πρόδρομος, ὡς ἐκάλει αὐτὸν ὁ ἅγιος οὗτος Πατριάρχης, τῷ δεκάτῳ τρίτῳ ἔτει αὐτοῦ, καὶ ἔβαλεν ἀντ' ἐκείνου τὸν Σύγκελλον Ἀναστάσιον, τὸν νέον προδότην Ἰούδαν, τὸν συμφωνήσαντα τῷ Κόνωνι καὶ ἐπιβουλεύσαντα τῷ γέροντι αὐτοῦ. ἀλλ' αἱ σεμναὶ καὶ τίμιαι γυναῖκες τῆς Κωνσταντινουπόλεως, ὧν προεξῆρχεν ἡ ἁγία Θεοδοσία, ἑορταζομένη Μαΐου δεκάτῃ ἐνάτῃ, ὥρμησαν εἰς τὴν Ἐκκλησίαν, καὶ τὸ βδέλυγμα τῆς ἐρημώσεως, καὶ τοῖς λίθοις καὶ τοῖς ξύλοις ὑβρίζουσαι, καὶ μισθωτὸν ἀποκαλοῦσαι, καὶ Λύκον, καὶ προδότην Ἰούδαν, ἐδίωξαν. ὅθεν ἐκεῖνος ἀπῆλθε πρὸς τὸν Βασιλέα καὶ προσεκλαύθη, καὶ παρεκίνει αὐτὸν ἐκδικῆσαι αὐτόν. ἀλλὰ καὶ εἰς τὴν χαλκῆν πόρταν, ὅπου ἦν ἡ Θεανδρικὴ ἐκείνη καὶ δεσποτικὴ Εἰκὼν τοῦ Χριστοῦ, ἣν ἐκεῖ ἔβαλεν ὁ μέγας Κωνσταντῖνος, βαλόντος τὴν σκάλαν τοῦ βασιλικοῦ ὑπηρέτου ἵνα αὐτὴν ἐκεῖθεν ἐκβάλῃ, αἱ Κωνσταντινουπολίτιδες ἐκβαλοῦσαι αὐτὴν, ὧν ἐξῆρχεν ἡ ἁγία Θεοδώρα, καὶ κρημνίσασαι αὐτὸν, ἔλαβον ἀντὶ μισθοῦ αὐτῶν τὸν ἴδιον θάνατον. διήρκεσε δὲ ἐκεῖ ἡ Θεανδρικὴ αὕτη Εἰκὼν κατὰ τὸν Κωδινὸν ἔτη τετρακόσια δεκαπέντε. ἀλλὰ καὶ ὅτε ἐξέβαλεν ἐκεῖνος τὰς ἁγίας Εἰκόνας, ἔρριψαν καὶ οἱ Ῥωμαῖοι πανταχοῦ ὅλας τὰς εἰκόνας τοῦ Βασιλέως μετὰ πλείστης καταφρονήσεως, σπῶντες αὐτὰς καὶ καταπατοῦντες. ὁ δὲ ἅγιος Γερμανὸς ἐξορυζόμενος, λαβὼν Εἰκόνα τοῦ Σωτῆρος ἐνσανίδι διὰ ψηφίδων, ἔγραψε χάρτην ἰδίᾳ χειρὶ, καὶ εἶπε, Διδάσκαλε σῶσον σεαυτὸν καὶ ἡμᾶς, καὶ ἐκόλλησε τὸν χάρτην εἰς τὸ πρόσωπον τῆς Εἰκόνος, εἶτα ἀφῆκεν αὐτὴν ὄρθιον εἰς τὴν θάλασσαν, καὶ διὰ τεσσάρων ἡμερῶν εὑρέθη εἰς τὴν Ῥώμην, καὶ ἐγνώσθη τῷ Πάπᾳ δι' ἀποκαλύψεως.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῆς διδασκαλίας καὶ ἐπιστολῶν τοῦ Ἰωάννου Δαμασκηνοῦ πρὸς τοὺς Χριστιανοὺς ὑπὲρ τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων.

Καὶ λοιπὸν μετὰ τὸν ἅγιον Γερμανὸν τὸν πρῶτον, καὶ διάπυρον κορυφαῖον κατὰ τῶν Εἰκονομάχων, ἐφάνη ὁ Δαμασκηνὸς χαριτώνυμος Ἰωάννης, ὁ ἐκ πρώτης ἡλικίας αὐτοῦ μαθητευθεὶς ὑπὸ τοῦ ἁγίου Κοσμᾶ Ἐπισκόπου Μαϊουμᾶ τὰ θεῖα καὶ ἱερὰ γράμματα, περίφημος καὶ εἰς τὴν εὐγένειαν, ὁμοίως καὶ εἰς τὴν μάθησιν, ἐπειδὴ ὥσπερ ὁ Δανιὴλ παρὰ τῷ Βασιλεῖ Ἀσσυρίων, καὶ ὁ Ἰωσὴφ παρὰ τῷ Φαραὼ τῆς Αἰγύπτου, οὕτω καὶ ὁ Δαμασκηνὸς Ἰωάννης παρὰ τῷ αὐθέντῃ τῶν Σαρακηνῶν ἐλογίζετο, ὡς διηγεῖται τοῦτο ὁ Ἱεροσολύμων Ἰωάννης ἐν τῷ βίῳ τοῦ Δαμασκηνοῦ Ἰωάννου, ἐν ᾧ δίδωσιν αὐτῷ τοῦ Θεσβίτου Ἠλιοῦ τὸν ζῆλον, καὶ τὴν μέριμναν τῶν Ἐκκλησιῶν, οἷον αὐτὴν εἶχεν ὁ Παῦλος, ἐπειδὴ ὡς ἐκεῖνος τῇ διδασκαλίᾳ αὐτοῦ καὶ ταῖς ἐπιστολαῖς αὐτοῦ τὰς ἁπανταχοῦ Ἐκκλησίας ἐστερέου. σημείωσαι, ὅτι καὶ Κωνσταντῖνος Λογοθέτης ὁ Ἀκροπολίτης συνέγραψεν ὑπόμνημα μέγα καὶ πολὺ εἰς τὸν ἅγιον Ἰωάννην τὸν Δαμασκηνόν.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῆς ἐν Ἱεροσολύμοις μετὰ Σωφρόνιον Πατριαρχείας Θεοδώρου, εἶτα Ἰωάννου, καὶ ὑποκλίσεως Ἀββᾶ Ἀναστασίου εἰς τὴν τοῦ Κναφέως Αἵρεσιν, καὶ ἐγέρσεως αὐτοῦ δι' Ἰωάννου τοῦ Δαμασκηνοῦ πρὸς Ἀββᾶν Ἰορδάνην γράψαντος, ἐν ᾗ δείκνυται ψεύστης ὁ Ἀββᾶς Ἀναστάσιος, συγκοινωνῆσαι αὐτῷ εἰπὼν τὸν Ἱεροσολύμων Ἰωάννην.

Μετὰ τὸν ἅγιον Σωφρόνιον ἐπατριάρχευσεν ἐν Ἱεροσολύμοις ὁ Θεόδωρος, τούτου δὲ γέγονε διάδοχος ὁ Ἰωάννης ἑξηκοστὸς πρῶτος Πατριάρχης, καὶ ὡς ὀρθόδοξος ἐπαινεῖται καὶ δοξάζεται μετὰ τῶν ἄλλων, ἄλλοι δὲ φασὶ μετὰ τὸν Θεόδωρον γενέσθαι τὸν Ἀναστάσιον, εἶτα τὸν Ἰωάννην, ὃ καὶ ἀληθέστερον. ὁ δὲ Ἀββᾶς τῆς Μονῆς τοῦ ἁγίου Εὐθυμίου ὁ Ἀναστάσιος ἐκκλίνας εἰς τὴν βδελυρὰν Αἵρεσιν Πέτρου τοῦ Κναφέως τὴν ὁ σταυρωθεὶς δι' ἡμᾶς (καίτοιγε διὰ τῆς νουθεσίας καὶ διαταγῆς τοῦ Δαμασκηνοῦ Ἰωάννου ἐλυτρώθη τῆς Αἱρέσεως καὶ ἐσώθη ὁ ἄνθρωπος, γράψαντος τοῦ ἁγίου ἐπιστολὴν πρὸς τὸν Κοινοβιάρχην Ἰορδάνην, καὶ ἑρμηνεύσαντος αὐτῷ τῷ Ἀναστασίῳ τὸ Τρισάγιον, καὶ ἀποδείξαντος αὐτῷ μὴ μόνον τὸν Τρισάγιον ὕμνον τοῦτον εἰς τὸν Υἱὸν τοῦ Θεοῦ ἀναφέρεσθαι, ἀλλ' εἰς ὅλην τὴν παναγίαν Τριάδα, τουτέστιν εἰς τὸν ἄναρχον Πατέρα, εἰς τὸν Υἱὸν τὸν γεννητὸν, καὶ εἰς τὸ ἅγιον Πνεῦμα τὸ ἐκπορευτόν) ἔλεγε καὶ ἐβεβαίου πρὸς σύστασιν τῆς μωρᾶς αὐτοῦ γνώμης ὁ παράφρων ἐσχηκέναι καὶ τὸν Ἱεροσολύμων Πατριάρχην Ἰωάννην συγκοινωνὸν, πρᾶγμα ψευδέστατον, καθότι ὁ ἴδιος Δαμασκηνὸς Ἰωάννης δικαιοῖ καὶ ἀθῳοῖ αὐτὸν λέγων, ὡς οὐδέποτε ὁ Πατριάρχης Ἰωάννης εἶπε τὸν Τρισάγιον ὕμνον ὅλον ἀναφέρεσθαι εἰς τὸν σαρκωθέντα Χριστὸν, ἀλλ' εἰς τὴν ἁγίαν Θεαρχικωτάτην Τριάδα. συμπεραίνει δὲ ὁ Δαμασκηνὸς οὗτος εἰς τὴν ἐπιστολὴν αὐτοῦ οὕτω, Τὶς οἶδε τοῦ μακαριωτάτου Ἰωάννου τοῦ Πατριάρχου νόημα ἐμοῦ πλέον; οὐδεὶς, ὃς ἵνα τἀληθὲς εἴπω, οὐκ ἀνέπνευσε πνοὴν πνευματικὴν πώποτε, ἣν ἐμοὶ ὡς μαθητῇ οὐκ ἀνέθετο. τὶ μὴ ζῶντος καὶ φθεγγομένου τοῦ ἱεροῦ ἀνδρὸς, ταῦτα περὶ αὐτοῦ λέλεκτο. ὅθεν φαίνεται ὅτι προκεκοιμημένος ἦν ὁ Πατριάρχης Ἰωάννης ὅτε ὁ Ἀναστάσιος ἐξέθετο ταύτην τὴν ἀκατάστατον γνώμην αὐτοῦ, ἔτους ἐνάτου ὄντος τῆς βασιλείας τοῦ Κοπρωνύμου κατὰ τὸν Βαρώνιον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῆς ἐξορίας Θεοδώρου Μανσοὺρ καὶ ἄλλων ὑπὸ Ἰσαύρου διὰ τὴν προσκύνησιν τῶν Εἰκόνων, καὶ περὶ Κωνσταντίνου ψευδοπάπα, εἶτα τοῦ νομίμου Στεφάνου, ἐξ ὧν μῦθος τὸ παπικὸν ἀξίωμα δείκνυται.

Ἐξωρίσθη ὑπὸ τοῦ Λέοντος καὶ Θεόδωρος ὁ Μανσοὺρ εἰς τὴν ἔρημον, ὁ ψάλτης καὶ Ἐπίσκοπος, ὁ ὁμόχρονος Κοσμᾶ τοῦ μελῳδοῦ. ἀλλὰ καὶ κατὰ τοῦ Παύλου καὶ Θεοστηρίκτου τῶν σοφῶν καὶ ἁγίων ἀνδρῶν ἠγριώθη ὁ θηριώνυμος Αὐτοκράτωρ, ναὶ δὴ καὶ κατὰ τοῦ Μοναχοῦ Θεοφίλου διὰ μόνην αὐτὴν τὴν τῶν ἁγίων Εἰκόνων προσκύνησιν. Εἰς δὲ τὴν Ῥώμην ἀποθανόντος Παύλου, καὶ τοῦ λαοῦ σχιζομένου εἰς πολλὰ, καὶ πολλοὺς ψηφιζομένου, κοσμικός τις Κωνσταντῖνος ἀδελφὸς Δουκὸς τινὸς εἰσπηδᾷ λῃσταρχικῶς καὶ χειροτονεῖται Πάπας παρὰ τοῦ Ἐπισκόπου Πραινέστου, μετὰ δὲ χρόνον κοινῇ γνώμῃ ψηφίζεται νόμιμος Πάπας Στέφανος ὁ τρίτος, ὅστις συνοδικῶς ἐκάθηρε τὸν Κωνσταντῖνον καὶ τοὺς ὑπ' αὐτοῦ χειροτονηθέντας, καίτοι πολλῶν εἰς τὴν Ἐκκλησίαν χειροτονηθέντων καὶ ὑπὸ Ἀρειανῶν, καὶ δεχθέντων ὅτε καλῶς μετενόησαν. Σὺ δὲ σημείωσαι, ὅτε ἦν ὁ Κωνσταντῖνος τοιοῦτος Ῥώμης, ἐκεῖνον τὸν χρόνον ποῖον εἶχεν ἡ Ἐκκλησία κεφαλὴν, ἢ τάχα ἦν ἀκέφαλος, καὶ γνῶθι, ὅτι τὸ παπικὸν δόγμα περὶ τοῦ Πάπα, τὸ, κεφαλὴ δηλονότι τῆς καθόλου Ἐκκλησίας, μῦθος ἐστὶ, μόνοις τοῖς ψυχικῶς τυφλώττουσι πιστευόμενος. Σημείωσαι ὅμως καὶ τὴν Αἵρεσιν τῶν Εἰκονομάχων εἰς ταύτην τὴν Σύνοδον ἀναθεματισθεῖσαν, καὶ μυκτηρισθέντα τὰ κατὰ τῶν Εἰκόνων ἐπὶ τῆς τοῦ Κοπρωνύμου ψευδοσυνόδου βλασφημηθέντα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ τοῦ ἐπὶ Κοπρωνύμου ἐμφυλίου πολέμου τῶν Σαρακηνῶν, καὶ τῆς ὑπὸ Μαββία κατακυριεύσεως Ἐμέσης, Δαμασκοῦ, Ἡλιουπόλεως καὶ Ἱεροσολύμων, καὶ τοῦ ἐν πάσῃ Παλαιστίνῃ καὶ Συρίᾳ σεισμοῦ, καὶ ἀφανισμοῦ Μοναστηρίων, καὶ τῆς ἐν Κωνσταντινουπόλει πυρκαϊᾶς καὶ λοιμοῦ, καὶ τῶν φαινομένων Σταυρῶν ἐν τοῖς ἱματίοις τῶν ἀνθρώπων καὶ τὸν θάνατον αὐτοῖς εὐθὺς μηνυόντων.

Κατὰ δὲ τὸ ἕκτον ἔτος τοῦ Κωνσταντίνου διήγειραν οἱ Σαρακηνοὶ ἐμφύλιον πόλεμον μεταξὺ αὐτῶν, ὥστε τὸν Μαββίαν τῆς Ἐμέσης, τῆς Δαμασκοῦ, τῆς Ἡλιουπόλεως καὶ τῶν Ἱεροσολύμων κυριεῦσαι ἐγένετο δὲ καὶ σεισμὸς μέγας εἰς ὅλην τὴν Παλαιστίνην κατὰ τὸν Θεοφάνη, καὶ εἰς ὅλην τὴν Συρίαν, καὶ ἀπέθανε λαὸς πολὺς, καὶ Ναοὶ καὶ Μοναστήρια κατεκρημνίσθησαν, καὶ μάλιστα ἐκεῖνα τῆς ἐρήμου. ταῦτα δὲ

δὲ τὰ σειμεῖα, οἷον ἡ πανοῦκλα καὶ ἡ πυρκαϊὰ ἵνα μεταβληθῇ ὁ Βασιλεὺς ἐγένοντο, ἀλλ' αὐτὸς ἐφάνη ἄλλος σκληροκάρδιος φαραὼ ὁ καὶ παιδευόμενος καὶ ἀείποτε ἀδιόρθωτος μένων. τόσον δὲ πολὺ ἦν τὸ θανατικὸν, ὡς βεβαιοῖ ὁ Στουδίτης Θεόδωρος, ὥστε τὴν πολυάνθρωπον Κωνσταντινούπολιν ἐρημωθῆναι πᾶσαν, φανῆναι δ' ἔτι, φησὶ, καί τινα Σταυρὸν ἠεράνεον ἐν τοῖς τῶν ἀνθρώπων ἱματίοις, ὃς τὸν θάνατον αὐτοῖς εὐθὺς κατεμήνυεν. ὅμως ὅσον περὶ τῆς Ἱερουσαλὴμ λίαν ὑπερεμαχέσατο ἵνα τῶν Σαρακηνῶν αὐτὴν ἐλευθερώσῃ, ὅθεν εἰς τὸν καιρὸν αὐτοῦ ἑπτάκις αὐτὴν ἀπὸ τῶν Σαρακηνῶν ἔλαβε, μέχρι τέλους μέντοιγε οὐδὲν ὠφέλησεν, ὑπερισχυσάντων τῶν ἐναντίων.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ τῆς ἐν τῷ Ναῷ τῶν Βλαχερνῶν ψευδοσυνόδου τοῦ Κωνσταντίνου Κοπρωνύμου κατὰ τῶν ἁγίων Εἰκόνων, καὶ τῆς φθορᾶς τῶν ἐν αὐτῷ Εἰκόνων καὶ βλασφημίας, καὶ ἀθετήσεως τῶν ἁγίων Μαρτύρων, ἀνθ' ὧν ἀνεθεματίσθη παρ' Ἰωάννου Δαμασκηνοῦ καὶ τῶν τῆς Ἕω Ἐπισκόπων. καὶ περὶ τῆς ἐγκυκλίου ἐπιστολῆς Ἰωάννου ἢ Δαμασκηνοῦ ἢ Ἱεροσολύμων πρὸς Κοπρώνυμον, καὶ ὧν περιέχει.

Ἀντὶ οὖν τοῦ μετανοῆσαι ὁ ἀνοσιουγὸς Κωνσταντῖνος ἤθροισε μίαν ψευδοσύνοδον, ὡς εἴπομεν ἀνωτέρω, εἰς ἣν λέγεται εὑρεθῆναι τριακοσίους τριάκοντα καὶ ὀκτὼ ψευδεπισκόπους, ἐν ἔτει ἑπτακοσιοστῷ πεντηκοστῷ τετάρτῳ. οὐκ ἄλλοσε δὲ συνήχθησαν, ἀλλ' ἢ μόνον εἰς τὸν σεβασμιώτατον Ναὸν τὸν ἐν Βλαχέρναις, ὄντα ὡραιοτάταις ἱστορημένον Εἰκόσιν, ἃς ἐποίησε φθαρῆναι πάσας ὁ ἀσύνετος Βασιλεὺς, βλασφημῶν αὐτὰς, Εἴδωλα καὶ Ἀγάλματα εἶναι λέγων, καὶ Εἰδωλολάτρας τοὺς ὅσοι αὐτὰς προσεκύνουν. προεξῆρχε δὲ τῆς Συνόδου ὁ Ἐφέσου Θεοδόσιος υἱὸς Ἀψιμάρου, καὶ Πασιλλᾶς ὁ Πέργης. ἤρξατο δὲ ἀπὸ δωδεκάτης Φεβρουαρίου καὶ ἤρκεσεν ἕως ὀγδόης Ἀγούστου. ἀνῆλθε δὲ ὁ Κοπρώνυμος εἰς τὸν Ἄμβωνα κρατῶν τῆς χειρὸς καὶ Κωνσταντῖνον Πατριάρχην καὶ τὰ τίμια ξύλα, καὶ, ὡς εἴρηται, ἀνεθεμάτισε τοὺς προσκυνοῦντας τὰς ἁγίας Εἰκόνας, καὶ δὴ ἀνεθεμάτισε καὶ τὸν ἅγιον Γερμανὸν, καὶ τὸν Δαμασκηνὸν Ἰωάννην, καὶ Γεώργιον τὸν Κύπριον, ὡς ὑπερμάχους τῶν ἁγίων Εἰκόνων, ἀποκαλῶν αὐτοὺς ξυλοπίστους καὶ δαιμονολάτρας, διορισάμενος ὁμοῦ καὶ τοὺς ἁγίους Μάτυρας τοὺς ἀκριβεῖς μαργαρίτας τοῦ Χριστοῦ μὴ ὀνομάζεσθαι ἁγίους, καθότι ἅγιος δῆθεν εἷς καὶ μόνος ὁ Θεός. καὶ θαυμαστὸν οὐκ ἦν τοιαῦτα τὸν Κοπρώνυμον ἐργάσασθαι, ἐπεὶ ἐποίησε καὶ ἄλλα μείζονα τούτων, κατὰ γὰρ τὸν Σοῦΐδαν ἐβλασφήμει τῷ Θεῷ, Καλβίνων χρηματίζων Διδάσκαλος, τὸ δὲ χείριστον, ὅτι καὶ θυσίας ἐτέλει. ὁ δὲ Δαμασκηνὸς Ἰωάννης μετὰ τῶν Ἐπισκόπων τῆς Ἀνατολῆς ἀνεθεμάτισε τὸν Ἴσαυρον, ὕστερον δὲ ἔγραψεν ἐγκύκλιον ἐπιστολὴν πρός τε τὸν Κοπρώνυμον καὶ τοὺς περὶ αὐτὸν Εἰκονομάχους περὶ τῶν ἁγίων Εἰκόνων, ἔν τισιν ὅμως ἀντιγράφοις ἐπιγράφεται εἶναι τὴν ἐπιστολὴν Ἰωάννου τοῦ Πατριάρχου Ἱεροσολύμων. ἔχει δὲ ἐπιγραφὴν, Ἐπιστολὴ Ἰωάννου Ἱεροσολύμων Ἀρχιεπισκόπου τῆς αὐτῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, πεμφθεῖσα Κωνσταντίνῳ Βασιλεῖ τῷ Καββαλίνῳ περὶ τῶν τιμίων καὶ σεπτῶν Εἰκόνων, ἢ πῶς δεῖ πιστεύειν τοὺς ὀρθοδόξους Χριστιανούς. Ἐν τῇ ἐπιστολῇ ταύτῃ σημείωσαι πρῶτον, ὅτι τοὺς Κανόνας τῆς ἐν Τρούλλῳ λέγει Ὅρους τῆς ἕκτης Συνόδου ἁπλῶς. καὶ σημείωσαι κατὰ παπιστῶν διαβαλλόντων τὴν ἐν Τρούλλῳ, ὡς εἴρηται εἰς τὸν τόπον. δεύτερον, ἀποτεινομένη κατὰ τῆς εἰρημένης τῶν Εἰκονομάχων Συνόδου ἵνα κατακρίνῃ τὴν Αἵρεσιν καὶ βεβαιώσῃ τὴν ὀρθοδοξίαν, παραβάλλει τοὺς ἀρχηγοὺς τῆς Αἱρέσεως οὐ τοῖς Πάπαις, ἀλλὰ τοῖς ἁγίοις πατράσι. τρίτον, ἀναιροῦσα τὴν τοιαύτην Σύνοδον, λέγει, Ψηλάφησον εἰς τοὺς Ὅρους τῆς ἕκτης Συνόδου εἰς κεφάλαιον ὀγδοηκοστὸν δεύτερον, καὶ εὑρίσκεις ἐκεῖ τὸν ἔλεγχον. καὶ γὰρ ἀκέφαλός ἐστιν ἡ Σύνοδος τοῦ Κοπρωνύμου καὶ θεομίσητος. εἰπέμοι ποῖος Πατριάρχης ἐν αὐτῇ τῇ ἀκεφάλῳ Συνόδῳ εὑρέθη; ὁ Ῥώμης οὐ κατεδέξατο ἐλθεῖν, ὁ Ἀλεξανδρείας, οὐ δὲ ὅλως, ὁ Ἀντιοχείας, οὐ δὲ τὸ σύνολον, ὁ Ἱεροσολύμων, οὐ δὲ ἅπαξ. λοιπὸν ποταπὴ ἐστὶν αὕτη ἡ Σύνοδος Πατριάρχην μὴ ἔχουσα; Σύνοδος ἐστὶν, ὅταν τὰ πέντε Πατριαρχεῖα θεσπίσωσι μίαν πίστιν καὶ ἕνα λόγον. εἰ δὲ ἐκ τούτων κἂν εἷς ἀπολείψῃ, ἢ μὴ ὑποκύψειε τῇ Συνόδῳ, αὕτη Σύνοδος οὐκ ἔστιν, ἀλλὰ συναγωγὴ καὶ συνέδριον ματαιότητος καὶ ἀλαζονείας. ἀλλὰ δὴ καὶ ὁ ἅγιος Γερμανὸς ἔλεγε τῷ Ἰσαύρῳ, Εἰ ἐγὼ εἰμὶ Ἰωνᾶς, βάλλετέμε εἰς τὴν θάλασσαν, χωρὶς γὰρ Οἰκουμενικῆς συνόδου καινοτομῆσαι πίστιν, ἀδύνατόν μοι ὦ Βασιλεῦ, ἢ ὡς λέγει ὁ ἐν ἁγίοις Νικηφόρος ἐν τῷ χρονικῷ, Ἄνευ Οἰκουμενικῆς Συνόδου ἔγγραφον πίστιν οὐ κατατίθεμαι. τούτοις συνᾴδει καὶ ὁ Θεοφάνης λέγων, Εἰς τὸ δέκατον τρίτον ἔτος τοῦ Κοπρωνύμου ἤθροισεν αὐτὸς ὁ δυσσεβὴς Βασιλεὺς Κοπρώνυμος παράνομον συνέδριον κατὰ τῶν ἁγίων Εἰκόνων, οἳ καθ' ἑαυτοὺς τὰ δόξαντα ἐδογμάτισαν, μηδενὸς παρόντος τῶν καθολικῶν θρόνων, Ῥώμης φημὶ, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων. δῆλον οὖν κἀντεῦθεν, ὅτι ἀναγκαία ἡ παρουσία τῶν πέντε Πατριαρχῶν, ἵνα συσταθῇ Οἰκουμενικὴ Σύνοδος, καὶ ἐξίσου τὰ πέντε Πατριαρχεῖα καθολικοὶ θρόνοι εἰς τὴν καθόλου Ἐκκλησίαν.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ τῦ ὡσίου Κοπρωνύμυ μεγάλυ διωγμῦ τῦ τάγματος τῶν Μοναχῶν, καὶ περὶ Κοσμᾶ ἱερσολύλυ Ἐπισκόπυ Ἐπιφανείας, καὶ τῦ πρέσβεως Θεοδώρυ ἱερσολύμων εἰς Φραγγίαν χάριν βοηθείας. καὶ ὧν ἀπέκτεινε Μοναχῶν καὶ ὧν ἠφάνισε Μοναστηρίων ὁ Κοπρώνυμος.

Ἀλλὰ καὶ διωμὸν μέγαν ὁ δυσεβὴς ἔτος Κοπρώνυμος ἐκίνησε κατὰ τῦ τάγματος τῶν Μοναχῶν τοσῦτον, ὥστε ἄλλυς μὲν φυγεῖν εἰς τὰ μέρη τῆς Δύσεως, ὅπυγε καὶ τὴν ἀκολυθίαν αὐτῶν ἔψαλον ἑλληνιστὶ, ὡς γράφει Παῦλος ὁ Πάπας, ὁ καὶ τὴν ἀθανασίαν αὐτοῖς δῦς, ἄλλυς δὲ εὑρίσκεσθαι κεκρυμμένυς καὶ ζωθάπτυς ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ἐπαῖς τῆς γῆς, ὡς βεβαιοῖ τῦτο ὁ Στυδίτης Θεόδωρος εἰς τὸν λόγον αὐτῦ τὸν περὶ τὸν ἅγιον Πλάτωνα, μάλισα διηγεῖται, ὅτι ἐκώλυσεν ὁ Κοπρώνυμος σεσσέτι μὴ γίνεσθαι Ναζωραίυς, τυτέστι Μοναχῦς, ἵνα ἐξαλεφθῇ τὸ ὄνομα αὐτῶν τελείως. ἀλλὰ καὶ τὸν σεβασμιώτατον ἅγιον Στέφανον ἐποίησεν ἐξόρισον εἰς τὸν Ἐλλήσποντον, ἄνδρα πυτικοντάτλυ καὶ λογιώταον, ὃς τις ὀν ὑσέρεις ἐμαρτύρησον ὑπὲρ τῶν σεπτῶν καὶ ἁγίων Εἰκόνων μετὰ τὸ ἐμπρησθῆναι τὸ Μοναστήριον αὐτῦ. καὶ ἄλλα ἀθεϊσμῦ ἔργα ἐποίησον ὁ Κοπρώνυμος, ἅτινα ἴδε εἰς τὸν Θεοφάνη. τότε καί τινα Κοσμᾶν Ἐπιφανείας Ἐπίσκοπον γνωσόσα μὲν ἱερσύλον, μὴ θελήσαντα δὲ τῷ ἐκκλησιασικῷ παιδείαν, ἀλλ' εἰς τὰς Εἰκονομάχυς καταφυγόντα ἀνεθεμάτισαν αὐτῇ τῇ ἡμέρᾳ τῆς Πυτηκοσῆς οἱ τρεῖς Πατελάρχαι, ὁ Ἀντιοχείας Θεόδωρος, ὁ Ἀλεξανδρείας Κοσμᾶς, καὶ ὁ ἱερσολύμων Θεόδωρος, τῷ εἰκοσῷ τρίτῳ ἔτει τῦ Κοπρωνύμυ δηλονότι. Διὰ δὲ τὰ κακὰ τῶν Εἰκονομάχων ὁ ἱερσολύμων Θεόδωρος ἔπεμψε τὸν Πρεσβύτερον Κωνσαντῖνον εἰς τὴν Φραγγίαν, ζητῶν παρηγορίαν τινὰ εἰς τὰ κακὰ τῦ νέυ Νέρωνος Κοπρωνύμυ, ἃ εἰργάζετο αὐτὸς τῇ δισόμῳ ῥομφαίᾳ τῆς ἀσεβείας καὶ Αἱρέσεως, καὶ σημειοῖ, ὅτι ὁ Κοπρώνυμος ἐφόνευσον ὀν τῇ Ἑφέσῳ τεσσαρακονταδύο Μοναχὺς μετὰ τὸ μαρτύριον τῦ νέυ Στεφάνυ, Βασιλείυ, Πέτρυ καὶ Ἀνδρέυ, καὶ ἄλλοτε ἀπέκτειναν ἄλλυς τελακοσίυς τελάκοντα καὶ ὀντέα ῥομφαίᾳ, καὶ μετὰ τὸν Παῦλον ἔλη τεσσαράκοντα. καὶ τῶν Μοναστηρίων τὰ μὲν ἐποίησε καταγώγια Στρατιωτῶν, τὰ δὲ κατηδάφισον ὀν θεμελίων, ἵνα μὴ ἔχωσι κατοικίαν οἱ Μοναχοὶ ἡμῶν

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ χρεωφαγίας τῦ Εἰκονομάχυ Κωνσαντινυπόλεως Κωνσαντίνυ, ὃν ὁ Κοπρώνυμος ἐξορίσας καὶ εἶτα ἐκ πομπύσας σιαρατόμησε, καὶ τὸν Πατελαρχῶν Ἀνασάσιον ἐξεπόμπυσε.

Κατὰ τὸν Κεδρηνὸν ἐπὶ τῦ Κοπρωνύμυ τύτυ Κωνσαντῖνος ὁ Πατελάρχης μετὰ τὸ βασάσαι τὰ τίμια ξύλα ᾤδον εἰς τὸν Ἄμβωνα τῦ ἐν Βλαχέρναις Ναῦ, καὶ ἀναθεματίσαι τὺς σεσκωπῦντας τὰς ἁγίας Εἰκόνας, ἐγυίετο ὑπὸ Μοναχῦ σεφανίτης καὶ ἐκρεωφάγει, καὶ γνῶθι, ὅτι ἀρχαία ἐσὶν ἡ ὑπόχη τυ κρέατος ὑπὸ τῶν Μοναχῶν, ἦν γὰρ σεὶ τῆς Θεοφανῶ ὁ Κοπρώνυμος περίπυ τὸν ἑκατὸν καὶ πυτήκοντα ἔτη. τὸν δὲ τὸν Κωνσαντῖνον ὁ Κοπρώνυμος ὕσερον ἐξώρισον, εἶτα μεταπεμψάμενος ἐκάθισον αὐτὸν ἐπὶ ὄνυ καὶ ὠνείδισε αὐτῷ, καπῆτα ἀπεκεφάλισε, καὶ ἐκ ἠχωίθη ἐπ' αὐτῷ δύο παίδας αὐτῦ βαπίσαντι, ἀλλὰ δὴ καὶ τὸν Πατελάρχην Ἀνασάσιον ἐπόμπυσον ἐπὶ ὄνυ εἰς τὸν Φόρυν, καὶ πάλιν αὐτῶ ὡς ὁμόφρονι ἔδωκε τὸν θρόνον αὐτῦ. ἔτι λέγει ὁ Θεοφάνης, ὅτι ἔπεισε τὸν Κωνσαντῖνον ὁ Κοπρώνυμος αἰρέχεσθαι ἀκούειν τὰ παίγνια εἰς τὰς βασιλικὰς τραπέζας. καὶ σημείωσαι, ὅτι τῶν Πατελαρχῶν παρόντων ἐν τῇ βασιλικῇ τραπέζῃ, ἐκ ἦσαν μυσικὰ ὄργανα, ἤτε παίγνια.

ΠΑΡΑΓΡΑΦΟΝ ΙϚ'.

Περὶ ἐκλείψεως Πατελάρχυ Ἀντιοχείας ἔτη τεσσαράκοντα, καὶ τῆς ἐπ' ἰσὴμ Πατελαρχείας ἐν αὐτῇ Στεφάνυ, καὶ τῆς Πέτρυ Δαμασκῦ μετὰ γλωσσοτομίαν καὶ ἐξορίαν καθαρᾶς λαλιᾶς, καὶ περὶ Θεοφυλάκτυ ἐπὶ Μαρυὰμ Ἀντιοχείας καὶ Κοσμᾶ Ἀλεξανδρείας, καὶ σημείων φοβερῶν λοιμῦ, γεαμμάτων τε Κοπρωνύμυ κατὰ πᾶσαν πόλιν ὑπὲρ τῆς Εἰκονομαχίας, καὶ ἐξορίας Θεοδώρυ Ἀντιοχείας ὑπ' Ἀβδελᾶ, ἔτ' θέσπισμα μὴ κτίζειν Ἐκκλησίας, Φόρυς τε τὺς Μοναχῦς διδόναι, καὶ τὺς τῶν χριστιανῶν παῖδας μὴ μανθάνειν πλὴν τῶν ἀραβικῶν γεάμματα, καὶ οἶνυ ἐμποδισμῦ ἐπὶ ὑμᾶς καὶ διωγμῦ χριστιανῶν, καὶ τῶν ἐπὶ Μαδδὶ τ' Ἀβιμέλεχ κακῶν. τ' περὶ ἐλίψεως ἐν τῇ θαλάσσῃ ὑπὸ Κοπρωνύμυ τῦ λειψανυ τῆς ἁγίας Εὐφημίας.

Τεσσαράκοντα ἔτη παρῆλθον ἀφ' ὗ ἐν τῇ Ἀντιοχείᾳ ἐκ εἴων οἱ Ἄραβες χειρονηθῆναι Πατελάρχην, ὁ δὲ τότε ἀρχηγὸς αὐτῶν Ἰσὴμ ἔχων τινὰ Μοναχὸν φίλον, ἄγριοικον μὲν, σλαβῆ δὲ, ὀνόματι Στέφανον, εἶπε τοῖς ὀρθοδόξοις, ἐὰν θελήσωσι, ποιησάτωσαν αὐτὸν Πατελάρχην, καὶ ὕτως αὐτὸν ἐχειροτόνησαν.

Οὐαλὶδ δὲ ὁ ἡὸς τοῦ Ἰσὴμ τὸν Μητροπολίτην Δαμασκοῦ Πέτρον τὴν Αἵεσιν τῶν Μανιχαίων καὶ Ἀράβων ἐλέγχοντα ἐγλωσσοτόμησε, καὶ ἐξώρισεν εἰς τὴν εὐδαίμονα Ἀραβίαν, ὅπου ἐκεῖνος καθαρῶς λαλῶν καὶ ἱερουργῶν, ἐκοιμήθη ἐν Κυρίῳ. καὶ Πέτρος Ἐπίσκοπος Μαϊουμᾶ θαυμασίως τότε ἐμαρτύρησε. κοιμηθέντος δὲ τοῦ Στεφάνου, ὁ Μαρουὰμ ἀρχηγὸς δεήσει τῶν Χριστιανῶν ἀφῆκε καὶ ἐχειροτονήθη Ἀντιοχείας Θεοφύλακτός τις Ἐμεσηνὸς, σώφρων καὶ εὐλαβὴς, καὶ ἐκέλευσε καὶ ἐγγράφως ἵνα τιμῶσιν αὐτὸν καὶ οἱ Ἄραβες. ἐκοιμήθη δὲ τῷ δεκάτῳ ἔτει τοῦ Κοπρωνύμου. ἀλλὰ καὶ ἀπὸ τοῦ Αἱρετικοῦ Κύρου ἦσαν Μονοθελῆται Πατριάρχαι ἐν Ἀλεξανδρείᾳ, τότε δὲ ὁ Ἀλεξανδρείας Κοσμᾶς ὠρθοδόξησε μετὰ πάσης τῆς Ἀλεξανδρείας ὡς λέγει ὁ καὶ τὰ ἀνωτέρω λοιπὰ ἱστορῶν Θεοφάνης. εἰς δὲ τὸ ἕκτον ἔτος τούτου τοῦ Κωνσταντίνου Σταυρὸς ἐλαιοειδὴς ἐτυποῦτο ἐν τοῖς ἱματίοις τῶν ἀνθρώπων καὶ ἐν τοῖς ἱεροῖς τῶν Ἐκκλησιῶν, καί τινες ἄνθρωποι φοβεροὶ καὶ βαρβαροειδεῖς ἀλλόκοτοι ἐφαίνοντο τοῖς ἀνθρώποις, ὅθεν ἠκολούθησε θανατικὸν, ὡς εἴπομεν ἀνωτέρω, ἀλλὰ μήτε διὰ ταῦτα μετενόησαν οἱ Εἰκονοκλάσται, μάλιστα δὲ ὁ Κοπρώνυμος ἀπέστειλε γράμματα κατὰ πόλιν καὶ χώραν τὴν Εἰκονομαχίαν διδάσκοντα. ἀλλὰ καὶ ὁ Ἀβδελᾶς ὁ ἀρχηγὸς τῶν Ἀράβων, Θεόδωρον τὸν ἀπὸ τῆς μικρᾶς Ἀρμενίας ὁρμώμενον, καὶ χρηματίσαντα μετὰ Θεοφύλακτον Ἀντιοχείας Πατριάρχην, ἐξώρισε, διαβληθέντα ὡς ἐγεγράφει συχνάκις τῷ Κοπρωνύμῳ, καὶ ἐθέσπισε Χριστιανὸν Σαρακηνῷ μὴ διαλέγεσθαι περὶ πίστεως, καὶ Ἐκκλησίας μὴ κτίζεσθαι, καὶ Σταυρὸν μὴ φαίνεσθαι, καὶ φόρους διδόναι καὶ τοὺς Μονάχους καὶ τοὺς ἐρημίτας, οἵτινες λίαν στενοχωρούμενοι, ἐτίθουν ἐνέχυρα τὰ τῶν Ἐκκλησιῶν σκεύη, καὶ ἐπώλουν αὐτὰ τοῖς Ἑβραίοις, ἵνα ἀποδώσωσι τὰ τέλη. ἐκώλυσε δὲ καὶ τὰς παννυχίους ἀγρυπνίας αὐτὸς πρῶτος, καὶ τὰ παιδία τῶν Χριστιανῶν προσέταξε μὴ μανθάνειν ἄλλα γράμματα, εἰμὴ Ἀραβικὰ, καὶ πολλοὺς ἁγίους Ναοὺς ἐποίησε σταύλους ἀλόγων ζώων. εἰς δὲ τὴν Ἱερουσαλὴμ προσέταξε γράφεσθαι γράμματα ἐπὶ τὰς χεῖρας τῶν Χριστιανῶν καὶ τῶν Ἑβραίων, ὅθεν καὶ πολλοὶ ἔφυγον εἰς διαφόρους τόπους, καὶ εἰς τὴν Ῥωμανίαν. τότε δὴ καὶ οἱ Χριστιανοὶ οἱ ὀρθόδοξοι βιασθέντες ὑπὸ τῆς ἀνάγκης, μετέφρασαν εἰς ἀραβικὴν γλῶσσαν τὸ Τριῴδιον, Μηναῖα, Παρακλητικὴν, Λειτουργίας, καὶ ἄλλα ἐκκλησιαστικὰ βιβλία, καὶ πολλοὶ ἐκκλησιαστικοὶ μετέπειτα, καθὰ καὶ ὁ ἱεροσολύμων Ἀθανάσιος, συνέγραψαν ἀραβιστὶ λόγους, κατηχήσεις τε καὶ παραινέσεις πρὸς στηριγμὸν τῶν πιστῶν. ἐπὶ δὲ τοῦ Ἰσαύρου ὁ Οὔμαρος ἐκώλυσε τὸν οἶνον, καὶ ἐβίαζε τοὺς Χριστιανοὺς ἀρνεῖσθαι τὸν Χριστὸν, ὅθεν τοὺς μὴ ἀρνουμένους διαφόροις τιμωρίαις ἐπαίδευε, καὶ τέλος ἐφόνευεν, ὡς ἐπὶ τοῦ αὐτοῦ τῷ πέμπτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ὁ ἀρχηγὸς Μαδοὶ ἀπέστειλεν εἰς τὴν ἁγίαν πόλιν τὸν Μεχρείαν, δοὺς αὐτῷ ἐξουσίαν ἀποστατεῖν τοὺς δούλους τῶν Χριστιανῶν, καὶ ἐρημοῦν τὰς ἁγίας Ἐκκλησίας, ὥστε τὸν Ἀβιμέλεχ φιλανθρωπότερον αὐτοῦ ὑπάρξαι, ὃν θέλοντα κτίσαι τὸν Ναὸν τοῦ Μαχὼ, καὶ βουλόμενον λαβεῖν τοὺς κίονας ἀπὸ τῆς ἁγίας Γεθσημανῆς, Σέργιος καὶ Πατρίκιος προεστῶτες τῶν ἐν Παλαιστίνῃ Χριστιανῶν διὰ δεήσεως ἐκώλυσαν. ὅθεν ἀγασθεὶς ὁ Ἰουστινιανὸς ὁ ῥινότμητος, ἀπέστειλεν ἀπὸ τῆς Κωνσταντινουπόλεως κιόνια ἱκανὰ τῷ Ἀβιμέλεχ, καὶ ᾠκοδόμησε τὸν Ναὸν αὐτοῦ. οὕτω τότε ἐφρόντιζον οἱ Βασιλεῖς τῶν ἁγίων τόπων. ὁ δὲ Κοπρώνυμος ἔκαυσεν, ὥς τινες λέγουσι, τὸ λείψανον τῆς ἁγίας Εὐφημίας, ἄλλοι ὅμως ἱστοροῦσιν, ὅπερ καὶ ἀλήθεια, ὅτι ἔρριψεν αὐτὸ εἰς τὴν θάλασσαν μετὰ τῆς σοροῦ αὐτοῦ, καὶ ἐξῆλθε κατὰ μέν τινας εἰς τὴν Λῆμνον, κατ' ἄλλους δὲ εἰς τὴν Λέσβον, ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης ἐκομίσθη εἰς τὴν Κωνσταντινούπολιν, κεῖται δὲ νῦν εἰς τὸ Πατριαρχεῖον Κωνσταντινουπόλεως μετὰ τοῦ λειψάνου τῆς Θεοφανὼ Βασιλίσσης. Ἀλλ' ὦ τῆς δικαίας τοῦ Θεοῦ κρίσεως, ἐν τῷ αὐτῷ ἔτει καθ' ὃ ἐτελεύτησεν ὁ Κοπρώνυμος, πέπτωκεν εἰς πύργος Καμπάνου χαλκοῦ, ἤτοι Καμπαναρεῖον καὶ ἀπέκτεινε καὶ τὸν Ἀβδελᾶ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Περὶ τοῦ θανάτου Κωνσταντίνου τοῦ Κοπρωνύμου, καὶ ὧν ἔλεγε ψυχορραγῶν.

Ἀπέθανε δὲ ὁ Κοπρώνυμος ὑπὸ τοῦ ἄνθρακος τοῦ καρβούνου, ὁρμώμενος δηλονότι κατὰ τῶν Βουλγάρων, καὶ ἐν τῇ τοῦ θανάτου αὐτοῦ ἀγωνίᾳ ψυχορραγῶν εἰς τὸ Χελάνδιον, ἔκραζεν, ὅτι διὰ τὴν Μαρίαν παρεδόθη τῷ πυρὶ τῷ αἰωνίῳ, εἶπε καὶ ἄλλα πλείω, ἅπερ διηγεῖται ὁ Κεδρηνὸς ἐν τῇ συνόψει αὐτοῦ, πλήν γε ὥσπερ τις ἄλλος Ἀντίοχος καὶ ὁ ἀσεβὴς οὗτος Κοπρώνυμος ἐβόα, δίκαιον ὑποτάσσεσθαι τῷ Θεῷ, καὶ μὴ θνητὸν ὄντα, ἰσόθεα φρονεῖν ὑπερηφάνως. ἤυχετο δὲ ὁ μιαρὸς πρὸς τὸν οὐκ ἔτι αὐτὸν ἐλεήσοντα Δεσπότην, βασιλεύσας ἔτη τριακοντατέσσαρα κατὰ τὸν Θεοφάνη ὁ Καββαλῖνος, ὃς ἔχαιρεν ἐπὶ τῇ κόπρῳ καὶ τῷ ὄνθῳ τῶν ἀλόγων ζώων παρὰ τὴν ἀνθρωπίνην φύσιν, καὶ ταῦτα, μὴ βδελυττόμενος τὴν τοιαύτην δυσῳδίαν καὶ τὸν βρῶμεν.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Περὶ βασιλείας Λέοντος υἱοῦ Κοπρωνύμου, καὶ ὧν ἐποίησε φόνων καὶ αἰχμαλωσίας τοῖς Ἄραψι, καὶ ὧν εἰργάσατο ἀφανισμῶν Ἐκκλησιῶν καὶ Χριστιανῶν ὁ τῶν Ἀράβων ἀρχηγὸς Μαδδὶ ἐν οἷς ἦρχε τόποις. καὶ περὶ κακώσεων καὶ ἐξορίων Χριστιανῶν παρὰ τοῦ Βασιλέως Λέοντος, καὶ τοῦ θανάτου αὐτοῦ αἰτίᾳ τοῦ Στέμματος.

Ὁ υἱὸς τοῦ Κοπρωνύμου Λέων βασιλεύσας, ἔδοξεν εὐσεβὴς, καὶ τῆς Θεοτόκου φίλος, ὅθεν καὶ Μητροπολίτας εἰς τοὺς πρωτίστους θρόνους προεβάλετο ἐκ τῶν Ἀββάδων, πέμψας δὲ εἰς Συρίαν, ἀπέκτεινεν Ἄραβας πολλοὺς, καὶ ὡς ἑκατὸν χιλιάδας Σύρους ἔφερεν ἐκεῖθεν, καὶ κατῴκισεν αὐτοὺς εἰς τὴν Θρᾴκην, ὡς καὶ ὁ πατὴρ αὐτοῦ ἔφερε πολλοὺς ἀπὸ Θεοδοσιουπόλεως καὶ Μελιτηνῆς πάλιν εἰς Θρᾴκην, καὶ λίαν ἐκάκωσε τοὺς Ἄραβας. ὅθεν ὁ ἀρχηγὸς αὐτῶν Μαδδὶ ἀποστείλας ἠφάνιζε τὰς Ἐκκλησίας, καὶ ἐβασάνιζε τοὺς Χριστιανοὺς ἵνα ἀρνῶνται τὸν Χριστὸν, καὶ τέως τόσα κακὰ ἐποίησεν εἴς τε Δαμασκὸν καὶ Ἱερουσαλὴμ καὶ εἰς ἄλλους ὧν ἦρχε τόπους, καὶ εἰς ἄνδρας καὶ εἰς γυναῖκας, ὥστε ταῦτα οὕτω μήτε Λυσίαν μήτε Ἀγροικόλαον πεποιηκέναι. ἀλλὰ καὶ ὁ υἱὸς τοῦ φονευτοῦ οὗτος Λέων ἐν τῇ μεσότητι τῶν ἁγίων νηστειῶν ῥίψας τὸ προσωπεῖον τῆς ὑποκρίσεως, πολλοὺς ἀξιωματικοὺς καὶ Μοναχοὺς ἐπόμπευσεν, ἀπέκλεισεν, ἐξώρισε διὰ τὴν προσκύνησιν τῶν ἁγίων Εἰκόνων. λιθομανὴς δὲ ὤν, ἐπεθύμησε φορεῖν τὸ Στέμμα τὸ ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ (ὅπερ ἐν αὐτῇ Μαυρίκιος ὁ Βασιλεὺς ἔθετο κατὰ τὸν Ζωναρᾶν) λαβόντος δὲ αὐτοῦ αὐτὸ καὶ φορέσαντος, ἐξῆλθον ἄνθρακες εἰς τὴν κεφαλὴν αὐτοῦ, καὶ ληφθεὶς σφοδρῷ πυρετῷ, ἐτελεύτησε.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'.

Περὶ τοῦ θανάτου τοῦ ψευδοπατριάρχου Νικήτα, καὶ προβλήσεως Παύλου Κυπρίου, καὶ ἀναχωρήσεως αὐτοῦ ἀπὸ τοῦ θρόνου καὶ μονάσεως, καὶ τῆς πρὸς αὐτὸν ἀφίξεως τῆς Βασιλίσσης Εἰρήνης σὺν τῷ υἱῷ, εἶτα καὶ τῶν Συγκλητικῶν, καὶ τῆς πρὸς αὐτοὺς ἀποκρίσεως αὐτοῦ καὶ τελευτῆς, καὶ Πατριαρχείας Ταρασίου, καὶ ἐνάρξεως τῆς ἑβδόμης Οἰκουμενικῆς Συνόδου, καὶ ἐξορίας καὶ κακουχίας τοῦ Ἱεροσολύμων Θεοδώρου καὶ ταλαιπώρου ζωῆς τῶν Μοναχῶν καὶ τῶν ἐν Ἀλεξανδρείᾳ καὶ Ἀντιοχείᾳ Χριστιανῶν ὑπὸ τῶν Ἀγαρηνῶν.

Ἐπὶ τοῦ Λέοντος τούτου ἀπέθανεν ὁ ψευδοπατριάρχης Νικήτας, καὶ προεβλήθη Παῦλος ὁ Κύπριος, ὅστις εἰς τὸν δεύτερον χρόνον Κωνσταντίνου καὶ Εἰρήνης ἀσθενήσας, ἀπῆλθεν εἰς τὴν Μονὴν τοῦ Φλώρου καὶ ἔλαβε τὸ σχῆμα; παρεγένετο δὲ καὶ ἡ Βασιλὶς σὺν τῷ υἱῷ εἰς αὐτὸν λυπουμένη καὶ καταβοῶσα αὐτοῦ διὰ τὴν παραίτησιν, ὁ δὲ θρηνῶν καὶ ὀδυρόμενος εἶπεν αὐτῇ; Εἴθε μηδέποτε ἐκάθισα εἰς τὸν Πατριαρχικὸν θρόνον τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, τυραννουμένης καὶ ἀπεσχισμένης τῶν λοιπῶν Πατριαρχικῶν θρόνων, καὶ ἀναθεματιζομένης ὑπ' αὐτῶν. ἡ δὲ Βασιλὶς προσκαλέσασα τοὺς Συγκλητικοὺς εἰς τὰ βασίλεια, ἀπέστειλεν αὐτοὺς πρὸς ἐκεῖνον ἵνα ἀκούσωσιν αὐτοῦ τί λέγει. εἶπεν αὐτοῖς λοιπὸν ὁ Παῦλος, ὅτι ἐὰν μὴ γένηται Σύνοδος Οἰκουμενικὴ, καὶ τὸ ἐν τῷ μέσῳ ὑμῶν σφάλμα διορθωθῇ, οὐκ ἔχετε σωτηρίαν. εἶπον δὲ αὐτῷ οἱ Συγκλητικοὶ, Καὶ διατὶ ὅτε ἐχειροτονήθης ὑπέγραψας ἵνα μὴ προσκυνῶνται αἱ Εἰκόνες; ὁ δὲ ἀπεκρίθη, Καὶ ἐγὼ διατοῦτο θρηνῶ, καὶ ἔδραμον εἰς τὴν μετάνοιαν ἴσως καὶ εὕρω ἔλεος, καὶ ταῦτα εἰπὼν, ἐκοιμήθη. ἐν δὲ τῷ πέμπτῳ ἔτει τῆς αὐταρχίας ἡ Εἰρήνη συναγαγοῦσα τὴν Γερουσίαν εἰς τὴν Μαγναῦραν, εἶπεν, Εἰ μὲν ἔζη Παῦλος, εἰ καὶ ἐγεγόνει Μοναχὸς, οὐκ ἂν ἀφήκαμεν αὐτὸν, καὶ εἶπε περὶ Ταρασίου, ὁ δὲ οὐκ ἤθελεν. ἐρωτηθεὶς δὲ διατὶ οὐ προσεδέχετο τὴν ψῆφον τῆς Συγκλήτου καὶ τοῦ λαοῦ, ἀπεκρίθη πρῶτον, ὅτι μέγα τὸ ἀξίωμα τῆς Ἀρχιερωσύνης, καὶ ὅτι αὐτὸς ἦν κοσμικὸς καὶ ἐδειλία. δεύτερον, ὅτι ἡ Ἐκκλησία Κωνσταντινουπόλεως ἀναθεματίζεται ὑπὸ τῶν λοιπῶν Ἐκκλησιῶν, καὶ ὅτι ἵνα γένηται Σύνοδος, καὶ ἐστέρχθη, ὅθεν ἐχειροτονήθη ἐν ἔτει ἑξακισχιλιοστῷ διακοσιοστῷ ἐννενηκοστῷ τρίτῳ, Δεκεμβρίου εἰκοστῇ πέμπτῃ, καὶ ἔγραψεν εἴς τε τὸν Πάπαν Ἀδριανὸν καὶ εἰς τοὺς τῆς Ἀνατολῆς Πατριάρχας καὶ Ἀρχιερεῖς καὶ ἦλθον, καὶ ἐγένετο ἡ Σύνοδος εἰς τὴν Νίκαιαν. εἰς δὲ τὰ Ἱεροσόλυμα οἱ κομίζοντες τὰ γράμματα, εὗρον τὸν Πατριάρχην Θεόδωρον ἐξόριστον ὑπὸ τῶν Ἀγαρηνῶν εἰς τόπον ἀπέχοντα τῆς Ἱερουσαλὴμ μίλια δύο χιλιάδας, ἔνθα καὶ τὰ γράμματα αὐτῷ δεδώκασι, καὶ εἶδον τὴν ἐκεῖ ταλαίπωρον ζωὴν τῶν Μοναχῶν καὶ τῶν λοιπῶν Χριστιανῶν, ὧν χείρονα κακὰ ἔπασχον οἵ τε ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Ἀντιοχείᾳ Χριστιανοί. ἀπέστειλαν ὅμως οἱ Ἱεροσολυμῖται δύο ἐκ τῶν Ἀββάδων σοφοὺς καὶ ἁγίους ἄνδρας, τὸν Σύγκελλον Θωμᾶν καὶ τὸν Ἱερομόναχον Ἰωάννην, ὡς μαρτυροῦσι τοῦτο κοινῶς οἱ ἱστορικοὶ, καὶ αὐτὰ τὰ πρακτικὰ τῆς ἁγίας Συνόδου. ἐχρημάτισαν δὲ ἐς ὕστερον κατὰ τὸν Θεοφάνη, ὁ μὲν Ἰωάννης Πατριάρχης Ἀντιοχείας, ὁ δὲ Θωμᾶς Μητροπολίτης Θεσσαλονίκης.

Τέλος τύπῳ εἴληφεν ἕκτον βιβλίον.

ΠΑΝΕΠΙΣΤ. ΒΙΒΛΙΟΘΗΚΗ

ΔΟΣΙΘΕΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ.

ΒΙΒΛΙΟΝ Ζ'. ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς ἁγίας καὶ Οἰκουμενικῆς ἑβδόμης Συνόδου, καὶ πρῶτον περὶ τῆς κατὰ μίμησιν τοῦ ἐν τῇ παλαιᾷ ἑπταδικοῦ ἀριθμοῦ λήξεως ἐν αὐτῇ τῶν Οἰκουμενικῶν Συνόδων, καὶ περὶ τοῦ διατὶ Οἰκουμενικαὶ μόνον ἑπτὰ Σύνοδοι ἐκλήθησαν.

Τῇ ἑβδόμῃ ἡμέρᾳ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε. καὶ τῇ ἑβδόμῃ ἡμέρᾳ σαλπίζοντες οἱ Ἱερεῖς περὶ τὴν Ἱερεχὼ, κατέστρεψαν αὐτήν. ὅθεν καὶ τὴν ἑβδόμην Σύνοδον ἔδειξεν ὁ Θεὸς ἀνάπαυλαν τῶν ζητουμένων καὶ διοριζομένων περὶ τῆς ὀρθοδόξου πίστεως, καθότι οἱ ἅγιοι πατέρες μετὰ τῶν ἑπτὰ τούτων ἁγίων Συνόδων κατέστρεψαν πᾶσαν κατὰ τῆς Ἐκκλησίας ἐπίνοιάν τε καὶ ἐπήρειαν τοῦ Σατανᾶ καὶ τῶν ὀπαδῶν αὐτοῦ, καὶ ἐκήρυξαν τελείως καὶ πᾶσι τρόποις πάντῃ τε καὶ πάντως ἀνελλιπῶς πᾶσαν τῆς εὐσεβείας τὴν ἀναγκαίαν γνῶσιν, ἣν καίτοι τελείως ὁ Κύριος ἀπεκάλυψεν, ἀλλὰ τυφλωττόντων τῶν Αἱρετικῶν περὶ αὐτὴν, οἱ πατέρες ἡρμήνευσαν πᾶν ὅπερ ἀναγκαῖον ἦν πρὸς γνῶσιν αὐτῆς, ὅθεν καὶ μετὰ τὴν ἑβδόμην ταύτην Οἰκουμενικὴν οὐδεμία ἠξιώθη Οἰκουμενικὴ συγκροτηθῆναι κατὰ τοὺς Νόμους τῶν ἁγίων τοιούτων Συνόδων, ἐπειδὴ τὰ ἀναφυόμενα πάντα ἐκ τῶν διωρισμένων ἐν ταῖς ἑπτὰ εὐκόλως διαλύονται. Οἰκουμενικαὶ δὲ διατοῦτο ἐξαιρέτως αὗται μόναι ἐκλήθησαν, διότι ἐκ κελεύσεων βασιλικῶν οἱ κατὰ πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν Ἀρχιερεῖς μετεκλήθησαν, καὶ ἢ δι' ἑαυτῶν παρεγένοντο, ἢ Τοποτηρητὰς ἀπέστειλαν. καὶ ὅτι ἐν ἑκάστῃ αὐτῶν περὶ πίστεως ἡ ζήτησις γέγονε, καὶ ψῆφος, ἤτοι ὅρος δογματικὸς ἐξενήνεκται, αἱ δὲ λοιπαὶ γεγόνασιν οὐ δογματικόν τι ἐκτιθέμεναι, ἀλλ' ἢ πρὸς βεβαίωσιν τῶν ὁρισθέντων ταῖς Οἰκουμενικαῖς ταύταις Συνόδοις, ἢ πρὸς καθαίρεσιν τῶν ἐναντιωθῆναι τολμησάντων, ἢ περὶ Κανόνων καὶ ζητημάτων εἰς ἐκκλησιαστικὴν ὁρώντων εὐταξίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ ἀριθμοῦ τῶν πατέρων τῆς Συνόδου, καὶ τῆς διὰ τῶν Εἰκονομάχων στάσεως τοῦ Στρατιωτικοῦ, καὶ μετ' ἐνιαυτὸν αὖθις συγκροτήσεως αὐτῆς, καὶ περὶ τῶν πράξεων αὐτῆς, καὶ τῶν ἐν ἑκάστῃ πράξει γενομένων.

Ἀντέγραψαν πρὸς τὸν Κωνσταντινουπόλεως Ταράσιον οἱ πατέρες καὶ οἱ Ἡγούμενοι τῆς Ἱερουσαλὴμ καὶ οἱ ἁγιώτατοι Πατριάρχαι Ἀλεξανδρείας καὶ Ἀντιοχείας, καὶ τὴν ἐπιστολὴν ἐκόμισαν Ἰωάννης καὶ Θωμᾶς Ἱερομόναχοι καὶ Τοποτηρηταὶ τῶν τριῶν Πατριαρχικῶν θρόνων, πλείονες γὰρ τούτων οὐκ ἠδυνήθησαν ἐλθεῖν διὰ τοὺς ἐκεῖσε Τοπάρχας πρὸς τὴν θεάρεστον Σύνοδον, καὶ εἰς τοῦτο ζητοῦσι συγγνώμην. ἀπὸ δὲ τοῦ ἀποστολικοῦ θρόνου τῆς Ῥώμης ἦλθον Τοποτηρηταὶ Πέτρος καὶ Πέτρος Πρεσβύτεροι, καὶ συνόντων αὐτοῖς τοῦ τε Ταρασίου καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

καὶ τῶν ὑφ' αὐτῷ Ἐπισκόπων τῶν ὁρισθέντων ἐλθεῖν εἰς τὴν Σιών, ὠρίσθη ὑπὸ τῶν Βασιλέων ἵνα γένηται ἡ Σιὼν ἐν τῷ Ναῷ τῶν ἁγίων Ἀποστόλων Αὐγούστα δωδεκάτῃ, τῷ ἕκτῳ ἔτει τῆς ὑπατείας αὐτῶν. ἀλλὰ τινὲς Εἰκονομάχοι Ἐπίσκοποι, καὶ ἕτεροι τινὲς τῶν ἐγκλείτων λαϊκῶν σωφρονισμένοι εἰς τὴν Εἰκονομαχίαν, ἔπασαν ὄχλον πολὺν τῶν Στρατιωτῶν, καὶ πεποιήκασιν ἰσχυρὰν φάσιν ἵνα ἐμποδίσωσι τὴν ἄθροισιν τῆς Σιών. οἱ Βασιλεῖς ὅμως αὐτέστησαν καὶ ὥρισαν ἵνα γένηται ἡ Σιὼν ἀπαρεκτήτως, ἧς πάλιν σωνελθούσης ἐν τῷ αὐτῷ Ναῷ, καὶ ἀναγινωσκομένων τινῶν σωνοδικῶν τῶν διαγορευόντων μὴ δεῖν γενέσθαι Σιῶνα Οἰκουμενικὴν παρεκτὸς συμφωνίας τῶν λοιπῶν Πατριαρχῶν, καὶ καθεζομένων τῶν Βασιλέων ἐν τοῖς κατηχουμένοις καὶ ἀκροωμένων, ὄχλος πάλιν ἐκινήθη πολὺς τῶν στρατευομένων ὑποθήκῃ τῶν αὐτῶν Εἰκονομάχων, καὶ ἐβόων, Ἀρκεῖ ἡ γενομένη, ἤτοι ἡ ἐπὶ τοῦ Κοπρωνύμου Σιών. ἠπείλουν δὲ ἵνα ἀποκτείνωσι τόν τε Ταράσιον καὶ τοὺς λοιποὺς ὀρθοδόξους Ἐπισκόπους καὶ Μοναχούς. Φυγόντων δὲ τοῦ τε Πατριάρχου καὶ τῶν Ἐπισκόπων εἰς τὸ ἅγιον Βῆμα, οἱ ἀναίδειοι ἐξῆλθον λέγοντες, Νενικήκαμεν, καὶ ἀπῆλθον ἕκαστος εἰς τὰ ἴδια. ἡ δὲ Βασιλὶς πλασαμένη καταδεομένη ἔφευγον Στρατιῶται Ἀγαρηνῶν, ἐκβάλλει τοὺς Στρατιώτας τῆς πόλεως, καὶ γενομένης εἰρήνης μετὰ σίαν χρόνον διορίζεται ἡ Σιὼν εἰς τὴν Νίκαιαν. ἦσαν δὲ Πατριάρχαι τῆς μὲν Ρώμης Ἀδριανὸς ὁ Πάπας, Κωνσταντινουπόλεως δὲ ὡς ἔφημεν ὁ Ταράσιος, Ἀλεξανδρείας δὲ Κοσμᾶς, ὃς κοιμηθεὶς ἐν τῇ ἀθροίσει τῆς Σιὼν ἐγένετο ὁ Πολιτικὸς, ὡς λέγει ἔκθεσίς τις Ἀνωνύμου περὶ τῶν ἐπὶ Οἰκουμενικῶν Σιών, ᾧ συμφωνεῖ καὶ ἐκ τῶν νεωτέρων ὁ Ἰγνάτιος. ἦσαν δὲ πατέρες τριακόσιοι πεντήκοντα ὡς βεβαιοῖ τοῦτο καὶ ὁ Ψελλὸς, ἐν καὶ τῷ Μηνολογίῳ τοῦ Βασιλέως Βασιλείου γράφει ὅτι διῃρέθησαν εἰς τὴν Σιὼν τριακόσιοι ἑξηκονταεπτά, ἔστιν ὅμως τοῦτο βέβαιον ὅτι ἦσαν τριακόσιοι πεντήκοντα, οἱ δὲ λοιποὶ ἦσαν Εἰκονομάχοι, ἦγουν οἱ δεκαεπτά, οἵτινες μετὰ τῶν κοσμικῶν Εἰκονομάχων αὐτέλεγον καὶ ἐμάχοντο τῇ ἁγίᾳ Σιὼν, μετὰ ταῦτα δὲ συμφρονήσαντες, ὥσε ἦσαν ὅλοι τριακόσιοι ἑξηκονταεπτά. εἶχον δὲ εἰς τὴν Σιὼν πολλὴν ἰσχὺν καὶ οἱ Μοναχοὶ, καθότι ἦσαν Ἀρχιμανδρεῖται καὶ ἡγούμενοι τῶν Μονῶν τῶν ἐν τῇ Βιθυνίᾳ καὶ τῶν ἐν τῇ Προποντίδι νήσων, καὶ τῶν ἐν τῇ Ἑλλησπόντῳ, καὶ τῶν ἐν τῇ Ἀσίᾳ καὶ τῶν ἐν τῇ Θρᾴκῃ καὶ τῶν ἐν τῇ Μακεδονίᾳ καὶ τῶν ἐν τῇ Ἑλλάδι καὶ τῶν ἐν τῇ Πελοποννήσῳ καὶ τῶν ἐν τῇ Κρήτῃ καὶ τῶν ἐν τῇ Κύπρῳ καὶ τῶν ἐν τῇ Παλαιστίνῃ καὶ τῶν ἐν τῇ Συρίᾳ καὶ τῶν ἐν τῇ Μεσοποταμίᾳ καὶ τῶν ἐν τῇ Ἀρμενίᾳ καὶ τῶν ἐν τῇ Ἰβηρίᾳ καὶ τῶν ἐν τῇ Ἰταλίᾳ καὶ τῶν ἐν τῇ Γαλλίᾳ καὶ τῶν ἐν τῇ Γερμανίᾳ καὶ τῶν ἐν τῇ Ἀγγλίᾳ καὶ τῶν ἐν τῇ Σκυθ

Ἐπιφανίος Διάκονος ἀνέγνω ἐκ μέρους τῆς ἁγίας Συνόδου εἰπὼν, Πῶς δ' αὖ μεγάλη καὶ Οἰκουμενικὴ, ἣν οὔτε ἐδέξαντο οὔτε συνεφώνησαν οἱ τῶν λοιπῶν Ἐκκλησιῶν πρόεδροι, ἀλλὰ ἀναθέματι ταύτην παρέπεμψαν; οὐκ ἔσχε συνεργὸν τὸν τηνικαῦτα τῶν Ῥωμαίων Πάπαν ἢ τοὺς περὶ αὐτὸν Ἱερεῖς οὔτε διὰ Τοποτηρητῶν αὐτοῦ οὔτε δι' ἐγκυκλίου ἐπιστολῆς καθὼς Νόμος ἐστὶ ταῖς Συνόδοις, ἀλλ' οὔτε συνφρονοῦντας αὐτῇ τοὺς Πατριάρχας τῆς Ἕω Ἀλεξανδρείας, Ἀντιοχείας καὶ τῆς ἁγίας πόλεως ἢ τοὺς σὺν αὐτοῖς Μύστας καὶ Ἀρχιερεῖς. ὄντως καπνὸς ἀχλύος πλήρης σκοτίζων ὀφθαλμοὺς ἀφρόνων ὁ λόγος αὐτῶν, καὶ οὐχὶ λύχνος τεθεὶς ἐπὶ τὴν λυχνίαν τοῦ φωτίζειν τοὺς ἐν τῇ οἰκίᾳ, διότι τοπικῶς ὡς ἐν παραβύστῳ τὰ αὐτῶν ἐλαλήθη, καὶ οὐκ ἐπάνω τοῦ τῆς ὀρθοδοξίας ὄρους, οὐ δὲ εἰς πᾶσαν τὴν γῆν ἀποστολικῶς ἐξῆλθεν ὁ φθόγγος αὐτῶν ἢ εἰς τὰ πέρατα τῆς Οἰκουμένης τὰ ῥήματα αὐτῶν ὥσπερ τῶν ἓξ ἁγίων Οἰκουμενικῶν Συνόδων. ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίῳ ἑβδόμῳ τὸν ἅγιον Μάξιμον τὰ αὐτὰ λέγοντα πρὸς τὸν Πύῤῥον. τὸ αὐτὸ λέγεται καὶ ἐν τῇ βασιλικῇ Σάκρᾳ, ἤτοι ὅτι ἔλεγεν ὁ Ταράσιος Σύνοδον Οἰκουμενικὴν αἰτοῦμαι γενέσθαι Τοποτηρητῶν εὑρισκομένων ἔκτε τοῦ Πάπα Ῥώμης καὶ τῶν τῆς Ἀνατολῆς Ἀρχιερέων, αὐτὸς δὲ τὸ σημείωμα περὶ τούτων ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίου δεκάτου ἕκτου Παραγράφῳ τεταρτῷ, καὶ κεφαλαίου δεκάτου ἐνάτου Παραγράφῳ δεκάτῳ τρίτῳ, καὶ κατωτέρω κεφαλαίου ὀγδόου Παραγράφῳ δευτέρῳ, καὶ κεφαλαίου ἐνδεκάτου Παραγράφῳ ἕκτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἐκ τῶν προκαταρχομένων ἐν ταῖς διαλαλιαῖς τῶν Συνόδων, καὶ τῶν ἐν τῇ πρώτῃ πράξει τῆς παρούσης, οὐδίδοταί τινι ἰδικὸν ἀξίωμα.

Ἐν τῇ πρώτῃ πράξει σημείωσαι πρῶτον, ὅτι ἐν τῇ τρίτῃ Οἰκουμενικῇ προκατῆρξε τῆς συνομιλίας Πέτρος Πρεσβύτερος, ἐν δὲ τῇ ἐν Χαλκηδόνι οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης, ἐν δὲ τῇ πέμπτῃ κοινῶς οἱ πατέρες, ἐν δὲ τῇ ἕκτῃ οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης, ἐν δὲ τῇ παρούσῃ οἱ Ἐπίσκοποι τῆς Σικελίας, ἐν δὲ τῇ ἐπὶ Μαρτίνου αὐτὴ ἡ Σύνοδος, ἐν δὲ τῇ ἐπὶ Μηνᾶ Εὐθύμιος Διάκονος. καὶ σημείωσαι ὅτι ἐκ τοῦ προκατάρχειν τῶν διαλαλιῶν ἐν ταῖς Συνόδοις οὐδίδοται τινὶ ἰδικῆς ἐξουσίας ἀξίωμα.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ τῆς πρὸς τὴν Σύνοδον Σάκρας τῶν Βασιλέων, καὶ τῆς διὰ τῶν συνοδικῶν τοῦ Ταρασίου ἀθροίσεως τῆς Συνόδου, δείκνυται ἡ μὲν τοῦ Βασιλέως ἐνέργεια ἐν τῇ Συνόδῳ ἐξαίρετος, οἱ δὲ πατέρες τῆς Συνόδου ἐξίσου πάντες κριταὶ, τὸ δὲ ἀγείρειν τὸν Ῥώμης τὰς Συνόδους ἢ ἐπὶ τῶν Συνόδων εἶναι καὶ καθόλου Διδάσκαλον, ψεῦδος προφανέστατον.

Ἐν τῇ βασιλικῇ Σάκρᾳ πρὸς τὴν Σύνοδον σημείωσαι τὴν τῶν Βασιλέων ἐξαίρετον ἐνέργειαν ἐν τῇ καθόλου Ἐκκλησίᾳ, λέγουσι γὰρ, Ἐξαιρέτως δὲ τῆς τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ εὐταξίας φροντίζειν βουλόμεθα, καὶ τὴν τῶν Ἱερέων ἕνωσιν διαπαντὸς ἐμπορεύεσθαι προαιρούμεθα Ἀνατολῆς, Ἄρκτου, Δύσεως καὶ Μεσημβρίας, καὶ πάρεισι Θεοῦ εὐδοκήσαντος διὰ τῶν Τοποτηρητῶν αὐτῶν μετὰ καὶ ἀντιγράφων τῶν ἀποσταλέντων συνοδικῶν γραμμάτων παρὰ τοῦ ἁγιωτάτου Πατριάρχου, οὗτος γάρ ἐστιν ἀρχῆθεν Νόμος συνοδικὸς τῆς καθολικῆς Ἐκκλησίας τῆς ἀπὸ περάτων εἰς πέρατα δεξαμένης τὸ Εὐαγγέλιον. καὶ κατωτέρω, Καὶ ἐπειδήπερ ἀπὸ πάσης τῆς Οἰκουμένης ὁ Θεὸς συνήγαγεν ὑμᾶς, βουλὴν τὴν οἰκείαν στῆσαι θέλων, ἤδη προκειμένων τῶν ἁγίων Εὐαγγελίων, καὶ νοητῶς βοώντων, Δικαίως κρίνατε, στῆτε ἑδραῖοι τῆς εὐσεβείας ὑπέρμαχοι, καὶ πᾶσαν καινοφωνίαν καὶ νεοφανῆ εἰσήγησιν ἐκτεμεῖν προθυμήθητε, καὶ καθὰ Πέτρος ὁ πρώταρχος τῆς ἀποστολικῆς ὁμηγύρεως τὴν ἀνδραποδώδη ἀπόνοιαν πατάξας τὸ τῆς ἰουδαϊκῆς ἀσκήσεως αἰσθητήριον τῇ μαχαίρᾳ ἀφείλετο, ἀνατείνατε τὴν ἀξίνην τοῦ Πνεύματος, καὶ πᾶν δένδρον ποιοῦν καρπὸν ἐρεσχελίας καὶ διχονοίας καὶ ἐπεισάκτου καινοτομίας, ἢ ταῖς διδασκαλικαῖς ὑμῶν φωναῖς μεταφυτεύσατε, ἢ κανονικαῖς ἐπιτιμήσεσι συγκόψατε. καὶ ἐν τῷ τέλει, Γράμματα ἐδεξάμεθα ἀποσταλέντα παρὰ Ἀδριανοῦ τοῦ ἁγιωτάτου Πάπα τῆς πρεσβυτέρας Ῥώμης διὰ τῶν αὐτοῦ Τοποτηρητῶν Πέτρου καὶ Πέτρου τῶν καὶ συνεδρευόντων ὑμῖν, καὶ κελεύομεν κατὰ τὸν συνοδικὸν θεσμὸν εἰς ἐπήκοον πάντων ἀναγνωσθῆναι, καὶ μετὰ τῆς δεούσης σιγῆς τούτων ἀκούοντες μετὰ καὶ τῶν ἀποσταλεισῶν κεραιῶν ἐν δυσὶ τετραδίοις παρὰ τῶν Ἀρχιερέων καὶ Ἱερέων τῆς Ἀνατολικῆς Διοικήσεως διὰ τῶν πρεσβυτέρων Ἰωάννου καὶ Θωμᾶ, ἤδη καὶ αὐτῶν συμπαρόντων ὑμῖν, δι' αὐτῶν γνώσεσθε ὁποῖόν ἐστι τῆς καθολικῆς Ἐκκλησίας τὸ φρόνημα. Ἐν οἷς σημείωσαι πρὸς μὲν τὸ πρῶτον, ὅτι ὁ Βασιλεὺς ἐνοῖ διὰ τῆς Συνόδου τὴν Ἐκκλησίαν, οὐχ ὁ Ῥώμης. δεύτερον, οἱ Τοποτηρηταὶ τῶν Πατριαρχῶν τοῦτε Ῥώμης καὶ τῶν τῆς Ἀνατολῆς διὰ τῶν συνοδικῶν τοῦ Ταρασίου ἦλθον, ὅπερ οὐδέποτε ἐγένετο ἵνα ἔλθωσιν οἱ Τοποτηρηταὶ τῶν Πατριαρχῶν

αρχῶν διὰ τῶν γραμμάτων τοῦ Πάπα. εἶτα καίτοι ὁ Ταράσιος γράψας, ἀλλ' οὐ συνήγαγε τὴν Σύνοδον κυρίως, ἀλλ' ὀργανικῶς, προσετάχθη γὰρ ὑπὸ τοῦ Βασιλέως καὶ ἔγραψε, τὴν Σύνοδον δὲ ἤθροισε κυρίως ὁ Βασιλεὺς, ὥστε ψεῦδος ἐστὶν ὅτι ὁ Πάπας τὰς Συνόδους ἀγείρει, καὶ γὰρ τοὺς Ἀρχιερεῖς τῆς Ἀνατολῆς οὐκ ἐκάλεσεν, ἀλλ' ἢ μόνος ὁ Ταράσιος, καὶ τῷ αὐτῷ τρόπῳ ἐκάλεσεν ὁ αὐτὸς καὶ τὸν Πάπαν, ὡς ῥηθήσεται. πρὸς δὲ τὸ δεύτερον, ὅτι πάντες οἱ ἐν τῇ Συνόδῳ Ἐπίσκοποι ἐξίσου ὑπάρχουσι κριταί. δεύτερον, ὅτι ἐκτέμνουσιν οἱ πατέρες τῆς Συνόδου καὶ συγκόπτουσι πᾶσαν καινοφωνίαν καὶ ἐπείσακτον καινοτομίαν. ὅπερ ταὐτόν ἐστι τῷ εἰρημένῳ τῷ Ῥώμης Λέοντι παρὰ Κωνσταντίνου τοῦ Πωγωνάτου ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ, κειμένῃ ἐν τῇ δεκάτῃ ὀγδόῃ πράξει τῆς ἑκτῆς Συνόδου, ἤτοι τῷ, καὶ πᾶσαν αἱρετικὴν ἀκοὴν καὶ εἰσήγησιν ἐκτεμεῖν προθυμήθητι. ὥστε αἱ Οἰκουμενικαὶ Σύνοδοι ἀσυγκρίτως μείζονος ἐξουσίας εἰσὶ τῶν τε Πατριαρχῶν καὶ τοῦ Πάπα, καὶ μάτην λοιπὸν θρυλλεῖται ὅτι ὁ Πάπας ἐπὶ τῶν Συνόδων. τρίτον, ὅτι ὅπερ ὁ Πωγωνᾶτος ἔγραφε τῷ Πάπα Λέοντι, ἵνα ἐνεργῶν τὰ ἐκκλησιαστικὰ τέμνῃ ὡς ὁ Πέτρος τὸ οὖς, τοῦτο οἱ Βασιλεῖς νῦν γράφουσι τῇ Συνόδῳ, ὅθεν οὐδὲ τοῦτο τὸ πρόσρημα ἔμεινε μόνῳ τῷ Ῥώμης. πρὸς δὲ τὸ τρίτον, ὅτι λέγει ἐξίσου καὶ μετὰ τῆς αὐτῆς τιμῆς ἀναγνωσθῆναι τὰ γράμματα τοῦ Πάπα καὶ τῶν Πατριαρχῶν, καὶ τὸ δὴ κύριον καὶ ἀξιοσημείωτον, ἵνα ἀπαραλλάκτως ἐξ αὐτῶν γνωσθῇ ποῖόν ἐστι τὸ φρόνημα τῆς καθολικῆς Ἐκκλησίας. καὶ λοιπὸν προφανής ἐστι ματαιότης τὸ τῶν παπιστῶν, ὅτι ὁ Ῥώμης ἰδικῶς ἐστὶ τῆς Ἐκκλησίας Διδάσκαλος.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἐκ τῶν ἐν τῇ Συνόδῳ ῥημάτων Βασιλείου Ἀγκύρας, δείκνυται μερικὴ Ἐκκλησία ἡ Ῥώμης, καὶ ἴσος τοῖς Ἐπισκόποις ὁ Ῥώμης, καὶ οὐ μόνος τοῦ Πέτρου διάδοχος.

Ὁ Ἀγκύρας Βασίλειος Εἰκονοκλάστης ὤν, καὶ βουλόμενος ὀρθοδοξῆσαι, λέγει πρὸς τὴν Σύνοδον, Θεσμοθεσία ἐκκλησιαστικὴ κανονικῶς παραδεδομένη ἄνωθεν καὶ ἐξ ἀρχῆς ἔκ τε τῶν ἁγίων Ἀποστόλων καὶ τῶν αὐτῶν διαδόχων ἁγίων πατέρων ἡμῶν καὶ Διδασκάλων, ἀλλά γε καὶ τῶν ἁγίων καὶ Οἰκουμενικῶν ἓξ Συνόδων καὶ τῶν Τοπικῶν ὀρθοδόξως συναθροισθεισῶν δέχεσθαι τοὺς ἐξ Αἱρέσεων ἐπιστρέφοντας, ὅθεν καὶ ἐγὼ Βασίλειος Ἐπίσκοπος ὁ Ἀγκύρας προαιρούμενος ἐνωθῆναι τῇ καθολικῇ Ἐκκλησίᾳ, Ἀδριανῷ τῷ ἁγιωτάτῳ Πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης, καὶ Ταρασίῳ τῷ μακαριωτάτῳ Πατριάρχῃ, τοῖς τε ἁγιωτάτοις καὶ ἀποστολικοῖς θρόνοις, λέγω δὲ Ἀλεξανδρείας, Ἀντιοχείας καὶ τῆς ἁγίας πόλεως, ἀλλὰ μὴν καὶ πᾶσι τοῖς ὀρθοδόξοις Ἀρχιερεῦσί τε καὶ ἱερεῦσι, ταύτην τὴν παροῦσαν ἔγγραφόν μου ὁμολογίαν ποιοῦμαι, καὶ προσάγω ὑμῖν τοῖς ἐξ ἀποστολικῆς αὐθεντίας λαβοῦσι τὴν ἐξουσίαν. ταῦτα εἰπὼν, καὶ ἀναθεματισμοὺς ἐκτίθησι κατὰ τῶν Εἰκονομάχων. Ἐν οἷς σημείωσαι πρῶτον, ἐκ ποίων ἡ ἀλήθεια τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ ὁ τῆς πίστεως δείκνυται λόγος, καὶ οὐδεμία ἰδικὴ μνήμη τοῦ Πάπα. δεύτερον, ποία ἐστὶν ἡ καθολικὴ Ἐκκλησία, καὶ ὅτι ἡ Ῥώμη μέρος τῆς καθολικῆς Ἐκκλησίας. ἴδε καὶ ἀνωτέρω βιβλίου πέμπτου κεφάλαιον δέκατον ἔνατον ποία ἡ καθολικὴ Ἐκκλησία, καὶ ἔτι βιβλίου ἕκτου κεφαλαίου ἑβδόμου Παράγραφον ἐνδέκατον. τρίτον, ὅτι ἐξίσου ἀριθμεῖται ὁ Πάπας οὐ μόνον μετὰ τῶν Πατριαρχῶν καὶ Ἀρχιερέων, ἀλλὰ καὶ μετὰ τῶν Ἱερέων ἐν τῇ καθόλου Ἐκκλησίᾳ, καὶ τοῦτο, ἐπειδὴ μέρος ἐστὶν αὐτῆς ὡς καὶ οἱ λοιποὶ πάντες καὶ οὐ κεφαλὴ ὡς καινοφωνοῦσιν οἱ παπολάτραι. τέταρτον, ὅτι φησὶ, Καὶ προσάγω ὑμῖν τοῖς ἐξ ἀποστολικῆς αὐθεντίας λαβοῦσι τὴν ἐξουσίαν. καὶ σημείωσαι ὅτι ἀνωτέρω βιβλίῳ ἕκτῳ κεφαλαίῳ ἑβδόμῳ ἐν τῇ ἐπὶ Μαρτίνου Συνόδῳ ἐλέγομεν ὅτι ἡ ἀποστολικὴ αὐθεντία νοεῖται ἢ κανονικὴ ἢ πνευματικὴ πρὸς αὐτιδιαστολὴν τῆς κοσμικῆς καὶ ἀνθρωπίνης, καὶ ἔχειν αὐτὴν ἐλέγετο ἐκεῖτόν τε Μαρτῖνον καὶ τὴν Σύνοδον, ἐνταῦθα δὲ προφανῶς ἰδιαιτάτῳ λόγῳ μόνῃ ἀφωσίωται τῇ Συνόδῳ, καὶ λοιπὸν οὐκ ἔχει τὴν ἀποστολικὴν αὐθεντίαν μόνος ὁ Ῥώμης ὡς Ῥώμης Ἐπίσκοπος. ἀλλὰ μετὰ τῆς οἰκείας Συνόδου καὶ οὐ μόνος, ἀλλὰ καὶ οἱ λοιποὶ Ἐπίσκοποι ἔχουσιν ὡς ἐκεῖνος, καὶ πρὸ πάντων ἔχει αὐτὴν ἀσυγκρίτως ἡ κοινότης τῆς καθολικῆς Ἐκκλησίας. πέμπτον, ὅτι πάντες οἱ Ἐπίσκοποι πάντων τῶν Ἀποστόλων εἰσὶ διάδοχοι ἐξίσου, καὶ λοιπὸν ψεῦδος, ὅτι μόνος ἐστὶν ὁ Ῥώμης τοῦ Πέτρου.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἐκ τῆς πρὸς Ῥουφῖνον ἐπιστολῆς τοῦ μεγάλου Ἀθανασίου τῆς ἐν τῇ πρώτῃ πράξει ἀναγνωσθείσης, καὶ ἐκ τῆς ἐρωτήσεως τοῦ Ῥουφίνου, δείκνυται εἶναι τὸ κῦρος τῶν Συνόδων, καὶ ἴσον τοῖς Ἐπισκόποις τὸν Ῥώμης.

Ἐν τῇ αὐτῇ πράξει ἀνεγνώσθη ἡ πρὸς Ῥουφῖνον τοῦ ἁγίου Ἀθανασίου ἐπιστολὴ, ἐν ᾗ γενομένου λόγου περὶ τῶν ἀπὸ Ἀρειανῶν ἐπιστρεφόντων, ὁ Ῥουφῖνος ἠρώτησε τὸν ἅγιον περὶ τούτων, εἰ προσδεκτέοι παρὰ τῆς Ἐκκλησίας, καὶ οὐκ ἠρώτησε τὶ δοκεῖ τῷ Πάπᾳ τῆς Ῥώμης, ἢ τὶ ὡρίσατο ὁ Πάπας περὶ αὐτῶν, ἀλλ' ἠρώτησε

ἠρώτησε τί ἔδοξε ταῖς Συνόδοις, καὶ ἀπελθὼν ὁ
αὐτὸς γράφει, ὅτι γέγονε Σύνοδος (ἐν Ἀλεξανδρείᾳ) παρόντων καὶ τῶν ἀπὸ τῶν ἔξω μερῶν Ἐπισκόπων, γέγονε δὲ καὶ σὺν τοῖς τῶν Ἑλλάδα κατοικοῦσι συλλειτουργοῖς, ἔδοξε δὲ ἅπαν καὶ τοῖς ἐν Ἰσαυρίᾳ καὶ Γαλλίᾳ, καὶ ἥρεσεν ὅπερ ἔδοξε πανταχοῦ, ταῦτα καὶ ἡ Ῥώμη ἐγράφη, καὶ ἀπεδέξατο ἡ Ῥωμαίων Ἐκκλησία, ταῦτα καὶ τῇ σῇ δυλαβείᾳ δηλῶ θαρρῶν, ὅτι τὰ δόξαντα ἀποδέξεται σου ἡ θεοσέβεια. καὶ σημείωσαι ὅτι αἱ Σύνοδοι ἔχουσι τὸ κῦρος ἐν τῇ Ἐκκλησίᾳ, τὸ δὲ Ῥώμης ἐν τοιούτοις μεγάλοις πράγμασι καὶ μάλιστα μεγίστοις· δὲ καὶ μνήμη ἐγένετο ψιλή, ἀλλ' ὁμοῦ διορισμὸς ἐγένετο σὺν τῇ ἐν Ἀλεξανδρείᾳ Συνόδῳ, ὡς ἔρρηται ἀνωτέρω βιβλίῳ δευτέρῳ κεφαλαίῳ δωδεκάτῳ, ἡ δὲ αἵρεσις ἐγένετο παρὰ τῶν ἁπανταχοῦ Συνόδων, καὶ ἡ Ῥωμαίων Ἐκκλησία ἀπεδέξατο, ὡς ἀπεδέξατο καὶ ὁ Ῥεφῖνος, καὶ ἐγράφη πρὸς αὐτὸν, ὡς ἐγράφη καὶ τῷ Ῥεφίνῳ πρὸς αἵρεσιν, δηλονότι βεβαίωσιν καὶ συμφωνίαν, καθ' ὃν τρόπον λέγεται κατωτέρω σὺν τῇ αὐτῇ πράξει. χρήσας δὲ τὰ ἁγία Σάββα, ὅτι τῆς πέμπτης Οἰκουμενικῆς Συνόδου τὰ πρακτικὰ ἀπέστειλαν ὁμοίως Ἰουστινιανὸς εἰς Ἱερουσαλὴμ, καὶ πάντων τῶν κατὰ Παλαιστίνην Ἐπισκόπων χαίρει καὶ σώματι ταῦτα βεβαιωσάντων καὶ κυρωσάντων, μόνος Ἀλέξανδρος ὁ Ἀβίλης Ἐπίσκοπος οὐκ ἐδέξατο· καὶ σημείωσαι, ἥρεσε ταῖς Συνόδοις, ἀπεδέξατο ἡ Ῥωμαίων Ἐκκλησία, ἀπεδέξατο ὁ Πρεσβύτερος Ῥεφῖνος, ἀκύρωσαν καὶ ἐβεβαίωσαν οἱ Ἐπίσκοποι, οὐκ ἐδέξατο ὁ Ἀβίλης, ἐξ ὧν πάντων δείκνυται ἰσότης καὶ συμφωνία, ὁμοναρχία καὶ ἰδικὴ ἐξουσία.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι οὐκ ἐν τῇ δευτέρᾳ πράξει τοῦ Γρηγορίου τοῦ Νεοκαισαρείας λεχθέντων, δείκνυται εἶναι μόνην τὴν Συνόδου καθόλου Διδάσκαλον ἀναμάρτητον, τὸν δὲ Ῥώμης οὐκ ἐν τῆς Συνόδου καὶ ἀμαρτωλόν.

Ἐν τῇ δευτέρᾳ πράξει σημείωσαι πρῶτον, Γρηγόριος ὁ Νεοκαισαρείας ὁπὸ Εἰκονομάχων τῇ ὀρθοδοξίᾳ προσετέθη, εἶπον, Νίκα πᾶσα ἡ ὁμή, υρις αὕτη τὸ σὸν φρονεῖ καὶ λαλεῖ, ἔμαθον καὶ ἐπληροφορήθην, ὅτι ἡ ἀλήθεια αὕτη ἐστὶν ἡ νυὶ ζητουμένη καὶ κηρυσσομένη. καὶ σημείωσαι ὅτι οὐκ ἠρώτησε τί φρονεῖ ὁ Ῥώμης, καὶ τί διδάσκουσιν οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης, ἀλλὰ τὴν συμφωνίαν τῆς Συνόδου προσέβαλε τῆς πίστεως τὸ θεμέλιον, ὥστε ἡ Σύνοδος ὑπὲρ τὸν Ῥώμης, καὶ μόνη αὕτη ἐστὶ καὶ Διδάσκαλος ἐξαίρετος καὶ ἀναμάρτητος, ὁ δὲ Ῥώμης καὶ διδάσκεται καὶ ἁμαρτίας ὑποκείται.

Ὅτι οὐκ ἐκ τῆς ἀληθοῦς ἐξηγήσεως τῆς περὶ τοῦ Βασιλέως ἀναφορᾶς τοῦ Πάπα Ἀδριανοῦ, καὶ ὡς κατὰ τὴν ἔξωθεν ψευδωνύμου γραφὴν τῶν Λατίνων καὶ ψευδερμηνείαν Ἀναστασίου τοῦ Βιβλιοθηκαρίου, καὶ ἐξ ἑτέρων πλείστων ἀποδείξεων, καὶ οὐκ ἐκ τῶν κατὰ διαίρεσιν οὐτωῦθα ἀπαριθμουμένων, ἀναιρεῖται πᾶσα μοναρχία τοῦ Ῥώμης μετὰ τῶν ψευδερμηνειῶν καὶ ψευδομαρτύρων τῶν Λατίνων.

Ἀνεγνώσθη ἡ ἀναφορὰ τοῦ Πάπα Ἀδριανοῦ πρὸς τὸν Βασιλέα, ἐν ᾗ σημείωσαι πρῶτον, ὅτι ἀνεγνώσθη κατὰ κέλευσιν βασιλικὴν, οὐκ ἐξαιρέτῳ τινὶ τρόπῳ, ἀλλὰ κατὰ τὸν αὐτὸν καθ' ὃν γέγονε κέλευσις ἀναγνωσθῆναι καὶ τὰ γράμματα τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς. δεύτερον, ἐν πάσῃ τῇ ἀναφορᾷ ἀναμφιβόλως δείκνυται, ὅτι μονώτατοι οἱ Βασιλεῖς ἠθροίκασι τὴν Σύνοδον, ὃς καὶ ὁ Πάπας μυρίοις ἐγκωμίοις κατασέφει καὶ ἐγκωμιάζει ὡς αἰτίους τῆς ὑψώσεως τῇ ὀρθοδοξίας, καὶ δι' ὧν ἀναγνωρίζεται ἡ καθολικὴ καὶ ἀποστολικὴ τοῦ Χριστοῦ Ἐκκλησία, καὶ δείκνυται. ὅτι ὁ Πάπας τοῦ ἀθροισθῆναι τὴν σύνοδον τόσον συνέβαλον, ὅσον καὶ πᾶς Ἐπίσκοπος, κληθεὶς γὰρ, ἦλθον ὡς καὶ οἱ λοιποὶ Πατριαρχικοὶ θρόνοι, καὶ ἔδοξε πλέον. τρίτον, ἐκεῖνο, ὅπερ γράφει ὁ Πάπας, ὅτι ὁ Κωνσταντῖνος καὶ ἡ Ἑλένη τὴν ὀρθόδοξον πίστιν ἐτράνωσαν καὶ ἐβεβαίωσαν, συνοείκασιν ὅτι γενομένων Χριστιανῶν καὶ φρονησάντων διὰ τὴν εὐσέβειαν, ἐγένοντο Χριστιανοὶ τόσοι καὶ τόσοι, ἐβεβαίωσαν δὲ τὴν ὀρθοδοξίαν διὰ τῆς Οἰκουμενικῆς πρώτης Συνόδου, ἐν τρόπον εἶρηται περὶ αὐτῆς ἀνωτέρω ἐν τῷ ἰδίῳ τόπῳ. τέταρτον, λέγει, ὅτι Κωνσταντῖνος καὶ Ἑλένης ὑπέπλεον τὴν ἁγίαν μητέρα ὑμῶν τὴν καθολικὴν καὶ Ῥωμαϊκὴν καὶ πνευματικὴν Ἐκκλησίαν ὑψωσάντων. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι εἰ λέγει διὰ τὸ Θέσπισμα, ἀλλ' ἐκεῖνο ψεῦδος ἀποδείχθη λαμπρόν. δεύτερον, ὅτι εἰ ὑπέπλεον αὐτὴν ὕψωσαν, οὐκ ἔχει τὸ μεγαλεῖον ἀπὸ τοῦ Χριστοῦ ἢ τοῦ Πέτρου, ἀλλὰ ἀπὸ τῶν Βασιλέων. τρίτον, πᾶσα Ἐκκλησία ἁγία μήτηρ ἐστὶ τῶν Χριστιανῶν καὶ αὐτῶν τῶν Βασιλέων διὰ τὴν αὐτὴν διδασκαλίαν καὶ τὰ αὐτὰ Μυστήρια, ἅπερ ἔχει μετὰ τῆς καθολικῆς Ἐκκλησίας, καὶ ἔρρηται ἀνωτέρω ἐν πολλοῖς, ὅτι οὐ μόνον αἱ Πατριαρχικαὶ, ἀλλὰ καὶ αἱ τῶν Μητροπολιτῶν, καὶ πολλάκις καὶ αἱ τῶν Ἐπισκόπων λέγονται καθολικαὶ Ἐκκλησίαι διὰ τὴν αὐτὴν αἰτίαν. ἔτα καὶ πᾶσα Ἐκκλησία ἁγία πνευματικὴ ἐστὶ πρὸς ἀνθρωπολατρείαν τῶν κοσμικῶν ἀφαιρέσεων καὶ σωματικῶν, ὅτι δὲ διὰ τούτων ὁ Ἀδριανὸς οὐ βούλεται

οὐβούλεται εἰπεῖν τὴν Ἐκκλησίαν τῆς Ῥώμης καθολικὴν ἁπλῶς, ἀλλὰ μερικὴν αὐτὴν ἐγίνωσκε καὶ μέρος τῆς καθολικῆς, φανερόν ἐστι, καὶ γὰρ ταῦτα εἰπὼν, εἶπε, Καὶ Ῥωμαϊκὴν, ἵνα δείξῃ περὶ ποίας Ἐκκλησίας ὁ λόγος αὐτῷ ἦν. Ὑψωσάντων δὲ εἶπεν, ἀντὶ τοῦ διὰ τῆς ὀρθοδοξίας ἐπολυπλασίασαν οἱ Βασιλεῖς τοὺς ἐν αὐτῇ Χριστιανοὺς, καὶ ὅτι αὐτὴν τὴν τῆς Ῥώμης Ἐκκλησίαν ηὐλαβήθησαν, ὡς ἐν αὐτῇ φανερώσαντες τὴν γνώμην αὐτῶν περὶ τῆς εὐσεβείας, πλὴν φανερὸν ἐστὶν, ὅτι οὐ μόνον τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν ὕψωσαν, ἀλλὰ καὶ πᾶσαν Ἐκκλησίαν. εἰς τοῦτο συντρέχει καὶ ὅπερ ὁ Πρεσβύτερος Ἀλύπιος γράφει τῷ ἁγίῳ Κυρίλλῳ, λέγων, Ὁ Ἀθανάσιος τὴν ὀρθοδοξίαν ἀνέστησε, καὶ τὸν ἅγιον Μάρκου τοῦ Εὐαγγελιστοῦ θρόνον ὕψωσε, τουτέστιν αἰδεσιμώτερον ἐποίησεν, ὅπερ καὶ παντὶ τοιούτῳ Ἐπισκόπῳ ἴδιόν ἐστι στηρίζειν δηλονότι τὴν ὀρθοδοξίαν καὶ ὑψοῦν τὴν κατ' αὐτὸν Ἐκκλησίαν, ἀλλὰ δὴ καὶ παντὶ τοιούτῳ Βασιλεῖ, ὁ γὰρ μέγας Θεοδόσιος ὕψωσε τὴν Κωνσταντινούπολιν, καὶ ὁ μέγας Ἰουστινιανὸς τὴν Ἀχρίδα καὶ τὴν Καρθαγένην, περὶ οὗ καὶ ὁ Πάπας Ἀγάθων ἐν τῇ ἀναφορᾷ φησὶν, Ὁ Ἰουστινιανὸς τὴν πολιτείαν τῶν Χριστιανῶν ὕψωσε, καὶ Ἰουστινιανὸς ὁ δεύτερος τὴν Κύπρον. ὅθεν ἐπιφέρει Ὁ Ἀδριανὸς μετὰ τὸ ταῦτα εἰπεῖν καὶ τοὺς μετ' ἐκείνους πάλιν, ἤτοι Κωνσταντῖνον καὶ Ἑλένην, Τῶν ὀρθοδόξων προβεβασιλευκότων ὑμῶν καὶ κρατησάντων, καὶ οὕτως ἀναδειχθήσεται καὶ τὸ ὑμέτερον εὐσεβέστατον καὶ θεοδώρητον ὄνομα νέου Κωνσταντίνου καὶ νέας Ἑλένης ἐν πάσῃ τῇ Οἰκουμένῃ ἐπαινετὸν διαφημιζόμενον, δι' ὧν ἡ ἁγία καὶ καθολικὴ Ἐκκλησία ἀνακαινίζεται, ὅπερ ταὐτόν ἐστιν, ὅτι ἡ καθολικὴ Ἐκκλησία παρὰ τῶν Βασιλέων ὑψοῦται, ἤτοι τρανοῦται, βεβαιοῦται καὶ κραταιοῦται, ὡς εἶπε ταῦτα ῥητῶς ἐνταῦθα ὁ Ἀδριανός. τέταρτον, ὅτι δὲ, λέγομεν πάλιν, ὁ Ἀδριανὸς οὐκ εἶχε σκοπὸν μοναρχίας, ἀλλὰ ὀρθῶς φρονοῦσαν τότε τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν καὶ περὶ τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων, διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως (καὶ γὰρ ὡς φαίνεται ἀπὸ τῆς πρὸς τὸν Ταράσιον ἐπιστολῆς ὑπωπτεύετο καὶ αὐτὸν τὸν Ταράσιον ἵνα μὴ ἐπιστρέψῃ πρὸς τὴν Εἰκονομαχίαν) ἐτίμα, ἵνα ἑλκύσῃ τοὺς Βασιλεῖς εἰς τὸ αὐτὸ σέβας, δῆλον, καὶ γὰρ οὐκ εἶπεν, ἵνα ἐξακολουθήσῃ τὸ θεοδώρητον ὄνομα τῶν Βασιλέων ἐξαιρέτως τῷ Πέτρῳ, ἢ τῷ ἐξαιρέτως βικαρίῳ τοῦ Πέτρου Πάπᾳ, ἀλλ' ἵνα τῇ παραδόσει τῆς πίστεως τῆς Ἐκκλησίας τοῦ ἁγίου Πέτρου καὶ Παύλου τῶν κορυφαίων Ἀποστόλων ἐξακολουθήσῃ, καὶ ἐναγκαλίσηται τὸν βικάριον αὐτῶν, καθὼς καὶ οἱ ἐξ ἀρχῆς προηγησάμενοι Βασιλεῖς καὶ ἐτίμησαν τὸν βικάριον αὐτῶν, καὶ ἠγάπησαν ἐξ ὅλης τῆς καρδίας αὐτῶν. Τιμήσῃ δὲ τὸ ὑμέτερον θεοδώρητον κράτος τὴν Ῥωμαϊκὴν ἁγιωτάτην Ἐκκλησίαν τῶν κορυφαίων Ἀποστόλων, οἷς ἐδόθη ἐξουσία παρ' αὐτοῦ τοῦ Θεοῦ Λόγου λύειν τε καὶ δεσμεῖν ἁμαρτίας ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ γῇ. Ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ὡς ἦν ὁ Πάπας τοῦ Παύλου βικάριος, οὕτως ἦν καὶ τοῦ Πέτρου, ἀλλὰ τοῦ Παύλου ἦν καθὸ Ἀποστόλου καὶ οὐχ ὡς μονάρχου, οὕτως ἄρα ἦν καὶ τοῦ Πέτρου. δεύτερον, ὡς ἦν κορυφαῖος Ἀπόστολος καὶ κορυφαῖος τῶν Ἀποστόλων ὁ Παῦλος, τῷ αὐτῷ τρόπῳ ἦν καὶ ὁ Πέτρος, ἀλλαμὴν ὁ Παῦλος οὐκ ἦν κορυφαῖος ὡς μονάρχης, ἄρα οὐ δὲ ὁ Πέτρος ἦν κορυφαῖος ὡς μονάρχης. τρίτον, ὡς ἦν τοῦ Πέτρου καὶ τοῦ Παύλου Ἐκκλησία ἡ Ῥωμαϊκὴ Ἐκκλησία, ἦν Ἐκκλησία αὐτῶν καὶ πᾶσα Ἐκκλησία ἐν ᾗ ἐδίδαξαν, οὐκ ἔχουσι δὲ αἱ τοιαῦται Ἐκκλησίαι μοναρχίας ἐξουσίαν, ἄρα οὐ δὲ ἡ Ῥωμαϊκή. τέταρτον, ὡς ἐδόθη τῷ Πέτρῳ ἡ ἐξουσία τοῦ λύειν καὶ δεσμεῖν ἁμαρτίας ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ γῇ, οὕτως ἐδόθη καὶ τῷ Παύλῳ, ἀλλαμὴν τῷ Παύλῳ ἐδόθη κατὰ τοὺς λοιποὺς Ἀποστόλους, ἄρα καὶ ἣν ἔχει τοιαύτην ἐξουσίαν ὁ Πέτρος, ἐστὶ κατὰ τὴν τῶν λοιπῶν Ἀποστόλων, ἐπειδὴ ἐξίσου ἐρρέθη πᾶσι τὸ, Ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἂν τινων κρατῆτε, κεκράτηνται. πέμπτον, ὡς ἐδόθη τῷ Πάπᾳ παρὰ τοῦ Χριστοῦ διὰ τῶν Ἀποστόλων τὸ λύειν καὶ δεσμεῖν ἁμαρτίας ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ γῇ, ὡσαύτως ἐδόθη καὶ πᾶσι τοῖς λοιποῖς Ἐπισκόποις, φησὶ γὰρ Γρηγόριος ὁ Πάπας ἐπιστολῇ δευτέρᾳ πρὸς τὸν Ἴσαυρον, Γρηγόριος ὁ Πάπας Ῥώμης καὶ Γερμανὸς ὁ Πατριάρχης Κωνσταντινουπόλεως ἀναδεχόμεθα τὸ σφάλμα τῆς ἁμαρτίας, ὡς λαβόντες παρὰ Κυρίου τὴν ἐξουσίαν καὶ αὐθεντίαν λύειν τὰ ἐπίγεια καὶ τὰ ἐπουράνια, καὶ ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίου δεκάτου ἐνάτου Παράγραφον πέμπτον. ἕκτον, περὶ τῶν ᾀδομένων περὶ Σιλβέστρου καὶ τοῦ μεγάλου Κωνσταντίνου ἐξίσου γράφει ἐνταῦθα ὁ Ἀδριανὸς, ὅτι ἐφαίησαν καὶ ἐνήργησαν ὅ,τε Πέτρος καὶ ὁ Παῦλος, καὶ ὡσαύτως Θεοὶ ἐκλήθησαν, καὶ ἐξίσου παρέδωκαν τὸ περὶ τῶν ἁγίων Εἰκόνων σέβας, ὥστε καὶ ὁ Ῥώμης ἐξίσου αὐτῶν καὶ κατὰ τὸν αὐτὸν τρόπον διάδοχός ἐστιν, οὐκ ἦν δὲ ὁ Παῦλος μονάρχης. ἄρα οὐ δὲ ὁ Ῥώμης. ἕβδομον, κατωτέρω εἰς βεβαιοτέραν πίστιν περὶ τῶν ἁγίων Εἰκόνων φησὶν ὁ Ἀδριανὸς, Καὶ πάντες οἱ ὀρθόδοξοι καὶ χριστιανικώτατοι Βασιλεῖς σὺν πᾶσι τοῖς Ἱερεῦσι καὶ τῷ χριστιανικωτάτῳ λαῷ κατὰ τὴν ἀρχαίαν παράδοσιν τῶν ἁγίων πατέρων ἐδέξαντο, ὅπερ ταὐτόν ἐστι τῷ, ἡ Ἐκκλησία οὐκ ἔχει ἐξαίρετον ἢ μόνον τὸν Ῥώμης Διδάσκαλον, ἀλλὰ τοὺς Ἀποστόλους καὶ ἁγίους πατέρας, ὡς ἔλεγεν ἀνωτέρω καὶ ὁ Ἀγκύρας Βασίλειος, καὶ τοὺς ἁγίους πατέρας φέρει μάρτυρας βεβαιοῦντας τὰ ἐν τῇ ἀναφορᾷ δόγματα αὐτοῦ, Αὐγουστῖνον, Νύσσης, Βασίλειον, Χρυσόστομον, Κύριλλον, Ἀθανάσιον, Ἀμβρόσιον, Ἐπιφάνιον, Στέφανον Βόστρων καὶ Ἱερώνυμον. ὄγδοον, ὅτι δὲ τῆς ἰδίας Ἐκκλησίας τὰ δίκαια λέγων, ἐνίοτε τὴν Ῥώμην καὶ διὰ τὴν εἰρημένην αἰτίαν, καὶ ἴσως καὶ διὰ φιλοτιμίαν ἀνθρωπίνην ἐτίμα παρὰ τὸ προσῆκον ὁ Ἀδριανὸς, δῆλον, γράφει γὰρ κατωτέρω, ὅτι οἱ Πάπαι Γρηγόριος καὶ Γρηγόριος, Ζαχαρίας, Στέφανος, Παῦλος καὶ ἄλλος Στέφανος ἔγραψαν εἰς Λέοντα τὸν Ἴσαυρον καὶ εἰς Κωνσταντῖνον τὸν υἱὸν αὐτοῦ περὶ τῶν Εἰκόνων, σιωπᾷ δὲ τὸν ἅγιον

Γερμανὸν

Γερμανὸν τὸν πρῶτον πάντων τοῦ Ἰσαύρου ἀντίπαλον καὶ Ἰωάννην τὸν Δαμασκηνὸν καὶ ἄλλους τῆς Ἐκκλησίας Καθηγεμόνας, ἀτιταξαμένους τῷ Κοπρωνύμῳ καὶ ἁπλῶς τοῖς Εἰκονομάχοις. ἀλλ' εἰ ὁ Ἀδριανὸς δόξαν θηρώμενος τῆς κατ' αὐτὸν Ἐκκλησίας τοὺς ἐγκρίτους ἁγίους ἀπεσιώπησεν, ἡ Οἰκουμενικὴ ὅμως Σύνοδος ἐν τῇ ἑβδόμῃ αὐτῆς πράξει τούτους ῥητῶς ἐνεκωμίασεν. ὅτι δὲ ἀξιολογώτεροι ἐλέγκται τῶν Εἰκονομάχων ἦσαν Γερμανὸς, Δαμασκηνὸς καὶ Γεώργιος μᾶλλον τῶν Παπῶν, μάρτυς καὶ αὐτὴ ἡ τῶν Εἰκονομάχων Σύνοδος, τοὺς μὲν τρεῖς τούτους ῥητῶς ἀναθεματίσασα, τῶν δὲ Παπῶν μηδένα λόγον ποιήσασα. ἔνατον, ὁ Ἀδριανὸς γράφει πρὸς τοὺς Βασιλεῖς, Δυσωπῶ δὲ μετὰ μεγάλου πόθου καρδίας τὴν ὑμετέραν πραότητα, καὶ ὡς παρὼν γονυπετῶ, καὶ τοῖς ὑμετέροις ἴχνεσι κυλινδούμενος ἱκετεύω. ὅπερ σημεῖόν ἐστιν ὅτι οὐκ ἐφρόνει ὁ Ἀδριανὸς εἶναι τὸν Πάπαν ὑπὲρ τοὺς Βασιλεῖς, ἐπειδὴ ὡς Δεσπότας αὐτοῦ προσκαλεῖται, καὶ τοῖς ἴχνεσιν αὐτῶν γονυπετῶς κυλινδοῦται, ὅπερ τοὺς νῦν Πάπας εἰπεῖν πρὸς τοὺς μετὰ τὸ σχίσμα Αὐτοκράτορας, οὐ δὲ φορητὸν ἐστὶν ἀκοῦσαι. ὁ δὲ Ἀδριανὸς τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν οὐ μοναρχικὴν, ἀλλὰ δουλικὴν γινώσκων, ὡς ἔγραφε καὶ ὁ Ἀγάθων τῷ Πωγωνάτῳ καὶ ὁ Μαρτῖνος τῷ Κώνστᾳ, μόνος ἀπῆλθεν εἰς τὴν Φράντζαν εἰς τὸν τότε Ῥῆγα διὰ βοήθειαν, καὶ ὁ Πάπας Ζαχαρίας μόνος ἀπῆλθεν πρὸς τὸν Βασιλέα τῶν Λογγιβάρδων ἵνα εἰρηνοποιήσῃ αὐτὸν, ἐπειδὴ τότε, ὡς εἴρηται, οὐκ ἦν ἐν τῇ Ῥώμῃ ἡ νῦν ὀφρῦς καὶ τὸ ὕψος τῆς μονότητος. δέκατον, οἱ παπισταὶ ἐν τοῖς ἄνωθεν εἰρημένοις ῥήμασι τοῦ Ἀδριανοῦ παραγράφουσιν ἔξωθεν, ὡς δῆθεν εἶναι τοῦ Ἀδριανοῦ τὰ ῥήματα οὐκ ἐκεῖνα τὰ ἀνωτέρω εἰρημένα, ἀλλὰ ταῦτα, Ἤτοι καὶ τὴν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν πνευματικὴν ὑμῶν μητέρα Ῥωμαϊκὴν Ἐκκλησίαν ὑψωσάντων, καὶ μετὰ τῶν λοιπῶν ὀρθοδόξων Βασιλέων οἷα πασῶν τῶν Ἐκκλησιῶν κεφαλὴν σεβασαμένων. ταῦτα οἱ σοφισταί. Ἀλλὰ ῥητέον πρῶτον, ἁγία καθολικὴ ἀποστολικὴ καὶ πνευματικὴ καὶ πᾶσα Ἐκκλησία λέγεται διὰ τὴν ἄνωθεν αἰτίαν. δεύτερον, τὸ Ῥωμαϊκὴν, μερικὴν αὐτὴν δείκνυσι, κἂν διὰ ῥραγῶσιν οἱ σοφισταὶ διαιρέσεις ἐφευρίσκοντες. τρίτον, ὡς ἐσεβάσθησαν τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν οἱ Βασιλεῖς, ἐσεβάσθησαν καὶ τοὺς ἄλλους Πατριαρχικοὺς θρόνους καὶ πολλοὺς ἰδικῶς τῶν ἁγίων πατέρων, κεφαλὴν δὲ οὐκ οἴδασι τὴν Ἐκκλησίαν Ῥωμαίων, ἀλλὰ μετὰ τὴν δευτέραν Οἰκουμενικὴν κατὰ μόνην τὴν τάξιν, εἰ δὲ καὶ ἄλλῳ τινὶ τρόπῳ εἶπον αὐτὴν κεφαλὴν, ἦν ὁ τρόπος ἡ εὐλάβεια καὶ ἡ τότε πολλῶν Ἐκκλησιῶν ἐπίσκεψις αὐτῆς, ἀλλὰ κατὰ τοῦτον τὸν τρόπον κεφαλὴν εἶπον οἱ ἅγιοι πατέρες καὶ πολλοὺς ἑτέρους Ἐπισκόπους καὶ Μητροπολίτας. τέταρτον, ὁ μέγας Κωνσταντῖνος ἐσεβάσθη τὸν Πάπαν, ὅτι οὐ μόνον, ἀλλὰ μετὰ καὶ ἄλλων Ἐπισκόπων προσέταξεν ἵνα γένηται Σύνοδος καὶ κριθῇ ὁ Καρθαγένης Καικιλιανὸς, καὶ κατὰ Ἀρείου οὐ τῷ Πάπᾳ ἐπίστευσεν, ἀλλὰ Σύνοδον ἤγειρε, καὶ ἐν Τύρῳ καὶ ἐν ἄλλοις τόποις Σύνοδους ἤθροισε καὶ δι' ἐκείνων ἐνήργει, τοῦ δὲ Πάπα μόνου οὐδεὶς λόγος. ὁ υἱὸς αὐτοῦ Κωνσταντῖνος τὰς ἀποφάσεις τοῦ Πάπα Ἰουλίου καὶ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας περὶ Ἀθανασίου καὶ Παύλου διόλου ἀνεῖλε καὶ Σύνοδους ἤθροισε κατ' αὐτῶν, καὶ τῷ Πάπᾳ Λιβερίῳ ἔλεγε, Ποστὸν εἶ μέρος τῆς Οἰκουμένης, εἶτα ἐξώρισε, καὶ τὴν ἀρειανικὴν Αἵρεσιν στηρίξαι ἐβίασεν, ὥσπερ ὁ Ἀθανάσιος τὴν ὀρθοδοξίαν. ὁ Οὐαλεντιανὸς ἰδίᾳ προσταγῇ Σύνοδους ἤθροισεν ἄνευ τῆς τοῦ Πάπα εἰδήσεως, καὶ τὸν Ἀμβρόσιον Μεδιολάνων Ἐπίσκοπον ἐποίησε διὰ τῆς Σύνοδου τῆς Ἐπαρχίας, τοῦ δὲ Πάπα οὐδεὶς λόγος. ὁ αὐτὸς μέγας Οὐαλεντιανὸς δύο γυναῖκας λαμβάνειν ἕκαστον Χριστιανὸν ἐνομοθέτησε κατὰ πρόσωπον τοῦ Πάπα. ὁ Ἰοβιανὸς οὐ τὸν Πάπαν, ἀλλὰ τὸν μέγαν Ἀθανάσιον ἠρώτησε περὶ πίστεως, καὶ ἐκείνῳ ἐπείθετο μᾶλλον πάντων, καὶ ὁ Ἀθανάσιος δοὺς αὐτῷ ἔγγραφον τὴν πίστιν, διὰ τῆς κοινότητος ἐβεβαίου, οὐ διὰ τοῦ Πάπα. ὁ μέγας Θεοδόσιος ἐν ἴσῃ τιμῇ εἶχε τὸν Πάπαν Δάμασον καὶ τὸν Ἀλεξανδρείας Πέτρον, καὶ μᾶλλον ηὐλαβήθη τὸν Θεσσαλονίκης Ἀσχόλιον, καὶ ἐπείθετο, καὶ ἐτίμα πάντων μᾶλλον τὸν Ἀντιοχείας Μελέτιον, καὶ Σύνοδον ἤγειρε μόνων τῶν ὑπ' αὐτῷ Ἐπισκόπων, καὶ τὸν Ἀμβρόσιον μᾶλλον ἐσεβάσθη τοῦ τε Ῥώμης καὶ τοῦ Κωνσταντινουπόλεως, καὶ διὰ Φλαυϊανὸν τὸν Ἀντιοχείας τὴν Ῥωμαίων Ἐκκλησίαν σφοδρῶς ἐπετίμησεν. ὁ Ἀρκάδιος τῆς Ῥωμαϊκῆς Ἐκκλησίας τοὺς πρέσβεις εἰς οὐδὲν ἐλογίσατο, καὶ τοῦ Πάπα Ἰννοκεντίου τὰς ἀγανακτήσεις τὰς πολλὰς καὶ τὰς πρεσβείας ὑπὲρ τοῦ Χρυσοστόμου εἰς οὐδὲν ἐλογίσατο. ὁ μικρὸς Θεοδόσιος κατὰ Νεστορίου οὐ τῷ Πάπᾳ, ἀλλὰ τῇ Οἰκουμενικῇ Σύνοδῳ ἔδωκε τὴν ἐξουσίαν, καὶ κατὰ Εὐτυχοῦς Σύνοδον ἀθροίσας, οὐ τῷ Πάπᾳ, ἀλλὰ τῷ Ἀλεξανδρείας Διοσκόρῳ δέδωκε τὴν αὐθεντίαν καὶ τὸν Πάπαν Λέοντα ἱκετεύοντα, ὀδυρόμενον καὶ θρηνοῦντα καὶ τοὺς Βασιλεῖς τῆς Δύσεως μεσίτας προβάλλοντα ἵνα ὁρίσῃ Σύνοδον γενέσθαι ἐν Ἰταλίᾳ διόλου παρεῖδεν. ὁ Μαρκιανὸς πρὸς λύσιν τῶν ἀμφιβολιῶν περὶ τῶν δύο ἐπὶ Χριστοῦ φύσεων τὴν ἐν Χαλκηδόνι Σύνοδον ἤθροισεν, ἐν ᾗ καὶ τὴν αὐθεντίαν ἔδωκε τῷ Πάπᾳ Λέοντι, ἀλλὰ φυσιωθέντα, καὶ κατὰ τῶν πρεσβείων τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως ἀντιστάντα καὶ γράφοντα καὶ πρὸς αὐτὸν καὶ πρὸς τὴν Βασίλισσαν εἰς οὐδὲν ἐλογίσαντο, ἀλλ' ἀπέβαλον ὡς παραλογιζόμενον. Λέων ὁ μέγας, ἀναφορὰν πρὸς αὐτὸν πεμψάντων τῶν Ἀλεξανδρινῶν κατὰ Τιμοθέου τοῦ Αἰλούρου, οὐ τὸν Πάπαν ἰδικῶς, ἀλλὰ κοινῶς τὸν Κωνσταντινουπόλεως καὶ Ῥώμης καὶ πάντας τοὺς ἐγκρίτους τῶν Μητροπολιτῶν καὶ τὰς Σύνοδους αὐτῶν ἠρώτησε περὶ τῆς ἀληθείας καὶ τοῦ πρακτέου. Ἰουστῖνος ὁ Θρᾷξ Σύνοδον ἤγειρεν ἐν Κωνσταντινουπόλει, καὶ ἄνευ προτροπῆς ἢ εἰδήσεως τοῦ Πάπα ἐνέταξε τὰς τέσσαρας Συνόδους καὶ Λέοντα τὸν Ῥώμης ἐν τοῖς Διπτύχοις, καὶ τοὺς ἀναθεματιζομένους ὑπὸ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας

υθύμιον

Εὐθύμιον καὶ Μακεδόνιον τοὺς Κωνσταντινουπόλεως Πατριάρχας ἐνέθηκε καὶ αὐτοὺς ἐν τοῖς Διπτύχοις, καὶ τὰ λείψανα αὐτῶν μετεκόμισεν εἰς Κωνσταντινούπολιν, καὶ ὁ Κωνσταντινουπόλεως Πατριάρχης ἐπ' αὐτοῦ ἐφημίζετο Οἰκουμενικὸς καὶ πατὴρ πατέρων. ὁ μέγας Ἰουστινιανὸς τὸν Πάπαν Ἀγαπητὸν οὐ μετὰ τεθρίππου, ἀλλ' ἱππότην ἀνήγαγεν ἀπὸ Πελοποννήσου εἰς Κωνσταντινούπολιν, καὶ μετὰ τὰς πολλὰς δεήσεις καὶ ἱκεσίας ἐνέδωκεν ἵνα θεωρήσῃ τὰ κατὰ Ἄνθιμον τὸν Αἱρετικὸν, καὶ τοῦτο, οὐχ ὡς μονάρχης, ἀλλὰ μετὰ τῆς Συνόδου τῆς Διοικήσεως, καὶ τὸν Πάπαν Σιλβέριον ἐξώρισε, καὶ τὸν Πάπαν Βιγίλιον ἔφερεν ἀπὸ Ῥώμης εἰς Κωνσταντινούπολιν δέσμιον, καὶ πολλὰς αἰσχύνας αὐτῷ πεποίηκε, καὶ τέλος ἐξώρισεν. ὁ Ἰουστῖνος ὁ μετὰ Ἰουστινιανὸν ἑαυτὸν μᾶλλον τοῦ Πάπα τῆς καθολικῆς Ἐκκλησίας Διδάσκαλον σεσβάσμιον νομίσας, ἔπεμψε τὸ Σύμβολον τῆς δευτέρας Συνόδου εἰς πάσας τὰς Ἐκκλησίας, νουθετῶν καὶ παρακαλῶν ἵνα κατ' ἐκεῖνο πάντες πιστεύωσιν. ὁ Τιβέριος περὶ Γρηγορίου τοῦ Ἀντιοχείας οὐ τὸν Πάπαν ἐκάλεσε κριτὴν, ἀλλὰ Σύνοδον ἤθροισεν Οἰκουμενικὴν, ἐν ᾗ καὶ τοῦ Κωνσταντινουπόλεως τὸ Οἰκουμενικὸς ἐβεβαιοῦτο, ἐπειδὴ οὐκ ἀντελέγετο, καὶ ἐπ' αὐτοῦ ὁ Πάπας Γρηγόριος τοῦ Ἐξάρχου Ναρσῆ ἐδέετο ἐν Ἰταλίᾳ, καὶ κύριον αὐτοῦ ἐκάλει. ὁ Μαυρίκιος περὶ τῶν Στρατιωτῶν νομοθετήσας ἵνα μὴ γένωνται Μοναχοὶ, καὶ ἀντιλέγοντα τὸν Πάπαν εἰς οὐδὲν ἐλογίσατο, καίτοι δίκαια λέγοντα. ὁ Ἡράκλειος καινοτομήσας περὶ τὴν πίστιν, ὁποίῳ τρόπῳ ἐφέρετο κατὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, πασίδηλόν ἐστιν. ὁ δὲ Κώνστας τὸν Πάπαν Μαρτῖνον ἐξώρισεν, ᾧ Κώνστᾳ εἰσιέναι μέλλοντι εἰς Ῥώμην ἔξω τῆς πόλεως ὑπήντησεν ὁ Πάπας Βιταλιανός. ὁ δὲ Πωγωνᾶτος ἐξίσου εἶχε τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν μετὰ τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως. ὁ δὲ υἱὸς αὐτοῦ Ἰουστινιανὸς ἄνευ τοῦ Πάπα τὴν ἐν Τρούλλῳ Σύνοδον ἤγειρε. καὶ λοιπὸν τούτων οὕτως ἐχόντων, πῶς λέγει ἐνταῦθα ὁ Πάπας Ἀδριανὸς, ὅτι πάντες οἱ Βασιλεῖς ἐξαιρέτῳ τινὶ τρόπῳ τὴν Ῥωμαϊκὴν ἐσεβάσθησαν Ἐκκλησίαν; ἀλλ' ὦ τῆς εὐηθείας, πῶς λέληθεν ἡμᾶς τὸ δίκαιον, μόνος ὁ Φωκᾶς ὁ τύραννος ἐσεβάσθη τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν, ὃς μιμούμενος τὴν Σύγκλητον ἐπὶ Τιβερίου τοῦ Καίσαρος νομοθετήσασαν ἄνευ τῆς βουλῆς αὐτῆς Θεὸν μή τινα δύνασθαι χειροτονεῖν, εἶπε τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν πρώτην τῶν Ἐκκλησιῶν. οἱ δὲ παπολάτραι ἀντὶ τοῦ παρεγγράψαι ὅτι ὁ Φωκᾶς ὁ τύραννος πρῶτος καὶ μόνος τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν ἐνομοθέτησεν εἶναι μητέρα πασῶν τῶν Ἐκκλησιῶν, εἶπον δῆθεν τὸν Πάπαν Ἀδριανὸν εἰπεῖν ὅτι οἱ ὀρθόδοξοι Βασιλεῖς ὡς μητέρα πασῶν τῶν Ἐκκλησιῶν ἐσεβάσθησαν τὴν Ῥωμαϊκὴν, ψευδόμενοι κατὰ τὸ ἴδιον τῶν καινοτόμων καὶ προφανῶς τὴν ἐπιστολὴν τοῦ ἁγίου Πάπα καπηλεύοντες, ἀλλ' οὐ δύναται κρυβῆναι ἡ ἀλήθεια παρὰ τοῖς μηδὲν μηδαμῶς αὐτῆς προτιμῶσι. πέμπτον, περίπου τὸ τέλος τῆς ἀναφορᾶς ταύτης οἱ παπολάτραι σημειοῦσιν, ὅτι Ἀναστάσιος ὁ Βιβλιοθηκάριος φησὶν, Ἐπειδὴ ἐκ λαϊκοῦ ὁ Ταράσιος κεχειροτόνηται, καὶ ἔμελλε δημοσίᾳ ὑπὸ τοῦ ἀποστολικοῦ θρόνου ἐλεγχόμενος ἀντιλογίας λαβὴν τοῖς Αἱρετικοῖς διδόναι ὡς ἐπιλήψιμος, καὶ ἐκινδύνευεν ἡ ἀπὸ τῆς Συνόδου ὠφέλεια κωλυθῆναι, ἔδοξε τοῖς Γραικοῖς παρασιωπηθῆναι ὅσα περί τε τῆς ἐκ λαϊκῶν χειροτονίας καὶ τῆς οἰκουμενικὸς προσηγορίας (ἣ παρὰ Κανόνας ἀπενέμετο τῷ Κωνσταντινουπόλεως Πατριάρχῃ) κατ' ἐπίπληξιν ἐμφέρεται ἐν τῇ ἐπιστολῇ τοῦ Πάπα, καὶ ταῦτα μή τε ἀναγνωσθῆναι ἐπὶ τῆς Συνόδου, μηθ' ὅλως τοῖς πεπραγμένοις ἐγγραφῆναι, καὶ οὕτως ἡ ἐπιστολὴ περιόδων ἐστ' ὅτε παρερμηνεύσεις παρενθήκαστε καὶ ἀποκοπὰς καὶ καθόλου ἐναλλαγὰς πέπονθεν ἀξιολόγους. παραπλησίως δέτι παρατετολμῆθαι κἀντῇ πρὸς Ταράσιον ἐπιστολῇ τοῦ αὐτοῦ Πάπα, πολλῶν τε χρησίμων παραλείψεις ὁ αὐτὸς μαρτυρεῖ Ἀναστάσιος. ταῦτα οἱ παπισταί. Ἀλλὰ ῥητέον ὅτι περὶ Ἀναστασίου καὶ τῆς ἑρμηνείας αὐτοῦ ῥηθήσεται κατωτέρω. δεύτερον, ὅτι κἀνταῦθα οἱ γεννᾶδαι Ῥωμᾶνοι συκοφαντοῦσι τὴν ἁγίαν Σύνοδον, ὡς τετολμήκασιν εἰπεῖν καὶ περὶ τῆς αὐτῆς ὅτι τὰ πρακτικὰ αὐτῆς διεφθάρη, τρίτον, ὅτι ὁ Ἀναστάσιος ἦν ἄνθρωπος ἀκατάστατος, καὶ πολλὰ τῶν ἀναγκαίων παρέλειπε μὴ εἰπὼν ταῦτα ἐν ταῖς ἱστορίαις αὐτοῦ, ὡς εἴρηται ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίου δεκάτου Παραγράφῳ δωδεκάτῳ. τέταρτον, οἱ Λατῖνοι ἐπιτηδεύσαντες πρωτεῖον ἄγνωστον τοῖς παλαιοῖς ἐν τῇ Ῥώμῃ, καὶ ὁρῶντες ὅτι οὐ δύνανται ὠφεληθῆναι ὡς βούλονται, παρερμηνεύοντες καὶ παρατρέποντες πολλαχῶς εἰς βοήθειαν αὐτῶν τοὺς ἁγίους πατέρας, προσφέρουσι τοὺς πρώτους ἐπινοήσαντας τὸ πλαστούργημα τῆς μονότητος μάρτυρας, ὅπερ οὐκ ἔξεστι. περὶ γὰρ τῶν ἀρχαίων ἀρχαίους δεῖ μάρτυρας προσφέρειν, καὶ περὶ τῶν κοινῶν καὶ μεγάλων πραγμάτων τοὺς ἐγκρίτους τῶν πατέρων καὶ τὴν κοινότητα δεῖ εἰσάγειν εἰς μαρτυρίαν, οὐ τοὺς σχισματικοὺς καὶ τοὺς σοφιστάς. πέμπτον, ψεύδεται ὅτι οὐκ ἀνεγνώσθη ἐν τῇ ἐπιστολῇ τοῦ Ἀδριανοῦ τὸ, Ὅτι ἐκ λαϊκοῦ ἐχειροτονήθη ὁ Ταράσιος, ἐπειδὴ γὰρ ἡ ἐν Ῥώμῃ ἀποσταλεῖσα ἐπιστολὴ τοῦ Ταρασίου καὶ ἐνθρονιαστικὴ ἦν καὶ πρὸς τὴν Σύνοδον τοῦ Ῥώμης προσκλητικὴ εἰς τὴν οἰκουμενικὴν ἕνεκα Τοποτηρητῶν, ὁ Ἀδριανὸς ἀποκρινόμενος ἐπαινεῖ καὶ συγχαίρει καὶ σεπτότατον αὐτὸν λέγει, σωφρόνως ὅμως ἐπιλέγει τὸ κανονικὸν δίκαιον, ἤτοι, Εἰ δὲ τὰς ἱερὰς καὶ σεπτὰς Εἰκόνας ἐν τοῖς μέρεσι τῶν αὐτόθι οὐ καταστήσουσιν (οἱ Βασιλεῖς δηλονότι ὡς διεβεβαιοῦτο ὁ Ταράσιος πρὸς τὸν Πάπαν) τὴν ὑμετέραν χειροτονίαν κατὰ πάντα τρόπον οὐτολμῶμεν δέξασθαι, καὶ μάλιστα ἐὰν ἐπακολουθήσῃς τοῖς ἀπειθοῦσι τῇ ἀληθείᾳ. ταῦτα ὁ Ἀδριανός. ἐν οἷς σημείωσαι ὅτι ἀνεγνώσθη τὸ ἐκ λαϊκοῦ, καὶ ὅτι ὁ Ἀδριανὸς δικαίως ἔλεγεν, ἐὰν οὐ γένηται ἡ ἐκκλησιαστικὴ διόρθωσις, ὁ Ταράσιος καὶ ὡς ἀπὸ λαϊκοῦ, καὶ ὡς ἀπὸ Αἱρετικῶν χειροτονηθεὶς, καὶ ὡς ψευδῆ γράφων πρὸς τὸν Πάπαν οὐ παραδεχθήσεται, καὶ τὸ δὴ

κύριον

κύριον, ἐὰν καὶ τοῖς Εἰκονομάχοις προστεθῇ, καὶ λοιπὸν ψεύδεται ὁ Ἀναστάσιος τὰ ψευδῆ γράφων. ἕκτον, εἰ ὑπὲρ τῆς ἐκλαϊκοῦ χειροτονίας τοῦ Ταρασίου ἔγραφεν ὁ Ἀδριανὸς καὶ πρὸς τοὺς Βασιλεῖς, οὔτε ἐπιλήψιμον οὔτε μομφῆς ἄξιον προὐξενεῖτό τι, ὡς οὐ δὲ συνέβη γράψας ταῦτα πρὸς αὐτὸν τὸν Ταράσιον. ἕβδομον, τοῦτο καταστροφή ἐστι τοῦ δοκεῖν τὸν Πάπαν εἶναι μείζονα τῶν ἄλλων Πατριαρχῶν, ἐπειδὴ ἅπερ ἔγραφεν (ὑποθετέον γὰρ ἀληθῆ εἶναι τὰ τοῦ Ἀναστασίου) ἀνοίκεια πρὸς τὴν Σύνοδον, οἱ πατέρες ὡς ἀπάδοντα σιωπηθῆναι προσέταξαν, καὶ ἔτι ὡς παράλογα καὶ σκανδάλου αἴτια, καὶ πρὸς τούτοις, ἵνα μὴ μῶμος ἐπὶ τῆς Οἰκουμενικῆς Συνόδου τῷ Πάπᾳ γένηται, λέγοντι ἅπερ οὐκ ἐξῆν αὐτῷ. ὅτι δὲ ὁ Ἀναστάσιος οὗτος κακότροπος ἦν, δῆλόν ἐστι, καὶ γὰρ καθῃρέθη ὑπὸ τῆς ἐπὶ Λέοντος τοῦ τετάρτου γενομένης ἐν Ῥώμῃ Συνόδου τῶν ἑβδομηκονταπέντε Ἐπισκόπων ἐν ἔτει ὀκτακοσιοστῷ πεντηκοστῷ τρίτῳ, καὶ δὴ ἀνεθεματίσθη διὰ φθορὰν ἣν ἐποίησε γυναικὶ ἔγγιστα συγγενεῖ τοῦ Λέοντος. γράψας δὲ ἐν εἰκόνι ὁ Λέων τὴν Σύνοδον, συνέγραψε καὶ τὴν καθαίρεσιν τοῦ Ἀναστασίου, ἵνα γινώσκηται παρὰ πάντων καὶ διαπαντὸς ἡ αἰσχρότης τῆς ἀκαθάρτου ζωῆς αὐτοῦ, θανόντος δὲ τοῦ Λέοντος, κοσμικῇ χρησάμενος δυναστείᾳ ὁ Ἀναστάσιος, εἰσῆλθεν ἐν τῷ Ναῷ τοῦ ἁγίου Πέτρου, καὶ ἐξήλειψε τῆς Συνόδου τὴν Εἰκόνα, καὶ ἐπομένως καὶ τὴν κατ' αὐτοῦ ἀπόφασιν. γενομένου δὲ Πάπα τοῦ Βενεδίκτου, γυμνοῦται αὖθις ὁ Ἀναστάσιος τῆς Ἱερωσύνης, καὶ ἡ εἰκὼν τῆς Συνόδου ἀνακαινίζεται. ἐν ἔτει δὲ ὀκτακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ θανόντος τοῦ Βενεδίκτου, γίνεται Πάπας Νικόλαος ὁ πρῶτος, ὃς ἐδέχθη εἰς κοινωνίαν τὸν Ἀναστάσιον. καὶ ἐν ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ ἑβδόμῳ γενόμενος Πάπας Ἀδριανὸς ὁ δεύτερος, καθίστησιν αὐτὸν Χαρτοφύλακα Ῥώμης, ἀλλὰ φωραθεὶς πάλιν ἐπὶ μυρίοις ἀτοπήμασιν, ἀναθεματίζεται, καὶ πάλιν ἐδέχθη ὑπὸ τοῦ Ἀδριανοῦ, καὶ μετὰ τῶν πρέσβεων τοῦ Ῥηγὸς Λοδοβίκου πέμπεται εἰς Κωνσταντινούπολιν, ἔνθα παρεγένετο ἐν ταῖς ὑστέραις συνελεύσεσι τῆς κατὰ Φωτίου Συνόδου, γενομέναις ἐν ἔτει ὀκτακοσιοστῷ ἑβδομηκοστῷ πρώτῳ. εἶτα πέμπεται ὑπὸ Ἀδριανοῦ εἰς Νεάπολιν ἐπὶ τὸ δικάσαι Ἀθανάσιον τὸν Ἐπίσκοπον, ὅτε τόν τε Κλῆρον καὶ τὸν λαὸν ἀφορισμῷ κατεδίκασεν. ἐν ἔτει δὲ ὀκτακοσιοστῷ ἑβδομηκοστῷ δευτέρῳ γενόμενος Πάπας Ἰωάννης ὁ ὄγδοος, περιεποιήσατο αὐτὸν, οὗ τῇ ἐπιταγῇ μετέφρασε καὶ τὰ πρακτικὰ τῆς ἑβδόμης Συνόδου. ἐν ὅλῃ δὲ τῇ ζωῇ αὐτοῦ ἦν πανοῦργος, ὕπουλος, παλίμβολος καὶ πρὸς τὸ γράφειν ἕτοιμος. ἔλαβε δὲ καὶ ἀπὸ Κωνσταντινουπόλεως βιβλία πολλὰ τῶν Ἑλλήνων, ἅτινα δῆθεν μεταφράζων διέστρεψε καὶ ἐνόθευσεν ἐν τόποις πολλοῖς ὡς τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ὑπερασπιστὴς, ἢ μᾶλλον εἰπεῖν ἀνδράποδον, οὐχ ὅτι ἐνόμιζε καὶ ἐκεῖνος τὸ νῦν πομπηϊκὸν πρωτεῖον, ἀλλά τινα τιμὴν ἐσπούδαζε λαμπροτέραν δοῦναι τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ, ὅθεν καὶ τοὺς βίους τινῶν Παπῶν συγγραψάμενος, τινὰ μὲν προσέθηκε, τινὰ δὲ παρῆκε, τὸ μετὰ ταῦτα ὅμως πλαστουργηθὲν πρωτεῖον αὐτῆς, κἂν ἀπότομος καὶ δόλιος ἦν, οὐκ ἠδυνήθη εἰπεῖν. ὄγδοον, οἱ Ἀνατολικοὶ φρονιμώτεροι καὶ σοφώτεροι καὶ οἰκονομικώτεροι ἦσαν τοῦ Πάπα καὶ τῆς Ἐκκλησίας αὐτοῦ, ὡς ἐνμόνοις τοῖς καιρίοις ἀεὶ ἀποβλέποντες, τῶν δὲ παρέργων καταφρονοῦντες. ἔνατον, παρὰ τοῦ Ἀδριανοῦ Τοποτηρητὰς οἱ Ἀνατολικοὶ ἐζήτησαν οὐ περὶ ἄλλων τινῶν, ἀλλὰ περὶ τῶν ἁγίων Εἰκόνων, ὅσα δὲ ἔγραψε πάρεργα εἰς οὐδὲν ἐλογίσαντο, ὡς καὶ τοῦ Πάπα Ἀγάθωνος τὰ μὲν περὶ τῶν δύο ἐπὶ Χριστοῦ θελήσεων καὶ ἐνεργειῶν περιεπτύξαντο, καὶ πολυτρόπως ἐκεῖνον ἐπῄνεσαν, τὰ δὲ περὶ τοῦ ὅτι αἱ Σύνοδοι τῇ Ἐκκλησίᾳ Ῥωμαίων ἠκολούθησαν, καὶ τὰ περὶ ἀναμαρτησίας τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, οὐδενὸς ἠξίωσαν λόγου. τοῦτο δὴ καὶ οἱ Λατῖνοι ποιοῦσι, τοῦ Ἰωάννου Θεσσαλονίκης ἐν τῇ πέμπτῃ πράξει ταύτης τῆς Συνόδου τὰ μὲν περὶ τῶν ἁγίων Εἰκόνων ἀσπάζονται, τὰ δὲ περὶ τοῦ ὅτι οἱ Ἄγγελοι καὶ αἱ ψυχαὶ λεπτὰ σώματα ἔχουσιν ἀποποιοῦνται, καὶ οὐνομίζουσιν ἁμαρτάνειν ταῦτα ποιοῦντες. δέκατον, τῆς ἐπιστολῆς κατὰ τὰς ὑποθέσεις τῶν Λατίνων μὴ ἀναγνωσθείσης πάσης, οὐκ ἐτόλμων οἱ Τοποτηρηταὶ τοῦ Πάπα εἰπεῖν τι, οὐδ' ἄλλο, ἀλλ' ἢ ὅτι τὰ σιωπηθέντα ἦσαν προφανῶς ἄτοπα, καὶ γὰρ σόφισμά ἐστι τὸ, οὐ κανονικῶς ἀπενεμήθη τῷ Κωνσταντινουπόλεως ἡ Οἰκουμενικὴ προσηγορία. ὅτι μὲν γὰρ οὐ διὰ Κανόνων ἀπενεμήθη, ἀληθές ἐστιν, ἀπενεμήθη ὅμως ὃν τρόπον ἀπενεμήθη καὶ τῷ Ῥώμης, ὡς ῥηθήσεται. ἀλλ' ὡς δέχεται ἐπὶ τοῦ Ῥώμης ἥ τε καθόλου Ἐκκλησία καὶ οἱ Λατῖνοι τὸ Οἰκουμενικὸς, μὴ κανονικῶς αὐτῷ δοθὲν, οὕτω δέχεται καὶ περὶ τοῦ Κωνσταντινουπόλεως ἡ καθόλου Ἐκκλησία τὸ Οἰκουμενικὸς, καὶ δέχεσθαι χρὴ καὶ τοὺς Λατίνους, εἴπερ μὴ φρενιτιῶσι, καὶ τῆς παραδόσεως καὶ ἀποδοχῆς τῆς καθολικῆς Ἐκκλησίας ἀλλοτριοῦνται, μάλιστα καὶ αὐτοῖς τοῖς ἀρχαίοις Ῥωμαίοις ἀντίκεινται, ἐπειδὴ ἐκεῖνοι ἀκούοντες τὴν Οἰκουμενικὸς προσηγορίαν ἐπὶ τοῦ Κωνσταντινουπόλεως λεγομένην καὶ ἐκφωνουμένην κοινῶς καὶ ἰδίως, καὶ ἐπὶ τῶν Οἰκουμενικῶν Συνόδων, ἐδέχοντο ἄνευ διαστολῆς τινὸς, μάλιστα δὲ καὶ μετὰ ἀγάπης.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι ἐκ τῶν ἐν τῇ πρὸς τὸν Ταράσιον ἐπιστολῇ τοῦ Πάπα Ἀδριανοῦ λεγομένων, ἐξαιρουμένης τῆς ψευδοπαρενθήκης ἐν αὐτῇ τῶν παπιστῶν καὶ ἑτέρων ἐπιπλάστων ῥημάτων, καὶ ἐκ τοῦ ὕφους τῆς ἐπιστολῆς, καὶ ἐκ πολλῶν πατρικῶν ἀποδείξεων, δείκνυνται οἱ Πάπαι κακοῦργοι, καὶ ὑπὸ τοὺς Βασιλεῖς καὶ τὰς Συνόδους, καὶ οὐκ ἀναμάρτητοι.

Ἐν

Ἐν τῇ ἐπιστολῇ τοῦ Πάπα Ἀδριανοῦ πρὸς τὸν Κωνσταντινουπόλεως Ταράσιον σημείωσαι πρῶτον ὅτι φησὶν, Εὕρομεν δὲ ἐν τῇ προειρημένῃ συνοδικῇ ἐπιστολῇ τῆς ὑμετέρας ἁγιωσύνης μετὰ τὸ πλήρωμα τῆς πίστεως καὶ τῆς ὁμολογίας τοῦ Συμβόλου, καὶ πασῶν τῶν ἁγίων ἓξ Συνόδων, καὶ περὶ τῶν Ἱερῶν καὶ σεπτῶν χαρακτήρων θαῦμα αἰνέσεως καὶ περιπτύσεως ἄξιον, περιέχον ὅτι καὶ τὰ ὑπὸ τῆς αὐτῆς ἁγίας ἕκτης Συνόδου δέχομαι μετὰ πάντων τῶν ἐνθέσμως καὶ θειοδῶς ἐκφωνηθέντων παρ' αὐτῆς Κανόνων, ἐν οἷς ἐμφέρεται ἔντισι τῶν σεπτῶν Εἰκόνων, καὶ τὰ ἑξῆς. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ὁ Ἀδριανὸς δέχεται τοὺς Κανόνας τῆς ἐν Τρούλλῳ Συνόδου. δεύτερον, τὴν μαρτυρίαν τῆς Συνόδου, ἤτοι τὸν ὀγδοηκοστὸν τρίτον Κανόνα περὶ τῶν ἁγίων Εἰκόνων διαλαμβάνοντα ἐπαινεῖ καὶ ἐκθειάζει. τρίτον, τὴν ἐν Τρούλλῳ Σύνοδον ἕκτην ἁπλῶς ἀποκαλεῖ καὶ ἁγίαν. τέταρτον, πάντας τοὺς Κανόνας αὐτῆς ἐνθέσμως καὶ θειοδῶς ἐκφωνηθέντας παρ' αὐτῆς φησί. καὶ ταῦτα μὲν ὁ Ἀδριανός. ἀλλ' οἱ πάντολμοι παπισταὶ παραγράφουσιν ἔξωθεν, ὡς δῆθεν ἦσαν τὰ ῥήματα τοῦ Ἀδριανοῦ οὐτὰ εἰρημένα ὡς κεῖνται ἐν τῇ ἐπιστολῇ, ἀλλὰ ταῦτα, ἤτοι τὰ, ὅτι καὶ τὰς αὐτὰς ἁγίας ἓξ Συνόδους δέχομαι μετὰ πάντων τῶν Κανόνων τῶν ἐνθέσμως καὶ θειοδῶς παρ' αὐτῶν ἐκφωνηθέντων. ταῦτα οἱ παπισταί. οἵτινες ὅτι ψεύδονται, φανερόν ἐστι πρῶτον, ὅτι οὐ συγχωρεῖ κακουργίαν τὸ ὕφος τῆς ἐπιστολῆς, καὶ γὰρ ἀνωτέρω εἶπεν ὁ Ἀδριανὸς ὅτι μετὰ τὸ πλήρωμα τῆς πίστεως καὶ τῆς ὁμολογίας τοῦ Ἱεροῦ Συμβόλου καὶ πασῶν τῶν ἁγίων ἓξ Συνόδων, ὅπερ ἐστιν, ὅτι μετὰ τὸ εἰπεῖν τὸν Ταράσιον τελείως περὶ τῆς πίστεως καὶ τοῦ Συμβόλου καὶ τῶν ἓξ Συνόδων, τουτέστι περὶ μὲν τῆς πίστεως, ὅτι ὀρθῶς πιστεύει, περὶ δὲ τοῦ Συμβόλου, ὅτι καλῶς ἡρμήνευσεν αὐτὸ, περὶ δὲ τῶν ἓξ Συνόδων, ὅτι δέχεται αὐτὰς, μετὰ οὖν τὸ πλήρωμα τοῦτο, ἰδίως εἶπε περὶ τῆς ἕκτης Συνόδου καὶ τῶν ἐνθέσμως καὶ θειοδῶς ἐκφωνηθέντων αὐτῆς Κανόνων, ἐν οἷς καὶ ὁ περὶ τῶν ἱερῶν χαρακτήρων ἐμφέρεται Κανὼν, ὅπερ θαῦμά ἐστιν, ἐπειδὴ οἱ πρότερον πατέρες μόνοι ἠρκέσθησαν τῇ ἐκκλησιαστικῇ παραδόσει περὶ τῶν ἁγίων Εἰκόνων, ἡ ἕκτη δὲ Σύνοδος τὴν προσκύνησιν αὐτῶν ἐν τοῖς Κανόσιν αὐτῆς ἐνέθηκε. κακούργως ἄρα ἀρνοῦνται τὴν ἁγιότητα τῆς Συνόδου οἱ παπισταὶ, καὶ προφανῶς ἀντίκεινται τῷ Πάπᾳ Ἀδριανῷ. δεύτερον, ἐπειδὴ ἡ ἐπιστολὴ τοῦ Ταρασίου πρὸς τὸν Ῥώμης οὐχ εὑρίσκεται, λαμβάνομεν παράδειγμα περὶ αὐτῆς ποίῳ τρόπῳ ἐγράφη ἀπὸ τῆς ἐπιστολῆς ἣν ἔγραψεν ὁ αὐτὸς Ταράσιος τοῖς Πατριάρχαις τῆς Ἀνατολῆς, ἐν αὐτῇ γὰρ εἰπὼν ἰδικῶς περὶ ἑκάστης τῶν ἓξ Οἰκουμενικῶν Συνόδων τὰ εἰκότα, καὶ εἰπὼν ἐν αὐτῇ τὰ τέλεια, ἐπήγαγε, Τῆς δὲ αὐτῆς ἁγίας ἕκτης Συνόδου μετὰ πάντων τῶν ἐνθέσμως καὶ θειοδῶς ἐκφωνηθέντων δογμάτων παρ' αὐτῆς, καὶ τοὺς δοθέντας Κανόνας ἀποδέχομαι, ἐν οἷς ἐμφέρεται ἔντισι, καὶ τὰ ἑξῆς. ὥστε γίνεται δῆλον ἐκ τούτου, ὅτι τὸ κείμενον ὕφος τῆς ἐπιστολῆς τοῦ Ἀδριανοῦ ἀπαραχάρακτόν ἐστιν, ἡ δὲ τῶν παπιστῶν παρενθήκη πλάσμα ἐστὶ προφανές. ἀλλὰ δὴ καὶ ἐν τῇ τετάρτῃ πράξει τῆς παρούσης Συνόδου ὑπὸ τῶν πατέρων πάντων ἁγία καὶ Οἰκουμενικὴ ἕκτη Σύνοδος ἁπλῶς καλεῖται ἡ ἐν Τρούλλῳ, καὶ γενομένου λόγου περὶ τῆς ἐν Τρούλλῳ ταύτης Συνόδου ἰδικοῦ, ἀληθὴς ἕκτη ἀπεδείχθη καὶ ἐδέχθη, ὡς εἴπομεν βιβλίου ἕκτου κεφαλαίῳ δεκάτῳ ἕκτῳ. τρίτον, τὸ θειοδῶς καὶ ἐνθέσμως οὐ δηλοῖ ὅτι τινὲς μὲν Κανόνες θεῖοι εἰσὶ καὶ ἔνθεσμοι, τινὲς δὲ ἄθεσμοι καὶ παράλογοι, ἀλλ' ὅτι πάντες ἐνθέσμως καὶ θειοδῶς ἐρρέθησαν. τοῦτο τὸ εἶδος τῆς φράσεως ἴδιόν ἐστι τῶν πατέρων, τοῖς γὰρ ἐν Ἰταλίᾳ καὶ Γαλλίᾳ Ἐπισκόποις γράφοντες Μελέτιος, Εὐσέβιος καὶ ὁ μέγας Βασίλειος φασὶν ἐν τῷ τέλει τῆς ἐπιστολῆς, Τῷόντι γὰρ τοῦ ἀνωτάτου μακαρισμοῦ ἄξιον τὸ τῇ ὑμετέρᾳ θεοσεβείᾳ χαρισθὲν παρὰ τοῦ Κυρίου, τὸ μὲν κίβδηλον ἀπὸ τοῦ δοκίμου καθαρῶς διακρίνειν, τὴν δὲ τῶν πατέρων πίστιν ἄνευ τινὸς ὑποστολῆς κηρύσσειν, ἣν καὶ ἡμεῖς ἐδεξάμεθα καὶ ἐπέγνωμεν ἐκ τῶν ἀποστολικῶν χαρακτήρων μεμορφωμένην, συνθέμενοι καὶ αὐτῇ καὶ πᾶσι τοῖς ἐν τῷ συνοδικῷ γράμματι κανονικῶς καὶ ἐνθέσμως δεδογματισμένοις. καὶ σημείωσαι, ὅτι διὰ τούτων οἱ πατέρες οὐ βούλονται εἰπεῖν, ὅτι ἐν τῷ συνοδικῷ ἦσαν τινὰ μὲν κανονικὰ καὶ ἔνθεσμα, τινὰ δὲ ἀκανόνιστα καὶ ἄθεσμα, καὶ γὰρ εἶπον ὅτι συνέθεντο τῇ ὀρθῇ πίστει, ἥτις περιείχετο ἐν τῷ συνοδικῷ, καὶ κατὰ τὸν τρόπον τοῦτον συνέθεντο καὶ πᾶσι τοῖς περιεχομένοις ἐν τῷ συνοδικῷ, ἅτινα πάντα ἦσαν δόκιμα καὶ κανονικῶς καὶ ἐνθέσμως δογματισθέντα, ὥστε καὶ ἐνταῦθα ὁ Ἀδριανὸς καὶ Ταράσιος διὰ τοῦ, Μετὰ πάντων τῶν ἐνθέσμως καὶ θειοδῶς ἐκφωνηθέντων παρ' αὐτῆς Κανόνων, βούλονται εἰπεῖν, ὅτι πάντες οἱ παρὰ τῆς ἕκτης, τουτέστι τῆς ἐν Τρούλλῳ ἐκφωνηθέντες Κανόνες ἔνθεσμοι καὶ θεῖοι εἰσί. τέταρτον, ὁ Δαμασκηνὸς Ἰωάννης, ὡς εἴρηται ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίου δεκάτου ἐνάτου Παραγράφῳ δεκάτῳ τρίτῳ, λέγει, Ψηλάφησον τοὺς Ὅρους τῆς ἕκτης Συνόδου εἰς κεφάλαιον ὀγδοηκοστὸν τρίτον, καὶ εὑρίσκεις ἐκεῖ τὸν ἔλεγχον. καὶ σημείωσαι, ὅτι ὅλους τοὺς Ὅρους δέχεται, καὶ τῆς ἕκτης Συνόδου αὐτοὺς καλεῖ. πέμπτον, ὁ μακάριος Γρηγόριος Πάπας ὁ δεύτερος γράφων πρὸς τὸν ἅγιον Γερμανὸν, ὡς κεῖται ἡ ἐπιστολὴ ἐνταῦθα πράξει τετάρτῃ, παραφράζων τὸν εἰρημένον Κανόνα, φησὶ, Διὸ μεγίστης σωτηρίας ὑπόθεσιν ἡ τῶν ἁγίων ὁμήγυρις θεοβούλως τῇ Ἐκκλησίᾳ τοῦτο τὸ κεφάλαιον παραδέδωκεν, ὥστε ἐν ταῖς ἁπάντων ὄψεσι καὶ ἐν ταῖς χρωματουργίαις τὸν σεπτὸν καὶ ἅγιον χαρακτῆρα κατὰ τὸ ἀνθρώπινον τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀναστηλοῦσθαι. ἐν ᾧ σημείωσαι, ὅτι ἁγίων ὁμήγυριν φησὶ τοὺς πατέρας τῆς ἐν Τρούλλῳ, καὶ λοιπὸν τὰ παρ' αὐτῶν ἐκφωνηθέντα πάντα ἔνθεσμα καὶ θεῖα εἰσί. ἕκτον, ἀνόμημα

μέγα

μέγα ἐστὶ τῶν παπιστῶν οὐ μόνον ὅπερ ἀρνοῦνται, ἤτοι τὸ ἐν τῷ ὕφει τῆς ἐπιστολῆς κείμενον, ὅτι καὶ τὰ ὑπὸ τῆς αὐτῆς ἁγίας ἕκτης Συνόδου δέχομαι μετὰ πάντων τῶν ἐνθέσμως καὶ θειοδῶς ἐκφωνηθέντων παρ' αὐτῆς Κανόνων, ἀλλὰ καὶ τὸ παρ' αὐτῶν παρεμβεβλημένον, ὥσπερ εἴρηται, ἤτοι τὸ, Καὶ τὰς αὐτὰς ἁγίας ἓξ Συνόδους δέχομαι μετὰ πάντων τῶν Κανόνων τῶν ἐνθέσμως καὶ θειοδῶς ἐκφωνηθέντων παρ' αὐτῶν, ἐννοεῖν, ὥστε τινὰς μὲν Κανόνας τῶν ἁγίων ἓξ Συνόδων ἐνθέσμως καὶ θειωδῶς εἰρῆσθαι, τινὰς δὲ μὴ, ὕβριν κατηγορεῖ πρῶτον μὲν πασῶν τῶν ἁγίων Οἰκουμενικῶν Συνόδων, δεύτερον δὲ, ὅτι ἁμαρτάνειν δυνατὸν αὐτὰς βούλεται ἐν τοῖς περὶ πίστεως δόγμασί τε καὶ λόγοις, καὶ τρίτον, ὅτι τοῦτο οὐ μόνον τῶν Αἱρεσιαρχῶν Ἀρείου, Εὐνομίου, Νεστορίου, Διοσκόρου καὶ Εὐτυχοῦς, ἀλλὰ δὴ καὶ τῶν νέων Αἱρετικῶν ἐστὶ λόγος τὸ, μόνην τὴν ἁγίαν γραφὴν εἶναι ἄπταιστον, τοὺς δὲ ἁγίους πατέρας καὶ τὰς Συνόδους καὶ αὐτὰς τὰς Οἰκουμενικὰς ἀδύνατον ἐν πᾶσιν ἀναμαρτήτους εἶναι, ὅθεν αὐτῶν τινὰ μὲν δέχονται, τινὰ δὲ μὴ, ὡς εἴρηται ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου παραγράφῳ εἰκοστῷ ὀγδόῳ, καὶ ῥηθήσεται κατωτέρω βιβλίου ἑνδεκάτου κεφαλαίῳ πέμπτῳ. καὶ οὕτω κατὰ τοὺς Ἰταλοὺς ἡ καθολικὴ Ἐκκλησία, ἧς ὄργανά εἰσιν οἱ πατέρες, ἁμαρτάνει καὶ ἀπατᾷ καὶ ἀπατᾶται. Ἄλλα γενηθήτω τὰ χείλη τὰ δόλια, καὶ ἀποβλητέος τῆς κοινωνίας τῆς καθολικῆς Ἐκκλησίας ὁ νοῦς αὐτῶν ὁ πάντῃ ἐσκοτισμένος, ἵνα γὰρ συστήσωσι τὸ ὕψος τῆς μονότητος τῆς παπικῆς, καθαιροῦσι πᾶσαν τὴν ἐκκλησιαστικὴν ἀλήθειαν ὅσον τὸ κατ' αὐτοὺς, καὶ τὰ πάντα τοῖς πᾶσι μιγνύουσι. δεύτερον, ὅτι φησὶν, ἀλλ' ἡ ὑμετέρα ὁσιότης τοῖς αὐτοῖς εὐσεβεστάτοις καὶ τροπαιούχοις Βασιλεῦσι προθύμως ἀναγάγῃ, ἵνα ἐν πρώτοις ὁ ψευδοσύλλογος ἐκεῖνος ὁ γενόμενος χωρὶς τοῦ ἀποστολικοῦ θρόνου ἀναθεματισθῇ, παρόντων τῶν Ἀποκρισιαρίων. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι καὶ ἐνταῦθα καὶ κατωτέρω τὸν Ταράσιον εἰσάγει μεσίτην πρὸς τοὺς Βασιλεῖς, καὶ ποῦ λοιπὸν ὅτι ὑπὲρ τοὺς Βασιλεῖς ὁ Πάπας; καὶ ποῦ τὸ ὀλέθριον ἐκεῖνο, ὅτι ὁμὴ πειθόμενος τῷ Πάπᾳ Χριστιανὸς οὐκ ἔστι; καὶ ποῦ τὸ, ὅτι οἱ Βασιλεῖς ἔγραφον καὶ παρεκάλουν τὸν Πάπαν, ὅπου ὁ Πάπας δέεται, ἱκετεύει, δυσωπεῖ, οὐ προστάττει; τρίτον, ὅτι φιλοτίμως ἐπαινεῖ τὸν οἰκεῖον θρόνον, καὶ γὰρ οὐκ εἶπεν, ὅτι ὁ ψευδοσύλλογος ὁ ἀθροισθεὶς χωρὶς τῶν ἀποστολικῶν θρόνων, ὡς ἔλεγε Λέοντι τῷ Ἰσαύρῳ ὁ Γερμανὸς, καὶ Κωνσταντίνῳ τῷ Κοπρωνύμῳ ἔγραφεν Ἰωάννης ὁ Δαμασκηνὸς, καὶ ἐν τῇ ἀρχῇ τῆς Συνόδου ταύτης ἔλεγον τὰ ἀναγνωσθέντα συνοδικὰ, καὶ ἐν τῇ βασιλικῇ Σάκρᾳ ἐμφέρεται, καὶ ἐν τῇ ἕκτῃ πράξει, ἐν τῷ πρώτῳ τόμῳ ἀνεγνώσθη, καὶ ὁ ἱερὸς Μάξιμος ἔλεγεν ἐν τῷ μετὰ Πύρρου διαλόγῳ κατὰ τῶν Μονοθελητῶν, ἀλλὰ μόνον τὸν οἰκεῖον εἶπε θρόνον ὁ Ἀδριανὸς, ὅπερ οὐκ ἐξῆν αὐτῷ. τέταρτον φησὶν, ὅτι ὁ θρόνος τοῦ Πέτρου εἰς πᾶσαν τὴν Οἰκουμένην πρωτεύων διαλάμπει, καὶ κεφαλὴ πασῶν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ ὑπάρχει, καὶ ἐὰν προσκολληθῇ ἡ ὑμετέρα ὁσιότης τῷ ἡμετέρῳ ἀποστολικῷ θρόνῳ, ὅστις ἐστὶ κεφαλὴ πασῶν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ. ταῦτα ὁ Ἀδριανός. ἐν οἷς δύο τινὰ θεωρητέον, πρῶτον, ὅτι ἔγραψεν αὐτὰ ὁ Ἀδριανὸς ἐν ἁπλότητι καρδίας, ἐπειδὴ γὰρ ἡ Ἐκκλησία Ῥωμαίων ἐφρόνει ὀρθῶς περὶ τῶν ἁγίων Εἰκόνων, καὶ ἦσαν ἀλλήλαις κοινωνικαὶ αἱ πρωτεύουσαι Ἐκκλησίαι, Ῥώμης δηλαδὴ, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων (ὡς ἀνωτέρω εἴρηκεν ὁ Ταράσιος ἐν τῇ ἀρχῇ καὶ ἐν τῇ βασιλικῇ ἐμφέρεται Σάκρᾳ, καὶ κατωτέρω ῥηθήσεται παρὰ τῶν πατέρων μετὰ τὴν ἀνάγνωσιν τῶν ἐπιστολῶν αὐτῶν) ὁ Ἀδριανὸς ἠρκέσθη εἰπεῖν ὅτι χωρὶς τοῦ ἀποστολικοῦ θρόνου ἐγένετο ὁ ψευδοσύλλογος, καὶ ὁ Ταράσιος ἵνα κολληθῇ τῷ θρόνῳ τῆς Ῥώμης, ᾧ συνεφώνουν οἱ τῆς Ἀνατολῆς ἀποστολικοὶ θρόνοι ὡς καὶ ὁ ῥωμαϊκὸς συνεφώνει αὐτοῖς, καὶ τὸ κολλᾶσθαι οὐ σημαίνει μοναρχίαν, ἀλλὰ συμφωνίαν, καὶ ἴδε τῶν ἀποστολικῶν πράξεων κεφάλαιον πέμπτον καὶ μάλιστα δέκατον ἕβδομον, ἔνθα ἐκολλήθησάν τινες ἄνδρες, καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης τῷ Παύλῳ οὐχ ὡς Βασιλεῖ, ἀλλὰ συφρονήσας εἰς τὴν πίστιν αὐτοῦ, ἣν ἐκήρυττε δηλαδὴ. οὕτως οὖν ἔγραψεν ὁ Ἀδριανὸς διὰ ταύτην τὴν αἰτίαν, καὶ καλῶς ἔγραψεν. εἰ δὲ λέγοιεν οἱ ἀντικείμενοι ὅτι τὸ, ἵνα κολληθῇ τῷ θρόνῳ τῆς Ῥώμης ὡς ἔχοντι τινὰ δύναμιν, ἢ ἐξουσίαν μείζονα, ἢ τελεωτέραν, παρ' ἣν ἔχουσιν οἱ λοιποὶ ἀποστολικοὶ θρόνοι, πάντως οὐκ εἶπε καλῶς. καὶ γὰρ εἴρηται ἀνωτέρω ἐν πολλοῖς, καὶ ἐν ταύτῃ τῇ ἁγίᾳ Συνόδῳ ἐν ἑκάστῃ πράξει λέγεται πολλαχῶς, ὅτι ἕπεσθαι δεῖ τοῖς πατράσιν ἁπλῶς, οὐδεμία δὲ ἰδικὴ τοῦ Πάπα τοιαύτη μνήμη. δεύτερον, ὅτι μὲν θρόνος τοῦ Πέτρου ἐστὶν ἡ Ῥώμη, ἀληθές ἐστιν, ἀλλ' οὐ μόνη. τρίτον, ὅτι ὁ θρόνος ὁ ῥωμαϊκὸς πρωτεύων ἐκλάμπει, ἀληθές ἐστιν ὅτι πρωτεύει καὶ κεφαλή ἐστιν, ἀλλὰ κατὰ μόνην τάξιν, τὸ δὲ ὅτι καὶ κατά τινα ἐξουσίαν ἰδικὴν πρωτεύει, ἢ ἐκλάμπει, ἄθεσμός ἐστι καινοφωνία, ὅθεν καὶ ἀποπτυστέα. τέταρτον, εἰ δὲ εἶπε τοῦτο ὁ Ἀδριανὸς καὶ διὰ τὴν τάξιν, ἀλλὰ καὶ διά τινα εὐλάβειαν καὶ ἁγιωσύνην τοῦ Ῥωμαϊκοῦ θρόνου, ῥητέον ὅτι τῷ τρόπῳ τούτῳ ἐρρέθησαν καὶ ἄλλοι τῆς Ἐκκλησίας καὶ Ἐπίσκοποι καὶ Ἐπισκοπαὶ, καὶ ἴδε ἀνωτέρω βιβλίῳ πρώτῳ τὰ περὶ Ἀθανασίου, καὶ βιβλίῳ δευτέρῳ τὰ περὶ Βασιλείου, καὶ βιβλίου τρίτου κεφαλαίῳ τρίτῳ, καὶ βιβλίου τετάρτου κεφαλαίου πρώτου Παραγράφῳ εἰκοστῷ ἕκτῳ, καὶ βιβλίου πέμπτου κεφαλαίῳ δεκάτῳ ἐνάτῳ καὶ ἐν ἄλλοις πολλοῖς, καὶ κατωτέρω βιβλίου δεκάτου μέρους δευτέρου κεφαλαίῳ ἑβδόμῳ. πέμπτον, ἀλλ' ἡ ἀναίδεια τῶν παπιστῶν βλέπουσα ὅτι καὶ διὰ τούτων καθαιρεῖται τὸ σπουδαζόμενον αὐτοῖς τοῦ Πάπα ἀξίωμα, ἐφεῦρεν εἰπεῖν, ὅτι ὁ Στουδίτης Θεόδωρος εἶπε τὸν Πάπαν ἔν τινι τῶν ἐπιστολῶν αὐτοῦ κεφαλὴν τῶν κεφαλῶν. Ἀλλὰ ῥητέον πρῶτον, ποῦ ἄρα ἦν τὸ λεξείδιον τοῦτο κεκρυμμένον τοσαῦτα ἀπὸ Χριστοῦ ἔτη; καὶ πῶς μόνος ὁ Στουδίτης εὗρεν αὐτὸ, τοσοῦτοι δὲ πατέρες

πατέρες καὶ τοσαῦται Σύνοδοι ἠγνοήκασιν αὐτὸ, καὶ μόνῳ ἐνεπνεύσθη τῷ Στυδίτῃ τῷ εἰπόντι ἐπιστολῇ τριακοστῇ ὀγδόῃ, ἥτις ἐστὶ πρὸς Ἀρσένιον, περὶ τῆς Οἰκουμενικῆς ταύτης Συνόδου ὅτι ἐστὶ μερική; δεύτερον, ἐν ποίᾳ ἐπιστολῇ τοῦ Στυδίτου κεῖται; καὶ πῶς οὐκ ἔστιν ἡ ἐπιστολὴ καταφανὴς καὶ ἀναμφίβολος καὶ ὑπὸ τοῦ κοινοῦ τῆς Ἐκκλησίας ἀποδεχθεῖσα; τρίτον, εἴρηται ἐν τῇ τρίτῃ Συνόδῳ ὅτι οἱ ἐν ἐκείνῃ πατέρες ἐκλήθησαν κεφαλαὶ, ὁ δὲ Κύριλλος καὶ Μέμνων ἐκλήθησαν κεφαλαὶ τῶν συνειλεγμένων, ἤτοι τῶν πατέρων τῆς Συνόδου ἐκείνης, ὥστε καὶ Κύριλλος καὶ Μέμνων κεφαλαὶ ἐκλήθησαν τῶν κεφαλῶν οὐχ ὑφ' ἑνὸς, ἀλλὰ παρὰ πολλῶν, καὶ οὐκ ἐν παραβύστῳ, ἀλλ' ἐπ' ὄψει Βασιλέως, Συγκλήτου καὶ πάσης τῆς Οἰκουμένης. περὶ κεφαλῶν ἴδε καὶ κατωτέρω τὴν κατὰ Φωτίου Σύνοδον. οὐδὲν ἄρα καὶ ἐκ τούτου ὠφελήθη ὁ παπισμός. πέμπτον, ὅτι τῷ Ταρασίῳ λέγει, Ἡ σὴ σεπτὴ ὁσιότης. Καὶ, τὴν ὑμετέραν σεπτοτάτην ἁγιωσύνην. περὶ δὲ τῶν Βασιλέων λέγει, Τῶν Βασιλέων ἡμῶν. Καὶ, συνέθεντο ἐνώπιον παντὸς τοῦ φιλοχρίστου αὐτῶν λαοῦ, τῇ ὑμετέρᾳ ἱκεσίᾳ εὐσεβῶς ἐπινεύσαντες, καὶ τὴν Σύνοδον ὥρισαν ἐν τῇ βασιλίδι αὐτῶν πόλει γενέσθαι, ἡμεῖς δὲ σὺν μεγάλῳ πόθῳ, καθὼς ἐνεφέρετο ἐν τῇ αὐτῶν θείᾳ κελεύσει, ἐπέμψαμεν Τοποτηρητάς. Καὶ, τοὺς δὲ ἀποσταλέντας πρέσβεις πρὸς τὰ ἴχνη τῶν γαληνοτάτων καὶ εὐσεβῶν Βασιλέων δυσωποῦμεν ἵνα ἐν πάσῃ ἀντιλήψει καὶ εὐμενείᾳ διάγειν καταξιώσωσι. ταῦτα ὁ Ἀδριανὸς, ἐξ ὧν ὁ Πάπας δείκνυται τοῦ Βασιλέως οὔτε προέχων οὔτε ἴσος, ἀλλὰ δοῦλος, καὶ οἱ Τοποτηρηταὶ αὐτοῦ ὁμοίως, καὶ ποῦ τὸ νυνὶ, ὅτι οἱ Λεγᾶτοι τοῦ ἀποστολικοῦ θρόνου ἐξισοῦνται τοῖς Βασιλεῦσι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι ἐκ τῶν ὑπὸ τοῦ Ταρασίου ἐν τῷ ἀναγινώσκεσθαι τὰς ἐπιστολὰς τοῦ Ῥώμης ἐν τῇ Συνόδῳ λεχθέντων, ὁμόνοια καὶ συμφωνία, ἀλλ' οὐ μοναρχία τοῦ Ῥώμης συνάγεται.

Ἀναγνωσθεισῶν τῶν ἐπιστολῶν τοῦ Πάπα, ἠρώτησαν οἱ Λεγᾶτοι αὐτοῦ τοὺς πατέρας τῆς Συνόδου εἰ δέχονται αὐτὰς, καὶ ἀποκριθεὶς ὁ Ταράσιος πρῶτος, οὐκ εἶπεν, ὡς προστάττει ὁ Πάπας, ἢ ὅτι κολλώμεθα τῷ θρόνῳ τοῦ Πέτρου, ἢ τῇ κεφαλῇ πασῶν τῶν Ἐκκλησιῶν, ἢ τῷ πρωτεύοντι θρόνῳ ὡς ἀπῄτει ὁ Ἀδριανὸς, οὐ δὲ ὅτι ὁ Ἀδριανὸς ἐδίδαξεν ἡμῖν τὴν ἀλήθειαν τῆς πίστεως, ἀλλ' ἐπαινέσας τὸ σπουδαῖον τῆς πίστεως τῶν Ῥωμαίων, καὶ εἰπὼν, ὅτι ἄβουλόν ἐστι τὸ ἀντικεῖσθαι αὐτῇ, ἐπήγαγεν, ὅτι Ἀδριανὸς, οὐχ ὁ μοναρχὴς, ἢ αὐτοκράτωρ, ἢ ἄκρος, ἀλλὰ τί; Ἀδριανὸς ὁ προέδρος τῆς πρεσβυτέρας Ῥώμης ἔγραψε βεβαιούμενος εὖγε καὶ καλῶς ἔχειν τὴν ἀρχαίαν παράδοσιν τῆς καθολικῆς Ἐκκλησίας. τοῦτο διὰ τὴν Ἐκκλησίαν Ῥωμαίων. περὶ δὲ τῶν λοιπῶν Ἐκκλησιῶν ἐπήγαγε, καὶ αὐτοὶ δὲ ἡμεῖς, ἤτοι οἱ Πατριαρχικοὶ θρόνοι, καὶ πάντες οἱ ἐν αὐτοῖς Ἱερεῖς γραφικῶς καὶ ἐρευνητικῶς καὶ συλλογιστικῶς καὶ ἀποδεικτικῶς ἐξετάσαντες, καὶ ταῖς πατρικαῖς διδασκαλίαις μαθητευθέντες, οὕτω καὶ ὡμολογήσαμεν καὶ ὁμολογοῦμεν καὶ ὁμολογήσομεν καὶ στοιχῶμεν καὶ ἐμμένομεν καὶ βεβαιούμεθα τῇ τῶν ἀναγνωσθέντων γραμμάτων ἐμφάσει, τὰς εἰκονικὰς ἀναζωγραφήσεις ἀποδεχόμενοι κατὰ τὴν ἀρχαίαν τῶν ἁγίων πατέρων ἡμῶν παράδοσιν. ταῦτα ὁ Ταράσιος, ἐν οἷς τρία φησὶ, πρῶτον ὅτι ὁ Πάπας οὐκ ἀφ' ἑαυτοῦ τὶ λέγει ὡς ἐκ θείας ἀποκαλύψεως, ἢ τῇ ἀναμαρτησίᾳ τοῦ ῥωμαϊκοῦ θρόνου, ἀλλὰ τὴν ἀρχαίαν παράδοσιν τῆς καθολικῆς Ἐκκλησίας βεβαιοῖ, τοῦτο γάρ ἐστιν ἡ πίστις τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ᾗ τινι ὁ ἀντικείμενος, τῇ ἀρχαίᾳ τῶν πατέρων διδασκαλίᾳ ἀντίκειται. δεύτερον, ὅτι καὶ ἡμεῖς ὡς καὶ ἐκεῖνοι ἀναλεγόμενοι τὴν γραφὴν, τοὺς πατέρας καὶ τὸν ἐξ αὐτῶν λόγον καὶ τὴν ἀπόδειξιν τὰ αὐτὰ ὁμολογοῦμεν, καὶ ἀποδεχόμεθα τὰς ἐπιστολὰς τοῦ Πάπα. καὶ τρίτον, ὅτι ἀποδεχόμεθα τῶν Εἰκόνων τὴν προσκύνησιν, ἐξ ὧν περαίνεται, ὅτι οὐδὲν ἐβεβαιοῦτο τῶν ἐμφερομένων ἐν ταῖς ἐπιστολαῖς λοιπὸν, εἴτε περὶ τῆς Οἰκουμενικὸς προσηγορίας ἦν, εἴτε περὶ τοῦ ἐκ λαϊκοῦ χειροτονηθῆναι, ἀλλὰ μονωτάτη ἡ τῶν Εἰκόνων προσκύνησις, εἰ δὲ καὶ εἶπεν ἡ Σύνοδος περὶ τῶν γραμμάτων τοῦ Πάπα ὅτι ἑπόμεθα καὶ δεχόμεθα καὶ προσιέμεθα, ἀλλὰ ταῦτα συμφωνίαν καὶ μόνην δηλοῦσιν, ὅθεν Ἰωάννης Τοποτηρητὴς τῆς Ἀνατολικῆς Διοικήσεως ἔφη, Ἀδριανὸς καὶ Ταράσιος οἱ ἁγιώτατοι Πατριάρχαι τῆς Οἰκουμένης ὑπάρχουσι καὶ λέγονται, τὸ ἐν φρονοῦντες καὶ ὁμολογοῦντες, καὶ ἴδε καθεξῆς καὶ τὰς διαλαλιὰς τῶν λοιπῶν Ἐπισκόπων.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι ἐκ τῶν πρὸς τοὺς Πατριάρχας καὶ τὸν Ῥώμης ἐπιστολῶν τοῦ Κωνσταντινουπόλεως Ταρασίου, τῶν ἐν τῇ τρίτῃ πράξει ἀναγνωσθεισῶν, δείκνυται ὁ Χριστὸς ἑνότης καὶ κεφαλὴ τῶν Ἐκκλησιῶν, ὁ δὲ Ῥώμης ἰσότιμος τῶν Πατριαρχῶν καὶ ὑπὸ τὰς Συνόδους.

Ἐν τῇ τρίτῃ πράξει σημείωσαι, ὅτι ὡς ἐζητήθη ἵνα ἀναγνωσθῶσιν αἱ ἐπιστολαὶ τοῦ Πάπα, ἐζητήθη ἵνα ἀναγνωσθῶσι καὶ αἱ ἐπιστολαὶ τοῦ Ταρασίου καὶ τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς διὰ τὴν αὐτὴν αἰτίαν. εἰ μὲν οὖν τῇ ἐπιστολῇ τοῦ Ταρασίου σημείωσαι πρῶτον, ὅτι τὰ διερρωγότα μέλη καὶ ἀποσχισθέντα εἰς ἓν σῶμα συναρμο-

συναρμολογούμενον καὶ συμβιβαζόμενον τὴν αὔξησιν ποιήσονται, ἐν οἷς κεφαλὴ ἐστὶν ὁ Χριστὸς, καὶ μηκέτι εἴη διασκορπισμένα, καὶ λοιπὸν αἰτοῦμαι τὴν ὑμετέραν ἁγιότητα ἕως τῶν δύο Τοποτηρητῶν ἀποστεῖλαι μετὰ θεηγόρου γραμματιδίου ὑμῶν, καὶ εἴτι ἐστὶν ὑμῖν ἐκ τοῦ Θεοῦ ἐνηχούμενον περὶ τῆς ὑποθέσεως ταύτης φανερώσατε ἡμῖν, ὡς ὀφειλόντων καὶ τῶν Τοποτηρητῶν ὑμῶν καὶ τῶν γραμμάτων ὑμῶν συνοδικῶς ἐπὶ πᾶσι τῶν μὲν λαλῆσαι τῶν δὲ ἀναγνωσθῆναι, ὅπως ἑνωθῇ τὰ διεσχισμένα, αὐτὸ γὰρ τοῦτο καὶ παρὰ τοῦ προέδρου τῆς πρεσβυτέρας Ῥώμης ᾐτησάμεθα, καὶ παρακαλῶ ὑμᾶς ἀδελφικῶς τὴν ἀποστολικὴν ὑμῖν προσφθεγγόμενος φωνὴν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, πάντα ἐρευνῶντες κατὰ τὸν ἔνθεον σκοπὸν ὑμῶν φανερώσατε ἡμῖν, γέγραπται γὰρ χείλη ἱερέων φυλάξεται γνῶσιν, καὶ Νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτῶν. πεπείσμεθα γὰρ ὅτι τὰ σπέρματα τῆς ἀληθείας ἐν ἑαυτοῖς διασώζετε, καὶ οἱ εὐσεβεῖς δὲ ἡμῶν Βασιλεῖς καὶ κατὰ πάντα ὀρθόδοξοι τῆς ἀληθείας βεβαίωσιν ἐπισπῶνται, καὶ Κύριον τὸν Θεὸν ἱκετεύουσι κατὰ τὸν τῆς θεολογίας ἐπώνυμον Γρηγόριον, ἵνα γενώμεθα οἱ τοῦ ἑνὸς Θεοῦ ἕν, καὶ οἱ τῆς Τριάδος, ἡνωμένοι καὶ ὁμότιμοι καὶ ὁμόψυχοι, οἱ τοῦ ἁγίου Πνεύματος, οὐ κατ' ἀλλήλων, ἀλλὰ σὺν ἀλλήλοις, οἱ τῆς ἀληθείας, τὸ αὐτὸ φρονοῦντες καὶ λέγοντες, καὶ μὴ εἴη ἔρις καὶ διχοστασία ἐν ἡμῖν, ἀλλ' ὥς περ ἔχωμεν ἓν βάπτισμα, μίαν πίστιν, οὕτω καὶ συμφωνίαν μίαν ἐπὶ παντὸς ἐκκλησιαστοῦ πράγματος. ταῦτα ὁ Ταράσιος. ἐν οἷς σημείωσαι, ὅτι ἀνωτέρω εἰπόντος Ἰωάννου τοῦ Τοποτηρητοῦ τῆς Ἀνατολικῆς Διοικήσεως, ὅτι ὁ Ἀδριανὸς καὶ Ταράσιος τὸ ἓν φρονοῦσιν, ἵνα μὴ εἴπῃ τὶς ὅτι φρονοῦσι τὸ ἓν καθὸ ἕπεται ὁ Ταράσιος τῷ Ἀδριανῷ ὡς μοναρχῇ, ὁ Ταράσιος ἐν ταύτῃ τῇ ἐπιστολῇ ὑπεξηγεῖταί πως τὸν Ἰωάννην, καὶ λέγει, ὅτι τὰ μὲν συναρμολογούμενα τῆς Ἐκκλησίας τὴν αὔξησιν ποιήσεται, ἧς κεφαλὴ ἐστὶν ὁ Χριστὸς, εἰς ὃν ἀνάγονται οἱ πιστοὶ, καὶ γίνονται ἕν, ὡς εἶπε δηλονότι ὁ Κύριος ἐν τῇ Εὐχῇ, ἵνα ὦσιν ἕν, καὶ ὁ Παῦλος, Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, καὶ προσέτι εἷς θεμέλιος, ἐν ᾧ οὐδεὶς δύναται θεῖναι ἕτερον, ὡς καὶ ὁ Θεολόγος Γρηγόριος φησὶν, ἵνα γενώμεθα οἱ τοῦ Θεοῦ ἕν, καὶ οἱ τῆς Τριάδος, ἡνωμένοι καὶ ὁμότιμοι καὶ ὁμόψυχοι, οἱ τοῦ ἁγίου Πνεύματος, οὐ κατ' ἀλλήλων, ἀλλὰ σὺν ἀλλήλοις. εἴποι δέ τις, οὐ κατ' ἀλλήλων οὐδ' ἐπ' ἀλλήλοις, ἀλλὰ σὺν ἀλλήλοις. Ἀκούεις παπιστὰ ποῖος ποιεῖ τοὺς χριστιανοὺς ἕν; παπιστίδιον ἐρωτῶσε τίνι πείθῃ; Ταρασίῳ καὶ Γρηγορίῳ καὶ Παύλῳ καὶ τῷ Κυρίῳ, ἢ Γεωργίῳ τῷ Τραπεζουντίῳ; οἱ μὲν γὰρ λέγουσιν ὅτι ἡ ἑνότης τῶν Ἐκκλησιῶν ἐστὶν ὁ Χριστὸς, ὧν καὶ κεφαλὴ ἐστὶ καὶ θεμέλιος καὶ εἷς Κύριος. ὁ Τραπεζούντιος δὲ λέγει ὅτι οἱ ἅγιοι πατέρες ἐκβοῶσιν, ἵνα πιστεύεις εἰς ἕνα Θεὸν, καὶ εἰς ἕνα Κύριον, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ἔπειτα εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν, οὐκ εἰς τὸ ἄθροισμα τῶν πιστῶν, ἀλλ' εἴς τι ὡρισμένον, ὅπερ ἐστὶν ἡ Ῥωμαϊκὴ Ἐκκλησία. Καὶ, πᾶσαι αἱ Ἐκκλησίαι τῇ Ῥώμῃ ἑνίζονται, αὕτη δὲ τῷ Πάπᾳ. εἰ μὲν οὖν εἴπης παπιστὰ τὸ πρῶτον, δεχόμεθά σε ἐξ Αἱρέσεως ἐπιστρέφοντα, ὡς ἐδέξατο τοὺς τοιούτοις ἡ παροῦσα ἁγία Σύνοδος. εἰ δὲ τὸ δεύτερον, ἀντιχριανισμὸν διδάσκεις παπιστίδιον καὶ οὐδὲν ἄλλο. σημείωσαι δεύτερον τὴν ἀναγκαίαν χρείαν πάντων τῶν Πατριαρχῶν ἐν τῇ Οἰκουμενικῇ Συνόδῳ. τρίτον, ὅτι οὐμόνον ἐκ τοῦ Πάπα, ἀλλὰ καὶ ἐκ τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς τὴν φανέρωσιν τῆς ἀληθείας καὶ τὴν ἕνωσιν τῶν διεσχισμένων μερῶν ζητεῖ, ὡς ἐζήτησε καὶ παρὰ τοῦ Πάπα, ὥστε ἐξίσου τῆς Ἐκκλησίας Διδάσκαλοι καὶ ἀπαραλάκτως καὶ ὁμότιμοι πάντες οἱ Πατριάρχαι, ἐν οἷς καὶ ὁ Πάπας. καὶ λοιπὸν λῆρος ἐστὶ τὸ, ὅτι ὁ Πάπας ἐπὶ τῶν Συνόδων, καὶ τὸ, ὅτι ἐξαιρέτῳ ἰδιώματι τῆς Ἐκκλησίας ἐστὶ Διδάσκαλος. τέταρτον, μετὰ τὸ ἀναγνωσθῆναι τὴν ἐπιστολὴν ταύτην οἱ Τοποτηρηταὶ τοῦ Πάπα εἶπον, Τὰ αὐτὰ γράμματα δεξάμενος καὶ ὁ ἁγιώτατος ἡμῶν Πάπας τούτου ἕνεκεν ἀπέστειλεν ἡμᾶς μετὰ τῶν ἀντιγράφων τῶν ἤδη ἀναγνωσθέντων. εἶτα Ἰωάννης ὁ τὸν τόπον ἐπέχων τῶν Ἀνατολικῶν Ἀρχιερέων εἶπε, Ταῦτα τὰ γράμματα καὶ ἡ εὐσέβεια τῆς βασιλείας παρεσκεύασεν ἡμᾶς τοῦ παραγενέσθαι ἐνταῦθα. ἐν οἷς σημείωσαι, ὅτι ὁποίῳ τρόπῳ ἔγραψεν ὁ Ταράσιος τῷ Πάπᾳ, ἔγραψε καὶ τοῖς Πατριάρχαις, ὡς ἐλέγομεν ἀνωτέρω ὅτι ἔγραψεν ὁ Θεοδόσιος καὶ Μαρκιανὸς τοῖς αὐτοῖς, καὶ τοῦτο, ἐπειδὴ ἰσότιμοι οἱ Πατριάρχαι, διὸ γράφει αὐτοῖς ὁ Ταράσιος ἵνα φανερώσωσι τὶ φρονοῦσι περὶ τῆς ὑποθέσεως τῶν ἁγίων Εἰκόνων διὰ γραμμάτων, καὶ ὅπως τὰ γράμματα ἀναγνωσθῇ ἐν τῇ Συνόδῳ, καὶ οἱ Τοποτηρηταὶ εἴπωσι τὰ εἰκότα, καὶ γὰρ τοῦτο καὶ παρὰ τοῦ Πάπα ᾐτησάμεθα, ἵνα δηλονότι πέμψῃ Τοποτηρητὰς καὶ γράμματα, ὥστε ἐκεῖνος ὁ λόγος τῶν παπιστῶν, ὅτι ὁ Ῥώμης οὐ πρῶτος ἐστὶ τῇ τάξει καὶ ἀπαριθμήσει, ἀλλὰ ἀξίᾳ τινὶ ἐστὶ πρῶτος, καὶ ὅτι μόνος ἀρκεῖ ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις, καινοφωνία ἐστὶν, αἱρετικῇ διανοίᾳ ἐφευρεθεῖσα ἐπὶ καταλύσει τῆς πίστεως.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι ἐκ τῆς πρὸς τὴν Σύνοδον ἐπιστολῆς τῶν τῆς Ἕω Ἀρχιερέων, δείκνυνται ἰσότιμοι οἱ θρόνοι αὐτῶν τῷ τοῦ Ῥώμης θρόνῳ, καὶ ψεῦδος τὸ ἀγείρειν τὸν Ῥώμης τὰς Συνόδους, ὑπ' αὐτὰς καὶ τοὺς Βασιλεῖς ὄντα καὶ τῆς αὐτῆς ἀξίας τοῖς Ἐπισκόποις.

Ἐν τῇ ἐπιστολῇ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς σημείωσαι, ὅτι τοὺς θρόνους αὐτῶν ἀποστολικοὺς καλοῦσιν ἀπολε-

ἀπολελυμένως, καὶ σημείωσαι λοιπὸν, ὅταν ἀκούσῃς ἀποστολικὴν καθέδραν καὶ ἀποστολικὸν θρόνον τὴν ῥωμαϊκὴν καθέδραν, ἐστ' ὅτε λεγομένην ἀπολελυμένως τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, ἵνα ἐννοῇς τὸ ἰσότιμον. δεύτερον λέγουσιν, ὅτι τὴν πρόθεσιν τοῦ Πατριάρχου, ἤτοι τοῦ Ταρασίου καὶ τῶν Βασιλέων ἀποπληροῦντες, πέμπουσι τοὺς Τοποτηρητάς. καὶ λοιπὸν πῦ ἐστὶν ὁλόγος τῶν παπιστῶν, ὅτι ὁ Πάπας κυρίως καλεῖ καὶ ἀγείρει τὰς Συνόδους; ἐπειδὴ νῦν οὔτε καλεῖ, οὔτε διὰ τὴν πρόθεσιν αὐτοῦ ἔρχονται. τρίτον λέγουσιν, ἀλλ' ὦ ἁγιώτατοι καὶ μακαριώτατοι ὡς πρέπον ἐστὶ τῇ Πατριαρχικῇ δεσποτείᾳ ὑμῶν, ἀσμένως τοὺς ἀδελφοὺς ὑμῶν ὑποδέξασθε, καὶ τοῖς Δεσπόταις τῆς οἰκουμένης ἄτερ συστολῆς καὶ ἀνθρωπίνου φόβου παραστήσατε, ἕξετε γὰρ αὐτοὺς ἐπισταμένους ἀκριβῶς τῶν τριῶν ἀποστολικῶν θρόνων τὴν ὁμονοητικήν τε καὶ σύμφωνον ὀρθοδοξίαν, οἵτινες τὰς ἁγίας καὶ οἰκουμενικὰς ἓξ Συνόδους ὁμοφώνως κηρύττουσιν, ἑτέραν πρὸς ταύταις, ἣν καὶ ἑβδόμην τινὲς θρυλλοῦσιν, οὐ προσιέμενοι, ἀλλὰ πάμπαν ἀποβαλλόμενοι, ὡς ἐπὶ καθαιρέσει τῶν ἀποστολικῶν τε καὶ διδασκαλικῶν παραδόσεων συναθροισθεῖσαν, καὶ τῶν θείων καὶ σεπτῶν Εἰκόνων ἀναιρέσει καὶ ἐξαλείψει. ὑμεῖς δὲ ἁγιώτατοι πεπυρσευμένοι θείῳ ζήλῳ ὑπάρχοντες, σύμφρονάς τε τοὺς δικαίᾳ ψήφῳ Θεοῦ βασιλεύειν ἡμῶν προκριθέντας θεοφυλάκτους Δεσπότας ἔχοντες, ἅμα δὲ καὶ τὴν θεοσκεπῆ καὶ θεοτείχιστον Σύγκλητον, ἰσχύσατε καὶ ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πᾶσαν παρακοὴν ἀποστολικῶς διεκδικοῦντες, καὶ εἰς τὴν τοῦ Χριστοῦ ὑπακοὴν μεθαρμόζοντες. ἐκεῖνο δὲ ὑπομιμνήσκομεν ὡς ἀναγκαῖον τὴν ἱεραρχικὴν ὑμῶν κορυφὴν, εἴγε εὐδοκίᾳ τοῦ παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ τῶν αὐτῷ συμβασιλεύειν ἠξιωμένων θεοσεβεστάτων καὶ τροπαιούχων Δεσποτῶν ἡμῶν, βουληθείητε συγκροτῆσαι Σύνοδον, μὴ ἐπαχθὴς ὑμῖν φανείη τῶν τριῶν ἀποστολικῶν θρόνων τῶν ἁγιωτάτων Πατριαρχῶν καὶ τῶν ὑπ' αὐτοὺς ὁσιωτάτων Ἐπισκόπων ἡ ἀπόλειψις, οὐ γὰρ ἐξ οἰκείας αὐτῶν τὸ ἐμποδὸν προθέσεως, ἀλλὰ τῆς τῶν κρατούντων καὶ κυριευόντων αὐτῶν φρικωδεστάτης ἐπαπειλήσεως καὶ θανατηφόρου ἐπιτιμήσεως, τοῦτο δὲ ἐστὶν ἀκριβέστερον συνιδεῖν καὶ ἀπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης Συνόδου, ἐν ᾗ οὐδεὶς τῶν κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν τούτοις ἐπισκοπούντων τοῖς μέρεσι συναχθεὶς εὕρηται διὰ τὴν τῶν ἐθνικῶν ἐπικράτειαν, ἀλλὰ οὐ δὲ ἐκ τούτου τῇ ἁγίᾳ Συνόδῳ πρόκριμα συνεπλάκη, οὐδ' αὖ παρωμάρτησε κώλυσίς τις συστήσασθαι, καὶ κατάδηλα πᾶσι ποιῆσαι τὰ ὀρθὰ τῆς εὐσεβείας δόγματα, μάλιστα τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ Πάπα Ῥώμης συμφωνήσαντος αὐτῇ καὶ συνευρεθέντος διὰ τῶν οἰκείων Ἀποκρισιαρίων, καὶ ἀρτίως ἁγιώτατοι τοῦτο γένοιτο σὺν Θεῷ, καὶ ὃν τρόπον τηνικαῦτα ἐκείνης ἡ πίστις εἰς τὰ τῆς οἰκουμένης ἐξήχηται πέρατα, οὕτω καὶ τῆς νυνὶ ἀθροισθησομένης Χριστοῦ χάριτι Συνόδου διὰ μεσιτείας ὑμῶν καὶ τοῦ τὸν ἀποστολικὸν θρόνον τοῦ κορυφαίου διέποντος κηρυχθήσονται ἐν ὅλῃ τῇ ὑφ' Ἡλίῳ, ταῦτα οἱ τῆς Ἀνατολῆς Ἀρχιερεῖς. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι οἱ Βασιλεῖς λέγονται Δεσπόται τῆς Οἰκουμένης, καὶ σημείωσαι περὶ τοῦ Πάπα καὶ τοῦ Κωνσταντινουπόλεως κατὰ τίνα τρόπον λέγονται Οἰκουμενικοὶ, ὡς εἴπομεν ἀνωτέρω ἐν πολλοῖς. δεύτερον, ὡς ὁ Ἀδριανὸς ἐδυσώπει τὸν Ταράσιον ὑπὲρ τῶν Τοποτηρητῶν αὐτοῦ ἵνα οἱ Βασιλεῖς ἐν εὐμενείᾳ ἀνθρωπίνῃ διάγειν καταξιώσωσιν, οὕτω δέονται αὐτοῦ οἱ Ἀρχιερεῖς τῆς Ἀνατολῆς ἵνα τοὺς Τοποτηρητὰς αὐτῶν τοῖς Βασιλεῦσι παραστήσῃ. ἀμφότεροι δυσωποῦσιν, ἀμφότεροι δοῦλοι, τῆς αὐτῆς τιμῆς, ἄρα καὶ τῆς αὐτῆς ἀξίας. τρίτον, οἱ τρεῖς ἀποστολικοὶ θρόνοι ἐξ ἰδίας αὐθεντίας τὰς μὲν ἁγίας Συνόδους δέχονται, τὸν δὲ ψευδοσύλλογον ἀποβάλλονται, τῷ αὐτῷ τρόπῳ ᾧπερ ἔγραφε καὶ ὁ Ἀδριανὸς ἀνωτέρω, ἡ αὐτὴ ἐνέργεια καὶ αὐθεντία, ἄρα καὶ ἡ αὐτὴ ἀξία. τέταρτον, ὅτι ἔχοντες ὑπὲρ τὸν Ταράσιον τοὺς Βασιλεῖς καὶ τὴν Σύγκλητον ὁμόφρονας ἰσχύσουσι, πᾶσαν παρακοὴν ἀποστολικῶς διεκδικοῦντες, καὶ εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ μεθαρμόζοντες. καὶ σημείωσαι τὸ ἀποστολικῶς, ὅτι οὐμόνον τῷ Πάπᾳ καὶ τοῖς Πατριάρχαις ἰδίως, ἀλλὰ μάλιστα τῇ Συνόδῳ ὑπεροχικῶς ἐφαρμόττει, καὶ ἔτι κατὰ παπιστῶν μὴ δεχομένων Ἄρχοντας κοσμικοὺς παρεῖναι ἐν τῇ Συνόδῳ, ἵνα μὴ καταφανῆ γίνωνται τὰ τερατολογήματα αὐτῶν, οὐχ οὕτως ὅμως ἐποίει ἡ Ἐκκλησία, ἀλλ' εἶχε καὶ Βασιλεῖς προκαθημένους καὶ Ἄρχοντας συνεδρεύοντας, ὡς εἶχε καὶ ἡ παροῦσα. πέμπτον φασὶν, εἰ οὐ πάρεισιν οἱ Πατριάρχαι τῶν τριῶν ἀποστολικῶν θρόνων καὶ οἱ ὑπ' αὐτοὺς Ἐπίσκοποι, μὴ ἐπαχθὴς φανείη ἡ ἀπόλειψις, ἐπειδὴ καὶ ἐν τῇ ἕκτῃ Οἰκουμενικῇ οὐδεὶς τῶν Ἐπισκόπων τῶν ἐν τοῖς τρισὶ θρόνοις εὕρηται. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι Πατριάρχαι καὶ Ἐπίσκοποι οὐχ εὑρέθησαν ἐν τῇ ἕκτῃ ἀπὸ τῶν ἐν τοῖς δυσὶ Πατριαρχικοῖς θρόνοις Ἀλεξανδείας καὶ Ἱεροσολύμων, Τοποτηρηταὶ ὅμως ἦσαν ἀξιόλογοι τοῦ μὲν Ἀλεξανδρείας Πέτρος Ἱερομόναχος, τοῦ δὲ Ἱεροσολύμων Γεώργιος Ἱερομόναχος, Ἀντιοχείας δὲ τῶν ὁ Μακάριος πρῶτον, οὗ καθαιρεθέντος, ἐγένετο ὑπὸ τῆς Συνόδου ὁ Θεοφάνης. οὐ βούλονται δὲ εἰπεῖν διὰ τούτου οἱ πατέρες, ὅτι μὴ ὄντων τῶν Πατριαρχῶν, ἀρκεῖ ἀντὶ τούτων ὁ Ῥώμης, ἀλλ' ὅτι ἐπειδὴ οἱ Πατριαρχικοὶ θρόνοι ἦσαν ἐν ἀνάγκαις, ὁ δὲ Ῥώμης ἦν ἐν ἡσυχίᾳ, ἀρκεῖ ἡ τοῦ Ῥώμης συμφρόνησις κατὰ τὸ παρὸν δηλονότι. τοῦτο δὲ εἶπον οἱ πατέρες, φερόμενοι κατὰ τοῦ ἐν τῇ Βλαχέρνᾳ τῶν Εἰκονομάχων συλλόγου, οἵτινες ἔλεγον, ὅτι ἀρκεῖ ἡ Κωνσταντινουπόλεως Ἐκκλησία πρὸς ἄθροισιν Οἰκουμενικῆς Συνόδου καὶ Κανόνα τῆς πίστεως καὶ τῶν ἐκκλησιαστικῶν παραδόσεων βεβαίωσιν, ὡς λέγουσιν ἤδη καὶ οἱ παπολάτραι περὶ τοῦ Ἐπισκόπου αὐτῶν, οἱ δὲ πατέρες τῆς Ἀνατολῆς βούλονται εἰπεῖν, ὅτι εἰ καὶ ἡμεῖς οὐκ ἦμεν, ἐπειδὴ πάρεστιν ὁ Ῥώμης, ἕπεται ἵνα κοινῶς θεωρηθῇ τὰ πράγματα καὶ οὐκ ἐκ μόνης τῆς Ἐκκλησίας

κλησίας Κωνσταντινουπόλεως, ὥσπερ ἐπὶ τῶν Μονοθελητῶν οἱ Πατριάρχαι Σέργιος, Πύῤῥος, Παῦλος, Πέτρος ἐνόμιζον τὴν Ἐκκλησίαν Κωνσταντινουπόλεως καθολικὴν Ἐκκλησίαν, καὶ ἤθροιζον Συνόδους ἐξ ἰδίας αὐθεντίας δῆθεν Οἰκουμενικάς. ἀλλὰ συνελθούσης τῆς ἑκτῆς Οἰκουμενικῆς, ἐν ᾗ οὐκ ἦσαν μόνοι οἱ Κωνσταντινουπολῖται, ἀλλὰ συνῆν καὶ ἡ Ἐκκλησία Ῥωμαίων διὰ Τοποτηρητῶν, οὐκ ἐδυνήθησαν οἱ Αἱρετικοὶ ποιῆσαι τὰ ἴδια, ἐπειδὴ κοινῶς κοινῶν θεωρηθέντων, ἐλύθη ἡ ἀμφιβολία, καὶ ἐγνώσθη τοῖς πᾶσι καθαρὰ ἡ ἀλήθεια. δεύτερον, εἰ καὶ οὐκ ἦσαν, ὑποθετικῶς εἰπεῖν, Τοποτηρηταὶ τῶν Ἀνατολικῶν Ἀρχιερέων ἐν τῇ ἑκτῇ Συνόδῳ διὰ τὴν ἀνάγκην τῶν ἐθνικῶν, ἡ Σύνοδος πάλιν Οἰκουμενικὴ ἦν, ἐπειδὴ μετὰ τὴν διάλυσιν αὐτῆς οἱ Πατριάρχαι τῆς Ἀνατολῆς συνήνεσαν, συνεφώνησαν καὶ παρεδέξαντο αὐτὴν, ὥσπερ ὁ Μάξιμος τὴν τρίτην, καὶ ὁ Βιγίλιος τὴν πέμπτην, καὶ ὁ Ἀδριανὸς τὴν ἐν Τρούλλῳ, καὶ ὁ Προτέριος τὴν ἐν Χαλκηδόνι. ὅθεν ἡ Σύνοδος ἡ ἐν Βλαχέρνᾳ κατηγορεῖται τόμῳ πρώτῳ, πράξει ἑκτῇ τῆς παρούσης Συνόδου ὅτι οὐκ εἶχε συμφρονοῦντας αὐτῇ τοὺς Πατριάρχας τῆς Ἕω. τρίτον, ὅτι ἰσότητα μαρτυροῦσι τῷ Ταρασίῳ καὶ τῷ Πάπᾳ, λέγοντες δ' αὐτοῦ καὶ τοῦ Πάπα κηρυχθήσεται εἰς τὸν κόσμον ἡ ἀπόφασις τῆς γενησομένης Συνόδου, ὡς ἐκηρύχθη ἡ τῆς ἑκτῆς. τέταρτον, ὅτι προτιμῶσι τὴν Σύνοδον τοῦ Ταρασίου καὶ τοῦ Ἀδριανοῦ, ἐπειδὴ τὴν μὲν ἀπόφασιν λέγουσιν εἶναι τῆς ἁλισθησομένης Συνόδου, τὸν δὲ Κωνσταντινουπόλεως καὶ τὸν Πάπαν μεσίτας καὶ κήρυκας τῆς συνοδικῆς ἀποφάσεως, ὥσποτε Ἀλέξανδρος Κωνσταντινουπόλεως καὶ Ἀλέξανδρος Ἀλεξανδρείας ἐγένοντο κήρυκες τῆς ἐν Νικαίᾳ πρώτης Συνόδου, καὶ ἴδε τὸν τόπον. καὶ λοιπὸν σημείωσαι, ὅτι καὶ ἐκ τοῦ τόπου τούτου γίνονται ἐννεοὶ οἱ πολύφωνοι Λατῖνοι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ὅτι ἐκ τῆς ἀποκρίσεως τοῦ Ἀδριανοῦ Πάπα πρὸς τὸν Ῥήγα Γαλλίας μεμφόμενον τῷ Ἱεροσολύμων Θεοδώρῳ, καὶ τῆς συνοδικῆς ἐπιστολῆς τῶν Πατριαρχῶν τῆς Ἕω πρὸς Παῦλον Ῥώμης, δείκνυται ἡ προσάλληλος χρεία καὶ συμφωνία, καὶ οἴχεται τὸ τῆς μονότητος ἀξίωμα.

Ἐν τῷ λιβέλλῳ τοῦ Ἱεροσολύμων Θεοδώρου σημείωσαι πρῶτον, ὅτι ὁ Ῥὴξ Γαλλίας γράψας τινὰς ἀντιθέσεις πρὸς τὸν Πάπαν Ἀδριανὸν περὶ τῆς ἑβδόμης ταύτης ἁγίας Συνόδου, ἔγραψε μεμφόμενος καὶ τὸν Θεόδωρον τοῦτον, ὅτι γράφει μόνην ἀρχὴν ἐν τῇ Θεότητι εἶναι τὸν Πατέρα, πρὸς ὃν ἀποκρινόμενος ὁ Ἀδριανὸς, λέγει πολλὰ ἐγκώμια τοῦ Θεοδώρου, καὶ ὅτι ἔγραψεν αὐτὸς καὶ ὁ Ἀλεξανδρείας Κοσμᾶς καὶ ὁ Ἀντιοχείας Θεόδωρος ὁμοῦ καὶ οἱ τρεῖς συνοδικὴν ἐπιστολὴν πρὸς τὸν τότε καιροῦ Πάπαν τῆς Ῥώμης Παῦλον, ἣν ὁ μετὰ τὸν Παῦλον Πάπας Στέφανος προβαλὼν, καὶ Σύνοδον ποιήσας ἰταλικῶν καὶ δυτικῶν Ἐπισκόπων ὑπὲρ τῶν ἁγίων Εἰκόνων, ἔπεμψε τὰ συνοδικὰ τότε αὐτοῦ καὶ τὴν τῶν Πατριαρχῶν συνοδικὴν ἐπιστολὴν πρὸς τοὺς Ἐπισκόπους Γαλλίας καὶ Ἰταλίας, οἳ καὶ λαβόντες αὐτὰ, καὶ ἀποδεξάμενοι, ἠυχαρίστησαν. ἔγραφον δὲ οἱ Πατριάρχαι τῷ Πάπᾳ ἐν τῷ συνοδικῷ καὶ ταῦτα, Εἴτις ἔχει ἄλλον ὅρον πίστεως ἢ συμβουλὴν ἢ παράδοσιν ἢ διδασκαλίαν, παρεκτὸς τῆς δοθείσης παρὰ τῶν ἓξ Συνόδων, καὶ βεβαιωθείσης ὑπὸ τῶν ἁγίων πατέρων, καὶ εἴτις οὐ προσκυνεῖ τὰς ἁγίας Εἰκόνας κατὰ τὸ εἶδος τοῦ Κυρίου ὑπὸ ἀναθέματι ἐστὶ καὶ ξένος τῆς καθολικῆς Ἐκκλησίας. ἐπέγραφον δὲ οἱ αὐτοὶ τῷ Πάπᾳ, Πρόσμενε ἁγιώτατε ὑπὲρ τῆς αὐτῆς καλῆς πίστεως, ἐν ᾗ ἐπιστηριζόμεθα ὡς ἐν τῇ πέτρᾳ τῆς πίστεως, καθὼς ἡ φωνὴ τοῦ Κυρίου λέγει. ἐν οἷς σημείωσαι, ὅτι βοήθειαν ἔλαβεν ὁ Πάπας ἐκ τῶν συνοδικῶν τῶν Πατριαρχῶν. δεύτερον, ὅτι ὡς ἔγραφον οἱ Ἀρχιερεῖς τῆς Ἀνατολῆς τῷ Ταρασίῳ, Ἀνδρίζου καὶ ἴσχυε, γράφουσι καὶ τῷ Πάπᾳ, Πρόσμενε, καὶ τὰ ἑξῆς, ἐξ ὧν δείκνυται ἡ ἐκκλησιαστικὴ προσάλληλος χρεία καὶ συμφωνία, καὶ οἴχεται καὶ ἐκ τούτου τὸ τῆς μονότητος ἀξίωμα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Ὅτι ἐκ τῶν παρὰ τῶν τοῦ Ῥώμης Τοποτηρητῶν καὶ πατέρων λεχθέντων ἐν τῇ ἀποδοχῇ τῆς ἐν τῇ Συνόδῳ ἀναγνωσθείσης ἐπιστολῆς τῶν τῆς Ἕω Πατριαρχῶν, καὶ ἐκ παραθέσεων τῶν ἰδίως τοῖς πατράσι καὶ ἐν ἑτέραις Συνόδοις ῥηθέντων, οἴχεται πᾶσα μοναρχία ἀπὸ τῆς καθολικῆς Ἐκκλησίας.

Μετὰ τὴν ἀνάγνωσιν τῶν ἐπιστολῶν τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς οἱ Τοποτηρηταὶ τοῦ Πάπα σωφρόνως εἶπον, Πειθόμεθα ὅτι ὁ Ἀδριανὸς καὶ ἡ κατ' αὐτὸν ἁγία Σύνοδος ἐστοίχησε τῇ πεμφθείσῃ πρὸς αὐτὸν ἐπιστολῇ τοῦ Ταρασίου, καὶ εὐλογητὸς ὁ Θεὸς, ὅτι καὶ οἱ Ἀρχιερεῖς τῆς Ἀνατολῆς τοῖς ἁγιωτάτοις Ἀδριανῷ Πάπᾳ Ῥώμης καὶ Ταρασίῳ τῷ Κωνσταντινουπόλεως σύμφωνοι ἐν τῇ ὀρθοδόξῳ πίστει καὶ τῇ προσκυνήσει τῶν σεπτῶν Εἰκόνων εὑρέθησαν. εἶτα εἶπεν ὁ Καισαρείας Καππαδοκίας, Τοῖς γράμμασι τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς ὡς στήλην εὐσεβείας ἀποδεξάμενος, στοιχῶ καὶ ἐμμένω. τῶν δὲ λοιπῶν ὁ μὲν εἶπε, Συντίθεμαι, ὁ δὲ, Ὁμόφρων γίνομαι, ἄλλος, Στοιχῶ καὶ ἐμμένω, ἄλλος, τὴν

τὴν κοινωνίαν αὐτῶν ἀποδέχομαι. ἄλλο, σωαινῶ, ἄλλο, ἀποδέχομαι καὶ σέβομαι, σωτίθεμαι ἄλλο, τὰ αὐτὰ αὐτοῖς φρονῶν, καὶ ὅσας εἶπε, τὰς μὴ ἄτω φρονοῦντας τῷ ἀναθέματι καθυποβάλλω. ἡ δὲ σύνοδος κοινῶς εἶπε τὴν ὑπόληψιν τὴν ταρασίου ὀρθοδοξίας, καὶ περὶ τῶν γραμμάτων τῶν πατριαρχῶν εἶπεν, ἀποδεχόμενοι σοιχοῦμεν, καὶ ἀσπαζόμεθα καὶ τιμητικῶς προσκυνοῦμεν τὰς σεβασμίας εἰκόνας, καὶ τὸν ψευδοσύνοδον ἀναθεματίζομεν, καὶ ὁ θεὸς φυλάξοι τὰς βασιλεῖς καὶ τὸν ἁγιώτατον πατριάρχην. ὁ ταράσιος εἶπε, τὸ μεσότειχον ἦρθη τῆς ἔχθρας, ἤν εἶχον δηλαδὴ αἱ ἐκκλησίαι Ῥώμης, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων μετὰ τῆς ἐκκλησίας Κωνσταντινουπόλεως, ἀνατολὴ γὰρ Δύσις, Ἄρκτος καὶ Μεσημβρία ὑπὸ ζυγὸν εἶα καὶ μίαν συμφωνίαν γεγόναμεν. ἡ δὲ σύνοδος ἐψήφισε τοὺς βασιλεῖς, τοὺς πατριάρχας καὶ τὴν σύγκλητον. ἐν τούτοις σημείωσαι πρῶτον, τὸ πειθόμεθα τῷ τοποτηρητῇ τοῦ πάπα, καὶ τοῦ ἁγίου κυρίλλου τοῦ θεοῦ τὸν ἀντιοχείας ἰωάννην, οἷς ἀνάγκη πείθεσθαι τοὺς αὐτεχομένους τῆς θεοῦ ἅπασαν τὴν δύσιν κοινωνίας, καὶ τοῦ μηνᾶ τὸ, ἀκολουθοῦμεν καὶ πειθόμεθα τῷ ἀποστολικῷ θρόνῳ, καὶ τὸ ἀνωτέρω τοῦ ταρασίου, στοιχοῦμεν, καὶ τῆς συνόδου κοινούς, καὶ ἑκάστου τῶν πατέρων ἰδίως ἐν ταῖς ψηφοφορίαις καὶ συγκαταθέσεσι τῶν ὑπολοίπων ἅπερ ἅπαν πᾶσαι αἱ οἰκουμενικαὶ σύνοδοι κοινῶς, καὶ οἱ σὺν αὐτοῖς πατέρες ἰδίως διὰ τὴν αὐτὴν αἰτίαν καὶ τὴν ἀποδοχὴν τῆς πίστεως, πάντες τὸ αὐτὸ σημαίνουσι τῷ πειθόμεθα τοῦ τοποτηρητοῦ, καὶ ἀθεμίαν ὑποτάσσω, ἢ ἰδικῆς ἐξουσίας ὑπεροχὴν, ἀλλὰ συμφωνίαν καὶ ὁμοφροσύνην ἀναφαίρετος καὶ ὡσαύτως ἔχουσαν, ὡς εἴρηται σὺν πολλοῖς αὐτέρω. δεύτερον, συμφωνοῦσιν οἱ πατριάρχαι τῆς ἀνατολῆς ἀθεμίαν καὶ ταρασίῳ, ὅπερ καὶ τοῦτο καταφορὰ ἐστὶ τῆς μοναρχίας, ὡς γὰρ στοιχοῦσιν οἱ πατέρες τῷ πάπᾳ, στοιχοῦσι καὶ ἑτέροις, καὶ τῷ αὐτῷ τρόπῳ στοιχεῖ καὶ ὁ πάπας αὐτοῖς. τρίτον, ὅρος δυσεβείας καλοῦνται αἱ ὑποσολαὶ τῶν πατριαρχῶν, ὅρος δὲ ὀρθοδοξίας ἡ θεὸς αὐτὰς ὑποσολὴ τοῦ ταρασίου, ὅπερ ταυτόν ἐστι τῷ ὅλη ἡ ὑποσολὴ τοῦ πάπα λέοντος θεὸς τὸν κωνσταντινουπόλεως φλαυϊανὸν στήλη ἐστὶν ὀρθοδοξίας. τέταρτον, ὅλη τὸ μεσότειχον ἦρθη τῆς εἰκονομαχίας, καὶ ἡνώθη ἀνατολὴ καὶ δύσις, ἄρκτος καὶ μεσημβρία ἐν θεῷ τοῦ πάπα, ὃς τῷ αὐτῷ τρόπῳ ἐκλήθη ἐν τῇ συνόδῳ ὥπερ ἐκλήθησαν καὶ οἱ λοιποὶ πατριάρχαι, τοῖς αὐτοῖς γράμμασι, τοῖς αὐτοῖς θεσμοῖς, τοῖς αὐτοῖς τίτλοις καὶ ταῖς αὐταῖς ἀποδοχαῖς, καὶ οἱ λεγάτοι αὐτοῦ ἔτως ἐνήργουν ὥσπερ καὶ οἱ τῶν λοιπῶν, ἀλλὰ τῇ ἐξετάσει καὶ κρίσει καὶ ἀποφάσει τῆς οἰκουμενικῆς συνόδου, καὶ γεγόνασι τὰ διηρημένα μέρη τῶν ἐκκλησιῶν εἷς, ἑνωθέντα τῷ πάπᾳ μόνῳ, ἢ μόνοις τοῖς πατριάρχαις, ἀλλὰ τῇ οἰκουμενικῇ συνόδῳ, ὑφ' ἧς ἐβρονήθησαν βασιλεῖς, πατριάρχαι, σύγκλητος, ἀθεμία δὲ μνήμη ἰδικὴ τοῦ πάπα, μᾶλλον τοῦ κωνσταντινουπόλεως ἐμνήσθησαν ἰδικῶς, εἰπόντες, ἀλλ' ὁ θεὸς φυλάξοι τοὺς δεσπότας ἡμῶν τοὺς ἁγιωτάτους, καὶ τὸν ἁγιώτατον πατριάρχην. καὶ οἴχεται πᾶσα μοναρχία ἀπὸ τῆς καθολικῆς ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ ις'.

ὅτι ἐκ τῶν ἐν τῇ τετάρτῃ πράξει ἀναγνωσθησῶν χρήσεων τῆς ἁγίας γραφῆς καὶ τῶν πατέρων εἰς βεβαίωσιν τῆς προσκυνήσεως τῶν ἁγίων εἰκόνων, συμπεραίνεται εἶναι τὸν χριστὸν μόνον κεφαλὴν τῆς ἐκκλησίας, καὶ τὸ κῦρος τῆς συνόδου, τὸ δὲ ὑπὸ τῶν συνόδων εἶναι τὸν ῥώμης ἢ μοναρχὴν ἢ αὐτοκέφαλον, φλυαρίαν.

Ἐν τῇ τετάρτῃ πράξει θεωρητέον πρῶτον, ὅτι οἱ πατέρες, καίτοι ἀπεδέχθησαν ὡς ὀρθοδόξους τὰς ὑποσολὰς τοῦ τε ῥώμης καὶ κωνσταντινουπόλεως καὶ τῶν ἀρχιερέων τῆς ἀνατολῆς, ἀλλὰ ὁ ταράσιος ἐκέλευσεν ἵνα ἀναγνωσθῶσι καὶ χρήσεις ἁγίων πατέρων περὶ τῆς προσκυνήσεως τῶν ἁγίων εἰκόνων, ὥσπερ ἐγένετο καὶ ὑπὸ τῶν προτέρων οἰκουμενικῶν συνόδων, αἵτινες οὐκ ἠρκέθησαν εἰς τὰς ὑποσολὰς τῶν παπῶν καὶ πατριαρχῶν, ἀλλὰ ἀνέγνωσαν καὶ χρήσεις ἁγίων πατέρων περὶ τῶν προκειμένων, καὶ ἴδε ἀνωτέρω τοὺς τόπους τῆς τρίτης καὶ τετάρτης καὶ πέμπτης καὶ ἕκτης, καὶ λοιπὸν σημαινέσθω τῆς συνόδου ἀναγνώσθησαν πρῶτον χρήσεις τῆς ἁγίας γραφῆς ἀπὸ τῆς ἐξόδου, ἀπὸ τῶν ἀριθμῶν, ἀπὸ τοῦ προφήτου ἰεζεκιὴλ, ἀπὸ τῆς θεοῦ ἐβραίους ὑποσολῆς καὶ ἀπὸ τῶν πατέρων χρυσοστόμου, νύσσης, κυρίλλου, ἀντιοχείας βόσρης, ἀστερίου ἀμασίας, ἀπὸ τοῦ μαρτυρίου ἀναστασίου τοῦ πέρσου, ἀθανασίου, νείλου, μαξίμου, τῆς αὐτῆς οἰκουμενικῆς συνόδου, λεοντίου νεαπόλεως κύπρου, ἀναστασίου ἀντιοχείας, σωφρονίου ἱεροσολύμων, ἐκ τῶν θαυμάτων κοσμᾶ καὶ δαμιανοῦ, βασιλείου, θεοδωρίτου, συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει, ἐκ τοῦ βίου τοῦ νυσσέως, ἐκ τοῦ βίου μαρίας τῆς αἰγυπτίας, ἐκ τοῦ μαρτυρίου τοῦ ἁγίου πρεσκουρίου, ἐκ τοῦ βίου θεοδώρου συκεώτου καὶ ὑποσολῆς γρηγορίου πάπα θεοῦ τὸν ἅγιον γερμανὸν καὶ ἀπὸ ὑποσολῶν τοῦ ἁγίου γερμανοῦ θεοῦ ἰωάννου σιναΐτων θεοῦ κωνσταντίνου νακωλείας καὶ θεοῦ θωμᾶ κλαυδιουπόλεως. δεύτερον, ἐνταῦθα ῥητέον, ὅτι τοῦ ἀθεμανοῦ τὸ, στοιχεῖ τῷ θρόνῳ τοῦ πέτρου, καὶ τὸ, κολλήθη τῷ θρόνῳ τοῦ πέτρου, ἀπὸ φιλοτιμίας ἀκαίρου ἐρρέθησαν, ὁ γὰρ ταράσιος ἐξεφώνησεν εἰπὼν μετὰ τὴν ἀνάγνωσιν τῶν χρήσεων τῶν ἁγίων πατέρων, ἐβόησαν οἱ φύλακες τῆς καθολικῆς ἐκκλησίας

ἅγιοι

ἅγιοι πατέρες ἡμῶν, καὶ ἄλλα πολλὰ καὶ μεγάλα εἶπε περὶ αὐτῶν, καὶ ἴδε τὸν τόπον. οὐκ εἶπε τὸν Πάπαν φύλακα, ἀλλὰ τοὺς ἁγίους πατέρας κοινῶς, εἶτα ἐπήγαγε, Χριστὸς ἐστὶν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν. καὶ σημείωσαι, ὅτι οὐχ ὁ Πάπας, ὃς εἷς ἐστὶ τῶν πατέρων τῆς Συνόδου καὶ μερικῆς Ἐκκλησίας Ἐπίσκοπος, ἀλλ' ὁ Χριστὸς ἐστὶν ἡμόνη κεφαλὴ τῆς μιᾶς καθολικῆς Ἐκκλησίας, ὁ ποιήσας διὰ τῶν πατέρων κοινῶς τὰ ἀμφότερα Ἀνατολὴν, Δύσιν, Ἄρκτον καὶ Μεσημβρίαν ἕν, ὅτι αὐτῷ καὶ μόνῳ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν. καὶ γὰρ οὐ δίδωσι τὴν δόξαν αὐτοῦ ἑτέρῳ, καὶ ὁ μερίζων τὴν δόξαν τοῦ Χριστοῦ Ἀντίχριστος ἐστί. τρίτον, οἱ πατέρες τῆς Συνόδου ἐβόησαν, Τῶν θεοφόρων πατέρων αἱ διδασκαλίαι ἡμᾶς διωρθώσαντο, ἐξ αὐτῶν ἀρυόμενοι τὴν ἀλήθειαν, ἐποτίσθημεν, αὐτοῖς κατακολουθοῦντες, τὸ ψεῦδος ἐδιώξαμεν, ἡμεῖς τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς καθολικῆς Ἐκκλησίας ἐπακολουθοῦμεν, τοὺς θεσμοὺς τῶν πατέρων φυλάττομεν, τοὺς προστιθέντας, ἢ ἀφαιρήσαντας τῆς καθολικῆς Ἐκκλησίας ἀναθεματίζομεν. ἐξ ὧν δείκνυται ὅτι τὸ κῦρος ἐν τῇ Ἐκκλησίᾳ τῆς κοινότητος ἐστὶ, καὶ ὁ Πάπας μερικὸς Ἐπίσκοπος, καὶ μερικῆς Ἐκκλησίας ἡγούμενος ἐστὶ, καὶ ἐν ταῖς Συνόδοις οὐδὲν ἔχει πλέον τῶν πατέρων πλὴν τῆς τάξεως, ἣν καὶ οἱ λοιποὶ ἔχουσι κατὰ τὸ δοθὲν ἑκάστῳ θρόνῳ παρὰ τῶν Κανόνων προνόμιον. ὥστε τὰ ὅτι ἐπὶ τῶν Συνόδων ἐστὶν, ὅτι μονάρχης καὶ αὐτοκράτωρ καὶ ἄκρος ἐστὶν, ὅτι ἰδίῳ ἀξιώματι αὐτῷ ἕπεσθαι καὶ κολλᾶσθαι προσήκει, οὐδὲν ἐστὶν ἕτερον, ἀλλ' ἢ ἀναιδεστάτη φλυαρία.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Ὅτι καὶ ἐν ταῖς ἐν τῇ πέμπτῃ πράξει προσαχθείσαις ὑπὲρ τῶν ἁγίων Εἰκόνων μαρτυρίαις, οὐδεμία ἀπόδειξις ἦν ἢ μνήμη τοῦ Ῥώμης.

Ἐν τῇ πέμπτῃ πράξει θεωρητέον πρῶτον, ὅτι προσφέρουσι καὶ ἑτέρας πατέρων μαρτυρίας περὶ τῶν ἁγίων Εἰκόνων, καὶ περὶ τοῦ ὅτι οἱ Εἰκονομάχοι ὅμοιοι εἰσὶ τοῖς ἐχθίστοις Αἱρεσιάρχαις καὶ Σαμαρείταις καὶ Μανιχαίοις. εἰσὶ δὲ αἱ χρήσεις Κυρίλλου ἱεροσολύμων, Συμεὼν τοῦ στυλίτου, Ἰωάννου Θεσσαλονίκης, Ἀντιπάτρου Βόστρης, Θεοδώρου Ἀναγνώστου, Ἰωάννου Διακρινομένου, ἐκ τοῦ βίου τοῦ ἁγίου Σάββα, Ἰωάννου Γαβάλων, Κωνσταντίνου Διακόνου, Εὐαγρίου Σχολαστικοῦ, καὶ ἐκ τοῦ Λειμωναρίου. ὥστε καὶ ἐν ταῦθα οὐδεμία ἀπόδειξις ἀπὸ τῆς τοῦ Πάπα ἀναμαρτησίας, ἢ διδασκαλίας, ἀλλὰ ἀπὸ τῶν πατέρων, τοῦ Πάπα δὲ οὐδεμία μνήμη.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Ὅτι τῆς προσαχθείσης χρήσεως Ἰωάννου τοῦ Νηστευτοῦ ἐν τῇ τετάρτῃ πράξει ἔξαρνοι οἱ Λατῖνοι γενόμενοι, ἐλέγχονται ὡς συκοφάνται τῶν ἁγίων καὶ τῶν Συνόδων

Ἐν τῇ τετάρτῃ πράξει προσήχθη χρῆσις παρὰ τοῦ βίου Ἰωάννου τοῦ Νηστευτοῦ. οἱ δὲ Λατῖνοι μαχόμενοι αὐτῷ διὰ τὴν Οἰκουμενικὸς προσηγορίαν, καὶ ἔξαρνοι γινόμενοι τῆς ἁγιότητος αὐτοῦ, παραγράφουσιν ἔξωθεν, ὅτι ἐστὶν ἀρχαιοτάτη βίβλος ἐν τῇ ἀποστολικῇ Βιβλιοθήκῃ, ἐν ᾗ πολλαὶ ἄλλαι χρήσεις πατέρων καὶ ἀποκοπαὶ παρὰ τὰς ἐν τῇ Συνόδῳ ἀναγνωσθείσας δοκεῖ παρεμβεβλῆσθαι, ἐκτὸς οὖσαι δηλαδὴ τῆς συνεχείας τῶν διαλαλιῶν, καὶ ταῖς λοιπαῖς βίβλοις μὴ ἐφευρεθεῖσαι. μία γοῦν τῶν παρεμβληθεισῶν δοκεῖ περικοπῶν αὕτη ἡ ἐκ τοῦ βίου τοῦ Νηστευτοῦ, ἅτε δὴ μὴ ἐν πάσαις ταῖς βίβλοις τῆς Συνόδου ταυτησὶ ἐμφερομένη. ταῦτα οἱ Λατῖνοι. Ἀλλὰ ῥητέον πρὸς ταῦτα πρῶτον, ὅτι ἔδει εἰπεῖν αὐτοὺς ἐν τῇ παπιστικῇ Βιβλιοθήκῃ καὶ μὴ ἐν τῇ ἀποστολικῇ, καθότι ἡμὲν ἀποστολικὴ ἀληθείας ἐστὶ θησαυρὸς, ἡ παπιστικὴ δὲ ψεύδους καὶ πλασμάτων καὶ τεχνευμάτων καὶ συκοφαντιῶν ἐστὶ σμῆνος. δεύτερον, οὐ μόνον ἐν ταῦθα, ἀλλὰ καὶ εἰς ἄλλους πολλοὺς τόπους, οἷς μάχονται οἱ παπισταὶ, μὴ δυνάμενοι ἀποδεῖξαι κατ' αὐτῶν, προβάλλουσι τὴν Βιβλιοθήκην ταύτην βλασφημίαις πεποικιλμένην καὶ καινοφωνίαις, ἀλλ' ἡμεῖς ἑπόμενοι τῇ ἁγίᾳ ταύτῃ Συνόδῳ, ἀναθεματίζομεν τοὺς προστιθέντας, ἢ ἀφαιροῦντας τῆς καθολικῆς Ἐκκλησίας, ὅθεν τὸν βίον τοῦ Νηστευτοῦ ἀπὸ τῆς κοινότητος τῆς Ἐκκλησίας παραλαβόντες ἀληθῆ ἀποδεχόμεθα, τὰ δὲ πρακτικὰ τῆς ἁγίας Συνόδου ἀπαράτρωτα ὄντα, καὶ ὑπὸ πάσης τῆς καθολικῆς Ἐκκλησίας δεχόμενα καὶ μαρτυρούμενα ὅτι συνεγράφησαν ὡς εἰσὶ, δεχόμεθα, τῶν δὲ τῆς Βιβλιοθήκης τῆς ἀποστολικῆς ματαίων καταφρονοῦμεν, τοὺς δὲ παπιστὰς ὡς συκοφάντας τῶν ἁγίων Συνόδων ἀποτροπαίους ἡγούμεθα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'.

Ὅτι τὴν παρὰ τοῦ Τοποτηρητοῦ τοῦ Ῥώμης Πέτρου λεχθεῖσαν πρὸς τὸν Κωνσταντινουπόλεως Οἰκουμενικὸς προσηγορίαν

σηγορίαν παραγράφοντες οἱ Λατῖνοι ἔξωθεν, καὶ ἀρνούμενος ὁ Ἀναστάσιος, ἐλέγχονται ψεῦσται, καὶ ὁ παπισμὸς ἀσύστατος.

Ἐν τῇ πέμπτῃ πράξει ἔτι σημείωσαι, ὅτι Πέτρος ὁ Τοποτηρητὴς τοῦ Πάπα εἶπε τὸν Κωνσταντινουπόλεως Ταράσιον Οἰκουμενικὸν Πατριάρχην, οἱ δὲ Λατῖνοι πάλιν παραγράφουσιν ἔξωθεν, ὅτι εἰς τὴν λέξιν ταύτην ὁ ἀρχαῖος ἑρμηνεὺς Ἀναστάσιος οὐκ ἀνέγνω, ἔοικε δὲ παρεμβεβλῆσθαι. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἡ λέξις ἦν ἀρχαία καὶ σύγχρονος τοῖς πρακτικοῖς, καὶ ὁ Πέτρος μεγαλόφρων ὤν, οὐ διεφέρετο περὶ τοῦ προσήκοντος, ἀλλ' εἶπεν ἐκεῖνο, ὅπερ εἶπον πρὸ αὐτοῦ τόσοι καὶ τοσοῦτοι, καὶ ἐπ' αὐτοῦ εἶπον οἱ πατέρες τῆς Συνόδου πάντες, καὶ δὴ οἱ Ἀρχιερεῖς τῆς Ἀνατολῆς ἐν τῇ ἐπιστολῇ αὐτῶν μεγάλῃ καὶ διαπρυσίῳ τῇ φωνῇ Οἰκουμενικὸν Πατριάρχην Κωνσταντινουπόλεως τὸν Ταράσιον εἶπον, ὁ δὲ Ἀναστάσιος ὅτι ἀληθῶς τὴν φωνὴν ἠρνήθη, ἐποίησε τοῦτο ὡς Χαρτοφύλαξ Ῥώμης καὶ ἀρχαῖος μεμαρτυρημένος ἐχθρὸς τῶν Ἑλλήνων, ἀφαιρήσας ἀναιδῶς ἀπὸ τῶν πρακτικῶν τὸ εἰρημένον ὑπὸ τῆς Συνόδου ἐπ' ὄψεσι πάσης τῆς Οἰκουμένης. δεύτερον, ἐπειδὴ Οἰκουμενικὸς ἐλέγετο ὁ Κωνσταντινουπόλεως ἐπὶ τῆς ἐπὶ τοῦ Καππάδοκος ἐν Κωνσταντινουπόλει Συνόδου, καὶ ἐπὶ τῆς τοῦ Μηνᾶ, καὶ ἐπὶ τῆς ἕκτης Οἰκουμενικῆς, καὶ ἐπὶ τῆς παρούσης, παρόντων τῶν Λεγάτων τοῦ Ῥώμης, καὶ σιωπώντων, καὶ μὴ ἀντειπεῖν δυναμένων, συνίσταται ἀναντιῤῥήτως πρῶτον, ὅτι ἀληθῶς Οἰκουμενικὸς ἐλέγετο. καὶ δεύτερον, ὅτι οὐκ εἶχον οἱ Πάπαι ἐξουσίαν γενικὴν ἐπὶ τῆς Ἐκκλησίας καὶ τῶν Συνόδων, εἰ γὰρ εἶχον, ἀντεῖπον ἂν τῇ λέξει ἧπερ ἐμάχοντο, ἀλλ' οὐκ ἀντεῖπον, ὅτι οὐκ εἶχον τοιαύτην ἐξουσίαν, καὶ λοιπὸν ἐφοβοῦντο τὸν προφανῆ ὀνειδισμὸν καὶ τὴν καταφρόνησιν. τρίτον, εἰ ἐπὶ τῶν Βασιλέων ἦν ὁ Πάπας, πῶς τοσούτους Αὐτοκράτορας γράφοντας καὶ εὐφημοῦντας τὸν Κωνσταντινουπόλεως Οἰκουμενικὸν οὐκ ἐκώλυσεν οὐδὲ ἐπετίμησε; καὶ δῆλον τὸ αἴτιον, ὅτι εἷς ἦν τῶν πατέρων, καὶ οὐδὲν πλέον, καὶ ἐν οἷς αὐτῷ οὐκ ἐξῆν, οὐκ ἐδύνατο εἰπεῖν τί. τέταρτον, τὸ Οἰκουμενικὸς τίνα σημασίαν ἔχει, εἴπομεν ἀνωτέρω ἐν πολλοῖς. καὶ ἐροῦμεν βιβλίῳ δεκάτῳ, λέγομεν ὅμως ὅτι οὐκ ἔστιν ἐξουσίας σημαντικὸν, καὶ γὰρ ἐνταῦθα ὁ μὲν Κωνσταντινουπόλεως μυριάκις καὶ ὑπὸ πάντων ἐῤῥέθη Οἰκουμενικὸς, καὶ ἐφημίσθη μετὰ τῶν Βασιλέων, ὁ Πάπας δὲ μόνον ἁγιώτατος Ἐπίσκοπος Ῥωμαίων ἐῤῥέθη, ἀλλ' οὐκ ἦν ὁ Κωνσταντινουπόλεως προτερεύων τῇ τάξει τοῦ Πάπα. ὡς δὲ οὐκ ἔχει σημασίαν ἰδικῆς ἐξουσίας τὸ Οἰκουμενικὸς πρόσρημα ἐπὶ τοῦ Κωνσταντινουπόλεως, οὕτως οὐδὲ ἐπὶ τοῦ Ῥώμης ἔχει, καὶ ματαίως ἔξαρνος ἐγένετο πρὸς τὴν ἀλήθειαν, καὶ τὸ ψεῦδος ἐπεισήγαγεν ὁ Ἀναστάσιος, καὶ οἱ συνήγοροι αὐτῷ παπολάτραι ἀχρείως ἐγκαυχῶνται ἐν τοῖς σοφίσμασιν αὐτῶν, ὥστε ἀπὸ ἀφαιρέσεων καὶ προσθέσεων καὶ καγουργημάτων συνιστῶσι τὸν παπισμὸν, ὡς εἴρηται ἀνωτέρω.

ΠΑΡΑΓΡΑΦΟΝ Κ'.

Περὶ ἀνασκευῆς ἐν τῇ ἕκτῃ πράξει τῆς ἐν Βλαχέρναις ψευδοσυνόδου, καὶ καταλύσεως πάσης μοναρχίας ἐν τῇ Ἐκκλησίᾳ.

Ἐν τῇ ἕκτῃ πράξει προτίθεται ὁ Ὅρος τῆς ἐν Βλαχέρναις ψευδοσυνόδου, καὶ ἀναγινώσκεται ὑπὸ Γρηγορίου Νεοκαισαρείας, ἀνασκευάζεται δὲ ὑπὸ τῶν πατέρων διὰ Ἰωάννου καὶ Ἐπιφανίου Διακόνων, καὶ ὁ ἀγὼν καὶ ἡ ἀνασκευὴ τοῦ ψευδοσυλλόγου, καὶ ἡ ἀπόδειξις τῶν θείων δογμάτων, ὑπὸ τῆς μαρτυρίας τῶν πάλαι Συνόδων καὶ πατέρων, οὐδεμία δὲ μνήμη ἰδικὴ τοῦ Ῥώμης, ἢ ὡς ἄκρου, ἢ καὶ ὡς ἐγκρίτου Ἐπισκόπου, ἀλλὰ τὸ κῦρος καὶ τὸ ἔσχατον σεμνολόγημα Ἡλίου φανότερον κοινῶς ἀπονέμεται τοῖς ἁγίοις πατράσιν, ὅπερ κατάλυσίς ἐστι πάσης μοναρχίας.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Ὅτι ἐκ τῆς ἐκφωνήσεως τοῦ Ὅρου τῆς Συνόδου ἐν τῇ ἑβδόμῃ πράξει, δείκνυνται πολλοὶ ἀρχηγοὶ τῆς Ἱερωσύνης καὶ οὐμόνος ὁ Ῥώμης, καὶ ἀθροισταὶ τῆς Συνόδου οἱ Βασιλεῖς, ἧς μόνης τὸ κῦρος καὶ οὐ τοῦ Ῥώμης.

Ἐν τῇ ἑβδόμῃ πράξει ὁ Ὅρος τῆς ἁγίας Συνόδου ἐκφωνεῖται, ἐν ᾧ θεωρητέον πρῶτον ὅτι φησὶν, Ἡμᾶς τοὺς ἁπανταχοῦ τῆς Ἱερωσύνης ἀρχηγοὺς τῇ αὐτοῦ εὐδοκίᾳ συνεκαλέσατο (ὁ Θεὸς) θείῳ ζήλῳ καὶ ἐπινεύσει Κωνσταντίνου καὶ Εἰρήνης τῶν πιστοτάτων ἡμῶν Βασιλέων, ὅπως ἡ ἔνθεος παράδοσις τῆς καθολικῆς Ἐκκλησίας κοινῇ ψήφῳ ἀπολάβῃ τὸ κῦρος. ταῦτα ἡ Σύνοδος. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι τῆς Ἱερωσύνης πολλοὶ οἱ Ἀρχηγοὶ, ὡς ἐλέγομεν καὶ ἐν τοῖς ἀνωτέρω βιβλίοις, ὅτι πολλοὶ τῆς Ἐκκλησίας οἱ προεστῶτες, καὶ ἐν τῇ παρούσῃ ἐν πολλοῖς λέγεται τοῦτο, καὶ ὁ μέγας Βασίλειος λέγει τὸ αὐτὸ ἐν τῷ περὶ κρίματος Θεοῦ, καὶ λοιπὸν ψεῦδος τὸ τῶν Λατίνων, ὅτι ὁ Πάπας μόνος ἐστὶν Ἀρχηγὸς τῆς Ἱερωσύνης. ἰδοὺ γὰρ αὐτὸς συναριθμεῖται διὰ τῶν Τοποτηρητῶν αὐτοῦ ὡς εἷς Ἀρχηγὸς συντεταγμένος μετὰ τῶν

ἄλλων

ἄλλων τοιούτων ἀπαραλλάκτως ἐν τῇ Ἐκκλησίᾳ. δεύτερον, ὁ Θεὸς διὰ τῶν Βασιλέων συνεκάλεσε τοὺς Ἀρχηγοὺς τῆς Ἱερωσύνης εἰς Σύνοδον, ψεῦδος ἄρα τὸ τῶν παπιστῶν ἐκεῖνο τὸ ἀναιδέστατον, ὅτι ὁ Πάπας ἰδίᾳ ἐξουσίᾳ συνήγαγεν αὐτήν. τρίτον, Γρηγόριος ὁ δεύτερος καὶ Γερμανὸς ὁ Κωνσταντινουπόλεως καὶ Ἰωάννης ὁ Δαμασκηνὸς καὶ Γεώργιος ὁ Κύπριος καὶ ἔτι οἱ Πάπαι Γρηγόριος ὁ τρίτος, Ζαχαρίας καὶ Στέφανος καὶ Παῦλος καὶ ἕτερος Στέφανος καὶ οἱ Ἱεροσολύμων Ἰωάννης καὶ Θεόδωρος, ὁ Ἀντιοχείας Θεόδωρος καὶ ὁ Ἀλεξανδρείας Κοσμᾶς πολλὰ συνέγραψαν καὶ εἶπον κατὰ τῶν Εἰκονομάχων, ἀλλ' ἔμενεν ἡ ἀμφιβολία, καὶ ἡ Αἵρεσις ἐβεβαιοῦτο, ἀλλ' ἡ Σύνοδος ἐρευνήσασα καὶ σκεψαμένη, ὡς ἔλεγεν ἐν τῇ διατάξει ὁ Μαρκιανὸς περὶ τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ τῷ σκοπῷ τῆς ἀληθείας ἀκολουθήσασα, καὶ μήτε ἀφαιρήσασα μήτε προσθεῖσα τῇ καθολικῇ Ἐκκλησίᾳ, καὶ δὴ καὶ ταῖς ἓξ Οἰκουμενικαῖς Συνόδοις ἑπομένη, καὶ τῆς ἐνθέου πατροπαραδότου παραδόσεως ἐχομένη, τῇ καθολικῇ Ἐκκλησίᾳ τῇ ἀπὸ περάτων ἕως περάτων τῆς Οἰκουμένης κοινῇ ψήφῳ τὸ κῦρος ἀπέδωκε, καὶ οἴχεται τοῦ Πάπα τὸ ἀναμάρτητον, καὶ τὸ, ὅτι αἱ Σύνοδοι τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ ἠκολούθησαν, ὡς εἴπομεν ἐν τοῖς τόποις, καὶ ἄρτι τὸ τοῦ Ἀδριανοῦ πρὸς τὸν Ταράσιον, Κολλήθητι τῷ θρόνῳ τοῦ Πέτρου, ὃς πρωτεύων διαλάμπει, καὶ κεφαλὴ ἐστὶ πασῶν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ. ἰδοὺ γὰρ αὐτὸς μετὰ τῶν ἄλλων ἀπολαμβάνει τὸ κῦρος τῆς καθολικῆς Ἐκκλησίας ἀναμφίβολον παρὰ τῆς Συνόδου, ἥτις οὐκ αὐτῷ, ἀλλὰ τοῖς πατράσι καὶ ταῖς ἓξ Συνόδοις καὶ τῷ Παύλῳ καὶ τῇ ἀποστολικῇ παραδόσει καὶ πρὸ πάντων αὐτῷ τῷ Χριστῷ ἐξηκολούθησε.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΕ'.

Ὅτι ἐκ τῆς ἔξωθεν παραγραφῆς τοῦ Ὅρου τῆς Συνόδου ὑπὸ τῶν Λατίνων, καὶ τῶν ἀναποδείκτων καὶ ψευδῶν καὶ ἀνηκούστων λόγων Ἰουλίου Καρδηνάλεως περὶ τῆς Συνόδου, καὶ τῆς ψευδομεταφράσεως τοῦ Ὅρου τῆς Συνόδου ὑπ' Ἀναστασίου Βιβλιοθηκαρίου, οὐ τὸ μοναρχικὸν τοῦ Ῥώμης συνίσταται, ἀλλ' αἱ ἀφαιρέσεις καὶ προσθῆκαι καὶ παραφθοραὶ τῶν Λατίνων ἐν ταῖς τῶν πατέρων βίβλοις βεβαιοῦνται.

Παραγράφουσιν ἔξωθεν ἐν τῷ Ὅρῳ τῆς Συνόδου οἱ Λατῖνοι εἰπεῖν τὸν Ἰούλιον Καρδηνάλιν ἐν τῇ πέμπτῃ πράξει τοῦ ἐν Φλωρεντείᾳ ψευδοσυλλόγου, ὅτι ἡ παροῦσα Σύνοδος εἶπε τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι. Ἀλλὰ ῥητέον πρῶτον, ὁ Ἰούλιος ὡς πνευματομάχος ἐψεύσθη κατὰ τὸ ἴδιον τῶν Αἱρετικῶν, οἵτινες ἐπιβουλευόμενοι τῇ κοινῇ πίστει, ἄλλα ἀντ' ἄλλων λέγουσι. δεύτερον, τὰ εὑρισκόμενα πρακτικὰ τῆς Συνόδου ἐν τῇ καθόλου Ἐκκλησίᾳ οὐκ εἶχον τοῦτό ποτε. τρίτον, ἡ Σύνοδος ἕπεται ταῖς πρὸ αὐτῆς Οἰκουμενικαῖς Συνόδοις, καὶ οὐκ ἀντίκειται ὥστε εἰπεῖν καὶ τὸ ἀντικείμενον ἐκείναις. τέταρτον, ὁ Ἰούλιος τοῦτο εἰπὼν, πόθεν ἔλαβεν αὐτό; ἐκ ποίας ἱστορίας; ἢ ἐκτίνος ἐγκρίτου ἁγίου; πέμπτον, ὅσοι εἶπον τὴν προσθήκην, μετὰ τὸ τεθῆναι αὐτὴν μετὰ τὸ σχίσμα ἐν τῷ Συμβόλῳ, καὶ ἔγραψαν ὑπὲρ αὐτῆς, οὐκ εἶχον τούτου τοῦ ἐπιχειρήματος ἰσχυρότερον εἰπεῖν ἄλλο, ὡς ἔλεγε πρὸς τοῦτο ὅ, τε Γεμιστὸς καὶ οἱ λοιποὶ σοφοὶ τῶν Ἑλλήνων ἐν τῇ αὐτῇ πράξει τῆς ἐν Φλωρεντείᾳ Συνόδου, φερόμενοι κατὰ τούτου τοῦ Ἰουλίου, ὥστε ἐψεύσθη προφανῶς ὁ Ἰούλιος, καὶ οἱ Λατῖνοι δείκνυνται παραχαράκται τοῦ συνοδικοῦ Ὅρου, ὡς καὶ ἄλλων Συνόδων καὶ πολλῶν ἁγίων πατέρων. ἕκτον, ὁ Βίνιος σημειοῖ, ὅτι τῶν συνοδικῶν πράξεων ἐκ τῆς ἑλληνίδος εἰς τὴν λατινίδα φωνὴν τριττὴ ἐγένετο μετάφρασις, καὶ ἡ μὲν πρώτη ἐγένετο ἀπὸ λέξεως εἰς λέξιν, ἥτις οὕτως ἀνάρμοστος ἦν, ὥστε καὶ τοὺς γραφέας ὀκνεῖν μεταγράφειν αὐτὴν, ἧσπερ ἀναιρουμένης, συναντᾷ εὔκαιρος ἑρμηνεὺς Ἀναστάσιος ὁ Βιβλιοθηκάριος, καὶ μετέφρασεν αὐτὴν ἀπὸ τῆς ἑλληνίδος εἰς τὴν λατινίδα τὸ δεύτερον, οὐκ ἀπὸ ῥήματος εἰς ῥῆμα, ἀλλὰ τὰ νοήματα σαφηνίζων ἐπιμελέστατα, ἥτις μετὰ τῶν ἄλλων μεταφράσεων τῶν ἁγίων Οἰκουμενικῶν Συνόδων σώζεται ἐν τῷ Σκευοφυλακίῳ τῆς Ῥώμης, μετὰ δὲ ταῦτα ὁ τὴν τρίτην ποιήσας, ἀγνοῶν τὴν τοῦ Ἀναστασίου, ἰδίαν ἐποίησε μετάφρασιν, ἥτις τυπωθεῖσα σὺν ταῖς ἄλλαις Συνόδοις τῆς κοινῆς ἐστὶ χρήσεως, καὶ ταύτης πόσον ἐστὶ κρείσσων ἡ τοῦ Ἀναστασίου, ὁ ἀναγινώσκων ὄψεται συγκρίνων αὐτὰς, πολλὰ γὰρ εὑρήσει παρὰ τῷ Ἀναστασίῳ ἅπερ λείπει ἀπὸ τῆς ἐκδοθείσης, καὶ ταῦτα πλείονος λόγου ἄξια. ἅπερ δὲ περιέχει ἡ ἑλληνικὴ Ἔκθεσις, καὶ ἐν ταύτῃ τῇ μεταφράσει τοῦ Ἀναστασίου οὐκ ἔστιν, ἢ ἄλλως δοκεῖ ἀνεγνωκέναι τὸν Ἀναστάσιον τῶν περιεχομένων ἐν ταῖς ἑλληνικαῖς ἤδη ἐσημειωσάμην (ἅτινα ἐστὶν ὅσα γράφονται ἔξω τῆς ἐπιστολῆς τοῦ Πάπα Ἀδριανοῦ πρὸς τοὺς Βασιλεῖς. καὶ ἐν τῷ τέλει αὐτῆς, καὶ ἐν τῇ πέμπτῃ πράξει, ὅπου ὁ Πέτρος εἶπεν Οἰκουμενικὸν τὸν Ταράσιον, καὶ τὰ περὶ τοῦ Νηστευτοῦ, καὶ ἐν τῷ Ὅρῳ, ὅτι καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον) ταῦτα Βίνιος καὶ Βαρώνιος. Ἀλλὰ ῥητέον πρῶτον, ἡ Ἔκθεσις ἡ ἀπὸ ῥήματος εἰς ῥῆμα ἐστὶν ἡ ἔγκριτος καὶ ἀληθεστάτη, τὰ γὰρ τῶν ἁγίων Συνόδων μεταφράζονται ὥσπερ καὶ ἡ ἁγία γραφὴ ἀπὸ ῥήματος εἰς ῥῆμα καὶ οὐ μόνον κατὰ τὸ νόημα. καὶ λῆρος λοιπὸν ἐστὶ σαφὴς τὸ, ὅτι οὕτως ἦν ἀνάρμοστος, ἐπειδὴ δι' ἐκείνης ἐκηρύχθη ἐν ὅλῃ τῇ Δύσει ἡ τῆς Συνόδου ψῆφος, καὶ ἐκείνην ἐδέξατο πᾶσα ἡ Δυτικὴ Ἐκκλησία ὥσπερ τὰ Εὐαγγέλια, ὡς ἔλεγε περὶ τῶν Οἰκουμενικῶν Συνόδων ὁ Διάλογος. ἐκεῖνο δὲ, ὅτι οἱ γραφεῖς ὤκνουν μεταγράφειν, φλυαρία ἐστὶ, καὶ μάλιστα σκευωρία, ἐπειδὴ πῶς οἱ πρῶτοι ἐπὶ τῆς μεθερμηνεύσεως γραφεῖς

γραφεῖς οὐκ ὤκνουν, ἀλλ' οἱ μετὰ ταῦτα; εἶτα ἡ μὲν Σύνοδος διελύθη τῷ ἔτει ἑπτακοσιοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ Ὀκτωβρίου δεκάτῃ ἕκτῃ, ὅτε καὶ ἡ καθολικὴ Ἐκκλησία ἑορτάζει αὐτὴν, ὁ δὲ Ἀναστάσιος ἤκμαζεν ἐπὶ τῆς κατὰ Φωτίου Συνόδου, ἥτις ἠθροίσθη τῷ ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ, καὶ ἡ Ἐκκλησία τὴν πρώτην ἐκείνην Ἔκθεσιν εἶχεν εὐάρμοστον ἐν ἔτεσιν ὀγδοήκοντα, ὁ δὲ Ἀναστάσιος φθόνον ἔχων σύνοικον πρὸς τοὺς Ἕλληνας, καὶ θέλων χαρίσασθαι τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἧς ἦν Χαρτοφύλαξ, ὅτε ἐμάχετο ὁ Φώτιος Νικολάῳ καὶ Ἀδριανῷ τοῖς Πάπαις, ὅτι μόνη τάχα ἡ Ῥώμη ἐλέγετο Οἰκουμενικὴ, ἐπενόησε τὴν μετάφρασιν ἵνα προσθήκας καὶ ἀφαιρέσεις καὶ παρενθήκας καὶ μεταπλάσεις ποιήσῃ εἰς συνηγορίαν τοῦ ψεύδους, ὥσπέρ ποτε πεποίηκε διὰ τὴν αὐτὴν αἰτίαν Μαρκίων ὁ Ποντικὸς καὶ ἄλλοι Αἱρεσιάρχαι. ὅθεν ἐν Βυζαντίῳ παρὼν ἐτήκετο ἀκούων τὸ Οἰκουμενικὸς λέγεσθαι ἐπὶ τοῦ Κωνσταντινουπόλεως. περὶ δὲ τῶν λοιπῶν ἐμβλημάτων ἐπ' ὀνόματι τοῦ Ἀναστασίου μᾶλλον ἐστὶν εἰκάσαι ὅτι οἱ παπισταὶ ἐσυκοφάντησαν αὐτὸν, ἐνθέντες ἐν τῇ Ἐκθέσει αὐτοῦ πολλὰ, καὶ τὸ περὶ τοῦ ἁγίου Πνεύματος, ὅπερ ἐκεῖνος ἴσως οὐκ ἐγίνωσκε. τὴν μὲν γὰρ ἕκτην Οἰκουμενικὴν ὑπὲρ ὀνωρίου μυρίοις σοφίσμασιν ἐσυκοφάντησαν ὅτι διεφθάρη, ἐνταῦθα δὲ περὶ τῆς ἐν Τρούλλῳ Συνόδου καὶ τοῦ Νηστευτοῦ καὶ τῆς Οἰκουμενικὸς προσηγορίας καὶ περὶ τοῦ ἁγίου Πνεύματος ἐπενόησαν εἰπεῖν ἅπερ εἴρηται ἀνωτέρω εἰς διαστροφὴν τῶν πρακτικῶν τῆς Συνόδου, ὥσπερ πεποιήκασι καὶ περὶ τῶν λοιπῶν ἁγίων Συνόδων, καὶ εἴρηται περὶ τούτων ἐν πολλοῖς ἀνωτέρω. ὅθεν ὁ Θεὸς ἐξήγειρε τὸν τρίτον μεταφραστὴν, ὅστις μετέφρασε τὰ πρακτικὰ εὐσεβῶς, ἐπειδὴ περὶ τῶν εἰρημένων ὥσπέρ εἰσιν ἐν τῇ ἑλληνικῇ Ἐκθέσει, οὕτω κεῖται καὶ ἐν τῇ μεταφράσει αὐτῶν. μᾶλλον δὲ πιστεύομεν καὶ τιμῆς ἀξιοῦμεν τὴν πρώτην μεθερμήνευσιν τὴν ἀπὸ ῥήματος εἰς ῥῆμα γεγενημένην, καὶ μετ' αὐτὴν ἀποδεχόμεθα καὶ τὴν τρίτην, τῆς δὲ τοῦ Ἀναστασίου, ἣν οἱ σοφισταὶ ἐπαινοῦσι, καταφρονοῦμεν, καὶ τῆς καθόλου Ἐκκλησίας ἀπορρίπτομεν. ἐπιλέγομεν δὲ, ὅτι οἱ νεώτεροι προσέθηκαν ἐν τῇ Ἐκθέσει τοῦ Ἀναστασίου, ἐπειδὴ τῆς Βατικανῆς Βιβλιοθήκης, ἐν ᾗ ἐφυλάττετο ἡ Ἔκθεσις τοῦ Ἀναστασίου, ἴδιόν ἐστι τὸ ψεῦδος, αἱ ἀφαιρέσεις, αἱ προσθέσεις, αἱ παραφθοραὶ, αἱ παρενθῆκαι, αἱ συκοφαντίαι, αἱ παρεμβλήσεις, αἱ παραγραφαὶ, ἅσπερ οἱ τὴν τράπεζαν τοῦ Πάπα ἐσθίοντες παπολάτραι ἐπινοοῦσι καὶ πλαστουργοῦσιν ἐν τοῖς συγγράμμασι τῶν ἁγίων καὶ τῶν ἀρχαίων συγγραφέων πρὸς βεβαίωσιν τῆς μονότητος.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΓ'.

ὅτι ἐκ τῆς μετὰ τὴν πρόσκλησιν ὑπὸ τῶν Βασιλέων ἀπὸ Νικαίας τῶν τῆς Συνόδου πατέρων εἰς Κωνσταντινούπολιν ἀναγνώσεως τοῦ Ὅρου τῆς Συνόδου ἐνώπιον πάντων, καὶ ἐκ τῆς ὑπογραφῆς τῶν Βασιλέων, δείκνυται ἡ ἐν Φλωρεντείᾳ Σύνοδος καϊαφαϊκή.

Ἐν τῇ ὀγδόῃ πράξει σημείωσαι, ὅτι τελειωθείσης τῆς Συνόδου Μηνὶ Νοεμβρίῳ, Ἰνδικτιῶνι ἑνδεκάτῃ, τῷ ὀγδόῳ ἔτει τῆς ὑπατείας αὐτῶν οἱ Βασιλεῖς ἔγραψαν πρὸς τὸν Πατριάρχην εἰς Νίκαιαν ἵνα ἔλθῃ ὁμοῦ μετὰ πάντων τῶν πατέρων τῆς ἁγίας Συνόδου εἰς Κωνσταντινούπολιν, καὶ δὴ ἐλθόντας ἐδέξαντο εὐμενῶς. ὥρισε δὲ ἡ Βασιλὶς ἡμέραν τακτὴν τῆς συνεδρεύσεως τῶν Βασιλέων καὶ τῶν πατέρων ἐν τῷ Παλατίῳ, ὅπερ ἐκαλεῖτο Μαγναῦρα, καὶ προτεθέντων τῶν ἱερῶν Εὐαγγελίων, προεκάθισεν ἡ Βασιλὶς καὶ ὁ υἱὸς αὐτῆς ὁ Αὐτοκράτωρ καὶ πᾶσα ἡ Σύνοδος μετ' αὐτῶν. εἶτα προτραπεὶς παρὰ τῶν Βασιλέων ὁ Ταράσιος, εἶπε τινὰ εἰκότα τῇ ἁγίᾳ Συνόδῳ. εἶτα ὁ Πατριάρχης καὶ ἡ Σύνοδος ὁμοῦ εὐφήμουν τοῖς Βασιλεῦσι τὰ δέοντα. τούτων οὕτω γινομένων, ὥρισαν οἱ Βασιλεῖς καὶ ἀνεγνώσθη ὁ ἐκφωνηθεὶς Ὅρος τῆς Συνόδου ἐνώπιον τῆς Συγκλήτου καὶ τοῦ λαοῦ, πᾶσα γὰρ ἡ πόλις παρῆν μετὰ τῶν στρατιωτικῶν ταγμάτων. καὶ μετὰ τὴν ἀνάγνωσιν ἠρώτησαν οἱ Βασιλεῖς, Εἰ κατὰ συναίνεσιν ὑμῶν ἐξεφωνήθη ὁ Ὅρος, οἱ δὲ ἐβόησαν, Οὕτω πιστεύομεν πάντες, οὕτω φρονοῦμεν, πάντες συναινέσαντες ὑπεγράψαμεν, αὕτη ἡ πίστις τῶν Ἀποστόλων, τῶν πατέρων καὶ τῶν ὀρθοδόξων, αὕτη τὴν Οἰκουμένην ἐστήριξεν, ἡμεῖς τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς καθολικῆς Ἐκκλησίας ἐπακολουθοῦμεν, καὶ τὰ ἑξῆς. εἶτα προσφέρει ὁ Πατριάρχης τοῖς Βασιλεῦσι τὸν ἀναγνωσθέντα Ὅρον, καὶ ἐζήτει μετὰ πάσης τῆς Συνόδου ἐπισφραγίσαι καὶ ἐπιβεβαιῶσαι μετὰ εὐσεβῶν αὐτῶν ὑπογραφῶν, καὶ λαβοῦσα ἡ αἰσίως προλάμπουσα εὐσεβεστάτη Βασιλὶς, ὑπέγραψε, καὶ ἐδίδου τῷ συμβασιλεύοντι αὐτῆς υἱῷ ἵνα καὶ αὐτὸς ὑπογράψῃ. καὶ τούτων οὕτω τελεσθέντων, ἀπέδοντο τὸν Ὅρον τῷ Πατριάρχῃ διὰ Σταυρακίου τοῦ πανευφήμου Πατρικίου καὶ Λογοθέτου τοῦ δρόμου, καὶ εὐφήμησαν τοὺς Βασιλεῖς οἱ πατέρες, καὶ μετὰ τὴν εὐφήμησιν ἐκέλευσαν οἱ Βασιλεῖς ἀναγνωσθῆναι τὰς χρήσεις τῶν πατέρων τὰς προαναγνωσθείσας ἐν Νικαίᾳ, ἤτοι τοῦ Χρυσοστόμου, Ἀστερίου Ἀμασείας, Ἰωάννου Θεσσαλονίκης, Συμεὼν τοῦ στυλίτου, Νείλου καὶ τῆς Οἰκουμενικῆς ἕκτης Συνόδου τὸν ὀγδοηκοστὸν τρίτον Κανόνα, καὶ πάντες ἐξαναστάντες ἐδόξαζον τὸν Θεὸν, πεισθέντες τῇ ἀληθείᾳ. ἐν τούτοις σημείωσαι πρῶτον τῶν Βασιλέων τὸ ἔσχατον κράτος ἐπὶ τῶν Οἰκουμενικῶν Συνόδων. δεύτερον, ὅτι συνεκάθισαν τῇ Συνόδῳ, πλὴν οὗτοι προκαθήμενοι, οὐχ ὡς ὁ Πάπας Εὐγένιος ἐν τῷ Φλωρεντινῷ ψευδοσυλλόγῳ προεκάθισε τοῦ Βασιλέως. τρίτον, ἠρώτησαν τοὺς πατέρας, Εἰ θεληματικῶς τὸν Ὅρον ἐξεφώνησαν, παρούσης καὶ τῆς Συγκλήτου

γκλήτου καὶ τῆς πόλεως καὶ τῶν στρατιωτικῶν ταγμάτων, οὐχ ὡς ἐν τῇ φλωρεντείᾳ τινὲς ἐβουλεύοντο μετὰ τοῦ Πάπα μυστικώτατα, τινὲς μετά τινων Καρδηνάλεων δολιώτατα, καὶ τινὲς μετὰ τοῦ Βασιλέως περιεργότατα, καὶ τινὲς μὲν ἐθρήνουν τὴν πτωχείαν, τὴν πεῖναν καὶ τὴν ξενιτείαν, τινὲς δὲ ἐζήτουν παρὰ τοῦ Πάπα βαλάντια καὶ δῶρα, τινὲς ἔφευγον κατὰ τὴν νύκτα διὰ ὁδῶν ἀγνώστων ἵνα μὴ ὑπογράψωσι, τινὲς ἐμέτρουν τὰ χρήματα, τινὲς ἐλάμβανον ὑποσχέσεις εἰς δέρματα παπικὰ ἵνα γένωνται Καρδηνάλεις ἐὰν τοὺς λοιποὺς ἀπατήσωσιν, ὁ ἀδελφὸς τοῦ Βασιλέως μετὰ τῶν ἐγκρίτων σοφῶν ἀνεχώρει πρὸ τῆς ὑπογραφῆς ἀμεταστρεπτὶ, ὁ Βασιλεὺς ὡμολόγει τὴν πίστιν τὴν παπικὴν, ὑλακτοῦντος ἐπιτοαυτὸ κυνιδίου τινὸς, ὁ Πάπας ὑπέγραφε μόνος ἄνω εἴστι δῶμα, οἱ λοιποὶ ὑπέγραφον κατὰ μέρος εἰς οἰκίσκους καὶ σκοτεινὰς γωνίας, ὁ Βασιλεὺς συνεβούλευεν ἵνα μὴ ὑπογράψωσιν οἱ Ἕλληνες καὶ εἰς δεύτερον χάρτην, εἰμὴ λάβωσι τὸ σιτηρέσιον, καὶ ἐπὶ πᾶσι τούτοις ἐλεγχόμενοι ὑπὸ τοῦ Ἐφέσου, οὐκ ἠδυνήθησαν αὐτὸν οὔτε ἐξορίσαι οὔτε καθῆραι, καὶ γὰρ οὐκ ἐδυνήθησαν ἁπαξάπαντες ἀντιστῆναι αὐτῷ, ἔλεγε γὰρ τῷ Πάπᾳ καὶ παντὶ τῷ ψευδοσυλλόγῳ, ὅπερ ἔλεγεν ὁ Πάπας Λιβέριος τῷ Κωνσταντίῳ, ἤτοι τὸ, εὐ διὰ τὸν εἶναίμε μόνον ὁ τῆς πίστεως ἐλαττοῦται λόγος. ἐκ τούτων οὖν καὶ τῶν τοιούτων γνῶθι ὀρθόδοξε, ὅτι ἡ ἐν Φλωρεντείᾳ Σύνοδος Καϊαφαϊκὴ ἦν καὶ τυραννικὴ καὶ οὐ κατὰ θεῖον σκοπὸν, ἀλλὰ δι' ἀνθρώπινα τέλη συνεκροτήθη.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΔ'.

Περὶ τῶν συναγομένων ἐκ τῆς τοῦ Κωνσταντινουπόλεως Ταρασίου ἐπιστολῆς πρὸς τὸν Ἀδριανὸν Ῥώμης.

Ἐν τῇ πρὸς τὸν Πάπαν Ἀδριανὸν πεμφείσῃ παρὰ τοῦ Ταρασίου ἐπιστολῇ σημείωσαι, ὅτι τῶν πατέρων ἐστὶ τὸ ὑπέρτατον κῦρος, καὶ ἡ ἑνότης ἐκ μόνου τοῦ Χριστοῦ. τὴν Σύνοδον ἀγείρουσιν ἐκ προστάξεως οἱ Βασιλεῖς, καὶ ὅτι τῆς Συνόδου ἐστὶν ἡ ἐσχάτη ἀπόφασις περὶ πίστεως, καὶ ὅτι ἰσότιμός ἐστιν ὁ Πάπας μετὰ τῶν Πατριαρχῶν, καὶ ὅτι ἔγραψε τὴν ἐπιστολὴν ὁ Ταράσιος πρὸς πνευματικὴν εὐφροσύνην καὶ μόνην. εἰσὶ δὲ, ἤτοι πρὸς τὸν Ῥώμης αὕτη ἡ ἐπιστολὴ καὶ ὁ πρὸς τὸν Βασιλέα προσφωνητικὸς τῆς Συνόδου καὶ ἡ ἐγκύκλιος ἐπιστολὴ αὐτῆς ὥσπερ τις ἐπίλογος τῆς Συνόδου. καὶ ταῦτα περὶ τῆς ἑβδόμης Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΕ'.

Ὅτι ἐκ τῆς ἀδιαφόρου ἀριθμήσεως ἐνταῦθα τῶν Ἐξάρχων τῆς παρούσης Συνόδου, οὐδεμιᾶς ἰδικῆς τιμῆς ὁ Ῥώμης, ἀλλ' ἰσότιμος κατὰ τὴν αὐτὴν ἀξίαν τοῖς Ἐπισκόποις δείκνυται, ἐξ οὗ πόῤῥω τῆς Ἐκκλησίας γίνεται ὡς μίασμα πᾶσα μοναρχικὴ ἐξουσία.

Ἐν τῷ ἀρχαίῳ Συνοδικῷ λέγεται, ὅτι ταύτης τῆς ἑβδόμης Οἰκουμενικῆς Συνόδου ἐξῆρχον προκαθεζόμενοι Κωνσταντινουπόλεως ὁ Ταράσιος, Πέτρος καὶ Πέτρος τοῦ Πάπα Ἀδριανοῦ Τοποτηρηταὶ, Ἰωάννης καὶ Θωμᾶς Ἱερομόναχοι Τοποτηρηταὶ τῶν Πατριαρχῶν Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων τῆς Ἀνατολικῆς Διοικήσεως. Ὁ δὲ Φώτιος φησὶν ἐν τῇ πρὸς Μιχαὴλ Ἄρχοντα Βουλγάρων ἐπιστολῇ. Ταξιάρχας καὶ προστάτας ἐπλούτει ἡ Σύνοδος Ταράσιον Κωνσταντινουπόλεως, Πέτρον καὶ Πέτρον Τοποτηρητὰς τοῦ Ἀδριανοῦ, Ἰωάννην καὶ Θωμᾶν τῶν τριῶν ἀποστολικῶν καὶ μεγάλων θρόνων Τοποτηρητὰς, Ἀπολιναρίου Ἀλεξανδρείας, Θεοδωρίτου Ἀντιοχείας καὶ Ἠλία Ἱεροσολύμων. Ὁ δὲ Νεῖλος φησὶν, ὅτι τῆς Συνόδου ἡγοῦντο Ἀδριανὸς, Ταράσιος, Πολιτιανὸς Ἀλεξανδρείας, Θεοδώριτος καὶ Ἠλίας. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι καὶ ἐνταῦθα ἀδιαφόρως προτάττονται ποτὲ μὲν ὁ Ῥώμης, ποτὲ δὲ ὁ Κωνσταντινουπόλεως. δεύτερον, οἱ τρεῖς τῆς Ἀνατολῆς θρόνοι λέγονται ἀποστολικοὶ καὶ μεγάλοι. τρίτον, ὅτι μόνος ὁ Φώτιος εἶπεν ὑπάρξαι Ἀπολινάριον Ἀλεξανδρείας. τέταρτον, κοινῶς περὶ πάντων τῶν πέντε θρόνων λέγουσιν, ὅτι ἐξῆρχον καὶ ἡγοῦντο καὶ προεκαθέζοντο τῆς Συνόδου, καὶ προστάται καὶ ταξιάρχαι ἦσαν αὐτῆς. ὥστε κοινῶς εἰσὶ καὶ οἱ πέντε θρόνοι ἀποστολικοὶ, μεγάλοι, Ἔξαρχοι, Ἡγούμενοι, Ταξιάρχαι καὶ Προστάται, τοῦ δὲ Ῥώμης οὐδεμία ἰδικὴ τιμή. καὶ λοιπὸν ἡ αὐτὴ τιμὴ πάντων, καὶ τὰ αὐτὰ προνόμια, ἄρα καὶ ἡ αὐτὴ ἀξία, καὶ ἡ ῥωμαϊκὴ Ἐκκλησία ἰσότιμός ἐστι τοῖς λοιποῖς, καὶ πόῤῥω γίνεται ὥστι μίασμα καὶ κάθαρμα ἀποτρόπαιον ἀπὸ τῆς καθολικῆς Ἐκκλησίας πᾶσα μοναρχία. πέμπτον, ὅτι ὁ Ταράσιος εἶχε τὴν αὐθεντίαν τῆς Συνόδου, καὶ αὐτὸς παρεκίνησε τοὺς Βασιλεῖς διὰ τὴν ἄθροισιν αὐτῆς, καὶ ἔγραψε πρὸς τοὺς Πατριάρχας ἵνα ἔλθωσιν ἢ πέμψωσι πρὸς σύστασιν αὐτῆς, καὶ πρὸς αὐτὸν ἔγραψαν ὅ,τε Ῥώμης καὶ οἱ λοιποὶ Πατριάρχαι τὰ ἀναγκαῖα περὶ αὐτῆς, αὐτῷ ἔγραψαν οἱ Βασιλεῖς καὶ ἔφερε τὴν Σύνοδον εἰς Κωνσταντινούπολιν, αὐτῷ δεδώκασι τὸν Ὅρον εἰς φυλακὴν, καὶ περὶ τῶν ἀνηκόντων τῇ Συνόδῳ αὐτὸς προκατῆρχε καὶ ἐκέλευε καὶ ἐνήργει καὶ ὑπὸ πάντων Οἰκουμενικὸς καὶ Κύριος καὶ Δεσπότης καὶ Ἁγιώτατος καὶ Μακαριώτατος ἐκλήθη, καὶ ἐπὶ πᾶσι τούτοις οὐκ ἐξωγκώθη, ὥστε οὔτε καὶ λόγον ψιλὸν ἐξουσιαστικὸν εἰπεῖν περὶ ἰδικῆς τιμῆς τοῦ ἰδίου θρόνου, καίτοι εἴγε ἐβούλετο, εἶχεν εἰπεῖν πολλὰ, ἀλλ' εἶπε

εἶπε καὶ ἐνήργει τοιαῦτα, δι' ὧν τῇ κοινότητι τῶν ἀποστολικῶν θρόνων καὶ τῇ ἁγίᾳ Συνόδῳ ἐδίδου ἅπαν τὸ κῦρος.

ΠΑΡΑΓΡΑΦΟΝ Κϛ'.

Ὅτι προσφέρων ὁ Βίνιος μαρτυρίαν ἐξ ἐπιστολῆς τῶν Βασιλέων πρὸς Ἀδριανὸν Ῥώμης δῆθεν σταλείσης καὶ τὸν Ἀδριανὸν τῇ αὐτοῦ προσταγῇ αὐθεντικῶς ἀθροῖσαι τὴν παροῦσαν Σύνοδον διαλαμβανούσης, δείκνυται ἐνταῦθα δωδεκαχῶς καθαρώτατος ψεύστης, καὶ ἐπίπλαστος ἡ ἐπιστολή.

Ὁ Βίνιος σημειοῖ, ὅτι ἡ Σύνοδος ἠθροίσθη μετὰ τῆς βοηθείας καὶ τοῦ ἔργου τῶν Βασιλέων, διὰ τῆς ἐξουσίας ὅμως καὶ προσταγῆς τοῦ Πάπα Ἀδριανοῦ, προσφέρει δὲ εἰς μαρτυρίαν ἐπιστολὴν τινὰ τῶν Βασιλέων δῆθεν πρὸς τὸν Ἀδριανὸν, ἥτις νεωστὶ ἐτυπώθη, ἐν ᾗ λέγεται ταῦτα ῥητῶς, ὅθεν ἡμεῖς σταθερῶς καὶ μετὰ καθαρᾶς καρδίας καὶ ἀληθοῦς σεβασμιότητος ἅτινα συντείνουσι πρὸς τὸν Θεὸν μετὰ τῶν ὑποτασσομένων ἡμῖν καὶ μετὰ τῶν σοφῶν Ἱερέων, διωρίσαμεν ἵνα γένηται Οἰκουμενικὴ Σύνοδος, καὶ παρακαλοῦμεν τὴν πατρικήν σου μακαριότητα ἵνα δώης σεαυτὸν (ἤτοι τὸ θέλημα αὐτοῦ) καὶ μετὰ τῆς συνειθισμένης σου παῤῥησίας ἵνα βεβαιώσῃς αὐτήν. καὶ κατωτέρω, Ἀναβήτω ἐνταῦθα εἰς στερεότητα τῆς παλαιᾶς παραδόσεως ὑπὲρ τῶν ἁγίων Εἰκόνων, ὡσεὶ ἔλεγον, οὐδὲν στερεὸν ἐλογίσθη ἐν τῇ Ἐκκλησίᾳ, ὅπερ οὐκ ἐβεβαιώθη μετὰ τῆς ἐξουσίας, λοιπὸν παρακαλοῦμέν σε ἵνα ἀξιώσῃς βεβαιῶσαι συνοδικῶς τὴν ἀρχαίαν παράδοσιν ὑπὲρ τῶν ἁγίων Εἰκόνων, ἐκεῖνος, οὗ τῆς ἐξουσίας χωρὶς οὐδεμία Σύνοδος συνῆλθε νομίμως. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, ὅτι πῦ ἦν ἡ ἐπιστολὴ αὕτη τῶν Βασιλέων πρὸς τὸν Ἀδριανὸν τοσαῦτα ἔτη κεκρυμμένη καὶ νῦν ἐφανερώθη; ἢ δῆλον, ὅτι οὐκ ἦν μὲν πρότερον, ὕστερον δὲ ἐπλαστουργήθη. δεύτερον, ὅστις πλὴν τῶν διαδοθέντων πρακτικῶν τῆς Συνόδου ἐξ ἀρχῆς ἐν τῇ καθόλου Ἐκκλησίᾳ δέχεται ἄλλο τι αὐτῆς, ἄφρων ἐστὶ, καὶ μάλιστα ὑπὸ Λατίνων, οἵτινες ὑπὲρ τοῦ παπισμοῦ καινοφωνίας, παρενθήκας, προσθέσεις τε καὶ ἀφαιρέσεις ἐπινοοῦσιν ἀναιδῶς ὁσημέραι. τρίτον, τὰ γράμματα τῶν Βασιλέων πρὸς τοὺς Πάπας ὑπὲρ τῶν Οἰκουμενικῶν Συνόδων κελεύομέν φασιν καὶ προστάττομεν, ἐσθ' ὅτε δὲ ὑπὸ εὐλαβείας καὶ παροτρύνομεν λέγουσι, πῦ δὲ κεῖται τὸ παρακαλοῦμεν ἁπλῶς; τέταρτον, ἐκεῖνο ὅπερ οὐδεὶς Βασιλεὺς ἔγραψέ τινι Πάπᾳ, πῶς ἔλεγον αὐτὸ ἡ Εἰρήνη καὶ ὁ Κωνσταντῖνος; πέμπτον, εἰ καὶ παρακαλοῦμεν εἶπον, οὐ συνάγεται ὅτι ὑπὸ τῆς ἐξουσίας τοῦ Πάπα ἠθροίσθη ἡ Σύνοδος, εἴρηται γὰρ ἀνωτέρω, ὅτι τὸ παρακαλοῦμεν εἴρηται παρά τε Συνόδων Οἰκουμενικῶν καὶ Αὐτοκρατόρων ὑπὲρ τῆς πίστεως οὐ μόνον εἰς μεγάλους, ἀλλὰ καὶ εἰς αὐτοὺς τοὺς καπήλους. ἕκτον, εἴρηται ἐν πάσαις ταῖς Συνόδοις, καὶ ἐν ταύτῃ ἐν τῇ ἀρχῇ, ὅτι παρεκτὸς τῆς συμφωνίας πάντων τῶν Πατριαρχῶν οὐ γίνεται Σύνοδος, ὥστε καὶ παρεκτὸς τοῦ Ῥώμης ὀρθοδοξοῦντος οὐ γίνεται Σύνοδος. ἕβδομον, εἴρηται ἐν πολλοῖς ἀνωτέρω, ὅτι πρὸς βεβαίωσιν τῶν Οἰκουμενικῶν Συνόδων προσκαλοῦνται οὐ μόνον Πάπαι καὶ Πατριάρχαι, ἀλλὰ καὶ μερικαὶ Σύνοδοι καὶ μερικοὶ Ἐπίσκοποι, καὶ πάντες μετὰ τῆς ἰδίας ἐξουσίας βεβαιοῦσιν οὐχ ὡς δοῦλοι, ἀλλ' ὡς Ἐπίσκοποι, καὶ τὸ αἴτιον εἶπε Κωνσταντῖνος ὁ Πωγωνᾶτος, καὶ ἴδε ἀνωτέρω βιβλίου ἕκτου, κεφαλαίου ὀγδόου Παράγραφον δέκατον ἕκτον. ὄγδοον, εἰ συνοδικῶς ὁ Πάπας βεβαιοῖ, τοῦτο ἐστὶν εἰπεῖν ὅτι μέρος γενόμενος τῆς Συνόδου βεβαιοῖ ὡς ἀπὸ προσώπου τῆς Ἐκκλησίας αὐτοῦ καὶ οὐ κατ' ἐξουσίαν μοναρχικὴν, ἥτις οὐ Σύνοδον ἐπιζητεῖ, ἀλλὰ μόνον προστάττει. ἔνατον, ὅτι καὶ πᾶς Ἐπίσκοπος πρὸς βεβαίωσιν Συνόδου ἑαυτὸν, ἤτοι τὸ θέλημα αὐτοῦ παρέχει, ἐπειδὴ οὐκ ἄκων συμφωνεῖ, ὅθεν ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις ἀεὶ γίνεται λόγος καὶ ἐρώτησις ἐὰν οἱ πατέρες ἀβιάστῳ γνώμῃ καὶ ἐξουσίᾳ καὶ θελήσει τοὺς Ὅρους ἐκβεβοήκασι. δέκατον, τὰ ῥήματα ταῦτα καθ' ἑαυτὰ καὶ ἡ σύνταξις ἡ χυδαία καὶ ἄμουσος μάλιστα αὐτῶν μαρτυροῦσιν ὅτι οὐδεμίαν ὁμοιότητα ἔχουσι μετὰ τῶν λοιπῶν πασῶν πρὸς τὰς Συνόδους καὶ τοὺς Πατριάρχας βασιλικῶν ἐπιστολῶν, καὶ μετὰ τῶν πρακτικῶν πασῶν τῶν ἁγίων Συνόδων, ἀλλ' εἰσὶν αὐτὰ ταῦτα ἐκεῖνα ῥητῶς ἅπερ οἱ παπολάτραι ἐπινενοήκασι καὶ προβάλλουσιν ὑπὲρ τοῦ παπισμοῦ. ἑνδέκατον, τὰ πρακτικὰ πασῶν τῶν ἁγίων Συνόδων ἐν πάσαις ταῖς πράξεσι ῥητῶς μαρτυροῦσιν ὅτι οἱ Βασιλεῖς κελεύσει καὶ προσταγῇ ἰδίᾳ ἤθροισαν τὰς Συνόδους. δωδέκατον, ὅτι ῥητῶς ταῦτα τοῦ Βινίου τὰ σημειώματα ἀντίκεινται ταῖς ἐπιστολαῖς τοῦ Πάπα καὶ τῶν Πατριαρχῶν καὶ τῇ βασιλικῇ Σάκρᾳ καὶ πάσαις ταῖς πράξεσι τῆς παρούσης ἁγίας Συνόδου, ὥστε καὶ πεπλασμένα εἰσὶ, καὶ μόνον ἔμεινε τὸν Βίνιον κἀνταῦθα εἶναι καθαρὸν ψεύστην καὶ τῆς ἀληθείας παραχαράκτην.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΖ'.

Ὅτι λέγων ὁ Βίνιος καὶ ὃν φέρει μάρτυρα Ἴβος τὸν πρῶτον Ἀδριανὸν ἀποδοκιμάσαι τὴν παροῦσαν Σύνοδον, δείκνυνται ἐνταῦθα ψεῦσται καὶ πλάσμα τὸ λεγόμενον, ὁ δὲ Ἀδριανὸς ὀρθοδοξότατος.

Ἐπισημειοῖ ὁ Βίνιος, ὅτι Λέων ὁ τρίτος τὴν παροῦσαν ἁγίαν Σύνοδον ἐβεβαίωσεν, ὡς μαρτυρεῖ ὁ Ἴβος, ὅστις

ὅστις φησὶν, ὅτι συνοδάκιόν ἐν Παρισίοις ἀθροισθὲν, λέγει τὸν Ἀδελανὸν βεβαιῶσαι αὐτῷ, καὶ πάλιν τὸν αὐτὸν Ἀδελανὸν ἀποδοκιμάσαι αὐτῷ, ὡς δηθὲν ὁρίσασαν τὴν Συνόδον προσκυνεῖσθαι ὡς Θεὸν τὴν Εἰκόνα τοῦ Χριστοῦ, καὶ Λατρεύειν ἐκ σύνομον, ὅταν ἐπειδὴ ὁ Ἀδελανὸς ἀπεδοκίμασαν, ὁ μετ' ἐκεῖνον Πάπας Λέων ὁ τέταρτος ἐβεβαίωσεν αὐτόν. Ἀλλὰ ῥητέον, ὅτι Λέων ὁ τέταρτος ἀληθὲς ἐστὶν ὅτι ἐβεβαίωσε τὴν Συνόδον τὴν ἑβδόμην, τουτέστιν ἀπεδέξατο καὶ συνεφώνησεν αὐτῇ, ὅπερ καὶ παντὶ Ἐπισκόπῳ ἴδιον. δεύτερον, ὅτι ὁ Ἀδελανὸς ἐβεβαίωσεν αὐτὸν, ἐστὶ πασίδηλον, ἐπειδὴ αὐτὸς ὅπερ ἡ Συνόδος διώρισε προσέπε καὶ προσεπίσθυσεν ὡσπερ καὶ οἱ Πατριάρχαι τῆς Ἀναγλῆς ἔγραψαν, καὶ οἱ πρὸ αὐτοῦ Πάπαι Γρηγόριος καὶ Γρηγόριος, Ζαχαρίας, Στέφανος, Παῦλος καὶ Στέφανος συνοδικῶς διώρισαν, εἶτα καὶ πρὸς τὰς ἀνιθέσεις τοῦ Καρόλου τῶν Εἰκόνων γυναικὸς αὐτέσχη, καὶ τῆς Συνόδου τὰ πρακτικὰ μετέφρασον εἰς τὴν λατινίδα γλῶσσαν λέξιν προς λέξιν, ἐν οἷς γυναικὸς ἀποβάλλεται ἡ λατρευτικὴ προσκύνησις, καὶ μονωτάτη ἡ σχετικὴ βεβαιοῦται. τέταρτον, τὸ, ὅτι ὁ Ἀδελανὸς ἀπεδοκίμασε τὴν Συνόδον ταύτην, πλάσμά ἐστι καὶ συκοφαντία τῶν Αἱρετικῶν, καὶ τὸ ψευδοσυνοδάκιον τὸ ἐν Παρισίοις ἀναμφιβόλως ἐφεύρησαν, ἀεὶ γὰρ ἡ ἀπὸ περάτων ἕως περάτων τῆς Οἰκουμένης καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία τὸν Ἀδελανὸν Πάπαν τέως τὸν πρῶτον ὀρθοδοξότατον εἶχε καὶ ἔχει καὶ ἕξει εἰς τὸν αἰῶνα.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ Εἰκόνων, καὶ ποσαχῶς ἡ Εἰκὼν, καὶ τίς ἐστιν ἡ ἁγία Εἰκὼν, καὶ πῶς διαφέρει τοῦ Εἰδώλου, καὶ τίς ἡ προσκύνησις αὐτῆς.

Πολλαχῶς λέγεται ἡ Εἰκὼν, τῆς δὲ Συνόδου ὁ διορισμὸς ἐστὶ περὶ Εἰκόνων χαρακτηριζόντων πρόσωπον εἶδος, ἐπειδὴ ὁ γραπτὸς ἄνθρωπος εἰκονίζει ἄνθρωπον, καὶ Χριστὸν ὁ Χριστός. ἢ περὶ ὁμοιότητος προσώπου κατὰ λόγον ζωγραφίας ἐν τῷ πρωτοτύπῳ. ὅθεν καὶ διαφέρει ἡ Εἰκὼν τοῦ Εἰδώλου, πρῶτον, ὅτι τὸ Εἴδωλον λέγεται καὶ Εἰκὼν, ἀμφὶ καὶ ἡ Εἰκὼν Εἴδωλον, ἐπεὶ ἡμῖν Εἰκὼν ἀληθοῦς τινὸς ἐστὶν Εἰκὼν καὶ ὁμοιότης. τὸ δὲ Εἴδωλον ψευδοῦς ὑπάρχει ὁμοίωμα Θεοῦ, καὶ μάτην λατρευόμενον, καὶ διαφέρει καὶ αἱ Εἰκόνες αἳ ἦσαν εἰς τὸ Ἱερὸν τῶν Χερουβὶμ Εἴδωλα οὐκ ἦσαν, ὅτι οὐκ ἐνομίζοντο Θεοῦ, ἀλλὰ Ἀγγέλων. δεύτερον, ὅτι οὐκ ἐλατρεύοντο. τρίτον, ὅτι ἦσαν Εἰκόνες ἀϊόντων Ἀγγέλων, δαιμόνων καὶ ἀψύχων κτισμάτων. Εἰκονίζομεν δὲ τοὺς Ἀγγέλους ὡς ὤφθησαν τοῖς Προφήταις, καὶ τὸ ἅγιον Πνεῦμα ὡς ὤφθη ἐν εἴδει Περιστερᾶς κατὰ τὴν παροῦσαν Συνόδον εἰς τὴν ἑβδόμην πρᾶξιν. Ὅτι τὸ προσκυνῶ δηλοῖ καὶ τὸ ἀσπάζομαι σώματι καὶ φιλῶ, καὶ οὕτω προσκυνοῦμεν τὰς Εἰκόνας, τῷ Θεῷ δὲ μόνῳ λατρεύομεν, ἐπειδὴ ἡ λατρεία δουλείαν κυρίως δηλοῖ καὶ κατὰ τὸν Αὐγουστῖνον εἰς τὸ τεσσαρακοστὸν πέμπτον κεφάλαιον περὶ ἀληθοῦς θρησκείας. τὰς Εἰκόνας δὲ σχετικῶς προσκυνοῦμεν, ἤτοι τιμῶμεν, ὅθεν καὶ μόνῳ τῷ Θεῷ λατρεύομεν καθ' αὐτὸ καὶ αὐαγκαίως καὶ ὡς Δημιουργῷ καὶ ὡς Σωτῆρι μόνῳ κυρίως καὶ πρώτως. περιέχει δὲ ἡ λατρεία πίστιν καὶ ἐλπίδα, ὅθεν ἡ ἁγία Συνόδος φησὶν ἐν τῷ ὅρῳ αὐτῆς; Καὶ ταύταις ἀσπασμὸν καὶ τιμητικὴν προσκύνησιν ἀπονέμειν, ἡμῖν τὴν κατὰ πίστιν ἡμῶν ἀληθινὴν λατρείαν, ἣ πρέπει μόνῃ τῇ θείᾳ Φύσει. ὅπερ δὲ ἄλλως λέγεται ἡ λατρεία, κατὰ συμβεβηκὸς ἐννοεῖται, καὶ δηλοῖ μόνην τιμήν. Τρόπως ἐννοεῖται ἡ προσκύνησις τῆς Εἰκόνος, ἢ γὰρ δηλοῖ τὸ προσκυνεῖν εἰς τὴν Εἰκόνα τὸ εἰκονιζόμενον καὶ μὴ τὴν Εἰκόνα καὶ τὸ εἰκονιζόμενον, ἐπειδὴ δῆθεν ἡ Εἰκὼν ἐστί τις μνήμη, ἀλλ' αὐτὴ ἀπαρέσκεται, ὅτι οὕτω καὶ ἄλλα δύνανται πολλὰ εἶναι Εἰκόνες. ἢ ἐννοεῖται ἅμα καὶ ἡ Εἰκὼν καὶ τὸ εἰκονιζόμενον, καὶ προσκυνοῦνται ἀμφὶ ἀσυγχύτως, καὶ οὕτω προσκυνῶσι τινὲς τὴν Εἰκόνα τοῦ Χριστοῦ, λατρεύοντες τῇ Εἰκόνι ὡς καὶ τῷ Χριστῷ, καὶ τοῦτ' ἔστιν ἀλλότριον τῆς ὀρθοδόξου πίστεως. ἢ ἐννοεῖται ὥστε τὴν Εἰκόνα προσκυνεῖσθαι σχετικῶς ὡς Εἰκόνα τοῦ εἰκονιζομένου, ἥτινος οὕτω προσκυνουμένης, προσκυνεῖται ἐν αὐτῇ ἡ ὑπόστασις τοῦ εἰκονιζομένου, ὡς φησὶν ἡ Συνόδος ἐν τῷ ὅρῳ. ἡ γὰρ τιμὴ τῆς Εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει, ἄλλως μέντοι καὶ ἄλλως. λέγεται δὲ σχετικὴ ἡ τιμὴ τῆς Εἰκόνος, καθότι ὅλη τῶν προς τι ἐστὶ, καὶ διατοῦτο καθὸ Εἰκὼν τιμᾶται, ἡμῖν ἐξίστησι τὸ εἰκονιζόμενον. προσκυνουμένη γὰρ τοῦ πρέσβεως, ἄλλως τιμᾶται αὐτὸς καὶ ἄλλως ὁ Βασιλεὺς αὐτοῦ, καθὼς ἡ Αἱμορρόουσα ἄλλως ἐτίμησε τὸ ἱμάτιον τοῦ Χριστοῦ, καὶ ἄλλως τὸν Χριστόν. καὶ αὕτη ἐστὶν ἡ δόξα ἣν διώρισαν ἡ παροῦσα ἁγία Συνόδος τῷ ἁγίῳ Πνεύματι.

ΠΑΡΑΓΡΑΦΟΝ.

Περὶ Ἁγιασμάτων καὶ Εἰκόνων, καὶ τοῦ εἰς τὸν Χριστὸν Ἁγιάσματος τῆς Αἱμορρόουσης, καὶ ὅτι ἐδεῖ Ἁγιάσματα

ματα καὶ Ἀνδριάντας ποεσκυνεῖν, ἀλλ' Εἰκόνας, καὶ οὑτῖσι δεῖ χαρακτηρίζεσθαι αὐτάς.

Τὰς Εἰκόνας ποεσκυνῶμεν, τὰ δὲ Ἀγάλματα καὶ τοὺς Ἀνδριάντας τῶν ἁγίων οὐ ποεσκυνῶμεν, μάλιστα ὅτε πρέπον ἐστὶ ποιεῖν ἡμᾶς Ἀγάλματα καὶ Ἀνδριάντας τὸ χριστὸ, ἢ τῶν ἁγίων, καθότι τὰ τοιαῦτα ἐστὶν ἀοίκειον τῇ γνώμῃ καὶ τῇ πράξει τῆς καθολικῆς Ἐκκλησίας. Εἰκόνας δὲ λέγομεν ἁγίας ἃς καὶ ποεσκυνῶμεν, ἐκείνας αἵπερ ζωγραφοῦνται ἐν σανίσι καὶ ἐν τοῖς τοίχοις διὰ χρωμάτων, καὶ διὰ συνάθροισιν, καὶ ἐκείνας ἃς χαρακτηρίζομεν ἐν τοῖς ἱεραῖς σκεύεσι καὶ ἐν τοῖς θείοις Εὐαγγελίοις, καὶ λοιποῖς ἁγίοις βιβλίοις, καὶ ἐν τοῖς ἱμίοις σταυροῖς ἀργυροῖς καὶ χρυσοῖς, οἷς σφραγιθμεῖται καὶ ἡ κρέχυτος Εἰκών, καὶ ἡ διὰ μεταξῆς καὶ χρυσῶν καὶ ἀργυρῶν κλωσμάτων εἰς ἐσθῆτας. Ἀγάλματα δὲ καὶ γλυπτὰ ἁπλῶς καὶ Ἀνδριάντας λέγομεν ἐκείνας τὰς Εἰκόνας, αἳ περιέχουσιν ὅλον τὸ σῶμα τὸ εἰκονιζομένου, καὶ τοῦτο τὸ εἶδος τῶν Εἰκόνων ἁμόνον τῷ ποεσκυνήσιν, ἀλλ' ἀ δὲ τῷ ποίησιν οἶδεν ἡ καθολικὴ Ἐκκλησία, πρῶτον, ὅτι ὁ ὀγδοηκοστὸς τέταρτος Κανὼν τῆς ἐν Τρούλλῳ Συνόδου καὶ αἱ πεμφθεῖσαι ἐπιστολαὶ τῶν Πατριαρχῶν ποὸς ἀλλήλους, ποὸς Βασιλεῖς καὶ ἄλλους, ἐν οἷς καὶ οἱ Πάπαι Γρηγόριος ποὸς Γερμανὸν τὸν Κωνσταντινουπόλεως γράφων, καὶ Ἀδριανὸς ποὸς τὸν παροῦσαν ἁγίαν Σύνοδον, καὶ αἱ διαλαλιαὶ ἃς ἔπον οἱ Ἐπίσκοποι ἐν πάσαν τὴν παροῦσαν ἁγίαν Σύνοδον, καὶ πᾶσαι αἱ μαρτυρίαι ἃς ποεσφέρομεν ὑπὲρ τῶν ἁγίων, Εἰκόνων, Εἰκόνας εἶπον καὶ χρωματουργίας καὶ χαρακτῆρας ἁμὸν γλυπτὰ ἢ Ἀγάλματα. δεύτερον, ἡ ἐπὶ τῆς Βλαχέρνας καὶ αἱ λοιπαὶ τῶν Εἰκονομάχων Σύνοδοι καὶ οἱ τὰ τῶν συγγραφεῖς κατὰ Εἰκόνων γράφοντες, χρωματουργίας εἶπον καὶ ζωγραφίας, ἀδέποτε δὲ Ἀγάλματα καὶ Ἀνδριάντας, ἅτινα εἴπερ ἦν, οἱ Εἰκονομάχαι οὐκ ἂν ἐσιώπων, ἀλλ' ἔγραφον καθ' αὐτῶν ποὸς μείζονα τῶν ὀρθοδόξων κατηγορίαν. τρίτον, ὁ Θεοπόλεως Ἀνασάσιος γράφων ποὸς Συμεὼν Ἐπίσκοπον Βόστρης λέγει· Καίτοι τῆς Εἰκόνος ἀδιάφορον ἕτερον ὕσης, ἢ ξύλον καὶ χρῶμα κηρῷ μεμιγμένα καὶ κεκραμένα. ἰδοὺ λοιπὸν καθόλου περὶ Εἰκόνων εἰπὼν ὁ ἅγιος, εἶπε καὶ ἐστὶν Εἰκὼν, γλυπτὸς δὲ ἢ Ἀνδριάντος οὐδ' ὅλως ἐμνήσθη. τέταρτον, ἡ Σύνοδος ἐν τῷ Ὅρῳ αὐτῆς διορίζουσα περὶ Εἰκόνων, λέγει ποὸς ἁπλησίως τῷ τύπῳ τοῦ Σταυροῦ ἀνατίθεσθαι τὰς Εἰκόνας τὰς ἐκ χρωμάτων καὶ ψηφίδος καὶ ἑτέρας ὕλης ἐπιτηδείως ἐχούσης ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις ἐν ἱεραῖς σκεύεσι καὶ ἐσθῆσι, τείχοις τε καὶ σανίσιν οἴκοις τε καὶ ὁδοῖς. ἰδοὺ ἡ Σύνοδος εἶπεν Εἰκόνας διὰ ψηφίδος καὶ χρωμάτων καὶ ἑτέρας ὕλης, ἤτοι χρυσοῦ καὶ ἀργύρου καὶ ἑτέρων μετάλλων δηλονότι, ὡς ἔλεγε πράξει τεταρτῃ τῆς Συνόδου ὁ Ἀμορίου Θεοδόσιος, ἐκ παντοίας ὕλης χρυσοῦ καὶ ἀργύρου καὶ πάσαις χρωματουργίαις, καὶ δὴ καὶ διώρισεν ἐν ἱεροῖς σκεύεσι καὶ ἐσθῆσι τείχοις τε καὶ σανίσιν, Ἀγάλματος δὲ ἢ Ἀνδριάντος κατασκευῆς οὐδ' ὅλως ἐμνήσθη, μάλιστα δὲ οἱ λόγοι αὐτῆς ἀναιρετικοὶ εἰσὶ τῶν Ἀγαλμάτων καὶ τῶν γλυπτῶν, καὶ ἄθρει. Ὁ ἅγιος Κωνσταντῖνος ἐποίησε Εἰκόνας, ἀλλ' ἐν σανίσι, καὶ μάρτυς ὁ Ἀγκυρανὸς χρονογράφος ἐν τῇ δεκαλόγῳ αὐτοῦ, ἐν ᾧ σημειοῖ, ὅτι οἱ Ἀρειανοὶ Εἰκονοκλάσαι. ἀλλὰ καὶ οἱ μετ' αὐτὸν Βασιλεῖς εἰς τὰ Παλάτια καὶ εἰς τὰς φόρας Εἰκόνας ἐποίησαν, ἀμὴν καὶ Ἀγάλματα, καὶ ἴδε ἐν τῇ Συνόδῳ τὰς Ὑποτολὰς τῶν Πατριαρχῶν, τὰς Διαλαλιὰς τῶν Ἐπισκόπων καὶ τὰς περὶ τῶν Εἰκόνων μαρτυρίας καὶ αὐτὸν τὸν Ὅρον τῆς Συνόδου λέγοντα παθαρῶς, ὅτι καὶ ἐν τοῖς οἴκοις καὶ ἐν ταῖς ὁδοῖς, ἐντοίχοις καὶ ἐν σανίσιν ἐχαρακτηρίζοντο αἱ Εἰκόνες, δὸς δ' εἰπεῖν καὶ ἐν ὀθόναις, ὅπερ ἐθήλωσε διὰ τῶν ἐσθήτων. Ὁ ὀγδοηκοστὸς τέτος τῆς ἐν Τρούλλῳ Συνόδου Κανὼν, οὗ ἡ παροῦσα δέχεται Σύνοδος λέγει, Ἔντισι τῶν σεπτῶν Εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τῷ ποοδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, εἶτα ὑποφέρει, Ἀλλὰ ποοτιμῶμεν τὴν χάριν καὶ τὴν ἀλήθειαν. ὡς ἂν ἓν τὸ τέλειον κράσεως χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσι ζωογράφηται, τὸν τὸ ἄρνιον τὸν ἁμαρτίαν τοῦτο ἀμνὸν χριστὸν τὸν Θεὸν ἡμῶν, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς Εἰκόσιν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ αἰνίσσεσθαι ὁρίζομεν. Λέγει ὅτι ἐν γραφαῖς ἐδείκνυε τὸν ἀμνὸν ὁ Πρόδρομος, ἀλλ' ἡ τοῦ ἀμνοῦ ζωγραφία ὡς ἔσα τύπος καὶ σκιὰ μηκέτι γινέσθω, ἀναγκαίως δὲ ποοτιμῶντες τὴν χάριν καὶ τὴν ἀλήθειαν ὁρίζομεν ἵνα γίνηται τὸ τέλειον, ὅπερ ἐστὶν, ἵνα ὁ χαρακτὴρ τοῦ Δεσπότου (καὶ μὴ ὁ τύπος δηλονότι ὡς ἦν ὁ ἀμνὸς) ἐν Εἰκόσι ζωγραφῆται. ἐν Εἰκόσι καὶ χρωματουργίαις εἶπε τὸ τέλειον, καὶ οὐκ εἰς γλυπτὰ Ἀγάλματα καὶ Ἀνδριάντας. Ἔτι ἡ Αἱμορρόουσα ἐποίησαν Ἀνδριάντα χάλκεον τοῦ Χριστοῦ ἐν Πανεάδι, ὅν, ὡς ἔρηται ἐν τῷ δευτέρῳ βιβλίῳ, τινὲς μὴ λέγουσιν ὅτι σωέτριψον ὁ ποὸς τὸν μεγάλου Κωνσταντίνου Βασιλεὺς Μαξιμῖνος, καὶ ἔλαβε τὸν χαλκόν. Ἀνώνυμος δέτις λέγει, ὅτι ὁ Ἰουλιανὸς διερχόμενος κατέκλασε τὸ ἐν Πανεάδι τοῦ Σωτῆρος ἡμῶν Ἄγαλμα, καὶ αὐτέθηκε τοῦ Διός. Μαρτύριος δὲ ὁ Ἐπίσκοπος αὐτὸν τὸν Ἰουλιανὸν ἐξυθενήσας κατεκαύθη πλησίον τοῦ Ναοῦ εἰς θυσίαν τοῖς Θεοῖς. Φιλοστόργιος δὲ ὁ ἀρειανὸς ἱστορεῖ, ὅτι ἐλήφθη εἰς Ἐκκλησίαν ὑπὸ τῶν Χριστιανῶν, καὶ ἦν τιμώμενος, ἢ μεθ' ἡδονῆς ἤρχοντο βλέπειν αὐτὸν διὰ τὸν ἀρχέτυπον πόθον. Γράφων δὲ ὁ Ἀρχιεπίσκοπος Ῥώμης Γρηγόριος ὁ δεύτερος ποὸς τὸν ἐν ἁγίοις Γερμανὸν, λέγει, ὅτι τὸ ἔργον τῆς Αἱμορρούσης ἦν συγκατάβασις τοῦ Θεοῦ, καὶ νομικὴ ἀνάσηλωσις. καὶ σημείωσαι, ὅτι ὡς καὶ ὁ ἐν Τρούλλῳ ἐν τῷ ἑβδόμῳ Κανόνι εἶπον, Ἔντισι τῶν Εἰκόνων γραφαῖς ἦν ἀμνὸς ἐγκεχαραγμένος, τοῦτέστιν ἐζωγραφημένος, ὃς εἰς τὸν τύπον ἐλήφθη τῆς χάριτος, εἶτα ἐπήγαγον, ὅτι τοὺς μὲν τύπους καταπαζόμεθα, ἤτοι δεχόμεθα, τὴν δὲ χάριν καὶ τὴν ἀλήθειαν ποοτιμῶμεν.

μῶνεν. ὡς ἂν οὖν τὸ τέλειον καὶ ἐν ταῖς χρωματουργίαις ἐν τοῖς ἁπάντων ὄμμασιν ὑπογράφηται, τὸν κατὰ τὸ ἀνθρώπινον τοῦ Χριστοῦ χαρακτῆρα ἐν τοῖς Εἰκόσιν αὐτὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν. οὕτως ἐνταῦθα φησὶν ὁ Πάπας Γρηγόριος, ὅτι ὁ Ἀνδριὰς τῆς Αἱμορροούσης συγκαταβάσει καὶ ἀγαθότητι τοῦ Θεοῦ παντοίων νοσημάτων ἀλεξητήριον ἦν, καὶ ὅτι ἡτοιαύτη ἀναστήλωσις ἦν μᾶλλον νομικὴ ἡ χάρις ὅμως ἐστὶ προτιμοτέρα τῆς σκιᾶς, διὸ ἡ τῶν ἁγίων ὁμήγυρις (ἤτοι οἱ πατέρες τῆς ἐν Τρούλλῳ Συνόδου) θεοβούλως τῇ Ἐκκλησίᾳ παρέδωκεν ἐν ταῖς χρωματουργίαις τὸν κατὰ τὸ ἀνθρώπινον χαρακτῆρα τοῦ Χριστοῦ ἀναστηλοῦσθαι. ὥσπερ γὰρ ἡ Συνόδος ἐν τῷ Κανόνι ἐξέλαβε τὸν ἀμνὸν, οὕτως ὁ θεῖος Γρηγόριος ἐξέλαβε τὸν Ἀνδριάντα τῆς Αἱμορροούσης, διὸ καὶ ῥητῶς τὰς λέξεις τοῦ Κανόνος ἐν τῇ ἐπιστολῇ αὐτοῦ ἐνέθετο. ἀλλὰ μὴν ἡ Συνόδος οὐκ ἐν εἴδει ἀμνοῦ ὅπερ ἐστὶ τύπος καὶ σκιὰ τὸν Χριστὸν τοῦ λοιποῦ ζωγραφεῖσθαί φησιν, ἄρα προτιμητέον τὴν χάριν καὶ τὴν τελειότητα, καὶ ζωγραφεῖσθαι κατὰ τὸ τέλειον τὸν χαρακτῆρα τοῦ Χριστοῦ, οὐκ ἄλλως, ἀλλ' ἐν Εἰκόσι καὶ χρωματουργίαις. Ὁ ἐν ἁγίοις Γερμανὸς, ὅνπερ ὁ Πάπας Γρηγόριος ἐν τῇ πρὸς αὐτὸν καὶ ἐν τῇ πρὸς Λέοντα τὸν Ἴσαυρον ἐπιστολῇ μυρίοις ἐγκωμίοις καταστέφει, ἐπιστολῇ πρὸς Θωμᾶν Κλαυδιουπόλεως, κειμένῃ ἐν τῇ τετάρτῃ πράξει τῆς παρούσης Συνόδου, μνημονεύει καὶ αὐτὸς τοῦ Ἀνδριάντος τῆς Αἱμορροούσης, ἀλλὰ μνημονεύων, τὰ μὲν Ἀγάλματα ἀναιρεῖ, τὰς δὲ Εἰκόνας δέχεται καὶ βεβαιοῖ, λέγει γὰρ ταῦτα, Προδήλως τοῦ Σωτῆρος τὰ τῆς οἰκείας χάριτος ἐν συγκαταβάσει ποιουμένου πρὸς τὴν πίστιν τοῦ γυναίου, δεικνύοντος ὅπερ ἡμῖν ἀνωτέρω δεδήλωται, ὅτι οὐχ ἁπλῶς τὰ ἀποτελούμενα σκοπεῖται, ἀλλ' ὁ σκοπὸς τοῦ πράττοντος δοκιμάζεται. λέγει δὲ ἐν ταὐτῷ ὁ αὐτὸς Εὐσέβιος ἱστορῶν τὰ περὶ τοῦ Ἀνδριάντος, ὅτι καὶ τῶν Ἀποστόλων τὰς Εἰκόνας Πέτρου καὶ Παύλου, καὶ αὐτοῦ δὲ τοῦ Χριστοῦ διὰ χρωμάτων ἐν γραφαῖς σωζομένας ἱστόρηκεν. οὐ τοῦτο δὲ λέγομεν ἡμεῖς, ὥστε τὰς ἐκ χαλκοῦ στήλας ἐπιτηδεύειν ἡμᾶς, ἀλλ' ἢ μόνον δηλῶσαι, ὅτι καὶ τὸ κατ' ἐθνικὴν συνήθειαν μὴ ἀποποιησομένου τοῦ Κυρίου, ἀλλ' εὐδοκήσαντος ἐν αὐτῷ ἐπιδείκνυσθαι ἐφ' ἱκανὸν χρόνον τῆς αὐτοῦ ἀγαθότητος τὴν θαυματουργίαν, τὸ παρ' ἡμῖν εὐαγέστερόν πως κρατῆσαν ἔθος κακίζειν οὐχ ὅσιον. λέγει ὁ ἅγιος ἐν τούτοις πρῶτον, διὰ συγκατάβασιν ὁ Θεὸς ἐδέξατο τὸ ἔργον τῆς γυναικός. δεύτερον, ὅτι ὁ ἱστορῶν Εὐσέβιος τὰ περὶ τοῦ Ἀνδριάντος, ὁ αὐτὸς ἱστορεῖ ὅτι ἐγένοντο Εἰκόνες τοῦ Χριστοῦ καὶ Πέτρου καὶ Παύλου διὰ χρωμάτων. τρίτον, ὅτι οὐχ ἁπλῶς ἀποδεχόμεθα πᾶν τὸ τελούμενον, ἀλλ' εἰς τὸν σκοπὸν ἀποβλέπομεν, οὐ γὰρ ἐστὶ δηλονότι Νόμος τὸ σπάνιον, καὶ ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφάλαιον τρίτον. τέταρτον, ὅτι ηὐδόκησεν ὁ Θεὸς τὸ κατ' ἐθνικὴν συνήθειαν γεγονὸς Ἄγαλμα πρὸς καιρὸν ἱκανὸν ἐπιδείκνυσθαι. πέμπτον, ὅτι τὸ ἡμέτερον ἔθος ὅπερ ἐστὶ τὸ ἐν μέρος τῆς ἱστορίας τοῦ Εὐσεβίου, ἡ διὰ χρωμάτων δηλονότι Εἰκὼν εὐαγεστέρα ἐστὶ, καὶ αὕτη ἵνα διαμένῃ. ἕκτον, ὥστε τὰς ἐκ χαλκοῦ στήλας μὴ ἐπιτηδεύεσθαι, τουτέστι στῆλαι εἴτε ἐκ χαλκοῦ εἴτε ἐξ ἄλλης ὕλης ἵνα μὴ ἐπιτηδεύωνται, ἤτοι ἵνα μὴ γίνωνται.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἀνθυποφέροντες οἱ Λατῖνοι ὑπὲρ προσκυνήσεως τῶν Ἀγαλμάτων ἀρχαιότητά τινα, καὶ τὸ τῆς Αἱμορροούσης Ἄγαλμα προβαλλόμενοι, δείκνυνται ἀπὸ τῆς παρούσης Συνόδου καὶ ἑτέρων ἀποδείξεων καινοτόμοι, καὶ ἡ ἐν τῇ Ἐκκλησίᾳ προσκύνησις τῶν Ἀγαλμάτων ἄχρηστός τε καὶ ἄδεκτος.

Ἀνθυποφέρουσιν οἱ Λατῖνοι ὑπὲρ τῶν Ἀγαλμάτων πρῶτον, ὅτι ἀπ' ἀρχῆς ἦσαν τὰ Ἀγάλματα ἐν τῇ Ἐκκλησίᾳ. δεύτερον, ὅτι ὁ Ἀνδριὰς τῆς Αἱμορροούσης ἐποίει θαύματα, ὡς εἴρηται ἀνωτέρω, Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι οὐδέποτε ἦσαν Ἀγάλματα εἰς τὴν Ἐκκλησίαν, εἰ μή που Λατῖνοι λέγουσι τὴν καινοτομηθεῖσαν παρ' αὐτῶν Ἐκκλησίαν, ἥτις μᾶλλον ἂν ῥηθείη Ῥωμαϊκὴ καὶ νεωτεροποιὸς, οὐ μὴν καθολικὴ καὶ ἀρχαία. εἰ δὲ ἦσαν Ἀγάλματα εἰς τὴν καθολικὴν, ἔδει αὐτοὺς εἰπεῖν τοὺς τόπους, καθὼς ἡμεῖς αὐτοὺς λέγομεν, γράφοντες ὑπὲρ τῆς ἀληθείας, καὶ μὴ ἀσαφέσι καὶ ἀμφιβόλοις καὶ ὁμωνυμίαις ζητεῖν συστῆσαι μεγάλα τινὰ, καὶ μάλιστα μέγιστα. πρὸς δὲ τὸ δεύτερον ῥητέον, ὅτι εἴρηται ἀνωτέρω περὶ τοῦ Ἀνδριάντος τῆς Αἱμορροούσης τί εἶπε περὶ αὐτοῦ ὁ Πατριάρχης Γερμανὸς καὶ ὁ Πάπας Γρηγόριος. Ἔτι ἀναγνωσθείσης τῆς χρήσεως ἐν τῇ αὐτῇ πράξει Ἀντιπάτρου Βόστρης περὶ τῆς Αἱμορροούσης, εἶπεν ὁ Ταράσιος, ὥστε καὶ Εἰκόνα ὁ στηλογραφῶν, τῷ Θεῷ αὐτὴν προσφέρει, ὃν τρόπον ἡ Αἱμορροὺς τὸν Ἀνδριάντα, οὐκ εἶπεν ὁ στηλογραφῶν Ἀνδριάντα καὶ Εἰκόνα, ἀλλὰ μόνον Εἰκόνα, σύμφωνα λαλῶν ὁ ἅγιος τοῖς ἁγίοις Γερμανῷ καὶ Γρηγορίῳ, ὅτι ὁ μὲν Ἀνδριὰς δηλονότι συνεχωρήθη θεία συγκαταβάσει πρὸς καιρὸν, οὐ μὴν καὶ ἀεὶ, ὅθεν ὑπ' οὐδενὸς ἑτέρου, οὔτε Βασιλέως, οὔτε Ἀρχιερέως, οὔτε ἄλλου τινὸς Χριστιανοῦ γέγονέ πώς ποτε Ἄγαλμα ἐν τῇ Ἐκκλησίᾳ, τῶν δὲ Εἰκόνων ἡ χρῆσις, ὡς διώρισται ἐν τῷ Ὅρῳ τῆς Συνόδου, ἦν, καὶ ἐστὶ, καὶ ἔσται ἕως τῆς ἡμέρας τοῦ Κυρίου. Ἐν τῷ μέρει τῆς ἐπιστολῆς τοῦ Γερμανοῦ, ἔνθα ἀπαγορεύει τὴν ἐπιτήδευσιν τῶν Ἀνδριάντων, σχισματικός τις παρασημειοῖ ταῦτα, οἱ Γραικοὶ τὸ ἅγιον Θυσιαστήριον, ἵνα μὴ πᾶσιν ἐκδηλαῇ τὰ θεῖα, καγκέλλοις περικλείουσιν, ἐν οἷς τὰς σεπτὰς ἀναστηλοῦσιν Εἰκόνας, δι' ὧν καὶ τὰ ἄδυτα περιφράττεται, καὶ τῶν ἁγίων οἱ τύποι προσκυνοῦνται.

πρὸς

πρὸς τοῦτο γοῦν δοκεῖ ἀφορᾶν ὁ Γερμανὸς, ἐπεὶ δι' Ἀνδριάντων αὐτὸ τοῦτο γενέσθαι ἀμήχανον, ὅθεν καὶ τὴν τῶν Εἰκόνων χρῆσιν ἅτε δὴ κοινοτέραντε καὶ πρὸς τὸ περικλείειν εὐχερεστέραν, εὐαγεστέραν πως κατωνόμασεν, ὅτι γὰρ καὶ τὸ ἱεροὺς Ἀνδριάντας ἐγείρειν, εὐσεβὲς, καὶ οὐκ ἀσύνηθες τῇ καθολικῇ Ἐκκλησίᾳ, ἔκ τε διαλαλιῶν τινῶν Ἐπισκόπων, καὶ ἐκ τοῦ ὅρου αὐτοῦ τῆς ἁγίας ταύτης Συνόδου καθέστηκε προδηλότατον. Ἀλλὰ ῥητέον ὅτι εἴρηται ἀνωτέρω ὁ σκοπὸς τοῦ Γερμανοῦ, ὡς οὐκ ἔστιν ἄλλος, ἀλλ' ἢ Ἀνδριάντας εἰς τὴν Ἐκκλησίαν μὴ γίνεσθαι, καὶ θεωρείσθω ὁ τόπος. εἰς τὰ λοιπὰ δὲ ἅπερ λέγει ὁ σχισματικὸς, λέγομεν ὅτι ἀσύνηθές ἐστι τοῦτο τῇ ἀρχαιότητι καὶ τῇ πράξει τῆς καθόλου Ἐκκλησίας, οὐδεμία δὲ διαλαλιὰ τῶν ἐν τῇ Συνόδῳ Ἐπισκόπων ἐμνήσθη ἑτέρου Ἀνδριάντος, πλὴν τοῦ τῆς Αἱμοῤῥοούσης, καὶ ἀνάγνωθι ὅλα τὰ πρακτικὰ τῆς Συνόδου, ἀλλὰ μὴν καὶ ὁ ὅρος τῆς Συνόδου κοινῶς, καὶ ἰδίως οἱ πατέρες, καὶ αἱ μαρτυρίαι τῶν πάλαι ἁγίων, ζωγραφίας, χρωματουργίας καὶ κηροχύτους Εἰκόνας λέγουσιν ἐν τοίχοις, ἐν σανίσιν, ἐν Ναοῖς, ἐν οἴκοις, ἐν ὁδοῖς, καὶ Εἰκόνας ἐν ἱεροῖς σκεύεσι καὶ ἐσθῆσι καὶ τὰ ἑξῆς, οὐδεὶς δὲ λόγος Ἀνδριάντων ἢ Ἀγαλμάτων, πλὴν τοῦ τῆς Αἱμοῤῥοούσης, καὶ τούτου, πρὸς ἀθέτησιν αὐτοῦ οὐ πρὸς ἐπιτήδευσιν, καθότι τὸ ἐπιτηδεύειν Ἀνδριάντας ἐν τῇ Ἐκκλησίᾳ καὶ προσκυνεῖν, οὐκ ἔστιν ἔργον σύνηθες καὶ εὐσεβὲς, ὡς ὁ σχισματικὸς φησὶν, ἀλλ' ἔστιν ἔργον ἀσύνηθες, ἄγνωστον, ἄπρακτον, ἄχρηστον, ἄδεκτον καὶ ἀμάρτυρον καὶ προφανὴς λατινικὴ καινοτομία.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι τὸ Ἀγάλματα κατασκευάζειν, καὶ Εἰκόνας ἔτι ἐκ κηροῦ, Μύρου, Βαλσάμου καὶ ὕδατος ποιεῖν τὸν Ῥώμης καὶ πέμπτειν τοῖς Βασιλεῦσι, καὶ θρύπτειν ταύτας λέγειν ἁμαρτίας ὡς τὸ σῶμα τοῦ Κυρίου, ἀνατρέπονται ἐνταῦθα ὡς ἐσφαλμένης γνώμης καὶ τῇ ἀληθείᾳ ἀντικειμένης διὰ πολλῶν μαρτυριῶν, καὶ ὅτι οὐ διὰ τὴν ὕλην, ἀλλὰ διὰ τὸν τύπον προσκυνοῦνται αἱ Εἰκόνες, καὶ περὶ τοῦ τὶ προξενεῖ ἡμῖν ἡ τῶν Εἰκόνων ζωγραφία, καὶ ὅτι ψευδῆ καὶ γελοῖα τὰ λεγόμενα περὶ τῶν Εἰκόνων τοῦ Πάπα.

Οἱ ἀντικείμενοι ἐπεισάγουσιν εἰς τὴν προσκύνησιν τῶν ἁγίων Εἰκόνων Εἰκόνας τινὰς κηροχύτους, καὶ λέγουσιν ἵνα αὗται προσκυνῶνται, πρῶτον, ὅτι εἰσὶ κατεσκευασμέναι ἐκ κηρίου καθαροῦ καὶ ἁγίου Μύρου καὶ ὕδατος Ἁγιασμοῦ. δεύτερον, ὅτι ταύτας κατασκευάζει ὁ Πάπας οὐχ ὡς ἄνθρωπος μόνον ἁπλοῦς, ἀλλ' ὡς Τοποτηρητὴς τοῦ Χριστοῦ. τρίτον, ὅτι ἀναγινώσκει ἐν αὐταῖς Εὐχὰς θαυμαστάς. τέταρτον, ὅτι ποιοῦσι καὶ θαύματα. πέμπτον, ὅτι καὶ ἁμαρτίας θρύπτουσιν ὡς καὶ τὸ σῶμα τοῦ Χριστοῦ. ἕκτον, ὅτι βαστάζουσιν αὐτὰς οἱ Χριστιανοὶ ὡς οἱ Ἕλληνες τὰς Εἰκόνας τοῦ Ἀλεξάνδρου. ἕβδομον, ὅτι ἡ ἀρχαία παράδοσις καὶ τὸ τοιοῦτον εἶδος τῶν Εἰκόνων ἔδωκεν. ὄγδοον, ὅτι ἔστειλεν ὁ Πάπας Λέων ὁ τρίτος μίαν τοιαύτην Εἰκόνα Καρόλῳ τῷ Ῥηγὶ Φραγγίας καὶ εὐλαβήθη αὐτὴν, καὶ Οὐρβανὸς ὁ Πάπας ἔστειλε μίαν Ἰωάννῃ τῷ Παλαιολόγῳ, καὶ ἐκεῖνος προσέταξε καὶ ἐτιμήθη μετὰ λιτανειῶν εἰς τὰς Ἐκκλησίας. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι αἱ Εἰκόνες οὐ προσκυνοῦνται διότι εἰσὶν ἁγίας ὕλης ἢ ἁγίας κατασκευῆς, ἀλλ' ὅτι εἰκονίζουσι τὸ πρωτότυπον, τὸ δὲ προσκυνεῖσθαι διὰ τὴν μεμυρισμένην ὕλην καὶ κατασκευὴν, πόῤῥω ἐστὶ τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας. ὅθεν ἡ Σύνοδος ἐν τῷ Ὅρῳ ἐκ χρωμάτων καὶ ψηφῖδος καὶ ἑτέρας ὕλης ἐπιτηδείως ἐχούσης γίνεσθαι φησὶ τὰς Εἰκόνας, οὐ μὴν καὶ ἐκ κατασκευῆς, ἢ ὕλης ἁγίας, ἢ συνθέτου, ἢ μεμυρισμένης. ἔπειτα λέγεται ἐν τῇ τετάρτῃ πράξει τῆς Συνόδου, ὅτι γυνὴ ἔχουσα στρόφους, καταξέσασα ἀπὸ τοῦ χρίσματος τοῦ τοίχου, ἐν ᾧ ἦσαν οἱ ἅγιοι Ἀνάργυροι ἐζωγραφημένοι, καὶ βαλοῦσα ἐν ὕδατι, καὶ πιοῦσα, ὑγιὴς ἐγένετο. ἰδοὺ τοίνυν ἡ ὕλη τῆς Εἰκόνος ἐθαυματούργησε, καὶ πῦ ὅτι ἡ συνθετικὴ τοῦ Πάπα τοῦ βικαρίου δι' Εὐχῆς γινομένη Εἰκὼν θαυματουργεῖ; καίτοιγε καὶ εἰς τὴν παροῦσαν Σύνοδον εἴς τινας διαλαλιὰς οἱ πατέρες τὴν ὕλην διόλου ἀποστρέφονται, λέγοντες, ὅταν τὰ ξύλα διαλυθῇ ἀπὸ τοῦ τύπου τοῦ Σταυροῦ, κάνεται, καὶ ὅταν ὁ χρωματισμὸς διαφθαρῇ, κάνεται ἡ σανίς. πρὸς δὲ τὸ δεύτερον, ὅτι Θεόφιλος ὁ Βασιλεὺς Λάζαρον τὸν ζωγράφον ἐβασάνισε, καὶ δὴ καὶ εἰς φυλακὴν εἶχε, μαινόμενος κατὰ τῶν ἁγίων Εἰκόνων, ὁ δὲ εἰς τὴν φυλακὴν ἐκεῖ, οὐ Πάπας ὤν, οὐ δὲ βικάριος τοῦ Χριστοῦ, ἀλλ' ἁπλοῦς Χριστιανὸς, ἐζωγράφησεν Εἰκόνα τοῦ Προδρόμου, ἥτις ἔμεινε πολὺν καιρὸν, καὶ ἐθαυματούργει, καὶ ἄλλαι Εἰκόνες ἢ διότι εἰσὶ ζωγραφία τοῦ ἁγίου Λουκᾶ, ἢ ἑτέρου τινὸς ἁγίου, ἢ δι' ἄλλην αἰτίαν διὰ θείαν οἰκονομίαν ἐθαυματούργουν καὶ θαυματουργοῦσι, καὶ ἴδε ἐν τῇ τετάρτῃ πράξει τῆς Συνόδου πολλὰς πολλῶν Εἰκόνων παραδόξους θαυματουργίας, οὐκ ἐθαυματούργουν δὲ διότι ἦσαν πεποιημέναι ὑπὸ Τοποτηρητοῦ, τοῦτο γὰρ ἄγνωστον τῇ ἀρχαιότητι καὶ τῇ καθολικῇ Ἐκκλησίᾳ. πρὸς δὲ τὸ τρίτον, ὅτι αὗται αἱ Εὐχαὶ οὐκ εἰσὶν ἀναγκαῖαι, ἀλλὰ μήτε χρειώδεις εἰς τὰς Εἰκόνας, ὅθεν ἐν τῇ ἕκτῃ πράξει τῆς παρούσης Συνόδου, Τόμῳ τετάρτῳ, φέρεται ἡ ἐπὶ τοῦ Κοπρωνύμου Σύνοδος κατηγοροῦσα τῶν Εἰκόνων, καὶ λέγουσα, Ἡ τῶν Εἰκόνων ὀνομασία οὐκ ἔχει Εὐχὴν ἁγιάζουσαν αὐτὴν, ἵν' ἐκτούτου πρὸς τὸ ἅγιον ἐκ κοινοῦ μετενεχθῇ, ἀλλὰ μένει κοινὴ καὶ ἄτιμος ὡς ἀπήρτισεν αὐτὴν ὁ ζωγράφος. πρὸς ταῦτα ἡ ἁγία Σύνοδος διὰ Ἐπιφανίου Διακόνου ἀποκριθεῖσα, οὐκ εἶπεν, ὅτι γίνεται Εὐχὴ ἐπὶ τῶν Εἰκόνων,

ἀλλ'

ἀλλ' εἶπεν, ὅτι ὁ τύπος τοῦ Σταυροῦ οὐκ ἔχει εὐχὴν, καὶ γίνεται χωρὶς εὐχῆς, καὶ προσκυνοῦντες αὐτὸν μεταλαμβάνομεν ἁγιασμοῦ τινὸς, καὶ ἱερὰ σκεύη διάφορα ἔχοντες καὶ ἀσπαζόμενοι, ἁγιασμὸν λήψεσθαι παρ' αὐτῶν ἐλπίζομεν. πρὸς δὲ τὸ τέταρτον, ὅτι καὶ ὁ τὸ ἀνόμοιον παρὰ Ἀετίου ἐρανισάμενος, καὶ προστατεύσας Εὐδόξιος, ἐθαυματούργησεν διὰ τῆς διαταγῆς τῶν κολλύβων, καὶ ἡ Ὄνος τοῦ Βαλαὰμ ἐλάλησε, καὶ δὴ Ναβουχοδονόσορ καὶ Φαραὼ καὶ Καϊάφας προεφήτευσαν κατά τινα θείαν οἰκονομίαν, ἀλλ' οὐ τιμῶνται, μόνα γὰρ ἐκεῖνα ἅπερ ἡ Ἐκκλησία διώρισεν ἵνα τιμῶμεν, τιμῶμεν, οὐ μὴν καὶ τὰ μέσα, ἅπερ μὴ ὄντα τῶν τιμωμένων, ἐνεργεῖ ὁ Θεὸς οἰκονομικῶς σωτηρίαν διὰ ἐκείνων, ὡς καὶ ἡ σκιὰ τοῦ Πέτρου, καὶ ἄλλα πολλά. εἶτα εἰ ἐθαυματούργησαν αἱ τοιαῦται Εἰκόνες, ἐθαυματούργησαν ὡς Εἰκόνες, καὶ οὐ διὰ τὸν Βάλσαμον, ἢ τὸ Μῦρον, ἢ τὸν Ἁγιασμὸν, ἢ τὴν ἀπὸ τοῦ Πάπα κατασκευὴν, τοῦτο γὰρ ψεῦδος καὶ γελοῖον, τὸ μὲν, ὅτι ποία Εἰκὼν μαρτυρουμένη ὑπὸ τοῦ κοινοῦ τῆς Ἐκκλησίας ὅ τι ἐθαυματούργησεν, ἢ θαυματουργεῖ, κατεσκευάσθη ὑπὸ τοῦ Πάπα; οὐδεμία παίτως. τὸ δὲ, ὅτι ἠκολούθει αἱ μὴ οὕτω γινόμεναι Εἰκόνες, ἵνα μὴ θαυματουργῶσι, καὶ τὸ ἑπόμενον δῆλον. πρὸς δὲ τὸ πέμπτον, ὅτι αἱ Εἰκόνες εἰσὶν ὡς ἀληθῶς ἁγιασμοῦ τινὸς παραίτιοι, καθὸ εἰσὶν Εἰκόνες τῶν πρωτοτύπων, ὅθεν ἔλεγεν ἡ ἁγία Σύνοδος ἐν τῷ ἀνωτέρῳ εἰρημένῳ τόπῳ, Τὸν Σταυρὸν ἀσπαζόμενοι καὶ τιμητικῶς προσκυνοῦντες, μεταλαμβάνομεν ἁγιασμοῦ, ἐπεὶ καὶ ἱερὰ σκεύη ἔχοντες, ταῦτα ἀσπαζόμεθα καὶ περιπτυσόμεθα καὶ ἁγιασμόν τινα λήψεσθαι παρ' αὐτῶν ἐλπίζομεν. ἁγιασμὸν οὖν λαμβάνομεν διὰ τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων, ἁμαρτίας δὲ λύει ἁπλῶς ὁ εἰκονιζόμενος Χριστὸς καὶ τὸ σῶμα καὶ αἷμα αὐτοῦ, ἅπερ ἐστὶν αὐτὸς ὁ Χριστός. εἰ δὲ αἱ Εἰκόνες ἔχουσι τὸ ἀξίωμα τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου, οὐδὲν ἄλλο ἐστὶ τοῦτο, ἀλλ' ἢ ὅτι ἡ Εἰκὼν ἐστὶ τὸ εἰκονιζόμενον, ὅπερ ἡ Ἐκκλησία ὡς βλάσφημον ἀποσείεται. πρὸς δὲ τὸ ἕκτον, εἰ καὶ ἔξω τοῦ σκοποῦ τὸ παράδειγμα, τὸ ἔχειν τοὺς Ἕλληνας τὴν Εἰκόνα τοῦ Ἀλεξάνδρου, ὅμως ῥητέον, ὅτι οἱ Χριστιανοὶ ἀντὶ Εἰκόνων ἑλληνικῶν ἔχουσι τὸν τίμιον Σταυρὸν, καθὼς ἡ Ἐκκλησία κρατεῖ, καὶ ἡ ἀρχαία μαρτυρεῖ παράδοσις, καὶ τὸ ἅγιον Εὐαγγέλιον ὁμοῦ. λέγει γὰρ ὁ Χρυσόστομος ὁμιλίᾳ δεκάτῃ ἐνάτῃ εἰς τὸν Ἀντιοχέα λαὸν, Αἱ γυναῖκες καὶ τὰ παιδία τὰ μικρὰ ἀντὶ φυλακῆς μεγάλης Εὐαγγέλια ἐξαρτῶσι τοῦ τραχήλου καὶ πανταχοῦ περιφέρουσιν ὅπου ἂν ἀπίωσιν. καὶ τεσσαρακοστῇ τετάρτῃ ἐπιστολῇ, ὁμιλίᾳ ἑβδομηκοστῇ δευτέρᾳ, Πολλαὶ νῦν τῶν γυναικῶν Εὐαγγέλια τῶν τραχήλων ἐξαρτῶσαι ἔχουσι. καὶ Ἰσίδωρος ὁ Πηλουσιώτης ἐπιστολῇ ἑκατοστῇ πεντηκοστῇ, βιβλίῳ δευτέρῳ, Ὅτι τὰ φυλακτήρια δέλτια τῶν μικρὰ τὸν Νόμον ὠδίνοντα, ἅπερ ἐφόρουν οἱ τῶν Ἰουδαίων καθηγηταὶ, ὥσπερ νῦν αἱ γυναῖκες τὰ Εὐαγγέλια τὰ μικρά. καὶ εἰ βαστάζουσι καὶ Εἰκόνα, βαστάζουσιν ἁγίαν ὡς ἡ Ἐκκλησία παρέδωκεν, οὐχὶ μεμιγμένην διὰ τοιαῖσδε ὕλης καὶ κατασκευῆς, ὅπερ στιν ἀσύνηθες ἔργον καὶ ἄγνωστον εἰς τὴν ἀρχαιότητα. Εἰς τὰς ἁγίας Εἰκόνας σκάπτουσιν οἱ ὀρθόδοξοι τὰς σανίδας, ἢ καὶ κοιλαίνουσι τὸν χρυσὸν, ἢ ἄργυρον, καὶ βάλλουσιν ἔνδον μέρη τιμίου ξύλου καὶ ἁγίων λειψάνων, ἅτινα συντιμῶσι ταῖς Εἰκόσι, καὶ τοῦτο οὐ κωλύεται, τὸ δὲ βάλλειν τὸν Πάπαν Βάλσαμον, κηρίον καὶ Ἁγιασμοῦ ὕδωρ, καὶ ἐπ' αὐτῶν ψάλλειν εὐχὰς, εἶτα ἐπιτηδεύειν Εἰκόνας καὶ διδόναι ταύτας εἰς προσκύνησιν, μάλιστα διὰ τὸ εἶναι αὐτὰς ἐκ τοιαῖσδε ὕλης καὶ ἐκ τοιούτου τεχνήτου, κωλύεται, καθότι τοῦτο τὸ ἔργον οὐγινώσκει ἡ Ἐκκλησία, οὐ διώρισαν τοῦτο οἱ πατέρες, οὐκ ἐδίδαξαν τοῦτο αἱ Σύνοδοι, οὐκ εἶπον τοῦτο οἱ ἀρχαῖοι ἱστορικοὶ, ἀλλὰ μόνον τὸ σχίσμα τῶν παπιστῶν ἔπλασε τοῦτο εἰς ἀπάτην τῶν ἀθλίων σχισματικῶν. πρὸς δὲ τὸ ἕβδομον, ὅτι ἐκεῖνο ἐστὶ παράδοσις ἀρχαία, ὅπερ ἡ καθηλικὴ Ἐκκλησία κρατεῖ, τὰ δ' ἄλλως ἀρχαῖα ἀπόβλητα, ἐπειδὴ τοιαῦταί εἰσι καὶ αἱ τῶν Αἱρετικῶν ἀρχαιότητες, ὅθεν τερατοποιὸς ἦν καὶ ἐστὶν ὁ Βαρώνιος, ἐπειδὴ πόθεν ἔχει λαβὼν τὸ βέβαιον, ὅτι ἦσαν εἰς τὰ πεντήκοντα ὀκτὼ ἔτη ἀπὸ Χριστοῦ αἱ τοιαῦται Εἰκόνες; καὶ πῶς ἡ παροῦσα ἁγία Σύνοδος καὶ Γρηγόριος ὁ δεύτερος, ὁ Ἀδριανὸς ὁ πρῶτος καὶ Λέων ὁ τρίτος, καὶ Γερμανὸς καὶ Νικηφόρος καὶ Μεθόδιος καὶ Ταράσιος οἱ Πατριάρχαι, καὶ ὁ Δαμασκηνὸς, καὶ Πλάτων καὶ Θεόδωρος οἱ Στουδῖται καὶ ὁ Σάρδεων Εὐθύμιος καὶ Θεόδωρος καὶ Θεοφάνης οἱ γραπτοὶ καὶ Μηχαὴλ ὁ Σύγκελλος καὶ ἡ ἐν Ἱεροσολύμοις ἐπὶ Θεοφίλου τοῦ Βασιλέως μεγάλη καὶ σχεδὸν οἰκουμενικὴ Σύνοδος καὶ οἱ λοιποὶ ὀρθόδοξοι, οἱ εἰπόντες περὶ τῆς ἀρχαιότητος τῶν Εἰκόνων, ταύτην τὴν ἱστορίαν ἐσιώπησαν ὥσπερ καὶ τοὺς Ἀνδριάντας; ὥστε νεωτέρισμα αἱ τοιαῦται Εἰκόνες παπικὸν, καὶ διατοῦτο καὶ ἀπόβλητοι. πρὸς δὲ τὸ ὄγδοον, ὅτι πέπομφεν ὁ Λέων τῷ Καρόλῳ τοιαύτην Εἰκόνα, οὐδ' ὅλως πιστεύομεν, καὶ ἴδε κατωτέρω εἰς τὸ τρίτον κεφάλαιον τὰ περὶ αὐτῶν. καὶ ἐκεῖνο, ὅπερ Οὐρβανὸς ἔστειλεν Ἰωάννῃ τῷ Παλαιολόγῳ καὶ ἐτιμήθη εἰς λιτανείαν τὶς μαρτυρεῖ; πάρεξ πάλιν οἱ ἴδιοι νεωτερισταὶ Λατῖνοι, καὶ πῶς οὐδεὶς Ἀνατολικὸς τοῦτο ἐσημείωσεν; καὶ τοιγε εἴπερ ἦν καὶ ἀλήθεια, πάλιν ἀπόβλητον ἦν, ὅτι εἰς τὴν Ἐκκλησίαν ἡ καινοτομία τοῦ Οὐρβανοῦ καὶ ἡ εὐκολία τοῦ Ἰωάννου δόγμα τοιοῦτον οὐ δύνανται βεβαιῶσαι, εἰμήσου τὶς εἴποι ὅτι ὡς Εἰκόνας ἐδέξαντο αὐτὰς, καὶ οὐχ ὡς ἐκ τοιαῖσδε ὕλης καὶ ψιθυρισμοῦ παπικοῦ κατεσκευασμένας. ὅτι γὰρ οἱ ἀναθέματι καθυποβεβλημένοι ὑπὸ Συνόδου ὡς Αἱρετικοὶ οὐκ εἰκονουργοῦσιν ἐν Ναοῖς ἱεροῖς, λέγει τοῦτο ἡ κατὰ Φωτίου Σύνοδος πράξει δεκάτῃ, Κανόνι ἑβδόμῳ. Εἰκόνα δὲ γίνεσθαι δι' εὐχῶν καὶ συνθεμάτων τινῶν, μόνων τῶν παπιστῶν ἐστιν ἀνόμημα. Λέγουσι τινὲς, ὅτι ἡ Εἰκὼν τοῦ Χριστοῦ προτιμᾶται τοῦ τύπου τοῦ Σταυροῦ, καθ' ὅσον ἡ Εἰκὼν τύπος τοῦ Χριστοῦ, ὁ τύπος δὲ τοῦ Σταυροῦ τὴν μνήμην προτίθησι τοῦ σταυρωθέντος, ἡ Σύνοδος ὅμως φησὶ

φησὶ προσκυνεῖσθαι ἐξίσου τῷ τύπῳ τοῦ Σταυροῦ τὴν Εἰκόνα τοῦ Χριστοῦ, ὅτι αἱ Εἰκόνες ἐὰν γίνωνται ποτὲ μὲν εἰς μέγα μῆκος, ποτὲ δὲ εἰς μικρὸν, οὐ κωλύει, ἐπειδὴ καὶ τὸ σχῆμα τοῦ Σταυροῦ οὐ γίνεται ὅσον ἦν τὸ ξύλον τοῦ Σταυροῦ, ἀλλὰ ποτὲ μὲν στενώτερον, ποτὲ δὲ πλατύτερον, βραχύτερον καὶ μακρότερον, καὶ ἀεὶ ὁ αὐτὸς τύπος, καὶ ἴδε τὴν ἐπιστολὴν τοῦ Φωτίου τὴν ἑξηκοστὴν τετάρτην, ὅτι προσκυνοῦμεν τὰς Εἰκόνας δι' αἰτίας πέντε, πρῶτον, ὅτι κοσμοῦσι τοὺς Ναοὺς ὡς τὸ Ἱερὸν τὰ Χερουβίμ. δεύτερον, ὅτι διδάσκουσι προφητείας, διδαχὰς, ὁσιότητας, μαρτύρια, τὰ πάθη καὶ τὰ θαύματα τοῦ Χριστοῦ, ὅθεν βιβλία λέγονται τῶν σοφῶν καὶ τῶν ἀμαθῶν, ὡς ὁ Διάλογος ἐν τῷ πρὸς Σεκοῦνδον βιβλίῳ φησί. τρίτον, ὅτι διεγείρουσι πρὸς μίμησιν τῶν ἁγίων κατὰ τὸν ἅγιον Βασίλειον εἰς τὸν Γόρδιον, καὶ ἄλλους ἁγίους, καὶ τὴν παροῦσαν Σύνοδον. τέταρτον, ὅτι ἀνάμνησιν τῶν γεγονότων τίθενται εἰς τὰς ψυχὰς τῶν Χριστιανῶν. πέμπτον, καὶ αὔξησιν ἔρωτος, ὅτι ἐρχόμενοι εἰς ἀνάμνησιν, ἐπικαλούμεθα μετ' ἐλπίδος τὸν μὲν Θεὸν ὡς Σωτῆρα, τοὺς δ' ἁγίους μετὰ ἀγάπης ὡς πρεσβευτὰς εἰς Χριστὸν, ἵνα διὰ τῆς ἐκείνων πρεσβείας δώη ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα.

ΚΕΦΑ'ΛΑΙΟΝ Γ'.

Περὶ τῆς ἐν Φραγγοφούρτῃ Συνόδου κατὰ τῶν ἁγίων Εἰκόνων.

Εἰς τὸ ἑπτακοσιοστὸν εἰκοστὸν ἕκτον ἔτος προσέταξεν ἵνα μὴ προσκυνῶνται αἱ ἅγιαι Εἰκόνες ὁ Ἴσαυρος, καὶ εἰς τὸ ἑπτακοσιοστὸν πεντηκοστὸν τέταρτον ἤθροισεν ὁ Καββαλῖνος τὴν Σύνοδον κατὰ τῶν ἁγίων Εἰκόνων, εἰς δὲ τὸ ἑπτακοσιοστὸν ὀγδοηκοστὸν τέταρτον ἠθροίσθη ἡ παροῦσα Οἰκουμενικὴ Σύνοδος, ἀφ' ἧς ἀπελθόντες οἱ Λεγᾶτοι τοῦ Πάπα εἰς τὴν Ῥώμην, εἶχον καὶ τὰς πράξεις τῆς Συνόδου, αἵτινες ἐκοινολογήθησαν κατὰ τὴν συνήθειαν εἰς ὅλην τὴν Δύσιν. Λέγουσι δὲ οἱ Καλβῖνοι ὅτι ὁ τότε Ῥὴξ Φραγγίας Κάρολος ὁμέγας ἀντιφερόμενος τῇ προσκυνήσει τῶν Εἰκόνων, ἤθροισε Σύνοδον τινῶν Ἐπισκόπων Φράντζας, Ἰταλίας καὶ ἄλλων τόπων, οἳ ἦσαν εἰς τὴν ἐξουσίαν αὐτοῦ, ἦσαν δὲ Ἐπίσκοποι τριακόσιοι; συνῆλθον δὲ εἰς τὴν χώραν Φραγγοφούρτην ἐν ἔτει ἑπτακοσιοστῷ ἐννενηκοστῷ τετάρτῳ, γέγονε δὲ ἡ συνέλευσις καὶ μετὰ τῆς γνώμης τοῦ Πάπα Ἀδριανοῦ, ὅστις ἔπεμψε καὶ Λεγάτους Θεοφύλακτον καὶ Στέφανον Ἐπισκόπους. κατεδίκασε δὲ ἐκείνη ἡ Σύνοδος τὸν Φίληκα καὶ Ἐλίπαντον τοὺς Αἱρετικοὺς, οἵτινες ἠβουλήθησαν ἀνακαινίσαι σχεδὸν τὴν Αἵρεσιν τοῦ Νεστορίου, ἀπέῤῥιψε δὲ καὶ τὴν ἑβδόμην Σύνοδον ὡς δῆθεν ὁρίσασαν ἵνα προσκυνῶνται αἱ Εἰκόνες λατρευτικῶς, ὡς φαίνεται ἐν τῷ δευτέρῳ αὐτῆς Κανόνι, ἔπειτα ἔγραψε καὶ ἓν βιβλίον κατὰ Εἰκόνων, ὀνομαζόμενον Καπιτουλάριον, καὶ ἔστειλεν αὐτὸ εἰς τὸν Πάπαν, ἀλλ' ἐκεῖνος καταφρονήσας, ἀπέβαλεν αὐτό. εἰδὲ καὶ οἱ Αἱρετικοὶ λέγουσιν, ὅτι ὁ Ἀδριανὸς τὸ πρῶτον ἐδέξατο τὸ Καπιτουλάριον, καὶ ὕστερον ἀπέβαλεν αὐτὸ, καὶ τινὲς τῶν Λατίνων λέγουσιν, ὅτι ὁ Ἀδριανὸς ἀπατηθεὶς ὑπὸ τοῦ Καπιτουλαρίου ἀπέβαλε τὴν ἑβδόμην Σύνοδον, ὕστερον δὲ γνοὺς τὴν ἀπάτην, ἐδέξατο αὐτὴν, ἡμεῖς ὅμως λέγομεν περὶ μὲν τοῦ πρώτου, ὅτι ψεῦδος ἐστὶ καὶ συκοφαντία, περὶ δὲ τοῦ δευτέρου, ὅτι ὁ Ἀδριανὸς καλῶς ἐφρόνει περὶ τῶν Εἰκόνων, καὶ τῆς Συνόδου τὰ πρακτικὰ καὶ τὸν Ὅρον ἐγίνωσκε καλῶς, καὶ ἦν τῶν πάντῃ ἀδυνάτων ἵνα ἀπατηθῇ ποτὲ, ὥστε καὶ τοῦτο ψεῦδος ἐστί. περιεῖχε δὲ τὸ βιβλίον πρὸς τοῖς ἄλλοις, ὅτι αἱ Εἰκόνες αἱ ἐζωγραφημέναι οὐκ εἰσὶν ἀναγκαῖαι, πλὴν ὀλίγον ὠφέλιμοι, τὴν προσκύνησιν ὅμως τελείως ἀπέβαλον ὅ, τε Κάρολος καὶ ἡ Σύνοδος αὐτοῦ, καὶ πολλὰ ἐῤῥαψῴδησαν, ὅθεν κατέδραμον καὶ τῶν πατέρων τῆς ἑβδόμης Συνόδου. καὶ ταῦτα μὲν οἱ Καλβῖνοι. Ἰστέον ὅμως ὅτι τινὲς δυτικοὶ ἀρνοῦνται ταύτην τὴν Σύνοδον, ἀλλ' ὁ Βελλαρμῖνος εἰς τὸ δέκατον τέταρτον κεφάλαιον τοῦ περὶ Εἰκόνος βιβλίου, καὶ ὁ Βαρώνιος εἰς τὸ χρονικὸν αὐτοῦ λέγουσιν, ὅτι τὸ βιβλίον Καπιτουλάριον περιέχει τὰς πράξεις τῆς ἐπὶ Καρόλου εἰς τὴν Φραγγοφούρτην Συνόδου, ἀπεβλήθη ὅμως ὑπὸ τοῦ Ἀδριανοῦ, καὶ ἔτι πολλὰ λέγονται περὶ αὐτῆς, ὡς φαίνεται ἐν τῷ ἑβδόμῳ τόμῳ τῶν Συνόδων, ἅτινα ἡμῖν ἐνταῦθα ἐνθεῖναι οὐδεμία φαίνεται χρεία ἀναγκαία, ἀρκεῖ δὲ εἰπεῖν, ὅτι ἀντιφέρουσιν οἱ Καλβῖνοι λέγοντες, Εἰ καὶ ὁ Ἀδριανὸς ἀπεδοκίμασεν ἐκείνην τὴν Σύνοδον, οὐκ ἔστιν ὅμως ἀποβεβλημένη ἀπὸ τῆς ἀληθείας, καθότι καὶ Λέων ὁ Πάπας οὐκ ἐδέξατο τὸν εἰκοστὸν ὄγδοον Κανόνα τῆς ἐν Χαλκηδόνι Συνόδου περὶ τοῦ Κωνσταντινουπόλεως, οὐδὲν ἧττον ὅμως ὁ Κανὼν ἦν βέβαιος τῆς αὐτῆς Συνόδου. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι σοφιζόμενοι οἱ Καλβῖνοι, φέρονται κατὰ τῆς αὐτῶν σωτηρίας, καθότι Οἰκουμενικὴ Σύνοδος ἐκείνη ἐστὶ καὶ λέγεται, ἐν ᾗ συνέρχονται οἱ πέντε Πατριάρχαι ἢ δ' ἑαυτῶν, ἢ διὰ Λεγάτων, καὶ οἱ πλείους καὶ δόκιμοι τῶν ὑφ' ἑαυτοὺς Ἐπισκόπων καὶ ἑτέρων Ἱερέωντε καὶ σοφῶν, ἡ δὲ μὴ ἔχουσα τόν τε Πάπαν καὶ τοὺς Πατριάρχας καθ' ὃν εἴρηται τρόπον, οὐκ ἔστιν Οἰκουμενικὴ, ἀλλὰ Τοπικὴ,

μᾶλλον

μᾶλλον δὲ ἀδὲ Τοπικὴ, ἡ γὰρ αὔομος ὅτε Τοπικὴ ἐστὶν, ὅτε ὅλως Συνόδῳ, ὡς ἦν ἡ ἐπὶ Κοπρωνύμῳ καὶ αὕτη ἡ ἐν τῇ Φραγγοφέρτῃ. δεύτερον, ἐλέων εἰ ἐκ ἐδέξατο τὸν ἁρπαῖον Κανόνα τῆς ἐν Χαλκηδόνι περὶ τῶν Κωνσταντινουπόλεως, ἀλλ' ἐκύρωσαν αὐτὸν οἱ λοιποὶ Πατριάρχαι καὶ οἱ λοιποὶ πατέρες, συναγμοὶ ἀπὸ πάσης τῆς γῆς, εἰς δὲ ταύτην τὴν ἐν Φραγγοφέρτῃ συνόδον Πάπαν (ὑποθετέον γὰρ τὸν Λεγάτους τοῦ Πάπα παρεῖναι) ἐδεὶς ἦν τῶν λοιπῶν Πατριαρχῶν καὶ ἑτέρα τρίτον. τρίτον, εἰ ὁ Λέων τὸν ἁλληθῆ Κανόνα ἐκ ἐδέξατο, ἀλλ' οἱ μετ' αὐτὸν Πάπαι ἐδέξαντο, ὅθεν ἐπὶ Ἰουστίνου τοῦ Θρᾳκὸς παρόντες οἱ Λεγάτοι τοῦ Πάπα Ὁρμίσδα, Φαμιζομβρᾶ τοῦ Κωνσταντινουπόλεως Ἰωάννου Οἰκουμενικοῦ, ἐσιώπων, καὶ Ἐπιφάνιον καὶ Μηνᾶν γεγράφοντας τοῦ Ἰουστινιανοῦ Οἰκουμενικούς, ἠσύχαζον παρόντες ὅτε, τε Ἀγαπητὸς καὶ Βιγίλιος. ἔτι καὶ Ἡράκλειος ἔγραφε τὸν Σέργιον, καὶ δὴ καὶ ὁ Μαυρίκιος τὸν Νικηφόρον καὶ τὸν Κυριακὸν, καὶ ἐπὶ τῶν Συνόδων τῆς πέμπτης, ἕκτης καὶ ἑβδόμης τὸν δεύτερον τόπον εἶχον ὁ Κωνσταντινουπόλεως, καὶ Οἰκουμενικὸς οὐ αὐταῖς ἐφημίζετο Δαπρυσίως, καὶ ἐν τοῖς συνοδικοῖς Τόμοις ἔτως ἐγράφετο, καὶ οἱ Πάπαι ἀσμένως ἐδέχοντο, ὡς δὲ αὐτὴν τὴν ἐν Χαλκηδόνι οἱ Λεγᾶτοι αὐτοὶ τοῦ Λέοντος κατηγορῆντες τοῦ Διοσκόρου ἔλη τὸν Φλαυϊανὸν Κωνσταντινουπόλεως αὐθεντήσας ἔταξον εἰς τὸν πέμπτον τόπον εἰς τὴν ἐν Ἐφέσῳ λῃστρικὴν Σύνοδον, ἔλεγον ὅτι τὸν Κωνσταντινουπόλεως Ἀνατόλιον εἶχον αὐτοὶ πρῶτον. καὶ ἐν τῇ αὐτῇ Οἰκουμενικῇ δείκνυται ὅτι ὁ Αὐτοκράτωρ Κωνσταντῖνος τὸν μὲν Ῥώμης ἔγραφον Οἰκουμενικὸν Πάπαν, τὸν δὲ Κωνσταντινουπόλεως Οἰκουμενικὸν πατριάρχην. καὶ ἐν τῇ ἑβδόμῃ Οἰκουμενικῇ πάντες οἱ πατέρες τὸν Ταράσιον Οἰκουμενικὸν ἐφήμισαν ἐμόνον ἅπαξ, ἀλλὰ πολλάκις. καὶ κατὰ τὸ χιλιοστὸν διακοσιοστὸν δέκατον πέμπτον ἐν Λατεράνῳ Οἰκουμενικὸν τὸν Κωνσταντινουπόλεως διώρισε. καὶ ἐς αὐτὴν δὲ τὴν ἐν Φλωρεντίᾳ συνάθροισιν παρόντες τῆς Εὐγενίου ὁ Κωνσταντινουπόλεως εἶχε τὸν δεύτερον τόπον, καὶ τὸ Οἰκουμενικὸς ᾠέσρημα. τὸν δὲ Κανόνα εἰ καὶ ὁ Λέων ἀπέβαλον, ἀλλ' οἱ μετ' ἐκεῖνον Πάπαι ἐδέξαντο, τὴν δὲ ἐν Φραγγοφέρτῃ ἀπὸ Ἀθέλαντος καὶ ἕως τῆς ἡμέρας ταύτης πάντες οἱ Πάπαι καὶ Πατριάρχαι καὶ ἀνεθεμάτισαν τὰ ἀνάθεματίζεσι, καὶ ὡς ἀγεστήσασαν τὰ πάτρια καὶ ἀρχαῖα καὶ ὡς τὰ διωρισμένα κοινῇ καὶ ὑπὸ πάσης τῆς καθολικῆς Ἐκκλησίας μαρτυρόμενα καὶ ἀεὶ βεβαιούμενα καὶ ἐνεργούμενα ᾠφαβλέψασαν. ὅθεν καὶ ἀσύμφωνοι αἱ τοιαῦται Αἱρετικοὶ, καθότι οἱ μὲν δέχονται τὰς Εἰκόνας καὶ ἀ ᾠέσκωσιν, οἱ δὲ ἀ δ' ὅλως δέχονται, ἀλλὰ καὶ ἐξυβρίζεσι. καὶ ὁ μὲν Ἴσαυρος καὶ Καβαλῖνος τὴν ᾠέσκωσιν τῶν ἁγίων Εἰκόνων ἀπεβάλοντο, ᾠέσκωσν δὲ τὰ ἅγια Εὐαγγέλια καὶ τὰ τίμια ξύλα, τὴν ἐπὶ τῆς Θεοτόκου καὶ τὸν ἅγιον τάφον ἐσέβοντο καὶ Γ' ἄλλα τοιαῦτα. οἱ Καλβῖνοι δὲ ἀδὲ ἐᾶσαν αὐβεστον ὅσον τε καθ' αὐτὰς καὶ ἀκαταφρόνητον, οἱ δὲ καὶ οἱ λοιποὶ τὰς Εἰκόνας μὴ ᾠέσκωνται τιμῶσιν, ἀλλὰ τὸ ἐξημισέας ἀσεβεῖν ἀσεβεῖν ἐστιν. Φανερὸν δὲ ὅτι οἱ τοιοῦτοι ἐκκλίναντες ἀπὸ τῆς ἀληθείας ὁδὸς, καὶ ζητοῦντες ἕκαστος αὐτῶν ἵνα βεβαιώσῃ τὴν γνώμην αὐτοῦ, μάχονται ἀμόνον τῇ Ἐκκλησίᾳ, ἀλλὰ καὶ αὐτοὶ ἑαυτοῖς κατὰ τὸ ἴδιον τοῦ κακοῦ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

τρίτος ὑπὸ τῆς φιλοτιμίας καὶ τοῦ πόθου τοῦ κυριεύειν, τὴν μὲν Ῥωμαίων ἀρχὴν πονηρίαις διέσπασε, τὴν δὲ χριστιανικὴν ἅπασαν ἐκίνησέ τε καὶ ἐλυμήνατο. οὗτος τούς τε προγόνους ἡμῶν Ῥωμαίους καὶ τοὺς Ἰταλοὺς καὶ δὴ καὶ ἑαυτὸν τῆς ὁρκομοσίας ἧς εἶχε πρὸς τὸν Αὐτοκράτορα Κωνσταντινουπόλεως παραπόνδως ἀφεῖκε, τούς τε ἀρχομένους πρὸς ἀπόστασιν παρώρμησε. μετὰ τοῦτον δὲ τῶν Παπῶν ἀφηνιασάντων, Ζαχαρίας ὁ Πάπας τῶν Γάλλων Βασιλέα Χιλπέρικον καλῶς ἐπιστατοῦντα, μόνον δὲ ὅτι ἀπηρέσκετο ἑαυτῷ, πονηρίαις τῆς Βασιλείας ἐξέβαλε, καὶ τὸν Πιπῖνον ἀντικατέστησεν. ὁ Πάπας Κλήμης ἕβδομος τοῦ Φιλίππου Πούλχρου ὅσον γε ἐπ' αὐτῷ τὴν τῆς Γαλλίας Βασιλείαν ἀφῃρηκὼς, εἰς Ἀλβῆρτον τῶν Ῥωμάνων Βασιλέα αὐτὴν μετεψηφίσατο. ὁ Πάπας τὸν Αὐτοκράτορα Ἔρρικον ἕβδομον ἐν τῷ ποτηρίῳ τῆς Εὐχαριστίας δηλητηρίοις ἀπέκτεινε, καὶ τὸν Πάπαν Βίκτορα ἐν ἁγίᾳ κύλικι ἀπέκτεινε, καὶ Ἰωάννην τῆς Ἀγγλίας ἐντραπεζητικῷ ἐκπώματι τοῦ ζῆν ἀπεστέρησεν. ὁ Πάπας τὸν Φραγκίσκον Δάνδαλον Δοῦκαν Βενετίας Κρήτης τε καὶ Κύπρου Βασιλέα ὥσπερ Κύνα ὑπὸ τὴν ἑαυτοῦ τράπεζαν ὀστᾶ φαγεῖν κατηνάγκασε, καὶ μάλιστα ἁλύσεσι δεδεμένον. ὁ Πάπας Κελεστῖνος ὁ τρίτος ἐν Ῥώμῃ τῷ Ἐρρίκῳ ἕκτῳ Αὐτοκράτορι οὐχειρὶ, ἀλλὰ ποδὶ τὸ Διάδημα ἐπέθηκε, καὶ πάλιν τῷ αὐτῷ ποδὶ κατέβαλε λέγων, Ἐπ' αὐτῷ εἶναι τό, τε καθιστάναι Αὐτοκράτορας, καὶ τοὺς καθεστῶτας παύειν τῆς ἀρχῆς. ὁ Πάπας Γρηγόριος ἕβδομος τὸν Ἐρρίκου υἱὸν ἐπὶ τὸν Ἔρρικον Αὐτοκράτορα τὸν ἑαυτοῦ πατέρα ἐφώπλισε, καὶ ἐποίησεν, ὥστε ὑπὸ τοῦ υἱοῦ τὸν πατέρα αἰχμαλωτίζεσθαι, καὶ ὑβριζόμενον τέλος πάντων ἐγκλεισθῆναι εἰς Μοναστήριον, κἀκεῖ τὸν βίον ὑπὸ τῆς ἄκρας δυσθυμίας καὶ τῆς ἐνδείας τῶν καθ' ἡμέραν ἀθλίως καταστρέψασθαι. ὁ Πάπας Ἀλέξανδρος τρίτος τοῦ Αὐτοκράτορος Φριδερίκου τὸν τράχηλον αἰσχρῶς ἐπάτησεν. ὁ Πάπας τοὺς Δυτικοὺς Ἡγεμόνας κατὰ τῆς Κωνσταντινουπόλεως ἐφώπλισε, καὶ τὴν χριστιανικὴν Βασιλείαν διῄρησε, καὶ Βασιλεῖς ἀλλοτρίους ἐν Κωνσταντινουπόλει ἡδέως κατέχριε, καὶ ἄλλα τοιαῦτα ἐποίησεν, ὡς ἰδικώτερον ῥηθήσεται κατωτέρω. τούτων δὲ καὶ ἄλλων μυρίων κακῶν αἰτία ἐγένετο ἡστέψις τοῦ Καρόλου, ὅθεν καὶ ὁστέψας καὶ ὁστεφθεὶς καὶ οἱ ἐκδικοῦντες αὐτοὺς ἔνοχοι εἰσὶν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, εἰ καὶ ἐγὼ μᾶλλον ἑπόμενος τῷ ἁγίῳ Νικηφόρῳ, ἔχω τὸν Πάπαν Λέοντα τὸν τρίτον ἅγιον, καὶ ἀνώτερον πάντων ὧν ἐγκαλεῖται διὰ τὴν χρίσιν, ἐπειδὴ βιασθεὶς ἔχρισε, καὶ ἴδε κατωτέρω κεφαλαίου ὀγδόου Παράγραφον ἕκτον, καὶ κατωτέρω βιβλίου δεκάτου, μέρους πρώτου, κεφαλαίου δεκάτου τρίτου Παράγραφον πέμπτον. ἴδε κατὰ τῶν δύο μαχαιρῶν καὶ κατωτέρω βιβλίου δεκάτου, μέρους τρίτου κεφάλαιον δωδέκατον. ἴδε καὶ ἐν ἄλλοις τὴν ἰσχὺν τῶν Βασιλέων κατὰ τοῦ Πάπα βιβλίου ἑβδόμου, κεφαλαίου πρώτου Παραγράφῳ ἐνάτῳ. Ῥητέον καὶ τοῦτο, εἰ λέγει ὁ Πάπας, ὅτι ὡς διάδοχος τοῦ Πέτρου ἔχει τὰς δύο μαχαίρας, πασίδηλον ψεύδεται, ὅτι τοῦτο οὐκ ἐδίδαξαν οἱ Ἀπόστολοι, ἀλλὰ μάλιστα τὸ ἐναντίον, ὡς Παῦλος φησὶ, καὶ ἴδε κατωτέρω βιβλίου δεκάτου, κεφαλαίου ἑνδεκάτου Παράγραφον τρίτον. καὶ αὐτὸς ὁ Πέτρος ῥητῶς ἀποφαίνεται ἐπιστολῇ πρώτῃ κεφαλαίου δευτέρου στίχῳ δεκάτῳ τρίτῳ.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῆς Βασιλείας Λέοντος τοῦ Ἀρμενίου καὶ τοῦ ἰδιοχείρου αὐτοῦ περὶ τῆς πίστεως, καὶ τῆς ἐκστρατείας Κρούμου κατὰ τῆς Κωνσταντινουπόλεως, καὶ τῆς ὑπ' αὐτοῦ ἁλώσεως τῆς Ἀδριανουπόλεως καὶ ἀναιρέσεως τοῦ Ἀχιερέως αὐτῆς καὶ ἄλλων, καὶ περὶ τῶν αἰχμαλωτισθέντων καὶ φονευθέντων ὑπὸ τοῦ Ζώκου.

Ἐβασίλευσε Λέων ὁ Ἀρμένιος ὁ καὶ Χαμαιλέων, οὐμόνον διότι ἦν μικρὸς τῇ ἡλικίᾳ, ἀλλ' ὅτι καὶ πολύβουλος ὑποκριτής. καὶ πρῶτον μὲν ἔδωκεν ἰδιόχειρον αὐτοῦ τοῦ μηδέποτε νεωτερίσαι εἰς τὴν Ἐκκλησίαν, καὶ μετασαλεῦσαι τὰ ὁρισθέντα ἐν αὐτῇ, εἶτα ἐστέφθη ὑπὸ Νικηφόρου τοῦ Πατριάρχου, ὅστις ὅτε αὐτὸν ἔστεφε, ἔδοξαν αὐτῷ αἱ τρίχες τῆς κεφαλῆς αὐτοῦ εἶναι ἄκανθαι. ὁ Κρούμος οὖν, φυγόντος τοῦ Βασιλέως Μιχαὴλ εἰς τὸ Βυζάντιον, καὶ βασιλεύσαντος τοῦ Χαμαιλέοντος, ὥστις ἄλλος Σενναχηρεὶμ, καταλείψας τὸν ἀδελφὸν αὐτοῦ εἰς Πολιορκίαν τῆς Ἀδριανουπόλεως, ἐπορεύθη εὐθὺ τῆς Κωνσταντινουπόλεως, καὶ περιεκύκλωσεν αὐτὴν, καὶ ποιήσας τὴν μιαρὰν αὐτοῦ θυσίαν, ἡτοιμάσθη ἵνα πολεμήσῃ αὐτὴν, πλὴν θεωρῶν τὰ τείχη αὐτῆς καὶ τὴν εὐπρέπειαν αὐτῆς, καὶ τὰ μεγάλα στρατεύματα αὐτῆς, παρῃτήθη, μόνον ἔστειλεν αἰτῆσαι σπονδὰς φιλικὰς καὶ εἰρηνικὰς συνθήκας, καὶ μὴ ἐπιτυχὼν τούτων, παραυτίκα ὑποστρέψας ἐκεῖθεν, ἔδραμεν εἰς τὴν Ἀδριανούπολιν καὶ ἐκυρίευσεν αὐτῆς ἐν τῷ ἅμᾳ, τότε ἐπίασεν ὁ Βάρβαρος τὸν Ἐπίσκοπον τοῦ Κάστρου Μανουὴλ ὀνομαζόμενον, καὶ κόψας πρῶτον τὰς χεῖρας αὐτοῦ ἔσχισεν αὐτὸν εἰς δύο, καὶ ἔρριψεν αὐτὸν βρῶμα τοῖς Θηρίοις, καὶ τοὺς ἀνθρώπους αὐτοῦ Γεώργιον καὶ Λέοντα ἀπεκεφάλισε. πλήν γε ὅμως ἐπαιδεύθη οὐρανόθεν, ὅτι ἐτυφλώθη, καὶ μισηθεὶς ὑπὸ τοῦ πλήθους τοῦ λαοῦ, ἐκρεμάσθη καταδεδικασμένος, καὶ ἐγένετο ἀντ' αὐτοῦ ὁ ἀσεβέστατος Ζῶκος, ὅστις ὅσους Χριστιανοὺς ἠχμαλώ-

ἠχμαλώτισεν, Ἱερεῖς, Διακόνους καὶ λαϊκοὺς, ὅλους ἐταλαιπώρησε, καὶ ἕως τέλους ἐκακοποίησε, καὶ διαφόροις βασάνοις τιμωρούμενος αὐτοὺς, ἐξιφοκτόνησεν ἀνελεημόνως, ὡς γέγραπται ἐν τῷ Μηνολογίῳ τοῦ Βασιλέως Βασιλείου, καὶ παρὰ τῷ ἱστορικῷ Θεοφάνει, ὅστις ἐνταῦθα τελειοῖ τὴν σύνοψιν αὐτοῦ, ὅτι ἐδεινοπάθησε λίαν ὑπὸ τοῦ Λέοντος τοῦ Ἀρμενίου οὗτος μόνος διὰ τὴν ὀρθοδοξίαν, καθὼς τοῦτο μαρτυρεῖ ὁ Βιβλιοθηκάριος Ἀναστάσιος. ἦν ὅμως καὶ ἄλλος Θεοφάνης Μοναχὸς Ἱεροσολυμίτης ὁμολογητὴς, ὅστις ἤκμαζεν εἰς τοὺς χρόνους τούτου τοῦ Λέοντος τοῦ Ἀρμενίου, καὶ ἐμόνασεν εἰς τὸ Μοναστήριον τοῦ ἁγίου Σάββα ἐν τῇ Παλαιστίνῃ, ἀδελφὸς κατὰ σάρκα τοῦ ὁσίου Θεοδώρου, οἵτινες ἐγένοντο καὶ ἐξόριστοι διὰ τὴν πίστιν, ὡς ἐροῦμεν. ὁ δὲ προειρημένος Βασιλεὺς Μιχαὴλ μετὰ τῆς γυναικὸς αὐτοῦ τῆς Προκοπίας διῆγε ταπεινῶς καὶ ἀσκητικῶς, πλὴν καὶ μόνον τοὺς δύο υἱοὺς τούτου ὁ θηριώνυμος εὐνούχισε, τὸν Θεοφύλακτον δηλαδὴ καὶ τὸν Ἰγνάτιον τὸν χρηματίσαντα μεταταῦτα καὶ Πατριάρχην Κωνσταντινουπόλεως.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς κατὰ τῶν ἁγίων Εἰκόνων κινήσεως τοῦ Λέοντος Ἀρμενίου, καὶ ἀποκρίσεως πρὸς αὐτὸν κατ' ἐρώτησιν τοῦ Πατριάρχου καὶ Εὐθυμίου Σάρδεων καὶ Θεοδώρου τοῦ Στουδίτου, ἐξορίαστε τοῦ Πατριάρχου καὶ ἑτέρων πολλῶν καὶ κακώσεως αὐτῶν.

Μετὰ δύο ἔτη τῆς βασιλείας αὐτοῦ ὁ Χαμαιλέων ὑποθήκαις τινῶν, οἵτινες ἐβεβαίουν αὐτῷ ὅτι πολυχρονήσει εἰς τὴν βασιλείαν ὡς τὸν Ἴσαυρον καὶ τὸν Καββαλῖνον, καὶ ἀπάταις τινῶν ψευδομοναχῶν, ἐκινήθη κατὰ τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων. κράζει τοίνυν τὸν Πατριάρχην καὶ τοὺς περὶ αὐτὸν Ἐπισκόπους καὶ Μοναστὰς ἐπὶ τῆς Συγκλήτου, καὶ εἶπεν αὐτοῖς, ὅτι πολλοὶ σκανδαλίζονται διὰ τὴν προσκύνησιν τῶν Εἰκόνων. εἶπε δὲ αὐτῷ ὁ Πατριάρχης καὶ Εὐθύμιος ὁ Σάρδεων καὶ Θεόδωρος ὁ Στουδίτης πρῶτον, Τὸ μὴ ὂν δύναται πεσεῖν, ἢ οὔ; ἔπεσον αἱ Εἰκόνες ἐπὶ Λέοντος τοῦ Ἰσαύρου καὶ Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ; ναὶ, οὐκοῦν ἵσταντο πρότερον, τὸ γὰρ μὴ ὂν, οὐ δύναται πεσεῖν. δεύτερον, εἶπεν αὐτῷ, ὡς φησὶν ὁ Μάγιστρος Συμεὼν, Ὅτι ὁ Μωϋσῆς ἐξεικόνισε τὰ Χερουβὶμ, ἅτινα καὶ ὁ Παῦλος ἐν τῇ πρὸς Ἑβραίους κεφαλαίῳ ἐνάτῳ Χερουβὶμ δόξης ὠνόμασε, καὶ δὴ καὶ Σολομὼν αὐτὰ κατεσκεύασε, καὶ ὁ Ἰεζεκιὴλ περὶ τούτων διαλέγεται εἰς κεφάλαιον τεσσαρακοστὸν πρῶτον. τρίτον, ὁ Κύριος ἔστειλε τὴν Εἰκόνα αὐτοῦ εἰς τὸ ἅγιον Μανδύλιον τετυπωμένην τῷ Αὐγάρῳ. τέταρτον, ὅτι καὶ τὰ Εὐαγγέλια καὶ ἄλλα ἱερὰ σκεύη εἶχον ἀπ' ἀρχῆς Εἰκόνας ἔξωθεν αὐτῶν, ἐξ ὧν μαρτυρεῖται ἡ ἀρχαιότης τῶν Εἰκόνων. πέμπτον, ὅτι εἰς Ἱεροσόλυμα πολλὰ παλαιότατα Εἰκονίσματα ἀρχέτυπα εὑρίσκονται. ἕκτον, ὅτι ὁ Εὐαγγελιστὴς Λουκᾶς ἱστόρησεν Εἰκόνας τῆς Θεομήτορος. ἕβδομον, ὅτι εἰς τὴν Ῥώμην προτροπῇ Πέτρου καὶ Παύλου ἐζωγραφήθη ἡ Μεταμόρφωσις τοῦ Σωτῆρος. ὄγδοον, ὅτι εἰς τὴν Λύδδαν ᾠκοδομήθη Ναὸς τῇ Θεοτόκῳ, καὶ ἐσπούδαζον οἱ Ἑβραῖοι αὐτὸν λαβεῖν, ὡς δῆθεν ἑαυτῶν, ὅπερ ἀκούσασα ἡ Παρθένος εἰς Ἱερουσαλὴμ, ἠυδόκησε καὶ εὑρέθη Εἰκὼν αὐτῆς εἰς πέτραν τινὰ ἔχουσα τὸν Χριστὸν ἐν ἀγκάλαις, ὅπερ ἰδόντες οἱ Ἰουδαῖοι ἔφυγον, ὕστερον δὲ καὶ οἱ Ἕλληνες ἐδοκίμασαν ξέσαι τὴν Εἰκόνα, καὶ οὐκ ἐδυνήθησαν. ἦν δὲ ἡ Εἰκὼν εἰς τρίπηχυ μάρμαρον, ἐξαίφνης τυπωθεῖσα μετὰ πορφύρας καὶ τοῦ λοιποῦ στολισμοῦ αὐτῆς, ἣν ὕστερον καὶ ὁ παραβάτης Ἰουλιανὸς ἠβουλήθη ξέσαι, καὶ οὐκ ἠδυνήθη. ἕνατον, ὅτι ἡ Αἱμορροοῦσα κατεσκεύασεν Ἀνδριάντα τῷ Σωτῆρι. δέκατον, αἱ οἰκοδομαὶ τῶν ἁγίων Ναῶν, ἐν οἷς φαίνονται ἀρχαιότατοι ἱστορίαι. ἐν δέκατον, αἱ Σωλαῖαι (διάστυλα) αἱ χωρίζουσαι τὸ ἅγιον Βῆμα ἀπὸ τοῦ ἄλλου Ναοῦ αἵτινες εἶχον Εἰκόνας, ἐν αἷς καὶ ὁ τύπος τοῦ Σταυροῦ προσκυνεῖται. δωδέκατον, ἱστορίαι παμπληθεῖς, αἵ εἰσιν ἀρχαῖαι καὶ βέβαιαι, καὶ διαλαμβάνουσιν ἀπὸ Χριστοῦ μέχρις ἡμῶν περὶ θαυμάτων τῶν ἁγίων Εἰκόνων, ἐξ ὧν ἱστοριῶν καὶ μερικαὶ εὑρίσκονται εἰς τὰ πρακτικὰ τῆς ἑβδόμης Συνόδου καὶ εἰς τοὺς λόγους Ἰωάννου τοῦ Δαμασκηνοῦ. δέκατον τρίτον, ὅτι εἰ οἱ Εἰκονομάχοι προσκυνοῦντες τὰ τίμια ξύλα, καὶ τὰ ἅγια Εὐαγγέλια, καὶ τὸν ἅγιον τάφον, καὶ τὸ ἐν Βηθλεὲμ τῆς μακαρίας γεννήσεως Σπήλαιον, καὶ τὸν ἅγιον Γολγοθᾶν καὶ τοὺς λοιποὺς ἁγίους τόπους καὶ τὴν Λόγχην, τὸν Σπόγγον, τὸν Κάλαμον, τὰ Σπάργανα, τὴν Ζώνην, τὴν Ἐσθῆτα, οὐ νομίζονται Εἰδωλολάτραι, μήτε δήπου οἱ προσκυνοῦντες τὰς Εἰκόνας εἰσὶν Εἰδωλολάτραι. δέκατον τέταρτον, ὅτι τῶν προσκυνήσεων ἡ μὲν ἐστὶν ἁπλῶς ἐξῃρημένη καὶ πάντων ὑπερανέχουσα, καὶ μόνῳ τῷ Θεῷ ἀφοσιωμένη, καὶ αὕτη ἐστὶν ἡ ἐν πνεύματι λατρεία. ἡ δὲ καθ' ὑπεροχὴν καὶ ἀξίωμα, καὶ αὕτη δίδοται τοῖς μείζοσιν ὑπὸ τῶν ὑποδεεστέρων, ἡ δὲ τυραννικὴ, ὡς ἡ βίαιος, ἡ δὲ κατὰ προαίρεσιν καὶ τιμὴν καὶ οὐ κατὰ λατρείαν, ὡς ἡ εἰς τοὺς ἁγίους καὶ τὰς Εἰκόνας αὐτῶν, οὐχ ὅτι προσκυνοῦμεν τὴν ὕλην, ἀλλὰ τὴν Εἰκόνα, καὶ τὴν διὰ τῆς Εἰκόνος μίμησιν τοῦ ἀρχετύπου, καὶ λέγομεν τὴν Εἰκόνα τοῦ Σωτῆρος, καὶ Χριστοῦ καὶ Χριστὸν, Χριστὸν μὲν καθ' ὁμωνυμίαν, Χριστοῦ δὲ, κατὰ σχέσιν, καὶ ἔστι μία ἡ προσκύνησις τῆς Εἰκόνος καὶ τοῦ ἀρχετύπου, διὰ τὸν ἕνα χαρακτῆρα αὐτῶν. ταῦτα καὶ τὰ τοιαῦτα εἶπον αὐτῷ οἱ πατέρες, ἰδίως δὲ αὐτῷ εἶπεν ὁ μὲν Σάρδεων Εὐθύμιος, Ἀφ' οὗ ἤρξατο ὁ Χριστὸς ἐπὶ τῆς γῆς μέχρι τοῦ νῦν ὀκτακόσια ἔτη παρῆλθον, καὶ

καὶ παντα χῆ σπλογραφεῖται χριστὸς, καὶ ὁ εἰκόνι προσκυνᾶται, πῶς ἂν αὐθάδης τολμήσαι τὰ πατέρων χρόνων παραδόσιν ἀθετῆσαι; καὶ μάλιστα τῶν Ἀποστόλων λέγοντος, Εἴτις εὐαγγελίσηται ὑμᾶς παρ' ὃ παρελάβετε, κᾂν Ἄγγελος ἢ ἐξ οὐρανοῦ, ἀνάθεμα ἔστω. ὁ δὲ Στουδίτης ἔφασκεν, ὁ Θεὸς ἔθετο ἐν τῇ Ἐκκλησίᾳ οἰκονόμους, σὺ βασιλεῦ φρόντιζε περὶ τῶν στρατοπέδων, τὰ δὲ Ἐκκλησίαν ἄφες εἰς τοὺς Ποιμένας καὶ Διδασκάλους, σοὶ γὰρ ἐδόθη ἡ βασιλεία, ἡμῖν δὲ ἐδόθη ἡ Ἐκκλησία, ἀλλὰ μήγε, γίνωσκε, ὅτι κᾂν Ἄγγελος ἢ ἐξ Οὐρανοῦ, οὐ πεισόμεθα αὐτῷ, μὴ ὅτιγε βασιλέως. ὁ δὲν τύραννος ἀκούσας ταῦτα, οὐκ ἐθυσωπήθη, ἀλλὰ τὸν Στουδίτην μὲν ἐξώρισε, τὸν δὲ Σάρδεων ἐξ ἡμισείας ἐθανάτωσε, τὸν δὲ Πατριάρχην καὶ αὐτὸν ἐξώρισεν. ἐντὸς δὲ τοῦ Πατριάρχου εἰς τὴν ὁδὸν τῆς Ὀξείας, Θεοφανὴς ὁ Ἡγούμενος τοῦ μεγάλου Ἀγροῦ ἔκαιε θυμιάματα, καὶ ὑψώσας τὰς χεῖρας παρεδίδου τὸν ἅγιον τῷ Θεῷ, καὶ αὐτὸς αὐτὸν ἠσπάζετο. ἐρωτήσαντος δὲ τινὸς αὐτὸν Διατὶ ποιεῖ τὰ τοιαῦτα; ἔφασκε, ἰδὲ διέρχεται εἰς ἐξορίαν ὁ μέγας Νικηφόρος, ὑπὲρ τῶν ἁγίων Εἰκόνων ἀγωνιζόμενος. ἰσορρεῖ δὲ ὁ Θεὸς ἡμῖν, ὅτι θέλων ἐξορίσαι ὁ Χαμαιλέων τὸν ἅγιον Νικηφόρον, ἔγραψεν αὐτῷ, Κατάβα ἀπὸ τοῦ θρόνου τούτου ὅτι οὐ χρήζει σου ἡ Ἐκκλησία, ἐκεῖθεν δὲ αὐτέγραψεν ὁ Πατριάρχης, Ἐγὼ αὖθις αὐτίας ἀκαταβαίνω ἀπὸ τοῦ θρόνου μου, πλὴν εἰ μὴ πῶς δυσσεβείαν τυραννικῶς ταῦτα πάσχω, ἐμμέσως ἢ ἀμέσως εἰπέμοι τοῦτο, καὶ ἀσμένως καταβήσομαι. ἀλλ' οὐχ ὁρᾷ δίκαιον, ἢ ἄδικον ἡ ἀσέβεια, μόνον λέγε, ἵνα θέλω, ἵνα ποιήσω, ὁ Διαλογισμός μου ἐστὶ τὸ θέλημά μου, καθὼς περὶ αὐτοῦ διώρισε καὶ ὁ Ῥώμης Βενιφάτιος. ἐπὶ φωνᾷ τοῦ τυράννου. τότε ἐξωρίσθη καὶ ὁ Νικήτας Πατρίκιος, ὃς ἐγένετο Μοναχὸς, κακοπαθὴς λίαν ὑπὸ τοῦ ἀσωτοδήτου Λέοντος, ὁμοίως καὶ ὁ Ἀμυλιανὸς Ἐπίσκοπος τῆς Κυζίκου, καὶ Μιχαὴλ Συνναδων Ἐπίσκοπος ὁ περιβόητος ἐν τοῖς θαύμασι, ὡς ἔδομεν ταῦτα καὶ ἐν τούτοις τοῖς ἐσχάτοις καιροῖς ἡμῶν, καθότι ἡ σαββατισμὸς κάρα αὐτοῦ διρίσκεται μὴ ἐν τῷ ἅγιον ὄρος τοῦ Ἄθωνος, ἐνεργεῖ δὲ δι' αὐτῆς ἐθεὸς θαυμασιὰ καὶ ἐνδόξα, καὶ μάλιστα ἐν καιροῖς ἀκειδῶν καὶ ἀβεχίας, περὶ ἧς ἐν τῷ παρόντι ἐστὶ λέγειν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τῶν μιαρῶν αὐτοῦ λόγων ὁ Λέων Ἀρμένιος δείκνυται ἀρχηγὸς τῶν Καλβίνων, καὶ περὶ τῆς ἁθέου αὐτοῦ Συνόδου κατὰ τῆς ἑβδόμης οἰκουμενικῆς, καὶ ἀνατρύσεως τῶν ὀρθοδόξων τοῖς Θεοδώρου τοῦ Στουδίτου λόγοις.

Ὁ δὲ Στουδίτης Θεόδωρος περὶ ἦ ἐξορισθῆναι τί ἐμηχανήσατο μετὰ τῶν οἰκείων; ἦν ἡ ἁγία ἡμέρα τῶν Βαϊοφόρων, καὶ λέγει τοῖς Μοναχοῖς αὐτοῦ λαβεῖν ἕκας ὁ αὐτῶν ἐν ταῖς χερσὶν αὐτοῦ μίαν Εἰκόνα, καὶ λιταυδοῦντες μετὰ τῶν Εἰκόνων περὶ τὴν λαῦραν αὐτῶν, ἔψαλον τὸ τροπάριον ἐκεῖνο, Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν ἀγαθὲ, καὶ αἴτας ὕμνους νικητηρίους τῶν σεβασμίων Εἰκόνων. ἐγένετο τῶν τοιούτων αὐτήκοος ὁ Λέων, καὶ ἔσκαλε ἀπελαὸς καὶ ὁρισμὸς κατ' αὐτῶν, πλὴν ὁ ἅγιος εἰς ἑβδὸν ταῦτα ἐλογίσατο. σημείωσαι ὅτι ἦτο ὁ Ἀρμένιος ἦν ἀρχηγὸς τῶν Καλβίνων, καθὼς ἔλεγον, ἐὰν μὴ ἐσὶν εἰς τὸ Εὐαγγέλιον, ἢ εἰς τὸν Ἀπόστολον ἐγγεγραμμένον ῥητὸν, Προσκυνήσατε τῇ Εἰκόνᾳ μου, οὐ καταδέχομαι προσκυνῆσαι Εἰκόνα. ἐζήτει ὁ Βασιλεὺς Διαλέξεις, μετὰ βουλιότητος ὅμως, ὅθεν ὁ Πατριάρχης ἐκώλυε τὸ Διαλέγεσθαι κατὰ τὸν ὅρον τῆς ἑβδόμης Συνόδου, ἀλλ' ὁ Χαμαιλέων ἐλοιδόρει αὐτὸν, Διατῦτο ἐθεκήθη ὁ Πατριάρχης ἐπ' Ἐκκλησίας ἵνα φωτίσῃ ὁ Θεὸς τὸν Βασιλέα εἰς τὸ καλὸν, καὶ ὁ Βασιλεὺς αὐτὸν ἐξεθάσει, καὶ Διατῦτο πεύσεται ὁ Πατριάρχης εἰς τὸν λαὸν χρήσεις περὶ Εἰκόνων, καὶ ἁρμήνευσαν αὐτὰς τῷ λαῷ, οἱδὲ ἔκραζον ὀρθόδοξοι ἐσμὲν, καὶ ὤμοσαν ἀλλήλοις μὴ προδοβῆναι. ὁ Χαμαιλέων ἀκούσας ταῦτα, ὑπεκρίθη πρὸς ὥραν εὐσέβειαν, καὶ προσεκύνει τὸν Σταυρὸν, ἔβαλε τινὰς καὶ ἀνεθεμάτιζον εἰς τὸ Πατριαρχεῖον Γερμανὸν, Ταράσιον καὶ Νικηφόρον. ἔλεγον εἰς τὸν λαὸν, ὅτι Διὰ τῶν προσκυνήσιν τῶν Εἰκόνων σωρεύσασι τὰ ἔθνη ἡμῶν, τέλος πάντων σπέλυσε εἰς περιποίησιν ὁ Βασιλεὺς γενέσθαι ψηφοσυμάξιν ἐν ἔτει ὀκτακοσιοστῷ δεκάτῳ τεταρτῷ, καὶ ἴδε Τόμῳ σπῶ τῶν Συνόδων κατὰ τὸν ὃν Παρισίοις Ἔκδοσιν σελίδα διακοσιοστὴν τριακοστὴν ὀκτάτην, εἰς ἣν ἐκ ἠθέλησαν οἱ ὀρθόδοξοι προσχωρεῖσθαι, καὶ ὃν πρώτοις αὐτὸς ὁ Θεόδωρος. ἀνεθεμάτισε δ' αὖτη τὴν Οἰκουμενικὴν ἑβδόμην. τοιαύτη ἦν καὶ ἡ ἐπὶ Μιχαὴλ τοῦ Τραυλοῦ, καὶ ἴδε τὸν αὐτὸν τόπον σελίδι ὀκτακοσιοστῇ εἰκοστῇ πέμπτῃ. ὁδὲ Στουδίτης Θεόδωρος ὥσπερ γοργιὰς ἀλεήπτης, ὅλως οὐ λαχυε καὶ κατεθάρσυνε τοὺς ὑπομονῶ, ὑπομένετε, ἔλεγον, ὀλίγον ὦ καλοὶ ἀθληταὶ τὰς κινδύνους, τὰς διωγμὰς, ὑπομήθητε τὸν λόγον τοῦ Κυρίου, τοῦ λέγοντος, Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι. φυλαπέθω, ἵνα μή τις ἀποστατήσῃ πάλιν, ὥσπερ ὁ Λεόντιος ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀπολέσας τὸν ἀποκείμενον στέφανον τῆς δικαιοσύνης. πειρασμὸς κατείληφε, πλὴν ἀνθρώπινον, πιστὸς δὲ ὁ Θεὸς, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν. τοιγαροῦν φερωνύμως καρτερόψυχε Καρτέριε, ἀφθονώτατε εἰς τὴν ὑπομονὴν Ἄφθόνιε, καὶ περιφερὲ εἰς τὴν ἀγάπην Ἀγάπιε σπῆθι σταθερὸς, ὅτι τὸ σκόπος τῆς φυλακῆς ἐσὶ τοῦ θείου φυτὸς σθένος

νον. ὑπάνα ὐταῦθα γενᾷ τῷ αἰώνιον πλησμονήν, ἡ γύμνωσις φέρει τὸν ἄφθαρτον στολισμὸν, ἡ ἐρημία τῷ ἀγγελικῷ συναναστροφῷ καὶ συνομιλίαν. ὅσον πλεονάζουσιν ὐταῦθα αἱ θλίψεις, τόσον πολυπλασιάζονται τὰ βραβεῖα τῆς ἄνω Ἱερουσαλὴμ καὶ οἱ στέφανοι. ὡς ἀληθῶς Ἀντίχριστοι ἔχουσιν ὀνομάζεσθαι οἱ Εἰκονομάχοι, ὅθεν καὶ τὸν Ἰωάννην καὶ νῦν Ἀντίχριστοι πολλοὶ γεγόνασι. σὺ δὲ καὶ ταῦθα σημείωσαι ὅτι ὁμόνον Πατριάρχης ὁ σεβάσμιος Νικηφόρος, ἀλλὰ καὶ Μοναχὸς Ἱερεὺς ὁ στουδίτης ἀντίκειται καὶ ἐλέγχει Αὐτοκράτορα, ὁ μακρόθεν ὡς Γρηγόριος τὸν Ἴσαυρον, καὶ ἄλλος Ζήνωνα καὶ Ἀνασάσιον, ἀλλὰ κατὰ πρόσωπον, ὡς ποτὲ ἐποίησαν εἰς τὸν Βασιλίσκον ὁ συλίτης Δανιὴλ καὶ ὁ μοναχὸς Ὀλύμπιος.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ προχειρίσεως ὑπὸ Λέοντος τοῦ Ἀρμενίου εἰς Κωνσταντινουπόλεως Πατριάρχου Θεοδότου, καὶ καθαιρέσεως τῆς ἁπασταχοῦ ἀνασηλώσεως τῶν ἁγίων Εἰκόνων, καὶ περὶ τοῦ Συμβόλου Ἰωάννου τοῦ καὶ Ἰαννῆ, καὶ τῶν ἀρισοδόξων Θεοδότου, καὶ τῶν ὅρκων τοῦ Βασιλέως οἳ ἦσαν Κύνες καὶ Ἑλλήνων ὅρκοι.

Προχειρίσατο ὁ Χαμαιλέων εἰς Πατριάρχην Θεόδοτον τὸν σύγγαμβρον τοῦ Κοπρωνύμου ἀπὸ τῆς τρίτης αὐτοῦ γυναικὸς, εἶτα καθαιρεῖ τὴν ἁπασταχοῦ τῶν ἁγίων Εἰκόνων ἀνασήλωσιν, καὶ ἔπειτα κινεῖ διωγμὸν, ὡς ἴδιος ἐκεῖνος ὁ Διοκλητιανὸς κατὰ τῶν ὀρθοδοξάντων. εἶχε δὲ συνεργὸν τινὰ Ἰωάννην γραμματικὸν καὶ μυστικὸν αὐτοῦ Διδάσκαλον. ἐποίει δὲ ὁ Θεόδοτος εἰς τὸ Πατριαρχεῖον ἀρισόδειπνα πολυτελῆ διὰ κρέατος, καὶ τοὺς σινέδους μὴ φαγόντας κρέα Κληρικοὺς καὶ Μοναχοὺς, ἀλλὰ δὴ καὶ Ἐπισκόπους ἐποίησε καταλῦσαι καὶ ἐθίσαι ἀφειδῶς, καὶ σὺν ἅπασι τούτοις ἡ ἀλάβεια πολλὴ καὶ ἀρετὴ καὶ σεμνότης, γεγόνασι γελοῖα καὶ παίγνια καὶ παλαίσματα καὶ αἰσχρολογίαι. συνεβούλευσε δὲ μετὰ τοῦ Θεοδότου καὶ ὁ ῥηθεὶς Ἰωάννης, καὶ ἔφερον ὁ Χαμαιλέων τὸν αὔομον Τόμον τὸν ὑπὲρ τοῦ Καβαλίνου συνεδρίου, καὶ τοὺς μὴ ὑπογράφοντας ἐτίμα, τοὺς δὲ ὑποπτιαζόντας, ἐδήμευσε, ἤλιζε, ἐξώριζε. ἐποίει δὲ ταῦτα διὰ τὴν μαντείαν ἣν αὐτῷ εἶπεν, ὅτι ἐὰν γένηται Εἰκονομάχος, ζήσεται πολύ, καθὼς δηλονότι ὁ Ἴσαυρος, ὁ Καβαλῖνος καὶ ὁ Λέων ἔζησαν πλείω τῶν ἑξήκοντα ἢ ἑβδομήκοντα ἐτῶν, κατὰ δὲ ἀλήθειαν ἦν ἄθεος, καθότι ὤμνυε Κύνα, καὶ ἄλλας ἑλληνικὰς ὅρκους, καθὼς ἐφαίνη ποιήσας ὅτε ἀρήνθυσε μετὰ τῶν Οὔννων εἰς τὰς σωθήκας, τοιούτους ὁμνύων ὅρκους θεοὺς ἑβεβαίωσιν. σημείωσαι ὅτι ὁ Ἰωάννης ἔτος ἐκλήθη ὕστερον καὶ Ἰαννῆς, καθότι ἦν μάγος. ἐκαλεῖτο δὲ Γίλας, ὅπερ ἐστὶν ἑβραϊκὸν, ἢ ἑρμηνευόμενον λέγει σεσθεσμον, καὶ ὅτι παῖς ὢν, ἐδαιμονίζετο. ἔτος κατὰ τὸ παρὸν βιβλίον, ὡς εἴρηται, τὸ συνοδικὸν τῆς ἐπὶ Κοπρωνύμου Συνόδου, ἐξηγεῖτο τῷ Λέοντι τὰς ἐκεῖσε ῥήσεις, λέγων, ὅτι ἀρχαῖον ἐστὶν ἡ Εἰκονοκλασία, καὶ ἔτως ὁ Βασιλεὺς διδασκόμενος, ἐνόμιζον αὐτὸν λέγειν δόγμα κατὰ τῶν ὀρθοδόξων.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἄκρας Φιλίας, ἔτα καὶ ἄκρας ἔχθρας Λέοντος Ἀρμενίου καὶ Μιχαὴλ Τραυλοῦ, καὶ ὑποφάσεως Λέοντος εἰς τὸν μετὰ πυρὸς θανάτου τοῦ Μιχαὴλ, καὶ ὑπερθέσεως τοῦ θανάτου αὐτοῦ μετὰ τῆς Βασιλίσσης, καὶ ὅπως ὁ Λέων τῇ ἑπαύριον ἐν τῷ ἐν τῇ Ἐκκλησίᾳ ψάλλειν, Τῷ παντάνακτος, τροπάριον, ἀπεκεφαλίσθη ὑπὸ τοῦ Μιχαὴλ ἐν τοῖς ἀδύτοις.

Ἀλλ' ὐταῦθα γενέμενος, ἐ δυάμεθα μὴ ἐκβοῆσαι τὸ δαυϊτικὸν λόγιον, ὅτι ὁ Κύριος κριτὴς ἐστὶν, τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ, ὅτι ποτήριον ἐν χειρὶ Κυρίου, οἶνος ἀκράτου πλῆρες κεράσματος. εἶχον ἄκραν φιλίαν ἔτος ὁ ἀσεβέστατος Λέων μετὰ τοῦ Μιχαὴλ τοῦ Τραυλοῦ, ἦλθον ἔπαται εἰς τόσην ἔχθραν, ὅτι διώρισεν ὁ Βασιλεὺς ἵνα κατακαύσῃ αὐτὸν κατὰ τὸν βασιλικὸν Τίτλον τὸν διορίζοντα, ὅστις ὑβρίσει Βασιλέα, ζῶν κατακαυθήτω. ἀνῆψαν γὰρ τὸ πῦρ, καὶ ὁ Βασιλεὺς ἔδραμε ἰδεῖν πῶς κάμεται ὁ ἐχθρὸς αὐτοῦ, καὶ ἡ Βασίλισσα ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ καὶ μετὰ δακρύων ἐβόα, τίμησον δέομαι τὴν ἡμέραν τῆς ἑορτῆς κυρίε μου (καὶ γὰρ ἦν Παρασκευὴ τῶν Χριστουγέννων) παρελθέτω ἡ σεβασμία πανήγυρις, καὶ μεταταῦτα ποιήσεις τὸν ὁρισμόν σου. ὅλα-

βήθη ὁ Λέων, πλὴν εἶπε τῇ γυναικὶ αὐτοῦ, ἄφες μὴ ἐπὶ πολλῶν κακῶν ἀφορμὴ αὕτη ἡ δέησίς σου, καὶ ὤρισε καὶ ἔβαλον τὸν Μιχαὴλ εἰς τὴν φυλακήν. τὴν νύκτα δὲ σωθέντα καθοπλισμένοι ὅλοι τοῦ Μιχαὴλ οἱ φίλοι καὶ οἱ συγγενεῖς, καὶ μετὰ τὴν βελλὴν διώρισαν τὴν ἐπαύριον κατὰ τοῦ Λέοντος, ἵνα αὐτὸν φονεύσωσιν ὅδον εἰς τὴν Ἐκκλησίαν. καὶ ὅτε ἔψαλον ὁ αὐτὸς τὴν ἑβδόμην ᾠδὴν, ὡς ἤρξατο ψάλλειν τὸ τροπάριον, Τῷ ΠΑΝΤΑΝΑΚΤΟΣ ΕΞΕΦΑΥΛΙΣΑΝ ΠΟΘΩ, ἐπέθησαν ὅθεν ἵνα αὐτὸν σφάξωσι, καὶ αὐτὸς φοβηθεὶς, ἔδραμε εἰς τὸ Θυσιαστήριον, καὶ ἐκεῖνοι ἐκεῖ θεασάμενοι, ἀπεκεφάλισαν αὐτὸν ἐν τοῖς ἀδύτοις τοῦ Ναοῦ τῆς Θεοτόκου τοῦ Φάρου, λέγει ὁ Παφλαγὼν Δανιὴλ εἰς τὸν βίον τοῦ ἁγίου Ἰγνατίου, καὶ τὸν Μιχαὴλ ἔδεσμον καὶ ἐξέβαλον τῆς φυλακῆς ἀθῳωθέντα.

τοιοῦ-

τοιοῦτον γέγονε τὸ τέλος τοῦ Εἰκονομάχου Λέοντος, ὅστις παρεδόθη τῷ αἰωνίῳ πυρὶ τῆς κολάσεως. ἀλλὰ καὶ πέρας ἔλαβεν ὁ χρησμὸς, λέγει ὁ Κεδρηνὸς, ὅστις προεμήνυε, καὶ εἰς τὴν Χριστοῦ γέννησιν ἔμελλεν ὁ Λέων φονευθῆναι, καθότι ἦν γεγραμμένος εἷς Λέων ἔχων τὸ στοιχεῖον Χ, καὶ εἷς ὄπισθεν ἐκ τοῦ συνέγγυς ἤλαυνεν αὐτὸν τῷ δόρατι ἔνδον εἰς τὸ περιβόητον βιβλίον τῆς Αὐτοκρατορικῆς Βιβλιοθήκης τὸ λεγόμενον Χρησμολόγιον. ἀλλὰ καὶ πολλὰ ὀνείρατα ὁμοίως τὰ προλέγοντα τὸν θάνατον τοῦ Βασιλέως ἀπεπληρώθησαν καὶ ἐτελειώθησαν τότε.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς βασιλείας Μιχαὴλ τοῦ Τραυλοῦ, καὶ τῶν πρὸς αὐτὸν ἐπιστολῶν τοῦ ἐν ἐξορίᾳ Νικηφόρου Πατριάρχου καὶ Θεοδώρου τοῦ Στουδίτου, καὶ τῆς δι' ὑπόκρισιν ἐλευθερίας τῶν ἐξορίστων ὑπὸ τοῦ Τραυλοῦ, καὶ τῆς Εἰκονομαχίας αὐτοῦ, καὶ τῆς κατὰ τῶν Εἰκόνων Συνόδου αὐτοῦ τε καὶ τοῦ τῆς Δύσεως Βασιλέως Λοδοβίκου.

Ἐστέφθη Βασιλεὺς Μιχαὴλ ἀπὸ Ἀμορίου ὁ Τραυλὸς, καὶ ἐνόμισε τὴν βασιλείαν οὐκ ἀπὸ Θεοῦ, ἀλλ' ἀπό τινος Ἀθιγγάνου Μαρίας, καὶ τῆς προῤῥήσεως τινὸς ἐν τῷ Φιλομιλίῳ Μοναχοῦ, ὅθεν εἰς αὐτὸν ἐπληρώθη τὸ λεγόμενον εἰς τὸ ὄγδοον κεφάλαιον τοῦ Ὠσηὲ, Ἑαυτοῖς ἐβασίλευσαν, καὶ οὐδὲ ἐμοῦ. ἔστειλεν αὐτῷ ὁ ἅγιος Νικηφόρος ἐπιστολὴν δεόμενος γενέσθαι τῆς ὀρθοδοξίας ἐπανάκλησιν, ὁ δὲ ἀπεκρίνατο ὑπούλως, ὅτι οἱ πρὸ ἡμῶν τὸν ἐκκλησιαστικὸν θεσμὸν τῶν δογμάτων ἐρευνησάμενοι, τὸν περὶ αὐτῶν εἰσπραχθήσονται λόγον, ἢ καλῶς, ἢ κακῶς ἡρμήνευσαν, ἡμεῖς δὲ ἐν ᾧ εὕρομεν τὴν Ἐκκλησίαν βαδίζουσαν, ἐν τούτῳ καὶ διαφυλάττειν ὀφείλομεν. εἰς τὴν ἀρχὴν ὅμως ὑποκριτικῶς ἔπεμψεν ὁρισμὸν τοῦ λυτρωθῆναι πάντας τοὺς ἐν φυλακαῖς κατεχομένους, καὶ ὅσοι ἐγένοντο ἐξόριστοι ὑπὸ τοῦ Ἀρμενίου Λέοντος ἐπανελθεῖν, καθότι γράφει καὶ ὁ Ἡσαΐας, Ἐνεθυμήθην τὸν κλαυθμὸν τῶν δούλων μου, καὶ ἰδοὺ ἔλαβον τὴν ἐκδίκησιν αὐτῶν ἀπὸ τοῦ ὑπερηφάνου καὶ αὐθάδους ἀποστάτου, ὁποῖος ἦν κατὰ ἀλήθειαν ὁ Λέων. καὶ λοιπὸν ἠλευθερώθη καὶ ὁ Στουδίτης Θεόδωρος μετὰ τὴν βασιλικὴν διάταξιν, ὅθεν ἔγραψε καὶ αὐτὸς πρὸς τὸν Μιχαὴλ, νομίζων εἶναι αὐτὸν εὐσεβῆ καὶ ὀρθόδοξον, μάλιστα ἐβουλήθη ἀπελθεῖν εἰς τὴν νέαν Ῥώμην τοῦ συνάξαι τοὺς Μοναχοὺς αὐτοῦ καὶ τῆς πίστεως τοὺς πρώτους καὶ κορυφαίους κατὰ τὸν ἱστορικὸν Μιχαήλ. ἔστειλαν καὶ πρὸς τοὺς εἰς τὴν Χερσῶνα ὄντας ἐξορίστους Ἐπισκόπους εἴδησιν τοῦ Αὐτοκρατορικοῦ προστάγματος, καὶ εἰς τὸν Πατριάρχην Νικηφόρον ἀπῆλθεν ὁ Ἀγαπητὸς Μοναχὸς, δοὺς αὐτῷ τὰ τῆς χαρᾶς εὐαγγέλια, τὰ τῆς ἐλευθερίας μηνύματα, πλὴν διότι ἦν εἰς τὸν θρόνον ὁ ψευδοπατριάρχης Θεόδωρος, ἢ Θεόδοτος, ἐχρόνισεν ὁ νόμιμος τοῦ παραγενέσθαι, καὶ ἕως ἂν καταμάθῃ καὶ τὴν γνώμην τοῦ Βασιλέως, ὅστις ἔδωκεν εἰς τὴν ἀρχὴν πιστεύειν ἕκαστον ὅπερ ἐβούλετο περὶ τῶν ἁγίων Εἰκόνων, ἀλλ' ἤλλαξε τὴν γνώμην αὐτοῦ μεταταῦτα ὁ ἀλιτήριος, καὶ ἐγένετο ἄκρος Εἰκονομάχος ὡς καὶ οἱ πρὸ αὐτοῦ, ἵνα μὴ εἴπω καὶ χείρων. διέπτυε γὰρ τοὺς Μοναχοὺς καὶ ἐκακοποίει, τὸν ἅγιον Μεθόδιον ἐξώρισεν εἰς τὴν Νῆσον τοῦ ἁγίου Ἀνδρέου, Εὐθύμιον τὸν Σάρδεων αἰκισάμενος ἀπηνῶς ὁ υἱὸς αὐτοῦ Θεόφιλος, μεταταῦτα ἀπέκτεινε, καὶ ὅλως εἶχεν εἰκόνα τῆς ζωῆς αὐτοῦ τὸν Κοπρώνυμον. ἤθροισε δὲ καὶ ἀνόμων συνέδριον κατὰ τῆς ἑβδόμης Οἰκουμενικῆς Συνόδου ἐν ἔτει ὀκτακοσιοστῷ εἰκοστῷ πέμπτῳ, ὄντος εἰς τὴν Δύσιν Βασιλέως τοῦ Λοδοβίκου Πίου, ὡς εἴρειται. λέγουσι δὲ καὶ τὸν Λοδοβῖκον εἰς τὸ Παρίσιον, ἀθροῖσαι τοιαύτην Συνόδον, ἐν ᾗ κατεκρίθησαν αἱ δύο ἐπιστολαὶ τοῦ Πάπα Ἀδριανοῦ, ἡ μὲν οὖσα πρὸς Κωνσταντῖνον καὶ Εἰρήνην, ἡ δὲ πρὸς τὸν Καρόλον ὑπὲρ τῆς ἑβδόμης Συνόδου, ὡς μαρτυρεῖ ἡ ἐπιστολὴ ταύτης τῆς Συνόδου, ἥτις κεῖται παρὰ Μελχίορι τῷ Γολδάστῳ Τόμῳ πρώτῳ τῆς διαγωγῆς τῶν βασιλικῶν διατάξεων. ἕτεροι ἱστοροῦσι τὴν ἐν Παρισίοις ταύτην Συνόδον οὕτως, ὅτι Μιχαὴλ ὁ Τραυλὸς ἔπεμψε πρέσβεις εἰς Λοδοβῖκον Πῖον καὶ εἰς Λουθάριον τὸν υἱὸν αὐτοῦ εἰς Γαλλίαν ἵνα βοηθήσῃ αὐτοῖς εἰς τὸν Πάπαν περί τινων σκανδαλοποιῶν ἀποδεχομένων τὴν προσκύνησιν τῶν Εἰκόνων, οἵτινες φυγόντες ἀπ' Ἀνατολῆς εἰς Ῥώμην κατέφυγον. ὑπακούσας δὲ ὁ Λοδοβῖκος τῇ πρεσβείᾳ, ἔπεμψεν εἰς Ῥώμην Φρενοῦλφον Ἐπίσκοπον καὶ Ἀδεγάριον, ὧν λαβόντων θέλημα παρὰ τοῦ Πάπα, ὁ Λοδοβῖκος ἤθροισεν εἰς τὸ Παρίσιον Συνόδον Ἐπισκόπων τῆς βασιλείας αὐτοῦ, ἥτις δι' ἐπιστολῆς ἀνέφερεν αὐτῷ, ὡς γράφει ὁ Βαρώνιος ἐν ἔτει ὀκτακοσιοστῷ εἰκοστῷ πέμπτῳ, ὅτι Ἀδριανὸς ὁ Πάπας ἔπεμψεν ἐπιστολὴν πρὸς Κωνσταντῖνον καὶ Εἰρήνην τοὺς Αὐτοκράτορας, ἐν ᾗ δικαίως μὲν ἐλέγχει τοὺς ἀναιδῶς συντρίψαντας τὰς ἁγίας Εἰκόνας, ἀδιακρίτως ὅμως συνεβούλευσεν ἵνα προσκυνῶνται, ἐπειδὴ ἀναστηλοῦσθαι μὲν αὐτὰς δίκαιόν ἐστι, προσκυνεῖσθαι δὲ ἀθέμιτον. Ῥητέον ὅμως πρὸς ταῦτα, ὅτι οὐλυμαίνεται τὴν ἀλήθειαν ἡ ἀποστασία τῶν ἀποβεβλημένων, οὐ δὲ παραβλάπτει τὴν καθολικὴν Ἐκκλησίαν ἡ ἄθροισις τῶν τοιούτων παρασυναγωγῶν.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν πρὸς τοὺς τέσσαρας Πατριάρχας ἐπιστολῶν Θεοδώρου τοῦ Στουδίτου ὑπὲρ ἀντιλήψεως τῆς ὀρθοδοξίας, καὶ πρῶτον περὶ τῆς πρὸς τὸν Ἀλεξανδρείας ἐπιστολῆς αὐτοῦ.

Καὶ λοιπὸν, ὁ Στουδίτης Θεόδωρος οὐκ ἔπαυσε γράφειν καὶ εἰς τοὺς τέσσαρας Πατριάρχας εἰς ἀντίληψιν τῆς ὀρθοδοξίας. καὶ πρῶτον ἔγραψεν εἰς τὸν τότε Ἀλεξανδρείας τῇ τοιαύτῃ ἐπιγραφῇ, Τῷ παναγιωτάτῳ πατρὶ πατέρων, φωτὶ τῶν φώτων ἐμῷ κυρίῳ, μακαριωτάτῳ Πάπᾳ τῆς Ἀλεξανδρείας, Θεόδωρος ὁ ἐλάχιστος Πρεσβύτερος καὶ τῶν Στουδίων Ἡγούμενος. καὶ σημείωσαι κατὰ παπιστῶν, πῶς ὁ Ἀλεξανδρείας λέγεται πατὴρ πατέρων, καὶ φῶς τῶν φώτων, καὶ Πάπας ἁπλῶς. λέγει τοιγαροῦν, Κατέθλιψεν ἡμᾶς ὁ διωγμὸς ὦ ἀποστολικὴ κορυφὴ, καὶ πάλαι μὲν ὁ Ἀχαὰβ ἀναζητῶν τὸν προφήτην Ἠλίαν, λέγεται ἐμπρῆσαι ὅλους τοὺς τόπους αὐτοῦ, ἀποδεικνύων ὁμοῦ μετ' ἐκείνου τοῦ ἐμπυρισμοῦ τὸν θυμὸν καὶ τὴν ὀργὴν αὐτοῦ τὴν ἐσωτερικὴν, ἀλλὰ νῦν οἱ ἐν τῇ καρδίᾳ καὶ τῇ ἐξουσίᾳ νέοι Ἀχαάβῖται οὐμόνον τὸν Ἠλίαν ἐζωγραφημένον, ἀλλὰ καὶ τὸν Κύριον αὐτοῦ, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὴν Θεοτόκον καὶ τοὺς ἁγίους αὐτοῦ ζητοῦσιν εὑρεῖν, καὶ εὑρόντες αὐτοὺς ἐξολοθρεῦσαι καὶ ἀφανίσαι, ὅθεν σκάπτουσι τὰ Θυσιαστήρια αὐτῶν καὶ τοὺς Ναοὺς αὐτῶν οἱ ἀσεβέστατοι. ταῦτα καὶ ἄλλα τούτοις ἀδελφὰ καὶ συγγενῆ γράφει ὁ ἅγιος εὐφραδέστατα.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς πρὸς τὸν Ἱεροσολύμων Θωμᾶν ἐπιστολῆς Θεοδώρου τοῦ Στουδίτου ὑπὲρ τῆς ὀρθοδοξίας, καὶ τῆς ἐγκυκλίου ἐπιστολῆς τοῦ Ἱεροσολύμων Θωμᾶ πρὸς τοὺς αἱρετίζοντας Ἀρμενίους, ἐν ᾗ λέγεται Πάπας.

Ἔστειλε γραφὴν καὶ εἰς τὸν Ἱεροσολύμων Θωμᾶν ὁ αὐτὸς, ἄρχεται δὲ τῆς καλῆς αὐτοῦ ἐπιστολῆς οὕτω, Τὶς καὶ ἀναγγελεῖ τῷ Ἀβραὰμ ὅτι θηλάζει ἡ Σάῤῥα παιδίον; καὶ τὶς ἀναγγελεῖμοι ὅτι ἔφθασεν ἡ ταπεινήμου ἐπιστολὴ εἰς τὰς χεῖρας τῆς ἀποστολικῆς κεφαλῆς; καθότι οὐκ ἀπὸ ἀσυνέτου ἐπιθυμίας, ἀλλὰ ἀπὸ ἀναγκαίας αἰτίας ἐβιάσθην πέμψαι τὴν παροῦσάν μου μετὰ τοῦ ἠγαπημένου μου ἀδελφοῦ τοῦ Διονυσίου, ὅστις δύναται ἀναπληρῶσαι τὰ ἐλλιπῆ τῆς ἐπιστολῆς μου. τὸ λοιπὸν εἰ καὶ ἀπὼν τῷ σώματι, παρὼν ὅμως τῷ πνεύματι ἀσπάζομαι τοὺς ἀχράντους πόδας ἐκείνου τοῦ περιπατήσαντος τοὺς ἁγίους αὐτοῦ τόπους ἵνα λάβω εὐχὴν, εὐλογίαν καὶ ἁγιασμὸν, καὶ οὕτως ὡσανεὶ ἔλαβον καὶ συγχώρησιν, πορεύομαι εἰς τὴν ἁγίαν γῆν, καὶ ἐκεῖ καταφιλῶ καὶ τὸ ἔδαφος ἐκεῖνο, ὅπερ ἐπάτησαν τοῦ Χριστοῦ μου τὰ ἴχνη, ναὶ μὴν καὶ αὐτὸν τὸν θεοδέγμονα τάφον εἰς ὃν κατετέθη τὸ πανάγιον σῶμα τοῦ ἡμῶν λυτρωτοῦ. ἐκεῖθεν διαβαίνω εἰς τὸν θειότατον Γολγοθᾶν, ὅπου ὁ Κύριος τῆς δόξης ὑψωθεὶς ἐσταυρώθη. ὁδεύω περαιτέρω εἰς τὴν Βηθλεὲμ, ἣν ὡς Ἐδὲμ νέαν φαντάζομαι. προσκυνῶ ἐκεῖ τὴν φάτνην μᾶλλον ἢ τὴν χρυσῆν Στάμνον, ἐν ᾗ οὐ τὸ Μάννα, ἀλλ' ὁ ἄρτος τῆς ζωῆς ἐφυλάχθη. θεωρῶ προσέσι τὸ πανάγιον ὄρος, ἐν ᾧ ἐγένετο ἡ θεϊκωτάτη Μεταμόρφωσις. τὸ ὄρος τῶν ἐλαιῶν. ὅθεν ὁ Κύριος ἀνέβη πρὸς τὰ οὐράνια. βλέπω καὶ τῆς Πανάγνου δαυΐτιδος κόρης τὸ μνῆμα, ὅπου προσκυνεῖται ἡ πανυπερευλόγητος εἰς τὴν πανίερον Γεθσημανῆ, ὢ πῶς ἁγία κορυφὴ εὐχαριστήσω σοι; οἶδα ὅτι σὺ εἶ ὁ πρῶτος Πατριάρχης, πρῶτος, καθότι ἐκεῖ πρωτήρξατο ἐν τοῖς Ἱεροσολύμοις ἡ τοῦ Χριστοῦ Ἐκκλησία, καίπερ ὢν πέμπτος εἰς τὴν ἀπαρίθμησιν τῶν Πατριαρχῶν. αὐτοῦ πρῶτον ὤφθη ὁ Ἀρχιποιμὴν Χριστὸς ὁ ἐργασάμενος τὰ θαυμάσια; ὁ σταυρωθεὶς, ὁ ταφεὶς, ὁ ἀναστὰς καὶ ἀναληφθεὶς αὐτόθεν. σημείωσαι ὅτι τὸν Ἱεροσολύμων λέγει ὁ Στουδίτης πρῶτον Πατριάρχην κατὰ παπιστῶν καυχωμένων ὅτι ὁ Ῥώμης ἐῤῥέθη πρῶτος. σημείωσαι ὅτι ὁ Ἱεροσολύμων Θωμᾶς ἔστειλεν ἐγκύκλιον ἐπιστολὴν εἰς τοὺς Ἀρμενίους ἐν ᾗ λέγεται Πάπας, ἔστι δὲ ἡ ἐπιγραφὴ, Ἐπιστολὴ περὶ ἔχουσα τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν, πεμφθεῖσα παρὰ τοῦ μακαρίτου Πάπα Θωμᾶ Πατριάρχου Ἱεροσολύμων πρὸς τοὺς κατὰ τὴν Ἀρμενίαν αἱρετίζοντας, ἥτις συνεγράφη ἀραβιστὶ παρὰ Θεοδώρου τοῦ Κουφορᾶ, ἡρμηνεύθη δὲ παρὰ Μιχαὴλ Πρεσβυτέρου καὶ Συγκέλλου τοῦ ἀποστολικοῦ θρόνου μεθ' οὗ καὶ ἐστάλη. μόνην εἶναι πίστιν τὴν ἐν Χαλκηδόνι κηρυχθεῖσαν διαγορεύουσα. ἡ ἀρχὴ τῆς ἐπιστολῆς, Χριστὸς ὁ Κύριος καὶ Θεὸς ἡμῶν τῷ τῶν Ἀποστόλων ἔφη κορυφαίῳ Πέτρῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς εἰς τὸν ἅγιον τάφον ἀποδημίας Γρηγορίου πρὸ τοῦ χρηματίσαι Ἀκραγαντίνων, ὃς κατήχυνεν ἐν Παλαιστίνῃ Λεύκιον τὸν Αἱρετικόν. καὶ περὶ τῆς διαδόσεως τῆς Λευκίου Αἱρέσεως εἰς Φράντζαν, καὶ τοῦ εἰς Ῥώμην πληθυσμοῦ αὐτῆς, καὶ τοῦ ἐν ἀσπίσι γραφέντος Συμβόλου ὑπὸ Λέοντος τοῦ τρίτου, τοῦ αἰτήσαντος τὸν Ἱεροσολύμων Θωμᾶν πέμψαι εἰς Ῥώμην ἄνδρας σοφοὺς κατὰ τῆς Αἱρέσεως Λευκίου.

Ἀπέρ-

Ἀπέρχεται ὁ ἐν ἁγίοις Γρηγόριος ὁ χρηματίσας μετέπειτα Ἀκραγαντίνων Ἐπίσκοπος εἰς προσκύνησιν τοῦ ἁγίου τάφου, καὶ εὑρίσκει εἰς τὴν Παλαιστίνην Λεύκιον τινὰ ἀστρονομικὸν καὶ πεπλανημένον ἄνθρωπον, ὅστις κατὰ τὰς Ἀπολιναρίου, Μανέντος, Ἰουαλεντιανοῦ τε καὶ Μαρκίωνος Αἱρέσεις, ἀπηρνεῖτο τὴν ἐνανθρώπησιν τοῦ Κυρίου, καὶ ἔλεγεν ὅτι εἶχε σῶμα ἄνουν καὶ ἄψυχον, ὅθεν ἐχρᾶτο καὶ εἰς τὸ Μυστήριον τὰ Ἄζυμα, ὅστις ἦν προσέτι καὶ Πνευματομάχος, καὶ κατακράτος καταισχύνεται ὑπὸ τοῦ ἁγίου Γρηγορίου. εἶτα ἀπὸ Παλαιστίνης ὁ Λεύκιος ἐκδιωχθεὶς, κατήντησεν εἰς Ἀκράγαντα ἀρχιερατεύοντος τοῦ θείου Γρηγορίου, καὶ πολλὰ κακὰ ἐποίησεν ἐκεῖ, τὴν γὰρ ἱερὰν τράπεζαν κατέστρεψε, καὶ ἐξέβαλε τὰ ἅγια λείψανα ἀπ' αὐτῆς, καθότι ἐνόμιζεν αὐτὰ βδελυκτὰ, ὡς νῦν ὁ Λούτερος καὶ ὁ Καλβῖνος, ἐκδιωχθεὶς δὲ ἐκεῖθεν, ἀνάγεται εἰς τὴν Ῥώμην, καὶ ἠπάτησε πολλοὺς καὶ ἐκεῖ, καὶ εἰς ἄλλους τόπους τῆς Δύσεως, καὶ δὴ τελευταῖον καὶ εἰς Φράντζαν, καὶ ἐπειδὴ ὁ Κάρολος ἦλθεν εἰς τὴν Ῥώμην, ὡς εἴρηται, ἠκολούθησαν αὐτῷ οἱ ἀπὸ τῆς Αἱρέσεως τοῦ Λευκίου ἀπὸ τῆς Φράντζας, καὶ μετέδωκαν τὴν Αἵρεσιν αὐτῶν πολλοῖς εἰς τὴν Ῥώμην, καὶ τὸ κακὸν ἐπλήθυνεν. ὁ δὲ Πάπας Ῥώμης Λέων ὁ τρίτος βλέπων πολλοὺς εἰ τὴν Δύσιν λέγοντας τὴν ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος καὶ ἐκ τοῦ Υἱοῦ, καὶ ἄλλα πολλὰ ποιοῦντας παράνομα, εἶτα τῶν ἐν Ῥώμῃ μὴ ἐχόντων λογίους ἄνδρας, καθὼς ἔγραφε καὶ ὁ Ἀγάθων εἰς τὸν Πωγωνᾶτον, εἰς δὲ τὴν Κωνσταντινούπολιν πάλιν ὄντων Βασιλέων Εἰκονομάχων Λέοντος τοῦ Ἀρμενίου, καὶ ἑτέρων, ὡς ἦν καὶ ὁ παρὼν Μιχαὴλ, ἐλυπεῖτο τὴν καρδίαν βλέπων τὴν Αἵρεσιν πλατυνομένην, καὶ τὴν ὑπ' αὐτὸν Ἐκκλησίαν λυμαινομένην. ὅθεν κοινῇ τῶν κατ' ἐκεῖνο καιροῦ ὀρθοδόξων γνώμῃ ἐποίησε τὰς ἀσπίδας περὶ ὧν λέξομεν, εἶτα πέμπει εἰς Ἱεροσόλυμα εἰς τὸν Πατριάρχην Θωμᾶν ἵνα αὐτῷ στείλῃ ἄνδρας σοφοὺς καὶ τῶν θείων γραφῶν ἐπιστήμονας, ἵνα βοηθήσωσι τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης, ἦν δὲ ὁ καιρὸς καθ' ὃν ἔγραψεν ἐκεῖσε εἰς τὸν Ἀλοξανδρείας καὶ Ἀντιοχείας καὶ ὁ Στουδίτης Θεόδωρος, μεμφόμενος αὐτοὺς ὡς ὄντας μὲν πρώτους τῶν ἄλλων, μὴ φροντίζοντας δὲ κατὰ τὰ μεγαλεῖα τῶν Ἐκκλησιῶν αὐτῶν κατὰ τῶν τότε Αἱρέσεων.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῶν σταλέντων μὲν εἰς Ῥώμην ὑπὸ τοῦ Ἱεροσολύμων σοφῶν ἀνδρῶν, ὑπὸ δὲ τοῦ Πατριάρχου Θεοδότου καὶ τοῦ Βασιλέως ἐξορισθέντων, καὶ περὶ τοῦ ποιοῦ Λέων ἦν ὁ ταῖς ἀσπίσι τὸ τῆς πίστεως Σύμβολον ἐγχαράξας, καὶ περὶ τῆς πρὸς τοὺς Πατριάρχας ἐπιστολῆς Λέοντος τοῦ τετάρτου, ἐν ᾗ φησὶ μὴ δέχεσθαι αὐτοὺς Πάπαν, εἰ μὴ πρότερον ἐν ταῖς ἐνθρονιαστικαῖς αὐτοῦ ἐπιστολαῖς τὸ Σύμβολον ἀκαινοτόμητον αὐτοῖς πέμψῃ.

Ὁ οὖν Ἱεράρχης Θωμᾶς πέμπει εἰς τὴν Ῥώμην ἄνδρας θεοσεβεῖς σοφωτάτους καὶ ἐναρέτους, τὸν Μιχαὴλ τὸν Σύγκελλον καὶ τοὺς δύο γραπτοὺς Θεόδωρον καὶ Θεοφάνη, ἀσκητεύοντας εἰς τὴν Λαῦραν τοῦ ἁγίου Σάββα, καὶ ἀδελφοὺς κατὰ σάρκα, οἷς ἠκολούθη καὶ Ἰὼβ ὁ θαυμάσιος. δέδωκε δὲ αὐτοῖς καὶ κατηχητικὰς ἐπιστολὰς εἰς τοὺς ὀρθοδόξους Κωνσταντινουπόλεως, οἵτινες ἐκεῖσε ἐλθόντες, ἤλεγξαν τὸν ψευδοπατριάρχην Θεόδοτον, καὶ τὸν ἄπιστον Βασιλέα Μιχαὴλ, καθότι ὤμοσεν ἵνα διατηρῇ σώαν καὶ ἄτρωτον τὴν ὀρθοδοξίαν εἰς καιρὸν καὶ τόπον. ἐμαστιγώθησαν ὅμως πικρὰ, καὶ ἐξωρίσθησαν εἰς τὸν Εὔξεινον Πόντον, ὡς διηγεῖται ὁ Στουδίτης Θεόδωρος, καὶ ἐκωλύθησαν ἀπὸ τῆς εἰς τὴν Ῥώμην πορείας, ὡς φανεροῖ ὁ βίος Μιχαὴλ τοῦ Συγκέλλου καὶ ὁ βίος τούτων τῶν ἁγίων Θεοδώρου καὶ Θεοφάνους, ὃν συνέγραψεν ἡ Θεοδώρα Ῥαουλαίνη καὶ Καντακουζηνὴ ἡ Παλαιολογίνα. καὶ λαπὸν μανθάνει ταῦτα ὁ ἁγιώτατος Ῥώμης Λέων, καὶ λυπεῖται πλέον, ἢ ἐλυπήθη ὁ Ἱερεμίας εἰς τῆς Ἱερουσαλὴμ τὴν φθοράν. λέγουσι τινὲς, ὅτι ὁ Πάπας Λέων ὁ πρῶτος ὁ συναγωνιστὴς τῆς ἐν Χαλκηδόνι Συνόδου προέγραψε τὸ Σύμβολον τῆς πίστεως, ἤγουν τὸ, Πιστεύω εἰς ἕνα Θεὸν, ὅλον, καθὼς αὐτὸ συνέθετο ἡ δευτέρα Σύνοδος, εἰς δύο ἀσπίδας χαλκᾶς ἑλληνικοῖς γράμμασι, καὶ ἔβαλεν αὐτὰς εἰς τὸ Θησαυροφυλάκιον τοῦ ἁγίου Ἀποστόλου Πέτρου. ὁ οὖν παρὼν Λέων ἀθροίζει τὸ παρευρεθὲν ἱερατικὸν, καὶ τῶν λαϊκῶν τὸ ὀρθόδοξον, καὶ ἐκβάλλει τὰς ἀσπίδας, καὶ ἵστησιν αὐτὰς πρὸ τῶν πυλῶν τοῦ Ναοῦ τοῦ ἁγίου Πέτρου, καὶ προσέταξεν ἑκάστῳ ἀναγινώσκειν ἐκεῖ τὸν Ὅρον τῆς πίστεως εἰς ἀσφάλειαν τῆς εὐσεβείας, καθὼς καὶ ὁ μετέπειτα Βενέδικτος τρίτος ζηλωτὴς ὢν τοῦ ὀρθοδόξου δόγματος, ἐθέσπισεν ἀναγινώσκεσθαι ἑλληνιστὶ εἰς ὅλην τὴν Δύσιν τὸ Σύμβολον τῆς πίστεως, ἵνα μὴ γένηταί τις δολιότης, καθὼς Λέων ὁ τέταρτος ἔγραψεν εἰς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς μὴ δέχεσθαί τινα Πάπαν τῆς Ῥώμης ὅτε γίνεται, ἐὰν μὴ πέμψῃ πρῶτον εἰς ὅλους αὐτοὺς τὸ Σύμβολον τῆς πίστεως ἀκαινοτόμητον εἰς τὰς ἐνθρονιαστικὰς αὐτοῦ ἐπιστολὰς, καὶ οὕτω κατὰ λέξιν καὶ ἔννοιαν ἔχον, καθώσπερ δὴ καὶ παρὰ τῶν μακαρίων πατέρων ἡμῶν ἀνέκαθεν ἐξετάσθη. καὶ οὕτως ἐκράτει καὶ μετέπειτα ἕως καιροῦ, ὡς ἡ ἱστορία φανερώσει. σημειωτέον δὲ, ὅτι τῆς ἱστορίας ταύτης μέμνηται καὶ ὁ Ζυγαβηνὸς εἰς τὴν Πανοπλίαν αὐτοῦ, καὶ ὅτι ὁ πρὸ Βενεδίκτου Λέων ἦν ὁ θέμενος τὰς ἀσπίδας πρὸ τῶν πυλῶν τοῦ Ναοῦ τοῦ ἁγίου Πέτρου (ἢ τοῦ ἁγίου Παύλου) λέγει τοῦτο ὁ Μοναχὸς Ἐπιφάνιος ἐν τῷ πότε ἀπεσχίσθησαν οἱ Λατῖνοι τῆς καθόλου Ἐκκλησίας. ὅτι ὅμως οὐκ ἦν ὁ μέγας Λέων ὁ ἐγχαράξας τὸ Σύμβολον εἰς αὐτὰς, ἀλλ' ὁ Λέων ὁ τρίτος, μαρτυρεῖ τοῦτο Γεώργιος ὁ Κερκύρας

ἐν

ὼ τῷ περὶ τῦ ἁγίυ Πνεύματ☩ αὐτῦ λόγῳ, ὃν ᾧ φησὶν ὅτι ὑπέγραψεν ὁ Λέων ἕτω, Λέων ἀπόξιος τείτης Ἐπίσκοπ☩. καὶ μετὰ τάτοις ἡ ἄθροισις τῶν ὑπογολῶν ἣν ἐποίησεν ὁ Κρεσκώνι☩, ὡς σημειοῖ ὁ Βελαρμῖν☩, ὃν αἷς φαίνεται ὑπογολὴ τῦ τείτυ Λέοντος, διαλαμβάνεσθαι ὅτι εἰς τὴν Φραγγίαν οἱ Λεγάτοι τῦ Ῥήγος τῆς Γαλλίας Καρόλυ ἔδειξαν αὐτῷ τὸ Σύμβολον τῆς δευτέρας Συνόδυ μετὰ τῆς προθήκης, καὶ παρεκάλεσαν αὐτὸν δέξασθαι αὐτὴν, ἵνα ἀναγινώσκηται τὸ Σύμβολον καὶ εἰς τὴν Ῥώμην μετὰ τῆς προθήκης. ἀλλ' ὁ Πάπας ἐκ ἐδέξατο τὴν αὐτησιν, ἀλλ' αὐτὴν ἀπεβαλὼν, ἔγραψεν εἰς ἀργυρᾶ γράμματα τὸ ἅγιον Σύμβολον, καὶ ἔβαλε αὐτὸ εἰς τὸν Ναὸν τῦ ἁγίυ Πέτρυ, ἵνα φυλαχθῇ ἡ ὁμόνοια εἰς τὰς Ἐκκλησίας. ἴδε καὶ Πέτρον τὸν Λομπαρδον εἰς τὴν σὺν ἑκατὸν διαίρεσιν τῦ πρώτυ βιβλίυ τῶν γνωμῶν, καὶ τὸν ἱστορικὸν Ἀδωνα. ἴδε καὶ τὴν ὀρθόδοξον ὁμολογίαν, τὴν σημειῦσαν ὅτι εἰς τὸ ἑκατοστοσὸν ἔτος ἔβαλε τὰς ἀποῖδας ταύτας Λέων ὁ τείτος, καὶ κατὰ τὸν Βαρώνιον.

ΠΑΡΑΓΡΑΦΟΝ ε'.

Περὶ Θωμᾶ τινὸς κατὰ τῆς Κωνσταντινοπόλεως ἐλθόντος, καὶ ἁλώσεως ὑπὸ Σαρακηνῶν Σικελίας καὶ πολλῶν τόπων Ἰταλίας, καὶ οἰκήσεως αὐτῶν ἐν Κρήτῃ· καὶ οἰκοδομῆς τῦ Χαύδακος· καὶ σφαγῆς Κυρίλλυ Γορτύνης καὶ πολλῶν χειστιανῶν.

Θωμᾶς τὶς ὑποκριθεὶς εἶναι υἱὸς Κωνσταντίνυ, τῦ τυφλωθέντος, ἦλθε κατὰ τῆς πόλεως μετὰ βοηθείας Ἀμαφόρων γοναῖς, κινήσας ἀπὸ Συρίας, καὶ ἐκράτησεν ὁ πόλεμος ἔτη τρία. ὅθεν διέρχοντες ἀθηναι οἱ Σαρακηνοὶ ἔλαβον τὴν Σικελίαν, τὴν Καλαβρίαν καὶ ἄλλας τόπους τῆς Ἰταλίας· εἰς δὲ τὴν Κρήτην καὶ κατῴκισαν, καὶ ἔκτισαν τὸν Χαύδακα, ἤγουν ἠχμαλώτισαν ἐνενηκοντα πόλεις. Κύριλλος δὲ ὁ Γορτυνίης ἐπειδὴ ἐκ ἠρνήθη τὸν Χριστὸν, ἐσφάγη, ἔβρυε δὲ τὸ αἷμα αὐτῦ μῦς, ὥστε ἀπορρίπτεσθαι αὐτὸ σπόγγοις, καὶ τὸ αἵματος ἡ χροιὰ ἦν ἀναλλοίωτος· καὶ ἄλλας πολλὰς ἔτι ἀπέθεξαν μάρτυρας.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῦ θαύματος Γρηγορίυ τῦ Θεολόγυ ἐν τῇ συναχιθῆναι ὑπὸ Λέοντος τὸ Ἀρειμίνι.

Ἀπὸ τῶν ἀρσενικῶν παιδίων τῦ Χαμαιλέοντος σὺν ὅπερ ἐποίησεν συναχιθῆναι ὁ Μιχαὴλ, τὸ νεώτερον ἔζησεν, ἀλλ' ἐκρατήθη ἡ φωνὴ αὐτῦ, ὅθεν ἔκλαιεν ἔμπροσθεν τῆς Εἰκόν☩ τῦ Θεολόγυ Γρηγορίυ, ὥστε καλεῖν τὸν ἄμνον δεῦρο αὐτῷ τὴν προτέραν αὐτῦ φωνὴν, καὶ τὴν νύκτα εἶδε κατὰ τὸν Ζωναρᾶν ἐν ὁράματι τὸν μέγαν Γρηγόριον λέγοντα αὐτῷ, Ἤκουσα τῆς προσευχῆς συ, καὶ τὸ ζήτημά συ ἀπέλαβες, καὶ ἐν τῷ ἅμα ἐξύπνισε, καὶ λαβὸν τὸ βιβλίον τῦ Θεολόγυ ἐξεφώνησε, Πάλιν Ἰησοῦς ὁ ἐμός, καὶ πάλιν Μυστήριον. καὶ ὥστε χρῆμα ἔδωκε δόξαν τῷ Θεῷ καὶ τῷ ἁγίῳ τὸ παιδίον.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς καιμήσεως Θεοδώρυ τῦ Στυδίτυ, καὶ περὶ τῆς μοναστρίας Εὐφροσύνης, ἣν ἔλαβεν ὁ Μιχαὴλ εἰς γυναῖκα.

Ἠθέτησε καὶ ὁ Στυδίτης Θεόδωρος ὁ θαυμαστὸς εἰς τὰ παίτα, καὶ ὥσπερ Μέλισσαν ἔτρεχον πρὸς ἐκεῖνον πολλὴ χάρις καὶ εὐλογία. ἐλειτούργησε καὶ ἐκοινώνησε, καὶ Δι' αὐτῆς τῆς θείας μυσταγωγίας ἀνέλαβεν ἑαυτόν. ἔφθασεν ὅμως ἡ εὐλογημένη ὥρα τῆς τελευτῆς αὐτῦ, καὶ συμβαλὼν τοῖς πατράσι τῦ Μοναστηρίυ, καὶ λέγων ὅτι ἐστὶ κοινὸν τὸ ποτήριον τῦ θανάτυ, καὶ ἄλλος μὲν πρότερον, ἄλλος δὲ ὕστερον αὐτὸ πίνει, καὶ εὐθὺς αὐτὸ ἀπέφυγεν. ἐκεῖνος ὅμως ἔζησεν, ὅς τις καὶ ἀποθανὼν ἔδωκε τὸ πνεῦμα αὐτῦ εἰς τὸν Θεὸν τῶν πνευμάτων, ἔχων εἰς τὸ μακάριον σῶμα αὐτῦ τὸ δαιμόνιον. Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν Νόμῳ Κυρίυ, καθὼς τὸ μαρτυρεῖ ὁ Μιχαὴλ ὁ μαθητὴς τῦ ἁγίυ καὶ πιστὸς συγγραφεὺς τῆς ζωῆς αὐτῦ, ὅστις τοιαύτῃ κορωνίδι βάλλει εἰς τὸν ὑπόλογον αὐτῦ, Ἐτέθη μετὰ τῶν ἁγίων ὁ ἅγι☩, μετὰ τῶν Ἱερέων ὁ Ἱερεὺς, μετὰ τῶν Μαρτύρων ὁ μάρτυς, ὃ ὀφθόγγος ἐξῆλθεν εἰς πᾶσαν τὴν οἰκυμένην, ἀπέθανε ὁ πολέμι☩ τῶν Ἀγιομάχων, τῶν Εἰκονοκλαστῶν ὁ ἐλεγκτὴς, τῶν Βασιλέων ὁ διδακτὴς. Σὺ δὲ σημείωσαι χαίρεσθαι, ὅτι εἰς τὸν βίον τῦ Στυδίτυ γεγράφει, ὅτι ὁ Στυδίτης ἀπὸ Θεσσαλονίκης ἐπανερχόμεν☩ ἀπὸ τῆς ἐξορίας, περιφανῆς τε ὡς εἰκὸς ὢν παρὰ πάντων τυχῶν καὶ τῆς ὑπαντῆς καὶ περιφανεστέρας, καὶ μάλιστα ἀφ' οὗ τε τὸ προέδρυ καὶ τῆς Βασιλίσσης αὐτῆς τῆς εὐσεβῦς τιμῆς τυγχάνει. καὶ σημείωσαι κατὰ παπισμῶν ἄξιόν μοι ἐνθυμηθῆναι τὴν Ῥώμης μονοαρχίαν ἐκ προσυπαντῆς ὡς φασὶ τῆς παρὰ Ἰουστινιανῦ καὶ ἑτέρων Βασιλέων, ὡς εἴρηται εἰς τὰς τόπους. ὁ δὲ Μιχαὴλ ὅτε ἐχήρευσεν, καὶ

ἠγάπησε τὴν μονάστριαν Εὐφροσύνην τὴν κόρην τοῦ Κωνσταντίνου, καὶ ἔλαβεν αὐτὴν εἰς γυναῖκα αὐτοῦ, καὶ ἐβεβαιώθη περὶ αὐτοῦ ἐκεῖνο τῆς Ἀποκαλύψεως, Ὁ ῥυπῶν ῥυπωσάτω ἔτι. πλὴν πᾶσι δυσηρεστήθη, καὶ αὐτῷ προσέτι τῷ Θεοφίλῳ τῷ υἱῷ αὐτοῦ τόσον, ὥστε καὶ ἐποίησεν αὐτὴν τὴν μητρυιὰν αὐτοῦ τὴν Εὐφροσύνην, ὅτε αὐτὸς ἐβασίλευσεν ὑποστρέψαι εἰς τὸ Μοναστήριον, πείσας αὐτὴν ὀμόσαι μὴ ἀναστρέφεσθαι πλέον ἔνδον εἰς τὸ Βασίλειον.

ΠΑΡΆΓΡΑΦΟΝ Θ'.

Περὶ τῆς κοιμήσεως Νικηφόρου Πατριάρχου ἐν τῇ ἐξορίᾳ, καὶ τῆς Μιχαὴλ Τραυλοῦ ἰουδαιόφρονος γνώμης, καὶ ἑτέρων δυσσεβῶν αὐτοῦ ῥημάτων.

Ἐτελεύτησεν εἰς τὴν ἐξορίαν καὶ ὁ Νικηφόρος Πατριάρχης διὰ τὴν εὐσέβειαν, γράφει ὁ Θεοφάνης, πατριαρχευόντων τριῶν καὶ τῶν τριῶν Εἰκονομάχων, ὁ γὰρ Μιχαὴλ ἐφανέρωσεν ἑαυτὸν ὅπερ ἦν, καὶ οὕτως ἐκακοποίησε καὶ τὸν ἅγιον Μεθόδιον, Εὐθύμιον τὸν Σάρδεων Ἀρχιεπίσκοπον καὶ ἄλλους διὰ τὰς ἁγίας Εἰκόνας, λέγει ὁ Κεδρηνὸς, ὅστις μαρτυρεῖ ὅτι ὁ Μιχαὴλ ἰουδαΐζε κατὰ τὴν τάξιν. ὅθεν καὶ τὰ Σάββατα ἐτίμα καὶ ἀνήστευεν ἐν αὐτοῖς, ἀνάστασιν δὲ νεκρῶν οὐκ ἐπίστευεν εἶναι, τοὺς προφήτας ἐχλεύαζε, ἠρνεῖτο εἶναι τοὺς δαίμονας, τὴν πορνείαν ἔλεγε μὴ εἶναι ἁμαρτίαν, τὸν Ἰούδαν ἐφλυάρει εἶναι σεσωσμένον, καὶ ἄλλα πλεῖστα ἐβλασφήμει, ἅτινα ὁ περιέργος ἰδέτω καὶ εἰς τὸν Κουροπαλάτην καὶ εἰς τὸν Ζωναρᾶν.

ΚΕΦΆΛΑΙΟΝ Η'.

Ἀντίθεσις παπιστῶν ὑπὲρ τοῦ παπισμοῦ ἀπὸ τοῦ ἁγίου Μαξίμου, καὶ λύσις αὐτῆς ἀπὸ τοῦ αὐτοῦ, καὶ καθαίρεσις τῆς φαύλης μοναρχίας καὶ ἀναμαρτησίας τοῦ Ῥώμης.

Ὁ Μέγας Μάξιμος ἔλεγεν ἐν τῇ μετὰ Θεοδοσίου τοῦ Καισαρείας τῆς Βιθυνίας διαλέξει, Ἐγὼ οὐ τολμῶ δέξασθαι συγκατάθεσιν παρ' ὑμῶν ἔγγραφον περὶ τοιούτου πράγματος, ψιλὸς ὑπάρχων Μοναχὸς, ἀλλ' ἐπεὶ κατένυξεν ὑμᾶς ὁ Θεὸς τὰς τῶν ἁγίων πατέρων δέξασθαι φωνὰς, καθὼς ἀπαιτεῖ ὁ Κανὼν πρὸς τὸν Ῥώμης περὶ τούτου ἐγγράφως ἀποστείλατε, ἤγουν ὁ Βασιλεὺς καὶ ὁ Πατριάρχης καὶ ἡ κατ' αὐτὸν σύναξις. τοῦτο δὲ φασὶν οἱ παπολάτραι οὐκ ἔστιν ἕτερον, εἰ μὴ ὅτι ὁ Πάπας ἐξουσίαν ἔχει γενικὴν ἐπὶ πασῶν τῶν Ἐκκλησιῶν. Ἀλλὰ ῥητέον ὅτι ὅτε ὁ Μάξιμος ἐποίει τοὺς ἀγῶνας τούτους κατὰ τῆς ἀναφυείσης Αἱρέσεως τῶν Μονοθελητῶν, καὶ τὴν διάλεξιν ταύτην μετ' αὐτῶν, οὐκ ἦν ἐν Ἱερουσαλὴμ Πατριάρχης διὰ τὴν ἔναγχος τῶν Σαρακηνῶν ἐπικράτειαν, ἐν γὰρ τῷ ἑξακοσιοστῷ τριακοστῷ ἑβδόμῳ, ἢ ἑξακοσιοστῷ τριακοστῷ ὀγδόῳ κεκοίμηται ὁ ἅγιος Σωφρόνιος, καὶ ἔμεινεν ὁ θρόνος εἰκοσιεννέα ἔτη χηρεύων, ὅθεν ἐπὶ τῆς ἐπὶ τοῦ Πάπα Μαρτίνου ἐν Ῥώμῃ Συνόδου, ἥτις ἠθροίσθη τῷ ἔτει ἑξακοσιοστῷ τεσσαρακοστῷ ἐνάτῳ, ἦν λεγᾶτος τῆς Ἐκκλησίας Ἱεροσολύμων ἐκεῖ Στέφανος Δωρίδος Ἐπίσκοπος, οὐκ ἦν δὲ Πατριάρχης ἐν Ἱερουσαλὴμ, ἐν δὲ τῇ Ἀντιοχείᾳ ἦν Πατριάρχης Μακεδόνιος, καὶ ἐν Ἀλεξανδρείᾳ ἦν Πατριάρχης ὁ Πέτρος, ἀμφότεροι Αἱρετικοὶ, καὶ τῷ μετὰ Σέργιον καὶ Πύῤῥον Κωνσταντινουπόλεως Πατριάρχῃ Παύλῳ συνήγοροι, ὡς ὁλίβελλος τοῦ Στεφάνου τούτου πρὸς ταύτην τὴν ἐπὶ Μαρτίνου Σύνοδον δοθεὶς μαρτυρεῖ, καὶ ἴδε ἐκεῖ πράξει πρώτῃ. ἐν τούτοις εὑρισκομένων τῶν θρόνων τῆς Ἀνατολῆς, καὶ τῶν ἐν Κωνσταντινουπόλει Πατριαρχῶν Αἱρετικῶν ὄντων, ὁ ἱερὸς Μάξιμος εἰ πρὸς τὸν Ῥώμης συνεβούλευσεν ἀποστεῖλαι καὶ ἐρωτῆσαι, καλῶς εἶπεν, ἀλλ' οὐχ ὡς πρὸς μονάρχην, ἀλλ' ὡς πρὸς ὀρθόδοξον Ἐκκλησίαν τὴν Ῥώμην, καὶ γὰρ ὁ Μάξιμος ἐν οὐδενὶ αὐτοῦ συγγράμματι εἶπε τὸν Ῥώμης ἢ ἀναμάρτητον ἄκρον, ἢ Αὐτοκράτορα, ἢ μονάρχην. εἶτα πρὸς τὸν Ῥώμης εἰπὼν, οὐκ εἶπε μόνον τὸν Πάπαν, ἀλλὰ τὸν Πάπαν καὶ τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, ἤτοι τὴν δυτικὴν Σύνοδον, ὅπερ οὐ σημαίνει μοναρχίαν, ἀλλὰ συμπάθειαν καὶ ὁμοψυχίαν, ὡς εἴπομεν ἐν πολλοῖς ἀνωτέρω. ἔπειτα Κανόνα οὐλέγει τινὰ τῷ Πάπᾳ τοιαύτην παρέχοντα ἰδικὴν ἐξουσίαν, ἐπειδὴ τοιοῦτος Κανὼν οὐκ ἐῤῥέθη οὔτε παρὰ τῶν Ἀποστόλων οὔτε παρὰ τῶν Συνόδων, ὥστε δηλονότι παρὰ μόνου τοῦ Ῥώμης ζητεῖν τῆς πίστεως τὴν ἀλήθειαν, εἶτα δοκιμάζεσθαι τὴν πίστιν παρ' αὐτοῦ μόνου, ἀλλὰ Κανόνα εἶπεν ἐκεῖνον, ὅνπερ ὁ Ἀρχιμανδρίτης Μαρτῖνος ἔλεγε τῷ Εὐτυχεῖ, μὴ εἶναι ἐμὸν τὸ ὑπογράφειν, Ἐπισκόπων δὲ μόνων, πράξει πέμπτῃ τῆς ἐπὶ Φλαυϊανοῦ ἐν Κωνσταντινουπόλει Συνόδου, τουτέστιν οὐκ ἔστιν ἐμοὶ τῷ Μαξίμῳ Μοναχῷ ὄντι τὴν μεθ' ὑμῶν ἕνωσιν ποιήσασθαι, πρῶτον, ἐπειδὴ ἡ Αἵρεσις ὑμῶν συνοδικῶς κατεκρίθη ἐν Ἱερουσαλὴμ ὑπὸ τοῦ Σωφρονίου, καὶ ἐν Ῥώμῃ ὑπὸ Σεβερίνου, καὶ Ἰωάννου, καὶ Θεοδώρου, καὶ Μαρτίνου, καὶ ὁ παρὼν Πάπας Βιταλιανὸς καὶ ἡ Σύνοδος αὐτοῦ ἐκείνοις κατακολουθοῦντες, ἀναθεματίζουσι τὴν Αἵρεσιν καὶ αὐτοὶ, καὶ ἐγὼ, κἂν καὶ εἰμὶ ψιλὸς Μοναχὸς, ὡς ἐῤῥέθη

ἐν

ἐν τῇ πρώτῃ πράξει τῆς ἐπὶ Μηνᾶ Συνόδου ὑπὸ Χριστοδώρου, ἐκδικῶ τὴν ὀρθόδοξον πίστιν, καὶ λόγοις καὶ συγγράμμασιν ἀγωνιζόμενος ὑπὲρ τοῦ ὀρθοδόξου φρονήματος, οὐδύναμαι ὅμως λῦσαι τὰ συνοδικῶς πολλάκις κριθέντα καὶ κατακριθέντα καὶ ἕνωσιν ποιήσασθαι, καὶ μάλιστα τοιαύτην, ἥτις ἀπαιτεῖ τὴν ὁλοκληρίαν τῆς Οἰκουμένης, ἐπειδὴ πᾶσα ἡ Οἰκουμένη ἔσχισται παρὰ τοῦ θρόνου Κωνσταντινουπόλεως ὡς ἀναδείξαντος καὶ βεβαιώσαντος τὸ αἴσχιστον τοῦτο τῆς μονοθελήσεως φρόνημα. δεύτερον, εἰ καὶ ἡ Αἵρεσις αὕτη ἐκρίθη καὶ ἀνεθεματίσθη τὸ πρῶτον ὑπὸ τοῦ ἱεροῦ Σωφρονίου, ἀλλ' ἐπειδὴ ἐκεῖ ἤδη Πατριάρχης οὐκ ἔστι, μάλιστα λεηλατεῖ τὸν τόπον ἡ ἔφοδος τῶν Ἀράβων, καὶ πρὸς τούτοις ὁ Ἀντιοχείας Μακεδόνιος συναιρετίζει ὑμῖν, καὶ μετὰ τοῦ Πατριάρχου ὑμῶν Πέτρου συγκάθηται καὶ συμφατριάζει κατὰ τῆς ἀποστολικῆς πίστεως, καὶ δὴ καὶ ἐν Ἀλεξανδρείᾳ ὁ Πέτρος σύμφρων ὑμῖν ἐστὶν, ὁ δὲ Αἱρετικὸς γενόμενος οὔτε Πατριάρχης ἐστὶν οὔτε Ἐπίσκοπος οὔτε καν' μέρος τῆς Ἐκκλησίας, ἐν μόνῃ δὲ τῇ Ῥώμῃ ἡ εὐσέβεια παῤῥησιάζεται καὶ θριαμβεύεται, μετ' ἐκείνης λοιπὸν ζητεῖτε καὶ τὴν ἕνωσιν. τρίτον, ὑμεῖς, ὁρῶ, καὶ οὐ ζητεῖτε τὴν ἕνωσιν ἐν ἀληθείᾳ, ἵνα καὶ μεθ' ὑμῶν κοινωνήσω, τοῦτο μὲν, ὅτι οὐ ζητεῖτε μετὰ πάντων τὴν ἕνωσιν, τοῦτο δὲ, ὅτι σὺ μόνος ζητεῖς τὴν ἕνωσιν, ποῦ δέ ἐστιν ὁ Βασιλεὺς καὶ ὁ Πατριάρχης καὶ ἡ Σύνοδος καὶ ἡ Σύγκλητος καὶ ὁ Κλῆρος, ἵνα πάντες μὲν κατακρίνωσι τὴν Αἵρεσιν, ἐπιλήψωνται δὲ τῆς ὀρθοδοξίας, ἵνα καὶ ὁπωσδήποτε ἕνωσις γένηται; καὶ γὰρ οὐδυνατὸν ἐστὶ ποιῆσαι ἕνα τινὰ ὅπερ τοῖς πολλοῖς προσήκει ποιεῖν. τέταρτον, εἰ καὶ ὁ Βασιλεὺς καὶ ὁ Πατριάρχης καὶ ἡ Σύνοδος γράψωσι πρὸς τὸν Ῥώμης ἔγγραφον συγκατάθεσιν τῆς πίστεως κατὰ τὸ εἰκὸς, ἐγὼ πάλιν οὐ κοινωνῶ ὑμῖν, ἐπειδὴ ἐν τοῖς Διπτύχοις μνημονεύετε Σεργίου, Πύῤῥου, Παύλου καὶ Κύρου, οἵτινες Ἔξαρχοι κεχρηματίκασι τῆς Αἱρέσεως, καὶ οὐ μόνον ὑπὸ τοσούτων Συνόδων ἀνεθεματίσθησαν ἐν Ἱεροσολύμοις, ἐν Ῥώμῃ καὶ ἐν Ἀφρικῇ, ἀλλὰ καὶ ἀπέθανον ἐν τῇ Αἱρέσει καὶ τῷ χωρισμῷ τῷ ἀπὸ τῆς καθόλου Ἐκκλησίας, καὶ ἐπειδὴ ὑμεῖς ἐκείνοις κοινωνεῖτε, εἰ καὶ ὀρθόδοξοι γένησθε, οὐ κοινωνῶ ὑμῖν, ἐπειδὴ κοινωνεῖτε τοῖς ἀκοινωνήτοις, καὶ τὸ αἴτιον, ὅτι φοβοῦμαι τὸ ἐκφωνηθὲν κατ' αὐτῶν ἀνάθεμα, διὰ τοῦτο εἰ καὶ τὴν πίστιν ὑμῶν πέμψητε πρὸς τὸν Πάπαν, ἔτι δέον ἐστὶν, εἰ ὁ Βασιλεὺς καταδέξηται καὶ ὁ Πατριάρχης καὶ ἡ Σύνοδος αὐτοῦ, ἵνα γράψωσιν εἰς τὸν Ῥώμης, ὁ μὲν Βασιλεὺς κέλευσιν παρακλητικὴν, ὁ δὲ Πατριάρχης καὶ ἡ Σύνοδος δέησιν ἀδελφικὴν, καὶ γὰρ εἰ τὸ παρακαλεῖν ἔξεστι τοῖς μεγάλοις πρὸς τοὺς μικροὺς, ὡς εἴρηται ἀνωτέρω πολλάκις, ὑπὲρ τῆς πίστεως, πόσῳ μᾶλλον προσῆκον ἐστὶ τοῦτο ποιεῖν ἐν τοῖς ὁμοίοις. ὥστε εἰ καταδέξωνται καὶ γράψωσι πρὸς τὸν Πάπαν, οὐχ ἵνα ὡς μονάρχης ἢ ἄκραν ἐξουσίαν ἔχων ἐν τῇ Ἐκκλησίᾳ, ἢ δυνάμενος πάντα χρήματα συγχωρήσῃ τὰ ἀσυγχώρητα, ὡς ἐξουσίας καὶ αὐθεντίας ἄκρας εὐμοιρῶν, ἀλλ' ἵνα συνοδικῶς σκεφθῇ, εἴπερ ἐστὶ δυνατὸν συγχωρηθῆναι τοὺς ἀποθανόντας ἐν τῷ ἀναθέματι καὶ τῷ χωρισμῷ τῆς Ἐκκλησίας, διὰ τὴν ἀφ' ὑμῶν γενομένην ἀποδοχὴν τῆς ὀρθοδοξίας, καὶ συμβιβασθῇ ὑμῖν περὶ τούτου, καὶ οὕτω γενήσεται ἡ ἕνωσις τελεία καὶ κανονικὴ, τότε καὶ ἐγὼ κοινωνήσω μεθ' ὑμῶν. πέμπτον, εἰ δὲ τοῦτο βάρος δοκεῖ τὸ γράψαι εἰς τὴν Ῥώμην, ἀλλ' ἰστέον, ὅτι ὁ Θεὸς, ἁμαρτωλῶν ὄντων ἡμῶν, κατεδέξατο καὶ ἐγένετο ἄνθρωπος, καὶ ἐκάλεσεν ἡμᾶς εἰς τὴν βασιλείαν αὐτοῦ, πόσῳ μᾶλλον τὸν Βασιλέα καὶ τὸν Πατριάρχην συγκαταβάσει χρήσασθαι καὶ γράψαι πρὸς ἄνθρωπον, καὶ οὐκ εἰς ἕνα μόνον, ἀλλ' εἰς ὅλην τὴν Σύνοδον τῆς Δύσεως, ἁγίαν οὖσαν καὶ ὀρθόδοξον καὶ ἀδιακόπως ἀγωνισαμένην κατὰ τῆς Αἱρέσεως, καὶ ἤδη διὰ τὴν σωτηρίαν ὑμῶν πάντως σκεφθήσεται τὸ δέον. ἕκτον, εἶτα τοῦτο οὐκ ἔστι καινὸν οὐδὲ πρόσφατον ἐν τῇ Ἐκκλησίᾳ ἔργον, ἀλλὰ ἀρχαῖον καὶ πάτριον, ὁ γὰρ Οὐρσάκιος καὶ Οὐάλης εἰς τὸν Ῥώμης Ἰούλιον καὶ εἰς τὸν μέγαν Ἀθανάσιον ἔγραψαν περὶ μετανοίας καὶ κοινωνίας, καὶ οἱ ἐν τῇ πρώτῃ Οἰκουμενικῇ Συνόδῳ ἀποσφαλέντες, ἔγραψαν περὶ κοινωνίας εἰς τοὺς κορυφαίους τῶν Ἐπισκόπων, καὶ ὁ Σεβαστείας Εὐστάθιος λίβελλον πίστεως ἔδωκε τῷ μεγάλῳ Βασιλείῳ, καὶ οἱ Μακεδονιανοὶ τῷ Ῥώμης Λιβερίῳ, καὶ ὁ Αὐτοκράτωρ Ἰοβιανὸς πρὸς τὸν μέγαν Ἀθανάσιον ἔγραψεν ὑπὲρ τῆς πίστεως, καὶ ὁ μικρὸς Θεοδόσιος ἔγραψεν εἰς Ἰωάννην τὸν Ἀντιοχείας περὶ εἰρήνης καὶ κοινωνίας μετὰ Κυρίλλου, καὶ ὁ Βασιλεὺς Λέων ὁ μέγας τοὺς ἁπανταχοῦ Μητροπολίτας ἠρώτησεν ἵνα συνοδικῶς αὐτῷ γράψωσι περὶ Τιμοθέου τοῦ Αἰλούρου καὶ τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ ἡ Ἐκκλησία Ἀντιοχέων περὶ Θεοδώρου τοῦ Μοψουεστίας τὸν ἅγιον Κύριλλον ἠρώτησε μόνον. ἕβδομον, εἰ δὲ καὶ ὁ Ῥώμης ὑμᾶς μὲν ὁμολογοῦντας τὴν ὀρθόδοξον πίστιν καὶ κατακρίνοντας τὴν Αἵρεσιν δέξεται εἰς κοινωνίαν κατὰ τὸν Κανόνα, τοὺς δὲ μνημονευθέντας Ἐξάρχους τῆς Αἱρέσεως ἀποβαλεῖ, ἐπειδὴ οὐχ εὑρίσκεται τρόπος ἐκκλησιαστικὸς τοῦτο ἐπιτρέπων, μὴ φανείη ὑμῖν παράδοξον, ἐπειδὴ καὶ ὁ μέγας Ἰουστινιανὸς ζητήσας περὶ Θεοδώρου Μοψουεστίας καὶ Ὠριγένους τοῦτο παρὰ τῆς πέμπτης Συνόδου, κἀκείνης τοὺς πάλαι κατακριθέντας πάλιν τῷ ἀναθέματι παραδούσης, ἐδέξατο εὐλαβῶς τὸ κανονικῶς ἐξενεχθὲν, καὶ ἐβεβαίωσε καὶ λόγοις καὶ συγγράμμασιν. αὕτη ἐστὶν ὦ φίλοι Λατῖνοι ἡ γνώμη τοῦ Μαξίμου ἐν τῷ παρόντι τόπῳ, καὶ οὐχ ὅτι διὰ τῶν ῥημάτων τούτων ἀπένειμεν, ἢ ἐμαρτύρησε μοναρχίαν τῷ Πάπᾳ. Ἔτι ἐν τῷ αὐτῷ διαλόγῳ ὁ Πατρίκιος Ἐπιφάνιος εἶπε τῷ Ἀββᾷ Μαξίμῳ, Τοῦτό σοι δηλοῖ ὁ Βασιλεὺς δι' ἡμῶν λέγων, Ἐπειδὴ πᾶσα ἡ Δύσις καὶ οἱ ἐν τῇ Ἀνατολῇ διαστρέφοντες διὰ σὲ στασιάζουσι, μὴ θέλοντες συμβιβασθῆναι ἡμῖν διὰ τὴν πίστιν, κατανύξοι σε ὁ Θεὸς κοινωνῆσαι τῷ παρ' ἡμῶν ἐκτεθέντι Τύπῳ. ἐν οἷς σημείωσαι ὅτι ἅπας ὁ κόσμος οὐκ εἰς τὸν Πάπαν καὶ τὴν Ῥωμαίων Ἐκκλησίαν, ἀλλ' εἰς τὸν Ἀββᾶν ἀπέβλεπε Μάξιμον, ὥσπερ ποτὲ ἀπέβλε-

ἀπέβλεπον εἰ τῆς Ἐκκλησίας καθηγεμόνες περὶ φθαρτῆ καὶ ἀφθάρτῳ κατὰ τὴ Ἰκονιανὴ εἰς τὸν Ἀντιοχέως Ἀναστάσιον, καὶ ἐφεξῆς εἰς τὸν μέγαν Ἀθανάσιον, καὶ ἴδε ἐν τῇ δευτέρᾳ καὶ πέμπτῳ τοῖς βιβλίοις τὰς τόπους. καὶ πᾶλιν τὸ ἄκρον πρωτεῖον ἢ μοναδικὸν, ἢ τὸ ἀναμάρτητον περὶ πίστιν καὶ ἡ ἄκρητος τῆ διδασκαλίας ἰσχύοντος τῆ Πάπα, ὅτε εἰς Ἀββᾶς ἐφεξῆς τιμᾶται ἀσυγκρίτως αὐτῆ; ἔτι ὁ Μάξιμος φησὶν ἐν τῇ ὑποσολῇ τῇ ἐν Ῥώμῃ γεγραφείσῃ, Ἐξ αὐτῆς (τῆς Ῥώμης) τὸν ἀποστεφάνωσαν ἄγγελον ἐφεξῆς δεχόμενοι τῶν πατερικῶν καὶ ἁγίων δογμάτων, καθὼς οἱ θεόληπτοι καὶ θεοφόροι ἑλληνικῶς ἢ παντοσεβῶς ἐξέθεντο οἱ ἅγιοι πάντε Σύνοδοι, ἐκφαντορικώτατα φάσκοντες τὸ Σύμβολον τῆς πίστεως. καὶ μετ' ὀλίγα, Οἱ Ἀπόστολοι καὶ πατέρες καὶ Μάρτυρες τὴν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν ἐθεμελίωσαν καὶ ἐπωκοδόμησαν. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι τὰ δόγματα τῶν πατέρων εἰσὶ κοινὰ, καὶ ἡ μόνη τῆ Ῥώμης, ἢ ἄλλη τινός. δεύτερον, ὅτι ἡ πίστις περιέχεται ἐν τῷ Συμβόλῳ, ὅπερ αἱ πάντε Σύνοδοι ἐξέθεντο, καθότι αἱ μὲν σωέγραψαν, αἱ δὲ ἐκύρωσαν αὐτό. τρίτον, ὅτι τὴν καθολικὴν Ἐκκλησίαν οἱ Ἀπόστολοι ἐθεμελίωσαν, οἱ δὲ πατέρες καὶ Μάρτυρες ἐπωκοδόμησαν, ὥστε ἀφέσωπήεσι τὸ πεδάπτειν τῆ Ῥώμης μόνῳ ὅπερ τοῖς πᾶσιν οἰκεῖον ἐστιν ἐξίσου. καὶ τέταρτον, ὅτι ἡ καθολικὴ Ἐκκλησία οὐκ ἔστιν ἡ ῥωμαϊκὴ, ἀλλ' ἡ παντοχῆ διεσπαρμένη, τουτέστι πάντων τῶν ὀρθοδόξων ἡ ὁμήγυρις, ἐξ ὧν καὶ ὁ Πάπας ὀρθοδοξῶν εἷς ἐστὶ, καὶ ἁδρὸν πλέον. Εἶτα οἱ Ἄρχοντες ὁν τῇ Συνεκρέτῳ εἶπον αὐτῷ, Εἰ ἐνωθῶσιν οἱ Ῥωμαῖοι τοῖς ἐνταῦθα, τί ποιᾶς; ὁ δὲ ἀποκριθεὶς εἶπε, Τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῶν Ἀποστόλων καὶ Ἀγγέλων ἀναθεματίζει τοὺς τὸ κήρυγμα νομοθετοῦντας· ὁμοίως καὶ αὐτοὶ, Ἡ ὁν Ῥώμη Σύνοδος ἐκεκύρωται, τῶν συγκρητήσαντες αὐτῷ (ἤτοι τὸν Πάπα Μαρτῖνον) καθαιρεθέντες. ὁ δὲ ἀποκριθεὶς εἶπεν, οὐ καθηρέθη, ἀλλ' ἐδιώχθη. ποία γέγονεν ὑπὸ τοῖς πεπεραγμένοις συνοδικὴ καὶ κανονικὴ πρᾶξις ἀσφαλῶς ἔχουσα αὐτῶν τὴν καθαίρεσιν; πλὴν εἰ καὶ κανονικῶς καθηρέθη, ἐποιεῖτο τοῦτο πρόσκλημα τοῖς ὀρθοδόξως καὶ κατὰ τοὺς θείους Κανόνας κυρωθεῖσιν. ὧν οἷς σημείωσαι πρῶτον, ὅτι οὐκ εἶπον, Εἰ σώθησονται οἱ Ῥωμαῖοι τοῖς Κωνσταντινουπολίτας, ἕπομαι τοῖς Ῥωμαίοις, ἐπειδὴ ὁ Πάπας ἐστὶν ἄκρα κεφαλὴ τῆς καθόλου Ἐκκλησίας καὶ περὶ τὴν πίστιν ἀναμάρτητος, ἀλλὰ γινώσκων τὸν Πάπαν μερικὸν Ἐπίσκοπον καὶ τὴν ῥωμαϊκὴν Ἐκκλησίαν μερικὴν, καὶ ἐνδέχεται ἁμαρτῆσαι αὐτούς, εἶπον ὅτι καὶ τοὺς Ἀγγέλους τὸ Πνεῦμα τὸ ἅγιον ἀναθεματίζει τὸ κήρυγμα νεωτερίζοντας, μὴ ὄντας τὸν Πάπαν καὶ τὴν ῥωμαϊκὴν Ἐκκλησίαν τὸ κήρυγμα νεωτερίζοντας ἀναθεματίζει. εἶτα οὐκ εἶπον ὅτι ὁ Πάπας οὐ κρίνεται, οὐ καθαιρεῖται, ὁ κρίτης πῶς κριθήσεται, καὶ Γ' ἄλλα ἅπερ ἐφεξῆς λεγόσιν οἱ παπισταὶ, καὶ ἦσαν τῷ Μαξίμῳ καὶ τοῖς πάλαι ἁγίοις ἄγνωστα καὶ ἀνήκουστα πάντη καὶ πάντως, ἀλλ' ἅπερ ὅπερ ἐξῆν, ὅτι οὐ καθηρέθη, ἐπεὶπερ οὐδὲ ἐκρίθη. ἔπειτα φανερῶς ἐνέδωκαν, ὅτι ἐνδέχεται ἁμαρτῆσαι καὶ τὸν Πάπαν, καὶ κριθῆναι, καὶ καθαιρεθῆναι, ᾗ τὸ δὴ κύριον, ὅτι εἶπον, εἰ καὶ καθηρέθη ὁ Πάπας, τὰ δίαυτὰ καὶ μεθ' αὑτὰ κριθέντα ᾗ κανονικῶς κυρωθέντα οὐ παραβλάπεται, ᾗ οὕτω φανερῶς ᾗ πασιδήλως ἐς κόρακας ἀπέπεμψε τὸ μοναρχικὸν πρωτεῖον ὁ Μάξιμος. Ἔτι ὁ αὐτὸς γράφει πρὸς Ἀνασάσιον μοναζοντα, ὅτι ὁ Πατριάρχης, ἤτοι ὁ Κωνσταντινουπόλεως Πέτρος ἐδήλωσέ μοι, Ποίας Ἐκκλησίας εἶ, Βυζαντίς, Ῥώμης, Ἀντιοχέας, Ἀλεξανδρείας ᾗ Ἱεροσολύμων; ἰδοὺ πάντες μετὰ τῶν ὑπ' αὐτὰς Ἐπαρχιῶν ἐνώθησαν· ἐγὼ οὖν εἰμὶ τῆς καθολικῆς Ἐκκλησίας, ἑνώθητι, μήπως ξένην ὁδὸν τῷ βίῳ κατατομῶν, πάθοις ὅπερ ὁ πρόδοκᾶς. πρὸς ὃν εἶπεν, Καθολικὴν Ἐκκλησίαν τὴν ὀρθὴν καὶ σωτήριον τῆς εἰς αὐτὸν πίστεως ὁμολογίαν Πέτρου μακαρίσας ἐφ' οἷς αὐτὸν καλῶς ὡμολόγησεν ὁ τῶν ὅλων εἶναι Θεὸς ἀπεφήνατο, πλὴν μάθωμεν τὴν ὁμολογίαν ἐφ' ἣν πασῶν τῶν Ἐκκλησιῶν γέγονεν ἡ σῶσις, καὶ τῶν γονυμῶν καλῶς οὐκ ἀλλοτριόμεθα. καὶ σημείωσαι πρῶτον, ὅτι οὐκ εἶπον, Ὅπου ἐνῶται ὁ Ῥώμης ἐνῶμαι κἀγώ, ὁ γὰρ Ῥώμης κεφαλὴ ἁμαρτητῶν τῶν Ἐκκλησιῶν. οὐκ εἶπον· Ἕπομαι ἀνεξετάστως τῷ ῥωμαϊκῷ Ἀρχιερεῖ, ἐπειδὴ ἄκρος καὶ μόνος ἀμέσως ἐστὶ Τοποτηρητὴς τοῦ Χριστοῦ, τουτέστιν ἰσοδύναμος τῷ Χριστῷ ὁν τῇ Ἐκθέσει τῆς ἀληθείας, καὶ ἄκραν ἔχει δυνάμιν καὶ ἐξουσίαν λέγειν τὰ περὶ πίστεως ἀδιαψεύστως, ἀλλὰ καθολικὴν Ἐκκλησίαν τοῦ Χριστοῦ εἶπε τὴν πίστιν, ἣν ἡ μὴ ἔχουσα Ἐκκλησία, οὐκ ἔστιν Ἐκκλησία ἀληθὴς, ἀλλὰ δοῦλα καὶ ὑποκριτὴς, καὶ οὐκ ἐφέσνει ὁ Μάξιμος, ὅτι ἦν ἐνδεχόμενον πάντας τοὺς πρώτους θρόνους τῆς καθολικῆς Ἐκκλησίας ἁμαρτῆσαι καθάπαξ, ἀλλὰ πρὸς τὴν ἀδολεσχίαν καὶ τὴν ὑπόκρισιν τοῦ ψευδοπατριάρχου ἀντιφερόμενος εἶπον. ἀρκεῖ ὅμως ὑπὸ τοῦ παρόντος, ὅτι οὐ δημίαν ἐξαίρεσιν ἐποίησε περὶ ἀναμαρτησίας τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ἀλλ' ἐξίσου ᾗ ὁμοτρόπως ταῖς λοιπαῖς κατέταξε καὶ αὐτὴν, ἐπειδὴ μία καὶ ἰσότιμος καὶ ἰσοδύναμος ἐστὶ ταῖς εἰρημέναις λοιπαῖς. Ἔτι ὁ αὐτὸς ὑποσολῇ πρὸς Πέτρον ἱλαρέστερον ὑποκρινόμενον περίτινων ἐκκλησιαστικῶν ζητημάτων φησὶ, Πρὸς τὸν Δεσπότην καὶ αἰτήσατον τῶν δογμάτων ὑπέρμαχον Ἀββᾶν Σωφρόνιον πέμπε νομίσαντα τὴν ὀρθὴν καὶ ἄμεμπτον γνῶσιν. καὶ ὁν τῷ τέλει τοῦ πρὸς Μαρῖνον Πρεσβύτερον Κύπριον δογματικοῦ λόγου λέγει περὶ τοῦ Ἀρχιεπισκόπου Κύπρου Ἀρκαδίου, Τὸν ἱεραρχικῶς πρὸς καθήμενον τῆς ὀρθῆς πίστεως, ὃ πάντες οἵτε πλησίον καὶ οἱ μακρὰν ὑπὸ τοὺς πτέρυγας ἐσίως ἐπαναπαυόμεθα, μόνην κρηπῖδα δογμάτων ἱερωτέρων τὴν αὐτοῦ τε καὶ δι' αὐτοῦ μακαρίαν ἔλαμψιν ἔχοντες, δι' ἧς πρὸς τὸ ἄσκιον φῶς καὶ πατρικὸν ὁν Πνεύματι ἁγίῳ χειραγωγούμεθά τε καὶ ἀναγόμεθα καὶ ὁδηγούμεθα. ὧν οἷς σημείωσαι πρῶτον, ὅτι εἰ ταῦτα ἔλεγέ τις ἔγκειτος ἁγίῳ, ἢ ὁ Ἀββᾶς Μάξιμος τῷ Πάπᾳ Ῥώμης, πάντως πρὸς ἔβαλον αὐτὰ ὥστινα ἀναστίρρη-

τίῤῥητον αἰτίαν περὶ μοναρχίας αὐτοῦ, διὸ οὐκ ἐῤῥέθη αὐτῷ παρ' οὐδενὸς τὰ τοιαῦτα, προγινώσκοντος καὶ κωλύοντος τοῦ Πνεύματος τοῦ ἁγίου. δεύτερον, ὡς ὀρθοδοξούσης τῆς Ἐκκλησίας Ῥωμαίων ἀπαστράπτει ἀπ' αὐτῆς ἡ αἴγλη τῶν πατρικῶν δογμάτων, τῷ αὐτῷ τρόπῳ καὶ διὰ τὴν αὐτὴν αἰτίαν ἀπαστράπτει καὶ παρὰ τοῦ Κύπρου καὶ Ἱεροσολύμων, ὅπερ ταυτόν ἐστι τῷ ὅτι συμφωνεῖ ἡ Ῥώμη τοῖς πατράσιν ἐν τοῖς ἐκκλησιαστικοῖς δόγμασι, καὶ τὰ αὐτὰ φρονοῦσα διδάσκει τοὺς ἀμαθεῖς, ἢ Αἱρετικοὺς, ὡς ὁ Ἱεροσολύμων καὶ ὁ Κύπρου. τρίτον, καθὼς ἐπὶ Ἡρακλείου, ζώντων τοῦ Ἱεροσολύμων Σωφρονίου καὶ τοῦ Κύπρου Ἀρκαδίου, σοφωτάτων καὶ ἁγίων ὄντων, συνεβούλευεν ὁ Μάξιμος τῷ Ἰλλουστρίῳ ἐκείνους ἐρωτᾶν περὶ τῶν θείων δογμάτων, οὕτως ἐπὶ Κώνστα προκοιμηθέντος τοῦ Σωφρονίου, καὶ Κύπρου ὄντος τοῦ Σεργίου, ἢ καὶ ἑτέρου τινὸς μετὰ τὸν Σέργιον Ἐπισκόπου, καὶ ὄντων, ὡς εἴρηται, καὶ τοῦ Ἀλεξανδρείας καὶ τοῦ Ἀντιοχείας Αἱρετικῶν, ἐπέτρεψεν ὁ Μάξιμος τοῖς Κωνσταντινουπολίταις τὸν Πάπαν καὶ τὴν ῥωμαϊκὴν Ἐκκλησίαν ἐρωτᾶν περὶ πίστεως. πρὸς τούτοις ὁ Μάξιμος ἐν τῇ μετὰ Πύῤῥου διαλέξει ἐλέγχων τὸν Σέργιον καὶ αὐτὸν τὸν Πύῤῥον, ὅτι Συνόδους ἤθροισαν μόνοι ἐν Κωνσταντινουπόλει εἰς βεβαίωσιν τῆς Ἐκθέσεως τοῦ Ἡρακλείου, οὐκ εἶπεν ὅτι ἄνευ τοῦ ῥωμαϊκοῦ θρόνου Συνόδους πεποιηκότες, παρανόμως ἐποιήσατε, ἀλλ' εἶπε ταῦτα ῥητῶς ἐν τῷ τέλει τοῦ διαλόγου πρὸς τὸν Πύῤῥον, Θαυμάζειν ὑπεστίμοι πῶς Σύνοδον ἀποκαλεῖς τὴν μὴ κατὰ Νόμους καὶ Κανόνας συνοδικοὺς, ἢ θεσμοὺς γενομένην ἐκκλησιαστικούς; οὔτε γὰρ ἐπιστολὴ ἐγκύκλιος κατὰ συναίνεσιν τῶν Πατριαρχῶν γέγονεν, οὔτε τόπος, ἢ ἡμέρα ὑπαντήσεως ὡρίσθη, οὔτε εἰσαγώγιμός τις, ἢ κατήγορος ἦν. Συστατικὰς οἱ συνελθόντες οὐκ εἶχον οὔτε οἱ Ἐπίσκοποι ἀπὸ τῶν Μητροπολιτῶν οὔτε οἱ Μητροπολῖται ἀπὸ τῶν Πατριαρχῶν, οὐκ ἐπιστολαὶ, ἢ Τοποτηρηταὶ ὑπὸ τῶν ἄλλων Πατριαρχῶν ἐπέμφθησαν. τίς οὖν λόγου μεμοιραμένος Σύνοδον καλεῖν ἀνάρχοιτο τὴν σκανδάλων καὶ διχονοίας ἅπασαν πληρώσασαν τὴν Οἰκουμένην; Ὁ αὐτὸς ἐν τῇ σημειώσει ἐν τῇ πρὸς Δημόφιλον ἐπιστολῇ τοῦ Ἀρεοπαγίτου ἐν τοῖς, καὶ τοῖς Ἱεράρχαις οἱ Ἀπόστολοι, φησὶ, Σημείωσαι ὅτι καὶ Ἐπισκόπων μείζους οἱ Ἀπόστολοι καὶ οἱ τῶν Ἀποστόλων διάδοχοι, καὶ ὅτι ἕκαστος παρὰ τοῦ ἁγιωτέρου τῆς αὐτοῦ τάξεως εὐθύνεσθαι ὀφείλει, Ἀποστόλων διαδόχους δὲ τοὺς νῦν Πατριάρχας ἡγοῦμαι εἶναι. Εἰ καὶ εἴρηται ἀνωτέρω, ὅμως φανερώτερον πρόσθες, ὅτι οἱ Ἄρχοντες ἐνιστάμενοι ἐν τῷ Σεκρεταρίῳ ἔλεγον τῷ Μαξίμῳ, ὅτι οἱ Ἀποκρισιάριοι τῆς παλαιᾶς Ῥώμης ἔμελλον ὁμοφρόνως ἀποδέχεσθαι τὸν Τύπον τοῦ Κώνστα, ὁ δὲ Μάξιμος συνειθισμένος ὢν εἰς τοιαύτας μάχας, ἀπεκρίθη, ὅτι οὐ πείθεταί ποτε τοὺς Ἀποκρισιαρίους ποιῆσαι τοῦτο, καὶ μάλιστα ἐκ προστάγματος τοῦ Πάπα. ἀλλὰ πάλιν ἐνιστάμενοι οἱ Πατρίκιοι, καὶ ἐρωτῶντες, τί ἔμελλε ποιήσειν, εἰ οἱ Ἀποκρισιάριοι ἀπεδέχοντο τὸν ἄνωθεν Τύπον, καὶ τοῦτο ἐξ ἀδείας ἐγγράφου τοῦ Ῥώμης Ἀρχιερέως; ὁ Μάξιμος οὐκ ἀπεκρίθη ἄλλοις τισὶ λόγοις, ἀλλ' ἢ μετὰ τῶν τοῦ Ἀποστόλου πρὸς Γαλάτας, Ἀλλὰ καὶ ἐὰν Ἄγγελος ἐξ Οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω, ὡς προείρηκα καὶ ἄρτι πάλιν λέγω, Εἴ τις ὑμᾶς εὐαγγελίζηται, παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. ἐν οἷς σημείωσαι, ὅτι ὁ Μάξιμος ἦν ἕτοιμος ἀναθεματίσαι καὶ τὸν Πάπαν εἰ ἀπεδέχετο τὸν Τύπον τοῦ Κώνστα. ταῦτα Μάξιμος. ἐξ ὧν λαμπρῶς πᾶσα μοναρχικὴ ἐξουσία ἀπὸ τῆς Ἐκκλησίας καθαιρεῖται, καὶ τὸ κῦρος παρέχεται τῇ κοινότητι. ἴδε καὶ ἀνωτέρω βιβλίου ἕκτου, κεφαλαίου ἑβδόμου Παράγραφον δέκατον ἕκτον. ἴδε καὶ τὰ περὶ τῆς ἐπιστολῆς τοῦ Μαξίμου εἰρημένα ἀνωτέρω κεφαλαίου τοῦ αὐτοῦ Παραγράφῳ δεκάτῳ ἑβδόμῳ. καὶ λοιπὸν καὶ ἀπὸ τοῦ Μαξίμου καθαιρεῖται οὐ συνίσταται ἡ φαύλη μοναρχία τοῦ Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι συγκρινομένης τῆς πρὸς Ἰγνάτιον τὸν Κωνσταντινουπόλεως ἐπιστολῆς τοῦ Ἐπιφανίου Κύπρου τῇ ἐπιγραφῇ τοῦ πρὸς Θεόδωρον Ῥώμης γράμματος τοῦ Σεργίου Κύπρου, καταβάλλεται ἡ πομπηϊκὴ μονότης κατακράτος τοῦ Ῥώμης.

Ὁ Κύπρου Σέργιος γράφων πρὸς Θεόδωρον Ῥώμης, ἐπιγράφει οὕτω, Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ καὶ θεοστηρίκτῳ μου Δεσπότῃ, πατρὶ πατέρων, Ἀρχιεπισκόπῳ καὶ Οἰκουμενικῷ Πάπᾳ κυρίῳ Θεοδώρῳ, Σέργιος ταπεινὸς ἐν Κυρίῳ. Ἀλλὰ ῥητέον, ὅτι εἰ καὶ περὶ τούτου εἴρηται ἡμῖν ἐν τῇ δευτέρᾳ πράξει τῆς ἐπὶ Μαρτίνου Συνόδου, ἐπιλέγομεν ὅμως, ὅτι ἐν τῇ κατὰ Φωτίου Συνόδῳ, ἣν ἀσπάζονται οἱ παπολάτραι καὶ ὀγδόην Οἰκουμενικὴν καλοῦσι, φέρεται ἐπιστολὴ τοῦ Κύπρου Ἐπιφανίου πρὸς τὸν Κωνσταντινουπόλεως Ἰγνάτιον οὕτως ἔχουσα, Τολμῶν ὁ ἀνάξιος καὶ πανευτελὴς τοῦ πανιέρου καὶ ἰσαγγέλου Δεσπότου μου δοῦλος γράφω. καὶ κατωτέρω, Ὄντως εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων, τῇ ὑμετέρᾳ στεῤῥοτάτῃ πέτρᾳ προσκρούσας, ἰδοὺ οἱ συκοφάνται τῆς ἀληθείας παρῆλθον, καὶ ὁ φωστὴρ τῆς Οἰκουμένης αὖθις τὴν ἰδίαν ἀπελάβετο δόξαν, διὸ καὶ συντρέχει καὶ συνευφραίνεται ἐπὶ τῇ ἀποκαταστάσει σου πᾶσα ἡ Οἰκουμένη, καὶ συνεορτάζουσι τούτοις καὶ αἱ ἄνω Δυνάμεις. καὶ λοιπὸν σημείωσαι, ὅτι μείζονα τὰ ἐγκώμια τοῦ Ἐπιφανίου πρὸς Ἰγνάτιον τῶν ἐγκωμίων Σεργίου πρὸς τὸν Θεόδωρον. ὥστε καὶ ἐκ τούτου καταβάλλεται ἡ πομπηϊκὴ μονότης ἕως ἐδάφους.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι οὔτε ἐκ τοῦ προσφωνητικοῦ τῆς ἕκτης Συνόδου πρὸς τὸν Βασιλέα καὶ τῶν πρὸς Ἀγάθωνα ἐγκωμίων τὸ ἀλαζονικὸν οὐραῖον τοῦ ῥωμαϊκοῦ Σκορπίου συνίσταται.

Οἱ πατέρες τῆς ἕκτης Συνόδου πρὸς τὸν Βασιλέα ἐν τῷ προσφωνητικῷ φασὶ, Τοῖς Ἀγάθωνος τοῦ μακαριωτάτου πατρὸς ἡμῶν καὶ κορυφαιοτάτου Πάπα δογματικοῖς πρὸς τὸ ὑμέτερον κράτος ὁμοφρονήσαντες γράμμασι, πράξει δεκάτῃ ὀγδόῃ. Ἀλλὰ ῥητέον, ὅτι ἱκανῶς εἴρηται ἀνωτέρω ἐν τῷ τόπῳ τῆς Συνόδου, περὶ δὲ τοῦ ὁμοφρονήσαντες, ἴδε βιβλίου πέμπτου κεφάλαιον ἑνδέκατον, καὶ βιβλίου ἕκτου κεφάλαιον δέκατον, καὶ ἐν πάσαις ταῖς πράξεσι τῆς ἑβδόμης Συνόδου, ὥστε καὶ ἐντεῦθεν καταδαπανᾶται τὸ ἀλαζονικὸν οὐραῖον τοῦ ῥωμαϊκοῦ Σκορπίου.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἐκ τῶν πρὸς Λέοντα Ἴσαυρον ἐπιστολῶν τοῦ Γρηγορίου Πάπα, καὶ τῆς πρὸς Γερμανὸν τὸν Κωνσταντινουπόλεως ἐπιστολῆς τοῦ αὐτοῦ, δείκνυνται Γρηγόριος καὶ Γερμανὸς ἴσοι κατά τε τιμὴν καὶ ἀξίαν. καὶ ὅτι ἡ τοῦ Γερμανοῦ πρὸς Γρηγόριον ἐπιστολὴ ὑπὸ τῶν παπιστῶν ὑπὲρ τοῦ παπισμοῦ προβαλλομένη, ἀντίκειται ταῖς τρισὶν ἐπιστολαῖς ταύταις, καὶ παπιστῶν ἐστὶ πλάσμα, καὶ μεματαίωται ὁ παπισμός.

Λέγουσιν οἱ παπισταὶ, ὅτι ὁ ἅγιος Γερμανὸς πρὸς τὸν Πάπαν Γρηγόριον τὸν δεύτερον λέγει καὶ ταῦτα, Πάτερ ἅγιε πρεσβεύομεν ὑμῖν κατὰ τὴν ἀποστολικὴν ἐξουσίαν τὴν παρὰ Χριστοῦ σοι δοθεῖσαν πρὸς ἡμᾶς ἅπαντας τοὺς σοιμαινομένους παρὰ τῶν διαδόχων τοῦ Πέτρου ἵνα κατευθύνῃς ἡμῶν τὴν πίστιν, καὶ στηρίξῃς τὰ ὀρθοδοξολογούμενα ὑπὸ τῆς ὑμετέρας καθολικῆς εὐσεβείας, ἀλαλάζων καὶ βοῶν ἀπὸ τῆς ἀκρότητος τοῦ θείου σου θρόνου, καὶ ἡμῖν συμφρονῶν. εὑρίσκεται δὲ ἡ ἐπιστολὴ, λέγουσι, παρὰ τῷ Διπλοβατατζίῳ ἐν τῇ συνόψει. Ἀλλὰ ῥητέον, ὅτι οὗτος ὁ Πάπας Γρηγόριος ἔγραψε πρὸς τὸν Βασιλέα τὸν Ἴσαυρον ἐπιστολὰς δύο, ὧν ἐν μὲν τῇ πρώτῃ λέγει πρὸς αὐτὸν, Γράψον παντὶ καὶ πανταχοῦ εἰς τὴν Οἰκουμένην οὓς ἐσκανδάλισας, ὅτι Γερμανὸς ὁ Πατριάρχης Κωνσταντινουπόλεως ἥμαρτον εἰς τὰς Εἰκόνας καὶ Γρηγόριος ὁ πάπας Ῥώμης, καὶ ἡμεῖς ἀμέριμνόν σε ποιήσομεν περὶ τῆς ἁμαρτίας καὶ τοῦ σφάλματός σου, ὡς λαβόντες τὴν ἐξουσίαν παρὰ Θεοῦ λύειν τὰ οὐράνια καὶ τὰ ἐπίγεια. ἐν δὲ τῇ δευτέρᾳ ἐπιστολῇ φησὶ πάλιν πρὸς αὐτὸν, Παρακαλοῦμέν σε γράψον εἰς πάσας τὰς χώρας ἃς ἐσκανδάλισας, ὅτι Γρηγόριος ὁ Πάπας Ῥώμης ἔσφαλεν εἰς τὰς Εἰκόνας καὶ Γερμανὸς ὁ Πατριάρχης Κωνσταντινουπόλεως, καὶ ἡμεῖς ἀναδεχόμεθα τὸ σφάλμα τῆς ἁμαρτίας, ὡς λαβόντες παρὰ Κυρίου τὴν ἐξουσίαν καὶ αὐθεντίαν λύειν καὶ δεσμεῖν τὰ ἐπίγεια καὶ τὰ οὐράνια, καὶ παρήκουες ἡμῶν τῶν ταπεινῶν καὶ Γερμανοῦ τοῦ προέδρου καὶ τῶν ἁγίων Διδασκάλων καὶ πατέρων ἡμῶν. καὶ ἐν τῷ τέλει, ὁ Θεὸς δοίη σοι συναίνεσιν καὶ ἐπιστροφὴν καὶ ἀποκαταστήσοι πάλιν τοῖς λαοῖς εἰς ἕνα Ποιμένα τὸν Χριστὸν, καὶ εἰς μίαν ποίμνην τῶν ὀρθοδόξων Ἐκκλησιῶν. Ἔτι ὁ Γρηγόριος γράφων τῷ ἁγίῳ Γερμανῷ, κεῖται δὲ ἡ ἐπιστολὴ ἐν τῇ τετάρτῃ πράξει τῆς ἑβδόμης Συνόδου, ἐν ᾗ φησὶ, Ποία καὶ τὶς θυμηδία τὴν ἐμὴν οἶδεν οὕτως εὐφραίνειν ψυχὴν ὡς ἡ περὶ σὲ, τὸ σεμνὸν ὄντως ἐμοὶ καὶ ὑπερφυὲς ὄνομα καὶ καλλώπισμα ἡγιασμένε καὶ θεοδίδακτε, χαροποιὸς ἀγγελία, ταύτῃ γὰρ καὶ ἀρτίως ἐγὼ τοῖς τιμίοις σου γράμμασιν εὐαγγελισθεὶς ἀνεσκίρτησα, καὶ ὑπὸ τῆς ἄγαν χαρᾶς τῷ πνεύματι ἀνεζωπύρησα. Καὶ, Μαρτυρεῖ δέ μοι τῷ λόγῳ καὶ ἡ κατὰ πᾶσαν ὥραν τῆς ὑμετέρας ὦ πανεύφημε καὶ Θεῷ πεφιλημένε καλοκαγαθίας ἀνάμνησις, ἥντινα ἔναυλον ἔχων τοῖς ὠσὶ, τὴν ὠδῖνα τοῦ λόγου φέρειν ἀδύνατον, αὖθις πρὸς τὴν διὰ γραμμάτων ἐχώρησα πρόσρησιν, ἔστι γὰρ χρέος ἐμοὶ, καὶ χρεῶν ἁπάντων ἐπισημότατον τὸ σε τὸν ἐμὸν ἀδελφὸν καὶ τῆς Ἐκκλησίας πρόμαχον προσαγορεῦσαι καὶ προσειπεῖν, καὶ τῶν σῶν παλαισμάτων ἐξυμνῆσαι τὰ αἴτια. καὶ ἐν τῷ τέλει, Καὶ τί δεῖ τὸ γράμμα εἰς μῆκος ἐκτείνεσθαι; καὶ μάλιστα πρὸς ἄνδρα θεάρεστον καὶ σκεῦος ἐκλελεγμένον Θεῷ, καὶ τὴν χάριν εἰληφότα τοῦ Πνεύματος, καὶ παρακύπτειν εἰς τὰ βάθη τῶν θείων δογμάτων δυνάμενον, καὶ θεοδηγήτως κατανοεῖν εἰς ἄκρον τὸ ὕψος τῆς γνώσεως; Καὶ, πῶς οὐκ ἂν ἔδει πλέον τὴν σὴν ὑπερφυᾶ ἁγιότητα συμμάχῳ (τῇ Θεοτόκῳ) κεχρημένην κατάρξαι τῶν πολεμίων τῆς πίστεως, καὶ νίκῃ στεφανῶσαι τοὺς ὑπὸ χεῖρα; ἀλλὰ ταῖς αὐτῆς ἱκεσίαις καὶ τῶν ἁγίων ἁπάντων ὁκραταιὸς ἐνπολέμοις Θεὸς ἡμῶν, ὁ ἰσχυρὸς καὶ μακρόθυμος, ὁ ὁδηγήσας σε ὑπὲρ τὸν Ἰωσὴφ ὡσεὶ πρόβατον, φυλάξαι σε ἡγιασμένε εἰς χρόνους ἐπιμήκεις, ἅπαν τὸ χριστιανικὸν εὐεργετοῦντα πολίτευμα, καὶ τῷ θείῳ Κανόνι πάντας στοιχεῖν ὁδηγοῦντα ἅμα καὶ παροτρύνοντα, καὶ φυλάσσειν τὴν παρακαταθήκην, ἣν παρὰ τῶν πατέρων εἰλήφαμεν, ἐπιστρέφοντα πρὸς τοὺς ὀλίγον ἀγνωμονήσαντας, ἡ διαρκὴς ἡμῶν χαρὰ καὶ κοινὸν ὄφελος καὶ ἀπόλαυσις ἁγιώτατε, καὶ πᾶσι τοῖς Χριστιανοῖς ποθητέ. ταῦτα ὁ Γρηγόριος. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ἀδιαφόρως ποτὲ μὲν ἑαυτὸν καὶ ποτὲ δὲ

τὸν

τὸν Γερμανὸν προτάσσει καὶ ὑποτάσσει. δεύτερον, ὅτι ἐξίσου φησὶν ὅτι ἔλαβον ἐξουσίαν καὶ αὐθεντίαν παρὰ Θεοῦ ὁ Κωνσταντινουπόλεως καὶ ὁ Ῥώμης ἵνα λύωσι καὶ δεσμῶσι τὰ οὐράνια καὶ τὰ ἐπίγεια. καὶ σημείωσαι ὅτι οὐλέγει λαβεῖν τὸν μὲν Πάπαν παρὰ Θεοῦ, τὸν δὲ Γερμανὸν παρὰ τοῦ Πάπα, ἀλλ' ἀμφότεροι φησὶν ἔλαβον παρὰ Θεοῦ τὴν αὐθεντίαν καὶ ἐξουσίαν. τρίτον, ὅτι ὁ Ἴσαυρος ἡμάρτανεν ἐφ' ὅσον ἐξίσου παρήκουε τοῦ Πάπα, τοῦ Κωνσταντινουπόλεως καὶ τῶν ἁγίων Διδασκάλων καὶ πατέρων. τέταρτον, ὅτι τὸν Κωνσταντινουπόλεως ἀπολελυμένως λέγει πρόεδρον. πέμπτον, ὅτι οἱ λαοὶ ἡ μία ποίμνη πασῶν τῶν Ἐκκλησιῶν οὐκ ἔχει τὴν ἑνότητα ἀπό τινος ἄλλου, ἢ ἀπὸ τοῦ Πάπα, ἀλλ' ἀπὸ τοῦ Χριστοῦ, ὃς καὶ εἷς ἐστὶ Ποιμὴν πασῶν τῶν Ἐκκλησιῶν, τουτέστι πάσης τῆς καθολικῆς Ἐκκλησίας. ἕκτον, ὅτι ὁ Γερμανὸς ἔχει ὄνομα ὑπερφυὲς, καὶ ἔστι καλλώπισμα τοῦ Πάπα, ἡγιασμένος, θεοδίδακτος, Θεῷ πεφιλημένος, τῆς Ἐκκλησίας πρόμαχος, παλαιστὴς κατὰ τῶν ἐχθρῶν θεάρεστος, σκεῦος ἐκλογῆς, χάριν ἔλαβε παρὰ Θεοῦ προκύπτειν εἰς τὰ βάθη τῶν θείων δογμάτων καὶ θεοδηγήτως εἰς ὕψος κατανοεῖν αὐτὰ, ὑπερφυῶς ἁγιώτατος, ἅπαν τὸ χριστιανικὸν πολίτευμα ὁδηγῶν καὶ παροτρύνων στοιχεῖν τῷ Κανόνι τῷ θείῳ, καὶ τὴν κοινὴν παρακαταθήκην φυλάσσειν, καὶ κοινὸν ὄφελος, καὶ πᾶσι Χριστιανοῖς ποθητός. τούτων οὕτως ἐχόντων, φανερὸν ἐστὶν ὅτι ὁ Κωνσταντινουπόλεως καὶ ὁ Πάπας τῆς ἴσης τιμῆς καὶ τῆς ἴσης ἀξίας εἰσὶ καὶ τῆς αὐτῆς δυνάμεως ἐν τῇ Ἐκκλησίᾳ καὶ τοῦ αὐτοῦ βαθμοῦ, καὶ ὁ Γερμανὸς θεοδήγητος καὶ οὐκ ἀνθρωποδήγητος, εἰς τὰ βάθη τοῦ Πνεύματος κύπτειν δυνάμενος, καὶ οὐχ ἑτέρου δεόμενος, καὶ τὰ ἑξῆς. καὶ λοιπὸν ἡ ἐπιστολὴ αὕτη τοῦ Γερμανοῦ πρὸς τὸν Πάπαν Γρηγόριον, ἣν προτείνουσιν οἱ παπολάτραι ἕνεκεν τοῦ παπισμοῦ, παντάπασι καὶ ἄκρως ἀντίκειται ταῖς εἰρημέναις τρισὶν ἐπιστολαῖς τοῦ Γρηγορίου, ὅθεν καὶ πλάσμα ἐστὶ τῶν παπιστῶν, καὶ ἐκ τῆς ἀντιχριστιανικῆς καρδίας αὐτῶν ἐξεφωνήθη. ὥστε μεματαίωται καὶ ἐντεῦθεν ὁ παπισμός.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ τῆς πρὸς τὸν Κωνσταντινουπόλεως Ταράσιον ἐπιστολῆς τοῦ Πάπα Ἀδριανοῦ, καὶ ἐκ τῶν λεχθέντων ἐν ταῖς πράξεσι τῆς Οἰκουμενικῆς ἑβδόμης Συνόδου, ἡ ἐπιστολὴ, ἣν ὑπὲρ τῆς μοναρχίας τοῦ Πάπα οἱ παπισταὶ ὑπὸ Ταρασίου πρὸς Ἀδριανὸν ἐστάλθαι λέγουσι, δείκνυται ψευδὴς, πλάσμα, ἀνόμοιος καὶ θεομάχος ὡς καὶ ὁ παπισμός.

Προτείνουσιν ἔτι, ὅτι ὁ Κωνσταντινουπόλεως Πατριάρχης Ταράσιος γράφει εἰς τὸν Πάπαν Ἀδριανὸν τὸν πρῶτον ταῦτα, Σοὶ γὰρ εἶπεν ὁ Χριστὸς ποίμαινε τὰ πρόβατά μου, τουτέστι τοὺς πανταχοῦ Χριστιανοὺς, τῇ σῇ Ἀρχιερατείᾳ πᾶσα Ἀρχιερατεία ὑπόκειται, οὐκ ἔστιν ὀρθόδοξος ὁ μὴ σεβόμενός σου τὸν θρόνον, ἐν ᾧ κάθηται ὁ κορυφαῖος τῶν Ἀποστόλων, ἡμᾶς καὶ πάντας τοὺς πιστοὺς διδάσκων καὶ κυβερνῶν. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, ὁ Πάπας Ἀδριανὸς γράφων πρὸς τὸν Κωνσταντινουπόλεως Ταράσιον, κεῖται δὲ ἡ ἐπιστολὴ πράξει δευτέρᾳ τῆς ἑβδόμης Οἰκουμενικῆς Συνόδου, φησὶ πρὸς αὐτὸν, Μετὰ τὸ πλήρωμα τῆς πίστεως καὶ τῆς ὁμολογίας τοῦ ἱεροῦ Συμβόλου καὶ τῆς ἀποδοχῆς τῆς προσκυνήσεως τῆς ἁγίας Εἰκόνος. Καὶ, ἐὰν καθὼς ἀπήρξατο παραμείνῃ, παντελῶς ἐπαινοῦμεν, καὶ ὡς ποιμαντικῇ μερίμνῃ φροντίζοντες συμβουλεύομεν, ἵνα τὴν ὀρθόδοξον πίστιν, ἥνπερ ἅπαξ ὡμολόγησεν, ἀμετάθετον διατηρήσῃ, κηρύττουσα καὶ διδάσκουσα, θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὃς ἐστὶν Ἰησοῦς Χριστός. καὶ κατωτέρω, Ἐκεῖνος οὖν εἰς τὸ ποίμνιον εἰσέρχεται, ὁ διὰ τῆς θύρας εἰσερχόμενος, καὶ ὁ εἰσερχόμενος διὰ τῆς θύρας, διὰ Χριστοῦ εἰσέρχεται, ὅστις ἐκ τοῦ αὐτοῦ δημιουργοῦ καὶ λυτρωτοῦ τοῦ ἀνθρωπίνου γένους τὴν ἀλήθειαν συνιεὶς διαφυλάττει, καὶ τηρεῖ τὸν βαθμὸν τῆς ποιμαντικῆς ἀξίας, καὶ βαστάζειν τὸ βάρος ἀνέχεται, οὐ πρὸς τὴν δόξαν καὶ τιμὴν τὴν παρερχομένην ἀποβλέπων, ἀλλ' ὡς ἀναδεξάμενος τὸ ποίμνιον, ἐπιμελῶς ἀγρυπνεῖ. ἐὰν οὕτω ποιῇ, καὶ ἀγρυπνῇ ὁ ποιμαίνων τὰ πρόβατα Λάβαν, ποίας ἀγρυπνίας ὀφείλει ὑποφέρειν ὁ ποιμαίνων τὰ πρόβατα τοῦ Χριστοῦ; καὶ κατωτέρω, Μετὰ γὰρ τὴν ὁμιλίαν τῆς πίστεως ὑμῶν ἐγνώσθη ἡμῖν ὅτι ἡ ὑμετέρα σεπτὴ ὁσιότης ἠξίωσε τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν περὶ τοῦ γενέσθαι Σύνοδον οἰκουμενικὴν, καὶ συνέθεντο ἐνώπιον παντὸς τοῦ φιλοχρίστου αὐτῶν λαοῦ, τῇ ὑμετέρᾳ ἱκεσίᾳ εὐσεβῶς ἐπινεύσαντες, καὶ τὴν Σύνοδον ὥρισαν γενέσθαι. Καὶ, τούτου ἕνεκεν μετὰ ἀκροτάτου μόχθου καὶ πόθου τῆς πίστεως καὶ ἀγῶνος ἐν τούτοις πᾶσιν ἀδιστάκτως τὴν ὑμετέραν σεπτοτάτην ἁγιωσύνην ἁρμόζει τὰς ἱερὰς καὶ σεπτὰς Εἰκόνας ἐν τοῖς μέρεσι τῶν αὐτόθι ἐν τῇ ἀρχαίᾳ τάξει ἀναστῆσαι, ὅπως ἐν ὁμονοίᾳ ἀξίως τὴν προφητικὴν ἀνυμνήσωμεν ᾠδὴν λέγοντες, Κύριε σῶσον τοὺς Βασιλεῖς ἡμῶν. καὶ ἐν τῷ τέλει, ὁ Θεὸς ὑγιᾶ σε διαφυλάξοι ἠγαπημένε ἀδελφέ. ταῦτα ὁ Ἀδριανός. ἐν νοῖς σημείωσαι πρῶτον, ὁ Ταράσιος τελείαν ἔγραψε τὴν πίστιν τὴν ὀρθόδοξον καὶ τὴν ὁμολογίαν τοῦ ἱεροῦ Συμβόλου ἀφ' ἑαυτοῦ πρὸς τὸν Ῥώμης, καὶ οὐδὲν ἀπ' ἐκείνου ἐζήτησε μαθεῖν, καὶ οὐδὲν ὁ Πάπας αὐτὸν ἐδίδαξεν εἰς τὸ μαθεῖν, ἀλλὰ τὴν πίστιν τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἔγραψε πρὸς τὸν Βασιλέα καὶ πρὸς τὸν Ταράσιον κατὰ τὸ ἀρχαῖον καὶ κανονικὸν τῶν Πατριαρχῶν ἔθος. δεύτερον, ὁ Πάπας οὐ προστάττει, ἀλλὰ σεπτοτάτως τιμᾷ καὶ ἀδελφικῶς συμβουλεύει, ἵνα μείνῃ

οἷς

εἷς ὡμολόγησεν ὁ Ταράσιος. τρίτον, εὐχαριστεῖ ὅτι αἴτιος ἐγένετο ὁ Ταράσιος τοῦ γενέσθαι τὴν Σύνοδον διὰ τῆς ἱκεσίας αὐτοῦ. τέταρτον, ὅτι λέγει, ἐν ἐστι τὸ θεμέλιον, οὐ λέγει δὲ ὅτι ἐστὶν ὅπως δήποτε καὶ δεύτερον. πέμπτον, ὅτι λέγει, Ποιμένα τῶν προβάτων οὐ τὸν πειθόμενον τῷ Πάπᾳ, ἢ τὸν διδασκόμενον ὑπὸ τοῦ Πάπα, ἀλλὰ τὸν συνιέντα τὴν ἀλήθειαν ἐκ τοῦ Χριστοῦ. ἕκτον, ὅτι Ποιμένα τὸν Ταράσιον λέγει διὰ πολλῶν καὶ οὐ πρόβατον, μάλιστα διαστολὴν ποιεῖται διὰ πολλῶν, καὶ σαφέστατα λέγει, ὅτι ὁ μὲν Ταράσιος ἐστὶ Ποιμὴν, οἱ δὲ πιστοὶ αὐτοῦ πρόβατα. ἕβδομον, ὅτι κοινῶς λέγει πάντας τοὺς Ἐπισκόπους Ποιμένας, οἷς καὶ ἑαυτὸν συγκαταριθμεῖ, ἐπειδὴ ἀπολελυμένως ἐπιγράφει τῶν Ποιμένων τὰ ἴδια, ἐξ ὧν οὐκ ἐξαιρεῖ ἑαυτόν. ὄγδοον, ὅτι δέεται αὐτοῦ ἵνα κοπιάσῃ καὶ μοχθήσῃ ἀποκατασταθῆναι τὰς εἰκόνας ἐν τῇ ἀρχαίᾳ τάξει. εἰ δὲ ἦν ἀληθὲς τὸ, ὁ μὴ πειθόμενος τῷ Πάπᾳ οὐκ ἔστι Χριστιανὸς, ἐκέλευεν, οὐκ ἐδέετο. ἔνατον, ἑαυτὸν συντάττει τῷ Ταρασίῳ, λέγων, ὅπως ἐν ὁμονοίᾳ ἀνυμνήσωμεν. δέκατον, τοὺς Βασιλεῖς πολλάκις εἶπε Βασιλεῖς ἡμῶν, ἤτοι ἐξίσου ἑαυτοῦτε καὶ τοῦ Ταρασίου. ἑνδέκατον, ὅτι καὶ ἐν τῇ ἀρχῇ τῆς ἐπιστολῆς καὶ ἐν τῷ τέλει ἠγαπημένον ἑαυτοῦ ἀδελφὸν λέγει. καὶ σημείωσαι, ὅτι ἐκ τούτων πάντων, καὶ ἐξ ὧν εἴπομεν ἐν πάσαις ταῖς πράξεσι τῆς Οἰκουμενικῆς ἑβδόμης Συνόδου ἡ ἐπιστολὴ αὕτη, ἣν προβάλλουσιν οἱ παπολάτραι ἐκ μέρους τοῦ Ταρασίου, πλάσμα ἐστὶ, ψευδὴς ἐστὶν, ἀνόμοιος, θεομάχος, ἀντιχριστιανικὴ καὶ νεωτεροποιός ἐστιν, ἐπειδὴ μετὰ τὸ σχίσμα καὶ μετὰ πολὺν καιρὸν ἐπινοηθέντα πολλὰ τοιαῦτα τοῖς παπισταῖς, προτίθενται παρ' αὐτῶν ὡς ἀρχαῖα καὶ πάτρια.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἐκ τῶν συνοδικῶν τῶν ἐνθρονιαστικῶν τοῦ Νικηφόρου Κωνσταντινουπόλεως πρὸς τὸν Λέοντα τὸν τρίτον, δείκνυται ἡ ἐπιστολὴ, ἣν ὑπὲρ τῆς μοναρχίας τοῦ Πάπα οἱ παπισταὶ ἐπ' αἰτίᾳ Ἰωσὴφ παρὰ τοῦ Νικηφόρου πρὸς τὸν Λέοντα πεμφθῆναι λέγουσι, ψευδὴς, πλάσμα καὶ ἀθεορρήμων ὡς καὶ ἡ μοναρχία τοῦ Πάπα.

Ἐπιλέγουσιν οἱ αὐτοὶ, ὅτι ὁ ἅγιος Νικηφόρος ὁ Κωνσταντινουπόλεως Πατριάρχης γράφει τῷ Πάπᾳ Λέοντι τῷ τρίτῳ ἐπ' αἰτίᾳ Ἰωσὴφ Οἰκονόμου τοῦ στεφανώσαντος τὸν Βασιλέα Κωνσταντῖνον παρανόμως, ὃς ἐμέμφετο ὑπὸ Πλάτωνος καὶ Θεοδώρου τοῦ Στουδίτου, ὅτι ἐδέξατο αὐτὸν εἰς κοινωνίαν, καὶ λέγει δῆθεν ἀπολογούμενος, Ἡμεῖς οὐδὲν ἐπράξαμεν πόρρω τῆς ἐντολῆς σου, ὃν γὰρ ὑμῖν ἔδοξεν ἀφορισμῷ πάλιν ὑποκεῖσθαι, ἀφορισμῷ τῆς Ἐκκλησίας ἀφωσιωσάμεθα, ἔγνωμεν γὰρ τὸ κανονικὸν ἔθος, τὸ διδάσκον ἀκούειν τῆς φωνῆς, ἵνα μὴ γενώμεθα πρόβατα ἀλλότρια, οὐκ ἀκούοντα τῆς φωνῆς τοῦ Ποιμένος. Ἀλλὰ πρὸς ταῦτα ῥητέον, ὅτι ὁ ἅγιος Νικηφόρος ἔπεμψε τὰ συνοδικὰ αὐτοῦ τὰ ἐνθρονιαστικὰ πρὸς τὸν Πάπαν Λέοντα τὸν τρίτον, ἐν οἷς πρὸς τοῖς ἄλλοις φησὶν, Εἰ δὲ ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ, καὶ μεμοχλευμένον βασίλειον, καθὰ τὸ σολομόντειον ἡμᾶς νενουθέτηκε, δέομαι μὲν καὶ ἄλλων εὐχῶν εἰς βοήθειαν, μάλιστα δὲ πάντων τῆς ὑμῶν ἐν πνεύματι ποθεινοτάτης καὶ ἱερᾶς ἀδελφότητος, καθαρῶς προσομιλούντων ὑμῶν καὶ ἀκροωμένων, σιγώντων τε καὶ ἐπιβοωμένων, καθάπερ οἱ περὶ Μωϋσῆν καὶ Σαμουὴλ ἠκούοντο, καὶ εἴτις ἄλλος κατ' αὐτοὺς τῷ πνεύματι, διατοῦτο συλλαμβάνεσθέ μου τῇ ἀσθενείᾳ, καὶ χεῖρας ὁσίας εἰς ὕψος διάρατε, καὶ τοὺς ἀπειθοῦντας ὡς πρόβατα τῆς λογικῆς ποίμνης τοῦ Χριστοῦ καταρτίζοντες καὶ τῇ πάντων ἡμῶν κεφαλῇ τῷ Χριστῷ τῷ Ἀρχιποίμενι ὑποτάσσοιντο. καὶ μετ' ὀλίγα, Καὶ τὰ μὲν τῆς ὑμετέρας Εὐχῆς τε καὶ πνευματικῆς συμμαχίας ἐνταῦθα κείσθω. καὶ κατωτέρω, Ἐπαινέσας κατὰ Παῦλον τὴν Ῥωμαίων πίστιν, ὅτι καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ, ἐπήγαγε, Καὶ οἱ τὸ νέον τῶν Ῥωμαίων ὄνομα κληρωσάμενοι, ἅτε δὴ ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ θεμελίου ᾠκοδομημένοι τῆς πίστεως, φαμὲν δὴ τῶν Ἀποστόλων καὶ Προφητῶν πανσόφων τεχνιτευμάτων, τεθέντος ἀκρογωνιαίου λίθου τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ καὶ Θεοῦ, κατ' οὐδὲν ἐν πίστει τὰ δεύτερα τῶν Πρεσβυτέρων ἀποφερόμεθα, ἐν γὰρ τῇ Ἐκκλησίᾳ Χριστοῦ οὐκ ἔστι τὸ προαριθμούμενον, καθάπερ οὐκ ἔστιν Ἰουδαῖος, οὐχ Ἕλλην, οὐ βάρβαρος, οὐ δοῦλος, οὐκ ἐλεύθερος, ἀλλὰ πάντες ἐν Χριστῷ ἓν ἐσμεν. τοιγάρτοι καὶ ἐν ἡμῖν ὁ θεῖος Παῦλος κομπαζέτω, καὶ αὐχείτω μέγα, καὶ σεμνυνέσθω, συνάπτων τοῖς παλαιοῖς τὰ νέα, καὶ συγκρίνων ἐν τε δόγμασι καὶ συγγράμμασιν, οὗ καὶ ἡμεῖς ταῖς διδασκαλίαις ἑπόμενοι, τὰς ἡμετέρας ὑπολήψεις, αἵτινές ποτέ εἰσι περὶ τὴν οὕτως εὐκλεᾶ καὶ ἀμώμητον ἡμῶν θρησκείαν, ἀνακεκαλυμμένῳ προσώπῳ διαπρυσίως κηρύσσομεν. καὶ κατωτέρω, μετὰ τὴν ὁμολογίαν τῆς πίστεως ἀπολογούμενος, ὅτι ἐχρόνισε πέμψαι τὰ συνοδικὰ, φησὶν, Ἐδόκει γὰρ τῷ εἴργοντι (ἤτοι Νικηφόρῳ τῷ Βασιλεῖ) καὶ ἀφορμὴν εὐπρόσωπον προβάλλεσθαι ἐφ' ἡμῖν τῶν ἐπιτελεσθέντων τοῦ χρίσματος ἕνεκα, καὶ ὡς ὑμεῖς τῆς Ἐκκλησίας ἑαυτοὺς ἀπερρήξατε διεθρύλλει καὶ ἐχαλέπαινε, διὸ καὶ ὑμεῖς τὸ ἠναγκασμένον πεπόνθατε. δύνασθε συγγνώμονες ἔσεσθαι τοῖς ὁμοίοις περιπίπτουσιν ἀβουλήτως, καὶ διατοῦτο χώραν ἔσχετα τῆς ἀγάπης καὶ τῆς κρατούσης ἱερατικῆς συνηθείας ἀνύεσθαι καὶ περαίνεσθαι. ἔπεμψε δὲ μετὰ τῶν συνοδικῶν τὸν Μητροπολίτην Φιλαδελφείας Μιχαὴλ, περὶ οὗ εἰπὼν τινὰ ἐν τῷ τέλει τῆς ἐπιστολῆς, ἐπεῖπεν, ὃς καὶ μέλλει, Θεοῦ εὐδοκοῦντος, τούτῳ καὶ ὑμᾶς κινοῦντος, τὰ τῆς ἀγάπης καὶ ὁμονοίας σύμβολα, τουτέστι τὰς τιμίας

ὑμῶν

ὑμῶν Κεραίας τῶν ἐν χερσὶ συλλαβῶν ἀντίγραφα πρὸς ἡμᾶς κομίζειν πρὸς πλείονα εὐφροσύνην ἡμῶν πνευματικὴν, καὶ καταρτισμὸν τῆς ἐν Κυρίῳ φιλικῆς ἡμῶν διαθέσεως. πᾶσαν τὴν σὺν ὑμῖν ἐν Χριστῷ ἀδελφότητα πλεῖστα προσαγορεύομεν. ταῦτα ὁ Νικηφόρος. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ἀδελφικὴν Εὐχὴν, σύμπνοιαν καὶ φιλικὴν διάθεσιν λέγει ἐν πάσῃ τῇ ἐπιστολῇ καὶ πνευματικὴν συμμαχίαν, καὶ οὐδεμίαν ἐξοχὴν τῆς ῥωμαϊκῆς Ἐκκλησίας. δεύτερον, ὅτι ζητεῖ τὰς Εὐχὰς αὐτοῦ ὡς Μωϋσέως καὶ Σαμουὴλ καὶ παντὸς ἄλλου τοιούτου ὡς ἁγίου καὶ τιμίου Ἀρχιερέως καὶ μόνον. τρίτον, ἑαυτὸν Ποιμένα καλεῖ, τοὺς δὲ Χριστιανοὺς πρόβατα. τέταρτον, μόνον τὸν Χριστὸν κεφαλὴν φησὶ καὶ Ἀρχιποίμενα, οὐκ εἰσαγάγει δὲ καὶ δεύτερον κατ' οὐδένα τρόπον. πέμπτον, τῆς αὐτῆς τιμῆς ἡ ῥωμαϊκὴ Ἐκκλησία καὶ ἡ Κωνσταντινουπόλεως, καὶ εἷς ἐστὶν ὁ λίθος ὁ Χριστὸς ἐφ' οὗ ἀμφότεραι ᾠκοδόμηντο. εἶπον, οὐκ ἔστιν ἐν τῇ Ἐκκλησίᾳ τὸ προαριθμούμενον, κατά τινα τιμὴν δηλονότι, ἢ ἐξουσίαν. ἕβδομον, ἡ παλαιὰ Ῥώμη συγκρίνεται τῇ νέᾳ τῇ αὐτῇ τιμῇ καὶ τῇ αὐτῇ σεμνότητι. ὄγδοον, ἕπεται οὐ τῷ Πάπᾳ, ἀλλὰ τῷ Παύλῳ. ἔνατον, οὐ ζητεῖ διδαχθῆναι, ἀλλὰ τὶ πιστεύει διδάσκει, ὡς Νόμος ἐστὶ ποιεῖν τοὺς Πατριάρχας πάντας ἐν ταῖς αὐτῶν ἀναῤῥήσεσιν οὐ πρὸς τὸν Ῥώμης μόνον, ἀλλ' εἰς πάντας τοὺς λοιποὺς Πατριάρχας. δέκατον, ὅτι ὁ Βασιλεὺς Νικηφόρος ἐκώλυεν αὐτὸν γράψαι τῷ Πάπᾳ, διότι ἔχρισε τὸν Κάρολον ἐν τῇ Ῥώμῃ. ἑνδέκατον, ὅτι οὐ θελήσει ἰδίᾳ, ἀλλ' ἀναγκασθεὶς ἔχρισεν ὁ Πάπας τὸν Κάρολον. δωδέκατον, ὅτι ἀντιγραφὰς ζητεῖ παρὰ τοῦ Πάπα οὐ δι' ἄλλην τινὰ αἰτίαν, ἢ διδασκαλίαν, ἢ μάθησιν, ἢ προσταγὴν, ἢ κέλευσιν, ἀλλὰ πρὸς σημεῖον ἀγάπης καὶ εὐφροσύνης καὶ βεβαίωσιν τῆς ἀγάπης. τούτων οὕτως ἐχόντων, ψευδὴς ἐστὶν ἡ ἐπιστολὴ ἡ προβαλλομένη παρὰ τῶν παπιστῶν, καὶ πλάσμα αὐτῶν ἐστὶ προφανὲς, καὶ ἄθεοι οἱ λόγοι, ὅτι ὁ Γρηγόριος Ποιμὴν, ὁ Νικηφόρος δὲ πρόβατον. δέκατον τρίτον, ὁ Θεοφάνης ἱστορεῖ, ὅτι οἱ περὶ τὸν Θεόδωρον τὸν Στουδίτην διεκρίνοντο τῆς κοινωνίας τοῦ ἁγίου Νικηφόρου, ὡς εἴπομεν αἰωτέρω κεφαλαίῳ τεταρτῷ, οὐμὴν εἶπεν ὅτι καὶ ὁ Ῥώμης ἠγανάκτησε κατὰ τοῦ Νικηφόρου, καὶ ὁ Νικηφόρος ἀπολογούμενος ἀφώρισε πάλιν τὸν Πρεσβύτερον Ἰωσὴφ, οὔτε μὴν ἐξ αἰῶνος ἄλλος τὶς τοῦτο εἶπε πλὴν τῶν κενοφώνων παπιστῶν. δέκατον τέταρτον, ἀλλὰ κἀνταῦθα οἱ πλασάμενοι τὴν ἐπιστολὴν, ἄκοντες καὶ ὥσπερ ὑπὸ τῆς ἀληθείας ἀναγκασθέντες, εἶπον, ὅτι ἀπὸ κανονικοῦ δικαίου ἔχει τὸ πρωτεῖον ὁ Ῥώμης, καὶ λοιπὸν οὐκ ἀπὸ τοῦ Χριστοῦ, ἢ τοῦ Πέτρου, ἀλλὰ ἀπὸ τοῦ ἔθους καὶ τῶν Κανόνων, πλὴν τακτικῶς καὶ οὐκ αὐτοκρατορικῶς, καὶ ἐγένετο κἀνταῦθα φρούδη ἡ διαβολικὴ τῆς μοναρχίας λῆψις.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ἀντίθεσις παπιστῶν ὑπὲρ τῆς μοναρχίας τοῦ Πάπα ἐκ τῶν ἐπιστολῶν Θεοδώρου πρὸς τοὺς Πάπας Ῥώμης καὶ Ναυκράτην καὶ Μιχαὴλ τὸν Τραυλόν.

Προσέτι φασὶν, ὅτι Θεόδωρος ὁ Στουδίτης ἐπιστολῇ πρὸς τὸν Ῥώμης φησὶν, ὑμεῖς οὖν ὡς ἀληθῶς ἡ ἀθόλωτος καὶ ἀκαπήλευτος πηγὴ ἐξ ἀρχῆς τῆς ὀρθοδοξίας, ὑμεῖς ὁ πάσης αἱρετικῆς ζάλης ἀνῳκισμένος, ὁ Λιμὴν τῆς ὅλης Ἐκκλησίας, ὑμεῖς ἡ θεόλεκτος πόλις τοῦ φυγαδευτηρίου τῆς σωτηρίας. Ὁ αὐτὸς γράφων πρὸς τὸν Πάπαν Πασχάλην φησὶν, Ἄκουε ἀποστολικὴ κάρα, θεοπρόβλητε Ποιμὴν τῶν Χριστοῦ προβάτων, κλειδοῦχε τῆς Οὐρανῶν βασιλείας, πέτρα τῆς πίστεως, ἐφ' ᾗ ᾠκοδόμηται ἡ καθολικὴ Ἐκκλησία, Πέτρος γὰρ σὺ, τὸν Πέτρου θρόνον κοσμῶν. Ὁ αὐτὸς πρὸς τὸν αὐτὸν, Δεῦρο δὴ ἀπὸ Δυσμῶν ὁ χριστομίμητος ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος, πρὸς σὲ γὰρ εἴρηκε Χριστὸς ὁ Θεὸς ἡμῶν, Καὶ σύποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου. ἰδοὺ καιρὸς, ἰδοὺ τόπος, βοήθησον ἡμῖν. σὺ, ὃν πρὸς τοῦτο ἐδίδαξεν ὁ Θεὸς, ἔκτεινον τὴν δεξιὰν ὅσον δύνῃ, ἐξουσίαν ἔχεις παρὰ Θεοῦ, ὅτι κορυφαῖος εἶ πάντων, ἐπίβαλον φόβον τοῖς Αἱρετικοῖς θηρίοις τῷ καλάμῳ τοῦ θείου σου λόγου, δεόμεθά σου καλὲ Ποιμὴν, τίθου σου τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων σου, ἀκουσάτω ἡ Ἐκκλησία πᾶσα τοῦ κόσμου, ὅτι οἱ τὰ τοιαῦτα τολμῶντες ἀνεθεματίσθησαν παρὰ σοῦ ἐν τῇ Συνόδῳ. Ὁ αὐτὸς γράφει πρὸς Ναυκράτην τὸν αὐτοῦ μαθητὴν, Μαρτυρῶ ἄρτι κατενώπιον τοῦ Θεοῦ καὶ ἀνθρώπων, ὅτι ἑαυτοὺς ἀπέῤῥιψαν τοῦ σώματος τοῦ Χριστοῦ καὶ τοῦ κορυφαϊκοῦ θρόνου, ἐν ᾧ ὁ Χριστὸς ἔθετο τὰς κλεῖς τῆς πίστεως, ἧς οὐκατίσχυσαν ἀπ' αἰῶνος, οὐδὲ κατισχύσουσι μέχρι τῆς συντελείας αἱ τοῦ Ἅδου πύλαι, τὰ τῶν Αἱρετικῶν δηλαδὴ στόματα ὡς ἡ ἀψευδὴς ὑπόσχεσις. Ὁ αὐτὸς γράφει πρὸς Μιχαὴλ Βασιλέα τὸν Τραυλὸν, Εἰ δέτι ἀμφιβαλλόμενον, ἢ ἀπιστούμενον, τῇ θείᾳ ὑμῶν μεγαλονοίᾳ δοκεῖ διαλύεσθαι παρὰ τοῦ Ἀρχιερέως εὐσεβῶς (ἤτοι τοῦ Κωνσταντινουπόλεως Πατριάρχου) ἡ μεγάλη καὶ θεοστήρικτος αὐτῆς χεὶρ, ὡς ζηλοτυποῦσα τὰ πάντα ἐπ' ὠφελείᾳ τοῦ παντὸς, κελευσάτω παρὰ τῆς πρεσβυτέρας Ῥώμης δέξασθαι τὴν διασάφησιν ὡς ἄνωθεν καὶ ἐξ ἀρχῆς πατροπαραδότως ἐξεδόθη. αὕτη χριστομίμητε Βασιλεῦ ἡ κορυφαιοτάτη τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, ἧς Πέτρος πρωτόθρονος, πρὸς ὃν ὁ Κύριος φησὶ, Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. ταῦτα καὶ παρὰ τοῦ Στουδίτου προβάλλουσιν οἱ παπισταί.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Λύσις τῆς Ἀντιθέσεως τῶν παπιστῶν ἐκ τῆς Κελεστίνου Ῥώμης πρὸς τὸν ἅγιον Κύριλλον ἐπιστολῆς, καὶ ἐκ τῶν λόγων τοῦ Χρυσοστόμου.

Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ὁ Πάπας Κελεστῖνος γράφων πρὸς τὸν ἅγιον Κύριλλον, λέγει αὐτῷ, Ὤφθη ἡμῖν εὐθὺς ἑτοιμοτάτη θεραπεία δι' ἧς ἡ λοιμώδης νόσος (τοῦ Νεστορίου) ὑγιεινῷ φαρμάκῳ ἀπελαθείη, φημὶ δὴ τὴν τῆς καθαρᾶς πηγῆς ἔκροιαν τὴν ἀπὸ τοῦ λόγου τῆς σῆς ἀγάπης ἐκρέουσαν, δι' οὗ πᾶσα καθαριεῖται ἰλὺς τοῦ κακῶς διαχεομένου ῥείθρου, καὶ τὰ ἑξῆς. καὶ ἴδε ἀνωτέρω βιβλίου τρίτου, κεφαλαίου δεκάτου πέμπτου Παράγραφον δέκατον ἔνατον. περὶ δὲ τῆς πόλεως τοῦ φυγαδευτηρίου ῥητέον, Ἐὰν ὀρθοδοξῇ ὁ Πάπας, τοιαύτη ἐστὶν ἡ Ῥώμη, οὐμὴν μόνη, ἢ ὅτε σχισματική, ἢ αἱρετικὴ ἐστὶν, ὅθεν ὁ Χρυσόστομος ὁμιλίᾳ εἰκοστῇ τετάρτῃ, Τόμῳ πέμπτῳ, φησὶν, Ἡ πόλις οὐκ ἀπὸ τῶν οἰκοδομῶν, ἀλλ' ἀπὸ τῶν ἐνοίκων χαρακτηρίζεται, μήμοι λέγε, ὅτι ἡ Ῥωμαίων πόλις μεγάλη τῷ μεγέθει, ἀλλὰ δεῖξόν μοι ἐκεῖ οὕτω λαὸν φιλήκοον, ἐπεὶ τὰ Σόδομα πύργους εἶχεν, ἡ δὲ καλύβη τὸν Ἀβραὰμ, ἀλλ' ἐλθόντες οἱ Ἄγγελοι, τὰ μὲν Σόδομα παρέδραμον, ἐπὶ δὲ τὴν καλύβην κατήχθησαν, οὐ γὰρ οἴκων περιφάνειαν ἐζήτουν, ἀλλὰ ψυχῆς ἀρετὴν περιήεσαν ζητοῦντες καὶ κάλλος. οὕτω δὲ καὶ ἄλλως, ἡ ἔρημος εἶχε τὸν Ἰωάννην, ἡ δὲ πόλις τὸν Ἡρώδην, διατοῦτο ἡ ἔρημος πόλεως ἦν εὐγνωμονεστέρα. καὶ ὁμιλίᾳ δεκάτῃ ἑβδόμῃ εἰς τὸν Ἀντιοχέα λαὸν, Τόμῳ ἑκτῷ φησὶν, οὐ τὸ Μητρόπολιν εἶναι, οὐδὲ τὸ μέγεθος ἔχειν καὶ κάλλος οἰκοδομημάτων, οὐδὲ τὸ, καὶ πολλοὺς Κίονας καὶ Στοὰς εὐρείας καὶ περιπάτους, οὐδὲ τὸ πρὸ τῶν ἄλλων ἀναγορεύεσθαι πόλεων, ἀλλ' ἡ τῶν ἐνοικούντων ἀρετὴ καὶ εὐσέβεια, τοῦτο καὶ ἀξίωμα καὶ κόσμος καὶ ἀσφάλεια πόλεως, ὡς ἂν μὴ τοῦτο ᾖ, πάντων ἐστὶν εὐτελεστέρα, κἂν μυρίας παρὰ Βασιλέων ἀπολάβοι τιμάς. περὶ δὲ τοῦ Λιμὴν, ῥητέον ὅτι ἡ καθολικὴ Ἐκκλησία ἐστὶν ὁ πρῶτος Λιμὴν, ὅθεν ὁ Χρυσόστομος ὁμιλίᾳ ἑβδομηκοστῇ τετάρτῃ, Τόμῳ πέμπτῳ φησὶ, Λιμὴν ἐστὶν ἁπάντων τούτων ἀπηλλαγμένος, Λιμὴν ἐστὶ ψυχῶν πνευματικός. καὶ ὁμιλίᾳ ἑκατοστῇ τεσσαρακοστῇ τρίτῃ, ἐν τῷ αὐτῷ Τόμῳ φησὶ περὶ τῶν Ἀποστόλων, Λιμένες, ὅτι τὰ κύματα τῆς ἀσεβείας κατέστειλαν. καὶ πρὸς τοὺς σκανδαλισθέντας κεφαλαίῳ δωδεκάτῳ, Τόμῳ τῷ αὐτῷ φησὶ περὶ τοῦ Ἰὼβ, Καὶ κοινός τις ἁπάντων Λιμὴν γενόμενος. καὶ ὁμιλίᾳ εἰκοστῇ τρίτῃ, Τόμῳ τῷ αὐτῷ φησὶν, Ὁ μὲν παρθενεύων καὶ νηστεύων ἑαυτῷ χρήσιμος, ὁ δὲ ἐλεῶν κοινὸς ἐστὶ τῶν ναυαγούντων Λιμήν. καὶ ὁμιλίᾳ δεκάτῃ ἐνάτῃ, Τόμῳ τῷ αὐτῷ, Ὁ ἐλεήμων κοινὸς Λιμὴν, πατὴρ πάντων, βακτηρία τῶν γεγηρακότων. κυρίως δὲ Λιμὴν τῆς σωτηρίας ἐστὶν ὁ Χριστὸς, ὅθεν ὁ Χρυσόστομος ὁμιλίᾳ τριακοστῇ πρώτῃ, Τόμῳ πέμπτῳ, προτίθησιν ἐκ μέρους τῆς Χαναναίας, Ἐλέησόν με, οὐκ ἔχω κατορθώματα βίου, οὐκ ἔχω παῤῥησίαν πολιτείας, ἐπὶ ἔλεον καταφεύγω, ἐπὶ τὸν κοινὸν τῶν ἡμαρτηκότων Λιμένα, ὅπου δικαστήριον οὐκ ἔστιν, ὅπου ἀνεξέταστος ἡ σωτηρία. ἐκ τούτων δὲ γίνεται φανερὸν, ὅτι οὐμόνον ὁ Ῥώμης τοιαύτη ἐστὶ πηγὴ, καὶ Λιμὴν, καὶ πόλις, ἀλλὰ καὶ ἄλλοι, καὶ μάλιστα οἱ τῆς καθολικῆς Ἐκκλησίας Διδάσκαλοι, καὶ πρὸ πάντων αὐτὸς ὁ Χριστός. τὸ δὲ, Ἀνῳκισμένος πάσης αἱρετικῆς ζάλης, ἐννοητέον περὶ τῶν ἁγίων, οὐμὴν καὶ περὶ τῶν κακοδόξων Παπῶν, καὶ ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφάλαιον δέκατον.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Λύσις δευτέρα τῆς αὐτῆς Ἀντιθέσεως τῶν παπιστῶν ἐκ τῶν λεγομένων ὑπὸ τοῦ Θεοφυλάκτου ἐν τῷ δεκάτῳ πέμπτῳ κεφαλαίῳ τοῦ Ἰωάννου, καὶ ἐκ τῶν λόγων τοῦ Χρυσοστόμου, καὶ τοῦ Θεοδωρίτου ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ, καὶ ἐκ τῆς περὶ μετανοίας ὁμιλίας τοῦ μεγάλου Βασιλείου, Ἡσυχίου τε καὶ Χρυσοστόμου καὶ Οἰκουμενίου ἐν ταῖς Πράξεσι, καὶ ἑτέρων.

Περὶ δὲ τῆς κεφαλῆς, εἴρηται ἀνωτέρω ἐν πολλοῖς, καὶ κεφαλαίῳ πρώτῳ Παραγράφῳ δεκάτῳ, καὶ ἤδη ῥητέον, ὁ Θεοφύλακτος ἐν τῷ δεκάτῳ πέμπτῳ κεφαλαίῳ τοῦ Ἰωάννου φησὶν, Εἰς ἓν ὁ Χριστὸς ἡμᾶς ἤγαγεν, εἰς μίαν Ἐκκλησίαν καὶ ζυγὸν ἕνα συναγαγὼν τοὺς ἐγγὺς καὶ τοὺς μακρὰν, ἓν σῶμα ποιήσας, ἵνα ὁ ἐν τῇ Ῥώμῃ καθήμενος, τὸν ἐν τῇ Ἰνδίᾳ ὄντα μέλος οἰκεῖον λογίζηται, καὶ πάντων μίαν κεφαλὴν ὁμολογῇ τὸν Χριστόν. ἐξ οὗ δείκνυται, ὅτι ὁ ἐν τῇ Ῥώμῃ Πάπας καὶ πάντες οἱ ἁπανταχοῦ Χριστιανοὶ μέλη εἰσὶ, κεφαλὴ δὲ αὐτῶν ἐστὶν ὁ Χριστός. εἰ δὲ καὶ ὁ Πάπας λέγεται κεφαλὴ, ἀλλὰ τοῦτο καὶ ἄλλοις ἐστὶ κοινὸν, καὶ ἴδε κατωτέρω βιβλίου δεκάτου, μέρους δευτέρου κεφάλαιον ἕβδομον, καὶ βιβλίου πέμπτου κεφάλαιον δέκατον ἔνατον, καὶ βιβλίου δεκάτου, μέρους τρίτου κεφάλαιον πρῶτον. περὶ δὲ τοῦ Ποιμὴν, ῥητέον, ὅτι ἐστὶ πᾶσι τοῖς Ἀποστόλοις καὶ τοῖς Ἐπισκόποις κοινὸν, ὅθεν ὁ Χρυσόστομος Τόμῳ πέμπτῳ, ὁμιλίᾳ ἑκατοστῇ τεσσαρακοστῇ τρίτῃ, φησὶ τοὺς Ἀποστόλους Ποιμένας, ὅτι τοὺς Λύκους ἀπήλασαν, καὶ τὰ θρέμματα διέσωσαν. καὶ ἐν Μιλήτῳ ὁ Παῦλος πάντας τοὺς Ἐπισκόπους

ποιμένας

Ποιμένας ἐκάλεσε. καὶ Θεοδώριτος ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ Ποιμένας καὶ Διδασκάλους τοὺς κατὰ πόλιν ἀφωρισμένους λέγει. καὶ Θεόδωρος ὁ Μοψουεστίας ἐν τῇ σειρᾷ, ἐν τῷ δεκάτῳ τοῦ Ἰωάννου φησὶ, Ποιμὴν ἐστὶ τῶν προβάτων πᾶς ὁ τὸ διδασκαλικὸν ἐκ τῶν πραγμάτων ἐγκεχειρισμένος ἀξίωμα, ὅστις τῇ κοινίμῳ χρησάμενος εἰσόδῳ, τουτέστιν ὃς κατὰ πᾶσαν ἀκρίβειαν τοῦ Νόμου πολιτεύεται. ταῦτα σύμφωνα εἰσὶ τοῖς ἀνωτέρω εἰρημένοις περὶ Γερμανοῦ, Ταρασίου καὶ Νικηφόρου. ἴδε καὶ κατωτέρω βιβλίου δεκάτου μέρους δευτέρου κεφάλαιον ἕβδομον, καὶ μέρους τετάρτου κεφάλαιον πρῶτον, ὅπου οὐ μόνον Ποιμένες καλοῦνται οἱ πατέρες παρά τε τῶν πατέρων καὶ τῶν Συνόδων καὶ τῆς Ἐκκλησίας, ἀλλὰ καὶ Ἀρχιποίμενες, καὶ προσέτι μεγάλοι Ἀρχιποίμενες. καὶ ἀνωτέρω ἔγραφεν ὁ Πάπας τῷ Γερμανῷ ἵνα εὐεργετῇ τὸ πολίτευμα ἅπαν, ἤτοι τοὺς εἰς τὴν Οἰκουμένην Χριστιανοὺς πάντας. πρὸς δὲ τὸ κλειδοῦχε, ῥητέον, ὅτι τὸν Ἀρεοπαγίτην ψάλλει ἡ Ἐκκλησία εἶναι τῆς οὐρανῶν βασιλείας κλειδοῦχον. ἴδε καὶ βιβλίῳ δεκάτῳ τοὺς εἰρημένους δύο τόπους. περὶ δὲ τῆς πέτρας εἴρηται καὶ ῥηθήσεται ἐν ἄλλοις, κατὰ δὲ τὸ παρὸν ἀρκεῖ εἰπεῖν τὰ τοῦ μεγάλου Βασιλείου, ὁμιλίᾳ περὶ μετανοίας, Ἀλλ' ὁ Πέτρος εἰπὼν, καὶ εὐλογηθεὶς, εἰπὼν, ὅτι Υὸς εἶ τοῦ Θεοῦ τοῦ ὑψίστου, καὶ ἀκούσας ὅτι πέτρα εἶ, ἐνεκωμιάσθη, εἰ γὰρ πέτρα, οὐχ ὡς Χριστὸς πέτρα, ὡς Πέτρος πέτρα, Χριστὸς γὰρ ὄντως πέτρα ἀσάλευτος, Πέτρος δὲ διὰ τὴν πέτραν, χαρίζεται γὰρ ὁ Χριστὸς τὰ ἑαυτοῦ ἀξιώματα, οὐκ ἀποκενούμενος, ἀλλ' ἔχων αὐτὸς δίδωσι. περὶ δὲ τοῦ κορυφαῖος, ἀρκεῖ ὁ Ἡσύχιος, λέγων περὶ τοῦ Ἀνδρέου παρὰ Φωτίῳ, Ὁ τοῦ χοροῦ τῶν Ἀποστόλων πρωτότοκος, ὁ πρωτοπαγὴς τῆς Ἐκκλησίας στύλος, ὁ πρὸ τοῦ Πέτρου Πέτρος, ὁ τοῦ θεμελίου θεμέλιος, ἡ τῆς ἀρχῆς ἀπαρχή. ἴδε καὶ ἐν τῷ δεκάτῳ βιβλίῳ τοὺς εἰρημένους δύο τόπους. περὶ δὲ τῆς ἐξουσίας, ἀρκεῖ εἰπεῖν μετὰ τοῦ Χρυσοστόμου καὶ Οἰκουμενίου, ἐν ταῖς Πράξεσι λεγόντων περὶ τοῦ Πέτρου, Ὅρα δὲ πάντα μετὰ κοινῆς γνώμης αὐτῶν ποιοῦντα καὶ οὐκ ἀρχικῶς οὐ δὲ μετὰ ἐξουσίας. καὶ Χρυσόστομος ὁμιλίᾳ τρίτῃ εἰς τὰς Πράξεις λέγει περὶ αὐτοῦ, Ὅρα δὲ αὐτὸν μετὰ κοινῆς πάντων ποιοῦντα γνώμης, οὐδὲν αὐθεντικῶς, ἢ ἀρχικῶς. καὶ ἡ ἐν Ἀντιοχείᾳ Σύνοδος Κανόνι ἐνάτῳ φησὶν, Ἕκαστον Ἐπίσκοπον ἐξουσίαν ἔχειν τῆς αὐτοῦ παροικίας, καὶ πρόνοιαν ποιεῖσθαι πάσης τῆς χώρας τῆς ὑπὸ τὴν ἑαυτοῦ πόλιν. καὶ ἀνωτέρω ἔγραφεν ὁ Πάπας Γρηγόριος πρὸς τὸν ἅγιον Γερμανὸν, ὅτι παρὰ Θεοῦ ἐδόθη αὐτοῖς ἡ ἐξουσία καὶ αὐθεντία λύειν καὶ δεσμεῖν τὰ οὐράνια καὶ τὰ ἐπίγεια. περὶ δὲ τοῦ, Ἀκουσάτω πᾶσα ἡ Ἐκκλησία τοῦ κόσμου, ῥητέον, ὅτι τοῦτο πᾶσι τοῖς Διδασκάλοις ἐστὶ κοινὸν, καὶ ἴδε ἐν τῷ δεκάτῳ βιβλίῳ τοὺς εἰρημένους δύο τόπους, καὶ ἔτι ἐν τῷ αὐτῷ βιβλίῳ μέρους δευτέρου κεφάλαιον τρίτον. καὶ ταῦτα τὰ ἐν τῷ κεφαλαίῳ τούτῳ εἰρημένα.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Αὔσις τρίτη τῆς αὐτῆς Ἀντιθέσεως τῶν παπιστῶν, παριστῶσα μάταια τὰ ἐπιχειρήματα τῆς τῶν Ῥωμαίων Ἐκκλησίας, ὡς ἀσεβούσης ἀπὸ ἀρχῶν ψευδῶν συστῆσαι ἑαυτῇ γενικὸν ἀξίωμα ἐπὶ τῆς καθόλου Ἐκκλησίας.

Εἰς δὲ τὰ πρὸς τὸν Τραυλὸν, ῥητέον πρῶτον, εἴρηται ἀνωτέρω κεφαλαίῳ τετάρτῳ, ὅτι ἐπὶ Μιχαὴλ τοῦ Κουροπαλάτου ἐγένετο σύγχυσις ἀναμεταξὺ τῶν Ἀράβων Ἡγεμόνων ἀπὸ Περσίας καὶ ἕως Λιβύης, ἴδε καὶ τὸν Θεοφάνη ἐν τῇ ζωῇ τοῦ Μιχαὴλ τούτου, ὅτε καὶ ἀπὸ Παλαιστίνης ἔφυγον οἱ Χριστιανοὶ, καὶ ἦλθον εἰς Κωνσταντινούπολιν, οὐ παρῆλθον δὲ οὔτε δέκα ἔτη, ἕως ὅτου ἐν Κωνσταντινουπόλει μαχομένου ταῖς ἁγίαις Εἰκόσι τοῦ Τραυλοῦ, καὶ τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως ποιησάσης τὸν πρέποντα ἀγῶνα ὑπὲρ τῆς ὀρθοδοξίας, καὶ μὴ εἰσακουομένης παρὰ τοῦ Τραυλοῦ, ὁ Στουδίτης καὶ σοφὸς καὶ ἐνάρετος καὶ ἑπτακοσίων Μοναχῶν Ἡγούμενος, καὶ πρὸς τούτοις, τοῖς Βασιλεῦσι γνώριμος ὤν, οἰκονομῶν τὰ πράγματα, ἔλεγε τῷ Τραυλῷ, Εἰ ἀμφιβάλλοι περὶ τῶν ὁριστέντων ὑπὸ τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, ἐρωτησάτω τὴν ῥωμαϊκὴν Ἐκκλησίαν διὰ τὴν σαφήνειαν, καθὼς πατροπαραδότως ἐξεδόθη ἵνα ὁ ἀμφιβάλλων περὶ τῶν ὁριζομένων ὑπὸ μιᾶς Ἐκκλησίας ζητῇ τὴν σαφήνειαν παρὰ ἄλλων, καὶ ἐπειδὴ τὰ Πατριαρχεῖα τῆς Ἀνατολῆς ἦσαν τεταραγμένα διὰ τὴν εἰρημένην σύγχυσιν τῶν Ἀράβων, συνεβούλευσεν ὁ Στουδίτης τῷ Βασιλεῖ ἵνα ποιήσῃ τὴν ἐρώτησιν πρὸς τὴν Ῥώμην, ὅπερ οὐ παρέχει τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ μοναρχίαν, ἀλλὰ ἀδελφικὴν συμπάθειαν, ὡς ἔλεγεν ἀνωτέρω καὶ ὁ Κωνσταντινουπόλεως Νικηφόρος. ἐκεῖνο δὲ ὅπερ λέγει, ὅτι ἡ ῥωμαίων Ἐκκλησία ἐστὶ πρωτόθρονος καὶ θρόνος τοῦ Πέτρου, ἐννοητέον ὅτι πρωτόθρονος ἐστὶν, ἀλλ' οὐμονόθρονος, καὶ θρόνος τοῦ Πέτρου, ἀλλ' οὐ μόνη, οὐ δὲ μόνου, ἀλλὰ καὶ ἄλλαι πολλαὶ Ἐκκλησίαι θρόνοι εἰσὶ τοῦ Πέτρου καὶ τῶν λοιπῶν Ἀποστόλων, ὡς εἴρηται καὶ ῥηθήσεται, καὶ ἴδε περὶ διαδοχῆς ἐν τῷ δεκάτῳ βιβλίῳ μέρους πέμπτου κεφάλαιον δέκατον καὶ δωδέκατον. τὸ δὲ σὺ εἶ Πέτρος πῶς ἐννοεῖται, εἴρηται ἀνωτέρω, καὶ ῥηθήσεται ἐν τῷ δεκάτῳ βιβλίῳ. δεύτερον, εἰ καὶ ἐν τῇ Ἀνατολῇ οὐ συνέβαινεν ἡ διαληφθεῖσα σύγχυσις, ἤρκουν μόνην ἐρωτῆσαι τὴν Ῥώμην, ἐπειδὴ ἐν τῇ Ἀνατολῇ εἶχε τὸ πρᾶγμα δυσκολίαν διὰ τὴν ἐπικράτειαν τῶν ἐθνικῶν, ὡς ἔγραφον οἱ Ἀρχιερεῖς τῆς Ἀνατολῆς πρὸς τὸν Κωνσταντινουπόλεως Ταράσιον, πράξει τρίτῃ τῆς ἑβδόμης Συνόδου. τρίτον, εὐκαιρίας δραξάμενος ὁ Στουδίτης, ἔγραψε καὶ πρὸς τοὺς Πατριάρχας, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ ὀγδόῳ, ὅτε καὶ τῷ Ἀλεξανδρείας ἐπέγραψε, Τῷ παναγιωτάτῳ καὶ μακαριωτάτῳ

καριωτάτῳ Πάπᾳ, πατρὶ πατέρων, καὶ φωτὶ τῶν φώτων, καὶ ἀποστολικῇ κορυφῇ. τὸν δὲ Ἱεροσολύμων εἶπεν ἀποστολικὴν κεφαλὴν, καὶ ἁγίαν κορυφὴν, καὶ ὅτι ἀσπάζεται τοὺς ἀχράντους αὐτοῦ πόδας, ἅπερ ταὐτά ἐστι τῷ ἀποστολικὴ κάρα, καὶ τοῖς λοιποῖς, οἷς λέγουσιν ὅτι εἶπε τῷ Ῥώμης, καὶ τοῖς τοῦ Κύπρου Σεργίου πρὸς τὸν Πάπαν Θεόδωρον, καὶ περιέχεται ἐν αὐτοῖς πάντα τὰ ἀνωτέρω ὁπωσδήποτε εἰρημένα τῷ Ῥώμης. τέταρτον, παλιλλογητέον, ὅτι ἀρχαῖον ἔθος ἐστὶ συμμαχίαν αἰτεῖν τὰς ἐν ἀνάγκῃ Ἐκκλησίας παρὰ τῶν λοιπῶν Ἐκκλησιῶν, καὶ ἴδε βιβλίου δευτέρου, κεφαλαίου ἕκτου Παραγραφον τέταρτον, καὶ μάλιστα βιβλίου πρώτου κεφάλαιον δέκατον ἕβδομον. καὶ ὁ μικρὸς Θεοδόσιος τῷ Κωνσταντινουπόλεως Πρόκλῳ ἐπέτρεψε κατὰ τὸν Θεοφάνη τοῖς τῆς Ἀνατολῆς Ἐπισκόποις γράψαι περὶ Θεοδώρου τοῦ Μοψουεστίας εἰ Αἱρετικὸς ἐστίν. ὅτε Ἰωάννης ὁ Ἀντιοχείας ἔγραψε μετὰ τῆς αὐτοῦ ἁγίας Συνόδου ὀρθοδοξίαν μαρτυρήσας τῷ Θεοδώρῳ, καὶ οἱ Ἀντιοχεῖς ἐνοχλούμενοι ὑπὸ τῆς Αἱρέσεως τοῦ αὐτοῦ Θεοδώρου, οὐ πρὸς τὸν Πάπαν, ἀλλὰ πρὸς τὸν Ἀλεξανδρείας ἅγιον Κύριλλον περὶ βοηθείας ἔγραψαν, καὶ ἴδε τὸν τόπον βιβλίου πέμπτου κεφαλαίου δεκάτου πέμπτου Παραγράφῳ ἑβδόμῳ. καὶ ὁ Ἰοβιανὸς οὐ τὸν Ῥώμης, ἀλλὰ τὸν μέγαν Ἀθανάσιον ἠρώτησε περὶ πίστεως. καὶ περὶ τοῦ Αἰλούρου Λέων ὁ μέγας οὐ πρὸς τὸν Πάπαν, ἀλλὰ πρὸς πάντας τοὺς προεστῶτας τῶν Ἐκκλησιῶν ἔγραψε, ζητῶν τὸ ἀληθὲς καὶ τὸ πρακτέον. καὶ λοιπὸν οὐκ ἐκ μόνου τοῦ Ῥώμης ζητεῖται πάντοτε ἡ ἀλήθεια, ἀλλὰ καὶ παρ' ἄλλων, καὶ κατὰ τὸν αὐτὸν τρόπον, καὶ μάτην φρίσσει ἡ ῥωμαϊκὴ Ἐκκλησία, περιποιουμένη ἀπὸ ἀρχῶν ψευδῶν, πεπλασμένων καὶ ἀσυστάτων γενικὸν ἐν τῇ καθόλου Ἐκκλησίᾳ ἀξίωμα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι ἀναγκαῖον ἐστὶν ἐπὶ τῶν ἐκκλησιαστικῶν δογμάτων προσφέρειν μάρτυρας ἀναμφιβόλους.

Περὶ τῶν ἐπιστολῶν τῶν Παπῶν ἴδε ἐν τῷ πρώτῳ βιβλίῳ, καὶ τὰ ἐν τῇ ἕκτῃ Συνόδῳ, ὅτι αἱσταλεῖσαι ἀπὸ τοῦ Πάπα καὶ τῆς ῥωμαϊκῆς Ἐκκλησίας χρήσεις περὶ τῶν δύο ἐπὶ Χριστοῦ θελήσεων καὶ ἐνεργειῶν ἐξητάσθησαν, ὅθεν ἀναγκαῖον ἐστὶν ἐπὶ τῶν ἐκκλησιαστικῶν δογμάτων προσφέρειν μάρτυρας ἀναμφιβόλους, ἤτοι τοὺς ἐγκρίτους ἁγίου πατέρας καὶ τὰς ἁγίας Οἰκουμενικὰς Συνόδους, καὶ οὐ τὸν Ψευδογεννάδιον καὶ Διπλοβατάτζιον, καὶ ἑτέρους τινὰς ἀποκρύφους καὶ γραικολατίνους, περὶ ὧν μεταταῦτα ἐρῶμεν ἐν ἰδίῳ κεφαλαίῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Λύσις τοῦ, Ἀκουσάτω ἡ Ἐκκλησία πᾶσα, ὅτι οἱ κατατολμῶντες ἀνεθεματίσθησαν παρὰ σοῦ ἐν Συνόδῳ, ὅπερ ἐστὶν ἐν τῇ πρὸς τὸν Πασχάλην Ῥώμης ἐπιστολῇ Θεοδώρου τοῦ Στουδίτου. καὶ ὅτι τὸ ἐν τοῖς πατριαρχικοῖς θρόνοις ἀναθεματίζεσθαι τοὺς Αἱρετικοὺς διττῶς γίνεται. καὶ περὶ προέδρων Ἐκκλησιῶν, Αἱρετικοὺς συνοδικῶς ἀναθεματισάντων, καὶ ἀγώνων αὐτῶν ὑπὲρ τῆς ὀρθοδοξίας, ἐξ ὧν καὶ ἡ κατάλυσις τῆς μοναρχίας.

Εἰς δὲ τὸ, Ἀκουσάτω ἡ Ἐκκλησία πᾶσα τοῦ κόσμου ὅτι οἱ κατατολμῶντες ἀνεθεματίσθησαν παρὰ σοῦ ἐν Συνόδῳ, ῥητέον, ὅτι τὸ ἀναθεματίζεσθαι τοὺς Αἱρετικοὺς ἐν τοῖς Πατριαρχικοῖς θρόνοις διττῶς γίνεται, ἢ γὰρ ἀναθεματίζουσιν αὐτοὺς ἤδη ἀναφανέντας, ἢ πρὸς βεβαίωσιν, ἤτοι συμφωνίαν καὶ ἀποδοχὴν τῶν Οἰκουμενικῶν Συνόδων, καὶ περὶ τούτου εἴρηται ἡμῖν ἐν πολλοῖς ἀνωτέρω, ὅτι δηλαδὴ οὐ μόνον τῷ Ῥώμης, ἀλλὰ καὶ πᾶσι τοῖς Πατριαρχικοῖς θρόνοις κοινὸν ἐστὶ, καὶ ἤδη ῥητέον ἀπὸ πολλῶν καὶ διαφόρων ἐγκρίτων ἱστορικῶν, καὶ ἀπὸ τοῦ βιβλίου τοῦ καλουμένου Συνοδικοῦ. ὁ Πάπας Τελεσφόρος Σύνοδον ἤθροισε δώδεκα Ἐπισκόπων κατὰ Θεοδότου τοῦ Σκυτέως, καὶ ὁ Ἀνίκητος ὀκτὼ Ἐπισκόπων, καὶ ὁ Βίκτωρ δεκατεσσάρων Ἐπισκόπων κατὰ τῶν ἑορταζόντων τὸ Πάσχα τῇ δεκάτῃ τετάρτῃ τῆς Σελήνης, καὶ ἑτέραν ὁ αὐτὸς μετὰ τεσσάρων Ἐπισκόπων ἤθροισεν, ἀποκηρύξασαν Θεόδοτον, Ἐβίωνα καὶ Ἀρτέμωνα. καὶ τρίτην Σύνοδον ἤθροισεν ὁ αὐτὸς Βίκτωρ κατὰ Σαβελλίου, Ναυάτου καὶ Βαλεντίνου. καὶ Στέφανος ὁ Ῥώμης Σύνοδον ἤθροισε κατὰ τοῦ ἁγίου Κυπριανοῦ καὶ τῶν Ἀνατολικῶν περὶ τοῦ ἀναβαπτισμοῦ. καὶ ὁ Κορνήλιος Σύνοδον ἤθροισε κατὰ Ναυάτου. καὶ Ἰούλιος ἐν Ῥώμῃ Σύνοδον ἤθροισε πεντήκοντα Ἐπισκόπων κατὰ τῶν Εὐσεβιανῶν. καὶ ὁ Δάμασος διὰ δύο Συνόδων τὸν Μεδιολανῶν Αὐξέντιον ἀνεθεμάτισε, καὶ ἔτι διὰ Συνόδου ἀνεθεμάτισε τὸν Ἀπολινάριον καὶ Οὐϊτάλιον καὶ Τιμόθεον. καὶ ἐν Ἀκυληΐᾳ Σύνοδον ἤθροισε κατὰ τῶν τότε Αἱρετικῶν. καὶ Κελεστῖνος διὰ Συνόδων τὸν κατὰ Νεστορίου Τύπον συνθέμενος ἐξαπέστειλε, καὶ πρὸς τοὺς ἐγκρίτους τῶν ἐν τῇ Ἀνατολῇ Ἀρχιερέων ἔγραψε. Λέων ὁ μέγας κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου ἐν Ῥώμῃ διαφόρως συνοδικῶς ἠγωνίσατο. ὡσαύτως ἐποίησε καὶ ὁ Πάπας Σιμπλίκιος. ὁ Πάπας Φίληξ διὰ πολλῶν Συνόδων ἠγωνίσθη κατὰ Πέτρου τοῦ Κναφέως καὶ Πέτρου τοῦ Μογγοῦ καὶ Ἀκακίου τοῦ Κωνσταντινουπόλεως. καὶ ὁ Πάπας Ὁρμίσδας ὑπὲρ τῆς ὀρθοδοξίας Τοποτηρητὰς εἰς Κωνσταντινούπολιν ἐπὶ

ἰουστίνου

Ἰουστίνου ἐξαπέστειλε. Σεβερῖνος, Ἰωάννης καὶ Μαρτῖνος οἱ Ῥωμαίων Ἐπίσκοποι καὶ τῶν Μονοθελητῶν Συνόδους ἐν Ῥώμῃ ἤθροισαν, καὶ πρεπόντως ἠγωνίσθησαν καὶ τῆς τοιαύτης Αἱρέσεως, καὶ τοὺς Ἐξάρχους αὐτῆς Διαπρυσίῳ ἀνεθεμάτισαν τῇ φωνῇ. Γρηγόριος ὁ δεύτερος καὶ Γρηγόριος ὁ τρίτος, Στέφανος, Παῦλος καὶ ἄλλος Στέφανος Ῥώμης Ἐπίσκοποι συνοδικῶς τοὺς Εἰκονομάχους ἀνεθεμάτισαν. καὶ πρὸς τούτοις, Νικόλαος ὁ πρῶτος καὶ Ἀδριανὸς ὁ δεύτερος Συνόδους ἤθροισαν ἐν Ῥώμῃ κατὰ Φωτίου.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'

Περὶ προέδρων Ἐκκλησιῶν συνοδικῶς ἀναθεματισάντων Αἱρετικούς.

Ἀλλὰ καὶ ἐν Ἀλεξανδρείᾳ ὁ ἀρχαῖος ἐκεῖνος Διονύσιος Σύνοδον ἤθροισε καὶ ἀνεθεμάτισε τὸν Σαβέλλιον, καὶ δι' ἑτέρας Συνόδου αὐτὸς ἀνεθεμάτισε τὸν Νεπωτιανὸν καὶ Κήρινθον. καὶ Πέτρος ὁ Ἀλεξανδρείας συνοδικῶς τὸν Ἄρειον ἀνεθεμάτισε. καὶ ὁ Ἀλέξανδρος συνοδικῶς τὸν Ἄρειον καὶ τὴν Αἵρεσιν καὶ τοὺς ὀπαδοὺς αὐτοῦ ἀνεθεμάτισε, καὶ ἐν ἑβδομήκοντα ἐπιστολαῖς συνοδικαῖς τὴν καθαίρεσιν αὐτῶν εἰς πᾶσαν τὴν Ἐκκλησίαν ἐξαπέστειλεν. ὀγδοήκοντα Ἐπισκόπων Σύνοδος ἐν Ἀλεξανδρείᾳ συνελθοῦσα, τοὺς Εὐσεβιανοὺς κατέκρινε, καὶ τὸν ἅγιον Ἀθανάσιον ἐδικαίωσε, καὶ τὴν κρίσιν εἰς πᾶσαν τὴν καθόλου Ἐκκλησίαν ἐξέπεμψεν. Ἀθανάσιος ὁ μέγας συνοδικῶς τὸν Ἀπολινάριον ἀνεθεμάτισε, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὁμοούσιον Πατρὶ καὶ Υἱῷ ἀνεκήρυξεν. ὁ Αὐτοκράτωρ Ἰοβιανὸς ἀποστείλας εἰς τὸν ἅγιον Ἀθανάσιον τὸν ἀπαράλλακτον Ὅρον τῆς ὀρθοδοξίας ἐζήτησεν, ὃς συναγαγὼν τοὺς λογάδας τῶν Ἐπισκόπων Αἰγύπτου καὶ Θηβαΐδος καὶ Λιβύης, τοῦτον τῷ Βασιλεῖ ἐξαπέστειλε. καὶ Θεόφιλος συνοδικῶς τὸν Ὠριγένη ἀνεθεμάτισεν, ἥντινα κρίσιν Ἀναστάσιος ὁ Πάπας ἐδέξατο, ᾧ καὶ πάντες οἱ δυτικοὶ Ἐπίσκοποι ἐπηκολούθησαν. Κύριλλος ὁ μέγας συνοδικῶς τὸν Νεστόριον ἀπεκήρυξε. καὶ τὸν Αἴλουρον ἡ ἐν Ἀλεξανδρείᾳ Σύνοδος ἀπεδοκίμασε.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ ἑτέρων προέδρων τὰ αὐτὰ ἐνεργησάντων, καὶ Σύνοδον κυρωσάντων, καὶ Ὅρον ἐκτεθέντων, ἐξ ὧν ἡ κατάλυσις τῆς μοναρχίας.

Ὁ Ἱεροσολύμων Νάρκισσος συνοδικῶς ὑπὲρ τῆς ἑορτῆς τοῦ Πάσχα ἠγωνίσατο. καὶ ἡ ἐν Ἱερουσαλὴμ Σύνοδος τὰ συνοδικὰ Σεβήρου καὶ τοὺς περὶ αὐτὸν οὐ κατεδέξατο, μᾶλλον δὲ καὶ ἀνεθεμάτισε. καὶ τὴν ἐν Τύρῳ Σύνοδον ὁ Ἱεροσολύμων Ἠλίας ἠθέτησε. καὶ ὁμετ' αὐτὸν Ἰωάννης συνοδικῶς καὶ μετὰ ἑπτὰ, ἢ κατ' ἄλλους δέκα χιλιάδων πατέρων τὴν ἐν Χαλκηδόνι Σύνοδον ἐβεβαίωσε, καὶ τοὺς ταύτην μὴ δεχομένους Αἱρετικοὺς ἀνεθεμάτισεν. ὁ Ἱεροσολύμων Βασίλειος Σύνοδον ἀθροίσας χιλίων πεντακοσίων πατέρων, τοὺς Εἰκονομάχους ἀνεθεμάτισε. καὶ πρὸ αὐτοῦ ὁ Ἱεροσολύμων Θεόδωρος, ὁ Ἀλεξανδρείας Κοσμᾶς καὶ ὁ Ἀντιοχείας Θεόδωρος τοὺς Εἰκονοκλάστας ἀνεθεμάτισαν, καὶ Ὅρον εὐσεβείας τῷ Πάπᾳ Παύλῳ ἐξέπεμψαν. ὁ Ἱεροσολύμων Σωφρόνιος πρῶτος ἁπάντων συνοδικῶς τὴν Αἵρεσιν τῶν Μονοθελητῶν καὶ κατήλεγξε καὶ ἀνεθεμάτισε, καὶ μάλιστα ὑπερασπιστὰς ἔχουσαν τὸν Κωνσταντινουπόλεως, τὸν Ῥώμης καὶ τὸν Ἀλεξανδρείας. πρόσθες καὶ ὅτι οἱ Ἱεροσολύμων Πατριάρχαι Ἰωάννης καὶ Πέτρος τοὺς Μονοφυσίτας συνοδικῶς ἀνεθεμάτισαν. καὶ ὁ ἐπὶ τοῦ Χρυσοστόμου Ἰωάννης συνοδικῶς τὸν Πελάγιον κατέκρινε.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'

Περὶ ἑτέρων προέδρων τὰ αὐτὰ καὶ πλείω ποιησάντων, ἐξ ὧν ἡ πάρεσις τῆς μοναρχίας.

Ὁ Ἀντιοχείας Δημητριανὸς Σύνοδον ἤθροισε καὶ κατέκρινε τὸν Ναυᾶτον. ἐν Ἀντιοχείᾳ Σύνοδος ἀθροισθεῖσα, ἰδίᾳ αὐθεντίᾳ καθεῖλε Παῦλον τὸν Σαμοσατέα, καὶ ἕτερον Ἐπίσκοπον ἀντ' αὐτοῦ ἐχειροτόνησεν. ὁ μέγας Μελέτιος ἐπὶ Ἰουλιανοῦ τοὺς ἐκ Συρίας καὶ Φοινίκης Ἀρχιερεῖς συλλεξάμενος, τὴν ἐν Νικαίᾳ συνοδικῶς ἐπεκήρυξεν. Ὁ αὐτὸς Μελέτιος Σύνοδον ἀθροίσας ἐπὶ Ἰοβιανοῦ ἀπὸ Διαφόρων Ἐπαρχιῶν, τὸ Ὁμοούσιον ἐβεβαίωσε, καὶ τοὺς ἀντικειμένους τῷ Ὁμοουσίῳ ἀνεθεμάτισεν. ὁ Ἰωάννης τὴν Οἰκουμενικὴν ἐν Ἐφέσῳ δευτέραν Σύνοδον συνοδικῶς ἐβεβαίωσε, καὶ τὸν Νεστόριον ἀνεθεμάτισε. καὶ ὁ Φλαυϊανὸς συνοδικῶς Πέτρον τὸν Κναφέα καὶ τὸν Σεβῆρον ἀνεθεμάτισεν. ἐπὶ Ζήνωνος Σύνοδος ἐν Ἀντιοχείᾳ ἀθροισθεῖσα, τὸν Κναφέα ἀνεθεμάτισε, καὶ Στέφανον ἐχειροτόνησεν Ἀντιοχείας Ἐπίσκοπον. ὁ Ἐφραὶμ συνοδικῶς τοὺς Ὠριγενιαστὰς κατεδίκασεν. Ἀναστάσιος ὁ μέγας Ἀντιοχείας γενόμενος, τοὺς ἀντικειμένους τῇ ἐν Χαλκηδόνι Συνόδῳ συνοδικῶς ἀνεθεμάτισε.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΣ'.

Περὶ πρόεδρων ἑτέρων, συνοδικῶς Ἐξάρχους Αἱρέσεως ἀναθεματισάντων, καὶ Συνόδους βεβαιωσάντων, καὶ καθελόντων τοὺς ἀξίους καθαιρέσεως, ἐν οἷς καὶ ὁ Πάπας Νικόλαος, καὶ ἡ λύσις τῆς μοναρχίας.

Νεκτάριος ἐν Κωνσταντινουπόλει παρόντος καὶ Θεοφίλου Ἀλεξανδρείας συνοδικῶς τοὺς τότε καιροῦ ἐξάρχοντας τῶν Αἱρετικῶν καὶ τὰς Αἱρέσεις αὐτῶν ἀνεθεμάτισεν. ὁ Πρόκλος Σύνοδον ἀθροίσας ἐν Κωνσταντινουπόλει τοὺς ἀνθισταμένους τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ ἀνεθεμάτισεν, ὡς γράφει καὶ ὁ Θεοδώριτος ἐν τῇ πρὸς Φλαυϊανὸν τὸν Κωνσταντινουπόλεως ἐπιστολῇ. ὁ Φλαυϊανὸς μετὰ διαφόρων Συνόδων τὸν Εὐτυχῆ καὶ τὴν Αἵρεσιν αὐτοῦ ἔκρινε καὶ ἀνεθεμάτισε, καὶ τὴν ἐν Χαλκηδόνι ἐκύρωσε Σύνοδον. ὁ Γεννάδιος συνοδικῶς Ὅρον ἐξέθετο κατὰ σιμωνιακῶν. ὁ Εὐθύμιος συνοδικῶς τὴν ἐν Χαλκηδόνι Σύνοδον ἐβεβαίωσεν. οὕτως ἐποίησε καὶ ὁ μετ' αὐτὸν Μακεδόνιος. Ἰωάννης ὁ Καππάδοξ διὰ μεγίστης Συνόδου κατὰ τῶν Αἱρετικῶν ἠγωνίσατο, καὶ τὴν κρίσιν εἰς Ἱερουσαλὴμ καὶ Τύρον ἐξαπέστειλεν. οὕτω καὶ ὁ Ῥώμης Ἀγαπητὸς καὶ ὁ Κωνσταντινουπόλεως Μηνᾶς συνοδικῶς τὸν Ἄνθιμον καὶ Σεβῆρον καὶ τοὺς περὶ αὐτὸν Αἱρετικοὺς ἀνεθεμάτισαν. ὁ ἅγιος Γερμανὸς συνοδικῶς τοὺς Μονοθελήτας ἀνεθεμάτισεν. ὁ ἅγιος Μεθόδιος συνοδικῶς τοὺς Εἰκονομάχους ἀπεκήρυξε, καὶ τὴν ὀρθοδοξίαν ἀποκατέστησεν. ὁ Φώτιος Σύνοδον ἐν Κωνσταντινουπόλει ἀθροίσας, τὸν Πάπαν Νικόλαον ὁλοτελῶς κατηδάφισε.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Περὶ Μητροπολιτῶν, συνοδικῶς Αἱρετικοὺς ἀναθεματισάντων, καὶ Συνόδους κυρωσάντων, καὶ δόγματα τῆς καθόλου Ἐκκλησίας συστησάντων ἄνευ γνώμης ἢ κελεύσεως ἢ εἰδήσεως τοῦ Ῥώμης, ἐξ ὧν δείκνυνται ἀνωφελῆ τὰ ὑπὲρ μοναρχίας τοῦ Ῥώμης πλάσματα τῶν Λατίνων.

Οὐ μόνον οἱ Πατριάρχαι συνοδικῶς τοὺς Αἱρετικοὺς ἀναθεματίζουσιν, ἀλλὰ καὶ Μητροπολῖται. ὁ Λουγδούνων Εἰρηναῖος διὰ δώδεκα Ἐπισκόπων τοὺς Αἱρετικοὺς κατεδίκασεν. ὁ Ἀπολινάριος ἐν Ἱεραπόλει εἰκοσιὲξ Ἐπισκόπων Σύνοδον ἀθροίσας, Μοντανὸν καὶ Μαξιμίλλαν κατέκρινεν. ὁ Ἐπίσκοπος Ἀχιλῶν καὶ ὁ Σωτᾶς διὰ δώδεκα Ἐπισκόπων τοὺς αὐτοὺς ἀνεθεμάτισαν. τοὺς αὐτοὺς Σύνοδος ἀθροισθεῖσα ἐν Γαλλίᾳ ἀπεκήρυξε, καὶ τὸν Ὅρον αὐτῆς εἰς Ἀσίαν διέπεμψε. Πολυκράτης ἐν Ἐφέσῳ πεντήκοντα Ἐπισκόπων Σύνοδον ἤθροισε περὶ τοῦ Πάσχα κατὰ τοῦ Ἐπισκόπου Ῥώμης. περὶ τοῦ Πάσχα ὁ Καισαρείας τῆς Παλαιστίνης Θεόφιλος Σύνοδον ἤθροισε δώδεκα Ἐπισκόπων, καὶ ὁ Εἰρηναῖος ἐν Λουγδούνῳ τρισκαίδεκα Ἐπισκόπων, καὶ ὁ Βακχύλος ἐν Κορίνθῳ δεκαοκτὼ Ἐπισκόπων, καὶ ὁ Πλασμᾶς ἐν Ἀσίᾳ δεκατεσσάρων Ἐπισκόπων. ἐν Ὀσροϊνῇ Σύνοδος ἠθροίσθη δεκαοκτὼ Ἐπισκόπων ἐπὶ Κομόδου, καὶ ἐν Μεσοποταμίᾳ δεκαοκτὼ Ἐπισκόπων πάλιν περὶ τοῦ Πάσχα, ἐξ ὧν τινὲς μὲν συνηγόρουν τῷ Βίκτορι, τινὲς δὲ ἐφέροντο κατ' αὐτοῦ. Σύνοδος ἠθροίσθη ἐν Βόστρῃ τῆς Ἀραβίας, ᾗ συμπαρῆν καὶ Ὠριγένης, ὅστις τὸν ταύτης Ἐπίσκοπον Βήρυλλον ἀφ' ἧς συνεσχέθη Αἱρέσεως διωρθώσατο. ὁ αὐτὸς Σύνοδον ἤθροισε δεκαοκτὼ Ἐπισκόπων ἐν Ἀραβίᾳ, καὶ τοὺς λέγοντας συμφθείρεσθαι τὴν ψυχὴν τοῖς σώμασιν ἀπεκήρυξεν. ἐν Ἀρελάτῳ ὁ Συρακούσης Χρῆστος καὶ ἕτεροι Ἐπίσκοποι συνῆλθον ὑπὲρ Καικιλιανοῦ Καρθαγένης. ἐν Ἀγκύρᾳ τῆς Γαλατίας, ἐν Λαοδικείᾳ, ἐν Νεοκαισαρείᾳ καὶ ἐν Γάγγρᾳ καὶ ἐν Καρθαγένῃ καὶ ἐν Σίδῃ τῆς Παμφυλίας Σύνοδοι συνῆλθον κατὰ διαφόρων Αἱρετικῶν. ὁ Ὅσιος Κουδρούβης συνοδικῶς ἐν τῇ ἰδίᾳ Ἐκκλησίᾳ ἐβεβαίωσε τὰ ἐν τῇ Σαρδικῇ πεπραγμένα. καὶ τὴν πρώτην Οἰκουμενικὴν Σύνοδον Σύνοδοι διάφοροι συνῆλθον ἐν Γαλλίᾳ καὶ ἐν Ῥώμῃ καὶ Ἰλλυρικῷ καὶ ἐβεβαίωσαν αὐτήν. ὁ Ἀμβρόσιος ἐν Μεδιολάνῳ διαφόρους Συνόδους ἤθροισε κατὰ τῶν Αἱρετικῶν. καὶ ἐν τῷ Ἰλλυρικῷ διάφοροι Σύνοδοι συνῆλθον κατὰ τῶν Ἀρειανῶν ἐπὶ Οὐαλεντιανοῦ, ἃς καὶ ὁ Βασιλεὺς ἐβεβαίωσεν ἰδίῳ Ἡδίκτῳ. ἀλλὰ δὴ καὶ ἐν Τυάνοις οἱ Ἀσιανοὶ Σύνοδον ἤθροισαν ἀξιόλογον κατὰ τῶν τὰ Ἀρείου φρονούντων, καὶ τὴν ἐν Νικαίᾳ ἐβεβαίωσαν Σύνοδον. ὁ μέγας Βασίλειος Σύνοδον ἀθροίσας ὀρθόδοξον, ἀνεθεμάτισε τοὺς Ἀρειόφρονας καὶ Ἀνομοίους. ὁ Θεσσαλονίκης Εὐδόξιος Σύνοδον ἀθροίσας ἐντολῇ Λέοντος τοῦ Αὐτοκράτορος, Εὐτυχῆ καὶ Διόσκορον καὶ Τιμόθεον ἀνεθεμάτισε, καὶ τὴν ἐν Χαλκηδόνι ἐβεβαίωσε Σύνοδον. Πέτρον τὸν Κναφέα Αἱρεσιάρχην ἀναφανέντα, οὐ μόνον Μητροπολῖται, ἀλλὰ καὶ Ἐπίσκοποι καὶ συνοδικῶς καὶ ἰδίως κατήλεγξαν, καὶ ἀναθεματισμοὺς κατὰ τῆς Αἱρέσεως αὐτοῦ ἐξέθεντο. τῆς Αἱρέσεως τῶν Μονοθελητῶν ἀναφανείσης, Κόλυβος ὀρθόδοξος ἐν Βυζαντίῳ Ἐπίσκοπος τὰ δεγματισθέντα Σεργίῳ, Πύῤῥῳ, Κύρῳ καὶ Θεοδώρῳ τῷ Φαῤῥὰν ἀνεθεμάτισε, καὶ τὰς δύο θελήσεις ἐπὶ Χριστοῦ καὶ ἐνεργείας ἐκήρυξε. καὶ ἐν Νουμηδίᾳ ὁ Στέφανος, καὶ ἐν Μαυριτανίᾳ ὁ Ῥεπαρᾶτος, καὶ ἐν Καρθαγένῃ ὁ Βίκτωρ, πάντες οὗτοι ἄνευ τοῦ Ῥώμης τῆς γνώμης καὶ κελεύσεως, ἢ κἂν εἰδήσεως, ἢ ζητήσεως πρὸς βεβαίωσιν, Συνόδους ἀθροίσαντες, τοὺς μὲν Αἱρετικοὺς ἀνεθεμάτισαν, τὸ δὲ ὀρθόδοξον φρόνημα ἐβεβαίωσαν, ὥστε τὸ αὐτὸ ἔργον, ἡ αὐτὴ τάξις, ἡ αὐτὴ θέλησις, ἡ αὐτὴ αὐθεντία,

θεντία, ἄρα καὶ ἡ αὐτὴ ἀξία καὶ ἐξουσία. καὶ λοιπὸν οὐδ' ἐκ τοῦ τόπου τούτου ὠφελήθη ὁ μυθομέριμνος ὅμιλος τῶν Λατίνων πρὸς βεβαίωσιν τῆς μονότητος τοῦ Ἀρχιερέως τῆς ὑπερηφανίας. ἴδε καὶ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου τρίτου Παράγραφον ἕκτον.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν συμβάντων ἐν τῇ Ἐκκλησίᾳ ἐπὶ Θεοφίλου Βασιλέως, καὶ περὶ τῶν ἀγωνισαμένων ἁγίων πατέρων ἐπ' αὐτοῦ ὑπὲρ τῆς εὐσεβείας. περὶ θανάτου Ἀντωνίου ψευδοπατριάρχου Κωνσταντινουπόλεως, καὶ πατριαρχείας Ἰωάννου τοῦ καὶ Ἰαννῆ καὶ Μάντεως. περὶ Ἀλεξίου τοῦ γαμβροῦ τοῦ Βασιλέως καὶ Θεοδώρου τοῦ Κριθίνου, καὶ ὧν συνέβησαν αὐτοῖς, Λαζάρῳ τε Ζωγράφῳ, Θεοδώρῳ καὶ Θεοφάνει τοῖς αὐταδέλφοις καὶ Μεθοδίῳ ὑπὲρ τῆς εὐσεβείας.

Ἔγραψεν ὁρισμὸν κατὰ τῶν ὀρθοδόξων ὁ ἀσυνείδητος Μιχαὴλ, ὅστις εὑρίσκεται ῥητῶς εἰς τὸν βίον τοῦ ὁσίου πατρὸς Ἰωαννικίου, γεγραμμένος ὑπὸ τοῦ Κουροπαλάτου Ἰωάννου. καὶ εἰ καὶ ἐν τούτοις ἐτελεύτησεν, ὅμως ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Θεόφιλος τὸ μίγμα τῶν Εἰκονομάχων Βασιλέων. θανὼν δὲ καὶ ὁ ψευδοπατριάρχης Ἀντώνιος, προβάλλεται ὁ Θεόφιλος Πατριάρχην τὸν συμμύστην τοῦ Χαμαιλέοντος τὸν εἰρημένον γραμματικὸν Ἰωάννην τὸν καὶ Ἰαννῆν, καὶ ὡς Βαλαὰμ ἢ Ἀπολλώνιον τὸν Τυανέα Μάντιν, Λεκανομάντιν καὶ πάσης θεοστυγοῦς πράξεως καὶ τερατείας δεινὸν ὑποφήτην. ὥσπερ δὲ ὁ Χαμαιλέων εἰς ὅλα τὰ χρώματα μεταβάλλεται πλὴν λευκότητος, οὕτω παίτα ἐγίνετο ὁ Θεόφιλος πλὴν ἡμερότητος εἰς τοὺς ὀρθοδόξους. ὁ δὲ Ἰαννῆς εἶχε προάστειον ἐν ᾧ ἀπετέλει τὰς μαγείας, καὶ ὁμιλῶν τοῖς δαίμοσι, παραχωρήσει Θεοῦ μέλλοντά τινα γενέσθαι ἐσήμαινε τῷ Θεοφίλῳ, ὅπερ καὶ ἀοίκητον ἔμεινε διὰ τὰς ἐκεῖσε τῶν δαιμόνων ἐπιφοιτήσεις ἕως καιροῦ. ἔσχε δὲ γαμβρὸν ὁ Θεόφιλος Ἀλέξιον τὸν Ἁρμένιον ἐπὶ θυγατρὶ Μαρίᾳ, καὶ ἔπεμψεν αὐτὸν εἰς Σικελίαν Στρατηγὸν καὶ Δοῦκαν. Σικελοὶ δὲ τινὲς ἐλθόντες, διέβαλον αὐτὸν ὅτι προδίδωσι τὰ τῶν Χριστιανῶν τοῖς Ἄραψι, καὶ μελετᾷ κατὰ τοῦ Βασιλέως. ἐν τούτοις δὲ θνήσκει καὶ ἡ Μαρία, ὅθεν στέλλει πίστιν μετὰ Θεοδώρου Ἀρχιεπισκόπου τοῦ Κριθίνου, καὶ φέρει τὸν Ἀλέξιον εἰς τὸ Βυζάντιον. ἀθετήσας δὲ τοὺς ὅρκους, τύπτει καὶ βάλλει εἰς δεσμωτήριον τὸν ἄνθρωπον. λειτουργῶν δὲ ὁ Κρίθινος εἰς τὴν Βλαχέρναν, καὶ ἐγγίσαντος τοῦ Θεοφίλου ταῖς Σωλαίαις, ἐφώνησεν, Ἔντεινε καὶ κατευοδοῦ ὦ Βασιλεῦ, πλὴν ἕνεκεν τίνος; ὁ δὲ Βασιλεὺς αἰδεσθεὶς τὴν Σύγκλητον, εἶπεν, Ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης. καὶ ποία δικαιοσύνη ἐν σοὶ ὦ Βασιλεῦ, εἶπεν, ὅτι ἠθέτησας τοὺς ὅρκους καὶ ἔβαλες εἰς δεσμωτήριον τὸν Ἀλέξιον; ὁ δὲ τύραννος εὐθὺς ἐξέβαλεν αὐτὸν βίᾳ τοῦ Θυσιαστηρίου, καὶ πολλὰς πληγὰς ἐπιθεὶς, ἐξώρισεν, οὐ μόνον διὰ τὸν ἔλεγχον, ἀλλὰ καὶ διότι προσεκύνει τὰς Εἰκόνας, ἐλεγχθεὶς ὅμως ὑπὸ τοῦ Ἰαννῆ, ἀφῆκεν αὐτόν. τῆς μητρὸς δὲ τῆς βασιλίδος Θεοκτίστης οὔσης εἰς Μοναστήριον (εἰ καὶ ὁ Πορφυρογέννητος λέγει, ὅτι ἦν ἡ μητρυιὰ αὐτοῦ Εὐφροσύνη) ἐπορεύοντο αἱ πέντε κόραι τοῦ Θεοφίλου πρὸς αὐτὴν, ἀλλὰ μαθὼν ὁ ἄνομος ὅτι διδάσκονται περὶ Εἰκόνων, ἐκώλυσεν αὐτάς. ἀπήρχετο δὲ ὁ Βασιλεὺς ἐν ἑκάστῃ Παρασκευῇ μετὰ παῤῥησίας, καὶ προσεκύνει εἰς τὴν Βλαχέρναν. ἐτίμα γὰρ τὴν Θεοτόκον, καὶ μόναις ἐμάχετο ταῖς Εἰκόσιν, ἔσπευδε δὲ ἀφανίσαι καὶ τοὺς Ζωγράφους, ὅθεν Λάζαρον ἐβασάνισεν. ἐκεῖνος δὲ ἐν τῷ δεσμωτηρίῳ ὤν, ἱστόρησεν Εἰκόνα τοῦ Προδρόμου, ἐπὶ πολὺ διαμείνασαν ὕστερον καὶ θαυματουργοῦσαν. ἐμάχετο δὲ ὁ Βασιλεὺς καὶ τοῖς Μοναχοῖς, ἀλλ' οἱ πολλοὶ καὶ μάλιστα οἱ ἀπὸ τῆς Μονῆς τῶν Ἀβραμιτῶν ἀπεδείκνυνον αὐτῷ ἀπὸ τοῦ Ἀρεοπαγίτου καὶ τοῦ ἁγίου Ἱεροθέου καὶ Εἰρηναίου τοῦ Λουγδούνων ὅτι ἐστὶν ἀρχαία καὶ ἐκ τῶν Ἀποστόλων ἡ μοναδικὴ, ἀλλὰ καὶ περὶ Εἰκόνων εἰπόντες, τυφθέντες ἐξωρίσθησαν εἰς τὸν Εὔξεινον εἰς τὸ Μοναστήριον τοῦ Φοβεροῦ, ἔνθα καὶ μαρτυρίῳ ἐτελειώθησαν, καὶ κατερρίφθησαν εἰς τὸν βυθόν. καί τινα Μοναχὸν ὁ Βασιλεὺς στάντα ἐνώπιον αὐτοῦ καὶ φωνήσαντα, Εἴτις εὐαγγελίζηται ὑμᾶς παρ' ὃ παρελάβετε, κἂν Ἄγγελος ἢ ἐξ Οὐρανοῦ, ἀνάθεμα ἔστω. ἔστειλεν αὐτὸν εἰς τὸν Ἰαννῆν ἵνα νικήσῃ αὐτὸν συλλογισμοῖς, ὁ Μοναχὸς ὅμως ἐποίησε τὸν Ἰαννῆν ἰχθύων ἀφωνότερον. ἀλλὰ καὶ Θεόδωρος καὶ Θεοφάνης οἱ αὐτάδελφοι συλληφθέντες ὑπ' αὐτοῦ, ποῖον μαρτύριον οὐχ ὑπέμειναν οἱ ἅγιοι οὗτοι διὰ τὰς σεβασμίας Εἰκόνας; ποῖον ζῆλον; ποίαν παῤῥησίαν οὐκ ἔδειξαν οἱ καλοὶ ἀθληταὶ διὰ τὰ σεπτὰ Εἰκονίσματα; οἵτινες ἐξωρίσθησαν, καὶ πάλιν μετεπέμφθησαν καὶ ἐμαστιγώθησαν, καὶ τελευταῖον δώδεκα ἰαμβικοῖς ἔπεσιν ἐν τῷ μετώπῳ κατεστίχθησαν, ὑπὸ τοῦ Ἀριστεάλου συντεθειμένοις, οὕσπερ εὑρίσεις εἰς τοὺς χρονογράφους, καὶ μετὰ τὸ ποιῆσαι αὐτοὺς καταστίκτους ὁ Θεόφιλος, τὸν μὲν Θεόδωρον ἔθετο εἰς δεσμωτήριον τῆς Κωνσταντινουπόλεως, τὸν δὲ Θεοφάνη ἐξώρισεν εἰς τὴν Θεσσαλονίκην, ὅτε ὁ ἀλιτήριος Μιχαὴλ ὁ πατὴρ αὐτοῦ τοῦ ζῆν ἀπερράγη ὑπὸ τῆς δυσεντερίας, βασιλεύσας

ὀκτὼ

ὀκτὼ χρόνους, καὶ Μῆνας ἐννέα. γραφέντων δὲ τῶν στίχων εἰς τὰ πρόσωπα τῶν ἁγίων, ἐξερχόμενοι εἶπον, ὅτι τὰ Χερουβὶμ θεωροῦντα ὑπαναχωρήσει, καὶ ἡ φλογίνη Ῥομφαία δώσει τὰ νῶτα, ἀνδυμένη ἡμῶν τὰς ὄψεις. ἀκούσας δὲ ὁ Βασιλεὺς τοὺς λόγους παρὰ τοῦ Ἐπάρχου, εἶπεν, Εἰ ᾔδειν ὅτι τοῦτο ἐστὶν ἀλήθεια, ἐποίουν αὐτὸ εἰς ὅλους τοὺς ἀνθρώπους τοῦ ὑπηκόου μου. ὄντος δὲ τοῦ ἁγίου Μεθοδίου εἰς τὴν Νῆσον τοῦ Ἀντιγόνου κεκλεισμένου εἰς ἕνα τάφον μετὰ δύο λῃστῶν, ἔγραψαν αὐτῷ οἱ γραπτοὶ οὗτοι γραφὴν ἰαμβικῷ μέτρῳ οὕτω,

Τῷ ζῶντι νεκρῷ καὶ νεκρῷ ζωηφόρῳ,
Ναίοντι τὴν γῆν, καὶ πατοῦντι τὸν πόλον,
Γραπτοὶ γράφουσι δέσμιοι τῷ δεσμίῳ.

πρὸς οὓς ἐκεῖνος ἀπεκρίθη κατὰ τὸ αὐτὸ μέτρον οὕτω,

Τοὺς ταῖς βίβλοισιν Οὐρανῶν κλησιγράφους,
Καὶ πρὸς πρόσωπα σωφρόνως ἐστιγμένους,
Προσεῖπεν ὁ ζώθαπτος ὡς συνδεσμίους.

ἐκεῖ δὲ εἰς τὸν τάφον ἐκόμιζέ τις ἔλαιον ἑνὸς ὀβολοῦ καὶ ἔκαιον εἰς τὴν κανδήλαν, καὶ μίαν ἑβδομάδα οὐκ ἐκόμισεν αὐτοῖς ἔλαιον, καὶ ἀνεπλήρου ὁ Θεὸς διὰ τῆς εὐχῆς τοῦ ἁγίου τὸ ἐλλεῖπον. ἀπέθανε δὲ ὁ εἷς λῃστὴς, καὶ οὐκ ἦν πρόσταγμα ἀνοιχθῆναι τὸν τόπον καὶ ἐκκομισθῆναι τὸ σῶμα τοῦ νεκροῦ τοῦ ταφῆναι, καὶ ὑπέμενε γενναίως ὁ Μεθόδιος, καὶ ὁ ἕτερος λῃστής. φιλολόγος δὲ ὢν ὁ Βασιλεὺς Θεόφιλος, ηὗρεν εἰς βιβλίον ἀπορίαν, καὶ ἔστειλεν αὐτὴν τῷ Ἰαννῇ καὶ τῷ φιλοσόφῳ Λέοντι, καὶ μὴ δυναμένων αὐτῶν αὐτὴν λῦσαι, Κουβικουλάριός τις εἶπεν αὐτῷ, ὅτι ὁ Μεθόδιος λύει αὐτὴν, ὅθεν λαβὼν θέλημα, ἀπῆλθεν ὡς ἐξ ἑαυτοῦ εἰς τὸν Μεθόδιον διὰ τὴν λύσιν, ὁ δὲ εἶπεν αὐτῷ εὐθὺς, καλῶς ἦλθες ἀδελφὲ Κουβικουλάριε Ἰωάννη, οἶδα τίνος χάριν ἦλθες παρὰ Θεοφίλου, ἀλλὰ δός μοι χάρτην καὶ μέλαν, καὶ λαβὼν, ἐν τρισὶ λύσεσιν ἡρμήνευσε τὴν γραφὴν, ὅθεν ἔφερεν αὐτὸν ὁ Θεόφιλος καὶ εἶχεν εἰς τὰ βασίλεια, χωρὶς ὅμως τῆς πρὸς αὐτὸν συνεντεύξεως τινὸς τῶν ἔξωθεν. ὁ δὲ λοιπὸς λῃστὴς ἔμεινεν εἰς τὸν τάφον καὶ ἐθαυματούργει.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ Μιχαὴλ Συγκέλλου τοῦ Διδασκάλου Θεοδώρου καὶ Θεοφάνους τῶν γραπτῶν, καὶ ὧν ἔγραψε καὶ πέποθεν ὁ Μιχαήλ.

Ἦσαν δὲ οὗτοι οἱ ἅγιοι αὐτάδελφοι τοῦ Σαββαΐτου Ἰωνᾶ υἱοὶ, καὶ τοῦ Μιχαὴλ τοῦ Συγκέλλου τῶν Ἱεροσολύμων μαθηταί (οὗτοι εἰσὶν οἱ ἀπεσταλμένοι ὑπὸ τοῦ Ἱεροσολύμων Θωμᾶ τοῦ ἀπελθεῖν εἰς τὴν Ῥώμην ὡς εἴπομεν) οὗτος ὁ Μιχαὴλ ἐστὶν ἐκεῖνος ὁ γράψας τὸ ἐγκώμιον εἰς τὸν μέγαν Διονύσιον τὸν Ἀρεοπαγίτην. ὅσα δὲ εἶπον καὶ ἔπαθον οἱ ἅγιοι, αὐτὸς ὁ ἴδιος Θεόδωρος διηγεῖται εἰς τὴν ἐπιστολὴν ἣν ἔγραψε πρὸς τὸν Κυζικηνὸν Ἰωάννην. προστίθησιν ὁ Κουροπαλάτης, ὅτι μετὰ τὸ μαστιγῶσαι αὐτοὺς ἅπαξ καὶ δὶς ὁ Βασιλεὺς, ἐποίησεν ἵνα ἔμπροσθεν αὐτοῦ διαλεχθῶσι, ἀποδειξάντων δὲ αὐτῶν ὅτι οὐκ εἰσὶν Εἴδωλα τὰ σεπτὰ Εἰκονίσματα, ὥρισεν ὁ Βασιλεὺς καθειρχθῆναι Μιχαὴλ τὸν Διδάσκαλον αὐτῶν ἐν φρουρᾷ καὶ ταλαιπωρηθῆναι ὅσον ἦν δυνατὸν ὑπὸ τῶν Εἰκονομάχων, καὶ ἄλλους πλείστους Μοναχοὺς, οἳ συνῆσαν αὐτῷ διὰ τὴν ὀρθοδοξίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς πρὸς τὸν Μιχαὴλ Σύγκελλον ἐπιστολῆς Θεοδώρου τοῦ γραπτοῦ.

Ἀπέστειλε γραφὴν ὁ Θεόδωρος πρὸς τοῦτον τὸν Σύγκελλον τῆς ἁγίας πόλεως Μιχαὴλ, εἰς ἣν αὐτῷ ἔγραφεν, ὅτι οὐχ εὕρισκεν ἄνθρωπον, ἐν τῇ φυλακῇ ὢν κατακεκλεισμένος, ἵνα περιγράψῃ αὐτῷ τὰ πάθη αὐτοῦ, διὰ τὸ εἶναι αὐτοὺς ἀδελφοὺς ἐν Χριστῷ, ἀναγεγεννημένους ἀπὸ μιᾶς μητρὸς τῆς κολυμβήθρας, καὶ τῷ ἰδίῳ χαρακτῆρι τῆς πίστεως ἀναμεμορφωμένους, καὶ συμπολίτας τοῦ ἐπουρανίου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ὃς ἐστὶν ἡ κεφαλὴ ἡμῶν, καὶ ἡμεῖς μέλη αὐτοῦ, ἐν ᾗ φησὶν ἀγωνιζώμεθα, ὅτι μάχην ἤγειρεν ὁ Ἰοὺ οὐ διὰ τὸν Ἰσραὴλ, ἀλλ' ἐναντίον τῷ νέῳ Ἰσραὴλ, ὅπως πληρωθῇ ἐκεῖνο τοῦ Ἡσαΐου, Ἐκ Σιὼν ἐξελεύσεται Νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ἐπὶ βασιλείου Ἱεροσολύμων ἐν Ἱεροσολύμοις Συνόδου κατὰ τῶν Εἰκονομάχων, καὶ τῆς πρὸς Θεόφιλον Βασιλέα ἐπιστολῆς αὐτῆς.

Εἰς ἀραβικὴν ἐκκλησιαστικὴν ἱστορίαν λεγομένην εὕρομεν ὅτι συνῆλθον εἰς Ἱεροσόλυμα Χριστόφορος Ἀλεξανδρείας καὶ Ἰὼβ Ἀντιοχείας, ὄντος Ἱεροσολύμων τοῦ Βασιλείου, συνῆλθον δὲ αὐτοῖς καὶ Ἐπίσκοποι ἑκατὸν ὀγδοήκοντα καὶ πέντε, Ἡγούμενοι ἑκατὸν ἑβδομήκοντα καὶ εἷς, καὶ Μοναχοὶ χίλιοι

ἑκατὸν

ἑκατὸν πεντήκοντα καὶ τρεῖς, οἱ πάντες χίλιοι πεντακόσιοι καὶ ἐννέα, ἐν Μηνὶ Ἀπριλλίῳ, Ἰνδικτιῶνος δεκάτης τετάρτης, ἔτους ἑξακισχιλιοστοῦ τριακοσιοστοῦ τεσσαρακοστοῦ τετάρτου, κατὰ τῶν Εἰκονομάχων, ἥτις Συνόδος ἔπεμψε καὶ εἰς τὸν Βασιλέα Θεόφιλον ἐπιστολὴν τοιαύτην ἔχουσαν ἐπιγραφὴν, Τῷ ἐκ τῆς ἄνω θείας πανσθενοῦς παντοκρατορικῆς δεξιᾶς τοῦ ὑψίστου Βασιλέως τῶν Βασιλέων καὶ Κυρίου τῶν Κυρίων, δι' οὗ Βασιλεῖς βασιλεύουσι, καὶ Τύραννοι κρατοῦσι γῆς, δι' οὗ Μεγιστᾶνες μεγαλύνονται καὶ Δυνάσται γράφουσι δικαιοσύνην, δόξῃ καὶ τιμῇ κατεστεμμένῳ θεοπροβλήτῳ θεοστηρίκτῳ θεοστέπτῳ φερωνύμῳ Βασιλεῖ κρατίστῳ Θεοφίλῳ νικητῇ τροπαιούχῳ Αὐτοκράτορι αἰωνίῳ Αὐγούστῳ θεοτιμήτῳ Δεσπότῃ, οἱ κατὰ πνεῦσιν καὶ πρόσκλησιν τῆς θείας προμηθείας τῆς ὁμοουσίου καὶ ζωαρχικῆς Τριάδος τοὺς οἴακας τῶν ἀποστολικῶν καὶ Πατριαρχικῶν θρόνων Ἀλεξανδρείας, Ἀντιοχείας, Ἱεροσολύμων, καὶ ἡμεθ' ἡμῶν οὐρανομίμητος Ἱεραρχία τὴν διακόσμησιν ἀπὸ Ἀνατολῶν Ἡλίου μέχρι Δυσμῶν λαχόντες κατέχειν, ἐν Κυρίῳ χαίρειν. καὶ ἰδέτωσαν ὅσοι μεγαλαυχοῦσι τὸν ζῆλον καὶ τὸ ἀξίωμα τῶν Ἀνατολικῶν θρόνων. μέμνηται δὲ τῆς ἐπιστολῆς ταύτης καὶ τις, συλλέξας περὶ Εἰκόνων μαρτυρίας πολλὰς, οὗ τὸ ὄνομα οὐ σημειοῦται εἰς τὴν συλλογὴν ἣν ἔχομεν, χρησιμωτάτην οὖσαν ἐν παλαιοτάτῃ Μεμβράνῃ. ἀλλὰ δὴ καὶ ὁ Πορφυρογέννητος Κωνσταντῖνος μέμνηται αὐτῆς, ἐν γὰρ τῷ λόγῳ περὶ τῆς Ἀχειροποιήτου Εἰκόνος βεβαιοῖ τὴν ἐπιστολὴν ἣν ἔστειλαν οἱ τρεῖς Πατριάρχαι τῆς Ἀνατολῆς πρὸς τὸν Θεόφιλον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Πρόῤῥησις τοῦ ὁσίου Ἰωαννικίου περὶ τῆς τελευτῆς τοῦ Βασιλέως Θεοφίλου, καὶ θάνατος τοῦ Βασιλέως, καὶ περὶ ὧν ἐποίησεν ὁ Βασιλεὺς τροπαρίων ἐν τῇ Ἐκκλησίᾳ, καὶ περὶ τῶν περὶ Μαρτινάκιον συμβάντων.

Προεῖδεν ὁ ὅσιος Ἰωαννίκιος τὸν θάνατον τοῦ Θεοφίλου, πρὸς γὰρ τὸν Εὐστράτιον τὸν Ἡγούμενον εἶπεν ἵνα ἔχῃ ὀλίγην ὑπομονὴν, ὅτι ὁ Κύριος τῶν Δυνάμεων μέλλει δείξειν τὴν δυναστείαν αὐτοῦ. ἀλλὰ καὶ τὸν ἀναβιβασμὸν τοῦ Πατριάρχου Μεθοδίου προεῖπεν ὁ ὅσιος ὡς προορατικός. ἱστορεῖ δὲ ὁ Κουροπαλάτης ὅτι ἀπὸ μιᾶς Ἀγαρηνῆς φαρμακευτρίας ἐζήτει μαθεῖν ὁ Θεόφιλος ποῖοι ἔμελλον μετ' αὐτὸν βασιλεύειν, καὶ ἡ αἰχμάλωτος ἐκείνη γυνὴ εἶπεν αὐτῷ, ὅτι μέλλει βασιλεύσειν ὁ υἱός σου μετὰ τῆς μητρὸς αὐτοῦ, καὶ μετέπειτα τὸ γένος τῶν Μαρτινιανῶν βασιλεύσει. ὅθεν εὐθὺς προσέταξε κουρευθῆναι καὶ γενέσθαι Μοναχὸν τὸν Μαρτινάκιον πανοικεί. καὶ ὅτι ὁ Ἰωάννης ὁ Μάντις καὶ Πατριάρχης ἀποπεσεῖται τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως, ὡς καὶ συνέβη. ἀκούσας γοῦν ὁ Θεόφιλος τὴν νίκην τῶν Σαρακηνῶν εἰς τὴν Συρίαν, καὶ ὅτι ἑάλω τὸ Ἀμόριον ἡ πατρὶς αὐτοῦ, διεῤῥάγη ὑπὸ τῆς ἀθυμίας αὐτοῦ, καὶ ὑπὸ τῆς ἀσθενείας τῆς δυσεντερίας, καὶ βασιλεύσας ἔτη δώδεκα ἐτελειώθη, καὶ ἐβασίλευσεν αὐτ' αὐτοῦ ὁ υἱὸς αὐτοῦ πέντε ἐτῶν παιδίον μετὰ τῆς Θεοδώρας τῆς εὐσεβεστάτης αὐτοῦ μητρὸς, ἥτις ἐκέλευσε λυτρωθῆναι τοὺς ἐν φυλακαῖς καὶ ἐξορίαις ὄντας διὰ τὰς ἁγίας Εἰκόνας. ἐφιλοτιμεῖτο δὲ ὁ Θεόφιλος εἶναι μελῳδὸς, ὅθεν καὶ ἡ ὀγδόη ᾠδὴ τὸ, ΑΚΟΥΕΚΟΡΗ, αὐτοῦ ἐστι ποίημα, μεθαρμοσάμενος αὐτὸ ἐκ τοῦ πρωτοτύπου, καὶ τὸ τροπάριον τῶν Βαΐων, ΕΞΕΛΘΕΤΕ ΛΑΟΙ. καὶ ἐν ταῖς μεγάλαις ἑορταῖς ἐχειρονόμει μόνος εἰς τὴν μεγάλην Ἐκκλησίαν μελῳδῶν. ὥστε δὲ γίνεσθαι τὴν ψαλμῳδίαν μετ' ἐπιμελείας, παρεῖχε τῷ Κλήρῳ χρυσίου λίτρας ἑκατόν.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ βασιλείας καὶ εὐσεβείας Μιχαὴλ καὶ Θεοδώρας, καὶ τῶν ἐπιτρόπων αὐτῶν, καὶ τοῦ αἰτίου τῆς ἀναστηλώσεως τῶν Εἰκόνων, καὶ καθαιρέσεως ἀπὸ τοῦ θρόνου τοῦ Ἰαννῆ, καὶ στηλιτεύσεως τῶν ἔργων αὐτοῦ, καὶ Πατριαρχείας Μεθοδίου, καὶ ἀθροίσεως Ἀσκητῶν ἐν Κωνσταντινουπόλει.

Ἀποθνήσκει ὁ Θεόφιλος λοιπὸν, παρήγγειλε δὲ εἶναι ἐπιτρόπους τοῦ υἱοῦ αὐτοῦ Μιχαὴλ, Θεόκτιστον καὶ Μανουήλ. ἦν δὲ ὁ Θεόκτιστος πρόθυμος εἰς τὴν τῶν ἁγίων Εἰκόνων ἀναστήλωσιν, ἀλλὰ κρατησάσης τῆς Εἰκονομαχίας ἀπὸ Λέοντος τοῦ Ἀρμενίου καὶ Μιχαὴλ τοῦ Τραυλοῦ ἕως τῆς τελευτῆς τοῦ Θεοφίλου, ἦν ὅ τε Πατριάρχης καὶ τὸ πλεῖστον τῆς τε Συγκλήτου καὶ τῆς Συνόδου ἑπόμενον τῇ Αἱρέσει, καὶ αὐτὸς ὁ ἐπίτροπος τῆς Βασιλείας Μανουὴλ, καὶ ἠδυνάτει μόνος ὁ Θεόκτιστος εἰς τὸ ἔργον. πρόνοιαν ἐποιήσατο ὅμως ὁ Θεὸς τῆς Ἐκκλησίας, καὶ ἀῤῥωστήσαντος τοῦ Μανουὴλ καὶ ἀπεγνωκότος τὰ πρὸς ζωὴν, τινὲς Μοναχοὶ, οἵτινες ὅτε ἦν Στρατηγὸς τῶν Ἀρμενιακῶν ἐδίδαξαν αὐτὸν περὶ τῶν Εἰκόνων, καὶ εἶχον θάῤῥος, πρὸς ἐκεῖνον ἐπορεύθησαν, ἔχοντες ὁμοῦ καὶ τοὺς μαθητὰς Θεοδώρου τοῦ Στουδίτου, καὶ εἶπον αὐτῷ ὅτι ἀνίσταται ἐκ τῆς νόσου, εἰ ὑποσχεθείη τὴν ἀναστήλωσιν τῶν ἁγίων Εἰκόνων, ὅθεν ῥαΐσας τῆς νόσου, καὶ ἐγερθεὶς,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἐγερθεὶς, πείθει τὴν Βασίλισσαν Θεοδώραν (ἐν δοιάζουσαν εἴτε διὰ τοὺς πολλοὺς ὅρκους οἷς ἐνέβαλεν αὐτὴν ὁ Θεόφιλος ὁ Βασιλεὺς, εἴτε φοβουμένη τὸ πλῆθος) καὶ ἀθροίσασα Σύνοδον, ποιεῖ γενέσθαι τὴν ἀναστήλωσιν. καὶ καθαιρεῖται μὲν ὁ Πατριάρχης Ἰωάννης ὁ καὶ Ἰαννῆς, ἀνάγεται δὲ εἰς τὸν Πατριαρχικὸν θρόνον ὁ θεῖος Μεθόδιος. ἔστειλε δὲ ἡ Βασίλισσα πρῶτον Κωνσταντῖνον τὸν Δρουγγάριον εἰπεῖν τῷ Ἰαννῇ, ὅτι οἱ πολλοὶ θέλουσι τὴν προσκύνησιν τῶν Εἰκόνων, ἐκεῖνος δὲ ἵνα δείξῃ ὅτι ἔστειλεν ἡ Βασίλισσα καὶ ἐφόνευσεν αὐτὸν, ἔσχισε ξυρῷ φλέβας τινὰς τῆς κοιλίας αὐτοῦ καὶ ἔρρευσεν αἷμα, ἀλλ' ἦλθε Βάρδας ὁ ἀδελφὸς τῆς Βασιλίσσης, καὶ ἔγνω τὸ δρᾶμα, ὅθεν ἐδιώχθη πρὶν ἢ παρελθεῖν μίαν ὥραν ὁ Μάγος Ἰαννῆς, καὶ ἔνθα ἦν περιωρισμένος εἰς τὸ Μοναστήριον, εἶπε τῷ Διακόνῳ αὐτοῦ καὶ ἐξώρυξεν Εἰκόνων τινῶν ὄμματα, ὅπερ μαθοῦσα ἡ Βασίλισσα, ὥρισεν ἵνα τυφλώσωσιν αὐτὸν, ἐκώλυσαν αὐτὴν ὅμως τινὲς, πλὴν ὅμως ἐκέλευσε μαστιγωθῆναι αὐτὸν λώροις διακοσιάκις. τοιοῦτον τέλος ἔλαβεν ἡ Εἰκονομαχία ὑπὸ τῆς χριστιανικῆς βασιλείας. ποῦ τοίνυν εἰσὶν αἱ θυσίαι καὶ αἱ τελεταὶ καὶ τὰ μυστήρια καὶ τὰ σφάγια φαννεράτε καὶ ἀφανῆ; ποῦ τεράστια προγνώσεως καὶ σημεῖα ἐγγαστριμύθων; ποῦ αἱ κατὰ Χριστιανῶν μαντεῖαι καὶ ἀπειλαὶ ὠβάνομε Ἰαννῆ; οἴχεται πάντα καὶ διαλέλυται, διεῤῥύη ὡς ὄναρ ἀφανὲς τῶν ἀσεβῶν τὰ κομπάσματα, ἔπεσε Βάαλ, συνετρίβη Δαγών. σὺ κατὰ Ἡρώδην διώκτης, κατὰ Ἰούδαν προδότης, καὶ χριστοκτόνος εἶ Πιλᾶτος, μετὰ Ἰουδαίων μισόχριστος. σὺ τῶν ἁγίων ὑβριστὴς, ἢ Ἱεροβοάμ σε εἰπεῖν οἰκειότερον διὰ τὴν ἀποστασίαν, Φαραὼ διὰ τὴν σκληρότητα, Ναυουχοδονόσορ διὰ τὴν ἱεροσυλίαν, ποῦ ταῦτα πάντα; δῆλον ὅτι σὺν σοὶ τέθαπται, ἓν μόνον σου ἐκαλύφθη ἀνόμημα, ὅτι τὸ προάστειον Ἀρσαβεὶρ τοῦ ἀδελφοῦ σου, ἔνθα ἐφθείρου μετὰ πορνιδίων, καὶ ἦν ὄργανον τῶν ἀνομιῶν σου, ὁ Παρακοιμώμενος Βασίλειος μετέβαλεν εἰς Μονήν. φησὶ δὲ ὁ Μάγιστρος Συμεὼν, ὅτι ἡ Θεοδώρα ὕστερον ἐτύφλωσε τὸν Ἰαννῆν. ἀλλὰ πρὶν ἢ γενέσθαι τὴν Σύνοδον ὁ μέγας Ἀσκητὴς Ἰωαννίκιος ὁ εἰς τὸν βουνὸν τῆς Προύσης, καὶ ὁ ἅγιος Ἀρσάκιος ὁ εἰς τὸν Ὄλυμπον ἐξ ἀποκαλύψεως ἀπῆλθον εἰς τὸν πύργον τῆς Νικομηδείας, καὶ εὗρον τὸν Ἀσκητὴν Ἡσαΐαν, καὶ εἶπον αὐτῷ, ὁρίζει ὁ Θεὸς ἵνα πορευθῶμεν καὶ εὕρωμεν τὴν Βασίλισσαν καὶ τὸν Πατριάρχην Μεθόδιον, καὶ στήσωμεν τὴν ὀρθοδοξίαν καὶ τὴν ἀναστήλωσιν τῶν ἁγίων Εἰκόνων, ὅτι ἔπαυσαν οἱ ἐχθροὶ τοῦ Θεοῦ, ἔπαυσεν ἡ Εἰκονομαχία, καὶ ἀπὸ τοῦ νῦν ἔσται εἰρήνη καὶ εὐσέβεια. οὕτως οὖν συνεφώνησαν καὶ ἔδραμον εἰς τὴν βασιλεύουσαν, καὶ ἐνέτυχον τῷ Πατριάρχῃ καὶ τῇ Βασιλίσσῃ.

ΠΑΡΑΤΡΑΦΟΝ Β'.

Περὶ τῆς ἐν Κωνσταντινουπόλει Συνόδου ὑπὲρ τῆς ἀναστηλώσεως τῶν Εἰκόνων, καὶ ἀναθεματισμοῦ τῶν Εἰκονομάχων, ἐν οἷς καὶ περὶ τῆς ἀῤῥήτῳ σημείῳ συγγνώμης Θεοφίλου διὰ δεήσεως τῶν πατέρων, καὶ τῆς μετὰ Εἰκόνων γενομένης λιτανείας.

Ἐγένετο γοῦν Σύνοδος εἰς τὴν Κωνσταντινούπολιν κατὰ τῶν Εἰκονομάχων, καὶ εἰς αὐτὴν συνήχθησαν ὁμοῦ Ἀρχιερεῖς, Ἀσκηταὶ καὶ Μοναχοὶ, καὶ ἐν αὐτοῖς ἦσαν καὶ οἱ αὐτάδελφοι Θεοφάνης καὶ Θεόδωρος καὶ ἄλλοι θεοφόροι πατέρες καὶ ἐνάρετοι, ὡς ὁ Θεοφάνης ὁ Σύγκελλος καὶ Ἡγούμενος, οἵτινες ἀνεθεμάτισαν τοὺς τὴν Εἰκονομαχίαν πρεσβεύσαντας καὶ κυρώσαντας, εἴτε Βασιλεῖς εἴτε Ἀρχιερεῖς ἦσαν. ἐφάνησαν οὖν οἱ Στουδῖται τοῦ ἁγίου Θεοδώρου οἱ μαθηταὶ καὶ ἀκόλουθοι ὑπερασπισταὶ τῆς ὀρθοδοξίας, περὶ ὧν ἐβεβαιώθη τὸ ψαλμικὸν, οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσιν. ὁ δὲ ἅγιος Μεθόδιος κατὰ τὴν ὑποθήκην τοῦ ὁσίου Ἰωαννικίου (σημείωσαι κατὰ παπιστῶν πῶς Μοναχὸς Πατριάρχην διδάσκει καὶ εἰσηγεῖται) ἔγραψε τὰ ὀνόματα πάντων τῶν Εἰκονομάχων Βασιλέων καὶ αὐτὸ προσέτι τοῦ Θεοφίλου, ὅπερ, ὡς ᾄδεται, γενομένης νηστείας καὶ δεήσεως κατὰ τὴν πρώτην ὅλην ἑβδομάδα τῆς μεγάλης Τεσσαρακοστῆς, εὑρέθη ἐξηλειμμένον ὑπὸ τὴν ἁγίαν τράπεζαν. καὶ ὡς γέγονε τὸ θαῦμα, ἐξῆλθεν ἡ Βασίλισσα μετὰ τοῦ υἱοῦ αὐτῆς τοῦ μικροῦ Βασιλέως, βαστάζουσα τὰς ἁγίας Εἰκόνας, καὶ ἐπορεύθη εἰς τὸ Πατριαρχεῖον καὶ ἐλειτουργήθησαν, καὶ ἐξ ἐκείνου ἐκράτησεν ἡ ἑορτὴ τῆς Ὀρθοδοξίας, ἵνα ἐν αὐτῇ ἀναθεματίζωμεν τοὺς Αἱρετικοὺς, καὶ μακαρίζωμεν τοὺς ὀρθοδόξους. προσεκαλέσατο εἰς τὴν τράπεζαν ἡ Βασίλισσα τὸν Πατριάρχην, καὶ τοὺς συνευρεθέντας πατέρας, καὶ τοὺς ἀδελφοὺς αὐτοὺς τοὺς γραπτοὺς, οὓς ἰδοῦσα ἡ Θεοδώρα, ἐθαύμασε καὶ ὑπερεπαίνει τὴν ὑπομονὴν αὐτῶν. ἐγένετο δὲ ὁ Θεοφάνης Ἐπίσκοπος Νικαίας τῆς κατὰ Βιθυνίαν, καὶ συνέθετο ἕνα Κανόνα εἰς τὴν ἀναστήλωσιν τῶν ἁγίων Εἰκόνων, καθὼς καὶ ὁ Στουδίτης Θεόδωρος ἄλλον Κανόνα εἰς τὸν ὄρθρον, ἤγουν εἰς τὴν πρώτην Κυριακὴν τῆς ἁγίας Τεσσαρακοστῆς, εἴτ' οὖν τῆς Ὀρθοδοξίας. εὕρηται δὲ ἐν τινι ἀρχαιοτάτῳ βιβλίῳ ἀνωνύμου τινὸς οὑτωσὶ λέγοντος, ὅτι ἡ Θεοδώρα ἐμήνυσαι τῷ ἁγιωτάτῳ Μεθοδίῳ συναθροῖσαι πάντα ἄνθρωπον ὀρθόδοξον ἀπότε Μητροπολιτῶν, Ἀρχιεπισκόπων, Ἐπισκόπων, Ἡγουμένων, Κληρικῶν, Μοναχῶν καὶ κοσμικῶν, καὶ ἐλθεῖν αὐτοὺς εἰς τὴν ἁγίαν Σοφίαν μετὰ Σταυρῶν καὶ Εἰκόνων τῇ πρώτῃ Κυριακῇ τῶν νηστειῶν, καὶ μυριαρίθμου πλήθους συνελθόντος, παραγίνονται καὶ Μιχαὴλ καὶ Θεοδώρα καὶ πᾶσα ἡ Σύγκλητος, ἕκαστος τούτων μετὰ λαμπάδος, καὶ ἑνωθέντες τῷ ἁγιωτάτῳ Πατριάρχῃ, ἐξῆλθον λιτανεύοντες ἀπὸ τοῦ ἁγίου Θυσιαστηρίου μετὰ τῶν ἁγίων

Εἰκόνων

Εἰκόνων καὶ τοῦ τιμίου Σταυροῦ, καὶ τοῦ ἁγίου Εὐαγγελίου, καὶ κατέβησαν μέχρι τῶν βασιλικῶν πυλῶν τῶν λεγομένων Καναρίων, ἔνθα εὐχῆς ἐκτενοῦς γενομένης, καὶ κραζόντων πάντων τὸ, Κύριε ἐλέησον, ὑπέστρεψαν καὶ ἐγένετο Λειτουγία, καὶ ἐθέσπισαν ἵνα ἑορτάζηται κατ' ἔτος. λέγει δὲ ὁ Κουροπαλάτης ὅτι ἡ τοιαύτη συνέλευσις ἐγίνετο κατ' ἔτος εἰς τὸν Ναὸν τῆς Βλαχέρνας, ὅθεν ἀνήγοντο μετὰ λαμπάδων εἰς τὴν ἁγίαν Σοφίαν, καὶ ἀνεθεματίζοντο οἱ Εἰκονομάχοι, ἔνθα εὐφημίας γενομένης, ἐκάθητο ὁ Βασιλεὺς, εἰς δὲ τῶν ἄλλων ἐν οἷς ἐξεφωνεῖτο τὸ, Αἰωνία ἡ μνήμη, ἵστατο.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἀνθυποφορὰ Λατίνων, ἐν μετανοίᾳ τὸν Θεόφιλον τελευτῆσαι λεγόντων, καὶ ἀναίρεσις αὐτῆς ἀπὸ ἀξιολόγων ἱστορικῶν, καὶ ἀπὸ τοῦ Πορφυρογεννήτου.

Σημείωσαι, ὅτι ὁ Θεόφιλος Εἰκονοκλάστης ὤν, καὶ διώκτης τῆς Ἐκκλησίας, καὶ τύραννος τῶν ἁγίων, καὶ ἐν τούτοις ἀποθανὼν, εἰ ἦν εἰς τὸ Καθαρτήριον, ἰδοὺ καθαρίζονται καὶ οἱ θανασίμως ἡμαρτηκότες, καὶ οὐ μόνοι οἱ μετανοήσαντες καὶ ἱκανοποιΐας δεόμενοι. εἰ δὲ καὶ ἦν εἰς τὸν ᾅδην, ἰδοὺ νικᾷ ἡ γνώμη τῆς καθολικῆς Ἐκκλησίας, ὅτι καὶ πρὸ τῆς κοινῆς κρίσεως ἐλευθεροῦνται ἐκ τοῦ ᾅδου τινὲς διὰ τῶν Εὐχῶν τῆς Ἐκκλησίας, καὶ μάλιστα κακότροποι. Ἀλλὰ πρὸς ταῦτα ἀνθυποφέρουσιν οἱ Καθαρτηριῶται, ἤγουν οἱ Ῥωμαῖοι καὶ λέγουσιν, ὅτι οὐκ ἴσχυσεν ἂν ἡ τῶν ἁγίων ἀνδρῶν ἐκείνων δέησις, καὶ ἡ τῆς Βασιλίσσης σπουδὴ ὑπὲρ Θεοφίλου, εἰ μὴ ἐκεῖνος πρῶτον ὡμολόγησε τὸ οἰκεῖον πταῖσμα, καλὸν εἶναι φήσας τὰς ἁγίας Εἰκόνας τιμᾶσθαι καὶ σέβεσθαι, ἦν γὰρ ἐνάρετος ὁ ἀνὴρ σφόδρα, διὰ δὲ τὸ νοσεῖν τὴν τῶν Εἰκονομάχων Αἵρεσιν, ὡς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ, τὸ στόμα αὐτοῦ ὑπερλίαν ἠνέῳκτο, ὥστε τὰ ἔγκατα αὐτοῦ φαίνεσθαι, εἶτα καὶ ἔργῳ δείξας τὴν τῶν σεβασμίων Εἰκόνων προσκύνησιν ἁγίαν, ὡς ἐπελάβετο ἐγκολπίου τινὸς τῶν παρεστώτων, εὐλαβῶς κατεφίλει, καὶ μετ' ὀλίγον ἁρπαγεὶς πρὸς τὰ ἐκεῖθεν δικαιωτήρια κατερρίφη, ὑπὲρ οὗ δεήσεων ἐκτενῶν γενομένων παρὰ τῶν θεοφόρων καὶ ἁγίων ἐκείνων ἀνδρῶν καὶ αὐτῆς τῆς Βασιλίσσης, συγνώμη αὐτῷ δέδοται. Ἡμεῖς ὅμως ἀποκρινόμενοι λέγομεν, ὅτι οὐ μόνον κομιδῇ μάταιον, ἀλλὰ καὶ ἀνόητον τὸ πιστεύειν ἡμᾶς τῷ λέγοντι ταῦτα Γενναδίῳ τῷ πεπλασμένῳ, καὶ ἀποδέχεσθαι αὐτὸν μάρτυρα ἐν τοῖς τοιούτοις μεγάλοις πράγμασι, σιωπῶντας τοσούτους ἀξιολόγους ἱστορικοὺς, ὧν τινὲς μὲν μαρτυροῦσιν, ὅτι αἰσχρῶς ἀπέθανεν ὁ Θεόφιλος, τινὲς δὲ, ὅτι παρηγγήλκει κατὰ τῶν Εἰκόνων καὶ ὑπὲρ τοῦ Πατριάρχου Ἰαννῆ, καὶ πάντες λέγουσιν, ὅτι ἀμετανόητος τέθνηκεν, καὶ εἰσαγέσθω πρῶτον ὁ Ζωναρᾶς, ὅστις λέγει, Τότε ἀξιώσας μὴ παραχωρῆσαι ἀναστηλωθῆναι Εἰκόνας, μήτε τὸν Πατριάρχην Ἰωάννην τῆς Ἐκκλησίας ἐκδιωχθῆναι. δεύτερον, Μιχαὴλ ὁ Γλυκᾶς λέγει, Ἀλλὰ καὶ τελευτῶν ὁ Θεόφιλος παρήγγειλε μήτε τὰς ἁγίας Εἰκόνας ἀναστηλωθῆναι, μήτε τὸν Πατριάρχην Ἰωάννην τὸν Γόητα καθελεῖν. τρίτον, ὁ Γεώργιος Μοναχὸς λέγει, Τοῦ Βασιλέως δυσεντερίας νόσῳ τὴν ψυχὴν κακῶς ἀπορρίξαντος. τέταρτον, Συμεὼν ὁ Μάγιστρος φησὶν (ὁ Θεόφιλος) τὸ πνεῦμα αὐτοῦ κακῶς καὶ ὀδυνηρῶς ἀπέρριξε. πέμπτον, Κωνσταντῖνος ὁ Βασιλεὺς ὁ Πορφυρογέννητος φησὶ, Κατὰ τὴν εἰκάδα τοῦ Ἰανουαρίου Μηνὸς τὸν βίον μετήλλαξε, πολλὰ τοὺς τῆς ὀρθοδόξου πίστεως περιεχομένους παρ' ὅλον αὐτοῦ τὸν βίον μυσαττόμενος, οὐ λέγει δὲ ὅτι μετενόησεν. ἕκτον, ἔστω ὁ Ἰωὴλ λέγων, Θεοφίλου κακῶς καὶ ἀθλίως τὴν ψυχὴν ἀπορρίξαντος. ἕβδομον εἰσαγαγέσθω ὁ Κεδρηνὸς λέγων, Καταστρέψαντος αὐτοῦ Θεοφίλου τὴν ψυχήν. ταῦτα συμφώνως οἱ τῶν ἱστορικῶν ἀξιόλογοι, οὓς παραβλέποντες οἱ Λατῖνοι, προσφέρουσιν εἰς μαρτυρίαν τὸν Ψευδογεννάδιον καὶ τὸν ὑπ' αὐτοῦ ἀπατηθέντα Τζιγαρᾶν καὶ ἄλλους τινὰς, ὡς ποιοῦσι καὶ περὶ τοῦ Καθαρτηρίου πυρὸς, τῶν μὲν πατέρων τὰς μαρτυρίας παρορῶντες, τινὰς δὲ καὶ παραγράφοντες, ἐπὶ δὲ τὰ σοφίσματα καὶ τινῶν ἀνθρωπίσκων μαρτυρίας καταποφεύγοντες, ὡς ποιοῦσι καὶ περὶ τῆς ἀπολυτρώσεως τῆς ψυχῆς τοῦ Τραϊανοῦ ἐκ τοῦ ᾅδου, περὶ οὗ Θεοῦ εὐδοκοῦντος, ἐν ἄλλοις ἐροῦμεν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'

Περὶ ἀνακομιδῆς τῶν λειψάνων Νικηφόρου τοῦ Πατριάρχου καὶ Θεοδώρου τοῦ Στουδίτου, καὶ κατακαύσεως τῶν σωμάτων Κοπρωνύμου καὶ Ἰαννῆ.

Ἐδεήθη πολλὰ ὁ Πατριάρχης Μεθόδιος, ἵνα γένηται ἡ ἀνακομιδὴ τοῦ Πατριάρχου Νικηφόρου, καὶ συγκατένευσεν εἰς τὴν αἴτησιν αὐτοῦ ἡ Αὐγοῦστα Θεοδώρα, καὶ ἀπεκομίσθη τὸ ἅγιον λείψανον, καὶ προσέτι ἐκεῖνο τοῦ Στουδίτου Θεοδώρου ἀπὸ τοῦ τόπου τῆς ἐξορίας. καὶ ἦν θαυμαστὸν κατὰ ἀλήθειαν καὶ εἰς τὸν καιρὸν μιᾶς γυναικὸς ἀνθῆσαι τόσον τὴν εἰρήνην καὶ τὴν εὐσέβειαν ἐν τῇ Ἐκκλησίᾳ ἐκ τοῦ ζήλου αὐτῆς. ἀλλὰ καὶ ὁ Μιχαὴλ ζηλωτὴς ὤν, ὡς φαίνεται ἐκ πολλῶν, καὶ ὡς ἱστορεῖ ὁ Μοναχὸς Γεώργιος καὶ Λέων ὁ Γραμμα-

ὁ Γραμματικὸς, ἔστειλε καὶ ἐξέβαλε τοῦ τάφου τὸν Κοπρώνυμον, ὃν εὗρεν ἄλυτον, ἴσως ὡς ἀφωρισμένον, καὶ τὸν Πατριάρχην Ἰαννῆν, καὶ ἔφερεν αὐτοὺς εἰς τὸ Ἱπποδρόμιον, καὶ ἐῤῥάβδισεν αὐτοὺς, καὶ ὕστερον κατέκαυσεν αὐτοὺς ἐν ἡμέρᾳ ἀγῶνος.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ ἀρχηγοῦ τῶν Βουλγάρων Βουγάρεως, καὶ τῶν αἰτιῶν τοῦ χριστιανισμοῦ αὐτοῦ τε καὶ τῶν Βουλγάρων.

Ὁ Βόγαρις τῶν Βουλγάρων ὁ Αὐθέντης ὡς ἔμαθεν ὅτι ὁ Θεόφιλος ἐτελεύτησε, καὶ κυβερνᾷ τὸ βασίλειον ἡ σύζυγος αὐτοῦ μετὰ παιδίου μικροῦ, ὑψώθη, καὶ ἔστειλεν Ἀποκρισιαρίους ὅτι οὐκ ἔτι βούλεται ἔχειν τὴν ἀγάπην καὶ τὴν συμφωνίαν, μόνον βούλεται ἐλθεῖν κατὰ τῆς Κωνσταντινουπόλεως. ἀλλὰ ἡ Βασίλισσα εὐπρεπῶς τοῖς Ἀποκρισιαρίοις αὐτοῦ ἀπεκρίθη, λέγουσα, Εἰ ὁ Αὐθέντης ὑμῶν νικηθήσεται ὑπὸ μιᾶς γυναικὸς, ἐντροπὴ μεγάλη καὶ κατηγορία αὐτῷ ἔσεται, εἰ δὲ νικήσει ἀνὴρ γυναῖκα, οὐδεμία ἐντροπὴ οὔτε κατηγορία μου ἔσται. καὶ ταῦτα ὁ Βόγαρις ἀκούσας, εἰρήνευσεν. Ἕνα δέ τινα Θεοδόσιον ἐπιλεγόμενον Κουφαρᾶν αἰχμαλωτισθέντα πρὸ πολλοῦ εἰς Βουλγαρίαν, ἡ Θεοδώρα ἀπό τινων ὀνειράτων ἐμήνυσε τῷ Βογάρεϊ αὐτὸν εὑρεῖν, καὶ αὐτὴ δώσει τὸ αὐτίλυτρον αὐτοῦ. ὁ δὲ ἀντεζήτησε τὴν ἀδελφὴν αὐτοῦ οὖσαν δούλην καὶ εὑρισκομένην εἰς τὰ βασίλεια, ἥτις καὶ γράμματα ἔμαθε, καὶ τὴν εὐσέβειαν ἐδιδάχθη, καὶ γέγονε καὶ ἐναρέτου ζωῆς. ἐπανελθοῦσα δὲ εἰς τὸν ἀδελφὸν, ἔσπειρεν αὐτῷ τῷ Βογάρεϊ τῆς ὀρθοδοξίας τὰ σπέρματα, ἦν δὲ καὶ ὑπὸ τοῦ Θεοδοσίου κατηχηθεὶς ὁ Βόγαρις ἱκανῶς, συνέβη δὲ καὶ πεῖνα μεγάλη εἰς τὴν Βουλγαρίαν, καὶ ἐπειδὴ ἤκουσε τὸ θαῦμα τῶν πέντε ἄρτων, ὑπεσχέθη, ὅτι ἐὰν ὁ Ἰησοῦς Χριστὸς αὐτοὺς χορτάσῃ, πάντας αὐτοὺς βαπτισθῆναι, καὶ ὦ τοῦ θαύματος, ἐγέμισεν ὁ τόπος ἀπὸ σίτου, καὶ ἐχορτάσθησαν ἀπὸ τῶν ὀσπρίων καὶ ἄλλων ἐδεσμάτων, καὶ ἐδόξασαν τὸν Χριστὸν, καὶ ἐβαπτίσθη ὁ Αὐθέντης ὁ Βόγαρις, καὶ μετωνομάσθη Μιχαὴλ, καὶ ὁ λαὸς ὁμοίως ἐχριστιάνισεν. ἔκτισε δὲ καὶ Ἐκκλησίαν, καὶ ἐζωγράφησεν αὐτὴν Ῥωμαῖος τὶς Μοναχὸς Μεθόδιος τοὔνομα, ὃς καὶ ἐν ταῖς ἄλλαις ἱστορίαις ἱστόρησε καὶ τὴν δευτέραν παρουσίαν τοῦ Κυρίου, καὶ ὡς εἶδε τὸν Παράδεισον καὶ τὴν κόλασιν ὁ Βόγαρις, ὁ μετονομασθεὶς Μιχαὴλ, ἐφοβήθη τὸν Θεὸν, καὶ ἐστερεώθη μᾶλλον εἰς τὴν χριστιανωσύνην. λέγει δὲ Συμεὼν ὁ Μάγιστρος, ὅτι τοῦ Μιχαὴλ πολεμοῦντος τὸν Βόγαριν, ἐγένετο ὁ Βόγαρις Χριστιανὸς, καὶ ὅτι ἐπανέστησαν αὐτῷ τῷ Βογάρεϊ οἱ Βούλγαροι, ἐκεῖνος δὲ ἔχων Σταυρὸν εἰς τὸν κόλπον ἐνίκα αὐτοὺς, εἶτα φανερῶς κατήχει, ἐβάπτιζε, καὶ οὕτως ἀπὸ μικρῶν σπινθήρων ἐν Χριστῷ ἐγένετο τοιοῦτον μέγα κατόρθωμα. ὁ δὲ Παφλαγὼν εἰς τὸν βίον τοῦ ἁγίου Ἰγνατίου λέγει, ὅτι πενία ταλαιπωρούμενος ὁ βάρβαρος, τοῦ Βασιλέως δεξιουμένου, ἐχριστιάνισεν. ὁ δὲ Θεοφάνης φησὶν, ἐπεὶ κίνησιν εἶχεν ὁ Βασιλεὺς κατὰ Βουλγάρων, λιμῷ τρυχομένων, ᾐτήσαντο Χριστιανοὶ γενέσθαι, καὶ τῷ Βασιλεῖ ὑποτάσσεσθαι, καὶ ὁ Βασιλεὺς Μιχαὴλ τὸν Ἄρχοντα Βουλγάρων βαπτίσας, ἐπέθηκεν αὐτῷ τὸ ὄνομα αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Πῶς, καὶ πότε ἐγένοντο οἱ Πάπαι κύριοι πόλεων καὶ Ἐπαρχιῶν, καὶ πότε ἤρξαντο ἀλλάσσειν τὰ ὀνόματα αὐτῶν, καὶ πῶς οἱ Βασιλεῖς καὶ Ῥῆγες προϋπαντοῦσιν αὐτοὺς, καὶ πῶς ἐγίνοντο Πάπαι σιμωνιακῶς.

Ἄτε δὴ ἔλθωμεν καὶ εἰς τὰ συμβάντα εἰς τὴν Ῥώμην. Στέφανος ὁ δεύτερος ἐνοχλούμενος ὑπὸ Αἰστούλφου Ῥηγὸς Λογγιβάρδων, ἀπέρχεται εἰς Πιπῖνον Ῥῆγα Φραγγίας, οὗ τῇ συνεργείᾳ κατεπολέμησε τὸν Λογγίβαρδον τοῦτον Αἰστούλφον ὁ Πάπας Στέφανος, καὶ δὴ ὑπὸ ἀποπληξίας θανόντος τοῦ Αἰστούλφου, ὁ Πάπας ἔλαβε τοὺς τόπους αὐτοῦ, καὶ ἐκλειπόντων καὶ τῶν Ἐξάρχων Κωνσταντινουπόλεως ἀπὸ Ἰταλίας, οἵτινες ἔμειναν ἔτη ἑκατὸν ἑβδομήκοντα, ἔλαβεν ὁ Πάπας τοὺς τόπους τῶν Ῥωμαίων ὅσους ἐδυνήθη εἰς Ἰταλίαν. Ἀδριανοῦ δὲ τοῦ πρώτου μαχομένου Δεξιδερίῳ Ῥηγὶ Λογγιβάρδων, ὁ Δεξιδέριος ἐμήνυσεν αὐτῷ ἀναγινώσκειν τὰς βίβλους καὶ ἡσυχάζειν ὡς Μοναχὸς, ὁ δὲ Πάπας δεηθεὶς Καρόλου Ῥηγὸς Φραγγίας, ἔστειλε Στρατεύματα καὶ ἐνίκησε τὸν Δεξιδέριον καὶ τὸν γαμβρὸν αὐτοῦ, ὅθεν βιασθεὶς ὁ Δεξιδέριος ἀφῆκε τὰ κάστρα τῷ Πάπᾳ, καὶ ἀφιέρωσε καὶ ἐκ τῶν ἑαυτοῦ τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης. ἀπελθὼν δὲ ὁ Κάρολος εἰς Ῥώμην, ἐβεβαίωσεν ἔχειν τὸν Πάπαν ὅσα εἶχεν ἡ Ἐκκλησία Ῥώμης εἰς τὴν ἐξουσίαν αὐτῆς. Στέφανος δὲ ὁ τέταρτος φυγαδεύεται ὑπὸ τοῦ ἀνωτέρω εἰρημένου Καμπούλου, καὶ ἀπέρχεται εἰς Φράντζαν, προϋπήντησε δὲ αὐτῷ ὁ ῥὴξ Λοδοβῖκος, οὐ μὴν καὶ ἐφίλησεν αὐτοῦ τοὺς πόδας,

μάλιστα

μάλιστα δὲ ἐτίμησεν αὐτὸν ὅτι ἐνομίζετο ἅγιος, ἐπειδὴ ἦν βίου καλοῦ, τοῦ δὲ μετ' ἐκεῖνον Πασχάλη προβληθέντος χωρὶς γνώμης τοῦ Λοδοβίκου, ὁ Λοδοβῖκος ἔγραψεν εἰς τὸν Κλῆρον, ὅτι δέον ἐστὶ φυλάττεσθαι τὰ ὅρια καὶ μὴ ἀθετεῖσθαι τὰς συνθήκας, καὶ λοιπὸν χωρὶς εἰδήσεως τοῦ Αὐτοκράτορος Πάπαν μηκέτι γίνεσθαι, ὅτι ἀκολουθεῖ παιδία ἀσύγγνωστος. ἔλαβε δὲ ὁ Λοδοβῖκος ἀπὸ τοῦ Πάπα ὅσα προήρπασε κάστρα, καὶ μόνα ἀφεῖκεν ἔχειν ἃ εἶχε πρότερον, τοιοῦτό τι πρῶτον ἐγέννησεν ἡ στέψις τοῦ Λέοντος. οὗτος ἐστὶ ὁ Πασχάλης πρὸς ὃν ἔγραφε Θεόδωρος ὁ Στουδίτης. ἐπὶ δὲ τοῦ μετ' ἐκεῖνον Εὐγενίου φασὶν οἱ Λατῖνοι, ὅτι Μιχαὴλ ὁ Τραυλὸς ἔστειλεν εἰς Λοδοβῖκον καὶ ἠρώτα, ὁποίαν γνώμην ἔχει περὶ τῶν Εἰκόνων, ὁ δὲ ἔστειλε τοὺς πρέσβεις εἰς τὸν Πάπαν εἰπὼν, ὅτι ἐκείνου ἐστὶν ἴδιον κρίνειν τὰς Ἐκκλησίας. Ἀλλὰ ῥητέον, ὅτι ὁ Τραυλὸς εἶχε πολλοὺς Διδασκάλους εἰς τὴν Ἀνατολὴν καὶ ἁγίους, οἳ καὶ ἐδίδασκον αὐτὸν καὶ ἤλεγχον, καὶ οὐκ ἤκουεν αὐτῶν, ὡς ὢν ἔκδοτος ὅλος εἰς τὴν Εἰκονομαχίαν, καὶ Λοδοβῖκον ἐρωτῆσαι, ἐστὶ πλάσμα. ὅτι δὲ οὐμόνος ὁ Ῥώμης, ἀλλὰ κοινῶς ἡ Ἐκκλησία, καὶ εἰς καιρὸν ἀνάγκης καὶ Πατριάρχης καὶ ἁπλῶς Ἐπίσκοπος κρίνει καὶ ἐλέγχει καὶ ἐπιτιμᾷ περὶ πίστεως, εἴρηται πολλάκις, εἰμή που καὶ εἴποι τὶς, ὅτι ὁ Τραυλὸς ἤκουσεν ὅτι ἐκεῖνοι οἱ Ῥῆγες τῆς Φράντζας ἤθροισαν Σύνοδον κατὰ τῶν ἁγίων Εἰκόνων, ὡς εἴρηται ἀνωτέρω, καὶ ἠθέλησε βεβαιωθῆναι εἴγε εἰσὶ τοιοῦτοι ὡς ἤκουσε, καὶ διατοῦτο ἔστειλεν ἐρωτῶν, καὶ ἴδε ἀνωτέρω κεφάλαιον ὄγδοον. Γρηγόριος ὁ τέταρτος οὐκ ἠθέλησε μόνῃ τῇ ψήφῳ τῶν Κληρικῶν τὸ παπᾶτον, ἕως οὗ ἐβεβαίωσεν αὐτὸ ὁ ῥὴξ Λοδοβῖκος. οὗτος ἤθροισε Σύνοδον, καὶ ἑπόμενος τῆς ἑβδόμης Οἰκουμενικῆς τῷ δεκάτῳ ἕκτῳ Κανόνι, ἐκώλυσε καὶ αὐτὸς συνοδικῶς ἵνα μὴ οἱ ἐκκλησιαστικοὶ Ἐπίσκοποι καὶ οἱ λοιποὶ φορῶσι χρυσᾶ καὶ μεταξωτὰ ἱμάτια. ὀδύρεται ὁ Πλάτινας εἰς τὴν ζωὴν Βενεδίκτου τοῦ τετάρτου, λέγων ὅτι οἱ Πάπαι μετέβαλον τὴν αὐστηρότητα εἰς ἀκολασίαν, καὶ χωρὶς τοῦ ἔχειν τοὺς ἐμποδίζοντας ὤφθησαν Θηρία καὶ τέρατα, αἰσχρῶς καὶ σιμωνιακῶς γινόμενοι Πάπαι, ὅθεν καὶ μᾶλλον ἐταπείνωσαν τὸν θρόνον τῆς Ῥώμης, ἢ ὕψωσαν, καὶ διὰ ταῦτα Κλήμης ὁ δεύτερος συνοδικῶς διετάξατο, χωρὶς τῆς γνώμης τοῦ Βασιλέως τῆς Δύσεως μηκέτι γίνεσθαι Πάπαν, καθότι μόνοι οἱ πλούσιοι καὶ οὐτιδανοὶ δυνάμει χρημάτων ἐλάμβανον τὸ παπᾶτον, ἁρπάζοντες τὸν θρόνον σιμωνιακῶς. ἐφαρμάκευσαν ὅμως τὸν τίμιον καὶ ὅσιον Πάπαν οἱ Ῥωμᾶνοι, ὅτι ἐγένετο Πάπας χωρὶς τοῦ θελήματος αὐτῶν. ἄλλοι δὲ λέγουσιν, ὅτι αὐτὸν ἐφαρμάκευσε Στέφανος ὁ Διάδοχος αὐτοῦ, ὁ κληθεὶς Δάμασος δεύτερος, ὅστις ὅτι ἦν αὐτόχρημα κακίας εἶδος, μετὰ εἴκοσιν ἡμέρας τῆς χειροτονίας αὐτοῦ, ἐδιώχθη τοῦ θρόνου. ἀλλὰ δὴ καὶ Νικόλαος ὁ δεύτερος ἀγαθὸς καὶ δίκαιος, Σύνοδον ἤθροισεν ἐν τῷ Λατεράνῳ τοῦ μηκέτι γίνεσθαι Πάπαν ἢ δι' ἀργυρίων, ἢ δι' ἄλλης δωρεᾶς ἀνθρωπίνης, ἢ δυνάμει λαοῦ, ἢ τοῦ Στρατοῦ, ἀλλὰ τῇ κοινῇ ἐκκλησιαστικῇ ψήφῳ. καὶ ὅστις γενήσεται Πάπας τοῦ λοιποῦ παρανόμως, ἀποστάτης δικαίως ὀνομάζεσθαι, καὶ ἀναθεματίζεσθαι ὡς προδότης καὶ παράνομος, καὶ πάσῃ ἀνθρωπίνῃ βοηθείᾳ ἐξοστρακίζεσθαι τοῦ θρόνου. καὶ σημείωσαι, ὅτι οἱ μετὰ τὴν Σύνοδον ταύτην Πάπαι ὑπόκεινται τῷ ἀναθέματι ταύτης, ὅσοι δηλαδὴ παρανόμως γίνονται. ῥητέον καὶ τοῦτο, ὅτι τὸν Πάπαν Σέργιον δεύτερον λεγόμενον, διὰ τὸ καλεῖσθαι Χοιρόστομον, ψηφισάμενοι αὐτὸν, ὠνόμασαν Σέργιον, βασιλεύοντος Θεοφίλου, καὶ ἐντεῦθεν ἐγένετο ἀρχὴ ἐναλλάσσεσθαι τὰ ὀνόματα τῶν Παπῶν. ἐπὶ Σεργίου δὲ τούτου ὁ Λοδοβῖκος ὁ ἔγγονος τοῦ μεγάλου Λοδοβίκου καὶ υἱὸς τοῦ Λοταρίου ἦλθεν εἰς Ῥώμην ἀπεσταλμένος ὑπὸ τοῦ πατρὸς αὐτοῦ, ὃν οὐ προϋπήντησεν ὁ ἴδιος Πάπας, ὡς προϋπήντησεν ὁ Βιταλιανὸς τὸν Αὐτοκράτορα Κῶνσταν, ἀλλ' ἔστειλε Κλῆρον εἰς ὑπαντὴν, ὁ δὲ Σέργιος προϋπήντησεν αὐτὸν εἰς τὴν σκάλαν τῆς Ἐκκλησίας, οὐκ ἐφίλησε δὲ τοὺς πόδας αὐτοῦ ὁ Λοδοβῖκος, ἀλλὰ ἠσπάσθησαν μόνον ἀδελφικῶς. Σὺ δὲ σημείωσαι, ὅτι ὁ Πάπας Ἰωάννης ἐγονάτισε δεόμενος ἐνώπιον τοῦ Βασιλέως Ἰουστίνου τοῦ Θρᾳκὸς, τὸν δὲ Κῶνσταν προϋπήντησεν ἔξω τῆς Ῥώμης ὁ Βιταλιανὸς, τοῦτον δὲ προϋπήντησεν εἰς τὴν σκάλαν τῆς Ἐκκλησίας ὁ Σέργιος. ὕστερον δὲ, ἐπεὶ ἔβαλον εἰς μάχην τοὺς Βασιλεῖς καὶ Ῥῆγας καὶ Αὐθέντας Ἀνατολῆς καὶ Δύσεως οἱ Ἐπίσκοποι Ῥώμης, γαννύμενοι ὡς ὁ Κρόνος εἰς τὴν χύσιν τοῦ ἀνθρωπίνου αἵματος, κατεσκεύασαν ἵνα ἀσπάζωνται οἱ Βασιλεῖς τὸν πόδα αὐτῶν. ἀλλὰ τοῦ μὲν Κρόνου τὰς ἀνθρωπίνας αἱματεκχυσίας ἐκώλυσεν ὁ Συρακούσιος Γέλων, νικήσας τοὺς Ἀφρικανοὺς (ἐν οἷς ἐτελεῖτο τὸ μῦσος) καὶ εἰρηνεύων μετ' ἐκείνων. τοῦτο δὲ τὸ ἀσεβέστατον ἔργον τὶς ἄνθρωπος ἄρα κωλύσειεν ἄν; Ναὶ, τὸ οἰκείᾳ θελήσει τινὰς φιλεῖν τοὺς πόδας τῶν Ἐπισκόπων, ἔστω, ἀλλ' εἶναι δόγμα, καὶ καταφρονεῖσθαι τοὺς χριστοὺς Κυρίου τοὺς Χριστιανοὺς Βασιλεῖς φιλεῖν τοὺς πόδας τοῦ Ῥώμης, πρὸς τῷ ἀηδὲς εἶναι, καὶ πάσης ἀνομίας ἐπέκεινα ἐστὶν, ἐπειδὴ τοῦτο ἐγέννησε τὸ ἀντίθεον, καθότι τίθεται ὁ τίμιος Σταυρὸς, φεῦ, εἰς τὴν κουντοῦραν τοῦ Πάπα.

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῆς γυναικὸς τῆς γενομένης Πάπα Ῥώμης, καὶ τεξούσης ἐν τῇ λιτανείᾳ, καὶ τελευτησάσης ἐκεῖ.

Τῷ ἔτει ὀκτακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ ἐγένετο Πάπας ἐπανδρόμος Λέων ὁ τέταρτος, καὶ κοιμηθέντος αὐτοῦ τῷ ἔτει ὀκτακοσιοστῷ πεντηκοστῷ τρίτῳ, ἐγένετο Πάπας Ἰωάννης, ἐγνώσθη δὲ ἔτος ὅτι ἦν γυνή. ἔμαθε δὲ γράμματα εἰς τὰς Ἀθήνας καθὼς ἰσορροῦσι πολλοί. ἐλθοῦσα δὲ εἰς Ῥώμην καὶ διδάσκουσα μεθ' ὑγλωτίας τοὺς Ἐπισήμους, ψηφίζεται μετὰ τὸν Λέοντα εἰς τὸν θρόνον τοῦ Πέτρου. ἐγκαρωθεῖσα δὲ ὑπό τινος ἀλλοτρίας αὐτῆς, καὶ ἔχουσα ἀνάγκην παραγενέσθαι μετὰ λιτανείας εἰς τὸν Ναὸν τοῦ Λατεράνου, ἀναμέσον τοῦ Θεάτρου τοῦ λεγομένου Κολοσσοῦ εἰς τὸν Ναὸν τοῦ ἁγίου κλήρου ὠδίνασα, ἐτελούτησε τοῦ τὸ θέατρον, ἐπαθὴ ἐγκύμησε τῷ βρέφει παρέκτρωμα. ἐκάπισε δὲ χρόνους δύο, μῆνας πέντε καὶ ἡμέρας τέσσαρας. ἐτάφη δὲ ἀτίμως ὅπου καὶ ἐτελούτησεν. λέγουσι δὲ οἱ Δαίβολον φανερῶσαι αὐτῷ, ἀπόντα παῤῥησίᾳ.

Πάπα πάτερ πατρῶν, δεῖξον γόνιμα παπίσσης.
ὄντινα εἶχον ἡ κοινὴ τῶν ἀνθρώπων φήμη μετέβαλεν εἰς τὸν τοῦ τὸ Ἱεροσολύμων Νεκταρίου μεμυημένην Παροιμίαν.

Πάπας τὶς ἐγκυμονήσας, τίκτει ἔμελον ὡς θῆλυ,
Τέκνα δ' ὧν Ἰωάννης, Ἰωάννα μετεκλήθη,

Καὶ γυνὴ σαφῶς γνωθεῖσα, τὸ παπίδιον θηλάζει. ἐπισθοῦσαν δὲ πολλοὶ τῶν παλαιῶν γεγονέναι τοῦτο ἀληθέσαν, φέρουσι δὲ οἱ ταῦτα λέγοντες πολλοὺς ἱστορικοὺς μάρτυρας, καὶ πολλὰ περισατικὰ σωτισθέντα τὸ δρᾶμα ἄγουσιν εἰς τὸ μέσον.

ΠΑΡΑΓΡΑΦΟΝ Β'

Ἐναντιότης Βινίου καὶ Βαρωνίου, μὴ ὑπάρξαί ποτε γυναῖκα Πάπαν Ῥώμης λεγόντων, καὶ Ἰωάννου τοῦ Ὀγδόου ὡς ἁπλοϊκοῦ γυναῖκα κεκληθαι.

Ἀντιφερόμενος ὁ Βίνιος εἰς τὴν τοιαύτην ἀλήθειαν, φοβούμενος ὅπερ ἐστὶ καὶ ἡ ἀλήθεια, ὅλη αὐτοῦ τοιοῦτον βεβαιωθῇ καταβάλλεται καὶ ὑπτιάζει ἡ ἐξουσία τοῦ Πάπα, φησὶν, ὅτι Ἰωάννης ὁ Ὄγδοος, ὁ μετὰ Ἀδριανὸν δηλαδὴ τὸν δεύτερον, μὴ ὢν ἄξιος αὐλησῆναι τῷ Κωνσταντινοπόλεως φωτίῳ, ὠνομάσθη γυνή. ὁ δὲ Βαρώνιος, ἄλλος ἔτος σοφιστὴς λέγει, ὅτι Ἰωάννης ὁ βαλὼν τὸν Φώτιον εἰς τὸν θρόνον αὐτοῦ, ἐποίησεν ἔργον, ὅπερ ἦν φρόνημα τῆς σαρκὸς καὶ ἔχθρα πρὸς Θεὸν πρόξενον, ὥστε ἡ Ῥώμη ἀναζιωτέραν καὶ ἀχρηστοτέραν πρεσβείαν ὡς ἐκείνην ἢν ἔσχαλον ὁ Ἰωάννης Φωτίῳ ὑποιδὸν, ἔθου καὶ Δία τὴν ἁπλότητα καὶ ἀπαλότητα ὠνομάσθη γυνή, ὡς μὴ δυνηθεὶς αὐτισῆναι, ὡς καὶ Νικόλαος καὶ Ἀδριανὸς τῷ δυνάχῳ Φωτίῳ, οἱ δὲ μεταγενέστεροι ἀγνοίᾳ ἐφήμισαν ὅτι ἐστὶ γυνή. ἐπαινεῖ δὲ ὁ Βίνιος τὴν γνώμην τοῦ Βαρωνίου εἰς τὰς σημειώσεις Ἰωάννου ὀγδόου, καὶ ἀποβάλλει τὸν λόγον ὅτι ἦν ποτὲ Πάπας γυνή, ὡς καὶ ὁ Ὀνούφριος εἰς τὰς σημειώσεις αὐτοῦ ποιεῖ εἰς τὸν Πλατίνα.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἀπόδειξις ἐκ πάντων τῶν ἱστορικῶν, ὅτι φύσει γυνὴ γέγονε Πάπας Ῥώμης μετὰ Λέοντα τὸν τέταρτον.

Οὐ δυνῶνται οἱ ἱστορικοὶ περὶ τούτου τοῦ Ἰωάννου ὃς ἦν μετὰ Ἀδριανὸν τὸν δεύτερον ὅτι ἦν γυνὴ, ἀλλ' ἅπαντες ὁμολογοῦσι πεφυκέναι γυναῖκα Ἰωάννην, ὃς ἦς Δάϊδοχος Λέοντος τοῦ τετάρτου, οὗ καὶ διεδέξατο Βενέδικτος ὁ τρίτος, μεθ' ὃν Νικόλαος ὁ πρῶτος, ὁ μετὰ Ἀδριανὸν τὸν δεύτερον. ὁ Σαβέλλικος Ἐννεάδος κεφαλαίῳ ὀκτῶ, βιβλίῳ πρώτῳ, ἐκείνην τὴν γυναῖκα ἥπερ ἦν Δάϊδοχος τοῦ Λέοντος καλεῖ Ἰωάννην ἕβδομον, τὸν δὲ Ἰωάννην, ὃς ὦν Δάϊδοχος Ἀδριανοῦ τοῦ δευτέρου μεταταῦτα καλεῖ Ἰωάννην ὄγδοον. θαῦμα ἐστὶ φησὶν ὁ Σιγιβέρτος κατὰ τὸν ὀκτακοσιοστὸν πεντηκοστὸν τέταρτον ἔτος, διηγέμβρυος περὶ τῆς γυναικὸς Ἰωάννης, ὅτι Ἰωάννης ἦς γυνὴ ἦν, καὶ ἑνὶ μόνῳ φίλῳ σωπήθη γνωστὴ, ὃς καὶ κοιμηθεὶς μεθ' αὐτῆς, ἐν πληρώσας αὐτῷ, ἐγέννησε Πάπας ὑπάρχουσα, ὅθεν ἐν ὑνὲς μετὰ τῶν Παπῶν ἐκ ἀριθμοῦσιν αὐτοί.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι Δία τὸ τινας τῶν παπισῶν μὴ σωμαρεθμεῖν τοῖς Πάπαις τὸν Πάπαν Ἰωάννην, σωέβη ἐκ τούτου τὸν Δάϊδοχον Ἀδριανοῦ τοῦ δευτέρου Ἰωάννην ὄγδοον λέγεσθαι, τοῦ Πλατίνα εἶπον αὐτὸν λέγοντος, ἐν περὶ τοῦ πρώτου ὀνόματος καὶ τῆς πατρίδος τῆς Πάπα Ἰωάννας, καὶ πῶ τέθνηκε.

Καὶ

Καὶ ἐντεῦθεν συνέβη τὸν Διάδοχον Ἀδριανοῦ τοῦ δευτέρου πρὸ τινων λέγεσθαι Ἰωάννην ὄγδοον, ὃν ὁ Πλάτινας ἔνατον καλεῖ. ἡ δὲ διήγησις (εἰπωμεν πάλιν) ἐν συντόμῳ Ἰωάννου ὀγδόου τῆς Παπίσσης ἐστὶν αὕτη, Γυνή τις ὀνόματι Γιλβέρτη ἰγγλέζα ἀπὸ πατρίδος τοῦ λεγομένου Μογουντιανοῦ Φρουρίου, προσποιηθεῖσα τὸν ἄνδρα, κατέλαβε τὰς Ἀθήνας, καὶ ἐκεῖθεν τὴν Ῥώμην, ὅπου καὶ λέγεται ἤθη καὶ διδασκαλίαν πρὸ πάντας εὐδοκιμῆσαι, ὅθεν καὶ κοινῇ ψήφῳ ἐδέχθη τὴν Ἀρχιερωσύνην κατὰ τὸ ὀκτακοσιοστὸν πεντηκοστὸν τέταρτον ἔτος. πρώην μὲν, ὡς εἴρηται, ὀνομαζομένη Γιλβέρτη, ἐν δὲ τῷ Παπάτῳ, οὗ κατὰ Μαριανὸν τὸν Σκότον ἐγκρατὴς ἐγένετο ἔτη δύο, Μῆνας πέντε καὶ ἡμέρας τέσσαρας, Ἰωάννης ἐπεκαλέσθη. τέως δὲ ἐν τῷ τοκετῷ αὐτῆς ἐν αὐτῇ τῇ κοινῇ πλατείᾳ ἐφανερώθη καὶ τέθνηκε.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ ἐσμοῦ τῶν μαρτύρων, καὶ μάλιστα παπιστῶν, οὓς ἀνώνυμός τις καὶ Κουράδος Δεκκέρως προσφέρουσι, Πάπαν Ῥώμης γυναῖκα ὄντως γεγονέναι μαρτυροῦντας.

Ταύτης τῆς διηγήσεως τὴν ἀλήθειαν Ἀνώνυμός τις συγγραφεὺς πρὸ Ἰλυρίκῳ βιβλίῳ δεκάτῳ, ἐν τῷ καταλόγῳ τῶν τῆς ἀληθείας μαρτύρων, καὶ Κουράδος ὁ Δεκκέρως ἐν τῇ ὁμιλίᾳ τῆς ἀληθοῦς ἱστορίας περὶ τοῦ Πάπα Ἰωάννου ὀγδόου ὅτι ἦν γυνὴ καὶ βρεφοτόκος, καὶ Ἀλέξανδρος ὁ Κόκκος ἐν τῷ Διαλόγῳ αὐτοῦ περὶ τῆς Πάπα Ἰωάννας κατὰ πλάτος δεικνύουσι, μάλιστα ταῖς μαρτυρίαις Ῥανούλφου Μοναχοῦ τοῦ Φλαβιακένσου ὅστις ἔζη τῷ ἔτει ἐννακοσιοστῷ τριακοστῷ, καὶ Μαριανοῦ τοῦ Σκότου Μοναχοῦ Φουλδένσου. καὶ Σιγιβέρτου Μοναχοῦ Γιεμβλακένσου, καὶ Μαρτίνου Πολόνου, ὅστις ἦν πνευματικὸς ἰννοκεντίου τοῦ τετάρτου, καὶ Φραγγίσκου Πετραρχου, ὅστις ἦν συνηλικιώτης Μαρτίνου τοῦ Πολόνου καὶ οἰκειακοῦ τοῦ Πάπα, καὶ Ἰωάννου Βοκατζίου τῶν αὐτῶν συνηλικιώτου, καὶ Μαρτίνου τοῦ Μινορίτου, καὶ Ἀντωνίου Ἀρχιεπισκόπου Φλωροντίας, καὶ Ὄθωνος Ἐπισκόπου Φρισινγένσου, καὶ τοῦ παλαιοῦ χρονικοῦ τῶν Αὐγουστάνων, καὶ Οὐλιέλμου τοῦ Ὀκάμ, καὶ Ῥαφαὴλ τοῦ Βορατιράνου, καὶ Γουλιέλμου Ἰακώβου Ἐγμουδένσου, καὶ τοῦ Πλάτινα, καὶ τοῦ Σαβελίκου, καὶ Ἰακώβου Φιλίππου Βεργομένσου, καὶ Ματθαίου Παλμερίου, καὶ Τριθεμίου, καὶ Ἰωάννου τοῦ Στέλλα, καὶ Ναυκλήρου, καὶ Βελλερίου Ἀνσυλίνου, καὶ Ἀλβέρτου Κρατζίου, καὶ Βερνέρου Ῥολιβίγκου Καρτουσιανοῦ, συγγραφέως τοῦ συντάγματος τῶν χρόνων, καὶ Κοιλίου Ῥοδιγίνου, καὶ Ἰωάννου Λουκίδου, καὶ Χριστιανοῦ Μασαίου, καὶ Τοτιφρίδου Βιτερβιένσου, καὶ Ἰωάννου Μεπερίζιϊς, καὶ Θεοδώρου Δενίεν, καὶ τοῦ Χαλκοκονδύλου, καὶ Σχιδέσου, καὶ Λασιάρδου, καὶ Φουλγόσου, καὶ Βαπτιστοῦ Μαντονάνου, καὶ ἐπιστολῆς τινὸς τοῦ Παρισίων Ὀξονιένσου, καὶ Πραγένσου, καὶ τοῦ Τέζτορος, καὶ τοῦ Καραγγιᾶ, καὶ τοῦ βιβλίου τῶν συγχωρητικῶν τῆς Ῥώμης, τυπωθέντος κατὰ τὸ χιλιοστὸν πεντακοσιοστὸν εἰκοστὸν πέμπτον ἐν Ῥώμῃ, καὶ Ἰακώβου Εἰσγιεκούρια, καὶ Ἰωάννου Ἰνάλδου. αὕτη ἡ ἱστορία διὰ πολλῶν ἐτῶν ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ ἀναντιῤῥήτως καὶ ἐλέγετο καὶ ὑπεφέρετο, καὶ οὐδεὶς τῶν Ῥωμάνων συγγραφέων, οὐδεὶς τῶν Ἀρχιερέων τῆς Ῥώμης ἀντεῖπεν αὐτῇ, ἢ τοὺς συγγράψαντας αὐτὴν ἤλεγξεν ὅλως, καὶ γὰρ πράγματι ἐπιστώθη ἅπας ὁ κόσμος ἀληθῶς ὑπάρξαι καὶ συμβῆναι τοῦτο, καὶ γὰρ οὐκ ἔστι τῶν ἀδυνάτων καὶ τῶν ἀπίστων, ἀλλὰ καὶ τῶν δυναμένων καὶ τῶν ἐνδεχομένων. τοσούτοις δὲ σημείοις καὶ μαρτυρίαις, καὶ μάλιστα πολλῶν ὄντων παπιστῶν ἐξ αὐτῶν, στηριζομένην τὴν διήγησιν φανερῶς, ἐστὶν αἰσχύνη τὸ ἀρνεῖσθαι αὐτήν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι τῆς Πάπα γενομένης γυναικὸς Φώτιος καὶ Στυλιανὸς οὐχ ὡς οὐκ οὔσης, ἀλλ' ὡς ἀνόμου οὐκ ἐμνήσθησαν.

Ὁ Φώτιος ἐν τῷ περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, καὶ Στυλιανὸς ὁ Νεοκαισαρείας γράφων πρὸς Στέφανον Ῥώμης τὸν Βενέδικτον, τίθενται μετὰ τὸν Λέοντα οὐκ Ἰωάννην οὔτε Ἰωάνναν. Ἀλλὰ ῥητέον ὅτι ἐκεῖνοι τὸν νόμιμον εἶπον Διάδοχον τοῦ Λέοντος, τὴν δὲ παρεισφρήσασαν ἀσεβῶς κυράτζαν Γιλβέρτην καὶ μετακληθεῖσαν Ἰωάνναν ἀφῆκαν, οὐ γὰρ συνείθισαν οἱ Ἀνατολικοὶ ἀνακαλύπτειν τῶν ἀδελφῶν τὰ ἐλαττώματα. καὶ ἡμεῖς τοῦτο οὐκ ἐλέγεμεν, εἰ οἱ ἀδελφοὶ Λατῖνοι οὐκ ἐσπούδαζον λίαν αὐθαδῶς, ἵνα μὴ λέγω ἀσεβῶς δεῖξαι τὸν μυρίοις περιπίπτοντα ἀτοπήμασι καθὸ ἄνθρωπον Πάπαν εἶναι Θεὸν ἐπὶ τῆς γῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι οἱ νεώτεροι Λατῖνοι ἐπὶ μαρτυρίᾳ τοῦ καταπτύστου Λέοντος τοῦ ἐνάτου σπεύδοντες δεῖξαι Πατριάρχην Κωνσταντινουπόλεως τὴν Πάπαν Ῥώμης γενομένην γυναῖκα, δείκνυνται ψευδέστατοι, ἀμαρτύρως τὰ μεμαρτυρημένα ἀναιρεῖν ἐπιχειροῦντες.

Ὁ νεώ-

Οἱ νεώτεροι, οἱ ἐπαίροντες τὸν παπισμὸν μὴ δυνάμενοι δεῖξαι ἐν πᾶσιν οἷς ἂν εἴπωσι ψευδῆ τὴν ἱστορίαν ταύτην, σπουδάζουσι δεῖξαι τὸ δρᾶμα ὅτι γέγονεν εἰς τὴν Κωνσταντινούπολιν. καὶ δὴ λέγουσιν ὅτι ὁ Πάπας Λέων ὁ ἔνατον ἔγραψε τῷ Ἀκριδόνῳ καὶ Κηρουλλαρίῳ, ὅτι ἡ Ἐκκλησία Κωνσταντινουπόλεως ἀντιπολεμοῦσα τῷ πρώτῳ Κανόνι τῆς ἐν Νικαίᾳ πρώτης Συνόδου, ἀπετόλμησε ποιῆσαι Πατριάρχας Εὐνούχους, καὶ τὸ χεῖρον, ὅτι μίαν γυναῖκα προσέτι ἐτίμησε Πατριάρχην εἰς Κωνσταντινούπολιν. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι αὐτὸς ὁ Λέων ὡς συνθέμενος προφανῶς εἰς τὴν ἐν τῷ Συμβόλῳ προσθήκην, καὶ μὴ διορθωθεὶς, ὡς παρῃνέθη ὑπὸ τοῦ Κηρουλλαρίου, ἀνεθεματίσθη ὑπὸ τῆς ἐν Κωνσταντινουπόλει Συνόδου, καὶ πῶς ἔγραφεν ἐκεῖσε τὰ τοιαῦτα; δεύτερον, ὅτι εἰ ὅλως ἔγραψε ταῦτα, ἐψεύσατο, ὅτι ὁ Κανὼν αὐτὸς τῆς πρώτης Συνόδου ἐκείνους τοὺς εὐνουχίζοντας καθ' οἷον δήτινα τρόπον ἑαυτοὺς, ὡς φονικὸν καὶ ἀντίθεον ἔργον ποιοῦντας ἀποβάλλει τοῦ Κλήρου, τοὺς δὲ ὑπὸ βαρβάρων, ἢ ἰατρῶν, ἢ Δεσποτῶν εὐνουχισθέντας, ὄντας δὲ εἰς τὰ ἄλλα καλοὺς, λέγει ῥητῶς ὅτι τοὺς τοιούτους προσίεται ὁ Κανὼν, ὅθεν εἰς Κωνσταντινούπολιν εἰ ἐγένοντο Πατριάρχαι Εὐνοῦχοι, οὐκ ἦσαν Εὐνοῦχοι ἐκ τῶν ἑαυτοὺς ἐκτεμόντων, ἀλλὰ βασιλόπαιδες καὶ Πατρικίων τέκνα, εὐνουχισθέντα ὑπὸ τῆς δεσποτείας τῶν Βασιλέων δι' ὑποψίαν τοῦ μὴ βασιλεῦσαι ὕστερον. τρίτον, ὅτι οἱ Εὐνοῦχοι Πατριάρχαι εἰς τὸ Βυζάντιον ἦσαν (ἵνα ἐάσωμεν τοὺς ἄλλους) πρῶτος ὁ ἅγιος Γερμανὸς ὁ Ἰσαυρομάστιξ, δεύτερος ὁ ἅγιος Ἰγνάτιος ὁ ἐπὶ Φωτίου, οὓς καὶ οἱ Λατῖνοι ἔχουσιν ἁγίους. τέταρτον, ὅτι τοῦτο οὐδεὶς ἱστορικὸς εἶπε, πλὴν τοῦ Λέοντος τούτου, ὃς καὶ κατάπτυστος καὶ ἐξουθενητέος, διότι συκοφαντεῖ τὴν Κωνσταντινούπολιν, διότι παρεξηγεῖται τὸν Κανόνα τῆς ἁγίας Συνόδου, διότι ἐθελοντὶ κακουργεῖ, καὶ διότι βλασφημεῖ τοὺς ἁγίους Πατριάρχας, ἀνάξια καὶ ἀντίδοξα ποιῶν τῇ καθέδρᾳ τῆς Ῥώμης. σημείωσαι δὲ ὅτι μετὰ τὴν πάπαν Ἰωάνναν ἐπὶ Μιχαὴλ τοῦ υἱοῦ Θεοφίλου ἐγένετο Πάπας ὁ πανόσιος Βενέδικτος, ὁ διορίσας προφέρεσθαι καὶ ἀναγινώσκεσθαι τὸ Σύμβολον εἰς γλῶσσαν ἑλληνικὴν, καὶ γράψας εἰς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς μὴ δέχεσθαι Πάπαν εἰς κοινωνίαν, ἐὰν μὴ σημειοῖ αὐτοῖς ἐν ταῖς ἐνθρονιαστικαῖς αὐτοῦ ἐπιστολαῖς τὸ Σύμβολον τῆς δευτέρας Συνόδου ἀκαινοτόμητον καὶ χωρὶς τῆς προσθήκης τῆς καὶ ἐκ τοῦ Υἱοῦ, καθὼς ἄλλοι καὶ ὁ Μοναχὸς Ἐπιφάνιος σημειοῖ, ὡς εἴρηται ἐν τῷ πότε τῆς καθόλου Ἐκκλησίας οἱ Λατῖνοι ἀπερράγησαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς κοιμήσεως Μεθοδίου Κωνσταντινουπόλεως, καὶ Πατριαρχείας Ἰγνατίου, καὶ καθαιρέσεως καὶ ἐξορίας αὐτοῦ ἀδίκου διὰ τοῦ Βάρδα, καὶ Πατριαρχείας Φωτίου Πρωτασηκρῆτις, καὶ ὧν αἰεκαίνισε φροντιστηρίου γραμμάτων καὶ πολιτικῶν Νόμων ὁ Βάρδας.

Μεταλλάττει τὸν βίον ὁ θεῖος Μεθόδιος, καὶ προχειρίζεται κανονικῶς εἰς τὸν θρόνον Κωνσταντινουπόλεως ὁ ἱερὸς Ἰγνάτιος ἐν ἔτει ὀκτακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ. ἐπειδὴ δὲ ὁ ἀπὸ μητρὸς θεῖος τοῦ τότε βασιλεύοντος Μιχαὴλ Βάρδας ὁ Καῖσαρ ἀπολύσας τὴν γυναῖκα αὐτοῦ, ὑπωπτεύετο ὅτι ἐπόρνευε τὴν νύμφην αὐτοῦ, ὁ Ἰγνάτιος παρακούοντα τῶν νουθεσιῶν αὐτοῦ, καὶ θέλοντα μεταλαβεῖν τῇ ἡμέρᾳ τῶν Θεοφανείων, ἀπέβαλεν αὐτὸν παῤῥησίᾳ. ὁ δὲ Βάρδας, μὴ πειθέντος τοῦ Ἰγνατίου μὴ ἐλέγχειν αὐτὸν, πείθει τὸν Βασιλέα ὅτι ἐστὶν ἐπίβουλος αὐτοῦ ὁ Ἰγνάτιος, ὃν καὶ ἐκβάλλει τοῦ θρόνου ὁ Βασιλεὺς τῷ ὀκτακοσιοστῷ πεντηκοστῷ πέμπτῳ ἔτει, Φώτιον δὲ Πατριάρχην βίᾳ καὶ δυναστείᾳ προβάλλει αὐτ' αὐτοῦ, Πρωτασηκρῆτιν ὄντα κατ' ἐκεῖνο καιροῦ, λογιώτατον πάνυ, λέγει ὁ γραμματικὸς Λέων, τὸν δὲ Ἰγνάτιον ἐγκλείει εἰς τὸν τάφον τοῦ Κοπρωνύμου, καὶ λιμοκτονεῖ, κἀκεῖθεν ἐξορίζει αὐτὸν εἰς τὴν Νῆσον Τερέβινθον, ὅπου ἀπαιτηθεὶς τὴν παραίτησιν αὐτοῦ, καὶ μὴ διδοὺς αὐτὴν, ἐξορίζεται εἰς τὴν Μυτιλήνην. ἔγραψε δὲ ὁ Φώτιος τὰς συνήθεις ἐνθρονιαστικὰς ἐπιστολὰς εἰς τοὺς Πατριάρχας καὶ εἰς τὸν Πάπαν. ἐπειδὴ δὲ παρῆσαν Τοποτηρηταὶ τοῦ Πάπα Ῥώμης, σταλέντες κατὰ τῶν Εἰκονομάχων, πείθουσιν οἱ περὶ τὸν Βάρδαν καὶ αὐτοὺς, καὶ ἀθροίσαντες Σύνοδον ἐν ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ πρώτῳ εἰς τὴν ἁγίαν Σοφίαν, τὴν πέμπτην καὶ δευτέραν καλουμένην, τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων, ἀγαγόντες ἀπὸ Μυτιλήνης τὸν Ἰγνάτιον, καθαιροῦσιν αὐτὸν παῤῥησίᾳ, ἢ καθὼς θέλουσιν ἄλλοι, ὁ Βασιλεὺς ἵνα παύσῃ τὸ σχίσμα τὸ συμβὰν διὰ τοὺς Πατριάρχας καὶ διὰ τοὺς Εἰκονομάχους, ἔστειλεν εἰς τὴν Ῥώμην Ἄρχοντα καὶ δῶρα, καὶ ἔφερε τοὺς Τοποτηρητάς. πλὴν οὗτος ὁ παραλογισμὸς ὁ κατεργασθεὶς κατὰ τοῦ Ἰγνατίου, ἐγένετο αἰτία κατακρίνεσθαι τὸν Φώτιον καὶ ἐφ' οἷς μήτε ἔπραξε μήτε καν διενοήθη. Ὁ δὲ Βάρδας ἤνοιξε κοινὸν Σχολεῖον γραμμάτων εἰς τὴν Κωνσταντινούπολιν, ἐν ᾗ σχεδὸν ἀπεμαράνθη τὸ ἀξίωμα τῶν Ἐπιστημῶν, ὅθεν Ἰωάννης ὁ Κουροπαλάτης γράφων περὶ τοῦ Λέοντος τοῦ κατ' ἐκεῖνο καιροῦ φιλοσόφου, ὁμολογεῖ, ὅτι εἰς τὴν Κωνσταντινούπολιν ἐδιδάχθη καὶ

γραμμα-

γραμματικὴν καὶ ποιητικὴν καὶ τὴν κυκλοπαιδείαν αὐτὴν, εἰς δὲ τὴν Ἄνδρον εὑρισκόμενος μετὰ τοῦ Μιχαὴλ τοῦ Ψελλοῦ, ἐσπούδαζε τὰ περὶ τῆς φιλοσοφίας, τότε ἔζη καὶ ὁ Μεταφραστὴς, ὅθεν καὶ ὁ Ψελλὸς ἐνεκωμίασεν αὐτὸν ὅτε ἀνεπαύθη. ἀλλὰ καὶ τῶν πολιτικῶν Νόμων τὴν ἀκρίβειαν ὥσπερ ἀποσβεσθεῖσαν, ὁ Βάρδας συχνῇ βαδίζων εἰς τὰ κριτήρια, ἀνεκαίνισεν αὐτὴν θαυμασίως. καὶ ταῦτα μὲν τοῦ Βάρδα καλὰ, τὰ δὲ κατὰ Ἰγνατίου καὶ ἄλλα αὐτοῦ ἔργα ἠμαύρωσαν αὐτοῦ τὰ καλά.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ὁ Πάπας Νικόλαος μὴ δεξάμενος τὴν καθαίρεσιν Ἰγνατίου, οἰκειοποιούμενος δὲ τὴν Βουλγαρίαν, καὶ πέμψας ἐκεῖσε Ἐπισκόπους ἄθεα δόγματα διδάσκοντας, ἐξουθενεῖται ὑπὸ Φωτίου, καὶ καθαιρεῖ αὐτὸν, καὶ ἀποβάλλεται ἡ καθαίρεσις αὐτοῦ ὡς ἀλόγιστος. καὶ περὶ τοῦ ἐν τίνι διαλέκτῳ ἦν τὸ, Κωνσταντῖνε ἐν τούτῳ νίκα.

Μετὰ τὴν καθαίρεσιν τοῦ Ἰγνατίου ἀπελθόντων εἰς Ῥώμην τῶν ὑπομνημάτων μετὰ τῶν Λεγάτων τοῦ Πάπα, ὁ Νικόλαος τὰ μὲν κατὰ τῶν Εἰκονομάχων ἐδέξατο, οὐ μὴν καὶ τὴν καθαίρεσιν Ἰγνατίου. εἶτα συνέβη καὶ ἄλλο τι, εἰ γὰρ καὶ ἐχριστιάνισαν οἱ Βούλγαροι κατὰ μέρος, ἀλλ' ὁ Αὐθέντης αὐτῶν Μιχαὴλ καὶ ὅλον αὐτῶν τὸ ἔθνος ἐχριστιάνισαν διὰ τῶν ἀνωτέρων εἰρημένων αἰτιῶν, ἀλλὰ καὶ δι' ἐπιμελείας τοῦ Πατριάρχου Φωτίου, πρὸς ὃν Μιχαὴλ καὶ ἐπιστολὴν ἔγραψεν ὁ Φώτιος, περιέχουσαν κεφάλαια ἑκατὸν δέκα καὶ ὀκτὼ, διδάσκων αὐτὸν τὴν ὀρθόδοξον πίστιν ἀπό τε τῆς γραφῆς καὶ τῶν οἰκουμενικῶν Συνόδων, καὶ ἔτι τὰ ἤθη τῆς εὐσεβείας καὶ τῶν Ἀρχόντων. ὁ δὲ Ῥώμης Νικόλαος κινούμενος ὑπὸ φιλαρχίας, ᾠκειοποιεῖτο παραλόγως τὴν Βουλγαρίαν, καὶ ἔστειλε τινὰς Ἐπισκόπους καὶ ἄλλους ἐκκλησιαστικοὺς, οἵτινες πάνυ ἀσεβῶς ἀνεμύριζον τοὺς βαπτισθέντας, ὄντας μεμυρισμένους καὶ ὑπὸ τῶν Ἱερέων Κωνσταντινουπόλεως, ὡς δῆθεν τὸ χρίσμα ἐστὶν ἴδιον τοῖς Ἐπισκόποις, καὶ οὐχὶ τοῖς Ἱερεῦσι, καὶ ὅτι ὁ Φώτιος ὁ πέμψας τοὺς Ἱερεῖς ἦν ἀνίερος, καὶ ἔτι ἐδίδασκον καὶ τὴν νηστείαν τοῦ Σαββάτου, καὶ τὴν κατάλυσιν τῶν δύο πρώτων ἡμερῶν τῆς Τεσσαρακοστῆς, Δευτέρας καὶ Τρίτης, καὶ ἄλλα τινὰ, καὶ μάλιστα λανθανόντως ἐδίδασκον τὴν καὶ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος, οὐκ ἐπιτετραμμένοι ὑπὸ τοῦ Ῥώμης, ἐπειδὴ οὐκ ἦν ἡ προσθήκη εἰς τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, ἀλλ' ὅτι ἦν εἰς πολλοὺς δυτικοὺς ἡ τοιαύτη γνώμη. ἀλλ' ὁ Φώτιος ἀντεποιεῖτο τῆς Βουλγαρίας, καθότι ἦν ἡ εὐσέβεια τῶν Βουλγάρων δι' ἐπιμελείας τοῦ Κωνσταντινουπόλεως, καὶ ἡ Βουλγαρία ἦν ποτὲ ὑπὸ τὸν Ἐπίσκοπον Θεσσαλονίκης, ὡς εἴπομεν ἀνωτέρω βιβλίῳ πέμπτῳ, ὑπὸ τοῦ Κωνσταντινουπόλεως δὲ ἡ Θεσσαλονίκη, ὅθεν ἐξουθένει τοὺς παραλογισμοὺς τοῦ Νικολάου. ἀλλ' ἐκεῖνος ἀθροίζει Σύνοδον ἰδικὴν εἰς τὴν Ῥώμην, ἤγουν τῶν δυτικῶν Ἐπισκόπων, καὶ καθαιρεῖ τὸν Φώτιον περὶ ἄλλων αἰτιῶν, πρῶτον, ὅτι δῆθεν ἀπὸ κοσμικοῦ ἐγένετο Πατριάρχης, καὶ ὅτι ζῶντος τοῦ Ἰγνατίου ἐγένετο, καὶ ὅτι ἀδίκως ἐκάθηρε τὸν Ἰγνάτιον, καὶ ὅτι ἐχειροτονήθη ὑπὸ τοῦ Συρακούσης Γρηγορίου, ὃν προεκάθηραν Λέων καὶ Βενέδικτος οἱ Ῥωμαίων Ἐπίσκοποι καὶ ὁ Ἰγνάτιος Κωνσταντινουπόλεως, καὶ τελευταῖον τὸ κυρίως αἴτιον, ὅτι οὐ παρεχώρει τὴν Βουλγαρίαν τῷ Ῥώμης, καὶ πέμπει εἰς Κωνσταντινούπολιν τὴν καθαίρεσιν, καὶ ἔτι τὴν καθαίρεσιν ἐκείνων οὓς ἐχειροτόνησεν ὁ Φώτιος. οἱ δὲ Κωνσταντινουπολῖται ἀλογίστου ὀφθέντος αὐτοῖς τοῦ καθαιρεθῆναι ὑπ' αὐτοῦ τὸν Κωνσταντινουπόλεως χωρὶς οἰκουμενικῆς Συνόδου, ἀποβάλλουσι τὴν καθαίρεσιν καὶ τοὺς ἐκείνην κομίσαντας ἀπεδίωξαν. γράφει ὁ Βασιλεὺς Μιχαὴλ πρὸς τὸν Νικόλαον, καὶ ψέγει αὐτὸν, καὶ ὀνειδίζει ἕνεκεν τῆς ἀποτομίας καὶ τῆς πλεονεξίας αὐτοῦ, καὶ δὴ καὶ τὴν λατίνα γλῶσσαν ὠνόμασε βάρβαρον. ἀντέγραψεν αὐτῷ ὁ Πάπας Νικόλαος δικαιολογούμενος, περὶ δὲ τῆς λατινίδος γλώσσης ἀπεκρίθη αὐτῷ, ὅτι καθὼς εἰς τὴν Ῥώμην πάντοτε ἀναγινώσκεται τὸ Εὐαγγέλιον καὶ ὁ Ἀπόστολος εἰς τὴν Λειτουργίαν ἑλληνιστὶ, οὕτως εἰς τὴν Κωνσταντινούπολιν ἐν τῇ ἁγίᾳ Σοφίᾳ ἀναγινώσκεται λατινιστὶ, οὐκ ἀληθεύων εἰς τὸ δεύτερον. Σὺ δὲ σημείωσαι τὸν Συναξαριστὴν λέγοντα, ὅτι τὸ, ΚΩΝΣΤΑΝΤΙΝΕ ΕΝ ΤΟΥΤΩ ΝΙΚΑ, ἦν γεγραμμένον λατινιστὶ, ὁ δὲ Λέων ὁ σοφὸς λέγει, ὅτι ἦν γεγραμμένον ἑλληνιστὶ, οἱ ἀξιόλογοι ὅμως ἱστορικοὶ λέγουσιν, ὅτι λατινιστὶ ἦσαν ἐκεῖνα τὰ γράμματα. ὁ Νικόλαος οὖν ἐπὶ πᾶσι τούτοις μὴ αἰσχυνθεὶς προσέθηκε τὸ μέγα αὔθαδες, καὶ ἔγραψε καὶ ἐζήτει ἀπὸ τοῦ Βασιλέως πέμψαι εἰς Ῥώμην καὶ τὸν Φώτιον καὶ τὸν Ἰγνάτιον ἵνα αὐτοὺς κρίνῃ ἐκεῖνος.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ ἀντικαθαιρέσεων Φωτίου Κωνσταντινουπόλεως καὶ Νικολάου Πάπα, καὶ ἐγκυκλίων ἐπιστολῶν Φωτίου πρὸς τοὺς τῆς Ἕω Πατριάρχας κατὰ Νικολάου, καὶ συνοδικῆς ἐπιστολῆς κατὰ τοῦ αὐτοῦ Νικολάου ἀπὸ Ἰταλίας πρὸς Φώτιον, καὶ τῆς ἀπραγίας τούτων διὰ τὸ τελευτῆσαι τὸν Βάρδαν. περὶ βασιλείας Βασιλείου Μακεδόνος, καὶ ἐξώσεως Φωτίου, καὶ ἀντισάξεως αὖθις Ἰγνατίου, καὶ τῆς τελευτῆς τοῦ Πάπα Νικολάου.

Ἐν τούτοις, ὁ Φώτιος παροξυνθεὶς, γράφει ἐγκυκλίους ἐπιστολὰς πρὸς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς, καὶ ζητεῖ ἵνα

ἵνα στείλωσι Τοποτηρητὰς κατὰ τοῦ Ῥώμης, ὅτι τοὺς Βουλγάρους οἱ παρ' ἐκείνου ἀποσταλέντες ἐκ δευτέρου ἔχρισαν Μύρῳ, καὶ ὅτι ἐδίδαξαν αὐτοὺς τὴν νηστείαν τοῦ Σαββάτου, καὶ ὅτι τὴν Δευτέραν καὶ τὴν Τρίτην τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν ἐδίδαξαν αὐτοὺς γεύεσθαι γάλακτος καὶ τυροῦ, καὶ ὅτι τοὺς Ἱερεῖς αὐτῶν βιάζουσιν εἶναι ἀγάμους, καὶ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἔλεγον ἐκπορεύεσθαι καὶ ἐκ τοῦ Υἱοῦ. πρὶν ἢ ἐλθεῖν ὅμως τοὺς Τοποτηρητὰς τῶν Πατριαρχῶν εἰς σύστασιν οἰκουμενικῆς Συνόδου, ὁ Φώτιος βιαζόμενος ὑπὸ τῆς τοῦ Ῥώμην ἀποτομίας, ἀθροίσας Σύνοδον, καὶ ἀγαγὼν εἰς τὸ μέσον τοῦ Ῥώμης Νικολάου ἐγκλήματα τὰ ἄνωθεν καὶ ἄλλα, καθαιρεῖ τὸν Νικόλαον Πάπαν, καὶ πέμπει τὴν καθαίρεσιν εἰς τὴν Ῥώμην. ὁ δὲ Νικόλαος ἀθροίζει Σύνοδον εἰς τὴν Ῥώμην, καὶ καθαιρεῖ τὸν Φώτιον δεύτερον. Σὺ δὲ σημείωσαι εἰς τὴν ἐπιστολὴν τοῦ Φωτίου ἣν γράφει πρὸς τοὺς Πατριάρχας, ὅτι οἱ Βούλγαροι ἦσαν Εἰδωλολάτραι. δεύτερον, ὅτι οἱ Ἀρμένιοι εἰς τὸν καιρὸν ἐκείνου ἡνώθησαν τῇ καθολικῇ Ἐκκλησίᾳ, εἰ καὶ ὕστερον πάλιν ἐσχίσθησαν. τρίτον, ὅτι κανονικῶς ἐλέγχει καὶ τὰς πέντε τῶν Ῥωμαίων ταύτας καινοτομίας. τέταρτον, ὅτι εἰς τοὺς καιροὺς ἐκείνους ἐχριστιάνισαν καὶ οἱ Ῥῶσοι. πέμπτον, ὅτι αὐθεντίαν ἀποστολικὴν λέγει τῶν Πατριαρχῶν τὸ ἀξίωμα. ἕκτον, ὅτι ἀπὸ τῆς Ἰταλίας ἐπέμφθη συνοδικὴ ἐπιστολὴ διὰ Πρεσβυτέρων Βασιλάου, Ζωσιμᾶ καὶ Μητροφάνους καὶ ἄλλων τινῶν, καταβοῶσα μεθ' ὅρκου, καὶ ἐγκλημάτων γέμουσα κατὰ τοῦ Πάπα Νικολάου, καὶ συνοδικὴν κρίσιν ζητοῦσα. ἕβδομον, ὅτι ἔγραφον οἱ τὴν ἐπιστολὴν πέμψαντες τῷ Φωτίῳ γνωρίσαι αὐτὴν καὶ τοῖς ἄλλοις Πατριαρχικοῖς θρόνοις περὶ τῆς τυραννίδος τοῦ Νικολάου, καὶ ἔτι βεβαιωθῆναι καὶ τὴν ἑβδόμην Σύνοδον. ὄγδοον, ὅτι λέγει πρὸς τοὺς Πατριάρχας, εἶδε δὲ καὶ ἡμικρὰ τῶν παραδοθέντων ἀθέτησις καὶ πρὸς ὅλην τοῦ δόγματος ἐπιτρέψαι καταφρόνησιν, τούτων τὴν γνῶσιν καὶ εἴδησιν κατὰ τὸ παλαιὸν τῆς Ἐκκλησίας ἔθος ἀνενεγκεῖν τῇ ὑμετέρᾳ ἀδελφότητι ἐδικαιώσαμεν, καὶ προθύμως συναγωνιστὰς γενέσθαι ἐπὶ τῇ καθαιρέσει τῶν δυσσεβῶν τούτων καὶ ἀθέων κεφαλαίων. παραινοῦμεν δὲ καὶ δεόμεθα μὴ λιπεῖν τὴν πατρῴαν τάξιν ἣν ὑμῖν οἱ πρόγονοι δι' ὧν ἔπραξαν κατέχειν παραδεδώκασιν, ἀλλὰ σπουδῇ πολλῇ καὶ προθυμίᾳ ἀνθ' ὑμῶν Τοποτηρητὰς τινὰς ἄνδρας τὸ ὑμέτερον ἐπέχοντας πρόσωπον ἐκλέξαι καὶ ἀποστεῖλαι, ἵνα (τάδε καὶ τάδε) γένωνται διὰ τῆς κοινῆς ἀποφάσεως. καὶ κατωτέρω, Δεῖ οὖν τοὺς παρ' ὑμῶν ἀνθ' ὑμῶν στελλομένου, καὶ τὸ ὑμέτερον ὑποδυομένους ἱερὸν καὶ ὅσιον πρόσωπον, τὴν ὑμετέραν αὐθεντίαν ἣν ὑμεῖς ἐν Πνεύματι ἁγίῳ ἐκληρώσασθε ἐγχειρισθῆναι, ὡς ἂν περὶ τούτων τῶν κεφαλαίων καὶ περὶ ἑτέρων παραπλησίων ἐξαὐθεντίας ὦσιν ἀποστολικῶν θρόνων καὶ λέγειν ἱκανοὶ, καὶ πράττειν ἀκώλυτοι. καὶ ταῦτα μὲν πρὸς τοὺς Πατριάρχας ὁ Φώτιος, ὑπογράφων πρὸς τοῖς ἄλλοις, πῶς γίνεται ἡ ἄθροισις τῶν οἰκουμενικῶν Συνόδων, καὶ διὰ τίνων, καὶ τὶς ἡ δύναμις αὐτῆς. κεῖται δὲ ἡ ἐπιστολὴ τυπωθεῖσα παρ' ἡμῶν ἐν τῇ ἀρχῇ τοῦ Τόμου τῆς Χαρᾶς. ἀλλὰ ἀποθνήσκει ὁ Καίσαρ Βάρδας, καὶ οἴχεται καὶ τὰ κατὰ Φώτιον, ἐβασίλευσε γὰρ ὁ Μακεδὼν Βασίλειος, ἀποκτείνας τὸν παραπατέρα αὐτοῦ Μιχαὴλ, καὶ λέγει ὁ Ζωναρᾶς, ὅτι τοῦ Φωτίου μὴ θελήσαντος συγκοινωνῆσαι τῷ Βασιλείῳ, ὡς φονεύσαντι τὸν Μιχαὴλ, καίπερ καὶ μεταταῦτα πάλιν ἐδέξατο αὐτὸν, ἐπειδὴ ὡς φαίνεται ἀπὸ τῶν πρὸς αὐτὸν ἐπιστολῶν τοῦ Φωτίου, αὐτὸς ἔχρισεν αὐτὸν καὶ ἔστεψεν εἰς Βασιλέα, ὅμως διὰ τὴν πρὸς τὸν Μιχαὴλ δυσμένειαν, καὶ διότι ἤλεγξεν αὐτὸν διὰ τὸν φόνον τοῦ Μιχαὴλ, εὗρεν αἰτίαν δῆθεν τὸ ἐκκλησιαστικὸν δίκαιον, ὅτι ἔζη ὁ νόμιμος Πατριάρχης Ἰγνάτιος, καὶ ἐκβάλλει ὁ Βασίλειος τὸν Φώτιον, καὶ αὐτεισάγει τὸν Ἰγνάτιον. ὅτι δὲ διὰ τὸ ἐλεγχθῆναι ὑπ' αὐτοῦ ἐξέβαλεν αὐτὸν, μαρτυρεῖ ὁ Ἰωὴλ λέγων περὶ τοῦ Βασιλείου, οὗτος Φώτιον τοῦ θρόνου ἐξέωσεν, ὡς ἐλεγχθεὶς ὑπ' αὐτοῦ διὰ τὸν τοῦ Μιχαὴλ φόνον. δεύτερος ὁ Ζωναρᾶς λέγει, Εἰς δὲ τὴν μεγάλην Ἐκκλησίαν ἐν ἑορτῇ ἀπελθὼν ὁ Βασίλειος, καὶ τῆς ἀναιμάκτου θυσίας μετασχεῖν βουληθεὶς, ἐκωλύθη παρὰ τοῦ Πατριάρχου Φωτίου, ἀνδροφόνον αὐτὸν ἀποκαλοῦντος. ὀργισθεὶς οὖν διὰ τοῦτο, Σύνοδον ἤθροισε, καὶ τὸν Φώτιον τῆς Ἐκκλησίας ἐξώθησεν, ὡς δῆθεν τοῦ Ἰγνατίου παρανόμως ἀποβληθέντος τοῦ θρόνου τοῦ ἀρχιερατικοῦ, καὶ αὐτοῦ μὴ κανονικῶς ἐκείνου ζῶντος τοῦ θώκου τοῦ θείου ἐπιβατεύσαντος, Πατρόκλου τοῦτο ὥσφασι προβαλλομένου. τρίτον, Συμεὼν ὁ Μάγιστρος τάδε φησὶ, Μέλλοντος κοινωνεῖν τοῦ Βασιλείου, εἶπεν αὐτὸν ὁ Φώτιος λῃστὴν καὶ φονέα, καὶ ἀνάξιον τῆς θείας κοινωνίας, ὁ δὲ ἀπέστειλεν εἰς Ῥώμην, εἰς τοὺς ἐχθροὺς Φωτίου δηλονότι. διὰ τὸν ἔλεγχον οὖν ὁ Βασίλειος μάλιστα ἐξέβαλε τὸν Φώτιον. τέταρτον, Γεώργιος ὁ Μοναχὸς, Ἐλθόντος τοῦ Βασιλέως ἐν τῇ Ἐκκλησίᾳ, φησὶ, καὶ μέλλοντος κοινωνεῖν, τοῦτον ὁ Φώτιος λῃστὴν καὶ φονέα ἔλεγε, καὶ ἀνάξιον τῆς θείας κοινωνίας, ὁ δὲ θυμωθεὶς, ἀπέστειλεν εἰς Ῥώμην, καὶ ἤγαγε Τόμον μετὰ Ῥωμαίων Ἐπισκόπων, καὶ ἀπέβαλεν αὐτὸν τῆς Ἐκκλησίας. πέμπτον, Λέων ὁ γραμματικὸς, Φώτιος ὁ Πατριάρχης, ἐλθόντος τοῦ Βασιλέως ἐν τῇ Ἐκκλησίᾳ, καὶ μέλλοντος αὐτοῦ κοινωνήσειν, λῃστὴν καὶ φονέα αὐτὸν ἐκάλει, καὶ ἀνάξιον τῆς θείας κοινωνίας, ὁ δὲ θυμωθεὶς, ἀπέστειλεν εἰς Ῥώμην καὶ ἤγαγε Τόμον καὶ Ἐπισκόπους κατὰ τοῦ Φωτίου. ἕκτον, καὶ ὁ Ναυκράτης, ὅς φησὶ, Προβάλλεταί τινα Φώτιον μὲν προσαγορευόμενον, πρωτασηκρῆτιν τότε ὑπάρχοντα, ἐπ' εὐλαβείᾳ δὲ καὶ γνώσει ἀεὶ φημιζόμενον, ὃν παρευθὺς ἀποκατασταθῆναι κελεύσαντες, τὰ τῆς Ἀρχιερωσύνης πρεσβεῖα ἐγχειρίζονται, καὶ ὁ Καῖσαρ Βασίλειος τὰ τῶν Ῥωμαίων σκῆπτρα μεταχειρίζεται, ὃς ἱερὰν γενέσθαι Σύνοδον παρακελευσάμενος, μετὰ τὸ ἀποδοῦναι τὸν οἰκεῖον τῆς Ἀρχιερωσύνης

θρόνον

θρόνον τῷ θεοφόρῳ Ἰγνατίῳ. ταῦτα ἐν τῷ βίῳ Νικολάου τοῦ Στουδίτου. οὐκ ἐξέβαλε λοιπὸν τὸν Φώτιον ὁ Βασίλειος δι' εὐλάβειαν, ἀλλὰ διὰ θυμὸν ἴδιον, ὃν ἔτεκεν ἡ δικαιοσύνη τοῦ Φωτίου. ἀπέθανε δὲ καὶ ὁ Πάπας Νικόλαος, πατριαρχεύσας χρόνους ἑπτὰ καὶ Μῆνας ἐννέα. σημείωσαι δὲ, ὅτι ὅτε ἐγένετο Πάπας, ἦν ὁ Ῥὴξ Λοδοβῖκος εἰς τὴν Ῥώμην, καὶ ἐξελθόντος τοῦ Νικολάου εἰς ὑπαντὴν αὐτοῦ, ὁ Λοδοβῖκος ἀπὸ χιλίων βημάτων ἔσυρε τὸν χαλινὸν τοῦ ἵππου τοῦ Πάπα, καθότι ἦν παπόστεπος, ὅθεν καὶ ὁ Ἀναστάσιος ὁ βιβλιοθηκάριος τότε ἀκμάζων καὶ συγγράφων περὶ τῶν Παπῶν, ἔπλασεν ὅτι καὶ τὸν Ἀγαπητὸν καὶ Βιγίλιον ὁ Ἰουστινιανὸς προϋπήντησε, καὶ ὁ Ῥινότμητος τὸν Κωνσταντῖνον, ὡς εἴπομεν εἰς τοὺς τόπους.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς κατὰ Φωτίου Συνόδου καὶ τῶν πράξεων αὐτῆς τῶν τε Κανόνων καὶ τοῦ χρόνου.

Ὁ γοῦν Βασίλειος ἵνα δόξῃ πεποιηκέναι εὔλογα, γράφει εἴς τε τὴν Ῥώμην καὶ εἰς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς, καὶ ἔρχονται Τοποτηρηταὶ τοῦ Ῥώμης Ἀδριανοῦ Δονᾶτος καὶ Στέφανος Ἐπίσκοποι καὶ Μαρῖνος Διάκονος, Ἀντιοχείας δὲ ἐπειδὴ οὐκ ἦν, οἱ περὶ Ἰγνάτιον εὗρον ἕνα τινὰ Τύρου Ἀρχιεπίσκοπον Θωμᾶν, καὶ ἐψηφίσαντο αὐτὸν Τοποτηρητὴν, τοῦ δὲ Ἀλεξανδρείας ὕστερον καὶ ἐγγὺς τοῦ τέλους τῆς Συνόδου ἦλθεν Ἰωσὴφ Ἀρχιδιάκονος αὐτοῦ, τοῦ δὲ Ἱεροσολύμων Ἠλίας ὁ Σύγκελλος. Εἰς τὰ πρακτικὰ τῆς αὐτῆς Συνόδου ἐστὶ πρῶτον ὁ βίος τοῦ Ἰγνατίου, συγγραφεὶς ὑπὸ Νικήτα Δαυὶδ τοῦ Παφλαγόνος, καὶ ἐγκώμιον Μιχαὴλ τοῦ Συγκέλλου πρὸς τὸν Ἰγνάτιον, λίβελλος Ἰγνατίου πρὸς Νικόλαον Ῥώμης, ἐπιστολὴ Νικολάου πρὸς Ἀνατολὴν καὶ Δύσιν καὶ Λιβύην, καὶ ἑτέρα πρὸς Ἰγνάτιον, καὶ ἐπιστολὴ Ἐπιφανίου Κύπρου πρὸς τὸν αὐτὸν Ἰγνάτιον. ἔχει δὲ πράξεις δέκα. ἐξέθετο καὶ Κανόνας δεκατέσσαρας. ἠθροίσθη δὲ ἐν τῷ ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ, τῷ δευτέρῳ ἔτει τοῦ Βασιλείου.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι Νικήτας, Στυλιανὸς, Μητροφάνης τε καὶ Παφλαγὼν περὶ Ἰγνατίου καὶ κατὰ Φωτίου ψεύδονται, καὶ περὶ τῶν ἐν τῇ κατὰ Φωτίου Συνόδῳ Τοποτηρητῶν αὐθεντῶν, καὶ βλασφημιῶν σατανικῶν.

Εἰς τὸν βίον Ἰγνατίου ὃν συνέγραψεν ὁ Νικήτας σημείωσαι πρῶτον ψεῦδος, λέγει γὰρ ὅτι ὁ Φώτιος ἔγραψεν εἰς τὸν Ῥώμης Νικόλαον ζητῶν Τοποτηρητὰς, ἵνα Συνόδον ἀθροίσῃ κατὰ τῶν Εἰκονομάχων, καὶ περὶ τοῦ Ἰγνατίου εἶπεν, ὅτι διὰ γῆρας παρῃτήσατο, καὶ ἀναπαύεται εἰς τὴν Μονὴν αὐτοῦ, τιμώμενος καὶ γηροτροφούμενος, ὅθεν καὶ πλανηθεὶς ὁ Πάπας ἔστειλε δύο Τοποτηρητὰς Ζαχαρίαν καὶ Ῥοδόαλδον Ἐπισκόπους, τοῦτο ψεῦδος, ἐπειδὴ πῶς ἦν δυνατὸν γενέσθαι τῷ Ἰγνατίῳ ἐκβολὴν καὶ τιμωρίας καὶ ἐξορίας, καὶ παρελθεῖν τόσον καιρὸν, ὄντων καὶ ἐν τῇ Κωνσταντινουπόλει ἀφ' ἑκάστου γένους ἀνθρώπων, καὶ εἰς τὴν Ῥώμην μὴ ἀκουσθῆναι, ἢ κἂν κατόπιν μερικοῦ καιροῦ; ὅτι δὲ ἔμεινεν ἀνήκουστον εἰς τόσον καιροῦ διάστημα, ἐστὶν ἀδύνατον, ἠκούσθη λοιπόν. καὶ πῶς ὁ Νικόλαος οὐκ ἔγραψε κατόπιν τῶν Τοποτηρητῶν αὐτοῦ τοῦ ἀπέχειν αὐτοὺς τοῦ Φωτίου; καὶ μάλιστα ὡς αὐτὸς οὗτος ὁ Νικήτας μαρτυρεῖ, ἓξ Μῆνας ἐκάθισεν εἰς τὴν Μυτιλήνην ὁ Ἰγνάτιος, πόσος ὅμως ἄλλος καιρὸς παρῆλθε; καὶ πῶς τὸ δρᾶμα εἰς τὴν Ῥώμην οὐκ ἠκούσθη; ὥστε ἀξιοπιστότερος ὁ Κεδρηνὸς, λέγων ὅτι ἦσαν οἱ πρέσβεις εἰς τὴν Κωνσταντινούπολιν παρόντες, ἐπειδὴ συμφωνεῖ ἡ μαρτυρία αὐτοῦ τοῖς πράγμασιν. εἶτα ὁ Στυλιανὸς Νεοκαισαρείας ἐχθρὸς ἀδυσώπητος τοῦ Φωτίου, γράφων τῷ Ῥώμης Στεφάνῳ, λέγει περὶ Φωτίου, ὅτι καθῄρας τὸν Ἰγνάτιον, ἐζήτησεν ἀπὸ Ῥώμης Τοποτηρητὰς, ἵνα παρατηρήσωσι τὰ παρ' αὐτοῦ κατὰ Ἰγνατίου πραχθέντα, ὃ δὴ καὶ ἐγένετο, καὶ ἀπεστάλησαν Ζαχαρίας καὶ Ῥοδούαλδος Ἐπίσκοποι. καὶ σημείωσαι, ὅτι εἰ ἐζήτησεν ὁ Φώτιος Τοποτηρητὰς ἵνα παρατηρήσωσιν ὅσα κατὰ Ἰγνατίου ἐποίησε κατὰ Στυλιανὸν, πῶς κατὰ Νικήταν ἐπλάνησε τὸν Νικόλαον περὶ αὐτῶν; ὥστε ὡς ψεῦσται συμψεύδονται Στυλιανὸς καὶ Νικήτας. δεύτερον ψεῦδος λέγει, ὅτι εἶδεν ὄνειρον ὁ Βάρδας, ὡς δῆθεν ἐκάθητο ὁ Ἀπόστολος Πέτρος εἰς τῆς Ἐκκλησίας τὸ σύνθρονον, καὶ παρεστήκεισαν αὐτῷ δύο τινὲς, καὶ ὁ Ἰγνάτιος τυχὼν ἐκεῖ παρὼν, ἔλεγεν αὐτῷ, κλειδοῦχε τῆς Βασιλείας τῶν Οὐρανῶν, καὶ πέτρα, ἐν ᾗ Χριστὸς ὁ Θεὸς τὴν αὐτοῦ Ἐκκλησίαν ἐστηρίξατο, καὶ ὁ Πέτρος προσέταξεν ἑνὶ τῶν δύο νέων κατασφάξαι τὸν Βάρδαν. τοῦτο δεύτερον ψεῦδος, ἐπειδὴ ἢ πλάσμα ἐστὶ τὸ ὄνειρον, ἢ διεφθαρμένον, περιέχει γὰρ βλασφημίαν, ἐπειδὴ τῆς πίστεως πέτρα οὐχ ὁ Πέτρος, ἀλλ' ὁ Χριστὸς, εἰς ὃν οὐδεὶς δύναται θεῖναι θεμέλιον ἕτερον, καὶ κλειδοῦχος οὐ μόνον ὁ Πέτρος, ὡς εἴρηται καὶ ῥηθήσεται. τρίτον, λέγει ὅτι ὁ Φώτιος καθῄρας τὸν Νικόλαον, ἔστειλε πρέσβεις καὶ δῶρα εἰς Λοδόηχον (λοδοβῖκον) Ῥῆγα Φραγγίας, καὶ Ἠγγιβέργαν τὴν σύζυγον αὐτοῦ, ὑποσχόμενος κηρῦξαι αὐτοὺς Βασιλεῖς καὶ εἰς τὴν Κωνσταντινούπολιν, ἐὰν συνεργήσωσιν ἐξορισθῆναι τὸν Νικόλαον τῆς Ἐπισκοπῆς τῆς Ῥώμης. ἀλλ' ὦ οὗτοι πόσα δῶρα εἶχεν ὁ Φώτιος ἵνα ἀποστείλλῃ εἰς Βασιλεῖς, ὥστε παρακινηθῆναι

κινηθῆναι αὐτοὺς εἰς τοιοῦτον ἔργον; εἶτα πῶς ἦν δυνατὸν τὸν Πατριάρχην κηρῦξαι Βασιλεῖς εἰς τὴν Κωνσταντινούπολιν τοὺς Ῥῆγας Φραγγίας; ἐπεὶ ὁ Ἰωάννης ὁ Κίνναμος εἰς τὸ δεύτερον βιβλίον τῆς ἱστορίας αὐτοῦ, κεφαλαίῳ ἑβδόμῳ λέγει, ὅτι ὁ Ῥὴξ Γαλλίας ἦλθεν εἰς τὴν Κωνσταντινούπολιν πρὸς τὸν Μανουὴλ τὸν Κομνηνὸν ὅτε ἀπεδήμει εἰς Ἱεροσόλυμα, καὶ ὁ μὲν Αὐτοκράτωρ ἐκ μετεώρου ἐκαθέσθη, τῷ δὲ χθαμαλή τις ἐκομίζετο ἕδρα, ἣν σελίον λέγουσι ῥωμαϊκῶς, ἐν ᾗ ἐκάθισεν ὁ Ῥὴξ. πρὸς τούτοις Μητροφάνης Μητροπολίτης Σμύρνης, ἐχθρὸς τοῦ Φωτίου θανάσιμος, γράφων πρὸς Μανουὴλ Λογοθέτην καὶ Πατρίκιον, λέγει, ὅτι ὁ Φώτιος ἐπεφήμησε Βασιλέα Λοδοβῖκον καὶ Ἠγγιβέργαν Αὐγοῦσαν, ὡς Πουλχερίαν δῆθεν ἀνηγόρευσεν ἡ ἐν Χαλκηδόνι Σύνοδος, καίτοιγε οἱ Ἄρχοντες τοῦ περιφανοῦς Φράγγου, ἤτοι Λοδοβίκου Ῥηγὸς Γαλλίας εἰς ταύτην τὴν κατὰ Φωτίου Σύνοδον ἐκάθισαν ὄπισθεν τοῦ ἀριστεροῦ μέρους τῆς Συνόδου, καὶ οἱ Ἄρχοντες τοῦ ἐξοχωτάτου καὶ λαμπροτάτου Μιχαὴλ Ἄρχοντος Βουλγάρων εἰς ταδεξιὰ, πράξει ἐνάτῃ, καὶ ἴδε εἰς ποίαν τιμὴν ἦσαν τότε οἱ Γάλλοι, καὶ πῶς ὁ Φώτιος ἐκήρυξεν αὐτοὺς κατὰ Μητροφάνη Βασιλεῖς, ἢ ἐπεσχέθη κηρῦξαι αὐτοὺς Βασιλεῖς κατὰ τὸν Παφλαγόνα; ὥστε καὶ οἱ δύο ψεῦσαι. σημείωσαι, ὅτι ἡ παροῦσα Σύνοδος λέγει Κανόνι δωδεκάτῳ, Πλὴν τῶν Οἰκουμενικῶν Συνόδων οὐδεὶ Ἄρχοντας λαϊκοὺς ἐν Συνόδῳ παρεῖναι. ἀλλ' ἐψεύσθη, καθότι καὶ ἐν ταῖς ἐν Κωνσταντινουπόλει Τοπικαῖς Συνόδοις ἐπὶ Φλαυϊανοῦ καὶ Εὐτυχοῦς, καὶ ἐν ἄλλαις μερικαῖς Συνόδοις παρῆσαν Ἄρχοντες συνεδρεύοντες αὐταῖς. τέταρτον, λέγει τὸν Βασίλειον μεμαχῆσθαι τῷ Φωτίῳ οὕτω πασιδήλως. ὅτι γὰρ ἐμάχετο, δῆλον, οὐμὴν καὶ φανερῶς. λέγει τοίνυν, ὅτι ὁ Βασιλεὺς λαβὼν τὰς κατὰ Ἰγνατίου πράξεις καὶ τὴν Νικολάου καθαίρεσιν ἔδειξε τῇ Συγκλήτῳ, καὶ ἐμαίνετο κατὰ Φωτίου, ὅπου ὁ Κεδρηνὸς λέγει, ὅτι ἐκβάλλει συνοδικῶς ὁ Βασίλειος τὸν ἐπιπηδήσαντα τῇ ἀρχῇ Φώτιον, σχολάζειν κελεύσας, ἕως ἂν τὸν δικαίως ταχθέντα πρὸς αὐτὸν μεταστήσῃ Θεός. ὡσαύτως καὶ Κωνσταντῖνος ὁ Πορφυρογέννητος εἰς τὸν βίον τοῦ Βασιλείου γράφει μετὰ τὰ πολλὰ. ὅτι ὁ Βασίλειος τοῖς τέκνοις τὸν πατέρα παραχὼν (Ἰγνάτιον) τὸν δὲ ἀντεισαχθέντα (Φώτιον) σχολάζειν κελεύσας, ἕως τοῦτον πρὸς ἑαυτὸν μεταστήσῃ ὁ Θεός. γίνεται λοιπὸν ἐκ τῶν δύο τούτων μαρτυριῶν φανερὸν, ὅτι ὁ Βασίλειος θυμωθεὶς ὅτι ἠλέγχθη ὑπὸ τοῦ Φωτίου, ἐξέβαλεν αὐτὸν συνοδικῶς, οὐχ ὅτι γεμὴν ἐποίησεν ὁ Βασιλεὺς ἄδικον, ἀλλ' ὁπωσδήποτε διὰ νομικὴν δικαιοσύνην ἐκβάλλει τὸν Φώτιον, ἵνα ἡσυχάζῃ, ἕως οὗ ζῇ ὁ γνήσιος. καὶ εἰ ἀνεθεμάτιζε τὸν Φώτιον, καὶ εἶχεν αὐτὸν ὡς λαϊκὸν, πῶς εἶπεν, ἵνα ἡσυχάζῃ. ἕως ἂν μεταστάθῃ ὁ Ἰγνάτιος; ὥστε ψεύδεται ὁ Παφλαγὼν, ὅτι τὰ τῶν ἐχθρῶν τοῦ Φωτίου καὶ τὰ τῶν Ἰταλῶν προσάπτει τῷ Βασιλεῖ. πέμπτον, ὅτι βλασφημεῖ, εἰπὼν ὅτι ὁ Ταράσιος σύμπαθέστερον μᾶλλον ἢ δικαιότερον ἐδέξατο τοὺς ἀπὸ Αἱρετικῶν χειροτονηθέντας, ἢ ἐπιστρέψαντας, καίπερ ὅσον μὲν κατὰ τὴν ἀνταλλακτικὴν δικαιοσύνην ἡμεῖς οὐκ ἐσώθημεν, οὐ γὰρ ὁ Χριστὸς διὰ δικαιοσύνην, ἀλλὰ διὰ συμπάθειαν ἐγένετο ἄνθρωπος, ἣν Νόμον ἔχουσα ἡ Ἐκκλησία, δικαίως δέχεται τοὺς ἁμαρτάνοντας, ὁπωσδήποτε ἔχουσα ἄκραν δικαιοσύνην ἐν αὐτῇ τοῦ Θεοῦ τὸ ἔλεος. ὅτι δὲ τοῦτο γέγονε καὶ ἄλλοτε, ἴδε τὸν τόπον τῶν Συνόδων ἐν πολλοῖς τοῦ παρόντος βιβλίου. εἶτα τὸ ἔργον οὐκ ἦν τοῦ ἁγίου Ταρασίου, ἀλλὰ τῆς Οἰκουμενικῆς ἑβδόμης Συνόδου, καὶ τὶ θαυμαστὸν, ἐὰν συκοφαντῇ τὸν Φώτιον ὁ συκοφαντῶν Ταράσιον; ἕκτον, ὅτι βλασφημεῖ, λέγων ὅτι βάψαντες εἰς τὸ φρικωδέστατον αἷμα τοῦ Χριστοῦ τὸν κάλαμον, τὸν Φώτιον ἀπεκήρυξαν. καὶ λοιπὸν εἰ ἔβαλον τὸ αἷμα τοῦ Χριστοῦ εἰς τὸ μέλαν, ἰδοὺ ἦσαν ἄτοποι, ὅτι εἰς τὸ αἷμα τοῦ Χριστοῦ ἐν τῷ Μυστηρίῳ ἐστὶν ὅλος ὁ Χριστὸς, καὶ πῶς φύρεται τῷ μέλανι, εἴγε τὸν κάλαμον ἔβαψαν οὕτως εἰς τὸ αἷμα τοῦ Μυστηρίου; ἀλλ' εἰς τὸ Μυστήριον τὰ συμβεβηκότα τοῦ φθαρέντος οἴνου φαίνονται αἰσθητῶς, οὐμὴν καὶ τὸ αἷμα τοῦ Χριστοῦ, ὥστε βάψαι καὶ ἐρυθρᾶναι, καίπερ καὶ τοῦτο ἔχεται ἀπορίας, ἐπειδὴ καὶ ἄλλοι ἱστορικοὶ λέγουσιν, ὅτι Θεόδωρος ὁ Ῥώμης ἔβαψε τὸν κάλαμον αὐτοῦ εἰς τὸ αἷμα τοῦ Χριστοῦ, καὶ ὑπέγραψε τὴν καθαίρεσιν τοῦ Κωνσταντινουπόλεως Πύῤῥου. ἴσως ὅμως γέγονε τοῦτο πρὸ τοῦ ἁγιασμοῦ τῶν δώρων, ὡς λέγει ὁ Μοναχὸς Γεώργιος καὶ ἄλλοι, ὅτι τοῦ Εὐαγγελισμοῦ εἰς τὰ Χαλκοπρατεῖα τῆς ἀσόδου γενομένης, καὶ τοῦ Εὐαγγελίου τελεσθέντος, ἀνῆλθον εἰς τὰ Κατηχούμενα ὁ Μιχαὴλ καὶ Βασίλειος, καὶ τιμίους ὑπέγραψαν Σταυροὺς, ὅρκῳ βεβαιώσαντες τὸν Καίσαρα, καὶ τὰ ἑξῆς. τοῦτο ὅμως γεγονέναι ἐν τῷ Φωτίῳ, ἐστὶν ἀδύνατον, διὰ τὰ πρὸ τῆς Συνόδου καὶ μετὰ τὴν Σύνοδον γεγονότα περὶ Φωτίου. ἕβδομον, ὅτι ἔτι ἦν βλάσφημος, καθότι λέγει, ὅτι ὁ Πατριάρχης οὐκ εἶχε πᾶν ὃ ἐβούλετο αὐθεντικῶς δρᾶν, μᾶλλον δὲ κατὰ τὴν ἄνωθεν ἐκκλησιαστικὴν παράδοσιν τὴν τῆς κρίσεως ἐξουσίαν τοῖς Ῥωμαίοις παρεχώρει. καὶ ὅσον μὲν ὅτι ὁ Πατριάρχης οὐκ εἶχεν αὐθεντικῶς δρᾶν πᾶν ὃ ἐβούλετο, ἀλήθεια, ἐκεῖνο ὅμως τὸ, Παρεχώρει τὴν κρίσιν τοῖς Ῥωμαίοις, ἐστὶ γελοῖον καὶ βλάσφημον, γελοῖον, ὅτι εἰ εἶχον αὐτὴν οἱ Ῥωμαῖοι, πῶς παρεχώρει αὐτοῖς ταύτην; βλάσφημον, ὅτι ἡ Οἰκουμενικὴ Σύνοδος εἶχε συνήθειαν ἵνα ἡ Ἐκκλησία κρίνῃ, καὶ οὐχ ὁ Ῥώμης, εἰ δὲ εἴποι, ὅτι προσεκάλεσαν αὐτὸν αἱρετὸν κριτὴν, ἀλλ' οὐ δυνατὸν ἐν τῇ Ἐκκλησίᾳ εἶναι κριτὴν τινὰ, ᾧ οἱ Κανόνες οὐκ ἔδωκαν τὴν τοιαύτην ἐξουσίαν, ἔδωκαν δὲ αὐτὴν μόνῃ τῇ Οἰκουμενικῇ Συνόδῳ, ὅθεν οἱ Εὐσεβιανοὶ καλέσαντες κριτὴν τὸν Ἰούλιον, παρῃτήσαντο ὕστερον. καὶ Ἀθανάσιος ὁ μέγας, ἐκείνου δηλονότι τοῦ Ἰουλίου κριτοῦ ἤδη κληθέντος ὑπὸ τῶν εἰρημένων, θελήσας καὶ αὐτὸς αὐτὸν διὰ τὴν ἀνάγκην τοῦ καιροῦ, καὶ μηδὲν ὠφεληθεὶς, Σύνοδον ἤτησεν Οἰκουμενικὴν

κήν. καὶ τοῦ Εὐτυχοῦς παρὰ Κανόνας ζητήσαντος τὸν Πάπαν κριτὴν, καὶ ὁ Πάπας πολλὰ καὶ ὑπέρογκα εἰπὼν καὶ γράψας, οὐδὲν ἠδυνήθη, ἕως οὗ Οἰκουμενικὴ Σύνοδος ἠθροίσθη καὶ ἔκρινεν. οὕτω καὶ ἐνταῦθα πολλὰ ἐμόγησαν οἱ Πάπαι γράφοντες καὶ πηδῶντες, ἀλλ' οὐδὲν ἴσχυσαν μόνοι, ἕως οὗ Σύνοδος ἀθροισθεῖσα, διώρισε τὸ δοκοῦν. εἶτα εἰ ὁ Πάπας εἶχεν ἐξουσίαν κρίνειν ἐξ ἀρχαίας ἐκκλησιαστικῆς παραδόσεως, τίς ἡ ἀνάγκη ἵνα ὁ Βασιλεὺς ἀθροίσῃ Σύνοδον Οἰκουμενικήν; ὄγδοον, ὅτι μήτε τῷ Στυλιανῷ καὶ Μητροφάνει φαίνεται συμφωνεῖν τοὺς ἐχθροὺς τοῦ Φωτίου, καὶ διὰ τοῦτο καὶ αὐτὸς καὶ ἐκεῖνοι φαίνονται εἶναι ἐχθροὶ τοῦ Φωτίου, ἐπειδὴ οὐ μόνον ἀσύμφωνα ἱστοροῦσιν, ἀλλὰ καὶ ἐθνικῷ τρόπῳ ὑβρίζουσι καὶ ἀσχημονοῦσιν, ἅπερ ἴδια θανασίμων ἐχθρῶν, ἡ τῶν τοιούτων δὲ μαρτυρία πάντῃ καὶ πάντως ψευδὴς, ὅθεν καὶ τὰ λοιπὰ ἅπερ παρὰ Κανόνας καὶ παρὰ τὴν συνήθειαν τῶν Οἰκουμενικῶν ἁγίων Συνόδων ἐπάησεν ἡ ψευδοσύνοδος αὕτη, μάλιστα δὲ κακοτρόπως καὶ ἐθνικῶς, ἅπερ καὶ ὁ Παφλαγὼν ἱστορεῖ, παρέντες, λέγομεν, ὅτι ὁ Παφλαγὼν ἦν ὑστερογενὴς τοῦ Φωτίου, καὶ ἔγραψεν οὐ μόνον ὅσα συνέγραψαν οἱ ἐχθροὶ τοῦ Φωτίου, ἀλλὰ καὶ ὅσα ἤκουσεν, ἴσως καὶ ἀπὸ γραϊδίων, ὅθεν καὶ διὰ τὸ πρόσωπον, ὅτι ἐχθρὸς, καὶ διὰ τὸν τρόπον, ὅτι παθητικὸς καὶ παρὰ τὴν συνήθειαν τῶν πατέρων, καὶ διὰ τὸν χρόνον καὶ τὴν σφαλερὰν ἀκοὴν, ἐξουθενοῦμεν τὴν συγγραφὴν αὐτοῦ ταύτην, καὶ ὡς πλήρη βλασφημιῶν σατανικῶν ἀποβάλλομεν. τοῦτο ὅμως σημειωτέον, ὅτι ὁ Παφλαγὼν ἐχθρὸς ὢν τοῦ Φωτίου, καὶ ὥσπερ τυφλούμενος ὑπὸ τῆς δυσμενείας, κατηγόρει ψευδῆ, περὶ δὲ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἔγραψε κατὰ τῶν λεγόντων ὅτι καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, πάνυ ἰσχυρῶς. ἐν μὲν γὰρ τῷ ἀνθρώπῳ ὡς ἄνθρωπος διά τινα αἰτίαν ἤχθη ἀναιδῶς, περὶ δὲ τοῦ Θεοῦ ἐφύλαξε τὴν συνείδησιν αὐτοῦ διόλου ἀκράδαντον.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῶν λεχθέντων ἐν τῷ πρὸς Ἰγνάτιον ἐγκωμίῳ τοῦ Συγκέλλου, καὶ περὶ τοῦ ὠμοφορίου τοῦ Ἀδελφοθέου.

Σημείωσαι εἰς τὸ πρὸς Ἰγνάτιον τοῦ Συγκέλλου ἐγκώμιον, πρῶτον, ὅτι ἐξίσου ὅλους τοὺς Πατριάρχας Πατριάρχας λέγει, καὶ οὐ τὸν Ῥώμης μείζονα, ἐν ᾧ λέγει, Βασίλειος ὁ Μακεδὼν εἰς τὸν Πατριαρχικὸν θρόνον ἀναβιβάζει τὸν Ἰγνάτιον, ὃ δὴ μαθόντες καὶ οἱ τῶν ἄλλων Πατριαρχικῶν θρόνων προεστῶτες, σφόδρα ἠδύνθησαν. καὶ δεύτερον, ὅτι τὸν Φώτιον οὐχ ὑβρίζει ἢ βλασφημεῖ ὡς ὁ Παφλαγών. καίτοι ἅγιος ὢν ὁ Σύγκελλος, εἴγε ἦσαν ὅμως τὰ κατὰ Φώτιον ὡς λέγει ὁ Παφλαγὼν, ἔδει εἰπεῖν τι, ἢ κἂν μικρὸν ἐλέγξαι αὐτὸν, ἀλλὰ τὸ μὲν ἀληθὲς, ὅπερ ἦν ἡ Φωτίου παρὰ Κανόνας Πατριαρχεία, εἶπε, τὰ δὲ ἄλλα ὡς ψευδῆ, οὐ δὲ ἐσημείωσε. τρίτον, ὅτι αὐτὸ τὸ κεκτῆσθαι τὸν Ἰγνάτιον τὸ ὠμοφόριον τοῦ Ἀδελφοθέου λέγει καὶ ὁ Σύγκελλος, οὐ μέντοι λέγει ὅτι αὐτὸ ἔθαψαν σὺν αὐτῷ. τέταρτον, ὅτι οὐχ οἱ Ἄγγελοι τῶν ἁγίων, ἀλλὰ αἱ ψυχαὶ τῶν ἁγίων ἡμᾶς ἐποπτεύουσι, καὶ σημείωσαι κατὰ Καλβίνων.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'

Περὶ τῆς πρὸς τὸν Νικόλαον Ῥώμης ἀμφιβόλου ἐπιστολῆς τοῦ Κωνσταντινουπόλεως Ἰγνατίου.

Εἰς τὴν πρὸς τὸν Νικόλαον Ῥώμης τοῦ Ἰγνατίου ἐπιστολὴν, δοτέον γὰρ εἶναι ἀληθῆ, σημείωσαι πρῶτον, ὅπου λέγει, Κυρίῳ μου, καὶ ἴδε ἐν τῷ δεκάτῳ βιβλίῳ μέρους δευτέρου. δεύτερον, ὅπου λέγει αὐτὸν πάντων τῶν θρόνων Πατριάρχην, καὶ εἰ μὲν κατὰ τάξιν πρῶτον, ἀληθεύει, εἰ δὲ κατ' ἀξίωμα πρὸς τοὺς λοιποὺς, ἄλλο ψεῦδος. αὐτίκειται γὰρ τῇ γραφῇ καὶ τῇ Ἐκκλησίᾳ, ὡς εἴρηται καὶ ῥηθήσεται, ἀλλὰ δὴ καὶ αὐτὸς ὁ Ἰγνάτιος ταῦτα κολακεύων τὸν Ῥώμης ἔλεγεν. ὅτι δὲ τὸ τέλειον τῆς διορθώσεως αὐτοῦ οὐκ ἀπὸ τοῦ Ῥώμης, ἀλλὰ ἀπὸ Συνόδου κοινῆς ἐξεδέχετο, μάρτυς ὁ Παφλαγὼν λέγων, ὁ Ἰγνάτιος ἐκλιπαρεῖ τὸν Βασιλέα Οἰκουμενικὴν Σύνοδον συγκροτηθῆναι, δι' ἧς ἔσεσθαι τῶν σκανδάλων πάντων ἐκδέχεται τὴν ἴασιν. καὶ σημείωσαι, ὁ Παφλαγὼν οὐκ ἐνόμιζε τὸν Πάπαν μονάρχην, ἐπειδὴ τὸ κῦρος τῇ Οἰκουμενικῇ Συνόδῳ ἀφωσιοῦτο. τρίτον, λέγει αὐτὸν διάδοχον τοῦ Πέτρου, ἀλλὰ τοῦτο ἁρμόζει εἰς ὅλους τοὺς Ἐπισκόπους καὶ οὐκ εἰς μόνον τὸν Ῥώμης. ἴδε τὸν Χρυσόστομον εἰς τὸ τρίτον περὶ Ἱερωσύνης, καὶ ἑρμηνεύοντα τὸ εὐαγγελικὸν ῥητὸν εἰς τὸ δέκατον ἕκτον τοῦ Ματθαίου, λέγοντα, Καὶ ἅπερ ἂν ἐργάσωνται κάτω οἱ Ἱερεῖς, ταῦτα ὁ Θεὸς ἄνω κυροῖ, καὶ τὴν δούλων γνώμην ὁ Δεσπότης βεβαιοῖ, καὶ τί γὰρ, ἀλλ' ἢ πᾶσαν αὐτοῖς τὴν οὐράνιον ἔδωκεν ἐξουσίαν, ὧν γὰρ φησὶν ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται, καὶ ὧν ἂν κρατῆτε κεκράτηνται. τίς ἂν γένοιτο ταύτης τῆς ἐξουσίας μείζων; εἰ δὲ οὐδεμία ἐξουσία μείζων τῆς ἐπισκοπικῆς ἣν σημειοῖ ὁ Χρυσόστομος διὰ τῆς Ἱερωσύνης, ἡ ἐξουσία τοῦ Πάπα πλάσμά ἐστι, καὶ οὐδὲν ἕτερον. ἴδε καὶ τὸν Βουλγαρίας εἰς τὸ ῥηθὲν, κεφαλαίῳ τετάρτῳ. τέταρτον, ὅτι καίτοι ἠναγκασμένος ὢν καὶ ποιῶν τὸν Ῥώμης κριτὴν αἱρετὸν, οὐ πιστεύει μόνῳ ἐκείνῳ, ἀλλὰ προσκαλεῖ αὐτὸν μετὰ τῆς Συνόδου αὐτοῦ κριτὴν, λέγει γὰρ, Καὶ τοῖς ὑπ' αὐτὸν ἁγιωτάτοις Ἐπισκόποις, καὶ πάσῃ τῇ Ἐκκλησίᾳ Ῥωμαίων.

ὥστε

ὥστε ὁ Πάπας μόνος οὐκ ἔστιν ἄλλο, ἀλλ' ἢ εἷς ἁπλῶς Ἐπίσκοπος, καὶ ὅτε ἠβουλήθη ἄνευ Οἰκουμενικῆς Συνόδου, οὐδὲν ἠδυνήθη, καὶ μάρτυρες τὰ ἐπὶ Ἰουλίου μετὰ τῶν Εὐσεβιανῶν, τοῦ Ἰννοκεντίου τὰ περὶ τοῦ Χρυσοστόμου, Σιμπλικίου καὶ Φίληκος τὰ περὶ Ἀκακίου, τοῦ Λέοντος τὰ περὶ Στεφάνου Ἐφέσου καὶ Εὐτυχοῦς, τὰ τοῦ Ζωσίμου καὶ τῶν μετ' αὐτὸν περὶ τῶν ἐν Καρθαγένῃ, καὶ τοῦ Διαλόγου τὰ μετὰ τοῦ Νηστευτοῦ, καὶ ἄλλα μυρία, ἅτινα εἴρηται ἀνωτέρω. πέμπτον, ὅτι ἡ μαρτυρία ἣν προβάλλει ὁ Ἰγνάτιος τοῦ Νικολάου, παρακινῶν αὐτὸν εἰς βοήθειαν αὐτοῦ, εἰ μὲν περὶ τοῦ Χρυσοστόμου, ἴδε τὸν τόπον, εἰ δὲ περὶ τοῦ τετάρτου Κανόνος τῆς ἐν Σαρδικῇ, ἴδε πάλιν τὸν τόπον ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίῳ ἕκτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς πρὸς τὸν Κωνσταντινουπόλεως Ἰγνάτιον ἐπιστολῆς τοῦ Νικολάου Ῥώμης.

Εἰς τὴν Νικολάου πρὸς Ἰγνάτιον ἐπιστολὴν σημείωσαι πρῶτον, πῶς λέγει, ὅτι λαλεῖ μετὰ γραφικῶν καὶ κανονικῶν ἀποδείξεων, εἶτα ἴδε κατωτέρω ὅπου λέγει, ὅτι τὴν καθαίρεσιν Ἰγνατίου οὐ δέχεται, τίνι κανονικῇ ἀποδείξει τοῦτο λέγει, ὁ γὰρ Διόσκορος διὰ τὸ τὸν Εὐτυχέα καθαιρεθέντα ὑπὸ τῆς ἐν Κωνσταντινουπόλει Συνόδου χωρὶς τοῦ θεωρηθῆναι πρῶτον τὰ κατ' αὐτὸν ὑπὸ τῆς Οἰκουμενικῆς συνόδου δέξασθαι εἰς κοινωνίαν, κατεδικάσθη, καὶ τὸν Νικόλαον ἔδει εἰπεῖν ὅτι χωρὶς συνοδικῆς κρίσεως οὐ δέχεται τὴν καθαίρεσιν τοῦ Ἰγνατίου, καὶ οὐχ ἱεροσυλεῖν, καὶ νομίζειν ἴδιον τῆς καθόλου Ἐκκλησίας τὸ ἀξίωμα. καὶ τοῦτο ἐστὶ τὸ αἴτιον τοῦ εἰς οὐδὲν νομισθῆναι τὰς καθαιρέσεις ἃς ἐποίησε κατὰ Φωτίου καὶ τὰς δικαιώσεις Ἰγνατίου, καθὼς ἐκεῖναι ἃς ἐποίησεν ὁ Φίληξ μόνος κατὰ Ἀκακίου ἦσαν εἰς οὐδέν. εἶτα καὶ ὁ Ἀντιοχείας Φλαυϊανὸς καὶ ἄλλοι πολλοὶ οὐκ ἐδέξαντο τὴν καθαίρεσιν τοῦ Χρυσοστόμου, καὶ Ἰωάννης ὁ Ἀντιοχείας καταλαβὼν ἀπὸ Ἐφέσου τὴν Ἀντιόχειαν, καὶ πολλοὺς συναγαγὼν Ἐπισκόπους, καθαιρεῖ Κύριλλον, ἤδη κατειληφότα τὴν Ἀλεξάνδρειαν, ὕστερον λύσαντες τὴν ἔχθραν, συνέβησαν εἰς φιλίαν, καὶ ἀλλήλοις τοὺς θρόνους ἀπέδωκαν, Σωκράτης βιβλίῳ ἑβδόμῳ, κεφαλαίῳ τριακοστῷ τετάρτῳ. τὶ οὖν θαυμαστὸν εἰ ὁ Νικόλαος ἔπραξεν, ὅπερ καὶ ὁ Ἀντιοχείας καὶ πολλοὶ Μητροπολῖται καὶ ἁπλῶς Ἐπίσκοποι ἐποίησαν; δεύτερον, λέγει ὅτι ὁ πρῶτος θρόνος ὑπ' ἄλλου οὐ κρίνεται, καθὼς λέγουσιν οἱ παπισταὶ εἰπεῖν καὶ τὸν Κλῆρον τῆς Ῥώμης περὶ τοῦ τρίτου Λέοντος τῷ Καρόλῳ. κρίνεται ὅμως καὶ ὑπὸ Οἰκουμενικῶν Συνόδων, ὡς ὁ Ὀνώριος καὶ Βιγίλιος, κρίνεται καὶ ὑπὸ μερικῶν, καθότι πολλαὶ μερικαὶ Σύνοδοι ἔκριναν καὶ κατέκριναν Πάπας, καὶ ἡ παροῦσα Σύνοδος βεβαιοῖ διὰ Κανόνος δεκάτου τρίτου ὅτι ὁ Ῥώμης κρίνεται καὶ ἀναθεματίζεται Αἱρετικὸς γινόμενος, καὶ ἴδε τοὺς τόπους ἀνωτέρω, καὶ μάλιστα βιβλίου πρώτου κεφάλαιον ἔσχατον. τρίτον, λέγει ὅτι ταῦτα εἰσὶν ἀποφάσεις αὐτοῦ καὶ τῶν δυτικῶν. ἀλλὰ πῶς ὦ ἄνθρωπε, εἴποι τὶς ἄν, Σύνοδος μερικὴ περὶ τῶν ἀλλοτρίων διορίζει, μὴ οὔσης ἀνάγκης; τέταρτον, λέγει ὅτι ἕπεται τοῖς πρὸ αὐτοῦ, ἀλλ' εἰ μὲν εἰσὶν οἱ κοινοὶ πατέρες καὶ αἱ Οἰκουμενικαὶ Σύνοδοι, Οἰκουμενικὴν Σύνοδον ἔδει ζητῆσαι, ὡς ἐζήτει ὁ Ἰννοκέντιος περὶ τοῦ Χρυσοστόμου, εἰ δὲ μόνοι οἱ Πάπαι, μάτην φρίσσει, καὶ εὔκολα καταφρονούμενος παρακούεται. πέμπτον, ὅτι εἰ καὶ ὡς αἱρετὸς κριτὴς πρῶτον ἀπὸ τοῦ Ἰγνατίου, καὶ δεύτερον ἀπὸ τοῦ Φωτίου, ὡς φαίνεται εἰς τὴν ἕκτην πρᾶξιν τῆς αὐτῆς Συνόδου, ὅπου ὁ φίλος τοῦ Ἰγνατίου Μητροφάνης ὁ Σμύρνης πρὸς Ζαχαρίαν τὸν Χαλκηδόνος φίλον τοῦ Φωτίου, μὴ καταδεχόμενον τὰ κατὰ Φωτίου τῆς Συνόδου, λέγει, Νόμοι θεσπίζουσιν ἐκκλησιαστικοὶ καὶ πολιτικοὶ, τὸν ἐκλεξάμενον τινὰ δικαστὴν μὴ παραιτεῖσθαι αὐτὸν, ἢ τὰ κριθέντα ὑπ' αὐτοῦ. τοῦ καθ' ἡμᾶς οὖν μέρους αἰτησαμένου δικαστὴν τὸν πανάγιον Πάπαν Νικόλαον, πῶς ὑμεῖς νῦν τὰ παρ' αὐτοῦ κριθέντα οὐ δέχεσθε; ταῦτα φαίνονται καὶ ἀπὸ τῆς ἐπιστολῆς τοῦ Στυλιανοῦ πρὸς Στέφανον Ῥώμης, ὡς ἀνωτέρω, καὶ ἀπὸ τῆς ἐπιστολῆς Ἰγνατίου πρὸς τὸν Ῥώμης, ἐν ᾗ λέγει, Ἐκράζομεν ἐπὶ τῆς σῆς ἁγιότητος ἐκκαλούμενοι κριθῆναι, ἀλλ' οὐδεὶς ἦν ὁ ἀκούων. εἰ οὖν καὶ ὡς αἱρετὸς κριτὴς ἔκρινεν Ἀρχιερεὺς ὤν, οὐκ ἦν δίκαιον ἀγερωχεῖν καὶ κρίνειν ὡς ἐβούλετο, ἀλλ' ἐκκλησιαστικῶς τὰ ἐκκλησιαστικά. τρίτον, εἰ δὲ καὶ ἀπὸ ἐξουσίας δοθείσης αὐτῷ ὑπὸ τοῦ Βασιλέως, ὡς καὶ τῷ Διοσκόρῳ ὑπὸ τοῦ Θεοδοσίου, καὶ τῷ Λέοντι ὑπὸ τοῦ Μαρκιανοῦ ἐπὶ τῆς τετάρτης, καὶ ἴδε τὸν τόπον, ἀλλ' ἔδει τὴν προστασίαν λαβόντα, κοινῶς καὶ οὐ μόνον αὐθεντεῖν, καὶ ἴδε τὸ ῥηθὲν βιβλίον. ὅθεν κἀτοι πολλὰ κομπάζων, ἀλλ' οὐδὲν ἐδυνήθη μόνος, καθότι Συνόδου γενομένης, ἐξεβλήθη ὁ Φώτιος, ὡς εἴρηται. τοῦτο ὅμως, ὅτι ὁ Φώτιος ἐζήτει τὸν Νικόλαον αἱρετὸν κριτὴν, ἀναμφίβολόν ἐστι ψεῦδος. εἶτα εἰ αἱρετὸς κριτὴς ἐῤῥέθη, ἄρα οὐκ ἔχει τὸ κρίνειν τοὺς πάντας ἀπὸ Χριστοῦ, ἢ τοῦ Πέτρου, ὡς ζητῶν τοῦτο οὐκ αἰσχύνεται. πρὸς τούτοις εἰ καὶ αἱρετὸς ἐκλήθη ὑπὸ Φωτίου, ἀλλ' οὐκ ἐν ἀρχῇ, ἀλλὰ μετὰ τὰ πολλὰ, καὶ οἰκονομικῶς.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι διαφθαρέντων τῶν πρακτικῶν τῆς κατὰ Φωτίου Συνόδου, καὶ ἀντεισαχθέντων δολίων καὶ παρανόμων ῥημάτων, δείκνυται ἡ Σύνοδος αὕτη ψευδὴς καὶ εἰς οὐδὲν λογιζομένη.

Ἡλε-

Ἡ λεγομένη αὕτη ὀγδόη Σύνοδος ὅτι γέγονεν ὁπωσοῦν, δοκεῖ εἶναι ἀλήθεια, εἴτε γὰρ θυμωθεὶς ὁ Βασιλεὺς κατὰ Φωτίου, εἴτε διὰ σύγχυσιν τὴν οὖσαν εἰς τὴν Ἐκκλησίαν περὶ τῆς ἀποβολῆς τοῦ Ἰγνατίου ἐζήτησε τὰ δίκαια, ὡς λέγει ὁ Πορφυρογέννητος ταῦτα, διὰ κοινῆς ὅμως Συνόδου καὶ συνελεύσεως τῶν ἁπάνταχοῦ Ἀρχιερέων Θεοῦ τῆς Ἐκκλησίας τὸν σάλον κατὰ τὸ ἐνδεχόμενον ἔστησεν, ἐπικυρώσας καὶ τὴν πρὸ τούτου ἑβδόμην ἁγίαν Σύνοδον, καὶ τοὺς ἐπιλοίπους τῶν Εἰκονομάχων τῷ ἀναθέματι δοὺς, καὶ τὸν γνήσιον νυμφίον τῇ Ἐκκλησίᾳ καὶ τοῖς τέκνοις τὸν πατέρα κανονικῶς πραχὼν, τὸν ἐκβληθέντα σχολάζειν κελεύσας, ἕως τοῦτον πρὸς ἑαυτὸν μεταστήσῃ ὁ Θεός. ἐγένετο οὖν Σύνοδος, ἀλλ' οὐ κατὰ Φωτίου μόνου, ἀλλὰ καὶ ἕνεκεν ἄλλων κοινῶν ἐκκλησιαστικῶν ὑποθέσεων, ἐφθάρη ὅμως τὰ πρακτικὰ ἐκείνης καὶ ἀντεισηνέχθη δόλια καὶ παράνομα, πρῶτον, ὅτι κατηγορεῖ τοῦ Φωτίου πολλὰ ἀθέμιτα, καὶ μηδενὶ Χριστιανῷ ἁρμόζοντα, καὶ ὁ Φώτιος ἦν τούτων ἀμέτοχος, ἐπειδὴ οὐδεὶς ταῦτα εἶπε μήτε ἱστόρησεν, ἀλλ' οἱ ἐχθροὶ τοῦ Φωτίου Ῥωμαῖοι, καὶ ὁ Παφλαγὼν, καὶ Στυλιανὸς ὁ Νεοκαισαρείας, καὶ ὁ Μητροφάνης Σμύρνης. δεύτερον, ὅτι εἰς τὴν δευτέραν πρᾶξιν αὐτῆς κανονίζει τοὺς συγκοινωνήσαντας Φωτίῳ καὶ μεταμεληθέντας δῆθεν καὶ μὴ κρεωφαγοῦντας, νηστεύειν ὀψάριον Τετράδα καὶ Παρασκευὴν, καὶ ἐσθίειν ἔλαιον καὶ οἶον, ὅπερ αὐτίκειται τῇ ἀρχαίᾳ συνηθείᾳ καὶ κοινῇ δόξῃ τῆς καθόλου Ἐκκλησίας, ἐπειδὴ Τετράδα καὶ Παρασκευὴν ἰχθῦς οὐδεὶς ἤσθιεν, ἐξίσου γὰρ νηστεύεται ἡ Τετάρτη καὶ Παρασκευὴ τῇ μεγάλῃ Τεσσαρακοστῇ κατὰ τὸν ἀποστολικὸν Κανόνα, καὶ ἴδε αὐτέρω περὶ τῆς ἐν Τρούλλῳ Συνόδου τὸν Ἐπιφάνιον, Βασίλειον, καὶ ἄλλους πατέρας. τρίτον, ὅτι ἀσυνήθης ἐστὶν ἡ σύνταξις αὐτῆς, ἐπειδὴ (εἰ καὶ ψεῦδος ἐστὶν ὡς εἴρηται) τὸν Ῥώμης ἐκάλεσαν αἱρετὸν κριτὴν ὅ, τε Ἰγνάτιος καὶ ὁ Φώτιος, ὅπερ ἐστὶν ἀσύνηθες, ἤρκει γὰρ ἡ τοῦ Βασιλέως δοθεῖσα αὐθεντία, τὸ γὰρ αἱρεῖσθαι αἱρετὸν κριτὴν, παράνομον, οὐ γὰρ βουλόμενος, ἢ προσκαλούμενος κρίνει, ἀλλ' οἱ ἔχοντες τὴν ἐξουσίαν ἀπὸ τῶν Κανόνων κρίνουσι κατὰ τοὺς Κανόνας, καὶ ἴδε κατωτέρω βιβλίου δεκάτου, μέρους τρίτου, κεφαλαίου τρίτου, τμήματος ἕκτου Παράγραφον ἕβδομον, καὶ μέρους πέμπτου κεφάλαιον ἑνδέκατον. τέταρτον, ὅτι ἔκραξαν τὸν Φώτιον οὐ κατὰ τὴν συνήθειαν τῶν Συνόδων καὶ τοὺς Κανόνας, ἀλλὰ διὰ κοσμικῶν δῆθεν ὡς λαϊκόν. ἀλλ' εἰ λαϊκὸς ὁ Φώτιος, πῶς πάλιν ἐδέχθη ὕστερον ἀπὸ τῆς Ῥώμης Πατριάρχης; ὥστε ἡ Σύνοδος αὕτη ληστρικὴ καὶ ὁμοία τῇ ἐν Ἐφέσῳ ἐπὶ Διοσκόρου. πέμπτον, ὅτι ἀποτόμως ἀναθεματίζει, ὅπου καὶ ὁ Πρωτοσπαθάριος εἰς τὴν δεκάτην πρᾶξιν μέμφεται τὸ τοιοῦτον ἀτόπημα, εἰπὼν, ὁ Φώτιος ὀρθόδοξος ἐστὶ, τὶ ἀναθεματίζετε; ἕκτον, ὅτι μάρτυρα τῆς ὑποθέσεως αὐτῆς οὐκ εἰσάγει τοὺς ἁγίους πατέρας μήτε ὁ Ῥώμης Νικόλαος ἐν οἷς γράφει, ὡς ἐποίησε Λέων ἐπὶ τῆς τετάρτης, Ἀγάθων ἐπὶ τῆς ἕκτης, καὶ Ἀδριανὸς ἐπὶ τῆς ἑβδόμης, μήτε ἡ Σύνοδος, ἀλλὰ Πάπας τινὰς καὶ παραδείγματα ἀμφίβολα καὶ ὅλως ψευδῆ, ὡς ἐστὶ τὰ περὶ Χρυσοστόμου, Φλαυϊανοῦ, Πολυχρονίου, Κυρίλλου, Εὐσεβίου, Ἀθανασίου, Ταρασίου, Ἀνθίμου, Μογγοῦ, Ἀκακίου καὶ ἄλλων, ὡς εἴρηται εἰς τοὺς τόπους. εἶτα Πολυχρόνιον Ἱεροσολύμων οὐδέποτε ἠκούσαμεν παρά τινος. ἕβδομον, εἰς τὴν ἕκτην πρᾶξιν φαίνεται, ὅτι οἱ Τοποτηρηταὶ τοῦ Ἀντιοχείας καὶ Ἱεροσολύμων ἐξέθεντο Ὅρον κατὰ Φωτίου, ὅπερ παράνομον ἕνεκεν τριῶν τινῶν, πρῶτον, ὅτι οὐκ ἀπέστειλαν αὐτοὺς οἱ Πατριάρχαι ἵνα κρίνωσι μόνοι, ἀλλ' ἵνα ὦσι μέρος Οἰκουμενικῆς Συνόδου, καὶ κρίνωσιν ὁμοῦ. δεύτερον, ὅτι ὁ Τύρου οὐκ ἦν ἀπεσταλμένος, ἀλλὰ ἀπὸ τοῦ κλίματος ὢν τῆς Ἀντιοχείας, ἐψηφίσθη Τοποτηρητὴς ἀφ' ἑαυτοῦ καὶ ὑπὸ τῶν ἐχθρῶν τοῦ Φωτίου. τρίτον, ὅτι λέγει ὁ Ὅρος αὐτῶν, οὐκ ἔξεστιν ἀντιλέγειν τῇ ἀποφάσει τοῦ Ῥώμης, ὅπερ ἐστὶ παράλογον καὶ γελοῖον, καὶ γὰρ ἔξεστιν ἀντιλέγειν, ὡς τῷ Δαμάσῳ ἡ δευτέρα περὶ Φλαυϊανοῦ Ἀντιοχείας, καὶ τῷ Λέοντι ἡ τετάρτη περὶ τοῦ Κωνσταντινουπόλεως, καὶ τῷ Βιγιλίῳ ἡ πέμπτη βλασφημοῦντι αὐτεῖπον, καὶ αὐτὴ δὲ ἡ παροῦσα Σύνοδος εἰς τὸν δέκατον τρίτον Κανόνα διορίζει ἀντιλέγειν τῷ Πάπᾳ, κακῶς ἀποφαινομένῳ, καὶ ἄλλα μυρία, ὡς προείπομεν. ὄγδοον, ὅτι ἦν συνεστηκυῖα ὡς ἐπιτοπλεῖστον ἀπὸ φανερῶν ἐχθρῶν τοῦ Φωτίου. ἔνατον, ὅτι ὑπὸ τῆς ἐπὶ Φωτίου ἀπεδοκιμάσθη ὡς κακῶς γεγονυῖα, καὶ εἰς οὐδὲν ἐλογίσθη, ὡς καὶ ἐν τῇ ἕκτῃ συνελεύσει τοῦ φλωρεντινοῦ συνεδρίου τῇ λήθῃ παρεδόθη, καὶ πάντοτε εἰς οὐδὲν λογίζεται. δέκατον, ὅτι εἰς τὸ Συνοδικὸν ᾄδεται ἐπ' Ἐκκλησίας, Πάντα τὰ κατὰ τοῦ Φωτίου γραφέντα, ἢ λαληθέντα, ἀνάθεμα. καὶ Φωτίου αἰωνία ἡ μνήμη.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι οὐδεμία Σύνοδος ὡς ἡ κατὰ Φωτίου εἶπε καθαρώτερον καὶ πλατύτερον εἰς τὴν πρώτην αὐτῆς πρᾶξιν καὶ τῆς ἀρχῆς τοῦ Πάπα.

Ἐπειδὴ καὶ ἀπὸ τοῦ ψεύδους δύναται φανερωθῆναι ἡ ἀλήθεια, γνῶθι ὅτι κατὰ τοῦ Ῥώμης οὐδεμία Σύνοδος εἶπε καθαρώτερον καὶ πλατύτερον ὡς ἡ παροῦσα. ὅθεν σημείωσαι πρῶτον, ὅτι εἰς τὴν πρώτην πρᾶξιν αὐτῆς αἱ τοῦ Ῥώμης ἐπιστολαὶ καὶ αἱ παρὰ τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς κατὰ τάξιν ἀναγινώσκονται, καὶ εἰς τὸ προοίμιον πῶς ὁ Αὐτοκράτωρ Βασίλειος ἤθροισε τὴν Σύνοδον οὐχ ὁ Ῥώμης, λέγει γὰρ, Τῆς θείας καὶ φιλανθρώπου προνοίας τὰ πηδάλια τῆς Οἰκουμενικῆς ὁλκάδος ἡμῖν ἐγχειρισάσης, πᾶσαν ἐθέμεθα σπουδήν. Καὶ, κεκρίκαμεν οὖν ἀπὸ τῶν ἄλλων Πατριαρχικῶν θρόνων Τοποτηρητὰς ἀγαγεῖν. ἴδε καὶ

τὰ

τὰ ἀνωτέρω τοῦ Ἰγνατίου πρὸς τὸν Βασιλέα περὶ τῆς ἀθροίσεως τῆς Συνόδου, τοῦτο αὐτὸ βεβαιοῖ καὶ ὁ Σύγκελλος τοῦ Ἱεροσολύμων εἰς τὴν Σύνοδον. δεύτερον, εἰπόντος τοῦ Αὐτοκράτορος, Ἐκρίναμεν ἀγαγεῖν Τοποτηρητὰς καὶ ἀπὸ τῶν ἄλλων θρόνων, γνῶθι ὅτι ἐξίσου Πατριαρχικοὶ οἱ Πατριαρχικοὶ θρόνοι, καὶ ἐξίσου κριταὶ μετὰ τῆς κοινῆς ψήφου. ὅθεν ἐφεξῆς λέγει ὁ Βασιλεὺς, Καὶ πρὸς ὑμᾶς τοὺς κριτὰς οὕτω φαμὲν, ὅτι ἀληθείας ἐραστὰς ὑμᾶς εἶναι οὐκ ἀγνοοῦμεν, πλὴν καὶ ἡμεῖς κατὰ τὸ δοθὲν ἡμῖν μέτρον τῆς ἐξουσίας ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν οὐ σιωπῶμεν. τρίτον, ὁ Πραιπόσιτος ἀνακρίνει τοὺς Τοποτηρητὰς τοῦ Ῥώμης, καίτοιγε αὐτοὶ εἶπον ὅτι τοὺς Τοποτηρητὰς τοῦ Ῥώμης οὐχ εὕρηται ἀνακρίνεσθαι ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις, ὅμως ψεύδονται, ὅτι καὶ ἀνακρίνονται καὶ ἐπιτιμῶνται. τὸ γὰρ δεύτερον ἔπαθον εἰς τὴν ἑβδόμην Σύνοδον, ὅπου Ἰωάννης ὁ Λογοθέτης ἐρωτᾷ τὸν Κατάνης Θεόδωρον καὶ Ἐπιφάνιον Διάκονον τοῦ Σαρδηνίας, Εἰ οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης ἦσαν ἀληθεῖς Πέτρος καὶ Πέτρος, καὶ μαρτυροῦσιν ἐκεῖνοι ὅτι ἀληθεῖς εἰσί. τὸ δὲ πρῶτον ἔπαθον εἰς τὴν ἐν Χαλκηδόνι, ὅπου εἰπόντες ἔχειν παραγγελίαν ἀπὸ τοῦ Ῥώμης Λέοντος μὴ καθίσαι τὸν Διόσκορον εἰς τὴν Σύνοδον, ἐπετιμήθησαν ὑπὸ τῶν Ἀρχόντων, εἰπόντων αὐτοῖς, Εἰ ἐστὲ κριταὶ, πῶς γίνεσθε ἐνάγοντες; καὶ ἐκάθισεν ὁ Διόσκορος καὶ ἀκουσίως αὐτῶν εἰς τὸ μέσον. τρίτον, ὅτι πάντοτε τὰ παπίδια ἀνακρίνονται, ἐπειδὴ αἱ ἐπιστολαὶ ἃς κομίζουσιν ἀπότε τοῦ Ῥώμης καὶ τῆς κατ' αὐτὸν Συνόδου πάντοτε ἐξετάζονται, ψηλαφῶνται καὶ δοκιμάζονται. εἶτα ὁ Ἀλεξανδρείας ἅγιος Κύριλλος Τοποτηρητὴς ὢν τοῦ Πάπα, καθῃρέθη, καὶ οὐκ ἐδικαιώθη ὅτι Τοποτηρητὴς ὢν καθῃρέθη, ἀλλὰ διότι οὐκ ἦλθεν εἰς ἀπολογίαν ὁ καθήρας αὐτὸν Ἰωάννης Ἀντιοχείας καὶ οἱ περὶ αὐτὸν, καὶ δι' αὐτὸ τὸ δίκαιον, ὅτι καλῶς ἀγωνισάμενος ὑπὲρ τῆς εὐσεβείας, ἠδικήθη, ἀλλὰ καὶ μετὰ τὴν ἀθῴωσιν τί ἔπαθεν ὁ Κύριλλος πάλιν, καὶ οἱ ἀπὸ Ῥώμης πρεσβευταὶ, ἴδε ἐν τῷ τρίτῳ βιβλίῳ ἀνωτέρω τῆς Συνόδου τὸν τόπον, καὶ ἀνωτέρω ἴδε βιβλίου πρώτου κεφάλαιον ἔσχατον. τέταρτον, λέγει ὁ Ῥώμης Ἀδριανὸς γράφων εἰς τὸν Βασιλέα, ὅτι ἡ καθέδρα τῆς Ῥώμης δύναται ἰατρεύειν τὰ τοιαῦτα ἕλκη, τὰ γινόμενα εἰς Κωνσταντινούπολιν τάχα ὑπὸ Φωτίου. σὺ δὲ σημείωσαι εἰς τὴν ἕκτην πρᾶξιν τὴν Σύνοδον ταύτην λέγουσαν, ὅτι πάντα τὰ παραπτώματα παρὰ τῶν Πατριαρχῶν διορθώθησαν, καὶ διατοῦτο (οἱ πταίσαντες τυχόν) παρεδέχθησαν, ὡς ἰαθέντες παρὰ τῶν δυναμένων ἰατρεύειν τὰ τοιαῦτα, τὸ δὲ ὑμέτερον παράπτωμα πᾶσαι αἱ κεφαλαὶ τῆς Οἰκουμενικῆς Ἐκκλησίας ἀνίατον καταλελοίπασι, πάντες γὰρ οἱ Ἀρχιποίμενες συμφώνως ὑμᾶς κατακρίνουσι. καὶ σημείωσαι, ὅτι πάντες οἱ Πατριάρχαι κεφαλαὶ καὶ Ἀρχιποίμενες, οὐμόνες γὰρ ὁ Ῥώμης διορθοῖ, ἀλλὰ καὶ αὐτὸς διορθοῦται, καὶ ἴδε πόσαι Τοπικαὶ Σύνοδοι ἔκριναν τὸν Πάπαν. πέμπτον, οἱ Τοποτηρηταὶ τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς εἶπον, Γινώσκετε πάντες, ὅτι τὰς Πατριαρχικὰς κεφαλὰς ἐν τῷ κόσμῳ ἔθετο τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα τὰ ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ ἐπιφυόμενα σκάνδαλα δι' αὐτῶν ἀφανίζωνται. ἕκτον, εἰς τὴν ἕκτην πρᾶξιν, καθὼς ἐν ἀρχῇ εἴρηται, λέγεται, ὅτι ὁ Θεὸς εἰς τὸ στερέωμα τῆς Ἐκκλησίας οἷόν τινας μεγάλους φωστῆρας ἔθετο τὰς Πατριαρχικὰς κεφαλὰς εἰς φαῦσιν πάσης τῆς γῆς, ὥστε ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς, καὶ διαχωρίζειν ἀναμέσον τοῦ φωτὸς καὶ ἀναμέσον τοῦ σκότους, τουτέστιν ἀναμέσον τῶν πραττόντων τὰ ἔργα τοῦ φωτὸς καὶ τοῦ σκότους. τούτους οὖν τοὺς μεγάλους φωστῆρας εὐσεβέστατε Δέσποτα καθάπερ ἐν μεγάλῃ οἰκίᾳ πολλοὺς πυρσοὺς ἐν τῇ σεαυτῷ πόλει συνήγαγες. ἕβδομον, ὅτι καλῶς ποιῶν ὁ Βασιλεὺς ἀποκατέστησε τὸν Ἰγνάτιον κατὰ τὴν κρίσιν τῶν Ἀρχιερέων τῆς Ῥώμης, καὶ τὸν Φώτιον ἀπεδίωξε, καὶ ὅτι τὴν τοιαύτην πρᾶξιν καλῶς τετελείωκε διὰ τῆς ἐπιδημίας τῶν Τοποτηρητῶν τῶν λοιπῶν θρόνων, καὶ σημείωσαι ὅτι χωρὶς τῶν Τοποτηρητῶν τῶν λοιπῶν θρόνων ἀτελὴς ἦν ἡ πρᾶξις τῶν Ἀρχιερέων τῆς Ῥώμης. καὶ μετ' ὀλίγα ὁ Βασιλεὺς πρὸς τοὺς ὑπὲρ Φωτίου Ἐπισκόπους, Ἴδε ἠκούσατε τὸ φρόνημα τῶν Πατριαρχῶν, τί ὑμῖν δοκεῖ; καὶ μετ' ὀλίγα ὁ αὐτὸς, Ταῦτα τὴν ἐμὴν ἐθορύβει ψυχὴν, καὶ μέριμνα ἦνμου διηνεκὴς τὰ σκάνδαλα ἐκ μέσου (σημείωσαι ὅτι ὁ Βασιλεὺς εἰρηνεύει τὴν Ῥώμην καὶ Κωνσταντινούπολιν, οὐχ ὁ Ῥώμης ὁ φίλερις) ποιήσασθαι, τὴν γοῦν τῶν στασιαζόντων μερῶν ἐξέτασιν κατὰ τὴν ἀνέκαθεν ἐκκλησιαστικὴν παράδοσιν ἐπόπταις καὶ κριταῖς ἀνεθέμην τοῖς ἐκ τῶν λοιπῶν Πατριαρχικῶν θρόνων ἀπεσταλμένοις. καὶ μετ' ὀλίγα τῇ Συνόδῳ, Ναὶ πατέρες πνευματικοὶ καὶ τῆς Ἐκκλησίας καὶ τῆς ἀληθείας ἔκδικοι. καὶ σημείωσαι ἐκ τούτων ποῖοι κριταὶ καὶ κεφαλαὶ καὶ Ἀρχιποίμενες καὶ τελειωταὶ καὶ ἔκδικοι εἰς τὴν καθόλου Ἐκκλησίαν, καὶ τίς ἐστιν ὁ ἀγείρων τὰς Οἰκουμενικὰς Συνόδους.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι ἐκ τῶν λεχθέντων ὑπὸ τοῦ Ἀδριανοῦ Ῥώμης ἐν τῇ κατὰ Φωτίου ἐν Ῥώμῃ Συνόδῳ εἰς τὴν ἑβδόμην πρᾶξιν, καὶ ἐν τῇ ὑπὸ τοῦ Ῥηγὸς Θεοδωρίκου ἐν Ῥώμῃ ἀθροισθείσῃ Συνόδῳ, δείκνυται μετὰ καὶ τῶν αἰτιῶν αὐτῶν ψεῦδος τὸ ἐπὶ τῶν Συνόδων εἶναι τὸν Ἐπίσκοπον Ῥώμης.

Εἰς τὴν ἑβδόμην πρᾶξιν ἴδε πῶς ὁ Ῥώμης Ἀδριανὸς Σύνοδον ἀθροίσας ἐν Ῥώμῃ κατὰ τοῦ Φωτίου, καὶ θρηνῶν καὶ ὀλοφυρόμενος ἔλεγε τῇ Συνόδῳ, Ἀγαπητοὶ διασκέψασθε τί ὑπὲρ τῆς τοιαύτης

παρα-

παρανομίας (ἤτοι ὅτι ἐκάθηρεν ὁ Φώτιος Νικόλαον τὸν Ῥώμης) ἡμῖν χρὴ διαπράξασθαι, καὶ ψηφίζεται ἡ Σύνοδος τὸ πρακτέον, καὶ πᾶν τὸ τῶν παπιστῶν, ὅτι ὁ Πάπας ἐπάνω τῶν Συνόδων; ὅτε γὰρ μόνος, οὐδείς ἐστιν. εἰς τὴν τρίτην διαλαλιὰν ὁ αὐτὸς ἔλεγε τῇ αὐτῇ Συνόδῳ, Καὶ γὰρ εἰ καὶ τῷ Ὀνωρίῳ μετὰ θάνατον ὑπὸ τῶν Ἀνατολικῶν ἀνάθεμα ἐῤῥέθη, ὅμως γνωστόν ἐστιν, ὅτι ἐπὶ Αἱρέσει κατηγορήθη, δι' ἣν καὶ μόνην ἔξεστι τοὺς ὑποδεεστέρους τῶν μειζόνων κατεξανίστασθαι, ἀλλὰ κἀκεῖ οὔτε Πατριαρχῶν τις, οὔτε τις τῶν ἑτέρων προέδρων ἐξενεγκεῖν ἠδυνήθη ἀπόφασιν, εἰ μὴ ἡ τῆς αὐτῆς πρώτης καθέδρας αὐθεντία συνήνεσεν ἐπὶ τούτῳ. καὶ σημείωσαι πρῶτον, ὅτι Ὀνώριος Αἱρετικὸς καὶ καθῃρημένος. δεύτερον, ὅτι κρίνεται καὶ ὁ Ῥώμης. τρίτον, ὅτι ὡς ἡ τοῦ Ῥώμης ψῆφος ἀναγκαία, οὕτω καὶ ἡ ἑκάστου Πατριάρχου. πρὸς ἐκεῖνα δὲ ἅπερ λέγεται εἰπεῖν τοὺς πατέρας τῆς Συνόδου τῆς ἀθροισθείσης ὑπὸ τοῦ Ῥηγὸς Ῥώμης Θεοδωρίχου, δηλονότι τῆς περὶ τοῦ Συμμάχου ἐπὶ Ἀναστασίου, ὅτι τὸν Πάπαν δεῖ συγκαλέσασθαι τὴν Σύνοδον, καὶ ὅτι ἡ Ῥώμη τῇ τοῦ Πέτρου πρώτῃ τετίμηται κορυφαιότητι, καὶ ὅτι ἡ Ῥώμη τῇ τῶν ἐλαττόνων οὐχ ὑποπίπτει κρίσει, ἡ γὰρ Ῥωμαίων Ἐκκλησία κρίνει οὐ κρίνεται, ῥητέον, ὅτι ψευδῶς ἐμαρτύρησαν οἱ ταῦτα εἰπόντες (εἰ γὰρ καὶ νοθεύονται προφανῶς, ὅμως ὑποθετέον ἀληθῆ εἶναι) καὶ ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον ἔσχατον. τέταρτον, ὁ Ἰωάννης Ἀντιοχείας οὐ καθῃρέθη διότι τὸν Κύριλλον κατέκρινεν, ἀλλὰ διότι κατακρίνας Κύριλλον καὶ Μέμνονα, καὶ κληθεὶς εἰς κρίσιν καὶ ἀπολογίαν, οὐκ ἀπήντησε, καὶ ἴδε τὸν τόπον βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παραγράφῳ τριακοστῷ πρώτῳ, ὅπερ μαρτυρία ἐστὶ σαφὴς, ὅτι ἡ Ῥωμαϊκὴ Ἐκκλησία κρίνεται, ἐπειδὴ ὁ Τοποτηρητὴς αὐτῆς ἐκρίθη, καὶ κατεκρίθη ἐξίσου τῷ Μητροπολίτῃ Ἐφέσου. πέμπτον, ἀληθῶς ἡ τρίτη Οἰκουμενικὴ Σύνοδος ἔγραψε πρὸς τὸν Πάπαν Κελεστῖνον ἵνα ἀγανακτήσῃ κατὰ τοῦ Ἀντιοχείας Ἰωάννου, πλὴν οὐχ ὅτιγε κατέκρινε τὸν Τοποτηρητὴν αὐτοῦ, ἀλλ' ὅτι ἀπόφασιν ἐξήνεγκε κατὰ τῶν Νόμων καὶ τῶν Κανόνων, πλὴν ἡ Σύνοδος ταῦτα ἔγραψε τῷ Πάπᾳ, ἐπειδὴ ἐδίδου τῷ Ἰωάννῃ καιρὸν μετανοίας, ὡς καὶ ἡ ἑκτὴ διὰ τὴν αὐτὴν αἰτίαν ἔπεμπε τὸν Ἀντιοχείας εἰς Ῥώμην, ἔστιν ὅμως αὕτη ἡ ἐξουσία ἣν δέδωκεν ἡ Σύνοδος τῷ πάπᾳ μαρτυρία τῆς ἀδυναμίας αὐτοῦ, ἐπειδὴ οὔτε ὁ Ῥώμης ἠδυνήθη ἀγανακτῆσαι κατὰ τοῦ Ἀντιοχείας, τοῦ Βασιλέως κωλύοντος τὰς ἀγανακτήσεις, καὶ διὰ εἰρηνικῶν τρόπων σπεύδοντος εἰρηνεῦσαι τὰς Ἐκκλησίας, ὡς καὶ πεποίηκε, καὶ μάλιστα μηδαμῶς συμβούλῳ χρησαμένου τῷ Πάπᾳ, ἀλλὰ Μαξιμιανῷ τῷ Κωνσταντινουπόλεως, μήτε μὴν μνησθείτος τοῦ Πάπα ἐν τῇ τοιαύτῃ μεγίστῃ ὑποθέσει, καὶ ἴδε ἀνωτέρω βιβλίῳ τρίτῳ τὸν τόπον τῆς τρίτης Συνόδου. ἕκτον, ἀληθῶς ἐπετιμήθη ὑπὸ τῆς τρίτης Συνόδου ὁ Ἀντιοχείας, ὅτι κατεξανέστη τῶν μειζόνων, ἤτοι Ἀλεξανδρείας, ἀλλ' οὐχ ὅτι πεποίηκε τοῦτο παρὰ γνώμην τῆς ἀποστολικῆς καθέδρας, ἀλλὰ διότι πεποίηκεν αὐτὸ ἄνευ τῆς νομίμου Οἰκουμενικῆς Συνόδου, καὶ ἴδε τὸν ἀνωτέρω τόπον. ἕβδομον, ὁ Διόσκορος κατεκρίθη οὐ μόνον διότι ἐκάθηρε τὸν Πάπαν ἅγιον ἄνθρωπον καὶ ὀρθόδοξον μαρτυρούμενον ὑπὸ πάσης τῆς Οἰκουμένης, ἀλλὰ δι' ἄλλας αὐτοῦ παρεκτροπὰς, καὶ διότι ἐκάθηρε καὶ τὸν Ῥώμης ἰδίᾳ αὐθεντίᾳ καὶ ἄνευ Οἰκουμενικῆς Συνόδου, καὶ τοῦτο, οὐ διότι ἐκάθηρε τὸν ἄκρον Ἀρχιερέα, ἢ διότι ἔπραξεν ἐναντίον τοῖς προνομίοις τῆς πρώτης καθέδρας, ἀλλὰ διότι, ὡς εἴρηται, ἰδίᾳ αὐθεντίᾳ ἐκάθηρε τὸν φανερὸν δίκαιον καὶ ἅγιον Ῥώμης. ὄγδοον, ὁ Φώτιος καθήρας διὰ μόνης τῆς κατ' αὐτὸν Συνόδου τὸν Πάπαν Νικόλαον, οὐχ ἥμαρτεν, ἐπειδὴ τοῦτο τολμήσας ἐποίησε πρότερον ὁ Νικόλαος, ὁ δὲ Φώτιος καθήρας τὸν Νικόλαον, ἐσπούδασε τοῦτο βεβαιῶσαι διὰ Οἰκουμενικῆς Συνόδου. ἐξέθετο ἡ ἐν Ῥώμῃ αὕτη Σύνοδος κατὰ Φωτίου Κανόνας πέντε, ἀλλ' ἠκυρώθησαν μεταταῦτα ὑπὸ πολλῶν Συνόδων, ὡς εἴρηται καὶ ῥηθήσεται. ὑπέγραψε δὲ ὁ Ἀδριανὸς, οὐκ ἄκρον ἑαυτὸν ὀνομάσας, ἀλλ' ὡς ὑπέγραψεν ὁ Ἀγάθων ἐν τῇ κατ' αὐτὸν Συνόδῳ καὶ ὁ Μαρτῖνος ὁμοίως, ἤτοι, Τῆς καθολικῆς καὶ ἀποστολικῆς Ῥωμαίων Ἐκκλησίας, καὶ οὐδὲν πλέον, τοῦτο δὲ καὶ παντὶ Ἐπισκόπῳ ἴδιον. ἦσαν δὲ Ἐπίσκοποι εἰκοσιεννέα, ἐν ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι ἐκ τῶν διορισθέντων ἐν τῷ δεκάτῳ τρίτῳ Κανόνι τῆς κατὰ Φωτίου Συνόδου πράξει δεκάτῃ, δείκνυται ὅτι ὁ Ῥώμης σφάλλων, κρίνεται καὶ κατακρίνεται ὑπό τε Οἰκουμενικῆς καὶ Τοπικῆς Συνόδου.

Εἰς τὴν δεκάτην πρᾶξιν ἐν τῷ δεκάτῳ τρίτῳ Κανόνι αὐτῆς διορίζει, ὅτι ὅστις τολμήσει (καθὼς τυχὸν Φώτιος καὶ Διόσκορος) κινῆσαι ἔγκλημα κατὰ τῆς Ῥώμης ἐγγράφως, ἢ ἀγράφως, τοῦτον κατακρίνεσθαι. καὶ σημείωσαι, ὅτι Συνόδου Οἰκουμενικῆς νομίμου οὔσης, ὡς ἦν εἰς τὴν Ἔφεσον τὸ πρῶτον, ὅστις μόνος κατὰ τοῦ Ῥώμης, ἢ ἄλλου τινὸς φέρεται, κατάκριτος, ὡς ἐποίησε τὸ δεύτερον ὁ Διόσκορος. κανονικῆς γὰρ οὔσης Συνόδου, καὶ ἐπαινεῖται ὁ Ῥώμης ἀν' ἀληθεύῃ, καίπερ καὶ εἰς τὰς Τοπικὰς Συνόδους καὶ ἐκρίθη καὶ ἀνεκρίθη καὶ κατεκρίθη ὁ Ῥώμης. εἶτα καὶ οἱ Ἐπίσκοποι Ῥώμης μετὰ Συνόδου Οἰκουμενικῆς ἐζήτουν διορισθῆναι τὸ συμβαῖνον ἀμφισβητούμενον. ὅτε δὲ ὁ Ῥώμης μόνος αὐθεντικῶς καθαιρεῖ, οἷος ἦν ὁ Νικόλαος, ἀντικαθαιρεῖται, ὡς ἐποίησε δικαίως ὁ Φώτιος, καὶ ἐὰν προστάσσῃ μόνος, εἰς οὐδὲν λογίζεται,

ὡς

ὡς ἔπαθεν ὁ Ἰούλιος; καὶ ὁ Δάμασος περὶ Φλαυϊανοῦ, Λέων περὶ Ἀνατολίου, Διάλογος περὶ τοῦ Νηστευτοῦ, Φίληξ, Ἀναστάσιος καὶ Σύμμαχος περὶ Μακεδονίου καὶ Εὐθυμίου. λέγει ἔτι εἰς τὸν αὐτὸν Κανόνα, ὅτι ἐὰν ἀθροισθῇ οἰκουμενικὴ Σύνοδος, καὶ γένηται ἀμφιβολία καὶ περὶ τῆς Ἐκκλησίας Ῥωμαίων, πρέπει εὐλαβῶς γίνεσθαι τὴν ἐξέτασιν τοῦ ζητήματος. καὶ σημείωσαι πρῶτον, ὅτι καὶ περὶ παντὸς ἄλλου, ὅταν συμβῇ ἀμφιβολία, εὐλαβῶς πρέπει γίνεσθαι τὴν ἐξέτασιν, ὡς εἰς τὴν πρώτην Ἄρειος οὐχ ὑβρίσθη, εἰς τὴν τρίτην εὐλαβέστατος ἤκουεν ὁ Νεστόριος, καὶ εἰς τὴν τετάρτην ὁ Διόσκορος, καὶ εἰς τὴν ἕκτην ὁ Μακάριος, ὅτι οὕτως ἐστὶ τὸ μάθημα τῆς Ἐκκλησίας, τὸ δὲ ὑβρίζειν ἀποτόμως τῆς δυτικῆς ἐστὶ πρωτονομίας, ὡς ἐγένετο εἰς τὴν παροῦσαν Σύνοδον. δεύτερον, ὅτι ἰδοὺ καὶ ἀπὸ Κανόνος Συνόδου Οἰκουμενικῆς κατὰ τοὺς Λατίνους σαφοῦς καθαροῦ ἰδιαιτάτου καὶ ὁ πρῶτος θρόνος κρίνεται, καὶ ποῦ τὸ τινῶν, καὶ τὸ τοῦ μεγαλορρήμονος Νικολάου τούτου, ὅτι ὁ πρῶτος θρόνος οὐκρίνεται; τρίτον, οὗτος ὁ δέκατος τρίτος Κανὼν ἐλήφθη ἀπὸ τοῦ τεσσαρακοστοῦ Κανόνος τῆς ἐν Λαοδικείᾳ Συνόδου, ὃς λέγει ῥητῶς, Δεῖ τοὺς Ἐπισκόπους καλουμένους εἰς Σύνοδον ἀπιέναι, καὶ διδάσκειν, ἢ διδάσκεσθαι εἰς κατόρθωσιν τῆς Ἐκκλησίας. ἴδε βιβλίου πρώτου κεφάλαιον εἰκοστὸν τέταρτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι εἰπόντες τὴν κατὰ Φωτίου Σύνοδον εἰπεῖν τὸ Σύμβολον μετὰ προσθήκης ὅ,τε Ἀνδρέας Ῥόδου καὶ οἱ Λατῖνοι ἐν τῷ Φλωρεντινῷ συλλόγῳ, δείκνυνται ψεῦσται.

Ὁ Ῥόδου Ἀνδρέας ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ συνελεύσει ἑβδόμῃ εἶπεν, ὅτι ἡ κατὰ Φωτίου Σύνοδος ἐγίνωσκε τὸ Σύμβολον μετὰ τῆς προσθήκης. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἐψεύσθη, ἐπειδὴ ἡ παροῦσα Σύνοδος τὸ Σύμβολον ἀκαινοτόμητον οἶδε, καὶ αὖθις τῆς προσθήκης ἐβεβαίωσε, λέγει γὰρ, ὅτι ἀνεγνώσθη ὁ Ὅρος τῆς αὐτῆς Οἰκουμενικῆς ὀγδόης Συνόδου, περιέχων τὸ Σύμβολον τῆς πίστεως καὶ ὁμολογίαν τοῦ στέργειν ταῖς προλαβούσαις Οἰκουμενικαῖς ἑπτὰ Συνόδοις, καὶ ἀναθεματίζειν οὓς ἐκεῖναι ἀνεθεμάτισαν. καὶ μετ' ὀλίγα, Τούτου δὲ ἀναγνωσθέντος, ἡ ἁγία Σύνοδος ἐξεβόησε, Πάντες οὕτω φρονοῦμεν, πάντες οὕτω πιστεύομεν. καὶ σημείωσαι, ὅτι ἐνταῦθα τὰ ἀρχαῖα ἐβεβαιώθη, προσθήκης δὲ οὐδεμία μνήμη, ὥστε ψεύδονται κἀνταῦθα ὁ Ῥόδου καὶ οἱ Λατῖνοι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'

Περὶ τῆς μάχης Ἰγνατίου Κωνσταντινουπόλεως καὶ Ἰωάννου Ῥώμης διὰ τὴν Βουλγαρίαν, οὗ καὶ ἐπιστολὴ πρὸς Ἰγνάτιον, καὶ ὧν λέγουσιν οἱ παπισταὶ ἐκ παραθέσεως περὶ ἀμφοτέρων, καὶ ὁ Ἀναστάσιος ὁ Βιβλιοθηκάριος περὶ Φραντζέζων, καὶ περὶ τοῦ ἀριθμοῦ τῶν τῆς Συνόδου πατέρων ἐν τῇ μεταφράσει τοῦ προλόγου τῆς ἑβδόμης Συνόδου.

Οὕτω λοιπὸν ὁ Φώτιος ἐξωρίσθη, καὶ ὁποίας τυραννίας ἔπαθε καὶ αὐτὸς καὶ οἱ ἄνθρωποι αὐτοῦ, καὶ ὁποίας ζωῆς ἄνθρωπος ἦν, καὶ πῶς ἀκουσίως αὐτοῦ ἐγένετο Κωνσταντινουπόλεως, ὁ φιλομαθὴς μανθάνει ταῦτα ἀπὸ τῶν ἐπιστολῶν αὐτοῦ τοῦ Φωτίου, εἰ καὶ πάλιν ὁ αὐτὸς ἔτυχε περιποιήσεως ὡς ῥηθήσεται. ἐπεὶ οὖν ἐβεβαιώθη ὁ Ἰγνάτιος εἰς τὸν Κωνσταντινουπόλεως θρόνον, τὸν Ῥώμης ὃν εἰς τὴν ἀνάγκην ἔλεγε Πατριάρχην πάντων τῶν θρόνων, τότε εἶχεν αὐτὸν Πατριάρχην μόνης τῆς Ῥώμης, ὅθεν καὶ ἐμάχετο τῷ Ἀδριανῷ, καὶ πολὺ μᾶλλον τῷ Ἰωάννῃ τῷ μετὰ τὸν Ἀδριανὸν περὶ τῆς Βουλγαρίας, ἔγραφε γὰρ ὁ Πάπας Ἰωάννης τῷ Ἰγνατίῳ ταῦτα ῥητῶς, Ἔγραψας, ἵνα τὰ πολλὰ παρεάσωμεν, ὅπως οἱ Πρεσβύτεροι ἡμῶν ἐκ τῆς χώρας τῶν Βουλγάρων μετὰ ὀναδισμοῦ μεγάλου καὶ αἰσχύνης ἐξωσθῶσι, καὶ οἱ Ἐπίσκοποι οὐ μετὰ μικρᾶς ἐκεῖθεν ἀτιμίας ἀπελαθῶσι, καὶ ταῦτα μηδέποτε γεγονυίας περὶ τούτου κρίσεως ἐνώπιον ὑμῶν, οὐδὲ γὰρ προσεκλήθημεν ποτὲ εἰς κριτήριον διὰ τοῦτο. εἰ γοῦν λέγεις προτέρους ἡμᾶς τοὺς Πρεσβυτέρους τῆς Κωνσταντινουπολιτῶν διοικήσεως εἰς τὴν προῤῥηθεῖσαν χώραν λειτουργεῖν ἀποκωλῦσαι, οὐκ ἀρνούμεθα, ἦσαν γὰρ τοῦ Φωτίου κοινωνικοὶ καὶ συμμύσται, οὓς οὐμόνον εἰς τὴν Βουλγάρων χώραν, ἀλλὰ καὶ εἰς πᾶσαν Ἐκκλησίαν ὡς Ἱερεῖς ἐνεργεῖν ἐκωλύσαμεν καὶ κωλύομεν. ἔδει οὖνσε εἰδότα τοῦτο, μηδὲν εἰς τὴν τῶν Βουλγάρων τοιοῦτον διαπράξασθαι. ἐμάθομεν δὲ καὶ ἄλλα πολλὰ ἐναντία τῶν πατρικῶν Ὅρων ὑμᾶς διαπράττεσθαι, ἀλλὰ δὴ καὶ τοῦτο, τινὰς γὰρ νεωστὶ ἀπὸ τῶν λαϊκῶν ἄφνω Διακόνους ἐχειροτονήσατε, ἐναντία μὲν καὶ τοῖς πάλαι πατράσιν, ἀλλὰ δὴ καὶ τῇ προσφάτως συναθροισθείσῃ Οἰκουμενικῇ Συνόδῳ. οὐκ ἀγνοεῖτε δὲ ὅτι ἡ τοῦ Φωτίου πτῶσις ἐντεῦθεν τὴν ἀρχὴν ἔλαβε; ταῦτα ὁ Πάπας Ἰωάννης. καὶ εἰ μὲν ἔλεγε δίκαια ὁ Ῥώμης, τίνος χάριν οὐκ ἤκουεν αὐτοῦ ὁ Ἰγνάτιος, ὃς πρότερον ἀνύψου αὐτὸν ἕως τοῦ οὐρανοῦ; εἰ δὲ ἄδικα, ποῦ τοῦ Πάπα τὸ ἀναμάρτητον καὶ τὸ αὐτοκρατορικόν; λέγουσιν οἱ Λατῖνοι, ὡς ὁ Χρυσόστομος καὶ Ἐπιφάνιος ἐμάχοντο, ἀλλ' ἦσαν ἅγιοι, οὕτω καὶ ὁ Ἰωάννης καὶ Ἰγνάτιος ἐμάχοντο

διὰ

διὰ τὰ δίκαια τῶν Ἐκκλησιῶν αὐτῶν. ἀλλ' ὧν ἕτοι ὁ Χρυσόστομος καὶ Ἐπιφάνιος ἔλεγον, ὅτι εἰσὶν ὑποκείμενοι ἁμαρτίαις, καὶ τὸ ἁμαρτάνειν ἐκ ἠρνεῖτο καὶ εἰς τὰ περὶ πίστεως, ὅθεν νενεχῶς συνέγραφον, ὅτι τὸ κῦρος τῆς ἀναμαρτησίας ἔχει μόνη ἡθέα γραφή, εἰς ἣν καταφεύγειν τοὺς Διδασκάλους ἐν τοῖς συμπίπτουσιν ἀμφιβόλοις παρήνει, καὶ τοῦτο διὰ καινῶν συνελεύσεων, ὡς ἐρῶμεν κατωτέρω ἐν τῷ τρίτῳ μέρει τοῦ δεκάτου Βιβλίου, ὁ δὲ Ῥώμης λέγει ὅλη ἐστὶ μόνος διόλου καὶ ὡς αὐτὸς ὁ Χριστὸς ἀναμάρτητος, διατοῦτο φανερῶς φανερῶς αὐτοῦ ἁμαρτάνοντος, ἔστι ψεῦδος τὸ, ὁ Ῥώμης οὐχ ἁμαρτάνει, οὐκείνεται. εἶτα ὁμῶς Χρυσόστομος καὶ Ἐπιφάνιος, εἰ δὲ βούλει εἰπὲ καὶ νεωτικώτερόν τι, ὁ Παῦλος καὶ ὁ Βαρνάβας ἐμάχοντο πρὸς βάτῳ, ὁντοῦτα δὲ μάχεται τὸ πρόβατον ὁ Κωνσταντινουπόλεως τῷ Ποιμένι αὐτοῦ τῷ Ῥώμης, καὶ πῶς ἐκ ἀκείθη καταδικάζει ὁ Ἰγνάτιος αὐτιλέγων αὐτῷ, καὶ πρὸς Φιλιππησίους τὸ Τροπαιοῦχον τὸ χρυσοῦν; καὶ γὰρ ὁ Πάπας, ὡς εἴρηται, τῇ ἐξουσίᾳ ταυτίζει ἑαυτὸν τῷ Χριστῷ. Ἀνασάσιος ὁ Βιβλιοθηκάριος παρὼν τῇ Συνόδῳ ταύτῃ (φασὶν οἱ Λατῖνοι) ἀπήνεγκε τὰ πρακτικὰ ταύτης εἰς Ῥώμην, ἅτινα καὶ προτρεπῇ τοῦ Πάπα ἀδελφικοῦ τὸ δεύτερα μετέφρασεν εἰς τὴν λατινίδα γλῶσσαν. λέγει δὲ ὁ αὐτὸς ἐν τῇ εἰς τὴν ἑβδόμην Σύνοδον προλόγῳ αὐτοῦ πρὸς τὸν αὐτὸν Πάπαν περὶ τῶν Φραντζέζων, ὅτι ἀπεποιοῦντο τὴν τῶν Εἰκόνων προσκύνησιν, καὶ ὅτι εἰς ταύτην τὴν Σύνοδον ἦσαν Ἐπίσκοποι ἑκατονδύο.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ ὧν εἶπον καὶ ὧν ἦκουσε πρὸ τῆς Συνόδου ὁ ἐν τῇ ἁγίᾳ πράξει ἐλθὼν μετ' ἐπιστολῆς Τοποτηρητὴς τοῦ Ἀλεξανδρείας, καὶ ὧν εἶπον ὁ Τοποτηρητὴς τοῦ Ἱεροσολύμων Ἠλία, ἐξ ὧν ἡ τῶν Πατριαρχῶν ἀξία δείκνυται ἡ αὐτὴ, ἐν οἷς καὶ ὁ Ῥώμης ἰσότιμος κεφαλὴ καὶ μοναρχής.

Ῥητέον ὅπερ παρελείπομεν ἐν τῇ ἁγίᾳ πράξει, ὅτι ἐλθὼν ὁ Τοποτηρητὴς τοῦ Ἀλεξανδρείας μετὰ ἐπιστολῆς εἶπε, Καὶ τῆς γραφῆς λεγούσης ἐκ στόματος δύο, ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, διὰ τεσσάρων μαρτύρων ἀψευδεστάτων παρεσκευάσθαι αὐτῷ ἠυδόκησε τὴν ἀλήθειαν, τουτέστι τῶν Τοποτηρητῶν τοῦ Ῥώμης, Ἀντιοχείας, καὶ Ἱεροσολύμων, καὶ τελευταῖον καὶ ἡμᾶς ἐκ τῶν Μεσημβρινῶν τόπων ἐφελκύσασθαι, ἀναπληρώσοντας τὸν τόπον τοῦ Ἀποστολικοῦ θρόνου τῆς μεγάλης Ἀλεξανδρείας, οἵτινες θείᾳ χάριτι καὶ βασιλικῇ ἐπινοίᾳ σπουδαίᾳ διὰ ἐπιμελείας ἀνιχνεύσαμεν, ὥστε μηδὲν ἡμᾶς λαθεῖν τῶν πεπραγμένων τοῖς ἀδελφοῖς ἡμῶν περὶ τῆς ἡμετέρας ἐφόδου. Καὶ, καὶ γὰρ ἀληθῶς ἐμπνευσθέντες οἱ Τοποτηρηταὶ τῶν Πατριαρχικῶν θρόνων σὺν τοῖς Ῥώμης πάντα καλῶς διέγνωσαν καὶ ᾠκονόμησαν, καὶ τὴν ἀλήθειαν εἰς τὸ φανερὸν ἤγαγον, οἷς καὶ ἡμεῖς συγκατατιθέμεθα καὶ συνψηφίζομαι ταῖς αὐτῶν διαγνώσεσιν. ἁγία καὶ Οἰκουμενικὴ Σύνοδος εἶπε, Τὰ ἀναγνωσθέντα γράμματα ἐβεβαίωσαν ἡμᾶς ὅτι συμφέρει τῇ κρίσει ἡμῶν ὁ δυλαβέστατος Τοποτηρητὴς τῆς Ἀλεξανδρέων Ἐκκλησίας. καὶ ἐν τῷ τέλει, Ἠλίας Τοποτηρητὴς Ἱεροσολύμων εἶπον, Εὐχαριστῶμεν τῷ Θεῷ, ὅτι κατηξίωσε διὰ πατέρων χρόνων τὰς Πατριαρχικὰς ἀλήλας ἑνωθῆναι κεφαλὰς πρὸς δόξαν Θεοῦ. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ἐξίσου τῆς ἀληθείας μάρτυρες αἱ Πατριαρχικοὶ θρόνοι, ὧν εἷς ἐστὶ καὶ ὁ Ῥώμης, ὡσεκαὶ συμμάρτυς, εἰ δὲ καὶ κριτὴς, ἀλλὰ συγκριτὴς ἐξίσου καὶ ἰσονοκριτής. δεύτερον, ὅτι οἱ τοῦ Ῥώμης καὶ τῶν λοιπῶν Πατριαρχῶν Τοποτηρηταὶ ᾠκονόμησαν, καὶ τὴν ἀλήθειαν εἰς φανερὸν ἤγαγον, καὶ λοιπὸν ἰσόνες ὁ Ῥώμης, καὶ ἔγραψε καὶ ἠγωνίσθη, καὶ εἰς Ῥώμην Συνόδους ἤγειραν Νικόλαος καὶ Ἀδριανὸς, ἀλλ' οὐδὲν ἐτελείωσαν μόνοι πλὴν τῆς κοινῆς Συνόδου. τέτον, ἕτως ὁ Τοποτηρητὴς τοῦ Ἀλεξανδρείας ἐξήτασε τὰ ὑπὸ τῆς Συνόδου ὁρισθέντα, εἶτα ἐσοίχησαν αὐτοῖς, ὡς ζητήσαντες ἔμαθον τὰ ὑπὸ τῆς τρίτης Οἰκουμενικῆς ὁρισθέντα Πρεσβέκτης καὶ Φίλιππος οἱ Τοποτηρηταὶ τοῦ Πάπα κελεύσαντος, εἶτα ἐσοίχησαν. τὸ αὐτὸ ἔργον, ἡ αὐτὴ τάξις, ἄρα καὶ ἡ αὐτὴ ἀξία. τέταρτον, ὅτι ἡ Σύνοδος ἐχάρη διὰ τὴν παρουσίαν τοῦ Τοποτηρητοῦ Ἀλεξανδρείας, ἐπειδὴ εἰ ἀπῆν, ἀτελὴς ἦν, ὥστε ἀναγκαία πάντων τῶν Πατριαρχῶν ἡ παρουσία καὶ συναίνεσις εἰς σύστασιν Οἰκουμενικῆς Συνόδου. πέμπτον, ὁ Θεὸς τὰς Πατριαρχικὰς κεφαλὰς ἕνωσεν ἐκ ἀπ' ἀλλήλων, ἀλλὰ καθ' ἀλλήλων, ἀλλὰ ἀλλήλαις, ὥστε ἰσότιμοι, καὶ ἰσομία ἐξ αὐτῶν ἔχει ἰδικόντι ἀξίωμα. σημείωσαι ὁντοῦθα ὃ ἐπάνω ὅπερ παρελίπομεν αὐτοῦ, ὅτι ὁ φωτίος γράφων πρὸς Νικόλαον Ῥώμης, εἶπον αὐτῷ, μὴ δέχεσθαι τοὺς ἄνω συνοδικῶν γραμμάτων ἀπαίρεντας ἀπὸ Κωνσταντινουπόλεως εἰς τὴν Ἐκκλησίαν Ῥωμαίων, ὅπερ δείκνυσι δῆθεν τῷ Ῥώμης τὴν μοναρχίαν, ἀλλὰ περὶ τούτου πῶς δεῖ νοεῖσθαι, ἴδε αὐτοῦ βιβλίου τρίτου κεφαλαίου δεκάτου ὀγδόου Παραγράφου ἑβδόμου.

ΠΑΡΑΓΡΑΦΟΝ Ις'.

Ὅτι ἐκ τῆς ἀναγνώσεως τοῦ Ὅρου τῆς κατὰ Φωτίου Συνόδου, καὶ τοῦ Συμβόλου ἀκριβοτομήτως, καὶ τῶν ὑπογραφῶν τῶν Τοποτηρητῶν καὶ Ἐπισκόπων, ἴσος καὶ ἓς τῶν Πατριαρχῶν δείκνυται ὁ Ῥώμης.

Μετὰ

714

Μετὰ τοὺς Κανόνας ἀνεγνώσθη ὁ Ὅρος τῆς Συνόδου, ἐν ᾧ περιείχετο τὸ Σύμβολον τῆς πίστεως ἀκαινοτόμητον, καὶ ὑπέγραψαν οἱ Τοποτηρηταὶ εἰς πέντε βιβλία, καὶ πάντες οἱ Ἐπίσκοποι καὶ οἱ Βασιλεῖς. ἐξ ὧν ἁπάντων δείκνυται, ὅτι οὐκ οἶδεν οὐδὲ ἡ παροῦσα Σύνοδος οὔτε τὴν ἐν τῷ Συμβόλῳ προσθήκην, οὔτε μοναρχίαν ἐν τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἀλλ' ἰσοτιμίαν αὐτῆς ἀπαράλλακτον μετὰ τῶν λοιπῶν Πατριαρχῶν. ἀλλὰ καὶ ἐν τῇ ἐγκυκλίῳ ἐπιστολῇ αὐτῆς δείκνυται ὅτι μετὰ τὰ πολλὰ οἰκονομικὰ, κρίτην αἱρετὸν ἐποίησε τὸν Πάπαν ὁ Φώτιος, κακῶς δὲ κρίναντα, παρῃτήσατο, τὸ δὲ αἴτιον, ἴδε ἐν τοῖς προλεγομένοις ἐν τῷ Τόμῳ τῆς Χαρᾶς. ὅτι τὴν Σύνοδον ὁ Βασιλεὺς ἤγειρεν, ὅτι οἱ Τοποτηταὶ τῶν τεσσάρων Πατριαρχῶν συνῆλθον, καὶ οἱ τόσοι Ἀρχιερεῖς, καὶ Σύνοδον συγκροτήσαντες, ἔκρινον, ὅπερ μόνος ὁ Πάπας ποιῆσαι οὐκ ἠδυνήθη. ὅθεν ὡς ἔλεγεν ὁ Νικαίας ἐν τῇ ἐνάτῃ πράξει τῆς ἐν Φλωρεντείᾳ Συνόδου, κἂν ὁπόσα ἰσχύῃ ἡ ῥωμαϊκὴ Ἐκκλησία, ἧττον ὅμως ἰσχύει Οἰκουμενικῆς Συνόδου, καὶ τῆς καθόλου Ἐκκλησίας.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῆς μετὰ τὴν κοίμησιν Ἰγνατίου Πατριαρχείας αὖθις Φωτίου συνοδικῇ ψήφῳ, καὶ τῶν λεγομένων κατὰ Φωτίου ὑπὸ τῶν παπιστῶν τερατωδῶς, καὶ τῶν λεγομένων ὑπὲρ Φωτίου ὑπὸ τῶν τῆς ἀληθείας ἐκδίκων ἀληθῶς.

Ἀπέθανεν ὁ Ἰγνάτιος, καὶ ὁ Βασίλειος ὁ Αὐτοκράτωρ ὁ ἀναχόμενος (καθὼς ἐρραψῴδει ἡ ἀνωτέρω Σύνοδος) ἀκούειν τῆς κατὰ Φωτίου Συνόδου λεγούσης τὸν Φώτιον λαϊκὸν, ἀνίερον, ψήφῳ τῆς παρευρεθείσης Συνόδου ἐν Κωνσταντινουπόλει ἀνάγει αὐτὸν εἰς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως, εἰ καὶ οἱ παπισταὶ λέγουσιν, ὅτι καὶ πρὸ τῆς τελευτῆς τοῦ Ἰγνατίου ὁ Φώτιος πολλαῖς πονηρίαις καὶ τέχναι, καὶ ἔτι μαγικοῖς βρώμασι καὶ ποτοῖς διὰ Νικήτα Κοιτωνίτου ἐσίτισε τὸν Βασιλέα, καὶ ἐδέξατο αὐτὸν, καὶ ὅτι ἐλθόντος αὐτοῦ τοῦ Φωτίου εἰς τὴν ἁγίαν Σοφίαν ἐν τῇ Λειτουργίᾳ, οἱ ἱερουργοῦντες ἀφέντες τὸ Μυστήριον ἔφυγον, καὶ ὅτι σκευωρίαις ὁ Φώτιος ἀπέκτεινε τὸν Ἰγνάτιον, καὶ φέρουσιν εἰς ταῦτα μάρτυρα τὸν Νεοκαισαρείας Στυλιανὸν γράφοντα τῷ Ῥώμης Στεφάνῳ, καί τινα Φλύαρον Συμεὼν Μάγιστρον Λογοθέτην. ὅμως τὰ τοιαῦτα ὡς ὑπὸ ἐχθρῶν φανερῶν καὶ ἀμφιβόλων καὶ μόνων λεγόμενα, καὶ μάλιστα ὡς τερατώδη ἀποσκυβαλίζονται. ὅτι γὰρ ἀγαθῷ τρόπῳ ἔλαβεν ὁ Φώτιος πάλιν τὸν θρόνον, μάρτυς ὁ Πορφυρογέννητος, λέγων, Ἄρτι τοῦ Ἰγνατίου (τῷ δεκάτῳ δηλονότι ἔτει τοῦ Βασιλείου) κοιμηθέντος, ἀπέδωκεν αὖθις τὴν Ἐκκλησίαν καλῶς τῷ μὴ καλῶς ἀντιποιεῖσθαι τῷ πρότερον δόξαντι, καὶ κατέστησεν ἐννόμως τότε καὶ κανονικῶς τὸν σοφώτατον Φώτιον ἐπὶ τὴν σχολάζουσαν καθέδραν τῆς βασιλίδος τῶν πόλεων, οὐ μὴν οὐδὲ πρὸ τούτου διέλιπε φιλοφρονούμενος αὐτὸν καὶ τιμῶν διὰ τὴν ἐνοῦσαν αὐτῷ παντοδαπῆ σοφίαν καὶ ἀρετὴν, ἀλλὰ καὶ καὶ τῆς καθέδρας μετέστεσεν, οὐδὲν τοῦ δικαίου θέλων ἄγειν ἐπίπροσθεν, ὅμως τῶν εἰς παραμυθίαν αὐτῷ οὐ διέλιπε παρεχόμενος, ὅθεν καὶ τὴν ἐν τοῖς βασιλείοις διατριβὴν αὐτῷ δοὺς, τῶν οἰκείων παίδων ἀνέδειξε παιδευτὴν καὶ διδάσκαλον. ταῦτα ὁ Πορφυρογέννητος. ἀλλὰ δὴ καὶ Στέφανος Ῥώμης γράφων Ἐπισκόποις καὶ λαοῖς λέγει, Φώτιος ἡσυχαστικὴν ζωὴν ἠρετίσατο, καὶ ἐνυπογράφως τὸν θρόνον παρῃτήσατο, καὶ ἰδίως τὰ περὶ αὐτοῦ συνεφώνησε, ταπείνωσιν αὐτὶ ὑπερηφανίας ἑλόμενος, ἤτοι μόνος διὰ ἡσυχίαν παρῃτήσατο. καὶ ὁ Ζωναρᾶς λέγει, Ἰγνατίου δὲ τοῦ Πατριάρχου μεταστάντος εἰς τὰς ἐκεῖθεν Μονὰς, ὁ Φώτιος τὸ δεύτερον παρὰ τοῦ Βασιλείου εἰς τὸν τῆς Ἀρχιερωσύνης θρόνον ἀνάγεται. ἐκ τοῦ ἱστορικοῦ τοῦ Θρακησίου Ἰωάννου τοῦ καὶ Σκυλίτζη λεγομένου περὶ τοῦ αὐτοῦ Φωτίου κατ' ἐπιτομὴν, Ἰγνάτιος ὁ Νικηφόρου μὲν τοῦ Βασιλέως θυγατριδοῦς, υἱὸς δὲ τοῦ Μιχαὴλ τοῦ ἐκπεπτωκότος τῆς Βασιλείας, μετὰ τὴν πατρικὴν ἔκπτωσιν τὰ παιδογόνα μὲν ἀφαιρεῖται μόρια, γίνεται δὲ Μοναχὸς, καὶ μετὰ τοῦτο, διὰ τὴν ἀπὸ τῶν χρόνων ἐπιμαρτυρηθεῖσαν αὐτῷ ἀρετὴν, εἰς τὸν Πατριαρχικὸν θρόνον ἀνάγεται, οὗτος τὸν Βάρδαν ἐπὶ τῇ τῆς γυναικὸς ἀναιτίῳ ἀποβολῇ, τῇ δὲ τῆς οἰκείας νύμφης περιπλοκῇ, τῆς Ἐκκλησίας ἀπεῖργον, ὃν ἐπεὶ πολλὰ λιτανεύων καὶ δυσωπῶν ὁ Βάρδας συγχωρήσεως ἀξιωθῆναι οὐκ ἔπεισε, τῆς Ἐκκλησίας βίᾳ ἐκβάλλει, καὶ μετὰ πολλὰς ἀνυποίστους κολάσεις ὑπερόριον ἐν Μυτιλήνῃ ποιεῖ. ἔπαθον δὲ καὶ ἄλλοι πολλοὶ τῶν Ἐπισκόπων τὰ χείριστα, ὅτι μὴ ἠρέσκοντο τοῖς γινομένοις, ἀλλὰ ἐνέδωκαν ὕστερον, οἱ μὲν ἀπειλαῖς, οἱ δὲ ὑποσχέσεσιν. ὅθεν ὁ Βάρδας Φώτιον ἄνδρα ἐπὶ σοφίᾳ γνώριμον Πρωτασηκρῆτιν ὄντα τηνικαῦτα προχειρίζεται Πατριάρχην. ἐπεὶ δὲ παρῆσαν καὶ Τοποτηρηταὶ τοῦ Πάπα Ῥώμης κατὰ τῶν Εἰκονομάχων σταλέντες, πείθουσι καὶ αὐτοὺς Ἰγνατίου καταψηφίσασθαι, διὸ καὶ ἐν τῷ τῶν Ἀποστόλων θείῳ τεμένει συνέδριον ἠθροικότες, δεδημοσιευμένῃ καθαιρέσει καθυποβάλλουσι τὸν Ἰγνάτιον, τῆς ἐξορίας μεταπεμψάμενοι. ταῦτα ἐν τῇ βασιλείᾳ τοῦ Μιχαήλ. ἐν δὲ

τῇ

τῇ βασιλείᾳ τῶ βασιλέως φησίν, ὑ δὲ τὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων ὑπεροφίαν παρ' ὐδὲν ὁ βασιλεὺς ἔθετο, ἀλλὰ καὶ τούτων ἐπεμελήθη, ἐκβαλὼν γὰρ τῆς ἀρχιερωσύνης μετὰ καὶ Σωσόδε τὸν ἐπεισπηδήσαντα τῇ ἀρχῇ Φώτιον, κωλύειν αὐτὸν ἐκέλευσε. ἕως αὖ τι διηνέχθη ταχθέντα πρὸς ἑαυτὸν μεταπέμψῃ ὁ Θεός. ὁ αὐτὸς μετά τινα ἑτέραν διήγησιν γράφει ὕστερος, Ἰγνατίῳ δὲ τῷ Πατριάρχῃ τὴν παρεῦσαν αὐταλλαξαμένῳ ζωὴν, ἀπέδωκεν αὖθις Φωτίῳ τὴν Ἐκκλησίαν ὁ Βασιλεύς. Φανερὸν δὲ ἐκ τούτων, ὅτι ὁ Φώτιος ἦν ἀναίρετος, ὅτι διὰ τὴν ἀρετὴν αὐτῷ αὐτὸν ἐτίμα ὁ Βασιλεὺς, καὶ οὐχὶ διὰ μαγείας, καὶ ἁπλῶς εἰπεῖν, πάντα τὰ κατὰ Φωτίου λεγόμενα εἰσὶ πλάσματα καὶ ψευδεῖς μῦθοι. ἴδε γὰρ Κεδρηνὸν, Γεώργιον Μοναχὸν καὶ Λέοντα γραμματικόν. ὅτι δὲ διὰ τὸν ψεῦδος τὸν Βασίλειον ἔλεγχον αὐτῷ ὁ Φώτιος ἐξεβλήθη παρ' αὐτοῦ, μαρτυρεῖ τοῦτο καὶ ὁ ῥηθεὶς Μάγιστρος, διὰ τοῦτο δίδωσιν ὑποψίαν τὸ πρᾶγμα, μήπως καὶ αἱ ψευδηγορίαι ἐχθροῦ, καὶ τοῦ Μαγίστρου τὰ κατὰ Φωτίου, καὶ μάλιστα ἐπειδὴ τοιαῦτα ὑπὸ τῶν λοιπῶν καὶ ἀξιοπίστων σιωπῶνται.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ὑπὸ Φωτίου Συνόδου, καὶ τῶν λιβέλλων αὐτοῦ πρὸς τὸν Ῥώμης καὶ τοὺς λοιποὺς Πατριάρχας, καὶ ὑποσολῶν τοῦ Ῥώμης πρὸς τὸν Βασιλέα καὶ τὸν Φώτιον, καὶ τῶν λοιπῶν Πατριαρχῶν πρὸς τὴν Σύνοδον, καὶ ἀθετήσεως τῶν ἐν Ῥώμῃ καὶ Κωνσταντινουπόλει κατὰ Φωτίου Συνόδων. περὶ τοῦ ἁγίου Συμβόλου, καὶ τοῦ ἀριθμοῦ τῶν τῆς Συνόδου πατέρων, καὶ περὶ τῆς μετὰ Θεόδωρον τὸν καὶ Θεοδόσιον Πατριαρχείας ἐν Ἱεροσολύμοις Ἡλίου.

Ὁ Φώτιος τοίνυν πάλιν πρεσβιβασθεὶς, καὶ θέλων ἀποδεῖξαι εἰς ὅλον τὸν κόσμον ψευδῆ ὅσα αὐτῷ κατεσκεύασαν, καὶ ἵνα διορθωθῇ ἐκεῖνο τὸ εἰς τὴν Δύσιν ψιθυριζόμενον καὶ εἰς τὴν Βουλγαρίαν κηρυχθὲν ὑπὸ τῶν Δυτικῶν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον διὰ μὲν τῆς Κωνσταντινουπόλεως ὁ Φώτιος ἀπέλαβε πάλιν τὸν θρόνον, ὅμως ὡς θεὸς ἀθρωπος ἠγωνίσθη διὰ τὴν ἕνωσιν τῆς Ἐκκλησίας, γεγραφὼν μετὰ πολυμαθῶν ἀπολογίων καὶ νουθετῶν. ἀλλὰ καὶ οἱ Πατριάρχαι τῆς Ἀνατολῆς ἔγραψαν εἰς τὴν Σύνοδον, ὅθεν διωρίσθη τὴν Σύνοδον τὴν γενομένην ἐπὶ τοῦ Ῥώμης Νικολάου καὶ τὴν ἐπὶ Ἀδριανοῦ, καὶ τὴν ἐν Κωνσταντινουπόλει κατὰ Φωτίου εἶναι ἐξωπερισμοῦ, καὶ δὸκησις ἐκκηρυγμένας, καὶ μήτε συναριθμεῖσθαι αὐτὰς μετὰ τῶν ἁγίων Συνόδων, ἢ ὅλως καλεῖσθαι, ἢ ὀνομάζεσθαι αὐτὰς Συνόδους, καὶ πάντα τὰ κατὰ Φωτίου πραχθέντα ὑπὸ Νικολάου καὶ Ἀδριανοῦ εἶναι ἄκυρα, καὶ ὅσοι ἔπαισαν, ἐὰν μετανοήσωσιν, εἶναι συγκεχωρημένους, καὶ ὅσοι μάχονται τῷ Φωτίῳ, οἷόν ἐστιν Μητροφάνης ὁ Σμύρνης καὶ ἕτεροι τοιοῦτοι, ἕως μόνωσιν εἰς τὸ σχίσμα, εἶναι ἀκοινωνήτους τοῦ ὁμοτίμου καὶ αἵματος τοῦ Κυρίου καὶ τῆς τῶν πιστῶν σωτηρίας καὶ σωματοσεφοῦς. εἶτα ἐβεβαιώθη καὶ ἡ ἑβδόμη Σύνοδος, καὶ συνετάγη μετὰ τῶν ἓξ Οἰκουμενικῶν, καὶ τέλος πάντων διωρίσθη μετὰ ἀναθέματος, ἵνα ὁ κοινὸς ὅρος, ἤτοι τὸ Σύμβολον τῆς πίστεως ᾖ ἀκινητόμενον καὶ εἰς αἰῶνας καὶ λέξιν καὶ συλλαβὴν, καὶ ἵνα ὥσπερ ἐτέθη ὑπὸ τῆς πρώτης καὶ δευτέρας τῶν Οἰκουμενικῶν Συνόδων δηλονότι, ἕτω μένῃ εἰς τὸν αἰῶνα. ἦσαν δὲ πατέρες τριακόσιοι ὀγδοήκοντα καὶ ὀκτὼ, καὶ ἑπτακαίδεκα οἱ ἐν τῇ Ῥώμῃ συνοδικῶς ὑπογράψαντες, καὶ δεχθέντες τὴν ἀποκατάστασιν τοῦ Φωτίου μετὰ τοῦ Πάπα Ἰωάννου, ὡς κεῖται ἐν τῇ τρίτῃ πράξει τῆς Συνόδου, οἱ πάντες τετρακόσιοι καὶ πέντε.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν ἐν τῇ κατὰ τὸν Ἄθω μονῇ τῶν Ἰβήρων εὑρεθέντων τόμων τῶν πρακτικῶν τῆς Συνόδου ταύτης ἔκ τινων συγγραμμάτων τοῦ Βέκκου καὶ ἑτέρων τινῶν, ἐν πρώξεσιν ἑπτὰ, καὶ τῶν ἐν ἑκάστῃ πράξει περιεχομένων.

Μᾶλλος

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

716

Νεῖλος ὁ Θεσσαλονίκης καὶ ἄλλοι τινὲς τῶν ἡμετέρων γράφοντες κατὰ Λατίνων, καὶ θέλοντες εἰπεῖν καὶ περὶ τῆς Συνόδου ταύτης, ἀναγράφουσι τεμάχια τινὰ τῶν πρακτικῶν αὐτῆς ἀπό τινων συγγραμμάτων τοῦ Βέκκου καὶ ἑτέρων τινῶν. ἡμεῖς δὲ μαθόντες ὅτι εὑρίσκονται ταῦτα σῶα ἐν τῇ κατὰ τὸν Ἄθω τῶν Ἰβήρων Μονῇ, ἐπέμψαμεν καὶ ἐφέρομεν αὐτά. περιέχονται γοῦν ἐν πράξεσιν ἑπτὰ, ὧν ἐν μὲν τῇ πρώτῃ περιέχεται τὰ ὀνόματα τῶν ἐν αὐτῇ πατέρων, εἶτα γίνεται λόγος τῆς Συνόδου περὶ τῆς ἀποδοχῆς τοῦ Φωτίου. ἐν δὲ τῇ δευτέρᾳ ἀνεγνώσθησαν αἱ ἐπιστολαὶ τοῦ Πάπα πρὸς τοὺς Βασιλεῖς καὶ πρὸς τὸν Φώτιον, καὶ αἱ ἐπιστολαὶ τοῦ Ἀλεξανδρείας Μιχαὴλ πρὸς τοὺς αὐτοὺς, καὶ ἡμετάνοια Θωμᾶ Μητροπολίτου Τύρου, διότι ἐχρημάτισε ψευδοτοποτηρητὴς τοῦ θρόνου Ἀντιοχείας ἐπὶ τῆς κατὰ Φωτίου Συνόδου, καὶ ἡ ἐπιστολὴ τοῦ Ἱεροσολύμων Θεοδοσίου πρὸς τὸν Φώτιον, καὶ ἡ ἐπιστολὴ τοῦ Ἀντιοχείας Θεοδοσίου πρὸς τὸν αὐτὸν, καὶ ἡ ἐπιστολὴ τοῦ Ἀβρααμίου Ἐπισκόπου Ἀμίδων καὶ Σαμοσάτων πάλιν πρὸς τὸν αὐτόν. ἐν δὲ τῇ τρίτῃ ἀνεγνώσθη ἡ ἐπιστολὴ τοῦ Πάπα πρὸς τὴν Σύνοδον, καὶ ἡ ἐπιστολὴ τοῦ Ἱεροσολύμων πρὸς τὸν Αὐτοκράτορα, καὶ τὸ Κομμονιτώριον, ἤτοι τὸ ἔνταλμα τοῦ Ῥώμης πρὸς τοὺς Λεγάτους αὐτοῦ. ἐν δὲ τῇ τετάρτῃ ἀνεγνώσθη ἡ ἐπιστολὴ τοῦ Ἀντιοχείας πρὸς τὸν Φώτιον, καὶ ἡ ἐπιστολὴ τοῦ νέου Ἱεροσολύμων Ἠλία πρὸς τὸν αὐτὸν, καὶ πέντε κεφάλαια ἀπὸ τῆς εἰρημένης ἐπιστολῆς τοῦ Πάπα πρὸς τοὺς Βασιλεῖς. ἐν δὲ τῇ πέμπτῃ γέγονε λόγος περὶ ἀποδοχῆς τῆς ἑβδόμης Οἰκουμενικῆς Συνόδου, καὶ καλοῦνται οἱ Ἐπίσκοποι οἱ ἀνθιστάμενοι τῇ κοινωνίᾳ τοῦ Φωτίου πρὸς ἕνωσιν, ὧν Ἔξαρχος ἦν Μητροφάνης ὁ Σμύρνης, καὶ ἐξεφωνήθησαν καὶ Κανόνες τρεῖς. ἐν δὲ τῇ ἕκτῃ παραγενόμενος ὁ Αὐτοκράτωρ εἰς τὴν Σύνοδον, εἶπε τὴν αἰτίαν δι' ἣν ὑπαρεγένετο καὶ εἰς τὰς προλαβούσας συνελεύσεις. εἶτα ᾔτησεν ἵνα ἐκφωνηθῇ Ὅρος πίστεως. ἐν δὲ τῇ ἑβδόμῃ ἑνοῦνται οἱ ἀκοινώνητοι τῇ Συνόδῳ, καὶ ἀναγινώσκεται δεύτερον ὁ ἐκφωνηθεὶς Ὅρος τῆς Συνόδου καὶ γίνεται τέλος.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ προκαθίσεως τοῦ Φωτίου ἐν πάσαις ταῖς πράξεσι τῆς Συνόδου, καὶ προκαθίσεως καὶ συγκαθίσεως τῶν ἐν ταῖς προτέραις Συνόδοις Πατριαρχῶν καὶ Τοποτηρητῶν, καὶ τῆς τούτων σαφηνείας.

Ἐν τῇ πρώτῃ πράξει καὶ ἐν ταῖς ἀρχαῖς τῶν λοιπῶν πράξεων σημείωσαι, ὅτι λέγεται προκαθίσαι τὸν Φώτιον, τοὺς δὲ Τοποτηρητὰς τῶν Πατριαρχῶν συγκαθῆσθαι. τινὲς δὲ γράφοντες κατὰ τῆς ἀρχῆς τοῦ Πάπα, λέγουσιν, ὅτι οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν τῇ ἐπὶ Μηνᾶ Συνόδῳ, καὶ ἐν τῇ πέμπτῃ Οἰκουμενικῇ ὁ Κωνσταντινουπόλεως πάντων προεκάθητο. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἐν τῇ ἐπὶ Μηνᾶ Συνόδῳ οὐκ ἦσαν Τοποτηρηταὶ τοῦ Ῥώμης, ἀλλὰ ἀποθανόντος τότε ἐναγχος τοῦ Πάπα Ἀγαπητοῦ, καὶ οὔσης ἔτι τῆς συνοδίας αὐτοῦ ἐκεῖ, προσέταξεν ὁ Βασιλεὺς συνεῖναι καὶ συνακροάζεσθαι καὶ συμπράττειν αὐτὴν μετὰ τῶν πατέρων τῆς Συνόδου, ὅθεν καὶ δικαίως προεκάθητο πάντων ὁ Κωνσταντινουπόλεως Μηνᾶς. ἐν δὲ τῇ πέμπτῃ Οἰκουμενικῇ οὐκ ἦν οὔτε ὁ Ῥώμης, οὔτε Τοποτηρηταὶ αὐτοῦ, ὅθεν δικαίως προεκάθητο πάντων ὁ Κωνσταντινουπόλεως Εὐτύχιος. ἐν μὲν τῇ τρίτῃ καὶ τετάρτῃ καὶ ἕκτῃ καὶ ἑβδόμῃ ταῖς Οἰκουμενικαῖς οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης προεκαθέζοντο καὶ προηριθμοῦντο, καὶ ἐν ταῖς γνωμοδοτήσεσι καὶ ὑπογραφαῖς πάντων ἐπρώτευον ὡς καὶ ἐν ταύτῃ τῇ ἐπὶ χεῖρας. ἐν δὲ τῇ ἐν Χαλκηδόνι ῥητῶς λέγεται, ὅτι ἐν τοῖς εὐωνύμοις μέρεσιν ἐκάθηντο οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης, εἶτα ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος, καὶ τὰ ἑξῆς, καὶ τὸ αἴτιον πρόδηλον, αἱ γὰρ Οἰκουμενικαὶ Σύνοδοι πρόσωπον ἐπέχουσι τῆς καθολικῆς Ἐκκλησίας, καὶ διὰ τοῦτο ἐν αὐταῖς ἡ κανονικὴ τάξις τῶν καθολικῶν θρόνων φυλάττεται ἀπαράβατος καὶ ἀμετακίνητος, ὡς εἴπομεν ἀνωτέρω βιβλίῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ πέμπτῳ. ῥητέον δεύτερον, ὅτι περὶ τοῦ προκαθῆσθαι καὶ συγκαθῆσθαι εἴπομεν ἐν πολλοῖς ἀνωτέρω, καὶ μάλιστα βιβλίου τετάρτου κεφαλαίῳ δεκάτῳ τετάρτῳ, καὶ βιβλίου πέμπτου κεφαλαίου δεκάτου ἕκτου Παραγράφῳ ἕκτῳ, καὶ βιβλίῳ ἕκτῳ ἐν τῇ ἐπὶ Μαρτίνου Συνόδῳ, ὅτι οὐ σημαίνει μοναρχίαν, ἢ ὅλως ἐξουσίαν τινὰ ἐν ταῖς Συνόδοις, ἀλλ' ἢ μόνον τάξιν κανονικὴν, ὅθεν καθ' ὑπόθεσιν εἰ καὶ ὁ Φώτιος προεκαθέζετο πάντων, οὐ συνάγεται ἐκ τούτου μείζονα αὐτὸν εἶναι τῇ τάξει τοῦ Ἐπισκόπου τῆς πρεσβυτέρας Ῥώμης, ἐπειδὴ οἱ Κανόνες τὰ δευτερεῖα αὐτῷ δεδώκασιν οὐ τὰ πρωτεῖα. τρίτον, ἐννοητέον, ὅτι εἰ ὁ Φώτιος προεκαθέζετο ἐν τοῖς δεξιοῖς, οἱ δὲ Τοποτηρηταὶ τοῦ Ῥώμης συνεκαθέζοντο, ἀλλ' ἐννοητέον, ὅτι συνεκαθέζοντο προκαθήμενοι ἐν τοῖς εὐωνύμοις τοῦ Φωτίου, ἐπειδὴ τὸ προκαθέζεσθαι τὸν Κωνσταντινουπόλεως τῶν Λεγάτων τοῦ Ῥώμης οὐκ ἔῤῥωται, καὶ μῶμον προσάπτει τῇ Οἰκουμενικῇ Συνόδῳ, ὅπερ οὐκ ἔξεστιν. ἀλλὰ φασὶ τινὲς, ὅτι οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης εἶπον ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ περὶ τοῦ Κωνσταντινουπόλεως Ἀνατολίου, ὅτι εἶχον αὐτὸν πρῶτον. Ἀλλὰ ῥητέον ὅτι τὰ πρακτικὰ ῥητῶς φασὶν, ὅτι ἐν τοῖς εὐωνύμοις ἐκάθισαν οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης, εἶτα ὁ Ἀνατόλιος. καὶ ἐν τῇ καθαιρέσει τοῦ Διοσκόρου καὶ ἐν τῇ ὑπογραφῇ τοῦ πρὸς τὸν Βασιλέα προσφωνητικοῦ καὶ ἐν τῇ ὑπογραφῇ τοῦ Ὅρου οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης ἐπρώτευον τοῦ Κωνσταντινουπόλεως, ἐπειδὴ δὲ ὁ Διόσκορος ἐν τῇ κατ' αὐτὸν ἐν Ἐφέσῳ Συνόδῳ τὸν Κωνσταντινουπόλεως. Φλαυϊανὸν ἔταξε μετὰ τὸν Ἱεροσολύμων, οἱ Τοποτηρηταὶ εἶπον ὅτι εἶχον τὸν Κωνσταντινουπόλεως πρῶτον, τῶν λοιπῶν Πατριαρχῶν δηλονότι οὐχ ἑαυτῶν, ἐπειδὴ ἐκεῖνοι εἶχον

τὸ

τὸ πρόσωπον τοῦ Ῥώμης, ὃς ὑπερεῖχε τῇ τάξει τοῦ Κωνσταντινουπόλεως, καὶ μάλιστα ἐν ἐκείνῃ τῇ Συνόδῳ φανερῶς ἀνεκαινίσθη ὁ τρίτος Κανὼν τῆς δευτέρας Συνόδου, ἵνα εἴη ὁ Κωνσταντινουπόλεως μετὰ τὸν Ῥώμης καὶ οὐ πρὸ τοῦ Ῥώμης. ὥστε ἐνταῦθα τὸ προκαθῆσθαι τὸν Φώτιον, δηλοῖ ὅτι προεκάθητο ἐν τοῖς δεξιοῖς, συνεκαθέζοντο δὲ οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης, ἀλλὰ προεκάθηντο ἐν τοῖς εὐωνύμοις αὐτοῦ κατὰ τὴν ἀνέκαθεν ἐπικρατήσασαν συνήθειαν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ ἀπολογίας πρὸς τοὺς Λατίνους, καινὸν λέγοντας τὸ τοὺς Τοποτηρητὰς τοῦ Ῥώμης ἐλθόντας ἔξωθεν σταθῆναι, καὶ εἶτα ἔσω προσκληθῆναι ὑπὸ τοῦ Φωτίου. καὶ περὶ τῶν λεχθέντων ἐν τῇ Συνόδῳ ὑπὸ Πέτρου Τοποτηρητοῦ Ῥώμης, ὧν οἱ Λατῖνοι ὑπὲρ τῆς μοναρχίας τοῦ Ῥώμης ἐπιλαμβανόμενοι, ἐλέγχονται τῇ ἀποκρίσει τοῦ Χαλκηδόνος Ζαχαρίου. περὶ τῆς κατηγορίας τῶν ἀποδιϊσταμένων Φωτίου, καὶ τῆς ἀποδοχῆς τοῦ λιβέλλου Φωτίου ὑπὸ τοῦ Ἱεροσολύμων Ἠλία.

Πέτρος Διάκονος καὶ Πρωτονοτάριος εἶπεν, ὅτι Πέτρος ὁ πρεσβύτερος καὶ Καρδηνάλις ἦλθε φέρων ἐπιστολὰς τοῦ Πάπα, καὶ σὺν αὐτῷ Παῦλος καὶ Εὐγένιος οἱ Ἐπίσκοποι, καὶ οἱ τρεῖς Τοποτηρηταὶ τοῦ Πάπα παραγεγόνασιν. εἶπε δὲ ὁ Φώτιος, Εἰσίτωσαν: πρὸς ταῦτα λέγουσιν οἱ Λατῖνοι, ὅτι καινόν τι γέγονεν, ὅπερ οὐκ ἐξῆν. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι οὐκ ἦν τοῦτο καινὸν, ἀλλὰ σύνηθες γίνεσθαι ἐν ταῖς Συνόδοις, ἐν γὰρ τῇ δευτέρᾳ πράξει τῆς ἐπὶ Μαρτίνου Συνόδου φέρεται, ὅτι Στέφανος ὁ Δωρίδος Ἐπίσκοπος Τοποτηρητὴς τοῦ ἀποστολικοῦ τῆς ἁγίας πόλεως θρόνου προῆν ἐν τῇ Ῥώμῃ, ἀλλὰ γενομένης τῆς Συνόδου ἐκείνης, εἶπον οἱ Κληρικοὶ πρὸς τὴν Σύνοδον, ὅτι πάρεστιν ἔξω ὁ Στέφανος, οἱ δὲ εἶπον, Εἰσίτω, καὶ οὕτως εἰσῆλθε. δεύτερον, ἡ τιμὴ καὶ ὁ ἀσπασμὸς τόσον τῶν Τοποτηρητῶν τοῦ Πάπα πρὸς τὸν Φώτιον καὶ τὴν Σύνοδον, ὅσον τοῦ Φωτίου καὶ τῆς Συνόδου πρὸς αὐτοὺς ἐγένετο τιμία καὶ κατὰ τὸ ἐκκλησιαστικὸν ἔθος, διὸ ἐκ τούτου οὐδεμία προέβη τοῖς Τοποτηρηταῖς ἀτιμία, οὔτε καινὸν, ἀλλ' ἐγένετο ὅπερ καὶ ἄλλοτε γέγονε. σημείωσαι, ὅτι ὁ Ταράσιος ἐν τῇ ἑβδόμῃ Συνόδῳ ἠρώτησεν, Εἰ ἀληθεῖς εἰσὶν οἱ Λεγᾶτοι τοῦ Πάπα, καὶ ἐνταῦθα ἐρωτῶσιν οἱ Λεγᾶτοι εἰσελθεῖν, ἐπειδὴ ἦλθον τῷ ἐκκλησιαστικῷ σχήματι ἀπὸ Ῥώμης, καὶ οὐ φανταστικῶς, ὅθεν ὁ τύφος τῶν Καρδηναλίων ἄγνωστος ἦν ἐν ἐκείνοις τοῖς καιροῖς. τρίτον, Πέτρος ὁ Λεγᾶτος τοῦ Ῥώμης εἶπε πρὸς τὴν Σύνοδον, ὅτι ὡς ὁ πατὴρ ζητεῖ τὰ ἴδια τέκνα, καὶ ὁ Ποιμὴν τὰ ἑαυτοῦ πρόβατα, οὕτω καὶ ὁ Πάπας Ἰωάννης πάντας μετ' ἐπιστολῶν καὶ Τοποτηρητῶν νουθετῶν καὶ ὁδηγῶν καὶ ἐπισκεπτόμενος ὑμᾶς, βουλόμενος πᾶσαν τὴν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν ἑνωθῆναι καὶ γενέσθαι μίαν ποίμνην καὶ ἕνα Ποιμένα. ἐν οἷς σημείωσαι, ὅτι οἱ Τοποτηρηταὶ οὐ βούλονται εἰπεῖν, ἵνα γένηται μία ποίμνη ἡ πᾶσα Ἐκκλησία, καὶ εἷς Ποιμὴν ἐν αὐτῇ ὁ Πάπας, ἀλλ' ἵνα γένηται εἷς ποιμὴν ὁ Χριστὸς, ὅθεν κατωτέρω ὁ αὐτὸς Τοποτηρητὴς ἀποκρινόμενος πρὸς τὴν Διαλαλιὰν τοῦ Ἀγκύρας Δανιὴλ, καὶ εἰπὼν, Ὥσπερ ἐστὶν εἷς Θεὸς εἰς πάντας καὶ ἓν βάπτισμα καὶ μία πίστις, οὕτω γένηται καὶ μία ποίμνη καὶ εἷς Ποιμὴν, ἐπήγαγεν, ὅτι ἔχει ὁ Πάπας τὸν Φώτιον ὡς τὴν ἑαυτοῦ ψυχὴν, καὶ ἔστι μετ' αὐτοῦ ἓν πνεῦμα καὶ ἓν σῶμα. δῆλον δὲ, ὅτι τοῦ κοινοῦ σώματος κεφαλὴ ἐστὶν ὁ Χριστός. εἰ δὲ καὶ εἶπεν, ὅτι ἐπιζητεῖ ὡς ἀγαθὸς Ποιμὴν τὰ ἴδια πρόβατα, ἀλλὰ καὶ ὁ Ἱεροσολύμων Ἠλίας γράφων πρὸς τὸν Φώτιον, καὶ πρὸς τοῖς ἄλλοις ποιούμενος τὸν λόγον περὶ ἑαυτοῦ καὶ περὶ τῶν ἐν Ἱεροσολύμοις ὀρθοδόξων, ὡς φαίνεται κατωτέρω ἐν τῇ τετάρτῃ πράξει, λέγει αὐτῷ, Μνήσθητι καὶ νεκρῶν ὁ ζῶν καὶ προβάτων ἀπεσχοινισμένων μακρὰν ὁ μέγας Ποιμήν. οὐκ ἦν δὲ πρόβατον τοῦ Φωτίου ὁ Ἱεροσολύμων, οὐδὲ Ποιμὴν αὐτοῦ ὁ Φώτιος, ὥστε οὐδὲ πᾶσα ἡ Ἐκκλησία τοῦ Ῥώμης, ἀλλ' ἐκ παραδείγματος ὁ λόγος προῆλθε, δῆλον δὲ, ὅτι τὸ παράδειγμα ἐν τοῖς δι' ὧν ἐλήφθη λαμβάνεται καὶ οὐχ ἁπλῶς ἐν πᾶσι. καὶ ἐν τῇ ὑστάτῃ πράξει ἐν τῷ τέλει ἔλεγεν ὁ Καισαρείας Προκόπιος περὶ Φωτίου, Τὸν τοῦ κόσμου παντὸς τὴν ἐπιστασίαν λαβόντα, ἀλλ' οὐκ ἦν ὁ Φώτιος οὔτε τοῦ Ῥώμης μείζων, οὔτε ἐν ἀλλοτρίαις Ἐπαρχίαις ἐπιστατῶν, ἀλλ' ἐκ περιουσίας ὁ λόγος. οὕτω καὶ ὁ Ἀλεξανδρείας Μιχαὴλ γράφων πρὸς Φώτιον, Ἀρχιποίμενα τῆς Ἐκκλησίας τοῦ Θεοῦ λέγει αὐτόν. ὁ δὲ Ἀμίδων Ἀβραάμιος λέγει αὐτὸν πατέρα πατέρων. καὶ Βασίλειος ὁ Μαρτυρουπόλεως μετὰ τὴν ἀνάγνωσιν τοῦ πρώτου Κανόνος τοὺς Πατριάρχας τῆς Ἀνατολῆς εἶπεν Ἀρχιερεῖς μεγίστους, καὶ τὸν Φώτιον Ἀρχιερέα μέγιστον, ἀλλ' ὁ αὐτὸς Προκόπιος εἶπε τὸ κύριον ἐν τῇ αὐτῇ τελευταίᾳ πράξει μετὰ τὴν ἀνάγνωσιν τῆς ὑπογραφῆς τοῦ Βασιλέως πρὸς ἔπαινον τοῦ Βασιλέως, ὅτι διὰ τοῦ Φωτίου ἥνωσε τὰ διεστῶτα μέλη τῆς Ἐκκλησίας εἰς μίαν ποίμνην τοῦ μεγάλου Ἀρχιποίμενος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καθ' ὃν σκοπὸν δηλονότι γράφων ὁ ἅγιος Ταράσιος πρὸς τὸν Πάπαν Ἀδριανὸν, ἔλεγε, Καὶ προκαθεσθέντες, ἁπάντων ἡμῶν κεφαλὴν ἐποιησάμεθα τὸν Χριστόν. ὥστε ἐν ταῖς Συνόδοις εἰ καὶ λέγονται ἐγκώμια τοῦ Ἐπισκόπου ἢ παρ' αὐτοῦ, ἢ παρ' ἄλλων, ὡς καὶ ἐν τῇ παρούσῃ, οὐ παρέχουσιν αὐτῷ προνόμιόν τι ἐξουσίας, ἢ μοναρχίας. πρὸς τοῖς εἰρημένοις λέγουσιν οἱ Ῥωμαῖοι τὸν Πάπαν κεφαλὴν πασῶν τῶν Ἐκκλησιῶν, καὶ ὁ Ἱεροσολύμων λέγει τὴν Ἱερουσαλὴμ μητέρα πασῶν

τῶν

τῶν Ἐκκλησιῶν, καὶ θρόνον τὸ χρυσὸ, καὶ ὅμως κεφαλὴ μία καὶ μόνη ἐστὶν ὁ Χριστός. διὸ ὁ Βασιλεὺς ἐν τῇ σὺν πράξει ἀξιοῖ τὴν Σιὼοδον ἵνα ὅρον συγγράψῃ, εἶπε, Πάντων ἐν ὁμονοίᾳ καὶ βαθείᾳ εἰρήνῃ ἑνωθέντων, καὶ χρυσῷ τῇ πάντων κεφαλῇ σωαφθέντων. τέταρτον, ὁ Χαλκηδόνος Ζαχαρίας ἐπὶ τούτοις τὸ Πέτρῳ ἀποκρινόμενος, εἶπον, ὅτι τῶν σκανδάλων αἰτία γέγονεν ἡ ἁπλότης τοῦ Βασιλέως Μιχαὴλ, καὶ ἡνίκα ἡ φιλαυτία καὶ ὁ φθόνος, οἵτινες λέγουσιν, ὅτι ἔτω βέλεται ἡ τῶν Ῥωμαίων Ἐκκλησία, ὅθεν τοῖς αὐτῶν λόγοις ἡ Ἐκκλησία Ῥωμαίων αἰτία νομίζεται πάντων τῶν σκανδάλων, ὅθεν ὁ Βασιλεὺς ὑμᾶς ἐκάλεσε, καὶ ὑμεῖς καλῶς ἐποιήσατε ἐλθόντες, ἵνα τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν ἀπαλλάξητε ἀδοξοφρωδίαν ὅτι ἐστὶν αἰτία σάσεων καὶ ταραχῶν, καὶ γὰρ ὑπὲρ τῆς ὑμετέρας ἡμῶν σωτηρίας ἡ παρεῦσα Σιὼοδος, ἐμοὶ μὲν διὰ τὴν Ἐκκλησίαν Κωνσταντινουπόλεως, ἤτις χάριτι χρυσοῦ καὶ ὑπηρεσίᾳ τοῦ Βασιλέως, καὶ συμπονίᾳ, καὶ ὁμοφροσύνῃ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς, καὶ δίκαις τοῦ Πάπα καλῶς ἔχει, καὶ ἀδοκήτως δέδοται πρὸς διόρθωσιν, καὶ ἐκ τούτων ἐμὰ τὰ ῥήματα ταῦτα, ἀλλὰ τῆς Σιὼοδου πάσης, καὶ ἡ Σιὼοδος ἐβόησε τὰ εἰκότα πρὸς τὴν τούτων βεβαίωσιν. ἐφεξῆς δὲ κατηγορήθησαν οἱ σχισματικοὶ, ἤτοι οἱ διϊσάμφοι τῆς κοινωνίας Φωτίου, ὅτι τὰ μὲν Νικολάου καὶ Ἀθανασίου ἐδέχοντο, ἤτοι τὰ κατὰ Φωτίου, τοῖς δὲ τοῦ Ἰωάννου ἀπηξέσχοντο, ἤτοι τοῖς κατὰ Φωτίου. ἔπειτα κοινὴ δοξολογία ἐγένετο, ὅτι σωπλήθη οἱ Τοποτηρηταὶ πάντων τῶν Πατριαρχῶν καὶ συνεφώνησαν τῇ εἰρήνῃ τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως. πέμπτον, ὁ Τοποτηρητὴς τοῦ Ἱεροσολύμων Ἠλίας ἔπον, ὅτι ἐξ οὗ ὁ Ἱεροσολύμων ἐδέξατο τὸν τῆς πίστεως λίβελλον τοῦ Φωτίου, ἀπ' αὐτὸν γνήσιον εἶχε, καὶ οὐδέποτε τὸ ἐναντίον ἐδέξατο, ἤτοι τὰ ἐναντία φρονοῦντας. ἐν οἷς σημείωσαι, ὅτι πλάσμα ἐστὶν ὅπερ ἀποφέρεται ἐν τῇ πέμπτῃ πράξει τῆς κατὰ Φωτίου Σιὼοδου, ὅτι ὁ Τοποτηρητὴς τοῦ Ἱεροσολύμων ἔπε, Τὰ Φωτίου γράμματα οὐκ ἐδεξάμεθα (εἰς Ἱερουσαλὴμ) ἤτε γράμματα ἀπεστάλησαν αὐτῷ, καὶ κατακεκριμένος ἐστὶν, ὡς μὴ δεχθεὶς ὑπὸ τῶν Πατριαρχικῶν θρόνων. ἰδοὺ γὰρ ἐνταῦθα ὁ ψευδὴς Ἠλίας φησὶν, ὅτι ἐδέχθη ὁ Ἱεροσολύμων τὸν λίβελλον τοῦ Φωτίου, καὶ γνήσιον αὐτὸν εἶχε, καὶ κατ' αὐτοῦ οὐδέποτε τὰ ἐναντία ἐνόμισε, καὶ λοιπὸν ἡ κατὰ Φωτίου Σιὼοδος ψευδὴς ἐστὶν, ἤτοι διεφθαρμένη.

ΠΑΡΑΓΡΑΦΟΝ ε'.

Οὐκ ἐκ τῶν ἐν τῇ δευτέρᾳ πράξει τῆς Σιὼοδου λεχθέντων ὑπὸ Πέτρου Λεγάτου Ῥώμης, ἐπεσπόμεθα ἐξουσίας τοῦ Πάπα ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἀλλὰ καθαίρεσις τῆς μονοκρατορείας αὐτοῦ σωάγεται.

Ἐν τῇ δευτέρᾳ πράξει, ἥτις ἐγένετο Νοεμβρίου ἑπτακαιδεκάτῃ σημείωσαι, ὅτι Πέτρος ὁ Λεγᾶτος τοῦ Πάπα εἶπεν, Οἱ Βασιλεῖς καὶ οἱ Ἀλεξανδρεῖς καὶ Ἱεροσολυμῖται καὶ Ἀντιοχεῖς ἔγραψαν τῷ Πάπᾳ δέξασθαι τὴν παρ' αὐτῶν γενομένην εἰρήνην, διὸ ἐξαπέστειλε ἡμᾶς πληρώσοντας τὰ αἰτηθέντα. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ὁ Αὐτοκράτωρ Θεοδόσιος ὁ μικρὸς ὑποθήκας τοῦ Κωνσταντινουπόλεως Μαξιμιανοῦ καὶ τῆς καθ' αὐτὸν Σιὼοδου ἔπεμψε πρὸς τὸν Ἀντιοχείας Ἰωάννην μεσιτεύων, ἵνα ἀποδέξηται τὰ ἐν Ἐφέσῳ διωρισμένα, καὶ εἰρηνεύσῃ μετὰ τοῦ ἁγίου Κυρίλλου, καὶ ὁμόγνως Κωνσταντῖνος ἔπεμψεν ὅπως τὸν Κυβερνήτης πρὸς τὸν Ἀλεξανδρείας Ἀλέξανδρον ἵνα εἰρηνεύσῃ μετὰ τοῦ Ἀρείου, καὶ ἔλαβον δὲ ἐκ τούτου ἔτε ὁ Ἀντιοχείας ἔτε ὁ Ἀλεξανδρείας πρεσβύτερον ἐξουσίας ἐν τῇ Ἐκκλησίᾳ, ἄρα καὶ ὁ Πάπας λαμβάνει ἐκ τῆς παρούσης μεσιτείας τοιοῦτον πρεσβύτερον. δεύτερον, τοῦτο μάλιστα αἰωρεῖ τὴν μονοκρατορείαν τοῦ Ῥώμης, ὅτι οἱ μὲν Πατριάρχαι τῆς Ἀνατολῆς ἐκατεδέξαντο τὰ περὶ Νικολάου καὶ Ἀθανασίου κατὰ Φωτίου ὁρισθέντα, ἡ δὲ τοῦ Κωνσταντινουπόλεως Σιὼοδος, κοιμηθέντος τοῦ Ἰγνατίου, ἀποκατέστησε τὸν Φώτιον ὡς γνήσιον ἐν τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως, καὶ τὰς ἀκοινωνησίας περὶ τῆς Ἐκκλησίας Ῥωμαίων καὶ περὶ τῶν γενομένων Σιὼοδων ἐν Ῥώμῃ καὶ Κωνσταντινουπόλει ἐδέξατο εἰς κοινωνίαν αὖθις γνώμης τοῦ Ῥώμης, τῷ δὲ Πάπᾳ ἔγραψεν ἵνα συμφρονήσῃ, ὅπως φασὶν αἱ Ἐκκλησίαι ὁμόνοιαν καὶ ὁμοφροσύνην, καὶ λείψῃ τὰ σχίσματα ἀπ' αὐτῆς.

ΠΑΡΑΓΡΑΦΟΝ ζ'.

Περὶ τῶν γεγραμμένων ἐν τῇ πρὸς τὸν Βασιλεῖς ἐπιστολῇ τοῦ Πάπα Ἰωάννου, καὶ ἑτέρων ἄλλων ἀποκρίσεων Φωτίου πρεσγεγονυιῶν πρὸς τὸν αὐτὸν Πάπαν. καὶ ὅτι τὰ κατὰ Φωτίου τυρβόθεντα ὁ Ἀδριανὸς Πάπας οὐκ ἐδέξατο.

Ἐν τῇ ἐπιστολῇ τοῦ Πάπα Ἰωάννου πρὸς τὸν Βασιλεῖς σημείωσαι πρῶτον περὶ τοῦ, ὅτι μετὰ τῆς γνώμης τοῦ Πάπα ἐδέχθησαν ὁ Φώτιος καὶ οἱ περὶ αὐτὸν εἰς κοινωνίαν, καὶ ἐδέξατο τοῦτο ὁ Πάπας, καὶ ἐκκλησιαστικῆς ἱστορίας ὡς ἔννομον καὶ κανονικὸν ἐβεβαίωσε. δεύτερον, ὅτι ὁ σκοπὸς τῶν μαρτυριῶν ἃς προβάλλεται ὁ Πάπας ἵνα γένωνται οἰκονομίαι, ἃς καὶ μετὰ τὴν ἀναγνωσιν τῆς ἐπιστολῆς τοῦ Πάπα πρὸς Φώτιον προσέβαλεν ὁ Τοποτηρητὴς Πέτρος πρὸς τὴν Σιὼοδον, ἐστὶν ἵνα γένωνται οἰκονομίαι ἔντισιν, ἀλλ' ἐκ τοιούτων τοῖς ἐκκλησιαστικοῖς πράγμασιν, καὶ ἴδε κατωτέρω. ὅθεν ὁ Φώτιος ἀποκεκινέμβριος πρὸς τὸν Πάπαν Νικόλαον

κόλαον, ἐγκαλοῦντα αὐτῷ, ὅτι ἀπὸ λαϊκοῦ ἐχειροτονήθη Πατριάρχης, πρὸς τοῖς ἄλλοις καὶ ταῦτα φησὶ, Καὶ γάρ ἐστιν ὄντως κοινὰ πᾶσιν ἅπαντα φυλάττειν ἐπάναγκες, καὶ πρόγε τῶν ἄλλων τὰ περὶ πίστεως, ἔνθα καὶ τὸ παρεγκλῖναι μικρὸν, ἁμαρτεῖν ἐστὶν ἁμαρτίαν τὴν πρὸς θάνατον. ἔστι καὶ ἰδιαζόντως τισὶ πρᾶγμα πεμπόμενα, ὧν ἡ πρᾶβασις, οἷς μὲν ἐδόθη κατέχεσθαι ἐπιζήμιος, οἷς δ' οὐ παρείληπται, καὶ τὸ μὴ συντηρεῖν ἀκατάκριτον. καὶ τὰ μὲν Οἰκουμενικαῖς καὶ κοιναῖς τυπωθέντα ψήφοις πᾶσι προσήκει φυλάττεσθαι, ἃ δέ τις τῶν πατέρων ἰδίως ἐξέθετο, ἢ Τοπικὴ διωρίσατο Σύνοδος, τῶν μὲν φυλαττόντων τὴν γνώμην οὐ παρίστησι δεισιδαίμονα, οὐ μὴν τοῖς γε μὴ πρᾶδεξαμένοις τὸ παροραῦ ἐπικίνδυνον. λέγει δὲ καὶ πρᾶδείγματα ἅτινα λέγουσιν, ὡς εἴρηται, ἐν τῇ τρίτῃ καὶ τετάρτῃ πράξει τῆς παρούσης Συνόδου οἱ πατέρες περὶ τῆς αὐτῆς ὑποθέσεως. ἴδε καὶ κατωτέρω Παράγραφον δέκατον ἕβδομον καὶ δέκατον ὄγδοον. τρίτον, πάλιν εἰσάγει, ὅτι τῷ Πέτρῳ ἐδόθησαν αἱ Κλεῖς, καὶ τὸ ἐκριζοῦν καὶ καταφυτεύειν. Ἀλλὰ περὶ τούτων ἐῤῥέθη ἀνωτέρω ἐν πολλοῖς, ὅτι κοινόν ἐστι καὶ τοῖς λοιποῖς Ἀποστόλοις, ὅθεν ὁ Ἱερώνυμος βιβλίῳ πρώτῳ πρὸς Ἰοβιανὸν, πάντας ἔφη τοὺς Ἀποστόλους λαβεῖν τὰς Κλεῖς, ἀλλὰ δὴ καὶ τῇ κοινῇ Ἱερωσύνῃ τοῦτο κοινὸν καὶ οὐ μόνῳ τῷ Ῥώμης. καὶ ὁ Ἱεροσολύμων Ἰωάννης γράφων πρὸς τὸν Κωνσταντινουπόλεως Ἰωάννην τὸν Καππάδοκα, τοῦτο κοινὸν ἐστὶ φησὶ τὸ τοῦ Ἱερεμίου τῇ κοινῇ Ἱερωσύνῃ, καὶ ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφάλαιον ἐνδέκατον. ὅθεν καὶ ὁ Πάπας Ἰωάννης ἐπάγει δύο τινὰ συστατικὰ τοῦ ὅτι ἡ κοινότης ἔχει τὴν καθόλου ἐξουσίαν, ἐν, ὅτι ἀποφαίνεται μετὰ γνώμης τῆς δυτικῆς Συνόδου, καὶ οὐχ ὡς μονάρχης δηλονότι. δεύτερον, ὅτι οὐ προστάττει ἀλλὰ παρεγγυᾶται ἵνα ὁμοφρονήσωσιν οὐκ αὐτῷ μόνῳ, ἀλλ' αὐτῷ καὶ πάσῃ τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ, τουτέστι τῇ δυτικῇ Συνόδῳ. τρίτον φησὶν, ὅτι αἱ γενόμεναι κατὰ Φωτίου Σύνοδοι ἄδικοι ἦσαν, καὶ ὅτι ὁ Ἀδριανὸς οὐ παρεδέξατο τὰ κατὰ Φωτίου τυρευθέντα, καὶ μυρία ἐγκώμια καταλέγει τοῦ Φωτίου. καὶ σημείωσαι ὅτι ὁ Ἀδριανὸς εἰ καὶ ἐμάχετο τῷ Φωτίῳ ἑπόμενος τῷ Νικολάῳ, ἀλλ' εἰς τέλος ἀναγκασθεὶς ὑπὸ τοῦ δικαίου, οὐ παρεδέξατο τὰ παρ' αὐτῶν διωρισμένα. τέταρτον, περὶ τῶν λοιπῶν, ἅτινα περιέχονται ἐν τῇ ἐπιστολῇ, ἤτοι περὶ τῆς Βουλγαρίας, καὶ τὸ ἀπὸ λαϊκοῦ μὴ χειροτονεῖσθαι, ἐροῦμεν μεταταῦτα ἐν τῇ τετάρτῃ πράξει.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῶν ἐν τῇ δευτέρᾳ πράξει λεχθέντων, καὶ τῆς ἐν τῇ Συνόδῳ ἀναγνώσεως τῆς ἐπιστολῆς τοῦ Πάπα Ἰωάννου, καὶ ὧν ἠρώτησεν ὁ τοῦ Πάπα Τοποτηρητὴς, καὶ ὧν ἀπεκρίναντο αὐτῷ οἱ πατέρες.

Ἐν τῇ αὐτῇ πράξει ἔτι σημείωσαι πρῶτον, ὅτι ἀναγνωσθείσης τῆς ἐπιστολῆς τοῦ Πάπα, ὁ Καισαρείας Προκόπιος εὐχαρίστησεν εἰπὼν, ὅτι ὁ Πάπας ἔστειλε Τοποτηρητὰς καὶ συνεφώνησαν ἡμῖν. καὶ ὁ μὲν Πάπας ἔγραφεν ἀνωτέρω, ὅτι παρεγγυᾶται ὁμοφρονῆσαι καὶ συμφωνῆσαι αὐτῷ καὶ τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ, ὁ δὲ Προκόπιος εὐχαριστεῖ ὅτι ἔστειλε συμφωνῆσαι. δεύτερον, ὁ Τοποτηρητὴς τοῦ Ἱεροσολύμων εἶπε, Χάρις τῷ Θεῷ, ὅτι τῷ φρονήματι τῶν Ἱεροσολυμιτῶν τῷ ἀρχαίῳ περὶ τοῦ Φωτίου ἡ Οἰκουμένη στέργει, καὶ ἀποδέχεται αὐτό. τὰ αὐτὰ ῥήματα ὁμοφωνῆσαι, συμφρονῆσαι, συμφωνῆσαι, στέργει, ἀποδέχεται, ἡ αὐτὴ ἐνέργεια, ἄρα καὶ ἡ αὐτὴ δύναμις καὶ ἐξουσία. ὅθεν καὶ ὁ Καισαρείας Προκόπιος εἶπεν, Οἱ ἐγγίζοντες μᾶλλον κριταὶ καὶ ἐξεταστὰι, διὸ καὶ ἡμεῖς πάντα ἐρευνήσαντες, καὶ ἀναμαθόντες πάντα, κεκρίκαμεν ἑνωθῆναι Φωτίῳ. ἀποβάλλει δὲ αὕτη ἡ Διαλαλιὰ τοῦ Προκοπίου τὸ μὴ ἕνα καὶ μόνον εἶναι κριτὴν ἐν τῇ Ἐκκλησίᾳ, καὶ ὑποτίθησιν εἶναι πολλοὺς κριτὰς, καὶ μᾶλλον κριτὰς τοὺς μᾶλλον τῶν πραγμάτων ἐπιγνώμονας, καὶ τοὺς πολλοὺς, ἤτοι τὴν κοινότητα. τρίτον, ἐρωτήσαντι τῷ Τοποτηρητῇ τοῦ Πάπα, Εἰ δέχεται ἡ Σύνοδος τὴν ἐπιστολὴν αὐτοῦ, ἀπεκρίθησαν αὐτῷ οἱ πατέρες, ὅτι δέχονται ὅσα περὶ Φωτίου γράφει, οὐ μὴν καὶ ὅσα ἀνήκουσι τῷ Βασιλεῖ, ταῦτα γὰρ, εἶπον, πρὸς ἐκεῖνον ἀνατιθέμεθα. καὶ σημείωσαι ὅτι τὸ λογίδριον τὸ, οἱ μὴ πειθόμενοι τῷ Πάπᾳ οὐκ εἰσὶ Χριστιανοὶ, τερατῶδες ἐστὶ καὶ φλυαρία.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῶν περιεχομένων ἐν τῇ πρὸς Φώτιον ἐπιστολῇ τοῦ Πάπα Ἰωάννου, καὶ ὧν ἐπερώτησεν ὁ Τοποτηρητὴς αὐτοῦ, καὶ ἧς ἔτυχεν ἀποκρίσεως.

Ἐν τῇ ἐπιστολῇ τοῦ Πάπα πρὸς Φώτιον σημείωσαι πρῶτον, ὅτι ὁ Βασιλεὺς ἠξίωσε τὸν Πάπαν περὶ τῆς ἑνώσεως Φωτίου, ἀλλὰ περὶ εὐλόγων πραγμάτων, οὐχ ἵνα συγχωρήσῃ δηλονότι τὰ ἀσυγχώρητα, ἀλλ' ἵνα συμφωνήσῃ ἐν τῇ ἀποκαταστάσει αὐτοῦ. δεύτερον, παρακαλεῖ ὁ Πάπας δηλαδὴ τὸν Φώτιον δέξασθαι τοὺς ἀπεσχισμένους ἀπ' αὐτοῦ. τρίτον, ἀξιοῖ θεσπίσαι τοῦ λοιποῦ μὴ γίνεσθαι ἀπὸ λαϊκοῦ Πατριάρχην. τέταρτον, τὴν ἐν Κωνσταντινουπόλει γενομένην κατ' αὐτοῦ τοῦ Φωτίου Σύνοδον ἀποβάλλει, ἀκυροῖ καὶ ἐξοστρακίζει, καὶ ἐπιλέγει, ὅτι ὁ Πάπας Ἀδριανὸς οὐχ ὑπέγραψεν ἐν αὐτῇ. ἐν οἷς σημείωσαι ὅτι

ὅτι τὸν Φώτιον οὐκ εἶχε πρόνομον. δεύτερον, ὅτι τὸ παρακαλῶ καὶ ἀξιῶ εἰσὶ συμφωνίας καὶ ἀδελφικῆς συμπνοίας καὶ ὁμοφροσύνης σημεῖα, οὐκ αὐτοκρατορίας, καὶ ἴδε βιβλίου τετάρτη κεφαλαίου πρώτου Παράγραφον εἰκοστὸν ἔνατον. τρίτον, ὅτι ἡ Σύνοδος ἡ ἐν Κωνσταντινουπόλει ἡ κατὰ Φωτίου πρόνομος, ὅθεν καὶ ἐξοστρακίζεται. τέταρτον, ἀναγνωσθείσης τῆς ἐπιστολῆς, ὁ Τοποτηρητὴς τοῦ Πάπα ἠρώτησεν, Εἰ δέχεται ἡ Σύνοδος αὐτὴν, καὶ ἀποκριθεὶς ὁ Φώτιος εἶπεν, ὅτι δέχεται ὅσα τῷ αἰσίῳ καὶ ἐνθέσμῳ λόγῳ περιέχεται, ἤτοι περὶ τῆς ἀποκαταστάσεως αὐτοῦ, καὶ περὶ τῆς συγχωρήσεως τῶν ἀποσχιστῶν, εἴγε μετανοήσωσιν, οὐμὴν καὶ περὶ τῆς Βουλγαρίας, καὶ τοῦ ἀπὸ λαϊκοῦ μὴ χειροτονεῖσθαι, περὶ ὧν ἐρῶμεν ἐν τῇ τετάρτῃ πράξει.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῶν ἐν τῇ δευτέρᾳ πράξει ἐρωταποκρίσεων τοῦ Τοποτηρητοῦ Ῥώμης καὶ τῶν τῆς Συνόδου πατέρων διὰ τὴν ἐν τῷ θρόνῳ ἀποκατάστασιν Φωτίου, καὶ τῆς ἐμμαρτύρου δικαιολογίας Φωτίου.

Ἐν τῇ αὐτῇ δευτέρᾳ πράξει σημείωσαι ἔτι, ὅτι τοῦ Τοποτηρητοῦ Πέτρου εἰπόντος, Ὁ Πάπας ἐρωτᾷ ὑμᾶς δι' ἡμῶν, πῶς ἀνῆλθεν ὁ Φώτιος εἰς τὸν θρόνον; ἀποκριθεὶς ὁ Τοποτηρητὴς τοῦ Ἱεροσολύμων Ἠλίας εἶπε, Τὰ τρία Πατριαρχεῖα τῆς Ἀνατολῆς ἀεὶ Πατριάρχην αὐτὸν εἶχον, καὶ οἱ ἐν Κωνσταντινουπόλει Ἀρχιερεῖς καὶ Ἱερεῖς μικροῦ πάντες Πατριάρχην αὐτὸν ἔχουσι, καὶ τί ἐκώλυεν αὐτὸν τοῦ ἀνελθεῖν; ἡ δὲ Σύνοδος εἶπε, Συμφωνίᾳ τῶν ἀρχιερατικῶν τριῶν θρόνων, βίᾳ τῶν Βασιλέων, καὶ συμφωνίᾳ καὶ ἱκεσίᾳ τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως ἀποκατέστη. ὁ δὲ Τοποτηρητὴς πάλιν εἶπε, Μὴ τυραννικῶς ἀνῆλθεν; ἡ Σύνοδος εἶπε, Τυραννίδος καὶ παρακλήσεως πολὺ τὸ διάφορον. ἔπομεν ὑμῖν καὶ πρότερον ὅτι παραινέσει καὶ παρακλήσει πάντων ἡμῶν καὶ συμφωνίᾳ τῶν ἀρχιερατικῶν θρόνων, καὶ τίνα λόγον ἔχει λοιπὸν ἡ περὶ τυραννίδος ἐρώτησις; ὁ δὲ Φώτιος πρὸς ταῦτα εἶπεν, ὅτι οὐκ ἐπεθύμει τοῦ θρόνου, ἀλλὰ τῇ ἀνάγκῃ τοῦ Βασιλέως Μιχαὴλ καὶ τῶν παραδυναστευόντων, καὶ τῶν Ἀρχιερέων καὶ Ἱερέων, τουτέστιν ἐπειδὴ ἀπεβλήθη ὁ Ἰγνάτιος, καὶ μὴ πεισθεὶς αὐτὸς παραδοθεὶς ἐτηρεῖτο, ὅθεν ἄκων καὶ ὀδυρόμενος ἀνεβιβάσθη. καὶ ἀποκριθεῖσα ἡ Σύνοδος ἐμαρτύρησεν ὅτι ἀληθῆ εἶπεν (αὐτὸς δὲ φιλαναγνῶστα ἴδε καὶ τὴν δευτέραν ἐπιστολὴν τοῦ Φωτίου πρὸς τὸν Πάπαν Νικόλαον) εἶτα πάλιν ὁ Φώτιος εἶπεν, ὅτι ἐκβληθέντα τοῦ θρόνου ὁ Βασιλεὺς ἰδίᾳ εὐσπλαγχνίᾳ ἔφερεν αὐτὸν ἀπὸ τῆς ἐξορίας εἰς Κωνσταντινούπολιν ζῶντος τοῦ Ἰγνατίου, καὶ πολλῶν παρακινούντων αὐτὸν ἵνα λάβῃ τὸν θρόνον, καὶ μάλιστα διότι αὐτοῦ ἕνεκα ἦσαν πολλοὶ ἐξόριστοι, οὐκ ἀπεδέξατο. καὶ πάλιν ἡ Σύνοδος ἐμαρτύρησεν ὅτι ἀληθῆ λέγει. εἶτα πάλιν εἶπεν ὁ Φώτιος, ὅτι ἐζήτησε συγχώρησιν ἀπὸ τοῦ Ἰγνατίου, καὶ ὁ Ἰγνάτιος παρ' αὐτοῦ, καὶ δόντες καὶ λαβόντες αὐτὴν, γεγόνασι καὶ ἦσαν φίλοι, καὶ ἀσθενήσαντα τὸν Ἰγνάτιον ἐπεσκέψατο αὐτὸν, καὶ τέως ἀποθνήσκων ὁ Ἰγνάτιος τοὺς οἰκείους αὐτοῦ αὐτῷ (τῷ Φωτίῳ) παρέθετο ἵνα προΐσταται αὐτῶν, ὃ καὶ γέγονε. κοιμηθέντος δὲ τοῦ Ἰγνατίου, ὁ Βασιλεὺς καὶ διά τινων μυστικῶν, καὶ φανερῶς διὰ τῶν Πατρικίων διεδήλου ὅτι ὁ τῶν Ἐπισκόπων χορὸς ζητεῖ τὴν σὴν ἄνοδον, καὶ ἡ ἐλευθερία τῶν ἐξορίστων καὶ οἱ Ἀρχιερατικοὶ θρόνοι σύμψηφοι, ἄνελθε ἐπὶ τὸν θρόνον σου, καὶ ποίμαινε τὸ ποίμνιόν σου, ὅπερ ὁ Χριστὸς ἄνωθεν ἐν σοὶ κατεπίστευσεν, ὧν πολλάκις γενομένων, καὶ πάντων συμφωνησάντων, καὶ τῶν τριῶν Ἀρχιερατικῶν θρόνων ταῖς συνοδικαῖς αὐτῶν ἡμᾶς παρακαλεσάντων ψήφοις, καὶ τοῦ Πάπα γράφοντος πρὸς τὸν Βασιλέα, καὶ ὑπισχνουμένου κατανεύειν ταῖς αἰτήσεσιν αὐτοῦ, ἀνῆλθον. καὶ ἡ Σύνοδος ἐμαρτύρησεν ὅτι ἀληθῆ λέγει. εἰπόντος δὲ τοῦ Τοποτηρητοῦ παραδείγματα τὰ περὶ Φλαυϊανοῦ, Χρυσοστόμου, καὶ τὰ λοιπὰ ταῦτα τὰ κατατετριμμένα, περὶ ὧν καὶ ἡμεῖς ἀνωτέρω ἐν τοῖς τόποις ἑκάστου διελάβομεν εἰς πλάτος, καὶ ἐπαγαγόντος ὅτι καὶ ὁ Ἰωάννης οὗτος οὐκ ὢν τῶν πρὸ αὐτοῦ Παπῶν κατώτερος, συνεχώρησε Φωτίῳ, καὶ τὰ συμφέροντα ᾠκονόμησεν, οἱ πατέρες εὐφήμησαν τὸν Πάπαν Ἰωάννην ὡς αἴτιον τοιούτου καλοῦ καὶ τῆς εἰρήνης τῶν Ἐκκλησιῶν. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι καὶ τὸ πρῶτον καὶ τὸ ὕστερον εὐλόγως ἀνῆλθεν εἰς τὸν θρόνον ὁ Φώτιος, ἐπειδὴ οὐ μαγγανείαις καὶ κατασκευαῖς ὡς ἐφλυάρησεν ὁ Παφλαγὼν, καὶ οἱ παρ' αὐτοῦ ἀπατηθέντες, ὡς Γλυκᾶς καὶ Μανασσῆς ἱστοροῦσιν, ἀλλὰ συνοδικαῖς καὶ πατριαρχικαῖς ψήφοις καὶ βασιλικαῖς καὶ συγκλητικαῖς βίαις. τὸ δὲ δεύτερον, καὶ γνώμῃ τοῦ ἁγίου Ἰγνατίου, μεθ' οὗ καὶ εἰρήνευσε, καὶ εἶχεν αὐτὸν ὁ Ἰγνάτιος ὡς Ἀρχιερέα νόμιμον. δεύτερον, ὡς ἐλέγομεν ἐν ταῖς σημειώσεσι τῆς ἑβδόμης Συνόδου, ὅτι ὡς ὁ Πάπας Ἀδριανὸς ἐμεγάλυνε τὰ ἑαυτοῦ, οὕτως οἱ Ἀνατολικοὶ θρόνοι ἐμεγάλυνον τὰ ἴδια, καὶ κατ' ἐκεῖνον τὸν τρόπον καὶ ἐνταῦθα εἶπεν ὁ Τοποτηρητὴς Πέτρος μεγάλα τινὰ περὶ τοῦ Πάπα Ἰωάννου, ὅτι ἐγένετο αἴτιος εἰρήνης τῶν Ἐκκλησιῶν, μηδ' ὅλως ἔχων ἔννοιαν περὶ μοναρχίας τοῦ Πάπα, διατοῦτο ἐπειδὴ ἐγίνωσκεν ὅτι οὐκ ἀρκεῖ μόνον τοῦ Πάπα ἡ ψῆφος περὶ τῆς καθόλου εἰρήνης, εἶπεν ἵνα ἀναγνωσθῶσι καὶ αἱ ἐπιστολαὶ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς, καὶ ἀνεγνώσθη πρῶτον ἡ ἐπιστολὴ τοῦ Ἀλεξανδρείας Μιχαήλ.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῆς πρὸς τοὺς Βασιλεῖς ἐπιστολῆς τοῦ Μιχαὴλ Ἀλεξανδρείας, καὶ ὧν περιέχει, ἐξ ὧν πᾶσα μοναρχία ἀποβάλλεται ἀπὸ τῆς Ἐκκλησίας.

Ἐν ταύτῃ τῇ ἐπιστολῇ τοῦ Ἀλεξανδρείας πρὸς τοὺς Βασιλεῖς σημείωσαι πρῶτον, ὅτι ἐπαινεῖ μεγάλως τὸν Βασιλέα καὶ εὐχαριστεῖ αὐτῷ ὡς φροντίσαντι περὶ τῆς εἰρήνης τῶν Ἐκκλησιῶν, καὶ τῆς ἀποκαταστάσεως Φωτίου. δεύτερον, ὅτι λέγει ψευδοτοποτηρητὴν τὸν Ἰωσὴφ, ὡς τολμήσαντα εἰπεῖν ἑαυτὸν Ἀρχιδιάκονον καὶ Τοποτηρητὴν τοῦ Ἀλεξανδρείας ἐνώπιον τοῦ Βασιλέως ἐν τῇ κατὰ Φωτίου Συνόδῳ, διὸ δὴ καὶ οὗτος ὁ Ἀλεξανδρείας μαθὼν τοῦτο, ἀνεθεμάτισεν αὐτόν. τρίτον, ὅτι ὁ Ἠλίας τολμήσας ἐξαπατῆσαι τοὺς ὄχλους, καὶ εἰπεῖν ἐν τῇ κατὰ Φωτίου Συνόδῳ ἑαυτὸν Τοποτηρητὴν καὶ συγγενῆ Σεργίου τοῦ Πατριάρχου Ἱεροσολύμων, λεπρωθεὶς κατέστρεψε τὴν ζωὴν αὐτοῦ. τέταρτον, ὅτι ὡς ὁ πρὸ αὐτοῦ Ἀλεξανδρείας, Μιχαὴλ καὶ οὗτος καλούμενος, οὕτω καὶ αὐτὸς ἀποφαίνεται λέγων, ὅστις οὐ κοινωνεῖ Φωτίῳ, καὶ οὐκ ἀποδέχεται αὐτὸν Πατριάρχην ἐννομώτατον, ἔστω ἡμερὶς αὐτοῦ μετὰ τῶν θεοκτόνων. πρὸς ταῦτα δὲ εἶπεν ἡ Σύνοδος, ὅτι οἱ Πατριάρχαι τῆς Ἀνατολῆς οὐδέποτε διέστησαν τῆς κοινωνίας Φωτίου, διὸ καὶ τὴν παρ' αὐτῶν ἐξενεχθεῖσαν ψῆφον, καὶ ἤδη ἐπικυρωθεῖσαν, ἀποδέχομαι. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι πᾶσα μοναρχικὴ ἐξουσία διὰ τούτων ἀποβάλλεται ἀπὸ τῆς Ἐκκλησίας, καὶ οὔτε ἐν ταῦθα οὔτε ἐν ταῖς μεταταῦτα πράξεσι ποιοῦσι τινὰ μνήμην τοῦ Πάπα, ἀλλ' ὡς εἴρηται, ὡς πάντοτε οἱ Ῥωμαῖοι ἐπαίροντες τὰ ἴδια, λέγουσι δι' αὐτῶν γεγονέναι τὴν κοινὴν εἰρήνην, καὶ τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ ἀκολουθησάντων τῶν λοιπῶν Ἐπισκόπων προξενηθῆναι τὴν εἰρήνην, οὕτως ἀπαραλλάκτως λέγουσι περὶ ἑαυτῶν καὶ οἱ Ἀνατολικοὶ θρόνοι. δεύτερον, ὅτι εἰ οἱ Τοποτηρηταὶ Ἀλεξανδρείας καὶ Ἱεροσολύμων ἐν τῇ κατὰ Φωτίου Συνόδῳ ἦσαν ψεῦσται καὶ πεπλασμένοι, καὶ ἡ Σύνοδος ἄρα ἐκείνη ψευδὴς ἦν καὶ πεπλασμένη. τρίτον, ὅτι οἱ μὴ ἀποδεχόμενοι τὸν Φώτιον, εἰσὶ θεοκτόνοι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ ἑτέρας ἐπιστολῆς τοῦ αὐτοῦ Ἀλεξανδρείας πρὸς τὸν Φώτιον, καὶ ὧν περιέχει, ἐξ ὧν πᾶσα μοναρχία ἐκδιώκεται τῆς Ἐκκλησίας.

Ἀνεγνώσθη ἔτι καὶ ἡ ἐπιστολὴ τοῦ αὐτοῦ Ἀλεξανδρείας πρὸς Φώτιον, ἐν ᾗ σημείωσαι πρῶτον, ὅτι ἐπαινεῖ μεγάλως τὸν Φώτιον, καὶ ἐπιλέγει, ὅτι ἀθροίσας Σύνοδον τῶν ὑπ' αὐτῷ Ἀρχιερέων, συνοδικῶς ἀποφαίνεται, Εἴτις οὐ κοινωνεῖ αὐτῷ, καὶ ἀποβαλλόμενος τὴν χειροτονίαν αὐτοῦ, καὶ κατηγορῶν τῆς χειροτονίας καὶ τῆς προχειρίσεως αὐτοῦ, ἔστω ἡμερὶς αὐτοῦ μετὰ τῶν θεοκτόνων, καὶ ἀνάθεμα ἀπὸ τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος, καὶ ἀλλότριος ἔστω τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἐπιπέσοι ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ λεπρωθείη ὡς Νεεμὰν ὁ Σύρος, καὶ κληρονομήσοι τὴν κατάραν τοῦ Κάϊν. δεύτερον, ὅτι Θωμᾶς ὁ Τύρου ὁ γενόμενος ψευδοτοποτηρητὴς Ἀντιοχείας ἐν τῇ κατὰ σοῦ (τοῦ Φωτίου δηλονότι) Συνόδῳ ζητεῖ συγχώρησιν, καὶ παρακαλοῦμεν ἵνα συγχωρήσῃς αὐτῷ. ἐν τούτοις σημείωσαι τὰ αὐτὰ, ὅτι δηλαδὴ οὐκ ἔστι μοναρχία ἐν τῇ Ἐκκλησίᾳ, ὅτι οὐδεμία μνήμη τοῦ Πάπα, καὶ ὅτι τῶν κατὰ Νικόλαον καὶ Ἀδριανὸν Συνόδων τὰ ἐναντία κατὰ διάμετρον ἀποφαίνονται, καὶ τὴν κατὰ Φωτίου Σύνοδον ψευδοσύνοδον λέγει, καὶ ἐπιβᾶται τοῖς μαχομένοις τῇ χειροτονίᾳ Φωτίου, ὧν Ἔξαρχοι ἦσαν Νικόλαος καὶ Ἀδριανὸς οἱ Ἐπίσκοποι Ῥώμης, καὶ τούτοις συνέξαρχοι Μητροφάνης Σμύρνης, καὶ Στυλιανὸς Νεοκαισαρείας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ τῶν ὑπὸ Θωμᾶ Τύρου ἐν τῇ Συνόδῳ λεχθέντων, μετανοοῦντος ἐφ' οἷς ἔπραξε κατὰ Φωτίου, καὶ τῶν ὑπὸ τοῦ Τοποτηρητοῦ τοῦ Ῥώμης προβληθέντων, καὶ τῆς φιμώσεως αὐτοῦ ὑπὸ τῆς Συνόδου.

Ἐν τῇ μετανοίᾳ τοῦ Τύρου Θωμᾶ σημείωσαι πρῶτον, ὅτι ὁμολογεῖ ὁ Θωμᾶς ψευδοτοποτηρητὰς τὸν Ἰωσὴφ καὶ Ἠλίαν καὶ ἑαυτὸν ἐν τῇ κατὰ Φωτίου Συνόδῳ, καὶ συγγνώμην αἰτεῖ. ἐν τούτοις δὲ τοῦ Τοποτηρητοῦ τοῦ Πάπα Πέτρου εἰπόντος, ἵνα τοῦτο ἀνατεθῇ τῇ ἐξουσίᾳ τοῦ Πάπα Ἰωάννου, καὶ ὃ βούλεται ποιησάτω, ἡ Σύνοδος ἀποκριθεῖσα εἶπεν, ὅτι τὸ ἁμάρτημα γέγονεν εἰς Φώτιον, καὶ οὗτος ἔχει τὴν περὶ τούτου ἐξουσίαν, καὶ εὐθὺς ὁ Φώτιος συνεχώρησεν αὐτόν. ὁ δὲ τοῦ Πάπα Τοποτηρητὴς εἶπεν, ὅτι οὐδὲ ἐν τούτῳ ἔχει διαφωνίαν μεθ' ὑμῶν ὁ Πάπας Ἰωάννης. καὶ σημείωσαι, ὅτι οὐμέλει τῷ Τοποτηρητῇ τοῦ Ῥώμης ὑβριζομένης τῆς κατὰ Φωτίου Συνόδου, μάλιστα εἶπεν ἀνωτέρω, ὅτι ὁ Πάπας ἀπέβαλε καὶ ἐξωστράκισεν αὐτήν.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ τῆς ἐν τῇ Συνόδῳ ἀναγνώσεως τῆς τοῦ Ἱεροσολύμων Θεοδοσίου ἐπιστολῆς, καὶ τῶν ἐν αὐτῇ γεγραμμένων.

Ἀνεγνώσθη ἡ ἐπιστολὴ τοῦ Ἱεροσολύμων Θεοδοσίου πρὸς τὸν Φώτιον, ἐν ᾗ σημείωσαι πρῶτον, ὅτι λέγει τῷ Φωτίῳ ἐγκώμια καὶ ἱκεσίας τινὰς, ἵνα μεσιτεύσῃ πρὸς τὸν Βασιλέα περὶ τῆ Ἱερουσαλήμ. δεύτερον λέγει, ὅτι ὥρισεν αὐτὸς καὶ ἡ κατ' αὐτὸν Σύνοδος, ἵνα εἴτις οὐ δέχεται αὐτὸν Ἀρχιερέα καὶ Πατριάρχην, εἴη ἀνάθεμα παρὰ Πατρὸς Υἱοῦ καὶ ἁγίου Πνεύματος, καὶ καθῃρημένος ἀπὸ πάσης Ἱερωσύνης. πρὸς ταῦτα δὲ ἡ Σύνοδος εἶπε, Τοῖς ὁρισθεῖσι παρὰ τῆς γενομένης Συνόδου ὑπὸ τοῦ ἁγιωτάτου Πατριάρχου τῆς Ἀνατολῆς καὶ ἡμεῖς συμφωνοῦμεν, καὶ εἴτις οὐ δέχεται ἐννομώτατον Πατριάρχην τὸν Φώτιον, ἀνάθεμα ἔστω.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ τῆς ἀναγνώσεως τῆς τοῦ Ἀντιοχείας πρὸς Φώτιον ἐπιστολῆς καὶ τῶν ἐν αὐτῇ.

Ἀνεγνώσθη ἡ ἐπιστολὴ τοῦ Ἀντιοχείας Θεοδοσίου πρὸς τὸν Φώτιον, ἐν ᾗ σημείωσαι πρῶτον, ὅτι δέεται ἵνα συγχωρήσῃ τῷ Θωμᾷ, ψευδοτοποτηρητῇ γενομένῳ κατ' αὐτοῦ. δεύτερον λέγει, ὅτι ὅστι οὐκ ἀποδέχεταί σε Πατριάρχην, ἐπικατάρατός ἐστιν ἀπὸ Πατρὸς Υἱοῦ καὶ ἁγίου Πνεύματος.

ΠΑΡΑΓΡΑΦΟΝ Ιϛ'.

Περὶ τῶν γεγραμμένων ἐν τῇ πρὸς Φώτιον ἐπιστολῇ Ἀβρααμίου Ἀμίδων καὶ Σαμοσάτων.

Ἐν τῇ ἐπιστολῇ Ἀβρααμίου Μητροπολίτου Ἀμίδων καὶ Σαμοσάτων πρὸς Φώτιον σημείωσαι πρῶτον, ὅτι δέεται καὶ αὐτὸς ὑπὲρ συγχωρήσεως τοῦ ψευδοτοποτηρητοῦ Τύρου Θωμᾶ. δεύτερον λέγει, εἴτις οὐκ ἀποδέχεται τὸν Φώτιον Πατριάρχην Κωνσταντινουπόλεως καὶ κηρύσσει αὐτὸν ἐμφανῶς καὶ πανδημεὶ, εἰ μὲν ἐστι Μητροπολίτης ἢ Ἐπίσκοπος ἢ Ἄρχων, ἢ ἄλλος τις τοῦ ἐπιλοίπου ἡγουμενικοῦ καὶ ψιλοῦ λαοῦ, ὁ τοιοῦτος γνώτω ὅτι ἀνατεθεματισμένος ἐστὶ καὶ ἀφωρισμένος ἐκ τῆς Ἐκκλησίας τοῦ Θεοῦ, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ Ἰούδα τοῦ Ἰσκαριώτου, καὶ πᾶς ὁ ἀκούων εἴποι, Γένοιτο, γένοιτο. καὶ σημείωσαι καὶ ἐν τούτοις ὅτι πᾶσα μοναρχία καταβάλλεται, ὅτι οὐ δεμία μνήμη τοῦ Ῥώμης, ὅτι τὰ γεγονότα ὑπὸ Νικολάου καὶ Ἀδριανοῦ προφανῶς ὡς ἄθεσμα κατακρίνονται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Περὶ τῆς ἐν τῇ τρίτῃ πράξει τῆς Συνόδου ἀναγνωσθείσης ἐπιστολῆς τοῦ Πάπα Ἰωάννου, ἐν ᾗ ἐπιλαμβάνεται τοῦ Φωτίου ὡς ἀπὸ λαϊκοῦ χειροτονηθέντος, καὶ ἑτέρα τινὰ ζητεῖ, καὶ ἀποκρίσεως Φωτίου, Προκοπίου Καισαρείας καὶ Ζαχαρίου Χαλκηδόνος, ἐξ ἧς καταλύεται ἡ τοῦ Ῥώμης μοναρχία.

Ἐν τῇ τρίτῃ πράξει, ἥτις ἐγένετο Νοεμβρίου δεκάτῃ ἐνάτῃ, ἀνεγνώσθη τοῦ Πάπα ἡ ἐπιστολὴ πρὸς τὴν Σύνοδον, ἐν ᾗ σημείωσαι πρῶτον, ὅτι συγχαίρει καὶ συμπάσχει εἰς τὴν ὁμόνοιαν πάντων, ἐπιλαμβάνεται δὲ ἐκείνου τοῦ, ὁ Φώτιος ἐχειροτονήθη ἀπὸ λαϊκοῦ, καὶ ἐπιλέγει, ὅτι ὡς ὁ Ἀδριανὸς τὸν Ταράσιον ἀπὸ λαϊκοῦ χειροτονηθέντα περιεποιήτατο διὰ τὴν διόρθωσιν τῶν Εἰκόνων, οὕτω καὶ οὗτος τὸν Φώτιον διὰ τὴν κοινὴν συμφωνίαν. Ἀλλὰ ῥητέον, ὅτι τὰ περὶ Ταρασίου ὁ Ἀδριανὸς ποίῳ τρόπῳ εἶπεν, εἴρηται εἰς τὸν τόπον, τὰ δὲ κατὰ Φώτιον ἀποκατέστη καὶ πρὸ τῆς τοῦ Πάπα συγκατανεύσεως, καὶ μόνον εἰσήγαγεν ὁ Ἰωάννης τὸ συνθέσθαι τῇ γνώμῃ τῶν πολλῶν, καὶ οὐδὲν ἕτερον. ἔγραφε δὲ ἔτι ὁ Πάπας Ἰωάννης καὶ τοῦτο, τὸ χειροτονεῖσθαι ἀπὸ λαϊκοῦ, αἰσχύνη ἐστὶ τοῖς τοῦτο ποιοῦσι. δεύτερον, αἰτεῖ τὴν Βουλγαρίαν, ὡς ῥηθήσεται. καὶ τρίτον, ἀξιοῖ ἵνα ᾖ ἀπόδεκτος ὁ Φώτιος ὡς νόμιμος Πατριάρχης. τέταρτον, μετὰ τὴν ἀνάγνωσιν τῆς ἐπιστολῆς ἐρωτήσαντος τοῦ Τοποτηρητοῦ Πέτρου τὴν Σύνοδον, εἰ δέχεται ταῦτα, ἡ Σύνοδος εἶπεν, Ὅσα εἰσὶν εἰς δόξαν Θεοῦ. ἤτοι εἰς τὴν ἀποδοχὴν Φωτίου καὶ τὴν κοινὴν εἰρήνην ἐδεξάμεθα, ὅσα δὲ ἀνήκει τῷ Βασιλεῖ, ἐκείνῳ ἀνατίθεμεν, ἤτοι περὶ τῆς Βουλγαρίας, περὶ ἧς ἐν τῇ τεταρτῇ πράξει ἐρούμεν. πέμπτον, ὁ Καισαρείας ὅμως Προκόπιος αὐτεῖπεν εἰς ὅπερ ἔλεγεν ἡ ἐπιστολὴ, ὅτι τὸ χειροτονεῖσθαι δηλονότι ἀπὸ λαϊκοῦ, αἰσχύνη ἐστὶ τοῖς τοῦτο ποιοῦσιν. εἶπεν οὖν πρῶτον, ὅτι ἡ ἐν Σαρδικῇ Σύνοδος τοῦτο εἶπεν, ἤτοι Κανόνι δεκάτῳ, πλὴν οὐχ ἁπλῶς, ἀλλὰ μόνους κωλύει τὸν ἀπὸ ἀγορᾶς πλούσιον, καὶ ἀπὸ ἀγορᾶς σχολαστικὸν, τοῦτο δὲ οὔπω γέγονεν ἐν Κωνσταντινουπόλει. δεύτερον, ὅτι εἰ καὶ πάντα λαϊκὸν ἐκώλυεν ὁ Κανὼν, καὶ ἦν καὶ Οἰκουμενικῆς Συνόδου ὁ Κανὼν, καὶ μὴ Τοπικῆς, ὡς ἦν ἡ ἐν Σαρδικῇ, ἀλλὰ τὸ ἀρχαιότατον καὶ κοινότατον ἔθος

ἐκώλυε

ἐκώλυε τοῦ Κανόνος τὴν δύναμιν, ἐπειδὴ κρείττων τοῦ κακῶς βιοῦντος Κληρικοῦ ὁ σεμνὸς καὶ τίμιος λαϊκὸς προελθεῖν εἰς Ἀρχιερωσύνην, μετὰ δὲ τὸν Καισαρείας εἶπεν ὁ Χαλκηδόνος, ὅτι ἀπὸ λαϊκοῦ ἐχειροτονήθη ὁ Νεκτάριος Κωνσταντινουπόλεως, ὁ Ἀμβρόσιος Μεδιολάνων, ὁ Ἐφραὶμ Ἀντιοχείας, ὁ Θαλάσσιος Καισαρείας. καὶ ὁ Ναζιανζηνὸς γράφει Ἀμφιλοχίῳ, Εἰ ἐστίτις τῶν νεοφωτίστων ἄξιος, προβληθήτω Ἐπίσκοπος, καὶ συγχωρεῖ οὐ μόνον ἀπὸ λαϊκοῦ, ἀλλὰ καὶ ἀπὸ νεοφωτίστων, ἐξ ὧν ἀφαιρεῖται ἀφ' ἡμῶν πᾶσα καὶ αἰσχύνη καὶ μέμψις. ἀλλὰ δὴ καὶ ὑμεῖς οἱ Ῥωμᾶνοι πολλὰ τῷ ἔθει ἑπόμενοι ποιεῖτε, ἀφέντες τοὺς Κανόνας, ὡς εἴπατε ἀνωτέρω, φέροντες μάρτυρας Γελάσιον, Φίληκα, Λέοντα, Ἰννοκέντιον καὶ ἄλλους. καὶ ἐν τῇ Ἀνατολῇ εἴτις μὴ Μοναχὸς ἐγένετο, οὐ γίνεται Ἐπίσκοπος, ἢ Πατριάρχης, παρ' ὑμῖν δὲ ἐν τῇ Δύσει οἱ Μοναχοὶ Κληρικοὶ γίνονται, ὅπερ ἐν ἡμῖν οὐ γίνεται. εἶτα ὁ Φώτιος οὐκ ἦν ἀγοραῖος πλούσιος καὶ σχολαστικὸς, ἀλλ' ἐνάρετος καὶ τῆς Συγκλήτου βουλῆς καὶ ἡσυχαστὴς, ἁμιλλόμενος τοῖς ἐν τοῖς ὄρεσιν ἐν Διαιτωμένοις, καὶ ἐν τῷ καιρῷ τῆς Ἀρχιερωσύνης αὐτοῦ πολλοὶ συνεψηφίσθησαν καὶ Κληρικοὶ καὶ Μοναχοὶ, ἀλλὰ πάντων προεκρίθη αὐτός. καὶ πῶς δίκαιον τοὺς μὴ νομισθέντας ἀξίους τοῦ προκριθέντος προτιμᾶσθαι; καὶ ὡς ὁ Ταράσιος ἆθλον τιμῆς εὗρε τὴν τῶν ἁγίων Εἰκόνων ἀναστήλωσιν, οὕτως ὁ Φώτιος διὰ τὰς ἀρετὰς αὐτοῦ, ὃς καὶ παρ' ἐνορίαν ἐνήργησε τὰ μέγιστα, καὶ ἐν Μεσοποταμίᾳ καὶ Ἀρμενίᾳ τοὺς Ἀρμενίους πρὸς τὴν ἀλήθειαν ἐχειραγώγησε. τὰ τοιαῦτα εἰπόντων τοῦ Καισαρείας καὶ Χαλκηδόνος, ὁ Τοποτηρητὴς τοῦ Πάπα ἀπεδέξατο εἰπὼν, ὅτι καὶ ὁ Ματθίας ἔσχατος ὤν, συγκατηριθμήθη μετὰ τῶν ἕνδεκα, ὅθεν καὶ ὁ Πάπας Ἰωάννης τὸν ψηφισθέντα παρ' ἡμῶν Φώτιον ἐπεκύρωσε καὶ συναπεδέξατο, πλὴν εἰ δοκεῖ τῇ ἁγιωσύνῃ ὑμῶν, ἀναγνωσθήτω καὶ ἡ Ἐπιστολὴ τοῦ Ἱεροσολύμων. ἐν τούτοις πάλιν σημείωσαι πρῶτον, ὅτι καταλύεται ἡμοναρχία ἀπὸ τῆς Ἐκκλησίας, ὅτι παρορῶνται τὰ παπικὰ προστάγματα, ὅτι δικαιότερα λέγουσιν οἱ Ἀνατολικοὶ τοῦ Πάπα, καὶ ὅτι τὸ κῦρος ἐστὶ τῆς κοινότητος. δεύτερον, ἴδε περὶ τῆς ἀπὸ λαϊκοῦ χειροτονίας καὶ περὶ τῶν ἐθῶν, καὶ ποῖοι τῶν Κανόνων δέχονται οἰκονομίαν, καὶ ποῖοι μένουσιν ἀμετακίνητοι τὸ παράπαν, ὡς εἴρηται ἀνωτέρω Παραγράφῳ ἑβδόμῳ εἰς τὴν δευτέραν Ἐπιστολὴν τοῦ Φωτίου πρὸς τὸν Πάπαν Νικόλαον. εἰ δὲ δοκεῖ, ῥητέον καὶ ἡμῖν ἐνταῦθα τινὰ περὶ τῶν χειροτονηθέντων ἀπὸ λαϊκοῦ, καὶ τῶν χειροτονηθέντων βίᾳ καὶ δυναστείᾳ καὶ ζώντων τῶν πρὸ αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Περὶ τῶν ἀπὸ λαϊκοῦ χειροτονηθέντων Πατριαρχῶν καὶ Παπῶν, καὶ τῶν μετὰ τοὺς βίᾳ βασιλικῇ ἐκβληθέντας χειροτονηθέντων, καὶ τῆς δικαίας τούτων ἀποδοχῆς, ἐνοῖς καὶ ὁ Φώτιος, καὶ περὶ τῆς δι' ἣν ταῦτα εἴρηται αἰτίας.

Τοῦ Χαλκηδόνος Ζαχαρίου εἰπόντος ἐν τῇ κατὰ Φωτίου Συνόδῳ, ὅτι ἀπὸ λαϊκοῦ ἐχειροτονήθη ὁ Νεκτάριος, ὁ Ἀμβρόσιος, ὁ Ταράσιος, ὁ Νικηφόρος, οἱ τότε συνοδικοὶ ἑπόμενοι τῷ Σμύρνης Μητροφάνει ἐν τῇ αὐτῇ πράξει ἀπεκρίθησαν, ὅτι τὸν Νεκτάριον ἡ Οἰκουμενικὴ προέβαλε Σύνοδος, τὸν δὲ Ἀμβρόσιον ἡ τοῦ ἔθνους ἐχειροτόνησε Σύνοδος, ἀποθανόντος τοῦ πρὸ αὐτοῦ Αὐξεντίου, ἀλλὰ δὴ καὶ τὸν Ταράσιον ἡ κοινὴ προέβαλεν ἐκλογὴ, ἀποθανόντος τοῦ Παύλου, οὗ κοιμηθέντος, ὁ Νικηφόρος συνοδικῶς ἐψηφίσθη, ὁ Φώτιος δὲ, ζῶντος τοῦ πρὸ αὐτοῦ Ἰγνατίου, βιαίως εἰς τὸν θρόνον ἀνῆλθε, καὶ οὐδεὶς τῶν Πατριαρχῶν εἰς Ἱερωσύνην αὐτὸν ἐδέξατο. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι τὸν Φώτιον τὰ Πατριαρχεῖα τῆς Ἀνατολῆς εἶχον ἀεὶ κοινωνὸν, καὶ εἰς Ἱερωσύνην δεκτὸν, ὅπερ δῆλον γίνεται ἐκ πάσης τῆς παρούσης Συνόδου. περὶ δὲ τῶν λοιπῶν λέγομεν, ὅτι Ἀρσάκιος καὶ Ἀττικὸς, ζῶντος τοῦ Χρυσοστόμου ἐχειροτονήθησαν Πατριάρχαι, εἶτα καὶ οἱ δύο τὸν μὲν Χρυσόστομον ἐμυκτήριζον, τοὺς δὲ κοινωνοὺς καὶ φίλους αὐτοῦ ἐδίωκον, καὶ πολλὰ σπουδάζων ὁ Πάπας ἐν τοσούτοις ἔτεσι βοηθῆσαι τῷ Χρυσοστόμῳ, οὐκ ἐδυνήθη. τοῦ Χρυσοστόμου δὲ ἔτι ζῶντος, τὸν Ἀττικὸν ὁ Κελεστῖνος εἰς κοινωνίαν ἐδέξατο, καὶ ἐν τῇ πρὸς τοὺς ἐν Κωνσταντινουπόλει κατὰ Νεστορίου ἐπιστολῇ αὐτοῦ μεγάλοις ἐγκωμίοις τὸν Ἀττικὸν καταστέφει. ὁ Ἀνατόλιος ἐχειροτονήθη ὑπὸ Αἱρετικοῦ καὶ φονέως τοῦ Διοσκόρου, καὶ αἱρετικῆς Συνόδου, καὶ ἐδέχθη μεταταῦτα. τὸν Εὐθύμιον ἐνοχλήσας καὶ ἐξορίσας ὁ Βασιλεὺς Ἀναστάσιος, προέβαλε τὸν Μακεδόνιον, ὃν καὶ αὐτὸν ἐξορίσας καὶ καθήρας, προέβαλε τὸν Τιμόθεον, ἀλλ' ὑπὸ τῆς ἐν Κωνσταντινουπόλει ἐπὶ τοῦ Καππάδοκος Συνόδου, καὶ πάσης τῆς Ἐκκλησίας ἐγκωμιάζεται ὁ Μακεδόνιος. τὸν Ἱεροσολύμων Ἠλίαν ἀπέβαλε βίᾳ ὁ αὐτὸς Ἀναστάσιος, ὃν καὶ ἐξορίσας, προέβαλε τὸν Ἰωάννην ζῶντος τοῦ Ἠλία, ἀλλ' ὁ Ἰωάννης δεκτὸς ὑπὸ πάσης τῆς Ἐκκλησίας ὡς νόμιμος. ὁ Ἱεροσολύμων Μάξιμος ὁ ὁμολογητὴς ἀδίκως ἐκβληθεὶς καὶ βιαίως, ἀντεισήχθη ὁ Κύριλλος, ἀλλ' ὁ Κύριλλος ἅγιος. ὁ Κωνσταντινουπόλεως Εὐτύχιος ἀδίκως καὶ βιαίως ἐκβληθεὶς, καὶ ἐξορισθεὶς ὑπὸ τοῦ μεγάλου Ἰουστινιανοῦ, προεβλήθη πατριάρχης Ἰωάννης ὁ ἀπὸ Σχολαστικῶν, ἀλλὰ δεκτὸς ὁ Ἰωάννης ὑπὸ τῆς Ἐκκλησίας ὡς νόμιμος. τὸν ἅγιον Ἀναστάσιον τὸν Σιναΐτην ἐκβαλὼν βίᾳ ὁ αὐτὸς Ἰουστινιανὸς ἀπὸ

ἀπὸ τοῦ θρόνου Ἀντιοχείας, προέβαλε τὸν Γρηγόριον, οὗ κατασχόντος τὸν θρόνον ἔτη εἰκοσιτέσσαρα, καὶ ἀποθανόντος, ἀποκατεστάθη πάλιν Ἀντιοχείας ὁ Ἀναστάσιος, ἀλλ' ὁ Γρηγόριος νόμιμος Πατριάρχης νομίζεται ἐν τῇ Ἐκκλησίᾳ. Ἰουστινιανὸς ὁ Ῥινότμητος ἐκβαλὼν καὶ καθῄρας καὶ ἐκτυφλώσας καὶ ἐξορίσας τὸν Καλλίνικον, προέβαλεν εἰς Πατριάρχην τὸν Κῦρον, ἀλλ' ὁ Κῦρος μετὰ τῶν νομίμων συγκαταριθμεῖται Πατριαρχῶν. Λέων ὁ σοφὸς ἐκβαλὼν τὸν ἱερώτατον Νικόλαον, προέβαλε τὸν Εὐθύμιον, ἀλλ' ὁ Εὐθύμιος νόμιμος ἐστὶ Πατριάρχης, καὶ ἅγιος ὀνομάζεται. ζῶντος τοῦ ἁγίου Εὐσταθίου ἐγένετο Ἀντιοχείας ὁ Μελέτιος, ἀλλὰ καὶ ὁ Μελέτιος ἅγιος. ὁ Κωνσταντίος τὸν Πάπαν Λιβέριον ἐξορίσας, προέβαλε Πατριάρχην Ῥώμης τὸν Φίληκα, ὃν καίτοι ἀρειανίζοντα, οἱ Λατῖνοι ὡς νόμιμον Πάπαν ἔχουσι. τὸν ἱερώτατον Πάπαν Σιλβέριον βίᾳ καὶ ὑποθήκαις τοῦ Βιγιλίου ἐκβαλὼν καὶ ἐξορίσας ὁ μέγας Ἰουστινιανὸς, προέβαλε Πάπαν αὐτὸν τὸν πατραλοίαν Βιγίλιον, ἀλλὰ καὶ οἱ Λατῖνοι καὶ ἡ Ἐκκλησία πᾶσα νόμιμον Πάπαν τὸν Βιγίλιον ἔχουσιν. ἴδε καὶ κατωτέρω τὰ σχίσματα τῶν Παπῶν, καὶ ὅλους σχεδὸν ὡς νομίμους Ἐπισκόπους Ῥώμης ἔχουσιν οἱ Λατῖνοι, οὕτω καὶ ὁ Φώτιος ἐκβληθέντος τοῦ Ἰγνατίου, ἐχειροτονήθη, ἀλλὰ βίᾳ τοῦ Βασιλέως καὶ τοῦ παραδυναστεύοντος, οὐχ ἁπλῶς, ἀλλ' ἐκλογῆς γενομένης, αὐτὸς προεκρίθη. τίς δὲ ἐστὶν ἡ ἀποκλήρωσις, ἵνα πάντες οἱ διαληφθέντες, βίᾳ καὶ δυναστείᾳ καὶ ἀποβολῇ ἀδίκῳ ἐκβληθέντων τῶν πρὸ αὐτῶν, Πατριάρχαι νομίζωνται νόμιμοι, ὁ δὲ Φώτιος τῷ αὐτῷ τρόπῳ γενόμενος ἀναπόδεκτος νομίζηται, καὶ ὑπὸ τῶν Ἐπισκόπων Ῥώμης διὰ ψευδοσυνόδων ἐπὶ πολλοῖς τοῖς ἔτεσι κατακρίνηται; οὐκ ἦν ἄλλο τὸ αἴτιον, ἀλλ' ἢ τῆς Βουλγαρίας ἡ ἀπόλειψις. ὅθεν καὶ ὑπὸ παντῶν τῶν Πατριαρχῶν καὶ ὑπὸ Βασιλέων καὶ τοσούτων Συνόδων καὶ ὑπὸ πάσης τῆς καθολικῆς Ἐκκλησίας τὰ διορισθέντα ὑπὸ τῶν Παπῶν κατὰ Φωτίου ἀποσκυβαλίζονται καὶ ἀποσκορακίζονται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'.

Περὶ τῆς ἐν τῇ Συνόδῳ ἀναγνωσθείσης ἐπιστολῆς τῆς πρὸς τὸν Βασιλέα τοῦ Ἱεροσολύμων Θεοδοσίου, καὶ περὶ τοῦ Τοποτηρητοῦ αὐτοῦ Ἠλίας τοῦ στυλίτου, καὶ ἐρωτήσεως καὶ συγκατανεύσεως τοῦ Λεγάτου τοῦ Ῥώμης εἰς τὰ ὑπὸ τοῦ Ἠλίας λεχθέντα.

Ἐν τῇ ἐπιστολῇ τοῦ Ἱεροσολύμων Θεοδοσίου πρὸς τὸν Βασιλέα σημείωσαι πρῶτον, ὅτι ὁ Τοποτηρητὴς αὐτοῦ Ἠλίας στυλίτης ἦν. δεύτερον, ὅτι φησὶ, Συνοδικῶς ἐθεσπίσαμεν, ἵνα εἴτις οὐκ ἀποδέχεται ἀσμένως τὸν Φώτιον Πατριάρχην, καὶ αὐτῷ οὐ συνεδρεύει, ἤτω τὸ ἀνάθεμα, καὶ καθῃρημένος ἐξ αὐθεντίας τῶν ἁγίων ἀποστολικῶν θρόνων. πρὸς ταῦτα ἡ Σύνοδος ἀπεκρίθη, Τὰ συνοδικῶς παρὰ Θεοδοσίου τοῦ ἁγιωτάτου Πατριάρχου Ἱεροσολύμων θεσπισθέντα, καὶ ἡ ἡμετέρα μετριότης ἀποδεχομένη, τοὺς μὴ οὕτω φρονοῦντας τῷ ἀναθέματι παραπέμπει. τρίτον, ὁ Τοποτηρητὴς τοῦ Πάπα ἠρώτησεν, Ἡ ἐπιστολὴ αὕτη παρὰ τίνος ἀπεκομίσθη; εἶπον δὲ αὐτῷ, ὅτι ὁ Ἱεροσολύμων ἔστειλε βεβαιῶν τὸ ἀρχαῖον αὐτοῦ περὶ Φωτίου φρόνημα, ᾧ καὶ ὁ Ἀντιοχείας ἐγένετο σύμψηφος, ἔφερε δὲ αὐτὴν Ἀνδρέας ὁ ἀδελφὸς τοῦ Τοποτηρητοῦ Ἠλία. πρὸς ταῦτα ἀποκριθεὶς ὁ Πέτρος εἶπεν, Ἐπειδὴ οἱ Πατριάρχαι δι' ἐπιστολῶν ἀποδέχονται τὸν Φώτιον, τούτοις συνήνεσε καὶ ὁ Πάπας Ἰωάννης, ἀλλ' ἐπειδὴ Θωμᾶς καὶ Ἠλίας ψεῦσται ἐφάνησαν Τοποτηρηταὶ ἐπὶ τῆς κατὰ Φωτίου Συνόδου, ἐξετάσωμεν τοὺς παρόντας, καὶ ἐγένετο λόγος περὶ τῆς ὁμοφωνίας τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς καὶ τῆς κακοτεχνίας τῶν συνειλεγμένων ἐπὶ τῆς κατὰ Φωτίου Συνόδου πολύς. καὶ ὁ Τοποτηρητὴς τοῦ Ἱεροσολύμων Ἠλίας εἶπε μεθ' ὅρκου, ὅτι οὔτε τὸν Φώτιον προεῖδον, οὔτε γράμματα αὐτοῦ ἐδεξάμην, οὔτε αὐτῷ συνέτυχον, ἀλλὰ διὰ τὴν ἀλήθειαν καὶ τὴν ἀρετὴν αὐτοῦ καὶ τοὺς ψευδοτοποτηρητὰς τοὺς ἀθέους ἐκείνους παραγέγονα, καὶ ἄλλα τινὰ τοιαῦτα ἐῤῥέθη, εἶτα ὡρίσθη ἀναγνωσθῆναι τοῦ Πάπα τὸ Κομμονιτώριον.

ΠΑΡΑΓΡΑΦΟΝ Κ'.

Ὅτι τὸ Κομμονιτώριον τοῦ Ῥώμης ἐν τῷ δεκάτῳ κεφαλαίῳ τὴν ἐν Ῥώμῃ καὶ ἐν Κωνσταντινουπόλει κατὰ Φωτίου Σύνοδον ἄκυρον καὶ ἀβέβαιον διαλαμβάνει, καὶ περὶ τῶν λεχθέντων ὑπὸ τῆς Συνόδου καὶ τοῦ Μαρτυρουπόλεως καὶ τῶν Τοποτηρητῶν τῶν Πατριαρχῶν καὶ τοῦ Ῥώμης, ἐξ ὧν ὁ ἄκρος ἀφανισμὸς τῆς ἐν τῇ Ἐκκλησίᾳ μοναρχίας, καὶ μέρος τῆς Συνόδου ὁ Πάπας δείκνυται.

Ἐν τῷ Κομμονιτωρίῳ σημείωσαι ἐν τῷ δεκάτῳ κεφαλαίῳ, ὅτι λέγει, Θέλομεν ἵνα ἡ Σύνοδος ἡ γενομένη κατὰ Φωτίου ἐν Ῥώμῃ καὶ ἐν Κωνσταντινουπόλει ἐν τοῖς καιροῖς τοῦ Πάπα Ἀδριανοῦ ἀπὸ τοῦ παρόντος ἢ ἐξωστρακισμένη καὶ ἄκυρος καὶ ἀβέβαιος, καὶ μὴ συναριθμεῖσθαι αὐτὴν μεθ' ἑτέρας ἁγίας Συνόδου. πρὸς ταῦτα ἡ Σύνοδος εἶπεν, Ἡμεῖς δι' ἔργων ἀπεκηρύξαμεν καὶ ἀπεβαλλόμεθα καὶ ἀνεθεματίσαμεν τὴν

παρ'

παρ' ὑμῶν λεγομένην Σύνοδον, ἑνωθέντες Φωτίῳ, καὶ τοὺς μὴ ἀποβαλλομένους τὰ κατ' αὐτοῦ γραφέντα ἢ λαληθέντα ἐν αὐτῇ τῇ ῥηθείσῃ παρ' ὑμῶν Συνόδῳ, τῷ ἀναθέματι παραπέμπομεν. ἐν οἷς Βασίλειος Μητροπολίτης Μαρτυρουπόλεως καὶ Ἠλίας Τοποτηρητὴς Ἱεροσολύμων εἶπον, Καὶ πῶς ἂν Σύνοδος ῥηθείη ἡ μυρίων σχισμάτων τὴν Ἐκκλησίαν πληρώσασα; τὶς ὀνομάσει Σύνοδον τὴν Σαρακηνῶν Ἀποκρισιαρίους κριτὰς καὶ νομοθέτας καθίσασαν; πῶς Συνόδοις συναριθμηθείη ἡ πάντων τῶν ἁγίων καὶ πασῶν τῶν Συνόδων ἐναντία τολμήσασα; ἡ τοὺς ἀνευθύνους χωρὶς τῆς οἱασδήποτε ἐξετάσεως καταδικάσασα καὶ καταστρέψασα; τοιαῦτα εἶπον καθεξῆς οἱ Τοποτηρηταὶ τῶν Πατριαρχῶν καὶ τοῦ Πάπα, καὶ ἡ Σύνοδος. τελευταῖον δὲ ἀνεγνώσθησαν οἱ Ἀρχιερεῖς τῆς ῥωμαϊκῆς Ἐκκλησίας, οἵτινες ὑπέγραψαν εἰς τὸ Κομμονιτώριον, οἱ πάντες δεκαεπτὰ, καὶ Πρεσβύτεροι ἕξ, καὶ Διάκονοι δύο. καὶ σημείωσαι ἐντεῦθεν ἄκρον ἀφανισμὸν τῆς μοναρχικῆς ἐξουσίας ἀπὸ τῆς Ἐκκλησίας, καὶ ὅτι ὁ Πάπας μέρος ἐστὶ τῆς Συνόδου ὡς καὶ οἱ λοιποὶ πατέρες, καὶ οὐδὲν πλέον.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Περὶ τῶν ἐν τῇ τετάρτῃ πράξει τῆς Συνόδου ἀποκομισθέντων γραμμάτων τοῦ Ἀντιοχείας Θεοδοσίου καὶ τοῦ Ἱεροσολύμων Ἠλία παρὰ Βασιλείου Μαρτυρουπόλεως, καὶ ὧν εἶπεν ἐκ στόματος ὁ Βασίλειος, ἀναγνώσεώς τε τῆς τοῦ Ἀντιοχείας ἐπιστολῆς, καὶ ὧν εἶπεν ὁ τοῦ Ῥώμης Λεγᾶτος.

Ἐν τῇ τετάρτῃ πράξει σημείωσαι πρῶτον, ὅτι ἦλθεν εἰς τὴν Σύνοδον Βασίλειος Μητροπολίτης Μαρτυρουπόλεως, ἀρτίως παραγεγονὼς ἀπὸ Ἀντιοχείας, καὶ ἔφερε γράμματα τοῦ Ἀντιοχείας Θεοδοσίου καὶ τοῦ νέου Πατριάρχου Ἱεροσολύμων Ἠλία, εἰπὼν καὶ διὰ στόματος, ὅτι ὁ Ἀντιοχείας ἔτι Κληρικὸς ὤν, καὶ Ἀρχιερεὺς γεγονὼς, συλλειτουργὸν εἶχε τὸν Φώτιον, ὡσαύτως καὶ ὁ Ἱεροσολύμων ἑπόμενος τῷ πρὸ αὐτοῦ Θεοδοσίῳ οὐδέποτε ταῖς κατὰ τοῦ Φωτίου παροινίαις ἐκοινώνησε, καὶ τοὺς γεγονότας ψευδοτοποτηρητὰς τῷ ἀναθέματι παρέπεμψεν. εἶτα ἀνεγνώσθη ἡ ἐπιστολὴ τοῦ Ἀντιοχείας, ἐν ᾗ μέμφεται τὸν Τύρου Θωμᾶν ὡς συναπαχθέντα τῷ τρισαθλίῳ Ἠλίᾳ, καὶ ψευδοτοποτηρητῇ γεγονότι κατὰ Φωτίου, καὶ ὅτι πρέπει τὸν Τοποτηρητὴν αὐτοῦ Βασίλειον ἵνα φροντίσῃ τὰ τῆς εἰρήνης περατωθῆναι. μεταταῦτα εἶπεν ὁ Τοποτηρητὴς τοῦ Ῥώμης Πέτρος πρὸς τὴν Σύνοδον, ὅτι περὶ τῆς εἰρήνης τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως καὶ τῆς ἀποδοχῆς Φωτίου ὁρῶμεν οἱ Ἀνατολικοὶ θρόνοι τῷ αὐτῷ τρόπῳ ὡς ἐκσυνθήματος φρονοῦντες ἀπέστειλαν συνοδικὰς ἐπιστολὰς, καὶ χαίρομεν ἐπὶ τούτῳ, ὅτι εἰς τὴν τοιαύτην ὁμόνοιαν οἱ ἀρχιερατικοὶ ἅπαντες συνευδόκησαν θρόνοι διὰ τοῦ Κυρίου καὶ Δεσπότου ἡμῶν τοῦ Οἰκουμενικοῦ Πατριάρχου, ἤτοι τοῦ Ῥώμης. καὶ σημείωσαι ἐν τοῖς λόγοις τοῦ Πέτρου, ὅτι ὁμοίως καὶ ἀπαραλλάκτως εἴτι εἰσήνεγκεν ὁ Ῥώμης εἰς τὴν εἰρήνην τῆς Ἐκκλησίας καὶ ἀποκατάστασιν τοῦ Φωτίου, εἰσήνεγκαν καὶ οἱ λοιποὶ ἀποστολικοὶ θρόνοι, ὅπερ ἐστὶν ὅτι συνευδόκησαν εἰς τὴν κρίσιν τοῦ Βασιλέως καὶ τῆς Συγκλήτου, καὶ εἰς τὴν ἀπόφασιν τῶν ὑποκειμένων τῷ θρόνῳ Κωνσταντινουπόλεως Ἀρχιερέων καὶ Ἱερέων περὶ τῆς ἀποκαταστάσεως Φωτίου, καὶ οὐδὲν πλέον.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΒ'.

Περὶ τῆς πρὸς τὸν Φώτιον ἐπιστολῆς τοῦ Ἱεροσολύμων Ἠλία, καὶ ὧν περιέχει, ἐξ ὧν δείκνυται μὴ εἶναι ἐν τῇ Ἐκκλησίᾳ ὕψος μονότητος.

Ἐν τῇ ἐπιστολῇ τοῦ Ἱεροσολύμων Ἠλία πρὸς Φώτιον σημείωσαι πρῶτον, ὅτι καὶ αὐτὸς ὡς καὶ ὁ πρὸ αὐτοῦ εὐλογεῖ τοὺς ἀποδεχομένους τὸν Φώτιον, καὶ κατακρίνει τοὺς μὴ ἀποδεχομένους αὐτόν. δεύτερον, ὅτι συνίστησι τὸν Ἠλίαν Τοποτηρητὴν αὐτοῦ, ἵνα βεβαιώσῃ καὶ ἐπισφραγίσῃ τὰ τῆς εἰρήνης καὶ ἀποκαταστάσεως. τρίτον λέγει, ὅτι ταύτην καὶ ἡμεῖς τὴν εἰρήνην οἱ τὸν αὐτὸν θρόνον τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρακαθήμενοι ἀποφαινόμεθα. εἰρήνη ὑμῖν πᾶσι τοῖς τὰ ὀρθὰ δόγματα τῆς Ἐκκλησίας πρεσβεύουσι, καὶ εἴτις τῷ Κανόνι τούτῳ στοιχεῖ, εἰρήνη ἐπ' αὐτῷ καὶ ἔλεος. εἴτις δὲ πρὸς ἔριδας ἀποβλέπει, καὶ ἑαυτὸν ἀπομερίζειν πειρᾶται ἀπὸ τῆς Ἀρχιερατικῆς τελειότητος, καὶ κοινωνίας, καὶ ἑνώσεως, ἔστω ἀλλότριος, καὶ ἀνάθεμα ἀπὸ Θεοῦ τοῦ εἰπόντος, Ὃν ἂν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένος καὶ ἐν τῷ Οὐρανῷ, καὶ ὃν ἂν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένος καὶ ἐν τῷ Οὐρανῷ. καὶ σημείωσαι καὶ ἐνταῦθα, ὅτι οὐκ ἔστιν ἐν τῇ Ἐκκλησίᾳ τὸ ὕψος τῆς μονότητος, ἀλλ' ἡ δύναμις τῆς κοινότητος, οἱ γὰρ Πατριάρχαι καὶ μέγιστοι Ἀρχιερεῖς ἐξ αὐθεντίας καὶ ἐξουσίας τῶν κατ' αὐτοὺς ἀποστολικῶν θρόνων ἀποφαίνονται τὰ δοκοῦντα αὐτοῖς, μηδεμίαν φροντίδα ἔχοντες περὶ τοῦ Ῥώμης, ἢ λόγον ποιούμενοι τὸ παράπαν τῶν παρ' αὐτοῦ θεσπιζομένων, ἀλλὰ καὶ διὰ τῶν ἰδίων Συνόδων αὐθεντικῶς ὁρίζουσι τὰ πρακτέα, καὶ ταῦτα, ὅτι οὔτε τὸν Πάπαν τῆς Ῥώμης, οὔτε ἄλλον τινὰ οἴδασι γενικὴν ἐξουσίαν ἔχοντα ἐν τῇ καθόλου Ἐκκλησίᾳ.

Παρά-

ΠΕΡΙΤΩΝΕΝΙΕΡΟΣΟΛΥΜΟΙΣΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

ΠΑΡΑΓΡΑΦΟΝ ΚΓ'.

Περὶ τῶν αἰτήσει τοῦ Τοποτηρητοῦ τοῦ Ῥώμης καὶ προτροπῇ τῶν πατέρων ἀναγνωσθέντων ἐν τῇ Συνόδῳ κεφαλαίων ἀπὸ τῆς πρὸς τὸν Βασιλέα ἐπιστολῆς τοῦ Ῥώμης, ἐν οἷς αἰτεῖ τὴν Βουλγαρίαν καὶ τὸ μὴ ἀπὸ λαϊκοῦ χειροτονεῖσθαι μετὰ καὶ τοῦ ἀκυροῦν τὴν κατὰ Φωτίου Σύνοδον καὶ παρεγγυᾶν τῇ Συνόδῳ τὴν τῶν σχισματικῶν ἀποδοχὴν, καὶ τῆς προσφόρου ἀποκρίσεως τῶν πατέρων εἰς ταῦτα, καὶ περὶ τοῦ παρὰ τίνων τὸν τῶν Βουλγάρων χριστιανισμὸν συνέβη γενέσθαι.

Μετὰ τὴν ἀνάγνωσιν τῶν ἐπιστολῶν τοῦ Ἀντιοχείας καὶ τοῦ Ἱεροσολύμων, λόγου γεγονότος περὶ τῆς ἀποδοχῆς τοῦ Φωτίου πολλοῦ, καὶ ὅτι τοὺς ἐπιστρέφοντας σχισματικοὺς ἵνα ἀποδέξωνται, ἐζήτησεν ὁ Τοποτηρητὴς τοῦ Πάπα ἵνα ἐπαναγνωσθῶσι κεφάλαια τινὰ ἅπερ περιείχοντο ἐν τῇ ἐπιστολῇ τοῦ Πάπα πρὸς τοὺς Βασιλεῖς, καὶ ἐπινεύσει τῆς Συνόδου ἀνεγνώσθησαν. πρῶτον, ὥστε μὴ εἰς τὴν Βουλγαρίαν χειροτονεῖν τὸν Κωνσταντινουπόλεως, μήτε Ὠμοφόριον ἀποστέλλειν. πρὸς ταῦτα οἱ πατέρες εἶπον, ὅτι τοῦτο τῷ Βασιλεῖ ἀνήκει, καὶ ἄλλα τοιαῦτα εἶπον. σημειωτέον ὅμως, ὅτι τὰ ὅρια τῶν Πατριαρχικῶν ἐνοριῶν οὐ ποιοῦσιν οἱ Βασιλεῖς, ἀλλὰ πρῶτον ἐποίησεν αὐτὰ ἡ συνήθεια ἡ ἀρχαία. δεύτερον, αἱ οἰκουμενικαὶ Σύνοδοι, βεβαιοῦσαι τὴν συνήθειαν, ὡς δηλοῖ ὁ ἕκτος Κανὼν τῆς πρώτης ἐν Νικαίᾳ Συνόδου, καὶ ὁ εἰκοστὸς ὄγδοος τῆς ἐν Χαλκηδόνι, καὶ ἡ τετάρτη πρᾶξις τῆς αὐτοῦς ἐν Χαλκηδόνι, ὅπου τῶν Βασιλέων οἱ Τύποι περὶ ἐνοριῶν τοῦ Ἱεροσολύμων καὶ Ἀντιοχείας ἤργησαν, καὶ ὃ τετύπωκεν ἡ Σύνοδος περὶ τῶν Πατριαρχῶν τοῦτο ὡρίσθη κρατεῖν. ἐνταῦθα δὲ ἀνατιθέασι τῷ Βασιλεῖ τὰ τῆς ἐνορίας διορίζειν ἕνεκεν δύο τινῶν, πρῶτον, ὅτι ἔμαθον ἀπὸ Γρηγορίου τοῦ δευτέρου, ὅστις δῆθεν διὰ τὴν Εἰκονομαχίαν Λέοντος τοῦ Ἰσαύρου ἐκώλυσε τοὺς φόρους τῶν Βασιλέων Ῥωμαίων ἀπὸ πολλῶν τόπων Ἰταλικῶν, καὶ ἴδε ἀνωτέρω κεφάλαιον πέμπτον. καὶ ἀπὸ Λέοντος τοῦ τρίτου, ὃς ἵνα ἰατρεύσῃ τὰ ἴδια κακὰ, ἐγένετο συναίτιος τῷ Καρόλῳ εἰς πολλὰ ἐπιζήμια κατὰ τῆς βασιλείας τῶν Ῥωμαίων. ὅθεν οἱ πατέρες οὐκ ἔδωκαν τόπους τῷ Πάπᾳ πλείονας, ἵνα μὲ ἀποστατήσῃ αὐτοὺς, προφητικῶς τοῦτο ποιοῦντες, ἔδειξε γὰρ ἡ πεῖρα μεταταῦτα ὅσων κακῶν αἴτιον ἐγένετο ἡ πλεονεξία καὶ τὸ κοσμικῶς ἄρχειν τοὺς Πάπας οὐμόνον εἰς τὴν Ἀνατολὴν, ἀλλὰ καὶ εἰς τὴν Δύσιν. δεύτερον, ἡ Βουλγαρία ἦν ὑποκειμένη πρῶτον τῷ Μητροπολίτῃ Θεσσαλονίκης, καὶ ἴδε τὸν τόπον ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίῳ εἰκοστῷ, ἣν ἀποσπάσας ὁ Ἰουστινιανὸς, ἐποίησεν Ἀρχιεπισκοπὴν αὐτοκέφαλον. λαβόντες δὲ οἱ Βούλγαροι τοὺς τόπους ἐκείνους, καὶ ὄντες Εἰδωλολάτραι, κατέφθειρον τοὺς Χριστιανούς. ἐπειδὴ δὲ ὁ Αὐτοκράτωρ Μιχαὴλ μετὰ καὶ τῆς διακονίας Ἰγνατίου καὶ Φωτίου τῶν Πατριαρχῶν ἐποίησαν ἐκείνους Θεοῦ εὐδοκίᾳ Χριστιανοὺς, ὁ Κωνσταντινουπόλεως θρόνος καὶ διατοῦτο, καὶ διότι ἡ Βουλγαρία ἦν Ἐπαρχία ἀνέκαθεν προσήκουσα αὐτῷ, ἔστειλεν ἐκεῖ Ἀρχιεπίσκοπον. ἀλλ' ὥσπερ ποτὲ ὁ Περσάρχης Χοσρόης ἐφθόνησε τὸν μέγαν Ἰουστινιανὸν, διότι παρέλαβε τὴν Ἀφρικὴν ἀπὸ τῶν Γότθων, καὶ διήγειρε πόλεμον κατ' αὐτοῦ, οὕτω Νικόλαος ὁ Πάπας φθόνῳ τηκόμενος, ἐζήτει τὴν Βουλγαρίαν εἶναι ὑπ' αὐτόν. παρακρουόμενος δὲ ὑπὸ Φωτίου, ἐμάχετο αὐτῷ, πλάττων αἰτίας ὥσπερ τινὰς σφῆκας βοιωτίους. ἀλλὰ λέγουσιν οἱ Λατῖνοι τοὺς Βουλγάρους οὐχ ἡ Φωτίου Διδασκαλία τῆς πλάνης ἀπήλλαξεν, ἀλλὰ δεήσεσιν Μιχαὴλ Ἄρχοντος τῶν Βουλγάρων Νικόλαος ὁ Πάπας διὰ τῶν ὑπ' αὐτοῦ πρὸς ἐκείνους ἀποσταλέντων τὴν τῶν Χριστιανῶν θρησκείαν ἐμύησε. φέρουσι δὲ εἰς πίστωσιν μάρτυρας τρεῖς, Νικόλαον καὶ Ἀδριανὸν τοὺς Πάπας, καὶ Ἀναστάσιον Χαρτοφύλακα Ῥώμης, καὶ οὐκ αἰδοῦνται προσφέρειν τοὺς αὐτοὺς καὶ ἐνάγοντας καὶ μάρτυρας. ὅτι δὲ ψεύδονται καὶ οἱ τρεῖς καὶ πάντες οἱ Λατῖνοι περὶ τούτου, πρόδηλον. Ἀνωτέρω ἐν τῷ δεκάτῳ κεφαλαίῳ εἴπομεν ἐξ ἀναντιρρήτων μαρτυριῶν ποίῳ τρόπῳ οἱ Βούλγαροι Χριστιανοὶ ἐγένοντο, καὶ ὅτι διὰ Μιχαὴλ τοῦ Βασιλέως καὶ Ἰγνατίου καὶ Φωτίου τῶν Πατριαρχῶν, καὶ ἤδη λέγομεν, ὅτι Κωνσταντῖνος ὁ Βασιλεὺς ὁ Πορφυρογέννητος λέγει, ὅτι δούλη τὶς ἐδίδαξε τὸν Βόγαριν, καὶ ὅτι σταλεὶς Ἀρχιερεὺς ἀπὸ Κωνσταντινουπόλεως ἐκεῖνον ἐβάπτισε καὶ Μιχαὴλ ὠνόμασε. καὶ Συμεὼν ὁ Μάγιστρος ἱστορεῖ, ὅτι Μιχαὴλ ὁ Βασιλεὺς νικήσας τοὺς Βουλγάρους, ἔφερε τοὺς Ἄρχοντας εἰς Βυζάντιον καὶ ἐβάπτισε, καὶ ὠνόμασε τὸν Ἄρχοντα, Μιχαήλ. καὶ Γεώργιος Μοναχὸς λέγει, ὅτι οἱ Βούλγαροι νικηθέντες, Χριστιανοὶ ᾔτησαν γενέσθαι, καὶ τῷ Βασιλεῖ ὑποτάττεσθαι, ὁ δὲ Μιχαὴλ ἤτοι ὁ Αὐτοκράτωρ τὸν Ἄρχοντα ἐκεῖ βαπτίσας, ὠνόμασε Μιχαὴλ, τοὺς δὲ Ἄρχοντας εἰς Κωνσταντινούπολιν ἀγαγὼν, ἐβάπτισεν. Ἔτι τοῦ Κρούμνου πρότερον, καὶ πρὸ τοῦ Μιχαὴλ, λαβόντος τὸν Ἀδριανουπόλεως Ἐπίσκοπον Μανουὴλ αἰχμάλωτον, ἐκεῖνος πολλοὺς Βουλγάρους διδάσκων ἐχριστιάνισεν, ὅθεν ὁ Κρούμνος ἐκεῖνον ἀπέκτεινεν. ἔστιν οὖν πασίδηλον ὅτι οἱ Βούλγαροι ὑπὸ τῶν Ῥωμαίων καὶ Βασιλέων καὶ Ἀρχιερέων ἐχριστιάνισαν, ὅπερ ἔτι δείκνυται καὶ ἀπὸ τῆς ἐπιστολῆς ἣν ἔπεμψεν ὁ Φώτιος πρὸς αὐτὸν τὸν Μιχαὴλ τὸν Ἄρχοντα τῶν Βουλγάρων, ἐν ᾗ πρὸς τοῖς ἄλλοις λέγει αὐτὸν, Τῶν πνευματικῶν μου ὠδίνων γνήσιον γέννημα. ψεῦδος ἄρα περιφανέστατον, εἴπερ λαμπρὸν προσήκει εἰπεῖν τὸ σκότος, ὅτι ὁ Μιχαὴλ ἔγραψε πρὸς αὐτὸν ὑπὲρ μνήσεως τῶν Βουλγάρων. ψεῦδος καὶ τὸ, ὅτι παρ' ἐνορίαν ἐζήτει ὁ Κωνσταντινουπόλεως χειροτονεῖν εἰς Βουλγαρίαν, ἐπειδὴ τὸ ἀληθὲς ἐστὶν, ὅτι ὁ Πάπας ἐζήτει παρ' ἐνορίαν

χειροτο-

χειροτονῶν, ὁ δὲ Κωνσταντινουπόλεως ἐχειροτόνει ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ, ἐπείπερ ἡ Βουλγαρία ἐπαρχία αὐτοῦ. ὅτι δὲ καὶ οἱ Ῥῶσοι ἐχειροτόνησαν ὑπὸ Φωτίου, ῥηθήσεται κατωτέρω. ἀλλ' ἐλθέτω ὁ λόγος ὑπὸ τὸ παρακάμψον.

Ἀπεκρίθη ὁ Πάπας Νικόλαος περὶ τῆς Βουλγαρίας ὑπὸ Φωτίου, ἐπανελθὼν δὲ εἰς τὸν Θρόνον Κωνσταντινουπόλεως ὁ Ἰγνάτιος, ἐζήτουν οἱ Πάπαι Ἀδριανὸς καὶ Ἰωάννης τὴν Βουλγαρίαν ἐκ παρ' αὐτοῦ, ὡς εἴρηται ἀνωτέρω, ἀλλ' ὁ δὲ ὁ Ἰγνάτιος αὐτοῖς συγκατένευσον. ἐπαναλαβόντος δὲ τὸν Θρόνον τὸν Φωτίου, πάλιν ὁ Πάπας Ἰωάννης ἐζήτει καὶ παρ' αὐτοῦ τὴν Βουλγαρίαν ἐκ τοῦ Βασιλέως. ἀναγνωσθείσης δὲ τῆς ὑπατολῆς ὑπὸ τῆς παρούσης Συνόδου, ἀποκαίσαντες οἱ πατέρες ἀπὸ τῶν Ῥωμαϊκῶν σκανδάλων, ταύτην ἄλλας αἰτίας ἐσιώπησαν, μόνον δὲ τοῦτο παρέβαλον, ὅτι τὰ περὶ τῆς Βουλγαρίας τῷ Βασιλεῖ αὐτοῦ, καὶ ἕως ἐλυτρώθησαν τῶν ἐριδῶν καὶ φιλονεικιῶν τῶν ἱερηνοποιῶν Παπῶν, εἰ καὶ μὴ παντάπασιν, ὡς ῥηθήσεται. Τὸ δεύτερον κεφάλαιον ἦν, ὥστε ἀπὸ λαϊκῶν μὴ γίνεσθαι Πατριάρχου εἰς Κωνσταντινούπολιν. εἰς τοῦτο οἱ πατέρες καὶ οἱ Τοποτηρηταὶ τῶν Πατριαρχῶν τῆς Ἀναπολῆς εἶπον, ὅτι εἰς τὰ τέλια Πατριαρχεῖα ἐμόνον ἀπὸ Κληρικῶν, ἀλλὰ καὶ ἀπὸ λαϊκῶν γίνονται Ἐπίσκοποι καὶ Πατριάρχαι, φανέντες ἀξιώτεροι, καὶ ἡμεῖς κατὰ τῶν Πατριαρχῶν ἡμῶν ψῆφον οὐκ ἐξάγομεν. καὶ ὁ Σιώδος εἶπον, Ἑκάστη τῶν Ἐκκλησιῶν ἴδια ἤθη ἔχει, καὶ ἑκάστου θρόνος τὰ ἴδια ἐνεργάτω. Τὸ τρίτον κεφάλαιον ἦν, ὅτι τὴν γενομένην Σιώδον κατὰ Φωτίου ὑπὸ Ῥώμης ὑπὸ Ἀδριανοῦ τοῦ Πάπα, καὶ τὴν γενομένην Σιώδον ἐν Κωνσταντινουπόλει κατὰ τοῦ αὐτοῦ Φωτίου ὁρίζομεν παντελῶς ἐξωτερικισμένην καὶ ἀποκεκηρυγμένην εἶναι, καὶ μήτε Σιώδον καλεῖσθαι, ἢ νομάζεσθαι. πρὸς ταῦτα οἱ τοποτηρηταὶ τῶν Πατριαρχῶν τῆς Ἀναπολῆς εἶπον, Ὁ Ἀλεξανδρείας Μιχαὴλ καὶ ὁ Ἱεροσολύμων συνοδικῶς τὴν Σύνοδον ταύτην ἀνεθεμάτισαν, καὶ πάντα τὰ πεπραγμένα ὑπὲρ Φωτίου, καὶ τοὺς ἀποδεχομένους αὐτά. ἡ Σύνοδος ἐβόησε, Πάντες οὕτω δοξάζομεν, κηρύττομεν, ἐν τούτῳ τῷ κεφαλαίῳ τοῦ Πάπα μᾶλλον τῶν ἄλλων συμφρόνθημεν, καὶ ἄλλα. Τέταρτον κεφάλαιον ἦν περὶ ἀποδοχῆς τῶν σχισματικῶν, καὶ ὠφέλητο ἀπὸ τῆς Συνόδου, ἵνα, εἴπερ ζητήσωσι συγχώρησιν παρὰ τοῦ Φωτίου, τύχωσι. καὶ οὕτω μετὰ Φωτίου ἅπαντες εἰς τὴν ἀκολουθίαν τῆς Ἐκκλησίας ἀπῆλθον, ἦν γὰρ ἡ εἰκοστὴ τετάρτη τοῦ Δεκεμβρίου καὶ παρομοιὴ τῆς Χριστοῦ Γεννήσεως. ἐντεῦθεν σημείωσαι, ὅτι τινὰ τοῦ Πάπα δέχονται, τινὰ δὲ μή, καὶ τὰ αἴτιον, ὅτι ἐν ἐκείνῳ τῷ καιρῷ ὁ δὲ εἰς νὸν ἦλθε τῆς Ἐκκλησίας, ὅτι ὁ Ῥώμης ἐστὶ καθόλου Ἐπίσκοπος, ἢ ἁμαρτητὴς, ἐπειδὴ γὰρ ἐκείνετο, πῶς ἁμαρτητὴς; ὁ δὲ ὑπὸ τῶν Συνόδων, ἀλλὰ τὸ κῦρος καὶ ἡ ἀνωτέρα ἐξουσία ἦν τῶν Συνόδων, καὶ μάλιστα τῶν Οἰκουμενικῶν.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΔ'.

Περὶ τῶν ἐν τῇ πέμπτῃ πράξει τῆς Συνόδου λαληθέντων, κυρωθέντων καὶ κανονισθέντων μετὰ τῶν αἰτιῶν αὐτῶν ὑπὸ τῶν πατέρων.

Ἐν τῇ πέμπτῃ πράξει, ἥτις ἐγένετο Ἰανουαρίου εἰκοστῇ ἕκτῃ, ἡμέρᾳ τετάρτῃ, σημείωσαι πρῶτον, ὅτι ὠφέλητο ἵνα ἡ ἑβδόμη Σιώδος ἁγία καὶ Οἰκουμενικὴ εἴη καὶ καλῆται, συναριθμουμένη μετὰ τῶν λοιπῶν ἓξ Οἰκουμενικῶν Σιώδων. ἐπειδὴ καὶ Λατῖνοι καὶ Ἕλληνες ταύτην συνεκρότησαν, καὶ ὁ Πάπας Ἀδριανὸς ὑπὲρ αὐτῆς ἀπελογήσατο πρὸς Κάρολον τὸν Φραγγίας, ἀλλὰ μεταταῦτα πολλῶν καθ' αὐτῆς ὑπό τινων ἐν Γαλλίᾳ γενομένων, ἡ κατὰ Φωτίου Σιώδος Κανόνι τελτῷ ἐβεβαίωσε τὴν τῶν Εἰκόνων προσκύνησιν, καὶ ἐν τῷ Ὄρει αὐτῆς ταῖς προσλαβούσαις οἰκουμενικαῖς ἐπὶ Σιώδοις σέργειν διώρισε· καὶ ἐπειδὴ ἐκείνη ἐν πολλοῖς ἐφάνη κακέργος, ὅθεν καὶ ἀνῳδόθεκτος, ἡ παροῦσα Σιώδος Οἰκουμενικὴ καὶ νόμιμος οὖσα, καὶ διὰ τὰς ἐν Γαλλίᾳ γενομένας κατὰ τῆς Σιώδου πράξεις, ἥτις Γαλλία ὑπέκειτο τῇ Ἐκκλησίᾳ Ῥωμαίων, διὰ τὴν σωθεῖσαν καθ' ἣν αἱμετα τοῦ γενομένην Σύνοδον βεβαίωσι τὰς περὶ αὐτῶν, ὥρισε βεβαίαν εἶναι τὴν ἐν Νικαίᾳ τὸ δεύτερον Σύνοδον, καὶ ἁγίαν, καὶ ἑβδόμην καλεῖσθαι Οἰκουμενικήν. δεύτερον, ὁ Ἔξαρχος τῶν σχισματικῶν Μητροφάνης ὁ Σμύρνης ἀνελήφθη εἰς μετάνοιαν, καὶ μὴ ἐλθὼν, καθηρέθη. τρίτον, προεβάλετο ὁ Τοποτηρητὴς τοῦ Πάπα ὡς ἀπὸ μέρους τοῦ Πάπα Καινόν, ἵνα, εἴτινες τῶν ἐξ Ἰταλίας Κληρικῶν καὶ λαϊκῶν ἢ Ἐπισκόπων ἐν τῇ Ἀσίᾳ ἢ Εὐρώπῃ ἢ Λιβύῃ διατρίβοντες ὑπὸ δεσμὸν, ἢ καθαίρεσιν, ἢ ἀναθεματισμὸν ὑπὸ τοῦ Πάπα Ἰωάννου ἐγένοντο, ὦσι τοιοῦτοι καὶ ὑπὸ Φωτίου. ὡς δὲ πάλιν Ἐπισκόπους, Κληρικοὺς, ἢ λαϊκοὺς ἔχει· ἢ ποιήσει τοιούτους ὁ αὐτὸς ἐν οἱᾳδήποτε παροικίᾳ, ἔχῃ τοιούτους καὶ ὁ Πάπας Ἰωάννης καὶ ἡ Ἐκκλησία Ῥωμαίων, μηδὲ τῶν προσόντων προσβείων τῷ ἁγιωτάτῳ θρόνῳ τῆς Ῥωμαίων Ἐκκλησίας μήτε τῷ ταύτης προέδρῳ τὸ σύνολον καινοτομουμένων μήτε νῦν μήτε εἰς τὸ μετέπειτα. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι κοινῶς καὶ διὰ πάντας τοὺς Πατριάρχας ἐξεφωνήθη ὁ Κανὼν, ἐπειδὴ καὶ ἕτεροι Κανόνες παρομοίως διορίζονται ἀκοινώνητον εἶναι τὸν προσδεχόμενον Ἐπίσκοπον τοὺς παρ' ἑτέρου Ἐπισκόπου ἀφορισθέντας, ἢ ἄλλως ἐπιτιμηθέντας, καὶ ἴδε πολλοὺς τόπους ἀνωτέρω, καὶ μάλιστα τὰ περὶ τῆς ἐν Σαρδικῇ Συνόδου, καὶ τὰ ἐν τῷ δευτέρῳ Κανόνι τῆς δευτέρας Οἰκουμενικῆς ἑρμηνείας, καὶ τὴν ἑρμηνείαν τοῦ παρόντος Κανόνος τοῦ Ζωναρᾶ καὶ Βαλσαμῶνος. δεύτερον, ὅτι οἱ Τοποτηρηταὶ τοῦ Πάπα εἶπον, Ἀρέσκει, καὶ ἡ Σύνοδος ὁμοίως εἶπον, Ἀρέσκει. ὁ Τοποτηρητὴς τοῦ

τοῦ Ἱεροσολύμων εἶπεν, Ὁ Θεὸς οὕτως ἐποίησεν, ἵνα καὶ οἱ τῆς Ἀνατολῆς θρόνοι καὶ ὁ Πάπας Ἰωάννης μετὰ τοῦ Φωτίου μία σύμπνοια καὶ μία ψυχὴ ὦσι, καὶ τὸ θέλημα αὐτῶν κοινὸν καὶ ἀδιάσπαστον. τρίτον, Βασίλειος Τοποτηρητὴς τοῦ Ἀντιοχείας εἶπεν, Οἱ τῆς Ἀνατολῆς μέγιστοι Ἀρχιερεῖς τῷ Φωτίῳ δεδώκασιν ἐξουσίαν καὶ αὐθεντίαν, ἵνα εἴτις εἴη, κἄν τε τοῦ λαϊκοῦ τάγματος ᾖ, εὑρεθείη δὲ ἑαυτὸν τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας χωρίζων, τὸ δοκοῦν τῇ ἁγιωσύνῃ αὐτοῦ εἰς τοὺς τοιούτους διαπράττηται. ὡς οὖν καὶ τὴν τῶν Ἀνατολικῶν θρόνων εἰληφὼς ἐξουσίαν, καὶ τῆς τῶν Ῥωμαίων αὐθεντίας τὸ κῦρος προσλαβόμενος, καθὼς ἀρτίως ἠκούσαμεν, μᾶλλον δὲ προέχων ἐκ Θεοῦ ὡς Ἀρχιερεὺς μέγιστος, οὓς ἂν δήσῃ τῷ τοῦ παναγίου Πνεύματος δεσμῷ, ἔχομεν καὶ ἡμεῖς δεδεμένους, καὶ οὓς ἂν λύσῃ, ἔχομεν καὶ ἡμεῖς λελυμένους. οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης καὶ ἡ Σύνοδος εὐχαρίστησαν, ὅτι αἱ θελήσεις πάντων τῶν ἁγιωτάτων Πατριαρχῶν εἰς ἓν συνῆλθον, καὶ διὰ τῆς κοινῆς ὁμονοίας καὶ εἰρήνης εἰς ἀγαθὸν τέλος κατέληξε πάντα τὰ παρὰ τῆς ἁγίας καὶ Οἰκουμενικῆς Συνόδου ἐναρχθέντα τε καὶ πραχθέντα. ἡ Σύνοδος εἶπεν, Ὁ μὴ στοιχῶν τοῖς παρὰ τῆς ἁγίας ταύτης καὶ Οἰκουμενικῆς συνόδου πραχθεῖσι, κεχωρισμένος ἔσται τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος. τέταρτον, σημειωτέον ἄνωθεν πρὸς κατάληψιν τοῦ παρόντος Κανόνος, ὅτι ὁ Φώτιος ἐν τῇ ἀρχῇ τῆς χειροτονίας αὐτοῦ ἔγραψε λίβελλον πίστεως πρὸς τοὺς Πατριάρχας καὶ πρὸς τὸν Πάπαν Νικόλαον, ὁ Πάπας ὅμως ἔγραψεν αὐτῷ μέμψεις, ὅτι ἔζη ὁ Ἰγνάτιος, καὶ ὅτι ἀπὸ λαϊκοῦ προεβλήθη, καὶ ἐζήτει παρ' αὐτοῦ καὶ τὸ μὴ χειροτονεῖν εἰς Βουλγαρίαν. ὁ δὲ Φώτιος σπουδάζων τὰ περὶ εἰρήνης, ἀπελογήσατο τὰ εἰκότα. περὶ δὲ τοῦ ἀπὸ λαϊκοῦ μὴ χειροτονεῖν, ἀποκατέστησε Σύνοδον εἰς τὴν ἁγίαν Σοφίαν τὴν καλουμένην πρώτην καὶ δευτέραν, ἥτις ἐξέθετο Κανόνας δεκαεπτά, ὧν ὁ ἔσχατος ἐστὶ περὶ τοῦ μὴ χειροτονεῖσθαι ἀπὸ λαϊκοῦ Ἐπίσκοπον. ἀλλ' ὁ Νικόλαος, τοῦ Φωτίου γράψαντος αὐτῷ ἀνήκειν τῷ Βασιλεῖ τὰ περὶ τῆς Βουλγαρίας, ἐποίησε τέσσαρά τινα, πρῶτον, ἀθροίσας Σύνοδον ἐν Ῥώμῃ ἀνεθεμάτισε τὸν Φώτιον. δεύτερον, εἰς Κωνσταντινούπολιν καὶ εἰς ἄλλας Ἐπαρχίας ἔπεμψε τὴν καθαίρεσιν αὐτοῦ. τρίτον, κατὰ τῶν κοινωνούντων Φωτίῳ ἔγραψεν ἀφορισμοὺς καὶ ἀκοινωνησίας. τέταρτον, εἰς Βουλγαρίαν ἔπεμψε Πρεσβυτέρους, οἳ καὶ ἔχριον Μύρῳ ἐκ δευτέρου τοὺς Μύρῳ χρισθέντας ὑπὸ τῶν Ἱερέων τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, διδάσκοντες καὶ τὴν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν, καὶ ἄλλα τινά, ἅπερ εἴρηται ἀνωτέρω. ἤθροισεν οὖν καὶ ὁ Φώτιος εἰς Κωνσταντινούπολιν Σύνοδον πολυάριθμον καὶ ἀντεκάθηρε τὸν Νικόλαον ὡς παρὰ Κανόνας ἐνεργοῦντα, τοὺς δὲ ἀκοινωνήτους παρὰ τοῦ Νικολάου ἐν παντὶ τόπῳ ἐδέχετο. ἐν τούτοις ἐλθόντων καὶ ἀπὸ Ἰταλίας τινῶν μετὰ λιβέλλων κατὰ τοῦ Πάπα Νικολάου πρὸς αὐτὸν, καὶ ζητούντων δίκην, ἔγραψε πρὸς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς, καὶ ἐζήτει Τοποτηρητὰς πρὸς σύστασιν Οἰκουμενικῆς Συνόδου, ἵνα θεωρηθῇ τὰ κατὰ τὸν Νικόλαον. ἀλλ' ἐν τούτοις, ἀπέθανεν ὁ Βασιλεὺς Μιχαὴλ, ἐξεβλήθη καὶ ὁ Φώτιος, ἀπέθανε καὶ ὁ Νικόλαος, ἐπανῆλθε δὲ καὶ ὁ Ἰγνάτιος εἰς τὸν θρόνον. γενόμενος δὲ Πάπας Ἀδριανὸς ὁ δεύτερος, καὶ ὑπερεκδικῶν τὰ τοῦ Νικολάου, ἀποκατέστησε διὰ πολλῶν τὰς εἰρημένας Συνόδους κατὰ Φωτίου ἐν Ῥώμῃ καὶ Κωνσταντινουπόλει. τούτων δὲ γενομένων, καὶ τοῦ Ἰγνατίου μὴ συγκατανεύσαντος οὐδ' αὐτοῦ τῷ μὴ χειροτονεῖν τὸν Κωνσταντινουπόλεως εἰς Βουλγαρίαν, ὁ Ἀδριανὸς οὐκ ἀπεδέξατο τελείως, οὔτε ἐβεβαίωσε τὴν ἐν Κωνσταντινουπόλει κατὰ Φωτίου Σύνοδον. ἀποθανόντος δὲ τοῦ Ἰγνατίου, καὶ ἐπανελθόντος τοῦ Φωτίου εἰς τὸν θρόνον, ὁ Βασιλεὺς, καίτοι τοῦτο ἐποίησε διὰ τῆς κρίσεως τῶν ὑποκειμένων τῇ Κωνσταντινουπόλει, καὶ τῶν ἐπιδημούντων Ἀρχιερέων καὶ Ἱερέων, καὶ τῆς συμφωνίας τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς, σπουδάζων περὶ εἰρήνης πάσης τῆς Ἐκκλησίας, ὑποθήκαις τε τοῦ Φωτίου, ἔγραψε καὶ πρὸς τὸν τότε Πάπαν Ἰωάννην καὶ ἔπεμψε Τοποτηρητὰς καὶ συνέστη ἡ παροῦσα Σύνοδος. ἐπειδὴ δὲ ἀντεκαθήροντο οἱ Πάπαι καὶ ὁ Φώτιος, καὶ ἐδέχετο καὶ τοὺς ἀκοινωνήτους ὄντας ἑκάτερος παρ' ἑκατέρου, καὶ ἦσαν καὶ τινὲς ἀποδιϊστάμενοι τῆς κοινῆς εἰρήνης, μὴ κοινωνοῦντες Φωτίῳ, ἐξεφωνήθη ὁ παρὼν Κανὼν, ὅστις, ὡς εἴρηται, εἰ καὶ ἐννοεῖται περὶ πάντων τῶν Πατριαρχῶν, ὡς καὶ οἱ ἐξηγηταὶ αὐτοῦ γράφουσι Ζωναρᾶς τε καὶ Βαλσαμὼν, ὀνομαστὶ ὅμως ἐδόθη ἡ ἐξουσία εἰς τοὺς δύο θρόνους, ἵνα γένηται ῥᾳδιωτέρα ἡ ἐκκλησιαστικὴ κυβέρνησις καὶ εἰρήνη, ἤτοι ἐὰν εἰς Ἀσίαν, ἢ Δύσιν, ἢ Ἀφρικὴν εὑρίσκωνται οἱ ἀποβεβλημένοι ὑπὸ τῶν δύο θρόνων, ἵνα ὦσιν ἀπόβλητοι καὶ ὑπὸ τῶν δύο. ὥστε εἰ εἶεν ἂν οἱ τοιοῦτοι καὶ εἰς τὰς ἐνορίας τῶν λοιπῶν Πατριαρχῶν, μὴ ζητεῖσθαι τὴν συναίνεσιν τῶν Πατριαρχῶν, ἀλλ' ἀμέσως αὐτοὺς ὑπ' ἀμφοτέρων τῶν θρόνων παιδεύεσθαι, καὶ τὴν κρίσιν μένειν ἀμετακίνητον, ὥστε μὴ συγχωρεῖσθαι αὐτοὺς παρ' ἑτέρου, ἀλλὰ παρὰ μόνου τοῦ ἐπιτιμήσαντος. ἐπειδὴ δὲ οἱ Τοποτηρηταὶ τῶν τριῶν Πατριαρχῶν τῆς Ἀνατολῆς ἔμελλον διαλαλήσειν, ἵνα ὁ Φώτιος ἔχων τὴν ἐξουσίαν τῶν μεγίστων Ἀρχιερέων τῶν τριῶν Ἀνατολικῶν θρόνων καὶ αὐθεντίαν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, οὐ μόνον μὴ κοινωνῇ τοῖς ἀκοινωνήτοις παρὰ τοῦ Ῥώμης, ἀλλὰ καὶ τοῖς ἀπ' αὐτοῦ χωριζομένοις τὸ δοκοῦν διαπράττηται, ἵνα μὴ νομισθῇ ἐκ τούτου ὁ Κωνσταντινουπόλεως κατά τινα τρόπον μείζων τοῦ Ῥώμης, προσετέθη ἐν τῷ Κανόνι, Μηδὲν τῶν προσόντων πρεσβείων τῷ ἁγιωτάτῳ θρόνῳ τῆς Ῥωμαίων Ἐκκλησίας μηδὲ τῷ ταύτης προέδρῳ τὸ σύνολον καινοτομουμένων μήτε νῦν, μήτε εἰς τὸ μετέπειτα, ἀλλ' ὥστε δηλονότι μένειν τὸ πρωτεῖον τῆς τάξεως καὶ τιμῆς τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἀπραμείωτον καὶ ἀμετακίνητον διαπαντός. πέμπτον, ἐπειδὴ ἐρρέθη ἐν τῷ Κανόνι

περὶ

περὶ μὲν τοῦ Ῥώμης, ὅτι οὓς ἔχει ἀκοινωνήτους ἐν τῇ Ἀσίᾳ, ἢ Εὐρώπῃ, ἢ Λιβύῃ διὰ τρίβοντας, περὶ δὲ τοῦ Κωνσταντινουπόλεως, ὅτι οὓς ἂν ἔχοι ἀκοινωνήτους ἐν οἱᾳδήποτε παροικίᾳ, οὐ δηλοῖ τὸ, Ἐν οἱᾳδήποτε παροικίᾳ, μεῖζον, ἢ πλεῖόν τι τοῦ ἐν τῇ Ἀσίᾳ ἢ Εὐρώπῃ, ἢ Λιβύῃ, ὥστε νομίζειν τὸν Κωνσταντινουπόλεως ἔχειν ἐκ τούτου πλεῖόν τι, ἢ μεῖζον τοῦ Ἐπισκόπου Ῥώμης, ἀλλὰ ταὐτὸν δηλοῖ, καὶ κατὰ πάντα ἶσον ἐνταῦθα κεῖται τὸ, Ἐν τῇ Ἀσίᾳ, ἢ Εὐρώπῃ, ἢ Λιβύῃ τῇ ἐν οἱᾳδήποτε παροικίᾳ, καὶ μὴ φοβείσθωσαν οἱ Λατῖνοι, ὅτι τῷ, Ἐν οἱᾳδήποτε παροικίᾳ, παρέχει ὁ Κανὼν τὸν ἅπαντα κόσμον τῷ Κωνσταντινουπόλεως. τῷ δὲ Ῥώμης παρέχει μερικοὺς τινὰς τόπους, ἀλλὰ φοβείσθωσαν τὴν πρατροπὴν τοῦ Συμβόλου, καὶ τὸ ἰσόθεον τοῦ Πάπα αὐτῶν, καὶ τὰς λοιπὰς καινοτομίας, ἅτινα ἕως ἂν ἔχωσιν, οὔτε πρῶτοι εἰσὶν, οὔτε δεύτεροι, οὔτε μὴν μέλη τῆς καθόλου Ἐκκλησίας. Ἔτι ὡρίσθη Κανὼν δεύτερος περὶ τοῦ μὴ γίνεσθαι τὸν Ἐπίσκοπον Μοναχὸν, ὡρίσθη ἔτι Κανὼν τρίτος, ἀλλὰ περὶ τούτου ἐνταῦθα οὐδεὶς ἡμῖν λόγος.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΕ'.

Ὅτι ἐκ τῶν ὑπογραφῶν τῶν τῆς Συνόδου πατέρων, καὶ τῶν ἐν αὐταῖς περιεχομένων εἰς βεβαίωσιν τῶν ὁρισθέντων, καὶ τῆς ἀναμνήσεως τῶν ἐν ταῖς προτέραις Συνόδοις ὑπογραφῶν τῶν πατέρων, ἡ τῶν Πατριαρχῶν ἰσότης κατὰ τοῦ παπισμοῦ δείκνυται.

Ἐγένετο λόγος, ἵνα ὑπογράψωσι πάντες οἱ πατέρες πρὸς βεβαίωσιν τῶν ὁρισθέντων, καὶ δὴ ὑπέγραψεν, Εὐγενίῳ Ἐπίσκοπῳ κατὰ τὴν ἐντολὴν καὶ συναίνεσιν τοῦ Πάπα Ἰωάννου καὶ συναινέσει τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως καὶ συμφωνίᾳ τῶν ἑτέρων Πατριαρχικῶν θρόνων καὶ συνεπιψηφίσει ταύτης τῆς ἁγίας καὶ Οἰκουμενικῆς Συνόδου ἀποδέχομαι τὸν σεβασμιώτατον Φώτιον ὡς κανονικὸν Πατριάρχην, καὶ κατὰ τὸ Κομμονιτώριον ἀναθεματίζω τὴν ἐν Κωνσταντινουπόλει Σύνοδον, καὶ ἅπαντα τὰ πεπραγμένα ἐν τοῖς καιροῖς τοῦ Πάπα Ἀδριανοῦ κατὰ Φωτίου ἀναθεματίζω καὶ ἀποβάλλομαι, καὶ ἐν ἀριθμῷ τῶν Συνόδων οὐδαμῶς ταύτην ψηφίζομαι, τοὺς ἀποσχισταὶ ἂν μὴ ἐπιστρέψωσιν, ἀκοινωνήτους ἔχω, τὴν ἐν Νικαίᾳ τὸ δεύτερον περὶ τῶν ἁγίων Εἰκόνων Σύνοδον ἁγίαν καὶ Οἰκουμενικὴν ἀποκαλῶ, καὶ συναριθμῶ ταῖς ἓξ Οἰκουμενικαῖς Συνόδοις. οὕτως ὑπέγραψαν καὶ οἱ λοιποὶ Τοποτηρηταὶ τοῦ Ῥώμης. ἀλλὰ δὴ καὶ οἱ Τοποτηρηταὶ τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς ὑπέγραψαν οὕτω, Ταύτῃ τῇ ἁγίᾳ καὶ Οἰκουμενικῇ Συνόδῳ συμφωνοῦμεν, καὶ ἀποδεχόμεθα Φώτιον, καὶ ἔχομεν αὐτὸν Πατριάρχην νόμιμον καὶ κεκανονισμένον ὡς ἐδέξατο αὐτὸν Θεοδόσιος Ἀντιοχείας, Θεοδόσιος καὶ Ἠλίας Ἱεροσολύμων, Μιχαὴλ καὶ Μιχαὴλ Πατριάρχαι Ἀλεξανδρείας, τοὺς δὲ μὴ δεχομένους αὐτὸν, ἀναθεματίζοντες καὶ ἀποστρεφόμενοι καὶ πάντα τὰ κατ' αὐτοῦ συστάντα ἐν οἱῳδήποτε τόπῳ καὶ παρ' οἱουδήποτε προσώπου τῷ αὐτῷ καθ' ὑποβάλλοντες ἀναθέματι, καὶ τὴν ἁγίαν ἐν Νικαίᾳ συστᾶσαν τὸ δεύτερον Σύνοδον, ἁγίαν καὶ Οἰκουμενικὴν ἑβδόμην Σύνοδον κηρύττοντες, ὑπεγράψαμεν. ὡσαύτως καὶ οἱ λοιποὶ πάντες πατέρες συμφωνοῦντες τῇ Συνόδῳ ὑπέγραψαν. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι καὶ ἐν τῇ τρίτῃ Οἰκουμενικῇ ὑπέγραψαν οἱ πατέρες ἐν τῇ ἐπιστολῇ Κυρίλλου, ἥτις καὶ Ὅρος ἐστὶ τῆς αὐτῆς Συνόδου, εἰπὼν ἕκαστος, Ἀποφαίνομαι ἅμα τῇ ἁγίᾳ Συνόδῳ. ἐν δὲ τῇ τετάρτῃ ἐπὶ τῇ καθαιρέσει τοῦ Διοσκόρου ὑπέγραψεν ἕκαστος, ἀρξάμενος ἀπὸ τῶν Τοποτηρητῶν τοῦ Ῥώμης καὶ τοῦ Κωνσταντινουπόλεως καὶ τοῦ Ἀντιοχείας, Ἅμα τῇ ἁγίᾳ Συνόδῳ καὶ ἐν ταῖς ὑπογραφαῖς τῆς ἀποδοχῆς τῆς ἐπιστολῆς τοῦ Λέοντος συνήνεσα καὶ ὑπέγραψα, ὁμοίως καὶ ἐν ταῖς ὑπογραφαῖς τοῦ Ὅρου καὶ ἐν τῇ ἀποδοχῇ τοῦ Ἀντιοχείας Μαξίμου, καὶ τῇ ἀποβολῇ τῆς ἐπὶ Διοσκόρου Συνόδου. καὶ ἴδε ἀνωτέρω βιβλίου τετάρτου, κεφαλαίου πρώτου Παράγραφον εἰκοστὸν ἕνατον, καὶ εἰκοστὸν δεύτερον. ἐν δὲ τῇ ἕκτῃ, ὑπέγραψα. ἐν δὲ τῇ ἑβδόμῃ, Τοῖς πατρικοῖς δόγμασιν ἐξακολουθῶν καὶ τῇ παραδόσει τῆς καθολικῆς Ἐκκλησίας. ἐν μέντοι τῇ δεκάτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου Μάξιμος ὁ Ἀντιοχείας εἶπε, Καθὼς καὶ τοῖς ἁγιωτάτοις Ἀρχιεπισκόποις συνέδοξε, τοῖς ἐπέχουσι τὸν τόπον τοῦ Λέοντος, καὶ τῷ Κωνσταντινουπόλεως Ἀνατολίῳ. Θαλάσσιος δὲ ὁ Καισαρείας εἶπε, Κατὰ τὸ δόξαν τοῖς ἁγιωτάτοις προέδροις, ἤγουν τοῖς Ῥωμαίοις καὶ τῷ Κωνσταντινουπόλεως, τῷ Ἀντιοχείας καὶ Ἱεροσολύμων. ἴσοι οὖν οἱ πατέρες καὶ ἐν ταῖς ὑπογραφαῖς, καὶ ἐξίσου οἱ Πατριάρχαι πρόεδροι, ὅθεν οὐδ' ἐν τοῦθεν ὠφελήθη ὁ παπισμός.

ΠΑΡΑΓΡΑΦΟΝ Κϛ'.

Περὶ τῶν ἐκτεθέντων ἐν τῇ ἕκτῃ πράξει τῆς παρούσης Συνόδου, καὶ τοῦ Ὅρου αἰτήσει τοῦ Βασιλέως, ὃν καὶ ὑπέγραψε. καὶ ὅτι μέχρι τοῦ τότε καιροῦ ἀκαινοτόμητον τὸ Σύμβολον ἦν ἐν τῇ Ῥώμῃ.

Ἐν τῇ ἕκτῃ πράξει, ἥτις ἐγένετο Μαρτίου πρώτῃ, σημείωσαι πρῶτον, ὅτι παρεγένοντο οἱ Βασιλεῖς εἰς τὴν Σύνοδον, ἧς καὶ προεκάθισαν, καὶ συγκαθεσθέντων τῶν πατέρων, εἶπεν ὁ Αὐτοκράτωρ εὐλόγους

εὐλόγους αἰτίας δι' ἃς οὐ συνῆλθε καὶ πρότερον ἐν τῇ Συνόδῳ. ἀλλὰ καὶ θέλων ὑπογράψαι εἰς τὰ τῆς Συνόδου πρὸς βεβαίωσιν αὐτῶν, εἶπεν, Εἰ συνευδοκεῖ ἡ Σύνοδος, ὥστε ἐκφωνηθῆναι ὅρον τοῦ ἐκκλησιαστικοῦ φρονήματος, οὐ καινόν τινα, ἀλλ' ἐκεῖνον ὃν ἡ μὲν ἐν Νικαίᾳ πρώτη Σύνοδος ἐθεμελίωσεν, αἱ δὲ μετ' αὐτὴν λοιπαὶ Οἰκουμενικαὶ Σύνοδοι συνεκρότησάν τε καὶ συνεπῳκοδομήθησαν. καὶ συναινεσάντων εἰς τοῦτο τῶν πατέρων, οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης εἶπον, ὡς ἐκέλευσεν ὁ ἐκ Θεοῦ μέγας Βασιλεὺς ἡμῶν, καὶ ἤρεσε καὶ τοῖς ἀδελφοῖς καὶ συνιερεῦσιν ἡμῶν, πρέπον ἐστὶ μὴ ἕτερον Ὅρον καινουργηθῆναι, ἀλλὰ τὸν ἀρχαῖον καὶ κατὰ πᾶσαν τὴν Οἰκουμένην κρατούμενον καὶ δοξαζόμενον ἀναγνωσθῆναι καὶ ἐπιβεβαιωθῆναι. καὶ ἀνεγνώσθη ὁ Ὅρος, περιέχων τὸ Σύμβολον τῆς δευτέρας Συνόδου, καὶ διορίζων, ἵνα μήτε προσθήκη μήτε ἀφαίρεσις γένηται ἐν αὐτῷ, μήτε καὶ ῥήμασι. καὶ σημείωσαι πρῶτον, ὅτι οὐ διὰ ἰσχυρογνωμοσύνην, ἢ αἰσχύνην τῆς ῥωμαϊκῆς Ἐκκλησίας ὁ Φώτιος τὸν Ὅρον συνέθηκεν, ὡς λέγουσιν οἱ Λατῖνοι, ἀλλὰ καὶ τὴν ἐπικρατήσασαν πάτριον καὶ ἀρχαίαν συνήθειαν τῶν Οἰκουμενικῶν Συνόδων ἐξέθετο καὶ ἡ παροῦσα Ὅρον πρέποντα τῷ καιρῷ καὶ τῇ χρείᾳ, καὶ μάλιστα αἰτήσει τοῦ Αὐτοκράτορος. ὅτι δὲ τοῦτο ἰδιαίτατόν ἐστιν ἴδιον τῶν Οἰκουμενικῶν Συνόδων, φανερόν ἐστι καὶ ἀπ' αὐτῆς τῆς κατὰ Φωτίου Συνόδου, ἥτις καὶ αὐτὴ κοινὸν Ὅρον ἐξέθετο, καὶ πρὸς βεβαίωσιν τῆς ἑβδόμης Συνόδου, ὡς εἴρηται, καὶ περὶ τοῦ θείου Συμβόλου. δεύτερον, ἐπὶ τῆς παρούσης Συνόδου φανερόν ἐστιν, ὅτι οὐκ ἦν ἡ προσθήκη ἐν τῷ Συμβόλῳ, οὔτε ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ ἐξεφωνεῖτο τὸ Σύμβολον μετὰ τῆς προσθήκης, οὔτε μὴν ὅλως ἀποδοχήν τινα εἶχεν ἡ προσθήκη ἐν τῷ Συμβόλῳ ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἀλλὰ μεταταῦτα ἐφεῦρε τὸ δόγμα καὶ τὴν προσθήκην ἐν τῷ Συμβόλῳ. εἰ δὲ καὶ ἐν τῇ Βουλγαρίᾳ ἐδίδασκον τὴν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν οἱ πρεσβύτεροι τοῦ Πάπα Νικολάου, ἀλλ' ἐξ ἰδίου αὐτῶν φρονήματος, καὶ οὐκ ἀπὸ ἐπιταγῆς τοῦ Πάπα. ὅθεν ἐπὶ τῆς κατὰ Φωτίου Συνόδου, ἣν συνέστησεν ὁ Πάπας Ἀδριανὸς, αἰτήσει τῇ πρὸς τὸν Βασιλέα Ὅρος ἐξετέθη, ὡς εἴρηται, τοῦ εἶναι τὸ Σύμβολον ἀκαινοτόμητον, καὶ οὐδὲν περὶ τούτου οἱ Τοποτηρηταὶ αὐτεῖπον, ἀλλὰ πρῶτοι συνήνεσαν ὡς καὶ οἱ Τοποτηρηταὶ τοῦ Πάπα Ἰωάννου τούτου. Πέτρος ὁ Λομπάρδος μαρτυρεῖ, ὅτι ἐπ' αὐτοῦ, ἤτοι τοῦ Πάπα Ἰωάννου ἐν τῇ παρούσῃ Συνόδῳ, καὶ μεταταῦτα, ἤτοι μετὰ τριακόσια ἔτη τῆς ζωῆς τοῦ Πάπα Ἰωάννου τὸ Σύμβολον τῆς δευτέρας Συνόδου ἄτερ προσθήκης ᾔδετο ἐν τῇ Ἐκκλησίᾳ Ῥωμαίων. ἔτι δὲ ἡ προσθήκη οὐκ ἦν ἀρχαῖόν τι ἔργον, ὡς λέγουσιν οἱ Λατῖνοι, μάρτυρες ἀξιόπιστοι δύο, Ἀδριανὸς ὁ πρῶτος καὶ Λέων ὁ τρίτος, ἐξ ὧν, ὡς εἴρηται ἀνωτέρω, ὁ μὲν Ἀδριανὸς ἀπέβαλε τὸν Ῥῆγα Φραγγίας Κάρολον, ἐρωτήσαντα αὐτὸν ἐριστικῶς, καὶ βουλόμενον καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, ὁ δὲ τὸ Σύμβολον ἔγραψεν ἐν ἀσπίσι σιδηραῖς, καὶ ἔθηκεν ἐν τῷ πανδήμῳ Ναῷ ἐν τῇ Ῥώμῃ, εἰ καὶ ὁ Βέκκος ἐν τῷ περὶ ἑνώσεως καὶ εἰρήνης τῶν Ἐκκλησιῶν αὐτοῦ λόγῳ περὶ τῶν ἀσπίδων, ὅτι οἱ Ῥωμαῖοι τὰς ἀσπίδας ἔθηκαν μετὰ τοῦ Συμβόλου, λέγει, Τί τοῦτο ποιοῦντες; δεικνύντες πάντως ὡς οὐ λέξεσιν, ἀλλ' ἐννοίαις τὸ εὐσεβὲς σπουδάζεται παρ' αὐτοῖς. καταγέλαστος δέ ἐστιν ὁ λόγος οὗτος τοῦ Βέκκου, ἐπειδὴ ἡ Ἐκκλησία περὶ εὐσεβείας θεολογοῦσα, οὐ μόνον τὰς ἐννοίας, ἀλλὰ καὶ τὰς λέξεις ἀκριβῶς ἐξετάζει. εἰ δὲ καὶ οἱ πατέρες λέγουσιν, ὅτι ἡ εὐσέβεια οὐκ ἐν ῥήμασιν, ἀλλ' ἐν πράγμασι τὸ εἶναι ἔχει, ἀλλ' εἶπον τοῦτο, ἔνθα συγγένειαν εἶχον τὰ ῥήματα καὶ αἱ λέξεις, καὶ οὐκ ἐν τοῖς παντάπασιν ἀπεσχοινισμένοις. καὶ ἴδε κατωτέρω βιβλίου ὀγδόου, κεφαλαίου δευτέρου Παράγραφον ἑνδέκατον.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΖ'.

Περὶ τῆς ἐν τῇ ἑβδόμῃ πράξει δευτέρας ἀναγνώσεως τοῦ Ὅρου, καὶ τοῦ κατὰ τῶν προσθήκην ἢ ἀφαίρεσιν ποιησομένων ἀναθεματισμοῦ, καὶ περὶ τῆς τελείας ἑνώσεως τῶν Ἐκκλησιῶν, καὶ τῆς φήμης τῶν Βασιλέων.

Ἐν τῇ ἑβδόμῃ πράξει, ἥτις ἐγένετο Μηνὶ Μαρτίῳ, ἡμέρᾳ Κυριακῇ, σημείωσαι πρῶτον, ὅτι τῶν ἀποσχιστῶν κοινωνησάντων Φωτίῳ, εἶπεν ὁ Φώτιος, Ἐπειδὴ συνεργείᾳ τοῦ Πάπα καὶ τῶν λοιπῶν Πατριαρχικῶν θρόνων ἐγένετο ἕνωσις ἐν τῇ Ἐκκλησίᾳ, ἀναγνωσθῆναι δεῖ τὸν Ὅρον καὶ δεύτερον εἰς ἐπήκοον πάντων μετὰ καὶ τῆς ὑπογραφῆς τῶν Βασιλέων, καὶ τούτου ἀναγνωσθέντος, οἱ πατέρες ἀνεθεμάτισαν τοὺς τολμήσαντας προσθήκην, ἢ ἀφαίρεσιν ποιῆσαι, καὶ εὐφημήσαντες τοὺς Βασιλεῖς, τῷ πάντων δοτῆρι Θεῷ δόξαν ἀπένειμαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῶν εἰκοσιεπτὰ ἀντιθέσεων τῶν Λατίνων κατὰ ταύτης τῆς ἐπὶ Φωτίου Συνόδου, καὶ τῆς Λύσεως αὐτῶν.

Ἐπιλαμβάνονται οἱ Λατῖνοι τῆς Συνόδου ταύτης, καὶ λέγουσιν, ὅτι ἦσαν ἐν αὐτῇ τριακόσιοι ὀγδοήκοντα πατέρες, καὶ πῶς οὐκ ἐμνήσθη αὐτῆς οὐδεὶς ἱστορικός; Ἀλλὰ ῥητέον, ἀρκεῖ ὅτι μέμνηται οἱ πολλοὶ

πολλοὶ καὶ ἀρχαῖοι, καὶ ἀναγράφουσιν, ὅτι γέγονε Σύνοδος, ἥτις τὸν Φώτιον ἀποκατέστησε. δεύτερον, οὐκ ἦν ἀνάγκη δι' ἑνὸς Πατριάρχου σύστασιν ἵνα συγγράφωσι τὰ κατ' αὐτὴν εἰς πλάτος, ὡς γέγονε καὶ ἐπὶ Τιβερίου Καίσαρος, ὅτε, ἀθροισθείσης Συνόδου διὰ Γρηγόριον τὸν Ἀντιοχείας, ὡς εἴρηται ἐν τῇ ἀρχῇ τοῦ ἕκτου βιβλίου, οἱ ἱστορικοὶ ὀλίγα εἶπον περὶ αὐτῆς. τρίτον, εἰ δὲ ἦν καὶ διὰ τὴν ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος ἡ Σύνοδος, ὅμως οὐκ ἦν τότε ἡ προσθήκη ἐν τῇ Ῥώμῃ, οὐ γέγονεν ὑπὸ τῶν Λατίνων ἐναντιότης, οὔτε ζητήματα, οὔτε ἄλλη ἐξέτασις, ἀλλ' εὔκολος ὁμόνοια, διὸ καὶ ὅσα εἶπον περὶ αὐτῆς οἱ ἱστορικοὶ ἀρκετά εἰσιν. ΑΝΤΙΘΕΣΙΣ ΔΕΥΤΕΡΑ. Ὁ Κωνσταντινουπόλεως Γερμανὸς ὁ νέος γράφων πρὸς τὸν τότε Λατῖνον Πατριάρχην ἐν Κωνσταντινουπόλει, ἑπτὰ μόνας καταριθμεῖ Οἰκουμενικὰς Συνόδους, τῆς δὲ ἐπὶ Φωτίου ταύτης οὐ μνημονεύει, ὡς καὶ Ματθαῖος ὁ Βλάσταρις ἐν τῇ συλλογῇ τῶν Κανόνων ἑπτὰ καὶ μόνας δέχεται Οἰκουμενικὰς Συνόδους, ἄρα ταύτην τὴν ἐπὶ Φωτίου οὔτε οἱ ἀρχαῖοι Ἕλληνες εἶχον ἁγίαν καὶ Οἰκουμενικήν. Ἀλλὰ ῥητέον, πρῶτον, ὅτι εἴρηται προσεχῶς ἀνωτέρω διατί οὐκ ἐμνημόνευσαν αὐτῆς ἰδίως καὶ εἰς πλάτος οἱ ἱστορικοὶ ὥσπερ τῶν λοιπῶν Οἰκουμενικῶν Συνόδων. δεύτερον, εἴρηται, ὅτι οἱ ἐξοχώτατοι μνημονεύσιν αὐτῆς, λέγοντες αὐτὴν εὐφήμως Σύνοδον ἐπὶ Φωτίου. τρίτον, Ἰωάννης ὁ Βέκκος μέμνηται αὐτῆς καὶ ἐκλογὰς ἀπὸ τῶν πρακτικῶν αὐτῆς συνέγραψε. τέταρτον, Ἰωσὴφ ὁ Βρυέννιος μέμνηται αὐτῆς εἰς πλάτος ἐν τῷ ὀγδόῳ λόγῳ περὶ τῆς ἁγίας Τριάδος, ἔνθα καὶ ἐπιλέγει, ὅτι τὰ πρακτικὰ καὶ αἱ ὑπογραφαὶ αἱ ἰδιόχειροι τῶν Τοποτηρητῶν τοῦ Πάπα Ἰωάννου ἔκειντο ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ. πέμπτον, Μακάριος ὁ Ἀγκύρας μέμνηται αὐτῆς, καὶ τὸν Ὅρον αὐτῆς ἀναγράφει. ἕκτον, οἱ ἐξηγηταὶ τῶν Κανόνων Ζωναρᾶς, Βαλσαμὼν, καὶ Ἀριστηνὸς δέχονται, καὶ ἑρμηνεύουσι τοὺς Κανόνας αὐτῆς, καὶ πᾶσα ἡ καθολικὴ Ἐκκλησία συναποδέχεται αὐτούς. ἕβδομον, Μάρκος ὁ Ἐφέσου ἐν τῇ ἕκτῃ συνελεύσει τῆς ἐν Φλωρεντείᾳ Συνόδου, αἰτήσαντος παρ' αὐτοῦ τοῦ Ἰουλίου Καρδηνάλεως τὰ πρακτικὰ τῆς (κατὰ Φωτίου) Συνόδου, εἶπεν αὐτῷ, οὐκ ἔχομεν ἀνάγκην συναριθμῆσαι ταῖς Οἰκουμενικαῖς Συνόδοις ἄλλην Σύνοδον, ἥτις οὐδὲ ἐστέρχθη ὅλως, ἀλλὰ μᾶλλον ἠκυρώθη, καὶ αὕτη ἡ Σύνοδος, ἣν λέγει ἡ ἁγιωσύνη σου, ἔχει πράξεις κατὰ Φωτίου ἐν τῷ καιρῷ τοῦ Πάπα Ἰωάννου καὶ τοῦ Ἀδριανοῦ, καὶ τούτου τοῦ Πάπα Ἰωάννου αἱ ἐπιστολαὶ εὑρίσκονται ὑπὲρ Φωτίου, ἐζήτητε δὲ ἡ Σύνοδος αὕτη καὶ περὶ τῆς προσθήκης τοῦ Συμβόλου, καὶ ἔκρινεν ἄξιον, ἵνα ἐξαιρεθῇ παντελῶς, καὶ νομίζομεν ὅτι οὐδὲ ὑμεῖς ἀγνοεῖται οὔτε τὴν Σύνοδον, οὔτε τὰς ἐπιστολὰς τοῦ Πάπα Ἰωάννου, καὶ ἐπειδὴ ἐκρίθησαν τὰ τῆς Συνόδου ἐκείνης (τῆς κατὰ Φωτίου) οὐκ ἔστι δίκαιον ἵνα ζητῶμεν αὐτὴν, ἀλλὰ τὴν μετ' αὐτὴν μάλιστα, ἀπὸ τότε γοῦν μέχρι τοῦ νῦν ἀναγινώσκεται ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως οὕτως, Ἅπαντα τὰ κατὰ τῶν ἁγίων Πατριαρχῶν Φωτίου καὶ Ἰγνατίου γραφέντα, ἢ λαληθέντα, ἀνάθεμα. διατοῦτο ἅπερ ἀνετράπησαν, οὐδὲ πρέπει ἵνα ἔλθωσιν εἰς τὸ μέσον. τούτων εἰρημένων παρὰ τοῦ Ἐφέσου, ὁ Ἰούλιος μηδὲν ἔχων εἰπεῖν ἄξιον περὶ τῆς κατὰ Φωτίου ψευδοσυνόδου, παρέδωκεν αὐτὴν καὶ ἄκων τῇ βαθυτάτῃ σιωπῇ, ἢ μᾶλλον εἰπεῖν ἀνέτρεψεν αὐτὴν, καὶ εἰς οὐδὲν ἐλογίσατο. ἔπειτα περὶ τῆς ὑπὲρ Φωτίου ταύτης οὐδὲν ἐδυνήθη εἰπεῖν ὁ Ἰούλιος ἐναντίον, οὔτε περὶ τῶν ἐπιστολῶν τοῦ Ἰωάννου, ἵνα μὴ καταγέλαστος δόξῃ, ἀπαρνούμενος τὰ πασίδηλα ἐπ' ὄψεσι πάσης τῆς Οἰκουμένης. ὄγδοον, ὁ αὐτὸς Μάρκος Ἐφέσου φησὶν ἐν τῷ περὶ πίστεως λόγῳ, Ἀποδέχομαι καὶ ἀσπάζομαι πρὸς ταῖς εἰρημέναις ἑπτὰ Συνόδοις καὶ τὴν μετ' αὐτὰς ἀθροισθεῖσαν ἐπὶ τοῦ εὐσεβοῦς Βασιλέως Βασιλείου Ῥωμαίων, καὶ τοῦ ἁγιωτάτου Πατριάρχου Φωτίου, τὴν καὶ Οἰκουμενικὴν ὀγδόην ὀνομασθεῖσαν, ἣ καὶ τῶν Τοποτηρητῶν παρόντων τοῦ μακαρίτου Πάπα Ἰωάννου, καὶ τὰ ἑξῆς. ἔνατον, συγγραφεὺς τὶς τοῦ σχίσματος καὶ ἀποβολῆς τῆς παλαιᾶς Ῥώμης ὑπὸ τῆς νέας καὶ ἀδιαφθόρου φησὶ, Μετὰ δὲ τὸν θάνατον τοῦ Πατριάρχου Ἰγνατίου ὁ Φώτιος αὖθις τοῦ Κωνσταντινουπόλεως ἐπελάβετο θρόνου, συγκροτηθείσης Οἰκουμενικῆς Συνόδου προστάξει Βασιλείου τοῦ Μακεδόνος. καὶ κατωτέρω, Ἥτις δὴ Σύνοδος ὀγδόη κατονομάζεται, αὕτη πρώτη ἐγένετο Σύνοδος Οἰκουμενικὴ κατὰ τῆς τῶν Ἰταλῶν πολυειδοῦς Αἱρέσεως, ἥτις καθεῖλε καὶ ἀνεθεμάτισε ταύτην. δέκατον, Νικήτας ὁ Νικαεὺς φησὶν, Ἐπὶ Φωτίου τοῦ Κωνσταντινουπόλεως μέγα ἦν σχίσμα, καὶ πολλὰ τὰ αἰτιάματα τῶν Ῥωμαίων, ὡς ἡ ἐγκύκλιος αὐτοῦ ἐπιστολὴ παριστᾷ, γενομένης δὲ ἑνώσεως τῶν Ἐκκλησιῶν, καθὼς ἡ παρ' αὐτοῦ τοῦ Φωτίου συστᾶσα Σύνοδος δηλοῖ, καὶ τὰ ἑξῆς. ἀλλὰ καὶ ἄλλοι πολλοὶ ἐμνήσθησαν αὐτῆς, καὶ ἴδε τὰ προλεγόμενα ἐν τῷ Τόμῳ τῆς Χαρᾶς. ΑΝΤΙΘΕΣΙΣ ΤΡΙΤΗ. Ὅτι ἐπὶ τῆς κατὰ Νικολάου Συνόδου λέγει ὁ Φώτιος ψευδόμενος, ὅτι ἦσαν ὑπὲρ τὰς χιλίας ὑπογραφὰς, καὶ εἰ ἐκείνη νόθος, ἄρα καὶ ἡ ἐπὶ Φωτίου, ὡς Ἀναστάσιος ὁ Βιβλιοθηκάριος μαρτυρεῖ. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι εἰ ἦσαν τοσαῦται ὑπογραφαὶ, οὐκ ἦν θαυμαστὸν, εἰ συνῆξε πάντας τοὺς ὑπ' αὐτὸν καὶ τοὺς παρεπιδήμους Μητροπολίτας καὶ Ἐπισκόπους, Ἡγουμένους τε καὶ ἄλλους σοφοὺς Πρεσβυτέρους, ὡς ἐγένετο ἐν τῇ Ἱερουσαλὴμ ἐπὶ Θεοφίλου κατὰ τῶν Εἰκονομάχων, ὅτε, ὡς εἴρηται, συνῆλθε Σύνοδος πατέρων χιλίων πεντακοσίων ἐννέα, εἰ δὲ καὶ δοκεῖ ὅτι οὐκ ἦσαν χίλιοι οἱ ἀθροισθέντες, τὸ πλάσμα ἀποβλέπει εἰς τὸν Ἀναστάσιον, τὸν καὶ ἄλλα τοιαῦτα πλάσαντα καὶ εἰπόντα, καὶ τὸ δὴ θαυμαστὸν, ὅτι πάλιν αὐτὸς ὁ Ἀναστάσιος ἀρνεῖται ὅτι ἦσαν χίλιοι πατέρες ἐν τῇ Συνόδῳ, ἣν ἀθροίσας ὁ Φώτιος ἐκάθηρε τὸν Πάπαν Νικόλαον, καὶ λέγει καὶ ἕτερον τερατῶδες, ἤγουν ὅτι ἦσαν μόνοι εἴκοσι πατέρες

τέρες ἐν αὐτῇ, ὡσανεὶ ἦν τότε ἡ Κωνσταντινούπολις κώμη τὶς, ἢ ἐπισκοπὴ Ῥηγίου, καὶ οὐ βασίλειος πόλις καὶ πατριαρχικὸς θρόνος. ἔπειτα ἐκ ποίας ἀνάγκης ἕπεται, ὥστε εἰ ἦν ἡ κατὰ Νικολάου νόθος, εἶναι τοιαύτην καὶ τὴν ἐπὶ Φωτίου; ἐῤῥέτωσαν οἱ ἀναισχυντοῦντες. ΑΝΤΙΘΕΣΙΣ ΤΕΤΑΡΤΗ. Ὅτι ὁ Χαλκηδόνος Ζαχαρίας ἐτόλμησεν εἰπεῖν τὴν Σύνοδον οὐ διὰ τὸν Φώτιον, ἀλλὰ διὰ τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν ἀθροισθῆναι. Ἀλλὰ ῥητέον, ὅτι ἀλήθειαν εἶπεν, ἐπειδὴ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἦσαν ἐκεῖνα καθ' ἃ ὁ Πάπας Νικόλαος ἀφεὶς τὸ σεμνὸν καὶ κανονικὸν ἐνεπαρῴνει, καθαιρῶν καὶ διαλοιδορῶν ἀδίκως, παρανόμως καὶ τυραννικῶς τὸν ἴσον αὐτῷ ἐπ' αἰτίαις ἀλόγοις, καὶ ἐκεῖνα ἅπερ οἱ πρεσβύτεροι αὐτοῦ ἐδίδασκον ὅτι καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἤλειφον Μύρῳ ἐκ δευτέρου, καὶ ὁ Πάπας Ἀδριανὸς ἐκάθηρε καὶ ἐβόα, καὶ ὁ Πάπας Ἰωάννης ἐζήτει καὶ ἀπὸ τοῦ Ἰγνατίου τὴν Βουλγαρίαν, καὶ ἐκοινώνουν ἀνθρώποις κακοτρόποις καὶ διαβεβλημένοις Στυλιανῷ καὶ Μητροφάνει καὶ ἄλλοις τισὶ τοιούτοις, καὶ προεξένησαν παγκόσμια σχίσματα καὶ σκάνδαλα, ὅθεν καλῶς εἶπεν ὁ Ζαχαρίας, ὅτι ἡ Σύνοδος κυρίως ἠθροίσθη διὰ τὴν τιμὴν τῆς ῥωμαϊκῆς Ἐκκλησίας, καὶ ἵνα παύσῃ τὰ σκάνδαλα τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ταῦτα τὰ αὐτικείμενα τῇ ὀρθοδόξῳ πίστει καὶ τότε, καὶ ἕως τῆς σήμερον. καὶ γὰρ μετά τινα ἔτη τῆς ἐπὶ Φωτίου Συνόδου παλινῳδίαν ἦσεν ἡ ῥωμαϊκὴ Ἐκκλησία ἐπὶ τὴν πεισμονὴν καὶ τὴν ἐφευρεθεῖσαν ἀσχημοσύνην αὐτῆς. ΑΝΤΙΘΕΣΙΣ ΠΕΜΠΤΗ. Ἡ κατὰ Φωτίου Σύνοδος μαρτυρεῖ, ὅτι Φώτιος τυραννικῇ χειρὶ τὸν θρόνον ἀνέλαβεν. Ἀλλὰ ῥητέον, ὅτι ψεύδεται ἡ ψευδοσύνοδος, ἐπειδὴ Κεδρηνὸς καὶ Ζωναρᾶς, Πορφυρογέννητος, Γραμματικὸς, Γεώργιος Μοναχὸς, Ἰωάννης ὁ Σκυλίτζης, Ἰωὴλ καὶ ἄλλοι ἀξιόπιστοι καὶ ἀρχαῖοι τὸ ἐναντίον μαρτυροῦσιν, ἐπειδὴ γὰρ ὁ Βασιλεὺς καὶ ὁ Καίσαρ κατήγαγον ὁπωσδήποτε τὸν Ἰγνάτιον, τῇ ἐκλογῇ καὶ ψήφῳ τῆς παρευρεθείσης Συνόδου τὸν Φώτιον ἐχειροτόνησαν, λογιώτατον ὄντα πάνυ καὶ λίαν ἐνάρετον. ΑΝΤΙΘΕΣΙΣ ΕΚΤΗ. Ὅτι μαγγανείαις καὶ πονηρίαις ἦλθεν ὁ Φώτιος εἰς τὸν θρόνον τὸ δεύτερον, ὡς μαρτυρεῖ ὁ Παφλαγὼν καὶ ὁ Στυλιανός. Ἀλλὰ ῥητέον, ὅτι περὶ τούτων διείληπται ἀνωτέρω. Ἐπιλέγουσιν ἔτι οἱ Λατῖνοι, ὅτι ὁ Φώτιος μηνύσας διὰ τοῦ πεμφθέντος ὑπ' αὐτοῦ Θεοδώρου Ἐπισκόπου τῷ Ῥώμης Ἰωάννῃ ὡς κοινῇ γνώμῃ ἔλαβε τὸν θρόνον, ἐψεύσατο. Ἀλλὰ ῥητέον, πρῶτον, ὅτι οἱ πρὸ τοῦ Ἰωάννου Πάπα Νικόλαος καὶ Ἀδριανὸς μετὰ τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἐμάχοντο Φωτίῳ τοσαῦτα ἔτη, καὶ οὐκ ἦν οὔτε ὁ Φώτιος ἄγροικος, ὥστε θαῤῥεῖν ἀπατῆσαι τὸν Ἰωάννην, οὔτε ὁ Ἰωάννης ἦν ἄγροικος, ὥστε μὴ εἰδέναι τὰ κατὰ Φώτιον, καὶ ἀπατηθῆναι ὑπ' αὐτοῦ, ὥστε ἡ παροῦσα πρεσβεία πλάσμα ἐστί. δεύτερον, ὅτι οὐκ εἰς τὸν Ῥώμης ἔστειλε μόνον ὁ Φώτιος, ἀλλὰ καὶ εἰς τοὺς λοιποὺς Πατριάρχας περὶ τοῦ ὅτι ὁ Βασιλεὺς καὶ ἡ Σύγκλητος καὶ ἡ ἐν Κωνσταντινουπόλει Σύνοδος κοινῇ ψήφῳ δεδώκασιν αὐτῷ τὸν θρόνον, ὡς οἱ ἱστορικοὶ καὶ αὐτὸς ὁ Ἰωάννης μαρτυρεῖ, γράφων πρὸς Φώτιον. ΑΝΤΙΘΕΣΙΣ ΕΒΔΟΜΗ. Ὁ Γρηγόριος Πρωτοσύγκελλος ἡ Μαμμὴ ἐν τῇ πρὸς τὸν Ἐφέσου ἀπολογίᾳ λέγει, ὅτι αἱ ἐπιστολαὶ τοῦ Πάπα Ἰωάννου πρὸς τὸν Φώτιον εἰσὶ νενοθευμέναι, ὡς αἱ πρωτότυποι αἱ οὖσαι ἐν τῇ Βιβλιοθήκῃ ἐν τῷ Βατικάνῳ μαρτυροῦσιν. Ἀλλὰ ῥητέον, ὅτι αἱ ἐπιστολαὶ κεῖνται ἐν τοῖς πρακτικοῖς τῆς ἐπὶ Φωτίου Συνόδου σῶαι καὶ ὁλόκληροι, ὥστε καὶ ἀνόθευτοι. δεύτερον, εἰ συγχωρήσωμεν νενοθεῦθαι αὐτὰς, Λατῖνοι εἰσὶν οἱ φθείροντες τὰ βιβλία τῶν ἁγίων, καὶ τούτων ἐστὶ καὶ τὸ κακούργημα τοῦτο πρὸς ἀνατροπὴν τῆς ἀληθείας. τρίτον, ὅτι αἱ ἐπιστολαὶ μαρτυροῦσιν, ὅτι ὁ Πάπας Ἰωάννης τὸν Φώτιον πρὸς κοινωνίαν ἐδέξατο, καὶ ἀρκεῖ ἡμῖν τοῦτο, καὶ πλείονος οὐ δεόμεθα. ΑΝΤΙΘΕΣΙΣ ΟΓΔΟΗ. Ἐπιλέγει ὁ αὐτὸς, ὅτι αἱ ἐπιστολαὶ εἰσὶν ὕποπτοι, ἐπειδὴ ὁ χαρακτὴρ αὐτῶν οὐκ ἔστιν ἑρμηνευθεὶς ἀπὸ λατινικῆς φράσεως, ἀλλ' ἀπὸ συνθέσεως ἑλληνικῆς, ὅπερ δείκνυται ἀπὸ τῆς συγκρίσεως τῶν ἐπιστολῶν μετὰ τῶν κειμένων ἐν τῇ Βατικανῇ Βιβλιοθήκῃ ἐν Ῥώμῃ, καὶ λοιπὸν ὁ Φώτιος ἔφθειρεν αὐτάς. Ἀλλὰ ῥητέον, ὅτι κακοῦργος ἐδείχθη ἀνωτέρω κεφαλαίου πρώτου Παραγράφῳ εἰκοστῷ δευτέρῳ ἡ Βατικανὴ Βιβλιοθήκη, διὸ ἀξιοπιστότερά ἐστι τὰ πρακτικὰ τῆς Συνόδου τῆς ἐν Βατικάνῳ Βιβλιοθήκης. ΑΝΤΙΘΕΣΙΣ ΕΝΑΤΗ. Θεμέλιον τῆς ἐπὶ Φωτίου Συνόδου εἰσὶν αἱ ἐπιστολαὶ τοῦ Πάπα Ἰωάννου, εἰ δὲ αὗται νόθαι, ἄρα καὶ ἡ Σύνοδος. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἀνόθευτοι ἀπεδέχθησαν αἱ ἐπιστολαὶ, καὶ εἰ τρόπῳ ὑποθετικῷ δοίημεν ἴσως νενοθεῦθαι, λέγομεν τοῦτο πρὸς μείζονα ἀπολογίαν πρὸς τοὺς Λατίνους. δεύτερον, ὅτι οὐκ εἰσὶ θεμέλιον αἱ ἐπιστολαὶ τοῦ Ἰωάννου, ἀλλὰ αἱ ἐπιστολαὶ πάντων τῶν Πατριαρχῶν, καὶ ἡ κοινὴ τῆς Συνόδου ψῆφος καὶ κρίσις. τρίτον, ὅτι αἱ ἐπιστολαὶ εἰ νόθαι εἰσὶν, ὅμως περὶ τοῦ Φωτίου ὅτι δεκτὸς, οὐκ εἰσὶ νόθαι. τέταρτον, ὅτι εἰ ἐστίτις πονηρία ἐνταῦθα, τῶν Λατίνων ἐστὶν, ὡς μαχομένων Φωτίῳ, καὶ διὰ τοῦτο ποιησαμένων προσθέσεις καὶ ἀφαιρέσεις, ὡς πεποιήκασιν ἐν Καρθαγένῃ διὰ τοὺς ἐν Νικαίᾳ Κανόνας, καὶ εἰς τὴν ἐν Χαλκηδόνι ἐνηλλαγμένως προσέφερον τὸν ἕκτον τῆς αὐτῆς πρώτης Συνόδου Κανόνα, καὶ ἐπὶ Φίληκος Κανόνα πλαστὸν προέβαλον κατὰ Ἀκακίου, καὶ εἰς ἄλλα πολλὰ δολιεύονται, καὶ περὶ αὐτῆς τῆς ἑβδόμης Συνόδου ἐπονηρεύσαντο ἐν τῷ ἐν Φλωρεντείᾳ συλλόγῳ. ΑΝΤΙΘΕΣΙΣ ΔΕΚΑΤΗ. Ὁ Φώτιος εἰ καὶ ἐνόθευσε τὰς ἐπιστολὰς τοῦ Ἰωάννου, ὅμως πάλιν οὐκ ἀνέγνω αὐτὰς σώας ἐν τῇ ἐπ' αὐτοῦ Συνόδῳ, ἀλλὰ μέρη τινά. Ἀλλὰ περὶ μὲν τῶν ἐπιστολῶν ῥητέον ὅσα καὶ ἀνωτέρω, περὶ δὲ τοῦ ὅτι οὐκ ἀνεγνώσθησαν διόλου, ῥητέον πρῶτον, ὅτι οὕτω γέγονε καὶ ἐν τῇ κατὰ Φωτίου, ἣν καίτοι μιαρὰν οὖσαν, ὡς ἁγίαν δέχονται οἱ Λατῖνοι, ὅπου ἐν τῇ πρώτῃ πράξει μέρος ἀνεγνώσθη τῆς ἐπιστολῆς τοῦ Ἱεροσολύμων,

καὶ

καὶ ἐν τῇ τετάρτῃ τῆς τοῦ Ἰγνατίου πρὸς τὸν Ῥώμης, καὶ τῆς τοῦ Ἀδριανοῦ πρὸς τὸν Ἰγνάτιον, καὶ τῆς τοῦ Νικολάου πρὸς Μιχαὴλ τὸν Βασιλέα, καὶ ἐν τῇ πέμπτῃ πράξει τῆς τοῦ Ἀδριανοῦ πρὸς τὸν Βασίλειον μέρη τινὰ ἀνεγνώσθησαν, καὶ ἴδε τοὺς τόπους. καὶ τὸ αἴτιον, ὅτι οὐ περὶ δογμάτων, ἀλλὰ περὶ ἑνὸς Ἐπισκόπου αἰτία ἦσαν αἱ ἐπιστολαὶ, καὶ ἦσαν ἀρκετὰ τὰ συντείνοντα. δεύτερον, ὅτι ἀνεγνώσθησαν ἐξολοκλήρου, καὶ ἴδε τὴν δευτέραν πρᾶξιν τῆς Συνόδου. ΑΝΤΙΘΕΣΙΣ ΕΝΔΕΚΑΤΗ. Ἀναγνωσθεισῶν τῶν ἐπιστολῶν τοῦ Πάπα, καὶ ἐρωτησάντων τῶν Τοποτηρητῶν τοῦ Ῥώμης τὴν Σύνοδον, εἰ δέχεται ταύτας, ἀπεκρίθη, ὅτι δέχεται ὅσα τῷ αἰσίῳ καὶ ἐνθέσμῳ λόγῳ περιέχεται, καὶ οὐχὶ ὅτι ἁπλῶς δέχεται αὐτὰς, ὡς γέγονεν εἰς τὰς ἄλλας Οἰκουμενικὰς Συνόδους. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἐν τῇ ἐν Χαλκηδόνι ἡ τοῦ Λέοντος πολλὰ ἐξετάζεται, καὶ ἐν τῇ ἕκτῃ ἡ τοῦ Ἀγάθωνος, καὶ ἐν τῇ ἑβδόμῃ ἡ τοῦ Ἀδριανοῦ, καὶ ἴδε τοὺς τόπους, μᾶλλον μὲν οὖν καὶ τότε περὶ τῶν ζητουμένων ἐπὶ τῶν Συνόδων διοριστικῶς ἐδέχοντο ταῦτα οἱ πατέρες, οὐ μὴν καὶ ὅσα περὶ ἑαυτῶν ἔλεγον οἱ Πάπαι, ἢ ἄλλοι περὶ ἑαυτῶν, διὸ καὶ ἡ τοῦ Ἀδριανοῦ ἐν τῇ ἑβδόμῃ Συνόδῳ ὅσα εἶπε περὶ τῶν ἁγίων Εἰκόνων, ἀνεγνώσθησαν, ὅσα δὲ περὶ τῆς Οἰκουμενικὸς προσηγορίας καὶ ἄλλων τοιούτων, ἐσιωπήθησαν, καὶ εἰς οὐδὲν ἐλογίσθησαν, μάλιστα κατὰ τῶν σιωπηθέντων φερόμενοι οἱ πατέρες, ἔλεγον ἁπαξάπαντες τὸν Κωνσταντινουπόλεως Οἰκουμενικὸν Πατριάρχην, ὅθεν καὶ ἐνταῦθα ἐπειδὴ περιεῖχον αἱ ἐπιστολαὶ τινὰ ἔξω τοῦ προκειμένου, οὕτως ἐῤῥέθη περὶ αὐτῶν, καὶ ἴδε τὸν τόπον. καὶ λοιπὸν δι' ἃ ἠθροίσθη ἡ Σύνοδος ἐδέχθησαν αἱ ἐπιστολαὶ, αἴσια καὶ ἔνθεσμα ὄντα, τὰ δὲ παράλογα, ἵνα ἐάσῃ δηλαδὴ τὴν Βουλγαρίαν τῷ Ῥώμης, καὶ ὅσα περὶ τῆς ῥωμαϊκῆς Ἐκκλησίας εἶπεν ὑπέρογκα καὶ παρὰ Κανόνας ὁ Ῥώμης, οὐκ ἀπεδέξατο ἡ Σύνοδος, μάμιστα δὲ ῥητῶς ἀπέβαλεν αὐτὰ, καὶ ἔστι τὸ ἁμάρτημα τοῦ γράψαντος, καὶ οὐ τῶν μὴ δεξαμένων. ΑΝΤΙΘΕΣΙΣ ΔΩΔΕΚΑΤΗ. Ὁ Καισαρείας Προκόπιος ἀντεῖπε τοῖς Τοποτηρηταῖς τοῦ Πάπα, ὅπερ οὐκ ἐξῆν. Ἀλλὰ ῥητέον, ὅτι καὶ ὁ Παφνούτιος μικρὸς Ἐπίσκοπος ἀντεῖπε τῇ πρώτῃ Οἰκουμενικῇ Συνόδῳ περὶ τοῦ γάμου τῶν Ἱερέων καὶ ἐδέχθη. καὶ ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ καὶ ἡ Σύγκλητος καὶ οἱ πατέρες εἰς πολλὰ ἀντεῖπον τοῖς Τοποτηρηταῖς τοῦ Ῥώμης, καὶ ἐν τῇ ἕκτῃ πολλὰ ἐξητάσθησαν, καθότι οὐκ ἦσαν ἐκεῖ ἰσχυρογνωμοσύναι καὶ καυχήματα παπικὰ, ὅθεν ὁ Προκόπιος καὶ ἐν ἄλλοις, καὶ ἐν τούτῳ, ἐνῷ εὐστόχως ἡρμήνευσε τὸν δέκατον Κανόνα τῆς ἐν Σαρδικῇ Συνόδου περὶ τοῦ ἀπὸ λαϊκοῦ χειροτονεῖσθαι, δεκτότερος ἔδοξε τῶν Τοποτηρητῶν, καὶ ἐποίησεν ὅπερ ἐξῆν. ΑΝΤΙΘΕΣΙΣ ΔΕΚΑΤΗ ΤΡΙΤΗ. Ὁ Φώτιος κατ' αὐτοῦ φέρεται, Κανόνα ἐκτεθεικὼς ἵνα μὴ γίνηται ἀπὸ λαϊκοῦ ἀθρόον Ἐπίσκοπος. Ἀλλὰ ῥητέον, ὅτι τὸν Κανόνα οὐχ ὁ Φώτιος, ἀλλ' ἡ Σύνοδος ἐξέθετο, οὐ διὰ Φώτιον, ἀλλ' ἵνα μὴ γίνηται ἁπλῶς καὶ ὡς ἔτυχεν Ἐπίσκοπος, ὅπερ καὶ ἐφυλάχθη, ἐπειδὴ μεταταῦτα εἴπερ γεγόνασί τινες τοιοῦτοι, γεγόνασι κατὰ τὸν σκοπὸν τοῦ Κανόνος, ὅθεν οὐδὲ σκάνδαλα ἠκολούθησαν. ΑΝΤΙΘΕΣΙΣ ΔΕΚΑΤΗ ΤΕΤΑΡΤΗ. Ὡς ὁ Ἀναστάσιος μαρτυρεῖ, ἐν τῇ Ῥώμῃ μόνος Κωνσταντῖνος ὁ σχισματικὸς γέγονε Πάπας ἀπὸ κοσμικοῦ, διὸ ὁ Πάπας Στέφανος διώρισεν ἵνα μὴ γίνηται τοῦ λοιποῦ Πάπας, εἰ μὴ μόνον ἀπὸ τῶν Καρδηνάλεων Ἱερέων καὶ Διακόνων καὶ οὐχὶ ἄλλως. Ἀλλὰ ῥητέον, ὅτι ἐπαινοῦμεν τῆς ῥωμαϊκῆς Ἐκκλησίας τὸ ἔργον τοῦτο, οὐ μὴν καταφρονοῦμεν τῶν Ἐκκλησιῶν τῆς Ἀνατολῆς, χειροτονουσῶν ἀπὸ λαϊκῶν, καὶ γὰρ, ὡς εἴρηται, ἑκάστη Ἐκκλησία φυλάττει τὰ ἴδια. ΑΝΤΙΘΕΣΙΣ ΔΕΚΑΤΗ ΠΕΜΠΤΗ. Ἡ Σύνοδος λέγει διὰ τὴν Βουλγαρίαν, ὅτι ὁ Βασιλεὺς διορίζει Ἐπαρχίας, καὶ ὅμως ὁ Πάπας οὐκ ἐζήτησε παρὰ τῆς Συνόδου, ἢ τοῦ Βασιλέως ἵνα διορίσωσιν Ἐπαρχίαν, ἀλλ' ἐκέλευσεν ἵνα ἀπέχωσιν ἀπ' αὐτῆς, καὶ ἴδε τὴν ἐπιστολὴν ἐν τῇ δευτέρᾳ πράξει. Ἀλλὰ πρὸς ταῦτα ῥητέον μετὰ τῆς ἐν Καρθαγένῃ Συνόδου, ἵνα ὁ Πάπας τῆς Ῥώμης πέραν τῆς θαλάσσης μὴ προστάττῃ, ὅτι καταφρονεῖται, οὐκ εἰσακούεται, ὡς ἔπαθεν ὁ Κορνήλιος, ὁ Στέφανος, ὁ Ἰούλιος, ὁ Ζώσιμος, ὁ Κελεστῖνος, ὁ Βονιφάτιος, Λέων ὁ μέγας, ὁ Σιμπλίκιος, ὁ φίληξ, ὁ Βιγίλιος, Γρηγόριος ὁ διάλολογος, Νικόλαος, Ἀδριανὸς καὶ ὁ παρὼν Ἰωάννης. ὅτι δὲ οὐδιορίζει ὁ Βασιλεὺς τὰς ἐνορίας τῶν Πατριαρχῶν, καὶ διατὶ ἡ Σύνοδος εἶπε τοῦτο, ἴδε τὸν τόπον ἀνωτέρω. ΑΝΤΙΘΕΣΙΣ ΔΕΚΑΤΗ ΕΚΤΗ. Ὁ ψευδογεννάδιος ἐν τοῖς λόγοις αὐτοῦ μετὰ τὴν ἐν Φλωρεντείᾳ Σύνοδον λόγῳ πέμπτῳ, ἤτοι περὶ τῆς ἀρχῆς τοῦ Πάπα λέγει, φερόμενος κατὰ Φωτίου, ὅτι Νικόλαος ὁ πρῶτος μετὰ τὴν παρακοὴν καὶ τὸ σχίσμα σωματικῶς εἰς Κωνσταντινούπολιν ἦλθεν ἐν τῷ καιρῷ τοῦ Φωτίου τοῦ θεραπεῦσαι τὸ σχίσμα, ὃν μὴ δεξάμενοι, ἀφορισμῷ ὑπ' αὐτοῦ ὑπεβλήθησαν, τούτῳ συνηγορῶν καὶ Ἰωάννης ὁ Πλουσιαδηνὸς ἐν τῷ περὶ τῆς ἐν Φλωρεντείᾳ Συνόδου φησὶ, Ἐκεῖ γὰρ οἱ Λατῖνοι ἀείποτε τοὺς ἡμετέρους ἐκάλουν εἰς εἰρήνην τε καὶ ὁμόνοιαν, καὶ τούτου μάρτυς Νικόλαος πρῶτος Ἀρχιερεὺς Ῥώμης μέγιστος, ὃς ἐπεὶ μετὰ τὰς πολλὰς πρεσβείας οὐχ ὑπήκουον, σωματικῶς ἕως Κωνσταντινουπόλεως παρεγένετο, ἐρεθίζων αὐτοὺς καὶ παρακαλῶν ἐλθεῖν εἰς ἐξέτασιν τῶν δογμάτων, αὐτοὶ δὲ ἅπαξ τῇ πεισμονῇ καὶ ματαίᾳ προσλήψει βαφέντες, καὶ τῇ κακίᾳ κινούμενοι, οὐμόνον οὐκ ἠθέλησαν ὑπακοῦσαι, ἀλλὰ καὶ παλλὰ ἄτοπα πράξαντες εἰς αὐτὸν, καὶ ἀναιδῶς λοιδορήσαντες, καὶ ἐμπαροινήσαντες, ἀπέπεμψαν, ὡς οὐκ ὤφελον, ἃ σιωπῆσαι δέον ἐκρίναμεν διὰ τὴν τοῦ γένους τιμήν. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, πρῶτον, ὅτι οἱ Λατῖνοι ἐδείχθησαν ἀνωτέρω, καὶ ἤδη δείκνυνται τὰς ἱστορίας λυμαίνοντες, καὶ τραγελάφους πλάττοντες, ἐπειδὴ ὁ Νικόλαος οὗτος οὐδέποτε ἦλθεν εἰς Κωνσταντινούπολιν. δεύτερον. οἱ Λατῖνοι τοὺς Ἕλληνας μετὰ τὸ σχίσμα ἐκάλουν μὲν, ἀλλ'

ἀλλ' εἰς τὸν παπισμὸν, ὅθεν καὶ ἀπετύγχανον. τρίτον, οἱ Ἕλληνες ἀείποτε τοὺς Λατίνους ἐκάλουν εἰς διόρθωσιν τῶν ἐν τῇ ὀρθοδόξῳ πίστει παραπτωμάτων αὐτῶν καὶ διὰ Συνόδων καὶ διὰ ἐπιστολῶν, καὶ νουθεσίαις καὶ ἐλέγχοις καὶ παρακλήσεσιν, οἱ δὲ ἀεὶ ἔμειναν καὶ μένουσιν ἐν τῇ πεισμονῇ αὐτῶν, καὶ μάλιστα παρατροπὰς ἀεὶ διανοούμενοι καὶ ἐφευρίσκοντες εἰς ἀθέτησιν τῶν παραδεδομένων τῆς πίστεως δογμάτων. τέταρτον, οὐχ οἱ Ἕλληνες, ἢ ὁ Φώτιος ἐλοιδόρουν τοὺς Λατίνους, ἀλλὰ τὸ ἀνάπαλιν, ὡς δηλοῖ ἡ κατὰ Φωτίου Σύνοδος, καὶ ἡ ἐπιστολὴ τοῦ Πάπα Νικολάου πρὸς Φώτιον, καὶ οὗτος ὁ ἀναίσχυντος ψευδογεννάδιος, καὶ σιωπῶμεν τὰ πλείω διὰ τὴν τιμὴν τῆς ἀρχαίας συγγενείας τοῦ γένους τῶν φίλων Λατίνων. ΑΝΤΙΘΕΣΙΣ ΔΕΚΑΤΗ ΕΒΔΟΜΗ. Ὁ Στυλιανὸς πρὸς Στέφανον γράφων, μαρτυρεῖ, ὅτι οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης Εὐγένιος καὶ Παῦλος καὶ Πέτρος ἐξηπατήθησαν δώροις ὑπὸ τοῦ Φωτίου, καὶ ἐβιάσθησαν βίᾳ βασιλικῇ. Ἀλλὰ ῥητέον, ὅτι οὐχ ἵστατο ἡ Σύνοδος εἰς μόνους τοὺς Ῥωμάνους, ἀλλὰ εἰς τὴν κοινὴν ψῆφον, καὶ εἰ αὐτοὶ ἠπατῶντο, οἱ ἄλλοι ἔμενον ἀνεξαπάτητοι, μάλιστα τὸ ἀπατᾶν δώροις, ἐστὶ τῶν Λατίνων ἴδιον, καὶ μάρτυς παγκόσμιος τὰ ἐν Φλωρεντείᾳ γενόμενα. καὶ ἔτι εἴρηται, ὅτι ὁ Στυλιανὸς ὡς ἐχθρὸς, καὶ ἄπιστος καὶ ἀμφιλαφής ἐστιν. ἔπειτα ταὐτὸν ἐστὶν εἰπεῖν, ὅτι μαρτυρεῖ ὁ Εὐνόμιος περὶ Ἀετίου ὅτι ὀρθόδοξος, περὶ δὲ Βασιλείου ὅτι Αἱρετικὸς, τῷ εἰπεῖν ὅτι ὁ Στυλιανὸς μαρτυρεῖ ὅτι ἡ κατὰ Φωτίου Σύνοδος ἁγία, ὁ δὲ Φώτιος παράνομος, ἀσεβεῖς γὰρ ἄμφω καὶ Εὐνόμιος καὶ Στυλιανὸς, καθ' ὅσον ἀμφότεροι τὸ μὲν καλὸν λέγουσι κακὸν, καὶ ἀνάπαλιν. ΑΝΤΙΘΕΣΙΣ ΔΕΚΑΤΗ ΟΓΔΟΗ. Ὅτι ὁ Εὐγένιος καὶ Παῦλος διὰ τὴν Βουλγαρίαν ἐλθόντες, ἀπεπλανήθησαν ὑπὸ τοῦ Φωτίου. Ἀλλὰ ῥητέον, ὅτι ἐστὶν ἴδιον τῶν Ῥωμαίων εἰς τὰ ἀπαρέσκοντα ποτὲ μὲν λέγειν, ὅτι νόθα, ποτὲ δὲ, ὅτι εἴρηται περὶ τῆς τάδε Αἱρέσεως, καὶ ποτὲ οἱ Τοποτηρηταὶ δώροις ἠπατήθησαν, ὡς ἔλεγον καὶ περὶ Ζαχαρίου καὶ Ῥαδιούλφου, καὶ ἐπὶ Ζήνωνος διὰ τοὺς πρέσβεις Φίληκος πρὸς Ἀκάκιον, καὶ διὰ τὸν Ἀποκρισιάριον τοῦ Σεργίου περὶ τῆς ἐν Τρούλλῳ Συνόδου, ποτὲ δ' αὖ ζητεῖν, ἵνα βεβαιώσωσι μεγάλα πράγματα ἱστορίαις ἀσυστάτοις καὶ μηδαμιναῖς, μύθοις, προφητείαις καὶ ὀνείρασι καὶ ἀποκαλύψεσι γυναικῶν, μαρτυρίαις ἀγνώστων ἀνθρώπων, ἁγίοις ἀγνωρίστοις, θαύμασιν ἐπιπλάστοις καὶ τερατώδεσι, λογισμοῖς τῆς ἀνθρωπίνης σοφίας, τοῖς σχολαστικοῖς ματαιολόγοις, καὶ ἄλλοις παρομοίοις, ὅθεν καὶ ἐνταῦθα καὶ ἀλλαχοῦ ἄνω καὶ κάτω κινοῦσι Στυλιανὸν, Μητροφάνην, Νικήταν, Γρηγόριον, πρωτοσύγκελλον, Βέκκον, Μετοχίτην, Μελιτινιώτην, Βησσαρίωνα καὶ ἄλλους σχισματικοὺς καὶ Αἱρετικοὺς, ὑβριστὰς, δωρολήπτας, καὶ ἔτι τοὺς ἰδίους Πάπας, περὶ ἑαυτῶν μαρτυροῦντας, τινὰ παλαιὸν ἀρχαῖον, καὶ εἰς τὴν Ῥώμην τὴν Βιβλιοθήκην, συγγράμματα, πρωτότυπα, καὶ τὰ ὅμοια. λέγουσι τέταρτον, ὅτι ὁ Ἰωάννης ἔλαβε τὸ Εὐαγγέλιον καὶ ἀνέβη εἰς τὸν Ἄμβωνα, καὶ πάντων ἀκουόντων, εἶπεν, Ὁ μὴ ἔχων τὸν θεοκρίτως ἀναθεματισθέντα Φώτιον ὡς ὁ Νικόλαος καὶ Ἀδριανὸς, ἔστω ἀνάθεμα. Ἀλλὰ ῥητέον, τοῦτο ἀναμφίβολόν ἐστι ψεῦδος, οὐ γὰρ ὁ Ἰωάννης τοιοῦτόν τι ἐποίησεν. εἶτα τὸν Φώτιον ἐδικαίωσεν ἡ Σύνοδος, καὶ εἰ καθ' ὑπόθεσιν ἀνεθεμάτισεν αὐτὸν ὁ Ἰωάννης, ἥμαρτε. δεύτερον, ὅτι ἐποίησε τοῦτο ἐπιμόνως διὰ τὴν Βουλγαρίαν, ὅθεν καὶ ὁ ἀφορισμὸς αὐτοῦ μάταιος. τρίτον, ὅτι μόνος ἀναθεματῆσαι οὐ δύναται, ὅθεν καὶ πολλαχῶς ἥμαρτε, τοιοῦτον ἀθέμιτον ἔργον ποιήσας. εἶτα ὁ Ἰωάννης ἐδέξατο αὐτὸν, καὶ εἰς ποῖον καταντᾷ τὸ ἀνάθεμα; ἔπειτα ἡ Σύνοδος ἀνεθεμάτισε πάντα τὰ κατὰ Φωτίου λαληθέντα, ἢ γραφέντα. καὶ πρὸς τούτοις, τὸν Ἱερὸν Μακεδόνιον διὰ Συνόδου ἐκάθηρεν ὁ Δίκορος ἀνόμως, ἀλλὰ τί εἶπεν ὁ Μακεδόνιος, ἴδε βιβλίου τετάρτου κεφάλαιον δωδέκατον. καὶ οἱ Πάπαι ἀνεθεμάτισαν Εὐθύμιον, Μακεδόνιον καὶ τὸν Νηστευτὴν, ἀλλ' ἡ Σύνοδος ἐκείνους ἐτίμα ὡς ἁγίους, καὶ μάλιστα παρόντων τῶν Λεγάτων τῆς Ῥώμης. Τῷ ἁγίῳ Μαξίμῳ ἐῤῥέθη ἐν τῷ Σεκρέτῳ ἐν Κωνσταντινουπόλει, ὅτι ὁ Πάπας Μαρτῖνος ἐπειδὴ καθῃρέθη, ἡ κατ' αὐτὸν ἐν Ῥώμῃ Σύνοδος ἠκύρωται, ὁ δὲ Μάξιμος ἀποκριθεὶς εἶπεν, ὅτι οὐ καθῃρέθη, ἀλλ' ἐδιώχθη, εἰ δὲ καὶ ὑποθετικῶς εἴπομεν ὅτι καθῃρέθη, οὐ ποιεῖ τοῦτο πρόκριμα τοῖς ὀρθοδόξως κατὰ τοὺς θείους Κανόνας κυρωθεῖσιν. ὅθεν εἰ καὶ ὁ Ἰωάννης παρῃτήσατο τὴν κοινωνίαν Φωτίου, ῥητέον ὅτι ἡ Σύνοδος κανονικῶς ἐκύρωσε τὴν ἀποκατάστασιν Φωτίου, ὅπερ οὐ παραβλάπτει ἡ μεταβολὴ τοῦ Ἰωάννου. ΑΝΤΙΘΕΣΙΣ ΔΕΚΑΤΗ ΕΝΑΤΗ. Γράφει ὁ Στέφανος Ῥώμης ἐν τῇ πρὸς Βασίλειον τὸν Βασιλέα ἐπιστολῇ, ὅτι ὁ Μαρῖνος, ὃς ἦν Τοποτηρητὴς εἰς τὴν κατὰ Φωτίου Σύνοδον, καὶ ἐγένετο ὕστερον καὶ Πάπας Ῥώμης, ἐλθὼν ἔτι ὢν Κληρικὸς, καὶ εὑρεθεὶς εἰς Κωνσταντινούπολιν, αὐτέστη αὐτῷ τῷ Βασιλεῖ Βασιλείῳ, βουλομένῳ ἀκυρῶσαι τὴν Σύνοδον, ἐν ᾗ αὐτὸς ἦν Τοποτηρητής. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι καὶ αὐτὸς ἐχθρὸς τοῦ Φωτίου. δεύτερον, ὅτι ψευδοῦς Συνόδου ὑπερασπιζόμενος τῆς κατὰ Φωτίου, ἀπατεὼν καὶ αὐτός. τρίτον, ὅτι διὰ τὴν ἀδολεσχίαν αὐτοῦ καθεῖρξεν αὐτὸν τὸν Μαρῖνον ὁ Βασιλεὺς τριάκοντα ἡμέρας καὶ ἐπαίδευσε. τέταρτον, ὅτι εἰς τοσαῦτα μεγάλα πράγματα οἱ Λατῖνοι πάντοτε ἐχθροὺς τοῦ Φωτίου καὶ σκανδαλοποιοὺς καὶ κακούργους καὶ Πάπας μαχομένους Φωτίῳ διὰ τὴν Βουλγαρικὴν, καὶ διὰ τὸ τὸν Φώτιον αὐτὸν ἐλέγχειν αὐτοὺς καινοτομοῦντας, φέρουσι μάρτυρας τοὺς ἐναγομένους καὶ κρινομένους, καὶ σπεύδουσιν ἀπὸ ἀδήλων καὶ πλαστῶν καὶ ἰσχυρογνωμόνων καὶ παραλόγων συστῆσαι ἅγια καὶ δίκαια. πέμπτον, ὅτι αὐτὸς ὁ Μαρῖνος ἦν κακότροπος, ὅθεν καὶ τοῦ δεσμευθῆναι καὶ κινδυνεῦσαι τὸν Πάπαν Ἰωάννην αὐτὸς ἦν ἡ αἰτία. εἶτα καὶ παρανόμως ἐχριμάτησε Πάπας ὡς μαρτυρεῖ ὁ Πλάτινας, ΑΝΤΙΘΕΣΙΣ ΕΙΚΟΣΤΗ'.

ὁ

ὐ μόνον ὁ ὄγδοος Ἰωάννης, ἀλλὰ καὶ οἱ μετ' αὐτὸν Ἀρχιερεῖς τῆς Ῥώμης, Μαρῖνος, Στέφανος, Φόρμοσος, καὶ ὁ μετ' αὐτὸν Ἰωάννης τὸν Φώτιον εἶχον ἀνίερον καὶ λαϊκὸν, καὶ ὑπὸ τοῦ θρόνου τῆς Ῥώμης καθῃρημένον, ὡς αἱ ἐπιστολαὶ αὐτῶν ἔτι σωζόμεναι μαρτυροῦσιν. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ὁ Μαρῖνος, ὡς εἴπομεν, κακοτεχνίαις καὶ πονηρίαις τὴν σκοπιὰν τῆς Ἐκκλησίας Ῥώμης κατέλαβε, μυριάκις τῶν λεγομένων ὑπὸ Λατίνων κατὰ Φωτίου χείρονα ἐργασάμενος, καὶ ἀλλαχόθεν, οὐκ ἀπὸ τῆς θύρας εἰς τὸν Πέτρου εἰσπηδήσας θρόνον, ἐῶ εἰπεῖν, ὅτι ἐνεκαλεῖτο ὑπὸ Φωτίου ὡς παράνομος, εἰ καὶ ψυχρολογίας μεστὴν ἀπολογίαν εἰς τὸν Βασίλειον γράφει ὁ Στέφανος, λιπὼν ἀδιήγητα τὰ κακὰ τοῦ Μαρίνου. περὶ δὲ τοῦ Στεφάνου τούτου, ἤτοι τοῦ ἕκτου ῥητέον, ὅτι εἰ οὐκ ἔστιν ἐπίπλαστος ἡ ἐπιστολὴ, ἀρκεῖ ἡ πρὸς τὸν Στυλιανὸν αὐτοῦ ἐπιστολὴ, ἐν ᾗ λέγει τὸν Βασιλέα γεγραφέναι αὐτῷ περὶ Φωτίου, ὅτι διὰ ἡσυχίαν παρῃτήσατο, ἐξ οὗ δείκνυται ὅσα λέγουσι τὸν Λέοντα τὸν σοφὸν καὶ τοὺς Πάπας ποιῆσαι κατὰ Φωτίου εἶναι ψευδῆ, ὅθεν διὰ ἔχθραν μόνον ἐξέβαλεν αὐτὸν ὁ Λέων, καὶ οὔτε παράνομον, οὔτε ἀνάξιον εἶπεν αὐτὸν, οὔτε τὴν ὑπὲρ αὐτοῦ ἠκύρωσε Σύνοδον. περὶ δὲ τοῦ Φορμόσου ἀρκεῖ ὅτι ἦν τῆς ἀπωλείας υἱὸς, κακότροπος καὶ κακοεργὸς, καὶ μάρτυς Ἀνατολὴ καὶ Δύσις, οὗτινος καὶ ὁ μετ' αὐτὸν Σέργιος ὁ τρίτος καὶ τεθνηκότος κατὰ θείαν παραχώρησιν ἔκοψε τὴν κεφαλὴν, καὶ εἰς Θύμβριν ἀπέῤῥιψε, τοιοῦτοι οἱ ἅγιοι ἄκροι Ἀρχιερεῖς ἐμάχοντο τῷ Φωτίῳ, καὶ ἀθετοῦσι τὴν ἁγίαν ὑπὲρ Φωτίου Σύνοδον, ἄδικοι καὶ τοῦ δικαίου καὶ παράνομοι κατὰ τοῦ τιμίου ἀγωνιζόμενοι. δεύτερον, ὅτι ἀνεθεμάτισαν τὸν Φώτιον μετὰ θάνατον Πάπαι, ὁ μὲν Ἀλάτιος λέγει ἐννέα, ὁ δὲ Βίνιος δεκατρεῖς, καταχρώμενοι καὶ οἱ δύο τοῦ Στυλιανοῦ τὴν ἐπιστολὴν, ἔστωσαν ὅμως καὶ πεντακόσιοι οἱ τοιοῦτοι Πάπαι, τί πρὸς τοῦτο; αἱ τοιαῦται βρονταὶ εἰς ἀκοὴν ψόφου οὐκ εἰς φθορὰν, ὁ δὲ κεραυνὸς ὀλιγάκις. Κρείσσων εἷς ποιῶν τὸ θέλημα τοῦ Κυρίου, ἢ μύριοι παράνομοι, λέγει ὁ Σειράχ. καὶ Ἔξοδος κεφαλαίῳ εἰκοστῷ τρίτῳ, Οὐκ ἔσῃ μετὰ πλειόνων ἐπὶ κακίᾳ. περὶ δὲ τοῦ Στεφάνου, ἤτοι τοῦ ἑβδόμου ῥητέον πρῶτον, ὅτι γέγονε Πάπας σιμωνιακῶς. δεύτερον, ὅτι ἤνοιξε τὸν τάφον τοῦ Φορμόσου, καὶ ἐκβαλὼν τὸ λείψανον αὐτοῦ, ἐξέδυσεν αὐτὸ τὰ ἱερατικὰ ἄμφια, καὶ ἐνδύσας αὐτὸ λαϊκὰ, ἔθαψεν αὐτὸ ὅπου ἦσαν τεθαμμένοι λῃσταὶ, ἔκοψε δὲ καὶ τὰ δύο αὐτοῦ δάκτυλα, καὶ ἔῤῥιψεν αὐτὰ εἰς τὸν ποταμὸν Τίβεριν, καὶ ταῦτα πάντα διὰ ἔχθραν. ὦ Ἥλιε καὶ γῆ καὶ αὐτοὶ οἱ Ἄγγελοι μαρτυρήσατε, εἰ Ἀνατολικόστις τοιαῦτα εἰργάσατο, ἰδέτω καὶ ὅλος ὁ κόσμος ποῖοι εἰσὶν οἱ κατήγοροι τοῦ Φωτίου. ΑΝΤΙΘΕΣΙΣ ΕΙΚΟΣΤΗ ΠΡΩΤΗ. Ὁ Λέων ὁ σοφὸς ὑπερόριον ἐποίησε τὸν Φώτιον, καὶ προεχειρίσατο Πατριάρχην τὸν ἀδελφὸν αὐτοῦ Στέφανον, καὶ κατεσκεύασεν ἵνα βεβαιωθῇ ἀπὸ τῆς αὐθεντίας τοῦ Πάπα, ὡς Στυλιανὸς μαρτυρεῖ. Ἀλλ' εἴρηται πρότερον καὶ ἤδη ῥητέον, πρῶτον, ὅτι ὁ Λέων οὐκ ἐξέβαλε τὸν Φώτιον μετὰ δικαιοσύνης, ἀλλὰ διὰ πάθος καὶ μῖσος, νομίσας αὐτὸν ἀπὸ διαβολῶν τῶν ἐχθρῶν ἐπίβουλον αὐτοῦ, ἀπὸ αἰτίας τῆς περὶ Σανταβαρηνοῦ ὑποθέσεως, καὶ ἴδε τὸν Ζωναρᾶν καὶ τοὺς λοιποὺς ἱστορικοὺς, ὧν ἐμνήσθημεν ἀνωτέρω, ὅπου ἐβιάζετο ὁ Σανταβαρηνὸς ὑπὸ τῶν Ἀρχόντων τοῦ Βασιλέως Λέοντος μαρτυρῆσαι, ὅτι ὁ Φώτιος ἐστὶ τοῦ Βασιλέως ἐπίβουλος, καὶ ἐζήτησε καθαιρεθῆναι ὁ Σανταβαρηνὸς ὑπὸ τοῦ Φωτίου, ἵνα παιδευθῇ ὑπὸ τοῦ Βασιλέως ὡς ἀνίερος, καὶ μὴ καταφρονεῖσθαι τὴν Ἱερωσύνην, ὁ δὲ Φώτιος εἶπεν αὐτῷ, Μὰ τὴν ἐμὴν σωτηρίαν κύριε Θεόδωρε Ἀρχιεπίσκοπος εἶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι. οὕτω λοιπὸν ὁ Λέων μαινόμενος κατὰ Φωτίου, ἔδραμεν εἰς τὸ ἀρχαῖον φύσημα κατὰ τῶν ἁγίων εἰς τὴν Ῥώμην, καθὼς καὶ μετέπειτα ὅτε παρανόμως ἔλαβε τετάρτην γυναῖκα ἐκεῖσε ἔδραμεν εἰς ἐκεῖνον τὸν Πάπαν Θεόδωρον, ὃς κατὰ τὸν Πλάτιναν ἦν ἀκόλουθος πάντων τῶν κακῶν, καὶ τὰς κατὰ Φορμόσου ἀποφάσεις ἐβεβαίωσε, καὶ καθεξῆς τὴν τετραγαμίαν, οὗ ἕνεκεν κατακρίνεται ὁ Νικόλαος Κωνσταντινουπόλεως, καὶ προεχειρίσθη ὁ Εὐθύμιος ζῶντος τοῦ Νικολάου, καὶ οἱ Πάπαι οἱ μαινόμενοι περὶ τῆς χειροτονίας Φωτίου, ἐσιώπων περὶ τοῦ Εὐθυμίου, κολακευόμενοι ὑπὸ τοῦ Λέοντος. δεύτερον, ὅτι ὁ Στυλιανὸς ἐστὶν ὁ μαρτυρῶν, ὅθεν καὶ ψεύστης, καὶ ἀνύπαρκτα τὰ λεγόμενα. τρίτον, ὅτι ὁ Στέφανος ὁ ἀδελφὸς τοῦ Βασιλέως εἰ δικαίως προεβλήθη, τίνος συγχωρήσεως ἔχρῃζεν, οὔσης τῆς χειροτονίας αὐτοῦ κανονικῆς; εἰ δὲ ἀδίκως, πῶς ὁ Ῥώμης αὐτῷ μὲν ἀδίκως προβληθέντι συνεχώρει, ἐμαίνετο δὲ τῷ Φωτίῳ ἕνεκεν τῆς παρανόμου χειροτονίας; ἀδίκως λοιπὸν ἐξεβλήθη ὁ θεηγόρος Φώτιος, καὶ ὁ Στέφανος καθὼς καὶ ἄλλοι, ὡς εἴπομεν ἀνωτέρω, προβληθεὶς, ἔμεινε γνήσιος Πατριάρχης, ἡ βεβαιότης δὲ τοῦ Ῥώμης ἦν κοινωνία παρανομίας. ΑΝΤΙΘΕΣΙΣ ΕΙΚΟΣΤΗ ΔΕΥΤΕΡΑ. Ὁ Βυζάντιος Σίμων γράφει πρὸς Ἰωάννην Νομοφύλακα, ὅτι ὁ Συννάδων Μιχαὴλ, ὅτε ἦν ἔγκυος τὸν Φώτιον ἡμήτηρ αὐτοῦ, ἔθιξε τῆς κοιλίας αὐτῆς τῇ ῥάβδῳ αὐτοῦ, βουλόμενος δῆθεν τύψαι αὐτὴν, εἰπὼν, Βλέπω ὅτι τὸ βρέφος γενήσεται Πατριάρχης, καὶ ποιήσει τὰ, καὶ τὰ, κακά. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι αὐτός ἐστιν ὃν εἴπομεν ἀνωτέρω Μάγιστρον, εἰ δέ ἐστιν ἄλλος, ἀπὸ τοῦ Μαγίστρου ταῦτα ἔλαβεν. ἀρκεῖ δὲ ὅσα εἴπομεν περὶ αὐτοῦ. δεύτερον, ὅτι εἰς ἐν καὶ μόνον κατηγοροῦσι τὸν Φώτιον ὅσοι περὶ αὐτοῦ ἀξιόπιστοι λέγουσιν, ὅτι ἐπατριάρχευσε ζῶντος τοῦ Ἰγνατίου, τὰ δ' ἄλλα αὐτοῦ ἅγια καὶ δίκαια. εἰ δὲ τὸ αὐτὸ γράφει ὁ Ἰωάννης αὐτὸς εἰς τοὺς Μοναχοὺς τῆς Κωνσταντινουπόλεως, ἀλλὰ καὶ αὐτὸ μάταιον, πρῶτον, ὅτι ἀμφιβόλως. δεύτερον, ὅτι ἀπὸ τοῦ Σίμωνος μαθὼν ἔγραψεν οὐκ ἄλλοθεν, ὅπερ ταὐτὸν ἐκείνῳ. ΑΝΤΙΘΕΣΙΣ ΕΙΚΟΣΤΗ ΤΡΙΤΗ. Ὁ Λέων ἐξέβαλε τὸν Φώτιον καὶ ἐξώρισεν αὐτὸν, ἐπειδὴ ἔλαβε τὴν ἐπιστολὴν, ἣν

προέ-

προέπεμψεν εἰς τὸν πατέρα αὐτοῦ τὸν Βασίλειον ὁ Ῥώμης Στέφανος, καὶ μαθὼν τὴν δύναμιν αὐτῆς, καὶ ἐρευνήσας πάσας τὰς κακοπραγίας Φωτίου, εὐθέως ἀνεκαλέσατο πάντας τοὺς Ἱερεῖς τῆς ἀληθείας, οὓς ἐδίωξεν ὁ Φώτιος, καὶ ἐκάθηρε, καὶ ἐξώρισεν αὐτὸν, καὶ ἐποίησε τὸν ἀδελφὸν αὐτοῦ Στέφανον Πατριάρχην, καὶ ἐζήτησε συγχώρησιν ἀπὸ τοῦ Ῥώμης, ὅτι ἦν κεχειροτονημένος ὁ Στέφανος Διάκονος ὑπὸ τοῦ Φωτίου. Ἀλλὰ παλιλλογητέον πρὸς τοὺς μὴ αἰσχυνομένους τὰ αὐτὰ πολλάκις ἀνακυκλεῖν, καὶ ῥητέον πρῶτον, ὅτι οὐ διὰ Στέφανον, ἢ τὰ Στεφάνου γράμματα ἐξώσθη ὁ Φώτιος, ἀλλ' ὅτι ὁ Λέων ἦν ἐχθρὸς τοῦ Φωτίου, καὶ κατεσκεύασε μυρίας τέχνας ἵνα ἐκβάλλῃ ἀπὸ τοῦ θρόνου τὸν Φώτιον, καὶ δόξῃ ὅτι δικαίως αὐτὸν ἐξέβαλε, καὶ μάρτυρες ἀξιόπιστοι οἱ εἰρημένοι ἀνωτέρω, καὶ αὐτὸς ὁ Κεδρινὸς εἰς τὴν σύνοψιν αὐτοῦ λέγων, ὅτι ὁ Λέων ἀφῆκε τὰ πολιτικὰ, καὶ εἰς μόνον ὠργίζετο τὸν Σανταβαρηνὸν, καὶ προκατεστήσατο εὐλογοφανεῖς αἰτίας, ἵνα φανῇ δικαίως πράττειν τὰ κατ' αὐτοῦ, ὅθεν γινώσκων ὅτι ὁ Φώτιος αὐτῷ βοηθήσει, ἐπειδὴ ὑπωπτεύθη εἰς τὰ κακὰ τοῦ Σανταβαρηνοῦ ἐσχηκέναι καὶ τὸν Φώτιον εἴδησιν, καὶ θέλων καθελεῖν τὸν Φώτιον, πρῶτον ἔστειλεν εἰς τῆς ἁγίας Σοφίας τὸν Ἄμβωνα τὸν Ἀνδρέαν Στρατηλάτην καὶ Ἰωάννην τὸν Μάγιστρον, καὶ ἀνέγνωσαν τὰς πλασθείσας αἰτίας κατὰ Φωτίου, εἶτα καθεῖλε τὸν ἄνθρωπον, ἔπειτα ἔφερε τὸν Σανταβαρηνὸν, καὶ ἔβαλεν αὐτὸν εἰς ἀνάγκην, ἵνα μαρτυρήσῃ ὅτι ὁ Φώτιος αὐτὸν ἔβαλεν ἐπιβουλεῦσαι αὐτῷ δηλονότι τῷ Βασιλεῖ, ὥστε καὶ οἱ Ἄρχοντες ἐμαρτύρουν, ὅτι ὁ Σανταβαρηνὸς εἶπεν αὐτοῖς κατὰ Φωτίου, ἀλλ' ἐστάθη ὁ Σανταβαρηνὸς καὶ ἀπέδειξεν αὐτοὺς ψεύστας. ὁ δὲ Βασιλεὺς αἰσχυνθεὶς ὡς μὴ εὑρὼν αἰτίας εὐλόγους, μετὰ τὸ καθελεῖν τὸν Φώτιον, ἔδησε τὸν Σανταβαρηνὸν, καὶ τυφλώσας αὐτὸν, ἐξώρισεν εἰς Ἀθήνας, ἢ κατὰ τὸν γραμματικὸν Λέοντα εἰς τὸν Ἄθω, καὶ μετὰ καιρὸν ἔφερεν αὐτὸν, καὶ περιεποιήσατο αὐτόν. ἀλλὰ δὴ καὶ ὁ Ζωναρᾶς φησὶ τὰ αὐτὰ, λέγει γὰρ, Αὐτοκράτωρ γεγονὼς ὁ Λέων, αὐτίκα πρὸς ἄμυναν διανέστη τοῦ Σανταβαρηνοῦ, ὑποπτεύων δὲ ὡς ἀντιλήψεται τούτου ὁ Πατριάρχης Φώτιος, φιλίᾳ πρὸς αὐτὸν διακείμενος, αἰτίας πλάττει κατὰ τοῦ Πατριάρχου διὰ τὸ προσκεῖσθαι φιλίᾳ τῷ Σανταβαρηνῷ, καὶ ἐξωθεῖ τοὺς Ἐκκλησίας αὐτὸν, καὶ ἐν τῇ τῶν Ἁρμενιακῶν περιορίζει Μονῇ. καὶ σημείωσαι, ὅτι καὶ ἐντεῦθεν φαίνεται ἀνυπόστατος καὶ ψευδὴς ἡ λεγομένη κατὰ Φωτίου Οἰκουμενικὴ Συνόδος, ὅτι ὁ Βασιλεὺς ὁ τοσοῦτον λίαν διψῶν τοῦ εὑρεῖν αἰτίαν ἔυλογον κατὰ τοῦ Φωτίου, ποίαν ἄλλην εὕρισκεν εὐλογωτέραν εἰπεῖν, ἀλλ' ἢ ὅτι ὁ Φώτιος καθηρέθη καὶ ἀνεθεματίσθη ὑπὸ Οἰκουμενικῆς Συνόδου, καὶ ὕστερον αὐτὸς ἤθροισε ψευδοσύνοδον καὶ ἐδικαιώθη; μήτε εἰπέτι τῶν ὅσα ὁ Στυλιανὸς καὶ Μητροφάνης καὶ Νικήτας καὶ Σίμων καὶ οἱ Ῥωμαῖοι κατηγόρησαν αὐτοῦ τοῦ Φωτίου, μήτε ὅτι τὸν Ἰγνάτιον ἀπέκτεινεν ὁ Φώτιος, μήτε ὅτι μαγγανείαις εἰς τὸν θρόνον ἀνῆλθεν, ἐπειδὴ καὶ τὰ τοιαῦτα παντελῶς οὐκ ἦσαν, ἅπερ ὕστερον ἔπλασαν οἱ Λατῖνοι, διατοῦτο μήτε ἐκεῖνος ταῦτα εἶπε, μάλιστα αἰσχυνθεὶς, ἵνα μὴ κατηγορηθῇ ὅτι ἀναιτίως ἐξέβαλε τὸν Πατριάρχην, ἔγραφε τῷ Ῥώμης Στεφάνῳ, ὡς αὐτὸς ὁ Στέφανος γράφει τῷ Στυλιανῷ, ὡς ὁ Βασιλεὺς ἔγραψεν αὐτῷ, ὅτι Φώτιος ἐγγράφως διὰ ἡσυχίαν τὸν θρόνον παρῃτήσατο, καὶ ἰδίως τὰ περὶ ἑαυτοῦ συνεφώνησε, ταπείνωσιν αὐτὶ ὑπερηφανίας ἑλόμενος. δεύτερον, ὁ Στέφανος συγχωρήσεως ἀπὸ τοῦ Ῥώμης τοιαύτης οὐκ ἔχρῃζεν, ἐπειδὴ ὑπὸ τῆς ἐπὶ Φωτίου Οἰκουμενικῆς Συνόδου ἐφημίσθη. ΑΝΤΙΘΕΣΙΣ ΕΙΚΟΣΤΗ ΤΕΤΑΡΤΗ. Ὁ Φώτιος ὡς κακότροπος τυχὸν ἀπέθανεν εἰς τὴν ἐξορίαν, ὡς ἱστορεῖ Λέων ὁ γραμματικὸς, καὶ ἀπετέθη τὸ σῶμα αὐτοῦ εἰς τὴν Μονὴν τὴν λεγομένην τῆς Ἐρημίας ἐν τῇ Μερδοσαγάρῃ, οὔσης πρότερον καθολικῆς Ἐκκλησίας. Ἀλλὰ ῥητέον, καὶ ὁ Χρυσόστομος (ἵνα μὴ λέγω προφήτας καὶ Ἀποστόλους) εἰς ἐξορίαν ἀπέθανεν, καὶ Εὐστάθιος ὁ Ἀντιοχείας, καὶ Εὐσέβιος Σαμοσάτων, καὶ Φλαυϊανὸς Ἀντιοχείας, καὶ Ἠλίας Ἱεροσολύμων, καὶ Μακεδόνιος, καὶ Παῦλος Κωνσταντινουπόλεως ὁμοίως εἰς ἐξορίαν ἀπέθανον, καὶ πολλὰ κατεκρίθησαν, ὅθεν εἴτι λόγον εἶχον ἐκεῖ οἱ διῶκται τῶν ἁγίων, εἶχεν ἐνταῦθα ὁ Νικόλαος καὶ οἱ περὶ αὐτὸν, διὰ φθόνον πάντα κάλων κινοῦντες, καὶ οἷον λόγον εἶχεν ὁ Ἰσχύρας εἰς τὸν ἅγιον Ἀθανάσιον, εἶχον ἐνταῦθα Στυλιανὸς καὶ οἱ λοιποὶ, καὶ ὡς ἐδελεάσθη ἐκεῖ ὁ μέγας Κωνσταντῖνος καὶ ὁ πανευλαβὴς Ἀρκάδιος, οὕτω καὶ ὁ θειότατος ἐνταῦτα Βασιλεὺς Λέων, μάλιστα ὡς ἐκεῖ κεφάλαια καθαιρέσεως πλαστὰ καὶ ὅλως ψευδῆ, οὕτω καὶ ἐνταῦθα οἱ εἰρημένοι ἐψεύσθησαν καὶ ἐῤῥαδιούργησαν. εἶτα ὁ Μοναχὸς Γεώργιος οὐ λέγει τῆς Ἐρημίας, ἀλλὰ τοῦ Ἱερεμίου, καὶ ἐπιλέγει, ὅτι αὐτὴν ἔκτισεν ὁ Φώτιος γυναικεῖαν Μονὴν, ὅθεν ἐτάφη ὁ Φώτιος εἰς Μονὴν τιμίαν, ἣν αὐτὸς ὠκοδόμησεν, ἣν δὲ ἢ ἔσω, ἢ ἐγγὺς τῆς Κωνσταντινουπόλεως. ἱστορεῖ γὰρ Λέων ὁ γραμματικὸς, ὅτι Κωνσταντῖνος ὁ Λὶψ ἐκάλεσε Λέοντα Βασιλέα τὸν σοφὸν εἰς τὰ ἐγκαίνια τῆς Μονῆς αὐτοῦ ἐν τῇ Μερδοσαγάρῃ, καὶ εἱστίασε, καὶ πρὸς τούτοις ὁ Φώτιος ἐπεποιήκει αὐτὴν Μοναστήριον, γυναικῶν μοναζουσῶν κατοικητήριον. πρὸς τούτοις ὡς εἴρηται καὶ ἀνωτέρω, ὁ Πορφυρογέννητος Κωνσταντῖνος εἰς τὴν ζωὴν τοῦ πάππου αὐτοῦ Βασιλείου λέγει περὶ Φωτίου, Οὐ μὴν οὐδὲ πρὸ τούτου διέλιπε φιλοφρονούμενος καὶ τιμῶν αὐτὸν διὰ τὴν ἐν αὐτῷ παντοδαπῆ σοφίαν καὶ ἀρετὴν, ἀλλὰ τῆς μὲν καθέδρας μεστέστησεν, οὐδὲν τοῦ δικαίου ἄγειν ἐπίπροσθεν θέλων, ὅμως τῶν εἰς παραμυθίαν οὐδὲν ἐνέλιπε παρεχόμενος, ὅθεν καὶ τοῖς βασιλείοις διατροφὴν αὐτῷ δοὺς, τῶν οἰκείων ἀπέδειξε παιδευτὴν καὶ Διδάσκαλον. ἐξ ὧν δῆλον, ὅτι διὰ τὸ περιεῖναι τὸν Ἰγνάτιον ἐξέβαλεν αὐτὸν, οὐ μὴν καὶ ἐκάκου, ἀλλὰ καὶ εἰς

τὴν

τῷ ἐξορίαν τὸ πρῶτον ἀφ' ἡμῶν ἦγον, ἆρα καὶ τὸ δεύτερον· εἰ δὲ καὶ μόνῳ αὐτῷ εἰς τὰς ὑπηρεσίας αὐτῷ λέγει, ἐχρῆν σὺν πειρασμὸς πολλοὺς, ὅμως ἐκ τοῦ καιροῦ ἦσαν καὶ οὐκ ἀεί. σὺ δὲ σημείωσαι καὶ τὸν Κεδρηνὸν λέγοντα, Ἰγνατίῳ δὲ τῷ Πατριάρχῃ τῷ παρῶσαν μεταλάξαντι ζωῇ, ἀπέδωκε τῷ Ἐκκλησίαν Φωτίῳ ὁ Βασιλεύς. δεύτερον, ὅτι Στυλιανὸς ἕως ὅτε ἠγωνίζετο κατὰ Φωτίου, ἔλεγε τῷ Ῥώμης, Ἐπειδὴ ἴσμεν ὅτι οὐκ ἐκ τοῦ ἀποστολικοῦ ὑμῶν θρόνου τὸ ἰθύνεσθαι καὶ κανονίζεσθαι ἔχομεν. ὅτε δὲ ἐγένετο ὁ ἀδελφὸς τοῦ Βασιλέως Στέφανος Πατριάρχης, καὶ οἰκονομήσας Φωτίῳ ζητοῦντι συγχώρησιν, εἰς ἑαυτὸν ἐλθὼν ὁ Στυλιανὸς, οὐκ ὕψος πλέον τῶν Ῥώμης, ἀλλ' ἔγραφε Στεφάνῳ, Παρακαλῶμεν ἐγκυκλίους ἀποστολὰς πέμψαι ἕως τοὺς Πατριάρχας τῶν τῆς Ἀνατολῆς θρόνων, ὡς ἂν καὶ αὐτοὶ τῷ παρ' ὑμῶν οἰκονομίαν δεξάμενοι, συνασπίσωσι καὶ συνεπισφραγίσωσι καὶ ἀφ' ἡμῶν τῷ ἀξίωσιν τοῦ σοφωτάτου ἡμῶν Βασιλέως. τρίτον, ὁ Ῥώμης Στέφανος ἔλεγε, τοὺς ὑπὸ τοῦ Φωτίου χειροτονηθέντας οὐ δέχεται, ἀλλ' ὁ Στυλιανὸν αὐτοῖς ἔπεμπεν, ὅτι Ἀθανασίῳ ἕως Ῥεφῖνον γράφει μόνους τοὺς ἀρχηγοὺς τῶν Αἱρέσεων καὶ σχισμάτων ἀποῤῥίπτεσθαι· ὅτως ἔπαθον οἱ Ῥώμης, καὶ ὅτως ἠθέτησαν αὐτὸν οἱ βιηθοὶ αὐτοῦ κατὰ Φωτίου, συνηγορήσαντες τοῖς ὕστερον τῇ ἀληθείᾳ. ΑΝΤΙΘΕΣΙΣ ΕΙΚΟΣΤΗ ΠΕΜΠΤΗ. Γρηγόριος ὁ Πρωτοσύγκελλος εἰς τὰς ἀποκρίσεις αὐτοῦ ἕως Μάρκου τοῦ Ἐφέσου λέγει· ὅτι τὰ πρακτικὰ τῆς κατὰ Φωτίου Συνόδου ἦσαν εἰς τὴν Μονὴν τοῦ Προδρόμου τῆς Πέτρας, δικαιοῦντα δηλονότι Ἰγνάτιον καὶ καθαιροῦντα Φώτιον. Ἀλλὰ ῥητέον, πρῶτον, ὅτι ἐχρὴ λέγειν Πρωτοσύγκελλον, ἀλλὰ Γρηγόριον ἕνεκα τοῦ τῆς ἀσεβείας, ἀποστάτου τῆς ἁγίας Ἐκκλησίας, λατινόφρονα, ἀποβεβλημένον. δεύτερον, ὅτι εἰ ἦσαν ἀληθῆ ὅσα βέβηλα εἶπεν ὁ Παφλαγὼν κατὰ Φωτίου, καὶ ἡ Συνόδος ἐκείνη ὅσα εἶπε κατ' αὐτοῦ, ἔλεγον αὐτὰ ὕστερον Λέων ὁ σοφὸς, ἀλλ' ὡδὶ εἶπε τοιοῦτον, ἆρα τὰ πάντα ψευδῆ. τρίτον, ὅτι ἡ Ἐκκλησία ψάλλει, ὡς εἴρηται, Πάντα τὰ κατὰ Φωτίου γραφέντα, ἢ λαληθέντα, ἀνάθεμα. ΑΝΤΙΘΕΣΙΣ ΕΙΚΟΣΤΗ ΕΚΤΗ. ὁ Μετενεβασίας Δωρόθεος εἰς τὴν ἱστορίαν τῶν Συνόδων λέγει, ὅτι ὁ Βασιλεὺς ἐξέβαλε συνοδικῶς τὸν Φώτιον ὡς ἀθέμιτον, καὶ ἀποκατέστησε τὸν Ἰγνάτιον ὡς νόμιμον. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι καὶ ἡμεῖς εἰς τοῦτο συναινοῦμεν, ἐπειδὴ καὶ Κεδρηνὸς καὶ Ζωναρᾶς, καὶ ὁ Πορφυρογέννητος, καὶ ἄλλοι ἱστορικοὶ ταῦτα ἱστοροῦσι, τὴν Συνόδον ὅμως ἣν λέγει ὅτι τὸν Φώτιον εἶπε κοσμικὸν, Φονέα, μάγον, ὃν καὶ ἀναθεματίζει, καὶ τὰ λοιπὰ, ἔχομεν ψευδῆ, πλαστὸν, καὶ ἀποτρόπαιον. δεύτερον, ὅτι ὅτος ἀλλαχοῦ δύναται Ἱερόθεος ὁ Δωρόθεος, καὶ βεβαιοῖ τὴν ἁγίαν Συνόδον Φωτίου Συνόδου, ὅτωσὶ λέγων, Ἡνώθη ἡ νέα Ῥώμη τῇ παλαιᾷ, καθότι γέγονεν εἰς τὴν ἁγίαν Σοφίαν Σύνοδον τελεσθεῖσαν ὑπὸ ἑκατὸν καὶ νέα Ἐπισκόπων, καὶ ἐπαινεῖ μὲν τὸν Φώτιον ὡς ἅγιον ἄνθρωπον, εἶτα λέγει βεβαιοῦσαι τὴν Σύνοδον καὶ τὸ ἅγιον Σύμβολον, καὶ τὸ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς, ἀλλ' ἐκ καὶ ἐκ τοῦ Υἱοῦ, καὶ γράψαι καὶ τρεῖς Κανόνας. ὅτι δὲ ὁ Φώτιος ἦν ἄνθρωπος ἅγιος, δῆλον, πρῶτον, ὅτι ἡ Ἐκκλησία τοιοῦτον αὐτὸν ἔχει. δεύτερον, Συμεὼν ὁ Μάγιστρος ἱστορεῖ, ὅτι ἐλθόντος πλήθους Ῥώσων κατὰ τὴν Βυζαντίδα, Μιχαὴλ καὶ Φώτιος λιταυεύοντες ἐν Βλαχέρναις, ἔβρεξαν τὸ ἄκρον τοῦ μαφορίου τῆς Θεοτόκου εἰς τὴν θάλασσαν καὶ ἐγένετο μεγάλη ζάλη, καὶ συγκατέδυσαν τὰ Ῥωσικὰ πλοῖα, πλὴν ὀλιγίστων. σαφέστερον δὲ λέγει τὸ αὐτὸ Κωνσταντῖνος ὁ Πορφυρογέννητος, ὅτι, Ῥώσων ἐλθόντων, καὶ τοῦ Μιχαὴλ κατὰ Ἰσμαηλιτῶν ἐκστρατεύοντος, Φωτίῳ ἐξιλεώσατο τὸ θεῖον, καὶ ἐπανεσείφησαν, καὶ μετὰ πολὺ ἦλθον ζητοῦντες ἀφ' πρεσβυτοῦ βαπτισθῆναι, ὃ καὶ γέγονεν. ἴδε καὶ εἰς τὸν βίον Νικολάου Στουδίτου, ὅπου λέγει ἀφ' τὴν αὐτοῦ ἔφησιν αὐτοῦ, Φώτιον μὲν, Πρωτασηκρῆτις δὲ τότε ὑπάρχοντα· ἐπ' εὐλαβείᾳ δὲ καὶ γνώσει πολὺ φημιζόμενον. ΑΝΤΙΘΕΣΙΣ ΕΣΧΑΤΗ. Φραγγίσιος Τρειανὸς Λατῖνος ἱστορικὸς γράφει ἐν ταῖς πράξεσι τῶν Συνόδων, ὅτι ἐν τῇ ὀγδόῃ, ἤτοι τῇ ὑπὲ τοῦ Πάπα Ἰωάννου Συνόδῳ διορίσθη ἀφαιρεθῆναι τοῦ Συμβόλου τὸ καὶ τοῦ Υἱοῦ, τοῦτο καὶ ἕτεροι πολλοὶ λέγουσιν. Ἀλλὰ ῥητέον, ὅτι περὶ τούτου πολλάκις εἴρηται ἀνωτέρω, καὶ πάλιν λέγομεν, ὅτι ἡ προσθήκη ἦν οὐ τῆσιν Ἐκκλησίαις τῆς Γαλλίας, ἐμοῦ καὶ ἐν τῇ Ῥώμῃ, ἡ δὲ Συνόδου κωλύσασα τὴν προθήκην, ἐνόησεν ὅτι ἀφῆρησε τούτου καὶ ἐκ τῶν τεθεικότων ἐν τῷ Συμβόλῳ, εἰ δὲ ἐκεῖνοι ἐπῆνεσαν, οὐδὲν ἐκ τούτου πρόσκειται τῇ ἁγίᾳ Συνόδῳ. καὶ ταῦτα περὶ Φωτίου καὶ τῆς κατ' αὐτὸν Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ Ις'.

Περὶ τοῦ Πάπα Ἰωάννου ὑγιοῦς, καὶ πότε οἱ Πάπαι ἐβεβαιοῦντο ὑπὸ τῶν Καισάρων, καὶ πότε τοὺς Καίσαρας κατέβαλον οἱ Πάπαι, ἐκλεγόμενοι αὐτοῦ τῆς γνώμης αὐτῶν.

Μετὰ τὸν Λοδοβῖκον Ῥῆγα γαλλίας, ἐγένετο Ῥῆξ Κάρολος ὁ φαλακρὸς, καὶ γράφει αὐτῷ ὁ Ῥώμης Ἰωάννης, ὅτι καλὰ ἐποίησε μὴ φεισάμενος ἀποδιώξαι τοὺς Σαρακηνοὺς ἀπὸ τῆς Ἰταλίας, ἐπειδὴ καὶ

738

καὶ Δαυΐδ ἐψηφίθη βασιλεύς, ἵνα ἡ ὑπερφανείσης αὐτῦ, ὡσανὰ ἔλεγον ἵνα ἦ δουλευτὴς αὐτῦ. ἀλλ' ἔτως ἐσάθησαν οἱ πατρόσεπτοι Αὐτοκράτορες εἰς τὴν συμφωνίαν αὐτῶν, καὶ ἔτως ἐπεκράτησεν ἡ τῦ μεγάλυ Καρόλυ ὁμολογία περὶ τῦ Ῥώμης, ὥστε μετέπειτα τὸν Ἀρνοῦλφον περιποιηθῆναι τὴν Ἰταλίαν, καὶ λαβεῖν τὴν Ῥώμην καὶ τὸν Στέφανον τὸν Πάπαν ἀκυρίως κατὰ τὸ ὀνακαθισιὸν ὑπὸ Χριστῦ ἔτος, ᾧ θεσπίσαι χωρὶς ἐκλογῆς αὐτῦ Πάπαν μὴ γίνεσθαι, ἢν δέδωκε τῷ Ῥώμης πρῶτον μὴ ὁ Πωγωνᾶτος, δεύτερον δὲ ἀνεκήνισεν αὐτὴν Ἀδελαυὸς ὁ τείτος, καὶ διέμεινεν ἕως τῦ πρώτυ Ὄθωνος, ὃς ἔδωκε πάλιν τὴν ἐξυσίαν τοῖς Ῥωμαίοις, καὶ πάλιν Λέων ὁ ὄγδοος καὶ Γρηγόριος ὁ ἕβδομος ἔλαβον αὐτὴν ὑπὸ τῦ Ἑνρίκυ τῦ τετάρτυ, καὶ ἐξ ἐκείνυ ἔμεινεν ἡ ἐκλογὴ εἰς μόνους τοὺς Καρδηνάλεις καὶ τὸν Κλῆρον τῆς Ῥώμης. τοῦτο λίαν ἠγωνίσατο ὑποκατασῆσαι καὶ Νικόλαος ὁ πρῶτος, ἀλλὰ μὴ δυνηθείς, ἐξ ἀνάγκης ἐκολάκευε τὸν τότε Λοδοβίκον, ἵνα μὴ καταφρονηθῇ ὑπ' αὐτῦ, ὡς καὶ ὑπὸ τῦ Αὐτοκράτορος Μιχαὴλ, ὕστερον ὅμως ἴσχυσαν καταρθῶσαι τοῦτο οἱ ἱερωμένοι, ὅμως ὡσὲς κατὰ, καὶ ἔτως ἐγίνετο αὐτὸ, δηλαδὴ ποτὲ μὲν τὸν Πάπαν ἀφορίζειν τοὺς Καίσαρας αὐτῦ, καὶ κατεξανίσασθαι αὐτῶν, ποτὲ δὲ τοὺς ὑπερφανισθέντας τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ταπεινῦν τὸν Πάπαν, καὶ ψηφίζεσθαι αὐτοὺς Πάπαν, ὡς καὶ ὁ τείτος Ὄθων ὑποκατέστησε Πάπαν τὸν Γρηγόριον πέμπτον, καὶ ἔβαλε καὶ κεῖται εἰς τὴν Ῥώμην. ὑποθανόντος δὲ τῦ Καρόλυ, καὶ θέλων ὁ Ἰωάννης ἵνα χείρη τὸν υἱὸν τῦ Καρόλυ Αὐτοκράτορα, ὡς εἴρηται αὐωτέρω, τῶν Ῥωμαίων θελόντων τὸν Ῥῆγα τῆς Γερμανίας Κάρολον, δεσμεύεται ὁ αὐτὸς Ἰωάννης σωτερείᾳ μαρίνα τῦ ὕστερον κακοτρόπως γεγονότος Πάπα. ὁθὲν Ἰωάννης φυγὼν ὑπὸ τῶν δεσμῶν, ἀπέρχεται εἰς Φερέντζαν, καὶ χρίει Αὐτοκράτορα Λοδοβῖκον Βάλβον, ποιήσας δὲ καὶ Συνόδον εἰς τὴν Φερέντζαν, ἀφώρισε τοὺς Ἄρχοντας τῆς Ῥώμης ὡς συναναμφίους αὐτῷ. σημείωσαι δὲ ὅτι ὁρηθεὶς Ἰωάννης ἦν ὁ ἁγὶ Φωτίυ. ῥητέον δὲ ἐνταῦθα λυπηρῶς μὲν, ἀληθῶς ὅμως, ὅτι γεγόνασιν οἱ Πάπαι ὑπὸ τὸ νῦν ὄ μόνον ἡμαρτόμοι περὶ τὴν πίστιν, ἀλλὰ καὶ περὶ τὰ ἤθη, Δαυΐδ μήτε ἔχομεν περὶ αὐτῶν τι χαρίεν εἰπεῖν τὸ λοιπὸ, ἀλλὰ τὰ πάντα σκυθρωπὰ, καθότι καὶ ψεκτά.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τὸ πότε, καὶ πῶς ἐχειροτόνησαν οἱ Ῥῶσοι.

ῥῶσοι-

Κατὰ τὸν τὸν καιρὸν ἔσπευδαν οἱ Σέρβοι, οἱ καὶ Χρωβᾶται καλούμενοι Ἀποκρισιαρίους, ἵνα καὶ αὐτοὶ δηλαδὴ δυρίσκωνται ὑποτεταγμένοι τῷ Βασιλεῖ, καθὼς καὶ οἱ Βούλγαροι, καὶ ἐχειροτόνησαν καὶ κατετρεπώθησαν. καὶ Ἑβραῖοι πολλοὶ ἐχειροτόνησαν τῷ ἑβδόμῳ καὶ ὀγδόῳ ἔτει τῦ Βασιλέως Δαὶ τὰ δῶρα ἅπερ αὐτοῖς ἐχαρίσατο, καὶ παρεκίνει αὐτοὺς εἰς τὴν δυσέβειαν. ἀλλὰ καὶ οἱ Ῥῶσοι ἐχειροτόνησαν, καθὼς ἱστορεῖ ὁ Πορφυρογέννητος, ὅτι μετὰ τὸ φιλιωθῆναι αὐτοὺς μετὰ τῦ Βασιλέως καὶ συμφωνῆσαι, ἀπέστειλε καὶ Ἀρχιεπίσκοπον ἀπὸ τῦ Πατριάρχου ἰγνατίυ, ἵνα κατηχήσῃ καὶ διδάξῃ αὐτοὺς τὴν χειροτονικὴν πίστιν κατὰ τὸ σωθὲν. καὶ λοιπὸν ὁ Ἐπίσκοπος ἐδίδασκεν αὐτοὺς τὰ τῦ Θείυ Εὐαγγελίου, ᾗ ἐν τοῖς ἄλλοις διηγήσατο αὐτοῖς καὶ τὸ θαῦμα τῶν τελῶν παίδων, τῶν μὴ καιόντων, ἀλλὰ μενάντων ἀσινῶν καὶ ἀβλαβῶν ἐν μέσῳ τῆς καμίνυ. τότε ὁ Τοπάρχης ὤρεξε τὸν Ἐπίσκοπον ἔμπροσθεν τῶν Ἀρχόντων καὶ εἶπεν αὐτῷ, Ἐὰν μὴ ποιήσῃς καὶ σὺ τὸ θαῦμά σου ἐξ ὧν λέγεις, καὶ διηγεῖται τὸ Εὐαγγέλιόν σου, ἡμεῖς παντελῶς οὐ πιστεύομέν σοι. ὑπέσχετο ὁ Ἀρχιερεύς, θαῤῥῶν εἰς τὰ ἀψευδῆ λόγια τῦ Σωτῆρος, τὰ εἰπόντος, Ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει (καὶ γὰρ ἡ σκιὰ τῦ Πέτρυ ἐθεράπευε τοὺς Πράξεις τῶν Ἀποστόλων) ὅθεν ὁ Αὐγουστῖνος συμπεραίνει, Καὶ εἰ ἡ σκιὰ τῦ Πέτρυ ἦν τοσοῦτον ἰσχυρὴ, τί ποιήσει ἡ Εἰκὼν, τὸ λείψανον καὶ ἡ ἄλυσις αὐτῦ; λαλήσουσι Δαφόροις γλώσσαις, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι (καθὼς ὁ Θεοφάντου Βασιλεὺς ἐποίησε Δι' τῆς προσευχῆς αὐτῦ, καὶ ἐδιδάχθη ὁ Συρὸς Ἐφραὶμ τὴν ἐλληνικὴν Δι' ἄλλυ, γενέμβους δὲ θυθὺς θεσπίσαντας) ἐζήτησαν ἔν οἱ Ῥῶσοι ὁμοθυμαδὸν, ἵνα βάλῃ εὐθὺ εἰς τὴν ἀκημμένην φλόγα τὸ Εὐαγγέλιον αὐτῦ, καὶ ἐὰν μὴ καῇ, πιστεύσωσιν, ἐὰν δὲ καταμαῇ, κατακαύσωσι καὶ τὸν ἴδιον Ἐπίσκοπον. ὕψωσε τότε ὁ Ἀρχιερεὺς τὰς χεῖρας αὐτῦ πρὸς τὸν Οὐρανὸν, καὶ εἶπε, Δεῖξον τὴν δυνασταίαν σου Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ ἀγλάσον τὸ ὄνομά σου εἰς ὑπερφυῆ τῦ ἔθνος τοῦτο, καὶ ἔρριψεν αὐτὸ εἰς τὸ πῦρ. καὶ ὢ τῦ θαύματος, ἔμεινεν ἀβλαβὲς, ἕως ἂν ἐσβέσθη τὸ πῦρ, ἀνὸν τῦ παθεῖν τινα Δαφθοράν, ἀλύμαντον καὶ ἀκέραιον, ὅπερ θαῦμα ὡς εἶδεν ὅλος ὁ λαὸς τῶν Ῥώσων, ἐξεπλάγη, καὶ ἐζήτησαν αὐθωρεὶ τὸ ἅγιον βάπτισμα. τὴν αὐτὴν ἱστορίαν διηγεῖται καὶ ὁ Ζωναρᾶς, ὀνομάζων αὐτοὺς Ῥωσικὸς, ὃς ὁ Κεδρηνὸς ὀνομάζει Ῥῶσους, καὶ Ῥετένους ὁ Νικηφόρος, ἄλλοι δὲ λέγουσιν αὐτοὺς Ῥοξωλάνους.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν γεγονότων θαυμάτων διὰ τοῦ ἁγίου Εὐαγγελίου, καὶ τῶν ὑπερθαυμάστων αὐτοῦ ἐγκωμίων, προσκυνήσεώς τε καὶ τιμῆς αὐτοῦ καὶ τῶν ἐπ' αὐτῷ ὅρκων. καὶ περὶ τοῦ φοβεροῦ θεάματος, ὃ εἶδε ψυχορραγῶν ὁ Μακεδὼν Βασίλειος.

Γεγόνασι καὶ ἄλλα θαύματα διὰ τοῦ θείου Εὐαγγελίου, καθότι ὁ Πρεσβύτερος Μαρτιανὸς ὅτε εἶδε πλησιάσασαν τὴν φλόγα εἰς τὸν Ναὸν τῆς ἁγίας Ἀναστασίας, ἀνέβη μετὰ τοῦ ἱεροῦ Εὐαγγελίου εἰς τὴν στέγην, καὶ διὰ προσευχῶν καὶ δακρύων ἐφύλαξε τὸν Ναὸν ἐκεῖνον ἀκατάφλεκτον, ὡς λέγει ὁ Ἀναγνώστης Θεόδωρος, καὶ ὁ Νικηφόρος εἰς τὸ πέμπτον βιβλίον αὐτοῦ. καὶ κατὰ ἀλήθειαν εἰ ὅλη ἡ θεία γραφὴ λέγεται ὑπὸ τοῦ Αὐγουστίνου κυκλοπαιδείαπασῶν τῶν Ἐπιστημῶν, ἤγουν τέχνην τεχῶν, Ἐπιστήμη Ἐπιστημῶν, τῆς σοφίας Πανδῶρα καὶ Ἀθηνᾶ, εἴ ἐστι κατὰ τὸν Βασίλειον τῶν ψυχῶν ἐργαστήριον καὶ ἀποθήκη τῶν πνευματικῶν βοτανῶν καὶ καθάρσεων, ἐξάπαντος ὑπερέχει ἐν πάσῃ τῇ θείᾳ γραφῇ τὸ πάνσεπτον Εὐαγγέλιον, καθότι τὸ Εὐαγγέλιον ἐστὶ προφητεία ἀνεῳγμένη, καὶ ἡ προφητεία Εὐαγγέλιον κεκαλυμμένον. τὸ Εὐαγγέλιον θέλει ὁ Ἀμβρόσιος εἶναι πέλαγος, ἐν ᾧ εὑρίσκεται τὸ πλήρωμα τῶν χαρισμάτων, θάλασσαν τῶν πνευματικῶν Μυστηρίων, ἐν ᾗ πλέει ὁ μυστικὸς ἰχθὺς, ΙΗΣΟΥΣ, ΧΡΙΣΤΟΣ, ΘΕΥΟ, ΥΙΟΣ, ΣΩΤΗΡ, κατὰ τὴν ἀκροστιχίδα τῆς Σιβύλλης, τὸ Εὐαγγέλιον εἶπεν ὁ Ἀπόστολος Βαρθολομαῖος ὅτι φαίνεται μικρὸν εἰς τὸ μῆκος, ἀλλὰ μέγα καὶ εὐρύχωρον εἰς τὸ πλάτος τῶν νοημάτων γνωρίζεται. ὅθεν ὁ Ἱερώνυμος ἔφη ἐπιτομὴν πάσης Θεολογίας τὸ Εὐαγγέλιον. εὕρηται δὲ ἡ Θεολογία τριπλῆ κατὰ τὸν Ἀρεοπαγίτην Διονύσιον, περὶ νοημάτων, περὶ Μυστηρίων, περὶ συμβόλων, σύμβολά εἰσιν ὅλαι αἱ παραβολαὶ καὶ ὁμοιώσεις τοῦ Εὐαγγελίου, ἃς ὁ ἐμὸς ἔρως ὁ πνευματικὸς Πρωτεὺς οἰκονομικῶς προβάλλεται. οὐκ ἔσφαλεν ὅστις ὠνόμασε τὸ Εὐαγγέλιον βάσιν καὶ κέντρον τῆς παλαιᾶς διαθήκης, καὶ Ἥλιον τῆς νέας γραφῆς. καὶ ὁ Ὠριγένης ὁ ὀνομάσας ἀπαρχὴν ὅλης τῆς γραφῆς τὸ Εὐαγγέλιον, εἰς τοῦτο σφόδρα ἠλήθευσε, καθότι λίαν ὑπερέχει τοῦ Εὐαγγελίου ἡ φωνὴ πάσης ἄλλης παλαιᾶς διαθήκης φωνῆς. Ὅτε ἀναγινώσκεται τὸ Εὐαγγέλιον, ἀνάπτονται τὰ κηρία εἰς χαρᾶς σημεῖον. ἐβόα κατὰ Βιγιλαντίου ὁ Ἱερώνυμος, ὅστις γράφει ὅτι γίνεται τοῦτο εἰς ὅλην τὴν Ἀνατολὴν κατὰ καὶ τὴν μίμησιν τῶν πέντε φρονίμων Παρθένων, ἀλλὰ καὶ ἀνίστανται ὅλοι ἐπὶ τοὺς πόδας κατὰ τὸν Σωζόμενον, ὅστις κατακρίνει τοὺς Ἀλεξανδρέων Ἀρχιερεῖς καθημένους καὶ μὴ ἀνισταμένους εἰς τὴν ἀνάγνωσιν τῶν θείων Εὐαγγελίων, μάλιστα οἱ ἐνδεδυμένοι Ἀρχιερεῖς ἐκβάλλουσι τὸ Ὠμόφορον κατὰ τὸν Πηλουσιώτην Ἰσίδωρον καὶ Συμεὼν τὸν Θεσσαλονίκης, ὅτι παρὼν εὑρίσκεται ὁ Ἀρχιποίμην Χριστός. ὅθεν ἡ ἑβδόμη ἁγία Σύνοδος προστάσσει, καὶ ὁμοίᾳ προσκυνήσει τιμᾶσθαι τὴν δεσποτικὴν τοῦ Χριστοῦ ἁγίαν Εἰκόνα καὶ τὸ ἱερὸν Εὐαγγέλιον. ὁ μέγας Κωνσταντῖνος τὸ Εὐαγγέλιον ἐγκεκοσμημένον λίθοις τιμίοις καὶ χρυσίῳ ἔστειλε τῷ μεγάλῳ Νικολάῳ δῶρον. ὁ Βασιλεὺς Θεοδόσιος ἰδίᾳ χειρὶ ἔγραψε τὸ Εὐαγγέλιον, καὶ καθ' ἑκάστην ἀνεγίνωσκεν αὐτό. οἱ Πλατωνικοὶ ἐσέβοντο τὸ Εὐαγγέλιον, ἐξαιρέτως τὸ, ΕΝ ΑΡΧΗ ΗΝ Ο ΛΟΓΟΣ, τὸ κατὰ Ἰωάννην. τέως τὸ Εὐαγγέλιον ἐστὶν ἡ παρουσία τοῦ Υἱοῦ τοῦ Θεοῦ καθ' ἣν ὡράθη ἡμῖν, οὐκ ἔτι διὰ νεφελῶν καὶ αἰνιγμάτων λαλῶν ἡμῖν, ὡς ποτὲ τῷ Μωϋσῇ διὰ φονῶν καὶ ἀστραπῶν καὶ σαλπίγγων, ἤχῳ καὶ γνόφῳ καὶ πυρὶ ἐπὶ τοῦ ὄρους, ἢ τοῖς πάλαι Προφήταις δι' ἐνυπνίων, ἀλλ' ἐμφανῶς ὡς ἄνθρωπος ἀληθὴς ἐφάνη, καὶ ὡράθη ἡμῖν ὡς πραΰς καὶ ἥσυχος Βασιλεὺς, ὁ πρὶν καταβὰς ὡς ὑετὸς ἐπὶ πόκον ἀψοφητί, Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς πλήρης χάριτος καὶ ἀληθείας, δι' οὗ ἐλάλησεν ἡμῖν ὁ Θεὸς καὶ Πατὴρ στόμα πρὸς στόμα καὶ οὐδὶ αἰνιγμάτων, περὶ οὗ ὁ Πατὴρ ἐξ οὐρανοῦ μαρτυρεῖ καὶ λέγει, ΟΥΤΟΣ ΕΣΤΙΝ Ο ΥΙΟΣ ΜΟΥ Ο ΑΓΑΠΗΤΟΣ. θέλει ὁ Χρυσόστομος μὴ εἰσέρχεσθαι τοὺς Δαίμονα εἰς τὸν οἶκον ἐκεῖνον ἐν ᾧ τις ἔχει ἔνδον τὸ Εὐαγγέλιον. ὅθεν καὶ ἡ παρθένος καὶ μάρτυς Κικιλία τὸ Εὐαγγέλιον εἶχεν ἐπάνω αὐτῆς ἐν ἐγκολπίῳ προσαμυντήριον καὶ προσφυλακτήριον, ἀλλὰ καὶ ὁμείζων καὶ ὁ φοβερώτερος ὅρκος νομίζεται ὁ ὅρκος τοῦ θείου Εὐαγγελίου παρὰ πᾶσι τοῖς ὀρθοδόξοις. οὕτω λοιπὸν καὶ τότε ἐχριστιάνισαν οἱ Ῥῶσοι, ἀλλὰ καὶ οἱ Βούλγαροι ὄντες νεοπαγεῖς, ἐβεβαιώθησαν ταῖς συχναῖς τοῦ Βασιλείου παραινέσεσι, μάλιστα τοῖς πολλοῖς δώροις ἅπερ ἐχαρίσατο αὐτοῖς κατέπεισεν αὐτοὺς δεχθῆναι Ἀρχιεπίσκοπον, καὶ λέγουσι χειροτονηθῆναι ἐκεῖ Ἀρχιεπίσκοπον τότε τὸν Θεοφύλακτον, ὃ ψεῦδος δοκεῖ, ὁ γὰρ Θεοφύλακτος ἤκμαζεν εἰς τοὺς χιλίους ἑβδομήκοντα, ἐπεὶ ἦν Διδάσκαλος Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, ὡς μαρτυροῦσιν αἱ νουθεσίαι ἃς ἔγραψε πρὸς αὐτόν. καὶ λοιπὸν δι' Ἐπισκόπων, Ἀσκητῶν θαυματουργῶν, οὓς ἔστειλεν ἐκεῖσε πολλοὺς, ἔπεισε τοὺς Βουλγάρους καταλεῖψαι τὰ πατρῷα ἤθη, καὶ γενέσθαι ἐξολοκλήρου Χριστιανοὺς, ὡς λέγει ὁ Πορφυρογέννητος. Φοβερὸν ὅμως πρᾶγμα διηγεῖται Γρηγόριος ὁ μαθητὴς Βασιλείου τοῦ νέου εἰς τὸν βίον τοῦ αὐτοῦ, ὅτι δηλονότι Βασίλειος ὁ Μακεδὼν ψυχορραγῶν, ἔβλεπε Μιχαὴλ τὸν Βασιλέα ἐγκαλοῦντα αὐτῷ, καὶ λέγοντα, Τί σοι ἐποίησα ὦ Βασίλεε, ἢ τίσε ἠδίκησα ὅτι οὕτως ἀνιλεῶς με κατέκτεινας, καὶ οὕτω γινομένου τοῦ πράγματος, ἐτελεύτησεν ὁ ἄνθρωπος.

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῆς Βασιλείας Λέοντος τοῦ σοφοῦ, οὗ σύζυγος ἡ Θεοφανὼ, καὶ τῆς κατὰ τῶν Βουλγάρων ἐκστρατείας αὐτοῦ, καὶ ὅτι οὐκ ἀπὸ τῆς Θεοφανὼ, ἀλλ' ἀρχῆθεν ἦν ἡ ἀποχὴ τοῦ κρέατος ἀπὸ τῶν Μοναχῶν.

Αὐταρχεῖ ὁ σοφὸς Λέων, καὶ τὸ πρῶτον αὐτοῦ ἔργον ἦν διὰ τὸν Σανταβαρηνὸν, ἡ ἀποβολὴ τοῦ Φωτίου, καὶ ἐπεισαγωγὴ τοῦ ἀδελφοῦ αὐτοῦ Στεφάνου. ἐστράτευσε δὲ καὶ κατὰ Βουλγάρων μετὰ Τούρκων καὶ Οὔνων, ὅθεν καὶ ἐξ ἐκείνου οὐκ εἰρήνευσαν μετὰ τῶν Ῥωμαίων οἱ Βούλγαροι, ὡς λέγει Ἰωάννης ὁ Κουροπαλάτης. τοῦ Λέοντος τούτου γυνὴ ἦν ἡ Θεοφανὼ, ἥντινες ἔπλασαν διορίσαι μὴ ἐσθίειν τοὺς Μοναχοὺς τὸ κρέας, ὅπερ ἦν ἀπίθανον δύο ἕνεκεν αἰτιῶν, μιᾶς, ὅτι ὁ Κεδρηνὸς, Ζωναρᾶς, Κουροπαλάτης, Γλυκᾶς τοῦτο οὐκ εἶπον. ἑτέρας, ὅτι τὸ κρέας ἀπ' ἀρχῆς ὡς ἀπεδείχθη, ἦν κεκωλυμένον ἐσθίειν τοὺς Μοναχοὺς, καὶ ὁ Καισαρείας Ἀνδρέας σύγχρονος ὢν τῇ Θεοφανὼ, ἔνθα γράφει ὑπὲρ τῆς τετραγαμίας, διαμαρτύρεται τὴν ἀποχὴν τοῦ κρέατος ἀπὸ τῶν Μοναχῶν, ἴσως ὅμως εἰς τῆς Θεοφανὼ τὸν καιρὸν τινὲς παρὰ τὸν μοναδικὸν Κανόνα ἔτρωγον, καὶ συνοδικῶς ἐκωλύθη, καὶ εἰ ἦν ἡ Σύνοδος Τοπικὴ, ἀλλὰ τοῦτο οὐκ ἐκανόνισεν ἐκείνη, ὥστε ἡμᾶς ζητεῖν εἰ ἐβεβαιώθη ὑπὸ Συνόδου Οἰκουμενικῆς, ἀλλὰ τὴν ἀρχαίαν καὶ κοινὴν συνήθειαν καὶ παράδοσιν ἐβεβαίωσεν, ἥτις καὶ διέμεινεν ἕως τοῦ νῦν, καὶ ὅσοι αὐτὴν παραβαίνουσιν ἄνευ μεγίστης ἀνάγκης, οὐ καλῶς ποιοῦσι.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν συμβάντων ἐν τῇ Ἐκκλησίᾳ διὰ τὴν τετραγαμίαν τοῦ Βασιλέως Λέοντος, καὶ τῆς δι' αὐτὴν ἐξορίας τοῦ Πατριάρχου Νικολάου τοῦ Μυστικοῦ, καὶ ἀντεισάξεως Εὐθυμίου εἰς τὸν θρόνον, καὶ τῆς παρανομίας τοῦ Ῥώμης Θεοδώρου περὶ τὴν τοῦ Βασιλέως τετραγαμίαν, καὶ τῆς ἐς ὕστερον μετανοίας τοῦ Βασιλέως.

Ἠκολούθησε δὲ εἰς τὴν Ἐκκλησίαν σύγχυσις, ὅτι ὁ Κωνσταντινουπόλεως Πατριάρχης Νικόλαος ὁ μυστικὸς, ἅγιος καὶ δίκαιος ἄνθρωπος ὤν, ἐκώλυε λαβεῖν τετάρτην γυναῖκα τὴν Ζωὴν τὸν Βασιλέα Λέοντα, ὅθεν ἐξεβλήθη τοῦ θρόνου διὰ τὸ καθαιρέσει ὑποβαλεῖν τὸν στεφανώσαντα αὐτοὺς Ἱερέα Θωμᾶν τῷ ὀνόματι, ἀλλὰ καὶ τὸν Βασιλέα ἐκώλυε τοῦ εἰσελθεῖν εἰς τὴν Ἐκκλησίαν καὶ λειτουργηθῆναι. προεχειρίσθη δὲ Πατριάρχης ὁ Εὐθύμιος, ὅθεν καὶ ἠκολούθησε τὸ σχίσμα, ἐπειδὴ οἱ πλείους ἦσαν τοῦ μέρους τοῦ Νικολάου, ὅστις οὐ συνεχώρει ὅλως τὴν τετραγαμίαν. ἄλλοι ἠκολούθησαν τῷ Εὐθυμίῳ, ὅστις συγκατέβαινεν εἰς τὴν γνώμην τοῦ Βασιλέως. μάλιστα λέγουσι τινὲς ὅτι ἐξ ἀποκαλύψεως ἐδιδάχθη ὁ Εὐθύμιος σιωπῆσαι περὶ τῆς τετραγαμίας, καθότι ὁ Βασιλεὺς εἶχε σκοπὸν Νόμον θεῖναι τοῦ τριῶν μὲν ἀνδρῶν τεσσάρων δὲ γυναικῶν τὸν γάμον γίνεσθαι, ὁ δὲ Ζωναρᾶς λέγει, ὅτι ὁ Εὐθύμιος τὸν Βασιλέα τοῦ ποιῆσαι τοῦτο ἐκώλυσεν, ἦυρε δὲ ὁ Λέων συμβοηθοῦντα τῇ παρανομίᾳ αὐτοῦ τὸν Ῥώμης Θεόδωρον τὸν δεύτερον, τὸν συγχωροῦντα καὶ πᾶσαν παρανομίαν, μόνο ἵνα φανῇ ποιεῖντι εἰς ξένους θρόνους, ἕνεκεν τοῦ συνίστασθαι κατ' ὀλίγον τὸ τυραννικὸν τῆς Ῥώμης ἀξίωμα. καὶ μάλιστα καυχῶνται οἱ Λατῖνοι, ὅτι ὑποθήκαις τοῦ Ῥώμης Στεφάνου ἐξώρισεν ὁ Λέων τὸν ἁγιώτατον Νικόλαον, καθὼς ἐκαυχήσαντο, ὅτι καὶ διὰ τὰ γράμματα πρὸς τὸν Βασίλειον τοῦ Ῥώμης Στεφάνου, ὁ Λέων κατήγαγεν ἀπὸ τοῦ θρόνου τὸν Φώτιον, ἀλλὰ προφανέστατον λέγουσι ψεῦδος, ὁ γὰρ Κεδρηνὸς καὶ ἄλλοι μαρτυροῦσιν, ὅτι ὑποθήκαις τοῦ Πατρικίου Σαμωνᾶ τοῦ εὐνούχου ἐξωρίσθη ὁ Μυστικός. τότε ἤκμαζε καὶ ὁ Καισαρείας Καππαδοκίας Ἀρέθας, ὁ ὑπερασπιζόμενος τῆς τετραγαμίας, καὶ συνεπέραινε μὴ γίνεσθαι ἁπλῶς, ἀλλ' εἰς καιρὸν ἀνάγκης συγχωρεῖσθαι, κακῶς καὶ φρονῶν καὶ λέγων, ὅθεν ἡ Σύνοδος εἰς τὸν Τόμον εἶπεν, Ἀλλότριος ὁ τετράγαμος ἐκκλησιαστικῆς συνάξεως, καὶ μήτε εἰς Ναὸν εἰσέρχεσθαι. ἀλλὰ δὴ καὶ ὁ Βασιλεὺς ἐλεγχόμενος ὑπὸ τοῦ συνειδότος, κατεφρόνησε καὶ τοῦ Πάπα Θεοδώρου καὶ τοῦ Ἀρέθα, μεμψάμενος τὰς συγχωρήσεις καὶ τὰς εἰς τὴν ἁμαρτίαν συνηγορήσεις αὐτῶν. ὅθεν πρὸς τὸ τέλος τοῦ βίου αὐτοῦ ἔκλαιε καὶ ἐθρήνει, μετανοῶν εἰς τὴν γεγονυῖαν παρ' αὐτοῦ ἀθεμιτογαμίαν, καὶ ᾔτει συγχώρησιν παρὰ Θεοῦ, καὶ ἀνεθεμάτιζε τοὺς μετέπειτα τολμήσοντας ποιῆσαι τὸ παράνομον τοῦτο ἔργον. ἀλλὰ καὶ ὑπὸ τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως βλασφημία ἐνομίσθη ἡ τοῦ Θεοδώρου Πάπα συγχώρησις τῆς τετραγαμίας, ὅθεν καὶ σχίσμα ἠκολούθησε, καθότι οἱ μὲν εἵποντο τῇ παρανομίᾳ, οἱ δὲ ἀντείχοντο τῆς παραδόσεως. διατοῦτο καὶ ἐπὶ τοῦ Πορφυρογεννήτου καὶ τοῦ Πατριάρχου Σισινίου ἀθροίζεται μεγάλη Σύνοδος ἐν Κωνσταντινουπόλει, καὶ γράφεται κατὰ τῆς ἀθεμιτογαμίας ὁ λεγόμενος Τόμος τῆς ἑνώσεως, ἐν ἔτει ἑξακισχιλιοστῷ τετρακοσιοστῷ εἰκοστῷ ὀγδόῳ. ἐκ τούτων ἀμφίβολον φαίνεται ὅπερ λέγει ὁ Ἀλεξανδρείας Εὐτύχιος ἐν τῷ χρονικῷ αὐτοῦ,

αὐτοῦ, ὅτι δηλαδὴ ὁ Λέων ἔπεμψε γράμματα πρὸς τὸν Ἀλεξανδρείας Μιχαὴλ, πρὸς τὸν Ἱεροσολύμων Ἠλίαν καὶ πρὸς τὸν Ἀντιοχείας Συμεὼν, καὶ ἔστειλαν ἐκεῖνοι Ποποτηρητὰς, καὶ ἦλθον εἰς Κωνσταντινούπολιν, καὶ συνεχώρησαν τὴν τετραγαμίαν τῷ Λέοντι, καὶ οὕτως ἡ τοῦ Ῥώμης συγχώρησις ἐστὶ μίασμα ἐπ' ἄλλων ἀποπλυνόμενον.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν πανηγυρικῶν λόγων καὶ ἑτέρων πολλῶν συγγραμμάτων τοῦ σοφοῦ Λέοντος, ἐν οἷς καὶ τὸ, Δεῦτε λαοὶ τὴν τρισυπόστατον Θεότητα προσκυνήσωμεν, Δοξαστικόν. καὶ ὅτι ἡ ἐπιστολὴ ἣν λέγουσιν οἱ Λατῖνοι πέμψαι τὸν Λέοντα τοῦτον τῷ ἀρχηγῷ τῶν Ἀράβων Ὦμερ, καὶ ὁμολογεῖν ἐν αὐτῇ τὴν καὶ ἐκ τοῦ Υἱοῦ ὕπαρξιν τοῦ ἁγίου Πνεύματος, πλάσμα ἐστὶν αὐτῶν.

Συνέθετο ὁ Βασιλεὺς Λέων λόγους πανηγυρικοὺς, ὑποθήκας περὶ μοναδικῆς ζωῆς, ἐπιτομὰς καὶ ἀνακαθάρσεις τῶν πολιτικῶν Νόμων καὶ ἄλλα, περὶ ὧν οὐτοῦ παρόντος καιροῦ. ἔγραψε καὶ χρησμοὺς τινὰς, οὓς καὶ ἐτύπωσαν εἰς τὸ Παρίσιον μετὰ εἰκόνων καὶ ἑρμηνειῶν, ὁ δὲ Κομνηνὸς Ἀνδρόνικος ὁ τύραννος καὶ τινὰς τούτων ἐνόμιζε γεγράφθαι περὶ ἑαυτοῦ καὶ δὴ καὶ Ζωναρᾶς καὶ Γρηγορᾶς καὶ Χωνειάτης καὶ Μαναστῆς, ὁ δὲ Κεδρηνὸς μέμνηται καὶ τινος Στεφάνου Ἀλεξανδρέως χρησμοδοτήσαντος περὶ τῆς ἐπικρατείας τῶν Σαρακηνῶν, οἱ πάντες δὲ οὗτοι, καὶ ἄλλοι ἱστορικοὶ χρησμοὺς τινὰς καὶ ἀστρολογισμοὺς προβάλλουσι καὶ περιστρέφονται εἰς αὐτοὺς, ματαιούμενοι πάντες καθάπαξ, ὡς καὶ Μανουὴλ ὁ Κομνηνὸς καὶ ἄλλοι Βασιλεῖς καὶ ἰδιῶται ἐν τῷ μέρει τούτῳ, ἀψευδὴς γὰρ ὁ εἰπὼν, Μὴ ζητεῖν ἡμᾶς καιροὺς καὶ χρόνους, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. καὶ ὁ Ἡσαΐας, Τὶς γὰρ ἔγνω νοῦν Κυρίου; ὡς ἔλεγε καὶ ὁ Σολομὼν, Λογισμοὶ γὰρ ἀνθρώπων δηλοῖ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν. Σημειοῦσιν οἱ Λατῖνοι ἐπιστολὴν τινὰ τοῦ παρόντος Λέοντος τοῦ σοφοῦ πρὸς Ὦμερ τὸν ἀρχηγὸν τῶν Ἀράβων, ἣν καὶ ἐνέθηκαν ἐν τοῖς Τόμοις τῆς Βιβλιοθήκης τῶν πατέρων, ἐν ᾗ λέγει, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ Πατρὸς καὶ Υἱοῦ. ἔκειτο δὲ ἡ ἐπιστολὴ λέγουσιν ἐν τῇ Βατικανῇ Βιβλιοθήκῃ. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι καὶ τοῦτο πλαστούργημά ἐστι τῶν Λατίνων, καὶ ῥαδιούργημα τῆς ἐν τῷ Βατικάνῳ Βιβλιοθήκης, ὡς καὶ ἄλλα πολλὰ τοιαῦτα. δεύτερον, πῶς ὁ Λέων πρὸς μὲν ἀμύητον ἄνθρωπον ἔγραφε τοῦτο, ἐν οὐδενὶ δὲ ἄλλῳ συγγράμματι αὐτοῦ τοῦτ' αὐτὸ εἶπε; μάλιστα τὸ ἐναντίον εἶπεν, ἤτοι τὸ, ἐκ Πατρὸς μόνου. ἐν γὰρ τῷ Δοξαστικῷ τροπαρίῳ, ὅπερ αὐτὸς συνέθετο καὶ ψάλλεται ἐν τῷ ἑσπερινῷ τῆς Πεντηκοστῆς, λέγει, Ἅγιος ἀθάνατος τὸ παράκλητον Πνεῦμα, τὸ ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον. ὅπερ ταὐτόν ἐστι τῷ ἐκ μὲν τοῦ Πατρὸς μόνου ἐκπορεύεται, ἐν δὲ τῷ Υἱῷ ἀναπαύεται, ὡς ἴδιον αὐτοῦ, ἤτοι ὁμοούσιον αὐτῷ. τρίτον, ἀλλὰ καὶ λόγους πανηγυρικοὺς ἔγραψεν ὁ Λέων, οἵτινες κεῖνται ἐν τοῖς πανηγυρικοῖς λεγομένοις βιβλίοις, καὶ ἐν τῇ Βιβλιοθήκῃ τῶν πατέρων, ἀλλὰ δὴ καὶ τοὺς καλουμένους βασιλικοὺς Νόμους συνέταξε, καὶ ἐν τούτοις πᾶσιν ἐν οὐδενὶ τόπῳ εἶπεν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἔχει τὴν ὕπαρξιν καὶ ἐκ τοῦ Υἱοῦ, ἀλλὰ πάντοτε ὁ αὐτός ἐστιν ἐν πᾶσιν, ἤτοι τρανῶς ἀνακηρύττει, ὅτι ὁ Πατὴρ γεννᾷ τὸν Υἱὸν, καὶ ἐκπορεύει τὸ Πνεῦμα τὸ ἅγιον. καὶ δὴ καὶ τὸν Φώτιον σπουδάσας κατακρῖναι, οὐκ ἤλεγξεν αὐτὸν γράψαντα ἰσχυρῶς εἰς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς, καὶ ἀσεβεστάτους ἀποδεικνύοντα τοὺς λέγοντας, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ Πατρὸς καὶ Υἱοῦ. ὅθεν μεματαίωνται καὶ ἐκ τοῦ τόπου τούτου οἱ νεώτεροι σοφοὶ τῆς ῥωμαϊκῆς Ἐκκλησίας. ἀλλ' ἐλθέτω ὁ λόγος ἐπὶ τὸ προκείμενον.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τοῦ σταλέντος κατὰ τῶν Σαρακηνῶν Στόλου ὑπὸ τοῦ Βασιλέως εἰς Κρήτην μετὰ τοῦ Ἀμερίου, καὶ τῆς τῶν Οὔνων καὶ Σκυθῶν ἐφόδου εἰς Ἰταλίαν μέχρι Βελγικῆς.

Ἔστειλεν ὁ Βασιλεὺς Στόλον κατὰ τῶν Σαρακηνῶν ἐν τῇ Κρήτῃ μετὰ τοῦ Ἀμερίου, ὅστις εἶδεν εἰς τὴν Νῆσον τῆς Πάρου τὴν θαυμαστὴν Θεοκτίστην, ἀλλὰ καὶ αὐτὸν τὸν ἅγιον ἀναχωρητὴν Συμεὼν τὸν Ἱερέα τοῦ Θεοῦ τοῦ ὑψίστου. οἱ δὲ Οὖνοι ἐλθόντες ἀπὸ Σκυθίας καὶ ἑνωθέντες τοῖς συγγενέσιν οὔγγροις, ἐξῆλθον ἀπὸ τῆς Παννονίας ἔξω εἰς τὴν Ἰταλίαν καὶ ἕως τῆς Βελγικῆς, καὶ τὰ ἐκεῖ ὅλα κατεληΐσαντο, οὔτε ἀπολιμπάνοντες τὰ Μοναστήρια, καθότι καὶ οἱ ἐν αὐτοῖς μονάζοντες ὅλως διόλου ἐξέκλιναν ἀπὸ τῆς παλαιᾶς αὐτῶν ἀσκήσεως καὶ εὐλαβείας, ὡς φαίνονται ἕως τῆς σήμερον, κἂν καὶ σχηματίζωνται ἅγιοι εἶναι.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ θανάτου Λέοντος τοῦ σοφοῦ, καὶ Βασιλείας τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ τοῦ

τοῦ ἐπιτροπεύσαντος αὐτὸν Ἀλεξάνδρου τοῦ πατραδέλφου αὐτοῦ, τοῦ τὸν Πατριάρχην Εὐθύμιον ἐξορίσαντος καὶ σκωληκοβρώτου γενομένου, καὶ περὶ τοῦ κατὰ τὴν ἀναστάσιμον ἡμέραν κατερχομένου ἐν τῷ ἁγίῳ τάφῳ θείου φωτὸς, καὶ τοῦ Τόμου τῆς ἑνώσεως κατὰ τῆς τετραγαμίας.

Ἠσθένησεν ὁ Βασιλεὺς Λέων, ὅστις ἔκραξε τοὺς Ἄρχοντας τοῦ Παλατίου καὶ εἶπεν, ἰδοὺ ἀδελφοὶ ἦλθε τὸ τέλος τῆς ζωῆς μου, παρακαλῶ οὖν ὑμᾶς ἀγαπᾶν τὸν υἱόν μου καὶ τὴν γυναῖκά μου, καὶ οὕτως ὅλοι ἐφίλησαν τὸν Βασιλέα μετὰ δακρύων, καὶ συλλαλῶν ἀπέθανε, βασιλεύσας χρόνους εἰκοσιπέντε, καὶ ἐποίησε τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἀλέξανδρον ὡς ἐπίτροπον τοῦ μικροῦ Κωνσταντίνου, ὡς τοῦτο ἱστοροῦσιν ὁ Ζωναρᾶς, ὁ Γλυκᾶς καὶ Κωνσταντῖνος ὁ Μανασσῆς, ὁ γραμματικὸς Λέων, ὁ Μοναχὸς Γεώργιος, ὁ Μάγιστρος, καὶ ἄλλοι εἰς τὰ χρονικὰ αὐτῶν. τοσοῦτον δὲ ἦν χυδαῖος ὁ ἀδελφὸς τοῦ Λέοντος Ἀλέξανδρος, ὅτι ὄντος Νόμου χριστῶν Βασιλέων, καὶ ἁπλῶς τῶν Χριστιανῶν ἀκαλύπτῳ τῇ κεφαλῇ τοὺς πάντας εἰσιέναι εἰς τὰ ἀνάκτορα, ἔλυσε τοῦτον ὁ Ἀλέξανδρος, καὶ τὸν Εὐθύμιον ἅγιον ὄντα ἐκάθηρεν ἀνόμῳ Συνόδῳ, οὗ τὴν γενειάδα καταξάνας εἷς Κληρικὸς, εὐθὺς ἦυρε τὸν οἶκον αὐτοῦ κακωθέντα, καὶ τὴν θυγατέρα αὐτοῦ ἀπολλυμένην, καὶ μετὰ τοσαῦτα οὖν πάλιν αὐτὸν ἐξώρισεν, ὅθεν καὶ σκωληκόβρωτος γέγονε, καὶ ὁ νεκροφόρος αὐτοῦ σκίμπους συνετρίβη, καὶ ὑπὸ χυδαίων ἐτάφη. εἰς τὸν περὶ Εὐθυμίου λόγον ἐπιλέγει ὁ Ἀρέθας περὶ Εὐθυμίου αὐτοῦ, ὅτι μετὰ Νικηφόρου καὶ Φωτίου τῶν ἀοιδίμων τοῖς διωγμοῖς καὶ θανάτοις συνεδοξάσθη. σημείωσαι δὲ ἱστοροῦντα εἰς ἐπικήδειον λόγον τοῦ Εὐθυμίου Κωνσταντινουπόλεως τοῦτον τὸν Καισαρείας Ἀρέθαν, ὅτι ἦν ὁ Εὐθύμιος ἀπὸ Σελευκείας, ἐμόνασε δὲ εἰς τὸν Ὄλυμπον, εἶτα εἰς μονύδριον κείμενον εἰς τὸν Ἀστακηνὸν κόλπον. σημείωσαι ἔτι τὸν Ἀρέθαν τοῦτον γράφοντα ἐκ μέρους τοῦ Λέοντος Βασιλέως πρὸς Οὐϊζὴρ τὸν φύλαρχον τῶν Ἀράβων, καὶ λέγοντα περὶ τοῦ ἁγίου τάφου ταῦτα, Ἀλλὰ μέχρι τοῦ νῦν ὁ ἅγιος καὶ τίμιος αὐτοῦ τάφος καθ' ἕκαστον ἔτος τῇ ἡμέρᾳ τῆς αὐτοῦ ἀναστάσεως θαυματουργεῖ, παντὸς γὰρ πυρὸς σβεσθέντος ἐν Ἱερουσαλὴμ, σκευάζεται ὑπὸ τῶν Χριστιανῶν κανδήλα μετὰ ἀμυτρίου, καὶ ἱσταμένου τοῦ μὲν κατὰ τὴν Ἱερουσαλὴμ Ἀμηρᾶ ἐγγὺς τοῦ ἁγίου τάφου, ἐσφραγισμένης τῆς θύρας ὑπὸ τοῦ αὐτοῦ Ἀμηρᾶ οὔσης, τῶν δὲ Χριστιανῶν ἱσταμένων ἔξω εἰς τὸν Ναὸν τῆς ἁγίας Ἀναστάσεως, καὶ κραζόντων τὸ, Κύριε ἐλέησον, ἐξαίφνης ἀστραπῆς γενομένης, ἀνάπτεται εἰς τὴν κανδήλαν φῶς, καὶ ἐξ αὐτοῦ τοῦ φωτὸς πάλιν οἱ κατοικοῦντες τὴν Ἱερουσαλὴμ πάντες λαμβάνουσι καὶ ἀνάπτουσι πῦρ. φησὶ δὲ ὁ αὐτὸς, ὅτι οἱ Ἀττικοὶ χρῶνται τὸ, καθὰ, οἱ δὲ Ἀλεξανδρινοὶ τὸ, καθὼς, καὶ δὲ τὴν Ἀλεξανδρέων διάλεκτον γέγραπται, ἤτοι μετεφράσθη ἡ θεία γραφή. ἀλλ' ἔλθωμεν εἰς τὸ προκείμενον. Εἰς τοῦ Κωνσταντίνου τούτου τὰς ἡμέρας, ὡς εἴπομεν, ἡνώθησαν ὅσοι διεχωρίσθησαν διὰ τοὺς δύο Πατριάρχας τὸν Νικόλαον καὶ τὸν Εὐθύμιον περὶ τοῦ ζητήματος τῆς τετραγαμίας, καὶ οἱ μὲν Εὐθυμιανοὶ ἐζήτησαν κατὰ τὸν Ἀρέθαν γενέσθαι ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Πατριάρχου Εὐθυμίου, οἱ δὲ Νικολαΐται γενέσθαι Τόμον τοῦ μηκέτι συγχωρεῖσθαι τὴν τετάρτην γυναῖκα, ὡς διηγεῖται τοῦτο ὁ Βαλσαμὼν Θεόδωρος εἰς τὸν Νομοκάνονα τοῦ Φωτίου, καὶ εἰς τὰς σημειώσεις πρὸς τὴν ἐπιστολὴν τοῦ μεγάλου Βασιλείου, τὴν πρὸς τὸν Ἀμφιλόχιον, εἰς τοὺς ἐννακοσίους εἴκοσι χρόνους ἀπὸ Χριστοῦ γεννήσεως.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῆς συμφωνίας Ῥωμανοῦ τοῦ Λεκαπινοῦ μετὰ τοῦ Πατριάρχου Τρύφωνος, ἵνα Θεοφυλάκτῳ τῷ υἱῷ αὐτοῦ ἀδρυθέντι παραιτήσηται τὸν θρόνον ὁ Τρύφων, καὶ ἀθετήσεως αὐτῆς ὑπὸ τοῦ Τρύφωνος, οὗ διὰ τῆς ἰδίας ὑπογραφῆς ἀπατηθέντος ὑπὸ τοῦ Καισαρείας καὶ ἐκβληθέντος τοῦ θρόνου, ἀντεισάγεται ὁ Θεοφύλακτος. καὶ περὶ τῆς εὐλαβείας τοῦ Ῥωμανοῦ, καὶ τῶν περὶ Πολύευτον καὶ Σέργιον, καὶ ἐξώσεως τοῦ Ῥωμανοῦ ἀπὸ τῆς Βασιλείας ὑπὸ τῶν υἱῶν αὐτοῦ, καὶ αὐτῶν ὑπὸ τοῦ Πορφυρογεννήτου, καὶ περὶ τοῦ ὀνείρου τοῦ Ῥωμανοῦ, καὶ τῶν ψυχοσωτηρίων ἔργων αὐτοῦ ἐν τῷ μονήρει βίῳ,

Ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, οὗ εἰς τὸν καιρὸν γέγονε καὶ ὁ Τόμος αὐτὸς τῆς ἑνώσεως, ὡς εἴπομεν, ὁ Λεκαπηνὸς Ῥωμανὸς ὁ συμβασιλεύσας αὐτῷ, μετὰ τὸν θάνατον τοῦ Ἀλεξάνδρου ἐποίησε χειροτονηθῆναι εἰς τὴν Κωνσταντινούπολιν τὸν υἱὸν αὐτοῦ Θεοφύλακτον Ἀναγνώστην διὰ Νικολάου Πατριάρχου, προπορευθέντα καὶ τῶν ἐν τῇ εἰσόδῳ ἁγίων, εἶτα αὐτὸν ἐποίησεν ὁ Νικόλαος καὶ Σύγκελλον. ἀποθανόντος ὅμως τοῦ Νικολάου, προεχειρίσθη Πατριάρχης ὁ Τρύφων, ἀλλὰ μετὰ συνθήκης, ἵνα ἀδρυθέντος τοῦ Συγκέλλου ποιήσῃ παραίτησιν. ἀλλὰ εἰς τὸν ἁρμόδιον καιρὸν μὴ παραιτούμενον τὸν Τρύφωνα, ὁ Καισαρείας ἐδελέασεν αὐτὸν, ὡς δῆθεν κατηγορούμενον ἀμαθῆ γραμμάτων, καὶ ἔγραψεν εἰς ἄγραφον

χάρ-

χάρτην τὸν Τίτλον αὐτοῦ, εἰς ὃν ὑπέγραψεν ὁ Καισαρείας τὴν παραίτησιν αὐτοῦ δηλονότι τοῦ Τρύφωνος, καὶ ἐγένετο αἰτία τοῦ ἐκβληθῆναι τοῦ Πατριαρχείου, εἰ καὶ δολίως. ἦν δὲ ὁ Θεοφύλακτος ἀνόσιος ἄνθρωπος, καὶ ἱστορεῖ ὁ Κεδρηνὸς λέγων, Οἱονεὶ φιλοτιμηθῆναι τὸν χρόνον, καθότι καὶ ὁ Ἰωάννης Πάπας τῆς Ῥώμης ὁ τοῦ Σιλβερίου υἱὸς πρὸς πᾶσαν ἀσέλγειαν καὶ κακίαν ὑπῆρχεν ἐπιῤῥεπὴς, ὃν Ὄθων ὁ Βασιλεὺς τῆς Φραγγίας ἐκβαλὼν, χρήσιμον Ποιμένα ἕτερον τῇ Ἐκκλησίᾳ ἀπέδωκεν. ὁ δὲ Ῥωμανὸς, ὡς εἴρηται, ἦν εὐλαβὴς, ὥστε Τετράδῃ καὶ Παρασκευῇ ἐσχηκένε ἀνὰ τρεῖς Μοναχοὺς ὁμοτραπέζους, διδοὺς αὐτοῖς καὶ τὸ εἰθισμένον νόμισμα, καὶ δὴ καὶ εἰς τὸν Ὄλυμπον καὶ εἰς ἄλλους τόπους ἐδίδου τοῖς Μοναχοῖς τὰ πρὸς αὐτάρκειαν, καὶ Μοναστήριον ἔκτισε τοῦ ἁγίου Παντελεήμονος, καὶ ἐποίησεν εἶναι ἐν αὐτῷ ὀκτακοσίους Μοναχοὺς μετὰ ἀρκετῶν σιτηρεσίων. καί τινα Σέργιον Μοναχὸν εἶχε μεθ' ἑαυτοῦ, ὅστις ἐπῄνει αὐτῷ τὸν Μοναχὸν Πολύευκτον ὡς ἄξιον τοῦ γενέσθαι Πατριάρχην, ὅταν ἀποθάνῃ ὁ τότε ὤν. ἔκραξε δὲ ὁ Ῥωμανὸς τὸν Πολύευκτον τοῦ ἰδεῖν αὐτὸν, συνέβη δὲ καθέζεσθαι εἰς ἕνα κράββατον τὸν Βασιλέα καὶ τὸν Σέργιον, ὁ δὲ Πολύευκτος ἐλευθεροστομήσας, ὠνείδισε τὸν Σέργιον, διότι ἐκάθητο ὁμοῦ μετὰ τοῦ Βασιλέως εἰς ἕνα κράββατον, ὁ Σέργιος ὅμως ὅσον μὲν διὰ τὸ κάθισμα τοῦτο ἀπελογήσατο, ὅτι οὐκ ἐποίει τοῦτο μετὰ κενοδοξίας, τοῦ δὲ Βασιλέως μεμψαμένου τοῦ Πολυεύκτου τὴν ἀδολεσχίαν, ὁ Σέργιος εἶπεν αὐτῷ, ὅτι τοιοῦτον δεῖ εἶναι τὸν Πατριάρχην, ὥστε ἐλέγχειν κατὰ Παῦλον. τὸν Ῥωμανὸν ὅμως συμβασιλεύσαντες αὐτῷ οἱ υἱοὶ αὐτοῦ ἐξέβαλον, καὶ ἐποίησαν Μοναχὸν, ὃς εἶχε μεθ' ἑαυτοῦ τὸν Σέργιον παρηγορίαν, τοὺς δὲ υἱοὺς αὐτοῦ κατήγαγεν ὁ Πορφυρογέννητος καὶ ἐξώρισε, καὶ ἐβασίλευσε μόνος, πρὶν ἢ μέντοιγε ἐξορισθῆναι ὁ Ῥωμανὸς εἶδεν ὄνειρον, διὰ τὴν ἐπιβουλὴν ἴσως ἣν ἐποίησε καὶ παρέβη τοὺς ὅρκους, Βασιλεύσας ἀνόμως, ὅθεν φοβηθεὶς, ἔστειλεν εἰς ἱερουσαλὴμ καὶ εἰς τὴν Ῥώμην, καὶ εἰς ἄλλους τόπους, καὶ ἔφερε τριακοσίους Μοναχοὺς, καὶ εἰς τὴν Λειτουργίαν εἰς τὸ, Μετὰ φόβου Θεοῦ, ἐξωμολογήθη παῤῥησίᾳ, καὶ ἤτει συγγνώμην. καὶ ἀνερχόμενος εἰς ὑπερῷον, ἵνα συνεστιαθῇ μετὰ τῶν πατέρων, εἶχεν ἓν παιδίον καὶ ἐκτύπα αὐτὸν εἰς τοὺς πόδας μετὰ Φραγγελείου λέγον, Εἴσελθε κακομόναχε εἰς τὴν τράπεζαν, καὶ εἰσελθὼν συγκαθέσθη, καὶ τὸν χάρτην εἰς ὃν εἶχε γεγραμμένας τὰς ἁμαρτίας αὐτοῦ, ἀπέστειλεν εἰς τοὺς μὴ ἐλθόντας Μοναχοὺς, καὶ δὴ καὶ εἰς τὸν Ὄλυμπον, ἔνθα εἰς Μοναχὸν τινὰ Δερμοκαΐτον ἱστάμενον εἰς προσευχὴν ἦλθε φωνὴ λέγουσα, Ἐνίκησεν ἡ φιλανθρωπία τοῦ Θεοῦ. ὁ οὖν Μοναχὸς ἀνοίξας τὸν χάρτην, ᾖυρε τὰς ἁμαρτίας τοῦ Ῥωμανοῦ λελυμένας.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς μοναρχίας Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ ὧν ἐποίησεν ἀγαθῶν ἔντε τῇ Ἐκκλησίᾳ καὶ τοῖς πολιτικοῖς, καὶ τῆς τελευτῆς αὐτοῦ, καὶ τοῦ ἐπ' αὐτῷ θρήνου ἐν Κωνσταντινουπόλει παρὰ πάσης ἡλικίας.

Ὁ δὲ Πορφυρογέννητος μοναρχήσας, ἐποίησε πρῶτον ἐναλλαγὴν μετὰ τοῦ Ἀμηρᾶ τῆς Ταρσοῦ καὶ ἠλευθέρωσε μέγα πλῆθος Χριστιανῶν. δεύτερον, ἐποίησεν ἀνακοχὴν τῶν Βασιλικῶν εἰσφορῶν εἰς ὅλην τὴν βασιλείαν. τρίτον, Ῥητορικὴν Φιλοσοφίαν καὶ πᾶσαν Ἐπιστήμην ἀνεκάνισε, καὶ ὡς εἰπεῖν φθαρείσας ἀνεζωοποίησε, εἶχε δὲ τοὺς Διδασκάλους τῶν Ἐπιστημῶν ὁμοτραπέζους, καὶ ἐξ ἐκείνων ἐποίει κριτὰς καὶ Μητροπολίτας. τέταρτον, τὰ δεσμωτήρια πανταχοῦ ἠρεύνα, καὶ ἠλευθέρου τοὺς παραλόγως καθειργμένους. πέμπτον, τοὺς εὐφυεῖς Ἄρχοντας καὶ ἐναρέτους ὄντας, ἐκείνους ἀνήγαγεν εἰς τὰ μείζω ἀξιώματα. ἕκτον, ὅσοι Ἡγεμόνες ἠγόρασαν εἰς τὰς Ἐπαρχίας κτήματα εἰς τοὺς καιροὺς αὐτῶν, ὥρισεν αὐτοῖς δοῦναι αὐτὰ ὀπίσω ἀναργύρως. ἕβδομον, Νοσοκομεῖα ἤγειρεν. ὄγδοον, τὸν σταῦλον Θεοφυλάκτου τοῦ Πατριάρχου πολυτελῆ ὄντα, μετήμειψεν εἰς Γεροκομεῖον, μεγάλα ἐπικτίσας αὐτῷ. ἔνατον, τὴν Μουσικὴν ἐζωογόνησεν. ἦδε καὶ αὐτὸς καὶ ἄλλους παρώτρυνεν, ὅθεν καὶ τὰς ἑορτὰς ἐφαίδρυνεν. ἀπῆλθε δὲ εἰς τὸν Ὄλυμπον, ὡς μέν τινες διὰ θεραπείαν, καθότι ἦν ἀσθενὴς, καὶ ἵνα ὀχυρωθῇ διὰ τῶν εὐχῶν τῶν ἐκεῖ πατέρων, καὶ στρατεύσῃ εἰς τὴν Συρίαν, μιμούμενος τὸν μέγαν Θεοδόσιον, πέμψαντα καὶ ζητήσαντα ἀπ' Ἀλεξανδρείας τὸν μέγαν Ἰωάννην κατὰ τὸν γλυκαῖν, ἐκεῖνος δὲ μὴ ἐλθὼν, ἔστειλε τῷ Θεοδοσίῳ Ῥᾷβδον καὶ μικρὸν τριβώνιον, οἷς χρώμενος ὁ Βασιλεὺς αὐτὶ κρανὸς καὶ Δόρατος, ἐνίκα. ὡς δὲ ἄλλοι, ἵνα λαλήσῃ μετὰ τοῦ Κυζίκου Θεοδώρου, ὄντος ἐκεῖ, ἕνεκεν τοῦ καθῆραι τὸν Πολύευκτον, ὃν ἐμίσει, ὁποιῳδήτινι μέντοιγε τρόπῳ ἐκεῖσε ἀπεβάδισε, τοὺς ἐκεῖ Ἀσκητὰς περιεποιήσατο. ἀναβαίνοντι δὲ τῷ Βασιλεῖ καὶ εἰς τὰ ὑψηλότερα τοῦ Ὀλύμπου εἰς ἐπίσκεψιν τινὸς γέροντος σημειοφόρου, ἐκεῖνος προϋπήντησεν αὐτῷ, καὶ εἶπεν αὐτῷ ὅτι ἀποθανεῖται, καὶ ἐπιστρέψας εἰς τοὺς πατέρας ὁ Βασιλεὺς, καὶ συνεστιαθεὶς αὐτοῖς, ἐπανῆλθεν εἰς Βυζάντιον καὶ ἐκοιμήθη, καὶ ὅτε ἐξεκομίζετο τὸ λείψανον αὐτοῦ, καὶ κατὰ τὴν συνήθειαν ἔψαλον αὐτῷ παραστάσιμον εἰς τὴν χαλκὴν πύλην, καὶ ὁ ἐπὶ τῆς καταστάσεως ἐξεφώνει κατὰ τὴν συνήθειαν, Ἔξελθε Βασιλεῦ, καλεῖσε γὰρ ὁ Βασιλεὺς τῶν βασιλευόντων, ἵνα δώσῃς λογαριασμὸν τῆς βασιλικῆς σου ζωῆς, ἔκλαυσαν οἱ πολῖται, καὶ ξένοι, καὶ Ἱερατεῖον, καὶ Κλῆρος, καὶ Σύγκλητος, καὶ ἅπας ὁ λαὸς σὺν γυναιξὶ καὶ τέκνοις τὸν σοφὸν καὶ ἀγαθὸν Βασιλέα, ἐπ' αὐτῷ γὰρ λίαν ἥρμοζε τὸ τοῦ Ὁμήρου, ἀμφό-

Ἀμφότερον, Βασιλεὺς τ' ἀγαθὸς, κραταιός τ' αἰχμητής. Τινὲς λέγουσιν ὅτι ὁ υἱὸς αὐτοῦ Ῥωμανὸς ἐφαρμάκευσεν αὐτὸν, ὅμως τ' ἀληθὲς μόνη οἶδεν ἡ Αὐτοαλήθεια.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἀπ' Ἐδέσσης εἰς Κωνσταντινούπολιν μετενεχθείσης ἀχειροποιήτου Εἰκόνος τοῦ Κυρίου ἐπὶ τοῦ Πορφυρογεννήτου, καὶ χριστιανισμοῦ Βουλογόδα καὶ Ἀγύλα τῶν ἀρχηγῶν Οὔγγρων, καὶ ἄλλων πολλῶν Οὔγγρων διὰ τοῦ πρὸς αὐτοὺς σταλέντος Ἀρχιερέως.

Ἐπὶ τῆς βασιλείας τοῦ Πορφυρογεννήτου μετηνέχθη ἀπὸ τῆς Ἐδέσσης εἰς τὴν βασιλεύουσαν ἡ Ἀχειροποίητος Εἰκὼν τοῦ Χριστοῦ, ἡ πρὸς τὸν Αὔγαρον ἀποσταλεῖσα, λέγει ὁ Κουροπαλάτης, μάλιστα δὲ ὁ Μεταφραστὴς γράφει εἰς πλάτος τὰ περὶ αὐτῆς, καὶ σχεδὸν ἓν πρὸς ἓν λεπτομερῶς ταῦτα διηγεῖται. ἀλλὰ καὶ αὐτὸς ὁ Πορφυρογέννητος ἱστορεῖ κατὰ πλάτος τὴν ἱστορίαν καὶ τὴν προϋπάντησιν αὐτῆς καὶ τὴν προέλευσιν αὐτῆς, καὶ πῶς ἐτέθη μετὰ πλείστης τῆς τιμῆς καὶ εὐβλαβείας εἰς τὸ Παλάτιον, ἥντινα λέγουσιν εἶναι νῦν εἰς τὴν παλαιὰν Ῥώμην. ἦυρε δὲ αὐτὴν Φωκᾶς ὁ Στρατηγὸς, ὁ μεταταῦτα Βασιλεὺς χρηματίσας, εἰς τὴν Ἱεράπολιν ἔνδον εἴστινα κέρασμον, ἐν ᾧ ἦσαν καὶ πολλῶν ἁγίων λείψανα. ἐτέθει δὲ πρῶτον εἰς Βλαχέρναν, ἐκεῖθεν δὲ μετὰ λιτανείας εἰς τὸν Ναὸν τῶν ἁγίων πάντων, ἐν τῷ ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ ἑβδομηκοστῷ πέμπτῳ ἔτει. ἐπὶ τοῦ Πορφυρογεννήτου ἦλθεν εἰς τὴν Κωνσταντινούπολιν Βουλογόδας ὁ Ἀρχηγὸς τῶν Οὔγγρων καὶ ἐγένετο χριστιανὸς, καὶ ἐτιμήθη Πατρίκιος, καὶ πολλῶν χρημάτων γενόμενος κύριος, ἀνεχώρησεν εἰς τὰ οἰκεῖα. εἶτα καὶ Γύλας ἄλλος Ἀρχηγὸς Οὔγγρων ἔρχεται, καὶ βαπτίζεται καὶ αὐτὸς, τῶν ἴσων ἀξιωθεὶς καὶ δωρεῶν καὶ τιμῶν. καὶ Ἱερόθεον ἄνδρα τίμιον ὁ Θεοφύλακτος Οὐγγρίας Ἐπίσκοπον χειροτονεῖ, καὶ πέμπει, ὃς ἐκεῖ πολλοὺς εἰς τὴν εὐσέβειαν ὠδήγησε, καὶ οὕτως οἱ Κωνσταντινουπολῖται ἐχριστιάνισαν καὶ τοὺς Βουλγάρους καὶ τοὺς Οὔγγρους, καὶ Ἀρχιεπισκόπους ἔστειλαν ἐκεῖσε, τῶν δὲ Ἀρχηγῶν ὁ μὲν Γύλας ἀνέμεινεν εἰς τὴν πίστιν, ὁ δὲ Βουλογόδας κατέτρεχε τὴν Ῥωμαίων γῆν, εἶτα καὶ τὴν Φραγγίαν ἐπόρθη. συλλαβὼν δὲ αὐτὸν ὁ Ῥὴξ τῆς Φραγγίας, ἀνεσκολόπισεν, ὡς λέγει ὁ Κεδρηνός.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τοῦ ὁσίου Λαζάρου, καὶ τῆς βασιλείας Ῥωμανοῦ, καὶ στέψεως τοῦ υἱοῦ αὐτοῦ ὑπὸ Πολυεύκτου Κωνσταντινουπόλεως, καὶ ἁλώσεως ὑπὸ τοῦ Στρατηγοῦ Νικηφόρου καὶ τοῦ ἀδελφοῦ Λέοντος τῆς Ἑκατονταπόλεως Κρήτης, ἧς ἦρχον οἱ Σαρακηνοί.

Ἀλλὰ καὶ οἱ Μοναχοὶ ἀνεχώρησαν ἀπὸ τοῦ ὄρους τοῦ ἐν τῷ Λάτρῳ διὰ τοὺς Σαρακηνοὺς, καὶ ἀπῆλθον ἀλλαχοῦ. ἔλαμψε δὲ εἰς τὴν ἄσκησιν εἰς τὸ Γελάσιον ὄρος Λάζαρος ὁ Μοναχὸς, οὗτον βίον ἔγραψεν ὁ Πατριάρχης Γρηγόριος. τότε ἀπέθανε καὶ ὁ Κωνσταντῖνος, καὶ ἐβασίλευσεν ἀντ' ἐκείνου ὁ Ῥωμανὸς, ὅστις ἐποίησε στεφθῆναι καὶ τὸν υἱὸν αὐτοῦ τὸν Βασίλειον ὑπὸ τοῦ Πολυεύκτου Πατριάρχου τῆς Κωνσταντινουπόλεως. τότε ἐλήφθη καὶ ἡ Ἑκατοντάπολις Κρήτη ἐκ τῶν χειρῶν τῶν Σαρακηνῶν, ἧς ἐκράτουν χρόνους τεσσαράκοντα, ὄντος Στρατηγοῦ τοῦ Νικηφόρου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ Λέοντος κατὰ τὸν Κουροπαλάτην, ὅστις διηγεῖται ὅτι ἦν ἐκεῖ ἠφανισμένη τελείως ἡ χριστιανωσύνη.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς βασιλείας Νικηφόρου τοῦ Φωκᾶ, καὶ τῆς πρὸς αὐτὸν ἔριδος τοῦ Πολυεύκτου Πατριάρχου διὰ τὸ ἀπολύσαι αὐτὸν τὴν γυναῖκα αὐτοῦ καὶ λαβεῖν τὴν τοῦ Ῥωμανοῦ τοῦ Βασιλέως γυναῖκα, καὶ περὶ τῆς δυστυχίας τοῦ Βασιλέως ἐν τῷ κατὰ Σαρακηνῶν ἐν Σικελίᾳ πολέμῳ.

Ἀναγορεύεται Βασιλεὺς ὁ Νικηφόρος ὁ Φωκᾶς διὰ τὰς πολλὰς αὐτοῦ ἀνδραγαθίας, ὄντων καὶ τῶν δύο παιδίων τοῦ Ῥωμανοῦ υἱοῦ τοῦ Πορφυρογεννήτου, τοῦ Βασιλείου καὶ τοῦ Κωνσταντίνου ἀνηλίκων, ὅθεν γέγονε φιλονεικία πολλὴ μετὰ τὴν στέψιν ἀναμέσον τοῦ Νικηφόρου καὶ τοῦ Πολυεύκτου Κωνσταντινουπόλεως, διότι ἔχων αὐτὸς γυναῖκα, ἔλαβε τὴν γυναῖκα τοῦ Ῥωμανοῦ Βασιλέως, καὶ προσέτι ὅτι ἦν ἀνάδοχος τοῦ υἱοῦ τῆς Θεοφανὼ, ὢν ἔτι Στρατηγὸς καὶ ἀνδρειότατος. οὗτος ὁ Νικηφόρος, καθὼς διηγεῖται ὁ Κουροπαλάτης Ἰωάννης καὶ βεβαιοῖ, ἐδυστύχησεν εἰς τὸν κατὰ Σαρακηνῶν πόλεμον ἔνδον εἰς τὴν Σικελίαν διὰ ταύτην τὴν παρανομίαν ἣν ἐποίησε. καὶ λοιπὸν ὁ Πατριάρχης ἠνάγκαζεν αὐτὸν αὐτῆς χωρισθῆναι, ἢ μένειν ἔξω τῆς Ἐκκλησίας, καὶ εἰ καὶ οἱ ἐνδημοῦντες ἐν τῇ πόλει Ἐπίσκοποι εἶπον, ὅτι τὸ μὴ λαμβάνειν τινὰ τὴν ἀγχιστεύουσαν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς γυναῖκα ἐστὶ Νόμος τοῦ Κοπρωνύμου,

πλὴν

πλὴν γέγονε συγκατάβασις ὕστερον, διότι ἐμαρτυρήθη μὴ γεγονέναι ποτὲ ἀνάδοχον τῶν παιδίων τῆς Θεοφανὼ, ὅτε τὸν Βάρδαν τὸν πατέρα αὐτοῦ, ὅτε μὴν αὐτὸν τὸν υἱὸν αὐτοῦ τὸν Νικηφόρον, καὶ διὰ τὴν διγαμίαν ἐκανονίσθη πικρῶς.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι τὸ μὴ λαμβάνειν τινὰ εἰς γυναῖκα τὴν διὰ τοῦ ἁγίου βαπτίσματος συντέκνισαν αὐτοῦ, οὐ Νόμος τοῦ Κοπρωνύμου, ἀλλὰ τῆς ἐν Τρούλλῳ Συνόδου. καὶ ὅτι ὁ συγχωρῶν ἑτέρῳ ἀνδρὶ συναφθῆναι τοῦ μονάσαντος τὴν γυναῖκα, καὶ τοὔμπαλιν, ὑπὸ ἀνάθεμά ἐστι. καὶ ὅτι ἡ μόνασις μετὰ γνώμης τοῦ ἑτέρου τῆς συζυγίας γίνεται, χωρὶ τοῦ ὁμιλῆσαι γάμῳ τὸ λειπόμενον πρόσωπον.

Σημειωτέον δύο τινὰ, πρῶτον, ὅτι ψεῦδος ἐστὶ τὸ, ὅτι τοῦ Κοπρωνύμου ἦν Νόμος μηδένα λαμβάνειν τὴν ἀγχιστεύουσαν αὐτῷ διὰ τοῦ βαπτίσματος, ἤτοι τὴν συντέκνισαν αὐτοῦ. τῆς γὰρ ἐν Τρούλλῳ Συνόδου Κανόνι πεντηκοστῷ τρίτῳ ἐστὶν ἡ ἀπόφασις. δεύτερον, τὸ, ὅτι ἐκανονίσθη ὁ Βασιλεὺς βαρέως διὰ τὴν διγαμίαν, παράνομόν ἐστι, καθότι τοῦ Κυρίου ἐστὶν ἡ φωνὴ ἡ λέγουσα, Πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ, καὶ γαμήσει ἄλλην, μοιχᾶται. οὓς γὰρ ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. διὸ καὶ οἱ ἅγιοι Ταράσιος καὶ Νικηφόρος Ἰωσὴφ τῷ οἰκονόμῳ τῷ στεφανώσαντι Κωνσταντῖνον τὸν Βασιλέα, βίᾳ συνεχώρισαν, ὡς εἴρηται ἀνωτέρω εἰς τὸν τόπον, γενομένου δὲ Βασιλέως τοῦ εὐσεβοῦς Μιχαὴλ, ἐκάθηρεν αὐτὸν τὸν Ἰωσὴφ ὁ ἅγιος Νικηφόρος. καὶ λοιπὸν ὁ Πολύευκτος εἰ βίᾳ συνεχώρει διὰ τὴν ἀνάγκην, ἄλλος ἐστὶ λόγος, τὸ δὲ ὅτι ἐκανόνισε, δηλοῖ ὅτι συνεχώρησεν εἶναι νόμιμον τὸ παράνομον, καὶ ἥμαρτε θανασίμως. τινὲς βασιλικοὶ Νόμοι κατὰ διαφόρους αἰτίας χωρίζουσι τὰ ἀνδρόγυνα, καὶ ὅμως ὁ Χρυσόστομος εἰς τοῦτο λέγει, ὅτι ὁ Κύριος τῷ ἰδίῳ Νόμῳ ἔχει κρῖναι τὸν κόσμον, καὶ οὐ τοῖς Νόμοις τῶν Βασιλέων. εἶτα ὁ αὐτὸς Χρυσόστομος λέγει ὁμιλίᾳ δεκάτῃ ἐνάτῃ τοῦ ἑβδόμου κεφαλαίου πρὸς Κορινθίους, Ἐπειδὴ γὰρ, φησὶ, καὶ δι' ἐγκράτειαν καὶ δι' ἄλλας προφάσεις καὶ μικροψυχίας γίνεσθαι διαιρέσεις συνέβαινε, βέλτιον μὲν μὴ δὲ γίνεσθαι τὴν ἀρχὴν, εἰ δὲ ἄρα καὶ γένοιτο, μενέτω ἡ γυνὴ μετὰ τοῦ ἀνδρὸς, εἰ καὶ μὴ τῇ μίξει, ἀλλὰ τῷ μηδένα ἕτερον παρεισαγαγεῖν ἄνδρα. εἰ δὲ καὶ προβάλλουσι τινὲς, ὅτι μονάσαντος τοῦ ἑνὸς προσώπου, τὸ ἕτερον συζεύγνυσθαι δύναται, Ῥητέον ὅτι καὶ τοῦτο πλάνη ἐστὶν, ἐπειδὴ οὐδεὶς τόπος τῆς γραφῆς, ἢ τῶν ἁγίων ἐξαιρεῖ τὸν Μοναχὸν, ἀεὶ γὰρ ἡ χωρισθεῖσα τοῦ Μοναχοῦ γυνὴ, ἐκείνου ἐστὶ γυνὴ, ὡς καὶ εἰ ἀφεῖκε πατέρα, ἢ μητέρα, ἢ τέκνα, πατὴρ καὶ μήτηρ καὶ τέκνα αὐτοῦ εἰσὶν, ὁμοίως καὶ εἰ ἀφεῖκε γυναῖκα, γυναῖκα ἐστὶν αὐτοῦ. εἶτα οὐ δὲ παρὰ γνώμην τοῦ ἑνὸς προσώπου δύναται τὸ ἕτερον μονάσαι, ὅθεν ὁ Ἱερώνυμος ἐπιστολῇ δεκάτῃ τετάρτῃ πρὸς Γαλατίαν, ἐκείνην πάνυ κατήλεγξεν, ὅτι ἄκοντος τοῦ ἀνδρὸς ἠβουλήθη μονάσαι. καὶ Αὐγουστῖνος ἐπιστολῇ τεσσαρακοστῇ πέμπτῃ πρὸς Ἀρμενταρίον, μὴ δύνασθαι, ἔφη, τὸ ἓν μέρος παρὰ γνώμην τοῦ ἑτέρου μονάζειν, ἐὰν δὲ μονάσῃ παρὰ γνώμην τοῦ ἑτέρου, ὀφείλει ἀναγκάζεσθαι τῷ ἀνδρὶ συνδυάζεσθαι. ὥστε οἱ μὴ πειθαρχοῦντες τοῖς πατράσι, καὶ συγχωροῦντες παρὰ γνώμην τοῦ ἑνὸς προσώπου μονάζειν τὸ ἕτερον, ἢ παρέχοντες διαζύγιον παρεκτὸς λόγου πορνείας, ὑπὸ ἀνάθεμά εἰσι, καὶ οὐδὲν ὠφελοῦνται παρὰ τῆς συγχωρήσεως τῶν Ἐπισκόπων.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ ὧν ὑπέταξε πόλεων τῇ βασιλείᾳ αὐτοῦ ὁ Νικηφόρος, καὶ ὧν ἐποίησεν ἀθέσμων διά τε Τόμου καὶ ἑτέρων δεινῶν κατὰ τῶν ἐκκλησιαστικῶν δικαίων, καὶ περὶ τῆς σφαγῆς αὐτοῦ ὑπὸ τοῦ Τζημισκῆ Ἰωάννου.

Οὗτος ὁ Βασιλεὺς ἔλαβε τὴν Κιλικίαν καὶ Συρίαν, καὶ ὑποτελῆ φόρων ἐποίησε Δαμασκὸν, Τρίπολιν, Φοινίκην, καὶ ἕως Εὐφράτου. κατώρθωσε διὰ τῶν Ῥώσων καὶ συνετρίβησαν οἱ Βούλγαροι, εἰ καὶ τῶν Ῥώσων ὁ Ἀρχηγὸς μετέπειτα συνέβη εἰς κακὸν τοῖς Ῥωμαίοις. ἔλαβε μηχανήμασι τὴν Ἀντιόχειαν, καὶ εἰ μὴ συνέχεε τὰ ἐκκλησιαστικὰ πράγματα, μέγιστον ὄνομα ὡς ἀληθῶς ἐκτήσατο ἂν, ἐζήτει γὰρ λαμβάνειν τὰ πράγματα τῶν τεθνηκότων Ἀρχιερέων, καὶ ἐποίησε Χρυσόβουλλον τὰ Μοναστήρια καὶ τὰς Ἐκκλησίας μὴ αὐξάνειν ἐπιπλεῖον διὰ κτημάτων, καὶ τῇ ἰδίᾳ αὐτοῦ γνώμῃ ψηφίζεσθαι ἄλλους Ἀρχιερεῖς, καὶ τοὺς εἰς τὸν πόλεμον πεσόντας Στρατιώτας φημίζεσθαι Μάρτυρας, ᾧπερ αὐτέστη ἡ Σύνοδος, εἰποῦσα, ὅτι ὁ μέγας Βασίλειος ἐμποδίζει μεταλαμβάνειν τοὺς τοιούτους χωρὶς Κανόνος. σημειωτέον ὅμως ὅτι ὁ μέγας Ἀθανάσιος λέγει ἐπιστολῇ πρὸς Ἀμμοῦν μονάζοντα, Τὸ ἀναιρεῖν ἐνπολέμῳ τοὺς ἀντιπάλους, ἔννομον καὶ ἐπαίνων ἄξιον, πῶς οὖν ὁ μέγας Βασίλειος ἐμποδίζει κοινωνεῖν τοὺς Στρατιώτας χωρὶς Κανόνος; λύει τὴν ἀπορίαν Φίλων ὁ Ἰουδαῖος, λέγων λόγῳ δευτέρῳ περὶ τοῦ Μωϋσέως, ὅτε τῇ θείᾳ ἐπιταγῇ πέμψας ἀπέκτεινε τοὺς Μαδιανίτας, Ἀριθμῶν κεφαλαίῳ τριακοστῷ

τριακνστῷ πρώτῳ, προστάττει τοὺς μὲν ἔξω τοῦ Στρατοπέδου καταμένειν τινὰς ἡμέρας, τῷ δὲ μεγάλῳ Ἱερεῖ καθᾶραι τοῦ φόνου τοὺς ἀπὸ τῆς παρατάξεως ἥκοντας τῶν συμμάχων. καὶ γὰρ εἰ νόμιμοι αἱ κατ' ἐχθρῶν σφαγαὶ, ἀλλ' ὅγε κτείνων ἄνθρωπον, εἰ καὶ δικαίως, καὶ ἀμυνόμενος, καὶ βιασθεὶς, ὑπαίτιος εἶναι δοκεῖ διὰ τὴν ἀνωτάτω καὶ κοινὴν συγγένειαν, οὗ χάριν καθαρσίων ἐδέησε τοῖς κτείνασι πρὸς ἀπαλλαγὴν τοῦ νομισθέντος ἄγους γεγενῆσθαι, ταῦτα ὁ Φίλων, ᾧ καλῶς καὶ θείως ἑπόμενος ὁ μέγας Βασίλειος, εἶπε, καὶ τοὺς Στρατιώτας καθαρσίων δέεσθαι, καὶ ἡ παροῦσα Σύνοδος ὀρθότατα ἀντέτεινε τῇ τοῦ Φωκᾶ ἀποφάσει, ὃς καὶ ἄλλα εἰργάσατο τὸ ὑπήκοον πάνδεινα. παρεσκεύασε δὲ τὰ τείχη δυνατὰ τόσον, ὥστε ἐὰν γένηται ἐπιβουλὴ κατ' αὐτοῦ, μὴ ἔχειν τινὰ φόβον, καὶ ἴσως ἐστὶ ταῦτα, ἅπερ νῦν περιφράζουσι τὸ βασιλικὸν Παλάτιον, καὶ λέγονται κατὰ τὸ ἀρχαῖον ὄνομα Βυζάντιον, μὴ ἐνθυμούμενος ὅλως τὸ δαυϊτικὸν, Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνισεν ὁ φυλάσσων. ἀλλὰ καὶ εἷς τις ἐξεφώνησεν αὐτῷ, ὦ Βασιλεῦ ὑψοῖς τὰ τείχη ἵνα ἀναβῇς εἰς τοὺς Οὐρανοὺς, ἀλλὰ δι' ὃ φοβῇ οὐκ ἀποδιδράσκεις, ὥσπερ καὶ ἐγένετο, ὅτι ὁ Τζημισκὴς ἐφόνευσεν αὐτὸν, λέγοντα καὶ τὸ, Κύριε ἐλέησον.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς βασιλείας Ἰωάννου Τζημισκῆ, καὶ τῆς τελευτῆς Πολυεύκτου Κωνσταντινουπόλεως, καὶ τῆς Βασιλείου Σκαμανδρηνοῦ Πατριαρχείας, καὶ μετοικήσεως Παυλικιανῶν ἀπ' Ἀντιοχείας εἰς Φιλιππούπολιν μεσιτείᾳ Θεοδώρου Ἀντιοχείας, καὶ τῆς διὰ φαρμάκου τελευτῆς τοῦ Βασιλέως.

Βασιλεύσας δὲ Ἰωάννης ὁ Τζημισκὴς, καὶ θέλων στεφθῆναι εἰς τὴν μεγάλην Ἐκκλησίαν, ὁ Πολύευκτος εἶπεν αὐτῷ, ὅτι ἐστὶν ἀνὴρ αἱμάτων, καὶ ταῦτα ἐκ συγγενικῶν αἱμάτων, ὅθεν χωρὶς τοῦ δεῖξαι καρποὺς ἀξίους μετανοίας, μήτε πατεῖν εἰς τὸ ἔδαφος τοῦ Ναοῦ τοῦ Κυρίου ἐστὶν ἄξιος, καὶ ὅτι ἵνα ἀκυρώσῃ τὸν Τόμον ὃν ἐποίησεν ὁ Νικηφόρος κατὰ τῶν Ἀρχιερέων καὶ ἄλλων ἐκκλησιαστικῶν πραγμάτων. ὁ δὲ Ἰωάννης ἀπεκρίθη μετὰ πολλῆς ταπεινώσεως, ὅτι ἄλλοι τὸν Νικηφόρον ἀπέκτειναν, πείθεται ὅμως, εἶπεν, εἰς ὅ,τι ἂν αὐτὸν κανονίσοι, καὶ ἀκυρώσει καὶ τὸν Τόμον, καὶ οὕτως αὐτὸν ἔχρισε τῇ ἑορτῇ τῶν Χριστουγέννων, μετὰ δὲ τὴν στέψιν, τριάκοντα καὶ πέντε ἡμέρας ζήσας ὁ Πολύευκτος, ἀνεπαύθη, καὶ προεβλήθη Βασίλειος ὁ Σκαμανδρηνός. ἀλλὰ καὶ εἰς τὴν Ἀντιόχειαν προέβαλεν ὁ Βασιλεὺς Θεόδωρον τινὰ ἀρχαῖον αὐτοῦ γνώριμον, τὸν καὶ προειπόντα αὐτῷ τὴν βασιλείαν, ἄνθρωπον ἐνάρετον, καὶ τῶν Μανιχαίων ἀντίπαλον, καθότι αὐτοῦ ταῖς ὑποθήκαις τοὺς Μανιχαίους, οἳ προεξένουν πολλὰ κακὰ διὰ τῶν μαγειῶν καὶ βλασφημιῶν αὐτῶν εἰς τὴν Ἀνατολὴν, μετῴκισεν ὁ Ἰωάννης εἰς τὰ ὅρια Φιλιππουπόλεως, οἵτινες καλούμενοι τῷ δευτέρῳ ὀνόματι τῆς Αἱρέσεως αὐτῶν, λέγονται Παυλικιανοί. ἐφαρμακεύθη ὅμως ὁ Βασιλεὺς, καὶ ἀπέθανεν, αὐταρχήσας ἔτη ἕξ.

ΠΑΡΑΓΡΑΦΝΟ Θ'.

Περὶ τῆς βασιλείας Βασιλείου καὶ Κωνσταντίνου υἱῶν Ῥωμανοῦ, καὶ τοῦ παντελοῦς ἀφανισμοῦ τῶν Βουλγάρων ὑπὸ Βασιλείου, τοῦ καὶ πολλὰς ὑποτάξαντος ἑαυτῷ Ἐπαρχίας, καὶ τὸν Πατριάρχην Σέργιον ῥαπίσαντος, καὶ ὑβρισθέντος ὑπ' αὐτοῦ, καὶ ἐν Ἀνδριάσι κηρίνοις ἀμφοτέρους τοῦ Ἀλεξανδρείας κρίναντος, καὶ διὰ τοῦτο Οἰκουμενικοῦ κριτοῦ κληθέντος.

Ἐβασίλευσαν δὲ μετὰ τοῦτον οἱ υἱοὶ Ῥωμανοῦ Βασιλέως Βασίλειος καὶ Κωνσταντῖνος, ἐποίησε δὲ ὁ Βασίλειος παντελῆ ἀφανισμὸν τῇ ἀρχῇ τῶν Βουλγάρων, ὅθεν καὶ βουλγαροκτόνος ἐκκλήθη, προσεκτήσατο δὲ Χωρβάτας καὶ Σίρμιον καὶ Συρίαν, καὶ ἀλλαχοῦ, καὶ δὴ καὶ πολλοὺς κατ' αὐτοῦ ἀνταρτήσαντας, ἐτροπώσατο. διηγεῖται δὲ ὁ μέγας Λογοθέτης Ἐπιφάνιος, ὅτι ἐκώλυε τὸν Βασίλειον ὁ Κωνσταντινουπόλεως Σέργιος ἐκκλησιασθῆναι, καὶ διατοῦτο παρ' αὐτοῦ ἐρραπίσθη, ὅθεν δριμὺ λαλήσας ἤνοιξε τὸ στόμα αὐτοῦ ὑβρίζων καὶ κακολογῶν τὸν Βασιλέα. εὑρέθη τότε εἰς τὴν βασιλεύουσαν τῆς Ἀλεξανδρείας ὁ Πατριάρχης Θεόφιλος τῷ ὀνόματι, καὶ ἐκράχθη ἵνα γένηται κριτὴς δύο Οἰκουμενικῶν μεγάλων προσώπων, καὶ λοιπὸν ὁ Θεόφιλος ποιήσας ἕνα Ἀνδριάντα κήρινον, ἔστησεν αὐτὸν εἰς τὸ μέσον, ναὶ μὴν καὶ ἄλλον δεύτερον ἀντικρῦ, καὶ ἄνευ τοῦ λαλῆσαί τι ἔκοψε τὴν γλῶσσαν τοῦ ἑνὸς Ἀνδριάντος, καὶ τοῦ ἄλλου Ἀνδριάντος τὴν δεξιὰν χεῖρα, ὅθεν ὁ Ἀλεξανδρείας κριτὴς τῆς Οἰκουμένης ἐξ ἐκείνου ἐκλήθη, ὡς δύο Οἰκουμενικὰ πρόσωπα συμβιβάσας.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῆς τελευτῆς Βασιλείου Βασιλέως, εἶτα καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Κωνσταντίνου, καὶ βασιλείας Ῥωμανοῦ Ἀργυρο-

Ἀργυροπούλου, καὶ πνιγμοῦ αὐτοῦ ἐν τῷ Λουτρῷ ἐπιβουλῇ τῆς γυναικὸς αὐτοῦ Ζωῆς, καὶ βασιλείας Μιχαὴλ τοῦ Παφλαγόνος, τοῦ πνίξαντος τὸν Ῥωμανὸν, καὶ τὴν Ζωὴν εἰς γυναῖκα λαβόντος, καὶ δαιμονισθέντος, καὶ μονάσαντος, καὶ τελευτήσαντος ἐν μετανοίᾳ.

Ἐτελεύτησεν ὁ Βασίλειος, καὶ ἔμεινε μόνος ὁ Κωνσταντῖνος, ὅστις μέλλων ἀποθνήσκειν, Ῥωμανὸν τὸν Ἀργυρόπουλον καὶ ἄκοντα συνέζευξε τῇ θυγατρὶ αὐτοῦ Ζωῇ, τὴν δὲ προτέραν αὐτοῦ γυναῖκα ἐποίησε μονάστριαν, καὶ οὕτως αὐτὸν ἐβασίλευσεν. ἦν δὲ ὁ Ῥωμανὸς φιλόπτωχος καὶ εἰς τοὺς ἐκκλησιαστικοὺς εὐλαβέστατος. οἰκοδομῶν δὲ Ναοὺς καὶ Μοναστήρια, καὶ θέλων ἀνακαινίσαι καὶ μέρος Ναοῦ τῆς Βλαχέρνας σεσαθρωμένον, ἦυρεν ἔνδον εἰς τὸν τοῖχον Εἰκόνα τῆς Θεοτόκου καὶ τοῦ Χριστοῦ εἰς σανίδα ὑλογραφικὴν, ἣν ἐπὶ τοῦ Κοπρωνύμου ἔκρυψαν ἐκεῖ, καὶ διέμεινεν ἀβλαβὴς τριακόσια ἔτη τὰ παρελθόντα. τοιοῦτον ὅμως ὄντα, Μιχαὴλ ὁ Παφλαγὼν θελήματι τῆς Βασιλίσσης ἔπνιξεν αὐτὸν ἔνδον εἰς τὸν λουτρὸν τῇ μεγάλῃ πέμπτῃ. ἔκραξε δὲ ἡ Βασίλισσα τὸν Πατριάρχην Ἀλέξιον, ἵνα αὐτὴν στεφανώσῃ μετὰ τοῦ φονέως, ὅστις ἐθαύμαζε πῶς ἐπιτελέσῃ τοιαύτην ἱερολογίαν, ἀλλ' ἡ πονηρὰ γυνὴ ἔδωκε πεντήκοντα λίτρας χρυσίου τῷ Πατριάρχῃ, καὶ ἄλλας τοσαύτας τοῖς Κληρικοῖς αὐτοῦ, καὶ οὕτως ἐστεφανώθη τῇ ἐπαύριον. ὦ κατηραμένη φιλαργυρία ἡ ποιοῦσα καὶ Ἱερέα παράνομον, καὶ ἀθέμητον ἱερολογίαν. εἶχεν ὁ Βασιλεὺς ἀδελφὸν Ἰωάννην, καὶ μετὰ τὰ πολλὰ ὁ Ἰωάννης ἐζήτησε γενέσθαι καὶ Πατριάρχης, καὶ ἵνα καθαιρεθῇ ὁ Ἀλέξιος, ἔλεγον οἱ Ἀρχιερεῖς, ὡς δῆθεν ἀπὸ βίας τοῦ Βασιλέως Βασιλείου, καὶ οὐχὶ ἀπὸ κανόνων ἐκκλησιστικῶν ἐπατριάρχευσεν, ἀλλ' αὐτὸς εἶπεν, Εἰ οὕτως ἔχει, καθαιρεθήτωσαν πρῶτον οἱ παρ' αὐτοῦ πατριαρχοῦντος χειροτονηθέντες Ἐπίσκοποι, καὶ ἀναθεματισθήτωσαν καὶ οἱ τρεῖς Βασιλεῖς οὓς ἔστεψεν. οἱ δὲ διαπεφωνήκασιν ἄλογοι ὄντες, καθότι πολλοὶ κακῶς πατριαρχεύσαντες, καὶ μάλιστα Αἱρετικοὶ, καθῃρέθησαν ὅτε ἡ Ἐκκλησία εὐκαίρησεν, ἀλλ' οὐ καθῃρέθησαν οἱ παρ' ἐκείνων χειροτονηθέντες. τὸ αὐτὸ ῥητέον καὶ περὶ τῆς στέψεως τῶν Βασιλέων. ὁ Βασιλεὺς ὅμως ἐδαιμονίζετο διὰ τὸν φόνον τοῦ Ῥωμανοῦ, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην, ἵνα ἰατρευθῇ ὑπὸ τοῦ ἁγίου Δημητρίου, ἀλλ' οὐδὲν ὠφελήθη, ὅθεν τέλος πάντων διαβαίνων κατάτι Μοναστήριον, ἐπέζευσεν ἐξαίφνης, καὶ εἰσελθὼν ἐν αὐτῷ, ἐγένετο Μοναχὸς ὑπότινος Μοναχοῦ Κοσμᾶ ὀνόματι, ὅστις πάντοτε αὐτὸν ἐνουθέτει κλαίειν τὴν ἁμαρτίαν αὐτοῦ, καὶ οὕτως ἀπέθανεν ἐν μετανοίᾳ. σημείωσαι ὅτι Ἀργυροπούλου τιμήσαντος συγκέλλους τὸν Ἐφέσου, τὸν Κυζίκου καὶ τὸν Εὐχαΐτων, οἱ Μητροπολῖται τῇ ἑορτῇ τῆς Πεντηκοστῆς ἐν τῇ Λειτουργίᾳ οὐ κατεδέξαντο προκαθίσαι αὐτοὺς, λέγει ὁ Κεδρηνός.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τῆς βασιλείας Μιχαὴλ τοῦ Καλαφάτου, εἶτα Κωνσταντίνου Μονομάχου, καὶ ὧν συμβέβηκε τοῖς Ῥωμαίοις κακῶν ὑπὸ διαφόρων ἐθνῶν.

Μετὰ τὸν Παφλαγόνα ἐβασίλευσε Μιχαὴλ ὁ Καλαφάτης, εἶτα Κωνσταντῖνος ὁ Μονομάχος, ὃς ἦν ἐξόριστος εἰς Μυτιλήνην, καὶ ἐλθὼν ἐστεφανώθη τὴν τρίγαμον Βασίλισσαν, καὶ ἐστέφθη Βασιλεὺς εἰς τὴν βασιλεύουσαν ὑπὸ τοῦ Πατριάρχου Ἀλεξίου, ὅστις μετ' ὀλίγον ἀπέθανε, καὶ ἐγένετο Μιχαὴλ ὁ Κηρουλλάριος αὐτ' αὐτοῦ Πατριάρχης. εἶχε δὲ πεφυλαγμένα ὁ Πατριάρχης Ἀλέξιος εἰς τὴν Μονὴν αὐτοῦ εἰκοσιπέντε κεντηνάρια χρυσίου, καὶ ἔστειλεν ὁ Μονομάχος καὶ ἔλαβεν αὐτά. οὗτος ὁ Μονομάχος ἔκτισε πολλὰ Νοσοκομεῖα, καὶ Ξενοδοχεῖα, καὶ Μοναστήρια καὶ Ἐκκλησίας ἔκτισεν, ἔκτισε καὶ τὴν Ἁγίαν Μονὴν εἰς τὴν χῖον. λέγει δὲ ὁ Ψελλὸς εἰς τὸ τέταρτον τῶν ἱστοριῶν αὐτοῦ, ὅτι ἐπειδὴ αἱ πόρναι παραινέσεις οὐκ ἀποδέχονται, οὔτε μὴν βίᾳ σωφρονοῦσιν, ὁ Μονομάχος ᾠκοδόμησε Μοναστήριον πλουσιώτατον, καὶ ἐκήρυξεν, Εἴτις πόρνη καταλείψοι τὸ μῦσος, καὶ ἔλθοι εἰς τὸ Μοναστήριον, ἔχειν τὴν κυβέρνησιν αὐτῆς ἐκεῖ ἱκανὴν, ὅθεν πολλαὶ ἔδραμον μεταβαλοῦσαι τὸ σχῆμα καὶ τὸν τρόπον. εἰς δὲ τὴν Ἰταλίαν ὁ Δοὺξ Μιχαὴλ Πρωτοσπαθάριος ὁ Δοκιανὸς ἔχων Στρατὸν Φράγγικον μετὰ βασιλικοῦ σιτηρεσίου, τὸν ἐπὶ τοῦ Στρατοῦ Ἀρχηγὸν Ἀρδοῖνον ἔδειρεν, ὅθεν ἐκείνου στασιάσαντος, καὶ κακῶς κυβερνήσαντος, ὁ Μιχαὴλ οὐκ ἐνίκησε, καὶ οὕτως ἤυξησεν ἡ ἀποστασία. εἶχε δὲ ἀπεσταλμένον ὁ Παφλαγὼν Γεώργιον τὸν Μανιάκην εἰς Σικελίαν, ὃς καὶ ἠρίστησε μεγάλως κατὰ Σαρακηνῶν, ἀλλ' ἔχων ὑποστράτηγον Στέφανον τὸν τοῦ Βασιλέως γαμβρὸν, παρήγγειλεν αὐτῷ προσέχειν μὴ ἀποδρᾶναι τὸν Φύλαρχον, ἐκείνου δὲ ἀμελήσαντος, φθαρέντων τῶν Σαρακηνῶν, ἔφυγεν ὁ Φύλαρχος εἰς τὴν Ἀφρικήν. ὀνειδισθεὶς δὲ ὁ Στέφανος ὑπὸ τοῦ Μανιάκη, διέβαλεν αὐτὸν τὸν Μανιάκην ὡς μέλλοντα ἀποστατήσειν, μηνυθεὶς δὲ ὁ Μανιάκης, καὶ ἐλθὼν εἰς Βυζάντιον, καθείργνυται. ὅθεν καὶ ἡ Σικελία κακῶς πάλιν ἔπαθεν ὑπὸ τῶν Ἄφρων, τὸν Μανιάκην ὅμως ἡ Ζωὴ λύσασα τῶν δε-

σμῶν, ἔστειλεν εἰς Ἰταλίαν. τοῦτον οὖν ὁ Μονομάχος ἔπεμψεν ἵνα κυβερνήσῃ τὰ πράγματα εἰς Ἰταλίαν, καὶ παύσῃ τὴν ἀποστασίαν, καὶ ὃς ἀπελθὼν, ἐταπείνωσε τοὺς ἀποστάτας, πλὴν πάλιν ἀνταρτήσας ὁ ἀνεψιὸς τοῦ Ἀρδοίνου Ῥομπέρτος, ἔλαβεν εἰς τὴν Ἰταλίαν πολλὰς πόλεις καὶ χώρας τῶν Ῥωμαίων. ὥστε καὶ καθεξῆς ἐγένοντο οἱ ἀπ' αὐτοῦ ἀντίπαλοι τοῖς Ῥωμαίοις, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῆς Ἰταλίας, καθότι ἦυρον καιρὸν καθ' ὃν Οὔζοι, Πατζινάκαι, Βούλγαροι, Ἄραβες κατέτρεχον τῶν Ῥωμαίων, καὶ ἐβεβαίωσαν τὴν ἀποστασίαν αὐτῶν. ἦν δὲ καὶ συνέργεια παραταθῆναι τὸν Ῥομπέρτον, ὅτι ὁ Μανιάκης ἔχων ἐχθρὸν αὐτοῦ μεγάλον τὸν Σκληρὸν, τιμώμενον λίαν ὑπὸ τοῦ Μονομάχου, διὰ πεισμονὴν καὶ φθόον ἐκηρύχθη Βασιλεὺς, καὶ λαβὼν Στρατεύματα, ἐπέρασεν εἰς τὸ Δυῤῥάχιον, ἵνα ἔλθῃ εἰς Κωνσταντινούπολιν, καὶ εἰ καὶ ἐφονεύθη, ὅμως αἱ διχοστασίαι ὠφέλησαν τοὺς ἀποστάτας, ὁμοῦ καὶ ἡ ἀχρειότης τῶν μετέπειτα Βασιλέων, ἀλλ' οὐχ οὕτως ἐλύπησαν τὴν Ἐκκλησίαν αἱ ἐξωτερικαὶ δυναστεῖαι, ὅσον ἡ ἀποστασία τῶν Ῥωμαίων, καθότι γέγονεν ἐχθρὸς ὁ οἰκειακὸς, καὶ τὸ δὴ χείριστον, ὅτι τῇ πρὸς τὴν ὀρθόδοξον βασιλείαν ἀποστασίᾳ τῶν Φράγγων, ἠκολούθησεν ἡ ἀποστασία τοῦ Πάπα ἀπὸ τῆς καθόλου Ἐκκλησίας, καὶ γέγονε, κατὰ τὸν Ναζιανζηνὸν λόγῳ εἰκοστῷ τρίτῳ, ὁ τῆς ἀληθείας ἐκδικὸς προδότης, ὁ Ποιμὴν Λύκος, ὁ διὰ τῆς θύρας ὁ δηγῶν, Λῃστὴς διὰ τῆς αὐλῆς ὑπεραναβαίνων, καὶ ἡ τελευταία μάστιξ κατὰ τοῦ τῆς Ἐκκλησίας κοινοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ ὧν ἔπραξεν ὁ Πάπας Φόρμοσος ἀτόπων, καὶ τινες ἄλλοι Πάπαι Ῥώμης μετ' αὐτόν.

Φόρμοσος Ἐπίσκοπος Πόρτου, ὡς διηγεῖται ὁ Δουάλλιος περὶ ἐξουσίας τοῦ Πάπα μέρει δευτέρῳ, ζητήματι τεταρτῷ, καθηρημένος παρὰ τοῦ Πάπα Ἰωάννου ὀγδόου, καὶ ἀποκατασταθεὶς εἰς τὴν τάξιν τῶν λαϊκῶν, ἠναγκάσθη βίᾳ ἀναχωρῆσαι τῆς πόλεως, καὶ ποιῆσαι ὅρκον ὥστε μὴ θελῆσαί ποτε ἀναλαβεῖν τὴν Ἐπισκοπήν. ἀποθανόντος δὲ τοῦ Ἰωάννου, ὁ διάδοχος αὐτοῦ Μαρῖνος, ἢ καθὼς ἄλλοι λέγουσι Μαρτῖνος δεύτερος λύει αὐτὸν τοῦ ὅρκου, καὶ ἀναβιβάζει εἰς τὴν Ἐπισκοπήν. μετὰ θάνατον δὲ τοῦ Μαρίνου ὁ Φόρμοσος χειροτονεῖται Πάπας, καὶ χειροτονεῖ Ἐπισκόπους τινὰς καὶ Πρεσβυτέρους. ὁ διάδοχος ὅμως αὐτοῦ Στέφανος ἕβδομος δεινὸς ἐχθρὸς τῆς μνήμης ἐκείνου, ἐν Συνόδῳ Ἐπισκόπων ὥρισεν εἶναι ἀκύρους πάσας τὰς πράξεις τοῦ Φορμόσου, ὡς μὴ γεγενημένου γνησίου Πάπα, καὶ τοὺς παρ' αὐτοῦ χειροτονηθέντας ἀναχειροτονηθῆναι προσέταξεν, οὗτος ὁ ὅρος τοῦ Στεφάνου λίαν ἔδοξε μοχθηρὸς εἰς τοὺς πάντας, καὶ διατοῦτο τρεῖς διάδοχοι αὐτοῦ Ῥωμανὸς, Θεόδωρος δεύτερος καὶ Ἰωάννης ἔνατος, γενομένης Συνόδου, ἄκυρον εἶναι ὥρισαν τοῦ Στεφάνου τὴν κρίσιν, καὶ ἔθεντο Φόρμοσον ἐν τῇ τάξει τῶν γνησίων Ἀρχιερέων. διάδοχος τούτων τῶν τριῶν ἐγένετο Σέργιος, ὅστις ἀκολουθῶν τῷ παραδείγματι τοῦ διαληφθέντος Στεφάνου, ἐξέβαλεν ἀπὸ τοῦ μνήματος τοῦ Φορμόσου τὸ σῶμα, καὶ ἔκοψε τὰ τρία δάκτυλα μεθ' ὧν ἐποίει τὰς χειροτονίας, ἅστινας καὶ ἀκύρους ἀπεφήνατο. καὶ λοιπὸν ἢ ἐκεῖνοι οἱ ὄντες κατὰ τοῦ Φορμόσου, ἢ ἐκεῖνοι οἱ ὄντες ὑπὲρ τοῦ Φορμόσου ἀναμφιβόλως ἥμαρτον, οἱ μὲν γὰρ αὐτὸν γνήσιον ἔλεγον Πάπαν, οἱ δὲ ψευδόπαπαν. Οὐ δύναται εἰπεῖν τις, ὅτι τὸ ζήτημα τοῦτο ἐστὶ γεγονότος καὶ οὐχὶ δικαιώματος, πρῶτον μὲν, ὅτι ἀξίωμα ἐστὶ καὶ γνώμη κοινὴ παρὰ τοῖς ὑπερασπισταῖς τῆς ἀναμαρτησίας τοῦ Πάπα, ὅτι καὶ ἐπὶ τὰ γεγονότος ζητήματα, ἅτινα εἰσὶ συνδεδεμένα μετὰ τῶν τῆς πίστεως, δύναται ἡ Ἐκκλησία πᾶσα πιστεύειν τὸ, ὅτι ὁ Πάπας ἐστὶν ἐν αὐτοῖς ἄπταιστος, καὶ ἔστιν ἀδύνατον ἵνα σφάλλῃ. οὕτω δογματίζεται παρὰ Γεωργίῳ Ῥοδίῳ περὶ πίστεως ζητήματι δευτέρῳ, τμήματι πέμπτῳ, ἀριθμῷ τετάρτῳ. καὶ λοιπὸν τὸ πρᾶγμα τοῦτο τὸ περὶ τὸν Φόρμοσον γεγονὸς, πρῶτον μὲν προβάλετο εἰς πᾶσαν τὴν Ἐκκλησίαν, καθότι πάσῃ τῇ Ἐκκλησίᾳ προσέταττον ὁ Σέργιος καὶ ὁ Στέφανος ἵνα πιστεύσῃ ὅτι ὁ Φόρμοσος ἦν ψευδόπαπας. δεύτερον, τοῦτο τὸ περὶ τὸν Φόρμοσον γεγονὸς ἦν πρᾶγμα συνδεδεμένον μετὰ τῶν τῆς πίστεως, αὐτοὶ γὰρ οἱ παπισταὶ δογματίζουσιν εἶναι πρᾶγμα τῆς πίστεως. τὸ ζήτημα οὖν τοῦτο πότερον, οὗτος ὁ Πάπας γνήσιός ἐστι Πάπας, ἢ οὐχί; ὄντος γὰρ τοῦ Πάπα Κανόνος τῆς πίστεως, ὁσάκις ἂν ἀμφισβητοῖτο περὶ τοῦ γνησίου Πάπα, τοσαυτάκις ἀμφισβητεῖται περὶ τῆς αὐτῆς πίστεως, οὕτω γὰρ διδάσκουσιν οἱ ἔγκριτοι σοφοὶ τῶν παπιστῶν, ὅθεν εἴτις ἀρνεῖται τὸν τάδε Πάπαν εἶναι γνήσιον, ἐκεῖνον δηλαδὴ ὅς ἐστι κατὰ ἀλήθειαν Πάπας γνήσιος, σφάλλει ἐν αὐτῇ τῇ πίστει. καὶ λοιπὸν, ὅστις ἥμαρτεν ἐν τούτῳ τῷ ζητήματι, πότερον, ὁ Φόρμοσος ἦν γνήσιος καὶ ἀληθινὸς Πάπας, ἢ οὔ, ἥμαρτεν εἰς τὴν πίστιν. ὅθεν τὸ ζήτημα τοῦτο τὸ περὶ τὸν Φόρμοσον γεγονὸς, οὐκ ἦν ζήτημα γεγονότος, ἀλλ' ἦν βεβαίως ὁμολογούμενον παρὰ ἑκατέρου τοῦ μέρους. βέβαιον ἦν, ὅτι ὁ Φόρμοσος ἦν

καθηρη-

καθηρημένος. βέβαιον ἦν, ὅτι πεποίηκεν ὅρκον ἵνα μὴ λάβῃ πλέον τὴν ἐπισκοπήν. βέβαιον ἦν, ὅτι παρὰ τοῦ Μαρίνου ἐλύθη τοῦ ὅρκου, καὶ ἐπανεβιβάσθη εἰς τὸν θρόνον. βέβαιον, ὅτι ἀπὸ τῆς Ἐπισκοπῆς Πόρτου ἀνέβη εἰς τὸν θρόνον τῆς Ῥώμης, καὶ τὸ δὴ κύριον, ὅτι μετὰ τὴν καθαίρεσιν ἀπώλεσε παντάπασι τὸν χαρακτῆρα οὕτως, ὥστε τὴν συγχώρησιν ἣν ἔδωκεν αὐτῷ ὁ Μαρῖνος μὴ δύνασθαι ἀποκαταστῆσαι τοιοῦτον, ὥστε τὸν θρόνον ἀναλαβεῖν. ἐγένετο γὰρ δημοσίως καὶ μετὰ σκοποῦ, ἵνα εἴη πάντοτε ἀλλότριος τοῦ χαρακτῆρος, ὅθεν καὶ ὅρκος ἐμεσολάβησε. τοῦτο δὲ πάντως ζήτημά ἐστιν οὐγεγονότος, ἀλλὰ δικαιώματος, καὶ ἀνήκει εἰς τὴν πίστιν, ζητεῖται γὰρ πότερον αἱ χειροτονίαι ἑνὸς καθηρημένου Ἐπισκόπου ἄκυροί εἰσιν, ἢ οὔ; Πρὸς ταῦτα ἀνθίστανται οἱ παπισταὶ καὶ λέγουσιν, ἀληθῶς ὁ Στέφανος ἀκύρους ἀπέδειξε τὰς χειροτονίας τοῦ Φορμόσου, πλὴν οὐχὶ ἐνθέσει καὶ γενικῶς, ὡσεὶ ἔλεγε δηλαδὴ οὕτω καθόλου τὰς χειροτονίας ἑνὸς Ἐπισκόπου εἶναι ἀκύρους, ἀλλ' ἐν ὑποθέσει καὶ μερικῶς, τουτέστιν προσέταξε τοὺς παρὰ τοῦ Φορμόσου πάλαι χειροτονηθέντας μεταχειροτονεῖσθαι. οὗτος ὁ ὅρος οὐ βλάπτει, λέγουσι, τὸ δικαίωμα τὸ καθόλου καὶ γενικὸν, ἀλλὰ μόνον περὶ τὸ γεγονὸς πρᾶγμα ἐστὶν, ἐν ᾧ δύναται σφάλλειν ὁ Πάπας, ὅμως οὐκ ἀπόλλυσι τῆς ἀναμαρτησίας τὸ προνόμιον, ἅτε σφάλλων μερικῶς καὶ κατ' ἰδίαν, καὶ οὐ λέγεται διὰ ταῦτα Αἱρετικός. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι οὐ λάθρα καὶ μόνος ἐξήνεγκε τὴν κατὰ τοῦ Φορμόσου κρίσιν ὁ Στέφανος, ἀλλὰ φανερῶς, καὶ ἐπ' Ἐκκλησίας, καὶ ἐπὶ τοῦ Κλήρου. δεύτερον, ὁ ὅρος τοῦ Στεφάνου ὁ γεγονὼς ἐν τῇ ὑποθέσει τοῦ Φορμόσου κατὰ τὸ μερικὸν, ἐξαπλοῦται καὶ εἰς τὴν θέσιν, καὶ εἰς τὸ καθόλου, ὁ γὰρ ἐν τῇ μερικῇ ὑποθέσει λέγων τὰς χειροτονίας τοῦ Φορμόσου εἶναι ἀκύρους, ἀναγκαίως ἐρεῖ καὶ ἐν τῇ καθόλου θέσει ἀκύρους εἶναι τὰς χειροτονίας παντὸς καθηρημένου Ἐπισκόπου, κατὰ γὰρ τοὺς λογικοὺς Κανόνας ἀρνεῖται τὴν καθόλου καταφατικὴν πρότασιν ὁ ὁμολογῶν τὴν μερικὴν κατὰ ἀντίφασιν ἀντίθετον, ἤγουν ὅστις ὁμολογεῖ λόγου χάριν τὸν Πέτρον μὴ εἶναι πλάσμα, μὴ ὑποκεῖσθαι τῇ θείᾳ προνοίᾳ, μὴ ἔχειν χρείαν λυτρωτοῦ, εἶναι θνητόψυχον, τοῦτο ἐστὶν ὑπόθεσις κατὰ μέρος καὶ ἀληθὴς, ὅμως ὁ τοῦτο ὁμολογῶν προφανῶς Αἱρετικός ἐστι, καὶ δοξάζει κατὰ τῆς πίστεως, βιάζεται γὰρ ἀρνηθῆναι τὴν καθόλου ταύτην θέσιν, τὴν, πᾶς ἄνθρωπος ἐστὶ πλάσμα, ὑπόκειται τῇ θείᾳ προνοίᾳ, δεῖται λυτρωτοῦ, οὐκ ἔστι θνητόψυχος, καὶ τὰ ἑξῆς. οὕτως ὁ ὁμολογῶν καθ' ὑπόθεσιν μερικὴν, ὅτι αἱ χειροτονίαι τοῦ καθηρημένου Φορμόσου οὐκ ἔχουσι τὸ κῦρος, ἀρνεῖται κατὰ θέσιν καθολικὴν, ὅτι παντὸς Ἐπισκόπου καθηρημένου αἱ χειροτονίαι εἰσὶν ἄκυροι. ἡ πρότασις αὕτη ἄρα ἐστὶ δικαιώματος, καὶ ἀνήκει εἰς τὴν πίστιν, καὶ ὅστις περὶ ταύτην ἁμαρτάνει, προφανῶς Αἱρετικός ἐστιν. ἴδε καὶ κατωτέρω βιβλίου ἐνάτου κεφάλαιον δέκατον τέταρτον.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ τῶν Πατριαρχῶν τῶν Ἱεροσολύμων ἀπὸ Ἡρακλείου μέχρι τῆς δεῦρο.

Ἐπειδὴ εἴχομεν σαφεῖς ὁδηγοὺς περὶ τῶν Πατριαρχῶν ἡμῶν ἕως Ἡρακλείου, ἄρχεται δὲ ἀσάφεια ἀπὸ τοῦ Ζαχαρίου νῦν, καθότι διαφωνοῦσιν οἱ χρονογράφοι, μάλιστα δὲ καὶ πολλὰ σιωπῶσιν, ἐκ δὲ τῶν μὴ σαφῶς εἰρημένων, χαλεπὸν εἰπεῖν σαφῶς τ' ἀληθὲς, πλὴν ὅμως τῇ χορηγίᾳ τοῦ ἁγίου Πνεύματος λέξομεν τὸν ἐνόντα τρόπον τὸ ἀληθές. Ἱστορεῖ τοίνυν ὁ Πατριάρχης Ἀλεξανδρείας Εὐτύχιος, ὃν εἴπομεν γεγραφέναι χρονικὸν εἰς γλῶσσαν ἀραβικὴν ἀπὸ Ἀδὰμ ἕως τοῦ τριακοσιοστοῦ εἰκοστοῦ ἕκτου ἔτους τῆς ἀναδείξεως τοῦ ἐθνικοῦ, ὅτε ἤκμαζε καὶ αὐτὸς, καὶ τὰ περὶ τῶν Πατριαρχῶν τοῦ ἁγίου οἴκου (οὕτω γὰρ ἐκεῖνος καλεῖ τὴν ἁγίαν Ἱερουσαλὴμ) σεσημειωκέναι, ἀλλ' οὐ συμφωνεῖ μετὰ τῶν εὑρισκομένων Διπτύχων εἰς Ἱερουσαλὴμ, καὶ λέγω εὑρισκόμενα, ὅτι οὐ καταγράφονται ὅλοι οἱ Πατριάχαι οὔτε εἰς ταῦτα, ἀλλὰ τινὲς, οὐκ οἶδα διατὶ, πλὴν ὅπως καὶ ἂν συγγράφῃ περὶ τῆς παρούσης ὑποθέσεως, ἐξ αὐτοῦ, καὶ ἀπὸ τῶν Διπτύχων αὐτῶν, καὶ ἐξ ἄλλων σποράδην εὑρισκομένων, λαμβάνοντες μάλιστα τὰς ἀρχὰς, συντίθεμεν τὸν παρόντα κατάλογον, ἀρχόμεθα δὲ πάλιν ἀπὸ τοῦ Ζαχαρίου. Ὁ τοίνυν Ζαχαρίας ἐπατριάρχευσε βασιλεύοντος τοῦ Φωκᾶ, εἰς δὲ τὸ ἑξακοσιοστὸν καὶ τεσσαρεσκαιδέκατον ἔτος, ὃ ἦν τέταρτον, ἢ πέμπτον ἔτος τοῦ Ἡρακλείου, ἔλαβον οἱ Πέρσαι τὰ Ἱεροσόλυμα, καὶ ἠχμαλώτευσαν τὸν Ζαχαρίαν καὶ τὸ τίμιον ξύλον, ὄντος ἑβδόμου ἔτους τῆς Πατριαρχείας αὐτοῦ. εἰς δὲ τὸ δέκατον ὄγδοον ἔτος τῆς βασιλείας αὐτοῦ εἰρήνευσεν ὁ Ἡράκλειος μετὰ τοῦ νέου Περσάρχου Συρόου, καὶ ἔλαβε τόν τε Ζαχαρίαν καὶ τὸ τίμιον ξύλον. ἦν δὲ ὁ Ζαχαρίας εἰς τὴν αἰχμαλωσίαν ἔτη δεκατρία, ὥστε ἐστὶν ἡ πατριαρχεία αὐτοῦ ἔτη εἴκοσι, καὶ ἀνεπαύθη καθ' ὁδὸν μετὰ τὴν ἀπολύτρωσιν, οὐκ οἶδα πῦ, ὅμως κατ' ἄλλους τινὰς νομίζεται ἐλθεῖν εἰς Ἱερουσαλὴμ μετὰ Ἡρακλείου, καὶ ἐκεῖ μετέπειτα ἀποθανεῖν. εἶτα ἐπατριάρχευσεν ὁ Μόδεστος Μῆνας ἐννέα, κατ' ἄλλους δὲ χρόνους δύο. τινὲς ὅμως τῶν χρονο-

χρονογράφων θέλουσι πατριαρχεῦσαι τὸν Ζαχαρίαν ἐν ἔτει ἑξακοσιοστῷ ἐνάτῳ, καὶ τῷ ἑξακοσιοστῷ εἰκοστῷ ἑβδόμῳ ἐλθεῖν εἰς τὸν θρόνον αὐτοῦ μετὰ τοῦ Ἡρακλείου, καὶ ζῆσαι ἕως τοῦ ἑξακοσιοστοῦ τριακοστοῦ τρίτου ἔτους, ἐν ᾧ ἔτει ἀποθανόντος αὐτοῦ, ἐγένετο Πατριάρχης ὁ Μόδεστος, καὶ ἐστάθη εἰς τὸν θρόνον Μῆνας ἐννέα, οὗ ἀποθανόντος, ἐγένετο Πατριάρχης ὁ Σωφρόνιος ἐν ἔτει τῷ αὐτῷ, ἤτοι τῷ ἑξακοσιοστῷ τριακοστῷ τρίτῳ, καὶ τῷ ἔτει τῷ ἑξακοσιοστῷ τριακοστῷ πέμπτῳ, ἢ τῷ ἑξακοσιοστῷ τριακοστῷ ἑβδόμῳ, ἔλαβεν ὁ Ὦμερ τὴν Ἱερουσαλήμ. ἄλλοι δὲ ἱστοροῦσιν, ὅτι ὁ Ζαχαρίας ἐπατριάρχευσεν ἔτη εἴκοσιν, ὡς εἴρηται ἀνωτέρω, καὶ λοιπὸν ἀπέθανε τῷ ἑξακοσιοστῷ εἰκοστῷ ὀγδόῳ, καὶ ἐγένετο Πατριάρχης ὁ Μόδεστος, καὶ τῷ ἑξακοσιοστῷ εἰκοστῷ ἐνάτῳ ἐγένετο Πατριάρχης ὁ Σωφρόνιος, καὶ τῷ ἑξακοσιοστῷ τριακοστῷ ἕκτῳ ἔλαβεν ὁ Ὦμερ τὴν Ἱερουσαλήμ, ἐν ᾧ καὶ ὁ Σωφρόνιος ἐκοιμήθη. ταῦτα δὲ εἰ ἀληθῆ, πῶς ἡ ἐν Αἰγύπτῳ Σύνοδος, ἐν ᾗ ἥνωσεν ἑαυτῷ ὁ Ἀλεξανδρείας Κῦρος τοὺς Θεοδοσιανοὺς, ἐγένετο τῷ ἔτει ἑξακοσιοστῷ τριακοστῷ τρίτῳ; ἐπειδὴ ἐν τούτῳ τῷ καιρῷ ὁ Σωφρόνιος, ὁ ἀντειπὼν εὐθὺς τῇ Συνόδῳ ταύτῃ, ἦν ἐν Αἰγύπτῳ καὶ Μοναχὸς, καὶ πῶς ἡ ἐν Ἱεροσολύμοις ὑπὸ τοῦ Σωφρονίου Σύνοδος κατὰ Μονοθελητῶν ἐγένετο τῷ ἑξακοσιοστῷ τριακοστῷ ὀγδόῳ ἔτει, ὡς θέλουσιν οἱ πολλοί; καὶ εἰς ἄλλα τινὰ ἐν τῷ τόπῳ τούτῳ δύναταί τις ἀπορῆσαι, ἅτινα ἐγὼ οὐ δύναμαι διαλῦσαι, διὸ οἱ σοφώτεροι καὶ πρακτικώτεροι διαιτηταὶ γενέσθωσαν, ἡμῖν ἀρκεῖ εἰπεῖν, ὅτι μετὰ τὴν κοίμησιν τοῦ Σωφρονίου ἔμεινεν ὁ θρόνος ἄνευ Πατριάρχου ἔτη εἰκοσιεννέα, ἴσως διὰ τὰς καταδρομὰς καὶ τὰς λεηλασίας τοῦ Ὦμερ καὶ τῶν μετ' αὐτὸν κατατρεχόντων τῶν ἐν Ἱερουσαλὴμ καὶ πέριξ Χριστιανῶν. εἶτα ἐγένετο ὁ Θεόδωρος, μείνας εἰς τὸν θρόνον χρόνους τριάκοντα καὶ πέντε, ἐφ' οὗ ἐγένετο καὶ ἡ Οἰκουμενικὴ ἕκτη Σύνοδος. εἶτα Ἰωάννης χρόνους τεσσαράκοντα. ἀλλ' ἐνταῦθα ἐξαίφνης ἡ ἄθροισις τῆς ἐν Τρούλλῳ Συνόδου συγχέει καὶ τὸν Εὐτύχιον, καὶ τὰ Δίπτυχα, ἔχουσα εἰς τὴν ὑπογραφὴν αὐτῆς Πατριάρχην Ἱεροσολύμων Ἀναστάσιον, καὶ δοκεῖ μὴ πατριαρχεῦσαι ὁ Θεόδωρος ἔτη τριάκοντα πέντε, ἀλλὰ ὀλιγώτερα. ἠθροίσθη γὰρ ἡ Πενθέκτη αὕτη Σύνοδος ἐν ἔτει ἑξακοσιοστῷ ἐννενηκοστῷ δευτέρῳ, ὅθεν ἀναγκαίως πιστεύοντες τῷ Τόμῳ τῆς ἐν Τρούλλῳ Συνόδου μᾶλλον Εὐτυχίου καὶ τῶν Διπτύχων, μετροῦμεν οὕτω κατὰ τὴν ἀνωτέρω ἀπαρίθμησιν ἀπὸ τοῦ ἔτους τοῦ Μοδέστου, ὅπερ ἦν ἑξακοσιοστὸν εἰκοστὸν ὄγδοον, τοῦ Σωφρονίου ἑπτὰ, καὶ χωρὶς Πατριάρχου εἰκοσιεννέα, γίνονται ἔτη τριακονταὲξ, καὶ ἦν τότε τοῦ Θεοδώρου τὸ πρῶτον ἔτος, ὄντος ἔτους ἀπὸ Χριστοῦ ἑξακοσιοστοῦ ἑξηκοστοῦ τετάρτου, προστίθεμεν καὶ τριακονταπέντε τοῦ Θεοδώρου, καὶ πληροῦται τὸ ἑξακοσιοστὸν ἐννενηκοστὸν ἔνατον ἔτος, ἀλλ' ἦν εἰς τοὺς ἑξακοσίους ἐννενήκοντα δύο ὁ Ἀναστάσιος, ὥστε τὰ ἔτη τοῦ Θεοδώρου ἱστοροῦνται ἐσφαλμένως, ἐπειδὴ ἦσαν ὀλιγώτερα, ὅτι ὅμως ἐπὶ τῆς Ἕκτης Συνόδου ἦν ὁ Θεόδωρος, ἐπὶ δὲ τῆς ἐν Τρούλλῳ ὁ Ἀναστάσιος, ἐστὶν ἀναντίρρητον, οὐκ οἴδαμεν δὲ πόσα ἔτη ἐπατριάρχευσεν ὁ Ἀναστάσιος καὶ πόσα ὁ Θεόδωρος. ὅτι δὲ ὁ Ἰωάννης ἐπατριάρχευσεν τεσσαράκοντα ἔτη, ἐστὶν ὑπὸ πολλῶν μαρτυρούμενον, εἰ καὶ ὁ Θεοφάνης λέγει γεγονέναι αὐτὸν Πατριάρχην εἰς τὸ πρῶτον ἔτος τοῦ Ῥινοτμήτου, καὶ πατριαρχεῦσαι ἔτη τριάκοντα, ὅπερ ἀλήθειαν εἶναι κωλύει ἡ ἐν Τρούλλῳ Σύνοδος, ὅθεν ἀναγκαίως ἕπεται ὑπάρξαι τὸν Ἰωάννην τοῦτον μετὰ τὸν Ἀναστάσιον. Σημείωσαι ὅμως ἐνταῦθα τρία τινὰ, πρῶτον, ὅτι ὁ Θεόδωρος λέγεται πρόεδρος καὶ οὐχὶ Πατριάρχης, ἐπειδὴ προεδρικῶς ἐπετρόπευε τὸν θρόνον, εἰ καὶ ἐνταῦθα ἀπορεῖται, εἰ προεδρικῶς ἐπετρόπευε, πῶς πάλιν Πατριάρχης καλεῖται; δεύτερον, ὅτι ὁ Εὐτύχιος πρωτεύει τὸν Ἰωάννην τοῦ Θεοδώρου, ἀλλ' ἐπειδὴ ἦν ὁ Ἰωάννης ὅτε ἤκμαζε καὶ ὁ Δαμασκηνὸς, ἤτοι εἰς τοὺς ἑπτακοσίους τριακονταένα χρόνους, ὁ δὲ Θεόδωρος ὅτε ἠθροίσθη ἡ ἕκτη Σύνοδος, σφόδρα φανερόν ἐστιν, ὅτι ἦν πρότερος ὁ Θεόδωρος τοῦ Ἰωάννου. σημείωσαι τὸν Εὐτύχιον λέγοντα λευκότατα, ὅτι μετὰ τὸν Σωφρόνιον παρερρυηκότων εἰκοσιεννέα ἐτῶν, ἐγένετο Πατριάρχης Γεώργιος, τίθησι μὲν Γεωργίους δύο, ἕνα τοῦτον, ᾧτινι καὶ παρέχει ἔτη εἰκοσιεννέα, δεύτερον τὸν γεγονότα τῷ εἰκοστῷ ἔτει τῆς ἡγεμονίας τοῦ Ἀμπουλαμπᾶς, τοῦ διαδόχου τοῦ Μωάμετ, ὅπερ ἐστὶν ἀραβικὸν ἔτος ἑκατοστὸν πεντηκοστὸν ἕκτον, καὶ Σωτήριον ἔτος ἑπτακοσιοστὸν ἑβδομηκοστόν. τρίτον, ὅτι ὁ Ἀναστάσιος Βιβλιοθηκάριος λέγει, μετὰ τὸν Σωφρόνιον γεγονέναι Σέργιον τινὰ Πατριάρχην, οὗ ὑπάρξαντος ἐπιβάτου, ἀπέστειλε τὸ μοναχικὸν τῆς Παλαιστίνης Στέφανον τὸν Δωρίδος Ἐπίσκοπον πρεσβευτὴν εἰς τὴν Ῥώμην κατ' αὐτοῦ, καὶ ἔγραψεν ὁ Ῥώμης εἰς τὸν Ἐφέσου καὶ εἰς τὸν Φιλαδελφείας καὶ ἀπέβαλον αὐτόν. ὅτι ὅμως ἐστὶ τοῦτο ἔκδηλον πλάσμα, καὶ ἔοικε μύθῳ, φανερὸν, πρῶτον, ὅτι εἰς ἄλλον τινὰ ἱστορικὸν οὐχ εὑρίσκεται. δεύτερον, ὅτι καθὼς ὁ Ἱεροσολύμων Θεόδωρος ἔγραψε τὰ συνοδικὰ αὐτοῦ εἰς τὸν Ἀλεξανδρείας καὶ Ἀντιοχείας κατὰ τῶν Εἰκονομάχων, βεβαιῶν καὶ τὴν ὀρθοδοξίαν αὐτοῦ, ἐδύναντο καὶ οἱ Ἐπίσκοποι τῆς Παλαιστίνης προσκλαυθῆναι εἰς τοὺς γείτονας Πατριάρχας κατὰ τοῦ ἐπιβάτου Πατριάρχου, καὶ τὶ ἤθελον εἰς τὴν Ῥώμην; τρίτον, εἰς τὰ Δίπτυχα ἐνταῦθα οὐκ ἔστι τοιοῦτον ὄνομα. τέταρτον, πῦ Ἱερουσαλὴμ καὶ πῦ Ἔφεσος, καὶ πῦ Φιλαδέλφεια; καὶ μάλιστα ὅτι τότε ἔλαβε τὴν Ἱερουσαλὴμ ὁ Οὔμαρος, καὶ ἦσαν πόλεμοι ἀναμεταξὺ Σαρακηνῶν καὶ Ῥωμαίων, καὶ πῶς ἐδύνατο ὁ Ἐφέσου (εἰ καὶ δοίημεν τὸ λεγόμενον) ἐνεργῆσαι εἰς Ἱερουσαλήμ; πέμπτον, πότε καὶ ἄλλο τε ἐκίνησαν ἀγωγὴν τινὲς εἰς τὸν Πάπαν περί τινος Πατριάρχου Ἱεροσολύμων, ὥστε κινῆσαι καὶ τότε; ἔκτον, διατὶ ἀπῆλθεν εἰς Ῥώμην Στέφανος ὁ Δωρίδος Ἐπίσκοπος, καὶ ἐν ποίῳ καιρῷ; καὶ ὅτι ὁ Σέργιος οὗτος, καθ' οὗ ἐφέρετο ὁ Στέφανος, οὐκ ἦν Πατριάρχης,

ἀλλ'

ἀλλ' Ἐπίσκοπος Ἰόππης, ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίου ἑβδόμου Παράγραφον ἕνατον. ἀλλ' ἔλθωμεν πάλιν εἰς τὸ προκείμενον. Μετὰ τὸν Ἰωάννην ἐστὶ Διαφωνία, ὅτι ὁ Εὐτύχιος, καὶ τὰ Δίπτυχα, ὡς εἴρηται, θέλουσι γεγονέναι Ἠλίαν, εἶτα Γεώργιον. εἶτα διδόασι τῷ μὲν Ἠλίᾳ τριάκοντα τέσσαρα, τῷ δὲ Γεωργίῳ τριάκοντα ἔτη, εἰ καὶ ὁ Εὐτύχιος παρέχει ἔτη τριακονταέξ. ὅμως ὅτι ἐγένετο Πατριάρχης Θεόδωρος ἐν τῷ ἀναμεταξὺ τῆς ἕκτης καὶ ἑβδόμης τῶν Συνόδων, φανερόν ἐστι, πρῶτον, ὅτι τὸ Συνοδικὸν Θεοδώρου Ἱεροσολύμων, κείμενον ἐν τῇ τρίτῃ πράξει τῆς ἑβδόμης Συνόδου, φανεροῖ ὅτι ἦν Θεόδωρος πρὸ τῆς ἑβδόμης Συνόδου, καὶ οὐχὶ ἐκεῖνος, ὃς ἦν εἰς τὴν ἕκτην, ἐκεῖνος γὰρ ἦν Τοποτηρητὴς, οὗτος ἦν Πατριάρχης, καὶ τετελευτηκὼς, ὡς φαίνεται ἐν τῇ πρὸς τὴν ἑβδόμην Σύνοδον ἐπιστολῇ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς, καὶ ἐν ἄλλοις, ὡς εἴπομεν ἀνωτέρω περὶ αὐτοῦ. δεύτερον, ὅτι ἐν τῷ Συνοδικῷ αὐτοῦ τῷ ἐνθρονιαστικῷ, ὅπερ γράφει τῷ Ἀντιοχείας καὶ τῷ Ἀλεξανδρείας, Θεόδωρον λέγεται δεδέχθαι τὰς ὃξ οἰκουμενικὰς Συνόδους. τρίτον, ὁ Γενεβράρδος μετρεῖ ἐν ἔτει ἑπτακοσιοστῷ τεσσαρακοστῷ ἐνάτῳ γενέσθαι Θεόδωρον Πατριάρχην, ἕπεται οὖν μετὰ τὸν Ἰωάννην γεγενῆσθαι Γεώργιον, οὗ ὀλιγοχρονίσαντος, ἐγένετο ὁ Θεόδωρος τῷ ἔτει ἑπτακοσιοστῷ πεντηκοστῷ ἐνάτῳ. εἶτα ἐγένετο ὁ Ἠλίας, ὃς ἦν ἐπὶ τῆς ἑβδόμης Συνόδου, ἐν ἔτει ἑπτακοσιοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ, καὶ ἦν ἐξόριστος δύο χιλιάδας μίλια ἀπέχων τῆς Ἱερουσαλὴμ, ὡς λέγει ἡ πρὸς τὴν Σύνοδον ἐπιστολὴ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς, καὶ ἐπατριάρχευσεν ἔτη τριακονταέξ. εἶτα εἰς τοὺς ἑκατὸν ἐννενηκοντατρεῖς ἀπὸ Μωάμετ κατὰ τὸν Εὐτύχιον ἐγένετο ὁ Θωμᾶς Πατριάρχης, ἀρχιερατεύσας ἔτη δέκα, κατ' ἄλλους δὲ εἴκοσιν. εἶτα Βασίλειος ὁ μαθητὴς αὐτοῦ, πατριαρχεύσας χρόνους εἰκοσιπέντε. ἐφ' οὗ, τῷ ἑξακισχιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ τετάρτῳ ἔτει, ἐγένετο ἡ ἐν Ἱεροσολύμοις ἐπὶ τοῦ Βασιλέως Θεοφίλου Σύνοδος. ἔτι Ἰωάννης ἔτη τέσσαρα, καὶ οὐχὶ τεσσαράκοντα ὥς φασίτινες. λέγει δὲ ὁ Εὐτύχιος, ὅτι ὁρμησάντων κατ' αὐτοῦ τῶν Ἱεροσολυμιτῶν Σαρακηνῶν, καὶ εἰπόντων αὐτῷ λόγους βλασφήμους καὶ ὑβριστικοὺς, παραιτησάμενος ἀνεχώρησε φοβηθεὶς, καὶ ἐγένετο Σέργιος υἱὸς Μανσοὺρ (ὃν ἔλεγεν ὁ Βιβλιοθηκάριος γενέσθαι μετὰ Σωφρόνιον) τοῦ Δαμασκηνοῦ, τοῦ παραδόντος πάλιν τὴν Δαμασκὸν τοῖς Σαρακηνοῖς, ἐστάθη δὲ εἰς τὸν θρόνον ἔτη δεκαέξ. οὐ γινώσκω ὅμως ποῖοι Χριστιανοὶ εἶχον τὴν Δαμασκὸν, ἣν αὐτὸς ὁ Μανσοὺρ τοῖς Σαρακηνοῖς προδέδωκεν. εἶτα Σολομὼν ὁ καὶ Σαλαμωνᾶς ἔτη τέσσαρα. εἶτα Θεόδωρος ὁ καὶ Θεοδόσιος. ἐπὶ τούτου ἐγένετο ἡ κατὰ Φωτίου ἡ ὑπὸ τῶν Λατίνων ὀγδόη καλουμένη Σύνοδος ἐν ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ, εἰς δὲ τὴν ὑπὲρ Φωτίου Σύνοδον ἐκοιμήθη, ἥτις ἦν ἐν ἔτει ὀκτακοσιοστῷ ἑβδομηκοστῷ ἐνάτῳ. εἶτα ἐγένετο ὁ Ἠλίας ἀδελφὸς τοῦ ἄνωθεν Σεργίου, καὶ υἱὸς τοῦ Μανσοὺρ, ὡς ἱστορεῖ τὰ περὶ τούτων εἰς πλάτος ὁ Διαληφθεὶς Ἀλεξανδρείας Εὐτύχιος, ἐπατριάρχευσε δὲ ἔτη εἰκοσιεννέα, καὶ εἰ δοκεῖ εἶναι τινὲς χρόνοι πλείονες, ἐστὶν ἡ αἰτία, ὅτι τῷ αὐτῷ ἔτει καθ' ὃ ἐκοιμήθησαν οἱ Πατριάρχαι, προεβλήθησαν οἱ ἄλλοι, καὶ ἐμετρήθησαν ἰδίᾳ εἰς τὸν κατάλογον. λέγει δὲ περὶ αὐτοῦ ὁ Εὐτύχιος, ὅτι ἐχειροτόνησεν εἰς Ἱερουσαλὴμ Χριστόδουλον τινὰ Χαλεπλῆ Πατριάρχην Ἀλεξανδρείας, καὶ μὴ θελόντων αὐτὸν τῶν Ἀλεξανδρινῶν, ἐπορεύθη μόνος εἰς τὴν Ἀλεξάνδρειαν, καὶ ἀποκατέστησεν αὐτόν. καὶ σημείωσαι κατὰ παπιστῶν, οἳ διὰ τὸ εἰς καιρὸν ἀνάγκης τὸν Ῥώμης δῆθεν προβαλεῖν ὑπερορίως Πατριάρχην, περιποιοῦνται τῷ Πάπᾳ μοναρχικὸν ἀξίωμα εἰς τὴν καθόλου Ἐκκλησίαν. σημείωσαι ὅτι ὁ Εὐτύχιος ἱστορεῖ πατριαρχεῦσαι τὸν Ἠλίαν τοῦτον, ὅτε ἦν ἔτος ἀραβικὸν διακοσιοστὸν πεντηκοστὸν ἔνατον, ὅπερ ἐστὶν ἀπὸ Χριστοῦ ὀκτακοσιοστὸν ἑβδομηκοστὸν τρίτον. ἐβασίλευε δὲ ἐν Κωνσταντινουπόλει Βασίλειος ὁ Μακεδών. σημείωσαι ὅτι ὁ Εὐτύχιος τοῦ ἀραβικοῦ ἔτους, ἤτοι τῆς φυγῆς λέγει ὑπάρξαι τὸ ἑξακοσιοστὸν δέκατον τέταρτον ἀπὸ Χριστοῦ. εἶτα Σέργιος υἱὸς Ταγγιαῖ ἔτη τέσσαρα, καὶ Μῆνας ὀκτώ. εἶτα Λέων ἐπατριάρχευσεν ἔτη δεκαεπτά. εἶτα Ἀθανάσιος ἐν ἔτει ἐννακοσιοστῷ εἰκοστῷ πρώτῳ, ὅστις ἀσθενήσας, παρῃτήσατο εἰς Νικόλαον, καὶ γενόμενος ὑγιὴς, γνώμῃ τοῦ Νικολάου ἐνεθρονίσθη, ἕως οὗ ἐκοιμήθη, καὶ ἐγένετο πάλιν Νικόλαος, πατριαρχεύσας χρόνους δεκαπέντε. εἶτα Χριστόδουλος ἀπὸ Ἀσκάλωνος, ἦν δὲ ἔτος ἀπὸ Χριστοῦ ἐννακοσιοστὸν ἑξηκοστὸν ὄγδοον, καὶ συμφωνεῖ ὁ Εὐτύχιος τῷ Κεδρηνῷ, λέγοντι, ὅτι ἦσαν ἑξακισχίλια τετρακόσια ἑβδομηκονταπέντε ἔτη ἀπὸ κτίσεως κόσμου. οὐ συμφωνοῦσιν ὅμως ἔντισι τὰ τοῦ Πατριάρχου τοῖς τοῦ Κεδρηνοῦ, ὁ γὰρ Πατριάρχης Εὐτύχιος λέγει ὅτι ἦν Χριστόδουλος, ὁ Κεδρηνὸς λέγει ὅτι ἦν Ἰωάννης. φαίνεται ὅμως μετὰ τὸν Χριστόδουλον γεγονέναι τὸν Ἰωάννην, καὶ εἰς μὲν τοῦ Χριστοδούλου τὸν καιρὸν ἤρξαντο αἱ ταραχαὶ, εἰς δὲ τοῦ Ἰωάννου κατεκάη ὁ Ναὸς τοῦ ἁγίου τάφου, ὃν ἡ Ἐκκλησία καλεῖ Οὐρανὸν πολύφωτον εἰς τὰ ἐγκαίνια αὐτοῦ. γίνονται γὰρ τὰ ἔτη ἕως τῆς κοιμήσεως τοῦ Λέοντος ἐννακόσια εἰκοσιέν, εἰσὶ καὶ τοῦ Νικολάου δεκαπέντε, καὶ τοῦ Χριστοδούλου ἔτη δεκατέσσαρα, ἅπερ ὁμοῦ συναριθμούμενα, γίνονται ἐννακόσια πεντήκοντα. διδόντες δὲ καὶ τῷ Ἀθανασίῳ τινὰ ἔτη, καὶ τῷ Ἰωάννῃ, καὶ νομίζοντες συγκατακαῆναι τῷ Ναῷ τὸν Ἰωάννην, εὑρίσκομεν σώαν τὴν χρονολογίαν τοῦ Κεδρηνοῦ, λέγοντος ἐμπρησθῆναι τὸν Ναὸν καὶ τὸν Πατριάρχην ἐν ἔτει ἑξακισχιλιοστῷ τετρακοσιοστῷ ἑβδομηκοστῷ πέμπτῳ, ὅπερ ἐστὶν ἀπὸ Χριστοῦ ἐννακοσιοστὸν ἑξηκοστὸν ὄγδοον, καὶ τελειοῦται εἰς τὸν Χριστόδουλον ἡ χρονολογία τοῦ Πατριάρχου Εὐτυχίου. σημείωσαι πρῶτον, ὅτι ὁ Εὐτύχιος λέγει ἐμπρησθῆναι τὸν Ναὸν τῷ τριακοσιοστῷ εἰκοστῷ πέμπτῳ ἔτει τοῦ Μωαμὲτ, ὅπερ ἐστὶ κατ' αὐτὸν τὸν Εὐτύχιον ἔτος ἀπὸ Χριστοῦ ἐννακοσιοστὸν τριακοστὸν ἔνατον,

752

ἔνατον, ὥστε δοκεῖ μοι εὑρεῖν καὶ εἰπεῖν τὰ περὶ τὴν κατάκαυσιν τοῦ Ναοῦ ἔτη, οὐ μὴν εὑρηκέναι ἀναμφιβόλως ἐκεῖνο τὸ ἴδιον ἔτος. δεύτερον δὲ, ὅτι ὁ Χριστόδουλος ἀπέθανεν εἰς τὸ Ῥέμπλι. μετὰ δὲ τὴν πυρπόλησιν τοῦ Ναοῦ ἐγένετο Ἀγάθων, πατριαρχεύσας ἔτη δεκατέσσαρα. εἶτα Χριστόδουλος ὁ καὶ Ἀγάπιος καλούμενος, ἔτη δύο καὶ ἥμισυ, ὃς καὶ ἀπέθανεν εἰς τὴν Αἴγυπτον. εἶτα Θωμᾶς ἔτη δέκα. εἶτα Ἰωσὴφ ἰατροφιλόσοφος ἔτη τρία καὶ Μῆνας ὀκτὼ, ὃς καὶ αὐτὸς ἀπέθανεν εἰς τὴν Αἴγυπτον. εἶτα Θεόφιλος ἔτη ὀκτώ. ἔμεινε δὲ ὁ θρόνος χωρὶς Πατριάρχου ἔτη ἕνδεκα. εἶτα Νικηφόρος ἔτη πέντε. εἶτα ἐγένετο Ὀρέστης ἐπὶ Ῥωμανοῦ τοῦ Βασιλέως, ἔτη εἰκοσιδύο Πατριαρχεύσας, ἐφ' οὗ ἀνεκτίσθη καὶ ὁ Ναὸς, ἦν δὲ ἀπὸ βασιλικοῦ αἵματος, καὶ ἐκοιμήθη εἰς Κωνσταντινούπολιν ἐπὶ τοῦ Μονομάχου. εἶτα Μηνᾶς Μῆνας ὀκτώ. εἶτα Σωφρόνιος, ἐφ' οὗ εἰς τὸ χιλιοστὸν ἑξηκοστὸν τέταρτον ἔτος, ἐπὶ Κωνσταντίνου τοῦ Δούκα ἀπῆλθον τινὲς δυτικοὶ εἰς προσκύνησιν τοῦ ἁγίου τάφου. εἶτα Μάρκος ἔτη δεκατέσσαρα. εἶτα Συμεὼν, ὃς ἔγραψε κατὰ Ἀζύμων. εἶτα Εὐθύμιος ἔτη δεκαεννέα, περὶ οὗ εἴδομεν ἐν τῷ κτιτορικῷ τυπικῷ τοῦ Μοναστηρίου, τοῦ κειμένου ἄνωθεν Στενιμάχου εἰς Φιλιππούπολιν ταῦτα, Τὸ παρὸν τυπικὸν ἐγράφη ῥωμαϊστὶ, ἰβηριστὶ, καὶ ἀρμενιστὶ τῆς καθ' ἡμᾶς εὐαγεστάτης Μονῆ τῆς ὑπεραγίας Θεοτόκου τῆς Πετριονιτίσσης, ἐν ἔτει ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ἐννενηκοστῷ δευτέρῳ, καὶ ὑπεγράφη παρ' ἐμοῦτε αὐτοῦ τοῦ σεβαστοῦ Γρηγορίου καὶ μεγάλου Δουκὸς τῆς Δύσεως τοῦ Πακουριάνου, καὶ τοῦ παναγιωτάτου Πατριάχου Ἱεροσολύμων κὺρ Εὐθυμίου, ὡς πρατυχόντος αὐτοῦ ἐνθάδε, διὰ τὸ καὶ αὐτὸν ἐκ προστάγματος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν Βασιλέως διάγειν ἐν Θεσσαλονίκῃ ἕνεκεν εἰρήνης τοῦ ἀλάστορος Φράγγου. ἔστι δὲ ἡ ὑπογραφὴ τοῦ Πατριάρχου, Εὐθύμιος ἐλέῳ Θεοῦ Πατριάρχης τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως πόλεως Ἱεροσολύμων. σημείωσαι ὅτι Βασιλεὺς μὲν ἦν Ἀλέξιος Κομνηνὸς, Φράγγος δὲ, Ῥογέριος ὁ Ἰταλός. Ἐπὶ Βασιλείου τοῦ Πορφυρογεννήτου κατὰ τὴν τοῦ Σκληροῦ ἀποστασίαν ὡς γράφει ὁ Σεβαστείας Ἐπίσκοπος Θεόδωρος, Ἀγάπιος ὁ Σελευκείας τῆς Πιερίας Ἐπίσκοπος γέγονε Πατριάρχης Ἱεροσολύμων, ὃς εἰσελθὼν εἰς Κωνσταντινούπολιν, συνελειτούργησε τῷ μακαριωτάτῳ Πατριάρχῃ κυρίῳ Νικολάῳ καὶ τῇ ἱερᾷ Συνόδῳ. Ἐπὶ Ἀλεξίου τοῦ Κομνηνοῦ Σάββας Ἐπίσκοπος Καισαρείας τῆς Φιλίππου γέγονε Πατριάρχης Ἱεροσολύμων, ὃς εἰσελθὼν εἰς Κωνσταντινούπολιν, συνελειτούργησε τῷ ἁγιωτάτῳ Πατριάρχῃ Νικολάῳ καὶ τῇ ἱερᾷ Συνόδῳ, εἶτα ἐδόθη αὐτῷ καὶ ἡ Μαρώνεια. Ὅτε ἔλαβεν ὁ Βαλδουῖνος τὴν Ἀσκάλωνα, ἦν Πατριάρχης Ἱεροσολύμων Εὐχέριος, καὶ μετὰ τοῦτον γέγονεν Ἱεροσολύμων ὁ Ἰάκωβος. Εὑρέθη ἔντινι παλαιῷ χάρτῃ, ὅτι τὸ Μοναστήριον τοῦ ἁγίου Εὐθυμίου, ὅπερ ἐστὶν νῦν ἔνδον εἰς τὴν Ἱερουσαλὴμ, ἀνεκαίνισε πάλαί ποτε ἡ δέσποινα κυρία Ἄννα Τραπεζουντία ἡ πορφυρογέννητος, καὶ ὕστερον ἀνεκαίνισεν αὐτὸ Γεράσιμος Μοναχὸς, ὅστις ἐποίησε διαθήκην εἰς τινὰς ἑτέρους Μοναχοὺς, ἦν δὲ παρὼν ὁ βασιλικὸς πρεσβευτὴς Ἰωάννης ὁ Τριχᾶς ὁ Λογοθέτης τῶν Οἰκειακῶν, ἣν ὑπέγραψαν ὁ Πατριάρχης Ἀρσένιος, ὃν καὶ παναγιώτατον καλεῖ ὁ Γεράσιμος εἰς τὴν διαθήκην, ὁ Βασὰν Μητροπολίτης Γερμανὸς, Μᾶτος Γάζης καὶ ὑπέρτιμος, ὁ Ἐπίσκοπος Βηθλεὲμ Ἠλίας, ἐν ἔτει ἑξακισχιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ τρίτῳ. Ἐπὶ Μανουὴλ τοῦ κομνηνοῦ ἠθροίσθη Σύνοδος ἐν Κωνσταντινουπόλει περὶ τοῦ ἐν τῷ Μυστηρίῳ τῆς Εὐχαριστίας σώματος τοῦ Χριστοῦ, ἐν ἔτει ἑξακισχιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ τετάρτῳ, ἐν ᾗ ἦν ὁ Κωνσταντινουπόλεως Κωνσταντῖνος καὶ ὁ Ἱεροσολύμων Ἰωάννης. Ἐπὶ Μανουὴλ τούτου ἐν ἔτει ἑξακισχιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ τετάρτῳ ἠθροίσθη ἡ περὶ τοῦ, Ὁ πατήρμου μείζωνμου ἐστὶ Σύνοδος, ἐν ᾗ ἦν Ἱεροσολύμων Πατριάρχης Νικηφόρος. Ὁ Χωνειάτης λέγει εἰς τὸ τρίτον βιβλίον αὐτοῦ, ὅπερ ἐστὶ περὶ τοῦ Μανουὴλ, ὅτι ὁ Ἱεροσολύμων Δοσίθεος γέγονε Πατριάρχης Κωνσταντινουπόλεως ἐπὶ Ἰσαακίου τοῦ Ἀγγέλου. Μετὰ τὸν Δοσίθεον Ἱεροσολύμων γέγονεν ὁ Ἀθανάσιος, οὗτινος φέρεται ἐπιστολὴ πρὸς τὸν Μητροπολίτην Κερκύρας Γεώργιον. Μετὰ τὸν Ἀθανάσιον γέγονε Λεόντιος. Ἱστορεῖ Γεώργιος ὁ Παχυμέρης βιβλίῳ εἵτῳ κεφαλαίῳ πρώτῳ, ὅτι ἦν Ἱεροσολύμων Πατριάρχης Γρηγόριος ἐπὶ Μιχαὴλ δηλονότι τοῦ Παλαιολόγου. Ἐπὶ Ἀνδρονίκου τοῦ δευτέρου ἦλθεν εἰς Κωνσταντινούπολιν ὁ Ἱεροσολύμων Λάζαρος, οὗ ἀδίκως καθαιρεθέντος, γέγονε Πατριάρχης πρόνομος Γεράσιμός τις, ἐπὶ δὲ Ἰωάννου τοῦ Καντακουζηνοῦ πάλιν ἔλαβε τὸν θρόνον ὁ Λάζαρος. Εἰς τὰ Δίπτυχα φαίνεται μετὰ τούτους Σωφρόνιος ἔτη τεσσαρακονταέξ. Εὑρέθη ἐν Μηναίῳ ἐν Ἱερουσαλὴμ τάδε, Ἐπληρώθη τὸ Διμήναιον διὰ συνδρομῆς τοῦ παναγιωτάτου καὶ σεβασμιωτάτου καὶ θείου πατρὸς ἡμῶν κὺρ Δωροθέου πρώην Ἱεροσολύμων Πατριάρχου, πατριαρχοῦντος νῦν τοῦ παναγιωτάτου πατρὸς ἡμῶν κυρίου Θεοφίλου τοῦ υἱοῦ αὐτοῦ, ἐπὶ τῆς βασιλείας τοῦ κραταιοῦ καὶ ἁγίου κυρίου ἡμῶν Μανουὴλ τοῦ Παλαιολόγου καὶ γέροντος, καὶ τοῦ υἱοῦ αὐτοῦ κυρίου Ἰωάννου. Ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ ἦν Πατριάρχης Ἱεροσολύμων Θεοφάνης, πρὸς ὃν ἔγραψεν ὁ Βαλσαμὼν Πατριάρχης Ἀντιοχείας, ἀποκριθεὶς εἰς τὴν ἐρώτησιν, Πότε γίνεται μεταβολὴ εἰς τὰ ἀντίτυπα. Ἐπὶ τῆς ἐν Φλωρεντείᾳ Συνόδου ἦν Πατριάρχης Ἱεροσολύμων Ἰωακεὶμ, μεθ' ὃν Γρηγόριος ἔτη τριακονταέξ. εἶτα Δωρόθεος ἔτη τεσσαρακοντατρία. Γερμανὸς ἔτη τεσσαρακονταπέντε. Σωφρόνιος ἔτη εἰκοσιεννέα. Θεοφάνης ἔτη τριακονταεπτά. Παΐσιος ἔτη δεκαπέντε. Νεκτάριος ἔτη ἑπτὰ, Μῆνας ἐννέα, ἡμέρας δέκα. μετὰ Νεκτάριον δὲ τίθεμεν ἡμεῖς τὸν πανεύφημον τῆς ἀληθείας πρόμαχον, τὸν τῆς εὐσεβείας ἀγωνιστὴν κύριον Δοσίθεον, τὸν τῆς παρούσης Βίβλου συγγραφέα, πατριαρχεύσαντα ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ, Ἰανουαρίου εἰκοστῇ τρίτῃ, καὶ κοιμηθέντα ἐν ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ ἑβδόμῳ

Φεβρουα-

Φεβρουαρίου ἑβδόμῃ. εἶτα ἐν τῷ αὐτῷ χιλιοστῷ ἑπτακοσιοστῷ ἑβδόμῳ ἔτει, καὶ τῇ ὀγδόῃ τοῦ αὐτοῦ Μηνὸς Φεβρουαρίου μετετέθη ἀπὸ τοῦ θρόνου Καισαρείας τῆς Παλαιστίνης εἰς τὸν Πατριαρχικὸν θρόνον τῶν Ἱεροσολύμων ὁ σοφώτατος κύριος Χρύσανθος ὁ καὶ ἀδελφιδοῦς τοῦ ἀνωτέρω Δοσιθέου, ὁ καὶ τὴν παροῦσαν βίβλον μετὰ τὰς πολλὰς αὐτοῦ διορθώσεις τῷ τύπῳ ἐκδούς.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι τὰ ὀνόματα τῶν μετὰ τὸν Ζαχαρίαν Πατριαρχῶν τῶν Ἱεροσολύμων οὔτε διὰ τῶν σὺν πολλοῖς πόνοις μεταφρασθέντων ἱστορικῶν εὔληπτα καθέστηκε τῷ τῆς βίβλου συγγραφεῖ.

Σημειωτέον, ὅτι λίαν ἐκοπιάσαμεν, καὶ διὰ τοῦ μακαρίτου Ἀρχιεπισκόπου Γάζης Χριστοδούλου μετεφράσαμεν τὸ χρονικὸν τοῦ Ἀλεξανδρείαν Εὐτυχίου εἰς ἁπλῆν ἑλληνικὴν γλῶσσαν, καὶ αὐτὰ τὰ τῶν πάλαι Συλτάνων διπλώματα, τὰ δοθέντα τοῖς ἐν Ἱερουσαλὴμ ἁγιωτάτοις Πατριάρχαις μετεφράσαμεν εἰς τὴν αὐτὴν γλῶσσαν, ἵνα εὕρωμεν τὰ ὀνόματα τῶν μετὰ τὸν Ζαχαρίαν Πατριαρχῶν ἡμῶν, ἀλλ' οὐδὲν ἐτελειώσαμεν. καὶ γὰρ ὅσον μὲν ἀπὸ τοῦ Εὐτυχίου ὠφελήθημεν μικρόν τι, ἀπὸ δὲ τῶν διπλωμάτων οὐδέν, ἐπειδὴ συγκεχυμένως λέγουσι Πατριάρχας καὶ τοὺς κατ' ἐκεῖνο καιροῦ Ἡγουμένους καὶ Τοποτηρητὰς τῶν Πατριαρχῶν, ὅθεν ἵνα μὴ τὴν ἀλήθειαν ζητοῦντες, εἰς ἀλλόκοτα ψεύδη ἐμπέσωμεν, καθάπαξ τὰ τοιαῦτα χωλὰ Ἡφαίστῳ τῷ χωλῷ παρεθήκαμεν.

Καὶ ἑβδομόνγε ᾧ δ' ἔληξε βιβλίον.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΔΟΣΙΘΕΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ.

ΒΙΒΛΙΟΝ Η'. ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης παρὰ τῶν Λατίνων πότε, καὶ παρὰ τίνος Πάπα Ῥώμη ἐξεφωνήθη, καὶ πότε ἡ ἀποκοπὴ τοῦ μνημοσύνου τοῦ Πάπα ἀπὸ τῶν Διπτύχων ἐγένετο ὑπὸ τῆς ἀνατολικῆς Ἐκκλησίας.

Εἴρηται ἡμῖν διὰ πολλῶν πρότερον, ἤτοι βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἑβδόμῳ Παραγράφῳ πέμπτῳ, πόθεν, καὶ πότε ἤρξατο ἡ προσθήκη, ὅτι τὸ ἅγιον Πνεῦμα ἐκπορεύεται, ἤτοι ἔχει τὴν ὕπαρξιν καὶ ἐκ τοῦ Υἱοῦ. καὶ βιβλίῳ τῷ αὐτῷ κεφαλαίῳ δεκάτῳ τρίτῳ εἴρηται, ὅτι ἐπὶ Φωτίου Πατριάρχου καὶ Μιχαὴλ υἱοῦ Θεοφίλου εἰς τὴν Βουλγαρίαν τινὲς τῶν Λατίνων Ἱερέων λανθανόντως ἐκήρυττον τὸ, ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, ὅθεν καλῶς ἠγωνίσθη ὁ ἱερὸς Φώτιος κατὰ τοῦ ἐπαράτου τούτου φρονήματος. ἀλλὰ καὶ εἰς τὴν κατὰ Φωτίου λεγομένην Σύνοδον ἐπὶ Βασιλείου τοῦ Μακεδόνος ἐν ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ διωρίσθη μένειν τὸ ἅγιον Σύμβολον χωρὶς τινὸς προσθήκης, ἀποβλεπούσης τῆς Συνόδου κατὰ ταύτης μάλιστα τῆς ἐκ τοῦ Υἱοῦ προσθήκης. εἶτα ἐν ἔτει ὀκτακοσιοστῷ ἑβδομηκοστῷ ἐνάτῳ ἐπὶ τοῦ αὐτοῦ Βασιλέως καὶ τοῦ Πάπα Ῥώμης Ἰωάννου εἰς τὴν ἐπὶ Φωτίου ἁγίαν Σύνοδον πάλιν ῥητῶς τὰ αὐτὰ διωρίσθη, καὶ ὁ Φώτιος διὰ προσηκόντων συγγραμμάτων ἠγωνίσθη κατὰ τῆς ἐπισφαλοῦς δόξης ταύτης, καὶ δὴ καὶ τοὺς Βουλγάρους τῆς πλάνης ταύτης ἀπήλλαξε. μεταταῦτα ὅμως Λέων ὁ σοφὸς τῷ θυμῷ σφαδάζων κατὰ Σανταβαρηνοῦ, καθὰ φασὶ πρὸς τοῖς ἄλλοις ὁ Κωδινὸς καὶ ὁ Κεδρηνὸς καὶ ὁ Ζωναρᾶς, ὅτι δηλαδὴ προκαταστησάμενος εὐλογοφανεῖς αἰτίας, ὡς ἂν δόξειε τὰ πραττόμενα μετ' εὐλόγου πράττεσθαι ἀφορμῆς, εἰδὼς γὰρ ὡς οὐκ ἂν δυνηθείη φαῦλον ἐνδείξασθαι κατὰ Σανταβαρηνοῦ, Φωτίου τὸν θρόνον ἰθύνοντος, συκοφαντήσας ἐξέβαλε τὸν δίκαιον Πατριάρχην τοῦ θρόνου. ἀποθανόντος δὲ μετ' οὐ πολὺ καὶ τοῦ Ῥώμης Στεφάνου τοῦ ἕκτου, Φόρμοσός τις σιμωνιακῶς καὶ ὅλως παρανόμως ἐπεισπηδήσας τῷ θρόνῳ τῆς Ῥώμης, ὡς εἴρηται ἀνωτέρω βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ εἰκοστῷ πρώτῳ, ὃς πρὸς τοῖς ἄλλοις αὐτοῦ ἐναγεστάτοις ἔργοις, ἐφρόνει κακῶς καὶ περὶ τοῦ ἁγίου Πνεύματος, φοβούμενος δὲ φανερῶσαι τὴν γνώμην αὐτοῦ, ἐπειδὴ πᾶσα ἡ ἐκεῖσε Ἐκκλησία ἠναντιοῦτο ἂν τῇ τοσαύτῃ παρανομίᾳ, προεβίβαζεν εἰς ἀξιώματα ἀνθρώπους τῶν Αἱρέσεων αὐτοῦ, ἕως οὗ ἐγένετο Πάπας Χριστόφορός τις σμῆνος Αἱρέσεων, καὶ ὁμετ' ἐκεῖνον Σέργιος ὁ τρίτος ἐν ἔτει ἐννακοσιοστῷ ὀγδόῳ, ὃς τῆς γνώμης ὢν τῶν περὶ Φόρμοσον, καὶ νομίσας τὸν καιρὸν ἐπιτήδειον διὰ τὰ ἐν Ῥώμῃ ἀλλεπάλληλα σκάνδαλα τῶν Παπῶν, καὶ διότι προῆλθον πολλὰ τῆς Αἱρέσεως εἰς ἀξιώματα, καὶ ἦσαν βοηθοῦντες αὐτῷ, ὦ τολμηρᾶς ψυχῆς, ὦ παντόλμου χειρὸς, ἀνατρέπει τὸ Σύμβολον φανερῶς, καὶ εἰσάγει εἰς τὴν Ἐκκλησίαν πασιδήλως ὅσα ὁ Ἱερομόναχος Ματθαῖος καὶ ὁ Μαργούνιος Μάξιμος καὶ Εὐθύμιος ὁ Ζυγαβηνὸς εἰς τὸν δωδέκατον Τίτλον τῆς Πανοπλίας αὐτοῦ καὶ ἄλλοι πολλοὶ ἱστοροῦσι. μαρτυρεῖ ὁ Μοναχὸς Βαρλαὰμ, ὅτι πρὸ τοῦ σχίσματος ἦσαν οἱ λέγοντες ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται, ὡς τυχὸν ἡ Ἐκκλησία

πάπας Χριστοφορος Σέργιος

756

Ἐκκλησία πᾶσα. ἦσαν καὶ τινὲς οἱ καὶ ἐκ τοῦ Υἱοῦ λέγοντες, ὡς τινὲς δυτικοὶ, ὡς εἴπομεν ἀνωτέρω, καὶ δὴ καὶ κατωτέρω ἐροῦμεν, ἀλλ' ὅμως ἦν εἰς τὴν Ἐκκλησίαν ἄκρα ἕνωσις. ἐπεὶ δὲ εἰς τὸ Σύμβολον ἐγένετο ἡ προσθήκη, καὶ ἐφανερώθη, ὅτι φρονοῦσι κοινῶς ἐναντία οἱ Λατῖνοι τῆς γνώμης τῆς καθολικῆς Ἐκκλησίας εἰς τὴν Θεολογίαν τοῦ ἁγίου Πνεύματος, δικαίως καὶ εὐσεβῶς αὐτοὺς ἀπεστράφημεν. τὸ γοῦν τοῦ Χριστοφόρου καὶ Σεργίου δραματούργημα ὁ Κωνσταντινουπόλεως Σέργιος (ὅστις ἐγένετο Πατριάρχης εἰς τὸ ἔτος ἑξακισχιλιοστὸν πεντακοσιοστὸν ἕβδομον, καὶ ἀπέθανε τὸ ἑξακισχιλιοστὸν πεντακοσιοστὸν εἰκοστὸν ἕβδομον ἁγιώτατος ἄνθρωπος) ἰδὼν ὅτι διεδόθη καὶ εἰς τοὺς διαδόχους αὐτῶν, καὶ ὑποπτευόμενος ὅπερ καὶ ἐγένετο, ἐπιστέλλει γραφὰς, πέμπει πρέσβεις εἰς Ῥώμην, ἐκκαλούμενος αὐτοὺς εἰς τὴν ἀρχαίαν εὐσέβειαν. οἱ δὲ Ῥωμαῖοι ἀποκρούονται, ἀποστρέφονται, μυκτηρίζουσι, καὶ τέλος, κενοὺς ἀποπέμπουσι τοὺς σταλέντας. ὅθεν ἰδὼν ὁ ἄνθρωπος τοῦ Θεοῦ, ὅτι φανερῶς κηρύττουσι τὴν Αἵρεσιν, καὶ εἰς Σύνοδον ἐλθεῖν οὐ θέλουσιν, ἐκβάλλει ἀπὸ τῶν Διπτύχων τοῦ Πάπα τὸ ὄνομα. τοῦτ' αὐτὸ λέγει καὶ ὁ Νεῖλος ἐν τοῖς περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, ὅτι ὁ Χριστόφορος πρῶτος ἔστειλεν εἰς τὴν πρὸς τοὺς τέσσαρας Πατριάρχας ὁμολογίαν αὐτοῦ ἀνάγραπτον τὴν προσθήκην εἰς τὸ Σύμβολον μετὰ διακόσια ἔτη ἀπὸ τῆς Οἰκουμενικῆς ἑβδόμης Συνόδου. τοιοῦτον ἐγένετο τὸ τέλος τῶν τινῶν Παπῶν, λεγόντων, ὅτι ὁ πρῶτος θρόνος οὐκρίνεται, οὐκ ἐξετάζεται, ἐστὶν ἀναμάρτητος, ἐπειδὴ ἡ ἀπόνοια αὕτη πολλῶν Αἱρέσεων αἰτία γέγονεν εἰς τὸν θρόνον τῆς Ῥώμης, ὅπου ἡ εὐσέβεια πρῶτον ῥέουσα ἐπλήρου τὴν Οἰκουμένην. ὅθεν σοφώτατα εἶπεν Ἰωάννης ὁ Ζωναρᾶς εἰς τὴν ἑρμηνείαν τῶν Κανόνων τῆς ἐπὶ Φωτίου Συνόδου, ὅτι εἶχε τὰ πρεσβεῖα, ἤγουν τὴν προτίμησιν καὶ τὰ προνόμια ἅπερ ἠξιώθη ἡ Ἐκκλησία Ῥωμαίων, ἕως οὗ εἶχε καὶ τὴν εὐσέβειαν. καὶ ὁ Θεσσαλονίκης Συμεὼν εἰς τὸν διάλογον αὐτοῦ κατὰ Αἱρέσεων, ἔστω, λέγει, ὁ Ῥώμης καὶ πρῶτος καὶ ἄκρος (κατὰ τὴν τάξιν δηλονότι) ὅτε ἐστὶν ὅμως ὀρθόδοξος, ἐπειδὴ δὲ καινοτόμος ἐγένετο, καὶ προσθήκην εἰσήγαγεν εἰς τὸ κοινὸν Σύμβολον, οὐκ ἀποστολικὸς, οὐ πρῶτος, οὐ πατὴρ, ἀλλὰ λυμεὼν καὶ τῶν Ἀποστόλων καὶ τῶν πατέρων κατὰ διάμετρον ἐχθρὸς, καὶ κοινὸς τῆς καθολικῆς Ἐκκλησίας πολέμιος.

ἕνωσις τῆς Ἐκκλησίας

1657

ΠΑΡΑΓΡΑΦΝΟ Ε'.

Περὶ τῶν ἐπιστολῶν Μιχαὴλ Κηρουλλαρίου Κωνσταντινουπόλεως πρὸς τὸν Πάπαν Λέοντα τὸν ἔνατον, καὶ τῆς σκευωρίας Ἀργυροῦ τοῦ Μαγίστρου, τοῦ κρύψαντος αὐτὰς, καὶ ἄλλας ὡς ὑπὸ τοῦ Πάπα τῷ Κηρουλλαρίῳ πέμψαντος, τῷ καὶ διὰ ταύτην τὴν σκευωρίαν, καὶ τὴν τοῦ Πάπα ἀβλεψίαν, συνοδικῶς ἀναθεματίσαντι τόν τε Πάπαν καὶ τοὺς περὶ αὐτὸν, ὡς προσθέντας ἐν τῷ Συμβόλῳ.

Μετὰ τὸν θάνατον Χριστοφόρου καὶ Σεργίου τῶν Παπῶν τῶν τολμησάντων τὴν προσθήκην εἰς τὸ Σύμβολον, καὶ τἄλλα καινοτομήματα φανερῶς ἐνεργεῖν καὶ κοινῶς, ἐγένοντο Πάπαι πλείονες τῶν τριάκοντα, καθότι μετὰ τὴν προσθήκην ἐγένοντο ὀλιγόζωοι. ἐν τῷ ἀναμεταξὺ δὲ τούτων ἐγένετο ἡ ἀποβολὴ τοῦ Πάπα ἀπὸ τῶν Διπτύχων. εἶτα ἐγένετο Πάπας Λέων ὁ ἔνατος, καὶ ἰδὼν ὁ Κωνσταντινουπόλεως Μιχαὴλ ὁ Κηρουλλάριος, ἁγιώτατος ἄνθρωπος, τὴν περὶ τοῦ ἁγίου Πνεύματος βλασφημίαν κορυφουμένην εἰς ἀνέλπιστον κακὸν εἰς τὴν Ῥώμην, καὶ νομίσας καὶ αὐτὸς ποιῆσαί τινα διόρθωσιν, ἔγραψεν εἰς τὸν Λέοντα μετὰ πάσης ταπεινοφροσύνης (ὡς μόνος εἰς τὸν Ἀντιοχείας Πέτρον γράφει) ὅτι ἔμαθε, λέγει, ἀπό τινων ἐκεῖθεν ἐλθόντων τὴν ἀρετὴν καὶ εὐγένειαν καὶ γνῶσιν τοῦ Ῥώμης, καὶ ἔγραψεν αὐτῷ, νομίζων δύο τινὰ, ἓν, ἵνα διορθώσῃ τὰ θρυλλούμενα περὶ τὴν ὀρθόδοξον πίστιν τῶν Ῥωμαίων σφάλματα, καὶ ἕτερον, ἐπὰν γένηται εἰρήνη εἰς τὰ ἐκκλησιαστικὰ, ἵνα ἔχωσιν αὐτὸν οἱ Ῥωμαῖοι συλλήπτορα κατὰ τῶν Φράγγων τῶν ἐπηρεαζόντων τὴν Ἰταλίαν, ὑποκειμένην οὖσαν εἰς τὴν Κωνσταντινούπολιν. ἐπειδὴ ὁ Ῥώμης, ὡς εἴρηται ἔμπροσθεν, καὶ τὰ τέλη τὰ βασιλικὰ ἐκώλυσε κατὰ μέρος ἀπὸ τῆς Ἰταλίας ἐπὶ τοῦ Ἰσαύρου, καὶ τοὺς Φράγγους συνεψηφίζετο Βασιλεῖς, καὶ παρεκίνει αὐτοὺς ὡς ἠβούλετο ὁ βασικὸς Δούκας τῆς Ἰταλίας. καὶ Μάγιστρος ὁ Ἀργυρὸς ἀποστασίαν διανοούμενος κατὰ τοῦ Βασιλέως, καὶ ἄλλως Αἱρετικὸς ὤν, τὰ πατριαρχικὰ ἐκράτησε γράμματα, καὶ γράφει ἄλλα ὡς δῆθεν ἀπὸ μέρους τοῦ Ῥώμης, καὶ εὑρίσκει καὶ δύο τινὰς λατινοεπισκόπους ἀθλίους καὶ ἐκβεβλημένους, καὶ ὀνομάζει αὐτοὺς τῶν τάδε Ἐπαρχιῶν Ἐπισκόπου, καὶ εὑρίσκει καὶ κοσμικόν τινα, καὶ ὀνομάζει αὐτὸν Καγκελλάριον, καὶ ἀποστέλλει αὐτοὺς ὡς ἀπὸ τοῦ Ῥώμης εἰς Κωνσταντινούπολιν, οἵτινες ἐλθόντες, παρεγένοντο εἰς τὰ βασίλεια, περὶ τὴν συνήθειαν ῥάβδους ἀνὰ χεῖρας ἔχοντες καὶ Σταυροὺς, καὶ μετέπειτα ἦλθον καὶ εἰς τὸν Πατριάρχην μετὰ σατανικῆς ὀφρύος, ὅθεν καὶ μήτε ὡς ἔδει προσεκύνησαν, ἢ προσηγόρευσαν, ἀλλὰ δόντες τὰ γράμματα, ἀνεχώρησαν. ὁ δὲ Πατριάρχης, καίτοι γνοὺς τὴν σκευωρίαν τοῦ Ἀργυροῦ, ἀλλὰ κατανοήσας καὶ τὸν Λέοντα τοῦτον ὡς καὶ τοὺς πρὸ αὐτοῦ τῇ ἀβλεψίᾳ στοιχοῦντα τοῦ Χριστοφόρου καὶ Σεργίου, καὶ διατοῦτο μὴ θελήσαντα ἀνακαλέσασθαι τὴν προτέραν τῆς ὀρθοδόξου πίστεως εὐγένειαν, καὶ νομίσας, ὡς ὁ Ἱερομόναχος λέγει Ματθαῖος ἐν τοῖς περὶ τοῦ ἁγίου Πνεύματος, Κρεῖσσον ἢ καθ' ἑαυτὸν τὸ στῆσαι τὴν τῆς κακίας τούτων φορὰν, ἀθροίζει Σύνοδον, εἰς ἣν προὐκαθέζετο

θέζετο ὁ Αὐτοκράτωρ Κωνσταντῖνος ὁ Μονομάχος, καὶ ἦσαν παρόντες ὅ,τε Ἀντιοχείας Πατριάρχης, καὶ οἱ Ἀρχιεπίσκοποι, ὁ Βουλγαρίας Λέων καὶ ὁ Κύπρου, καὶ τῆς Ἐκκλησίας ὅσον ἐλλογιμώτερον καὶ σοφώτερον, καὶ ἀνεθεμάτισαν τόν τε Πάπαν τῆς Ῥώμης, καὶ τοὺς ἑπομένους αὐτῷ Λατίνους ἐν ἔτει ἑξακισχιλιοστῷ πεντακοσιοστῷ πεντηκοστῷ δευτέρῳ. ὁ δὲ Ἀλεξανδρείας καὶ Ἱεροσολύμων, εἰ καὶ μὴ ἦσαν τότε εἰς Κωνσταντινούπολιν, τὰ πραχθέντα ὅμως καὶ ἐδέξαντο, καὶ ἐπεψηφίσαντο, καὶ καθὼς λέγει Νεῖλος Δαμύλας τελείως τὸν Πάπαν τῆς Ῥώμης τῆς καθολικῆς Ἐκκλησίας ἐξέκοψαν, καὶ τῆς ἑαυτῶν κοινωνίας ἀπέῤῥιψαν, καθὼς ὁρᾶται καὶ μέχρι τῆς σήμερον, καὶ οὐδέποτε τούτῳ κοινωνῆσαι ἀνέξονται, ἕως οὗ ἐκβάλλωσιν οἱ Πάπαι τὴν προσθήκην ἀπὸ τοῦ Συμβόλου, καὶ ὅλα τ' ἄλλα, ἅπερ αἰσχύνης ὄντα ἔργα, σιωπᾶσθαι ἐστὶ τιμιώτερον, καὶ ταῦτα τὰ κατὰ τὸν Κηρουλάριον. σὺ δὲ σημείωσαι τὶς ὁ σχισματικὸς, οἱ ἀποβεβλημένοι Λατῖνοι ὡς κακοῦργοι περὶ τὴν ὀρθόδοξον πίστιν, ἢ οἱ ἀποβαλόντες ἐκείνους ὀρθόδοξοι; οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τριῶν προφάσεων, ἃς οἱ Λατῖνοι αἴτια τῆς ὑπὸ τοῦ Κηρουλαρίου ἀποβολῆς τοῦ Ῥώμης προσφέρουσι, καὶ περὶ τοῦ ἐλέγχου πρὸς ταύτας ὡς ψευδεῖς, καὶ ὅτι αἴτιον τῆς ἀποβολῆς τοῦ Ῥώμης ἡ προσθήκη, καὶ περὶ ὧν μυθολογοῦσι πρὸς τὸν Βασιλέα οἱ Λατῖνοι ψευδῶν καὶ γελοίων διὰ τοὺς πρέσβεις τοῦ Ῥώμης καὶ τὸ βιβλίον τοῦ Στηθάτου.

Ἐνταῦθα οἱ Λατῖνοι προφασίζονται τρία τινὰ, ὡς ὁ μετοχίτης Γεώργιος ὁ μαθητὴς τοῦ Βέκκου γράφει, πρῶτον, ὅτι ὁ Κηρουλάριος Μιχαὴλ ὤδινε πάλαι χωρίσαι τὴν Ἐκκλησίαν ἀπὸ τοῦ Ῥώμης, ἵνα ἔχῃ αὐτὸς τὸ πρωτεῖον εἰς τὴν Ἐκκλησίαν, ἐπειδὴ δυσηρέσει ἀνακρίνεσθαι ὑπὸ τοῦ Ῥώμης. δεύτερον, ὅτι ἤθελε τὸ πρωτεῖον, ἵνα λαμπρύνηται μετὰ τῶν ἐρυθροβαφῶν, οἷς ὁ Ῥώμης στολίζεται, καὶ εὑρὼν τὸν Βασιλέα ἀγανακτοῦντα κατὰ τοῦ Πάπα, ἴσως διὰ τὴν Ἀσδοΐνου τυραννίαν, ἢ τὴν ἀποδημίαν Γεωργίου τοῦ Μανιάκη, ἢ τοῦ Ἀργυροῦ τὴν κακοτροπίαν (οὐκ οἶδα τὸ σαφὲς) ὃς οὐκ ἐπεμελήθη ἢ ἐνεργῆσαι, ἢ κἂν ἀποκριθῆναι εἰς ἅπερ αὐτῷ ἔγραψεν ὁ Βασιλεὺς, εἰργάσατο ὁ Κηρουλάριος τὸν χωρισμὸν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἀπὸ τῆς Ἀνατολικῆς. Ἀλλὰ ῥητέον, ὅτι εἰς τὸ δῆθεν τὸν Κωνσταντινουπόλεως ζητεῖν τὰ πρωτεῖα εἰς τὴν Ἐκκλησίαν, καὶ διατοῦτο τὸν Πάπαν ἀποτεμεῖν τῆς Ἐκκλησίας, ἀποκρίνεται Συμεὼν ὁ Θεσσαλονίκης, καὶ λέγει, Ἡμεῖς οὐκ ἀγνοοῦμεν τὸ παλαιὸν ἔθος καὶ τοὺς θεσμοὺς τῶν πατέρων, καθ' οὓς ὠνομάσθη ἡ Ῥώμη πρεσβυτάτη τῶν Ἐκκλησιῶν, καὶ ζητεῖν ἡμᾶς ποιῆσαι αὐτὴν δευτέραν, οὔτε ὅπερ ἀρνούμεθα, ὅτι δηλονότι εἰς τὴν Ἐκκλησίαν εἶναί τινα Πατριάρχην ἐπάνω τῶν Πατριαρχῶν καὶ τῶν Συνόδων, ζητοῦμεν ἡμεῖς ἔχειν αὐτὸ, καθάπαξ γὰρ τοῦτο ἀθετοῦμεν, καὶ ἀναθεματίζομεν, ἀλλὰ τοῦ χωρισμοῦ τὸ αἴτιόν ἐστιν, ἐπεὶ οἱ Λατῖνοι χωρὶς κρίσεως, καὶ ἐξετάσεως, καὶ γνώμης, καὶ ψήφου Οἰκουμενικῆς Συνόδου ἐποίησαν τὴν προσθήκην, ἐπειδὴ οὐθέλουσι κατὰ τὴν συνήθειαν τῶν ἀρχαίων πατέρων γίνεσθαι τὴν σκέψιν τῶν δογμάτων, ἀλλὰ αὐτοὶ μόνοι κάθηνται Διδάσκαλοι, καὶ τοὺς ὁμοίους αὐτοῖς θέλουσιν εἶναι εἰς μαθητῶν μοῖραν, καὶ ἀκούειν αὐτῶν. περὶ δὲ τῶν κοκκοβαφῶν πεδήλων ὁ σοφώτατος Μαργούνιος ἀποκρίνεται εἰς τὸν διάλογον αὐτοῦ περὶ τοῦ ἁγίου Πνεύματος, ὅτι τὸ ἀξίωμα τῆς Ἀρχιερωσύνης ἐστὶν ὑπὲρ ἄνθρωπον, καὶ οἱ Καθηγεμόνες τῆς Ἐκκλησίας ἔχουσι τὴν τιμὴν ἀσύγκριτον παρὰ Θεοῦ, καὶ τὸ στολίζεσθαί τινα μετὰ δερμάτων ἀλόγων ζώων, ἐστὶν ἀφροσύνης καὶ φιλοκοσμίας σημεῖον, ὧν τότε λίαν ἦν πόῤῥω ὁ ἁγιώτατος Πατριάρχης Μιχαὴλ, ὡς ῥηθήσεται μετ' οὐπολὺ, μάλιστα ἐπειδὴ λέγουσιν οἱ Λατῖνοι, ὡς σημειοῖ ὁ Νέποτας κεφαλαίῳ τριακοστῷ πρώτῳ, ὅτι ὁ Κωνσταντινουπόλεως ἵνα ᾖ αὐτὸς κατὰ πάντων, ὥσπερ ἦν ὁ Ῥώμης τὸ πρῶτον τῶν πάντων ἐξάρχων (ἕτεροι δὲ προστιθέασιν ἵνα ᾖ μόνος πρῶτος τῶν Πατριαρχῶν) προεξένησε τὴν τοῦ Ῥώμης ἀποβολήν. Ἀλλὰ ῥητέον, στερξάτω αὐτὸς εἶναι πρῶτος εἰς τοὺς τέσσαρας Πατριάρχας, ὃν τρόπον ἦν καὶ ἐστὶν ὁ Κωνσταντινουπόλεως εἰς τοὺς τρεῖς, καὶ στέργομεν τὸ πρωτεῖον τοῦτο, ἀλλ' οὐστέργει τοῦτο, ἐπειδὴ ζητεῖ μοναρχίαν εἰς τὴν Ἐκκλησίαν, καὶ οὐχὶ τάξιν, καὶ ἀδελφότητα. καί τις ἀρχαῖος λέγει τῆς διαιρέσεως τὸ αἴτιον οὕτω, Δέσποτάμου θειότατε φωστὴρ Οἰκουμενικὲ, καὶ Πατριαρχῶν ἁγιώτατε, καὶ ὑμεῖς θεία καὶ ἱερὰ τῶν ἁγίων Ἀρχιερέων ὁμήγυρις, ἐπεὶ ἡ τῆς παλαιᾶς Ῥώμης περιφανὴς Ἐκκλησία τὴν μεθ' ἡμῶν, ὥς φησιν, εἰρήνην ἀσπαζομένη καὶ τὴν ὁμόνοιαν, πρώτη παρ' ἡμῶν ζητεῖ ὀνομάζεσθαι, θέλει δὲ καὶ τὴν Ἔκκλητον, καὶ τὴν ἐντοῖς ἱεροῖς Διπτύχοις ἀναφορὰν, διὰ ταῦτα γὰρ οἴεται τὴν σύστασιν, τἄλλα λογιζομένη παρ' οὐδὲν, ἡμεῖς τοσοῦτον ἀπέχομεν περὶ πρωτείων καὶ τῶν ἄλλων φιλονεικεῖν, ὡς καὶ εἰς ἐλάχιστον ταῦτα λογίζεσθαι, τοῦ Χριστοῦ θέλοντες μαθηταὶ ὀνομάζεσθαι, καὶ τὸ ἔσχατον ἀσπάζεσθαι θέλοντες, εἰς τὸ πρῶτον ταττόμεθα, καὶ περὶ τούτων μὲν μικρὸν τὸν λόγον ποιούμεθα, τ' ἄλλα δὲ φοβερὰ καὶ βαρέα συγχάνοντα, δι' ἃ οὕτω διαφερόμεθάτε καὶ διϊστάμεθα, τὴν μεθ' ἡμῶν καὶ τῆς περιφανοῦς Ἐκκλησίας τῆς Ῥώμης ἀποτειχίζουσιν ἕνωσιν, καὶ ἵνα τ' ἄλλα παρήσω, μέγιστα καὶ ταῦτα τυγχάνοντα, καὶ ἀριθμοῦ δύναμιν ὑπερβαίνοντα,

βαίνοντα, καὶ ἱεροῖς Κανόσι καὶ φιλευσεβέσι Νόμοις παντάπασιν ἀπαράδεκτα, λέγω τὴν ἐν τῷ ἁγίῳ Συμβόλῳ προσθήκην. ἡ προσθήκη λοιπὸν ἦν αἰτία τοῦ τοὺς Ἀνατολικοὺς ἀποβεβληκέναι τοὺς Λατίνους, καὶ οὐχὶ τὰ πέδηλα, καὶ τὸ ζητεῖν ἔχειν τὰ πρωτεῖα ὑπὲρ τὸν Ῥώμης. τρίτον λέγουσιν, ὅτι ὁ τότε Λέων Ῥώμης ἔστειλε πρέσβεις πρὸς τὸν Μονομάχον καὶ πρὸς τὸν Κηρουλλάριον, Οὐμπέρτον καὶ Φριδέρικον Καρδηνάλεις, καὶ Πέτρον Ἀρχιεπίσκοπον, ὅτε καὶ τὸν Κηρουλλάριον ἀνεθεμάτισαν εἰς τὴν ἁγίαν Σοφίαν, καὶ τὸν Νικῆταν Πρεσβύτερον Στηθᾶτον τὸν Στουδίτην ἐβίασαν ὁ Βασιλεὺς καὶ ἀνεθεμάτισε τὸ βιβλίον ὅπερ κατὰ τῶν Ῥωμάνων συνεγράψατο. Ὅμως ῥητέον ὅτι τὰ τοιαῦτα εἰσὶ γελοῖα, πρῶτον, ὅτι τοῦ Στηθάτου οἱ λόγοι διαμένουσιν ἀβλαβεῖς καὶ σῷοι ἕως τῆς σήμερον, καὶ ὑπὸ τῆς καθολικῆς Ἐκκλησίας δεχόμενοι. δεύτερον, ὅτι ὁ Βασιλεὺς συνοδικῶς τοὺς Λατίνους ἀπέβαλε, καὶ πάλιν πῶς αὐτοὺς ἐδικαίου; τρίτον, ὅτι τὰ τοιαῦτα ἐστὶν ἀσύστατα, ἀνιστόρητα, ψευδῆ, ὡς σημειοῖ καὶ ὁ Ἱεροσολύμων Νεκτάριος εἰς τὴν ἑνδεκάτην ἑκατοντάδα τοῦ Συνταγματίου αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῶν εἰς Κωνσταντινούπολιν πεμφθέντων πρέσβεων ὑπὸ τοῦ Πάπα Λέοντος τοῦ ἐνάτου διά τε σιμωνιακὰ καὶ εὐνούχους καὶ ἀναβαπτισμὸν, καὶ κακῶς ἐκεῖθεν ἀπαλλαξάντων, καὶ περὶ τοῦ τίνες τῶν εὐνούχων ἀξιοῦνται τῆς Ἱερωσύνης, εἰ καὶ ἀγένειοι κατὰ τοὺς Πάπας, καὶ ὅτι ὁ Λέων μὴ ἀποκριθεὶς εἰς τὴν ἐγκύκλιον ἐπιστολὴν τοῦ Κηρουλλαρίου περὶ τῆς προσθήκης, ἀνεθεματίσθη.

Τὴν ὑπόθεσιν ταύτην ἱστορεῖ περισσότερον Λέων ὁ Γενεβράρδος, ὅθεν καὶ ἡμᾶς εἰπεῖ αὐτὴν δεύτερον καὶ πλατύτερον οὐκ ἀνάρμοστόν ἐστι. λέγει λοιπὸν, ὅτι ὁ Πάπας Ῥώμης Λέων ὁ ἔνατον ἀπέστειλεν εἰς τὴν Κωνσταντινούπολιν τρεῖς Λεγάτους, διαλαμβάνοντας πόσον κακόν ἐστιν ἡ σιμωνία, καὶ ὅτι οὐχ ἁρμόζει εὐνούχους ἀρχιερατεύειν, καὶ ὅτι τὸ ἀναβαπτίζειν ἐστὶ τῶν Αἱρετικῶν, καὶ ὅτι καὶ εἰς τὰ τρία ἐπληροφορήθησαν οἱ τρεῖς Λεγᾶτοι αὐτοῦ κατὰ τὸν εἰρημένον Νικῆταν. ὅστις Γενεβράρδος βεβαιοῖ, ὅτι ὁ Λέων αὐτὸς ὁ Ῥώμης παρεκίνησε τὸν Μονομάχον Βασιλέα ἀνακτίσαι τὸν Ναὸν τοῦ ζωοδόχου τάφου, ὃν πρὸ πολλοῦ διέφθειραν οἱ Σαρακηνοὶ διὰ ψευδοκατηγοριῶν τῶν ἀσεβῶν Ἰουδαίων. Ἀλλὰ ῥητέον, ὅτι περὶ τῶν πρέσβεων εἴρηται ἀνωτέρω, ὅτι καὶ οἱ τρεῖς Οὐμπέρτος, Φριδέρικος, καὶ Πέτρος Ἀρχιεπίσκοπος κακῶς ἀπήλλαξαν τῆς Κωνσταντινουπόλεως, καὶ ὁ Λέων ἐπειδὴ οὐκ ἀπεκρίθη εἰς τὴν ἐγκύκλιον τοῦ Κηρουλλαρίου, ὥστε ζητῆσαι συνοδικῶς ἐξεταχθῆναι τὰ ἐγκαλούμενα, ἢ ἀφαιρῆσαι τὴν προσθήκην, ἀνεθεματίσθη ὑπὸ Συνόδου, ὡς πολλοὶ, καὶ ὁ Μοναχὸς Ἐπιφάνιος ἱστορεῖ. καὶ τοῦ Νικήτα τὰ συγγράμματα μένουσι, καὶ οὐδὲν ἐναντίον τῇ ἀνατολικῇ Ἐκκλησίᾳ περιέχουσι, μᾶλλον δὲ συνηγοροῦσι, καὶ οἱ λόγοι τῶν πρέσβεων διὰ τὸν Κηρουλλάριον ἄκυροι, ἐπειδὴ μετ' εὐλαβείας ἐτιμᾶτο ἕως τέλους ζωῆς αὐτοῦ, καὶ ἀρκεῖ εἰς μεγάλην μαρτυρίαν ἣν λέγουσι μόνοι οἱ Λατῖνοι, ὅτι ἔφυγον οἱ πρέσβεις καὶ ἐσώθησαν εἰς τὴν Ἰταλίαν τῇ προμηθείᾳ τοῦ Βασιλέως. περὶ δὲ τοῦ τοὺς εὐνούχους ἀρχιερατεύειν, εἴρηται εἰς τὸ πρὸ τούτου βιβλίον, καὶ νῦν ῥητέον, ὅτι καὶ εὐνοῦχοι ἐπατριάρχευσαν ἅγιοι, Γερμανὸς, Ἰγνάτιος, καὶ ἕτεροι. εἶτα ἡμεῖς περὶ τούτου οὐκ ἀποβλέπομεν εἰς τινὰς μετὰ γενεστέρους, λαλήσαντας καὶ νομοθετήσαντας ὡς ἔδοξεν αὐτοῖς, εἴτε εἷς, εἴτε πολλοί εἰσιν οἱ τοιοῦτοι οὐδ' εἰς τὸ τοῦ Δευτερονομίου κεφάλαιον τὸ εἰκοστὸν τρίτον, τὸ λέγον, Οὐκ ἐσελεύσεται θλαδίας, οὔτε ἀποκεκομμένοι εἰς Ἐκκλησίαν Κυρίου. ἐπειδὴ περὶ τῶν τοιούτων ἕτερος ἦν ὁ σκοπὸς τοῦ ἁγίου Πνεύματος ἐν τῇ παλαιᾷ Ἐκκλησίᾳ, καὶ ἕτερος ἐν τῇ νέᾳ, ὡς καὶ ἐν ἄλλοις πολλοῖς τοιούτοις, καὶ ἐν τῷ κεφαλαίῳ περὶ τῶν ἀπὸ πορνείας, ἢ τῶν Μωαβιτῶν καὶ Ἀμανιτῶν, ἀλλὰ δεχόμεθα τὸ περὶ τῶν εὐνούχων κατὰ τὸν εἰκοστὸν δεύτερον Κανόνα τῶν ἁγίων Ἀποστόλων, λέγοντα, Εἴτις Κληρικὸς ὤν, ἐὰν ἀκρωτηριάσῃ ἑαυτὸν, καθαιρείσθω, φονεὺς γάρ ἐστιν αὐτοῦ. καὶ τὸν πρῶτον Κανόνα τῆς πρώτης ἐν Νικαίᾳ Οἰκουμενικῆς, λέγοντα, Εἴτις ἐν νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη, ἢ ὑπὸ βαρβάρων ἐξετμήθη, μενέτω οὗτος ἐν τῷ Κλήρῳ. καὶ κατωτέρω, Εἴ τινες ὑπὸ βαρβάρων, ἢ Δεσποτῶν εὐνουχίσθησαν, εὑρίσκοιντο δ' ἄλλως ἄξιοι, τοὺς τοιούτους εἰς Κλῆρον προσίεται ὁ Κανών. ταῦτα οὖν διαιροῦσιν οἱ θεοφόροι πατέρες περὶ εὐνούχων, καὶ νομοθετοῦσι, καὶ τοὺς μὲν βίᾳ βαρβάρων, ἢ Δεσποτῶν, ἢ διὰ νόσον, ἤτιγε ἄλλο ἀνεπίληπτον τμηθέντας, δέχονται εἰς Κλῆρον, τοὺς δὲ ἐκτομίας γενομένους ἑκουσίως, ὁποιουδήποτέ τινος ἕνεκεν, ἀποβάλλονται, ὅπερ βεβαίως ἡ Ἀνατολικὴ Ἐκκλησία ἐπετέλεσε, καὶ ἐπιτελεῖ, καὶ ἡμεῖς τοῦτο δεχόμεθα, ἑπόμενοι τῇ κοινῇ μητρί. καὶ κατὰ τοῦτον τὸν τρόπον ἐγένοντο Πατριάρχαι εὐνοῦχοι οἱ ἅγιοι, Γερμανὸς, Ἰγνάτιος, καὶ ἕτεροι μεταταῦτα. ἐκεῖνο δὲ ὅ φασί τινες κραιπαλῶντες, ὅτι τὸ ὑπὲρ ἁγνείας ἐν καλῇ συνειδήσει τέμνειν ἑαυτὸν λατρείας ἕνεκα πρὸς Θεὸν, ἀκαταδίκαστόν ἐστι, τοῦτο Χριστοῦ λέγοντος, καὶ πράξαντος Ὠριγένους, καὶ Μεθοδίου, ταῦτα οὖν ἡμεῖς φλυαρίαν κρίνομεν εἶναι, πρῶτον, ὅτι τοῦ Χριστοῦ ὁσκοπὸς οὐκ ἦν περὶ τοιούτου εὐνουχισμοῦ, καὶ μάρτυρες οἱ ἐξηγηταὶ τῆς γραφῆς ἅγιοι πατέρες. δεύτερον, ὅτι διατοῦτο Ὠριγένης ψέγεται, ὡς ἄνομον ἔργον ποιήσας, καὶ δὴ καὶ Λεόντιος Ἀρειανὸς, ὁ γενόμενος ἐπὶ Κωνσταντίου Πατριάρχης Ἀντιοχείας, γενναίως αἰτιᾶται ὑπὸ τοῦ μεγάλου Ἀθανασίου.

ἴδε

ἴδε καὶ ἀνωτέρω βιβλίου ἑβδόμου κεφάλαιον δωδέκατον. τρίτον, ὁ ἅγιος Μεθόδιος οὐκ ἀπέτεμεν ἑαυτὸν, ἀλλὰ τὴν φλόγα τῆς ἐπιθυμίας, ἣν ἧψε μὲν αὐτῷ ὁ τῆς πορνείας δαίμων, ἔσβεσε δὲ ἡ δύναμις τοῦ Χριστοῦ. τέταρτον, ὅτι τὸ παρὰ Κανόνων φανερῶν τοιούτων οὐ δέχεται παρεξήγησιν, ἀλλ' οὕτως ἐννοεῖται ἀνοθεύτως, ὡς διώρισαν αὐτὸ οἱ Ἀπόστολοι καὶ οἱ πατέρες. καὶ οἱ Λατῖνοι εἰ μὲν εὑρίσκουσιν ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ τοιούτους Ἐπισκόπους, μεμφέσθωσαν, εἰ δὲ οἱ γενόμενοι Πατριάρχαι ἀπὸ εὐνούχων ἦσαν ὑπὸ βίας, ἢ ἀσθενείας τοιοῦτοι, ἐρεσχελείτωσαν ὅσον ἂν βούλωνται, εἰ δὲ οἱ εὐνοῦχοι ἀπαρέσκονται μόνον διὰ τὴν γενειάδα, ἥτινι ἀπούσῃ συναπαίρει καὶ τὸ εὔσχημον, ἀλλὰ τοιοῦτοι πάντες οἱ Πάπαι, ἐπεὶ ξυρῶνται τὸ γένειον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἡ σιμωνία, καὶ ἕτερ' ἅττα δι' αὐτὴν, τοῖς Κανόσιν ἀντικείμενα, δείκνυνται ἐνταῦθα εἶναι τῶν Παπῶν διενεργήματα.

Περὶ δὲ τῆς σιμωνίας ῥητέον, ὅτι τοῦτο εἰς τὴν Ἀνατολικὴν Ἐκκλησίαν οὐκ ἦν, μάλιστα δὲ εἰς τὴν Ῥώμην ἐπερίσσευσεν, ὡς καὶ ὁ Ταράσιος εἰς τὴν Ῥώμην ἔστειλεν ἐγκύκλιον ἐπιστολὴν διὰ τὴν σιμωνίαν, καὶ πρὸ αὐτοῦ ὁ Ἱερώνυμος εἰς τὴν πρὸς Ῥούστικον ἐπιστολὴν λέγει, Ὁ Νόμος οὐκ ἔτι παρὰ τοῖς Ἐπισκόποις ἰσχύει διὰ τὴν φιλαργυρίαν. καὶ ὁ διάλογος Γρηγόριος εἰς τὸν τέταρτο ψαλμὸν τοὺς Ἐπισκόπους τῆς Ῥώμης εἶπε παρὰ τῶν Βασιλέων διὰ πολλῶν χρημάτων λαμβάνειν τὴν ἐξουσίαν. ὁ δὲ Βενάρδος ὀδύρεται διὰ τὸ εἶναι τὴν Ῥώμην σιμωνίας ἀνάμεστον, ὡς καὶ Πῖος ὁ Πάπας τοὺς Ἐπισκόπους τῆς Ῥώμης καταδικάζει, πονηροὺς καὶ μοχθηροὺς ὄντας. καὶ πρὸς τούτοις ὁ Γενεβράρδος λέγει, ὅτι εἴκοσι σχίσματα ἦσαν εἰς τὴν Ῥώμην διὰ τὴν σιμωνίαν τῶν Παπῶν, ἅτινα διέμειναν χρόνους ἑκατὸν εἴκοσι καὶ τέσσαρας. ἴδε καὶ τὸν Πλάτινα μετὰ Ἰωάννην τὸν ἐπὶ Φωτίου τὶ λέγει διὰ τὴν σιμωνίαν τῶν Παπῶν, ἅτινα πολλὰ καὶ μεγάλα ὄντα, ἡμεῖς παρατρέχομεν, ἀρκεῖ δὲ εἰπεῖν τοσοῦτον, ὅτι οἱ Πάπαι πάντα τὰ Μοναστήρια τῆς ἐνορίας αὐτῶν ἔχουσιν ἀμέσως αὐτοὶ, καὶ οὐκ ἐῶσι τοὺς κατὰ χώραν Ἐπισκόπους ἐξουσιάζειν αὐτῶν, τὸ δὲ αἴτιον, ἵνα ποιῶσιν αὐτοὶ τὰ σχήματα τῶν Ἀββάδων, καὶ λαμβάνωσιν ἀπ' αὐτῶν χρήματα καὶ δῶρα. δεύτερον, Καρδηνάλεις καὶ ἄλλους Κληρικοὺς προβάλλουσι, δῶρα λαμβάνοντες. τρίτον, ὅταν ἀποθάνῃ Καρδηνάλις τὶς, ἢ Ἐπίσκοπος, κρατοῦσι τόσον καιρὸν τὴν ἐνορίαν καὶ Ἐπαρχίαν αὐτοῦ, καὶ οὐχειροτονοῦσιν ἕτερον, ἵνα συνάξωσιν αὐτοὶ οἱ ἅγιοι Πάπαι τὰ εἰσοδήματα, καὶ πλουτήσωσιν ἀπὸ ξένης Ἐπαρχίας εἰσοδημάτων, ἅτινα πάντα εἰσὶν ἀντικείμενα τοῖς ἁγίοις Κανόσι, καὶ τῇ παραδόσει τῇ ἀρχαιοτάτῃ τῆς καθολικῆς Ἐκκλησίας, καὶ οὕτως οἱ Πάπαι σιμωνιακοί εἰσιν ἀναμφίβολοι. ἴδε ἀνωτέρω βιβλίου ἑβδόμου κεφάλαιον ἑνδέκατον.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι τὸ ἀναβαπτίζειν, καὶ ῥαντίζειν, καὶ ποτὲ μὲν εἰς Τριάδα, ποτὲ δὲ εἰς μόνον Χριστὸν βαπτίζειν, ἴδιον Λατίνοις, τὸ δὲ τὸν Μονομάχον παρακινηθῆναι ὑπὸ τοῦ ἀναθεματισθέντος τούτου Λέοντος κτίσαι τὸν ἅγιον τάφον, ψευδέστατόν ἐστι.

Περὶ δὲ τοῦ ἀναβαπτισμοῦ, τῶν Λατίνων καὶ τοῦτο ἴδιον, ποτὲ μὲν βαπτίζειν εἰς Τριάδα κατὰ τὸ δίκαιον, ποτὲ δὲ εἰς μόνον τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ ποτὲ ῥαντίζειν. εἰς δὲ τὴν Ἀνατολικὴν Ἐκκλησίαν μόνοι ἀναβαπτίζονται, ὅσους κελεύουσιν οἱ Κανόνες τῶν πατέρων ἀναβαπτίζεσθαι, καὶ ἦν συκοφαντία τὸ τοῦ Λέοντος. περὶ δὲ τοῦ ἁγίου Τάφου, ὡς εἴρηται ἀνωτέρω, εἰ καὶ ὁ Μονομάχος μετὰ τὸ οἰκοδομηθῆναι ἐποίησεν ἐκεῖ εὐπρεπείας χάριν πολλὰ, καὶ ἀνεκάνισε τοίχους καὶ Μοναστήρια, παρεκινήθη ὑπὸ τῆς εὐσεβείας αὐτοῦ καὶ τοῦ ἁγιωτάτου Κηρουλλαρίου, καὶ τῶν ἐν Κωνσταντινουπόλει ὁσίων ἀνδρῶν, καὶ οὐχ ὑπὸ τοῦ Λέοντος, ὃν συνοδικῶς ἀπεκήρυξε.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Μαρτυρίαι, ὅτι ἡ ἐν τῷ Συμβόλῳ προσθήκη, αἴτοιν τῆς διαιρέσεως τῶν Ἐκκλησιῶν, καὶ ψεύστης ὁ Βέκκος ἐν οἷς λέγει περὶ τοῦ Θεοφυλάκτου Βουλγαρίας.

Ἔτι μαρτυρίαι, ὅτι ἡ ἐν τῷ Συμβόλῳ προσθήκη ἐγένετο αἰτία τῆς διαιρέσεως τῶν Ἐκκλησιῶν. ὁ Θεοφύλακτος φησὶ, Καὶ τοῖς δυτικοῖς τοίνυν εἴτι μὲν περὶ τὸ δόγμα διαμαρτάνεται, τὴν πατρικὴν πίστιν σαλεῦον, οἷον δὴ τὸ ἐν τῷ Συμβόλῳ περὶ τοῦ ἁγίου Πνεύματος προστιθέμενον, ἔνθα καὶ ὁ κίνδυνος μέγιστος, τοῦτο μὴ διορθώσεως ἀξιούμενον, ὁ συγχωρῶν ἀσυγχώρητος, ταῦτα ὁ Βουλγαρίας. ἐν οἷς σημείωσαι ὅτι ψεῦδος ἐστὶν ὅπερ φησὶν ὁ Βέκκος ἐν τῷ δευτέρῳ ἀπολογητικῷ, Εὑρίσκω δὲ Θεοφύλακτόν τινα Ἀρχιεπίσκοπον

πίσκοπον Βουλγαρίας, πολὺς δὲ ἦν καὶ οὗτος ἐν λόγοις, καὶ ἐν τῷ Συμβόλῳ μόνῳ τὴν προσθήκην κακίζοντα, ἐν ἄλλαις δὲ ἁπάσαις γραφαῖς τε καὶ διαλέξεσιν ἐνενδοιάστως ἐνδιδόντα αὐτὴν, καὶ μὴ ἄνποτε οὕτω πρὸς τὴν τοιαύτην ἔνδοσιν διατεθῆναι διαγινώσκω, εἴγε τὴν εὐσέβειαν τοῦτο τὸ μέρος κολοβοῦσθαι ὁ σοφὸς ἐκεῖνος ᾤετο ἀνήρ. ψεύδεται οὖν ὁ Βέκκος, ἐπειδὴ ὁ Θεοφύλακτος καὶ τὸ δόγμα καὶ τὴν προσθήκην ὡσαύτως ἀποσκορακίζει.

ΠΑΡΑΓΡΑΦΝΟ Η'.

Μαρτυρίαι τοῦ Ἀγκύρας Μακαρίου, ὅτι ὁ Ῥώμης φιλαρχίαν νοσήσας, καὶ προσθεὶς ἐν τῷ Συμβόλῳ, ἀπεβλήθη.

Ὁ Ἀγκύρας Μακάριος. Ταύτῃ, φεῦ, τῇ δεινῇ φιλαρχίᾳ ἁλοὺς καὶ ὁ Ῥώμης, καὶ διὰ ταύτην τὴν Ἐκκλησίαν διαιρεθῆναι ποιήσας τῇ ἐν τῷ ἱερῷ Συμβόλῳ κακοδόξῳ προσθήκῃ, κεφαλαίῳ τεσσαρακοστῷ. Ὁ αὐτὸς, Τούτοις ἑπόμενοι συμφώνως καὶ οἱ τέσσαρες Πατριάρχαι μετὰ τῆς περὶ αὐτοὺς ἱερᾶς καὶ μεγάλης Συνόδου, ψήφῳ θείᾳ καὶ βασιλικῇ κελεύσει ἀπεσχίσθημεν καὶ πρὸ συνοδικῆς ἐν τῷ ἅμα Οἰκουμενικῆς συνελεύσεως καὶ διαγνώσεως τοῦ τῆς πρεσβυτέρας Ῥώμης Ἐπισκόπου, ἐκείνου δηλονότι ἀπόντος, ὡς ἑτεροδιδασκαλοῦντος μὲν, καὶ παρὰ τοὺς Ὅρους τῶν ἁγίων πατέρων κακοδόξως προσθήκην ποιήσαντος ἐν τῷ ἱερῷ Συμβόλῳ τῆς πίστεως, οὐμὴν δὲ ὅτι καὶ ἔσχομεν πώποτε ἡμεῖς τὸν Ῥώμης ἴδιον Ἐπίσκοπον, ἢ ὑπὸ τὴν ἀρχὴν αὐτοῦ ἐτελοῦμεν, ὡς προαπεδείχθη. μενοῦνγε εἰ περὶ ἰδίου Ἐπισκόπου τοιάδε οἱ Ὅροι τῶν ἁγίων παρακελεύονται, πολλῷ μᾶλλον περὶ τοῦ μὴ ἰδίου, κεφαλαίῳ τριακοστῷ.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Μαρτυρίαι Γεωργίου Λογοθέτου καὶ Ἀμυρούτζη Πρωτοβεστιαρίου, ὅτι οὔτε θεσμοὶ γραφικοὶ, ἢ συνοδικοὶ ἀπένειμαν τῷ Ῥώμης τὸ ἀναμάρτητον, ἢ τὸ προσθέσθαι ἐν τῷ Συμβόλῳ.

Γεώργιος ὁ Λογοθέτης καὶ Πρωτοβεστιάριος ὁ Ἀμυρούτζης. Οὐκ ἀπεικότως ἄρα τοῖς προεστῶσι τῶν Ἀνατολικῶν ἐπαχθὲς καὶ φορτικὸν εἶναι ἔδοξε, τὸ μόνον τὸν Πάπαν τὸ παμμελὲς τῆς Ἐκκλησίας ἐθέλειν ἐπέρχεσθαι, κοινῇ γὰρ τὰ κοινὰ πάντας χρῆναι διαπεραίνεσθαι, καὶ πάντας ἄρδην τὴν ψῆφον ἐξενεγκεῖν, οὔτε γὰρ οἱ γραφικοὶ θεσμοὶ οὔθ' οἱ συνοδικοὶ τὸ ἀναμάρτητον τῷ Πάπᾳ ἀπένειμαν, ἐπὶ γὰρ τῆς περιτομῆς ὁ Πέτρος ὑπὸ τῶν ἄλλων διορθοῦται σφαλλόμενος, οὔτε Σύνοδοι τὸν Πάπαν τῆς τῶν ἱερῶν θεσμῶν πειθαρχίας ἐξαιροῦσιν, εἰ γὰρ καὶ ὁ Πάπας διαδικάζεται, πάντως διὰ Νόμων καὶ μαρτυριῶν τῇ διαδικασίᾳ ὑπέσται, δικάζεται γὰρ ἐν τῷ συλλόγῳ τῆς Φλωρεντείας, καὶ Νόμοις γραφῶν καὶ Συνόδων, καὶ μαρτυρίαις ἁγίων ὑπόκειται, οὐκ ἔχει μόνος τὴν ψῆφον ἀναιρεῖν, ἣν μετὰ τοῦ Πάπα ἡ Οἰκουμενικὴ Σύνοδος διέγραψεν, οὐδέποτε δ' οἱ Λατῖνοι ἐν τῇ Συνόδῳ εὐθυῤῥημόνως ἀποδεῖξαι ἠδυνήθησαν τὸ μόνον ἔχειν τὸν Πάπαν τῷ Οἰκουμενικῷ Συμβόλῳ εὐσεβεῖς διανοίας προσθέσθαι, ἐπὶ τούτῳ γὰρ ἐχρῆν τοὺς λόγους ἅπαντας κατατείνεσθαι, καὶ διατοῦτο τὸ παράταν τὴν προκειμένην αὐτοῖς πρόσθεσιν παρῃτήσαντο, καίτοι τοῦτο δεῖξαι ἐχρῆν, καὶ μὴ ἕτερα παρὰ τὴν πρόσθεσιν αἰτεῖν, δύναται γὰρ πάντως ἕκαστος τῶν ἁγίων ἴδιον συντιθέναι Σύμβολον, ἀλλὰ μὴ ἀλλοιοῦν τὸ κοινὸν, εἰ γὰρ ὁ Πάπας ἐστὶν Ἐπίσκοπος, οὐδεὶς δὲ Ἐπίσκοπος ἔχει ἢ ἑτέραν πίστιν συντιθέναι, ἤγουν προκομίζειν, ἢ προφέρειν τοῖς θέλουσιν ἐπιστρέφειν πρὸς ἐπίγνωσιν τῆς ἀληθείας, ἢ ἐξ ἑλληνισμοῦ, ἢ ἐξ ἰουδαϊσμοῦ, ἢ ἐξ Αἱρέσεως οἱασδηποτοῦν, τούτους, εἰ μὲν εἶεν Ἐπίσκοποι, ἢ Κληρικοὶ, ἀλλοτρίους εἶναι τοὺς Ἐπισκόπους τῆς Ἐπισκοπῆς, καὶ τοὺς Κληρικοὺς τοῦ Κλήρου, εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι, τίνι δέτω τῶν πάντων ἄδηλον τὸ χρῆναι τὰς ἀναπτύξεις ἔξωθεν τῶν κειμένων, καὶ μὴ τοῖς κειμένοις προσάπτεσθαι; οὐ γὰρ κληθήσεται δευτέρας Συνόδου Σύμβολον τὸ τὴν προσθήκην ἐμπεριέχον, νόθον δὲ ἔσται καὶ οὐγνήσιον. τίνος δ' ὑπάρχει τὸ Σύμβολον, καὶ αὐτοὶ ἂν οἱ Λατῖνοι ἀγνοήσειεν. ταῦτα ὁ Ἀμυρούτζης, ὃς, ὡς λέγουσιν, εἰ καὶ παρετράπη τῆς εὐθείας ὁδοῦ, ἀλλὰ ἡ μαρτυρία καὶ ἡ συνθήκη τοῦ λόγου περὶ τῆς ἀληθείας ἐστὶν ἀδιάπταιστος, ὡς τὰ τοῦ Τερτουλλιανοῦ πρὸ τῆς πτώσεως καὶ τοῦ Ἀρειανοῦ Εὐσεβίου δεχόμεθα τὰ ἀληθῆ. καὶ ὁ Μάξιμος ἔλεγε τοῖς Κωνσταντινουπολίταις περὶ τοῦ Πάπα Μαρτίνου, ὅτι εἰ καὶ καθηρέθη, ἀλλὰ τὰ κανονικῶς κυρωθέντα οὐ παραβλάπτεται.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Μαρτυρία Ἰωσὴφ Βρυεννίου εἰς τὴν ἔξωσιν ἐκ τῶν Διπτύχων τοῦ Χριστοφόρου Ῥώμης ὑπὸ Σεργίου Κωνσταντινουπόλεως, καὶ ὅτι ὁ χωρισμὸς τοῦ Ῥώμης ὑπὸ τῆς Ἐκκλησίας ἀπὸ τοῦ Κηρουλλαρίου διὰ τὴν ἐν τῷ Συμβόλῳ προσθήκην ἐγένετο.

Ἰωσὴφ ὁ Βρυέννιος. Μετὰ δὲ τὸν Σέργιον, τὸν προδηλωθέντα Πατριάρχην Κωσταντινουπόλεως, τὸν

ἀπὸ τῶν Διπτύχων ἐκβαλόντα τὸν Χριστόφορον Πάπαν Ῥώμης, διὰ τὸ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐν τῇ πρὸς αὐτὸν ὁμολογίᾳ τοῦ ἁγίου Συμβόλου ἐκτεθεῖσθαι, μετ' ὀλίγον αὖθις καὶ ὁ Πατριάρχης Μιχαὴλ ὁ Κηρουλλάριος βεβαιοτέρως κατασφαλισάμενος τὸν τῆς Ἐκκλησίας χωρισμὸν τοῦ Πάπα, βασιλεύοντος καὶ τοῦ εὐσεβοῦς Μονομάχου Κωνσταντίνου κατὰ τὴν βασιλεύουσαν, καὶ ἐξ ἐκείνου καὶ μέχρι τοῦ δεῦρο οἱ μετ' αὐτὸν γεγονότες Πατριάρχαι Κωνσταντινουπόλεως ἔστερξάν τε καὶ ἐβεβαίωσαν τὴν ἀπὸ τῶν Διπτύχων τοῦ Πάπα ἐξέωσιν, λόγῳ ὀγδόῳ περὶ τῆς ἁγίας Τριάδος.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Μαρτυρία Νείλου Δαμύλα, ὅτι ἐπὶ τοῦ Κηρουλλαρίου καὶ Μονομάχου συνοδικῶς ἀπεβλήθη τῆς Ἐκκλησίας ὁ Ῥώμης διὰ τὴν ἐν τῷ Συμβόλῳ προσθήκην, ἣν ὁ Ῥώμης Χριστόφορος πρῶτος προσέθηκε.

Νεῖλος Δαμύλας. Ὁδέγε μετὰ τὸν Σέργιον Πατριάρχης τῆς Κωνσταντινουπόλεως Μιχαὴλ ὁ Κηρουλλάριος, ὃς ἦν ἐπὶ τῆς βασιλείας τοῦ εὐσεβοῦς Βασιλέως Κωνσταντίνου τοῦ Μονομάχου, Οἰκουμενικὴν Σύνοδον συναθροίσας τῇ τοῦ Βασιλέως προστάξει, τελείως τὸν Πάπαν τῆς καθολικῆς Ἐκκλησίας ἐξέκοψαν καὶ τῆς ἑαυτῶν κοινωνίας ἀπέῤῥιψαν, καθὼς ὁρᾶται μέχρι καὶ τῆς σήμερον, καὶ οὐδέποτε τούτῳ κοινωνῆσαι ὀνέξονται, μέχρις ἂν ἐκβληθῇ παρ' αὐτῶν ἡ ἐν τῷ Συμβόλῳ προσθήκη, καὶ παύσῃ τἄλλα, ἃ διὰ τὴν αἰσχύνην τῆς ἐκκλησιαστικῆς τάξεώς τε καὶ μεγαλειότητος σιωπῆσαι ἄμεινον. Ὁ αὐτός. Ἐκ παντῶν τοίνυν τῶν ἄνωθεν ἡμῖν εἰρημένων πεφανέρωται ἀκριβῶς, ὦ φίλε, ὡς οὐκ ἐπρεσβεύετο ἀπὸ τῶν ἡμερῶν Δαμάσου τοῦ μακαριωτάτου ἡ τοιαύτη παρὰ Ῥωμαίοις ὁμολογία, καθὼς ἔφης; καὶ γὰρ ὁμόπιστοι ἡμῖν ἦσαν καὶ ὁμόδοξοι μέχρι καὶ τῶν ἡμερῶν Χριστοφόρου τοῦ Πάπα, ὃς ἐξεβλήθη πρῶτος τῶν ἱερῶν Διπτύχων διὰ τὴν ἐν τῷ ἁγίῳ Συμβόλῳ προσθήκην παρὰ Σεργίου τοῦ τηνικαῦτα τὸν τῆς Κωνσταντινουπόλεως θρόνον διέποντος, καὶ γὰρ πρῶτος αὐτὸς ὁ ῥηθεὶς Χριστόφορος τὴν προσθήκην ταύτην ἀνάγραπτον πέπομφεν ἐν τῇ αὐτοῦ ὁμολογίᾳ τοῖς τέσσαρσι τῇ Ἀνατολῆς Πατριάρχαις καθ' ὃν ἔφην καιρὸν, ὃς ἦν μετὰ τὴν ἑβδόμην Σύνοδον, χρόνους διακοσίους ὑστερίζων αὐτῆς. περὶ τοῦ Πάπα σημείωσαι, ὅτι τοῦτο αὐτὸ φησὶ καὶ Συμεὼν ὁ Θεσσαλονίκης, δηλονότι ἂν ὁ Πάπας μείνῃ ἐν ταῖς καινοτομίαις αὐτοῦ, οὐ διάδοχος τοῦ θρόνου τοῦ Πέτρου, οὐκ ἀποστολικὸς, καὶ οὐ πρῶτος, οὐ δὲ πατὴρ, ἀλλὰ καὶ ἐναντίος, καὶ λυμεὼν, καὶ τῶν Ἀποστόλων ἔσται πολέμιος.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἀντιθέσεις Λατίνων εἰς τὴν ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος καὶ εἰς τὴν ἐν τῷ Συμβόλῳ προσθήκην, καὶ λύσις αὐτῶν παρὰ τῶν ὀρθοδόξων, καὶ πρῶτον ἡ τῆς πρώτης ἀντιθέσεως λύσις.

Ἀντίθεσις πρώτη. Τὸ δόγμα τὸ, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται καὶ ἐκ τοῦ Υἱοῦ, ἦν ἀρχαῖον καὶ ἀποστολικὸν, καὶ δὴ καὶ ἡ προσθήκη ἀρχαιοτάτη ἐστὶ, καὶ πρὸ τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου, ὡς μαρτυρεῖ πρὸς τοῖς ἄλλοις καὶ τὸ Σύμβολον τοῦ ἁγίου Ἀθανασίου. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, ὅτι ἀρχαῖον καὶ ἀποστολικὸν καὶ αὐτοῦ τοῦ Κυρίου ἐστὶ λόγος τὸ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, οὐ μὴν καὶ ἐκ τοῦ Υἱοῦ. καὶ πρῶτος ὁ δῆθεν νομίσας τὸ ἐκ τοῦ Υἱοῦ, ἦν ὁ μέγας Κύριλλος, ἀδίκως μεμφθεὶς παρὰ Θεοδωρίτου, ὁ γὰρ ἅγιος Κύριλλος ἀθῷον ἐποίησεν ἑαυτὸν ἀπὸ τῆς γνώμης ταύτης, καὶ ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον δέκατον τρίτον, καὶ βιβλίου πέμπτου κεφάλαιον δέκατον ἕκτον. ἦν δὲ ἡ Κυρίλλου καὶ Θεοδωρίτου τοιαύτη διαφορὰ ἐν ἔτει τετρακοσιοστῷ τριακοστῷ πρώτῳ, ὅτε ἦν καὶ ἡ ἄθροισις τῇ τρίτης Οἰκουμενικῆς Συνόδου, ἔπαυσεν ὅμως εὐθὺς μετὰ τὴν εἰρήνην Κυρίλλου καὶ Ἰωάννου Ἀντιοχείας. ἐπὶ δὲ τοῦ εἰκοστοῦ ἑβδόμου ἔτους τῆς βασιλείας Κωνσταντίνου τοῦ Κοπρωνύμου, ὅπερ ἦν ἔτος ἀπὸ Χριστοῦ ἑπτακοσιοστὸν ἑξηκοστὸν ἕβδομον, ὄντος Ῥηγὸς τῶν Φράγγων τοῦ Πιπίνου, ἐν Μηνὶ Νοεμβρίῳ γέγονε Σύνοδος εἰς τὴν Φράντζαν, εἰς χωρίον λεγόμενον Γεντιλιακὸν, ἐγγὺς τοῦ Παρισίου, ὡς γράφει ὁ Ῥηγίνων, ἐν ᾗ ἐγένετο διάλεξις Γραικῶν καὶ Λατίνων περὶ τῆς ἁγίας Τριάδος, καὶ πότερον τὸ Πνεῦμα τὸ ἅγιον καθὼς ἔχει τὴν ὕπαρξιν ἐκ τοῦ Πατρὸς ἔχει ταύτην καὶ ἐκ τοῦ Υἱοῦ; τὰ περὶ τῆς Συνόδου ταύτης λέγει ἰδίως ὁ Ἄδων ἐν τῷ χρονικῷ αὐτοῦ, πλὴν συντόμως, ὅθεν οὐ δὲ πλέον τι ἔχομεν εἰπεῖν. μετὰ δὲ τὴν δευτέραν ἐν Νικαίᾳ Σύνοδον, ἤτοι τὴν Οἰκουμενικὴν ἑβδόμην, ἐν ἔτει ὀκτακοσιοστῷ ἐννάτῳ, γέγονε πάλιν Σύνοδος περὶ ταύτης τῆς ὑποθέσεως εἰς χώραν λεγομένην Ἀκουϊσγράνην,

γράνην, ὡς φαίνεται ἐν τῷ χρονικῷ τοῦ αὐτοῦ Ἄδωνος, καὶ ἐν τοῖς χρονικοῖς Ἀδήλμου, ἢ Ἀδηκάρου. ἤγειρε δ' αὐτὴν Μοναχός τις Ἱεροσολυμίτης ὀνόματι Ἰωάννης, μαχόμενος ὡς ἔοικε τῷ δόγματι τὸ ἐκ τοῦ Υἱοῦ, ψιθυριζόμενον παρὰ τοῖς Γάλλοις, καὶ ἐκδικῶν τῷ ἐκ μόνου τοῦ Πατρὸς, ὅτε καὶ Κάρολος ὁ καλούμενος μέγας, Βασιλεὺς τῆς Φράντζας, καθὼς λέγει ὁ ῥηθεὶς Ἄδηλμος κεφαλαίῳ δεκάτῳ τρίτῳ τοῦ χρονικοῦ αὐτοῦ, ἔπεμψε πρέσβεις πρὸς τὸν τότε Πάπαν Ῥώμης Λέοντα τὸν τρίτον Βερνάριον Ἐπίσκοπον Βουρμακίας, Ἀβάλαρδον Ἀββᾶν τοῦ Μοναστηρίου Κορβίας, καὶ Ἰεσσαὶ Ἐπίσκοπον Ἀμβιανῆς, ἀνέφερε δὲ ὁ Κάρολος πρὸς τὸν Πάπαν διὰ τῶν πρέσβεων τούτων περὶ τῆς προσθήκης, ἣν τότε νεωστὶ ἐνέθηκαν οἱ Φραντζέζοι, καὶ σὺν αὐτῇ ἤρξατο ψάλλεσθαι τὸ Σύμβολον ἐν ταῖς Ἐκκλησίαις τῆς Φράντζας. ἐδέοντο δὲ τοῦ Πάπα οἱ πρέσβεις, ἵνα δεχθῇ τὴν γενομένην παρὰ τῶν Γάλλων προσθήκην, καὶ ἵνα συγχωρήσῃ ψάλλεσθαι τὸ Σύμβολον μετὰ τῆς αὐτῆς καὶ ἐν τῇ Ῥώμῃ. ὁ Πάπας ὅμως, καθὼς ἱστορεῖ ὁ διαληφθεὶς Ἄδων, καὶ σημειοῖ καὶ Πέτρος ὁ Λομπάρδος βιβλίῳ πρώτῳ τῶν γνωμῶν, διαιρέσει ἑνδεκάτῃ, οὐ μόνον οὐκ ἐδέξατο τὴν προσθήκην, ἀλλὰ καὶ κατέκρινεν αὐτὴν, καὶ πρὸς τούτοις τὸ Σύμβολον τῆς δευτέρας Συνόδου ἔγραψε μετὰ ἀργυρῶν γραμμάτων εἰς δύο ἀσπίδας, καὶ ἔθηκεν αὐτὰς ἐν τῷ Ναῷ τοῦ ἁγίου Πέτρου, ἵνα φυλάττηται κατὰ πάντα τρόπον ἀκαινοτόμητον, ὅπως συμφυλάττηται ἡ ὁμόνοια ἐν ταῖς Ἐκκλησίαις. μαρτυροῦσι ταῦτα ἔτι Γεώργιος ὁ Κερκυραῖος, καὶ Εὐθύμιος ὁ Ζυγαβηνὸς, καὶ ἴδε ἀνωτέρω βιβλίου ἑβδόμου κεφάλαιον ἕβδομον. μετὰ δὲ ταῦτα ὁ Κωνσταντινουπόλεως Πατριάρχης Φώτιος, ὃς ἐπατριάρχευσε τῷ ἔτει ὀκτακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ, καθαιρεθεὶς ὑπὸ τοῦ Πάπα Νικολάου, ὡς εἴρηται διὰ πολλῶν ἀνωτέρω βιβλίῳ ἑβδόμῳ, ἀθροίσας Σύνοδον ἐν ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ τρίτῳ, ἀντεκάθηρε τὸν Νικόλαον, καὶ συνεκάθηρε καὶ τοὺς Πρεσβυτέρους καὶ Ἐπισκόπους, οὓς ἔστειλεν ὁ Νικόλαος εἰς τὴν Βουλγαρίαν ἀθέμιτά τινα ποιοῦντας καὶ κηρύττοντας, καὶ πρὸς τούτοις τὸ, ὅτι καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον. γράφων δὲ πρὸς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς ὁ Φώτιος τὰ περὶ τούτων, καὶ αἰτούμενος ἵνα πέμψωσι Τοποτηρητὰς πρὸς σύστασιν Οἰκουμενικῆς Συνόδου, λέγει πρὸς τοῖς ἄλλοις καὶ ταῦτα, Πρὸς τοῖς εἰρημένοις ἀτοπήμασι καὶ τὸ ἱερὸν καὶ ἅγιον Σύμβολον, ὃ παρὰ πᾶσι τοῖς συνοδικοῖς ψηφίσμασιν ἄμαχον ἔχει τὴν ἰσχὺν, νόθοις λογισμοῖς καὶ παραγράφοις λόγοις, καὶ θράσους ὑπερβολῇ κιβδηλεύειν ἐπεχείρησαν, ὦ τῶν τοῦ πονηροῦ μηχανημάτων, τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἀπὸ τοῦ Πατρὸς μόνου, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι καινολογήσαντες. τίς ποτε ἀπὸ τῶν πώποτε ἀσεβημάτων φωνὴν ἤκουσε ῥαγεῖσαν τοιαύτην; ποῖος σκολίος ὄφις εἰς τὰς ἐκείνων καρδίας τοῦτο ἠρεύξατο; τὶς ὅλως ἀνάσχοιτο τῶν ἐν Χριστιανοῖς. τελούντων ἐπὶ τῆς ἁγίας Τριάδος δύο εἰσάγειν αἰτίας, Υἱοῦ μὲν καὶ Πνεύματος τὸν πατέρα, τοῦ δὲ Πνεύματος πάλιν τὸν Υἱὸν, καὶ εἰς διθεΐαν τὴν μοναρχίαν λύειν, καὶ μηδὲν ἧττον τῆς ἑλληνικῆς μυθολογίας τὴν τῶν Χριστιανῶν σπαράττειν θεολογίαν, καὶ τῆς ὑπερουσίου καὶ μοναρχικῆς Τριάδος ἐξυβρίζειν τὸ ἀξίωμα; ὁ οὖν Πάπας Νικόλαος ταῦτα ἀκούσας, ἔγραψε πρὸς Ἴκμαρον Ῥήμης Ἀρχιεπίσκοπον, καὶ πρὸς Ῥάθραμνον Κορβίας, καὶ ἄλλους Ἐπισκόπους τῆς Γαλλίας, οἵτινες ὑπέκειντο τῷ Καρόλῳ Κάλβῳ, ἵνα ἴδωσι τὰ παρὰ τῶν Ἀνατολικῶν ἐγκαλούμενα, καὶ ἐγγράφως ἀπαγγείλλωσιν αὐτῷ τὴν γνώμην αὐτῶν. ὅθεν ὁ Ῥάθραμνος οὗτος ἔγραψεν ἀπολογίαν εἰς τέσσαρα βιβλία, καὶ ἐν τῷ δευτέρῳ βιβλίῳ λέγει, ὅτι αὕτη ἡ προσθήκη ἐγένετο ὀλίγον ὕστερον μετὰ τὴν δευτέραν Οἰκουμενικὴν Σύνοδον, μὴ εἰδὼς οὔτε αὐτὸς τὸν προσθέμενον, ἔγραψε δὲ ὁ Νικόλαος τὴν ἐπιστολὴν ταύτην ἐν ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ ἑβδόμῳ. ἐκ τούτου δὲ τινὲς τῶν Λατίνων ἐνόμισαν τὸν Νικόλαον πεποιηκέναι τὴν προσθήκην, ἀλλὰ ψεύδονται, ἐπειδὴ ὁ Νικόλαος οὔτε τὴν προσθήκην ἐποίησεν, οὔτε ἐκ τοῦ Υἱοῦ ἐδόξαζε τὸ Πνεῦμα τὸ ἅγιον (ἀλλ' ἔλεγον αὐτὸ οἱ Ἐπίσκοποι καὶ Πρεσβύτεροι ἐν τῇ Βουλγαρίᾳ, τοῖς Γάλλοις ἑπόμενοι) πρῶτον, ὅτι οὐκ ἤλεγξε τὸν Φώτιον ὡς κακῶς εἰπόντα περὶ τοῦ ἁγίου Πνεύματος, οὔτε μὴν κατηγόρησε περὶ τούτου αὐτὸν, εἰ δὲ καὶ τοὺς Γάλλους οὐκ ἤλεγξε διὰ τὴν προσθήκην, ἀλλ' ἦν αἰτία ὁ φόβος τῶν Φράγγων, καθὼς καὶ νῦν εἰς τὴν Φράντζαν ἐξυβρίζουσι τὴν μοναρχίαν τοῦ Πάπα, καὶ ἡ μακαριότης αὐτοῦ σιωπᾷ, ὡσανεὶ μὴ γινώσκειν μηδέν. δεύτερον, ὅτι καὶ ὁ μετ' αὐτὸν Ἀδριανὸς οὔτε ἐν Ῥώμῃ, διαφόρους Συνόδους ποιήσας κατὰ Φωτίου, ἐμέμψατο τὸν Φώτιον περὶ τούτου, οὔτε ἡ ἐν Κωνσταντινουπόλει κατὰ Φωτίου Σύνοδος, ἐν ᾗ παρῆσαν οἱ Τοποτηρηταὶ τοῦ Ἀδριανοῦ τούτου, κατηγόρησαν περὶ τούτου τὸν Φώτιον, μάλιστα, ὡς εἴρηται εἰς τὸν τόπον, ἡ Σύνοδος ἐκείνη ἐβεβαίωσε τὸ Σύμβολον μένειν ἀκαινοτόμητον. τρίτον, ὅτι ἡ ἐπὶ Φωτίου Σύνοδος πᾶσαν προσθήκην ἀπέβαλε τοῦ Συμβόλου, ἐξ ὧν δείκνυται, ὅτι τότε ἐν τῇ Ῥώμῃ οὔτε τὸ δόγμα ἦν, οὔτε ἡ προσθήκη, ὡς ἄριστα ἀποδείκνυσιν ὁ ἱερὸς Φώτιος ἐν τῇ πρὸς τὸν Ἀκυληΐας Ἀρχιεπίσκοπον ἐπιστολῇ αὐτοῦ, ἣν ἐθήκαμεν ἐν τῷ Τόμῳ τῆς Χαρᾶς, ἐν καταβατῷ εἰκοστῷ πέμπτῳ, δείκνυσι γὰρ ἐκεῖ γενναίως, ὅτι οὔτε ὁ Πάπας Νικόλαος, οὔτε ὁ μετ' αὐτὸν Ἀδριανὸς, οὔτε ὁ μετὰ τοῦτον Ἰωάννης ἐπρέσβευον τὸ ἐκ τοῦ Υἱοῦ, οὔτε ἐν τοῖς ἐκείνων καιροῖς ἐγινώσκετο ἡ προσθήκη ἐν τῇ Ῥώμῃ. πρὸς τούτοις ῥητέον, τὸ Σύμβολον πότε ἤρξατο ψάλλεσθαι ἐν τῇ Ῥώμῃ μετὰ τῆς προσθήκης, καὶ ποῖος προσέθηκε ταύτην, ἕως καὶ τῆς ὥρας ταύτης οὔπω ἐγένετο δῆλον. Νικόλαος ὁ Ὑδροῦντος λέγει, ὅτι οἱ Λατῖνοι ἀγνοοῦσι τὸν προστιθέμενον, διατοῦτο οὐδύνανται εἰπεῖν ὅτι οὐκ ὀρθῶς προσετέθη. Ἀντώνιος δὲ ὁ Ἡρακλείας Μητροπολίτης ἐν τῇ Συνόδῳ τῇ ἐν τῇ ἁγίᾳ Σοφίᾳ λέγει, Οἱ δὲ Λατῖνοι μὴ ἔχοντες τὸν προσθετικὸν δεῖξαι, ἐνόθευσαν τὴν ἑβδόμην Σύνοδον, καὶ νοθεύσαντες κατηχυ-

κατηχήθησαν, διϊσχυρίζοντο γὰρ τὴν ἑβδόμην Σύνοδον ἐκ τοῦ Υἱοῦ τῷ Συμβόλῳ τῆς δευτέρας προσθέσθαι. καὶ ἐν τῇ αὐτῇ συνελθούσῃ τῆς ἐν Φλωρεντείᾳ Συνόδου ἔλεγεν ὁ Ῥόδου Ἀνδρέας, Ἡ ῥωμαϊκὴ Ἐκκλησία ἐποίησε τὴν προσθήκην ἐν καιρῷ ἀνάγκης, ἀλλ' οὐκ εἶπεν ἐν ποίῳ καιρῷ. καὶ συνελθούσῃ ἑβδόμῃ ἔλεγεν ὁ αὐτὸς, Ὥστε ἤρεσεν ἐκείνῳ τῷ ἄνδρι Ἀρχιερεῖ μετὰ Συνόδου πολλῶν πατέρων δυτικῶν τῶν γεγονότων ἐμικρὸν ἀξιώματος ἀναπτύξαι ὃ λέγομεν. ταῦτα εἰπὼν ὁ Ἀνδρέας, ἐψεύσθη προφανῶς, ἐπειδὴ οὐ ἐποίησε τὴν προσθήκην ὁ Πάπας μετὰ Συνόδου ταύτης, πῶς οὐκ ἐδυνήθη εἰπεῖν ἐκεῖνον τὸν Πάπαν καὶ τῆς Συνόδου τὸν τόπον, τὸν χρόνον, καὶ τὸν ἀριθμὸν τῶν πατέρων; τοῦτο δὲ ὅτι ὅτε ὁ προσθέμενος, ὅτε ὁ καιρὸς τῆς προσθήκης ἐγνωρίσθη, μαρτυρεῖ καὶ ὁ Ἀντωνῖνος ἐν τῷ χρονικῷ αὐτοῦ μέρει τρίτῳ, Τίτλῳ εἰκοστῷ δευτέρῳ, Τμήματι δεκάτῳ τρίτῳ. ὅθεν καλῶς εἶπεν ὁ ῥηθὲς Ὑδρούντος, ὅτι ἡ προσθήκη αὕτη ἐγκρύφιος ἔσα, ἔστι καὶ ἀπόκρυφος, ἀθεώρητος, ἀβέβαιος, καὶ κατὰ τῆς ἀληθείας πλαδεύρημα. ἀγνοοῦσι δὲ ταύτην οἱ πρεσβεύοντες, ἢ ἵνα τοῦτο ἐδοκιμάσθη ἀποδειχθῆναι δώσωσι, καθότι οὐκ ὀρθῶς προστέθη.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

ὅτι ἡ Μαξίμου πρὸς Μαρῖνον ἀπόκρισις περὶ τῆς προσθήκης ἐστίν, ἧς καὶ ὁ ποιητὴς καὶ ὁ χρόνος ἄδηλος.

Ἀλλὰ δὴ καὶ ἐκεῖνο, ὅτι ἡ προσθήκη ἦν καὶ πρὸ τῆς δευτέρας Συνόδου, τολμηρὸν καὶ γελοῖον ἐδείχθη αὐτοῖς βιβλίῳ τρίτῳ κεφαλαίῳ πέμπτῳ. ἐμποδίζει δ' αὐτοὺς ἀληθεύειν πρὸς τοὺς ἄλλους καὶ ἡ μνημονευθεῖσα Συνοδικὴ ἐν Ἀκυϊσγράνῃ τῆς Γαλλίας. προβάλλονται ἔτι οἱ αὐτοὶ τῷ ἀποκρίσει τοῦ ὁμολογητοῦ Μαξίμου πρὸς Μαρῖνον, καὶ ὅμως ὁ Μάξιμος, ὡς εἴρηται αὐτοῖς βιβλίῳ τρίτῳ κεφαλαίῳ ἑβδόμῳ Παραγράφῳ δεκάτῳ τρίτῳ, ἔτι λέγει ἐκεῖ, λέγει αὐτὸ Διὰ τὸ δόγμα, καὶ ὁ Διὰ τὴν προσθήκην, ἧς καὶ ὁ ποιητὴς καὶ ὁ χρόνος ἄδηλοί εἰσι.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

ὅτι ἀπὸ τοῦ μετὰ τὸν Ἰουστινιανὸν Βασιλέως Ἰουστίνου, καὶ ἀπὸ εἰκαρίου Βασιλέως Ἱσπανίας ἀκαινοτόμητον ἦν τὸ Σύμβολον ἐν Ἱσπανίᾳ καὶ Γαλλίᾳ, τὸ δὲ ἀπὸ τῆς δευτέρας Συνόδου, ἢ πολὺ μετὰ τὴν δευτέραν γεγενῆσθαι τὴν προσθήκην, μῦθος δείκνυται ἐκ τῶν χρόνων.

Εἴρηται αὐτοῖς βιβλίῳ πέμπτῳ κεφαλαίῳ ἕκτῳ πρώτῳ Παραγράφῳ πέμπτῳ, καὶ ἤδη ῥητέον, ὅτι τὸ Σύμβολον τῆς δευτέρας Συνόδου ὁ μετὰ τὸν μέγαν Ἰουστινιανὸν Βασιλεὺς Ἰουστῖνος ἐν ἔτει πεντακοσιοστῷ ἑξηκοστῷ ὀγδόῳ, ἤτοι ἐν τῷ πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἔπεμψεν εἰς ὅλον τὸ ὑπήκοον αὐτοῦ ψάλλεσθαι εἰς πᾶσαν τὴν καθολικὴν ἐκκλησίαν ὑπὸ τοῦ λαοῦ πρὸ τῆς κυριακῆς Εὐχῆς, ὡς μαρτυρεῖ Ἰωάννης Βικλαρίας, μετὰ δὲ εἰκοστέσσαρα ἔτη ἐν ἔτει πεντακοσιοστῷ ὀγδοηκοστῷ ἑνάτῳ, βασιλεύοντος ἐν Ἱσπανίᾳ Ῥικαρέδου, τῷ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἡ Ἐκκλησία τῶν Ἱσπανῶν ἐδέχθη τὸ αὐτὸ Σύμβολον ἀκαινοτόμητον, ἀκολουθήσασα περὶ τούτου τῷ δευτέρῳ Κανόνι τῆς τρίτης ἐν Τολέτῳ Συνόδου, ἔχοντι οὕτως, ὅλην ἵνα εἰς πάσας τὰς Ἐκκλησίας τῆς Ἱσπανίας καὶ τῆς Γαλλίας ἀναγινώσκηται τὸ σύμβολον τῆς ἐν Κωνσταντινουπόλει οἰκουμενικῆς συνόδου τῶν ἑκατὸν πεντήκοντα πατέρων κατὰ τὸν τύπον τῶν Ἀνατολικῶν Ἐκκλησιῶν, καὶ πρὸ τῆς κυριακῆς Εὐχῆς ψάλλεσθαι μεγαλοφώνως ὑπὸ τοῦ λαοῦ, ἃ γὰρ καὶ τινες Συνόδους γενέσθαι ἐν Ἱσπανίᾳ εἶπον τὸ ἐκ τοῦ Υἱοῦ, ἐκ ὧν ἐνόμιζον τὸν Υἱὸν αἴτιον τῆς ὑπάρξεως τοῦ ἁγίου Πνεύματος καθάπερ καὶ τὸν Πατέρα, ἀλλὰ διὰ τὸ σαφὲς τῆς γλώττης εἶπον διὰ τοῦ αὐτοῦ ῥήματος τὴν πέμψιν ἐκπόρευσιν, καθάπερ καὶ Αὐγουστῖνος εἶπεν, ὅμως ἀδιαστρόφως ἐδέξαντο ἐν τῷ Συμβόλῳ. ἐν τούτοις σημείωσαι πρῶτον, ὅτι ὅτε Ἕλληνες, ὅτε Λατῖνοι εἴασι τὸν ποιητὴν καὶ τὸν χρόνον τῆς προσθήκης. δεύτερον, ὅτι μῦθος ἐστὶ τὸ, τὴν τῆς δευτέρας Οἰκουμενικῆς, ἢ πολὺ ὕστερον μετ' αὐτὴν γέγονεν ἡ προσθήκη. τρίτον, ὅτι τούτῳ τῷ πεντακοσιοστῷ ὀγδοηκοστῷ ἑνάτῳ ἔτει, ὅτε εἰς τὰς Γαλλίας εἰς τὸ κοινὸν ἦν ἡ προσθήκη. τέταρτον, ὅτι ἡ προσθήκη πρῶτον ἠκούσθη εἰς τὴν Φραγγίαν, ὅπου καὶ γέγονεν, ἠκούσθη δὲ τῷ ἔτει πεντακοσιοστῷ ὀγδόῳ, δι' ἣν αἰτίαν ὁ μὲν Λέων ὁ τρίτος ἔγραψε τὸ Σύμβολον ἐπὶ τῶν ἀσπίδων, ὁ δὲ τέταρτος Λέων ὁ ἔτει πεντακοσιοστῷ ἑβδόμῳ πεντηκοστῷ ἕκτῳ, καὶ ὁ Βενέδικτος τρίτος ἔτει πεντακοσιοστῷ πεντηκοστῷ πέμπτῳ ἔγραψαν εἰς τὴν Ἀνατολὴν ἅπερ εἴρηται αὐτοῖς βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἑβδόμῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

ὅτι τὸ Σύμβολον τοῦ ἁγίου Ἀθανασίου δοκεῖ ἀπόκρυφον καὶ ἐκ ἀρχαῖον, εἰ δὲ ἀρχαῖον, δείκνυται διὰ πολλῶν ἀποδείξεων οὐταῦθα συνοθροισθεισῶν ὑπὸ τῶν Λατίνων.

Περὶ

764

Περὶ δὲ τοῦ Συμβόλου τοῦ ἁγίου Ἀθανασίου ῥητέον πρῶτον, ὅτι δοκεῖ ἀπόκρυφον, καθότι μήτε οἱ ἀρχαῖοι πατέρες ἰδίως, μήτε αἱ Σύνοδοι Τοπικαί τε καὶ οἰκουμενικαὶ ἐμνήθησαν αὐτοῦ. δεύτερον, μήτε οἱ μετὰ τὸ σχίσμα ἀρχαῖοι Λατῖνοι προὔτειναν αὐτὸ κατὰ τῶν ὀρθοδόξων, μάλιστα εἰ ἦν ἀληθινὸν τὸ Σύμβολον τοῦτο ὥσπερ οἱ Λατῖνοι προσφέρουσιν αὐτὸ, καὶ πρῶτον καὶ ὕστερον ἐν ταῖς Συνόδοις, καὶ ἐν αὐτῇ τῇ Φλωρεντείᾳ οὐκ ἐδύναντο ἔχειν ἄλλο ἰσχυρότερον ἐπιχείρημα τούτου, ἀλλὰ διὰ τὸ εἶναι ἢ ἀπόκρυφον, ἢ νενοθευμένον, οὐκ ἀπετόλμησαν οὔτε κἂν τὸ ὄνομα αὐτοῦ εἰπεῖν. τρίτον, οὔτε οἱ μεταγενέστεροι Ἕλληνες οἱ μεμνημένοι αὐτοῦ ὁμονοοῦσι περὶ αὐτοῦ. ὁ μὲν γὰρ Μανουὴλ ὁ Καλέκας ἐν οἷς γράφει περὶ τῶν ἀρχῶν τῆς καθολικῆς πίστεως, λέγει ὅτι ἔστειλεν αὐτὸ ὁ Ἀθανάσιος Ἰουλίῳ τῷ Ῥώμης, ἡ δὲ ἐν Φλωρεντείᾳ Σύνοδος λέγει, ὅτι ἔπεμψεν αὐτὸ ὁ αὐτὸς τῷ Ῥώμης Λιβερίῳ, καίτοι ἡ πίστις ἣν ἔπεμψεν ὁ ἅγιος τῷ Λιβερίῳ ἐστὶν ἑτέρα, ὡς φαίνεται εἰς τὸν πρῶτον Τόμον τῶν συγγραμμάτων αὐτοῦ, ὁ δὲ Ἀρκούδιος λέγει ἐν τῷ κατὰ Βαρλαὰμ αὐτοῦ λόγῳ, ὅτι ἔγραψεν αὐτὸ ὁ ἅγιος εὑρισκόμενος εἰς τὴν Ῥώμην. τέταρτον, ἐμνήσθησαν αὐτοῦ καὶ τινες μεταγενέστεροι ὀρθόδοξοι, ἀλλὰ διττῶς, ὁ μὲν γὰρ Γεώργιος ὁ σχολάριος ἠμελημένως καὶ ὥσπερ κατὰ παρόδον, οὐ μὴν ἐχρήσατο αὐτῷ ἀναγκαίως ὥσπερ τοῖς λοιποῖς τῶν ἁγίων ῥητοῖς ἐν τοῖς περὶ τῶν θείων δογμάτων ἀγῶσι καὶ ἀποδείξεσιν, ὁ δὲ θεσπέσιος Νεῖλος καὶ οἱ περὶ αὐτὸν ἐνόμισαν αὐτὸ νόθον, ἢ ἀπόκρυφον, ὅθεν εἶπον περὶ αὐτοῦ ὅσα λέγομεν καὶ ἡμεῖς. πέμπτον, εἰ δὲ καὶ ὁ μέγας Γρηγόριος δοκεῖ μεμνῆσθαι αὐτοῦ ἐν τῷ εἰς τὸν ἅγιον Βασίλειον ἐγκωμίῳ, εἰπὼν περὶ τοῦ ἁγίου Ἀθανασίου, ὅτι πρῶτος καὶ μόνος ἢ κομιδῇ σὺν ὀλίγοις ἐτόλμησε τὴν ἀλήθειαν οὑτωσὶ καὶ διαῤῥήδην τῶν τριῶν μίαν Θεότητα ἐγγράφως ὁμολογῆσαι, ὅμως ταῦτα λέγει διὰ τὴν ἀναφορὰν ἣν ἔδωκεν ὁ ἅγιος τῷ Αὐτοκράτορι Ἰοβιανῷ, ἥτις ἐστὶ κεφαλαίῳ τρίτῳ τοῦ τετάρτου βιβλίου τῆς ἐκκλησιαστικῆς ἱστορίας Θεοδωρίτου. οὐδεὶς οὖν ἅγιος οὔτε ἱστορικὸς ἀρχαῖος, οὔτε Σύνοδός τις ἀρχαία καὶ ὀρθόδοξος ἐμνήσθη τοῦ Συμβόλου τούτου ὡς ἔδει, περὶ γὰρ τῶν ἀρχαίων καὶ ἀρχαίους μάρτυρας προσφέρειν δεῖ. ἕκτον, εἰ δὲ καὶ ὑποθήσομεν ὅτι ἐστὶν ἀληθὲς, ῥητέον πρῶτον, ὅτι ὁ ἅγιος ἀποτεινόμενος πρὸς τοὺς λέγοντας τὸ ἅγιον Πνεῦμα κτίσμα, εἶπεν ἐκ Πατρὸς καὶ Υἱοῦ οὐ πεποιημένον, οὐδὲ δεδημιουργημένον, οὔτε γεγεννημένον, ἀλλὰ δηλονότι ἐκ τῆς αὐτῶν φύσεως. ἐκπορευτὸν δὲ εἶπε, καὶ οὐ διώρισεν ἐκ Πατρὸς, ἀρκούμενος εἰς τὴν κοινὴν δόξαν τῆς Ἐκκλησίας. οὕτω καὶ ὁ ἱερὸς Ἐπιφάνιος εἶπεν, ὅτι ἐκπορεύεται ἐξ ἀμφοῖν, δηλονότι Πατρὸς καὶ Υἱοῦ, ἀλλ' ἐνόει τοῦ μὲν κατ' ἐκπόρευσιν, τοῦ δὲ κατὰ πέμψιν, ὡς ἐν τῷ Ἀγκυρωτῷ ἐν πολοῖς τόποις, καὶ Αἱρέσει κατὰ Σαβελλιανῶν διεσάφησεν εἰπὼν, Πνεῦμα ἅγιον ἐκ Πατρὸς καὶ Υἱοῦ, τῆς αὐτῆς Θεότητος, ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ τοῦ Υἱοῦ λαμβάνον. τὸ γὰρ ὄνομα ἐκπόρευσις, δηλοῖ ἢ τὴν κυρίως ἐκπόρευσιν, ἥτις δηλοῖ τὴν ἐκ τοῦ Πατρὸς τοῦ Πνεύματος ὕπαρξιν, ἀρχὴν δηλονότι καὶ αἰτίαν Θεότητος, ἢ δηλοῖ οὐχ ὕπαρξιν, ἀλλὰ δίεσιν, ἔκφανσιν, ἔλλαμψιν, πέμψιν. οὕτω καὶ ὁ ἅγιος Ἀθανάσιος ἐνόει, ὅτι ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα, ὡς ἐκ τοῦ μὲν Πατρὸς ἐκπορευόμενον, ἐκ δὲ τοῦ Υἱοῦ λαμβάνον, καὶ οὕτως ὂν ὁμοούσιον αὐτοῖς καὶ τῆς αὐτῆς φύσεως. Ἔτι λαμβάνει παρὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ὅπερ ὁ Υἱὸς ἔχει παρὰ τοῦ Πατρὸς, τί δὲ ἔχει ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς, διασαφεῖ ὁ Ἐπιφάνιος (ἵνα τοὺς λοιποὺς πατέρας ἐάσω) Αἱρέσει κατὰ Ἀνομοίων ἑρμηνεύων τὸ εὐαγγελικὸν ῥητὸν, Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι, τουτέστι Θεὸς ὁ Πατὴρ, Θεὸς ἐγὼ, ζωὴ ὁ Πατὴρ, ζωὴ ἐγὼ, καὶ τὰ ἑξῆς. ἵνα δὲ μή τις νομίσῃ ἔχειν αὐτὸν ἄλλό τι πλὴν τῶν φυσικῶν ἀγαθῶν, ἐπιφέρει, Πάντα ὅσα πρέπει Πατρὶ καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι ἐν μιᾷ Θεότητι, ὡσεὶ ἔλεγεν, οὐδὲν ἔχει κοινὸν ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ὅπερ οὐκ ἔχει καὶ τὸ Πνεῦμα τὸ ἅγιον, συμφώνως Βασιλείῳ, Γρηγορίῳ καὶ Ἀθανασίῳ, λέγουσι, Τὰ κοινὰ Πατρὶ καὶ Υἱῷ, κοινὰ καὶ τῷ ἁγίῳ Πνεύματι. ὡς οὖν ἐνόει ὁ Ἐπιφάνιος τὸ ἐξ ἀμφοῖν, οὕτως ἐνόμισεν ὁ μέγας Ἀθανάσιος τὸ ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι. δεύτερον, ἐκ πολλῶν παλαιῶν χειρογράφων βιβλίων εὑρισκομένων εἰς ἡμᾶς, καὶ ἐχόντων τὸ Σύμβολον τοῦτο, φαίνεται ἡ ἀλήθεια, ὅτι ἐκ τοῦ Πατρὸς δηλονότι ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, οὐμὴν καὶ ἐκ τοῦ Υἱοῦ. τρίτον, ἔχομεν παμπάλαιον καὶ ἀρχαιοτάτην βίβλον ἐν Ἱερουσαλὴμ, ἔχουσαν καὶ τοῦτο τὸ Σύμβολον, ἐν ᾧ, μαρτυροῦντος τοῦ Θεοῦ, λέγεται ὁ Υἱὸς ὅτι παρὰ τοῦ Πατρὸς μόνος ἐστὶν οὐ ποιητὸς, οὐ κτιστὸς, ἀλλὰ γεννητὸς, τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ τοῦ Πατρὸς, καὶ ἀναπαυόμενον ἐν Υἱῷ, οὐ ποιητόν ἐστιν, οὐ κτιστὸν, οὐ γεννητὸν, ἀλλ' ἐκπορευτόν. καὶ μετά τινα, Τὸν γὰρ νοῦν τοῦ Παντοκράτορος ὡς αἰτίαν πάντων, Πατέρα ὀνομάζομεν, τὸν δὲ Λόγον ὡς ἀπὸ τοῦ νοῦ γεννώμενον, Υἱὸν ἀξίως προσαγορεύομεν, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ὡς ἐκ τοῦ νοῦ μὲν ἐκπορευόμενον, ἐν δὲ τῷ Λόγῳ ἀναπαυόμενον καὶ ἐκφερόμενον, Πνεῦμα ἅγιον ὀνομάζομεν. τέταρτον, ἐτύπωσαν θεοφοβούμενοι ἄνθρωποι τὰ εὑρισκόμενα συγγράμματα τοῦ ἁγίου Ἀθανασίου εἰς δύο Τόμους γραικολατῖνα ἐν ἔτει τῷ Σωτηρίῳ χιλιοστῷ ἑξακοσιοστῷ πρώτῳ, καὶ εἰς τὸν δεύτερον Τόμον, τετυπωμένον ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ. ἐν τῇ Φραγγοφούρτῃ πόλει Γερμανικῇ, καταβατῷ τριακοστῷ ὀγδόῳ κεῖται τὸ Σύμβολον τοῦτο, καὶ εἰς μὲν τὸ ἑλληνικὸν εὑρίσκεται τετυπωμένον οὕτω, Τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Πατρὸς οὐ πεποιημένον, οὔτε δεδημιουργημένον, οὔτε γεγεννημένον ἐστὶν, ἀλλ' ἐκπορευτὸν, εἰς δὲ τὸ λατινικὸν εὑρίσκεται γεγραμμένον οὕτω, Τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. καὶ ἰδοὺ οἱ Λατῖνοι ἐνόθευσαν τὸ Σύμβολον τοῦ ἁγίου Ἀθανασίου, καθὼς ἐνόθευσαν τὴν ἑβδόμην ἁγίαν Σύνοδον, καὶ πολλὰ ἄλλα βιβλία τῶν ἁγίων. ὡς

ἐρουμεν

ἐρῦμεν μεταταῦτα. πέμπτον, ὁ Ἀθανάσιος ἦν ἐν τῇ πρώτῃ Συνόδῳ, καὶ ἐν τῇ ἐν Σαρδικῇ, καὶ πῶς αὐτὸς εἶπεν ὅπερ αἱ Σύνοδοι οὐκ εἶπον; ἕκτον, ἐν μηδενὶ αὐτοῦ συγγράμματι λέγει ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς καὶ Υἱοῦ, ἀλλ' ἕνα μόνον λέγει αἴτιον ἐν τῇ Τριάδι τὸν Πατέρα, καὶ ἴδε τοὺς τόπους ἐν τοῖς συγγράμμασιν αὐτοῦ. ἕβδομον, πῶς εἰ οὕτως ἐφρόνει ὁ Ἀθανάσιος, οὐκ ἐφρόνει οὕτω καὶ ὁ Κύριλλος; καὶ πῶς, εἰ τὸ Σύμβολον τοῦ ἁγίου Ἀθανασίου ἦν ἀρχαῖον, καὶ περιεῖχε καὶ τὸ ἐκ τοῦ Υἱοῦ, οὐκ ἐγίνωσκεν αὐτὸ ὁ σοφὸς Θεοδώριτος; καὶ πῶς ὁ Κύριλλος οὐκ ἐχρήσατο αὐτῷ κατὰ Θεοδωρίτου; καὶ πῶς ἐπὶ Μαξίμου τῶν μὲν χρήσεων Κυρίλλου ἐγένετο μνήμη, τούτου δὲ οὐδαμῶς; καὶ πῶς οὐδεὶς τῶν ἄλλων πατέρων εἶπε τοῦτο, ἀλλ' ἢ μόνος ὁ Ἀθανάσιος; καὶ πῶς ὁ Δάμασος οὐκ ἐμέμψατο τὴν δευτέραν Σύνοδον, μὴ εἰποῦσαν τοῦτο ἐν τῷ Συμβόλῳ, καὶ μάλιστα συναθροισθεῖσαν περὶ τῆς ἀϊδίου ὑπάρξεως τοῦ ἁγίου Πνεύματος; ὥστε τὸ Σύμβολον τοῦτο οὐκ ἀρχαῖον, εἰ δ' ἀρχαῖον, ἀλλ' ἀναμφιβόλως ἐνοθεύθη ὑπὸ τῶν Λατίνων. ἴδε περὶ τούτου ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου πέμπτου Παράγραφον ἕκτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς δευτέρας ἀντιθέσεως τῶν Λατίνων, οὐ πρότερον, ἀλλ' ἐπὶ τοῦ Κηρουλλαρίου τὸν Ῥώμης ἐκβληθῆναι τῶν Δυπτύχων λεγόντων, καὶ ψεύσται τοὺς ἀνατολικοὺς συγγραφεῖς δεῖξαι σπευδόντων, καὶ τῆς λύσεως αὐτῆς.

Ἀντίθεσις δευτέρα. οἱ Λατῖνοι βουλόμενοι δεῖξαι, οὐ πρότερον, ἀλλ' ἐπὶ τοῦ Κηρουλλαρίου τῶν Διπτύχων ἐκβληθῆναι τὸν Πάπαν, σπουδάζουσι ψεύστας ἀποδεῖξαι τοὺς Ἀνατολικοὺς συγγραφεῖς, καὶ δὴ λέγουσιν, ὅτι τῶν Ἀνατολικῶν τινὲς μὲν λέγουσιν ἐπὶ Χριστοφόρου καὶ Σεργίου τρίτου γενέσθαι τὴν προσθήκην ἐν τῇ Ῥώμῃ, τινὲς δὲ, ποτὲ τὸν Χριστόφορον λέγουσι, ποτὲ τὸν Σέργιον, ἄλλοι δὲ λέγουσιν, ὅτι ὁ Κωνσταντινουπόλεως Σέργιος ἐξέβαλε τῶν Διπτύχων τὸν Πάπαν, καὶ πάλιν τῶν αὐτῶν τούτων τινὲς μὲν λέγουσιν, ὅτι Χριστόφορος ἦν ὁ ἐκβληθεὶς, τινὲς δὲ, ὅτι ὁ Σέργιος, ἄλλοι δὲ λέγουσι καὶ τοὺς δύο, ταῦτα δὲ ὅτι οὐκ ἀληθῆ εἰσὶ, φανερόν ἐστι, καὶ γὰρ οὐ μόνον διαφωνοῦσι περὶ τῶν προσώπων, ἀλλὰ καὶ περὶ τοῦ καιροῦ, ἐπειδὴ ὁ μὲν Κωνσταντινουπόλεως Σέργιος ἦν ἐπὶ Βασιλείου τοῦ βουλγαροκτόνου, ὁ δὲ Χριστόφορος καὶ Σέργιος ἐπὶ Λέοντος τοῦ σοφοῦ, πρότεροι τοῦ Σεργίου τούτου, ὃς ἦν σχεδὸν μετὰ ἔτη ἑκατὸν ἀπὸ τοῦ καιροῦ αὐτῶν. ἔτι ἐπιλέγουσιν οἱ Ἀνατολικοὶ, ὅτι ἦσαν οἱ δύο οὗτοι Πάπαι μετὰ διακόσια ἔτη ἀπὸ τῆς ἑβδόμης Συνόδου, ὅπερ καὶ αὐτὸ ψεῦδος ἐστὶ, καθότι ἡ ἑβδόμη Σύνοδος ἠθροίσθη ἐν ἔτει ἑπτακοσιοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ, οἱ δὲ εἰρημένοι Πάπαι ἦσαν ἐν ἔτει ἐννακοσιοστῷ ὀγδόῳ, ὅπερ ἐστὶν, ὅτι ἦσαν μετὰ ἑκατὸν εἴκοσι καὶ ἓν ἔτη ἀπὸ τῆς ἑβδόμης Συνόδου, καὶ οὐ μετὰ διακόσια. πρὸς τούτοις καὶ ὁ Ἀντιοχείας Πέτρος ἐπιστολῇ πρὸς τὸν Κηρουλλάριον φησὶν, ὅτι ἔφθασε καὶ ἦν παρὼν, ὅτε ἐμνημονεύθη ὁ Πάπας Ἰωάννης ἐπὶ τοῦ Ἀντιοχείας Ἰωάννου, καὶ ὅτι πρὸ τεσσαράκοντα καὶ πέντε ἐτῶν ἐν Κωνσταντινουπόλει παρόντος αὐτοῦ ἐπὶ Σεργίου Κωνσταντινουπόλεως, ἐμνημονεύετο ὁ αὐτὸς Πάπας, ἐξ ὧν δείκνυται ψεῦδος εἶναι τὸ ἐπὶ τοῦ Σεργίου ἐκβληθῆναι τὸν Πάπαν τοῦ μνημοσύνου, καὶ ἔμεινεν εἶναι ἀληθὲς, ὅτι ἐπὶ τοῦ Κηρουλλαρίου ἐξεβλήθη. ταῦτα οἱ Λατῖνοι. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἐδείχθη ἀνωτέρω ἄγνωστον εἶναι ἄχρι τῆς δεῦρο τὸν ποιητὴν καὶ τὸν χρόνον τῆς προσθήκης, καὶ ὅτι διάφοροι καὶ ἀδιαφόρως εἶπον περὶ αὐτῆς, ἐσφαλμένοι ὅμως κατά τε τὸν χρόνον καὶ τὰ πρόσωπα, καὶ οὐκ ἔστι θαυμαστὸν, οὔτε παράδοξον, οὔτε παρὰ τὸ ἐν ταύτῃ τῇ ὑποθέσει σύνηθες, εἰ ἠκολούθησε σφάλμα καὶ εἰς τοὺς Ἀνατολικοὺς συγγραφεῖς κατά τε τὰ πρόσωπα καὶ τὸν χρόνον. δεύτερον, ὅτι ἐπὶ Ἰωάννου τοῦ ὀγδόου ἐψάλλετο ἐν τῇ Ῥώμῃ τὸ Σύμβολον ἄνευ προσθήκης. νῦν δὲ λέγομεν, ὅτι καὶ ἐν ταῖς ἀρχαῖς τῆς βασιλείας Λέοντος τοῦ σοφοῦ οὐκ ἦν ἡ προσθήκη ἐν Ῥώμῃ, καὶ μαρτυρεῖ τὰ ἐπ' αὐτοῦ κατὰ Φωτίου καὶ τῆς τετραγαμίας πεπραγμένα, ἅτινα δείκνυσιν, ὅτι ἦσαν ἡνωμέναι αἱ Ἐκκλησίαι, πρόδηλον δὲ, ὅτι εἰ ἦν ἡ προσθήκη, οὐκ ἂν εἶχον ὁμόνοιαν, ἐπειδὴ τὸ δόγμα τὸ ἐκ τοῦ Υἱοῦ ἀποτρόπαιον ἦν πάντοτε, ἀφ' οὗ κἂν ψιλῶς ἠκούσθη ἐν ταῖς Ἀνατολικαῖς Ἐκκλησίαις, ὅθεν καὶ ὁ Λέων ἐν τῷ Δοξαστικῷ τοῦ ἑσπερινοῦ τῆς Πεντηκοστῆς ἐκ Πατρὸς ἐκπορεύεσθαι ἐθεολόγησε τὸ Πνεῦμα τὸ ἅγιον, ἐπὶ Χριστοφόρου ὅμως, ὃς γέγονε Πάπας ἐν ἔτει ἐννακοσιοστῷ ὀγδόῳ, ἠκούσθη πρῶτον ψαλλόμενον τὸ Σύμβολον μετὰ τῆς προσθήκης ἐν τῇ Ῥώμῃ, μαρτυρούντων ἀρχαιοτέρων καὶ νεωτέρων συγγραφέων Ἑλλήνων, ὡς εἴρηται καὶ ῥηθήσεται. ἀλλ' ἐπειδὴ οὐδ' οὗτοι ἐδυνήθησαν εἰπεῖν διωρισμένως ὑπὸ Χριστοφόρου, ἢ ὑπὸ Σεργίου γεγονέναι τὴν προσθήκην, καὶ φαίνεται ὅτι καὶ παρὰ τούτοις ἄγνωστός ἐστιν ὁ προσθέμενος, μήποτε ὅμως ἐστὶν εἰκάσαι ἐξ ὧν λέγουσιν, ὅτι ὁ μὲν Φόρμοσος ἐψιθύρισεν ἐν Ῥώμῃ τὸ δόγμα, ὁ δὲ Χριστόφορος καὶ Σέργιος προσέθηκαν, καὶ διὰ τὸ τὸν Χριστόφορον μόνον ἑπτὰ Μῆνας σταθῆναι ἐν τῷ θρόνῳ, πρὸς γὰρ τὰ περὶ τὴν πίστιν νεωτεριστὴς καὶ ἀχρειότατος ἦν, δοκεῖ αὐτὸς μὲν προσθέσθαι, ὁ δὲ Σέργιος βεβαιῶσαι τὸ προστεθὲν, σύμφρων ὢν αὐτῷ, εἶτα ἔγραψεν αὐτὸ μετὰ τῆς προσθήκης ἐν τῇ Ἀνατολῇ, φαυλόβιος ὢν καὶ τύραννος, καὶ διόλου ἀπάνθρωπος, καὶ ἀλλοτριώτατος τοῦ ῥωμαϊκοῦ θρόνου, ὡς ὁ Πλάτινας ἱστορεῖ, ὅθεν καὶ τὸν Χριστόφορον ἐδέσμευσε, τὴν προσθήκην ὅμως ἐδέξατο διὰ τὴν αὐτὴν τῆς ἀσεβείας ὁμόνοιαν. περιέμενον δὲ οἱ Ἀνατολικοὶ τὴν διόρθωσιν, ἢ κατὰ τὸ πάτριον ἔθος, καὶ γὰρ ἀείποτε ἡ Ἐκκλησία τοῖς παρατρεπομένοις

τρεπομένοις παρέχει καιρὸν μετανοίας, καὶ ἴδε ἀνωτέρω βιβλίῳ τέλει κεφαλαίῳ δεκάτῳ πέμπτῳ Παρέγραφον δέκατον ὄντα, καὶ βιβλίῳ ὄντι κεφαλαίῳ ἑβδόμῳ Παράγραφον ὄντα ἐν τῷ Λιβέλλῳ Σεργίου Κυπρίου, ἢ ἀπὸ τοῦ ἀπὸ Χερσοφόρου καὶ Σεργίου συμβεβηκέναι εἰς τὴν Ἰταλίαν μηδένα χεδὸν Πάπαν χρηματίσαι χρηστὸν, ὡς πάλιν ὁ Πλάτινας μαρτυρεῖ, ἀλλ' ἀσελγεῖς, τυράννους, κακοήθεις, βιαίους καὶ ἐφαχυβίους, ἐξ ὧν πολλοὶ καὶ αἰσχίστῳ θανάτῳ ἀπέθανον, εἶτα καὶ ἐξ αἰτίας τῶν Παπῶν καὶ ἑτέρων Ἰταλικῶν Ἡγεμόνων συνέβησαν ἐν τῇ Ἰταλίᾳ πόλεμοι συνεχεῖς, ἀγελώτατοι, καὶ ἀλλεπάλληλοι, καὶ περιέμενον οἱ Κωνσταντινουπολῖται καιρόν τινα ἥσυχον· ἐπειδὴ δὲ ἐπὶ τὸ χεῖρον ἔτρεχον τὰ κατὰ τοὺς Πάπας καὶ ἐν Ῥώμῃ καὶ Ἰταλίᾳ, γενόμενος ὁ Σέργιος Κωνσταντινουπόλεως Πατριάρχης, ἀνθρωπος δυνατὸς καὶ ἀξιοτίμητος, ἔγραψε πρὸς τὸν τότε Πάπαν περὶ τῆς διορθώσεως, καὶ ἐπειδὴ εἶδε τὴν ῥωμαϊκὴν Ἐκκλησίαν μὴ θέλουσαν γνῶναι τὸν καιρὸν τῆς ἐπισκοπῆς αὐτῆς, ἐξέβαλε τὸν Πάπαν ἀπὸ μόνης τῆς Ἐκκλησίας αὐτοῦ, καὶ ἀπὸ μόνων τῶν Διπτύχων, ἐλπίζων, ὡς ἔοικεν, ἴσως αἰσχυνθέντας τοὺς Λατίνους τὴν ἀκοινωνησίαν τῶν Ἐκκλησιῶν, ἐπανελθεῖν ἐπὶ τὸ ἀρχαῖον κάλλος τῆς εὐσεβείας. ἦν δὲ τότε ὡς ἔστιν εἰκάσαι (λέγω ἀποφατικῶς, ἀλλ' εἰκαστικῶς, ἐπειδὴ βεβαίως ἄντως εἰπεῖν οὐκ ἔχω αἰαμφίβολον τὴν ἀπόδειξιν) ὁ ἐκβληθεὶς τῶν Διπτύχων Πάπας Σέργιος τέταρτος. τοῦτο αὐτὸ σωμάγεται καὶ ἀπὸ τῆς ὑποσολῆς τοῦ Ἀντιοχείας Πέτρου εἰς Μιχαὴλ τὸν Κηρουλάριον Πατριάρχην Κωνσταντινουπόλεως, χάριν γὰρ αὐτοῦ, ὅτι ἐπὶ Ἰωάννου τοῦ Ἀντιοχείας ἦν παρὼν μνημονεύομένος ἐν Ἀντιοχείᾳ τοῦ Πάπα καὶ αὐτοῦ Ἰωάννου καλυμένου, καὶ ὅτι ἐν Κωνσταντινουπόλει ἐπὶ τεσσαράκοντα καὶ πέντε ἐτῶν ἦν παρὼν μνημονευομένου τοῦ αὐτοῦ Πάπα, ὄντος Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Σεργίου. ταῦτα τὰ ῥήματα τοῦ Πέτρου ὡς ἀληθῆ δεχόμενοι λέγομεν, ὁ Ἀντιοχείας ἔγραψε τὴν ὑποσολὴν ἐπὶ τοῦ χιλιοστοῦ πεντηκοστοῦ τέταρτου ἔτους, μετὰ γὰρ τὴν ὑποσολὴν ἐγένετο ἡ πρώτη τοῦ Κηρουλαρίου Σινόδος τῷ ἑπτακισχιλιοστῷ πεντηκοστῷ τρίτῳ, ἐπὶ δὲ πεντεκαιδέκατα καὶ πέντε ἐτῶν ἦν ἀναμφιβόλως Πατριάρχης Κωνσταντινουπόλεως ὁ ῥηθεὶς Σέργιος, ἐφ' οὗ ἐμνημονεύετο ὁ Πάπας ἐν Βυζαντίῳ, ἦν δὲ ὁ καιρὸς ἐκεῖνος ἢ ἐπὶ τοῦ γράψαι τὸν Σέργιον τοῦτον εἰς Ῥώμην ἀπὸ τὸν Σέργιον, ἢ γράψαντα μὲν, μὴ λαβόντα δὲ ἔτι τὰς ἀποκρίσεις, ὅσις μετὰ τὸ λαβεῖν αὐτὰς ἀπὸ τοῦ Πάπα, γνοὺς ὅλη ἡ ῥωμαϊκὴ Ἐκκλησία περιποιεῖται τὴν ἐπιθήκην ἀπαραιτήτως, ἐξέβαλον αὐτὸν ὡς Αἱρετικὸν ἐκ τῶν Διπτύχων, ἦν δὲ τότε Πάπας ὁ μετὰ τὸν ἀποκηφθέντα Ἰωάννην, ἤτοι τὸν τῷ τοιούτῳ ὀνόματι καλυθέντα δέκατον ὄγδοον, Σέργιος τέταρτος, ἐπὶ γὰρ τοῦ δεκάτου τρίτου ἔτους ἐγένετο Πάπας ὁ ῥηθεὶς Ἰωάννης δέκατος ὄγδοος, καὶ ἐκάθητο ὡς τὸν θρόνον ἔτη ἓξ, ἀφ' οὗ μετρῶνται τὰ τεσσαράκοντα καὶ πέντε ἔτη ἀπὸ τοῦ καιροῦ, καθ' ὃν ἔγραψεν ὁ Πέτρος τῇ ὑποσολῇ ὡς τὸν Κηρουλάριον. μετὰ δὲ τὸν Ἰωάννην ἐγένετο Πάπας ὁ ἀποκηφθεὶς Σέργιος τέταρτος ἐν ἔτει χιλιοστῷ ἑπτακισχιλιοστῷ, καὶ ἐκάθητο εἰς τὸν θρόνον ἔτη δύο.

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Ἐπανάληψις τῶν ἀνωτέρω ἐρημένων, καὶ ἀπόδειξις σαφὴς, ὅτι μετὰ ἀκριβῆ δεκατρία ἔτη ἀπὸ τῆς ἑβδόμης Οἰκουμενικῆς Συνόδου, Σέργιον τὸν τέταρτον ἐξέβαλε τῶν Διπτύχων ἀπὸ τὴν ὑπ' αὐτὴν Συμβολὴν ὁ Κωνσταντινουπόλεως Σέργιος.

Ἐπιλέγομεν λοιπὸν, ὅτι Ἰωάννης ὁ δέκατος ὄγδοος ἐμνημονεύετο ἐν Ἀντιοχείᾳ καὶ ἐν Κωνσταντινουπόλει, Σέργιος δὲ, ὃν ἐξέβαλεν ὁ Σέργιος τῶν Διπτύχων, ἦν Σέργιος ὁ τέταρτος, τῶν δὲ τῆς ὑποθέσεως ταύτης συγγραφέων τὸ πρῶτον ἁμαρτήσαντος εἰς τὸν γραφικὸν κάλαμον, ἢ καὶ κατὰ τὴν ἀκρίβειαν, ἀντὶ γὰρ τοῦ εἰπεῖν Σέργιον τέταρτον, εἶπε Σέργιον τρίτον, ἠκολούθησαν αὐτῷ οἱ μεταγενέστεροι. καὶ ἐπειδὴ Σέργιος ὁ τρίτος καὶ ὁ ἐν αὐτοῦ Χερσόφορος ἦσαν οἱ ποιήσαντες τὴν ἐπιθήκην, ὃν ἔφηται τρόπον, οἱ συγγραφεῖς, ἐπειδὴ χεδὸν ταυτίζεται ἐν τῷ ἔργῳ τούτῳ τῆς ἐπιθήκης ὁ Χερσόφορος τῷ μετ' αὐτὸν τούτῳ Σεργίῳ τῷ τρίτῳ, εἶπον, ὅτι ὁ Κωνσταντινουπόλεως ἔγραψε πρὸς Σέργιον καὶ Χερσόφορον, ἕτεροι δὲ εἶπον, εἰς μόνον τὸν Χερσόφορον, διὰ τὴν αὐτὴν αἰτίαν τῆς ἐπιγραφῆς, ἢ διὰ τὴν αὐάγκην τῆς ἀληθείας, ὡς ῥηθήσεται, ἢ ἀλήθεια ὅμως ἀκρύπτεται διὰ τὴν παραδεδομένην τοῖς γραφικοῖς καλάμοις, καὶ διὰ τὴν ἐκ τῆς ὁμωνυμίας ἀπάτην, ἀλλὰ σωάγεται ἐκ τῆς ὑποσολῆς τοῦ Πέτρου καὶ τῶν παρ' αὐτῆς δηλουμένων πραγμάτων, ὅτι ὁ Κωνσταντινουπόλεως Σέργιος ἐπὶ Βασιλέως τοῦ πορφυρογεννήτου ὁρῶν τὴν ῥωμαϊκὴν Ἐκκλησίαν ψάλλουσαν τὸ Σύμβολον μετὰ τῆς ἐπιθήκης, ὅπερ οὐκ ἐξῆν, ἔγραψε περὶ τῆς διορθώσεως, καὶ ἰδὼν τὴν Ῥώμην βεβαίως τὴν ἡμετέραν, ἐξέβαλε τὸν κατ' ἐκεῖνο καιρὸν Πάπαν τῶν Διπτύχων, ὃς ἦν Σέργιος ὁ τέταρτος. εἰ δέ τινες βεβαιοῦνται ἐρεπτικῶς, ὅτι ὁ Κωνσταντινουπόλεως Σέργιος τὸν τρίτον ἔγραψε τὸν Ῥώμης Σέργιον, οὐ μαχόμεθα, ἀλλ' ἐρωτῶμεν πόθεν ἡ ἀπόδειξις, καὶ εἰ εἴποιεν ὅτι ὁ χρόνος παραλείπει, ἢ διαφέρει οὐτιοῦν ἔτεσι, ῥητέον, ὅτι καὶ τὸ γράψαι τὸν Σέργιον ὡς Σέργιον μὴ τὸν τέταρτον ἀλλὰ τὸν τρίτον, ὁ χρόνος παραλέλειπε, καὶ διαφέρει. εἶτα ὁ Ταράσιος τῇ ἑβδόμῃ Συνόδῳ εἶπον, ὅτι μετὰ τέσσαρα ἢ πέντε ἔτη

ἔτη τῆς ἑκτῆς Συνόδου συνῆλθεν ἡ ἐν Τρούλλῳ, ἀλλ' ἦσαν ἔτη δέκα, ὡς εἴρηται εἰς τὸν τόπον. εἶτα ἐν τῷ δεκάτῳ κεφαλαίῳ τοῦ ἑκτοῦ βιβλίου Παραγράφῳ τρίτῳ ἀπεδείξαμεν, ὅτι εἴποτε διαφέρει ὁ χρόνος κατά τινα περίστασιν παραδρομῆς, οὐ βλάπτεται ἡ ἀλήθεια, ὥς ἐστιν ἰδεῖν καὶ ἐν τῇ ἁγίᾳ γραφῇ, ἧς τὰ ἀπὸ κτίσεως κόσμου ἔτη οὐκ ἔστι τὰ αὐτὰ παρ' Ἑβραίοις καὶ Χριστιανοῖς, καὶ παρὰ τῷ Βαρωνίῳ αὐτῷ, τῷ καταναλώσαντι τὴν ζωὴν αὐτοῦ περὶ τὸ εἶδος ταύτης τῆς συγγραφῆς, ὥστε ἐν πολλοῖς ὁ χρόνος ἀγνοεῖται, καὶ διαφέρεται, καὶ συγχέεται. τὰ αὐτὰ ῥητέον καὶ περὶ τῶν κατὰ τὸν Δαμύλαν, ἐν ᾧ λέγουσιν ὅτι ἦν ὁ Χριστόφορος μετὰ διακόσια ἔτη τῆς ἑβδόμης Συνόδου, ἢ γὰρ ἔσφαλται ὁ κάλαμος, ἢ παραδρομὴ συνέβη τῆς διανοίας, ὅτι ὅμως μετὰ διακόσια ἔτη τῆς ἑβδόμης Συνόδου, ὅπερ ἦν τῷ ἐννακοσιοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ ἔτει, ἤρξαντο οἱ Κωνσταντινουπολῖται μεριμναῖν θερμοτέρως περὶ τῆς προσθήκης, καὶ μετὰ διακόσια δεκατρία ἔτη ἐπὶ Σεργίου τοῦ τετάρτου ἐγένετο τοῦ μνημοσύνου ἡ ἀποβολὴ, οὐδεὶς οἶμαι τῶν εὖ φρονούντων ἀντερήσει. καὶ ἴσως οἱ περὶ τὸν Δαμύλαν εἶπον τὸν Χριστόφορον μόνον ὑπάρξαι μετὰ διακόσια ἔτη ἀπὸ τῆς ἑβδόμης Συνόδου, τὸν δὲ Σέργιον τρίτον παρέλιπον, βιαζόμενοι θείᾳ νεύσει ὑπὸ τῆς ἀνάγκης τῆς ἀληθείας, ἐπειδὴ οὐκ ἦν ἐκεῖνος ὁ ἀποβληθεὶς τοῦ μνημοσύνου, ἀλλ' ὁ πολὺ μετ' αὐτὸν Σέργιος τέταρτος, πρὸς ὃν ἐπληροῦντο καὶ τὰ διακόσια ἔτη ἀπὸ τῆς ἑβδόμης Συνόδου ὃν εἴρηται τρόπον. ὅτι δὲ γεμὴν τὸ μνημόσυνον τοῦ Πάπα ἦν ἀποβεβλημένον ἐν Κωνσταντινουπόλει ἀπὸ τῶν Διπτύχων καὶ πρὸ τοῦ Κηρουλλαρίου, φαίνεται ἀπὸ τῆς ἐπιστολῆς αὐτοῦ τοῦ Κηρουλλαρίου πρὸς τὸν Ἀντιοχείας, μέμφεται γὰρ αὐτὸν καὶ τοὺς λοιποὺς Πατριάρχας τῆς Ἀνατολῆς μνημονεύοντας τοῦ Πάπα, τοῦ τοσαῦτα καινοτομήσαντος, οὗ πρὸ καιροῦ οὐκ ἐμνημόνευον οἱ ἐν Κωνσταντινουπόλει, τοσοῦτον δὲ καιρὸν οὐκ ἦν ὁ Πάπας ἐν τοῖς Διπτύχοις ἐν Κωνσταντινουπόλει, ὥστε ὁ Κηρουλλάριος ἐνόμισεν εἶναι τὴν ἀποβολὴν τοῦ μνημοσύνου ἀπὸ τῆς ἑκτῆς Συνόδου, καὶ τὸ ἁμάρτημα προῆλθεν ἀπὸ τοῦ Χαρτοφύλακος αὐτοῦ, ὡς δείκνυται ἀπὸ τῶν ἐπιστολῶν τοῦ Κηρουλλαρίου πρὸς τὸν Ἀντιοχείας, καὶ τῆς ἀμοιβαίας τοῦ Ἀντιοχείας πρὸς τὸν Κηρουλλάριον. εἰς ἐκεῖνο δὲ, ὅτι ὄντος ἀποβεβλημένου τοῦ μνημοσύνου τοῦ Πάπα ἐπὶ τοσοῦτον καιρὸν ἐν Κωνσταντινουπόλει, διατὶ ἐμνημόνευον αὐτοῦ οἱ λοιποὶ Πατριάρχαι, ὡς μέμφεται αὐτοῖς ὁ Κηρουλλάριος, ῥητέον πρῶτον, ὅτι ὁ Βίκτωρ καὶ Στέφανος οἱ Ἐπίσκοποι Ῥώμης ἀκοινωνήτους πεποιήκασι τὰς Ἐκκλησίας τῆς Ἀφρικῆς, καὶ τινὰς τῆς Ἀνατολῆς, ὡς εἴρηται ἀνωτέρω βιβλίῳ πρώτῳ, ἀλλ' ἡ Ἐκκλησία Ἀλεξανδρείας καὶ ὁ Ἀντιοχείας, καὶ ἄλλοι ἔγκριτοι Ἐπίσκοποι καὶ πολλοὶ τῶν δυτικῶν, ἐξ ὧν ἦν καὶ ὁ Λουγδούνων Εἰρηναῖος, οὐκ ἤκουσαν αὐτῶν. τοῦτο καὶ ἄλλαι πολλαὶ Ἐκκλησίαι ὑπὲρ πολλῶν τοιούτων πεποιήκασι. δεύτερον, ὅτι οἱ Πατριάρχαι κατὰ τὸ ἀρχαῖον ἐκκλησιαστικὸν ἔθος μᾶλλον τοῦ Κηρουλλαρίου ἐνεργοῦντες τὸ κανονικὸν δίκαιον, ἐξεδέχοντο τὴν διόρθωσιν τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ὅθεν καὶ ἐμακροθύμουν. ὅτι δὲ ἐν τοῖς τοιούτοις ἡ μακροθυμία ἀρχαῖον ἐστὶν ἔθος, ἴδε τὴν ἐπιστολὴν Κυρίλλου πρὸς Κελεστῖνον, ὅπου φησὶ περὶ Νεστορίου, Πρὸς τοῖς ἄλλοις χρὴ τοῖς ὀλισθήσασι χεῖρα διδόναι, ὡς ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παραγράφῳ εἰκοστῷ. κοινῶς δὲ καταγνωσθέντα τὸν Νεστόριον, πάντες ἀπέβαλον. ὅθεν καὶ τὸν Ῥώμης μόνη ἡ Ἐκκλησία Κωνσταντινουπόλεως τοῦ μνημοσύνου ἀπέτεμεν, ἀλλ' οἱ λοιποὶ Πατριάρχαι ἐποίουν ὅπερ ἐξῆν αὐτοῖς. Συνόδου δὲ μεταταῦτα γενομένης κοινῆς ἐν Κωνσταντινουπόλει, ὡς εἴρηται ἀνωτέρω, πάντες αὐτὸν, ἤτοι τὸν Πάπαν καὶ διὰ τὰ λοιπὰ παρεγκλήματα καὶ διὰ τὴν προσθήκην ὡς κοινὸν λυμεῶνα τῆς κοινῆς πίστεως ἀπέβαλον τοῦ μνημοσύνου, καὶ ἀπέτεμον τῆς κοινῆς κοινωνίας, καὶ τέως μετὰ τῶν ἀλλοτριοφρονούντων κατέταξαν. ἴδε καὶ ἀνωτέρω βιβλίου ἑκτοῦ κεφαλαίου δεκάτου Παράγραφον τέταρτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἐκ τῆς πρὸς Κηρουλλάριον ἐπιστολῆς τοῦ Πέτρου Ἀντιοχείας, καὶ τῆς πρὸς τὸν Γραδένσην, ἄκρον κακὸν ἡ ἐν τῷ Συμβόλῳ προσθήκη.

Ἐπειδὴ δὲ ἐμνήσθημεν τοῦ Ἀντιοχείας Πέτρου, ῥητέον ὅτι Συνάγεται, ὅσον εἰς τὴν παροῦσαν ὑπόθεσιν, ἐκ τῆς εἰρημένης αὐτοῦ ἐπιστολῆς, καὶ ἐξ ἧς ἔγραψε πρὸς τὸν Γραδένσην, τρία τινὰ, ἓν, ὅτι καὶ οὗτος τὴν προσθήκην ἄκρον κακὸν ὑποτίθησι, λέγει γὰρ ταῦτα ῥητῶς, Κακὸν δὲ, καὶ κακῶν κάκιστον ἡ ἐν τῷ ἁγίῳ Συμβόλῳ προσθήκη, τὸ καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορευόμενον. καὶ κατωτέρω, Τοὺς δὲ προστιθέντας, ἢ ἀφαιροῦντάς τι ἐν τῷ Συμβόλῳ, ἀναθεματίζομεν. Εἴτις γάρ φησιν ὁ Ἀπόστολος εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. δεύτερον, ὅτι καὶ ἄλλα αἰτιάματα τῶν Ῥωμαίων ἀπαριθμεῖ καὶ ἀποδιοπομπεῖται, εἰ δὲ καί τινα συγχωρεῖ αὐτοῖς, ὡς ὁ Βουλγαρίας, τινὰ ὅμως οὐ συγχωρεῖ, ὡς ἐροῦμεν ἐν ἄλλοις.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς τρίτης ἀντιθέσεως τῶν Λατίνων, ἀνάπτυξιν τὴν ἐν τῷ Συμβόλῳ προσθήκην καθ' ὁμοιότητα τῆς δευτέρας Συνόδου λεγόντων, καὶ περὶ τῆς λύσεως αὐτῆς.

Ἀντί-

768

Ἀντίθεσις τρίτη. Οὐκ ἐκωλύθη ἡ τοιαύτη εἰς τὸ Σύμβολον προσθήκη, καθότι ἐστὶν ἀνάπτυξις αὐτοῦ, ἡ δὲ ἀνάπτυξις οὐκωλύεται, καθὼς οὐκ ἐκωλύθη ἡ δευτέρα Σύνοδος ἀναπτύξαι τὸ Σύμβολον τῆς πρώτης, ὥστε οὐδ' ὁ Ῥώμης, συγχωρήσας τὴν τοιαύτην προσθήκην, ἥμαρτε, καὶ παρανόμως λοιπὸν ἐξεβλήθη ἀπὸ τοῦ μνημοσύνου. ΑΠΟΚΡΙΣΙΣ. Ἡ πρώτη οἰκουμενικὴ εἰς τὸ Σύμβολον αὐτῆς περιέλαβε πᾶσαν τὴν ὀρθόδοξον ὁμολογίαν, ἀλλ' ἐπειδὴ ὕστερον ἐγένοντο πολλαὶ Σύνοδοι, αἵτινες ἐξήνεγκαν πολλὰς Ἐκθέσεις πίστεως, καὶ μάλιστα ὑπὲρ τὰς τριάκοντα, ὡς ἔλεγεν ὁ Ἐφέσου ἐν τῇ πέμπτῃ πράξει τῆς ἐν Φλωρεντείᾳ Συνόδου, καὶ πᾶσαι κατὰ τοῦ Ὁμοουσίου, καὶ διὰ τὸ συμβεβηκέναι καὶ τὴν Αἵρεσιν Μακεδονίου, Ἀπολιναρίου καὶ τὴν τῶν Πνευματομάχων, ἡ δευτέρα οἰκουμενικὴ προσέθηκεν εἰς τὸ Σύμβολον τῆς πρώτης τὰ πρόσφορα καὶ ἀναγκαῖα εἰς καθαίρεσιν τῶν Αἱρέσεων τούτων. ἀλλ' ἐκτούτου ἥυρεν ἀφορμὴν ὁ ἐξώλης Νεστόριος, καὶ ἐξήνεγκεν ἴδιον Σύμβολον, ὅπερ ὁ Πρεσβύτερος Χαρίνσιος ἔφερεν εἰς τὴν τρίτην Σύνοδον, ὡς εἴρηται εἰς τὸν δεύτερον Τόμον τῆς αὐτῆς Συνόδου, καὶ ἐνεκάλει αὐτῷ, (ὡς ὁ Ἐφέσου συνελεύσει δωδεκάτῃ Συνόδου Φλωρεντείας) πρῶτον, ὅτι ἐδίδουν αὐτὸ οἱ Νεστοριανοὶ τοῖς ὑπ' αὐτῶν βαπτιζομένοις ὡς κοινὸν, καὶ ἀντὶ τοῦ ἐν Νικαίᾳ, ὅπερ ἀτιμία ἦν τῆς ἐν Νικαίᾳ Συνόδου. δεύτερον, ὅτι αἱρετικὰ δόγματα περιεῖχεν ἐν αὐτῷ, ὅθεν καὶ ἀπιστίαν ἔλεγεν αὐτὸ ὁ Χαρίνσιος. τρίτον, μὴ δεχόμενον αὐτὸ τὸν Χαρίνσιον, ὡς Αἱρετικὸν ἤλαυνον, ὅθεν ὁ Χαρίνσιος τὴν πίστιν τὴν ἰδίαν δι' ἰδίου Συμβόλου ἔγραψεν, ὅπερ οὐκεκώλυται, καθότι οἱ μετέπειτα, καὶ οἱ πρότερον, καὶ οἱ ἀπ' ἀρχῆς πατέρες ἐν ταῖς ἰδίαις συγγραφαῖς, καὶ ἐν αἷς ἔπεμπον ταῖς Συνόδοις, καὶ ἐν τοῖς ἐνθρονιαστικοῖς γράμμασι, καὶ δὴ καὶ οἱ ἐπιστρέφοντες ἐγγράφως ἐξ Αἱρέσεως, ἴδια Σύμβολα ἔγραφον, ὅπερ ἕως καὶ τῆς σήμερον γίνεται. ἵνα δὲ τὰ τοιαῦτα Σύμβολα καλῶς ἔχῃ, ἓξ τινὰ δεῖ αὐτοῖς, πρῶτον, ἵνα μὴ ἐκπίπτῃ τῆς κοινῆς ὁμολογίας. δεύτερον, ἵνα μὴ ἐνοχλῇ τὸ κοινὸν Σύμβολον. τρίτον, ἵνα μὴ ἐν αὐτῷ βαπτίζηταί τις. τέταρτον, ἵνα μὴ παρέχηται τοῖς ἐπιστρέφουσιν ἐξ Αἱρέσεων. πέμπτον, ἵνα μὴ ὡς κοινὴν πίστιν τὸ ἴδιον μάθημα παρέχηται, καὶ ἕκτον, ἵνα μήτις εἰς τὸ κοινὸν προσθείς τι, ἢ ἀφαιρήσας, ἴδιον ποιῆται. ἡ οὖν Σύνοδος ἡ τρίτη ἰδοῦσα τὸ Σύμβολον τοῦ Χαρινσίου αἱρετικὸν, καὶ εἰς τὸ κοινὸν διδόμενον, καὶ προϊδοῦσα εὐστόχως, ὅτι ἀπὸ τῆς ἀδείας ταύτης τοῦ συγγράφεσθαι Σύμβολα ἀκολουθήσει ποτὲ καινοτομία εἰς τὴν ὀρθοδοξίαν, ἐκώλυσεν ἄλλο Σύμβολον πίστεως εἰς τὸ κοινὸν τῆς Ἐκκλησίας μηκέτι συγγράφεσθαι, μήτε ἐν τῷ Συμβόλῳ τῆς πρώτης καὶ δευτέρας τῶν Συνόδων γίγνεσθαι προσθήκην, ἢ ἀφαίρεσιν ὁπωσοῦν, καὶ τοὺς ἄλλως ποιήσοντας, ἀνεθεμάτισεν, ὡς φαίνεται εἰς τὸν ἕβδομον αὐτῆς Κανόνα. οὐκ ἐκώλυε δὲ ἡ Σύνοδος γίνεσθαι Σύμβολον αἱρετικὸν, ὅτι τὸ τοιοῦτον ἦν ἀεὶ κεκωλυμένον οὐμόνον ὑπὸ Συνόδων καὶ Ἐπισκόπων, ἀλλὰ καὶ ὑπὸ παντὸς Χριστιανοῦ ὀρθοδόξου, μήτε ἐκώλυσεν Αἱρετικὸν ἄνθρωπον, ὅτι ὁ Νόμος ὅσα λέγει, τοῖς ἐν Νόμῳ λαλεῖ, καὶ ἡ Σύνοδος οὐ τοὺς ἀπίστους τοὺς μὴ πειθομένους αὐτῇ κωλύει, ἀλλὰ κωλύει τοὺς Χριστιανοὺς, οὐ τὸν δεῖνα καὶ δεῖνα, ἀλλὰ τοὺς πάντας ἐξίσου καὶ κοινῶς καὶ ἰδίως ποτὲ Σύμβολον μὴ ποιῆσαι παρὰ τὸ παραδεδομένον κοινῶς, καὶ ἴδε τὴν ἐξήγησιν ἣν ποιεῖ τῆς Συνόδου περὶ τοῦ Συμβόλου ὁ Κύριλλος ἐν τῇ πρὸς Ἀκάκιον ἐπιστολῇ. Ἔτι, ἡ προσθήκη λέγεται διχῶς, ἢ ὅτε δηλαδὴ προστίθεται πίστις ἐναντία τῷ Συμβόλῳ, ἢ ὅτε γίνεται προσθήκη, ἀλλὰ μόναις λέξεσι καὶ συλλαβαῖς, οὐκ ἐναντίαις ὅμως κατὰ πίστιν. καὶ κατὰ μὲν τὸν πρῶτον τρόπον, ἡ δευτέρα οὐκ ἐποίησε προσθήκην εἰς τὸ Σύμβολον τῆς πρώτης, ἐποίησε δὲ προσθήκην κατὰ τὸν δεύτερον, ἥτις καὶ αὕτη διαιρεῖται εἰς δύο, ἐπειδὴ καθ' ὅσον τὸ ἐλλιπῶς εἰρημένον τῇ πρώτῃ περὶ τοῦ ἁγίου Πνεύματος ἡρμήνευσε, λέγεται ἀνάπτυξις, καὶ σαφήνεια, καὶ φανέρωσις, καθ' ὅσον δὲ προσέθηκε λέξεις μὴ οὔσας ἐκεῖ, λέγεται προσθεῖναι. καὶ διὰ μὲν τὸν πρῶτον τρόπον λέγει ὁ Θεολόγος πρὸς Κληδόνιον, Ἡμεῖς τῆς κατὰ Νίκαιαν πίστεως τῶν ἁγίων πατέρων ἐκεῖσε συνελθόντων ἐπὶ ἀναιρέσει τῆς ἀρειανικῆς Αἱρέσεως οὐδὲν προετιμήσαμεν πώποτε, οὐτ' αὖ προτιμῆσαι δυνάμεθα, ἀλλ' ἐκείνης ἐσμὲν τῆς πίστεως σὺν Θεῷ, καὶ ἐσόμεθα, προσδιαρθροῦντες τὸ ἐλλιπῶς εἰρημένον ἐκείνοις περὶ τοῦ ἁγίου Πνεύματος. ἑρμηνεύων δὲ τὸν Θεολόγον Ἠλίας ὁ Κρήτης λέγει, Τῷ μὲν γὰρ σώματι τῶν λέξεων παραλέλειπτο, τῇ δὲ ψυχῇ, λέγω δὴ τὰ τῶν νοημάτων, οὐδαμῶς. διὸ καὶ ὁ ἅγιος οὐτὸ παραλελειμμένον, ἀλλὰ τὸ ἐλλιπῶς εἰρημένον τῇ τοῦ σώματος λέξει διαρθροῦν, ἤτοι ἐξακριβοῦν καὶ διαμορφοῦν ἐπηγγείλατο. καὶ ὁ ὁμολογητὴς Μάξιμος ἔντινι διαλόγῳ μετὰ Μακεδονιανοῦ Αἱρετικοῦ εἰσάγει τὸν ὀρθόδοξον λέγοντα τῷ Αἱρετικῷ, Κατέγνως τῆς προσθήκης ἧς προστεθήκατε ἐναντία αὐτῇ. διὰ δὲ τὸν δεύτερον, φέρεται εἰς τὴν ἐν Χαλκηδόνι Σύνοδον πράξει πρώτῃ, ὅπου Διογένης Ἐπίσκοπος Κυζίκου εἶπε, Δολερῶς προέταξεν (ὁ Εὐτυχὴς δηλαδὴ) τὴν ἐν Νικαίᾳ τῶν ἁγίων πατέρων Σύνοδον, ἐδέξατο γὰρ προσθήκας παρὰ τῶν ἁγίων πατέρων, διὰ τὴν ἔννοιαν τὴν κακὴν Ἀπολιναρίου, Οὐαλεντίνου, καὶ Μακεδονίου, καὶ προστέθειται τῷ Συμβόλῳ τῶν ἁγίων πατέρων, τὸ, ἐκ Πνεύματος ἁγίου, καὶ Μαρίας τῆς Παρθένου, τοῦτο γὰρ παρέλειπεν ὁ Εὐτυχὴς ὡς Ἀπολιναριστής. καὶ Ἀπολινάριος γὰρ δέχεται τὴν ἐν Νικαίᾳ ἁγίαν Σύνοδον κατὰ τὴν οἰκείαν παρανομίαν ἐκλαμβάνων τὸ ῥητὸν, καὶ φεύγει τὸ, ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας Παρθένου, ἵνα πανταχοῦ μὴ τὴν ἕνωσιν τῆς σαρκὸς ὁμολογήσῃ. εἶτα, διὰ τὸ εἰπεῖν τὸν Διογένη, προσθήκας, ἵνα μὴ νομίσῃ τὶς ὅτι εἶπε προσθήκας κατὰ πίστιν, καὶ μὴ μόνον κατὰ λέξεις

τινὰς,

τινὰς, ἐπήγαγεν, Οἱ γὰρ ἅγιοι πατέρες (ἤτοι οἱ τῆς δευτέρας Συνόδου) ἐσαφήνισαν εἰπόντες, Ἐκ Πνεύματος ἁγίου, καὶ Μαρίας τῆς Παρθένου. ὅτι δὲ ἡ τρίτη Σύνοδος ἐκώλυσε τὴν προσθήκην ἀπὸ τοῦ Συμβόλου οὐ μόνον κατὰ πίστιν, ἀλλὰ καὶ κατὰ λέξιν, ἔστι φανερὸν, πρῶτον, ὅτι κρίνασα καὶ κατακρίνασα τὴν Νεστορίου Αἵρεσιν, καὶ πρὸς παντελῆ ἀφανισμὸν τῆς Αἱρέσεως βεβαιοῦσα τὴν ΘΕΟΤΟΚΟΣ φωνὴν ἐπὶ τῆς Παρθένου, καὶ εἰς φανέρωσιν τοῦ ὀρθοδόξου φρονήματος διορίσασα τὴν ΚΑΘ' ΥΠΟΣΤΑΣΙΝ ΕΝΩΣΙΝ φωνὴν ἐπὶ τοῦ Σωτῆρος, ἀναγκαιοτάτας οὔσας λέξεις, οὐκ ἔβαλεν αὐτὰς εἰς τὸ κοινὸν Σύμβολον, ὅπερ ἦν τὸ τῆς πρώτης καὶ δευτέρας Συνόδου, ἀλλὰ καὶ αὐτὰς τὰς λέξεις, καὶ ὅσα δι' αὐτὰς, ἴδιον Ὅρον ἐκθεμένη, ἐνέθηκε, μᾶλλον δὲ δεξαμένη τὴν Κυρίλλου πρὸς Νεστόριον ἐπιστολὴν (ἧς ἡ ἀρχὴ, Καταφλυαροῦσι τινὲς) ἐβεβαίωσεν ὡς Ὅρον αὐτῆς, τὸ δὲ Σύμβολον ἐφύλαξε παντάπασιν ἀναλλοίωτον. δεύτερον, ὅτι καὶ ἡ τετάρτη, καὶ πέμπτη, καὶ ἕκτη, καὶ ἑβδόμη αἱ Οἰκουμενικαὶ, περὶ ὧν ἀποφαντικῶς διώρισαν, ἰδίους Ὅρους ἐκθέμεναι, ἐνέθηκαν, τὸ δὲ Σύμβολον ἐτήρησαν πᾶσι τρόποις ἀκαινοτόμητον. τρίτον, ὅτι ὁ τῆς τρίτης Συνόδου ἐξάρχων ἅγιος Κύριλλος γράφων Ἰωάννῃ τῷ Ἀντιοχείας Πατριάρχῃ ἔλεγε, Κατ' οὐδένα τρόπον σαλεύεσθαι παρά τινων ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως Σύμβολον, τὸ παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιροὺς συντεθὲν, οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τοῖς ἐγκειμένοις ἐκεῖσε, ἢ μίαν γοῦν παραβῆναι συλλαβήν. Σύμβολον δὲ τῆς ἐν Νικαίᾳ εἶπε τὸ τῆς πρώτης καὶ δευτέρας, ὅτι τὸ τῆς δευτέρας ἑρμηνεία ἦν μόνη καὶ σαφήνεια τοῦ τῆς πρώτης, ὡς εἴρηται ἐν τῷ ἑβδόμῳ Κανόνι τῆς τρίτης Συνόδου. καὶ ὁ Κωνσταντινουπόλεως Ἰωάννης ἐν τῇ προσφωνήσει, καὶ ὁ Ῥώμης Βιγίλιος γράφων πρὸς Εὐτύχιον Κωνσταντινουπόλεως, ἓν λέγουσι τὸ Σύμβολον τῆς πρώτης καὶ τῆς δευτέρας τῶν Οἰκουμενικῶν Συνόδων. ἴδε τὴν πέμπτην συνέλευσιν ἐν Φλωρεντείᾳ, ἐν ᾗ λέγει, Καὶ ἐπειδὴ τῆς πρώτης καὶ δευτέρας οὐκ εἰσὶν Ὅροι περὶ τῶν θείων δογμάτων, εἰ μὴ αὗται αἱ Ἐκθέσεις τῆς πίστεως, ἤτοι τὰ Σύμβολα, μᾶλλον δὲ τὸ Σύμβολον. ὡς ἓν γὰρ ἐδέχθη καὶ ἐκυρώθη παρὰ τῶν ἐφεξῆς Συνόδων. καὶ ἡ ἕκτη Σύνοδος ἐν τῷ Ἠδίκτῳ, Καὶ τὴν τῶν ἑκατὸν πεντήκοντα κατὰ τῆς Μακεδονικῆς Αἱρέσεως, καὶ Μάγνου τοῦ Ἀπολιναριστοῦ συναθροισθεῖσαν πατέρων, οἳ καὶ συμπνοίᾳ τοῦ παναγίου Πνεύματος τὸ λεχθὲν μέγα καὶ σεβάσμιον ἐφερμήνευσαν Σύμβολον, τὰ περὶ τοῦ ἁγίου Πνεύματος, ὅτι Θεὸς, βεβαιώσαντες δι' ὧν ἀνέπτυξαν ἐκτυπώτερον. Ὅρα δὲ τὸν Κύριλλον πῶς λέγει μήτε λέξιν, μήτε συλλαβὴν ἀμεῖψαι. τέταρτον, ὁ μακάριος Ἀγάθων Πάπας Ῥώμης γράφων εἰς τοὺς Βασιλεῖς Ῥωμαίων ἐπὶ τῆς ἕκτης Συνόδου, λέγει ἓν καὶ ἐξαίρετον διαπαντὸς ἔχειν, Εὐχόμενοί τε καὶ πιστεύοντες ἵνα μηδὲν παρὰ τὰ κανονικῶς ὁρισθέντα μειωθῇ, μὴ δ' ἐναλλαγῇ, ἢ προστεθῇ, ἀλλὰ ταῦτα καὶ ῥήμασι καὶ νοήμασιν ἀπαράτρεπτα φυλαχθῇ. Ὅρα πῶς λέγει, ἵνα καὶ ῥήμασι καὶ ὀνόμασι. πέμπτον, ὁ μακάριος Ἐφραὶμ Πατριάρχης Ἀντιοχείας ἀπολογούμενος εἰς τοὺς Μονοφυσίτας, λέγοντας κατὰ τῆς ἐν Χαλκηδόνι Συνόδου (ἐδογμάτιζε γὰρ μή τινα προσφέρειν, ἢ συγγράφειν ἑτέραν πίστιν παρ' ἣν ἐκείνη ἐξέθετο) λέγει δύο τινὰ, πρῶτον, ὅτι οὐ περὶ ἑαυτῆς, ἀλλὰ τὴν πρώτην Σύνοδον τιμῶσα, ὥρισεν ἄλλο Σύμβολον μὴ συγγράφεσθαι, ἀλλ' ἢ ἐκεῖνο μένειν. δεύτερον, ὅτι ὡς εἶπεν, οὕτω καὶ ἐποίησεν, ἐπειδὴ εἰς τοὺς προσερχομένους τῇ εὐσεβείᾳ ἐκεῖνο τὸ Σύμβολον τῆς πρώτης Συνόδου διδάσκει καὶ παραδίδωσι, καθὼς τυχὸν καὶ ἡ τρίτη ὥρισε περὶ τοῦ Συμβόλου, οὕτω καὶ ἐποίησε, καὶ αἱ καθεξῆς Σύνοδοι οὕτως ὥρισαν, καὶ οὕτως ἐποίησαν, ἤτοι ἐφύλαξαν τὸ Σύμβολον καὶ ῥήμασι καὶ νοήμασιν ἀμετακίνητον. ἕκτον, ὁ ἅγιος Μάξιμος ἀπολογούμενος εἰς τοὺς Αἱρετικοὺς διὰ τὴν ἐν Χαλκηδόνι Σύνοδον, κατηγοροῦντας καὶ λέγοντας, ὅτι οὐκ ἐφύλαξε τὸν ἐν Νικαίᾳ Ὅρον, ἀλλ' ἐξέθετο αὐτὴ ἴδιον, οὐκ εἶπεν ὅτι Σύνοδος οὖσα ἐδύνατο διορίσαι καὶ προσθήκην ποιῆσαι, ἀλλὰ τί, ὡς Σύνοδος, φησὶν, ἐξουσιαστικῶς διώρισε κατὰ τῆς Αἱρέσεως τοῦ Εὐτυχοῦς, οὐ μὴν προσέθηκε καὶ εἰς τὸ Σύμβολον. ἕβδομον, ἡ τρίτη Σύνοδος οὐ διώρισε μὴ γίνεσθαι ἑτέρας πίστεως Ἔκθεσιν, ἀλλὰ μήτε τῆς ὀρθοδόξου, ὅθεν οὐκ εἶπε μόνον μὴ φρονεῖν ἑτέρως, ἢ διδάσκειν, ἀλλὰ καὶ μὴ συγγράφειν, ἢ συντιθέναι, ἢ παραδιδόναι ἕτερον Σύμβολον, ὅθεν συνάγεται ὅτι οὐκ ἐκώλυσε μόνον ἑτέρας πίστεως Ἔκθεσιν, ἀλλ' ἑτέραν Ἔκθεσιν πίστεως. καὶ σημείωσαι τὸν Κύριλλον γράφοντα τῷ Μελιτηνῆς, Ἡμῶν ἁγία καὶ Οἰκουμενικὴ Σύνοδος ἡ κατὰ τὴν Ἐφεσίων πόλιν συνειλεγμένη προενόησεν ἀναγκαίως τοῦ μὴ δεῖν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ πίστεως Ἔκθεσιν ἑτέραν εἰσκρίνεσθαι παρά γε τὴν οὖσαν, ἣν οἱ τρισμακάριστοι πατέρες λαλήσαντες ὡρίσαντο. ὄγδοον, ἀρκεῖ αὕτη ἡ μαρτυρία, ὅμως λέγομεν ἔτι, ὡς καὶ ἀνωτέρω εἴπομεν, ὅτι δηλαδὴ πάντοτε ἦν κεκωλυμένον γίνεσθαι Ἔκθεσιν ἑτέρας πίστεως οὐ μόνον ὑπὸ Συνόδων, ἀλλὰ καὶ ὑπὸ τῆς ἁγίας γραφῆς, καὶ τοῦτο ἡ Σύνοδος ἡ τρίτη οὐκ ἐκώλυσεν, ὅτι οὕτως ἐπεριττολόγει ἂν, ὅπερ ἀνοίκειον Οἰκουμενικῇ Συνόδῳ, ἀλλὰ τὸ γίνεσθαι ἀνάπτυξιν εἰς τὸ Σύμβολον, καὶ ἑπομένως προστίθεσθαι καὶ λέξεις, οὐκ ἦν κεκωλυμένον, καὶ τοῦτό ἐστιν ὅπερ ἐκώλυσεν ἡ Σύνοδος, ὅθεν καθαρώτατα φησὶν, Οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραβῆναι συλλαβήν. ἕνατον, ἡ τετάρτη Σύνοδος λέγει, Ἤρκει μὲν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσίν τε καὶ βεβαίωσιν τὸ σοφὸν καὶ σωτήριον τῆς θείας χάριτος Σύμβολον, περί τε γὰρ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος ἐκδιδάσκει τὸ τέλειον, φανερὸν δὲ, ὅτι τῷ τελείῳ οὐδὲν ἐλλείπει. δέκατον, Γρηγόριος ὁ διάλογος βιβλίῳ πρώτῳ, ἐπιστολῇ δεκάτῃ

δεκάτῃ τετάρτῃ λέγει, ὅτι αἰδημόνως ἔχει εἰς τὰς τέσσαρας Οἰκουμενικὰς Συνόδους ὡς εἰς τὰ τέσσαρα Εὐαγγέλια. ὡς δὲ τὰ τέσσαρα Εὐαγγέλια οὐ δέχονται πρόσθεσιν, οὔτε ἀσεβῆ, οὔτε εὐσεβῆ, καθότι αἱ γραφαὶ οὐ δέχονται οὔτε πρόσθεσιν, οὔτε ἀφαίρεσιν, ἄρα οὔτε τὰ διωρισμένα ὑπὸ τῶν Συνόδων δέχονται τὴν ὁποιανοῦν πρόσθεσιν, ἢ ἀφαίρεσιν. ἐνδέκατον, ἡ παράδοσις τῆς τρίτης Συνόδου περὶ τοῦ Συμβόλου ἐφυλάχθη καὶ ὑπὸ τῶν λοιπῶν ἁγίων Συνόδων, καὶ ἔμεινε κατὰ πάντα τρόπον ἀμετακίνητος, καὶ ὅστις αὐτὴν ἀλλοιώσει ὁπωσοῦν, ἔστιν ὑπὸ ἀνάθεμα. λέγει γὰρ ἡ ἑβδόμη Συνόδος, Εἴτις πᾶσαν παράδοσιν ἐκκλησιαστικὴν ἔγγραφόν τε καὶ ἄγραφον ἀθετεῖ, ἀνάθεμα. καὶ ἔτι ἐν τῇ αὐτῇ Συνόδῳ ἀνεγνώσθη τὸ Συνοδικὸν Θεοδώρου Πατριάρχου Ἱεροσολύμων, ἐν ᾧ λέγεται, οὐδὲν γὰρ ἀπολέλειπταί τι τῶν ἀποστολικῶν παραδόσεων, ἢ πατρικῶν ἐννόμων ἐκδόσεων δεόμενον διορθώσεως, ἢ τῆς οἱασοῦν ἐπικοσμήσεως οἱοσδήποτε τρόπος. δωδέκατον, ἡ τοῦ μεγάλου Ἰουστινιανοῦ Νεαρὰ πρὸς Ἐπιφάνιον Πατριάρχην Κωνσταντινουπόλεως, κειμένη εἰς τὸ πρῶτον βιβλίον τοῦ Κώδικος, πρὸς τοῖς ἄλλοις φησί, Τὸν παραδοθέντα ὅρον τῆς πίστεως, τουτέστι τὸ ἅγιον μάθημα, ἤτοι τὸ Σύμβολον, κρατοῦμέν τε καὶ φυλάττομεν τὸ παρὰ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων ἐκτεθὲν, ὅπερ καὶ οἱ ἐν ταύτῃ τῇ βασιλευούσῃ πόλει ἑκατὸν πεντήκοντα ἅγιοι πατέρες σαφηνίσαντες ἐτράνωσαν, οὐχ ὡς ἐλλιπῶς ἔχοντος αὐτοῦ, ἀλλ' ἐπειδήπερ τῶν τῆς ἀληθείας ἐχθρῶν οἱ μὲν ἀθετεῖν ἐπεχείρησαν τὴν τοῦ ἁγίου Πνεύματος Θεότητα, οἱ δὲ τὴν ἐκ τῆς ἁγίας Ἀειπαρθένου Θεοτόκου Μαρίας ἀληθινὴν σάρκωσιν τοῦ Θεοῦ Λόγου ἠρνήσαντο, διατοῦτο γραφικαῖς μαρτυρίαις τὸ αὐτὸ μάθημα οἱ εἰρημένοι ἑκατονπεντήκοντα ἅγιοι πατέρες σαφηνίσαντες ἐτράνωσαν. τοῦτο καὶ αἱ ἄλλαι ἅπασαι ἅγιαι Σύνοδοι, τουτέστιν ἡ ἐν Ἐφέσῳ προτέρα καὶ ἡ ἐν Χαλκηδόνι τῇ αὐτῇ πίστει ἀκολουθήσασαι, ἐδέξαντο καὶ ἐφύλαξαν. εἶτα, ὁμοίως δὲ ἀνεθεμάτισαν καὶ τοὺς ἕτερον Σύμβολον, ἢ ἅγιον μάθημα παραδιδόντας παρὰ τὸ ὑπὸ μὲν τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων ἐκτεθὲν, σαφηνισθὲν δὲ καὶ τρανωθὲν παρὰ τῶν ἐν ταύτῃ τῇ βασιλευούσῃ πόλει ἑκατονπεντήκοντα ἁγίων πατέρων. δέκατον τρίτον, ἡ σαφήνεια ἔξωθεν τίθεται, ὅθεν οἱ ἅγιοι πατέρες ἑρμηνεύοντες τὴν ἁγίαν γραφὴν, οὐκ ἐτόλμησαν προσθῆναι οὔτε προσῳδίαν. εἶτα εἰ καὶ εἰς τὰ τῶν φιλοσόφων βιβλία γίνεται ἡ σαφήνεια ἔξωθεν, πῶς εἰς τὰ διωρισμένα ὑπὸ τῶν Συνόδων μετὰ ἐπιτιμίου τοῦ μένειν ἀμετάβλητα καὶ ῥήμασι καὶ νοήμασι γενήσεται προσθήκη; ὅθεν, ὡς εἴρηται, μετὰ τὴν τρίτην ἑπόμεναι τῷ διωρισμῷ αὐτῆς πᾶσαι αἱ Σύνοδοι, ἐσαφήνισαν ἔξωθεν, οὐ μὴν προσέθηκαν εἰς τὸ Σύμβολον. δέκατον τέταρτον, ὅτι καὶ διὰ λόγου δηλοῦται τὸ, ἐκ τοῦ Υἱοῦ εἰς τὸ Σύμβολον εἶναι προφανεστάτην προσθήκην, καθότι ἔχει ἔξωθεν καὶ τὸ ἀξίωμα, δι' οὗ δεικνῦναι νομίζουσιν εἶναι καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὰς λέξεις, αἵτινες ὅτι εἰσὶ προσθήκη ἐδείχθη προφανῶς, εἰ δὲ μὴ λέγουσι ταῦτα προσθήκην οἱ Λατῖνοι, σφάλλουσιν ἀνομφιβόλως, ἐπειδὴ ἡ προσθήκη σημαίνει αὔξησιν δι' ἐξωτέρας ὕλης ἐν ἐκείνῳ ᾧ προστίθεται, γίνεται γὰρ κίνησις διὰ τὴν ποσότητα, μείζω γινομένην διὰ τῆς προσθέσεως καὶ τῆς ἐκτάσεως. ἔστι δὲ ἁμάρτημα τὸ τὰ κοινὰ μερικὰ ἐργάζεσθαι, εἰ γὰρ μᾶλλον κυρίως ὅμοιον ὁμοίῳ προστίθεται ἢ ἀνομίῳ, πῶς κληθήσεται πρόσθεσις ἡ ἐναναντία μόνη; εἰ κατὰ τὸν Θεολόγον, ὡς εἴρηται ἀνωτέρω, οἱ τῆς δευτέρας Συνόδου πατέρες ἦσαν προσδιαρθροῦντες τὸ ἐλλιπῶς εἰρημένον τῇ πρώτῃ, πάντως προσθήκας τὸ ἐλλεῖπον τέλος ἔλαβεν, ὅθεν ὁ Κυζίκου ἔλεγεν, ὅτι τὸ τῆς δευτέρας Σύμβολον ἔλαβε προσθήκας πολλάς. πᾶσα ἀνάπτυξις οὐκ ἐκ τῶν ἐγκειμένων ἀλλ' ἔκ τινος ἔξωθεν εἰλημένου γίνεται, ἔχει γὰρ τὸ μεῖζον ἀξίωμα ἔξωθεν καὶ τὰς λέξεις τοὐλάχιστον, ὥστε ἔξωθεν ἐστὶν ἡ προσθήκη, ὅθεν καὶ κεκώλυται. λέγεται λοιπὸν προσθήκη πᾶν προστεθὲν τῷ ἐλάττονι. οὐ δὲ δύναταί τις εἰπεῖν, ὅτι δι' ἀνάγκην ἐγένετο ἡ προσθήκη, εἰ γὰρ καὶ ἀνάγκη ἦν, οὐκ ἔδει γενέσθαι, οὐ γὰρ κεῖται ῥητῶς ἀνάγκης οὔσης τοῦτο γίγνεσθαι. ἔξεστιν ἀναπτύσσειν, οὐ μὴν καὶ συντάττειν, τὸ γὰρ ἀναπτύσσειν, ὅπερ ἐστὶν ἔξωθεν ἑρμηνεύειν, οὐ κεκώλυται, τῷ δὲ συντάττειν ἐν τῷ Συμβόλῳ, κεκώλυται. φανερὸν οὖν ἐκ τούτων ὡς ἐν συντόμῳ, ὅτι οὐκ ἔξεστιν οὔτε κατὰ πίστιν, οὔτε κατὰ λέξιν προσθῆναι ἐν τῷ Συμβόλῳ, ἀλλ' ἀεὶ καὶ κατὰ πάντα τρόπον μένειν ἀναλλοίωτον, καθότι ὁ προσθέμενος ἔνοχος γίνεται τῷ αἰωνίῳ ἀναθέματι. ὅθεν κάλλιστα εἶπε Θεοφύλακτος ὁ Βουλγαρίας γράφων πρὸς Νικόλαον Διάκονον, Ἔστιν οὖν τὸ μέγιστον ἐκεῖνο σφάλμα, καὶ τοῦτο δὴ τὸ τοῦ Σολομῶντος, ἐν ᾅδου πεταύρῳ ποιοῦν συναντᾶν, ἡ ἐν τῷ τῆς πίστεως Συμβόλῳ καινοτομία, ἣν ἐποιήσαντο, ἀνακηρύττοντες τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεσθαι. καὶ πάλιν, ὡς εἴρηται ἀνωτέρω, φησὶ, Καὶ τοῖς Δυτικοῖς τοίνυν εἴτι μὲν περὶ τὸ δόγμα διαμαρτάνεται τὴν πατρικὴν πίστιν σαλεῦον, οἷον δὴ τὸ ἐν τῷ Συμβόλῳ περὶ τοῦ ἁγίου Πνεύματος προστιθέμενον, ἔνθα ὁ κίνδυνος μέγιστος, τοῦτο μὴ διορθώσεως ἀξιούμενον, ὁ συγχωρῶν ἀσυγχώρητος, ὅθεν καὶ ὁ Ἀντιοχείας Πέτρος κακὸν κακῶν κάκιστον εἶπε τὴν προσθήκην.

ΠΑΡ ΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῆς τετάρτης ἀντιθέσεως τῶν Λατίνων, λεγόντων, ὥσπερ τῆς ἐν Σαρδικῇ Συνόδου κωλυσάσης ἑτέραν πίστιν ἐκθέσθαι παρὰ τὴν ἐν Νικαίᾳ, ἡ δευτέρα προσθεῖσα οὐχ ἥμαρτεν, οὕτω τῆς τρίτης κωλυσάσης τὸ προσθέσθαι, οἱ Λατῖνοι προσθέμενοι οὐχ ἥμαρτον. καὶ περὶ τῆς λύσεως αὐτῆς.

Ἀντίθε-

Ἀντίθεσις τετάρτη. Ὁ ἅγιος Ἀθανάσιος λέγει εἰς τὸν πρὸς τοὺς Ἀντιοχεῖς Τόμον, ὅτι τινὲς ἠβουλήθησαν γράψαι περὶ πίστεως, ὡς δῆθεν ἐλλιπῶς ἐχούσης τῆς κατὰ Νίκαιαν Συνόδου, ἀλλ' ἡ ἐν Σαρδικῇ Σύνοδος ἠγανάκτησε κατ' αὐτῶν διὰ τὸ μηδὲν ἐλλείπειν τῇ ἐν Νικαίᾳ, ἀλλὰ πλήρη εὐσεβείας εἶναι, ὅθεν μὴ δεῖν ἑτέραν ἐκτίθεσθαι πίστιν, ἵνα μὴ ἡ ἐν Νικαίᾳ ἀτελὴς νομισθῇ, καὶ πρόφασις δοθῇ τοῖς ἐθέλουσι πολλὰ γράφειν καὶ ὁρίζειν περὶ πίστεως. καθὼς οὖν ἡ ἐν Σαρδικῇ ἐκώλυσεν ἑτέραν Ἔκθεσιν πίστεως, καὶ ἡ δευτέρα Σύνοδος προσθεῖσα εἰς τὸ Σύμβολον, ἐξήνεγκεν ἑτέραν Ἔκθεσιν, καὶ οὐδεὶς λέγει ὅτι ἥμαρτεν, οὕτω καὶ τῆς τρίτης κωλυσάσης τὸ προστίθεσθαι, οὐχ ἥμαρτον οἱ Λατῖνοι προσθέμενοι εἰς τὸ τῆς πίστεως Σύμβολον. ΑΠΟΚΡΙΣΙΣ. Ἡ ἐν Σαρδικῇ ἐκώλυσε γίγνεσθαι Ἔκθεσιν πίστεως, καὶ μάλιστα ἑτέρας πίστεως Ἔκθεσιν, ἐπειδὴ οἱ ζητοῦντες ἐκθεῖναι πίστιν, ἦσαν οἱ Ἀρειανοὶ πρὸς ἀνατροπὴν τοῦ Ὁμοουσίου, ὡς ἐδείχθη εἰς τὰς ἐν Ἀντιοχείᾳ καὶ Σιρμίῳ καὶ ἀλλαχοῦ Ἐκθέσεις, ὅπου ἐκθέμεναι πίστιν, εἶπον ἀντὶ τοῦ Ὁμοουσίου τὸ Ὁμοιούσιον καὶ τὸ κατ' οὐσίαν ὅμοιον, καὶ τέλος πάντων τὸ Ἀνόμοιον. καθ' ὧν ἀντιτείνουσα ἡ ἐν Σαρδικῇ, ἐκώλυε τὴν προσθήκην, ἡ δὲ δευτέρα οὐ προσέθηκε πρὸς ἀλλοίωσιν, ἀλλὰ πρὸς βεβαίωσιν πίστεως. δεύτερον, περὶ τοῦ ἁγίου Πνεύματος ἡ πρώτη εἶπε κυρίως καὶ ἀληθῶς, ἀλλὰ συνεπτυγμένως, ἡ δὲ δευτέρα διὰ τὸ ἀξίωμα αὐτῆς ἀνέπτυξε τὸ ἐλλιπῶς εἰρημένον τῇ πρώτῃ οὐ μόνον περὶ τοῦ ἁγίου Πνεύματος, ἀλλὰ καὶ περὶ αὐτῆς τῆς Θεολογίας τοῦ Υἱοῦ, καὶ διὰ τοὺς ἔτι λυσσῶντας Αἱρετικοὺς, πολλὰς εἰς τὸ Σύμβολον προσέθηκε λέξεις, καὶ πολλὰς ἀφῃρήσατο, τινὰς δὲ καὶ ἐνήλλαξεν, οὐκ ἐκωλύετο δὲ ὑπὸ τῆς ἐν Σαρδικῇ, ὅτι ὁ σκοπὸς τῆς ἐν Σαρδικῇ οὐκ ἦν περὶ ὀρθοδόξου Οἰκουμενικῆς Συνόδου, ἡ δὲ δευτέρα ἦν Οἰκουμενικὴ καὶ πρόσωπον ἐπιφέρουσα τῆς καθόλου Ἐκκλησίας, ἕπεται δὲ ἡ μερικὴ τῇ Οἰκουμενικῇ, καὶ οὐ τὸ ἀνάπαλιν. τρίτον, ἐκείνη ὁπωσδήποτε κωλύσασα Ἔκθεσιν καινοῦ Συμβόλου, ἐξήνεγκεν ὅρον ἴδιον, βεβαιοῦσα τὴν ἐν Νικαίᾳ πίστιν, οὐ μὴν καὶ εἶχεν ἀξίωμα προσθεῖναι, ἢ ἀφελεῖν ἀπὸ τοῦ Συμβόλου, ἡ δὲ δευτέρα μὴ οὖσα κεκωλυμένη ὑπὸ Οἰκουμενικῆς Συνόδου πρὸ αὐτῆς, καὶ τὸ Σύμβολον ἐβεβαίωσε, καὶ ὅρον ἐξήνεγκε καθ' ὧν ἔκρινεν Αἱρέσεων διὰ τὸ ἀξίωμα αὐτῆς. τέταρτον, ὅτι ὅπερ ἡ ἐν Σαρδικῇ ὑπωπτεύθη, ἵνα μὴ εὕρωσι δηλονότι οἱ Αἱρετικοὶ ἄδειαν, καὶ ποιήσωσιν Ἔκθεσιν κοινῆς πίστεως, εἶδε τοῦτο ἡ τρίτη ποιήσαντα τὸν Νεστόριον, διατοῦτο Οἰκουμενικὴ οὖσα κυρίως, ἐκώλυσε λοιπὸν τὴν ὁποιανοῦν εἰς τὸ Σύμβολον προσθήκην. ὅστις δὲ παραβαίνει τὴν τοιαύτην ἀπόφασιν, ἐστὶν ὑπὸ ἀνάθεμα, ὡς αὐτὴ ἡ τρίτη ὥρισεν εἰς τὸν ἕβδομον Κανόνα αὐτῆς, καὶ οἴχεται καὶ ἡ παροῦσα ἀντίθεσις.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῆς πέμπτης ἀντιθέσεως τῶν Λατίνων, λεγόντων, ἄτοπόν ἐστι τὰς Οἰκουμενικὰς Συνόδους, ὧν τὸ ἀξίωμα οὐδεὶς λαβεῖν δύναται, μὴ ἔχειν ἐξουσίαν ἀπολελυμένην ἐν τῇ Ἐκκλησίᾳ, οὐ γὰρ ἔσονται Οἰκουμενικαὶ, ὅθεν ἡ τρίτη εἰποῦσα, Μηδενὶ ἐξεῖναι προσθῆναι, οὐκ εἶπε περὶ τῶν Οἰκουμενικῶν, τῶν ἐχουσῶν τὴν αὐτὴν ἐκείνῃ ἐξουσίαν, ἀλλὰ περί τινων Ἐπισκόπων μερικῶν. καὶ περὶ τῆς λύσεως αὐτῆς.

Ἀντίθεσις πέμπτη. Αἱ Οἰκουμενικαὶ Σύνοδοι μὴ ἔχουσαι ἐξουσίαν ἀπολελυμένην εἰς τὴν Ἐκκλησίαν, οὐκ εἰσὶν Οἰκουμενικαὶ, ὅπερ ἄτοπον. λαβεῖν δέ τις τὸ ἀξίωμα αὐτῶν οὐ δύναται. ὅθεν ἡ τρίτη εἰποῦσα, Μηδενὶ ἐξεῖναι προσθῆναι, οὐκ εἶπε περὶ τῶν Οἰκουμενικῶν Συνόδων, τῶν ἐχουσῶν μετ' ἐκείνης τὴν αὐτὴν ἐξουσίαν, ὡς λέγει Γεννάδιος ὁ σχολάριος εἰς τὸν δεύτερον λόγον περὶ εἰρήνης, ἀλλὰ περί τινων μερικῶν Ἐπισκόπων, ἢ καὶ ἄλλων τινῶν. ΑΠΟΚΡΙΣΙΣ. Πρῶτον, αἱ Οἰκουμενικαὶ Σύνοδοι ἔχουσιν ἐξουσίαν ἄκραν, πρὸς οἰκοδομὴν μέντοι, καὶ οὐκ εἰς καθαίρεσιν. ἔστι δὲ ἡ ἐξουσία αὐτῶν τριττὴ, βεβαιοῦν δηλονότι τὰς πρὸ αὐτῶν, καὶ ἕπεσθαι κατ' ἴχνος ἐκείναις, ὅθεν ἀναγινώσκονται ἐν αὐταῖς τὰ πρακτικὰ τῶν πρὸ αὐτῶν τοιούτων, διορίζειν περὶ τῶν ἐνεστώτων, καὶ προβλέπειν ἀσφάλειαν περὶ τῶν μετέπειτα, κατὰ τὴν χορηγουμένην αὐταῖς παρὰ τοῦ ἁγίου Πνεύματος δύναμιν, ὅθεν εἰς τὸν ὅρον τῆς ἑκτῆς Συνόδου ἐῤῥέθη, ὅτι κατακολουθεῖ πάσαις ταῖς πρὸ αὐτῆς Συνόδοις, καὶ ἡ ἑβδόμη εἰς τὸν ὅρον αὐτῆς προστάσσει μηδὲν ἀφαιρεῖσθαι μὴ δὲ προστιθέναι, ἀλλὰ πάντα τὰ τῶν ἓξ Συνόδων ἀμείωτα διαφυλάττεσθαι, ταύτην γὰρ εἶναι τὴν πίστιν τῶν ὀρθοδόξων, ὅθεν ὅτε οὐ κατ' ἴχνος προβαίνουσι ταῖς πρὸ αὐτῶν, ἢ καὶ ἐναντιοῦνται εἴστινα, οὐκ εἰσὶ Σύνοδοι, ἀλλὰ συναγωγαὶ καὶ Ἐκκλησίαι πονηρευομένων, ὅθεν ἡ τετάρτη, πέμπτη, ἕκτη, καὶ ἑβδόμη κυρίως Οἰκουμενικαὶ Σύνοδοι οὖσαι, διὰ τὸ ἀξίωμα αὐτῶν ἐβεβαίωσαν τὴν πρώτην, δευτέραν, καὶ τρίτην, καὶ κατὰ πάντα ἠκολούθησαν, καὶ περὶ τῶν μετέπειτα ἐφρόντισαν διαφόρως, ὅσαι δὲ ἄλλως εἶπον, ὡς παράνομοι καταφρονοῦνται. δεύτερον, αἱ Σύνοδοι οὐκ ἐκώλυσαν τὴν κατὰ πίστιν προσθήκην, ὡς εἴρηται, ὅτι κατὰ πίστιν οὐκ ἦν δυνατὸν τὰς μετέπειτα Συνόδους σφάλλεσθαι, ἡ γὰρ Οἰκουμενικὴ Σύνοδος οὐ δύναται σφάλλεσθαι, πρόσωπον τῆς καθόλου οὖσα Ἐκκλησίας, ἀλλὰ διὰ τοὺς Αἱρετικοὺς ἐκώλυσαν ἀπὸ τῶν ὀρθοδόξων τὴν κατὰ λέξιν καὶ κατὰ συλλαβὴν προσθήκην εἰς τὸ κοινὸν Σύμβολον, καὶ ἀπὸ τῶν ἁγίων Συνόδων, καὶ τῶν τινῶν ὀρθοδόξων Ἐπισκόπων, καὶ παντὸς Χριστιανοῦ. τοῦτο δὲ φυλάττεσθαι, ἴδιον τῶν Οἰκουμενικῶν Συνόδων ἐδείχθη καὶ τιμὴ, οὐκ ἀλλότριον καὶ ἀτιμία, εἶτα ζητέον

τέον πάλιν) ὅτι καὶ Σύνοδοι καὶ Ἐπίσκοποι εἰς μόνον τὸ κοινὸν Σύμβολον ἐκωλύθησαν προστιθέναι, ἰδίως δὲ γράφειν ἐν καιρῷ χρείας Ἔκθεσιν πίστεως οὐκ ἐκωλύθησαν, καὶ φανερὸν καὶ ἐκ τούτου, ὅτι αἱ μὲν Σύνοδοι ἰδίους Ὅρους ἐξέθεντο, οἱ Ἐπίσκοποι δὲ καὶ Βασιλεῖς συνέγραφον ἰδίως περὶ ὧν ἐφρόνουν, ὡς ὁ Ἱεροσολύμων Σωφρόνιος, καὶ ὁ Ῥώμης Ἀγάθων, καὶ οἱ λοιποὶ τοιοῦτοι ἔγραφον τὰς συνοδικὰς λεγομένας ἐπιστολὰς, καὶ αἱρεσιόφρονες Ἐπίσκοποι προσερχόμενοι τῇ καθόλου Ἐκκλησίᾳ, ἔγραφον ἴδια Σύμβολα, ὅθεν τινῶν Ἐπισκόπων τῆς Φοινίκης γραψάντων ἐκθετικῶς τὴν πίστιν αὐτῶν, καὶ κατηγορουμένων ὅτι ἐποίησαν Ἔκθεσιν Συμβόλου, ὁ ἅγιος Κύριλλος ἀπολογούμενος γράφει ὑπὲρ αὐτῶν Ἀκακίῳ τῷ Μελιτινῆς Ἐπισκόπῳ καὶ λέγει, Ἆρα καὶ αὐτὸς ὁ Νεστόριος εἰ μεταμεληθείη τοῦ ποιῆσαι ἔγγραφον τὴν ὁμολογίαν αὐτοῦ διὰ τὴν εὐσέβειαν, εἴποι τις ὅτι ἐκαινοτόμησεν ἐκθέμενος Σύμβολον; καὶ τὶ λοιπὸν τινὲς τὴν συναίνεσιν τῶν κατὰ Φοινίκην Ἐπισκόπων Ἔκθεσιν Συμβόλου καινὴν ὀνομάζουσι; δεύτερον λέγει, ὅτι οἱ πατέρες τῆς τρίτης Συνόδου Ἔκθεσιν πίστεως ἐκώλυσαν γίνεσθαι παρ' ἣν ἐξέθεντο οἱ ἅγιοι πατέρες (ἤτοι οἱ τῆς πρώτης καὶ δευτέρας τῶν Συνόδων) τοὺς ὄντας ὅμως ἐν ὑποψίαις, δεῖ συγγράφειν ἕκαστον αὐτῶν τὴν γνώμην αὐτοῦ, καθὼς διδάσκει ὁ Ἀπόστολος, Ἵνα ὦσιν ἕτοιμοι οἱ πιστοὶ περὶ τῆς ἐν αὐτοῖς ἐλπίδος ἀπολογεῖσθαι. τρίτον, ἐκεῖνος ὁ συνθέμενος τοὺς περὶ ἑνώσεως λόγους Σχολάριος, ἐστὶν ἐπείσακτος καὶ ὑποβολιμαῖος, καὶ ἴδε βιβλίου δεκάτου μέρους πρώτου κεφάλαιον ὄγδοον. εἰ δὲ καὶ ἦν καὶ ἀληθὴς ὁ Σχολάριος, οὐδὲν πρὸς τὴν καθόλου Ἐκκλησίαν, ἥτις οὐ τοὺς λόγους τοῦ δεῖνος καὶ δεῖνος ἔχει ἀρχὰς, ἀλλὰ τὴν γραφὴν, καὶ τὰς οἰκουμενικὰς Συνόδους καὶ τοὺς συμφωνοῦντας αὐταῖς ἁγίους πατέρας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῆς ἕκτης ἀντιθέσεως τῶν Λατίνων, λεγόντων, κατὰ τὸν Ἀρεοπαγίτην, Ἀθανάσιον καὶ τοὺς λοιποὺς πατέρας, οὐ δίκαιον ἀκριβολογεῖσθαι τοὺς Χριστιανοὺς περὶ τὰς λέξεις, τῶν πραγμάτων συμφωνούντων, ὥστε οὔτε περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης ἀκριβολογητέον, καὶ περὶ τῆς λύσεως αὐτῆς.

Ἀντίθεσις ἕκτης. Κατὰ τὸν Ἀρεοπαγίτην, Ἀθανάσιον, Βασίλειον, Γρηγόριον, Χρυσόστομον καὶ ἄλλους ἁγίους πατέρας, οὐκ ἔστι δίκαιον σμικρολογεῖσθαι τοὺς Χριστιανοὺς περὶ τὰς λέξεις, ὅταν εἰς τὰ πράγματα συμφωνῶσιν, οὐ δὲ γὰρ ἐν ῥήμασιν ἡ σωτηρία ἡμῶν, ἀλλ' ἐν πράγμασιν, ὥστε οὐ δὲ περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης ἀκριβολογητέον. ΑΠΟΚΡΙΣΙΣ. Ὅτε αἱ λέξεις τὸ αὐτὸ πρᾶγμα σημαίνουσι, καὶ κατὰ τοῦ αὐτοῦ καὶ ἑνὸς ὑποκειμένου κατηγοροῦνται, οὐ διαφερόμεθα περὶ αὐτῶν, οὐ μὴν καὶ ὅτε ἐναντίως ἔχουσιν, ἤγουν ὅτε αἱ λέξεις εἰσὶ διάφοροι, καὶ εἰς τὰ πράγματα οὐκ ἔστι διαφορὰ, ἔστω ὡς ὁρίζουσιν οἱ πατέρες, καθὼς μετὰ τὴν πρώτην Σύνοδον ἔχοντες διαφορὰν οἱ Ἀνατολικοὶ καὶ Δυτικοὶ περὶ οὐσίας ὑποστάσεως εἰς τὰς λέξεις, εἰς τὰ πράγματα εἶχον τὴν αὐτὴν γνώμην, ὅθεν καὶ ἤγαγεν αὐτοὺς εἰς συμφωνίαν ὁμέγας Ἀθανάσιος. καὶ πρὸ τῆς ἕκτης διαφερομένων τῶν Ἀνατολικῶν εἰς τὰ συνοδικὰ τοῦ Ῥώμης Μαρτίνου διά τινας λέξεις, ἐν αἷς ὑπώπτευον τὴν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν, ἐγένετο διαιτητὴς ὁ μέγας Μάξιμος εἰπὼν, ὅτι οὐκ ἐννοοῦσι ταῖς λέξεσιν ἐκείναις τὴν ἐκπόρευσιν, ἀλλὰ τὸ συναφὲς τῆς οὐσίας καὶ ταυτὸν, ἀλλὰ δὴ καὶ ὁ Κύριλλος ἐν τῇ πρὸς Νεστόριον δευτέρᾳ ἐπιστολῇ φησὶν, Οὐχ ὡς ἄνθρωπον συμπροσκυνοῦντες τῷ Λόγῳ, ἵνα μὴ τομῆς φαντασία παρεισκρίνηται διὰ τοῦ λέγειν τὸ, ΣΥΝ, ἀλλ' ὡς ἕνα καὶ τὸν αὐτὸν προσκυνοῦντες. καὶ κατωτέρω, ἐὰν δὲ τὴν καθ' ὑπόστασιν ἕνωσιν ἢ ὡς ἀνέφικτον, ἢ ὡς ἀκαλλῆ παραιτώμεθα, ἐμπίπτομεν εἰς τὸ δύο λέγειν Υἱούς. ἔτι περὶ τοῦ Ὁμοουσίου καὶ Ἑτεροουσίου καὶ Ὁμοιουσίου πόσαι ἐγένοντο διαφοραὶ, Σύνοδοι, καὶ συγγραφαί; καὶ ὁμέγας Βασίλειος φησὶ, Τῷ κατ' οὐσίαν ὁμοίῳ εἰ προστεθείη τὸ ἀπαραλλάτως, ταυτόν ἐστι τῷ Ὁμοουσίῳ, εἰ δὲ λείπει, οὐκ ἔστι ταυτὸν, ἀλλ' εἰς ἄπειρον ἀσύμβατον δήπου. εἰς ἐκεῖνο δὲ ὅπερ λέγει ὁ Ῥόδου ἐν τῇ ἕκτῃ συνελεύσει τῆς ἐν Φλωρεντείᾳ Συνόδου, ὅτι καὶ Γρηγόριος ὁ Παλαμᾶς ἔφη, Λέξεων ἐμὸς λόγος ὀλίγος, ῥητέον, ὅτι εἶπεν αὐτὸ περί τινων ὧν ἐνεκαλεῖτο κακῶς εἰπεῖν, περὶ μέντοι τῶν ῥητῶν τῶν ἁγίων πατέρων ἰσχυρῶς ἀποφαίνεται ἐρευνᾶν καὶ ἐξετάζειν αὐτὰ, γράφων πρὸς Δαμιανὸν φιλόσοφον, καὶ ἴδε τὸ πέμπτον κεφάλαιον, ὃ συνεγράψαμεν κατὰ Ἰωάννου Καρυοφύλλη περὶ τοῦ Μυστηρίου τῆς Εὐχαριστίας. ὅτε ὅμως εἰς τὰς λέξεις ἐστὶ τῶν πραγμάτων διαφορὰ, ἢ ὑπόνοια διαφορᾶς, πολλὰ ἐξετάζονται, καὶ οὐκ ἔστι τότε μικρολογία, ἀλλὰ ἀναγκαία ἐξέτασις καὶ σπουδή. πόσην διαφορὰν πίστεως ἐποίησεν ἑνὸς ἰῶτα προσθήκη, ἀλλοιώσασα τὸ Ὁμοούσιον εἰς Ὁμοιούσιον; καὶ τοῦ Εὐνομίου ἡ ἰσχὺς οὐκ ἦν ἓν καὶ μόνον Ἄλφα; καθότι ἐβούλετο ἔχειν κατ' οὐσίαν διαφορὰν τὸ ἀγέννητον τοῦ γεννητοῦ. ἑνὸς γράμματος ἀλλοίωσις συνίστα τὴν μονόφυσιν κατὰ τὸν Εὐάγριον, καθότι ἡ ὀρθοδοξία βούλεται τὸν Χριστὸν εἶναι ἐν δύο φύσεσιν, οἱ δὲ Μονοφυσῖται ἐκ δύο φύσεων, τρέποντες τὸ, Ν, εἰς Κ. ἔτι λέγει Λεόντιος ὁ σχολαστικὸς εἰς τὴν πέμπτην πρᾶξιν τῆς ἱστορίας αὐτοῦ, Τὸ δὲ πῶς ὁ Κύριλλος ΕΚΔΥΟ, καὶ ὁ Λέων ΕΝΔΥΣΙ, καὶ εἰ ὅτε τὸ ΕΚΔΥΟ ἐλλιπὲς, εἰ καὶ Κύριλλος χρᾶται, τὸ δὲ ΕΝΔΥΣΙ τέλειον εἰς ἀνατροπὴν Εὐτυχοῦς. ἔτι ὁ μέγας

Βασί-

Βασίλειος εἰς τὰ γενέθλια λέγει, Η ΘΕΟΦΟΡΟΣ ΣΑΡΞ, εἰς δὲ τὴν ὑπόληψιν τοῖς νομίζουσιν ἐκ τοῦ Οὐρανοῦ κατελθεῖν λέγει, ΤΗΝ ΧΡΙΣΤΟΦΟΡΟΝ. καὶ ὁ Νύσσης ἐν τῷ κατηχητικῷ λέγει, Ο ΘΕΟΦΟΡΟΣ ΑΝΘΡΩΠΟΣ. ὁ δὲ Δαμασκηνὸς φησι, Μὴ γένοιτο ἡμᾶς Θεοφόρον εἰπεῖν. καὶ δὴ ὁμοίως Βασίλειος περὶ τῶν προθέσεων ΕΞΟΥ, ΔΙ' ΟΥ, ΕΝ, καὶ ΣΥΝ, πολλὴν ποιεῖται λόγον ἐν τοῖς πρὸς Ἀμφιλόχιον περὶ τοῦ ἁγίου Πνεύματος κεφαλαίοις. οὐ μόνον λοιπὸν πρέπον, ἀλλὰ καὶ ἀναγκαῖον ἐξετάζεσθαι οὐ μόνον τὰς λέξεις καὶ συλλαβὰς, καὶ αὐτὰ τὰ στοιχεῖα τῶν γραμμάτων εἰς τὴν θεολογίαν, ἀλλὰ καὶ αὐτὰς τὰς σιγμάς, ὡς τὸ, ΚΑΙ ΧΩΡΙΣ ΑΥΤΟΥ ΕΓΕΝΕΤΟ ΟΥ ΔΕ ΕΝ Ο ΓΕΓΟΝΕΝ. ὅπου τὴν σιγμὴν εἰς τὸ ΟΥ ΔΕ ΕΝ τιθέμενοι, καὶ ἀρχόμενοι ἀπὸ τοῦ, Ο ΓΕΓΟΝΕΝ οἱ Ἀρειανοὶ καὶ Μακεδονιανοὶ, συνεπέραινον τὴν Αἵρεσιν αὐτῶν. ὅθεν ὁμοίως Ἀθανάσιος αὐτιφερόμενος κατὰ τῶν Αἱρετικῶν, λεγόντων μὴ ἐξετάζειν τὰς λέξεις, συνέγραψε τέλειον λόγον, ἐν ᾧ καὶ τάδε φησὶν, σὺ δεῖ γυμνὰ νοημάτων ἁρπάζειν τὰ ῥήματα, σκοπεῖν δὲ ὑπομελῶς τὸ πρέπον Θεῷ, τὸ συμφέρον ἡμῖν, τὸ δυνατὸν τῆς ἀληθείας, τὸ σύμφωνον τῷ Νόμῳ, τὸ κατάλληλον τῇ Φύσει, τὸ γνήσιον τῆς πίστεως, τὸ βέβαιον τῆς ἐλπίδος, τὸ ἀφύθολον τῆς ἀγάπης, καὶ τὰ ἑξῆς, ἅτινα πάντα τὸ μὴ ἐξετάζειν δηλονότι τὰς λέξεις, καὶ γυμνὰ νοημάτων ἁρπάζειν τὰ ῥήματα, ἢ ἐν τῷ Συμβόλῳ παρεθήκη εἰσάγει, καὶ τέλος πάντων τὴν πίστιν ὕβρισε, τὴν ἀγάπην ἀνόθευσε, καὶ πρὸξένησε σχίσμα δεινότατον, καὶ ἑτέρων μυρίων κακῶν ἐγένετο καὶ γίνεται αἰτία ἐν ταῖς Ἐκκλησίαις, ἥτις ἀπαραιτήτως, ἀλλ' ἀποβλητέα. καὶ ἔστι τοῦτο δηλονότι τὸ ἐξετάζειν τὰς λέξεις καὶ σκοπεῖν ὑπομελῶς τὸ πρέπον Θεῷ, καὶ τὰ ἑξῆς τὸν μέγαν Ἀθανάσιον ἀμικρολογίαν, ἀλλὰ ἀκριβεστάτην Θεολογίαν εἰς τὰς ἐκκλησίας σωθῆναι. δεύτερον, ὅτι καὶ καὶ μὴ ἦν κοινοτομία εἰς τὴν πίστιν, καὶ ἀσέβεια ἡ παρεθήκη, καινοτομία καὶ ἀσέβειά ἐστιν εἰς τὰς δεχομένας αὐτὴν, ἀνωλύθη γὰρ ὑπὸ τῶν ἁγίων πατέρων. λέγει δὲ περὶ τοῦς ἄλλοις ἡ οἰκουμενικὴ ἑβδόμη Συνόδος, Ἡμεῖς τὰς θεσμὰς τῶν πατέρων φυλάττομεν, ἡμεῖς τὰς παραθήκας, ἢ ἀφαιροῦντας ἢ τῆς Ἐκκλησίας ἀναθεματίζομεν. καὶ εἰς τὸ Συνοδικὸν τῆς ὀρθοδοξίας ἀναγινώσκεται, Ἅπαντα τὰ ὡρισμένα τῇ ἁγιοκλητικῇ παραδόσει καὶ ὑποτύπωσιν καὶ διδασκαλίαν τῶν ἁγίων καὶ θεοφόρων πατέρων καινοτομηθέντα, ἢ μετὰ ταῦτα προσθησόμενα, ἀνάθεμα. ἴδε τὰ περὶ αὐτῆς τῆς παρεθήκης ἐν τῇ ἐνφλωρεντείᾳ Συνόδῳ ἀπὸ τῆς τρίτης ἕως τῆς δεκάτης ἑβδόμης συνελεύσεως, ὅπου γενναίως οἱ Ἕλληνες αὐτὴν ἀπεστέναξαν, οἱ δὲ Λατῖνοι μεμυκασιν ἄφωνοι. ταῦτα ἐν ὀλίγοις περὶ τῆς παρεθήκης ἐν τῷ κοινῷ Συμβόλῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι ὑπὸ Φωτίου ἡ περὶ τῆς καὶ ἐκ τοῦ Υἱοῦ ὑπάρξεως τοῦ ἁγίου Πνεύματος καινοτομία, καὶ ἡ ἐν τῷ Συμβόλῳ παρεθήκη ἐκ ἦν ἐν τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης.

Σημείωσαι ἐνταῦθα, ὅτι ὑπὸ Φωτίου ὅτε ἡ περὶ τῆς ὑπάρξεως τοῦ ἁγίου Πνεύματος καινοτομία, ὅτε ἡ ἐν τῷ Συμβόλῳ παρεθήκη ἦν ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, πρῶτον, ὅτι ὁ Φώτιος ἐν τῇ πρὸς τὸν Ἀκυληΐας Μητροπολίτην ὑπομνήσει αὐτοῦ λέγει, ὡς, Συνόδου συγκροτηθείσης ἐπὶ Ἴσων ἐκκλησιαστικοῖς κεφαλαίοις οἰκουμενικοῦ Κωνσταντινουπόλεως, οἱ ἀπὸ Ῥώμης ἀπεσταλμένοι τοῦ Πάπα Ἰωάννου πρέσβεις ἐν τῷ Πατρὶ ἐκήρυττον τὸ Πνεῦμα τὸ ἅγιον. καὶ ὅτι ἡ ῥωμαϊκὴ Ἐκκλησία τοῖς ἄλλοις τέσσαρσι μεγάλοις καὶ ἀρχιερατικοῖς θρόνοις ὁμόφωνος καὶ ὀρθόδοξος καθέστηκε. δεύτερον, ἐν τῇ πρὸς τοὺς Πατριάρχας ἐγκυκλίῳ ὑπὸ τοῦ αὐτοῦ τοὺς τὴν παρεθήκην ποιησαμένους, Θεομάχους, Μανιχαίους, Μακεδονιανοὺς, ἑλληνικὴν πολυπληθύν, Θεραπευτὰς αὐτικειμένους. λυμεῶνας τοῦ κοινοῦ, ἀσεβείας Γάγγραναν καὶ δύο εἰσάγοντας αἴτια λέγει, καὶ ἄρχειν κακὸν τὴν παρεθήκην, καὶ μυθολογίαν, καὶ ἀθεΐαν, καὶ ἄλλα τοιαῦτα εἶπε περὶ αὐτῆς, καὶ τῆς ἐν τοῦ Υἱοῦ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. καὶ ὅτε ὁ Πάπας Νικόλαος, ὅτε οἱ μετ' αὐτὸν Λάδριανὸς καὶ Ἰωάννης, ὅτε οἱ μετ' αὐτοὺς τοσοῦτοι Πάπαι, ἐκεῖνοι δηλονότι οἱ τὸν Φώτιον ὡς φασιν οἱ Λατῖνοι, ἀναθεματίσαντες, ὅτε οἱ κατ' ἐκεῖνο καιρὸν θεολόγοι καὶ Ἀσκηταὶ καὶ Διδάσκαλοι τῆς λαοῦ Ἡγεμόνες τῆς γραφῆς ἑρμηνεῖς τῆς ἐκκλησιαστικοὶ συγγραφεῖς, ὅτε αἱ κατὰ Φωτίου ἐν Κωνσταντινουπόλει τῆς ἐν Ῥώμῃ Σύνοδοι ἐνόμισαν τὸν Φώτιον αὐτικείμενον εἰς τὴν ὕπαρξιν τοῦ ἁγίου Πνεύματος, ἢ ἐμέμψαντο ὡς ἀθετοῦντα τὴν παρεθήκην, καὶ ὅτως ἀποτόμως καὶ ἰσχυρῶς ἐξυβρίζοντα τοὺς ταυτην ἐφυλάττοντας καὶ ἀποδεχομένους, καὶ τραχηλῇ τῇ φωνῇ ἀθέους καλοῦντα, καὶ δὴ καὶ οἱ ὁπωσδήποτε ἐχθροὶ καὶ ὑβρισταὶ τοῦ Φωτίου, οἱ πολλὰς κατηγορίας καὶ ἐγκλήματα πλάσαντες κατ' αὐτοῦ, καὶ παρὸς τούτοις μάλιστα εἰπόντες αὐτὸν, Ἰγνάτιος ὁ Κωνσταντινουπόλεως, Νικήτας ὁ Παφλαγὼν, ὁ Πάπας Στέφανος σὺν, καὶ ὁ Μαρῖνος, καὶ ἡ τοῦδε τῶν κατὰ Φωτίου βλασφημιῶν Στυλιανὸς Νεοκαισαρείας εἰπόντι τοιοῦτον περὶ Φωτίου, ἀλλ' οἱ μὲν Ἀνατολικοὶ ὡς ὑπερπλεῖστον ἐπῄνεσαν αὐτὸν, οἱ δὲ Δυτικοὶ καὶ συνοδικῶς ἀπεδέχοντο τὴν γνώμην ταύτην καὶ τὸν ἀγῶνα τοῦτον, καὶ οὐδὲν περὶ τούτου αὐτέλεγον, ἀλλὰ μονώτατα μὲν τὸν Πάπαν Νικόλαον καθῆραι, καὶ τῆς ῥωμαϊκῆς Ἐκκλησίας, τοῦτο ποιήσαντι, καταφρονῆσαι, ἐμέμφοντο αὐτῷ οἱ Ῥωμαῖοι, ἐξ ὧν δείκνυται σαφῶς, καθὼς καὶ αὐτὸς ὁ Φώτιος εἶπον αὐωτέρω, ὅτι ἡ ῥωμαϊκὴ Ἐκκλησία ἦν ὁμόφωνος καὶ ὁμόδοξος περὶ τοῦ

τοῦ ἁγίου Πνεύματος, ἤτοι ἐξίσου οἱ πέντε Ἀρχιερατικοὶ θρόνοι ἐκ μόνου τοῦ Πατρὸς ἐπρέσβευον ἔχειν τὴν ὕπαρξιν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὴν προσθήκην ὡς ἄθεόν τι μίασμα ἐβδελύσσοντο, τούτων οὕτως εἰρημένων, πρὸς τοῖς λοιποῖς ἀνωτέρω ἐν τούτῳ τῷ κεφαλαίῳ διαληφθεῖσιν ἡ προσθήκη καὶ τὸ περὶ αὐτῆς δόγμα καινοτομία ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ, καὶ πολυθέων ἀνδραπόδων ἐφεύρεμα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι καὶ ἐκ τοῦ Φωτίου, καὶ ἐκ τοῦ Πάπα Ἰωάννου, καὶ ἄλλων, ἀκαινοτόμητα τὰ τοῦ ἁγίου Πνεύματος καὶ τοῦ Συμβόλου ἦν τότε ἐν τῇ Ἐκκλησίᾳ τῶν Ῥωμαίων.

Τοῦτο δείκνυται καὶ ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίῳ ἑβδόμῳ, καὶ βιβλίου τρίτου κεφαλαίῳ πέμπτῳ, καὶ ἀπὸ τῆς ἕκτης πράξεως τῆς ἐπὶ Φωτίου Συνόδου, περὶ ἧς εἴπομεν ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίῳ δεκάτῳ τετάρτῳ, ἐν ᾗ καὶ τοῦτο γράφει ὁ Πάπας Ἰωάννης πρὸς Φώτιον, Ὅτε παρεγένετο πρὸς ἡμᾶς ὁ μικρὸν ἔμπροσθεν ἀποσταλεὶς παρ' αὐτῆς, καὶ περὶ τοῦ ἁγίου Συμβόλου ἡμᾶς ἐδοκίμασεν, εὗρεν ἀπεράτρωτον καθὼς ἀρχῆθεν παρεδόθη ἡμῖν διατηροῦντας, καὶ μὴ προστιθέντάς τι, ἢ ἀφαιροῦντας, ἀκριβῶς εἰδότας ὡς τοῖς τοιαῦτα τολμῶσι, βαρεῖα καταδίκη ἀναμένουσα ἀπόκειται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ἐπιχείρημα παπιστῶν ἀπὸ τῆς πρὸς Βησσαρίωνα ἐπιστολῆς Γεωργίου τοῦ Γεμιστοῦ καὶ αὐτοῦ τοῦ Φωτίου, ὅτι τὸ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἡ προσθήκη ἦν ἐπὶ Φωτίου

Οἱ Πνευματομάχοι ὅμως πρὸς ἀναίρεσιν τούτων προβάλλουσι Γεώργιον τὸν Γεμιστὸν, γράφοντα τῷ Νικαίας Βησσαρίωνι, Ἦν ἄρα ἡ ἐπὶ Φωτίου βεβαιοτέρα, ἐν ᾗ καὶ ὁ Πάπας Ἰωάννης συνέθετο τὴν προσθήκην ἐκβληθῆναι ἀπὸ τοῦ Συμβόλου, ἔτι καὶ τὸν Φώτιον, γράφοντα ἐν τῇ ἐγκυκλίῳ ἐπιστολῇ πρὸς τοὺς Πατριάρχας περὶ τῶν Λατίνων, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐκ τοῦ Πατρὸς μόνου, ἀλλά γε καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι καινολογήσαντες.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Ὅτι ἡ προσθήκη ἐν τῷ Συμβόλῳ, καὶ ἡ περὶ τοῦ ἁγίου Πνεύματος καινοτομία οὐκ ἦν ἐν τῇ Ῥώμῃ ἐπὶ Φωτίου.

Ἀλλὰ ῥητέον, εἴπερ οὐκ ἔστι νόθος ἢ διεφθαρμένη ἡ τοῦ Γεμιστοῦ ἐπιστολὴ, ὅτι ὁ Πάπας Ἰωάννης οὐ συνέθετο ἐκβληθῆναι τὴν προσθήκην ἀπὸ τοῦ ᾀδομένου δῆθεν Συμβόλου ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἀλλ' ἀπὸ τῶν προστεθέντων καὶ διδασκόντων αὐτὴν ἐν τῇ Βουλγαρίᾳ, εἰς οὓς ἀποβλέπων καὶ ὁ Φώτιος, κατηγόρει αὐτῶν, γράφων πρὸς τοὺς Πατριάρχας, καὶ ἴσως ἐπελαβάνετο καὶ τινῶν Ῥωμάνων, ὡς μὴ ἀγωνιζομένων μὴ λέγεσθαι ὅπερ οὐκ ἐξῆν, καὶ μαρτυρεῖ τὰ ἀνωτέρω, ὁ γὰρ Φώτιος ἔλεγεν ὁμόδοξον εἶναι τὴν ῥωμαϊκὴν Ἐκκλησίαν τοῖς λοιποῖς τέσσαρσιν ἀρχιερατικοῖς θρόνοις. σημείωσαι δὲ, ὡς εἰ ταῦτα ἦσαν ἀληθῆ, ἔγραφε ταῦτα μάλιστα ὁ Βησσαρίων, καὶ πάντες οἱ ἑτερόδοξοι Λατῖνοι, καὶ ἰδίως καὶ ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ. ὅθεν πανταχόθεν βεβαιοῦται, ὅτι ἡ προσθήκη οὐκ ἦν ἐπὶ Φωτίου ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἀλλ' ὑστερογενής ἐστι καὶ κακοδαιμόνων ἀνθρώπων πλασθεύρεμα. ὅθεν καλῶς ἔλεγεν Ἰωσὴφ ὁ Βρυέννιος ἐν τῷ ὀγδόῳ λόγῳ περὶ Τριάδος περὶ τοῦ ἁγίου Πνεύματος, Ἡ πρώτη τῶν Οἰκουμενικῶν ἐδογμάτισε Συνόδος, οὕτως ἡ δευτέρα ἐθέσπισεν, οὕτω παρέδωκεν ἡ τρίτη, οὕτως ἐκήρυξεν ἡ τετάρτη, οὕτως ἐβεβαίωσεν ἡ πέμπτη, οὕτως ἐκύρωσεν ἡ ἕκτη, καὶ ἐπεσφράγισε λαμπρῶς ἡ ἑβδόμη, τὸ Πνεῦμα τὸ ἅγιον ἀραρότως ἐκ τοῦ Πατρὸς δογματίσασαι, οὐμὴν καὶ ἐκ τοῦ Υἱοῦ, καὶ τοὺς μὴ οὕτω φρονοῦντας, τῷ ἀναθέματι παραπέψασαι. καὶ πρὸ τούτου Νικηφόρος ὁ Γρηγορᾶς ἐν τῷ ἱστορικῷ αὐτοῦ, βιβλίῳ πέμπτῳ, Οὗτοι δὲ (δηλονότι οἱ Λατῖνοι) τὰ πάσαις ταῖς ἁγίαις βεβαιωθέντα καὶ κυρωθέντα Συνόδοις παραδραμόντες, εἰς ἔργον ἐξήνεγκαν ἃ μόνοις αὐτοῖς βουλομένοις ἦν, καὶ ὅμως πάντες οἱ ἀρχαῖοι ἅγιοι πατέρες, καὶ ἐκ τῶν μεταταῦτα Μακάριος ὁ Ἀγκύρας, Μιχαὴλ ὁ Γλυκᾶς, Γεώργιος Λογοθέτης, ὁ Ἀμυρούτζης, Γεώργιος ὁ Γεμιστὸς καὶ καθεξῆς οἱ ὀρθόδοξοι Διδάσκαλοι ὁμοφώνως ἀπεφήναντο, ὅτι πρὸς τὰς Οἰκουμενικὰς Συνόδους χρῆναι ῥυθμίζεσθαι τὸ ἐκκλησιαστικὸν σύστημα, αἵτινες ἑπτά εἰσι, κατ' ἐξαίρετον δηλονότι λόγον, καὶ ἴδε ἀνωτέρω βιβλίου ἑβδόμου κεφάλαιον πρῶτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ιϛ'.

Ὅτι οὔτε ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ βεβαιῶσαι ἴσχυσαν οἱ Λατῖνοι ἀπὸ τῶν πατέρων τὴν προσθήκην, ἥτις ὡς μαρτυρεῖ ὁ Λομπάρδος οὐκ ἦ ἐπὶ Φωτίου ἐν τοῖς Ῥωμαίοις.

Πρὸς

Πρὸς τούτοις οἱ Λατῖνοι εἰπόντες ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ πολλὰ σοφίσματα περὶ τῆς προσθήκης, καὶ μὴ δυνάμενοι ἀπὸ τῶν πατέρων βεβαιῶσαι αὐτὴν, μάλιστα βλέποντες τοὺς πατέρας ἀντιβαίνοντας αὐτοῖς, ἔδραμον πρὸς τὰς παρερμηνείας, ἅστινας διαλυόντων τῶν Ἑλλήνων μάλα γενναίως, μὴ δυνάμενοι οὔτε διὰ τούτων εἰπεῖν τι ἀληθὲς οἱ Λατῖνοι, κατέφυγον ἐπὶ τὸ δόγμα, ἀλλὰ καὶ ἐπὶ τοῦτο ἐξωβελίσθησαν. Σημειωτέον ἐνταῦθα κἀκεῖνο τὸ τοῦ Πέτρου Λομπάρδου, ὅστις μαρτυρεῖ, ὅτι ἐπὶ τοῦ Πάπα Ἰωάννου τοῦ ἐπὶ τῆς ἐπὶ Φωτίου Συνόδου τὸ Σύμβολον τῆς δευτέρας Συνόδου ᾔδετο ἐν ταῖς Ἐκκλησίαις (ἐν αἷς καὶ ἡ ῥωμαϊκὴ) ἄτερ προσθήκης. ὅθεν καὶ ἐκ τούτου ἀληθὴς δείκνυται ἡ μαρτυρία τοῦ ἱεροῦ Φωτίου, ὅτι ἐπ' αὐτοῦ οὐκ ἦν ἡ προσθήκη ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Ἐπιχείρημα παπιστῶν ἀπὸ τοῦ Μοναχοῦ Βαρλαὰμ, τὴν προσθήκην μὴ ὑπάρξαι ἀπόδεκτον ὑπὸ τῆς καθόλου Ἐκκλησίας, ἀλλὰ τὸ δόγμα λεγόντων, καὶ ἀπόδειξις, ὅτι ἡ περὶ τὸ δόγμα καινοτομία οὐκ ἦν ἐξ ἀρχῆς, ἀλλὰ πολὺ ὕστερον μετὰ Φώτιον ὑπ' ἀθλίων τινῶν ἐξευρημένη.

Τέλος πάντων, οἱ Πνευματομάχοι ἵνα δείξωσιν ὅτι εἰ οὐκ ἀπεδέχετο ἡ προσθήκη ὑπὸ τῆς καθόλου Ἐκκλησίας, ἀπεδέχετο ὅμως τὸ δόγμα, ἤτοι τὸ ἐκ τοῦ Υἱοῦ, εἰ καὶ μὴ ὑπὸ πάντων, ἀλλ' ἦν ὁμόνοια ἐν ταῖς Ἐκκλησίαις, ὡς τυχὸν διώρισεν ἡ ἐν Φλωρεντείᾳ σύνοδος. ἕνεκεν λοιπὸν τούτου προτείνουσι τὸν Μοναχὸν Βαρλαὰμ λέγοντα, Πρὸς δὴ ταῦτα ἐκεῖνα ἡμᾶς ὑπολαμβάνειν δεῖ, ὅτι καὶ ὅτε ἠνώτο ἡ Ἐκκλησία, ἦσαν οἳ καὶ ἐκ μόνου τοῦ Πατρὸς προϊέναι τὸ Πνεῦμα τὸ ἅγιον ὑπελάμβανον, καὶ πάλιν ἕτεροι, οἳ καὶ ἐκ τοῦ Υἱοῦ, ἀλλ' οὔτι γε ἡ τινῶν διαφορὰ τῇ ὅλῃ τῆς Ἐκκλησίας ἐλυμαίνετο καταστάσει, οὐδὲ τὴν κοινὴν κατέλυεν ὁμόνοιαν, ἀλλὰ τὸ σύμπαν κοινῇ τὸ ἐκ Πατρὸς ἁπλῶς οὕτωσι ἐπρέσβευον, καὶ πάντας εἰς τὴν τούτου ὡς πᾶσιν ὁμολογουμένου συγκαλοῦν ἑνότητα τῆς τοιαύτης διαφορᾶς τοῖς τὰ τοιαῦτα περιττοῖς παρεχώρει. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, ὅτι ἡ περὶ τὸ δόγμα καινοτομία οὐκ ἦν ἐξ ἀρχῆς οὐδὲ ὑπότινων ἐν τῇ Ἀνατολικῇ καὶ Δυτικῇ Ἐκκλησίᾳ, ἀλλὰ πολὺ μετὰ Φώτιον, καὶ ὑπότινων ἀθλίων καὶ εὐαριθμήτων ἐν τῇ Δύσει καὶ μόνῃ ἐξευρημένη, ὡς εἴρηται ἐν τοῖς δυσὶ πρώτοις κεφαλαίοις τοῦ παρόντος βιβλίου. ὅθεν μὴ ὄντος τοῦ ψυχοφθόρου δόγματος ἐν ταῖς καθόλου Ἐκκλησίαις, οὔτι γε ἡ τινῶν διαφορὰ τῇ ὅλῃ τῆς Ἐκκλησίας ἐλυμαίνετο καταστάσει. τολμησάσης δὲ τῆς ἐν τῇ Ῥώμῃ Ἐκκλησίας, καὶ ἀποδεξαμένης τὸ πολύθεον δόγμα, καὶ εἰσαξάσης τὴν προσθήκην ἐν τῷ Συμβόλῳ, ὅπερ ἐστὶν ὅτι ἠλλοίωσε τὴν κοινὴν πίστιν, ἀναγκαίως ἠκολούθησε παρὰ τῶν ὀρθοδόξων ἡ διάστασις τῶν Ἐκκλησιῶν τοσοῦτον, ὥστε πασιδήλως ἀναφανεῖσαν τὴν ῥωμαϊκὴν Ἐκκλησίαν αἱρετικὴν τελείῳ χωρισμῷ ἀποβληθῆναι τοῦ σώματος τῆς Ἐκκλησίας.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς κουρᾶς τῶν γενείων τῶν τῆς Ῥώμης Παπῶν πότε ἤρξατο, καὶ λύσεως τῶν δύο ἀντιθέσεων τῶν Λατίνων ὑπὲρ τῆς τῶν γενείων κουρᾶς.

Φησίπου ὁ Χῖος Ἀλάτιος, ὅτι ὁ Παχώμιος Μοναχὸς σημειοῖ ἐν τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ἔτει, ἀποθανόντος τοῦ Λέοντος Ῥώμης, τὸν διάδοχον αὐτοῦ Στέφανον πρῶτον τὰς τρίχας τοῦ πώγωνος αἰσχροτάτως ἀποθρίξαι, εἶτα σπουδάζει ἀποδεῖξαι τὸν Παχώμιον ψεύστην, ἐπειδὴ τὸ ἑξακισχιλιοστὸν πεντακοσιοστὸν κοσμικὸν ἔτος, ἔστιν ἔτος ἀπὸ Χριστοῦ ἐννακοσιοστὸν ἐννενηκοστὸν δεύτερον, ἡ δὲ ἐπὶ Κηρουλλαρίου Σύνοδος ἐγένετο περίπου τὰ χίλια πεντήκοντα τρία, ἢ χίλια πεντήκοντα πέντε ἔτη ἀπὸ Χριστοῦ, ἐν ᾗ ἦν Λέων ὁ ἔνατος, οὗ ἦν διάδοχος ὁ Στέφανος. Ἀλλὰ ῥητέον, ὅτι συκοφάντης ἐστὶν ὁ Ἀλάτιος, ἐπειδὴ ὁ Παχώμιος ἱστορεῖ σημείωσιν ποιούμενος εἰς τοῦ Ἱερομονάχου Ματθαίου τὴν κατὰ Λατίνων συλλογὴν, ἐν ᾗ ὁ Ματθαῖος λέγει ῥητῶς, Ὅτε ἐγένετο ἡ ἐπὶ Κηρουλλαρίου Σύνοδος, τότε ἦν καὶ ὁ ἔνατος Λέων Ῥώμης ἐν τῷ ἔτει ἑξακισχιλιοστῷ πεντακοσιοστῷ πεντηκοστῷ δευτέρῳ, καὶ χωρὶς ἄλλου ἔτους λέγει, Ἀλλὰ καὶ τὸν Λέοντα τοῦτον Ῥώμης τελευτήσαντα, Στέφανος σύμφρων αὐτῷ τὴν Αἵρεσιν διεδέξατο, οὗτός ἐστιν, ὃς λέγεται πρῶτος τὰς τοῦ πώγωνος αὐτοῦ τρίχας αἰσχροτάτως καὶ ἀσεβεστάτως ἀποθρίξαι, καὶ τοῖς ὑπ' αὐτὸν Ἐπισκόποις τε καὶ Πρεσβυτέροις καὶ Μοναχοῖς καὶ παντὶ τῷ λαῷ τῷ ἰταλικῷ οὕτω ταῦτα ποιεῖν παραδεδωκέναι, ὥστε τὴν διαφορὰν εἰς τὰ ἔτη μὴ εἶναι περίπου τὰ πεντήκοντα, ἀλλ' εἰς μόνα ἐννέα ἔτη, ὁ γὰρ Λέων ἐγένετο Πάπας ἐν ἔτει χιλιοστῷ τεσσαρακοστῷ ἐνάτῳ, ὁ δὲ Κηρουλλάριος ἐπατριάρχευσεν ἐν τῷ ἔτει χιλιοστῷ τεσσαρα-

τεσσαρακοστῷ τεταρτῳ, ὁ δὲ Σιώδος ὁν τῷ ἔτει χιλιοστῷ πεντηκοστῷ τείτῳ, ὅπερ ἐστὶν ἔτος κοσμικὸν ἑξακισχιλιοστὸν πεντακοσιοστὸν ἑξηκοστὸν πρῶτον, ἢ αὐτὴ ἡ τὰτε εἶπεν ὁ Παχώμιος ἓξ χιλιάδας πεντακόσια πεντήκοντα δύο, ἥτις χρονικὴ ὑφήγησις ἐποιεῖ ἐμπόδιον τῆς ἀληθείας, ὡς εἴρηται αἰωτέρω. περὶ δὲ τῶν γονέων ἄλλός τις λέγει ἀναγνώσης τῷ Λατίνοις, ἤτοι τῷ Πλατίνα, ὅτι ὁ ἐξ Ἡρακλείας τῆς Θρᾴκης Ἀνάκλητος Πάπας Ῥώμης γονόμῳ, τὴν γονεάδα τέμνειν πρῶτος συνεχώρησε. ὁ δὲ Κηρυλλάριος τῷ τὰ Στεφανὰ ὢν, ἐκ τῆς τοῦ Ἀντιοχείας ἐπιστολῆς αὐτὰ μέμφεται τὴν κεφαλὴν τῶν παρὰ Λατίνοις γονείων. ἔστι δὲ εἰπεῖν, ὅτι τὸ τῷ Λατίνων περὶ Ἀνακλήτου λεγόμενον ἐστὶ πλάσμα, καθὼς ἐστὶ καὶ ἐκεῖνο ὅπερ λέγουσιν, ὅτι ὁ Ἀλεξανδρεὺς ὁ γονόμῳ Πάπας ἐκ τοῦ ἔτους ἑκατοστὸν εἰκοστὸν, ἔφερεν εἰς τὴν Λατερανὴν τὰ Ἄζυμα. ἡ ἀλήθεια δὲ ἐστὶν, ὅτι ἀφ' οὗ εἰσήχθη ἡ παράθηκη, ἐξεφάνη καὶ τὸ σχίσμα, καὶ ἠκολούθησε καὶ ἡ αἵρεσις ἐκ πολλῶν τῶν ἐκκλησιαστικῶν τῷ Λατίνοις. γονομᾶς δὲ τὰ σχίσματος φανερὰ, ἔφασε καὶ εἰς τὸς Πάπας ἵνα βεβαιωθῇ τὸ παντόλμον καὶ μετὰ τὰ ἀχνίμονος πρόσωπα. ἐλοιπὸν καὶ ἡ κρὰ τῶν γονείων ὑπὸ τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ ἦν καὶ ὑπὸ Λέοντος τὰ ὀνόματος, καὶ πρὸ τούτου μικροῦ, ἀλλ' ὑπὸ τούτου τὰ Στεφάνου τὰ δεκάτου γέγονε κοινὸν κακὸν, ἐπειδὴ καὶ ὁ Πάπας αὐτὸς ἔκειρε τὴν τρίχα διόλου, εἰ καὶ μετέπειτα ἄλλοι ἐπιόησαν εἰς τὸ γονέον ὀξεῖαν καὶ ἀγκύλην αἰγυπτιακὴν πυραμίδα, ἄνω τὴν βάσιν καὶ κάτω τὴν κορυφὴν ἔχουσαν, τὰ γὰρ τρίγωνα, καὶ αὐτεξαμβία, καὶ Δαυΐτου καὶ βελουκτὰ καὶ ὑπερόπαια. ὁ δὲ Γρηγόριος ἕβδομος καὶ βίαν ἐπήνεγκε καὶ Ἐπισκόποις καὶ Κληρικοῖς ἵνα ξυρῶνται τὸ γονέον καὶ ἀκουσίως. ὅτι δὲ οἱ Πάπαι οἱ ἀρχαῖοι, καὶ οἱ Δυϊκοὶ πατέρες οὐκ ἐξυροῦντο τὸ γονέον, μάρτυρες ἡ κοινὴ φήμη, ἡ παράδοσις, τὸ σεμνὸν καὶ τίμιον τῶν ἀρχαίων, οἳ οὐκ εἶχον φρονηματίδα τοῦ καλλωπίζεσθαι, καὶ αὐταὶ αἱ ζωγραφίαι, ὅπου ὅλοι μετὰ γονείων ζωγραφοῦνται ἐμόνον οἱ λοιποὶ πατέρες, ἀλλὰ καὶ οἱ Πάπαι, ὡς φαίνεται παρὰ τοῖς ἄλλοις καὶ ἐν τῷ ἁγίῳ Μάρκου εἰς τὴν Βενετίαν, καὶ ἐν πάσαις ταῖς κατὰ τὴν Οἰκουμένην Ἐκκλησίαις, ἐν αἷς ζωγραφοῦνται οἱ ἀρχαῖοι Πάπαι. σημείωσαι δὲ, ὅτι κατηγορεῖται τὸ ξυρᾶσθαι τὸ γονέον παρὰ τῶν γραφῶν, οὐκ ἀπομαδαρώσετε τὰς πώγωνας ὑμῶν λέγει ὁ Νόμος. καὶ τὸ λευϊτικὸν κεφαλαίῳ δεκάτῳ εἰάτῳ λέγει, οὐ ποιήσετε στρόγγυλα τὰ κόμης τῆς κεφαλῆς ὑμῶν, οὐδὲ φθερεῖτε τὸ ὄψιν τὰ πώγωνος ὑμῶν. καὶ κεφαλαίῳ εἰκοστῷ πρώτῳ, Καὶ φαλάκρωμα οὐ ξυρηθήσεσθε τὸ κεφαλὸ ἐπὶ νεκρῷ, καὶ τὸ ὄψιν τὰ πώγωνος οὐ ξυρήσονται, καὶ ἐπὶ τὰς σάρκας αὐτῶν οὐ κατατεμοῦσιν σπιλάδας. καὶ εἰς τὰς Διατάξεις τῶν Ἀποστόλων λέγεται, μὴ φθείρειν τείχα γονείων, μήτε ἑτερικῶς κατανοσμεῖσθαι. καὶ ὁ Ἐπιφάνιος κατὰ Αἱρέσεων, τί χέρσον καὶ σπαστίον φησὶν; οἱ μὲν τὸ γονέον καὶ τὸ μορφὸν τὰ αἰδέος ἀποτέμνουσι. καὶ Αἱρέσει ὀγδοηκοστῇ ὀγδόῃ κατὰ Μασσαλιανῶν λέγει, ὅτι οἱ Αἱρετικοὶ ἔτοι σκάρδουν τὸ γένειον καὶ ἐφύλαττον τὰς τείχας. καὶ Φιλόσοφός τις ἐρωτηθεὶς Διατὶ τρέφει γονεάδα, ἀπεκρίθη, ὅτι ἐσάκις αὐ ἀπέωμαι τῆς ἐμῆς γονεάδος, αἰσθάνομαι ἀρρένια εἶναί με καὶ ἀνὴρ θέλω. ὡς καὶ ὁ Βασιλεὺς Δαβὶδ, Διὰ τὸ τὸς υἱὸς Ἀμὼν ξυρῆσαι τὰ γονεία τῶν πρέσβεων αὐτὰ, κατεπολέμησαν αὐτούς. καὶ εἰς πολλὰς ἄλλας τόπους τῆς γραφῆς φαίνεται, ὅτι οἱ Ἰσραηλῖται ἐν καιρῷ ἀνάγκης καὶ συμφορᾶς κοινῆς ἐκάρουν τὸ γονεῖον δυσπετοῦντες. οἱ Πρωπάτορες καὶ Πατριάρχαι καὶ Προφῆται καὶ Ἀπόστολοι καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς γένειον εἶχον, καὶ αὐτὸς ὁ Θεὸς φανεὶς τῷ Δανιὴλ, μετὰ γενείου ἐφάνη, ὅθεν καὶ παλαιὸς ἡμερῶν ἐκλήθη. ἔτως ἐν ταὐτῷ καὶ ὁ Υἱὸς ἐφάνη. τί τὰ πολλά; ὑπολαμβάνονται δεύτερον, ὅτι μετὰ Λέοντα τὸν Βίκτωρ, καὶ εἶτα ὁ Στέφανος. ἀλλὰ ῥητέον, ὅτι καὶ οἱ μετέπειτα Δοκίδοχοι λέγονται ὅλοι. καὶ ὁ Παχώμιος καὶ Μαθαῖος ἐσιώπησαν τὸν Βίκτωρα ὡς μηδὲν προσηθέντα, καὶ εἶπον τὸν καινοτόμον Στέφανον. ἔτω καὶ Νικόλαος ὁ πρῶτος ὑπὸ Μιχαὴλ, καὶ ὁ μετ' ἐκεῖνον Ἀδελαιὸς ὑπὸ Βασιλέα ἔγραφον περὶ τῶν τοῦ αὐτῶν Παπῶν, Οἱ προκάτοχοι ἡμῶν, ὁμοίως λέγοντες προκατόχους τὰς ἐγγὺς καὶ τὰς μακρὰν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ λύσεως τῆς τρίτης ἀντιθέσεως τῶν Λατίνων ὑπὲρ τῆς κυρᾶς τῶν παπικῶν γονείων ἀποδείξεσι καὶ μαρτυρίαις.

Ἀντίθεσις τείτη. Ἡ ἐν Καρθαγενῇ Συνόδος πέμπτη κατὰ Βικτώριον, ἢ ἑτέρα κατ' ἄλλας, ἐξέθετο Κανόνα Διαγορεύοντα μὴ τρέφειν γένειον, ὁ δὲ τοῖς Συνόδοις μὴ ὑποτασσόμενος, ὑπὸ δεσμόν ἐστιν. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἐμόνον ὑπὸ τῆς χαρᾶς καὶ τῶν ἀρχαίων Ἐκκλησιῶν κωλύεται τὸ φθείρειν τὸ γένειον, ἀλλὰ καὶ πάντες ἄνθρωποι τὸ γένειον ἔχον, καὶ ὡς μαρτυρεῖ οὐάρων, οἱ κυρεῖς τὸ πρῶτον εἰσήχθησαν εἰς τὴν Ῥώμην ὑπὸ Τηκινίας Μηνᾶ ὢν ἔτει ἀποκτίσεως αὐτῆς τετρακοσιοστῷ πεντηκοστῷ τετάρτῳ. δεύτερον, οἱ ἀρχαῖοι Ἀνδριάντες μετὰ γενείων καὶ κόμης ὁρῶνται· τείτον, ὡς μαρτυρεῖ ὁ Διονυσοφίτης βιβλίῳ δεκάτῳ τρίτῳ, ὁ Ἀλέξανδρος προσέταξε πρῶτος τὰς Στρατιώτας κείρειν τὸν πώγωνα. τέταρτον, οἱ ἀρχαῖοι σοφοὶ πάντες ἦσαν πωγωνοφόροι, καὶ μαρτυρεῖ Πέρσης ὁ Σατωρνικὸς περὶ Σωκράτους μακρὸν ἔχοντος γένειον. πέμπτον, ἐμόνον γένειον εἶχον οἱ ἀρχαῖοι, ἀλλὰ καὶ κόμην, καὶ μαρτυροῦσιν αἱ ζωγραφίαι, τὰς προπάτορας καὶ Πατριάρχας καὶ Προφήτας καὶ Ἀποστόλους καὶ

καὶ Διδασκάλους, μετὰ γονέων καὶ κόμης γεφύροντες, καὶ μάλιστα αὐτὸν τὸν δεσπότην Χριστὸν, καὶ τὸν παλαιὸν τῶν ἡμερῶν ὕστω γεγράφασιν. ἕκτον, μαρτυροῦσιν αἱ τύποι τῶν νομισμάτων τῶν Ἡγεμόνων Ῥωμαίων τε καὶ Λατίνων. ἕβδομον, ὅτι μόνους τοὺς Ἕλληνας καρηκομοῦντας, ἀλλὰ δὴ καὶ οἱ Ἀνατολικοὶ ἔτρεφον γένειον καὶ κόμην, καὶ μάρτυς ὁ Ἡρώδοτος ἐν τῇ Ἐρατοῖ, καὶ ὁ Ἰάμβλιχος ἐν τῷ βίῳ τοῦ Σόλωνος, καὶ Ἡρακλείδης ἐν τῷ βίῳ τοῦ Πιτθακοῦ, καὶ Μαγνῆτος βιβλίῳ δευτέρῳ, κεφαλαίῳ ἑνδεκάτῳ, καὶ Ὀππιανὸς ἁλιευτικῶν βιβλίῳ δευτέρῳ, καὶ Νόννος Διονυσιακῶν βιβλίῳ ὀγδόῳ, ἀλλὰ καὶ οἱ Λατῖνοι ἀμόνον ἐν τοῖς Καισάρων τότε τοῦ Δωμαίων μὴ τρέφειν γένειον, ἀλλὰ καὶ μεθ' αὐτὸν εἶχον γονεῖον, ὡς ὁ ἅγιος Ἀμβρόσιος, ὁ Ἱερὸς Βενέδικτος, ὁ ἐν τῇ Ἰταλίᾳ πατὴρ τῶν Μοναχῶν Γρηγόριος ὁ Διάλογος καὶ οἱ λοιποὶ Πάπαι. ἐνδὲ καὶ ὁ Θεοφάνης Γρηγορίου ἕβδομον ἐβίασε τὸν ὑπ' αὐτὸν Ἐπισκόπους καὶ Κληρικοὺς τέμνειν τὸ γένειον, ὡς μαρτυροῦσιν αἱ ἐπιστολαὶ αὐτοῦ βιβλίῳ δευτέρῳ, ἐπιστολῇ εἰκοστῇ ἑβδόμῃ καὶ τεσσαρακοστῇ πρώτῃ· οὐκ ἔλειψαν ὅμως οἱ πωγωνᾶτοι Πάπαι, ἐξ ὧν ἐστὶ Γελάσιος δεύτερος, τέταρτος ἀπὸ Γρηγορίου τοῦ ἑβδόμου, ὡς γράφει ὁ βίος αὐτοῦ, καὶ ἴδε τὸν Βαρώνιον ἐν τῷ ἑπτακισχιλιοστῷ ἑβδομηκοστῷ τρίτῳ. ἔνατον, ἔτι οἱ ἀρχαῖοι Ἰνὰς καταδικαζομένους διά τινα κακουργήματα κουρεύοντες καὶ τύπτοντες, ἐξώριζον, ὡς γράφει ὁ Βλάσαρις ἐν τῷ Νομοκάνονι αὐτοῦ, ᾗ πάντες οἱ Νομικοί. καὶ ὁ Θεοφάνης ἱστορεῖ, ὅτι ὁ Παντριάρχης Εὐθύμιος ἀπέλυσεν Ἀνασάσιον, ὡς εἰ μὴ πώσοιτο, ἀποκείραι τὴν κεφαλὴν αὐτοῦ, καὶ τοῖς ἄχλοις αὐτὸν θελαμβοῦσαι. συμπεραίνομαι λοιπὸν ὅτι εἰ ἀπὸ τῶν ἀρχαίων καὶ ὀρθόξων, καὶ τῆς παλαιᾶς καὶ νέας Ἐκκλησίας, καὶ αὐτοῦ τοῦ Θεοῦ δείκνυται ἡ χρῆσις τῶν γενείων, οἱ Πάπαι καινοτομήσαντες καὶ αὐτοῦτο, ἄθλιοί εἰσι. καὶ ὁ Καισὼν τῆς ἐν Καρθαγένῃ Συνόδου αὐτιπίπτων σφαλερῶς τοῦτο καὶ τῇ γραφῇ καὶ τῇ χρήσει καὶ πράξει πάντων τῶν ἁγίων, ἀποβλητος καὶ τέως ἄκυρος ἐστι.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἐπιχείρημα παπισῶν ἀπὸ Εὐχολογίων, ἀπὸ τοῦ Ἀποστόλου καὶ τῆς ἐν Καρθαγένῃ Συνόδου, τὸ μὴ κείρειν τὴν κόμην τοὺς τῶν Ἑλλήνων Μοναχοὺς ἄτοπον δεικνύοντων, καὶ ἀπόδειξις ἐκ πολλῶν, καὶ αὐτοῦ τοῦ παλαιοῦ τῶν ἡμερῶν, ὅτι τὸ κείρειν τὴν κόμην καὶ τὸ γονάτον τοὺς Μοναχοὺς ἀπρεπέστατόν ἐστι, καὶ περὶ ἱματισμοῦ τῶν Μοναχῶν τῶν Ἑλλήνων καὶ κατὰ τὰς ἔννυχας ἀπερισπάστων, καὶ περὶ τῶν Μοναχῶν τῶν Λατίνων.

Ἀλλὰ πάλιν οἱ παπισταὶ προτείνουσιν ὡς ἄτοπον τὸ μὴ κείρειν τὴν κόμην τοὺς Ἕλληνας Μοναχοὺς, καὶ εἰς δεῖξιν φέρουσιν Εὐχολόγια, καὶ πολλὰς ἱστορίας καὶ μαρτυρίας ἀπὸ συγγραμμάτων τινῶν ἁγίων πατέρων, ὅτι νομόμοι Μοναχοὶ οἱ ἀρχαῖοι Ἕλληνες, ἔκειρον τὴν τρίχα, νῦν δὲ ἔχοντες αὐτὴν, ἀθεμιτέρουσιν. καὶ ἔτι προβάλλουσι τὸ τοῦ Παύλου πρὸς Κορινθίους, Ἀνὴρ κόμαν, εἰκὼν γὰρ καὶ δόξα Θεοῦ ὑπάρχει. Ἀλλὰ ἑπτέον πρῶτον, ὅτι τὸ ἔχειν τὸ γένειον ἄκαιρον, Νόμος ἐστὶ τοῦ Θεοῦ ὅτι πάντας κοινῶς τοὺς πιστοὺς, ᾧ χήματι ἐπολιτεύθησαν οἱ ἅγιοι ἐν τῷ κόσμῳ, καὶ δι' αὐτοῦ, ὡς εἴρηται ἐφάνη ὁ παλαιὸς τῶν ἡμερῶν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐβεβαίωσε τὸ γενόμενον, γράψαν αὐτὸ ἐν τῇ ἁγίᾳ γραφῇ, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἐπολιτεύθη μετὰ γονείων, τὸ δὲ κείρειν τὰς τρίχας ἀκοινὸς ἦν Νόμος, ὅθεν οἱ Ναζηραῖοι εἶχεν κόμην, καὶ οἱ ἐρημῖται καὶ ἔγκλειστοι ὅσοι ἀκ ἔκειρον τὴν κόμην δεύτερον, ὅτι καὶ οἱ νομόμοι Μοναχοὶ, καὶ κείροντες τὴν κοσμικὴν τρίχα, τινὲς μὲν ἔκειρον διόλου, τινὲς δὲ καὶ κατὰ μέρος, καὶ ἀμφότεροι βλομίας χάριν, εἴτε Κληρικοὶ ἔτεμνον τὴν τρίχα, ἀλλὰ κατὰ μέρος. τοῦτο δὲ τὸ μὴ κείρειν τὴν τρίχα παντάπασιν, ἀλλὰ κατά τι μέρος, ὅμοιον ἐστὶν ἐκείνῳ καθ' ὃ ὁ Ἐπίσκοπος κείρει τοὺς Ἀναγνώστας, καὶ ὁ Πρεσβύτερος τοὺς βαπτιζομένους, κατὰ μέρος δηλονότι καὶ σταυροειδῶς. ὅθεν καλῶς ἔφη Μάξιμος ὁ Μαργούνιος ἐν τῇ τελευταίᾳ πέμπτῃ σημειώσει πρὸς τοὺς Κανόνας τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, πάντες εἰς τὸ ῥωμαϊκὸν σωφρονεῖν μιμεῖσθαι τοὺς Κληρικοὺς τοὺς Ναζηραίους, ἀφέντας τὰς μαλλὰς ἀκειρεσίας τῆς ψαλίδος, καὶ ὡσαύτως τὰ γένεια. βλέπε λοιπὸν μὴ λοιδορῶν τοὺς ἁγίους πατέρας, τοὺς νεωτερίζοντας μιμήσῃ Λατίνους, τοὺς κείροντας τοὺς αὐτῶν Ἱερεῖς τελείως, ἵνα ὡς νεανίσκοι καὶ νυμφίοι φαίνωνται ἀεὶ τῆς πορνείας. Διατοῦτο γὰρ τὴν κεφαλὴν λέγουσι σέφανον ἀκ ὀλοκληρικόν, ἀλλὰ πορνικόν. τέλος, εἰς ὅπερ λέγει ἐμέγας Ἐπιφάνιος Αἱρέσεων τῶν Μασσαλιανῶν, Ἀλλότριόν ἐστι τῆς καθολικῆς Ἐκκλησίας σάκκος σφενδονὴ καὶ κόμη ἐκτεινομένη ἀπὸ τοῦ κηρύγματος τῶν Ἀποστόλων, ἀνὴρ γὰρ φησιν ἀκ ὠφείλει κομᾶν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων. καὶ περὶ τοῦ γονείου ἐντοῖς Διατάξεσι τῶν Ἀποστόλων φάσκει ὀθεῖος λόγος καὶ ἡ διδασκαλία, μὴ φθείρειν, τοῦτέστι μὴ τέμνειν τρίχας γονείου. ἑπτέον πρῶτον, ὅτι τὰς Μασσαλιανὰς Διὸ τὸ κείρειν τὸ γένειον, καὶ τρίφειν διόλου πᾶσαν τὴν κόμην, ὁ ἅγιος περὶ μὲν τοῦ γονείου εἶπεν, ὅτι ἀνομόνει τὸ τέμνειν, περὶ δὲ τῆς κόμης, ὅτι τὸ ἐκτείνεσθαι αὐτὴν καὶ ὑπτιάζεσθαι, καὶ αὐτὸ ἀνομόνει, καὶ μάλιστα ὅτε ὡς νόμιμον καὶ πρὸς σωτηρίαν συμβαλλόμενον νομίζεται, ἀμὴν καὶ ὅτε ἀφιλαπεργμόνως ἐκτείνεται, καὶ πρὸς σωτηρίαν σωτῆνον ἀπερλαμβάνεται, ᾗ πρὸς τὸν σκοπὸν τοῦτον ἀποβλέπει καὶ τὸ τοῦ Ἀποστόλου, ὅτι ὁ ἀνὴρ

ἀνὴρ οὐ κομᾷ, καὶ ἴδε ἐν ταῖς διαταγαῖς τῶν Ἀποστόλων βιβλίου πρώτου κεφάλαιον τρίτον, ἐν ᾧ ὑπὸ τῶν Ἀποστόλων κοινῶς, εἰ καὶ μὴ ῥητῶς, ἀλλὰ καὶ κατὰ τὴν ἔννοιαν, ἑρμηνεύεται τοῦτο τὸ τοῦ Παύλου ῥητόν. εἶτα οὐ λέγει ὁ Παῦλος ἵνα μὴ κομῶσιν οἱ Μοναχοί, ἀλλὰ πάντες οἱ Χριστιανοί, ἀλλὰ μὴν οἱ λαϊκοὶ ὡς ἐπιτοπλεῖστον ἐκόμων καὶ κομῶσι, καὶ οἱ Ναζηραῖοι ἐν τῇ πολιτείᾳ, καὶ οἱ ἔγκριτοι τῶν Μοναχῶν ἐν ταῖς Λαύραις καὶ ἐν ταῖς ἐρήμοις, οἵτινες οὐκ ἦσαν ὑπὸ ἀρὰν, καὶ οὕτως ἐννοητέον τοῦτο τὸ ῥητὸν τοῦ Ἀποστόλου ὡς οἱ Ἀπόστολοι ἐν τῷ εἰρημένῳ τόπῳ διαλαμβάνουσι περὶ τῆς κόμης. δεύτερον, οἱ Μοναχοὶ τῶν παπιστῶν εἰσὶν οἱ τοὺς σάκκους φοροῦντες, καὶ ἐπιτηδεύοντες αὐτοὺς, καὶ περιζωννύμενοι σχοινίοις, κόμβους ἔχουσι, καὶ οὐχὶ οἱ Ἀνατολικοὶ Μοναχοί. τρίτον, εἰς ἐκεῖνο δὲ ὅπερ ἐπιλέγουσιν οἱ σοφοὶ τῶν παπιστῶν, ὅτι οἱ Μοναχοὶ τῶν Ἑλλήνων οὐ κόπτουσι τοὺς ὄνυχας αὐτῶν, καὶ φοροῦσι πεπαλαιωμένα καὶ ἔξαλλα καὶ ἀχρεῖα καὶ ῥακώδη, ῥητέον πρῶτον, ὅτι ὁ λόγος ἡμῶν οὐκ ἔστι περὶ τινων ποιούντων ἰδίαν ἐθελοθρησκείαν, οἵτινες καὶ ἐπιτιμῶνται ὑπὸ τοῦ ἐννενηκοστοῦ ἕκτου Κανόνος τῆς ἐν Τρούλλῳ Συνόδου, ὡς ποιοῦντες παρὰ τὸ ἔθος, καὶ ἴδε τὸν τόπον, ἀλλὰ περὶ τοῦ τὶ φρονεῖ περὶ τῶν γενείων καὶ τῆς κόμης τῶν Μοναχῶν, καὶ ἁπλῶς τῶν ἐκκλησιαστικῶν ἡ καθολικὴ Ἐκκλησία. εἶτα ὁ Ἀββᾶς Παμβὼ ἔλεγεν, ὅτι τοιοῦτον ὀφείλει ὁ Μοναχὸς φορεῖν ἱμάτιον, ὥστε τιθέναι αὐτὸ ἔξωθεν τοῦ κελλίου ἐπὶ τρεῖς ἡμέρας, καὶ μηδένα λαμβάνειν αὐτό. καὶ ἴδε τὸν Θεολόγον Γρηγόριον, λέγοντα λόγῳ πρὸς Ἀρειανοὺς, Εἰ καὶ τῆς ἐσθῆτός μου τὸ τρίχιον αἰτιάσῃ. καὶ ἀλλαχοῦ, Εἰ γὰρ ἀποδυσαίμην καὶ τὰ ῥάκια ταῦτα, ἵνα γυμνὸς διαδράμω τὰς ἀκάνθας τοῦ βίου. καὶ ἐν τῷ πρώτῳ εἰρηνικῷ, ἔνθα φησὶ τὴν αὐχμῶσαν καὶ πιναρὰν κόμην, καὶ τὰ ἑξῆς περὶ τῶν Μοναχῶν. καὶ ἐν τῷ εἰς τὸν ἅγιον Βασίλειον ἐγκωμίῳ λέγει, ὅτι ἐφόρει ὁ μέγας Βασίλειος τὸ ἓν χιτώνιον καὶ τριβώνιον, καὶ ἡ χαμευνία, καὶ ἡ ἀλουσία, ἐξ ὧν δείκνυται ὅτι εἶχον οἱ πατέρες οἱ ἅγιοι κόμην, ἐπειδὴ καὶ ἀλουσίαν καὶ ῥυπαρίαν, καὶ ὅτι τὰ ἀλλόκοτα καὶ διερρηγμένα ἱμάτια ἐστὶ καλλίονα τοῦ σχήματος τῶν φρατόρων, τῶν φορούντων σάκκους καὶ σχοινία ἐπιτετηδευμένα καὶ τὰ σανδάλια τὰ ξύλινα.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς κουρᾶς τῶν Λατινοεπισκόπων κατὰ τὴν πρὸς Κηρουλλάριον ἐπιστολὴν τοῦ Ἀντιοχείας Πέτρου, καὶ τῆς Γαρράρας ἢ Παπαλήθρας τῶν Ἑλλήνων, νομίμου οὔσης, τῆς δὲ τῶν γενείων καὶ μύστακος κουρᾶς νεωτερισμοῦ.

Ὁ Ἀντιοχείας Πέτρος ἐπιστολῇ πρὸς τὸν Κυρουλλάριον λέγει, Τί γὰρ καὶ πρὸς ἡμᾶς τὸ ξυρᾶσθαι τοὺς Ἀρχιερεῖς (τῶν Λατίνων) τοὺς πώγωνας, καὶ ἡμεῖς Γάρραραν ἐπὶ τῆς κεφαλῆς ποιοῦμεν εἰς τιμὴν πάντως τοῦ Πέτρου, ὃ γὰρ εἰς ὕβριν οἱ δυσσεβεῖς τοῦ ἁγίου ἐφεῦρον, τοῦτο ἡμεῖς εἰς δόξαν αὐτοῦ καὶ τιμὴν πεποιήμεθα, Ῥωμαῖοι μὲν ξυρῶντες τοὺς πώγωνας, ἡμεῖς δὲ ἐπὶ κορυφῆς τὴν Παπαλήθραν ἐπιτηδεύοντες. Ἀλλὰ ῥητέον, ὅτι ὁ Πέτρος νομίζων ἀφήσειν τοὺς Πάπας τὴν περὶ τοῦ ἁγίου Πνεύματος βλασφημίαν καὶ τὰ λοιπὰ, ἅπερ λέγει ἐν τῇ ἐπιστολῇ αὐτοῦ, συνεβούλευσε τῷ Κωνσταντινουπόλεως συγκαταβατικώτερον οἰκονομῆσαι τὰ περὶ τῶν ἐλαττωμάτων τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ἵνα μὴ ἡ Ἐκκλησία σχισθῇ ἕνεκα τῆς κουρᾶς τῶν γενείων καὶ ἑτέρων τινῶν τοιούτων, ἀνακόλουθόν ἐστιν ὅμως ὅπερ εἶπεν, ὅτι δηλαδὴ ὡς οἱ Λατῖνοι ξυρῶνται τὸ γένειον, οὕτως ἡμεῖς ἐπιτηδεύομεν τὴν Παπαλήθραν, καθότι τὸ μὲν γένειον κείρεσθαι κεκώλυται ὑπὸ τῆς γραφῆς καὶ τῶν ἁγίων, ὡς εἴρηται ἀνωτέρω, ἡ δὲ Παπαλήθρα οὐκωλύεται, μάλιστα βεβαιοῦται ὑπὸ τῆς Οἰκουμενικῆς Συνόδου, ὡς εἴρηται, καὶ ὑπὸ τῶν ἁγίων, Ἱερωνύμου γράφοντος Αὐγουστίνῳ, Παρακαλῶ τὴν στεφάνην σου, καὶ Αὐγουστίνου γράφοντος Προκουλιανῷ Ἐπισκόπῳ, Μὰ τὴν ἡμετέραν στεφάνην. πορνικὸν δὲ στέφανον εἶπεν ὁ Μαργούνιος τὸν στέφανον τῶν μετὰ τὸ σχίσμα Λατίνων, ἐπειδὴ οἱ Ἀνατολικοὶ ἔκειρον καὶ κείρουσι καὶ ἄνωθεν καὶ κατωθεν ὀλίγον τὴν κόμην, τὸ δὲ μέσον ἐῶσιν ἄκουρον καὶ διόλου ἀδιάφθορον, καὶ οὕτω ποιοῦσι τὸν στέφανον, τουτέστι τὴν Παπαλήθραν. οἱ δὲ παπισταὶ ἄνωθεν μὲν καὶ κάτωθεν ξυρῶνται τὴν κόμην, τὸ δὲ μέσον κατατέμνουσι, καὶ μάλιστα συνεχῶς κείρουσι πρὸς καλλωπισμὸν, ἐπιξυρῶντες καὶ τὸ γένειον καὶ τὸν μύστακα, τινὲς δὲ καὶ τὰς ὀφρῦς, ἀνόμοιον ποιοῦντες τὴν στεφάνην αὐτῶν τῇ Παπαλήθρᾳ τῶν ἁγίων, καὶ ὥστινες νεανίσκοι καὶ νυμφίοι φαινόμενοι, ὅθεν ἡ τοιαύτη κουρὰ, εἰ καὶ στέφανος καλεῖται, ἀλλὰ νεωτέρισμα σχισματικὸν ὤν, οὐ νυμφικός ἐστιν, ἀλλὰ βδελυρὸς καὶ ἀποτρόπαιος. καὶ λοιπὸν δείκνυνται προφανῶς οἱ Πάπαι καὶ ἀπὸ τῆς κουρᾶς τῶν γενείων καὶ τοῦ προσώπου καὶ τῆς κόμης, τὴν καινοτομηθεῖσαν κατατομὴν τὸ ψυχόλεθρον ἐπαύξοντες σχίσμα. ῥητέον ὅμως καὶ τοῦτο, ὅτι ἡ Παπαλήθρα μαρτυρία καὶ σημεῖον ἦν κυρίως τοῦ σχήματος τῶν Κληρικῶν, οὐ μὴν καὶ διὰ τὸν Χριστὸν ἢ τὸν Πέτρον ἐγίνετο, ὅθεν ὡς παρατετραμμένως εἰσαγομένη ὑπὸ τῶν Λατίνων, ἀποβάλλει αὐτὴν ὁ Μαργούνιος. στεφάνην δὲ εἶπον Ἱερώνυμος καὶ Αὐγουστῖνος, οὐ τὴν Παπαλήθραν, ἀλλὰ τὴν Ἱερωσύνην, καὶ ἴδε τὸν Ἐπιφάνιον ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίῳ δεκάτῳ ὀγδόῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι οἱ ἐκ τῆς ἁγίας Κηρυλλαρίου ἐπιστολῆς τοῦ Πέτρου Ἀντιοχείας, καὶ ἐκ τοῦ μεγάλου Βασιλείου καὶ Παχωμίου σωιζωντες τὴν τῶν Μοναχῶν κρεωφαγίαν, ἐξ αὐτῶν τούτων δωνήσονται γνῶναι ὅτι οἱ κρεωφαγοῦντες τῶν Μοναχῶν οὐκ εἰσὶ ποιοῦσι.

Γράφει ὁ Ἀντιοχείας Πέτρος εἰς τὸν Κηρυλλάριον, ἐγκαλῶν τα Λατίνοις, χοίρειον σέαρ καὶ τὴν ὑπόδερμίδα ἐσθίουσι, καὶ φησιν, Ὁ μέγας Βασίλειος λέγει, συγχωρηθῆναι ὑπὸ τῶν πατέρων τοὺς Μοναχοὺς, τοὺς μὴ ἔχοντας καλὸν ἔλαιον, βάλλειν εἰς τὰ λάχανα ἢ εἰς τὰ ὄσπρια τυχὸν ὀλίγον σέαρ. ἔτι λέγει ὁ αὐτὸς Βασίλειος, Διαφορὰν βρωμάτων μὴ δεῖν ἔχειν μήτε ζητεῖν τὸν Ἀσκητήν. ἔτι ὁ Παχώμιος ἕτερος χοίρους, καὶ τὰ μὲν κρέατα ἐδίδου τοῖς ξενιζομένοις, τὰ δὲ ἄκρα, πόδας φημὶ καὶ κεφαλὰς σὺν τοῖς ἐντοσθίοις παρεῖχε τοῖς ἀσθενοῦσι Μοναχοῖς. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι τῷ Πέτρῳ ἦν ἡδὺ σύγχρονος ὁ Βουλγαρίας Θεοφύλακτος, ὅστις γράφων κατὰ τῶν Μοναχῶν τῶν Λατίνων, οἳ ἔτρωγον τὸν ζωμὸν τῶν κρεάτων, ἀποδιοπομπεῖται τὴν κρεωφαγίαν τῶν Μοναχῶν ὡς μὴ σωθησόντως γινομένην, ἔπειτα ὁ Βασίλειος συγχώρησιν ἐκ κρεωφαγίαν. ἀλλὰ τὸ βάλλειν σέαρ εἰς τὰ ὄσπρια ἢ λάχανα εἰς τόπον ἐλαίου, ὅπερ ἐκ εὑρίσκεται εἰς τὰ ὄρη τοῦ Πόντου, ὅπου ἦσαν τὰ Μοναστήρια, ὧν οἷς ἠσκήτευσεν ὁ Βασίλειος, πολὺ ἂν εἰσηκούσθη, μᾶλλον δὲ καὶ κατηγορήθη περὶ τούτου, ὅθεν καὶ ἀπελογήμην εἶπε τοῦτο. πρὸς δὲ τὸ δεύτερον, ὅτι αὐτὸς ἑαυτὸν ὑπεξηγήμην ὁ Βασίλειος ἐν σκότῳ κεφαλαίῳ τῶν Διατάξεων, φέγει τὴν κρεωφαγίαν καὶ τὴν παχεῖαν δίαιταν, καὶ ἐπαινεῖ τὴν ὀλίγον ἔχουσαν τὸ τρόφιμον. καὶ ἑβδομηκοστῷ πρώτῳ ὅρῳ, τὰ ἡδύτερα τῶν ἐδεσμάτων φιληδονίαν καλεῖ. καὶ ἐν τοῖς κατὰ πλάτος ὅροις τὰ δὲ τελέσερα καὶ δύποτα ὑποτίθησιν, οἷον ἔλαιον, καὶ τὰ τοιαῦτα, τὰ δὲ παραρτύματα ὑποβάλλει. πρὸς δὲ τὸ τοῦ Παχωμίου λέγομεν, ὅτι καὶ ἤδη ὅταν τις ἐκτακῇ, ἢ ἀσθενῇ εἰς κίνδυνον θανάτου, ἐκωλύει ἡ σωθῆναι δεῖναι αὐτῷ τοὺς Ἰατροὺς ἰατρικὸν, καθ' ὃν τρόπον καὶ τὸ σέαρ αὐτοῖς ἐλαίου ἐκ ἐν ἀνάγκῃ ἀπαγορευόμενον τὸν μονήρη βίον ἐτρώγουσι κρέας, μήτε παραβαίνουσι τὴν ὑπόδοσιν, ὅτι ἡ τοιαύτη βρῶσις ἐκ ἔστι κρεωφαγία, ἀλλὰ μαρτυρία τῆς παλαιπώρου καὶ πτωχοτάτης ζωῆς τῶν Μοναχῶν, ὥσπερ αὐτὸς ὁ μέγας λέγει Βασίλειος, ἀλλ' ὁλόγυρα καὶ τὸ κώλυμά ἐστι σωθῆναι τοὺς μὲν τὴν τοῦ σέατος τοιαύτην συγχώρησιν ἐπεκτεινομένους καὶ εἰς τὰ κρέατα, καὶ σωθῆναι τοὺς αὐτὰ ποδάγρας, ἢ ἄλλης συμβαινούσης ἀσθενείας κρεωφαγοῦντας, μάλιστα αὐτὰ τὰ λόγια Βασιλείου, Παχωμίου, Θεοφυλάκτου καὶ Πέτρου τὴν κρεωφαγίαν μαρτυροῦσι μὴ σωθησόμενοις τοῖς Μοναχοῖς, καὶ εἴη κἀκείνοις καὶ τὸ σέαρ συγχωρήθη, λέγει ὁ Βασίλειος, ὑπὸ τῶν πατέρων, καὶ ὅμως φανερόν ἐστιν, ὅτι μήτε αὐτὸ εἰς πρᾶξιν ἦλθεν. ὅτι δὲ ὅσοι Μοναχοὶ κρεωφαγοῦσι χωρὶς ἑτέρας ἀνάγκης, ἃ καλῶς τοῦτο ποιοῦσι, φανερόν ἐστι, λέγει γὰρ ἡ ἑβδόμη οἰκουμενικὴ Σύνοδος, Εἴτις πᾶσαν σωφρόνησιν ἐκκλησιαστικὴν ἀθετεῖ, ἀνάθεμα. ἀλλὰ καὶ οἱ Ἀρχιερεῖς τὸ πρῶτον, ὅτε ἐγένοντο, πολλοὶ αὐτῶν μὴ ὄντες Μοναχοὶ, εἶχον θέλημα ἐσθίειν, ἢ ἐγκρατεύεσθαι, ἀφ' ἑαυτοῦ δὲ σωφρονίσθη μὴ γίνεσθαι Ἐπισκόπους, πλὴν ἢ γονέσθαι Μοναχούς, μήτε αὐτοὺς κρεωφαγεῖν δεῖ, καὶ ὅσοι καταλύουσι, σωφρονεῖ τὸ πρέπον ποιοῦσιν, ἐπειδὴ μέγιστον τοῖς ἁπλοῖς τῶν Χριστιανῶν σωφρονοῦσι σκάνδαλον, καὶ σωφρονοῦσι τούτοις πᾶσι, πάντες οἱ κρεωφαγοῦντες Μοναχοὶ οὐδὲ ἀνάγκης, ἀμόνον τὴν ἀρχαίαν σωφρόνησιν σωφρονοῦσιν, ὅπερ ἐκ νόμον, ἀλλὰ γίνονται καὶ αἴτιοι πολλοῖς πολλῶν μέμψεων καὶ ἀτοπημάτων, φησὶ γὰρ ὁ Ἀπόστολος, Οὐ μὴ φάγω κρέας εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς τελευτῆς τῆς Ζωῆς καὶ Θεοδώρας τῶν βασιλίδων, καὶ βασιλείας Μιχαὴλ τοῦ Στρατιωτικοῦ, καὶ Ἰσαακίου Κομνηνοῦ, ἐξ ὧν αἱμάτων χύσεις, καὶ παραίτησις τοῦ Μιχαήλ.

Ἐτελεύτησεν ἡ Ζωὴ, καὶ ἀπέμεινεν ἡ Θεοδώρα, δύο ἔτη βασιλεύσασα μετὰ τὸν θάνατον τοῦ Μονομάχου. Θανούσης δὲ καὶ τῆς Θεοδώρας, ἐβασίλευσε Μιχαὴλ Στρατιωτικὸς τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ἑξηκοστῷ πέμπτῳ ἔτει, ἀνθρωπος ἀνωφελὴς καὶ ἄπρακτος, καὶ μὴ δυνάμενος φιλοδωρήσεσθαι ἵνα, δοὺς τὰ στρατεύματα εἰς τὴν Κασαμόνην τῆς Παφλαγονίας ἀνακηρύξεσι Βασιλέα Ἰσαάκιον τὸν Κομνηνὸν, καὶ ἔρχεται μετὰ τῶν δυναμένων εἰς τὸ Βυζαντίον μετὰ τοὺς πολλοὺς πολέμους καὶ τὰ ἀλλεπάλληλα συγγενῆ ῥωμαϊκὰ αἵματα. ἐμήνυσε δὲ ὁ Κηρυλλάριος τῷ Μιχαὴλ ἀναχωρῆσαι τῶν Βασιλείων, αὐτὸς δὲ ἠρώτησε, Καὶ ποίαν ἀμοιβὴν μοι ποιοῦσιν; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ, Τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ ἔτως ἀνεχώρησε, νομίζων τὴν ἀμοιβὴν μετὰ τοσαῦτα αἵματα, καὶ γνόμενος δ' γνώμων ὅτε οὐκ ἐδύνατο, καθὼς ὁ Σοφοκλῆς ἐσωφρόνει ὅτε κατηγόρασε.

ΠΑΡΑ-

ΠΑΡΆΓΡΑΦΟΝ Β'.

Ὅτι ὁ Βασιλεὺς Ἰσαάκιος τὴν πρόβλησιν τοῦ Οἰκονόμου καὶ Σκευοφύλακος τῇ Ἐκκλησίᾳ δοὺς, τὰς περιττὰς τῶν Μοναστηρίων περιουσίας ἀπέδωκε τῷ δημοσίῳ.

Ἰσαάκιος δὲ ὁ Κομνηνὸς, ἕως γὰρ τοῦ τότε καιροῦ μέγαν Οἰκονόμον καὶ Σκευοφύλακα προέβαλον οἱ Βασιλεῖς. τὴν μὲν ἐξουσίαν τοῦ προβάλλειν οἰκονόμον καὶ Σκευοφύλακα τῇ Ἐκκλησίᾳ ἀπέδωκε, τῶν δὲ Μοναστηρίων τὰ περιττὰ πράγματα ἔδωκεν εἰς τὸ δημόσιον, μόνα τὰ ἀρκετὰ ἀφεὶς τοῖς Μοναχοῖς, πρᾶγμα εἰς μὲν τοὺς αἰνήτους φαινόμενον βαρὺ, εἰς δὲ τοὺς φρονίμους ἐν Χριστῷ σφόδρα καλὸν, καθότι εἴργει τῶν Μοναχῶν τοὺς πολλοὺς περισπασμοὺς, καὶ τὴν χλιδῶσαν ζωὴν, καὶ τὸν φιλάργυρον τρόπον, καὶ ἔτι τοὺς γείτονας τῆς πλεονεξίας τῶν Μοναχῶν ἐλευθεροῖ. καὶ ἆρα οὐκ ἦν ὁ πλοῦτος τῶν Μοναχῶν φράγγων καὶ ὁ ἀδιάφορος αὐτῶν βίος ὁποιήσας αὐξῆσαι εὐκόλως τὸν Λουτεροκαλβινισμὸν εἰς τὴν Δύσιν;

ΠΑΡΆΓΡΑΦΟΝ Γ'.

Περὶ ἐξορίας Μιχαὴλ Κηρουλλαρίου τοῦ Κωνσταντινουπόλεως, καὶ διατὶ, καὶ τί φησι περὶ αὐτοῦ ὁ Σκυλίτζης, καὶ τὶ ὁ Ψελλὸς ψευδῶς αὐτοῦ κατεῖπε. καὶ περὶ τῆς ἀνακομιδῆς τοῦ λειψάνου αὐτοῦ, ἐνσχήματι εὐλογίας τῆς δεξιᾶς αὐτοῦ ἀναλλοιώτως ἱσταμένης.

Ἀλλ' ἔθωμεν εἰς τὸ πολυθρύλλητον αἰτίαμα τοῦ Κηρουλλαρίου. Ἱστορεῖ τοίνυν ὁ Σκυλίτζης, ὅτι ὁ Κηρουλλάριος οὗτος θέλων ἐξουσιάζειν τοῦ Βασιλέως Ἰσαακίου, καὶ μὴ εἰσακουόμενος, ἐφοβέριζεν αὐτὸν καὶ ἔλεγεν. Ἐγώσε ἔκτισα φοῦρνε, ἐγὼ καὶ κριμνήσωσε, σημαίνων ὅτι αὐτὸς ἐγένετο αἰτία τοῦ ἀναχωρῆσαι τὸν Μιχαὴλ, καὶ βασιλεῦσαι τὸν Ἰσαάκιον. καὶ ἔτι λέγει, ὅτι ἐβούλετο φορέσαι ὁ Κηρουλλάριος καὶ κοκκοβαφῆ πέδηλα, ὡς δῆθεν ἦν ἔθος τῇ παλαιᾷ Ἱερωσύνῃ, καὶ δεῖ κἂν τῇ νέᾳ τούτοις κεχρῆσθαι τὸν Ἀρχιερέα, Ἱερωσύνης γὰρ καὶ βασιλείας τὸ διάφορον ἢ οὐδὲν, ἢ ὀλίγον ἔλεγεν εἶναι. διὰ ταῦτα, ἑορτάζοντα ἐν προαστείῳ τοὺς Ἀρχαγγέλους, ἁρπάσας αὐτὸν στρατιωτικῇ χειρὶ ὁ Βασιλεὺς, ἐξώρισεν εἰς Προικόνησον μετὰ τῶν ἀνεψιῶν αὐτοῦ, πλουτούντων καὶ μέγα δυναμένων. ζητοῦντος δὲ τοῦ Βασιλέως τὴν παραίτησιν αὐτοῦ, οὐκ ἐδίδου αὐτὴν, ὅθεν ὁ Ψελλὸς συνέταξεν αἰτιάματα καθαιρέσεως; ὡς λέγει ὁ Ζωναρᾶς, κακῶς καὶ εἰπὼν καὶ γράψας, καθότι ὁ Κηρουλλάριος ἦν εὐσεβέστατος δίκαιός τε καὶ ἅγιος καὶ κατὰ πάντα ἀνέγκλητος, καὶ ἔδειξεν ἡ πεῖρα. κοιμηθέντος γὰρ τοῦ Κηρουλλαρίου εἰς Προικόνησον, μεταμεληθεὶς ὁ Βασιλεὺς, ἔφερε τὸ λείψανον αὐτοῦ εἰς τὸ Βυζάντιον, καὶ ἔθαψεν αὐτὸ εἰς τὴν Μονὴν αὐτοῦ, οὗ ἡ χεὶρ ἦν ἐσχηματισμένη σταυροειδῶς, καθὼς ὅτε εὐλόγει τὸν λαὸν, καὶ ἔμεινεν ἄτρεπτος, μὴ ἀλλοιωθεῖσα τῇ νεκρώσει τοῦ σώματος, ὅθεν ἐξεπλάγησαν ἅπαντες. καὶ διὰ τὸ ἑνὶ θαύματι καὶ μόνῳ βεβαιωθῆναι τὸν Κηρουλλάριον ἅγιον, μὴ σκανδαλιζέσθωσαν Λατῖνοι, οἵτινες τὸν ἐπὶ τούτου Πάπαν Λέοντα τὸν ἔνατον μιᾶς ἕνεκεν καὶ μόνης ἐπιστολῆς, ἣν ἔγραψε πρὸς τὸν Κηρουλλάριον, συνιστώσης τὴν εἰς τὸ Σύμβολον προσθήκην, ἔχουσιν ἅγιον, καίπερ ἕνεκεν μόνου τούτου τοῦ καινοτομήματος ἐστὶ μάλιστα κατάκριτος ὁ Λέων, καίτοι γε ἐνέχεται καὶ ἄλλοις. ὁ δὲ Μιχαὴλ ὁ Κηρουλλάριος διὰ τὸ ἀγωνισθῆναι ὑπὲρ τῆς ὀρθοδοξίας, ἐστὶ καὶ λέγεται ἅγιος.

ΠΑΡΆΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς λύσεως τοῦ αἰτιάματος, ὅ ἐστιν, ὅτι ἵνα ὁ Κηρουλλάριος τὰ κοκκοβαφῆ πέδηλα φορῇ, καὶ ἄρχῃ μόνος τῶν Πατριαρχῶν πρωτεύων, ἔσχισε τὴν Ἐκκλησίαν, καὶ ὅτι οὐ τοῦτο, ἀλλ' ἡ ἐν τῷ Συμβόλῳ προσθήκη αἴτιον τῆς σχίσεως.

Λύεται δὲ καὶ τὸ αἰτίαμα τὸ, ἵνα φορέσῃ τὰ κοκκοβαφῆ ἔσχισε τὴν Ἐκκλησίαν, ἐφ' ᾧ εἶναι αὐτὸν πρῶτον τῶν Πατριαρχῶν, καὶ φορεῖν αὐτὰ ὡς καὶ ὁ Πάπας, πρῶτον, ὅτι ἐκ τῶν δοκίμων μόνος ὁ Σκυλίτζης τοῦτο λέγει, καὶ οὐ γινώσκομεν ἢ ἀληθεύει, ἢ ἐστὶ τῶν ἐχθρῶν προσθήκη εἰς τὴν ἱστορίαν. εἰ δὲ λέγει τοῦτο καὶ ὁ Μετοχίτης καὶ ὁ Νέποτας, ἀλλ' εἰσὶ σχισματικοὶ ὑστερογενέστεροι, καὶ ἀναμφιβόλως συκοφάνται ὡς καὶ ἐν ἄλλοις πολλοῖς. δεύτερον, ὅτι εἰ ἦν τοῦτο ἀλήθεια, ἔλεγον αὐτὸ πάντες οἱ σοφοὶ τῶν παπιστῶν, καὶ ἐπὶ τῶν Συνόδων, καὶ μάλιστα ἐν τῇ Φλωρεντείᾳ, ὅπου ἐγένετο ὁμέγιστος ἀγὼν περὶ τῆς προσθήκης. τρίτον, ὅτι ὁ Λέων ἐχρημάτισε Πάπας ἐν τῷ χιλιοστῷ τεσσαρακοστῷ ἐνάτῳ ἔτει, καὶ ἀπέθανεν ἐν τῷ χιλιοστῷ πεντηκοστῷ τετάρτῳ, καὶ ἐν τῷ ἀναμεταξὺ γέγονε καὶ τὸ αἰτίαμα καὶ ἡ Σύνοδος ὑπὸ τοῦ Κηρουλλαρίου διὰ τὴν προσθήκην. ὁ δὲ Κηρουλλάριος ὅτε, ὡς λέγουσιν, ἐζήτει φορέσαι τὰ κοκκοβαφῆ, ἦν περίπου τὰ χίλια ἑξήκοντα ἔτη, ὅτε ἦν Πάπας Νικόλαος ὁ δεύτερος. καὶ ἡ μὲν Σύνοδος ἡ πρὸς ἀποβολὴν τοῦ Πάπα, γέγονεν ἐπὶ Κωνσταντίνου τοῦ Μονομάχου, τὸ δὲ φρόνημα περὶ τῶν κοκκοβαφῶν πεδήλων γέγονε μεσα-

ταῦτα

ταῦτα ἐπὶ Ἰσαακίου τοῦ Κομνηνοῦ, καὶ μάλιστα οὐκ ἐφόρεσεν αὐτὰ, ἀλλ' ἔλεγεν αὐτὰ φορέσαι. καὶ εἰ ἦν τὸ σκάνδαλον τοῦ Κηρουλλαρίου διὰ τὰ κοκκοβαφῆ, πῶς γενομένης τῆς Συνόδου καὶ τῆς ἀποβολῆς τοῦ Πάπα, ἐπιζήσας τοσοῦτον καιρὸν οὐκ ἐφόρεσεν αὐτά; τέταρτον, ὅτι οὐκ ἔλεγεν αὐτὰ φορέσαι αὐτὸς, καὶ μὴ οἱ ἄλλοι Πατριάρχαι καὶ Ἀρχιερεῖς, ἀλλ' ἔλεγεν ὅτι Βασιλέως καὶ Ἀρχιερέως τὸ διάφορον ἢ οὐδὲν, ἢ ὀλίγον, ὥστε τὸν λόγον, ἢ πλάσμα εἶναι, ἢ μήτε πρῶτος τῶν Πατριαρχῶν ἐζήτει εἶναι ὁ Κηρουλλάριος, μήτε μονάρχης εἰς τὴν Ἐκκλησίαν, καὶ μήτε διὰ τοῦτο ἤθροισε Σύνοδον κατὰ τοῦ Ῥώμης, ἀλλὰ διὰ τὴν προσθήκην μάλιστα. εἰ γὰρ καὶ ἦσαν, καὶ εἰσὶ καὶ ἄλλα σφάλματα τῶν Λατίνων, ἀλλὰ καὶ ὁ Κηρουλλάριος καὶ ὁ Ἀντιοχείας Πέτρος καὶ οἱ λοιποὶ Πατριάρχαι καὶ οἱ τότε καὶ οἱ πρὸ αὐτῶν ἐσιώπων εἴς τινα, ἤλεγχον δὲ καί τινα, καὶ ἴδε τὴν Πέτρου ἐπιστολὴν πρὸς τὸν Κηρουλλάριον. ὅτε δὲ εἰσήχθη ὁ κολοφὼν τῆς ἀσεβείας ἡ προσθήκη, οὐκ ἐγένετο ἀνοχὴ, ἀλλὰ κατὰ τὸ εἰκὸς προσκαλεῖται εἰς κρίσιν καὶ ἀπολογίαν ὁ Ῥώμης, καὶ μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν, ἤτοι τὴν ὑπὸ Σεργίου τὸ πρῶτον, καὶ ὕστερον ὑπ' αὐτοῦ τοῦ Κηρουλλαρίου μὴ καταδεξάμενος τὴν ὑγιαίνουσαν διδασκαλίαν, ἀλλὰ τυφωθεὶς, ἀπερρίφη ὡς σεσηπὸς μέλος, καὶ ὅλως ἀνίατον. λέγει γὰρ ὁ Θεὸς τῷ Μωϋσεῖ, Ἀποσχίσθητε ἀπὸ τῶν ἀνδρῶν τούτων, ἵνα μὴ συναπόλησθε.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ τῶν ἀνωτέρω εἰρημένων, καὶ τῶν ἐνταῦθα, τὸ χάριν τῶν κοκκοβαφῶν πεδήλων τὸν Κηρουλλάριον σχίσαι τὴν Ἐκκλησίαν, δείκνυται ψευδεπίπλαστον, καὶ περὶ τῶν αἰτιῶν τοῦ πολλάκις γενομένου σχίσματος καὶ αὖθις ἑνώσεως τῆς Ἐκκλησίας, καὶ τῆς τελείας ἀποβολῆς τῶν δυτικῶν διὰ τὸ δόγμα τῆς προσθήκης.

Ἐπιλεκτέον, ὅτι ἀπὸ τῶν εἰρημένων ἀναγκαίων πραγμάτων φανερὸν ἐστὶν εἶναι ψευδεπίπλαστον τὸν λόγον, ὅτι ἐζήτει δηλονότι ὁ Κηρουλλάριος φορέσαι τὰ κοκκοβαφῆ καὶ ἐρυθρά. εἰ δὲ προβάλλουσι τὸ θέσπισμα τοῦ Κωνσταντίνου δεδωκέναι τὰ τοιαῦτα τῷ Πάπᾳ Ῥώμης, καὶ διὰ τοῦτο ἐζήτει αὐτὰ καὶ ὁ Κωνσταντινουπόλεως, ἀλλὰ καὶ τὸ θέσπισμα ψευδεπίπλαστον ἀπεδείχθη, καὶ τὰ κοκκοβαφῆ καινοτομία ἐστὶ προφανής. πῶς δὲ ὁ πανεύφημος Κηρουλλάριος ἀπὸ ἀθέσμου καινοτομίας ἐζήτει τιμᾶσθαι; ἐπιλέγει Γεώργιος ὁ Μετοχίτης περὶ τοῦ Κηρουλλαρίου, Ἡνίκα ἡ κατὰ τοῦ Πάπα βασίλειος ἀγανάκτησις ἔνθεν κορυφωθεῖσα καταφέρεται ῥύμῃ πολλῇ τῆς ἑνωτικῆς ἀλληλουχίας ἑκατέρων Ἐκκλησιῶν, κἄκ τινων συμπτωμάτων κοσμικωτέρων τὰς ἀρχὰς λαβοῦσα τῶν αἰτιῶν τὰ ἐκκλησιαστικὰ τέλεον διϊστᾷ, καὶ εἰς τέλεον συνελαύνει διάλυσιν. πρὸς ταῦτα τοῦ Μετοχίτου ῥητέον, ὅτι ὡς γράφει ὁ ἅγιος Νικηφόρος ἐν τῇ πρὸς τὸν Πάπαν Λέοντα ἐνθρονιαστικῇ αὐτοῦ ἐπιστολῇ, ὁ μετὰ Κωνσταντῖνον καὶ Εἰρήνην Αὐτοκράτωρ Φωκᾶς, διὰ τὸ τὸν Πάπαν στέψαι τὸν Κάρολον Βασιλέα, καὶ ὁπωσδήποτε γεγονέναι συνεργὸν τῆς πρὸς τὴν βασιλείαν Ῥωμαίων αὐθαδείας αὐτοῦ, ἔλεγε τῷ ἁγίῳ Νικηφόρῳ, ὅτι ὁ Πάπας ἑαυτὸν τῆς ἐκκλησίας ἀπέρρηξεν, ὅθεν καὶ ἐκώλυσεν αὐτὸν γράψαι τῷ Πάπᾳ, ἀποθανόντος δὲ τοῦ Φωκᾶ, ἔγραψεν ὁ Πατριάρχης πρὸς τὸν Πάπαν, καὶ ἴδε ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου ὀγδόου Παράγραφον ἕκτον. καὶ τοῦτο διατί; ἐπειδὴ οὐδὲν ἦν τότε ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ εἰσενεχθὲν δόγμα Αἱρέσεως, ἵνα καὶ τὸ ἐμπόδιον γένηται ἀδιάλειπτον, ἀλλὰ μόνον κοσμικῆς ὑποθέσεως αἰτίαμα. ὥστε καὶ ἐνταῦθα, εἰ ὁ Κηρουλλάριος ἵνα φορῇ τὰ κοκκοβαφῆ καὶ ἐρυθρὰ προὐξένησε τὴν Σύνοδον καὶ τὸ σχίσμα, συμπεριλαβὼν εἰς βοήθειαν καὶ τὴν βασιλικὴν ἀγανάκτησιν κατὰ τοῦ Πάπα, πῶς, ὡς εἴρηται, οὐκ ἐφόρεσεν ὧνπερ ἐπεθύμει κοκκοβαφῶν; καὶ τέως πῶς οἱ μετ' αὐτὸν Κωνσταντινουπόλεως, ἢ οἱ λοιποὶ Πατριάρχαι, ἢ τὶς αὐτῶν, ἢ οἱ μετὰ τὸν Μονομάχον Βασιλεῖς οὐκ ἐφρόντισαν ἑνῶσαι τὰς Ἐκκλησίας, ὡς τυχὸν καινοτομήσας καὶ κακουργήσας ὁ Κηρουλλάριος ἔσχισεν; ἀλλὰ δὴ κἀκεῖνο ῥητέον, ὅτι ἐπὶ τοῦ Κωνσταντίου οἱ Κωνσταντινουπόλεως Ἐπίσκοποι Εὐσέβιος καὶ Εὐδόξιος ἐποίησαν σχίσμα πρὸς τὴν Ἐκκλησίαν Ῥωμαίων, ἀλλ' ὁ Βασιλεὺς Θεοδόσιος καὶ ὁ Θεολόγος Γρηγόριος ἐποίησαν τὴν ἕνωσιν. ὁ Ἀρσάκιος καὶ Ἀττικὸς ἐποίησαν σχίσμα πρὸς τὴν ῥωμαϊκὴν Ἐκκλησίαν ἐπ' αἰτίᾳ τοῦ Χρυσοστόμου, ἀλλ' ὁ Ἀττικὸς φροντίσας, εἰρηνοποίησε τὰς Ἐκκλησίας. διάστασις ἦν ἀναμεταξὺ Φλαυϊανοῦ Ἀντιοχείας καὶ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, ἀλλὰ πάλιν ὁ Βασιλεὺς Θεοδόσιος ὁ μέγας καὶ ὁ Ἀλεξανδρείας Θεόφιλος φροντίσαντες, εἰρήνευσαν τὰς Ἐκκλησίας. αἱ Ἐκκλησίαι Κωνσταντινουπόλεως καὶ Ῥώμης ἐσχίσθησαν ἐπὶ Ἀκακίου Κωνσταντινουπόλεως καί τινων μετ' αὐτὸν ἀπὸ τῶν Παπῶν Σιμπλικίου καὶ Φίληκος, ἀλλ' ὁ Βασιλεὺς Ἰουστῖνος καὶ ὁ Κωνσταντινουπόλεως Ἰωάννης ὁ Καππάδοξ καὶ ὁ Πάπας Ὁρμίσδας φροντίσαντες, εἰρήνευσαν αὐτάς. ὁ Σέργιος, Πύῤῥος, Παῦλος καὶ Πέτρος οἱ Κωνσταντινουπόλεως Πατριάρχαι προὐξένησαν μέγα σχίσμα τῶν Ἐκκλησιῶν Κωνσταντινουπόλεως καὶ Ῥώμης ἐπὶ Σεβερίνου, Ἰωάννου, Θεοδώρου, Μαρτίνου καὶ τῶν ἕως Ἀγάθωνος Παπῶν, ἀλλ' ὁ Αὐτοκράτωρ Κωνσταντῖνος ὁ Πωγωνᾶτος φροντίσας, εἰρήνευσεν αὐτάς. ὁ Ἀναστάσιος, Νικήτας, Κωνσταντῖνος καὶ οἱ μετ' αὐτοὺς Εἰκονομάχοι Κωνσταντινουπόλεως Πατριάρχαι ἐποίησαν σχίσμα τῶν αὐτῶν Ἐκκλησιῶν, ἀλλ' ὁ μέγας Ταράσιος ἐπιμεληθεὶς, τὴν εἰρήνην ἀπέδωκε ταῖς Ἐκκλησίαις. καὶ διατὶ ταῦτα; ἢ δῆλον, ὅτι τότε τὰ σχίσματα ἐγίνοντο οὐμόνον διὰ πάθη ἀνθρώπινα, ἀλλὰ καὶ διὰ τὰς Αἱρέσεις τῶν Πατριαρχῶν, ἐγίνετο δὲ ἡ ἕνωσις τῶν Ἐκκλησιῶν, ὅτι ἀνεπί

ἀνεπίληπτος ἦν ἐν τοῖς δόγμασιν ἡ ῥωμαϊκὴ Ἐκκλησία, ὅθεν γινομένων μετὰ τὰς διαστάσεις Βασιλέων καὶ Πατριαρχῶν ὀρθοδόξων ἐν Κωνσταντινουπόλει, ἐγίνετο καὶ ἡ ἕνωσις. νῦν δὲ αἰτία ἐστὶν ἡ ψυχοφθόρος προσθήκη καὶ ἡ ἀντιχριστιανικὴ μοναρχία καὶ ἄλλα λοιπὰ ψυχοφθόρα, ἅτινα εἰσάξασα ἡ ῥωμαϊκὴ Ἐκκλησία ἐν τῇ καθολικῇ, ἀπέῤῥηξεν ἑαυτὴν τῆς καθολικῆς. καὶ πάντες οἱ ὀρθόδοξοι Βασιλεῖς καὶ πάντες οἱ Πατριάρχαι τῶν μεγάλων καὶ ἀποστολικῶν θρόνων ἀλληλοδιαδόχως, ἕως ἂν μὴ γένηται παρὰ τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἀποβολὴ τῶν παρ' αὐτῆς εἰσενηνεγμένων ἐν τῇ καθολικῇ, καὶ διὰ Συνόδων καὶ διὰ συγγραμμάτων καὶ διὰ τῶν συνήθων πρὸς τοὺς Αἱρετικοὺς καὶ πατροπαραδότων ἀγώνων ἀποβάλλουσιν αὐτὴν, καὶ ξένην καὶ ἀλλοτρίαν ἡγοῦνται τῆς καθολικῆς Ἐκκλησίας, καὶ πάντα τὸν τὰ τοιαῦτα ἢ ἀποδεχόμενον, ἢ συγχωροῦντα, ἔχουσιν ἀσυγχώρητον. οὐδὲν οὖν καὶ ἐκ τοῦ πρὸς τὸν Κηρουλλάριον τούτου αἰτιάματος ὠφελήθησαν οἱ καινοτομήσαντες ἐν τοῖς ἐκκλησιαστικοῖς δόγμασι.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ὁ Χάληφες Δαβέρων τοῦ ἀνακτισθέντος μέρους τῆς Ἱερουσαλὴμ τῇ τοῦ Μονομάχου βοηθείᾳ τὴν ἐξουσίαν τοῖς Χριστιανοῖς δεδωκὼς, κριτὴν τὸν Ἱεροσολύμων τῶν Χριστιανῶν κατέστησε. καὶ περὶ τοῦ ἀπὸ Γερμανίας πλήθους εἰς προσκύνησιν τοῦ ἁγίου τάφου ἐλθόντος, ἐν οἷς καὶ ὁ ἱστορικὸς Ἴγγουλφος.

Σημείωσαι ὅμως, ὅτι εἰς τούτους τοὺς καιροὺς ἐτελείωσαν οἱ Χριστιανοὶ καὶ ἓν καλὸν μέρος τῶν τειχῶν τῆς Ἱερουσαλὴμ διὰ τῶν δόσεων καὶ ἐλεημοσυνῶν τοῦ Μονομάχου Κωνσταντίνου, ἐπέτυχον δὲ ἀπὸ τοῦ τότε Χαληφὲ Δαβέρων καὶ τοῦ μέρους, ὅσον ἐκτίσαν, ἵνα δηλονότι αὐτοὶ κυριεύωσιν αὐτοῦ, καὶ ἵνα μὴ ἄλλος ἔχῃ κρίνειν αὐτοὺς, ἀλλ' ἢ μόνον ὁ Πατριάρχης αὐτῶν, ἦν δὲ τότε Πατριάρχης Ἱεροσολύμων ὁ Νικηφόρος κατὰ τὸν Γενεβράρδον. εἰς δὲ τὸ χιλιοστὸν ἑξηκοστὸν τέταρτον ἔτος ἀπὸ Χριστοῦ συνήχθησαν ἑπτὰ χιλιάδες χριστιανοὶ, ἵνα ἀπέλθωσιν εἰς προσκύνησιν τῶν ἁγίων τόπων, ὡς ἱστορεῖ ὁ Σκότος Μαριανὸς, ὅστις λέγει, ὅτι ἐξῆλθον δύο πρῶτοι Ἀρχιερεῖς ἀπὸ τῆς Γερμανίας καὶ δύο Ἐπίσκοποι μετὰ πολλῆς παῤῥησίας καὶ πολυτελείας, ὅθεν δικαίως καὶ ψέγονται τῆς ἀγνωσίας, ὅτι εἰς τόσην τουρκίαν καὶ ξενιτείαν ἐβάδιζον μετὰ τόσης πλείστης ἀλαζονείας τόσαι χιλιάδες ἄνθρωποι, καὶ αὐτοὶ μετὰ βίας. εἷς ἐξ αὐτῶν ἦν ὁ Ἴγγουλφος ὁ ἱστορικὸς τοῦ Ῥηγὸς τῆς Ἐγκλιτέρας, ὅστις γράφει καὶ ταῦτα; Ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Δούκα ἀπῆλθον οἱ ἄνωθεν εἰς τὰ Ἱεροσόλυμα, ὄντος Πατριάρχου τῶν Ἱεροσολύμων τοῦ Σωφρονίου, ἱεροπρεποῦς σφόδρα καὶ τρισαγίου, ὅστις ἐκεῖνο τὸ πλῆθος ἐδέξατο μετὰ κυμβάλων καὶ ὕμνων, καὶ πολλῆς φωτοφυσίας κηρῶν καὶ λαμπάδων. ἰδόντες γοῦν τὰ Μοναστήρια κατηφανισμένα ὑπὸ τοῦ Σουλτάνου Σχὶν, ὦ πόσα ἐχέαμεν δάκρυα, ἐπορεύθημεν ὅμως εἰς τὸν Ἰορδάνην, καὶ ἐπλύθημεν οὐκ ἄνευ ἀναστεναγμοῦ καὶ εὐλαβείας, ἔπειτα κατέβημεν εἰς τὸ Γιάφα, καὶ ὡδεύσαμεν εἰς τὰ ἴδια.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ Κοσμᾶ Ἱεροσολυμίτου, τοῦ μετὰ Ξιφιλῖνον Πατριάρχου Κωνσταντινουπόλεως, ἐπὶ Μιχαὴλ τοῦ Παραπινάκη, καὶ περὶ τοῦ ἐπὶ Νικηφόρου Βοτανειάτου πολέμου ἐν Ῥώμῃ ἐμφυλίου μετὰ Ἐνρίκου Βασιλέως Ἀλαμανίας καὶ Σαξόνων διὰ τοῦ Πάπα Γρηγορίου τοῦ ἑβδόμου, τοῦ αἰσχρὰν πρᾶξιν τοῖς τοῦ Ἐνρίκου πρέσβεσι ποιήσαντος, ὡς ἱστορεῖ ἡ Ἀλεξιὰς Ἄννα.

Ἐπὶ Μιχαὴλ τοῦ Παραπινάκη, μετὰ τὸν Ξιφιλῖνον Ἰωάννην ἐχειροτονήθη Πατριάρχης Κωνσταντινουπόλεως Κοσμᾶς Μοναχὸς ἐξ Ἱεροσολύμων, ἐνάρετος λίαν καὶ σώφρων. τὸν δὲ Μιχαὴλ ἐξέβαλε τῆς βασιλείας Νικηφόρος ὁ Βοτανειάτης, καὶ ἠνάγκασεν αὐτὸν γενέσθαι Μοναχὸν, καὶ ὕστερον καὶ Ἐφέσου Μητροπολίτην. ἱστορεῖ δὲ ἡ Ἀλεξιὰς Ἄννα εἰς τὸ πρῶτον βιβλίον τῆς ἱστορίας αὐτῆς, ὅτι εἰς τὸν καιρὸν τοῦ Νικηφόρου τούτου ὁ Πάπας τῆς Ῥώμης (Γρηγόριος ὁ ἔνατος δηλονότι) ἐκίνησε πόλεμον φρικτὸν κατὰ τοῦ Βασιλέως τῆς Ἀλαμανίας, ἤγουν Ἐνρίκου τοῦ τετάρτου. καὶ ὁ μὲν Γρηγόριος ᾐτιᾶτο τὸν Ἐνρῖκον, ὅτι ἀπὸ τῶν Ἐπισκόπων οὓς προεχειρίζετο εἰς τοὺς τόπους τῆς ἡγεμονίας αὐτοῦ, ἐλάμβανε δῶρα ὁ Ἐνρῖκος, καὶ τινὰς προέβαλεν ἀναξίους ὄντας τοῦ Ἐπισκοπικοῦ ἀξιώματος. ὁ δὲ Ἐνρῖκος ἐνεκάλει τῷ Γρηγορίῳ ὅτι ἐστὶ τύραννος, ἐπειδὴ χωρὶς τῆς γνώμης αὐτοῦ ἔλαβε τὸν θρόνον τῆς Ῥώμης, καὶ εἰς τὰ ἄνωθεν αἰτιάματα ἐχρήσατο κατ' αὐτοῦ ἀναίσχυντα λόγια, καὶ λοιπὸν ἐὰν μὴ ἀναχωρήσῃ ἑκουσίως ἀπὸ τοῦ θρόνου ὃν ἥρπασε, διωχθήσεται ἀκουσίως αὐτοῦ. ὁ δὲ Γρηγόριος λαβὼν τὰ τοιαῦτα γράμματα ἀπὸ τῶν πρέσβεων τοῦ Ἐνρίκου, ἐμαίνετο, καὶ πρῶτον μὲν τὰς κόμας αὐτῶν καὶ τὰς γενειάδας, τὰς μὲν ξυρῷ, τὰς δὲ ψαλιδίῳ ἀπέκειρε, καὶ ἐποίησεν αὐτοῖς καὶ ἑτέραν τινὰ καταισχύνην, ὥστε Ἄννα Ἀλεξιὰς, ἡ ταῦτα εἰς τὸ πρῶτον βιβλίον τῆς ἱστορίας αὐτῆς λέγουσα, γράφει, ὅτι γυνὴ οὖσα καὶ βασιλόπαις, ᾐσχύνθη γράψαι τὸ εἶδος τῆς αἰσχύνης, μάλιστα λέγει, τοιοῦτον ἦν τὸ ἔργον τοῦ μακαριωτάτου

Πάπα

Πάπα, τοῦ καθεζομένου εἰς τὸν τόπον τοῦ Πέτρου, καὶ ἔχοντος ἀξίωμα ἀπὸ τοῦ Εὐαγγελίου μὴ σφάλλειν, ὥστε ἵνα μὴ μολύνῃ τὸν γραφικὸν αὐτῆς κάλαμον οὐκ ἔγραψεν αὐτὸ, ὅτι μήτε χριστιανικὸν ἔργον ἦν. ὦ δίκη, τοιαῦτα τὰ ἔργα τοῦ Ἀρχιερέως, καὶ Ἀρχιερέως τοῦ πρώτου, καὶ προκαθημένου τῆς Οἰκουμένης καθώς περ οἱ Λατῖνοι λέγουσιν. ὁ οὖν κατάπτυστος οὗτος Πάπας, λέγει ἐκείνη ῥητῶς, ποιήσας ἐκείνην τὴν ἀπάνθρωπον αἰσχύνην εἰς τοὺς πρέσβεις, καὶ πέμψας αὐτοὺς εἰς τὸν Ἐνρῖκον, ἐκίνησεν ἐμφύλιον πόλεμον, ὁ Τοποτηρητὴς φημιζόμενος τοῦ εἰρηνοποιοῦ καὶ πρᾴου Χριστοῦ. καὶ πρῶτον μὲν ἐζήτει στέψαι Καίσαρα τὸν Ῥομπέρτον Δοῦκαν, καὶ ἀποβαλεῖν τὸν Ἐνρῖκον, καὶ ἐπεὶ ὁ Ῥομπέρτος μαχόμενος τοῖς Ῥωμαίοις οὐκ ἤκουσεν αὐτοῦ, παρεκίνησε τοὺς Σάξονας καὶ τοὺς Δούκας αὐτῶν Λαντοῦλφον καὶ Ὀβέλκον μετὰ ὑποσχέσεως, ὅτι ποιήσει αὐτοὺς ἐξουσιάσαι ὅλης τῆς Δύσεως. οὕτως ὁ Πάπας εἶχεν εὔκολον τὴν χεῖρα χρίειν, παρακούων τοῦ Παύλου λέγοντος Τιμοθέῳ, Χεῖρας μηδενὶ ταχέως ἐπιτίθει. τὸν οὖν Δοῦκαν τῆς Λογγιβαρδίας ἔστεφε, καὶ τοὺς Σάξονας ὁμοίως, ὁ δὲ Ἐνρῖκος καὶ αὐτὸς ἦν ἡτοιμασμένος, καὶ ἐκχέονται ἐν μιᾷ ἡμέρᾳ τριάκοντα χιλιάδων Χριστιανῶν αἵματα, καὶ πίπτει ὁ Λανδοῦλφος, καὶ τρέχει ὁ Ἐνρῖκος εἰς πόλεμον κατὰ τῆς Ῥώμης, εἰς ἣν μετὰ δόλου εἰσελθὼν, ἔκτεινε καὶ ἀπέκτεινε καὶ ἀπεστέρησε τοὺς Πάπας τῶν εἰσοδημάτων, ἀπέκτειναν δὲ καὶ οἱ Ῥωμᾶνοι πολλοὺς τῶν τοῦ Ἐνρίκου. ὕστερον δὲ βουλομένου τοῦ Ἀλαμάνου ἐλθεῖν κατὰ τοῦ Ῥομπέρτου διὰ παρακινήσεως τοῦ Κομνηνοῦ Ἀλεξίου, ἐξῆλθεν ὁ Πάπας ἅμα τῷ Ῥομπέρτῳ κατὰ τοῦ Ἐνρίκου. τοιοῦτος ὁ Ῥώμης, ὁ ἀποστάτης καὶ τύραννος, καὶ ἀνίερος, ὁ διὰ ἀφροσύνην αὐτοῦ ἐκχέας τόσα αἵματα, καὶ γεγονὼς τοσούτων σκανδάλων αἴτιος.



ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ ἐξώσεως ἀπὸ τῆς βασιλείας Νικηφόρου Βοτανειάτου καὶ μονάσεως αὐτοῦ, καὶ βασιλείας Ἀλεξίου Κομνηνοῦ, καὶ ἐξορίας Λέοντος τοῦ Χαλκηδόνος, καὶ διατί.

Ἐκβάλλει τὸν Βοτανειάτην ὁ Κομνηνὸς Ἀλέξιος, καὶ ποιεῖ αὐτὸν Μοναχὸν, καὶ βασιλεύει αὐτὸς ἐν ἔτει τῷ σωτηρίῳ χιλιοστῷ ὀγδοηκοστῷ πρώτῳ. Ἐπὶ τούτου διὰ τοὺς συνεχεῖς πολέμους τοῦ Δούκα Λογγιβαρδίας Ῥομπέρτου, χρείας οὔσης χρημάτων, ἔλαβον ἀπὸ τῶν Ἐκκλησιῶν, ὡς καὶ ἐπὶ Ἡρακλείου, τινὰ ἀργυρᾶ καὶ χρυσᾶ μετὰ ὑποσχέσεως τοῦ ἀποδοῦναι αὐτὰ πάλιν. ὁ δὲ Χαλκηδόνος Μητροπολίτης Λέων, ἐνάρετος, ἀλλ' ἀγράμματος καὶ προπέτης, ἐκβάλλων τὸ ἀργύριον καὶ χρυσίον, ὅπερ ἦν εἰς τὰς πόρτας τῶν Χαλκοπρατείων, ἔρριπτεν αὐτὸ εἰς τὴν ἐξουσίαν ἀτάκτως, ἀπαυθιαζόμενος εἰς τὸν ἀδελφὸν τοῦ Βασιλέως, μὴ γινώσκων λόγον οἰκονομίας καὶ ἀκριβείας, καὶ προσέτι τὸν λόγον τῶν κειμηλίων. ἐλθόντος δὲ τοῦ Βασιλέως ἀπὸ τοῦ πολέμου, ἐποίει τὰ ὅμοια. ἀθροίσαντος δὲ τοῦ Βασιλέως Σύνοδον περὶ τῶν ληφθέντων ἀπὸ τῶν Ἐκκλησιῶν, ὁ Λέων ἔτι γε ἔλεγεν εἰς τὴν Σύνοδον, ὅτι ἡμεῖς λατρευτικῶς, καὶ οὐχὶ σχετικῶς προσκυνοῦμεν τὰς Εἰκόνας, ὑπ' ἀγροικίας καὶ ἀμαθίας κακῶς καὶ λέγων καὶ φρονῶν. ὅθεν μὴ παραιτούμενος ἀσχημονεῖν, ἐξορίζεται εἰς Σωζόπολιν, καὶ ἴδε εἰς τὸ πέμπτον τῆς Ἀλεξιάδος.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ Αἱρέσεως Ἰταλοῦ τινὸς ὑπάτου τῶν Φιλοσόφων, καὶ τῆς παρὰ τοῦ λαοῦ ἐπελθούσης αὐτῷ ἀνάγκης, καὶ τῆς μεταβολῆς αὐτοῦ, ἐπὶ Εὐστρατίου Κωνσταντινουπόλεως, ὡς ἱστορεῖ ἡ Ἀλεξιάς.

Εἰς τὸ αὐτὸ δὲ βιβλίον ἱστορεῖ ἡ Ἀλεξιὰς, ὅτι Ἰταλός τις ὀλίγων γραμμάτων εἰδήμων, ἐδιδάχθη τινὰ καὶ ὑπὸ τοῦ Ψελλοῦ ἐπὶ Μιχαὴλ τοῦ δούκα. τοῦ δὲ Ψελλοῦ μονάσαντος εἰς τὴν Μονὴν τῆς Πηγῆς, ὁ Ἰταλὸς ἐψηφίσθη ὕπατος τῶν Φιλοσόφων, ὅστις ἐξηγούμενος Πλάτωνα, Πρόκλον, ἔτι δὲ Πορφύριον καὶ Ἰάμβλιχον, ἐδίδοτο μᾶλλον εἰς τὴν διαλεκτικὴν τοῦ Ἀριστοτέλους. ἀμαθὴς δὲ ὢν τῶν θείων καὶ κενόδοξος, κρυφίως ἐδίδασκε δόγματα κακότροπα. ὑποπτευθεὶς δὲ, πέμπεται εἰς τὸν Πατριάρχην Εὐστράτιον τὸν Γαρυδᾶν, ὃν ὡς ἀγράμματον ἔσυρεν εἰς τὴν παραφροσύνην αὐτοῦ ὁ Ἰταλός. ἀλλ' ὁ λαὸς, ὥσπερ ἐπὶ Ἰουστίνου τοῦ Θρᾳκὸς, καὶ δὴ καὶ Ζήνωνος καὶ Βασιλίσκου, ἐβοήθει τῇ Ἐκκλησίᾳ κατὰ τῶν Μονοφυσιτῶν, οὕτω καὶ τότε ἐπορεύθη εἰς τὸ Πατριαρχεῖον τοῦ διαρρῆξαι τὸν Ἰταλὸν, ὅστις φυγὼν εἰς φωλύδιον ἐπὶ τῆς Ἐκκλησίας, ἀπέδρα τὸν κίνδυνον. ὅμως φανέντα ἕνδεκα κεφάλαια, περιέχοντα τὴν Αἵρεσιν αὐτοῦ, ἀνεθεμάτισαν αὐτὰ συνοδικῶς. καταγνοὺς δὲ καὶ ἐκεῖνος μεταταῦτα τῆς κακοδοξίας αὐτοῦ, προσετέθη τῇ ὀρθοδοξίᾳ. ἀνάγνωθι τὰ κεφάλαια εἰς τὸ Συνοδικὸν τῆς ὀρθοδοξίας.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ Αἱρέσεως Νείλου τινὸς, ἐπὶ Νικολάου Κωνσταντινουπόλεως, ὡς ἱστορεῖ ἡ Ἀλεξιὰς, καὶ τῆς συνοδικῆς αὐτοῦ καθαιρέσεως.

Εἰς τὸ δέκατον βιβλίον αὐτῆς ἡ Βασιλὶς ἱστορεῖ, ὅτι Νεῖλός τις ὑποκρινόμενος ἀρετὴν, καὶ ὡς δῆθεν πάντοτε ἐναχολούμενος εἰς τὰς ἱερὰς βίβλους, ἄλλως δὲ ὢν ἀγράμματος καὶ ἀπαίδευτος, ἀγνοῶν τὴν καθ' ὑπόστασιν ἕνωσιν, ἔλεγεν, ὅτι φύσει ἐθεώθη τὸ πρόσλημμα τοῦ Σωτῆρος. διδασκόμενος δὲ ὑπὸ τοῦ Βασιλέως τὸν ἀντιδόσεως τρόπον καὶ τὸ ὀρθόδοξον δόγμα, οὐκ ἐπείθετο. ἐπειδὴ δὲ ἡ ἄκρα αὕτη βλασφημία ἐδογματίσθη εἰς τὴν ἐν Τβὶν τῶν Ἀρμενίων Σύνοδον, καὶ ἦσαν εἰς τὴν Κωνσταντινούπολιν πολλοὶ Ἀρμένιοι, λαβὼν ἐκείνους συμμάχους ὁ Νεῖλος, ὑλάκτει κατὰ τῆς ἀληθείας. ὅθεν ἀθροίσαντος τοῦ Αὐτοκράτορος Σύνοδον, ἧς προεκάθητο ὁ Πατριάρχης Νικόλαος, ἀνεθεματίσθη ἰσχυρογνωμήσας ὁ Νεῖλος καὶ ἐδημοσιεύθη. καί τις βλαχερνίτης βοηθὸς αὐτῷ, εἰ καὶ Ἱερωμένος ἦν (ὁ γὰρ Αἱρετικὸς καὶ ὁ συνοδικῶς ὑπὸ ἁγίας Συνόδου ἀναθεματιζόμενος, πάντως καὶ ἀνίερος καὶ λαϊκός) διὰ τοῦτο ἐδημεύθη. ὅθεν καὶ ὁ Σανταβαρηνὸς τοῦτον τὸν Κανόνα εἰδὼς, ἔλεγε τῷ Φωτίῳ καθαιρέσει ὑποβαλεῖν αὐτὸν, ἵνα παιδευθῇ, ὃν μὴ καθαιρεθέντα, τυφλώσας ὁ Λέων καὶ ἐξορίσας, καὶ αἰσθόμενος πρᾶνομα ποιήσας, ἔφερεν αὐτὸν καὶ ἐγηροτρόφει. ἀνάγνωθι ἀνάθεμα τὸ κατὰ τούτου τοῦ Νείλου εἰς τὴν Κυριακὴν τῆς ὀρθοδοξίας.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ταπεινώσεως τῶν τὴν Φιλιππούπολιν κακούντων Μανιχαίων ὑπὸ Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ τῆς κατὰ τῶν πολεμίων τῆς Ἀνατολῆς νίκης τοῦ Βασιλέως, καὶ ἐλευθερίας τῶν αἰχμαλώτων, καὶ ἑτέρων πλείστων ἐν Κωνσταντινουπόλει ἀγαθοεργιῶν τοῦ Βασιλέως, ὡς ἱστορεῖ ἡ Ἀλεξιάς.

Οἱ Μανιχαῖοι, λέγει ἡ Βασιλὶς, ὅτι ἔχουσι τὴν ἀρχὴν τῆς δυαρχίας αὐτῶν καὶ ἀπὸ τοῦ Φιλοσόφου Πορφυρίου ἐξειλεγμένην. ὑπερασπιζόμενος γὰρ ἐκεῖνος τῆς ἑνάδος τοῦ Πλάτωνος, ἔγραψε κατὰ τῆς δυάδος τῶν Μανιχαίων, οὓς διὰ τὰς μαγείας καὶ τὴν ἄλλην αὐτῶν κακοτροπίαν Ἰωάννης ὁ Τζιμισκὴς ἀπὸ Χαλύβων καὶ Ἀρμενίας μετήνεγκεν εἰς τὴν Φιλιππούπολιν ἵνα αὐτιμάχωνται τοῖς Σκύθαις, ἀλλ' αὐτοὶ κακοῦντες ὡς ἀσεβεῖς τὴν Φιλιππούπολιν, ταπεινοῦνται ὑπὸ τοῦ Ἀλεξίου, καὶ βίᾳ οἱ πλείους ἑνοῦνται τῇ καθολικῇ Ἐκκλησίᾳ. συνήργει δὲ Εὐστράτιος ὁ σοφώτατος Μητροπολίτης Νικαίας, καὶ αὐτὸς ὁ Φιλιππουπόλεως. ἦν δὲ ὁ Εὐστράτιος σοφὸς τὰ θεῖα καὶ τὰ θύραθεν, καὶ ἐν ταῖς διαλέξεσιν ὑπὲρ τοὺς Στωϊκοὺς, λέγει ἡ Ἄννα. νικᾷ τοὺς ἀντικειμένους ὁ Αὐτοκράτωρ κατὰ τὴν Ἀνατολὴν Ἀλέξιος, καὶ δὴ καὶ εἰρηνεύει, καὶ φέρει τοὺς αἰχμαλώτους Χριστιανοὺς εἰς τὴν πόλιν οὓς ἠλευθέρωσε. καὶ ὦ μέγα θαῦμα, ὅτε γὰρ ἔτικτέτις γυνὴ, ἐσάλπιζε καὶ ἐκαρτέρει, ὅτε δέτις ἔθνησκε, μόνος ἔτρεχεν εἰς τὴν κηδείαν, καὶ ὅτε ἤσθιεν, ἐσίτιζε τοὺς πτωχοὺς, καὶ εἰς τὴν πόλιν ἐλθὼν, διαιέμει τὰ ὀρφανὰ εἰς τὰ Μοναστήρια, βάλλει τὰ πλείω εἰς τὸ Ὀρφανοτροφεῖον, ὅπερ ἔκτισε, καὶ τρέφεσθαι καὶ μανθάνειν γραμματικὴν, κτίζει Νοσοκομεῖον, καὶ τρέφει πλείονας τῶν ἑπτὰ χιλιάδων πτωχῶν, καὶ εἰς τὸν Ναὸν τοῦ ἁγίου Παύλου βάλλει ψάλτας, καὶ μάλιστα σημείωσαι, ὅτι ἔταξε καὶ ᾀδούσας εἰς τὴν Ἐκκλησίαν, κατεσκεύασε σπουδαστήρια παντοίων γλωσσῶν καὶ ἐπιστημῶν, ἔκτισε καὶ Μοναστήριον διὰ τοὺς Ἰβήρους Μοναχοὺς τοὺς ἐρχομένους εἰς τὴν πόλιν, οἵτινες πρότερον περιήρχοντο προσετοῦντες ὡς ἐπαῖται τὰς τῶν οἰκιῶν θύρας.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ Βογομίλου Βασιλείου, καὶ τῆς τοῦ δόγματος αὐτοῦ συστάσεως, καὶ φανερώσεως τῆς Αἱρέσεως αὐτοῦ τρόπῳ τοῦ Βασιλέως Ἀλεξίου ἐπιτηδείῳ, καὶ ἐμπρήσεως αὐτοῦ ἐπὶ Νικολάου Κωνσταντινουπόλεως, καὶ περὶ τοῦ τίσιν ἐπέταξεν ὁ Βασιλεὺς ἱστορῆσαι πάσας τὰς Αἱρέσεις καὶ τὰς ἀνατροπὰς αὐτῶν ὑπὸ τῶν ἁγίων πατέρων, καὶ ὅτι ἡ Ἀλεξιὰς Ἄννα θυγάτηρ ἦν τοῦ Ἀλεξίου Κομνηνοῦ τοῦ Βασιλέως, οὗ καὶ ἡ τελευτὴ δηλοῦται.

Τὸ δόγμα τῶν Βογομίλων ἐκ Μασσαλιανῶν καὶ Μανιχαίων σύγκειται, ἦν δὲ πρὸ πολλοῦ κεκρυμμένον καὶ ἐμφωλεῦον, ἐπειδὴ ἴδιον τῆς Αἱρέσεως ταύτης, ἡ ὑπόκρισις καὶ τὸ πολὺ ψεῦδος. ὡς δὲ παρέσχεν ὁ Θεὸς ἄνεσιν πανταχόθεν τῇ βασιλείᾳ τῶν Ῥωμαίων, ἐξέρπυσεν ὡς ἀπὸ φωλεοῦ ὄφεως ψευδομοναχός τις ὀνόματι Βασίλειος, ὃν ἡ Ἄννα Ἀρχισατράπην τοῦ Σαταναὴλ καλεῖ, καὶ ἐποίησε καὶ δώδεκα μαθητὰς, οὓς καὶ Ἀποστόλους ὠνόμασε. τὶ δὲ ἦν ἡ Αἵρεσις αὐτοῦ, οὐ δίκαιον εἰπεῖν, ὡς οὐ μόνον βλάσφημον, ἀλλὰ καὶ ἀκάθαρτον. ἀρνουμένων δὲ εἰς τοὐμφανὲς τῶν Αἱρετικῶν τὸν Αἱρεσιάρχην Βασίλειον, μεταπεμψάμενος αὐτὸν εἰς ἑαυτὸν ὁ Αὐτοκράτωρ, ἐξανίσταται οὗ ἐκάθητο τόπου τῇ εἰσόδῳ αὐτοῦ, τιμᾷ αὐτὸν,

αὐτὸν, καὶ καθίζει ἔμπροσθεν αὐτοῦ, ποιεῖ ὁμοτράπεζον αὐτῷ, καὶ τέλος ἀπατᾷ αὐτὸν, οἷον ὁ Ἀνιοχείας Φλαυϊανὸς τὸν Ἀδελφιὸν Αἱρεσιάρχην τῶν Μασσαλιανῶν, καὶ ποιεῖ αὐτὸν φανερὸν ποιῆσαι αὐτῷ τῷ Αἱρεσιν αὐτοῦ, εἶτα ἀθροίζει τῷ Σύγκλητον, ἢ τὸν Πατριάρχιν Νικόλαον τὸν γραμματικὸν, καὶ πολλοὶ μὲν μετεβλήθησαν ἀπὸ τῆς Αἱρέσεως, ὁ δὲ Βασίλειος ἔμεινεν ἐν αὐτῇ, τινὲς δὲ καὶ ὑπεκρίνοντο, τέλος δὲ, διορίζεται κοινῶς συνοδικῶς τὸν Αἱρεσιάρχιν, καὶ βεβαιοῖ τῷ κρίσιν ὁ Πατριάρχης καὶ ἡ Σινόδος, καὶ καίουσιν αὐτὸν, τοὺς δὲ μὴ μετανοήσαντας ἔθεντο εἰς τὴν Φυλακὴν, ὅθεν καὶ κατέγραψαν τὸν βίον πάντες. τῇ Αἱρέσει δὲ ἴδε εἰς τὸ εἰκοστὸν τρίτον κεφάλαιον τοῦ δευτέρου μέρους τῆς Παν-
νοπλίας Εὐθυμίου τοῦ Ζυγαβηνοῦ. ἐπέταξε δὲ ὁ Βασιλεὺς ἔτος, διὰ μὴ τοὺς Λατίνους καὶ τὴν ἀκαταρσίαν τοῦ ἁγίου Πνεύματος τὴν μὴ ἐν τοῦ Υἱοῦ, τῇ Ἐκκλησίᾳ ἔξω Γάνος Ἰωαννίνων τῷ Φυσικῇ καὶ ἄλλοις καὶ ἔγραψαν. διὰ δὲ πᾶσαν Αἵρεσιν ἁπλῶς ἐπέταξε τῷ Εὐθυμίῳ τοῦτο, καὶ ἔγραψε τὸ παντῶν ὠφελιμώτατον βιβλίον τῶν ἐν τῇ Ἐκκλησίᾳ, ὅθεν καὶ δογματικὴ Πανοπλία ὠνομάσθη, λέγει γὰρ ἡ Ἄννα βιβλίῳ δεκάτῳ πέμπτῳ, ὁ Ἀλέξιος τῷ Ζυγαβηνῷ ἐπέταξεν ἁπάσας τὰς Αἱρέσεις ἐκθέσθαι ἑκάστῳ ἰδίᾳ, καὶ ἐφ' ἑκάστῃ τὰς τῶν ἁγίων πατέρων ἀποτροπὰς, ἐγχράψασθαι. ᾧ δὲ ὁ Ζυγαβηνὸς σοφώτατος καὶ Μοναχὸς Μονῆς τῆς Περιβλέπτου, ἐτελείωσε δὲ τῷ Πανοπλίαν ἐν ἔτει χιλιοστῷ ἑκατοστῷ δεκάτῳ ὀγδόῳ. σημείωσαι δὲ, ὅτι οἱ πάντες Αἱρετικοὶ, ὑποκεῖται, ἀλλὰ καὶ οἱ Βογόμιλοι, ὅθεν σημειοῖ ὁ Βαλσαμὼν εἰς τὸν δέκατον τέταρτον Κανόνα τῆς ἐν Ἀγκύρᾳ, ὅτι ἐπὶ τοῦ Πατριάρχου Ἀρσενίου ὑπὸ αὐτοῦ τοῦ Ἀρσενίου καὶ τοῦ Βυλγαρείας καὶ τῆς Σινόδου τινὲς Ἀφορισθέντες Βογόμιλοι, ἐπετράπησαν φαγεῖν τυρὸν κατὰ τὴν μεγάλην τεσσαρακοστὴν, καὶ ἔφαγον, τινὲς ὅμως μετὰ τὸ φαγεῖν Βογόμιλοι ἐξηλέγχθησαν ὄντες τοῦ Βασιλέως Ἀλεξίου, τοῦτο θυγάτηρ ἦν ἡ Ἀλεξιὰς Ἄννα, ἡ γεγράψασα τὸ περίφημον ἱστορικόν. ἀπέθανον ὅμως καὶ αὐτοὶ, βασανίσας χρόνους τριάκοντα καὶ ὀκτὼ, καθὼς γράφει ὁ Ζωναρᾶς, ὅστις λέγει ὅτι ἐποίησε τὸν ὑπατικὸν λόγον αὐτοῦ Νικόλαος ὁ Μαζάλων Πατριάρχης Κωνσταντινουπόλεως, ὑποκρεπαινῶν αὐτόν.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τοῦ ἱεροῦ πολέμου, καὶ ὅθεν ἤρξατο, καὶ τίς ἡ αἰτία, καὶ τὸ ἀριθμὸς τῶν δυτικῶν Στρατευμάτων, ὑπὸ Βαλῆς τε Γοδιφρέδου, καὶ εἶτα συνθήκας πρὸς τὸν Κομνηνὸν Ἀλέξιον τὸν Βασιλέα, καὶ ὧν οἱ δυτικοὶ ἔλαβον πόλεων, καὶ ὧν ἀπέκτειναν πολεμίων, καὶ τῆς ἀθετήσεως τῶν πρὸς τὸν Βασιλέα συνθηκῶν αὐτῶν, καὶ ὧν ἐποίησαν μετὰ τοῦ Βασιλέως πολέμων, καὶ τῆς μυθολογίας ὑποσυφῆς τοῦ Ἡλίου εἰς τὰ ὀπίσω, ὅτε τῷ Ἱερουσαλὴμ ἔλαβον, καὶ τοῦ ὀρθόπους Κομήτου, καὶ ὧν ἐδήλωσε, ὡς ἡ Ἀλεξιὰς ἱστορεῖ.

Ἐπὶ τούτοις παρῆντας καιροὺς γίνεται Πάπας Οὐρβανὸς ὁ δεύτερος, καὶ διὰ τὰ συνεχῆ σκάνδαλα τὰ εἰς τὴν Ἰταλίαν φεύγει εἰς Φράντζαν. ἔτυχε δὲ τότε ἀπελθεῖν εἰς προσκύνησιν τῆς Ἱερουσαλὴμ Πέτρος τις Ἐρημίτης ὀνομαζόμενος, Ἐπίσκοπος Κελτὸς, ὃν ἡ Ἀλεξιὰς Κουκούπετρον καλεῖ, ἦν δὲ πρότερον Στρατιώτης, καὶ διὰ τὸ συνοχληθῆναι ὑπὸ τῶν Σαρακηνῶν, ἐπανελθὼν εἰς τὴν Φράντζαν, παρεκίνει πολλὰ τοὺς δυτικοὺς ἀπελθεῖν καὶ ἐλευθερῶσαι τὴν Ἱερουσαλήμ. εὑρόντος δὲ ἐκεῖ τοῦ Κουκουπέτρου τὸν Οὐρβανὸν, καὶ εἰπόντος τὰ βεληθέντα, ἀθροίζει Σινόδον ὁ Οὐρβανὸς εἰς Κλαρεμόντεμ, πόλιν Γαλλίας, εἰς τοὺς χιλίους ἐνενηκοντα πρώτε, καὶ συγκινεῖ τοὺς Δυτικοὺς ἀπελθεῖν εἰς τὴν Παλαιστίνην, ὃς καὶ πείθει, ἐπειδὴ ἦν θεϊκὴ συγχώρησις γενέσθαι ὅσα ἐγένοντο εἰς τὴν Ἀνατολὴν ὑπὸ αὐτῆς τῆς ὀζώδους ῥίζης. συνήχθη δὲ πλῆθος πολὺς καὶ ἄπειρος ἀνθρώπων, ὡς ὁ Οὐρβανὸς αὐτὸς γράφων τῷ Κομνηνῷ Ἀλεξίῳ ἔλεγον, ὅτι ἦσαν τριακόσιαι χιλιάδες μόνοι Στρατιῶται, ὁ Γοδιφρέδος δὲ λέγει ἑξακοσίας χιλιάδας, ἄλλοι δὲ, ὅτι ἦσαν τριακόσιαι χιλιάδες πεζοὶ, καὶ ἑβδομήκοντα χιλιάδες ἱππεῖς. λέγει γὰρ ἡ Ἀλεξιὰς Ἄννα εἰς τὸ δέκατον βιβλίον τῆς ἱστορίας αὐτῆς, ὅτι τὰ λατινικὰ ἔθνη τότε συνήχθησαν ὑπὲρ τὴν Ἄμμον καὶ ὑπὲρ τὰ Ἄσπρα, καὶ ἦλθον ἄλλοι διὰ τῆς Δακίας, καὶ ἄλλοι ἀπὸ τῆς Ἡπείρου, περάσαντες ἀπὸ Λογγιβαρδίας καὶ Ἰταλίας, ἐν οἷς ἦν καὶ Βαϊμοῦνδος ὁ τοῦ Ῥομπέρτου, φύσει ἐχθρὸς τῶν Ῥωμαίων. ἐπέρασε δὲ πρῶτος ὁ ῥηθεὶς Κουκούπετρος, ἔχων πεζοὺς ὀγδοήκοντα χιλιάδας, καὶ ἱππεῖς χιλιάδας ἑβδομήκοντα. ἐπαίνησε δὲ, καταλύσας εἰς τὰ προάστεια τῆς Κωνσταντινουπόλεως, μυρία κακὰ εἰς τοὺς Ῥωμαίους, ἁρπαζόντων τῶν μετ' αὐτοῦ Στρατιωτῶν ἀφειδῶς, καὶ λεπλατούντων τὰ προσυχόντα, καὶ ὃ πᾶσι τούτοις ὁ Αὐτοκράτωρ Ἀλέξιος εἶπον αὐτῷ ἔχειν ὁμοιωθῶς ἕως αἱ ἔλθωσι καὶ τὰ λοιπὰ Στρατεύματα, ἀλλ' ὀλίγους ἐπόνησε διαλύσων, ἐπέρασε, καὶ ἀπῆλθον εἰς τὴν Ἀνατολὴν, ἀλλ' εἰς τὴν Νίκαιαν τρεπῶται ὑπὸ τῶν Τούρκων, καὶ κατακόπτονται οἱ μετ' αὐτοῦ, καὶ δὴ καὶ Ῥεϊνάλδος ὁ Δοὺξ τῆς Ἀλαμανίας συλληφθεὶς, ἐτέρισε, τὸν χρυσὸν ἀρνησάμενος μετὰ τῶν συλληφθέντων Στρατιωτῶν, καὶ ὁ Πέτρος ὑπέστρεψεν εἰς τὸ Βυζάντιον καὶ ὄντως Κουκούπετρος. ὕστερον δὲ ἐλθόντων καὶ τῶν λοιπῶν Στρατευμάτων, λέγει ἡ Ἄννα, ὁμοῦ ἀδελφὸς τοῦ Ῥηγὸς Φραγγίας, ἐγένετο οἰκεῖος τῷ Βασιλεῖ, Γοδιφρέδος δὲ

δὲ ἔχων δέκα χιλιάδας πεζοὺς, καὶ ἑβδομήκοντα χιλιάδας ἱππεῖς, ἐποίησε τὴν ἐπισταθμίαν ἀπὸ τῆς γεφύρας τοῦ Κοσμιδίου ἕως τοῦ ἁγίου Φωκᾶ, καὶ ὑποκρινόμενος ὅτι περιέμενεν ἐλθεῖν καὶ τὸν Βαϊμοῦνδον καὶ τοὺς λοιποὺς, εἶχε κατὰ νοῦν ἐπιβουλὰς κατὰ τῆς πόλεως, ἀλλὰ στρατηγηθέντος αὐτοῦ ὑπὸ τοῦ Αὐτοκράτορος, ἐπρέσβευσεν ὁ Βαϊμοῦνδος, καὶ ἐγένοντο μετὰ τῆς εἰρήνης καὶ συνθῆκαι τοῦ διαπεραῦ μὲν τοὺς Δυτικοὺς ἀπὸ τοῦ τόπου τοῦ Βασιλέως ἄνευ φόβου, καὶ εὑρίσκειν τὰς διατροφὰς αὐτῶν, τὸν δὲ Βασιλέα, ὅσα κάστρα λάβοιεν αὐτοὶ εἰς τὴν Ἀνατολὴν, ἔχειν αὐτὰ ὑπὸ τὴν ἑαυτοῦ ἐξουσίαν, πλὴν τῆς Παλαιστίνης. ἐτίμησεν οὖν ὁ Βασιλεὺς καὶ αὐτοὺς, καὶ ἐβοήθησεν αὐτοῖς, καὶ διαπεράσαντες, λαμβάνουσιν εἰς πεντήκοντα καὶ δύο ἡμέρας τὴν Νίκαιαν, εἰς δὲ τὸ Δορύλαιον κόπτουσι τούρκους καὶ συμμάχους χιλιάδας τετρακοσίας, ἔλαβον δὲ καὶ τὸ Δορύλαιον καὶ τὴν Ἀγρουστόπολιν, εἶτα τὸ Ἰκόνιον, Ταρσὸν, Κιλικίαν, ἔπειτα τὴν Ἀντιόχειαν ἐν ἔτει χιλιοστῷ ἐννενηκοστῷ ἑβδόμῳ. λέγοντος δὲ τοῦ Ῥαϊμούνδου δοθῆναι τὴν Ἀντιόχειαν τῷ Βασιλεῖ κατὰ τὰς συνθήκας, ἀντέλεγεν ὁ Βαϊμοῦνδος, τὸ ἱερατεῖον ὅμως τῶν Λατίνων ἔκρινε δοθῆναι τῷ Βαϊμούνδῳ, ὅθεν ἠκολούθησαν ὕστερον εἴς τε τὴν Ἤπειρον, καὶ Φοινίκην, καὶ Νήσους πόλεμοι δεινότατοι ἀναμεταξὺ τοῦ Βασιλέως καὶ Βαϊμούνδου. λέγει δὲ ἡ Ἀλεξιὰς βιβλίῳ δεκάτῳ τρίτῳ, ὅτι εἰς τὰ ἐκκλησιαστικὰ γέγονε συμφωνία τοῦ Βαϊμούνδου μετὰ τοῦ Βασιλέως, ἵνα εἰς τὴν Ἀντιόχειαν μὴ ποιήσῃ Πατριάρχην Λατῖνον, ἀλλὸν ὁ Βασιλεὺς Ἀλέξιος προβαλεῖται ἐκ τῶν θρεμμάτων τυγχάνοντα τῆς κατὰ Κωνσταντινούπολιν μεγάλης Ἐκκλησίας, καὶ πάντα πράξῃ ἔντε χειροτονίαις καὶ λοιπαῖς ἐκκλησιαστικαῖς ὑποθέσεσι τὰ τοῦ θρόνου τοῦδε προνόμια. Σημείωσαι ὅτι λέγεται ὑπότινων Λατίνων, καὶ ὅτε ἑάλω τὰ Ἱεροσόλυμα, τῷ χιλιοστῷ ἐννενηκοστῷ ἐνάτῳ ἔτει, ἡμέρᾳ Παρασκευῇ, Ἰουλίου δεκάτῃ πέμπτῃ, ἐστράφη ὁ Ἥλιος εἰς τοὐπίσω δέκα βαθμοὺς, καθ' ὅντινα τρόπον καὶ εἰς τὸν καιρὸν Ἰησοῦ τοῦ Ναυῆ καὶ τοῦ Βασιλέως Ἐζεκίου συνέβη μεταστραφῆναι. Ἀλλ' ὅμως ῥητέον πρῶτον, αὐτὸς ὁ πόλεμος ἐγένετο φθορᾶς αἰτία εἰς τοὺς Χριστιανοὺς τῆς Ἀνατολῆς, καὶ τὶς ἦν ἡ ἀνάγκη στραφῆναι τὸν Ἥλιον εἰς τὰ ὀπίσω; οὐ γὰρ ἦν εὐδοκία Θεοῦ εἰς τὸν πόλεμον τοῦτον, καθὼς ἔδειξε τὸ μέλλον, ἐπεὶ ταχέως καὶ ἐξεβλήθησαν καὶ ἠφανίσθησαν ἐκεῖθεν, μάλιστα ὡς γράφει Ἄννα ἡ Ἀλεξιὰς, τὸ θεῖον προεῖπε τὴν καταστροφὴν αὐτῶν, ἐπὶ γὰρ Ἀλεξίου τοῦ Κομνηνοῦ ἐφάνη Κομήτης ἐν Οὐρανῷ ἀπὸ τῶν δυτικῶν μερῶν πρὸς Ἀνατολὰς διήκων, καὶ φαινόμενος ἐπὶ τεσσαράκοντα νυχθημέροις, εἶτα ἀπεσβέσθη. ὁ δὲ Βασιλεὺς μεταπεμψάμενος Βασίλειόν τινα νομιζόμενον σοφόντε καὶ δίκαιον, ἐπυνθάνετο περὶ αὐτοῦ. ὁ δὲ Βασίλειος ἀπῆλθεν εἰς τὸ Ναὸν Ἰωάννου τοῦ ἐπιστηθίου τὸν ἐν τῷ ἑβδόμῳ, ἀπορῶν καὶ δεόμενος, ὑπνώσαντι δὲ αὐτῷ, ἐφάνη ὁ ἅγιος ἱερατικῶς ἐστολισμένος, καὶ εἶπεν αὐτῷ ἐπερωτήσαντι, ὅτι τοῦτο Κελτῶν κίνησιν προσημαίνει, τὸ δὲ σβέννυσθαι, τὴν τούτων αὐτοῦ που κατάλυσιν δηλοῖ, βιβλίῳ δωδεκάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ὁ Ἱερὸς οὗτος πόλεμος αἴτιος τῆς καταστροφῆς ἦν τῆς Ἀνατολικῆς καὶ Δυτικῆς Ἐκκλησίας, ἀπὸ Γρηγορίου ἑβδόμου ἀρξάμενος, γνώμῃ τοῦ τοὺς Πάπας ὑποτάξαι ἑαυτοῖς τοὺς πάντας.

Ὁ παμμίαρος πόλεμος οὗτος οὐ μόνον γέγονεν αἰτία καταστροφῆς πολλῆς εἰς τὴν Ἀνατολικὴν Ἐκκλησίαν, ἀλλὰ καὶ εἰς τὴν Δυτικὴν, καθότι οἱ τότε Πάπαι τῆς Ῥώμης εὑρόντες καιρὸν ἐνεργῆσαι τὸ μὴ ὑποκεῖσθαι αὐτοὺς τινὶ, πάντα λίθον ἐκίνουν, ἵνα ὑποκεῖσθαι αὐτοῖς τοὺς λοιποὺς πάντας ποιήσωσιν, ὅπερ ἐστὶν αὐτιχριστιανικὸν ἔργον, καίτοι κατανοήσαντες τὸν πόλεμον τοῦτον ἀνωφελῆ, καὶ μάλιστα ἐπιζήμιον, ὅμως οὐκ ἔπαυον καὶ πονηρίαις καὶ βίαις αὐτὸν αὐξάνειν. καὶ ὅσον ὁ πόλεμος ἐμηκύνετο, καὶ οἱ Χριστιανοὶ τῆς Δύσεως ἔτρεχον εἰς τὴν Ἀνατολὴν, τόσον οἱ Πάπαι ἐπετίθεντο, ὡς μαρτυρεῖ Ὄθων Ἐπίσκοπος Φρισιγένσης, καὶ ὁ Ἀββᾶς Οὐρσπεργένσης, γράφοντες τὸν βίαιον τρόπον τῶν Παπῶν, ἀρξάμενοι ἀπὸ τοῦ εἰρημένου Γρηγορίου τοῦ ἑβδόμου, ὡς εἴρηται καὶ ῥηθήσεται μεταταῦτα. τόσα δὲ κακὰ προὐξένησεν ὁ πόλεμος οὗτος εἰς τὴν Δύσιν διὰ τῶν ἐπιβουλῶν τῶν Παπῶν, ὥστε Ἀντώνιον τὸν Κόκκον εἰς τὴν ἀρχὴν τοῦ τετάρτου βιβλίου τῆς ἐνάτης ἐννεάδος εἰπεῖν, ὅτι ἐπὶ Πασχάλη τοῦ δευτέρου Φλουέντιος Φλωρεντείας Ἐπίσκοπος ἰταλικῆς πόλεως χωρὶς ἀμφιβολίας τινὸς ἐβεβαίου γεννηθῆναι τὸν Ἀντίχριστον, μὴ ὁρῶντα εἰς τὰς γραφὰς, ὅτι μέλλει ποιήσειν ὁ Ἀντίχριστος πλείονα κακὰ ὧν ἔβλεπε ποιοῦντας τοὺς Πάπας.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἵνα Πατριάρχας αὐτοῖς ὑποκειμένους καθιστῶσιν ἐν ταῖς τῆς Ἀνατολῆς Ἐκκλησίαις οἱ Πάπαι διὰ τοῦ πολέμου τούτου, ἠφάνισαν τὴν Ἐκκλησίαν τῆς Ἀνατολῆς καὶ τὴν βασιλείαν.

Εἰς τὴν Ἀνατολὴν ἀφορμῇ δῆθεν εὐσεβείας προὐβάλλοντο οἱ Πάπαι Πατριάρχας εἰς τὰς Ἐκκλησίας, καὶ ἄλλα ἔπραττον ὅσα ἐνόμιζον συμφέρειν εἰς τὸ ὑπαχθῆναι τοὺς ὀρθοδόξους τῷ ἀνομωτάτῳ ζυγῷ τοῦ Πάπα.

Πάπα, ὅθεν Εὐγένιος ὁ τρίτος ἔλεγεν, οὗτος ὁ πόλεμος εἰ καὶ μὴ δι' ἄλλό τι, ἀλλ' ὅμως διὰ τὸ ἐμβληθῆναι Λατίνους Ποιμένας εἰς τὰς Ἐκκλησίας τῆς Ἀνατολῆς ὠφελεῖ, καὶ ἴδε τὸν Ἐπίσκοπον Ὄθωνα βιβλίῳ πρώτῳ περὶ τῶν ἔργων Φριδερίκου τοῦ Βασιλέως Ἀλαμανίας, κεφαλαίῳ τριακοστῷ τετάρτῳ. καὶ οὐ μόνον τὴν Ἐκκλησίαν τῆς Ἀνατολῆς ἐλυμήναντο οἱ Πάπαι διὰ τούτου τοῦ ἀνόμου πολέμου, ὡς ῥηθήσεται, ἀλλὰ καὶ τὴν βασιλείαν, ὁρῶν γὰρ Ἰννοκέντιος ὁ τρίτος τὴν διχόνοιαν ἣν εἶχε τότε τὸ Βασίλειον τῆς Κωνσταντινουπόλεως, τὸ Στράτευμα ὃ ἦν ἕτοιμον διὰ τὸν συριακὸν πόλεμον παρεκίνησε κατὰ τῆς Κωνσταντινουπόλεως, ὡς περιγράφει τοῦτο καὶ ὁ Χωνειάτης.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῶν διαφορῶν καὶ ἐπαναστάσεων τοῦ Ῥηγὸς τῆς Ἱερουσαλὴμ Μπαλδουΐνου καὶ Δαϊβέρτου Λατινοεπισκόπου, καὶ περὶ τοῦ ἐν τῷ ἁγίῳ τάφῳ θείου φωτός.

Ἀπέθανεν ὁ Ῥὴξ τῆς Ἱερουσαλὴμ ὁ Γοδιφρέδος, καὶ ἀντ' αὐτοῦ ἐγένετο ὁ Μπαλδουῖνος κοινῇ τῇ ψήφῳ καὶ γνώμῃ κατὰ τὸν Τύριον Γουλίελμον, ὅστις διηγεῖται τὰς διαφορὰς τὰς ἐπαναστάσας μεταξὺ τοῦ Μπαλδουΐνου καὶ τοῦ Λατίνου Ἐπισκόπου Δαϊβέρτου, ὁ γὰρ Βασιλεὺς Μπαλδουῖνος ἐζήτει λαβεῖν ὅλα τὰ δικαιώματα τῶν Ἐκκλησιῶν καὶ τὰ εἰσοδήματα, ἵνα καταναλίσκῃ αὐτὰ εἰς τὸν Στρατὸν δικαίῳ τρόπῳ. ἀλλ' ὁ ἐπείσακτος καὶ ψευδοπατριάρχης φιλάργυρος ὤν, ἐκώλυσεν αὐτὸν, καὶ οὕτως ἔκραξεν ὁ Μπαλδουῖνος τὸν Βαϊμοῦνδον τὸν Δεσπότην τῆς Ἀντιοχείας, ἵνα βοηθήσῃ αὐτῷ, καὶ συνδράμῃ διὰ τὰ δίκαια τῆς Ἱεροσολύμων λατινοεκκλησίας, καὶ ἔγραψεν αὐτῷ καὶ γράμμα διὰ ταύτην τὴν ὑπόθεσιν. γράφει ὁ Ἀββᾶς Κουράδος τὰς νίκας αἳ κατὰ τῶν ἐχθρῶν ἐποίησεν ὁ Μπαλδουῖνος, καὶ διηγεῖται καὶ τὸ συνειθισμένον ἅγιον φῶς, τὸ καταβαῖνον ἄνωθεν εἰς τὰ Ἱεροσόλυμα τὸ μέγα Σάββατον. ὅρα καὶ τὸν Βαρώνιον εἰς τὸν δωδέκατον Τόμον κατὰ τὸ τρίτον ἔτος τοῦ Πάπα Πασχάλη καὶ τοῦ Κομνηνοῦ Ἀλεξίου, καὶ εἰς τὸν εἰκοστὸν δεύτερον, κἂν καὶ κολοβὴν βλέπῃς ἐκεῖ τὴν ἀλήθειαν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῶν ἐξαιτίας τοῦ πολέμου τούτου καὶ τῶν Λατίνων αὐτῶν ἐν Ἱερουσαλὴμ καὶ πᾶσι τοῖς κατὰ Φοινίκην, Συρίαν, Ἀραβίαν, Παλαιστίνην καὶ Αἴγυπτον Χριστιανοῖς κακώσεων, καὶ περὶ τοῦ Λατινοπατριάρχου ἐν Ἱερουσαλὴμ Ἀρνούφλου, καὶ ὧν ἔλαβον παρὰ τοῦ γνησίου Πατριάρχου Συμεὼν τόπων οἱ Λατῖνοι, τοῦ κατὰ Ἀζύμων γράψαντος.

Ὁρηθεὶς Πέτρος Ἐρημίτης, ὁ παρακινήσας τὸν Οὐρβανὸν κατὰ τῶν Σαρακηνῶν, ἵνα ποιήσῃ ἐλευθερίαν τῆς ἁγίας γῆς τῆς Ἱερουσαλὴμ, ἧς Πατριάρχης ἦν τότε ὁ μακαρίτης Συμεὼν, ἆρα εἶδε ὅσα εἰς ἐκεῖνο τὸ ποίμνιον κακὰ οἱ Λατῖνοι ἐποίησαν; πρῶτον γὰρ τὸν Λατινοεπίσκοπον αὐτῶν Ἀρνοῦλφον ὠνόμασαν Πατριάρχην ἀπὸ τοῦ ἀνόμου ἀξιώματος τοῦ Ῥώμης, καταφρονοῦντες τῶν μεγάλων καὶ ἰσοτίμων τοῖς Πάπαις Πατριαρχῶν, καὶ βάλλοντες εἰς τὸν γνήσιον Ποιμένα Λύκον καὶ ἐπιβάτην. δεύτερον, ἐγγὺς τῆς μεγάλης Ἐκκλησίας τοῦ ἁγίου τάφου, ὅπου περ ἦσαν εἰς τὸ ἀνατολικὸν καὶ νότιον μέρος προαύλια καὶ Στοαὶ (ὡς γὰρ γράφει ὁ Εὐσέβιος βιβλίῳ τρίτῳ εἰς τὸν βίον Κωνσταντίνου, αἱ αὐλαὶ καὶ τὰ προαύλια τοῦ σεβασμιωτάτου τούτου Ναοῦ ἔφθανον ἕως τοῦ φόρου, ἐν ᾧ ἦσαν αἱ ἐξώτεραι πύλαι τῶν προαυλίων) ἔκτισαν Παλάτια καὶ ἐργαστήρια χωρὶς εὐλαβείας τινός. τρίτον, ἡ Ἐκκλησία διδάσκει, ἐν οἱαδήτινι Ἐκκλησίᾳ εἰσὶν ἅγια λείψανα, μηδένα ἐκεῖ νεκρὸν θάπτεσθαι, αὐτοὶ δὲ οἱ αὐτοχειροτόνητοι Βασιλεῖς Λατῖνοι εἰς Ἱεροσόλυμα, ὅπου τὸ μέγα μαρτύριον, καὶ ὁ Θεοδέγμων τάφος, τὸ ἀσύγκριτον θαῦμα, ἐκεῖ ἐτάφησαν, ἔνδον εἰς τὸν Ναὸν τοῦ ἁγίου τάφου, ἐγγὺς τῆς προσκυνητῆς Ἀποκαθηλώσεως τοῦ Σωτῆρος, καὶ ὑποκάτω τοῦ ἁγίου Γολγοθᾶ. τέταρτον, συνέχεον τὸ τακτικὸν τοῦ θρόνου τοῦ ἀποστολικοῦ, καὶ ἐποίησαν τὴν Τύρον Μητρόπολιν, ὡς ἦν καὶ πρότερον, δόντες αὐτῇ καὶ Ἐπισκοπὰς, Ἄκην, Βηρυτὸν, Σιδῶνα καὶ Πανεάδα. δευτέραν Μητρόπολιν ἐποίησαν τὴν Καισάρειαν, δόντες αὐτῇ Ἐπισκοπὴν τὴν Ἀρχιεπισκοπὴν Σεβάστειαν. τρίτην τὴν Ναζαρὲτ, δόντες Ἐπισκοπὴν τὴν Τιβεριάδα. τετάρτην τὴν Πέτραν, ἔχουσαν Ἐπισκοπὴν τὸ ὄρος Σινὰ, τῷ δὲ ψευδοπατριάρχῃ Ἱεροσολύμων ἔδωκαν Ἐπισκοπὰς, Βηθλεὲμ, Χεβρὼν καὶ Λύδδην. ἰστέον ὅτι Ἀσκάλων, Ἰόππη, Ἀκκαρὼν, Καισάρεια, Πτολεμαΐς, Τύρος, Ναζαρὲτ, Τιβεριὰς καὶ ἄλλαι χῶραι καὶ πόλεις τῆς ἁγίας γῆς καὶ αὐτὴ ἡ Ἀντιόχεια, καίτοιγε ἦσαν καὶ κατῳκισμένοι Σαρακηνοὶ πρότερον, ἀλλ' οἱ πλείους ἦσαν ὀρθόδοξοι, καὶ τὰ χωρία ὅλα ὀρθόδοξα, καὶ εἰ οἱ ῥωμαῖοι ἐμάχοντο πολλάκις διὰ τὴν ἐλευθερίαν τῆς Ἱερουσαλὴμ, ἦσαν ὅμως αἱ ἄλλαι χῶραι ἀνύποπτοι, καὶ εἶχον εἰρήνην. ἀφ' οὗ δὲ ἔλαβον οἱ Λατῖνοι τὴν Ἱερουσαλὴμ, καὶ διέμειναν ἐκεῖ περί που τὰ ἑκατὸν ἔτη, πολεμοῦντες πάντοτε μετὰ τῶν Ἀράβων Αἰγύπτου, Δαμασκοῦ, Βαβυλῶνος καὶ τῆς ἐρήμου, συνέβη γενέσθαι

νέσθαι τὴν ἐσχάτην φθορὰν καὶ κατασκαφὴν εἰς ὅλας τὰς τοιαύτας πόλεις καὶ χώρας, καὶ προσέτι ἀφανισμὸν εἰς τὰ Μοναστήρια τὰ ἔξω καὶ ἔσω, καὶ εἰς τὸ τοῦ Θαβωρίου ὄρους καὶ τὸ τοῦ Ἐλαιῶνος καὶ τῆς Βηθλεὲμ τὸ δυτικὸν μέρος, ἅπερ εἰσὶν εἰς τὰ μέρη ἐκεῖνα, καὶ σβεσθῆναι τὴν τιμὴν τῆς εὐσεβείας τόσον, ὥστε πάνυ ὀλίγους ὑπολειφθῆναι Χριστιανοὺς καὶ εὐαριθμήτους. οὐ μὴν ἀλλὰ καὶ ὁ Ναὸς τοῦ ἁγίου τάφου ἔπαθε κακῶς, ἐπεὶ ὁ Σαλαδῖνος ἐξέβαλε τὰ παράθυρα, καὶ ἔκλεισε τοὺς τόπους αὐτῶν μετὰ ξηρολίθων, ἐξέβαλε τὴν ὀρθομαρμάρωσιν, ἐκρήμνισε τὰ πέριξ, ἔλαβε τὸ Πατριαρχεῖον καὶ ἐποίησεν αὐτὸ Τζαμὴ καὶ Διδασκαλεῖον, καὶ αὐτὴν τὴν Ἱερουσαλὴμ κατηδάφισε, καὶ εἰ ἔλιπεν ἡμεγάλη ἐπιμέλεια Ἰσαακίου τοῦ ἀγγέλου, τοῦ προφθάσαντος αὐτὸν μετὰ πρέσβεων καὶ δώρων, οὐκ εἴασεν ἂν μήτε σημεῖον εἰς τὰ προσκυνήματα, καὶ εἰς ὅσα ἔμειναν Μοναστήρια καὶ Ἐκκλησίαι ἕως τῆς σήμερον ἡμέρας, ἀλλὰ καὶ μετέπειτα μετὰ τὸν Σαλαδῖνον πολλάκις ἐπολέμησαν Δυτικοὶ καὶ Ἄραβες ἕως τῶν Ὀθωμανῶν περὶ τῆς Ἱερουσαλὴμ, μέχρις οὗ ἠφανίσθησαν οἱ Χριστιανοὶ Φοινίκης, Συρίας, Ἀραβίας, Παλαιστίνης καὶ αὐτῆς τῆς Αἰγύπτου. καὶ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Λατίνων αὐτὸς ὁ πόλεμος ἦν ἡ ἀρχὴ, ὅστις καὶ ἱερὸς ἐλέγετο, καθ' ὃν τρόπον ἱερὰ νόσος λέγεται ἡ λέπρα. ἀλλὰ καὶ ὅσα διὰ τὴν αἰτίαν αὐτὴν ἔπαθε Κύπρος, Πελοπόννησος, Ἑλλὰς, αἱ Νῆσοι, ἰδίᾳ βιβλίου χρήζουσι τοῦ συγγραφῆναι. οὕτω λοιπὸν τοῦ Οὐρβανοῦ καὶ Πασχάλη τῶν Παπῶν ἡφροντὶς διὰ τοὺς ἁγίους τόπους ἠρήμωσε τὸ ὑπήκοον τῆς Ἀνατολικῆς Ἐκκλησίας. σὺ δὲ σημείωσαι, ὅτι ἐλθόντες οἱ Σαρακηνοὶ τοῦ ἀνακτήσασθαι τὰ Ἱεροσόλυμα, καὶ μὴ δυνηθέντες, ἀπῆλθον καὶ ἐκρήμνισαν τὸ μέγα Μοναστήριον ὃ ἦν ἐπὶ τοῦ Θαβωρίου ὄρους τεθεμελιωμένον, φονεύσαντες ὅσους εὗρον ἐκεῖ ἐπὶ τοῦ ὄρους. ἔμεινε δὲ ὁ Ναὸς τοῦ Θαβωρίου ἕως τῆς σήμερον κατηδαφισμένος. ᾠκοδομήθη ἔτι ὁ Ναὸς τοῦ ἁγίου τάφου ὑπὸ τοῦ Παφλαγόνος καὶ Μονομάχου, καὶ ἔδωκε μετέπειτα ὁ Χαληφὲς τῆς Αἰγύπτου τὸ τέταρτον μέρος τῆς Ἱερουσαλὴμ τοῖς Χριστιανοῖς ἵνα ἔχωσιν αὐτὸ κατοικίαν μόνοι, ἦν δὲ τὸ μέρος ἐκεῖνο τὸ ὄρος τοῦ Γολγοθᾶ, καὶ μέρος τοῦ ὄρους Σιὼν, ὅπερ ἔχουσιν ὡς ἐπὶ τὸ πολὺ καὶ ἕως τῆς σήμερον. ἀπήρχοντο οὖν πολλοὶ καὶ κατῴκουν εἰς Ἱεροσόλυμα, καὶ ἔμεινε συνήθεια, ἵνα ᾖ ἐκεῖνο τὸ τέταρτον μέρος εἰς τὴν ἐξουσίαν τοῦ κατὰ καιροὺς Πατριάρχου τῶν Ἱεροσολύμων. ἀλλ' οἱ Λατῖνοι ἐξουσιάσαντες ἐκεῖ, ἐποίησαν Φράγγον Πατριάρχην, καὶ ἀπεστέρησαν αὐτὸ τοῦ γνησίου Πατριάρχου τοῦ Συμεὼν, ὅστις ἰδὼν οὐ μόνον τὴν ἀπανθρωπίαν αὐτῶν, ἀλλὰ καὶ τὰς Αἱρέσεις καὶ σχίσματα ἅπερ εἶχον, ἠγωνίσθη ὑπὲρ τῆς ἀληθείας καὶ κατὰ πρόσωπον αὐτῶν, καὶ τί συνέγραψε διὰ τὰς ἄλλας αὐτὸν πατρατροπὰς ἀγνοῶ, κατὰ Ἀζύμων ὅμως εὑρίσκεται αὐτοῦ πόνος θαυμάσιος, ὅθεν καὶ σχισματικὸν αὐτὸν καλοῦσιν οἱ παπισταί.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς βασιλείας τοῦ εὐσεβοῦς Ἰωάννου Κομνηνοῦ, καὶ λατινικῶν ἐν Ἱερουσαλὴμ δύο Συνόδων, καὶ ὧν ἐκύρωσεν ἐν τῇ δευτέρᾳ ὁ Οὐρβανὸς Ῥώμης, καὶ περὶ δύο ἐν Λατεράνῳ Συνόδων, καὶ τοῦ τῆς Ἱερουσαλὴμ Ῥηγὸς πολέμου μετὰ τῶν Ἀμηράδων Γάζης καὶ Δαμασκοῦ, καὶ νίκης αὐτοῦ, καὶ εἶτα ἁλώσεως αὐτοῦ ὑπὸ τοῦ τῆς Βαβυλῶνος Σουλτάνου Βολώχ, καὶ ἐξαγοράσεως αὐτοῦ.

Ἐβασίλευσεν ὁ Κομνηνὸς Ἰωάννης, καίτοι τῆς μητρὸς αὐτοῦ Εἰρήνης προσκειμένης τῇ θυγατρὶ αὐτῆς Ἄννῃ, καὶ βουλομένης βασιλεῦσαι τὸν γαμβρὸν αὐτῆς Νικηφόρον τὸν Βρυέννιον τὸν Καίσαρα. Λέγομεν δὲ πάλιν τὰ τῆς Ἱερουσαλὴμ, ἐν ᾗ ἐγένοντο δύο Σύνοδοι τῶν Λατίνων, ἐν μὲν τῇ πρώτῃ ἦσαν ὅλοι οἱ Τοπάρχαι καὶ ὁ Πισανὸς Ἀρχιεπίσκοπος Ῥομπέρτος, ἥτις ἐκάθηρε τὸν Ἀρνοῦλφον Φραγγοεπίσκοπον, διαζεύξαντα τὴν γυναῖκα τοῦ Μπαλδουΐνου τὴν νόμιμον, καὶ συγχωρήσαντα αὐτὸν λαβεῖν ἑτέραν. πρὸς δὲ τὴν δευτέραν ὁ Οὐρβανὸς ἔγραψεν ἵνα κυρώσῃ, ὅτι ὅστις Χριστιανὸς πορευθείη εἰς Ἱερουσαλὴμ βοηθῆσαι τοῖς Λατίνοις κατὰ τῶν Σαρακηνῶν, εἶναι τοῦτον συγκεχωρημένον, ἀλλ' εἰς οὐδὲν ὠφέλησεν ἡ συγχώρησις, ἐπειδὴ ὁ Θεὸς παρεχώρει διὰ τὴν ἀνευλάβειαν καὶ τὸ σχίσμα τῶν Λατίνων κατανταῦ αὐτοὺς εἰς τὸ χεῖρον. ἐγένοντο δὲ καὶ ἕτεραι δύο Σύνοδοι λατινικαὶ εἰς τὴν Ἰταλίαν ἐπὶ τοῦ Κομνηνοῦ Ἰωάννου, ἡ μὲν πρώτη εἰς τὸ Λατεράνον, ἐν ἔτει χιλιοστῷ ἑκατοστῷ εἰκοστῷ δευτέρῳ, ὄντος Ῥώμης Καλλίστου τοῦ δευτέρου, κατά τινων Αἱρετικῶν, καὶ ἵνα βοηθήσωσι τοῖς ἐν τῇ Ἱερουσαλὴμ οὖσι Λατίνοις, ἀρξαμένοις ἀδυνατεῖν, παρ' ὧν ἔλαβον καὶ πολλοὺς τόπους ὀπίσω οἱ Σαρακηνοί. ἠκολούθησαν ὅμως ἀπ' αὐτῆς τῆς συναθροίσεως πολλὰ κακὰ, καθότι ὁ Ῥὴξ τῆς Ἱερουσαλὴμ Βαλδουῖνος ἀπατηθεὶς ὅτι ἔρχεται βοήθεια ἀπὸ τῆς Δύσεως, ἐξελθὼν καὶ πολεμήσας μετὰ Ἀμηρᾶ τινὸς Γάζη ὀνόματι, συνέλαβεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ, ὁμοίως ἐνίκησε καὶ τὸν Ἀμηρᾶν τῆς Δαμασκοῦ. ἀλλ' ἀπὸ τῶν

τοιούτων

τοιούτων παρακινηθέντος καὶ ἐλθόντος τοῦ Σουλτάνου Βαβυλῶνος Βολὼχ, συλλαμβάνεται ὁ Βαλδοῖνος καὶ οἱ πρόκριτοι Αὐθένται καὶ δουλοῦνται. παρακινηθέντες δὲ οἱ Βενέτικοι ὑπὸ τοῦ Καλλίστου, ἔπλευσαν μετὰ Στόλου εἰς βοήθειαν, ἀλλὰ μηδὲν ἄξιον ἔπραξαν, ἀλλ' ἢ μόνον ὅτι ἔλαβον τὴν Τύρον, εἰ καὶ τοῦ ἡμίσεος αὐτῆς ἐξουσιάζειν συνεφώνησαν. ἐπαναστρέφοντες δὲ εἰς τὰ ἴδια, ἔλαβον Ῥόδον, Χῖον καὶ Μυτιλήνην ἀπὸ τῶν Ῥωμαίων, ἄξια πράττοντες τῆς ἐγκρυφίου ἐπαγγελίας τοῦ ἱεροῦ πολέμου, ὃς ἦν κατὰ Ῥωμαίων καὶ οὐχὶ κατὰ Σαρακηνῶν. ἐξαγορασθεὶς δὲ ἀπὸ τοῦ Βολὼχ ὁ Βαλδουῖος, ἔπνεε τὰ λοίσθια ὑπὸ τῆς λύπης αὐτοῦ, ἀκούων, τὸν Κάλλιστον περιτειχίζειν μὲν τὴν Ῥώμην, καὶ μάχεσθαι τῷ ἀντιπάπᾳ Γρηγορίῳ, περὶ δὲ τῆς Ἱερουσαλὴμ μὴ μέλειν αὐτῷ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ μετὰ θάνατον Βαλδουῖνου Ῥηγάτου ἐν Ἱερουσαλὴμ Φούλκου, καὶ ἁλώσεως Ἐδέσσης ὑπὸ τοῦ Ἀμηρᾶ Βαβυλῶνος Ἀλῆ, καὶ ὧν ἐποίησε φόνων καὶ μετ' αἰσχύνης κακῶν τοῖς Χριστιανοῖς. καὶ περὶ τοῦ Ῥηγάτου ἐν Ἱερουσαλὴμ Βαλδουῖνου υἱοῦ τοῦ ἀνωτέρω Φούλκου.

Θνήσκει ὁ Βαλδοῖνος, καὶ γίνεται Ῥὴξ εἰς Ἱερουσαλὴμ Φοῦλκός τις Κόμης, καὶ ἔρχεται Ἀλὴς ὁ Ἀμηρᾶς ἀπὸ Βαβυλῶνος, καὶ λαμβάνει ἀπὸ τῶν Λατίνων τὴν Ἔδεσσαν, καὶ κατακαίει αὐτὴν, τοὺς δὲ ἐν αὐτῇ Χριστιανοὺς μὴ ἀρνησαμένους τὴν εἰς Χριστὸν πίστιν κατέκοψε, τὰς δὲ γυναῖκας τῶν Ἀρχόντων Χριστιανῶν, ἔδωκε πρόσταγμα ὁ αὐτὸς Ἀλὴς καὶ ἐπόρνευσαν οἱ Στρατιῶται αὐτοῦ ἔνδον εἰς τὸ Θυσιαστήριον τῆς μεγάλης Ἐκκλησίας τοῦ Προδρόμου, καὶ θνήσκει καὶ ὁ ταλαίπωρος Φοῦλκος, καὶ γίνεται Ῥὴξ ὁ υἱὸς αὐτοῦ Βαλδοῖνος. τοιαῦτα οὖν τὰ ἀποτελέσματα τῆς Συνόδου, ἥντινα καὶ Οἰκουμενικὴν λέγουσιν οἱ Λατῖνοι, ὡς αἰτίαν δοῦσαν ἀποβουκολησθῆναι τὸν Βαλδοῖνον, καὶ καταστραφῆναι τὰ πράγματα τῶν Χριστιανῶν εἰς τὴν Ἀσίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ τίνος χάριν ἡ δευτέρα τῶν ἀνωτέρω δύο ἐν Λατεράνῳ Συνόδος συνῆλθε, καὶ ὧν πλάττουσιν οἱ Λατῖνοι ἐν αὐτῇ Πατριαρχῶν καὶ Τοποτηρητῶν, καὶ ὅτι ἀπὸ Βασιλείου τοῦ βουλγαροκτόνου μέχρι τῆς δεῦρο ἀποτρόπαιοι τοῖς Ἀνατολικοῖς οἱ Πάπαι.

Ἡ δὲ δευτέρα, ἠθροίσθη καὶ αὐτὴ εἰς τὸ Λατερᾶνον τῷ χιλιοστῷ ἑκατοστῷ τριακοστῷ ἐνάτῳ ἔτει, ἐν ᾗ ἦσαν Μητροπολῖται ἑβδομηκονταδύο καὶ Ἡγούμενοι καὶ ἄλλοι τοιοῦτοι ὑπὲρ τοὺς ὀκτακοσίους, ἡ δὲ πάντολμος Τάργα λέγει ὅτι ἦσαν χίλιοι διακόσιοι ὀγδοηκονταπέντε. συνήχθη δὲ, φασὶν οἱ παπισταὶ, ὑπὲρ προνομίων ἐκκλησιαστικῶν, καὶ διὰ Αἵρεσιν τοῦ Ἀνάρδου Βρυξίας. μεγαλαυχοῦσι δὲ, ὅτι δῆθεν ἦσαν εἰς αὐτὴν σωματικῶς ὁ Κωνσταντινουπόλεως καὶ ὁ Ἱεροσολύμων, ὁ δὲ Ἀλεξανδρείας καὶ Ἀντιοχείας ἔπεμψαν Τοποτηρητὰς, καὶ ἡνώθησαν ἐν αὐτῇ αἱ Ἐκκλησίαι Ἀνατολῆς καὶ Δύσεως, ἤτοι ὑπετάγησαν οἱ Ἀνατολικοὶ τῷ Πάπᾳ τῆς Ῥώμης. Ἀλλὰ ῥητέον ὃ καὶ πολλάκις εἴρηται καὶ ῥηθήσεται, ὅτι ἰδιαίτατον ἔργον Λατίνοις τὸ ἀνακεκαλυμμένῳ τῷ προσώπῳ ψεύδεσθαι, ὥστε καὶ ἐνταῦθα ἔπλασαν Πατριάρχας καὶ Τοποτηρητὰς, Ἱεροσολύμων γὰρ ἴσως εἶχον τὸν φραγγοεπίσκοπον αὐτῶν, ὃν καὶ παρανόμως ὠνόμασαν Πατριάρχην, οὐμὴν καὶ τὸν ὀρθόδοξον, ἐπεὶ ἔτι χθὲς κατ' αὐτῶν συνέγραφεν ὁ μακάριος Συμεὼν, καὶ ὁ μετ' αὐτὸν Ἰωάννης. πῦ δὲ ἐκεῖ Κωνσταντινουπόλεως, ἢ τῶν λοιπῶν Πατριαρχῶν Τοποτηρηταὶ, ὄντων εἰς τὴν Κωνσταντινούπολιν τῶν συγγραφόντων καὶ Λατίνων τότε μυρίων; καὶ εἶτα τίνα ἦσαν τῶν Πατριαρχῶν τὰ ὀνόματα; καὶ μετὰ πόσων Ἀρχιερέων ἐκεῖσε ἀπῆλθον; καὶ πῦ εἰσὶ τοῦ Αὐτοκράτορος τὰ γράμματα εἰς τὴν Σύνοδον; καὶ πῦ εἰσὶν αἱ διαλέξεις; τίνες Κληρικοὶ καὶ σοφοὶ συναπῆλθον; καὶ πῶς οὐδεὶς τῶν Ἀνατολικῶν αὐτὸ μήτε συνέγραψε, μήτε γινώσκει; δῆλον οὖν ὅτι ὁ Πάπας, ἢ ἐπισκοπίδια τινὰ ἀσελγείας χάριν εἰς Ῥώμην διατρίβοντα, Πατριάρχας εἶπε, καὶ ψευδοτοποτηρητὰς ἔπλασεν ὡς ἐπὶ τῆς κατὰ Φωτίου, ἢ καὶ τὴν νεωτερισθεῖσαν αὐτοῦ συνήθειαν ἔπλασε λατινίδια ἀνθρωπάρια Πατριάρχας, ὡς καὶ ἐπὶ τῆς ἐν Τριδέντῳ καὶ εἰς τὰς ἄλλας αὐτοῦ Συνόδους. οἱ Ἀνατολικοὶ οὖν, ἀφ' οὗ ἡ γεγονυῖα ὑπὸ τῶν Λατίνων προσθήκη ἐν τῷ Συμβόλῳ ἐφανερώθη ἐν τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ἑβδόμῳ ἔτει, καθ' ὃ ὁ Κωνσταντινουπόλεως Σέργιος ἐπὶ Βασιλείου τοῦ βουλγαροκτόνου ἐρευνήσας καὶ μαθὼν τὰ διαγγελθέντα, καὶ πληροφορηθεὶς, ἀπέκοψε τὸ μνημόσυνον τοῦ Πάπα, ἐξ ἐκείνου καὶ ἕως οὗ μένει ἡ προσθήκη καὶ τὸ δόγμα αὐτῆς οὔτε ἐμνημόνευσαν οὔτε μνημονεύουσι τοῦ Πάπα Ῥώμης, ἀλλ' ἔχουσιν αὐτὸν ὡς καινοτόμον, θεομισῆ τε καὶ ἀποτρόπαιον.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῶν τροπαίων ὧν ἐποίησε κατὰ τῶν πολεμίων διὰ τῆς Εἰκόνος τῆς Θεοτόκου ὁ Κομνηνὸς Ἰωάννης, καὶ ὧν ἔλαβε πόλεων, καὶ τῆς τελευτῆς αὐτοῦ, καὶ βασιλείας Μανουὴλ τοῦ υἱοῦ αὐτοῦ.

Ὁ Κομνηνὸς Ἰωάννης ἐστράτευσε πολλάκις κατὰ τῶν ἀντικειμένων αὐτῷ ἐν τῇ Ἀνατολῇ, καὶ πάντοτε ἴσχυσε, καὶ ἴδε περὶ αὐτοῦ τὸν Χωνειάτην. ἀλλὰ καὶ εἰς τὸ Ἑξαμίλιον τῆς Θρᾴκης πολλοὺς τοιούτοις ὁμοίους κατέφθειρε τῇ συμμαχίᾳ τῆς Εἰκόνος τῆς Θεομήτορος, ὥσπερ ποτε ὁ Μωϋσῆς τῷ τύπῳ τοῦ Σταυροῦ ἠφάνισε τοὺς Ἀμαληκίτας. τὰ αὐτὰ ἐποίησε καὶ τοῖς Σέρβοις καὶ Οὔγγροις καὶ Ἰταλιώταις. ὅθεν θριαμβεύων λαμπρῶς εἰς Κωνσταντινούπολιν, εἶχε τὴν Εἰκόνα τῆς Παναγίας ἐπὶ ἁμάξης χρυσηλάτου, ἧς τῶν ἵππων τὰ χαλινὰ ἐκράτουν οἱ Μεγιστᾶνες, καὶ ἔσυρον, αὐτὸς δὲ ὁ Βασιλεὺς περιεπάτει πεζὸς ἔμπροσθεν, βαστάζων τὸν τίμιον Σταυρὸν, ἕως οὗ ἔφθασεν εἰς τὴν ἁγίαν Σοφίαν. μετὰ δὲ τὸν θρίαμβον στρατεύει, καὶ λαμβάνει Κασταμόνην καὶ Γάγγραν, καὶ εἰς τὴν Κιλικίαν διαβὰς, λαμβάνει Ἄδανα, Ταρσὸν, Ἀνάζαρβα. ἀπέρχεται εἰς Ἀντιόχειαν, λαμβάνει μεθ' ἑαυτοῦ τὸν Πρίγγιπα αὐτῆς Ῥαϊμοῦνδον, καὶ καταστρέφει τοὺς πολεμίους εἰς Εὐφράτην καὶ Μεσοποταμίαν, καὶ μετὰ τρεῖς χρόνους ἀνελθὼν εἰς Βιζάντιον, στρατεύει κατὰ Νεοκαισαρείας, ὅτε καὶ ὁ ἀνεψιὸς αὐτοῦ Ἰωάννης ἀπέδρα εἰς Τούρκους, καὶ ἐτούρκισε, καὶ ἔλαβεν εἰς γυναῖκα τὴν θυγατέρα τοῦ Σουλτάνου τοῦ Ἰκονίου, ἐξ οὗ νομίζει Φραντζὴς ὁ Λογοθέτης κατάγεσθαι τὸν Ὀτμᾶν. ἔρχεται οὖν πάλιν εἰς τὴν Κωνσταντινούπολιν ὁ Βασιλεὺς, εἶτα ἀπέρχεται εἰς Ἀττάλειαν, Ἰσαυρίαν καὶ Κιλικίαν, σκοπῶν νικῆσαι τοὺς πολεμίους, καὶ ἀπελθεῖν εἰς προσκύνησιν τοῦ ἁγίου τάφου, ἀλλὰ κυνηγετῶν ἐκεῖ, καὶ τύψας ἕνα χοῖρον ἰσχυρῶς, ἔτρωσε τὴν χεῖρα αὐτοῦ, καὶ ἀπέθανεν, ἀφεὶς διάδοχον αὐτοῦ τὸν υἱὸν αὐτοῦ Μανουήλ. ἐβασιλεύσε δὲ χρόνους εἰκοσιτέσσαρας καὶ μῆνας ὀκτώ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ προβλήσεως Μιχαὴλ εἰς Κωνσταντινουπόλεως Πατριάρχην, καὶ τῶν ἀρίστων κατορθωμάτων τοῦ Βασιλέως Μανουὴλ κατὰ διαφόρων πολεμίων, καὶ ὧν ἐβασίλευσεν ἐτῶν.

Ὁ Μανουὴλ ἀναῤῥηθεὶς Αὐτοκράτωρ, ἔρχεται ἀπὸ Κιλικίας εἰς Βυζάντιον, καὶ ἐπειδὴ προκεκοίμητο ὁ Πατριάρχης, προβάλλεται Πατριάρχην τοῦ ἐν τῇ ἐξείᾳ Μοναστηρίου τὸν Ἡγούμενον Μιχαὴλ, ἀφ' οὗ καὶ χρίεται εἰς τὴν ἁγίαν Σοφίαν. ἐστράτευσε δὲ κατὰ τῶν πολεμίων τῆς Ἀνατολῆς διαφόρως, καὶ κατὰ τῶν Σικελῶν, καὶ Σέρβων, καὶ Οὔγγρων, καὶ ἠρίστευσεν ἐν τοῖς πλείοσι, καὶ δὴ καὶ διάτινων Ἰταλῶν Ἡγεμόνων ἠνώχλησε τῶν Ἀλαμανῶν τὸν Ῥῆγα Φριδέριχον, ἀλλὰ καὶ κατὰ Ἀρμενίας καὶ Κιλικίας ἐστράτευσε, καὶ ἠρίστευσεν. ἐβασίλευσε δὲ ἔτη τριάκοντα καὶ ὀκτώ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ ἱεροῦ λίθου τῆς Μαγδαληνῆς, τοῦ μετενεχθέντος ἀπὸ Ἐφέσου εἰς Κωνσταντινούπολιν ὑπὸ τοῦ Βασιλέως Μανουὴλ, καὶ τὶς οὗτος ὁ λίθος, καὶ περὶ τοῦ εἰς Βυζάντιον ἐλθόντος Ῥηγὸς τῆς Παλαιστίνης.

Ἱστορεῖ ὁ Κίνναμος Ἰωάννης εἰς τοῦ ἕκτου βιβλίου τὸ ὄγδοον κεφάλαιον, ὅτι τὸν ἱερὸν Λίθον, ὃς ἦν εἰς τὴν Ἔφεσον, καὶ εἶχε τὸ κατὰ τὸν Σταυρὸν τοῦ Σωτῆρος Μυστήριον, τὸ ἕως τοῦ τότε καιροῦ μεῖναν ἀναπόνιπτον, πρᾶγμα φαινόμενον τεράστιον, ὃν ἡ Μαγδαληνὴ Μαρία ἀπερχομένη εἰς τὴν Ῥώμην ἐγκαλέσαι τοὺς τὸν Κύριον κτείναντας τῷ Τιβερίῳ, καὶ διοδεύσασα διὰ τῆς Ἐφέσου, ἀφῆκεν ἐκεῖ, καὶ ἦν ἕως τοῦ τότε καιροῦ, ὁ Αὐτοκράτωρ Μανουὴλ ἔφερεν εἰς τὴν Κωνσταντινούπολιν, καὶ ὅτε ἤχθη ὁ ἱερὸς οὗτος Λίθος εἰς τὸ λεγόμενον Σκούταρι, προϋπήντησεν αὐτῷ μετὰ τοῦ Πατριάρχου καὶ τοῦ Κλήρου καὶ τῆς Συγκλήτου ὁ Βασιλεὺς, ὃς καὶ τοῖς ὤμοις αὐτοῦ ἐπέθηκεν αὐτὸν, καὶ δὴ καὶ ἡμήτηρ αὐτοῦ ἔπεσεν ἐνώπιον αὐτοῦ ἐπὶ πρόσωπον δακρυῤῥοοῦσα ὑπὸ εὐλαβείας. ὁ δὲ Χωνειάτης εἰς τὸ ἕβδομον βιβλίον τῆς ἱστορίας αὐτοῦ λέγει, ὅτι αὐτὸς ὁ Λίθος ἦν ἐν ᾧ ἐνειλίθη τῇ ἐνταφίῳ σινδόνι ὁ Δεσπότης Χριστὸς, ὃν Λίθον πρότερον ἔβαλεν ὁ Βασιλεὺς εἰς τὸν ἐν Φάρῳ Ναὸν τοῦ Παλατίου, ὕστερον δὲ ἔβαλεν αὐτὸν εἰς τὴν Μονὴν τοῦ Παντοκράτορος, ἐγγὺς τοῦ ἑαυτοῦ μνήματος, ἦν δὲ ἐρυθρὸς ὁ Λίθος καὶ ἀνδρομήκης. φανερὸν δ' ἐντεῦθεν ὅτι ὁ Λίθος ὁ ὢν νῦν εἰς τὴν Ἀποκαθήλωσιν, ἐστὶν εἰς τύπον τοῦ πρωτοτύπου, καὶ οὐχὶ αὐτὸς ὁ πρωτότυπος. ἴδε καὶ περὶ τοῦ Μανουὴλ τούτου τὸ τοῦ Χωνειάτου βιβλίον τὸ ἕβδομον. λέγει ἔτι ὁ αὐτὸς βιβλίου ἕκτου Παραγράφῳ δεκάτῳ, ὅτι ὁ Παλαιστίνης Ῥὴξ εἰς Βυζάντιον ἦλθε, καὶ τυχὼν ὧν ἐπόθει, δουλείαν ὡμολόγησε.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν ὑπὸ τὰ κινάμα ἰσορμούντων θεμάτων Νήφωνός τινος περὶ τοῦ πίστιν, καὶ τῆς πρὸς τὸν Νήφωνα περιποιήσεως τὰ Κωνσταντινουπόλεως Κοσμᾶ, δι' ἣν καὶ ἐξεβλήθη τοῦ θρόνου.

Ὁ αὐτὸς Κίνναμος εἰς τὸ δεύτερον βιβλίον αὐτοῦ λέγει, ὅτι ἦν τις Νήφων ἀμέτοχος τῆς ἔξω σοφίας, ἀλλὰ καὶ εἰς τὰ τῆς Ἐκκλησίας πάνυ ὀλίγος, καὶ ὑπὸ τῆς Πατριαρχείας τὰ εἰρημένα Μιχαὴλ ἐφάνη χωλεύων εἰς τὰ περὶ τῆς ὀρθοδόξου πίστεως. ὅθεν ψήφῳ συνοδικῇ καταψηφισθείς, ἀπεκάρη τὸν πώγωνα, φθαίοντα ἕως τῶν γονάτων αὐτοῦ, καὶ ἐβλήθη εἰς φυλακὴν διὰ τὸ προσεταιρίζεσθαι τυχὸν τινὰς τῇ βλασφημίᾳ αὐτοῦ. μεταξὺ δὲ τοῦ Μιχαὴλ τῶν τῇδε, ἐξεβλήθη ὁ Νήφων τῆς φυλακῆς, καὶ πάλιν ἀνεκύκλει ζητήματά τε καὶ δόγματα, ἐπ' αὐτοφώρῳ βλασφημῶν, περιποιησάμενος δὲ αὐτὸν ὁ Πατριάρχης Κοσμᾶς, κατεβόων αὐτοῦ καὶ φίλοι καὶ ἐχθροί, ὡς πολυπειρίαν καὶ παγκάκιστον ἄνθρωπον περιποιούμενος, καθότι ὁσιωτικῶν ἀνδρῶν ἀποβλήτῳ, ἀπαράδεκτον καθ' ἑαυτοῦ κατασκευάζει κατηγορίαν, ὁ δὲ μᾶλλον προσέκειτο Νήφωνι. μαθὼν δὲ ταῦτα ὁ Βασιλεύς, ἔγραψεν ὑπὸ τοῦ Στρατοπέδου ὅπως ἴδῃ, ἵνα ἐμβάλωσι τὸν ἀλάστορα πάλιν ἐν φυλακῇ, ἀλλ' ὁ Κοσμᾶς τρέχει πεζὸς τοῦ λαβεῖν αὐτὸν ἐκ τῶν χειρῶν τῶν δημίων, τῶν δὲ ἀντιτεινόντων διὰ τὸ βασιλικὸν προσταγμα, ἀπεφήνατο ὁ Δεσπότης συναπελθεῖν αὐτῷ εἰς τὴν Φυλακήν, ἐὰν μὴ αὐτὸν ἐάσωσιν. ἐλθὼν δὲ ὁ Βασιλεὺς εἰς τὸ Βυζάντιον, ἠρώτησε καθ' ἕνα τῶν Ἀρχιερέων ἰδίως, ὁποῖός ἐστιν ὁ Νήφων, καὶ εἶπον αὐτῷ ὅτι ἐστὶν ἀσεβὴς ἄνθρωπος, ἠρώτησε δὲ καὶ τὸν Πατριάρχην, ὁ δὲ εἶπεν αὐτῷ ὅτι ἐστὶν ἄνθρωπος ἀναίρετος, ὅθεν Σύνοδον ἀθροίσας, ἠρώτησε περὶ τοῦ Νήφωνος, καὶ εἶπον οἱ πάντες ὅτι ἐστὶ βλάσφημος. διὰ δὲ τὸ εἶναι τὸν Κοσμᾶν καλὸν τὸν Νήφωνα, ἐβόησαν οἱ πάντες ὅτι ἐστὶν ἀνάξιος τοῦ θρόνου, καὶ ἐξεβλήθη, καί τοι ταῦτα ὢν ἀγαθὸς καὶ κατὰ πάντα ἀναίρετος. καὶ ταῦτα μὲν ὁ Κίνναμος. αἱ δὲ τότε γενόμεναι συνοδικαὶ πράξεις μαρτυροῦσι καὶ τοῦ Νήφωνος τὴν Αἵρεσιν καὶ τὸν Κοσμᾶν τὴν συναίνεσιν ἐν τῇ Αἱρέσει, ἃς εὑρήσεις ἐν τῷ περὶ συμφωνίας τῶν Ἐκκλησιῶν Λέοντος τοῦ Ἀλλατίου βιβλίῳ δευτέρῳ κεφαλαίῳ δωδεκάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς αἰτίας, δι' ἣν οἱ Πάπαι Ῥώμης ἐπεχείρησαν χεῖραν Βασιλεῖς τοὺς Ῥήγας Φραγγίας καὶ Ἀλαμανίας, καὶ τῆς ὑπὸ Φριδερίκου Βασιλέως Ἀλαμανίας ἐξελάσεως τοῦ Πάπα Ἀλεξάνδρου ἀπὸ τοῦ θρόνου, καὶ τῆς καταλλαγῆς αὐτῶν διὰ τοῦ ἐπὶ τοῦ παπικοῦ ποδὸς φιλήματος τοῦ Φριδερίκου.

Εἴπομεν δὲ ποτάκις, ὅτι θέλοντες οἱ Πάπαι τῆς Ῥώμης μὴ ἔχειν μείζονας ἑαυτῶν τοὺς Αὐτοκράτορας τῶν Ῥωμαίων, ὑφ' ὧν προσεβάλλοντο πρότερον, ἢ ὑπὸ τῶν Ἐξάρχων αὐτῶν ἐν τῇ Ἰταλίᾳ, τῶν ψηφιζομένων αὐτοὺς, ἐπενόησαν χεῖραν τοὺς Ῥήγας Φραγγίας πρῶτον, καὶ ὕστερον τοὺς τῆς Ἀλαμανίας Αὐτοκράτορας, ἵνα αὐτοὺς ὑποτάξωσιν, ὥστε ὅταν οἱ Βασιλεῖς τῆς Κωνσταντινουπόλεως, οἳ εἶχον εἰς ὑποταγὴν τοὺς Πάπας, ἐκλείψωσι, τοὺς παποσέπτους Βασιλεῖς, ὄντας διὰ τῶν χειρῶν καὶ τῶν σέψιν ἐνδεεῖς τοῖς Πάπαις, ὑποτάσσεσθαι αὐτοῖς, καὶ ἕτω τὸν Πάπαν τελειῶσαι τὸ ζητούμενον, καὶ φημίζεσθαι καὶ ὑπὲρ τοὺς Βασιλεῖς. εἰ ἦν ὁ Καρολος ἐφάνη ἰσχυρός τις καὶ μέγας κατὰ τῆς Ῥώμης, ἀλλὰ κατόπιν πέσοι κακοδαίμονες Βασιλεῖς τῆς Δύσεως ὑπέφερον τὸν ζυγὸν τὸν παπικὸν, ἂν μὲν ὑπὸ ἀγνωσίας, τινὲς δὲ καὶ ὑπὸ ἀνάγκης, ὅλη διήγερον οἱ Πάπαι καθ' αὐτῶν τοὺς Ῥήγας τῶν Φράγγων καὶ ἄλλους Ἡγεμόνας. οἱ δὲ φρονήσεις, ἐπειδὴ καὶ Καίσαρες ὠνομάζοντο, ἐζήτουν τὰ σεμνόμια τῶν Καισάρων, ὅθεν ἐγίνοντο μεγάλα σκάνδαλα, καὶ πόλεμοι ἀναμεταξὺ τοῦ ἀναμαρτήτου Πάπα καὶ τοῦ παποσέπτου Καίσαρος. καὶ δὴ Φριδέρικος ὁ Ἀλαμάνων Βασιλεὺς μάχεται τῷ Πάπᾳ Ἀλεξάνδρῳ, ὃν καταβαλὼν ἀντεσπᾶξε τὸν Ὀκταβιανόν. φυγόντος δὲ τοῦ Ἀλεξάνδρου, καὶ κρυβέντος εἰς τὴν Βενετίαν, σωθέσα τῆς Γερουσίας τῶν Ἐνετῶν, εἰρωδίαι μετ' αὐτοῦ ὁ Φριδέρικος, καὶ ἐλθὼν εἰς τὴν Βενετίαν, φιλεῖ τοὺς πόδας τοῦ Ἀλεξάνδρου δῆθεν διὰ συγχώρησιν, ἐπαρὰς γὰρ ὁ ἀναιδέστατος Πάπας τὸν πόδα αὐτοῦ, ἔβαλον αὐτὸν ἐπὶ τὴν κεφαλὴν ἐκείνου τοῦ βλαβοῦς Χριστιανοῦ καὶ Βασιλέως. ὅθεν λέγει αὐτῷ ὁ Φριδέρικος, Οὐ διὰ σὲ, ἀλλὰ διὰ τὸν Πέτρον φιλῶ τὸν πόδα, ὁ δὲ Ἀλέξανδρος εἶπεν αὐτῷ, Καὶ διὰ τὸν Πέτρον, καὶ δι' ἐμέ. Σὺ δὲ σημείωσαι, εἰ ἔστιν ὁ Πάπας τοιοῦτος, καὶ τοιοῦτος ἄκρος ὑπερήφανος, πῶς ἔστιν ἀναμάρτητος, ἢ ὅλως Ἐπίσκοπος;

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Τί τὸ αἴτιον τοῦ γράψαι τὸν Μανουὴλ Κομνηνὸν τῷ Ἀλεξάνδρῳ Ῥώμης κατὰ Φριδερίκου, καὶ τί λέγουσιν οἱ παπικοὶ περὶ ὧν ἔγραψε τῷ Πάπᾳ ὁ Μανουὴλ ψευδόμενοι.

ὁ Κομνη-

Ὁ Κομνηνὸς Μανουὴλ ἰδὼν τὰς διαφορὰς τοῦ Πάπα μετὰ τοῦ Φριδερίκου, διὰ συμφέρον αὐτοῦ δῆθεν ἐμόχθησε διαστῆσαι ἀπ' ἀλλήλων τοὺς δύο ἐπιπλεῖον, καὶ συνάψαι ἑαυτῷ τὸν Πάπαν, ἵνα δῆθεν καλῶς ποιήσῃ αὐτὸς ὁ Πάπας ἅπερ οἱ πρὸ αὐτοῦ διέφθειρον. ὅθεν γράφει τῷ Ῥώμης Ἀλεξάνδρῳ, καὶ παρακινεῖ αὐτὸν μὴ δεχθῆναι τὸν Φριδέρικον εἰς τὴν Ῥώμην, καὶ μὴ χρίσαι αὐτὸν Βασιλέα, καὶ δὴ καὶ ἐκολάκευεν αὐτὸν λέγων, μὴ δώσῃς τὴν δόξαν σου ἑτέρῳ. ἀλλ' ὁ Ἰταλὸς οὐκ ἐπείθετο, τὸ γὰρ βάρβαρον μέγαν νοῦν ἔχει, ὥς που φησὶν ὁ εἰπών, ὅτι μεθ' ὧν ἐκεῖνος ἔχριεν, εὐκόλως καὶ διεφέρετο καὶ εἰρήνευεν, οὐ μὴν δὲ καὶ μετὰ τῶν ἀληθινῶν Αὐτοκρατόρων ἐδύνατο ταῦτα ποιεῖν. οἱ δὲ παπισταὶ λέγουσιν, ὅτι ἔστειλεν ὁ Μανουὴλ πρεσβείαν εἰς τὸν Ἀλέξανδρον ἵνα δεχθῇ τοὺς Ἀνατολικοὺς εἰς κοινωνίαν, καὶ δεύτερον, ἵνα δώσῃ αὐτῷ χρίσμα καὶ στέμμα. ἀλλὰ καὶ αὐτὰ τὰ δύο ψευδῆ καὶ ἐπίπλαστα, καὶ ἀμάρτυρα, καὶ ἀδύνατά εἰσιν, οὔτε γὰρ οἱ ὀρθόδοξοι ἐζήτησάν ποτε ἢ ζητοῦσιν ὑποταχθῆναι τοῖς ἀποβεβλημένοις διὰ τὰς καινοτομίας αὐτῶν Λατίνοις, ἀλλ' εἰς διόρθωσιν παραινοῦσιν αὐτοὺς, οὔτε ὁ ἀπὸ Ἰουλίου Καίσαρος ἔχων κατὰ διαδοχὴν τῆς βασιλείας τὰ σκῆπτρα, παπικῆς δεῖται ψήφου καὶ στέμματος. ὅρα δὲ καὶ τὸν Κίνναμον βιβλίῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ τρίτῳ, καὶ τὸν Χωνειάτην εἰς βιβλίον τὸ ἕβδομον.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ Γερμανῶν, Κελτῶν καὶ Γαλατῶν, καὶ Κορράδου καὶ Λοδοβίκου τῶν ἀρχηγῶν αὐτῶν, κατὰ Σαρακηνῶν κινηθέντων, καὶ τοῦ ἀριθμοῦ τῶν Στρατευμάτων αὐτῶν, τῆς τε ἀπραξίας καὶ ἀπωλείας αὐτῶν, καὶ τῆς μετὰ τὴν πρὸς αὐτοὺς τοῦ Βασιλέως Μανουὴλ περιποίησιν ἐπιβουλῆς Κουρράδου, καὶ ἀθετήσεως τῶν πρὸς αὐτὸν αὐτοῦ ὑποσχέσεων.

Ἐπὶ τούτου τοῦ Μανουὴλ, Γερμανοὶ, Κελτοὶ καὶ Γαλάται ἐκίνησαν διὰ τὴν Ἱερουσαλὴμ κατὰ τῶν Σαρακηνῶν, ὁ Ἀλαμανὸς Κορράδος, καὶ ὁ Γερμανὸς, ἤτοι Ῥὴξ τῆς Φράντζας Λοδοβῖκος. ἔστειλε δὲ ὁ Βασιλεὺς καὶ ἐδέξατο αὐτοὺς εἰς τὸ Ζέγμιον, ἀντικρὺ Βελεγραδίου, καὶ παρήγγειλε τοῖς σταλεῖσι μετρεῖν αὐτοὺς καὶ καταμαθεῖν πόσοι εἰσὶ, καὶ ἐμέτρησαν ἕως ἐννενήκοντα μυριάδων, καὶ λοιπὸν ἀποκαμόντες, ἀφῆκαν αὐτοὺς ἀμετρήτους. ἐλθὼν δὲ ὁ Κορράδος πλησίον τῆς Κωνσταντινουπόλεως, καὶ ἐπιορκήσας, καὶ κακὰ καὶ ἐπίβουλα διανοηθεὶς, κατεπολεμήθη, καὶ ἀπῆλθε μετ' αἰσχύνης, καὶ ἀτίμως ἐπέρασεν εἰς τὸ Σκούταρι. ὕστερον ὅμως ἐλθὼν ὁ Ῥὴξ τῆς Φράντζας Λοδοβῖκος, προϋπηντήθη φιλοτίμως, καὶ ἐτιμήθη ὑπὸ τοῦ Μανουὴλ, καὶ ἐδέξατο αὐτὸν καὶ εἰς συνέντευξιν αὐτοῦ, ὅτε καὶ ὁ Μανουὴλ καθεσθεὶς ἐπὶ μετεώρου ὡς Αὐτοκράτωρ, τὸν Ῥῆγα τῆς Φράντζας ἔβαλε καὶ ἐκάθισεν εἰς μικρὰν καθέδραν κατὰ τὸ πρέπον, λέγει ὁ Κίνναμος, καὶ ἐτίμησεν αὐτὸν, καὶ ἀπέστειλε μετὰ χρηστότητος. ἑνωθέντες δὲ εἰς Νίκαιαν Κορράδος καὶ Λοδοβῖκος, ὥδευσαν ἄχρι Φιλαδελφείας, ἐκεῖθεν δὲ διά τι συμβὰν ἀναμεταξὺ αὐτῶν, ἐζήτησεν ὁ Κορράδος παρὰ τοῦ Μανουὴλ ἵνα ἐπιστρέψῃ ὀπίσω, καὶ λαβὼν τὸ ἐνδόσιμον, ἐπιστρέφει, καὶ διαπερᾷ εἰς τὴν Θρᾴκην διὰ τοῦ Ἑλλησπόντου, καὶ ἑνοῦται τῷ Βασιλεῖ ἐκεῖσε διατρίβοντι, καὶ ἔρχονται εἰς Κωνσταντινούπολιν, καὶ γίνονται περιποιήσεις μετὰ θεάτρων, καὶ ἱππασίαι, καὶ ἄλλα τοιαῦτα, εἶτα μετὰ βασιλικῶν πλοίων ἀπέρχεται εἰς Ἱερουσαλήμ. ὥδευσε δὲ διὰ ξηρᾶς καὶ Λοδοβῖκος, καὶ ἑνωθέντες τοῖς Στρατεύμασι τοῦ Βαλδουίνου, περιεκύκλωσαν τὴν Δαμασκὸν οἱ τρεῖς, Κορράδος, Λοδοβῖκος, καὶ Βαλδουῖνος, πλὴν διὰ πονηρίας τινὸς Ἀσσυρίου ἠναγκάσθησαν καὶ ἀφῆκαν τὴν τόσην πολιορκίαν, καὶ τὰ Στρατεύματα κακῶς ἀπωλέσθησαν, μόνον ὁ Λοδοβῖκος ὑπέστρεψεν εἰς τοὺς χιλίους ἑκατὸν τεσσαρακονταέξ, καὶ ἀπεδήμησεν εἰς τὰ ἴδια, ὁ δὲ Κορράδος ἦλθεν εἰς Θεσσαλονίκην, ὅπου πάλιν διατρίβοντι τῷ Βασιλεῖ ἡνώθησαν αὐτὸς Κουρράδος, καὶ ὁ ἀδελφὸς αὐτοῦ Φριδέρικος, καὶ ὅρκια καὶ συμφωνίας θέντες, ἀπῆλθον εἰς τὰ ἴδια, μηδὲν διαπραξάμενοι πώποτε ὧν ὑπέσχοντο, καὶ ταῦτα ἐνόρκως. θανόντος δὲ τοῦ Κορράδου, ὁ Φριδέρικος ἐγένετο Ῥήξ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῶν ὧν ἐπόρθησε πόλεων ἐξ ἐφόδου Ῥογέριος ὁ Σικελίας Ῥὴξ, ὁ καὶ τὸν Λοδοβῖκον ταῖς τοῦ Μανουὴλ Κομνηνοῦ Ναυσὶν ἐμπεσόντα λυτρωσάμενος.

Εἰς τὴν κίνησιν τούτων κινηθεὶς καὶ ὁ Σικελὸς ῥὴξ Ῥογέριος, ἵνα δῆθεν βοηθήσῃ αὐτοῖς, ἐπόρθησεν ἐξ ἐφόδου Κορυφοὺς, Θήβας καὶ Κόρινθον ἠνδραπόδησεν, αἰχμαλωτίσας καὶ γυναῖκας καὶ τέκνα πάντα, καὶ δὴ καὶ τὴν ἐν Κορίνθῳ τιμωμένην Εἰκόνα τοῦ Τύρωνος Θεοδώρου ἔλαβεν. ὁ δὲ Λοδοβῖκος ἐπιστρέφων ἀπὸ τῆς Παλαιστίνης, ἐνέπεσε ταῖς Ναυσὶ τοῦ Κομνηνοῦ Μανουὴλ, πλὴν ὅμως ἐλυτρώθη παρὰ τοῦ Στόλου τοῦ Ῥηγὸς τῆς Σικελίας τοῦ Ῥογερίου, καὶ ὡς ἔφθασεν εἰς τὴν Φράντζαν, πάλιν ἀνεσκόπησε παλινδρομῆσαι εἰς τὰ μέρη τῆς γῆς τῆς ἐπαγγελίας, ὡς διηγεῖται τοῦτο ὁ Ῥομπέρτος.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῦ νικηθέντος Ῥηγὸς τῆς Ἱερσαλὴμ Μπαλδεΐνα, καὶ τῆς τελείας τῶν λατινικῶν πραγμάτων καταστροφῆς, καὶ τῆς ὑπαντῆς τῦ Μπαλδεΐνα ὅτε εἰς Βυζάντιον ἦλθε, καὶ συνομιλίας αὐτῦ μετὰ τῦ Βασιλέως.

Ὁ δὲ Μπαλδεῖνος, ὃς ἦν ἀεί ποτε σωματισμῷ νικαῖν, ἐνικήθη, καὶ ἐλθόντων τῶν λατινικῶν πραγμάτων εἰς τελείαν καταστροφὴν, ἦλθεν εἰς Μανουὴλ τὸν Βασιλέα εἰς τὸ Βυζάντιον, καὶ συνεπλωτήθη ὑπὸ Συγκλητικῶν, καὶ ὑπ' αὐτῶν τῶν συγγενῶν τῦ Βασιλέως, ὡς καθεζόμενος εἰς τὸν θρόνον Δαβὶδ, ἐρχόμενος ὅμως εἰς συνέντευξιν τῦ Βασιλέως, καὶ ὀγκωθεὶς ὑπὸ τῆς τιμῆς, οὐκ ἐπέζεσεν ἔξω, ὅπερ ἡ συνήθεια ἀπαιτεῖ τοὺς τοιούτους, ἀλλ' εἰσῆλθε καὶ ἐπέζεσεν ὅπερ καὶ ὁ Αὐτοκράτωρ, διατῦτο καὶ αἱ τιμαὶ ὠλιγώθησαν, ἀτυχῶν δὲ τῷ Βασιλεῖ, ἐκάθισεν εἰς χθαμαλὴν καθέδραν, καθὼς πρότερον ἐκάθισε καὶ ὁ Ῥὴξ τῆς Φρανγίας.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι λέγοντες οἱ Λατῖνοι, πρασάξαι τὸν Βασιλέα Μανουὴλ τοῖς ἀρτοποιοῖς γύψον φυρᾶσαι τοῖς ἀλεύροις, καὶ δοῦναι τοῖς Λατίνοις ἐπὶ θανάτῳ, ψεύδονται. καὶ περὶ τῆς πρὸς Λατίνους βοηθείας τῦ Βασιλέως Μανουὴλ, καὶ τῆς πρὸς αὐτὸν ἐπιβουλῆς αὐτῶν καὶ ἀδικίας.

Σημειῦσιν οἱ Λατῖνοι, ὅτι ὁ Μανουὴλ παρήγγειλε τοῖς ἀρτοποιοῖς βαλεῖν εἰς τὸ ἄλευρον γύψον, καὶ διδόναι αὐτὸ διατροφὴν τοῖς Λατίνοις, τοῖς διαβαίνουσιν διὰ τῆς Κωνσταντινουπόλεως, καὶ πρότερόν τινα καὶ Κορράδον τὸν Ἀλαμανὸν κατέφθειρε τοῦτῳ τῷ τρόπῳ. ὅμως ψεύδονται, ὅτι αὐτὸς πρεσβεύσας αὐτοὺς εἰς τὸ Βελεγράδιον, καὶ συνέδραμε, καὶ ἐβοήθησαν αὐτοῖς πολυειδῶς, οἱ Λατῖνοι ὅμως ἐφάνησαν ἐπίβουλοι καὶ δόλιοι, πρῶτον, ὅτι ὁ Κορράδος ἐπεβούλευσε τῇ Κωνσταντινουπόλει, καὶ τοιγε οὐκ ἐσωθήσ. δεύτερον, ὁ Μανουὴλ ἐβουλήθη παραλαβεῖν τὴν Αἴγυπτον, καὶ συνεφώνησαν Ἀμαλρίκῳ τῷ Ῥηγὶ Ἱερσολύμων, ὡς ἰσορρεῖ ὁ Χωνιάτης, ὅθεν ἔστειλε τὸν Κονταφέρωνα Στρατηγὸν μετὰ Στόλου βαρέος ὁ Μανουὴλ εἰς Αἴγυπτον, ᾧ συνεφώνησεν Ἀμαλρίκος ὁ Ῥὴξ Ἱερσολύμων, καὶ ἐπολέμησαν τὴν Αἴγυπτον, καὶ ἐπολιόρκησαν τὴν Δαμιάταν, καὶ ἐκυρίευσαν αὐτὴν, καὶ ἐπορθήσαντο τὴν Αἴγυπτον, καὶ ἐπῆραν ἀπὸ τὴν Αἴγυπτον ἀργύριον πολὺ, καὶ ἐπέστρεψαν εἰς τὰ ἴδια. ἐπεὶ δὲ ἐπέστρεψαν, ἐπολιόρκησε τὴν Δαμιάταν ὁ Σαλαδῖνος, καὶ ἐκυρίευσεν αὐτὴν, καὶ ἐπῆρε πάλιν τὴν Αἴγυπτον. ἐπεὶ δὲ ἐπέστρεψαν οἱ Λατῖνοι

τῷ ἰδίῳ λόγῳ, καθὸ δηλονότι κτιστή ἐστι, καὶ καθ' ἣν πέπονθεν ὁ Σωτὴρ ἡμῶν, ἐλάττων ἐστὶ τοῦ Πατρὸς, τοὺς δὲ ἄλλως φρονοῦντας, ἀνεθεμάτισαν, καὶ ἴδε ἐν τῇ Κυριακῇ τῆς ὀρθοδοξίας τὸ Συνοδικόν. ἔδωκε δὲ τῇ Ἐκκλησίᾳ ὁ Αὐτοκράτωρ Ἤδικτον, βεβαιῶν τὰ πεπραγμένα τῇ Συνόδῳ, τὴν δὲ ἀπόφασιν τῆς Συνόδου ἔγραψεν εἰς πλάκας, καὶ ἔβαλεν αὐτὰς ἐν τῇ ἁγίᾳ Σοφίᾳ, ἡ δὲ ἐπιγραφὴ τοῦ Ἠδίκτου ἔχει οὕτω, Μανουὴλ ἐν Χριστῷ τῷ Θεῷ πιστὸς Βασιλεὺς, Πορφυρογένητος, Ῥωμαίων Αὐτοκράτωρ, εὐσεβέστατος, ἀεισεβέστατος, Ἰσαυρικὸς, Κιλικικὸς, Ἀρμενικὸς, Δαλματικὸς, Οὐγγρικὸς, Βοσθνικὸς, Χωρβατικὸς, Λαζικὸς, Ἰβερικὸς, Σερβικὸς, Ζηκχικὸς, Χαζαρικὸς, Βουλγαρικὸς, Γοτθικὸς, θεοκυβέρνητος, κληρονόμος στέμματος τοῦ μεγάλου Κωνσταντίνου, καὶ ψυχῇ νεμόμενος πάντα τὰ τούτου δίκαια. ἠθροίσθη δὲ ἡ Σύνοδος ἐν ἔτει ἑξακισχιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ τεταρτῷ, καὶ ἐτελειώθη τῷ αὐτῷ ἔτει, Μαρτίῳ μηνὶ, Ἰνδικτιῶνος δεκάτης τεταρτῆς, τῷ εἰκοστῷ τρίτῳ ἔτει τῆς βασιλείας τοῦ Μανουήλ. Σημείωσαι δὲ πρῶτον, ὅτι ὄρθιος ἀναστὰς ὁ Αὐτοκράτωρ, ἔρριψεν ἑαυτὸν εἰς τοὺς πόδας τῶν πατέρων ζητῶν συγγνώμην εἰ μὴ συνέδραμε καλῶς εἰς τὸ ἀγῶνα, καὶ ὅτι ἔτρωσε παῖδα ἄρσενα ἡ Βασιλὶς, καὶ δεηθῆναι τοῦ Θεοῦ ἵνα αὐτῷ δώσῃ τέκνα, ὃ καὶ ἐγένετο, ἐπειδὴ διὰ τῆς εὐχῆς τῶν πατέρων ἐγέννησε τέκνα. δεύτερον, ὅτι Ἰωάννης ὁ Μητροπολίτης Κερκύρων καὶ ὁ Μοναχὸς Εἰρηνικὸς τῇ προτέρᾳ μείναντες δόξῃ, ἀναθεματισθέντες ἐξωρίσθησαν. τρίτον, ὅτι ὁ Λουκᾶς διὰ τὸ εἶναι αὐτὸν Μεγαλόσχημον, ὑπεγράφετο, Λουκᾶς Μοναχὸς, καὶ τὰ ἑξῆς. τέταρτον, ὅτι ἦσαν αἱ πλάκες ἐν αἷς ἐγράφη ἡ συνοδικὴ ἀπόφασις τέσσαρες μαρμάρεαι, καὶ ἦν ἑκάστη τὸ μὲν μῆκος ὀργυῖαι τρεῖς, τὸ δὲ πλάτος ὀργυῖαι ἐλάσσονες, ἀπετελεῖτο δὲ ἐκ τῶν τεσσάρων τετράγωνον ἴσον ἰσάκις. ἔκειντο δὲ εἰς τὸ εὐώνυμον μέρος τοῖς εἰσιοῦσιν εἰς τὸν Ναὸν, καὶ εἰς μέρος τὸ ἐνδότατον, ἐπερειδόμεναι ἐπὶ Κίοσι λεπτοῖς πορφυροῖς. Ἐν ἔτει ἑπτακισχιοστῷ ἑβδομηκοστῷ ἕκτῳ κατὰ Μῆνα Σεπτέμβριον εἰσελθὼν εἰς τὸν Ναὸν ὁ Σουλτᾶν σελὴμ, ὁ πέμπτος Σουλτᾶνος ἀπὸ τοῦ Σουλτᾶν Μωαμὲτ, τοῦ λαβόντος τὸ Βυζάντιον, καὶ ἰδὼν τὸ τετράγωνον, καὶ ἐρωτήσας ἕνα τῶν ἰδίων σοφῶν, τί ἐστι, καὶ ἀκούσας πρὸς τοῖς ἄλλοις ὅτι ἐστὶ μετὰ ἑλληνικῶν γραμμάτων, ἐμήνυσε τῷ Πατριάρχῃ, καὶ ἔστειλεν ὁ Πατριάρχης αὐτῷ τινὰς σοφοὺς, καὶ ἔβαλον σκάλαν καὶ ἀνέγνωσαν τὰ γράμματα, καὶ μετέφρασαν αὐτὰ τουρκιστὶ, εἶτα προτροπῇ τοῦ Μουφτῆ κατήγαγε τὰς πλάκας, καὶ θέλων ἀποξέσαι τὰ γράμματα, συντριβεισῶν τῶν τριῶν, τὴν μίαν τὴν μείνασαν ἐπέθηκε τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ ὁ Σουλτᾶνος πρὸς καλλωπισμόν. Σημείωσαι ὅτι ὁ Ἱεροσολύμων οὕτως ὑπέγραψε, Νικηφόρος ἐλέῳ Θεοῦ Πατριάρχης τῆς μητρὸς πασῶν τῶν Ἐκκλησιῶν ἁγίας Σιὼν πόλεως Ἱεροσολύμων. καὶ ὅτι καὶ Κληρικοὶ λέγονται ὑπέρτιμοι, λέγει γὰρ, Τοῦ ὑπερτίμου καὶ μεγάλου Οἰκονόμου Ἀλεξίου, συμπαρισταμένων καὶ τῶν θεοφιλεστάτων δεσποτικῶν Ἀρχόντων.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν ἐτῶν τῆς Βασιλείας Μανουὴλ τοῦ Κομνηνοῦ, τοῦ Ματθαίου μετονομασθέντος διὰ τοῦ ἀγγελικοῦ σχήματος, καὶ τῆς τελευτῆς αὐτοῦ, καὶ ὧν περὶ τῶν Μοναχῶν εἶπε, καὶ περὶ Πλυνομάντεων καὶ Λεκανομάντεων, ὧν εἷς καὶ ὁ Σὴθ, ὃν κατέκαυσεν ὁ Μανουὴλ, καὶ περὶ τῆς ἀρχαιότητος τοῦ γένους τῶν Καντακουζηνῶν.

Ἐβασίλευσεν οὖν ὁ Μανουὴλ ἔτη τριάκοντα καὶ ὀκτὼ, καὶ γενόμενος Μοναχὸς, καὶ μετονομασθεὶς Ματθαῖος, ἐξέλιπεν. ἔκτισε δὲ καὶ Μοναστήριον ἐπ' ὀνόματι τοῦ Ἀρχιστρατήγου, καὶ διώρισεν ἔχειν τοὺς Μοναχοὺς τὴν ζωοτροφίαν αὐτῶν ἀπὸ τοῦ βασιλικοῦ ταμείου, κτήματα δὲ οὐκ ἔδωκεν, εἰπὼν, ὅτι τὰ τοιαῦτα πλεονεξίαν τοῖς Μοναχοῖς περιάπτει, καὶ τοὺς συγγενεῖς αὐτοῦ τοὺς κτίσαντας Μοναστήριον εἰς τὸ Στενὸν, καὶ προικίσαντας αὐτὸ κτήμασιν, ἤλεγχεν εἰπὼν, ὅτι οἱ τοιοῦτοι Μοναχοὶ μόνον τὸ τριβώνιον ἤλλαξαν, ἡ δὲ πολιτεία αὐτῶν ἐστὶν ἡ αὐτὴ τοῖς κοσμικοῖς, δέον τοὺς Μοναχοὺς εἶναι ἀκτήμονας. Σημείωσαι, ὅτι καὶ ἕως Ἰσαακίου τοῦ Ἀγγέλου ἦσαν εἰς τὴν Κωνσταντινούπολιν Μοναχοὶ χαμευνῆται, γυμνόποδες, καὶ κιονῖται. Σημείωσαι δεύτερον, ὅτι ἦσαν ἐπὶ τῆς παρούσης ἡγεμονίας Πλυνομάντεις καὶ Λεκανομάντεις, ἀφ' ὧν ἦν καὶ ὁ Σὴθ, ὃν ἐτύφλωσεν ὁ Μανουήλ. καὶ τρίτον, ὅτι ὁ Καντακουζηνὸς Ἰωάννης ἦν γαμβρὸς τοῦ Βασιλέως Μανουὴλ ἐπ' ἀδελφῇ, καὶ ἴδε τὸν τρίτον Τόμον τοῦ Χωνειάτου, καὶ γνῶθι τὴν ἀρχαιότητα τοῦ γένους τῶν Καντακουζηνῶν.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῆς ἐπὶ Ἀλεξίου, Ἰωάννου καὶ Μανουὴλ τῶν Κομνηνῶν ἀρχῆς τῶν μεταξὺ Ἑλλήνων καὶ Λατίνων διὰ τὴν τοῦ ἁγίου Πνεύματος ὕπαρξιν διαλέξεων, καὶ περὶ τῶν πατέρων τῶν κατὰ Λατίνων τότε ἀριστευσάντων.

Ὅτι μὲν οὖν τὸ δόγμα τὸ, καὶ ἐκ τοῦ Υἱοῦ ἔχει τὴν ὕπαρξιν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἡ ἐν τῷ Συμβόλῳ προσθήκη οὐκ ἦσαν ἐν τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ ἀρχαῖα καὶ πάτρια, ἀλλὰ χθὲς καὶ προχθὲς ὑπότινων ἀθλίως ἐξευρη-

ρημένα, εἰ καὶ ἐδείχθη ἀνωτέρω ἐν πολλοῖς καὶ διὰ πολλῶν, ἀλλὰ καὶ ἐκ τούτου δείκνυται, Πάσης Αἱρέσεως ἀναφυομένης, εὐθὺς ἕπονται καὶ οἱ κατ' αὐτῆς παρὰ τῶν ὀρθοδόξων ἔλεγχοι, καὶ ἐπειδὴ πρότερον οὐκ ἦν ἐν τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ οὔτε τοῦ δόγματος οὔτε τῆς προσθήκης ἡ Αἵρεσι, οὐδεὶς λόγος ἐγένετο τῶν πατέρων περὶ αὐτῆς, ὅτε δὲ παρέλαβε ταῦτα ἀπὸ τῶν Γάλλων ἡ Ῥώμη, καὶ κατέσχε, πρῶτον μὲν ἀπεκόπη τὸ τοῦ Πάπα μνημόσυνον ὑπὸ τοῦ Κωνσταντινουπόλεως Σεργίου, εἶτα ἐπὶ τοῦ Μονομάχου Βασιλέως συνοδικῶς ἀπεβλήθη ὡς αἱρετικὰ φρονοῦσα καθάπαξ ἡ ῥωμαϊκὴ Ἐκκλησία ὃν τρόπον εἴρηται ἀνωτέρω, ἠκολούθησαν δὲ καὶ οἱ ἔλεγχοι παραπόδας. καὶ πρῶτος μὲν ὁ ἐλέγξας τὴν προσθήκην ἀναφανεῖσαν ἐν τῇ Γαλλίᾳ, ἐστὶν ὁ Πάπας Λέων ὁ τρίτος, καὶ οἱ μετ' αὐτὸν Βενέδικτος ὁ τρίτος καὶ Λέων ὁ τέταρτος, εἶτα αἱ κατὰ Φωτίου καὶ ἐπὶ Φωτίου Σύνοδοι, ἀκαινοτόμητον ὁρίσασαι μένειν τὸ τῆς πίστεως Σύμβολον, καὶ πρὸς τούτοις ὁ Φώτιος, καὶ εἰ καί τινες παπισταὶ λέγουσιν, ὅτι ὁ Φώτιος γενόμενος ἐχθρὸς τῆς ῥωμαϊκῆς Ἐκκλησίας, καὶ πολλὰ συγγραψάμενος, καὶ ἐξενεχθεὶς σφοδρῶς κατά τε Νικολάου καὶ Ἀδριανοῦ, οὐ μέντοιγε τούτοις ἐγκαλεῖ περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης, ὃ καὶ μάλιστα ἐκεῖνον ποιῆσαι ἐχρῆν, βουλόμενος γὰρ κατὰ τῶν ἄκρων Ἀρχιερέων τῆς Ῥώμης συμπλακῆναι, οὐδὲν μεῖζον ἔχειν ἂν ἠδυνήθη ἐπιχείρημα, ἢ ἐξελέγχειν αὐτὸν τὸν ἄκρον Ἀρχιερέα ὑποκείμενον εἶναι τὸ ἀναθέματι, καὶ παραβάτην εἶναι τοῦ Νόμου. ὅτι δὲ οὐ τοῦτο πεποίηκε, δῆλον ὡς ἀδίκως ἐγκαλουμένη ἐστὶ παρὰ τῶν Γραικῶν ἡ ῥωμαϊκὴ Ἐκκλησία. ἔτι ἐν τῷ τέλει οἱ τῆς Συνόδου ἐκείνης πατέρες ἐπαινοῦσι τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, καὶ τὸν ἄκρον Ἀρχιερέα, καὶ πάντα ὅσα κατέχει καὶ κηρύττει, ἐξήνεγκαν καὶ ἀπόφασιν ὑπὲρ τοῦ Ἰγνατίου κατὰ τοῦ Φωτίου, καὶ ἐγίνωσκον ὅτι ἐψάλλετο ἐκεῖνο ἐν τῷ Συμβόλῳ, ἀλλ' οὐκ ἠθέλησαν, ταῦτα οἱ Λατῖνοι. Ἀλλὰ ῥητέον, ὅτι ὁ Φώτιος οὐκ ἤλεγξε Νικόλαον καὶ Ἀδριανὸν περὶ τῆς προσθήκης, ἐπειδὴ τότε οὐμόνον οὐκ ἐγινώσκετο ἡ ῥωμαϊκὴ Ἐκκλησία ψάλλουσα τὸ Σύμβολον μετὰ τῆς προσθήκης, ἀλλὰ καὶ πᾶσι τρόποις ἦν ἀπόβλητον καὶ ὑπὸ ἀνάθεμα τὸ δόγμα τῆς προσθήκης, ὡς πεποίηκε Λέων ὁ τρίτος, ὅθεν καὶ κοινῶς οἵτε Τοποτηρηταὶ τοῦ Ῥώμης, καὶ οἱ Ἀνατολικοὶ πατέρες ἐν τῇ κατὰ Φωτίου καὶ ἐπὶ Φωτίου ταῖς Συνόδοις ἔκρινον μετὰ καὶ ἐπιτιμίου ἀναθέματος μένειν διόλου τὸ Σύμβολον ἀκαινοτόμητον, ἐν οἷς καὶ τοῦτο ἀναμνηστέον, ὅτι τοῦ Φωτίου ἐν τῇ ἐγκυκλίῳ ἐπιστολῇ, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ δευτέρῳ, κατακρίνοντος καὶ τὸ δόγμα καὶ τὴν προσθήκην, οὐκ ἐνεκάλεσαν αὐτῷ περὶ τούτου οὔτε ὁ Νικόλαος οὔτε ὁ Ἀδριανὸς οὔτε Στέφανος ὁ ἕκτος, γράφων πολλὰ κατὰ Φωτίου πρὸς τὸν Μακεδόνα Βασίλειον, ἀλλ' οὔτε οἱ μεταταῦτα Πάπαι, οὓς καταριθμοῦσιν οἱ παπισταὶ ὅτι ἀνεθεμάτισαν τὸν Φώτιον, εἶπον ἡμαρτηκέναι τὸν Φώτιον παραιτούμενον, καὶ μάλιστα κατακρίνοντα τὸ δόγμα καὶ τὴν προσθήκην, ἀλλ' ἐνεκάλουν αὐτῷ μάλιστα ὅτι ἐσυκοφάντητε τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, καίτοι ὁ Φώτιος τοῖς ἐν τῇ Βουλγαρίᾳ ὑπὸ τῆς Ῥώμης ἀποσταλεῖσι πρεσβυτέροις, καὶ γαλλικῶς βλασφημοῦσιν εἰς τὸ Πνεῦμα τὸ ἅγιον ἐνεκάλει, καὶ οὐ τοῖς Πάπαις, ἢ τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ. ψεύδεται ἄρα προφανῶς ὁ Κωνσταντινουπόλεως Ἰωάννης ὁ Βέκκος καὶ ἕτεροι παπισταὶ, λέγοντες, ὅτι ὁ Φώτιος ἐγένετο ἀρχηγὸς τῶν μὴ ἀποδεχομένων τὸ δόγμα καὶ τὴν προσθήκην, ἐπειδὴ οὐχ ὁ Φώτιος, ἀλλ' ὁ Πάπας Λέων ὁ τρίτος ἐχρημάτισε γενναῖος καὶ ἀγαθὸς Ἀρχιστράτηγος τοῦ μὴ ἀποδέχεσθαι, ἀλλ' ἀποστρέφεσθαι ὡς μίασμά τι ψυχόλεθρον τὴν προσθήκην ταύτην ἀπὸ τῆς καθόλου Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν τὸ δόγμα καὶ τὴν προσθήκην μετὰ Φώτιον ἐλεγξάντων, καὶ τῶν κατὰ τῆς προσθήκης καὶ τοῦ δόγματος ἐπὶ Ἀλεξίου καὶ Μανουὴλ συγγραψάντων, καὶ τῶν τὴν Πανοπλίαν συνθεμένων.

Μετὰ τὸν Φώτιον ἤλεγξαν τὸ δόγμα καὶ τὴν προσθήκην Νικήτας ὁ Παφλαγὼν καὶ Σέργιος ὁ Κωνσταντινουπόλεως Πατριάρχης, ἡ ἐπὶ τοῦ Κηρουλλαρίου Σύνοδος, Πέτρος ὁ Πατριάρχης Ἀντιοχείας, Νικήτας ὁ Στηθᾶτος, Λέων, Θεοφύλακτος, Ἀδριανὸς καὶ Γεννάδιος Ἀρχιεπίσκοποι Βουλγαρίας, καὶ Μιχαὴλ ὁ Ψελλὸς, ἐπὶ μέντοι τῶν Κομνηνῶν Ἀλεξίου καὶ τοῦ ἐγγόνου αὐτοῦ Μανουὴλ ἄνδρες γεγόνασι σοφώτατοι ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, οἵτινες γενναίως συνέγραψαν κατά τε τῆς προσθήκης καὶ τοῦ δόγματος, καὶ δὴ καὶ διαλέξεις πεποιήκασι μετά τινων ἐν Κωνσταντινουπόλει ἐλθόντων ἀπὸ τῆς Ἰταλίας, καὶ συνέγραψε μὲν Εὐθύμιος ὁ Ζυγαβηνὸς, ὡς μαρτυρεῖ Ἄννα ἡ Ἀλεξιὰς καὶ αὐτὴ ἡ τοῦ Ζυγαβηνοῦ Πανοπλία, περὶ ἧς διείληπται ἀνωτέρω, ἀλλὰ πάλιν ῥητέον, ὅτι ἡ Ἀλεξιὰς μετὰ τὸ εἰπεῖν τινὰ περὶ τῆς Αἱρέσεως τῶν Βογομίλων, τὴν τελεωτέραν ἱστορίαν τῆς Αἱρέσεως πέμπει τὸν ἀκροατὴν μαθεῖν παρὰ τοῦ Ζυγαβηνοῦ, καὶ λέγει, Παραπέμπω δὲ τοὺς βουλομένους τὴν ὅλην Αἵρεσιν τῶν Βογομίλων διαγνῶναι εἰς τὸ οὕτω καλούμενον βιβλίον Δογματικὴν Πανοπλίαν, ἐξ ἐπιταγῆς τοῦμοῦ πατρὸς συντεθεῖσαν, καὶ γὰρ Μοναχόντινα Ζυγαβηνὸν καλούμενον, γνωστὸν μὲν τῇ Δεσποίνῃ, καὶ πρὸς μητρὸς ἐμῇ μάμμῃ, καὶ πᾶσι τοῖς τοῦ ἱερατικοῦ καταλόγου, Γραμματικῆς δὲ εἰς ἄκρον ἐληλακότα, καὶ Ῥητορικῆς οὐκ ἀμελέτητον ὄντα, καὶ τὸ δόγμα ὡς οὐκ ἄλλός τις ἐπιστάμενον, τοῦτον ὁ Αὐτοκράτωρ μεταπεμψάμενος, ἐπέταξεν ἁπάσας τὰς Αἱρέσεις ἐκθέσθαι ἑκάστην ἰδίᾳ, καὶ ἐφ' ἑκάστῃ τὰς τῶν ἁγίων πατέρων ἀνατροπὰς ἐγγράψασθαι, καὶ

καὶ αὐτῶν δὴ τῶν Βογομίλων τῷ Αἱρεσιν, καθὼς ὁ ἀσεβὴς ἐκεῖνος Βασίλειος ὑφηγήσατο. ταύτην τῷ βίβλου δογματικῷ Παιοπλίαν ὁ Αὐτοκράτωρ ὠνόμασε, καὶ μέχρι τοῦ νῦν ὅτω παραγορδίεται τὰ βιβλία βιβλίῳ δεκάτῳ πέμπτῳ. λέγεται δὲ κατὰ τῶν παπισῶν ἐν τῇ Παιοπλίᾳ ταῦτα, Εὐθυμίῳ τῷ Ζυγαβηνῷ κατὰ τὸν τῆς παλαιᾶς Ῥώμης, ἤτοι Ἰταλῶν κεφάλαια δώδεκα, δηλοῦντα ὡς ἐκ τοῦ Πατρὸς μόνου ἐκπορεύεται τὸ ἅγιον Πνεῦμα, ἀλλ' οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ. χρόνοις δὲ ὕστερον ἐλθὼν ὁ ἐν Βασιλείοις ἀοίδιμος Ἀλέξιος ὁ Κομνηνὸς, καὶ τὰς πολλὰς τῶν Αἱρέσεων πλοκὰς θεασάμενος, καὶ αὐτὰς δὴ τὰς παραθήκας καὶ ἐλλείψεις τῶν Ἰταλῶν, ἃς ἐδιδάχθησαν παρὰ τῶν παρεφθαρμένων Αἱρεσιωτῶν (ἀγχίνους δὲ λίαν ὁ ἀνὴρ, μάλιστα καὶ τῆς πίστεως ζηλωτὴς, ὃς τῷ τότε κοιρῷ μηχανήματί τι σοφὸν ἐτεχνάσατο, καὶ ἐφόβησε καὶ τὸν Αἱρεσιάρχην τῆς Βογομιλικῆς Αἱρέσεως) συγκαλέσας αὐθεντικὰς ἁγίας τε καὶ σοφὰς, τὸν Ζυγαβηνόν φημι, καὶ Ἰωάννην τὸν καλούμενον Φαρνῆν, οἵτινες ἐκ πάντων τῶν θείων βίβλων λόγους ἐρανισάμενοι κατὰ τῶν Αἱρέσεων, καὶ κατ' αὐτῶν δὴ τῶν Ἰταλῶν διὰ τῶν παραθηκῶν τὰς ἁγίας Συμβόλους καὶ τὰ Ἄζυμα, τῷ δογματικὴν Παιοπλίαν συγγράψαι. τελευταῖος δὲ πάντων καὶ ὁ θαυμασιώτατος Ζωναρᾶς Μοναχὸς Ἰωάννης τὰς θείας καὶ ἱερὰς Κανόνας τῶν ἁγίων καὶ πανσόφων Ἀποστόλων, καὶ τῶν ἑπτὰ ἁγίων Οἰκουμενικῶν Συνόδων, καὶ πάντων τῶν ἁγίων πατέρων ἡμῶν σαφέστατα καὶ ὁσιώτατα ἐξηγησάμενος, ἅπαμεν τὸν Πάπαν ὡς ὀρθόδοξον ὠνόμασε, μᾶλλον δὲ καὶ τῇ ἀναθέματι καθυπέβαλε τοὺς τὰ ὅρια τῶν πατέρων σαλεύοντας, καὶ ἀθέτησιν ποιοῦντας τῶν θείων Κανόνων.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν κατὰ τῆς παραθήκης καὶ τοῦ δόγματος καὶ τῶν Ἀζύμων συγγραψάντων κατὰ τῶν Ἀλεξιάδος.

Συνέγραψαν ἔτι καὶ ὁ Ἱερομόναχος Ἰωάννης ὁ Φαρνὴς, καὶ Εὐσεβάτιος ὁ Νικαίας. περὶ δὲ τοῦ Εὐσεβατίου τούτου λέγει ἡ Ἄννα, Συμπαραῆσαν δὲ τούτῳ Εὐσεβάτιος ὁ τῆς Νικαίας παρέδρος, ἀνὴρ τότε θεῖος σοφὸς καὶ τὰ θύραθεν ἐπὶ ταῖς Ἀθηναίοις μᾶλλον αὐτῶν, ἢ οἱ περὶ τὴν Στοὰν καὶ Ἀκαδημίαν ἐν Ἀθηναίοις διατείβοντες, βιβλίῳ δεκάτῳ τεταρτῷ. καὶ Νικόλαος ὁ Μεθώνης, περὶ οὗ λέγει Νικηφόρος ὁ Φιλόσοφος,

Ὅσοι γὰρ θεσμοὺς πατέρων χερσοφόρων,
Ἀποστολικὰς παραδόσεις ἐνθέους
Πίστεως ἁπλῆς ἀληθεστάτας ὁρους
Θέλετε ἰδεῖν ἀμέμπτως ὀρθοδόξως,
Δεῦτε παραστῆτε τῷ σοφῷ Διδασκάλῳ
Νικολάῳ λάμψαντι νέῳ Μεθώνης
Ἕδρας ἀρετῆς σώφρονι σωφροσύνης,
Ἣν ἔννομοι κυροῦσι τῆς γραφῆς τόποι,
Ὅτων ὁ πατὴρ γνησίων νοημάτων,
Δι' ὧν νόθον κύλημα πορνικῆς ὀσφύος
Ἔξωθεν ἕλκων ἀποφυλεῖ ὡς χοιρίδα.
Πρὸς ἐξαπάτην τῶν λόγων τὰς φληναφίας,
Ἣ λέγξε, κατέβαλε, ῥίψας εἰς χάος,
Καὶ συλλογισμῶν τὰς ἀσυμπλήκτους βρόχους
Οὔλυσεν ἄρδην ὡς ἀραχνίας μίτους.

Σημείωσαι, ὅτι Ἰωάννης ὁ Βέκκος καὶ Μανουὴλ ὁ Καλέκας μὴ δυνάμενοι ἀντοφθαλμῆσαι εἰς τὰς συλλογισμὰς τοῦ Μεθώνης καὶ τοῦ Φαρνῆ, εἶπον, ὁ μὲν Βέκκος ἐν τῷ περὶ οὐσίας τῶν Ἐκκλησιῶν, ὅτι πολλὰ μὲν ψεύδολογεῖται καὶ ἄτοπα. ὁ δὲ Καλέκας βιβλίῳ τεταρτῷ κατὰ Ἑλλήνων, Ἐχρῆν μὲν μὴ δ' ἀπολογεῖσθαι τοῖς ἄτοπα καὶ ἀνοφώνοις καὶ ἀνοητοπίστοις. ἐν οἷς σημείωσαι δύο τινὰ, οὗ, ὅτι οἱ ἀνόητοι καὶ ἀνόφωνοι παπικοὶ εἶπον τοιούτους τοὺς Φυλάττοντας ἀδιάστατα τὰ ἀρχαῖα καὶ πάτρια. δεύτερον, ὅτι ἔθος ἐστὶ τοῖς Λατίνοις, ἵνα οὐ οἷς μὴ δυνῶνται ἀπολογεῖσθαι, μήτε μιὼ κακυργῆσαι, λέγωσιν, ὅτι ἀπολογίας ἀνάξια τὰ λεγόμενα. συνέγραψε καὶ Βασίλειος Στυδίτης ὁ Σταθᾶτος, περὶ οὗ λέγει Ἀνώνυμός τις, ὅτε Πέτρος Πατριάρχης Ἀντιοχείας, Νικόλαος ὁ Μεθώνιος, καὶ Βασίλειος ὁ Ἱερομόναχος ἀπὸ τῆς Στυδίου Μονῆς, ὅστις καὶ λατινοελέγκτης ἐκλήθη διὰ τὸ ἠκριβωμένως καὶ σαφῶς εἰς πλάτος ἐλέγξαι καὶ ἀθετῆσαι αὐτοῖς διὰ πλειόνων παραδειγμάτων καὶ μαρτυριῶν, ὅτι τὰ ἔθη ταῦτα ἅπερ κρατοῦσιν, ἦγουν τὰ Ἄζυμα, ἡ τήρησις τῶν Σαββάτων, ἡ ἀδιαφορία τῶν πνικτῶν, αἱ ἀνακαθάρσεις καὶ οἱ ῥαντισμοὶ, αἱ καταλύσεις τῶν Τετραδοπεμπτικῶν καὶ τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς, καὶ τὰ λοιπὰ, ἅπερ ὄπισθεν λεπτομερῶς γράφουσιν, ἔξω καὶ ξένα τῆς ὀρθοδόξου πίστεως, καὶ ἔξω τῆς διδαχῆς καὶ παραδόσεως τῶν ἁγίων Ἀποστόλων εἰσὶ, καὶ τὰ ἑξῆς. καὶ ἄλλα συνέγραψαν Νικήτας Σειδηρὸς ἐξ Ἰκονίου, καὶ Νικήτας Πατρίκιος Κωνσταντινουπολίτης, Ἰωάννης ὁ Ζωναρᾶς, Ματθαῖος, Κοσμᾶς ὁ Ἄγγελος, Μιχαὴλ ὁ Ἀγχιάλου, Συμεὼν καὶ Ἰωάννης Πατριάρχαι Ἱεροσολύμων, Ἰωάννης Πατριάρχης Ἀντιοχείας, Θεόδωρος Σμυρναῖος ὁ Κερατεύς, Μιχαὴλ ὁ Γλυκᾶς, ὅτοι πάντες συνέγραψαν, τινὲς μὲν περὶ ἀμφοτέρων, τοῦ δόγματος καὶ τῆς παραθήκης, τινὲς δὲ περὶ θατέρου, ἄλλοι περὶ Ἀζύμων, καὶ ἄλλοι περὶ ἄλλων κατὰ τοπικὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας. ἐπὶ τοῦ Μανουὴλ ἦν καὶ Ἀνδρόνικος ὁ Καματηρὸς, περὶ οὗ φησὶν Ἰωάννης ὁ Κίνναμος βιβλίῳ τεταρτῷ, Ἀνδρόνικος ὁ Καματηρὸς, ὃς τῷ Ἐπάρχου διεῖπεν ἀρχῷ, ἀνὴρ σεβασότητι μὲν ἀξιωθεὶς, ξυγγενὴς δὲ Βασιλεῖ καὶ αὐτὸς ὤν, συνέγραψε τὰς θαυμασὰς ὑπατείας, ἀποδεικνύων ἀπό τε τῶν θείων γραφῶν καὶ τῶν ἁγίων πατέρων ἰσχυρότατα, ὅτι ἐκ μόνου τοῦ Πατρὸς ἔχει τὸ ὑπάρξιν τὸ ἅγιον Πνεῦμα, καθ' ὧν ἔγρα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἔγραψεν αὐτὴ ῥητικὰ Ἰωάννης ὁ Βέκκος, ἅτινα ἀνατρέψας γεννάιως Γρηγόριος ὁ Παλαμᾶς, ἀπέδειξε τὸν Βέκκον γελοῖον παιζόμενον. καὶ ταῦτα ἐν ὀλίγοις περὶ τῶν τότε συγγραμμάτων κατὰ τῶν Λατίνων.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῶν γενομένων διαλέξεων Ἑλλήνων καὶ Λατίνων ἐπὶ Ἀλεξίου καὶ Μανουὴλ διὰ τὴν τοῦ ἁγίου Πνεύματος ἐκπόρευσιν, καὶ τῆς ἐν Κωνσταντινουπόλει Συνόδου τῶν αὐτῶν, καὶ τῆς παλιμβόλου γνώμης τῶν Λατίνων, καὶ ἀποβολῆς αὐτῶν ἀπὸ τῆς καθόλου Ἐκκλησίας.

Διαλέξεις δὲ γεγόνασιν, ἐπὶ μὲν Ἀλεξίου τοῦ Κομνηνοῦ, Πέτρου Λατίνου Ἐπισκόπου Μεδιολάνων μετὰ τοῦ Ἱερομονάχου κυρίου Ἰωάννου τοῦ Φουρνῆ τοῦ πρώτου ὄρους τοῦ Γάνου περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, συμπαρῆσαν δὲ ἄλλοι, καὶ Εὐστράτιος ὁ Νικαίας ἐν τῇ διαλέξει, ὡς λέγει Ἄννα ἡ Ἀλεξιὰς βιβλίῳ δεκάτῳ τεταρτῷ. ἐπὶ δὲ Μανουὴλ, ἐγένετο διάλεξις τοῦ τότε Πατριάρχου Κωνσταντινουπόλεως Μιχαὴλ μετὰ τινων Λατίνων, ἐν Κωνσταντινουπόλει ἐπιδημούντων, λέγεται γὰρ ἐν τῇ ἐπιγραφῇ τοῦ διαλόγου ταῦτα, Ἐκ τοῦ διαλόγου τοῦ ἁγιωτάτου καὶ σοφωτάτου Πατριάρχου Κωνσταντινουπόλεως κυροῦ Μιχαὴλ τοῦ Ἀγχιάλου πρὸς τὸν Πορφυρογέννητον Βασιλέα κύριον Μανουὴλ τὸν Κομνηνὸν, ὅτε πολλοὶ τῶν ὑπὸ τὸν Πάπαν Ἀρχιερέων καὶ Ἐπισκόπων καὶ φραρίων τὴν Κωνσταντινούπολιν κατέλαβον, τῶν Ἐκκλησιῶν ζητοῦντες τὴν ἕνωσιν. καὶ μηδὲν ἕτερόν τι ἀπὸ τῶν Γραικῶν ἀπαιτοῦντες, ἢ παραχωρῆσαι τῷ Πάπᾳ τῶν πρωτείων καὶ τῆς Ἐκκλήτου, δοῦναι δὲ τούτῳ καὶ τὸ μνημόσυνον. ἀλλὰ δὴ καὶ μόνος αὐτὸς ὁ Αὐτοκράτωρ Μανουὴλ διηλέχθη, ὡς καὶ Ἀλέξιος ὁ πατὴρ αὐτοῦ διηλέχθη μετὰ τοῦ Μεδιολάνων Ἐπισκόπου, ὡς γράφει Νικόλαος ὁ ὑδροῦντος ἐν τῷ πρώτῳ βιβλίῳ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. καὶ οὐμόνον διαλέξεις ἐγένοντο, ἀλλὰ καὶ Σύνοδος ἠθροίσθη ἐν Κωνσταντινουπόλει Ἑλλήνων τε καὶ Λατίνων ἐν ἔτει χιλιοστῷ ἑκατοστῷ ἑξηκοστῷ ὀγδόῳ, ἐν ᾗ συμπαρῆν καὶ ὁ Αὐτοκράτωρ καὶ ἡ Σύγκλητος, περὶ ἧς διαλαμβάνων Μακάριος ὁ Ἀγκύρας λέγει, Πάλιν δὲ πονέσαντες ἐπὶ τῆς βασιλείας κυρίου Μανουὴλ, ἦλθον εἰς Κωνσταντινούπολιν οἱ πρῶτοι τῶν Γαδδηναρίων, καὶ συνεκροτήθη μεγάλη Σύνοδος, καὶ πολλὰ εἰπόντες, καὶ ἀκούσαντες, τὸ τυχὸν οὐ συγκατέβησαν, ἀλλὰ μάλιστα ἠνείχοντο φέρειν πάντας πρὸς τὸ ἑαυτῶν θέλημα καὶ τὰ ἔθη. λοιπὸν ἀπορήσαντες ὅ, τε Βασιλεὺς καὶ ἡ Σύνοδος, καὶ πᾶσα ὁμοῦ ἡ Σύγκλητος, βουλὴν κατεβάλοντο τελείως ἀποκόψαι τελείῳ χωρισμῷ τὸν Πάπαν καὶ πάντας τοὺς σὺν αὐτῷ, τὴν κρίσιν τοῦ Θεοῦ ἀφέντες εἰς τοῦτο, καὶ οὔτε αὐτοὺς τελείῳ ἀναθεματισμῷ παραδοῦναι καθὼς καὶ τὰς λοιπὰς Αἱρέσεις, διὰ τὸ εἶναι αὐτοὺς μέγα καὶ περιβόητον ἔθνος, οὔτε πάλιν συγκοινωνῆσαι αὐτοῖς τὸ τυχὸν, καὶ ἔγραψαν εἰς τοῦτο Τόμους, ἐν οἷς καὶ τὴν ἀμώμητον πίστιν καὶ ὀρθόδοξον συνεγράψαντο; ἵνα μήτε ἡ τῶν Λατίνων Ἐκκλησία ἔχῃ ἄδειαν ἀναφέρειν περὶ τούτων, δι' ὧν καὶ κατεγνώσθησαν πρός τε τὴν τῶν Γραικῶν Ἐκκλησίαν, καὶ πρὸς τὰ λοιπὰ Πατριαρχεῖα τῆς Ἀνατολῆς, μήτε πάλιν οὗτοι ἀναφέρειν πρὸς ἐκείνους, φήσαντες τὸ ἀποστολικὸν ἐκεῖνο ῥητὸν τὸ, Αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνων, ἐστὶν αὐτοκατάκριτος. Ἐντούτοις σημείωσαι πρῶτον, ὅτι οἱ Καρδηνάλεις καὶ Φράτορες ἄλλα ἔλεγον ἐν τῇ διαλέξει, καὶ ἄλλα ἐν τῇ Συνόδῳ. δεύτερον, ὅτι ἔστερξαν ἵνα κἂν τὰ περὶ τῆς ἀρχῆς τοῦ Πάπα τρία γενήσωνται, ἀλλ' ἡ Σύνοδος καὶ ὁ Βασιλεὺς καὶ ἡ Σύγκλητος ἀπέβαλον ἐξίσου πάσας τὰς καινοτομίας αὐτῶν καθάπαξ κατὰ τὸ κανονικὸν καὶ ὀρθόδοξον δίκαιον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ θέσεων τῶν Λατίνων ἑπτὰ, δεῖξαι σπευδόντων τοὺς κατὰ τῆς προσθήκης καὶ τοῦ δόγματος ἀγωνισθέντας Ἀλέξιον, Ἰωάννη καὶ Μανουὴλ τοὺς Κομνηνοὺς Βασιλεῖς αὐτοῖς ὁμοθρήσκους.

Φανεροῦ γενομένου ἐκ τῶνδε, καὶ πάντῃ καὶ πάντως ἀναμφιβόλου, ὅτι ἐπὶ τῶν τριῶν Βασιλέων τούτων γεγόνασιν ἄριστα συγγράμματα, καὶ διαλέξεις, καὶ Σύνοδοι, ἀποδεικνύουσαι ἰσχυρῶς τὴν καὶ ἐκ τοῦ Υἱοῦ τοῦ ἁγίου Πνεύματος ὕπαρξιν καὶ τὴν ἐν τῷ Συμβόλῳ προσθήκην καὶ τὰς λοιπὰς τῶν Λατίνων καινοτομίας παρὰ τὴν ἐκκλησιαστικὴν διδασκαλίαν ἐπεισαχθῆναι ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, καὶ ὅτι καὶ οἱ τρεῖς Βασιλεῖς ἦσαν οἱ αἴτιοι τῶν τε διαλέξεων καὶ τῶν Συνόδων, συναγωνιζόμενοι καὶ αὐτοὶ κατὰ τὸ εἰκὸς ὑπὲρ τοῦ ἐκκλησιαστικοῦ δικαίου ὡς ἔνδικοι τῆς καθολικῆς πίστεως. ἀλλ' οἱ Λατῖνοι μὴ αἰσχυνόμενοι ἀντιλέγειν πρὸς τὰ φανερώτατα, σπουδάζουσι δεῖξαι τοὺς τρεῖς Βασιλεῖς ἐπαινέτας χρηματίσαι τῆς ῥωμαϊκῆς Ἐκκλησίας, καὶ δὴ προσφέρουσι τὸν ἀποστάτην καὶ ὁμόφρονα αὐτοῖς γεγονότα Γεώργιον τὸν Μετοχίτην λέγοντα, ὅτι ὁ Αὐτοκράτωρ Ἀλέξιος ὁ Κομνηνὸς διανοούμενος γεγενῆσθαι κακῶς τὴν ἀποβολὴν τοῦ μνημοσύνου τοῦ Πάπα, ἤθροισε Σύνοδον καὶ ἔψεξε τὸ ἔργον, καὶ ἔδειξεν αὐτὸ ἀκανόνιστον. καὶ ἔτι ὁ αὐτὸς Μετοχίτης γράφει, ὅτι εἶδε τὴν παρασημείωσιν, ἥτις περιεῖχε τὰ εἰρημένα εἰς μίαν βίβλον ἐγκειμένην.

μένην. δεύτερον, προσφέρουσιν Ἄνναν τὴν Ἀλεξίαδα, λέγουσαν περὶ τοῦ πατρὸς αὐτῆς τότε τοῦ Ἀλεξίου ταῦτα, Πάσαις ταῖς ἐν Βουλγαρίᾳ Ἐκκλησίαις χρυσίου ποσότητα ἱκανὴν ἐτησίως Δομεστίκασθαι ἀπὸ τῶν βασιλικῶν ταμείων ἐπέλουσε, τῇ μήτοι ἐπ' ὀνόματι τοῦ εὐαγγελιστοῦ Ἀποστόλου Μάρκου Ἐκκλησίᾳ ὑποφόρους ἅπαντας τοὺς ἐν Μέλφῃ, ἐν Κωνσταντινουπόλει ἐργαστήρια κατέχοντας, πεποίηκε, καὶ τὰ ἀπὸ τῆς παλαιᾶς ἑβραϊκῆς Σκάλας μέχρι τῆς καλουμένης Βίγλας διήκοντα ἐργαστήρια, καὶ τὰς ἐντὸς τοῦ διασήματος τότου ἐμπορευομένας Σκάλας ἐδωρήσατο, καὶ ἑτέρων πολλῶν ἀκινήτων δωρεὰς ἔν τε τῇ βασιλευούσῃ καὶ τῇ πόλει Δυρραχίῳ, καὶ ὅπῃ ποτ' αὖ ἐκεῖνοι ἠτήσαντο, βιβλίῳ ἕκτῳ. τρίτον λέγουσιν, ὅτι ὁ Βασιλεὺς Ἰωάννης, ἤτοι ὁ υἱὸς τοῦ Ἀλεξίου ἔπεμψεν εἰς τὴν Ῥώμην πρέσβεις, ζητῶν ποιῆσαι ἕνωσιν μετὰ τῶν Λατίνων. τέταρτον, ὅτι ὁ Βασιλεὺς Μανουὴλ πρὸς Κορράδον τὸν Βασιλέα τῶν Ἀλαμανῶν, κακῶς παθόντα ὑπὸ τῶν Γερμανῶν, γράφει ταῦτα, Ἀνθρώποις, οἷς καὶ κατὰ βραχὺ τοῦ φρονεῖν μέτεστιν, ἐσῳὼ ταῖς τύχαις τὰ πράγματα θεωρεῖν ἔθος, ἀλλ' αὐτὰ καθ' αὑτὰ περιπετείας ἔξω τινὸς, ὅτε τοίνυν δύσκολόν ἐστι τοῖς ἐσχάτην τὴν ἀξίαν προσφέρεσθαι ἔγνωκα, ἀλλὰ νῦν γε μετρίως δυσφορήσαντα, τοῖς αὐτοῖς καὶ πάλιν σε δεξιοῦσθαι ἄκνον οἰκήσομαι οἷς καὶ τὸ πρότερον, ὅσα καὶ ξυγγενῆ καὶ τηλικούτων ἐθνῶν Ἄρχοντας τιμᾶν ἡμῖν Δικαιοσύνης ἦν, ξυμβαλόντε τὰ παρισάμενα τῶν ἐρημώντων τε οὕνεκα, καὶ τοῦ ὁμοθρήσκους ἡμᾶς ἀλλήλοις εἶναι. ταῦτα Ἰωάννης Κίνναμος βιβλίῳ δευτέρῳ· πέμπτον, ἀπὸ τοῦ αὐτοῦ Κιννάμου προσφέρουσι πρεσβείαν ἥνα, ἣν ἐποίησεν ὁ Ἐπίσκοπος Ῥώμης πρὸς τοὺς Στρατηγοὺς τοῦ Μανουὴλ, ὄν Ἰταλίᾳ ὄντας, καὶ πολεμοῦντας τῇ Ῥηγὶ Σικελίας. λέγει γοῦν ὁ Κίνναμος ταῦτα, Ἐν ᾧ δὲ ταῦτα ἐγένετο, πρέσβεις πρὸς τοῦ Ῥώμης Ἀρχιερέως ἦλθον πρὸς τοὺς Ῥωμαίων ἡλθον Στρατηγούς, ὃν Πάπαν Λατίνοις ὀνομάζειν ἔθος ἐστὶν, ἐρώτησε δὲ αὐτοὺς ἡ πρεσβεία ἢ ἄμφω, ἢ τὸν ἕνα αὐτῶν ἐπὶ Ῥώμην ἐλθεῖν περὶ μεγάλων τῷ Ἀρχιερεῖ κοινωνησόμενον, ἤδη γὰρ ἔφασαν δυνάμεις ὡς πλείστας αὐτοὺς ἠθροικὼς, Ῥωμαίοις συμμαχήσειν ὁμολογῆσαι γεγονέναι, οἱ δὲ Ῥωμαῖοι Στρατηγοὶ πρὸς μὲν τοῦτο, γράμμασιν ἀπέπεμπτο, Βασιλάκιον δέ τινα ἐς τοὺς τοῦ Βασιλέως τελέσαντα ὑπογραμματέως· τότε σφίσιν ἐπόμενον καὶ αὐτὸν σὺν χρυσῷ ἐφ' ᾧ ἵππους ἐκεῖθεν μισθοῦ ἀγαγεῖν, ἔσεσθαι. βιβλίῳ τετάρτῳ. εἶτα, προσφέρουσιν Ἰωάννην τινὰ φωνὴν ἐπικαλούμενον, ὃν ᾧ ἔγραψε περὶ τῶν ἁγίων τόπων, λέγοντα περὶ τοῦ Μανουὴλ, ἀνοικοδομήσαντος καὶ ζωγραφήσαντος τὸν μέγαν Ναὸν ἐν τῇ Βηθλεέμ, λέγει γοῦν, Ἀλλὰ καὶ τοῦτον τὸν περικαλλέστατον Ναὸν καὶ πάμμεγαν ἡ τοῦ κοσμοσώστου μου Βασιλέως ἀνήγειρε φιλότιμος χεὶρ, καὶ ψηφίσι κεχρυσωμένοις ὅλον τὸν Ναὸν κατεκόσμησεν, ἐφ' οὗ ὁ τῶν ἐν τῇ χώρᾳ παροίθεν Λατίνων ποιμὴν τὸν ἀνυπερβάτου τάχα τῆς μεγαλοψυχίας ἀμειβόμενος, ἐν Δαφόροις τόποις τὸ ἐν αὐτῷ τῷ Θυσιαστηρίῳ τοῦ ἁγίου ὑπερθεν Σπηλαίου τὴν ὡραίαν ἐκείνου μορφὴν ἀνεστήλωσεν. ἕβδομον, προσφέρουσι Νικήταν τὸν Χωνιάτην, ἱστοροῦντα τὰ συμβαίνοντα ἐπὶ τοῦ Μανουὴλ, τοῦ περὶ τοῦ Θεοῦ τοῦ ἐθνικοῦ κακῶς φρονοῦντος, καὶ αὐτικαμψίπους αὖτῳ τῆς ἱερᾶς Συνόδου ἔσης. λέγει γοῦν ὁ Χωνιάτης, Ὁ Βασιλεὺς ἀναγινωσκόντων κατὰ τῆς Συνόδου, διπλοῦς τε μείζονος Συνόδου συγκροτῆσαι, καὶ τὴν μετ' αὐτοῦ τοῦ Πάπα τῆς πρεσβυτέρας Ῥώμης τῶν προκαθημένων ἐπώνυμον Δράσειν, βιβλίῳ ἑβδόμῳ. ἐκ τούτων δὲ φασὶ γίνεται δῆλον, ὅτι καὶ οἱ τρεῖς Βασιλεῖς ἤτοι Λατίνοις συνεφώνουν περὶ τῆς πίστιν, καὶ ὁμοθρήσκους αὐτοὺς εἶχον.

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Περὶ ἐλέγχου ἑκάστης τῶν Λατινικῶν θέσεων, καὶ προφανεστάτης ἀποδείξεως, τοῦ αὐτοτέρω Βασιλεῖς σὺν τοῖς Ἕλλησι μὴ ὁμοθρήσκους ὑπάρξαι τῇ τῶν Λατίνων εἰς τὴν προσθήκην καὶ τὸ δόγμα κοινοτομίᾳ ἀποδεικνύσης.

Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι εἴρηται ἐν τῷ πρώτῳ βιβλίῳ περὶ τῶν ὑπεξουσίων τῶν Παπῶν καὶ ἐν ἄλλοις πολλοῖς τόποις αὐτοτέρω, ποίας μαρτυρίας δεχόμεθα ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασι, καὶ ὅλη ἑτὰς τυχούσας. δεύτερον, ὅτι εἰ καὶ ἀπὸ τοῦ Πάπα Ἀγάθωνος καὶ τῆς κατ' αὐτὸν ἐν Ῥώμῃ ἁγίας Συνόδου προσαχθεῖσαι χρήσεις τῶν πατέρων ἐξητάσθησαν ἐν τῇ ἕκτῃ Οἰκουμενικῇ, ὡς εἴρηται αὐτοτέρω βιβλίῳ ἕκτῳ κεφαλαίῳ ὀγδόῳ, πῶς ἡ ἐν τινι βιβλίῳ ἐπιγεγραμμένῳ, καὶ ὑπό τινος σημειωθεῖσα εἰς μαρτυρίαν δεκτή; τοῦτο ταὐτόν ἐστι ἐκείνοις ἅπερ εἰρήκαμεν βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ πρώτῳ Παραγραφῷ εἰκοστῷ δευτέρῳ. ὡς γὰρ ἐκεῖ μὴ δυναμένοι οἱ παπισαὶ αὐτοῖς ἦναι τῇ ἀληθείᾳ, ἢ βεβαιῶσαι τὰς ψευδολογίας αὐτῶν, σοφιζόμενοι, ἔφερον εἰς μαρτυρίαν ὅσα ἐκεῖ εἰρήκαμεν, ἔτω καὶ ἐνταῦθα καὶ ἐν ἄλλοις πολλοῖς τόποις διὰ τὴν αὐτὴν αἰτίαν φέρουσι βεβαιωτὰς τινὰς ἀποσάτας γραικολατίνους, καὶ τέως τὸν Βέκκον καὶ τοὺς Μετοχίτας, οἵτινες ὁποίου φρονήματος καὶ ὁποίας ὑπολήψεως ἦσαν, ἐρρέθη ἐν τῷ ὀκτῳ βιβλίῳ. τρίτον, ἐν ποίῳ καιρῷ καὶ ἐν ποίῳ τόπῳ ἐγένετο ἡ τοιαύτη Συνόδος; καὶ πόσοι καὶ ποῖοι ἦσαν οἱ ἐν αὐτῇ πατέρες; καὶ ποῖοι ἦσαν οἱ ἐν αὐτῇ ἐξάρχοντες; καὶ ποῖα τὰ πρακτικὰ αὐτῆς; ὁμοία ἐστὶν ἡ ἄθροισις τῆς Συνόδου ταύτης ταῖς σφιγξὶ καὶ τοῖς τραγελάφοις, καὶ τοῦτο μόνον ἔχουσι τὸ καύχημα οἱ παπισαὶ, ὅτι βλαβόμενοι τὰ δίκαια τοῦ ὄντος, περὶ τῶν μὴ ὄντων μὴ ὄντα προσφέρουσιν εἰς βεβαίωσιν. τέταρτον, ψεύσας λαμπρὰς ἀποδείκνυσι τόντε Μετοχίτην καὶ αὐτὰς τὰς παπισαὶ τὰ γεγονότα ἐπὶ Ἀλεξίου καὶ ἐπὶ Ἀλεξίου κατ' αὐτῶν, ὡς εἴρηται αὐτοτέρω.

προσ-

πρὸς δὲ τὸ δεύτερον ῥητέον, ὅτι οἱ Ἀρειανοὶ ἀνεθεματίσθησαν ὑπὸ τῆς Οἰκουμενικῆς πρώτης Συνόδου, καὶ ὑπὸ μερικῶν Συνόδων ἐν Κωνσταντινουπόλει, ἐν Ἀντιοχείᾳ, ἐν Ἀλεξανδρείᾳ, ἐν Ἱεροσολύμοις, ἐν Ῥώμῃ, ἐν Γαλλίᾳ, ἐν Ἱσπανίᾳ, καὶ ἀλλαχοῦ, καὶ κατεκρίθησαν καὶ λόγοις καὶ συγγράμμασι καὶ ἐπιτιμίοις ὑπὸ τῶν τότε ἐγκρίτων πατέρων ἔντε τῇ Ἀνατολῇ καὶ Δύσει, Ἄρκτῳ καὶ Μεσημβρίᾳ. ἀλλ' οἱ ὀρθόδοξοι βλέποντές πως αὐτοὺς ὑποκρινομένους, ἐχρῶντο οἰκονομίᾳ, καὶ εἶχον αὐτοὺς συγκοινωνοὺς, καὶ ἦσαν μετ' αὐτῶν μία Ἐκκλησία, καὶ τὸ αἴτιον πρόδηλον, ἤλπιζον γὰρ τὴν ἐπὶ τὸ ἀρχαῖον κάλλος τῆς ὀρθοδοξίας αὐτῶν ἐπανέλευσιν. γενομένης ὅμως τῆς ἐν Σαρδικῇ Συνόδου, οἱ τῆς Συνόδου πατέρες ἰδόντες αὐτοὺς, ἤτοι τοὺς Ἀρειανοὺς λίαν ἀναισχυντοῦντας καὶ ἀνιάτως ἔχοντας, ἀπέβαλον αὐτοὺς τῆς κατὰ μέρος ὀρθοδόξου κοινωνίας, οὐ γὰρ ἔκρινον τοῦ λοιποῦ κοινωνεῖν ἁπλῶς τοῖς διόλου ἀκοινωνήτοις. οὕτω καὶ ἐν τῇ συμβάσει παρατροπῇ τῶν Λατίνων, εἰ καὶ ἀπεκόπη τὸ μνημόσυνον τοῦ Πάπα ἐπὶ τοῦ Πατριάρχου Σεργίου, καὶ ἡ ῥωμαϊκὴ Ἐκκλησία κατεκρίθη συνοδικῶς ἐπὶ τοῦ Μονομάχου διὰ τὸ ἀποδεχθῆναι αὐτὴν σωρὸν ἀτοπημάτων, ὅμως ἐπιμελῶς καὶ ἀγαπητικῶς συνωμίλουν αὐτοῖς, καὶ πᾶσι τρόποις διηλέγοντο μετ' αὐτῶν οἱ Ἀνατολικοὶ, οὐ μόνον ἐπὶ τῶν ἡμερῶν τῶν παρόντων Βασιλέων, ἀλλὰ καὶ μεταταῦτα, καίτοι γὰρ καὶ ἐν τῇ ἐν Νικαίᾳ ἐπὶ Γερμανοῦ τοῦ νέου, καὶ ἐν τῇ κατὰ τοῦ Βέκκου, καὶ ἐν ταῖς κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου, καὶ ἐν ἄλλαις Συνόδοις ἀπεκήρυξαν αὐτοὺς ὡς ἀλλοτριόφρονας, ἀλλὰ πάλιν ἐκοινώνουν αὐτοῖς κατάτι καὶ διαφόρως, καὶ ἀδελφικῶς διηλέγοντο μετ' αὐτῶν, ἐλπίζοντες τὴν εἰς τὴν ὀρθοδοξίαν αὐτῶν ἐπαναστροφήν. γεγομένης ὅμως τῆς ἐν Φλωρεντείᾳ Συνόδου, καὶ φανερᾶς γενομένης ἐπ' ὄψεσι τῆς οἰκουμένης πάσης τῆς παρατροπῆς τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, γενναίως καὶ ἐξολοκλήρου ἀπεστράφησαν αὐτήν. ἐντεῦθεν δὲ δῆλον ἐστὶ, τίνος χάριν ἐπὶ τούτων τῶν Βασιλέων τῶν τριῶν ἐγίνετο μερικὴ συναναστροφὴ χριστιανικὴ τῶν ὀρθοδόξων μετὰ τῶν Λατίνων, ὅθεν ὡς λέγει ἡ Ἀλεξιὰς, ἐπειδὴ ἐβοήθησαν τῷ Αὐτοκράτορι Ἀλεξίῳ κατὰ τοῦ Ῥομπέρτου οἱ Βενέτικοι, ἐτίμησεν ὁ Βασιλεὺς τὸν Δοῦκα τῷ Πρωτοσεβαστοῦ ἀξιώματι, καὶ ἐδωρήσατο ταῖς Ἐκκλησίαις τῆς Βενετίας προσόδους καὶ βοηθείας, καὶ οὐ διότι ἐνόμιζεν, ἢ εἶχε τοὺς Λατίνους ὁμοπίστους. πρὸς δὲ τὸ τρίτον ῥητέον, ὅτι ὁ Ἰωάννης ἔστειλεν εἰς τὴν Ῥώμην πρέσβεις περὶ πολιτικῶν ὑποθέσεων, καθὼς πολλοὶ τῶν πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν Αὐτοκράτορες, τοῦ δὲ Πάπα οὔτε ἐμνημόνευσέ ποτε, οὔτε τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ ἡνώθη, ἀλλ' ἦν ὅμοιος πάντοτε τῇ ἀληθείᾳ, καὶ τῷ ἰδίῳ πατρὶ, ᾧτινι ἀποβιοὺς συγχωρεύει ἐν τῇ Ἐκκλησίᾳ τῶν πρωτοτόκων, τῶν ἀπογεγραμμένων ἐν Οὐρανοῖς. πρὸς δὲ τὸ τέταρτον ῥητέον, ὅτι τὸν Κορράδον εἶπεν ὁ Μανουὴλ ὁμόθρησκον κατὰ τὸν ἀνωτέρω τρόπον, καθ' ὃν ἔδωκεν ὁ Ἀλέξιος προσόδους ταῖς Ἐκκλησίαις τῆς Βενετίας, καὶ κατὰ τὴν λεκτικὴν συνήθειαν, καθ' ἣν λέγομεν Χριστιανοὺς καὶ τοὺς Σχισματικοὺς καὶ Αἱρετικοὺς, ὁμωνύμως μέντοι καὶ κατὰ μόνην τὴν λέξιν. δεύτερον, διὰ τὴν ἀρχαίαν τῆς εὐσεβείας συγένειαν, καθ' ὃν τρόπον ἔλεγεν ὁ Φίλων, ὅτι ὁ Μωϋσῆς τοὺς διαφθείραντας τοὺς Μαδιανίτας Ἰσραηλίτας προστάξει Θεοῦ ἐκαθάρισε τοῦ μύσους, Ἀριθμῶν κεφαλαίῳ τριακοστῷ πρώτῳ, στίχῳ εἰκοστῷ τετάρτῳ. καὶ ὁμέγας Βασίλειος τοὺς ἐν πολέμῳ κτείναντας ὀρθοδόξους Στρατιώτας ὑπὸ Κανόνα βούλεται μετανοίας εἶναι, καὶ ἴδε ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου δεκάτου ἐνάτου Παράγραφον ἕβδομον. πρὸς δὲ τὸ πέμπτον ῥητέον, ὅτι ὁ Πάπας οὐκ ἐζήτει τοὺς Ῥωμαίους εἰς τὴν Ῥώμην ἵνα βοηθήσῃ ὡς ὁμοθρήσκοις, ἀλλ' ἵνα ἀπατήσῃ ὡς ἀλλοτριόφρονας, ὅθεν οὐδὲ ἐδυνήθη ἀπατῆσαι αὐτούς. ὅτι δὲ οἱ τότε Πάπαι ἐγίνωσκον ἀκοινώνητον γεγενημένην τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν ὑπὸ τῆς Ἀνατολικῆς, δῆλον ἐστὶ καὶ ἀπὸ τοῦ αὐτοῦ Κιννάμου, Κοντοστέφανον γὰρ τὸν Στρατηγὸν τοῦ Αὐτοκράτορος Μανουὴλ μαχόμενον τῷ Ῥηγὶ Σικελίας δεξαμένων τινῶν Ἰταλιωτῶν, καὶ βοηθούντων αὐτῷ, λέγει ὁ Κίνναμος, ὅτι ἐφ' οἷς χαλεπήνας ὁ Ἀρχιερεὺς, ὃ μόνον εἶχεν ἐπιτιμίῳ τὸν δῆμον καθυποβάλλει, μηδὲν μετὸν εἶναι λέγων Ῥώμῃ τῇ νεωτέρᾳ πρὸς τὴν πρεσβυτέραν, πάλαι ἀπορραγεισῶν, χρὴ δὲ μᾶλλον τῷ Σικελῶν ἀμύνειν δυνάστῃ, μέλει γὰρ αὐτῶν ὄντι, εἶτα κακῶς παθόντι τῇ πρὸς πολὺ αὐτοῦ κρείττονα διαγωνίσει, μὴ βεβοηθηκέναι, ἀνόσιον. τοῦτο δὲ τὸ ἐπιτίμιον εὐλαβηθεὶς ἤδη τις, ἀφίσταται μὲν τῶν τὰ Βασιλέως περιεπόντων, εἰς δὲ τὸν Ἀρχιερέα παλιμβόλῳ μετετίθετο γνώμῃ, ἀλλ' οἱ τὰ Ῥωμαίων πρεσβεύοντες, τοῦτον μὲν βίᾳ πολλῇ ἐκεῖθεν ἀπέσπασαν, ὡς δὲ τὴν ἀπιστίαν αὐτῷ στηλιτεύσαιεν, βάρβαρόν τινα τρόπον καὶ ἀπειροκαλίας οὐ πόρρω τινὸς τὴν παντευχίαν καὶ τὸν ἵππον ἐπὶ ξύλου τινὸς ἠρτημένα, ἀπὸ καλῳδίων ἀφῆκαν φέρεσθαι, ἐπί τε τὸν Ἀρχιερέα ἐμφανῶς ἤδη συστάντες, ἄκοντα τῶν ἐπιτιμίων ἀνεῖναι τοὺς ἀνθρώπους ἀνέπεισαν, βιβλίῳ τετάρτῳ. Ἐν τούτοις σημείωσαι, ὅτι μόνος ὁ Πάπας εἶπεν ἐπ' αὐτοφόρῳ, ὅτι αἱ Ἐκκλησίαι Ἀνατολῆς καὶ Δύσεως εἰσὶ διακεχωρισμέναι. δεύτερον, ὅτι τῷ ἀποστάτῃ καὶ τυράννῳ δυνάστῃ ἐβοήθει, τῷ δὲ γνησίῳ Αὐτοκράτορι ἐπεβούλευε. τρίτον, ὅτι ἀφώρισε τοὺς βοηθοῦντας τῷ Βασιλεῖ. τέταρτον, ὅτι βιασθεὶς ὁ νομίζων ἑαυτὸν εἶναι ὑπὲρ τοὺς Βασιλεῖς, μετέβαλε τὸ ἐπιτίμιον, οὐ μὴν ἀλλὰ καὶ ἐπὶ Ἀλεξίου τοῦ Κομνηνοῦ ἱστορεῖ ἡ Ἀλεξιὰς, ὅτι ἐνοχλούμενος ὁ Αὐτοκράτωρ Ἀλέξιος ὑπὸ τοῦ Ἰταλοῦ Βαϊμοῦνδου, καὶ πολεμῶν αὐτῷ, εἶχε καὶ Σκύθας εἰς βοήθειαν ὑπὸ τῆς ἀνάγκης, ἐξ' αὐτῶν δὲ συλλαβών τινας ὁ Βαϊμοῦνδος, προσήγαγε τῷ τότε Πάπᾳ εἰπὼν, ὅτι βαρβάρους ὁ Ἀλέξιος κατὰ τῶν Χριστιανῶν ἐμισθώσατο, ὁ δὲ Πάπας ὁμογνωμονήσας αὐτῷ, τὴν ἐπὶ τὸ Ἰλλυρικὸν ἐπέτρεψε περαίωσιν, βιβλίῳ δωδεκάτῳ. ἐξ οὗ δείκνυται, ὅτι οἱ τότε Πάπαι ἦσαν συνεργοὶ τοῖς τυράννοις κατὰ τῆς Βασιλείας τῶν Ῥωμαίων, καὶ περὶ τὴν πίστιν ἑτερόδοξοι,

καὶ

καὶ ἀπερρίφθαι. πρὸς δὲ τὸ ἕκτον ῥητέον, ὅτι ὁ Μανουὴλ ἀνῳκοδόμησε τὸν ἐν τῇ ἁγίᾳ Βηθλεὲμ Ναὸν, καὶ δὴ καὶ ἐζωγράφησεν (ὃν σαθρωθέντα, ἡμεῖς ἐλέει Θεοῦ ἀνεκαινίσαμεν ὡς ῥηθήσεται) εἰ δὲ καὶ ἐπὶ Μανουὴλ κατεῖχον οἱ παπισταὶ τὸν ἅγιον ἐκεῖνον τόπον, ἀλλὰ πάντοτε ἅγιος ἦν, καὶ ἐστὶ, καὶ ἔσται, ὅθεν ὁ Βασιλεὺς ὡς κληρονόμος τῆς βασιλείας Κωνσταντίνου καὶ Ἰουστινιανοῦ τῶν μεγάλων, ἀνεκαίνισε τὸ ὑπ' ἐκείνων κτιθὲν, καὶ ὁ τότε Ἐπίσκοπος εἰ καὶ Λατῖνος ἦν, ἀλλ' ἐζωγράφησε τὸν εὐεργέτην, οὐ διὰ τὸ ὁμόδοξον εἶναι, ἀλλὰ διὰ τὸ προσδοκᾶν καὶ ἄλλην βοήθειαν παρ' αὐτοῦ, οὐ διὰ τὸ λατινικὸν δόγμα, ἀλλὰ διὰ τὴν τοῦ τόπου διηνεκῆ ἁγιότητα. πρὸς δὲ τὸ ἕβδομον ῥητέον, οὐκ ἔστι θαυμαστὸν, ἵνα ὁ λέγων τὸν μὴ ὄντα Θεὸν Θεὸν ἀληθινὸν, καὶ τὸν ἐγκαυχώμενον εἶναι Θεὸν ἐπὶ γαίης καλέσῃ εἰς Σύνοδον τῆς πεισμονῆς αὐτοῦ, καὶ μάλιστα ἔχων παράδειγμα τὸν Μακεδόνα Βασίλειον, ὃς φονεὺς ὢν τοῦ Βασιλέως Μιχαὴλ, διὰ τὸ ἐκκλησιαστικῶς καὶ κανονικῶς ἐλεγχθῆναι ὑπὸ τοῦ ἁγιωτάτου Φωτίου, ἐζήτησε συναίτιον ἐπ' ἀδικίᾳ καὶ βλασφημίᾳ τὸν Πάπαν Ἀδριανὸν καὶ τοὺς ψευδοτοποτηρητὰς τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς, ὡς καὶ Λέων ὁ σοφὸς διὰ τὴν ἀθέμιτον τετραγαμίαν βοηθὸν ᾔρετο τὸν Πάπαν Θεόδωρον. πλὴν σημειωτέον, ὅτι παρελθόντων τῶν καιρῶν τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας, ὁ μὲν διὰ μείζονος καὶ ἁγίας Συνόδου ἀποκατέστησε τὸν σεβασμιώτατον Φώτιον εἰς τὸν θρόνον αὐτοῦ, ὁ δὲ νόμον ἔθετο, κωλύοντα τοῦ λοιποῦ τὴν ἀθέμιτον τετραγαμίαν, ὡς καὶ ὁ παρὼν Μανουὴλ, εἰ καὶ νικηθεὶς ὑπὸ ἀκαίρου φιλοτιμίας, διηπείλησεν ἕνεκα τοῦ ἀνόμου δόγματος ἀθροῖσαι μείζονα Σύνοδον, ἐν ᾗ παρεῖναι εἶπε καὶ τὸν Ἐπίσκοπον Ῥώμης, ἀλλ' οὐχ ὡς μοναρχὴν, ἢ ἄκρον Ἀρχιερέα, ἢ ἀναμάρτητον Ἄγαλμα, ἀλλὰ μέρος τῆς Συνόδου, καὶ οὐδὲν πλέον. φανερὸν οὖν ἐγένετο καὶ ἐκ τούτων τὸ ἐν ἀρχῇ βεβαιωθὲν, ἤτοι τὸ, ὅτι καὶ οἱ τρεῖς Αὐτοκράτορες οὗτοι διΐσταντο κατὰ τὸ σέβας τῶν Λατίνων.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι οἱ Λατῖνοι ἐκ τῆς πρὸς Βασίλειον Θεσσαλονίκης ἐπιστολῆς τοῦ Πάπα Ἀδριανοῦ, καὶ τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν, τὸ εἶναι πρόβατον τὴν καθόλου Ἐκκλησίαν μόνου τοῦ Ῥώμης συνάγοντες, ἐλέγχονται ἐνταῦθα ἐκ τοῦ νοήματος τῆς τοῦ Θεσσαλονίκης ἐπιστολῆς, καὶ τοῦ παπισμοῦ μάλιστα οὔσης, καὶ περὶ τοῦ ποσαχῶς οἱ Χριστιανοὶ πρόβατά τινος Ἐπισκόπου λέγονται, καὶ ποσαχῶς ὁ Ἀρχιποίμην.

Ὁ Πάπας Ἀδριανὸς, ὁ τοιούτῳ ὀνόματι τέταρτος Ἐπίσκοπος Ῥώμης, ὁ Πατριαρχεύσας ἐν ἔτει χιλιοστῷ ἑκατοστῷ πεντηκοστῷ τετάρτῳ, πέμψας δύο πρέσβεις πρὸς τὸν Αὐτοκράτορα Μανουὴλ τὸν Κομνηνὸν, ἔγραψε καὶ πρὸς τὸν Μητροπολίτην Θεσσαλονίκης Βασίλειον τὸν Ἀχριδινὸν, σοφὸν καὶ ἐπ' ἀρετῇ διαβόητον ὄντα, ἥντινα ἐπιστολὴν λαβὼν ὁ Βασίλειος, ἀντέγραψεν αὐτῷ κατὰ τὸ εἰκός. λέγουσιν οὖν οἱ Ῥωμᾶνοι, ὅτι ὁ Βασίλειος οὗτος ὁμολογεῖ ἐν ταύτῃ τῇ πρὸς τὸν Πάπαν Ἀδριανὸν αὐτοῦ ἀντιγράφῳ ἐπιστολῇ, πρῶτον, ὅτι αὐτὸς καὶ οἱ Κωνσταντινουπολῖται εἰσὶ πρόβατα τοῦ Πάπα. δεύτερον, ὅτι τὸν Πάπαν λέγει Ἀρχιποίμενα. τρίτον, ὅτι λέγει, ὁ εἷς λόγος κηρύττεται, καὶ ὁ αὐτὸς ἀμνὸς θύεται ἐν ταῖς δυσὶν Ἐκκλησίαις Ῥώμης καὶ Κωνσταντινουπόλεως. τέταρτον, ὅτι λέγει, βραχέα προσκόμματα ἐστὶ τὰ ποιήσαντα τὸ ἓν δύο, ἤτοι τὰς δύο Ἐκκλησίας, ἅστινας οὔσας ἡνωμένας εἰς ἓν, ἔσχισεν ἀπ' ἀλλήλων καὶ ἐποίησε δύο. πέμπτον, ὅτι ὁ Πάπας εἰκὼν ὢν τοῦ Χριστοῦ καὶ ἀφομοίωμα διὰ τὸν θρόνον, διὰ τὴν γνῶσιν καὶ διὰ τὴν τοῦ βίου λαμπρότητα, δύναται συνάψαι τὰ δύο, ὥστε γενέσθαι ἓν, ὡς ἦσαν καὶ πρότερον. ἕκτον, ὅτι ἀτοῦτο βουληθείη ὁ Πάπας ποιῆσαι, ἕξει σύμπνουν καὶ συνεργὸν τὸν Αὐτοκράτορα Μανουὴλ, ᾧ καὶ ἡμεῖς ὑπείξομεν καὶ ὑπηρετήσομεν ὡς δοῦλοι τῷ Δεσπότῃ. ταῦτα οὖν λέγων ἐν τῇ ἐπιστολῇ ὁ Βασίλειος, δείκνυσι, φασὶν, ὅτι ὁ Ἐπίσκοπος τῆς πρεσβυτέρας Ῥώμης μοναρχὴς ἐστὶν ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ὅπερ καὶ ὁ Ἀδριανὸς βεβαιοῖ ἐν ταύτῃ τῇ πρὸς τὸν Βασίλειον ἐπιστολῇ, λέγων, Πάντων τῶν Ἐκκλησιῶν τὰ πρωτεῖα ἁπλῶς τὴν ἁγίαν ῥωμαϊκὴν Ἐκκλησίαν ἔχειν ἐκέλευσαν οἱ ἅγιοι πατέρες, καὶ πρὸς τὴν αὐτῆς γνώμην πάντων τὴν κρίσιν τετυπώκασιν ἀναφέρειν. ταῦτα οἱ παπισταί. Ἀλλὰ ῥητέον, πρὸς μὲν τὸ πρῶτον, ὅτι ὁ Βασίλειος ὀρθόδοξος ὢν καὶ σοφὸς, καὶ γράφων πρὸς τὸν Ῥώμης τὰ αὐτὰ τοῦ σχίσματος, καὶ παρακαλῶν περὶ ἑνώσεως, πρῶτον μὲν ἐξ ὧν εἶπεν ὁ Πάπας, ἐξ ἐκείνων ἐπεχείρει. δεύτερον, μὴ ἔχων σκοπὸν προφανοῦς ἐλέγχου, ἀλλ' εἰρήνης, ἐπῄνει, ἐνεκομίαζε, καὶ ἐτίμα τὸν Πάπαν. τρίτον, τὰ καινοτομήματα τῆς ῥωμαϊκῆς Ἐκκλησίας καὶ τὰς ἐν τῇ ἐπιστολῇ μέμψεις, ἢ μᾶλλον εἰπεῖν τὰς λοιδορίας τοῦ Πάπα καὶ τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, καὶ τὸ ἀκαινοτόμητον περὶ τὴν πίστιν τῆς Ἀνατολικῆς Ἐκκλησίας ταπεινῶς ἔλεγε καὶ σωφρόνως, εὔνουν διὰ τούτων πάντων σπουδάζων ποιῆσαι τὸν Πάπαν, ἵν' ἴσως ὠφέλεια ταῖς Ἐκκλησίαις προξενηθῇ, ἀλλ' οὐκ ἔδωκεν, ἢ ἐμαρτύρησεν ἡ ταπείνωσις καὶ ἡ σωφροσύνη; καὶ τέως ἡ οἰκονομία τοῦ Βασιλείου προνόμιον μοναρχίας τῷ Πάπᾳ. οὕτως ἐν τῇ Ἐφέσῳ ἐν τῇ στάσει τῶν Ἑλλήνων κατὰ τοῦ μακαρίου Παύλου, ὁ Ἰουδαῖος Ἀλέξανδρος διαλεγόμενος τοῖς Ἐφεσίοις, καὶ σπουδάζων καταπαῦσαι τὴν στάσιν, ἔλεγε δημηγορῶν, Τίς γάρ ἐστιν ἄνθρωπος, ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν Νεωκόρον οὖσαν τῆς μεγάλης Θεᾶς Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς; καὶ δὲ τοῦτον

τὸν

τὸν λόγον οὐκ ἐφρόνησεν ὁ Ἀλέξανδρος εἶναι τὴν Ἄρτεμιν μεγάλην Θεὰν, ἢ ὅλως Θεὰν, ἀλλὰ κατ' ἐκείνους ἐλάλησε, καὶ οὕτω ποιήσας αὐτοὺς εὔνους, καὶ ἑπομένως πειθηνίους, ἔπαυσε τὴν στάσιν, πράξεων κεφαλαίῳ δεκάτῳ ἐνάτῳ. κατὰ τὸν τρόπον τοῦτον εἶπεν ὁ μακάριος Παῦλος τοῖς εἰδωλομανοῦσιν Ἀθηναίοις, Ὃν οὖν ἀγνοοῦντες, εὐσεβεῖτε, πράξεων κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ. καὶ ὁ Νεαμὰν εἶπε προσκυνεῖν ἐν τῷ οἴκῳ Ῥεμμὰν, ὡς εὐσεβὴς γενόμενος ἐν τῷ Εἰδωλείῳ, καὶ οὐκ ἐκώλυσεν αὐτὸν ὁ προφήτης Ἐλισσαῖος, ἀλλ' εἶπεν αὐτῷ, πορεύου εἰς εἰρήνην. καὶ οἱ Θεολόγοι τῆς παλαιᾶς καὶ νέας Ἐκκλησίας διαλεγόμενοι μετὰ Αἱρετικῶν καὶ μετὰ διόλου ἀπίστων, προσηνῶς διειλέγοντο καὶ εὐφήμως. καὶ ἡ ἁγία γραφὴ ἐσθ' ὅτε περί τε τῶν Εἰδώλων καὶ αὐτῶν τῶν Δαιμόνων εὐφήμως λαλεῖ, καὶ Θεοὺς ἀδιαφόρως ὀνομάζει. εἶτα εἴρηται ἀνωτέρω, ὅτι ἕως τῆς ἐν Φλωρεντείᾳ Συνόδου διὰ τὴν ἐλπίδα τῆς διορθώσεως οἱ Ἀνατολικοὶ περιεποιοῦντο τοὺς Δυτικοὺς, καὶ ἐτίμων σχεδὸν ὑπερφυῶς, καὶ πολλάκις ἀγωνιζόμενοι, παρῃτοῦντο τὸ ἀκριβὲς, ὡς πεποίηκεν ἐνταῦθα ὁ Βασίλειος. τέταρτον, ὁ ταῦτα λέγων Βασίλειος, κατωτέρω ἀποβάλλει τὸ εἶναι τοὺς Ἀνατολικοὺς πρόβατα τινὸς ἑτέρου, ἀλλ' ἢ μόνον τοῦ Χριστοῦ, ὅθεν ἔλεγε τῷ Πάπᾳ, μὴ οὕτως οἴου περὶ ἡμῶν, ἤτοι ὅτι ἐσμὲν δραχμὴ ἀφανισθεῖσα, ἢ νεκρὸς ἐντάφῳ κείμενος πολυήμερος, ἢ πρόβατα πλανηθέντα, οὔτε γὰρ θεμέλιον ἄλλον εἴδομεν παρὰ τὸν κείμενον. πέμπτον, ὅτι πρόβατα λέγονται εἶναι οἱ εὐσεβεῖς τινὸς Ἐπισκόπου διττῶς, ἢ οἱ ὑπὸ τὴν Ἐπαρχίαν αὐτοῦ, ὡς λέγει ἐνταύτῃ τῇ ἐπιστολῇ ὁ Βασίλειος τῷ Πάπᾳ, Τὰ αὐτά σοι πρεσβεύομεν καὶ διδάσκομεν ἐγώτε καὶ πάντες οἱ τοῦ μεγάλου καὶ ἀποστολικοῦ τῆς Κωνσταντινουπόλεως θρόνου, καὶ εἷς ἐν ἀμφοτέραις ταῖς Ἐκκλησίαις ὁλαλούμενος λόγος τῆς πίστεως, καὶ ὁ αὐτὸς ἀμνὸς θύεται ἔν τε τοῖς κατὰ Δύσιν Ἀρχιερεῦσι τοῖς ὑπὸ τὴν σὴν τελοῦσι κορυφαίαν ἀκρότητα, καὶ ἡμῖν τῆς ἐξ Ἡλίου ἀνίσχοντος τοῦ ὑψηλοῦ τῆς Κωνσταντινουπόλεως θρόνου δεχομένοις τὰς τῆς Ἱερωσύνης αὐγάς. ἐντούτοις ὁ Βασίλειος τινὰς ὑποκεῖσθαι λέγει τῷ Πάπᾳ, καὶ τινὰς τῷ Κωνσταντινουπόλεως, ἴδε ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου ὀγδόου Παράγραφον πέμπτον. ἢ πάντες οἱ Χριστιανοὶ λέγονται πάντων τῶν Ἐπισκόπων πρόβατα, καὶ σχεδὸν οἱ Ἐπίσκοποι Ἐπισκόποις πρόβατα, ὅθεν ὁ Κυπριανὸς γράφων πρὸς Στέφανον Ῥώμης φησὶν, ὡσαύτως καίπερ πολλοί ἐσμεν Ποιμένες, μίαν ποίμνην ὅμως βόσκομεν, καὶ ἅπαντα τὰ πρόβατα, ἃ ὁ Χριστὸς ἐν τῷ αἵματι καὶ τῷ πάθει αὐτοῦ ἐζήτησεν, ἀγαγεῖν καὶ διατηρεῖν χρεωστοῦμεν, ἴδε κατωτέρω βιβλίου δεκάτου μέρους πέμπτου κεφάλαιον πρῶτον. ἐκτούτων οὖν γίνεται δῆλον, ὅτι ὁ Βασίλειος οὐκ εἶπεν ἑαυτὸν πρόβατον τοῦ Πάπα, ὥστε εἶναι τὸν μὲν Πάπαν γενικὸν ἐν τῇ Ἐκκλησίᾳ Ποιμένα, τοὺς δὲ Ἐπισκόπους πρόβατα ὡς παραλογίζονται ἑαυτοὺς οἱ Ῥωμαῖοι, ἀλλ' οἰκονομικῶς εἶπεν ὅπερ ἔδει ποιῆσαι. πρὸς δὲ τὸ δεύτερον ῥητέον, ὅτι τὸ Ἀρχιποίμην λέγεται διττῶς, ἢ γὰρ λέγονται οἱ Μητροπολῖται ἀναφερόμενοι πρὸς τοὺς Ἐπισκόπους, ἢ οἱ Πατριάρχαι ἀναφερόμενοι πρὸς τοὺς Μητροπολῖτας καὶ Ἐπισκόπους, ὅπερ οὐδὲ μιᾶς ἀποδείξεως δεῖται, καὶ τοῦτο διὰ τὴν τάξιν, ἢ λέγονται Ἀρχιποίμενες πολλοὶ τῶν Μητροπολιτῶν καὶ Ἐπισκόπων διὰ τὸ ἀκραιφνὲς καὶ σύντονον τῆς διδασκαλίας, καὶ ἴδε κατωτέρω βιβλίου δεκάτου μέρους τρίτου κεφάλαιον ἕβδομον. πρὸς δὲ τὸ τρίτον ῥητέον, ὅτι τὰ αὐτὰ πρεσβεύει ἡ ῥωμαϊκὴ καὶ ἡ Κωνσταντινουπόλεως Ἐκκλησία, καὶ ὁ αὐτὸς λόγος κηρύττεται περί τε τῆς ἁγίας Τριάδος, τῆς ἐν σάρκου οἰκονομίας καὶ τῶν Μυστηρίων, καὶ ὁ αὐτὸς Ἀμνὸς θύεται ἐν ταῖς δυσὶν Ἐκκλησίαις, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον, ἐκαινίσθη γὰρ παρὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἐν μὲν τῇ Τριάδι ἡ διαρχία καὶ οἱ καταληπτικοὶ τρόποι γεννήσεως καὶ ἐκπορεύσεως, καὶ ἡ ἀντίθεσις, καὶ ἐν τοῖς Μυστηρίοις πολλὰ, ὧν τὰ μὲν εἴρηται ἀνωτέρω, τὰ δὲ ῥηθήσεται κατωτέρω, εἰς δὲ τὴν Θυσίαν ἐκαινίσθη πολλὰ, ἐν οἷς καὶ τὰ Ἄζυμα, περὶ ὧν, ἤτοι περὶ τῶν καινοτομιῶν ὁ Βασίλειος ἐλέγχων ἠρέμα τὸν Πάπαν, ἀντιγράφει αὐτῷ, Ἑστήκαμεν Θεοῦ χάριτι ἐπὶ τῇ τοῦ μακαρίου Πέτρου ὁμολογίᾳ ἀσφαλῶς τε καὶ ἀκλινῶς, καὶ ὃν ἐκεῖνος ὡμολόγησε καὶ ἐκήρυξεν, ὁμολογοῦμέν τε καὶ κηρύσσομεν, μὴ καινίζοντές τι τῶν τοῖς ἁγίοις πατράσι συνοδικῶς δεδογμένων, μὴ προστιθέντες τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς λόγοις, ἄχρι καὶ μιᾶς κεραίας ἢ ἰῶτα ἑνὸς, ἐμάθομεν γὰρ οἷόν ἐστι παρὰ τῷ κήρυκι τῶν ἐθνῶν βαρὺ τὸ ἐπικρεμασθὲν ἐπιτίμιον τοῖς τὰ τοιαῦτα τολμῶσι, κἂν γὰρ ἐγώ, φησιν, ἢ Ἄγγελος ἐξ Οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. τοῦτο φοβούμενοι, καὶ τὴν ζωοποιὸν καὶ ἀναίμακτον θυσίαν ὡς ὁ παραλαβὼν ἀπὸ τοῦ Κυρίου παρέδωκεν ἡμῖν οὕτως ἐπιτελοῦμεν, τὴν μὲν ἰουδαϊκὴν ταπεινότητα καὶ τὴν τοῦ Νόμου σκιὰν ὑπεραναβαίνοντες, εἰς δὲ τὸ ὑπερῷον τῆς ὑψηλῆς χάριτος μετὰ τοῦ Ἰησοῦ καὶ τῶν αὐτοῦ μαθητῶν ἀναβαίνοντες, καὶ ἄρτον ἐσθίοντες, οὐχὶ τὸν τῆς κακώσεως ὡς ὁ Νόμος φησὶν, ἀλλὰ τὸν τῆς εὐφροσύνης, καὶ ὄντως καρδίαν στηρίζοντα. ταῦτα ὁ Βασίλειος, ἐν οἷς σημείωσαι, ὅτι οὐσυγκατάθεσις εἰσὶ ταῦτα πρὸς τὰ νεωτερίσματα τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ἀλλὰ ἀντίστασις καὶ ἀποκήρυξις αὐτῶν προφανής. πρὸς δὲ τὸ τέταρτον ῥητέον, ὅτι βραχέα προσκόμματα εἶπε τὰ καινοτομήματα τῶν Ῥωμαίων ἕνεκεν δύο τινῶν, ἑνὸς, ὅτι ἔναγχος ἤρξαντο τὰ προσκόμματα καὶ ἡ ἀποβολὴ τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἀπὸ τῆς καθολικῆς, ἀφ' οὗ ἐγένετο σχεδὸν ἑκατὸν ἔτη παρερρύη, ἡ γὰρ ἐπὶ τοῦ Κηρουλλαρίου Συνόδος ἐγένετο ἐν ἔτει χιλιοστῷ πεντηκοστῷ τρίτῳ, ὁ δὲ παρὼν Ἀδριανὸς ἐπατριάρχευσεν ἐν ἔτει χιλιοστῷ ἑκατοστῷ πεντηκοστῷ τετάρτῳ, τὸ δὲ μὴ παγιωθὲν καὶ τῷ μακρῷ χρόνῳ ἐθισθὲν, εὐκόλως ἴσως διαλύεται. καὶ ἑτέρου, ὅτι ὁ Πάπας ἐποίησε τὰς καινίσεις καὶ τὰ προσκόμματα, αὐτὸς οὖν δύναται ἀνακαινίσαι τὰ ἀρχαῖα, καὶ τὰ

τὰ προσκόμματα διᾶραι ἐκ μέσου, αὐτὸς ἐποίησε τὸ ἓν δύο, παραιτησάμενος τὸ εἶναι ἕνα καὶ μόνον θεμέλιον τῆς Ἐκκλησίας τὸν Χριστὸν, καὶ εἰσπηδήσας ὥσπερ τις δυνάστης καὶ τύραννος ἐπὶ τῷ ἑνὶ θεμελίῳ, καὶ λυμηνάμενος τὴν ἄμπελον ἣν ἐφύτευσεν ὁ Χριστὸς ὡς ὗς ἐκ δρυμοῦ, καὶ κατανείμας αὐτὴν ὡς Μονιὸς ἄγριος, ὁ αὐτὸς δύναται μεταποιῆσαι, καὶ τὰ δύο εἰς ἓν συνάψαι, καὶ τὰ διανεμημένα καὶ διερρηγμένα συρράψαι, ἀφαιρούμενος ἑαυτὸν τοῦ θεμελίου, καὶ ἀφεὶς θεμέλιον μόνον τὸν κείμενον, ὃν ὁ ἀρχιτέκτων Παῦλος καὶ οἱ σὺν αὐτῷ Ἀπόστολοι ἐνέθηκαν, εὐλαβούμενος τὸ ἀνάθεμα τοῦ καινοῦ καὶ δευτέρου Εὐαγγελίου, καὶ μάλιστα ὅτι δύναται τοῦτο ποιῆσαι, ἐπειδὴ πείθονται αὐτῷ ὡς τῷ Χριστῷ οἱ Δυτικοὶ Χριστιανοὶ καὶ διὰ τὸν θρόνον, ὅτι νομίζουσιν αὐτὸν εἶναι τοῦ Πέτρου καὶ αὐτοῦ τοῦ Χριστοῦ διάδοχον, καὶ διὰ τὴν γνῶσιν, ἤτοι τὴν σοφίαν, καὶ διὰ τὴν λαμπρότητα τῆς ζωῆς, ἤτοι τὴν ἐνάρετον ζωὴν αὐτοῦ τοῦ Ἀδριανοῦ, καὶ γὰρ νομιζομένῳ τῷ Πάπα εἶναι εἰκόνα τοῦ Χριστοῦ καὶ ἀφομοίωμα, ὃν τρόπον ψάλλει ἡ Ἐκκλησία περὶ τοῦ μεγάλου Βασιλείου λέγουσα, Εἰκὼν τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα πέφηνε, σὺ δὲ τοῦ Πνεύματος ὦ Βασίλειε ἀκηλίδωτον ἔσοπτρον. καὶ ἔχοντι καὶ σοφίαν καὶ βίου λαμπρότητα, πάντως οὐδεὶς αὐτῷ τῶν Δυτικῶν ἀντερεῖν δύναται, εἰ γάρ τις εἴπῃ ὅτι οὐ δύναται, γελοῖόν τι λέγει καὶ ἀηδὲς, καὶ κατὰ τοὺς Λατίνους ἀσεβές. πῶς γὰρ σχίσαι καὶ διαιρῆσαι καὶ καινοτομῆσαι καὶ προσθῆναι ἴσχυσε, συναγαγεῖν δὲ, ἑνῶσαι καὶ ἀνακαινίσαι καὶ ἀφαιρῆσαι οὐ δύναται; ὡς ἔλεγε καὶ Μάρκος ὁ Ἐφέσου ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ, Εἰ οὖν ὁ Πάπας ἑνῶσαι θελήσει, χρεία, ἵνα καὶ ἐν πάσῃ τῇ καθόλου Ἐκκλησίᾳ ἡ ἕνωσις γνωσθῇ, ὅπερ ἵνα γένηται, χρεία Συνόδου Οἰκουμενικῆς, ἵνα κοινῇ ψήφῳ γένηται τὸ κοινότατον ἀγαθὸν, καὶ ἕξει εἰς τοῦτο ὁ Πάπας σύμπνουν καὶ συνεργὸν τὸν κραταιότατον Αὐτοκράτορα Μανουὴλ, τὸν μέγιστον ἐν Βασιλεῦσι καὶ ἀκρότατον τὴν εὐσέβειαν, καὶ κατὰ τὴν ἰσχὺν ἀπρόσμαχον, καὶ τὴν φρόνησιν ἀνυπέρβλητον, καὶ ἐν ἅπασι τοῖς καλοῖς πάντων τῶν ἀπ' αἰῶνος θαυμαζομένων ὀνομαστότατον, καὶ πάντως τοιοῦτος ὤν, φροντίσει τὰ περὶ τῆς Συνόδου, ᾧ ὅ, τε Πάπας καὶ ἐγὼ ὁ Θεσσαλονίκης ὑπείξομεν εἰς τὴν συνέλευσιν, καὶ ὡς δοῦλοι τῷ Δεσπότῃ ὑπηρετήσομεν, ποιοῦντες τὰ καθήκοντα κατὰ τὴν ἀνέκαθεν ἐκκλησιαστικὴν καὶ κανονικὴν συνήθειαν, καὶ παράδοσιν τῶν ἀθροιζομένων πατέρων ἐν ταῖς νομίμοις καὶ κανονικαῖς Οἰκουμενικαῖς Συνόδοις πρὸς τελειοτάτην ἕνωσιν τῶν ἀπορραγεισῶν Ἐκκλησιῶν Ἀνατολῆς καὶ Δύσεως. οὗτος ἐστὶν ὁ τῆς ἐπιστολῆς τοῦ Βασιλείου σκοπὸς, καὶ ὁ ἀγὼν ἐπὶ κριταῖς πᾶσι τοῖς ὁπωσοῦν ἐν τῇ Οἰκουμένῃ ἀφιλοπροσώπως καὶ ἐπὶ Θεῷ ἐπόπτῃ κρίνουσι τὰ θεῖα Χριστιανοῖς, καὶ μένει ὁ λόγος τῶν παπιστῶν μάταιος, ἤγουν ὅτι ὁ Βασίλειος ἁπλῶς ὡμολόγησεν ἑαυτὸν μὲν πρόβατον, τὸν δὲ ῥωμαϊκὸν Ἐπίσκοπον Ἀρχιποίμενα, ἤτοι μονοκράτορα, ὡς ἀπαυθαδιασάμενος ἔγραψε καὶ ὁ Ἀδριανὸς εἰπὼν, Πάντων τῶν Ἐκκλησιῶν τὰ πρωτεῖα ἁπλῶς τὴν ἁγίαν καὶ ῥωμαϊκὴν Ἐκκλησίαν ἔχειν ἐκέλευσαν οἱ ἅγιοι πατέρες, καὶ πρὸς τὴν αὐτῆς γνώμην πάντων τὴν κρίσιν τετυπώκασιν ἀναφέρειν, ὅπερ οὐ μόνον τὸ ἐν ἀρχῇ αἰτεῖσθαι ἐστὶν, ἀλλὰ καὶ συκοφαντία προφανὴς κατὰ τῶν ἁγίων πατέρων, οἵτινες οὐ τῷ Πάπᾳ τὴν πάντων κρίσιν, ἀλλὰ πρὸς τὰς Οἰκουμενικὰς Συνόδους τετυπάκασιν ἀναφέρεσθαι. ἐπισημειωτέον δὲ, ὅτι εἰ οἱ πατέρες τετυπώκασι τοῦτο, ψεῦδος ἄρα ὅτι ὁ Χριστὸς τετύπωκεν αὐτὸ, καὶ δῆλον ὅτι εἴτι ἔχει ὁ ῥωμαϊκὸς θρόνος ὀρθοδοξῶν προνόμιον, παρὰ τῶν ἁγίων ἔχει πατέρων καὶ οὐ παρὰ τοῦ Χριστοῦ καὶ τοῦ Πέτρου.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν ἐπὶ τῶν Βασιλέων Ἀλεξίου, Ἀνδρονίκου καὶ Ἰσαακίου τοῦ ἀγγέλου ἐν Κωνσταντινουπόλει γενομένων, καὶ τῆς ἐξορίας καὶ εἶτα ἐπανακλήσεως καὶ ὑπαντῆς τοῦ Κωνσταντινουπόλεως Θεοδοσίου, οὗ τοὺς πόδας ὁ Βασιλεὺς Ἀνδρόνικος ἠσπάσατο. περὶ τῆς Πατριαρχείας τοῦ Καματηροῦ Βασιλείου, καὶ σφαγῆς Ἀλεξίου Βασιλέως ὑπὸ τοῦ ἰδίου θείου Ἀνδρονίκου, καὶ τῆς Ἀνδρονίκου ὑπὸ Ἰσαακίου, καὶ τῆς ἐν τῷ Παλατίῳ ἁρπαγῆς, ἐν ᾗ ἀπώλετο ἡ πρὸς Αὔγαρον ἐπιστολὴ τοῦ Κυρίου, καὶ ὧν εἰργάσαντο Γουλίελμος ὁ Σικελίας Ῥὴξ κατὰ Ἀνδρονίκου καὶ οἱ Ῥωμαῖοι κατὰ Γουλιέλμου ἐπὶ Ἰσαακίου.

Μετὰ τὸν θάνατον τοῦ Μανουὴλ ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Ἀλέξιος, ἀλλὰ ἠσχολεῖτο εἰς κυνηγέσια καὶ ἱππηλασίας, ἔχαιρε δὲ καὶ παιδαρίοις παίζων, καὶ ὅλως εἰπεῖν τὸ ἦθος αὐτοῦ κακῶς ἐτυποῦτο, οἵτε συγγενεῖς ἀντοφθαλμοῦντες τὴν βασιλείαν, οἵτε περὶ αὐτὸν Ἄρχοντες ἀφορῶντες εἰς τὸ κερδαίνειν, οὐκ ἔμελεν αὐτοῖς περὶ αὐτοῦ. ὕστερον δὲ κατῆρε καὶ ὁ θεῖος αὐτοῦ Ἀνδρόνικος ἀπὸ τοῦ ἰνέου, καὶ παρεδυνάστευσε βιαίως, καὶ ἐπίτροπος καὶ Βασιλεὺς καλούμενος. πρὸ τοῦ ἐλθεῖν δὲ τὸν Ἀνδρόνικον, περιορίζεται ὑπότινων τῶν Ἀρχόντων ἐξ αἰτίας πλαστώδους ὁ Πατριάρχης Θεοδόσιος εἰς τὸν Παντοκράτορα, ἀλλ' ἀναγόμενος πάλιν εἰς τὸ Πατριαρχεῖον, ὑπαντᾶται ὑπὸ τοῦ δήμου παντὸς καὶ τῶν Ἀρχόντων, καὶ εὐφημεῖται τόσον,

ὥστε

ὥστε καὶ ὑπέστρωσαν αὐτῷ τὴν ὁδὸν μετὰ ἀνθέων καὶ μύρων, καὶ ἐκάπνισαν τὸν ἀέρα ξυλαλόῃ ἀμετρήτῳ. ὅτε δὲ ἦλθεν ὁ τύραννος Ἀνδρόνικος εἰς τὸ Σκούταρι, ἀπῆλθεν ὁ Θεοδόσιος εἰς ὑπαντὴν αὐτοῦ. ἐξελθὼν δὲ ὁ Ἀνδρόνικος τῆς σκηνῆς, ἔπεσεν ἐπὶ πρόσωπον καὶ προσεκύνησεν αὐτὸν, καὶ ὕστερον ἐφίλησε καὶ τοὺς πόδας αὐτοῦ: καὶ σημείωσαι κατὰ παπιστῶν, προβαλλόντων τινὰς τοιούτους φιλήσαντας τοὺς πόδας τοῦ Πάπα, ὡς δῆθεν μοναρχοῦ εἰς τὴν Ἐκκλησίαν. σημείωσαι ἔτι, ὅτι Νήφωνος τινὸς ἐξύρισε τὴν γένυν καὶ ἐδέσμευσεν αὐτὸν ὁ Πατριάρχης Μιχαὴλ, ὑποπτευθεὶς μὴ ὀρθῶς ἔχειν αὐτὸν περὶ τὴν ὀρθόδοξον πίστιν, καὶ ἴδε τὸ δεύτερον βιβλίον τοῦ Χωνειάτου περὶ τοῦ Μανουήλ. Θέλοντος δὲ τοῦ Ἀνδρονίκου δοῦναι τῷ Ἀλεξίῳ γυναῖκα τὴν θυγατέρα αὐτοῦ Ἑλένην, ἣν ἐγέννησεν αὐτῷ Θεοδώρα ἡ ἀπ' ἐξαδέλφου αὐτοῦ πρώτου ἀνεψιὰ, καὶ γὰρ ἦν καὶ ἀθεμιτόγαμος ὁ τύραννος, ἀπαγορεύει τὴν ἀθεμιτογαμίαν ἡ Σύνοδος. Θεοδόσιος δὲ ὁ Πατριάρχης φεύγει εἰς τὴν Νῆσον Τερέβινθον καὶ ἡσυχάζει, μὴ δυσωπηθεὶς οὔτε Σύγκλητον, οὔτε τὴν ἄνομον Σύνοδον, οὔτε μὴν τὰς κολακείας καὶ ἀπειλὰς τοῦ Ἀνδρονίκου. ποιεῖ ὅμως τὸ συνάλλαγμα ὁ Βουλγάρων Ἀρχιεπίσκοπος παρὼν εἰς τὴν πόλιν, καὶ προβάλλεται Πατριάρχης ὁ Βασίλειος ὁ Καματηρὸς, ὃς καὶ ὑπωπτεύετο συνευδοκεῖν τῷ Βασιλεῖ εἰς τὸν ἄθεσμον γάμον· σφάττει ὅμως ὕστερον τὸν Ἀλέξιον, καὶ τυραννεῖ τῆς βασιλείας ὁ Ἀνδρόνικος. οὗτος τὴν Εἰκόνα τοῦ Σωτῆρος, ἥτις ὡς ᾄδεται λόγος ἐλάλησε μετὰ τοῦ Βασιλέως Μαυρικίου, πολυτελεῖ κόσμῳ ἐστόλισε, καὶ τὴν Εἰκόνα τοῦ μακαρίου Παύλου κατακοσμήσας, ἀνέθηκε τῷ ἀνακαινιθέντι ὑπ' αὐτοῦ Ναῷ τῶν ἁγίων τεσσαράκοντα. ἰδὼν δὲ ὁ Ἁγιοχριστοφορήτης Στέφανος τὴν Εἰκόνα δακρύουσαν (ἣν καὶ ἀπεμάξατο μετὰ καθαροῦ πανίου, ἀλλ' ἐκείνη πάλιν ἔρρεεν ὡσεὶ πηγὴ) εἶπε τὸ γεγονὸς τῷ Ἀνδρονίκῳ. ἐκεῖνος δὲ ὡς ἡδόμενος ταῖς ἐπιστολαῖς τοῦ Ἀποστόλου, ἐνόμισεν ἀγαπᾶσθαι ὑπὸ τοῦ ἁγίου, ὡς δῆθεν φανεροῦντος αὐτῷ κακὸν περί τινος αὐτῷ ἐχθροῦ, ἐσφάγη ὅμως, μὴ ὠφεληθεὶς ὑπὸ τῶν πρὸς τοὺς ἁγίους τιμῶν, Θυσίαι γὰρ ἀσεβῶν, βδέλυγμα Κυρίῳ. Σὺ δὲ σημείωσαι, ὅτι ἐν τῇ ἀναγορεύσει τοῦ Ἰσαακίου κινηθὲν τὸ πλῆθος κατὰ τοῦ Ἀνδρονίκου, ἥρπασαν πᾶν ὅπερ εὗρον καὶ ἀπὸ τοῦ μεγάλου Παλατίου, καὶ ἁρπαγὲν ᾤχετο καὶ τὸ σκεῦος ὅπερ εἶχεν ἔνδον τὴν ἱερὰν ἐπιστολὴν ἣν ἔστειλεν ὁ Κύριος πρὸς τὸν Ἄυγαρον Τοπάρχην Ἐδέσσης. ἐβασίλευσε δὲ ὁ Ἀνδρόνικος ἔτη τρία. Ἐκινήθη Γουλίελμος ὁ Ῥὴξ τῆς Σικελίας κατὰ τοῦ Ἀνδρονίκου τούτου, καὶ ἥρπασε τὸ Δυῤῥάχιον, καὶ αὐτὴν τὴν Θεσσαλονίκην, ποιήσας πολλὴν κάκωσιν καὶ ἀσχημοσύνην κατὰ τὸν Νικήταν εἰς τὸ χρονικὸν αὐτοῦ, ὥστε τὴν ἔχθραν ἑπταπλασιάσαι μεταξὺ τῶν Ἀνατολικῶν καὶ Δυτικῶν, καὶ μὴ μεῖναι πλέον οὔτε σπινθῆρα περὶ ἑνώσεως. ἀλλὰ καὶ οἱ Ῥωμαῖοι οὐκ ἀφῆκαν τοὺς Σικελοὺς ἀνεκδικήτους, ἔδραμον γὰρ κατ' αὐτῶν, καὶ ἐποίησαν αὐτοῖς χείρονα ὧν ἐποίησαν οἱ Σικελοὶ τοῖς Ῥωμαίοις ἐπὶ τῆς βασιλείας Ἰσαακίου τοῦ ἀγγέλου, καθὼς εἶπε τοῦτο εἰς τὴν μονῳδίαν αὐτοῦ ὁ Ἀθηνῶν Μιχαὴλ, ὅστις διὰ τὸ εἰρηνικὸν ἀνεχώρησεν ὅπου γε ἂν εἶχε δυνάμεως.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ καταλύσεως τῆς ἀρχῆς τῶν Ἀράβων ὑπὸ Σαλαδίνου Σουλτάνου Βαβυλῶνος, τοῦ καταδραμόντος Συρίας καὶ Παλαιστίνης, καὶ πρεσβείας τῶν ἐν Παλαιστίνῃ Λατίνων χάριν βοηθείας πρὸς τοὺς τῆς Δύσεως Αὐθέντας.

Εἴπομεν ἀνωτέρω, ὅτι οἱ Σαρακηνοὶ ἔλαβον τὴν Ἔδεσσαν, ἀλλ' ᾐχμαλώτισαν καὶ τὴν Λαοδίκειαν τῆς Συρίας, κατακόπτοντες τοὺς Χριστιανοὺς ὡσεὶ ἄρνας, καὶ αὐτὸν ὁμοίως τὸν Σολομῶντα τὸν Ἀρχιερέα αὐτῶν, ὡς βεβαιοῖ τοῦτο ὁ Χωνειάτης. ἀλλὰ καὶ εἰς τὴν Παλαιστίνην κατήντησαν τὰ πράγματα τῶν Χριστιανῶν πάντα εἰς τὸ χεῖρον, καθότι ὁ Σαλαδῖνος ὁ Σουλτᾶνος τῆς Βαβυλῶνος πολεμήσας τὴν Αἴγυπτον, κατέλυσε τὴν ἀρχὴν τῶν Ἀράβων, καὶ συνῆψεν εἰς μίαν ἀρχὴν Βαβυλῶνα καὶ Αἴγυπτον, καὶ κατέδραμε Συρίας καὶ Παλαιστίνης, καὶ πάντοτε ὥδευεν εἰς τοὔμπροσθεν καὶ ἐνίκα. ὅθεν ἀπόφασιν ἐποίησαν οἱ ἐκεῖ Μεγιστᾶνες παπισταὶ ἐκκλησιαστικοί τε καὶ λαϊκοὶ πέμψαι πρεσβείαν πρὸς τοὺς Αὐθέντας τῆς Δύσεως χάριν βοηθείας. ἀπεστάλη γοῦν μετὰ τῶν ἄλλων Ἀποκρισιαρίων καὶ ὁ Λατινοπατριάρχης, καὶ Γουλίελμος ὁ Τύριος, ὅθεν ἔπαυσεν ὁ Πατριάρχης οὗτος Λατῖνος γράφειν τὴν ἱστορίαν τῆς Ἱερουσαλήμ. ἣν δὲ ἡ ἀπόφασις πρὸς τὸν Λατινοπατριάρχην, ἵνα ἀπέλθῃ πρὸς τὸν Ῥῆγα τῆς Φράτζας καὶ πρὸς τὸν Λούκιον Πάπαν Ἀποκρισιάριος.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ ἁλώσεως τῆς Ἱερουσαλὴμ ὑπὸ Σαλαδίνου τοῦ Σουλτάνου, καὶ ἀναιρέσεως τοῦ Ῥηγὸς Ῥαϊμούνδου.

Ὁ συγγραφεὺς Ῥογέριος ἱστορεῖ, ὅτι τότε ὑπέστρεψεν ἄπρακτος ὁ Λατῖνος Πατριάρχης ἀπὸ τῆς Δύσεως χωρὶς τινὸς βοηθείας, ὅθεν οἱ εἰς τὴν Παλαιστίνην Χριστιανοὶ ἔτρεμον ὡσεὶ κάλαμοι ὑπὸ τοῦ φόβου αὐτῶν. καὶ μάλιστα ὅτε ἔμαθον ὅτι εἷς Τεμπλάριος ἀπέδρα εἰς τὸν Σαλαδῖνον ὡς προδότης, ὅστις

ὅστι ἐδήλωσε τῷ Σαλαδίνῳ τὴν πλείστην ἀδυναμίαν ἣν εἶχεν ἡ Ἱερουσαλὴμ, οὗτινος τοῖς λόγοις πιστεύσας ὁ βαβυλώνιος Σαλαδῖνος, ἐκινήθη κατὰ τῆς Ἱερουσαλὴμ, ἀλλὰ νενικημένος ὑπέστρεψεν ἐν ὑστέροις. ἐπαναστρέψας ὅμως εἰς τὸν ἐρχόμενον χρόνον κατὰ τῆς Ἱερουσαλὴμ, καὶ λαβὼν τῇ ῥομφαίᾳ αὐτοῦ τὰ πέριξ τῆς Τιβεριάδος, περιεκύκλωσε τὴν Τύρον, καὶ ἀπὸ τῆς Ἱερουσαλὴμ ἕως τῆς Γάζης ἦσαν ἀναρίθμητοι Σαρακηνοὶ, ὅθεν οὐδὲν ἐνέμεινεν ἡμῖν, ἀλλ' ἢ μόνον ἡ ἐλπιζομένη θεία χάρις ἄνωθεν ἔγραφε τῷ Τεμπλαρίῳ ὁ Ἀρχηγὸς, οὗ τοὔνομα Τέρικος. ὁ δὲ Ἀμέρικος διηγεῖται, ὅτι εἰς τοὺς χιλίους ἑκατὸν ὀγδοήκοντα ἑπτὰ, τῇ τετάρτῃ τοῦ Ἰουλίου μετὰ πλείστου Στρατεύματος ἐλθὼν ὁ Σαλαδῖνος, ἐνίκησε τὸ χριστιανικὸν Στράτευμα, καὶ συλλαβὼν τὸν Ῥῆγα τῆς Ἱερουσαλὴμ, καὶ τὸν Ῥαϊμοῦνδον φονεύσας, Ἠχμαλώτευσεν ὅσην ἤθελεν αἰχμαλωσίαν, καὶ κορεσθεὶς τῶν αἱμάτων τῶν Λατίνων, ἔλαβε καὶ Ἀκκαρὼν, καὶ Καισάρειαν, καὶ Ἰόππην, καὶ Ναζαρὲτ, καὶ Σεβαστὴν, καὶ Νεάπολιν, καὶ Λύδδαν, καὶ Ῥέμπλι, καὶ Ἀσοὺρ, καὶ Χεβρὼν, καὶ Βηθλεὲμ, καὶ τέλος πάντων τὴν ἁγίαν Ἱερουσαλὴμ ἐν ἔτει χιλιοστῷ ἑκατοστῷ ὀγδοηκοστῷ ἐνάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ ὧν ἔπραξεν ἐν Ἱερουσαλὴμ κατὰ τοῦ Σταυροῦ ὁ Σαλαδῖνος, καὶ περὶ τῆς Πατριαρχείας Δοσιθέου ἢ Θεοδοσίου ἐν Ἱεροσολύμοις, καὶ ὧν λέγει ὁ Βεναρδος, καὶ ὧν ὁ Ἰσαάκιος τῇ πρὸς Σαλαδῖνον φιλίᾳ ἐνήργησεν ἐν Ἱερουσαλήμ.

Τὸ πρῶτον ἔργον ὃ ἐποίησεν ὁ Σαλαδῖνος εἰσερχόμενος εἰς τὴν Ἱερουσαλὴμ ἦν, ἵνα ἐκβάλλῃ ἀπὸ τοῦ ἁγίου τάφου τὸν Σταυρὸν τοῦ Κυρίου, ὃς ἦν ἄνωθεν τῆς Ἐκκλησίας ἐμπεπηγμένος, καὶ εἰς πάσας τὰς ὁδοὺς αὐτὸν περιαδειγματίσῃ, καὶ μαστιγώσῃ. Διηγεῖται ὁ Βεναρδος εἰς τὴν πεντηκοστὴν ἕκτην ἐπιστολὴν αὐτοῦ πρὸς τὸν Ἐπίσκοπον Κυρτώνης, ὅτι μετὰ τὴν ἅλωσιν τῆς Ἱερουσαλὴμ ἐσπάρθη λόγος εἰς τὴν Δύσιν, ὅτι ἐγίζει τὸ τέλος τοῦ κόσμου, καὶ ὅτι ἔφθασεν ὁ καιρὸς τοῦ Ἀντιχρίστου. ἀλλ' ὁ Αὐτοκράτωρ Κωνσταντινουπόλεως Ἰσαάκιος ἄγγελος οὐκ ἐφοβήθη τὸν Ἀντίχριστον, ἀλλὰ φιλιωθεὶς μετὰ τοῦ Σαλαδίνου, ἐνήργησε πολλὰ καλὰ εἰς τοὺς ἁγίου τόπους, ὡς προείρηται. τότε ἐχειροτονήθη Πατριάρχης εἰς τὰ Ἱεροσόλυμα ὁ Δοσίθεος, ὁ δὲ Μαλαξὸς Μανουὴλ λέγει τοῦτον Θεοδόσιον. ὅτι δὲ ὁ Δοσίθεος ἦν ἄνθρωπος θεοφιλὴς, μαρτυρεῖ τοῦτον τὸ Συνοδικὸν, τὸ ἀναγινωσκόμενον εἰς τὴν Κυριακὴν τῆς ὀρθοδοξίας. Ἤκουσε τὸ δυστυχὲς τοῦτο μήνυμα, ἤτοι τὴν αἰχμαλωσίαν αὖθις τῆς Ἱερουσαλὴμ ὁ Ῥώμης Οὐρβανὸς, καὶ ἀνέστη ὁ ἴδιος, καὶ ἐπορεύθη εἰς τὰς Βενετίας, ὡς ἂν κατασκευάσῃ νῆας, καὶ πλεύσῃ ἐκεῖθεν εἰς τὰ Ἱεροσόλυμα, πλὴν κατὰ τὴν ὁδὸν τῆς Φεράρρας ἀρρωστήσας ἐξέψυξεν, ὅτι ἔβλεπε καὶ τοὺς Χριστιανοὺς λίαν ὀκνηροὺς καὶ ἀμελεῖς πρὸς τὸν ἱερὸν τοῦτον λεγόμενον πόλεμον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἡ Λουσιανοῦ Ῥηγὸς τῆς Ἱερουσαλὴμ καὶ Ῥαϊμοῦνδου Κόντε Τριπόλεως ἔρις, αἴτιον τοῦ ἀφανισμοῦ τῆς Ἱερουσαλὴμ γέγονε.

Ὁ ἀφανισμὸς τῆς Ἱερουσαλὴμ ἦν ἡ ἔρις καὶ ἡ μῆνις, ἡ ῥιζωθεῖσα μεταξὺ τοῦ Λουσιανοῦ τοῦ Ῥηγὸς τῆς Ἱερουσαλὴμ καὶ τοῦ Ῥαϊμούνδου τοῦ Κόντε τῆς Τριπόλεως, διότι ἐν ταύταις ὄντων τούτων ταῖ φιλονεικίαις καὶ ἔχθραις, ἦλθεν ὁ Σαλαδῖνος, καὶ μετὰ τὸ καταφθεῖραι, ὥς φασι, διακοσίας χιλιάδας λαὸν, συνέλαβε καὶ τὸν Ῥῆγα εἰς τὴν Τιβεριάδα, καὶ τὰ καμπαναρεῖα ὅλα κατεκρήμνισε, ἐάσας μόνον ἐκεῖνο τοῦ Ἱεροῦ καὶ τοῦ ἁγίου τάφου, ὡς διηγεῖται τοῦτο καὶ ὁ Σιμωνέτας εἰς τὸ πέμπτον αὐτοῦ βιβλίον, κεφαλαίῳ ὀγδοηκοστῷ δευτέρῳ, ὅστις θέλει τὸν Σαφαντῖνον (ἢ Σιεραφαντῖνον) διαφθεῖραι καὶ πάντα τὰ ὑπόλοιπα ἅπερ ἀφῆκεν ὁ πατὴρ αὐτοῦ ὁ Σαλαδῖνος. ὅθεν Γρηγόριος ὁ Πάπας ὁ ὄγδοος προσέταξε γίνεσθαι συντόνους νηστείας καὶ μεγάλας ἐγκρατείας πανταχοῦ διὰ τὰς ἁμαρτίας τὰς συμβεβηκυίας εἰς τὰ Ἱεροσόλυμα, ὧν ἕνεκα ἐπανέστησαν τὰ τόσα δυστυχήματα, λέγει ὁ ἴδιος εἰς τὸ δίπλωμα αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Περὶ βουλῆς Κλήμαντος Ῥώμης ἑνωτικῆς τῶν Δύσεως Βασιλέων πρὸς ἀνάκτησιν τῆς Ἱερουσαλὴμ, καὶ περὶ τῶν ὀνομάτων καὶ ἐνοριῶν αὐτῶν.

Ἐγένετο Κλήμης ὁ τρίτος Πάπας, ὅστις ἠβουλήθη ἑνῶσαι τοὺς Βασιλεῖς πρὸς τὴν ἀνάκτησιν τῆς ἁγίας Ἱερουσαλὴμ, δηλαδὴ τὸν Ῥῆγα τῆς Φράντζας, καὶ τὸν Ῥῆγα τῆς Ἐγκλιτέρας, καὶ οὕτως οὖν ὁ Φριδέρικος ὁ Αὐτοκράτωρ τῆς Δύσεως μετὰ τοῦ Φιλίππου τοῦ Ῥηγὸς Τῆς Φράντζας, μετὰ τοῦ Ῥικάρδου τῆς Ἐγκλιτέρας, μετὰ τοῦ Γουλιέλμου τῆς Σικελίας, μετὰ τοῦ Ὄθωνος Δουκὸς τῆς Μπουργουντίας, μετὰ τοῦ Φιλίππου

Φιλίππου Κόντε τῆς Φλάντρας, καὶ πολλοὶ ἄλλοι Ἀρχηγοὶ καὶ Μεγιστᾶνες τῆς Φράντζας συνεφώνησαν ἆραι Σταυρὸν ὑπὲρ τῶν Ἱεροσολύμων, ἀκούοντες ὅτι ἄλλα κάστρα οὐκ ἀπέμειναν εἰς τὰς χεῖρας τῶν δυτικῶν, παρέξ τῆς Τύρου, τῆς Τριπόλεως καὶ τῆς Ἀντιοχείας μετὰ τῶν περιχώρων αὐτῆς, ὡς ἱστορεῖ τοῦτο ὁ Παλμέριος.

ΠΑΡΑ'ΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς πρὸς ἀλλήλους ἔχθρας τῶν Δύσεως Βασιλέων, καὶ ἁλώσεως τῆς ὑπὸ τὸν Ἰσαάκιον Κύπρου ὑπὸ τοῦ Ἐνρίκου.

Ὁ Ῥὴξ τῆς Φράντζας ἤρξατο ἐχθρωδῶς διακεῖσθαι τῷ Ῥηγὶ τῆς Ἐγκλιτέρας, οἱ Πισᾶνοι μετὰ τῶν Βενετίκων κρίνεσθαι, μόνον ὁ Ἐνρῖκος ἔφθασεν εἰς τὴν Κύπρον καὶ ἔλαβεν αὐτὴν, ἐκβαλὼν τὸν Αὐθέντην αὐτῆς τὸν Ἰσαάκιον τὸν Κομνηνὸν (ἐπειδὴ ὡς εἴρηται ὁ κυρίως σκοπὸς τοῦ τοιούτου πολέμου οὐκ ἦν κατὰ Σαρακηνῶν, ἀλλὰ κατὰ Ῥωμαίων) καὶ ἀφιερώσας αὐτὴν τὴν Νῆσον τῆς Κύπρου τῷ τῆς Ἱερουσαλὴμ βασιλείῳ, ἐποίησεν αὐτὴν καθέδραν διηνεκῆ τοῦ Βασιλέως τῶν Ἱεροσολύμων, ὡς μαρτυρεῖ τοῦτο ὁ Νικήτας.

ΠΑΡΑ'ΓΡΑΦΟΝ Η'.

Περὶ τῆς τελευτῆς Ἀθανασίου Ἱεροσολύμων, καὶ Πατριαρχείας Λεοντίου, καὶ τῆς πρὸς Γεώργιον Κερκύρας ἐπιστολῆς τοῦ Ἀθανασίου τούτου.

Ἐτελεύτησεν ὁ Ῥωμαῖος Ἀθανάσιος ὁ Πατριάρχης τῶν Ἱεροσολύμων, καὶ αὐτ' αὐτοῦ ἐχειροτονήθη ὁ Λεόντιος. εὕρηται δὲ μία ἐπιστολὴ τοῦ Πατριάρχου Ἀθανασίου πρὸς τὸν Μητροπολίτην τῆς Κερκύρας Γεώργιον ἀμοιβαία, ἧς ἡ ἀρχὴ φαίνεται τοιαύτη, Ἱερουσαλὴμ, Ἱερουσαλὴμ (θέλω γὰρ μιμηθῆναι τὸ προοίμιόν σου ὦ θειοτάτη μου κεφαλὴ) ἦν ποτὲ καὶ αὐτὴ τετειχισμένη καὶ ἡγιασμένη, ἀλλὰ νῦν ἔρημος καὶ ὡς ὀπωροφυλάκιον. ὦ, ἕνεκεν τῶν ἀναριθμήτων μου ἁμαρτημάτων καὶ ἀμετρήτων ὁ θρόνος οὗτος κατεπατήθη, καὶ ἡ ἁγία Σιὼν κατηχμαλωτίσθη, καὶ ὁ ἅγιος τάφος, ἀφ' οὗ ἔρχεται ὁ φωτισμός μου, ἐσμικρύνθη. ἀσπάζομαί σε κατὰ τὸν Παῦλον ἐν φιλήματι ἁγίῳ. ἀλλ' ἄγε δὴ ἔλθωμεν εἰς τὴν σειράν.

ΠΑΡΑ'ΓΡΑΦΟΝ Θ'.

Περὶ τῆς μεταθέσεως Δοσιθέου Ἱεροσολύμων εἰς τὸν Κωνσταντινουπόλεως θρόνον, παρὰ Κανόνας εἶναι πρὸ τοῦ γενέσθαι δοκούσης, καὶ γενομένης διὰ Κανόνος, εὑρεθέντος μὲν ὑπὸ τοῦ Βαλσαμῶνος ὑπὲρ ἑαυτοῦ, μεταχειρισθέντος δὲ ὑπὸ Ἰσαακίου τοῦ ἀγγέλου ἐν τῷ Δοσιθέῳ.

Γράφει ὁ Νικήτας περὶ τοῦ Δοσιθέου, ὅτι μετατεθεὶς εἰς Κωνσταντινούπολιν ἀπὸ τῶν Ἱεροσολύμων, ἐποίησε πιστωθῆναι τὸν Ἰσαάκιον Βασιλέα, ὅτι ὁ Φριδέρικος (ὅστις ἤρχετο μετὰ ἑκατὸν παντήκοντα χιλιάδων Στρατοῦ ὡς ἱστορεῖ τοῦτο ὁ Ἀββᾶς Ἀρνόλδος) οὐκ ἀπήρχετο τόσον εἰς τὸ λαβεῖν τὴν Ἱερουσαλὴμ, ὅσον εἰς τὸ κυριεῦσαι τῆς Κωνσταντινουπόλεως, καὶ εἰς τοῦτο ἀληθεῦσαι δοκεῖ ὁ Δοσίθεος, ὡς καὶ αἱ περὶ ταύτης τῆς ὕλης ἱστορίαι διασαφοῦσι τὸν τρόπον. ἦν δὲ ὁ ῥηθεὶς Δοσίθεος ἐν τῇ Μονῇ τῶν Στουδίων ἀσκητεύων, τὸ δὲ γένος αὐτοῦ κατήγετο ἀπὸ τῆς Βενετίας, προεβλήθη δὲ Πατριάρχης Ἱεροσολύμων μετὰ Νικηφόρον, ἀλλ' ὁ Ἰσαάκιος ἐκβαλὼν τῆς Πατριαρχείας τὸν Καματηρὸν Βασίλειον, καὶ μετάθεσιν βουλόμενος ποιῆσαι τοῦ Δοσιθέου εἰς τὸν θρόνον Κωνσταντινουπόλεως, διὰ δὲ τὸ φαίνεσθαι εἶναι παρὰ Κανόνας τὴν μετάθεσιν, διὸ καὶ ἐκωλύετο, ἀπατᾶ τὸν Ἀντιοχείας Θεόδωρον τὸν Βαλσαμῶνα, νομικὸν ὄντα τοῦ εὑρεῖν Νόμου κεφάλαιον, ἵνα γένηται νόμιμος ἡ μετάθεσις, καὶ ποιήσῃ αὐτὸν Κωνσταντινουπόλεως, ἀλλ' ὅτε ἦυρε τὸ κεφάλαιον ὁ Θεόδωρος, τότε ὁ Ἰσαάκιος προέβαλε τὸν Δοσίθεον, καὶ ἔμεινε μετὰ μόνης τῆς ἁμαρτίας ὁ Βαλσαμὼν, ὁ Δοσίθεος ὅμως τὶ ἔπαθεν, ἴδε τὸ δεύτερον βιβλίον τοῦ Χωνειάτου περὶ τοῦ Ἰσαακίου.

ΠΑΡΑ'ΓΡΑΦΟΝ Ι'.

Περὶ τῆς ἀποστασίας καὶ ἀρχῆς εἰς Βουγαρίαν τοῦ Ἀσάνη, τοῦ νικήσαντος τὸν Ἰσαάκιον, καὶ ἁλώσεως τοῦ βασιλικοῦ Σταυροῦ, ἐν ᾧ ἦν γάλα καὶ μέρος τῆς ἁγίας ζώνης τῆς Θεοτόκου, καὶ ὧν ἐποίησαν ὅ,τε Ἀσάνης καὶ οἱ ἀδελφοὶ αὐτοῦ Πέτρος καὶ Σκυλοϊάννης κακώσεων καὶ φόνων τοῖς Ῥωμαίοις, καὶ αἰχμαλωσιῶν πόλεων, καὶ ὧν εἶπον, καὶ ὅπως ἀπωλέσθησαν, καὶ περὶ τῆς ἀποτομίας καὶ κακουργίας καὶ τυφλώσεως Ἰσαακίου Βασιλέως, καὶ βασιλείας τοῦ ἀδελφοῦ αὐτοῦ Ἀλεξίου.

Ἀσά-

806

Ἀσάνης τὶς Βλάχος αὐταρσίαν ποιήσας κατὰ τῦ Ἰσαακίε, γίνεται Ἀρχηγὸς τῶν Βλάχων, ὄντων ὑποκειμένων Ῥωμαίοις ὑπὸ Βασιλέα τῦ Βλαχερνᾶ. στρατεύσας δὲ ὁ Ἰσαάκιος κατ' αὐτῦ, δειλιαθεὶς ἔφοδον εἶναι Σκυθῶν, νικᾶται, καὶ ἀλίσκεται ὑπὸ τῶν Βλάχων ὁ βασιλικὸς σταυρὸς, ἐν ᾧ ἦν γάλα τῆς Παναγίας, καὶ τῆς ἁγίας αὐτῆς ζώνης μέρος, καὶ μέρος τιμίε ξύλε. ἱστορεῖ δὲ ὁ Γεωγράφος Στράβων εἰς τὸ ἕβδομον βιβλίον, ὅτι ὁ Σκύθης Ζάμολξις μυηθεὶς ὑπὸ Πυθαγόρε, καὶ εἰς Αἴγυπτον ἀφιχθεὶς, καὶ ὕστερον αἰχμαλωτισθεὶς εἰς Γέτας, ὑπεκρίνετο σοφιτεύειν, καὶ δὴ καὶ εἰς σπήλαιόν τι οἰκῶν, ἐδόκει Θεὸς, ὡς ἐκ Θεῦ τὰ σοφίσματα ἐκφέρων, ἤτοι συμβελῆ Θεῦ, ὅθεν καὶ Θεὸς ὠνομάσθη, ἦν δὲ τὸ αὔτρον εἰς τὸ ὄρος Καγαίων. ἔτως ἐποίησαν καὶ Ἀσάνης καὶ Πέτρος ὁ ἀδελφὸς αὐτῦ οἱ ἀποσάται. ᾠκισαν Ναὸν τῦ ἁγίε Δημητρίε, καὶ ἔβαλον ἐκεῖ λιθους ῥακοφορεῖντας, δαιμονιζομένους, καὶ πλάνους, καὶ ἔλεγον εἰς τὺς Βλάχους καὶ Βλάχους, ὅτι ὁ Θεὸς ἀπέβαλε τὺς Ῥωμαίους, ὅθεν καὶ τὸν ἅγιον Δημήτριον ὤφελσε μηκέτι εἶναι εἰς Θεσσαλονίκην, ἀλλ' εἰς Βλάχους καὶ Βλαγάρους, καὶ λοιπὸν ὁρίζει ὁ Θεὸς, ἵνα οἵτε Βλάγαροι καὶ Βλάχοι ἐπαναστάντες ἀποκτείνωσι τὺς Ῥωμαίους, καὶ μηδενὶ τρόπῳ αὐτῶν φείδωνται, ὅτε αὐτὺς αἰχμαλωτίζωσιν, ἀλλ' ὅλως πανοικεὶ καταστρέφωσι, καὶ τόσα κακὰ ἐποίησαν οἱ Βλάγαροι καὶ Βλάχοι τοῖς Ῥωμαίοις, ὥσε λέγοντός τινος ταῦτα, εὐσὶ χεδὸν ἄπισα, ἐπειδὴ ὑπερβαίνουσι πᾶσαν ἀπανθρωπίαν τῶν ἀπ' αἰῶνος τυράννων. Φορεῖ λοιπὸν βασιλικὰ ἐνδύματα ὁ Πέτρος, ἀλλ' ἀπεκτάνετο μὲν ὁ ἄθεος Ἀσάνης ὑπὸ Ἰβάγκε τινὸς, ὕστερον δὲ καὶ ὁ Πέτρος, καὶ γίνεται Ἀρχηγὸς Βλαγάρων ὁ ἀδελφὸς αὐτῦ Ἰωάννης, ὅστις Σκύθαις χρώμενος, ἔφθειρε τὰ Ῥωμαίων ἐχάτως, καὶ εἰς Ἀδριανόπολιν κτάνει τὸν γενόμενον Κωνσταντινοπόλεως Βασιλέα μετὰ τὴν ὑπὸ τῶν Λατίνων ἅλωσιν Βαλδουῖνον, εἶτα κατασκάπτει Φιλιππόπολιν, Ἡράκλειαν, Παυΐον, Ῥαιδεστὸν, Χαριόπολιν, Τριαδιόπολιν, Μάκρην, Κλαυδιόπολιν, Μοσυνόπολιν, Περινθεώριον, καὶ τὰς Ῥωμαίας ἄρας ἀπ' αὐτῶν, οἰκίζει παρ' Ἴστρῳ, ὠνομάσθη δὲ ὑπὸ τῆς ἀσεβείας αὐτῦ Σκυλοϊωάννης, καὶ θνήσκει θεομηνίᾳ εἰς Θεσσαλονίκην, καὶ ἴδε εἰς πλάτος τὰ περὶ Βλαγάρων εἰς τε τὸν Χωνιάτην καὶ Γρηγοραν καὶ Φραντζην. ὅτι Βλαγάρικοι ἱστορικὸν οὐκ ἐδωκήθημεν εὑρεῖν, καὶ τόσα γνώσκουσι καὶ Τριβαλλοὶ καὶ Βλάγαροι περὶ αὐτῶν, ὅσα καὶ μόνα ἴσορρόπουν οἱ Ἕλληνες. ἦν δὲ ὁ Ἰσαάκιος ὑπέρτιμος ἄνθρωπος, ὅθεν καὶ εἰς οὐνέα χρόνος τῆς βασιλείας αὐτῦ, ἐξ Πατριάρχας ἤλαξεν εἰς Κωνσταντινόπολιν χωρὶς κανονικῆς ἢ ὅλως νομικῆς κρίσεως, ἀλλ' οἰκείῳ καὶ μόνῳ θελήματι, ὡς ἱστορεῖ Μεθόδιος, καὶ μάλιστα ὅτι πάντες ζῶντες ἦσαν. ὁδὲ Ἐφραίμιος καὶ διὰ στίχων ἐσημείωσε τὴν ὑπερτιμίαν τῦ Ἰσαακίε, εἰπών,

Ἐκκλησίας ἔθιμα καινουργῶν φύρων,
Οὓν μὴ καθίσας Πατριάρχων εἰς θρόνον,
Οὓν δ' ἐξάγων αὖ, καὶ μόνῃ σφαιρέσει.

ὅσα δὲ ἐργάσατο κατά τε Θείων Ναῶν καὶ Εἰκόνων, καὶ ἄλλων Θείων πραγμάτων, ἄλλοι λεγέτωσαν. τυφλῦται ὅμως ὁ καὶ βασιλεὺς ὁ ἀδελφὸν αὐτῦ Ἀλέξιος.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῦ Μυστηρίε τῆς ἁγίας Εὐχαριστίας, καὶ Βερεγγαρίε καὶ Βασιλέως Διακόνων, καὶ Μιχαὴλ ἐξηγητῦ τῦ Εὐαγγελίε, καὶ τῆς μεταξὺ αὐτῶν ἔχθρας, καὶ Αἱρέσεως περὶ τὸ σῶμα τῦ Κυρίε, καὶ συνοδικῆς αὐτῶν καθαιρέσεως, καὶ μετανοίας τῦ Μιχαήλ.

Παρέδωκεν ὁ Κύριος τὸ Μυστήριον τῆς Εὐχαριστίας, ἐν ᾧ ὁ ἄρτος καὶ ὁ οἶνος μεταβάλλεται εἰς τὸ σῶμα καὶ τὸ αἷμα τῦ Κυρίε ἀληθῶς καὶ κυρίως, ἤτοι ἀσιωδῶς, καὶ πάρεσιν ὁ Χριστὸς εἰς τὸ Μυστήριον πραγματικῶς καὶ ἀσιωδῶς, καθὼς καὶ τὸ Εὐαγγέλιον διδάσκει, καὶ οἱ Ἀπόστολοι παρέδωκαν, καὶ ἡ Ἐκκλησία παρέλαβε, καὶ οἱ πατέρες ἑρμήνευσαν, καὶ ἡ πρᾶξις τῆς καθολικῆς Ἐκκλησίας διδάσκει ἕως καὶ τῆς ὥρας ταύτης. ἀλλὰ ἱστορεῖ ὁ ἅγιος Ἐπιφάνιος, ὅτι τινὲς τῶν ἀρχαίων Αἱρετικῶν κακῶς ἐφρόνησαν περὶ τῦ Μυστηρίε, ὡς ἦσαν καὶ Μανιχαῖοι καὶ Ἐβιωνῖται καὶ ἄλλοι τοιῦτοι, καὶ ὕστερον οἱ Βογόμιλοι, πλὴν σωματεσβέθη μετ' ἐκείνων καὶ ἡ βλασφημία αὐτῶν. εἰς δὲ τὴν ἑβδόμην Σύνοδον κατηγορῦνται οἱ Εἰκονομάχοι, εἰκόνα τῦ σώματος καὶ τῦ αἵματος τῦ Χριστῦ εἰπόντες τὸν ἄρτον καὶ τὸν οἶνον, καὶ διορίζει ἡ Οἰκουμενικὴ Σύνοδος, ὅτι μετὰ τὸν ἁγιασμὸν ὁ ἄρτος καὶ ὁ οἶνος σῶμα κυρίως καὶ αἷμα Χριστῦ λέγονται, καὶ εἰσὶ, καὶ πιστεύονται, συμφώνως τοῖς ἁγίοις πατράσι, λέγοντι, ὅτι οὐκ ἔστι τύπος ὁ ἄρτος καὶ ὁ οἶνος τῆς Εὐχαριστίας, ἀλλ' αὐτὸ τὸ σῶμα καὶ τὸ αἷμα τῦ Κυρίε. ὅτι δὲ Ἰσαακίε τῦ Κομνηνῦ εἰς τὴν Ἰταλίαν Βερεγγάριός τις Ἀρχιδιάκονος μετὰ ἄλλων βλασφημιῶν ὧν εἶπεν, ἐτόλμησεν εἰπεῖν, ὅτι ἐστὶ ψιλὸς τύπος ὁ ἄρτος καὶ ὁ οἶνος τῦ σώματος καὶ αἵματος τῦ Κυρίε. ὅθεν καὶ σκάθηρε καὶ ἀνεθεμάτισεν αὐτὸν πολλάκις συνοδικῶς πᾶσα ἡ Δυτικὴ Ἐκκλησία καθάπαξ, καθὼς ἔπαθε καὶ ὅτι Ἀλεξίε τῦ Κομνηνῦ ὁ τῶν Βογομίλων Αἱρεσιάρχης Βασίλειος, ὁ ὡθὺς τοῖς ἄλλοις βλασφημήσας καὶ εἰς τὸ θεῖον τῦτο Μυστή-

Μυστήριον. ἐπὶ δὲ Μανουὴλ τοῦ Κομνηνοῦ ἱστορεῖ Ἰωάννης ὁ Κίνναμος καὶ Νικήτας ὁ Χωνειάτης, ὅτι εἰς τὸ Βυζάντιον ἦντις Διάκονος ὀνόματι Βασίλειος, ἐξηγητὴς εἰς τὸ κοινὸν τῶν ἐπιστολῶν τοῦ μακαρίου Παύλου, κατεφρόνει δὲ διδάσκων τινῶν αὐτικειμένων αὐτῷ, καὶ μάλιστα Μιχαήλ τινος ἐξηγητοῦ τοῦ Εὐαγγελίου εἰς τὴν ἁγίαν Σοφίαν, οὗτινος μαινομένου κατὰ τοῦ Βασιλείου, συνέβη εἰς τὸν Ναὸν τοῦ Θεολόγου Ἰωάννου τὸν εἰς προάστειον κείμενον ἔξω εἰς τὸ Ἕβδομον διδάσκειν τὸν Βασίλειον καὶ ἑρμηνεύειν εὐαγγελικὸν ῥητὸν, ἐν ᾧ εἶπεν, ὅτι ὁ αὐτὸς καὶ εἷς Υἱὸς τοῦ Θεοῦ γέγονε θῦμα, καὶ σὺν τῷ Πατρὶ τὴν θυσίαν ἐδέξατο. ὁ δὲ Μιχαὴλ τὸν λόγον ἐμέμφετο λέγων, ὅτι ὁ Βασίλειος εἰσάγει δύο ὑποστάσεις εἰς τὸν Χριστὸν, ἐπειδὴ λέγει τὸ μὲν αὐτοῦ τυθῆναι, τὸ δὲ τὴν θυσίαν δέξασθαι. συνηγόρησαν πολλοὶ εἰς τὴν μοῖραν ταύτην τῷ Μιχαὴλ καὶ συνεφρόνησεν, καὶ συνέπαθον ἐν τῷ ῥηθέντι δόγματι καὶ Νικηφόρος ὁ Βασιλάκης Διδάσκαλος τῶν ἐπιστολῶν, καὶ Εὐστάθιος Μητροπολίτης Δυῤῥαχίου, καὶ Σωτήριχος ὁ Παντεύγενος ὑποψήφιος τοῦ Πατριαρχείου τῆς Ἀντιοχείας μετὰ τὸν θάνατον τοῦ Ἀντιοχείας Εὐθυμίου, ἄνδρες πολλοὶ τὴν σοφίαν καὶ παντοδαποὶ τὸν λόγον ἐπὶ τῆς βασιλείας τοῦ κυροῦ Μανουήλ. ὁ δὲ Σωτήριχος διάλογον συνέταξε κατὰ Πλάτωνα, πολλὰ ἐν αὐτῷ συμφορήσας ἄτοπα, ἀλλὰ τοῦ Μανουὴλ συνοδικῶς ἐξετάσαντος τὸ πρόβλημα, καὶ γενομένου τῆς κρείττονος καὶ ἀληθοῦς μοίρας, καθαιρέσει ὑποβάλλεται ὁ Σωτήριχος, καὶ ὑστερεῖται τοῦ θρόνου Ἀντιοχείας, συγκαθαιρεῖται δὲ καὶ Εὐστάθιος ὁ Ἐπιδαμνίων, καὶ Μιχαὴλ ὁ ῥήτωρ ὁ εἰρημένος, καὶ αὐτὸς ὁ Βασίλειος, φωραθεὶς ἀτόπων πρεσβεύειν ἐσμόν. ἦν δὲ εἰς τὴν Σύνοδον ὁ Κωνσταντινουπόλεως Κωνσταντῖνος, καὶ ὁ Ἱεροσολύμων Ἰωάννης προεξάρχοντες. ἠθροίσθη δὲ ἐν ἔτει ἑξακισχιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ τετάρτῳ. σημείωσαι ὅτι ὁ Μιχαὴλ οὗτος μετημελήθη, ἔστι δὲ ἡ μετάνοια αὐτοῦ αὕτη, Μιχαὴλ τοῦ Θεσσαλονίκης τοῦ Μαΐστορος τῶν Ῥητόρων Διδασκάλου τῶν Εὐαγγελίων, καὶ Πρωτεκδίκου τῆς μεγάλης Ἐκκλησίας Κωνσταντινουπόλεως ἡ περὶ τὴν τελευτὴν ἐξομολόγησις, ἐφ' οἷς προσέπταισε καὶ καθηρέθη διὰ τὸ λέγειν ὅτι, Ὁ μέγας καὶ πρῶτος ἀρχιθύτης Χριστὸς προσφέρων μὲν καὶ προσφερόμενός ἐστιν, οὐ προσδεχόμενος δὲ καὶ προσλαμβάνων ὁ αὐτὸς τὸ θῦμα, ἀλλὰ προσδεχόμενος, ἤτοι προσλαμβανόμενος παρὰ τοῦ Πατρὸς, καὶ τοιαῦτα ἕτερα, ἅπερ ἡ Ἐκκλησία ἀπεβάλετο. ἡ οὖν ἐξομολόγησις ἔχει οὕτω, Περὶ τοῦ ὑπὸ ζήτησιν πεσόντος δόγματος ἐξ ἐμῆς ἀφροσύνης καὶ κακεντρεχείας. οὕτω γὰρ ἔχει τὸ ἀληθὲς, καὶ ἐξ αὐτῆς ἀρχῆς συνεπειθόμην οὕτως ἔχειν, ὡς ἡ ἁγία Σύνοδος ἐδογμάτισε, καὶ ὅτε ἐπράττετο ἡ κατὰ τὸ Πατριαρχεῖον πρᾶξις ἐρωτηθεὶς ἀπεκρινάμην, ὅτι καθὼς φρονεῖ ἡ ἁγία Σύνοδος, οὕτω φρονῶ, καὶ ἐξ ἐκείνου Θεοῦ χάριτι ἐν τῷ ὑγιεῖ ἡδραζόμην λόγῳ, οὗ τὸ δεύτερον κυρωθέντος καὶ ἐν τῷ Παλατίῳ, ἀναθεματίζω καὶ καταναθεματίζω καὶ ἐμαυτὸν καὶ τοὺς ἄλλους, ὅσοι μὴ φρονοῦσι συνῳδὰ τῇ ἁγίᾳ Συνόδῳ, καὶ ἐπὶ τούτῳ τῆς προσαγωγῆς τῷ δόγματι, καὶ δέομαι, καὶ πικρὸν ὀλοφύρομαι συγχωρηθῆναί μοι παρὰ τῆς ὑμῶν ἁγιότητος εἴτι διὰ φιλαυτίαν καὶ ἐπήρειαν καὶ ζημίαν ἀνθρώπου τὴν οἰκουμένην σχεδὸν ἐσάλευσα ὁ ἀνάξιος τοῦ κόσμου παντὸς, ναὶ, Χριστιανοὶ Δεσπόται συγχωρήσατέ μοι, καὶ αἰτήσασθε ὑπὲρ ἐμοῦ, ἵνα μὴ λόγους ἀπαιτηθῶ καὶ ὑπὲρ τούτου μεγάλους. Ἡ Ὑπογραφὴ, Ὁ ἀνάξιος Διάκονος τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας Μιχαὴλ ὁ Πρωτέκδικος. σημείωσαι πρῶτον, ὅτι ὁ Αὐτοκράτωρ Μανουὴλ ἔπεμψεν εἰς πόλεις καὶ χώρας τὰς ἀποφάσεις τῆς Συνόδου ταύτης, καὶ Νικόλαον τὸν σοφώτατον Ἐπίσκοπον Μεθώνης στηρίζοντα τοὺς πιστοὺς πρὸς τὴν εὐσέβειαν. σημείωσαι δεύτερον, ὅτι ἡ παροῦσα Σύνοδος ἐξέθετο κεφάλαια τρία περὶ τοῦ Μυστηρίου, ἅτινα κεῖνται καὶ ἀναγινώσκονται ἐν τῷ Συνοδικῷ τῆς πρώτης Κυριακῆς τῆς μεγάλης τεσσαρακοστῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ Σικιδίου τινὸς ἀρχηγοῦ Αἱρέσεως, ἆρα φθαρτὸν ἢ ἄφθαρτον ἐν τῷ Μυστηρίῳ τὸ σῶμα τοῦ Κυρίου λέγοντος, καὶ τῆς διὰ τοῦτο Συνόδου, καὶ τῶν τοῦ Κωνσταντινουπόλεως Εὐτυχίου διὰ τὴν μυστικὴν ἱερουργίαν σφραγῖδος καὶ φωνῆς παραδειγμάτων.

Ἀλεξίου ἀδελφοῦ τοῦ Ἰσαακίου βασιλεύοντος, Μοναχός τις Σικιδίτης ὀνόματι ἀρχηγὸς Αἱρέσεως ἐγεγόνει, ἔλεγε γὰρ, Ἆρα ἄφθαρτον ἐστὶ τῷ σῶμα τοῦ Κυρίου εἰς τὸ Μυστήριον καθὼς ἦν μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν, ἢ φθαρτὸν καθὼς ἦν πρὸ τοῦ πάθους καὶ τοῦ θανάτου; καὶ οἱ μὲν ὀρθὰ φρονοῦντες, ἀπό τε Κυρίλλου, Χρυσοστόμου, Εὐτυχίου Κωνσταντινουπόλεως τοῦ ἐπὶ Ἰουστινιανοῦ καὶ Γρηγορίου τοῦ Νύσσης, ὅτι τὸ ἐν τῷ Μυστηρίῳ σῶμα Χριστοῦ ἐστὶν ἄφθαρτον ἔλεγον, ἐπειδὴ ἐστὶν ἐκεῖνο τὸ μετὰ τὴν ἀνάστασιν καὶ ἀπαθὲς, οὐ τὸ παθητὸν καὶ πρὸ τοῦ πάθους, καὶ ὅστις λαμβάνει μέρος τοῦ ἄρτου εἰς τὸ Μυστήριον, ὅλον τὸν Χριστὸν λαμβάνει, καὶ μετέχει ξένως θείας θεουργίας εἰς ζωὴν αἰώνιον. ἔλεγον δὲ καὶ παραδείγματα, ὅτι εἰς ὅλους ὁ αὐτὸς Χριστὸς δίδοται, καὶ ἐν πᾶσιν ὁ αὐτὸς πάρεστιν, ὡς καὶ μία σφραγὶς πολλὰ ἐντυποῖ, καὶ οὔτε φθείρεται, οὔτε ἀλλοιοῦται, ὁμοίως καὶ ἡ φωνή. τινὲς δὲ ἔλεγον τὰ ἐναντία, βλασφημοῦντες. ὁ δὲ Πατριάρχης Ἰωάννης ὁ Καματηρὸς, ὅπουγε ἔδει ἀναθεματίσαι τὸν Αἱρεσιάρχην Σικιδίτην, καὶ ἑρμηνεῦσαι τὰ τοῦ Μυστηρίου ἐκκλησιαστικῶς, αὐτὸς ἐχρῆτο λογικαῖς μεθόδοις, καὶ ἀποδείξεσι, καὶ συγκαταθέσεσι τῶν μὴ δεομένων τέχνης, ἀλλὰ πίστεως, ὡς καὶ νῦν ποιοῦσιν οἱ Λουτεροκαλβῖνοι ἐναντιούμενοι τῇ μετουσιώσει. ὁ Βασιλεὺς ὅμως διὰ Συνόδου ἐτρά-

ἐτράνωσε τὸ ἀληθὲς, καὶ τὸ ψεῦδος κατήλεγξε. τοῦ Κωνσταντινουπόλεως Εὐτυχίου οἱ λόγοι εἰσὶν οὗτοι, ὡς σημειοῖ ὁ Νικήτας, Ὅλως οὖν ἅπαν τὸ ἅγιον σῶμα καὶ τὸ τίμιον αἷμα τοῦ Κυρίου δέχεται, κἂν εἰ μέρος τούτων δέξηταί τις, μερίζεται γὰρ ἀμερίστως ἐν ἅπασι διὰ τὴν ἔμμιξιν, καθὼς καὶ σφραγὶς μία πάντα τὰ ἐκτυπώματα αὐτῆς καὶ μορφώματα τοῖς μεταλαμβάνουσι μεταδίδωσι, καὶ μία μένει καὶ μετὰ τὴν δόσιν, οὐκ ἐλαττουμένη οὐδὲ ἀλλοιουμένη πρὸς τὰ μετέχοντα, κἂν ὦσι τῷ ἀριθμῷ πλείονα, ἢ ὡς καὶ μία φωνὴ ὑπότινος προαχθεῖσα, καὶ εἰς ἀέρα χεθεῖσα, καὶ ἐν τῷ ταύτην προεμένῳ πᾶσα μένει, καὶ ἐν τῷ ἀέρι γενομένη πᾶσα ταῖς ἀκοαῖς πάντων ἐναπετέθη, οὐδενὸς πλεῖον, ἢ ἔλαττον τοῦ ἑτέρου τῶν ἀκουσάντων εἰσδεχομένου, ἀλλὰ ὅλη ἐστὶν ἀδιαίρετος καὶ ὁλόκληρος παρὰ πᾶσι, κἂν μύριοι τὸν ἀριθμὸν, ἢ πλείους ὦσιν οἱ ἀκούσαντες, καίτοι σῶμα ὑπάρχουσα, οὐδὲν γὰρ ἕτερον ἐστὶ φωνὴ, ἢ πεπληγμένος ἀήρ. μηδεὶς οὖν ἀμφιβολίαν ἐχέτω, τὸ ἄφθαρτον μετὰ τὴν μυστικὴν ἱερουργίαν καὶ τὴν ἁγίαν ἀνάστασιν καὶ ἀθάνατον καὶ ἅγιον καὶ ζωοποιὸν αἷμα τοῦ Κυρίου τοῖς ἀντιτύποις ἐντιθέμενον διὰ τῶν ἱερουργιῶν ἔλαττον τῶν προειρημένων παραδειγμάτων τὰς οἰκείας ἐναπομόργνυσθαι δυνάμεις, ἀλλ' ὅλον ἐν ὅλοις εὑρίσκεσθαι. ταῦτα ὁ Εὐτύχιος.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἡ Μετουσίωσις λέξις οὐκ ἐφεύρεμα Λατίνων, ἀλλὰ τῆς καθολικῆς Ἐκκλησίας, ὡσαύτως καὶ ἡ καθ' ὑπόστασιν ἕνωσις, καὶ τὸ Ὁμοούσιον σὺν ἄλλοις.

Λέγουσιν οἱ νέοι Αἱρετικοὶ, ὅτι ἡ ΛΕΞΙΣ ΜΕΤΟΥΣΙΩΣΙΣ Λατίνων ἐστὶν ἐφεύρεμα. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι οὐκ ἔστι τῶν Λατίνων ἡ λέξις, ἀλλὰ τῆς καθολικῆς Ἐκκλησίας, καὶ εἰ ἦν τῶν Λατίνων καινοτομία, οἱ Ἀνατολικοὶ αὐτὴν οὐκ ἐδέχοντο, καθὼς καὶ ἄλλα πολλὰ νεωτερίσματα αὐτῶν ἀποβάλλουσι. δεύτερον, ὅτι ἐπειδὴ οἱ Αἱρετικοὶ κατὰ τὸ ἴδιον αὐτῶν χρῶνται ὁμωνυμίαις, καὶ ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ ἐννοοῦσιν, ἡμήτηρ Ἐκκλησία καθὼς ἦυρε τὴν ὁ ΜΟΟΥΣΙΟΣ ΛΕΞΙΝ κατὰ τῶν βλασφήμων τῆς Θεότητος Υἱοῦ καὶ Πνεύματος, καὶ τὴν ΕΝΩΣΙΝ ΚΑΘ' ΥΠΟΣΤΑΣΙΝ κατὰ τῶν ἐπηρεαζόντων τὴν ἐνανθρώπησιν τοῦ Μονογενοῦς, ἦυρε τὴν μετουσίωσιν ἵνα ἀποβάλλῃ τὰ κατὰ τοῦ Μυστηρίου τῶν Αἱρετικῶν σοφίσματα. τρίτον, ὅτι κατὰ τὴν μαρτυρίαν τοῦ Παμφίλου Εὐσεβίου ἡ λέξις ὁ ΜΟΟΥΣΙΟΣ ἐῤῥέθη ὑπότινων τῶν πατέρων καὶ πρὸ τῆς πρώτης Συνόδου, ἀλλ' ἡ πρώτη Σύνοδος αὐτὴν ᾠκειώθη. οὕτως εἴγε καὶ οἱ Λατῖνοι τὴν λέξιν ἐφεῦρον, ἐπειδὴ εἰς τὸ σημαινόμενον συμφωνοῦσι τῇ ἄκρᾳ τοῦ Μυστηρίου ἀληθείᾳ, ἡ καθολικὴ Ἐκκλησία ᾠκειωποιήθη, ὡς καλῶς καὶ ἐκ τοῦ ἁγίου Πνεύματος εἰρημένην. οὐ γὰρ ὅσα οἱ Λατῖνοι εἶπον κατὰ τῶν Αἱρετικῶν, διὰ τὸ αὐτοὺς εἰπεῖν αὐτὰ, κακά εἰσι, μάλιστα ἐν οἷς καλῶς ἠγωνίσαντο κατὰ Λουτέρου καὶ Καλβίνου καὶ τῶν ἄλλων νεωτέρων Αἱρετικῶν, οὐ μόνον ἀποδεχόμεθα αὐτοὺς, ἀλλὰ καὶ χάριν αὐτοῖς ὁμολογοῦμεν, μόνα δὲ ὅσα τῇ κοινῇ δόξῃ τῆς Ἐκκλησίας προσέθηκαν, ἢ ἀφῄρησαν αὐτοῖς ἐγκαλοῦμεν, ἐλπίζοντες, ἵνά ποτε διορθωθέντες, ἑνωθῶσι τῇ ὑγιαινούσῃ ἁγίᾳ Ἐκκλησίᾳ. εἶτα ἡ ΜΙΑ ΦΥΣΙΣ ΣΕΣΑΡΚΩΜΕΝΗ, ΛΕΞΙΣ, τοῦ Αἱρετικοῦ Ἀπολιναρίου ἐφεύρεμα ἦν πρὸς βοήθειαν τῆς Αἱρέσεως αὐτοῦ. ἀλλ' ὁ μακάριος Κύριλλος μετεχειρίσθη αὐτὴν κατὰ τοῦ δυσσεβοῦς Νεστορίου. τέταρτον, κατὰ τοὺς ἁγίους ἡμεῖς οὐ μαχόμεθα περὶ λέξεων, ἐν οἷς οὐκ ἔστι τῆς ἁγίας γραφῆς ἢ οἰκουμενικῆς Συνόδου ἀπόφασις μὴ ἐναλλάττεσθαι, ἀλλὰ τὰ πράγματα ζητοῦμεν. ῥητέον δὲ δύο Θεολόγους ὀνομαστικῶς, τὸν Ναζιανζηνὸν λέγοντα πρὸς Ἀρειανοὺς, Δότε τὴν δύναμιν τῆς Θεότητος, καὶ δώσωμεν ἡμεῖς τῆς φωνῆς τὴν συγχώρησιν, καὶ τὸν Βασίλειον φάσκοντα, Οὐ δὲ γὰρ ἐν ῥήμασιν ἡμῖν εἶναι τὴν σωτηρίαν μᾶλλον, ἢ ἐν πράγμασι. πιστεύετωσαν λοιπὸν οἱ Αἱρετικοὶ περὶ τοῦ Μυστηρίου ὀρθῶς, καὶ συγχωροῦμεν αὐτοῖς μὴ λέγειν μετουσίωσιν, ἀλλὰ μεταβολὴν, μεταῤῥύθμισιν, μετασκευὴν, μεταστοιχείωσιν, καὶ ὅπως ἄλλως πως βούλοιντο. τῶν εἰρημένων εἰσὶ μάρτυρες, γραφὴ, Ἐκκλησία, πατέρες, παράδοσις, καὶ εὑρίσκεις ταῦτα εἰς τοὺς ἰδίους τόπους, καὶ εἰς τὸ ἡμέτερον κατὰ Καλβίνων ἐγχειρίδιον.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ Συμεὼν καὶ Ἰωάννου Ἱεροσολύμων τῶν κατὰ Ἀζύμων γραψάντων, καὶ μαρτυριῶν Λατινικῶν τῆς δι' ἐνζύμου λειτουργίας αὐτῶν, καὶ περὶ τοῦ διὰ τοὺς Ἐβιωνίτας ῥητοῦ τοῦ ἁγίου ἐπιφανίου, οὗ οἱ Λατῖνοι ὡς ἰσχυροῦ ἐπιχειρήματος ἐπιλαμβάνονται.

Ἐν τοῖς παροῦσι καιροῖς ἦσαν Συμεὼν καὶ Ἰωάννης Ἱεροσολύμων Πατριάρχαι, οἱ γράψαντες κατὰ ἀζύμων, οἵτινες ὅτι ὀρθῶς ἔλεγον, μάρτυς ἡ Ἐκκλησία, καὶ ἀρχαία παράδοσις ἡ βεβαιοῦσα, ὅτι δι' ἐνζύμου ἄρτου ἐποίησεν ὁ Κύριος τὸ Μυστήριον. ὅτι δὲ οἱ Λατῖνοι ἐκαινοτόμησαν, παρέντας εἰπεῖν τινὰ, ἐξ ὧν ἔγραψαν οἱ ἀρχαῖοι πατέρες, δέον ἐστὶν εἰπεῖν τοσοῦτον, ὅτι περὶ τούτου μάρτυρες πάλιν οἱ Λατῖνοι ἀρκοῦσιν, ἡ γὰρ παρὰ τῶν ἀντικειμένων μαρτυρία ἀξιοπιστοτέρα ἐστί. τοίνυν λέγει ὁ Πλάτινας, ὅτι Ἀλέξανδρος ὁ Πάπας, ὃς ἦν εἰς τὸ ἔτος ἀπὸ Χριστοῦ ἑκατοστὸν εἰκοστὸν, πρῶτος ἤρξατο ποιεῖν δι' ἀζύμων τὴν μυσταγω-

μυσταγωγίαν. ἰδὺ λοιπὸν, ὅτι ὐκ ἦν ἀπὸ τῦ καιρῦ τῶν Ἀποστόλων, ἀλλ' ἐστὶ καινοτομία παπική. ὅτι δὲ καὶ ὁ Πλάτινας σχισματικὸς ὢν, συκοφαντεῖ τὸν Πάπαν Ἀλέξανδρον, καὶ προθυμεῖται δεῖξαι τὸ νεωτέρισμα ἀρχαιότερον, μάρτυς ὁ Καρδηνάλις Βόνας, ὃς ἀποδείκνυσιν εἰς τὸ περὶ λειτουργικῶν πραγμάτων, βιβλίῳ πρώτῳ, κεφαλαίῳ εἰκοστῷ τρίτῳ, ὅτι ὅλη ἡ ἁγία τῦ Χριστῦ Ἐκκλησία Ἀνατολική τε καὶ Δυτικὴ προσέφερον εἰς τὸ Μυστήριον ἄρτυς ἐνζύμυς, εἶτα κατατρέχει τῶν νομισάντων ἄζυμον τὴν προσφορὰν, ἣν ἔπεμπον πρὸς κοινωνίαν τῦ σώματος τῦ Χριστῦ Μιλτιάδης καὶ Ἰννοκέντιος οἱ Ἀρχιερεῖς τῆς Ῥώμης, καθότι ἦν ἔνζυμος, καὶ ὐχὶ ἄζυμος. ὅπερ δὲ οἱ σχισματικοὶ συκοφαντῦντες τὸν μακαρίτην Ἀλέξανδρον τὸν πρῶτον λέγυσι, πρῶτον δηλαδὴ αὐτὸν δεῖξαι τὰ ἄζυμα, ἔχει ὁ Βόνας τῦτο ὡς μῦθον καὶ φλυαρίαν. ἐξηγεῖται τρίτον ὁ Βόνας τὸ ῥητὸν τῦ Ἐπιφανίυ, ὅπερ οἱ Ἀζυμῖται προβάλλυσιν ὡς ἰσχυρὸν ἐπιχείρημα, διὰ τὸ λέγειν τὸν Ἐπιφάνιον περὶ τῶν Ἐβιωναίων ἐν τῇ κατ' αὐτὺς Αἱρέσει, Μυστήρια δὲ δῆθεν τελῦσι καταμίμησιν τῶν ἁγίων ἐν τῇ Ἐκκλησίᾳ διὰ ἀζύμων, καὶ τὸ ἄλλο μέρος τῦ Μυστηρίυ δι' ὕδατος μόνυ. καὶ οἱ μὲν Ἀζυμῖται, ἤτοι οἱ παπισταὶ λέγυσιν, Εἰ κατὰ μίμησιν τῶν ἁγίων ἐποίυν οἱ Ἐβιωναῖοι τὸ Μυστήριον, ἰδὺ δὴ καὶ οἱ ἅγιοι δι' ἀζύμυ ἐπετέλυν τὸ Μυστήριον. ἀλλ' ὁ Βόνας φησὶν, οὐκ ἐννοεῖ ὁ Ἐπιφάνιος διὰ τὴν ὕλην τῦ Μυστηρίυ, ἀλλὰ διὰ τὸν τόπον, ὅτι οὐκ ἐλειτούργυν εἰς τὰς οἰκίας αὐτῶν, καὶ μετὰ τὸν δεῖπνον, καθώς τινες ἄλλοι Αἱρετικοὶ, ἀλλ' εἰς τὴν Ἐκκλησίαν. ὅτι δὲ τῦτο ὕτως ἔχει, φανερὸν, ἐπεὶ τὸ ἕτερος μέρος τῦ Μυστηρίυ ἐπετέλυν δι' ὕδατος μόνον, ὅπερ οὐκ ἔστι μίμησις τῶν ἁγίων, ἀλλὰ αἱρετικῆς φρενοβλαβείας ἐφεύρεμα.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι κατὰ τὸν Συάρες, τὸν ὔτε τὴν ἄρσιν τῶν ἀζύμων, ὔτε τὸν ἀνακομίσαντα Πάπαν Λέοντα παρὰ τῷ Θωμᾷ εὑρεῖν λέγοντα, καὶ κατὰ τὸν Ἰησυΐτην Ἐνρῖκον, τὸν ἀπ' ἀρχῆς τὰ ἔνζυμα μαρτυρῦντα, δείκνυται οἱ Λατῖνοι καινοτόμοι.

Ὁ δὲ Θωμᾶς μετὰ τῶν Σχολαστικῶν, τετάρτῃ τῶν γνωμῶν, διαιρέσει ἑνδεκάτῃ, ἀριθμῷ δευτέρῳ, ζητήματι τρίτῳ, λέγυσιν, ὅτι εἰς ἀναίρεσιν τῦ Αἱρεσιάρχυ Ἐβίωνος ἀφῆκεν ἡ Ἐκκλησία τὸ ἄζυμον εἰς πολὺν καιρὸν, ὅπερ ἀνεκόμισεν εἰς τὴν Ἐκκλησίαν Λέων ὁ Πάπας, καί περ σημειοῖ ὁ Συάρες Τόμῳ τρίτῳ, μέρει τρίτῳ, διαλέξει τεσσαρακοστῇ τετάρτῃ, τμήματι τρίτῳ, ὅτι μήτε ὁ Θωμᾶς ἐσημείωσε τῦτο, μήτε αὐτὸς ἐδυνήθη εὑρεῖν ποῖος ἦν αὐτὸς ὁ Λέων ὁ Πάπας. ἀλλὰ καὶ Ἐνρῖκος ὁ Ἰησυΐτης μάρτυς διὰ πολλῶν, ὅτι ἀπ' ἀρχῆς δι' ἐνζύμυ ἐπετέλει τὸ Μυστήριον καὶ ἡ Ἀνατολικὴ καὶ ἡ Δυτικὴ Ἐκκλησία.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι καὶ ἀπὸ τῆς ἐν Τβὶν Συνόδυ τῶν Ἀρμενίων, δείκνυται ἡ περὶ τὰ ἄζυμα καινοτομία.

Σὺ δὲ σημείωσαι, ὅτι καὶ οἱ Μονοφυσῖται, ἤτοι οἱ Ἀρμένιοι εἰς τὴν ἐν Τβὶν Σύνοδον, ἐν τῷ ἑκτῷ ἀπὸ Χριστῦ αἰῶνι ἀθροισθεῖσαν, καινοτομήσαντες τὰ ἄζυμα, οὐκ εἶπον, ὅτι ἡ Ἀνατολικὴ Ἐκκλησία ἔχει τὰ ἔνζυμα, ἡ δὲ Ῥωμαίων τὰ ἄζυμα, ἀλλ' ἁπλῶς ἐκινήθησαν κατὰ τῆς καθόλυ Ἐκκλησίας. φανερὸν ὖν, ὅτι νεωτερισμός ἐστιν ἀναμφίβολος τὰ ἄζυμα, καὶ μάλιστα ἔναγχος ἐξευρημένος, ἐπὶ γὰρ τῦ Φωτίυ ὐκ ἦσαν, ἐπειδὴ εἰ ἦσαν, ἤλεγξεν αὐταῦτα ἐκεῖνος, καὶ μόνον ὀλίγον πρὸ τῦ Κηρυλλαρίυ εἰσήχθησαν ἐν τῇ Ἐκκλησίᾳ, ὅθεν καὶ ἐκεῖνος καὶ ὁ Ἀντιοχείας Πέτρος πρῶτοι κατήλεγξαν τὴν καινοτομίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι καὶ ἐκ τῦ ὅτε ἔλαβον τὴν πόλιν οἱ Λατῖνοι εὑρεθέντος ἐν τοῖς βασιλείοις μέρυς ἐνζύμυ ἄρτυ ἐκ τῦ μεταδοθέντος ὑπὸ τῦ Κυρίυ τοῖς Ἀποστόλοις, δέδεικται ἡ τῦ ἐνζύμυ ἄρτυ δόξα.

Νικόλαος ὁ Ὑδρῦντος λέγει ἐν τῷ κατὰ τῶν ἀζύμων, ὅτι ὅτε ἔλαβον οἱ Φράγγοι τὴν Κωνσταντινύπολιν, καὶ ἐσύλησαν ὅλα τὰ ἱερὰ σκεύη, καθώς ποτε ὁ Ναβυζαρδὰν τὸ Ἱερὸν, εὗρον εἰς τὸ βασιλικὸν Σκευοφυλάκιον τὰ ἅγια ξύλα, τὸν ἀκάνθινον στέφανον, τὰ σανδάλια τῦ Σωτῆρος, καὶ ἕνα ἦλον, ἅτινα εἶδε λέγει καὶ αὐτὸς αὐτοψεί. εὗρον ὅμως καὶ ἄρτον, ἐξῦ ὁ Χριστὸς μόνος αὐτὸς εἰς τὸν Δεῖπνον τὸν μυστικὸν διένειμε τοῖς Ἀποστόλοις, ἐν ἑνὶ σκεύει χρυσῷ λιθοκολλήτῳ καὶ μαργαροκολλήτῳ. ἦν δὲ ἐν τῷ σκεύει καὶ ἐπιγραφὴ διὰ γραμμάτων ἑλληνικῶν, λέγυσα, Ἐνθάδε κεῖται ὁ θεῖος Ἄρτος, ὃν ὁ Χριστὸς τοῖς Μαθηταῖς ἐν τῇ ὥρᾳ τῦ Δείπνυ διένειμεν, εἰπὼν, Λάβετε, φάγετε, τῦτό ἐστι τὸ σῶμά μυ. οἱ εὑρόντες δὲ

δὲ ἦσαν ὁ Ἐπίσκοπος Ἀλβεστανίας, καὶ ὁ Βηθλεὲμ ὑποψήφιος, καὶ ἐβουλήθησαν αὐτὸν κρύψαι (τυχὸν διότι ἦν ἔνζυμος) ἀλλὰ Θεοῦ εὐδοκίᾳ οὐκ ἐδυνήθησαν. ὅθεν καὶ λαμπρῶς ἐδείχθη καὶ ἐκ τούτου ἡ δόξα ἡ περὶ τοῦ ἐνζύμου.

ΠΑΡΆΓΡΑΦΟΝ Η'.

Ὅτι ἐκ τῶν συγγραφέντων τριῶν λόγων κατὰ Λατίνων περὶ ἐνζύμων καὶ ἀζύμων ὑπὸ Νικολάου τοῦ Ὑδροῦντος, δείκνυνται πρόσφατα καὶ σαφὴς νεωτερισμὸς ἐν τῇ δυτικῇ Ἐκκλησίᾳ τὰ ἄζυμα.

Ὁ Νικόλαος οὗτος ἔγραψε τρεῖς λόγους διαλογικῶς κατὰ Λατίνων, ὧν ἐν μὲν τῷ πρώτῳ ταῦτα φησί, φέρε λοιπὸν τὸν διάλογον ἐκ συλλογισμῶν τῶν παρὰ τῶν θείων καὶ φιλοσόφων ἀνδρῶν καλῶς συντεθέντων συλλέξαντες εἰς μέσον προθῶμεν, καὶ ἃ μάλιστα ἐνωτίσθημεν παρὰ τῶν ἐν Θεσσαλονίκῃ καὶ τῇ βασιλίδι τῶν πόλεων, οὐ μόνον ἀλλὰ καὶ ἐν Ἀθήναις σοφωτάτων καὶ ἱερῶν ἀνδρῶν, τῶν μετὰ τοῦ κυροῦ Βενεδίκτου Καρδηνάλεως καὶ Τοποτηρητοῦ τότε καθεστηκότος τοῦ Ῥώμης προέδρου Ἰννοκεντίου τοῦ τρίτου διαλεχθέντων συνεγραψάμεθα, ἐνμνήμῃ θέμενοι ταῦτα, ἅτινα τῇ παραγγελίᾳ ἐκείνου ἐν λατινικῇ ἐξ ἑλληνίδος μετεστρέψαμεν γλώττης, καὶ γὰρ τότε διερμηνευταὶ ἀναμεταξὺ Γραικῶν καὶ Λατίνων ὑπήρχομεν. ἐν δὲ τῷ δευτέρῳ φησίν, ὥσπερ καὶ ὁ ῥηθεὶς ἱερὸς Βενέδικτος, ὃς τοῦ Πάπα Ῥώμης Ἰννοκεντίου τοῦ τρίτου Τοποτηρητὴς ὤν ποτε, καὶ ἐν Κωνσταντινουπόλει σταλεὶς διάτινων πραγμάτων, τῶν ἀναμεταξὺ Γραικῶν καὶ Λατίνων ἐν τῇ Ἐκκλησίᾳ εἰσφρησάντων, οἷς καὶ συνέβη περί τε ἐνζύμου καὶ ἀζύμου ἄρτου λόγος γενέσθαι, ὅπερ ἐγὼ ἑρμηνεὺς, ὡς ἔφθην εἰπὼν, ἐχρημάτιζον. ἀλλ' ὁ ῥηθεὶς καρδηνάλις οὐδὲ πρὸς βραχύ τι ἀποκρίνασθαι περὶ τοῦ τοιούτου ζητήματος ἠβουλήθη, καίτοι λόγιος ὤν, καὶ τῇ θείᾳ ἐντεθραμμένος γραφῇ, ἀλλ' οὐδὲ τῆς ἔξω παιδείας ἄμοιρος, εἰ μὴ καὶ ταῖς τῆς διαλεκτικῆς ἀποδείξεσιν ἑτοιμότατος. Ἐν τούτοις σημείωσαι τὸ αὐτὸ, ἤτοι διὰ τὸ εἶναι ὀλίγον τὸν καιρὸν ἀφ' οὗ ἐκαινοτομήθη τὰ ἄζυμα, ἐγίνοντο συχναὶ διαλέξεις περὶ τούτων. δεύτερον, ὁ Καρδηνάλις, καίτοι σοφὸς ὤν, οὐκ ἐδυνήθη αὐτειπεῖν τῇ ἀληθείᾳ, ἀλλ' ἐσιώπησεν εὐλαβούμενος τὴν ἧτταν καὶ τὴν ἑπομένην αἰσχύνην. τρίτον, ὅτι διὰ τὸ εἶναι τὰς Ἐκκλησίας κεχωρισμένας, ἐγίνοντο αἱ διαλέξεις, ποτὲ μὲν περιεχόντων τὰς αἰτίας τῶν Ἑλλήνων, ποτὲ δὲ τῶν Λατίνων.

ΠΑΡΆΓΡΑΦΟΝ Θ'.

Ὅτι καὶ ἀπὸ τῆς συγγραφῆς Γεωργίου τοῦ Κερκύρας, δείκνυται ἔνζυμον ἄρτον ὑπὸ τῶν Ἀποστόλων τῇ Ἐκκλησίᾳ παραδεδόσθαι.

Εἰ καὶ ἀνωτέρω ἐμαρτύρησε Νικόλαος Ὑδροῦντος, ὅτι εὑρέθη ἐν Κωνσταντινουπόλει μέρος ἄρτου ἀπὸ τοῦ κυριακοῦ Δείπνου, ὃν ἐποίησε δηλονότι αὐτὸς ὁ Κύριος, μαρτυρεῖ ὅμως τοῦτο καὶ Γεώργιος Μητροπολίτης Κερκύρας, ὃς ἤκμαζε περί που τὸ χιλιοστὸν ἑκατοστὸν τεσσαρακοστὸν ἕκτον ἔτος, καὶ παρῆν ἐν τῇ γεγονυίᾳ Συνόδῳ ἐν Κωνσταντινουπόλει ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ, περὶ ἧς εἴρηται ἀνωτέρω κεφαλαίῳ δεκάτῳ Παραγράφῳ τετάρτῳ, καὶ ἔγραψε κατὰ Λατίνων, ἐν οἷς καὶ ταῦτα φησίν, Ἀρχὴ ἐπισημειώσεων πρὸς ἅπερ ἐρωτήθημεν κατακείμενοι ἀσθενῶς ἐν τῇ ἁγίᾳ Μονῇ τῶν Κασούλων παρὰ τῶν λεγομένων Φρατομινουρίων, οἵτινες παραδιδάσκουσι καὶ παραδειγματίζουσιν εἶναί τι πῦρ καθαρτήριον, ἐν ᾧ οἱ τελευτῶντες ἐν ἐξαγορεύσει, μήπω δὲ φθάσαντες ἀποκλύσασθαι τὰ οἰκεῖα πλημμελήματα ἀπάγονται, καὶ καθαίρονται πρὸ τῆς τελευταίας κρίσεως, ἅμα προϊστῶντες σύμμαχον τοῦ τοιούτου λόγου καὶ τὸν ἐν ἁγίοις Γρηγόριον τὸν Διάλογον. καὶ ἡ μὲν πεῦσις τοῦ Λατίνου, ἐκαλεῖτο δὲ οὗτος Βαρθολομαῖος, τοιάδέ τις ἦν, Θέλω μαθεῖν ἀφ' ὑμῶν τῶν Γραικῶν. καὶ κατωτέρω τοῦ αὐτοῦ δεύτερον σύνταγμα περὶ θείας κοινωνίας, ἐν ᾧ καὶ ἡ ἀπόδειξις ἁπλῶς ἐκ τῶν θείων γραφῶν, ὅτι ἔνζυμος ἄρτος τῇ Ἐκκλησίᾳ παρεδόθη παρὰ τῶν Ἀποστόλων προσφέρεσθαι, ὃς καὶ μέχρι τοῦ ἁγίου Γρηγορίου τοῦ Διαλόγου τῇ Ῥώμης προσεφέρετο Ἐκκλησίᾳ. γράφει δὲ καὶ τὴν περὶ τούτου ἐν Κωνσταντινουπόλει γενομένην διάλεξιν, καὶ ὅτι αὐτειπεῖν οὐκ ἠβουλήθησαν οἱ Λατῖνοι, ἀλλὰ καὶ μᾶλλον ἐπήνεσαν τὸν θεῖον ἄρτον τὸν ἔνζυμον, καὶ ὅτι εὑρεθείσης καὶ μερίδος ἐκείνου τοῦ ἄρτου, ὃν ὁ Χριστὸς ἔδωκε τοῖς Μαθηταῖς ἐν τῷ Δείπνῳ, ἐν τῷ τοῦ μεγάλου Παλατίου Σκευοφυλακίῳ, πᾶσα πρόφασις ἤρθη ἐκ μέσου. ἐν τούτοις σημείωσαι τὸ ἀνωτέρω εἰρημένον περὶ τοῦ μέρους τοῦ κυριακοῦ Δείπνου. καὶ δεύτερον, ὅτι καὶ τὸ περὶ τοῦ καθαρτηρίου δόγμα καινότατον ἦν, ὅθεν ὁ Γεώργιος δυσηρέστησεν ἀκούσας τῶν Φρατόρων περὶ τούτου λεγόντων, καὶ ἀκολούθως ἔγραψε κατὰ τοῦ καθαρτηρίου.

ΠΑΡΆ-

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Μαρτυρία Λατίνων, ὅτι ἕως Φωτίου οὐκ ἦσαν ἄζυμα ἐν τῇ δυτικῇ Ἐκκλησίᾳ.

Ἀλλὰ καὶ περὶ τῆς τελειώσεως τοῦ Μυστηρίου Λατῖνοι τοιούτοισιν μάρτυρας. Τοίνυν ἱερεὺς Ῥιχάρδος ὁ Σίμων ἐν ταῖς σημειώσεσι Γαβριὴλ τοῦ Φιλαδελφείας περὶ Μυστηρίων ταῦτα, ἅτινα καὶ ἐτυπώθη ἐν Παρισίῳ ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ἕκτῳ. Φαίνεται πρᾶγμα πιθανόν, ὅτι ἕως τοῦ καιροῦ τοῦ Φωτίου οὐκ ἦν ἐν τῇ λατινικῇ Ἐκκλησίᾳ χρῆσις τῶν Ἀζύμων, ὁ γὰρ Φώτιος ὁ κατηγορῶν τῶν Λατίνων μέχει καὶ αὐτῶν τῶν μικροτάτων, οὐκ ἐποίησεν ἐνθύμησίν ἵνα περὶ τούτου. πολλὰ ἔθνη Ἀνατολικά, τὰ λαβόντα πίστιν ἀπὸ τῶν Γραικῶν, ποιοῦσι τὸ Μυστήριον εἰς ἄρτον Ἔνζυμον, Ἰακωβῖται δηλαδὴ καὶ Νεστοριανοί, ἐξόχως οἱ αὐτοὶ Νεστοριανοί, ὧν εἰς τὰς Λειτουργίας μάλιστα φαίνεται ὁ τρόπος, καθ' ὃν προετοιμάζουσι τὸν ζύμην, ἣν βλογεῖ καὶ ταῖς ἰδίαις αὐτοῦ χερσὶ ζυμοῖ ὁ Ἱερεὺς εἰς τόπον διατεταγμένον ἔνδον εἰς τὴν Ἐκκλησίαν, οἵτινες εὔχονται καθὼς φαίνεται εἰς τὴν αὐτὴν Λειτουργίαν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

ὅτι κατὰ τὰς διαφόρων γραφῶν Λειτουργίας, εἰδικὸν αἴτιον τοῦ Μυστηρίου τῆς Εὐχαριστίας ἐστὶν ἡ ἐπίκλησις τοῦ Ἱερέως.

Διηγεῖται Θωμᾶς ὁ ἀπὸ Γεζοῦ, ἤτοι ὁ ἀπὸ Ἰησοῦ βιβλίῳ ἑβδόμῳ, πρώτῳ, περὶ τῆς Λειτουργίας τῶν Νεστοριανῶν, ἣ χρῶνται οἱ ὑπὸ Βαβυλῶνι Χαλδαῖοι, παρ' οἷς εἰσι δύο Λειτουργίαι, μία τῶν Ἱερῶν Ἀποστόλων, παραδοθεῖσα παρὰ τοῦ κυρίου Ἀδδαίου καὶ κυρίου Μαραΐου, καὶ ἑτέρα τοῦ ἁγίου Θεοδώρου τοῦ ἑρμηνευτοῦ, ὅτι εἰς ἑκατέραν τὸ εἶδος τοῦ Μυστηρίου φαίνεται ἡ ἐπίκλησις τοῦ ἁγίου Πνεύματος. δεύτερον, τῇ Λειτουργίᾳ τοῦ Νεστορίου, τῇ ἔτι πλατυτέρᾳ τῶν αὐτοῦ ἑρμηνέων, μετὰ τὰ κυριακὰ λόγια ἀκολουθοῦσι πάντα φύλλα, καὶ ὕστερον ἡ ἐπίκλησις τοῦ ἁγίου Πνεύματος· τρίτον, ὃν Σερβώνη εὑρίσκεται χειρόγραφον, καὶ ἐστὶ τοῦ ἁγίου Ἰακώβου ἡ Λειτουργία, ὀλίγον μικροτέρα τῆς καθ' ἡμᾶς λεγομένης Λειτουργίας τοῦ ἁγίου Ἰακώβου, ᾧ χειρογράφῳ μετὰ τὰ κυριακὰ λόγια οἱ Ἱερεῖς μεγαλοφώνως λέγει, Εἰσάκουσον Κύριε, καὶ ὁ λαός, Κύριε ἐλέησον, καὶ ἅπαξ εὐλογεῖ τὸν ἄρτον, ὁμοίως καὶ τὸ ποτήριον. τέταρτον, τὸ αὐτὸ ἀποδεικνύεται φαίνεται ἐν ταῖς δυσὶ Λειτουργίαις τῶν Μαρωνιτῶν, ὧν ἡ μία λέγεται Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, ἡ δὲ ἄλλη τοῦ ἁγίου Διονυσίου. πέμπτον, ἐν τῇ Λειτουργίᾳ τῶν Ἀρμενίων, τῇ τυπωθείσῃ ἐν τῇ Ῥώμῃ μετὰ τῶν τύπων τῆς ἱερᾶς συνάξεως ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ, καὶ ἐν ἑτέρᾳ Λειτουργίᾳ Αἰθιοπικῇ ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ ἑνάτῳ τὸ αὐτὸ λέγεται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Μαρτυρίαι πολλῶν ἐγκειτῶν ἁγίων, ὅτι τὸ εἰδικὸν αἴτιον τοῦ Μυστηρίου τῆς Εὐχαριστίας ἐστὶν ἡ ἐπίκλησις τοῦ Ἱερέως.

Ἰωάννης ὁ μάρτυς ἐν τῷ τέλει τῆς δευτέρας Λόγου λέγει, Τὴν δι' εὐχῆς λόγου, καὶ τὰ ἑξῆς. Κλήμης Ἀλεξανδρεὺς εἰς τὸ δεύτερον βιβλίον τῆς παιδαγωγίας, τὸ αὐτό. ὁ ἅγιος Εἰρηναῖος εἰς τὸ τέταρτον βιβλίον κατὰ Αἱρέσεων κεφαλαίῳ τριακοστῷ τρίτῳ λέγει, Ἄρτος δεχόμενον τὴν ἐπίκλησιν τοῦ Θεοῦ. Ὠριγένης εἰς τὸ κατὰ Ματθαῖον ἐπ' ἐκείνων τῶν λόγων, Οὐχὶ τὸ εἰσερχόμενον διὰ τοῦ στόματος καὶ τὰ ἑξῆς, Τὸ ἁγιαζόμενον ῥῆμα διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως. Κύριλλος Ἱεροσολύμων κατηχήσει μυσταγωγικῇ πρώτῃ· Τὸν ἄρτον καὶ τὸν οἶνον τῆς Εὐχαριστίας πρὸ τῆς ἁγίας ἐπικλήσεως τῆς παρουσιωτῆς Τελάδος ἄρτον εἶναι καὶ οἶνον λιτὸν, ἐπικλήσεως γινομένης, ὁ μὲν ἄρτος γίνεται σῶμα Χριστοῦ, ὁ δὲ οἶνος αἷμα Χριστοῦ. Τὸ αὐτὸ λέγει καὶ κατηχήσει τελίτῃ Βασίλειος ὁ μέγας περὶ ἀγράφων νομίμων, τὰ τῆς ἐπικλήσεως ῥήματα ἐπὶ τῇ ἀναδείξει τοῦ ἄρτου τῆς Εὐχαριστίας, καὶ τὰ ἑξῆς. Χρυσόστομος εἰς τὸν ἄρτον βιβλίον περὶ Ἱερωσύνης, Ὅτε δὲ τὸ Πνεῦμα τὸ ἅγιον καλεῖ, καὶ πῶς φιλανθρωπότατα ἐπιτελεῖ θυσίαν, καὶ τὰ ἑξῆς. Ἴδε τὸν Καβάσιλαν ἐν τῇ ἐξηγήσει τῆς Λειτουργίας κεφαλαίῳ εἰκοστῷ ἑνάτῳ. πῶς ἐξηγεῖται τὸ ῥητὸν ἐκεῖνο τοῦ Χρυσοστόμου εἰς τὸν δεύτερον λόγον περὶ προδοσίας τοῦ Ἰούδα. Πρόκλος περὶ παραδόσεως τῆς θείας Λειτουργίας. Διὰ τοιούτων τοίνυν εὐχῶν τὴν ἐπιφοίτησιν τοῦ ἁγίου Πνεύματος προσεδόκων, ὅπως τῇ αὐτοῦ θείᾳ παρουσίᾳ τὸν προκείμενον εἰς ἱερουργίαν ἄρτον καὶ οἶνον ὕδατι μεμιγμένον, αὐτὸ ἐκεῖνο τὸ σῶμα καὶ αἷμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀποφήνῃ τε καὶ ἀναδείξῃ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Μαρτυρία τοῦ Ἀρεοπαγίτου καὶ Χρυσοστόμου, ὅτι τὰ κυριακὰ λόγια οὐκ αἴτιον εἰδικὸν, ἀλλὰ ποιητικόν.

Ἀνάγνωθι Διονύσιον τὸν Ἀρεοπαγίτην εἰς τὸ τρίτον κεφάλαιον περὶ ἐκκλησιαστικῆς Ἱεραρχίας, Ἰωάννην τὸν Δαμασκηνὸν εἰς τὸ τέταρτον βιβλίον περὶ ὀρθοδόξου πίστεως διηγούμενον τὰ λεγόμενα παρὰ τοῦ Χρυσοστόμου εἰς τὸν ἄνωθεν λόγον περὶ προδοσίας τοῦ Ἰούδα, ἔνθα φαίνεται φανερὰ ἡ γνώμη τοῦ Χρυσοστόμου, ὅτι τὰ κυριακὰ λόγια ἀναφέρεται εἰς τὸ αἴτιον ποιητικὸν τοῦ Μυστηρίου, οὐχὶ δὲ καὶ εἰς τὸ εἰδικὸν, καθὼς ἑρμηνεύει καὶ ὁ Καβάσιλας, ἀκολουθῶν τῇ γνώμῃ τοῦ Δαμασκηνοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ὅτι Ἱερώνυμος, Αὐγουστῖνος, Ἀμβρόσιος, καὶ ὁ Θεολόγος καὶ Ἰννοκέντιος ὁ τρίτος ταῖς εὐχαῖς τῶν Ἱερέων τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου τελεσιουργεῖσθαι θέλουσι.

Ἀνάγνωθι τὸν Σγουρόπουλον εἰς τὸ πρῶτον κεφάλαιον τῆς ἐν Φλωρεντείᾳ Συνόδου τμήματι δεκάτῳ. Ἱερώνυμος γράφων πρὸς Εὐάγριον περὶ Πρεσβυτέρων λέγει οὕτω, Πρὸς ὧν τὰς εὐχὰς τὸ σῶμα καὶ αἷμα τοῦ Χριστοῦ τελεσιουργεῖται. Ὁ Ἱερὸς Αὐγουστῖνος εἰς τὴν πεντηκοστὴν ἐνάτην ἐπιστολὴν πρὸς Παυλῖνον. Ὁ αὐτὸς εἰς τὸ τρίτον βιβλίον περὶ Τριάδος κεφαλαίῳ τετάρτῳ. Ἀλλ' ἐκεῖνο τέως λέγομεν σῶμα Χριστοῦ, ὅπερ ἐκ τῶν καρπῶν τῆς γῆς λαμβανόμενον, καὶ μυστικῇ εὐχῇ ἱερουργηθὲν, μεταλαμβάνομεν πρὸς πνευματικὴν σωτηρίαν. Ὁ ἅγιος Ἀμβρόσιος εἰς τὸ ἔνατον κεφάλαιον περὶ τῶν μυουμένων τὰ Μυστήρια ἀναφέρει τὸ εἶδος τοῦ Μυστηρίου πρὸς τὴν εὐλογίαν, ἃ δὲ λέγει μετέπειτα συνῳδὰ τῷ Χρυσοστόμῳ, πρὸς τὸ ποιητικὸν αἴτιον ἀναφέρονται, μάλιστα ὁ μέγας Γρηγόριος λέγει, ὅτι οἱ Ἀπόστολοι ἐποίησαν τὸ Μυστήριον μόνῃ τῇ εὐχῇ τῆς ἀναφορᾶς. Σημείωσαι, ὅτι ἡ γνώμη τῶν νεωτέρων Λατίνων οὐκ ἤρεσεν Ἰννοκεντίῳ τῷ τρίτῳ, οὗ ἐν τῷ καιρῷ ἐγένετο ἡ τετάρτη Σύνοδος ἡ ἐν Λατεράνῳ κατὰ Ἀλμερίκου τινὸς ἐκ Γαλλίας, ἔτει χιλιοστῷ διακοσιοστῷ δεκάτῳ πέμπτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Ὅτι ἐκ τῶν διαλέξεων Ἀμβροσίου τοῦ Καθαρινοῦ, δείκνυται εἶναι μὲν τὴν εὐχὴν τοῦ Ἱερέως εἶδος τοῦ Μυστηρίου τῆς Εὐχαριστίας, ἀρχηγὸν δὲ τῆς νῦν ἐν τῷ Μυστηρίῳ τούτῳ γνώμης τῶν Λατίνων Θωμᾶν τὸν Ἀκινάτην.

Ἀμβρόσιος ὁ Καθαρινὸς, οὗ τὰ ποιήματα εἰσὶ τετυπωμένα εἰς τὴν Ῥώμην ἔτει χιλιοστῷ πεντακοσιοστῷ πεντηκοστῷ δευτέρῳ μετὰ ἐπιστολῆς ἀφιερωτικῆς πρὸς Ἰούλιον τρίτον, ἔγραψε δύο διαλέξεις ἐπὶ ταύτης τῆς ὑποθέσεως, ἐν αἷς λέγει πολλὰ περὶ τούτου, καὶ μάλιστα ἐπαινεῖ τὸν ἄνωθεν Ἰννοκέντιον τρίτον, λέγων, ὅτι ταύτης τῆς γνώμης τῶν Λατίνων ἀρχηγὸς ἐχρημάτισε Θωμᾶς ὁ Ἀκινάτης, καθ' οὗ καὶ γράφει καὶ λέγει πολλά. πρῶτον μὲν, ὁμολογεῖ αὐτὸς μεθ' ὅρκου, ὅτι συνομιλῶν πολλοῖς Θεολόγοις καὶ εὐσεβέσι, οὐ μέμνηται κεχρηματικέναι τινὰ ἄλλως δοξάζοντα. δεύτερον, ὅτι αὕτη ἡ γνώμη, δηλαδὴ τὸ εἶδος τοῦ Μυστηρίου τῆς Εὐχαριστίας εἶναι τοῦ Ἱερέως τὴν εὐχὴν, ἐπεκράτησεν ἄνωθεν καὶ ἀπ' ἀρχῆς ἕως τοῦ καιροῦ τούτου, καὶ ὅτι ἐν ταῖς ἄγαν περιφήμοις Ἀκαδημίαις Θεολόγοι καὶ εὐσεβεῖς καὶ περίφημοι ἡρμήνευσαν αὐτὴν, καὶ ἐδίδαξαν καθὰ καὶ ἄλλας ἀληθινὰς καὶ κοινὰς προτάσεις τῆς σχολαστικῆς Θεολογίας. τρίτον, ὅτι αὐτὸς περὶ τούτου ἔγραψεν εἰς τὴν Σύνοδον τὴν ἐν Τριδέντῳ, καὶ οὐ δυσηρέστησαν οἱ σοφώτεροι πατέρες. λήγει λοιπὸν ὅλη ἡ διάλεξις τούτου τοῦ ἀμβροσίου τούτοις τοῖς ῥήμασι, Γίνεται οὖν ἡμῖν σῶμα Χριστοῦ διὰ τῆς προλεγομένης εὐχῆς καὶ ἐκ τῆς δυνάμεως τῆς συνθήκης, συνθήκην ἐνταῦθα ἐπινοεῖ τὰ λόγια τοῦ Χριστοῦ, Τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΣ'.

Ὅτι καὶ ἐκ τῆς κατὰ Βερεγγαρίου ῥωμαϊκῆς Συνόδου, καὶ ἐκ τῆς περὶ φωνῆς ἀντιτύπου κρίσεως τῆς ἐν Νικαίᾳ δευτέρας Συνόδου, καὶ πολλῶν Διδασκάλων καὶ Σχολαστικῶν, οὓς φέρει μάρτυρας ὁ Καισαρείας Ἐπίσκοπος τοῦ τάγματος τῶν Μινόρων ὁ Γενεράλης, δείκνυται τὸ μὲν Μυστήριον τῆς Εὐχαριστίας ταῖς εὐχαῖς τοῦ Ἱερέως τελειοῦσθαι, τὸ δὲ παρὰ Λατίνοις νυνὶ εἶδος τοῦ Μυστηρίου νόθον.

Ὁ Καισαρείας Ἀρχιεπίσκοπος Γενεράλης ὅλου τοῦ τάγματος τῶν Μινόρων Δεκάπιτε Φόντζιουμ τὰ αὐτὰ βεβαιοῖ ἐν τῷ βιβλίῳ τῷ πονηθέντι αὐτῷ περὶ ἀναγκαίας διορθώσεως τῆς σχολαστικῆς Θεολογίας, καὶ ἀφιερωθέντι ὑπ' αὐτοῦ Σίκστῳ πέμπτῳ, καὶ ἐν ἑτέρῳ βιβλίῳ, ὅπερ ἐποίησε περὶ τῆς τάξεως, ἣν ἐφύλαξεν ὁ Χριστὸς ἐν τῇ ἐπιτελέσει τῆς Ἐκκλησίας αὐτοῦ. οὗτος λοιπὸν λέγει πρῶτον, ὅτι ὁ Χριστὸς ἐτέλεσε τὸ Μυστήριον τῆς Εὐχαριστίας πρὶν ἢ εἰπεῖν, Λάβετε φάγετε. ἄλλως γὰρ τὸ Μυστήριον οὐκ ἂν εἴη ἄλλο, ὡς δοξάζει ὁ Λουθῆρος, ἀλλ' ἢ λῆψις καὶ δόσις. ὅπερ λέγει ὅτι φαίνεται καλῶς εἰς αὐτὴν τὴν εὐαγγελικὴν

λικὴν ἱστορίαν, εἰς τὸ, εὐλόγησε δηλαδὴ, καὶ τὰ ἐπίλοιπα. δεύτερον, ὅτι οἱ πατέρες οἱ συναχθέντες εἰς τὴν Σύνοδον τὴν ῥωμαϊκὴν τῷ καιρῷ Γρηγορίου ἑβδόμου κατὰ Βερεγγαρίου, ἐν ἔτει χιλιοστῷ ἑβδομηκοστῷ ἐνάτῳ, τὸ εἶδος τοῦ Μυστηρίου ἀναφέρουσιν εἰς τὴν εὐχὴν καὶ δέησιν τοῦ Ἱερέως. τρίτον, φέρει ἐκεῖνο, ὅπερ ἔκριναν οἱ πατέρες εἰς τὴν Σύνοδον τὴν δευτέραν τὴν ἐν Νικαίᾳ περὶ τῆς ΑΝΤΙΤΥΠΟΝ φωνῆς, ὡς φαίνεται εἰς τὴν Λειτουργίαν τοῦ Βασιλείου. τέταρτον, προστίθησι πολλοὺς Διδασκάλους Σχολαστικοὺς, τὸν Σκότον δηλαδὴ Ἄγγλον ἐν τῇ Ἀγγλικῇ συνόψει περὶ Εὐχαριστίας, Ῥαδοῦλφον, Πέτρον Τεάκβιλαν Πελβάρτον ἐν τῷ Ῥοζαρίῳ τῆς Θεολογίας, Ματουρῖνον Οὐρέτζιον, ὅλους Διδασκάλους Σχολαστικοὺς, ἄνδρας μεγάλης φήμης παρὰ τοῖς Λατίνοις καὶ πᾶσι τοῖς Σχολείοις ὀνομαστοὺς, οἵτινες πάντες θέλουσιν, ὅτι τὰ ῥήματα, ΤΟΥΤΟ ἘΣΤΙ ΤΟ ΣΩΜΑ ΜΟΥ, μὴ ἀρκεῖν, ἀλλὰ ἀναγκαίως δεῖ ταῦτα διορίζεσθαι ὑπὸ τῆς δεήσεως τοῦ Ἱερέως. πέμπτον, προστίθησι Νικόλαον Δορβέλης, Πέτρον Ταρταρέτον Διδασκάλους ἐκ Κολωνίας κατὰ Λουθήρου, οἵτινες εἰς τὸ βιβλίον λεγόμενον Ἀντιδίδαγμα, τετυπωμένον εἰς τὸ Παρίσιον ἔτει χιλιοστῷ πεντακοσιοστῷ τεσσαρακοστῷ ἐνάτῳ, λέγουσιν οὕτως, Ἐνταῦθα ἐπιζητεῖ ἡ ἀνάγκη σημειῶσαι ἡμᾶς ὅτι μεγάλη ἐστὶν ἡ ἀγνωσία τῶν νομιζόντων ἐπιτελέσαι τὸ Μυστήριον τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ ἄνευ τῆς καθολικῆς Εὐχῆς, ἣν Κανόνα ὀνομάζομεν, καὶ χωρὶς τῆς ἐπικλήσεως τοῦ κυριακοῦ ὀνόματος ἐπὶ τὰ προκείμενα δῶρα. ἕκτον, προστίθησι καὶ Λινδανὸν μέγαν ὑπερασπιστὴν τοῦ λατινικοῦ δόγματος, ὅστις τὸ νομιζόμενον παρὰ τοῖς Σχολαστικοῖς νῦν Θεολόγοις εἶδος τοῦ Μυστηρίου καλεῖ νόθον, νέον, καὶ ἐναντίον ταῖς ἀποστολικαῖς παραδόσεσι καὶ τῷ ἔθει τῆς καθολικῆς Ἐκκλησίας. τέλος πάντων, μέμνηται καὶ τοῦ Αὔμονος ἐν τοῖς τῶν ἐπιστολῶν τοῦ ἁγίου Παύλου σχολίοις λέγοντος τὴν εὐλογίαν καὶ τελείωσιν τοῦ Μυστηρίου ἄρχεσθαι ἀπὸ τούτων τῶν λογίων, Σὲ τοίνυν εὐσπλαγχνικώτατε πάτερ, καὶ τὰ ἑξῆς (καθὼς ἐστὶ εἰς τὴν Λειτουργίαν τῶν Λατίνων) ὅπερ συνειθίζετο εἰς τὴν Ἐκκλησίαν, ὡς καὶ εἰς τοὺς καιροὺς Καρόλου Μάγνου.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Ὅτι καὶ ἐκ τῶν παλαιῶν Λατινικῶν Λειτουργιῶν τῶν Διαφερουσῶν τῶν νέων, δείκνυται ἡ τοῦ Ἱερέως ἐπίκλησις.

Ἐνταῖς Λειτουργίαις αἷς χρῶται οἱ νῦν Λατῖνοι κατὰ τὸ τέλος τοῦ λεγομένου παρ' αὐτοῖς Κανόνος εἰσὶ ταῦτα τὰ λόγια, Αὕτη ἡ ἕνωσις καὶ ἱερουργία τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ γένοιτο τοῖς μεταλαμβάνουσιν ἡμῖν εἰς ζωὴν αἰώνιον. ἐν δὲ ταῖς παλαιοτέραις Λειτουργίαις οὕτως, Αὕτη ἡ ἕνωσις καὶ ἡ ἱερουργία γένοιτο τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μάλιστα αὐτὸς Ῥιχάρδος Σίμων ὁμολογεῖ ἔχειν μίαν παλαιοτάτην Λειτουργίαν λατινικὴν, ἥντινα ἐχρῶντο ποτὲ οἱ Ἱερεῖς τῆς Γαλικῆς Ἐκκλησίας, ἐν ᾗ οὕτως ἀναγινώσκεται, Αὕτη ἡ ἕνωσις καὶ ἱερουγία γένοιτο σῶμα καὶ αἷμα τοῦ Κυρίου, καὶ τὰ ἑξῆς.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Ὅτι κατὰ τὸ ἔθος τοῦ ἑβραϊκοῦ Πάσχα ἐτέλεσεν ὁ Χριστὸς τὸ μυστικὸν Πάσχα.

Ὅλον τοῦτο ὅπερ εἴπομεν, βεβαιοῦται ἀπὸ τοῦ τρόπου, καθ' ὃν ἐπιτελοῦσι τὸ Πάσχα οἱ Ἰουδαῖοι. οὗτοι εὐλόγουν, προσηύχοντο, εὐχαρίστουν, καὶ μετέπειτα ἁπτομένων αὐτῶν τοῦ Ἀζύμου ἄρτου, ἔλεγεν ὁ Οἰκοδεσπότης, Οὗτός ἐστιν ὁ ἄρτος, καὶ τὰ ἑξῆς (Ἐξόδου κεφαλαίῳ εἰκοστῷ τετάρτῳ) ταύτην τὴν συνήθειαν ἐμιμήθη ὁ Χριστὸς εἰς τὸ μυστικὸν αὐτοῦ Πάσχα, ὅπερ ἐποίησεν εὐλογῶν, εὐχαριστῶν, καὶ μετὰ τὴν Εὐχὴν καὶ εὐχαριστίαν ἔδειξεν αὐτὸ εἴδει τετελειωμένῳ, ὅτε εἶπε, Τοῦτό ἐστι τὸ σῶμά μου, τοῦτό ἐστι τὸ αἷμά μου. ἴδε καὶ Μιχαὴλ τὸν Γλυκᾶν πρὸς Ὀλύμπιον Μοναχὸν αὐτὸ τοῦτο, ὅτι συμπίπτει τὰ ἡμέτερα τῇ ἀρχαίᾳ τῆς παλαιᾶς Διαθήκης Ἐκκλησίᾳ.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς ἀρχαιολογίας τῶν Σέρβων, τῶν καὶ Τριβαλλῶν λεγομένων.

Τῶν Σέρβων, οἵτινες καὶ Τριβαλλοὶ λέγονται, τὴν ἀπὸ Ἰονίου κόλπου κατὰ Ῥωμαίων κίνησιν, ἡγουμένου. Στεφάνου, λέγει ὁ Λαόνικος εἰς τὸ πρῶτον βιβλίον. ζητοῦντες δὲ ἡμεῖς μαθεῖν αὐτὴν ἀπὸ τῶν σερβικῶν

σερβικῶν ἱστορικῶν, οὐδέν τι πλεῖον εὕρομεν, ἀλλ' ἢ μόνον ἀπὸ ἑνὸς ἐκκλησιαστικοῦ βιβλιδρίου, ὃ εἶχεν ὁ Ἀρχιεπίσκοπος Πεκίου, ἐμάθομεν τὰ παρόντα, ἅτινα εἰ καὶ κατὰ τὴν ἀρχὴν ἔχουσι τὸ μυθῶδες, ὅμως ἐνομίσαμεν εὔλογον ταῦτα σημειῶσαι. Λέγουσι λοιπὸν, ὅτι Λικίνιος ὁ Βασιλεὺς ἀπὸ τῆς ἀδελφῆς τοῦ μεγάλου Κωνσταντίνου Κωνσταντίας γεννᾷ υἱὸν, ὅντινα, διὰ τὸ ὑπάρχειν τὰς τρίχας τῆς κεφαλῆς αὐτοῦ λευκὰς, ὠνόμασαν λευκότριχα. ἐγέννησε δὲ καὶ θυγατέρα ὁ Λικίνιος ὀνόματι Εἰρήνην, ἣν χριστιανίσασαν αἰκίζοντος πολλὰ τοῦ πατρὸς αὐτῆς Λικινίου, ἵππος λυθεὶς ἀφ' ἁμάξης συνέτριψε τὴν χεῖρα αὐτοῦ, ἰάτρευσε δὲ αὐτὴν ἡ Εἰρήνη, ἥτις καὶ ἄλλα πολλὰ θαύματα ἐξετέλεσεν, εὑρισκομένων τῶν γεννητόρων αὐτῆς εἰς Ἀμάσιαν. ἐπειδὴ δὲ κατεπολεμήθη ὁ Λικίνιος ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου, ὁ υἱὸς αὐτοῦ λευκόθριξ φυγὼν εἰς γῆν Γότθων, μετωνομάσθη Μπελορούσης, εἶτα ἀπῆλθεν εἰς γῆν Σέρβων, καὶ ἦρξεν Ἐπαρχίας τινὸς, φυγαδευθεὶς δὲ ὑπὸ τοῦ Βασιλέως αὐτῶν, κατῴκησεν εἰς Ζέταν πολίχνιον παραθαλάσσιον τῆς Δαλματίας, καὶ λαβὼν εἰς γυναῖκα Ἄνναν θυγατέρα Ἄρχοντός τινος λατίνου, ἐγέννησεν υἱοὺς δύο, Τεχομὶλ, καὶ δεύτερον Κεντομὶλ, οἵτινες ἔκτισαν ἐκεῖ Ἐκκλησίαν τοῦ ἁγίου Στεφάνου, καίτοι ἑλληνικῶς ζῶντες, ὅθεν καὶ εἰρωνικῶς ὠνομάσθησαν ὑπὸ τοὺς ἐντοπίους ὁ μὲν Κεντομὶλ, Ἐπίσκοπος, ὁ δὲ Τεχομὶλ, παπᾶς. ἐγένοντο δὲ ἀπόγονοι αὐτῶν ἀδελφοὶ τέσσαρες, Ζεβίντας, Στρακόμηρος, Περβόσλαβος, καὶ Στέφανος ὁ ἐπιλεγόμενος Νεμάνιας, καθότι μέγας γεγονὼς, μέγα τι ἐννοήσας εἶναι τὸ εἰς Χριστὸν σέβας, ἐβαπτίσθη, ἐβαπτίσθη δὲ εἰς χώραν Ῥάσικαν, κειμένην εἰς τὸ Σταρηβλάχι, εἰς τὴν Ἐκκλησίαν Πέτρου καὶ Παύλου, ὑπὸ τοῦ Ἐπισκόπου Λεοντίου, τριακονταετὴς ὤν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς κατὰ τῶν Ῥωμαίων ἀνταρσίας τοῦ τῶν Βουλγάρων ἀρχηγοῦ Στεφάνου, καὶ ὅπως ἐμόνασε, καὶ πῶς ἐτελεύτησε, καὶ περὶ τὸν υἱῶν αὐτοῦ, Στεφάνου, Σάββα καὶ Βόλκου, καὶ τῆς Ἀρχιερατείας τοῦ Σάββα ἐν Βουλγαρίᾳ, καὶ ὧν ἐνήργησεν ἐν τῷ Χιλανταρίῳ καὶ ἐν τοῖς γάμοις τοῦ ἀδελφοῦ αὐτοῦ Στεφάνου μετὰ τῆς θυγατρὸς τοῦ Βασιλέως Ἀλεξίου, καὶ ὧν ἐποίησε χειροτονιῶν Ἐπισκόπων καὶ ἐθῶν ἐν Βουλγαρίᾳ.

Ἀνταρσίαν ποιήσας κατὰ Ῥωμαίων ὁ Στέφανος, ἔλαβε τὴν γῆν Ζέταν, καὶ ἄλλους τόπους τῶν Ῥωμαίων, ὡς ἱστορεῖ ὁ ῥηθεὶς Λαόνικος εἰς τὸ πρῶτον βιβλίον τοῦ χρονικοῦ αὐτοῦ. ἦρξε δὲ χρόνους τριακονταεπτὰ, εἶτα ἐμόνασεν εἰς τὸ Μοναστήριον Στουδενίτζας, μετονομασθεὶς Συμεὼν ὑπὸ τοῦ Ἐπισκόπου Καλλινίκου, ἔνθα μείνας δύο ἔτη, ἀπῆλθεν εἰς τὸ ἅγιον ὄρος εἰς τὸ Βατοπέδιον, καὶ ἔμεινε χρόνον ἕνα, εἶτα εἰς τὸ Χιλανταρίον Μῆνας ὀκτὼ, ὅπου καὶ ἀπέθανε. νομίζουσι δὲ αὐτὸν οἱ Σέρβοι ἅγιον, ἔζησε δὲ ὅλους χρόνους ὀγδοηκονταέξ. ἦν δὲ ἡ ἀρχὴ τῆς ἀνταρσίας αὐτοῦ ἀπὸ Ἰωάννου τοῦ Κομνηνοῦ, εἰ καὶ ὁ Χωνειάτης μέμνηται αὐτοῦ εἰς τὴν βασιλείαν τοῦ Μανουὴλ τοῦ Κομνηνοῦ. εἶχε δὲ υἱοὺς δύο, Στέφανον καὶ Σάββαν, καίτοιγε ὁ Χωνειάτης λέγει ὅτι εἶχε καὶ Βόλκον υἱόν. ἐγένετο δὲ διάδοχος αὐτοῦ ὁ Στέφανος. ὁ δὲ δεύτερος κυνηγῶν, καὶ λαθὼν τὸ πλῆθος, ἔφυγεν εἰς τὸ δάσος, καὶ ἀπελθὼν ἐμόνασεν εἰς τὸν Ἄθω, μετονομασθεὶς Σάββας. εὑραμένων δὲ αὐτὸν τῶν παρὰ τοῦ πατρὸς ἀποσταλέντων περὶ αὐτοῦ, δείξαντα τὸ σχῆμα ἀπέλυσεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. ἀνελθὼν δὲ οὗτος ὁ Σάββας εἰς Κωνσταντινούπολιν, ἔλαβε τὸ Μοναστήριον Χιλαντάριον διὰ βασιλικοῦ Χρυσοβούλλου εἶναι τοῖς Σέρβοις δῶρον αἰώνιον. εἶτα ἀνελθὼν καὶ δεύτερον ἀπὸ τοῦ Ἄθωνος εἰς Κωνσταντινούπολιν, ἐπιγαμβρεύει τὸν ἀδελφὸν αὐτοῦ Στέφανον τῇ θυγατρὶ τοῦ Βασιλέως Ἀλεξίου τοῦ ἀδελφοῦ Ἰσαακίου τοῦ ἀγγέλου. ἐπὶ δὲ Θεοδώρου τοῦ Λασκάρεως τοῦ συγγάμβρου τοῦ ἀδελφοῦ αὐτοῦ Στεφάνου, καὶ Ἀρσενίου Πατριάρχου, ἐν ἔτει ἑξακισχιλιοστῷ ἑξακοσιοστῷ εἰκοστῷ δευτέρῳ, προχειρίζεται Ἀρχιεπίσκοπος Σερβίας, ἀπελθὼν δὲ ἐκεῖ, χρίει τὸν ἀδελφὸν αὐτοῦ Στέφανον, καὶ ὀνομάζει μέγαν Ζουπανὸν Σερβίας, χειροτονεῖ δὲ καὶ Ἐπισκόπους, πρῶτον Ζαλούμης εἰς Μοναστήριον Παναγίας. δεύτερον, εἰς γῆν Διοκλητείας εἰς Ἐκκλησίαν Μιχαὴλ τοῦ Ἀρχαγγέλου. τρίτον, Τεμπρὲ εἰς ἅγιον Νικόλαον. τέταρτον, Μπουτουμλίας εἰς ἅγιον Γεώργιον. πέμπτον, Βαρασίου εἰς τοὺς ἁγίους Ἀποστόλους εἰς τὸ Σταρηβλάχι. ἕκτον, Φόσνας εἰς τὴν Παναγίαν εἰς τὴν Στουδενίτζαν. ἕβδομον, Πρισζρένου εἰς Παναγίαν. ὄγδοον, Οὐγρακιανίτζης εἰς Παναγίαν. ἔνατον, Οὐτομπλίτζης εἰς ἅγιον Νικόλαον. δέκατον, Οὐμπρανιτζέβου εἰς ἅγιον Νικόλαον. ἑνδέκατον, Βελεγραδίου εἰς Παναγίαν. δωδέκατον, Μωραβίας εἰς ἅγιον Ἀχίλειον. τόσους τότε ἐχειροτόνησεν, καίτοιγε εἰς τὸν ὕστερον κατάλογον καί τινα ὀνόματα ἠλλάχθησαν, καὶ εἰσὶ καὶ Ἐπίσκοποι πλείονες. εἶχον δὲ τότε οἱ τοιοῦτοι Ἐπίσκοποι ὀνόματα Μοναστηρίων, ἐπειδὴ οἱ Σέρβοι Ἐπίσκοποι οὐ κατοικοῦσιν εἰς τὰς πόλεις, ἀλλ' εἰς τὰ Μοναστήρια, ὅθεν καὶ ὁ Ἀρχιεπίσκοπος ἔχει δύο Μοναστήρια, ἓν εἰς τὴν Ζίτκιαν, καὶ ἕτερον εἰς τὸ Πέκιον, κεῖται δὲ ἡ Ζίτκια ἀναμεταξὺ Βελεγραδίου καὶ Πεκίου, κατῴκει δὲ πρῶτον εἰς τὴν Ζίτκιαν, μετὰ δὲ τὴν ὑπὸ τῶν Σαρακηνῶν ἅλωσιν, εἰς τὸ Πέκιον. φυλάττουσι δὲ τὴν παλαιὰν συνήθειαν ἕως καὶ τῆς σήμερον, καὶ συνάγονται ὅλοι οἱ Ἀρχιερεῖς κατ' ἔτος ἐν τῇ τοῦ ἁγίου Γεωργίου ἑορτῇ εἰς τὸ Μοναστήριον εἰς τὸ Πέκιον, καὶ ποιοῦντες τοπικὴν Σύνοδον, θεωροῦσι τὰ κατὰ τὴν Ἐκκλησίαν αὐτῶν ἀναγκαῖα.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ δευτέρου ἀρχηγοῦ Βουλγάρων Στεφάνου υἱοῦ τοῦ πρώτου Στεφάνου, καὶ τοῦ κατὰ Λατίνων ἀγῶνος αὐτοῦ, καὶ ὧν ἐγέννησεν αὐτῷ υἱῶν ἡ Βασιλὶς, τῷ αἰτίᾳ πάθους αὐτὴν ἐκδιώξαντι, καὶ ὧν αὐτὴ ἐμίγη ἀνδρῶν, καὶ τῶν μετὰ Στέφανον ἀρχηγῶν μέχρι τοῦ Ῥωσῆ, ἐν ᾧ ἔληξαν οἱ ἀπὸ τοῦ πρώτου Στεφάνου ἀρχηγοὶ, καὶ ἀρχῆς Βουλκασίνου.

Ὁ Στέφανος αὐτὸς ὁ δεύτερος ἠγωνίσατο κατὰ Λατίνων τῶν καταδραμόντων τότε τῆς Σερβίας προσέλαβε δὲ καί τινας Ἐπαρχίας παρὰ τῶν Ῥωμαίων, καὶ ἐξουσίασε Διοκλητείας, Δαλματίας, Τραγωνίας, καὶ Ζελχιμίας, ἥτις ἐστὶ τὸ Δυῤῥάχιον. ἐγέννησε δὲ ἀπὸ τῆς Βασιλίδος γυναικὸς υἱοὺς τέσσαρας, Ῥαντόσλαβον, Βλατίσλαβον, Στέφανον καὶ Πρινδίσλαβον, ὅστις καὶ ἐγένετο Μοναχὸς, καὶ τρίτος Ἀρχιεπίσκοπος, μετὰ γὰρ Σάββαν ἐγένετο Ἀρσένιος, εἶτα οὗτος ὁ Πρινδίσλαβος, μετονομασθεὶς καὶ αὐτὸς Σάββας. ἦρξε δὲ ὁ Στέφανος ὁ δεύτερος οὗτος ἔτη τεσσαράκοντα ἐννέα. ἦν δὲ ἡ γυνὴ αὐτοῦ θυγάτηρ Ἀλεξίου τοῦ Κομνηνοῦ τοῦ ἀδελφοῦ Ἰσαακίου τοῦ ἀγγέλου, ὡς εἴρηται ἀνωτέρω, ἥντινα ἀσθενήσασαν ὑπὸ γαλλικοῦ πάθους, εὗρεν αἰτίαν καὶ ἐδίωξεν εἰς Δυῤῥάχιον γυμνὴν, καὶ ὕστερον ἔλαβεν αὐτὴν εἰς γυναῖκα Δούκας ὁ Μουρτζούφλος βασιλεύσας, ἣν, ἀπελθόντος τοῦ Μουρτζούφλου φυγάδος πρὸς Ἀλέξιον φυγάδα καὶ αὐτὸν ὄντα, καὶ τυφλωθέντος ὑπ' αὐτοῦ τοῦ Ἀλεξίου, μετὰ τὴν ἅλωσιν εὑρισκομένην εἰς Θετταλίαν, ἔλαβεν εἰς γυναῖκα Λέων ὁ Σγουρὸς, ὁ τυραννήσας Κόρινθον καὶ Ναύπλιον μετὰ τὴν ἅλωσιν, ἐλέγετο δὲ Εὐδοκία. ἐξεβλήθη δὲ τῆς Σατραπείας αὐτοῦ ὁ Στέφανος οὗτος, ὅμως πάλιν ἀνέλαβεν αὐτὴν, μετὰ δὲ αὐτὸν ἦρξεν ὁ υἱὸς αὐτοῦ Ῥαδόσλαβος ἔτη ἕνδεκα, καὶ ἐκβληθέντος αὐτοῦ, ἦρξεν ὁ ἀδελφὸς αὐτοῦ Βλαντίσλαβος, ὃς ἔκτισε τὸ Μοναστήριον Μιλωσιὰβ, εἶτα ἦρξεν ὁ Ῥαδόσλαβος ὁ ἀνεψιὸς αὐτοῦ, ὅστις τῷ υἱῷ αὐτοῦ Μιλωτίνι συζεύξας τὴν θυγατέρα Βλαντισλάβου Κράλη Οὐγγρίας, ὑπέσχετο αὐτῷ μετὰ τὸν γάμον καὶ τὴν ἰδίαν ἀρχὴν, ἀθετήσαντος δὲ αὐτοῦ τὰ συμπεφωνημένα, στρατεύει κατ' αὐτοῦ ὁ υἱὸς αὐτοῦ, βοηθούμενος ὑπὸ τοῦ πενθεροῦ αὐτοῦ τοῦ Κράλη, καὶ λαμβάνει τὴν ἀρχὴν τῶν Σέρβων, ὁ δὲ πατὴρ φεύγει εἰς Ζαχαλμίαν, ἔνθα καὶ ἀποθνήσκει. ὁ Μιλωτὶν δὲ πεσὼν ἀφ' ἵππου, καὶ μετανοήσας διὰ τὴν πρὸς τὸν πατέρα ἀνταρσίαν, ἐμόνασε, μετονομασθεὶς Θεόκτιστος, καὶ ἡγεμόνευσεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ αὐτὸς Μιλωτὶν, ὅστις εἰς τὴν Ἱερουσαλὴμ καὶ τὸ Σινᾶ ἔστειλε πολὺ ἔλεος καὶ βοήθειαν, ἦρξε δὲ χρόνους τεσσαρακονταδύο, ἔχων δὲ υἱοὺς δύο Κωσταντῖνον καὶ Στέφανον, καὶ ἔχων εἰς ὑποψίαν τὸν Στέφανον, ἐτύφλωσεν αὐτὸν, καὶ ἔστειλεν εἰς Φυλακὴν εἰς Κωνσταντινούπολιν, ἔνθα ἰαθεὶς τοὺς ὀφθαλμοὺς ὑπὸ τοῦ ἁγίου Νικολάου, καὶ ἐπανελθὼν εἰς τὴν Σερβίαν, ἦρξε μετὰ τὸν θάνατον τοῦ πατρὸς αὐτοῦ χρόνους δεκαεννέα, ἔκτισε δὲ καὶ τὸ Μοναστήριον Ντεκιάνη ἐγγὺς Πεκίου. εἶχε δὲ τρεῖς υἱοὺς, Ντούσιμαν, Ντόσιαν, καὶ Συμεών. ὁ Ντούσιμαν δὲ τὸν πατέρα ἀποπνίξας, ἦρξε, καὶ στρατεύσας εἰς Σέῤῥας ἐχρίσθη ὑπὸ τοῦ Ἐπισκόπου Σεῤῥῶν Ζουπανὸς. ἄρξας δὲ ἔτη εἰκοσιτέσσαρα, ἐτελεύτησεν ἐν ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ τεταρτῷ, καὶ ἕως τότε οἱ Ζουπανοὶ Σερβίας ηὐθέντησαν κατὰ διαδοχὴν εἰς τὴν ἡγεμονίαν Στεφάνου τοῦ Νεμάνια. τοῦ Ντούσιμαν δὲ καταλείψαντος διάδοχον υἱὸν νεώτατον, Ῥώσην λεγόμενον, ἐν ἔτει ἑξακισχιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ πέμπτῳ, εἰς τοὺς ἑκκαίδεκα χρόνους τῆς ἀρχῆς αὐτοῦ Βουλκασῖνός τις Ἔπαρχος αὐτοῦ ἀποκτείνας αὐτὸν κυνηγετοῦντα, ἐποίησεν ἐκλιπεῖν ἐκ τῆς ἀρσενικῆς διὰ τοῦ Νεμάνια διαδοχῆς τοῦ Λικινίου τὸ γένος.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ὁ Βουλκασῖνος ἐξ ὧν ἔπραξεν, ἐπιβάτης ἦν καὶ ὑβριστής.

Ὁ Βουλκασῖνος οὐ μόνον ἐγένετο ἐπιβάτης τῆς Σέρβων ἀρχῆς, ἀλλὰ καὶ ὑβριστὴς κατὰ τῆς βασιλείας τῶν Χριστιανῶν, ὅτι ἐφήμισεν ἑαυτὸν Βασιλέα, καὶ τὸν Οὐγκλέσιαν ἀδελφὸν αὐτοῦ ὠνόμασε Καίσαρα, καί τινα Γόηκον κατεῖπε Δεσπότην, καθὼς ἐποίησε καὶ ὁ πρόνομος Μιχαὴλ εἰς τὴν Ἤπειρον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἐκ τοῦ θήλεος γένους Λικινίου Βασιλέως διαδοχῆς τῶν Ἀρχηγῶν Βουλγάρων ἀπὸ Βούλκου υἱοῦ τοῦ πρώτου Στεφάνου μέχρι Μηλίτζας τῆς γυναικὸς Λαζάρου, Κνέζη Σερβίας γονομένου μετὰ τὸ φονευθῆναι τὸν Βουλκασῖνον ἐν τῷ μετὰ τοῦ Σουλτὰν Μουρὰτ πολέμῳ, καὶ ὧν ἔπαθον ὑπὸ τῶν Ὀθωμανῶν οἱ Σέρβοι, καὶ περὶ τῶν υἱῶν Λαζάρου.

Ἐρχόμεθα δὲ εἰς τὸν πρῶτον Στέφανον τὸν καὶ Νεμάνιαν καὶ Συμεὼν, ἵνα εὕρωμεν τὴν δι' αὐτοῦ διαδοχὴν τοῦ Λικινίου ἀπὸ τοῦ μέρους τοῦ θήλεος. Εἶχε λοιπὸν οὗτος καὶ ἕτερον υἱὸν ὀνόματι Βόλκον, ὃς γεννᾷ Στέφα-

Στέφανον, καὶ οὗτος Δημήτριον, καὶ οὗτος Βάτκον, ὃς γεννᾷ Μίλιτζαν, ἥτις συζεύγνυται τῷ Κνέζῃ Λαζάρῳ, καὶ πολεμοῦντος τοῦ εἰρημένου Βουλκασίνου μετὰ τοῦ Σουλταῦ Μουρὰτ, τεταρτοῦ ἀρχηγοῦ τῶν Ὀθωμανῶν, πίπτει ἀναμεταξὺ τοῦ ποταμοῦ Μαρίτζας καὶ Φιλιππουπόλεως, καὶ γίνεται Ζουπανὸς Σερβίας ὁ Κνέζης Λάζαρος, ὅστις ἄρξας χρόνους δεκαεπτὰ, καὶ πολεμῶν μετὰ τοῦ Σουλταῦ Μουρὰτ, ἀπέκτεινεν αὐτὸν, καὶ εὐθὺς αὐταρχήσας ὁ υἱὸς τοῦ Σουλταῦ Μουρὰτ, ἀπέκτεινεν εἰς τὸν πόλεμον τὸν Λάζαρον, καὶ θάπτεται εἰς τὴν Ῥαβενίτζαν ἐγγὺς Βελεγραδίου. εἶχε δὲ ὁ Λάζαρος οὗτος υἱοὺς τρεῖς, ἐξ ὧν ἐν ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἐννενηκοστῷ ἑβδόμῳ ἔτει ἦρξεν ὁ εἷς ὁ Στέφανος, ὅστις τέθνηκεν ἐν ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ τριακοστῷ πέμπτῳ ἔτει, καὶ διεδέξατο αὐτὸν Γγιουράκης ὁ ἀνεψιὸς αὐτοῦ. καὶ ἐν ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ ἔτει ἀφεὶς τὴν δεσποτίαν, ἔφυγεν εἰς Οὔγγρους. εἶχε δὲ υἱοὺς δύο εἰς Ἀδριανούπολιν ὅμηρα, οὓς παρασπονδήσας ὁ Σουλταῦ Μουρὰτ, ἐτύφλωσεν, ἐξ ὧν εἷς ἦν ὁ Στέφανος, ὅστις ὡς τυφλὸς ἀπολυθεὶς, καὶ ἀπελθὼν εἰς τὸ Στρέμι, ἐξουσιαζόμενον τότε ὑπὸ τῶν Οὔγγρων, γεννᾷ Ἰωάννην καὶ Γγιουράκην τὸν μετονομασθέντα Μάξιμον, καὶ γενόμενον Ἀρχιερέα.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τοῦ αἰτίου, δι' ὃ ὑπὸ τῆς καθολικῆς Ἐκκλησίας ἀφωρίσθησαν ὅ,τε Ἀρχιεπίσκοπος Πεκίου καὶ οἱ Σέρβοι.

Αὐτὸ δὲ ὅπερ ᾄδεται, ὅτι ἡ Ἐκκλησία Πεκίου ἐστὶν ἀφωρισμένη ὑπὸ τῆς καθολικῆς Ἐκκλησίας, οὐκ ἔστιν ἐκεῖνο ὅπερ λέγουσιν οἱ Ἀρχιεπίσκοποι Ἀχρίδος, ὅτι διὰ τὸ εἶναι τὸν τόπον τοῦ Πεκίου Ἐπαρχίαν αὐτῶν, καὶ ἀφαιρεθῆναι δυναστικῶς ὑπὸ τῶν Σέρβων, ἀφώρισεν αὐτοὺς ἡ Ἐκκλησία, ἀλλ' ὅτι ἐπειδὴ τὸν τύραννον Βουλκασῖνον ἔστεψε Βασιλέα ὁ Ἀρχιεπίσκοπος Πεκίου, καθὼς ἐποίησεν ὁ ἐναγὴς Ἀρχιεπίσκοπος Ἀχρίδος, στέψας ὁ ἐπάρατος εἰς Αὐτοκράτορα τὸν ὠσράνομον Μιχαὴλ, καίτοι γε καὶ ὁ Γρηγορᾶς βιβλίῳ ἑνδεκάτῳ λέγει, ὅτι ὁ Ἀχρίδος τὸν Ἄγγελον φόβῳ ἔστεψε Βασιλέα, ἔγραψαν οἱ Πατριάρχαι τῆς Ἀνατολῆς καὶ ἀφώρισαν, καὶ ἀνεθεμάτισαν καὶ τὸν Ἀρχιεπίσκοπον καὶ ὅλους τοὺς Σέρβους, ὕστερον δὲ ὁ εἰρημένος Κνέζης Λάζαρος ἡγεμονεύσας, καὶ χριστιανικώτατος ὤν, ἐδεήθη τοῦ Αὐτοκράτορος Ῥωμαίων καὶ τῆς Ἐκκλησίας καὶ συνεχώρησαν αὐτοῖς, οἷς καὶ παρήγγειλαν τοῦ λοιποῦ γινώσκειν τὰ ὅρια αὐτῶν, καὶ μένειν ἐν αὐτοῖς.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς λήξεως τῆς ἀπὸ τοῦ γένους Λικινίου ἀρχῆς ἐν τοῖς Βουλγάροις, καὶ ἀρχῆς Γεωργίου, τοῦ βοηθοῦ τοῖς Ὀθωμανοῖς κατὰ τῶν Ῥωμαίων.

Μετὰ τὸν τυφλωθέντα Στέφανον ἐξέλιπε καὶ ἀπεδόθη τῇ λήθῃ τὸ γένος τοῦ Λικινίου. Γεώργιος ὅμως ὁ μέγας Λογοθέτης λέγει εἰς τὸ πρῶτον κεφάλαιον τοῦ τεταρτοῦ βιβλίου τοῦ χρονικοῦ αὐτοῦ, ὅτι ἦν ἐπὶ τῆς ἁλώσεως Κωνσταντινουπόλεως ὑπὸ τοῦ Σουλταῦ μωαμὲτ Ἡγεμὼν τῶν Σέρβων Γεώργιος, καὶ θέλοντος τοῦ Κράλη Οὐγγρίας βοηθῆσαι τοῖς Ῥωμαίοις, ὁ Γεώργιος ἐκίνει πόλεμον κατ' ἐκείνου, ἵνα ἐμποδίσῃ τὴν βοήθειαν. λέγει δὲ καὶ τοῦτο, ὅτι οἱ Σέρβοι ἔδωκαν ἀργύρια καὶ ἀνθρώπους τοῖς Ὀθωμανοῖς εἰς βοήθειαν κατὰ τῆς Κωνσταντινουπόλεως, ὅπου καὶ οἱ Ὀθωμανοὶ μόνοι ἔλεγον τοῖς Ῥωμαίοις, ὅτι ἦν καὶ Σέρβοι μετ' αὐτῶν εἰς τὴν ἅλωσιν. τέθνηκε δὲ καὶ ὁ ἐπάρατος ἐκεῖνος Γεώργιος εἰς τὸ χιλιοστὸν τετρακοσιοστὸν πεντηκοστὸν ἕβδομον ἔτος.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς μέχρις Ἴστρου καὶ Μακεδονίας καταδρομῆς τοῦ τῶν Βουλγάρων ἀρχηγοῦ Στεφάνου, καὶ ὧν κατέστησεν ἀρχηγῶν ἐν ταῖς ἐκεῖ πόλεσι, καὶ τῆς φθορᾶς αὐτῶν ὑπὸ τῶν Ὀθωμανῶν, καὶ περὶ τοῦ συνοδικῶς ἀποσπασθέντος τῆς Ἀχρίδος Πεκίου καὶ τῶν αὐτοῦ Ἐπαρχιῶν.

Ὁ δὲ Χαλκοκονδύλης, περὶ οὗ εἴρηται, λέγει εἰς τὸ πρῶτον αὐτοῦ βιβλίον, ὅτι ὁ Στέφανος καὶ Σέρβοι κατέδραμον μέχρις Ἴστρου καὶ Μακεδονίας, πλὴν τῆς Θεσσαλονίκης, καὶ πολλοὺς ἄλλους τόπους τῶν Ῥωμαίων κατέφθειραν. κατέστησε δὲ ὁ Στέφανος καὶ Ἄρχοντας, Ζάρκον μὲν εἰς τὴν περὶ τὸν Ἀξιὸν (Βαρδάρι) ποταμὸν Ἐπαρχίαν, ἀπὸ δὲ Ἀξιοῦ ἕως Φερρῶν, Μπόγδανον, ἀπὸ δὲ Φερρῶν ἕως Ἴστρου, δύο ἀδελφοὺς, περὶ δὲ τὸν Ἴστρον Βοῦλκον, εἰς δὲ Τρίκκην καὶ Καστορίαν, Νικόλαον, περὶ δὲ Αἰτωλίαν, Πρεπούλη, εἰς δὲ τὴν Ἀχρίδα, Πλακίδην. καὶ ὅτε ὁ Στέφανος ἐτελεύτησε, πάντες εἶχον τὰ ἴδια, καὶ πάντες ἐξίσου Ἕλλησιν ἐμάχοντο, ἕως οὗ ἡ ῥᾴβδος τοῦ Θεοῦ ἡ σιδηρᾶ, ὁ Σουλταῦ Μωαμὲτ πάντας κατέφθειρεν

φθειρον. ὑπόκεινται δὲ τῷ Ἀρχιεπισκόπῳ Πεκίου νῦν Μητροπολῖται μὲν ὁ Μπουντουμίου, ὁ Βελεγραδίου, ὁ Ποζαρεύτζας, ὁ Μπελοτζέρκοβ, ὁ Γρατζανίτζας, ὁ ἁγίου Ἀχιλείου, ὁ Ῥασίσκης, ὁ Ῥουντνίσκης, ὁ Σκοπίων, ὁ Πριτζνίσκης, ὁ Φουσαύσκης, ὁ Πόσνας καὶ ὁ Χερσέσκης. Ἐπίσκοποι δὲ, ὁ Νύσσης, ὁ Κιοσεντήλ, ἤτοι Μπαιίας, ὁ Ντουμπνίσκης, ὁ Τζετζινίσκης, ὁ Ποζέσκης, ὁ Γγιουλίσκης, ὁ Βρισιέσκης, ὁ Τιμισφαρίου, ὁ Μπάτζηκας, ὁ Σβυρνίσκης καὶ ὁ Σιμπτερέσκης. ἐν οἷς σημείωσαι, ὅτι οἱ τοιοῦτοι Ἀρχιεπίσκοποι Ἐπισκόπους εἶχον ὑποκειμένους, Μητροπολῖτας δ' ἐποίησαν ὕστερον τινὰς Ἐπισκόπους οἱ Ἀρχιεπίσκοποι, μὴ ἔχοντες τοὺς ἐξετάζοντας διὰ τὴν ἐπικράτειαν τῶν Ὀθωμανῶν. δεύτερον, ἀπεσπάσθη τὸ Πέκιον καὶ αἱ ὑποκείμεναι αὐτῷ Ἐπαρχίαι ἀπὸ τῆς Ἀχρίδος συνοδικῶς καὶ βασιλικῶς ἐν ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιστῷ εἰκοστῷ δευτέρῳ. καὶ οὐδυναστικῶς, ὡς λέγουσιν οἱ Ἀρχιεπίσκοποι Ἀχρίδος, προβάλλοντες αἰτιάματα πεπλασμένα, καὶ διόλου ψευδῆ. τρίτον, περὶ τῶν Σέρβων ἰδέτω ὁ βουλόμενος τὸν Κίνναμον λέγοντα περὶ αὐτῶν πλεῖόντι, οὓς καὶ Δαλμάτας καλεῖ.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ ὧν πάσχουσι κακώσεων ὑπὸ τῶν Γιεζουβιτῶν οἱ ὑπὸ τοὺς Γερμανοὺς Σέρβοι διὰ τὴν ὀρθοδοξίαν.

Ἦσαν δὲ οἱ Σέρβοι μετὰ τὴν ἐπικράτειαν τῶν Ὀθωμανῶν εἰς ἄνεσιν τινὰ, ἀλλὰ κινηθέντος τοῦ πολέμου ἀναμεταξὺ τῶν Ὀθωμανῶν καὶ τῶν Γερμανῶν ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ, ἠπατήθησαν ὅσοι ἦσαν πέραν τοῦ Δανούβεως καὶ τοῦ Σάββα τῶν ποταμῶν, καὶ ἀπῆλθον εἰς βοήθειαν τῶν Γερμανῶν μετὰ τῶν ἵππων καὶ ἐξόδων αὐτῶν. γενομένης δὲ μετὰ τοὺς πολλοὺς πολέμους τῆς ἀγάπης τῶν δύο Βασιλέων, ἔμεινεν ἐν τοῖς Γερμανοῖς τὸ μέρος τὸ πέραν Δανούβεως καὶ Σάββα, ὁ δὲ Βασιλεὺς τῶν Γερμανῶν ὑποσχεθεὶς μετὰ μυρίων ὅρκων δοῦναι τόπον τοῖς Σέρβοις εἰς κατοικίαν, καὶ εἶναι αὐτοὺς ἀφορολογήτους, καὶ πρὸς τούτοις ἀβιάστους εἰς τὴν θρησκείαν, οὐδὲν ὧν ὑπέσχετο ἐποίησεν, ὅθεν καὶ εἰς τὴν θρησκείαν βιάζονται πολλαχῶς, καὶ εἰ καὶ παρέχει ὁρισμοὺς μὴ ἔχειν αὐτοὺς παράτινος ἐνόχλησίν τινα, ἀλλὰ διάγειν ἐν βαθυτάτῃ εἰρήνῃ, οἱ Γιεζουβῖται ὅμως φάσκοντες τὸν Βασιλέα ἐξουσιάζειν μόνων τῶν πολιτικῶν, τὰ δὲ ἐκκλησιαστικὰ εἶναι τοῦ Πάπα, ἐνοχλοῦσιν αὐτοὺς τὰ μέγιστα. ὁ δὲ Θεὸς ὁ ἅγιος ὄμματι εὐσπλάγχνῳ ἐπ' αὐτοὺς ἐπιβλέψας, κατοικτειρήσαι αὐτοὺς, καὶ ἀπαλλάξαι τοῦ παπικοῦ μύσους.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ ἁλώσεως τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Λατίνων, καὶ τῶν δι' ἃς ἑάλω διαφόρων αἰτιῶν, καὶ φυγῆς Ἀλεξίου Βασιλέως.

Ἀφ' οὗ ἀπέθανεν ὁ Κομνηνὸς Μανουὴλ, συναπέθανε σχεδὸν καὶ τὰ Ῥωμαίων πράγματα, καθότι αἱ ἀναμεταξὺ μάχαι τῶν Ῥωμαίων, καὶ τῶν ἐθνῶν αἱ ἄπαυστοι καταδρομαὶ οὐδὲν κακὸν εἴασαν ὃ μὴ ἐπήγαγον τῇ βασιλείᾳ ἕως οὗ καὶ ἔφθειραν αὐτὴν, ἦν δὲ αἰτία μάλιστα φθορᾶς αἱ προσβολαὶ καὶ ἔφοδοι τῶν Λατίνων, αἵπερ ἐγίνοντο αἰτία τοῦ ἰσχύειν τὰ ἔθνη. ὁ τοίνυν Ἀλέξιος καταβαλὼν τὸν ἀδελφὸν αὐτοῦ Ἰσαάκιον ἄγγελον, καὶ τυφλώσας, οὐκ ἐτήρει αὐτὸν ὡς ἔδει, ἀλλὰ δὴ καὶ τὸν υἱὸν αὐτοῦ Ἀλέξιον ἐκβαλὼν τῆς φυλακῆς, εἶχε μεθ' ἑαυτοῦ ἐλεύθερον. πέμπει δὲ ὁ Ἰσαάκιος πρέσβεις εἰς τὴν θυγατέρα αὐτοῦ Ἑλένην, ἣν εἶχεν εἰς γυναῖκα ὁ Βασιλεὺς τῆς Ἀλαμανίας Φίλιππος, ζητῶν βοήθειαν πρὸς κατάλυσιν τοῦ Ἀλεξίου, ποιεῖ δὲ ἀποδρᾶναι καὶ τὸν υἱὸν αὐτοῦ Ἀλέξιον εἰς Σικελίαν, ἐκεῖθεν δὲ εἰς τὸν γαμβρὸν Φίλιππον, ὃν ἐκλιπαρήσασα ἡ Ἑλένη, ἐκίνησε κατὰ Ῥωμαίων. τρίτον, ὁ Ἀλέξιος ἐτίμα πλεῖον τῶν Βενετίκων τοὺς Πισσαίους, καὶ ἠγανάκτουν οἱ Βενέτικοι. τέταρτον ὁ Βασιλεὺς Μανουὴλ ἔλαβεν εἰκοσιπέντε κεντηνάρια χρυσίου ἀπὸ τῶν Βενετίκων, καὶ ἔμειναν μερικὰ τούτων ὀφειλόμενα ἀποδεθῆναι αὐτοῖς παρὰ τῶν Βασιλέων, ὁ δ' Ἀλέξιος οὐκ ἀπεδίδου αὐτά. πέμπτον, ὁ Δοὺξ τῆς Βενετίας Ἐνρῖκος Δάνδουλος, ἄνθρωπος ὑπερήφανος, κακότροπος καὶ φθονερώτατος, ἦν φύσει ἐχθρὸς τῶν Ῥωμαίων, καὶ κατέστησεν ὁμογνώμονας καὶ τοὺς λοιποὺς Βενετίκους. ἕκτον, ἦσαν καὶ μερικοὶ Αὐθένται τῆς Δύσεως εἰς Βενετίαν ἕτοιμοι ἀπελθεῖν εἰς προσκύνησιν τοῦ ἁγίου τάφου μετὰ νηῶν, ἤτοι γαλουνίων ἑβδομήκοντα. ἕβδομον, ὁ τοῦ Ἰσαακίου υἱὸς Ἀλέξιος ὑπεσχέθη εἶναι παπιστὴς, ὅθεν οὐ μόνον ἀπὸ τοῦ ἀλαμανικοῦ Φιλίππου, ἀλλὰ καὶ ἀπὸ τοῦ τότε Πάπα τῆς Ῥώμης Ἰννοκεντίου τοῦ τρίτου φέρει γράμματα εἰς τοὺς Αὐθέντας, οἳ ἦσαν εἰς τὴν Βενετίαν διὰ τὴν Ἱερουσαλήμ. ἵνα ἀπέλθωσι κατὰ τῆς Κωνσταντινουπόλεως. ὄγδοον, ὑπισχνεῖται αὐτοῖς αὐτὸς ὁ Ἀλέξιος μεγάλα καὶ πολλὰ δωρήματα. ἔνατον, ὑπόσχεται αὐτοῖς δοῦναι ἱκανὴν βοήθειαν κατὰ τῶν Σαρακηνῶν. πείθεται οὖν ὁ Στόλος, καὶ

καὶ μετὰ τὰ πολλὰ ἅπερ ἐμήργασε καθ' ὁδὸν, φθάνει εἰς Βυζάντιον. ὁ δὲ Βασιλεὺς Ἀλέξιος μὴ δυνάμενος ἀντιωθῆναι τοῖς Λατίνοις, ἀφῆκε τὴν πόλιν καὶ ἀπέδρα διὰ τὴν ἀτιδανότητα αὐτοῦ, βασιλεύσας ἔτη ὀκτὼ, μῆνας τρεῖς καὶ ἡμέρας δέκα.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς βασιλείας αὖθις Ἰσαακίου ἀγγέλου τοῦ τυφλοῦ καὶ τοῦ υἱοῦ αὐτοῦ Ἀλεξίου, ὧν ἐμαθόντων τοὺς τῶν Λατίνων ἡγεμόνας πάντα τά τε βασιλικὰ τά τε ἐκκλησιαστικὰ κειμήλια, καὶ ὧν ἐποίησαν οἱ Λατῖνοι σωτηρίβων Εἰκόνων διὰ τὸν ἐν αὐταῖς χρυσὸν καὶ ἄργυρον, καὶ ἀτιμιῶν καὶ ἁρπαγῶν καὶ πυρπολήσεων, καὶ παντὸς εἴδους κακίας ὔτε τῇ πόλει καὶ ταῖς περιξ κωμοπόλεσι, καὶ δεινῶν φορολογιῶν, καὶ περὶ τοῦ πνιγμοῦ Ἀλεξίου, καὶ βασιλείας Μυρτζούφλου, καὶ φυγῆς, καὶ τελείας ἁλώσεως τῆς πόλεως ὑπὸ τῶν Λατίνων.

Ἀναγορεύεται πάλιν Βασιλεὺς ὁ τυφλὸς Ἰσαάκιος ἄγγελος, καὶ συμβασιλεύει καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξιος. ἦλθον δὲ εἰς τὰ βασίλεια καὶ οἱ τῶν Λατίνων Ἡγεμόνες, καὶ οἱ παρ' ἐκείνοις ἔμπισημοι, καὶ συγκάθηνται τοῖς Βασιλεῦσιν ἐν θρόνοις, οὓς περιεποιεῖτο ὁ Ἰσαάκιος ὡς σωτῆρας, καὶ ὅσα δῶρα εἰς τὴν Εὐφροσύνην τὴν γυναῖκα τοῦ Ἀλεξίου (ἐκεῖνος γὰρ μόνον ἀπέδρα) καὶ εἰς τοὺς συγγενεῖς αὐτοῦ, καὶ εἰς αὐτὰ τὰ βασίλεια, πάντα ἔδωκαν αὐτοῖς, ἀλλὰ ὠφθησαν αὐτοῖς ὡς σαγῆνα ὑετοῦ. ὅθεν ἔλαβε καὶ ἀπὸ τῶν Μοναστηρίων καὶ Ἐκκλησιῶν ὅσα καὶ εἶχον, ὥστε καὶ τὰς Εἰκόνας συλήσαντες, ἀφελόμενοι εἴτε εἶχον χρυσίον, ἢ ἄργυρον, καὶ αὐτοὺς τοὺς δύσκους καὶ τὰ ποτήρια, καὶ εἴδους αὐτοῖς. εἶτα ἐλεηλάτησαν οἱ Λατῖνοι καὶ τοὺς Τόρκους, οἳ ἦσαν ἐκεῖ χάριν πραγματείας, καὶ τελευταῖον ἔβαλον πῦρ καὶ ἐκαύθη ἡ πόλις ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ συνεκάησαν ὅλα τὰ περίβλεπτα Παλάτια, καὶ τὰ Ἀγάλματα τὰ ἀρχαῖα, καὶ πᾶς κόσμος τῆς πόλεως, καὶ ὅ,τι ἔμεινεν ἄκαυτον, συνέτριψαν οἱ Λατῖνοι, ὅσα δὲ Ἀγάλματα ἦσαν χάλκινα, ἐχώνευσαν αὐτὰ, καὶ ἔλαβον τὸν χαλκὸν, παρεκτὸς μόνων δύο ἵππων, οὓς ἐφύλαξαν καὶ ἐκόμισαν εἰς τὴν Βενετίαν, ἔπειτα ὅσα Μοναστήρια ἦσαν εἰς τὸ Στενὸν ἀπὸ Κωνσταντινουπόλεως ἕως τῶν Κυανέων ἐλεηλάτησαν, ἁρπάσαντες ὅ,τι ἦν χρυσὸς ἢ ἄργυρος ἐν αὐτοῖς, κατέθρουσαν δὲ καὶ τὰς ὡραίας οἰκοδομὰς, μὴ αἰδεσθέντες ἐν ὅλως τοὺς ἐν αὐτῇ κατοικοῦντας ἁγίους. πρὸς τούτοις ἐξῆλθον εἰς τὰς περιξ κωμοπόλεις καὶ ἐφορολόγουν, καὶ εἴ τι κακὸν ἐδυνάντο ἐποίησαν, καὶ ἐν πᾶσι τούτοις ἐμάχετο ὁ Ἰσαάκιος τῷ υἱῷ αὐτοῦ περὶ μοναρχίας. οἱ δὲ πολῖται διεμερίσθησαν ἐν τοσούτοις κακοῖς, καὶ βλέποντες ὅτι τέλος οὐκ ἔχουσι, συνήχθησαν εἰς τὴν ἁγίαν Σοφίαν, καὶ μετὰ τὰ πολλὰ, ψηφίζονται Βασιλέα τινὰ νέον Κανσβιλὼ ὀνόματι, ὕστερον δὲ Ἀλέξιον Δοῦκαν τὸν Μυρτζούφλον, ἰσχύει ὅμως καὶ μένει ὁ Μυρτζούφλος, ὃς καὶ τὸν Ἰσαακίου υἱὸν ἀποπνίξας, ἔπεμψεν εἰς τὸ πῦρ τὸ αἰώνιον. ὁ γὰρ Ἰσαάκιος μικρὸν πρότερον τέθνηκεν. ἀλλὰ μετὰ δύο μῆνας καὶ ἡμέρας ἓξ, πολεμούντων τῶν Λατίνων τὴν πόλιν, ἀποδιδράσκει καὶ ὁ Μυρτζούφλος, καὶ ἁλίσκεται ἡ πόλις καταπρόδοτος ὑπὸ τῶν Λατίνων.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ ὧν εἰργάσαντο μυρίων κακῶν τοὺς πολίτας οἱ Λατῖνοι τοῦ φανερῶσαι αὐτοῖς τὸν πλοῦτον τῆς βασιλείας καὶ τῶν Ἀρχόντων, καὶ ὧν ἐποίησαν ἱερουσυλιῶν ἐν τῇ ἁγίᾳ Σοφίᾳ, καὶ καταπατήσεων ἱερῶν Εἰκόνων καὶ ἀτιμιῶν καὶ ἁρπαγῶν καὶ χλευῶν καὶ ὕβρεων ἐν τοῖς θείοις Ναοῖς, καὶ ἐν πάσῃ ἡλικίᾳ ἀνθρώπων.

Ἁλώσης τῆς πόλεως, λέγει ὁ Μαλαξὸς Μανουὴλ, ὅτι οἱ Κωνσταντινουπολῖται ἔπαθον μυρία κακὰ ἕνεκεν τοῦ φανερῶσαι τὸν βίον τῆς βασιλείας καὶ τῶν Ἀρχόντων, οὓς μὴ εὑρίσκοντες οἱ Λατῖνοι, ἱερουσύλησαν τὸν Ναὸν τῆς ἁγίας Σοφίας, ὡς φαίνονταί τινα τῶν ἐκείνης καὶ ἕως τῆς σήμερον ἀπομιμήματα εἰς τὴν Ἐκκλησίαν τοῦ τοῦ ἁγίου Μάρκου. ἄκουε δὲ τί γεγράφασιν εἷς τις περὶ τῆς ἁλώσεως ταύτης, Καὶ ἠχμαλωτίσθη, καὶ δούλη γέγονεν ἡ κυρία, ἡ παντάπορος ἡ πολυόλβου, καὶ ἐβεβηλώθησαν, οἴμοι, οἴμοι, τὰ ἅγια, αἱ ἁγίαι Εἰκόνες κατεπατήθησαν, ἱπποσάρα γεγόνασιν οἱ θεῖοι Ναοὶ, δι' ὀλίγων εἰπεῖν, τὸ πᾶν ἐξηκατελήφθη, καὶ ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, ἔρημον παντὸς ἀγαθοῦ, καὶ πλήρης παντοίων κακῶν ἐγεγόνει. σὺ δὲ ἴδε τὸν Χαμενάτου εἰς τὸ βιβλίον περὶ Δούκα Μυρτζούφλου, ἵνα θρηνῶς τὰ κακὰ ἅπερ ἐποίησαν οἱ Λατῖνοι, εἰ εἰσὶν ἤπονα ὧν ἐποίησαν ἄλλοι τύραννοι. τοὺς ἵππους αὐτῶν ἔθησαν εἰς τὰς Ἐκκλησίας, καὶ ἱερὰς Εἰκόνας κατεπάτησαν. ὅπου ἐπετελεῖτο ἡ Λειτουργία ἐκεῖ εἶχον τὸ μαγειρεῖον. τοὺς τάφους ἀνώρυττον τῶν τεθνηκότων Βασιλέων, καὶ ἄλλων ἡμίων. τὰ θεῖα ἥρπαζον καὶ διέσπειρον Στρατιῶται, μάλισα δὲ ὑπὲρ τοὺς ἐθνικοὺς οἱ Λατῖνοι, ὅτι ἐκεῖνοι ὅτε ἔλαβον ἀπὸ τῶν Λατίνων τὴν Ἱερουσαλὴμ, ὅτε γυναῖκα ὅτε παιδίον ὅτε ἄλλον ἄνθρωπον ἐξύβρισαν, ἀλλὰ μεθ' ἕκαστος ἐδύνατο βασάσαι ἀφῆκαν αὐτοὺς ἀναχωρῆσαι. οἱ Λατῖνοι δὲ τόσα ἐποίησαν, ὅσα ὅτε ὁ Διάβολος αὐτὸς πεποίηκεν, ὅπου καὶ γυναῖκα πόρνην ἐκάθισαν εἰς τὸ ἱερὸν σωθρονον τῆς ἁγίας Σοφίας, καὶ ἐχλεύαζον αὐτό. ὅτως ὃν ἐποίησαν,

ἐποίησαν, ὅτι ἀρχαῖον αὐτῶν ἔργον τὰ τοιαῦτα, καὶ ἴδε τὸν Πολύβιον εἰς τὸ ὄγδοον βιβλίον αὐτοῦ, ἵνα γνῷς ἐκεῖνος πῶς θρηνεῖ τὴν καταστροφὴν τῆς Κορίνθου ὑπὸ τῶν Λατίνων ἐπὶ Ἰουλίου Καίσαρος. ὅτι ἐτόλμησαν κατὰ τῶν ἱερῶν Εἰκόνων καὶ Ἀγαλμάτων, καὶ πίνακας εἶχον οἱ Στρατιῶται παίζοντες ἐπ' αὐτῶν χαρτία, καὶ τὰ μνήματα τῶν ἀνθρώπων κατέσκαψαν ζητοῦντες χρήματα. τὸν ἅγιον τάφον ἔλεγον δῆθεν λαβεῖν ἀπὸ τῶν Σαρακηνῶν, καὶ ἡ κρύφιος αὐτῶν βουλὴ ἦν ἡ ἅλωσις τῆς Κωνσταντινουπόλεως. καὶ ἴδοις ἂν πῶς τὰς πύλας καὶ τὰ ἱερὰ τῶν Ἐκκλησιῶν ἐποίουν ἱματισμοὺς ταῖς Παλλακαῖς αὐτῶν. κάτω τὴν Εἰκόνα τοῦ Χριστοῦ ἐτίθουν ὡσεὶ ἁπλῶς σανίδα, καὶ ἐκάθηντο ἐπ' αὐτῆς, καὶ ἠρήμωσαν Μοναστήρια καὶ Παρθενῶνας, καὶ ἐξύβρισαν εἰς πᾶσαν ἡλικίαν, καὶ διήρπασαν ὡς Λύκοι ἀραβικοὶ πᾶν ὁτιοῦν τῶν ὀρθοδόξων, οὐκ ἠδέσθησαν οὔτε Ἱερέα, οὔτε γέροντα, οὔτε πνευματικὸν καὶ ἅγιον ἄνθρωπον. χείρονα τοῦ Ναβουχοδονόσορ εἰργάσαντο οἱ ἀπάνθρωποι τὴν Κωνσταντινούπολιν. ἀλλ' οὔτε τὸν Πάπαν Στέφανον ἠυλαβήθησαν οἱ παπισταὶ εἰπόντα καὶ τὸν Πλάτινα, τὰ ἄμφια οὔτε τοὺς Ἱερεῖς μεταχειρίζεσθαι εἰς ἐξωτερικὰς χρείας. μήτε Βονιφάτιον τὸν πόμπτον, εἰπόντα, ἐν παντὶ καιρῷ ἀναθεματίζεσθαι τοὺς ἱεροσύλους.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ἡμῶν ἀπολογίας πρὸς τὸν Πάπαν Ἰννοκέντιον τὸν τρίτον, διὰ τὸ μὴ πείθεσθαι τοὺς Ῥωμαίους τῷ Πάπᾳ, παθεῖν τὰ τοιαῦτα εἰπόντα, καὶ ὅτι ταὐτόν ἐστι τῷ ψεύδει τὸ πείθεσθαι τῷ Πάπᾳ.

Εἰς ταῦτα ὁ τότε Πάπας τῆς Ῥώμης Ἰννοκέντιος τρίτος ἀναιδεστάτῳ προσώπῳ ἐφλυάρει, ὅτι διὰ τὸ μὴ πείθεσθαι τῷ Πάπᾳ οἱ Ῥωμαῖοι ἔπαθον τὰ τοιαῦτα. ἀλλ' ὦ τῆς εὐηθείας. καὶ λοιπὸν οἱ Προφῆται καὶ οἱ Ἀπόστολοι καὶ οἱ Μάρτυρες, καὶ ἁπλῶς οἱ ἄνθρωποι τοῦ Θεοῦ ἄτιμοι διὰ τὸ κεκοπιακέναι, διωχθῆναι, τυραννηθῆναι, καὶ πολυτρόπως πεπονθέναι διὰ τὸν Θεόν. οὗτοι κακοί, ὅτι ἔπαθον ὑπὸ τῶν ἀθέων καὶ τυράννων κακῶς, καὶ οἱ δυνάσται καὶ τύραννοι καλοὶ τῷ Θεῷ. εἶτα ὅτε οἱ ἐθνικοὶ ἔλαβον Παλαιστίνην, Αἴγυπτον, Λιβύην, Συρίαν, Μεσοποταμίαν, οὐκ ἦσαν αἱ Ἐκκλησίαι ἡνωμέναι; ναί. καὶ τίνος τότε κατάρα ἔφθασεν, ὅτε ὑμᾶς τοὺς Λατίνους ἐδίωξαν οἱ Ῥωμαῖοι ἀπὸ τῆς πόλεως, οἱ Ὀθωμανοὶ ἀπὸ τοῦ Καφᾶ, Ἀμάστριδος, Νήσων καὶ τῆς Κύπρου καὶ Κρήτης, καὶ πρότερον ἀπὸ Συρίας καὶ Παλαιστίνης, καὶ κατέκοψαν ὑμᾶς ὡς χόρτα; τίνος Πάπα κατάρα ἔφθασεν, ὅτε ἡ ἡμίσεια Φράντζα καὶ ὅλη ἡ Φιλάντρα καὶ Ἐγκλιτέρα καὶ Σφαιτζία καὶ Γότθοι καὶ Βάνδαλοι καὶ Δαῦοι καὶ Οὔγγροι, καὶ τὸ πλεῖον μέρος Γερμανίας καὶ Λεχίας γεγόνασι Καλβῖνοι, Λουτερᾶνοι, Ἀρειανοί, Εὐαγγελισταί, Ἀνταδαμῖται, καὶ ἄλλως Αἱρετικοί; καὶ εἰς τὰ εἰρημένα βασίλεια πάντα, τὰ γελῶντα τὰ Μυστήρια τῆς Ἐκκλησίας, καὶ χλευάζοντα τὰ ἤθη αὐτῆς, τὰ βλασφημοῦντα καὶ περιπαίζοντα τὸν Πάπαν ὑμῶν καὶ λέγοντα αὐτὸν Τῦν, Μονιὸν, Ἀντίχριστον, ἀποστάτην, τίνος κατάρα ἔφθασε; τοῦ Πάπα. καὶ πῶς ἡ κατάρα τοῦ Πάπα ἔφθασε καὶ εἰς τοὺς παπιστάς; γελοῖος εἶ Λατῖνε ἀναιδέστατε, οἱ γὰρ Ἀνατολικοὶ πάσχουσιν ὑπὲρ Χριστοῦ, εἰ δὲ καὶ δι' ἁμαρτίας, ἀλλ' οὐχὶ διὰ τὸν Πάπαν, ὅτι αἱρετώτεροί εἰσιν ὅλοι οἱ πειρασμοὶ τοῦ κόσμου, καὶ ὅλαι αἱ δουλεῖαι καὶ τὰ βάσανα τῆς πρὸς τὸν Πάπαν ὑποταγῆς, τὸν πατέρα τῶν Αἱρέσεων, τὸν φθορέα τῆς γραφῆς, τὸν καταφρονητὴν τῶν ἁγίων πατέρων, τὸν ἀντιλέγοντα καὶ ἀντιπράττοντα εἰς πᾶσαν ἐκκλησιαστικὴν γνώμην καὶ παράδοσιν. οἱ γὰρ πειρασμοὶ ἔχουσι μισθὸν, ὑπομένομεν γὰρ, ἵνα συμβασιλεύσωμεν, πάσχομεν, ἵνα συνδοξασθῶμεν, τὸ δὲ ὑποταχθῆναι τῷ πάπᾳ, ταὐτόν ἐστι τῷ ὑποταχθῆναι τῷ ψεύδει, οὗ τὸ τέλος ἐστὶν ἡ αἰώνιος κόλασις. οὕτω λοιπὸν τὰ πολλὰ συμβούλια τῶν Παπῶν καὶ δυτικῶν διὰ τὴν ἐλευθερίαν τῆς Ἱερουσαλὴμ, γεγόνασιν αἰτία τῆς καταστροφῆς τῆς χριστιανικῆς βασιλείας.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ ψευδολατινοπατριάρχου ἐν Κωνσταντινουπόλει, καὶ τῶν τοὺς πολίτας βιαζόντων παπίσαι Λεγάτων τοῦ Ῥώμης, καὶ Μοναχοὺς κρεμώντων, καὶ τὰς Ἐκκλησίας κλειόντων, καὶ ψευδοπατριάρχας Ἀντιοχείας καὶ Ἱεροσολύμων πλαττόντων, καὶ περὶ τῶν πρὸς Λάσκαριν ἐν Νικαίᾳ φυγόντων.

Ἐποίησαν οἱ Λατῖνοι εἰς τὴν Κωνσταντινούπολιν Ψευδοπατριάρχην Θωμᾶν βενέτικον, ψαλιδωτὰ φοροῦντα, καὶ τὸ γένειον χεῖρον δρώπακος ἐξυρισμένον ἔχοντα. ἔστειλε καὶ ὁ Πάπας Λεγᾶτον τινὰ Πελάγιον ὀνόματι, ἐρυθροβαφῆ καὶ ἀλλόκοτα ἱμάτια ἐνδεδυμένον, καὶ ἐβίαζε τοὺς πολίτας παπίσαι, ἐκρέμα τοὺς Μοναχοὺς, ἐδέσμευε τοὺς Ἱερεῖς, καὶ τοὺς Ναοὺς τοὺς ἁγίους ἔκλειε, ἵνα ὁμολογήσωσι τὸν παπισμόν. ὅθεν ἑτοιμαζομένων φυγεῖν τῶν πολιτῶν, Ἐῤῥῆς ὁ Βυζαντίου τότε Βασιλεὺς τὸ ἀπότομον τοῦ Λεγάτου ἐκώλυσε, καὶ ἤνοιξε καὶ τὰς Ἐκκλησίας. πολλοὶ ὅμως καὶ Μοναχοὶ καὶ Κληρικοὶ καὶ Ἄρχοντες πρὸς τὸν Λάσκαριν ἀνεχώρησαν εἰς τὴν Νίκαιαν διὰ ταῦτα, ὥς φησιν ὁ Ἀκροπολίτης. ἀλλὰ καὶ ἐν ὅσῳ ὥρισαν τὴν Κωνσταντινούπολιν, Ἀντιόχειαν καὶ Ἱερουσαλὴμ, ἐχειροτόνουν οἱ Λατῖνοι ἐκεῖ Ψευδοπατριάρχας αὐτῶν. εἰὼν ὅμως καὶ ἐχειρο

ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΓΕΛΟΥ Ν. Π. ΠΑΚΩΣΤΑ

ἐχειροτόνου καὶ αἱ Ἐκκλησίαι Πατριάρχας τῆς καθολικῆς Ἐκκλησίας, καίπερ καὶ ἐπεβούλευον αὐταῖς, καὶ ὡς ἐπιτοπλεῖστον ἐκώλυον, καθὼς ἐσημείωσε τοῦτο καὶ ὁ Βαλσαμὼν Θεόδωρος, ὃν οὐκ εἴων οἱ Λατῖνοι ἀπελθεῖν εἰς τὸν θρόνον αὐτοῦ τὴν Ἀντιόχειαν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι τῶν Λατίνων διανειμαμένων ψιλῷ μόνῳ λόγῳ ἑαυτοῖς τὰ τῆς Οἰκουμένης κλίματα, καὶ Πελοποννήσου, καί τινων μερῶν καταδραμόντων, ὁ ἐν Κωνσταντινουπόλει Βασιλεὺς αὐτῶν Βαλδοῦϊνος ἁλοὺς ὑπὸ τῶν Βουλγάρων, κακῷ θανάτῳ ἐξεδόθη.

Σημειοῖ δὲ ὁ Ἀκροπολίτης, ὅτι λαβόντες οἱ Λατῖνοι τὴν Κωνσταντινούπολιν ἐνόμισαν ἐγγίσαι μέχρι τοῦ Οὐρανοῦ, καὶ ἵπτασθαι μετὰ τοῦ Πηγάσου. ὅθεν ὡς ἱστορεῖ ὁ Χωνειάτης, διένειμαν Αἴγυπτον, Λιβύην, Γάδειρα, Ἀφρικὴν, Πέρσας καὶ Ὑρκανοὺς, Ἴβηρας καὶ Ἀσσυρίους, καὶ τὰ βόρεια μέρη. ἤρισαν δὲ εἰς τοὺς κλήρους, καὶ ἐποίησαν ἐξαλλάξεις, καὶ ἄλλα τοιαῦτα ἐκωμῴδησαν, πλὴν ἐκ τούτων οὐδὲν ἠκολούθησεν ἕτερον, ἀλλ' ἢ ὅτι ἐξῆλθον καὶ κατέδραμον ἕως Πελοποννήσου καὶ Ἀδριανουπόλεως, καὶ τῶν ἀνατολικῶν μερῶν, ἐν οἷς εἶχον καὶ τοὺς Ἀρμενίους, οἵτινες ἦσαν κάτοικοι εἰς τὴν Τρῳάδα, καὶ ὁδηγοὺς καὶ συμμάχους, αἰχμαλωτίζοντες, πυρπολοῦντες, λεηλατοῦντες, ἀποκτείνοντες, καὶ τέως ἐν πᾶσι καὶ κατὰ πάντα ὑπερασεβοῦντες. ἀλλὰ κατεπολεμήθησαν ὑπὸ Θεοδώρου τοῦ Λασκάρεως καὶ τῶν Διαδόχων αὐτοῦ. οἱ δὲ εἰς Θρᾴκην γράψαντες ὑπέρογκα τοῖς Βουλγάροις, κατεπολεμήθησαν ὑπό τε τῶν φυγόντων Ῥωμαίων καὶ τῶν Βουλγάρων καὶ Βλάχων, οἵτινες εἶχον καὶ τοὺς Σκύθας συμμάχους, ὥστε καὶ Βαλδοῦϊνος ὁ γενόμενος Βασιλεὺς Κωνσταντινουπόλεως συλληφθεὶς ἐν Ἀδριανουπόλει παρὰ Ἰωάννου τοῦ ἀρχηγοῦ Βουλγάρων, ἀπήχθη εἰς Τούρνοβον, καὶ πρῶτον μὲν ἐβλήθη εἰς σκοτεινὴν φυλακὴν λιμοκτονούμενος, μετὰ δὲ καιρὸν ἔκοψεν αὐτοῦ ὁ Ἰωάννης πελέκει τὰς χεῖρας καὶ τοὺς πόδας, εἶτα κατὰ κεφαλῆς ἔρριψεν αὐτὸν εἴς τινα κρημνὸν, τοὺς δ' ἄλλους διαμερισθέντας ἀπὸ Βυζαντίου ἕως Πελοποννήσου, καὶ ἐνεργοῦντας ἀνδραποδισμοὺς, φθορὰς γυναικῶν, Ἐκκλησιῶν ἱερῶν, καὶ πάντα ποιοῦντας τὰ αἴσχιστα καὶ ἀσεβῆ καὶ παράνομα, μετ' οὐπολὺ ἐδίωξαν οἱ Ῥωμαῖοι, καὶ μόνη ἔμεινεν αὐτοῖς Στήλη ἀνάγραπτος ἡ κακία, καὶ ἡ ἐν πᾶσιν ὠμότης καὶ ἐσχάτη ἀσέβεια.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἐπὶ μισθῷ συμμαχίας τὰ πέριξ τῆς Κωνσταντινουπόλεως χωρία τοῖς Σκύθαις ὑπὸ τῶν Βουλγάρων δοθέντα, καὶ ἰδιοποιούμενα ὑπὸ Λατίνων Σκυθῶν καὶ Βουλγάρων, ἔπαθον κακῶς καὶ ὑπὸ τῶν τριῶν τούτων γενῶν.

Οἱ Βούλγαροι ἐφάνησαν βοηθοὶ κατά τι τοῖς Ῥωμαίοις, ὅμως ἦσαν ἀπὸ καρδίας ἐχθροὶ, καὶ πρὸς τούτοις ὁρῶντες ὅτι προέκοπτον οἱ Ἕλληνες, πάλιν διὰ τοῦτο ἐφθόνουν αὐτοῖς, ὅθεν πρὸς τοῖς κακοῖς οἷς ἐποίησαν ἁρπάζοντες καὶ θανατοῦντες πολυτρόπως τοὺς Ῥωμαίους, καὶ διαφθείροντες, καὶ κατασκάπτοντες ἐκ θεμελίων αὐτῶν κάστρα καὶ χώρας, ἔδωκαν δῆθεν μισθὸν τοῖς Σκύθαις, οὓς εἶχον συμμάχους, τὰ χωρία, ἅπερ ἦσαν περὶ τὸ Βυζάντιον, καὶ ὑπήκουον τοῖς ἐν τῷ Βυζαντίῳ Λατίνοις, ἅτινα οἱ Σκῦθαι πᾶσι τρόποις καταφθείραντες καὶ αἰχμαλωτίσαντες, καὶ πολὰς γυναῖκας τύψαντες ἀνιλεῶς, ἔθυσαν ὕστερον τοῖς Θεοῖς αὐτῶν, καθότι τότε οὐκ ἔτι ἦσαν δεδεγμένοι τὴν θρησκείαν τῶν Ὀθωμανῶν, ἀλλὰ καὶ εἴτι ἔμεινε πόλισμα ἢ χωρίον, εἰ μὲν ἐπείθοντο τοῖς Λατίνοις, οἱ Βούλγαροι ἐξηφανίζον αὐτοὺς ἕως νηπίων, ὡς δῆθεν ἐχθροὺς, εἰ δὲ οὐχ ὑπήκουον Βουλγάροις, εἰργάζοντο αὐτοὺς τὰ ὅμοια οἱ Λατῖνοι, ὡς δῆθεν ἀντικειμένους αὐτοῖς.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς βίας τῶν παπιστῶν πρὸς τοὺς Ῥωμαίους τοῦ παπίσαι, καὶ τοῦ ἔτους καθ' ὃ ἡ πόλις ὑπὸ τῶν Λατίνων ἑάλω, καὶ καθ' ὃ ἐλήφθη ὑπὸ τῶν Ῥωμαίων, καὶ τῆς κοιμήσεως τοῦ Πατριάρχου Ἰωάννου τοῦ Καματηροῦ ἐν Διδυμοτείχῳ, καὶ τοῦ ψεύδους Γενεβράρδου, τὸν κατὰ Σαρακηνῶν Στόλον τῶν Λατίνων λάθρα τοὺς Ῥωμαίους κωλύειν εἰπόντος.

Οἱ Λατῖνοι, ὡς εἴρηται, πάλιν χείρονα παίτων τῶν ἐθνικῶν καὶ τῶν Τυράννων Βασιλέων εἰγάζοντο ἐν Κωνσταντινουπόλει τοὺς Ῥωμαίους ἵνα παπισταὶ γενήσωνται, καὶ μὴ ὦσι Χριστιανοὶ, καὶ δὴ καὶ τὰς Ἐκκλησίας ἔκλεισαν, καὶ ἄλλα ἀνόσια καὶ ἄθεα ἔργα ἔπραξαν. Ἑάλω ἡ πόλις ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ δωδεκάτῳ, ἀνελήφθη δὲ ὑπὸ τῶν Ῥωμαίων ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ. ἦν δὲ τότε Πατριάρχης Κωσταντινουπόλεως Ἰωάννης ὁ Καματηρὸς, ὃς καὶ ἐξελθὼν ἐπορεύθη εἰς τὸ Διδυμότειχον, καὶ ἐκεῖ ἀνεπαύθη ξένος ἐν ξένοις καὶ πτωχὸς ὁ πολύολβος. ἱστορεῖ ὁ Γενεβράρδος, ὅτι οἱ Βασιλεῖς τῶν Ῥωμαίων ἐκπεπτώκασι τῆς Κωνσταντινουπόλεως, καθότι κρυφίως ἐκώλυον τὸν λατινικὸν Στόλον ἀπερχόμενον

μενον κατὰ τῶν Σαρακηνῶν εἰς Ἱεροσόλυμα, ὥπερ κατάτι ἠκολούθησε καὶ ὁ Τζιγαρᾶς. ἀλλὰ ψεύδονται, ὅτι μὲν γὰρ οἱ Ῥωμαῖοι συνέδραμον τοῖς Λατίνοις, καὶ ὅτι πάντοτε οἱ Λατῖνοι ἦσαν ἐπίβουλοι τοῖς Ῥωμαίοις, ἐστὶ φανερὸν ἐκ τῶν ἀνωτέρω εἰρημένων.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τοῦ χρισθέντος εἰς Βασιλέα Κωνσταντινουπόλεως ὑπὸ τοῦ τρίτου Ὀνωρίου, καὶ τῶν ἐν αὐτῇ συμβάντων κακῶν ὑπὸ τῶν Λατίνων, καὶ περὶ τοῦ ἔτους τῆς ἐκστρατείας τῶν δυτικῶν εἰς Ἱερουσαλὴμ, καὶ ὧν εἰργάσαντο αὐτὴν κακῶν αὐτοί τε καὶ οἱ Ἄραβες.

Σημειωτέον, ὅτι ὁ Πάπας Ὀνώριος ὁ τρίτος ἠξιώθη ἀπολαῦσαι τοῦ λίαν ἐπιθυμητοῦ τοῖς πρὸ αὐτοῦ Πάπαις, τοῖς ἐπιθυμήσασιν ὑποτάξαι καὶ τὴν Κωνσταντινούπολιν, καὶ δὴ ἔχρισε τὸν εἰρημένον Ῥομπέρτον τοῦ Πέτρου τὸν υἱὸν παπόστεπτον Αὐτοκράτορα Κωνσταντινουπόλεως. καὶ ὅτι περίπου τὰ χίλια διακόσια εἴκοσιν ἔτη ἀπῆλθον εἰς ἀπολύτρωσιν τῆς Ἱερουσαλὴμ πολλὰ πλήθη τῶν δυτικῶν, ἔδοξε δὲ εὔλογον τοῖς ἀπελθοῦσι σπεῦσαι λαβεῖν τὸ Ταμιάθι, ὅτι εὐκόλως ἐκράτουν τῆς Ἱερουσαλὴμ, εἴγε αὐτὸ ἐλάμβανον, ὃ καὶ ἐν στενῷ εἶχον. φοβηθεὶς οὖν μήπως οἱ Λατῖνοι κυριεύσωσιν αὐτὸ ὁ υἱὸς τοῦ Σουλτάνου, καὶ εἶτα ἦν αὐτῷ δύσκολον κρατεῖν τῆς Ἱερουσαλὴμ, ἐκρήμνισεν ὅλα τὰ τείχη τῆς ἁγίας πόλεως, καὶ μόνον ἀφῆκε τὸν πῦργον τοῦ Δαβὶδ, τὸν δὲ ἅγιον τάφον καὶ τὸν Ναὸν αὐτοῦ ἀφῆκεν ἀνενόχλητον δεήσει τοῦ τότε ὀρθοδόξου Πατριάρχου καὶ τῶν ἐκεῖ ὀρθοδόξων Χριστιανῶν. ἐν τούτοις τοῦ Πάπα μαχομένου τῷ Φριδερίκῳ Δύσεως Βασιλεῖ, καὶ ἀφορίζοντος αὐτὸν, ἔμαθε τοῦτο ὁ Αἰγύπτιος, καὶ κατεπολέμισε τοὺς Λατίνους, οἵτινες ἀνεχώρησαν μετὰ συνθηκῶν. ἐγένετο ὅμως καὶ τότε τοῦ Πάπα καὶ τῶν Λατίνων κατόρθωμα, τοῦ κατακρημνίσαι τοὺς Σαρακηνοὺς τὸ κάστρον τῆς Ἱερουσαλήμ. ὑπέστρεψε καὶ ὁ Βορέννιος Ἰωάννης μόνον ψιλῷ ὀνόματι Ῥὴξ τῆς Ἱερουσαλὴμ, ὕστερον δὲ ἐποίησε γαμβρὸν τὸν Φριδέρικον, καὶ ἔδωκεν αὐτῷ προῖκα τὸ βασίλειον τῆς Ἱερουσαλὴμ, καὶ ὑπεσχέθη μετὰ τοὺς γάμους ἀπελθεῖν εἰς τὸ κυριεῦσαι αὐτῆς, καὶ δοῦναι αὐτὴν αὐτῷ. ἀλλ' ὁ μὲν Ἰωάννης οὐκ ἀπῆλθεν, ἀπῆλθε δὲ ὁ Φριδέρικος, καὶ χωρὶς τοῦ ἐκχέαι αἷμα, μόνον ψιλαῖς τέχναις ἔλαβε τὴν Ἱερουσαλὴμ ἀπὸ τοῦ Σουλτάνου εἰς τὰ χίλια διακόσια τριάκοντα ἔτη, καὶ ἔβαλεν εὐθὺς καὶ Ῥομπέρτον τινὰ ψευδοπατριάρχην εἰς Ἱερουσαλήμ. ταχέως ὅμως ἔλαβον οἱ Σαρακηνοὶ πάλιν τὴν Ἱερουσαλὴμ, καὶ ἐποίησαν τοῖς ἐκεῖ Χριστιανοῖς πολλὰς αἰσχύνας καὶ ἀτιμίας, καὶ τὸν ζωοδόχον τάφον ἐχλεύασαν διαφόροις ὕβρεων εἴδεσι, καὶ ἔμειναν οἱ Σικελοὶ μόνον ψιλῷ Τίτλῳ τῆς Ἱερουσαλὴμ Ῥῆγες. κατώρθου δέ τι καὶ ἄξιον ἐν τῇ Παλαιστίνῃ καὶ ὁ Φριδέρικος καὶ ὁ πενθερὸς αὐτοῦ Ἰωάννης, ἀλλὰ οἱ πόλεμοι οἱ ἀσεβέστατοι καὶ ἀνεδέστατοι τοῦ ἐνάτου Γρηγορίου καὶ τοῦ Φριδερίκου Βασιλέως τῆς Δύσεως καὶ αὐτοὺς ἐκώλυσαν, καὶ τὴν Ἰταλίαν κατέφθειραν.

ΚΕΦΑΛΑΙΟΝ ιϛ'.

Ἐς πόσα διεμερίσθη ἡ τῶν Ῥωμαίων βασιλεία μετὰ τὴν ὑπὸ τῶν Λατίνων ἅλωσιν τῆς Κωνσταντινουπόλεως, καὶ περὶ τῆς ἐν Νικαίᾳ βασιλείας Θεοδώρου τοῦ Λασκάρεως.

Ἁλούσης τῆς Κωνσταντινουπόλεως ὑπὸ Λατίνων, ὁ γαμβρὸς Ἀλεξίου τοῦ ἀγγέλου Θεόδωρος ὁ Λάσκαρις ἀπῆλθεν εἰς τὴν Νίκαιαν, καὶ ἔστησε τὴν Βασιλείαν τῶν Ῥωμαίων ἐκεῖ. Ἀλέξιος δὲ ὁ Κομνηνὸς (εἶχε γὰρ ὁ τύραννος Ἀνδρόνικος υἱὸν Ἐμμανουὴλ, οὗτινος υἱοὶ ἦσαν Ἀλέξιος καὶ Δαβὶδ, ὅστις Δαβὶδ ἦρξε Παφλαγόνων, ἀλλὰ καθεῖλεν ἐκεῖνον ὁ Λάσκαρις μετὰ τοὺς συνεχεῖς καὶ πολλοὺς πολέμους) ἀπῆλθεν εἰς τὴν Τραπεζοῦντα, καὶ ἐποίησε βασιλείαν Πόντου, Λαζικὴν, Ἰβήρους, Ἀβασγοὺς, Τζερκέτας, καὶ τὰ πέριξ ἐκεῖνα ἔθνη, ὡς δηλοῖ καὶ ἡ ἐπιγραφὴ αὐτοῦ, κειμένη εἰς τὰ χρυσόβουλλα τοῦ Μοναστηρίου τοῦ Σουμελᾶ, λέγουσα, Ἀλέξιος ἐν Χριστῷ τῷ Θεῷ Βασιλεὺς πάσης Ἀνατολῆς Ἰβήρων καὶ Περατίας (Ἀβασγῶν Τζερκετῶν) ὁ μέγας Κομνηνός. καὶ δὴ καὶ εἰς Θετταλίαν ηὐθέντησεν ὁ ἄγγελος Μιχαὴλ, ὀνομάσας αὐτὴν παλαιὰν Ἤπειρον. εἴστε τὴν Ἀττάλειαν ἕτερος ἐτυράννησεν, ἀλλὰ καθηρέθη ὑπὸ τοῦ Λασκάρεως. ὅσοι δὲ ἐδυνήθησαν φυγεῖν τὰς χεῖρας τῶν Λατίνων ἀπὸ Θεσσαλονίκης ἕως Αἴμονος, ὑπέκυψαν τῷ Λασκάρεϊ καὶ τοῖς διαδό-

διαδόχοις αὐτοῦ, οἳ ἐβασίλευσαν εἰς τὴν Νίκαιαν. διεμερίσθη λοιπὸν ἡ χριστιανικὴ αὐταρχία ὡς σῶμα ὀσίριδος, ὅθεν καὶ ἡ τοιαύτη διαίρεσις ἐγένετο αἰτία αὐξηθῆναι πάντας τοὺς αὐτικειμένους, καὶ εὐκόλως λοιπὸν τὰ Ῥωμαίων καταφθεῖραι πράγματα. τοῦ Θεοδώρου Λασκάρεως τούτου ἐστὶ ποίημα ὁ Κανὼν τῆς Παναγίας, Τῶν λυπηρῶν ἐπαγωγάι. ἐφάνη δὲ φοβερὸς εἰς τοὺς αὐτικειμένους, καὶ ἴδε ἐν τῷ πρώτῳ βιβλίῳ τοῦ Γρηγορᾶ. σημείωσαι δὲ, ὅτι γράφει Γεώργιος ὁ Ἀκροπολίτης, Ἐπειδὴ ὁ τῆς Κωνσταντινουπόλεως Βασιλεὺς Ῥομπέρτος οὐκ ἔφθασε συζυγῆναι γυναικὶ, παράνομόν τι πρᾶγμα βεβούληται ὁ Βασιλεὺς διαπράξασθαι ἐπὶ τῇ θυγατρὶ αὐτοῦ Εὐδοκίᾳ, καὶ προσλαβέσθαι τουτονὶ γαμβρὸν ἠρετίσατο, ἐνθέντοι καὶ ἔρις ἐκ τοῦ τότε πατριαρχοῦντος Μανουὴλ τῷ Βασιλεῖ ξυμβεβήκει, μηδ' ὅλως τῇ τοιαύτῃ ἀθεσμογαμίᾳ συγκατανεύοντες. ἀλλ' οὐκ ἔφθασεν ὁ Βασιλεὺς τέρματι δοῦναι τὸ θέλημα, μήπω γὰρ στείλας ταύτην εἰς Κωνσταντινούπολιν ὡς ἠυτρέπιζε, καταλύει τὸν βίον. καὶ σημείωσαι ὅτι καὶ ἡ τότε Ἐκκλησία ἑτεροθρήσκους εἶχε τοὺς Λατίνους καὶ ἑτεροδόξους.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ Θεοδώρου ἀδελφοῦ Μιχαὴλ τοῦ ἀγγέλου, τοῦ στεφθέντος εἰς Βασιλέα Θετταλίας ὑπὸ τοῦ Ἀχρίδος Δημητρίου, καὶ τὸν Θεσσαλονίκης ἐξορίσαντος, καὶ ἀναιρεθέντος ἐν τῷ κατὰ Βουλγάρων πολέμῳ.

Ἀλλὰ καὶ Μιχαὴλ ὁ ἄγγελος ἀποθνήσκει εἰς τὴν Ἤπειρον, καὶ μένει διάδοχος αὐτοῦ Θεόδωρος ὁ ἀδελφὸς αὐτοῦ, καὶ ποιεῖ καὶ αὐτὸς, ὡς ὁ Σέρβος Βουλκασῖνος μετέπειτα ἐποίησεν, ἐπειδὴ ἑλὼν τὴν Θεσσαλονίκην, ἐζήτει στεφθῆναι Βασιλεύς. ὀνειδισθεὶς δὲ ὑπὸ τοῦ Θεσσαλονίκης Κωνσταντίνου, ἐξώρισεν αὐτὸν, καὶ χρίεται παρὰ τοῦ Ἀχρίδος Δημητρίου Βασιλεὺς, στρατεύσαντα ὅμως κατὰ Βουλγάρων, ὁ υἱὸς τοῦ πρώτου Ἀσάνη Ἰωάννης ὁ ἀποκτείνας Βορίλαν τὸν υἱὸν τοῦ Σκυλοϊωάννου, καὶ ἐπανασώσας τὴν πατρικὴν αὐτοῦ ἀρχὴν, Σκύθαις προσεταιρισάμενος, συνέλαβεν αὐτὸν καὶ ἐτύφλωσε, καὶ ἔδωκε δίκην τῆς πρὸς τὴν βασιλείαν ὕβρεως. σημείωσαι, ὅτι ὁ ῥηθεὶς Δημήτριος Ἀχρίδος ἔλεγεν ἑαυτὸν εἶναι αὐτόνομον, καὶ μηδενὶ εὐθύνας ὀφείλοντα.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τῆς ἐν Λατεράνῳ τεταρτῆς Συνόδου, καὶ τῆς δι' ἣν ἠθροίσθη αἰτίας.

Ἐν ἔτει χιλιοστῷ διακοσιοστῷ δεκάτῳ πέμπτῳ, ὄντος Πάπα Ἰννοκεντίου τρίτου, ἠθροίσθη Σύνοδος λατινικὴ εἰς τὴν Ῥώμην εἰς τὸ Λατεραῖον, ἦσαν δὲ οἱ συνελθόντες πλῆθος πολὺ, εἰ καὶ κατὰ τὸν ἀριθμὸν διαφέρονται οἱ χρονογράφοι. ἠθροίσθη δὲ, καθὼς λέγουσιν οἱ Λατῖνοι, ἵνα ἀγάγῃ εἰς συμφωνίαν τοὺς Αὐθέντας τῆς Δύσεως χάριν τοῦ ἀπελθεῖν εἰς τὴν Ἀσίαν κατὰ τῶν Τούρκων, καὶ κατὰ τῶν Σαρακηνῶν τῶν λαβόντων πάλιν τὴν Φοινίκην καὶ Παλαιστίνην, ἀλλὰ μὴ συνθεμένων τῶν Αὐθεντῶν τῇ βουλῇ, ἴσχυσεν ἡ Σύνοδος τὸ οὐδέν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ ματαίου διορισμοῦ τῆς παρούσης Συνόδου εἰς τοὺς ὄντας καλῶς διωρισμένους Πατριάρχας, καὶ ὅτι τὸ πρῶτον καὶ δεύτερον καὶ καθεξῆς ἐπὶ τῶν Πατριαρχῶν, κατὰ μόνην τὴν τάξιν λέγεται.

Ἐν τῷ πέμπτῳ αὐτῆς Κανόνι διορίζει εἶναι τὸν Ῥώμης πρῶτον, τὸν Κωνσταντινουπόλεως δεύτερον, τὸν Ἀλεξανδρείας τρίτον, τὸν Ἀντιοχείας τέταρτον, τὸν Ἱεροσολύμων πέμπτον. Ἀλλὰ ῥητέον, ὅτι πρῶτος καὶ δεύτερος Ἐπίσκοπος εἰς τὴν Ἐκκλησίαν οὐκ ἦν, ἀλλ' ὅτε ἡ δευτέρα Οἰκουμενικὴ εἶπε τὸν Κωνσταντινουπόλεως δεύτερον, καὶ μετὰ τὸν Ῥώμης, ἔμεινεν εἶναι τὸν Ῥώμης πρῶτον. τὰ αὐτὰ εἶπεν ἡ τεταρτη Οἰκουμενικὴ, καὶ ἡ ἑκατοστὴ τριακοστὴ πρώτη Νεαρὰ τοῦ Ἰουστινιανοῦ, ῥητῶς δὲ ἡ ἐν Τρούλλῳ Κανόνι τριακοστῷ ἑκτῷ εἶπε πρῶτον τὸν Ῥώμης, δεύτερον τὸν Κωνσταντινουπόλεως, τρίτον τὸν Ἀλεξανδρείας, τέταρτον τὸν Ἀντιοχείας, καὶ πέμπτον τὸν Ἱεροσολύμων, ἐννοοῦσαι καὶ Σύνοδοι καὶ Νεαραὶ τὸ πρῶτον καὶ δέτερον καὶ τρίτον καὶ τὰ ἑξῆς κατὰ μόνην τὴν τάξιν, καὶ οὐ κατά τι ἀξίωμα, καὶ τοὺς Πατριάρχας ὡς μονάδας διὰ τὴν τάξιν ὑπαριθμουμένας καὶ οὐδὲ ἄλλό τι. εἰ οὖν ἦσαν διωρισμένοι οἱ τόποι τῶν Πατριαρχῶν, ἡ δὲ παροῦσα Σύνοδος τὰ διωρισμένα καὶ κεκυρωμένα διώρισε, μάταιον ἔργον ἐποίησε, καθὼς ἐποίησε καὶ ἔργον παράνομον, διορίσασα Κανόνι πεντηκοστῷ κατὰ τῶν ἀρχαίων διορισμῶν καὶ βαθμῶν τῶν γάμων, ὡς ἡ Τάργα διαμαρτύρεται.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν ματαίως καὶ ἐκθέσμως πεπραγμένων ὑπὸ τῆς Συνόδου ταύτης, Παλίον Πάπᾳ Πατριάρχας ὑποτάσσον, καὶ Πατριάρχαις οὓς αὐτοὶ χειροτονοῦσιν Ἐπισκόπους, καὶ Ἔκκλητον ἐπὶ τῆς καθόλου Ἐκκλησίας τῷ Πάπᾳ, καὶ ἑτέρας ἐρεσχελίας φλυαρούσης.

Ἡ κατὰ Φωτίου Σύνοδος, ἣν οἱ Λατῖνοι ἁγίαν ἔχουσι, λέγει Κανόνι ὀγδόῳ, Ἦλθεν εἰς τὰς ἀκοὰς ἡμῶν, ὅτι οἱ ὀρθόδοξοι Πατριάρχαι χειρόγραφον ποιεῖν ἀπαιτοῦσι πρὸς ἴδιον συνασπισμόν. ἔδοξεν οὖν τῇ ἁγίᾳ ταύτῃ καὶ Οἰκουμενικῇ Συνόδῳ μηδαμῶς ἀπὸ τοῦ νῦν γίνεσθαι τοῦτο, πλὴν τοῦ κατὰ τύπον καὶ συνήθειαν ὑπὲρ τῆς εἰλικρινοῦς πίστεως ἡμῶν ἀπαιτουμένου κατὰ τὸν καιρὸν τῆς τῶν Ἐπισκόπων χειροτονίας. καὶ ταῦτα μὲν ἡ Σύνοδος ἐκείνη. ἡ δὲ παροῦσα ὑποκρίνεται ὅτι φροντίζει τοῦ φυλάξαι τὰ ἀρχαῖα, ἔπειτα ἱεροσυλοῦσα τὰ Πατριαρχικὰ προνόμια, καὶ καινοτομοῦσα ἀσεβῶς, λέγει ταῦτα ῥητῶς. Τὰ παλαιὰ τῶν πατριαρχικῶν θρόνων προνόμια ἀνανεοῦντες, τῆς ἱερᾶς Οἰκουμενικῆς Συνόδου βεβαιούσης, ἀποφαινόμεθα, ἵνα μετὰ τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, ἥτις Θεοῦ εὐδοκοῦντος ἐπὶ πάσας τὰς λοιπὰς τῆς κοινῆς ἐξουσίας κατέχει τὴν ἡγεμονίαν, οἷα μήτηρ ἁπαξαπάντων τῶν πιστῶν καὶ διδάσκαλος, ᾗ ἡ ἐν Κωνσταντινουπόλει δευτέρα, ἡ Ἀλεξανδρινὴ τρίτη, ἡ Ἀντιόχεια τετάρτη, ἡ ἐν Ἱεροσολύμοις πέμπτη, φυλαττομένης ἔτι τῆς ἰδίας ἀξίας οὕτως, ἵνα μετὰ τὸ λαβεῖν αὐτοὺς τοὺς Πατριάρχας τὸ Παλίον ἀπὸ τοῦ πάπα τῆς Ῥώμης, ὅπερ ἐστὶ τοῦ πληρώματος τοῦ ἀρχιερατικοῦ ἐπαγγέλματος ἡ σφραγὶς, διδομένου αὐτῷ παρὰ τοῦ ὅρκου τῆς πίστεως καὶ τῆς ὑπακοῆς, ἐξῇ εἰς τὸ ἑξῆς καὶ αὐτοῖς τοῖς ὑπ' αὐτοὺς δωρεῖσθαι τὸ Παλίον, καὶ λαμβάνειν ὑπὲρ αὐτῶν τὸ κανονικὸν ἐπάγγελμα, καὶ ὑπὲρ τῆς ῥωμαϊκῆς Ἐκκλησίας τὴν ὑπόσχεσιν τῆς ὑπακοῆς; τοῦ δὲ κυριακοῦ Σταυροῦ τὴν σημαίαν πανταχοῦ αὐτῶν προπορεύεσθαι, πλὴν μόνης τῆς Ῥώμης, καὶ ὅπου ἂν ὁ ἄκρος Ἀρχιερεὺς παρὼν ᾖ, ἢ καὶ ὁ παρ' αὐτοῦ ἀπεσταλμένος, τῆς ἀποστολικῆς ἐξουσίας χρώμενος τοῖς σημείοις, ἐν πάσαις ὅμως ταῖς Ἐπαρχίαις ταῖς τῇ αὐτῶν δικαιολογίᾳ ὑποκειμέναις, οὔσης χρείας, πρὸς αὐτοὺς προσκαλείσθωσαν Ἔκκλητον, πλὴν τῶν Ἐκκλήτων τῶν ἀνηκουσῶν τῷ θρόνῳ τῷ ἀποστολικῷ, καὶ γὰρ μετὰ ταπεινότητος αὐτῷ μόνῳ τῷ θρόνῳ τὰ ἑαυτῶν ἀναφέρειν ὀφείλουσιν ἅπαντες οἱ Χριστιανοί.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι οὔτε ἀπὸ τῆς γραφῆς, ἢ τῶν Συνόδων καὶ πατέρων ὁ τὰ ἀνωτέρω νομοθετῶν τρίτος Ἰννοκέντιος ἀποδεῖξαι ἔχων, δείκνυται σὺν τῇ Συνόδῳ ταύτῃ ἀποβεβλημένων καὶ ἀναθέματι καθυποβεβλημένων νομοθέτης, καὶ ἐναντίος τῷ Θεῷ.

Ὁ λέγων ταῦτα, ἐστὶν Ἰννοκέντιος Πάπας ὁ τρίτος. ἐκ ποίας ὅμως γραφῆς ἢ Συνόδου Οἰκουμενικῆς, ἢ ἐκ ποίων ἁγίων πατέρων κατέχει ὁ Ῥώμης τὴν ἡγεμονίαν καὶ κοινὴν ἐξουσίαν ἐπὶ πάσας τὰς Ἐκκλησίας; καὶ πῶς οὐ λέγει τοὺς Κανόνας τοὺς δεδωκότας αὐτῷ τὴν τοιαύτην ἐξουσίαν; καὶ ποῖον ἐστὶ τὸ Παλίον; καὶ πότε οἱ Ἐπίσκοποι Ῥώμης ἔδωκαν τοῖς Πατριάρχαις τὸ Παλίον; καὶ πότε ἀπῆλθον οἱ Πατριάρχαι εἰς τὸν Πάπαν, ἢ εἰς τὴν Ῥώμην; καὶ πότε γέγονε τοῦτο εἰς τὴν Ἀνατολὴν, ἢ Δύσιν, ἢ Ἀφρικὴν, ζητεῖν δηλαδὴ τοὺς Ἐπισκόπους παρὰ τῶν ὑπ' αὐτῶν χειροτονουμένων Ἐπισκόπων ὑποταγὴν εἰς τὴν ῥωμαϊκὴν Ἐκκλησίαν; καὶ πῶς, εἰ οἱ Λεγᾶτοι τοῦ Ῥώμης προτιμῶνται τῶν Πατριαρχῶν, φυλάττονται τὰ ἀρχαῖα προνόμια; καὶ εἰ ὁ Ῥώμης ζητῶν τὴν Ἔκκλητον ἐπετιμήθη καὶ εἰς τὴν Καρθαγένην ὑπὸ τοῦ Κυπριανοῦ καὶ Αὐρηλιανοῦ, καὶ εἰς τὴν Ἀσίαν ὑπὸ τοῦ Πολυκράτους, καὶ πολλάκις ὑπὸ τῶν Κωνσταντινουπολιτῶν, πῶς νῦν πάλιν ζητεῖ ταύτην; τὸ Σύμβολον τῆς πίστεως πρεσβεύει καθολικὴν Ἐκκλησίαν, ποῦ δὲ ἐῤῥέθη, καὶ πότε, ὅτι πᾶς Χριστιανὸς ἔχει χρέος πείθεσθαι τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἤτοι τῇ μερικῇ; ὅπερ ἐστὶν ἄρνησις τῆς καθολικῆς Ἐκκλησίας, ταὐτὸν εἰπεῖν ἀθεϊσμός. ἡ κατὰ Φωτίου Σύνοδος κανονίζει, παρὰ τῶν Ἐπισκόπων μὴ ζητεῖσθαι ὑπόσχεσιν, πλὴν τῆς συνειθισμένης, ἥτις ἐστὶν ἀποδοχὴ τῶν Οἰκουμενικῶν Συνόδων, καὶ οὐχ ὑπακοὴ εἰς τὸν Ῥώμης. ἐνταῦθα ὁ Ἰννοκέντιος ἐκείνῃ ἀντινομοθετεῖ, καὶ πῶς οὐκ ἔστιν αὕτη προφανὴς παράνομος, τὰ ἀπηγορευμένα καὶ ἀποβεβλημένα καὶ ἀναθέματι ὑποβεβλημένα νομοθετοῦσα; ὁ γὰρ ἅγιος Γρηγόριος ὁ Διάλογος λέγει, ὅστις νομίζει ἔχειν γενικὴν ἐξουσίαν εἰς τὴν καθόλου Ἐκκλησίαν, ὅπερ ἐστὶ ταὐτὸν τῷ ἔχειν ἡγεμονίαν ἐπὶ πάσας τὰς Ἐκκλησίας, οὗτος περιποιεῖται ἀντιχριστιανικὸν ὄνομα καὶ διαβολικὴν λῆψιν, τουτέστιν Ἀντίχριστος σχεδόν ἐστι καὶ Διάβολος.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι τὸ τὸν Πάπαν τὴν εἰς αὐτὸν παπολατρικὴν ὑπακοὴν ἀπὸ τῶν χειροτονουμένων ζητεῖν, ἀπὸ τῆς νομοθεσίας τῆς Συνόδου ταύτης ἐπεκράτησεν, ὡς ὁ τῶν ἐν Κύπρῳ γενομένων τρόπος παρίστησιν.

Ἀπὸ

Ἀπὸ ταύτης τῆς νομοθεσίας ἐπεκράτησεν ἵνα καὶ εἰς τὸ μετέπειτα ζητῶσιν οἱ παπολάτραι παρὰ τῶν χειροτονουμένων τὴν εἰς τὸν Πάπαν ὑπακοὴν, καθὼς καὶ οἱ Κυπρίων Ῥωμαῖοι Ἐπίσκοποι, τῆς Κύπρου κατεχομένης ὑπὸ τῶν Λατίνων, χειροτονούμενοι, λέγει Ἰωσὴφ ὁ Βρυέννιος, πρὸ τῆς χειροτονίας ἀπῃτοῦντο ὑπὸ τῶν παπιστῶν τὴν ὑπόσχεσιν οὕτως, Ὁ Λατινοεπίσκοπος ἐπηρώτα τὸν Ὑποψήφιον, Ὑποτάσσῃ τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης, καὶ ὁμολογεῖς τὸν Πάπαν ἅγιον, καὶ τὴν Ἐκκλησίαν τῆς Ῥώμης ἁγίαν καὶ καθολικὴν Ἐκκλησίαν; Ὁ Ὑποψήφιος, Ἐγὼ ὁ δεῖνα Ἐπίσκοπος ἀπὸ ταύτης τῆς ὥρας καὶ εἰς τὸ ἑξῆς ὑποτάσσομαι τῷ θρόνῳ τῆς ἐν Ῥώμῃ Ἐκκλησίας, ὁμολογῶ τὸν Πάπαν ἅγιον, καὶ ὑποτάσσομαι τῷ κυρίῳ μου, καὶ πάντων ὁρώντων, ὤμνυεν εἰς τὰ ἅγια Εὐαγγέλια. τοῦτο δὲ ὅτι Αἱρετικῶν ἐστὶν ἴδιον, μάρτυς Γεώργιος ὁ Σύγκελλος γράφων, ὅτι Ναυᾶτος ὁ Αἱρετικὸς διδοὺς τὴν προσφορὰν τοῖς ὀπαδοῖς αὐτοῦ, ἔλεγεν, Ὤμοσόν μοι κατὰ τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μηδέποτέ με καταλιπεῖν, καὶ ἐπιστρέψαι πρὸς Κορνήλιον, τὸν Ἐπίσκοπον Ῥώμης δηλονότι, καὶ ὁ ἄθλιος ἄνθρωπος οὐ πρότερον γεύεται, εἰ μὴ πρῶτον ἑαυτῷ καταράσηται, καὶ ἀντὶ τοῦ εἰπεῖν ἐν τῷ λαμβάνειν τὸν ἄρτον ἐκεῖνον τὸ, ΑΜΗΝ, οὐκ ἔτι ἀνήξω πρὸς Κορνήλιον λέγει. ταῦτα γράφει καὶ ὁ Κορνήλιος πρὸς Φάβιον, ὡς γράφει ὁ Εὐσέβιος βιβλίῳ ἕκτῳ κεφαλαίῳ τεσσαρακοστῷ τρίτῳ ἐκκλησιαστικῆς ἱστορίας. ὅτι δὲ ἀλήθεια λέγει ὁ Ἰωσὴφ, φανερόν ἐστιν, ὁ γὰρ Πάπας Ἀλέξανδρος τέταρτος, ὃς ἐπεσκόπησεν ἐν ἔτει χιλιοστῷ διακοσιοστῷ πεντηκοστῷ τετάρτῳ, διώρισεν εἶναι ἐν τῇ Κύπρῳ μόνους τέσσαρας Ἐπισκόπους, τὸν Ἀρχιεπίσκοπον Γερμανὸν, τὸν Σωλέας, τὸν Καρπάσου, καὶ τὸν Λευκάρων, ἐπειδὴ τόσοι ἦσαν καὶ Λατῖνοι, καὶ ἵνα, θανόντος Ἐπισκόπου Ῥωμαίου, ψηφίζωνται ἕτερον οἱ Κληρικοὶ, καὶ βεβαιοῖ αὐτὸν ὁ πλησιόχωρος Λατινοεπίσκοπος, χειροτονεῖσθαι ὅμως τοῦτον ὑπὸ τῶν Ἐπισκόπων Ῥωμαίων, καὶ ὁμέλλων χειροτονεῖσθαι διδόναι γράμμα ὑποσχετικὸν, Ἐγὼ ὁ δεῖνα Ἐπίσκοπος ὑποτάσσομαι τῷ ἁγίῳ Πέτρῳ ἐν τῷ θρόνῳ τῆς ἐν Ῥώμῃ Ἐκκλησίας, καὶ τῷ κυρίῳ μου τῷ Ἀρχιεπισκόπῳ Λευκοσίας (τῷ Λατίνῳ) σωζομένης τῆς τάξεως τοῦ πατρίου μου ἀξιώματος, καὶ ὅτι μετὰ τὸν θάνατον τοῦ Ἀρχιεπισκόπου Γερμανοῦ μηκέτι εἶναι Ἀρχιεπίσκοπον Ῥωμαῖον, μόνον τὸν Μητροπολίτην Λατῖνον, καὶ εἶναι οὕτω τοὺς Σύρους ὡς καὶ τοὺς Ῥωμαίους. Ὑπέγραψαν δὲ εἰς τὸ δίπλωμα ὀκτὼ Καρδηνάλεις, Πρεσβύτεροι καὶ Διάκονοι. ταῦτα ὁ Γρηγόριος. ἔμενεν οὖν καὶ ἕως τοῦ Βρυεννίου ἡ τοιαύτη τάξις εἰς τὴν Κύπρον, καὶ ἦσαν οἱ ἐν Κύπρῳ Ῥωμαῖοι κοινωνοῦντες Λατίνοις, καὶ διατοῦτο καὶ Σύροις, οἵτινες εἰσὶν Ἰακωβῖται, ἤτοι Μονοφυσῖται. καὶ διατοῦτο πρεπόντως ἐκώλυον ὁ Διδάσκαλος τὴν μετὰ τῶν τοιούτων ἕνωσιν κατὰ τοὺς διαγορεύοντας ἱεροὺς Κανόνας, Μὴ κοινωνεῖν τοῖς ἀκοινωνήτοις.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι Γραικοὺς Πατριάρχας ἐν αὐτῇ ἡ παροῦσα Σύνοδος παρεῖναι λέγουσα, ψεύδεται, καὶ περὶ τῶν ἐν Νικαίᾳ Πατριαρχῶν καὶ Βασιλέων, καὶ τοῦ κατ' αὐτοὺς καιροῦ τῆς ἀθροίσεως ταύτης τῆς ἐν Λατεράνῳ Συνόδου.

Εἰς τὸν τέταρτον αὐτῆς Κανόνα προφανῶς ψεύδεται λέγουσα, αὐτομολῆσαι εἰς αὐτὴν τοὺς Γραικοὺς, ἀλλ' οὐ λέγει ποῖοι. ὥστε ἐπειδὴ οὐ μόνον αἱρετικὴ καὶ ἀγέρωχος οὖσα, ἀλλὰ καὶ ψευδεπίπλαστα λέγουσα καὶ ὅλως ἀνύπαρκτα, οὐκ ἔστι Σύνοδος ἁγία, ἀλλὰ Σύνοδος πονηρευομένων, καὶ γὰρ ὁ παπισμὸς οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ οἶκος ὑπερηφάνων, πονηρίᾳ τεθεμελιωμένος, καὶ καυχήσει ἐστηριγμένος, εἰ μήπου τὶς κατά τι αὐτὴν ἀληθεύουσαν βούλεται εἰπεῖν, ἐπειδὴ ὁμολογεῖ ἐν αὐτῷ τῷ Κανόνι, ὅτι οἱ τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἔνθα ἐλειτούργουν οἱ παπισταὶ, εἰ μὴ ἐποίουν καθάρσιον δι' ἁγιασμοῦ, οὐκ ἐλειτούργουν, καὶ ὅτι τοὺς Λατίνους προσερχομένους τῇ ὀρθοδοξίᾳ, ἀνεβάπτιζον οἱ Ἀνατολικοὶ, ἴσως μὴ ἔχοντες διὰ βάπτισμα ἅγιον τὸ μὴ γινόμενον κατὰ τὴν παράδοσιν τῶν ἁγίων πατέρων, ἑπόμενοι τῇ ἁγίᾳ γραφῇ καὶ τῇ ἀποστολικῇ ἐπιταγῇ. ἐκ τῶν εἰρημένων δὲ γίνωσκε φανερῶς, ὅτι ἐψεύσθη Διονύσιος Γιεζουβίτης ὁ Πατάβιος, εἰπὼν περὶ τῶν Ἑλλήνων εἰς τὴν ἐν Λατεράνῳ τετάρτην ταύτην Σύνοδον, ὅτι οἱ Ἕλληνες λατινοφρονήσαντες, ἐπανῆλθον εἰς τὸ πρῶτον σχίσμα, ἐπειδὴ ἐκεῖ οὐδεὶς ἦν Ἕλλην ὀρθόδοξος, μήτε μὴν ἦν τις ἀπεσταλμένος ἀπὸ τῆς Ἀνατολικῆς Ἐκκλησίας, πρῶτον, ὅτι τοῦτο οὐδεὶς εἶπε, μήτε αὐτὸς ὁ Πατάβιος. δεύτερον, ὅτι ὁ ῥηθεὶς τέταρτος Κανὼν ταύτης τῆς Συνόδου λέγει ῥητῶς, Εἰ καὶ τοὺς Γραικοὺς τοὺς αὐτομολήσαντας, ὡσεὶ ἔλεγεν, ἦσαν ἐκεῖ τινὲς αὐτοκάλεστοι καὶ λατινόφρονες, οἱ δὲ τοιοῦτοι ἀποστατήσαντες Ἑλλήνων, ἀκούουσιν, οὐχ Ἕλληνες. καὶ δὴ καὶ ὁ Βίνιος ψεύδεται, λέγων τὸν Κωνσταντινουπόλεως καὶ τὸν Ἱεροσολύμων ἀπελθεῖν εἰς Ῥώμην, ἐπειδὴ ἦσαν οἱ Λατινοπατριάρχαι, οἱ γὰρ γνήσιοι καὶ ὀρθόδοξοι Πατριάρχαι ἦσαν εἰς Νίκαιαν, τοῦ Καματηροῦ μετὰ τὴν ἅλωσιν ἀναχωρήσαντος εἰς Διδυμότειχον, ὡς λέγει ὁ Χωνειάτης, κἀκείνου κοιμηθέντος, οἱ μετ' ἐκεῖνον ἦσαν εἰς Νίκαιαν, οὓς ἀριθμεῖ ὁ Ἀκροπολίτης καὶ ὁ Ἐφραὶμ, λέγοντες, ὅτι εἰς τὴν Νίκαιαν γεγόνασι πρῶτος Μιχαὴλ Αὐτορειανὸς σοφὸς ἀνὴρ, εἶτα Θεόδωρος Ὕπατος τῶν φιλοσόφων, εἶτα Μάξιμος Ἡγούμενος Μονῆς τῶν Ἀκοιμήτων, εἶτα Μανουὴλ φιλόσοφος καὶ αὐτὸς,

εἶτα

εἶτα Γερμανὸς ὁ νέος, εἶτα Μεθόδιος Ἡγούμενος Μονῆς τοῦ Ὑακίνθου, εἶτα Μανουὴλ ὁ Πρωτοπαπᾶς, εἶτα Ἀρσένιος, εἶτα Νικηφόρος Ἐφέσου, εἶτα πάλιν Ἀρσένιος ἐν τῇ ἁλώσει τῆς πόλεως ὑπὸ Ῥωμαίων. ἐγένετο δὲ ἡ παροῦσα ἐν Λατεράνῳ Συνόδος, ὄντος Κωνσταντινουπόλεως Πατριάρχου ἐν τῇ Νικαίᾳ τοῦ Θεοδώρου.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῆς ἐν Νικαίᾳ βασιλείας μετὰ Θεόδωρον Ἰωάννου Βατάτζη, καὶ τῆς ἀγχιστείας αὐτοῦ μετὰ τοῦ Ἄρχοντος Βουλγάρων, καὶ αὐτονομίας τῆς Τουρνόβου ἐπὶ Γερμανοῦ Πατριάρχου.

Ἰωάννης Βατάτζης ὁρμώμενος ἀπὸ Διδυμοτείχου, ἐγένετο Διάδοχος τοῦ Θεοδώρου ὡς γαμβρὸς αὐτοῦ, ἔλαβε δὲ εἰς τὸν υἱὸν αὐτοῦ Θεόδωρον Ἑλένην τὴν θυγατέρα Ἀσάνη Ἄρχοντος Βουλγάρων, καὶ γίνονται οἱ γάμοι εἰς τὴν Χερρόνησον, ὅτε καὶ ἡ Τούρνοβος ὑπὸ τὴν Κωνσταντινούπολιν τελοῦσα, αὐτονομίαν ἔλαβε βασιλικῷ καὶ συνοδικῷ γράμματι κατὰ τὸν Λογοθέτην τὸν Ἀκροπολίτην δεήσει τοῦ Βουλγάρου, ὅτι ἦν ἀρχαία κατοικία τοῦ ἔθνους αὐτοῦ. ἦν δὲ Πατριάρχης Κωνσταντινουπόλεως ὁ Γερμανός.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἐξ Ἀλαμανίας δευτέρας γυναικὸς τοῦ Βασιλέως Ἰωάννου Βατάτζη, καὶ τῆς θεραπαίνης αὐτῆς, ᾗ συνεμίγνυτο ὁ Βασιλεὺς, τῶν τε τῇ ὀρθοδοξίᾳ προστεθέντων Ἱερέων τῆς Βασιλίσσης, καὶ τῆς τελευτῆς τοῦ Βασιλέως.

Οὗτος ὁ Ἰωάννης ἔλαβε δευτέραν γυναῖκα ἐκ τῆς Ἀλαμανίας ὀνόματι Ἄνναν, εἶχε δὲ ἡ βασίλισσα θεραπαινίδα ὀνόματι Μαρκεσίναν, καὶ συνεφθείρετο ταύτῃ ὁ Βασιλεύς. ἀπελθούσης δὲ τῆς Μαρκεσίνης προσκυνῆσαι εἰς τὴν Μονὴν τοῦ Βλεμμύδους, ἔκλεισεν ἐκεῖνος τὸ Μοναστήριον, καὶ ἐδίωξεν αὐτὴν ἀκοινώνητον, ὡς γράφει μάλιστα μόνος αὐτὸς ὁ Βλεμμύδης ἔν τινι ἐπιστολῇ. ἡ δὲ Μαρκεσίνα ὑπέστρεψεν εἰς τὸν Βασιλέα ἐγκαλοῦσα καὶ κλαίουσα. ἀλλ' ὁ Βασιλεὺς οὐδὲν τοῦ Βλεμμύδους κατεῖπεν, ἐθρήνει δὲ περὶ ἑαυτοῦ, ὅτι ἐμίανε τὴν κοίτην αὐτοῦ μόνος. εἶχε δὲ ἡ Ἄννα καὶ Λατίνους Ἱερομονάχους, Μάρκον Νεκτάριον καὶ Ἰσαάκιον, οἵτινες ἐπειδὴ ἀφεῖκαν τὸν παπισμὸν, καὶ προσετέθησαν τῇ καθολικῇ Ἐκκλησίᾳ, ὁ Πατριάρχης Μανουὴλ ἐδέξατο αὐτοὺς, οἳ καὶ συνελειτούργησαν αὐτῷ εἰς τὴν Μονὴν τοῦ Ὑακίνθου, καὶ ἴδε τὴν κειμένην συλλογὴν ἐν τῷ μεγάλῳ Νομίμῳ τοῦ Ἐπισκοπείου Κωνσταντινουπόλεως. ἀριστεύσας δὲ ὁ Ἰωάννης ἐν τῷ κατὰ τῶν Ἠπειρωτῶν πολέμῳ, θνήσκει ὢν ἐτῶν ἑξήκοντα, καὶ θάπτεται εἰς τὴν Μονὴν τῶν Σωσάνδρων, ἣν αὐτὸς ἐδείματο εἰς τὴν Νίκαιαν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς νίκης, ἣν ἐποίησε κατὰ τοῦ κινηθέντος κατὰ τῶν Ῥωμαίων δευτέρου Βασιλέως τῆς Κωνσταντινουπόλεως Βαλδουΐνου ὁ Βατάτζης, καὶ ὧν ἐποίησε τῷ τοῦ ψευδοβασιλέως Θεοδώρου υἱῷ, παραλαβὼν καὶ τὸν Μελένικον καὶ ἐνδύσας τὸν ἐπὶ τὸν Στρατὸν καββάδιον. ὃ καὶ τοῖς Ὀθωμανοῖς ἔθος ποιεῖν ἐν τοῖς ἀξιωματικοῖς.

Ἀλλὰ καὶ Βαλδουῖνος ὁ δεύτερος Βασιλεὺς Βυζαντίου ἀπελθὼν εἰς τὸν Ῥῆγα Φραγγίας συγγενῆ αὐτοῦ, καὶ φύσει ἐχθρὸν Ῥωμαίοις ὄντα, ἤθροισεν ἑξήκοντα χιλιάδας Στρατὸν, καὶ ἤρχετο ἀφανίσαι πᾶσαν Ῥωμαίων ἀρχὴν, ἔδωκαν δὲ αὐτῷ καὶ οἱ Βούλγαροι δίοδον δῆθεν ἀκουσίως αὐτῶν, ἀλλὰ συμβαλλὼν αὐτῷ ὁ Ἰωάννης, ἐτροπώσατο σὺν Θεῷ καὶ ἐκεῖνο τὸ λατινικὸν πλῆθος, εἶτα ἐπιδημήσας εἰς Θεσσαλονίκην, λέγει ὁ Ἀκροπολίτης Γεώργιος ὁ Λογοθέτης, εὗρεν ἐκεῖ τὸν τυφλωθέντα ψευδοβασιλέα Θεόδωρον, καὶ Ἰωάννην τὸν υἱὸν αὐτοῦ, ὃν Ἰωάννην ἐβιάσατο, καὶ ἀφῆκε μεθ' ὅρκων τὸ λέγεσθαι Βασιλεὺς, καὶ τὰ βασιλικὰ σημεῖα, ἅτινα ἦσαν κόκκινα πέδιλα, Σκιάδειον πεποικιλμένον διὰ μαργάρων, ἔχον καὶ λίθον πολύτιμον. ἀφεὶς οὖν ταῦτα ὁ Ἰωάννης, ἔμεινε λέγεσθαι μόνον Δεσπότης, ἦν δὲ μεσίτης καὶ πρεσβευτὴς εἰς τὸ ἔργον αὐτὸς ἐκεῖνος μόνος ὁ καινοτομήσας τὰ τοιαῦτα Θεόδωρος. λέγουσι δὲ περὶ τούτου τοῦ υἱοῦ τοῦ Θεοδώρου Ἰωάννου, ὅτι ἦν ἀνὴρ ἀγαθὸς, καθότι Μοναχοῖς ἀεὶ καὶ εὐχαῖς καὶ στάσεσι παννυχίοις προσεῖχε, καὶ ὅτε οὐκ ἦν ἀσθενὴς, ὁσημέραι ἐβάδιζεν εἰς ἀκρόασιν Λειτουργίας. ἐγένετο δὲ ταῦτα τῷ ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ τεσσαρακοστῷ πρώτῳ ἔτει. λαβὼν δὲ τότε τὸ Μελένικον ὁ Βατάτζης ἀπὸ τῶν Βουλγάρων, ἐφόρεσεν Ἰωάννην τὸν Δραγόταν χλαῖναν χρυσοΰφαντον. καὶ σημείωσαι ὅτι τὴν χλαμίδα, ἤτοι τὸ κοινῶς λεγόμενον Καββάδιον, ὅπερ φοροῦσι νῦν οἱ Ὀθωμανοὶ τοὺς τιμωμένους ὑπ' αὐτῶν, ἐστὶν ἀρχαία συνήθεια.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ἐν Νικαίᾳ Συνόδου, καὶ τῆς αἰτίας δι' ἣν ἠθροίσθη ἐπιμελείᾳ τοῦ Πατριάρχου Γερμανοῦ, καὶ περὶ τοῦ ἁλωθέντος, καὶ ἐλευθερωθέντος, καὶ τῆς Κύπρου βασιλεύσαντος Ἰσαακίου ἀνεψιοῦ Μανουὴλ τοῦ Κομνηνοῦ, καὶ καθειρχθέντος ὑπὸ τοῦ τῆς Ἐγκλιτέρας Ῥηγὸς Ἴγκλητερ, τοῦ τοῖς Λατίνοις ἀμπεπωλήσαντος τὴν Κύπρον.

Ἐπὶ τῆς παρούσης βασιλείας ἦν Γερμανὸς ὁ Πατριάρχης Κωνσταντινουπόλεως, ὅστις ἦν ἀπὸ τοῦ Ἀνάπλου τοῦ Βυζαντίου, περὶ οὗ λέγει ὁ Γρηγορᾶς ἐν τῷ τρίτῳ βιβλίῳ τῆς ἱστορίας αὐτοῦ κεφαλαίῳ πρώτῳ, ὅτι ἦν ἀνὴρ συνετὸς καὶ ἀρετῇ καὶ λόγῳ τὸν βίον κεκοσμημένος, γέγονε δὲ Πατριάρχης ἐν ἔτει χιλιοστῷ διακοσιοστῷ εἰκοστῷ, κατήχθη δὲ τοῦ θρόνου χιλιοστῷ διακοσιοστῷ τεσσαρακοστῷ, καὶ ἀνεκλήθη χιλιοστῷ διακοσιοστῷ πεντηκοστῷ τεταρτῷ, ἐν ᾧ καὶ ἀπέθανε, καὶ ἔμεινεν ὁ θρόνος ἄνευ Πατριάρχου τῷ ἑξῆς ἔτει, ὅτε καὶ Θεόδωρος ὁ νέος ἐβασίλευσεν. οὗτος ἐστὶν ὁ ᾀδόμενος Γερμανὸς ὁ νέος. οὗτος οὖν ἐπιμεληθεὶς, ἤθροισε Σύνοδον ἐν Νικαίᾳ ἐν ἔτει χιλιοστῷ διακοσιοστῷ τριακοστῷ τρίτῳ, ἐν Μηνὶ Ἀπριλλίῳ. εἶχε δὲ ἡ ἄθροισις τῆς Συνόδου τὴν αἰτίαν ταύτην. Εἴρηται ἐν τῷ ἀνωτέρῳ κεφαλαίῳ ὅσα κακὰ ἐποίησαν οἱ παπισταὶ τοῖς ὀρθοδόξοις τοῖς ἐν Κωνσταντινουπόλει, ἐν Κύπρῳ, καὶ ἐν ἄλλοις τόποις, ἀλλ' εἰς σαφεστέραν κατάληψιν λέγομεν ἐνταῦθα πλατύτερον, ὅτι Νεόφυτος Ἱερομόναχος ἔγκλειστος ἐν Κύπρῳ, οὗτινος καὶ ὁμιλίαι τινὲς εὑρίσκονται βραχεῖς εἰς τινὰς κυριακὰς καὶ ἑορτὰς, γράφων περὶ τῶν ἐν Κύπρῳ σκαιῶν πρός τινας, λέγει, ὅτι ὁ μακαρίτης Αὐτοκράτωρ Μανουὴλ ὁ Κομνηνὸς ἔπεμψε τινὰ ἀνεψιὸν αὐτοῦ Ἰσαάκιον ὀνόματι φύλακα πρὸς τὰ ἐν τῇ Ἁρμενίᾳ βασιλικὰ φρούρια, ὅνπερ Ἰσαάκιον συνάψαντα πόλεμον μετὰ τῶν Ἁρμενίων συνέλαβον οἱ Ἁρμένιοι καὶ ἐπώλησαν αὐτὸν Λατίνοις, οἵτινες κατεῖχον αὐτὸν ἐν δεσμοῖς, ἦν δὲ τεθνηκὼς ὁ Μανουὴλ, ἀναιρεθέντος δὲ καὶ τοῦ Ἀλεξίου τοῦ υἱοῦ Μανουὴλ ὑπὸ τοῦ Ἀνδρονίκου, δυσωπηθεὶς ὁ Ἀνδρόνικος παρὰ τῆς Συγκλήτου, ἔστειλε πολύ τι χρῆμα καὶ ἐξηγόρασε τὸν Ἰσαάκιον ἀπὸ τῶν Λατίνων, ὁ δὲ Ἰσαάκιος κακοτροπώτατος ὤν, παρεγένετο εἰς Κύπρον καὶ ἐφημίσθη Βασιλεὺς, καὶ ἐκράτησεν αὐτῆς, ἦν δὲ ἐκεῖνος ὁ καιρὸς καθ' ὃν ἔλαβε τὴν Ἱερουσαλὴμ ὁ Σαλαδῖνος ἀπὸ τῶν Λατίνων. τόσα δὲ κακὰ εἰργάσατο τοὺς ἐν τῇ Κύπρῳ ὁ Ἰσαάκιος, ὅσα σχεδὸν εἰργάσατο ὁ Σαλαδῖνος τοὺς ἐν τῇ Παλαιστίνῃ. κινηθέντων δὲ τότε τῶν Δυτικῶν εἰς ἀπολύτρωσιν τῆς Ἱερουσαλὴμ, ὡς εἴρηται ἀνωτέρω κεφαλαίου ἑνδεκάτου Παραγράφῳ ἑβδόμῳ, ἦν ἐν αὐτοῖς ὁ Βασιλεὺς τῆς Ἀλαμανίας Κοράδος, οὐ μετὰ ἑκατὸν πεντήκοντα χιλιάδων, ὡς εἰρήκασί τινες, ἀλλὰ μετὰ ἐννακοσίων χιλιάδων, λέγει ὁ Νεόφυτος. ἀλλὰ δὴ καὶ τοῦ Ῥηγὸς τῆς Ἐγκλιτέρας Ἴγκλητερ ἔχοντος καράβους μεγάλους, ἤτοι γαλούνια, καὶ ἐλθόντος εἰς Κύπρον, φεύγοντες οἱ Κύπριοι τὸν Ἰσαάκιον, ἀπῆλθον εἰς αὐτὸν, μὴ εἰδότες ὅτι ἔφυγον Λύκον, καὶ ὑπέπεσον Ἄρκτῳ. ὁ οὖν Ἴγκλητερ τὸν μὲν Ἰσαάκιον ἔδησεν, καὶ ἐν τινι πολίσματι τῆς Φοινίκης Μαρκάππῳ λεγομένῳ καθεῖρξε, τὴν δὲ Κύπρον ἐσκύλευσε, καὶ ἐδήωσεν ὡς λίαν ἀπάνθρωπος καὶ αἱμοβόρος Λύκος, καὶ εἶτα ἀπῆλθεν εἰς Ἱερουσαλὴμ, καὶ ἐπειδὴ οὐκ ἐδυνήθη ποιῆσαί τι ἔργον ἄξιον κατὰ τοῦ Σαλαδίνου, ὑπέστρεψεν ἄπρακτος, πωλήσας δὲ τὴν Κύπρον τοῖς Λατίνοις, καὶ λαβὼν διακοσίας λίτρας χρυσίου, ἀπῆλθεν εἰς τὰ ἴδια, ὀλολυγμὸν ἀφόρητον καὶ καπνὸν πεπυκνωμένον ἀφεὶς τοὺς Λατίνους ἐν τῇ Κύπρῳ. τῆς μὲν γὰρ θαλάσσης ἀγριουμένης ὑπὸ κλύδονος καὶ καταιγίδος, γαλήνη ἐκδέχεται τὴν ἀγριότητα αὐτῆς, ἐν τῇ Κύπρῳ δὲ ὁ κλύδων τῆς ἀσεβείας καὶ τῆς ὠμότητος τῶν Παπιστῶν καθ' ὥραν ἐπαύξει, καὶ τὸ ῥαγδαῖον αὐτοῦ τέλος οὐκ ἔχει, εἰ μήπου ὁ Θεὸς ἐλεήσῃ, καὶ παύσῃ τὰ μέγιστα καὶ ἄῤῥητα κακὰ τῶν Λατίνων. ταῦτα καὶ τοιαῦτα ὁ Νεόφυτος.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ εἰς τὴν ἐν Νικαίᾳ Σύνοδον ἐλθόντος Ἀρχιεπισκόπου Κύπρου Ἡσαΐου ἐπὶ Μανουὴλ Πατριάρχου, καὶ συγχωρηθέντος εἰς ἃ μεθ' ὅρκου βιαίου ὡμολόγησε παπίζειν.

Ἐν τῷ ἀνωτέρῳ κεφαλαίῳ ἐῤῥέθησαν αἱ βίαι καὶ οἱ ὅρκοι τῶν παπιστῶν πρὸς τοὺς ἐν Κύπρῳ ὀρθοδόξους, νῦν δὲ λέγομεν ὅτι ἐπὶ Μανουὴλ τεταρτοῦ Πατριάρχου Κωνσταντινουπόλεως ἐν τῇ Νικαίᾳ, ἦλθεν εἰς Νίκαιαν ὁ Κύπρου Ἀρχιεπίσκοπος Ἡσαΐας, καὶ ἐζήτησεν ὑπὸ τῆς ἐκεῖσε Συνόδου συγχώρησιν, διὰ τὸ ὁμολογῆσαι πρὸς καιρὸν τὴν πρὸς τὸν Πάπαν ὑποταγὴν, εἰ καὶ βιαίως, καὶ διὰ τοὺς ὅρκους οὓς ἐποίησαν οἱ Κύπριοι ἵνα μένωσιν εἰς τὸν παπισμὸν, καὶ ἔτυχον τῆς αἰτήσεως, καὶ ἴδε ταῦτα εἰς πλάτος ἐν τῇ νομικῇ συναγωγῇ τοῦ Ἐπισκοπείου Κωνσταντινουπόλεως.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τριῶν ὑποτακτικῶν τῷ Πάπᾳ ζητημάτων, ἃ οἱ παπισταὶ παρὰ τῶν ἐν Κύπρῳ ὀρθοδόξων ᾔτουν, καὶ τῆς πρὸς τοὺς διὰ ταῦτα σταλέντας παρὰ τῶν Κυπρίων ἀποκρίσεως τῆς ἐν Νικαίᾳ Συνόδου.

Ἐπειδὴ

Ἐπειδὴ πάλιν τὰ αὐτὰ κακὰ ἐγένοντο ἐν τῇ Κύπρῳ, καὶ γὰρ οἱ Λατῖνοι τὰ αὐτὰ ἐποίουν τῷ τετάρτῳ θηρίῳ τοῦ Δανιὴλ, ἐσθίοντες καὶ λεπτύνοντες τὸ ἐν Κύπρῳ Ἱερατεῖον, καὶ τοὺς ἐπιλοίπους ὀρθοδόξους τοῖς ποσὶν αὐτῶν συμπατοῦντες, ἐπειδὴ τὸν Ἀρχιεπίσκοπον Κύπρου Νεόφυτον, καὶ τοὺς ὑπ' αὐτὸν ὀρθοδόξους ἐβίαζον πείθεσθαι τῷ Πάπᾳ, καὶ ἠνάγκαζον αὐτοὺς ὅρκους ποιεῖν ἵνα μένωσιν εἰς τὸν παπισμὸν ἀπαράτρεπτοι, ὥστε καὶ τὸν γνήσιν τοῦτον Ἀρχιεπίσκοπον Νεόφυτον, καὶ πολλοὺς τῶν δοκίμων ἐδίωξαν, οἵτινες εὑρισκόμενοι εἰς τὰ μέρη τῆς Ἀνατολῆς, ἔπεμψαν εἰς τὴν Νίκαιαν τὸν Σωλείας Ἐπίσκοπον Λεόντιον, καὶ τὸν Ἡγούμενον Μονῆς τῶν Ἀψινθίων Λεόντιον καὶ αὐτὸν, φαίνεται δὲ εἰς τὸ εἰρημένον Νόμιμον, ὅτι ἦλθε μεταταῦτα καὶ ὁ Ἀρχιεπίσκοπος Νεόφυτος εἰς τὴν Νίκαιαν, κατὰ τὸ παρὸν ὅμως οἱ δύο Λεόντιοι στάντες ἐπὶ Συνόδου, εἶπον ὅτι ἐδίωξαν οἱ Λατῖνοι τὸν Νεόφυτον, καὶ πᾶν τὸ ἱερατικὸν πλήρωμα, καὶ ὅτι εὑρίσκονται εἰς τὰ μέρη τῆς Ἀνατολῆς, ἐπεῖπον δὲ, ὅτι ἐζήτουν παρ' αὐτῶν οἱ Λατῖνοι τρία τινὰ, πρῶτον, ἵνα ἐμβάλλωσιν οἱ ὀρθόδοξοι τὰς χεῖρας αὐτῶν ἐν ταῖς χερσὶ τῶν Λατίνων, καὶ οὕτως ὑποσχεθῶσι τὴν πρὸς τὸν Πάπαν ὑποταγήν. δεύτερον, ὅτε γίνεται Ἐπίσκοπος ὀρθόδοξος, ἵνα γίγνηται καὶ μετὰ εἰδήσεως τοῦ Λατινοεπισκόπου, ὅπερ ἐπράττετο δι' αἰσχροκέρδειαν. τρίτον, ἵνα κρινομένων τινῶν ὀρθοδόξων εἰς τὸν ἴδιον Ἐπίσκοπον, εἰ τὸ ἓν μέρος ἀπαρέσκεται τῇ κρίσει, καὶ θελήσει ἀνακριθῆναι εἰς τὸν Λατινοεπίσκοπον, μὴ κωλύηται, ὅπερ καὶ αὐτὸ ἐγίνετο αἰσχροκερδείας χάριν. ἡ Σύνοδος οὖν τὰ δύο τελευταῖα συνεχώρησε γίνεσθαι, ἐπειδὴ δυνατόν ἐστι τοὺς ὀρθοδόξους διδόναι χρήματα καὶ εἶναι ἐλευθέρους. τὸ πρῶτον ὅμως ἔκρινε κατὰ πάντα τρόπον μὴ εἶναι συγκεχωρημένον γίνεσθαι, ἐπειδὴ οὐδεμία οἰκονομία συγχωρεῖ κοινωνεῖν τοῖς ἀκοινωνήτοις.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς πρὸς τὸν Πάπαν ἐπιστολῆς τοῦ ἐν Νικαίᾳ Πατριάρχου Γερμανοῦ, καὶ ὧν περιέχει παπικῶν νεωτερισμῶν, καὶ τῆς πρὸς τοὺς ἐν Κύπρῳ τυραννουμένους ἐπὶ τὸ παπίσαι δευτέρας αὐτοῦ ἐπιστολῆς.

Τῶν Κυπρίων πάλιν οὐμόνον βίαις, ἀλλὰ καὶ σοφιστείαις καὶ ἀπάταις πολεμουμένων ὑπὸ τῶν Λατίνων, τινὲς τῶν Ἀρχιερέων καὶ Ἱερέων ἐξέκλινον τῆς εὐθείας ὁδοῦ. ὅθεν οὗτος ὁ ῥηθεὶς Κωνσταντινουπόλεως ὁ νέος Γερμανὸς ἔγραψεν ἐπιστολὴν συνοδικὴν δευτέραν εἰς τὴν Κύπρον, ἐν ᾗ σφοδρῶς κατατρέχει τοῦ Πάπα τῆς Ῥώμης, ὅτι τυφούμενος νομίζει οὐμόνον τὸν Χριστὸν, ἀλλὰ καὶ αὐτὸν εἶναι κεφαλὴν τῆς Ἐκκλησίας, καὶ ἀναιρεῖν μὲν τὴν ἰσότητα τῶν πέντε Πατριαρχικῶν θρόνων, ἑαυτὸν δὲ ἀποθρασυνόμενον ἀφομοιοῦν τῷ ὑψίστῳ, ὥσπερ ποτε δηλονότι περὶ ἑαυτοῦ ἐνόμιζεν ὁ Διάβολος. σφάλμα δὲ πρῶτον τῶν Ἰταλῶν λέγει, ὅτι ἐστὶν ἡ ἐν τῷ Συμβόλῳ προσθήκη, ἣν ὁ δεχόμενος, ἔστω ἀνάθεμα κατὰ τὴν ὑποτύπωσιν τῶν Οἰκουμενικῶν Συνόδων, καὶ τῆς ἕκτης ἐν τῷ τέλει τοῦ πρώτου Κανόνος αὐτῆς. ὑπογράφων δὲ τὸ σχίσμα καὶ τὴν Αἵρεσιν τῶν Λατίνων, λέγει, Ἐπειδὴ ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις ἦσαν καὶ οἱ τῆς Ῥώμης Ἀρχιερεῖς, οὓς καὶ αὐτοὺς οἱ νῦν Πάπαι ἀθετοῦσιν, ὥστε εἶναι τοὺς νῦν Ἰταλοὺς νέας πίστεως δογματιστὰς καὶ ἑτέρων Κανόνων ἐφευρετὰς, λοιπὸν ζητείτωσαν ἕτερον Χριστὸν, καὶ ἑτέρους Ἀποστόλους, ἐπειδὴ οἱ πατέρες τῶν Οἰκουμενικῶν Συνόδων οὐπεπιστεύκασιν εἰς Πνεῦμα ἅγιον ἐκ δύο προσώπων τὴν ὕπαρξιν ἔχον, ἀλλὰ τῷ Χριστῷ εἰπόντι, ὅτι ἐκ τοῦ Πατρὸς ἐκπορεύεται. ταῦτα εἰπὼν ὁ Γερμανὸς, νουθετεῖ τοὺς Κυπρίους λέγων, ὅτι μέγα ἐστὶ κακὸν τὸ ὑποτάσσεσθαι ταῖς ἰδιορυθμίαις τῆς πρεσβυτέρας Ῥώμης. δεύτερον, οἱ λαϊκοὶ ἵνα φεύγωσιν ἀπὸ τῶν Ἱερωμένων τῶν γενομένων κοινωνῶν τοῖς παπισταῖς. τρίτον, ὅστις ὁ πωσδήποτε ὡμολόγησε τὸν Πάπαν εἶναι Ἀρχιερέα, μὴ ἔχειν συγχώρησίν ποτε, ἐὰν μὴ τοῦτο ἀρνήσηται ἐνώπιον τοῦ Ἀρχιεπισκόπου τῶν Λατίνων. τέταρτον, ὅσοι Ἱερεῖς ὑπετάγησαν τῷ Πάπᾳ, καὶ ἀφορίζουσι τοὺς ὀρθοδόξους τοὺς μὴ πειθομένους τῇ Ἐκκλησίᾳ Λατίνων, μὴ δεδιέναι τοὺς Χριστιανοὺς τὸν ἀφορισμὸν αὐτῶν, ὅτι ἐστὶν ἄκυρος, καὶ ἐπιστρέφει εἰς τοὺς ἀφορίσαντας ὡς ἐπιβάτας τῶν ἁγίων Κανόνων καὶ Ἀλλοτριοεπισκόπους. εἰ δὲ καὶ λέγουσιν, ὅτι φυλάττουσι τὰ λοιπὰ πάτρια ἔθη, ὅμως οἱ θεῖοι Κανόνες ἀφορίζουσι τοὺς κατεπεμβαίνοντας τῶν ἀλλοτρίων ἐνοριῶν, καὶ τοὺς καινοτομίαν εἰσάγοντας εἰς τὴν ἀμώμητον πίστιν ἀναθεματίζουσι. πέμπτον, ἵνα, εἰ καὶ θλίψεις ἔχουσι κοσμικὰς καὶ ζημίας, νομίζωσιν αὐτὰς κέρδη, καὶ μόνον σπουδάζωσιν ἔχειν τὸν τῆς πίστεως θησαυρὸν, καὶ πρὸς τούτοις ἐλέγχειν τοὺς προδότας τῆς πίστεως. ταῦτα ὁ Γερμανός.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῶν τιμωριῶν καὶ φόνων ὧν εἰργάζετο τοὺς τῆς Κωνσταντινουπόλεως οἰκήτορας ἐπὶ τὸ παπίσαι ὁ τοῦ Πάπα Λεγᾶτος Ἀρχιερεὺς Πελάγιος.

Οὐμόνον τὰ εἰρημένα ἔφλεγον τὴν καρδίαν τοῦ Κωνσταντινουπόλεως Γερμανοῦ γινόμενα, καὶ ἐφρόντιζε ποιῆσαί τινα εἰρήνην, ἵνα ἔχωσιν οἱ ὀρθόδοξοι ἄνεσίν τινα ὑπὸ τῆς φατρίας τοῦ Πάπα, ἀλλὰ καὶ τὰ γεγενημένα ὡσαύτως ἐν Κωνσταντινουπόλει ὑπὸ τοῦ εἰρημένου ἀνωτέρω ἐρυθρόποδος Πελαγίου. γράφει γὰρ ὁ Ἀκροπο-

Ἀκροπολίτης ταῦτα, Τουτοῦ δὲ τοῦ Ἐῤῥῆ τῆς Κωνσταντίνου κατάρχοντος, ἀπεστάλη παρὰ τοῦ Πάπα πρὸς τὴν βασιλίδα τῶν πόλεων Ἀρχιερεὺς, ὃν καὶ Λεγᾶτον αὐτοὶ φασὶ, τοὔνομα Πελάγιος, ἅπαντα τὰ προνόμια τοῦ Πάπα φέροντος, ἐρυθροβαφῆ καὶ γὰρ ὑπεδέδετο πέδιλα, ἐκ τῆς αὐτῆς δὲ χροιᾶς καὶ τὰ ἐνδύματα εἶχε, καὶ ἡ ἐφεστρὶς δὲ τοῦ ἵππου καὶ τὰ χαλινὰ τῷ τοιούτῳ ἐβάπτοντο χρώματι. ἤθους δὲ τυχὼν ἀγριωτέρου, καὶ ἀλαζονείᾳ χρώμενος, πολλὰ δεινὰ ἐνεδείξατο ἐπὶ τοῖς Κωνσταντίνου οἰκήτορσι, καὶ ἡ σκῆψις ὡς εὔλογος, ἠνάγκαζε καὶ γὰρ τοὺς πάντας τῇ τῆς πρεσβυτέρας Ῥώμης ὑποταγῇ ὑποκύψαι. ἐντεῦθεν καθείργνυντο Μοναχοὶ, Ἱερεῖς ἐδεσμοῦντο, καὶ Ναὸς ἅπας ἐκέκλειστο, καὶ ἦν ἐν αὐτῷ δυοῖν θάτερον, ἢ ὁμολογῆσαι τὸν Πάπαν πρῶτον Ἀρχιερέα, καὶ τούτου τὴν μνήμην ἐν ἱεροτελεστείαις ποιεῖν, ἢ θάνατον εἶναι τῷ μὴ διαπραξαμένῳ τοῦτο, τὸ ἐπιτίμιον.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ ὧν ἐποίουν τυραννιῶν καὶ πολυειδῶν θανάτων τοῖς ὀρθοδόξοις λαϊκοῖς καὶ Ἀρχιερεῦσιν ἐπὶ τὸ παπίσαι οἱ παπισταὶ ἔν τε Βυζαντίῳ καὶ Κύπρῳ καὶ Ἀντιοχείᾳ καὶ Νήσοις ἀπὸ Μανουὴλ τοῦ Πορφυρογεννήτου ἕως Ἰωάννου Βατάτζη, ἐφ' οὗ, καὶ ἐπὶ Γερμανοῦ Πατριάρχου Φρεμενουρίους ὡς ἐγκαθέτους ἀπέστειλεν ὁ Πάπας εἰς Νίκαιαν, τῷ Γερμανῷ ὡς ὑπ' αὐτοῦ προσειπόντας, καὶ λόγους ἑνώσεως λαλήσαντας, καὶ περὶ τῆς πρὸς Γρηγόριον τὸν ἔνατον ἐπιστολῆς τοῦ Γερμανοῦ, καὶ τῆς καὶ διὰ πρέσβεων ἀποκρίσεως τοῦ Γρηγορίου, καὶ περὶ τῆς ἐν Νυμφαίῳ Συνόδου, καὶ διαλέξεως, καὶ ἀπράκτου τέλους ἑκατέρων τῶν μερῶν.

Οὐ μόνον λοιπὸν ταῦτα, ἀλλὰ καὶ τὰ ἐπιγινόμενα ἐν Κύπρῳ πάνδεινα ἦν. λέγει γάρ τις εὐλαβὴς καὶ σοφὸς ἀνὴρ ταῦτα, Ἀπὸ δὲ τῆς βασιλείας κυροῦ Μανουὴλ τοῦ Πορφυρογεννήτου ἕως τῆς βασιλείας κυροῦ Ἰωάννου τοῦ Βατάτζη μόνον ἐπόρθουν τὰς πόλεις καὶ τὰς Νήσους μανικῶς, καὶ ὅσας ἐδυνήθησαν ἑλεῖν, ἐδίωκον ἐκεῖθεν τοὺς ὀρθοδόξους Ἀρχιερεῖς, καὶ ἀντ' ἐκείνων ἐποίουν Καρδηνάλεις ὁμόφρονας αὐτῶν, ἤγουν εἰς τὴν Κωνσταντινούπολιν, εἰς τὴν Κύπρον, εἰς τὴν μεγάλην Ἀντιόχειαν, καὶ εἰς τὰς λοιπὰς χώρας ἃς εἶχον. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸν λοιπὸν λαὸν, τούς τε Ἱερεῖς καὶ μονάζοντας τυραννικῶς ἐξεβίαζον εἰς τὸ ὁμοφρονεῖν καὶ συγκοινωνεῖν αὐτοῖς, καὶ μνημονεύειν τοῦ Πάπα. καὶ ὅσοι μὲν ἐπείθοντο τοῖς δόγμασιν αὐτῶν, τούτοις φιλονείκως διετίθεντο, ὅσοι δὲ ἤλεγχον αὐτοὺς ὡς Αἱρετικοὺς, καὶ τὴν κοινωνίαν αὐτῶν πάντῃ ἀπεστρέφοντο, ἐκόλαζον φανερῶς, καὶ μαρτυρίαν ἵστων κατὰ τοὺς πάλαι Βασιλεῖς καὶ τυράννους τῶν ὀρθοδόξων Χριστιανῶν, καὶ μαρτυροῦσι τῷ λόγῳ οἱ ἐν τῇ Κύπρῳ ἀθλήσαντες ἅγιοι μονάζοντες, οὕστινας διὰ τὸ μὴ καταδέξασθαι συγκοινωνῆσαι τούτοις, τριετίαν φυλακίσαντες, καὶ παῦ εἶδος κολάσεως αὐτοῖς ἐπαγαγόντες, ὕστερον ὡς οὐκ ἔπειθον αὐτοὺς κἂν διὰ στόματος ὁμολογῆσαι τὸ, καλῶς κρατεῖτε, ἐκμανέντες, οὓς μὲν δήσαντες ἐν ταῖς οὐραῖς τῶν ἑαυτῶν ἵππων, ἐν τραχέσι καὶ δυσβάτοις τόποις σύραντες ἀπέκτειναν, τοὺς δὲ προκρίτους αὐτῶν πυρκαϊὰν ἀνάψαντες μεγίστην κατέκαυσαν, ὁ δὲ καθηγούμενος τούτων Ἀββᾶς Ἰωάννης καλούμενος μέχρι πολλοῦ ἐφαίνετο τοῖς πᾶσιν ἐν μέσῳ φλογὸς ἱστάμενος, καὶ προσευχόμενος, ἐμμανὴς δὲ γενόμενος εἷς ἐξ αὐτῶν τῶν Λατίνων καββαλλάριος, ἀκοντίσας κατ' αὐτοῦ ῥόπαλόντι, καὶ κρούσας αὐτὸν, μέσον τῆς φλογὸς ἔῤῥιψε, καὶ οὕτως ὁ ὅσιος τὴν ἁγίαν αὐτοῦ ψυχὴν τῷ Θεῷ παρέδωκε. ἐκμαρανθείσης δὲ τῆς πυρκαϊᾶς ἐκείνης, εὑρόντες τὰ λείψανα σῶα οἱ τοῦ Χριστοῦ διῶκται παπολάτραι, ὀστέα παντοδαπῶν ζώων καὶ μιαρῶν θηρίων ἐπισυνάξαντες, προσέθηκαν ἐπὶ τὰ λείψανα τῶν ἁγίων, καὶ δευτέραν πυρκαϊὰν πάλιν ἀνάψαντες ἐπὶ τούτοις, οὐκ εἴασαν σβεσθῆναι τὸ πῦρ, ἕως εἰς τέλος κατετέφρωσαν. καὶ ταῦτα μὲν οὕτως. ὁ δὲ Πάπας καὶ οἱ σὺν αὐτῷ πληττόμενοι ὑπὸ τῆς συνειδήσεως διὰ τὸν τέλειον χωρισμὸν, ὃν προεγράψαμεν, ὃν ἐποίησαν ἐπὶ τῆς Βασιλείας κυροῦ Μανουὴλ, ἀπέστειλαν τινὰς ὡς ἐγκαθέτους τῶν λεγομένων Φρεμενουρίων ἐπὶ τῆς βασιλείας κυρίου Ἰωάννου τοῦ Βατάτζη, οἵτινες δῆθεν ἀπερχόμενοι εἰς Ἱεροσόλυμα, καὶ ἐντυχόντες τῷ ἁγιωτάτῳ Πατριάρχῃ κυρίῳ Γερμανῷ ἐν τῇ πόλει Νικαίᾳ, χαιρετισμὸν ὡς ἀπὸ τοῦ Πάπα ἀπένεμον, εἶτα συνῆρε λόγους μετ' αὐτῶν ὁ Πατριάρχης διὰ τὰς καθ' ἑκάστην τυραννίδας, ἃς πάσχουσιν ἐξ αὐτῶν οἱ ὀρθόδοξοι Χριστιανοὶ, ἤγουν ὑπὸ τῶν Λατίνων εἰς τὰς χώρας ὧν κρατοῦσι, καὶ μάλιστα διὰ τοὺς μνημονευθέντας ἁγίους πατέρας, οὓς μάρτυρας διὰ βασάνων ἀπέδειξαν ἐν τῇ Κύπρῳ, ἐκεῖνοι δὲ ὡς δῆθεν τῷ λόγῳ πληγέντες, ἀντέφησαν οὕτως, ὅτι ὁ Πάπας καὶ οἱ σὺν αὐτῷ Προὔχοντες οὐμικρῶς εἰς τοῦτο ἀσχάλονται, λέγοντες, ὅτι εἰ ἤθελεν ἡ τῶν Γραικῶν Ἐκκλησία ἀποστεῖλαι ᾧδέ τινας πρὸς ἡμᾶς, εἴτι ἂν ἄρα καὶ ἠτήσατο ἕνεκεν τῆς εἰρήνης καὶ ὁμονοίας, ἀσμένως τοῦτο ἐποιήσαμεν ἂν, οὐ γὰρ ἤθελον ἀποστεῖλαι ἐκεῖνοι πρὸς ἡμᾶς πρῶτον, ἵνα μὴ φανῶσιν ἐν ἀληθείᾳ κατεγνωκέναι ἑαυτῶν, καὶ ζητεῖν διόρθωσιν, ἀλλὰ μένοντες ἐν τῇ ὑψηλοφροσύνῃ αὐτῶν καὶ ἀπειθείᾳ, πρὸς ἀπάτην ἔστειλαν τοὺς σταλέντας τοῦ ἀπαιτῆσαι ὅπως ἀποστείλωμεν ἡμεῖς πρότερον πρὸς ἐκείνους, καὶ λαβὴν δώσωμεν, ὡς εἰ οὐκ ἐσφάλλομεν ἡμεῖς, οὐκ ἂν πρότερον ἀπεστείλαμεν πρὸς αὐτοὺς, καθὼς ἡ ἐπιστολὴ αὐτῶν ὕστερον ἐδίδαξεν. ὁ δὲ Πατριάρχης κύριος Γερμανὸς ἀσμένως ταῦτα τῷ Βασιλεῖ ἀνέφερε, καὶ γράψαντες ἐπιστολὰς ὅ, τε Βασιλεὺς καὶ ὁ Πατριάρχης πεπληρωμένας πάσης ἀγάπης καὶ τὰ πεινοφροσύνης καὶ ὁμονοίας, ἀπέστειλαν

πρὸς

πρὸς τὸν Πάπαν, ἡ δὲ τοῦ Πατριάρχου ἐπιστολὴ ἐστὶν αὕτη, Ὦ Κύριε σῶσον δὴ, Ὦ Κύριε εὐόδωσον δή. ἦν δὲ ὁ Πάπας, πρὸς ὃν ὁ Γερμανὸς ἔγραψε, Γρηγόριος ὁ ἔνατος, ἐν ἔτει χιλιοστῷ διακοσιοστῷ εἰκοστῷ ἑβδόμῳ. λέγει δὲ ὁ Γερμανὸς ἐν τῇ ἐπιστολῇ, ὅτι οἱ Λατῖνοι εἰσὶ σχισματικοὶ, καὶ ἔνοχοι τῷ τοῦ Παύλου πρὸς Γαλάτας ἀναθέματι, καὶ ὅτι οἱ αὐτοὶ εἰς Κύπρον τοσοῦτον ἠνάγκαζον τοὺς ὀρθοδόξους παπίζειν, ὥστε καὶ πολλοὺς μαρτυρικῷ ἀγῶνι τελειῶσαι, μὴ ἀνεχομένους προδοῦναι τὴν ὀρθοδοξίαν, καὶ ὅτι οἱ ἀνατολικώτατοι Αἰθίοπες καὶ οἱ βόρειοι Σύροι καὶ Ἴβηρες καὶ Ἀβασγοὶ, Λαζοὶ, Ἀλανοὶ, Γότθοι, Χαζάροι, Ῥῶσοι, Βούλγαροι, ὑπόκεινται τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ. ὁ δὲ Γρηγόριος ἀντέγραψεν εἰς τὸν Γερμανὸν, καὶ ἔπεμψε καὶ πρέσβεις Οὔγωγα καὶ Πέτρον ἐκ τῶν κηρύκων, Ἀμμώνιον δὲ καὶ Ῥαδοῦλφον ἐκ τῆς τάξεως τῶν λεγομένων ἀδελφῶν πρὸς διάλεξιν, ὧν ἐλθόντων εἰς Νίκαιαν μετὰ τῆς ἐπιστολῆς, ἠθροίσθη Σύνοδος μεγάλη εἰς τὸ καλούμενον Νύμφαιον, οὐδεμία ὅμως εἰρήνη ἠκολούθησεν, ἐπειδὴ μήτε οἱ Λατῖνοι ἀφῆκαν τὰς καινοτομίας αὐτῶν, μήτε οἱ Ἀνατολικοὶ ἠνέσχοντο πρὸς ἕνωσιν δεχθῆναι τοὺς τοσαῦτα τολμήσαντας παρεισαγαγεῖν βλάσφημα καὶ ἄτοπα ἐν τῇ ὀρθοδόξῳ πίστει, προσεγένετο ὅμως ἐν ἀναγκαῖον, ὅτι καὶ τότε οἱ Λατῖνοι ἐδείχθησαν αἱρεσιόφρονες, καὶ ἀνεθεματίσθη συνοδικῶς τὰ ὑπ' αὐτῶν τολμηθέντα περί τε ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος καὶ ἐκ τοῦ Υἱοῦ, καὶ περὶ καθαρτηρίου καὶ ἀζύμων καὶ ἄλλων πολλῶν. ἔγραψε δὲ καὶ ἐπιστολὴν ἡ παροῦσα Σύνοδος, ἥτις κεῖται ἐν τῷ πρώτῳ μέρει τοῦ ἑνδεκάτου Τόμου τῶν Συνοδικῶν βιβλίων.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τοῦ συναγωνισαμένου τοῖς ἐν τῇ ἐν Νυμφαίῳ Συνόδῳ πατράσι Νικηφόρου τοῦ Βλεμμύδους, καὶ τοῦ καιροῦ τῆς ἀθροίσεως αὐτῆς, καὶ τῶν ἐν Νικαίᾳ Πατριαρχῶν, Γερμανοῦ, Μεθοδίου, Νανουὴλ, καὶ Ἀρσενίου ἐπὶ Θεοδώρου Βασιλέως.

Ἐν τῇ παρούσῃ εἰς τὸ Νύμφαιον Συνόδῳ ἦν συναγωνιζόμενος τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ τὰ μέγιστα καὶ Νικηφόρος Ἱερομόναχος ὁ Βλεμμύδης, ἄνθρωπος σοφώτατος καὶ ἀσκητικώτατος, γράφει γὰρ περὶ αὐτοῦ Νικηφόρος ὁ Γρηγορᾶς βιβλίῳ ἑνδεκάτῳ, Ἀνὴρ δὲ οὗτος ἀρετῇ καὶ πολλῇ τῇ Σοφίᾳ ἐξησκημένος, ὁπόσην τε Ἑλλήνων ὑμνοῦσι παῖδες, καὶ ὁπόσην οἱ τῆς καθ' ἡμᾶς Ἐκκλησίας προστάται καὶ Ῥήτορες εἰς ἡμετέραν ὠφέλειαν προὔθηκαν. καὶ Λογοθέτης ὁ Ἀκροπολίτης ἐν τῇ ἱστορίᾳ λέγει, Ἐκείνου δὲ τελευτήσαντος μετὰ τὴν εἰς ἡμᾶς τῶν ποιημάτων σαφήνειαν, καὶ τὴν τῆς τῶν λόγων τέχνης διδασκαλίαν παρὰ τὸν Βλεμμύδη Νικηφόρον, ὃν τότε πάντες οἴδαμεν τελεώτερον τῶν ἄλλων ἐν ταῖς κατὰ Φιλοσοφίαν Ἐπιστήμαις, ἐφοίτησά τε αὐτὸς καὶ ὅσοι σὺν ἐμοὶ ἐτελοῦντο τὰ λογικά. ἀλλὰ δὴ καὶ Γεώργιος ὁ Παχυμέρης φησὶν, Ὧν δὴ καὶ εἰς τὰ μάλιστα ὁ θαυμαστὸς ἅμ' ἀρετὴν καὶ λόγον Βλεμμύδης ἦν, ἀλλὰ καὶ ζηλωτής τις ἦν ὁ Βλεμμύδης περὶ τὰ θεῖα καὶ ἀψοφοδεὴς, βιβλίῳ πέμπτῳ. τούτων ἕνεκα καὶ Πατριάρχης γενέσθαι Κωνσταντινουπόλεως ἐζητήθη, γράφει γὰρ ὁ Ἀκροπολίτης ταῦτα, Ἐπεὶ δὲ ἐχήρευε τοῦ πατριαρχοῦντος ἡ Ἐκκλησία, πέφθακε γὰρ ὁ Πατριάρχης Μανουὴλ μικρόν τι τοῦ Βασιλέως Ἰωάννου προτελευτῆσαι, ἔδει δὲ πρῶτον Πατριάρχην προβληθῆναι, ἵν' ἐπὶ τῷ Βασιλεῖ τὴν στεφηφορίαν ἐν τῷ ἱερῷ τελεσιουργήσῃ τεμένει, ἐζητεῖτο μὲν ὁ ἄξιος τοῦ τοιούτου θρόνου, ἡ δόξα δὲ τοῖς πολλοῖς ἐπὶ τῷ Βλεμμύδει ἐτύγχανε Νικηφόρῳ τῷ ἐμῷ Διδασκάλῳ τῶν τῆς Φιλοσοφίας λόγων τε καὶ δογμάτων, ἀνδρὶ ἐκ νεότητος τὸν ζυγὸν ἀραμένῳ τοῦ μονήρους βίου, καὶ περιβοήτῳ τυγχάνοντι καὶ περὶ λόγον καὶ ἀρετὴν, κἂν ἐνίων ὁ φθόνος καὶ μάλιστα τῶν πρυχόντων οὐμόνον οὐκ ἐκφανῆ τούτῳ τὰ τῆς ἀρετῆς ἐποίει, ἀλλὰ καὶ κακίας τινὰς αὐτῷ προσεκόλλα. οὗτος οὖν πρὸς τὸν Βασιλέα Θεόδωρον φιλίως διέκειτο, καὶ παρ' αὐτοῦ ἐφιλεῖτο, τῶν γὰρ λόγων, ἐν οἷς τὰ πολλὰ ἐπεγάννυτο, Διδάσκαλον καὶ αὐτὸν ἐπεγράφετο, σοφὸς γὰρ ἦν εἰς ἄκρον ταῖς ἀληθείαις ὁ Βασιλεὺς, ὁ δὲ ὀκνηρότερος περὶ τὸ πρᾶγμα ἐτύγχανεν, οὐμὴν ἀλλὰ καὶ ὁ Βασιλεὺς αὐτὸς μαλακώτερον αὐτοῦ ἐπειρᾶτο, μᾶλλον γὰρ πρὸς βουλήσεως ἦν αὐτῷ τὴν προστασίαν μὴ καταδέξασθαι, ταπεινοτέρους γὰρ καὶ μετρίους εἶναι τὸ φρόνημα τοὺς πατριαρχεύοντας οἱ κρατοῦντες ἐθέλουσι, καὶ προσπίπτειν εὐχερῶς τοῖς σφῶν αὐτῶν βουλήμασιν ὡς προστάγμασιν, τοῦτο δὲ μᾶλλον οἱ ἀγροικότεροι πάσχουσιν, οὐδὲ γὰρ ἔχουσι τοῖς λόγοις θαρρεῖν. οἱ δὲ περὶ λόγους ἀκαμπέστεροι φαίνονται, καὶ τοῖς ἐκείνων ὁρισμοῖς ἀντιπίπτουσιν. ὁ γοῦν Βασιλεὺς Θεόδωρος διὰ ταῦτα μικράν τινα πεῖραν λαβὼν τοῦ ἀνδρὸς, ἐφ' ἑτέρους ἐτράπετο. ἀλλὰ δὴ καὶ ὁ Γρηγορᾶς ἐν τῇ ἱστορίᾳ αὐτοῦ φησὶν, Ἀλλ' ἦν τηνικαῦτα ὁ πατριαρχικὸς θρόνος ὀρφανισμένος τοῦ διϊθύνοντος, ἐπεὶ πρὸ βραχέος, ἔφη, γενόμενος ἐξ ἀνθρώπων ὁ Πατριάρχης Γερμανὸς, ἀνὴρ συνετὸς καὶ ἀρετῇ καὶ λόγῳ τὸν βίον κοσμήσας. σκέμματα τοίνυν καὶ λόγοι προὐτίθεντο περὶ τοῦ τῆς Πατριαρχείας ἀναδεξαμένου τοὺς οἴακας, καὶ ἦσαν ἐπὶ γλώττης πολλοί τε τῶν ἐπιδόξων, ἄλλοι καὶ ἄλλοις, ἐν τοῖς πάντων δ' ἔκειτο στόμασι μᾶλλον ἁπάντων ὁσοφίᾳ καὶ ἀρετῇ περιώνυμος Νικηφόρος ὁ Βλεμμύδης, ὃς ἐτύγχανε παρὰ τὴν αὐτοῦ Μονὴν, ἀθόρυβον ποιούμενος τότε τὴν δίαιταν, καὶ ἀσκήσει τραχείᾳ συντήκων τὸν βίον, βιβλίῳ τρίτῳ κεφαλαίῳ πρώτῳ. ἐνταῦθα σημείωσαι, ὅτι ὁ Γερμανὸς ἐπατριάρχευσεν ἐν ἔτει χιλιοστῷ διακοσιοστῷ εἰκοστῷ δευτέρῳ, ἡ δὲ Σύνοδος ἠθροίσθη τῷ

ἔτει

ἔτει χιλιοστῷ διακοσιοστῷ εἰκοστῷ δευτέρῳ, ἡ δὲ Συνόδος ἠθροίσθη τῷ ἔτει χιλιοστῷ διακοσιοστῷ τριακοστῷ τρίτῳ, ἐν δὲ τῷ χιλιοστῷ διακοσιοστῷ τεσσαρακοστῷ ἔτει κατεβιβάσθη ὁ Γερμανὸς, καὶ ἐγένετο Πατριάρχης Μεθόδιος, ὅς τις ἔγραψε κατὰ ἀζύμων, ὀλιγοχρονίσαντος δὲ τοῦ Μεθοδίου, καὶ κοιμηθέντος, ἐγένετο Πατριάρχης Μανουὴλ, οὗ κοιμηθέντος τῷ ἔτει χιλιοστῷ διακοσιοστῷ πεντηκοστῷ τετάρτῳ, αὐέλαβε πάλιν τὸν θρόνον ὁ Γερμανὸς, οὗ ἀναπαυθέντος τῷ ἐφεξῆς ἔτει, ἤτοι τῷ χιλιοστῷ διακοσιοστῷ πεντηκοστῷ πέμπτῳ, ἐν ᾧ ἐβασίλευσε καὶ ὁ Θεόδωρος, ἐγένετο Πατριάρχης ὁ Ἀρσένιος. λέγει οὖν ὁ μὲν Ἀκροπολίτης, ὅτι ἀποθανόντος τοῦ Μανουὴλ, ὁ δὲ Γρηγορᾶς, ὅτι κοιμηθέντος τοῦ Γερμανοῦ, ἐζητείτω ὁ Βλεμμύδης εἰς τὸ Πατριαρχεῦσαι, καὶ δοκεῖ γραφικὸν ἁμάρτημα συμβεβηκέναι ἐν τῇ συγγραφῇ τοῦ Ἀκροπολίτου, ἀντὶ γὰρ Γερμανοῦ ἐγράφη Μανουήλ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ ἐρωτήσεως τοῦ Βασιλέως Ἰωάννου πρὸς Βλεμμύδη, εἰ καλῶς περὶ τοῦ ἁγίου Πνεύματος φρονοῦσιν οἱ Λατῖνοι, καὶ ἀποκρίσεως Βλεμμύδους, καὶ λόγων αὐτοῦ καὶ διαλέξεων μετὰ Λατίνων, λύοντος τὰ εἰς τὴν ὕπαρξιν τοῦ ἁγίου Πνεύματος ἐπιχειρήματα τῶν Λατίνων, καὶ θεολογίας αὐτοῦ εἰς τὴν ἐκ μόνου τοῦ Πατρὸς ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος.

Ἠρώτησε τὸν Βλεμμύδη Ἰωάννης ὁ Βασιλεὺς, εἰ καλῶς φρονοῦσιν οἱ Λατῖνοι περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, ὁ δὲ ἰσχυρῶς ἀπέδειξεν αὐτῷ, ὅτι εἰ καὶ τῇ γλώσσῃ τὰ δύο εἰσάγειν αἴτια ἢ δύο ἀρχὰς ἀποφεύγουσιν, ἀλλὰ πάλιν ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγοντες ἐκπορεύεσθαι, εἰς τοῦτο μᾶλλον τῷ νοῒ ἐμπίπτουσι, καὶ ὃ διὰ λόγων ἀποδιδράσκουσιν, εἰς τοῦτο αὐτὸ διὰ τοῦ ἔργου ἐπιτρέπονται, καὶ ἴδε περὶ τούτου εἰς πλάτος ἐν τῷ Τόμῳ τῆς Ἀγάπης, καταβατῷ πεντακοσιοστῷ πρώτῳ. ὅτι δὲ ὁ Βλεμμύδης παρῆν ἐν τῇ Συνόδῳ, μαρτυρεῖ ὁ λόγος αὐτοῦ, οὗ ἡ ἀρχὴ, Λογίων δὲ τῷ τηνικάδε κατὰ τὴν τῆς Βιθυνίας Μητρόπολιν Νίκαιαν ἐκ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐπιδεδημηκότων ἀνδρῶν, καί τινων ἐκ ταυτησὶ τῆς Ἑλλάδος συνηθροισμένων διὰ τὸ ἀμφήριστον δόγμα. ὅτι δὲ καὶ ἐν ἄλλῃ διαλέξει Ἑλλήνωντε καὶ Λατίνων παρῆν ἀγωνιζόμενος ὑπὲρ τοῦ ὀρθοδόξου φρονήματος, μάρτυς ἕτερος λόγος αὐτοῦ, οὗ ἡ ἀρχὴ, Λογίων δὲ ἐκ Ῥώμης ἐς αὖθις ἐπὶ συστάσει τοῦ οἰκείου δόγματος ἐπιπεφοιτηκότων ἀνδρῶν. ὅτι δὲ ἐν τῇ Συνόδῳ ἠγωνίζετο ὑπὲρ τῆς ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύσεως τοῦ παναγίου Πνεύματος, φανερόν ἐστιν ἐκ τοῦ εἰρημένου πρώτου λόγου, ἐν ᾧ πρὸς τοῖς ἄλλοις φησὶ, τοὺς Λατίνους προβαλεῖν ἐν τῇ Συνόδῳ, ὅτι τὸ Πνεῦμα λέγεται Πνεῦμα τοῦ Υἱοῦ καὶ τῆς ἀληθείας, καὶ παρὰ τοῦ Υἱοῦ δίδοται καὶ χορηγεῖται τοῖς ἀξίοις, καὶ ὅτι ὁ Υἱὸς πέμπει, δίδωσιν, ἀποστέλλει, καὶ παρέχει αὐτὸ, καὶ δι' αὐτοῦ ἐνεργεῖ ὁ Υἱὸς, καὶ εἰκὼν τοῦ Υἱοῦ λέγεται τὸ Πνεῦμα, λέγεται δὲ ὁ Υἱὸς εἰκὼν τοῦ Πατρὸς, καὶ ὅτι ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λαμβάνει. ταῦτα τῶν Λατίνων προβαλλομένων, ὁ Βλεμμύδης ἀποκριθεὶς σοφῶς καὶ κατὰ τοὺς ἁγίους πατέρας, ἔλυσε ταῦτα, καὶ συνεπέρανεν, ὅτι μηδὲν τῶν ῥητῶν τούτων λέγει ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον τὴν ὕπαρξιν καὶ ἐκ τοῦ Υἱοῦ. ἀλλὰ δὴ καὶ ἐν ἄλλῳ λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχὴ, Τοῖς ὁσίοις τοῦ Δεσπότου Χριστοῦ. κεῖται δὲ ἐν τῷ Τόμῳ τῆς Ἀγάπης, καταβατῷ τετρακοσιοστῷ ἐννενηκοστῷ τετάρτῳ. περὶ οὗ λέγει, ὅτι προέθετο αὐτὸν πάσης ἑτέρας ὑποτυπώσεως. εὑρίσκεται δὲ ὁ λόγος καὶ ἐν τῇ Βιβλιοθήκῃ τῇ Καισαρικῇ ἐν τῇ Βιέννῃ τῇ εἰς τὴν Αὐγούστριαν. ὅθεν καὶ μετεγράψαμεν αὐτὸν, καὶ ἐπιγράφεται εἶναι ὕστατος αὐτοῦ λόγος. ἐν τούτῳ οὖν διαλαμβάνων περὶ τοῦ ἁγίου Πνεύματος, φησὶ, Καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἀεὶ ἐκπορεύεται. καὶ κατωτέρω, ἰδιότης δὲ καὶ ἰδίωμα καὶ ἴδιον λέγεται τὸ μιᾶς ἑκάστης χαρακτηριστικὸν ὑποστάσεως γνώρισμα, διὰ τὸ ἰδικῶς ἐκείνῳ μόνῳ προσεῖναι τῷ οὗ ἐστιν ἴδιον, οὐμὴν καὶ ἄλλῳ τινὶ, τὸ γὰρ καὶ ἄλλῳ τινὶ προσὸν, τοῦτο κοινὸν καὶ οὐκ ἴδιον. οἷον ἴδιον τοῦ Πατρὸς τὸ ἀγέννητον, τοῦτο ἰδικῶς πρόσεστι τῷ Πατρὶ, μόνος γὰρ ὁ Πατὴρ ἀγέννητος, ἐπεὶ καὶ μόνος Πατήρ. ἴδιον τοῦ Υἱοῦ τὸ γεννητὸν, ἴδιον τοῦ ἁγίου Πνεύματος τὸ ἐκπορεύεσθαι παρὰ τοῦ Πατρός. εἰ οὖν τὸ ἰδίωμα ἀκίνητόν ἐστι, καὶ μόνῳ πρόσεστι τῷ οὗ ἐστιν ἴδιον, ἴδιον δὲ τοῦ Πνεύματος τὸ ἐκπορεύεσθαι παρὰ τοῦ Πατρὸς, οὐκ ἐκπορεύεται ἄρα καὶ ἐκ τοῦ Υἱοῦ, ἡ ἰδιότης γὰρ ἀκίνητος. ταῦτα ὁ Βλεμμύδης. ἴδε καὶ ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίου δεκάτου ἕκτου Παράγραφον τέταρτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ ἀντιθέσεων παπιστῶν, σπευδόντων δεῖξαι διὰ Γρηγορᾶ, Παχυμέρους καὶ Βέκκου τὸν Βλεμμύδη φρονεῖν καὶ ἐκ τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα.

Ἐπειδὴ ὁ παπισμὸς σύγκειται ὑπὸ ψευδολογιῶν, ὑπ' ἀναιδείας ἐξαγομένων, ἑπόμενοι οἱ παπισταὶ καὶ ἐνταῦθα ταῖς ἰδίαις ἀρχαῖς, σπουδάζουσιν ἀποδεῖξαι τὸν Βλεμμύδη περὶ τοῦ ἁγίου Πνεύματος φρονεῖν

φρονεῖν· καὶ ἐκ τοῦ υἱοῦ ἔχειν τὴν ὕπαρξιν, καὶ δὴ προβάλλουσι τὸν Γρηγορᾶν πρῶτον λέγοντα, Ὀψὲ δὲ ἐπὶ νοῦν ἀναβιβασάμενος ὁ Βασιλεὺς, ὡς καὶ πρὸ πέντε καὶ εἴκοσιν ἐτῶν ἐπὶ τῆς Ἰωάννου τοῦ Δούκα βασιλείας ἡ τοιαύτη παρὰ Λατίνων ἐκινήθη ὑπόθεσις, καὶ ἦν τηνικαῦτα σοφὸς ἀνὴρ Νικηφόρος ὁ Βλεμμύδης, θείων γραφῶν ἐμπειρότατος, ὃς σχολῇ δεδωκὼς ἑαυτὸν, ἤρξατο συλλέγειν πολλὰς παρὰ τῶν θείων γραφῶν μαρτυρίας, συγκροτεῖν δοκούσας τῷ τῶν Λατίνων δόγματι, καὶ λογογραφεῖν ἐπὶ τούτοις, λάθρα μὲν διὰ τὴν τῶν πολλῶν ὑπόληψιν, ἐλογογράφει δ' οὖν ἔστιν ἃ, ταῦτα δὲ νῦν ὁ Βασιλεὺς ἀνευρὼν, πέμπει τῷ Βέκκῳ, ἅπερ αὐτὸς ἀναγνοὺς, μετὰ πολλῆς ἀγχινοίας τὰς τῶν ἁγίων ἐζήτει βίβλους, ἐξ ὧν ὁ Βλεμμύδης τὰς μαρτυρίας ἦν ἐκείνας ξυνειλοχὼς, βιβλίῳ τῶν ἱστοριῶν πέμπτῳ. προσφέρουσι δεύτερον Γεώργιον τὸν Παχυμέρην γράφοντα, Πίπτει γοῦν εἰς χεῖρας ἐκείνῳ τῷ Βέκκῳ τὰ τῷ σοφωτάτῳ Βλεμμύδει γραφέντα, πρός τε τὸν Βασιλέα Θεόδωρον ἀρχὴν ἔχοντα τὸ, Ὁ ζητῶν ἐν οὐ καιρῷ καὶ λαμβάνων ἐν καιρῷ, καὶ τὰ πρὸς τὸν Βουλγαρίας Ἰάκωβον τὸ, Ἔστιμοι πάθος ὅπερ ἐξαγγελῶ, πρὸς ἀκέστορα γὰρ ἰατρὸν προοίμιον φέροντα, βιβλίῳ ἕκτῳ. τρίτον προσφέρουσιν Ἰωάννην τὸν Βέκκον λέγοντα, Ἐπὶ δὲ τούτῳ νεώτερον καὶ ὅσον τῆς καθ' ἡμᾶς γενεᾶς ἐστὶν εἰπεῖν τὸν Βλεμμύδη εὑρίσκω ἐκεῖνον, οὗ πολὺ τὸ ἐν λόγοις κλέος ἐστὶν, οὗ τὴν σοφίαν οὐδ' ὁ πάνυ ἀπεχθῶς διακείμενος μὴ ἐπὶ πολὺ προελθεῖν δόξης διαβαλεῖ, γραφήν τινα περὶ τῆς ὑποθέσεως ἐγχαράττοντα ταύτης πρός τινα Βουλγαρίας μὲν Ἀρχιεπίσκοπον τῷ χρόνῳ ἀναδειχθέντα; διὰ δὲ βίου θεοφίλειαν πρὸς τὸ ὄρος τὸν Ἄθω ἀναχωρητικῶς ἑλόμενον ζῆν, οὗ καὶ αὐτοῦ τοῖς ἐν λόγοις περιουσίας πολλοὶ μὲν τῶν εἰσέτι ζώντων οἱ μάρτυρες, ἀκριβὴς δὲ ἀπόδειξις ἅπερ τῷ βίῳ μετὰ θάνατον ἐκεῖνος τὴν τῶν Ἐκκλησιῶν διάστασιν ὑποδύρεται, τὴν κατὰ τῶν αἰτίων αὐτῆς ἐντεῦθεν παριστῶν ἑαυτοῦ ἀγανάκτησιν, ποιῶν δὲ οὕτω, δίδωσί μοι νοεῖν, μὴ ἄν ποτε τοιαῦτα πρὸς ἐκεῖνον λέγειν καὶ γράφειν, εἰ μὴ κἀκεῖνον ἔδει ἐπὶ τῇ τῶν Ἐκκλησιῶν ὀδυνώμενον διαστάσει, ὡς καὶ ἑτερός τις ἐκ τῆς τῶν γραμμάτων ἔχει συνιδεῖν περιλήψεως.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ λύσεως τῆς πρώτης τῶν παπιστῶν ἀντιθέσεως δεκαχῶς, ἐν ᾗ τὸν ὀρθόδοξον ὄντα Γρηγορᾶν μάρτυρα προσφέρουσι τῆς δῆθεν λατινόφρονος γνώμης τοῦ Βλεμμύδους.

Ἀλλὰ ῥητέον, πρὸς μὲν τὸ πρῶτον, ἡμῖν οὐ μέλει τὶ λέγει ὁ δεῖνα, ἀλλὰ τὶ διδάσκει ἡ ἁγία γραφὴ, καὶ τίνα οἱ ἑρμηνευταὶ αὐτῆς ἅγιοι πατέρες παρέδωκαν τῇ καθολικῇ Ἐκκλησίᾳ διὰ τῆς διδασκαλίας καὶ ἀποδοχῆς τῶν Οἰκουμενικῶν Συνόδων, διὸ καὶ ὁ ἐνταῦθα ᾀδόμενος Γερμανὸς Πατριάρχης Κωνσταντινουπόλεως ἔντινι λόγῳ περὶ τοῦ ἁγίου Πνεύματος φησὶ, Δεῖ γινώσκειν, ὅτι τὰ κατὰ τὴν κοινὴν συνέλευσιν τῶν ἁγίων πατέρων γραφέντα καὶ λαληθέντα καὶ κυρωθέντα κατὰ πολὺ εἰσὶν ἀσφαλέστερα καὶ βεβαιότερα τῶν καταμόνας γραφέντων, καὶ τὰ κοινῶς γραφέντα τῶν ἰδίως γραφέντων ἐπικρατέστερα, ἐπεὶ πολλὰ τῶν ἰδικῶς γραφέντων παρά τινων ἁγίων παρενοθεύθησαν. καὶ περὶ τοῦ Νύσσης τὰ αὐτὰ λέγονται, καὶ μαρτυροῦσι τὰ παρ' αὐτοῦ λελεγμένα Μακρίνεια. δεύτερον, γράφει ὁ Ἀκροπολίτης, ὅτι Θεόδωρος Λάσκαρις ὁ πρεσβύτερος ἐβούλετο δοῦναι Ῥομπέρτῳ Λατίνῳ τῷ Βασιλεῖ Κωνσταντινουπόλεως τὴν θυγατέρα αὐτοῦ εἰς γυναῖκα, ἐκωλύετο ὅμως ὑπὸ τοῦ τηνικαῦτα Πατριάρχου Μανουὴλ, πρὸς τοῦτο δὲ λέγουσι τινὲς, τὸν Βλεμμύδη χαριζόμενον τῷ Βασιλεῖ, ποιῆσαι συλλογὴν μαρτυριῶν, ἵνα δείξῃ ὅτι οὐκ ἔστιν ἁμάρτημα τὸ κοινωνεῖν Λατίνοις, ἀλλὰ τοῦτο ψεῦδος ἐστὶν ἀπαρακάλυπτον, ὡς ἀνωτέρω ἐδείχθη λαμπρῶς, ὁ γὰρ Βλεμμύδης ἦν ὀρθόδοξος, καὶ ἀντικείμενος Λατίνοις, καὶ ἐν Συνόδοις καὶ ἐν διαλέξεσι καὶ ἐν τοῖς συγγράμμασιν αὐτοῦ. εἶτα εἰ ἔγραφεν ἐναντία τῷ Πατριάρχῃ Μανουὴλ, ταὐτὸν εἰπεῖν τῇ κατ' ἐκεῖνο καιροῦ Συνόδῳ, πῶς ἡ Σύνοδος οὐκ ἐπετίμησεν αὐτῷ; καὶ ἐὰν εἴπῃ τις, ὅτι ἔγραφεν ἐπερειδόμενος εἰς τὴν ἐξουσίαν τοῦ Βασιλέως, ὑφ' οὗ ἐκωλύετο καὶ ἡ Σύνοδος ἐπιτιμῆσαι αὐτῷ. ἀλλὰ ῥητέον, πῶς οὖν μεταταῦτα οὐκ ἐπετιμήθη, οὔτε ἐνεκλήθη ὑπότινος ὡς ἐναντία τῇ Ἐκκλησίᾳ φρονῶν; Ἰωάννης ὁ Ζωναρᾶς γράφει, ὅτι Ἐπίσκοποι τινὲς θάρρει τῷ πρὸς τὴν Βασίλισσαν τοῦ μεγάλου Ἰουστινιανοῦ Θεοδώραν αὐτέπραττον τῷ Πάπᾳ Ἀγαπητῷ σπουδάζοντι καθελεῖν τοῦ θρόνου τὸν Κωνσταντινουπόλεως Ἄνθιμον τὸ Αἱρετικὸν, ἀλλὰ δὴ καὶ ἄλλοι Ἐπίσκοποι καὶ σοφοὶ αἰτεῖπον πολλοῖς τῶν ὀρθοδόξων Πατριαρχῶν χαριζόμενοι τῶν Βασιλέων τισὶν, ἀλλ' οὔτε ἡ ἀλήθεια ἐβλάβη, οὔτε τῆς Ἐκκλησίας ὁ ζῆλος μετεβλήθη, οὔτε ἡ πίστις ἐζημιώθη, καὶ οἱ τῇ Ἐκκλησίᾳ ἀντιλέγοντες, εἰ καὶ μὴ εὐθὺς, ἀλλὰ μεταταῦτα κατεκρίθησαν, πῶς οὖν ὁ Βλεμμύδης συγγράψας μαρτυρίας κατὰ τῶν Κανόνων, οὐκαθηρέθη, οὔτε κατεκρίθη, καὶ μάλιστα τῶν κατ' αὐτὸν Πατριαρχῶν Μανουὴλ, Γερμανοῦ, Μεθοδίου, Μανουὴλ, Ἀρσενίου, Νικηφόρου καὶ Ἰωσὴφ ἀγωνισαμένων κατὰ Λατίνων; τρίτον, εἰ ὁ Βλεμμύδης ποτὲ μὲν ἔγραφεν εὐσεβῶς, ὡς εἴρηται ἀνωτέρω, ποτὲ δὲ αἱρετικῶς; ὡς βούλονται οἱ Λατῖνοι, φαίνεται ὅτι ἦν ἀμφιλαφὴς καὶ παλίμβολος, ἀπὸ δὲ συγγραμμάτων τῶν τοιούτων παλιμβόλων, οὐ παραβλάπτεται ἡ ἀλήθεια. τέταρτον, ὡς Εὐσεβίου τοῦ Παμφίλου καὶ Ὠριγένους καὶ ἑτέρων τινῶν τοιούτων δεχόμεθα τὰ καλὰ, ἀποβάλλομεν δὲ τὰ αὐτίδοξα, οὕτω καὶ τοῦ Βλεμμύδους, εἴγε καὶ δώσομεν συγγεγραφέναι μαρτυρίας συνιστώσας καὶ ἐκ τοῦ υἱοῦ τὴν ἐκπόρευσιν τοῦ

ἁγίου

ἁγίου Πνεύματος, τὰ μὲν ὑπὲρ τοῦ κυριακοῦ δόγματος, τὸ ἐκ τοῦ Πατρὸς μόνου διαλαμβάνοντα, δεχόμεθα, ἐπειδὴ πάντοτε ἐν τῷ κοινῷ τοιαῦτα ἐδίδαξε, τὰ δὲ καὶ ἐκ τοῦ Υἱοῦ, ὡς βλάσφημα ἀποσκυβαλίζομεν, ἐπεὶ καὶ ἀπόκρυφα καὶ λαθραίως καὶ καταμόνας ἐγράφη κατὰ τῶν κοινῶς διωρισθέντων μυριάκις. πέμπτον, εἰ ὁ Στουδίτης Θεόδωρος καὶ ὁ Πλάτων ἀντειπόντες τοῖς ἁγίοις Ταρασίῳ καὶ Νικηφόρῳ περὶ τῆς γενομένης οἰκονομίας εἰς τὸν πρεσβύτερον τὸν στεφανώσαντα Κωνσταντῖνον τὸν Βασιλέα, καὶ περὶ τῆς ἀπὸ λαϊκοῦ χειροτονίας, καίτοι δίκαια καὶ κανονικὰ λέγοντες, κατεκρίθησαν ὡς προπετεῖς τινὲς, πῶς ὁ Βλεμμύδης συγγράψας ἐναντία τῷ Πατριάρχῃ καὶ τῇ Συνόδῳ, καὶ τέως τοῖς ἱεροῖς Κανόσι, μεμένηκεν, ὡς εἴρηται, ἀνεπιτίμητος τὸ πρᾶταν; ἕκτον, Γεώργιος ὁ Ἀκροπολίτης ὁμολογεῖ, ὅτι εἶχε Διδάσκαλον τὸν Βλεμμύδη, ἔγραψε δὲ κατὰ Λατίνων ὁ Ἀκροπολίτης, καὶ πῶς οὐκ ἔγραψε καὶ κατὰ τοῦ ἰδίου Διδασκάλου, εἴγε λατινόφρονα αὐτὸν ἔγνω, καὶ μάλιστα ἐν τῇ περὶ τοῦ ἁγίου Πνεύματος καὶ ἐκ τοῦ Υἱοῦ προόδῳ, ἔνθα δύο εἰσάγονται αἴτια ἐν τῇ Τριάδι, ταὐτὸν εἰπεῖν δύο ἀρχαὶ, καὶ δύο Θεοί; καὶ προσέτι πολλὰ περὶ τοῦ Βλεμμύδους ἔγραψεν ὁ Ἀκροπολίτης, καὶ τοῦτο εἰ ἦν κατόρθωμα ἢ πρᾶπτωμα τοῦ Βλεμμύδους, πῶς αὐτὸ ἐσιώπησεν εἰ ὅλως ἦν; καὶ πῶς οὔτε μεταταῦτα οὐδεὶς ὀρθόδοξος συγγραφεὺς ἤλεγξε τοῦτο, οὐδὲ ἐμνήσθη ὡς λατινόφρονος τοῦ Βλεμμύδους; ἕβδομον, ὁ μὲν Γρηγορᾶς λέγει, ὅτι συνέγραψε τὰς μαρτυρίας ἐπὶ Ἰωάννου τοῦ Δούκα, ὁ δὲ Παχυμέρης, ὅτι ἐπὶ Θεοδώρου Λασκάρεως τοῦ νεωτέρου, ἄλλοι δὲ, ὅτι ἐπὶ Θεοδώρου τοῦ πρώτου, ὡς εἴρηται ἀνωτέρω, πάντα δὲ ταῦτα ἀμφίβολα, καὶ οὐδὲ μία ἀλήθεια ἐκτούτων συνάγεται, οὐδέτις ἀπόδειξις συμπεραίνεται ὁπωσοῦν, ἀλλὰ λογομαχία ματαία, ὑπὸ τῶν προτιμώντων πᾶσι τρόποις τὴν ἀλήθειαν πιστῶν ὡς περιττόντι χρῆμα καὶ ἀνόητον καὶ πρὸς τούτοις ἐπιβλαβὲς ἀποδιοπομπουμένη. ὄγδοον, εἰ ἔγραψεν ὁ Βλεμμύδης μαρτυρίας συγκροτεῖν δοκούσας τῷ Λατίνων δόγματι; ἀλλ' ἔγραψεν ἕνεκεν ἀσκήσεως καὶ μελέτης πρὸς μείζονα, ἢ μᾶλλον εἰπεῖν πρὸς τελείαν ἀποβολὴν τοῦ λατινικοῦ δόγματος, ὅθεν συγκροτεῖν δοκούσας εἶπον οἱ Ἱστορικοὶ, ὅπερ ἐστὶν, ὅτι τὸ δοκεῖν, ἐξ οὗ τὸ ἀπατᾶσθαι τοὺς ἁπλουστέρους, ἐκ τῶν τοιούτων μαρτυριῶν συνέβαινεν, ὅθεν ἠθέλησεν ὁ Βλεμμύδης διὰ τῆς τοιαύτης συλλογῆς εἰς φῶς ἀγαγεῖν καὶ ἀποτρέψαι, διὸ καὶ λάθρα ἐλογογράφει, ἵνα οἱ μὴ εἰδότες Νόμους μελέτης καὶ ἀσκήσεως καὶ ἐπιστημονικῆς διδασκαλίας μὴ νομίσωσιν αὐτὸν λατινοφρονεῖν, οὐ μὴν καὶ λάθρα τῶν σοφῶν ὀρθοδόξων ἐλογογράφει, ἥτις λογογραφία ἐπειδὴ ἦν ἕνεκεν τῆς ὀρθοδοξίας, οὐδεὶς Πατριάρχης, ἢ ἄλλος Ἐπίσκοπος, ἢ Σύνοδος, ἢ σοφὸς, ἢ Ἱστορικὸς, ἢ ἄλλος ὀρθόδοξος εἶπε καὶ ἔγραψε κατὰ Βλεμμύδους, ὅτι τὰ τοιαῦτα συγγράψας, ἐλατινοφρόνησεν, ἐπειδὴ ἦσαν ὀρθόδοξα. καὶ ἴσως ὑπὲρ ἐκείνων τῶν ῥημάτων συνέγραψε τῶν ῥηθέντων ἀνωτέρω Παραγράφῳ ἑνδεκάτῳ, τῶν προβληθέντων ὑπὸ τῶν Λατίνων ἐν τῇ Συνόδῳ, ἅπερ εἰσὶ, Πνεῦμα τοῦ Υἱοῦ, Πνεῦμα τῆς ἀληθείας, χορηγεῖται, πέμπεται, δίδοται, καὶ λαμβάνει ἀπὸ τοῦ Υἱοῦ, καὶ ὅτι δι' αὐτοῦ ἐνεργεῖ, καὶ πρὸς τούτοις, ὅτι δι' Υἱοῦ ἐκπορεύεται, καὶ ἴδιόν ἐστι τοῦ Υἱοῦ, καὶ ἐκ τῆς οὐσίας ἐστὶ Πατρὸς καὶ Υἱοῦ, καὶ παρὰ τοῦ Υἱοῦ λαμβάνει, καὶ δι' Υἱοῦ ἐκπορεύεται, ἅτινα οἱ μὲν Λατῖνοι παρεξηγοῦνται καὶ λαμβάνουσιν εἰς δεῖξιν, ὅτι καὶ ἐκ τοῦ Υἱοῦ ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, ὁ δὲ Βλεμμύδης ἡρμήνευσε πλατύτερον ταῦτα εἰς παράστασιν τῆς ἐκ τοῦ Πατρὸς μόνου ὑπάρξεως τοῦ ἁγίου Πνεύματος. ὁ δὲ Βασιλεὺς Μιχαὴλ τὰς μελέτας καὶ συλλογὰς ἔδωκε τῷ Βέκκῳ δολίως καὶ πανούργως εἰς πρατροπὴν, ὅθεν ἐκεῖνος λαβὼν, μετήλλαξεν εἰς τὸ δοκοῦν αὐτῷ, ὥσπερ ποτε ὁ Αὐγουστάλιος Σεβηριανὸς κατὰ τὸν Μονομάχον Πέτρον μετέστρεψε ῥήσεις τινὰς Κυρίλλου, Νύσσης καὶ Ἀμφιλοχίου, ἵνα δείξῃ, ὅτι ταὐτόν ἐστι φύσις καὶ ὑπόστασις. ὅθεν ὁμακάριος Κύριλλος γράφει πρὸς Ἰωάννην τὸν Ἀντιοχείας ἐν τῇ ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, Εὐφραινέσθωσαν οἱ Οὐρανοὶ, ταῦτα, Ὅταν δέτινες τῶν τὰ ὀρθὰ διαστρέφειν εἰωθότων τὰς ἐμὰς πρατρέπωσι φωνὰς εἰς τὸ ἑαυτοῖς δοκοῦν, μὴ θαυμαζέτω τοῦτο ἡ σὴ ὁσιότης, εἰδυῖα, ὅτι καὶ πάντες οἱ Αἱρετικοὶ ἐκ τῆς θεοπνεύστου γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμὰς, τὰ διὰ τοῦ ἁγίου Πνεύματος ὀρθῶς εἰρημένα ταῖς ἑαυτῶν κακονοίαις παραφθείροντες. ἔνθα καὶ τίθησι παράδειγμα ἀπὸ τοῦ ἁγίου Ἀθανασίου, ἀποδεικνὺς, ὅτι ἡ ἐπιστολὴ τοῦ Ἀθανασίου πρὸς Ἐπίκτητον παρεφθάρη. τὸ αὐτό φησι καὶ ἐν τῇ πρὸς Ἀκάκιον ἐπιστολῇ, ἧς ἡ ἐπιγραφὴ, Ἀμοιβαία προσηγορία, Εἰ δὲ ὡς παρ' ἐμοῦ γραφέντα πρατίνων προσφέρεται, ὅτι μετεμελήθην περὶ τούτων ἃ ἐν τῇ Ἐφεσίων ἐπράξαμεν, γελασθήτω καὶ τοῦτο, ἐσμὲν γὰρ διὰ τῆς τοῦ Θεοῦ χάριτος καλοῦ νοός. ὡς οὖν καὶ Κυρίλλου καὶ πολλῶν ἑτέρων ἁγίων φωνὰς μετήλλαξαν καὶ παρέφθειραν τινὲς κατὰ τὴν ἀρέσκειαν αὐτῶν, οὕτω καὶ τὰ καλῶς γραφέντα τῷ Βλεμμύδει μετήλλαξεν ὁ θεοστυγὴς Βέκκος, ὅτι δὲ φθορεὺς τῶν βιβλίων τῶν ἁγίων ὁ Βέκκος, ἐροῦμεν ἐν τῷ δεκάτῳ βιβλίῳ. ἐζήτει δὲ ὁ Βέκκος τὰς τῶν ἁγίων βίβλους, ἐξ ὧν ὁ Βλεμμύδης συνῆξε τὰς συγκροτεῖν δοκούσας τῷ Λατίνων δόγματι μαρτυρίας, ἵνα καὶ τὰς μαρτυρίας μεταλλάξῃ, καὶ τὸν νοῦν τῶν ἁγίων πρασύρῃ εἰς τὸ ἀρέσκον αὐτῷ ἐντεχνικώτερον. ἔνατον, οἱ Λατῖνοι εἰς σύστασιν τῶν Αἱρέσεων αὐτῶν, καὶ αὐτὸς ὁ Βέκκος πλάττουσι τραγελάφους, ἀεὶ γὰρ συκοφαντοῦσι τοὺς ἁγίους, καὶ ἀρκεῖ εἰς ὑπόδειγμα τὸ, ὅτι ἦν ἡ προσθήκη ἐπὶ Δαμάσου ἐν τῷ Συμβόλῳ. οὕτω καὶ τὰς συλλογὰς ταύτας τοῦ Βλεμμύδους διὰ τὸ εἶναι ὀρθοδόξους οὐκ ἐφύλαξαν, εἴπερ ὅλως ἦσαν, ἀλλὰ διέφθειραν καὶ ἠφάνισαν, ἵν' ἔχωσι λέγειν περὶ αὐτῶν τὰ ἀρέσκοντα αὐτοῖς. δέκατον, ὅτι ὁ Γρηγορᾶς εἰ καὶ διὰ φιλονεικίαν καὶ φθόνον, ὃν εἶχε πρὸς τὸν ἐν ἁγίοις Γρηγόριον τὸν Πα-

λαμᾶν,

λαμᾶν, ἔλεγε ταὐτὸν εἶναι οὐσίαν καὶ ἐνέργειαν ἐπὶ Θεοῦ, ἀλλ' ἐν τοῖς λοιποῖς ἐφύλαττε τὴν ὀρθοδοξίαν ἀπαράτρεπτον, ὡς λέγει Γεώργιος ὁ σχολάριος ἐν τῷ σημειώματι τῷ ὑπ' αὐτοῦ συγγραφέντι εἰς τὴν κατὰ Βέκκου Σύνοδον, κειμένῳ ἐν τῷ Τόμῳ τῆς Ἀγάπης φύλλοις ἑπτά. καὶ μάλιστα οὐδαμοῦ φαίνεται συγγράψαι τὸν Γρηγορᾶν, ἢ συνηγορῆσαι τῇ καὶ ἐκ τοῦ Υἱοῦ ὑπάρξει τοῦ ἁγίου Πνεύματος. καὶ πρὸς τούτοις ὁ αὐτὸς, αἰτούντων τινῶν Ἰταλῶν Ἐπισκόπων διαλέξεις ἐν Κωνσταντινουπόλει, ἐκώλυσε τὴν διάλεξιν, καὶ ἴδε κατωτέρω βιβλίου ἐνάτου κεφάλαιον δέκατον. τοιοῦτος ὢν ὁ Γρηγορᾶς, εἶπεν ἄν τι, εἰ αἱ τοιαῦται συλλογαὶ τοῦ Βλεμμύδους ἐλατινοφρόνουν, καὶ ἤλεγξεν ἂν αὐτὰς, ἀλλ' οὐκ ἤλεγξε, καὶ δὴ καὶ τὸν Βλεμμύδη εὐλαβῶς σοφὸν εἶπε, καὶ τῶν θείων γραφῶν ἐμπειρότατον, ἅπερ οὐκ ἂν εἶπεν, εἴπερ ἔγνω αὐτὸν τῆς ἀληθείας παρατραπέντα. καὶ ταῦτα μὲν πρὸς τὸ πρῶτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ λύσεως τῆς δευτέρας τῶν παπιστῶν ἀντιθέσεως, ἐν ᾗ προσφέρουσι τὸν Παχυμέρη ὡς δῆθεν γράφοντα, ὅτι τὰ πρὸς Θεόδωρον τὸν Βασιλέα καὶ Ἰάκωβον τὸν Βουλγαρίας γράμματα τοῦ Βλεμμύδους ταῖς τοῦ Βέκκου χερσὶν ἐμπεσόντα, ἐγνώσθησαν συνηγοροῦντα τῷ παπισμῷ, καὶ περὶ ἐνδείξεως καὶ ἑρμηνεύσεως παρὰ τῷ Βλεμμύδει πλατύτερον τοῦ πῶς νοεῖται τὸ δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ὅτι ὁ Παχυμέρης καὶ ὁ Βασιλεὺς Θεόδωρος ὀρθόδοξοι.

Πρὸς δὲ τὸ δεύτερον ῥητέον, πῶς ὁ Παχυμέρης πρότερος ὢν τοῦ Γρηγορᾶ, καὶ σύγχρονος σχεδὸν τοῦ Βλεμμύδους, οὐκ ἐμνήσθη τῆς συλλογῆς ταύτης τῶν μαρτυριῶν τοῦ Βλεμμύδους, ὥσπερ οὐδ' ὁ Ἀκροπολίτης, καὶ μόνων ἐμνήσθη τούτων τῶν δύο λόγων, ὧν οὐκ ἐμνήσθη ὁ Γρηγορᾶς; δεύτερον, ὀρθόδοξος ὢν καὶ αὐτὸς ὁ Παχυμέρης, ἔγραψε τὸ γενόμενον, καὶ ἐμνήσθη τῶν δύο λόγων τοῦ Βλεμμύδους, οὓς εἰ ἔγνω λατινόφρονας, ἤλεγξεν ἂν τὸν Βλεμμύδη ὡς κακόφρονα, ἀλλ' οὐκ ἤλεγξε, μάλιστα δὲ εὐφήμως σοφώτατον αὐτὸν εἶπεν, ἐπειδὴ κατὰ πάντα αὐτὸν ὀρθόδοξον ἐγίνωσκε. τρίτον, ὁ Βασιλεὺς Θεόδωρος ὀρθόδοξος ἦν, καὶ τοῖς Λατίνοις αὐτίπαλος, ὡς καὶ οἱ πρὸ αὐτοῦ Βασιλεῖς Ἰωάννης καὶ Θεόδωρος, καὶ πῶς ἠνέσχετο ἵνα γράψῃ αὐτῷ ὁ Βλεμμύδης μαρτυρίας λατινοφρόνως; ὥστε ἢ ψευδεπίπλαστοί εἰσι διόλου αἱ τοιαῦται συλλογαὶ καὶ μαρτυρίαι, ἢ ὑπὲρ τῆς ὀρθοδοξίας συνειλέχθησαν καὶ οὐχ ὑπὲρ τῶν Λατίνων. ὅτι δὲ ὁ Βασιλεὺς Θεόδωρος οὐκ ἦν μόνον ὀρθόδοξος, ἀλλὰ καὶ Λατίνοις αὐτίπαλος, καὶ ἄκρος ζηλωτὴς τοῦ πατρίου δόγματος, μάρτυς ὁ ἀπολογητικὸς λόγος ὃν ἔγραψε πρὸς τὸν Ἐπίσκοπον Κορώνης κατὰ τῶν Ἰταλῶν, ἤτοι κατὰ τῶν Λατίνων, ὅπου ῥητῶς ταῦτα φησὶν, Ὅτι ἡ καθ' ἡμᾶς ἁγιωτάτη τοῦ Θεοῦ μεγάλη Ἐκκλησία, ὡς ἂν μέλλεις γνωρίσαι ἐκ τῶν κατωτέρω ῥηθησομένων ἐγγράφων μαρτυριῶν καὶ ῥήσεων εὐαγγελικῶν, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ μόνου ἐκπορεύεσθαι δογματίζει, ἐκ τοῦ Υἱοῦ δὲ οὐκ ἐκπορεύεσθαι μὲν φαμὲν, διὰ τοῦ Υἱοῦ δὲ χορηγεῖσθαι ἡμῖν πρὸς κάθαρσιν καὶ ἁγιασμὸν καὶ πιστεύομεν καὶ δοξάζομεν, ἃς δὲ χρήσεις ἀναλεξαμένη ἡ βασιλεία μου συντόμως τῇ σῇ παρατίθησιν ἱερότητι. ἄρχεται δὲ ἐκ τῆς αὐτοαληθείας αὐτῆς. Καλὸν γὰρ ἐκ Θεοῦ τ' ἄρχεσθαι, καὶ εἰς Θεὸν ἀναπαύεσθαι. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν. ἐν οἷς σημείωσαι δυοῖν θάτερον γεγονέναι, ἢ γὰρ ὁ Βασιλεὺς συλλογὴν μαρτυριῶν ἔπεμψε τῷ Κορώνης, καὶ οὐδὲ μία ἦν χρεία αὐτῷ τῶν παρὰ τοῦ Βλεμμύδους συνειλεγμένων μαρτυριῶν, ἢ λαβὼν παρὰ τοῦ Βλεμμύδους τὰς τοιαύτας συλλογὰς, τοιαύτας ἔλαβεν, οἷαι ἦσαν αἱ δοθεῖσαι παρ' αὐτοῦ τῷ Κορώνης. καὶ τρίτον, πῶς τὰ μὲν τῷ Βασιλεῖ γραφέντα πρὸς τὸν Κορώνης εὑρίσκονται, τὰ δὲ τῷ Βλεμμύδει γραφέντα πρὸς τὸν Βασιλέα ἀπώλεσαν οἱ Λατῖνοι; τέταρτον, Μιχαὴλ ὁ Παλαιολόγος ἐκβαλὼν τὸν Πατριάρχην Ἀρσένιον, αὐτεισήγαγε τὸν Ἀδριανουπόλεως Γερμανὸν, εἶτα τὸν Ἰωσὴφ, ὅστις ἐν Κωνσταντινουπόλει ἔστεψε τὸν υἱὸν αὐτοῦ Ἀνδρόνικον ἐν ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ἑβδομηκοστῷ πέμπτῳ, ὅπερ ἐστὶν ἀπὸ Χριστοῦ χιλιοστὸν διακοσιοστὸν ἑξηκοστὸν ἕβδομον, καὶ ἐν τούτῳ περιῆν ἔτι ὁ Βλεμμύδης, ὡς φαίνεται ἀπὸ τοῦ δευτέρου κεφαλαίου τοῦ πέμπτου βιβλίου τοῦ Παχυμέρους, καὶ ἴδε κατωτέρω βιβλίου ἐνάτου κεφαλαίου πρώτου Παράγραφον ἕκτον. ὥστε ὁ Βλεμμύδης ἤκμαζεν ἐν τοῖς καιροῖς τῶν Βασιλέων Θεοδώρου τοῦ πρεσβυτέρου, Ἰωάννου τοῦ Δούκα, Θεοδώρου τοῦ νεωτέρου, Ἰωάννου τοῦ υἱοῦ αὐτοῦ καὶ Μιχαὴλ τοῦ Παλαιολόγου, καὶ ἐπὶ τῶν Πατριαρχῶν, ὡς εἴρηται, Μανουὴλ, Γερμανοῦ, Μεθοδίου, Μανουὴλ, Ἀρσενίου, Νικηφόρου, Γερμανοῦ καὶ Ἰωσὴφ, ὑπὲρ τὰ πεντήκοντα ἔτη θεολογῶν καὶ λόγους συγγράφων καὶ διαλεγόμενος ἐν τῷ κοινῷ τῆς Ἐκκλησίας, καὶ εἰ ἐλατινοφρόνει ὁπωσδήποτε, πῶς αὐτοῦ ἐμνήσθη οὐδείς; καὶ μάλιστα ὡς λέγει ὁ Ἀκροπολίτης περὶ αὐτοῦ, ὅτι τινὲς τῶν προὐχόντων ἐφθόνουν αὐτῷ, καὶ κακίας τινὰς αὐτῷ προσεκόλλων. πῶς οὖν κακίας μὲν ἄλλας κατηγόρουν τοῦ Βλεμμύδους οἱ προὔχοντες, περὶ δὲ τοῦ τῶν κακῶν κακίστου φρονήματος τῶν Λατίνων οὐκ ἤλεγξαν αὐτόν; οὐκ ἤλεγξαν δὲ, ἐπειδὴ ἦν ὀρθόδοξος. πέμπτον, ὁ Βλεμμύδης εἰ ἐν τῷ πρὸς τὸν Βουλγαρίας Ἰάκωβον αὐτοῦ λόγῳ ἐδικαίου τοὺς Λατίνους, καὶ συνηγόρει τῷ δόγματι αὐτῶν, πῶς τοὺς τόπους οὐκ ἐσημείωσεν ὁ Βέκκος, καὶ ῥητῶς τὰς φωνὰς οὐκ ἐνέθηκεν ἐν ταῖς κατὰ τῶν ὀρθοδόξων συγγραφαῖς αὐτοῦ, καὶ ἐν ταύτῃ τῇ ἐπὶ χεῖρας; ἀλλ' οὐκ εἶπεν, ἐπειδὴ οὐκ εἶχε ψεῦδος τοιοῦτον ἀδυσώπητον ὑποση-

ὑποσημῆναι. Δύο τινὰ φέρεται ἐν τῷ λόγῳ τούτῳ τοῦ Βλεμμύδους πρὸς τὸν Βουλγαρίας, ἅπερ οἱ Λατῖνοι νομίζουσι συνηγορεῖν αὐτοῖς, πρῶτον, ὅτι ὁ Βλεμμύδης μέμφεται τοὺς μὴ βουλομένους τὸ δι' υἱοῦ ἐκπορεύεσθαι ἁγίων εἶναι φωνὴν, δεύτερον, ὅτι μὴ δ' ὁπωσοῦν ἀλλήλοις ἐναντία εἰσὶ κατά γε τὸ ἀληθὲς τὰ παρὰ τῶν ἁγίων λεγόμενα, κἂν δοκῇ τοῖς ἀπερισκέπτοις. Ἀλλὰ ῥητέον, ὅτι καὶ τὰ δύο ὑπὲρ τῶν ὀρθοδόξων συνέγραψε, πρῶτον, ὅτι οἱ μὲν ἀποβαλλόμενοι ὀρθόδοξοι λογογράφοι τὸ δι' υἱοῦ ἐκπορεύεσθαι, δεικνύουσιν ἑαυτοὺς μὴ εἰδέναι μήτε τὰ συγγράμματα, μήτε τὸν σκοπὸν τῶν ἁγίων πατέρων, ὅθεν ἀρνοῦνται ὅπερ εἶπε Βασίλειος, Ταράσιος, Μάξιμος καὶ ἄλλοι, νομίζοντες τοῦτο τὴν ἐκπόρευσιν ὑποδηλοῦν, ὅπερ ὅτι οὐχ οὕτως ἔχει, εἴρηται ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίου ἑβδόμου Παραγράφῳ δεκάτῳ ἑβδόμῳ, καὶ βιβλίου πέμπτου κεφαλαίου δεκάτου ἕκτου Παραγράφῳ δευτέρῳ. καὶ ῥηθήσεται βιβλίου ἐνάτου κεφαλαίῳ τρίτῳ. οἱ δὲ Λατῖνοι δέχονται τὴν φωνὴν, ἀλλὰ κακούργως, ἐπειδὴ δέχονται αὐτὴν οὐ διὰ τὸ σημαινόμενον, ᾧ ἐχρήσαντο οἱ ἅγιοι πατέρες, ἀλλ' ἵνα δείξωσιν ὅτι τὸ δι' υἱοῦ δηλοῖ τὸ ἐκ τοῦ υἱοῦ, ὅπερ ἀντίκειται τῇ δόξῃ τῶν χρησαμένων τὴν φωνὴν πατέρων. ἀπέβαλεν οὖν ὁ Βλεμμύδης καὶ τὰ δύο μέρη, ἤτοι καὶ τοὺς δεχομένους τὴν φωνὴν, καὶ τοὺς μὴ δεχομένους, ὃν εἴρηται τρόπον, οὐ μὴν ὅτι καὶ λέγει, ἢ νομίζει τὸ δι' υἱοῦ ἐστὶ ταὐτὸν τῷ ἐκ τοῦ υἱοῦ, καὶ γὰρ οὐδύνανται δεῖξαι τοῦτο οἱ Λατῖνοι, κἂν ἐν ταὐτῷ συναγάγωσι πάντας τοὺς σοφιστὰς, καὶ πάσας τὰς ἐπὶ παρατροπῇ τῆς πίστεως συνέσεις αὐτῶν. ἀλλὰ καὶ τὸ δεύτερον ὀρθῶς λέγει ὁ Βλεμμύδης. ἐπειδὴ γὰρ οἱ Λατῖνοι σπουδάζουσι παρασύραι τοὺς πατέρας εἰς βοήθειαν τῶν καινοτομιῶν αὐτῶν, ἐξ οὗ παρὰ τοῖς ἁπλουστέροις ἀντιλέγειν ἐφαίνετο τοὺς ἁγίους αὐτοὺς ἑαυτοῖς, ὁ Βλεμμύδης οὐκ ἐναντία ἔφη εἶναι τὰ τοῖς ἁγίοις λεγόμενα, κἂν τοῦτο δοκῇ τοῖς ἀπερισκέπτοις. ἀλλ' οἱ Λατῖνοι οἱ βιάζοντες τὰ τῶν ἁγίων ῥητὰ μεμπτέοι, οὐχ οἱ ἅγιοι, οἱ ἀεὶ συμφωνοῦντες ἀλλήλοις καὶ ἑαυτοῖς, καὶ ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφάλαιον δέκατον ἔνατον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ λύσεως τῆς τρίτης τῶν παπιστῶν ἀντιθέσεως, τοὺς Πάπας τῆς διαστάσεως τῶν Ἐκκλησιῶν αἰτίους δεικνυούσης, καὶ περὶ τοῦ ψευδεπίπλαστα γράφοντος Βέκκου, σπεύδοντος δεῖξαι τὴν πρὸς Ἰάκωβον Βουλγαρίας ἐπιστολὴν τοῦ Βλεμμύδους λατινόφρονα.

Πρὸς δὲ τὸ τρίτον ῥητέον πρῶτον, ὅτι οὐ μόνον ὁ Βλεμμύδης καὶ ὁ Βουλγαρίας, ἀλλὰ καὶ ἡμεῖς τὴν τῶν Ἐκκλησιῶν διάστασιν ἀποδυρόμεθα, καὶ ὀδυνώμεθα, καὶ χείρονας παντὸς ἀσεβοῦς νομίζομεν τοὺς ταύτην ποιήσαντας, οὐ μὴν ἐπειδὴ ὀδυρόμεθα τὴν διάστασιν τῶν Ἐκκλησιῶν, νομίζομεν ἄλλως, ἀλλ' ἢ ὅτι Λατῖνοι εἰσὶ καὶ οἱ Πάπαι Ῥώμης οἱ ποιήσαντες αὐτὴν, ἀποσχισθέντες τῆς καθόλου Ἐκκλησίας διὰ τὰς ἐν τῇ καθόλου πίστει καινοτομίας αὐτῶν. δεύτερον, πῶς ὁ Βέκκος ἐξ εἰκασίας τοῦ θρήνου τοῦ Βουλγαρίας καὶ τοῦ Βλεμμύδους ἕνεκεν τῆς διαστάσεως τῶν Ἐκκλησιῶν νομίζει μὲν αὐτοὺς λατινόφρονας, οὐκ ἐνέθηκε δὲ ἐν τῇ συγγραφῇ αὐτοῦ ταύτῃ, οὐ δὲ ἐμνήσθη οὔτε τῶν μαρτυριῶν ἃς συνέλεξεν ὁ Βλεμμύδης, ὧν ἐμπεσουσῶν, ὥς φησιν, εἰς χεῖρας αὐτοῦ, γέγονεν ὁ Βλεμμύδης ἀπὸ ὀρθοδόξου ἑτερόδοξος; τὴν ἐπιστολὴν τοῦ Βλεμμύδους πρὸς τὸν Βουλγαρίας ἐσημείωσε, πῶς δὲ ἐπελάθετο τοῦ λόγου καὶ τῶν συλλογῶν τῶν παρὰ τοῦ Βλεμμύδους πρὸς Θεόδωρον τὸν Βασιλέα; καὶ πῶς μεγίστῃ λήθῃ δέδωκεν (ἐπιλεκτέον γὰρ) τὰς συλλογὰς τὰς συγκροτεῖν δοκούσας τῷ δόγματι τῶν Λατίνων, τὰς δοθείσας αὐτῷ ὑπὸ Ἰωάννου τοῦ Δούκα πρὸ εἰκοσιπέντε ἐτῶν τῆς παρατροπῆς τοῦ Βασιλέως Μιχαήλ; πῶς οὖν ὥσπερ τι μορμολύκειον, ἢ λακωνικὸν κυνίδιον ἐζήτει ἐν τοῖς συγγράμμασιν αὐτοῦ εὑρεῖν τινὰς μάρτυρας πρὸς βεβαίωσιν τοῦ καλῶς φρονεῖν τοὺς Λατίνους; καὶ ἴδε κατωτέρω βιβλίου ἐνάτου κεφαλαίου πρώτου Παράγραφον δέκατον τέταρτον. καὶ τοσούτων ἀναγκαίων ὁ σοφώτατος ἐπελάθετο Βέκκος, καὶ μόνης τῆς πρὸς τὸν Βουλγαρίας ἐπιστολῆς ἐμνήσθη, καὶ ταύτης ἄνευ τοῦ εἰπεῖν τοὺς ἐν αὐτῇ τόπους τοὺς συνηγοροῦντας τῷ δόγματι τῶν Λατίνων; οὐδὲν οὖν καὶ ἐκ τῆς πρὸς τὸν Βλεμμύδη συκοφαντίας, ἢ καὶ ἐλπίδος ὠφελήθησαν οἱ σοφοὶ τῶν παπιστῶν.

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῶν πολέμων Φριδερίκου Βασιλέως Γερμανίας, Γρηγορίου τε ἐνάτου καὶ Ἰννοκεντίου τετάρτου τῶν Παπῶν, καὶ τῆς εἰς Φράντζαν φυγῆς τοῦ Ἰννοκεντίου, τῆς τε ἐν Λουγδούνῳ Συνόδου καὶ τῆς δι' ἣν ἠθροίσθη αἰτίας, καὶ τοῦ πότε τὰ κόκκινα ἐφόρεσαν οἱ Καρδηνάλεις, καὶ περὶ τῆς εἰς Αἴγυπτον καὶ Ἱερουσαλὴμ ἐκστρατείας Λοδοβίου Ῥηγὸς τῆς Φράντζας καὶ τῆς δυστυχίας αὐτοῦ, τοῦ καὶ ἀπατηθέντος κατὰ τὴν Κύπρον ὑπό τινων Τατάρων δεδιωγμένων ἀπὸ τῆς αὐθεντίας τοῦ Ἐρχαλτάου Χάνη.

Εἰς τοὺς χιλίους διακοσίους τεσσαρακονταπέντε γέγονε Συνόδος λατινικὴ εἰς τὸ Λουγδοῦνον τῆς Φράντζας, ὅτε ἦν Ῥώμης Ἰννοκέντιος ὁ τέταρτος, καθότι ὁ Γερμανῶν Ῥὴξ Φριδέρικος ἔχων τοὺς Γιβελίνους εἰς τὴν Ἰταλίαν βοηθοὺς, ἐπολέμησε μετὰ τοῦ ἄνωθεν Πάπα Γρηγορίου, εἰ καὶ κατεπολεμήθη ὑπὸ τοῦ Γρηγορίου, ὁμοίως καὶ τοῦ μετ' ἐκεῖνον Ἰννοκεντίου, καθὼς καὶ Ὄθων ὁ Σάξων, Γερμανὸς καὶ αὐτὸς Βασιλεὺς, ἀφωρίσθη ὑπὸ τῶν Παπῶν, οἵτινες ἐρείζουσι, ζηλοῦσι καὶ θυμοῦνται καὶ μάχονται, καὶ πάλιν λέγουσιν εἶναι ἀναμάρτητοι. ὁ οὖν Ἰννοκέντιος τὴν Συνόδον ἤθροισεν, ἵνα καταπραΰνῃ τὰς συγχύσεις τοῦ Φριδερίκου, περιποιούμενος δώροις τοὺς κύκλῳ Ῥήγας, καὶ κολακεύων τοὺς ἐκκλησιαστικοὺς, ὅθεν καὶ τοῖς Καρδηνάλεσιν ἔδωκε φορεῖν κόκκινα Σκιάδεια καὶ χλαμίδας, ἵνα μὴ ἐάσῃ τὶ τῶν ἐκκλησιαστικῶν ἠθῶν ἀνόθευτον. Λέγομεν πάλιν, ὁ Ἰννοκέντιος διωκόμενος ὑπὸ τοῦ Φριδερίκου, καὶ ἀποδρὰς εἰς τὴν Φράντζαν, ἤθροισε Συνόδον, καὶ ἐκάλεσε τὸν Φριδέρικον εἰς κρίσιν, ὃν μὴ ἐλθόντα, ἀφώρισε καὶ ὑστέρησε τῆς Βασιλείας. μαθὼν δὲ ὁ Φριδέρικος ταύτην τὴν αὐθάδειαν ἀπὸ Ἀλεξάνδρου τοῦ ἑβδόμου, καὶ ἀλογήσας τῶν ἀφορισμῶν ὡς παρανόμων, τὶ προεξένησε κατὰ τοῦ Πάπα καὶ τῆς Ἰταλίας, ἴδε τὸν Πλάτινα. Ἐν τῇ Συνόδῳ ταύτῃ διώρισαν ἀναμαχέσασθαι καὶ τοῖς Σαρακηνοῖς, καὶ ἀνακτήσασθαι τὰ Ἱεροσόλυμα, καὶ δὴ ὁ Λοδοβῖκος Ῥὴξ τῆς Φράντζας (αὐτός ἐστιν ὃν λέγουσιν ἅγιον) προχειρίζεται Στρατηγὸς τοῦ τοιούτου πολέμου, καὶ ἡτοιμάσθη καὶ ἐπορεύθη πρὸς τὴν ἀπολύτρωσιν τῆς ἁγίας πόλεως, πλὴν λίαν ἐδυστύχησε καὶ ἠχμαλωτίσθη, καθότι ἀπελθόντος αὐτοῦ εἰς τὴν Κύπρον μετὰ τῶν Στρατευμάτων αὐτοῦ, ἦλθον οἱ Χωρασμιᾶνοι Τατάροι δεδιωγμένοι ὑπὸ τῶν ἰδίων Τατάρων μετὰ γραμμάτων, ὡς δῆθεν ἀπεσταλμένοι ὑπὸ τοῦ Αὐθέντου τοῦ Ἐρχαλτάου, ὃν εἶπον Χριστιανίσαντα βαπτισθῆναι μετὰ πάντων τῶν πρώτων αὐτοῦ Ἀρχόντων, καὶ προθύμως ἔχοντα ἐλθεῖν καὶ αὐτὸν εἰς τὰ Ἱεροσόλυμα μετὰ τῶν Στρατευμάτων αὐτοῦ κατὰ τῶν ἐχθρῶν τῆς πίστεως. τῶν γραμμάτων ἐκείνων τὸ ἴσον ἔχεις φιλαναγνῶστα εἰς τὸν συγγραφέα Βικέντινον, βιβλίῳ τρίτῳ κεφαλαίῳ ἐννενηκοστῷ πρώτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ γραμμάτων φιλικῶν καὶ σκηνῆς, τοῖς διωχθεῖσι Τατάροις δοθέντων παρὰ τοῦ ἀνωτέρω Λοδοβίου διὰ τὸν Ἐρχάλταον, καὶ τῆς μάχης Φριδερίκου Βασιλέως Γερμανίας καὶ Ἰννοκεντίου Πάπα, καὶ τῆς ἁλώσεως Λοδοβίου Ῥηγὸς Φράντζας ὑπὸ τοῦ Σαφανδίνου, καὶ τῶν τοὺς ἐν Ἀσίᾳ Φράγγους καταπολεμησάντων Γρωσόλων.

Πέμπει γοῦν ὁ Λοδοβῖκος εἰς τὸν Ταταρχάνην Ἐρχάλταον φιλικώτατα γράμματα, παρακαλῶν ὁμοῦ καὶ παρακινῶν αὐτὸν ἐλθεῖν διὰ τάχους εἰς συνδρομὴν καὶ βοήθειαν, ὅθεν χάριν φιλίας ἔστειλεν αὐτῷ καὶ μίαν κοκκίνην σκηνὴν, ἤτοι τένδαν, ἥτις ἔφερε τύπον μιᾶς ὡραίας Ἐκκλησίας, ἔχουσα ἐντέχνοις ποικίλμασιν ὅλα τοῦ Κυρίου τὰ πάθη καὶ τὰ θαύματα, εἶτα ἀπῆλθε τοῦ λαβεῖν τὸ Ταμιάθι, ὃ καὶ ἔλαβε, καὶ ἐποίησε καὶ ἄλλα ἔργα θαυμαστὰ, ἀλλ' ὁ Φριδέρικος, ὡς εἴρηται, ἀνανήψας τῶν ἡδονῶν, πάλιν μάχεται τῷ Ῥώμης Ἰννοκεντίῳ, καὶ εἴργονται τὰ πλείω Στρατεύματα, καὶ ὕστερον ἐποίησε τὰ χείριστα Μαυρέδος ὁ Δοὺξ μετὰ τοῦ τετάρτου Ἀλεξάνδρου, καὶ ἔλειψεν ἡ βοήθεια. τέλος πάντων ὑπὸ τὸ Ταμιάθι τὸ κάστρον τὸ δυνατὸν καὶ ὡραῖον, κείμενον κατὰ τὸ Πηλούσιον στόμα τοῦ χρυσορρόου Νείλου, ἐλήφθη αἰχμάλωτος ὑπὸ τοῦ Σαφαντίνου τοῦ υἱοῦ τοῦ Σαλαδίνου ὁ Ῥὴξ Λοδοβῖκος εἰς τοὺς χιλίους διακοσίους πεντήκοντα. ὅθεν ὕστερον ἐξηγοράσθη πλείστῳ τιμήματι, διδοὺς ἐνέχυρον τὰ Μυστήρια ταῖς χερσὶ τοῦ νικητοῦ Σαφανδίνου, τὸ πιστὸν παρέχοντα τῷ Σαφανδίνῳ τῆς ἐξαγοράσεως αὐτοῦ. Σὺ δὲ σημείωσαι, ὅτι καὶ οἱ ἐθνικοὶ ἐγίνωσκον, ὅτι οἱ Χριστιανοὶ πρεσβεύουσι τὴν μετουσίωσιν, διὰ τοῦτο ἐδέξατο καὶ Μυστήρια ἐνέχυρον τοῦ τοσούτου Ῥηγός. Σημείωσαι, ὅτι τότε Γρωσόλοι, ἔθνος αὐστηρὸν τῆς Ἀραβίας, παρακινηθέντες ὑπὸ τοῦ Σουλτάνου Βαβυλῶνος, κατεπολέμησαν τοὺς Φράγγους τοὺς ἐν τῇ Ἀσίᾳ, ὅθεν εὐκόλως ἔλαβον καὶ τὴν Ἱερουσαλήμ.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ ἐξ ἀνδραπόδων ἰσχυροῦ Στρατεύματος τοῦ τῆς Αἰγύπτου Σουλτάνου, καὶ τοῦ ὅθεν ἠγόρασε τόπου ὁ Σουλτᾶνος οὗτος τὰ ἀνδράποδα ταῦτα, καὶ ἐπὶ τίνος βασιλέως Ῥωμαίων, καὶ περὶ τῆς καταστροφῆς καὶ διώξεως ἀπὸ Λιβύης ἕως Γαδείρων καὶ Κιλικίας τῶν Κελτῶν καὶ Γαλατῶν διὰ τοῦ Στρατεύματος τούτου, καὶ ἐκστρατείας Βερδάρδου υἱοῦ Ῥηγὸς Ἐγλητέρας εἰς Ἱερουσαλὴμ, καὶ τοῦ βοηθοῦ αὐτῷ Κασσινοῦ Ταταρχάνη, καὶ τοῦ τελείου διωγμοῦ τῶν Λατίνων ἀπὸ τῆς Ἱερουσαλὴμ, καὶ τῶν κακῶν ὅσων αἴτιος γέγονεν ἐν Ἀνατολῇ καὶ Δύσει ὁ ἱερὸς οὗτος πόλεμος.

Ὁ Σουλτᾶνος τῆς Αἰγύπτου ἔστειλε πρέσβεις εἰς Μιχαὴλ τὸν Παλαιολόγον εἰς τὸ Βυζάντιον, καὶ ἀφῆκεν ὁ Μιχαὴλ τὰ καράβια τῆς Αἰγύπτου ἀμοιβαδὸν πλεῖν τὴν μαύρην Θάλασσαν, καὶ ἀγοράζειν αἰχμαλώτους ἀπὸ τῶν πέριξ αὐτῆς βαρβάρων ἐθνῶν. καὶ λοιπὸν ἐποίησαν οἱ Αἰγύπτιοι ἐκ τῶν τοιούτων ἀνδραπόδων ἰσχυρὸν Στράτευμα, καὶ κατέστρεψαν ἀπὸ Λιβύης ἕως Γαδείρων καὶ ἕως Κιλικίας Κελτοὺς καὶ Γαλάτας, καὶ ἐδίωξαν αὐτοὺς ἐκεῖθεν. ἀλλὰ δὴ καὶ τοὺς Σουλτάνους τῆς Αἰγύπτου συνέβη γίνεσθαι ἐξ ἐκείνων τῶν δούλων ἕως ἐτῶν χιλίων πεντακοσίων δεκαπέντε, ἐν οἷς διέλυσε τὴν ἀρχὴν αὐτῶν ὁ Σουλτᾶν Σελήμ. ἀλλ' ἔλθωμεν μικρὸν ἀνωτέρω. Ἐπὶ τοῦ παρόντος Μιχαὴλ περί που τὰ χίλια διακόσια ἑβδομήκοντα ἔτη Βερδάρδος τοῦ Ῥηγὸς ὁ υἱὸς τῆς Ἐγκλητέρας ἀπῆλθεν ἵνα ἐλευθερώσῃ καὶ αὐτὸς τὴν Ἱερουσαλὴμ ἀπὸ τῶν Σαρακηνῶν, ὅτε καὶ εἰς τὴν Πτολεμαΐδα περιέμενεν ἐλθεῖν ἀπὸ τῆς Ἀφρικῆς Λοδοβῖκον τὸν Ῥῆγα τῶν Κελτῶν, ἀλλὰ μήτε τότε ἐδυνήθησαν ἐνεργῆσαί τι ἄξιον. μετὰ μερικοὺς δὲ χρόνους, ἤτοι εἰς χίλια διακόσια ὀγδοήκοντα ὀκτὼ ἔτη, ὁ Μέλεκ Σιαραφεντίνης ἔλαβε τῶν Λατίνων τὰ εἰς τὴν Φοινίκην ἐμπόρια, Τύρον, Τρίπολιν, Σιδῶνα, καὶ τὰ λοιπὰ, καὶ τὴν Πτολεμαΐδα ἔλαβεν εἰς τοὺς χιλίους διακοσίους ἐννενήκοντα καὶ ἕνα χρόνους, ἔτυχε δὲ βαπτισθῆναι τότε τὸν Κασσινὸν Ταταρχάνην, καὶ τῇ ἐκείνου βοηθείᾳ ἔλαβον οἱ Λατῖνοι ὀπίσω τὰ εἰρημένα κάστρα, καὶ ὅλην τὴν Συρίαν, καὶ αὐτὴν τὴν Ἱερουσαλὴμ εἰς τοὺς χιλίους διακοσίους ἐννενήκοντα ὀκτὼ, ἀλλ' εἰς τρεῖς χρόνους ὁ Σουλτᾶνος ἔλαβε πάλιν καὶ τὴν Συρίαν καὶ τὴν Ἱερουσαλὴμ, καὶ ἴδε τὸν Σαβέλλικον εἰς τὸ ἕβδομον τῆς ἐννεάδος αὐτοῦ. εἰς τοὺς πολέμους δὲ αὐτοὺς ἠφανίσθη καὶ τὸ τάγμα τῶν Τεμπλαρίων, ὅθεν καὶ οἱ Πιτάλιδες ὑστερηθέντες τῆς Πτολεμαΐδος, καὶ ἀπελπισθέντες ἀπὸ τοῦ ἰσχῦσαι ἔτι τοὺς Λατίνους ἐξουσιάσαι τῆς Παλαιστίνης καὶ Συρίας, ἐπειδὴ τὰ πλείω κάστρα καὶ αὐτὴν τὴν Τύρον καὶ Πτολεμαΐδα, Ἰόππην, Ἀσκάλωνα καὶ ἄλλα ἐκρήμνισαν οἱ Αἰγύπτιοι ἐκβάθρων, ἀνεχώρισαν, καὶ ἀπελθόντες ἔλαβον Νόμῳ πολέμου τὴν Ῥόδον ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ ὀγδόῳ, καὶ ἐκράτησαν αὐτῆς ἔτη διακόσια δεκατέσσαρα, ἕως οὗ ἔλαβεν αὐτὴν ὁ Σουλτᾶν Σουλεϊμᾶν δηλονότι, καὶ αὐτοὶ ἀπῆλθον εἰς τὴν Μάλταν. τοιοῦτον τέλος ἔλαβον οἱ τῶν Λατίνων ἀγῶνες περὶ τῆς Ἱερουσαλὴμ ἀπὸ χιλίων ἐννενήκοντα ἑπτὰ ἕως χιλίων τριακοσίων ὀκτὼ, ὥστε ἀφανισθῆναι τὰς πόλεις καὶ χώρας καὶ τὸ πλῆθος τῶν Χριστιανῶν τὸ ἐν τῇ Συρίᾳ, Φοινίκῃ καὶ Παλαιστίνῃ, καὶ καταστραφῆναι τὰς Ἐκκλησίας καὶ τὰ Μοναστήρια καὶ τὰς πλείονας οἰκοδομὰς τῆς Ἱερουσαλὴμ, καὶ αὐτὸν τὸν ἅγιον τάφον, καὶ τὸν Ναὸν αὐτοῦ, καὶ ἀφαιρεθῆναι τὴν εὐπρέπειαν αὐτῶν, καὶ γενέσθαι ὡς ἐρείπιον, καὶ ποιῆσαι καὶ τὸν Σαλαδῖνον τὸ Πατριαρχεῖον τζαμὶ, καὶ ἁλῶναι τὴν Κωνσταντινούπολιν ὑπὸ τῶν Λατίνων, καὶ μερισθῆναι εἰς βασίλεια τῶν ὀρθοδόξων, καὶ λαβεῖν τοὺς Λατίνους τοσαύτας Νήσους καὶ τόπους τῶν Ῥωμαίων, καὶ ἀδυνατῆσαι τὸ βασίλειον, καὶ καταπολεμηθῆναι εὐκόλως ὑπὸ τῶν ἐθνικῶν, ὅλως γὰρ τὸ τέλος τούτου τοῦ μιαροῦ πολέμου ἦν, ἵνα ἀφανισθῶσιν οἱ Ῥωμαῖοι, καὶ αὐξηθῶσιν οἱ ἐθνικοὶ, καὶ ἐν πᾶσι τοῖς θηρίοις τούτοις τοῖς ἀγρίοις, οἱ Πάπαι τῆς Ῥώμης συναίτιοι καὶ πρωταίτιοι.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι τὸ τοῦ ἱεροῦ πολέμου καὶ τῶν διηνεκῶν ἐν Δύσει ταραχῶν αἴτιόν ἐστι, τὸ ζητεῖν τοὺς Πάπας στέφειν καὶ ὑπ' αὐτοὺς ἔχειν τοὺς τῆς Δύσεως Βασιλεῖς, καὶ περὶ τῶν κατ' ἀλλήλων καὶ κατὰ τῶν δυτικῶν Βασιλέων καὶ Ῥηγῶν παπικῶν πολέμων, καὶ ὧν ἐποίησεν ἀλλεπαλλήλων κακῶν Γρηγόριος ὁ ἕβδομος καὶ οἱ λοιποὶ Πάπαι, καὶ περὶ τῆς δι' Ἰννοκεντίου τοῦ τρίτου ἁλώσεως τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Λατίνων καὶ τοῦ ἐν ᾧ ἑάλω ἔτους.

Ποιοῦντες τέλος τῆς ἐπιτομῆς ταύτης, καὶ περὶ τοῦ πολέμου τούτου τοῦ ἱεροῦ, ταὐτὸν εἰπεῖν ψωριῶντος λέγομεν, ὅτι εἰς τὸν πόλεμον τοῦτον ὅλως ἦν πάντοτε ἡ Δύσις εἰς συγχύσεις καὶ ταραχὰς, ἐζήτουν γὰρ οἱ Πάπαι στέφειν τοὺς Καίσαρας. λέγει δὲ Ὄθων ὁ Φρισιγένσης Ἐπίσκοπος βιβλίῳ πέμπτῳ, κεφαλαίῳ τριακοστῷ πέμπτῳ, ὅτι ἐμάχοντο μάλιστα Ἐνρῖκος καὶ ὁ Γρηγόριος, καὶ Πάπαι κατὰ Παπῶν, καὶ ἠκολούθησαν σχίσματα καὶ φθορά. ὅθεν ἀναξίως ἄρα τῆς σοφίας καὶ ἁγιότητος αὐτοῦ (εἰ καὶ οἰκονομικῶς) ὁ Θεσσαλονίκης Βασίλειος εἶπε τὸν Πάπαν Ἀδριανὸν εἰκόνα καὶ ἀφομοίωμα τοῦ Χριστοῦ, καθότι πάντα μετὰ τὸ σχίσμα Πάπαν τῆς πρεσβυτέρας Ῥώμης ἀδυνατόν ἐστιν εἶναι τοιοῦτον, μάλιστα δὲ τινὲς αὐτῶν

φατε-

φανερῶς ἐγένοντο ἀφομοίωμα τοῦ Ἀντιχρίστου, ὡς ἦν καὶ αὐτὸς ὁ ἕβδομος Γρηγόριος, ὅστις ἔλεγεν, ὁ μὴ προσκυνῶν αὐτὸν, ἐστὶν Εἰδωλολάτρης, τοὺς μεγάλους ἀφώριζε, τοὺς μικροὺς ἐκίνει καὶ συνεχώρει κατὰ τῶν Αὐθεντῶν αὐτῶν, καὶ οὓς οὐκ ἐδύνατο καταβαλεῖν, ἐδίδου γράμματα συγχωρητικὰ ὡς ἂν ἀπέλθωσιν εἰς τὸν ἱερὸν πόλεμον. τὰ αὐτὰ λέγει καὶ ὁ Ἀββᾶς Οὐρσπεργένσης, καὶ ὅτι ὅτε ἦν εἰς τὸν πόλεμον ὁ Φριδέρικος, ὁ Γρηγόριος ἔνατος ἐσπούδαζε λαβεῖν τοὺς τόπους αὐτοῦ. λέγει δὲ εἰς Φριδέρικον πρῶτον καὶ Ἐνρῖκον πέμπτον καὶ Φίλιππον, καὶ ἕως τέλους τοῦ χρονικοῦ αὐτοῦ ὁ Ἀββᾶς τὰς ἐπιορκίας καὶ ἀσυμφωνίας καὶ δόλους καὶ ἀπιστίας καὶ πολέμους καὶ προδοσίας καὶ ἐπαναστάσεις τῶν Παπῶν, καὶ τὰς αἰχμαλωσίας καὶ ἀφανισμοὺς οὓς προεξένουν τῷ γένει τῶν Χριστιανῶν, ὧν ἐξουσιάζει δηλονότι ἡ ἀποστασία αὐτοῦ τοῦ Πάπα, καὶ ὅτι ἐνόμισεν ὁ Πάπας διὰ τοῦ πολέμου τούτου χειροτονεῖν Πατριάρχας καὶ Ἐπισκόπους τῆς Ἀνατολῆς, ὡς Εὐγένιος ὁ τρίτος Πάπας ἀποβλέπων εἰς τοῦτο τὸ παράδειγμα, ἠθέλησε ποιῆσαι τοιοῦτον πόλεμον ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ διὰ τὴν αὐτὴν αἰτίαν, ὡς μαρτυρεῖ ὁ Ὄθων βιβλίῳ πρώτῳ τῆς ζωῆς Φριδερίκου τοῦ πρώτου, κεφαλαίῳ τριακοστῷ τετάρτῳ, καὶ ὅτι εἰσήχθησαν εἰς Ἀντιόχειαν καὶ Ἱεροσόλυμα Ἐπίσκοποι Λατῖνοι, διὸ ἐσπούδαζον καὶ περὶ τῆς Κωνσταντινουπόλεως. ὅθεν Ἰννοκέντιος ὁ τρίτος παρεκίνησε τὸν πόλεμον κατὰ τῆς Κωνσταντινουπόλεως, ἣν καὶ ἔλαβον οἱ Λατῖνοι τῷ ἔτει χιλιοστῷ διακοσιοστῷ τετάρτῳ κατὰ τὸν Χωνειάτην, καὶ ἦν γέμων ὁ κόσμος ὅλος αἱμάτων Χριστιανικῶν, φθορᾶς γραμμάτων, ἀφορισμῶν Ἐπισκόπων, ταλαιπωρίας Ἱερέων, διωγμοὶ Μοναχῶν ἐγένοντο, ἀφανισμοὶ Μοναστηρίων, διωγμοὶ εὐσεβῶν καὶ ἐλάττωσις, αὔξησις δὲ καὶ πληθυσμὸς τῶν ἐθνικῶν μιᾶς καὶ μόνης ἕνεκεν αἰτίας, ὅτι τῷ ἀποστάτῃ Πάπᾳ οὐκ ἐπείθοντο.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τῆς ἐν Νικαίᾳ βασιλείας Θεοδώρου τοῦ νέου, τοῦ καὶ μονάσαντος ὕστερον, καὶ τῆς Πατριαρχείας Ἀρσενίου.

Ἐβασίλευσεν ὁ υἱὸς τοῦ Ἰωάννου Θεόδωρος νεώτατος, καὶ γενόμενος ἐτῶν τριάκοντα ὀκτὼ, ἐγένετο Μοναχὸς, καὶ πολλὰ διανείμας πτωχοῖς, ἐκοιμήθη. ἐπὶ τούτου ἐζητήθη ὁ Βλεμμύδης γενέσθαι Πατριάρχης, χηρεύοντος τοῦ θρόνου, καὶ ἐπειδὴ οὐκ ἐπείσθη, προχειρίζεται Ἀρσένιός τις, ὃς ἠσκήτευεν εἰς τὴν Ἀπολλωνιάδα, ἐνάρετος μὲν, ἀλλ' ἀπράγμων. λέγει δὲ ὁ Γρηγορᾶς, ὅτι δεῖ τὸν ἀπράγμονα εἶναι ἐν τοῖς ὄρεσιν, ἐπειδὴ ἐν ταῖς πόλεσιν ἡ ἀρετὴ δεῖται καὶ πολιτικοῦ χαρακτῆρος. λέγει γὰρ ὁ Κύριος, Βλέπετε πῶς ἀκριβῶς περιπατεῖτε, καὶ τὰ ἑξῆς, τὴν πολιτικὴν τοῦ λόγου δύναμιν ἐν τῷ Χριστιανῷ Ἄρχοντι ἀναγκαίαν εἶναι ὑπαινιττόμενος.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς Μουζάλωνος σφαγῆς ἐπιτρόπου Βασιλέως Ἰωάννου τοῦ νέου, καὶ τῆς Μιχαὴλ Παλαιολόγου ἐπιτροπῆς, καὶ εἶτα βασιλείας, ἐξορίας τε Ἰωάννου τοῦ νέου, καὶ φυγῆς Ἀρσενίου Πατριάρχου, καὶ Πατριαρχείας Νικηφόρου Ἐφέσου, ἁλώσεώς τε Μαιώτιδος καὶ τῶν ἐκεῖ ῥωμαίων χωρῶν ὑπὸ τῶν Τατάρων, τῶν καὶ καταδραμόντων ἅμα Γότθοις, Ῥώσοις καὶ Ἀλανοῖς τὴν τῶν Ῥωμαίων γῆν.

Ἔμεινε τοῦ Θεοδώρου διάδοχος ὁ υἱὸς αὐτοῦ Ἰωάννης, ὢν ἐτῶν ἕξ, ἔχων ἐπιτρόπους τὸν Μουζάλωνα, καὶ τὸν Πατριάρχην Ἀρσένιον, ἀλλ' εἰς τὰ ἔνατα τοῦ πατρὸς αὐτοῦ σφάττεται ἔνδον εἰς τὸ ἅγιον βῆμα εἰς τὴν μονὴν τῶν Σωσάνδρων ὁ Μουζάλων, καὶ ἐπειδὴ ἐδόκει Μιχαὴλ ὁ Παλαιολόγος ἱλαρὸς προσώπῳ, χρηστὸς ὁμιλίᾳ, ἤθει ἀστεῖος, χειρὶ φιλότιμος, προχειρίζεται ἐπίτροπος τοῦ Βασιλέως, μέγας Δοὺξ ὤν, ἔχων δὲ εἰς τὴν διάνοιαν αὐτοῦ κακὰ κατὰ τοῦ Ἰωάννου, ἐκολάκευε τὸν Πατριάρχην, ᾧ καὶ ὑπήντα μακρόθεν ἐρχομένῳ εἰς τὸν Βασιλέα, εἶτα κρατῶν τοὺς χαλινοὺς τῆς Ἡμιόνου ἐν ᾗ ὁ Πατριάρχης ἐκάθητο, ἤρχετο πρόσω ἕως τῶν ἀνακτόρων. προεβλήθη ὁ Παλαιολόγος Δεσπότης, φανεὶς δὲ ἄριστος εἰς τοὺς πολέμους κατὰ τῶν Ἠπειρωτῶν, ἀναγορεύεται Βασιλεὺς εἰς τὴν Μαγνησίαν, στεφθεὶς ὑπὸ τοῦ Μητροπολίτου κατὰ τὸν Γρηγορᾶν. ἔβαλε δὲ αὐτὸν εἰς φρικτοὺς ὅρκους ὁ Ἀρσένιος τοῦ μή τινα ἐπιβουλὴν ἀρτύσαι κατὰ τοῦ παιδὸς, ἤτοι τοῦ Ἰωάννου, καὶ στέφει αὐτὸν, ὅμως ἕως ἂν ἔλθῃ εἰς ἡλικίαν ὁ Βασιλεύς. πλὴν ὁ Μιχαὴλ ἀλογήσας τῶν ὅρκων, ἐξώρισε τὸν Βασιλέα εἰς Μαγνησίαν. ὅθεν διὰ τὴν παρανομίαν δι' ἣν καὶ ὁ Ἰωάννης κατεφρονεῖτο, καὶ ὁ Πατριάρχης οὐκ εἰσηκούετο περὶ τῶν ἐν τῇ Ἐκκλησίᾳ καθηκόντων, ἅμα εἰπὼν πρὸς τὸν Κλῆρον, καὶ ἅμα ὁρμήσας, τὴν πύλην τῆς Νικαίας καταλαμβάνει ὁ Ἀρσένιος πεζὸς, καὶ ὡς εἶχε τὸν περὶ αὐτὸν ὄχλον ἀποτειναξάμενος, φεύγει μετ' ὀλιγίστων, καὶ προχειρίζεται Πατριάρχης ὁ Ἐφέσου Νικη-

Νικηφόρος, ὃς καὶ πρὸ τῆς ἁλώσεως τοῦ Βυζαντίου ἀπέθανον. Εἰς τοὺς τότε καιροὺς καὶ οἱ Τατάροι ἦλθον καὶ εἰς τὴν Μαιῶτιν, καὶ λαβόντες καὶ ἐκεῖ τῶν Ῥωμαίων χώρας, ἰδιοποιήσαντο, εἶτα φιλιωθέντες μετὰ τῶν Γότθων καὶ Ῥώσων καὶ Ἀλανῶν, κατέτρεχον τὴν Ῥωμαίων γῆν, καὶ εἰ καὶ ὁ Βασιλεὺς ἐδεξιοῦτο αὐτοὺς δώροις, ἀλλ' ἐκεῖνοι κατὰ τὴν συνήθειαν τοῦ Γιγγὶζ Χάνη τοῦ πρωτάρχου αὐτῶν κατέτρεχον καὶ κατέφθειρον.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ ἀνακαινισμοῦ τοῦ Ναοῦ τοῦ ἁγίου τάφου ὑπὸ τοῦ τῶν Ἁρμενίων Ῥηγὸς, καὶ ἑτέρων αὐτοῦ οἰκοδομιῶν, καὶ σφαγῆς τῶν ἐν Σικελίᾳ Κελτῶν ὑπὸ τῶν Σικελιωτῶν, ἐξ ὧν ἡ παροιμία, Σικελικὸς ἑσπερινός.

Ἀφ' οὗ ἔλαβον οἱ Λατῖνοι τὴν Κιλικίαν εἰς τοὺς χιλίους ἐννενήκοντα ἑπτὰ, ἐχρημάτισε καὶ Ῥὴξ Ἁρμενίων εἰς τὴν Κιλικίαν, καὶ διέμεινεν ἡ ἀρχὴ αὐτῶν ἕως τοῦ νῦν. καὶ ἐπειδὴ ὁ Ναὸς τοῦ ἁγίου τάφου ἦν σεσαθρωμένος, καὶ ὁ Σατράπης τῆς Δαμασκοῦ Κάππακος ἦν κρύφιος Χριστιανὸς, ἐδεήθη αὐτοῦ ὁ Ῥὴξ τῶν Ἁρμενίων, ἵνα ἐάσῃ αὐτὸν ἀνακαινίσαι τὸν Ναὸν, καὶ ἀφῆκεν αὐτὸν καὶ ἀνεκαίνισε τὸν Ναὸν εἰς πολλὰ, καὶ ἄλλας οἰκοδομὰς ἐποίησεν εἰς τὴν Ἱερουσαλὴμ, ὅθεν καὶ ἦλθον ἀφ' ἑκάστου ῥηγάτου Χριστιανοὶ καὶ κατῴκησαν εἰς Ἱερουσαλὴμ, γνοὺς ὅμως τὸ πλῆθος ὁ Σουλτᾶνος, ἔστειλε καὶ ἠρεύνησεν ἵνα μὴ ὦσι διὰ ἀνταποίαν, ἀφῆκεν ὅμως αὐτοὺς εἰς εἰρήνην. Σὺ δὲ σημείωσαι ὡς ἥδισμα ὅπερ ἔπαθον εἰς τοὺς καιροὺς τούτους οἱ Φραντζέζοι, οἵτινες ἐπειδὴ ὁπωσδήποτε ἐξουσίασαν τῆς Σικελίας, ἐποίησαν ἐκεῖ κατὰ τὸ ἀπάνθρωπον τῆς φύσεως αὐτῶν, καὶ ἐκάκουν τὸ ὑπήκοον, ἀλλ' οἱ Σικελιῶται εἰς τὸν ἑσπερινὸν τοῦ Πάσχα κατέσφαξαν ὀκτὼ χιλιάδας Κελτοὺς, ὅθεν ἡ παροιμία, Σικελικὸς ἑσπερινός. μετεπέμψαντο δὲ πρὸς ἑαυτοὺς τὸν Πέτρον τὸν Ῥῆγα τῆς Ἀραγωνίας καὶ ὑπετάχθησαν αὐτῷ ἕως τῆς σήμερον. ἀλλ' ἔλθωμεν εἰς Μιχαὴλ τὸν Παλαιολόγον, ἵνα εἴπωμεν καὶ τὰ κακὰ ἅπερ ἐβούλοντο προξενῆσαι καὶ ψυχικῶς οἱ Λατῖνοι εἰς τοὺς Ῥωμαίους.

Κἀνταῦθα λῆξις βιβλίου τοῦ ὀγδόου.



ΠΑΝΕΠΙΣΤ. ΒΙΒΛΙΟΘΗΚΗ

ΔΟΣΙΘΕΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

ΒΙΒΛΙΟΝ Θ'. ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Ῥωμαίων ἐπὶ Μιχαὴλ τοῦ Παλαιολόγου διὰ τοῦ Καίσαρος Ἀλεξίου, καὶ ἀποδιώξεως τῶν Λατίνων.

Μιχαὴλ τοίνυν ὁ Παλαιολόγος, ὃς ἐβασίλευσε χρόνους εἰκοσιτέσσαρας, ἔλαβε τὴν Κωνσταντινούπολιν εἰς τὸν ἕκτον χρόνον τῆς βασιλείας αὐτοῦ, ἐκβαλὼν τὸν Βαλδουῖνον τῷ σοφῷ στρατηγήματι τοῦ Καίσαρος Ἀλεξίου, ὅστις Στρατηγόπουλος τὴν νύκτα μετὰ τριακοσίων νεανίων ὑπεισδὺς κρυφίως εἴσω τῶν παλαιῶν καναλίων, εἰσῆλθεν εἰς τὸ βασιλικὸν Παλάτιον, καὶ βοήσας μεγαλοφώνως, καὶ πυρκαϊὰν μεγάλην ἀνάψας εἰς πλείστους καὶ διαφόρους τόπους, τόσον ὥστε καὶ φόβον καὶ τρόμον ἐνέβαλε τοῖς πέριξ καὶ ἐγκατοίκοις καὶ παροίκοις, οἳ πάντες οἷον ἀσπάλακες κατεχώσθησαν, καὶ οὐδεὶς ἐτόλμα ἐξελθεῖν τῆς οἰκίας αὐτοῦ, ὥστε τὸν Ἀλέξιον αὐτὸν ἀφόβως ἀπελθεῖν καὶ ἀνοῖξαι τῆς πόλεως τὰς πύλας, καὶ εἰσαγαγεῖν ἄλλους ἑπτακοσίους πεντήκοντα, οἵτινες ἦσαν ἔξω ἐνεδρεύοντες. τοιούτῳ γοῦν τρόπῳ ἐκυρίευσαν πάλιν οἱ Ῥωμαῖοι τῆς κλεινῆς μεγαλοπόλεως. ὁ φιλαναγνώστης ἰδέτω κατὰ πλάτος τὴν ἱστορίαν καθὼς αὐτὴν ἐξηγεῖται ὁ Γρηγορᾶς Νικηφόρος εἰς τὸ τέταρτον βιβλίον τῆς ἱστορίας αὐτοῦ ὁμοῦ καὶ ὁ Παχυμέρης.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν πρὸς τὸν Πάπαν πρέσβεων Μιχαὴλ τοῦ Βασιλέως καὶ τῶν πονηριῶν αὐτοῦ, καὶ ὧν ἔπαθον οἱ πρέσβεις αὐτοῦ ὑπὸ τοῦ Πάπα.

Ἁλούσης τοίνυν τῆς Κωνσταντινουπόλεως ὑπὸ Ῥωμαίων, εἰσῆλθεν ὁ Βασιλεὺς Μιχαὴλ εἰς αὐτὴν γυμνοκέφαλος καὶ πεζός. φοβούμενος δὲ τὴν ἐπέλευσιν τῶν Λατίνων κατὰ τῆς πόλεως πάλιν, ἀφεὶς τὸν Θεὸν, διενοήθη βασιλεύειν μετὰ πονηριῶν. ὅθεν ἦυρε μέσον χλευάζειν τὴν Ἐκκλησίαν, ἵνα ἡσυχάζῃ αὐτός. καὶ δὴ στέλλει πρέσβεις πρὸς τὸν τότε Πάπαν τὸν Νικηφορίτζην Ῥωμαῖον, καί τινα Ἀλουβάδην ὑπογραφέα Βαλδουΐνου, τοῦ χρηματίσαντος ἐν Βυζαντίῳ Βασιλέως. ἀλλὰ προδότας αὐτοὺς ἡγησάμενοι οἱ Λατῖνοι, τὸν μὲν Νικηφορίτζην ζῶντα ἐξέδηραν, ἅμα καὶ διὰ αἰσχύνην τοῦ Μιχαὴλ, ὁ δὲ ἀλουβάδης φυγὼν ἐσώθη.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς μετὰ τελευτὴν Νικηφόρου Πατριαρχείας αὖθις Ἀρσενίου, καὶ ἀνακαθάρσεως τῆς μεγάλης Ἐκκλησίας ἀπὸ τῶν λατινικῶν δυσῳδιῶν.

Προσκαλεῖται δὲ πάλιν τὸν Ἀρσένιον, καὶ δίδωσιν αὐτῷ τὸν θρόνον μόνος ὁ Βασιλεὺς, ἀπολογησάμενος πρῶτον

πρῶτον περὶ τοῦ Ἰωάννου, καί τινα Μοναχὸν Ῥουσᾶν ἔταξεν ἐπιστάτην καὶ ἐκαθάρισε τὴν μεγάλην Ἐκκλησίαν ἀπὸ τῶν λατινικῶν δυσῳδιῶν, καὶ ἀνεκαίνισε πάντα τὰ ἐν αὐτῇ σεσαθρωμένα.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ἣν ἐποίησεν ἀθεμιτογαμίας πρὸς τοὺς Τατάρους Μιχαὴλ ὁ Παλαιολόγος.

Ἐπεκράτησαν δὲ, καὶ οἱ Τατάροι τότε περὶ τὴν Μαιῶτιν, ὁ δὲ Μιχαὴλ ἐποίησεν ἀθέμιτον ἔργον, καὶ ἔστειλε Μαρίαν πορνογενῆ αὐτοῦ θυγατέρα τῷ Χαλαοῦ εἰς γυναῖκα μετά τινος Ἀρχιμανδρίτου τοῦ Παντοκράτορος, καὶ μετὰ πολυτίμων δώρων, ἐπειδὴ δὲ ὁ Χαλαοῦ προαπέθανεν, ἔλαβεν αὐτὴν ὁ υἱὸς αὐτοῦ Ἀπαγᾶς.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τυφλώσεως Ἰωάννου τοῦ νέου ὑπὸ Μιχαὴλ Παλαιολόγου, καὶ συχνῶν τοῦ Μιχαὴλ πρέσβεων καὶ δώρων πρὸς τὸν Ῥώμης, ἐξορίας τε ἀδίκου τοῦ Πατριάρχου Ἀρσενίου, καὶ Πατριαρχείας Γερμανοῦ Ἀδριανουπόλεως καὶ παραιτήσεως, καὶ Πατριαρχείας Ἰωσήφ.

Τὸν δὲ Ἰωάννην οὐκ ἤρκει ὅτι εἶχεν ἀπόβλητον τῆς βασιλείας, ἀλλὰ καὶ ἐτύφλωσεν αὐτὸν καὶ ἐξώρισε, τὰς δὲ δύο αὐτοῦ ἀδελφὰς πρὸς γάμον ἐξέδωκεν εἰς Φραγγίαν, ὅθεν ὁ Πατριάρχης ἀφώρισεν αὐτὸν φανερῶς διὰ τὸ πάντολμον ἔργον, ὑπέμεινεν ὅμως τὸ ἐπιτίμιον. Φοβούμενος δὲ πάλιν τοὺς Λατίνους, λέγει ὁ Παχυμέρης βιβλίῳ δευτέρῳ καὶ τρίτῳ, συχνάκις μὲν πρὸς τὸν Πάπαν πρέσβεις ἐξῆγε, καὶ δώροις ὑπήρχετο, αἰὲν γὰρ ἐκεῖθεν τὸν κίνδυνον καθυπώπτευεν, ὡς μὴ δ' ὁπωσοῦν ἠρεμησόντων τῶν Ἰταλῶν, δι' ὧν καὶ τὰ κεῖθι ὡς ἐνὸν κατασφαλιζόμενος, ἐπεχείρει τοῖς ἄλλοις θαρρούντως. συχναῖς γοῦν πρεσβείαις καὶ δεξιώσεσι μὴ μόνον τὸν Πάπαν, ἀλλὰ καὶ πολλοὺς τῶν Καρδηνάλεων καὶ τῶν παρ' ἐκείνῳ δυναμένων ἐξεμειλίσσετο. καὶ ταῦτα μὲν οὕτω. ζητῶν ὅμως συγχώρησιν ἀπὸ τοῦ Πατριάρχου, ἀπεγύμνου τὴν κεφαλὴν τῆς καλύπτρας, ἔκυπτεν, ἐδέετο, ὁ δὲ μᾶλλον αὐτὸν ἤλεγχεν. εὑρισκομένου δὲ τοῦ Βασιλέως εἰς Ξάνθην, δεδώκασιν αὐτῷ τινὲς λίβελλον κατὰ τοῦ Πατριάρχου, ὁ δὲ συνῆξε μερικῶν Ἀρχιερέων Σύνοδον, καὶ ἐμήνυσεν αὐτῷ εἰς τὸ Βυζάντιον διὰ δύο Ἀρχιερέων ἐλθεῖν εἰς ἀπολογίαν. Φοβούμενος δὲ τὴν καθαίρεσιν ὁ Ἀρσένιος, οἰκονομήσας καλῶς, συνεπέρανε τὸν καιρὸν, τὸν Βασιλέα δὲ ἐλθόντα εἰς Βυζάντιον ἤλεγχε σφοδρῶς, ὅτι κατὰ ὁμοφύλων ἐστράτευσε τῶν Ἠπειρωτῶν, καὶ ἀφεῖκε τυχὸν τοὺς ἐχθροὺς εἰς τὴν Ἀνατολὴν καὶ ἐπλατύνθησαν. μεταταῦτα δὲ πάλιν ἐδόθη λίβελλος τῷ Μιχαὴλ κατ' αὐτοῦ, ὁ δὲ μηνιῶν δέχεται ἀσμένως, καίτοιγε καὶ αἱ κατηγορίαι ἦσαν τὸ οὐδὲν, καὶ λοιπὸν Σύνοδον ἀθροίζει ἐν τῷ Τρικλίνῳ, ἐν ᾗ ἦσαν καὶ ὁ Ἀλεξανδρείας Νικόλαος, καὶ ὁ Ἀντιοχείας Εὐθύμιος, ἦσαν δὲ καὶ Ἄρχοντες, καὶ Μοναχοὶ ἀπὸ τῶν Μοναστηρίων, κληθεὶς δὲ ὁ Πατριάρχης εἰς κρίσιν, εἶπεν ὅτι οὐκ ἀποφεύγει τὴν Σύνοδον, ἀλλὰ τὸν τρόπον τῆς Συνόδου, καθότι ὁ Βασιλεὺς ἐχθρὸς, ὁ τόπος ἀνοίκειος, τὰ πρόσωπα ἀσυνήθη. ἦν δὲ τῶν κατηγοριῶν μία καὶ αὕτη, ὅτι ἐπειδὴ οἱ Τατάροι διέβησαν τὸν Εὐφράτην, καὶ ἐκυρίευσαν ἕως ἐντὸς Ἄλυος, καὶ κατέδραμον Μεσοποταμίας, Συρίας, Κιλικίας, φθάσαντες καὶ ἕως Λυκαονίας, φεύγων τὴν καταδρομὴν τούτων ὁ Σουλτᾶνος τοῦ Ἰκονίου Ἀζαντίνης, ἦλθεν εἰς τὸν Μιχαὴλ ὡς πρὸς ἀρχαῖον αὐτοῦ φίλον, Χριστιανῶν δὲ υἱὸς ὤν, ἐφίλει τὰς ἁγίας Εἰκόνας, καὶ πολλάκις ἀπερχόμενος καὶ εἰς τὴν Ἐκκλησίαν συνωμίλει τῷ Πατριάρχῃ ἐκεῖ, κατηγόρουν οὖν τοῦ Πατριάρχου περὶ τούτου, ὁ δὲ ἀπεσκυβάλιζε τὰς κατηγορίας, ἀλλὰ μὴ εἰσακουόμενος, αὐτὸς ἐκεῖνος ὁμηδέποτε ἱππεύσας, τότε ἀπῆλθεν εἰς τὸν Βασιλέα ἔφιππος, νομίζων αἰσχυνθῆναι τὸν Βασιλέα καὶ παῦσαι τῶν συκοφαντιῶν. ὁ δὲ Βασιλεὺς νομίσας ἔχειν ἐν χερσὶ τὸν Λέοντα, καὶ εὑρεῖν καιρὸν τοῦ λαβεῖν συγχώρησιν, ἐδέξατο αὐτὸν μετὰ χαρᾶς, καὶ ἐλάλησεν αὐτῷ ἡδέως. ἐλθούσης δὲ ὥρας Λειτουργίας, ἦν χρεία παραγενέσθαι αὐτοὺς εἰς τὸ λειτουργηθῆναι. ἦν δὲ συνήθεια πρῶτον τὸν Βασιλέα εἰσερχόμενον εἰς τὴν Ἐκκλησίαν ἀσπάζεσθαι τὰς ἁγίας Εἰκόνας, εἶτα ἄρχεσθαι ἐπιτελεῖσθαι τὴν Λειτουργίαν, ἐγίνωσκε δὲ ὁ Μιχαὴλ ὅτι συνήρχετο μὲν ἐκείνῳ ὁ Ἀρσένιος εἰς τὴν Ἐκκλησίαν, μετὰ δὲ τὸν ἀσπασμὸν τῶν Εἰκόνων ἐξήρχετο, ἵνα μὴ συλλειτουργηθῇ τῷ ἀφωρισμένῳ, ὅθεν ἐμήνυσε κρυφίως τῷ λειτουργοῦντι Ἱερεῖ, ἵνα ἄρξηται τῆς λειτουργίας πρὶν ἢ προσκυνῆσαι αὐτὸν τὰς Εἰκόνας, ἵνα μείνῃ ὁ Πατριάρχης συλλειτουργηθῆναι αὐτῷ, καὶ δόξῃ ὅτι συνεχώρησεν αὐτῷ κοινωνήσας αὐτῷ, τὸν δὲ Πατριάρχην κρατῶν ἀπὸ τοῦ Μανδύα, ἅμα δὲ καὶ κολακεύων συνεπορεύετο αὐτῷ, ὡς δὲ εἰσῆλθεν εἰς τὸν Ναὸν, καὶ εἶπεν ὁ Ἱερεὺς πρὶν ἢ προσκυνῆσαι τὸν Βασιλέα τὰς Εἰκόνας τὸ, Εὐλογημένη ἡ βασιλεία, ὁ Ἀρσένιος κατανοήσας τὸ δρᾶμα, καὶ ὀνειδίσας τὸν Βασιλέα, ὅτι μετὰ δολιότητος καὶ χωρὶς φόβου Θεοῦ βούλεται λαβεῖν τὴν συγχώρησιν, καὶ ἀποσπάσας ἑαυτὸν τῆς βασιλικῆς χειρὸς, κατῆλθε δρομαίως εἰς ἀκάτιον, καὶ ἐπανάγεται εἰς τὰ ἴδια. ὁ δὲ Μιχαὴλ μετὰ τὴν Λειτουργίαν ἀθροίζει Σύνοδον ἄνομον καὶ ἐκάθηρεν αὐτὸν, καὶ ἐμήνυσεν αὐτῷ διὰ

δύο

δύο Ἀρχιερέων τὴν καθαίρεσιν, ὁ δὲ περιέμενε τὸ πῦ ἐξορίσει αὐτὸν, εἶχε δὲ παλαιόρασον καὶ βιβλίον ἵνα λαβῇ μεθ' ἑαυτοῦ, καὶ τρία μόνα φλωρία, ἅτινα καὶ αὐτὰ εἶχε λαβὼν ἀπὸ καλλιγραφίας αὐτοῦ. ἐξωρίσθη οὖν εἰς Προικόνησον, πολλῶν ἀστραπῶν καὶ βροντῶν γενομένων, καὶ ζάλης πολλῆς. ἐκοινώνησε δὲ εἰς τὴν καθαίρεσιν καὶ ὁ Ἀντιοχείας διὰ πάθος, ὁ Ἀλεξανδρείας ὅμως τὸ μῖσος κατέπτυεν. προεβλήθη δὲ Πατριάρχης ὁ Ἀδριανουπόλεως Γερμανὸς, ἀχρειέστατος ἄνθρωπος. ἀλλὰ καὶ αὐτὸν δι' αἰτίας ἀδρανεῖς ἐκολάκευσεν, ἵνα ἐάσῃ τὸ πατριαρχεῖον, καὶ ἐκεῖνος δῆθεν ὡς υἱὸς εἰρήνης παρῃτήσατο, καὶ προεβλήθη Ἰωσὴφ, ἄνθρωπος μέτριος, ἐφ' οὗ ἔστεψεν ὁ Μιχαὴλ τὸν υἱὸν αὐτοῦ Ἀνδρόνικον ἐν ἔτει ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ἑβδομηκοστῷ πέμπτῳ, ὅτε καὶ τὴν συγχώρησιν ἐλάμβανε, πρηνὴς πεσὼν εἰς τὴν Ἐκκλησίαν, ὅτε ὁ Πατριάρχης καὶ οἱ Ἀρχιερεῖς τὴν συγχώρησιν ἀνεγίνωσκον αὐτῷ.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ στάσεως Μοναχῶν δι' Ἀρσένιον καὶ Ἰωσὴφ τοὺς Πατριάρχας, καὶ ὧν ἔπαθον κακῶν ὑπὸ Γεωργίου Ἀκροπολίτου.

Ἐστασίασαν οἱ Μοναχοὶ τῶν Μοναστηρίων τῆς Κωνσταντινουπόλεως, καὶ τῶν πέριξ διὰ τοὺς Πατριάρχας Ἀρσένιον καὶ Ἰωσὴφ, καὶ οἱ μὲν τοῦτον, οἱ δὲ ἐκεῖνον ἐδέχοντο. ἀλλ' ἐξουσίαν λαβὼν ὁ μέγας Λογοθέτης Γεώργιος ὁ Ἀκροπολίτης κατ' αὐτῶν, δῆθεν εἰρηνεῦσαι αὐτοὺς, τόσα κακὰ ἐποίησεν αὐτοῖς, ὅσα καὶ ὁ Καββαλῖνος ἐποίησεν εἰς τοὺς καιροὺς αὐτοῦ τοῖς Μοναχοῖς, ἤυξανεν ὅμως τὸ μέρος τοῦ Ἀρσενίου, καὶ προεξενεῖτο σχίσμα, καθότι πᾶσι τρόποις ἔλεγον τὸν Ἰωσὴφ παράνομον. ἦσαν δὲ εἰς τὸ σχίσμα καὶ πολλοὶ τῶν οἰκούντων εἰς τὴν Ἀνατολὴν, ἄνθρωποι εὐλαβεῖς τε καὶ ἐνάρετοι. ὅθεν εὔλογον ἐνόμισεν ὁ Ἰωσὴφ ἀπελθεῖν ὁ αὐτὸς ὡς ἂν εἰρηνεύσῃ αὐτούς. ἦν δὲ ἐκεῖ καὶ ὁ Βλεμμύδης, καὶ λέγει περὶ αὐτοῦ ὁ Παχυμέρης εἰς τὸ δεύτερον κεφάλαιον τοῦ πέμπτου βιβλίου, ὅτι διὰ τὸ εἶναι σοφὸς ἦν καὶ ἀπαθὴς, ὅθεν ἐδέξατο τὸν Ἰωσὴφ καθὼς καὶ τὸν Ἀρσένιον, λέγων, ὅτι μόνον ἐστὶν ἀναγκαῖον τὸ εὐσεβές.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς παρατροπῆς Μιχαὴλ τοῦ Βασιλέως, ἐπὶ Θεοὺς Ἑλλήνων, Ἀσσυρίους τε καὶ Σύρους καὶ τὸν Πάπαν αἰτίᾳ ἑνώσεως ἐλπίσαντος.

Ἀνέθη τῶν πολέμων ὁ μέγας Κωνσταντῖνος, τί ἐποίησεν; ὅσα τὸ δεύτερον καὶ τρίτον βιβλίον ἐσημείωσεν. ἀνέθησαν τῶν πολέμων Διοκλητιανὸς καὶ Ναξιμιανὸς, τί ἐποίησαν; ὅσα ἐσημειώθη εἰς τὸ τέλος τοῦ πρώτου βιβλίου. καὶ οὗτος ὁ Μιχαὴλ ἐτύφλωσε τὸν γνήσιον Βασιλέα Ἰωάνην, περιώρισεν αὐτὸν, ἐξέδωκε πρὸς γάμον τὰς ἀδελφὰς αὐτοῦ εἰς Φραγγίαν, ἵνα ᾖ ἐσβεσμένον τὸ γένος τοῦ Λασκάρεως, ἐξέβαλε τὸν ἐχθρὸν αὐτοῦ τὸν Πατριάρχην, ἔλαβε συγχώρισιν, ἔστεψε τὸν υἱὸν αὐτοῦ Βασιλέα, καὶ ἐβεβαιώθη πᾶσι τρόποις Βασιλεὺς, τί ποιεῖ; ὁπλίζεται κατὰ τῆς Ἐκκλησίας, καὶ ἀφεὶς τὸν Θεὸν, ἐνόμισεν ὅτι ἀφ' ἑαυτοῦ ὑψώθη, ὅθεν οὐκ ἐζήτει βοήθειαν ἀπὸ τοῦ Θεοῦ Ἰσραὴλ, ἀλλὰ ἀπὸ Ἀσσυρίων καὶ Σύρων, καὶ δὴ καὶ περὶ ὑγιείας ἔπεμψεν εἰς Βάαλ, καὶ εἰς Μυῖαν Θεὸν Ἀκκαρών. ἀκούων οὖν τὸν Φραγγίας Ῥῆγα Κάρολον μελετῶντα στρατεῦσαι κατὰ τοῦ Βυζαντίου, ἐθεράπευσε τὸν Πάπαν ποικίλως, καὶ τὸ μέσον ἦν πάλιν ἡ τῶν Ἐκκλησιῶν ἕνωσις.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῶν πρὸς Μιχαὴλ Βασιλέα πρέσβεων Γρηγορίου δεκάτου χάριν ἑνώσεως, καὶ τῆς ἣν ἐποίησεν ὁ Μιχαὴλ Συνόδου καὶ οὗ ἐποίησε σεσοφισμένου Τόμου πρὸς Ἰωσὴφ τὸν Πατριάρχην.

Θεοβάλδος τίς, ὁ ἀπελθὼν εἰς τὴν Παλαιστίνην μετὰ Ἐρδάρδου τοῦ υἱοῦ τοῦ Ῥηγὸς τῆς Ἐγκλιτέρας, εὑρισκόμενος εἰς τὴν Πτολεμαΐδα, ἀνηγορεύθη Πάπας, μετονομασθεὶς Γρηγόριος δέκατος. οὗτος προμαθὼν τὸν σκοπὸν τοῦ Μιχαὴλ, ἀναγόμενος εἰς Ἰταλίαν ἀπὸ Συρίας, ἔστειλε πρέσβεις περὶ ἑνώσεως τῶν Ἐκκλησιῶν, ἐν οἷς καὶ Ἰωάννην σοφιστήν τινα καὶ περίεργον, ὅστις πολλὰ ἐσπούδαζε ὀφθῆναι συνήγορος τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἵνα ἀπατήσῃ τοὺς Ἕλληνας, ἀλλ' οὐδὲν ἤνυσε, Συνόδου γὰρ γενομένης μόνος Κωνσταντῖνος ὁ Μελιτηνιώτης καὶ Ἀρχιδιάκονος βασιλικὸς, καὶ ὁ Πρωταποστελάριος Γεώργιος ὁ Κύπριος ἦσαν μέτοχοι τῆς γνώμης τοῦ Βασιλέως, οἱ δ' ἄλλοι καθάπαξ πάντες ἀντικείμενοι προφανῶς, ὅτε καὶ ὁ Βέκκος μέγας Χαρτοφύλαξ ὤν, εἶπε περὶ τῶν Λατίνων, Εἰ καὶ Αἱρετικοὶ οὐ λέγονται, ἀλλ' εἰσὶν Αἱρετικοὶ, φυλακίζοντες εἰς πύργον. ἐπεὶ δὲ διὰ Συνόδου οὐκ ἴσχυεν ὁ Μιχαὴλ, συγγράφει Τόμον τινὰ σεσοφισμένον, καὶ στέλλει αὐτὸν τῷ Πατριάρχῃ ὡς ἂν ὑπογραφῇ, ἀλλὰ γυμνοῦται ἡ ἐν αὐτῷ βλασφημία, καὶ ἀποσκυβαλίζεται παρὰ τοῦ Πατριάρχου Ἰωσήφ.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῶν Βέκκου παρεξηγήσεων, τοῦ συναινέσαντος τῇ γνώμῃ τοῦ Βασιλέως, καὶ τῆς αὐτοῦ ἐπιορκίας καὶ παλιμβόλου γνώμης.

Ἔμελλε φανεροῦσθαι καὶ ἡ τοῦ Βέκκου ὑπόκρισις, καὶ δειχθήσεσθαι, ὅτι οὐκ ἦν ἐρριζωμένος εἰς τὴν εὐσέβειαν ὁ Βέκκος, ἀλλ' ἦν ὑποκριτής, ὅθεν οἱ εἰρημένοι Κωνσταντῖνος καὶ Γεώργιος ἔδωκαν αὐτῷ τεμάχια τινὰ ἔχοντα τινὰς ῥήσεις ἁγίων καὶ τινὰς μαρτυρίας συνειλεγμένας δῆθεν τῷ Βλεμμύδει περὶ Τριάδος, καὶ ἔτι πολλὰ βιβλία ἁγίων. ὁ δὲ ἄνομος σοφιστεύεται καὶ παρεξηγεῖται καὶ τὴν γραφὴν καὶ τοὺς ἁγίους, καὶ ἑκουσίως ἁμαρτῶν, κλίνει εἰς τὴν γνώμην τοῦ Βασιλέως, κλώθων τὰ ἄκλωστα δῆθεν διὰ κυβέρνησιν. ὅτι δὲ ὁ Βέκκος ἦν καὶ ἐπίορκος καὶ ψεύστης καὶ, ὡς εἴρηται, παλίμβολος, δῆλον καὶ ἐξ ἄλλων τινῶν, γράφει γὰρ ὁ Παχυμέρης βιβλίῳ ἑκτῷ, ὅτι ἐποίησεν ὁμολογίας πρὸς τὸν μέγαν Οἰκονόμον τῆς μεγάλης Ἐκκλησίας Θεόδωρον τὸν ξιφιλῖνον, ὡς οὐ γράφοι, ὡς οὐκ ἀντείποι περὶ δογμάτων, κἂν ὅτι λέγοιεν ἄλλοι, ἀλλ' ὁσημέραι δεχόμενον τὰ τῶν ἄλλων, καὶ τὰ ἑξῆς. ὁ δὲ ἀντεῖπε, καὶ ἀντέγραψε σχεδὸν ἄθεα.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῶν πρὸς τὸν Πάπαν πρέσβεων τοῦ Βασιλέως Μιχαὴλ, καὶ ὧν εἰργάσατο διαφόρων κακώσεων τοὺς ὀρθοδόξους, καὶ οὗ μεθ' ὅρκων ἐποίησε Τόμου τοῦ γενέσθαι ἕνωσιν ἐπὶ Ἐκκλήτῳ, μνημοσύνῳ καὶ πρωτείῳ μόνον τοῦ Πάπα.

Ἔπεμψε δὲ καὶ ὁ Βασιλεὺς εἰς τὸν Γρηγόριον πρέσβεις τινὰς, καὶ Γερμανὸν τὸν παρανόμως χρηματίσαντα Πατριάρχην τοῦ Βυζαντίου, καὶ ἐκείνων ὄντων ἔτι ἐν τῇ ὁδῷ, ὁ Βασιλεὺς τῶν ἑδραίων εἰς τὴν πίστιν τινὰς μὲν ἐπαρασαμένους αὐτῷ, τινὰς δὲ ὑβρίσαντας, ἐδήμευεν, ἐξώριζεν, ἐκάκου, ὥσπερ ὁ Φιλιππικὸς, ὁ Χαμαιλέων, καὶ αὐτὸς ὁ Καββαλῖνος, καὶ δὴ καὶ Ὁλόβωλόν τινα Ῥήτορα ἐξώρισεν εἰς Νίκαιαν ἅμα τῷ Ἰὼβ τῷ Ἰασίτῃ καὶ ἑτέροις δέκα, οὓς συκοφαντήσας δι' ἑτέρας αἰτίας, ἥπασι προβάτων ἔδειρε, καὶ ἄλλα μυρία κακὰ αὐτοῖς ἐποίησεν. ὅθεν οἱ λοιποὶ βλέποντες αὐτὸν ποιοῦντα πάντολμα καὶ τυραννικὰ, ἐσιώπων μὲν καὶ ἐνεδίδουν, ὁ δὲ τύραννος οὐδὲν ἀνύων, πονηρεύεται καὶ προβάλλει Χρυσόβουλλον γέμον μυρίων ὅρκων, εἰς τρία μόνα γενέσθαι τὴν ἕνωσιν, εἰς Ἔκκλητον, Μνημόσυνον καὶ Πρωτεῖον ἐν αὐτῷ διαλαμβάνων. καὶ περὶ μὲν τοῦ πρώτου ἔλεγε, Καὶ τίς ἀπέρχεται εἰς τὴν Ῥώμην κριθῆναι. περὶ δὲ τοῦ δευτέρου, ὅτι μνημονεύομεν καὶ ἀσεβῶν εἰς τὴν Ἐκκλησίαν. περὶ δὲ τοῦ τρίτου, ὅτι νομίζει αὐτὸ καθὼς αὐτὸ εἶχεν ὁ Πάπας ἀπ' ἀρχῆς, καὶ οὐχὶ καθὼς νῦν αὐτὸ βούλεται ἔχειν. τὸ Σύμβολον ὅμως κατὰ πάντα τρόπον μένειν ἀκαινοτόμητον. ἐγίνετο δὲ ταῦτα εἰς Κωνσταντινούπολιν, ὅτε καὶ ἡ ἐν Λουγδούνῳ Σύνοδος ἠθροίζετο.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῆς παραιτήσεως Ἰωσὴφ καὶ Πατριαρχείας Βέκκου, ἐξορίας τε τοῦ Ἰωσὴφ καὶ ἑτέρων πολλῶν.

Τὸν οὖν Πατριάρχην Ἰωσὴφ εὐλαβούμενος ὡς λύσαντα αὐτὸν τοῦ ἀφορισμοῦ, οὐκ ἐκάκου αὐτὸν, ἐκεῖνος ὅμως ὁρῶν βιαζομένην τὴν Ἐκκλησίαν ἕνεκεν τοῦ κοινωνῆσαι τῇ Αἱρέσει τοῦ παπισμοῦ, παραιτεῖται μετὰ τὸ ἐπανελθεῖν τοὺς πρέσβεις ἀπὸ τῆς Ῥώμης, καὶ προβάλλεται ὁ Βέκκος Πατριάρχης. ὁ δὲ Ἰωσὴφ ἀπῆλθε καὶ ἐκάθητο εἰς Μονὴν τινὰ κειμένην ἐν τῷ Ἀνάπλῳ (Ἀνάπλους δὲ λέγεται κατὰ τὸν Γρηγορᾶν βιβλίῳ πέμπτῳ, ὁ τόπος ἀπὸ Βοσπόρου ἕως τοῦ Ἱεροῦ) ἀπήρχοντο δὲ εἰς αὐτὸν ἐκεῖσε οἱ μὴ κοινωνοῦντες τῇ Αἱρέσει, καὶ προσεκλαίοντο, καὶ συνέβαινε γίνεσθαι μέτριον σχίσμα, ἀφ' οὗ οἱ νεωτερισταὶ ἐδυσχέραινον. ὅθεν ἐμήνυσεν αὐτῷ ὁ Βασιλεὺς κωλύσαι τῆς πρὸς αὐτὸν εἰσόδου τοὺς ἀπερχομένους εἰς αὐτόν. ἐκεῖνος δὲ ἀπεκρίθη, ὅτι προκρίνει ἐξορισθῆναι, ἢ ἀποβαλεῖν τοὺς ὀρθοδόξους, καὶ λοιπὸν ἐξορίζεται εἰς Χηλήν. ἐξώρισε δὲ καὶ ἄλλους ὁ Βασιλεὺς ἐκείνῳ προσκειμένους ἀλλαχοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ τῶν ὑπὸ τοῦ Βασιλέως Μιχαὴλ προκαθειρχθέντων Συγκλητικῶν καὶ συγγενῶν αὐτῷ, τῶν παρρησίᾳ αὐτὸν ἐλεγξάντων λατινίσαντα, καὶ γράμματα πρὸς Νικόλαον τὸν τρίτον ὑπὸ τῶν τὴν Σύνοδον δῆθεν δεχομένων ὑπογεγραμμένα πέμψαντα, καὶ περὶ τῶν ἑκατέρωθεν πρέσβεων.

Ἔβαλε

Ἔβαλε δὲ εἰς φυλακὴν καὶ τοὺς προφανῶς ἀνθισταμένους αὐτῷ διὰ τὴν εἰς τὴν ὀρθοδοξίαν καινοτομίαν Συγκλητικοὺς, Μανουὴλ, Ἰσαάκιον, Ἰωάννην τὸν Καντακουζηνὸν καὶ τὸν Πρωτοστράτορα Ἀνδρόνικον. ἐν τούτοις ἦλθον καὶ πρέσβεις ἀπὸ τοῦ Πάπα Γρηγορίου, λέγοντες αὐτῷ, μὴ εἶναι μόνον τοῖς λόγοις λατινόφρονα, ἀλλὰ καὶ τοῖς ἔργοις. ὅθεν προσεκαλέσατο τοὺς ἐκκλησιαστικοὺς, καὶ εἶπεν αὐτοῖς, ὅτι τὴν ἕνωσιν ποιεῖ οἰκονομικὴν, καὶ φανῆναι λοιπὸν καὶ αὐτοὺς κοινωνοὺς τῆς γνώμης αὐτοῦ ἐνώπιον τῶν πρέσβεων. εἶτα προσκαλεῖται καὶ τοὺς πρέσβεις, καὶ στέλλει αὐτοὺς μετὰ τοῦ Ἐφέσου Ἰσαὰκ εἰς τὴν φυλακὴν, καὶ εἶδον ἐκεῖ τοὺς εἰρημένους Συγκλητικοὺς καὶ συγγενεῖς αὐτοῦ τοὺς μὴ συμφωνοῦντας τῇ ἑνώσῃ εἰς τὰ δεσμά. ἔπειτα γράφει εἰς τὸν μετὰ τὸν Γρηγόριον Πάπαν γράμμα μετὰ πολλῶν Ἐπισκόπων ὑπογραφῶν, τῶν δεχομένων δῆθεν τὴν Συνόδον. ἔστειλε δὲ αὐτῷ καὶ τινὰς τῶν σχιζομένων, οὓς ἐκεῖνος φιλοδωρησάμενος, ἔστειλεν εἰς τὸ Βυζάντιον, καὶ ἔγραψε καὶ περὶ αὐτῶν μέτρια. ὁ δὲ Βέκκος εἰ καὶ ἦν νεωτεριστὴς διὰ κενοδοξίαν, ἀλλὰ χρώμενος τὴν κενοδοξίαν αὐτοῦ καὶ ἐν τοῖς θελήμασιν αὐτοῦ πρὸς τὸν Βασιλέα, ἐμισεῖτο ὅθεν ἔφερεν ὁ Βασιλεὺς ἀπὸ τῆς Χηλῆς εἰς τὴν Μονὴν τοῦ Κοσμιδίου τὸν Ἰωσὴφ (ἥτις ἔκειτο ἔξω τῆς πόλεως κατὰ τὸ μέρος τῆς Βλαχέρνας) καὶ ἔλεγεν αὐτῷ, ἵνα λάβῃ πάλιν τὸ Πατριαρχεῖον. ὁ δὲ ἀπεκρίθη, ὅτι λαμβάνει αὐτὸ, ἐὰν λυθῶσιν οἱ νεωτερισμοί. ἐν τούτοις δὲ ἔστειλε καὶ ὁ γενόμενος Πάπας Νικόλαος τρίτος πρέσβεις περὶ τῶν αὐτῶν εἰς τὸν Μιχαὴλ, καὶ αὐταπέστειλε καὶ ὁ Μιχαὴλ πρέσβεις μετὰ τῆς αὐτῆς ὑποκρίσεως καὶ ὑπουλότητος.

ΠΑΡΆΓΡΑΦΟΝ ΙΓ'.

Περὶ ἧς εἶχε πρότερον γνώμης κατὰ τῆς προσθήκης καὶ τῶν προσθεμένων ὁ Βέκκος, καὶ τῆς ὕστερον αὐτοῦ παρατροπῆς.

Ὁ Βέκκος, ὡς εἴρηται, οὐχ ὡς δεχόμενος ἁπλῶς τὸ λατινικὸν δόγμα, τὴν γὰρ προσθήκην ἐν τῷ Συμβόλῳ εἶχεν ἀσυγχώρητον, ἀλλὰ τῶν ἑνωθέντων Λατίνοις δι' οἰκονομίαν πραγματευόμενος δῆθεν τὸ τὸ ἀνεπιτίμητον, συνέγραφεν, ὅθεν καὶ ἐν τῷ Συνοδικῷ τῆς ὀρθοδοξίας ἀνεθεμάτιζε τρὶς τοὺς ἢ αἴτιον, ἢ συναίτιον τὸν Υἱὸν τῷ Πατρὶ τοῦ Πνεύματος λέγοντας, καὶ διὰ ταῦτα ὁ Παχυμέρης ἐν τῷ πρώτῳ βιβλίῳ λέγει περὶ αὐτοῦ, Δεδιὼς δὲ (ἤγουν ὁ Βέκκος) καὶ τὰς κατηγορίας τῆς τόλμης, ὡρκωμότει μὴ καταγινώσκειν τῶν ἡμετέρων, ἢ ἐγκαλεῖν ἐλλείψεως, κἀκείνοις προσκεῖσθαι ὡς κρείττονα λέγουσιν, ἢ τὶ τοιοῦτον ἐννοεῖν γράφοντα, ἀλλ' ἵνα τὸ ἔγκλημα θεραπεύοιτο οὐ τῶν Ἰταλῶν, ἐκείνους γὰρ κἂν ἔτι πᾶσιν ἀφῶνται τῶν ἐγκλημάτων, ἀλλ' οὖν τῷ τολμῆσαι προστεθεῖναι τῷ Συμβόλῳ τὴν λέξιν, ἔγκλημα κεῖσθαι τὸ μέγιστον, ἀλλὰ τῶν κοινωνούντων ἐκείνοις τὰ πρὸς εἰρήνην. ἐκεῖνοι γὰρ χωρὶς τῶν ἄλλων ὧν ἔχουσιν Αἱρέσεων, τῷ τολμῆσαι προσθεῖναι μόνον τῷ Συμβόλῳ τὴν λέξιν, μεγάλης Αἱρέσεως εἰκότως ἔνοχοι γίνονται. ταῦτα μὲν οὖν ὁ Βέκκος, μὴ εἰδὼς, ὅτι καὶ ἡ μικρὰ παρατροπὴ τῆς πίστεως ἐστὶν ἀθέτησις, ὡς ἔλεγον ὅ, τε Ταράσιος καὶ Φώτιος μάλιστα.

ΠΑΡΆΓΡΑΦΟΝ ΙΔ'.

Περὶ δοξομανίας καὶ φθόνου τοῦ Βέκκου, καὶ τῶν ὑπ' αὐτοῦ παρεξηγήσεων τῶν γραφῶν, καὶ τῶν δι' αὐτοῦ Συνόδων τοῦ Βασιλέως ὑπὲρ τοῦ παπισμοῦ, καὶ τῆς ἣν ἐποίησε φθορᾶς τῶν πατρικῶν βιβλίων ὁ Βέκκος εἰς βεβαίωσιν τοῦ παπισμοῦ.

Οὐ μὴν ἀλλὰ καὶ δοξομανὴς ὤν, καὶ φθονῶν τῆς πρὸς τὸν Βασιλέα οἰκειότητος τῷ Ἰωσὴφ καὶ τῷ Ἐφέσου Ἰσαὰκ, οὐκ ἔμενεν ἐν οἷς ἔλεγε κατὰ τὸ ἴδιον τῶν Αἱρετικῶν, ἀλλ' ἐπεκτείνων ἑαυτὸν εἰς τὴν κακίαν, παρηρμήνευε τὴν γραφὴν καὶ τοὺς ἁγίους πάλιν διὰ τὴν ἕνωσιν, ὅθεν καὶ παροτρύνων τὸν Βασιλέα εἰς τὴν ἀσέβειαν, πολλὰς Συνόδους ποιῆσαι παρεσκεύασεν αὐτὸν, κακουχήσαντα τοὺς ὀρθοδόξους πρῶτον διαφόροις βασάνοις, ὕστερον δὲ καὶ τινὰς πλανῶντα καὶ λέγοντα αὐτοῖς, ὅτι καὶ Παῦλος περιέτεμε τὸν Τιμόθεον οἰκονομικῶς, καὶ οἱ Ἀντιοχεῖς καὶ Κύριλλος ὀρθόδοξον ὡμολόγησαν τὸν Μοψουεστίας Θεόδωρον, καὶ Βασίλειος ἐσιώπησε τὴν περὶ τοῦ Πνεύματος θεολογίαν. ταῦτα λέγει ὁ Παχυμέρης. ἀλλὰ δὴ καὶ ὁ Βέκκος ἐν τῇ σημειώσει τῶν βιβλίων αὐτοῦ, Παραγράφῳ τεταρτῷ, καὶ ἐν τῇ ἀπολογίᾳ περὶ τῆς ἀδικίας ἧς ὑπέστη, ἀγωνίζεται δεῖξαι, ὅτι διὰ ἐκκλησιαστικὴν οἰκονομίαν συνέθετο Λατίνοις. φέρει δὲ μάρτυρας Βασίλειον, Ἀθανάσιον, τὸν Ναζιανζηνὸν καὶ τὸν Κύριλλον κατὰ ταὐτὰ τοῖς οἷς ἔγραφε καὶ ὁ Μονοθελήτης Κωνσταντινουπόλεως Ἰωάννης πρὸς τὸν Ῥώμης Κωνσταντῖνον δικαιολογούμενος, ἀλλ' οὐδὲν ὠφελήθη οὗτος ὡς καὶ ἐκεῖνος, καὶ ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφάλαιον δέκατον ὄγδοον. ἐφόρει γὰρ ὁ Βέκκος, Λύκος ὤν, προβάτου κῴδιον, ὡς λέγει ὁ Ἐπιφάνιος Αἱρέσει τεσσαρακοστῇ περὶ τοῦ ἀρχοντικοῦ Πέτρου, καὶ ἐκάθητο ὡς ἐκεῖνος ἐν σπηλαίῳ ὑποκρινόμενος εὐσέβειαν, ἀλλ' οὐκ ἔλαθε τοὺς ἐκδίκους τῆς Ἐκκλησίας, ὅθεν καὶ ὁ ἴδιος λέγει ἐν ταὐτῷ, ὅτι τρεῖς συνελεύσεις ἐγένοντο κατ' αὐτοῦ παρόντος καὶ τοῦ λαοῦ Κωνσταντινουπόλεως καὶ ἐπαρωμένου αὐτῷ, δηλονότι ὥς ποτε ἐγένετο περὶ τοῦ θεοστυγοῦς Σεβήρου, καὶ

844 καὶ ἴδε αὐτέρω βιβλίᾳ πέμπτῃ κεφάλαιον πρῶτον. Φέρει ὁ αὐτὸς καὶ τὸν Βλαχαελίας καὶ Βλεμμύδη καὶ τὸν Ἀντιοχείας Πέτρον μόνην κακίζοντας τῷ ψευδηνίλῳ καὶ ἀτὸ δόγμα, ἤτοι τῷ ἐκτὸς ὑπ' αὐτῶν ὑπὲρ ὀρθοῦσιν, ψεύδεται ὅμως, καὶ ἴδε αὐτέρω βιβλίᾳ ὀγδόᾳ κεφαλαίᾳ δευτέρᾳ Παραγγελφον ὄγδοον, καὶ βιβλίᾳ τῇ αὐτῇ κεφαλαίᾳ πρώτῃ Παραγγελφον ἕβδομον. ἔτι δὲ ψευσφέρει ὁ Βέκκος ὃν τῷ δευτέρῳ λόγῳ ψευδῆ τὸν Σαγδαΐδας Θεόδωρον, καὶ ὁ Μελιτηνιώτης λόγῳ δευτέρῳ καὶ τούτῳ ψευδῆ τὸν αὐτὸν τὸ ῥητὸν τῆ Βασιλείᾳ ὃν τῷ τρίτῳ κατ' Εὐνομίου νενοθευμένον, ὡς εἶπον αὐτὸ καὶ οἱ Λατῖνοι ὃν τῇ δεκάτῃ ὀγδόῃ καὶ εἰκοστῇ τρίτῃ πράξει τῆς ὃν Φλωρεντείᾳ Συνόδου, καὶ δοκεῖ ὁ Βέκκος ἀφθαρῆναι πολλὰ βιβλία τῶν πατέρων, ὡς ἔλεγον εἰς τὰς ἐρημένας τόπους ὁ Ἐφέσου. ὁ μὲν ἂν Βέκκος ἅτως γέφων καὶ ἀσυνάδων καὶ συλλογιζόμενος, ἐγίνετο δεξιὰ χεὶρ τῆς δυσεβείας τοῦ αὐόμου Βασιλέως εἰς βεβαίωσιν τῆς Αἱρέσεως, λέγω πάλιν ὁ παμμίαρος Βέκκος.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ ὧν εἶπεν ὁ Ἀθηνῶν Μελέτιος ἀσεβῶν ἅμα καὶ γενναίων λόγων, καὶ περὶ τῶν τυραννηθέντων ὑπὸ τε Βασιλέως Μιχαὴλ Συγκλητικῶν καὶ ἐκκλησιαστικῶν διαφόρους εἶδεν καλάσεων διὰ τὸ μὴ δεχθῆναι τὴν ἡνωτικὴν αὐτοῦ.

Ὁ Ἀθηνῶν ὅμως Μελέτιος ἐμέμφετο μάλα γενναίως τὴν περὶ τὴν πίστιν ἡνωτικὴν, ὥστε καὶ εἰς μίαν τῶν Συνόδων ἐλευθεροστομήσας, εἶπε τὰ ἀναγκαῖα ὑπὲρ τῆς ὀρθοδοξίας, καὶ τέλος πάντων ἔδωκε τὸ ῥᾶσον αὐτοῦ τῷ ὑπηρέτῃ, εἰπὼν εἶναι ἕτοιμον εἰς ἐξορίαν, τὰ αὐτὰ καὶ εἶπε καὶ ἐποίησε καὶ ὁ Ἐφέσου. τῶν δὲ εἰς τὴν φυλακὴν Συγκλητικῶν ὁ μὲν Ἀνδρόνικος ἐκοιμήθη ἐκεῖ, λαβὼν τὸν στέφανον τοῦ μαρτυρίου. τοὺς δ' ἄλλους τρεῖς ἕτερον ὁ τύραννος ἐμαστιγῶσαι αὐτοῦ, καὶ τὸ μὲν Μανουὴλ καὶ Ἰσαακίῳ ἐξορύξαι τοὺς ὀφθαλμοὺς, διότι πικρῶς ἤλεγχαν αὐτὸν διὰ τὴν ὑπατείαν τῆς πίστεως, εἶτα ἐξώρισε, χωρίσας ἀπ' ἀλλήλων. καὶ δὴ καὶ Ἰωαννίνην τὸν ἀδελφὸν τοῦ Δεσπότου Μιχαὴλ ἐτύφλωσαν, ὁ δὲ Καισαρικαζηνὸς ὀκλάσας διὰ φόβον ἀνθρώπινον, κοινώνησαν. ἐμίσει δὲ ὁ Βασιλεὺς τοὺς ἀποπελεκισθέντας Μοναχοὺς, τοὺς ἀποβαλόντας τὴν ἕνωσιν, ὅθεν καὶ εἰς τὰς ἐξορίας ἐκάκωσαν αὐτούς, πλάττων ἄλλας αὐτῶν αἰτίας. καὶ δὴ τὸν μὲν Γαλακτίωνα ἐκτυφλοῖ, Μελέτιον δὲ γλωσσοκοπεῖ, καὶ ἄλλοις τούτοις λάζαρον καὶ Μακάριον, πρῶτον εἰπὼν περὶ τῆς ἑνώσεως, καὶ ταύτῃ μὴ καταδεξαμένους, οὓς οἱ καὶ τινα Καλοθεοδὼν καὶ ἄλλους ἐτύφλωσε, καὶ ἐξώρισε, καὶ τὸν Ἀκροπολίτην Θεόδωρον καὶ τὸν Μεζαλωνᾶν καὶ τοὺς Συγκλητικοὺς καὶ οἰκείους ἀπώσατο.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν διορισθέντων ἐν τῇ ἐν Λυγδούνῳ ἁγιωτάτῃ Συνόδῳ καὶ τὸ ἁγίου Πνεύματος καὶ ὑπὲρ τῶν ἀλλοκότων φρονημάτων τοῦ Πάπα, καὶ περὶ τῆς ἀσεβείας Μιχαὴλ τοῦ Παλαιολόγου καὶ Γρηγορίου τοῦ δεκάτου.

Ῥητέον δὲ, ἐπαναλαβόντες ἀπ' ἀρχῆς, περὶ τῆς ἐν Λυγδούνῳ Συνόδου, ἀθροισθείσης ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ τετάρτῳ. ὁ Παλαιολόγος τοίνυν Μιχαὴλ ἐγκαταλαφθεὶς ὑπὸ Θεοῦ, ὡς ὤφλησε τοσούτους φεύκτους ὅρκους, ἑξεμανίη κατὰ τοῦ Βασιλέως Ἰωάννου καὶ παντὸς τοῦ οἴκου αὐτοῦ, καὶ Πατριάρχας συχνοὺς ἐξέβαλεν ἀδίκως. καὶ λαβὼν ὑπὸ τῶν Λατίνων τὴν Κωνσταντινούπολιν, ἐκ ἤλπισεν εἰς Θεὸν τὸν ἐλεήσαντα αὐτὸν, ἀλλ' ὡς λέγει ὁ Παχυμέρης εἰς τὸ δεύτερον βιβλίον αὐτοῦ καὶ ἄλλοι. Φοβούμενον τὸν δυτικὸν Κάρολον, αὐτηνὸν καὶ ἀπώτερον ὄντα, καὶ μανιόμενον διὰ τὴν ἐπιγαμβρείαν ἣν εἶχε μετὰ τοῦ Βαλδουΐνου κατὰ τοῦ Μιχαὴλ, ἐκολάκευσε τοὺς Πάπας Ῥώμης, καὶ μάλισα τὸν ἀρχιμῶνον Γρηγόριον, ὃς καὶ ἤθροισε τὴν Σύνοδον εἰς τὸ Λυγδοῦνον ὧν καὶ αὐτὸς ἐκεῖ παρών. λέγουσι δὲ, ὅτι ἦσαν πεντακόσιοι Ἐπίσκοποι καὶ ἄλλοι τόσοι Ἡγούμενοι, καὶ διώρισαν τὴν ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος καὶ ἐκ τοῦ Υἱοῦ. δεύτερον, τοῦ Πάπα τὸ μνημόσυνον, ὅταν καὶ οἱ Πατριάρχαι μνημονεύωνται. τέλος, ὅταν τις μεταφύγῃ εἰς τὴν Ῥώμην διὰ κρίσιν ἣν ἔχει μετὰ τοῦ Ἐπισκόπου αὐτοῦ, ὁ Πατριάρχης αὐτοῦ, μὴ κωλύεσθαι ὑφ' τινος, καὶ ὠνόμασαν τοῦτο Ἔκλητον. τέταρτον ἵνα ἔχῃ ὁ Ῥώμης τὰ πρωτεῖα ἐν πᾶσι καὶ τοῦτα μὴ μόνοι οἱ Λατῖνοι ἐνομοθέτησαν περὶ ἑαυτῶν, ἐναντία ὄντα τῷ Εὐαγγελίῳ καὶ ταῖς Συνόδοις καὶ πάσῃ ἐκκλησιαστικῇ παραδόσει.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἐδόθη τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ὁ Χριστὸς καὶ οἱ πατέρες εἶπον, καὶ ὅτι κατὰ τὸν γεγραμμένον Γρηγόριον τὸν καὶ

τῶ ἐκκλησιαστικῶ ωᾢγμάτοσιν δεῖ ἔχειν τὸν Ῥώμης Ἐπίσκοπον τὰ πρωτεῖα ὡς καὶ οἱ λοιποὶ τῶν Ἐπισκόπων, ἀλλ' οὐκ αὐτοκρατορικῶς καὶ δεσποτικῶς.

Ὅτι μὲν γὰρ ὁ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ τοῦ Πατρὸς μόνου, εἶπε τοῦτο μόνος ὁ Χριστὸς καὶ οἱ πατέρες, οὐ δὲ ὁ Πάπας εἶχε τὸ μνημόσυνον, εἶχε τοῦτο οὐχ ὅτι ἦν κεφαλὴ τῆς Ἐκκλησίας, ὅσον μὲν γὰρ κατὰ τὸν μόνον καὶ ἰδιάζουσαν κεφαλὴν τῆς Ἐκκλησίας ἐστὶ μόνος ὁ Χριστὸς, καὶ ὅστις λέγει ὅτι ἐστὶν αὐτοκρατορικὴ κεφαλὴ τῆς καθόλου Ἐκκλησίας πλὴν τοῦ Χριστοῦ, ἐκεῖνος ἀναμφιβόλως ἐστὶν ὁ ἐξαίρετος ωᾢγμος τοῦ Ἀντιχρίστου. ὅσον δὲ πρὸς τὸν ἐκκλησιαστικὸν διοίκησιν, καθ' ἣν κυβερνᾷ τὴν Ἐκκλησίαν εἰς μέρος αὐθεντικῶς κατὰ τὸν γεγραμμένον καὶ τὸν ωᾢγμόσιν, ἐστὶν ἕκαστος Ἐπίσκοπος, καὶ ἰδιαίτερον ἕκαστος τῶν πέντε Πατριαρχῶν, καὶ καθὸ εἶπε τοιαύτη κεφαλὴ καὶ οἱ πέντε Πατριάρχαι, ἐμνημονεύοντο εἰς τὰ Δίπτυχα μετὰ τὸν ωᾢς τὸν μίαν κεφαλὴν τὸν χριστὸν ὀρθόδοξον ἀναγωγήν τε καὶ ἕνωσιν, ἐπειδὴ μία πίστις καὶ εἷς Κύριος. ἀφ' οὗ δὲ ὁ Πάπας τῆς Ῥώμης ἐφαντάσθη ἀλλόκοτα περὶ αὐτοῦ, καὶ ἐκφυστόμησεν εἰς τὸ ἅγιον Σύμβολον, μὴ καταδεξάμενος τὸν διόρθωσιν, ἀπεβλήθη καὶ ἐξεβλήθη καὶ ἀπὸ τοῦ μνημοσύνου, ὡς ὑπὸ Σεργίου καὶ Κυριακείου τῶν ἁγιωτάτων Πατριαρχῶν, καὶ ἕως οὗ μένῃ ἡ ωᾢοθήκη, ὁ συγχωρῶν ἀσυγχώρητος εἶπε καὶ ὁ Βυλγαρείας Θεοφύλακτος. περὶ δὲ τοῦ τῆς Ἐκκλήτου τυραννικοῦ, καὶ τοῦτο τῆς τοῦ ἐωσφόρου ἀποστασίας ἴδιον ἐστὶ, καὶ αἰτίκεινται αὐτῷ κατὰ διάμετρον οἱ Κανόνες καὶ οἱ πατέρες, καὶ μάλιστα ἡ γεγραφή. περὶ δὲ τοῦ πρωτεύειν ἐν ἅπασιν εἰς τὰ ἐκκλησιαστικὰ, ὁμολογοῦμεν ὅτε ἐστὶν ὁ Ῥώμης ὀρθόδοξος ἵνα ᾖ πρῶτος κατὰ τάξιν· καὶ ἵνα γεγένηται ὡς θέλει, ἢ οἰκουμενικὸς, ἢ ὅπως δόξῃ αὐτῷ, καθὼς καὶ ὁ Κωνσταντινουπόλεως φρονεῖ οἰκουμενικὸς, καὶ ὁ Ἀλεξανδρείας κρατεῖ τῆς οἰκουμένης, καὶ ἡμῖν ὐδὸν μέλει. εἰ δὲ ζητεῖ ἵνα πρωτεύῃ μοναρχικῶς, ἡμεῖς ἕως οὗ ἔχωμεν τὰς φρένας, ἀξιωμάτι τοῦ Ἀντιχρίστου εἰς τὴν Ἐκκλησίαν οὐ καταδεχόμεθα, καὶ ὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ τριγορίου τοῦ Διαλόγου, ὡς ῥηθήσεται.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς διαφορᾶς τοῦ ἐσταυρώσαν τὸν Βασιλέα τοῦ Πάπα, πότερον τὸν Βασιλέα τῷ Πάπᾳ πείθεσθαι, ἢ τῇ κοινῇ τῶν πατέρων γνώμῃ καὶ μὴ τῷ Πάπᾳ, ἢ Οἰκουμενικῇ Συνόδῳ, καὶ περὶ τοῦ ὁντίσιν οὐ χρᾶται τῷ Πάπᾳ ὁ Βασιλεύς.

Εἰ δὲ καὶ θέλει ἵνα πρωτεύῃ καὶ εἰς τὰ κοσμικὰ, ἂν σέβῃ αὐτός τι ἀνθρωπάριον καὶ εἴπῃ αὐτῷ ἡ Καίσαρα, ἢ Βασιλέα, ἢ Περίγυπα, ἐξυσιαζέτω αὐτοῦ, ἀλλ' ἐὰν ᾖ Βασιλεὺς καὶ Αὐτοκράτωρ γνήσιος, ὅσον μὲν εἰς τὰ ἐκκλησιαστικὰ πείθεται τῷ Πατριάρχῃ αὐτοῦ, εἰ δὲ καὶ ἔστι καὶ ὁ Πάπας ὀρθόδοξος, καὶ λέγει σοφώτερα καὶ ἐκκλησιαστικώτερα, ἀκουστέα μᾶλλον ἐκείνου. εἰς δὲ ζήτημα δύσκολον, καὶ ἀναφυᾶσαν ἀμφιβολίαν πείθεται τῇ κοινῇ γνώμῃ τῶν Πατριαρχῶν τῶν καθολικῶν θρόνων, εἰ δὲ καὶ ἐκεῖνοι ἐδωκηθεῖεν λῦσαι, ἀποβλέπει εἰς Οἰκουμενικὴν Σύνοδον ἵνα λύσῃ καὶ ἑρμηνεύσῃ αὐτῷ, ὡσανεὶ ἦν τὸ ἅγιον Πνεῦμα τὸ λαλῆσαν. εἰς δὲ τὰ πολιτικὰ τὸν Πάπαν οὐκ ἔχει, ἀλλὰ τοὺς Νόμους καὶ τὸ δίκαιον, καὶ τὸν Θεὸν αὐτὸν, τὸν Πάπαν δὲ ἔχει οὐδὲ Ἐπίσκοπον, καὶ οὐχὶ ἄλλο.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ συναγωγῆς τῶν τελεθσάντων ἕνεκεν τῆς ψευδενώσεως κακῶν ἀπὸ τῆς λατινοφρυήσεως Μιχαὴλ τοῦ Παλαιολόγου μέχρι τέλους, ἐν οἷς δείκνυται καὶ τὸ παπικὸν ἀξίωμα ἀπαίθρωπον, πολεμικὸν, φονικὸν, τυραννικὸν καὶ ωᾢάνομον, ἐξ ὧν καὶ σωίζεται.

Σημείωσαι εἰς τὴν Σύνοδον ταύτην πρῶτον, ὅτι ὁ Μιχαὴλ οὐκ ἐζήτησε τὴν σύνοσιν ωᾢρὸ τοῦ Πάπα διὰ εὐλάβειαν, ἀλλὰ ἐξ ἀνάγκης τῆς ἀπὸ τοῦ Καρόλου, ὡς ὁ Παχυμέρης λέγει, ὅτι ἔλεγον ὁ Βασιλεὺς τοῖς Κωνσταντινουπολίταις ἀπαρεσκομένοις τῇ τοιαύτῃ σύνοσει, ὦ ἄνθρωποι ἀωᾢάτρωτα τὰ τοῦ ἡμετέρου δόγματος ἔσαι, τεῖα μόνα ἀπονέμομεν τῷ Πάπᾳ, Πρωτεῖον, Ἔκκλητον καὶ Μνημόσυνον, ταῦτα δὲ λύτρα ἔσονται πολλῶν αἱμάτων Ῥωμαίων ἀκχυθῆναι κινδυνεύοντων. δεύτερον, ὅτι καίτοι τοιοῦτα λέγοντος τοῦ Μιχαὴλ, ἡ Ἐκκλησία καὶ τὸ σῶμα αὐτῆς οὐκ ἐπείθοντο. ὅθεν οἱ Πατριάρχαι Ἀρσένιος καὶ Ἰωσὴφ καὶ Γρηγόριος ἀναιροῦνται, καὶ ἄλλος ἀφίστη τὸν θρόνον καὶ ἀναχωρεῖ, ἄλλος διώκεται, καὶ οἱ ἔγκλειτοι Ἀρχιερεῖς καὶ Κληρικοὶ, καὶ δὴ καὶ Ἄρχοντες μαστιγοῦνται, δημεύονται, Φυλακίζονται, πάσχουσιν ὑπὸ τοῦ Ῥώμης Γρηγορίου, καὶ τοῦ Μιχαὴλ, ὅσα ἔπαθον οἱ πάλαι ἅγιοι ὑπὸ τοῦ Νέρωνος, Δεκίου, Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ὅτε καὶ ὁ Βέκκος Φυλακιζόμενος ἀπεφήνατο, ὅτι οἱ Λατῖνοι αὖ καὶ ἀλέγωντα ἕως τοῦ νῦν Αἱρετικοί, ὅμως Αἱρετικοί εἰσιν. τρίτον, ὅτε τὸ τοῦ Ῥώμης μνημόσυνον εἰς τὴν Ἐκκλησίαν ἐξεφωνήθη, γέγονε ταραχὴ, σύγχυσις, θόρυβος, καὶ ἡκολούθησε χίσμα μέγα, ὥστε οἱ Ῥωμαῖοι οὐκ ἤθελον ωᾢοσαγο-

σαγορεύειν τοὺς πλησίον, ἢ συνεσθίειν, ἢ συμπίνειν ἢ ὅλως συναναστρέφεσθαι οἷς εἶχον εἰς ὑποψίαν, καὶ οἳ εὑρέθησαν ἐν τῇ Ἐκκλησίᾳ ὅτε ὁ Πάπας ἐμνημονεύθη. τέταρτον, ἡ Σύνοδος ματαία ἐστὶ πολλῶν ἕνεκεν, ἀλλὰ καὶ ὅτι εἰς τὴν τρίτην αὐτῆς συνέλευσιν ἐξεφωνήθη ἡ προσθήκη, καὶ εἰς τὴν τετάρτην ἀνεγνώσθησαν αἱ ἐπιστολαὶ τοῦ Μιχαήλ. ὅθεν καὶ ἀπόπτυστος οὐ μόνον ὡς παράνομος, ἀλλά γε καὶ ὡς παράλογος. εἰ δὲ καὶ ἦσαν καὶ τοῦ Βασιλέως πρέσβεις, ἀλλ' ἦσαν καὶ Τοποτηρηταὶ εἰς τὴν ἐπὶ Διοσκόρου λῃστρικὴν, καὶ πολυπληθὴς ἦν ἡ ἐν Ἀριμίνῳ, καὶ ἡ ἐπὶ τοῦ Κοπρωνύμου, ἀλλὰ πάντοτε ἡ ἀλήθεια ἐνίκα, καὶ τὸ ψεῦδος ἐστηλιτεύετο. ἴδε τοὺς τόπους τῶν Συνόδων τῶν παρανόμων ἀνωτέρω, καὶ τὸν Μάξιμον τὶ ἔλεγε περὶ τῶν ἐν Κωνσταντινουπόλει Συνόδων τῶν Μονοθελητῶν βιβλίου ἕκτου κεφαλαίῳ ἑβδόμῳ, καὶ βιβλίου ἑβδόμου κεφαλαίῳ ὀγδόῳ. πέμπτον, ὅτι ὑπωπτεύοντο τὸ κοινὸν τῆς Ἐκκλησίας ἵνα μὴ βιασθῶσιν ὑπὸ τοῦ Βασιλέως καὶ εἰς πλείονα τοῦ Πρωτείου, Ἐκκλήτου καὶ Μνημοσύνου, διὰ τοῦτο ὁ Βασιλεὺς ποιεῖ Χρυσόβουλλον γράμμα μετὰ φρικτῶν ὅρκων καὶ μεγάλων ἀρῶν, ἵνα μὴ πλέον αὐτοὺς βιάσηται εἰς ἄλλο τι, ἢ ἐνεργήσῃ γενέσθαί τι εἰς τὸ Σύμβολον ἕως καὶ μικρᾶς κεραίας, καὶ ἀπέστειλεν αὐτὸ εἰς τὴν Ἐκκλησίαν. ἕκτον, ὅτι ἔπεμψεν εἰς τὴν Ῥώμην πρέσβεις τὸν ποτὲ Πατριάρχην Γερμανὸν, καὶ τὸν Νικαίας Θεοφάνη, καὶ τὸν μέγαν Λογοθέτην καὶ τὸν προκαθήμενον τοῦ Βεστιαρίου Πανάρετον, καὶ τὸν μέγαν Διερμηνευτὴν, ὅτι δέχεται τὰ τρία ταῦτα κεφάλαια, ἐξ ὧν οἱ μὲν Ἄρχοντες κατεποντίσθησαν ἐν τῇ θαλάσσῃ, οἱ δὲ Ἀρχιερεῖς ἀπῆλθον εἰς τὴν Ῥώμην, ἀλλ' οὐδεὶς λόγος, ὅτι ἐδέχθησαν ἢ τὴν προσθήκην, ἢ τὴν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν. ἕβδομον, ὅτι οἱ φράροι οἱ ἐλθόντες ἀπὸ τοῦ Ῥώμης εἰς τὴν Βασιλέα, ἅπαξ καὶ μόλις αὐτοὺς ἀφεῖκε λειτουργῆσαι εἰς τὴν Βλαχέρναν, οὐ μὴν καὶ εἶχον ἄλλην τινὰ παῤῥησίαν, ἐπειδὴ ἦσαν ὅλα δρᾶμα διὰ μόνον τὸν Κάρολον, καίτοιγε καὶ εἰς τοῦτο ἐματαιώθησαν, ἐπειδὴ ἀπὸ τοῦ Πάπα οὐκ εἶδον βοήθειαν οὐδὲ μίαν, ἀλλ' ὁ Βασιλεὺς δώροις καὶ στρατηγήμασιν ἤγειρε τοὺς Σικελοὺς καὶ Βενετίκους κατὰ τοῦ Καρόλου, καὶ ἐκώλυσεν αὐτὸν, καὶ ἴδε τὸν Γρηγορᾶν εἰς τὸ πέμπτον βιβλίον. ὄγδοον, ὁ Γρηγορᾶς ῥητῶς λέγει εἰς τὸ πέμπτον βιβλίον, ὅτι ὁ Βασιλεὺς πρεσβεύεται εἰς τὸν Πάπαν περὶ ἑνώσεως τῶν Ἐκκλησιῶν, ἐὰν τὸν Κάρολον παύσῃ τῆς ὁρμῆς, καὶ γίνεται ἡ ἕνωσις ἐπὶ τριῶν, Μνημοσύνου, Ἐκκλήτου καὶ τοῦ Πρωτείου, σιωπὴ δὲ γίνεται περὶ τῆς προσθήκης καὶ ἄλλων. ἀναχωρεῖ ὁ Πατριάρχης Ἰωσὴφ εἰς τὴν Μονὴν τοῦ Βοσπόρου, θορυβεῖται ἡ Σύνοδος, χειροῦται ὁ Βασιλεὺς κολακείᾳ πολλοὺς, φεύγουσι πολλοὶ, ἵστανται ἐδραῖοι οἱ δόκιμοι. ἕνατον, ὅτι ὁ Βέκκος ὢν εἰς τὴν Φυλακὴν, καὶ ἰδὼν δῆθεν τοῦ Βλεμμύδους τὰς μαρτυρίας τὰς περὶ τῆς ἁγίας Τριάδος, ἔκλινεν εἰς λατινισμὸν, ἦσαν δὲ τοῦ Βασιλέως, ὃς δὴ ἅπαξ γενόμενος θηριάλωτος, καὶ κλίνας εἰς ἀσέβειαν, ἀπατᾷ καὶ τοὺς βασιλικοὺς Ἀρχιδιακόνους Κωνσταντῖνον τὸν Μελιτηνωνίτην καὶ Γεώργιον τὸν Μετοχίτην, οἵτινες καὶ πρέσβεις ἐκπεμφθέντες ὑπὸ τοῦ Βασιλέως, ἐπορεύθησαν τοῦ Πάπα λειτουργοῦντος εἰς τὴν Λειτουργίαν αὐτοῦ, καθὼς καὶ οἱ ἀπὸ τοῦ Πάπα ἐλθόντες φράροι ἑστήκασιν εἰς τὴν Λειτουργίαν τοῦ Πατριάρχου Ἰωσὴφ, ὅμως ὁ Μελιτηνιώτης καὶ Μετοχίτης διὰ τὸ ἐν τῇ Ῥώμῃ παραγενέσθαι εἰς τὴν Ἐκκλησίαν λειτουργοῦντος τοῦ Πάπα, ὡς παραβάντες τὰ μέγιστα, τελείᾳ ὑπέπεσον καθαιρέσει ἐν Κωνσταντινουπόλει, καὶ σημείωσαι τὰ ἀποτελέσματα τῆς τοιαύτης ἑνώσεως. δέκατον, ὅτι μετὰ Γρηγόριον τὸν εἰρημένον γενομένου Πάπα Ἰννοκεντίου, εἶτα Ἀδριανοῦ, εἶτα Νικολάου, εἶτα Μαρτίνου, ἐφ' οὗ ἦσαν εἰς τὴν Ῥώμην πρέσβεις ὁ Ἡρακλείας Λέων καὶ ὁ Νικαίας Θεοφάνης, μαθόντες οἱ Ἰταλοὶ τὰ τῆς ἐν Κωνσταντινουπόλει ἑνώσεως ὑπάρξαι κατ' εἰρωνείαν, οὐκ εἴων εὐκόλως τοὺς πρέσβεις ἐντυχεῖν τῷ Μαρτίνῳ, καὶ τέλος Βασιλέα μὲν καὶ τοὺς περὶ αὐτὸν ἀφώρισαν, καὶ γὰρ τὸ κακὸν μάχεται αὐτὸ ἑαυτῷ, τοὺς δὲ πρέσβεις ἀπεδίωξαν. ἀπέθανε δὲ καὶ ὁ Λέων καθ' ὁδὸν, ὁ δὲ Θεοφάνης ἐλθὼν εἰς τὸν Μιχαὴλ, εἶπεν αὐτῷ ἀκριβῶς τὰ γενόμενα, ὅθεν εἰς τὴν Ἐκκλησίαν ἐν μιᾷ τῶν ἡμερῶν μνημονεύοντος τοῦ Διακόνου τοῦ Πάπα, ἐκώλυσεν ὁ Μιχαὴλ τὸ μνημόσυνον εἰπὼν, Ἐγὼ μετὰ τῶν οἰκείων ἐποίησα τόσα σκάνδαλα, καὶ ἐποίησα αὐτοῖς τόσα κακὰ, καὶ πάλιν οἱ Λατῖνοι εἰσὶν ἀχάριστοι. ἠβουλήθη δὲ βαλεῖν τὸν Ἰωσὴφ εἰς τὸ Πατριαρχεῖον, καὶ ἀφανίσαι τὴν ψευδένωσιν καὶ τὰς καινοτομίας, ἀλλὰ πάλιν συνεπέρανε τὸν καιρὸν, ἴσως τοῦ Θεοῦ μὴ δεχομένου τὴν μετάνοιαν αὐτοῦ, ὅτι ἑκουσίως ἐκάκωσε τὴν Ἐκκλησίαν, Παχυμέρης βιβλίῳ ἕκτῳ. εἶτα ἀπέθανεν Ἰωσὴφ ὁ Πατριάρχης, οὗ εἰς τὴν διαθήκην αὐτοῦ μὴ εἰπόντος τὸν Βασιλέα ἅγιον κατὰ τὴν συνήθειαν, ἐδυσχέρανεν ὁ Βασιλεὺς, ὅμως ἤκουσεν, ὅτι ὁ ὀρθόδοξος Πατριάρχης οὐ κατεδέξατο εἰπεῖν ἅγιον τὸν ἄνομον, οὐδὲ μία γὰρ κοινωνία φωτὶ πρὸς σκότος. ἰστέον δὲ, ὅτι εἰ καὶ ἐπλανήθη ὁ Μιχαὴλ εἰς τὴν τοιαύτην ἕνωσιν, ἦν ὅμως εὐλαβέστατος, πολεμῶν γὰρ μετὰ Καρόλου δυνάστου δυτικοῦ, ἐδεήθη τῶν Ἀρχιερέων καὶ τοῦ Πατριάρχου καὶ ἐποίησαν Εὐχέλαιον, καὶ ἤλειψαν τοὺς Στρατιώτας τῷ ἐλαίῳ, καὶ οὕτως ἐνίκησεν. ἑνδέκατον, ὅτι τὸν Βασιλέα Μιχαὴλ ἀποθανόντα, οὐκ ἔθαψαν βασιλικῶς ὡς λατινόφρονα, ἀλλ' εἰς τὴν ἐρημίαν αὐτὸν ἔθαψαν ὡς ἀνάξιον βασιλείας γεγονότα διὰ τὸν λατινισμόν. δωδέκατον, ὅτι βασιλεύσαντα τὸν Ἀνδρόνικον, ὁ λαὸς οὐκ ἀφεῖκε στεφθῆναι, πρὶν ἢ ἀναβῆναι εἰς τὸν Ἄμβωνα τῆς ἁγίας Σοφίας, καὶ ἀναθεματίσαι πρῶτον τὸν πατέρα αὐτοῦ, καίπερ δυσχερῶς, ὅτι εἰ καὶ ἀσεβὴς, ἀλλὰ πατὴρ ἦν. ἀλλὰ καὶ τὸν μέγαν Λογοθέτην, ὃς ἦν σύμβουλος τοῦ Μιχαὴλ εἰς τὴν τοιαύτην ἕνωσιν, ἔκλεισεν ὁ Ἀνδρόνικος εἰς ὅλην αὐτοῦ τὴν ζωὴν εἰς τὴν Φυλακὴν, οὐχὶ ἀπὸ ἱκεσίας τοῦ δήμου, ὡς λέγουσιν οἱ Λατῖνοι, ἀλλ' ἀπὸ κρίσεως ἰδίας καὶ τῆς Συγκλήτου, οὐ μὴν ἀλλὰ καὶ ἡ τοῦ Μιχαὴλ γυνὴ λόγον συνέταξε τῆς ὀρθῆς πίστεως, οὗ ἡ ἀρχὴ, Θεοδώρα ἐν Χριστῷ πιστὴ Αὐγοῦστα

γοῦστα καὶ Αὐτοκρατόρισα Ῥωμαίων Δούκαινα Κομνηνὴ Παλαιολογίνα. Οὐχ ὥσπερ ἐπὶ τῶν ἄλλων κατορθωμάτων ὅσα τὶς ἐπὶ σωτηρίας κατορθώσει δυνήσεται, οὕτω μοι καὶ ἐπὶ τῆς εὐσεβείας αὐτῆς δοκεῖ. κεῖται δὲ τὸ γράμμα τοῦτο ἐν τῇ Βιέννῃ τῇ ἐν τῇ Αὐγούστῃ ἐν τῇ βασιλικῇ Βιβλιοθήκῃ, ἐξ ἧς μετεγράψαμεν αὐτό. δέκατον τρίτον, ὅτι καὶ αὐτὸς ὁ Ἀνδρόνικος ἀφ' ἑαυτοῦ ἐσπούδασε διὰ τὴν ἔνωσιν τῆς Ἐκκλησίας, ὅθεν καὶ ἐν τῇ τῶν Χριστουγέννων ἑορτῇ οὐχ ὑπέφερε λειτουργῆσαι τὸν Βέκκον λατῖνον ὄντα, ἀλλ' ἐμήνυσεν αὐτῷ διὰ τοῦ Χαρτοφύλακος τοῦ μελιτηνιώτου καὶ κατέβη ἀπὸ τοῦ θρόνου, καὶ ἀνάγεται εἰς τὸν πατριαρχικὸν θρόνον ὁ Ἰωσὴφ, καὶ πρῶτον γίνεται Ἁγιασμὸς, εἶτα Λειτουργία. γέγονε δὲ καὶ πρᾶγμα σημειώσεως ἄξιον, ὅτι ὁ Μιχαὴλ ὅτε ἐβίαζεν εἰς παπισμὸν, καὶ ἀντέλεγον αὐτῷ οἱ ὀρθόδοξοι, ἔκοψε τὴν γλῶσσαν Μελετίου τοῦ ἐπονομαζομένου ἁγίου (ἀλλὰ καὶ ἀληθῶς ἅγιος ἐγένετο, καὶ ἔκειτο τὸ λείψανον αὐτοῦ εἰς τὴν Μονὴν τοῦ Λαζάρου) ὅστις Μιχαὴλ καὶ Γαλακτίωνα τὸν Γαλησιώτην τὸν ἐλέγξαντα αὐτὸν διὰ τὸ εἰς τὴν Ἀνατολὴν ἱερουγῆσαι τὸν Ἱερέα αὐτοῦ δι' ἀζύμων, καὶ εἰπόντα αὐτὸν νέον Ἰουλιανὸν, ἐτύφλωσεν. οὗτος ὁ Γαλακτίων εἰς τὸν τότε Ἁγιασμὸν τῶν Θεοφανείων, λέγει ὁ Παχυμέρης βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἑβδόμῳ, ὅτι ψηλαφῶν ἐλάμβανεν ἁγίασμα καὶ ἡγίαζε τοὺς κίονας καὶ τὰ προαύλια καὶ Εἰκόνας τῆς Ἐκκλησίας, ἵνα δηλαδὴ ἁγιάσῃ αὐτὰ ὡς μιανθέντα παρὰ τῶν λατινοφρονούντων. Σὺ δὲ σημείωσαι, ὅτι ὁ Ἀδριανουπόλεως Γερμανὸς ὁ ἐπικληθεὶς Μαλχουτζᾶς, Παχυμέρης βιβλίῳ τεταρτῷ, ἐπὶ τοῦ αὐτοῦ Βασιλέως μετετέθη εἰς Κωνσταντινούπολιν λῃστρικῶς, λατινοφρονήσας, καὶ ἐξήγειρε μέγαν διωγμὸν εἰς τὴν Ἐκκλησίαν διὰ τὸν παπισμόν. τοιοῦτον γάρ ἐστι τὸ ἀξίωμα τὸ νῦν τοῦ Πάπα τῆς Ῥώμης, δηλονότι ἀπάνθρωπον, ἐπειδὴ πολέμοις, μάχαις, φόνοις, τυραννίαις καὶ παρανομίαις συνίστα).

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἐν τοῖς πρακτικοῖς τῆς Συνόδου ταύτης τοῦ λατινόφρονος Μιχαὴλ Παλαιολόγου ἐπιστολῆς τῆς πρὸς τὸν Ῥώμης, καὶ τῶν ἐν αὐτῇ ὀκτὼ ἀτόπων ὑπὲρ τῆς μοναρχίας τοῦ Ῥώμης.

Εἰς τὰ πρακτικὰ τῆς ψευδοσυνόδου ταύτης εὕρηται ἐπιστολὴ τοῦ Παλαιολόγου Μιχαὴλ τούτου τοῦ λατινόφρονος, ἥτις καίπερ καὶ ἀπὸ τῆς φράσεως αὐτῆς (οὐ γὰρ παραλληλίζει τῇ ὑφ' Ἕλληνος γινομένῃ ἡ συνθέσις αὐτῆς, ἐχούσης καί τινα ὀνόματα λατικὰ ἐκφερόμενα κατὰ τὸ ἰδίωμα αὐτῶν) φαίνεται νόθη, εἴτε ἀληθὴς ὅμως, εἴτε ὕποπτος, περιέχει ἄτοπα. πρῶτον, ὅτι ἡ ἐπιγραφὴ αὐτῆς ἐστὶ, Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ τῷ πρώτῳ καὶ ἄκρῳ Ἀρχιερεῖ τοῦ ἀποστολικοῦ θρόνου, τῷ Οἰκουμενικῷ Πάπᾳ, καὶ κοινῷ πατρὶ πάντων τῶν Χριστιανῶν, Μιχαὴλ, καὶ τὰ ἑξῆς. δεύτερον, ὅτι πέμψας ὁ Ῥώμης Γρηγόριος πρέσβεις εἰς τὸν Μιχαὴλ καὶ ἐπιστολὴν, ἐκτίθεται ὁμολογίαν πίστεως ἐκείνην ἣν κρατεῖ ἡ Ἐκκλησία τῆς Ῥώμης. τρίτον, ὅτι ὁ Μιχαὴλ εἰσδέχεται τὸ ἐκτοῦ Υἱοῦ, καὶ τὸ Πουργατόριον ὑποτίθησι. τέταρτον, ὑποτιθέμενος τὴν ἀπόλαυσιν τῶν ἁγίων, ὁμοίως καὶ τῶν ἁμαρτωλῶν τὴν τελείαν κόλασιν, λέγει, ὅτι εἰς τὴν ἀνάστασιν μόνα τὰ σώματα λαμβάνουσιν ἀμφότεροι, καὶ οὐχὶ ἄλλο. πέμπτον, ὅτι ἡ Ἐκκλησία Ῥωμαίων κρατεῖ ἑπτὰ Μυστήρια. ἕκτον, ὅτι ἡ Ἐκκλησία Ῥωμαίων πρωτεῖον ἄκρον καὶ τέλειον, καὶ ἀρχὴν ἐπὶ πᾶσαν τὴν καθολικὴν Ἐκκλησίαν κατέχει, ἣν ὁ Χριστὸς ἔδωκε τῷ Πέτρῳ, οὗ διάδοχος ὁ Ῥώμης, ἵνα διορίζῃ τὰ περὶ πίστεως εἰς τὰς ἀναφυομένας ζητήσεις, καὶ ἔχῃ προσέτι καὶ τὴν Ἔκκλητον πάντων τῶν βαρυνομένων. ἕβδομον, ὅτι τὰς ἑτέρας Ἐκκλησίας, ἐξαιρέτως δὲ τὰς πατριαρχικὰς αὐτὴ ἡ Ἐκκλησία τῆς Ῥώμης ἐτίμησε διαφόροις προνομίοις, πλὴν τοῦ ἰδίου πρεσβείου, ὅπερ πάντοτε φυλάττεται εἰς τὰς Οἰκουμενικὰς Συνόδους καὶ εἴς τινα ἕτερα πράγματα. ὄγδοον, ὅτι ἡ Ἐκκλησία τῆς Ῥώμης τούτοις πᾶσι πιστεύει. καὶ στοῤῥῶς βεβαιοῖ. ταῦτα ἡ ἐπιστολή.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ ἀναιρέσεως τοῦ πρώτου ἀτόπου τῆς τοῦ Μιχαὴλ Παλαιολόγου ἐπιστολῆς, ὅ ἐστιν ἡ ἐπιγραφὴ αὐτῆς.

Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι οὕτως ἔγραφον οἱ ἀρχαῖοι Βασιλεῖς τοῖς Πάπαις, Κωνσταντῖνος σεβαστὸς Μιλτιάδῃ Ἐπισκόπῳ Ῥωμαίων. Εὐσέβιος ἐκκλησιαστικῆς ἱστορίας βιβλίῳ δεκάτῳ. Οὐαλεντιανὸς καὶ Μαρκιανὸς νικηταὶ, ἔνδοξοι, τροπαιοῦχοι καὶ πρῶτοι Βασιλεῖς Λέοντι τῷ εὐλαβεστάτῳ Ἐπισκόπῳ τῆς ἐνδόξου πόλεως Ῥώμης. Συνόδῳ τετάρτῃ μέρει πρώτῳ. Αὐτοκράτωρ Φλαύϊος Κωνσταντῖνος πιστὸς μέγας Βασιλεὺς Δόμνῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Ἀρχιεπισκόπῳ τῆς πρεσβυτέρας Ῥώμης καὶ Οἰκουμενικῷ Πάπᾳ. συνόδῳ ἕκτῃ, μέρει πρώτῳ. Ὁ αὐτὸς, Λέοντι τῷ ἁγιωτάτῳ καὶ Μακαριωτάτῳ Ἀρχιεπισκόπῳ τῆς ἀρχαίας καὶ περιδόξου πόλεως Ῥώμης καὶ Οἰκουμενικῷ Πάπᾳ. οὕτως ἔγραφον οἱ ἀρχαῖοι Αὐτοκράτορες πρὸς τοὺς Ἐπισκόπους Ῥώμης, νῦν δὲ Μιχαὴλ ὁγεννάδας γράφει ἀνομοίως, πρῶτον, ὅτι προτάττει τὸ ὄνομα τοῦ Πάπα, ὑποτάττει δὲ τὸ ἑαυτοῦ. δεύτερον, ὅτι λέγει αὐτὸν ἄκρον Ἀρχιερέα. τρίτον, ὅτι λέγει αὐτὸν κοινὸν πατέρα πάντων τῶν Χριστιανῶν. ἐν οἷς σημείωσαι πρῶτον, ὅτι ἀνόμοιος ἡ ἐπιγραφὴ

φὴ τοῦ Μιχαὴλ πρὸς τὸν Πάπαν ταῖς ἐπιγραφαῖς τῶν ἀρχαίων Αὐτοκρατόρων πρὸς τὸν αὐτὸν, ἀνόμοιος ἄρα καὶ ὁ Βασιλεὺς ἐκείνοις τοῖς Βασιλεῦσι, καὶ ὁ Πάπας οὗτος τοῖς ἀρχαίοις Πάπαις. δεύτερον, ἡ ἀνομοιότης ἐστὶν, ὥστε τὸν Πάπαν τὸν νῦν εἶναι τύραννον, τὸν δὲ Μιχαὴλ οὐ Βασιλέα, ἀλλὰ καὶ αὐτὸν τύραννον καὶ βασιλίσκον. τρίτον, ὅτι ὁ Πάπας ἄκρος κληθὲς, ἤτοι μόνος ὡς μονὰς, ὁ αὐτός ἐστι τῷ εἰπόντι, Θήσω τὸν θρόνον μου ἐπὶ τῶν νεφελῶν. καὶ πάλιν τὸ αὐτὸ, ὅτι οὐκ ἔστιν ἀδελφὸς Ἐπίσκοπος, ἀλλὰ τύραννος, τοῖς ἁγίοις πατράσι καὶ ἀρχαίοις Πάπαις ἀντίδοξος, ὅθεν καὶ ἀντίθρονος. τέταρτον, ὅτι πατὴρ πάντων τῶν Χριστιανῶν, ἀλλὰ πρὸς τὸ ὕψος τῆς μονότητος καθήμενος, χριστιανικῇ προσηγορίᾳ πατὴρ ἐστὶ τῶν Χριστιανῶν, ἀλλὰ τῶν ἀπεσχισμένων.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ ἀναιρέσεως τοῦ δευτέρου καὶ τρίτου ἀτόπου τῆς αὐτῆς ἐπιστολῆς, ἅ εἰσιν ἔκθεσις τῆς παπικῆς πίστεως τοῦ Μιχαὴλ, καὶ ἡ καὶ ἐκ τοῦ Υἱοῦ τοῦ ἁγίου Πνεύματος ἐκπόρευσις.

Πρὸς δὲ τὸ δεύτερον ἀποκρίνεται ὁμέγας Ἀθανάσιος κατακρίνων τὸν Βασιλέα Κωνσταντίον πεισθέντα τοῖς Ἀρειανοῖς, καὶ ἀθροίσαντα Συνόδους πρὸς ταῖς ἄλλαις καὶ εἰς Ἀρίμινον καὶ Νίκην τῆς Θρᾴκης, αἳ ἐποίησαν Ἔκθεσιν πίστεως εἰς ἀθέτησιν τῆς ἐν Νικαίᾳ πίστεως, καὶ ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον δέκατον. λέγει δὲ ὁ ἅγιος, ὅτι ζητοῦντες οἱ Αἱρετικοὶ Ἔκθεσιν πίστεως, μαρτυροῦσιν μὴ ἐγνωκέναι πίστιν, ὡσανεὶ ἐκοιμῶντο καὶ τότε ἐξύπνησαν, ὅθεν καὶ ἀσεβεῖς ἐκρίθησαν, ἐπειδὴ ἔδειξαν ὅτι ἐπὶ Κωνσταντίου ἤρξατο ἡ πίστις αὐτῶν, διατοῦτο προσέθηκαν καὶ χρόνον καὶ Μῆνα καὶ καιρὸν τοῦ τότε βασιλεύοντος, ὅπερ ἐστὶ πρόνομον. ἀλλ' οἱ Ἀρειανοὶ ἔδειξαν κατὰ τοῦτο ὅτι νεώτερόν ἐστι τὸ ἐφεύρεμα τῆς πίστεως αὐτῶν καὶ καινοτομία, οὐχ οὕτως ὅμως ἡ ἐν Νικαίᾳ Συνόδος, ἀλλ' ὅσον περὶ τοῦ Πάσχα, ἐπειδὴ διωρίσθη τότε πότε γίνεσθαι, ἔταξαν καὶ ὑπατείαν καὶ καιρὸν, περὶ δὲ τῆς πίστεως εἶπον, οὕτω πιστεύει ἡ Ἐκκλησία, ἤγουν ἀπ' ἀρχῆς. λοιπὸν καὶ νῦν ἐκθέμενος ὁ Μιχαὴλ ὁμολογίαν πίστεως ἣν πρεσβεύει ἡ Ἐκκλησία τῆς Ῥώμης, δείκνυσι δύο τινὰ, πρῶτον, ὅτι οὐκ ἐγίωσκεν εἰς ὃ ἐπίστευε. δεύτερον, ὅτι ἐξέθετο πίστιν μετὰ προσρήματος πρόνομου, οὐχὶ καθολικοῦ, ἀλλὰ ῥωμαϊκοῦ, καὶ ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίου τεταρτοῦ Παράγραφον πέμπτον. καὶ γὰρ ἐκθέμενος τὴν πίστιν αὐτοῦ εἰς τὴν Συνόδον ὁ Γρηγόριος οὕτως, Εὐσεβεῖ καὶ πιστῇ ὁμολογία φαμὲν ἀϊδίως τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς καὶ Υἱοῦ, οὐχ ὡς ἐκ δύο ἀρχῶν, ἀλλ' ὡς ἐκ μιᾶς, οὐ δυσὶ πνεύσεσιν, ἢ ἐκπορεύσεσιν, ἀλλ' ἐν μιᾷ καὶ τῇ αὐτῇ ἐκπορεύσει, ἐπήγαγε, Τοῦτο ἄνωθεν ὡμολόγει ἡ ῥωμαϊκὴ Ἐκκλησία ἡ μήτηρ πάντων τῶν πιστῶν καὶ Διδάσκαλος. εἶτα κρίνων τὴν καθολικὴν Ἐκκλησίαν Αἱρετικὴν, καὶ μόνην τὴν ῥωμαϊκὴν ὀρθόδοξον, μετά τινα εἶπεν, Ἀλλ' ἐπειδή τινες διὰ τὴν ἄγνοιαν ταύτης τῆς ἀληθείας εἰς ποικίλας Αἱρέσεις ὑπωλίσθησαν, ἡμεῖς πᾶσαν ὁδὸν τῶν τοιούτων Αἱρέσεων ἀποφράττειν ἐπιθυμοῦντες, τῆς ἱερᾶς συμψηφιζομένης Συνόδου, κατακρίνομεν καὶ ἀποδοκιμάζομεν πάντας τοὺς ἀρνεῖσθαι τολμῶντας αἰωνίως ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ ἅγιον ἐκπορεύεσθαι Πνεῦμα. οὕτω γοῦν τὴν ῥωμαϊκὴν διακρατοῦντος, καὶ ἐξυβρίζοντος τὴν ἀρχαίαν καὶ κοινῶς παραδιδομένην πίστιν εἰς τὴν Ἐκκλησίαν τοῦ Γρηγορίου, καὶ κοινωνοῦντά πως ἔχοντος τὸν Μιχαὴλ, εὔκαιρον εἰπεῖν περὶ αὐτῶν ὅπερ ἔλεγε περὶ τοῦ Ἀρείου ὁμέγας Κωνσταντῖνος πρὸς Γελασίῳ, Καὶ ἑρμηνεῖς τῆς πίστεως καὶ αὐτόχρημα Εἰκόνες καὶ Ἀνδριάντες τοῦ Διαβόλου Γρηγόριος καὶ Μιχαήλ. ὁρᾶτε δὴ, ὁρᾶτε πάντες, ὡς γοερὰς ἤδη προΐσχονται φωνὰς, τὸ τοῦ ἔχεως ἐνισχημένοι δήγματι, καὶ αἱ φλέβες αὐτῶν σάρκες, τῷ ἰῷ ἐγκατειλημμέναι, καὶ συνέδραμεν αὐτοῖς ὁμοῦ οἶστρος μανία τε καὶ ματαιότης. πῶς γὰρ δυνατὸν μιᾷ πνεύσει ἐκπορεύεσθαι ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον; ὡς ἀπὸ μιᾶς οὐσίας; καὶ λοιπὸν ἑτέρας οὐσίας τὸ Πνεῦμα τὸ ἅγιον, πάντα γὰρ τὰ κοινὰ Πατρὶ καὶ Υἱῷ, κοινὰ καὶ τῷ ἁγίῳ Πνεύματι κατὰ τοὺς ἁγίους πατέρας, εἰ δὲ κοινὴν οὐσίαν ἔχει ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ἣν οὐκ ἔχει τὸ Πνεῦμα τὸ ἅγιον, ἑτέρας οὐσίας λοιπὸν ἔσονται, καὶ τριὰς καὶ δυὰς ἔσται ἐν τῷ Θεῷ. εἰ δ' ὡς ἐκ δύο ὑποστάσεων, ἰδοὺ δύο ἀρχαὶ ἐν τῇ Τριάδι, καὶ ἐγγὺς ἡ πολύθεος πλάνη. καὶ πῶς τοῦτο οὐκ εἶπεν ἡ γραφὴ, οὐκ εἶπον οἱ πατέρες, οὐκ εἶπον αἱ Σύνοδοι, οὐκ ἐφρόνησεν ἡ Ἐκκλησία; ἀλλ' οἱ Φραντζέζοι πρῶτον ἐφεῦρον, οἳ καὶ ἐζήτουν ἵνα βεβαιώσῃ αὐτὸ ὁ Πάπας Λέων ὁ ὄγδοος, καὶ ὕστερον ἐπρέσβευσαν οἱ προσθέμενοι εἰς τὸ Σύμβολον. καὶ δὴ πάλιν εἰς τὴν Φράντζαν τελειοῦται ὁ κολοφὼν τῆς ἀσεβείας, καὶ νομοθετεῖ καταποντισμοῦ ῥήματα ὁ πάντων καὶ Αἱρετικῶν καὶ ἁμαρτωλῶν χείριστος Γρηγόριος, καὶ συμψηφίζεται ἡ ἐναγὴς ἐκείνη καὶ ἐπάρατος Σύνοδος τῶν πρανόμων, καὶ πείθεται αὐτοῖς ὁ πρόνομος Βασιλεύς. κατακρίνει δὲ ὁ Πάπας τοὺς ἀρνουμένους εἶναι καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἀναθεματίζει, ὅπερ ταὐτόν ἐστιν ὅτι ἀναθεματίζει πάντας τοὺς ἁγίους πατέρας, καὶ πάντας τοὺς ὀρθοδόξους Χριστιανοὺς, καὶ αὐτὸν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν εἰπόντα, ὅτι ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ τοὺς ἁγίους Ἀποστόλους τοὺς γράψαντας καὶ κηρύξαντας τοῦτο ἐν πάσῃ τῇ κτίσει, καὶ τοὺς βεβαιώσαντας τοῦτο πατέρας τῶν Οἰκουμενικῶν Συνόδων, ὅθεν ἕπεται εἶναι ὑπὸ πάντων τούτων ἀναθέματι ὑποβεβλημένους τοὺς τοῦτο καινοτομήσαντας Πάπας.

ΠΑΡΑ

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ ἀναιρέσεως τοῦ πέμπτου, ἕκτου καὶ ἑβδόμου ἀτόπου τῆς αὐτῆς ἐπιστολῆς, ἃ εἰσι τὰ ἑπτὰ Μυστήρια, ἃ ἡ ῥωμαϊκὴ Ἐκκλησία λέγει κρατεῖν, καὶ ὅτι οὐκ Ἀρχιερεὺς ὁ Ῥώμης ἢ κριτὴς, ἀλλὰ λαϊκὸς καὶ πρόβατον ψωριῶν, καὶ ψευδῶς τὸ παρ' αὐτοῦ τοὺς Πατριάρχας τετιμῆσθαι προνομίοις.

Πρὸς δὲ τὸ πέμπτον (ἐπειδὴ τὰ λοιπὰ γινώσκουσι καὶ τὰ μικρὰ παιδία, προφανῶς γάρ εἰσιν ἀδρανῆ τε καὶ πρόνομα) τὸ λέγον τὴν ῥωμαϊκὴν Ἐκκλησίαν κρατεῖν ἑπτὰ Μυστήρια, ῥητέον πρῶτον, ὅτι γελοῖον ἐστὶν, εἰ γὰρ αὐτὰ ἐκράτει ἡ Ῥώμη καθότι αὐτὴ ταῦτα παρέδωκεν, ἀσεβὴς ἂν εἴη ὅστις ἔστεργε κρατεῖν Μυστήρια ἅπερ ἡ Ῥώμη παρέδωκεν, ἐπειδὴ Μυστήρια οὐδεὶς δύναται παραδοῦναι, ἀλλ' ἢ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅθεν ὅσα παρέδωκεν ἡ Ῥώμη μόνη Μυστήρια, εἰσὶ κατάπτυστα. δεύτερον, ὅτι τὰ ἑπτὰ Μυστήρια παρέδωκεν ὁ Κύριος, καὶ συνέχονται ποῖα εἰς τὴν γραφὴν ῥητῶς, λέγω εἰς τὸ Εὐαγγέλιον, ποῖα εἰς τὰς ἐπιστολὰς τῶν Ἀποστόλων, ἀφ' ὧν ἡ καθόλου Ἐκκλησία ταῦτα ἐδέξατο καὶ κρατεῖ ὡς ὑπὸ τοῦ Σωτῆρος παραδεδομένα. οὐκ ἀληθεύει οὖν ὁ Πάπας τὰ κοινὰ λέγων ἴδια, καὶ κατὰ ἀλήθειαν τοιοῦτος πατὴρ ἦν ὁ Γρηγόριος εἰς τὴν Ἐκκλησίαν τοιαῦτα λαλῶν, οἷος ἐκεῖνος περὶ οὗ ἔλεγεν ὁ Κύριος ὅτι ψεύστης ἐστὶ, καὶ ὁ πατὴρ αὐτοῦ. πρὸς δὲ τὸ ἕκτον εἴρηται καὶ ῥηθήσεται πολλάκις, καὶ ἐνταῦθα ἀρκεῖ εἰπεῖν τὸ εἰρημένον ἐν τῷ διαλόγῳ Μιχαὴλ Ἀγχιάλου Πατριάρχου Κωνσταντινουπόλεως, καὶ Μανουὴλ Αὐτοκράτορος τοῦ Κομνηνοῦ περὶ αὐτοῦ, ἤγουν τοῦ Πάπα τῆς Ῥώμης. Τῆς Ἀρχιερατικῆς εὐκλείας ἀποπεσὼν, οὐκ ἂν εἴη πρῶτος τῶν οἱ τὴν χάριν διεφυλάξαντο, λαϊκὸς δέγε καὶ παρ' ἄλλων ἁγιαζόμενος, ἀλλ' οὐκ αὐτὸς ἁγιάζων ἄλλους, ἢ καὶ πρεσβυτέρους καὶ Διακόνους καὶ τοὺς τῶν μειζόνων βαθμῶν προβαλλόμενος, πολλῷ δὲ πλέον οὐδὲ τῶν τοιούτων κριτὴς, τὸ γὰρ ἀφιέναι τοὺς τοιούτους τὰ ἁμαρτήματα, ἢ καὶ ἁμαρτάνουσι συγχωρεῖν, μανίας ἂν ἐσχάτης ἔγωγε κρίναιμι. οἶδα δὲ ὡς καὶ πάντες ὅσοι συγκατειλεγμένοι τοῖς γενοῦν ἔχουσιν, ἴσως δὲ οὐδὲ τῶν ὀρθοδόξων ἁπλῶς καθηγητὴς ὁρηθεὶς, ἵνα τὸν λόγον ἐπαναλήψωμαι, οὐ γὰρ ποιμὴν, ἀλλὰ πρόβατον ἀπὸ τοῦδε, καὶ πρόβατον ψωριῶν καὶ ἰατρείων δεόμενον ἀποδέδεικται, ὅθεν καὶ χεῖρον ἔσται κατὰ πολὺ καὶ τῶν ἑτέρων θρεμμάτων, οἷς τὸ ὑγιὲς διασώζεται. πρὸς δὲ τὸ ἕβδομον ῥητέον, καίτοιγε καὶ τὶς μὴ γελάσῃ, ἢ μὴ κλαύσῃ τὴν πώρωσιν αὐτῶν; λέγουσι γὰρ, ὅτι ὁ Πάπας τοὺς Πατριάρχας ἐτίμησε προνομίοις, καὶ πῶς τοῦτο εἰ ἀληθὲς ἦν, οὐκ ἐνέθηκεν ἐν τῇ Ἐκθέσει αὐτῆς ἡ ψευδοσύνοδος τοὺς τοῦτο διαγορεύοντας Κανόνας, ἢ τὰς μαρτυρίας τῶν Συνόδων, ἢ καὶ ἑνὸς τῶν ἐγκρίτων ἱστορικῶν, ἢ ἁγίων πατέρων; Ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς λαλεῖ, ἔλεγεν ὁ Πρόδρομος, καθότι ἁμάρτυρα λαλεῖ, καὶ ἐναντία τῇ γραφῇ, τοῖς Κανόσι, τῷ ἔθει, τῇ παραδόσει καὶ ἁπλῶς τῇ ἀληθείᾳ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς κατὰ Βέκκου ἐν Κωνσταντινουπόλει τὸ πρῶτον γενομένης Συνόδου ἐπὶ Ἀνδρονίκου τοῦ Παλαιολόγου καὶ Ἰωσὴφ Πατριάρχου, καὶ τῆς ἐμπρήσεως τῶν ὑπὸ τῶν παπιζόντων συγγραφέντων Τόμων, καὶ τῆς παραιτήσεως Θεοδοσίου Ἀντιοχείας φόβῳ καθαιρέσεως, καὶ προχειρίσεως Διονυσίου αὐτ' αὐτοῦ εἰς τὸν θρόνον.

Ὀκτὼ χρόνους ἐπεκράτησεν ὁ παπισμὸς τοῦ Μιχαὴλ εἰς τὴν Κωνσταντινούπολιν εἰς μόνον αὐτὸν καὶ τινὰς εὐαριθμήτους. ἦν δὲ ὄργανον αὐτοῦ ὁ Βέκκος, ὡς εἴρηται, ὃς καὶ αὐτὸς ὀκτὼ ἔτη ἐπατριάρχευσεν, ὡς γράφει Γεώργιος ὁ Κύπριος ἐν τῷ Τόμῳ. ἀλλ' ὁ Ἀνδρόνικος μετὰ τὸ καθελεῖν τοῦ θρόνου τὸν Βέκκον, ἀθροίζει Σύνοδον εἰς Κωνσταντινούπολιν, καὶ ἐπειδὴ ὁ Ἰωσὴφ ἠσθένει, ἦν ἐν τῇ Συνόδῳ μόνος ὁ θρόνος αὐτοῦ. παρῆν δὲ τῇ Συνόδῳ ὁ Ἀλεξανδρείας Ἀθανάσιος, ἅγιος ἄνθρωπος (οὗτος ἐστὶν ὁ ἐπιτρέψας Γεωργίῳ τῷ Παχυμέρει ποιῆσαι τὴν παράφρασιν εἰς τὸν Ἀρεοπαγίτην) καὶ Ἀρχιερεῖς καὶ οἱ Ἄρχοντες, καὶ μάλιστα ὁ μέγας Λογοθέτης, καὶ ὁ Κύπριος Γεώργιος, ἐν ᾗ τοὺς Τόμους οὓς συνέγραψαν οἱ παπίζοντες, καὶ ὅλα τὰ προγεγονότα τοιαῦτα κατέκαυσαν, καὶ τὸν Βέκκον ᾐτιῶντο; ὡς λαβόντα ῥησείδια τῶν πατέρων, καὶ παρερμηνεύσαντα αὐτὰ, καὶ αἰτίαν δεδωκότα τῷ καινοτομήματι, καὶ γινώσκεται καὶ μόνη ἡ πονηρία, ὅτι φανερὰ τὰ ῥητὰ ἦσαν πονηρῶς ἑρμηνευθέντα. ἐξ ὧν σημείωσαι, ὡς ἐλέγομεν ἀνωτέρω βιβλίῳ ὀγδόῳ κεφαλαίῳ δεκάτῳ ὀγδόῳ, ὅτι καὶ τοῦ Βλεμμύδους τὰς μαρτυρίας διέφθειρε. προσκαλέσαντες λοιπὸν αὐτὸν εἰς τὴν Σύνοδον, ἐκάθισαν αὐτὸν εἰς τὸν ἔσχατον τόπον, καὶ ἐλεγχθεὶς ὡς καινοτόμος, καὶ ὡς εὐβαλὼν παρὰ Κανόνας τὸν ἴδιον Πατριάρχην, ἔδωκε λίβελλον ἀποβαλλόμενος τὴν καινοτομίαν, καὶ δὴ καὶ ἀπὸ τῆς βασιλίσσης Θεοδώρας ἐζήτησαν λίβελλον πίστεως, ἵνα ἀποβάλλῃ τὰ προγε-

προγεγονότα, καὶ μὴ ζητήσῃ ἐνταφιασθῆναι τὸν Μιχαὴλ μετὰ ψαλμῳδιῶν, ὡς εἴρηται, ὃν καὶ ἔδωκεν, ὡς εἴρηται ἀνωτέρω. ἔπειτα καὶ ὁ Ἀλεξανδρείας συνέθετο εἰς τὴν καθαίρεσιν τῶν καινοτόμων, καὶ ἁπλῶς εἰς τὴν Σύνοδον, καὶ ὅσους ὁ Βέκκος ἐχειροτόνησεν, ἐκάθηραν, ὅσοι δηλαδὴ ἦσαν ἔνδον εἰς τὴν πόλιν, ἐπειδὴ ἐφαίνετο ὅτι καὶ συνήργουν. τοῖς δὲ ἔξω τῆς πόλεως συγγνώμην ἔδωκαν, ὡς τὸν λατινισμὸν ἀποβαλλομένοις, τοῖς δὲ Κληρικοῖς συνεχώρησαν τὸ ἁμάρτημα, πρῶτον κανονίσαντες. ὁ δὲ Ἀντιοχείας Θεοδόσιος ὑφορώμενος τὴν καθαίρεσιν, ἔστειλε κρυφίως εἰς τὴν Ἀντιόχειαν καὶ παρῃτήτατο, καὶ ἐγένετο ἀντ' αὐτοῦ Πατριάρχης ἐκεῖ Ἀρσένιος ὁ Ἁγιοσυμεωνίτης, ὅντινα διὰ τὸ ἀπελθεῖν εἰς τὴν Ἐκκλησίαν μετὰ τοῦ Ῥηγὸς τῶν Ἀρμενίων, ἐκάθηραν, εἰς δὲ Πατριάρχου ἐκλογὴν σχίζονται οἱ Ἀντιοχεῖς καὶ οἱ Κίλικες, καὶ οἱ μὲν ἐκλέγουσι Κύριλλον τὸν Τύρου, οἱ δὲ τὸν Πομπηϊουπόλεως Διονύσιον, ἰσχύουσιν ὅμως οἱ Ἀντιοχεῖς, καὶ προβιβάζεται εἰς τὸ Πατριαρχεῖον ὁ Διονύσιος. Σημείωσαι ὅτι καὶ τὸν θανόντα Ἰωσὴφ τὸν Πατριάρχην ἐμέμψατο ἕνεκεν δύο τινῶν, πρῶτον, ὅτι συνεχώρησε τῷ Μιχαὴλ διὰ τὴν πρὸς τὸν Βασιλέα Ἰωάννην ἐπιβουλήν. δεύτερον, διὰ τὴν ἀναβίβασιν, ζῶντος τοῦ Ἀρσενίου.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς κατὰ Βέκκου δευτέρας Συνόδου, ὑφ' ἧς καθαιρεθεὶς καὶ ἀναθεματισθεὶς ἅμα τοῖς αὐτῷ ὁμόφροσι, σὺν αὐτοῖς ἐξωρίσθη.

Εὑρισκομένου εἰς ἐξορίαν τοῦ Βέκκου εἰς Προῦσαν, καὶ γὰρ ἐκεῖ ἐξωρίσθη, καὶ ἴδε τὸν Παχυμέρη ἱστοριῶν βιβλίῳ ἕκτῳ. ὁ Προύσης Νεόφυτος διὰ τὸ προγεγονὸς τοῦ Πάπα μνημόσυνον, ἐκανόνισε τοὺς Προυσαεῖς διωρισμέναις νηστείαις κρεῶν, καὶ ἄλλοις τρόποις. ὁ δὲ Βέκκος ἐδυσχέραινε, καὶ τὴν ἔγγραφον ὁμολογίαν, ἣν ἔδωκε καὶ ἀπεβάλετο τὸν παπισμὸν, ἀθετῶν, ἐζήτει γενέσθαι Σύνοδον καὶ εἰπεῖν ἐν αὐτῇ τὸ ἀληθές. ὅθεν καὶ ὁ Βασιλεὺς συγκατανεύσας, ἄγει αὐτὸν εἰς τὴν Μονὴν τοῦ Κοσμιδίου, εἶτα ἀθροίζει Σύνοδον, ὡς γράφει ὁ Παχυμέρης ἱστοριῶν βιβλίῳ ἑβδόμῳ, εἰς τὸν Ἀλεξικὸν Τρίκλινον, παρόντων τῶν Πατριαρχῶν Γρηγορίου Κωνσταντινουπόλεως καὶ Ἀθανασίου Ἀλεξανδρείας καὶ Ἀρχιερέων καὶ Μοναχῶν καὶ τοῦ τῆς Συγκλήτου περιφανοῦς. προεκάθητο δὲ ὁ Βασιλεὺς, ἐν ᾗ προκατάρχει ὁ Ῥήτωρ τῆς Ἐκκλησίας, εἶτα ὁ Πατριάρχης Γρηγόριος καὶ ὁ σοφώτατος Λογοθέτης, ἔπειτα ὁ Βέκκος καὶ ὁ Μελιτηνιώτης καὶ ὁ Μετοχίτης ἔλεγον μὴ εἶναι αἴτιον ἢ συναίτιον τὸν Υἱὸν, ἀλλὰ τὸν Πατέρα διὰ τοῦ Υἱοῦ προβάλλειν, ἠλέγχθη ὅμως ἡ σοφιστεία αὐτῶν, ὡς ῥηθήσεται. προέβαλον οἱ αὐτοὶ καὶ τὸ ῥητὸν τοῦ Δαμασκηνοῦ, λέγοντος, Διὰ Λόγου Προβολεὺς ἐκφαντορικοῦ Πνεύματος, καὶ ἴδε περὶ τούτου ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίου δεκάτου ἕκτου Παράγραφον πέμπτον. προέβαλον ἔτι τὸ τοῦ Νύσσης, Διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου. ἀλλὰ τοῦτο προβληθὲν ὑπὸ τῶν Λατίνων ἐν τῇ Νικαίᾳ, ἡρμηνεύθη ὑπὸ τοῦ τότε Κωνσταντινουπόλεως Γερμανοῦ, καὶ ἀνεθεματίσθησαν οἱ παρερμηνεύοντες αὐτό. πρὸς τούτοις εἰπόντων πολλὰ καὶ ἀηδείας μεστὰ τῶν περὶ Βέκκον, ὁ Ἀλεξανδρείας ἀπεκρίθη κατὰ τὸν ἐκκλησιαστικὸν τύπον, καὶ εἶπε πρὸς τὸν Βέκκον, Εἰ ταῦτα κατεῖχεν ἡ Ἐκκλησία, πῶς ἡμεῖς ἀγνοοῦμεν αὐτά; ἡμεῖς ἐκεῖνα ἅπερ ἡ Ἐκκλησία ἀπ' ἀρχῆς παρέδωκεν, ἐκεῖνα μόνα οἴδαμεν, καὶ ἐκεῖνα κρατοῦμεν, καὶ ἐν οἷς ἀνετράφημεν μένομεν. ἦσαν δὲ καὶ τὰ λοιπὰ ἐπιχειρήματα τῶν περὶ Βέκκον αὐτὰ τὰ κατατετριμμένα καὶ σοφιστικὰ παρέγγραπτα. ὅθεν τὸν Βέκκον καὶ τοὺς Ἀρχιδιακόνους ζητοῦντας στῆσαι τὴν ἰδίαν δικαιοσύνην, καὶ πρὸς τούτοις, ἀσυνήθη τινὰ βουληθέντας εἰσενεγκεῖν εἰς τὴν Ἐκκλησίαν, καθαιροῦσι καὶ ἀναθεματίζουσιν αὐτοὺς, καὶ ἐξορίζει αὐτοὺς ὁ Βασιλεὺς εἰς τὸ Φρούριον τοῦ ἁγίου Γρηγορίου τὸ εἰς τὸν Ἀστακηνὸν κόλπον, ὅπου καὶ ἐτελεύτησαν, Παχυμέρης βιβλίῳ ἑβδόμῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν περιχομένων ἐν τῇ καθαιρέσει τοῦ Βέκκου καὶ τῶν αὐτῷ ὁμοφρόνων.

Περιέχει δὲ ἡ καθαίρεσις αὐτῶν πρῶτον, τὰς αἰτίας τῶν καινοτομιῶν αὐτῶν. δεύτερον, Ἔκθεσιν τῆς ὀρθοδόξου πίστεως. τρίτον, τὴν ὁμολογίαν τοῦ Βέκκου, ἣν ἔδωκεν εἰς τὴν ἐπὶ Ἰωσὴφ Σύνοδον πρὸ τοῦ ἐξορισθῆναι, ἐν ᾗ ἀποβάλλεται τὴν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν, καὶ ὁμολογεῖ τὴν ἐκ τοῦ Πατρὸς μόνου, καὶ ἀναθεματίζει τοὺς μὴ οὕτω φρονοῦντας, καὶ εἰς τὸ μέλλον φρονήσοντας, καὶ λέγει αὐτοὺς εἶναι ἀκοινωνήτους καὶ ἀποβλήτους, καὶ πόῤῥω τῆς τῶν Χριστιανῶν ὀρθοδόξου πίστεως, καὶ δέχεται τὴν κατ' αὐτοῦ συνοδικὴν καθαίρεσιν ὡς δικαίαν, καὶ ὅτι οὐδέποτε δοκιμάσει τὴν Ἱερωσύνην ἀνακαλέσασθαι. τέταρτον, λέγει τὴν αἰτίαν τῆς ἁλισθείσης Συνόδου. πέμπτον, ἐκτίθησιν ἡ Σύνοδος κεφάλαια ἕνδεκα ἀναθεματίζοντα τὴν καινοτομίαν καὶ Βέκκον καὶ τοὺς περὶ αὐτόν. ἕκτον, περιέχει ἀπειλὴν καὶ νουθεσίαν εἰς τοὺς ὀρθοδόξους, καὶ τελευταῖον τὰς ὑπογραφάς.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῶν περιεχομένων ἐν τοῖς ἕνδεκα κεφαλαίοις τῆς παρούσης Συνόδου, κατὰ Βέκκου καὶ παντὸς παπισμοῦ τὸν ἀναθεματισμὸν ἐπαγομένης, καὶ περὶ τῆς ἐκ Πατρὸς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος καὶ αὐτῆς τῆς ἁγίας Τριάδος θεολογούσης, καὶ περὶ τῶν ἐν αὐτοῖς τοῖς κεφαλαίοις ὑπογραψάντων.

Εἰς τὸ πρῶτον κεφάλαιον ἀποβάλλουσι Βέκκον, Γεώργιον καὶ Κωνσταντῖνον, ὅτι ἀλλότρια δόγματα καὶ παράνομα εἰσήνεγκαν εἰς τὴν Ἐκκλησίαν, καὶ ἐβοήθησαν τῇ καινοτομίᾳ τοῦ Πάπα καὶ λόγοις καὶ συγγράμμασι, καὶ πρὸς τούτοις ὅτι μετανοήσαντες, πάλιν ὑπέστρεψαν εἰς τὸν ἴδιον ἔμετον. εἰς τὸ δεύτερον, ἡ αὐτὴ ἀπόφασις, ὅτι εἰς τὴν Ἐκκλησίαν εἰσήνεγκαν ἐναντία τοῖς Διδασκάλοις. εἰς τὸ τρίτον, ἡ αὐτὴ ἀπόφασις, διότι εἶπον συναίτιον τὸν Υἱὸν τῷ Πατρὶ εἰς τὴν ἐκπόρευσιν, προβάλλοντες τὸ ῥητὸν τοῦ Δαμασκηνοῦ, καίτοι αὐτὸς ὁ Δαμασκηνὸς εἰς τὸ αὐτὸ κεφάλαιον λέγει ῥητῶς, Μόνος γὰρ αἴτιος ὁ Πατήρ. καὶ ἀλλαχοῦ, Ἐκ τοῦ Υἱοῦ δὲ αὐτὸ (τὸ ἅγιον Πνεῦμα) οὐ λέγομεν. εἰς τὸ τέταρτον, ἡ αὐτὴ, ὅτι εἶπον διὰ τοῦ Υἱοῦ καὶ ἐκ τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα, φέροντες παραδείγματα τινῶν, ἃ τὴν φανέρωσιν δηλοῦσιν ἀπὸ τοῦ Υἱοῦ, οὐ τὴν ἐκπόρευσιν, ὀρθῶς ἐννοούμενα. εἰς τὸ πέμπτον, ἡ αὐτὴ, ὅτι εἶπον σημαίνειν τὴν ΔΙΑ τὸ αὐτὸν τῇ ΕΚ προθέσει, ὅθεν καὶ τὸ ἅγιον Πνεῦμα ἐκπορεύεται ἐκ τοῦ Υἱοῦ καθὼς καὶ ἀπὸ τοῦ Πατρὸς, καὶ ἀθετοῦσιν ἃ ἡ Ἐκκλησία κοινῶς δοξάζει, καὶ οἱ ἅγιοι λέγουσιν, ὅτι Πηγὴ Υἱοῦ καὶ Πνεύματος ὁ Πατὴρ, καὶ μόνη πηγὴ τῆς Θεότητος ὁ Πατὴρ, καὶ μόνος αἴτιος ὁ Πατὴρ, εἰ δὲ καὶ εἶπον τινὲς τὸ ἐκ τοῦ Υἱοῦ, ἀλλὰ τὴν αἴδιον ἔκφανσιν δηλοῖ ἐκεῖ ἡ ΕΚ, οὐ τὴν ἐκπόρευσιν, ὅτι οὕτως ἀκολουθεῖ μὴ εἶναι τὸν Πατέρα μόνον αἴτιον, καὶ ποῦ θήσομεν τὸ τοῦ Θεολόγου Γρηγορίου, λέγοντος, Πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ ἐστι, πλὴν τῆς αἰτίας. εἰς τὸ ἕκτον, ἡ αὐτὴ, ὅτι λέγουσι τὴν μίαν οὐσίαν καὶ Θεότητα Πατρὸς καὶ Υἱοῦ τῆς τοῦ Πνεύματος ὑπάρξεως εἶναι αἰτίαν, ἀλλ' οὐκ ἔστιν ἡ οὐσία αἰτία ὑποστάσεως, ὥστε μήτε προβλητικὴ μήτε γεννητική. ἡ δὲ μετὰ ἰδιωμάτων οὐσία, ἥτις καὶ ὑπόστασις κατὰ τὸν Μάξιμον καὶ κατ' αὐτὸν δὴ τὸν μέγαν Βασίλειον ἐστὶν ὁρίζουσα τὴν κοινὴν καὶ ἀπερίγραπτον ἐν τῷ τινὶ πράγματι, διὰ τῶν ἐπιφαινομένων ἰδιωμάτων παριστῶσα καὶ περιγράφουσα αὐτὴν, ὅθεν καὶ ἄτομον τὸ ἄτομον γεννᾷ, καὶ κατ' αὐτὴν τὴν εἰκόνα ἀναγκαίως ὁ Πατὴρ μόνος γεννᾷ, καὶ μόνος ἐκπορεύει, ἐπειδὴ ὡς τὸ γεννῶν ἄτομον, οὕτω καὶ τὸ γεννώμενον, καὶ ὡς τὸ προβάλλον, οὕτω καὶ τὸ προβαλλόμενον, Πατρὸς δὲ καὶ Υἱοῦ ἡ οὐσία μία, ἀλλ' οὐχ ὡς ἄτομον. εἰς τὸ ἕβδομον, ἡ αὐτὴ ἀπόφασις, ὅτι αἴτιον τοῦ Πνεύματος τὸν Πατέρα καὶ Υἱὸν λέγουσιν, εἰ καὶ οὐχ ὡς δύο ἀρχὰς καὶ δύο αἴτια τερατεύονται, ἀλλὰ κἂν καὶ ἀρνῶνται, ὅμως ἕπεται τῷ τοιούτῳ λόγῳ εἶναι δύο ἀρχὰς τοῦ Πνεύματος. εἰς τὸ ὄγδοον, ἡ αὐτὴ, ὅτι λέγουσι τὸν Πατέρα καὶ τὸν Υἱὸν αἰτίαν τοῦ Πνεύματος, ἀλλὰ τῷ λόγῳ τῆς φύσεως, καὶ οὐ τῷ λόγῳ τῆς ὑποστάσεως, καὶ οὕτως ἕπεται πρῶτον, εἶναι καὶ τὸ Πνεῦμα τινὸς αἰτίαν, ἐπειδὴ ἐστὶ τῆς αὐτῆς φύσεως Πατρὶ καὶ Υἱῷ. δεύτερον, ἀκολουθεῖ εἰς πλῆθος προχωρεῖν τὰς αἰτίας, ἐπειδὴ ὅσαι ὑποστάσεις μετέχουσι τῆς φύσεως, δεῖ ταύτας μετέχειν καὶ τῆς αἰτίας. τρίτον, ἕπεται τὴν κοινὴν φύσιν καὶ οὐσίαν ὑποστάσεως εἶναι αἰτίας, ὅπερ κοινῶς ἀπαγορεύεται. εἰς τὸ ἔνατον, ἡ αὐτὴ, ὅτι λέγουσιν, ὡς εἰς τὴν δημιουργίαν ἡ δι' Υἱοῦ φωνὴ σημαίνει τὸν Πατέρα προκαταρκτικὴν αἰτίαν, ἀλλ' οὐκ ἀποβάλλει εἶναι τὸν Υἱὸν συνδημιουργὸν καὶ συναίτιον, οὕτω καὶ εἰς τὴν Θεολογίαν, εἰ καὶ ἀρχικὸν αἴτιον Υἱοῦ καὶ Πνεύματος ὁ Πατὴρ λέγεται, ὅμως καὶ ὁ Υἱὸς τοῦ Πνεύματος ἐστὶν αἴτιος, καὶ οὐ διαιρεῖται τοῦ Πατρὸς ὁ Υἱὸς εἰς τὴν ἐκπόρευσιν, ἀλλὰ τοῦτο ἐσμὸν ἐπάγει βλασφημιῶν. ἡ αὐτὴ δὲ περὶ τῶν ὁμοίων γίνεται ἀπόφασις καὶ εἰς τὸ δέκατον. εἰς δὲ τὸ ἑνδέκατον τὸν Βέκκον λέγουσι συκοφάντην τῶν ἁγίων, ἐπειδὴ ἐκεῖνοι τὸν Πατέρα αἴτιον διὰ τοῦ Υἱοῦ οὐκ εἶπον, οὔτε τὸν Πατέρα τῷ λόγῳ τῆς φύσεως εἶπον τοῦ Πνεύματος αἴτιον, ἵνα καὶ συναίτιος νομισθῇ ὁ Υἱὸς, ἀλλὰ τῷ λόγῳ τῆς ὑποστάσεως. ἀποβάλλουσι δὲ τὴν γενομένην πρᾶξιν ἐπὶ Μιχαὴλ, καὶ ἀναθεματίζουσι καὶ τὸν Βέκκον καὶ τοὺς τοιαῦτα καὶ φρονοῦντας καὶ φρονήσοντας. ἦν δὲ ὁ Βασιλεὺς εἰς τὴν ὑπογραφὴν πρῶτος, ὥσπερ καὶ εἰς τὴν ἐν Τρούλλῳ ὑπέγραψε πρῶτος ὁ Ἰουστινιανὸς, καὶ εἰς τὴν ἐπὶ Μανουὴλ αὐτὸς πρῶτος ὑπέγραψεν ὁ Μανουήλ. εἶτα ὁ Κωνσταντινουπόλεως Γρηγόριος, καὶ τεσσαράκοντα δύο Ἀρχιερεῖς, καὶ Κληρικοὶ ἕξ, καὶ καθεξῆς οἱ Ὀφφικιάλιοι τῆς μεγάλης Ἐκκλησίας καὶ τοῦ βασιλικοῦ Κλήρου Πρεσβύτεροι καὶ Διάκονοι ἕως τῶν Νοταρίων. λέγει δέ τις ὀρθόδοξος περὶ τῆς Συνόδου ταύτης, ἤτουν περὶ τῆς πρὸ αὐτῆς, ἀρχαῖος καὶ ἀξιόπιστος, ὕστερον τὸ τῆς ἀληθείας αὖθις ἐπέλαμψε φῶς ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ, τὴν ψωριῶσαν τῆς Ῥώμης Ἐκκλησίαν ἐκ τῆς ποίμνης Χριστοῦ ἀποσκορακίσαντος τοῦ εὐσεβοῦς Βασιλέως Ἀνδρονίκου τοῦ Παλαιολόγου, τοῦ μετονομασθέντος Ἀντωνίου Μοναχοῦ, τοῦ τὸ πατρικὸν μὲν διαδεξαμένου σκῆπτρον, πολὺν δὲ ζῆλον ὑπὲρ τῆς εὐσεβείας καὶ τῶν ὀρθῶν δογμάτων τρέφοντος, καὶ διατοῦτο πάλιν τῇ Ἐκκλησίᾳ τὸν ἴδιον κόσμον καὶ τὴν προτέραν εὐγένειαν ἐπανασώσαντος, ὃς δὴ καὶ Σύνοδον συναθροίσας ἅμα τῷ ὑπὲρ τῶν ὀρθῶν δογμάτων ἐξορισθέντι Ἰωσὴφ Πατριάρχῃ τῷ ὁμολογητῇ, καὶ τοῖς λοιποῖς τρισὶ Πατριάρχαις, ἀναθέματι διὰ τῆς Συνόδου καθυπέβαλε τόν τε Πάπαν καὶ πᾶσαν τὴν τῶν Λατίνων Αἵρεσιν, καθώς ἐστιν ἰδεῖν ἀπὸ τῶν πρακτικῶν καὶ τοῦ Ὅρου τῆς Συνόδου ταύτης εἰς δόξαν τοῦ παναγίου Πνεύματος,

ματος, τοῦ ἐκ Πατρὸς μὲν ἐκπορευομένου, δι' Υἱοῦ δὲ χορηγουμένου τοῖς ἀξίοις. ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν τρίτον, καὶ βιβλίου πέμπτου κεφάλαιον δέκατον ἕκτον, καὶ βιβλίου ὀγδόου κεφάλαιον δέκατον καὶ δέκατον ὄγδοον, καὶ μάλιστα κεφάλαιον δεύτερον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ σταλέντος πρὸς Ἀνδρόνικον τὸν Βασιλέα Τόμου παρὰ τῶν ἐν τῷ Ἄθῳ ὄρει πατέρων κατὰ τοῦ Πάπα Ῥώμης, καὶ ὧν εἰργάσαντο φόνων οἱ λατινόφρονες τοὺς ἐν τῷ Ἄθῳ.

Εἰς τὰ πρακτικὰ τῆς ἐπὶ Γρηγορίου Συνόδου ταύτης ἐπισυνάπτει ὁ συλλέξας καὶ ἐπιστολὴν τῶν Ἁγιορειτῶν πρὸς Ἀνδρόνικον τοῦτον τὸν Βασιλέα, ἐν ᾗ κατατρέχοντες τῶν περὶ Βέκκον, καὶ ἀγωνιζόμενοι κατὰ τῆς ἐκ τοῦ Υἱοῦ ἐκπορεύσεως καὶ ἄλλων, φάσκουσι πρὸς τοῖς ἄλλοις, ὅτι ὁ Τόμος τῆς ἑνώσεως λέγει, Ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ διδασκαλίαν καὶ ὑποτύπωσιν τῶν μακαρίων πατέρων πραχθέντα καὶ πραχθησόμενα, ἀνάθεμα. καὶ ὅτι οἱ Λατῖνοι κοινωνοῦσι καὶ Ἰουδαίοις καὶ τοῖς Ἀρμενίοις καὶ Ἰακωβίταις καὶ Νεστοριανοῖς καὶ Μονοθελήταις, καὶ ἄλλα, ἐν οἷς φανεροῦσι τῶν Λατίνων τὰς καινοτομίας, καὶ περὶ τῶν συγκοινωνούτων τοῖς Λατίνοις λέγουσιν, ὅτι εἰσὶν ἀσυγχώρητοι καὶ ἀκοινώνητοι, καὶ περὶ τοῦ Πάπα λέγουσι, πῶς ἐστὶ δυνατὸν πρωτεῖον δοῦναι αὐτῷ αἱρετίζοντι; τοῦτο γὰρ τελεία παραδοχή ἐστι, καὶ οὐχὶ οἰκονομία, καὶ ὅτι ὁ Πάπας μήτε τῆς ἐσχάτης τάξεως ἐστὶν ἄξιος νῦν. ὅσα δὲ βάσανα καὶ αἰκισμοὺς καὶ τιμωρίας, καὶ ὅσους πονηροὺς θανάτους ἐποίησαν οἱ λατινόφρονες τοῖς εἰς τὸ ἅγιον ὄρος τοῦ Ἄθωνος πατράσιν, οὐδεὶς Εἰδωλολάτρης διώκτης ταῦτα ἐποίησεν. ἦν δὲ ὅτε ἐποίησαν τὰ τοιαῦτα οἱ λατινόφρονες εἰς τὸν Ἄθωνα ἔτος ἑξακισχιλιοστὸν ἑπτακοσιοστὸν ἐννενηκοστὸν τρίτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Περὶ τοῦ προβληθέντος ῥητοῦ τοῦ Δαμασκηνοῦ Ἰωάννου ἐν τῇ Συνόδῳ ὑπὸ τοῦ Βέκκου, καὶ τοῦ κατὰ Βέκκου συγγραφέντος Τόμου ὑπὸ τοῦ Κωνσταντινουπόλεως σοφοῦ Γρηγορίου, καὶ ἧς ἐμέφθη μέμψεως ὁ Γρηγόριος διὰ τοῦτο πρὸς τῶν ἀπαιδεύτων, καὶ τῆς παραιτήσεως αὐτοῦ καὶ κοιμήσεως.

Ἐν τῇ Συνόδῳ ταύτῃ προέβαλεν ὁ Βέκκος τὸ ῥητὸν τοῦ Δαμασκηνοῦ, Διὰ Λόγου Προβολεὺς ἐκφαντορικοῦ Πνεύματος. καὶ ὁ μὲν Χαρτοφύλαξ Γεώργιος ὁ Μοσχάμπαρ ἔλεγεν, ὅτι τὸ ῥητὸν ἐστὶ νόθον, ἀλλ' ἀνῄρει τὸν λόγον τὸ βιβλίον τοῦ Δαμασκηνοῦ εὑρισκόμενον ἐν τῇ ἱερᾷ Βιβλιοθήκῃ. καὶ λοιπὸν τινὲς προσέφερον τὸν Κομνηνὸν Μανουὴλ Βασιλέα εἰπόντα ἐν τῇ κατ' αὐτὸν Συνόδῳ, περὶ ἧς εἴρηται ἀνωτέρω βιβλίῳ ὀγδόῳ κεφαλαίῳ δεκάτῳ, ὡς οὐκ ἐξ Υἱοῦ, ἀλλὰ διὰ Λόγου τε καὶ Υἱοῦ ὁ θεολογῶν ἀπεφήνατο. καὶ αὐτὸς ὁ Δαμασκηνὸς λέγει, Ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν. εἰς μείζονα ὅμως σαφήνειαν ἐπετράπη τῷ τότε Κωνσταντινουπόλεως Πατριάρχῃ Γρηγορίῳ, σοφωτάτῳ ὄντι συγγράψαι περὶ τούτου, καὶ συνέθετο Τόμον γενναῖον, ἐν ᾧ ἔλεγε παρισταῦ τὴν λέξιν καὶ τὴν ἐκπόρευσιν, ἤτοι τὴν ἐκ τοῦ Πατρὸς φυσικὴν τοῦ ἁγίου Πνεύματος ἐκπόρευσιν, σημαίνειν δὲ καὶ τὴν ἀΐδιον ἔκφανσιν. ἀπεσχίζοντο ὅμως ἀπ' αὐτοῦ ὅ, τε Ἐφέσου Ἰωάννης ὁ Χηλᾶς, καὶ Δανιὴλ ὁ Κυζίκου, καὶ ὁ Φιλαδελφείας Θεόληπτος, καὶ πολλοὶ τοῦ Κλήρου, οἵτινες καὶ ἀναφορὰν ἔγραψαν πρὸς τὸν Βασιλέα κατ' αὐτοῦ λέγοντες, ὅτι αἱ λέξεις, ἐκπόρευσις, προβολὴ καὶ πρόοδος ταὐτοδύναμοί εἰσι, καὶ παριστάνουσι τὴν ἐκ Πατρὸς τοῦ ἁγίου Πνεύματος φυσικὴν ὕπαρξιν, τὸ δὲ λέγειν ἐπὶ τῆς Θεολογίας δηλοῦν τὰς λέξεις ταύτας νῦν μὲν τὴν ἐκ Πατρὸς φυσικὴν ὕπαρξιν, νῦν δὲ σημαίνειν τὴν ἀΐδιον ἔκφανσιν, ἔκλαμψιν καὶ φανέρωσιν, βλάσφημον, καὶ τῶν ἀποστολικῶν παραδόσεων ἀλλότριον. παρῄνουν δὲ τὸν Πατριάρχην μεταθῆναι τὰς λέξεις καὶ μένειν ἀκίνδυνον καὶ λοιδορίας ἐκτός. ὁ Γρηγόριος ὅμως τὰ τῆς παραινέσεως γνοὺς οὐχ ὑγιᾶ καὶ ἀνύποπτα, ἀλλὰ τῇ καθολικῇ πίστει ἀντικείμενα, κατεφρόνει τῶν παραινέσεων, μὴ ἔχων δὲ τὸν βοηθοῦντα μήτε τὸν Βασιλέα, μήτε ἄλλον τινὰ τῶν δυναμένων, ἀνεχώρησε τοῦ θρόνου, καὶ κατῴκησεν εἰς τὴν Μονὴν τῆς Θεοτόκου τῶν Ὁδηγῶν, Παχυμέρης βιβλίῳ ὀγδόῳ κεφαλαίῳ πρώτῳ, καὶ Γρηγορᾶς βιβλίῳ ἑκτῷ. ὅτι ὅμως ὁ Γρηγόριος ἐφρόνει καλῶς, ὁ δὲ Ἐφέσου καὶ Κυζίκου καὶ οἱ περὶ αὐτοὺς ἐφρόνουν κακῶς ἐκ πεισμονῆς, καὶ μᾶλλον ἐξ ἀγνοίας, δῆλον. καὶ γὰρ αἱ εἰρημέναι λέξεις δηλοῦσι καὶ τὴν ὕπαρξιν τοῦ ἁγίου Πνεύματος, καὶ τὴν δι' Υἱοῦ φανέρωσιν καὶ χορηγίαν, καὶ ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφάλαιον δέκατον ἕκτον. καὶ Ἰωσὴφ ὁ Βρυέννιος τὸν Τόμον ἐξολοκλήρου ἀποδέχεται, γράφει γὰρ λόγῳ ἐνάτῳ, Ὅτι δὲ ταῦτα οὐ στοχαζόμενοι λέγομεν, καὶ ὁ κατὰ Λατίνων γενόμενος Τόμος συνοδικὸς πρὸ χρόνων πέντε καὶ εἴκοσι πρὸς τοῖς ἑκατὸν οὕτω δίεισιν, Ἡ τοῦ θείου Δαμασκηνοῦ ῥῆσις, ἡ, ὅτι Προβολεύς ἐστι τοῦ ἐκφαντορικοῦ Πνεύματος ὁ Πατὴρ διὰ τοῦ Υἱοῦ, οὐδαμῶς τὴν ὕπαρξιν διὰ τοῦ Υἱοῦ καὶ τὸ εἶναι τὸ Πνεῦμα δίδωσιν ἐννοεῖν, ἀλλὰ βούλεται τρανῶς τὴν δι' Υἱοῦ ἐκ Πατρὸς φανέρωσιν τοῦ Πνεύματος παρισταῦ. καὶ Γεώργιος ὁ Σχολάριος ἀποδέχεται καὶ ἄκρως ἐπαινεῖ περὶ τούτου

αὐ-

αὐτὸν, καὶ ἴδε ἐν τῷ Τόμῳ τῆς Ἀγάπης καταβατῷ ὀγδόῳ. καὶ ἀλλαχοῦ περὶ αὐτοῦ φησὶ, Τῶν δὲ ὑστέρων ἁπάντων βέλτιον μᾶλλον καὶ ἱκανώτερον καὶ τῷ μεγέθει τῆς ὕλης ταύτης συμμέτρως, μάλιστα μὲν ὅ,τε Θεσσέσιος Νεῖλος καὶ ὁ ἱερὸς Θεοφάνης, μετ' αὐτοὺς δὲ καὶ τῶν ἱερῶν Γρηγορίων (ἤτοι ὁ παρὼν καὶ ὁ Παλαμᾶς) οἱ ὁμώνυμοί τε καὶ ἀκριβεῖς ὀπαδοὶ συνεγράψαντο. ἀλλὰ δὴ καὶ ὁ Γρηγοραῖς λέγει περὶ αὐτοῦ, Καὶ ἐν τῇ Συνόδῳ τοῦ Βέκκου παρόντος εἰς μέσον, καὶ παύτα τῇ γοναικὶ παλάμῃ τῆς γλώσσης σφοδρῶς συγκυκῶντος· καὶ αὐαξαίνοντος ὁπόσα οἱ' ἀσφαλὲς περιφέροντες δόγμα ἐπέφερον, ἐὰ μὴ Γρηγόριος ὁ Πατριάρχης καὶ Μεγάλων ὁ μέγας Λογοθέτης σοφίας περισπᾷ καὶ γραφῶν ἱερῶν ἐκλογαῖς αὐτοῦ ἴσχυον, καὶ τὸν σφοδρὸν ἐκεῖνον χαμῶνα τῆς παλαμναίας ἐκείνης αὐέξεμον γλώττης, τάχ' ἂν τὸ ψεῦδος κατὰ τῆς ἀληθείας ἐλάμβανε κράτος, βιβλίῳ οὕτω. οὐτοῦτοις σημείωσαι ἔτι, ὅτι ὁ Γρηγοραῖς, ὡς ἐλέγομεν αὐτοῦ, ἦν ὀρθόδοξος καὶ τῇ ὑπὲρ τῶν Λατίνων διδασκαλίᾳ τοῦ Βέκκου ἰσχυρῶς αὐτικάμπτων. Ἐθαλπε δὲ ἐξ αὐτῆς καὶ ἐγηγερτέφα τὸν Γρηγόριον ἡ Πρωτοβεστιαρίσσα Ῥαούλαινα, αὐεψιὰ τοῦ Βασιλέως, Παχυμέρης βιβλίῳ ὀγδόῳ κεφαλαίῳ ἑνάτῳ. ἀθυμήσας δὲ πολλὰς ἡμέρας ὁ Γρηγόριος, ἢ ὡς λέγουσί τινες Δι' ἣν ἐκεῖνον παρέσασιν ἐκ μικροψυχίας τελευτᾷ τὸν βίον, καὶ ἐτάφη ἐν πᾶσι κατὰ τὸ εἰκός. ἐκώλυσε ὅμως ὁ Βασιλεὺς ἵνα καὶ ὡς Ἀρχιερεὺς ταφῇ, Παχυμέρης βιβλίῳ τῷ αὐτῷ, κεφαλαίῳ δεκάτῳ οὕτω, καὶ ἴσως δικαίως, διότι ἐκ ἐνέμεινεν ἐν τῷ θείῳ περὶ διόρθωσιν τῶν σκανδαλιθρούτων, ἀλλ' αὐεχώρησεν ἰδίᾳ γνώμῃ, ὅπερ ἐκ ἐξῆν.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ὁ κατὰ Βέκκου καὶ κατὰ τῆς ἐν Λογδύνῳ Συνόδου Τόμος τοῦ αὐτοῦ Γρηγορίου συνοδικός ἐστι. καὶ περὶ τῆς ἀτιμίας τοῦ λειψάνου Μιχαὴλ Βασιλέως Παλαιολόγου τοῦ λατινόφρονος.

Σημείωσαι, ὅτι εἰς τὸ τέταρτον κεφάλαιον τοῦ ἐνάτου τμήματος τοῦ Συνοπτίδος Σιλβέστρου ὁ Ἡρακλείας θέλων αὐαγνῶναι ἐν τῇ Φλωρεντίᾳ τοῖς Ἀνατολικοῖς τὸν Τόμον τοῦτον, ἐκωλύθη ὑπὸ τοῦ μεγάλου πρωτοσυγκέλλου. Φαίνεται δὲ, ὅτι ἦσαν σπάνια τὰ τοιαῦτα βιβλία, Διατοῦτο ἐσπούδασται ὁ Συνόπτιλος τῷ Πρωτοσυγκέλλῳ εἰρξαι τῆς αἰτήσεως αὐτοῦ, λέγει δὲ αὐτὸν Τόμον συνοδικὸν τὸν κατὰ τοῦ Βέκκου καὶ τῆς ἐν Λογδύνῳ συνόδου ἔκθεσις, ὁ δὲ Γεώργιος Λογοθέτης εἰς τὸ τέλος βιβλίον τῆς ἱστορίας αὐτοῦ λέγει, ὅτι ὁ Μιχαὴλ θανὼν, ἐκ ἠξιώθη ταφῆς ἐν τῇ ὕλῃ, ἀλλὰ σωρῷ λίθων ἐσκεπάσθη ὑπ' αὐτοῦ, ἵνα μὴ θείοις βοερὰ γένηται. τοῦτο αὐτὸ λέγει καὶ ὁ Γρηγοραῖς βιβλίῳ τέμπτῳ, ὁ δ' υἱὸς καὶ Βασιλεὺς Ἀνδρόνικος τιμωρῶν, μὴ ὅλη γε τῆς τοῖς Βασιλεῦσι νενομισμένης ἐκ ἠξίωσε τὸν πατέρα ταφῆς, ἀλλ' ὀλίγαις βαναύσοις ἢ σκαπανεῦσιν ἐφῆπτο, πλὴν ἢ ὅλη παρεκελεύσατο νύκτωρ βραχεῖς τινας ἄνδρας, πόρρω τοῦ Στρατοπέδου ἀπαγαγόντας, πλέσην ἐπισωρεῦσαι γῆν, τοῦτο μόνον αὐτοῦ σεμνυθησόμενον, μὴ θείων σώμασιν ἴσως σῶμα βασιλικὸν Δημεμιάνθη, τὸ δ' αἴλιον, ὑπὸ τοῦ ὀρθοῦ τῆς Ἐκκλησίας δόγματος ὑπῆρχε σεβαστευτὴ, ἢ ζῶν μᾶλλον ἐκεῖνος, ὡς σεσέβαται ἀρήκαμεν, ὅτος δὲ λάθρα σεθέσεσιν ὅτ λαὸς ἀπέστερε τῆς ψυχῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ ὧν ἔπαθε ὑπὸ τῶν ἐν τῇ Εὐρίπῳ παπισάντων καὶ ἐν τῇ Θήβαις ὁ Βοιωτίας συμφορῶν Ἀθανάσιος ὁ Ἀλεξανδρείας.

Σημείωσαι δὲ, ὅτι ὁ ῥηθεὶς Ἀλεξανδρείας Ἀθανασίος ἠθέλησε ἀποδημῆσαι εἰς τὰ Ἅγια, ὅμως Σιναΐτης ὢν σεβέτερον, ἔδοξεν αὐτῷ ἀπελθεῖν εἰς τὴν Χαλδαίαν εἰς τὸ μετόχιον τῶν Σιναϊτῶν ἡσυχίας χάριν, καὶ δὴ ἀπερχόμενος καὶ περὶ τῆς Εὐρίπου, φιλοξενεῖται ὑπὸ τῶν δημοτικῶν ὀρθοδόξων, ἀλλὰ γνόντες αὐτὸν οἱ Λατῖνοι, συνέλαβον αὐτὸν, καὶ ἔλεγον αὐτῷ δεχθῆναι τὸν παπισμόν, καὶ μάλιστα περὶ τῶν ἀζύμων. ὁ δὲ Πατριάρχης ἔλεγεν, ὅτι ἐκ ἔστιν ἀνάγκη δέχασθαι τὸν παπισμόν· διώρισαν ὅμως ἢ ἀπεῖν, ἢ μὴ, καταπαῦσαι αὐτὸν ὡς ἁμαρτάνοντα εἰς τὴν ἰδίαν Ἐκκλησίαν. ἤθροισαν δὲ καὶ ἵνα σύλλογον λαοῦ, καὶ ἐβίαζον αὐτὸν εἰπεῖν, καὶ ἐκεῖνος ἔλεγεν, ὅτι ἐκ ἔστι Συνόδου οἶνος, ἐπεχείρουν τοιγαροῦν αὐτὸν καῦσαι. τινὲς δὲ πραγματευταὶ Φοβέμενοι ἵνα μὴ αὐτοὺς συνοχλήσωσιν εἰς τὴν Ἀλεξάνδρειαν οἱ συγγενεῖς τοῦ Ἀθανασίου περὶ τοῦ αἵματος αὐτοῦ, ἀπήλλαξαν αὐτὸν τοῦ θανάτου, φυγόντα δὲ εἰς τὰς Θήβας, συλλαμβάνει αὐτὸν ὁ ἀρχηγὸς τοῦ τόπου (ὁμέγας τυχὸν Κύρις), ἢ κατὰ τὸ πάλαι δοθὲν ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου τῇ Βοιωτίᾳ σεσόμιον, ὡς ὁ Γρηγοραῖς λέγει, Πριμικήριος) καὶ φυλακίζει αὐτὸν, καὶ ζητεῖ αὐτὸν δύο χιλιάδας νομίσματα, ἀλλὰ θάρρει οἰκονομίᾳ ἀρρήτου καὶ ὠφεληθεὶς παρ' αὐτοῦ τοῦ Πατριάρχου, ἀπέλυσεν αὐτὸν καὶ ἀπῆλθε.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ ἀντιθέσεων πέντε παπιστῶν, σπευδόντων δεῖξαι ὁμοθρήσκους ἑαυτοῖς τοὺς Ἕλληνας μέχρι τοῦ Βασιλέως Ἀνδρονίκου διὰ συνοικεσίων καὶ ἑτέρων ψευδολογιῶν, καὶ περὶ τῆς αὐτῶν ἀνατροπῆς.

ΑΝΤΙΘΕΣΙΣ τῶν Λατίνων πρώτη. Ὁ Βασιλεὺς Ἀνδρόνικος μὴ ἔχων γυναῖκα, ἐζήτησε λαβεῖν ἀπὸ τοῦ Ῥηγὸς τῆς Ἱσπανίας, καὶ ἔστειλεν αὐτῷ ἐκεῖνος ἐκ τοῦ γένους αὐτοῦ τὴν γενομένην Βασίλισσαν Εἰρήνην, μὴ ἐρωτήσας τὸν Πάπαν κατὰ τὴν συνήθειαν τῶν ἐντιμοτέρων Λατίνων, οἵτινες ποιοῦντες γάμους μετὰ Ῥωμαίων, λαμβάνουσι τὸ ἐνδόσιμον παρὰ τοῦ Πάπα, ἀλλὰ λάθρα ταύτην ἐκπέμψας, Γρηγορᾶς βιβλίῳ ἕκτῳ κεφαλαίῳ τεταρτῷ. λέγουσιν οὖν οἱ Λατῖνοι, ἰδοὺ θελήματι τοῦ Πάπα γάμους ἐποίουν Ἕλληνες καὶ Λατῖνοι, ἐπειδὴ περὶ τὸ δόγμα πάλιν τότε οὐκ εἶχον διαφοράν, ἀλλ' ἦσαν ὁμόθρησκοι. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ὁ Πατριάρχης Μανουὴλ ἐκώλυσε Θεόδωρον τὸν πρεσβύτερον τοῦ δοῦναι τὴν θυγατέρα αὐτοῦ τῷ Λατίνῳ Ῥομπέρτῳ, ὡς ἀνωτέρω βιβλίου ὀγδόου κεφαλαίου δεκάτου ὀγδόου Παραγράφῳ δεκάτῳ τρίτῳ εἴρηται, δεύτερον, ὅτι Ἰωάννης ὁ Δούκας ἔλαβε γυναῖκα ἐκ τῆς Ἀλαμανίας Λατινίδα, ὡς εἴρηται ἀνωτέρω βιβλίου ὀγδόου κεφαλαίου δεκάτου ὀγδόου Παραγράφῳ δευτέρῳ, ἀλλ' εἰς τὴν ὀρθοδοξίαν αὐτὴν μεταβαλὼν διὰ τῶν ἐθίμων τῆς Ἐκκλησίας, εἶχε γυναῖκα, ποῖα δὲ ἦσαν τὰ ἔθιμα ὧν γινομένων ἐδέχοντο τοὺς Λατίνους ὡς ὀρθοδόξους οἱ Ἕλληνες, λέγει αὐτὰ ὁ Πάπας Ἰννοκέντιος ὁ τρίτος καὶ ἐν τῇ κατ' αὐτὸν ἐν Λατεράνῳ Συνόδῳ, καὶ ἴδε ἀνωτέρω βιβλίου ὀγδόου κεφαλαίου δεκάτου ἑβδόμου τὰ Παράγραφα, ἐξ ὧν δείκνυται ὅτι οὐχ ὁμόθρησκοι ἦσαν καὶ οἱ τότε Ἕλληνες καὶ Λατῖνοι, ἀλλ' ἑτερόθρησκοι, καὶ οἱ μὲν ὀρθόδοξοι, οἱ δὲ ἑτερόδοξοι, ἀνάθεμα γὰρ ἐῤῥέθη συνοδικῶς πολλάκις τοῖς λέγουσι τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ Υἱοῦ ἔχειν τὴν ὕπαρξιν, καὶ τοῖς ποιήσασι καὶ ἀποδεχομένοις τὴν ἐν τῷ Συμβόλῳ προσθήκην ὁ συγχωρῶν ἀσυγχώρητος. εἶτα οἱ πιστοὶ εἰσὶ σῶμα τοῦ Χριστοῦ, ἐπειδὴ κεφαλὴ αὐτῶν ἐστιν αὐτὸς ὁ Χριστὸς, οἱ δὲ Λατῖνοι ἐβλάστησαν ἑαυτοῖς κεφαλὴν ἰσοδύναμον τῷ Χριστῷ τὸν Πάπαν, καὶ αὐτοῦ σῶμα γεγόνασι, καὶ πῶς τὸ σῶμα τοῦ Χριστοῦ καὶ τὸ σῶμα τοῦ Πάπα συνέρχονται; ὅθεν οὐδὲ νόμιμος γάμος γίνεται ἀναμεταξὺ Ἑλλήνων καὶ Λατίνων, καὶ οἱ γενόμενοι, πορνεία καὶ ὡς μὴ γεγονότες εἰσὶ, διατοῦτο καλῶς ἐποίησε Μανουὴλ ὁ πρῶτος, κωλύων τὸν Βασιλέα δοῦναι τῷ Ῥομπέρτῳ τὴν θυγατέρα αὐτοῦ.

ΑΝΤΙΘΕΣΙΣ ΔΕΥΤΕΡΑ. ὁ Βασιλεὺς Μιχαὴλ παρέβαλε τὴν εἰρήνην ἣν ἐζήτει ποιῆσαι μετὰ τῶν Λατίνων τῇ ἣν ἐζήτει ποιῆσαι Ἰωάννης ὁ Δούκας εἰρήνῃ, ὡς γὰρ λέγει ὁ Παχυμέρης ὑπεσχέθησαν ὅ,τε Ἰωάννης οὗτος καὶ ἡ ἐπ' αὐτοῦ Σύνοδος μνημονεύειν τοῦ Πάπα, μόνον ἵνα μὴ βοηθῇ τοῖς ἐν Κωνσταντινουπόλει Λατίνοις, ἔπεμψε δὲ καὶ πρέσβεις τὸν Σάρδεων Ἀνδρόνικον καὶ τὸν Κυζίκου Γεώργιον, καὶ ἐγίνετο τοῦτο, εἰ ὁ Πάπας κατεδέχετο τὴν πρεσβείαν. προέβαλεν οὖν ὁ Μιχαὴλ τῇ Συγκλήτῳ δηλαδὴ καὶ τῇ Συνόδῳ, ὅτι ὁ Πατριάρχης Μανουὴλ καὶ οἱ Ἀρχιερεῖς καὶ Ἰωάννης ὁ Δούκας ἤθελον μνημονεύειν τοῦ Πάπα, καὶ τὰ ἑξῆς, βιβλίῳ πέμπτῳ. Ἀλλὰ ῥητέον, ὅτι καὶ τοῦτο ψεῦδος ἐστὶν εἰλικρινὲς, ἐπειδὴ καὶ ὁ Μανουὴλ οὗτος ὁ δεύτερος ἦν ὀρθόδοξος, λέγει γὰρ ὁ Ἐφραὶμ περὶ αὐτοῦ, ὅτι ἦν γέρων καὶ πρᾷος, καὶ οὕτως ἐκοιμήθη. καὶ Γεώργιος ὁ Ἀκροπολίτης γράφει περὶ αὐτοῦ, ὅτι ἦν ἀνὴρ εὐλαβὴς καὶ βίου καὶ πολιτείας σεμνῆς, οὐ λέγει δὲ ὅτι ἦν καὶ λατινόφρων, ὅπερ ἔλεγεν ἄν, λατινομάστιξ ὢν ὁ Ἀκροπολίτης, εἴπερ ᾔδει τοιοῦτον τὸν Μανουήλ. καὶ ἐν τῷ Συνοδικῷ τῆς ὀρθοδοξίας μακαρίζεται οὗτος ὁ Μανουὴλ, ὃς καὶ Μοναχὸς γενόμενος, Ματθαῖος μετεκλήθη. εἶτα ὁ πρὸ αὐτοῦ Μεθόδιος ἔγραψε κατὰ ἀζύμων, καὶ ὁ μετ' αὐτὸν Γερμανὸς ἠγωνίσατο κατὰ Λατίνων, καὶ μακαρίζονται ἐν τῇ ὀρθοδοξίᾳ ὡς ὀρθόδοξοι καὶ αὐτοὶ, καὶ πῶς ὁ ἐν μέσῳ τούτων πρᾷος καὶ γέρων καὶ εὐλαβὴς καὶ βίου καὶ πολιτείας σεμνῆς καὶ μακαριζόμενος ὑπὸ τῆς Ἀνατολικῆς Ἐκκλησίας ὡς ὀρθόδοξος λατινόφρων; πρὸς τούτοις οἱ κατ' ἐκεῖνο καιροῦ Ἀρχιερεῖς ἦσαν οἱ τὰς Συνόδους καὶ τοὺς ἀναθεματισμοὺς συνθέμενοι κατὰ Λατίνων, καὶ πῶς πάλιν ὑπέσχοντο μνημονεύειν τοῦ Πάπα, καὶ εἶναι αὐτοὺς καὶ ὑπὸ τὸ ἴδιον ἀνάθεμα; Ἰωάννης ὁ Δούκας ἦν ὁ τὰς Συνόδους ἀθροίσας κατὰ Λατίνων, καὶ πῶς πάλιν ἔκλινεν εἰς παπισμὸν ἐκεῖνος ὁ καὶ ἐν τῷ Συνοδικῷ μακαριζόμενος ὡς ὀρθόδοξος; μυριάκις ἦλθον στράτορες καὶ Καρδηνάλεις πρὸς ἕνωσιν εἰς τὴν Νίκαιαν, καὶ πάντοτε ἀπέτυχον, καὶ πῶς πάλιν οἱ αὐτοὶ Ἕλληνες ἔπεμψαν πρέσβεις καὶ ὁ Πάπας οὐκ ἐδέξατο αὐτούς; ἐψεύσθη ἄρα ὁ Μιχαὴλ, καὶ ὁ Παχυμέρης οὐκ εἶπε τὸ γεγονὸς ἐν Νικαίᾳ, ἐπεὶ ταῦτα οὐδὲ ἐγίνετο πώποτε, ἀλλ' εἶπε τὸ φρόνημα καὶ τὴν πονηρίαν καὶ τὸν δόλον καὶ τὴν ἀπάτην τοῦ Μιχαὴλ, ὃς ἐσυκοφάντησε τὸν Μανουὴλ καθὼς καὶ τὸν Βλεμμύδη.

ΑΝΤΙΘΕΣΙΣ ΤΡΙΤΗ. Μιχαὴλ ὁ Παλαιολόγος μὴ συγχωρούμενος ὑπὸ τοῦ Πατριάρχου Ἀρσενίου διὰ τὰ ὅσα κακὰ εἰργάσατο τὸν Βασιλέα Ἰωάννην, ἀπειλῶν ἔλεγε περὶ τοῦ Ἀρσενίου, ὅτι ἐπεὶ τῶν Κανόνων ὑπερφρονεῖ ὁριζόντων μετάνοιαν, προσπίπτειν τῷ τῆς Ῥώμης Πάπᾳ καιρὸς, καὶ ἀντιβολεῖν σώζεσθαι, Παχυμέρης βιβλίῳ τρίτῳ κεφαλαίῳ δεκάτῳ ἑνάτῳ, δείκνυται δὲ ἐκ τούτου ἡ ἄκρα καὶ ἐπὶ πάντων τοῦ Πάπα ἐξουσία. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι καὶ Μανουὴλ ὁ Κομνηνὸς ἕνεκεν τοῦ Θεοῦ τοῦ ἐθνικοῦ ἠπείλησε τῇ Ἐκκλησίᾳ τὸν Πάπαν ἄγειν εἰς Σύνοδον, ἀλλὰ καὶ ἄλλοι Βασιλεῖς πρὸς βεβαίωσιν ἀνομιῶν τὸν Πάπαν ἐκάλεσαν συνεργὸν, καὶ ἴδε ἀνωτέρω βιβλίου ὀγδόου κεφαλαίου δεκάτου Παράγραφον ἕκτον. ὁ Μιχαὴλ

ἐπιορκήσας

ἐπιορκήσας εἰς τὸν Βασιλέα αὐτοῦ Ἰωάννην, ὃν καὶ ἐξώρισε καὶ ἀπέκτεινε, καὶ τὰς ἀδελφὰς αὐτοῦ τοῦ Ἰωάννου ἔδωκε τοῖς Λατίνοις, τὴν θυγατέρα αὐτοῦ ἔδωκε τῷ Εἰδωλολάτρῃ Χαλαοῦ, ἕνεκεν τοῦ παπισμοῦ ἐδίωξε τὴν Ἐκκλησίαν ὑπὲρ τοὺς Εἰδωλολάτρας, Πατριάρχας ἔβαλε, καὶ ἐξέβαλε, καὶ ἐκάκωσεν ἀδίκως, καὶ ἄλλα ἐποίησε πάντολμα, τί θαυμαστὸν εἰ καὶ τὸν Πάπαν ὡμολόγησεν εἶναι ἄκρον Ἀρχιερέα καὶ Διδάσκαλον καὶ πατέρα τῶν Χριστιανῶν, ἵνα καὶ εἰς συγχώρησιν τοῦ πρὸς τὸν Βασιλέα καὶ Αὐθέντην αὐτοῦ μύσους προσκαλέσηται; εἶτα ὁ Μιχαὴλ εἶπε ταῦτα, τὸν ἴδιον Πατριάρχην παραζηλῶν, οὐκ ἐζήτησεν ὅμως συγχώρησιν παρὰ τοῦ Ῥώμης περὶ οὐδενὸς ἁμαρτήματος, ἐπειδὴ τὰ πάντα ἐποίει οἰκονομικῶς; ἢ καὶ κακοτρόπως πρὸς τὸν Πάπαν, ὡς εἴρηται. ὅτι δὲ ὁ Μιχαὴλ ἦν ἐν τῇ ψυχῇ αὐτοῦ ὀρθόδοξος, καὶ μετημέλετο ἐγκαρδίως ἐφ' οἷς ἔπραξε, λέγει αὐτὸ ὁ Γρηγορᾶς, ὃς ῥητῶς περὶ αὐτοῦ λέγει ταῦτα, Εἶχε δὲ καὶ, ὥς τινες ἔφασαν, συντριβήν τινα λογισμῶν, κεντοῦσαν ἀεὶ τὸ συνειδὸς τῆς ψυχῆς διὰ τὴν καινοτομίαν τοῦ δόγματος, εἰς ἣν ὑπὲρ τῆς εἰς τοὺς παῖδας διαδοχῆς τῆς Βασιλείας ἑαυτὸν κατήνεγκεν, ἀφ' ὧν ὡς τὸ εἰκὸς αὐτὸς ἀπώνατο, μὴ δὲ ταφῆς τελευταῖον ἀξιωθῆναι βασιλικῆς, τοὺς τῆς Ἐκκλησίας θεσμοὺς τῆς πατρικῆς στοργῆς πολλῷ προτιμώντων, βιβλίῳ πέμπτῳ. ΑΝΤΙΘΕΣΙΣ ΤΕΤΑΡΤΗ. ὁ Βασιλεὺς Μιχαὴλ ἀσθενήσας πολλὰ, ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ Ναῷ τῶν ἁγίων Ἀποστόλων, ὡς Ματθαῖος ὁ Τζιγάλας λέγει ἐν τῇ συνόψει τῶν ἱστοριῶν, καὶ Ματθαῖος ὁ Μονεμβασίας μαρτυρεῖ. Ἀλλὰ ῥητέον, ὅτι τοῦτο ταὐτόν ἐστιν ἐκείνῳ τῷ τοῦ Θωμᾶ Ἀκβίνα, ὅστις μαρτυρεῖ, ὅτι Γρηγόριος ὁ Διάλογος ἐδίδου τὰ συγχωρητικὰ ἅπερ δίδωσι νῦν ὁ Πάπας, ὡς ἐροῦμεν κατωτέρω. εἶτα εὐηθές ἐστι περὶ τῶν ἀρχαίων τοὺς ἀρχαίους μάρτυρας παραβλέπειν, Γρηγορᾶν καὶ τοὺς κατ' αὐτὸν ἐγκρίτους, καὶ προσέχειν τοῖς χθεσινοῖς καὶ λατινόφροσι, καὶ οὐ μόνον κατὰ τὸ δόγμα τῆς εὐσεβείας, ἀλλὰ καὶ κατὰ τὴν ζωὴν αὐτῶν μικροῖς οὖσι καὶ διόλου βεβήλοις, καὶ ψευδεπίπλαστα γράφουσιν. ΑΝΤΙΘΕΣΙΣ ΠΕΜΠΤΗ. Δημήτριος Ῥαοὺλ Καβάκος Σπαρτιάτης καὶ Βυζαντίος ἐπιστολῇ πρὸς τὸν υἱὸν αὐτοῦ Μανόλιον λέγει, ὅτι ὁ Ἀνδρόνικος ἔφερεν ἀπὸ τῆς φυλακῆς μετὰ παρέλευσιν πολλῶν ἐτῶν τὸν μέγαν Λογοθέτην, καὶ εἶπεν αὐτῷ μετανοῆσαι καὶ συγχώρησιν αὐτῷ δοῦναι, ὁ δὲ εἶπεν αὐτῷ, Βέλτιον ἑνῶσαι τὴν βασιλείαν σου τὴν γνώμην τοῦ Αὐθέντου μου τοῦ πατρός σου, καὶ ὁ υἱός μου τὴν ἐμὴν, ἢ ἡμεῖς τὴν ὑμετέραν, ὅθεν προστάξει τοῦ Βασιλέως ἔστρεψαν αὐτὸν εἰς τὴν φυλακὴν, καὶ ἔμεινεν ἐκεῖ μέχρι τελευτῆς. Ἀλλὰ ῥητέον, ὅτι τὸν μέγαν Λογοθέτην οὐκ ἔκλεισεν ὁ Ἀνδρόνικος ὡς λατινόφρονα, ὅτι ἦσαν καὶ ἄλλοι λατινόφρονες, καὶ οὐκ ἔκλεισεν αὐτοὺς, ἔκλεισε δὲ τὸν Λογοθέτην, διότι ἐγένετο συνεργὸς τῷ Βασιλεῖ Μιχαὴλ εἰς τὴν μετὰ Λατίνων ἕνωσιν, νομίζων μὴ εἶναι ἁμαρτίαν τὸ τοιοῦτον μῦσος, ἀλλ' οἰκονομίαν. ταῦτα εἰσὶ τὰ τέλη τῆς ἐν Λουγδούνῳ Συνόδου. ὁποίας δὲ δυνάμεώς ἐστιν ἡ κατὰ Βέκκου Σύνοδος, ἴδε τὸ περὶ αὐτῆς σημείωμα τοῦ Σχολαρίου ἐν τῷ Τόμῳ τῆς Ἀγάπης ἐν φύλλοις ἑπτά.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς ἀναδείξεως τοῦ Ὀτμᾶν, καὶ ποῦ ἐγένετο Σουλτᾶνος, καὶ πόθεν ἔχει τὸ γένος, καὶ ποῦ ἐγεννήθη καὶ ἐτάφη.

Ἐν τοῖς καιροῖς καθ' οὓς ἠθροίσθη ἡ ἐν Λουγδούνῳ Σύνοδος κατὰ τοῦ ἁγίου Πνεύματος, κατ' ἐκείνους ἀνεφάνη καὶ ὁ Ὀτμᾶν. ἡ Σύνοδος ἦν τὸ ἔτος χιλιοστὸν διακοσιοστὸν ἑβδομηκοστὸν τέταρτον. ὁ Ὀτμᾶν ἀνέλαβε τὴν πατρικὴν ἀρχὴν κατὰ τὸν Γεώργιον Λογοθέτην τὸν Φραντζὴν τὸ ἔτος ἑξακισχιλιοστὸν ἑπτακοσιοστὸν ἑξηκοστὸν ἔνατον, καὶ ὅτε ἐγίνετο ἡ Σύνοδος, τότε ἤρξατο φαίνεσθαι ἰσχυρὸς, καὶ μεταταῦτα καὶ Σουλτᾶνος. καὶ γὰρ ἀποθανόντος τοῦ Σουλτάνου τοῦ Ἰκονίου τῷ ἔτει αὐτῶν ἑξακοσιοστῷ ἐννενηκοστῷ ἐνάτῳ, ἡ γερουσία τῆς ἐν τῷ Ἰκονίῳ ἡγεμονίας τῶν Τούρκων προσεκαλέσαντο τὸν Ὀτμᾶν, καὶ περιέζωσαν αὐτὸν ῥομφαίαν, καὶ ἀνέδειξαν αὐτὸν Σουλτᾶνον, ὡς εἴρηται ἐν ἔτει τῷ αὐτῶν ἑξακοσιοστῷ ἐννενηκοστῷ ἐνάτῳ, ὅπερ ἐστὶ σωτήριον χιλιοστὸν τριακοσιοστόν. ὅτε δὲ ἐπῆλθεν ὁ βλάσφημος φλωρεντινὸς ὅρος, καὶ εἰς τὸ Βυζάντιον ἐπραγματεύετο ἡ ὀρθοδοξία χάριν τοῦ ἐλθεῖν δῆθεν βοήθειαν ἀπὸ τῶν Λατίνων, τότε ὁ Κύριος παρέδωκε τὴν ἐπίγειον πόλιν, ἵνα φυλάξῃ τὴν πνευματικὴν, τὴν ἁγίαν λέγω Ἐκκλησίαν ἀδιαλώβητον ἀπὸ τῶν πυλῶν τοῦ ᾅδου, ὅστις ἐστὶν ὁ παπισμός. κατάγεται δὲ ὁ Ὀτμᾶν κατὰ μὲν τὸν Φραντζὴν ἀπὸ τοῦ γένους τῶν Κομνηνῶν, κατὰ δὲ Λαόνικον καὶ ἄλλους, ἀπὸ τοῦ Ἀρχαίου γένους τῶν Τούρκων. ἐγεννήθη δὲ εἰς τὸ Σογοῦτι κώμην Βιθυνίας, ἀπέχουσαν Νικαίας ἀπερχομένῳ εἰς Ἰκόνιον ὡσεὶ ὥρας δεκαπέντε. φαίνεται δὲ ἐκεῖ καὶ τὸ μνῆμα αὐτοῦ ἕως τῆς σήμερον, πλὴν κατημελημένον, καὶ μόνοις δένδρεσί τισι περιηγμένον. εἰς αὐτὸ οὖν ὁ Οὐγούζης γεννᾷ ὀρθογρούλλην, κἀκεῖνος τὸν Ὀτμᾶν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ Ἀνδρονίκου τοῦ δευτέρου τῶν Παλαιολόγων, καὶ ὧν ἤθροισε Συνόδων κατὰ Βέκκου καὶ τῆς Λουγδουνικῆς Συνόδου

Συνόδου ὑπὲρ διορθώσεως τῆς Ἐκκλησίας, καὶ περὶ τοῦ Ῥωμαίοις πολεμίου Ῥογερίου, καὶ ὧν ἐποίησεν ἀθέσμων ἔργων ὁ τοῦ Ἀνδρονίκου τούτου ἔγγονος Ἀνδρόνικος, καὶ ὅπως αὐτῷ συνεβασίλευσε, καὶ περὶ τῆς ἐν τῇ Ἀσίᾳ τῶν Ὀθωμανῶν αὐξήσεως.

Ἐβασίλευσε μετὰ τὸν Μιχαὴλ ὁ γηραιὸς Ἀνδρόνικος, ὁ ἀθροίσας, ὡς εἴρηται ἀνωτέρω, τὰς κατὰ τοῦ Βέκκου καὶ τῆς λουγδουνικῆς ἀθροίσεως Συνόδους, καὶ πέμψας θεσπίσματα βασιλικὰ τὴν τῆς Ἐκκλησίας διόρθωσιν εὐαγγελιζόμενα, καὶ ἐλευθεροῦντα τοὺς ἐξορίστους διὰ τὴν εὐσέβειαν. Ἐπὶ τούτου ὁ Ὀτμαῖ ἐξήπλωσε τὴν ἀρχὴν αὐτοῦ, ἐπειδὴ ἦλθεν ἀπὸ τῆς Ἱσπανίας Ῥογέριός τις μετά τινων Κατελάνων, καὶ ἐχρημάτισε πολέμιος Ῥωμαίοις. εἶτα ἔχοντος τοῦ Ἀνδρονίκου υἱοὺς Μιχαὴλ καὶ Μανουὴλ, ὁ υἱὸς τοῦ Μιχαὴλ Ἀνδρόνικος ἀπέκτεινε πορνιδίου τινὸς ἕνεκα τὸν Μανουὴλ, δι' ὃ λυπηθεὶς ὁ Μιχαὴλ, εὑρισκόμενος εἰς Θεσσαλονίκην ἀπέθανεν. ὁ δὲ Ἀνδρόνικος φοβηθεὶς μὴ ἀποκηρυχθῇ τῆς βασιλικῆς διαδοχῆς ὑπὸ τοῦ πάππου διὰ τὸ μῦσος, ἔφυγε, καὶ πορευθεὶς, καὶ ἀθροίσας στρατεύματα Σέρβων, Βουλγάρων καὶ Ῥωμαίων τινῶν, ἦλθε κατὰ τοῦ πάππου, καὶ συνεβασίλευσεν ἐν ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ τριακοστῷ ἕκτῳ. ὁ δὲ γηραιὸς πῇ μὲν συμβασιλεύων, πῇ δὲ καὶ ἡσυχάζων, ἑκὼν καὶ ἄκων ἀπέθανε. διὰ οὖν τοὺς Κατελάνους καὶ τοὺς συνεχεῖς πολέμους Ῥωμαίων, Σέρβων, Βουλγάρων καὶ Ἠπειρωτῶν, ἠυξήθησαν οἱ Τοῦρκοι εἰς τὴν Ἀσίαν, λέγει ὁ Γρηγορᾶς.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ Θωμᾶ τοῦ Ἀκβίνα, πότε ἦν, καὶ ὧν συνέγραψεν ὑπὲρ Λατίνων καὶ κατὰ τῆς ὑγιοῦς ἡμῶν πίστεως, καὶ περὶ τῆς μυθολόγου ἁγιότητος αὐτοῦ παρὰ Λατίνοις ἐπιθυμίᾳ τριχίδων, ἤτοι σαρδελῶν.

Τότε ἤκμαζεν (ἤγουν εἰς τοὺς χρόνους τοῦ Παλαιολόγου Μιχαὴλ) καὶ Θωμᾶς ὁ Ἀκβίνας, Λατῖνος διδάσκαλος, καταγόμενος ἀπὸ τῆς Νεαπόλεως, ὅστις ἀπελθὼν εἰς τὴν Κολώνιαν, γέγονεν ἐπιστήμων, εἶτα εἰς τὸ Παρίσιον ἔδοξεν ἄξιος διδάσκαλος, ἦν δὲ πολὺς εἰς τὰ ἀριστοτελικὰ μαθήματα, καὶ εἰς τὴν παίδευσιν τῆς γραφῆς, ὡς μαρτυρεῖ Ματθαῖος Κοιαίστωρ Ἄγγελος ὁ Πανάρετος. ὅθεν οἱ Λατῖνοι ἐνόμιζον αὐτὸν δεύτερον Χρυσόστομον. προτροπῇ δὲ μάλιστα οὐρβανοῦ τοῦ ἕκτου ἔγραψεν εἰς γλῶσσαν Λατῖνα σχολαστικὴν Θεολογίαν, καὶ ἔτι ἔγραψεν εἰς τὰ πλείω μέρη τῆς ἁγίας γραφῆς, πλὴν χωλεύων εἰς ὅλα, ἐπειδὴ θεολογεῖ κατὰ τὰς καινοτομίας τῶν Λατίνων, ὧν αὐτὸς ὑπέλαβεν εἶναι καὶ βεβαιωτὴς, ἐπηδὴ καὶ ἔμιξε τὸν Ἀριστοτέλην τῷ Εὐαγγελίῳ, καὶ ἐνόμισε τὰ ξένα καὶ παράλογα αὐτοῦ δόγματα συμπεραῖναι ἀπὸ τῆς ἔξω σοφίας. συνέγραψε δὲ προσέτι καὶ ἐρωτήσεις καὶ λύσεις εἰς τὴν ἁγίαν γραφὴν, ἐμβιβάζων καὶ ἀμφισβητῶν καὶ ἐπιλύων, καὶ ὡς εἰπεῖν καθάπαξ ὅλην τὴν γραφὴν ἀναλύων καὶ διαλύων καὶ σπερμολογῶν ἐριστικῶς καὶ σοφιστικῶς, καὶ ἀπαιδεύτως μᾶλλον, ἢ κατὰ τὴν σοφίαν τοῦ ἁγίου Πνεύματος. συνέγραψε δὲ καὶ κατὰ τῆς ὑγιοῦς ἡμῶν πίστεως πολλὰ βιβλία, διαστρέφων τὴν ἁγίαν γραφὴν, καὶ ἐπεκδικῶν τὰ λατινικὰ δόγματα, ὡς εἴρηται, ἅπερ οὐκ ἦσαν γνώριμα τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ ἕως τῆς βασιλείας Ἰωάννου τοῦ Καντακουζηνοῦ, οὗ εἰς τῆς βασιλείας τὸ τέλος Δημήτριος Κυδώνης ὁ Θεσσαλονικεὺς ἐξέδωκέ τινα, καὶ μάλιστα τὰ δοκοῦντα ἐπίσημα εἰς τὴν ἑλληνικὴν γλῶσσαν, παράδοξα δοκοῦντα καὶ τῷ Κυδώνῃ καὶ τοῖς ὁμόφροσιν αὐτοῦ, ἦν γὰρ λατινόφρων, καὶ ἴδε περὶ αὐτοῦ ἐν τοῖς προλεγομένοις ἐν τῇ Ἀγάπῃ, ἐξ ὧν καὶ ὁ Βασιλεὺς ἐκεῖνος μετέγραψε μερικὰ, καὶ ἔβαλεν αὐτὰ εἰς τὴν Βιβλιοθήκην αὐτοῦ. εἰς δὲ τὸ περὶ καθαρτηρίου πυρὸς συνέγραψεν ἀντιρρητικὰ ὁ ῥηθεὶς Πανάρετος, ὃς ἔτι ἔγραψε καὶ ἐν ἄλλοις φρονήμασι Λατίνων. διὰ δὲ τὸ γράψαι τὸν Θωμᾶν πολλὰ ὑπὲρ τῆς ἀρχῆς τοῦ Πάπα, ἐχειροτόνησεν αὐτὸν ὁ Πάπας ἅγιον, εὑρὼν τυχὸν αἴτιον ὅτι συνέγραψε πολλὰ βιβλία εἰς σύστασιν δὲ ὅτι ἦν ἅγιος, προσφέρουσιν οἱ Λατῖνοι θαῦμα, ὃ πεποιηκέναι αὐτὸν λέγουσιν, τὸ δὲ ἦν τριχίδες, ἤτοι θρίσσαι αἱ κοινῶς λεγόμεναι σαρδέλαι, ἐπιθυμήσαντος γάρ φασιν αὐτοῦ φαγεῖν σαρδέλας, ὁ Θεὸς ὀψάριά τινα εἴδους ἑτέρου, χάριν τῆς πρὸς αὐτὸν ἀγάπης τὸν Θωμᾶν μετέβαλεν εἰς σαρδέλας. γράφει ὁμέγας Γρηγόριος, ὅτι Βεναντίου Πατρικίου υἱὸς Ὀνωρᾶτος καλούμενος μονάσαι θέλων, κρέας οὐκ ἤσθιε, καὶ ἀντλοῦντος αὐτοῦ ὕδωρ εἰς ὑπουργίαν τοῦ συμποσίου, αἰέβη ἰχθὺς ἀπὸ τῆς πηγῆς, βιβλίῳ πρώτῳ τῶν διαλόγων. τὸ μέντοι μεταβαλεῖν τὸν Θεὸν τὰ ἑτέρου εἴδους ὀψάρια εἰς σαρδέλας, τοῦτό ἐστιν ἀπὸ τῶν μεταμορφώσεων τοῦ Ἀντωνίνου. τὰς δὲ κυριωτέρας Αἱρέσεις αὐτοῦ καταριθμεῖ Ἰωσὴφ ὁ Βρυέννιος ἐν τῇ πρώτῃ διαλέξει μετὰ τοῦ λατινόφρονος Μαξίμου, καὶ ἴδε τὸν τόπον ἐκεῖ.

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῆς ἁγιότητος Ἀθανασίου Κωνσταντινουπόλεως, καὶ τῶν μετ' αὐτὸν Πατριαρχῶν μέχρις Ἡσαΐου, καὶ τῆς οἰκεδομίας τῶν ἐν τῇ ἁγίᾳ Σοφίᾳ πυραμίδων.

Μετὰ τὸν Γρηγόριον προεβλήθη Πατριάρχης Κωνσταντινουπόλεως ὁ θαυμαστὸς Ἀθανάσιος, ὃς ἠσκήτευεν εἰς τὸ ὄρος τοῦ Γάννου, ἦν δὲ ἀπὸ Ἀδρούσης, καὶ διατοῦτο γέγονε καὶ ἡ Ἀδροῦσα Ἐπισκοπὴ ὡς λέγει ὁ Λογοθέτης Γεώργιος εἰς τὸ τέταρτον κεφάλαιον τοῦ πρώτου βιβλίου. ἐποίει δὲ παννυχίους στάσεις ὁ Ἀθανάσιος, καὶ τοὺς Ἀρχιερεῖς ἔπεμπεν εἰς τὰς Ἐπαρχίας αὐτῶν ἵνα τῶν ἰδίων φροντίζωσι, καὶ πάντοτε περιεπάτει πεζός. ὅθεν ὀνειδιζόμενος τὴν σκυθρωπότητα, ἀφίησι τὸν θρόνον, πατριαρχεύσας χρόνους τέσσαρας, καὶ προβιβάζεται ὁ Σωζοπόλεως Ἰωάννης, ὅστις καὶ αὐτὸς καταφρονούμενος διὰ τὴν ἁπλότητα αὐτοῦ, ἀπῆλθεν εἰς Σωζόπολιν, ὅπου καὶ ἐτελεύτησε, καὶ γίνεται πάλιν ὁ Ἀθανάσιος. τινὲς ὅμως ἐχθροὶ αὐτοῦ ἐζωγράφησαν εἰς τὴν Μονὴν τοῦ Ὁδηγοῦ εἰς τὸ ὑπὸ πόδιον τοῦ πατριαρχικοῦ θρόνου τὸν Χριστὸν ὁμοῦ καὶ τὸν Βασιλέα φοροῦντα χαλινὸν καὶ συρόμενον ὑπὸ τοῦ Πατριάρχου, καὶ ζητῶν ὁ Ἀθανάσιος ποιῆσαι μεγάλην παιδείαν, γενομένης ἐμποδὼν αὐτῷ τῆς φιλανθρωπίας τοῦ Βασιλέως, παροξυνθεὶς ἀνεχώρησε, πατριαρχεύσας ἔτη ὀκτὼ, καὶ γίνεται Πατριάρχης ὁ Μητροπολίτης Κυζίκου Νήφων, ἀμαθὴς ἄνθρωπος, ἐκβάλλεται ὅμως ἱεροσυλίας αἰτίᾳ, καὶ ἀνάγεται εἰς τὸν θρόνον ὁ Λογοθέτης τοῦ δρόμου Ἰωάννης ὁ Γλυκὺς, γάμῳ ὁμιλήσας πρότερον ὡς καὶ ὁ Σωζοπόλεως. αὐτός ἐστιν ὃν οὐκ εἴασεν ὁ Βασιλεὺς γενέσθαι Μοναχὸν ἵνα ἔχῃ εἰς τοὺς καιροὺς τῶν παροξυσμῶν τῆς ποδαλγίας αὐτοῦ ἐσθίειν ὀλίγον κρέας, παρῃτήσατο ὅμως ὑπὸ τῆς ἀσθενείας ἐνοχλούμενος, καὶ γίνεται Πατριάρχης Γεράσιμος ἀπὸ τῆς Μονῆς τῶν Μαγγάνων, ὃς ἑκὼν καὶ ἄκων ἀναχωρήσας, χειροτονεῖται Ἡσαΐας Ἀθωνίτης. Ὁ αὐτὸς Βασιλεὺς ἔκτισε τὰς δύο πυραμίδας εἰς τὴν ἁγίαν Σοφίαν, αἳ φαίνονται ἕως καὶ τῆς σήμερον, διότι ἠπείλει πτῶσιν τὰ τείχη αὐτῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἐκ γραϊδίων φασμάτων ἐπ' αὐτοφόρῳ τελουμένης ἑορτῆς, ἁγίας δωρεᾶς παρὰ Λατίνοις λεγομένης, καὶ τοῦ κατὰ Λατίνων διὰ ταύτην ἐλέγχου, καὶ ὅτι μείζονες τοῦ Ῥώμης αἱ Συνόδοι, καὶ περὶ ἑορτῶν.

Καὶ εἰς τὴν Ἀνατολὴν κατὰ τὸν Γρηγοραῖν εἰς τὸ Ἕβδομον ἐφάνη προφήτης ὁ Πατριάρχης Ἀθανάσιος, ὃς καὶ εὐφημεῖται ἐν τῷ Συνοδικῷ τῆς ὀρθοδοξίας, ἀλλὰ καὶ εἰς τὴν Δύσιν κατὰ τὸν Μαρκάντιον Ἰάκωβον καὶ ἄλλους παπιστὰς σοφοὺς ἐφάνησαν πρὸ ὀλίγων ἐτῶν προφήτιδες Ἰουλιανὴ, Ἰσαβέλλα, καὶ Εὔα Μοναχαὶ, αἱ ἰδοῦσαι δῆθεν θεοσημείας, δηλούσας γίνεσθαι τὴν ἑορτὴν τῆς ἁγίας Δωρεᾶς, ἡ δὲ Ἰσαβέλλα εἶδε καὶ τὰ οὐράνια τάγματα δεόμενα τοῦ Θεοῦ φανερῶσαι τῷ κόσμῳ ταύτην τὴν Δεσποτικὴν σχολὴν, ἣν οἱ παπισταὶ ἁγίαν Δωρεὰν καλοῦσιν, ὅθεν παρεκινήθη οὐρβανὸς ὁ τέταρτος περί που τὸ χιλιοστὸν διακοσιοστὸν ἑξηκοστὸν δεύτερον ἔτος θεσπίσαι γίνεσθαι τὴν τοιαύτην ἑορτὴν, ἣν λέγουσιν οἱ Λατῖνοι μὴ ἑορτάζοντας τοὺς Γραικοὺς σφάλλειν σφόδρα. Ἀλλὰ ῥητέον, ὅτι οὐδέποτε ἡ Ἐκκλησία δόγμα πίστεως, ἢ τινὰ ἀναγκαίαν λατρείαν ἔμαθεν ἀπὸ τοιούτων ἀποκαλύψεων γυναικῶν ἤτε καὶ ἀνδρῶν, πλὴν τῶν Ἀποστόλων. εἶδε ὁ θαυματουργὸς Γρηγόριος εἰς ἀποκάλυψιν τὴν ὁμολογίαν τῆς ἁγίας Τριάδος, ἀλλ' ἡ Ἐκκλησία καὶ ἐκείνην ἀπὸ τῆς συμφωνίας τῆς γραφῆς ἔκρινε καὶ ἐδέξατο, ὅτι τὰ τοιαῦτα βεβαιοῦνται ἀπὸ τῆς γραφῆς, ἀπὸ τῶν Συνόδων, ἀπὸ τῶν πατέρων, ἀπὸ τῆς ἀρχαίας παραδόσεως, καὶ ἥκιστα δ' ἀποκαλύψεων, ἢ μᾶλλον εἰπεῖν διὰ φαντασιῶν τινῶν, καὶ μάλιστα γυναικῶν. εἰς τὴν πρώτην Σύνοδον ὑπέγραψαν οἱ προκοιμηθέντες Ἐπίσκοποι τὸν Τόμον αὐτῆς, καὶ εἰς τὴν τετάρτην ἡ ἁγία Εὐφημία ἐκύρωσε τὸν Τόμον τῆς Συνόδου, ἀλλὰ πρῶτον ἔκρινον οἱ πατέρες διὰ τῆς γραφῆς καὶ τῶν πρὸ αὐτῶν πατέρων, καὶ ὕστερον ἐβεβαίωσαν καὶ οἱ ἅγιοι. ἀπὸ μέντοι προηγησαμένων τινῶν ἀποκαλύψεων γυναικῶν οὐδὲν βεβαιοῦται, καὶ μάτην κομπάζει ὁ Οὐρβανὸς καὶ τὸ δίπλωμα αὐτοῦ. ῥητέον δεύτερον, οἱ Ἀνατολικοὶ τὸ Σῶμα καὶ τὸ Αἷμα τοῦ Κυρίου κατὰ πᾶσαν Κυριακὴν καὶ κατὰ πᾶσαν ἑορτὴν καὶ ἡμέραν, ἐν ᾗ ἱερουργοῦσιν, ἑορτάζουσι, τιμῶσι, προσκυνοῦσι καὶ λατρεύουσιν ἐν τῷ Μυστηρίῳ καθὼς παρέδωκεν ἡ μήτηρ Ἐκκλησία ἐν ἁγίῳ Πνεύματι, φανερὸν γὰρ ὅτι πᾶσα Λειτουργία ἐστὶν ἑορτὴ τοῦ Σώματος καὶ τοῦ Αἵματος τοῦ Κυρίου, δοξολογεῖται γὰρ ἐν αὐταῖς καὶ ὑμνεῖται μετὰ ὕμνων ἀγγελικῶν τὸ Μυστήριον, ὅθεν καὶ οὐ λέγεται μήτε ἀκολουθία μήτε εὐχὴ μήτε ἄλλο ὄνομα προσευχῶν ἡ Λειτουργία τοῦ ἁγιωτάτου Μυστηρίου, ἀλλὰ ὀνομάζεται τελετὴ, καὶ μάλιστα τελετῶν τελετὴ κατὰ τὸν Ἀρεοπαγίτην. ῥητέον τρίτον, ὁ Θεοδώριτος ἐν τῷ Ἐρανιστῇ

νισῇ καὶ ὀχορὸς τῶν ἁγίων πατέρων βοῶσι, τοῖς ἀμυήτοις μὴ γίνεσθαι φανερὰ τὰ μυστήρια, καὶ οἱ κατηχούμενοι διώκονται τῆς Ἐκκλησίας Δηλ. τὸ εἶναι αὐτοὺς ἀβαπτίστους, καὶ μὴ ἔξω συγκεχωρημένον παρεῖναι αὐτοὺς ἐν τοῖς Μυστηρίοις. οἱ δὲ Λατῖνοι ἀπερχόμενοι καὶ περιερχόμενοι εἰς τὰς ἀγορὰς μετὰ τῶν παρ αὐτοῖς Μυστηρίων, παρόντων Ἰουδαίων καὶ ἀπίστων ἄλλων, μετὰ λιτανείας καὶ κωδώνων, πόσων μέμψεών εἰσιν ἄξιοι ὡς μυσάρωροι αἰτίαν βλασφημεῖσθαι τὸ δόγμα τῆς εὐσεβείας; Καὶ γὰρ λέγουσιν οἱ Ἰουδαῖοι καὶ οἱ Ἐθνικοὶ καὶ οἱ Αἱρετικοὶ καὶ ἁπλῶς ὅσοι ἀμύητοι καὶ ἄπιστοι, ἰδοὺ δημιουργὸς τῶν πάντων, ἰδοὺ ὁ Θεὸς ὑμῶν περιέχεται αἰθητῶς ὑπὸ κιβωτίου καὶ ὑπ ἐλαχίστου ἄρτου, καὶ ἄλλα βλάσφημα, ἅτινα ἡ ἑορτὴ αὕτη, ἡ ἐφευρεθεῖσα χάριν ἀργυρίου καὶ διὰ σωτηρίαν τῶν πιστῶν, ἢ ἡμιῶν τῶν Χριστῶν, ποιοῦσι. Σὺ δὲ σημείωσαι τρία τινὰ, πρῶτον, ὅτι οἱ ἀδελφοὶ Λατῖνοι εἰσὶν ἠλίθιοι, ἐπειδὴ ὑμόνους οὐκ αἰσχύνονται καινοτομοῦντες, ἀλλὰ καὶ τὰς καινοτομίας αὐτῶν θέλουσιν ἔναι Νόμους ἀναγκαίους ἐν τῇ Ἐκκλησίᾳ, καὶ δέχεσθαι αὐτοὺς πάντας. δεύτερον, λέγουσιν οἱ αὐτοὶ Κλήμμυτα τὸν πέμπτον βεβαιῶσαι τῇ ἑορτῇ ταύτῃ ἐν τῇ ἐν Βιενύῃ Συνόδῳ, ὅθεν ἀκούοντες ὁμολογοῦσιν οἱ παπισταὶ, ὅτι ὡς οἱ ἀρχαῖοι Πάπαι Δηλ. Συνόδων ἐβεβαίουν τὰ Ἅγια, οὕτω καὶ οἱ νῦν ἀναγκαζόμενοι ὑπὸ τῶν Κανόνων ποιοῦσιν. εἰ δὲ συνοδικῶς βεβαιοῦνται αἱ ὑποφάσεις τῶν Παπῶν, φανερὸν ὅτι αἱ Σύνοδοι μείζονες εἰσὶ καὶ κατὰ τοὺς παπισταὶς τῶν Ἀρχιερέων τῆς Ῥώμης, κἂν καὶ ἰσόθεοι καλεῖσθαι φιλῶσιν, ὅθεν εἰ ὁ Πάπας χωρὶς Συνόδου τὰς ἰδίας ὑποφάσεις ἀνάγκη συνοδικῆς βεβαιώσεως γινώσκειν ἀδυνάτους, καὶ ἡ Σύνοδος βεβαιοῖ αὐτὰς, ἀνάγκη ἔρχηται ὅτι ἡ Σύνοδος μείζων τοῦ Πάπα, κἂν καὶ τοπικὴ εἴη, καὶ ἔχεις ἀνώτερον καὶ ὑποδείγματα πολλά. τρίτον, λέγει ἡ Τάξις ἐν τῷ αὐτῷ τόπῳ, ὅτι Οὐρβανὸς ὁ ὄγδοος ἐν τῷ ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ πέμπτῳ Δηλ. τῇ κυβερνήσει καὶ τὸ ὄφελος τῶν πωγωνῶν ὀλιγίσας ἐποίησε τινὰς ἑορτάς. Ἀλλὰ ῥητέον, ὅτι οἱ μὲν αὐτοὶ μετὰ τὸ σχίσμα Πάπαι χειροτονοῦντες πολλοὺς ἁγίους, ἐβάρυνον τὴν Ἐκκλησίαν, ὁ δὲ Οὐρβανὸς τοὺς Ἕλληνας ἀγαπῶν, καὶ αὐτὸς μιμηθεὶς, συνέσπευδε τὴν ψυδαγωγότητα τῶν μὲν αὐτοῦ. ὅτι γὰρ ἡ Ἐκκλησία τὴν Κυριακὴν καὶ τινὰς ἑορτὰς τῶν Ἀποστόλων καὶ τινῶν ἁγίων ἀρχαίων Πνεύματι ἁγίῳ ὥρισε γίνεσθαι πολλῶν ἕνεκα, μέσον, τὰς πολλὰς ὅμως καὶ τὰς νεωστὶ ἐφευρεθείσας ἡ ἐπάρατος ἐπεκτήνατο συμωνίᾳ, κἂν καὶ ἱερῷ ὀνόματι τῇ τοῦ οἰκονομίας καλῆται τοῦτο τὸ ἐτώσιον ἄχθος (λέγω πάλιν) τὰ ἀθεμίτως συμωνίας.

ΚΕΦΑΛΑΙΟΝ Ζ.

Περὶ Βαρλαὰμ καὶ Ἀκινδύνου καὶ τῶν Αἱρέσεων αὐτῶν, καὶ τῆς ἐν τῇ κατ' αὐτῶν Συνόδῳ εἰσαγωγῆς Γρηγορίου Παλαμᾶ, ὑπὸ τῆς βασιλείας Ἀνδρονίκου Παλαιολόγου τοῦ νέου, καὶ Πατριαρχείας Ἰωάννου τοῦ Καλέκα.

Ἐβασίλευσε τοίνυν ὁ νέος Ἀνδρόνικος, καὶ πάλιν πόλεμοι ἀπεράντιλοι τῶν Χριστιανῶν, καὶ αὔξησις τῶν Ὀθωμανῶν. ὑπὸ τοῦτο, ὡς λέγει ὁ Γρηγορᾶς εἰς τὸ δέκατον βιβλίον, καὶ ὁ Λογοθέτης Γεώργιος εἰς τὸ ὄγδοον κεφάλαιον τοῦ πρώτου βιβλίου, Βαρλαάμ τις Καλαβρὸς πολὺς ὢν εἰς τὴν ἔξω σοφίαν, ἦλθεν ὑπὸ καιρῷ τῶν Ῥωμαίων. καὶ δὴ τοῦ Βασιλέως ὄντος εἰς τὴν Ἀκαρνανίαν, αὐτὸς εἰς Θεσσαλονίκην ὑπερέθη διδάσκεσθαι τὴν μοναχικὴν ζωὴν παρά τινι ἰδιώτῃ μοναχῷ, ὅστις ἄγροικος ὤν, ἔλεγε τῷ Βαρλαάμ, ὅτι οἱ μοναχοὶ περισχολούμενοι ἀγάλλονται, καὶ δὴ καὶ βλέπουσι φῶς ἀΐδιον αἰθητοῖς ὀφθαλμοῖς. ὁ δὲ Βαρλαὰμ θαυμασθείς εἰς τοιαῦτα, ἔγραψε κατὰ μοναχῶν, παρὼν δὲ ὀνόματι Γρηγόριος Ἱερομόναχος ὁ Παλαμᾶς, ἀνεθέτει αὐτὸν μὴ οὕτως ἕνεκεν ἀγροικίας καταφρονεῖν τῶν πολλῶν, κράζοντα αὐτὸς Μασσαλιανὸς καὶ ὀμφαλοψύχους, ἀλλὰ πυρὶ δεῖναι ὅσα κατὰ τῶν μοναχῶν ἔγραψε. περὶ δὲ τοῦ ὁρωμένου φωτὸς εἶπον αὐτῷ, ὅτι πολλοὶ ἀγωνιζόμενοι ὡσὲρ χριστοῦ Μάρτυρες, καὶ δὴ καὶ ὁ θεῖος Ἀντώνιος, εἶδον τοιοῦτον φῶς. ἐν γὰρ τῇ Μεταμορφώσει εἶδον οἱ Ἀπόστολοι ἄκτιστον φῶς αἰθητοῖς ὀφθαλμοῖς, τὶ θαυμαστὸν ἐὰν ἔπωμεν ὅτι καὶ πολλοὶ τῶν ἁγίων βλέπουσιν ἄκτιστον φῶς; ὁ δὲ Βαρλαὰμ ἀκούσας τὸ ὂν τῷ Θαβωρίῳ φῶς ἄκτιστον, ἐβλασφήμει ποικίλως, καὶ πολλὰ συνέγραψε κατὰ τῶν περὶ τὸν Παλαμᾶν. ἐλθὼν δὲ εἰς τὸ Βυζάντιον, καὶ ἐλπίζων νικήσειν τῇ δυνάμει τῆς ἔξω σοφίας, ἐδέετο Ἰωάννου Πατριάρχου τοῦ Καλέκα γυμνάσθαι Συνόδου. ὑπὸ τούτοις ἦλθε καὶ ὁ Βασιλεὺς ἀπὸ τῆς ἐκστρατείας, καὶ ἐπεμελήθη συναθροῖσαι τὸ συνέδριον, τέλος ὅμως εἰδὼς ὅτι χωρὶς ἐλέγχων οὐδὲν κατορθωθῇ, ἀθροίζει Συνόδον εἰς τὴν ἁγίαν Σοφίαν, ἐν ᾗ παρεκάθητο ὁ Βασιλεὺς καὶ ὁ Πατριάρχης Ἰωάννης, προσεφθέγξατο δὲ ὁ Βαρλαὰμ καὶ ἔδωκε καὶ τόμον περιέχοντα τὰ δοκοῦντα αὐτῷ, περιεῖχε δὲ, καὶ ὅτι ἡ ἀχὴ τῶν μοναχῶν ἦν ἐλπὶς καὶ παρθήκης δεομένη. ἀποκρινόμενος δὲ ὁ Παλαμᾶς οὐκ ἀπὸ τῆς κοιλίας ὡς ὁ Βαρλαάμ, ἀλλ ἀπὸ τῶν πατέρων, ἔδειξε τὸ φῶς τῆς Μεταμορφώσεως καὶ τὴν βασιλείαν τῶν Οὐρανῶν καὶ τέως τὰ ἀσιώδη καὶ φυσικὰ τοῦ Θεοῦ εἶναι ἄκτιστα, συνέθετο δὲ ἡ Σύνοδος εἰς τὰ λεγόμενα παρὰ τοῦ Παλαμᾶ, καὶ ἀπέβλεπε τὸ συμπέρασμα κατὰ τοῦ Βαρλαάμ, ὅθεν φοβηθεὶς ὁ Βαρλαὰμ ἵνα μὴ καθαιρεθῇ ἐὰν μὴ ὁμολογήσῃ τὴν ἀλήθειαν,

ἀλήθειαν, ὑποθήκαις καὶ μεσιτείᾳ τοῦ μεγάλου Δομεστίχου Ἰωάννου τοῦ Καντακουζηνοῦ, συντίθεται τῇ Συνόδῳ, καὶ ὁμολογεῖ, ὅτι ἐξ ἁπλότητος καὶ οὐκ ἐκ πονηρίας εἶπε καὶ ἔγραψε κατὰ τῶν Μοναχῶν, καὶ τέως εἰρηνεύει καὶ μετὰ τῶν Μοναχῶν, ἐξηνέχθη ὅμως Τόμος συνοδικὸς κατ' αὐτοῦ ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ πρώτῳ, ἀποθανόντος δὲ καὶ τοῦ Βασιλέως, ἐπανῆλθεν εἰς τὸν ἴδιον ἔμετον τὴν Αἵρεσιν αὐτοῦ, καὶ φεύγει ἐπὶ Λατίνους, ἀφ' ὧν καὶ προεβλήθη Ἐπίσκοπος Ἱερακοπόλεως Ἰταλίας, ἀλλ' ἐπὶ τὸ προκείμενον ἐλθέτω ὁ λόγος. Μετὰ τὴν εἰρήνην καὶ φυγὴν τοῦ Βαρλαὰμ, Γρηγόριός τις Ἀκίνδυνος ἐπιλεγόμενος, τοῦ Βαρλαὰμ μαθητὴς, ἀπὸ Μυσίας καταγόμενος, ἐπεισπηδήσας εἰς τὸ μέσον, ἐφέρετο ῥαγδαίως κατὰ τοῦ Βαρλαὰμ ὅσον εἰς τὸ φανερὸν, τὴν γνώμην ὅμως ἦν ἴσος τῷ Βαρλαὰμ, γράφει γὰρ ὁ Παλαμᾶς εἰς τὸ δεύτερον κεφάλαιον τοῦ πέμπτου λόγου πρὸς Ἀθανάσιον πρόεδρον Κυζίκου κατὰ Ἀκινδύνου, ὅτι ὁ Ἀκίνδυνος εἰς τὴν πεπλασμένην ἐν τῇ Συνόδῳ ὁμιλίαν αὐτοῦ λέγει τὸν Βαρλαὰμ κακόδοξον καὶ βλάσφημον καὶ κατάπτυστον καὶ εἰς τὸ θεῖον ἀσεβήσαντα φῶς, καὶ διὰ γλώττης ἀνεθεμάτιζε, πρὸς δὲ Λαπίθην Λατῖνον γράφων, ἐδικαίου αὐτὸν, καὶ λίβελλον ἀπάτης δοὺς, τὴν κατὰ Βαρλαὰμ Σύνοδον ἐπῄνει καὶ ἐδέχετο, καὶ τὰς δύο Συνόδους καὶ τὸν Τόμον αὐτῶν ἐν τῷ λιβέλλῳ δέχεται καὶ ἐπαινεῖ, ἐν δὲ τοῖς συγγράμμασιν αὐτοῦ καθυβρίζει, ὥστε ἐκ τῶν τοιούτων αὐτοῦ συγγραμμάτων συνάγεσθαι ἄτοπα τεσσαράκοντα καὶ ἕν, ἅτινα ἴδε ἐν τοῖς προλεγομένοις ἐν τῇ Ἀγάπῃ καταβατῷ δεκάτῳ τρίτῳ. ἀθροίζει τοίνυν ὁ Βασιλεὺς δευτέραν Σύνοδον, ἐν ᾗ διαλεχθεὶς ὁ Ἀκίνδυνος μετὰ τοῦ Παλαμᾶ, νικᾶται κατακράτος, καὶ γνωσθεὶς φρονῶν τὰ τοῦ Βαρλαὰμ, καὶ ἔτι τούτων πλείω, καθότι οὐ μόνων εἰς τὸ φῶς τῆς θείας Μεταμορφώσεως ἐβλασφήμει, ἀλλὰ καὶ κατὰ τῶν θείων ἐνεργειῶν ἐχώρει, καθαιρεῖται καὶ αὐτὸς καὶ οἱ σύμφρονες αὐτῷ, καὶ ὑπογράφει καὶ εἰς τοῦτον τὸν Τόμον ὁ Πατριάρχης Ἰωάννης καὶ ἡ περὶ αὐτὸν Σύνοδος ἁπαξάπασα.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς βασιλείας Ἰωάννου Παλαιολόγου, καὶ τῆς αἰτίας δι' ἣν ἀνηγορεύθη Βασιλεὺς ἐν Διδυμοτείχῳ Ἰωάννης ὁ Καντακουζηνὸς, καὶ καθαιρέσεως τοῦ Κωνσταντινουπόλεως Ἰωάννου Καλέκα, καὶ τῆς εἰς Κωνσταντινούπολιν εἰσελεύσεως τοῦ Καντακουζηνοῦ Ἰωάννου καὶ ἀπαριθμήσεως τῶν ὀκτὼ αὐτοῦ ἀρετῶν, καὶ τῆς συνοδικῆς αὖθις καθαιρέσεως καὶ ἐξορίας καὶ ἀνακλήσεως καὶ ἐν τῇ Αἱρέσει τελευτῆς Ἰωάννου τοῦ Καλέκα, καὶ Πατριαρχείας Καλλίστου.

Ἀποθανόντος τοῦ Βασιλέως Ἀνδρονίκου, ἐγένετο διάδοχος τῆς Βασιλείας ὁ υἱὸς αὐτοῦ Ἰωάννης, νέος ἄγαν. ὁ δὲ Φραντζὴς καίπερ ἱστορεῖ πολλὴν κακίαν τοῦ Καντακουζηνοῦ, λέγων ὅτι ἵνα βασιλεύσῃ, προεξένησε μετὰ τοῦ Ὀρχάνη καὶ τῶν Σέρβων καὶ Βουλγάρων μεγάλα κακὰ τοῖς Ῥωμαίοις, ἡμεῖς ὅμως ἑπόμενοι τῷ χρονικῷ αὐτοῦ τοῦ Καντακουζηνοῦ λέγομεν, ὅτι ἡ Βασίλισσα ἡ μήτηρ τοῦ παιδίου καὶ γυνὴ τοῦ Ἀνδρονίκου Ἄννα, τῷ πιστῷ φίλῳ τοῦ ἀνδρὸς αὐτῆς Ἰωάννῃ Καντακουζηνῷ τῷ μεγάλῳ Δομεστίχῳ ἀδίκως καὶ παραλόγως ἐπιβουλεύσασα, ἐπήγαγεν αὐτῷ ἀνάγκην τοσαύτην, ὥστε ἀπογνωσθέντα, καὶ ἄλλως ζῆσαι μὴ δυνηθέντα, βασιλεῦσαι εἰς τὸ Διδυμότειχον εὑρισκόμενον γνώμῃ τοῦ Στρατοῦ καὶ τῶν παρευρεθέντων Ἀρχόντων. ὁ δὲ Κωνσταντινουπόλεως Ἰωάννης γινώσκων τὸν Παλαμᾶν μεγάλον φίλον τοῦ Καντακουζηνοῦ, ἐφυλάκισεν αὐτὸν μετὰ καὶ ἄλλων τινῶν εὑρισκομένων τότε εἰς τὸ Βυζάντιον, τὸν δὲ Ἀκίνδυνον ἐδικαίου, καίτοι αὐτὸς ὁ Ἰωάννης ἦν ὁ ἀθροίσας τὰς δύο Συνόδους κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου, ὃς καὶ παρῆν ὅτε οἱ Αἱρετικοὶ οὗτοι γραφικαῖς ἀνάγκαις καὶ λογικαῖς ἀποδείξεσι κατηχύνοντο, καὶ ὑπέγραψε καὶ εἰς τῶν δύο Συνόδων τοὺς Τόμους, ἔλεγε δὲ μάλιστα ὁ δεύτερος Τόμος, ὅτι οὐμόνον οἱ παρόντες κακόφρονες, ἀλλὰ καὶ εἴτις μεταταῦτα φωραθείη ἀλλοῖα τῆς Συνοδικῆς φρονῶν ἀποφάσεως, ἔστω ὑπὸ παιδείαν. ὑπέγραψε δὲ καὶ εἰς ἐκεῖνον τὸν Τόμον καὶ ὁ Ἱεροσολύμων Πατριάρχης Λάζαρος. περιεῖχε δὲ ὁ Τόμος εἰς πλάτος τὴν ἀσέβειαν καὶ διαστροφὴν τῶν θείων δογμάτων ὑπὸ Βαρλαὰμ καὶ Ἀκινδύνου. τῷ οὖν Ἰωάννῃ τοιαῦτα ποιοῦντι, ἀπέβησαν αὐτῷ εἰς κακὸν ἀπροσδόκητον, ἀθροισθεῖσα γὰρ Σύνοδος εἰς τὰ βασίλεια ὑπὸ τῆς Βασιλίσσης Ἄννης ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ, ἐκάθηρεν αὐτὸν καὶ ὡς Αἱρετικὸν καὶ ὡς βιάζοντα πολλοὺς συμφρονῆσαι αὐτῷ. ἔγραψε δὲ ἡ Σύνοδος καὶ ἀναφορὰν εἰς τὴν Βασίλισσαν, ἧς ἡ ἀρχὴ, Ἀναφορὰ τῶν Ἀρχιερέων πρὸς τὴν κρατίστην καὶ ἁγίαν ἡμῶν κυρίαν καὶ δέσποιναν ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ ἕκτῳ. καὶ δὴ καὶ ὁ Μητροπολίτης Χριστοπόλεως Ἰωάννης ἔγραψε πρὸς τὴν Ἄνναν κατὰ τούτου τοῦ Ἰωάννου τοῦ Καλέκα ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ ἕκτῳ. τῷ αὐτῷ ἔτει ἔγραψε πρὸς Ἄνναν κατὰ τοῦ Ἰωάννου τούτου καὶ ὁ Ἐφέσου Ματθαῖος. εὑρίσκονται δὲ ταῦτα τοῦ Ἰωάννου καὶ Ματθαίου τὰ συγγράμματα ἐν τῇ ἐν Βιέννῃ τῆς ἄνω Παννονίας Βιβλιοθήκῃ, τὴν δὲ τῶν Ἀρχιερέων ἀναφορὰν ἴδε ἐν τῇ Ἀγάπῃ ἐν τῷ πίνακι. ἐν τούτοις δὲ καὶ ὁ Καντακουζηνὸς ἰσχύσας, εἰσῆλθεν εἰς τὴν πόλιν, καὶ θέλων δεῖξαι ὅτι κατὰ ἀνάγκην ἐποίησε τὰ γενόμενα, οὐδένα ἠνώχλησε τῶν μαχομένων αὐτῷ, ἀλλὰ πάντα αὐτοῖς συνεχώρησε, καὶ δοὺς τὴν θυγατέρα αὐτοῦ τῷ Βασιλεῖ Ἰωάννῃ εἰς γυναῖκα, εἰρηνεύσας ἡσύχασεν. Ὀκτὼ δὲ ἀρεταὶ συνάγονται αὐτοῦ εἰς τὴν ὑπόθεσιν τῆς βασιλείας, πρώτη, ὅτι πολλάκις εἶπε τῷ Ἰωάννῃ ὁ Ἀνδρόνικος συμβασιλεῦσαι αὐτῷ καὶ οὐκ ἠθέλησε. Δευτέρα, ὅτι

ὅτι μετὰ τὸν ἐκείνου θάνατον παρῃτεῖτο εἶναι καὶ Δομέστιχος. Τρίτη, ἐδέετο τῆς βασιλείας ἡσυχάσαι, εἰ καὶ οὐκ εἰσηκούσθη. Τετάρτη, ἄρξας, οὐκ ἠμύνατο τοὺς ἀνθισταμένους, ἀλλὰ καὶ τὸν Ἰωάννην γαμβρὸν ἐποίησε καὶ ἐτίμα. Πέμπτη, τὸν Πατριάρχην οὐκ εἰργάσατο κακόν. Ἕκτη, εὐηργέτησε τοὺς ἐχθροὺς αὐτοῦ. Ἑβδόμη, κατ' οὐδένα τρόπον τῷ Βασιλεῖ Ἰωάννῃ ἐπεβούλευσεν οὔτε πρῶτον οὔτε ὕστερον. Ὀγδόη, ὅτι ἐφύλαξε καὶ τῷ Πατριάρχῃ Ἰωάννῃ ἀμνηστείαν, ὅθεν ἐπορεύθη καὶ ἦυρεν αὐτὸν εἰς τὸ κελλίον αὐτοῦ, καὶ εἶπεν αὐτῷ πολλὰ ἵνα ἔλθῃ ἐπὶ Συνόδου τοῦ ἀπολογηθῆναι καὶ ἀθῳωθῆναι, καὶ ἀγνωμονήσαντι ἔστειλεν Ἀρχιερεῖς καὶ εἶπον αὐτῷ ἐλθεῖν εἰς τὴν Σύνοδον, ἀλλ' οὐκ ἦλθε, καὶ ἀφ' οὗ ἐκάλεσαν αὐτὸν οἱ Ἀρχιερεῖς τρὶς, πάλιν ὁ Καντακουζηνὸς μόνος αὐτὸς ἐκάλεσεν αὐτὸν, ὅθεν αὐτοῦ μὴ ἀπαντήσαντος, ἡ Σύνοδος ἐβεβαίωσε τὴν καθαίρεσιν αὐτοῦ. Τόμος γεγονὼς ἐπὶ τῇ καθαιρέσει τοῦ πατριαρχεύσαντος Ἰωάννου τοῦ Καλέκα ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ. ἴδε βιβλίου τρίτου κεφάλαιον ἐννενηκοστὸν ὄγδοον καὶ ἐννενηκοστὸν ἔνατον, καὶ βιβλίου τετάρτου κεφάλαιον τρίτον τῆς ἱστορίας τοῦ Καντακουζηνοῦ. ἔγραψε δὲ ὁ Καντακουζηνὸς πρόσταγμα βεβαιοῦν τὴν καθαίρεσιν τούτου τοῦ Ἰωάννου, ὅπερ ἐθήκαμεν ἐν τῇ ἀρχῇ τοῦ Τόμου τῆς Ἀγάπης. προεβλήθη οὖν Πατριάρχης Κάλλιστος ἁγιορίτης, ἁγιώτατος ἄνθρωπος, ὁ δὲ Ἰωάννης φατριάζων, ἐξωρίσθη εἰς Διδυμότειχον, καὶ μὴ δυνηθεὶς ὑποφέρειν τὴν μόνωσιν, ἀρρωστεῖ, φιλανθρωπευσάμενος δὲ ὁ Καντακουζηνὸς, ἔφερεν αὐτὸν εἰς τὸ Βυζάντιον, ἵνα πως ἰατρευθῇ, ἀλλὰ νικηθεὶς ὑπὸ κενοδοξίας, καὶ περιαλγὴς γενόμενος περὶ τῶν συμβάντων αὐτῷ ὑπὸ τῆς ἀγνωσίας αὐτοῦ, τελευτᾷ κακῶς, καὶ ἀπήχθη εἰς τὰ ἐκεῖσε δικαιωτήρια.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ κατὰ Βαρλαὰμ συνοδικοῦ ἀναθεματισμοῦ, καὶ τῆς τοῦ Ἐφέσου καὶ τοῦ Γάνου καὶ τοῦ Νικηφόρου Γρηγορᾶ κατακρίσεως καὶ ἄλλων ἐπ' ἀριστείᾳ τοῦ Παλαμᾶ, καὶ περὶ τῶν ὑπογραψάντων ἐν τῷ Τόμῳ τῆς Συνόδου.

Ὁ Καντακουζηνὸς εἰρηνικῶς διάγων μετὰ τοῦ γαμβροῦ, ἐφρόντιζε καὶ τῆς καθαρότητος τῶν ἐκκλησιαστικῶν θείων δογμάτων. καὶ δὴ καὶ τὸν Ἀκίνδυνον κρυπτόμενον ἐθάρρυνε, καὶ ἐξῆλθεν εἰς τὸ φανερὸν, καὶ περιεποιεῖτο αὐτὸν, καὶ ἔλεγεν αὐτῷ μὴ φοβεῖσθαι τινὰ, ἀλλὰ λαλεῖν τὰ δοκοῦντα ἀνυποστόλως, ἀγωνιζόμενον ὑπὲρ τῆς ἀληθείας, καὶ περὶ τῶν παρεληλυθότων εἶναι ἀνεπηρέαστον. ἐν τούτοις συμβαίνει καὶ ἄλλό τι. Ὅτε ἐκλέχθη ὁ Κάλλιστος Πατριάρχης, ἐνόμιζον προτιμηθῆναι καὶ πατριαρχεῦσαι ὁ Ἐφέσου καὶ ὁ Γάννου, καὶ ἀποτυχόντες, πεισματικῶς φερόμενοι κατὰ τῆς Ἐκκλησίας, συμφρονοῦσιν Ἀκινδύνῳ. γίνεται οὖν Σύνοδος εἰς τὰ ἐν Βλαχέρναις βασίλεια, καὶ διαλέγονται μετὰ τοῦ Παλαμᾶ ὁ Ἐφέσου, ὁ Γάννου, καὶ ὁ Ἀκίνδυνος καὶ ὁ Νικηφόρος Γρηγορᾶς καὶ ὁ Δεξιὸς καὶ Μοναχοί τινες φιλόσοφοι, γνωσθέντες δὲ φρονεῖν τὰ Βαρλαὰμ, πάντες κατεκρίθησαν, καθότι οἱ μὲν καθῃρέθησαν, οἱ δὲ ἀνεθεματίσθησαν, καὶ γράφεται συνοδικὸς Τόμος τρίτος ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ πεντηκοστῷ. κατεδικάσθη δὲ πάλιν καὶ ὁ ἐκβληθεὶς Ἰωάννης Πατριάρχης. ὑπέγραψε δὲ τὸν Τόμον τοῦτον καὶ ὁ Βασιλεὺς Ἰωάννης ὁ Παλαιολόγος καὶ Ἀρχιερεῖς τριάκοντα καὶ Κληρικοὶ καὶ μεταταῦτα ὁ Πατριάρχης ἱεροσολύμων Λάζαρος. εἶτα εἰς τὴν ἁγίαν Σοφίαν ἱερουργοῦντος τοῦ Πατριάρχου Καλλίστου, ὁ Βασιλεὺς ὁ Καντακουζηνὸς φορέσας τὴν βασιλικὴν στολὴν, εἰσῆλθεν ἔνδον εἰς τὸ ἅγιον βῆμα, καὶ ἔδωκε τὸν Τόμον εἰς χεῖρας τοῦ Πατριάρχου. ἐγένετο δὲ καὶ πρόσταγμα, ἵνα μηδεὶς περὶ τῆς ὑποθέσεως ταύτης μήτε διαλέγηται μήτε συγχράφῃ, ὅθεν πολλοὶ παρακούσαντες, ἐβλήθησαν εἰς δεσμά.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῶν μεταπεσόντων εἰς χεῖρας τοῦ Βασιλέως συγγραμμάτων τοῦ Νικηφόρου Γρηγορᾶ, κατὰ τῆς Ἐκκλησίας καὶ κατὰ τῶν Τόμων τῶν Συνόδων ὄντων, καὶ τῆς ἀπολογίας τοῦ Βασιλέως ὑπὲρ τῆς Ἐκκλησίας καὶ τῶν Τόμων καὶ ἑαυτοῦ.

Ὁ δὲ Γρηγορᾶς, καίτοι ἀπηγορευμένου ὄντος τοῦ λέγειν καὶ γράφειν, οὐκ ἔπαυε γράφειν εἰς Τραπεζοῦντα, εἰς Κύπρον καὶ εἰς ἄλλους τόπους, καὶ διαστρέφειν τοὺς πιστοὺς, λέγων πολλὰ κατά τε τοῦ ἱεροῦ Τόμου καὶ τοῦ Παλαμᾶ, ἐκαυχᾶτο δὲ καὶ πολλὰ, ἐξ ὧν λαλῆσαι φανερῶς οὐκ ἦν ἄξιος, κατέτρεχε δὲ καὶ τοῦ Βασιλέως εἰς πολλά. ἐπειδὴ δὲ ἦλθον τὰ συγχράμματα καὶ εἰς χεῖρας τοῦ Βασιλέως, ἐποίει ἀπολογίαν ὁ Βασιλεὺς περὶ μὲν τῆς Ἐκκλησίας, ὅτι καὶ αὐτὸς ὁ Γρηγορᾶς ἐμέμφετο καὶ ὡς αἱρετικὰ εἶχε τὰ καινοτομήματα τοῦ Βαρλαὰμ μετὰ πολλῆς ἐπιμελείας εἰς τὸν ἐπιτάφιον, ὅνπερ ἐποίησε καὶ εἶπεν εἰς Ἀνδρόνικον τὸν Βασιλέα. περὶ δὲ τῶν ἐν τῷ Ἄθωνι Μοναχῶν, οὓς ἔλεγεν ὅτι ἦσαν σπάταλοι καὶ μέθυσοι, ὅτι ἐκείνων ὁ ἀνάρετος βίος ἐστὶ πασίδηλος, καὶ ἡ ἁγιότης αὐτῶν διαλάμπει. περὶ δὲ ἑαυτοῦ, πρῶτον, ὅτι μάρτυς ἡ Μονὴ τοῦ Βατοπεδίου εἰς ἣν ἐμελέτα μονάσαι. δεύτερον, ὅτι καὶ αὐτὸς ὁ Γρηγορᾶς εἰς τὸν

τὸν καιρὸν τοῦ πολέμου ἔγραφε καὶ ἐδικαίου αὐτὸν καὶ ἐπαίνει. τρίτον, ὅτι καὶ Ἄννα ἡ Βασιλὶς καὶ ἄλλοι μαρτυροῦσιν, ὅτι ἦν πιστότατος εἰς τὸν οἶκον τοῦ Ἀνδρονίκου, ἀλλ' ἀνάγκῃ βιασθεὶς, ἐβασίλευσε. περὶ δὲ τοῦ τρίτου Τόμου ἔλεγεν, ὅτι οὐδὲν ἔχει καινὸν καὶ ἀπάδον τῶν πρὸ αὐτοῦ δύο Τόμων. ἐδείκνυεν οὖν παντα-χόθεν ἄπιστα καὶ ὅλως ψευδῆ τὰ τοῦ Γρηγορᾶ, καὶ δὴ καὶ τὰ συγγράμματα ἐθριάμβευσεν. ὁ δὲ Γρηγορᾶς καίτοι προφασιζόμενος ὅτι τὰ περὶ τοῦ Βασιλέως οὐκ εἰσὶν ἑαυτοῦ, ἤκουσεν ὅμως, ὅτι δώσει τὴν ἀπολογίαν ἐν τῷ φρικτῷ τοῦ Χριστοῦ βήματι.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ αἰτίου τῆς πρώτης καὶ δευτέρας χρίσεως τοῦ Ἰωάννου Καντακουζηνοῦ, καὶ τῶν τὴν ἁγίαν Σοφίαν ἀνακαινισάντων, καὶ τοῦ αἰτίου τῆς φυγῆς τοῦ Πατριάρχου Καλλίστου, καὶ Πατριαρχείας Φιλοθέου καὶ ἀναχωρήσεως διὰ τὸ βασιλεῦσαι Ἰωάννην τὸν Παλαιολόγον, καὶ τῶν ἐν τῷ θρόνῳ ἐναλλάξεων Καλλίστου καὶ Φιλοθέου, καὶ τῆς τελευτῆς Καλλίστου, καὶ τῶν κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου συγγραψάντων, καὶ περὶ τῶν ἑπτὰ μερῶν τοῦ Ὅρου τῆς κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου Συνόδου, καὶ τῆς ἐν αὐτοῖς διακρίσεως οὐσίας Θεοῦ καὶ ἐνεργείας, καὶ τῆς Θεὸς φωνῆς, καὶ τῶν ὑπὲρ τοῦ Ὅρου τῆς Συνόδου καὶ τοῦ Θαβωρίου φωτὸς, καὶ ὑπὲρ τοῦ δόγματος τοῦ Βαρλαὰμ συγγραψάντων.

Σημείωσαι, ὅτι ὁ Καντακουζηνὸς χρισθεὶς εἰς Ἀδριανούπολιν ὑπὸ τοῦ Ἱεροσολύμων Λαζάρου, διὰ τὴν ὑπόληψιν τῶν πολλῶν ἐχρίσθη δεύτερον εἰς τὸν Ναὸν τῆς Βλαχέρνας ὑπὸ Ἰσιδώρου Πατριάρχου. οὐκ ἐγένετο δὲ ἡ χρίσις εἰς τὴν ἁγίαν Σοφίαν, ὅτι ἦν εἰς πολλοὺς τόπους ἑτοίμη καταπεσεῖν, ἣν καὶ ἀνεκαίνισεν ἡ Βασιλὶς Ἄννα καὶ ὁ Καντακουζηνὸς, καὶ τελευταῖον ὁ Παλαιολόγος Ἰωάννης. δεύτερον, ὅτι τοῦ Καντακουζηνοῦ βουληθέντος χρίσας τὸν υἱὸν αὐτοῦ Ματθαῖον Βασιλέα, ὁ Πατριάρχης Κάλλιστος χαριζόμενος τῷ Βασιλεῖ τῷ Παλαιολόγῳ, οὐκ ἤθελεν αὐτὸν χρίσαι, ἀλλ' ἔφυγεν εἰς Τένεδον εἰς Ἰωάννην τὸν Βασιλέα, καὶ προχειρίζεται συνοδικῶς Πατριάρχης ὁ Ἡρακλείας Φιλόθεος. ἐλθόντος δὲ τοῦ Ἰωάννου καὶ παραλαβόντος τὴν βασιλείαν, ὁ Φιλόθεος αἰεχώρησε τοῦ Πατριαρχείου, καὶ ἐκάθισεν ἐν αὐτῷ καὶ ἀπρόσκλητος ὁ Κάλλιστος, οὗ σταλέντος εἰς πρεσβείαν τινὰ παρὰ τοῦ Βασιλέως, καὶ ἐκεῖ ἀποθανόντος, ἀνῆλθε πάλιν εἰς τὸ Πατριαρχεῖον ὁ Φιλόθεος κλήσει τοῦ Βασιλέως καὶ τῆς Συνόδου ἐν ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑβδομηκοστῷ δευτέρῳ, ὀκτωβρίου ἑνδεκάτῃ. τρίτον, ὅτι ὑπὲρ τῶν κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου Συνόδων ἔγραψεν ὁ Παλαμᾶς, Θεοφάνης ὁ Νικαίας, ὁ Καντακουζηνὸς ὁ Βασιλεὺς, Γεννάδιος ὁ Σχολάριος καὶ ἄλλοι πολλοὶ, καὶ ὑπὲρ πάντων δὲ τῶν μερῶν τοῦ Ὅρου, ἅτινα εἰσὶν ἑπτὰ, πρῶτον, ὅτι ἐστὶν ἐπὶ Θεοῦ θεοπρεπὴς διάκρισις οὐσίας καὶ ἐνεργείας. δεύτερον, ὅτι ἡ ἐνέργεια αὕτη ἐστὶν ἄκτιστος. τρίτον, ἡ ἄκτιστος ἐνέργεια ἐν τῷ Θεῷ οὐ ποιεῖ σύνθεσιν. τέταρτον, ἡ ΘΕΟΣ φωνὴ εἴρηται ὑπὸ τῶν Θεολόγων ἐπὶ τῆς Θεϊκῆς οὐσίας καὶ ἐπὶ τῆς θείας ἐνεργείας. πέμπτον, ὅτι ἡ οὐσία ὑπέρκειται τῆς ἐνεργείας. ἕκτον καὶ ἕβδομον, ὁ μετέχων Θεοῦ, ἐνεργείας καὶ οὐκ οὐσίας μετέχει. ὑπὲρ τοῦ Ὅρου οὖν κάλλιστα ἔγραψεν ὁ Φιλόθεος, ἀλλὰ δὴ καὶ ὑπὲρ τοῦ ἐν τῷ Θαβωρίῳ φωτὸς, φερόμενος μάλιστα κατὰ Γρηγορᾶ καὶ Ἀγαθαγγέλου. ὑπὲρ δὲ τοῦ δόγματος Βαρλαὰμ Ἕλληνες ἔγραψαν, ὁ σοφιστὴς Γρηγορᾶς, καί τις Πρόχωρος Μοναχὸς φλύαρος, καὶ κατὰ τὸν τρόπον τῶν Λατίνων ὑβριστὴς, βλάσφημος καὶ συκοφάντης ἔγραψε κεφάλαια δεκατέσσαρα, καθ' ὧν ἔγραψεν Ἰωάννης Βασιλεὺς ὁ Καντακουζηνὸς, Ἰωάννης ὁ Κυπαρισσιώτης. καί τις κλώθων τὰ ἄκλωστα σοφιστὴς καὶ αὐτὸς, καὶ οὐδὲν οὔτε λέγων λόγου ἄξιον, οὔτε συμπεραίνων ἀληθὲς, Μανουὴλ ὁ Καλέκας, καθότι ὁ Πατριάρχης Ἰωάννης ὁμαινόμενος κατὰ τοῦ Παλαμᾶ Καλέκας ἐκαλεῖτο τοὐπίκλην, ὅθεν ὁ Μανουὴλ τῷ συγγενεῖ χαριζόμενος ἔγραψεν, ἢ ὡς μαρτυρεῖ ὁ Σχολάριος ἐν τῇ μελέτῃ ἣν ἐποίησεν ὑπὲρ τῆς κατὰ Βέκκου Συνόδου, μαθητὴς ὢν Δημητρίου τοῦ Κυδώνη, ἦν καὶ αὐτὸς Αἱρετικὸς, καὶ ἴδε ἐν τοῖς προλεγομένοις ἐν τῇ Ἀγάπῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Περὶ διαλέξεως τοῦ Βασιλέως Ἰωάννου Καντακουζηνοῦ μετὰ Παύλου πρέσβεως τοῦ Οὐρβανοῦ Πάπα, καὶ ἀποδείξεως τοῦ Βασιλέως, ὅτι κακόφρων ἡ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου Αἵρεσις, καὶ περὶ τοῦ κατὰ Προχώρου καὶ Δημητρίου τοῦ Κυδώνη Τόμου, καὶ τῶν τοὺς κατὰ τοῦ Κυδώνη καὶ Βαρλαὰμ καὶ Ἀκινδύνου Τόμους ὑπογραψάντων καὶ βεβαιωσάντων.

Σημείωσαι, ὅτι ἔτους ἐνεστηκότος ἑβδόμου καὶ ἑβδομηκοστοῦ ἐπὶ τοῦ ὀκτακοσίου καὶ ἑξακισχιλίου, ἧκεν ἐξ Ἰταλίας ἐπὶ Βυζάντιον ἀνὴρ λόγιος Παῦλος ὀνόματι, ὃς δὴ καὶ Πατριάρχην Κωνσταντινουπόλεως ἐπεφήμιζεν ἑαυτὸν, πρεσβείαν ποιούμενος πρὸς Βασιλέα Ἰωάννην τὸν Παλαιολόγον ἐκ τοῦ Πάπα Ῥώμης Οὐρβανοῦ δημοσίων τινῶν χρειῶν ἕνεκα. οὗτος δὴ ὁ Παῦλος πολλὰ καὶ βλάσφημα παρὰ τῶν τὰ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου φρονούντων ἀκηκοὼς, συκοφαντικῶς ἐπαγόντων τῇ τῆς Κωνσταντινουπόλεως

ἁγίᾳ

ἁγίᾳ Ἐκκλησίᾳ, ἐπεζήτει μετὰ σπουδῆς παρά τινος τῶν τοῦ μέρους τῆς Ἐκκλησίας μαθεῖν, εἰ ἄρα ἀληθῆ εἴη τὰ περὶ αὐτῶν λεγόμενα, ἢ μή. τοῦτο δὴ μαθὼν Βασιλεὺς ὁ Καντακουζηνὸς, μετάκλητον ἐποιήσατο τὸν Παῦλον ἐν τῷ Παλατίῳ, καὶ δὶς καὶ τρὶς καὶ πολλάκις αὐτῷ περὶ τῶν ζητουμένων διαλεχθεὶς, ἀπέδειξε τοὺς μὲν μετὰ Ἀκινδύνου καὶ Βαρλαὰμ φρονοῦντας, κακῶς φρονοῦντας, πρὸς τούτοις δὲ καὶ συκοφάντας καὶ ὑβριστὰς οὐ τῆς Κωνσταντινουπόλεως μόνης Ἐκκλησίας, ἀλλὰ καὶ τῶν ἁγίων Διδασκάλων, τὴν δὲ ἁγίαν τῆς Κωνσταντινουπόλεως Ἐκκλησίαν ὀρθὰ φρονοῦσαν καὶ σύμφωνα πᾶσι τοῖς ἁγίοις. αἱ δὲ διαλέξεις τούτων εὑρίσκονται πᾶσαι, καὶ ἐλπίζομεν, θεοῦ εὐδοκοῦντος, ἢ ὑφ' ἡμῶν ἢ ὑπὸ τῶν μεθ' ἡμᾶς τυπωθήσεσθαι. σημείωσαι δεύτερον, ὅτι τοῦ ῥηθέντος Προχώρου τοῦ Κυδώνη ἀχθέντος εἰς Κωνσταντινούπολιν ἀπὸ τοῦ Ἄθωνος, καὶ ἐξετασθέντος καὶ ἀναφανέντος Αἱρετικοῦ κατὰ Βαρλαὰμ καὶ Ἀκίνδυνον, ἐγένετο Τόμος κατ' αὐτοῦ, ὅντινα καὶ πάντας τοὺς Τόμους τοὺς γενομένους κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου ἐβεβαίωσαν ὑπογράψαντες ἐν αὐτοῖς ὅ,τε Πάπας Ἀλεξανδρείας Νήφων καὶ ὁ Πατριάρχης Ἱεροσολύμων Λάζαρος. σημείωσαι τρίτον, ὅτι οἱ Λατῖνοι κατηγοροῦσι τοῦ ἁγίου Γρηγορίου τοῦ Παλαμᾶ ἐν πολλοῖς, καὶ τὸν ἅγιον Φιλόθεον Κωνσταντινουπόλεως Πατριάρχην λέγουσι πατριαρχεῦσαι παρανόμως, ἀλλὰ καὶ περὶ τούτων, καὶ περὶ τῶν γενομένων Τόμων ἴδε τὰ προλεγόμενα ἐν τῷ Τόμῳ τῆς Ἀγάπης.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς εἰς Βενετίαν, Φράντζαν, καὶ Κάρολον τὸν τέταρτον ἐκπλεύσεως τοῦ Βασιλέως Ἰωάννου Παλαιολόγου χάριν βοηθείας, καὶ τῆς αὐτοῦ ἀποτυχίας καὶ καθέξεως ὑπὸ τῶν Βενετίκων ἕνεκεν ὧν ἐχρεώστει αὐτοῖς ἀργυρίων, καὶ ἀπαλλαγῆς ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Μανουήλ, καὶ περὶ τῶν φλυάρων κατὰ τῶν Ἑλλήνων συγγραμμάτων Δημητρίου τοῦ Κυδώνη.

Σημειοῖ δὲ ὁ Λαόνικος καὶ ὁ Φραντζὴς, ὅτι ὁ Βασιλεὺς Ἰωάννης ἰδὼν τὰ Ῥωμαίων ταπεινούμενα, τὰ δὲ τῶν Ὀθωμανῶν αὐξανόμενα, ἔπλευσεν εἰς Βενετίαν, κἀκεῖθεν εἰς Φράντζαν καὶ εἰς Κάρολον τὸν τέταρτον χάριν βοηθείας. ἀλλ' οἱ μὲν Βενέτικοι ἀπείπαντο τρόποις παντοίοις τὴν βοήθειαν, οἱ Φράγγοι δὲ εὑρισκόμενοι εἰς ἀλλεπαλλήλους μάχας, κατ' οὐδὲν αὐτὸν ὠφέλησαν, ὥστε πρὸς τῇ ἀποτυχίᾳ, καὶ ὑπόχρεως γέγονε τὰ μέγιστα, καὶ ἐκρατεῖτο ὑπὸ τῶν Βενετίκων διὰ τὰ δάνεια, ὡς φησὶν ὁ Λαόνικος, καὶ μόλις ἀφείθη ἐλευθερωθεὶς ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Μανουήλ. ὑπέστρεψεν οὖν ἄπρακτος εἰς Βυζάντιον. ἦν δὲ τότε Πατριάρχης εἰς Κωνσταντινούπολιν ὁ Φιλόθεος. εἰς ἐκείνην δὲ τὴν ἀποδημίαν τοῦ Βασιλέως εἰς Ἰταλίαν, συνέθετο λόγον συμβουλευτικὸν Δημήτριος ὁ Κυδώνης, παρακινῶν τοὺς Ἕλληνας κλῖναι εἰς παπισμὸν, ἵνα δῆθεν τύχωσι βοηθείας παρὰ τῶν Λατίνων. ἐπῄνεσε δὲ ὁ ἀποστάτης τοὺς Λατίνους, τῶν δ' Ἑλλήνων κατέδραμε, πολλὰ φλυαρήσας. οἱ Ἕλληνες μέντοιγε προέκριναν τὴν ἐθνηκὴν δουλείαν τῆς παπικῆς Αἱρέσεως, καίπερ καὶ εἰ ἔκλινον εἰς τὸν παπισμὸν, οὐδὲν ὠφελοῦντο, ὅτι εἶχον καὶ οἱ Λατῖνοι οἰκεῖα κακὰ, ὡς εἴρηται, καὶ ἴδε τὸν Φραντζὴν εἰς τὸ δωδέκατον καφάλαιον τοῦ πρώτου βιβλίου, τὰ δὲ ἔσχατα τοῦ Κυδώνη τούτου ἴδε ἐν τῇ Ἀγάπῃ καταβατῷ ἐνάτῳ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ Κλήμεντος καὶ οὐρβανοῦ τῶν Παπῶν, καὶ τῆς ἕνεκεν ἑνώσεως τῶν Ἐκκλησιῶν μελέτης αὐτῶν μετὰ τοῦ Καντακουζηνοῦ, καὶ περὶ τοῦ πῶς γίνεται Οἰκουμενικὴ Σύνοδος.

Ὁ Πάπας τῆς Ῥώμης Κλήμης ὁ ἑκτὸς ἀγαπῶν δῆθεν τὸ τῶν Ῥωμαίων καλὸν, ἐμέμφετο τὸν Καντακουζηνὸν, ὅτι βασιλεύσας καὶ προθυμούμενος ἀγαγεῖν τὴν γνώμην αὐτοῦ εἰς τέλος, ἐκίνησε πολέμους, ἐν οἷς εἶχε καὶ Τούρκους βοηθοὺς, οἵτινες ἐλεηλάτουν καὶ κατεδούλουν πάλιν Ῥωμαίους. ὅθεν καταπαύσας τῶν πολέμων καὶ ἀνεθεὶς εἰς τὸ Βυζάντιον ὁ Καντακουζηνὸς, ἔστειλε πρέσβεις εἰς τὸν Κλήμεντα, πῇ μὲν ἀπολογούμενος διὰ τὸν πόλεμον καὶ τὴν χρῆσιν τῶν Σαρακηνῶν, πῇ δὲ δεόμενος διὰ τὴν μελετωμένην ὑπὸ τῶν Ἰταλιωτῶν καὶ ἄλλων Ἀρχηγῶν τῆς Δύσεως ἔφοδον κατὰ τῶν Ἀγαρηνῶν, ἵνα ἐπιμεληθῇ γενέσθαι αὐτὴν ἐν τάχει. ἐδέξατο δὲ ὁ Κλήμης φιλοτίμως τοὺς βασιλικοὺς πρέσβεις, καὶ ἀνταπέστειλε πρέσβεις δύο Ἐπισκόπους, καὶ ἐπῄνει αὐτὸν ποιήσαντα ἀμνηστείαν ὡς Χριστιανὸν, καὶ μὴ κακοποιήσαντα οὔτε τὸν Κομνηνὸν Ἰωάννην καὶ τὴν μητέρα, οὔτε τοὺς ἄλλους αὐτοῦ ἐχθρούς. περὶ δὲ τοῦ πολέμου τῶν Δυτικῶν κατὰ τῶν Ἀγαρηνῶν ἔγραψεν αὐτῷ, ὅτι εἰ καὶ οἱ πρὸ αὐτοῦ παρεκινήθησαν εἰς τοῦτο τὸ ἔργον, ἀλλὰ αὐτὸς μᾶλλον ἐπιμεληθήσεται ἵνα λάβῃ τὸ πρόσφορον τέλος, εἰ δὲ καὶ φανῇ εὔλογον, πρὸς τοῖς ἄλλοις ἀγαθοῖς γινέσθω φροντὶς καὶ διὰ τὴν ἕνωσιν τῶν Ἐκκλησιῶν. ὁ δὲ Βασιλεὺς ἀπεκρίθη, ὅτι περὶ μὲν τῶν ἐθνικῶν ἕτοιμός ἐστι καὶ ὅπλοις καὶ χρήμασι,

μασι, καὶ στρατεύμασι συμμαχῆσαι, καὶ δὴ καὶ ἐν πλοίοις διαπερᾶσαι εἰς τὴν Ἀνατολὴν τὸ Στράτευμα. περὶ δὲ τῆς ἑνώσεως, ὅτι εἰ ἐδέησεν αὐτὸν καυθῆναι καὶ γενέσθαι τέφραν, τοῦτο ὑπέμενεν ἂν, εἰ μόνον ἡ ἕνωσις ἐγίνετο, πλὴν γενέσθαι μετὰ σκέψεως καὶ τρόπου ἁρμοδίου, καὶ γὰρ ἄτοπόν ἐστι, τοὺς μὲν ἀνθρώπους βουλεύεσθαι περί τινων πολιτικῶν μετὰ σκέψεως πολλῆς, περὶ δὲ τῶν μεγίστων ζητεῖν συμπεραίνειν ἀπερισκέπτως, καθὼς οἱ τὰ πρῶτα τὴν διάστασιν πεποιηκότες πιστεύσαντες μόνοις ἑαυτοῖς, ἔσχισαν, ὅμως οὐκ ἐποίησεν οὕτως ὁ Παῦλος, ἀλλ' ἐκοινοῦτο τὸ Εὐαγγέλιον, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος φανείη, ὅθεν καὶ ὁ Κομνηνὸς Μιχαὴλ ποιήσας οὕτως, οὐκ ἐποίησεν ἕνωσιν, ἀλλὰ διάστασιν προεξένησε μείζονα, καθότι ἡ βία κακόν. λοιπὸν δεῖ συναχθῆναι τοὺς Ἀνατολικοὺς καὶ Δυτικοὺς πατέρας εἰς Σύνοδον Οἰκουμενικὴν, καὶ ἐστὶ πιστὸς ὁ Θεὸς, μὴ ἀφιέναι αὐτοὺς πλανηθῆναι. εἶτα ἐπειδὴ κατὰ τὴν ἀρχαίαν συνήθειαν, ὅτε ἦν ἥ τε Ἀνατολὴ καὶ Δύσις ὑπὸ τὴν Κωνσταντινούπολιν, ἐνταῦθα ἔδει γενέσθαι τὴν Σύνοδον, ἀλλ' ἐπειδὴ τὸν μὲν πάπαν ἐλθεῖν ἐνταῦθα, ἐστὶν ἀδύνατον, ἐμὲ δὲ ἀπελθεῖν εἰς τὴν Ἰταλίαν, καὶ ἐστὶν ὁμοίως ἀδύνατον διὰ τοὺς πολέμους, ἔστω τῆς Συνόδου ὁ τόπος εἰς τὰ μεθόρια, καὶ ἐλθέτω ἐκεῖσε ὁ Πάπας μετὰ τῶν δυτικῶν, καὶ ἔρχομαι καὶ ἐγὼ μετὰ τῶν Πατριαρχῶν, καὶ λοιπὸν ἐὰν φανῇ αὕτη ἡ γνώμη ἀρεστὴ, γινέσθω μοι εἴδησις παραυτίκα. ἔστειλε δὲ ὁ Κλήμης ἀπόκρισιν, ὅτι οὕτως ἔστω, πλὴν γίνεται ἀναβολὴ τῆς Συνόδου οὐδὶ ἄλλο, ἀλλὰ διὰ πόλεμον συμβάντα εἰς Ἰταλίαν, καὶ ἐστὶ χρεία ὡς πνευματικὸς πατὴρ ἵνα ἔχῃ εὐκαιρίαν παραινέσαι τὰ πρὸς εἰρήνην, ἔπειτα φροντίσει διωρισθῆναι τὸν τόπον καὶ τὸν τρόπον τῆς Συνόδου. ὁ δὲ Βασιλεὺς ἀνταπεκρίθη, ὅτι οὐκ ἔστι δίκαιον τοιούτου ἕνεκεν πολέμου περιορᾶν τὸ καλὸν τῆς ἑνώσεως τῶν Ἐκκλησιῶν. ἀλλ' ἐν τούτοις θνήσκει ὁ Κλήμης, καὶ οἴχονται καθάπαξ αἱ ἐλπίδες καὶ τῆς κατὰ Σαρακηνῶν ἐφόδου καὶ τῆς ἑνώσεως τῶν Ἐκκλησιῶν, καὶ ἴδε περὶ τούτων τὴν ἱστορίαν τοῦ Καντακουζηνοῦ βιβλίῳ τετάρτῳ κεφαλαίῳ ἑνάτῳ. ἀλλὰ καὶ ὁ Πάπας Οὐρβανὸς ὁ εἶτος ἔστειλεν εἰς Βυζάντιον ἐπιστολὴν, ἥ τις ἀνεγνώσθη εἰς τὸ Ἱπποδρόμιον ἐν ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑβδομηκοστῷ ἑβδόμῳ, Ὀκτωβρίου εἰκοστῇ, ἀλλὰ καὶ ταῦτα οὐδὲν ὠφέλησαν τοὺς Ῥωμαίους, ἢ διὰ τὰς ἐν Ἰταλίᾳ συγχύσεις, ἢ διότι ἐκείνῳ τῷ ἔτει καὶ ὁ Οὐρβανὸς ἐτελεύτησε.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς ἐν Ἱεροσολύμοις Πατριαρχείας Λαζάρου, καὶ ἐπιδημίας αὐτοῦ εἰς Κωνσταντινούπολιν, καὶ τῆς κατ' αὐτοῦ ῥαδιουργίας Γερασίμου, τοῦ καὶ λαβόντος τὸν θρόνον αὐτοῦ, καὶ ἧς ἔπαθε βίας κεκρυμμένος ὢν ἐν τῷ Γαλατᾷ ὑπὸ τῶν παπιστῶν ἐπὶ τὸ παπίσαι ὁ Γεράσιμος, καὶ ὅπως ἔλαβεν αὖθις τὸν θρόνον αὐτοῦ διὰ τῆς Ἰωάννου Καντακουζηνοῦ πρὸς τὸν τῆς Αἰγύπτου Σουλτᾶνον πρεσβείας.

Ἐπὶ τοῦ εἰρημένου Ἀνδρονίκου ἡ ἐν τῇ ἁγίᾳ πόλει Σύνοδος ψήφῳ κανονικῇ προέβαλεν Ἱεροσολύμων Πατριάρχην Λάζαρόν τινα ἁγιώτατον ἄνθρωπον, οὗ ἐλθόντος εἰς Κωνσταντινούπολιν προβληθῆναι, ἢ βεβαιωθῆναι καὶ ὑπὸ τοῦ Βασιλέως κατὰ τὴν συνήθειαν, Γεράσιμός τις Ἱεροσολυμίτης μετὰ καὶ ἄλλων τινῶν πλάττει κατηγορίας κατὰ τοῦ Λαζάρου πρὸς καθαίρεσιν. ὁ δὲ Βασιλεὺς ἀμφιβάλλων περὶ τῶν ἐγκαλουμένων, ὥρισε τὸν Λάζαρον καθέζεσθαι εἰς τὸ Βυζάντιον ἕως ἂν ἐξετασθῶσιν τὰ κατ' αὐτοῦ, εἶτα στέλλει πρεσβείαν εἰς τὸν Σουλτᾶνον Αἰγύπτου περὶ τῶν ἐκεῖσε Χριστιανῶν, καὶ περὶ τοῦ ἀπελθεῖν εἰς Ἱεροσόλυμα καὶ τὸν Λάζαρον, καθότι χωρὶς τοῦ ἐκείνου ὁρισμοῦ οὐδεὶς Ἐπίσκοπος δύναται εἶναι εἰς τὴν Ἐπισκοπὴν αὐτοῦ, καὶ παρήγγελε τῷ πρέσβει ἵνα φροντίσῃ εἰς Ἱερουσαλὴμ ἐξετασθῆναι κανονικῶς τὰ κατὰ τοῦ Πατριάρχου εἰρημένα. ἀλλ' ἐν τούτοις θνήσκει ὁ Ἀνδρόνικος, καὶ κινεῖται ὁ πόλεμος τοῦ Καντακουζηνοῦ, καὶ νομισθεὶς ὁ Λάζαρος φρονεῖν τὰ Καντακουζηνοῦ, ὑπὸ ζηλοτυπίας τοῦ ἐχθροῦ πάντων τῶν καλῶν Ἰωάννου Κωνσταντινουπόλεως τοῦ Καλέκα, καθαιρεῖται παρὰ Κανόνας, καὶ χειροτονεῖται Ἱεροσολύμων ὁ κατήγορος Γεράσιμος. ὁ οὖν Λάζαρος διὰ τὴν πρὸς τὸν Καντακουζηνὸν οἰκειότητα μονωθεὶς καὶ ὑστερούμενος, ἠβουλήθη εἰς Διδυμότειχον, ὅπου ἦν ὁ Καντακουζηνὸς, ἀπελθεῖν, καὶ δὴ περαιοῦται εἰς τὸν Γαλατᾶν, ἵνα ἐκεῖθεν ἀποδημήσῃ. ἀλλ' ὁ Ἰωάννης καὶ οἱ Συγκλητικοὶ ἐζήτουν αὐτὸν παντοίοις τρόποις παρὰ τῶν ἐν Γαλατᾷ Λατίνων, οἱ δὲ πάντολμοι Λατῖνοι παρεκίνουν αὐτὸν Παπίσαι, καὶ τιμᾶν αὐτὸν, καὶ σημειῶσαι καὶ τῷ Πάπᾳ εὐεργετῆσαι αὐτὸν τὰ μέγιστα, εἰ δὲ μὴ, διδόασιν αὐτὸν τοῖς ζητοῦσιν. ὁ δὲ Λάζαρος καταγελάσας αὐτῶν τῆς ἀνοίας, δίδοται τοῖς ζητοῦσι δεσμώτης. ὁ Ἰωάννης δὲ εὐλαβηθεὶς αὐτοῦ τὴν πρὸς Λατίνους ἔντασιν, δέχεται εὐλαβῶς, καὶ λίαν ἀγαπητικῶς, καὶ ὁμολογητὴν εἰπὼν, ἀφῆκεν εἰρηνικὸν, καὶ γὰρ ὁ Ἰωάννης μόνῃ τῇ τοῦ Βαρλαὰμ Αἱρέσει ὑπέπεσεν, ἐν δὲ τοῖς λοιποῖς ἦν καὶ πάντα ὁμόδοξος τῇ καθολικῇ Ἐκκλησίᾳ. ἀλλὰ πάλιν ὁ Λάζαρος ὑστερούμενος, ἀπῆλθεν εἰς τὸν Καντακουζηνὸν, καὶ ὅτε ἐκεῖνος ἦλθεν εἰς τὸ Βυζάντιον, συνῆλθε

κἀκεῖνος

κἀκεῖνος, καὶ μεταταῦτα ἔστειλεν ὁ Βασιλεὺς πρεσβευτὴν εἰς τὸν Σουλτᾶνον Αἰγύπτου τὸν Σεργόπουλον Μανουὴλ, καὶ στέλλει καὶ τὸν Πατριάρχην ὁμοῦ, καὶ γράφει τῷ Σουλτάνῳ, ἵνα τὸν μὲν Λάζαρον ἀποκαταστήσῃ εἰς τὸν θρόνον τῶν Ἱεροσολύμων, τὸν δὲ Γεράσιμον ἀποδιώξῃ. ὁ δὲ Σουλτᾶνος ἀσμένως δεχθεὶς τὴν πρεσβείαν, ἀποκαθιστᾷ Λάζαρον, ἀπελαύνει δὲ τὸν παράνομον Γεράσιμον, ἐπιτρέψας προσέτι καὶ τοῖς ἐν τῇ Παλαιστίνῃ Χριστιανοῖς εἰρηνικῶς ἔχειν. ὁ δὲ Γεράσιμος ἐρχόμενος εἰς τὸν Σουλτᾶνον τοῦ κατασκευάσαι πάλιν κατὰ τοῦ Λαζάρου ψευδῆ τινὰ, θνήσκει καθ' ὁδὸν, τῆς δικαίας τοῦ Θεοῦ ἀγανακτήσεως πιὼν τὸ ποτήριον. ἐπιστραφέντος οὖν τοῦ πρέσβεως εἰς τὴν Κωνσταντινούπολιν, ἔγραψεν ὁ Σουλτᾶνος τὸ παρὸν γράμμα πρὸς τὸν Βασιλέα.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς πρὸς τὸν Βασιλέα Ἰωάννην Καντακουζηνὸν ἐπιστολῆς τοῦ τῆς Αἰγύπτου Σουλτάνου, καὶ ὧν περιέχει.

Εἰς τὸ ὄνομα τοῦ Θεοῦ τοῦ ἐλεοῦντος καὶ ἐλεήμονος. Μακροημερεύσοι ὁ Θεὸς ὁ ὕψιστος πάντοτε τὰς ἡμέρας τῆς βασιλείας τοῦ μεγάλου, τοῦ εὐεργετικοῦ, τοῦ φρονίμου, τοῦ λέοντος, τοῦ Ἀνδρείου, τοῦ ἐν πολέμοις ὁρμητικοῦ, εἰς ὃν οὐ δύναταί τις στῆναι ἔμπροσθεν αὐτοῦ, τοῦ σοφωτάτου εἰς τὸ δόγμα αὐτοῦ, τοῦ δικαιοτάτου εἰς τὸν τόπον καὶ τὴν χώραν αὐτοῦ, τοῦ θεμελίου τῆς πίστεως καὶ τοῦ δόγματος τῶν Χριστιανῶν, τοῦ στύλου τοῦ ἀσείστου ἁπάντων τῶν βεβαπτισμένων, τοῦ βοηθοῦ τῶν δογμάτων τοῦ Χριστοῦ, τῆς σπάθης τῶν Μακεδόνων, τοῦ Σαμψὼν, τοῦ Βασιλέως τῶν Ἑλλήνων, τοῦ Βασιλέως τῶν Βουλγάρων, τῶν Ἀσανίνων, τῶν Βλάχων, τῶν Ῥώσων καὶ τῶν Ἀλανῶν, τῆς τιμῆς τοῦ δόγματος τῶν Ἰβήρων καὶ τῶν Σύρων, τοῦ κληρονόμου τῆς βασιλείας τῆς γῆς αὐτοῦ, τοῦ Αὐθέντου τῶν θαλασσῶν καὶ τῶν ποταμῶν τῶν μεγάλων καὶ τῶν Νήσων, ἀγγέλου Κομνηνοῦ Παλαιολόγου τοῦ Καντακουζηνοῦ. Πάντοτε ἡ βασιλεία σου τὸ θέλημα αὐτῆς ζητείτω ἀπὸ τῆς σουλτανικῆς μου ἐξουσίας καὶ ἀπὸ τῆς οἰκίας ἡμῶν τῆς ἡγιασμένης καὶ πεφωτισμένης, ἵνα καὶ πάσῃ δυνάμει ὡς ἔχομεν πληρώμεν τὴν ἀγάπην τῆς βασιλείας σου. καὶ καθὼς εὑρίσκετο ἡ ἀγάπη τῶν προγόνων τῆς βασιλείας σου μετὰ τῶν προγόνων τῆς σουλτανικῆς ἐξουσίας μου, καὶ καθὼς ἐπληροῦτο ἡ ὄρεξις τῶν Βασιλέων τῶν προγόνων τῆς βασιλείας σου ἀπὸ τῆς αὐθεντίας ἡμῶν καὶ ἠυχαρίστουν ἡμῖν πάντοτε ἐκεῖνοι, καὶ ἔπεμπον εἰς τὴν ἡγιασμένην αὐλὴν ἡμῶν, καὶ συνετύγχανον ἡμῖν, οὕτω πάλιν εὐεργετείσθω ἡ ἀγάπη τῆς βασιλείας σου, καὶ πληρούσθω ἡ ὄρεξις αὐτῆς ἀπὸ τῆς αὐθεντίας ἡμῶν. καὶ διὰ τὸ ἀποκοπῆναι καὶ μακρυνθῆναι τὴν συνήθειαν ἐκείνην, ἀπεστάλη ἡ γραφὴ αὕτη ἀφ' ἡμῶν ἵνα ἀναγνωσθῇ ἔμπροσθεν τοῦ μεγάλου Βασιλέως εἰς ἔπαινον τῆς προτέρας φιλίας, καὶ εἰς παρακίνησιν τῶν ζητημάτων, ἅπερ πάντοτε μετὰ χαρᾶς ἔστωσαν πεπληρωμένα, καὶ πλείονα γινέσθωσαν, καὶ δέχεσθαι ἡμᾶς ὅσα ἔρχονται ἀφ' ὑμῶν εἰς τὸν πλατυσμὸν τῆς καλοκαγαθίας ἡμῶν τὸν γλυκύτατον μετὰ εὐγνωμοσύνης, καθὼς καὶ ἐδεξάμεθα ταῦτα καὶ νῦν καλῶς ἀπὸ τῶν χειρῶν τοῦ Ἀποκρισιαρίου τῆς βασιλείας σου τοῦ Ἄρχοντος τοῦ Μανουὴλ, καὶ παρελάβομεν αὐτὰ μετὰ εἰρήνης, καὶ ἔγνωμεν ἅπερ ἔγραφεν ἔσωθεν ἐκεῖνο ὅπερ ἐζήτει, ὅτι ἵνα ᾖ ἡ ἀγάπη καὶ ἡ φιλία, ἥτις ἦν μεταξὺ τοῦ πατρός μου τοῦ Σουλτάνου τοῦ μεγάλου (ὁ Θεὸς ὁ ὑψηλὸς ἁγιάσαι αὐτοῦ τὴν ψυχήν) καὶ τοῦ Βασιλέως τῶν Ῥωμαίων τοῦ ἀδελφοῦ τῆς βασιλείας σου, ὡς εἶχον συνήθειαν, καθὼς λέγεις, ἵνα ὦσιν οἱ δύο οἶκοι εἷς, καὶ ἤρχοντο αὐτόθεν ἐνταῦθα Ἀποκρισιάριοι, καὶ ἐντεῦθεν πάλιν αὐτοῦσε, καὶ θέλεις τοῦτο, γινέσθω, καὶ ἀπερχέσθωσαν καὶ ἐρχέσθωσαν κατὰ τὴν πρώτην συνήθειαν. πάλιν ἐζήτησε διὰ τὰς Ἐκκλησίας τῶν Ῥωμαίων τὰς οὔσας εἰς τὰ Ἱεροροσόλυμα τὰ ἅγια, καὶ ἔγνωμεν καὶ αὐτὸ, καὶ ὡρίσαμεν ἐπιμελῶς τηρεῖν τὰς Ἐκκλησίας δι' ἃς ἐμηνύσατε. καὶ ἐκεῖνο ὅπερ ἐζητήσατε, ἵνα ἀκούσωμεν τὸν λόγον τοῦ Ἄρχοντος τοῦ Ἀποκρισιαρίου Μανουὴλ, καὶ ἀπολογηθῶμεν αὐτῷ, καὶ πληρώσωμεν τὰ ἔργα αὐτοῦ, ἐπληρώσαμεν τὴν θέλησιν αὐτοῦ, καὶ ὡρίσαμεν ἵνα ἀκουσθῇ ὁ λόγος αὐτοῦ. πάλιν ἐζήτησεν ὁ Ἀποκρισιάριος, ὅτι ἐρείπιον ἦν παλαιᾶς Ἐκκλησίας εἰς τὴν γειτονίαν τῶν Ῥωμαίων ὁ ἅγιος Γεώργιος, ἵνα ὁρίσωμεν κτισθῆναι, καὶ ἠκούσαμεν τὸν λόγον αὐτοῦ, καὶ ἐπληρώσαμεν αὐτόν. πάλιν ἐζήτησεν οὗτος τὸν ὁρισμὸν ἡμῶν τὸν ἅγιον ἵνα ἀπέλθῃ εἰς τὴν ἁγίαν Ἀνάστασιν τοῦ προσκυνῆσαι καὶ ἐκεῖνος καὶ οἱ εὑρισκόμενοι μετ' ἐκείνου ἀπὸ τῆς βασιλείας σου, καὶ ἠγαπήσαμεν εἴτι ἐζήτησε, καὶ ἐπληρώσαμεν αὐτὸ, καὶ ἐγράφει ὁρισμὸς ἵνα πληρωθῇ εἴτι παρεκάλεσεν ἡμᾶς ὁ Ἀποκρισιάριος, καὶ ὅτε εἰς τὴν ἁγίαν Ἀνάστασιν ἐζήτησεν ἀπελθεῖν, ἐδώκαμεν Ἄρχοντα μετ' αὐτοῦ καὶ ἀπέσωσεν αὐτὸν ἐκεῖ, καὶ προσεκύνησεν ὡς ἤθελε, καὶ ὑπέστρεψε μετ' εὐχαριστίας. πάλιν ἐζήτησεν ὁ Ἀποκρισιάριος γενέσθαι ὁρισμὸν ἡμῶν ὑψηλὸν ἵνα φυλάσσωνται οἱ εὑρισκόμενοι Χριστιανοὶ εἰς τὸν ἁγιώτατον τόπον τῶν Ἱεροσολύμων, καὶ τὰ Μοναστήρια καὶ καὶ αἱ Ἐκκλησίαι, καὶ ἔχωσιν ἀγάπην καὶ δεφένδευσιν ὑπὸ τοῦ Ἀμηρᾶ τοῦ εὑρισκομένου ἐκεῖ, καὶ οὐ μόνον οἱ τοπικοὶ, ἀλλὰ καὶ οἱ κατὰ καιροὺς ἐρχόμενοι εἰς τὴν προσκύνησιν τῆς ἁγίας Ἀναστάσεως, καὶ ἵνα οἱ κατὰ καιροὺς εὑρισκόμενοι δουλευταὶ μουσουλμᾶνοι εἰς τὴν ἁγίαν Ἀνάστασιν μηδένα ἐῶσι καταφρονεῖν καὶ δέρειν καὶ ἐνοχλεῖν τοὺς κατὰ καιρὸν ἐρχομένους εἰς τὸ ἅγιον αὐτῶν προσκύνημα, ἢ εἰς τοὺς τοπικοὺς, ἀλλὰ μᾶλλον τιμᾶν καὶ ἀναδέχεσθαι καὶ κυβερνᾶν αὐτοὺς, καὶ ὡρίσαμεν καὶ ἐπληρώθη ὁ ὑψηλότατος ὁρισμὸς διὰ τὰ ζητήματα αὐτὰ εἰς τὸν τόπον ἐκεῖνον. πάλιν εἰς ὃ ἀνεμίμνησκεν ἡ βασιλεία σου

ἡ μεγάλη

ἡ μεγάλη διὰ τὴν ὑπόθεσιν τοῦ Πατριάρχου τοῦ Λαζάρου, ὃν πρότερον ἀπέστειλεν ὁ ἡγιασμένος Σουλτάνος ὁ Μελὴκ Νάσερ (ὁ Θεὸς συγχωρήσοι τὰ κρίματα αὐτοῦ) εἰς τὰς ἡμέρας τὰς ἁγίας αὐτοῦ, ὁ Ἀποκρισιάριος δειξάτω καὶ πληροφορησάτω τὴν μεγάλην βασιλείαν σου διὰ τὴν τοιαύτην ὑπόθεσιν ὅπως ἐγένετο καὶ ἀπεπληρώθη ἕνεκεν τοῦ τοιούτου Πατριάρχου. ἀπεληλύθει γοῦν ὁρισμὸς ὑψηλὸς εἰς τὰ ἅγια Ἱεροσόλυμα, ἵνα στέργωσι τὸν Πατριάρχην τὸν Λάζαρον, καὶ φυλάσσωσιν αὐτὸν καλῶς καθὼς καὶ τοὺς πρώην Πατριάρχας, καὶ ὡρίσαμεν καὶ ἐγένετο ἡ κατάστασις τοῦ τοιούτου Πατριάρχου, καὶ ἀπεστάλη καὶ αὐτὸς εἰς τὰ ἅγια Ἱεροσόλυμα μετὰ τοῦ Ἀποκρισιαρίου. πάλιν ἐζήτησεν ὁ Ἀποκρισιάριος περὶ τῶν αἰχμαλώτων, οἵτινες εὑρίσκονται ἀπὸ τῆς χώρας τῆς Ῥωμανίας, ἵνα ἐλευθερώσωμεν αὐτοὺς, καὶ ἡμεῖς ἵνα γνῷ ἡ Βασιλεία σου ὅτι τοιαύτην συνήθειαν ἀρχαίαν εἴχομεν περὶ τῶν αἰχμαλώτων, ὅτι ἵνα γίγνηται ἀνταλλαγὴ, καὶ ἀπολύειν ἡμεῖς μὲν ἐξ ὧν ἔχομεν, καὶ ἡ βασιλεία σου πάλιν ἐξ ὧν ἔχει ἀφ' ἡμῶν αἰχμαλώτους πέμπειν πρὸς ἡμᾶς, ὅμως ὡρίσαμεν καὶ ἐπληρώθη καὶ τὸ ζήτημα τοῦτο, καὶ ἠλευθερώσαμεν ὅσους ἐζήτησεν ὁ Ἀποκρισιάριος, καὶ παρέλαβεν αὐτούς. πάλιν ἐζήτησεν ὁ Ἀποκρισιάριος, ἵνα ᾖ ἀσφάλεια εἰς τοὺς ἐρχομένους ἐνθάδε αὐτόθεν πραγματευτὰς, καὶ ἔγνωμεν τοῦτο, καὶ ἐγένετο ὁρισμὸς ἵνα ἀναδέχωνται τοὺς τοιούτους πραγματευτὰς, καὶ φυλάσσωσιν αὐτοὺς καθὼς ἐζήτησεν ὁ Ἀποκρισιάριος, καὶ μετὰ τὸν ὑψηλότατον ὁρισμὸν καὶ μετὰ τὴν ἀπολογίαν ὑπεστρέψαμεν τὸν Ἀποκρισιάριον, καὶ γινωσκέτω τοῦτο ἀληθῶς ἡ βασιλεία σου, καὶ ὅταν ἔχῃ ὑπόθεσιν, πεμπέτω ἡμῖν ἀγγελίαν, ἵνα πληρῶμεν τὸ θέλημα τῆς βασιλείας σου. ἡμεῖς πρότερον ἔγνωμεν ὅπως ὡς εἰσῆλθεν ἡ βασιλεία σου τῷ ὁρισμῷ τοῦ Θεοῦ καὶ μετὰ ἰσχύος μεγάλης εἰς τὴν πόλιν, οὐδ' ὅλως ἐμνήσθης κακῶν, ἀλλ' ἐφύλαξες τὸν υἱὸν τοῦ Βασιλέως, καὶ συνεχώρησας τοῖς ἐχθροῖς σου, καὶ ἐχάρημεν εἰς τοῦτο πολλὰ, καὶ ἐπαινέσαμεν τὴν βασιλείαν σου, νῦν πάλιν ἐμάθομεν τοῦτο πλατύτερον καὶ καθαρώτερον καὶ ἀπὸ τοῦ Πατριάρχου τοῦ Λαζάρου καὶ ἀπὸ τοῦ Ἄρχοντος Μανουὴλ τοῦ Ἀποκρισιαρίου, καὶ ὅτι δέδωκας αὐτῷ τὴν θυγατέρα σου, καὶ ἐποίησας αὐτὸν υἱόν σου καὶ γαμβρόν σου, καὶ εἰς αὐτὸ μᾶλλον ἐχάρημεν, καὶ ὁ Θεὸς τὴν καρδίαν σου πλατύνοι καὶ τὴν χώραν σου εἰς τὸ ἓν ἑκατὸν προσθεὶς αὐξήσοι, καὶ τὴν ῥομφαίαν σου εἰς τοὺς ἐχθροὺς φοβερὰν ποιήσοι. ὁ Θεὸς ὁ ὕψιστος διακρατείη σε, καὶ εἴης εὐτυχὴς ἀπὸ τοῦ ἐλέους αὐτοῦ, ναὶ, εἴθε Θεὲ ὑψηλέ. Ἐγράφη εἰς τὰς δεκαπέντε τοῦ Σαμπᾶν, τῷ ἑπτακοσιοστῷ πεντηκοστῷ ἔτει τοῦ Μωάμετ. καὶ ταῦτα μὲν τοῦ Σουλτάνου.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ διωγμοῦ μόνων τῶν ὀρθοδόξων ἐν Αἰγύπτῳ ὑφ' ἑτέρου Σουλτάνου τῇ τοῦ Σειχοῦν Ἀρχισατράπου βουλῇ, καὶ ὧν ὑπέμεινε μαρτυρικῶν παθῶν ὁ τῶν Ἱεροσολύμων Πατριάρχης Λάζαρος.

Τοῦ δὲ Σουλτάνου ἐκείνου ἀποθανόντος, γέγονεν ἕτερος, ὃς ὑποθήκαις τοῦ Ἀρχισατράπου τοῦ Σειχοῦν, διωγμὸν ἤγειρε κατὰ τῶν ὀρθοδόξων μόνων. καὶ πολλοὶ ἐμαρτύρησαν. μετακαλεσάμενοι δὲ καὶ Λάζαρον εἰς Αἴγυπτον, ἐδοκίμαζον κολακείαις σαρακηνίσαι, ἵνα πλανήσωσι καὶ τοὺς λοιποὺς μετ' εὐκολίας, ἀπελπισθέντες δὲ, ἐχώρησαν διὰ βασάνων πολλῶν, καὶ μὴ δυνηθέντες καὶ οὕτω κἂν ὁπωσοῦν μετασαλεῦσαι τὸν ἀδάσειστον πύργον, ψηφίζονται θάνατον κατ' αὐτοῦ, τοῦ δὲ Σουλτάνου μὴ συγκατανεύσαντος (καθότι μήτε ἀπ' ἀρχῆς ἤθελε τὸν τοιοῦτον διωγμὸν, ἀλλ' ἠκολούθησε τῇ τοῦ Σειχοῦν βουλῇ) ἔτυψαν αὐτὸν γυμνὸν βουνεύροις πεντακοσιάκις, τοῦ δὲ Λαζάρου πάλιν ἱσταμένου εἰς τὴν ὀρθόδοξον γνώμην ἀμετακινήτου, ὁ Σειχοῦν μαινόμενος, προσέταξε τυφθῆναι πάλιν πεντακοσιάκις, ὥστε τὸ ἔδαφος φοινιχθῆναι τῷ Πατριαρχικῷ αἵματι, καὶ τὰς σάρκας αὐτοῦ διαῤῥυῆναι καὶ μεῖναι τὰ ὀστᾶ γυμνᾶ σαρκῶν, μεταταῦτα δὲ πάλιν εὑρόντες τὸν ἀδάμαντα ἀπαθέστατον, ἔῤῥιψαν αὐτὸν εἰς φυλακὴν ἀνεπιμέλητον, Θεοῦ ὅμως βοηθείᾳ τινὲς Σαρακηνοὶ ἐκεῖσε ὄντες, ἐπεμελήθησαν αὐτοῦ εἰς τὰ ἀναγκαῖα.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ λήξεως τοῦ ἐν Αἰγύπτῳ διωγμοῦ τῷ τοῦ Σειχοῦν θανάτῳ, καὶ ἐλευθερίας τοῦ Ἱεροσολύμων Λαζάρου, καὶ πρέσβεως εἰς Βυζάντιον ὑπὸ τοῦ Σουλτάνου σταλέντος, καὶ μετὰ τὴν ἐπάνοδον ἀναπαυθέντος.

Κατὰ τῶν ὀρθοδόξων μόνων ἐκινήθη διωγμὸς, οἱ γὰρ Κόπται εἰς τὴν Αἴγυπτον εἶχον εἰρήνην, ἢ τάχα ὅτι ἦσαν πολλοὶ καὶ ἐφοβοῦντο οἱ Ἀγαρηνοὶ αὐτοὺς ἐνοχλῆσαι, ἢ διότι ἦσαν ἀεὶ κατήγοροι καὶ ἐχθροὶ τῶν Ῥωμαίων, καὶ συνευδόκησαν αὐτοῖς ὅτε ὁ Ὦμερ παρέλαβε τὴν Αἴγυπτον. ὁ οὖν τῶν Κοπτῶν Ἐπίσκοπος, καίτοι μισῶν τὸν Λάζαρον πρότερον διὰ τὸ σέβας, τότε κατῳκτείρας διὰ μαρτύριον, περιεποιεῖτο. θνήσκει δὲ καὶ ὁ Σειχοῦν, καὶ ἐλευθεροῦνται καὶ Λάζαρος καὶ οἱ ὀρθόδοξοι. πρὸς ἀτιμίαν ὅμως προσέταξεν ὁ Σουλτᾶνος ἐνδύματα μὴ φορεῖν τάδε, ἀλλὰ φορεῖν τάδε, καθὼς γίνεται συνεχῶς καὶ εἰς τοὺς παρόντας καιροὺς εἰς Βυζάντιον. ὁ οὖν Λάζαρος ἐπανῆλθεν εἰς Ἱεροσόλυμα, εἶτα ἐστάλη πρεσβευτὴς ὑπὸ τοῦ Σουλτάνου εἰς Ἰωάννην τὸν Βασιλέα, καὶ τέλος πάντων ἐπανελθὼν εἰς Ἱερουσαλὴμ, ἀνεπαύθη ἐκεῖ.

ΚΕΦΑ-

ΚΕΦΑ΄ΛΑΙΟΝ Ι΄.

Ὅτι οὐ δεῖ ἄνευ κοινῆς Συνόδου Λατίνοις διαλέγεσθαι κατὰ τὴν συμβουλὴν Νικηφόρου τοῦ Γρηγορᾶ, καὶ διατὶ, καὶ τὶς ἡ δύναμις τῶν συλλογισμῶν ἐν τῇ Ἐκκλησίᾳ.

Σημείωσαι, ὅτι ὁ Γρηγορᾶς κινηθεὶς ὑπὸ φθόνου, ὡς λέγει ὁ Κωνσταντινουπόλεως Φιλόθεος, λόγον ἔγραψε κατὰ τοῦ Ὅρου τῆς κατὰ Βαρλαὰμ ἁγίας Συνόδου, ἐν τοῖς λοιποῖς ὅμως τῆς πίστεως δόγμασιν ἦν ὀρθόδοξος, διὸ ψέγει τὸν Μιχαὴλ βιβλίῳ πέμπτῳ κεφαλαίῳ ἐσχάτῳ περὶ τῆς πρατροπῆς ἣν ἐποίησε τοῦ ὀρθοῦ δόγματος. ὅθεν ἐλθόντων δύο Ἐπισκόπων Λατίνων εἰς Βυζάντιον, καὶ ζητούντων διαλεχθῆναι περὶ πίστεως, ὁ Γρηγορᾶς ἐκώλυσεν, εἰπὼν πρῶτον, ὅτι οἱ Λατῖνοι εἰσὶ φιλόνεικοι, καὶ οὐδέποτε διορθοῦνται, καθὼς τυχὸν περὶ αὐτῶν εἶπεν ὁ μέγας Βασίλειος, ὅτι τὸ ἀληθὲς οὐκ ἴσασιν, ἀλλ' οὐδὲ μαθεῖν ἀνέχονται. δεύτερον, ὅτι διαλεγομένοις ποῖος ἔσται κριτὴς, ἵνα δικαιώσῃ τοὺς λέγοντας τὰ δίκαια καὶ ἀληθῆ ἐξ ἑκατέρου μέρους; τρίτον, ὅτι ἡμᾶς δεῖ εἶναι κριτὰς, καθότι ἡμεῖς φυλάττομεν τὴν πατροπαράδοτον πίστιν καὶ τὰ πάτρια ἤθη ἀμετακίνητα, οἱ δὲ Λατῖνοι προσέθηκαν καὶ ἐνέχονται, ὅθεν ἡμᾶς δεῖ κρίνειν αὐτούς. τέταρτον, εἰ δὲ καὶ λέγουσιν αὐτοὶ, ὅτι εἰσὶ τοῦ Πέτρου διάδοχοι, καὶ ἔχουσι τὴν ἐξουσίαν ἀπόλυτον, οὐ δεῖ φροντίζειν, ἐπειδὴ διατοῦτο μάλιστα μεμπτέοι Λατῖνοι, ὅτι ἔργα ἀνάξια τοῦ θρόνου ἐργάζονται, καθότι τῷ Κλήμεντι ὁ Πέτρος λύειν καὶ δεσμεῖν εἶπε μόνα τὰ δέοντα. εἶτα ἀρχαῖον καὶ πάτριον ἔθος ἐστὶν, ὡς βεβαιοῦσιν αἱ βασιλικαὶ Σάκραι καὶ τὰ πρακτικὰ τῶν Οἰκουμενικῶν Συνόδων, κοινῶς θεωρεῖσθαι τὰ ζητήματα ἀπό τε τῶν ἁπανταχοῦ Ἀρχιερέων καὶ τῶν Πατριαρχῶν, καὶ ἵνα μὴ προξενῶνται σχίσματα, κοινῶς διορίζεσθαι τὸ ζητούμενον. πέμπτον, ὅτι τῆς διαλέξεως ὄργανόν ἐστιν ὁ συλλογισμὸς, ὃς ἐπὶ τοῖς θείοις χώραν οὐκ ἔχει, οὔτε ὁ ἀποδεικτικὸς, ἐπεὶ τὸ θεῖον ἄληπτον ἐπιστήμῃ, ὡς διασαφεῖ ὁ Πλάτων καὶ ὁ Θεολόγος Γρηγόριος, οὔτε μὴν ὁ διαλεκτικὸς, ὅτι ῥέπει ἐφ' ἑκάτερα τὰ μέρη, ὡς ὁ Νύσσης διασαφεῖ. ἕκτον, ὅτι τὰ τῆς θείας γραφῆς ὀνόματά τε καὶ ῥήματα ὡς ἐπιτοπλεῖστον ἄλλως λαμβάνονται εἰς τὰ ἀνθρώπινα, καὶ ἄλλως εἰς τὰ θεῖα, καθότι ὡσεὶ ὑπὸ πρεπετάσματά τινα κρύπτονται ἐν αὐτοῖς οἱ ἱεροὶ λόγοι, καὶ εἰ οἱ ἅγιοι πατέρες πολλοῖς ἱδρῶσι καὶ πόνοις ἡρμήνευον, καὶ πάλιν ἐν πολλοῖς τόποις δοκοῦσιν ἔχειν διαφωνίαν τινὰ, πῶς ἡμᾶς ἐθέλειν διαλέγεσθαι εὐκόλως, ἐστὶ δίκαιον; ἕβδομον, ὅτι εἰ καὶ συλλογισμοὺς ἐχρήσαντο οἱ ἅγιοι πατέρες, ἀλλ' οὐχ ἵνα ἀποδείξωσι φύσιν Θεοῦ, καὶ γέννησιν, καὶ ἐκπόρευσιν, ἀλλ' ἵνα κωλύσωσι τοὺς τὰ τοιαῦτα ζητοῦντας. ὄγδοον, ὅτι ἐπειδὴ ἡμεῖς κρατοῦμεν τὴν παραδοθεῖσαν ῥητῶς ὑπὸ τοῦ Σωτῆρος πίστιν, καὶ βεβαιωθεῖσαν τῷ χρόνῳ, ταῖς ἁγίαις Συνόδοις, τῇ ἀποστολικῇ καὶ πατρικῇ παραδόσει, καὶ τῇ ἑρμηνείᾳ τῶν ἁγίων πατέρων, τὶς χρεία ἡμῖν διαλέξεων, καὶ μάλιστα χωρὶς καρποῦ; οἱ γὰρ Λατῖνοι οὐ διαλέγονται ἵνα διορθωθῶσιν, ἀλλ' ἵνα φιλονεικῶσι, καὶ πρὸς τούτοις ἔχουσι καὶ τοιαύτην συνήθειαν, ὥστε κἂν καὶ νικηθῶσι φανερώτατα, καυχᾶσθαι ὅτι ἐνίκησαν, καὶ καταστρατηγηθέντες, διακωδωνίζειν ὅτι ἔστησαν τρόπαιον. ἔνατον, ὅτι οἱ Ἕλληνες τινῶν φιλοσόφων λόγους, καίτοι ἀθλίους ὄντας, ἐδέχοντο χωρὶς ἐξετάσεως, καὶ ἡμεῖς τῶν ἁγίων τοὺς λόγους καὶ τὴν παραδοθεῖσαν πίστιν τὶ ὅτι οὐ κρατοῦμεν μετὰ σιωπῆς καὶ εὐλαβείας, ἀλλὰ ζητοῦμεν διαλέγεσθαι; δέκατον, ὅτι οἱ ἅγιοι πατέρες διαφόρως συνέγραψαν, ἐπειδὴ ἀγωνιστικῶς καὶ παραβολικῶς καὶ δογματικῶς καὶ οἰκονομικῶς συνέγραψαν, καὶ δεῖται πολλῆς συνέσεως ὁ διαλέγεσθαι βουλόμενος, ὅθεν οὐδὲ τοῦ τυχόντος ἐστὶ διαλέγεσθαι, καὶ τέλος πάντων. ὅτι χωρὶς τάξεως καὶ συνοδικῆς νομίμου καὶ κατὰ τὸ πραττόμενον ἔθος τῶν ἁγίων Συνόδων ἀθρόσεως οὐδεῖ διαλέγεσθαι. καὶ ταῦτα μὲν ὁ Γρηγορᾶς βιβλίῳ δεκάτῳ. ὁ βουλόμενος δὲ εἰδέναι ποίοις καὶ πόσοις τρόποις, καὶ διατὶ χρηστέον τοὺς συλλογισμοὺς ἐν τῇ Θεολογίᾳ, ἰδέτω τὸν ἅγιον Νεῖλον καὶ τὸν Καβάσιλαν ἐν τοῖς προλεγομένοις τοῦ τριακοστοῦ πέμπτου κεφαλαίου τῶν ἀντιῤῥητικῶν αὐτοῦ πρὸς τοὺς συλλογισμοὺς τῶν Λατίνων.

ΚΕΦΑ΄ΛΑΙΟΝ ΙΑ΄.

Περὶ ἀποδημίας τοῦ Μανουὴλ Παλαιολόγου εἰς Φραγγίαν χάριν βοηθείας, καὶ ἀπράκτου ἐπαναλύσεως διὰ τὸ μὴ φιλῆσαι τὸ μανίκιον τοῦ Πάπα, καὶ περὶ τῶν σχισμάτων Οὐρβανοῦ καὶ Κλήμεντος, καὶ τῆς δι' αὐτῶν μάχης τῶν Ῥηγῶν.

Μετὰ τὸν Ἰωάννην ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Μανουὴλ ἔτη τεσσαράκοντα δύο, ὅστις καὶ αὐτὸς ἀπῆλθεν εἰς Βενετίαν καὶ Λιγουρίαν, καὶ εἰς τὸν τύραννον Μεδιολάνων, κἀκεῖθεν εἰς τὸν Βασιλέα τῆς Φράντζας, καὶ

καὶ εὑρὼν μὲν ἐκεῖνον δαιμονῶντα, πολέμους δὲ εἰς τὸν τόπον, ἐπανῆλθεν ἄπρακτος διὰ Γερμανίας καὶ Οὐγγρίας. ἐδεήθη τότε καὶ τοῦ Πάπα Οὐρβανοῦ τοῦ ἐπτοῦ ὁ Μανουὴλ βοηθῆσαι αὐτῷ κατὰ τῶν ἐθνικῶν, καὶ λέγουσι τὸν Οὐρβανὸν γεγραφέναι πολλοῖς Ἡγεμόσιν ἵνα βοηθήσωσιν αὐτῷ, ἀλλὰ τυχούσης ἑορτῆς εἰς ἣν ἦν καὶ ὁ Βασιλεὺς παρὼν, καὶ οὔσης συνηθείας φιλεῖν τοὺς παπισταὶ τὸ χρυσοῦν ἐπιμανίκιον τοῦ λατινοεπισκόπου, καὶ τοῦ Βασιλέως μὴ φιλήσαντος αὐτὸ κατὰ τὸν Μαλαξὸν, ἔγραψεν ὁ Οὐρβανὸς καὶ ἀφώρισεν ὅσοι αὐτῷ βοηθήσουσι. ναὶ, εἰ λάβῃ ὁ Βασιλεὺς ἐκ τῆς χειρὸς τοῦ Ἐπισκόπου ἀντίδωρον, ἢ ἐνεργοῦντος Μυστήριόν τι ἐπ' αὐτῷ τοῦ Ἐπισκόπου, φιλεῖ τὴν χεῖρα αὐτοῦ, ἀλλὰ φιλῆσαι μανίκιον Ἐπισκόπου, ἐστὶ καὶ τοῦτο καταφρόνησις τοῦ βασιλικοῦ ἀξιώματος ὑπὸ τοῦ παρανόμου Ῥώμης. εἶτα εἰ καὶ τὸ μανίκιον τοῦ Ἐπισκόπου ἐφίλει ὁ Βασιλεὺς, οὐδὲ μίαν βοήθειαν ἀπὸ τοιούτου Πατρὸς ἔβλεπε, καὶ ἔχομεν τὰ προγεγονότα παραδείγματα. εἶτα ὅτε γέγονε Πάπας αὐτὸς ὁ Οὐρβανὸς, ἐγένετο διχόνοια, οἱ γὰρ Ῥωμαῖοι ἐζήτουν Ἰταλὸν, ἔχοντες τέσσαρας Καρδηνάλεις βοηθοὺς, οἱ Φραντζέζοι ἔχοντες δεκατρεῖς Καρδηνάλεις, ἐζήτουν ὁμογενῆ, βιάζουσιν οἱ Ῥωμαῖοι καὶ γίνεται ὁ Οὐρβανὸς, ὁρμώμενος ἀπὸ Νεαπόλεως, ἔφυγον οἱ δεκατρεῖς Καρδηνάλεις εἰς τὰ ὄρη ἵνα μὴ αὐτὸν δέξωνται, ὕστερον ἦλθον καὶ ἐδέξαντο αὐτὸν, ἀλλὰ πάλιν ἀπελθόντες εἰς Ἀναγνίαν, ἐχειροτόνησαν Πάπαν Κλήμεντα τὸν ἕβδομον. μερισθέντων δὲ τῶν Αὐθεντῶν τῶν Λατίνων εἰς δύο, διήγειραν κατὰ τῶν Ῥωμαίων οἱ περὶ Κλήμεντα τοὺς Βρίττονας, μάχονται δὲ καὶ οἱ Βενέτικοι τοῖς Γενοβέζοις τὰ ἔσχατα, πρὸς τούτοις ὁ Οὐρβανὸς ἄγροικος ὢν καὶ ἀχρεῖος, καὶ σκανδαλισθεὶς μετὰ Ῥηγίσσης τινὸς Ἰωάννας ὀνόματι, ἐκάλεσε Κάρολον τὸν τέταρτον εἰς ἐκδίκησιν, οὗ ἐλθόντος, θορυβεῖται ὅλη ἡ Ἰταλία, καὶ προξενοῦνται μυρία κακὰ, ὡς ὁ Πλάτινας ἱστορεῖ, τὶ λοιπὸν ἐδύνατο βοηθῆσαι τοῖς Ῥωμαίοις ὁ Οὐρβανὸς εὑρισκόμενος εἰς τοιαύτην ταλαιπωρίαν; ὥστε πρόφασις Λατίνοις τὸ ἐπιμάνικον.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι τὸ πρόγραμμα, ὅφασιν οἱ παπισταὶ Ἰωάννην τὸν Παλαιολόγον εἰς Ῥώμην γενόμενον δεδωκέναι τῷ Πάπᾳ εἰς βεβαίωσιν λατινοφρονήσεως αὐτοῦ, ἐπίπλαστόν ἐστι, καὶ ὑπὸ τῆς κακουργίας τῶν παπιστῶν γεγενημένον, ὡς δείκνυται ἐνταῦθα δεκαχῶς.

Ἐν τεῦθεν δῆλον ἐστὶν, ὅτι τὸ πρόγραμμα ὅπερ προφέρουσιν οἱ παπισταὶ, κείμενον δὲ ἐν τῷ δεκάτῳ ἑβδόμῳ κεφαλαίῳ τοῦ δωδεκάτου βιβλίου τοῦ Ἀλατίου περὶ συμφωνίας τῶν Ἐκκλησιῶν, καὶ λέγουσιν ὅτι ἔδωκεν αὐτὸ ὁ πατὴρ τοῦ παρόντος Βασιλέως Μανουὴλ Ἰωάννης ὁ Παλαιολόγος ἐν Ῥώμῃ παραγενόμενος ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ εἰς βεβαίωσιν Λατινοφρονήσεως αὐτοῦ, ψευδεπίπλαστόν ἐστι, καὶ δείκνυται οὐ μόνον ὑπὸ τῶν παρὰ τὸ προσῆκον καὶ τοὺς ἐκκλησιαστικοὺς Κανόνας καὶ τὸ ἀρχαῖον ἔθος ἐν αὐτῷ φερομένων, ἀλλὰ καὶ ἀπὸ τοῦ λέγειν ὡμολογηκέναι τὸν λατινισμὸν οὐ μόνον τὸν Βασιλέα, ἀλλὰ καὶ τοὺς σὺν αὐτῷ ἀξιωματικοὺς καὶ Πρεσβυτέρους καὶ Μοναχοὺς, ὅπερ εἰ οὕτως εἶχεν, οὐκ ἂν δύναιτο κρυβῆναι τὸ πρᾶγμα μετὰ τὴν ἐπάνοδον τοῦ Βασιλέως εἰς Κωνσταντινούπολιν ἀπὸ Ῥώμης, ἀλλ' ἐδημοσιεύθη ἄν, ὥστε πρόδηλόν ἐστιν, ὅτι οὐδὲν τοιοῦτον ἠκούσθη ἐν Βυζαντίῳ, ἐπειδὴ οὔτε ἐγένετό τι τοιοῦτον ἐν Ἰταλίᾳ. δεύτερον, ὅτι ὅτε ἀπεδήμησεν ὁ παρὼν Βασιλεὺς εἰς Ἰταλίαν, πῶς οὐκ ὠνείδισεν αὐτῷ ἡ ῥωμαϊκὴ Ἐκκλησία ὅτι παρητήσατο τὴν πίστιν αὐτῆς ἥνπερ ἐγγράφως ὁ πατὴρ αὐτοῦ ὡμολόγησεν, ἀλλὰ διότι οὐκ ἐφίλησε τὸ ἐπιμάνικον τοῦ λατινοεπισκόπου, ἀφώρισεν ὁ Πάπας τοὺς βοηθήσοντας αὐτῷ; τρίτον, ὁ παρὼν Βασιλεὺς Μανουὴλ ἔγραψε πολλὰ καὶ ἀναγκαῖα, καὶ δὴ καὶ Συνόδους ἤθροισε κατὰ τῶν λατινικῶν παρατροπῶν, ὡς σημειοῖ Γεώργιος ὁ Σχολάριος ἐν τῇ μελέτῃ περὶ τῆς κατὰ Βέκκου Συνόδου, καὶ πῶς οὐκ ἤλεγξε τὸν πατέρα αὐτοῦ ἀθεμιτουργήσαντα ἐν Ῥώμῃ κατὰ τῆς ὀρθοδόξου πίστεως, ὥσπερ ἐποίησεν ὁ πρόπαππος αὐτοῦ Ἀνδρόνικος κατὰ τοῦ πατρὸς αὐτοῦ Μιχαὴλ λατινοφρονήσαντος; τέταρτον, ἐπὶ τῶν Βασιλέων τούτων Μανουὴλ καὶ τοῦ πατρὸς αὐτοῦ Ἰωάννου πολλοὶ συνέγραψαν ὑπὲρ Λατίνων Ἕλληνες, ἐν οἷς καὶ Δημήτριος ὁ Κυδώνης μετὰ τὴν εἰς Ἰταλίαν ἀποδημίαν τοῦ Ἰωάννου τούτου συνέγραψεν ἐν Κωνσταντινουπόλει, παρακινῶν τοὺς Ἕλληνας ἑνωθῆναι Λατίνοις, καὶ κεῖται ἡ συγγραφὴ ἐν τῷ δευτέρῳ Τόμῳ τῆς Βιβλιοθήκης τῶν πατέρων, καὶ πῶς οὐκ εἶπε καὶ τοῦτο, ὅτι ὁ Βασιλεὺς ἤδη παραγενόμενος ἐν Ῥώμῃ, καλῶς ποιήσας, Λατίνοις συνέθετο; πέμπτον, τοῦ Κυδώνη τούτου παρετάθη ἡ ζωὴ μέχρι τῆς βασιλείας τοῦ παρόντος Μανουὴλ, ἐφ' οὗ ἀνῆλθεν εἰς Ῥώμην εὐχαριστίαν καὶ μισθοὺς ἀπαιτῶν περὶ ὧν συνέγραψε κατὰ τῶν Ἑλλήνων, κἀκεῖθεν ἐπιδημήσας εἰς Κρήτην, διεῤῥάγη, παρόντος ἐκεῖ Ἰωσὴφ τοῦ Βρυεννίου, ὡς Γεώργιος ὁ Σχολάριος γράφει ἐν τῇ ἀνωτέρῳ εἰρημένῃ μελέτῃ, καὶ πάντοτε συνέγραφε κατὰ Ἑλλήνων ὁ Κυδώνης, καὶ πῶς τοῦ τοιούτου δράματος οὐκ ἐμνήσθη, μάλιστα συμβάλλοντος εἰς τὴν πρόθεσιν αὐτοῦ; ἕκτον, τοῦ Κυδώνη ὁ μαθητὴς Μανουὴλ ὁ Καλέκας ἰσχυρῶς λατινίσας, καὶ συγγράψας πολλὰ κατὰ τῶν Ἑλλήνων, ἐμνήσθη ἐν αὐτοῖς τοῦ Βέκκου καὶ τῶν μαθητῶν αὐτοῦ, καὶ πολλῶν ἄλλων λατινοφρονησάντων Ἑλλήνων περὶ συστάσεως τῶν ἰδίων συγγραμμάτων, πῶς οὖν διὰ τὴν αὐτὴν αἰτίαν οὐκ ἐμνήσθη καὶ τοῦ λατινοφρονήσαντος τούτου

τούτου Βασιλέως Ἰωάννου; ἕβδομον, ἐν ἐκείνῳ τῷ ἔτει ἐν ᾧ λέγουσιν οἱ Λατῖνοι γεγράφθαι τὸ πρόγραμμα, ἤτοι τῷ χιλιοστῷ τριακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ ἦν ἐν Κωνσταντινουπόλει Πατριάρχης ὁ Φιλόθεος, καὶ τῷ ἔτει χιλιοστῷ τριακοσιοστῷ ἑβδομηκοστῷ ὀγδόῳ ἐγένετο Πατριάρχης ἐν Κωνσταντινουπόλει ὁ Νεῖλος, οἵτινες καὶ ἀμφότεροι συνέγραψαν κατὰ Λατίνων, ἀλλὰ δὴ καὶ ἐπὶ τοῦ Μανουὴλ τούτου ἤκμαζον ἐν Κωνσταντινουπόλει Νικόλαος ὁ Καβάσιλας, Ἰωσὴφ ὁ Βρυέννιος, Μακάριος Ἀγκύρας, καὶ ἄλλοι πολλοί, οἵτινες πάντες συνέγραψαν ἐξηκριβωμένως κατὰ Λατίνων, ἐν οἷς καὶ πολλοὺς λατινοφρονήσαντας Ἕλληνας κατήλεγξαν, καὶ πῶς τὴν πλατροπὴν ταύτην Ἰωάννου τοῦ Βασιλέως εἰς τὸν λατινισμὸν ἐσιώπησαν; ὄγδοον, εἴρηται ἀνωτέρω, ὅτι ὁ Πάπας Οὐρβανὸς ὁ πέμπτος ἔπεμψε Παῦλον τὸν ψευδοπατριάρχην εἰς Κωνσταντινούπολιν πρὸς τοῦτον τὸν Βασιλέα Ἰωάννην ἐν ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑβδομηκοστῷ ἑβδόμῳ, ὅπερ ἐστὶν ἀπὸ Χριστοῦ ἔτος χιλιοστὸν τριακοσιοστὸν ἑξηκοστὸν ἔνατον, ὅτε καὶ ἡ ἐπιστολὴ τοῦ Πάπα ἀνεγνώσθη ἐν τῷ Ἱπποδρομίῳ, οὐκ ἦν δὲ ἡ πρεσβεία τοῦ Παύλου ἕνεκα ἐκκλησιαστικῶν πραγμάτων, ἀλλὰ περὶ δημοσίων τινῶν, ὡς λέγει ἡ κατ' αὐτὸν ἱστορία, καὶ λοιπὸν πῶς τῷ αὐτῷ ἔτει ἦν ὁ Ἰωάννης ἐν Κωνσταντινουπόλει προσδεξάμενος τὴν πρεσβείαν τοῦ Οὐρβανοῦ, καὶ ἦν καὶ εἰς Ῥώμην λατινοφρονήσας; καὶ μάλιστα ἐπειδὴ τὸ πρόγραμμα λέγει, ὅτι τῷ χιλιοστῷ τριακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ ἔτει, ἐν Μηνὶ Ὀκτωβρίῳ ὡμολόγησεν ἐν Ῥώμῃ ὁ Ἰωάννης τὸν λατινισμὸν, πῶς εἰς δέκα Μῆνας ὁ Ἰωάννης ἐδέξατο τὴν πρεσβείαν τοῦ Οὐρβανοῦ διὰ τοῦ Παύλου, καὶ ἀπῆλθε καὶ ὁ Βασιλεὺς εἰς Ῥώμην; εἶτα τοῦ Παύλου καὶ τοῦ Βασιλέως Ἰωάννου τοῦ Καντακουζηνοῦ ἐγένοντο πολλαὶ διαλέξεις καὶ πολλὰ συγγράμματα, ὡς εἴρηται ἀνωτέρω, καὶ πότε ἦλθεν ἀπὸ Ῥώμης ὁ Παῦλος ἐν Βυζαντίῳ, καὶ ἐποίησε τὴν πρεσβείαν δι' ἣν ἀπεστάλη, καὶ ἐποίησε τὰς τοσαύτας διαλέξεις καὶ τὰ τοσαῦτα συγγράμματα μετὰ τοῦ Καντακουζηνοῦ, καὶ ἐπανέστρεψε καὶ εἰς Ῥώμην, καὶ ἀπῆλθε καὶ ὁ Βασιλεὺς, καὶ ἐποίησεν ὅσα λέγει τὸ πρόγραμμα, καὶ συνέθετο καὶ εἰς τὸν λατινισμόν; ἔνατον, ὅτε ἀπεδήμησε Παῦλος εἰς Κωνσταντινούπολιν συνεβασίλευε τούτῳ τῷ Ἰωάννῃ ὁ πενθερὸς αὐτοῦ Ἰωάννης ὁ Καντακουζηνὸς, ὡς εἴρηται, ὅτε δὲ ἀπῆλθεν εἰς Ἰταλίαν ὁ Ἰωάννης, ὁ Καντακουζηνὸς ἦν τῆς βασιλείας ἀποβεβλημένος, ὅθεν ἢ ἐπίτροπον ἢ Βασιλέα ἀφεῖκε τὸν υἱὸν αὐτοῦ Μανουὴλ εἰς Κωνσταντινούπολιν, λέγουσι γὰρ ὅτε Φραντζὴς καὶ ὁ Λαόνικος, ὡς εἴρηται ἀνωτέρω, ὅτι ὁ Ἰωάννης δανεισθεὶς εἰς Ἰταλίαν, καὶ μὴ ἔχων δοῦναι τὸ δάνειον, ἐκρατεῖτο ὑπὸ τῶν Βενετίκων, ὁ δὲ υἱὸς αὐτοῦ Μανουὴλ πέμψας ἀπὸ Κωνσταντινουπόλεως τὰ χρήματα, ἠλευθέρωσεν αὐτόν. δέκατον, ὅτε ὁ Ἰωάννης ἀπῆλθεν εἰς Ἰταλίαν, καὶ ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἐν Κωνσταντινουπόλει, οὐκ ἦν ὁ διαληφθεὶς Οὐρβανὸς Πάπας ἐν Ῥώμῃ, προετεθνήκει γὰρ τῷ χιλιοστῷ τριακοσιοστῷ ἑβδομηκοστῷ ἔτει. τούτων οὕτως ἐχόντων, ψευδεπίπλαστον ἐστὶ τὸ πρόγραμμα, καὶ γεγενημένον ὡς καὶ ἄλλα τοιαῦτα ὑπὸ τῆς κακουργίας τῶν ταπιστῶν, καὶ δῆλον ἐστὶν, ὅτι ὁ παρὼν Ἰωάννης ὁ Παλαιολόγος ὀρθόδοξος ἦν, καὶ οὐδέποτε ἐλατινοφρόνησε.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν ἀπὸ Ῥώμης εἰς Κωνσταντινούπολιν ἐλθόντων πρέσβεων ἐπὶ Μανουὴλ τοῦ Παλαιολόγου, καὶ τῶν γενομένων μετ' αὐτῶν διαλέξεων, καὶ ὧν εἶπεν Ἰωσὴφ ὁ Βρυέννιος πρὸς Λατίνους, ἐξ ὧν συνάγεται δεκαχῶς κατὰ σύγκρισιν ἀποβλήτους εἶναι τῆς καθολικῆς Ἐκκλησίας τοὺς Λατίνους, καὶ τοὺς Πάπας αὐτῶν οὐκ ἀναμαρτήτους, τοὺς δ' Ἀνατολικοὺς ὀρθοδόξους.

Ἐπὶ τῆς παρούσης Βασιλείας, ἤτοι Μανουὴλ τοῦ Παλαιολόγου ἦν Ἰωσὴφ ὁ Βρυέννιος, ὃς σημειοῖ, ὅτι ἦλθον πρέσβεις ἀπὸ Ῥώμης, καὶ γεγόνασι μετ' αὐτῶν δύο διαλέξεις, καὶ ὅτι γέγονε καὶ τρίτη διάλεξις μετὰ τῶν ἐν Βυζαντίῳ Λατίνων, ἐξ ὧν δὲ εἶπε τότε καὶ ἐν τῇ ὁμιλίᾳ περὶ τῆς τῶν Κυπρίων ἑνώσεως πρὸς Λατίνους εἰσὶ καὶ ταῦτα, πρῶτον, ὅτι εἰς τοὺς καιροὺς αὐτοῦ ἦσαν δύο Πάπαι αὐτίθετοι, ἤτοι Κλήμης ἕβδομος καὶ Οὐρβανὸς ἕκτος, ἀφοριζόμενοι καὶ ἀναθεματιζόμενοι ὑπ' ἀλλήλων. εἰ δὲ οἱ Πάπαι ἀφωρισμένοι καὶ ἀναθέματι καθυποβεβλημένοι, πῶς τὸ ἀναμάρτητον; δεύτερον, ὅτι οἱ παπισταὶ κατηγοροῦντες ἡμῶν ἕνεκεν τῆς δουλείας ἡμῶν, παρομοιοῦσιν ἡμᾶς τῇ ἑβραϊκῇ αἰχμαλωσίᾳ, ἀλλ' Ἑβραίοις ἐφθάρη μετὰ τῆς ἐλευθερίας καὶ τὰ θεῖα αὐχήματα, Ἱερωσύνη φημὶ, θυσίαι, ἱλαστήριον, προσφαρὰ, δήλωσις τοῦ μέλλοντος, καὶ Προφῆται, παρ' ἡμῖν δὲ σώζεται πάντα, ἅπερ εἰσὶν ἴδια τῇ ὀρθοδοξίᾳ. τρίτον, ὅτι ἡμεῖς πάσχομεν ὑπὸ ἐθνῶν, ὡς καὶ οἱ Ἀπόστολοι καὶ οἱ Χριστιανοὶ ἔπασχον ἕως τοῦ μεγάλου Κωνσταντίνου, οἱ Λατῖνοι δὲ μάχονται ἀλλήλοις, καὶ τὸ δὴ χείριστον, ὅτι καὶ Πάπαι Πάπαις μάχονται, καὶ αἵμασι χραίνονται. τέταρτον, ὅτι παρ' ἡμῖν τέλεια, ἤτοι Ἱερωσύνη καὶ ἐγκράτεια καὶ σωφροσύνη καὶ αἰδὼς, Νόμοι καὶ νηστεῖαι, καὶ αἱ λοιπαὶ ἀρεταὶ ἐνεργοῦνται ὁπωσοῦν, παρὰ δὲ Λατίνοις ἀπρακτεῖ πάντα, ὅθεν καὶ οἱ ἱερεῖς αὐτῶν, εἰ συμβαίη τινὰ τῶν Ἱερέων πορνεῦσαι, μετανοίᾳ ἴσα καὶ τοῖς λαϊκοῖς συγχωροῦσιν αὐτῷ τὸ πταῖσμα, ἀλλ' οὐκ ἀργίᾳ τελείᾳ τῆς Ἱερωσύνης. πέμπτον, ὅτι πρὸ ἐτῶν σχεδὸν διακοσίων, πρὸ τοῦ κρατῆσαι δηλονότι τοὺς Λατίνους τῆς Κωνσταντινουπόλεως, ἐγίνοντο θαύματα εἰς πολλοὺς Ναοὺς, οὓς λαβόντων τῶν Λατίνων ἐν τῇ ἁλώσει, ἔπαυσαν τότε γίνεσθαι καὶ τὰ θαύματα. ἕκτον, ὅτι τὰ λείψανα τῶν ἁγίων, ἅπερ μετεκόμισαν ἐντεῦθεν εἰς Ἰταλίαν,

οὐκ ἔτι θαυματουργοῦσιν, ὅσα δὲ ἔμειναν θαυματουργοῦσιν, ὡς τῆς παρθένου Θεοδοσίας καὶ τῶν Μαρτύρων Εὐδοκίμου καὶ Μιχαήλ. ἕβδομον, ὅτι εἰς Δαμασκὸν εἰς τὴν Σανδανάϊαν ἁγίαν Ἄνναν ἔβλυζεν ἔλαιον ἐκ τῆς Εἰκόνος τῆς Παναγίας. ὄγδοον, ὅτι ἐκ τοῦ λειψάνου τοῦ ἁγίου Δημητρίου ἔῤῥεε Μῦρον. ἔνατον, ὅτι ἐν Αἰγύπτῳ ἔβλυζε βάλσαμον ἐπ' ὀνόματι τοῦ Χριστοῦ. δέκατον, ἐθαυματούργει ἡ Ὁδηγήτρια, ἤτοι τῆς Πηγῆς καὶ τοῦ Προδρόμου τῆς Πέτρας.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

περὶ συμβουλῶν Ἰωσὴφ Βρυεννίου ὀρθοδόξων κατὰ τῶν ἐν τῷ παπισμῷ χρονισάντων Κυπρίων, καὶ μὴ δυναμένων ὀρθοδοξεῖν, αἰτησάντων δὲ ἑνωθῆναι τῇ τῆς Κωνσταντινουπόλεως Ἐκκλησίᾳ.

Σημειοῖ ἔτι, ὅτι ἐζήτησαν οἱ Κύπριοι ἑνωθῆναι τῇ Ἐκκλησίᾳ Κωνσταντινουπόλεως ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ εἰκοστῷ, Ἰνδικτιῶνος ἕκτῃ, Μαρτίου δεκάτῃ ἑβδόμῃ, ἠθροίσθη δὲ καὶ Σύνοδος εἰς τὴν ἁγίαν Σοφίαν, ἐν ᾗ εἶπεν ὁ Βρυέννιος πρῶτον, ὅτι τὸ ἑνωθῆναι τοῖς Κυπρίοις λατινισμός ἐστι. δεύτερον, ὅτι τέσσαρες Ἐπίσκοποι καὶ μόνοι ἦσαν ὀρθόδοξοι εἰς τὴν Κύπρον. τρίτον, ὅτι σχεδὸν διακόσια ἔτη ἐκοινώνησαν Λατίνοις οἱ Κύπριοι, καὶ ἐγένετο αὐτοῖς φύσις τὸ ἔθος, ὥστε εὐκόλως μὴ γενέσθαι τὴν ἕνωσιν. τέταρτον, ὅτι ἐὰν ἔχωμεν οἱ Ῥωμαῖοι κακά, καὶ ἔσωθεν τὰ οἰκεῖα, καὶ τὰ τῶν Βουλγάρων καὶ Σέρβων, καὶ ἔξωθεν τὰ τῶν Ὀθωμανῶν καὶ Λατίνων δηλονότι, ἀλλὰ ἀρκεῖ ἡμῖν (πρὸς ἔπαινον καὶ δόξαν καὶ πλοῦτον) ἡ ὀρθοδοξία (ὡς ἔγραφον οἱ πατέρες τῆς ἐν Ῥώμῃ ἐπὶ Ἀγάθωνος Συνόδου πρὸς Κωνσταντῖνον τὸν Πωγωνᾶτον δηλονότι, καὶ ἴδε ἀνωτέρω τὸν τόπον βιβλίου ἕκτου κεφαλαίῳ ἐνάτῳ) μὴ κοινωνήσωμεν Κυπρίοις μὴ δυναμένοις ὀρθοδοξεῖν, ἵνα μὴ τὴν ὀρθοδοξίαν ἀπολέσωμεν. πέμπτον, ὅτι ἐπὶ τῇ ἑνώσει ταύτῃ ἀνάγκη παρεῖναι καὶ τοὺς Πατριάρχας τῆς Ἀνατολῆς ἢ μόνους, ἢ διὰ πρέσβεων, καὶ τοὺς ἐγκρίτους τῶν Μητροπολιτῶν. ἕκτον, ὅτι τὴν τοιαύτην ἕνωσιν κωλύουσι καὶ Κανόνες, τῶν Ἀποστόλων ὁ δέκατος, τῆς ἐν Ἀντιοχείᾳ ὁ δεύτερος καὶ ὁ τριακοστὸς δεύτερος τῆς ἐν Λαοδικείᾳ, καὶ δὴ καὶ ὁ Θεολόγος λέγει οὐ πᾶσαν εἰρήνη καλήν. ἕβδομον, ὅτι καὶ πρὸ ἑπτὰ ἐτῶν ἡνώθησαν μεθ' ὅρκων, ἀλλὰ τῇ βίᾳ τοῦ Ῥηγὸς καὶ τῶν Λεγάτων τοῦ Πάπα οὐκ ἐδυνήθησαν ἀγαγεῖν εἰς τέλος τὴν γνώμην. Σὺ δὲ σημείωσαι, ὅτι καὶ ἄλλοτε, ἤτοι ἐπὶ Μανουὴλ καὶ Γερμανοῦ τῶν ἐν τῇ Νικαίᾳ, ὡς εἴρηται ἀνωτέρω ἐν τοῖς τόποις, ἑνωθέντες οἱ Κύπριοι, ὕστερον ἐψεύσθησαν διὰ τὴν βίαν τῶν παπιστῶν. Σημείωσαι ἔτι πρῶτον, ὅτι μόνον ἀπήτουν οἱ παπισταὶ τοὺς Κυπρίους λέγειν τὸν Πάπαν ἅγιον, καὶ μνημονεύειν αὐτοῦ, ἀλλ' ἔλεγεν ὁ Βρυέννιος, ὅτι οὐ δεῖ τοιούτους ὄντας αὐτοὺς δέχεσθαι εἰς κοινωνίαν, τὸ μὲν, ὅτι ἀφ' οὗ ἐκοινώνησαν Λατίνοις παρῆλθον ἔτη διακόσια τεσσαράκοντα, καὶ Πατριάρχαι Κωνσταντινουπόλεως τεσσαράκοντα δύο, καὶ Βασιλεῖς δεκαεπτά, ἀλλ' οὐκ ἐδέξαντο αὐτούς. τὸ δὲ, ὅτι ἐπὶ τῆς ὀρθοδόξου πίστεως ὁ καὶ τὸ βραχύτατον παρατρέψας, τῷ παντὶ λυμαίνεται. δεύτερον, ὅτι Καλαβροὶ καὶ Σικελοὶ τυραννούμενοι τότε, ἐδέχοντο τὸν παπισμὸν κατὰ τὸν τρόπον τῶν Κυπρίων, εἰς δὲ τὰ λοιπὰ ὀρθοδόξουν, ὅμως εἰ καὶ βίᾳ ἐλατίνιζον, οὐκ ἐδέχοντο εἰς κοινωνίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι συναίτιοι τοῖς ἐθνικοῖς κατὰ Ῥωμαίων οἱ Λατῖνοι, καὶ οὐδέποτε ὠφελείας αἴτιοι, καὶ περὶ τοῦ Σουλτᾶν Μουρὰτ καὶ Σουλτᾶν Μπαγιαζὴτ, τῶν τῆς Ῥωμαίων γῆς καταδραμόντων καὶ ἄλλων διαφόρων ἐθνῶν, καὶ τῆς νίκης τοῦ Σουλτᾶν Μπαγιαζὴτ ἐν τῷ μετὰ τῶν δυτικῶν πολέμῳ, καὶ τῆς κατὰ τῆς Κωνσταντινουπόλεως πολιορκίας αὐτοῦ, καὶ τῆς ἁλώσεως αὐτοῦ ὑπὸ τοῦ Ντεμὴρ Ἀρσὰκ, ἤτοι σιδηρόποδος ἐν τῷ κατὰ Φρυγίαν πολέμῳ.

Ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ ἑξηκοστῷ τρίτῳ ἐπέρασαν οἱ Γενουβέζοι τὸν Σουλτᾶν Μουρὰτ εἰς τὴν Καλλίπολιν, λαβόντες ναῦλον ἀφ' ἑκάστου Τούρκου ἓν φλωρίον, καὶ ὅρα, ὅτι πανταχοῦ συναίτιοι τοῖς ἐθνικοῖς οἱ Λατῖνοι κατὰ Ῥωμαίων. κατέδραμε δὲ ὁ Σουλτᾶν Μουρὰτ εὐθὺς Ῥωμαίων, Βουλγάρων, Σέρβων, καθὼς ὁ υἱὸς αὐτοῦ Σουλτᾶν Μπαγιαζὴτ ἠχμαλώτευσεν Ἰλλυρικὸν, Ἤπειρον, Μακεδονίαν, Ἑλλάδα, Θετταλίαν. λεηλατεῖ Πελοπόννησον καὶ Βοιωτίαν, κατατρέχει Οὐγγρίαν καὶ Βλαχίαν, καὶ αὐτὴν τὴν Ἀρμενίαν, ὅθεν καὶ πρηστὴρ ὠνομάσθη. ἠναγκάσθη οὖν πάλιν ὁ Μανουὴλ καὶ ἔγραψε κατὰ τὸν Νέποταν εἰς τὸν Πάπαν καὶ εἰς τὸν Ῥῆγα Φραγγίας καὶ τὸν Ῥῆγα Οὐγγρίας τὰ τοῦ πρηστῆρος, καὶ ἀκούσας ταῦτα Κάρολος ὁ Ῥὴξ τῆς Φράντζας, ἔστειλε τὸν ἀδελφὸν αὐτοῦ Ἰωάννην μετὰ πλήθους στρατοῦ, καὶ παρεκίνησε καὶ ἄλλους Αὐθέντας ἀπό τε Ἱσπανῶν καὶ Ἰταλῶν καὶ τῶν περὶ τὸν Ῥῆνον, καὶ κατέβησαν εἰς τὴν Οὐγγρίαν, καὶ ἔλαβον τὸν Βασιλέα Σιγισμοῦσδον καὶ Οὔγγρους καὶ Βλάχους, καὶ ἐπέρασαν εἰς τὴν Νικόπολιν, ἀλλὰ τῇ κακοβουλίᾳ καὶ αὐθαδείᾳ τῶν Φραντζέζων τρέπονται ὑπὸ τοῦ Σουλτᾶν Μπαγιαζὴτ, καὶ καταφθείρονται οἱ τοσοῦτοι. καὶ ὁ μὲν Σιγισμοῦσδος φεύγει εἰς τὴν Κωνσταντινούπολιν. ὁ δὲ Σουλτᾶν Μπαγιαζὴτ κατακαίει τὴν Οὐγγρίαν ἕως καὶ Πούδης, καὶ στέλλει κατὰ Μύρτζα τοῦ Αὐθέντου Βλαχίας, ὡς βοηθήσαντος τῷ Σιγισμούσδῳ. ἦλθε δὲ

καὶ

καὶ ἐπολιόρκησε τὴν Κωνσταντινούπολιν κατὰ μὲν τὸν Ἰγνάτιον χρόνους ὀκτὼ, κατ' ἄλλους δὲ δέκα. ἀλλὰ κρίσει θείᾳ ἐξῆλθέ τις τότε ἀπὸ τῆς Σουλιανῆς, ὁ ἀπὸ ἱπποφορβοῦ γενόμενος Βασιλεὺς, Ντεμὴρ Ἀρσὰκ λεγόμενος, ἤτοι ὁ ἔχων τὸν πόδα αὐτοῦ σιδηροῦν, καὶ κατέδραμεν Ἀσυρίων καὶ τῆς εὐδαίμονος Ἀραβίας, καὶ τῶν Τατάρων εἰς τὴν Ὀρδοῦ Στρατόπεδον οὖσαν πόλιν αὐτῶν, ἀλλὰ δὴ καὶ τῶν Σκυθῶν τῶν περὶ Μαιῶτιν καὶ Βόσπορον, εἶτα περᾷ τὸν Καύκασον ἀπὸ τῆς Ἀμπαζίας, καὶ λεηλατεῖ Τζερκέτας, Ἀβασγοὺς, Μεγγρέλους, Ἴβηρας, καὶ ἔρχεται διὰ Φάσιδος εἰς Συρίαν, καὶ καταστρέφει Κοίλην Συρίαν καὶ Δαμασκὸν καὶ τοὺς Μοσχόβους κατὰ μέρος. καταστρεψάμενος οὖν τὴν Συρίαν ὁ Ντεμὴρ, μηνυθὲν αὐτῷ ὅτι ὁ Βασιλεὺς τοῦ Χατάη (Καθόας) εἰς Σουδιανὴν ἦλθεν μετὰ χιλίων τετρακοσίων χιλιάδων Στρατοῦ, ἀπῆλθε καὶ εἰρήνευσε μετ' ἐκείνου ἐκεῖ, καὶ πάλιν ὑπέστρεψε, διὰ δὲ τὸ ἐλθεῖν πρὸς τὸν Ντεμὴρ τοῦτον τινὰς ἀπὸ τῆς Ἀρμενίας Τούρκους, καὶ προσκλαυθῆναι αὐτῷ ὡς ὁμοπίστῳ, ὅτι ὁ Σουλταῦ Μπαγιαζὴτ ἔλαβε τοὺς τόπους αὐτῶν, ἔπεμψεν ὁ Ντεμὴρ πρὸς τὸν Σουλταῦ Μπαγιαζὴτ νουθεσίαν, ἣν τοῦ Σουλταῦ Μπαγιαζὴτ παριδόντος, ἐστράτευσε κατ' αὐτοῦ, ὅθεν ἠναγκάσθη καταλιπεῖν τὴν πολιορκίαν τῆς Κωνσταντινουπόλεως ὁ Σουλταῦ Μπαγιαζὴτ, καίπερ ὁ Λαόνικος εἰς τὸ τρίτον βιβλίον θέλει ὑπάρξαι τότε τὸν Σουλταῦ Μπαγιαζὴτ εἰς Λεβάδειαν τῆς Βοιωτίας. ἀπῆλθεν οὖν κατὰ τοῦ Ντεμὴρ ὁ Σουλταῦ Μπαγιαζὴτ μετὰ ἑκατὸν πεντήκοντα χιλιάδων Στρατοῦ, ἀλλὰ νικᾶται εἰς τὴν Φρυγίαν ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ ἐννενηκοστῷ ἐνάτῳ, καὶ ἀποθνήσκει αἰχμάλωτος μετὰ δύο χρόνους, ἀποπνιγεὶς ὑφ' ἑνὸς ὀστέου ὀψαρίου ἐν τῷ ἐσθίειν. ὁ δὲ Ντεμὴρ ἐκαυχᾶτο ἀπελθεῖν ἕως εἰς τὰ Γάδειρα, καὶ περᾶσαι ἐκεῖθεν εἰς τὴν Λιβύην, καὶ ἐπανελθεῖν εἰς τὴν πατρίδα αὐτοῦ, ὅμως σκυλεύσας τὴν μικρὰν Ἀσίαν ὅλην, ὑπέστρεψεν εἰς τὰ ἴδια, καὶ ἀπέθανεν εἰς τὴν Σαμαρχάντην. ἔταξεν ὅμως εἰνοχοεῖν αὐτῷ τὴν γυναῖκα τοῦ Σουλταῦ Μπαγιαζὴτ καὶ θυγατέρα τοῦ Κνέζη Λαζάρου ἔμπροσθεν αὐτοῦ ὁ Ντεμὴρ, καὶ λέγουσιν οἱ Τοῦρκοι, ὅτι τὸ αἴτιον τοῦ παθεῖν τὸν Σουλταῦ Μπαγιαζὴτ τοῦτο ἐστὶ, διότι εἰς τὴν Προῦσαν ἔλαβεν ἀπὸ γάμου τινὰ νύμφην καὶ ἐπόρνευσεν αὐτήν. οὐδὲν λοιπὸν ἀπώναντο οἱ Ῥωμαῖοι ἐκ τῶν Λατίνων, ἀλλὰ καὶ Λέων ὁ εἰς τὴν Κιλικίαν Ῥὴξ τῆς Ἀρμενίας ἐζήτησε βοήθειαν ἀπὸ τοῦ Πάπα καὶ τῶν Βενετίκων κατὰ τῶν Τούρκων, ἀλλ' οὐδὲν ὠφελήθη. ἀλλὰ καὶ ἐπὶ Ἰωάννου τοῦ Παλαιολόγου σημείωσαι τὸν Χαλκοκονδύλην εἰς τὸ ἕκτον βιβλίον λέγοντα, ὅτι ὁ Ῥώμης ἔστειλε δέκα καράβια ἵνα ἐμποδίσωσι τὸν Σουλταῦ Μουρὰτ μὴ περᾶσαι εἰς τὴν Εὐρώπην, καὶ Ἰουλιανὸν Καρδηνάλιν ἵνα παρακινήσῃ τοὺς Οὔγγρους εἰς τὸν παρόντα πόλεμον, ὅμως οὐδὲν κατώρθωσαν ἐναντίον αὐτῷ. αὐτός ἐστιν ὁ λαβὼν τὴν Θεσσαλονίκην, ὁ πολιορκήσας τὸ Σιμπίνι, ὁ πέμψας Στρατὸν κατὰ Κολχίδος καὶ Γότθων, καίπερ διεφθάρη.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τοῦ τῆς Ἀλβανίας Ἡγεμόνος Ἰωάννου Καστριώτου, υἱοὺς, ἐξ ὧν εἷς ὁ καλούμενος Γεώργιος τοῦ δόντος ἐνέχυρα τῷ Σουλταῦ Μουρὰτ τοὺς τρεῖς αὐτοῦ κατεπολέμησε τοὺς Ὀθωμανούς.

Τότε ἔζη καὶ ὁ Ἰωάννης ὁ Καστριώτης, εἰς τὴν Ἤπειρον ἡγεμονεύων τῆς Ἀλβανίας, ὁ δοὺς ἐνέχυρα τὰ τρία αὐτοῦ παιδία χάριν πιστώσεως τῷ Σουλταῦ Μουρὰτ μετὰ τὸ λαβεῖν τὸν Σουλταῦ Μουρὰτ τὴν Φωκίδα, τὰς Ἀθήνας, τὴν Βοιωτίαν, τὴν Αἰτωλίαν, τὴν Ἀκαρνανίαν, καὶ τὰ πέριξ τῆς Πελοποννήσου ἕως τοῦ κόλπου τῆς Κορίνθου. ἐν τούτοις δὲ τοῖς παιδίοις ἦν καὶ ὁ μεγαλώνυμος Γεώργιος ὁ καὶ Σκαντερμπέκος, ὁ πλαστοῖς, φασὶ, γράμμασι λαβὼν εἰς τὴν ὑποταγὴν αὐτοῦ καὶ Κροάτας καὶ Μακεδονίους, καὶ Ἠπειρώτας, πολλοὺς χρόνους καταπολεμῶν τοὺς Τούρκους.

ΠΑΡΑΓΡΑΦΟΝ· Ζ'.

Περὶ τοῦ ἐκκομισθέντος βιβλίου τῆς μεγάλης Βιβλιοθήκης τῶν Αὐτοκρατόρων Ῥωμαίων ἐπὶ ἔτους χιλιοστοῦ ἑξακοσιοστοῦ ὀγδοηκοστοῦ, καὶ τὰ συμβάντα, τούς τε βασιλεύσαντας καὶ πατριαρχεύσαντας ἀπὸ ἔτους ἑξακισχιλιοστοῦ ἕως ἔτους ἑξακισχιλιοστοῦ ἐννακοσιοστοῦ τριακοστοῦ καταλέγοντος, ἐν ᾧ ὁ Σουλταῦ Μουρὰτ ἐπολιόρκησε τὴν Κωνσταντινούπολιν, ἔχων Στρατηγὸν τὸν Μιχαὴλ Μπέην.

Περί που τὰ χίλια ἑξακόσια ὀγδοήκοντα ἔτη, εἰς Βυζάντιον ἐξέβαλον τινὲς βιβλία ἀπὸ τῆς μεγάλης Βιβλιοθήκης τῶν Αὐτοκρατόρων Ῥωμαίων, ἥτις καὶ ἕως τοῦ νῦν διαμένει, ἔχουσα πρὸς τοῖς βιβλίοις καὶ εἴγια λείψανα, καὶ ἄλλα τίμια. εἴδομεν δὲ εἰς ἓν βιβλίον ἐξ ἐκείνων γεγραμμένα ταῦτα. Ἐν ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἦλθον οἱ Τοῦρκοι κατὰ τῆς πόλεως καὶ οὐκ ἔσχυσαν. Ἐν ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ εἰκοστῷ τεταρτῷ, Δεκεμβρίου εἰκοστῇ ἐνάτῃ ἐγένετο ὁ μέγας σεισμός. Ἐν ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ εἰκοστῷ ἐνάτῳ, Ὀκτωβρίου δωδεκάτῃ ἡμέρᾳ Κυριακῇ ἐκοιμήθη Μιχαὴλ Παλαιολόγος ὁ δεύτερος. Τῷ αὐτῷ ἔτει, Ἀπριλλίου εἰκοστῇ ἔφυγεν ὁ νέος Ἀνδρόνικος. Τῷ ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ τριακοστῷ ἕκτῳ ὁ Ἀνδρόνικος ἐβασίλευσε. Τῷ ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ τεσσαρακοστῷ ἐνάτῳ, Ἰουνίου δεκάτῃ

δεκάτῃ ὁ Ἀνδρόνικος ἐκοιμήθη. Τῷ ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ πεντηκοστῷ δευτέρῳ ἐγένετο σεισμὸς καὶ ὑψώθη ἡ θάλασσα ἕως τοῦ Σταυροῦ. Τῷ ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ πεντηκοστῷ τρίτῳ ἐφονεύθη ὁ μέγας Δοὺξ, καὶ τῇ ἐπαύριον Ἄρχοντες ἑκατὸν ὀγδοήκοντα. Τῷ ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ πεντηκοστῷ τετάρτῳ, Φεβρουαρίου τρίτῃ εἰσῆλθεν εἰς τὴν πόλιν ὁ Καντακουζηνὸς ἀπὸ τῆς πόρτας ἐκ τοῦ Φοκιωλάτου. Τῷ ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ τετάρτῳ εἰσῆλθεν εἰς τὴν πόλιν ὁ Ἰωάννης ὁ Βασιλεὺς ἀπὸ μέρους τοῦ Κοντοσκαλίου, καὶ ἐφονεύθη ὁ μέγας Δομέστιχος ὁ Ταρχανιώτης. Τῷ ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑβδομηκοστῷ πρώτῳ, Ἰουνίου εἰκοστῇ ἐξῆλθε Κάλλιστος ὁ Πατριάρχης, ἀκούων Τριβόλους, Τρίβους, Σέρβους, καὶ ἀπέθανε. Τῷ ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑβδομηκοστῷ δευτέρῳ, Ὀκτωβρίου ἑνδεκάτῃ ἔλαβε πάλιν τὸν θρόνον Φιλόθεος ὁ Πατριάρχης. Τῷ ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑβδομηκοστῷ τετάρτῳ ἀπῆλθεν ὁ Ἰωάννης εἰς τὴν Οὐγγρίαν. Τῷ ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑβδομηκοστῷ ἑβδόμῳ, Ὀκτωβρίου εἰκοστῇ ἀνεγνώσθη εἰς τὸ Ἱπποδρόμιον ἡ ἐπιστολὴ τοῦ Πάπα Οὐρβανοῦ, δηλονότι τοῦ πέμπτου. Τῷ ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ ἐγένετο τὰ περὶ τοῦ Μουσαφᾶ, καὶ ὁ Ἀνδρόνικος ἔβαλεν εἰς φυλακὴν τὸν πατέρα. Τῷ ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ὀγδοηκοστῷ πέμπτῳ ἔπαυσε τὸ μνημόσυνον Φιλοθέου τοῦ Πατριάρχου. Τῷ ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ δεκάτῳ ἐνάτῳ ἦλθεν ὁ Μωϋσῆς ἀπὸ Τατάρων, καὶ ἐδουλώθη τῷ Βασιλεῖ κὺρ Μανουὴλ Μῆνας πέντε. Τῷ ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ δεκάτῳ ἑβδόμῳ ἐκοιμήθη εἰς Θεσσαλονίκην Ἰωάννης ὁ δεύτερος, μετονομασθεὶς Ἰωάσαφ, τούτῳ τῷ ἔτει κατηγορήθη Ματθαῖος ὁ Πατριάρχης εἰς τὴν ἁγίαν Σοφίαν λειτουργήσας, καὶ τῷ ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ δεκάτῳ ἐνάτῳ ἀπέθανε. Τῷ ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ τριακοστῷ τοῦ Θεολόγου ἐπολέμησεν ὁ Σουλτᾶν Μουρὰτ τὴν μεγαλόπολιν, καὶ ἐνίκησαν οἱ Ῥωμαῖοι, ἦν δὲ Στρατηγὸς αὐτοῦ ὁ Μιχὰλ Μπέης κατατρέχων τῆς γῆς τῶν Ῥωμαίων, τὰ βρέφη περιτέμνων, τοὺς μεγάλους ἀποκτείνων, τὰ ὑπάρχοντα αὐτῶν ἁρπάζων, περιέκλεισε δὲ καὶ τὸ Βυζάντιον ἀπὸ Χρυσείας πύλης ἕως Ξυλοπόρτας, ἔχων καὶ ὄργανα πολεμικὰ διάφορα.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῶν συγχωρητικῶν γραμμάτων, ἅπερ ὁ Πάπας Ῥώμης εἰσήνεγκεν εἰς τὴν Ἐκκλησίαν καινοτομήσας, καὶ πῶς περὶ τούτων οἱ παπισταὶ καὶ οἱ Σχολαστικοὶ διαφωνητικῶς δοξάζουσιν, οὓς ὁ Βελλαρμῖνος συμβιβάζειν ἐπιχειρῶν, μάταιος δείκνυται, ὄντος τοῦ περὶ τούτων λόγου ψευδεπιπλάστου.

Ἄγνωστον ἦν τοῖς παλαιοῖς τὸ γένος τοῦτο τῶν συγχωρητικῶν γραμμάτων, ὅπερ ὕστερον εἰσήχθη εἰς τὴν Ἐκκλησίαν, καὶ προσπλάττεται ἔχειν τοὺς Πάπας ἐξουσίαν διανέμειν τοῖς πιστοῖς ἤδη ἐξομολογηθεῖσι καὶ συγχωρηθεῖσι, καὶ τῇ ἱερᾷ κοινωνίᾳ τῶν ἀχράντων Μυστηρίων στηριχθεῖσι συγχωρητικά τινα, ἅτινα λέγουσιν οἱ παπισταὶ ἔχειν τὴν ἰσχὺν ἐκ τοῦ θησαυροῦ τῆς Ἐκκλησίας, ταὐτὸν εἰπεῖν ἐκ τῆς ὑπερεκχύσεως τῶν παθημάτων τοῦ Χριστοῦ, καὶ τῆς ὑπερπληρώσεως τῶν μισθῶν τῆς Θεοτόκου καὶ τῶν ἁγίων. κεῖται δὲ ὁ θησαυρὸς οὗτος, λέγουσιν οἱ αὐτοὶ, παρὰ τῷ Πάπᾳ. ἐλευθεροῦνται δὲ διὰ τῶν τοιούτων συγχωρητικῶν οἱ πιστοὶ τῆς ὀφειλῆς τῆς ποινῆς, ὃ χρέος, λέγουσι, μετὰ τὴν συντριβὴν καὶ ἐξομολόγησιν καὶ τὴν συγχώρησιν χρεωστοῦσιν ἔτι πληρῶσαι τῇ δικαιοσύνῃ εἰς ἐκδίκησιν τῆς ἁμαρτίας ἢ ἐν τῇ παρούσῃ ζωῇ, ἢ ἐν τῷ καθαρτηρίῳ πυρὶ, καὶ φασὶν ἐλευθεροῦσθαι ταύτης τῆς ποινῆς τοὺς πιστοὺς ἢ καθόλου, ἢ κατὰ μέρος κατὰ τὸ δοκοῦν τῷ Πάπᾳ τῆς Ῥώμης, καὶ κατὰ τὸν μερισμὸν τῶν συγχωρητικῶν, ἅπερ δίδωσιν ἢ τοῖς ἐνταῦθα ζῶσιν, ἢ τοῖς ἐν τῷ καθαρτηρίῳ διάγουσι. λέγει δὲ ὁ Βελλαρμῖνος βιβλίῳ πρώτῳ περὶ τῶν συγχωρητικῶν, κεφαλαίῳ ὀγδόῳ, ὅτι ἐστὶ τὸ συγχωρητικὸν ἐλευθερία, ἢ λύσις κριτικὴ ἀπὸ τῆς ὀφειλῆς τῆς τῷ Θεῷ χρεωστουμένης ποινῆς ἐν τῷ τῆς μετανοίας βήματι, ἔξω τοῦ Μυστηρίου διδομένη διὰ τῆς ἐπιθέσεως τῶν μισθῶν, οἳ τῷ θησαυρῷ τῆς Ἐκκλησίας περιέχονται. εἰδέτις (φησὶν ὁ αὐτὸς) βούλεται ἐπεκτεῖναι τὸν Ὅρον καὶ περὶ τῶν συγχωρητικῶν, ἅτινα λαμβάνονται ὑπὲρ τῶν κεκοιμημένων, καὶ εἰσὶ συγχωρητικὰ τρόπῳ βοηθείας, καὶ οὐχ ἁπλῶς οὐδ' ἀπολελυμένως, δύναται μεταβαλεῖν τὴν ἀρχὴν τοῦ Ὅρου ἐκείνην, ἥτις ἐστὶν ἐλευθερία κριτικὴ ἀπὸ τοῦ χρέους, καὶ εἰπεῖν ἄφεσιν τῆς ποινῆς, καὶ τὰ ἑξῆς, βιβλίῳ πρώτῳ κεφαλαίῳ ὀγδόῳ. ἕτεροι δὲ λέγουσιν, ὅτι εἰσὶ λύσις δικαστικὴ, συνημμένην ἔχουσα τὴν συγχώρησιν ἐκ τοῦ θησαυροῦ τῆς Ἐκκλησίας. ἄλλοι δὲ, ὅτι εἰσὶ διάλυσις καὶ λύσις, ὅτι λύει καὶ ἐλευθεροῖ ἀπὸ τοῦ χρέους τῆς ποινῆς καὶ ἀπὸ τῆς συντηρήσεως τῆς κρίσεως. ἔστι δ' ὅπου διαφωνοῦσι περὶ τοῦ Ὅρου αὐτῶν οἱ Σχολαστικοὶ, καὶ συμβιβάζειν αὐτοὺς σπουδάζει ὁ τολμητίας Βελλαρμῖνος, εἰ καὶ μάτην, ἐπειδὴ ψευδεπίπλαστός τις ὢν ὁ περὶ τούτων λόγος, καὶ ἐν διαιρέσεσί τισι καὶ εὑρεσιολογίαις ἐπερειδόμενος, οὐ δύναταί ποτε ὑπ' οὐδενὸς στηριγμόν τινα εὑρεῖν καὶ ἀνάπαυλαν.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ἑτέρας γνώμης τοῦ Θωμᾶ ἐν τοῖς τοῦ Πάπα συγχωρητικοῖς, ᾧ συμφλυαρεῖ τὰ αὐτὰ ὅ,τε Βονοβεντούρας καὶ Ἰωάννης ὁ Λαζιέρδος.

Ἡ Κλεὶς τῆς δικαιολογίας, λέγει ὁ Θωμᾶς ζητήματι εἰκοστῷ πέμπτῳ, ἄρθρῳ δευτέρῳ, οὐκ ἔστι τὶ μυστηριῶδες, τὸ δὲ ἀποτέλεσμα αὐτῆς ὑπόκειται τῇ ἀνθρωπίνῃ κρίσει. ταύτης δὲ τῆς Κλειδὸς τὸ ἀποτέλεσμα ἐστὶν ἡ ἄφεσις, ἥτις γίνεται διὰ τῶν συγχωρητικῶν, μὴ λαμβανομένης ταύτης τῆς ἀφέσεως ἐν τῇ τῶν Μυστηρίων κοινωνίᾳ, ἀλλ' ἐν τῇ κοινωνίᾳ τοῦ κοινοῦ ἀγαθοῦ τῆς Ἐκκλησίας, καὶ διατοῦτο οἱ Λεγᾶτοι καὶ οὐχὶ Ἱερεῖς δύνανται ποιεῖν τὰ συγχωρητικὰ, ὅθεν ἐν τῇ γνώμῃ τοῦ διδόντος τὰ συγχωρητικὰ ἐστὶν, ἵνα στοχασθῇ πόσον ἀφίεται διὰ τῶν συγχωρητικῶν ἀπὸ τοῦ χρέους τῆς ποινῆς, ὅμως εἰ ἀτάκτως ἀφίησι τοσοῦτον, ὥστε ποιεῖν ὀκνηροὺς τοὺς λαμβάνοντας εἰς τὰ ἔργα τῆς μετανοίας, ἁμαρτάνει ὁ ποιῶν ταῦτα τὰ συγχωρητικὰ, εἰ καὶ ὁ λαμβάνων ταῦτα λαμβάνει πληρεστάτην συγχώρησιν. Ὁ αὐτὸς ἐν τῷ αὐτῷ ζητήματι, ἄρθρῳ πρώτῳ, δύνασθαι λέγει τὰς συγχωρήσεις καὶ ἐν τῷ βήματι τῆς Ἐκκλησίας, καὶ ἐν τῇ κρίσει τοῦ Θεοῦ διὰ τὴν ἄφεσιν τῆς ὀφειλομένης ποινῆς μετὰ τὴν συντριβὴν καὶ ἐξομολόγησιν καὶ συγχώρησιν ἢ δοθῆναι, ἢ καὶ μή. τὸ αὐτὸ φλυαρεῖ καὶ ὁ Βονοβεντούρας τεταρτῇ γνώμῃ, διαιρέσει εἰκοστῇ, μέρει δευτέρῳ, ἄρθρῳ πρώτῳ καὶ ζητήματι δευτέρῳ, καὶ Ἰωάννης ὁ Λαζιέρδος ἐν τῷ βίῳ τοῦ Διαλόγου.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἔλεγχος κατὰ τῶν παπιστῶν περὶ τῶν ψευδοσυγχωρητικῶν τοῦ Πάπα.

Τούτων οὕτως εἰρημένων, ἐπιχειριστέον κατὰ τῶν παπιστῶν οὕτως. Ὁ ἀφίων μετὰ τοῦ ἀφίοντος Θεοῦ, ἐκεῖνος οὐκ ἀτάκτως ἀφίησι, καὶ διατοῦτο ἀφίων οὐχ ἁμαρτάνει, μάλιστα τὸ ἐναντίον ἁμαρτάνει μὴ ἀφίων τοῖς ἀδελφοῖς, οἷς συνεχώρει ὁ Θεὸς, εἰ αὐτὸς συγχωρήσειεν, ὁ Πάπας δηλονότι, κατὰ γὰρ τοὺς Λατίνους εἰς τὴν βουλὴν τοῦ Πάπα κεῖται ἀφιέναι πάντα τὰ ἁμαρτήματα κατὰ τὸ χρέος ἐκείνης τῆς ἐναπολειφθείσης ποινῆς, λέγοντας τὴν τοιαύτην ἄφεσιν καὶ ἐν τῷ οὐρανῷ εἶναι ἱκανή. λέγομεν οὖν καὶ ἡμεῖς, ὅτι οὐκ ἔστι διάκρισις τοῦ Πάπα, ἀλλὰ σκληρότης καὶ τῆς ἀγάπης ἔλλειψις, ἐὰν οὐμερίζῃ εἰς ὅλους τὰ πληρέστατα συγχωρητικὰ, καὶ τέως εὐκολώτερόν ἐστι δοῦναι λόγον περὶ τῆς εὐσπλαγχνίας, ἢ περὶ τῆς σκληρότητος. προστίθησι δὲ ὁ Θωμᾶς λέγων, δύνασθαι τὸν διδοῦντα ἄλλοις τὰς συγχωρήσεις λαμβάνειν αὐτὰς καὶ περὶ ἑαυτοῦ, καθώσπερ καὶ ὁ Ἱερεὺς λαμβάνων ἑαυτῷ τὴν Εὐχαριστίαν, δίδωσι καὶ τοῖς ἄλλοις. ἐπαινεῖ δὲ ὡς ἀληθεστάτην τὴν γνώμην ταύτην ὁ Βελλαρμῖνος βιβλίῳ πρώτῳ περὶ τῶν συγχωρητικῶν, κεφαλαίῳ ἕκτῳ. ἕπεται δὲ ἐκ τούτου μὴ εἶναί τινα χρείαν γενέσθαι βοήθειαί τινα ὑπὲρ τῶν ψυχῶν τῶν τεθνηκότων Παπῶν, προσφορὰν δηλαδὴ, δέησιν, μνημόσυνον καὶ ἔλεος, ἐπειδὴ μόνοι ἑαυτοὺς ἐλύτρωσαν τῶν ὀφειλομένων ποινῶν περὶ ὧν ἥμαρτον, ταὐτὸν εἰπεῖν, μόνοι οἱ Πάπαι δικαστικῶς διέλυσαν καὶ ἔλυσαν ἑαυτοὺς τῶν ὀφειλομένων ποινῶν. εἶτα πῶς δύναται εἶναι ἁμαρτία ἡ ἐλευθερία τῆς ψυχῆς ἐκ τῶν ποινῶν; ἐπειδὴ ἡ ἱκανοποίησις τῶν ἀλλοτρίων ἐστὶν ἁρμόδιος τιμὴ τῆς δικαιοσύνης τοῦ Θεοῦ, ἥτις γίνεται διὰ τῶν συγχωρητικῶν, ὡς λέγει ὁ Βελλαρμῖνος βιβλίῳ πρώτῳ τῶν συγχωρητικῶν κεφαλαίῳ πέμπτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Γνώμη Ἀλεξάνδρου Ἀλένσης καὶ Θωμᾶ περὶ τῶν συγχωρητικῶν, ἰδικώτερον ταῦτα καὶ πληρέστατα εἰς μόνον τὸν Πάπαν κεῖσθαι λεγόντων ὡς νυμφίον τῆς καθόλου Ἐκκλησίας, τοὺς δὲ Ἐπισκόπους λαμβάνεσθαι παρὰ τῷ Πάπᾳ ἐν τῷ μέρει τῆς φροντίδος ὡσεὶ κριτὰς, τοῦ Βελλαρμίνου τὰ ἐναντία τούτοις λέγοντος.

Ἀλέξανδρος Ἀλένσης ὁμιλῶν περὶ τοῦ θησαυροῦ καὶ τῶν μεριζόντων τὰ συγχωρητικὰ, λέγει γίγνεσθαι ταῦτα ἐκ τῆς ὑπερεκχύσεως τῶν μελῶν τοῦ Χριστοῦ, καὶ μᾶλλον ἐκ τῶν μισθῶν τοῦ Χριστοῦ, οἵτινες εἰσὶν ὁ πνευματικὸς θησαυρὸς τῆς Ἐκκλησίας. ἔξεστι δὲ μόνοις τοῖς Ἐπισκόποις μερίζειν τὸν θησαυρὸν τοῦτον, οἵτινες εἰσὶ νυμφίοι τῆς Ἐκκλησίας, ἰδικώτερον δὲ δίδωσιν αὐτὰ ὁ Πάπας, ὅστις ἐστὶ νυμφίος τῆς καθόλου Ἐκκλησίας καὶ διοικητὴς, ὅθεν καὶ μᾶλλον αὐτός ἐστι διανομεὺς τοῦ πνευματικοῦ θησαυροῦ. ὁ δὲ Θωμᾶς λέγει ζητήματι εἰκοστῷ ἕκτῳ, ἄρθρῳ τρίτῳ, ὅτι ὁ Πάπας ἔχει τὸ πλήρωμα τῆς ἀρχιερατικῆς ἐξουσίας ὡς ὁ Βασιλεὺς ἐν τῇ βασιλείᾳ αὐτοῦ, οἱ δὲ Ἐπίσκοποι λαμβάνονται ἐν τῷ μέρει τῆς φροντίδος ὡσεὶ κριταὶ εἰς πᾶσαν πόλιν προστιθέμενοι, διὸ καὶ τοὺς Ἐπισκόπους μόνους ὁ Πάπας καλεῖ ἀδελφοὺς, τοὺς δὲ ἄλλους πάντας υἱοὺς, καὶ διατοῦτο τὴν ἐξουσίαν τῆς πληρεστάτης δόσεως τῶν συγχωρητικῶν κεῖσθαι εἰς μόνον τὸν Πάπαν, ἅτε δυνάμενον ποιεῖν ὡς βούλεται, οὔσης ὅμως αἰτίας νομίμου. ἡ δὲ ἐξουσία

τῶν

τῶν Ἐπισκόπων ἐστὶ διωρισμένη κατὰ τὴν ἐπιταγὴν τοῦ Πάπα, τόσον γὰρ δύνανται, ὅσον διωρίσθη αὐτοῖς, καὶ οὐχὶ πλεῖον. ὁ δὲ Βελλαρμῖνος λέγει, δύνασθαι τὸν μέγαν Ἀρχιερέα καὶ πάντα Ἐπίσκοπον διδόναι συγχωρητικὰ καὶ πρὸ τῆς χειροτονίας, βιβλίῳ πρώτῳ περὶ τῶν συγχωρητικῶν, κεφαλαίῳ δεκάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἐκδοθείσης ἀποφάσεως τῶν συγχωρητικῶν ὑπὸ τῆς ἐν Λατεράνῳ Συνόδου, προκαθεζομένου Ἰννοκεντίου τοῦ τρίτου, ἢ Γρηγόριός τε ὁ ἔνατος καὶ Βονιφάτιος ὁ ὄγδοος συνᾴδει.

Προκαθεζομένου Ἰννοκεντίου τοῦ τρίτου εἰς τὴν ἐν Λατεράνῳ Συνόδον ἐν ἔτει χιλιοστῷ διακοσιοστῷ δεκάτῳ πέμπτῳ, ἐξεδόθη αὕτη ἡ ἀπόφασις ἐν τῷ εἰκοστῷ ἕκτῳ κεφαλαίῳ. Ἐπειδὴ διὰ ἀδιακρίτων καὶ παρέργων συγχωρητικῶν, ἅπερ τινὲς Ἀρχιερεῖς μερικῶν Ἐκκλησιῶν ποιεῖν οὐκ αἰσχύνονται, καταφρονοῦνται αἱ Κλεῖς τῆς Ἐκκλησίας, ἥ τε ἱκανοποίησις τῆς μετανοίας ἐξασθενεῖ, ἀποφαινόμεθα, ἵνα ἐπὶ καθιερώσει τινὸς Ναοῦ μὴ ἐκτείνεσθαι τὰ συγχωρητικὰ παρὰ τοῦ ἑνὸς ἔτους, καθιερωμένου τοῦ Ναοῦ ἐξ ἑνὸς μόνου, ἢ καὶ ἐκ πλειόνων Ἐπισκόπων. καὶ μεταταῦτα, Ἐν τῇ ἐτησίῳ καθιερώσει τεσσαράκοντα ἡμέραι μόνον ἔσωσαν ἐπὶ τοῦ διανέμειν τὰ συγχωρητικὰ μετὰ τῶν προσηκόντων Κανόνων· ταῦτα ἐκεῖ. καὶ δὴ καὶ ἐν τοῖς ἀποφασιστικοῖς Γρηγορίου ἐνάτου, βιβλίῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ τεταρτῳ. μεταταῦτα δὲ Βονιφάτιος ὁ ὄγδοος λέγει κεφαλαίῳ τρίτῳ τῶν ἀποφασιστικῶν ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ, Τὰ συγχωρητικὰ, ἅπερ παρ' ἑνὸς ἢ καὶ πλειόνων Ἐπισκόπων ἐν ταῖς καθιερώσεσι τῶν Ἐκκλησιῶν καὶ ἐπ' ἄλλαις αἰτίαις διανέμονται, οὐκ ἔχουσι τὴν ἰσχὺν, εἰ κατὰ τὸ ἀποφανθὲν τῇ Οἰκουμενικῇ Συνόδῳ ἔξω τοῦ ἑνὸς ἔτους δοθήσονται.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τοῦ καινοτομηθέντος ὑπὸ τοῦ Πάπα ἐν τῇ Ἐκκλησίᾳ Ἰοβηλαίου χρόνου ἐν ᾧ τὰ συγχωρητικὰ δίδονται, καὶ πότε, καὶ ποῦ, καὶ πῶς. τοῦ δὲ ἀσεβεστάτου τούτου ἔργου αἴτιος, ὁ ὄγδοος Βονιφάτιος.

Ἰοβηλαῖον χρόνον καλοῦσιν οἱ Ῥωμαῖνοι, Πᾶσι τοῖς ἐν τοῖς τῶν μακαρίων Ἀποστόλων Ναοῖς τοῖς οὖσιν ἐν Ῥώμῃ μετ' εὐλαβείας εἰσιοῦσιν ἐλευθέρως πάνυ ἀνοίγεται ὁ πνευματικὸς θησαυρὸς τῆς Ἐκκλησίας διὰ τοῦ Πάπα, καὶ πληρέστατα συγχωρητικὰ ἀφθόνως διανέμονται. τούτου δὲ τοῦ ἀσεβεστάτου πράγματος αἴτιος Βονιφάτιος ὁ ὄγδοος, ὃς διέταξε δίδοσθαι καθ' ἕκαστον ἑκατοστὸν ἔτος κατὰ τὸν εἰρημένον τρόπον τὰ συγχωρητικὰ, καὶ ἐκάλεσε τὸ τοιοῦτον ἔτος Ἰοβηλαῖον. λέγει δὲ ταῦτα ἐν τῇ βούλῃ αὐτοῦ, ἥτις ἄρχεται ΤΩΝ ΠΑΛΑΙΩΝ, βιβλίῳ πέμπτῳ κεφαλαίῳ πρώτῳ, Ταῦτα ἡμεῖς τῷ ἐλέει τοῦ παντοδυνάμου Θεοῦ, καὶ τοῖς μισθοῖς τῶν ἁγίων Ἀποστόλων, καὶ τῇ ἐξουσίᾳ αὐτῶν θαρροῦντες, μετὰ καὶ τῆς συμβουλῆς τῶν ἀδελφῶν ἡμῶν καὶ τοῦ πληρώματος τῆς ἀποστολικῆς ἐξουσίας πᾶσι τοῖς ἐν τῷ παρόντι ἔτει τῷ χιλιοστῷ τριακοσιοστῷ ἀπὸ τῆς ἑορτῆς τῶν γενεθλίων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ καθ' ἕκαστον μέλλον ἑκατοστὸν ἔτος εἰς τοὺς Ναοὺς αὐτῶν τῶν Ἀποστόλων εὐλαβῶς εἰσιοῦσιν, ἀληθῶς μετανοοῦσι καὶ ἐξομολογουμένοις, ἢ τοῖς μέλλουσι μετανοεῖν καὶ ἐξομολογεῖσθαι ἐν τῷ τοῦ παρόντος ὁμοίῳ ἑκατοστῷ ἐρχομένῳ ἔτει, οὐ μόνον πλήρου καὶ πληρεστέραν, ἀλλὰ καὶ τὴν πληρεστάτην πασῶν τῶν ἁμαρτιῶν αὐτῶν συγχώρησιν καὶ δίδομεν καὶ δώσομεν, χαριζόμεθα καὶ χαρισόμεθα, ἀποφαινόμενοι, ὅτι οἱ θέλοντες μέτοχοι γενέσθαι τῆς παρ' ἡμῶν διδομένης συγχωρήσεως, εἰ μὲν εἰσὶ Ῥωμαῖνοι, τοὐλάχιστον ἐπὶ τριάκοντα συνεχῶν, ἢ καὶ παρ' ἡμερῶν ἡμερῶν, καὶ ἅπαξ τῆς ἡμέρας, εἰ δὲ εἰσὶ παρεπίδημοι καὶ τοῦ Παλατίου, ὁμοιοτρόπως διὰ δέκα ἡμερῶν προσέρχονται εἰς τοὺς αὐτοὺς Ναοὺς, ἕκαστος δὲ καὶ πλείονος ἀξιωθήσεται, τῆς τε συγχωρήσεως κυρίως τεύξεται, εἴτις εἰς αὐτοὺς τοὺς Ναοὺς πλεῖον καὶ εὐλαβέστερον θαμιεῖται.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ Κλήμεντος ἕκτου, τοῦ τὸν Ἰοβηλαῖον διορίσαντος γίνεσθαι οὐχ ὡς Βονιφάτιος ἐν ἑκάστῃ ἐτῶν ἑκατοντάδι, ἀλλ' ἐν ἑκάστῃ πεντηκοντάδι, καὶ ὧν μέμνηται ὑποθέσεων τούτου τοῦ θησαυροῦ τῆς Ἐκκλησίας, καὶ ὧν ἐρεσχελεῖ ἐν τῇ αὐτοῦ βούλῃ.

Τῷ χιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ ἔτει ἐγένετο Πάπας Κλήμης ὁ ἕκτος. οὗτος διετάξατο τὸ Ἰοβηλαῖον ἔτος γίνεσθαι οὐκ ἐν ἑκάστῳ ἑκατοστῷ ἔτει ὡς διώρισεν ὁ Βονιφάτιος, ἀλλ' ἐν ἑκάστῳ πεντηκοστῷ, καὶ εἰς τὴν βοῦλλαν αὐτοῦ, ἐν ᾗ ἔγραψε περὶ τῆς ὑποθέσεως ταύτης, μέμνηται ἐκείνου τοῦ θησαυροῦ, ἐξ οὗ ἐρεσχελοῦσιν αὐτλεῖν τὰ συγχωρητικὰ οἱ Πάπαι, φησὶ γὰρ, Ὁμονογενὴς τοῦ Θεοῦ Υἱὸς ὁ ἄμωμος καὶ ἄδολος Ἀμνὸς τῷ πολυτιμήτῳ αἵματι αὐτοῦ ἐξηγόρασεν ἡμᾶς (ὅπερ ἐν τῷ θυσιαστηρίῳ τοῦ

Σταυροῦ

Σταυρȣ̃ ἐν τῇ τραπέζῃ ἀνεύθυνος θυσιαστὴς ἐξέχεεν) ȣ̃ ῥανὶς μικρὰ αἵματος διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν τȣ̃ Λόγȣ ἀρκετὴ ἦν ὑπὲρ τῆς τȣ̃ κόσμȣ σωτηρίας, ἀλλ' εἰς πλῆθος ὡσεὶ ποταμόν τινα τȣ̃ αἵματος αὐτȣ̃ ἐκχυθέντος, ὥστε ἀπὸ ποδῶν ἕως τῆς κεφαλῆς ȣ̓χ εὑρίσκεσθαι ἐν αὐτῷ ȣ̓δὲν ὑγιὲς, ὅσον γȣ̃ν ἐκεῖθεν ἐστὶν ἰδεῖν, ἵνα μὴ κενὴ καὶ ματαία καὶ περιττὴ ἀποκατασταθῇ ἡ εὐσπλαγχνία τοσαύτης ἐκχύσεως, θησαυρὸν τῇ πολεμȣμένῃ Ἐκκλησίᾳ ἐκτήσατο, βȣλόμενος θησαυρίσαι τοῖς ἑαυτȣ̃ τέκνοις ὁ ἀγαθὸς πατὴρ, ἵν' ȣ̃τως ἅπασιν ὑπάρχῃ ὁ θησαυρὸς τοῖς ἀνθρώποις, ὥσπερ εἴ τινες ἐχρήσαντο, τῆς τȣ̃ Θεȣ̃ ἀγάπης μέτοχοι γενέσθαι, ὅνπερ θησαυρὸν οὐκ ἐν σȣδαρίῳ κατακείμενον, ȣ̓κ ἐν ἀγρῷ κρυπτόμενον, ἀλλ' ὅτιγε τῷ μακαρίῳ Πέτρῳ τῷ κλειδȣ́χῳ τȣ̃ Οὐρανȣ̃ καὶ τῷ αὐτȣ̃ διαδόχῳ καὶ βικαρίῳ ἐπὶ τῆς γῆς παρέδωκεν ὑπὲρ τȣ̃ διανεῖμαι αὐτὸν σωτηριωδῶς τοῖς πιστοῖς ἐπὶ ἰδίαις καὶ εὐλόγοις αἰτίαις, νῦν μὲν δηλονότι ὑπὲρ τῆς καθόλȣ, νῦν δὲ ὑπὲρ τῆς μερικῆς συγχωρήσεως τῆς διὰ τὰς ἁμαρτίας ὀφειλομένης χρονικῆς ποινῆς, τοσȣ̃τον γενικῶς, ὅσον καὶ ἰδικῶς (καθὸ καὶ τῷ Θεῷ ἀρέσκειν γνωρίζȣσιν) ἀληθῶς μετανοȣ̃σι καὶ ἐξομολογȣμένοις πατρικῶς καὶ εὐσπλάγχνως ἐπιτιθέναι. Πρὸς τὸν σωρὸν δὲ τȣ̃τον τȣ̃ θησαυρȣ̃ τῆς Μακαρίας Θεοτόκȣ καὶ πάντων τῶν ἁγίων ἀπὸ τȣ̃ πρώτȣ καὶ ἕως τȣ̃ ἐσχάτȣ δικαίȣ οἱ μισθοὶ πολὺς στηριγμὸς ὑπάρχειν γνωρίζονται, καὶ ȣ̓κ ἔστιν ȣ̓δ' ὁπωσȣ̃ν φοβεῖσθαι τὴν κένωσιν καὶ μείωσιν τȣ̃ τοιȣ́τȣ θησαυρȣ̃, τόσον διὰ τȣ̀ς ἀπείρȣς, ὡς προείπομεν, μισθȣ̀ς τȣ̃ Χριστȣ̃, ὅσον καὶ διὰ τȣ̃το, ὅτι ὅσον πλείονες ἐκ τῆς ἐπιθέσεως τȣ̃ θησαυρȣ̃ ἕλκονται πρὸς τὴν δικαιοσύνην, τοσȣ̃τον μᾶλλον αὐξάνει αὐτῶν τῶν μισθῶν ὁ σωρὸς, ὥσπερ ὁ τῆς Μακαρίας μνήμης Βονιφάτιος ὁ ὄγδοος ὁ προκάταχος ἡμῶν εὐσεβῶς λίαν τοῖς τάδε καὶ τάδε, ὡς εἴρηται ἀνωτέρω, ἀνοῖξαι ἠθέλησεν, ἀποφαινόμενος μετὰ καὶ συμβȣλῆς τῶν ἀδελφῶν αὐτȣ̃, ὡς εἴρηται ἀνωτέρω.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῶν αἰτιῶν δι' ἃς ὁ Πάπας ȣ̃τος Κλήμης εἰς τὸ πεντηκοστὸν ἔτος τὸν Ἰοβηλαῖον ὥρισε γίνεσθαι, καὶ περὶ τῆς ἀρχῆς τῆς βȣ́λλης αὐτȣ̃.

Ἡμεῖς δὲ σκοπȣ̃ντες, ὅτι ἐν τῷ μωσαϊκῷ Νόμῳ (ὃν ὁ Κύριος ȣ̓κ ἦλθε καταλῦσαι ἀλλὰ πληρῶσαι) τὸ πεντηκοστὸν ἔτος Ἰοβηλαῖον ἀφέσεως καὶ χαρᾶς καὶ ἱερὸς ἡμερῶν ἀριθμὸς ἐνομίζετο, καὶ ὅτι αὐτὸς ὁ πεντηκοστὸς ἀριθμὸς ἐν ταῖς διαθήκαις τῆς παλαιᾶς μὲν ἀπὸ τῆς τȣ̃ Νόμȣ δόσεως, τῆς δὲ νέας ἐκ τῆς ὁρατῆς τȣ̃ ἁγίȣ Πνεύματος εἰς τȣ̀ς μαθητὰς ἀποστολῆς, δι' ȣ̃ δίδοται ἡ ἄφεσις τῶν ἁμαρτιῶν, εἰς τιμὴν ἄγεται, καὶ ὅτι τȣ́τῳ τῷ ἀριθμῷ πολλὰ καὶ μεγάλα Μυστήρια τῶν θείων γραφῶν ἀποδίδονται, καὶ τὴν βοὴν μερικῶς τȣ̃ ἡμετέρȣ λαȣ̃ τῆς Ῥώμης, τȣ̃το πᾶρ ἡμῶν ταπεινῶς ἀπαιτȣ̃ντος, καὶ ἡμεῖς κατὰ Μωϋσῆν καὶ Ἀαρὼν διὰ ἰδίων καὶ συνήθων κηρύκων ἐπὶ τȣ́τῳ διατεταγμένων, καὶ ἰδικῶς ὑπὲρ παντὸς τȣ̃ χριστιανικȣ̃ λαȣ̃ προσευχομένων καὶ λεγόντων, Κύριε ἄνοιξον αὐτοῖς τὸν θησαυρὸν τȣ̃τον, τὴν πηγὴν τȣ̃ ζῶντος ὕδατος, τȣ́τοις ὑπακȣ̃σαι ἐκ τῆς ἡμετέρας καλοκἀγαθίας ποθȣ̃ντες, ȣ̓μὴν ἵνα καταπαύσωμεν ἐκείνȣ τȣ̃ Ἰσραηλητικȣ̃ λαȣ̃ τȣ̃ καταπεπωρωμένȣ τὴν καταλαλιὰν, ἀλλ' ἵνα τȣ́τȣ τȣ̃ λίαν ἀγαπητȣ̃ λαȣ̃ καὶ πάντων τῶν πιστῶν ἡ εὐλάβεια αὐξηθῇ, λάμψῃ ἡ πίστις, ζῇ ἡ ἐλπὶς, καὶ ἡ ἀγάπη περισσοτέρως ἐκθερμανθῇ, θελόντων τῶν πλειόνων γίνεσθαι μετόχων τοιαύτης συγχωρήσεως, ὀλίγων ἀπὸ τῶν πολλῶν διὰ τὴν βραχύτητα τῆς ἀνθρωπίνης ζωῆς δυναμένων φθάσαι τὸ ἑκατοστὸν ἔτος, μετὰ καὶ τῆς συμβȣλῆς τῶν ἀδελφῶν ἡμῶν τὴν προῤῥηθεῖσαν τῶν συνοδικῶν ἔκδοσιν ἀπὸ τῶν ἄνω εἰρημένων εὐλόγων αἰτιῶν εἰς τὸ πεντηκοστὸν ἔτος ἐνομίσαμεν ἀποκαταστῆσαι, ἀποφαινόμενοι μετὰ καὶ συμβȣλῆς τῶν ἀδελφῶν καὶ τȣ̃ πληρώματος (καὶ καθεξῆς ὡς εἴρηται ἀνωτέρω) ἀρχὴ τῆς βȣ́λλης, ΟΜΟΝΟΓΕΝΗΣ. βιβλίῳ πέμπτῳ κεφαλαίῳ δευτέρῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ Οὐρβανȣ̃ ἕκτȣ, τȣ̃ εἰς τὸ τριακοστὸν τρίτον ἔτος μεταγαγόντος τὸν Ἰοβηλαῖον, καὶ τῶν μέχρι Παύλȣ δευτέρȣ Παπῶν, τȣ̃ εἰς τὸ εἰκοστὸν πέμπτον ἔτος μετενεγκόντος τὸν Ἰοβηλαῖον, καὶ ποσάκις ἑώρτασαν τȣ̃τον, καὶ πότε.

Μετὰ τὸν Κλήμεντα τȣ̃τον Οὐρβανὸς ὁ ἕκτος, ὃς ἐγένετο ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ ἑβδομηκοστῷ ὀγδόῳ, μετέφερε τὸν Ἰοβηλαῖον, ὥς φησιν ὁ Ὀνȣ́φριος, ἀπὸ τȣ̃ πεντηκοστȣ̃ ἔτȣς εἰς τριακοστὸν τρίτον, καὶ ἑώρτασεν αὐτὸν εἰς τὸ χιλιοστὸν τριακοσιοστὸν ἐννενηκοστόν. τȣ́τȣ δὲ ἀποθανόντος ἐν τῷ χιλιοστοστῷ τριακοσιοστῷ ὀγδοηκοστῷ ἑνάτῳ, ἑώρτασεν αὐτὸν ὁ διάδοχος αὐτȣ̃ Βονιφάτιος ἔνατος, λέγει ὁ αὐτὸς Ὀνȣ́φριος. τέταρτον Ἰοβηλαῖον ἐποίησεν ὁ αὐτὸς εἰς τὸ χιλιοστὸν τετρακοσιοστόν. εἰς δὲ τὴν Σύνοδον τὴν ἐν Κωνσταντείᾳ γενόμενος Πάπας ὁ Μαρτῖνος, ἑώρτασε τὸν Ἰοβηλαῖον, καὶ ἀπέθανεν εἰς τὸ χιλιοστὸν τετρακοσιοστὸν τριακοστὸν καὶ ἓν ἔτος. Νικόλαος ὁ πέμπτος ἑώρτασεν ἕκτον Ἰοβηλαῖον, καὶ ἀπέθανεν εἰς τὸ χιλιοστὸν τετρακοσιοστὸν πεντηκοστὸν πέμπτον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

πέμπτον. Παῦλος ὁ δεύτερος εἰς τὸ χιλιοστὸν τετρακοσιοστὸν ἑξηκοστὸν τέταρτον μετέφερε τὸν Ἰοβηλαῖον εἰς ἔτος εἰκοστὸν πέμπτον, ὡς μαρτυρεῖ Σίκστος ὁ τέταρτος καὶ διάδοχος αὐτοῦ ἐν τῇ βούλλῃ αὐτοῦ, ἥτις ἄρχεται, ΚΑΘ' ὃΝ ΤΡΟΠΟΝ. κεῖται δὲ ἐν τῷ περὶ συγχωρητικῶν βιβλίῳ πέμπτῳ κεφαλαίῳ τεταρτῷ, καὶ ἴδε περὶ τούτου κατωτέρω βιβλίου ἑνδεκάτου κεφάλαιον τρίτον. ἀλλὰ δὴ καὶ αὐτὸς ὁ Παῦλος λέγει τὸ αὐτὸ ἐν τῇ βούλλῃ αὐτοῦ, Ἐξ ὧν καὶ ἡμεῖς δι' εὐλόγους αἰτίας.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ Ἀλεξάνδρου ἕκτου, τοῦ καὶ ἐν ἄλλαις πόλεσι, καὶ σχεδὸν κατὰ τὰς πλατείας τὸν Ἰοβηλαῖον ποιεῖν θεσπίσαντος, καὶ ὅτι ἐπὶ Λέοντος δεκάτου Μαρτῖνος ἐξ αἰτίας τῶν συγχωρητικῶν Αἱρεσιάρχης ἐγένετο.

Ἀλέξανδρος ὁ ἕκτος ἐποίησεν Ἰοβηλαῖον ὄγδοον, περὶ οὗ γράφει ὁ Πολύδωρος Βιργίλιος ἐν τῷ περὶ τῶν ἐφευρετῶν τῶν πραγμάτων βιβλίῳ ὀγδόῳ κεφαλαίῳ πρώτῳ ταῦτα, Ἀλέξανδρος ἕκτος, ὃς ἐγένετο Πάπας ἐν τῷ χιλιοστῷ πεντακοσιοστῷ, ἀκολουθῶν τῇ διαταγῇ τοῦ Σίκστου, ἤρξατο ποιεῖν τὸν Ἰοβηλαῖον οὐ μόνον ἐν Ῥώμῃ, ἀλλ' ἔτι καὶ εἰς μακρὰς Ἐπαρχίας καὶ πόλεις, καὶ ἐν παντὶ ἔθνει, καὶ σχεδὸν κατὰ τὰς πλατείας, προφασιζόμενος ἐνεργεῖν τὸ τοιοῦτον διὰ ὠφέλειαν τοῦ χριστιανικοῦ πληρώματος, καὶ μάλιστα ἵνα μὴ κοπιῶσιν οἱ πιστοὶ ἐρχόμενοι εἰς Ῥώμην ἐν ἑκάστῳ Ἰοβηλαίῳ, ἦν ὅμως τὸ αἴτιον τοῦ προσθεῖναι τὸν Ἀλέξανδρον κακὸν ἐπὶ τοῖς κακοῖς ἡ ἐπάρατος σιμωνία. Ἐν τῷ χιλιοστῷ πεντακοσιοστῷ δεκάτῳ τρίτῳ ἐγένετο Πάπας Λέων ὁ δέκατος, καὶ ἔθανεν ἐν τῷ χιλιοστῷ πεντακοσιοστῷ εἰκοστῷ πρώτῳ, ἐπὶ τούτου ἐγένετο Αἱρεσιάρχης Μαρτῖνος ὁ Λούτερος ἀπὸ αἰτίας τῶν συγχωρητικῶν, καὶ ἴδε κατωτέρω βιβλίου ἑνδεκάτου κεφάλαιον πέμπτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι πᾶσιν ἁπλῶς καὶ ἐν παντὶ τόπῳ οἱ τὴν Κλεῖδα τῆς πλάνης ἔχοντες Πάπαι συγχωρητικὰ διδόασι, διὰ τῶν πανταχοῦ ἀποστελλομένων πρακτόρων πωλοῦντες αὐτὰ, πλήρη καλούμενα.

Οὐ μόνον τοῖς ἐπισκέπτουσι τοὺς ἱεροὺς τόπους, ἢ καὶ τινὰς βεβαίας προσευχὰς ποιοῦσιν ἐπίτινος ἱκανοῦ ἀριθμοῦ, ἢ καὶ τοῖς ἐπιτηροῦσι τὸ ἅγιον Μανδήλιον, ἢ καὶ ἄλλα τινὰ λείψανα, ὡς λέγουσιν οἱ σοφοὶ τῶν παπιστῶν, ἀλλὰ καὶ τοῖς στρατευομένοις εἴς τινα ἱερὸν πόλεμον, ἢ καὶ τοῖς πρὸς ἄλλας εὐσεβεῖς χρείας διδοῦσιν ἀργύρια (ὡς διορίζει Σίκστος ὁ τέταρτος εἰς ἄλλην αὐτοῦ βοῦλλαν ἀρχομένην, ΕΙ ΚΑΙ ΤΟΥ ΚΥΡΙΑΚΟΥ, βιβλίῳ πέμπτῳ κεφαλαίῳ πέμπτῳ) καὶ χεῖρα βοηθείας ὀρεγομένοις, ὁ Πάπας ἐν ἑκάστῳ καιρῷ συγχωρητικὰ κατὰ τὸ βουλητὸν αὐτοῦ χαρίζεται. καὶ δὴ ἀπέρχονται εἰς πᾶσαν Ἐπαρχίαν οἱ ταῦτα διανέμειν λαχόντες, οὓς ὁ ῥηθεὶς Σίκστος ἐν τῇ βούλλῃ, ΚΑΘΟ'ΤΙ, καλεῖ Πράκτορας, ὡς κέρδος ποιοῦντας ἐκ τῶν συγχωρητικῶν οὕτως, ὥστε λέγειν τὸν Πλάτινα εἰς τὸν βίον Βονιφατίου τοῦ ἐνάτου, Οὐδὲν ὑστερεῖτο οὗτος πρὸς τὴν ἄκραν δόξαν, εἰμὴ ὑπήκουε τοῖς συγγενέσιν, ὑπὲρ ὧν τὰ πάντα ἔπραττε, σφόδρα γὰρ πολλὰ κακὰ διὰ τῆς σιμωνιακῆς ἀθλιότητος ἐγίνοντο, ἐπειδὴ ἐζήτουν κατὰ τοῦ δικαίου τὰ πάντα οἵτε ἀδελφοὶ καὶ ἀνεψιοὶ καὶ οἱ λοιποὶ συγγενεῖς αὐτοῦ, οἵτινες πολὺ πλῆθος κέρδους ἕνεκα ἦλθον εἰς Ῥώμην, τὰ δὲ συγχωρητικὰ, ἅπερ καλοῦνται πλήρη, οὕτω πανταχοῦ ἐπώλουν, ὥστε καὶ τὴν ἐξουσίαν τῶν ἀποστολικῶν γραμμάτων καὶ τῶν οὐρανίων Κλειδῶν παντάπασι καταισχύνεσθαι. ἐνοῖς σημείωσαι, ὅτι καὶ περὶ τούτου τοῦ παντόλμου ἔργου ἐννοητέον ὅπερ λέγει ὁ Χρυσόστομος ὁμιλίᾳ τριακοστῇ ἕκτῃ εἰς τὴν πρώτην πρὸς Κορινθίους, Οὐδὲν καπηλείου διενήνοχε τὰ παρ' ἡμῖν, τί γάρ ἐστι σιμωνία, ἀλλ' ἢ προφανὴς καπηλεία. καὶ περὶ τούτου τοῦ μιαροῦ πληρώματος τῶν Κλειδῶν προεῖπεν ἡ Σίβυλλα βιβλίῳ τρίτῳ, Κατ' ἀρχῆς τὰ πλάνης Μυστήρια πᾶσιν ἀνοίξει ἡ πεπλανημένη, δηλονότι ῥωμαϊκὴ Ἐκκλησία.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ τοῦ γένους καὶ τῆς πατρίδος Λέοντος δεκάτου, καὶ τῶν κατὰ πᾶσαν βασιλείαν γραμμάτων αὐτοῦ καὶ κηρύκων καὶ πρακτόρων, τῶν μὲν τὴν ἰνδουλγέντζιαν κατὰ τὴν τῶν ἀργυρίων δόσιν τοῖς λαμβάνουσιν ὑπισχνουμένων, τῶν δὲ τὰ ἀργύρια ἐπὶ τὸ συνάγειν τεταγμένων, καὶ περὶ τῶν κατὰ τῶν ἀσεβημάτων τούτων διδαχῶν Μαρτίνου τοῦ Λουτέρου.

Ἔχομεν εἰπεῖν μεταταῦτα περὶ Λέοντος τοῦ δεκάτου, εἰ δὲ δέον εἰπεῖν καὶ ἐνταῦθά τι περὶ αὐτοῦ, ῥητέον, ὅτι Λέων ὁ δέκατος Πάπας τῆς Ῥώμης ὁ καταγόμενος ἀπὸ τῆς γενεᾶς τῶν Μεδίκων, τῷ γένει Φλωρεντῖνος, κατὰ τὴν ἐξουσίαν ἣν ἐνόμιζεν ἔχειν εἰς ὅλας τὰς Ἐκκλησίας τῶν Χριστιανῶν, πολλαπλασιάσας ταύτην τῶν ἐναγῶν συγχωρητικῶν τὴν καινοτομίαν κατὰ τὸ παράδειγμα τῶν πρὸ αὐτοῦ Παπῶν, ἀπέστειλε

ἀπέστειλε κατὰ πᾶσαν βασιλείαν γράμματα καὶ διπλώματα, ἐνοῖς ὑπέσχετο τὴν ἄφεσιν τῶν ἁμαρτημάτων καὶ τὴν αἰώνιον σωτηρίαν, πλὴν οὐχ ἁπλῶς, ἀλλὰ τοῖς διδοῦσιν ἀργύρια, καθὰ ἐδίδου ὁ διδούς. εἰς δὲ τὴν εὐεργεσίαν ταύτην ἔστειλε κήρυκας καὶ πράκτορας, ὅθεν κατεσκευάζοντο Σκευοφυλάκια κατὰ πάσας τὰς Ἐπαρχίας, ἐκάλουν δὲ ταύτην τὴν ἄφεσιν τῶν ἁμαρτιῶν λεξειδίῳ τινὶ συνειθισμένῳ ἐκ τῶν Παπῶν ΙΝΔΟΥΛΓΕΝΤΖΙΑΝ, πρὸς τούτοις, ὅστις ἤθελε καταλύειν τὰς νενομισμένας νηστείας, καὶ ἐσθίειν ὠὰ, ἢ γάλα, ἢ τυρὸν, ἢ κρέας ἐδίδουν αὐτῷ θέλημα, καὶ ἐλάμβανον ἐξ αὐτοῦ ποσότητα ἀργυρίων, πωλοῦντες τὴν κατάλυσιν. Ἦν δὲ τότε ἐν Βιτεμπεργίδι φρούριον Σαξονίας, κείμενον παρὰ τὸν ποταμὸν Ἄλβιν Μαρτῖνος ὁ Λούτερος, Θεολόγος Αὐγουστινιᾶνος, οὐκ ἀπὸ τοῦ σχήματος τοῦ ἁγίου Αὐγουστίνου, ἀλλὰ ἀπὸ Αὐγουστίνου τινὸς, οὗ τὸ σχῆμα ἤρξατο μετὰ τὸ χιλιοστὸν διακοσιοστὸν ἔτος ἀπὸ Χριστοῦ. οὗτος παροξυνθεὶς ὑπὸ τῶν λιβέλλων καὶ τῶν διδαχῶν τῶν πωλούντων τὰ συγχωρητικὰ καὶ συναγόντων χρήματα, καὶ συγχωρούντων καταλύεσθαι τὰς νηστείας, ἔβλεπε γὰρ πλανώμενον τὸν κοινὸν λαὸν, ἤρξατο διδάσκειν κατὰ τῶν τοιούτων ἀσεβημάτων κατὰ τὸ χιλιοστὸν πεντακοσιοστὸν δέκατον ἕβδομον ἔτος.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι αἴτιον τῆς ἐναντιότητος τοῦ Μαρτίνου, οἱ τὰ ἐκ τῶν συγχωρητικῶν χρήματα ἐν καπηλείοις καὶ πορνοστασίοις καταδαπανῶντες πράκτορες.

Λέγει δὲ Ἰάκωβος Αὔγουστος Θοναῦος, τὸν Λέοντα εἰς τὰ τοιαῦτα παρακινηθῆναι ὑπὸ Λαυρεντίου Πουκίου ἀλιτηρίου Καρδηνάλεως, οὗ ἤκουε κατὰ πάντα, καὶ ἀποστεῖλαι τὰ χαρτία καὶ εἰς Γερμανίαν, ὅθεν ἠναντιώθη ὁ Λούτερος, καθότι οἱ πράκτορες οἱ συνάγοντες τὰ ἀργύρια παρ' ὧν διένειμαν τὰ χαρτία, ἐδαπάνων αὐτὰ εἰς τὰ καπηλεῖα, εἰς τὰ πορνοστάσια καὶ εἰς ἄλλους μιαροὺς καὶ κατηραμένους τρόπους, ὅθεν μετεῖχον τῶν εὐεργεσιῶν τοῦ Πάπα καὶ πορνοβοσκοὶ καὶ πόρναι, καὶ πᾶς τις βέβηλος καὶ ῥᾳδιοῦργος. εἰ οὖν ὁ πάντων ἀνθρώπων ταλάντατος καὶ τολμητίας Λούτερος ἐκ τῆς αἰτίας τῶν συγχωρητικῶν ἐγένετο Αἱρεσιάρχης, καὶ ἐν πολλοῖς καὶ μεγάλοις ἄκρος βλάσφημος, διὰ τὰ συγχωρητικὰ ὅμως δικαίως ἠγωνίσατο.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ τοῦ ἐν τῇ Ταργᾳ εἰπόντος τὸν Διάλογον Γρηγόριον Διδάσκαλον καὶ διανομέα τῶν συγχωρητικῶν τούτων γραμμάτων ἐπὶ μάρτυσι παπισταῖς.

Ὁ συνθέμενος τὴν σύνοψιν τοῦ παπισμοῦ, ἤτοι τὴν Ταργαν, διηγούμενος περὶ τῶν συγχωρητικῶν τούτων, λέγει ὅτι ἐδίδαξε ταῦτα Γρηγόριος ὁ Διάλογος. παράγουσι δὲ οἱ Λατῖνοι μάρτυρας τῆς παρὰ τοῦ Διαλόγου τούτων διανομῆς Θωμᾶν τὸν Ἀκβίναν ζητήματι εἰκοστῷ πέμπτῳ, ἄρθρῳ δευτέρῳ, καὶ Γουλίελμον Ἀλτισιοδορένσην, ὡς λέγει ὁ Βελλαρμῖνος Βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ. ἦσαν δὲ οἱ δύο οὗτοι εἰς τὸν δέκατον τρίτον αἰῶνα μετὰ τὸν Διάλογον ἔτη σχεδὸν ἑξακόσια, ὡς συνάγεται καὶ ἐκ τοῦ βιβλίου τοῦ Βελλαρμίνου περὶ τῶν ἐκκλησιαστικῶν συγγραφέων, ἀλλ' ὅμως οὔτε ὁ Διάλογος, οὔτε ἄλλος τις τῶν πατέρων ἕως τοῦ Ἀκβίνα δοκεῖ εἰπεῖν, ἢ μαρτυρῆσαι τοιοῦτον ἔργον. λεγόντων δὲ ἡμῶν πῦ ἦυρον τοῦτο ὁ Θωμᾶς καὶ ὁ Γουλίελμος καὶ εἶπον ὅτι ὁ Διάλογος διένειμε τοιαῦτα συγχωρητικὰ, καὶ μὴ ἔχων τι ἀληθὲς ἀπολογηθῆναι ἡμῖν ὁ τῶν τοιούτων ὑπερασπιστὴς Βελλαρμῖνος, λέγει βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ, ἰσχύειν μᾶλλον δεῖ τοῦ Θωμᾶ καὶ Γουλιέλμου τῶν σοφωτάτων ἀνδρῶν τὴν κατάφασιν, ἢ τὴν σιωπὴν πάντων τῶν ἄλλων.

Ἔλεγχος κατὰ τῶν παπιστῶν καὶ τῶν ἀνωτέρω ψευδομαρτυριῶν Θωμᾶ καὶ Γουλιέλμου.

Πλήρης βλασφημιῶν καὶ ἀτοπημάτων ἐστὶν αὕτη ἡ διανθέντευσις τοῦ Βελλαρμίνου, καὶ γὰρ ψευδής ἐστι, πῶς γὰρ δυνατὸν παλαιοῦ πράγματος μαρτυρίαν εἰς τοιοῦτον μέγα πρᾶγμα λαβεῖν ἡμᾶς, καὶ πιστεῦσαι Θωμᾷ καὶ Γουλιέλμῳ, καὶ μάλιστα μὴ οὔσης τινὸς ἀποκαλύψεως, ἢ μαρτυρίας τῆς θείας γραφῆς, ἢ καὶ μαρτυρίας τῶν ἁγίων πατέρων, ἢ τῶν ἀρχαίων ἱστοριηῶν συμφωνούσης, ἢ λεγούσης τοιοῦτόν τι, καὶ μάλιστα ὄντων εἰς τὸν καιρὸν ἐκεῖνον τοῦ Γρηγορίου θαυμαστῶν καὶ λίαν ἀξιωματικῶν τῆς Ἐκκλησίας Διδασκάλων, καὶ δὴ καὶ ἀπὸ τοῦ Γρηγορίου ἕως Θωμᾶ παρεῤῥύησαν, ὡς εἴρηται, ἑξακόσια ἔτη, καὶ πῶς τοῦτο οὐδεὶς ἐμαρτύρησεν, ἀλλὰ παντάπασιν ἐσιωπήθη; ἐπειδὴ οὖν οὐδεὶς τοιοῦτον Διδάσκαλος, ἢ συγγραφεὺς ἄλλος ἐμαρτύρησε, προφανῶς λίαν ψεύδονται οἱ ἀοιδοὶ Θωμᾶς καὶ Γουλίελμος καὶ οἱ τούτους διεκδικοῦντες Σχολαστικοὶ, τὰ γὰρ τοιαῦτα συγχωρητικὰ εἰσὶν ἀπὸ τῶν Παπῶν χθὲς καὶ πρότριτα ἐφευρημένα, ἔχοντα πρόφασιν μὲν τὸ καθαρτήριον πῦρ, ἀλήθειαν δὲ τὸ καθαρώτατον χρυσίον, ὅθεν Ἀλφόνσος Ντεκάστρος βιβλίῳ ὀγδόῳ κατὰ Αἱρέσεων λέγει, ὅτι οὐκ ἐδυνήθη εὑρεῖν τινὰ μαρτυρίαν τῆς θείας γραφῆς, ἢ ἱστορίαν τινὸς ἁγίου συγγραφέως μαρτυροῦσαν τὴν συνήθειαν τῶν τοιούτων συγχωρητικῶν, ἀλλ' οἱ Πάπαι καὶ μόνοι αὐτὴν ἔπλασαν, μετενεγκόντες τὰ παραδεδομένα

δεδομένα ἐν τῇ Ἐκκλησίᾳ συγχωρητικὰ (ἅτινα ἴσως καὶ ὁ Διάλογος ἐδίδου τοῖς αἰτοῦσι) εἰς συγχώρησιν ἄγνωστον καὶ ἀνήκουστον εἰς τὰ ὦτα τῆς καθολικῆς Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Κατὰ Παπῶν, λεγόντων τὸ περιττεῦον αἷμα τοῦ Χριστοῦ τὸν θησαυρὸν τῆς Ἐκκλησίας εἶναι, καὶ διὰ τῶν συγχωρητικῶν τὰς ποινὰς ἀφεῖναι.

Εἰς ὃ δὲ λέγουσιν, ὅτι μία ῥανὶς τοῦ αἵματος τοῦ Χριστοῦ ἔσωσε τὸν κόσμον, τὸ δὲ περισσεῦον ἐστὶ θησαυρὸς τῆς Ἐκκλησίας, καὶ διὰ τῶν συγχωρητικῶν ἀφίησι τὰς ποινὰς, ῥητέον, Ἑνὶ καὶ τῷ αὐτῷ μονίμῳ πάθει τοῦ Χριστοῦ ἐξηγοράσθησαν πάντες οἱ κατατεταγμένοι εἰς ζωὴν αἰώνιον, πάντες καὶ ἕκαστοι κατ' ἐκεῖνον τὸν τρόπον, ὡς ἑνὶ καὶ τῷ αὐτῷ φωτὶ τοῦ Ἡλίου ἕκαστος τῶν ἀνθρώπων φωτίζεται, καθ' ὃν τρόπον μία καὶ ἡ αὐτὴ παντοδυναμία τοῦ Θεοῦ ἔκτισε τοῦτον τὸν κόσμον καὶ μυρίους ἠδύνατο κτίσαι, οὐ δυνατὸν δὲ εἰς μερίδας σχίζεσθαι τὸ Αἷμα τοῦ Χριστοῦ, ὥστε ἄλλην μερίδα τῶν παθημάτων τοῦ Χριστοῦ τουτὶ τῷ ἀνθρώπῳ προσαρμόζεσθαι, καὶ ἄλλην ἑτέρῳ ἐπιμερίζεσθαι, καὶ ἄλλην μὲν μερίδα ἀφανίζειν τὸ πταῖσμα, ἄλλην δὲ ἐξαλείφειν τὴν τιμωρίαν. αὐθαδέστατόν ἐστι, καὶ μάλιστα ἀσεβέστατον τὸ πρίειν καὶ διαιρεῖν τῆς ἡμετέρας σωτηρίας τὴν τιμὴν, ἣν ὁ Θεὸς ἠθέλησεν εἶναι μόνιμον καὶ ἀμέριστον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΣ'.

Ὅτι οὐ δυνατὸν ἐπιτεθῆναι ἡμῖν τοὺς μισθοὺς καὶ τοὺς καρποὺς τῶν παθημάτων τῶν ἁγίων διὰ τῶν συγχωρητικῶν, ὡς ἐρεσχελοῦσιν οἱ ταῦτα ἐφευρόντες Πάπαι.

Ῥητέον, ὅτι οὐ δυνατὸν ἐπιτεθῆναι ἡμῖν τοὺς μισθοὺς καὶ τοὺς καρποὺς τῶν παθημάτων τῶν ἁγίων διὰ τῶν συγχωρητικῶν, πρῶτον, ὅτι οἱ ἅγιοι οὐκ εἶχον τοιαύτην γνώμην ὅτε ἔπασχον. δεύτερον, παῦ εἴτι εἶδος θλίψεως καὶ βασάνων ὑπέφερον, ἔτιγε μὴν καὶ αὐτὸν τὸν θάνατον οἱ ἅγιοι Μάρτυρες, ἔλαβον πλήρη τὴν ἀντιμισθίαν παρὰ Θεοῦ, καὶ λήψονται πληρεστάτην ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου. τρίτον, οἱ ἅγιοι ὅσα πάθη καὶ βάσανα ὑπέφερον διὰ Χριστὸν οὐ περισσεύουσι τῆς ἀντιμισθίας ἣν λαμβάνουσιν, ἐπειδὴ οἱ μισθοὶ ὑπερανέχουσιν ἀσυγκρίτως τῶν παθῶν, καὶ γὰρ φησὶν ὁ Ἀπόστολος, οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι. οὐ περισσεύουσιν οὖν οἱ μισθοὶ τῶν παθῶν τῶν ἁγίων, ἄρα οὔτε θησαυροί εἰσι τῆς Ἐκκλησίας ὥστε ἐπιτίθεσθαι ἑτέροις πρὸς συγγνώμην τῆς ὀφειλομένης ποινῆς. τέταρτον, τοὺς ἁγίους ἔχομεν μεσίτας καὶ πρεσβευτὰς πρὸς Θεὸν, πρεσβεύοντας ὑπὲρ ἡμῶν, καθ' ὃν τρόπον ἡ Ἐκκλησία διώρισεν ἐν πολλοῖς, καὶ παρέδωκεν ἀπ' ἀρχῆς, καὶ ἡ ἁγία γραφὴ διδάσκει, καὶ οἱ πατέρες μαρτυροῦσιν, οὐμὴν καὶ τὸ αἷμα, ἢ τὰ πάθη καὶ αἱ θλίψεις αὐτῶν αἴτια ἡμῖν σωτηρίας, εἷς γάρ ἐστιν ὁ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἑνὸς καὶ μόνου τὸ αἷμα καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας, ἑνὸς ὁ θάνατος ἐγένετο ἡμῖν πρόξενος σωτηρίας, εἷς γὰρ ὑπὲρ πάντων ἡμῶν ὁ Χριστὸς ἀπέθανεν, οἱ δὲ λέγοντες εἶναι τοὺς ἁγίους σωτῆρας οὐ τρόπῳ μεσιτείας, ἤτουν πρεσβείας, ἀλλὰ διὰ τοὺς περισσεύοντας μισθοὺς αὐτῶν, οἵτινες ἐπιτιθέμενοι ἡμῖν συγχώρησιν προξενοῦσιν, ἀνάθεμα ἔστωσαν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Ὅτι ὁ Βελλαρμῖνος ῥητὰ ἐκ τῶν πρὸς Κορινθίους καὶ Τιμόθεον καὶ Κολοσσαεῖς ἐπιστολῶν τοῦ Ἀποστόλου εἰς μαρτυρίαν φέρων, ἵνα δείξῃ εἶναι δυνατὸν τὰ τῶν ἁγίων πάθη ἐπιθέσθαι ἄλλοις ἀνθ' ἱκανοποιητικῶν, δείκνυται ἐνταῦθα ψεύστης, ὑποκριτὴς καὶ βλάσφημος.

Ὁ Βελλαρμῖνος ἵνα δείξῃ τὰ πάθη τῶν ἁγίων (ἅπερ αὐτὸς καλεῖ περισσεύματα) ὅτι δυνατὸν ἐπιτίθεσθαι ἄλλοις, οἵτινες χρεωστοῦσι πληρῶσαι ποινὴν χρονικὴν, φέρει εἰς μαρτυρίαν τὸ δέκατον πέμπτον ἐδάφιον τοῦ δωδεκάτου κεφαλαίου τῆς δευτέρας πρὸς Κορινθίους, καὶ τῆς πρὸς Τιμόθεον δευτέρας κεφαλαίου δευτέρου ἐδάφιον δέκατον, καὶ τῆς πρὸς Κολοσσαεῖς κεφαλαίου πρώτου ἐδάφιον εἰκοστὸν τέταρτον, ἀλλὰ ψεύδεται φανερῶς, ἐπειδὴ ὁ Ἀπόστολος δι' ἐκείνων τῶν ῥημάτων βούλεται εἰπεῖν ὅτι ἔπαθε καὶ ἐδαπανήθη διὰ τοὺς ἐκλεκτοὺς καὶ διὰ τὴν Ἐκκλησίαν, ἐπειδὴ καὶ οὐκ ἐδύνατο κηρύττειν τὸ Εὐαγγέλιον, εἰμὴ διὰ πολλῶν κινδύνων καὶ πόνων πολλῶν, καὶ πάλιν παθεῖν καὶ δαπανηθῆναι διὰ τὴν Ἐκκλησίαν καὶ τοὺς ἐκλεκτοὺς, καθότι ἐν τῷ παραδείγματι αὐτοῦ ἐστήριζε τοὺς ἀσθενεῖς, καὶ ἴδε τοὺς τόπους παρὰ τοῖς ἐξηγηταῖς ἐν οἷς καὶ τὴν Θεοδώριτον. ἀλλὰ φησὶν ὁ Βελλαρμῖνος, δυνατόν ἐστι λαμβάνεσθαι τὰ ῥήματα καὶ διὰ τὴν κοινωνίαν τῶν ἱκανοποιήσεων, ἡμεῖς δὲ ἀποφάσκομεν ταῦτα πάντῃ καὶ πάντως, τὶς γὰρ ψιλὸς ἄνθρωπος ὑπὲρ αὐτοῦ ἢ καὶ περὶ

ἄλλων

ἄλλων ἱκανοποιήσει τῇ θείᾳ δικαιοσύνῃ, ὥστε οὐ διὰ τὴν θείαν ἐπαγγελίαν ἰσχύειν τὰ ἀγαθὰ ἔργα πρὸς κάθαρσιν ἁμαρτημάτων, ἀλλ' ἁπλῶς καὶ καθ' ἑαυτὰ, καὶ μάλιστα περιοσεύειν, καὶ τὸ περίσσευμα ἄλλοις ἐπιτίθεσθαι, ὥστε τῇ ἁπλῶς ἀνταλλακτικῇ δικαιοσύνῃ, ἢ τῷ πληθυσμῷ τῆς ἱκανῆς τιμῆς ἑαυτὸν, ἢ ἄλλον τινὰ τῶν χρεωστουμένων τιμωριῶν ἐλευθερῶσαι; καὶ μάρτυρες ἡ γραφὴ καὶ οἱ πατέρες ἁπαξάπαντες. ψεῦδος δ' ἐστὶ καὶ εἰρωνικὸν ἐκεῖνο, ὅπερ λέγει ὁ Βελλαρμῖνος βιβλίῳ πρώτῳ κεφαλαίῳ δευτέρῳ, ὅτι ἐστὶ δυνατὸν ἑνὸς ψιλοῦ ἀνθρώπου τὴν ἀγαθοέργειαν ἐπιτεθεῖναι ἑτέρῳ καθὸ ἱκανοποιητική ἐστιν, εἰ καὶ μὴ δύναται τεθεῖναι καθὸ μισθωτική ἐστι, καὶ γὰρ ὅτι μὲν ἐστι μισθωτικὰ τὰ ἀγαθὰ ἔργα περὶ μόνων τῶν ποιούντων αὐτὰ διὰ τὴν θείαν ἐπαγγελίαν, διδασκόμεθα, Εἰ γάρ, φησι, θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολὰς, ὅτι δὲ ψιλοῦ ἀνθρώπου ἀγαθοέργεια ἐστὶν ἱκανοποιητικὴ περὶ ἑτέρων παρὰ τῷ βήματι τῆς θείας δικαιοσύνης, ἀποβάλλομεν, καὶ ὡς διόλου ἀγνώριστον καὶ βλάσφημον κατακρίνομεν, οὐ γὰρ οἶδε τὸ τοιοῦτον ἡ γραφὴ, οὔτε οἱ πατέρες αὐτὸ ἐδίδαξαν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Περὶ ὧν προσφέρουσι ῥητῶν ἀπὸ τοῦ παραδείγματος τῆς Δαυΐδ μετανοίας καὶ τοῦ ἐννενηκοστοῦ ψαλμοῦ οἱ Σχολαστικοὶ, ἵνα δείξωσιν, ὅτι πέμπει ὁ Θεὸς τοῖς πιστοῖς μετὰ τὴν συγχώρησιν τῆς ἁμαρτίας χρονικὰς ποινὰς καὶ θάνατον εἰς ἐκδίκησιν αὐτῆς, καὶ περὶ τῆς πρὸς ταῦτα ἀπολογίας, καὶ μάλιστα πρὸς τὸν θάνατον ἀπὸ τῶν τοῦ Αὐγουστίνου ῥητῶν.

Ἵνα βεβαιώσωσιν οἱ Σχολαστικοὶ, ὅτι μετὰ τὴν συγχώρησιν τῆς ἁμαρτίας ὁ Θεὸς πέμπει ποινὰς χρονικὰς τοῖς πιστοῖς εἰς ἐκδίκησιν τῆς ἁμαρτίας, ἀποδεῖξαι βιάζονται τῷ παραδείγματι τοῦ Δαυΐδ, ὅστις μετὰ τὴν ἁμαρτίαν ἐτιμωρήθη τῷ θανάτῳ τοῦ παιδός. καὶ ἔτι προσφέρουσιν ἀπὸ τοῦ ἐννενηκοστοῦ ὀγδόου ψαλμοῦ, τὸ, ὁ Θεὸς Σὺ εὐίλατος ἐγίνου αὐτοῖς, καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν, ἅτινα ῥήματα ἐκτιθέασι περὶ τοῦ σωματικοῦ θανάτου τοῦ Μωϋσέως καὶ Ἀαρὼν, ὅστις θάνατος ἦν αὐτοῖς δῆθεν ἀντὶ τῆς ἁμαρτίας ἣν ἐποίησαν ἐν τῇ ἀντιλογίᾳ. Ἀλλὰ ῥητέον, περὶ τῆς ἑρμηνείας τῶν τοιούτων ῥητῶν μᾶλλον πιστεύομεν τοῖς ἁγίοις πατράσιν, ἢ τοῖς Σχολαστικοῖς, οἵτινες διδάσκουσι τὰ τῆς κοιλίας αὐτῶν. Περὶ τοῦ θανάτου λοιπὸν λέγει ὁ Αὐγουστῖνος βιβλίῳ δευτέρῳ περὶ τῶν πιστῶν καὶ ἀφέσεως ἁμαρτιῶν, κεφαλαίῳ τριακοστῷ πρώτῳ, Τὸν φόβον τοῦ θανάτου οἱ πιστοὶ νικῶσι, τοῦτο πρὸς ἀγῶνα αὐτῆς τῆς πίστεως προὔθηκεν ὁ Θεὸς, ἥτις ὤλισθεν ἂν, εἰ εὐθὺς ἡ ἀθανασία ἠκολούθει. καὶ κεφαλαίῳ τριακοστῷ τρίτῳ φησὶν εἶναι πράγματά τινα, ἅτινα πρὸς πάλην τῆς πίστεως μένειν ἀφίησιν, ἵνα δι' αὐτῶν νουθετῶνται καὶ ἀσκῶνται οἱ προκόπτοντες ἐν τῷ αἰῶνι τῆς δικαιοσύνης, ὥσπερ ἐστὶν ἐκεῖνο, ὃ διὰ τὴν ἁμαρτίαν εἴρηκεν ὁ Θεὸς τῷ ἀνθρώπῳ, Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖσοι ἡ γῆ, καὶ ὃ ἐῤῥέθη τῇ γυναικὶ, Ἐν λύπαις τέξῃ τέκνα. καὶ κεφαλαίῳ τριακοστῷ τεταρτῷ λέγει, Πρὸ τῆς ἀφέσεως εἰσὶ τιμωρίαι τῶν ἁμαρτωλῶν, μετὰ δὲ τὴν ἄφεσιν παλαίσματα καὶ ἀσκήσεις τῶν δικαίων, οὕτως ἀποκρίνεσθαι χρεωστοῦμεν καὶ ἐκείνοις. περὶ δὲ τοῦ θανάτου τοῦ σώματος, ἵνα αὐτὸν τὸν θάνατον τῇ ἁμαρτίᾳ συντείνειν ὁμολογήσωμεν καὶ μετὰ τὴν τῶν ἁμαρτιῶν ἄφεσιν, ὅπως ὁ μέγας φόβος αὐτοῦ ὑπὸ τῶν προκοπτόντων νικᾶται, καὶ ἡμῖν ἀφεθέντα τὸν θάνατον πρὸς πάλην μὴ ἀπαξιῶμεν, εἰ γὰρ ὀλίγη ἦν ἡ δύναμις τῆς πίστεως, ἢ διὰ τῆς ἀγάπης ἐνεργεῖ νικῆσαι τὸν φόβον τοῦ θανάτου, οὐκ ἂν ἦν τοσαύτη ἡ δόξα τῶν Μαρτύρων, καὶ ὁ κύριος οὐκ ἂν εἶπε, Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ὥστε τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ τῶν φίλων αὐτοῦ. Τῷ θανάτῳ ἐστὶ μεγάλη καὶ σκληροτάτη ἡ στενοχωρία, οὗτινος τὸν φόβον ὁ ἐκ πίστεως νικῶν, μεγάλην δόξαν καὶ δίκαιον μισθὸν τῇ ἑαυτοῦ πίστει κτᾶται. ὅθεν οὐκ ἔχειν θαυμάζειν καὶ τοῦ θανάτου τοῦ σώματος μὴ μέλλοντος συμβαίνειν τῷ ἀνθρώπῳ εἰ μὴ προηγήσοιτο ἡ ἁμαρτία ἢ καὶ τοιαύτη τιμωρία συνηκολούθει καὶ μετὰ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ αὐτὸν τὸν θάνατον συμβαίνειν τοῖς πιστοῖς, ὥστε ἐν τῷ νικᾶν τὸν φόβον αὐτοῦ ἡ ἀνδρεία τῆς δικαιοσύνης ἐξασκεῖται. Τοιοῦτόν τι ἐγνώσθη καὶ περὶ τοῦ Πατριάρχου Δαυΐδ, πρὸς ὃν ἀποσταλεὶς ὁ προφήτης, ἀνήγγειλεν αὐτῷ τὰ κακὰ, ἅτινα ἀπὸ τοῦ θυμοῦ τοῦ Θεοῦ διὰ τὴν ἁμαρτίαν αὐτοῦ ἔμελλεν αὐτῷ συμβαίνειν, τῇ δὲ ἐξομολογήσει τῆς ἁμαρτίας αὐτοῦ ἔλαβε τὴν συγχώρησιν, εἰπόντος αὐτῷ τοῦ προφήτου, Καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου, καὶ ὅμως ἔμελλον ἀκολουθήσειν τὰ παρ' αὐτοῦ ἀπειληθέντα. Ὅθεν καὶ ὧδε λέγεται, εἰ ὁ Θεὸς δι' ἐκείνην τὴν ἁμαρτίαν ἠπείλησε, τίνος ἕνεκεν, ἀφεθείσης τῆς ἁμαρτίας, ἐπλήρωσεν ὃ ἠπείλησεν, εἰ μὴ διότι δικαιοτάτη ἐστὶν, εἰ οὕτως ἔλεγεν ἄν τις, ἀπεκρινάμεθα, Τὴν ἄφεσιν ἐκείνην τῆς ἁμαρτίας γενηθῆναι, ἵνα μὴ ἐμποδισθῇ ὁ ἄνθρωπος τοῦ λαβεῖν τὴν αἰώνιον ζωὴν, τὸ δὲ ὑπηκολουθηκὸς ἀποτέλεσμα ἐκείνης τῆς ἀπειλῆς ἐστὶν, ἵνα ἡ εὐσέβεια τοῦ ἀνθρώπου ἐν ἐκείνῃ τῇ ταπεινώσει ἀσκῆται καὶ δοκιμάζηται. οὕτω καὶ τὸν θάνατον τοῦ σώματος διὰ τὴν ἁμαρτίαν ταύτην ἔδωκεν ὁ Θεὸς τῷ ἀνθρώπῳ, καὶ μετὰ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν διὰ τὸ ἀσκεῖν τὴν δικαιοσύνην οὐκ ἀφείλετο. ταῦτα ὁ Αὐγουστῖνος ἐν τοῖς ἐρημένοις τόποις.

Παρά-

ΒΙΒΛΙΟΝ Θ'. ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'.

Ὅτι λέγοντες οἱ Λατῖνοι τὸν Θεοδώριτον καὶ τὸν Αὐγουστῖνον εἰς τὸ, ὁ Θεὸς εὐΐλατος ἐγίνου αὐτοῖς, ψαλμικὸν ῥητὸν, ἀναφέρειν τὴν εἰς τὸν Μωϋσῆν καὶ Ἀαρὼν ἐκδίκησιν, ψεύδονται προφανῶς ἐκ τοῦ αὐτοῦ Θεοδωρίτου καὶ Αὐγουστίνου ὡς ἐνταῦθα δείκνυται, καὶ ὅτι τὸ μὴ γίνεσθαι τὰ πάθη μετὰ τὴν τῶν ἁμαρτιῶν ἄφεσιν ἕνεκεν χρέους ποινῆς, καὶ ἐξ ἑτέρων βεβαιοῦται πατέρων.

Περὶ τοῦ ἀνωτέρω τόπου, τοῦ, Κύριος ὁ Θεὸς εὐΐλατος ἐγίνου αὐτοῖς, δύο μαρτυρίας εἰσφέρουσιν οἱ παπισταὶ, ὧν τὴν μὲν πρώτην λέγουσιν εἶναι τοῦ Θεοδωρίτου, τὴν δὲ ἑτέραν τοῦ Αὐγουστίνου, καὶ ὅμως ὁ Θεοδώριτος ἐν τῇ ἐξηγήσει τῶν ψαλμῶν ἀναφέρει τὴν ἐκδίκησιν οὐκ εἰς τὸν Μωϋσῆν καὶ τὸν Ἀαρὼν, ἀλλ' εἰς τὸν Κορὲ, Δαθὰν, καὶ Ἀβειρὼν καὶ τοὺς ὁμοίους, ὧν μέρος μὲν τὸ πῦρ ἀπώλεσε, μέρος δὲ ἡ γῆ κατέπιε, καὶ μέρος ἕτεραι πληγαὶ κατεδάμασαν, ἵν' ἐκ τούτου μάθωσιν οἱ ἄλλοι μὴ ἀπιστεῖν. καὶ δὴ ἐν τῷ δευτέρῳ Τόμῳ τῆς ἑρμηνείας τῶν ψαλμῶν ἐν τῇ σειρᾷ λέγει ὁ Θεοδώριτος τὸ, Καὶ ἐκδικῶν, Σύμμαχος οὕτως ἐξέδωκε, Καὶ ἔκδικος ἐπὶ ταῖς ἐπηρείαις αὐτῶν, τοὺς μὲν γὰρ ἐπὶ τοῦ μεγάλου Μωϋσέως τυραννήσαντας πυρὶ παραδέδωκε, καὶ τοὺς τὴν φλόγα διαφυγόντας ζῶντας τῷ τάφῳ παρέπεμψε, καὶ τοὺς διὰ θαλάσσης ὁδεύσαντας καὶ τὸν βυθὸν ἐκεῖνον πεζεύσαντας πεποίηκεν ὑποβρυχίους ἐν γῇ, παραδόξοις χρησάμενος κύμασι, τοὺς δὲ κατὰ τοῦ προφήτου Σαμουὴλ στασιάσαντας τῇ τοῦ Σαοὺλ δυναστείᾳ παραδέδωκε, καὶ παντοδαπαῖς περιέβαλε συμφοραῖς. ταῦτα Θεοδώριτος. συνηγορεῖ τῷ Θεοδωρίτῳ ὁ Αὐγουστῖνος, τῇ δὲ ἐξηγήσει τῶν παπιστῶν μάχεται. Φησὶ τοίνυν ἐν τῷ τόπῳ τούτῳ τοῦ ψαλμοῦ περὶ τοῦ Θεοῦ, ὅτι οὐ μόνον χαριζόμενος τὰς ἁμαρτίας, ἀλλὰ καὶ θεραπεύων εὐΐλατος ἐγίνου. Ἴδετε ἀδελφοί μου, καὶ τὶ νουθετεῖ ἡμᾶς ἐνθάδε καταλάβετε. ἐκεῖνῳ ὁ Θεὸς ὀργίζεται, ὃν ἁμαρτάνοντα οὐ παιδεύει, διότι ἐκεῖνος ἐστὶν ἀληθῶς εὐΐλατος, ὃς οὐ μόνον χαρίζεται τὰς ἁμαρτίας ἵνα μὴ βλάπτωσιν εἰς τὸν μέλλοντα αἰῶνα, ἀλλὰ καὶ παιδεύει ἵνα μὴ πάντοτε ἀρέσκῃ τὸ ἁμαρτάνειν, ὅθεν ἐγίνωσκεν ἐκεῖ ἐν τῷ Μωϋσῇ καὶ Ἀαρὼν καὶ Σαμουὴλ ὁ Θεὸς τὶ ἐκαθάριζε. Τούτοις τοῖς λόγοις ὁ Αὐγουστῖνος οὐχὶ τὴν ἱκανοποιητικὴν τιμωρίαν, ἀλλὰ τὴν νουθετικὴν παιδείαν παρὰ τοῦ εὐΐλατεύοντος διδομένην σημειοῖ, εἶτα κινεῖ τὸ ζήτημα, πότερον, ἦν ἀληθῶς τιμωρία τῷ Μωϋσῇ τὸ ἀποθανεῖν ἄνευ τῆς εἰσελεύσεως εἰς τὴν γῆν Χαναὰν, καὶ ἀποκρίνεται ὅτι οὐκ ἦν αὐτῷ τῷ Μωϋσῇ τιμωρία, ἀλλὰ σχῆμα. Τὸν Μωυσῆν ἠθέλησέ, φησι, βαστάζειν τὸ σχῆμα τῶν ὑπὸ τὸν Νόμον ὄντων, διότι διὰ τοῦ Μωϋσέως ἐδόθη ὁ Νόμος, καὶ δείκνυσι τοὺς θέλοντας εἶναι ὑπὸ τὸν Νόμον, καὶ μὴ θέλοντας εἶναι ὑπὸ τὴν χάριν, μὴ εἰσελευσομένους εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἄρα ὃ ἐῤῥέθη τῷ Μωϋσῇ σχῆμα ἦν, καὶ οὐ τιμωρία. τέως ἐκδίκησιν ἑρμηνεύει ὁ Αὐγουστῖνος τὸν πόνον ὃν συνελάμβανον ἐκεῖνοι οἱ ἅγιοι ἄνδρες περὶ τῶν ἀλλοτρίων ἁμαρτιῶν, μεθ' οὗ αὐτοὶ διῆγον. Καὶ ὧδε ἐπιγίνεται τοῦ Ἀποστόλου τὰ ῥητὰ περὶ τῆς φροντίδος πασῶν τῶν Ἐκκλησιῶν ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ ἐπιστολῇ, κεφαλαίῳ ἑνδεκάτῳ, καὶ περὶ τοῦ δοθέντος σκόλοπος αὐτοῦ τῇ σαρκὶ τοῦ Ἀγγέλου Σαταῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ, κεφαλαίῳ δωδεκάτῳ, πρὸς τὴν αἴτησιν τοῦ Παύλου, ἵνα ἀρθῇ ὁ σκόλοψ, καὶ εἶπεν ὁ Κύριος, Ἀρκεῖ σοι ἡ χάρις μου, ἣν ἀπόκρισιν τοῦ Κυρίου οὕτως ἐκτίθησιν ὁ Αὐγουστῖνος, Ἐγὼ γινώσκω ὃν θεραπεύω, μὴ διδότωμοι βουλὴν ὁ ἀσθενῶν, ὡς ἔμπλαστρον αὐστηρὸν οἶδα καίειν σε Παῦλε, ἀλλὰ καὶ ἰαμαί σε. ταῦτα ὁ Αὐγουστῖνος εἰς τὸν εἰκοστὸν ἔνατον ψαλμὸν, ὅπου τὸν σκόλοπα τῆς σαρκὸς ἴσως πόνον τινὰ τοῦ σώματος εἶναι λέγει. καὶ ἀλλαχοῦ ὁ Αὐγουστῖνος φησὶν, Εἶπε Κύριος τῷ Μωϋσῇ καὶ τῷ Ἀαρὼν, Ὅτι οὐκ ἐπιστεύσατε ἁγιάσαιμε ἐναντίον τῶν υἱῶν Ἰσραὴλ, διὰ τοῦτο οὐκ εἰσάξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν ἣν δέδωκα αὐτοῖς, οὐχ ὅμως εἰς ἐκδίκησιν ἢ πληρωμὴν ἱκανοποιητικὴν, παιδεύει γάρ, φησιν, ὁ πατὴρ τὸν υἱὸν, διότι ἥμαρτε, καὶ ὁ Ἰατρὸς φάρμακον τῷ ἀσθενεῖ δίδωσι, διότι συσχεθέντα αὐτὸν βλέπει τοιᾷδε ἀσθενείᾳ, ἥτις τοιάνδε θεραπείαν αἰτεῖ. εἰς τοῦτο συντείνει καὶ ὅπερ ὁ Τερτουλλιανὸς λέγει ἐν τῷ ἀπολογητικῷ αὐτοῦ ὑπὲρ τῶν Χριστιανῶν κατὰ τῶν ἐθνῶν κεφαλαίῳ τεσσαρακοστῷ πρώτῳ, Πᾶσαι αἱ τοῦ αἰῶνος τούτου πληγαὶ ἡμῖν μὲν ἴσως εἰς νουθεσίαν, ὑμῖν δὲ πρὸς παίδευσιν παρὰ Θεοῦ συναντῶσι. Καὶ Αὐγουστῖνος περὶ Τριάδος βιβλίῳ δεκάτῳ τρίτῳ κεφαλαίῳ δεκάτῳ ἕκτῳ φησὶ, Λυσιτελεῖ τὰ κακὰ ἅπερ οἱ πιστοὶ εὐσεβῶς ὑπομένουσιν ἢ πρὸς διόρθωσιν τῶν ἁμαρτημάτων, ἢ πρὸς ἀπόδειξιν τῆς τοῦδε τοῦ βίου ταλαιπωρίας. καὶ ἀλλαχοῦ, Οὐ κόλασις ἡ παιδεία, κολάζει γὰρ εἰς ἐκδίκησιν τοὺς ἐχθροὺς ὁ Θεὸς, παιδεύει δὲ εἰς νουθεσίαν τοὺς υἱοὺς, καὶ ἀνάγνωθι ἐν τῇ πρὸς Ἑβραίους κεφάλαιον δωδέκατον. θυμοῦ οὖν ἡ ἐκδίκησις καὶ ἡ κόλασις, ἡ δὲ παιδεία πατρικὴ, ἐστὶν εὐμενείας ὑπόμνησις. ταῦτα οὐ μόνον Αὐγουστῖνος, ἀλλὰ καὶ ἁπαξάπαντες οἱ ὀρθόδοξοι πατέρες φασὶ, καὶ ἴδε Μελέτιον τὸν Πηγᾶν ἐν τῷ Ἐγχειριδίῳ. καὶ Χρυσόστομος Ἀνδριάντων λόγῳ ἕκτῳ φησὶν, Εἰ πάθοιμεν τὶ δεινὸν κατὰ τὸν παρόντα βίον ἀδίκως, διαλύομεν πολλὰ τῶν ἁμαρτημάτων. καὶ περὶ μετανοίας λόγῳ πρώτῳ, Μόνον γὰρ πρόφασιν βραχεῖαν ἐπιζητεῖ παρ' ἡμῶν, καὶ πολλῶν ἡμῖν ἁμαρτημάτων χαρίζεται ἄφεσιν. καὶ λόγῳ δευτέρῳ, Τὸ γὰρ δάκρυον σβέννυσι πυρκαϊὰν ἁμαρτημάτων. καὶ λοιπὸν τὰ πάθη καὶ τὰ δάκρυα οὐ διὰ χρέος ποινῆς γίνονται, ἀλλ' ἁμαρτιῶν ἕνεκεν, ὃν τρόπον εἴρηται.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Κ'.

Ἀνθυποφορὰ Λατίνων, καὶ τὰς χρονικὰς ποινὰς ἁμαρτίας λέγεσθαι λεγόντων δι' ὧν φέρουσιν ἀπὸ τοῦ Παροιμιαστοῦ καὶ Δανιὴλ καὶ τῆς Γενέσεως μαρτυριῶν, καὶ ἐκ τούτων δεικνυόντων συντριβῇ μὲν καὶ ἐπιτριβῇ τὰς ἁμαρτίας, ἐλεημοσύναις δὲ τὴν ποινὴν ἀφίεσθαι, καὶ λύσις αὐτῆς.

Ἀνθυποφέρουσιν οἱ παπισταὶ, καὶ λέγουσιν, ὅτι καὶ αἱ χρονικαὶ ποιναὶ ἁμαρτίαι λέγονται, καὶ εἰς βεβαίωσιν τῆς τόλμης ταύτης προσφέρουσι μαρτυρίας ἀπὸ τοῦ Παροιμιαστοῦ κεφαλαίῳ δεκάτῳ ἑκτῷ, καὶ ἀπὸ τοῦ Δανιὴλ κεφαλαίῳ τετάρτῳ. Ἐλεημοσύνῃ καὶ ἀληθείᾳ λυτροῦται ἀνομία. Καὶ, τὰ ἁμαρτήματά σου ταῖς ἐλεημοσύναις λύτρωσαι. Ἀπὸ τῆς Γενέσεως, Ἐγώ εἰμι Θεὸς ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν, καὶ ἄλλα τοιαῦτα προσφέρουσιν, ἅτινα λέγουσιν ἐννοεῖσθαι οὐ περὶ τοῦ πολλοῦ ἀφεθέντος ἁμαρτήματος, τὸ γὰρ ἀφεθὲν οὐ πάλιν ἀφίεται, ἀλλὰ περὶ τῆς ποινῆς τοῦ ἀφεθέντος ἁμαρτήματος. Καὶ ἔτι, αἱ ἁμαρτίαι οὐκ ἀφίενται ἐλεημοσύναις καὶ εὐποιΐαις, ἀλλὰ συντριβῇ καὶ ἐπιτριβῇ, ὅθεν ἀφίεται διὰ τῆς ἐλεημοσύνης ἡ ποινὴ, ἐξ οὗ ἕπεται μετὰ τὴν ἁμαρτίαν μένειν τὴν ποινὴν, καὶ προσφέρουσιν εἰς παράδειγμα, ὅτι ἀφέθη τὸ ἁμάρτημα τῷ Δαυΐδ, ἔμεινε δὲ ἡ ποινὴ ἣν ἠπείλησεν αὐτῷ ὁ Θεός. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, ὅτι εἴρηται ἀνωτέρω διατὶ ἀφεθείσης τῆς ἁμαρτίας τῷ Δαυΐδ, γέγονε μεταταῦτα τὰ ἀπειληθέντα, καὶ οὐδὲν ὠφελοῦνται ἐκ τούτου καὶ τῶν τοιούτων οἱ εἰσηγηταὶ τῶν συγχωρητικῶν. Εἶτα ἐκ τῶν ἀνωτέρω λόγων φανερώτατόν ἐστιν, ὅτι διὰ τῶν εὐποιΐων καὶ τῆς ὑπομονῆς καὶ τῶν λοιπῶν ἀρετῶν, ἤτουν καλῶν ἔργων οὐ ποιναὶ ἁμαρτημάτων, ἀλλ' ἁμαρτίαι ἀφίενται. Πρὸς τούτοις, ὅτε ὁ Πνευματικὸς ἀφίησι τῷ ἁμαρτήσαντι τὰ ἁμαρτήματα, οὐκ ἄλλως ἀφίησιν, ἀλλὰ διὰ τούτων τῶν ἐπιτιμίων, ἐλεημοσύνης, νηστείας, προσευχῆς καὶ τῶν λοιπῶν εὐποιΐων, ἃς καὶ καρποὺς μετανοίας ἡ ἁγία γραφὴ λέγει, ὡς εἴρηται ἀνωτέρω, καὶ ἐρεῦμεν κατωτέρω. Ἀποδίδωσι δὲ ὁ Θεὸς τὰς ἁμαρτίας τῶν πατέρων ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν, οὐ κατὰ ψυχὴν, καὶ γὰρ ἐν τῷ δεκάτῳ ὀγδόῳ κεφαλαίῳ τοῦ Ἰεζεκιὴλ λέγεται, Οὐκ ἀποθανεῖται υἱὸς ὑπὲρ πατρὸς, ἀλλὰ κατὰ σῶμα, ἤτοι σκόλοψιν ἐγκοσμίοις, τοῖς μὲν εὐσεβέσι πρὸς νουθεσίαν τῶν εὐσεβῶν, τοῖς δὲ ἀσεβέσι, πρὸς τιμωρίαν, δι' αἰτίας ἃς εἴπομεν ἐν τῷ ἀνωτέρῳ προσεχῶς Παραγράφῳ.

ΠΑΡΑΓΡΑΦΟΝ· ΚΑ'.

Ἐπανάληψις τοῦ λόγου τῶν συγχωρητικῶν διὰ τὸ λέγειν τοὺς παπιστὰς, ἀφίεσθαι μὲν τοῖς ὀρθῶς μετανοοῦσι πᾶν ἁμάρτημα καὶ ποινὴν αἴδιον καὶ μέρος ποινῆς χρονικῆς, μέρος δὲ αὐτῆς ὑπολείπεσθαι πληρῶσαι τὸν μετανοοῦντα ἐν τῷ παρόντι, ἢ ἐν τῷ μέλλοντι αἰῶνι, ὃ διὰ τῶν συγχωρητικῶν ὁ Πάπας λύει. καὶ λύσις τῆς τερατώδους ταύτης μυθολογίας.

Ἐπαναληπτέον τὸν λόγον τῶν συγχωρητικῶν, καὶ ῥητέον ἔτι εἰς σαφεστέραν κατάληψιν. Λέγουσι γοῦν οἱ παπισταὶ, ὅτι τοῖς ἁμαρτάνουσι μετὰ τὸ βάπτισμα καὶ ἀληθῶς μετανοοῦσιν ἀφίεται πᾶσα ἡ ὀφειλὴ τῆς ἁμαρτίας καὶ τῆς αἰδίου ποινῆς, καὶ μέρος τῆς χρονικῆς ποινῆς διὰ τοῦ Μυστηρίου τῆς μετανοίας, μέρος τῆς χρονικῆς ὅμως ποινῆς ὑπολείπεται πληρῶσαι τὸν μετανοοῦντα ἢ ἐν τῷ παρόντι αἰῶνι, ἢ ἐν τῷ μέλλοντι εἰς ἐκδίκησιν τῆς ἁμαρτίας, προφθάνων δὲ ὁ Πάπας τῆς Ῥώμης διὰ τῶν συγχωρητικῶν, πληροῖ ταύτην τὴν τιμὴν καὶ τὸ χρέος τὸ εἰς τὴν θείαν δικαιοσύνην ἀπὸ τοῦ θησαυροῦ τῆς Ἐκκλησίας, καὶ οὕτως ἐλευθεροῖ τὸν ἄνθρωπον τῆς ποινῆς, Βελλαρμῖνος βιβλίῳ πρώτῳ περὶ τῶν συγχωρητικῶν κεφαλαίῳ τρίτῳ, καὶ βιβλίῳ δευτέρῳ κεφαλαίῳ δεκάτῳ τρίτῳ λέγει, Μετὰ τὴν ἄφεσιν τῆς ἁμαρτίας τὸν Θεὸν ἐπιστέλλειν ποινὰς χρονικὰς τοῖς πιστοῖς εἰς ἐκδίκησιν τῆς ἁμαρτίας. Ἀλλὰ ῥητέον, ὅτι ὡς εἴπομεν προσεχῶς ἀνωτέρω, ὁ μετανοῶν ἐφ' οἷς ἐπλημμέλησεν, ἂν ὑπερζήσῃ τῇ μετανοίᾳ, τοὺς τῆς μετανοίας καρποὺς ἀπαιτεῖται, Ἔκκλινον γάρ φησιν ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν. Εἰ δὲ μὴ, ἀλλ' ὁ Χριστὸς ὑπὲρ ἁμαρτωλῶν ἀπέθανεν, ἵνα τὸν ἐρχόμενον πρὸς αὐτὸν οὐ μὴ ἐκβάλλῃ ἔξω, τὸ γὰρ αἶσχος τῆς ἁμαρτίας τῇ πίστει ἐπιπροσθοῦν, τῇ μετανοίᾳ διαῤῥαγὲν, τοὺς χαρακτῆρας τῆς πίστεως ἐναργεῖς ἀπολείπει, καὶ ἐπιγνωσθεὶς ἐν μετανοίᾳ, ἀπαίρων τῶν τῇδε, οὐκ ἀκούει τὸ, Οὐκ οἶδα ὑμᾶς, ἀλλὰ τὸ, Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου. Ὥσπερ γὰρ ἡ ἁμαρτία θάνατον προξενεῖ, οὕτως ἡ μετάνοια ζωὴν, καὶ ἡ μετάνοια καρποὺς ἀξίους προβάλλει ἐν τοῖς ζῶσι τὰ καλὰ ἔργα, ἀλλὰ τοὺς ἐν περιστάσει πιεζομένους, οὐκ ἀλλότριον ἐστὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας καθαίρεσθαι μόνῃ τῇ μετανοίᾳ, οὐ γὰρ δίκαιον ἡγούμεθα ζητῆσαι τὸ Θεὸν ἃ ἀφαιρούμεθα, αὐτὸς γὰρ ὁ δοὺς πνεῦμα καταινύξεως τοῖς μετανοοῦσι, παρέχει καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν δωρεὰν διὰ τοὺς οἰκτιρμοὺς αὐτοῦ. Εἶτα τίς ἡ ἀνάγκη, ἵνα τὸν ἐνταῦθα μετανοοῦντα μὴ καὶ ἐνταῦθα ἀπολύσωσι τῆς ἐνοχῆς οἱ προεστῶτες καὶ ἐπιστάται τῶν Ἐκκλησιῶν ὡς ἐκφάντορες Θεοῦ καὶ ὑποφῆται καὶ οἰκονόμοι Μυστηρίων Θεοῦ; τίς ἡ ἀνάγκη, ἵνα μὴ ἀπολύσωσι καθάπερ τῆς αἰτίας, οὕτω καὶ τῆς ἐνοχῆς, ἀλλὰ πέμπωσιν ἢ εἰς χρονικὰς ποινὰς, ἢ εἰς τὸ ἐργαστήριον τοῦ πουργατορίου; ταῦτα Μελέτιος Πηγᾶς ὁ Πατριάρχης Ἀλεξανδρείας ἐν τῷ Ἐγχειριδίῳ αὐτοῦ. Ἡμεῖς

φαμὲν,

φαμὲν, ὡς ἡ μετάνοια τῶν ἐστι συγχώρησα, ἡνῶν γάρ ἐστι, τουτέστιν ἁμαρτιῶν, ἐμμὶ ἀκριβὴς καὶ τελεία γένοιτο, λέλυται καὶ ἡ ἁμαρτία καὶ ἡ ἐπ' αὐτῇ τιμωρία, καὶ τὸ κωλύον εἰδέναι, ἀπολυθέντας τῶν σώματος, ἐν τῷ Κλήρῳ τῶν σωζομένων καταταγῆναι, εἰ δ' ἐλλιπὴς ἡ μετάνοια εἴη, πάντως ἐξ' ἡ ἁμαρτία ἀφέθη, καὶ διατί τοῖς τιμωρίαις ἐκείνας ὑπέχουται οἱ ἔτως ἀποβιῶντες, ἐχ ὅτι τῶν μὲν ἄφεσιν ἐκομίσαντο, τῶν δὲ ποινῶν ἐκ ἔφθασαν ἀποτίσαι. πολλὰ δὲ τοιαῦτα καθ' ἡμέραν ἁμαρτάνομεν, ἐφ' οἷς ἢ ἐξ' ὅλως, ἢ γνησίως μετανοοῦμεν, ἔστε δι' ἑτέρων ἡνῶν περίξεων αὐτισηκοῦμεν αὐτὰ, καὶ διατί τὰ πολλὰ τῶν τοιούτων ἐν τῷ καιρῷ τοῦ θανάτου, ἢ μετὰ θάνατον τὰ μὲν ὑπὸ τῆς θείας ἀγαθότητος παρορῶνται κατὰ τὸν ἅγιον Διονύσιον, τὰ δὲ δι' ὑποιῶν καὶ δι' ἄχων καὶ τῶν ἄλλων, ὅσα ἐν τῇ τῆς Ἐκκλησίας ἐπὶ τοῖς τεθνεῶσι γίνονται, συγχωρεῖται. ταῦτα οἱ Ἀνατολικοὶ διὰ Μαρκε τοῦ Ἐφέσου ἐν τῇ Φερράρᾳ. τέταρτον μυστήριον ἐστὶ τὸ τῆς μετανοίας, δι' οὗ τῶν κατ' ἐνέργειαν ἁμαρτημάτων ἀφιεμένων, τὰ ἀγαθὰ αὖθις ἀναλαμβάνοιται ἐν τῷ ἀνθρώπῳ τὰ διὰ τῆς ἁμαρτίας ἀπολωλότα, ἥτις δὴ μετάνοια ἐν τῇ συντελείᾳ τῆς καρδίας καὶ τῇ ἐξομολογήσει τοῦ στόματος σωίζεται μάλιστα, καὶ ἐν τῇ ἐκανοποιήσει τοῦ ἔργου, ὅτε μὴ ἔργα ἢ τοῦ θανάτου περίστασις. ταῦτα Γενναδίος ὁ Σχολάριος ἐν τῇ Κωνσταντίνου Ἱερέως τοῦ Ἄγγλου ὁμολογία τῆς πίστεως. Ἰδέτω ὁ φιλομαθὴς καὶ τὴν ἀντίρρησιν κατὰ τὸ δεκάτου ὑγδόου κεφαλαίου Κυρίλλου ἐν τῷ ἡμετέρῳ Ἐγχειριδίῳ, καὶ τοῦ Συρίου τὴν ἀντίρρησιν τοῦ αὐτοῦ κεφαλαίου, καὶ μοῦ ἐν τῷ αὐτῷ Τόμῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΒ'.

Ἀνθυφορὰ Λατίνων, τὴν Ἀνατολικὴν Ἐκκλησίαν ἐν τῇ τῆς μετανοίας Μυστηρίῳ περὶς ὑποτίθεσθαι τὴν ἐκανοποίησιν λεγόντων, καὶ ἀπολογία ἡμῶν, πότε τὴν ἐκανοποίησιν ὑπτίθεμεν τῷ μετανοοῦντι, καὶ μετὰ τίνος, καὶ διατί, καὶ πότε μόνον ἀρκεῖν ἡγούμεθα τὴν τοῦ μετανοοῦντος ὑπόσεσιν.

Ἀνθυποφέρουσιν οἱ αὐτοὶ, ὅτι ἡ Ἀνατολικὴ Ἐκκλησία διαλαμβάνουσα περὶ τὸ μυστήριον τῆς μετανοίας, ὑποτίθησι περὶς τὴν ἐκανοποίησιν, ἣν καὶ οἱ πατέρες ἐν τοῖς Κανόσι διορίζουσιν. Ἀλλὰ ῥητέον, ὅλως ἐν τοῖς μετανοοῦσι καὶ ζῶσιν ἰσχυρὰ ἡ καθολικὴ Ἐκκλησία διδάσκει τὴν ἐκανοποίησιν, ἀλλ' ἐκανοποίησιν φρονεῖ, ἐκ ἀπαίτησιν χρεωκοπικῆς ὀφειλομένης ποινῆς, ἢ πλήρωσιν χρέους εἰς ἐκδίκησιν ποινῆς, ἀλλὰ καρπὸς ἀξίους τῆς μετανοίας, καθὼς περὶ τούτου ῥητὰ τῆς ἁγίας γραφῆς ἐν τῷ πρώτῳ ὄρει τῶν Ἠθικῶν τοῦ μεγάλου Βασιλείου. καρποὺς δ' ἄρα ἀξίους τῆς μετανοίας λέγει ὁ ἅγιος Βασίλειος ἐν τῷ διακοσιοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ τῶν κατ' ἐπιτομὴν ὅρων τὰ ἀνήκοντα τῇ ἁμαρτίᾳ ἔργα τῆς δικαιοσύνης, ἅπερ ὁ μετανοῶν καρποφορεῖν ὀφείλει. ὅθεν οἱ ὀρθόδοξοι πατέρες διαλεγόμενοι, ὡς εἴρηται, ἐν Φερράρίᾳ περὶ καθαρτηρίου διαλεγόμενοι Μαρκε τοῦ Ἐφέσου ἔλεγον τοῖς Λατίνοις, Τεσσαρεσκαιδέκατον καὶ τελευταῖον ἦν τῶν ἐρωτωμένων, Εἰ τοῖς μετανοοῦσιν ἡμᾶς ἐπιτίθεμεν ἐπιτίμια, καὶ τίνος χάριν. Λέγομεν ἔν, ὡς ἐ μόνον τὴν ἄφεσιν καὶ τὴν λύσιν διδόντες, ὥσπερ ἔχομεν ἐξουσίαν παρὰ Θεοῦ, τότε τὰ ἐπιτίμια τιθέμεθα, ἐκ ἄλλως τὴν ἄφεσιν δίδομεν, ἢ μετὰ τοιούτων ἐπιτιμίων. ποιοῦμεν δὲ τοῦτο διὰ πολλὰς αἰτίας, πρῶτον μὲν, ἵνα διὰ τῆς ἐντεῦθεν κακοπαθείας, ἣν ἔκων ὁ ἁμαρτηκὼς καταδέχεται, τῆς ἀκρασίας τιμωρίας ἐκεῖσε ἀπαλλαγῇ, εἴπερ γὰρ ἔτω τῶν ἄλλων ὡς κακοπαθεῖ Θεὸς θεραπεύεται φησὶν ὁ Θεολόγος Γρηγόριος, καὶ δάκρυσι τὸ φιλανθρωπον ἀντιδίδοται. δεύτερον, ἵνα τὸ φιλήδονον φρόνημα τῆς σαρκὸς, ὃ πρὸς εἰς Θεὸν ἔχθραν ἀπεργάζεται ἔοικε, καὶ πάσης ἁμαρτίας ἐστὶν αἴτιον, διὰ τοῦ ἐπιπόνου καὶ τῆς μεθοδείας ἐξαιρεθῇ, τὰ γὰρ ἐναντία φασὶ τῶν ἐναντίων ἰάματα, καὶ τὴν ἡδονὴν ἀνάγκη δι' ὀδύνης ἀποβληθῆναι. τρίτον, ἵνα δεσμός τις ἢ καὶ χαλινὸς τῇ ψυχῇ τὸ δοθὲν ἐπιτίμιον, εἰς τὸ μηκέτι τοῖς αὐτοῖς ἐγχειρῆσαι κακοῖς. τέταρτον, ὅτι καὶ φύσει τοῦ τῆς ἀρετῆς ζητῆμα ἐπίπονον, καὶ δεῖ σωθῆναι τοῖς πόνοις τὴν εἰς ἕξιν αὐτοῖς ἐλθύσεσθαι μέλλοντα, καθάπερ διὰ τῆς ἡδονῆς εἰς τὴν ἁμαρτίαν ἐκωλίθη. πέμπτον, ὅτι καὶ πίστεως λαβεῖν βουλόμεθα διὰ τῆς τοῦ δοθέντος ἐπιτιμίου καταδοχῆς, εἰ τελείως τὴν ἁμαρτίαν ἐμίσησεν. αὗται μὲν αἱ τῶν ἐπιτιμίων αἰτίαι, καὶ πλείονες ἴσως ἕτεραι. πάντα δὲ ταῦτα παφορῶμεν ἐν οἷς τὸ χρεὼν κατεπείγει πρὸς τὴν ἀπὸ τοῦ σώματος ἔξοδον, ἀρκεῖν ἡγούμενοι τὴν τοῦ μετανοοῦντος ἐπίσροφὴν καὶ γνησίαν εἰς τ' ἀγαθὸν προθεσιν ἐπὶ τὴν τῶν ἡμαρτημένων ἄφεσιν, διατοῦτο καὶ ἀφιέναι αὐτὰ τῇ τὴν δοθεῖσαν ἡμῖν ἐξουσίαν, καὶ πρὸς Θεῷ ἀφεθῆναι πιστεύομεν αὐτά τε καὶ τὴν ἐπ' αὐτοῖς πᾶσαν τιμωρίαν, ὅσα γάρ, φησι, λύσετε ἐπὶ τῆς γῆς, ἔσαι λελυμένα ἐν τοῖς οὐρανοῖς. καὶ εἰς ἐχέγγυον τούτου τὴν θείαν δωρεὰν τῆς Εὐχαριστίας ἐπιδίδομεν τοῖς ἔτως ἀπαλλαττομένοις. τὸ μὲν γὰρ ἐπιστρέψαι καὶ μετανοῆσαι γνησίως ἐν τῇ γνώμῃ κεῖται τοῦ ἁμαρτήσαντος, τὸ δὲ μὴ πληρῶσαι τὸ ἐπιτίμιον, ἐν τῇ κρίσει τοῦ Θεοῦ ἐστι, τοῦ τὸν ἄνθρωπον ἐξαιρέντος τοῦ βίου, καὶ διατοῦτο βασιλικῶς ὁ φιλανθρωπος ἐν φιλανθρωπίας μόνης τὴν ἄφεσιν τῷ ἡμαρτηκότι χαρίζεται, καθάπερ καὶ τῷ λῃστῇ πρὸς ἐσχάταις ἤδη ἀναπνοαῖς μνήμην ἐν τῇ βασιλείᾳ μόνον αἰτησαμένῳ, τὸν Παράδεισον αὐτὸν ὁ μεγαλόδωρος ἐπεδαψιλεύσατο. ταῦτα οἱ Ἀνατολικοὶ ἐν Φερράρίᾳ, οἷς χρῆται καὶ ὁ Κωνσταντινουπόλεως Πατριάρχης Ἱερεμίας, γράφων πρὸς Λαθήρους.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΚΓ'.

Ὅτι ἐκ τῶν ἐνδικημάτων καὶ ἀδίκων γονομάτων λυπηρῶν τὰ συγχωρητικὰ τοῦ Πάπα ἀνενέργητα εἰδὼς ὁ Βελλαρμῖνος, καὶ εἰς μόνον τὸ μετανοητικὸν βῆμα ταῦτα μεταφέρων, δείκνυται σαφηνὴς φλύαρος ἐκ τῶν κοινῶν τῆς Ἐκκλησίας ἔργων καὶ τῶν ἐνταῦθα ἐπῳδύνων, δι' ὧν ἡ ἄφεσις, καὶ ἐκ Θεοῦ τῶν τοῦ Πάπα συγχωρητικῶν.

Ὑποληθεὶς ὁ Βελλαρμῖνος συγχωρεῖν τὸν Πάπαν τοῖς συγχωρητικοῖς τῷ ὀφειλομένῳ ποινῷ, καὶ βλέπων ὅτι κἂν ἄπαρα θῇ ὁ Πάπας συγχωρητικὰ, ὁ Θεὸς δίδωσι θλίψεις καὶ παρασμὰς καὶ παθη καὶ δικημάτων καὶ μετανοοῦσι, λέγει, ὅτι Διὰ τῶν συγχωρητικῶν τοῦ Ῥώμης ἐκεῖναι μόναι αἱ τιμωρίαι ἀφίενται, οἷς ἐσμὲν ὑπόδικοι ἐν τῷ μετανοητικῷ βήματι, ἀχὶ δὲ ἐκεῖναι, ἃς ὀφείλομεν ἐν τῷ ἐξωτερικῷ βήματι. Ἀλλὰ τοῦτο σαφανές ἐστι φλυαρία, καθόλου μόνον χορησασίαι καὶ παντύχιοι εἶσας, νησεῖαι καὶ σαρκικαὶ ἴδιαι καὶ κοιναὶ, ἐλεημοσυνῶν καὶ θεῖαι ἱερουργίαι καὶ δεήσεις τῶν ἱερέων καὶ ἡ λοιπὴ ἐκείσε κατὰ χριστὸν ζωὴ, ἀλλὰ καὶ ἐκεῖνα τὰ λυπηρὰ καὶ ἐπῳδυνα, ἅτινα δίδωσιν ὁ Θεὸς ἐν τῷ ἐξωτερικῷ βήματι, δεχόμενα διὰ τῶν μετανοούντων κατὰ τὰς Νόμους τῆς Ἐκκλησίας, καὶ μετὰ χαρᾶς ὑποφερόμενα, ἀφέσιμα γίνονται ἐν τῷ μετανοητικῷ βήματι μεταμενομένων ἁμαρτημάτων (καὶ μὴ ποινῶν καὶ χρεῶν, ὡς εἴρηται αἰωτέρω Παραγράφῳ δεκάτῳ ἑνάτῳ) διὰ τῶν συγχωρητικῶν τοῦ ἀντιθέου Πάπα, ἀλλὰ διὰ τὸ ἔλεος τοῦ Θεοῦ, φησὶ γὰρ Αὐγουστῖνος ἐν τῷ δεκάτῳ περὶ πόλεως Θεοῦ, κεφαλαίῳ τεσσαρακοστῷ τετάρτῳ, Τῇ μετανοίᾳ καθαίρεσθαι τῆς ἁμαρτίας, καὶ μόνῃ ἐξομολογήσει κατὰ ἀνάγκην ἐν τῇ φιλανθρωπίᾳ τοῦ Θεοῦ, τὰς δ' ἄλλως περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας οἰομένους, τῆς τῶν Χριστιανῶν μερίδος μὴ εἶναι. 29

ΠΑΡΑΓΡΑΦΟΝ ΚΔ'.

Ὅτι οἱ νεώτεροι τῶν σοφιστῶν εἰς σύσασιν τῶν τοῦ Πάπα συγχωρητικῶν σαφέρεντες Χρισόφορόν τινα Καμπανὸν συλλέξαι δεκαεπτὰ Πατριαρχῶν Κωνσταντινουπόλεως συγχωρητικὰ, καὶ κατὰ Βαρώνιον Νικολάου μυσικοῦ, καὶ δὴ καὶ Κορέσιον, λέγοντα δῆθεν τὸν Θησαυρὸν τῆς Ἐκκλησίας ἐκ τῶν ἔργων τῶν ἁγίων, καὶ μάλισα τῶν τοῦ Χριστοῦ παθημάτων ἡμῖν Διὰ τὸ ἐξουσιαστικὸν τῆς Ἐκκλησίας σαφὲς χρεωστουμένων κολάσεων συγχώρησιν κοινοῦσθαι, ἐλέγχονται ἐνταῦθα καινὰ καὶ μάταια μυθολογοῦντες, καὶ περὶ τῶν κατὰ τὸ πάτριον ἔθος συγχωρητικῶν τῶν Κωνσταντινουπόλεως Πατριαρχῶν, τῆς τε ἐξουσίας τοῦ δεσμεῖν καὶ λύειν τῆς Ἀνατολικῆς Ἐκκλησίας, καὶ τοῦ ἔσω τῶν ὀνομασιῶν τῆς ἀντιθέου ἐξουσίας τοῦ Πάπα. 30

Οἱ νεώτεροι τῶν σοφιστῶν σαφέρουσι συσάσεις τινὰς περὶ τῶν συγχωρητικῶν τούτων τοῦ Πάπα, καὶ πρῶτον μὲν Χρισόφορόν τινα, Καμπανὸν καὶ Καρδινάλιον Ὀστιαλέμβου, συλλέξαντα δεκαεπτὰ συγχωρητικὰ Πατριαρχῶν τινῶν Κωνσταντινουπόλεως, καὶ ἔτι συγχωρητικὸν Νικολάου τοῦ Μυσικοῦ, Πατριάρχου καὶ αὐτοῦ Κωνσταντινουπόλεως, ὅπερ ὁ Βαρώνιος ἐνέθηκεν ἐν τῷ ἐνιακοσιοστῷ δεκάτῳ ἑβδόμῳ ἔτει, καὶ Γεώργιον τὸν Κορέσιον, λέγοντα δῆθεν ἐν τισὶ Θεολογικοῖς αὐτοῦ, τὸν Θησαυρὸν τῆς Ἐκκλησίας, λέγω τὰς Βασιλείου νησείας, τοῦ Θεολόγου καὶ Χρυσοστόμου τὰς πολλὰς ἐν τῇ Βασιλίσσῃ τῶν πόλεων μόχθους, τῶν ἁγίων τὰς ἐκ ἀναγκαίας αὐτοῖς ἱκανοποιήσεις, μάλισα δὲ τὰ πάθη τοῦ Χριστοῦ, ἅπερ τῷ μὲν Σωτῆρι ἐδ' ὠφέλημα σαφὲς ἄφεσιν τιμωρίων, ἡμῖν δὲ κοινοῦται Διὰ τοῦ ἐξουσιαστικοῦ τῆς Ἐκκλησίας σαφοῦς συγχώρησιν τῶν τιμωρίων καὶ χρεωστουμένων κολάσεων· καὶ ταῦτα οἱ παπισαί. Ἀλλὰ ῥητέον σαφῶς μὲν τὸ πρῶτον, ὅπερ ἔλεγεν ὁ Λεγᾶτος τοῦ Βασιλέως τῆς Ἰβηρείας ἐν τῇ ἐν Φλωρεντίᾳ Συνόδῳ, ἅγιο Πέτρο, ἅγιο Παῦλο, ἅγιο Βασίλειε, Θεολόγο Γρηγόριε, Χρυσόστομε καὶ οὐχὶ ναὶ Ἀριστότελε, τιμήματι ἑνὸς κεφαλαίου δωδεκάτου. Οὐ χρεία ὦ ἕτοι Καμπανὲ καὶ ἑτέρων τινῶν τοιούτων γραικολατίνων Αἱρετικῶν τῶν καινῶν καὶ ματαίων συγγραφῶν, ἀλλ' Αὐγουστίνου, Ἀμβροσίου, Θεοφίλου, Κυρίλλου, Ἀθανασίου, Ἰουλίου, Σωφρονίου, Γρηγορίων, Βασιλείου, Ἐπιφανίου, Χρυσοστόμου, καὶ τῶν Οἰκουμενικῶν Συνόδων, καὶ σαφῶς παντων, τῶν γραφικῶν μαρτυρίων. δεύτερον, τὰ συγχωρητικὰ τῶν Πατριαρχῶν Κωνσταντινουπόλεως ἦσαν ὡς εἰσὶ καὶ τὰ τῶν νῦν, καὶ γὰρ ἀφελοῦσί τινα καινὰ, ἀλλὰ τὰ εἰθισμένα καὶ πάτρια παρέχουσιν, ὥσε ἐὰν ὦσι τὰ συμπεπτωκότα τῷ Καμπανῷ τοιαῦτα, ὥσε μὴ περὶ χρονικῶν χρεωστουμένων κολάσεων λαμβάνειν, ἀλλὰ περὶ λύσεως τῆς ἐνοχῆς τοῦ αἰωνίου δεσμοῦ, καὶ τέως τῶν ῥηθησομένων ἐν τῷ τέλει τοῦ παρόντος κεφαλαίου, δεχόμεθα αὐτὰ, ἃ δ' ἀπόδοντά εἰσιν, ἀναγκαίως καὶ ψευδεπίπλασα εἰσὶν, ὅθεν καὶ ἀποτρόπαια. τρίτον, σαφὲς τὰ τοῦ Μυσικοῦ ῥητέον, καίτοι εἴρηται αἰωτέρω περὶ τῶν Ἐπισολῶν τῶν Παπῶν καὶ περὶ ἑτέρων τινῶν τοιούτων, καὶ ἴδε βιβλίου πρώτου κεφάλαιον ἑνδέκατον. Εἰ τοῦ Ἀγαθωνος καὶ τῆς Συνόδου αὐτοῦ ἐξετάζονται τὰ συνοδικὰ ἐν τῇ ὅλῃ Οἰκουμενικῇ, εἰ ἀληθῆ εἰσὶ, πῶς ἡμεῖς πιστεύσωμεν τῷ μυθοπλάσῃ Βαρωνίῳ περὶ τοῦ συγχωρητικοῦ τοῦ Μυσικοῦ, καὶ μάλισα ἐν τοιούτῳ πράγματι, ὅπερ σαφῶς ἀνήκεσον ἦν τοῖς ἀρχαίοις πατράσιν; ἐκ ἔχει δὲ τὸ ἀξιόπισον τὸ τοιοῦτον συγχωρη-

συγχωρητικὸν ὅτι ἐστὶ τοῦ Νικολάου, εἶτα πολυποίκιλον καὶ φλυαρόν ἐστι, καὶ δείκνυται σαφῶς ὅτι συντέτακται καὶ ἐσχεδίασται παρὰ Λατίνου τινὸς, ἢ καὶ αὐτοῦ Βαρωνίου, ἐπειδὴ περιέχει τὰ χθὲς καὶ προχθὲς παρὰ Λατίνων ἐξευρημένα. πρὸς δὲ τὸ τοῦ Κορεσσίου ῥητέον, ὅτι οὐκ εἰσὶ τὰ ῥητὰ τοῦ Κορεσσίου, οὐ γὰρ τοιοῦτον εἶπέ ποτε Γεώγιος ὁ Κορέσσιος, μάλιστα τ' ἀναντία διδάσκει ἐν τοῖς θεολογικοῖς αὐτοῦ. δεύτερον, εἰ καθ' ὑπόθεσιν εἶπε ταῦτα, οὐδὲν πρὸς ἡμᾶς, νομίζομεν δὲ αὐτὰ ἴσα εἶναι τοῖς εἰρημένοις Βονιφατίῳ, Καμπανᾷ, Θωμᾷ τῷ Ἀκβίνᾳ, Διπλοβατατζίῳ, Βονοβεντούρᾳ, Βίλλᾳ Πτολεμαίῳ, Λουκεστίνῳ, Πασχάλῃ, καὶ τοῖς λοιποῖς σοφισταῖς καὶ ψευδοδιδασκάλοις, ἐπειδὴ τὰ τοιαῦτα παρ' ἐκείνων ἐρανισάμενος εἶπε, καταφρονήσας τῆς γραφῆς καὶ τῶν ἁγίων πατέρων, ἴδε καὶ ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου εἴτου Παράγραφον ἕβδομον. τρίτον ῥητέον, ὅτι ἡ Ἐκκλησία ἐξουσίαν ἔχει, ἣν ἔδωκεν αὐτῇ ὁ Κύριος, λύειν τοῖς μετανοοῦσι γνησίως καὶ κανονικῶς τὰ ἁμαρτήματα, λέγω δὲ κανονικῶς, ὅτι ἔχει ἐξουσίαν συγχωρεῖν καθ' ὃν τρόπον διδάσκουσιν οἱ ἅγιοι πατέρες καὶ ἡ ἀρχαία ἐν αὐτῇ παράδοσις διδάσκει, καὶ πρὸς τούτοις ὀργανικῶς, ἐπειδὴ ποιητικὸν τῆς ἐξουσίας ταύτης ἐστὶν ὁ ἐν Τριάδι Θεὸς, μέσα δὲ, τὰ ἐν αὐτῇ παραδεδομένα Μυστήρια καὶ τὸ πάθος τοῦ μεσίτου Θεοῦ καὶ ἀνθρώπων Ἰησοῦ Χριστοῦ, δευτέραν δέτινα ἐξουσίαν ἰδικωτέραν ταύτης καὶ σχεδὸν ἀπολελυμένην πρὸς τὸ συγχωρεῖν τοῖς λαβοῦσι τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ποινὰς χρονικὰς καὶ ἔξω τοῦ Μυστηρίου καὶ ἀπὸ τοῦ περισσεύματος τῶν μισθῶν τῶν ἁγίων, ἡ Ἐκκλησία οὔτε ἔχει, οὔτε γινώσκει, οὔτε ἔλαβεν, οὔτε δίδωσιν, ὅθεν καὶ ταύτην τὴν θρυλλουμένην ἐξουσίαν καὶ τὰ συνιστῶντα ταύτην ῥήματα, ἅτινά εἰσι Συγγραφαὶ Ἰνδουλγεντζιῶν, Δικαστικὴ Διάλυσις, Δαψιλὴς δόσις, Ἐνέργεια δικαιοδοσίας, Ἐνέργεια δικαστικὴ, Χρονικὴ ποινὴ, Ὀφειλομένη ποινὴ, Χρεωστουμένη τιμωρία, Λύσις ποινῆς ὀφειλομένης τῇ ἁμαρτίᾳ, Προσάπτονται οἱ μισθοὶ τῶν ἁγίων χωρὶς τοῦ Μυστηρίου, Τὰ συγχωρητικὰ εἰσὶ νομικαὶ ἀπαιτήσεις, Σχολάζοντες μισθοὶ καὶ ἀνενέργητοι, Καὶ περισσεύοντες τῶν ἁγίων μισθοὶ, Μισθοὶ ἀνωφελεῖς τοῖς ἁγίοις, Λύσις καὶ ἀποπλήρωσις ἐκ τῶν μισθῶν τῶν ἁγίων, Σωρὸς θησαυροῦ τοῦ περισσεύματος μισθοῦ τῶν ἁγίων, Ἐπίθεσις θησαυροῦ, Οὐκ ἀναγκαῖαι ἱκανοποιήσεις, Ὁ Πάπας Διανομεὺς τοῦ κοινοῦ θησαυροῦ, Μᾶλλον ἡ ἐξουσία τοῦ Πάπα ἢ τῶν λοιπῶν Ἐπισκόπων, Τὰ συγχωρητικὰ εἰσὶ πλήρη, πληρέστερα, πληρέστατα, μέσα, καὶ μερικὰ, Ἡ ἐξουσία τῶν Ἐπισκόπων διωρισμένη ἐστὶ παρὰ τοῦ Πάπα, Ὁ Πάπας συγχωρεῖ ὡς βούλεται, Πρὸ τῆς χειροτονίας οἱ ψηφισθέντες Πάπαι καὶ Ἐπίσκοποι διδόασι τὰ συγχωρητικὰ ἐν τοῖς ἐγκαινίοις τῆς τάδε Ἐκκλησίας, Δίδονται τοσούτου καιροῦ συγχωρητικὰ, ταῦτα, καὶ τὰ ὅμοια τούτοις ῥήματα ἡ καθολικὴ Ἐκκλησία τοῦ Χριστοῦ γινώσκει ὅτι εἰσὶν ὑπὸ τοῦ Διαβόλου καὶ ὑπὸ τῶν ἀπολλυμένων ψευδοχριστιανῶν ἐξευρημένα, ἐπειδὴ προφανῶς εἰσὶ τῆς διδασκαλίας καὶ τῆς μεσιτείας τοῦ Χριστοῦ ἀντίθετα, ὅθεν ἔχει αὐτὰ Χριστομάχα, Θεομάχα καὶ διόλου ἀντίθεα.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΕ'.

Ὅτι τὸν Γαβριὴλ Φιλαδελφείας λέγοντα ἐφευρεῖν τὸν Βονιφάτιον ὄγδοον τὰ συγχωρητικὰ, οἱ Λατῖνοι μὴ ἀληθεύειν λέγοντες, ψεύδονται, ὁ δὲ Βονιφάτιος ὁ ταῦτα καινοτομήσας, καὶ τὸν ἐν Ῥώμῃ Ἰοβηλαῖον ἐπινοήσας, καὶ ὑπὸ τὸν Ῥώμης θρόνον τὴν Οἰκουμένην εἰπὼν, δείκνυται υἱὸς Διαβόλου, ὡς ἐφευρετὴς δύο σωματοφθόρων καὶ ψυχοφθόρων κακῶν.

Προσφέρουσι δεύτερον, ὅτι Γαβριὴλ ὁ Φιλαδελφείας οὐκ ἀληθεύει λέγων, ὅτι Βονιφάτιος ὁ ὄγδοος ἐφεῦρε τὰ συγχωρητικὰ, ἦσαν γὰρ ἐξ ἀρχῆς. Ἀλλὰ ῥητέον, ὅτι ἦσαν ἐξ ἀρχῆς ὡς ἔχει καὶ χρῆται ταῦτα ἡ Ἀνατολικὴ Ἐκκλησία, οἱ δὲ Λατῖνοι μετὰ τὸ σχίσμα ἐκαινοτόμησαν καὶ εἰς τὰ συγχωρητικὰ, ὡς φαίνεται ἐξ ὧν εἴπομεν ἀνωτέρω περὶ Ἰννοκεντίου τοῦ τρίτου καὶ Γρηγορίου τοῦ ἐνάτου, ἦν ὅμως τὸ κακὸν ὀλίγον, καὶ ὥσπερ ἐν παραβύστῳ, Βονιφάτιος δὲ ὁ ὄγδοος παρακινούμενος ὑπὸ τοῦ Διαβόλου, ἐπενόησε τὴν ἐν Ῥώμῃ ἄθροισιν περὶ τῶν συγχωρητικῶν, ἣν καὶ Ἰοβηλαῖον ἐκάλεσε, καὶ ἤρχοντο εἰς Ῥώμην τοσαῦται μυριάδες ἀθλίων ἀνθρώπων, ψυχικῶς καὶ σωματικῶς φθειρομένων, σωματικῶς μὲν, ὑπὸ πολλῶν ταλαιπωριῶν καὶ ἀσθενειῶν καὶ δαπανῶν καὶ θανάτων, ψυχικῶς δὲ, ὅτι ἡ τοιαύτη συγχώρησις ἄγνωστος οὖσα τῇ γραφῇ καὶ τῇ ἀρχαιότητι τῶν Ἐκκλησιῶν, ἀφελής ἐστι καὶ ἀνωφελὴς, μάλιστα συνισταμένη καὶ ἐπιτετηδευμένη ἀπὸ διαιρέσεων καὶ λογιδρίων σεσοφισμένων καὶ ψευδολογιῶν ἀντικειμένων τῇ ἐκκλησιαστικῇ παραδόσει, καὶ τὸν Πάπαν θεοποιοῦσα καὶ λέγουσα περὶ αὐτοῦ τὰ ἀνήκουστα τοῖς ἀρχαίοις, καὶ ἔτι ἐπιζήμιός ἐστι καὶ ψυχοφθόρος καὶ παντὶ Χριστιανῷ πᾶσι τρόποις πολέμιος. ἔτι ὁ Βονιφάτιος οὗτος ἐπειδὴ εἶπε τῆς Οἰκουμένης καὶ πάντων τῶν ἀνθρώπων ἡ ὑποταγὴ πρὸς τὸν θρόνον τῆς Ῥώμης ἀναγκαία ἐστὶ πρὸς σωτηρίαν, ψεύστης ἐστὶ, καὶ πατὴρ αὐτοῦ ἐστὶν ὁ Διάβολος, εἴπερ πατὴρ τοῦ ψεύδους κατὰ τὴν διδασκαλίαν τοῦ Σωτῆρος ἐστὶν ὁ Διάβολος.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Κϛ'.

Ὅτι τῶν παπιστῶν λεγόντων, ῥῆμα ἐξηχηθὲν τῆς Εἰκόνος τῆς Θεοτόκου, τὰ συγχωρητικὰ ἐπὶ τοῦ Βονιφατίου τούτου ἐβεβαίωσε, δείκνυται τουτὶ τὸ ῥῆμα μὴ εἶναι τῆς Θεοτόκου, ἀλλὰ τοῦ Βεελζεβούλ.

Ἐπιλέγουσιν, ὅτι ἐγένοντο θαύματα βεβαιοῦντα τὴν χρῆσιν τῶν τοιούτων τοῦ Πάπα συγχωρητικῶν, γράφει γὰρ Ἰάκωβος Διάκονος καὶ Καρδηνάλις τοῦ ἁγίου Γεωργίου, ὅστις ἔζη ἐπὶ τοῦ Βονιφατίου τούτου, ὅτι τὰ συγχωρητικὰ ἦσαν καὶ πρότερον, γεγονότα δὲ δαψιλέστερον ἐπὶ τοῦ Βονιφατίου, ἐβεβαιώθη ὑπὸ τῆς Θεοτόκου τῷ τρόπῳ τούτῳ. Κληρικός τις τοῦ ἁγίου Γεωργίου ἐν Βελάβρῳ προσευχόμενος ἐνώπιον τῆς Εἰκόνος τῆς Θεοτόκου, ἤκουσεν εἰπούσης αὐτῆς τρίτον, Ὁ Θεὸς ἐφείσατο πάντων ζώντων καὶ τεθνεώτων, ὅπερ εἶπεν ἡ Θεοτόκος περὶ τῶν συγχωρητικῶν τοῦ Βονιφατίου. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι καὶ τοῦτο τὸ λογίδριον οὐ τῆς Θεοτόκου, ἀλλὰ τοῦ Βεελζεβούλ ἐστι, καθότι ὁ Θεὸς ἀφ' οὗ ἐξαπέστειλε τὸν Υἱὸν αὐτοῦ γενόμενον ἄνθρωπον, ἐφείσατο τῶν ζώντων καὶ τεθνεώτων, εἰ δὲ ἐπὶ τοῦ Βονιφατίου ἐφείσατο, δῆλον ὅτι πρότερον οὐκ ἐφείσατο, ὅπερ οὐκ ἔστιν ἕτερον, ἢ ἄρνησις τοῦ Μυστηρίου καὶ τῆς τιμῆς τοῦ Χριστοῦ, καὶ τιμὴ τοῦ Βονιφατίου, ὅπερ ταὐτόν ἐστιν ὅτι τοῦ Διαβόλου λόγος ἐστί. δεύτερον, περὶ τῶν θαυμάτων, ἃ προβάλλουσιν οἱ παπισταὶ, εἴρηται ἀνωτέρω κεφαλαίῳ πέμπτῳ καὶ ἕκτῳ, καὶ ῥηθήσεται βιβλίῳ ἑνδεκάτῳ κεφαλαίῳ δευτέρῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΖ'.

Περὶ τῶν συγχωρητικῶν γραμμάτων τῶν τῆς καθολικῆς Ἐκκλησίας Πατριαρχῶν, καὶ τῆς ἐπὶ τὸ δεσμεῖν καὶ λύειν ἐξουσίας τῶν Ἐπισκόπων καὶ Πρεσβυτέρων, καὶ ὅτι μόνα τὰ τοῦ Χριστοῦ πάθη εἰσὶν οἱ θησαυροὶ καὶ αἱ ἐκτίσεις καὶ ἡ λύτρωσις τῶν ἁμαρτημάτων τοῖς μετανοοῦσι καὶ ἄνευ συγχωρητικῶν, καὶ τίνι τρόπῳ δίδονται τὰ συγχωρητικὰ, καὶ περὶ ἁμέσου καὶ ἐμμέσου ἐξομολογήσεως, καὶ πῶς λέγονται τὰ τῶν Πατριαρχῶν συγχωρητικὰ, καὶ τὶ λύουσιν αὐτά τε καὶ ἡ ἁγία κοινωνία.

Ἐπειδὴ συγχωρητικῶν ἐμνήσθημεν ἀνωτέρω ἅτινα ἐξ ἀρχῆς παρεῖχον, καὶ ἕως ἄρτι παρέχουσιν οἱ τῆς καθολικῆς Ἐκκλησίας ἁγιώτατοι Πατριάρχαι, ῥητέον καὶ περὶ τούτων ἐν ὀλίγοις, καὶ πρῶτον, ὅτι οἱ ὀρθόδοξοι Ἐπίσκοποι ἔχουσιν ἐξουσίαν πλήρη καὶ πληρεστάτην τοῦ δεσμεῖν τε καὶ λύειν, ὡς τῶν Ἀποστόλων ἐξίσου διάδοχοι, ὡς ἐροῦμεν ἐν τῷ πέμπτῳ μέρει τοῦ δεκάτου βιβλίου, οὐχ οὕτως ὅμως, ὥστε οὗτος μὲν ὑπεροχικῶς, ἐκεῖνος δὲ ὑφειμένος, ἀλλ' ὡσαύτως πάντες, ὡς εἴπομεν ἀνωτέρω ἐν πολλοῖς, καὶ ἐροῦμεν κατωτέρω διὰ πολλῶν, καὶ μάλιστα ἐν τῷ διαληφθέντι πέμπτῳ μέρει τοῦ αὐτοῦ βιβλίου, καὶ γὰρ τὰς Κλεῖς ὁ λόγος δηλώσει ἐκεῖ, οὐχ ἑνίτινι καθολικῷ Ἀρχιερεῖ καὶ κεφαλῇ καθολικῇ τῆς καθόλου Ἐκκλησίας διδομένας, μόνος γὰρ τοιοῦτος ὁ Χριστός ἐστιν, ἀλλὰ τοῖς Ἀρχιερεῦσιν, ἤτουν Ἐπισκόποις, καὶ δι' αὐτῶν τοῖς Πρεσβυτέροις καταλλήλως, οἷς ἡδύναμις, ἐξουσία τε καὶ χάρις διεδόθη ὑπὸ Χριστοῦ διὰ τῶν Ἀποστόλων δεσμεῖν τε καὶ λύειν ἐπὶ γῆς, εἰσὶ γὰρ προστάται καὶ ἐπιστάται τῶν Ἐκκλησιῶν καὶ ἐκφάντορες Θεοῦ καὶ ὑποφῆται καὶ οἰκονόμοι Μυστηρίων Θεοῦ, καὶ ταμεῖα τῶν θησαυρῶν τοῦ Χριστοῦ, καὶ ἀπολύουσι τοὺς ἡμαρτηκότας καὶ μετανοήσαντας πιστοὺς ἐπὶ τῆς γῆς οὐ μόνον τῆς αἰτίας καὶ τοῦ δεσμοῦ, ἀλλὰ καὶ τῆς ἐνοχῆς. δεύτερον, ὁμολογοῦμεν δὲ αὐτὰ ἐκεῖνα τὰ παθήματα τοῦ Ἰησοῦ Χριστοῦ καὶ μόνα τοὺς θησαυροὺς καὶ τὰς ἐκτίσεις καὶ τὴν λύτρωσιν εἶναι τῶν ἁμαρτημάτων τοῖς γνησίως μετανοοῦσι, κἂν μὴ ὦσιν οἱ πωλοῦντες καὶ ἀγοράζοντες τὰ συγχωρητικὰ, ἀπρίατος γὰρ ἡ τοῦ Θεοῦ χάρις, ἀδωροδόκητον τὸ τῆς Ἐκκλησίας Μυστήριον, οὐκ ἐμπόριον ἡ τοῦ Χριστοῦ Ἐκκλησία, καὶ οἱ θησαυροὶ αὐτῆς ἀκαπήλευτοι, οὐδ' ἐν βαλαντίοις ἐναποκείμενοι, οὐδ' ἀποκενοῦντες βαλάντια. ταῦτα δὲ λέγομεν, τὴν τινῶν αἰσχροκέρδειαν ἀποδιοπομπούμενοι, οὐ τὴν ἰσχὺν καὶ παράδοσιν τῆς Ἐκκλησίας, ἐν ᾗ αὐτὸς ὁ Σωτὴρ τὰς Κλεῖς κατέθετο τῆς βασιλείας τῶν Οὐρανῶν. οὗτος δὲ ὁ πλοῦτος διήνοικται τοῖς μετανοοῦσι καὶ μόνοις. ταῦτα Μελέτιος ὁ Πατριάρχης Ἀλεξανδρείας περίπου τὸ τέλος τοῦ Ἐγχειριδίου αὐτοῦ. τρίτον, παρέχονται δὲ τὰ συγχωρητικὰ παρὰ τῶν ἁγιωτάτων Πατριαρχῶν οὐ μόνον τοῖς εἰς αὐτοὺς, ἀλλὰ καὶ τοῖς ἢ εἰς Ἐπίσκοπον, ἢ καὶ εἰς Πρεσβύτερον ἐξομολογηθεῖσι, διὰ τὸ εἶναι αὐτοὺς ἐξαιρέτῳ τινὶ λόγῳ τῶν Ἀποστόλων διαδόχους, καὶ ἴδε κατωτέρω βιβλίου δεκάτου μέρους πέμπτου κεφάλαιον ἑνδέκατον. καὶ τοῦτο, οὐχ ὅτι ἔχουσι τοὺς βαθμοὺς τῆς Ἐπισκοπῆς μείζονας, ἀλλὰ διότι καθολικῶν, εἴτουν ἀποστολικῶν προΐστανται θρόνων, καὶ παρέχουσι τὰ συγχωρητικὰ τῇ κοινότητι τῆς κατ' αὐτοὺς προεδρίας. εἰ δὲ καὶ μόνοι παρέξουσιν, ἀλλὰ παρέχουσιν ὡς ἀπὸ προσώπου ταύτης, ἤτοι τῆς κατ' αὐτοὺς Συνόδου. παρέχουσι δὲ ταῦτα καὶ ἐν ἀλλοτρίαις Ἐπαρχίαις καὶ Διοικήσεσιν, ἐπειδὴ τούτοις ἐξαιρέτῳ τρόπῳ ἀφωσίωται ἡ μέριμνα καὶ ἐπιμέλεια πασῶν τῶν Ἐκκλησιῶν, ὅπερ οὕτω πως ποιεῖν οὐκ ἔξεστι τοῖς λοιποῖς Ἐπισκόποις, ἢ τοῖς καλουμένοις αὐτοκεφάλοις Ἀρχιεπισκόποις, καὶ ἴδε κατωτέρω τὸν τόπον τοῦ ἀνωτέρω προσεχῶς διαληφθέντος

κεφα-

κεφαλαίου, καὶ ἡ βεβαίωσις σταθηρὰ, εἰ γὰρ καὶ οὐ διωρίσθη τοῦτο παρὰ τῆς γραφῆς καὶ τῶν Συνόδων, ἀλλ' οὕτως ἀπ' ἀρχῆς παρέδωκεν ἡ καθολικὴ Ἐκκλησία, ᾗτινι ὁ ἀνθιστάμενος, ὑπὸ ἀνάθεμά ἐστι. τέταρτον, συγχωρεῖ ὁ Θεὸς τῷ μετανοήσαντι καὶ ἐξομολογηθέντι καὶ πρὸς αὐτὸν ἀμέσως, ἀνάγκης κατεπειγούσης, καὶ ἐμμέσως πρὸς τὸν πνευματικὸν, εἴτε Ἐπίσκοπος εἴη εἴτε Πρεσβύτερος, τρίτη δὲ συγχώρησις οὐ δίδοται, καὶ γὰρ δεύτερον οὐ συγχωρεῖται τὸ ἅπαξ συγχωρηθὲν πλημμέλημα, ὅθεν τῷ πρὸς ἕτερον ἐξομολογηθέντι διδόμενον τοῦ Πατριάρχου συγχωρητικὸν, οὐ ῥηθείη ἂν κυρίως συγχωρητικὸν, ἀλλὰ συγχωρητικὸν ἐπιδεικτικὸν τῆς μετανοίας ἐπὶ μισθῷ μείζονι, καὶ παραδείγματι τῶν ἄλλων διὰ τῆς μνήμης τῶν ἁμαρτημάτων. λύουσι δὲ τοῦ δεσμοῦ, ἤτοι τῆς ἁμαρτίας καὶ τῆς ἐνοχῆς τὰ συγχωρητικὰ, καὶ τὸν Κανόνα τῶν ἐξομολογηθέντων, κατά τινα περίστασιν μὴ πληρωθέντα, ὑποτιθέασιν ὅμως ἐν τοῖς λαβοῦσιν αὐτὰ καὶ μὴ κοιμηθεῖσιν, ἀλλὰ ζῶσι τὴν ἱκανοποίησιν, ἤτοι τοὺς καρποὺς τῆς μετανοίας κατὰ τὴν κέλευσιν τοῦ ἱεροῦ Εὐαγγελίου. Παλιλλογητέον. λύουσι τὰ ἁμαρτήματα τῷ ἐξομολογηθέντι τὰ συγχωρητικὰ ὑποθετικῶς κατὰ τὸν ὕστατον καὶ θανάσιμον βαθμὸν, διὰ τῆς ἱκανοποιήσεως μέντοι, ὅπερ ὅλον τὸ ἀνώτερον κεφάλαιον παρίστησι, καὶ αἱ Εὐχαὶ τῆς μεταλήψεως, ὑποθετικῶς γὰρ ἡ ἁγία κοινωνία λύει τὰ ἁμαρτήματα, ταύτῃ δὲ καὶ ὁ Χριστὸς ἱκανοποιήσατο μεθ' ὑποθέσεως τῶν ἡμετέρων ἀγαθῶν ἔργων, πλὴν τοῦ προπατορικοῦ πλημμελήματος, εἰ γὰρ καὶ τὰ ἔργα οὐκ ἰσχύει καθ' ἑαυτὰ, ἀλλ' οὕτως ἠθέλησεν ὁ Θεὸς ἵνα ἰσχύωσι διὰ τῆς θείας ἐπαγγελίας, εἰ γάρ, φησι, θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς. πέμπτον, τὰς ἱκανοποιήσεις οἱ μὲν νέοι Αἱρετικοὶ παντάπασιν ἀποβάλλουσιν, οἱ δὲ Λατῖνοι δέχονται μὲν, ἀλλ' εἰς σύστασιν τοῦ πουργατορίου, πῶς δὲ ταύτας ἡ καθολικὴ Ἐκκλησία ἀποδέχεται, ἴδε ὡς εἴρηται τὸ παρὸν κεφάλαιον, καὶ μάλιστα Παράγραφον εἰκοστὸν δεύτερον, καὶ τοῦ Κωνσταντινουπόλεως Ἱερεμίου τὸ ἑνδέκατον καὶ δωδέκατον τὰ κεφάλαια τῆς πρώτης αὐτοῦ ἐπιστολῆς πρὸς τοὺς ἐν Βιτεμπεργίδι Λουτέρους. ταῦτα καὶ περὶ τῶν συγχωρητικῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς ἐν Πίσῃ λατινικῆς Συνόδου, κατὰ τῆς ἀρχῆς τοῦ Πάπα οὔσης, καὶ περὶ τοῦ ἀριθμοῦ τῶν συνελθόντων κατὰ τοῦ Πάπα Γρηγορίου, καὶ τῆς καθαιρέσεως αὐτοῦ, καὶ προβλήσεως Ἀλεξάνδρου πέμπτου, καὶ τῆς ὑπὲρ τῆς Συνόδου ταύτης αὐτοῦ μαρτυρίας.

Χειροτονηθέντος ἑνὸς Πάπα εἰς τὴν Ῥώμην, καὶ ἑτέρου εἰς τὸ Ἀβένιον τοῦ καλουμένου Βενεδίκτου δεκάτου, καὶ ὄντων εἰς ὅλην τὴν Δύσιν σκανδάλων ἐκ τούτων τῶν δύο, ἵνα δῆθεν γένηται τρίτος καλλίων, ἐχειροτόνησαν εἰς τὴν Ῥώμην Πάπαν τρίτον Γρηγόριον τὸν δωδέκατον, ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ ἕκτῳ, ἀλλὰ φανέντος τοῦ Γρηγορίου ἀναξίου τῶν ἐλπίδων, στενοχωρούμενοι οἱ Αὐθένται καὶ οἱ ἐκκλησιαστικοὶ, καὶ μὴ εὑρίσκοντες θεραπείαν ἄλλην, ἔδραμον εἰς τὸ ἀρχαῖον κριτήριον, ᾧ πάντοτε ἡ Ἐκκλησία ἔκρινε τὰ κατ' αὐτὴν, ὅπερ ἐστὶν ἡ Σύνοδος. καὶ δὴ ἀθροίζουσι Σύνοδον εἰς Πίσαν χώραν τῆς Ἰταλίας, ἐν ᾗ ἦσαν Πατριάρχαι οἱ παρὰ Λατίνοις τρεῖς, Καρδηνάλεις εἰκοσιτρεῖς, Ἀρχιεπίσκοποι καὶ Ἐπίσκοποι τριάκοντα, Μοναστηρίων Ἡγούμενοι Διακόσιοι ὀγδοήκοντα, Θεολόγοι καὶ πρέσβεις τῶν ἐν Δύσει Ἡγεμόνων πλεῖστοι, ὡς διηγεῖται ἐν ταῖς σημειώσεσιν αὐτοῦ παρὰ Ἀζωρίου ὁ Βίνιος, πλὴν τοῦ ἀριθμοῦ τῶν Θεολόγων καὶ τῶν νομικῶν Διδασκάλων, οἵτινες μιᾷ συμπνοίᾳ καὶ γνώμῃ ἐκάθηραν αὐτὸν τὸν Πάπαν τῆς Ῥώμης Γρηγόριον τὸν δωδέκατον ἄκοντα καὶ μὴ βουλόμενον, ὡς φαίνεται ἐν τῇ δεκάτῃ τετάρτῃ συνελεύσει αὐτῆς. προέβαλον δὲ καὶ ἐχειροτόνησαν Πάπαν Ἀλέξανδρον τὸν πέμπτον, ὅστις ἐπατριάρχευσε Μῆνας ὀκτὼ, καὶ ἀποθνήσκων, ὡμολόγησεν ἐνώπιον πάντων, ὅτι ἐκεῖνα τὰ διορισθέντα εἰς τὴν Σύνοδον τῆς Πίσης, γεγόνασι χωρὶς δόλου τινὸς καὶ ὑποκρίσεως, ὡς ἄλλοι πολλοὶ, καὶ ὁ Πλάτινας ἱστοροῦσι.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἐν Κωνσταντείᾳ λατινικῆς Συνόδου, κατὰ τῆς ἀρχῆς τοῦ Πάπα οὔσης, καὶ περὶ τοῦ ἀριθμοῦ τῶν συνελθόντων κατὰ τριῶν Παπῶν ἐπὶ παρουσίᾳ τοῦ τῆς Ἀλαμανίας Βασιλέως Σιγισμούσδου, ἐν ᾗ κηρύττεται πρόσωπον τῆς καθόλου Ἐκκλησίας ἡ Οἰκουμενικὴ Σύνοδος, καὶ ὑπ' αὐτὴν πᾶς Πάπας, ὑφ' ἧς καὶ παιδεύεσθαι αὐτὸν ἁμαρτάνοντα ὥρισται.

Ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ δεκάτῳ τετάρτῳ ἠθροίσθη Σύνοδος εἰς Κωνσταντείαν. σημειοῖ δὲ ὁ Ὀνούφριος εἰς τὸν βίον Ἰωάννου εἰκοστοῦ τετάρτου παρὰ Πλάτινα, ὅτι συνῆλθεν ἐν αὐτῇ ἀπὸ πάσης τῆς Δύσεως πολὺ πλῆθος, ὁ δὲ Βελλαρμῖνος διϊσχυρίζεται βιβλίῳ πρώτῳ περὶ τῶν Συνόδων κεφαλαίῳ ἑβδί-

μῳ

μῳ ὅτι ἦσαν ἐν αὐτῇ πατέρες χίλιοι, ἐξ ὧν ἦσαν οἱ τριακόσιοι Ἐπίσκοποι. ἦν δὲ ἡ αἰτία τῆς συνελεύσεως αὐτῆς, ὅτι, ὡς εἴρηται, τοῦ βενεδίκτου καὶ τοῦ Γρηγορίου τῶν Παπῶν ὄντων κακοτρόπων, ἐζήτησεν ἡ Ἐκκλησία τὰς παραιτήσεις αὐτῶν, καὶ μὴ θελησάντων αὐτῶν αὐτὰς δοῦναι, ἐχειροτόνησαν Πάπαν τρίτον νομιζόμενον γνήσιον, Ἰωάννην εἰκοστὸν τέταρτον, ἀλλὰ καὶ αὐτὸς αἰσχροῦ βίου. ἠθροίσθη οὖν Σύνοδος, ἵνα καταπαύσῃ τὰ κακὰ τῶν τριῶν κακοτρόπων Παπῶν, ἦν δὲ εἰς τὴν Σύνοδον παρὼν καὶ Σιγισμοῦσδος ὁ Βασιλεὺς τῆς Ἀλαμανίας. καὶ λοιπὸν λαβόντες οἱ πατέρες θάρρος καὶ ἐξουσίαν τοῦ λαλεῖν ἐλευθέρως κατὰ τὸν ἀρχαῖον Νόμον τῶν κανονικῶν Συνόδων, ἐξετάσαντες τὸν βίον τοῦ Πάπα Ἰωάννου, εὗρον αὐτὸν πταίστην εἰς τεσσαράκοντα κεφάλαια, ὅθεν ἐκάθηραν αὐτὸν καὶ περιώρισαν. ὁ δὲ Γρηγόριος φοβηθεὶς τὸ κράτος τῆς Συνόδου, ἔδωκε τὴν παραίτησιν αὐτοῦ. ἐκάθηρε δὲ καὶ τὸν Βενέδικτον ἡ Σύνοδος. αὕτη λοιπὸν ἡ Σύνοδος τὴν ἀπόφασιν τῆς ἐν Πίσῃ Συνόδου ἐξηγουμένη καὶ βεβαιοῦσα, ἐκήρυξεν εἰς τὴν τετάρτην καὶ πέμπτην καὶ τεσσαρακοστὴν πέμπτην τὰς συνελεύσεις αὐτῆς, ὅτι ἡ οἰκουμενικὴ Σύνοδος ἐπιφέρει πρόσωπον τῆς καθόλου Ἐκκλησίας, καθότι ἔχει τὴν ἐξουσίαν ἀμέσως παρὰ Χριστοῦ, ὅθεν ἀναγκαίως πρέπει καὶ τὸν Πάπαν πείθεσθαι τῇ οἰκουμενικῇ Συνόδῳ, καὶ ὅτι εἰ ὁ Πάπας τῶν προσταγμάτων καὶ τῶν διαταγῶν καὶ ἐπαγγελιῶν ὁποιασδήποτε Οἰκουμενικῆς Συνόδου γενομένης, ἢ γενησομένης καταφρονεῖ, καὶ οὐχ ὑπακούει, ἢ οὐχ ὑπακούσει, καὶ εἶτα ὑμεταμελεῖται, κατακρίνεσθαι καὶ παιδεύεσθαι κατὰ τὸ ἁμάρτημα αὐτοῦ. πάσας δὲ τὰς ἀρὰς καὶ τοὺς ἀφορισμοὺς, οὓς ὁ Πάπας, μὴ βουλομένης τῆς Συνόδου, καταβροντίσει, εἶναι ἀκύρους καὶ ματαίους.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ παρὰ τῆς Συνόδου ταύτης χειροτονηθέντος Πάπα Μαρτίνου πέμπτου, τοῦ ὁμολογήσαντος βεβαίως διατηρεῖν καὶ ἀναντιῤῥήτως πάντα τὰ ἐν αὐτῇ κυρωθέντα.

Τῷ χιλιοστῷ τετρακοσιοστῷ πεντεκαιδεκάτῳ ἔτει παρὰ τῆς Συνόδου ταύτης προεβλήθη καὶ ἐχειροτονήθη Πάπας Μαρτῖνος πέμπτος, οὗ εἰς τὸν βίον λέγει ὁ Πλάτινας, ὅτι τεσσαράκοντα χρόνους ἦν ὁ θρόνος τῆς Ῥώμης ἐστερημένος ἀληθινοῦ Πάπα, ὅπερ βούλεται εἰπεῖν, ὅτι τεσσαράκοντα χρόνους ἦσαν εἰς τὸν θρόνον τῆς Ῥώμης Πάπαι ψεῦσται δηλονότι καὶ παράνομοι. ὡμολόγησε δὲ ὁ Μαρτῖνος, Πάπας χειροτονηθεὶς, ἐνώπιον τῆς Συνόδου, ἕκαστα καὶ πάντα τὰ κυρωθέντα καὶ συμπερανθέντα ἐν τοῖς περὶ πίστεως καὶ ἐκκλησιαστικῶν ὑποθέσεων ὑπὸ τῆς παρούσης ἐν Κωνσταντείᾳ Συνόδου βεβαίως διατηρεῖν, καὶ ἀβιάστως διαφυλάττειν, καὶ οὐδέποτε κατ' οὐδένα τρόπον ἐναντιωθῆναι, ἢ ἀντειπεῖν αὐτοῖς, ὡς φαίνεται πράξει τεσσαρακοστῇ πέμπτῃ, ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ δεκάτῳ ἑβδόμῳ. ὅθεν φανερόν ἐστιν, ὅτι συμφωνεῖ καὶ ὁ Πάπας μετὰ τῆς ἐξουσίας αὐτοῦ τῷ ἀξιώματι τῆς Συνόδου, ὅτι δηλαδὴ τὸ ἀξίωμα τῆς Συνόδου ἐστὶ μεῖζον τοῦ ἀξιώματος τοῦ Πάπα, ἀλλὰ δὴ καὶ ἐγγράφως βεβαιοῖ ταῦτα ἐν τῇ βούλλῃ αὐτοῦ τῇ κατὰ τῶν ἐγκλημάτων τοῦ Ἰωάννου.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς ἐν Βασιλείᾳ λατινικῆς Συνόδου, κατὰ τῆς Ἀρχῆς τοῦ Πάπα οὔσης, καὶ περὶ τοῦ ἀριθμοῦ τῶν συνελθόντων κατὰ τοῦ Μαρτίνου Πάπα, τυραννικῶς διοικεῖν ἀρξαμένου, καὶ ἀθετήσαντος ἃ ὑπέσχετο ἐν τῇ ἐν Κωνσταντείᾳ Συνόδῳ, καὶ εἶτα κατὰ τοῦ Πάπα Εὐγενίου, καὶ περὶ τῆς ἀποφάσεως αὐτῆς, ὑπὲρ τοῦ Πάπα καὶ παντὸς ἑτέρου τὴν Οἰκουμενικὴν Σύνοδον ἀποφαινομένης, καὶ τὸν ἀντιταττόμενον αὐτῇ Αἱρετικὸν νομιζομένης.

Ἡ ἐν Κωνσταντείᾳ Σύνοδος φῶς ἐχρημάτισε τοῖς δυτικοῖς, ὥστε καταβάλλειν τὴν ὀφρὺν τῶν Παπῶν, καὶ εἶναι τοὺς Πάπας ὑποκειμένους ταῖς Συνόδοις, καθὼς ἦσαν καὶ πρὸ τοῦ σχίσματος. καὶ ἐπειδὴ ὁ Μαρτῖνος, ὃν ἐχειροτόνησε Πάπαν αὕτη ἡ ἐν Κωνσταντείᾳ Σύνοδος, ἤρξατο ἀθετεῖν τὰ τῆς Συνόδου, καὶ ζητεῖν πάλιν διοικεῖν τυραννικῶς, ἠθροίσθη Σύνοδος εἰς Βασιλείαν πόλιν τῆς Γερμανίας, ἐν ᾗ ἦσαν Ἐπίσκοποι ἑπτακόσιοι, καὶ Ἡγούμενοι καὶ ἄλλοι Θεολόγοι καὶ Νομοδιδάσκαλοι πολλοί. ἀποφαίνεται οὖν καὶ ἐπικυροῖ καὶ αὕτη ἡ ἐν Βασιλείᾳ Σύνοδος, πράξει δευτέρᾳ, τρίτῃ καὶ ὀγδόῃ, κατὰ τὸ χιλιοστὸν τετρακοσιοστὸν τριακοστὸν δεύτερον ἔτος, καὶ πράξει ἑνδεκάτῃ, κατὰ τὸ χιλιοστὸν τετρακοσιοστὸν τριακοστὸν τρίτον ἔτος, καὶ μεταταῦτα ἐν ὅλῃ τῇ προθέσει κατὰ τοῦ Πάπα Εὐγενίου τοῦ τετάρτου ἐν τῇ ἀποφάσει τῆς ἀργίας αὐτοῦ, πράξει τριακοστῇ πρώτῃ, ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ ἐνάτῳ, καὶ ἐν τῇ ἀποφάσει τῆς καθαιρέσεως αὐτοῦ, ἐκφωνηθείσης πράξει τριακοστῇ τετάρτῃ, τῷ αὐτῷ ἔτει, καὶ φησὶν, αὕτη ἐστὶν ἡ ἀλήθεια τῆς καθολικῆς πίστεως, ἣ ὁ πεισματικῶς ἀνθιστάμενος καὶ ἀντιταττόμενος, Αἱρετικὸς νομίζεται, πράξει τριακοστῇ τρίτῃ, ὅπου καὶ ταῦτα φησὶ, Πρὸς μείζονα δὲ στερέωσιν καὶ βεβαίωσιν πάντων τῶν καθολικῶν τῇ ὁμοψύχῳ ὁμολογίᾳ αὐτῶν τῶν ἀληθικῶν, ταῦτα ἡ ἁγία

Σύνο-

Συνόδος ὁρίζει καὶ ἀποφαίνεται ὥσπερ ἕπεται, ὅτι ἡ ἀλήθεια περὶ τῆς ἐξουσίας τῆς Οἰκουμενικῆς Συνόδου, τὴν καθολικὴν Ἐκκλησίαν ἐπιφερούσης, ὑπεράνω τοῦ Πάπα καὶ παντὸς ἑτέρου προσώπου ἀποφανθεῖσα διὰ τῆς ἐν Κωνσταντείᾳ, καὶ ταύτης τῆς ἐν Βασιλείᾳ τῶν Οἰκουμενικῶν Συνόδων, ἐστὶν ἀλήθεια τῆς καθολικῆς πίστεως. αὕτη ἡ ἀλήθεια, τὸ τὸν Πάπαν τὴν Οἰκουμενικὴν Σύνοδον, ἐπιφέρουσαν τὴν καθολικὴν Ἐκκλησίαν, πράγματι κανονικῷ συναθροισθεῖσαν, καὶ οὐδὲν τῶν ἀνωτέρω ἀποφανθέντων ἐν τῇ προλεχθείσῃ ἀληθείᾳ ἄνευ τῆς γνώμης ἐκείνης τῆς Συνόδου ὁρίσασαν, οὐδαμῶς ἐξουσιαστικῶς διαλῦσαι, ἢ εἰς ἕτερον καιρὸν παρεκτεῖναι, ἢ ἀπὸ τόπου εἰς τόπον μεταφέρειν, ἐστὶν ἀλήθεια τῆς καθολικῆς πίστεως. ταύταις ταῖς δυσὶν ἀληθείαις ὁ πεισματικῶς ἀντιτατόμενος, Αἱρετικὸς νομίζεται. Ἐδόθη ἐν δημοσίῳ ἡμετέρᾳ συνελεύσει ἐν τῇ μείζονι Ἐκκλησίᾳ τῆς Βασιλείας δημοσίως ἑορτασθεῖσα δεκάτῃ ἑβδόμῃ Καλανδῶν Ἰουλίων κατὰ τὸ χιλιοστὸν τετρακοσιοστὸν τριακοστὸν ἔνατον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ὑπὸ τῆς παρούσης Συνόδου καθαιρέσεως Εὐγενίου τεταρτου, καὶ προχειρίσεως Φίληκος πέμπτου, τοῦ τὴν Οἰκουμενικὴν Σύνοδον ἐπὶ τοῦ Πάπα ὁμολογήσαντος.

Ἀπέβαλε δὲ αὕτη ἡ Σύνοδος Εὐγένιον Πάπαν τὸν τέταρτον καὶ ἀφώρισε καὶ ἐκάθηρε, καὶ αὐτ' αὐτοῦ ἐχειροτόνησε Πάπαν Φίληκα τὸν πέμπτον, ὅστις καὶ αὐτὸς προσετέθη ἐκείνῃ τῇ ἀληθείᾳ, ὅτι ἡ Οἰκουμενικὴ Σύνοδος ἐστὶν ὑπεράνω τοῦ Πάπα, καὶ ἔστιν αὕτη ἡ ἀλήθεια, ἀλήθεια τῆς καθολικῆς πίστεως, ὅθεν οὐμόνον ὑπὸ τῶν ἁγίων Οἰκουμενικῶν Συνόδων, ἀλλὰ καὶ ὑπὸ τῶν λατινικῶν οἱ Πάπαι τῆς Ῥώμης κρίνονται καὶ κατακρίνονται, ἀποβάλλονται καὶ αὐτ' αὐτῶν ἄλλοι χειροτονοῦνται, ἐπειδὴ ἡ Σύνοδος ὑπερέχει καὶ τῶν Οἰκουμενικῶν Πατριαρχῶν καὶ τῶν Οἰκουμενικῶν Παπῶν, ἐξ ὧν οὐμόνον οἱ αἰωτέρω Βενέδικτος, Γρηγόριος καὶ Ἰωάννης ἥμαρτον εἰς τὰ ἤθη, εἰς τὴν πολιτείαν, εἰς τὰς χειροτονίας καὶ εἰς τὴν πίστιν, ἀλλὰ καὶ πολλοὶ ἄλλοι Πάπαι ἐχρημάτισαν τοιοῦτοι, ἐξ ὧν τινὰς εἰς δήλωσιν καταγράφομεν ἐνταῦθα.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Ὅτι πολλοὶ Πάπαι ἥμαρτον εἴς τε τὰ ἤθη καὶ εἰς τὴν πολιτείαν, καὶ ἐν συνόψει ἀρχόμενοι ἀπὸ Νικολάου πρώτου, καταπαύομεν εἰς Εὐγένιον τέταρτον.

Κακὸν πρᾶγμα ἦν ὁ σιμωνιακὸς τρόπος Νικολάου τοῦ πρώτου, τοῦ μετὰ ἀναθέματος προστάξαντος τῷ Ῥαβέννης Ἰωάννῃ μὴ διορίζειν τὰ εἰσοδήματα τῆς Ἐπαρχίας αὐτοῦ χωρὶς τῆς γνώμης τοῦ Πάπα, ὅπερ ἐποίει σιμωνιακῶς, καὶ γὰρ τὶς μετοχὴ ἦν τῷ Πάπᾳ τῶν εἰσοδημάτων ἀλλοτρίας Ἐπαρχίας; ἐκεῖνο δὲ ὅπερ οὗτος ὁ Πάπας Νικόλαος, ὡς λέγει ὁ Πλάτινας, γνώμῃ καὶ τοῦ Ῥηγὸς Λοδοβίκου διέταξεν, ἵνα δηλονότι μὴ δυνηταίποτε λαϊκὸς μήτε αὐτὸς ὁ Αὐτοκράτωρ ἔρχεσθαι εἰς τὰς Συνόδους τῶν Ἐπισκόπων, πῶς οὐκ ἔστι βέβηλον καὶ παράνομον; καὶ ἴδε κατωτέρω βιβλίου δεκάτου μέρους τρίτου κεφάλαιον δωδέκατον. Μαρτῖνος ὁ δεύτερος ταῖς πονηρίαις αὐτοῦ ἐνήργησε δεσμευθῆναι τὸν Πάπαν Ἰωάννην τὸν ὄγδοον, καὶ δὴ καὶ Πάπας ἐγένετο ἀνοσίῳ καὶ παρανόμῳ τρόπῳ, καθότι ῥᾳδιουργίαις ἥρπασε τὸν θρόνον ὡς λῃστὴς καὶ κλέπτης, ὅθεν καὶ ἀπέτεμεν αὐτὸν ταχέως ὁ Κύριος. Ὁ Φόρμοσος πρὸ τοῦ γενέσθαι Πάπας ἐνήργησε καὶ αὐτὸς δεσμευθῆναι τὸν Πάπαν Ἰωάννην, ἐπειδὴ ἀνοσιώτατος ὢν ὁ Φόρμοσος, καὶ ὑπ' ἐκείνου καθαιρεσθεὶς, ἀνεθεματίσθη, εἶτα δωρεαῖς καὶ δόλοις σιμωνιακῶς καὶ πανούργως ἐγένετο Πάπας, ὅθεν Στέφανος ὁ ἕβδομος, ὅστις καὶ αὐτὸς σιμωνιακῶς καὶ κακοτρόπως ἔλαβε τὸ παπᾶτον, ἀθροίσας Σύνοδον, ἀνώρυξε τὸν τάφον τοῦ Φορμόσου, καὶ ἐξέβαλε τὸ λείψανον αὐτοῦ ἀπὸ τοῦ τάφου, καὶ ἐνδύσας αὐτὸ τὰ ἀρχιερατικὰ ἄμφια, ἐνέδυσεν αὐτὸ λαϊκὰ, καὶ εἶτα ἔθαψεν αὐτὸ μετὰ τῶν λῃστῶν, καὶ προσέτι τεμὼν καὶ τὰ δύο αὐτοῦ δάκτυλα οἷς ηὐλόγει, ἔρριψεν αὐτὰ εἰς τὸν Τίβεριν, καὶ τέως ὥρισεν ἀναχειροτονηθῆναι ὅσους ἐχειροτόνησεν ὁ Φόρμοσος. Ἰωάννης ὁ ἔνατον θέλων ὑπεραπισθῆναι τῶν τοῦ Φορμόσου, καὶ ἐναντιουμένου αὐτῷ τοῦ πλείονος μέρους τοῦ λαοῦ τῆς Ῥώμης, προεξένησε τόσην σύγχυσιν εἰς τὸν λαὸν, ὥστε καὶ ἐκινδύνευσαν κατασφάξαι ἀλλήλους, ὅθεν φυγὼν εἰς Ῥάβενναν, καὶ ἀθροίσας Σύνοδον ἑβδομηκοντατεσσάρων Ἐπίσκοπων, κατέκρινε τὰ τοῦ Στεφάνου, καὶ ἐβεβαίωσε τὰ τοῦ Φορμόσου. Λέων ὁ πέμπτος σιδηροδεσμεῖται ὑπὸ Χριστοφόρου τινὸς βεβήλου ἀνθρώπου, καὶ προξενοῦνται διὰ τοῦτο σκάνδαλα, καὶ γίνεται πολλῶν ἀνθρώπων φθορά. εἶτα τυραννικῶς καὶ παρανόμως γενόμενος Πάπας Σέργιος ὁ τρίτος, τῷ ὁμοίῳ τρόπῳ ἔδησε τὸν Χριστόφορον δεσμοῖς σιδηροῖς, καὶ ἐφυλάκωσεν αὐτὸν λίαν σκλη-

σκληρῶς, ἠκύρωσε δὲ καὶ αὐτὸς τοῦ Φορμόσου τὰς πράξεις, καὶ προσέταξε ἀναχειροτονηθῆναι ὅσους ἐκεῖνος ἐχειροτόνησε, καὶ τὸ δὴ πάντων τῶν κακῶν ἀπάνθρωπον καὶ ἀσεβέστατον, ὅτι ἐξέβαλε τὸ λείψανον τοῦ Φορμόσου ἐκεῖθεν, ἔνθα ἦν τεθαμμένον μετὰ τῶν λῃστῶν, καὶ προσέταξε καὶ ἔκοψαν αὐτοῦ τὴν κεφαλὴν οὕτως, ὡς ἦν τεθνηκὼς πρὸ ὀκτὼ ἐτῶν, καὶ ἔπειτα ἔρριψεν αὐτὸ εἰς τὸν ποταμὸν Τίβεριν ὡς ταφῆς δῆθεν ἀνάξιον. ἦν δὲ ὁ Σέργιος οὗτος πρὸς τούτοις ἀκόλαστος καὶ ἀσελγέστατος. Ἰωάννης ὁ δέκατος πολέμους ἐκίνησε λυμεῶνας, καὶ πολλὰ αἵματα χριστιανικὰ ἐκχέας, ἦν μᾶλλον τύραννος καὶ φονεὺς, ἢ Ἐπίσκοπος καὶ Πάπας, ὅθεν Γουΐδος ὁ Κόμης συλλαβὼν αὐτὸν, καὶ ἐμβαλὼν τῷ στόματι αὐτοῦ ἕνα μεγάλον πάσσαλον, αἰσχρῶς αὐτὸν ἀπέπνιξεν. Ἰωάννης ὁ δωδέκατος ἦν ἐκ νέου δεδομένος εἰς τὰς ἡδονὰς καὶ κυνηγέσια, ὃς ἔκοψε ἀπὸ θηριώδους θυμοῦ αὐτοῦ ἑνὸς Καρδηνάλεως τὴν ῥῖνα, καὶ ἑτέρου τὴν χεῖρα. κινηθέντος δὲ διὰ ταῦτα κατ' αὐτοῦ τοῦ Ῥηγὸς τῆς Γερμανίας Ὄθωνος, αὐτὸς ἵνα φύγῃ τὸν κίνδυνον, ἔστεψεν αὐτὸν καὶ ὠνόμασεν Αὐτοκράτορα μὲν Ῥωμαίων. Ῥῆγα δὲ Γερμανίας καὶ Οὐγγρίας, μὴ παραιτουμένου ὅμως τούτου τοῦ Ἰωάννου τὴν ἀσελγεστάτην καὶ βέβηλον αὐτοῦ ζωὴν, ἤθροισε Σύνοδον ὁ Ὄθων καὶ κατέκρινεν αὐτὸν, ὅθεν ἔφυγεν ὁ παγκάκιστος, καὶ ἐχειροτονήθη ἕτερος Πάπας. ἀλλὰ μετὰ τὴν ἀναχώρησιν τοῦ Ὄθωνος ἀπὸ τῆς Ῥώμης, ὁ Ἰωάννης ἐλθὼν, ἐδίωξε τὸν κανονικὸν Πάπαν. τούτου μέμνηται καὶ ὁ Κεδρηνὸς, γράφων τὴν ἄνομον ζωὴν Θεοφυλάκτου Κωνσταντινουπόλεως Πατριάρχου, Ἐφιλοτιμήθη γάρ φησιν, ἡ κακία, ἵνα ἐν τοῖς αὐτοῖς καιροῖς ἀθεμιτουργῶσιν οἱ δύο Οἰκουμενικοὶ, ὥσπερ τινες βέβηλοι καὶ ῥαγδαῖοι τυφῶνες, ὅθεν καὶ οἱ δύο πληγέντες ὑπὸ Θεοῦ, αἰσχροτάτως ἐτελεύτησαν. Ἰωάννης ὁ δέκατος τρίτος ἐδεσμεύθη καὶ ἐκλείσθη εἰς τὴν ἀκρόπολιν τῆς Ῥώμης, εἶτα ἐξωρίσθη, ὕστερον δὲ ἐπανελθὼν ἀπὸ τῆς ἐξορίας εἰς Ῥώμην, Πέτρον τινὰ ἐχθρὸν αὐτοῦ ἐκρέμασεν ἀπὸ τῶν τριχῶν τῆς κεφαλῆς, καὶ ἀφεῖκεν αὐτὸν ἀπῃωρημένον ἐπὶ πολὺν καιρὸν, εἶτα καταβιβάσας αὐτὸν, ἐκάθισεν αὐτὸν ἐφ' ἑνὶ Ὄνῳ ἀντιστρόφως, βιάζων αὐτὸν κρατεῖν τὴν οὐρὰν τοῦ Ὄνου τῇ χειρὶ αὐτοῦ, καθὼς εἰργάσατο ὁ Κοπρώνυμος Κωνστατῖνον τὸν Εἰκονομάχον Πατριάρχην, ἔπειτα μαστιγώσεσι καὶ ἄλλαις σκληραῖς καὶ ἀπανθρώποις παιδεύσεσιν ἀπέκτεινεν αὐτόν. Βονιφάτιος ὁ ἕβδομος λαβὼν πάντας τοὺς θησαυροὺς τῆς Ἐκκλησίας καὶ φυγὼν, ἐδαπάνησεν αὐτοὺς εἰς ἡδονὰς καὶ εὐωχίας, ὅθεν παραχωρήσει Θεοῦ ὑφ' ἑαυτοῦ ἀπεσφάγη. Ἰωάννης ὁ δέκατος πέμπτος διεσκόρπισεν εἰς τοὺς συγγενεῖς αὐτοῦ τῆς Ἐκκλησίας τὰ εἰσοδήματα, ὅθεν γέγονε κακὸν παράδειγμα εἰς τοὺς μετέπειτα Πάπας, καὶ ἐνομίζετο εἰς τοὺς καιροὺς αὐτοῦ εἶναι Λύκος, φθορεὺς, καὶ τοῦ δημοσίου πολέμιος, καὶ διὰ ταῦτα παρεχώρησεν ὁ Θεὸς καὶ ἐγένετο πεῖνα καὶ πανοῦκλα, ὡς οὐκ ἄλλοτέ ποτε, τότε εἰς τὴν Ἰταλίαν. Σίλβεστρος ὁ δεύτερος παρεδόθη ἰδίῳ αὐτοῦ θελήματι τῷ Διαβόλῳ, ἵνα μόνον αὐτῷ βοηθῇ τοῦ ποιεῖν τὸ θέλημα αὐτοῦ, ὅθεν πονηρίαις γέγονε Πάπας, λέγουσι δὲ, ὅτι ὑπεσχέθη τῷ Διαβόλῳ εἶναι οἰκεῖος καὶ μετὰ τὸν θάνατον αὐτοῦ, καὶ διατοῦτο ἐβοήθησεν αὐτῷ μαγείαις, καὶ νεκρομαντείαις, καὶ ἄλλαις διαβολικαῖς τέχναις, καὶ ἔλαβε τὸ παπᾶτον, κάντοιγε ὕστερον λέγουσιν αὐτὸν μετανοῆσαι. Βενέδικτος ὁ ἔνατος παράνομον ἐποίησε παραίτησιν εἰς Ἰωάννην τὸν Ἀρχιδιάκονον αὐτοῦ, ὅθεν ὡς παράνομον ἀπόφασιν ποιήσας εἰς τὴν Ἐκκλησίαν, κατεκρίθη ὑπὸ Θεοῦ καὶ ἀνθρώπων, καθότι ἡ εἰκὼν αὐτοῦ μετεβλήθη εἰς εἶδος ἀλλοκότου Θηρίου. Δάμασος ὁ δεύτερος ἐπήδησεν εἰς τὸν θρόνον δυναστικῶς καὶ τυραννικῶς, ὥστε καὶ ἐκρίθη κοινῶς μήτε Πάπας τῆς Ῥώμης ὀνομάζεσθαι. Γρηγορίου δὲ τοῦ ἑβδόμου τὶς τραγῳδήσει τὰ κακὰ, εἰμὴ Ὄθων Ἐπίσκοπος Φρισιγένσης εἰς τὸ ἕκτον κεφάλαιον τοῦ πέμπτου βιβλίου τοῦ χρονικοῦ αὐτοῦ, ἐν ᾧ φησὶν, ὅτι ὁ Γρηγόριος οὗτος ἀφώρισεν Ἐνρῖκον τὸν Βασιλέα Γερμανίας, καὶ ἔλαβεν αὐτοῦ τὴν βασιλείαν, καὶ ἀρχὴν ἔσχον ἐντεῦθεν τὰ πολλὰ κακὰ, καθότι ἐπανέστησαν Πάπαι κατὰ Παπῶν καὶ Ῥῆγες κατὰ Ῥηγῶν. ὡς ἀληθῶς ὁ Γρηγόριος ἦν ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὃς ὑπὲρ πᾶν, ὃ λέγεται Θεὸς, ἢ σέβασμα ὕψωσεν ἑαυτὸν, ὥστε καθέζεσθαι ἐν τῷ Ναῷ τοῦ Θεοῦ ὡς Θεόν. οὗτος πρῶτος, ὡς λέγει καὶ Ῥιχάρδος ὁ Διδάσκαλος τῆς ἐν Παρισίοις μεγίστης Σχολῆς, τοὺς μὴ ὑπακούοντας αὐτῷ, ἔκρινεν εἶναι Εἰδωλολάτρας, ὡς ὁ αὐτὸς Γρηγόριος λέγει ἐν τῇ ἐν Ῥώμῃ Συνόδῳ, ἣν ἤθροισε κατὰ τοῦ Ἐνρίκου ἐν ἔτει χιλιοστῷ ὀγδοηκοστῷ, καὶ διώρισεν ἐν αὐτῇ, ὅτι ὅσοι Αὐτοκράτορες, Βασιλεῖς καὶ οἱ ἄλλοι Ἡγεμόνες ἀντιτείνουσι τῇ βουλῇ τοῦ Πάπα, τὸν Πάπαν ἀφορίζειν αὐτοὺς, καὶ ἀπογυμνοῦν αὐτοὺς τῆς βασιλείας αὐτῶν, καὶ τοὺς ὑποκειμένους αὐτοῖς ἐλευθεροῦν τῶν ὅρκων τῆς πίστεως οὓς εἶχον εἰς αὐτοὺς, καὶ οὕτως ἤγειρεν ἀποστασίας, καὶ πολέμους σκληροὺς, καὶ τοὺς μὴ νικωμένους ὑπὸ τοιούτων ἀφορισμῶν, ἐδίωκεν ὅπλοις, ἄλλους δὲ ἠπάτα καὶ ἔπεμπεν εἰς τὴν Ἀσίαν δῆθεν εἰς τὸν ἱερὸν πόλεμον ὑποσχέσεσι καὶ ἀπειλαῖς. λέγει ὁ Ἀββᾶς Οὐσπεργένσης εἰς τὸ χρονικὸν αὐτοῦ εἰς τοὺς χρόνους Φριδερίκου τοῦ δευτέρου, ὅτι ταῖς παρακινήσεσι καὶ τῇ ἀφορμῇ τοῦ παραγενέσθαι τοὺς Λατίνους εἰς τὸν ἱερὸν πόλεμον εἰς τὴν Συρίαν καὶ Παλαιστίνην, ἐδόθησαν ὅλοι εἰς πᾶν εἶδος ἀσωτείας καὶ μοχθηρίας, ἐπειδὴ καὶ οἱ Πάπαι συνεχώρου αὐτοῖς τὰ πάντα, μόνον ἵνα ἄρωσι Σταυρὸν κατὰ τῶν Σαρακηνῶν. Πασχάλης ὁ δεύτερος διὰ τὸν φόβον Ἐνρίκου Βασιλέως Γερμανίας, συνεχώρησεν ἔχειν εἰς τὴν Γερμανίαν τοὺς Ἐπισκόπους τὰς Ἐπαρχίας ἐν αἷς προεχειρίσθησαν τῇ ἐκλογῇ τοῦ Ἐνρίκου, ὕστερον δὲ ἀθροίσας Σύνοδον, ἠθέτησε τὴν τοιαύτην συγχώρησιν, καὶ λοιπὸν ἰδοὺ ἔσφαλεν εἰς ἀπόφασιν ἐκκλησιαστικὴν, εἰ δὲ καὶ βίᾳ αὐτὴν ἐποίησεν, ὅμως ἀρκεῖ ὅτι ἥμαρτεν, εἰ καὶ ἐβιάσθη, ἐπειδὴ καὶ

μετέβαλε

μετέβαλε τὴν ἀπόφασιν αὐτοῦ. Κελεστῖνος ὁ τρίτος Κωνσταντείαν τὴν θυγατέρα τοῦ Ῥηγὸς Ῥογερίου μονάστριαν οὖσαν καὶ εἰς Μοναστήριον, ἀποδυσάμενος αὐτὴν τὸ ἅγιον σχῆμα, δέδωκεν εἰς γυναῖκα Ἐνρίκῳ υἱῷ Φριδερίκου, ἵνα λάβῃ δῆθεν εἰς προῖκα τὴν Ἐπαρχίαν τοῦ πατρὸς αὐτῆς, ἤτοι τὴν Σικελίαν, τὸ δ' ἀληθὲς ἦν, ἵνα παρέχῃ αὐτῷ κατ' ἔτος τόσα φλωρία, καὶ οὐμόνον τὸ ἅγιον σχῆμα ἠθέτησε, καὶ τὴν ἀφιερωμένην θεῷ ἐποίησε κοσμικὴν, κινῶν τὰ ἀκίνητα διὰ ἴδιον κέρδος, ἀλλὰ καὶ πολέμους ἀγρίους προὐξένησεν ἀναμέσον Ἐνρίκου καὶ Τανακρέδου Ἄρχοντος Σικελίας. Γρηγορίου δὲ τοῦ ἐνάτου τὸ ἀπάνθρωπον ἴδε βιβλίου ὀγδόου κεφαλαίου τεταρτου Παραγράφῳ ἑβδόμῳ, λέγει ὅμως περὶ αὐτοῦ ὁ Ἀββᾶς Οὐσπεργένσης, ὅτι εὑρὼν ἀφορμὴν τὴν ἀπουσίαν Φριδερίκου τοῦ δευτέρου, ἔλαβεν ἀδίκως τοὺς τόπους αὐτοῦ, καὶ ὑπέταξεν αὐτοὺς ἑαυτῷ, ὅθεν οὐκ ἔπαθόν ποτε ὑπὸ τῶν ἐθνικῶν τοσαύτας ὕβρεις καὶ ζημίας καὶ αἰσχύνας, ὅσας ὑπὸ τῶν Παπῶν, καὶ τοσοῦτον, ὥστε εἰς τὴν Εὐρώπην μὴ ὁρᾶσθαι ἕτερα, εἰμὴ δόλους, ἀσεβείας, προδοσίας, πυρκαϊὰς, πολέμους, ἁρπαγὰς, κλεψίας, ψευδορκίας, καὶ τὰ ὅμοια τούτοις, ἅπερ πάντα ἐγίνοντο διὰ τὸν τύφον καὶ τὴν φιλαργυρίαν καὶ τὸν δόλον καὶ τὴν τυραννίδα τοῦ θρόνου τῆς Ῥώμης, καὶ ἴδε τὸν Ἀββᾶν περὶ τούτου εἰς τὰ κατορθώματα καὶ εἰς τοὺς πολέμους Φιλίππου τοῦ Βασιλέως Ἀλαμανίας. Ὁ τέταρτος Ἰννοκέντιος Φρικτοὺς καὶ λυμεῶνας ἐποίησε πολέμους μετὰ τοῦ Ῥηγὸς τῆς Ἀλαμανίας περὶ ἐξωτερικῶν αἰτιῶν, αἵπερ γεγόνασιν αἰτία καὶ τοὺς Γλωσσόλους ἔθνος Ἀράβων ἀπάνθρωπον καταπατῆσαι τὴν Ἱερουσαλὴμ, καὶ κατασφάξαι τοὺς ἐκεῖσε Χριστιανοὺς μέχρι καὶ τῶν βρεφῶν, καὶ βεβηλῶσαι καὶ τὸν κυριακὸν τάφον μετὰ καὶ διαφόρων βαρβαρικῶν τρόπων. Ἀλέξανδρος ὁ τέταρτος διήγειρε τοὺς Ἱσπανοὺς κατὰ τοῦ Δούκα Μαφρέδου, καὶ ἐξήγειρεν ἔθνη ἐπὶ ἔθνη, ὥστε κατατέμνεσθαι τοὺς λαοὺς ὡς λάχανα, ὅθεν οἱ Ἀγαρηνοὶ διὰ ταῦτα ἀπῆλθον εἰς τὴν Ἰταλίαν. Οὐρβανὸς ὁ τέταρτος ἔκραξε τὸν Ῥῆγα τῆς Φράντζας κατὰ τοῦ Μαφρέδου. Νικόλαος ὁ τρίτος ἐξήγειρε πολέμους κατὰ Καρόλου Ἡγεμόνος Ἰταλικοῦ καὶ τοῦ Βασιλέως Ἀλαμανίας, παρέσχε δὲ καὶ τὰ εἰσοδήματα τῆς Ἐκκλησίας τοῖς συγγενέσιν αὐτοῦ ὅλα καθάπαξ. Κλήμης ὁ ἕκτος ἀνάστατον ἐποίησεν ὅλην τὴν Ἰταλίαν, ὥστε καὶ οἶκος οἴκῳ ἐμάχετο, καὶ κατεσφάζοντο καὶ οἱ γείτονες ὑπ' ἀλλήλων. Ἰννοκέντιος ὁ ἕκτος ἤυξησε τὰ τοιαῦτα κακὰ, ὥστε διαναστῆναι ὅλους καθάπαξ τοὺς Αὐθέντας τῆς Ἰταλίας μετὰ ὅπλων κατ' ἀλλήλων, ἐλάμβανε δὲ καὶ αὐτὸς χώρας καὶ πόλεις ἀλλοτρίας ὥσπερ τις λῃστὴς αἱμοβόρος διὰ τὴν φιλαργυρίαν καὶ φιλαρχίαν αὐτοῦ. Τὰ αὐτὰ καὶ πλείονα εἰργάσαντο Οὐρβανὸς ὁ πέμπτος καὶ Γρηγόριος ὁ ἑνδέκατος. Ποία δὲ γλῶσσα δύναται εἰπεῖν τὸν φονικὸν τρόπον Βονιφατίου τοῦ ἐνάτου, τοῦ διαιρήσαντος τοὺς Αὐθέντας τῆς Δύσεως, ὥσπερ ὁ Λύκος σχίζει τὸ ποίμνιον, καὶ κατεκόπτοντο ὑπ' ἀλλήλων λαοὶ, φυλαὶ καὶ γλῶσσαι, καὶ ἔτι τὰς ἁρπαγὰς καὶ ἀδικίας καὶ σιμωνίας αὐτοῦ, ἃς ἐποίει, ἵνα πλουτίσῃ τοὺς συγγενεῖς αὐτοῦ. Ὅσα εἰργάζετο εἰς τὴν Ἀσίαν εἰς τοὺς καιροὺς ἐκείνους ὁ Ντεμιρλέγγης, τοσαῦτα καὶ ἔτι τούτων πλείω ἐποίει εἰς τὴν Δύσιν ὁ Πάπας Βονιφάτιος. Τὶς ἐξείποι γηγενῶν τὰς ταραχὰς ἃς προὐξένησεν εἰς τὴν Ἰταλίαν Ἰννοκέντιος ὁ ἕβδομος; εἶτα εἰ τινὲς αὐτῷ ἔλεγον, τίνος ἕνεκεν τὰ τοιαῦτα γίνεσθαι βικάριε τοῦ δικαίου Χριστοῦ μακαριώτατε, ἔπεμπεν αὐτοὺς εἰς τὸν ἀνεψιὸν αὐτοῦ, καὶ ἐκεῖνος τινὰς μὲν ἐφόνευε, τινὰς δὲ ἐκρήμνιζεν ἀπὸ τῶν παραθύρων, ἄλλους δὲ ἀπέκτεινεν ἄλλοις βαρβαρικοῖς τρόποις. διαφθειρόμενος δὲ οὕτως ὁ λαὸς τῆς Ῥώμης, ἔκραξαν εἰς βοήθειαν αὐτῶν τὸν Ῥῆγα τῆς Ἀπουλίας, οὗ ἐλθόντος εἰς τὴν Ῥώμην, καὶ πολεμήσαντος μετὰ τῶν Στρατιωτῶν τοῦ βικαρίου τοῦ Χριστοῦ Ἰννοκεντίου, ἔρρευσε ποταμηδὸν τὸ χριστιανικὸν αἷμα, καὶ διώκουσι καὶ αὐτὸν τὸν Ἰννοκέντιον τὴν κεφαλὴν τῆς Ἐκκλησίας ὡς φονέα ἀπὸ τοῦ θρόνου τοῦ Πέτρου, ἀλλ' ἐκεῖνος ἐπανελθὼν βίᾳ, κατέφθειρε τοὺς Ῥωμάνους, ταὐτὸν εἰπεῖν κατέσφαξεν ὁ Ποιμὴν τὸ ποίμνιον. Εὐγένιος ὁ τέταρτος ἦν φιλάργυρος καὶ ἀκόλαστος, ζητῶν δὲ ὡς ἐδέλλα διψαλέα τοὺς θησαυροὺς τοῦ πρὸ αὐτοῦ Μαρτίνου, γέγονεν αἰτία ἵνα κράξωσιν οἱ βιαζόμενοι τὸν Ἡγεμόνα Κολώναν, οὗ συνάψαντος πόλεμον εἰς τὴν Ῥώμην μετὰ τῶν Στρατιωτῶν τοῦ Πάπα, ἐχύθη ὡς τὸ τοῦ κατακλυσμοῦ ὕδωρ τὸ χριστιανικὸν αἷμα, εἶτα εἰπόντων αὐτῷ τῶν ἐν Ῥώμῃ Χριστιανῶν, ὅτι ἔξωθεν λεηλατοῦνται ὑπὸ τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἔνδον εἰς τὴν Ῥώμην καταπατοῦνται ὑπὸ τῶν ἀνθρώπων αὐτοῦ, ἀπεκρίθη αὐτοῖς τῷ ἀναμαρτήτῳ αὐτοῦ στόματι, ὅτι ἡμεῖς εἰς τὴν Βενετίαν ζῶμεν χωρὶς ζώων καὶ ἀμπελοχωραφίων, ζῆτε οὖν καὶ ὑμεῖς οὕτως, ὅθεν ἐβιάσθησαν λαβεῖν τὰ ὅπλα, ὡς ἂν φονεύσωσιν αὐτὸν, φεύγοντα δὲ αὐτὸν, ἔφθασαν καὶ ὕβρισαν, καὶ ἐβλασφήμησαν, καὶ ἀνεθεμάτισαν, καὶ ἐλιθοβόλησαν, ἀλλὰ πάλιν ἔφυγεν αὐτοὺς, καὶ μεταχειρισθεὶς Βιτελέσκον τινὰ τύραννον, καὶ ἐπανελθὼν ἐταπείνωσεν αὐτοὺς, ἀποκτείνας πρῶτον τοὺς δημάρχους καὶ προέχοντας τῆς Ῥώμης. εἰς τοῦτο τὸ θηρίον ἀπῆλθον τυφλωθέντες οἱ Ἀνατολικοὶ, ὡς ἂν ποιήσωσιν ἕνωσιν Ἐκκλησιῶν μετὰ προφανοῦς τοῦ ποιμνίου φθορέως, καὶ μάλιστα ὑπὸ τῆς ἐν Βασιλείᾳ Συνόδου, ὡς εἴρηται, ἀφωρισμένου καὶ καθῃρημένου, καὶ ἴδε περὶ τούτων πολλοὺς καὶ τὸν Πλάτινα, εἰ καὶ ὁ σοφιστὴς Βίνιος μάτην σπουδάζει παρεξηγεῖσθαι τὸν Πλάτινα ἐν τοῖς πρὸς αὐτὸν σημειώσεσι. τοιούτους εὑρήσεις ὡς ἐπιτοπλεῖστον καὶ τοὺς μεταταῦτα Πάπας, οἷον ἦσαν καὶ ὅσους περιέχει καὶ ὁ παρὼν κατάλογος, ποιοῦντας τὰ ἔργα τῆς σαρκὸς, ἅτινα καταριθμεῖ ὁ Ἀπόστολος πρὸς Γαλάτας, κεφαλαίῳ πέμπτῳ.

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὅτι πολλοὶ τῶν Παπῶν καὶ εἰς τὰς ἐκλογὰς καὶ εἰς τὰς χειροτονίας αὐτῶν ἥμαρτον.

Ἐν ἔτει ἀπὸ Χριστοῦ διακοσιοστῷ πεντηκοστῷ τεταρτῷ γέγονεν Ἀντίπαπας Ναυᾶτος, ὁ χρηματίσας Αἱρετικὸς κατὰ Κορνηλίου, τόσον ὥστε ἐκ τούτου σχεδὸν ταραχθῆναι τὴν οἰκουμένην. Ἐν τῷ τριακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ φίληξ ὁ δεύτερος ὑπὸ Ἀκακίου Καισαρείας καὶ τῶν Ἀρειανῶν χειροτονηθεὶς Πάπας, ἐξέβαλε τὸν Λιβέριον παρανόμως, καὶ ἐξώρισεν αὐτὸν εἰς Βέρροιαν. Ἐν τῷ τριακοσιοστῷ ἑξηκοστῷ ἑβδόμῳ, Ἀντίπαπας ὁ Οὐρσῖνος κατὰ τοῦ ἁγίου Δαμάσου, καὶ πολλοὶ φόνοι καὶ ἄλλα κακὰ προεξενήθησαν εἰς τὸ σχίσμα. Ἐν τῷ τριακοσιοστῷ δεκάτῳ ἐνάτῳ ἔτει, ἐγένετο Ἀντίπαπας ὁ Εὐλάλιος καὶ Βονιφατίου, καὶ ἐξώρισε καὶ τοὺς δύο ὁ Βασιλεὺς Ὀνώριος ἀπὸ τῆς Ῥώμης, καὶ ὕστερον μετὰ ἑπτὰ μῆνας ἀποκατέστησε τὸν Βονιφάτιον, τὸν δὲ Εὐλάλιον ἀπέβαλεν. Ἐν τῷ τριακοσιοστῷ ἐννενηκοστῷ ἐνάτῳ, ὁ Λαυρέντιος κατὰ Συμμάχου, καὶ ὁποῖα σκάνδαλα μακρὰ τότε καὶ κακὰ ἠκολούθησαν, ἴδε ἀνωτέρω βιβλίου τεταρτοῦ κεφαλαίου δεκάτου τεταρτοῦ Παράγραφον τρίτον. Ἐν τῷ πεντακοσιοστῷ τριακοστῷ ἔτει σχίσμα ἕκτον, Ἀντίπαπας ὁ Διόσκορος κατὰ Βονιφατίου τοῦ δευτέρου. Ἐν τῷ πεντακοσιοστῷ τεσσαρακοστῷ ἔτει, Ἀντίπαπας ὁ Βιγίλιος κατὰ τοῦ ἱεροῦ Σιλβερίου. Ἐπὶ τοῦ Κοπρωνύμου σχισμάτων πολλῶν γενομένων ἕνεκεν τοῦ ποῖος γενέσθαι Πάπας, Κωνσταντῖνος ἀπὸ κοσμικὸς εὐθὺς ἐγένετο καὶ Ἱερεὺς καὶ Πάπας, ἐπιβάτης καὶ παράνομος, ὃν χειροτονοῦντος τοῦ Ἐπισκόπου Πραινέστου παρὰ Κανόνας, ἐξηράνθησαν αἱ χεῖρες αὐτοῦ ἐπὶ τῆς χειροτονίας, κατεδυνάστευσεν ὅμως τοῦ θρόνου χρόνον ἕνα, καὶ ὅσους ἐχειροτόνησεν, ὡς ἀνιέρους ἀνεχειροτόνησαν ἐν τῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ὀγδόῳ ἔτει, αὐτὸν δὲ ἐκάθηραν καὶ ἀνεθεμάτισαν. Ἐπὶ Μιχαὴλ τοῦ τραυλοῦ Περζιζῆνος Ἀντίπαπας. Ἐπὶ Μιχαὴλ καὶ Θεοδώρας, σχίσμα δέκατον, καὶ Ἀντίπαπας Ἀναστάσιος ἱερόσυλος καὶ κακότροπος ἄνθρωπος κατὰ τοῦ Λέοντος τοῦ τεταρτοῦ. Ἐν τῷ ὀκτακοσιοστῷ ἐννενηκοστῷ πρώτῳ ἔτει, Σέργιος Ἀντίπαπας κατὰ Φορμόσου μετὰ πανδείνων κακῶν. Ἐπὶ Νικηφόρου τοῦ Φωκᾶ, περίπου τὸ ἐννακοσιοστὸν ἑβδομηκοστὸν ἔτος Ἀντίπαπαι τρεῖς, Λέων, Βενέδικτος καὶ Ἰωάννης, ὁ δὲ Ἰωάννης ἦν ἀσελγέστατος καὶ ἔκδοτος ταῖς ἡδοναῖς καὶ τοῖς κυνηγεσίοις, ὅθεν συνήχθη Σύνοδος πάντων τῶν Ἐπισκόπων τῆς Ῥώμης κατὰ τοῦ κατηραμένου τούτου, καὶ τέλος πάντων, ἁλοὺς ἐπιμοιχείᾳ, ἐφονεύθη ὡς ἀσεβέστατος, εἶτα τὸν Λέοντα ἐψηφίσαντο οἱ Ῥωμᾶνοι, τὸν Βενέδικτον ὁ παπόστεπτος Αὐτοκράτωρ, καὶ ἠκολούθησαν φόνοι, ταραχαὶ, καὶ ἄλλα κακά. Σχίσμα δέκατον τρίτον ἐν τῷ ἔτει ἐννακοσιοστῷ ἐννενηκοστῷ ἕκτῳ Ἰωάννου Ἀντίπαπα κατὰ Γρηγορίου τοῦ πέμπτου, ὅτε τοῦτον τὸν Ἰωάννην ὁ λαὸς ἐξελέξατο, καὶ ὁ Κλῆρος ἐχειροτόνησεν, ὕστερον δὲ ἐτύφλωσαν αὐτὸν, καὶ ὑστέρησαν καὶ τῆς ζωῆς, καὶ μάλιστα μετὰ πολλῶν φόνων καὶ πανδείνων κακῶν τῶν ὑπ' Ὄθωνος τοῦ τρίτου Ῥηγὸς τῆς Γερμανίας. Ἐν τῷ χιλιοστῷ τριακοστῷ τεταρτῷ ἔτει, Ἀντίπαπαι τρεῖς, Σίλβεστρος, Ἰωάννης, καὶ Βενέδικτος, οὗτινος Βενεδίκτου διὰ τὴν ἄκραν παρανομίαν αὐτοῦ μετὰ τὸν θάνατον αὐτοῦ τὸ πρόσωπον τῆς θεωρίας αὐτοῦ μετεβλήθη εἰς πρόσωπον Θηρίου, ὁ δὲ Σίλβεστρος τεσσαράκοντα καὶ ἐννέα ἡμέρας διατελέσας Πάπας, ἐδιώχθη, τὰ αὐτὰ ἔπαθε προβληθεὶς παρανόμως καὶ ὁ Ἰωάννης. Ἐν τῷ χιλιοστῷ πεντηκοστῷ ἑβδόμῳ Ἀντίπαπαι, διὰ ἀργυρίων καὶ σιμωνιακῶν προβεβλημένοι, Γεράρδος καὶ Βενέδικτος μετὰ πολλῶν καὶ διαφόρων σκανδάλων τῶν Ῥωμαίων καὶ τῶν ἐπιτρόπων τοῦ Ῥηγὸς τῆς Γερμανίας. Ἀντίπαπαι Κάδορος καὶ ἀλέξανδρος δεύτερος, καὶ γίνονται πόλεμοι τῶν δύο μερῶν εἰς τὸ χρυσοῦν ὄρος, καὶ γίνονται καὶ φόνοι ἄμετροι τῶν Χριστιανῶν, καὶ πάλιν ἔρχεται ὁ Κάδορος μετὰ Στρατευμάτων, καὶ λεηλατεῖ τὴν Ῥώμην, καὶ προξενοῦνται τὰ πάνδεινα κακά. Ἐν τῷ χιλιοστῷ ἑβδομηκοστῷ τρίτῳ, Ἀντίπαπας Γιβέρτος ὁ Ῥαβέννης κατὰ Γρηγορίου τοῦ ἑβδόμου, καὶ συλλαμβάνεται τῇ ἑορτῇ τῆς Χριστοῦ γεννήσεως ὁ Γρηγόριος ὑπὸ Κινκίου τοῦ υἱοῦ Στεφάνου Ἐπάρχου τῆς Ῥώμης, ἐπιτροπῇ Ἐνρίκου τοῦ Ῥηγὸς τῆς Ἀλαμανίας, εἰς τὴν Λειτουργίαν, ὅτε ἐμέλιζε τὴν Ὄστιαν, ὃν καὶ δεσμεύσας ὁ Κίνκιος, ἔστειλεν ἔξω, καὶ ἀπέκλεισεν αὐτὸν εἰς ἕνα πύργον, τρέχει ὁ λαὸς τῆς Ῥώμης, ἐλευθεροῖ τὸν Πάπαν, κατασκάπτει τὸν πύργον, τέμνει τὰς ῥῖνας τῶν συγγενῶν τοῦ Κινκίου, εἶτα ἐγείρει ἄλλους πολλοὺς ὁ Γιβέρτος κατὰ τοῦ Γρηγορίου, καθαιρεῖ συνοδικῶς ὁ Γρηγόριος τὸν Γιβέρτον, πέμπει ὁ Ἐνρῖκος ἵνα διώξῃ τὸν Γρηγόριον, ἀφορίζει ὁ Γρηγόριος τὸν Ἐνρῖκον καὶ ἄλλους πολλοὺς, καὶ ἀποστερεῖ τὸν μὲν Ἐνρῖκον τῆς βασιλείας, τοὺς δὲ ἄλλους τῶν ἀξιωμάτων ὧν εἶχον, ἀκολουθοῦσι πόλεμοι ἰσχυροὶ καὶ συχνοὶ, βεβαιοῖ τὸν Λιβέρτον ὁ Ἐνρῖκος Πάπαν, καὶ ὀνομάζει αὐτὸν Κλήμεντα, ἔρχεται εἰς τὴν Ῥώμην ἵνα αὐτὸν ἐνθρονιάσῃ, σκυλεύει τὰς Ἐκκλησίας καὶ τὰ χωρία τῆς Ῥώμης, ἔρχεται Γβισκάρδος ὁ Δοὺξ τῆς Ἀπουλίας εἰς βοήθειαν τοῦ Γρηγορίου, ἀναχωρεῖ ὁ Ἐνρῖκος, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν Κλήμεντα, εἰσέρχεται ὁ Γβισκάρδος εἰς τὴν Ῥώμην καὶ κατακαίει αὐτὴν, ἵνα ὑποτάξῃ τοὺς ἐχθροὺς τοῦ Γρη-

γορίου.

γορίου, ἀναχωρεῖ τῆς Ῥώμης καὶ λαμβάνει καὶ τὸν Γρηγόριον ὁμοῦ, ὅτε καὶ ἐτελεύτησεν. Ἐν τῷ χιλιοστῷ ἑκατοστῷ ἔτει Ἀντίπαπαι Γιβέρτος καὶ Θεοδώρικος κατὰ Πασχάλη τοῦ δευτέρου, πέμπει τὰ Στρατεύματα αὐτοῦ ὁ Πασχάλης κατὰ τοῦ Γιβέρτου καὶ Θεοδωρίκου καί τινος ἑτέρου Μαγινούλφου, καὶ ἐνίκησεν αὐτοὺς, καὶ ἐπαίδευσεν αὐτοὺς μετὰ καὶ τῆς βοηθείας Ῥογερίου Κόμητος Ἰταλίας, ὅτε καὶ ὁ Ἀββᾶς Κολώνας πολλοῖς συμφωνήσας, ἐπολέμει τινὰ κάστρα τοῦ Πάπα, οὓς ἀντεπολέμησεν ὁ Πασχάλης μετὰ καὶ Καγετάνου Ἄρχοντος. Ἔρχεται Ἐνρῖκος ὁ Ῥὴξ τῆς Γερμανίας μετὰ τῶν Στρατευμάτων αὐτοῦ εἰς τὴν Ῥώμην, καὶ ἀπληκεύει εἰς τὸ χρυσοῦν ὄρος, εἰσέρχεται εἰς τὴν Ῥώμην καὶ ἀκουσίως τοῦ Πασχάλη, προπορευομένων Ἀρχόντων καὶ Ἀρχιερέων μετὰ λειψάνων καὶ θυμιαμάτων, προϋπαντᾶται ὑπὸ τοῦ Πάπα εἰς τὰς σκάλας τῆς Ἐκκλησίας τοῦ ἁγίου Πέτρου, ἵσταται εἰς τὸ δεξιὸν μέρος, εἶτα δεσμεῖ τὸν Πάπαν, καὶ τοὺς Καρδηνάλεις ἀπογυμνοῖ καὶ ἐξορίζει εἰς τὸ ὄρος τοῦ Σωκράτους, βιάζει αὐτοὺς καὶ ἐποίησαν πᾶν ὅπερ αὐτὸς ἐβούλετο. Σχίσμα δέκατον ἔνατον Πέτρος Ἀντίπαπας κατὰ Ἰννοκεντίου τοῦ δευτέρου, ἐν τῷ χιλιοστῷ ἑκατοστῷ τριακοστῷ ἔτει, ὅτε προβληθεὶς ὁ Πέτρος Πάπας, ἐξέδυσε καὶ ἥρπασε τοὺς θησαυροὺς τῶν Ἐκκλησιῶν καὶ Σταυροὺς καὶ Κορώνας καὶ ἄλλα τοῦ ἁγίου Πέτρου. Φεύγει ὁ Ἰννοκέντιος εἰς τὴν Φράντζαν, καθαιρεῖ συνοδικῶς τὸν Ἀντίπαπαν, ἔρχεται μετὰ Λοταρίου Ῥηγὸς τῆς Γερμανίας, καὶ μετὰ τῶν Στρατευμάτων αὐτοῦ εἰσέρχεται εἰς τὴν Ῥώμην, ὑποστρέψαντος δὲ τοῦ Ῥηγὸς εἰς Γερμανίαν, ἐπολέμει καὶ ἀφώριζεν ὁ Πέτρος τὸν Ἰννοκέντιον, καὶ ὁ Ἰννοκέντιος τὸν Πέτρον, ἐπανέρχεται ὁ Λοταρίος εἰς τὴν Ῥώμην καὶ οἱ Πισαῖοι μετὰ μεγάλου Στόλου ἵνα ἀποκαταστήσωσι τὸν Ἰννοκέντιον. Ἐν τῷ χιλιοστῷ ἑκατοστῷ ἑξηκοστῷ ἔτει Ἀντίπαπας Βίκτωρ πρὸς Ἀλέξανδρον τρίτον, καὶ προσκαλεῖ ὁ Ἀλέξανδρος τὸν Ῥῆγα Γερμανίας πρὸς βοήθειαν αὐτοῦ, κράζει ὅμως καὶ τοὺς δύο ἐκείνους ἵνα κριθῶσιν εἰς τὴν Σύνοδον αὐτοῦ, καταφρονεῖ ὁ Ἀλέξανδρος, ἀπέρχεται ὁ Βίκτωρ καὶ βεβαιοῦται ὑπὸ τῆς Συνόδου τοῦ Φριδερίκου Πάπας, ἀφορίζει αὐτὸν ὁ Ἀλέξανδρος, εἰρηνεύουσιν ὕστερον, καὶ ἴδε τὰ περὶ τούτων εἰς τὸ ὄγδοον κεφάλαιον τοῦ ὀγδόου βιβλίου. Ἐπὶ Ἀνδρονίκου τοῦ Παλαιολόγου Νικόλαος Ἀντίπαπας κατὰ Ἰωάννου εἰκοστοῦ πρώτου. Ἐπὶ Μανουὴλ τοῦ Παλαιολόγου ἐν τῷ χιλιοστῷ τριακοσιοστῷ ἑβδομηκοστῷ ὀγδόῳ ἔτει Κλήμης Ἀντίπαπας κατὰ Οὐρβανοῦ τοῦ ἕκτου, διαιρεθέντες γὰρ οἱ Καρδηνάλεις, καὶ βιαζόμενοι ὑπὸ τῶν Ῥωμάνων ὅπλοις, ἐψηφίσαντο τὸν Οὐρβανὸν, ὕστερον δὲ τὸ ἓν μέρος τῶν Καρδηνάλεων ἔφυγεν εἰς τὴν Ἀναγνίαν, καὶ ἐχειροτόνησαν τὸν Κλήμεντα, καὶ προὐξενήθη μεγάλη διχόνοια, κλινόντων τῶν Αὐθεντῶν τῶν Χριστιανῶν τῶν μὲν, εἰς τὸν Οὐρβανὸν, τῶν δὲ, εἰς τὸν Κλήμεντα, ἐγείρονται κατ' ἀλλήλων Οὔγγροι, Βενέτικοι, Κυπρίων ὁ Ῥὴξ, Γενοβέζοι, Φλωρεντῖνοι, Περῖνος ὁ Κώμης, καὶ ἄλλοι, καὶ μάχονται καὶ διὰ ξηρᾶς καὶ διὰ θαλάσσης, κράζει ἔπειτα ὁ Οὐρβανὸς τὸν Ῥῆγα Καρόλον, ἔρχεται, καὶ γίνονται φόνοι, λεηλατισμοὶ, ἁρπαγαὶ, καὶ ἄλλα πάνδεινα εἰς ὅλους χρόνους ἕνδεκα. Ἐπὶ τῆς ἐν Κωνσταντείᾳ Συνόδου Ἀντίπαπαι τρεῖς. Ἐπὶ Ἰωάννου τοῦ Παλαιολόγου Κλήμης Ἀντίπαπας κατὰ Μαρτίνου τοῦ πέμπτου, καὶ πάλιν πόλεμοι καὶ αἵματα καὶ ἄλλα κακά. Ἐπὶ τοῦ αὐτοῦ σχίσμα εἰκοστὸν ἕκτον Ἀντίπαπας Φίληξ κατὰ Εὐγενίου τοῦ τετάρτου, καὶ πάλιν φόνοι, αἰχμαλωσίαι, ἁρπαγαὶ, πόλεμοι, καὶ τὰ ὅμοια κακά. Τὰς σιμωνίας καὶ πονηρίας καὶ δόλους καὶ δωροληψίας καὶ πολέμους τοὺς συβεβηκότας εἰς τῶν μεταταῦτα Παπῶν τὰς χειροτονίας, ἄλλοι λεγέτωσαν, ἡμῖν γὰρ πρὸς τὸν σκοπὸν ἀρκεῖ τὰ ἐνταῦθα εἰρημένα.

ΚΕΦΑΛΑΙΟΝ Ις'.

Ὅτι καὶ περὶ τὴν ὀρθόδοξον πίστιν πολλοὶ τῶν Παπῶν ἥμαρτον, τινὲς δὲ καὶ Αἱρετικοὶ ἐγένοντο.

Ὁ Ζεφυρῖνος ἐν ἔτει ἀπὸ Χριστοῦ διακοσιοστῷ τρίτῳ ὑπέπεσε τῇ Αἱρέσει τοῦ Μοντανοῦ, καθὼς λέγει ὁ Τερτουλλιανὸς βιβλίῳ κατὰ Πραξέου, ὁ δὲ Μοντανὸς κατὰ τὸν μέγαν Βασίλειον ἐν τῷ δευτέρῳ κατ' Εὐνομίου, ἔλεγε ποίημα τοῦ Πατρὸς τὸν Υἱὸν, ὁ δὲ Βελλαρμῖνος ἔφη τὸν Τερτουλλιανὸν ψεύδεσθαι μοντανιστὴν ὄντα, ἐχρῆν ὅμως τὸν Βελλαρμῖνον ἀποδεῖξαι τὸ ψεύδεσθαι, καὶ μὴ καὶ τοῦτον ὡς καὶ τοὺς Πάπας ἀπὸ καθέδρας λαλεῖν. Ὁ Πάπας Μαρκελῖνος ἐχρημάτισεν Εἰδωλολάτρης, καὶ ἴδε βιβλίου πρώτου κεφάλαιον εἰκοστόν. Ὁ Λιβέριος μετὰ τὴν ἐξορίαν συνήνεσε τῇ Αἱρέσει τοῦ Ἀρείου, ὡς γράφει ὁ μέγας Ἀθανάσιος πρὸς Μοναχοὺς, καὶ ὁ Ἱερώνυμος ἐν τῷ χρονικῷ καὶ ἐν τῷ καταλόγῳ τῶν ἐκκλησιαστικῶν συγγραφέων, καὶ ὁ Δάμασος ἐν τῷ βίῳ Λιβερίου, καὶ ὁ Ἱλάριος ἐν τῷ κατὰ Κωνσταντίου, ἴδε καὶ βιβλίου δευτέρου κεφάλαιον ὄγδοον. Ὁ Ναυᾶτος κατὰ τὸν Ἱερώνυμον βιβλίῳ δευτέρῳ κατὰ Ῥουφίνου ἐφρόνει ἕνα Θεὸν τῶν Ἰουδαίων τὸν Πατέρα τοῦ Χριστοῦ, καὶ μὴ δύνασθαι τὸν Χριστὸν τῷ Πατρὶ παραβάλλεσθαι, μόνῳ ὄντι Θεῷ, ἠρνεῖτο δὲ καὶ τὴν μετάνοιαν, πρόδηλον δὲ, ὅτι ἦν Ἐπίσκοπος Ῥώμης Ὁ Ναυᾶτος. Ὁ δεύτερος Φίληξ Ἀρειανὸς ἐγένετο, καθὼς γράφει ὁ Ῥουφῖνος βιβλίῳ δεκάτῳ τῆς ἱστορίας κεφαλαίῳ εἰκοστῷ

εἰκοστῷ δευτέρῳ, μάλιστα ὁ Θεοδώριτος βιβλίῳ δευτέρῳ τῆς ἱστορίας κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ λέγει, ὅτι ἑκουσίως ὁ Φίληξ τῇ γνώμῃ τοῦ Ἀρείου συνῆσε, τὸ αὐτὸ λέγει καὶ ὁ Σωζόμενος βιβλίῳ τετάρτῳ, καὶ ὁ Ἱερώνυμος ἐν τῷ καταλόγῳ τῶν συγγραφέων ἐν τῷ Ἀκακίῳ, ἴδε καὶ ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον ὄγδοον. Ὁ Ἰννοκέντιος ἐπιστολῇ δευτέρᾳ κεφαλαίῳ δωδεκάτῳ διώρισε μὴ δέχεσθαι τὴν πόρνην μετανοοῦσαν, εἰ ζῇ ᾧ συνεπόρνευσεν, ἐν δὲ τῇ δεκάτῃ ὀγδόῃ ἐπιστολῇ πρὸς τὸν Ἀντιοχείας Ἀλέξανδρον, καλὸν εἶναι ἔφη καὶ τὸ βάπτισμα τῶν Ἀρειανῶν καὶ τὴν Ἱερωσύνην, εἰ καὶ μὴ δίδοται χάρις. τοῦτο δὲ παράλογόν ἐστιν, ἐπειδὴ πῶς ἐστὶ καλὸν τὸ βάπτισμα τῶν μὴ πιστευόντων τὸ Ὁμοούσιον ἐν τρισὶν ὑποστάσεσι; καὶ εἰ ἐστὶ τὸ βάπτισμα τῶν Ἀρειανῶν δεκτὸν καὶ ἡ Ἱερωσύνη, πῶς οὐ δίδοται ἡ χάρις τῆς σφραγῖδος; εἰ δὲ καὶ ὁ Βελλαρμῖνος συναγωνιζόμενος τῷ Ἰννοκεντίῳ φησὶ περὶ μὲν τοῦ πρώτου, ὅτι καλῶς λέγει ὁ Πάπας, ἐπειδὴ ἡμὴ βουλομένη πόρνη ἀποδιΐστασθαι τοῦ ἀνδρὸς ἕως οὗ ζῇ, οὐκ ἔχει ὀρθὴν μετάνοιαν, περὶ δὲ τοῦ δευτέρου, φησὶ λαμβάνειν τὸ Μυστήριον ἀληθῶς, ἀλλὰ μὴ λαμβάνειν τὴν χάριν, ὅμως σφάλλει ὁ σοφιστής, ἐπειδὴ οὐκ ἔφη ὁ Ἰννοκέντιος μεθ' οὗ ἁμαρτάνει, ἀλλὰ μεθ' οὗ ἥμαρτεν, ἔτι τοῦ πιστεύοντος Αἱρετικοῦ εἰς τὸ Ὁμοούσιον ἰσχύει τὸ βάπτισμα, ἡ δὲ Ἱερωσύνη πῶς δεκτή; οἱ γὰρ Ἀρειανοὶ οὐκ ἐδέχοντο τὴν μετουσίωσιν. Ὁ αὐτὸς, ὡς λέγει ὁ Αὐγουστῖνος βιβλίῳ πρώτῳ κατὰ Ἰουλιανοῦ κεφαλαίῳ δευτέρῳ, καὶ βιβλίῳ δευτέρῳ κατὰ τῶν δύο ἐπιστολῶν τοῦ Πελαγίου κεφαλαίῳ τεσσαρακοστῷ ἕκτῳ, ἐδογμάτιζε μὴ σώζεσθαι τὰ βρέφη τὰ μὴ κοινωνοῦντα τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου, καὶ λοιπὸν πῶς ἔχουσιν αὐτὸν οἱ Λατῖνοι ἀναμάρτητον, δογματίσαντα ἐναντία αὐτοῖς; Ὁ Σιρίκιος ἐξηγούμενος τὸ χωρίον τοῦ Παύλου, Οἱ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται, εἶπεν, ἐν σαρκὶ ὄντες εἰσὶν οἱ γαμοῦντες, καὶ οὕτως ὁ Πάπας ἐν τῷ θρόνῳ τοῦ Πέτρου καθήμενος, τὸν γάμον ἀρνεῖται, λέγων μὴ ἀρέσκειν Θεῷ τὸ Μυστήριον. Ὁ πρῶτος Λέων ὁ καὶ μέγας καλούμενος ἐπιστολῇ ἑβδομηκοστῇ ἐνάτῃ πρὸς τὸν Νικήταν ἔφη, Οὐ σφάλλουσιν αἱ γυναῖκες αἱ νομίζουσαι ἀποθανεῖν τοὺς ἐν ξενιτείᾳ ἀποδημήσαντας ἄνδρας αὐτῶν ἐὰν συναφθῶσιν ἑτέροις Νόμῳ γάμου. Ἀλλὰ ῥητέον, ὅτι δεῖ μάρτυρας ἀξιοπίστους μαρτυρῆσαι ὅτι τεθνήκασιν οἱ ἄνδρες αὐτῶν, καὶ εἶτα λαβεῖν αὐτὰς δευτέρους ἄνδρας, καὶ οὐ διὰ μόνης ἀκοῆς ὁμιλεῖν αὐτὰς δευτέροις γάμοις, οὕτω γὰρ ἕπεται πολλάκις γίνεσθαι μοιχείαν, καὶ ἴδε περὶ τούτου τοὺς Κανόνας τῆς ἐν Τρούλλῳ Συνόδου. Ὁ αὐτὸς κατὰ τὸν Βαρλέταν πάνυτοι τῷ Ἀρειανῶν ἐβοήθει δόγματι, ὡς μαρτυρεῖ ὁ Βαρλέτας, ᾧ συνᾴδουσι καὶ ἄλλοι πολλοί. καὶ ἐπιστολῇ πεντηκοστῇ πέμπτῃ πρὸς Ἀνατόλιον, καὶ πεντηκοστῇ τετάρτῃ πρὸς Μαρκιανὸν, καὶ πεντηκοστῇ πέμπτῃ πρὸς Πουλχερίαν, ἄβουλον καὶ τολμηρὰν ἀποκαλεῖ τὴν ἐν Χαλκηδόνι Σύνοδον, πρὸ τοῦ Ἀλεξανδρείας τάξασαν τὸν Κωνσταντινουπόλεως, πρόδηλον δὲ, ὅτι ἀσεβέστατόν ἐστι τὸ βλασφημεῖν τὰς οἰκουμενικὰς Συνόδους. Ὁ Αἱρετικὸς Εὐτυχὴς ἔλεγεν, ὅτι ἡ σὰρξ τοῦ Χριστοῦ μετὰ τὴν ἀνάστασιν μετεβλήθη εἰς Θεότητα, καθὼς ὁ φυσικὸς ἄρτος ἐν τῷ Μυστηρίῳ μεταβάλλεται εἰς Σῶμα τοῦ Χριστοῦ, ὁ δὲ Πάπας Γελάσιος φερόμενος κατ' ἐκείνου εἶπεν, ὅτι μένει ὁ φυσικὸς ἄρτος ἐν τῇ Εὐχαριστίᾳ, εἰ καὶ τὸ Γιεζουβιτάκιον ὁ Βελλαρμῖνος μὴ φέρων περὶ τῶν ἀρχαίων ἀρχαίους μάρτυρας, φιλεριστῶν λέγει, ὅτι ἐστὶ τὸ βιβλίον ἑτέρου τινὸς, Γενναδίου τυχὸν, ἢ Γελασίου τοῦ Καισαρέως. Ὁ αὐτὸς εἶπεν, Ἀνεύθυνος ἐστὶν ὁ μόνου θατέρου εἴδους κοινωνὸν ἐν τῷ Μυστηρίῳ, ὡς μαρτυρεῖ ὁ Γρατιανὸς διαιρέσει δευτέρᾳ, ὁ δὲ Βελλαρμῖνος φησὶν, ὅτι οὐ περὶ Ἱερέων διαλέγεται, ὅπερ ψεῦδος φανερόν ἐστιν. Ὁ δεύτερος Ἀναστάσιος συνῆσε τῇ Αἱρέσει τῶν Μονοφυσιτῶν, καὶ ἴδε ἀνωτέρω βιβλίου τετάτου κεφάλαιον ὕστατον, ἴδε περὶ τούτου καὶ τὸν Γρατιανὸν διαιρέσει δεκάτῃ, ὅτι ἦν καὶ Νεστοριανός. Γρηγόριος ὁ πρῶτος ἐξήμαρτε βιβλίῳ τρίτῳ ἐπιστολῇ εἰκοστῇ ἕκτῃ πρὸς Ἰωάννην Ἐπίσκοπον, συνεχώρησε γὰρ ἵνα χρίωσιν οἱ Ἱερεῖς τῷ ἁγίῳ Μύρῳ, ὅπερ Ἀδριανὸς ὁ ἕκτος ἄρθρῳ ὑστάτῳ περὶ χρίσματος αἱρετικὸν νομίζει, καὶ διατοῦτο ἔφη, ὅτι ὁ Πάπας ὅτε διορίζει μόνος καὶ ἄνευ Συνόδου περὶ πίστεως, ἐνδέχεται ἁμαρτάνειν περὶ τὴν πίστιν, τὸ αὐτὸ λέγει καὶ ὁ ἀπὸ Παρισίου Γέρσων, καὶ δὴ καὶ ὁ Ἀλφόνσος βιβλίῳ πρώτῳ κατὰ Αἱρέσεων κεφαλαίῳ δευτέρῳ, ἴδε καὶ ἀνωτέρω περὶ τοῦ Ἀναστασίου τούτου καὶ τοῦ Κελεστίνου τρίτου βιβλίου ἕκτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον ὕστατον. Μαρτῖνος ὁ πρῶτος, καίτοι καλῶς καὶ συμφώνως τῷ μεγάλῳ Βασιλείῳ καὶ τοῖς ἐγκρίτοις τῶν ἁγίων πατέρων εἶπεν, ὅτι δηλαδὴ οἱ Ἱερεῖς θανάσιμα ἁμαρτήσαντες καὶ μετανοήσαντες, δέχονται εἰς μετάνοιαν, οὐ δύνανται ὅμως ἔχειν πάλιν τὸν ἀξίωμα τῆς Ἱερωσύνης, ἀλλὰ τοῦτο ἡ τολμηρὰ ἐν Τριδέντῳ Σύνοδος τῷ ἀναθέματι καθυποβαλοῦσα, συνανεθεμάτισε καὶ τὸν Πάπαν Μαρτῖνον. Γρηγόριος ὁ τρίτος εἶπεν ἐν τῇ πρὸς Βονιφάτιον ἐπιστολῇ, Δύναται ὁ ἀνὴρ, οὔσης τῆς γυναικὸς αὐτοῦ ἀσθενοῦς, διαζυγῆναι αὐτῆς καὶ λαβεῖν ἄλλην, ἀλλ' ὁ Βελλαρμῖνος καὶ Λατῖνοι αἰσχυνόμενοι τὴν φανερὰν ἁμαρτίαν τοῦ Πάπα ἀπὸ καθέδρας, κατακαλύψαι βούλονται τὸ μὴ καλυπτόμενον, ὅθεν λέγουσιν, ὅτι κατὰ ἄγνοιαν ἥμαρτεν ὁ Γρηγόριος, καθὰ λέγουσι καὶ περὶ τοῦ Λιβερίου ὅτι τῇ βίᾳ τοῦ Κωνσταντίου παρετράπη εἰς τὸν ἀρειανισμὸν, καὶ ὅμως φρεναπατῶσιν ἑαυτοὺς, καθότι καὶ ὁ ἀγνοίᾳ καὶ βίᾳ ἁμαρτήσας, ἁμαρτωλὸς καὶ ἔνοχός ἐστι. Τὸ θηρίον τὸ ἀνήμερον ὁ πρῶτος αἴτιος πάντων τῶν ἐν τῇ Ἀνατολῇ καὶ Δύσει κακῶν Νικόλαος ὁ πρῶτος τὸ γινόμενον βάπτισμα ἐν μόνῳ τῷ ὀνόματι Χριστοῦ, ἀληθὲς εἶναι βάπτισμα λέγει, καὶ ὅμως ἐν τῇ αὐτῇ διαιρέσει μετὰ πάσης εὐαγγελικῆς καὶ ἐκκλησιαστικῆς ἀληθείας Πελάγιος καὶ Ζαχαρίας οἱ Πάπαι οὐκ ἰσχύει λέγουσι τὸ τοιοῦτον βάπτισμα. διχογνωμονοῦσιν ἄρα καὶ

οἱ

οἱ Πάπαι καὶ διαφέρονται ἐν τοῖς περὶ πίστεως, εἰ δὲ καὶ ὁ Βελλαρμῖνος λέγει σφαλῆναι τὸν Νικόλαον ὡς μερικὸν Διδάσκαλον, ἀλλὰ καὶ οἱ Πατριάρχαι καὶ πᾶς Χριστιανὸς καὶ πᾶς ἄνθρωπος οὐ σφάλλουσιν ὡς Πατριάρχαι καὶ Χριστιανοὶ καὶ ἄνθρωποι, ἀλλὰ καθὸ παρατετραμμένοι καὶ παρὰ φύσιν, ὁ γὰρ ἄνθρωπος φύσει φιλεῖ τὴν δικαιοσύνην, καὶ παρὰ φύσιν ἡ ἀδικία, φύσει γὰρ ὁ ἄνθρωπος ἐνεργεῖ τὸ καλὸν, ἐπειδὴ ἐκτίσθη κατὰ τὸν Ἀπόστολον ἐπ' ἔργοις ἀγαθοῖς, ὅταν δὲ παρομοιωθῇ τοῖς ἀνοήτοις κτήνεσιν, ἐργάζεται τὸ κακόν. Ἰωάννης εἰκοστὸς δεύτερος ἐδόξαζε μὴ δύνασθαι τὰς τῶν μακαρίων ψυχὰς τῷ Θεῷ ἐνατενίζειν πρὸ τῆς κοινῆς κρίσεως, πρὸ δὲ τριῶν ἡμερῶν τῆς ἰδίας τελευτῆς κατὰ τὸν Βιλαῦον Ἰωάννην μεταγνοὺς, ἀπολαύειν εἶπε καὶ πρὸ τῆς κοινῆς κρίσεως ταύτας τῆς τοῦ Θεοῦ λαμπρότητος, ἀντέτεινον δ' αὐτοῦ τῇ προτέρᾳ γνώμῃ ὅ,τε Ῥὴξ τῆς Γαλλίας Φίλιππος καὶ οἱ Καρδηνάλεις, ὁ δὲ ἔλεγεν, ἀμείνω εἶναι τὴν δόξαν αὐτοῦ, εἰ μὴ ταύτῃ ἀντικειμένη δόξα ὑπὸ τῆς Ἐκκλησίας διορισθείη, ὅπερ ἐστὶ, μόνῃ τῇ Συνόδῳ τὸ ἀναμάρτητον δεδωκέναι. προσέταττε δὲ οὗτος τοῖς ἐν τῇ Γαλλίᾳ πείθεσθαι τῷ δόγματι αὐτοῦ, πάντως δὲ οὐκ ἔπραττεν ὡς μερικὸς Διδάσκαλος, ἀλλὰ καθὸ Πάπας ἀπὸ καθέδρας, ὅθεν ἐλέγχει αὐτὸν ὁ Ἀδριανὸς ἐν τῷ περὶ τοῦ Μύρου ζητήματι, ἀλλὰ δὴ καὶ ὁ Βελλαρμῖνος ἀπωσάμενος ὀλίγον τὶ τὴν μοχθηρίαν αὐτοῦ, ἐφιλαλήθευσεν εἰπὼν, ὅτι ἀπέστη ὁ Πάπας τῆς ἀληθείας, καθότι οὐδεὶς διορισμὸς περὶ τῆς τοιαύτης δόξης παρὰ τῆς Ἐκκλησίας ἐγένετο. ἀρέσκειμοι τόδε, λέγει Γεώργιος ὁ Κορέσσιος, ἐπειδὴ τῇ Ἐκκλησίᾳ καὶ οὐ τῷ Πάπᾳ διορίζειν τὰ περὶ πίστεως ἀπονενέμηται. Ὁ τρίτος Ἰννοκέντιος ἔλεγεν, Ἀπὸ μηδενὸς λόγου, ὧν εἴρηκεν ὁ Κύριος, τὸ Μυστήριον τῆς Εὐχαριστίας γίνεται, ὅπερ ἐστὶ κατὰ τοὺς Λατίνους βλάσφημον δόγμα. Ὁ ὄγδοος Ἰννοκέντιος ἔλεγε, καὶ ἄνευ οἴνου δυνατὸν γίνεσθαι τὸ Μυστήριον τῆς Εὐχαριστίας, καθὼς μαρτυρεῖ Ῥαφαὴλ Βολτερανὸς βιβλίῳ ἑβδόμῳ τῆς Γεωγραφίας, ᾧ καλῶς ποιήσασα ἀντέστη ἡ ἐν Τριδέντῳ Σύνοδος. Τὸν τρίτον Κελεστῖνον (ἐπιτηρητέον) ὁ Ἀλφόνσος Νδεκάστρο Αἱρετικὸν καλεῖ, λέγοντα δύνασθαι ἐν τῷ γάμῳ γίνεσθαι διαζύγιον, καὶ λῆψιν ἑτέρας γυναικὸς, εἰ ἡ προτέρα γυνὴ Αἱρετικὴ εἴη, ὁ δὲ τρίτος Ἰννοκέντιος τὸ ἐναντίον λέγει, ὁ δὲ Βελλαρμῖνος ὡς μερικοὺς Διδασκάλους καὶ μὴ ἀπὸ καθέδρας τοῦτο λέγειν ὑποτίθεται, ἁμαρτάνει δὲ ὁ Ἰννοκέντιος, ἐπειδὴ ἡ ἕκτη Σύνοδος ἐν τοῖς Κανόσι τὴν αἱρετικὴν συζυγίαν διαλύει, καὶ γὰρ οὐκ ἔστιν ὁ τοιοῦτος γάμος ἐν Χριστῷ κατὰ τὸν Ἀπόστολον, ἐπειδὴ ὁ Αἱρετικὸς οὐκ ἔστι Χριστιανὸς, ἔστι δὲ θαῦμα τὸ ἐν τῇ καθέδρᾳ τὸν νοῦν τοῦ Πάπα μεταβάλλεσθαι. ὁ τρίτος οὗτος Ἰννοκέντιος ἔτι ἔλεγε, Τὸν Νόμον τὸν ἀρχαῖον μὴ διαλυθῆναι, κατὰ τοῦ Πέτρου κεφαλαίῳ δεκάτῳ πέμπτῳ τῶν πράξεων, καὶ τοῦ Θεολόγου, λέγοντος, Τὰ ἀρχαῖα παρῆλθε, συμφώνως τῷ Κυρίῳ, εἰπόντι ἐπὶ τοῦ Σταυροῦ, Τετέλεσται. ὁ δὲ Βελλαρμῖνος συσκιάσαι τὸ ἁμάρτημα τοῦ Πάπα σπουδάζων, φησὶ, Τηρεῖσθαι τὸν Νόμον ἐκεῖ, καθὼς οἱ τύποι ἐκεῖ ἦσαν σχήματα τοῦ νέου Νόμου, ἀλλ' ὄντως παρελθουσῶν τῶν σκιῶν, καὶ τῆς ἀληθείας ἐπιστάσης, οὐκ ἔτι τηρεῖσθαι τὰ ἀρχαῖα. Ὁ ἕκτος Νικόλαος ἔλεγεν, ὅτι ὁ Χριστὸς ἐφύλαξε τὴν ἐσχάτην πενίαν, ὁ δὲ εἰκοστὸς δεύτερος Ἰωάννης τὴν δόξαν ταύτην αἱρετικὴν καλεῖ, ὡς ἐρουμὲν μεταταῦτα, ὁ δὲ μοχθηρὸς, ἤτοι ὁ Βελλαρμῖνος λέγει, Ἀμείνω εἶναι τὴν γνώμην τοῦ Νικολάου, μηδένα ὅμως ἀπὸ καθέδρας διαλέγεσθαι, ὅπερ ταὐτόν ἐστιν εἰπεῖν, Ὁ Πάπας τὸν Πάπαν ἐπὶ Αἱρέσει καταδικάζει. Καὶ, εἰ πειθαρχεῖς τῷ Πάπᾳ, οὐ πειθαρχήσεις τῷ Πάπᾳ. Ὁ ἕκτος Στέφανος ἔλεγε, μὴ ἁγιάζειν καθ' ἑαυτὸ τὸ Μυστήριον, ἀλλὰ κατὰ τὴν εὐζωΐαν τοῦ λειτουργοῦντος, τούτῳ συνῆσε καὶ ὁ τρίτος Σέργιος κατὰ τὸν Βελαρμῖνον. Ὁ τρίτος Ἀλέξανδρος ἐν τοῖς περὶ τῶν διαθηκῶν, τοὺς πλείοσι τῶν τριῶν μαρτυριῶν πιστουμένους τὰς διαθήκας ἀφορίζει. Ὁ μέγας Γρηγόριος Πάπας ὤν, ἐν μὲν τῷ τετάρτῳ τῶν διαλόγων, τὸ πῦρ ᾧ τιμωροῦνται αἱ ψυχαὶ ἔνυλον εἶναι καὶ σωματικὸν διδάσκει, ἐν δὲ τοῖς Ἠθικοῖς βιβλίῳ ἑκκαιδεκάτῳ κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ τὸ ἐναντίον φησὶ, καὶ βιβλίῳ τρίτῳ τῶν ἐπιστολῶν κεφαλαίῳ ἕκτῳ ἐπιτρέπει καὶ τοῖς Πρεσβυτέροις τὸ χρίειν, ἐν δὲ τῇ ἐνάτῃ ἐπιστολῇ τοῦ αὐτοῦ τοὐναντίον διδάσκεται, ἄρα καὶ οὗτος ὁ μέγας καὶ ἅγιος ἥμαρτεν, ὅθεν καὶ ἡ πρώτη Οἰκουμενικὴ τῷ Παφνουτίῳ οὐ τῷ Ῥώμης περὶ τοῦ γάμου τῶν Ἱερέων ἐπείσθη. πρόσθες, ὅτι ὁ Κλήμης Πάπας ὢν καὶ τοῦ Πέτρου γνωστὸς καὶ διάδοχος βιβλίῳ τρίτῳ τῶν Διαταγῶν κεφαλαίῳ δευτέρῳ τὴν τετραγαμίαν πορνείαν καλεῖ, ὅπερ ἀποποιεῖται ἡ Ῥωμαϊκὴ Ἐκκλησία. Ὁ δὲ Πάπας Εὐγένιος πράξει τριακοστῇ τετάρτῃ τῆς ἐν Βασιλείᾳ Συνόδου ὡς Αἱρετικὸς ἐκρίθη, καὶ τῆς Ἀρχιερωσύνης ἀπεγυμνώθη, ὅθεν καὶ διατοῦτο οὐκ ἦν ἔννομος ἡ ἐν Φλωρεντείᾳ Σύνοδος διὰ τὴν ὑπεροψίαν τῆς Αἱρέσεως τοῦ Εὐγενίου. ἴσον δέ ἐστι τὸ ψάμμον μετρεῖν, ἢ ἀστέρας, χοάς τε θαλάσσης τῷ τοὺς τῆς ἀληθείας παρασυρέντας τῶν Παπῶν καταλέγειν βούλεσθαι, τομῶς γὰρ ὥσπερ τις πτηνὸς ἀέρα τέμνοιμι, καὶ καθάπερ Λύδιον ἅρμα πρὸς διήγησιν ἐλαύνοιμι, πάντας τοὺς τοιούτους καταριθμῶν. ἴδε καὶ τὸ τοῦ Πλάτινα ἱστορικὸν σύνταγμα ἐπιμελῶς, πλῆρες ὂν τῶν παμμιάρων βίων τῶν Παπῶν τῆς Ῥώμης, ὅθεν ὁ ἱερὸς Αὐγουστῖνος βεβαιῶν ἐκεῖνο τὸ κυριακὸν, τὸν παρακούοντα τῆς Ἐκκλησίας ἐθνικὸν εἶναι καὶ τελώνην, γράφων καὶ Κρεσκωνίου γραμματικοῦ βιβλίῳ πρώτῳ κεφαλαίῳ τριακοστῷ τρίτῳ, καὶ ἐπιστολῇ ἑκατοστῇ δεκάτῃ ὀγδόῃ, κατέχομεν φησὶ τὴν ἀλήθειαν τὴν τῇ καθολικῇ Ἐκκλησίᾳ ἀρέσκουσαν, καὶ ἀλλαχοῦ τὸ κῦρος τῆς ἀληθείας τῇ Οἰκουμενικῇ Συνόδῳ ἀπένειμεν, ἴδε ἀνωτέρω περὶ Βιγιλίου βιβλίον πέμπτον, περὶ Ὀνωρίου βιβλίον ἕκτον, περὶ Φορμόσου

καὶ

καὶ Στεφάνου καὶ Σεργίου βιβλίον ἕβδομον, καὶ περὶ Δαμάσου τοῦ δευτέρου κεφάλαιον δέκατον τέταρτον. Καὶ λοιπὸν ὅτι οὐκ ἔστι δυνατὸν γενέσθαι Αἱρετικὸν Πάπαν, καὶ ἀκολούθως οὐκ ἔστι δυνατὸν Πάπαν ποιῆσαι ἀπόφασιν κατὰ τῆς πίστεως, εἰ καὶ Αἱρετικός ἐστι, τὰ τοιαῦτα προφανεῖς εἰσι φλυαρίαι. ἔστι δὲ ἡ ἀλήθεια, ὅτι Πάπαι ἐγένοντο κακίστης πολιτείας, καὶ ἥμαρτον καὶ εἰς τὴν πίστιν, καὶ τὸ δὴ χείριστον, ὅτι καὶ Αἱρετικοὶ ἐγένοντο πολλοὶ, κατὰ δὲ τοὺς ἁγίους πατέρας ὁ Αἱρετικὸς οὐκ ἔστι Χριστιανὸς, καὶ ἑπομένως οὔτε μέρος οὔτε κεφαλή ἐστιν, ἀλλὰ πάντῃ καὶ πάντως ἀλλότριος τῆς εἰς Θεὸν εὐσεβείας, καὶ ἀκολούθως καὶ τῆς καθολικῆς Ἐκκλησίας. ἴδε ἀνωτέρω βιβλίου ἐνάτου κεφαλαίου δευτέρου Παράγραφον ὄγδοον.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τοῦ τί ἐστι τοῦτο, τὸ ἀπὸ καθέδρας ἀποφαινόμενον τὸν Πάπαν, μὴ σφάλλειν, καὶ ὅτι ψευδός ἐστι, καὶ ὧν διαιροῦσιν οἱ παπισταὶ θεσπισμάτων τοῦ Πάπα καὶ ὑποδιαιροῦσιν εἰς ἀνήκοντα τῇ πίστει καὶ μὴ, καὶ εἰς τὰ ἐκ δικαιώματος καὶ ἐκ γεγονότος, τὸν Πάπαν ἢ ὡς ἄνθρωπον, ἢ ὡς μερικὸν Διδάσκαλον, ἢ ὡς Ἀρχιερέα, καὶ ἔτι ἐξ ἀπροσεξίας, ἢ πείσματος διορίζειν λέγοντες, καὶ περὶ τῆς ἐν τούτοις διαφωνίας τῶν παπιστῶν, καὶ τοῦ διὰ κηρύκων καὶ δρομέων καὶ ἀναστηλώσεως διαλαλουμένου παπικοῦ ὅρου.

Ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίῳ πεντεκαιδεκάτῳ εἴπομεν τίνα λέγουσιν οἱ σοφισταὶ, ὑποτιθέμενοι τὸν Πάπαν τῆς Ῥώμης μὴ ἁμαρτάνειν περὶ τὴν πίστιν, νῦν δὲ βουλόμενοι σαφηνίσαι, τί ἐστι τοῦτο τὸ μὴ ἁμαρτάνειν περὶ τὴν πίστιν, λέγομεν, Τινὲς αὐτῶν διαιροῦσι τὰ τοῦ Πάπα θεσπίσματα καὶ λέγουσι, πρῶτον, ὅτι τὰ μὲν αὐτῶν ἀνήκει εἰς τὴν πίστιν, τὰ δὲ οὐκ ἀνήκει, καὶ τὰ μὲν μὴ ἀνήκοντα εἰσὶν, οἷον Φιλοσοφία, Μαθηματικὰ, Ἱστορικὰ, καὶ ἁπλῶς ἡ ἔξω παίδευσις, καὶ περὶ τῶν τοιούτων ὁ Πάπας ἀποφαινόμενος, δύναται σφάλλειν, τῶν δὲ ἀνηκόντων εἰς τὴν πίστιν, ἢ εἰς τὴν θρησκείαν, τὰ μὲν, εἰσὶν ἐκ δικαιώματος, τὰ δὲ, ἐκ γεγονότος, καὶ τῶν γεγονότων τὰ μὲν, εἰσὶν ἀποκεκαλυμμένα, τὰ δὲ, ἀναποκάλυπτα. δεύτερον, ὁ Πάπας διορίζων, κατὰ τρεῖς τρόπους θεωρεῖται, πρῶτον, ὡς ἄνθρωπος, δεύτερον, ὡς μερικός τις Διδάσκαλος, καὶ τρίτον ὡς Ἀρχιερεὺς, κατὰ τὴν διαφορὰν τῶν πραγμάτων δηλονότι, καὶ γὰρ ἢ μόνος περὶ ὁτουοῦν δοξάζει, ἢ ἄλλως ἁπλῶς διδάσκει, ἢ τέως μετὰ δεσποτείας καὶ ἐξουσίας διορίζει. τρίτον, τὰ περὶ πίστεως διχῶς διαιροῦσιν, ἢ εἰς σφάλμα γινόμενον ἐξ ἁπλῆς πλάνης, ἢ ἀμαθίας, ἢ ἀπροσεξίας, ἢ εἰς σφάλμα προερχόμενον ἀπὸ πείσματος καὶ ἰσχυρογνωμοσύνης, καὶ τοῦτό ἐστιν Αἵρεσις. τούτων τῶν τριῶν οὕτως ὑποτιθεμένων, λέγουσιν ὅτι ὁ Πάπας ὡς ἄνθρωπος καὶ ὡς ἁπλοῦς Διδάσκαλος δύναται ἁμαρτῆσαι (εἰ καὶ πεσεῖν εἰς Αἵρεσιν καὶ ὡς ἁπλοῦς Διδάσκαλος ἀρνοῦνται ὅ,τε Πίγιος καὶ ὁ Βελλαρμῖνος) ὡς δὲ Ἀρχιερεὺς διορίζων ἐκ καθέδρας, οὐ δύναται σφάλλειν. ταῦτα οἱ παπισταί. Ἰστέον ὅμως, ὅτι κατὰ ταύτης τῆς δόξης ἔγραψαν πολλοὶ καὶ ἐπίσημοι ἄνδρες, κατὰ τὸ παρὸν δὲ οἱ πλείονες ὑπερασπίζονται αὐτῆς, καὶ ἔστι σχεδὸν τοῦτο κοινὴ δόξα τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, ὅτι ὁ Πάπας δηλαδὴ ὡς Ἀρχιερεὺς καὶ ὡς ἀπὸ καθέδρας διορίζων, οὐ δύναται σφάλλειν, ἀλλ' ὅτε θέλουσιν ἑρμηνεῦσαι, τί ἐστι τοῦτο τὸ ὡς Ἀρχιερεὺς ἐκ καθέδρας διορίζειν, διαφέρουσιν ἀλλήλων καὶ κατ' ἀλλήλων, καὶ δὴ λέγουσι τινὲς μὲν, ὅτι τότε ὁ Πάπας λέγεται διορίζειν ἐκ καθέδρας, ὅτε τὴν καθολικὴν Ἐκκλησίαν διδάσκει, καὶ οὐ διδάσκει μόνον, ἀλλὰ καὶ ἐντέλλεται αὐτῇ πιστεύειν ὡς οὗτος διδάσκει, ἣν διδασκαλίαν καὶ ἐπιταγὴν βεβαιοῖ καὶ διά τινος Κανόνος, ἤτουν διορισμοῦ, ὡς εἰσὶν ἐκεῖνα, ᾗ δηλονότι ἀποφαινόμενος λέγει, ὅτι διορίζει μετὰ καὶ βουλῆς τῶν ἀδελφῶν, ἤτοι τῶν Καρδηνάλεων, καὶ ἴδε ἀνωτέρω κεφαλαίου δωδεκάτου Παράγραφον ἕκτον, ἢ δίδωσιν εἴδησιν, ὅτι τὸ τάδε διορισθὲν, ἐκ πίστεώς ἐστιν, ἢ τὴν ἀντικειμένην γνώμην τοῦ διορισμοῦ αὐτοῦ αἱρετικὴν εἶναι κρίνει, ἢ τοὺς ἄλλως δοξάζοντας τῷ ἀναθέματι καθυποβάλλει, ἢ καὶ τὰ τέσσαρα ταῦτα ἐν τῇ ἀποφάσει αὐτοῦ ἐντίθησι. Τινὲς δὲ λέγουσιν, ὅτι χρεία ἐστὶν, ἵνα ὁ Πάπας συμβουλεύηται μετὰ Συνόδου τινὸς ἢ καθολικῆς, ἢ μερικῆς, καθὼς τὸ πρᾶγμα ἐπιζητεῖ, καὶ καθὼς δόξει αὐτῷ. ἄλλοι δέ φασιν, ὅτι δέον ἐστὶν ἐξετάζεσθαι τὴν προκειμένην ὑπόθεσιν ἐπιμελῶς, καὶ τοὺς ἐξετάζοντας, χρῆσθαι πάντα τὰ ἀναγκαῖα μέσα πρὸς εὕρεσιν τῆς ἀληθείας, καὶ εἶναι πασίδηλα τὰ ἐπιχειρισθέντα τοιαῦτα μέσα, ὁποῖα εἰσίν. ἄλλοι πάλιν λέγουσιν, ὅτι ἀναγκαῖον ἐστὶν, ἵνα ὁ τοιοῦτος ἐκφωνηθεὶς, ἤτοι διορισθεὶς ὅρος κηρυχθῇ εἰς τοὺς συνειθισμένους τόπους διὰ δρομέων, καὶ τεθῇ ἐπὶ τῶν θυρῶν τῆς ἀποστολικῆς Καγκελλαρίας καὶ τῆς βασιλικῆς Ἐκκλησίας τοῦ ἁγίου Πέτρου μετὰ ἀποφάσεως, καὶ μείνῃ ἐκεῖ ἐν τοσούτῳ καιρῷ, καὶ πρὸ τοῦ διωρισμένου καιροῦ μηδεὶς δύνηται αὐτὸν ἐκεῖθεν ἐκβαλεῖν. τελευταῖον, ἄλλοι λέγουσιν, ὅτι τὸ πρῶτον, ἤτοι τὸ, μετὰ καὶ βουλῆς τῶν ἀδελφῶν, μὴ εἶναι ἀναγκαῖον, τὴν μέντοι ἐπιμέλειαν ἐν τῇ ἐξετάσει πάντες συμφωνοῦσιν εἶναι ἀναγκαίαν, ὡσαύτως καὶ τὸ κηρύττεσθαι διὰ δρομέων, καὶ τὸ τίθεσθαι ἐν τῇ Καγκελλαρίᾳ καὶ ἐν τῇ Ἐκκλησίᾳ πάντες θέλουσιν ὡς ἀναγκαῖον.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι οἱ παπισαὶ Δαφόρως ἐξηγέμβοι τὸ, ὡς Ἀρχιερεὺς ὁ Πάπας ἀπὸ καθέδρας διορίζει, καὶ ταὶς ἀσφαλεῖς καὶ ἀποφαλεῖς αὐτῦ ἀποφάσεις καθ' ἃς μυθολογῦσι διαιρέσεις Δακρίνεσθαι λέγοντες, δείκνυνται συν-
5 ταῦθα μάταια, ψεῦδη, βλάσφημα, χισματικὰ καὶ αἱρετικὰ εἰσάγοντες εἰς τὴν Ἐκκλησίαν.

Τῶν παπισῶν ἄτω Δαφόρως ἐξηγεμβίων τὸ, ὡς Ἀρχιερεὺς ὁ Πάπας καὶ ἀπὸ καθέδρας διορίζει, καὶ κατὰ τάτας τὰς τρόπας λεγόντων Δακρίνεσθαι ταὶς ἀποφάσεις τῦ Πάπα ταίς τε ἀσφαλεῖς ἅσας καὶ ταὶς ἀκ ἀσφαλεῖς, εἰκὴ σκ τῶν αὐτέρω ἐρημβίων δείκνυται ταῦτα μάταια καὶ ψεῦδη, ὁμως ῥητέον κἀν-
10 ταῦθα πρῶτον, ὅτι ἀδεὶς ἀπὸ τᾶ καιρᾶ τῶν ἁγίων Ἀποστόλων ἕως τῶν πατέρων ἡμῶν εἶπε ταῦτα ἐν τῇ Ἐκκλησίᾳ, ὅτε ἐρρέθησαν ἐν ταῖς κοιναῖς συνελεύσεσι καὶ οἰκεμβρικαῖς Συνόδοις, ὅτε ἐν ταῖς μερικαῖς, ἢ καὶ τῶν ἐκκλησιαστικῶν ἢς ἰσοδικῶν, ἢ τῶν ἁγίων πατέρων ἐσημείωσέ τι τοιῦτον, ἀκ οἶδεν ἡ ἁγία Ἐκ-
15 κλησία, ὅτε οἱ ἅγιοι πατέρες ὅτι ἡ κρίσις τᾶ Πάπα, ἐκ καθέδρας διορίζοντος, ἐστὶν ἀσφαλεστέρα τῆς κρίσεως ἣν ἐκτίθεται ὡς μερικὸς καὶ κατ' ἰδίαν Διδάσκαλος, ἀκ οἶδε τί ἐστι τᾶτο τὸ ἐκ καθέδρας διορίζειν, καὶ τίνα τὰ ἐκτὸς τῦν τάτω καταρτισμῦν ἐπιζητέμβρα, ἐξίσω εἶχον τὰ τῶν Παπῶν θεσπίσματα
20 ὡς καὶ πάντες ἑτέρω Ἐπισκόπω, θελονότι τὸ συνδέχεσθαι ταῦτα ἀσφαλῆ εἶναι ἢ ἐπισφαλῆ, ἢ μάτην κοπιῶσιν οἱ σοφοὶ τῶν παπισῶν, τὰ μὴ συνδεχόμβρα, μᾶλλον δὲ τὰ ἀδύνατα εἶναι ὡς ἀναγκαῖα ὑποτιθέμβροι, ἐπάτωσαν οἱ αὐτοῖ, ἐν ποίᾳ γραφῇ, ἢ ἐν ποίᾳ Συνόδῳ, ἢ ἐν τίνι ἰσοδικῷ, ἢ ἐν ποίῳ συγγράμματι τῶν Ἀνατολικῶν καὶ Δυτικῶν πατέρων ἐρρέθη τὸ τοιῦτον ποτέ; ναὶ, ὅτι μᾶλλον ὁ Λιβέριος καὶ Βιγίλιος καὶ Ὀνώριος καὶ ἄλλοι Πάπαι τῆς Ῥώμης διώρισαν ἀπὸ καθέδρας αἱρετικά τινα καὶ λίαν ἀσεβέσατα, λέγω δὴ τῶν πατέρων ταῦτα, καὶ ἐν ταῖς Οἰκεμβρικαῖς Συνόδοις ἐγένοντο δῆλα, καὶ τέως κατεκρίθησαν, ὡς ἐπομβρῶς ἐν ποδοῖς αὐτέρω, πᾶ δὲ γέγραπται τὸ τὸν Πάπαν ἐκ καθέδρας διορίζοντα μὴ σφάλλειν; ἐπάτωσαν οἱ ματαιόφρονες παπισαὶ, καὶ τὰ γαστέμαργα μεζαβιτακια, ἢ τάχα ἐρῶσιν, ὅτι ἡ ἀρχαία Ἐκκλησία ταῦτα ἐκ οἶδε, καὶ ἄτω μαρτυρήσουσι μόνοι, ὅτι καινὰ εἰσήγαγον ἐν τῇ Ἐκκλησίᾳ καὶ βλάσφημα; καὶ εἰσὶ Σχισματικοὶ καὶ Αἱρετικοί.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι τὸ διορίζειν μετὰ βελῆς τῶν τῆς Ῥώμης Κληρικῶν τὸν Πάπαν ὡς Ἐθνάρχαν, καὶ δεσμεῖς καὶ κήρυκας τὰ αὐτᾶ θεσπίσματα Δαλαλεῦντας ἔχειν, καὶ ὑπὸ τῶν τῆς Καγκελλαρίας πυλῶν ταὶς ὡς ἀπὸ καθέδρας ἀποφάσεις αὐτᾶ τιθέναι, δείκνυται ἀναντιῤῥήτως μυθάρια, ὑστερογενῆ, ἐπείσακτα, ἀλλόκοτα, καὶ ὑπὸ κακοδαιμόνων αὐθρωπαρίων ἐξευρημένα.

Εἰπάτωσαν, ποῖος ἀρχαῖος Πάπας ἐδήλωσεν ὅτι διορίζει μετὰ βελῆς τῶν ἀδελφῶν; ναὶ, ὅτι μετὰ τῆς δυτικῆς Συνόδου ἔγραψεν ὁ Κελεστῖνος τῷ ἐπισολῇ εἰς τὴν τρίτην Οἰκεμβρικὴν, καὶ μετὰ τῆς αὐτῆς Συνόδου ἔγραψεν ὁ Λέων τῷ ἐγκυκλιον, καὶ ἔπεμψεν αὐτὴν εἰς τὴν Ἀναπολῖν, δῆλόν ἐστι, καὶ ἴδε ἀνωτέρω τὰς τόπας, τὸ δὲ μετὰ βελῆς τῶν Κληρικῶν τῆς Ῥώμης ὡς Ἐθνάρχη τινὰ διορίζειν τὸν Πάπαν, νεογενές ἐστι, καὶ ἐκ τᾶ Διαβόλα ἐστί. ποῖος Πάπας τῆς Ῥώμης ἀρχαῖος ἔσχε κήρυκας καὶ δεσμεῖς, οἵτινες τρέχοντες εἰς τὸ τῆς Φλώρας πεδίον, ἐκήρυττον τὰ αὐτᾶ θεσπίσματα; ποῖος Πάπας ἀρχαῖος τὰς ἀποφάσεις καὶ βάλλας αὐτᾶ ἐτίθει ὑπὸ τῶν πυλῶν τῆς Καγκελλαρίας καὶ τῆς Ἐκκλησίας; ναὶ, ὅτι ὁ Πάπας Λέων ἔγραψεν ἐν κωνσίσι τὸ Σύμβολον τῆς πίσεως, καὶ ἔθετο αὐτὸ ἐν τῇ Ἐκκλησίᾳ, γεάφουσι πολλοὶ, καὶ ἴδε καὶ αὐωτέρω βιβλίᾳ ἑβδόμᾳ κεφαλαίᾳ ἑβδόμᾳ Παράγραφον πέμπτον, τὰς δὲ ταχυδρόμους καὶ τὸ κήρυγμα καὶ τὴν ὑπὸ τῆς Καγκελλαρίας καὶ Ἐκκλησίας τῶν ἀποφάσεων ἔνθεσιν οἱ νεοφανεῖς ἀπεγύμνησαν παπισαί. Οἱ Πάπαι Κελεστῖνος, Λέων, Ἀγάθων καὶ Ἀδριανὸς ἔπεμψαν τὰς ἀποφάσεις αὐτῶν εἰς τὴν Ἀναπολῖν τοῖς συναδελφοῖς αὐτῶν καὶ συνεπισκόποις συνοδικῶς, ἵνα σὺν αὐτοῖς ὑποτιθέμβροι τὴν ἀσφάλειαν τῶν κεκριμβρίων, καὶ τὰς τελείας λύσεις τῶν ἀμφιβολιῶν τῇ κρίσει τῶν Οἰκεμβρικῶν Συνόδων, αἷς καὶ γνωμβρίας ἐσεκνίζοντο ὡς τὰ θεῖα Εὐαγγέλια, ἰδέτω ὁ Φιλομαθὴς καὶ τὴν πρὸς Εὐτύχιον Βιγιλίου ἐπισολὴν, καὶ τὴν τᾶ Πάπα Μαρτίνου Συνόδον, καὶ τὴν πρὸς τὸν Αὐτοκράτορα Κωνσαντῖνον τὸν Πωγωνᾶτον ἐπισολὴν τᾶ Πάπα Λέοντος, καὶ γνώσεται ὅτι ἐδέποτε ἔπεμψαν τὰ θεσπίσματα αὐτῶν ἀπὸ καθέδρας διορισθέντα, ἅτινα ἐδέχθησαν ὡς ἁμαρτήτα, ἄκυρα καὶ ἀδοκίμαστα ὑπὸ τῶν ἀδελφῶν, ὅτε μᾶλλον εἶπον οἱ ἀρχαῖοι Πάπαι τὸν διορισμὸν αὐτῶν εἶναι Ὅρον πίσεως, ὑπὸ πάντων ἀνεξετάστως δεχόμβρον, καὶ τὰς μὴ ἀνεξετάστως καὶ ἀδοκιμάστως αὐτὸν δεχθέντας Αἱρετικὰς εἶναι, τᾶτο ἐκ εἶπον, ὅτε εἰς νᾶν αὐτῶν ἦλθον, ἢ τάχα ῥητέον καὶ τᾶτο ἐνταῦθα, ὅτι ἐπειδὴ τῶν Παπῶν τὰ θεσπίσματα ἐ περιεῖχον τὸ καὶ μετὰ βελῆς τῶν ἀδελφῶν, ἐκ ἐκηρύχθησαν ἀφ' δεσμέων, ἐκ ἐβλήθησαν ὑπὸ τῶν πυλῶν τῆς Καγκελλαρίας καὶ Ἐκκλησίας, πῶς ἐδέχθησαν ὡς ἀπὸ καθέδρας τᾶ Ῥώμης πεποιημβρία; ἢ τάχα ῥητέον πάλιν, ὅτι ὡς ταῦτα τᾶ παπισμᾶ τὰ μυθάρια

μυθάρια καὶ ἡ θεολογία καὶ ἡ ἰδικὴ διδασκαλία καὶ τῶν Μυστηρίων ἡ ἐναλλαγὴ οὐκ ἀρχαῖα, οὐκ ἀποστολικὰ, οὐ πατρικὰ καὶ προπατορικά εἰσιν, ἀλλ' ὑστερογενῆ, ἐπείσακτα, ἀλλόκοτα, καὶ διόλου τῆς χριστιανικῆς διδασκαλίας ἀπόβλητα, καὶ ὑπὸ κακοδαιμόνων ἀνθρωπαρίων ἀθέως ἐξευρημένα.

ΑΠΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς διὰ πυρὸς καὶ ὕδατος δοκιμαζούσης τὴν ἀλήθειαν ἢ τὸ ψεῦδος τῶν κρυφίων ἐγκλημάτων τελετῆς, ἣν ἐπεκύρωσεν Εὐγένιος δεύτερος, καὶ ἐκώλυσεν ὀμνύειν ἐκκλησιαστικῶς, διορισάμενος κατὰ τῆς γραφῆς ὡς Εἰδωλολάτρης.

Ἐπειδὴ συνήθεια ἦν παρὰ Λογγιβάρδοις καὶ τισι παρ' αὐτοῖς βορείοις λαοῖς δοκιμάζειν ἢ διὰ πυρὸς, ἢ διὰ ψυχροῦ ὕδατος τὴν ἀλήθειαν ἢ τὸ ψεῦδος τῶν κρυφίων ἐγκλημάτων, ὁ νομιζόμενος γὰρ πταίστης, ἐπελαμβάνετο ἢ τινὸς πεπυρακτωμένου σιδήρου, ἢ ἔπιπτεν ἔσω ὕδατος ψυχροῦ, ταύτην τὴν δεισιδαιμονίαν ἐβεβαίωσεν ἡ ἐν Τριβουρίᾳ Σύνοδος Κανόνι εἰκοστῷ δευτέρῳ, καὶ ἐπεκύρωσεν ὁ Πάπας Εὐγένιος ὁ δεύτερος ἐν ἔτει ὀκτακοσιοστῷ εἰκοστῷ τετάρτῳ, ὡς φαίνεται εἰς τὰ Συναξάρια τοῦ Μαβιλλωνίου Τόμῳ πρώτῳ, ἐν ᾧ ἐν παλαιῷ τινὶ σχεδίῳ φέρεται ταῦτα ἐν τῇ ἀρχῇ. Τελετὴ τῆς δοκιμῆς διὰ ψυχροῦ ὕδατος, ἣν ἐδίδαξεν Εὐγένιος ὁ Πάπας, ἐν δὲ τῷ τέλει λέγει, Τὴν κρίσιν ταύτην ἐποίησεν ὁ παντοδύναμος Κύριος, καὶ διὰ Δόμνου Εὐγενίου ἀποστολικοῦ ἐφανερώθη, ἵνα πάντες οἱ Ἐπίσκοποι, Ἡγούμενοι, Κόμητες, καὶ πάντες οἱ Χριστιανοὶ ἐν πάσῃ τῇ οἰκουμένῃ τηρεῖν αὐτὴν σπουδάσωσι, παρὰ πολῶν γὰρ ἐδοκιμάσθη, καὶ ἀληθὴς εὑρέθη, ἐδιδάχθη δὲ, ἵνα μηδενὶ ᾖ ἐξὸν ἐπὶ τῆς ἱερᾶς τραπέζης ἐπιτιθέναι τὰς χεῖρας, ἢ ἐπὶ τῶν λειψάνων τῶν ἁγίων σωμάτων τοῦ ὀμνύειν. σημειοῖ δὲ ὁ αὐτὸς Μαβιλλώνιος, ὅτι ὁ Ῥὴξ Λοδοβῖκος ἐν ἔτει ὀκτακοσιοστῷ εἰκοστῷ ὀγδόῳ ἐν τῷ Καπιτουλαρίῳ τῶν Ἀκονισγμάτων, τμήματι ἑβδόμῳ κεφαλαίῳ δωδεκάτῳ, ἀπηγόρευσε τὴν δοκιμὴν ταύτην ὡς τολμηρὰν καὶ δεισιδαίμονα. καὶ σημείωσαι δύο τινὰ, πρῶτον, ὅτι ὡς Λέων ὁ Ἁρμένιος ὤμνυε κατὰ τὴν συνήθειαν τῶν Εἰδωλολατρῶν εἰς τὸν Κύνα, καὶ ἄλλους ἑλληνικοὺς ὅρκους κατὰ τῆς γραφῆς, ἐντελλομένης, Ἀποδώσεις τῷ Κυρίῳ τοὺς ὅρκους σου, οὕτως ὁ Πάπας Εὐγένιος ἐκώλυε τοὺς ἱεροὺς ὅρκους καὶ ἀντεισήγαγε τὴν δεισιδαιμονίαν καὶ ἐθνικὴν δοκιμήν. δεύτερον, ὅτι ὁ Πάπας ὁρίζων ὡς Ἀρχιερεὺς, οὐμόνον εἰς τὴν πίστιν καὶ εἰς τὰ ἤθη ἐνδέχεται σφάλλειν, ἀλλὰ καὶ εἰς πάντα Νόμον, ὃν διατάττει ἀπὸ καθέδρας, ἐνδέχεται ἁμαρτάνειν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι Νικολάου τετάρτου Ὅρῳ τὴν τῶν Φραντζεσκάνων ἀκτημοσύνην κυρώσαντος, καὶ Ἰωάννου εἰκοστοῦ δευτέρου τοῦτον τὸν Ὅρον ἀθετήσαντος, καὶ πολλοὺς τῶν Φρατόρων δι' αὐτὸν κατακαύσαντος, δείκνυνται οἱ Πάπαι ἐν πολλοῖς ἁμαρτάνοντες καὶ ἀλλήλους καταβάλλοντες.

Οἱ Φραντζεσκάνοι Φράροι ἐποίησαν ἐπαγγελίαν ἄκρας ἀκτημοσύνης, ὥστε αὐτοὺς αὐτῶν τῶν ἐδωδίμων μόνον ἔχειν τὴν χρῆσιν, ἀλλ' οὐχὶ καὶ τὴν δεσποτείαν. τοῦτο εἰ καλῶς γέγονε, συνέβησαν διαλέξεις καὶ ἔριδες. ὁ Πάπας δὲ Νικόλαος ὁ τέταρτος, ὃς ἐπατριάρχευσεν ἐν ἔτει χιλιοστῷ διακοσιοστῷ ὀγδοηκοστῷ ὀγδόῳ, σπουδὴν θέμενος ἵνα παύσῃ τὰς λογομαχίας, ἐξέθετο ἐκεῖνον τὸν πολυθρύλλητον Ὅρον, οὗ ἡ ἀρχὴ, ΕΞΗΛΘΕΝ Ὁ ΣΠΕΙΡΩΝ. ἐπήνει δὲ ἐν αὐτῷ διὰ πολλῶν τὴν ἄκραν ἀκτημοσύνην τῶν Φρατόρων, προσφέρει δὲ πρὸς τοῖς ἄλλοις καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παράδειγμα καὶ τοὺς ἁγίους Ἀποστόλους, ὡς μὴ ἔχοντάς τι οὔτε κατ' ἰδίαν, οὔτε κοινῶς, ἐξεφώνησε δὲ καὶ ἐπιτίμιον, ἀφορίζων τοὺς τολμήσοντας παραβλάψαι, ἢ ἀνατρέψαι τὸν Ὅρον. ἀλλ' ὁ Πάπας Ἰωάννης εἰκοστὸς δεύτερος συνέθετο ἕτερον Ὅρον, ἀναιρῶν τοῦτον τὸν τοῦ Νικολάου, μάλιστα μαχόμενος ἐκείνῳ τῷ, ὅτι ὁ Κύριος ὧν εἶχεν ὀλίγων τινῶν, μόνον εἶχε τὴν χρῆσιν, ἀλλ' οὐχὶ τὴν δεσποτείαν, ἀπεδείκνυε δὲ καὶ διαφόροις χρήσεσιν εὐαγγελικαῖς αἱρετικὸν τὸν Ὅρον τοῦ Νικολάου, καὶ αὐτὸν τὸν Νικόλαον ἔψεγε διὰ πολλῶν, ἀντεῖπε δὲ τούτῳ τῷ Ὅρῳ τοῦ Ἰωάννου Μιχαὴλ Γενεράλης τῶν Φραντζεσκάνων, καὶ Γουλίελμος Ὄκαν, ὃν καὶ αἱρετικὸν εἶπον, καὶ πολλοὶ Φράτορες διὰ τὸ ἕπεσθαι τούτοις εἰς φυλακὴν ἐβλήθησαν, καὶ πυρὶ παρεδόθησαν διώκοντος τοῦ Ἰωάννου, ἀλλὰ δὴ καὶ ἐν τῇ ἐν Ῥώμῃ Συνόδῳ, ἣν θεσπίσματι ἰδίῳ ἤθροισεν ὁ Λοδοβῖκος κατὰ τούτου τοῦ Πάπα Ἰωάννου, μίαν αἰτίαν τῆς καθαιρέσεως αὐτοῦ εἶπε τὸν Ὅρον ὃν ἐξέθετο κατὰ τοῦ Ὅρου τοῦ Νικολάου, ὡς διηγεῖται ὁ Βζόβιος ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ εἰκοστῷ ὀγδόῳ, οὐ μὴν ἀλλὰ καὶ ὁ Πλάτινας καὶ ὁ Βίνιος μαρτυροῦσι ταῦτα τοῦ Ἰωάννου ἐν τῇ ζωῇ αὐτοῦ. καὶ σημείωσαι δύο τινὰ, ὅτι οἱ Πάπαι ὡς Ἀρχιερεῖς καὶ ἐκ καθέδρας καὶ μετὰ βουλῆς τῶν ἀδελφῶν ὁρίζοντες, ἁμαρτάνουσιν οὐμόνον εἰς τὴν πίστιν καὶ εἰς τοὺς Νόμους, ἀλλὰ καὶ εἰς τὰ ἤθη. δεύτερον, ὅτι ὁ Πάπας Πάπαν καταβάλλει καὶ ψέγει, καὶ ὡς Αἱρετικὸν ἀποκηρύττει.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἐκ τῆς τοῦ Βονιφατίου Γερμανίας ἀποστόλου ἐπιστολῆς πρὸς Δωροβένην Ἰθοθάλμου, δείκνυνται αἱ ἀπὸ καθέδρας ἀποφάσεις τοῦ Πάπα ἐπταισμέναι.

Οἱ Ἀρχιερεῖς ὥρισαν μὴ δύνασθαι τὸν Σύντεκον λαβεῖν τὴν Συντέκνισσαν αὐτοῦ, ἀλλὰ Βονιφάτιος Γερμανίας Ἀπόστολος ἔγραψε καὶ ἐζήτει συμβουλὴν παρὰ τοῦ Δωροβένης Ἀρχιεπισκόπου Ἰθοθάλμου, καὶ τοῦ Ἀββᾶ Δουδδῶνος, εἰ ἄρα οἱ Ἀρχιερεῖς τῆς Ῥώμης περὶ τούτου καλῶς διώρισαν, καὶ δείκνυσι τὰς ἐπιστολὰς ταύτας ὁ Βαρώνιος ἐν ἔτει ἑπτακοσιοστῷ τριακοστῷ τετάρτῳ, ὅπου ὁ Βονιφάτιος παρακαλεῖ τοὺς εἰρημένους ἵνα διδάξωσιν αὐτὸν, εἴπερ ἡ διδασκαλία αὕτη τοῦ Πάπα εὑρίσκεται εἰς τοὺς Ὅρους καὶ Κανόνας τῶν καθολικῶν πατέρων, ἢ εἰς τὴν θείαν γραφὴν, ἵνα πληροφορηθῇ, καὶ οὕτω παύσῃ τοῦ ζητεῖν. καὶ σημείωσαι ὅτι τὰς ἀπὸ καθέδρας τῶν Ῥωμάνων Ἀρχιερέων ἀποφάσεις ἐνόμιζεν ὁ Βονιφάτιος δύνασθαι ἐπταισμένως διορισθῆναι, καὶ ἀκολούθως τὸν Πάπαν ἁμαρτῆσαι.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ.

Ὅτι ἐκ τῆς ἀποκρίσεως Καρόλου φαλακροῦ τοῦ Ῥηγὸς πρὸς τὸν Πάπαν Ἀδριανὸν, δείκνυται ψευδέστατον τὸ ἀπὸ καθέδρα ἀποφαινόμενον τὸν Πάπαν μὴ σφάλλειν.

Ὁ Ῥὴξ Κάρολος ὁ φαλακρὸς ἔγραψε πρὸς τὸν Πάπαν Ἀδριανὸν, ὅτι ἡ παρακίνησις ἐκείνη δι' ἧς προτρέπεται αὐτὸν δέχεσθαι μετὰ ταπεινῆς γνώμης πάντα τὰ ἀπὸ τῆς ἀποστολικῆς καθέδρας διοριζόμενα, ἐναντία ἐστὶ τῇ εὐαγγελικῇ ἀληθείᾳ καὶ τοῖς Ὅροις τῶν ἁγίων πατέρων, καθότι ἐγεννήθη ἀπὸ τοῦ Ἅδου καὶ τοῦ Ταρτάρου, καὶ πάντας τοὺς ἀφορισμοὺς οὓς πέμψοι ἐξ ἰδίου ὀνόματος καὶ ἐκ τῆς ἐξουσίας μόνης τοῦ Ῥωμαϊκοῦ θρόνου, οὐ φοβεῖται, ἐναντίους γινώσκων τῇ ὁδῷ τῶν ἱερῶν γραφῶν καὶ τοῖς Νόμοις καὶ ταῖς Διαταγαῖς τῶν πατέρων. ναὶ, δέχεται μὲν, καὶ μάλιστα ἀσμένως πάντα Ὅρον τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, σύμφωνον ὅμως ὄντα τοῖς ὀρθοδόξοις δόγμασι τῶν ἁγίων πατέρων τῶν θερμῶν ἐξηγητῶν τῶν ἁγίων γραφῶν, ἄλλως δὲ παρ' οὑτινοσοῦν συντεθειμένον, ἢ πεπλασμένον, ἐλέγχει καὶ ἀπορρίπτει. ἐν τούτοις σημείωσαι πρῶτον κατὰ τῶν νέων Αἱρετικῶν, ὅτι ἐν τοῖς Χριστιανοῖς τὰ πίστεως ἄξια εἰσὶν οὐμόνον ἐκεῖνα ἅπερ διδάσκει ἡ θεία γραφὴ, ἀλλὰ καὶ ἐκεῖνα ἅπερ οἱ ἐκκλησιαστικοὶ Νόμοι καὶ Διαταγαὶ τῶν κοινῶν ἁγίων πατέρων κρίνουσιν ἀναγκαῖα καὶ διορίζουσι. δεύτερον, ὅτι ὅσα ὁ Πάπας διορίζει σύμφωνα ταῖς γραφαῖς καὶ τοῖς Ὅροις καὶ ταῖς Διαταγαῖς τῶν ἁγίων πατέρων, εἰσὶν ἐν τῇ Ἐκκλησίᾳ δεκτὰ, ὅσα δὲ ἀσύμφωνα, ἐλεγκτέα καὶ ἀπορρίπτέα, κἂν ἀπὸ χρυσοπάστου καὶ λιθοκολλήτου καὶ ἐπηρμένης καθέδρας διορίζωνται. ψευδέστατον ἄρα τὸ τῶν Λατίνων λογίδιον τὸ, ὅτι ὁ Πάπας τῆς πρεσβυτέρας Ῥώμης ἀπὸ καθέδρας ἀποφαινόμενος οὐ σφάλλει, ἐπειδὴ ἀποδέδεικται σαφέστατα ὅτι σφάλλει περὶ τὰ ἤθη, περὶ τὴν πολιτείαν καὶ περὶ τὴν πίστιν καὶ ὡς μερικὸς Διδάσκαλος καὶ ὡς Πάπας ἀπὸ καθέδρας ἀποφαινόμενος.

Καὶ τοὔνατον δὲ ὧδε λῆξε βιβλίον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΑΝΕΠΙΣΤ. ΒΙΒΛΙΟΘΗΚΗ

ΔΟΣΙΘΕΟΥ

ΠΑΤΡΙΑΡΧΟΥΙΕΡΟΣΟΛΥΜΟΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ.

ΒΙΒΛΙΟΝ Ι'. ΚΕΦΑ'ΛΑΙΟΝ Α'.

Περὶ τῆς πρὸς Κάρολον Φράντζας Ῥῆγα ἀποκρίσεως τοῦ Ἀδριανοῦ Πάπα ὑπὲρ τῆς ἑβδόμης Οἰκουμενικῆς Συνόδου, ὅτι καλῶς δι' Υἱοῦ, καὶ μὴ ἐκ τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα εἶπε, καὶ περὶ τῆς ἀποβολῆς τῶν Καρόλου Λεγάτων τὴν προσθήκην αἰτησάντων ὑπὸ Λέοντος τρίτου, τοῦ καὶ τὸ τῆς δευτέρας Συνόδου Σύμβολον ἀσπίσιν ἐγχαράξαντος, καὶ περὶ τῆς ἀγωνισαμένης ἐπὶ Φωτίου Συνόδου κατὰ τῶν ἐν Βουλγαρίᾳ τὴν προσθήκην διδασκόντων, καὶ τὸ ἅγιον Σύμβολον ἀκαινοτόμητον μένειν διορισαμένης, καὶ πόσαι Σύνοδοι ἐγένοντο μετὰ τὸ σχίσμα κατὰ Λατίνων.

Μετὰ τὴν ἑβδόμην Οἰκουμενικὴν Σύνοδον ὁ Ῥὴξ τῆς Φράντζας Κάρολος ὁ καλούμενος μέγας ἔγραψε πρὸς τὸν Πάπαν τῆς Ῥώμης Ἀδριανὸν, μεμφόμενος τὴν ἑβδόμην Σύνοδον, εἰποῦσαν ὅτι ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ Υἱοῦ, καὶ οὐκ εἰποῦσαν ἐκ τοῦ Υἱοῦ. ὁ δὲ Πάπας ἀπεκρίθη αὐτῷ ὅτι τοῦτο εἶπεν ἡ Σύνοδος καλῶς, ὡς εἴρηται ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παραγράφῳ ἐσχάτῳ. τὸν δὲ Πάπαν Λέοντα τὸν τρίτον τὸν διάδοχον τοῦ Ἀδριανοῦ παρεκάλουν οἱ Λεγᾶτοι τοῦ Καρόλου ἵνα βάλλῃ εἰς τὸ Σύμβολον τὴν καὶ ἐκ τοῦ Υἱοῦ προσθήκην, ὁ δὲ ἀπέβαλεν αὐτοὺς, καὶ ἵνα μή τις τολμήσῃ καὶ βάλλῃ τὴν τοιαύτην προσθήκην, ἔγραψεν εἰς τὰς ἀσπίδας τὸ Σύμβολον τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου, καὶ ἔβαλεν αὐτὰς εἰς τὸν Ναὸν τοῦ ἁγίου Πέτρου ἢ Παύλου, καὶ ἴδε ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου ἑβδόμου Παράγραφον πέμπτον. Περὶ δὲ τὸ ὀκτακοσιοστὸν ἑξηκοστὸν ἔτος ἠκούσθη ὅτι τινὲς Λατῖνοι Ἱερεῖς ἐδίδασκον εἰς τὴν Βουλγαρίαν τὸ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐταράχθη ἡ Ἀνατολὴ ἀκούσασα τὸ ἄνομον πρόσρημα, ὅθεν ὁ Φώτιος συνοδικῶς ἠγωνίσθη κατὰ τῆς καινοτομίας. Ἐν τῷ ὀκτακοσιοστῷ ἑβδομηκοστῷ ἐνάτῳ ἔτει ἐπὶ Βασιλείου τοῦ Μακεδόνος καὶ τοῦ Πάπα Ἰωάννου καὶ Φωτίου Πατριάρχου ἐγένετο οἰκουμενικὴ Σύνοδος εἰς Κωνσταντινούπολιν, διορίσασα μένειν διόλου ἀκαινοτόμητον τὸ τῆς δευτέρας Συνόδου Σύμβολον. Ἐπὶ Βασιλείου τοῦ πορφυρογεννήτου καὶ Σεργίου Πατριάρχου Κωνσταντινουπόλεως ἐγένετο εἰς Κωνσταντινούπολιν Τοπικὴ Σύνοδος κατὰ τοῦ Πάπα τῆς Ῥώμης, προσθεμένου εἰς τὸ Σύμβολον τὸ ἐκ τοῦ Υἱοῦ, ὅτε καὶ ἀπὸ τῶν Διπτύχων ἐξέβαλον αὐτόν. Ἐπὶ Κωνσταντίνου τοῦ Μονομάχου ἐγένετο τρίτη Σύνοδος εἰς Κωνσταντινούπολιν, καὶ ἐκάλεσε τὸν Πάπαν Λέοντα τὸν ἔνατον εἰς κρίσιν καὶ ἀπολογίαν, οὗ μὴ ἐλθόντος, ἀπεδιώχθησαν οἱ Ῥωμαῖοι τοῦ σώματος τῆς Ἐκκλησίας. Ἐπὶ τῶν Βασιλέων Ἀλεξίου, Ἰωάννου καὶ Μανουὴλ τῶν Κομνηνῶν ἐγένοντο Σύνοδοι ἐν Κωνσταντινουπόλει, καὶ ἀνεθεμάτισαν τὰς καινοτομίας τῶν Λατίνων. Ἐπὶ τῆς Βασιλείας τῶν Ῥωμαίων εἰς Νίκαιαν ἐγένοντο διάφοροι Σύνοδοι, καὶ κατεκρίθησαν οἱ Λατῖνοι καὶ αἱ καινοτομίαι αὐτῶν. Ἐπὶ τοῦ δευτέρου Ἀνδρονίκου τοῦ Παλαιολόγου ἐν ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἐγένετο Σύνοδος ἐν Κωνσταντινουπόλει, κατακρίνασα τὴν ἐν Λουγδούνῳ Σύνοδον τὴν βεβαιώσασαν τὴν προσθήκην, οὐ μὴν ἀλλὰ καὶ ἄλλοτε ἐκρίθησαν καὶ κατεκρίθησαν οἱ Ῥωμαῖοι ὑπὸ τῶν Ἀνατολικῶν, ὡς εἴρηται ἀνωτέρω ἐν τῷ ἑβδόμῳ καὶ ὀγδόῳ καὶ ἐνάτῳ τοῖς βιβλίοις πολλάκις. εἶπον δὲ πολλάκις καὶ τὰ δύο μέρη ἵνα γένηται κοινὴ Σύνοδος περὶ τῆς ἑνώσεως τῶν Ἐκκλησιῶν, καὶ πάντοτε οἱ Λατῖνοι ἦσαν τὸ ἐμπόδιον, ὡς ἡ παροῦσα ἱστορία ἐδήλωσεν ἐν πολλοῖς.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς πρὸς τὸν Πάπαν Μαρτῖνον πρεσβείας Μανουὴλ Βασιλέως τοῦ Παλαιολόγου χάριν ἑνώσεως, τοῦ καὶ ἀπὸ Πελοποννήσου Ἰωάννην τὸν εὐδαίμονα πέμψαντος, καὶ ἀποδοχῆς καὶ βοηθείας καὶ γραμμάτων τοῦ Πάπα πρὸς Μανουὴλ καὶ Ἰωάννην τὸν υἱὸν αὐτοῦ, καὶ πρὸς Εὐθύμιον τὸν Πατριάρχην, οὗ κοιμηθέντος πατριαρχεύει Ἰωσὴφ ὁ Ἐφέσου. καὶ περὶ ἀντιγραφῆς τῶν Βασιλέων πρὸς τὸν Πάπαν, παρ' οὗ Ἀντώνιος πέμπεται πρὸς αὐτοὺς, καὶ ἀντιπέμπεται τοῦ μηνύσαι τῷ Πάπᾳ τὴν κατὰ τῆς πόλεως πολιορκίαν τοῦ Σουλτᾶν Μουρὰτ ἐμπόδιον, καὶ περὶ τῆς ἡμιπληξίας Μανουὴλ, καὶ βασιλείας Ἰωάννου μόνου.

Κτίζων τὸ Ἑξαμίλιον εἰς Πελοπόννησον Μανουὴλ ὁ Παλαιολόγος, μαθὼν ὅσα συνέβησαν ἐν τῷ ἀναμεταξὺ τῶν Λατίνων ἐπὶ τῆς ἐν Κωνσταντείᾳ Συνόδου, καὶ ἀμνημονήσας τοῦ ῥητοῦ τοῦ ἁγίου Βασιλείου, ὅτι οἱ Λατῖνοι οὔτε γινώσκουσι τὸ ἀληθὲς, οὔτε μαθεῖν ἀνέχονται, καὶ ἔτι ὅσα συνέβησαν αὐτῷ, ὅτε ἀπῆλθεν εἰς Φραγγίαν, καὶ νομίσας φανῆναι τῆς εἰρήνης αὐτῶν συνδρομητὴς, καὶ κατὰ τοῦτο δυνηθῆναι ἀποκαταστῆσαι εἰρήνην ἐκκλησιαστικὴν μετὰ τῶν Λατίνων, καὶ ἐναντιωθῆναι τοῖς Ὀθωμανοῖς διὰ τῆς βοηθείας αὐτῶν, ἔχων συνήγορον καὶ τὸν τοῦ τότε καιροῦ Πατριάρχην Κωνσταντινουπόλεως Εὐθύμιον, ἄνδρα τῷ ὄντι σοφώτατον καὶ ἁγιώτατον, ἔστειλεν ἐκεῖθεν ἀπὸ τῆς Πελοποννήσου πρεσβευτὴν εἰς τὴν Ῥώμην τινὰ τῶν Συγκλητικῶν Ἀρχόντων αὐτοῦ Ἰωάννην ἐπικαλούμενον Εὐδαίμονα, ὅστις ἀπελθὼν ἐκεῖσε, καὶ συνεργήσας τὰ δυνατὰ εἰς ὁμόνοιαν τῶν Δυτικῶν, ἀνέφερε τῷ ἤδη προβληθέντι Πάπᾳ Μαρτίνῳ τὴν ἐπιθυμίαν τοῦ Μανουὴλ περὶ ἑνώσεως τῆς Ἀνατολικῆς καὶ Δυτικῆς Ἐκκλησίας. ἦν δὲ καί τις Ἀνδρέας ὀρθόδοξος μὲν πρότερον, ὁρμώμενος ἐκ τῆς Ἀνατολῆς, συνθέμενος δὲ τῷ παπισμῷ, ἐχειροτονήθη Ἐπίσκοπος Ῥόδου παρὰ τῶν Λατίνων, ὅστις καὶ ἐκεῖνος ἐγένετο συνήγορος τῷ Εὐδαίμονι διὰ τὴν τοιαύτην ἕνωσιν, εἰ καὶ μετὰ πονηρίας. δέχεται οὖν ὁ Μαρτῖνος τὴν πρεσβείαν, καὶ σημείου ἕνεκεν εὐνοίας ἔδωκε θέλημα, καὶ ἔλαβον ἐκεῖθεν νύμφας ὅ,τε Βασιλεὺς Ἰωάννης καὶ ὁ ἀδελφὸς αὐτοῦ Θεόδωρος, καὶ ἔστειλε καὶ βοήθειαν τῷ Μανουὴλ διὰ φυλακὴν τοῦ Ἑξαμιλίου, καὶ μερικὰς ἰνδουλγέντζιας, ὡς ἂν λάβωσιν αὐτὰς οἱ βουλόμενοι λατινόφρονες, καὶ βοηθήσωσι τῷ Μανουὴλ κατὰ τῶν Ὀθωμανῶν, ἔστειλε δὲ καὶ γράμματα εἴς τε τοὺς Βασιλεῖς, Μανουὴλ δηλονότι καὶ τὸν υἱὸν αὐτοῦ Ἰωάννην, καὶ εἰς τὸν Πατριάρχην Εὐθύμιον, ἀλλ' ὁ μὲν Εὐθύμιος ἐλθὼν μετὰ τοῦ Βασιλέως εἰς Κωνσταντινούπολιν ἀπὸ τοῦ Ἑξαμιλίου ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ εἰκοστῷ τετάρτῳ, ἐκοιμήθη εἰς ἐκεῖνον τὸν χρόνον, καὶ ἐγένετο Πατριάρχης Ἰωσὴφ ὁ Ἐφέσου ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ εἰκοστῷ πέμπτῳ. ἀντέγραψαν δὲ ὅ,τε Βασιλεὺς καὶ ὁ Πατριάρχης τῷ Πάπᾳ γενέσθαι τὴν Σύνοδον εἰς Κωνσταντινούπολιν, καὶ τὸν Βασιλέα ἀθροῖσαι αὐτὴν κατὰ τὸ ἀρχαῖον προνόμιον τῆς βασιλείας ταύτης, καὶ πέμπουσιν αὐτῷ τὰ γράμματα μετάτινος Ἰωσὴφ Μοναχοῦ, ὃς ἀνῆλθεν εἰς Ῥώμην καὶ πρότερον μετὰ τοῦ Εὐδαίμονος ἀπὸ τῆς Πελοποννήσου. ἀντέγραψε δὲ ὁ Μαρτῖνος συναινέσας γενέσθαι τὴν Σύνοδον εἰς Βυζάντιον, καὶ πέμψαι καὶ Λεγάτους εἰς αὐτήν. ἦλθε δὲ καὶ Ἀντώνιός τις πρεσβύτερος ἀπὸ τοῦ Μαρτίνου τοῦ εἰδέναι τὸν καιρὸν τῆς διωρίας τῆς Συνόδου, κἄπειτα ἐλθεῖν τὸν Λεγᾶτον, ἀλλὰ τοῦ Σουλτᾶν Μουρὰτ ἔχοντος τὴν πόλιν περικυκλωμένην, ἐκωλύθη, καὶ περὶ τούτων ἔγραψαν γράμματα, καὶ ἔστειλαν εἰς τὸν Πάπαν τὸν Ἀντώνιον, ἐν τούτοις καὶ ὁ Μανουὴλ πέπτωκεν εἰς ἡμιπληξίαν, καὶ ἐγένετο ἐγκρατὴς τῆς Βασιλείας μόνος ὁ Ἰωάννης, Συρόπουλος τμήματι δευτέρῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν ἐννέα συμπερασμάτων τοῦ Πάπα, ἃ ὁ ῥηθεὶς Ἀντώνιος, τοῦ Πατριάρχου Ἰωσὴφ μετὰ Συνόδου καθεζομένου, εἶπεν εἰς ἐπήκοον πάντων, προειπὼν τὸν Πάπαν γῆς Θεὸν, διάδοχον Χριστοῦ καὶ Κύριον τῆς Οἰκουμένης.

Ὁ ῥηθεὶς Ἀντώνιος εἶχεν ἔτιγε καὶ παραγγελίας παρὰ τοῦ Πάπα εἰπεῖν διὰ στόματος, καὶ ἐζήτησε φανερῶς ἢ καταμόνας αὐτὰς εἰπεῖν, ὁ δὲ Πατριάρχης Ἰωσὴφ Σύνοδον ἀθροίσας τῶν παρευρεθέντων Ἀρχιερέων καὶ Συγκλητικῶν καὶ τῶν Κληρικῶν καὶ πολλῶν τῶν τῆς πολιτείας ἐλλογίμων, ἐκάθισε τὸν Ἀντώνιον εἰς τὰ δεξιὰ αὐτοῦ ἐπὶ ἰσοπεδίου, καὶ προσέταξεν αὐτῷ αὐτὰς εἰπεῖν φανερῶς. ἦσαν ἅπερ εἶπε κεφάλαια ἐννέα, ἡ δὲ προκάταρξις ἦν αὕτη, Ἐκλαμπρότατοι Αὐθένται καὶ Ῥωμαίων Βασιλεῖς, ὁ ἁγιώτατος καὶ μακαριώτατος πατὴρ ὁ Πάπας Μαρτῖνος ὁ πέμπτος, ὅς ἐστι Θεὸς ἐν τῇ γῇ, διάδοχος τοῦ ἁγίου Πέτρου, καὶ Χριστοῦ τοῦ Κυρίου, καὶ Κύριος τῆς Οἰκουμένης, ἐν τούτῳ τῷ λόγῳ ταῖς ὑμετέραις βασιλικαῖς γαληνότησιν ἐννέα μεγάλων γνωμῶν συμπεράσματα δηλοποιεῖ. ἦν δὲ ἡ συνέλευσις αὕτη ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ τριακοστῷ πρώτῳ, ἐν τοῖς δεξιοῖς κατηχουμένοις τῆς μεγάλης Ἐκκλησίας, ἤτοι τῆς ἁγίας Σοφίας. Τὸ πρῶτον ἦν, ὅτι ὁ Πάπας ἐπιθυμεῖ τὴν ἕνωσιν, καὶ ὅτι προὔβαλε καὶ Λεγᾶτον τὸν Καρδηνάλιν τοῦ ἁγίου Ἀγγέλου. Τὸ δεύτερον, ὅτι τὸ σχίσμα ἔφθειρε τὴν σοφίαν τῆς Ἑλλάδος

λάδῳ, καὶ ἴχυσαν καὶ οἱ ἐθνικοί, νῦν δὲ διὰ τῆς ἑνώσεως γενομένης μιᾶς μάνδρας, ἑνὸς ποιμένος, διορθωθήσονται καὶ τὰ τοῦτο. Τὸ τέταρτον, ὅτι ὁ Εὐδαίμων Ἰωάννης καὶ Θεόδωρος Ἐπίσκοπος Ὀγένης αὐτῇ νεγκαν τῷ Πάπᾳ, ὅτι βέλονται ὅ,τε Βασιλεὺς καὶ ὁ Πατριάρχης γενέσθαι τὴν σύνοδον καθ' ἣν κατέχει πίστιν ἡ Ῥώμη, καὶ ἐρωτᾷ ὁ Πάπας ἐὰν ἔχῃ ἔτως ἡ ἀλήθεια. Τὸ τέταρτον, ὅτι ὁ Λεγᾶτος Καρδηνάλις τὸ ἁγίε Ἀγγέλε ἀπῆει καὶ τὸ παρὸν εἰς τὴν Ἱσπανίαν, καὶ ἐλεύσεται, ἐπειδὴ κατὰ τὸ παρὸν ἐκήρυσαν ἕτοιμα ὅσα ἦν χρεώδη ἵνα σὺν ταῦτα ἔλθῃ, καὶ γενέσθαι καθολικὴν Σύνοδον Γραικῶν καὶ Λατίνων, ἵνα μὴ γένηται ἡ σύνωσις ἀτελής, ὡς συνέβη τῇ γενομένῃ ὑπὸ Λεγδούνῳ, ὑπὸ Μιχαὴλ δηλονότι τὸ Παλαιολόγε. Τὸ πέμπτον, ὅτι ἑτοιμαθεὶς ὁ Λεγᾶτος ἵνα ἔλθῃ, ἐκωλύθη ὑπὸ χαμμάτων σαλούτων πρὸς αὐτὸν ἐντεῦθεν, καὶ λεγόντων, ὅτι ἐκ ἔσι καιρὸς, καθότι οἱ Ὀθωμανοὶ ἔχουσι περικεκλεισμένην τὴν πόλιν. Τὸ ἕκτον, ὅτι ἔσεσθον ἐμὲ ἵνα εὑρίσκωμαι ἐνταῦθα χάριν τοῦ γενέσθαι τὴν ἑτοιμασίαν τῶν Γραικῶν Ἐπισκόπων, ἐν ᾗ χρεία ἐστὶ γινώσκειν με τέσσαρά τινα, πρῶτον, ἐν ποίῳ καιρῷ γενήσεται ἡ Σύνοδος, ἐν ποίῳ τόπῳ, ἐκ τίνων Ἐπισκόπων, καὶ πρὸς τί τέλος. Τὸ ἕβδομον, ἐὰν ἔχητε σκοπὸν ὅ,τε Βασιλεὺς καὶ ὁ Πατριάρχης γενέσθαι τὴν σύνωσιν πρὸς πίστιν ἣν κατέχει ἡ Ῥωμαϊκὴ Ἐκκλησία, καὶ γενέσθαι ὑποταγὴν εἰς τὸν Πάπαν, ὡς ἔπον παρ' ὑμῶν ὁ Εὐδαίμων καὶ ὁ ἱερομόναχος Θεόδωρος. Τὸ ὄγδοον, ὅτι ἐὰν γένηται ἕτως, ἐλεύσεται ὁ Λεγᾶτος μετὰ βοηθείας τοῦ Βασιλέως Ἱσπανίας καὶ τοῦ Ῥήγος τῆς Πορτογάλε καὶ ἄλλων πολλῶν τοιούτων. Τὸ ἔνατον, ἐὰν γένηται ἡ τοιαύτη σύνωσις, εὐθὺς ἐν πρώτοις ὑπόσχομαι μεθ' ὁρκε ἐλθεῖν τὸν Λεγᾶτον μετὰ Ἐπισκόπων καὶ Διδασκάλων.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς πρεσφυᾶς ἀποκρίσεως τοῦ Πατριάρχε Ἰωσὴφ εἰς τὰ ἐννέα συμπεράσματα τοῦ Πάπα.

Ὁ Πατριάρχης ἀπεκρίθη εἰς μὲν τὸ πρῶτον, ὅτι καὶ ἡμεῖς ὁλοψύχως ἀποθυμοῦμεν τὴν σύνωσιν. εἰς δὲ τὸ δεύτερον, ὅτι ἀληθῶς εἶπας, ἀλλ' ἐκ ἡμεῖς αἴτιοι τῶν τοιούτων, οἱ ἐμμένοντες ἐν τῇ πατροπαραδότῳ πίστει, ὅσοι δὲ αἴτιοι, λόγον ὀφείλουσι τῷ Θεῷ. εἰς δὲ τὸ τρίτον, ὅτι τὰ σαλοῦτα ἐκεῖσε γράμματα κεῖται εἰς τὸν Κώδικα, καὶ εἰ εἶπεν ἔξω ἐκείνων τι ὁ Εὐδαίμων, ἐψεύσατο, τὴν γὰρ σύνωσιν βουλόμεθα γενέσθαι νόμιμον καὶ δικαίαν, ἃ σοφίλογον. εἰς δὲ τὸ τέταρτον, ὅτι ἡμεῖς τῆς πατροπαραδότε ἐκ ἀφεξόμεθα ἁγίας πίστεως, καὶ μυρίας δυσαρμονίας τὸ κόσμε ἐλαμβάνομεν. πρὸς δὲ τὸ πέμπτον, ψεύδε ὅτι ἐμνησθημεν μὴ ἐλθεῖν τὸν Λεγᾶτον, καθότι εἰ ἤρχετο, νομίζομεν τοῦτο συμφέρον διὰ πολλά. εἰς δὲ τὸ ἕκτον, ὅτι Ἀρχιερεῖς ἔσονται οἱ λοιποὶ τρεῖς Πατριάρχαι, καὶ οἱ Ἀρχιεπίσκοποι, Ἀχρίδος, Ἰβηρείας καὶ Πεκίε, ᾗ οἱ Ἀρχιερεῖς τῆς ἡμετέρας Ἐπαρχίας, ὁ ἡμέτερος δὲ ἔσαι τὸ Ἔαρ, ὁ τόπος δὲ ἡ Κωνσταντινούπολις, τὸ δὲ τέλε ἐκ ἡμῶν ἐσὶ γνῶσαι, ἀλλὰ τοῦ Θεοῦ. εἰς δὲ τὸ ἕβδομον, ὅτι ἐψεύσθη ὁ Εὐδαίμων, ἐπειδὴ ἡμεῖς εἰς μόνας τὰς ἁγίας ἀποβλέπομεν. εἰς δὲ τὸ ὄγδοον, δεξόμεθα τὴν βοήθειαν τῶν τοιούτων, ὅμως μὴ εἶναι αὐτὴν πρὸς ψυχικὴν ἀπώλειαν. εἰς δὲ τὸ ἔνατον, ὅτι διὰ ὠμόσας ἐν τῷ Εὐαγγελίῳ κατὰ τῆς διδασκαλίας τοῦ Σωτῆρος, ἡμεῖς τὰ αὐτὰ τοῖς πρώτοις λέγομεν, ὅτι ἡμῖν πρόκειται τῆς βοηθείας ἀγαθή, τὸ δὲ ζητούμενον ἔργον κακόν, ἐπειδὴ ἐκ ἐπαινετὴ ἡ ζημίας πρόξενε δωρεά, καὶ μισητὴ ἡ ἀτιμίας μήτηρ τιμή. ζητοῦμεν δὲ γενέσθαι Σύνοδον, πλὴν κανονικὴν κατὰ τὴν τῶν ἁγίων πρόδοσιν. ἐν τούτοις δὲ καὶ ὁ Βασιλεὺς Ἰωάννης ἀπῆει εἰς τὴν Οὐγγρίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἀποδημίας τοῦ Βασιλέως Ἰωάννε εἰς τὸν τῆς Γερμανίας Βασιλέα, καὶ αὖθις ἐπανόδε εἰς τὴν πόλιν, καὶ αἰτήσεως Λατίνων γενέσθαι τὴν Σύνοδον ἐν Ἰταλίᾳ, καὶ γνωμοδοτήσεως τῶν Ἀνατολικῶν, καὶ συχνῶν πρέσβεων καὶ γραμμάτων πρὸς τὸν Βασιλέα παρὰ τοῦ Ῥώμης Μαρτίνε καὶ τοὔμπαλιν, καὶ τῶν μετὰ τὴν τελευτὴν Μαρτίνε πρέσβεων καὶ γραμμάτων τοῦ Βασιλέως πρὸς Εὐγένιον Ῥώμης.

Ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ τριακοστῷ δευτέρῳ ἀπῆλθεν ὁ Βασιλεὺς Ἰωάννης εἰς τὸν Βασιλέα τῆς Γερμανίας, καὶ τῷ ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ τριακοστῷ τρίτῳ ἐπανῆλθεν εἰς τὴν Κωνσταντινούπολιν, καὶ μετεβλήθησαν οἱ λόγοι τῶν Λατίνων περὶ τῆς Συνόδε, ἐζήτουν γὰρ γενέσθαι τὴν Σύνοδον εἰς τὴν Ἰταλίαν, ἐσορίζοντο δὲ, ὅτι γενήσεται κατὰ Θεὸν τὸ ἔργον, ὑπεχέθησαν δὲ δῦναι καὶ βοήθειαν εἰς φυλακὴν τῆς πόλεως, καὶ δαπάνας τὰ ἁπλοῦν ἐκεῖσε τοῖς Ἀνατολικοῖς, ὡς δὲ ἔδωκαν γνώμην ἀπελθεῖν, ἐμήνυσεν ὁ Μαρτῖνος, ὅτι ἀποκαλῶ τὸν Βασιλέα καὶ τὸν Πατριάρχην ἀσεβάσαι γενέσθαι τὴν σύνωσιν εἰς τὸν ἡμέτερον μέρος, ὅτι γενήσεται καλῶς, καθότι ἐμοῦ παρελθόντος, ἁ καλῶς γενήσεται. εἶπε δὲ πρότερον καὶ ὁ Σιγισμοῦνδος τῷ Βασιλεῖ Ἰωάννῃ, ὅτι οἱ ἡμέτεροι, ἤγουν οἱ Λατῖνοι ἔχουσι πολλὰ σφάλματα, καὶ ἀσέβασον διὰ τὴν σύνωσιν, ἴσως καὶ διορθωθῶσιν ἀπὸ τῶν σφαλμάτων αὐτῶν. ἦλθον δὲ τὰ γράμματα

ματα ἀπὸ τοῦ Μαρτίνου καὶ οἱ πρέσβεις, καὶ σὺν αὐτοῖς ἀπὸ τοῦ Πάπα καὶ ὁ εἰρημένος Ῥόδου Ἀνδρέας. καὶ πάλιν ὁ Βασιλεὺς στέλλει πρέσβεις εἰς τὸν Ῥώμης τὸν μέγαν Στρατοπεδάρχην Μάρκον τὸν Ἰάγκαριν, καὶ τὸν Ἡγούμενον τοῦ Παντοκράτορος Μακάριον τὸν Κουρουνᾶν, καὶ Δημήτριον τὸν Κλειδᾶν, καὶ ἐπανῆλθον πάλιν μετὰ γραμμάτων εἰς τὸν Βασιλέα. καὶ πάλιν στέλλει πρέσβεις εἰς τὸν Μαρτῖνον τὸν εἰρημένον Ἰάγκαριν καὶ τὸν Ἡγούμενον τῶν Μαγγανῶν Μακάριον τὸν Κουρουνᾶν καὶ Δημήτριον γραμματικὸν τὸν Κλειδᾶν, ὅτι ἀπελεύσεται εἰς τὴν Φραγγίαν τοῦ γενέσθαι ἐκεῖ τὴν Σύνοδον. ὠλοφύροντο δὲ, ὁ μὲν Πατριάρχης ὅτι ἐβιάσθη γράφειν κατὰ τὰ Βασιλικὰ γράμματα τῷ Μαρτίνῳ, Ἰωσὴφ δὲ ὁ Διδάσκαλος καὶ ἄλλοι τοιοῦτοι ἔλεγον, γενομένης τῆς Συνόδου εἰς Ἰταλίαν, οὐδὲν ἀκολουθήσει καλὸν, καὶ δὴ ὁ Πατριάρχης κάτοχος ὑπ' ἀθυμίας γενόμενος, ἤθροισεν εἰς τὸ κελλίον αὐτοῦ Σύνοδον παρόντων τῶν Κληρικῶν καὶ τινῶν τοῦ Παλατίου, ἔλεγε δὲ μετὰ τὰ πολλὰ, γενέσθαι τὴν Σύνοδον εἰς Ἰταλίαν, εἶναι δὲ τὴν δαπάνην τῆς ἀπελεύσεως καὶ ἐπανελεύσεως ὑπὸ τῶν Λατίνων καὶ αὐτὴν τὴν ζωοτροφίαν ἡμῶν, ἀνάγκη ἐστὶ γενέσθαι ἡμᾶς δούλους τῶν Λατίνων, καὶ ἕπεται ποιεῖν τὸν δοῦλον τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ. οἱ πρέσβεις ὅμως μαθόντες εἰς Καλλιούπολιν ὅτι τέθνηκεν ὁ Πάπας Μαρτῖνος, ὑπέστρεψαν, καὶ ἔστειλεν ὁ Βασιλεὺς τοὺς αὐτοὺς πρέσβεις πλὴν τοῦ Μακαρίου, καθότι εἰς τὸν τόπον αὐτοῦ ἐστάλη ὁ ῥηθεὶς Ἡγούμενος τοῦ Προδρόμου Ἰωάσαφ, καὶ γράμματα εἰς τὸν νέον Πάπαν Εὐγένιον, οἵτινες ἐπανελθόντες εἰς Κωνσταντινούπολιν, ἔλεγον τὸ φονικὸν καὶ τυραννικὸν ἦθος τοῦ Εὐγενίου, καὶ δὴ καὶ τὰ γράμματα ἦσαν τοῦ Εὐγενίου πλήρη δυσχερειῶν καὶ εἰρωνείας, ἐν οἷς ὁ Μιδείας Στέφανος μεμψάμενός τι, ἐλοιδορήθη ὑπὸ τοῦ Βασιλέως, ἦν γὰρ κάτοχος κενῶν ἐλπίδων ἵνα ἀπέλθῃ εἰς Ἰταλίαν, καὶ περὶ οὐδενὸς αὐτῷ ἑτέρου ἔμελε, καὶ γὰρ τὸ πεπρωμένον ἔμελλε γενήσεσθαι, ἤτοι ἀθροίσειν τὸν Βασιλέα Σύνοδον κατὰ Θεοῦ; ἵνα ἀφανισθῇ τὸ γένος αὐτοῦ ὑπὸ τοῦ Θεοῦ, Συρόπουλος τμήματι δευτέρῳ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν ἀπὸ τῆς ἐν Βασιλείᾳ Συνόδου πρέσβεων πρὸς τὸν Βασιλέα Ἰωάννην καὶ τὴν Σύνοδον τοῦ ἀπελθεῖν ἐκεῖσε, καὶ τῶν τοῦ Βασιλέως πρὸς αὐτὴν, καὶ τῶν καθεξῆς πρέσβεων τοῦ Βασιλέως, τῆς Συνόδου καὶ τοῦ Πάπα, καὶ ἀποφάσεως τῶν Ἀνατολικῶν ἀπελθεῖν εἰς τὴν Σύνοδον καὶ μὴ εἰς τὸν Πάπαν.

Ἡ Ἐν Κωνσταντείᾳ ἀθροισθεῖσα Σύνοδος, γέγονε φῶς κατά τι τοῖς δυτικοῖς τοῦ καταβαλεῖν τὴν ὀφρὺν τῶν Παπῶν. ὁ δὲ Μαρτῖνος, ὃν ἐχειροτόνησαν, ἤρξατο ἀθετεῖν τὰ τῆς Συνόδου, καὶ ζητεῖν πάλιν διοικεῖν τυραννικῶς, ὅθεν ἀθροίζεται Σύνοδος εἰς τὴν Βασιλείαν πόλιν τῆς Γερμανίας ἑπτακοσίων Ἐπισκόπων διὰ τὴν αὐτὴν ὑπόθεσιν μάλιστα. ἦσαν δὲ εἰς ἐκείνην οἱ πρόκριτοι τῶν Καρδονάλεων, καὶ Ἡγούμενος τούτων ὁ Ἀρλατεύσης, ἥτις μαθοῦσα τὰ ἀναμεταξὺ τοῦ Βασιλέως καὶ Μαρτίνου καὶ Εὐγενίου, πέμπει εἰς τὸ Βυζάντιον πρέσβεις Σουνδένσην Ἐπίσκοπον καὶ Ἀλμπέρτον Διδάσκαλον, φανεροῦσα ὅτι ἔχει τὸ κράτος μεῖζον τοῦ Πάπα, καὶ ὅτι πρόσκεινται αὐτῇ οἱ Ῥῆγες τῆς Δύσεως, καὶ ὁ Βασιλεὺς τῆς Γερμανίας Σιγισμοῦσδος, καὶ προσκαλοῦσα ἐκεῖσε τὸν Βασιλέα καὶ τὴν Σύνοδον τῶν Ἀνατολικῶν, καὶ ὑποσχομένη δοῦναι καὶ βοήθειαν ἀρκετὴν εἰς φύλαξιν τῆς πόλεως, καὶ τὰς δαπάνας ποιῆσαι ἀρκετὰς τῆς ἐκεῖσε ἀπελευσομένης Συνόδου. ἐδέχθη δὲ τὸν λόγον ὁ Βασιλεὺς, καὶ ἀπέστειλε πρέσβεις ἐκεῖσε. ἔμαθε ταῦτα ὁ Εὐγένιος, καὶ γνοὺς ὅτι εἰσὶν εἰς καταστροφὴν αὐτοῦ, ἔστειλεν εἰς τὴν πόλιν τὸν Κορώνης Χριστόφορον, καὶ ὑπεσχέθη γενέσθαι εἰς τὴν πόλιν τὴν Σύνοδον. καὶ οἱ ἀπελθόντες εἰς τὴν ἐν Βασιλείᾳ Σύνοδον πρέσβεις ἐδέχθησαν καλῶς, καὶ ἐπανῆλθον μετὰ γραμμάτων, καὶ καθεξῆς ἐγένοντο πολλαὶ καὶ διάφοροι πρεσβεῖαι τοῦ Βασιλέως καὶ τῆς Συνόδου καὶ τοῦ Πάπα, καὶ διάφορα μέσα, καὶ τέλος πάντων διωρίσθη ἀπελθεῖν τοὺς Ἀνατολικοὺς εἰς τὴν Σύνοδον, καὶ οὐχὶ εἰς τὸν Πάπαν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν ὑπὸ τοῦ Βασιλέως Ἰωάννου αἰτηθέντων πρέσβεων ἀπὸ τοῦ Μέπε Ἰβηρίας, Κνέζη Ῥωσίας, Βασιλέως Τραπεζοῦντος καὶ Αὐθέντου Βλαχίας εἰς τὴν Σύνοδον, καὶ ἧς ἐποίησεν ἀπάτης ὁ Βασιλεὺς τοῖς τῆς Ἕω Πατριάρχαις διὰ φρᾶ Ἰωάννου.

Ἔστειλεν ὁ Βασιλεὺς πρέσβεις εἰς τὸν Μέπε τῆς Ἰβηρίας καὶ εἰς τὸν μέγαν Κνέζην Ῥωσίας καὶ εἰς τὸν Βασιλέα Τραπεζοῦντος καὶ εἰς τὸν αὐθέντην Βλαχίας, ἵνα ἀποστείλωσιν ἐκ μέρους αὐτῶν ἀνθρώπους εἰς τὴν Σύνοδον, ἔστειλε δὲ εἰς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς καὶ ἔφερε γράμματα παρ' ἐκείνων εἰς αὐτὸν, καὶ γράμ-

γεάμματα εἰς τὲς Τοποτηρητὰς αὐτῶν, ἅπερ ἐσημείωντο τοῖς αὐτοῖς ἵνα ὦσι Τοποτηρηταὶ αὐτῶν, ἐὰν γένηται ἡ Συνόδ@ νόμιμ@ καὶ κανονικὴ, ὡς ἦσαν οἱ προλαβέσαι Οἰκεμενικὴ, καὶ μηδεὶς εἰς τὴν πατροπαράδοτον πίστιν προσελθῇ, ἢ ἀλλαγῇ, ἢ καινοτομηθῇ, καὶ τότε παραδέξονται καὶ ἐκεῖνοι τὴν γνησομφίλιν ἀπόφασιν. ἦν δὲ εἰς τὴν Κωνσταντινόπολιν ἀπὸ τῆς Συνόδε πρεσβύτής τις Φερὲ Ἰωάννης, ὀδὲς καὶ τὰς δαπανὰς, καὶ ἀπελθόντων τῶν πρέσβεων περὶ τῶν Τοποτηρητῶν, κατέπεισε τὸν Βασιλέα, καὶ ποιῆ σχέδιον καὶ ἀποστέλλει αὐτὸ εἰς τὲς Πατριάρχας, ἐν ᾧ λέγει ἵνα ποιήσωσι τὲς Τοποτηρητὰς αὐτῶν κατὰ τὸ σχέδιον αὐτοῦ ἀπολελυμμένως διὰ τιμὴν τῆς Συνόδε, καὶ περὶ τοῦ μὴ γενέσθαι εἰς τὴν πίστιν καινότι, ἡμῖν μέλει ἔφη. θελεύζει τοίνυν ὁ ταλθεὶς Ἀντιοχ@ Μοναχὸς τὲς Πατριάρχας, καὶ ἔγραψαν τὰ γεάμματα κατὰ τὸ σχέδιον, καὶ ἤλλαξαν καὶ τινὰς τῶν Τοποτηρητῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ὁ Βασιλεὺς ψευσάμν@ τὴν διὰ πρέσβεων μίνυθεῖσαν τῇ ἐν Βασιλείᾳ Συνόδῳ ἀποδημίαν αὐτοῦ, ἀπῆλθεν εἰς Φερράριαν, ἔνθα ἦν ὁ Πάπας Εὐγένι@.

Ἐν ὅσῳ ἐγίνοντο αἱ πρεσβεῖαι, ὁ Βασιλεὺς ἔστειλε πρέσβεις εἰς τὴν Σύνοδον ὅτι ἀπέρχεται ἐκεῖσε, τὰ αὐτὰ ἐποίησε καὶ εἰς τὸν Πάπαν. ἔρχονται δὲ κάτεργα καὶ πρέσβεις καὶ ἀπὸ τῶν δύο μερῶν, ἀλλὰ παραχωρεῖ ὁ Θεὸς καὶ ἐκ ἀπέρχεται ὁ καλὸς Βασιλεὺς εἰς τὴν Σύνοδον, ὅπερ ἦν ἴσως καὶ συμφερώτερον, καὶ μάλιστα ὅλη βεβαίως κατασσᾶτο ἡ τυραννικὴ ἐξουσία τοῦ Ῥώμης καὶ ἡ ἔπαρσις τῶν Καρδιναλέων αὐτοῦ, ἀλλ' ἀπῆλθεν εἰς τὸν Πάπαν. ἔλεγον δὲ οἱ συνοδικοὶ τῷ Βασιλεῖ πολλὰς καὶ ἀναγκαίας λόγυς, ἵνα μὴ ἀπέλθῃ ὅτε εἰς τὴν Σύνοδον ὅτε εἰς τὸν Πάπαν, καὶ δὴ καὶ Συμεὼν Θεσσαλονίκης ἀγαθὸς καὶ εὐσεβὴς ἀνὴρ ὁ Βασιλεὺς τῆς Ἀλαμανίας διὰ Μανουὴλ τοῦ Δισυπάτου ταχυδρόμως ἐμήνυσε τῷ Βασιλεῖ, ὅτι παραπόνοι διὰ τὴν Σύνοδον πολλὰ παρακινητικά, νῦν λέγω σοι λόγον, ἡσύχασον, ἀλλ' εἰς ἐδὲν ὠφέλησαν ταῦτα καὶ τὰ τοιαῦτα, ἔμελλε γὰρ πληθυθῆναι τὴν αὐομίαν καὶ κορυφωθῆναι διὰ τῆς ἐπαράτε Συνόδε. ἐκίνησεν ὃν ὁ Βασιλεὺς καὶ Πατριάρχης καὶ Ἀρχιερεῖς, Ἄρχοντες, Κληρικοὶ καὶ Ἡγούμενοι, ὧν τὰ ὀνόματα ὑγράφομν, καθότι πλὴν ὀλίγων τινῶν οἱ λοιποὶ ἀρκεῖ ὅλη ἐγράφησαν ἐπὶ τῶν γαιῶν. ἐκίνησαν δὲ μετὰ κακῶν σημείων καὶ κακῆς ὁδοιπορίας. εἰς δὲ τὴν Βενετίαν πάλιν πολλὰ εἶπον οἱ Βενετικοὶ ἵνα παρεσμείνωσιν ἐκεῖ γενέσθαι τὴν Σύνοδον, ἀλλ' εἰς ἐδὲν ὠφέλησαν. ἐπορεύθησαν ὃν εἰς Φερράριαν, ὅπου ἦν καὶ ὁ Εὐγένι@.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς εἰσελεύσεως τῶν Ἀνατολικῶν εἰς τὴν Φερράραν, καὶ τῆς ὑπαντῆς καὶ εἰσόδε αὐτῶν εἰς τὸν Πάπαν καὶ ἀτίμε καθίσεως, καὶ τῶν μετὰ Λατίνων διαλέξεων αὐτῶν, καὶ εἶτα ἀπαγωγῆς εἰς Φλωρεντείαν, ἔνθα καὶ ὑπέγραψαν εἰς τὸν τῆς ἀθείας ὅρον, καὶ περὶ τῆς ἐπανόδε αὐτῶν εἰς Κωνσταντινόπολιν, ἐν ᾗ, καὶ ἐν τῇ Ἀνατολῇ ἀνεθεματίθη συνοδικῶς ὁ Φλωρεντινὸς ὅρος.

Ἀλλ' ὁ μὲν Ῥωμαίων Ἐπίσκοπ@ Βιταλιανὸς τῷ Αὐτοκράτορι Κώνσταντίνῳ εἰς Ῥώμην ἀποδημήσαντι, ἐξῆλθε μόν@ μετὰ τὸν Κλῆρον καὶ συνάντησεν, ὁ καλὸς δὲ ἔτ@ Ἰωάννης ἐπορεύθη εἰς τὸν Εὐγένιον ὡς ἀργυρώνητ@, ἀλλὰ δὴ καὶ ὁ Πατριάρχης ὁ νομίσας διὰ τὸν Πάπα βεβαιῶσαι τὰ ἴσα τοῦ θρόνε, ἐκ ὡς διώρισαν οἱ πατέρες, ἀλλ' ἰσότυπα τῆς τυραννίδ@ τοῦ Ῥώμης, ἐκ ἠξιώθη συνυπαντηθῆναι ὑπὸ Καρδηναλέων, μήτε ὑπὸ ἀξιωματικῶν Ἀρχιερέων καὶ Κλήρε, μήτε μὴν μακρόθεν, ἀλλ' εἰς τὴν γέφυραν τῆς πόλεως ὑπὸ ἓξ καὶ μόνων ὑποσκοπιδίων, ἅτινα εἶπον αὐτῷ, ἵνα ἐντυχὼν τῷ Πάπᾳ φιλήσῃ τὰς πόδας αὐτοῦ. ἔλεγεν ὃν ὁ Πατριάρχης, καὶ ποία Συνόδ@ δέδωκε τῷ Πάπᾳ τοῦτο τὸ προνόμιον; εἰ δὲ καὶ ἔστιν αὐτὸς τοῦ ἁγίε Πέτρε διάδοχ@, ἐσμὲν καὶ ἡμεῖς τῶν λοιπῶν Ἀποστόλων, οἱ δὲ παπισαὶ ἔλεγον, ὅτι τὸ ἀρχαῖον ἔθ@ δέδωκεν αὐτῷ τοῦτο, ὅθεν καὶ Ῥήγες καὶ ὁ Βασιλεὺς τῆς Ἀλαμανίας καὶ οἱ Καρδηνάλες, οἵτινες εἰσὶ μείζους τῶν Βασιλέων, φιλοῦσι τὰς πόδας τοῦ Πάπα. εἶχε δὲ ὁ Πάπας ἑτοιμασμένους πολλοὺς Ἄρχοντας ἐν παρασκευῇ, ἵνα ἴδωσι πῶς ὁ Κωνσταντινοπόλεως φιλεῖ τὸν πόδα αὐτοῦ, ὅμως ὑπόφασιν ἐποίησεν ὁ Πατριάρχης ἐκ αὐτὸς μόν@, ἀλλ' ἕτ@ τις τῶν Ἀρχιερέων ἢ τῶν Κληρικῶν φιλήσαι τὸν πόδα τοῦ Θηρίε. ἐπορεύθησαν ὃν οἱ ἱππότες συνοδευμένοι τοῦ Ἄρχοντ@ τῆς Φερράρας Μαρκέσι, καὶ Καρδηνάλες ἀσπάσιε τοῦ Πάπα, καὶ ὅσον ὡσεὶ θηρία κεκλεισμένον τὸν ἀλαζόνα, ἐξεπήλθον ἀπὸ κελλίε εἰς κελλίον, ἐν οἷς ἦσαν ῥαβδοῦχοι, ὁπλοφόροι καὶ ἕτεροι τοιοῦτοι, καὶ τέλ@ πάντων ἐνέτυχον αὐτῷ ἐπὶ θρόνε ὑψηλοῦ καὶ ἐπηρμένε καθεζομένῳ, ὃν ἀσπασάμν@ ὁ Πατριάρχης, ἐκάθισεν εἰς θρόνον, ἕ τὸ κάθισμα ἦν ἴσον τῷ τοῦ Πάπα ὑποποδίῳ, καὶ μακρὰν αὐτοῦ μίαν ὀργυᾶν, ὡς ἦσαν καὶ τὰ θρόνια τ Καρδηνάλεων, ἵσαντο δὲ ὀρθοὶ οἱ συνεσῶτες τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς οἱ συνελθόντες τῷ Πατριάρχῃ, καὶ

καὶ οἱ ἔγκριτοι τῶν Κληρικῶν. ὑπέστρεψεν ὁ Πατριάρχης εἰς τὸ οἴκημα αὐτοῦ, καὶ θέλων ἐντυχεῖν τῷ Πάπᾳ δεύτερον, ἤθελε προηγεῖσθαι αὐτοῦ τὸ Διβάμβουλον καὶ ἡ Βακτηρία κατὰ τὴν πάτριον τῶν Πατριαρχῶν συνήθειαν, ὅμως ἀφεῖκε τὸ Διβάμβουλον, καὶ ἐπορεύθη μετὰ μόνης τῆς Βακτηρίας, οὗ εὐλογοῦντος καθ' ὁδὸν, οὐδεὶς Ἰταλὸς ἐξανέστη οὗ ἐκάθητο τόπου εἰς τιμὴν αὐτοῦ. ἀνέβη εἰς τὴν σκάλαν τὴν πετρίνην ἔφιππος, ἀλλ' εἰς τὴν ἐπάνοδον ἐκώλυσεν αὐτὸν ὁ Πάπας εὐλογεῖν καὶ ἔχειν ἔμπροσθεν αὐτοῦ τὴν Βακτηρίαν, ὁ δὲ Πατριάρχης ἠνείχετο ὥσπερ ἀποβουκολησθεὶς, ἴσως ἐγκαταλείψαντος αὐτὸν τοῦ Θεοῦ, καθότι γέγονε συναίτιος ἀτελθεῖν τοὺς Ἀνατολικοὺς εἰς προσκύνησιν τοῦ Θηρίου. ἵνα δὲ θορυβηθῇ ἡ ἐν Βασιλείᾳ Σύνοδος, συνήργει ὁ Πάπας κηρυχθῆναι τὴν Σύνοδον εἰς Φερραρίαν, καὶ γενέσθαι τὴν ἄθροισιν εἰς τὸν Ναὸν τῆς Ἐπισκοπῆς, ἐν ᾧ ἐζήτει ὁ Πάπας θεῖναι τὸν θρόνον αὐτοῦ ἐν τῷ μέσῳ τοῦ ἀνατολικοῦ μέρους ἔμπροσθεν τοῦ Ἀλταρίου, καὶ εἶτα καθίσαι τοὺς μὲν Δυτικοὺς ἐξ ἀριστερῶν, τοὺς δὲ Ἀνατολικοὺς καὶ τὸν Βασιλέα ἐκ δεξιῶν, καὶ γενομένης ἰσχυρᾶς ἀντιλογίας τῶν Ἀνατολικῶν, ἐκώλυσαν αὐτὸν, ὅθεν ἐκάθισεν αὐτὸς καὶ οἱ Λατῖνοι εἰς τὰ ἀριστερὰ, ὁ δὲ Βασιλεὺς καὶ οἱ Ἀνατολικοὶ εἰς τὰ δεξιὰ, πλὴν ἐμηχανήσατο ὁ Πάπας καὶ ἔβαλε κατωτέρω αὐτοῦ ἕνα θρόνον, ὡς δῆθεν εἶναι αὐτὸν τοῦ Ῥηγὸς τῆς Ἀλαμανίας, καὶ ἀντικρὺ ἐκείνου ἐκάθισεν ὁ Βασιλεὺς, ἵνα ᾖ κατωτέρω τοῦ Πάπα, κατωτέρω δὲ τοῦ Βασιλέως ἐκάθισεν ὁ Πατριάρχης, οὗ ἄνωθεν τοῦ θρόνου οὐκ ἀφῆκε θεῖναι σκέπην ὁ Πάπας, μήτε ὄπισθεν ἀπαιωρηθῆναι ποδέαν. Εἴποι δ' ἄν τις εὔστοχος τῶν πραγμάτων κριτὴς ἀνὴρ, ἐκ μὲν τοῦ μέρους τοῦ Πάπα, Εὖγέ σοι τύχη, ὅτι τοὺς πατριαρχικοὺς θρόνους τῆς Ἀνατολῆς ἐμίανα τυραννίᾳ καὶ χειροτονίαις ἀθέσμοις Πατριαρχῶν καὶ ἀνόμοις χρίσεσι Βασιλέων, τέλος δὲ πάντων ὑπ' ἐμὲ ἐκάθισα καὶ Βασιλέα καὶ Πατριάρχην, καὶ τέως προκάθημαι τῶν Ἀνατολικῶν ὡς ἡ ἡμέρα αὕτη. ἐκ δὲ τοῦ μέρους τῆς καθολικῆς Ἐκκλησίας ἁπάσης, διὰ τοῦ ἁγίου Ἐπιφανίου Αἱρέσει ἑβδομηκοστῇ ἕκτῃ, ἤτοι κατὰ Ἀνομοίων, Λέγε μοι ὦ Πάπα Λατῖνε, ὃς ζητεῖς ὑπὸ πάντων προσκυνεῖσθαι ὡς Θεὸς ἐπὶ τῆς γῆς, ποίᾳ γραφὴ ἐδίδαξε προσκυνεῖσθαι Θεὸν ποιητόν; σὺ δὲ λέγεις ταῦτα ἐπ' ὄψει πάσης τῆς Οἰκουμένης, Ἀναβήσομαι εἰς τὸν Οὐρανὸν, καὶ ἐπάνω τῶν Ἀστέρων τοῦ Οὐρανοῦ θήσομαι τὸν θρόνον μου, καὶ καθιῶ ἐν ὄρει ὑψηλῷ ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ, καὶ ταὐτοδυνάμενος τῷ Χριστῷ. καταβήσῃ ὅμως ἐν ᾅδῃ εἰς τὰ θεμέλια τῆς γῆς, καθότι διὰ ταύτην τὴν ὁμοθείαν σου οὐ Θεὸς προσκυνητὸς, ἀλλ' Ἑωσφόρος, καὶ ταῦτα μὲν περὶ τοῦ καθίσματος. ἐκηρύχθη δὲ ἡ Σύνοδος ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ ὀγδόῳ, ἀπριλλίου ἐνάτῃ, εἶτα ἐζήτησαν οἱ Λατῖνοι διωρίαν τεσσάρων Μηνῶν, ἵνα ἔλθωσι καὶ ἄλλοι Ἐπίσκοποι καὶ Λεγᾶτοι Ῥηγῶν, ἐν τῷ μεταξὺ δὲ διελέγοντο περὶ τοῦ καθαρτηρίου, καὶ ἴδε περὶ τούτου εἰς τὰ συγράμματα Μάρκου τοῦ Ἐφέσου. παρελθόντων δὲ τῶν τεσσάρων Μηνῶν, ἐγίνοντο αἱ συνελεύσεις τῆς Συνόδου εἰς τὸ Παλάτιον τοῦ Πάπα, ἵνα αὐτὸν προσκυνῶσιν οἱ Ἕλληνες συχνάκις. ἐπιχειροῦσιν οἱ Ἕλληνες κατὰ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης, ἀναγινώσκεσθαι οἱ Ὅροι τῶν ἑπτὰ Οἰκουμενικῶν Συνόδων, ἐδικαίωσε τὸ ἀκροώμενον πλῆθος τῶν Λατίνων τοὺς Ἀνατολικοὺς, ὅθεν ἐδιώχθησαν μὴ ἔρχεσθαι παρὸν, ὤφθησαν ἀδύνατοι οἱ Λατῖνοι, καὶ ἰσχυροὶ οἱ Ἕλληνες, ὅθεν ἵνα λιμοκτονηθῶσι καὶ ταλαιπωρηθῶσιν, ἀπάγονται εἰς τὴν Φλωρεντείαν ὑπὸ τοῦ Βασιλέως καὶ τοῦ Πάπα. μηχανᾶται ὁ Βασιλεὺς καὶ Λατῖνοι καὶ οἱ προδόται ἐκ τῶν Ἀνατολικῶν, καὶ ἐῶσι τὸ διαλέγεσθαι περὶ τῆς προσθήκης, καὶ διελέγοντο περὶ τοῦ Δόγματος, καὶ ὤφθησαν κἀν τούτῳ οἱ Λατῖνοι ἀσθενεῖς λίαν, ὅθεν ὁ Βασιλεὺς καὶ Πάπας καὶ οἱ προδόται ἐμηχανήσαντο, καὶ ἐχώρησαν εἰς μέσα καὶ συμβιβάσεις. γράφεται Ὅρος ἀθεϊσμοῦ, καὶ ὑπογράφεται βίᾳ ὑπὸ τῶν Ἀνατολικῶν, εἶτα ἐλαλήθησαν καὶ ἄλλαι βλασφημίαι περὶ τοῦ Ἀζύμου καὶ τῆς ἁγίας Μυσταγωγίας. ζητεῖ ὁ Πάπας καθαιρέσει καθυποβαλεῖν τὸν Ἐφέσου, ὁ δὲ νικᾷ καὶ ἵστησι κατὰ τῆς ἀσεβείας τρόπαιον. ἐπανέρχονται εἰς τὴν Κωνσταντινούπολιν οἱ Ἀνατολικοὶ εὐκαταφρόνητοι, ἐν μηδενὶ αὐτοὺς ὠφέλησεν ὁ Πάπας, ἀλλὰ καὶ ψυχικὰ καὶ σωματικὰ αὐτοὺς ἔφθειρε. χειροτονεῖται εἰς Βυζάντιον Πατριάρχης ἄθεσμος Κυζίκου Μητροφάνης, καὶ σπεύδει βεβαιῶσαι τὸν παπισμὸν, καὶ οἱ μὲν, ἀπατῶνται. οἱ δὲ, ἑδραῖοι ἵστανται, τέλος πάντων γίνεται Σύνοδος εἴστε τὴν Ἀνατολὴν ὑπὸ τῶν τριῶν Πατριαρχῶν, καὶ εἰς Βυζάντιον πληρεστάτη, καὶ εἰς ἄλλους πολλοὺς τόπους ὑπὸ τῶν ὀρθοδόξων, καὶ ἀναθεματίζουσι τοῦτον τὸν Φλωρεντινὸν σύλλογον καὶ τὸν Ὅρον καὶ πᾶσαν τὴν πρᾶξιν καὶ ἀπόφασιν αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὅτι ἡ ἐν Φλωρεντείᾳ Σύνοδος οὔτε οἰκουμενική ἐστιν οὔτε ἁγία, ἀλλὰ δολία, τυραννικὴ καὶ παράνομος.

Τὰ ἴδια τῶν ἁγίων Συνόδων ἴδε κατὰ πλάτος εἰς τοὺς τόπους ἑκάστης τῶν ἑπτά. Εἰς τὴν παροῦσαν πραγματείαν, καὶ συντόμως εἰς τὸ τρίτον μέρος τοῦ παρόντος βιβλίου, ἐν οἷς παραβαλλόμενα τὰ ἀνωτέρω δύο κεφά-

κεφάλαια, γίνεται φανερὸν, ὅτι ἡ παροῦσα Σύνοδος ἐστὶ κατὰ πάντα τρόπον παράνομος, καὶ γὰρ μήτε ὁ τρόπος τῆς ἀθροίσεως, μήτε ἡ ἄθροισις, μήτε τὰ δίκαια τοῦ Βασιλέως καὶ τοῦ Πατριάρχου καὶ τῶν Τοποτηρητῶν τῶν λοιπῶν Πατριαρχῶν καὶ τὰ τῶν Ἀρχιερέων καὶ Κληρικῶν γεγόνασι κατὰ τὸ ἀρχαῖον ἔθος, μήτε ἡ τάξις τῶν μαρτυριῶν καὶ διαλέξεων καὶ ἡ τῆς ἀληθείας εὕρεσις καὶ ἀπόφασις ἐφυλάχθησαν, ἀλλὰ πάντα ἀντικειμένως ἐνηργήθησαν καὶ κακοτρόπως ἐτελειώθησαν. ἀλλὰ δὴ καὶ οἱ Ἕλληνες οὐκ ἐξ ἀποκρύφων τινῶν βιβλίων καὶ τοῖς λοιποῖς ἀγνώστων, οὐδ' ἐξ ἀμφιβόλων καὶ νενοθευμένων, ἀλλ' ἐξ αὐτῶν τῶν θείων γραφῶν καὶ τῶν παρὰ πᾶσιν ὁμολογουμένων ἀποφάσεων τῶν ἁγίων τοὺς λόγους ἐποιοῦντο καὶ τὰς διαλέξεις, οἱ δὲ Λατῖνοι ἐκ τῶν ἀποκρύφων καὶ ἀγνωρίστων καὶ διεφθαρμένων. εἰδοκεῖ δὲ ἐκθετέον ἐν λόγοις καὶ τινὰ, ἐξ ὧν ὁ μέγας Ἐκκλησιάρχης Σίλβεστρος ὁ Συρόπουλος περὶ αὐτῆς ἱστόρησε, καὶ ἄθροι. ὁ Πάπας Μαρτῖνος εἶπε τοῖς πρὸς αὐτὸν πρέσβεσι τοῦ Βασιλέως Μανουὴλ, ὅτι ἐὰν γένηται ἡ Σύνοδος παρελθόντος μου, ἡ ἕνωσις οὐ καλὴ γενήσεται. ὁ Πατριάρχης ἔλεγεν εἰς Βυζάντιον, Ἀπιέναι ἡμᾶς εἰς Ἰταλίαν, καὶ ἔχειν τὴν ζωοτροφίαν καὶ τὴν δαπάνην ἡμῶν παρὰ τῶν Λατίνων, ἐστὶ τὸ γενέσθαι ἡμᾶς δούλους αὐτοῖς καὶ μισθωτοὺς, καὶ ἐστὶ χρεία ὡς δούλους ποιεῖν ἡμᾶς τὸ θέλημα τῶν Κυρίων ἡμῶν, ἐὰν γὰρ μὴ τοῦτον ποιῶμεν, πῶς δυνάμεθα ἐπιστρέψαι εἰς τὴν πατρίδα ἡμῶν; ὁ Βασιλεὺς οὐκ εἶχε σκοπὸν χριστιανικὸν περὶ τῆς ἑνώσεως, ἀλλὰ νομίζων ὅτι ἐὰν γένηται ἕνωσις, βοηθοῦσιν αὐτῷ οἱ Λατῖνοι κατὰ τῶν Ὀθωμανῶν, ἐσπούδαζε μετὰ πονηριῶν ποιῆσαι ἕνωσιν ὡς ὁ πρόπαππος αὐτοῦ Μιχαὴλ, ὅθεν εἰς γράμμα ὑπερήφανον τοῦ Πάπα Εὐγενίου, ἀποκομισθεὶ ἀπὸ τῆς Ῥώμης εἰς Βυζάντιον ὑπὸ τῶν πρέσβεων αὐτοῦ, εἰπόντα τὸν Μιδείας Στέφανον τὰ πρέποντα, ἐξύβρισεν ὁ Βασιλεὺς ὡς ἄγροικον. οὐκ εἴασε τοὺς Πατριάρχας πέμψαι Τοποτηρητὰς ἰδίους, ἀλλὰ κατεσκεύασε καὶ ἐποίησεν ἰδίους, καὶ διένειμε τοὺς τόπους καὶ τὰς γνώμας τῶν Πατριαρχῶν ὡς Ὀφφίκια. οὐκ ἀφῆκε τὰ γράμματα ὡς ἐκεῖνοι ἔγραψαν αὐτὰ μετὰ διορισμῶν κατὰ τὴν συνήθειαν, ἀλλὰ πέμψας αὐτὰ ὀπίσω, ἠπάτησεν αὐτοὺς καὶ ἔγραψαν ἕτερα ἀδιωρίστως, ὅπερ παράνομον. μελλόντων ἀποδημεῖν τῶν Ἑλλήνων διὰ τὴν Σύνοδον, γέγονεν εἰς Βυζάντιον μέγας σεισμὸς, καὶ ἐνομίσθη θεομηνία. ἀνεμνήσθησαν δὲ οἱ Βυζάντιοι μετὰ τὸν σεισμὸν εὐθὺς τοῦ Ἀστρονόμου, εἰπόντος Μανουὴλ τῷ Βασιλεῖ, ὅτι ὁ ἕβδομος τῶν Παλαιολόγων μέλλει ποιήσειν τὴν ἕνωσιν, καὶ μέλλει γενήσεσθαι πολὺ κακὸν εἰς τοὺς Χριστιανοὺς, ὡς εἶπε δηλονότι καὶ ὁ Σιγισμοῦσδος, ὡς εἴρηται ἀνωτέρω. οἱ Τοποτηρηταὶ τῶν Πατριαρχῶν εἰς τὴν Ἰταλίαν ἐμάχοντο περὶ πρωτοκαθεδριῶν, μὴ φροντίζοντες τοῦ σώματος τοῦ Χριστοῦ, ἀλλὰ τοῦ ἰδίου συμφέροντος, ὅθεν προὐξενήθη μέγα κακὸν, ὅτι μαχομένων ἀλλήλων τῶν Ἑλλήνων, ἐγένοντο τινὲς προδόται τῆς πίστεως. περὶ τοῦ παραλόγου τῶν γινομένων ἐν τῇ Συνόδῳ τοῦ Ἡρακλείας, τοῦ Ἐφέσου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ Νομοφύλακος φυγεῖν βουληθέντων, ὑπέστρεψεν αὐτοὺς ὁ Βασιλεὺς βιαίως, καὶ προσέταξε χωρὶς τῆς βούλλης αὐτοῦ μηδένα ἄλλοσε ἀναχωρεῖν. ἐλιμοκτόνησεν αὐτοὺς πολλάκις μὴ διδοὺς ὁ Πάπας τὸ σιτηρέσιον, καὶ ἰδόντες ὅτι αὐθίστανται καὶ τῇ πείνῃ καὶ ταῖς ἄλλαις κακώσεσιν, ἃς ἐποίουν αὐτοῖς, ὁ Βασιλεὺς, ὁ Πάπας καὶ ὁ Πατριάρχης, μετέφερον αὐτοὺς εἰς τὴν Φλωρεντείαν (καίτοιγε ἑτέραις προφάσεσιν) ἵνα ἀπογνωσθῶσι καὶ ἑνωθῶσιν αὐτοῖς εἰς τὴν Φλωρεντείαν, καὶ ἴδε τὴν δεκάτην πέμπτην συνέλευσιν τῆς Συνόδου, ἵνα γνῷς τὰς πονηρίας καὶ τὰς ὑποσχέσεις τοῦ Πάπα δι' ὧν ἠπάτησε καὶ ἐβίασε. θέλοντα ἐξελθεῖν καβαλλάριον τὸν Νικαίας, ὑπέστρεψαν αὐτὸν οἱ φύλακες εἰπόντες, ἔχουσι πρόσταγμα τοῦ Βασιλέως μὴ ἐὰν αὐτοὺς ἐξιέναι. ἐν τούτοις ἔγραψαν καὶ τινὲς φίλοι ἀπὸ τοῦ Ἀγκῶνος τοῖς Ἕλλησιν, ὅτι ἄρα κατενοήσατε ὅτι ἐστὲ περιωρισμένοι; ὁ Πατριάρχης πλανηθεὶς ὑπὸ τοῦ Βασιλέως λέγοντος, ὅτι μέλλει ἡ ἕνωσις προξενήσειν μέγα καλὸν εἰς τὴν Κωνσταντινούπολιν, καὶ θέλων καὶ αὐτὸς ὁπωσδήποτε γενέσθαι τὴν ἕνωσιν, ὑπεκρίνετο ἀσθένειαν. ὁ Βασιλεὺς ἠσχολεῖτο εἰς τὰ κυνηγέσια, οἱ Ἕλληνες ἐπείνων, καὶ ταῦτα πάντα, ἵνα βιασθῶσι ποιῆσαι τὴν ἕνωσιν. ὁρῶντες δὲ ὁ Βασιλεὺς καὶ ὁ Πατριάρχης τοὺς μὲν Ἕλληνας ἰσχυρῶς διαλεγομένους καὶ λύοντας πᾶσαν πρότασιν τῶν Λατίνων, ἀποροῦντας δὲ τοὺς Λατίνους ἀποκριθῆναι αὐτοῖς εἰς τὰς ἐρωτήσεις, κατέλιπον τὰς διαλέξεις, καὶ μόνον τρόπους ἑνώσεως διενοοῦντο. ὅθεν ἀπεῖργον τὸν Ἐφέσου ποτὲ μὲν διαλέγεσθαι ἐλευθέρως, ἀλλ' ὡς ἐκεῖνοι ἐβούλοντο, ποτὲ δὲ προσέταττον αὐτῷ σιωπᾶν παντελῶς, καίτοι τῶν Λατίνων ταύτας τὰς σκευωρίας εἰδότων μὲν, ὑποκρινομένων δὲ μὴ εἰδέναι, καὶ βοώντων, Ποῦ ἐστιν ὁ Ἐφέσου, ἵνα ἀκούσῃ. κατὰ δὲ τοὺς τρόπους καθ' οὓς ἐζήτουν ποιῆσαι τὴν ἕνωσιν ὡς προφανῶς ἀσεβεστάτους, εἰπὼν ὁ Μονεμβασίας τῷ Βασιλεῖ, ἴδε μὴ ποιήσῃς ὡς Μιχαὴλ ὁ λατινόφρων, εἰς οὐδὲν ἐλογίσθη, ἀλλὰ καὶ τὸν Ἡρακλείας ἐξύβρισεν ὁ Βασιλεὺς καὶ ἄλλους. ὁμολογοῦντος δὲ τοῦ Βασιλέως τὸν λατινισμὸν, ἐθρήνει σὺν αὐτῷ ὢν ὁ κύων αὐτοῦ, ἐλέγχων τὸν ἐπίβουλον τῆς εὐσεβείας, ὡς πάλαι ἡ ὄνος ἤλεγξε τὸν ἐπίβουλον τοῦ Ἰσραὴλ Βαλαὰμ, ὅ, τε Πατριάρχης εἰπὼν τὸν λατινισμὸν, ἐξελθούσης τῆς κόπρου αὐτοῦ ἐκ τοῦ στόματος αὐτοῦ, ἐξέψυξεν ἐν τῇ τραπέζῃ ἐσθίων, καὶ ὡς ἄλλος Ἄρειος αὐτεστραμμένως διερράγη. ἐπραγματεύετο ὁ Βασιλεὺς γραφῆναι τὸν Ὅρον, ἔχων συνεργοὺς τὸν Νικαίας, τὸν Ῥωσίας καὶ τὴν Μαμμὴν, καὶ ὅμως ἤρισε διὰ τὸν Ὅρον ὁ Βασιλεὺς, ὁ πρότερον κατὰ τὸν Συρόπουλον λέγων, Ὁριζέτωσαν οἱ Λατῖνοι ἀναμέσον αὐτῶν ὅ, τι θέλουσιν, ἀλλ' ὁ συνοδικὸς Ὅρος οὐκ ἰσχύσει, ὃν ἐγὼ οὕτως ἐννοῶ, ὅτι ἐκεῖνος μόνος ἔσται συνοδικὸς Ὅρος, ὅταν ἑκάτερον μέρος, καὶ ἡ Λατίνων δηλαδὴ καὶ ἡ Γραικῶν Ἐκκλησία εἰς ἓν καὶ τὸ αὐτὸ συμφωνήσωσι, τότε διὰ τὰς κενὰς ἐλπίδας ἐσιώπησε καὶ προϋπεγράφη ὁ Πάπας

Πάπας, ὅμως οὐ κατὰ τὸν τρόπον καθ' ὃν ὑπέγραψαν τοὺς Ὅρους οἱ πατέρες τῶν ἁγίων Οἰκουμενικῶν Συνόδων, ἀλλὰ μόνος, καὶ μάλιστα καθὼς οἱ Αἱρετικοὶ ὑπέγραψαν τὸν Ὅρον αὐτῶν ἐν τῇ ἐν Σελευκείᾳ Συνόδῳ, ἔνθα οἱ περὶ Σιλβανὸν τὴν ἐν τῇ Ἀντιοχείᾳ Ἔκθεσιν τὰς θύρας τοῦ εὐκτηρίου κλείσαντες, ὑπογράφοντες ἐκύρουν, Σωκράτης βιβλίῳ δευτέρῳ κεφαλαίῳ τριακοστῷ ἐνάτῳ, οὕτως ὁ Πάπας μόνος ὑπέγραφε πρὸ τῶν πατέρων ἐν τῷ ὑπερώῳ, μετὰ δὲ τὸ ὑπογράψαι τὸν Πάπαν μόνον, καὶ οὔσης ὑποψίας ὅτι οὐχ ὑπογράφουσιν οἱ Ἕλληνες, ὁ Μυτιλήνης ἔλεγε, Δότω μοι ὁ Πάπας φλωρία ἵνα δώσω εἰς πρόσωπα, καὶ κατασκευάσω αὐτοὺς εὐκόλως ἔχειν εἰς τὴν ὑπογραφὴν τοῦ Ὅρου καὶ πρὸς τὴν ἕνωσιν. ὁ Νικομηδείας ἐζήτησε παρὰ τοῦ Πάπα φελώνιον, καὶ τέως οἱ κακοδαίμονες φλωρία ἔλαβον, οὐχ οἱ ἔγκριτοι. ἠπατήθησαν λοιπὸν οἱ Ἕλληνες τινὲς μὲν φλωρίοις, τινὲς δὲ κολακείαις τοῦ Πατριάρχου, καὶ τινὲς ἄλλαις πονηρίαις, ἵνα ὑπογράψωσιν εἰς τὸν Ὅρον. οἱ δόκιμοι δὲ ἐπετιμῶντο σφοδρῶς μὴ λαλεῖν, μόνον ὑπογράφειν, εἰς δὲ τὴν γνωμοδότησιν οὐκ ἐρωτῶντο ἵνα εἴπῃ ἕκαστος τὴν γνώμην αὐτοῦ ἐλευθέρως, ἀλλὰ τινὲς μὲν ἐσκώπτοντο ὑπὸ τοῦ Βασιλέως, τινὲς δὲ ἐβιάζοντο, καὶ πάντες ἐκελεύοντο ὑπογράφειν καὶ σιωπᾶν. ὑπεγράφη ὁ Ὅρος οὐχὶ κοινῶς, ἀλλὰ ἀλλαχοῦ ἔγραψαν οἱ Ἀρχιερεῖς, ἄλλῃ οἱ Κληρικοὶ, καὶ ἄλυδις ὁ Πάπας. ὁ Ὅρος οὐκ ἐγράφη κατὰ τὴν τάξιν τῶν ἁγίων Συνόδων, ἤγουν οὐκ ἐγράφη τὸ Σύμβολον τῆς πρώτης καὶ δευτέρας τῶν Συνόδων ἐν τῇ ἀρχῇ τοῦ Ὅρου, οὐκ ἐγράφη ἐκ μέρους τῶν πατέρων, ἀλλὰ μόνον τοῦ Πάπα, καὶ ἴδε τῆς Συνόδου τὴν εἰκοστὴν πέμπτην πρᾶξιν, οὐκ ἐτέθησαν ῥητῶς αἱ μαρτυρίαι τῶν πατέρων, καὶ τέως οὐδὲ μίαν ὁμοιότητα ἔχει οὗτος ὁ Ὅρος μετὰ τῶν Ὅρων τῶν Οἰκουμενικῶν ἑπτὰ ἁγίων Συνόδων. περὶ τοῦ ἁγίου Πνεύματος καὶ Ἀζύμων καὶ Πουργατορίου καὶ τῶν λοιπῶν ξένα καὶ ἀλλότρια τῆς εὐσεβείας ἐδίδαξε, περὶ δὲ τοῦ Πάπα τὸ οὐδὲν, τί γὰρ εἶχεν εἰπεῖν; ὅθεν εἶπεν ἔχειν αὐτὸν τὰ προνόμια ἅπερ εἶχε πρὸ τοῦ σχίσματος, καὶ ὡς ἐν τοῖς πρακτικοῖς τῶν Οἰκουμενικῶν Συνόδων καὶ τοῖς Κανόσι διαλαμβάνεται, ὅπερ ψεῦδος ἐστὶ φαιερὸν, καθότι οὐ τῆς καθόλου Ἐκκλησίας κεφαλὴν καὶ Διδάσκαλον εἶπον αὐτὸν αἱ Σύνοδοι καὶ οἱ Κανόνες, ἔχοντά τι ἰδικὸν προνόμιον, ἀλλὰ μόνον πρῶτον τῇ τάξει, ψευδὴς λοιπὸν διόλου καὶ ἡ ἀπόφασις αὐτῆς. οὐκ ἔβαλον δὲ εἰς αὐτὸν οἱ Ἕλληνες οὔτε ἀφορισμὸν οὔτε ἀνάθεμα, ἐπειδὴ εἶχον σκοπὸν ἀθετῆσαι αὐτόν. αὐτέστη ὁ Ἐφέσου τῷ Πάπᾳ συνοδικῶς προκαθημένῳ, ἠβουλήθη αὐτὸν ὁ Πάπας καθῆραι καὶ οὐκ ἐδυνήθη. ὁ Ἐπίσκοπος ὁ Τοποτηρητὴς τοῦ καθολικοῦ τῆς Ἰβηρίας κολακευόμενος ἵνα ὑπογράψῃ, πρῶτον μὲν ἔδειξε γράμμα τοῦ Ἀντιοχείας, τοῦ παραγγείλαντος αὐτῷ προσέχειν μὴ δέξασθαι μήτε πρόσθεσιν μήτε ἀφαίρεσιν, εἶτα φοβούμενος τὴν βίαν, ὑπεκρίθη τὸν φρενίτην καὶ ἔφυγεν. ὁ Ἄρχων τοῦ Βασιλέως Ἰβηρίας ἐλέγξας τὸν Πάπαν συνοδικῶς προκαθήμενον, ὡς προφανῶς παρανομοῦντα, ἀνεχώρησεν. ὁ Δεσπότης ὁ ἀδελφὸς τοῦ Βασιλέως καὶ ὁσοφὸς Γεμιστὸς καὶ Γεώργιος ὁ Σχολάριος ἀνεχώρησαν εἰς τὴν Βενετίαν πρὸ τοῦ Ὅρου τῆς συνθέσεως καὶ ὑπογραφῆς. ἐζήτησαν λειτουργῆσαι οἱ Ἕλληνες παρόντος τοῦ Πάπα εἰς Φλωρεντείαν, καὶ φθονήσας τὸ λαμπρὸν τῆς τάξεως αὐτῶν, ἐκώλυσεν αὐτούς. ἐζήτησαν ἐκβαλεῖν τοὺς λατινοεπισκόπους ἀπὸ τῶν ἑλληνίδων πόλεων, ἵνα μὴ ὦσι δύο Ἐπίσκοποι εἰς μίαν πόλιν, καὶ ἀπέβαλε τοῦτο. μετέγραψαν οἱ Λατῖνοι τὸν Ὅρον, καὶ ὁ Βασιλεὺς εἶπε τοῖς Ἀρχιερεῦσι, μὴ ὑπογράψαι αὐτὸν, πρὶν ἢ λαβεῖν τὸ σιτηρέσιον, ἀλλ' οὔτε πάντες μεταταῦτα ἠθέλησαν ὑπογράψαι αὐτόν. εἰς τὴν Βενετίαν εἰπόντος τοῦ Βασιλέως λειτουργῆσαι πάντας τοὺς Ἀρχιερεῖς εἰς τὸν ἅγιον Μάρκον, ὁ Ἡρακλείας καὶ οἱ ἄλλοι ἀνεβάλοντο τὴν λειτουργίαν, ἵνα μὴ συγκοινωνήσωσι Λατίνοις, εἶτα ὅσοι ἐλειτούργησαν, ἐλειτούργησαν μετὰ Ἀντιμινσίου ἡμετέρου καὶ ἱερῶν σκευῶν ἡμετέρων, εἶπον τὸ Σύμβολον οἱ ἡμέτεροι ἄνευ προσθήκης, τοῦ Πάπα οὐκ ἐμνημόνευσαν, οὓς ἐπιστρέφοντας εἰς Βυζάντιον καθ' ὁδὸν ἀνεθεμάτιζον οἱ ὀρθόδοξοι ὡς λατινίσαντας.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Σύνοψις τῶν ἱστορουμένων τῷ μέγα Ἐκκλησιάρχῃ περὶ τῶν μετὰ τὴν ἐν Φλωρεντείᾳ Σύνοδον ἐν Κωνσταντινουπόλει γενομένων, δι' ὧν δείκνυται αὐτῆς ἡ ματαιότης.

Εὕρομεν ἐντινι παλαιῷ χειρογράφῳ, ὅτι ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ τεσσαρακοστῷ ἕκτῳ, Δεκεμβρίου πρώτῃ ἐπέρασεν ὁ Βασιλεὺς, ὁ Πατριάρχης, Ἀρχιερεῖς εἰκοσιεννέα καὶ οἱ λοιποὶ Ἕλληνες, καὶ ἀπῆλθον εἰς τὴν Ἰταλίαν, ὑπέστρεψαν δὲ τῷ χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ ἐνάτῳ, Ἰαννουαρίῳ Μηνὶ, τῇ ἑβδομάδι τῆς Τυρινῆς, οὐκ ἐλειτούργησαν δὲ κατὰ τὰ Σάββατα καὶ τὰς Κυριακὰς οἱ Κληρικοὶ, οἵτινες ἦσαν εἰς Ἰταλίαν, ἐγίνετο γὰρ σύγχυσις, ὡς μὴ συλλειτουργούντων αὐτοῖς τῶν μεινάντων εἰς Κωνσταντινούπολιν Ἐκκλησιαστικῶν ὡς λατινίσασιν, οἵτινες εἰ καὶ συνελειτούργουν τῷ Ἄρχοντι τῶν Μοναστηρίων, καὶ τῷ Ἄρχοντι τῶν Ἀντιμινσίων, ἀλλ' ὡς μὴ δεξαμένοις μήτε ὑπογράψασι τὸν Ὅρον, τοῖς ἄλλοις δὲ οὔ, καίτοι πολλὰ μογήσαντος τοῦ Βασιλέως ἵνα συλλειτουργήσωσι. δεύτερον, λειτουργησάντων μεταταῦτα μόνων

νων τῶν ἐπανελθόντων ἀπὸ Ἰταλίας ἑνωτικῶν, ἔφυγον οἱ Ἱερεῖς καὶ παρῃτήσαντο τὴν Ἐκκλησίαν. τρίτον, καίτοι τῶν ἑνωτικῶν λειτουργησάντων, ἀλλ' οὔτε ὁ Ὅρος ἀνεγνώσθη, οὔτε ὁ Πάπας ἐμνημονεύθη. τέταρτον, ἕως εἰς τρεῖς μῆνας ὁ Βασιλεὺς οὐδὲν εἶπε περὶ ἑνώσεως, ἀλλὰ καὶ οἱ πολῖται οὐκ ἐμνημόνευον τοῦ Βασιλέως εἰς τὰς Ἐκκλησίας ὡς λατινίσαντος. πέμπτον, ἐλθόντων Ἀρχιερέων καὶ τῆς Συγκλήτου εἰς τὸ ψηφίσασθαι Πατριάρχην μετὰ τοὺς τρεῖς Μῆνας, ὁ μὲν Ἐφέσου οὐκ ἀπῆλθε παντελῶς, ὁ Ἡρακλείας δὲ ἀπελθὼν εἶπεν, Ἡμεῖς ὑπεγράψαμεν εἰς τὸν Ὅρον βίᾳ, καὶ ὅτι τὰ γενόμενα εἰς τὴν Φλωρεντείαν εἰσὶν ἀθέμιτα, καὶ ὅτι ἀθετεῖ ταῦτα, καὶ ὅτι δεῖ ἀποτεμεῖν αὐτοῦ τὴν χεῖρα διότι ὑπέγραψεν, εἰ καὶ βίᾳ. θελόντων δὲ αὐτῶν ψηφίσασθαι αὐτὸν Πατριάρχην, ἠθέτησε τοῦτο, εἰπὼν πάλιν ὅτι ἀθετεῖ τὴν ἕνωσιν. εἶπεν ὁ Βασιλεὺς βαλεῖν ἐν ταῖς ψήφοις τὸν Τραπεζοῦντος, καὶ ἐκεῖνος εἶπεν, ἡ ἕνωσις οὐκ ἔστι καλὴ, μήτε εὐσεβὴς, μήτε κατὰ Θεὸν γεγενημένη, καὶ παρῃτήσατο καὶ αὐτός. ἕκτον, ὁ Κυζίκου Μητροφάνης δεξάμενος τὴν ἕνωσιν, καὶ μετατεθεὶς Πατριάρχης, ἦν σχεδὸν ὁ αὐτὸς τῷ Κωνσταντινουπόλεως ἐπὶ Ἀναστασίου Βασιλέως τοῦ Δικόρου Τιμοθέῳ, καὶ ἴδε ἀνωτέρω βιβλίου τεταρτου κεφαλαίου δεκάτου τρίτου Παράγραφον δεύτερον, ἐπειδὴ τοῖς τὴν ἕνωσιν δεχομένοι δέδωκεν ἔγγραφον ὁμολογίαν κρυφίως, τῷ δὲ Χαρτοφύλακι καὶ Ἐκκλησιάρχῃ εἰποῦσιν αὐτῷ διορθῶσαι τὴν Ἐκκλησίαν, ἀπεκρίθη, προσκαλεσώμεθα τὸν Ἐφέσου καὶ τὸν Ἡρακλείας, καὶ ποιήσωμεν μετ' αὐτῶν τὴν διόρθωσιν, ἅπερ ἦσαν ἀπάτη, πλὴν οὐκ ἠπατήθησαν οἱ ἄριστοι, ὅθεν οὔτε ὁ Ἐφέσου οὔτε ὁ Ἡρακλείας ἦλθον εἰς τὸ μήνυμα. ἕβδομον, ἀπερχομένου τοῦ Πατριάρχου ἀπὸ τῶν Βασιλείων εἰς τὸ Πατριαρχεῖον, τοῦ λαοῦ τινὲς μὲν ἀπεστρέφοντο τὴν εὐλογίαν, τινὲς δὲ καὶ ἔφευγον, καὶ Ἱερέα τινὰ ἐλθόντα ἰδεῖν, διὰ τὸ εὐλογηθῆναι ὑπὸ τοῦ Πατριάρχου, ἀπεστράφησαν αὐτὸν οἱ ἐνορῖται αὐτοῦ. ὄγδοον, τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς ἐλειτούγησεν ὁ Πατριάρχης, ἀλλ' οὐ συνελειτούργησαν αὐτῷ ὁ Ἐφέσου καὶ ὁ Ἡρακλείας καὶ ὁ Χαρτοφύλαξ καὶ ὁ Ἐκκλησιάρχης, εἶτα τὸ ἑσπέρας ἔφυγεν ὁ Ἐφέσου εἰς Προῦσαν, καὶ ἀπῆλθεν εἰς Ἔφεσον, ὁ δὲ Ἡρακλείας ῥωμαλαίῳ φρονήματι, καίτοι γέρων ὤν, ἔφυγε πεζὸς τὸν ἄνομον Βασιλέα ὡς ὁ Ἠλίας τὴν Ἰεζάβελ, καὶ ἐσώθη εἰς Τουρουλλόν. ἔτι ὁ Χαρτοφύλαξ καὶ ὁ Ἐκκλησιάρχης ὑπὸ τοῦ Πατριάρχου καὶ τῶν Ἀρχόντων καὶ αὐτοῦ τοῦ Βασιλέως κολακευθέντες, βιασθέντες, ἀπειληθέντες πολλάκις, οὐκ ἐκοινώνησαν τῷ ἀνόμῳ Πατριάρχῃ. ἔνατον, ἔλεγον οἱ Ἄρχοντες οἱ μεσάζοντες τῷ Χαρτοφύλακι καὶ Ἐκκλησιάρχῃ, ὅτι μήτε ἡμεῖς λέγομεν γεγονέναι τὰ ἐν Φλωρεντείᾳ καλῶς, ὅμως διὰ οἰκονομίαν καὶ τὸ συμφέρον τῆς πατρίδος μεινάτω ὁ Ὅρος ἀργὸς, καὶ μόνον δεχθῆτε τὸ μνημόσυνον τοῦ Πάπα, ὅπερ ἐστὶ λόγος ψιλὸς, οἱ δὲ ἀντέλεγον θεολογικῶς, ὅτι πολύς ἐστιν ὁ τοῦ μνημοσύνου λόγος, ἐκεῖνοι γὰρ μνημονεύονται ἐπ' Ἐκκλησίας, ὅσοι εἰσὶν ὀρθόδοξοι καὶ κοινωνικοὶ πρὸς τὴν αὐτὴν Ἐκκλησίαν, οἱ δὲ ἀκοινώνητοι οὐ δὲ μνημονεύονται, οὐδὲ γὰρ ἔχει ἄδειαν τὶς τῶν Ἱερωμένων εὔχεσθαι ἐπ' Ἐκκλησίας ὑπὲρ ἀκοινωνήτου, ὁ δὲ Πάπας ἐστὶν ἀκοινώνητος, πῶς οὖν μνημονευθήσεται ὁ ἀκοινώνητος μετὰ τῶν κοινωνικῶν; ὁ δὲ μεσάζων εἶπεν ὁ Νοταρᾶς, οὐκ ἔστιν αὐτὸ μνημόσυνον εὐχῆς, καὶ τὰ ἑξῆς, οἱ δὲ τέλος εἰπόντες, ἐκεῖνοι μνημονεύονται, ὅσοι ὀρθοτομοῦσιν, ὁ δὲ Πάπας εἰσάγει τὰ νόθα, ὀρθοτομεῖ δὲ ὁ τέμνων τὰ νόθα, οὐχ ὁ εἰσάγων αὐτά. δέκατον, ὁ Πατριάρχης τὸν Ὅρον οὐκ ἀνέγνω, μόνον τοῦ Πάπα ἐμνημόνευεν ὡς λέγει καὶ Ἰωάννης ὁ Νομοφύλαξ εἰς τὴν ἀντίῤῥησιν τοῦ Ὅρου. ἐγένετο δὲ Πατριάρχης οὗτος ὁ Κυζίκου κατὰ τὴν Φρατζὴν ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ τεσσαρακοστῷ ἐνάτῳ. ἑνδέκατον, ὁ Δεσπότης ἔφυγε, καὶ ἠπείλει πόλεμον, ἐὰν παρατραπῇ τὸ ὀρθόδοξον φρόνημα. δωδέκατον, εἰρήνην ποιησάμενος μετὰ τοῦ Δεσπότου ὁ Βασιλεὺς, ἐζήτει σῆσαι τὴν ἕνωσιν, καὶ ἐποίησε διωρίαν ἡμερῶν δεκαπέντε γενέσθαι τὴν ἄθροισιν διὰ τὴν ἐξέτασιν καὶ βεβαίωσιν τῆς ἑνώσεως, ἀλλὰ τῇ δεκάτῃ τρίτῃ ἡμέρᾳ ὁ Πατριάρχης συσχεθεὶς νόσῳ βαρείᾳ καὶ ἀπροσδοκήτῳ, κακῶς ἐτελεύτησε, πατριαρχεύσας ἔτη τρία καὶ Μῆνας τρεῖς. δέκατον τρίτον, ἦλθε καὶ ὁ ἀνεψιὸς τοῦ Πάπα, καὶ ἐζήτει πεζεῦσαι ὅπου καὶ ὁ Βασιλεὺς εἰς τὰ βασίλεια, ἐψυχράνθη ἡ ἕνωσις, καὶ πάντοτε ὁ Βασιλεὺς ἦν ἀμελὴς εἰς τὴν ἕνωσιν. περὶ δὲ τοῦ αἰτίου τῆς ἀναβολῆς λέγει ὁ Λαόνικος, ὡς δὲ οἱ Ἕλληνες ἐπ' οἶκον ἐγένοντο, ὁ Εὐγένιος οὐδὲν λόγου ἄξιον ἐπράξατο πρὸς αὐτοὺς τὴν ἐπικουρίαν φέρον, αὐτίκα οἱ Ἕλληνες ἐτρέποντο, καὶ μετέμελεν αὐτοῖς καταλυσαμένοις πρὸς τὸν Ἀρχιρέα. οὐκ ἔπεμπε δὲ δι' αἰτίαν τήνδε, πόλεμος γὰρ ἐνῆπτο αὐτῷ κατὰ τὴν Ἰταλίαν ἐπὶ τοὺς Τυῤῥηνοὺς ἐπὶ χώρας διαφορᾷ, καὶ Στρατὸν ἔχων, καὶ δαπάνην καὶ Στρατηγὸν ἐπ' αὐτῷ προσήκοντα εἰς γένος ἄνδρα ἐλλόγιμον Πατριάρχην (ἤτοι τὸν Ἀλεξανδρείας ὡς λέγει ὁ Νομοφύλαξ) ὁ αὐτὸς Λαόνικος φησὶν, Εὐγένιος μετὰ τὴν Σύνοδον ἐβοήθει Βενετίκοις, ἰσχυρῶς μαχομένοις Λιγουρίοις. ἀφ' οὗ οὖν ἦλθεν ὁ Βασιλεὺς ἀπὸ Ἰταλίας εἰς Βυζάντιον, παρῆλθον ἔτη ὀκτὼ, καὶ κατ' οὐδένα τρόπον γεγονέτις σύστασις τῆς Συνόδου εἰς Βυζάντιον. σημείωσαι λέγοντα τὸν Νέποτα κεφαλαίῳ τριακοστῷ πρώτῳ, ὅτι οἱ ἀπὸ τῆς ἐν Φλωρεντείᾳ Συνόδου Ῥωμαῖοι ἐλθόντες εἰς Κωνσταντινούπολιν, καὶ ἐρωτώμενοι ὑπὸ τῶν λοιπῶν, τὶ ἐποίησαν, ἔλεγον, Ἐπωλήσαμεν τὴν πίστιν ἡμῶν, Ἀζυμῖται γεγόναμεν, κόψατε τὴν δεξιὰν ἡμῶν τὴν ὑπογράψασαν, ἐκριζώσατε τὴν γλῶσσαν ἡμῶν τὴν τοιαῦτα ὁμολογήσασαν, καὶ κεφαλαίῳ τριακοστῷ ἕκτῳ λέγει ὁ αὐτὸς, ὅτι οὐκ ἤθελον μεταλαβεῖν οἱ πολῖται ἐκ τῶν σχισματικῶν, ἤτοι τῶν λατινοφρονησάντων, καὶ δὴ καὶ ὁ Ἀμυρούτζης γράφων πρὸς Δημήτριον Ναυπλίου Ἡγεμόνα, αἰτήσαντα μαθεῖν περὶ τῶν ἐν Φλωρεντείᾳ γενομένων, δείκνυσιν ἐκείνην τὴν Σύνοδον ἐνπᾶσι κακῶς πεποιηκέναι.

ΚΕΦΑ'ΛΑΙΟΝ Ε'.

Ὅτι τὰ πρακτικὰ τῆς Φλωρεντινῆς Συνόδου ἐνοθεύθησαν ἐν πολλοῖς, ὡς ἐνταῦθα ἑξαχῶς δείκνυται.

Τὰ πρακτικὰ τῆς Συνόδου ταύτης ὅτι εἰσὶν ἐν πολλοῖς νενοθευμένα, ἐστὶ φανερὸν, πρῶτον, ὅτι μήτε πάντα εἰσὶν ὅσα ὁ Ἐκκλησιάρχης καὶ ἄλλοι ἱστορικοὶ καὶ πολλοὶ τῶν πατέρων σποράδην λέγουσιν, μήτε μὴν σύμφωνα ἐκείνοις, ὅτι δὲ ἐκεῖνοι ἀληθέστατοι, ἀναντίρρητον πολλῶν ἕνεκεν. δεύτερον, ὅτι περιέχουσι λόγους τινὰς ἐπιγραφομένους ποτὲ μὲν Γεωργίῳ τῷ Σχολαρίῳ, ποτὲ δὲ Γενναδίῳ Κωνσταντινουπόλεως, ὅπερ ἐστὶ ψεῦδος, ὡς δειχθήσεται. τρίτον, ὅτι ἑκουσίως ψεύδονται, λέγουσι γὰρ, ὅτι ὁ Ἐφέσου ἐρωτηθεὶς, Τὸ χορηγούμενον Πνεῦμα παρὰ τοῦ Υἱοῦ κτίστης ἐστὶν ἢ κτίσμα, ἐσιώπα, ὅπερ οὐχ οὕτως ἔχει, οὐ γὰρ ἐσιώπα, ἀλλ' ἔλεγε, Ταῦτα εἰσὶ παρὰ τὸ προκείμενον. τέταρτον, ὅτι νοθεύουσι τὸ ῥητὸν τοῦ ἁγίου Μαξίμου, καθότι ἄλλα λέγει ἡ ἐπιστολὴ, καὶ ἄλλως αὐτὴν προσέφερον οἱ Λατῖνοι, καὶ ἴδε τοὺς τόπους. πέμπτον, ὅτι συκοφαντοῦσι τὴν ἑβδόμην Σύνοδον, ὡς δῆθεν εἰποῦσαν ἐκείνην τὸ Σύμβολον τῆς δευτέρας Συνόδου μετὰ τῆς προσθήκης ἐκ τοῦ Υἱοῦ. ὅτι δὲ ἐψεύσθησαν οἱ Λατῖνοι, εἶπεν ὁ Γεμιστὸς, ὅτι εἰ ἦν τοῦτο ἀλήθεια, εἶπον ἂν αὐτὸ ὅσοι ἔγραψαν περὶ ταύτης τῆς ὑποθέσεως, μάλιστα δὲ τοῦτο μόνον ἤρκει βεβαιῶσαι τῶν Λατίνων τὸ δόγμα. σημειοῖ δὲ ὁ Γεώργιος ὁ Σχολάριος ἐν τῷ λόγῳ κατὰ τῆς Συνόδου ταύτης, ὅτι ἐν μιᾷ συνελεύσει ἐν τῇ Φερραρίᾳ εἰπόντος τοῦ Ῥόδου Ἀνδρέου ἐκ τῶν πράξεων τῆς ἑβδόμης Συνόδου, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ Πατρὸς καὶ Υἱοῦ, Πλατὼν ἐγέλασαν γέλωτα, ἡ γὰρ τοῦ Ταρασίου ὁμολογία ταῖς πράξεσιν ἐγκειμένη ἐκ Πατρὸς δι' Υἱοῦ λέγει ἐκπορεύεσθαι, οὐκ ἐκ Πατρὸς καὶ Υἱοῦ, ὅθεν καὶ αἰδεσθέντες κατέγνωσαν οἱ Λατῖνοι τοῦ ῥηθέντος Ἐπισκόπου, καὶ ἐξέβαλον τοῦ ὑπὲρ αὐτῶν διαλέγεσθαι, ἴδε καὶ ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παράγραφον εἰκοστὸν δεύτερον. ἕκτον, ὅτι παρήγαγον τὸ ῥητὸν τοῦ μεγάλου Βασιλείου νενοθευμένον καὶ ἀποκεκομμένον καὶ διεστραμμένον, ποιήσαντες αὐτὸ οὕτως ἢ αὐτοὶ, ὡς ἐποίησαν καὶ εἰς ἄλλα τῶν ἁγίων ῥητὰ καὶ ποιοῦσιν ἕως τῆς σήμερον, ἢ ὁ Βέκκος καὶ οἱ κατ' ἐκεῖνο καιροῦ λατινίσαντες ἔφθειραν καὶ τὸν μέγαν Βασίλειον καὶ ἄλλους τινὰς τῶν ἁγίων, ὡς μαρτυρεῖ Ἰωάννης ὁ Νομοφύλαξ ἐν τῇ ἀντιρρήσει τοῦ Ὅρου τῆς Συνόδου ταύτης. λέγει δὲ ὁ αὐτὸς Σχολάριος ἐν τῷ αὐτῷ λόγῳ, ὅτι οἱ Λατῖνοι προσέθηκαν τῇ Θεολογίᾳ τοῦ Χριστοῦ τοῦ Δεσπότου ἡμῶν, καὶ τῶν Οἰκουμενικῶν Συνόδων τῇ πίστει προσέθηκαν, τὶ οὖν θαυμαστὸν ἦν προσθεῖναι αὐτοὺς καὶ ἐν τοῖς τῶν Διδασκάλων βίβλοις, ὧν τὸ ἀξίωμα ἔλαττόν ἐστι τῶν Οἰκουμενικῶν Συνόδων.

ΠΑΡΑ'ΓΡΑΦΟΝ Β'.

Ὅτι καὶ ἀπὸ τῶν διεφθαρμένων πρακτικῶν τῆς Φλωρεντινῆς Συνόδου δείκνυνται αὐτῆς αἱ ἀνομίαι, ἐξ ὧν συνάγεται εἶναι αὐτὴν συνέδριον κοσμικὸν πονηρευομένων κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Πνεύματος αὐτοῦ.

Εἰ οὖν διεφθαρμένα εἰσὶ τὰ τοιαῦτα πρακτικὰ, ὅμως καὶ ἐξ αὐτῶν συνάγεται τὸ ἀθέμιτον τῆς Συνόδου ταύτης, συνάγεται γὰρ ἐξ αὐτῆς πρῶτον, ὅτι οἱ Ἀνατολικοὶ πάντα ὅσα οἱ Λατῖνοι προέφερον αὐτὰ διέλυσαν, τὴν λῆψιν δηλαδὴ καὶ τὴν ῥῆσιν τοῦ Ἐπιφανίου καὶ τὴν τάξιν κατὰ τὸν μέγαν Ἀθανάσιον καὶ τὸν μέγαν Βασίλειον, ἤγουν οἵαν τάξιν ἔχει καὶ φύσιν ὁ Υἱὸς πρὸς τὸν Πατέρα, ἔχει καὶ τὸ Πνεῦμα πρὸς τὸν Υἱόν. Καὶ, τὸ Πνεῦμα ἤρτηται μὲν τοῦ Υἱοῦ, τῆς δὲ τοῦ Πατρὸς αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι. Καὶ, πάντοτε οἱ Λατῖνοι νικηθέντες, ἐπεστηρίζοντο εἰς τὸ νόθον ῥητὸν τοῦ Βασιλείου, ὅτι δηλαδὴ ἀξιώματι δεύτερον ἐστὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα, παρ' αὐτοῦ ἔχον τὸ εἶναι, καὶ ὅλως τῆς αἰτίας ἐκείνης ἐξημμένον ἔχον τὸ εἶναι. ὅτι δὲ νόθον τὸ ῥητὸν, φανερόν ἐστιν ἐκ δύο τινῶν, πρῶτον, ὅτι τὸ, ὅΛΩΣ, δηλοῖ ὅτι τὸ Πνεῦμα ἔχει τὸ εἶναι ἐκ μόνου τοῦ Υἱοῦ, ὅπερ ἄθεον. δεύτερον, ἐδήλωσεν ὁ Ἐφέσου εἰπὼν, ὅτι πλείονα τῶν χιλίων βιβλίων εἰσὶν εἰς τὸ Βυζάντιον λέγοντα οὕτως. ἀξιώματι δὲ δευτερεύειν τοῦ Υἱοῦ τὸ Πνεῦμα, παραδίδωσιν ἴσως ὁ τῆς εὐσεβείας λόγος (καθ' ὑπόθεσιν δηλονότι καὶ ἀντιπαράστασιν) ἵν' ὅλως καὶ συγχωρήσωμεν. τέως, μὴ δὲ μίαν ἐλπίδα νίκης ἔλιπον οἱ Ἕλληνες ἔχειν τοὺς Λατίνους ἐκ τῶν προτεθέντων αὐτοῖς ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται καὶ ἐκ τοῦ Υἱοῦ. τρίτον, ὅτι ὁ Βασιλεὺς ἐχλεύαζε τοὺς ἐπιτρόπους τῶν Πατριαρχῶν, τοὺς δὲ λοιποὺς ἐβίασεν, ἔχων συνεργοὺς τὸν Νικαίας, τὸν Ῥωσίας καὶ τὸν πνευματικὸν, νομίζων διορθῶσαι τὴν Βασιλείαν διὰ τῆς μετὰ τῶν Λατίνων ἑνώσεως, ὅθεν ἐκώλυε τὸν Ἐφέσου διαλέγεσθαι, καίτοι τῶν Λατίνων ὑποκρινομένων μὴ εἰδέναι τὰς σκευωρίας, καὶ μεγαλορρημονούντων εἰς τὴν κακοσυνέλευσιν, Ποῦ ἐστιν ὁ Ἐφέσου ἵνα ἀκούσῃ; τέταρτον, ὁ ἀπονενοημένος Βασιλεὺς μετὰ τὸν τοσοῦτον κόμπον τῶν Λατίνων, πάλιν ἐκώλυεν ἰσχυρῶς τὸν Ἐφέσου καὶ τὸν Ἡρακλείας ἐλθεῖν εἰς τὴν συνέλευσιν, οὐ γὰρ περὶ τοῦ δόγματος ἔμελεν αὐτῷ, ἀλλὰ τρόπους ἐζήτει ἑνώσεως ὡς ὁ πρόπαππος αὐτοῦ Μιχαὴλ ὁ πρῶτος ἐν

τούτοις

τούτοις Διδάσκαλος τῆς ἀσεβείας, καὶ ἴδε πράξει εἰκοστῇ τρίτῃ λέγοντα αὐτὸν, Εὕρωμεν τρόπους ἑνώσεως, ὅτι τὸ ἀπελθεῖν ἡμᾶς χωρὶς βοηθείας, γίνεται εἰς τὴν πόλιν χείρονα τοῦ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ κακά. πέμπτον, ἐγένετο βία ἰσχυροτάτη ὑπὸ τοῦ Πάπα λιμοκτονοῦντος τοὺς Ἕλληνας, καὶ ἀρκεῖ ὅπερ εἶπεν εἰς τὴν εἰκοστὴν πέμπτην συνέλευσιν ἐν τῷ λόγῳ, οὗ ἡ ἀρχὴ, Ἐγὼ ἀδελφοὶ τῆς Ἀνατολικῆς Ἐκκλησίας λογάδες, Εἰς τὶ ὠφελήσει ἡ διαίρεσις ὑμᾶς; ὅμως εἰ τοῦτο γενήσεται (ἤγουν εἰ μὴ ἑνωθῆτε πᾶσι τρόποις Λατίνοις) πῶς μέλλεται ἀπελεύσεσθαι ὑμεῖς ἐν τῇ πατρίδι ὑμῶν; τῆς ἑνώσεως δὲ γεγενημένης, καὶ οἱ Ῥῆγες οἱ Δυτικοὶ καὶ ἡμεῖς πάντες μεγάλως βοηθήσομεν ὑμῖν κατὰ τῶν ἐν τῇ Ἀνατολῇ ἐθνικῶν. τὰ αὐτὰ ἔλεγε καὶ ὁ Ῥωσίας ἐν τῇ αὐτῇ συνελεύσει, Τὸ ἀπελθεῖν ἀπράκτους εὔκολόν ἐστι, τὸ δὲ πῶς, καὶ ποῦ, ἢ πότε μέλλομεν ἀπέρχεσθαι, οὐκ ἐπίσταμαι. ὅθεν ἐξεβόησεν ὁ Μονεμβασίας, Καὶ τὶ βούλεσθαι; διὰ τὸ ἀπελθεῖν ἡμᾶς ἐν τῇ πατρίδι μετὰ τῶν δαπανῶν τοῦ Πάπα, θέλετε ἵνα προδώσωμεν τὸ δόγμα ἡμῶν; ἡ βία οὖν ἐγένετο μακρὰ, ποικίλη καὶ ἰσχυρὰ παρὰ τοῦ Πάπα, τὸ μὲν, ὅτι εἰ μὴ ἑνωθῶσιν, ὀπίσω οὐχ ὑποστρέφουσι, τὸ δὲ, ἐλπίσι κεναῖς, καὶ τῇ πείνῃ οὕτω βιάσας καὶ ἀπατήσας ἥνωσεν, ἔπειτα ἐψεύσθη μηδὲν βοηθήσας, μάλιστα δὲ ἡ ἕνωσις αὕτη ἐγένετο αἰτία προσεχὴς καὶ ἔλαβον τὴν πόλιν οἱ Ὀθωμανοὶ, καὶ ἴδε κατωτέρω. ἕκτον, οὐδεὶς τῶν Πατριαρχῶν ἔγραψεν εἰς τὸν Ὅρον, ὁ γὰρ Κωνσταντινουπόλεως προετελεύτησεν, ὡς εἴρηκεν ἀνωτέρω ὁ Σίλβεστρος, καὶ ἐμαρτύρησαν ἥτε ἐπὶ Κωνσταντίνου τοῦ Βασιλέως εἰς τὴν ἁγίαν Σοφίαν Σύνοδος καὶ ὁ Γεμιστὸς ἐν τῇ πρὸς Βησσαρίωνα ἐπιστολῇ καὶ Ἀμυρούτζης ἐν τῇ πρὸς Ἀλέξιον Ναυπλίου Ἡγεμόνα ἐπιστολῇ. ἕβδομον, ὁ Ἐφέσου ἦν Ἔξαρχος πάσης τῆς Ἀνατολικῆς Ἐκκλησίας, καὶ ἀντέστη καὶ Πάπα καὶ Βασιλεῖ καὶ Πατριάρχῃ οὐ κρυφίως, ἀλλὰ φανερῶς καὶ συνοδικῶς, καὶ εἰς τὸν Ὅρον οὐχ ὑπέγραψεν, εἰς δὲ τὴν Κωνσταντινούπολιν τὴν Σύνοδον παῤῥησίᾳ ὡς κοσμικὴν ἀπεκήρυξε, καὶ ὡς βλάσφημον κατέκρινε καὶ λόγοις καὶ συγγράμμασι, καὶ ἐπὶ τούτοις πᾶσιν, ὑπ' οὐδενὸς τῶν Πατριαρχῶν, οὔτε Ἀρχιερέων, ἢ Βασιλέων ἠλέγχθη, οὔτε καθῃρέθη, οὔτε μὴν ὅλως ἐπετιμήθη, ἢ κατεφρονήθη. ὄγδοον, οἱ Πατριάρχαι τῆς Ἀνατολῆς οὐκ ἐδέξαντο τὰς ὑπογραφὰς τῶν Τοποτηρητῶν αὐτῶν, ἀλλ' ἠθέτησαν αὐτὰς καθάπαξ, ἡ γὰρ τῶν πεμπομένων ὑπογραφὴ οὐδὲν ἰσχύει εἰ ἐστὶ παρὰ γνώμην τοῦ πέμποντος. ἦσαν λοιπὸν ἐν τῇ παρούσῃ Συνόδῳ αἱ ὑπογραφαὶ τῶν Τοποτηρητῶν ἄκυροι, ὅτι ἀπωθήσθησαν ἀπὸ τῶν τότε Πατριαρχῶν καὶ ἀπὸ τῶν μετέπειτα, ὡς καὶ Ἀντωνῖνος Λατῖνος ἱστορικὸς ἐν τῷ τρίτῳ μέρει τῆς ἱστορίας αὐτοῦ Τίτλῳ εἰκοστῷ δευτέρῳ, καὶ Λεοναρδος ἱστορικὸς καὶ αὐτὸς Λατῖνος καὶ ὁ Γεμιστὸς καὶ ὁ Ἀμυρούτζης λέγουσιν, Ἦν δὲ τῶν Πατριαρχῶν ἡ πρώτη καὶ κυρίως ἐπιτροπὴ, ὅπως γένωνται οἱ ἀγῶνες σὺν ἀληθείᾳ, καὶ οὕτω γινομένης τῆς Συνόδου νομίμου, τῷ νικήσαντι ἵνα ἰσχύῃ ἡ συνοδικὴ ψῆφος. ἔνατον, οἱ Λατῖνοι ἔλεγον, ὅτι διὰ τοὺς Ἀρειανοὺς ἐγένετο ἡ προσθήκη, προφανῶς ψευδόμενοι, οὐ γὰρ ἦσαν Ἀρειανοὶ ὅτε ἐγένετο ἡ προσθήκη, ὅμως τοῦ Ἐφέσου εἰπόντος, Εἰ δι' οἰκονομίαν ἐβλήθη ἡ προσθήκη ὡς λέγετε, δι' οἰκονομίαν ἀφαιρεθήτω, ὅπως εἰρήνη ταῖς Ἐκκλησίαις ἐπεισαχθῇ, οἱ Λατῖνοι πρὸς ταῦτα ἀποκρινόμενοι ἔλεγον, Οὐ δυνάμεθα, σωζομένης τῆς ἡμετέρας τιμῆς, καὶ οὕτω προετίθουν τὴν τιμὴν τῶν ἀνθρώπων τῆς τοῦ Θεοῦ τιμῆς. δέκατον, οἱ Ἀνατολικοὶ ἐπὶ τῶν διαλέξεων, ὡς εἴρηται, μᾶλλον ἴσχυον, καὶ τῶν Λατίνων κατακράτος περιεγένοντο, καὶ σκέψαι ὅτι ἐσιώπων ὅτε προεβάλλοντο αἱμαρτυρίαι, καὶ δὴ καὶ κατὰ τῶν ἁγίων πατέρων ἐν τῇ εἰκοστῇ πέμπτῃ συνελεύσει προὐβάλλοντο τὴν, ΔΙΑ', ΑΝΤΙ' ΤΗΣ, ΕΚ, καὶ τέως ἐπεστηρίχθη ἡ Σύνοδος αὕτη μαρτυρίαις νόθαις καὶ ἀποκεκομμέναις καὶ διεφθαρμέναις καὶ δεδολιευμέναις, καὶ ἐνεργείαις καὶ συστάσεσιν ἀντικειμέναις ταῖς ἁγίαις Οἰκουμενικαῖς Συνόδοις; ὅθεν οὔτε Οἰκουμενική ἐστιν οὔτε ἁγία, ἀλλὰ συναγωγὴ πονηρευομένων καὶ συνέδριον κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Πνεύματος αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῶν γενομένων κατὰ διαφόρους τόπους καὶ ἔθνη ὑπὸ Αὐθεντῶν, Ῥηγῶν, Βασιλέων καὶ κατ' ἰδίαν Συνόδων, τῶν ἀναθέματι καὶ κατακρίσει καθυποβαλουσῶν τὴν φλωρεντινὴν Κουστῳδίαν, καὶ τῆς ἐν πάσαις ταῖς Συνόδοις νίκης τῶν Ἀνατολικῶν, ἐξ ὧν Πλάτινας, Τριθέμιος, Ψευδογεννάδιος, Ψευδοσχολάριος, καὶ ὅσοι τῆς καθολικῆς Ἐκκλησίας ἀποστάται δείκνυνται ψεῦσται.

Ἐπὶ Μανουὴλ τοῦ Παλαιολόγου ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ δεκάτῳ ἑβδόμῳ ἐχειροτονήθη Μητροπολίτης Ῥωσίας φώτιος ὅσιος ἀνὴρ, οὗ κοιμηθέντος, καλῶς ἐψηφίσατο ἡ ἐν Ῥωσίᾳ Σύνοδος εἰς Μητροπολίτην τὸν Ῥεζανίου Ἀρχιεπίσκοπον Ἰωναῦ, ἐν τούτοις δὲ Ἰσίδωρός τις κακομήχανος ἄνθρωπος πανουργίαις χρησάμενος, ἐχειροτονήθη Ῥωσίας πρὶν ἢ φθάσαι τὸν Ἰωναῦ εἰς Βυζάντιον, παραγενομένου δὲ τοῦ Ἰωνᾶ εἰς Βυζάντιον, εἶπεν ὁ Κωνσταντινουπόλεως τῷ Ἰσιδώρῳ, Ἰσίδωρε ἐπειδὴ πονηρίαις ἐχειρο-

ἐχειροτονήθης, οὐτελεσφορήσεις. ἀπελθόντος οὖν τοῦ Ἰσιδώρου εἰς Ῥωσίαν, κἀκεῖθεν σταλέντος εἰς τὴν ἐν Φλωρεντείᾳ Σύνοδον, ὅπου ἀγωνισαμένου, καὶ ἐπανελθόντος εἰς Ῥωσίαν τοῦ διδάξαι τὸν λατινισμὸν, ὁ μέγας Κνέζης Βασίλειος τὴν μὲν Σύνοδον καὶ τὴν κατ' αὐτὴν ἕνωσιν μετὰ πάσης τῆς ἐν τῇ Ῥωσίᾳ Ἐκκλησίας ἀνεθεμάτισε, τὸν δὲ Ἰσίδωρον καθεῖρξεν εἰς σκοτεινὴν φυλακὴν, ὅθεν φυγὼν ἐκεῖνος ἀπῆλθεν εἰς Ῥώμην, ὅπου γενόμενος Καρδηνάλις Πολωνίας, ἐτελεύτησε, ταῦτα λέγουσι τὰ ἱστορικὰ τῶν Ῥώσων. δεύτερον, ὁ Κράλης Σερβίας μήτε Τοποτηρητὰς ἔσταλε, μήτε γράμματα εἰς τὴν Σύνοδον, μήτε ἐδέχθη αὐτήν. τρίτον, ὁ Βοεβόδας Μολδοβλαχίας ἐπανελθόντος τοῦ Νεάγωγι καὶ τοῦ Μητροπολίτου ἀπὸ τῆς Συνόδου, ἀπέβαλεν αὐτὴν καὶ ἀνεθεμάτισε. τέταρτον, τὰ αὐτὰ ἐποίησαν καὶ πάντες οἱ Ἴβηρες, Μεγγρέλοι, Σουάνοι, Ἀλβανοὶ, Ἀβασγοὶ, καὶ τὰ περὶ τὴν Ἰβηρίαν ὀρθόδοξα ἔθνη. πέμπτον, τὰ αὐτὰ ἐποίησε καὶ ὁ Βασιλεὺς Τραπεζοῦντος, καὶ ἅπασα ἡ Ἀνατολὴ καὶ Δύσις. ἕκτον, ἐγένετο Σύνοδος πατέρων δεκαεπτὰ, καὶ ἔγραψαν τῷ Βασιλεῖ Ἰωάννῃ κατὰ ταύτης τῆς ἐν Φλωρεντείᾳ Συνόδου, ἐν οἷς ἦσαν οἱ πλείους τῶν ἐπανελθόντων ἀπὸ τῆς ἐν Φλωρεντείᾳ Ἐπισκόπων καὶ Κληρικῶν, κεῖται δὲ ἡ ἀναφορὰ αὐτῶν εἰς τὸ τέλος τοῦ Συνταγματίου Νεκταρίου Ἱεροσολύμων. ἕβδομον, ὁ Νικομηδείας Μακάριος καὶ ὁ Νομοφύλαξ Λέων ὄντες καὶ αὐτοὶ ἐν τῇ Φλωρεντείᾳ, συνέγραψαν ἰδίαν κατάκρισιν τῆς Συνόδου, ἥτις καὶ αὐτὴ κεῖται εἰς τὸ Σύνταγμα τοῦ Νεκταρίου. ὄγδοον, συνέλευσις ἐγένετο ἐν τῇ ἁγίᾳ Σοφίᾳ πληρεστάτη Ἐπισκόπων, Κληρικῶν, Ἡγουμένων καὶ Διδασκάλων, καὶ ἀπέβαλε τὴν Σύνοδον μετὰ ἐπιτιμίου ἀναθέματος, ἥτις κεῖται ἐν τῇ Καταλλαγῇ. ἔνατον, Σύνοδος ἐγένετο ἐν τῇ Ἀνατολῇ, ἤτοι ἐν Ἱεροσολύμοις τῶν τριῶν Πατριαρχῶν Φιλοθέου Ἀλεξανδρείας, Δωροθέου Ἀντιοχείας καὶ Ἰωακεὶμ Ἱεροσολύμων, παρόντος καὶ τοῦ Καισαρείας Ἀρσενίου, καὶ ἀνεθεμάτισε τὴν Σύνοδον ταύτην τῆς Φλωρεντείας ἐν ἔτει τῷ κοσμικῷ ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ πεντηκοστῷ πρώτῳ, καὶ ἐκάθηρε καὶ ἀνεθεμάτισε τὸν Κωνσταντινουπόλεως Μητροφάνη τὸν λατινόφρονα, κεῖται δὲ τὸ συνοδικὸν ἐν τῷ Συνταγματίῳ τοῦ Νεκταρίου. δέκατον, οἱ εἰρημένοι Πατριάρχαι Ἀλεξανδρείας καὶ Ἀντιοχείας καὶ ὁ μετὰ Ἰωακεὶμ Θεοφάνης Ἱεροσολύμων ἐλθόντες εἰς Κωνσταντινούπολιν, καὶ Σύνοδον ἀθροίσαντες ἐν τῇ ἁγίᾳ Σοφίᾳ ἐπὶ Κωνσταντίνου τοῦ Βασιλέως, τὸν μὲν Γρηγόριον ψευδοπατριάρχην ἐδίωξαν τοῦ θρόνου, Ἀθανάσιον δὲ ὀρθόδοξον προέβαλον, εἶτα συνοδικῶς καὶ ἀποδεικτικῶς ἀπέβαλον τὴν ἐν Φλωρεντείᾳ ταύτην κουστῳδίαν, καὶ τῷ ἀναθέματι παρέπεμψαν, κεῖται δὲ ἡ Σύνοδος ἐν τῇ Καταλλαγῇ. ἑνδέκατον, εἰ καὶ λέγει ὁ Πλάτινας καὶ ὁ Τριθέμιος ὅτι τρισκαιδεκάκις ἐνικήθησαν οἱ Ἕλληνες ὑπὸ τῶν Λατίνων, ὅπερ ἐστὶ δόξα τῶν Λατίνων καὶ καταφρόνησις τῶν Ἑλλήνων, Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἰδέτω ὁ φιλομαθὴς ἐν τοῖς ἀνωτέρω βιβλίοις τὰς λατινικὰς Συνόδους πῶς εἶχον Πατριάρχας λατινοεπισκόπους, καὶ ἦσαν Λατῖνοι καὶ οἱ νικῶντες καὶ οἱ νικώμενοι. δεύτερον, ὁσάκις γεγόνασι Σύνοδοι Οἰκουμενικαὶ, πάντοτε οἱ Ἕλληνες ἦσαν Διδάσκαλοι, ὅθεν καὶ νικηταί. τρίτον, ὁσάκις ἦλθον Λατίνων Διδάσκαλοι εἰς Βυζάντιον καὶ εἰς Νίκαιαν, πάντοτε οἱ Λατῖνοι ἐνικήθησαν, καὶ δὴ καὶ ἐπὶ τῶν παρόντων Κωνσταντίνου καὶ Ἰωάννου ἐξηλέγχθησαν παραχαράκται τῆς εὐσεβείας, ὅθεν καὶ κατεκρίθησαν ἐν Ἱερουσαλὴμ, ἐν Συρίᾳ, ἐν Αἰγύπτῳ, ἐν Βυζαντίῳ πολλάκις, ἐν Σερβίᾳ, ἐν Ἰβηρίᾳ, ἐν Τραπεζοῦντι, ἐν Βουλγαρίᾳ, ἐν Μολδοβλαχίᾳ, ἐν Οὐγγροβλαχίᾳ, ἐν Ῥωσίᾳ, καὶ Ἀλανίᾳ καὶ Ἑλλάδι, ἐν Νήσοις καὶ ἁπλῶς ὑπὸ τῶν τεσσάρων Πατριαρχικῶν θρόνων; καὶ τῶν αὐτοκεφάλων Ἀρχιεπισκόπων, ὑπὸ Βασιλέων, ὑπὸ Ῥηγῶν, ὑπὸ Αὐθεντῶν, καὶ μετὰ τὴν ἅλωσιν Κωνσταντινουπόλεως πολλάκις συνοδικῶς ἐξηλέγχθησαν, καὶ ὡς παραβάται κατεκρίθησαν, ὅθεν καὶ τὰ ἀνθρωπάρια Πλάτινας καὶ Τριθέμιος, Ψευδογεννάδιος, Ψευδοσχολάριος, καὶ ὅσοι ἀποστάται καὶ δεδιωγμένοι καὶ καθῃρημένοι ὑπὸ τῆς ἁγίας Ἀνατολικῆς Ἐκκλησίας ἐψεύσθησαν, καὶ ψεύδονται κατὰ τὸ ἴδιον τοῦ παπισμοῦ, οὗ ἡ πᾶσα σύστασις σύγκειται ἐξ ὑποκρίσεως καὶ ψεύδους.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν γενομένων κατὰ τῆς Φλωρεντινῆς Συνόδου ἐπὶ Κωνσταντίνου Παλαιολόγου, τοῦ ὑστάτου Βασιλέως Ῥωμαίων.

Ἀποθανόντος τοῦ λατινόφρονος Μητροφάνους, ἐγένετο Πατριάρχης ὁ Πρωτοσύγκελλος Γρηγόριος ὁ καὶ Μαμμὴ ἐπικαλούμενος, ἀλλὰ μετέπειτα μεμφόμενος ὡς λατινόφρων, ἐδιώχθη ἀπὸ τῆς πόλεως καὶ ἀπῆλθεν εἰς τὴν Ῥώμην εἰς τοὺς συμμύστας αὐτοῦ. ὁ δὲ Κωνσταντῖνος ὕστατος Βασιλεὺς Ῥωμαίων, εἰ καὶ πρότερον ἀπεσίετο τὴν ἕνωσιν, ὅμως διὰ τὴν προσδοκωμένην ἔφοδον τῶν Ὀθωμανῶν κατὰ τῆς πόλεως, ὡς λέγει Μιχαὴλ ὁ Νέποτας, ἀπέστειλεν εἰς Ῥώμην ζητῶν βοήθειαν, καὶ ὅπως ἑνωθῶσιν αἱ Ἐκκλησίαι κατὰ τὰ ἐν Φλωρεντείᾳ δεδογμένα, καὶ μνημονευθῇ ὁ Πάπας ἐν Κωνσταντινουπόλει, καὶ ὁ Πατριάρχης Γρηγόριος ἐπανέλθῃ εἰς Κωνσταντινούπολιν, ὁ δὲ Πάπας ἀπέστειλε τὸν εἰρημένον Ἰσίδωρον Καρδηνάλιν Πολωνίας εἰς Κωνσταντινού-

πόλιν ἐν ἔτει ἑξακισχιοστῷ ἐννακοσιοστῷ ἑξηκοστῷ πρώτῳ, καὶ συγκατένευσεν ὁ Βασιλεὺς καί τινες ἄλλοι πρὸς ἕνωσιν, ἀλλ' ὁ μὲν Βασιλεὺς πλαστῶς, οἱ δὲ ἄλλοι ἀναφανδόν. ὥρισε δὲ ὁ Βασιλεὺς ἵνα λειτουργήσῃ τὸ κλῖνον μέρος εἰς τὴν ἁγίαν Σοφίαν, ἀλλ' οἱ πολλοὶ ἐπορεύθησαν εἰς τὴν κέλλαν Γενναδίου τοῦ ποτὲ Σχολαρίου, ἐρωτῶντες τὸ, τί ἂν ποιήσωσιν. ὁ δὲ ἀπεκρίθη, Ὦ πτωχοὶ Ῥωμαῖοι ἀφέντες τὴν εἰς Θεὸν ἐλπίδα, ἠλπίσατε εἰς τοὺς Φράγγους, καὶ σὺν τῇ πόλει ἀπολέσετε καὶ τὴν ψυχὴν ὑμῶν, ἀθῷος εἰμὶ ἀπὸ τοῦ αἵματος ὑμῶν. ταῦτα γράψας καὶ εἰς χάρτην, ἔβαλεν εἰς τὴν θύραν τοῦ κελλίου αὐτοῦ, αὐτὸς δὲ ἐκλείσθη ἔσωθεν. ὅθεν Ἱερωμένοι καὶ λαϊκοὶ ἀνεθεμάτιζον καὶ τοὺς ἀποδεξαμένους τὴν Σύνοδον καὶ τὴν ἕνωσιν, καὶ ἐδέοντο, εἴπερ βοηθήσει αὐτοῖς ὁ Κύριος, ἵνα βοηθήσῃ διὰ τῆς Θεοτόκου, τὴν δὲ τῶν Λατίνων βοήθειαν ἀπεστρέφοντο. τὸ οὖν ἑνωτικὸν ἐλειτούργησεν εἰς τὴν ἁγίαν Σοφίαν, καὶ ἐμνημόνευσε τοῦ Πάπα Νικολάου καὶ τοῦ ἐξωσθέντος Πατριάρχου Γρηγορίου Δεκεμβρίῳ δωδεκάτῃ, ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ ἑξηκοστῷ πρώτῳ, οἱ πολλοὶ δὲ οὐκ ἔλαβον ἀντίδωρον, βδελυκτὴν νομίζοντες τὴν τοιαύτην λειτουργίαν, ὅπου δὲ ἐφαίνετό τις Ἱερεὺς ἑνωτικὸς, ἔφευγον ἐξ αὐτοῦ, εἰ δὲ καὶ ἦν πνευματικὸς, οὐκ ἔτι ἐξωμολογοῦντο εἰς αὐτόν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν ὀκτὼ μέμψεων τοῦ Νεπότα κατὰ τῶν Βυζαντίων ὑπὲρ Λατίνων, καὶ τῆς πρὸς ταύτας ἀπαντήσεως.

Ὁ λατινόφρων Νέποτας μέμφεται τοὺς Βυζαντίους, πρῶτον, ὅτι ἐπείθοντο τῷ Σχολαρίῳ, λέγοντι μὴ εἴκειν Λατίνοις, ἵνα μὴ κατὰ ψυχὴν κινδυνεύσωσι. δεύτερον, ὅτι εἶχον τοὺς ἑνωτικοὺς σικχαντούς. τρίτον, ὅτι ἀνεθεμάτιζον τὴν Φλωρεντινὴν Σύνοδον. τέταρτον, ὅτι καὶ τοὺς δεχομένους καὶ τοὺς δεξαμένους. πέμπτον, ὅτι ὁ Πάπας ἤθελε δοῦναι βοηθείαν, καὶ διὰ τὸ μὴ ἑνωθῆναι οὐκ ἔδωκεν. ἕκτον, ὅτι εἰς τὴν ἁγίαν Σοφίαν οὐκ ἐδίδουν κηρὸν καὶ ἔλαιον, ὅθεν οὐκ ἦν ἐν αὐτῇ λυχναψία. ἕβδομον, ὅτι ἐκεῖσε καταφυγόντες σωθῆναι, ἐκεῖ ἀπώλοντο διὰ θείαν ἀγανάκτησιν. ὄγδοον, ὅτι ἐμερίσθησαν εἰς χώρας καὶ ἔθνη, χωρισθέντες ἀπ' ἀλλήλων. Ῥητέον ὅμως, ὅτι τὴν Σύνοδον καὶ τὴν ἕνωσιν αὐτῆς οἱ πολῖται ὡς θεομισῆ τε καὶ ἀποτρόπαιον οὐκ ἐδέχοντο, διὰ δὲ τὸ τοὺς Ἀρχηγοὺς αὐτῶν πραγματεύεσθαι τὰ θεῖα καὶ προτιμᾶν τὸ ψεῦδος τῆς ἀληθείας, παρέδωκεν ὁ Θεὸς αὐτοὺς εἰς αἰχμαλωσίαν ἐγκόσμιον, ἵνα φυλάξῃ τοὺς ἐκλεκτοὺς ἀπὸ τῆς νοητῆς ἀπωλείας. ὅθεν ὥσπερ ὅτε ὁ Μιχαὴλ ἐλατινοφρόνει, ἀνέστησεν ὁ Θεὸς τὸν Ὀτμᾶν, οὕτως ὅτε ἐγένετο ἡ ἄκρα κορυφὴ τοῦ κακοῦ, καὶ ἡνοῦτο ὁ Κωνσταντῖνος Λατίνοις, εἰ καὶ πλαστῶς, ἔδωκεν ὁ Θεὸς εἰς τὸ ἔσχατον ἀῤῥώστημα τὸ ἔσχατον φάρμακον τὴν αἰχμαλωσίαν, εἰ γὰρ μὴ ἔδωκε τὴν αἰχμαλωσίαν, ἴσχυσεν ἂν ὁ παπισμὸς, καὶ ἐφθάρη ἂν ἡ εὐσέβεια, ἣν ὁ Κύριος διασώζειν ἐπηγγείλατο.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ Γεωργίου Σχολαρίου καὶ τοῦ ἀξιώματος αὐτοῦ καὶ τῆς ἐν Φλωρεντείᾳ Ἐκθέσεως αὐτοῦ καὶ τῆς πρὸ τοῦ Φλωρεντινοῦ Ὅρου ἀναχωρήσεως αὐτοῦ ἐκεῖθεν καὶ τῆς εἰς Γεννάδιον μετωνυμίας αὐτοῦ διὰ τοῦ μοναχικοῦ σχήματος καὶ Πατριαρχείας μετὰ τὴν ἅλωσιν Κωνσταντινουπόλεως, καὶ ὧν συνέγραψε συγγραμμάτων.

Περὶ τούτου εἴπομεν ἐν τοῖς προλεγομένοις τοῦ Τόμου τῆς Ἀγάπης φύλλοις εἰκοσιέξ, ἀλλὰ καὶ ἤδη ῥητέον, ὅτι πρὸ τῆς ἐν Φλωρεντείᾳ Συνόδου τόσον μόνον γινώσκομεν περὶ αὐτοῦ, ὅτι ἦν γνωστὸς καὶ οἰκεῖος τῷ Βασιλεῖ Ἰωάννῃ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ, ἔχων ἀξίωμα ἵνα ᾖ καθολικὸς κριτὴς τῶν Ῥωμαίων, ὡς λέγει ὁ Νέποτας κεφαλαίῳ τριακοστῷ πρώτῳ. μελετωμένης δὲ τῆς Συνόδου, ἦν οὗτος σύμβουλος ἄριστος τοῦ ἐκκλησιαστικοῦ δικαιώματος, ὡς φαίνεται παρὰ Συροπούλῳ τμήματι δευτέρῳ κεφαλαίῳ εἰκοστῷ ὀγδόῳ καὶ τμήματι τρίτῳ κεφαλαίῳ ἕκτῳ. ἐν δὲ τῇ Φερραρίᾳ ἐν τῇ ἑβδόμῃ συνελεύσει διαλεγομένου τοῦ Νικαίας, καὶ ἀνασκευάσαντος τὰ ὑπὸ τοῦ Ἀνδρέου εἰρημένα περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης, λέγει ἐν Συρόπουλος, ὅτι τὰ γενναίως καὶ λογικῶς εἰρημένα τότε τῷ Νικαίας κατὰ τοῦ Ἀνδρέου πάντα ἦσαν μεμελετημένα καὶ ἐσχεδιασμένα παρὰ τοῦ Διδασκάλου τοῦ Σχολαρίου, δόντος αὐτοῦ ταῦτα τῷ Βασιλεῖ καὶ αὐτῷ τῷ Νικαίας, τμήματι ἕκτῳ κεφαλαίῳ εἰκοστῷ πρώτῳ. ἐν δὲ τῇ Φλωρεντείᾳ ζητοῦντος τοῦ Βασιλέως ὁπωσδήποτε τὴν ἕνωσιν μετὰ Λατίνων, καὶ ἵνα γένηται Ἔκθεσίς τις περὶ τῆς ἑνώσεως, ὁ Σχολάριος ἔδωκεν εἰς τὸ κοινὸν Ἔκθεσίν τινα, ἣν εἶχε προεσχεδιασμένην. ἀποκλίνουσαν ὅμως τῆς ὀρθοδόξου πίστεως, ἣν οἱ μὲν δόκιμοι τῶν Ἑλλήνων οὐκ ἐδέξαντο, ἐπειδὴ ἔλεγεν, ὡς ἀπὸ μιᾶς πνεύσεως Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, οἱ δὲ περὶ τὸν Νικαίας καὶ τὸν Ῥωσίας καὶ τὸν Πρωτοσύγκελλον ἐδέξαντο δι' αὐτὸ τοῦτο. οἱ Λατῖνοι ὅμως οὐκ ἐδέξαντο, ἐπειδὴ τὸ τῆς Ἀνατολικῆς Ἐκκλησίας δόγμα περὶ τῆς ἐκπορεύσεως τοῦ

ἁγίου

ἁγίου Πνεύματος ὡς ἀπ' αὐτῆς προβαλλόμενον ὁλόκληρον ἐφύλαττεν, ὅθεν ἠθέτησαν αὐτὴν, καὶ προέβαλον κατ' αὐτῆς δώδεκα ἀπορίας, ἐζήτουν δὲ ἵνα καὶ οἱ Ἕλληνες φανερῶς εἴπωσιν, οὐ τὸ ἐκ Πατρὸς ἐκπορεύεσθαι καὶ διὰ τοῦ Υἱοῦ ἀναβλύζειν, καὶ οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤτοι ἐκ Πατρὸς δι' Υἱοῦ προχεῖσθαι, ἀλλὰ τὸ ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι, Συρόπουλος τμήματι ὀγδόῳ κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ. ἥτινα ἀποτομίαν τῶν Λατίνων ἰδὼν ὁ Σχολάριος, καὶ τοὺς περὶ τὸν Νικαίας σπουδάζοντας διόλου πρὸς ἀνατροπὴν τοῦ δόγματος, καὶ βουληθεὶς ὡς εἰκὸς λαβεῖν συγχώρησιν παρὰ Θεοῦ ἐν ᾧ παρετράπη ἐν τῇ Ἐκθέσει, καὶ πρὸς τούτοις ἰδὼν ὅτι οὐδὲν βοηθῆσαι δύναται τῇ ἀληθείᾳ, ἡσύχαζε τοῦ λοιποῦ. τοῦ δὲ Ὅρου τῆς ἀσεβείας συντεθέντος, καὶ κατασκευαζόντων τῶν ἀντικειμένων τῇ ἀληθείᾳ ἵνα ὑπὸ πάντων καθάπαξ ὑπογραφῇ τῶν ἐκεῖ Ἑλλήνων, ὁ Δεσπότης ὁ ἀδελφὸς τοῦ Βασιλέως (λέγει ὁ Συρόπουλος) ἀπῆλθεν εἰς Βενετίαν, παραιτησάμενος καὶ τὸ σιτηρέσιον, ἐπεὶ οὐκ ἀπεδέχετο παρεῖναι ἐν τῇ ὑπογραφῇ τοῦ Ὅρου, ἢ ἐν τῇ ἑνώσει, ἀπῆλθον δὲ μετ' αὐτοῦ καὶ οἱ σοφώτατοι Διδάσκαλοι, ὅ,τε Γεμιστὸς καὶ ὁ Σχολάριος, μήτε αὐτοὶ παρεῖναι βουλόμενοι, τμήματι ἐνάτῳ κεφαλαίῳ ἑνδεκάτῳ. μεταταῦτα ἐλθόντος τοῦ Βασιλέως καὶ τῶν Ἑλλήνων εἰς Κωνσταντινούπολιν, λέγει ὁ Χαλκοκονδύλης, οἱ μὲν οὖν Ἕλληνες ὡς ἐπ' οἴκους ἐγένοντο, οὐκ ἔτι ἔφασαν ἐμμένειν τοῖς ὁμολογουμένοις, ἀλλὰ τοὐναντίον κατέστη, μηκέτι βουλομένοις συντίθεσθαι τοῖς Ῥωμαίοις, ὁ μέντοι Ἀρχιερεὺς (οὗτος ὁ Εὐγένιος) καὶ σοφούς τινας ἔπεμψεν ἐπὶ Βυζάντιον παρὰ τοὺς Ἕλληνας εἰς διάλεξιν ἀφιξομένους τοῖς τῶν Ἑλλήνων σοφοῖς, οἳ οὐ προσήκαντο τὴν γενομένην σφίσι Σύνοδον κατὰ τὴν Ἰταλίαν, Μάρκῳ τε τῷ Ἐφέσου Ἀρχιερεῖ οὐ δὲ τὴν ἀρχὴν τιθεμένῳ τῷ τῶν Λατίνων δόγματι τὸ παράπαν, καὶ Σχολαρίῳ τῷ τότε παρ' Ἕλλησι τὰ εἰς σοφίαν εὐδοκιμοῦντι, οὐ μέντοι ἠνύετο αὐτοῖς οὐδὲν ἐς λόγων ἄμυναν ἀφικνουμένοις, ἀλλ' ὑπεχώρουν ἄπρακτοι ἐπ' Ἰταλίαν, βιβλίῳ ἑκτῷ. ὄντος δὲ ἐν Κωνσταντινουπόλει Πατριάρχου τοῦ ποτὲ Κυζίκου Μητροφάνους, ἀσθενήσας Μάρκος ὁ Ἐφέσου, καὶ συνιδὼν ὅτι τοῦ βίου ἐξέρχεται, ἐμήνυσε καὶ ἦλθε πρὸς αὐτὸν ὁ Σχολάριος, καὶ ἐλέγξας αὐτὸν ἠρέμα περὶ τῆς γενομένης παρατροπῆς, ἤτοι περὶ τῆς ἐν Φλωρεντείᾳ διαληφθείσης Ἐκθέσεως, ἐδεήθη αὐτοῦ ἵνα ἀντ' αὐτοῦ φροντίζῃ τοῦ λοιποῦ περὶ τοῦ ἐκκλησιαστικοῦ δόγματος κατὰ Λατίνων, καὶ ἴδε περὶ τούτων ἐν τῷ ἀνωτέρῳ τόπῳ τῆς Ἀγάπης. ἀποδεχθεὶς δὲ τὴν ἐπιταγὴν ἀσμένως ὁ Σχολάριος, μετὰ τὴν κοίμησιν τοῦ Ἐφέσου ἐγένετο Μοναχὸς καὶ ὠνομάσθη Γεννάδιος. ἐλθόντος δὲ εἰς Βυζάντιον τοῦ Ἰσιδώρου καὶ τοῦ Πατριάρχου Γρηγορίου, ὡς εἴρηται προσεχῶς ἀνωτέρω, λέγει ὁ Νέποτας, ἔφθασεν ὁ Καρδηνάλις εἰς Κωνσταντινούπολιν ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ ἑξηκοστῷ πρώτῳ, Καὶ, ἐλθόντος δὲ λειτουργῆσαι εἰς τὴν ἁγίαν Σοφίαν, τὸ σχισματικὸν μέρος ἐλθὸν ἐν τῇ μονῇ τοῦ Παντοκράτορος ἐν τῇ κέλλῃ Γενναδίου τοῦ ποτὲ Γεωργίου Σχολαρίου. Καὶ, ὅτε δὲ ἐν τῇ Λειτουργίᾳ ἐμνημονεύθη ὁ Πάπας Νικόλαος καὶ ὁ Πατριάρχης Γρηγόριος, ἐβλασφήμει τὸ πλῆθος. καὶ ταῦτα μὲν τότε. ὁ δὲ Σχολάριος εὑρισκόμενος εἰς Βυζάντιον, καὶ ἀρχόμενος συγγράφειν κατὰ Λατίνων, ἔγραψε καὶ εἰς τὸν Βασιλέα Γραπεζοῦντος τὰ γενόμενα ἐν Φλωρεντείᾳ, ἐν οἷς λέγει καὶ ταῦτα ῥητῶς, Καὶ ἡμεῖς γὰρ πολλὰ περὶ τῆς ἑνώσεως συνεβουλεύσαμεν, ἕως ἄλλοι τὴν τοῦ πράττειν ἐξουσίαν λαβόντες ἀπόντων ἡμῶν, οὕτω ταύτην διέθεντο, ὡς ἀπορραγῆναι λοιπὸν ἡμᾶς ἐκείνων ἀναγκασθῆναι. Καὶ, ἐμὲ ὁ καλὸς Ἀμυρούτζης τοῖς τὴν ἕνωσιν διαπραττομένοις καὶ τοῖς λόγοις αὐτῶν ἀνεπιστατήτως οὕτως ἐπίστευεν ἐλπίσας αὐτοὺς καὶ νοῆσαι καὶ βουληθῆναι τὸ δέον. ὅπερ λέγει, ταὐτὸν ἐστὶν, ὅτι συνεβούλευσεν ὁ Σχολάριος ἵνα γένηται ἡ ἕνωσις κανονικὴ καὶ ὀρθόδοξος, ἐπειδὴ δὲ οἱ ἀποστάται καὶ ὁ Βασιλεὺς αὐτῶν ἐζήτουν τὸ ἐναντίον, ὁ Σχολάριος ἀπεδήμησεν ἐκείνων, καὶ μετὰ τὴν ἀποδημίαν ἐκεῖνοι ἐτελείωσαν καὶ ὑπέγραψαν τὸν Ὅρον τῆς ἀσεβείας, ὅθεν ἠναγκάσθη ὁ Σχολάριος καὶ οἱ περὶ αὐτὸν ὀρθόδοξοι ἀπορραγῆναι τῶν τοιούτων, ὁ δὲ Ἀμυρούτζης, καίτοι ὀρθόδοξος ὤν, ἀλλ' ὑποκλαπεὶς ὑπὸ τῶν περὶ τὸν Νικαίας, καὶ νομίσας γενέσθαι τὴν ἕνωσιν κανονικὴν, ἐπίστευσεν αὐτοῖς, ὅθεν καὶ παρετράπη τῆς εὐθείας ὁδοῦ, κοινωνήσας τῷ Ὅρῳ, εἰ καὶ πρὸς καιρόν. Μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Ὀθωμανῶν προεβλήθη Πατριάρχης Κωνσταντινουπόλεως Γεώργιος ὁ καὶ Γεννάδιος ὁ Σχολάριος, διέξεισι γὰρ Μανουὴλ ὁ Μαλαξὸς ταῦτα, Σύνοδος γεγονυῖα κατὰ τὸν ὁρισμὸν τοῦ Σουλτάνου, ἐξελέξαντο Γεώργιον τὸν Σχολάριον, ὄντα κριτὴν τῶν Ῥωμαίων ἐπὶ τῶν Βασιλέων Ῥωμαίων, ὃν καὶ Ἰωάννης εἶχεν εἰς Φλωρεντείαν Πατριάρχην. ταῦτα φησὶ καὶ Θεοδόσιος ὁ Ζυγομαλᾶς γράφων πρὸς Μαρτῖνον τὸν Κρούσιον. συνέγραψε δὲ ὅσα ἡμεῖς ἴσμεν ὁ Σχολάριος, τὸ σύνταγμα. καὶ ἑτέραν τινὰ πραγματείαν κατὰ Λατίνων, τμήματα αὐτὴν ὀνομάσας, ἅτινα καὶ προσεφώνησε τῷ Βασιλεῖ Τραπεζοῦντος, καὶ διάλογον πρόσωπα ἔχοντα Ὀλβιανὸν, Εὐλόγιον καὶ Βενέδικτον, καὶ ἕτερον διάλογον ἔχοντα πρόσωπα Νεόφρονα καὶ Παλαίτιμον, καὶ σημείωμα εἰς τὴν κατὰ Βέκκου Σύνοδον, καὶ σημείωμα εἰς τὸ σύγγραμμα τοῦ Ἐφέσου, καὶ θρῆνον καὶ ὀνειδισμὸν πρὸς τοὺς Κωνσταντινουπολίτας κοινωνοῦντας Λατίνοις ἐπὶ Κωνσταντίνου τοῦ Βασιλέως, καὶ περὶ προορισμοῦ, καὶ πρὸς τούτοις τὴν ἐσχάτην ὁμολογίαν αὐτοῦ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, καὶ ἐπιστασίαν εἰς τὸ ῥητὸν τοῦ Θεοδώρου τοῦ γραπτοῦ περὶ διαφορᾶς θείας οὐσίας καὶ ἐνεργείας, καὶ ἔτι περὶ τοῦ ἁγίου Πνεύματος, καὶ κατὰ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης, καὶ κατὰ σιμωνίας, καὶ κατὰ τῆς ἐν τῷ Σαββάτῳ νηστείας, καὶ περὶ γάμου Ἱερέων, καὶ κατὰ τῆς κουρᾶς τῶν γενείων, ἅτινα κεῖται ἐν τῷ Τόμῳ τῆς Ἀγάπης, καὶ ἔτι περὶ πίστεως πρὸς τὸν Σουλτᾶν Μωαμὲτ

ἐν

ἐν κεφαλαίοις εἴκοσι, καὶ ἐπιστολὴν πρὸς τοὺς Σιναΐτας περὶ τῆς παραιτήσεως τοῦ Ἐπισκόπου αὐτῶν, καὶ ἐπιστολὰς εἰς διαφόρους, καὶ λόγον πρὸς Ἰωάννην τὸν Βασιλέα, καὶ κατὰ τῶν ἀπορίων τοῦ Πλήθωνος, καὶ ἐξήγησιν εἰς τὸ τοῦ Θωμᾶ τοῦ Ἀκβίνα περὶ τοῦ εἶναι καὶ τῆς οὐσίας, καὶ περὶ τῆς θείας Ἱερουργίας, ὅτι ὁ ἄρτος καὶ ὁ οἶνος μετουσιοῦται, καὶ περὶ προορισμοῦ, καὶ ἕτερα πολλά.

ΠΑΡΑΓΡΑΦΟΝ Β'

Ὅτι οἱ ἐν τῷ τέλει τῆς Φλωρεντινῆς Συνόδου Γεωργίῳ τῷ Σχολαρίῳ ἐπιγραφόμενοι τρεῖς λόγοι, δείκνυνται ἐνταῦθα διὰ πολλῶν ἀντιφάσεων ψευδεπίπλαστοι.

Φέρονται δὲ ἐν τῷ τέλει τῆς ἐν Φλωρεντείᾳ Συνόδου λόγοι τρεῖς, ἐπιγραφόμενοι εἶναι Γεωργίου τοῦ Σχολαρίου, οἵτινες συμβουλεύουσι τοῖς συνοδικοῖς Ἕλλησι καὶ Λατίνοις πρὸς ἕνωσιν, ἀλλ' ὅτι οἱ λόγοι αὐτοὶ οὗτοι οὐκ εἰσὶ τοῦ Σχολαρίου, ἀλλ' ἐπλάσθησαν ὑπό τινος κακοδαίμονος Λατίνου ἢ λατινοφρονοῦντος, δῆλον ἐστὶ, πρῶτον, ὡς εἴρηται ἀνωτέρω, ὅτι ὁ Σχολάριος ἔφυγεν ἤδη συντεθειμένου τοῦ Ὅρου, ἵνα μὴ ὑπογράψῃ ἐν αὐτῷ, οἱ δὲ λόγοι συνεγράφησαν πρὸ τοῦ Ὅρου. εἰ δὲ τοὺς λόγους συνέθετο ὁ Σχολάριος ἐν οἷς ῥαγδαίως φέρεται κατὰ τῶν Ἀνατολικῶν, καὶ πᾶσι τρόποις βοηθεῖ Λατίνοις, πῶς πάλιν ἔφυγεν ἵνα μὴ ὑπογράψῃ ἐν τῷ Ὅρῳ; δεύτερον, πῶς γράφει εἰς τὸν Βασιλέα Τραπεζοῦντος καὶ μέμφεται τοὺς ποιήσαντας τὴν ἕνωσιν; ἐξ ἧς ὁμολογεῖ, ὅτι ἀπερράγη αὐτὸς καὶ οἱ ὀρθόδοξοι. τρίτον, πῶς ἐν ταὐτῷ μέμφεται τῷ Ἀμυρούτζῃ ἀπατηθέντι ὑπὸ τῶν λατινοφρονούντων; ἐξ οὗ δείκνυται ὅτι αὐτὸς οὐκ ἠπατήθη. τέταρτον, εἴπερ τοὺς λόγους συνέθετο ὁ Σχολάριος καὶ ἐλατινοφρόνει, πῶς ὁ Πάπας Εὐγένιος ἔπεψε σοφοὺς τινὰς διαλεξομένους τοῖς τῶν Ἑλλήνων σοφοῖς, Μάρκῳ τῷ Ἐφέσου καὶ Γεωργίῳ τῷ Σχολαρίῳ τοῖς μὴ δεχομένοις τὴν Σύνοδον; εἰ δὲ ὁ Ἀλάτιος παρερμηνεύων τὸν Χαλκοκονδύλην, λέγει ὅτι ὁ μὲν Ἐφέσου οὐ συνέθετο τῷ δόγματι τῶν Λατίνων τὸ πρᾶπαν, οὐ μὴν καὶ ὁ Σχολάριος, ἀλλὰ ῥητέον, ὅτι καθαρῶς λέγει ὁ Χαλκοκονδύλης, Μὴ προσήκασθαι τοὺς τῶν Ἑλλήνων σοφοὺς Μάρκον καὶ Σχολάριον τὴν ἐν Φλωρεντείᾳ Σύνοδον. δεύτερον, οὐ λέγει ὅτι ἀπεκρούσθησαν οἱ τοῦ Εὐγενίου σοφοὶ πρὰ τοῦ Ἐφέσου, ἀλλ' ὅτι ἀνεχώρησαν ἄπρακτοι ἐπὶ Ἰταλίαν, ὅπερ ταὐτόν ἐστιν ὅτι καὶ ὑπὸ τῶν δύο κοινῶς καὶ ἀπεκρούσθησαν καὶ ἀνεχώρησαν. εἰ δὲ ἐλατινοφρόνει ὁ Σχολάριος, δυοῖν θάτερον, ἢ ἐβοήθει τοῖς σοφοῖς τοῦ Εὐγενίου, ἢ μὴ, οὐκ ἀντέλεγεν αὐτοῖς, ἀλλὰ τοὐναντίον κατέστη, ὅθεν ὁ Σχολάριος κατὰ Λατίνων ἐφρόνει, καὶ κατὰ Λατίνων ἐνήργει, οὐ μὴν καὶ ἐλατινοφρόνει. τρίτον, ὁ Σχολάριος ἥμαρτε συναρπαγεὶς ἐν τῇ Ἐκθέσει, ὁ δὲ Ἐφέσου οὐχ ἥμαρτε πώποτε, οὔτε ἐν λόγῳ ψιλῷ, οὔτε μὴν ἐν συλλαβῇ, καὶ ὡς εἰπεῖν, οὔτε κατὰ διαίοιαν, ὅθεν καὶ περὶ τῶν δύο ἐξίσου εἶπεν ὁ Χαλκοκονδύλης, ὅτι οὐ προσήκαντο τὴν ἐν Φλωρεντείᾳ Σύνοδον, καὶ ὅτι οἱ τοῦ Εὐγενίου σοφοὶ ἀνεχώρησαν, περὶ δὲ τοῦ Ἐφέσου εἶπεν ἰδίως, ὅτι τὸ πρᾶπαν οὐ συνέθετο τῷ δόγματι τῶν Λατίνων. τέταρτον, ἐπὶ Κωνσταντίνου τοῦ Βασιλέως ἔπραξε καὶ εἶπεν ὅσα εἴρηται ἀνωτέρω κατὰ τῶν κοινωνούντων Γρηγορίῳ καὶ Ἰσιδώρῳ. πέμπτον, μετὰ τὴν ἐν Φλωρεντείᾳ Σύνοδον συνέγραψεν ἱκανὰ συγγράμματα κατὰ Λατίνων. ἕκτον, ὅτι καὶ πολλοὶ Λατίνων σοφοὶ, ἐξ ὧν ἐστι καὶ ὁ Ῥιβέρτος καὶ Κραιηχθόνος, ἐξελέγχουσιν, ὅτι οἱ λόγοι οὗτοι πεπλασμένοι εἰσὶ πρᾶτινος παπιστοῦ.

ΠΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι οἱ Λατῖνοι ἀπολογίαν Γεωργίου τοῦ Σχολαρίου εἰς τὰ κατὰ Λατίνων συλλογιστικὰ κεφάλαια Μάρκου τοῦ Ἐφέσου προσφέροντες, δείκνυνται ἐνταῦθα προφανεῖς ψευδολόγοι.

Προσφέρουσιν οἱ Λατῖνοι ἀπό τινος βιβλίου εὑρισκομένου ἐν τῇ Ῥώμῃ ἐν τῷ σχολείῳ τῷ ἑλληνικῷ, καὶ ἀπὸ τῆς ἐν τῷ Βατικάνῳ Βιβλιοθήκης, ὅτι ὁ Ἐφέσου Μάρκος ἔγραψε συλλογιστικὰ κεφάλαια κατὰ Λατίνων, ἐν οἷς ἀπελογήσατο Γεώργιος ὁ Σχολάριος, καὶ ὅτι φθάσαντος τοῦ θανάτου τοῦ κοινοῦ χρέους τὸν Σχολάριον, ἄλλος αὐτ' αὐτοῦ ἀπολογεῖται. Ἀλλὰ ῥητέον, ὅτι τὸ ἐν τῷ σχολείῳ τῆς ἀπάτης βιβλίον οὐκ ἀξιόπιστον ἐν τοιούτοις πρὸς μαρτυρίαν. δεύτερον, ὅτι ἡ Βιβλιοθήκη τοῦ Βατικάνου ὡς εἴρηται ἀνωτέρω ἐν τῷ ἑβδόμῳ βιβλίῳ, ἐστὶ ψευδοθήκη καὶ ἀπατοθήκη ἐν πολλοῖς. τρίτον, ὅτι ὁ Σχολάριος ἦν τῆς αὐτῆς γνώμης ἐν τοῖς περὶ πίστεως μετὰ τοῦ Ἐφέσου, καὶ πρὸ τῆς Πατριαρχείας καὶ ἐν τῇ Πατριαρχείᾳ καὶ μετὰ τὴν Πατριαρχείαν πολλὰ ἔγραψε καὶ Γενναῖα κατὰ Λατίνων. τέταρτον, ὅτι καὶ οἱ Λατῖνοι αὐτοὶ λέγουσι μέρος τῆς ἀπολογίας ταύτης ψευδῶς ἐπιγεγράφθαι τῷ Ἐφέσου, ἐπειδὴ ἐστὶ τοῦ Βησσαρίωνος, ὅθεν ἐκ τοιούτων νόθων, ἀποκρύφων καὶ ἀμφιβόλων οὐδὲ μία ἀλήθεια συμπεραίνεται. ἕκτον, ὅτι ὁ Γεώργιος ὁ καὶ Σχολάριος καὶ Γεννάδιος οὐδέποτε ἐγνώσθη λατινοφρονῶν, ἢ συναινῶν, ἢ συμβοηθῶν, ἢ συναναστρεφόμενος Λατίνοις ἐν Κωνσταντινουπόλει, καὶ παραιτησάμενος, καὶ ἡσυχάσας, καὶ ἀποθανὼν ἐν τῷ Μοναστηρίῳ τοῦ Προδρόμου εἰς τὰς Σέρρας, οὔτε ἐγνώσθη, οὔτε ὑπωπτεύθη λατινοφρονῶν, οὔτε σύγγραμμα

μα αὐτῆ εὑρέθη αὐτῷ Μοναστηρίῳ συμπηγορῶν Λατίνοις, ἀλλὰ πάντοτε καὶ αἱ πράξεις καὶ οἱ λόγοι καὶ τὰ συγγράμματα αὐτῆ ἦσαν κατὰ Λατίνων, ὅθεν φθάσας τὸ κοινὸν χρέος καὶ ἀποθανών, ἐκ ἀφῆκεν ἀτελείωτον τὴν ἀπολογίαν εἰς τὰ κεφάλαια τῆ Ἐφέσῳ, ἀλλ' ἐπαύσατο γράφειν κατὰ Λατίνων, εἰ γὰρ αὖ περιῆν, πάντως συνέγραφε καὶ ἄλλα κατὰ τῆς αὐόμῳ Συνόδου, καὶ εἰς τούτοις εἰ ἀπέθανε λαϊκὸς ὁ Σχολάριος, πῶς πάλιν κατ' αὐτοὺς ἔτος ἦν ὁ μετὰ ταῦτα γενόμενος Πατριάρχης Κωνσταντινουπόλεως;

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ αὐθυποφορᾶς Λατίνων, δύο Γεωργίους Σχολαρίους, τὸν μὲν ὑπὲρ Λατίνων, τὸν δὲ κατὰ Λατίνων λεγόντων, καὶ τῆς περὶ αὐτοὺς αὐτῶν Δαφωνίας καὶ συκοφαντῆς ψευδοῦς, καὶ περὶ τῆς παρ' ἡμῶν ἐνταῦθα ἀποδείξεως, ὅτι Γεώργιος ὁ Σχολάριος ὁ καὶ Γεννάδιος καὶ Πατριάρχης εἷς καὶ ὁ αὐτός ἐστιν, ὁ καὶ Λατίνοις πολέμιος.

Ἀλλ' αὐθυποφέρεται, ὅτι ἕτερός ἐστι Γεώργιος ὁ Σχολάριος, ὁ ἐν τῇ ἐν Φλωρεντίᾳ Συνόδῳ ἀγωνισθεὶς ὑπὲρ Λατίνων, ὃν καὶ νῦν ὁ μακάριος Πατριάρχης Κωνσταντινουπόλεως, μετεκλήθη Γεννάδιος, καὶ ἔγραψεν ὑπὲρ Λατίνων, καὶ ἕτερος Γεννάδιος Σχολάριος ὁ φίλος Μάρκου τοῦ Ἐφέσου, ὃς καὶ Μοναχὸς γενόμενος, ἐκάθητο ἐν τῇ Μονῇ τοῦ Παντοκράτορος, καὶ ἔγραφε καὶ ἔλεγε κατὰ Λατίνων. Ἀλλὰ ῥητέον, ὅτι περὶ τῶν νεωτερισμῶν τούτων Λατίνων εἶπεν ὁ Ἱερώνυμος, Εὑρήσιον Αἱρετικὸν αὖθις σωτὸν εὑρεῖν, ἐπειδὴ ἐμόνον ψεύδονται σοφιστῶς καὶ αἰσθῶς, μαχόμενοι τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, ἀλλὰ καὶ ἀλήθειας καταβάλλουσι, πρῶτον, ὅτι ἐν τῇ Φλωρεντίᾳ ἐδιήχθη, ὅτι ὁ Σχολάριος ἐχεδίασε τοὺς λόγους οὓς εἶπεν ὁ Νικαίας κατὰ τῆς συνοδικῆς, καὶ ἔφυγε μετὰ τοῦ Δεσπότου καὶ τοῦ Γεμιστοῦ εἰς Βενετίαν, ἵνα μὴ εὑρεθῇ εἰς τὴν σύνοδον καὶ ὑπογράψῃ εἰς τὸν Ὅρον. Δεύτερον, ὅτι ἐν τῇ Ἐκθέσει μόνῃ ἥμαρτον, οὐ εἴρηται τρόπον, ἄλλοτε δὲ ἐδέποτε. τρίτον, τοὺς ἐπ' ὀνόματι αὐτοῦ τρεῖς λόγους οὐκ αὐτὸς ἔγραψεν, ἀλλ' ἡ παντολμία ἔπλασε τῶν λατινοφρονούντων. τέταρτον, ἐν Κωνσταντινουπόλει ἐπανελθών, οὐδέποτε συμπηγόρησε Λατίνοις, ὅτε ἔγραψεν ὑπὲρ αὐτῶν. πέμπτον, ὅτι ὡς ἔγραφε καὶ ἔλεγε λαϊκὸς, ὅτως ἔγραψε καὶ εἶπε καὶ Μοναχὸς, καθήμενος ἐν τῇ Μονῇ τοῦ Παντοκράτορος, κατὰ Λατίνων, καὶ καθεξῆς ὅσα εἰπομεν αὐτοῦ περὶ αὐτοῦ, ῥηθήσεται καὶ ἐνταῦθα. ἕκτον, ὅτι τινὲς μὲν τῶν Λατίνων λέγουσι τὰ αὐτοῦ, τινὲς δὲ αὐτῶν πάλιν λέγουσιν, ὡς φαίνεται ἔν τινι βιβλίῳ τυπωθέντι ἐν Ῥώμῃ εἰς ἁπλῆν φράσιν, καὶ περιέχοντι τὰς ἐπ' ὀνόματι Γεννα-

δίου Κωνσταντινουπόλεως πέντε λόγους περὶ τῶν πέντε Δαφορῶν, κεμένους ἐν τῷ τέλει τῆς ἐν Φλωρεντίᾳ Συνόδου, ὅτι ὁ Γεώργιος ὁ Σχολάριος ὁ συνεκδημήσας ἐν Ἰταλίᾳ Ἰωάννῃ τῷ Βασιλεῖ, καὶ ἀγωνισθεὶς ὑπὲρ Λατίνων, ἀπέθανεν ὁ Κωνσταντινουπόλεως λαϊκὸς καὶ πρὸ τῆς ἁλώσεως, ὃς καὶ εἰς τὰ κεφάλαια τοῦ Ἐφέσου τὴν ἀπολογίαν ἣν ἠξιώθη ποιήσασθαι παρὰ τῆς Γρηγορίου τοῦ Πατριάρχου, ἀπέθανεν, ἐκ ἐτελείωσε, καὶ διατοῦτο αἰτήσει τοῦ αὐτοῦ Γρηγορίου ἐτελείωσεν αὐτὴν ὁ Βησσαρίων, Γεώργιος δὲ ὁ Σχολάριος ὁ μακάριος Πατριάρχης Κωνσταντινουπόλεως καὶ ὀνομασθεὶς Γεννάδιος, ἦν ὁ φίλος τοῦ Ἐφέσου καὶ τοῖς Λατίνοις πολέμιος. τῶν πρώτων τοίνυν Λατίνων λεγόντων, ὅτι ἓν Γεώργιος ὁ Σχολάριος ἔγραψε τρεῖς λόγους ἐν τῇ ἐν Φλωρεντίᾳ Συνόδῳ περὶ ἑνώσεως, καὶ μεταταῦτα μακάριος Πατριάρχης ἔγραψε τοὺς πέντε περὶ τῶν πέντε Δαφορῶν λόγους, τῶν δὲ δευτέρων, ὅτι ἀπὸ τῆς ἁλώσεως ἀπέθανεν ὁ λατινόφρων Γεώργιος, καὶ οἱ πέντε λόγοι οὐκ εἰσὶν ἐκεῖνοι, ἀλλὰ τοῦ ἑτέρου Σχολαρίου τοῦ Γεννα δίου καὶ φίλου τοῦ Ἐφέσου καὶ τοῦ ἐχθροῦ τῆς ἐν Φλωρεντίᾳ Συνόδου, καὶ μακαρίου Κωνσταντινουπόλεως Πατριάρχου, τίσι τῶν Λατίνων πιστεύτεον, τοῖς πρώτοις, ἢ τοῖς ὑστέροις; ἢ ῥητέον, ὅτι ἀμφοτέροις, ἐπειδὴ καὶ τὰ δύο μέρη ψεύδονται σοφιστῶς, καθότι ὡς ἀπεδέδεικται εἷς ἦν ὁ Σχολάριος, πρῶτον Γεώργιος, ὁ ὕστερον Γεννάδιος, καὶ Πατριάρχης Κωνσταντινουπόλεως ὁ αὐτός, πάντοτε ὁ αὐτὸς ἐν παντὶ καιρῷ καὶ ἐν παντὶ τόπῳ καὶ ἐν παντὶ σοφισμάτι, πᾶσι τρόποις Λατίνοις ἀντίδοξος καὶ πολέμιος.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς ἐν τῇ ἁγίᾳ Σοφίᾳ ὑστάτης Συνόδου, καὶ τῶν ἀπαγορευθέντων αὐτῆς, καὶ ὅτι ἐκ σωθέντα τῷ τεμμαλικῷ πρέπει ὁ Πατριάρχης Ἀθανάσιος τῷ Κωνσταντίνῳ Λασκάρει, ὡς πεφώνται οἱ Λατῖνοι νενοθευμμένως δεῖξαι ἐν τούτοις ψευδῆ τὴν Σύνοδον, ἀλλὰ τὰ πρακτικὰ τῆς Συνόδου ταύτης ἐκβαλεῖν τῆς αὐτοῦ Βιβλιοθήκης, καὶ περὶ τῆς σημειώσεως τοῦ χρόνου τῶν πρακτικῶν τούτων.

Σύνοδος ὑστάτη ἐν Κωνσταντινουπόλει ἐπετελέσθη ἐν τῇ ἁγίᾳ Σοφίᾳ μετὰ τὴν τελευτὴν τοῦ λατινόφρονος Ἰωάννου τοῦ Παλαιολόγου, τοῦ ἀπατηθέντος ὑπὸ τῶν Ἰταλῶν ἐπὶ βοηθείᾳ, καὶ ἐπὶ

ἐπὶ τελευτῆς συμφρονήσαντος τῷ ὀρθοδόξῳ δόγματι ἐπὶ τοῦ ὀρθοδόξου ἀδελφοῦ αὐτοῦ Κωνσταντίνου Βασιλέως. αὕτη ἡ ἐπιγραφὴ τῶν πρακτικῶν τῆς Συνόδου, ἥτις καὶ ἀληθεστάτη ἐστὶν, ὡς παρίστησι τὰ παρ' ἡμῖν αὐτίγραφα, ἥτις καὶ συνετυπώθη παρ' ἡμῶν. ἄλλα δὲ αὐτίγραφα ἔχουσιν ἐπιγραφὴν,

Σύνοδος ὑστάτη ἐν Κωνσταντινουπόλει ἐπιτελεσθεῖσα ἐν τῇ ἁγίᾳ Σοφίᾳ μετὰ τὴν γένεσιν τοῦ ψευδοσυλλόγου Φλωρεντινοῦ ἑνὸς ἐνιαυτοῦ διαστήματι καὶ ἡμίσεος μετὰ τὴν τελευτὴν τοῦ λατινόφρονος Ἰωάννου. ταῦτα ἐν ταῖς ἐπιγραφαῖς.

οἱ δὲ Λατῖνοι νοθεύουσιν αὐτὰς, καὶ ἀντὶ τοῦ ἀδελφοῦ αὐτοῦ Κωνσταντίνου τοῦ Βασιλέως, ἐνέθηκαν ἐπὶ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου τοῦ Βασιλέως, ὅπερ καὶ τυφλῷ δῆλον, ὅτι προσθήκη ἐστὶ, τὸ δ' ἑνὸς ἐνιαυτοῦ διαστήματι καὶ ἡμίσεος ἐννοούμενον μετὰ τὴν τελευτὴν τοῦ λατινόφρονος Ἰωάννου, οἱ Λατῖνοι λέγουσιν ἐννοεῖσθαι μετὰ τὴν γένεσιν τοῦ ψευδοσυλλόγου τοῦ Φλωρεντινοῦ, ὅπερ καὶ αὐτὸ ἀναμφίβολον πλάσμα καὶ συκοφαντία ἐστὶν, ἡ γὰρ ἐν Φλωρεντείᾳ Σύνοδος ἐγένετο τῷ χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ ἐνάτῳ ἔτει, ἐν δὲ τῷ χιλιοστῷ τετρακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ ἀπέθανεν Ἰωάννης ὁ Βασιλεὺς, καὶ ἐγένετο αὐτ' αὐτοῦ Βασιλεὺς ὁ ἀδελφὸς αὐτοῦ Κωνσταντῖνος, καὶ μετὰ ἓν καὶ ἥμισυ ἔτος τοῦ θανάτου τοῦ Ἰωάννου καὶ τῆς βασιλείας τοῦ Κωνσταντίνου ἐγένετο ἡ Σύνοδος, καὶ τοῦτο βεβαιοῦσι καὶ τὰ ἐν τῇ Ἀνατολῇ αὐτίγραφα, ἃ δὲ οἱ Λατῖνοι λέγουσι κατὰ τῆς Συνόδου ἀπὸ τῆς ἐπιγραφῆς ἐθελούσια αὐτῶν εἰσὶ κακουργήματα. Ἔτι ἐν τῇ ἐπιγραφῇ φέρεται,

Ἐξεβλήθη ἐκ τῶν τῆς Βιβλιοθήκης ἰδιοχείρων Κωνσταντίνου τοῦ Λασκάρεως τοῦ ὄντος σοφωτάτου, καὶ τὴν ἀνεπτυγμένην Γραμματικὴν διδάξαντος, Ἐπιταγῇ τοῦ σοφωτάτου Πατριάρχου Κωνσταντινουπόλεως Ἀθανασίου.

Λέγουσιν οὖν οἱ Λατῖνοι, ὅτι ψεῦδος ἐστὶ τὸ, ἐπιταγῇ τοῦ Ἀθανασίου ἔγραψεν ὁ Κωνσταντῖνος τὴν Γραμματικὴν, ἐπειδὴ ἔγραψεν αὐτὴν μετὰ πολλὰ ἔτη τῆς ἁλώσεως Κωνσταντινουπόλεως ἐν τῇ Σικελίᾳ, ψευδὴς ἄρα καὶ ἡ Σύνοδος. Ἀλλὰ ῥητέον πρὸς τοῦτο, ὅτι προτροπῇ τοῦ Ἀθανασίου οὐχ ὁ Κωνσταντῖνος συνέθετο τὴν Γραμματικὴν, ἀλλὰ τὰ πρακτικὰ τῆς Συνόδου ἐξεβλήθη ἐκ τῶν ἰδιοχείρων τῆς Βιβλιοθήκης αὐτοῦ, συγχύσεων γὰρ οὐσῶν, καὶ ἀλλ' ἐπαλλήλων κακῶν ἐν Βυζαντίῳ, ἐνδέχεται παραφθαρῆναι τὰ πρακτικὰ, καὶ ὡς ἀπὸ ἀνοθεύτων καὶ ἀναμφιβόλων τῶν ὑπὸ τοῦ Λασκάρεως συγγραφέντων, ἐξεβλήθη, οὐκ ἐν τῷ αὐτῷ χρόνῳ, ἀλλὰ μετά τινα ἔτη μετὰ γὰρ τέσσαρα καὶ ἥμισυ ἔτη τῆς ἀθροίσεως τῆς Συνόδου ἑάλω ἡπόλις ὑπὸ τῶν Ὀθωμανῶν, καὶ εἰκὸς ζῆν ἕως τῆς ἁλώσεως, ἢ μετὰ τὴν ἅλωσιν τὸν Ἀθανάσιον. συνέγραψε δὲ ὁ Λάσκαρις τὴν Γραμματικὴν εἰς τὴν Δύσιν μετὰ τὴν Σύνοδον ἔτη εἰκοσιδύο, ἐν δὲ τῷ καιρῷ τῆς Συνόδου ἦν εἰς Κωνσταντινούπολιν. ἦσαν δὲ τότε ἐν τῇ Δύσει Ἕλληνες διδάσκαλοι Θεόδωρος ὁ Γαζὴς, Γεώργιος ὁ Τραπεζούντιος, ὁ Χρυσολωρᾶς, ὁ Χαλκοκονδύλης, ὁ Μουσοῦρος, ὁ Γεμιστὸς, Ἀνδρέας ὁ Τραπεζούντιος, ὁ Λάσκαρις, ἐξ ὧν τινὲς μὲν ἀπῆλθον ἐκεῖσε πρὸ τῆς ἁλώσεως, τινὲς δὲ μετὰ τὴν ἅλωσιν τῆς πόλεως. Ἔτι λέγουσιν, ὅτι οὐκ ἔχει τὰ πρακτικὰ σημείωσιν χρόνου, οὐδὲ Μηνὸς, ἀλλ' οὐδὲ ἀνατύπωσις φέρεται ἐν αὐτοῖς, ἢ μνήμη ἐπινεμήσεως. Ἀλλὰ ῥητέον, ὅτι καὶ ἐν ἀρχαίαις πολλαῖς συνόδοις τοῦτο συμβέβηκεν, ὡς εἰσὶν αἱ κατὰ τοῦ Σαμοσατέως, καὶ κατὰ τοῦ Ναυάτου, καὶ ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου πολλαὶ, καὶ ἡ ἐν Γάγγρᾳ, Λαοδικείᾳ καὶ Ἀντιοχείᾳ, καὶ ἄλλαι πολλαί. εἶτα προφανῶς ψεύδονται καὶ εἰς τοῦτο οἱ Λατῖνοι, ἐπειδὴ ὁ χρόνος εἴρηται, καθότι ἐρρέθη μετὰ ἥμισυ καὶ ἓν ἔτος τοῦ θανάτου Ἰωάννου τοῦ Βασιλέως, καὶ ἐπὶ Κωνσταντίνου τοῦ Βασιλέως. ὅτι δὲ καὶ Ἰωάννης ὁ Βασιλεὺς συνεφρόνησε τῇ ὀρθοδοξίᾳ, καὶ ποίῳ τρόπῳ, ῥηθήσεται μεταταῦτα κεφαλαίῳ δεκάτῳ τρίτῳ. οὐδεῖ δὲ θορυβεῖσθαι, ὅτι οὐκ ἐμνημονεύθη ἡ Σύνοδος ὑπό τινος ἀρχαίου ἱστορικοῦ, καὶ γὰρ ὁ Ἱεροσολύμων Ἀναστάσιος ἐν μόνῃ τῇ ἐν Τρούλλῳ Συνόδῳ καταγράφεται, οὐδεὶς δὲ ἱστορικὸς, ἢ κἂν κῷδιξ τὶς Διπτύχων ἐμνήσθη αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ἐπιχειρημάτων ἐννέα Λατίνων, δεῖξαι δι' αὐτῶν ἐπίπλαστον τὴν Σύνοδον πειρωμένων.

Ἔτι αὐθυποφέρουσιν ἐπιχειρήματά τινα, ἵνα ἀποδείξωσιν ὅτι ἡ Σύνοδος ἐστὶ πεπλασμένη, καὶ πρῶτον, ὅτι ἐν τῇ δευτέρᾳ συνελεύσει Δωρόθεος γράφεται Ἀντιοχείας, ὅπερ πρόδηλόν ἐστι ψεῦδος, ἐπειδὴ ἐν τῇ ὑπογραφῇ γράφεται Ἀνανίας. δεύτερον, ὅτι ἐν τῇ χειροτονίᾳ τοῦ Ἀθανασίου φέρονται Μακάριος Νικομηδείας, Νεόφυτος Νικαίας καὶ Μητροφάνης Κυζίκου, ἐν δὲ τῇ ὑπογραφῇ γράφονται ὁ μὲν Παρθενίος, ὁ δὲ Σταυράκιος. τρίτον, ὅτι ὁ Ἐφέσου εἶπεν ἐν τῇ δευτέρᾳ συνελεύσει, οὔθ' ὁ Ἡρακλείας οὔτε ἐγὼ εἴκειν τῇ ὑπογραφῇ δεῖν ἔγνωμεν ἐκθέσμῳ οὔσῃ, ὅπερ ψεῦδος ἐστὶν, ἐπειδὴ ὁ Ἡρακλείας ὑπέγραψεν ἐν τῷ Ὅρῳ. τέταρτον, ὅτι ἡ Σύνοδος λέγει τὸν Περιβλέπτου Ἡγούμενον Ἀθανάσιον γεγονέναι Πατριάρχην Κωνσταντινουπόλεως, ἐν δὲ τῇ ὑπογραφῇ φέρεται ὁ Περιβλέπτου Ἀθανάσιος, ὅπερ καὶ αὐτὸ ψεύδους ἔχεται. πέμπτον, ὅτι λέγει, καθαιρεθέντος τοῦ Γρηγορίου, ἐγένετο ὁ Ἀθανάσιος, ὅπερ καὶ αὐτὸ ψεῦδος, ἐπειδὴ τῷ χιλιοστῷ τετρακοσιοστῷ τεσσαρακοστῷ ἔτει οὔπω ἦν Πατριάρχης ὁ Γρηγόριος, παραιτησαμένου γὰρ τοῦ Μητροφάνους ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ τεσσαρακοστῷ πέμπτῳ, ἐγένετο ὁ Γρηγόριος

Γρηγόριος, ἡ δὲ Σύνοδος ἠθροίσθη ὄπω ὄντος Πατριάρχου τοῦ Γρηγορίου. ἕκτον, ὅτι γράφεται ἐν τῇ πρώτῃ συνελεύσει τῆς Συνόδου, ὅτι ἐχειροτόνησαν τὸν Ἀθανάσιον Πατριάρχην Μακάριος Νικομηδείας, Νεόφυτος Νικαίας καὶ Μητροφάνης Κυζίκου, ὅπερ παράλογόν ἐστιν, ἐπειδὴ τὸν μὴ χειροτονηθέντα παρὰ τοῦ Ἡρακλείας, ἀδύνατον εἶναι Κωνσταντινουπόλεως Πατριάρχην. ἕβδομον, ὅτι ψευδῶς λέγει ἐν τῇ τρίτῃ συνελεύσει διαλυθῆναι τὴν ἐν Φλωρεντείᾳ Σύνοδον διὰ τὸν λοιμὸν, ἐπειδὴ ἐν τῇ Φλωρεντείᾳ τότε λοιμὸς οὐκ ἐγένετο. ὄγδοον, ὅτι λέγει τὰ τῶν Λατίνων ἐπιχειρήματα περὶ τῆς τελειώσεως τοῦ Μυστηρίου διελύθη παρὰ τοῦ Μυτιλήνης. ἔνατον, ὅτι ἐν αὐτῇ φέρονται μαρτυρίαι παράτινων δυτικῶν πατέρων, ὧν τὰ ὀνόματα μόλις ἐγίνωσκον τότε οἱ Ἀνατολικοὶ, καθὼς ὁ Ἐφέσου μαρτυρεῖ ἐν ταῖς διαλέξεσι ταῖς ἐν Φλωρεντείᾳ. ταῦτα οἱ Λατῖνοι.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ λύσεως τῶν ἐννέα ἐπιχειρημάτων τῶν Λατίνων, καὶ ἑτέρου ἐπὶ τούτοις, καὶ ὧν ψευδολογοῦσιν ἐν αὐτοῖς οἱ Λατῖνοι.

Ἀλλὰ ῥητέον, πρὸς μὲν τὸ πρῶτον, ὅτι Δωρόθεος γράφεται καὶ ἐν τοῖς πρακτικοῖς καὶ ἐν τῇ ὑπογραφῇ, καὶ ψεύδονται οἱ γεννᾶδαι Λατῖνοι. πρὸς δὲ τὸ δεύτερον, ὅτι καὶ ἐν τῇ δευτέρᾳ πράξει καὶ ἐν τῇ ὑπογραφῇ Παρθένιος γράφεται Κυζίκου, πλάσμα ἄρα τῶν παπιστῶν ὅτι γράφεται ἐν μὲν τῇ πράξει Μητροφάνης, ἐν δὲ τῇ ὑπογραφῇ Παρθένιος. εἰ δὲ Νικαίας ἐν τῇ ὑπογραφῇ οὐκ ἔστι Νεόφυτος, ἀλλὰ Σταυράκιος, οὐκ ἀπεικός ἐστι, γενομένων γὰρ τῶν συνελεύσεων οὐ κατὰ συνέχειαν, ἀλλὰ ποτὲ μετὰ πολλὰς ἡμέρας, καὶ ποτὲ μετὰ Μῆνας, ὡς ἔστιν ἰδεῖν ἐν τοῖς πρακτικοῖς τῶν Συνόδων, ἐνδέχεται ἀποθανόντα τὸν Νεόφυτον, χειροτονηθῆναι τὸν Σταυράκιον, ὅπερ οὐκ ἀναγκαῖον ἦν ἵνα γραφῇ ἐν τοῖς πρακτικοῖς. πρὸς δὲ τὸ τρίτον, ὅτι οὐμάχεται τοῖς ῥήμασι τοῦ Ἐφέσου τὸ ὑπογράψαι ὕστερον τὸν Ἡρακλείας, ἐπειδὴ διὰ τούτων λέγει ὁ Ἐφέσου τὴν γεγονυῖαν ἔνστασιν τοῦ Ἡρακλείας ἵνα μὴ ὑπογράψῃ, ὅθεν οὐκ εἶπεν ὅτι οὐχ ὑπέγραψεν, ἀλλ' οὔτε εἴκειν τῇ ὑπογραφῇ δεῖν ἔγνωμεν, τὴν δὲ γνῶσιν ταύτην ὁ μὲν Ἐφέσου ἐφύλαξεν, ὁ δὲ Ἡρακλείας οὐκ ἐφύλαξε. πρὸς δὲ τὸ τέταρτον, ὅτι οὐγράφεται ἐν τῇ Συνόδῳ ὡς ὁ Ἡγούμενος τοῦ Περιβλέπτου Ἀθανάσιος ἐγένετο Πατριάρχης, ἀλλ' ἀπολελυμένως, ὅτι Ἀθανάσιος ἐγένετο Πατριάρχης, ἐν δὲ τῇ ὑπογραφῇ φέρεται ὁ ποτὲ Ἡγούμενος τῆς Περιβλέπτου Ἀθανάσιος, ἐξ οὗ δείκνυται ὅτι διαφέρει θάτερος θατέρου. πρὸς δὲ τὸ πέμπτον, ὅτι εἰ ὁ Γρηγόριος ἐγένετο Πατριάρχης παραιτησαμένου τοῦ Μητροφάνους ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ τεσσαρακοστῷ πέμπτῳ, ἡ δὲ Σύνοδος ἐγένετο οὐ μετὰ ἓν καὶ ἥμισυ ἔτος τῆς Φλωρεντινῆς Συνόδου, ἀλλὰ μετὰ τὸν θάνατον τοῦ Βασιλέως Ἰωάννου, ὃς συμβέβηκεν ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ, ἀναμφιβόλως ὁ Γρηγόριος ἦν Πατριάρχης Κωνσταντινουπόλεως ὅτε ἠθροίσθη ἡ παροῦσα ἁγία Σύνοδος, πλὴν καθῃρημένος, καὶ ψεύδονται κἀνταῦθα προφανῶς οἱ Λατῖνοι. πρὸς δὲ τὸ ἕκτον, ὅτι ψεῦδος ἐστὶ τὸ, ὁ Κωνσταντινουπόλεως μὴ χειροτονηθεὶς ὑπὸ τοῦ Ἡρακλείας, οὐκ ἔστι Πατριάρχης, οὐδεὶς γὰρ τοῦτο εἶπε πλὴν τῶν νεωτεριστῶν, καὶ προφάσεις ζητούντων ἐπὶ καταστραφῇ τῆς ἀληθείας, ἐχειροτόνησαν γὰρ οἱ τρεῖς τὸν Ἀθανάσιον Πατριάρχην προτροπῇ τῆς Συνόδου, ἐν ᾗ οὐ σαρῆν ὁ Ἡρακλείας, ὃς ἴσως διὰ περίστασιν τινὰ οὐκ ἠδυνήθη παρεῖναι ἐν τῇ χειροτονίᾳ, ἢ οὕτως ὥρισεν ἡ Σύνοδος, ἥτις καὶ Πατριάρχας χειροτονεῖ τῇ ἰδίᾳ αὐθεντίᾳ, ἀνωτέρα οὖσα τῶν τοιούτων διατυπώσεων, ὅθεν ἡ δευτέρα ἔδωκε τοὺς θρόνους τῷ Ἱεροσολύμων καὶ τῷ Ἀντιοχείας, οἱ ἐπίτροποι τῆς τρίτης Οἰκουμενικῆς ἐχειροτόνησαν Κωνσταντινουπόλεως τὸν Μαξιμιανὸν ἐν Βυζαντίῳ, ἡ τετάρτη ἐχειροτόνησεν Ἀλεξανδρείας τὸν Προτέριον, ἡ ἕκτη Ἀντιοχείας τὸν Θεοφάνη, οὕτω κἀνταῦθα ἐγένετο. πρὸς δὲ τὸ ἕβδομον ῥητέον, ὅτι εἰ καὶ οὐ γράφουσιν ἐκεῖνον τὸν λοιμὸν οἱ τάδε καὶ τάδε ἱστορικοὶ, ἀλλὰ μόνη ἡ παροῦσα Σύνοδος ἐμνήσθη αὐτοῦ, οὐ παράδοξον ἐστὶ, καὶ γὰρ τὰ γενόμενα ἐπὶ τῆς σταυρώσεως τοῦ Κυρίου, καίτοι ἀναφανδὸν γεγονότα, οὐδεὶς ἱστόρησεν ἄλλος, εἰ μὴ τὰ ἱερὰ Εὐαγγέλια, εἶτα καὶ ἐν πολλοῖς ἄλλοις ἐστὶ τοῦτο εὑρεῖν, καὶ ὅπερ εἶπεν εἷς (ἀξιόπιστος μέντοι) οὐκ εἶπον ἄλλοι. πρὸς δὲ τὸ ὄγδοον ῥητέον, ψεῦδος ἐστὶν ὅτι εἶπεν ἡ Σύνοδος περὶ τῆς τελειώσεως τοῦ Μυστηρίου ὅτι πάντα τὰ ἐπιχειρήματα τῶν Λατίνων διελύθη παρὰ τοῦ Μυτιλήνης, ἐν γὰρ τῇ τετάρτῃ συνελεύσει τόσον μόνον φέρεται, ὅτι ἐρωτησάντων τῶν Πατριαρχῶν καὶ εἰπόντων, τὶ συνεπεράνατε περὶ τῆς ὥρας τῆς μεταβολῆς τῆς Εὐχαριστίας, ὁ Ἐφέσου ἀποκριθεὶς εἶπεν, ἥττηνται καὶ κατὰ τοῦτο ὡς καὶ κατὰ τὰ ἄλλα οἱ Λατῖνοι. πρὸς δὲ τὸ ἔνατον ῥητέον, ὅτι ὁ Ἐφέσου βλέπων τοὺς Λατίνους παρερμηνεύοντας καὶ παραχαράττοντας τὰ ῥητὰ τῶν Δυτικῶν πατέρων, ἀγωνιστικώτερον εἶπε τὸ, μόλις γινώσκομεν τὰ ὀνόματα τῶν Δυτικῶν ἁγίων, ὅτι γὰρ εἶχον οἱ Ἀνατολικοὶ τὴν εἴδησιν τῶν Δυτικῶν ἁγίων, πασίδηλόν ἐστι, καὶ πάρεισι μάρτυρες αἱ οἰκουμενικαὶ Σύνοδοι τρίτη, τετάρτη, πέμπτη, ἕκτη καὶ ἑβδόμη, καὶ οἱ κατ' αὐτὰς ἅγιοι πατέρες, ἐν αἷς καὶ ἐν οἷς φέρονται μαρτυρίαι τῶν Δυτικῶν ἁγίων, ἤτοι Ἰουλίου, Φίληκος, Λέοντος, Ἀναστασίου, Δαμάσου, Κελεστίνου, Ἀμβροσίου, Ἱλαρίου, Αὐγουστίνου, Κυπριανοῦ καὶ ἄλλων, καὶ δὴ Μάξιμος ὁ Πλανούδης μετέφρασε τὸ τοῦ Αὐγουστίνου περὶ Τριάδος εἰς τὴν ἑλληνικὴν γλῶσσαν, καὶ ἐπὶ Ἰωάννου τοῦ Καντακουζηνοῦ μετέφρασεν

ὁ

ὁ Κυδώνης τινὰ τῶν συγγραμμάτων Θωμᾶ τοῦ Ἀκβίνα, καὶ τέως, μετὰ τὸ σχίσμα ἐγίνωσκον οἱ Ἀνατολικοὶ τὰς κατὰ καιροὺς παρεκτροπὰς τῶν Λατίνων, καὶ τοὺς συγγραφεῖς αὐτῶν, καὶ ὅλως βλέποντες τοὺς Λατίνους παρερμηνεύοντας τοὺς ἁγίους, συνεῖδον μαθεῖν τὴν λατινικὴν γλῶσσαν, καὶ ἑρμηνεύειν τὰ συγγράμματα αὐτῶν εἰς μαρτυρίαν καὶ βεβαίωσιν τῶν θείων δογμάτων, ὡς φαίνεται παρὰ τῷ Νείλῳ καὶ τῷ Σχολαρίῳ καὶ ἄλλοις πολλοῖς, ἐξ ὧν τινὲς παρόντες τῇ ἁγίᾳ Συνόδῳ τὰ αὐτὰ ἐποίουν, οὐ πρόσφατον ἔργον ἀποπληροῦντες, ἀλλ' ἀρχαῖον καὶ πάτριον. προσφέρουσι δέκατον, ὅτι ἦν Ῥωσίας Μητροπολίτης ὁ Ἰσίδωρος, ἐν δὲ τῇ Συνόδῳ γράφεται Θεόδωρος, ἀλλὰ ῥητέον ὅτι καὶ τοῦτο ἑκούσιον ψεῦδος ἐστὶ τῶν Λατίνων, καθότι ὁ Ἰσίδωρος ἦν καθηρημένος ὡς ἡ ἐκκλησιαστικὴ ἱστορία τῶν Ῥώσων μαρτυρεῖ, καὶ ἦν ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ Ῥωσίας Φώτιος, καθὼς γράφει ὁ Συρόπουλος. ἐν δὲ τῇ παρούσῃ Συνόδῳ ἢ γραφικὸν σφάλμα ἐγένετο καὶ ἐγράφη αὐτὶ Φωτίου Θεόδωρος, ἢ ἀποθανόντος τοῦ Φωτίου ἐγένετο Θεόδωρος.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Τὶ τὸ μάχεσθαι τοὺς Λατίνους τῇ Συνόδῳ ταύτῃ, καὶ περὶ ὧν ἔπαθον κακώσεων οἱ Ἀνατολικοὶ ἐν Φλωρεντείᾳ.

Μάχονται οἱ Λατῖνοι τῇ Συνόδῳ ταύτῃ, καὶ ἄρα διατί; ἢ διότι φανερῶς ἀντίκειται τῇ ἐν Φλωρεντείᾳ ψευδοσυνόδῳ. ἡ Σύνοδος ὅμως ἀνωτέρα ἐστὶ τῶν συκοφαντιῶν αὐτῶν, ἐπειδὴ μετὰ τῆς ἀπὸ τῶν Ἀποστόλων ἕως ἄρτι καθολικῆς Ἐκκλησίας ἐν πᾶσιν οἷς διωρίσατο συμφωνεῖ. ἢ τάχα συκοφαντοῦσιν αὐτὴν, ὅπως δείξωσιν, ὅτι οὐδὲ μία ἀρχαία Σύνοδος ἀπέβαλε τὴν ἐν Φλωρεντείᾳ, ἀλλ' εἴρηται ἀνωτέρω πόσαι Σύνοδοι καὶ πόσαι συνελεύσεις ἐν διαφόροις ἔθνεσι καὶ τόποις καὶ καιροῖς ἀνεθεμάτισαν αὐτὴν, καὶ δὴ καὶ ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ ἐννενηκοστῷ δευτέρῳ Σύνοδος ἀθροισθεῖσα ἐν Κωνσταντινουπόλει Οἰκουμενικὴ, κατέκρινε καὶ ἠθέτησεν αὐτὴν, τὴν ἀργυραμοιβικὴν καὶ σιμωνιακὴν καὶ βιαίαν, καὶ μὴ ἀποδείξεσιν ἁγίων, ἀλλὰ βίᾳ Βασιλέως, περιενεχθέντος τῇ πλάνῃ καὶ σκοτοδινιάσαντος, καὶ ἀπειλαῖς καὶ πείνῃ καὶ δίψῃ καὶ περιορισμῷ καὶ ἄλλοις ποικίλοις ῥᾳδιουργήμασιν ἐκείνου καὶ τοῦ Πάπα Εὐγενίου συντεθειμένην ἐν Φλωρεντείᾳ Σύνοδον, ἣν ἐτυπώσαμεν ἐν τῷ Τόμῳ τῆς Ἀγάπης, καὶ ἴδε ἐκεῖ σελίδα πεντακοσιοστὴν ἑξηκοστὴν ὀγδόην.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ παραθέσεώς τινων τῶν ἐν Οἰκουμενικαῖς μὲν καὶ ἐν ἄλλαις Συνόδοις συνελθόντων, ὕστερον δὲ ἀντικειμένων αὐταῖς ὀφθέντων ἐπιχειροῦντες οἱ Λατῖνοι τὴν ἐν Φλωρεντείᾳ Σύνοδον συστῆσαι, καταβάλλονται ἐκ τῶν ἐνταῦθα νομίμως λεγομένων.

Ἀλλ' ἔτι προσφέρουσιν οἱ Λατῖνοι λέγοντες, ἐπειδὴ ἐν τῇ πρώτῃ καὶ ἐν τῇ τρίτῃ καὶ ἔν τισι τῶν λοιπῶν Οἰκουμενικῶν Συνόδων τινὲς ὑπογράψαντες ἐν τοῖς ὁρισθεῖσιν ὑπ' αὐτῶν, μεταταῦτα ἐγένοντο φανεροὶ ἀντικείμενοι αὐταῖς, ἀλλ' οὐ παρεβλάβη ἐκ τῶν τοιούτων τὸ κράτος τῶν Συνόδων, οὕτως ἐνταῦθα εἰκαίτινες τῶν ὑπογραψάντων ἐν τῷ Ὅρῳ τῆς ἐν Φλωρεντείᾳ Συνόδου Ἕλληνες ἠθέτησαν τὰ ὡρισμένα ὑπ' αὐτῆς, οὐδὲ μία γίνεται ζημία τῇ ἀξίᾳ καὶ τῷ ὁρισμῷ αὐτῆς. Ἀλλὰ ῥητέον, ὅτι ἐκεῖναι αἱ Σύνοδοι ἦσαν νόμιμοι, καὶ ἑκάστης ἡ ἄθροισι καὶ ἡ τάξις καὶ ἡ κρίσις καὶ ἡ διάκρισις καὶ ἡ ἀπόφασις ἦσαν κανονικαὶ, τῆς δὲ παρούσης Συνόδου τὰ πάντα ἦσαν παράνομα ὡς ἀπεδείχθη ἀνωτέρω. εἶτα ἐν ἐκείναις ὀλίγοι ἦσαν οἱ ἀντικείμενοι, οἱ πλείους δὲ κοινωνικοὶ, ἐνταῦθα δὲ μόνοι Γρηγόριος, Βησσαρίων, Μητροφάνης καὶ Ἰσίδωρος ἔμειναν ἐν τοῖς διορισθεῖσιν, οἱ λοιποὶ δὲ πάντες καθάπαξ ἠθέτησαν αὐτὰ, καὶ τῇ Συνόδῳ λόγοις καὶ συγγράμμασι καὶ Συνόδοις αὐτεῖπον, καὶ ὡς ῥᾳδιοῦργον καὶ βλάσφημον ἀπέῤῥιψαν καὶ ἀνεθεμάτισαν αὐτὴν, τέως, ἐν ἐκείναις πρῶτον ἀνεθεματίζετο ἡ Αἵρεσις, εἶτα οἱ διαυθεντευταὶ τῆς Αἱρέσεως, ἐνταῦθα δὲ κρινομένη μὲν πίστις ἦν τὸ Σύμβολον τῆς πρώτης καὶ δευτέρας τῶν οἰκουμενικῶν ἁγίων Συνόδων, ἔκδικος δὲ τοῦ Συμβόλου μάλιστα ὁ Ἔξαρχος τῆς Συνόδου Μάρκος ὁ Ἐφέσου, ὅθεν τὸ Σύμβολον εἰκαὶ παρεξηγήθη, ἔμεινεν ὅμως ἐν τῇ ἰδίᾳ τιμῇ καὶ ἐν τῷ ἰδίῳ ἀξιώματι, ὁ δὲ ἔκδικος αὐτοῦ οὐκατεκρίθη, οὔτε ὑπὸ τοῦ Πάπα, οὔτε ὑπὸ τῆς Συνόδου ταύτης, οὔτε ὑπὸ Βασιλέων, οὔτε ὑπὸ Συγκλήτου, οὔτε ὑπὸ Ἀρχιερέων, οὔτε ὑπὸ Διδασκάλων, οὔτε ὑπό τινων ἢ ὑπό τινος ὁπωσδήποτε Χριστιανοῦ τὸ παράπαν, ἀλλ' ἔμεινε καὶ μένει ἔνδοξος διαυθεντευτὴς τοῦ ἐκκλησιαστικοῦ δικαίου, καὶ ἐγκαλῶν ἐπ' ὄψει πάσης τῆς Οἰκουμένης, καὶ ἐνώπιον τοῦ ἐπὶ πάντων καὶ ἐν Τριάδι Θεοῦ καὶ τῶν ἐκλεκτῶν αὐτοῦ Ἀγγέλων τὴν παντολμίαν τῆς ῥωμαϊκῆς Ἐκκλησίας καὶ τὴν ἄκραν βλασφημίαν τῆς πεπονηρευμένης Συνόδου.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῶν ἀνόμως καὶ ἀθέως λεγομένων ἐν τῇ πρὸς Κωνσταντῖνον Βασιλέα τὸν Παλαιολόγον ἐπιστολῇ τοῦ Πάπα Νικολάου.

Ἐπειδὴ ἀπηλπίσθησαν οἱ Πάπαι ἀπὸ Ἰωάννου τοῦ Βασιλέως, ὃν ἐπήνουν καὶ εἶχον ἅγιον, γράφει ὁ Νικόλαος εἰς Κωνσταντῖνον τὸν Βασιλέα ἐπιστολὴν, ἐν ᾗ σημειοῖ πρῶτον, ὅτι ἐστὶ τῆς εὐσεβείας προοίμιον ἡ τοῦ Συμβόλου ὁμολογία, ἐν ᾧ λέγεται μίαν εἶναι τὴν Ἐκκλησίαν, ἀδύνατον δὲ μίαν εἶναι, μὴ οὔσης μιᾶς κεφαλῆς, ὅθεν ἀναγκαῖον ἐπ' αὐτῆς ἕνα εἶναι Ἡγεμόνα τὸν Πάπαν, ᾧ πάντας πείθεσθαι ἀναγκαῖον. δεύτερον, ὅτι καταριθμεῖ πλῆθος Βασιλέων, Ῥηγῶν καὶ Ἡγεμόνων δεξαμένων τὴν ἕνωσιν. τρίτον, λέγει ὅτι ὅσοι οὐχ ὑποτάττονται τῷ Ῥώμης, εἰσὶ Σχισματικοὶ, καὶ ἀποβεβλημένοι παρὰ Θεοῦ, καθὼς ὅσοι οὐκ ἦσαν εἰς τὴν Κιβωτὸν τοῦ Νῶε ἀπώλοντο.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ ἐξηγήσεως τοῦ παπικοῦ λόγου τοῦ Πάπα Νικολάου, καὶ σημειώσεως τῶν λεγομένων κυρίως ἐπὶ μόνου τοῦ Χριστοῦ, εἰς δὲ τὸν Πάπαν ὡς ταὐτὸν τῷ Χριστῷ λίαν ἀσεβῶς ὑπὸ τῶν Λατίνων μεταφερομένων, καὶ εἰδήσεως εἰς τοὺς ὀρθοδόξους πρὸς φύλαξιν.

Τῶν ὀρθοδόξων τινὲς νομίζουσιν, ὅτι ὁ Πάπας ζητεῖ εἶναι εἰς τὴν Ἐκκλησίαν πρῶτος, ὥστε αὐτὸν ἐκδικεῖν καὶ εἰς ἀλλοτρίους τὰς τῶν Συνόδων ἀποφάσεις, ὅθεν νομίζοντες τοῦτο διὰ μικρὸν, συγκοινωνοῦσιν ἔντισι τοῖς Λατίνοις, πλανῶνται ὅμως, οἱ γὰρ παπισταὶ μὴ θέλοντες μὲν ὁρᾶν ἃ σαφῶς ὁρῶσιν, ἀλλὰ τὰς γραφὰς βιαζόμενοι ἐξεπίτηδες, κιβδηλεύουσι καὶ παρερμηνεύουσιν, ὅθεν τινὰ ἐπὶ τοῦ Χριστοῦ καὶ μόνου ἐναργῶς καὶ κυρίως λεγόμενα, μὴ δ' ἄλλῳ τινὶ τῶν θνητῶν προσήκοντα, ἀθλίως καὶ λίαν ἀσεβῶς εἰς τὸν Πάπαν μεταφέροντες, λέγουσι τὸν Πάπαν ἅπαντα εἶναι καὶ ὑπὲρ ἅπαντα, καὶ τοσαῦτα δύνασθαι ἐπὶ τῆς γῆς, ὅσαπερ καὶ ὁ Χριστὸς, καὶ σχεδὸν λέγουσιν ἅπαντας τοὺς Βασιλεῖς καὶ ἅπαντας τοὺς Ἐπισκόπους ἐκ τοῦ πληρώματος αὐτοῦ λαμβάνειν. ἵνα οὖν γινώσκωσιν οἱ ὀρθόδοξοι τί λέγουσιν οἱ Λατῖνοι περὶ τοῦ Πάπα, γράφομεν τινὰ ἐνταῦθα ἐξ ὧν λέγουσιν, ἵνα ἔχωσιν εἴδησιν σαφῆ τῆς μεγάλης βλασφημίας τῶν τοιούτων, καὶ μὴ ἀπατῶνται ὑπὸ τῶν ψευδολογιῶν καὶ ὑποκρίσεων αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι κατὰ τοὺς παπιστὰς καὶ τοὺς Πάπας, Θεὸς καὶ Πάπας, Θεοὶ ἴσοι κατὰ τόπον.

Λέγουσι λοιπὸν οἱ παπισταὶ, ὅτι εἷς Θεὸς ἐν τῷ Οὐρανῷ, καὶ εἷς Θεὸς ἐπὶ τῆς γῆς ὁ Πάπας, ὡς ἔγραφε καὶ Μαρτῖνος ὁ Πάπας πρὸς Μανουὴλ καὶ Ἰωάννην τοὺς Παλαιολόγους, ὅτι ὁ Πάπας ἐστὶ Θεὸς ἐπὶ τῆς γῆς. ὅθεν ὁ παρὼν Νικόλαος προσέφερε τὸ ἅγιον Σύμβολον εἰς τὸν Βασιλέα, ἵνα δείξῃ ὅτι αὐτὸς μόνος ἐστὶ Θεὸς, οὐ γὰρ εἶπεν ὁ ἀναιδέστατος, ἵνα μὴ εἴπω ὁ διόλου ἄθεος, ὅτι ἡ Ἐκκλησία ἐστὶ μία, ὅτι ἔχει μίαν κεφαλὴν τὸν Χριστὸν, ὡς λέγεται καὶ εἰς τὴν ἑβδόμην Σύνοδον, καὶ ἴδε τὸν τόπον βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παραγράφῳ δωδεκάτῳ, ἀλλ' εἶπεν, ὅτι διὰ τὸ εἶναι μίαν, δεῖ ἔχειν ἕνα Ἡγεμόνα καὶ ἕνα Ἄρχοντα οὐ τὸν Χριστὸν, ἀλλὰ τὸν Πάπαν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Μαρτυρίαι Αὐγουστίνου, καὶ Ὀπτάτου, ἐκ τοῦ Ἰεζεκιὴλ περὶ Δονάτου καὶ τῶν θελόντων ἄρχειν πάντων τῶν Ἐπισκόπων.

Ὃ θέλομεν, ἅγιόν ἐστιν, ἔλεγον οἱ Δονατισταὶ, ὡς μαρτυρεῖ ὁ Αὐγουστῖνος κεφαλαίῳ τρίτῳ καὶ τῆς ἐπιστολῆς τοῦ Παρμενιανοῦ. ὁ δὲ Ὀπτᾶτος γράφει διὰ τὸν Δονᾶτον ταῦτα, Μὴ ὄντος μηδενὸς ἐπαίνω τοῦ Βασιλέως εἰ μὴ ὁ Θεὸς, ὃς ἐποίησε τὸν Βασιλέα, ἐπαιρόμενος ὁ Αἱρετικὸς Δονᾶτος ἐπαίνω τοῦ Βασιλέως εἶναι, τὰ ὅρια τῶν ἀνθρώπων παρατρέχει, νομίζων ἑαυτὸν ὡς Θεὸν καὶ οὐχ ὡς ἄνθρωπον, μὴ εὐλαβούμενος τὸν μετὰ Θεὸν παρὰ ἀνθρώπων φοβούμενον. λέγει δὲ ὁ προφήτης Ἰεζεκιὴλ κεφαλαίῳ εἰκοστῷ ὀγδόῳ, Υἱὲ ἀνθρώπου, εἰπὲ κατὰ τοῦ Ἄρχοντος Τύρου, ὅτι ὑψώθη ἡ καρδία σου, καὶ εἶπας ὅτι ἐγώ εἰμι Θεὸς, σὺ δὲ ἄνθρωπος εἶ καὶ οὐ Θεός. πρὸς ταῦτα λέγει ὁ αὐτὸς Ὀπτᾶτος περὶ Δονάτου, ὅτι λαλεῖ ὁ Προφήτης διὰ Ἐπίσκοπον καὶ ἐξουσιαστὴν Ἄρχοντα, καὶ διὰ τὸν βουλόμενον εἶναι Ἡγεμόνα πάντων τῶν Ἐπισκόπων.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι οἱ Πάπαι ἑαυτοὺς καὶ ἀπολελυμένως Θεοὺς εἶναι φρονοῦντες, τὸ, Πάντες δουλεύσουσιν αὐτῷ, ἐπ' αὐτοὺς μεταφέρουσιν.

Ὅτι δὲ ὁ Πάπας μόνος ἐστὶν οὗτος, ὅστις βούλεται καὶ τὴν θεοποιΐαν, φανερὸν, πρῶτον, ἐπειδὴ λέγει ὅτι οὐκ ἔστιν ἄνθρωπος ὑπὸ τὸν Οὐρανὸν παρόμοιος αὐτῷ. δεύτερον, ὅτι φρονεῖ τὸν ψαλμὸν περὶ αὐτοῦ λέγειν, τὸ, ΠΑΝΤΕΣ ΔΟΥΛΕΥΣΟΥΣΙΝ ΑΥΤΩ. τρίτον, ὅτι Διδάσκει, ἵνα οἱ ἄνθρωποι ὡς Θεὸν καὶ Θεοῦ ἐπίτροπον ἁπαξάπαντες αὐτὸν προσκυνῶσιν, ὅθεν ὁ Σπαλάθου βιβλίῳ δευτέρῳ περὶ πολιτείας ἐκκλησιαστικῆς κεφαλαίῳ δεκάτῳ μαρτυρεῖ, ὅτι ὁ Πάπας ὑπὸ τῶν παρασίτων αὐτοῦ καλεῖται Ἀντίθεος, ἤτοι Ἰσόθεος, καὶ Θεὸς ἐπὶ τῆς γῆς, μάλιστα καὶ Θεὸς ἀπολελυμένως, ὅπερ ἐνταῦθα ὁ Νικόλαος εἰπεῖν οὕτω φανερῶς αἰσχυνθεὶς, εἶπεν ὅτι δεῖ εἶναι ἐν τῇ Ἐκκλησίᾳ ἕνα Ἡγεμόνα, μόνον δηλονότι καὶ καθόλου τὸν Πάπαν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ φλυαρίας Βενάρδου Σπαλάθου, μέλη τοῦ Πάπα τὴν Ἐκκλησίαν, ἐκεῖνον δὲ κεφαλὴν αὐτῆς μυθεύοντος, καὶ τῆς δευτέρας βοσκῆς τὰ μέλη, ἤτοι τὰ ἀρνία δύνασθαι καὶ τοῖς τῷ Πάπα ὑποκειμένοις προελθεῖν ἐρεσχελοῦντος.

Βενάρδος Ἀρχιεπίσκοπος Σπαλάθου ἐν τῷ λόγῳ ὃν εἶπεν ἐν τῷ πρώτῳ τμήματι τῆς ἐν Λατεράνῳ Συνόδου, παρόντος Ἰουλίου τοῦ δευτέρου, λέγει, Στερεῶς κρατεῖ ἡ σὴ ἁγιωσύνη πάτερ μακαριώτατε καθὰ κεφαλὴ καὶ κύριος. καὶ μετ' ὀλίγα, Ὥσπερ τὸ ἀνθρώπινον σῶμα ἀπὸ κεφαλῆς καὶ πολλῶν συνίσταται, οὕτω καὶ ἡ πολεμουμένη Ἐκκλησία παρὰ σοῦ τοῦ ἁγιωτάτου Ἀρχιερέως ὡς ἀπὸ κεφαλῆς καὶ ἀπὸ τῶν λοιπῶν Χριστιανῶν ὡς ἀπὸ μελῶν κραταιοῦται, τούτου δὲ τοῦ σώματος καὶ Ἐκκλησίας ὑπὸ τῷ σημείῳ τοῦ Χριστοῦ πολεμουμένης, ἡ ἐξουσία ἐλευθέρα καὶ ἄκρα, ἥτε δικαιολογία καὶ αἱ ἡνίαι τῇ σῇ ἁγιωσύνῃ ἱερώτατε Ἀρχιερεῦ παρεδόθησαν. ποίμαινε τὰ πρόβατά μου, βόσκε τὰ ἀρνία μου. ἀλλὰ τίς ἡ δευτέρα βοσκή; παρὰ τῆς σῆς ἁγιωσύνης ἱερώτατε Ἀρχιερεῦ, ἧς τὰ μέλη καὶ εἰς τοὺς σοὺς ὑποκειμένους προελθεῖν δύναται, καὶ ἡ ἑνότης ἐν τῷ πιστεύειν. ταῦτα ἐκεῖνος.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ ἑτέρας φλυαρίας Καϊτάνου, ἕνα τῶν ἐν Οὐρανοῖς τὸν Χριστὸν μόνον Κύριον, καὶ ἕνα τῶν ἐπὶ γῆς τὸν Πάπαν μόνον Κύριον, φέροντα καὶ δύο ῥομφαίας φρενοβλαβῶς μυθολογοῦντος.

Ἐν τῇ αὐτῇ Συνόδῳ πράξει δευτέρᾳ λόγον εἶπε Καϊτᾶνος τῆς τάξεως Περδικατόρων ὁ Ἔξαρχος, καὶ μεταταῦτα Καρδηνάλις, ἐν ᾧ λέγει πρὸς τὸν αὐτὸν Ἰούλιον ταῦτα, Κατὰ τὸ παράδειγμα τῆς ἐν Οὐρανῷ Γερουσίας ταύτης τῆς ἐν γῇ τὴν Ἡγεμονίαν διετάξατο ὁ Θεὸς, κατ' ἐκεῖνο γὰρ, οὐχὶ παρὰ πᾶσιν, ἢ παρὰ πολλοῖς, ἀλλὰ παρ' ἑνὶ τῷ βικαρίῳ Χριστοῦ καὶ τῆς κυριακῆς ποίμνης τῷ Ποιμένι συνίσταται, διότι καθάπερ ἐν τῇ Ἱερουσαλὴμ ἐκείνῃ τῇ ἐν Οὐρανοῖς, ἥτις καὶ μήτηρ ἡμῶν ἐστὶν, εἷς μόνος ἐστὶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, οὕτως ἐνταύτῃ τῇ Ἱερουσαλὴμ, τῇ θυγατρὶ ἐκείνης, τῇ τῷ αἵματι τοῦ Χριστοῦ ἀρδευομένῃ, καὶ ταῖς τῆς μητρὸς λάμψεσι καταγλαϊζομένῃ, εἷς μόνος ἐστὶν Ἡγεμὼν καὶ Κύριος τοῦ Χριστοῦ βικάριος καὶ ἄκρος Ἀρχιερεὺς, ᾧ πάντες οἱ τῆς ἀπ' Οὐρανοῦ καταβαινούσης Ἱερουσαλὴμ πολῖται καὶ κάτοχοι οὐ μόνον διωρισμένως ἕκαστοι, ἀλλ' ἔτι καὶ καθόλου πάντες ὑποτάττεσθαι χρεωστοῦσι, καθ' ὃν τρόπον οἱ ἐν τῇ ἄνω Ἱερουσαλὴμ ἅγιοι καὶ εἷς καθ' ἕνα καὶ ὁμοῦ πάντες ἑνὶ μόνῳ τῷ πλάστῃ ὑπόκεινται, ὑποτάσσονται καὶ ὑπακούουσιν. Ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ πρὸς τὸν αὐτὸν Ἰούλιον λέγει, Καὶ ἵνα ἐκ πρώτης ἀφετηρίας τὴν δύναμιν μιμηθῇς, περίζωσαι πάτερ ἅγιε τὴν ῥομφαίαν σου, περίζωσαί φημι, ἐπειδὴ δύο ἔχεις, μίαν σοὶ καὶ τοῖς λοιποῖς Ἡγεμόσι κοινὴν, καὶ ἑτέραν δευτέραν σοὶ ἰδίαν, καὶ οὕτω σὴν, ὥστε αὐτὴν οὐδεὶς ἄλλος δύναται ἔχειν, εἰ μὴ λάβῃ αὐτὴν ἀπὸ σοῦ. ταύτην τοίνυν τὴν σὴν ῥομφαίαν, ἥτις τῆς ἐκκλησιαστικῆς ἐξουσίας ἐστὶ, περίζωσαι δυνατὲ ἐπὶ τῶν μηρῶν σου, τουτέστιν ἐπὶ πάσας τοῦ ἀνθρωπίνου γένους τὰς ἐξουσίας. ταῦτα ὁ Καϊτᾶνος.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ ἑτέρας παραπληξίας Χριστοφόρου Μαρκέλλου, πᾶσαν τὴν Ἐκκλησίαν τοῖς ποσὶ τοῦ Πάπα ὡς Βασιλέως καὶ Νυμφίου καὶ Θεοῦ γῆς κυλιομένην δυσσεβῶς λέγοντος.

Τμήματι τετάρτῳ, πράξει ὀγδόῃ τῆς αὐτῆς Συνόδου Χριστόφορος Μάρκελλος δημηγορῶν πρὸς τὸν αὐτὸν Ἰούλιον, προσ-

προσφωνεῖ, Σοὶ τῷ καλλίστῳ καὶ μεγίστῳ Ἡγεμόνι φαιδρῷ, καὶ ἐπὶ τῇ σῇ βασιλείᾳ προστρέχει παμπληθεὶ, καὶ εἰς τοὺς πόδας σου κυλιομένη ἡ Ἐκκλησία, βοήθειαν ἐξαιτεῖ καὶ ἐλπίζει. πρὸς σὲ ὦ Ἰούλιε μακαριώτατε Ποιμὴν ἱκετεύουσα, καὶ ὡς πρὸς ἀληθινὸν Ἡγεμόνα διαυθεντευτὴν πατέρα καὶ Νυμφίον προστρέχει. ἐπιμελήθητι μακαριώτατε πάτερ, ἵνα τῆς σῆς Νύμφης τὸ εἶδος καὶ ἡ στολὴ ἐπανέλθῃ. σὺ ἰατρὸς, σὺ κυβερνήτης, σὺ ἐργάτης, δεύτερος ἄλλος Θεὸς ἐπὶ τῆς γῆς. ταῦτα ἐκεῖ. ἴδε καὶ ἀνωτέρω βιβλίου ὀγδόου κεφαλαίου δεκάτου ἑβδόμου Παράγραφον τρίτον, ὅτι τὰ αὐτὰ ἔλεγε περὶ ἑαυτοῦ Ἰννοκέντιος ὁ τρίτος ἐν τῇ ἐν Λατεράνῳ τετάρτῃ Συνόδῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τοῦ τῆς ἀσεβείας Κολοφῶνος Βονιφατίου Πάπα ὀγδόου, πάσῃ ἀνθρωπίνῃ φύσει ὑποκεῖσθαι τῷ Πάπᾳ, Βασιλέων Αὐτοκράτορι ὄντι, προστάττοντος, ὡς κατὰ πάντων πᾶσαν ἐξουσίαν παρὰ Χριστοῦ ἔχοντι.

Τοῦτο βεβαιοῖ καὶ Βονιφάτιος Πάπας ὁ ὄγδοος εἰς τοὺς κοινοὺς Τίτλους περὶ προεδρίας καὶ ὑπακοῆς κεφαλαίῳ πρώτῳ, μίαν ἁγίαν Ἐκκλησίαν λέγει, τουτέστι διπλῆν εἶναι τὴν ῥομφαίαν ἐν τῇ ἐξουσίᾳ τῆς Ἐκκλησίας πνευματικὴν καὶ ὑλικὴν, καὶ τὴν μὲν ὑλικὴν ταύτην τῇ χειρὶ τῶν Βασιλέων καὶ τῶν Στρατηγῶν ἐνεργεῖσθαι νεύσει τοῦ Πάπα, αὐτὸν δὲ τὸν Ἀρχιερέα τῆς Ῥώμης ἔξω πάσης ἀνθρωπίνης κρίσεως εἶναι, ὡσανεὶ παρὰ Θεοῦ καὶ μὴ παρὰ ἀνθρώπου κριθῆναι δυνάμενον, εἶτα προστίθησι τὸν κολοφῶνα τῆς ἀσεβείας ὁ αὐτὸς λέγων, Τὸ ὑποκεῖσθαι τῷ Ἀρχιερεῖ τῆς Ῥώμης πάσῃ ἀνθρωπίνῃ κτίσει ἐκθέμεθα, λέγομεν, ἀποφαινόμεθα καὶ προστάττομεν εἶναι ἀναγκαιότατον ἔργον τῆς ἀνθρωπίνης σωτηρίας. ἑρμηνεύων δὲ τοῦτο Πέτρος ὁ Βερτράντης φησὶ, Ἰησοῦς ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ φυσικῷ δικαιώματι ἔχει τὴν Ἡγεμονίαν Βασιλέων καὶ Αὐτοκρατόρων, καὶ τὴν ἐξουσίαν καθαιρεῖν καὶ κατακρίνειν αὐτοὺς, τὸν αὐτὸν τρόπον καὶ ὁ τῆς Ῥώμης Ἀρχιερεὺς καθὸ Διάδοχος τοῦ Πέτρου καὶ τοῦ Χριστοῦ πάσης ἀνθρωπίνης κρίσεως ἡγεμονεύει, καὶ ὁμοίας ἀποφάσεις κατὰ Αὐτοκρατόρων καὶ ἑτέρων, ὡς βούλεται, ἀποφαίνεται. Ὁ αὐτός. Ὁ Χριστὸς ἔδωκε τῷ ἄκρῳ Ἀρχιερεῖ τὸν τόπον αὐτοῦ, καὶ τὴν αἰδίον ἀρχὴν τῆς βασιλείας καὶ τῆς Ἱερωσύνης, ἀλλαμὴν τῷ Χριστῷ ἐδόθη πᾶσα ἐξουσία, ἄρα καὶ τῷ Πάπᾳ ὡς ἐπιτρόπῳ ἐδόθη πᾶσα ἐξουσία. ἔτι ὁ αὐτὸς περὶ τῆς θείας κυριότητος λέγει, ὅτι πᾶσα πρόσκαιρος ἐξουσία ὑπόκειται τῇ πνευματικῇ, καὶ δέον τὴν πνευματικὴν ἐξουσίαν ἄρχειν τῶν προσκαίρων.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τῶν τοῦ Πάπα ἀσεβημάτων Κανονιστῶν, τὸν Πάπαν κρίνειν πάντας, καὶ ὑπ' οὐδενὸς κρίνεσθαι, καὶ πάσης Οἰκουμένης μείζω τὴν ἀπόφασιν ἔχειν λεγόντων.

Ἑπόμενοι δὲ τούτοις οἱ Κανονισταὶ, λέγουσι διαιρέσει τεσσαρακοστῇ, αἰτίᾳ ἐνάτῃ, ζητήματι τρίτῳ, Ὁ Πάπας κρίνει τοὺς πάντας, καὶ οὐδενὶ ἀνθρωπίνῳ κριτηρίῳ ἐπὶ γῆς ὑπόκειται. Καὶ, οὔτε παρὰ Αὐγούστου, οὔτε παρά τινος Κλήρου, οὔτε παρὰ Βασιλέων, οὔτε παρὰ Λαοῦ τινὸς κριθήσεται, ὅθεν φησὶν ὁ συγγραφεὺς τῶν Κανόνων, Εἰ καὶ πᾶσα ἡ Οἰκουμένη ἀποφαίνοιτο κατὰ τοῦ Πάπα τῇ τοῦ Πάπα γνώμῃ ἐναντίον καὶ οὐχὶ τῆς Οἰκουμένης, μεῖζον ἰσχύει ἡ γνώμη τοῦ Πάπα. εἰς ὃ δέ φησιν ὁ ἅγιος Ἱερώνυμος γράφων πρὸς Εὐάγριον, ὅτι εἰ ἡ ἐξουσία ζητεῖται, μείζων ἐστὶν ἡ Οἰκουμένη τῆς πόλεως, αὐτὸς αὐτιλέγων, ἀποφαίνεται, ὅτι οὐδὲ μία ἐστὶν Ἐκκλησία, ἥτις οὐχ ὑπόκειται τῇ κληρουχίᾳ τῆς Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι Ἰούλιος ὁ δεύτερος ἑαυτὸν Νυμφίον, κεφαλὴν, Κύριον, γῆς Θεὸν καὶ Βασιλέα ὑπερτελῆ τῆς Ἐκκλησίας ἐνέδωκε καλεῖσθαι.

Συνῳδὰ τούτοις Ἰούλιος ὁ δεύτερος ἀφῆκε καὶ εἶπον αὐτὸν Τόμῳ ἐνάτῳ κατὰ τὴν ἐν Παρισίοις Ἔκθεσιν, ἐν ἔτει χιλιοστῷ πεντακοσιοστῷ δεκάτῳ δευτέρῳ, ὅτι ἐστὶ δηλονότι Νυμφίος καὶ κεφαλὴ καὶ Κύριος καὶ ἄλλος Θεὸς ἐπὶ τῆς γῆς, καὶ ὅτι πάντες οἱ Χριστιανοὶ εἰσὶ μέλη τοῦ Πάπα καὶ ὑποκείμενοι, καὶ ἡ Ἐκκλησία ἐστὶ Νύμφη τοῦ Πάπα, καὶ ἡ Γερουσία τῶν Χριστιανῶν Γερουσία τοῦ Πάπα, καὶ ὅτι ὁ Πάπας ἐστὶ Βασιλεὺς ὑπερτέλειος καὶ πανάγαθος καὶ ἄριστος καὶ μέγιστος Ἄρχων.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι Ἀντώνιος Πάπιος τῷ τῦ Λέοντος δεκάτῳ Θεότητα ἐκ φοβερᾶς αὐτὸν ἀπῶν, καὶ ὃ, Προσκυνήσουσιν αὐτῷ πάντες οἱ Βασιλεῖς τῆς γῆς ψαλμικὸν ἐπ' αὐτῷ λῆρεῖ.

5 Καὶ δὴ καὶ Ἀντωνίῳ Πάπιῳ εἰς τὸν λόγον ὃν ἐποίησεν ἐπὶ παρουσίᾳ Λέοντος τῦ δεκάτου, συνελεύσει σύνοδος τῆς αὐτῆς Σιωόδου, ὡς ἔτεσι χιλιοστῷ πεντακοσιοστῷ τεσσαρεσκαιδεκάτῳ φησὶν, Ἐκφοβεῖ με τῆς Θείας σου μεγαλειότητος ἡ παρουσία, ἧς ταῖς ἀκτῖσι καὶ αὐτοὶ ὀφθαλμοί μου ἀμαυρῶνται. καὶ εἰς φύλλα ἑκατονδεκατέσσαρα, Ἐν σοὶ ἐπληρώθη ἐκεῖνο τὸ προφητικὸν ὡς νομίμῳ καὶ ἀληθεῖ τῦ Θεῦ ἐπιτρόπῳ, Προσκυνήσουσιν αὐτῷ πάντες οἱ Βασιλεῖς τῆς γῆς, πάντα τὰ ἔθνη. Καὶ, ἤδη ἅπαν τῆς Ἐκκλησίας τὸ σῶμα μιᾷ κεφαλῇ, καὶ δηλονότι ὑποκάμψον εἶναι ὁρᾷται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ βλασφημίας τῦ αὐτῦ Ἀντωνίου, τῷ αὖω Ἱερουσαλὴμ κυλινδουμένην εἰς τὸν Πάπαν εἰπόντος.

Οὗτος σὺν τῷ αὐτῷ λόγῳ φέρει καὶ τῷ αὖω Ἱερουσαλὴμ κυλινδουμένῳ τῷ Πάπᾳ καὶ λέγουσαν, Γλυκύτατε Νυμφίε, εὐφρόσυνε Νυμφίε, δραμὲ πατήρ, σιώπησαμε υἱέ, σεσώθασον Νυμφίε, ἐγὼ γάρ σε ὡς πατέρα καὶ τῦ Θεῦ ἐπίτροπον προσκυνῶ, καὶ ὡς ἀνθρώπε υἱόν σε φιλῶ, καὶ ἀπάσης τῆς Ἐκκλησίας Νυμφίον ἐναγκαλίζομαι. καὶ μεταταῦτα, Ἐγέρθητι τοίνυν παναγιώτατε, τῷ μητέρα ἡμῶν τῷ Σιὼν καὶ σοὶ Νύμφῳ περίπυξον, καὶ αὐτῷ ἐναγκάλισαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἔλεγχος τῆς πρώτης βλασφημίας τῦ Πάπα Νικολάου, ἤ ἐστιν, ὅτι μία ἡ Ἐκκλησία, ἐπειδὴ μίαν ἔχει κεφαλὴν τὸν Πάπαν.

Συμφωνα φρονεῖ ὁ Νικόλαος τοῖς λοιποῖς μετὰ τὸ χίσμα Πάπαις καὶ τοῖς Θεολόγοις αὐτῶν, ὅτι ὁ Πάπας ἐστὶν ὁ καθήμενος ἐν τῷ οἴκῳ τῦ Θεῦ, τυτέστιν ἐν τῇ Ἐκκλησίᾳ τῦ Χριστῦ ὡς Θεὸς, ἐκ ἔστι δὲ Θεὸς κατὰ τὸν Προφήτην λέγοντα, Σὺ δὲ ἄνθρωπος εἶ καὶ ὐ Θεός. εἰ δὲ ἐκ ἔστι Θεὸς, ἄρα ὐ δὲ ὁ Χριστὸς, ὁ γὰρ Χριστὸς Θεὸς, ἄρα ἐστὶν ὁ τῷ Χριστῷ ἀντικείμενος. παρισῶσι δὲ τὸν λόγον τὰ ἀνωτέρω ἀρημένα βέβηλα ὀνόματα, καὶ γὰρ ἐκεῖνος εἰς ὃν κυλίεται ἡ καθολικὴ Ἐκκλησία, καὶ δέεται αὐτῦ, καὶ ἔχει αὐτὸν Νυμφίον αὐτῆς, ἅτις ἐστὶ προφανὴς ὁ ἀντικείμενος αὐτῷ τῷ Χριστῷ, ἢ δύφημος εἰπεῖν, καὶ ὡς ἂν ἡ μακαριότης αὐτῦ ὁ Πάπας ἠδωθείη, ὁ ἰσόχριστος, περὶ ἧς τῆς μοναρχίας εἶπε καὶ ἡ Σίβυλλα κεφαλαίῳ ὀγδόῳ, Ἄναξ πολύπλανος πάντα σεβάσματα λύσει.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἐν τῇ παλαιᾷ Ἐκκλησίᾳ οἱ Τίτλοι καὶ τὰ βέβηλα ὀνόματα τῶν Παπῶν ἐκ ἦσαν, ἀλλὰ Γρηγορίου ἑβδόμου εἰσὶν ἐφευρέματα.

Οὐκ ἦσαν οἱ Τίτλοι καὶ τὰ ὀνόματα ταῦτα γνώριμα ἐν τῷ παλαιᾷ Ἐκκλησίαν, καὶ μάρτυρες ἡ γραφὴ, τῶν Σιωόδων τὰ πρακτικὰ, τῶν πατέρων τὰ συγγράμματα, καὶ ἡ ἱστορία καὶ πρᾶξις τῆς καθόλυ Ἐκκλησίας. ἀφ' ὗ δὲ ἡ Αὐτοκρατορία τῶν Ῥωμαίων ἠσθένησε, καὶ ἤρξατο ἐκλείπειν, ἤρξατο ὁ Πάπας λέγειν Θεὸς ἐμὶ ἐπὶ γαίης. ὅθεν λέγει ὁ Ἱερουσολύμων Κύριλλος κατηχήσει ἐνδεκάτῃ, Νῦν ἐστὶν ἀποσασία, ἀπέστησαν οἱ ἄνθρωποι τῆς ὀρθῆς πίστεως, ἔρχεται ὁ Ἀντίχριστος ὅτε ὅταν πληρωθῶσιν οἱ καιροὶ τῆς Ῥωμαίων βασιλείας, σημεῖον δὲ, ὅτε ἔχον οἱ Ῥωμαῖοι τὰ κακὰ, καὶ ἤρξατο καὶ τὸ μέγιστον κακὸν ὁ Ῥογέριος ἀφαιρεῖν πάντων μᾶλλον καὶ ἔχασαν τῷ Ἰταλίαν ἀπὸ τῶν Ῥωμαίων, ἣν Πάπας Γρηγόριος ὁ ἕβδομος, ὃς καὶ Σιώδου ἤρεσε κατὰ Βασιλέων καὶ Ἡγεμόνων, καὶ τὰ βέβηλα ταῦτα ὀνόματα καὶ τὰς αὐτιχριστιανικὰς Τίτλους αὐτὸς πρῶτος ἐφεῦρεν, ὡς μαρτυρεῖ Ῥηχάρδος ὁ τῆς ἐν Παρισίοις Σορβώνας καλουμένης Σχολῆς Διδάσκαλος, εἴρηται δὲ αὐτοῦ περὶ αὐτῦ ἐν πολλοῖς, καὶ ὁ Ὀνόφριος περιγράφων εἰς τὰς σημειώσεις αὐτῦ εἰς τὸν Πλατίνα τῷ βίβλον αὐτῦ τῦ Γρηγορίου ζωὴν, φανερῶν αὐτὸν ὁποῖος ἄνθρωπος ἦν.

Παρε-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι λέγων ὁ Πάπας ἑαυτὸν μοναρχην, καὶ ὑπὲρ τῶν Βασιλέων, λέγει ἑαυτὸν μείζονα τῶν Ἀποστόλων, ὡς ἐκ τῆς πρὸς τὸν Πάπαν Εὐγενίου ὑποσολῆς τοῦ Βεναρδου, καὶ τῆς εἰς τὸ, Πᾶσα ψυχὴ, ἑρμηνείας τοῦ Χρυσοστόμου δείκνυται, ὅθεν ἀφ' ἑαυτοῦ ὁ Πάπας λαλεῖ.

Ὁ Βεναρδος γράφων πρὸς Εὐγένιον Πάπαν τὸν τρίτον περὶ μελέτης βιβλίῳ τρίτῳ κεφαλαίῳ δεκάτῳ λέγει· Ἀμαρτάνεις, ἐὰν ὡς ἄκραν ἕτω καὶ μόνην πρὸ τοῦ Θεοῦ τὴν ὑποσολικήν σε ἐξουσίαν ἀπαγέσαν πεπόλης. εἰ τοῦτο λογίζῃ, παραλογίζῃ τὸν λέγοντα, Οὐκ ἔστιν ἐξουσία, εἰ μὴ ὑπὸ Θεοῦ, ᾗ τὰ ἀκόλουθον, ὁ αὐθισάμβος τῇ ἐξουσίᾳ, τῇ Διαταγῇ τοῦ Θεοῦ αὐθέστηκε. Καὶ, φησὶ γὰρ ἑτέρωθι ὁ Ἀπόστολος, Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω, ἃ λέγει ὑπερεχούσῃ μιᾷ, ἀλλὰ πληθωτικῶς ὑπερεχούσαις. οὐκ ἔστιν ἀρχὴ ἢ τὴ ἐξουσία μόνη παρὰ Θεοῦ. Καὶ, τέρας ποιεῖς ἀπαφελῶν τῆς χειρὸς τὸν δάκτυλον, κρεμᾶσθαι ποιεῖς ἀπὸ τῆς κεφαλῆς ὑπέρτερον τῆς χειρὸς καὶ σωτηρφον τοῦ βραχίονος. ὅμοιόν τι ἐστὶ τοῦτο, ἐὰν τῷ σώματι τοῦ Χριστοῦ ἑτέρῳ τρόπῳ Διατίθης τὰ μέλη, παρὰ ὁ Θεὸς διέθετο ταῦτα, ὅστις ἔθετο ἐν τῇ Ἐκκλησίᾳ τινὰς, Ἀποστόλους, τινὰς, Προφήτας, ἄλλους, Εὐαγγελιστὰς, Ποιμένας, Διδασκάλους πρὸς καταρτισμὸν τῶν ἁγίων, πρὸς ἐργασίαν τῆς Διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, ἐν οἷς πληθωτικῶς πάντα φέρεται, καθότι οὐκ ἔστιν ἑαυτοῖς μήτε ἴσα ὁ μείζων, ἀλλὰ μέσος αὐτὸς ὁ Χριστός. Ὁ αὐτὸς γράφων πρὸς τὸν αὐτὸν Πάπαν, φησὶ, μὴ εἶναι τὸν Πάπαν Νυμφίον τῆς Ἐκκλησίας, Νύμφη γὰρ ἡ Ἐκκλησία μόνῳ τῷ ἁρμοσαμένῳ αὐτὴν Χριστῷ. προσθετέον οὖν ταῦθα τὰ τοῦ Χρυσοστόμου, ἃς ὁμιλίᾳ ἑκοστῇ τρίτῃ πρὸς Ῥωμαίους ἐξηγούμενος· ΠΑΣΑ ΨΥΧΗ, λέγει, Κἂν Ἀπόστολος ᾖ, κἂν Εὐαγγελιστὴς, κἂν Προφήτης, κἂν ὁστισοῦν. καὶ λοιπὸν οὐκ ἔστι μείζων τῶν Ἀποστόλων καὶ Προφητῶν ὁ Πάπας, οὐκ ἔστιν ἐπαύω τῶν Βασιλέων, οὐδὲ ἔχει Ἡγεμονίαν ἄκραν ὑπὲρ τῆς καθόλου Ἐκκλησίας, λέγων δὲ ὅτι ἔχει ταύτην, λέγει ὅτι ἐστὶ μείζων τῶν Ἀποστόλων, ἄρα αὐτός ἐστι κατὰ τὸν Ἐπισήθιον κεφαλαίῳ ἑβδόμῳ ἀφ' ἑαυτοῦ λαλῶν, καὶ ζητῶν τὴν ἰδίαν δόξαν, καὶ οὐ τὴν τοῦ Θεοῦ, καὶ τὸ ἐπόμενον δῆλον.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι τὸ ὑπ' οὐδενὸς κρίνεσθαι τὸν Πάπαν, καὶ κεφαλὴν, ἢ νυμφίον καθόλου, ἢ διμάχαιραν εἶναι, δείκνυται ἐνταῦθα εἴτε Σιωόδων καὶ Διδασκάλων ἐξοχωτάτων ἄθεον.

Ὅπερ δὲ εἶπον αὐτέρω οἱ Κανονισταὶ, ὅτι ὁ πρῶτος Θρόνος οὐ κρίνεται, ἐδογμάτισεν αὐτὸ ὑστερατοῦντα καὶ ἡ ὑπὸ Σιλβέστρου τῶν Δακοσίων οὐδοήκοντα Ἐπισκόπων ἐν Ῥώμῃ Σιωόδος κεφαλαίῳ εἰκοστῷ, λέγουσα, ὅτι ὁ πρῶτος Θρόνος ὑπ' οὐδενὸς κρίνεται, οὔτε γὰρ ὑπὸ Αὐτοκρατόρων, οὔτε ὑπὸ τοῦ Κλήρου, οὔτε ὑπὸ τῶν Βασιλέων, οὔτε ὑπὸ λαοῦ ὁ κριτὴς κριθήσεται. δοκεῖ ὅμως ἀηδείας μεσὸν, καὶ γὰρ κρίνεται καὶ καθαιρεῖται, ὅθεν λέγει ὁ ἱερὸς Νεῖλος, Ὅτι δὲ πάντας αὐακρίνων, αὐτὸς ὑπ' οὐδενὸς αὐακρίνεται, τοῦτο καὶ ψεῦδος, καὶ τοῖς τῶν Ἀποστόλων ἤθεσιν οὐ συμβαίνει, καὶ ἔχεις αὐτέρω πολλὰ παραδείγματα οὐ μόνον τὰς ὀρθοδόξους Σιωόδους καὶ Οἰκουμενικὰς καὶ Τοπικὰς, ἀλλὰ καὶ τὰς ὀν Πίσῃ καὶ Κωνσταντίᾳ καὶ Βασιλείᾳ, ὅθεν οἱ ἀπὸ τῆς ὀν Παρισίοις Σχολῆς ἄθεον τοῦτον τὸν λόγον κρίνουσιν εἶναι, λέγουσι γὰρ Ἰωάννης ὁ Γέρσων καὶ ἄλλοι ἐξοχώτατοι αὐτῶν Διδάσκαλοι ὀν ἑνὶ ῥήματι ἀποφαινόμενοι ταῦτα, Οὐδενὶ ὀν τῇ αὐτοῦ ὑποθέσει πιστεύτεον, ἐὰν μὴ ὁμοφρόνως τῷ φυσικῷ καὶ τῷ καινοικῷ Νόμῳ συμφωνῶσιν οἱ λόγοι αὐτοῦ, ἀλλαμὲν οἱ παρανομοῦντες λόγοι αὐτοῦ κρίνονται τῷ Θείῳ καὶ τῷ φυσικῷ Νόμῳ, τουτέστιν ὅτι ὁ Πάπας ὑπ' οὐδενὸς κρίνεται, καὶ δὴ καὶ οἱ ἄλλοι, ὅτι ἐστὶ μετὰ Χριστὸν τῆς καθόλου Ἐκκλησίας κεφαλὴ καὶ καθόλου Νυμφίος, καὶ ἔχει ὀν τῇ Ἐκκλησίᾳ πᾶσαν γοικὴν καὶ αὐτοκρατορικὴν Ἡγεμονίαν καὶ ἐξουσίαν ὑπολελυμμένην καὶ δύο μαχαίρας, ἄρα ὁ Νικόλαος καὶ οἱ κατ' αὐτὸν δογματίζοντες καὶ ἡ Διαπεφθεῖσα Σιώοδος ἄθεον λόγον εἶπον, καὶ οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' ὁ Πάτερ, Γερσωνίου καὶ τῶν ὁμοίως ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ Θεολογούντων. ἴδε καὶ αὐτέρω βιβλίῳ ἔκτῳ κεφαλαίῳ δεκάτῳ Παράγραφον δεύτερον. ὅτι δὲ ἡ ὑπὸ Σιλβέστρου Σιώοδος συκοφαντεῖται ὑπὸ τῶν Ἰταλῶν, ἴδε αὐτέρω βιβλίῳ πρώτῳ κεφάλαιον ἕκτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι τὸ, ὁ μὴ παθόμβος τῷ Πάπᾳ οὐκ ἔστι Χριστιανὸς, λοίδορον μυθάριον, ἐλέγχεται ἐνταῦθα ὑπό τε ἁγίων πατέρων ἐγκειτῶν καὶ ὀν ταῖς Οἰκουμενικαῖς Σιωόδοις λεχθέντων μάταιον, ὡς μὴ βεβαιόμβον παρὰ τῆς γραφῆς.

Ἔτι δείκνυται μάταιον τοῦτο τὸ μυθάριον, τὸ, ὁ μὴ παθόμβος τῷ Πάπᾳ, οὐκ ἔστι χριστιανὸς, καθότι οὐ βεβαιοῦται

βεβαιοῦται παρὰ τῆς γραφῆς, καὶ γὰρ κατὰ τὸν μέγαν Βασίλειον ὁμιλίᾳ περὶ πίστεως, φανερῶς ἔκπτωσις πίστεως καὶ ὑπερηφανίας ἐστὶ κατηγορία ἢ ἀθετεῖν τι τῶν γεγραμμένων, ἢ ἐπεισάγειν τι τῶν μὴ γεγραμμένων. καὶ Θεοδώριτος δευτέρῳ διαλόγῳ, μηδεὶς φησι τολμάτω παρὰ τὴν γραφὴν λαλεῖν. καὶ Ἀθανάσιος ἐν τῷ κατὰ Ἀνομοίων, Τί πρὸς ἡμᾶς διαμάχεσθε, τοὺς μήτε ἀκούειν μήτε λέγειν παρὰ τὰ γεγραμμένα πειθομένους, λέγοντος τοῦ Κυρίου, Ἐὰν μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ὄντος ἐλεύθεροί ἐστε. καὶ ὁ Ἱεροσολύμων Κύριλλος κατηχήσει τετάρτῃ, Δεῖ περὶ τῶν θείων καὶ ἁγίων τῆς πίστεως Μυστηρίων μήτε τὸ τυχὸν ἄνευ τῶν θείων παραδίδοσθαι γραφῶν. καὶ Χρυσόστομος ὁμιλίᾳ πεντηκοστῇ ὀγδόῃ τοῦ δεκάτου κεφαλαίου εἰς τὸν Ἰωάννην, Τὸν μὴ κεχρημένον τῇ θείᾳ γραφῇ ἐν τῇ ἰδίᾳ δείξει, μὴ διὰ τῆς θύρας, ἀλλὰ ἀλλαχόθεν ἀναβαίνειν. ἀποσκοραπίζομεν οὖν τὸν ἐφευρετὴν τῆς πονηρᾶς θέσεως καὶ τοὺς πειθομένους αὐτῇ, ὡς μὴ τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ ἴδια λαλοῦντας. εἶτα Χριστιανὸς λέγεται ἀπὸ τοῦ Χριστοῦ, καὶ παπιστὴς ἀπὸ τοῦ Πάπα, πάντως δὲ οὐχ ὁ μὴ πειθόμενος τῷ Πάπᾳ, ἀλλ' ὁ μὴ πειθόμενος τῇ παραδόσει τοῦ Χριστοῦ, καὶ ἀεὶ ἐφευρίσκων νέα καὶ ἄγνωστα τῇ καθολικῇ Ἐκκλησίᾳ, οἷός ἐστιν ὁ Πάπας, ἐκεῖνος οὐκ ἔστι Χριστιανός. Γρατιανὸς, Οὐαλεντιανὸς καὶ Θεοδόσιος οἱ Αὐτοκράτορες γράφοντες Κωνσταντινουπολίταις λέγουσι, Χριστιανὸς ἐστὶν, ὁ πιστεύων μίαν εἶναι Θεότητα ἐν ἴσῃ ἐξουσίᾳ Πατρὸς, Υἱοῦ καὶ ἁγίου Πνεύματος, ὁ δὲ παρὰ τὰ εἰρημένα δοξάζων, Αἱρετικός ἐστι, βασιλικῶν βιβλίῳ πρώτῳ Τίτλῳ πρώτῳ κεφαλαίῳ πρώτῳ. ὁ Ἱερώνυμος ὁμιλίᾳ τριακοστῇ τρίτῃ εἰς τὰς πράξεις τῶν Ἀποστόλων φησὶ, Χριστιανὸς ἐστὶν, ὁ ἐμμένων τοῖς τοῦ Κυρίου διδάγμασι. καὶ ὁ Χρυσόστομος ὁμιλίᾳ δεκάτῃ ἕκτῃ, Χριστιανὸς ἐστὶν, ὁ πιστεύων ταῖς γραφαῖς. καὶ Ἀμβρόσιος βιβλίῳ ἕκτῳ κεφαλαίῳ ἐνάτῳ, Χριστιανὸς ἐστὶν, ὁ στηριζόμενος τῇ πέτρᾳ, ἤτοι τῷ Χριστῷ. τίνες δὲ εἶπον τῶν πατέρων τὸν μὴ πειθόμενον τῷ Πάπᾳ Χριστιανὸν μὴ εἶναι; καὶ πῶς ὁ Βασίλειος ἐν τῷ τέλει τῶν κατὰ πλάτος Ὅρων πολλὰ εἰπὼν περὶ τοῦ τί ἐστι Χριστιανὸς, καὶ τὶ τὸ ἴδιον Χριστιανοῦ, οὐκ ἐμνήσθη τοῦ Πάπα; ἔπειτα ἐπειδὴ τῷ μὴ διδάσκοντι οὐδεὶς οὔτε πείθεται οὔτε πεισθήσεται, ὁ δὲ Πάπας τοὺς Ἀνατολικοὺς οὐ διδάσκει, ἐδίδασκον γὰρ οἱ ἀρχαῖοι Πάπαι καὶ αὐτεδιδάσκοντο, ἐν γὰρ τῇ πρώτῃ Συνόδῳ, ὡς εἴρηται ἀνωτέρω πολλάκις, καὶ μάλιστα βιβλίου ἕκτου κεφαλαίου δεκάτου Παράγραφῳ δευτέρῳ μόνοι τρεῖς ἦσαν ἀπὸ τῆς Δυτικῆς Ἐκκλησίας, Ὅσιος Κουδρούβης, Βίτων καὶ Βικέντιος, πάντες δὲ οἱ λοιποὶ Ἕλληνες ἦσαν καὶ Ἀνατολικοὶ, καὶ ἐν ταῖς διαλέξεσιν εἷς ἦν ὁ Ὅσιος Δυτικὸς, πάντες δὲ οἱ λοιποὶ Ἕλληνες, ὡς γράφει καὶ ὁ Γελάσιος. ἐν τῇ δευτέρᾳ οὐδεὶς ἦν ἀπὸ τῆς Ῥώμης. ἐν τῇ τρίτῃ ἦν μετὰ τῶν λοιπῶν ὁ πρῶτος Διδάσκαλος Κύριλλος ὁ Ἀλεξανδρείας, ὡς πᾶσα ἡ Ἐκκλησία καὶ ὁ Πάπας Κελεστῖνος καὶ αὐτὴ ἡπεῖρα ἐμαρτύρησεν, ἀπὸ δὲ τῆς Ῥώμης μόνοι ἦσαν τρεῖς, καὶ οὐδεὶς ἕτερος, καὶ οὗτοι ἦλθον μετὰ τὴν ἀπόφασιν τῆς Συνόδου. ἐν τῇ ἐν Χαλκηδόνι ἦσαν μόνοι τρεῖς Ῥωμαῖοι, οἱ δὲ λοιποὶ ἑξακόσιοι εἰκοσιοπτὰ πάντες Ἕλληνες ἐξεταστὰι καὶ τῆς πίστεως ἔκδικοι. ἐν τῇ πέμπτῃ οὐδεὶς ἦν Ῥωμαῖος ὡς καὶ ἐν τῇ δευτέρᾳ, ἀλλ' οἱ πάντες Ἀνατολικοί. ἐν τῇ ἕκτῃ ἦσαν ὡς καὶ ἐν τῇ τετάρτῃ. ἐν τῇ ἑβδόμῃ καὶ ἐκεῖ τρεῖς Ῥωμαῖοι, οἱ δὲ λοιποὶ πάντες Ἕλληνες, ἐξετάζοντες καὶ τῶν Πατριαρχῶν καὶ τοῦ Πάπα τὰς ἐπιστολὰς καὶ τὰς μαρτυρίας καὶ τὰ κῳδίκια, καὶ βεβαιοῦντες ἀπό τε τῶν γραφῶν καὶ τῶν ἐγκρίτων πατέρων τὰς ἀποφάσεις αὐτῶν. ἐδίδασκον οὖν οἱ ἀρχαῖοι Πάπαι καὶ ἐδιδάσκοντο, ὡς ἡ πρᾶξις βεβαιοῖ τῆς καθόλου Ἐκκλησίας, καὶ ἡ ἐν Χαλκηδόνι βεβαιοῖ ἐν τῷ πρὸς τὸν Βασιλέα Μαρκιανὸν προσφωνητικῷ αὐτῆς. οἱ δὲ νέοι νέα καὶ διάμετρον αὐτικείμενα τῇ γραφῇ καὶ τοῖς πατράσιν ἀνόμοια ἐφευρίσκουσιν εἰς καταστροφὴν τῶν ἐκκλησιαστικῶν δογμάτων καὶ ἠθῶν καὶ παραδόσεων. τρίτον ὅτι οὐ διορίζει μὴ πείθεσθαι τὸν Χριστιανὸν τῷ Αἱρετικῷ Πάπᾳ, ἀλλὰ μόνον τῷ ἁγίῳ καὶ τῷ πειθομένῳ ταῖς οἰκουμενικαῖς Συνόδοις, γινώσκομεν γὰρ πρῶτον εἶναι τὸν Πάπαν, ἀλλ' οὐκ ἀπὸ τοῦ Χριστοῦ ἢ τῶν Ἀποστόλων, ἀλλ' ἀπὸ τῶν πατέρων, καὶ δεῖ ἕκαστον Χριστιανὸν ἀκολουθεῖν τῷ Πάπᾳ ὅτε διορίζει καὶ ἐκδικεῖ τὰ τῶν Οἰκουμενικῶν Συνόδων, καθ' ὃν τρόπον δεῖ πείθεσθαι καὶ τοῖς λοιποῖς Πατριάρχαις, καὶ γὰρ οὐ δέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον ἡ ἀλήθεια, εἰ γὰρ καὶ ὑποπίττει τῷ ἀναθέματι ὁ ἀπειθῶν ταῖς Οἰκουμενικαῖς Συνόδοις, ἑκάστη δὲ Οἰκουμενικὴ Σύνοδος ἐστὶν ἄθροισμα πολλῶν ἀνακεφαλαιουμένων εἰς τοὺς πέντε Πατριάρχας, ἀνάγκη καὶ τοῖς πέντε πείθεσθαι καὶ οὐ μόνον τῷ Πάπᾳ, καὶ μάλιστα ὅτε διδάσκει Αἵρεσιν, ἢ ἤθη ἀλλότρια τῆς γραφῆς καὶ τῆς Ἐκκλησίας. Ἔστω ὁ Πάπας πρῶτος ἐν τῇ Ἐκκλησίᾳ, ἀλλ' οὐκ ἀληθεύει διὰ τὸ εἶναι πρῶτον, ἐδείχθη γὰρ ἀνωτέρω πόσοι Πάπαι ἐγένοντο τῆς ἀληθείας παραχαράκται ἐν πολλοῖς καὶ μεγίστοις, ἀλλ' ἀληθεύει ὁ σοφὸς καὶ ἅγιος καὶ διὰ τοῦ Πνεύματος φωτιζόμενος ἐν τῇ Ἐκκλησίᾳ, ὡς οἱ Ἀπόστολοι ἰδιῶται ὄντες, καὶ ὑπὸ τοῦ Πνεύματος φωτισθέντες, εἶπον καὶ ἔγραψαν ὑπὲρ τοὺς σοφοὺς τὰ ἐξαίρετα, καὶ διὰ τοῦτο οἱ σοφοὶ πατέρες ἐν ταῖς Συνόδοις ἐδίδασκον, ὅθεν καὶ οἱ Πάπαι εἰς τὰ συγγράμματα αὐτῶν καὶ εἰς τὰς ἐπιστολὰς ἃς ἔπεμπον εἰς τὰς Οἰκουμενικὰς Συνόδους, καὶ αἱ Σύνοδοι ἐν τοῖς Ὅροις καὶ ταῖς ἀποφάσεσιν αὐτῶν τοὺς ἁγίους πατέρας προσέφερον μάρτυρας, καὶ ἴδε ἀνωτέρω τοὺς τόπους ἑκάστης Συνόδου, καὶ δὴ καὶ ἡ ἕκτη καὶ ἑβδόμη αἱ Σύνοδοι οὐκ εἶπον δεῖ πείθεσθαι τῷ Πάπᾳ, ἀλλὰ τοῖς ἁγίοις πατράσι καὶ Διδασκάλοις, ὡς εἶπε καὶ Γρηγόριος ὁ δεύτερος ἐν ταῖς πρὸς τὸν Ἴσαυρον ἐπιστολαῖς αὐτοῦ. ὅθεν ὁ Ἀμβρόσιος κεφαλαίῳ δευτέρῳ περὶ τῆς ἀξίας τῆς Ἱερωσύνης λέγει, Ἃ πρόβατα καὶ ὃ ποίμνιον οὐ μόνος τότε ὁ μακάριος Πέτρος ἐδέξατο, ἀλλὰ καὶ μεθ' ἡμῶν ἐκεῖνα ἐδέξατο, καὶ μετ' ἐκείνου ἡμεῖς ἐδεξάμεθα. καὶ ὁ Κυπριανὸς βιβλίῳ τρίτῳ

τρίτῳ ἐπιστολῇ δεκάτῃ τρίτῃ, εἰ γάρ φησι καὶ πολλοὶ ὑπάρχομεν Ποιμένες, μίαν ὅμως ποίμνην ποιμαίνομεν, καὶ τὰ καθόλου πρόβατα, ἅτινα ὁ Κύριος τῷ ἰδίῳ περιεποιήσατο αἵματι, συνάγειν καὶ περιθάλπειν ὀφείλομεν, καὶ ἁπλῶς οἱ σοφοὶ καὶ ἅγιοι πατέρες τῆς Οἰκουμένης φωστῆρες καλοῦνται ὑπὸ τῆς ἑβδόμης Συνόδου, δι' ἣν αἰτίαν πείθονται πάντες οἱ Χριστιανοὶ καὶ αὐτὸς ὁ Πάπας, εἴπερ ἐθέλοι χριστιανὸς εἶναι, τοῖς θεοφόροις πατράσι, καὶ οὐ τὸ ἀνάπαλιν. οἱ μὴ πειθόμενοι τοῖς ἁγίοις πατράσιν, ἀλλότριοι κρίνονται τῆς Ἐκκλησίας, οὐ μὴν καὶ οἱ μὴ τῷ Πάπᾳ τῆς Ῥώμης πειθόμενοι, καὶ ἄθρει.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἐκ τῶν ἀνθεσταμένων Συνόδων καὶ ἐγκρίτων ἁγίων τῷ Πάπᾳ ἀπὸ τοῦ ἁγίου Κυπριανοῦ μέχρι Φωτίου, δείκνυται τοὺς μὴ τοῖς ἁγίοις πατράσι καὶ ταῖς Συνόδοις, ἀλλὰ τῷ Πάπᾳ πειθομένους, μὴ εἶναι Χριστιανούς.

Ὁ ἅγιος Κυπριανὸς οὐκ ἐπείσθη τῷ Πάπᾳ περὶ ἀναβαπτισμοῦ, ἀλλ' ἀντέστη ὡς γράφη αὐτὸς ἐν τῇ πρὸς Πομπήϊον ἐπιστολῇ, καὶ μάλιστα ἀντέστη διὰ δύο μεγάλων Συνόδων. τὸ αὐτὸ ἐποίησαν ὁ Καισαρείας Φιρμιλιανὸς καὶ Ἕλανος ὁ Ταρσοῦ, ἀλλ' ἡ ἐν Ἀντιοχείᾳ κατὰ τοῦ Σαμοσατέως Σύνοδος ἁγίους ἔχει αὐτούς. περὶ τοῦ Πάσχα ἀντέστη τῷ Πάπᾳ συνοδικῶς ὁ Ἐφέσου Πολυκράτης καὶ οἱ Ἀσιανοὶ ἔγκριτοι Ἐπίσκοποι, ἀλλ' ἦσαν οἱ ἀνθιστάμενοι τῷ Πάπᾳ Χριστιανοὶ καὶ οἱ πλείους ἅγιοι. ὁ Πάπας Βίκτωρ ἀφώρισε τὰς Ἐκκλησίας τῆς Ἀνατολῆς διὰ τὸ Πάσχα, ἀλλ' ἀντέστη αὐτῷ καὶ ὠνείδισεν αὐτῷ ὁ Λουγδούνων ἅγιος Εἰρηναῖος, καὶ πᾶσαι αἱ Ἐκκλησίαι κατεφρόνησαν τῶν ἐπιταγῶν αὐτοῦ. ὁ Πολύκαρπος Σμύρνης ἤρισε μετὰ τοῦ Πάπα Ἀνικήτου διὰ τὸ Πάσχα, καὶ οὐμόνον οὐκ ἐπείσθη αὐτῷ, ἀλλὰ καὶ ἀντέστη, καὶ μάλιστα ἔσω τῆς Ῥώμης, καὶ ἔστιν ὁ Πολύκαρπος ἀποστολικὸς ἅγιος, ὅτε δὲ ἡ πρώτη Σύνοδος διώρισε περὶ τοῦ Πάσχα, πάντες ὑπήκουσαν. περὶ τοῦ ἀναβαπτισμοῦ καταφρονήσας ὁ μέγας Βασίλειος τῶν παπικῶν ἐνταλμάτων, Σύνοδον ἐπιζητεῖ, ὅθεν τῇ δευτέρᾳ Οἰκουμενικῇ Συνόδῳ διορισάσῃ περὶ τοῦ βαπτίσματος πάντες ἐπείσθησαν. οἱ Ῥωμαῖοι τῷ Ἀθανασίῳ καὶ οὐ τῷ Πάπᾳ ἐπείσθησαν περὶ οὐσίας καὶ ὑποστάσεως, ὡς μαρτυρεῖ ὁ Θεολόγος ἐν τῷ πρὸς αὐτὸν ἐγκωμίῳ. ὁ Πάπας Λιβέριος, εἰπόντος αὐτῷ τοῦ Βασιλέως Κωνσταντίου, Ποστὸν εἶ μέρος τῆς Οἰκουμένης, ὅτι σὺ μόνος τῆς Οἰκουμένης τὴν εἰρήνην καὶ ὅλου τοῦ κόσμου λύεις, οὐκ εἶπεν ὅτι Βασιλεῦ μὴ ἀντιλέγεις τῷ Πάπᾳ, ᾧ πείθεσθαι πάντα Χριστιανὸν ἀνάγκη, ἀλλ' εἶπε Σύνοδον ἀθροισθῆναι καὶ διορισθῆναι τὸ δίκαιον. ὁ Πάπας Δάμασος ἐδικαίωσε τὸν Οὐϊτάλιον ἀπατηθεὶς ἐξ ἁπλότητος, οὐκ ἐπείσθη δὲ αὐτῷ ὁ Θεολόγος Γρηγόριος, ἀλλ' ἔστιν ὁ Γρηγόριος ἅγιος. ὁ μέγας Βασίλειος κατέκρινε τῶν Παπῶν τὸ ὑπερήφανον ἦθος, καὶ ἐμαρτύρησεν αὐτοὺς μὴ εἰδέναι τὴν ἀλήθειαν, καὶ τὸ δὴ χείριστον κακὸν, ὅτι μήτε διδαχθῆναι ταύτην ἀνέχονται, ἀλλὰ Κανὼν πίστεως ὁ Βασίλειος. ὁ Ἀντιοχείας Φλαυϊανὸς οὐκ ἐπείσθη τοῖς Πάπαις, ἀλλὰ μάλιστα τρισὶν ἀντέστη, ἀλλ' ἦν Χριστιανός. οἱ πατέρες τῆς δευτέρας Συνόδου χωρὶς τῆς τοῦ Πάπα γνώμης ἤθροισαν τὴν Σύνοδον, καὶ ὕστερον καλέσαντος αὐτοῦ αὐτοὺς εἰς Σύνοδον ἣν αὐτὸς ἤθροισεν ἐν Ῥώμῃ, διὰ τὴν προσάλογον προθεσμίαν οὐκ ἤκουσαν αὐτοῦ, καὶ δὴ καὶ τὸν παρὰ τοῦ Πάπα διωκόμενον Φλαυϊανὸν εἰς τὸν θρόνον Ἀντιοχείας ἀποκατέστησαν. Μελέτιον τὸν Ἀντιοχείας οὐκ ἐδέχοντο οἱ Πάπαι, μάλιστα ἀντεχειροτόνησαν κατὰ τοῦ ἁγίου τὸν Παυλῖνον, ἀλλ' οἱ πατέρες τῆς δευτέρας Συνόδου καὶ πᾶσα ἡ Ἀνατολὴ τὸν μὲν Μελέτιον εἶχον ἅγιον, τὸν δὲ Παυλῖνον παράνομον. ὁ Ἀλεξανδρείας Θεόφιλος ἐμάχετο τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης, ὡς μαρτυρεῖ ἡ ἐν Καρθαγένῃ Σύνοδος Κανόνι ἑκατοστῷ ἕκτῳ, ἀλλὰ καίτοι ἀντιλέγων τῷ Πάπᾳ, ἦν Χριστιανὸς ὁ Θεόφιλος, καὶ μάλιστα ἅγιος. ἔπεμψεν ὁ Πάπας ἰννοκέντιος Λεγάτους συστῆσαι εἰς Βυζάντιον Σύνοδον ἵνα ἀθῳώσωσι τὸν Χρυσόστομον, οἱ δὲ Κωνσταντινουπολῖται ἐκείνους ἐδίωξαν μετ' αἰσχύνης, ἀλλ' ἦσαν οἱ καταφρονήσαντες τοῦ παπικοῦ προστάγματος Χριστιανοὶ καὶ ὀρθόδοξοι. ὁ Πάπας Λέων ὁ πρῶτος ἔγραψε πρὸς τὸν μικρὸν Θεοδόσιον τοῦ προσάξαι γενέσθαι Σύνοδον εἰς τὴν Ἰταλίαν κατὰ τοῦ Διοσκόρου, ὁ δὲ Βασιλεὺς οὐμόνον οὐκ ἐπείσθη, ἀλλὰ καὶ ἀντέστη. ὁ αὐτὸς Λέων ἐβεβαίωσε τὸν Στέφανον εἰς τὴν Ἔφεσον, καὶ τὸν Θεοδώριτον ἔγραψεν ἀποκατασταθῆναι, ἀλλ' ἡ ἐν Χαλκηδόνι Σύνοδος τὸν μὲν Στέφανον τοῦ θρόνου ἀπεδίωξε, τὸν δὲ Θεοδώριτον ἀπέβαλε, καὶ ἐδέξατο ὅτε ἀνεθεμάτισε ῥητῶς τὸν Νεστόριον, καὶ δὴ καὶ περὶ τοῦ Κωνσταντινουπόλεως κοινῶς ἡ Σύνοδος, καὶ ἰδίως πάντες οἱ Ἐπίσκοποι τῆς Ἀνατολῆς ἀντεῖπον τῷ Πάπᾳ Λέοντι, ἀλλ' ἦσαν Χριστιανοὶ πάντες οἱ ἀντειπόντες τῷ Πάπᾳ, καὶ πάντες σχεδὸν ἅγιοι. Εὐθύμιος καὶ Μακεδόνιος οἱ Κωνσταντινουπόλεως Πατριάρχαι ἐμνημόνευον τοῦ Ἀκακίου ἐν τοῖς Διπτύχοις, καὶ ἠναντιοῦντο τοῖς Πάπαις ἀναθεματίσαι τὸν Ἀκάκιον ἐπιτάττουσιν, ἀλλ' ἦσαν Χριστιανοὶ, καὶ μάλιστα ἅγιοι. Ἰωάννης ὁ Μαξέντιος καὶ οἱ Μοναχοὶ Σκῦθαι ἀντεῖπον τῷ Πάπᾳ Ὁρμίσδᾳ, ἀλλ' οὐδεὶς αὐτοὺς κατέκρινεν, ἦσαν δὲ Χριστιανοί. ὁ Κωνσταντινουπόλεως Μηνᾶς ἀντεῖπε τῷ Πάπᾳ Βιγιλίῳ, καὶ ἀκοινωνησίαν κατακριθεὶς, ἀκοινωνησίαν ἀντεπήγαγεν, ἀλλ' ἔστιν ὁ Μηνᾶς ἅγιος. ἡ πέμπτη Οἰκουμενικὴ Σύνοδος τὸν Πάπαν Βιγίλιον κατέκρινεν, ὅθεν ὁ Βασιλεὺς ἐκεῖνον ἐξώρισε διὰ τὴν ἀπείθειαν, ἀλλ' ἔστιν ἡ Σύνοδος ἁγία καὶ καθολικὴ, καὶ ὁ Ἰουστινιανὸς ὑπὸ τῆς ἕκτης Συνόδου λέγεται ἅγιος. ἡ ἐν Καρθαγένῃ Σύνοδος ἀντεῖπε τοῖς Πάπαις καὶ διὰ λόγων καὶ διὰ ἀγώνων καὶ διὰ ἐπιστολῶν, καὶ ὅμως

ἐστὶν

ἐστὶν ἁγία καὶ ἱερὰ Σύνοδος. πολλοὶ κατέκρινον τινὰς μεμφομένους τοὺς μὴ πειθομένους τῇ ἀποφάσει τῆς ῥωμαϊκῆς Ἐκκλησίας διὰ τὴν νηστείαν τοῦ Σαββάτου, ἀλλ' ὁ Αὐγουστῖνος τοὺς μὲν δικαιοῦντας περὶ τούτου τὸν Πάπαν κατέκρινε, τοὺς δὲ ἐναντιουμένους ἐδικαίωσεν. Ἰωάννης ὁ νηστευτὴς, ὃν ἡ ἑβδόμη Οἰκουμενικὴ μαρτυρεῖ ἅγιον, ἀντεφέρετο πρὸς τὸν Πάπαν διὰ τὴν Οἰκουμενικὸς προσηγορίαν καὶ ἀντέλεγεν ἀναφανδὸν καὶ πάσῃ σπουδῇ, οὐκ εἶπον ὅμως μήτε οἱ τότε Πάπαι Πελάγιος καὶ Γρηγόριος, μήτε οἱ τότε καιροῦ Πατριάρχαι καὶ λοιποὶ Ἐπίσκοποι, μήτε Βασιλεῖς, μήτε οἱ λοιποὶ σοφοὶ καὶ οἱ ἰδιῶται τοὺς τοιούτους μὴ εἶναι Χριστιανούς. κατὰ τὸν μέγαν Μάξιμον οἱ Κωνσταντινουπολῖται ἐπελάβοντο τῶν συνοδικῶν τοῦ Πάπα, ἀπολογούμενοι δὲ οἱ Ῥωμαῖοι διὰ τοῦ ἁγίου Μαξίμου εἶπον τὴν λύσιν ἐκκλησιαστικῶς, πῶς δὲ οὐκ ἐγίνωσκον οἱ τότε Ῥωμαῖοι οὔτε μὴν οἱ Κωνσταντινουπολῖται οὔτε ὁ Μάξιμος, ὅτι ὁ μὴ τῷ Πάπᾳ πειθόμενος οὐκ ἔστι Χριστιανός; ἡ κατὰ Φωτίου Σύνοδος διορίζει Κανόνι δεκάτῳ τρίτῳ, Εἰ γένηταί τις ἐν Οἰκουμενικῇ Συνόδῳ ἀμφιβολία περὶ τῆς ῥωμαϊκῆς Ἐκκλησίας, χρὴ δέχεσθαι τὴν λύσιν, καὶ ἢ ὠφελεῖσθαι ἢ ὠφελεῖν, εἰ δὲ ὠφεληθήσεται ἡ Ἐκκλησία Ῥώμης, πῶς τῷ Πάπᾳ δεῖ πείθεσθαι καὶ μὴ κατὰ πρῶτον λόγον τῇ Οἰκουμενικῇ Συνόδῳ; ὁ Κωνσταντινουπόλεως Ἰγνάτιος ἀντέστη τῷ Πάπᾳ Ἰωάννῃ διὰ τὴν Βουλγαρίαν, ὡς φαίνεται ἐπιστολῇ ἑβδομηκοστῇ ὀγδόῃ, ἀλλ' ὁ Ἰγνάτιος τὴν ἀγανάκτησιν αὐτοῦ εἰς οὐδὲν λογισάμενος, τὴν Βουλγαρίαν οὐκ ἔδωκε, καὶ ἀπέθανεν, ἔχουσιν ὅμως αὐτὸν καὶ οἱ Λατῖνοι ἅγιον. ἡ ἐν Τρούλλῳ Σύνοδος οὐκ ἐπείσθη τῷ Πάπᾳ κακῶς νομοθετοῦντι ἐν τῇ Ῥώμῃ, ἀλλὰ Νόμους ἔθετο περὶ τῆς νηστείας τοῦ Σαββάτου καὶ τοῦ γάμου τῶν Ἱερέων καὶ τοῦ Πάπα, ὅμως ἐστὶν ἁγία, ὡς μαρτυρεῖ ἡ ἑβδόμη ἁγία Σύνοδος καὶ ὁ Πάπας Ἀδριανὸς ὁ πρῶτος. τὸν Φώτιον ἀνεθεμάτισαν ἐννέα Πάπαι, ἀλλ' ἐνώπιον πάσης τῆς βασιλείας Ῥωμαίων καὶ πασῶν τῶν Ἐκκλησιῶν ἡ ἐν Κωνσταντινουπόλει ἐπὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου τῆς ἑνώσεως Σύνοδος ἐβόησεν, Ἅπαντα τὰ κατὰ Ἰγνατίου καὶ Φωτίου τῶν ἁγιωτάτων Πατριαρχῶν γραφέντα ἢ λαληθέντα, ἀνάθεμα. καὶ ὁ Ἀδριανὸς Πάπας ἐν τῇ κατὰ Φωτίου ἐν Ῥώμῃ Συνόδῳ ἔλεγε, Δεῖ καὶ τοὺς μικροὺς κατεξανίστασθαι τῶν Αἱρετικῶν Παπῶν, καὶ μὴ ὑποτάσσεσθαι. ἴδε ἀνωτέρω βιβλίου τεταρτου κεφαλαίου πέμπτου Παράγραφον ὄγδοον, καὶ βιβλίου ἕκτου κεφαλαίου δεκάτου Παράγραφον τέταρτον, καὶ βιβλίου πρώτου κεφάλαιον ἔσχατον, καὶ βιβλίου δευτέρου κεφαλαίου ἐσχάτου Παράγραφον ἔσχατον.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι οἱ παπισταὶ διὰ τὸ πείθεσθαι τοῖς μετὰ τὸ σχίσμα δογματίσασι Πάπαις πιστεύειν εἰς τοὺς Πάπας, παπισταὶ λέγονται, οἱ Φωτειανοὺς ἡμᾶς τοὺς τῶν πατρικῶν δογμάτων ἐγκρατεῖς λέγοντες, δείκνυνται φλύαροι.

Ἀλλ' οὐδ' αὐτοὶ οἱ παπισταὶ τοῖς ἀρχαίοις Πάπαις πείθονται, ἀλλὰ τοῖς νέοις, καὶ ἐκ ταύτης τῆς παρατροπῆς ὑπέπεσον σχεδὸν εἰς πεντήκοντα αἱρετικὰ φρονήματα, ἅτινα ὁ φιλομαθὴς ἰδέτω εἰς Γεώργιον τὸν Κορέσσιον ἐν τοῖς πρὸς τὸν Βελλαρμῖνον περὶ τῆς ἀρχῆς τοῦ Πάπα ἀντιῤῥητικοῖς. ἐντεῦθεν δὲ δῆλον, ὅτι οἱ Λατῖνοι διὰ τὸ πεποιηκέναι μετὰ τὸ σχίσμα δόγμα πίστεως ἵνα πιστεύῃ εἰς τὴν Πάπαν Ῥώμης ὅστις βούλεται σωθῆναι, λέγονται δικαίως παπισταί. τὸ δὲ τοὺς παπιστὰς λέγειν Φωτειανοὺς ἡμᾶς τοὺς ὀρθοδόξους τοὺς κρατοῦντας τὰ ἀρχαῖα καὶ τὰ ἀποστολικὰ καὶ πατρικὰ ἀκαινοτόμητα, ἐστὶ προφανὴς φλυαρία, καθότι ἡμεῖς εἰς μόνον τὸν Χριστὸν πιστεύομεν καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα αὐτοῦ, καὶ εἰς οὐδένα ἕτερον, μάλιστα οὗτος τῶν Λατίνων ὁ λόγος ἐστὶν Αἱρετικῶν ἴδιος, ὁ γὰρ Ναυᾶτος ἔλεγε τοὺς ὀρθοδόξους Κορνηλιανοὺς, τοὺς δὲ αὐτῷ ἑπομένους ἔλεγε Καθαροὺς, ὥσφησιν ὁ Ἀλεξανδρείας Εὐλόγιος παρὰ Φωτίῳ ἀναγνώσει ἑκατοστῇ ὀγδοηκοστῇ δευτέρᾳ, καὶ ὁ τριθεΐτης Φιλόπονος Ἰωάννης τὴν ἐν Χαλκηδόνι Σύνοδον Νεστοριανὴν ἔλεγεν, ὡς Φώτιος φησὶν ἀναγνώσει πεντηκοστῇ πέμπτῃ. καὶ οἱ Ἀρειανοὶ ἐν Ἀντιοχείᾳ τοὺς ὀρθοδόξους Εὐσταθιανοὺς καὶ Παυλιανοὺς ὠνόμαζον, ὧν ἡγεῖτο Παῦλος καὶ Μελέτιος, Ἑρμείας βιβλίῳ ἕκτῳ κεφαλαίῳ εἰκοστῷ πρώτῳ. καὶ Ἀπολινάριος ὁ Ἱεραπόλεως λέγει, ὅτι οἱ περὶ τὸν Μοντανὸν τὸν Αἱρεσιάρχην Προφητοφόντας ἐκάλουν τοὺς ὀρθοδόξους, ὅτι μὴ τοὺς ἀμετροφώνους αὐτῶν Προφήτας ἐδέχοντο, Εὐσέβιος βιβλίῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ ἕκτῳ. καὶ Βασίλειος ὁ μέγας γράφων τοῖς ὑφ' ἑαυτὸν Ἀσκηταῖς, λέγει περὶ τῶν Ἀρειανῶν, Τοίνυν καὶ τὴν ἐν Νικαίᾳ διαβάλλουσι πίστιν, καὶ Ὁμοουσιαστὰς ἡμᾶς ἀποκαλοῦσι. καὶ ὁ ἄθεος Αἰέτιος ὁ τοῦ Ἀνομοίου εἰσηγητὴς Χρονιτὰς ἐκάλει τοὺς ὀρθοδόξους, ὡς ὁ Νύσσης Γρηγόριος μαρτυρεῖ. καὶ ὁ Ἀντιοχείας Μακάριος Μονοθελήτης ὤν, ἔλεγεν ἐν τῇ ἕκτῃ Οἰκουμενικῇ τοὺς ὀρθοδόξους Μαξιμιανοὺς, ὅθεν καὶ οἱ Λατῖνοι τοὺς ὀρθοδόξους Φωτειανοὺς καλοῦντες, τῆς μοίρας εἰσὶ τῶν Αἱρετικῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι τὸ πείθεσθαι τῷ Πάπᾳ, ἐκ πάντων ἁπλῶς ἐκκλησιαστικῶν τε καὶ ἱστορικῶν σχισματικὸν δείκνυται, ἡ δ' ἐσχάτη ψῆφος, τῆς κοινότητος, καὶ κεφαλὴ τῆς καθόλου Ἐκκλησίας, ὁ Χριστός.

Καινὸς

Καινὸς λοιπὸν ὁ λόγος οὗτος καὶ βλασφημία σαφὴς, βλάσφημον δὲ καὶ νέαν πίστιν ἡ Ἀνατολικὴ Ἐκκλησία οὐ δέχεται, γράφει γὰρ ὁμέγας Βασίλειος τῇ Ἐκκλησίᾳ Ἀντιοχέων, Ἡμεῖς νεωτέραν πίστιν οὐ δεχόμεθα, ἀλλ' ἅπερ παρὰ τῶν πατέρων ἐδιδάχθημεν πιστεύομεν. καὶ Ἀθανάσιος λόγῳ περὶ τοῦ, ΠΑΝΤΑΜΟΙ ΠΑΡΕΔΟΘΗ, Ἀληθινή φησι διδασκαλία ἐστὶν, ἥτις τῶν πατέρων οὐδὲν διαφέρει. ὁ δὲ λόγος οὗτος τοῦ πείθεσθαι τῷ Πάπᾳ σχισματικός ἐστιν, οὔτε γὰρ ὑπὸ τῆς γραφῆς, οὔτε ὑπὸ τῶν πατέρων, ἢ Βασιλέων, ἢ Συνόδων, ἢ Ἐπισκόπων, ἢ ἱστορικῶν ἀρχαίων, οὔτε ὑπὸ τῶν ἐπιστρεφόντων Αἱρετικῶν εἰς τὴν Ἐκκλησίαν καὶ διδόντων λιβέλλους ταῖς οἰκουμενικαῖς Συνόδοις, οὔτε ὑπὸ ὑμνῳδῶν, ἢ Ἀσκητῶν, ἢ τοῦ Μεταφραστοῦ, ἢ τῶν συγγραψάντων τοὺς τῶν ἁγίων βίους ἐῤῥέθη, ἀλλὰ πάντες κοινῶς καὶ ἰδίως τὴν ἐσχάτην ψῆφον τῇ κοινότητι τῆς Ἐκκλησίας ἀπένειμαν, καὶ τῆς καθόλου Ἐκκλησίας μίαν κεφαλὴν οἴδασι τὸν χριστόν.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ἔλεγχος τῆς δευτέρας τοῦ Πάπα Νικολάου βλασφημίας, ἥ ἐστιν, ὅτι πολλοὶ οἱ παπισταὶ, καὶ διὰ τοῦτο ὀρθόδοξοι.

Πρὸς δὲ τὸ δεύτερον ῥητέον, ὅτι δεῖ ἡμᾶς διαιρεῖν τοὺς καιροὺς καὶ τὰς διαφόρους καταστάσεις τῆς Ἐκκλησίας. ἡ οὖν κατάστασις τῆς Ἐκκλησίας τῆς Ἀνατολικῆς ἡ ἐπὶ Νικολάου οὐκ ἦν ξένη καὶ ἀσυνήθης, ἀλλ' ἀρχαία καὶ συνήθης, Νικόλαος δὲ ὑποκρινόμενος μὴ εἰδέναι τὸ πλῆθος τῆς Ἀνατολικῆς Ἐκκλησίας, λέγει ἄλλα ἀντ' ἄλλων, εἰ ἦσαν ὅμως καὶ ὀλίγοι οἱ Ἀνατολικοὶ, πάλιν κακῶς εἶπεν ὁ Νικόλαος, καθότι ἐναντία εἶπε τῷ δικαίῳ καὶ τοῖς πατρόσι. κατὰ τῶν τοιούτων φερόμενος ὁ Αὐγουστῖνος ἔλεγε, Τῷ καιρῷ ἐκείνῳ ἔλεγον οἱ Ἀρειανοὶ, ὅτι μεθ' ἡμῶν ὁ κόσμος συμφωνεῖν, οἱ δὲ ὀρθόδοξοι ἀπεκρούοντο, ὅτι καὶ μετὰ πλήθους τῶν ἐχθρῶν τῆς ἀληθείας ἡ συναναστροφὴ ἀεὶ κακή. Ὁ αὐτὸς ἐπιστολῇ πρὸς Βικέντιον λέγει, Ἡ Ἐκκλησία πολλάκις συγκρινομένη μετὰ τῶν λοιπῶν, ἐν ὀλίγοις ὑπάρχει, καὶ γὰρ τότε ὀλίγοι τινὶς ὑπὲρ πίστεως ἀθλοῦντες, τινὲς μὲν αὐτῶν ἐξωρίζοντο, τινὲς δὲ ἐκρύπτοντο, καὶ οὕτως ἡ Ἐκκλησία, ἥτις κατὰ πάντα τὰ ἔθνη αὐξάνει ἐν ταῖς ὑποθήκαις τοῦ Κυρίου, πρὸς καιρὸν διεφυλάχθη. Ἱερώνυμος ἐν τῷ κατὰ Λουκιφεριανῶν διαλόγῳ λέγει, ὅτι διὰ τὸν Λουκίφερα ἐθρήνει ἅπας ὁ κόσμος, καὶ ἐθαύμασεν Ἀρειανὸν ὁρῶν αὐτὸν, καὶ κατὰ Ἰωάννου Ἱεροσολύμων γράφων φησὶ, κατεκράτει πάσης τῆς Ἀνατολῆς ἡ Αἵρεσις τῶν Ἀρειανῶν. ὁ Βελδῖνος ἐν τῇ αὐτοῦ ἱστορίᾳ, τῆς Ἀφρικῆς φησὶν ἡ τοῦ Ἀρείου Αἵρεσις ἐκράτησε καὶ τῆς Δύσεως, καὶ αὐτὸν τὸν Ῥώμης Ἐπίσκοπον κατέστρωσεν, ὅθεν καὶ ὁ Λιβέριος Ῥώμης συνέθετο Ἀρειανοῖς, καὶ ἔγραψεν ὑπὲρ τῆς Αἱρέσεως τοῦ Ἀρείου, ὡς φαίνονται αἱ ἐπιστολαὶ αὐτοῦ ἕως καὶ τῆς σήμερον ἐν τῇ Ῥώμῃ εἰς τὴν Βιβλιοθήκην ἐν τῷ Βατικανῷ. καὶ ὁ δεύτερος Φίληξ ἀρειανίσεν, ὃν καὶ ἀνεθεμάτισαν. καὶ δὴ καὶ Ἀττικὸς ὁ ὀρθόδοξος πρὸς Κριτόβουλον τὸν Πελαγιανὸν ἔλεγε παρὰ Ἱερωνύμῳ ἐν τῷ τέλει τοῦ τρίτου βιβλίου κατὰ Πελαγιανῶν, Πᾶς ὅστις διαυθεντεύσει σε, καὶ κακῶς πιστεύοντα καλῶς νοεῖν εἴποι σε, οὐ τοῦτο ποιεῖ, ἵνα σε τῆς δυσφημίας ἐλευθερώσῃ, ἀλλ' ἵνα σεαυτὸν δυσφημήσῃ τῇ κακοπιστίᾳ, τὸ πλῆθος τῶν ὀπαδῶν σου οὐκ ὀρθόδοξον, ἀλλ' Αἱρετικὸν εἶναί σε ἀποδείξει, διὸ ἢ διαυθέντευσον ὃ πιστεύεις, ἢ ἄφες ὃ διαυθεντεῦσαι οὐ δύνασαι, πάντα ὃν αὖ εἰς τὴν σὴν διαυθέντευσιν προσφέροις, οὐχὶ κηδεμόνα, ἀλλ' ἀκόλουθον ὀνομάσεις. καὶ ἐν τῷ προοιμίῳ τοῦ πέμπτου βιβλίου πρὸς Ἱερεμίαν λέγει, Ἡ ἀλήθεια κλεισθῆναι καὶ δεθῆναι δύναται, ἀλλ' οὐχ ἡττηθῆναι, ἥτις καὶ τῇ ὀλιγότητι τῶν αὐτῆς ἀρκεῖται, καὶ τῷ πλήθει τῶν ὑπεναντίων οὐκ ἐκφοβεῖται. Ὁ αὐτὸς ἐπιστολῇ πρὸς Ῥουφῖνον, ἧς ἡ ἀρχὴ, ΜΑΚΡΟΝ ΧΡΟΝΟΝΣΟΙ ΕΝ ΡΩΜΗ, φησὶ, Τῶν ἁμαρτανόντων τὸ πλῆθος οὐ γεννᾷ τῷ ἁμαρτήσαντι βοήθειαν. τοιοῦτον οὖν λέγεται ἔσεσθαι καὶ τὸν καιρὸν τοῦ Ἀντιχρίστου, ᾧ πᾶσα ἡ γῆ ἀκολουθήσει ἐκτὸς ὀλίγων τινῶν, ὧν τὰ ὀνόματα ἐγράφη ἐν τῇ βίβλῳ τῆς ζωῆς, ἡ δὲ ἐξουσία τοῦ πραγματεύεσθαι κοινῶς ἀπηγόρευται πᾶσι τοῖς μὴ ἔχουσι τὸν χαρακτῆρα τοῦ Θηρίου, ἢ τὸ ὄνομα, ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς μετὰ τῶν πατέρων ἐξετάσεως, ὅτι τὸ πλῆθος οὐκ ἀρκετὸν τῇ ὀρθοδοξίᾳ, μὴ συντρεχούσης αὐτῇ τῆς ἀληθοῦς διδασκαλίας, καὶ, κρείσσων εἷς ὀρθοδοξῶν πάσης τῆς Οἰκουμένης.

Τὸ τοιοῦτον τοῦ Νικολάου ἐπιχείρημα λίαν φρονίμως ἐξετάζειν δεῖ μετὰ τῶν ἁγίων πατέρων, ἤτοι πῶς ἐκεῖνοι οἱ θεοφόροι ἐκείνῳ, ἢ τῷ ὁμοίῳ ἐχρήσαντο ἐπιχειρήματι, διότι οὐκ ἀρκεῖ μόνον τὸ πλῆθος, εἰ μὴ συνδράμῃ ἡ ἀλήθεια τῆς διδασκαλίας, εἰ καὶ πολλάκις ὑπὲρ τοῦ εὑρεῖν καὶ γνῶναι τὴν ἀλήθειαν οὐ καταφρονητέον τὸ ἐκ προοιμίων ἐπιχειρίζεσθαι ἐκ τῆς συμφωνίας τῶν πολλῶν πιστευόντων εὐσεβῶς, εἰ δὲ ἡ διὰ

τῶν

τῶν ἁγίων γραφῶν καὶ τῆς διδασκαλίας τῶν ἁγίων λάμπουσα ἀλήθεια τῇ γνώμῃ τοῦ πλήθους μάχεται, αἱρετέα ἡ ἀλήθεια, ἀφεθέντος τοῦ πλήθους, κἂν καὶ εἷς ᾖ ἐν τῇ Οἰκουμένῃ ὀρθόδοξος. εἰπόντος γὰρ τοῦ Βασιλέως Κωνσταντίου τῷ Πάπᾳ Λιβερίῳ, ὡς Θεοδώριτος βιβλίῳ δευτέρῳ κεφαλαίῳ δεκάτῳ ἕκτῳ, Ποστὸν εἶ μέρος τῆς Οἰκουμένης, ἀπεκρίθη, Οὐ διὰ τὸ εἶναί με μόνον ὁ τῆς πίστεως ἐλαττοῦται λόγος. καὶ γὰρ κατὰ τὸ παλαιὸν, ἤτοι Δανιὴλ κεφαλαίῳ τρίτῳ, τρεῖς μόνοι εὑρίσκονται αὐτιστάντες προστάξει.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Μαρτυρία Αὐγουστίνου κατὰ τοῦ ἀνωτέρω ἐπιχειρήματος τοῦ Πάπα Νικολάου.

Αὐγουστῖνος βιβλίῳ κατὰ τῆς ἐπιστολῆς τοῦ Μανιχαίου, ἣν ὠνόμαζον τοῦ Θεμελίου, κεφαλαίῳ τετάρτῳ, ἀριθμηθεισῶν πολλῶν αἰτιῶν, αἷς ἐν τῇ κοινωνίᾳ τῆς καθολικῆς Ἐκκλησίας ἐκρατεῖτο, ἐν αἷς τίθησι καὶ τὴν συναίνεσιν τῶν λαῶν καὶ τῶν ἐθνῶν, καὶ τὴν διαδοχὴν τῶν Ἱερέων, μεταβαλὼν τὸν λόγον πρὸς Μανιχαίους, παρ' ὑμῖν φησὶν ὅπου οὐδὲν τοιοῦτόν ἐστιν ὅμε προὐκαλεῖτο καὶ προὐκρατεῖτο, καὶ μόνης τῆς ἀληθείας ἡ ὑπόσχεσις μορμολυκεῖται, ἥτις εἰ καὶ οὕτω παρρησίᾳ δείκνυται, ὥστε περὶ αὐτῆς μὴ ἐξὴν ἀμφιβάλλειν, ὅμως προτίθεσθαι δεῖ πάντων ἐκείνων τῶν πραγμάτων, οἷς ἐν τῇ καθολικῇ κρατοῦμαι, εἰ δὲ μόνον ὑπόσχεσθε καὶ οὐδίδοτε, οὐδείς με σαλεύσει ἀπ' ἐκείνης τῆς πίστεως, ἥτις τὸν νοῦν καὶ τὴν καρδίαν τοσούτοις δεσμοῖς τῆς χριστιανικῆς εὐσεβείας κατέδησε.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Μαρτυρία Βικεντίου Λιρονένσης κατὰ τοῦ ἀνωτέρω ἐπιχειρήματος τοῦ Πάπα Νικολάου.

Βικέντιος Λιρονένσης εἰς τὴν αὐτοῦ νουθεσίαν κατὰ τῶν νεωτερισμάτων κεφαλαίῳ τρίτῳ φησὶν, Ὀρθόδοξόν ἐστι τὸ ἁπανταχοῦ, τὸ ἀεὶ, τὸ παρὰ πάντων καὶ παρὰ πᾶσι πιστευόμενον, συνδραμουσῶν τῆς κοινότητος τῆς παλαιότητος ἐν ἑνὶ φρονήματι, καὶ οὐ τὸ πλῆθος, τὸ νεωτεροποιὸν δηλονότι.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Μαρτυρία τοῦ αὐτοῦ καὶ Βασιλείου, Ἀθανασίου καὶ Κυπριανοῦ, ὅτι οὐ προσώποις, ταὐτὸν δ' εἰπεῖν πλήθεσιν ὁ χριστιανισμὸς χαρακτηρίζεται, ἀλλὰ πίστει.

Ὁ αὐτὸς ἐν τῷ αὐτῷ βιβλίῳ κεφαλαίῳ τρίτῳ νουθετεῖ μὴ δείκνυσθαι τὴν πίστιν ἐκ τῶν προσώπων, ἀλλὰ τὰ πρόσωπα ἐκ τῆς πίστεως, ὡς καὶ Βασίλειος παρὰ Γρηγορίῳ φησὶν, οὐ προσώποις τὸν χριστιανισμὸν, ἀλλὰ πίστει χαρακτηρίζεσθαι. αὐτὸς δὲ πρόσθες οὐ τῷ πλήθει, ἀλλὰ τῇ πίστει. ὅπερ δὲ λέγουσιν οἱ πατέρες, ὅτι ἡ πίστις ἐστὶ χαρακτὴρ τοῦ χριστιανισμοῦ, καὶ ἐκ τῆς πίστεως δοκιμάζεσθαι τὰ πρόσωπα, οὐκ ἐννοοῦσι τὴν ἐσωτέραν ἕξιν τῆς πίστεως, ἤτοι τὴν πίστιν ᾗ πιστεύεται, ἥτις ἔτιγε οὐκ ἔστι κοινὴ πάντων, ἀλλ' ἰδία ἑνὶ ἑκάστῳ πιστεύοντι, ἀλλ' ἐννοοῦσι τὴν πίστιν ἣ πιστεύεται, ἤτοι ἐκείνην τὴν διδασκαλίαν τῆς πίστεως, ἣν ἐξωτερικῶς ἐπαγγέλλονται οἱ λέγοντες ἑαυτοὺς εἶναι Χριστιανοὺς, καὶ αὐτοὺς εἶναι τὴν ὀρθόδοξον Ἐκκλησίαν, καὶ γὰρ εἰ οἱ γνωστοὶ ἀφ' οὗ γνωρίζονται λέγονται, μᾶλλον δεῖ γνωρίζεσθαι τὴν πίστιν, ἢ τὸν πιστεύοντα. περὶ ταύτης τῆς πίστεως ἡ ἁγία γραφὴ φησὶν, Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα. Καὶ, ἡ ἅπαξ δοθεῖσα τοῖς ἁγίοις πίστις οὐχ ἡ καινὴ καὶ πρόσφατος καὶ καθ' ἡμέραν ἐναλλαττομένη καὶ καινοτομουμένη παρὰ τοῦ Πάπα, ἀλλ' ἡ ἅπαξ παραδοθεῖσα ὑπὸ τῶν Ἀποστόλων καὶ ἑρμηνευθεῖσα παρὰ τῶν ἁγίων πατέρων, ταύτην καὶ ὁ ἅγιος Ἀθανάσιος καθολικὴν πίστιν καλεῖ, καὶ ἐκ τῆς ἐπαγγελίας, ἢ ἀρνήσεως αὐτῆς γινώσκονται οἱ ὀρθόδοξοι καὶ οἱ Αἱρετικοὶ, οὐχ ἑνοῦνται δὲ τῇ Ἐκκλησίᾳ ὅσοι παρὰ τοῦ Εὐαγγελίου χωρίζονται, ὥς φησι Κυπριανὸς, κἂν πολλοὶ καὶ ἄπειροι ὦσι δηλονότι.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Μαρτυρία Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ εἰς τοὺς ἑκατονπεντήκοντα Ἐπισκόπους λόγου κατὰ τοῦ ἀνωτέρω ἐπιχειρήματος τοῦ Πάπα Νικολάου.

Γρηγόριος ὁ Θεολόγος ἐν τῷ εἰς τοὺς ἑκατονπεντήκοντα Ἐπισκόπους λόγῳ φησὶν, Ἀγνοῶν ὅτι κρείσσων ὕπαιθρος πίστις πολυτελοῦς ἀσεβείας, καὶ πλείους Θεῷ τρεῖς συνηγμένοι ἐν ὀνόματι Κυρίου πολλῶν ἀρνουμένων Θεότητα, ἢ καὶ τοὺς Χαναναίους ἅπαντας προτιμήσεις ἑνὸς τοῦ Ἀβραὰμ, ἢ καὶ τοὺς Σοδομίτας

μίτας ἑνὸς τοῦ Λὼτ, ἢ Μαδιαναίους Μωσέως τῶν παροίκων καὶ ξένων. τὶ δαὶ τοὺς μετὰ Γεδεὼν τριακοσίους τοὺς λάψαντας τῶν ἀποστραφουσῶν χιλιάδων; τὶ δαὶ τοὺς οἰκογενεῖς Ἀβραὰμ τοὺς μικρὸν ὑπὲρ τούτους τῷ ἀριθμῷ τῶν πολλῶν Βασιλέων καὶ τῶν τοῦ Στρατοῦ μυριάδων; ἃς καί περ ὄντες ὀλίγοι κατεδίωξαν καὶ ἐτρέψαντο. ἐκεῖνο δὲ πῶς νοεῖς, ὅτι ἐὰν γένηται ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται; τὶ δαὶ τὸ, κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ; οὐκ ἔστι τοῦτο οὐκ ἔστιν, οὐκ ἐν τοῖς πλείοσιν εὐδόκησεν ὁ Θεός. σὺ μὲν ἀριθμεῖς τὰς μυριάδας, Θεὸς δὲ τοὺς σωζομένους. καὶ σὺ μὲν τὸν ἀμέτρητον χοῦν, ἐγὼ δὲ τὰ σκεύη τῆς ἐκλογῆς. οὐδὲν γὰρ οὕτω Θεῷ μεγαλοπρεπὲς ὡς λόγος κεκαθαρμένος, καὶ ψυχὴ τελεία τοῖς τῆς ἀληθείας δόγμασι.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Μαρτυρία προσφυὴς τοῦ μεγάλου Ἀθανασίου κατὰ τοῦ αἰωτέρω ἐπιχειρήματος τοῦ Πάπα Νικολάου.

Ἀθανάσιος ὁ μέγας κεφαλαίῳ τετάρτῳ κατὰ διαφόρων Αἱρέσεων λέγει, Εἷς εὐδοκιμῶν, προτιμότερος ὑπὲρ μυριάδας αὐθαδείᾳ σεμνυνομένας, ὡς καὶ ἐπὶ τῆς παλαιᾶς διαθήκης εὑρίσκομεν, ἐν ᾗ χιλιάδες μὲν ἔπιπτον τοῦ λαοῦ θεηλάτῳ πληγῇ, μόνος δὲ ὁ Φινεὲς ἐξιλάσατο. Καὶ, ἀλλὰ σὺ μὲν προτίμησον, εἰ δοκεῖ, τοῦ σωζομένου Νῶε τὸ ὑποβρύχιον πλῆθος, ἐμοὶ δὲ συγχώρησον τῇ τοὺς ὀλίγους ἐχούσῃ Κιβωτῷ προσδραμεῖν. καὶ σὺ μὲν, εἰ βούλει, τάξον σεαυτὸν μετὰ πολλῶν ἐν Σοδόμοις, ἐγὼ δὲ συνοδεύσω τῷ Λώτ. Καὶ, ἐμοὶ πλῆθος αἰδέσιμον οὐ τὸ χαῖρον καινοτομίᾳ, ἀλλὰ τὸ φυλάττον πατρῴαν κληρονομίαν. Καὶ, πλήθει τὸ ψεῦδος κρατύνεις, ἔδειξας τοῦ δεινοῦ τὴν ἐπίτασιν, ὅσῳ γὰρ πλείους ἐν τῷ κακῷ, τοσοῦτον μείζων ἡ συμφορά.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Μαρτυρία τοῦ Χρυσοστόμου κατὰ τοῦ πλήθους τοῦ Πάπα Νικολάου.

Ὁ Χρυσόστομος, Τὶ γάρ μοι τοῦ πλήθους ὄφελος εἰπέμοι, ἂν μετὰ κακίας ᾖ πολιτευόμενον; καὶ πρὸ ὀλίγον, Ἐὰν ἴδοις τὴν ἀγορὰν ἔχουσαν ἄνδρας ἐπιεικεῖς, σώφρονας καὶ μετρίους, μακάριζε τὴν πόλιν ἐκείνην, οὐδὲν γὰρ αὐτὴν ἡ ὀλιγότης παραβλάψαι ποτὲ δυνήσεται ἀρετῆς προσούσης, ὥσπερ οὖν τὸ πλῆθος οὐδὲν ὠφελήσει ποτὲ κακίας οὔσης. ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ, φησὶν, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται, οὐδὲν δὲ τὸ πλῆθος δυσωπῆσαι δυνήσεταί φησι.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Μαρτυρία Αὐγουστίνου κατὰ τοῦ λεγομένου κεφαλὴ καὶ νυμφίος τῆς Ἐκκλησίας Πάπα, καὶ τὸ πλῆθος εὐσεβείας αἴτιον προβάλλοντος.

Ὁ Αὐγουστῖνος, Ὅλος ὁ Χριστὸς κεφαλὴ καὶ σῶμα ἐστὶ, κεφαλὴ ὁ Μονογενὴς υἱὸς τοῦ Θεοῦ, καὶ σῶμα ἡ αὐτοῦ Ἐκκλησία, Νυμφίος καὶ Νύμφη οἱ δύο εἰς σάρκα μίαν, ὅστις οὐ συνᾴδει τῇ αὐτῇ κεφαλῇ ἀπὸ τῶν ἁγίων γραφῶν (δὸς δ' εἰπεῖν καὶ ἀπὸ τῆς καθαρᾶς καὶ κοινῆς διδασκαλίας τῶν ἁγίων πατέρων) εἰ καὶ ἐν ἅπασι τοῖς τόποις εὑρίσκεται, ἐν οἷς διατυποῦται ἡ Ἐκκλησία, οὐκ ἔστιν ἐν τῇ Ἐκκλησίᾳ. καὶ πάλιν βιβλίῳ περὶ ἑνότητος τῆς Ἐκκλησίας κεφαλαίῳ τετάρτῳ λέγει, Ὅσοι συμφωνοῦσι τῇ αὐτῇ κεφαλῇ, καὶ τῇ ἑνότητι τῆς Ἐκκλησίας οὐ κοινωνοῦσιν, οὐκ εἰσὶν ἐν τῇ Ἐκκλησίᾳ. ἐπεὶ γοῦν μετὰ τῶν Δονατιστῶν ἐστὶν ἡμῖν ἡ πάλη, οὐχὶ περὶ τῆς κεφαλῆς, ἀλλὰ περὶ τοῦ σώματος, τουτέστιν οὐχὶ περὶ αὐτοῦ τοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ, ἀλλὰ περὶ τῆς αὐτοῦ Ἐκκλησίας, αὕτη ἡ κεφαλὴ ᾗ συναινοῦμεν δείκνυσιν ἡμῖν τὸ αὐτοῦ σῶμα ἀφ' οὗ διαφωνοῦμεν, ὥστε διὰ τῶν αὐτοῦ ῥημάτων τὸ διαφωνεῖν καταλείπομεν, ὥστε ὅταν ἡ διδασκαλία ψευδὴς, οὐ δεῖ προβάλλειν τὸ πλῆθος. καὶ ἐπειδὴ οἱ Λατῖνοι οὐ συμφωνοῦσι τῇ καθόλου Ἐκκλησίᾳ, μυριάκις κριθέντες καὶ κατακριθέντες, ἐδιώχθησαν ὑπ' αὐτῆς ὡς νεωτερισταὶ καὶ ἀλλότριοι γενόμενοι αὐτῆς, καὶ οὐδὲν ὠφελοῦνται, κἂν καὶ πολλοί εἰσι καὶ ὑπὲρ τὴν ἄμμον τῆς θαλάσσης, εἰ καὶ διὰ ταύτην αὐτῶν τὴν ἄλογον καύχησιν γεγόνασιν οἱ πλείους τῶν Ῥηγῶν καὶ Ἡγεμόνων, ναὶ μὴν καὶ οἱ πλείους τῶν παπιστῶν, οὓς προβάλλει ὁ ἐγκαυχώμενος Νικόλαος, Καλβῖνοι, Λούτεροι, καὶ ἑτέρων πολλῶν καὶ ἀμετρήτων εἰδῶν Αἱρετικοὶ, καὶ τοῦ παπισμοῦ ἀντίδοξοι, καὶ γενναίως πολέμιοι.

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ἔλεγχος τῆς τρίτης βλασφημίας τοῦ Πάπα Νικολάου, ἥ ἐστιν, ὅτι οἱ τῷ Πάπᾳ μὴ ὑποτασσόμενοι, εἰσὶ σχισματικοὶ καὶ σωτηρίας ἐκτὸς, καὶ ὅτι τὰ κατὰ τῶν πάλαι σχισματικῶν ἐπιχειρήματα τῶν ἁγίων ἁρμόζει καὶ τοῖς Λατίνοις.

Πρὸς δὲ τὸ τρίτον ῥητέον, ὡς εἴρηται καί τισι τῶν ἀρχαίων κατὰ τῶν Δονατιστῶν, φλυαρούντων παραπλησίως τῷ αὐτοχειροτονήτῳ τούτῳ Θεῷ ἐπὶ γαίης. καὶ Ἡγεμόνι καὶ Ἄρχοντι τῆς Ἐκκλησίας αὐτοκρατορικῷ, μᾶλλον δὲ Ἄρχοντι τοῦ αἰῶνος τούτου. Καθάπερ τὸν ἅπαντα κόσμον κατακρίναντες ἐκεῖνοι οἱ παλαιοὶ Σχισματικοὶ, περιέσφιξαν τὴν κληρονομίαν τοῦ Χριστοῦ εἰς τὴν γωνίαν τῆς Ἀφρικῆς, ἥντινα ᾤκουν τά τε συνέδρια τὰ αὐτοῖς ὁμόφρονα, καὶ τὴν γνώμην αὐτῶν ἀνθρωπίνοις μᾶλλον ἢ θείοις διδάγμασι συστῆσαι σπουδάζοντα, καίπερ τινὰ σκοτεινὰ (ὥσφησι καὶ Μάξιμος ὁ Πελοποννήσιος ἐν τῷ ἐγχειριδίῳ αὐτοῦ κατὰ τοῦ Πάπα) καὶ ἀμφίβολα τῆς γραφῆς ῥητὰ ἀπὸ μόνης τῆς ἑαυτῶν ἐξουσίας πρὸς τὴν αὐτῶν διαυθεύτευσιν χρώμενα, οὕτω καὶ Νικόλαος οὗτος καὶ οἱ περὶ αὐτῶν Ῥωμαῖοι κατακρίνοντες ἅπαντα τὸν κόσμον τῆς ἀρχαίας καὶ ἀληθοῦς Ἐκκλησίας, στενοχωροῦσι τὴν Χριστοῦ κληρονομίαν εἰς γωνίαν τινὰ τῆς Ἰταλίας, δηλονότι ἐν Ῥώμῃ, τά τε συνέδρια τὰ ὁμοφρονοῦντα τῇ αὐτῶν καινοτομίᾳ καὶ τὴν γνώμην αὐτῶν ἀνθρωπίνοις μᾶλλον ἢ θείοις διδάγμασιν ἐπιστηρίζουσιν, ἢ καί τινα σκοτεινὰ καὶ ἀμφίβολα τῆς γραφῆς καὶ τῶν πατέρων ῥητὰ πρὸς διαυθέντευσιν τῶν καινοτομιῶν αὐτῶν ἀπὸ τῆς ἐξουσίας αὐτῶν χρῶνται. ἄρα τὰ ἐπιχειρήματα τὰ παρὰ τῶν ἁγίων πατέρων κατὰ τῶν παλαιῶν Σχισματικῶν ληφθέντα ἀπὸ τῆς ἑνότητος τῆς Ἐκκλησίας, ἁρμόζει καὶ τοῖς Λατίνοις.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ἔλεγχος δεύτερος ἐκ τοῦ Αὐγουστίνου, Ὀπτάτου καὶ ἄλλων κατὰ τῆς βλασφημίας τοῦ Πάπα Νικολάου, τῆς στρατευομένης κατὰ τοῦ σχίσματος τῶν παπιστῶν, τῶν τῇ πίστει προσθεμένων, καὶ πάντα τὰ τῆς Ἐκκλησίας ἀλλοιωσάντων, ὅθεν σπήλαιον Λῃστῶν ἡ Ῥώμη καὶ Ὑαίνης.

Φάσκοντες αὐθαδῶς λίαν, Χριστιανοί ἐσμεν, τολμῶσι λέγειν, Μόνοι ἡμεῖς ἐσμεν, ὅπερ αἱρετικόν ἐστιν ὥσφησιν ὁ Αὐγουστῖνος βιβλίῳ δευτέρῳ κατὰ τῆς ἐπιστολῆς τοῦ Παρμενιανοῦ. Ὀπτᾶτος ὁ Μιλεβιτᾶνος βιβλίῳ δευτέρῳ ἐπαινεῖ τὴν ὁμόνοιαν ἣν εἶχον οἱ Ἄφροι μετὰ τῆς καθέδρας τοῦ Πέτρου καὶ τῶν αὐτοῦ διαδόχων Ἐπισκόπων Ῥωμαίων, ἀλλ' ἔδει αὐτὸν εἰπεῖν ταύτην τὴν ὁμόνοιαν εἰ ἔδει ὀρθόδοξον εἶναι, μὴ εἶναι μετὰ μόνης τῆς Ἐκκλησίας τῆς Ῥώμης, ἀλλὰ μετὰ πάσης τῆς Οἰκουμένης, καὶ γὰρ ἡ ὁμοφωνία καὶ ἡ συντροφία μετὰ τῶν ἄλλων Ἐκκλησιῶν εἰς ἃς ἐδόθησαν αἱ γραφαὶ, καὶ ἐν αἷς οἱ Ἀπόστολοι καὶ οἱ ἀποστολικοὶ ἄνδρες ἐδίδαξαν, ἀναγκαία ἐστὶν, εἰ γὰρ καὶ τὴν καθέδραν τῆς Ῥώμης τῷ Ἀποστόλῳ Πέτρῳ κληρωθεῖσαν λέγουσιν, ἀλλ' ἀνάγκη, ἵνα ὥσπερ ἐν ἐκείνῃ τῇ μιᾷ καθέδρᾳ, οὕτω μετὰ τῶν τῆς Ἐκκλησίας κοσμίων καὶ πατρικῶν ᾖ ἐν, ὥστε μετὰ τῶν λοιπῶν λέγεσθαι κόσμιον, φυλαττομένης τῆς ἑνότητος, καὶ παραιτουμένων τῶν σχισμάτων αὐτῆς, καὶ δῆλον ὅτι ὅσα οἱ ἅγιοι πατέρες εἶπον περὶ τῆς Ῥώμης καλὰ καὶ ἐγκωμιαστικὰ, εἶπον αὐτὰ ὅτε συνεφώνει ἡ Ῥώμη μετὰ πασῶν τῶν Ἐκκλησιῶν τῶν ἀποστολικῶν, μεθ' ὧν καὶ Ὀπτᾶτος ἀναγκαίαν εἶπεν εἶναι τὴν ὁμόνοιαν ὅτε σύναξίς τις ἢ μέρος τι ἐκκλησιαστικὸν ὀρθόδοξον βούλεται εἶναι, ἄνευ γὰρ τῆς κοινῆς μετὰ τῶν ἀποστολικῶν Ἐκκλησιῶν ὁμονοίας πάντῃ καὶ πάντως ἀντίδοξον, ἡ γὰρ καθολικὴ Ἐκκλησία μιᾷ γωνίᾳ τῇ Ῥώμῃ ὡς νομίζει ὁ Νικόλαος οὐ περικλείεται, ἀλλὰ πανταχοῦ διαλάμπει, ὅθεν τὰ ἐπιχειρήματα τοῦ Νικολάου στρατεύονται κατὰ τοῦ σχίσματος τῶν Ῥωμάνων, Ἐπιστρέψει γάρ φησιν ὁ ψαλμῳδὸς ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. λέγομεν οὖν, ὅτε ἡ Ἐκκλησία τῆς Ῥώμης συνεφώνει μετὰ πασῶν τῶν ὀρθοδόξων Ἐκκλησιῶν, τότε ἀναγκαία ἦν καὶ ἡ συμφωνία μετὰ τῆς ῥωμαϊκῆς Ἐκκλησίας, τῆς δὲ ῥωμαϊκῆς Ἐκκλησίας μεταστραφείσης εἰς τοσοῦτον ἐσμὸν σφαλμάτων, οὐκ ἂν ἔτι οὔτε Ὀπτᾶτος, οὔτε ἄλλος τὶς ἔμφρων τοιαύτην τιμὴν συγχωρήσειε τῇ Ῥώμῃ, μάλιστα δὲ αὐτὸς ὁ Ὀπτᾶτος ἐν τῷ αὐτῷ βιβλίῳ διδάσκει, Ἀπὸ τῆς πίστεως, ἀπὸ τῶν Μυστηρίων καὶ ἀπὸ τῆς ὀρθοδοξίας μᾶλλον, ἢ ἀπὸ τῶν ἔξω κοσμίων καὶ προνομίων γινώσκεσθαι τὴν Ἐκκλησίαν, αἱ προῖκες γὰρ τῇ Νύμφῃ ἀλλ' οὐχ ἡ Νύμφη ταῖς προιξὶ πρέπουσι λέγει ὁ αὐτὸς ἐκεῖ. καὶ ὁ Χρυσόστομος, Ἐμοὶ πόλις μὴ ἔχουσα πολίτας θεοφιλεῖς, πάσης κώμης ἐστὶν εὐτελεστέρα, καὶ σπηλαίου παντὸς ἀτιμοτέρα. καὶ ἔχεις παράδειγμα τὸν ἐν Ἱεροσολύμοις Ναὸν κληθέντα σπήλαιον λῃστῶν καὶ Ὑαίνης, τοιαύτη ἐστὶ καὶ ἡ Ῥώμη, ἐπειδὴ ἐν τῇ κοινῇ πίστει προσέθηκε, τὰ Μυστήρια μετήλλαξε, τὰ ἐκκλησιαστικὰ ἤθη καὶ σχήματα μετέβαλε, καὶ πᾶσαν ἐκκλησιαστικὴν τάξιν καὶ παράδοσιν καθάπαξ ἠλλοίωσε, ὥστε μόνον τὸ ὄνομα τῆς Ἐκκλησίας ἔχει καὶ οὐδὲν πλέον.

ΠΑΡΑ-

ΠΑΡΑ΄ΓΡΑΦΟΝ Γ΄.

Ἔλεγχος τρίτος κατὰ τῆς βλασφημίας τοῦ Πάπα Νικολάου ἐκ τοῦ λόγου τοῦ Ὀπτάτου πρὸς Παρμενιανόν.

Τὴν Ἐκκλησίαν (φησὶν ὁ αὐτὸς) Σὺ ἀδελφὲ Παρμενιανὲ παρ' ὑμῖν μόνον ἔφησας εἶναι, ἴσως βουλόμενος ἐξ ὑπερηφανίας μερικὴν ἁγιωσύνην ἡμῖν φανερῶσαι, ὅτι ὅπου θέλετε, ἐκεῖ ἐστὶ καὶ ἡ Ἐκκλησία, καὶ μὴ ὅπου οὐ θέλετε. ἄρα ὥσπερ ἐν τῷ μορίῳ τῆς Ἀφρικῆς ἐν γωνίᾳ βραχυτάτης Ἐπαρχίας εἰ δύναται εἶναι ἡ Ἐκκλησία παρ' ὑμῖν, ἐν ἄλλῳ μορίῳ τῆς Ἀφρικῆς οὐκ ἔσεται, οὔτε ἔσται ἐν Ἱσπανίᾳ, Γαλλίᾳ, Ἰταλίᾳ, καὶ ὅπου ὑμεῖς οὐκ ἐστὲ, παρ' ὑμῖν γὰρ μόνον θέλετε αὐτὴν εἶναι.

ΠΑΡΑ΄ΓΡΑΦΟΝ Δ΄.

Ἔλεγχος τέταρτος κατὰ τῆς βλασφημίας τοῦ Πάπα Νικολάου, τὴν ἀναίδειαν αὐτοῦ, ἀλαζονείαν, ἀντίθεόν τε θεοποιΐαν καὶ τὸν ἀπὸ τῆς καθόλου Ἐκκλησίας χωρισμὸν ἅμα Ὀπτάτῳ παριστῶν.

Ῥητέον μετὰ τοῦ αὐτοῦ ἔτι βιβλίῳ ἕκτῳ τῆς αὐτῆς πραγματείας, Πόθεν ὦ Νικόλαε τοὺς ὀρθοδόξους Σχισματικοὺς καλεῖς, ἢ διότι τῷ θελήματι καὶ τῇ προσταγῇ τοῦ Θεοῦ ἀκολουθοῦντες, ἀσπαζόμεθα τὴν εἰρήνην, κοινωνοῦντες τοῖς ἁγίοις Ἀποστόλοις καὶ τοῖς ἁγίοις πατράσι, καὶ μάλιστα ὁμοφωνοῦντες πάσῃ τῇ Ἀνατολῇ, ὅπου κατὰ τὸν αὐτοῦ ἄνθρωπον ἐγεννήθη ὁ Χριστὸς, ὅπου τὰ αὐτοῦ ἅγια ἴχνη ἐτυπώθησαν, ὅπου παρ' αὐτοῦ τοσαῦται δυνάμεις γεγόνασιν, ὅπου αὐτῷ τοσοῦτοι Ἀπόστολοι συνώδευσαν, ὅπου ἐστὶν ἡ ἑπτάμορφος Ἐκκλησία, ἀφ' ἧς ὑμεῖς οἱ Λατῖνοι ἀποχωρισθέντες, οὐ μόνον οὐκ ὀδύρεσθε, ἀλλὰ καὶ τρόπῳ τινὶ χαίρετε, ὅτι τὴν Θεῷ ἀρεστὴν ἑνότητα ἠθετήσατε. Σχισματικοὺς ἀποκαλεῖς ἡμᾶς ὦ πάντων ἀνθρώπων ἀναιδέστατε Νικόλαε, ὅτι Κορινθίοις, Γαλάταις, Φιλιππησίοις, Θεσσαλονικεῦσι καὶ τῇ Διασπορᾷ Πόντου, Γαλατίας, Βιθυνίας, Ἀντιοχεῦσιν, Ἐφεσίοις καὶ ταῖς λοιπαῖς Ἐκκλησίαις τὴν ἀρχαίαν ἕνωσιν καὶ παράδοσιν ἀπαρασάλευτον φυλάττομεν. Σχισματικοὺς ἀποκαλεῖς ὦ ἀλαζὼν σὺ καὶ ἀντίθεε, Θεὸς καλούμενος καὶ Ἄρχων τοῦ σκότους, ὡς τῆς καθόλου Ἐκκλησίας οὐ κατὰ τοὺς Ἀποστόλους Διάκονος καὶ συνεργὸς, ἀλλ' Ἄρχων εἶναι βουλόμενος, καὶ τ' ἄλλα ὅσα εἴρηται ἀνωτέρω παρὰ τῶν ὁμοίων σοι, ᾧ καὶ ὁ Θεὸς μαχόμενος, διὰ ταῦτα εἶπεν Ἄρχοντα τῶν Εἰδωλολατρῶν Τυρίων, ὡς ἡρμήνευσεν ὁ Ὀπτᾶτος, καὶ γὰρ ὅσοι παπολατρεύουσι, τουτέστι πείθονται τῷ Πάπᾳ ὡς δῆθεν κεφαλὴ αἰσθητὴ καὶ γενικὴ ὄντι τῆς Ἐκκλησίας, καὶ Ἡγεμονίαν ἔχοντι ἐπὶ πασῶν τῶν Ἐκκλησιῶν ἀπολελυμένην, καὶ ἐξουσίαν καθόλου καὶ αὐτοκρατορικὴν κεκτημένῳ ἐπὶ πάντων, ἀναμφιβόλως ἄθεον ἔργον ποιοῦσι, προσκυνοῦντες τὸν ἐπὶ γαίης Θεόν. Σχισματικοὺς καλεῖς τοὺς κλεψιμαῖα μὴ γινώσκοντας, τοὺς τὰ ἀρχαῖα φυλάττοντας, τοὺς τὴν διδασκαλίαν τῶν ἁγίων πατέρων ἀναπνέοντας. οὐ δύνασθε ὑμεῖς οἱ καινοτόμοι Λατῖνοι οἱ ἐγκαταλιπόντες τὴν εὐθεῖαν ὁδὸν τῶν πατέρων καὶ τὰς ἀρχαίας Συνόδους, καὶ ἀκολουθοῦντες Σχολαστικοῖς καὶ ἐπεισάκτοις καὶ νεωτέραις Συνόδοις εἰπεῖν μὴ ἀναγινώσκειν τὰ ἑτέρων μαθήματα, καὶ τί ἄρα τολμᾶτε ἀναγινώσκειν τοὺς ἁγίους πατέρας, ὧν τινὰς μὲν παρεξηγεῖσθε, τινὰς δὲ ἀθετεῖτε, τινὰς δὲ καὶ παραγράφετε. τούτων οὕτως ἐχόντων, ἔλθετε εἰς αἴσθησιν, ὅτι ὑμεῖς ἐστε οἱ Σχισματικοὶ, ὅτι ἀπὸ τῆς ἁγίας Ἐκκλησίας ἀπεκόπητε, καὶ ἡμᾶς μὴ εἶναι Σχισματικοὺς, ἀλλὰ ὀρθοδόξους.

ΠΑΡΑ΄ΓΡΑΦΟΝ Ε΄.

Ἔλεγχος πέμπτος κατὰ τῆς βλασφημίας τοῦ Πάπα Νικολάου ἐκ τῆς κατὰ Ὀρβίκου ὁμιλίας καὶ τῆς πρὸς Κασουλάνον ἐπιστολῆς τοῦ Αὐγουστίνου, μέρος τῆς καθόλου Ἐκκλησίας παρανομοῦν εἰς τὸ Σάββατον τὴν ῥωμαϊκὴν Ἐκκλησίαν λέγοντος.

Ὁ Αὐγουστῖνος ἐν τῇ ὁμιλίᾳ περὶ τῆς νηστείας τοῦ Σαββάτου κατὰ Ὀρβίκου, ἀκολουθοῦντος τῇ συνηθείᾳ τῆς ῥωμαϊκῆς Ἐκκλησίας, καὶ διδάσκοντος τὴν ἀνάγκην ταύτης τῆς νηστείας, μέρος λέγει τῆς καθόλου Ἐκκλησίας τὴν ῥωμαϊκὴν Ἐκκλησίαν. καὶ ἐπιστολῇ ὀγδοηκοστῇ ἕκτῃ πρὸς Κασουλάνον ταῦτα διεξιὼν, διατοῦτο, φησὶν, ὁ Σωτὴρ ἀμφότερα ἐν Σαββάτῳ γενέσθαι βεβούληται τό, τε ψώχειν τοὺς στάχυας, καὶ τὸ ἐσθίειν τοὺς μαθητὰς, ἵνα ἐκεῖνο μὲν ᾖ κατὰ τῶν σχολαζόντων, τοῦτο δὲ κατὰ τῶν ἀναγκαζόντων νηστεύειν ἐν Σαββάτῳ, εἶτα ἐπιφέρει, Εἴθε οὕτως ἐζήτει, ἢ καὶ οὕτως ἀπεδείκνυτο, τουτέστιν εἰς πᾶσαν τὴν Οἰκουμένην κρατεῖσθαι ταύτην τὴν νηστείαν, καὶ μὴ εἰς τινὰς Ῥωμαίους, ἢ καὶ ὀλίγους Δυτικοὺς, εἰ γὰρ ταῦτα ἐποίει, οὐκ ἂν οὕτω φανερῶς ἐβλασφήμει τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. καὶ μεταταῦτα ἐν τῇ αὐτῇ ἐπιστολῇ φησὶ, Μὴ πείθου σαυτὸν οὕτως ἐπαινεῖν τὴν χριστιανικὴν πόλιν τὸ Σάββατον νηστεύουσαν, ὥστε βιάζειν σεαυτὸν κατακρίνειν τὸν χριστιανικὸν κόσμον γενόμενον.

ΠΑΡΑ΄-

ΠΑΡΑΓΡΑΦΟΝ ϛ΄.

Ἔλεγχος οὗτος κατὰ τῆς βλασφημίας τοῦ Πάπα Νικολάου ἐκ τοῦ Ἀμβροσίου καὶ τῶν ἐνταῦθα ἀριθμουμένων Παπῶν τῶν τοῖς Βασιλεῦσι δουλικῶς ὑποταγέντων, Χρυσοστόμου τε καὶ Θεοφυλάκτου, Ἀθανασίου τοῦ μεγάλου καὶ Ἐπιφανίου, πᾶσαν ἐξουσίαν τοῦ Πάπα ἐπὶ τῆς καθόλου Ἐκκλησίας διαπτύων, καὶ τὸν Πάπαν Νικόλαον ληρώδη ἀποδεικνύων.

Οὕτως ἐντιμῇ εἶχον τὴν ῥωμαϊκὴν Ἐκκλησίαν αἱ λοιπαὶ Ἐκκλησίαι, ὥστε ἐξουσίαν ἔχειν ἀποχωρίζεσθαι ἀπὸ τῆς διδασκαλίας καὶ βοηθείας αὐτῆς, καὶ μετὰ ἐλευθερίας διαφωνεῖν ἀπ' αὐτῆς ὅτε αὐτὴν πταίειν ἐγνώκεισαν, καὶ οὔτε αὐτὴν ἀναμάρτητον εἶναι ἐνόμισαν, ἐπειδὴ ἐστὶ μερικὴ Ἐκκλησία καὶ οὐχὶ καθολική. ὅθεν ὁ Ἀμβρόσιος ἐν τῷ περὶ Μυστηρίων κεφαλαίῳ πρώτῳ, ὅπου διαλεγόμενος περὶ τῆς πλύσεως τῶν ποδῶν, φησὶν, Ἐν πᾶσι ποθῶ ἀκολουθεῖν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἀλλ' ὅμως καὶ ἡμεῖς ἄνθρωποί ἐσμεν, καὶ αἴσθησιν ἔχομεν, διατοῦτο ὅπερ ἀλλαχοῦ ὀρθοτέρως διαφυλάττεται, αὐτὸ καὶ ἡμεῖς καλῶς φυλάττομεν, καὶ οὕτως αὐτῷ ἀκολουθοῦμεν τῷ Ἀποστόλῳ Πέτρῳ, καὶ τῇ αὐτοῦ εὐλαβείᾳ περιμένομεν. τί οὖν εἰς τοῦτο ἔχεις εἰπεῖν αὐτὸς σχισματάρχα Νικόλαε; ὁ Πάπας Ἰωάννης γονυπετὴς ἐδέετο Ἰουστίνου τοῦ Θρᾳκός. ὁ Πάπας Βιγίλιος ἐκρίθη ὑπὸ τοῦ Ἰουστινιανοῦ. ὁ Κωνσταντίος ἔκρινε τὸν Λιβέριον. ὁ Λέων ἐδέετο τοῦ Θεοδοσίου συγχωρῆσαι γενέσθαι Σύνοδον εἰς Ἰταλίαν. ὁ Βιταλιανὸς προϋπήντησε τῷ Κώνστᾳ ἔξω τῆς Ῥώμης. ὁ Ἀγάθων ἔγραφεν ἑαυτὸν δοῦλον τοῦ Πωγωνάτου, καὶ οἱ λοιποὶ Πάπαι οὕτως ὑπετάσσοντο τοῖς τῶν Χριστιανῶν Αὐτοκράτορσιν ὡς κοινοῖς πάντων ἀνθρώπων ἐπιστάταις, ὡς λέγει ὁ Ἰουστινιανὸς Νεαρᾷ ἑκατοστῇ τριακοστῇ τρίτῃ, ἑπόμενος τῷ Μακαρίῳ Πέτρῳ λέγοντι, Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, εἴτε Βασιλεῖ, ὡς ὑπερέχοντι, εἴτε Ἡγεμόσιν, ὡς καὶ Κύριλλος γράφει ὁμιλίᾳ πρὸς Νεστόριον, Γένοιτο δὲ ἡμᾶς τρέμειν καὶ προσκυνεῖν τὴν ἐνότητα, καὶ Βασιλεῖ θεοφιλεστάτῳ ὑπηκόους γίνεσθαι, καὶ ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι. ἐν τῇ κατὰ Φωτίου Συνόδῳ πράξει πρώτῃ ὁ Ῥώμης Νικόλαος λέγει ἑαυτὸν ὑπηρέτην Βασιλείου τοῦ Μακεδόνος, καθυπούργησε γάρ φησι τῇ θείᾳ βουλῇ καὶ ψήφῳ τοῦ φιλοχρίστου καὶ θεοκυβερνήτου μεγάλου Βασιλέως ἡμῶν Βασιλείου. καὶ Χρυσόστομος, Οὐ γάρ ἐστιν ὁ ὑβρισθεὶς ὁμότιμον τινὰ ἔχων ἐπὶ τῆς γῆς, Βασιλεὺς γὰρ κορυφὴ καὶ κεφαλὴ τῶν ἐπὶ γῆς ἐστὶν ἁπάντων ἀνθρώπων, διατοῦτο δὴ πρὸς τὸν ἄνω καταφύγωμεν Βασιλέα, Ἀνδριάντων λόγῳ δευτέρῳ, ἴδε καὶ ἀνωτέρω κεφαλαίῳ ἑνδεκάτῳ τὸν Βενάρδον καὶ τὸν Χρυσόστομον. καὶ σὺ Νικόλαε γράφων εἰς Αὐτοκράτορα ὀρθόδοξον, πῶς ἀπαυθαδιάζῃ κατὰ τῆς γραφῆς, κατὰ τῶν Συνόδων, κατὰ τῶν πατέρων, κατὰ τῶν Χριστιανῶν πάντων καὶ κατὰ τοῦ Βασιλέως; Γρηγόριος ὁ δεύτερος γράφων πρὸς Λέοντα τὸν Ἴσαυρον, λέγει ὅτι ὁ Βασιλεὺς ἐστὶ κεφαλὴ τῶν Χριστιανῶν, καὶ σὺ ταλαύτατε γράφων εἰς τὸν Βασιλέα, πῶς τολμᾷς καλεῖσθαι Ἡγεμὼν τῆς Ἐκκλησίας ἁπάσης; γινώσκεις καλῶς ὅτι βλασφημεῖς (εἰμήπου καὶ μαίνῃ) ἀλλὰ κατὰ τὸν Στρωματέα λόγῳ ἑβδόμῳ πάντα κάλων κινεῖς, καὶ ἀσεβεῖν μέλλεις, ἤπερ μεταθέσθαι σε ὑπὸ φιλοτιμίας τῶν καινοτομιῶν σου καὶ τῆς πολυθρυλλήτου κατὰ τὰς Ἐκκλησίας, ὡς νομίζεις, πρωτοκαθεδρίας σου, ἀλλ' ἀντιπράττει σοι ὁ Θεοφύλακτος, λέγων ἐν τῷ δεκάτῳ τοῦ Ἰωάννου, Καὶ γενήσεται μία ποίμνη, εἷς Ποιμὴν, ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, οὐδὲ διαφοράτις, εἷς γὰρ χαρακτὴρ ἅπασι, μία σφραγὶς τοῦ βαπτίσματος, εἷς Ποιμὴν ὁ Λόγος τοῦ Θεοῦ καὶ Θεὸς, οἱ κατακυριεύοντες κατὰ τὸν λόγον τοῦ Χριστοῦ εἰσὶν ἐθνικοὶ, ἡμεῖς πάντες σῶμα Χριστοῦ, καὶ μεθ' ἡμῶν καὶ αὐτὸς ὅταν ὀρθοδοξῇς μέλη ἐκ μέρους, κεφαλὴ δὲ μόνος ὁ Χριστὸς, ὅθεν καὶ καθόλου Ἡγεμὼν, οὐδεὶς μέσον ἡμῶν πάντων καὶ τοῦ Χριστοῦ, καὶ ἀνάνιψον, ἴδε τὸν Χρυσόστομον λέγοντα ὁμιλίᾳ ὀγδόῃ εἰς τὴν πρώτην πρὸς Κορινθίους. εἰ δὲ καὶ τρίτον καὶ τέταρτον ζητεῖς ἀναιροῦντά σου τὴν πεπλασμένην Ἡγεμονίαν, ἴδε τὸν Μέγαν Ἀθανάσιον ἐπιστολῇ πρὸς Ἀντιοχεῖς λέγοντα, Ἴσως ὁ Κύριος ἐλεήσει ἡμᾶς, καὶ συνάψει τὰ διῃρημένα, καὶ γενομένης μιᾶς ποίμνης πάλιν, πάντες εἷα ἔχωμεν καθηγεμόνα τὸν Κύριον ἡμῶν Ἰησοῦν χριστόν. Ἐπιφάνιος Αἱρέσει Ναζωραίων, ὁ Χριστὸς τὸ βασίλειον τοῦ Δαβὶδ μεταστήσας, καὶ χαρισάμενος τοῖς ἑαυτοῦ δούλοις καὶ τῇ Ἀρχιερωσύνῃ, τουτέστι τοῖς Ἀρχιερεῦσι τῆς καθόλου Ἐκκλησίας, οὐ τῷ Ἀρχιερεῖ τῆς Ῥώμης δηλονότι. ἴδε ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου πρώτου παραγράφῳ δωδεκάτῳ, καὶ κεφαλαίῳ δευτέρῳ ἐπιστολὴν Γρηγορίου δευτέρου πρὸς τὸν Ἴσαυρον. Τοῦτό ἐστι Νικόλαε τὸ φρόνημα τῆς ἁγίας πίστεως, ἃ δὲ σὺ ληρεῖς, οὐκ ἔστι ταῦτα τῆς καθολικῆς Ἐκκλησίας, οὐδὲ ταῦτα οἱ πατέρες ἐφρόνησαν, λέγει ὁ Ἀθανάσιος γράφων πρὸς Ἐπίκτητον.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ΄.

Ὅτι μία τῶν πολλῶν ἡ ῥωμαϊκὴ Ἐκκλησία κατὰ τὸν Διάλογον Γρηγόριον.

Ὁ Διάλογος ἀποκρινόμενος εἰς τὸ τρίτον ζήτημα Αὐγουστίνου Καντουρικόδου, συναριθμεῖ τὴν ῥωμαϊκὴν

κὴν Ἐκκλησίαν ταῖς λοιπαῖς Ἐκκλησίαις ὡς μίαν τῶν πολλῶν, οὐ γάρ φησιν ὑπὲρ τῶν τόπων τὰ πράγματα, ἀλλ' ὑπὲρ τῶν ἀγαθῶν πραγμάτων τοὺς τόπους ἀσπάζεσθαι δεῖ.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι Ἀρνοῦφλος ὁ Αὐρηλιανὸς, κατὰ τὴν Σιλβέστρου δευτέρου ἱστορίαν, Ἰωάννην τὸν ἕβδομον, ἐν τῇ ἐν Ἐρεμένσῃ Συνόδῳ, Ἀντίχριστον καὶ Εἴδωλον ἐν τῷ Ναῷ τοῦ Θεοῦ ἐστὼς εἶπε.

Ἐγένετο Συνόδός τις εἰς Φράντζαν ἐν ἔτει ἐννακοσιοστῷ ἐννενηκοστῷ πρώτῳ ἐν Ἐρεμένσῃ, ἐν ᾗ καθῃρέθη Ἀρνοῦφλος ὁ Ἀρχιεπίσκοπος τῆς Μητροπόλεως, καὶ γέγονε Βιγέρτος, ὃς μετ' ὀλίγον ἐγένετο Πάπας, Σίλβεστρος δεύτερος κληθεὶς, ὃς καὶ ἔγραψε τὴν ἱστορίαν τῆς Συνόδου, καὶ εἰσφέρει ἐν τῷ εἰκοστῷ ὀγδόῳ κεφαλαίῳ Ἀρνοῦφλον τὸν Αὐρηλιανὸν γνώμῃ τῆς Συνόδου κατὰ Ἰωάννου Πάπα τοῦ δεκάτου ἑβδόμου λέγοντα, Τὶ τοῦτον τὸν Πάπαν εὐλαβέστατοι πατέρες ἐπὶ ὑψηλοῦ θρόνου καθήμενον, πορφύρᾳ καὶ χρυσῷ διαλάμποντα; τὶ τοῦτόν φημι εἶναι νομίζετε; εἰ μὲν ἠλλωτρίωται τῆς ἀγάπης, καὶ μόνῃ ἐπιστήμῃ τετύφωται καὶ ἐπαίρεται, Ἀντίχριστός ἐστιν ἐν τῷ Ναῷ τοῦ Θεοῦ καθήμενος, καὶ δεικνύων ἑαυτὸν ὡσεὶ Θεὸν, εἰ δὲ οὐμόνον οὐ θεμελιοῦται ἐν τῇ ἀγάπῃ, ἀλλ' οὐ δὲ μετέχει ἐπιστήμης τινὸς, ἐν τῷ Ναῷ τοῦ Θεοῦ ἐστὶν ὥσπερ Ἄγαλμα, ὥσπερ Εἴδωλον, ἐξ οὗ καὶ ἀποκρίσεις δέχεσθαι δεῖ ὡς ποτὲ τὰς ἀπὸ τῶν λίθων οἱ ἀναίσθητοι.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι κατὰ τὴν πρὸς Κωνσταντῖνον Βασιλέα ἐπιστολὴν τοῦ Πάπα Νικολάου, καὶ τὸν Σχολάριον ἐν τῷ κατὰ προσθήκης λόγῳ, οὐκ ἦν ὡς ἀληθῶς λατινόφρων καὶ αὐτὸς ὁ Παλαιολόγος Ἰωάννης, ἀλλὰ πραγματικῶς ἐλπίδι βοηθείας.

Ἀλλὰ δὴ καὶ αὐτὸς ἡ ἄκρα κεφαλὴ τῆς λατινικῆς Ὕδρας ὁ Παλαιολόγος Ἰωάννης ὅτι οὐκ ἦν ἐνίδοτος εἰς τὸ λατινικὸν δόγμα ὡς νομίζει ὁ Νικόλαος, ἀλλ' ἐπραγματεύετο καὶ πρὸ τῆς Συνόδου καὶ μετὰ τὴν Σύνοδον τὴν Ἐκκλησίαν, νομίζων ἐκ τούτου βοηθῆσαι τῇ πολιτείᾳ, εἴρηται ἀνωτέρω, καὶ ἐν τῇ παρούσῃ ἐπιστολῇ ὀλοφυρόμενος ὁ Νικόλαος, βεβαιοῖ τοῦτο, λέγων πρὸς Κωνσταντῖνον τὸν Βασιλέα, Ὡς εἰ κατὰ μικρὸν γοῦν ἐκεῖνος (ὁ Ἰωάννης) ἰσχὺν τοῖς γενομένοις προσθεῖναι ἐβούλετο, οὐδὲν ἂν ἦν ἐμποδὼν μὴ εἰς τέλος εὐτυχὲς τὰ τῆς Συνόδου προχωρῆσαι, νῦν δὲ ἀλλ' ἄττ' ἀεὶ προαιρούμενος, καὶ ἔργον θεῖον ἐπιθυμίᾳ πραγμάτων πολιτικῶν μᾶλλον τοῦ δέοντος φιλοτιμούμενος ἐφαρμόσαι, ἐπίχειρα προαιρέσεως οὐκ ἀγαθῆς καταστροφὴν τοῦ βίου λαμβάνει παρὰ Θεοῦ. ἀλλὰ καὶ ὁ Σχολάριος ἐν ᾧ γράφει κατὰ τῆς προσθήκης λέγει, Περὶ μὲν Ἰωάννου τούτου ἴσμεν καλῶς τὶ περὶ τῶν ἐν Φλωρεντείᾳ ὑπ' αὐτοῦ γεγονότων ἐφρόνει, καὶ πῶς ταῖς ἡμετέραις ἠσμένιζεν ἀποκρίσεσι, καὶ ὅπως οὔτ' ἐπηνάγκαζε, καὶ ἐβούλετο τὸ πάτριον ἡμᾶς διαφυλάττειν δόγμα, καὶ ἐπήνει τοὺς τοῦτο πράττοντας, ἐμίσει τε τοὺς ἄλλως διακειμένους, ἡμεῖς τούτων μάρτυρες πάντες ἐκ τῆς ἐκείνου φωνῆς καὶ γλώττης ἕκαστος πάντα εἰδότες, ἀλλὰ περὶ τῆς ἀρχῆς δεδιὼς ἀδεές τι δέος, οὐκ ἠνείχετο φανερὰν τὴν ἰατρείαν τῆς ψυχῆς ἐξεργάσασθαι. Καὶ, εἰ δ' ἔσται τὶ πλέον αὐτῷ παρὰ τῆς θείας φιλανθρωπίας διὰ τὴν πρὸς ἡμᾶς ἡμερότητα καὶ τὰς ἔνδον μεταμελείας ὑπὸ τῶν κακῶς αὐτῷ καινοτομηθέντων, Θεὸς ἂν εἰδείη.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι σκοπὸς τῆς ἐν Φλωρεντείᾳ Συνόδου ἦν, σμικρυνθῆναι τὴν τῶν Ῥωμαίων βασιλείαν, καὶ ὑψωθῆναι τὸν Πάπαν, καὶ περὶ τῶν ἀπὸ τοῦ ἱεροῦ πολέμου μέχρι τοῦ Πάπα Νικολάου ἐπιβουλῶν τῶν Παπῶν καὶ Λατίνων, τῶν καὶ τὸ σχίσμα ἐν τῇ Ἐκκλησίᾳ ὑπὲρ τῆς μοναρχίας τοῦ Πάπα ποιησάντων.

Καὶ μὴν σὺ τὸ τῆς ἐρημώσεως βδέλυγμα, ἢ Μυῖα Ἀκκαρὼν ὁ Νικόλαος ἑστὼς ἐν τόπῳ ἁγίῳ διατὶ καταψεύδῃ; ἀπ' ἀρχῆς τῆς Συνόδου οὐκ ἦν ὁ λόγος τῶν προκατόχων σου Μαρτίνου καὶ Εὐγενίου καὶ τῶν Φραρίων καὶ Καρδηνάλεων ἔντε Βυζαντίῳ καὶ Ἰταλίᾳ γενέσθαι ἕνωσιν, καὶ τὸν Πάπαν δοῦναι βοήθειαν ἀφ' ἑαυτοῦ, παρακινῆσαί τε καὶ τοὺς Ἡγεμόνας τῆς Δύσεως βοηθῆσαι ὅση δύναμις εἰς καταστροφὴν τῶν ἐν Θρᾴκῃ καὶ Ἀσίᾳ ἐθνῶν; ὅπερ καὶ σὺ κολακεύων τὸν Κωνσταντῖνον καὶ παρακινῶν εἰς παπισμὸν ἤδη λέγεις, Ἕξεις ἡμᾶς καὶ τοὺς Καρδηνάλεις βοηθοῦντάς σοι. μέμφου λοιπὸν σεαυτὸν καὶ τοὺς πρὸ σοῦ, διότι ἐσχίσατε τὴν βασιλείαν, καὶ γὰρ τῆς παντόλμου ταύτης Συνόδου οὐδεὶς ἕτερος ἦν ὁ κυρίως σκοπὸς, ἢ ὅπως ἀπελθόντος τοῦ Βασιλέως Ῥωμαίων εἰς Ἰταλίαν σμικρυνθῇ μὲν ἡ Βασιλεία, ὑψωθῇ δὲ ὁ Πάπας. ἐσχίσατε τὴν Ἐκκλησίαν, ἐποιήσατε τὸν ἱερὸν πόλεμον, ἐλάβετε τῶν Ῥωμαίων τὰς Ἐπαρχίας,

ἐποιήσατε

ἐποιήσατε αὐτοῖς μυρίας ὑπαβολάς, ἐπλανήσατε αὐτὰς καὶ ἦλθον εἰς Ἰταλίαν καὶ ἐποιήσατε αὐτὰς ἐχθρὰς τῷ Θεῷ, ὥσπερ ποτὲ οἱ Μωαβῖται τὰς υἱὰς τοῦ Ἰσραὴλ τῇ συμβουλῇ τοῦ Βαλαάμ, καὶ ἵνα ἐσβέσατε αὐτάς. ἐν δὲ Ἰωάννην μὴ κατάκρινε ζητοῦντα τὰ συμπεφωνημένα παρ' ὑμῶν, τῶν μὴ ἁμαρτανόντων μᾶλλον δὲ ἀεὶ ἀνομούντων καὶ ἀθεῶς δολιευομένων καὶ ὑποκρινόντων ἐν παντὶ καιρῷ καὶ ἐν παντὶ τόπῳ καὶ ἐν παντὶ σχεδιάσματι, ἐλθεῖν εἰς τέλος. ὅτι δὲ καὶ ὁ Ἰωάννης ἐδιόλου ἐλατινίζε, καὶ ὁ Κωνσταντῖνος ὁμοίως, ἀδὲ μίαν παρ' ὑμῶν κατὰ τῶν ἐθνῶν καὶ τῆς ἀποστολικῆς διαδόσεως τῆς Κωνσταντινουπόλεως εἶχον βοήθειαν, ἐστὶ φανερὸν ἐκ πολλῶν ὧν εἴπομεν ἀνωτέρω, καὶ ἐρεῖμεν μεταταῦτα βιβλίῳ ἑνδεκάτῳ κεφαλαίῳ πρώτῳ.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Β'. ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ Ἐπισκόπων, ἢ Ποιμένων, καὶ ποσαχῶς λέγονται.

Ἐπίσκοπος ἢ Ποιμὴν ἐστὶ σκοπὸς ἀποκαθισάμενος τὴν ὑπεμελομένην καὶ ποιμαινομένην ποιμνίαν. λέγεται δὲ ποσαχῶς, πρῶτον, ἡ ὑπεμελόμενος τῶν ἀλόγων, ὡς ὁ Ἰακὼβ τῶν προβάτων τοῦ Λάβαν, καὶ ὁ Μωϋσῆς τῶν τοῦ Ἰοθόρ. δεύτερον, ἡ ἐπιτεταγμένος ὑπὸ τοὺς Βασιλεῖς καὶ ἐξουσιαστὴς τοῦ λαοῦ, ὡς ὁ Σωσθένης καὶ Ὅμηρος εἶπον τὸν Ἀγαμέμνονα Ποιμένα λαῶν· τρίτον, λαμβάνεται ἢ ὡς σημαίνων τὴν καθόλου προστασίαν καὶ ὑπεμέλειαν, ταυτιζομένην τῇ ἀποστολῇ, ὡς ἔχει τὸ, Καὶ τὴν Ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος, ἢ ὡς σημαίνων τὴν ὁλόκληρον ἐν τόπῳ ὑπεμέλειαν, καὶ τὴν πανταχοῦ ἀπερίγραπτον ποιμαντορικὴν προστασίαν, ὡς τὸ, Ὁ Θεὸς ἔθετο ἐν τῇ Ἐκκλησίᾳ τοὺς μὲν Ἀποστόλους, τοὺς δὲ Προφήτας, τοὺς δὲ Ποιμένας, τοὺς δὲ Διδασκάλους, καὶ ἑκατέρως πάντες οἱ Ἀπόστολοι ἐξίσου ἦσαν καὶ Ποιμένες καὶ Ἐπίσκοποι τῆς Οἰκουμένης, καὶ ὡσαύτως τὰ προβατα αὐτοῖς ἐνεχειρίσθησαν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθον ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς Οἰκουμένης τὰ ῥήματα αὐτῶν. Καὶ, κατασήσεις Ἄρχοντας αὐτοὺς ἐπὶ πᾶσαν τὴν γῆν. Καὶ, καθίσεσθε ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. κατὰ δὲ τὸν δεύτερον τρόπον εἰσὶ Ποιμένες καὶ Ἐπίσκοποι, οἱ κατὰ τόπους καὶ Ἐπαρχίας τῶν Ἀποστόλων χειροτονηθέντες διάδοχοι αὐτῶν, ὅθεν ὁ Παῦλος πράξεων κεφαλαίῳ εἰκοστῷ φησὶ, Προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο Ἐπισκόπους τοῦ ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. ἡ θεία γὰρ χάρις, οὐχ ἡ ἀνθρωπίνη δυνάμις προχειρίζεται τὸν Ἐπίσκοπον, καὶ ὁ χειροτονῶν εἴτε Ἀπόστολος, εἴτε Ἀρχιερεύς μόνον ἁπλοῦν ὄργανον καὶ μέσον ἀναγκαῖον ἐστὶ, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐστὶ τὸ ποιητικὸν αἴτιον καὶ καθολικόν. ὁ μέλλων τῷ πιστῷ εἰ ὁ ἱερεὺς ὁ τελῶν τὰ Μυστήρια ἐστὶν ἁμαρτιῶν γέμων, ἀλλ' ἀπέρχεται πρὸς αὐτὸν καὶ ζητᾷ τὴν λύσιν τῶν ἁμαρτιῶν αὐτοῦ παρ' αὐτοῦ, καὶ ἵ πολυπραγμονεῖ περαιτέρω, καθὼς ὅτε ὁ Ἠλίας ἠρώτα εἰ ἦν Κόραξ ὃς τὸν τρέφων αὐτῷ ἐκόμιζε, τὸ γὰρ ἀφάνταστον Πνεῦμα οὐ ἡ πηγὴ τῶν χαρισμάτων καὶ ὁ τοῦ ἁγιασμοῦ δοτὴρ, ἐκεῖνο βαπτίζει, χείρα, σέφει, χειροτονεῖ, μετατιθέναι, λύει, δεσμεῖ, καὶ πάντα τὰ τῆς Ἐκκλησίας ἐκτελεῖ, πάντα μὲν διὰ τοῦ Ἀρχιερέως, τινὰ δὲ διὰ τοῦ Πρεσβυτέρου, ὅθεν φάσκει ἡ Ἐκκλησία, Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ ἅγιον, βρύει θεοφιτείας, ἱερέας τελεσιουργοῦντας τὸν θεσμὸν τῆς Ἐκκλησίας. Ἐπεκτείνεται τὸ ὄνομα καὶ ἐπὶ τοῦ Ἀρχιποιμένος καὶ Ἀρχιερέως Χριστοῦ, οὗ ὄνομα κάλλος Πέτρος φησὶν Ἐπίσκοπον τῶν ψυχῶν ἡμῶν, παρ' οὗ καὶ Ποιμένες καὶ Βασιλεῖς καὶ πᾶσα φύσις διοικεῖται, καὶ τὸ ἄθροισμα τῶν Ἐκκλησιῶν θεωρεῖται, περιορίζεται, διηγεῖται, σεφανοῦται, καὶ δοξάζεται, εἷς καὶ μόνος ὢν καὶ ἀδέτερος κατ' ἐκεῖνον, ἐκεῖνοι δὲ δεύτεροι διὰ τοῦτον, καὶ πληθυόμενοι, σωματούμενοι καὶ σωματούμενοι τῇ αὐτῇ ἐξουσίᾳ καὶ δυνάμει, ἃς, ὡς εἴρηται, πέμπων ὡς τὸ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, Ἐπισκόπους ἀπεκατέστησε.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ Μητροπολιτῶν καὶ Πατριαρχῶν, καὶ ὅθεν ἡ ἀρχὴ τῆς κλήσεως αὐτῶν.

Ἐπίσκοποι λοιπὸν ἐχειροτόνησαν οἱ Ἀπόστολοι, ὠνομάσθησαν δὲ μεταταῦτα Μητροπολῖται οἱ τῶν Μητροπόλεων τῶν Ἐπαρχιῶν Ἐπίσκοποι, ὅμως κοινῶς Ἐπίσκοποι πάντες ἐλέγοντο. ἐσημαίνετο δὲ Ἐπίσκοπος τῆς Μητροπόλεως μετὰ προσδιορισμοῦ, λεγόμενος Ἐπίσκοπος τῆς Μητροπόλεως, ὕστερον δὲ ὠνομάσθησαν οἱ τοιοῦτοι καὶ Μητροπολῖται. ἀλλὰ καὶ ἡ πρώτη Σιών καὶ τὰς τέσσαρας πρώτας θρόνους ἡμήσασα εἰς τὸ μέγιστον ἀξίωμα, καὶ ἡ δευτέρα ἡ εἰς τὸ αὐτὸ ἀξίωμα ἀναβιβάσασα τὸν Κωνσταντινουπόλεως καὶ τὰς πάντε τούτους Ἐπισκόπους ὠνόμαζον, καὶ ἵνα ἐκαλοῦντο ἕως τῆς ἐν Χαλκηδόνι Συνόδου. ἡ δευτέρα δὲ Οἰκουμενικὴ ὠνόμασε Πατριάρχας ἐμόνον τὸν Κωνσταντινουπόλεως, ἀλλὰ καί τινας Ἐξάρχους τῶν Ἐπαρχιῶν,

χιῶν, καθὼς καὶ ὁ Σωκράτης λέγει εἰς τὸ πέμπτον βιβλίον περὶ τῶν ἐν αὐτῇ πατέρων, ὅτι ἐβεβαίωσαν τὴν ἐν Νικαίᾳ πίστιν, καὶ Πατριάρχας κατέστησαν, διανειμάμενοι τὰς Πατριαρχείας, Νεκτάριος μὲν τὴν μεγαλόπολιν καὶ τὴν Θρᾴκην, τῆς δὲ Ποντικῆς Διοικήσεως καὶ ἀπὸ Βιθυνῶν ἕως Ἀρμενίας Ἑλλάδιος ὁ Καισαρείας Καππαδοκίας, ὁ Νύσσης Γρηγόριος καὶ ὁ Τρήϊος Μελιτηνῆς τὴν Ἐπαρχίαν ἐκληρώσαντο, τὴν Ἀσιανὴν δὲ Ἀμφιλόχιος ὁ Ἰκονίου καὶ Ὄπτιμος ὁ Ἀντιοχείας Πισιδίας, τὰ δὲ ἐν Αἰγύπτῳ Τιμοθέῳ Ἀλεξανδρείας προσενεμήθη. τῶν δὲ εἰς τὴν Ἀνατολὴν Ἐκκλησιῶν ἐπέτρεψαν Πελαγίῳ Λαοδικείας, καὶ Διοδώρῳ τῷ Ταρσοῦ, φυλάξαντες τὰ πρεσβεῖα Ἀντιοχείας, ἅτινα παρόντι Μεμετίῳ ἔδωκαν, καὶ ἴδε περὶ τούτου ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον τρίτον καὶ τέταρτον, καὶ βιβλίου τρίτου κεφάλαιον τέταρτον. πρὸ δὲ τῆς τρίτης Συνόδου ὁ Σωκράτης εἰς τὸ τριακοστὸν πρῶτον κεφάλαιον τοῦ ἑβδόμου βιβλίου τὸν Νεστόριον Πατριάρχην εἶπεν. εἰς δὲ τὴν τρίτην Σύνοδον Πατριάρχης ἤκουσε παρὰ τοῦ μικροῦ Θεοδοσίου ὁ Ῥώμης ἐπιστολῇ πρὸς τὸν Βασιλέα τῶν Ἑσπερίων Οὐαλεντιανὸν, κειμένῃ πράξει πρώτῃ τῆς τετάρτης Συνόδου. ἡ δὲ τετάρτη ἐν ταῖς ἀναφωνήσεσιν αὐτῆς εἶπε, Λέοντος πολλὰ τὰ ἔτη, τοῦ Πατριάρχου πολλὰ τὰ ἔτη. καὶ ἀφ' οὗ ἐδόθησαν καὶ τῷ Κωνσταντινουπόλεως αἱ χειροτονίαι τῶν εἰς τὸν τόπον εἰρημένων Διοικήσεων, συνείθισται λέγεσθαι Πατριάρχας μόνους τοὺς Ἐπισκόπους τῶν Πατριαρχικῶν θρόνων εἰς σημεῖον τοῦ μεγίστου ἀξιώματος τῶν πέντε μεγάλων Ἀρχιερέων, εἰ καὶ Λέων ὁ Ῥώμης πολλὰ ἐμόγησε κατὰ τοῦ Κωνσταντινουπόλεως καὶ Ἱεροσολύμων, φθονῶν ὡς ἄνθρωπος τῷ ὀνόματι, ὅμως ἡ κοινὴ ψῆφος ὑπερίσχυσεν, ὅθεν, ὡς εἴρηται, ὁ Ἰουστινιανὸς εἰς τὴν ἑκατοστὴν εἰκοστὴν τρίτην Νεαρὰν ἐξίσου τοὺς πέντε Πατριάρχας ὀνομάζει.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι Πατριαρχικοὶ θρόνοι πάντε μόνον παρὰ τῆς καθολικῆς Ἐκκλησίας διωρίσθησαν, καὶ κάραι λέγονται οἰκουμένης. καὶ ὅτι οὐκ ἦν μόνῳ τῷ Ἀντιοχείας ἰδικὸν τὸ Πατριάρχης ὄνομα, ὃ καὶ ἐπὶ τοῦ Ἀκυληΐας καὶ Ἐφέσου καὶ Θεσσαλονίκης λέγεται, καὶ διατὶ οἱ Πατριάρχαι λέγονται Ἐπίσκοποι, Ἀρχιεπίσκοποι, Ἱερεῖς καὶ Διάκονοι.

Ἐπὶ Ἰουστινιανοῦ Παυλῖνος ὁ Ἀρχιεπίσκοπος Ἀκυληΐας τόσον ὑπερηφανεύθη, ὥστε καὶ ἐτόλμησε γράφεσθαι Πατριάρχης, ὡς μαρτυρεῖ τοῦτο Παῦλος ὁ Διάκονος, κακῶς ποιῶν προφανέστατα, ἐπειδὴ τοῦτο τὸ ὄνομα εἰς μόνους ἀπενεμήθη τοὺς πέντε Πατριαρχικοὺς θρόνους, ὅθεν εὐστοχώτατα εἶπεν ὁ εἰπὼν (ᾧ ἠκολούθησε καὶ ὁ Βαλσαμὼν ἐν τῇ περὶ τῶν Πατριαρχῶν μελέτῃ) ὅτι οἱ Πατριάρχαι εἰσὶ τῆς Οἰκουμένης ΚΑΡΑΙ, καὶ μόνοι πέντε, καὶ διατοῦτο ἡ τετάρτη Σύνοδος τὸ τοιοῦτον ὄνομα δοθὲν τῇ Μητροπόλει Ἐφέσου ὑπὸ τοῦ Διοσκόρου καὶ Τιμοθέου τοῦ Αἰλούρου, ἠθέτησεν, ἐπειδὴ, ὡς εἴρηται, Κυρίως μόνοι οἱ ἀποστολικοὶ πέντε θρόνοι Πατριαρχεῖα εἰσὶ, καὶ λέγονται καὶ Πατριάρχαι ὡς διορισθέντες ὑπὸ τῆς καθολικῆς Ἐκκλησίας, ἵνα ὦσι καθ' ὑπέρτερον λόγον τῶν Ἀποστόλων διάδοχοι, καθὼς καὶ ὁ ὁμολογητὴς ἅγιος Μάξιμος εἰς τὰ σχόλια τῆς πρὸς Δημόφιλον ἐπιστολῆς Διονυσίου Ἀποστόλων διαδόχους φησὶ τοὺς νῦν Πατριάρχας, οἳ μείζους εἰσὶ τῶν Ἐπισκόπων, ὅθεν τὸ μεγαλεῖον αὐτῶν κηρύττουσι Κανόνες καὶ Σύνοδοι, καὶ ἐγκωμιάζουσι Βασιλεῖς, καὶ τέως εἰς τὴν καθολικὴν Ἐκκλησίαν εἰσὶν ἀσύγκριτον. εἰ δὲ οἱ αὐτοὶ λέγονται Ἀρχιεπίσκοποι, οὐκ ἔστι θαυμαστὸν, ἐπειδὴ ἐν τῷ πατριαρχικῷ ἀξιώματι πάντα τὰ ἀξιώματα περιέχονται, ὅθεν καὶ λέγονται Πατριάρχαι, Ἀρχιεπίσκοποι, Ἐπίσκοποι, Ἱερεῖς καὶ Διάκονοι. εἶπε δὲ προλαβὼν ὁ Ἀντιοχείας Πέτρος, γράφων πρὸς τὸν Ἀκυληΐας, ᾧ συνῆσε καὶ ὁ Βαλσαμὼν ἐν τῷ ἀνωτέρω εἰρημένῳ τόπῳ, ὅτι μόνος ὁ Ἀντιοχείας ἐλέγετο Πατριάρχης, καὶ ἔστι τοῦτο ἰδικὸν αὐτοῦ ὄνομα, καὶ πολλοὶ ἠκολούθησαν τῇ γνώμῃ ταύτῃ ἐξ ἀγνοίας, ὅμως εἴπομεν, ὅτι οὐ βλέπομεν τὶ λέγουσιν οἱ Ἐπίσκοποι περὶ ἑαυτῶν, ἀλλὰ τὶ περὶ αὐτῶν λέγει ἡ καθολικὴ Ἐκκλησία. ἔπειτα ἀνεξετάστως τοῦτο εἶπεν, εἰς γὰρ τὴν πρώτην, δευτέραν, τρίτην καὶ τετάρτην τὰς Οἰκουμενικὰς Συνόδους οἱ Ἀντιοχείας Ἐπίσκοποι μόνον Ἐπίσκοποι ὠνομάζοντο, οὐμὴν καὶ Πατριάρχαι. καὶ ὅτι μὲν ἐν τῇ πρώτῃ μόνον Ἐπίσκοπος ἐλέγετο ὁ Ἀντιοχείας, μαρτυρεῖ αὐτὸ ὁ Γελάσιος βιβλίῳ δευτέρῳ κεφαλαίῳ δεκάτῳ τετάρτῳ λέγων, Ἀπόκρισις τῶν πατέρων (ὡς πρὸς τὸν Φιλόσοφον) διὰ Εὐσταθίου Ἐπισκόπου Ἀντιοχείας, ἴδε καὶ τὸν Εὐσέβιον ἐν τῷ βίῳ τοῦ μεγάλου Κωνσταντίνου, καὶ τὸν Θεοδώριτον ἐκκλησιαστικῆς ἱστορίας βιβλίῳ πρώτῳ κεφαλαίῳ ἑβδόμῳ. ἡ δὲ δευτέρα Σύνοδος ἐπιστολῇ πρὸς τοὺς Δυτικοὺς λέγει τὸν Φλαυϊανὸν θεοφιλέστατον Ἐπίσκοπον Ἀντιοχείας. ἐν δὲ τῇ τρίτῃ εἰς ὅσους τόπους ἀναφέρεται ὁ Ἀντιοχείας, Ἐπίσκοπος ὀνομάζεται, καὶ ἐν τῇ τετάρτῃ ὁμοίως. μεταταῦτα ὅμως ἐν τῷ βίῳ τοῦ ἁγίου Σάββα καὶ ἔντισι Νεαραῖς τοῦ μεγάλου Ἰουστινιανοῦ Πατριάρχης ἐκλήθη, καὶ δὴ καὶ ἐν τῇ ἑκτῇ Οἰκουμενικῇ πράξει δεκάτῃ ἑβδόμῃ ἐῤῥέθη, Θεοφαίους Πατριάρχου (Ἀντιοχείας) πολλὰ τὰ ἔτη. εἰ οὖν ὁ Ῥώμης ἐῤῥέθη Πατριάρχης παρὰ τοῦ μικροῦ Θεοδοσίου, καὶ ἐπὶ τοῦ αὐτοῦ Βασιλέως καὶ ὁ Κωνσταντινουπόλεως Πατριάρχης ἐῤῥέθη, ὡς λέγει ὁ Σωκράτης βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ τριακοστῷ πρώτῳ, καὶ καθεξῆς ὠνομάζοντο καὶ οἱ δύο οὗτοι (τοὺς γὰρ λοιποὺς Πατριάρχας χάριν συντομίας οὐ λέγομεν κατὰ τὸ παρὸν) Ἐπίσκοποι, Ἀρχιεπίσκοποι καὶ Πατριάρχαι, ὁ δὲ Ἀντιοχείας ἐῤῥέθη Πατριάρχης μετὰ τὴν τετάρτην Σύνοδον,

πῶς

πῶς μόνῳ τῷ Ἀντιοχείας ἰδιαίτερον προσήκει τὸ Πατριάρχης ὄνομα; ἢ ποία Σύνοδος τοῦτο εἶπεν ἢ διώρισεν; ἐφεῦρον καὶ προσῆψαν ἑαυτοῖς τινὲς ἕτεροι γενικὰ προσρημάτια πρὸς καταστροφὴν τῆς ἐκκλησιαστικῆς ὁμονοίας, οὓς μιμούμενος καὶ ὁ Ἀντιοχείας Πέτρος, εἶπε τοῦτο τὸ ψυχρὸν καὶ ἕωλον λογίδριον, διόλου τῇ ἐκκλησιαστικῇ δόξῃ καὶ πράξει ἀντίθετον, ὅθεν καὶ καθάπαξ φωνηθὲν, ἀπέπτη εἰς τὸ μηδέν. Σημειωτέον ὅτι τὸ Πατριαρχικὸν δίκαιον, ὅπερ ὁ Αἴλουρος ἔδωκε τῷ Μητροπολίτῃ Ἐφέσου, οὐκ ἦν τοιοῦτον ὥσπερ τὰ νῦν Πατριαρχικὰ, ἀλλὰ τὸ Μητροπολιτικὸν, ὃ πρότερον μὲν εἶχεν, ἀφῄρητο δὲ ὑπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ ὡρίσθη ὑποκεῖσθαι αὐτὸν τῷ Κωνσταντινουπόλεως. ἀλλὰ καὶ τὸν Θεσσαλονίκης ὁ ἱστορικὸς Θεόδωρος Πατριάρχην εἶπεν, ὅμως εἶπεν αὐτὸν καθ' ὃν τρόπον διώρισεν ἡ δευτέρα Σύνοδος λέγεσθαι τινὰς Ἐξάρχους καὶ Πατριάρχας ὡς εἴρηται ἀνωτέρω. ἔμεινε λοιπὸν κυρίως καὶ πρώτως καὶ καθ' αὑτὸ Πατριαρχικοὺς θρόνους εἶναι τοὺς πέντε, ὧν ἐπειδὲ ὁ πρῶτος ἀφηνίασεν, ἔμεινεν εἶναι τὸν δεύτερον, ἤτοι τὸν Κωνσταντινουπόλεως πρῶτον, τὸν Ἀλεξανδρείας δεύτερον, τὸν Ἀντιοχείας τρίτον, τὸν Ἱεροσολύμων τέταρτον, προσετέθη δὲ πέμπτος ὁ τῆς μεγάλης Μοσχοβίας.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Τὶ τὸ αἴτιον τοῦ τοὺς Πάπας τινὰς τῶν οὐτιδανῶν Ἐπισκόπων αὐτῶν κεκληκέναι Πατριάρχας, δι' ὃ καὶ Αἱρετικοῖς τισι κοινωνοῦσι, καὶ ὅτι τὸ στεφθῆναι ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου τὸν Τηριδάτην Βασιλέα Ἀρμενίας, καὶ τὸν Γρηγόριον ὑπὸ τοῦ Σιλβέστρου Πάπα τῆς αὐτῆς Πατριάρχην προχειρισθῆναι, δείκνυται ἐνταῦθα ψεῦδος τῶν Λατίνων λαμπρότατον.

Οἱ Ἐπίσκοποι Ῥώμης μὴ ἰσχύσαντες ἐν οἷς ἐπεχείρησαν κατὰ τοῦ Κωνσταντινουπόλεως καὶ Ἱεροσολύμων, οὐδαμινοὺς τινὰς Ἐπισκόπους τῆς Ἐπαρχίας Ῥώμης ὠνόμασαν Πατριάρχας, καὶ δι' ἄλλας αἰτίας ὡς ἐροῦμεν, ἀλλὰ καὶ ἵνα δείξωσι μὴ εἶναι δῆθεν ἰσότιμον τὸ Πατριαρχικὸν ἀξίωμα τῷ Παπικῷ. ἔπειτα τὸν Μητροπολίτην Ἀρμενίων, ὃν ἐκεῖνοι ὀνομάζουσι καθολικὸν, καὶ τοὺς Μητροπολίτας Ἰακωβιτῶν, Νεστοριανῶν καὶ Αἰγυπτίων λέγουσι Πατριάρχας καθὰ λέγουσιν αὐτοὺς καὶ ἐκεῖνοι οἱ ἴδιοι, κοινωνοῦντες κατὰ τοῦτο καὶ τοῖς Αἱρετικοῖς τούτοις, καὶ ἑτέροις τοιούτοις καὶ τοῖς Ἀρμενοῖς, τοῖς τοὺς πρώτους τῶν Ἐπισκόπων αὐτῶν εἰς καταφρόνησιν τῆς καθολικῆς Ἐκκλησίας ὀνομάσασι Πατριάρχας. Περὶ δὲ τῶν Ἀρμενίων ἱστοροῦσιν οἱ Λατῖνοι, ὅτι ὁ Τηριδάτης ὁ πρῶτος Ἀρχηγὸς τῶν Ἀρμενίων, ὁ χριστιανίσας ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου, καὶ Γρηγόριος ὁ Ἀρμενίας ἀπῆλθον εἰς τὴν Ῥώμην, καὶ τὸν μὲν Τηριδάτην ἔστεψεν ὁ μέγας Κωνσταντῖνος εἰς Βασιλέα Ἀρμενίων, τὸν δὲ Γρηγόριον ὁ Σίλβεστρος εἰς Πατριάρχην τῶν Ἀρμενίων καὶ Ἀλβανῶν, ὅπερ ἐστὶ ψεῦδος πρόδηλον, πρῶτον, ὅτι τότε οὔπω ἦν τὸ Πατριαρχικὸν ὄνομα ἐν τοῖς προεστῶσι τῶν Ἐκκλησιῶν. δεύτερον, ὅτι εἰς τὸν βίον τοῦ ἁγίου Γρηγορίου ἄλλως λέγεται περὶ τούτων. τρίτον, ὅτι Σωκράτης, Σωζόμενος, Θεοδώριτος, οἱ περὶ τῶν τοιούτων ἀκριβολογούμενοι, καὶ περὶ τῶν Ἀρμενίων πότε καὶ πῶς ἐχριστιάνισαν εἰπόντες, οὐδὲν τοιοῦτον εἶπον, μάλιστα ὁ Σωζόμενος, ὁ ἀπὸ τοῦ ἕκτου κεφαλαίου ἕως τοῦ δεκάτου πέμπτου ἐν τῷ δευτέρῳ βιβλίῳ διηγούμενος εἰς πλάτος τὰ κατὰ τοὺς Ἴβηρας καὶ Ἀρμενίους πότε ἐχριστιάνισαν, καὶ τὸ ἄπλετον πλῆθος τῶν Ἀρμενίων τόσον Ἱερωμένων ὅσον καὶ λαϊκῶν, τὸ μαρτυρῆσαν ὑπὸ τῶν Περσῶν, καὶ τὴν βοήθειαν ἣν ἐποίησεν αὐτοῖς ὁ μέγας Κωνσταντῖνος, ὅμως οὐδὲν τοιοῦτον εἶπε. τέταρτον, ὅτι τὸν Γρηγόριον Ἀρμενίας ἐχειροτόνησεν ὁ Καισαρείας Καππαδοκίας Λεόντιος, κἀκεῖθεν ἐχειροτονοῦντο οἱ τῆς μεγάλης Ἀρμενίας Ἐπίσκοποι ἕως ὀκτὼ Ἐπισκόπων, καὶ μετὰ τοὺς ὀκτὼ ὠνομάσθησαν καθολικοὶ, καὶ ἐχειροτονοῦντο ὑπὸ τῆς ἰδίας Συνόδου, καὶ πῶς εἰ ἦσαν αὐτοκέφαλοι καὶ Πατριάρχαι ἐχειροτονοῦντο ὑπὸ τοῦ Μητροπολίτου Καισαρείας; ἴδε κατωτέρω βιβλίου δωδεκάτου κεφάλαιον ἕβδομον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι τὸ τὸν Ἐπίσκοπον Ἀρμενίας χειροτονεῖν Πατριάρχην Ἀλβανίας, καὶ τὸ τοὺς Ἴβηρας διὰ τὴν ἐν Τβὶν Σύνοδον ἀποσχισθῆναι τῶν Ἀρμενίων, καὶ τὸ τὸν μέγαν Κωνσταντῖνον αἰτῆσαι ἐν Ῥώμῃ ὄντα παρὰ τοῦ Τηριδάτου σωματοφύλακας, δοῦναί τε τῷ Τηριδάτῃ μέρος τοῦ τιμίου ξύλου, καὶ ἔτι τὸ τὸν Σίλβεστρον Πάπαν προνόμια ἐπὶ τῶν τῆς Ἕω Πατριαρχῶν καὶ τόπους καὶ Ναὸν ἐν Ἱερουσαλὴμ, καὶ τὸ τοῦ Χριστοῦ σκιάδειον δοῦναι τῷ Ἀρμενίας Γρηγορίῳ, δείκνυται ἐνταῦθα δι' ἀποδείξεων ἀναντιῤῥήτων ψεύματα πασίδηλα τῶν μυθοπλάστων Λατίνων. καὶ περὶ τῶν ἐν τῇ διασπορᾷ Πατριαρχῶν τῶν Ἑβραίων.

Ὅτι καὶ αὐτὸ τὸ, ἐχειροτόνει ὁ Ἀρμενίας Πατριάρχην Ἀλβανίας, ψεῦδος ἐστὶ, πρῶτον, ὅτι οἱ εἰρημένοι ἱστορικοὶ λέγουσι τοὺς Ἴβηρας ζητῆσαι Ἀρχιερέα οὐκ ἀπὸ τῶν Ἀρμενίων, ἢ τοῦ Ῥώμης Ἐπισκόπου, ἀλλ' ἀπὸ τοῦ Βασιλέως Κωνσταντίνου, ὅστις ἔπεμψεν αὐτοῖς καὶ Ἐπίσκοπον καὶ Κλῆρον, εἶτα κατὰ τὸν

Στράβω-

Στράβωνα ἐν τῷ ἑνδεκάτῳ βιβλίῳ εἰς Ἰβηρίαν καὶ Ἀλβανίαν ἦν εἷς Βασιλεύς, καὶ πῶς ἐχειροτόνησε Πατριάρχην Ἀλβανίας ὁ Ἀρμενίας χωρὶς τῆς γνώμης τοῦ Βασιλέως; ἢ πῶς τότε τῶν Ἰβήρων χριστιανισάντων, καὶ Ἐπίσκοπον παρὰ Κωνσταντινουπόλεως λαβόντων, ὁ Ἀλβανίας ἐχειροτονεῖτο ὑπὸ τοῦ Ἀρμενίας; δεύτερον, ὅτι τοῦτο οὐδεὶς ἀξιόλογος ἢ γνώριμός πως τῇ καθολικῇ Ἐκκλησίᾳ ἱστορικὸς εἶπε. τρίτον, καὶ τοῦτο ὑπὸ Μαρτυρολογίων καὶ Βαρωνίου τοῦ μυθοπλάστου μαρτυρεῖται. τέταρτον, ὅτι εἰ καὶ οἱ Ἀρμένιοι λέγουσι τοῦτο εἰς τὰς ἱστορίας, ὅμως ὡς βάρβαροι ψεύδονται, οὐ γὰρ πιστεύομεν τοῖς Αἱρετικοῖς ὡς τῇ καθολικῇ Ἐκκλησίᾳ, ἐκ παραδόσεως μαρτυρούσῃ ἅπερ ὁ βίος τοῦ Γρηγορίου κηρύττει. πέμπτον, ὅτι μήτε αὐτοὶ τοῦτο λέγουσιν, ἀλλὰ τῶν τοιούτων γενήτωρ Μωσῆς, ὃς τὰ πολλὰ ψεύδεται ὡς ῥηθήσεται. ἕκτον, ὅτι οἱ Ἴβηρες οὐκ ἀρνοῦνται τοῦτο, οἵτινες καὶ τὸ Πατριαρχικὸν μεγαλεῖον ἔχουσιν εἰς τόπον Χριστοῦ, καὶ ἄκρως εὐλαβοῦνται, καὶ τὸ δὴ κύριον, ὅτι οὐδέποτε ἔντε τοῖς Ἐκκλησιαστικοῖς καὶ τοῖς πολιτικοῖς οἱ Ἴβηρες ὑπετάχθησαν Ἀρμενίοις, καὶ τῶν Ἀρμενίων ὑστερηθέντων αὐθεντίας ἤδη τόσους χρόνους, οἱ Ἴβηρες καὶ Ἀλβανοὶ ἰδίοις αὐθένταις μέχρι τῆς δεῦρο κυβερνῶνται. ἕβδομον, καὶ αὐτὸ ὅπερ λέγουσιν οἱ Λατῖνοι, ὅτι δηλαδὴ γενομένης τῆς ἐν Τβὶν τῶν Ἀρμενίων Συνόδου καὶ καινοτομησάσης, οἱ Ἴβηρες ἀπεχωρίσθησαν ἐκείνων, ψεῦδος ἐστὶ προφανέστατον διὰ τὰς αὐτὰς αἰτίας, καὶ δείκνυται ἐκ τῆς πράξεως, ἐκ τῆς ἀρχαίας παραδόσεως καὶ κοινῆς φήμης καὶ δόξης, ὅτι ἡ Ἰβηρία καὶ ἀλβανία εἶχε Μητροπολίτην ἕως τοῦ Μονομάχου, ἐφ' οὗ γέγονεν Ἀρχιεπίσκοπος αὐτοκέφαλος ὁ Μητροπολίτης ἐκείνων, καθολικὸς ὀνομασθείς. Ἀκούσατε πάντα τὰ ἔθνη τὰ ψεύματα τῶν παπιστῶν, οἷς ψεύμασιν ἀπατοῦσι τοὺς ἀθλίους Ἀρμενίους. Λέγουσι λοιπὸν ἔτι οἱ αὐτοὶ, ὅτι ὄντων Γρηγορίου καὶ Τηριδάτου εἰς Ῥώμην, ἐκάθισεν ὁ μέγας Κωνσταντῖνος ἐν τῷ Ναῷ τῶν ἁγίων Ἀποστόλων μετὰ τριακοσίων Ἐνδίκων καὶ εἰκοσιτεσσάρων Βασιλέων, καὶ ὅτι ᾐτήσατο ὁ Βασιλεὺς Κωνσταντῖνος παρὰ τοῦ Βασιλέως Ἀρμενίας τούτου τριακοσίους σωματοφύλακας. Καὶ ὅμως ῥητέον, ὅτι ὁ Λούκουλος μετὰ ὀκτὼ χιλιάδων Ῥωμαίων συνέτριψε τὸν Βασιλέα Ἀρμενίων, ἔχοντα ἑκατὸν καὶ πεντήκοντα χιλιάδων Στράτευμα ὥσφησι Πλούταρχος, καὶ ὁ μέγας Κωνσταντῖνος ἐζήτησε σωματοφύλακας παρὰ τῶν Ἀρμενίων, ὁ Σεβαστὸς; ὁ μέγας Βασιλεύς; λέγουσιν ἔτι, ὅτι ἐδωρήσατο τῷ Τηριδάτῃ μέρος Σταυροῦ ἐξ οὗ ἔφερεν ἀπὸ Ἱεροσολύμων ἡ μήτηρ Ἑλένη. Ἀλλὰ ῥητέον, ὅτι ὁ Κωνσταντῖνος ἀφ' οὗ ἦλθε καὶ ἔκτισε τὸ Βυζάντιον, ἔπεμψε τὴν μητέρα εἰς Ἱερουσαλὴμ, καὶ οὐκ ἔτι ὑπέστρεψεν εἰς τὴν Ῥώμην. Λέγουσιν ἔτι, ὅτι ὁ Σίλβεστρος ἐτίμησε τὸν Γρηγόριον συντιμᾶσθαι τῷ Ἱεροσολύμων καὶ Ἀλεξανδρείας καὶ Ἀντιοχείας τοῖς Πατριάρχαις. Ἀλλὰ ῥητέον, ὅτι τότε ἦν πρὸ τῆς πρώτης Συνόδου, καὶ οὐδεὶς ἦν Πατριάρχης, καὶ μάλιστα ὁ Καισαρείας ἐχειροτόνει τὸν καθολικὸν Ἀρμενίων, ὅθεν ὁ Καισαρείας Λεόντιος ἐν τῇ πρώτῃ Συνόδῳ, ὡς λέγει ὁ Γελάσιος, ὑπεγράφει Μητροπολίτης Ἀρμενίας, ἴδε καὶ κατωτέρω βιβλίου δωδεκάτου κεφάλαιον ἕβδομον. λέγουσιν ἔτι, ὅτι ἔδωκεν ἐξουσίαν ὁ Σίλβεστρος τῷ Γρηγορίῳ χειροτονεῖν Ἀρχιεπισκόπους ἐν διαφόροις ἔθνεσιν. Ἀλλὰ ῥητέον, ὅτι τότε τὸ Ἀρχιεπίσκοπος ὄνομα οὐκ ἦν εἰς τὴν Ἐκκλησίαν ἐν χρήσει, καὶ ὁ Ἀρμενίας ὑποκείμενος τῷ Καισαρείας, πῶς προεβάλετο Ἀρχιεπισκόπους, καὶ ποῦ, καὶ ποίους; λέγουσιν ἔτι, ὅτι ἔδωκεν αὐτῷ προνόμιον, ἵνα οἱ τρεῖς Πατριάρχαι τῇ θελήσει τοῦ Ἀρμενίας ἐνεργῶσι, καὶ τὴν ἐνθρονιαστικὴν πίστιν αὐτῶν τῷ Ἀρμενίας πέμπωσι, καὶ ὅτι δέδωκεν αὐτῷ πολυτελὲς ἄμφιον, ὃ ἦν τοῦ Ἀδελφοθέου, καὶ δακτύλιον, καὶ ῥᾴβδον λιθομάργαρον, καὶ Ποτήριον καὶ Δισκάριον ἐκ Τοπαζίου, καὶ τὴν Μίτραν αὐτοῦ, ἥτις ἦν ποτὲ Σκιάδειον τοῦ Χριστοῦ, καὶ ὅτι ἔδωκεν αὐτῷ τόπον ἐν τῷ Γολγοθᾷ, καὶ ἀνάπτειν τρεῖς κανδήλας ἐν τῷ ἁγίῳ τάφῳ, καὶ τὸν Ναὸν τοῦ ἁγίου Ἰακώβου. Ἀλλὰ ῥητέον, αἱ ῥᾴβδοι αἱ χρυσαῖ καὶ διάλιθοι εἰσὶ χθιζαὶ, ὁμοίως καὶ αἱ Μίτραι, καὶ ὅτι τὸ Σκιάδειον τοῦ Χριστοῦ νῦν μόνον ἠκούσαμεν, καὶ ὅτι τότε ἐν τῷ Γολγοθᾷ ἦν Ναὸς τῆς Ἀφροδίτης, καὶ Ναὸς οὐκ ἦν τοῦ ἁγίου Ἰακώβου. Λέγουσιν εἰς αὐτὸ τὸ Σύνταγμα οἱ αὐτοὶ καὶ ἄλλα πολλὰ γελοῖα, οἷς πλανῶσι τοὺς Ἀρμενίους, ἵνα νομίζωσιν αὐτοὺς συγγενεῖς, ἔδει ὅμως ἀρνεῖσθαι ἔχειν αὐτοὺς συγγενεῖς τῷ οἰκειοτέρῳ τρόπῳ καθ' ὃν κοινωνοῦσιν αὐτοῖς, ὅστις ἐστὶν ἡ Αἵρεσις, ὁ κοινωνῶν γὰρ ἀκοινωνήτῳ, ἀκοινώνητός ἐστιν, ἄρα. Σημείωσαι δὲ ὅτι τόσον μαίνονται οἱ Πάπαι κατὰ τοῦ Πατριαρχικοῦ ὀνόματος, ὥστε καὶ προκαθίζουσι τοὺς Καρδηνάλεις τῶν ὀνομαζομένων ἐκεῖ Πατριαρχῶν, καὶ ἴδε τὰς ὑπογραφὰς τῆς ἐν Τριδεντῷ συναγωγῆς, καὶ ἐνταῦθα τὸ περὶ Καρδηνάλεων οἱ Σημείωσαι τινὰς λέγοντας, ὅτι οἱ Ἑβραῖοι διασπαρέντες, κατεστήσαντο ἑαυτοῖς προέδρους, οὓς καὶ Πατριάρχας ἐκάλεσαν καὶ Ἀποστόλους, φησὶ γὰρ ὁ Ἐπιφάνιος Αἱρέσει τριακοστῇ, Εἰσὶ δὲ οὗτοι μετὰ τὸν Πατριάρχην Ἀπόστολοι καλούμενοι, προσεδρεύουσι δὲ τῷ Πατριάρχῃ. ὅθεν Φλαύϊος Βοπίσκος μέμνηται τινὸς Ἰουδαίου Πατριάρχου Ἀλεξανδρείας, περίπου γὰρ τὸ τετρακοσιοστὸν ἔτος τοῦ Σωτῆρος ἤρθη ἐκ τῶν Ἰουδαίων τὸ ὄνομα, καὶ μετηνέχθη εἰς τινὰς ἀνατολικοὺς Ἐπισκόπους, ἔνθα μάλιστα ἤκμαζον οἱ Ἰουδαῖοι, ὅθεν ὁ Σωκράτης ἐν ἔτει τετρακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ φησὶν, ὅτι ἡ δευτέρα οἰκουμενικὴ Πατριάρχας ἐκάλεσε τινὰς Ἐπισκόπους, βιβλίῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ, καὶ ὅτι ἐπὶ Φωκᾶ ἐῤῥέθη ὁ Γραδῶν, καὶ τρίτος ὁ Φοροϊουλίου. καὶ Γρηγόριος ὁ Τουρονέσης βιβλίῳ πέμπτῳ τῆς ἱστορίας αὐτοῦ κεφαλαίῳ εἰκοστῷ πρώτῳ, τὸν Λουγδούνων Πατριάρχην καλεῖ, ἐξαιρέτῳ ὅμως λόγῳ, ὡς εἴρηται, οἱ πέντε τῶν καθολικῶν θρόνων Ἐπίσκοποι Πατριάρχαι καλοῦνται κυρίως, πρώτως, καὶ καθ' αὑτὸ, καὶ παρὰ πάσης τῆς Ἐκκλησίας σεβάζονται, ὡς ἀποδέχεται καὶ μαρτυρεῖ πᾶσα ἡ Οἰκουμένη.

ΒΙΒΛΙΟΥ

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Β'. ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τοῦ Πάπας ὀνόματος, καὶ τί σημαίνει Πάπας, Παπᾶς καὶ Πατὴρ, καὶ ἐπὶ τίσι, καὶ πότε τὸ Πάπας ὄνομα εἴρηται.

Πάπας, Παπᾶς, καὶ Πατὴρ ταὐτὸν σημαίνει. καὶ οἱ μὲν Ἕλληνες τοῦτο προφέρουσι, Παπᾶς, τιθέντες τὸν τόνον ἐν τῇ ληγούσῃ, οἱ δὲ Λατῖνοι ἐν τῇ παραληγούσῃ κατὰ τὸ ἰδίωμα τῆς γλώττης αὐτῶν, καὶ λέγουσι, Πάπας. Πάπας ἐστὶ καὶ κύριον ὄνομα μάρτυρος, ἑορταζομένου τῇ δεκάτῃ ἕκτῃ τοῦ Μαρτίου. καὶ οἱ Δάκες ἕως καὶ τῆς σήμερον κύρια ὀνόματα, Πάπας, ἔχουσι πολλά. ἐλέγετο δὲ Πάπας πολλάκις ὁ Ἀλεξανδρείας Ἐπίσκοπος ὡς ὁ Ἀθανάσιος καὶ ἄλλοι πρὸ αὐτοῦ, καὶ ἴδε τὴν δευτέραν ἀπολογίαν τοῦ ἁγίου Ἀθανασίου, Κυρίῳ Πάπᾳ Ἀθανασίῳ Οὐρσάκιος καὶ Οὐάλης. Τῷ μακαρίῳ Πάπᾳ Ἀθανασίῳ Ἰσχύρας. Νικητὴς Κωνσταντῖνος μέγιστος σεβαστὸς τῷ Πάπᾳ Ἀθανασίῳ. Μακαρίῳ Πάπᾳ Ἐπισκόπῳ ἡμῶν Ἀλεξάνδρῳ οἱ Πρεσβύτεροι καὶ Διάκονοι ἐν Κυρίῳ χαίρειν. καὶ Ἐπιφάνιος Αἱρέσει ἑξηκοστῇ ἐνάτῃ ἀπὸ Νικομηδείας, Τῷ ἁγιωτάτῳ Πάπᾳ. καὶ ὁ Καρθαγένης Πάπας ἐλέγετο. ἐλέγετο δὲ πολλάκις καὶ ὁ Ῥώμης Ἐπίσκοπος Πάπας. Ἔτι Πάπας εἶπον τινὲς πολλοὺς Ἐπισκόπους, σεμνύνοντες αὐτοὺς τῷ ὀνόματι τούτῳ ὡς πατέρα σημαίνοντι, καθὼς ὁ ἅγιος Λουκιανὸς γράφων ἐπὶ Διοκλητιανοῦ εἰς τοὺς Ἀντιοχεῖς διὰ τὸ μαρτύριον Ἀνθίμου Ἐπισκόπου Νικομηδείας, εἶπεν αὐτὸν Πάπαν. καὶ ὁ ἅγιος Ἱερώνυμος τὸν Κύπρου Ἐπιφάνιον ἔγραφε Πάπαν. καὶ οἱ Ἀλεξανδρινοὶ ἐπανελθόντι τῷ Αἰλούρῳ ἀπὸ τῆς ἐξορίας ἔλεγον αὐτῷ, Ἐψώμισας Πάπα τοὺς ἐχθρούς σου. Ἴσον ἐπιστολῆς Νεστορίου πρὸς τὸν Πάπαν Κύριλλον. Σύνοδος τρίτη μέρει πρώτῳ. Θωμᾷ Πάπᾳ Ἱεροσολύμων. Ἐπιστολῇ πρὸς Ἀρμενίους. εἶτα τοῖς καλουμένοις ἰδιαίτερον Πάπαις, οἷον τῷ Ἀλεξανδρείας καὶ τῷ Ῥώμης ἔλεγον τοῦτο κατὰ καιροὺς καὶ οὐπάντοτε. διὸ εἰ καὶ εἰς τὰς λατινικὰς εἴρηται, εἰς τὰς ἑλληνικὰς ἱστορίας ὅμως οὐχ εὑρίσκομεν ῥηθῆναι τὸν Ῥώμης, Πάπαν, ἐν Συνόδῳ, ἀλλ' ἢ πρῶτον ἐν τῇ ἐν Καρθαγένῃ. εἶτα ἐν τῇ τρίτῃ Οἰκουμενικῇ πράξει τρίτῃ εἶπον οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης τὸν Ἐπίσκοπον Ῥώμης, Πάπαν. εἰς δὲ τὴν τετάρτην Οἰκουμενικὴν ἐν ταῖς ἀναβοήσεσι (λέγω δὲ ἀναβοήσεις, ὅτι οἱ Ἐπίσκοποι θερμοτέρως εὐφήμουν τοὺς Βασιλεῖς καὶ τινὰς τῶν θερμοτέρως ἐπιμελουμένων περὶ τῆς πίστεως Ἐπισκόπους) ἡ πᾶσα Σύνοδος ἐπεκραύγασε ταῦτα, Αὕτη ἡ πίστις τῶν ὀρθοδόξων, οὕτω πάντες πιστεύομεν, ὁ Πάπας Λέων οὕτω πιστεύει, Κύριλλος οὕτως ἐπίστευσεν, ὁ Πάπας οὕτως ἡρμήνευσεν, ἐῤῥέθη ὁ Ῥώμης Πάπας, ἀλλ' εἰς τὴν γραφὴν ἣν ἔπεμψεν ἡ Σύνοδος πρὸς τὸν Λέοντα, καὶ εἰς τὸν Ὅρον αὐτῆς Ἀρχιεπίσκοπον εἶπεν αὐτὸν, οὐμὴν Πατριάρχην, ἢ Πάπαν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῶν ἐπιγραφομένων τῷ Πάπας ὀνόματι, καὶ τί δηλοῖ Παπᾶς.

Εἴωθε καὶ ὁ Ἀλεξανδρείας ἐπιγράφεσθαι συχνότερον Πάπας, οὐχ ὅτι γε ἔλαβε τοῦτο ὁ Κύριλλος ὢν τοῦ Κελεστίνου ἐν τῇ τρίτῃ Συνόδῳ ἐπίτροπος, ἀλλ' εἶχεν αὐτὸ ἀπ' ἀρχῆς, ὡς εἴρηται. τὴν σήμερον δὲ ἐστὶν εἰς χρῆσιν ἔν τε τῷ Ῥώμης καὶ Ἀλεξανδρείας ἐκφερόμενον ὑπότε Λατίνων καὶ Ἑλλήνων, Πάπας, ὑπὸ δὲ τῶν αὐτῶν Παπᾶς λεγόμενον, δηλοῖ τὸν Πρεσβύτερον. σημείωσαι δὲ ὅτι εἰς τὰ πεπραγμένα ἐν Κωνσταντινουπόλει ἐπὶ Φλαυϊανοῦ κατὰ Εὐτυχοῦς, εἴρηται ὁ Εὐτυχὴς Ἱερεὺς ὢν Πάπας.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ πόθεν ἔσχε τὴν ἀρχὴν τὸ Πάπας ὄνομα, καὶ τῆς ἐκτάσεως τούτου ἐν τῇ Ἐκκλησίᾳ, καὶ χρήσεως συχνότερον ἐπὶ τῷ Ῥώμης καὶ τῷ Ἀλεξανδρείας, καὶ ὅτι γελοῖος Λαυρέντιος ὁ Μπερβερλίνγε, ἐκ τοῦ κοινοῦ μόνῳ τῷ Ῥώμης τὸ Πάπας ὄνομα δοθῆναι λέγων.

Τινὲς περὶ τοῦ Πάπα ὀνόματος λέγουσιν ὅτι ἐστὶν ἑλληνικὸν καὶ σημαίνει πατέρα, τὰ γὰρ βρέφη τῶν Ἑλλήνων Πάπα κράζουσι τὸν πατέρα. καὶ αὐτοὶ οἱ Ἕλληνες Πάππον λέγουσι τὸν τοῦ πατρὸς πατέρα. ὅθεν καὶ ὁ κωμικὸς Φιλήμων λέγει παρὰ τῷ Δειπνοσοφιστῇ Ἀθηναίῳ, Χαῖρε Πάπα φίλτατε. καὶ ὁ Ὅμηρος εἰς τὸ Σ. γράμμα τῆς Ὀδυσσείας, Πάπα φίλε. πλὴν ὅθεν καὶ εἴη ἐσχηκὸς τὴν ἀρχὴν, ἐν τῇ Ἐκκλησίᾳ ἐξετείνετο εἰς τὸν Ῥώμης καὶ εἰς τὸν Ἀλεξανδρείας, ὡς εἴρηται. καὶ περὶ μὲν τοῦ Ῥώμης λέγει ὁ Ἰουστινιανὸς εἰς τὴν ἑκατοστὴν τριακοστὴν πρώτην Νεαρὰν, Διατοῦτο θεσπίζομεν κατὰ τοὺς τῶν ἁγίων πατέρων Ὅρους τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης Πάπαν πρῶτον εἶναι πάντων τῶν Ἱερέων. καὶ ὁ Μεταφραστὴς εἰς τὸν βίον τοῦ ἁγίου Ἀρσενίου φησὶν, Οἳ πάλιν τῷ προεδρεύοντι τῆς κατὰ Ῥώμην Ἐκκλησίας,

σίας, Πάπαν αὐτὸν σύνηθες ὀνομάζειν, ἐγχειρίζει τὴν ἔρευναν. καὶ Κωνσταντῖνος ὁ Μανασσῆς εἰς τὸ χρονικὸν αὐτοῦ, Τῶν ἄλλων τε πρωτόαρχος τῶν Ἱεροπόλων Λέων, Πάπας κατονομάζεται τῇ τῶν Ῥωμαίων γλώττῃ. καὶ Μαρτῖνον Ἐπίσκοπον Ῥώμης, Πάπαν αὐτὸν ἀποκαλεῖν οἶδε Ῥωμαίων γλῶσσα. καὶ ὁ Εὐστάθιος Ἰλιάδος Β. Πάπας τῇ Ῥωμαίων φωνῇ Πατέρα σημαίνει. περὶ δὲ τοῦ Ἀλεξανδρείας λέγεται ἐν τῷ τρίτῳ βιβλίῳ τῆς ἀνθολογίας Σωφρονίου Πατριάρχου Ἱεροσολύμων, Εἰς τὸν τάφον Ἰωάννου Πάπα Ἀλεξανδρέων Ἐπίγραμμα. ἀλλὰ καὶ ὁ Ἱεροσολύμων Θωμᾶς, ὡς εἴρηται, Πάπας ἐκλήθη, ὡς μαρτυρεῖ καὶ Εὐτύχιος Ἀλεξανδρείας, καὶ ἴδε ἀνωτέρω βιβλίον ἕβδομον. ὁ δὲ Μπερβερλίνγε Λαυρέντιος λέγων ἐν τῷ ἕκτῳ Τόμῳ τοῦ θεάτρου αὐτοῦ, ὅτι ἕως τοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ ἔτους ἦν κοινὸν τὸ Πάπας ὄνομα καὶ Ἐπισκόποις καὶ Ἱερεῦσιν, εἶτα ἐδόθη μόνῳ τῷ Ῥώμης, γελοῖος δοκεῖ ἕνεκεν δύο τινῶν, πρῶτον, ὅτι ἐφ' οἷς ἡ Ἐκκλησία τὸ ὄνομα ἐκέχρητο ἐξ ἀρχῆς, ἐν ἐκείνοις χρῆται καὶ μεταταῦτα, ὅθεν καὶ ἕως τοῦ νῦν λέγεται ἕκαστος τῶν Ἱερέων τῆς Ἀνατολικῆς Ἐκκλησίας, Παπᾶς, ὁ Ῥώμης καὶ ὁ Ἀλεξανδρείας, Πάπας. δεύτερον, ὅτι τὸ λέγεσθαι μόνον τὸν Ῥώμης Πάπαν, πόθεν ἡ ἀπόδειξις; καὶ ποία ἡ δοῦσα οἰκουμενικὴ Σύνοδος;

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι τὸ Πάπας ὄνομα οὐ πλεῖόν τι σημαίνει τοῦ Πατριάρχης ὀνόματος, ὡς δοκεῖ Λαυρεντίῳ, καὶ πότε πρῶτον ἐπὶ τοῦ Ῥώμης ἐῤῥέθη ὡς ἐπὶ Πατρὸς, καὶ πότε ὡς ἐπὶ Ἐπισκόπου, καὶ πότε αὐτὶ τοῦ Πατριάρχης ὀνόματος ἐλήφθη, καὶ τὶ δηλοῖ τὸ Πάπας ἢ μόνον ἢ μετὰ τοῦ Ἐπίσκοπος ἢ τοῦ Ἀρχιεπίσκοπος ὀνόματος λεγόμενον, καὶ ὅτι ἰδίως τοῦ Ἀρχιεπίσκοπος καὶ τοῦ Πάπας μεῖζον τὸ Πατριάρχης ὄνομα.

Ὁ τοῦτο λέγων Λαυρέντιος, βούλεται δῆθεν δεῖξαι ὅτι τὸ Πάπας τοὔνομα ἐπὶ τοῦ Ῥώμης λεγόμενον, πλεῖόν τι δηλοῖ καὶ μεῖζον τοῦ Πατριάρχης ὀνόματος, ἀλλ' εἰ καὶ ἀσθενές ἐστι τὸ λογίδριον τοῦτο καὶ αὐτοκατάκριτον, καὶ σαφὴς ἡ ἀλήθεια ἐκ τῶν ἀνωτέρω εἰρημένων, ὅμως πάλιν ῥητέον, ὅτι ἀπὸ τοῦ καιροῦ τῶν Ἀποστόλων ἕως τοῦ τετρακοσιοστοῦ ἑνδεκάτου ἔτους, ἐν ᾧ ἠθροίσθη ἡ ἐν Καρθαγείῃ Σύνοδος, ὁ Ῥώμης ὑπὸ πάντων τῶν ἐκκλησιαστικῶν χρονογράφων καὶ Ἐπισκόπων καὶ Συνόδων τῶν ἀρχαίων καὶ ἑλληνικῶς συγγραψάντων (ἴσως γὰρ ὑπότινων δυτικῶν πατέρων λατινιστὶ ἐῤῥέθη καὶ πρότερον, ὡς ἐλέγοντο καὶ ἄλλοι Ἐπίσκοποι ὡς εἴπομεν ἀνωτέρω) Ἐπίσκοπος μόνον ἐλέγετο καὶ ἐγράφετο, εἰς δὲ τὴν Σύνοδον ταύτην ἐῤῥέθη Πάπας. ἐπὶ δὲ τῆς τρίτης Συνόδου πράξει τρίτῃ Φίλιππος Λεγᾶτος τοῦ Ῥώμης εἶπε τὸ ὄνομα τοῦτο, καὶ ἐξέλαβεν αὐτὸ εἰς σημασίαν τοῦ Ἐπισκόπου Ῥώμης, εἰπὼν, Ὁ ἅγιος καὶ μακαριώτατος Πάπας ἡμῶν, ἐπειδὴ δὲ ἐξετείνετο τὸ ὄνομα καὶ εἰς ἄλλους πολλοὺς, καὶ ἔτι ἵνα μή τις νομίσῃ ὅτι εἶπεν αὐτὸ περί τινος ἀνθρώπου πατρὸς καλουμένου, ἐπήγαγε, Κελεστῖνος ὁ Ἐπίσκοπος. ὁ δὲ Προϊέκτος, Λεγᾶτος καὶ οὗτος τοῦ Ῥώμης, εἰπὼν, Τοῦ ἁγίου Πάπα Κελεστίνου, ἐπήγαγε καὶ οὗτος διὰ τὴν αὐτὴν αἰτίαν, Τοῦ Ῥωμαίων Ἐπισκόπου. ὡς οὖν ἡ πρώτη Σύνοδος εἶπε τὸν Σίλβεστρον παρὰ Γελασίῳ, καὶ ἡ ἐν Σαρδικῇ Σύνοδος τὸν Ἰούλιον Ἐπισκόπους μόνον, ἡ δὲ δευτέρα Οἰκουμενικὴ εἶπε καὶ αὕτη τὸν Δάμασον ἐν τῇ πρὸς τοὺς Δυτικοὺς ἐπιστολῇ αὐτῆς συναριθμήσασα μετὰ τῶν λοιπῶν Ἐπισκόπων Ἐπίσκοπον, οὕτω καὶ ἐν τῇ τρίτῃ καὶ Κύριλλος καὶ οἱ λοιποὶ πάντες Ἐπίσκοποι, καὶ δὴ καὶ οἱ Βασιλεῖς καὶ ἡ Σύνοδος ἐν ταῖς πρὸς αὐτὸν τὸν Ῥώμης ἐπιστολαῖς οὐκ εἶπον αὐτὸν οὔτε Πατριάρχην οὔτε Πάπαν, ἀλλ' ἁπλῶς Ῥωμαίων Ἐπίσκοπον, καὶ Κελεστῖνον Ἐπίσκοπον, ὡς εἶπον καὶ τοὺς λοιποὺς Πατριάρχας, ἔστι δ' ὅτε εἶπον αὐτοὺς τινὲς καὶ Ἀρχιεπισκόπους, οὐ μὴν καὶ ἡ Σύνοδος ἐν τῇ πρὸς αὐτὸν τὸν Ῥώμης ἐπιστολῇ. δεύτερον πρὸ τῆς τετάρτης Συνόδου εἴρηται ὁ Ῥώμης παρὰ τοῦ μικροῦ Θεοδοσίου Πατριάρχης, ἐν δὲ τῇ τετάρτῃ Συνόδῳ εἴρηται ποτὲ μὲν Ἐπίσκοπος, ποτὲ δὲ Πατριάρχης, καὶ ποτὲ Ἀρχιεπίσκοπος. ἐν ταῖς ἀναβοήσεσιν ὅμως, ἤτοι ἐν ταῖς φήμαις τῶν Βασιλέων καὶ Πατριαρχῶν ἐῤῥέθη ὁ Ῥώμης Πάπας, καὶ καθεξῆς ἐῤῥέθη ὑπὸ τοῦ Ἰουστινιανοῦ ἔν τισι Νεαραῖς Πάπας ἐν δὲ τῇ πέμπτῃ Συνόδῳ ἔν τισι συνελεύσεσιν αὐτῆς, καὶ ἔν τισιν ἐπιστολαῖς Ἐπισκόπων ἐῤῥέθη Πάπας. ἐν τῇ ἕκτῃ μέντοι ἐῤῥέθη Πάπας ὁ Ῥώμης ὑπὸ τῶν Βασιλέων καὶ ὑπὸ τῶν ἰδίων Λεγάτων. ἐν δὲ τῇ ἑβδόμῃ ἐῤῥέθη ὑπότινων πατέρων. εἴτινα οὖν δύναμιν εἶχε τὸ Ἐπίσκοπος ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ καὶ τῇ τρίτῃ ταῖς Συνόδοις, καὶ τὸ Ἀρχιεπίσκοπος ἐν τῇ τετάρτῃ Συνόδῳ, εἶχε καὶ τὸ Πάπας, ῥηθὲν ἐν τῇ τετάρτῃ, καὶ ἐν τῇ πέμπτῃ ὑπ' αὐτῆς καὶ ὑπὸ τοῦ Ἰουστινιανοῦ, καὶ ἐν τῇ ἕκτῃ καὶ ἑβδόμῃ ταῖς Συνόδοις, οὐ γὰρ ὁ Ῥώμης ἔλαβέ τι ἀξίωμα ὕστερον ὅπερ οὐκ ἔλαβεν ἀπὸ τῆς πρώτης Οἰκουμενικῆς, ἀλλ' ἐν ἐκείναις ταῖς Συνόδοις ταὐτὸν ἐδήλου τὸ Ἐπίσκοπος καὶ Ἀρχιεπίσκοπος καὶ Πατριάρχης ἐν πᾶσι τοῖς Πατριαρχικοῖς θρόνοις, ὡς εἴρηται καὶ ῥηθήσεται, ἄρα καὶ ἐν αἷς ἐῤῥέθη μεταταῦτα ὁ Ῥώμης Πάπας, ταὐτὸν ἐδήλου καὶ οὐδέν τι μεῖζον ἢ ἕτερον. εἶτα ἐν τῇ ἕκτῃ ὥσπερ ἐῤῥέθη ὁ Ῥώμης Πάπας, ἐῤῥέθη καὶ ὁ Ἀλεξανδρείας Πάπας ἐν τῇ δεκάτῃ τρίτῃ πράξει, καὶ ἴδε τὸν τόπον. ὡς οὖν τὸ Πάπας νοεῖται ἐν τῷ Ἀλεξανδρείας, νοεῖται καὶ ἐν τῷ Ῥώμης. ῥητέον ἔτι, καθὼς ἄλλως ἐῤῥέθη ὑπὸ τῆς δευτέρας Συνόδου τὸ Πατριάρχης ὄνομα, καὶ ἄλλως ἐλήφθη μεταταῦτα, οὕτω καὶ τὸ Πάπας ὄνομα

εἰς

εἰς τὴν ἀρχὴν μὲν ἐξετείνετο εἰς πολλοὺς ἄλλους καὶ εἰς τὸν Ῥώμης, καὶ ἐδήλου τὸ Πατὴρ, ἔπειτα δὲ ἔμεινεν ἐκ συνηθείας καὶ μόνης ἐπὶ μόνων τοῦ Ῥώμης καὶ Ἀλεξανδρείας ληφθὲν ἀντὶ τοῦ Πατριάρχης, ὅπου μέντοιγε λέγεται τὸ Πάπας καὶ Πατριάρχης ὁμοῦ, δηλοῖ τὸ Πάπας Πατὴρ, τουτέστι Πατὴρ καὶ Πατριάρχης, ὅπου δὲ λέγεται ἢ μόνον τὸ Πάπας, ἢ Ἀρχιεπίσκοπος καὶ Πάπας, τὸ Πάπας δηλοῖ τὸ Πατριάρχης καὶ οὐδὲν ἕτερον, μάλιστα μεῖζον καὶ ἰδιαίτερον τοῖς μεγίστοις θρόνοις τὸ Πατριάρχης ὄνομα τῶν λοιπῶν, καὶ τοῦτο δηλοῦσι πάντα ἐκεῖνα, ὅθεν ὁ μέγας Γρηγόριος βιβλίῳ τρίτῳ τῶν διαλόγων κεφαλαίῳ δευτέρῳ τοὺς Πάπας Ῥώμης Ἰωάννην καὶ Ἀγαπητὸν Πατριάρχας καλεῖ, καὶ ἐν τῇ δεκάτῃ ἑκτῇ πράξει τῆς ἑκτῆς Συνόδου λέγεται, Σεργίου καὶ Ὀνωρίου τῶν γενομένων Πατριαρχῶν, καὶ πράξει δευτέρᾳ τῆς ἑβδόμης Συνόδου Ἰωάννης Τοποτηρητὴς τῶν Ἀνατολικῶν Ἀρχιερέων εἶπεν, Ἔλεος καὶ ἀλήθεια ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐστὶν, ἐν μετοχῇ δὲ καὶ οἱ ἁγιώτατοι Πατριάρχαι καὶ τῆς Οἰκουμένης Ποιμένες ὑπάρχουσι καὶ λέγονται, καὶ γὰρ ἔλεος καὶ ἀλήθεια συνήντησεν Ἀδριανὸς ὁ ἁγιώτατος Πάπας τῆς πρεσβυτέρας Ῥώμης, καὶ Ταράσιος ὁ μακαριώτατος Πατριάρχης τῆς βασιλίδος Κωνσταντινουπόλεως, ἴδε καὶ ἄλλους μυρίους τόπους ἀνωτέρω καὶ κατωτέρω ἐν τῇ παρούσῃ ἐκκλησιαστικῇ διδασκαλίᾳ. καὶ ὁ Ἰουστινιανὸς ἐπιστολῇ πρὸς Ἐπιφάνιον λέγει, Πρὸς τὸν Πάπαν Ῥώμης καὶ Πατριάρχην, καὶ διαλέξει ἑξηκοστῇ ἑβδόμῃ λέγει, Μηνᾷ Οἰκουμενικῷ Ἀρχιεπισκόπῳ καὶ Πατριάρχῃ. ἰδοὺ λοιπὸν πάντων τῶν ὀνομάτων, καὶ ἰδίως τοῦ Ἀρχιεπίσκοπος καὶ Πάπας μεῖζον τὸ Πατριάρχης, εἰ δὲ καὶ ὁ Πάπας αὐχεῖ ὅτι μόνος καλεῖται Ποντίφεξ, ἤτοι Ἀρχιερεὺς, ἀλλὰ καὶ οἱ λοιποὶ Πατριαρχικοὶ θρόνοι Ἀρχιερατικοὶ καλοῦνται κατ' ἐξαίρετον λόγον, καὶ ἴδε τὸν Φώτιον ἀναγνώσει διακοσιοστῇ πεντηκοστῇ ὀγδόῃ, καὶ ἄλλους μυρίους πατέρας, καὶ τὰς ἐπιστολὰς τοῦ ἁγίου Ταρασίου πρὸς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς, καὶ τὴν ἐκείνων πρὸς αὐτὸν, κειμένην ἐν τοῖς πρακτικοῖς τῆς ἑβδόμης Συνόδου, καὶ τὴν ἐπὶ Φωτίου Σύνοδον, καὶ αὐτὴν τὴν κατὰ Φωτίου ἀνωτέρω βιβλίῳ ἑβδόμῳ, καὶ κατωτέρω κεφαλαίῳ τετάρτῳ Παραγράφῳ πέμπτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι Πάπας καὶ Πατριάρχης, Πατὴρ καὶ Πατριάρχης, καὶ Πατὴρ Πατέρων ταὐτοσήμαντα. καὶ τὶ δηλοῖ παρὰ Λατίνοις Πάπας, παρ' Ἑβραίοις Πατριάρχης, καὶ παρ' ἡμῖν Ἀρχιεπίσκοπος.

Εἰ καὶ ἐρρέθησαν ὁ Ῥώμης καὶ Ἀλεξανδρείας καὶ Ἱεροσολύμων Πάπαι καὶ Πατριάρχαι, καὶ οὐκ ἐκλήθησαν οὕτως ὁ Ἀντιοχείας καὶ ὁ Κωνσταντινουπόλεως, ἀλλὰ ῥητέον, ὅτι ὁ μὲν Ἀντιοχείας λέγεται Πατὴρ καὶ Πατριάρχης, ὅπερ ταὐτόν ἐστι τῷ Πάπας καὶ Πατριάρχης, ὁ δὲ Κωνσταντινουπόλεως ἐν τῇ ἐπὶ τοῦ Καππάδοκος καὶ ἐν τῇ ἐπὶ τοῦ Μηνᾷ ταῖς Συνόδοις Πατὴρ Πατέρων, ὡς ἐρρέθη καὶ ἐπὶ Ἰουστινιανοῦ ὁ Ῥώμης Ἀγαπητός. προσεκτέον ὅμως, ὅτι ἐκ τούτου οὐ λαμβάνεταί τι ἰδικὸν ἀξίωμα οὔτε ἐν τῷ Ῥώμης οὔτε ἐν τῷ Κωνσταντινουπόλεως; ἐρρέθη γὰρ καὶ ὁ Ἀλεξανδρείας ὑπὸ τοῦ Στουδίτου Πατὴρ Πατέρων, ὡς δὲ λαμβάνεται ἐν τούτῳ, οὕτω καὶ ἐν ἐκείνοις, τοῦτο μαρτυρεῖ καὶ Θεόδωρος Ἀντιοχείας ὁ Βαλσαμὼν ἐν τῇ μελέτῃ λέγων, Πάπας παρὰ Λατίνοις κέκληται ὁ Πατὴρ τῶν Πατριῶν, καὶ παρὰ Ἰουδαίοις Πατριάρχης, ἤτοι ὁ Ἄρχων, ὁ Πατὴρ τῶν Πατριῶν, καὶ Ἀρχιεπίσκοπος ὁμοίως ὁ Πατὴρ τῶν Ἐπισκόπων. κἂν γοῦν ὦσι τοῦ Πάπα, τοῦ Πατριάρχου καὶ τοῦ Ἀρχιεπισκόπου τὰ σημαινόμενα τῇ διαλέκτῳ διάφορα, ἀλλὰ τῇ δυνάμει (ἐπὶ τῶν Πατριαρχῶν) κατὰ μηδὲν διαφέρει, διὸ καὶ πάντες κοινῷ ὀνόματι Πατριάρχαι κατονομάζονται. Καὶ, μετωνομάσθησαν οὖν οἱ ἐν ταύταις ἀρχιερατεύοντες Ἀρχιεπίσκοποι, ἤτοι ὁ Κωνσταντινουπόλεως καὶ Ἱεροσολύμων, ἀρχαὶ δηλονότι καὶ κεφαλαὶ πολλῶν Ἐπισκόπων, ταὐτὸν δ' εἰπεῖν καὶ Πατριάρχαι. ἐρρέθη δὲ πρῶτον τὸ Πατὴρ Πατέρων καὶ τὰ λοιπὰ τοιαῦτα ὀνόματα εἰς ἐκεῖνα τὰ πατριαρχικὰ πρόσωπα, Ἰωάννου, Μηνᾷ καὶ Ἀγαπητοῦ διὰ τὴν δραστικωτάτην ἐνέργειαν καὶ διακαεστάτην φροντίδα, ἣν εἶχον ἐκεῖνοι εἰς καθαίρεσιν μὲν τῶν Αἱρετικῶν, βεβαίωσιν δὲ τῆς ὀρθοδοξίας οὐ μόνον εἰς τὰς ἰδίας Ἐπαρχίας, ἀλλὰ σχεδὸν εἰς πᾶσαν τὴν καθολικὴν Ἐκκλησίαν, καθὼς θερμότατα καὶ ἐπιμελέστατα ἐνήργει ὁ τὰ πάντα ἁγιώτατος ὁ μέγας Λέων ὁ Ῥώμης, ὅθεν καὶ δικαίως ἐκλήθησαν πρώτιστα οἱ τέσσαρες οὗτοι Πατέρες Πατέρων, καθολικοὶ Ἀρχιεπίσκοποι καὶ Οἰκουμενικοὶ Πατριάρχαι, οὐμὴν ἀλλὰ καὶ πολλοὶ τῶν πατέρων διὰ τὴν αὐτὴν αἰτίαν, εἰ καὶ οὐκ ἐρρέθησαν Οἰκουμενικοὶ Πάπαι, ἢ Πατριάρχαι, ἀλλ' ἐκλήθησαν Πατέρες Πατέρων καὶ Οἰκουμενικοὶ Διδάσκαλοι, ὡς ῥηθήσεται κατωτέρω.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι οἱ Λατῖνοι σημειοῦντες ἔξωθεν τῆς πέμπτης πράξεως τῆς ἑβδόμης Συνόδου μὴ ἀνεγνωκέναι τὸν Χαρτοφύλακα Ἀναστάσιον τὴν ἐν τῇ τοῦ Πέτρου Λεγάτου τοῦ Ῥώμης διαλαλιᾷ ῥηθεῖσαν Οἰκουμενικὸς λέξιν ἐπὶ Ταρασίῳ, ἀποδείκνυνται ἐν ταῦθα σὺν ἐκείνῳ ψεῦσται καὶ φθορεῖς τῶν πρακτικῶν τῶν Συνόδων.

Ἐν τῇ πέμπτῃ πράξει τῆς ἑβδόμης Συνόδου, ὅτε προσήχθη ἡ Δεσποτικὴ ἁγία Εἰκὼν εἰς προσκύνησιν, προ-

προκατῆρξε τοῦ λόγου Πέτρος ὁ Λεγᾶτος τοῦ Πάπα, καὶ δὴ λέγεται ἐκεῖ οὕτω, Πέτρος ὁ ἁγιώτατος πρωτοπρεσβύτερος καὶ Τοποτηρητὴς τοῦ ἁγιωτάτου Πάπα Ῥώμης Ταρασίῳ τῷ ἁγιωτάτῳ Ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ Οἰκουμενικῷ Πατριάρχῃ, καὶ πάσῃ τῇ ἁγίᾳ Συνόδῳ. εἰς ταύτην οὖν τὴν Διαλαλιὰν ἐσημείωσαν ἔξωθεν οἱ παπισταὶ, ὅτι ταύτην τὴν λέξιν (Οἰκουμενικὸς) ὁ ἀρχαῖος ἑρμηνεὺς Ἀναστάσιος οὐκ ἀνέγνω, καὶ ἔοικε παρεμβεβλῆσθαι. Ἀλλὰ εἰ καὶ εἰς τὸν τόπον εἴρηται περὶ τούτου τὰ εἰκότα, καὶ ἤδη ὅμως ῥητέον, ὅτι οἱ Λατῖνοι πολλὰ ἔχουσι γραφικὰ σφάλματα εἰς τὴν ἁγίαν γραφὴν, καὶ ἴδε τὸ Συνταγμάτιον Νεκταρίου Ἱεροσολύμων, οὕτω καὶ τὰ πρακτικὰ τῶν Συνόδων ἔφθειραν ἐν πολλοῖς. δεύτερον, ὁ Ἀναστάσιος οὗτος εἰ καὶ οὐκ ἐφρόνει εἶναι τὸν Πάπαν μονάρχην ἐν τῇ Ἐκκλησίᾳ, ἐβούλετο ὅμως προτιμᾶσθαι αὐτὸν μᾶλλον τῶν Πατριαρχῶν ὡς ἡ Ὅρασις τῶν λοιπῶν αἰσθήσεων, καὶ τοιοῦτος ὤν, οὐκ ἔστι θαυμαστὸν εἰ ἐψεύσθη, φθονῶν τοῖς Ἀνατολικοῖς, καὶ ὡς Χαρτοφύλαξ Ῥώμης χάριν ποιῶν τοῖς τότε Πάπαις Νικολάῳ καὶ Ἀδριανῷ, μαινομένοις ὅση δύναμις τῷ Φωτίου. εἶτα οἱ παπισταὶ ἐν μεγάλοις καὶ μάλιστα μεγίστοις πράγμασιν ὀφέρουσιν ἱστορικοὺς ἀρχαίους καὶ ἀναμφιβόλους, ἀλλὰ τοὺς ὑπαιτίους καὶ τοὺς ἐναγομένους καὶ μεταγενεστέρους καὶ ἡμῖν παντάπασιν ἀγνώστους. τρίτον, ἐνδέχεται συκοφαντεῖσθαι τὸν Ἀναστάσιον ὑπὸ τῶν Λατίνων, εἰ δὲ μὴ, ἐψεύσθη καὶ ἐθελοντὶ ἐνακούργησε προφανῶς, καθότι, ὡς εἴρηται, ὁ Κωνσταντινουπόλεως ἐῤῥέθη Οἰκουμενικὸς ἐν ἔτει πεντακοσιοστῷ δεκάτῳ ὀγδόῳ ἐπὶ τῆς ἐπὶ τοῦ Καππάδοκος Συνόδου, καὶ ἐν ἔτει πεντακοσιοστῷ τριακοστῷ ἕκτῳ ἐπὶ τῆς ἐπὶ Μηνᾶ Συνόδου, καὶ ὑπὸ Ἰουστινιανοῦ καὶ Τιβερίου καὶ Ἡρακλείου τῶν Βασιλέων, καὶ ἐν πολλοῖς τόποις, καὶ ὑπὸ τοῦ Πωγωνάτου ἐν τῇ ἕκτῃ Συνόδῳ, καὶ πῶς ταῦτα εἰδὼς ὁ Ἀναστάσιος εἴρηκεν ὅτι οὐκ εἶπεν ὁ Πέτρος τὸν Ταράσιον Οἰκουμενικὸν, ἀλλὰ παρενεβλήθη ἡ λέξις; ἐν πολλοῖς καὶ μεγάλοις ἐψεύσθη ὁ Χαρτοφύλαξ τῆς Ῥώμης, ὡς εἴρηται ἡμῖν ἀνωτέρω ἐν πολλοῖς τόποις, ψευσθεὶς δὲ καὶ ἐνταῦθα, τὸ ἴδιον αὐτοῦ πεποίηκε.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι τὸ Οἰκουμενικὸς ὄνομα οὔτε ὑπὸ Συνόδων οὔτε ὑπὸ Κανόνων ἢ διορισμῶν κοινῆς ψήφου ἐῤῥέθη τῷ Ῥώμης, ὥστε μόνον ἐκεῖνον καὶ μὴ καὶ τὸν Κωνσταντινουπόλεως Οἰκουμενικὸν λέγεσθαι, καὶ περὶ τοῦ πότε, καὶ ὑπὸ τίνων, καὶ διατὶ ὅ,τε Ῥώμης καὶ ὁ Κωνσταντινουπόλεως Οἰκουμενικοὶ ἐῤῥέθησαν.

Τὸ Οἰκουμενικὸς ὄνομα οὐκ ἐῤῥέθη μόνῳ τῷ Πάπᾳ, οὔτε ἐῤῥέθη ὑπὸ τῶν Συνόδων διὰ Κανόνων ἢ διορισμῶν ἢ ὑπὸ κοινῆς συνοδικῆς ψήφου, ὥστε εἶναι ἴδιον αὐτοῦ, καὶ δηλοῦν ἰδικόν τι ἀξίωμα, καὶ ἔχειν μόνον αὐτὸν τοῦτο καὶ οὐχὶ καὶ τὸν Κωνσταντινουπόλεως ἢ ἄλλον τινὰ, ἀλλ' ἐῤῥέθη αὐτῷ πρῶτον ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ ὑπό τινων καὶ μόνων ἠδικημένων Ἀλεξανδρινῶν εἰς λίβελλον, ὡς εἴρηται εἰς τὸν τόπον καὶ ῥηθήσεται κατωτέρω, ἡ δὲ Σύνοδος οὐκ ἐβεβαίωσε, μάλιστα δὲ βαθέως ἐσιώπησε, καὶ καθὼς ἐν αὐτῇ εἰπόντος τοῦ Ἱεροσολύμων Ἰουβεναλίου ὅτι ἐστὶν ἔθος ἀρχαῖον ἵνα κρίνηται ὁ Ἀντιοχείας εἰς τὸν Ἱεροσολύμων, ἡ Σύνοδος ἐσιώπησε, καὶ ἔμεινεν ἀβέβαιος ὁ λόγος τοῦ Ἱεροσολύμων, οὕτως ἔμεινεν ἀβέβαιος ὁ λόγος τῶν Ἀλεξανδρινῶν τῶν εἰπόντων τὸν Πάπαν Οἰκουμενικὸν Ἀρχιεπίσκοπον καὶ Πατριάρχην, ὅθεν ἡ Σύνοδος ἐν τῇ ἐπιστολῇ ἣν ἔπεμψε τῷ Ῥώμης, μόνον εἶπεν αὐτὸν Ἀρχιεπίσκοπον Ῥωμαίων καὶ οὐδὲν ἕτερον, τῷ δὲ Κωνσταντινουπόλεως ἐῤῥέθη πρῶτον ἐπὶ τῆς ἐπὶ τοῦ Καππάδοκος Συνόδου, οὐχ ὑπὸ τῶν τυχόντων ὡς ἐῤῥέθη τὸ πρῶτον τῷ Πάπᾳ, ἀλλ' ὑπὸ τῶν πατέρων τῶν ἐλθόντων ἀπεσταλμένων ὑπὸ τῶν ἀποστολικῶν θρόνων Ἀντιοχείας καὶ Ἱεροσολύμων, καὶ ὑπὸ τῆς ἐν Κωνσταντινουπόλει ἐπιδημούσης τότε Συνόδου. τὸ δεύτερον ἐῤῥέθη ὁ Ῥώμης Οἰκουμενικὸς, ἐπιδημοῦντος ἐν Κωνσταντινουπόλει τοῦ Ἀγαπητοῦ, ὑπὸ Ἀρχιμανδριτῶν καὶ Μοναχῶν τινῶν, καταβοώντων Σεβήρου καὶ τῶν περὶ αὐτὸν Αἱρετικῶν, ἀλλὰ τῷ Κωνσταντινουπόλεως ἀφ' οὗ ἤρξατο λέγεσθαι ἐπὶ τοῦ Καππάδοκος οὐκ ἔπαυσε τοῦ λέγεσθαι, ὅθεν οἱ μετ' ἐκεῖνον Ἐπιφάνιος καὶ Ἄνθιμος καὶ Μηνᾶς καὶ Εὐτύχιος ὑπὸ τοῦ μεγάλου Ἰουστινιανοῦ ἔν τε Νεαραῖς καὶ Ἠδίκτοις Οἰκουμενικοὶ Πατριάρχαι ἐκλήθησαν. τρίτον, ἐῤῥέθη τῷ Ῥώμης ἐν τῇ ἕκτῃ Συνόδῳ ὑπὸ τοῦ Βασιλέως Κωνσταντίνου ἀλλ' οὐ μόνῳ, ἔγραψε γὰρ εἰς τὴν πρὸς αὐτὸν Σάκραν, Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Ἀρχιεπισκόπῳ τῆς πρεσβυτέρας Ῥώμης καὶ Οἰκουμενικῷ Πάπᾳ Ἀγάθωνι, ἀλλ' ἔγραψεν ἐν ταὐτῷ καὶ εἰς τὴν πρὸς τὸν Κωνσταντινουπόλεως Σάκραν, Γεωργίῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Ἀρχιεπισκόπῳ Νέας Ῥώμης καὶ Οἰκουμενικῷ Πατριάρχῃ, καὶ ταῦτα μὲν ὁ Αὐτοκράτωρ, ἡ δὲ Σύνοδος γράψασα τῷ Ἀγάθωνι, οὐκ εἶπεν αὐτὸν Οἰκουμενικὸν, ἀλλὰ μόνον, Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνι. Ἔτι πράξει ὀγδόῃ τῆς αὐτῆς Συνόδου ἐρωτηθέντες οἱ πατέρες παρὰ τοῦ Βασιλέως, Εἰ δέχονται τὰ ἀπὸ τῆς Ῥώμης ἀπεσταλμένα γράμματα, καὶ ἀποκριθέντες ὅτι δέχονται αὐτὰ, οὐκ εἶπον τὸν Ῥώμης Οἰκουμενικὸν, ἀλλὰ μόνον Πάπαν. ἐν δὲ τῇ δευτέρᾳ πράξει τῆς ἑβδόμης Συνόδου ἀναγνωσθεισῶν τῶν ἐπιστολῶν τοῦ Πάπα πρὸς τοὺς Βασιλεῖς καὶ τὸν Κωνσταντινουπόλεως, καὶ ἐρωτησάντων Πέτρου καὶ Πέτρου τῶν Τοποτηρητῶν τοῦ Ῥώμης τοὺς πατέρας, Εἰ δέχονται ταύτας, ἀπεκρίθησαν ὅτι δέχονται, ἀλλὰ πάντες μὲν εἶπον τὸν Ῥώμης μόνον ἁγιώτατον Πάπαν, τὸν δὲ Ταράσιον εἶπον οἱ πλείους

πλείους Οἰκουμενικὸν Πατριάρχην. ἀλλὰ δὴ καὶ ἐν τῇ τρίτῃ πράξει ἀναγνωσθεισῶν τῶν ἐπιστολῶν τοῦ Κωνσταντινουπόλεως πρὸς τοὺς τῆς Ἀνατολῆς Πατριάρχας, καὶ τῆς ἐπιστολῆς τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς πρὸς τὸν Ταράσιον, καὶ τοῦ Συνοδικοῦ τοῦ ἁγίου Θεοδώρου Πατριάρχου Ἱεροσολύμων, οἱ πατέρες τῆς Συνόδου δεχόμενοι ταῦτα, πάντες σχεδὸν ἐν ταῖς ἰδίαις διαλαλιαῖς εἶπον τὸν Ταράσιον Οἰκουμενικὸν Πατριάρχην, ὡς εἶπον αὐτὸν καὶ πάντες οἱ Ἀρχιερεῖς τῶν Ἀνατολικῶν ἀποστολικῶν θρόνων ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ αὐτῶν, κειμένῃ πράξει τρίτῃ τῆς αὐτῆς Συνόδου, ἀλλὰ καὶ ἡ Σύνοδος καὶ ὁ Ταράσιος γράψαντες πρὸς τὸν Πάπαν Ἀδριανὸν, οὐκ εἶπον αὐτὸν Οἰκουμενικὸν, ἀλλὰ μόνον ἁγιώτατον καὶ μακαριώτατον ἀδελφὸν καὶ συλλειτουργὸν Πάπαν τῆς πρεσβυτέρας Ῥώμης· οἱ οὖν εἰπόντες τὸν Πάπαν Οἰκουμενικὸν, οἱ αὐτοὶ εἶπον καὶ μάλιστα οἱ πλείους καὶ τὸν Κωνσταντινουπόλεως, ποτὲ μὲν, ὡς εἴρηται, διὰ τὸν ἐν ταῖς δυσὶ πατριαρχικοῖς θρόνοις τῶν πατριαρχευόντων ζῆλον καὶ ἄκραν ἐγκάρδιον ἐπιμέλειαν καὶ ἐνέργειαν ὑπὲρ τῆς καθόλου Ἐκκλησίας, ποτὲ δὲ ἐκ συνηθείας καὶ μόνης, οὐκ ἀπὸ Κανόνων, ἢ ἄλλου τινὸς ἀναγκαίου γραφικοῦ ἢ συνοδικοῦ ἢ πατρικοῦ διορισμοῦ, καὶ τὶ μάτην ταράττεται ὁ Πάπας διὰ τὸ ὄνομα, καὶ ὁ Ἀναστάσιος συκοφαντεῖ τὸν Πέτρον καὶ τὴν ἁγίαν Σύνοδον διὰ τὸ Οἰκουμενικός; ὅπερ εἴτις οὕτως ἐκλάβοι, ὥστε νομίζειν ἔχειν αὐτὸ γενικῆς τινος ἐξουσίας σημασίαν ἐν τῇ καθόλου Ἐκκλησίᾳ, πρόδηλον ὅτι αὐτός ἐστιν ὁ πρόδρομος τοῦ Ἀντιχρίστου, ὡς ῥηθήσεται.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι εἰ ἀπρεπῶς κατὰ τὸν ἐπιβαίνοντα ταῖς Οἰκουμενικαῖς Συνόδοις Ἀναστάσιον Οἰκουμενικὸς ὁ Κωνσταντινουπόλεως λέγεται, ἀπρεπῶς καὶ ὁ Ῥώμης, ὡς ἄμφω ὑπὸ τῶν αὐτῶν Οἰκουμενικοὶ ῥηθέντες, καὶ περὶ τοῦ πῶς καλῶς καὶ πῶς κακῶς τὸ Οἰκουμενικὸς ὄνομα λέγεται.

Ὁ ῥηθεὶς Βιβλιοθηκάριος Ἀναστάσιος ἐν τῷ προοιμίῳ, ὅποιεῖ εἰς τὴν ἑβδόμην Σύνοδον, λέγει πρὸς τὸν Πάπαν Ἰωάννην τὸν ὄγδοον, Συχνάκις οἱ Γραικοὶ ἐν ταύτῃ τῇ Συνόδῳ ἀπρεπῶς τὸν αὐτῶν Πατριάρχην Οἰκουμενικὸν καλοῦσιν, ὅμως ἐγὼ εὑρισκόμενος ἐν Κωνσταντινουπόλει, συχνάκις διὰ ταύτην τὴν ὀνομασίαν ἤλεγχον τοὺς Γραικοὺς, καὶ κατηγόρουν αὐτῶν ὑπερηφανίας καὶ αὐθαδείας, οἱ δὲ ἀπεκρίνοντο ὅτι οὐ διατοῦτο Οἰκουμενικὸν ἔλεγον τὸν Πατριάρχην, ὅτι παντὸς τοῦ κόσμου ἐκράτει τὴν ἐπιστασίαν, ἀλλ' ὅτι μερικῷ μέρει τοῦ κόσμου, ὃ παρὰ τῶν Χριστιανῶν κατέχεται ἐκράτει. Εἰ οὖν ὁ Ἀναστάσιος ἀσεβῶς ἀντιβαίνει τῇ ἁγίᾳ Οἰκουμενικῇ ἑβδόμῃ Συνόδῳ, καὶ μάλιστα οὐ ταύτῃ μόνῃ, ἀλλὰ καὶ τῇ ἕκτῃ (ἵν' ἐάσωμεν τὰς λοιπὰς) ἐν αἷς κοινῶς ὑπὸ τῶν πατέρων ὁ Κωνσταντινουπόλεως Οἰκουμενικὸς καλεῖται, αὐτὸς ὄψεται. εἰ δ' ἀπρεπῶς κατ' αὐτὸν ὁ Κωνσταντινουπόλεως ἐν αὐταῖς Οἰκουμενικὸς λέγεται, πάντως ἀπρεπῶς λέγεται παρ' αὐτῶν Οἰκουμενικὸς καὶ ὁ Ῥώμης, εἰ δ' ὁ Ῥώμης πρεπόντως λέγεται, πρεπόντως καὶ ὁ Κωνσταντινουπόλεως λέγεται, ὑφ' ὧν γὰρ ὁ Ῥώμης Οἰκουμενικὸς καλεῖται, ὑπ' αὐτῶν τούτων καὶ ὁ Κωνσταντινουπόλεως Οἰκουμενικὸς λέγεται, οὐ μὴν καὶ ὑπὸ Κανόνων καὶ συνοδικῶν ἀποφάσεων, ὡς εἴρηται πολλάκις, ἀρκεῖ ὅμως ὅτι οὐκ ἐτόλμησεν εἰπεῖν τὸν Πάπαν οὕτω καλεῖσθαι ὡς παγκόσμιον Ἐπίσκοπον, ἀλλὰ μαρτυρεῖ ὅτι τὸ Οἰκουμενικὸς οὐ βούλεται εἰπεῖν ἔχειν τινὰ ἐξουσίαν ἐπὶ πάσης τῆς Ἐκκλησίας, καθὼς τὴν σήμερον οἰκειοποιεῖται τοῦτο ὁ τῆς Ῥώμης Πάπας τῇ ὑπερηφάνῳ ἐκείνῃ καὶ αὐθάδει ἐννοίᾳ, ᾗ παντὸς τοῦ κόσμου τὴν ἐπιστασίαν ἑαυτῷ ἀντιχριστιανικῶς ὑπογράφει. ὅτι δὲ τοῦτο καὶ ὁ Ἀναστάσιος οὗτος οὐκ ἐπὶ τῶν Πατριαρχῶν ἡγεῖτο τῆς Ῥώμης κατά τι εἰδικὸν ἀξίωμα, οὐδὲ μονάρχην τῆς Ἐκκλησίας τὸν Ῥώμης, μάρτυς ὁ αὐτὸς ἐν τῷ προλόγῳ τῆς κατὰ Φωτίου Συνόδου τῷ ὑπ' αὐτοῦ προσφωνηθέντι πρὸς τὸν Πάπαν Ἀδριανὸν τὸν δεύτερον, Ἐπειδὴ, φησὶν, ὁ Χριστὸς ἐν τῷ σώματι αὐτοῦ, ὅπερ ἐστὶν ἡ Ἐκκλησία, τοσούτους Πατριαρχικοὺς θρόνους, ὅσας ἐν ἑκάστῳ τῶν ἀνθρώπων σώματι αἰσθήσεις κατέθετο, ἐπ' ἀληθείας οὐδὲν ἐλλιπὲς τῇ κοινότητι τῆς Ἐκκλησίας, εἰ πάντες ἐκεῖνοι οἱ θρόνοι ἑνὸς ἦσαν θελήματος, καθότι οὐδὲν ἐλλιπές ἐστι τῇ κινήσει τοῦ σώματος, εἰ πάσαι αἱ πέντε αἰσθήσεις σῷαι καὶ τῆς κοινῆς ἦσαν ὑγιείας, καὶ ὧν μεταξὺ θρόνων ἐπεὶ ὁ Ῥώμης ὑπερτερεῖ, οὐκ ἀναξίως τῇ ὁράσει συγκρίνεται, ἥτις κατὰ ἀλήθειαν πασῶν τῶν αἰσθήσεων ὑπέρκειται, ὀξυτέρα ἐκείνων ὑπάρχουσα, καὶ κοινωνίαν ὡς οὐδὲ μίαν μετὰ πασῶν ἐκείνων ἔχουσα. ὅτι δὲ καλῶς τὸ Οἰκουμενικὸς λέγεται ἀπὸ τοῦ ὁρίζειν πολὺ τῆς Οἰκουμένης μέρος, μάρτυς ἡ ἐν τῇ ἁγίᾳ Σοφίᾳ Σύνοδος, λέγουσα μὴ εἶναι Ἀντίχριστον τὸν καλούμενον Οἰκουμενικὸν ὡς πλείστου τῆς Οἰκουμένης μέρους ἐπάρχοντα, ἀλλὰ τὸν ἁπλῶς ἁπάσης τῆς Οἰκουμένης κρατεῖν ἐθέλοντα, τοῦτον γὰρ ἀποσκυβαλίζει ὁ Διάλογος.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι ἐκ τοῦ τὸν Ἀναστάσιον παρεικάζειν τοὺς πέντε Πατριάρχας ταῖς πέντε αἰσθήσεσιν ἐν τῷ προσεχεῖ παραγράφῳ, δείκνυται εἷς τῶν Πατριαρχῶν καὶ ἰσότιμος αὐτοῖς κατ' ἀξίαν καὶ ἐξουσίαν ὁ Ῥώμης.

Εἰ

Εἰ καὶ ἐπαινεῖ ὁ Ἀναστάσιος τὰ οἰκεῖα, ἀρκεῖ ὅμως ὅτι μαρτυρεῖ ὅπερ ἐκράτει ἐν τῷ καιρῷ ἐκείνῳ ἡ Ἐκκλησία περὶ τῶν Πατριαρχῶν, καὶ γὰρ οὐ λέγει τὸν Πάπαν μόνον κυβερνήτην τῆς Ἐκκλησίας, ἀλλὰ κοινῶς τοὺς πέντε Πατριάρχας ὡς πέντε αἰσθήσεις, ὧν συμφωνούντων, οὐδὲν ἐλλείπει τῇ Ἐκκλησίᾳ. λέγων δὲ τοὺς πέντε Πατριαρχικοὺς θρόνους ἀναγκαίους ἐν τῇ Ἐκκλησίᾳ παρὰ Θεοῦ κατασταθῆναι ὡς τὰς πέντε αἰσθήσεις ἐν τῷ ἀνθρωπίνῳ σώματι, ἀναλογεῖ τὸν τῆς Ῥώμης τῇ Ὁράσει, ὥστε καὶ κατ' αὐτὸν οὐκ ἔστιν ὁ Ῥώμης, ἀλλ' ἢ μόνον αἴσθησις μία, καὶ ἀναγκαίως χρεία καὶ τῶν λοιπῶν αἰσθήσεων οὐχ ὑποτεταγμένως, ἀλλὰ συντεταγμένως, τοιαύτη γὰρ ἡ τῶν αἰσθήσεων πρὸς ἀλλήλας σχέσις, ἤτουν ἀναλογία (εἰ γὰρ καὶ ὁ Ῥώμης δίκην τινὸς ὁράσεως προεκαθέζετο ἐν τῇ κεφαλῇ τῆς Ἐκκλησίας, ἀλλ' ἐπηκολούθει ἡ Ἀκοὴ, μεθ' ἣν ἡ Ὄσφρησις, εἶτα ἡ Γεῦσις, καὶ τέως ἡ Ἁφὴ) πασῶν πρὸς ἀλλήλας συνδεδεμένων καὶ συναριθμουμένων, καὶ παρὰ τῆς μιᾶς κεφαλῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξηρτημένων καὶ προχεομένων ἐπὶ τὸ κοινὸν καὶ διακονικὸν καὶ συλλειτουργικὸν ἐνθύμημα τὸ σῶμα τῆς μιᾶς πίστεως, καὶ τὴν φωνὴν τὴν μίαν τῆς ἀχωρίστου ὁμογίας καὶ τοῦ λόγου τῆς συλλειτουργοῦ διδασκαλίας, τὸ ἐν λέγω πλήρωμα τῆς αὐτοκεφαλῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Ε'. ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ ποσαχῶς λέγεται τὸ οἰκουμενικὸς ὄνομα, καὶ τίσι τρόποις ὁ Ῥώμης καὶ ὁ Κωνσταντινουπόλεως οἰκουμενικοὶ λέγονται.

Εἰ καὶ ἐν τῇ Καταλλαγῇ καὶ ἀνωτέρω ἐν πολλοῖς ἀρκετῶς, ὡς οἶμαι, διείληπται ἡμῖν περὶ τοῦ ὀνόματος τούτου, ῥητέον ὅμως περὶ αὐτοῦ ἰδιαίτερον πρὸς σαφεστέραν κατάληψιν. Τὸ τοίνυν ὄνομα τοῦτο, ὅσον εἰς φανέρωσιν τῆς παρούσης ὑποθέσεως, διαιρεθείη ἂν εἰς ἐννέα, πρῶτον, εἰς τὸν οἰκουμενικὸν προστάτην κατὰ τὸ εἶναι τῆς ἀξίας καὶ τῆς χάριτος, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὃς ἐστι φύσει ἐξουσιοποιὸς καὶ χαριτοποιὸς καὶ προστατοποιὸς Ἀρχιερεὺς, πηγὴ τῶν χαρισμάτων τοῦ ἁγίου Πνεύματος, τοῦ πανταχοῦ παρόντος καὶ τὰ πάντα πληροῦντος, μόνη καθόλου καὶ ἀΐδιος καὶ κυρίως κεφαλὴ τῆς Ἐκκλησίας, μόνος ἀρχηγὸς καὶ τελειωτὴς τῆς πίστεως ἡμῶν, καὶ μόνος κυρίως Ποιμὴν, ὅθεν καὶ μία ἡ ποίμνη αὐτοῦ ἁπαξάπασα ἡ Ἐκκλησία. δεύτερον, εἰς τὸ προστατεῦον οἰκουμενικῶς, ὡς προστατοδόχον καὶ ἐξουσιοδόχον καὶ χαριτοδόχον κατὰ τὴν ἀναλογίαν τῶν χαρισμάτων ὧν ἐκληρώσατο παρὰ τοῦ προστατοποιοῦ Χριστοῦ, τοιοῦτον ἐστὶ τὸ ἀποστολικὸν ἀξίωμα, κοινότατον καὶ οἰκουμενικώτατον κατὰ τὸν λόγον τῆς ἀποστολῆς, περιέχον ἐν ἑαυτῷ πάντα τὰ χαρίσματα τοῦ Πνεύματος, καὶ γὰρ κοινῶς ἕκαστος Ἀπόστολος οἰκουμενικὸς λέγεται, ὡς ἔχων τὴν ἐξουσίαν διὰ τὸν λόγον τῆς ἀποστολῆς πανταχοῦ περιέρχεσθαι, πᾶσαν γὰρ τὴν οἰκουμένην ἐνεπιστεύθησαν, καθότι οὐκ ἐῤῥέθη αὐτοῖς, Ψήφῳ καὶ δοκιμασίᾳ τῶν δείνων Ἐπισκόπων καὶ Κληρικῶν τὸν δεῖνα προχειρίζεται ἡ θεία χάρις Ἐπίσκοπον Ῥώμης, ἢ Κωνσταντινουπόλεως καὶ τοὺς ἑξῆς, ἀλλὰ πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε, καίπερ οὐ πᾶσαν περιῆλθον τὴν οἰκουμένην, ἀλλὰ κατὰ τὴν Διοίκησιν ἕκαστος ὡς ἔτυχε τὸν διαγραφέντα αὐτῷ τόπον καὶ χώραν σχεδὸν ἐπισκοπικῶς, διὸ καὶ Ἐπίσκοποι λέγονται οἱ Ἀπόστολοι, ἐκεῖνο μὲν, οἰκουμενικοὶ προστάται διὰ τὴν ἐξουσίαν τῆς ἀποστολῆς καὶ τὴν καθόλου πρόνοιαν, τοῦτο δὲ, Ποιμένες καὶ Ἐπίσκοποι διὰ τὴν περιήγησιν καὶ φροντίδα τῆς Ἐπισκοπῆς, καθ' ἣν οἰκουμενικοὶ προστάται οὐκ ἂν ῥηθεῖεν, ὅτι μή γε διὰ τὸν λόγον τῆς καθόλου διδασκαλίας τοῦ ὁδηγοῦντος Πνεύματος, καὶ τῆς κοινῆς πρὸς ἀλλήλους εὐδοκίας, συγκοινωνίας τε καὶ ἑνώσεως. τρίτον, λέγεται προστασία ἢ θρόνος οἰκουμενικὸς διὰ τὴν εἰκόνα καὶ τὸν καθόλου χαρακτῆρα τῆς μιᾶς Ἀρχιερωσύνης, κοινῶς τιθεμένης καὶ χαρακτηριζομένης ἐπὶ πάντας τοὺς κατὰ χάριν καὶ θέσιν ἐπιγινομένους Ἀρχιερεῖς, ἢ ἐνθρονιαζόμενοι δεσποτικῶς ἐπὶ τοῦ ἱεροῦ συνθρόνου Ἐπίσκοποι καὶ θεῖοι ἐπίτροποι κατὰ τὴν τάξιν τῶν Ἀποστόλων ἐν μιᾷ πίστει καὶ ὁμολογίᾳ τῇ εἰς Χριστὸν ποιμαίνουσι καὶ ποιοῦσι πρόνοιαν τοῦ ἐμπιστευθέντος αὐτοῖς ποιμνίου κατά τε τοὺς τόπους καὶ τὰς ἀφορισθείσας αὐτοῖς Ἐπαρχίας, καὶ οὕτω πάντες λέγονται οἰκουμενικοὶ, προτιμώμενοι παρὰ Θεῷ μόνῳ λόγῳ τῆς ἀρετῆς καὶ τῆς συναγονιζομένης αὐτοῖς χάριτος ἐπὶ τοῖς κατορθώμασιν, οὐ μὴν καὶ τῷ λόγῳ τῆς μιᾶς ἀξίας καὶ δωρεᾶς, κατὰ ταύτην γὰρ ἕκαστος Ἐπίσκοπος καθόλου ἐστὶν Ἐπίσκοπος, καὶ τῆς καθολικῆς Ἐκκλησίας Ἐπίσκοπος. τέταρτον, λέγεται ἕκαστος Χριστιανὸς ὀρθόδοξος καθολικὸς Χριστιανὸς διὰ τὸν καθόλου λόγον τῆς καθολικῆς πίστεως καὶ καθολικῆς Ἐκκλησίας καὶ τὴν μίαν κεφαλὴν αὐτῆς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. πέμπτον, σημαίνει τὸν Ἱερέα ἐφ' ᾧ σύμπαν λαμβάνεται καὶ τὸ ὄνομα τῆς Ἀρχιερωσύνης, καὶ σημαίνει κοινῶς τὸν οἰκουμενικὸν προστάτην, μέντοι γε ὡς θεοευχέτην, ὡς ἔχει τὸ πρὸς Τιμόθεον ἐπιστολῇ πρώτῃ κεφαλαίῳ δευτέρῳ, Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχὰς, ἐντεύξεις. ὅπου ὁ Χρυσόστομος φησὶν, Ὥσπερ κοινός τις ἐστὶ Πατὴρ τῆς οἰκουμένης ἁπάσης ὁ Ἱερεὺς, πάντων τοίνυν ἄξιον αὐτὸν κήδεσθαι, καθάπερ καὶ ὁ Θεὸς ᾧ ἱεράται.

ἕκτον,

ἕκτον, λέγεται προστασία Οἰκουμενικὴ κατὰ τὴν πρὸς ἄλληλα διοίκησιν τῶν μελῶν τοῦ σώματος, ὡς ἔγραφεν ὁ Ἀλεξανδρείας Ἀλέξανδρος ἐν τῇ ἐγκυκλίῳ αὐτοῦ κατὰ Ἀρείου ἐπιστολῇ, Ἑνὸς σώματος ὄντος τῆς καθολικῆς Ἐκκλησίας, ἐντολῆς τε οὔσης ἐν ταῖς θείαις γραφαῖς τηρεῖν τὸν σύνδεσμον τῆς ὁμονοίας καὶ εἰρήνης, ἀκόλουθόν ἐστι γράφειν ἡμᾶς καὶ σημαίνειν ἀλλήλοις τὰ παρ' ἑκάστοις γινόμενα, ἵνα εἴτε πάσχει εἴτε χαίρει ἓν μέλος, ἢ συμπάσχωμεν ἢ συγχαίρωμεν ἀλλήλοις, οὕτω γὰρ πάντες οἱ Διδάσκαλοι ὑπερασπίζονται τῆς καθόλου Ἐκκλησίας ἐν μιᾷ Ποίμνῃ, ἐν ἑνὶ Πνεύματι, ἐν ἑνὶ Ποιμένι καὶ μιᾷ κεφαλῇ τῷ Χριστῷ συναρμολογούμενοι, ὅθεν καὶ Οἰκουμενικοὶ Διδάσκαλοι καὶ κοινοὶ πατέρες ὑπὸ πάσης τῆς Ἐκκλησίας καλοῦνται. ἕβδομον, λέγεται προστασία Οἰκουμενικὴ τῆς καθόλου Ἐκκλησίας, καθὸ παρὰ τῆς αὐτῆς πηγῆς καὶ τῆς αὐτῆς κεφαλῆς τοῦ Σωτῆρος Χριστοῦ ὥσπερ τινες πέντε αἰσθήσεις ἐκχεόμεναι ἐπὶ τὸ καθόλου σῶμα τῆς Ἐκκλησίας, τῇ ἐκείνου χάριτι διοικοῦσιν αὐτὴν κατὰ τὰ κλίματα καὶ μέρη τῆς Οἰκουμένης ἐφ' ἧς διετάχθησαν. τοιαῦτα εἰσὶν αἱ προεστῶσαι διοικήσεις τῆς Οἰκουμενικῆς Ἐκκλησίας τὰ πέντε Πατριαρχεῖα καθάπερ πέντε αἰσθήσεις διακεχυμέναι καὶ διαδεδομέναι καὶ ἐπικεχορηγημέναι πρὸς ὅλον τὸ σῶμα τῆς Ἐκκλησίας, ὡς γράφει καὶ ὁ Ἀντιοχείας ἁγιώτατος Πέτρος πρὸς τὸν Βενετίας καὶ ὁ Βαλσαμὼν, καὶ δὴ καὶ ὁ ὁμολογητὴς Θεοφάνης λέγει ἐν τῷ προοιμίῳ τοῦ χρονικοῦ αὐτοῦ, Τοὺς Ἀρχιερεῖς τῶν μεγάλων καὶ οἰκουμενικῶν θρόνων, Ῥώμης φημὶ Κωνσταντινουπόλεως, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων. τὸ αὐτὸ λέγεται καὶ ἐν τῇ ἑκατοστῇ ἐνάτῃ Νεαρᾷ τοῦ Ἰουστινιανοῦ, ὅπου ἐξίσου τοὺς πέντε πάσης τῆς Οἰκουμένης Πατριάρχας καλεῖ, καὶ ἴδε αὐτόθι βιβλίου πέμπτου κεφαλαίου δεκάτου ἐνάτου Παράγραφον δεύτερον, διατὶ δὲ τῆς αὐτῆς ὄντες πάντες τάξεως οὐκ ἔτυχον τῆς αὐτῆς κλήσεως, ῥηθήσεται μεταταῦτα. ὄγδοον, ἐῤῥέθη Οἰκουμενικὴ προστασία, διὰ τὸ ἔχειν ὑπ' αὐτὴν πολὺ τῆς Οἰκουμένης μέρος, καὶ διὰ τὴν προθυμοτέραν σπουδὴν καὶ διακαεστέραν φροντίδα καὶ δραστικωτάτην ἐνέργειαν τινῶν Πατριαρχῶν εἰς καθαίρεσιν μὲν τῶν Αἱρετικῶν, βεβαίωσιν δὲ τῆς ὀρθοδοξίας οὐ μόνον εἰς τὰς ἰδίας Ἐπαρχίας, ἀλλὰ σχεδὸν εἰς πᾶσαν τὴν Ἐκκλησίαν, καὶ οὕτως ἐῤῥέθησαν Οἰκουμενικοὶ ὁ Ῥώμης καὶ ὁ Κωνσταντινουπόλεως. ἔνατον, λέγεται ἀπὸ προστάξεως τοῦ κριτοῦ καὶ τῶν κρινομένων, ὥσπερ ὁ Ἀλεξανδρείας διὰ τὸ κεκρικέναι τὴν διαφορὰν Βασιλείου τοῦ πορφυρογεννήτου καὶ τοῦ Κωνσταντινουπόλεως Σεργίου, ὡς Οἰκουμενικὰ πρόσωπα καταλλάξας, κριτὴς τῆς Οἰκουμένης ἐκλήθη.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἀπὸ τῶν Ἀποστόλων μέχρι τῆς τετάρτης Συνόδου πάντες οἱ Ἀρχιερεῖς Ἐπίσκοποι ἐλέγοντο ἐπὶ μαρτυρίαις, ὧν πρώτη αἱ πρὸς τοὺς Ἐπισκόπους Ῥώμης ἐπιστολαὶ Κυπριανοῦ.

Ἡμῖν περὶ τοῦ ὀγδόου μάλιστα ἐστὶν ὁ λόγος ἐπὶ τοῦ παρόντος. Ἰστέον λοιπὸν ὅτι, ὡς εἴρηται ἀνωτέρω, ἀπὸ τῶν Ἀποστόλων ἕως τῆς τετάρτης σχεδὸν οἰκουμενικῆς Συνόδου πάντες οἱ Ἀρχιερεῖς Ἐπίσκοποι ἐλέγοντο, οἱ δὲ Ἐπίσκοποι τῶν Μητροπόλεων ποτὲ ἐλέγοντο Ἐπίσκοποι ὡς καὶ οἱ λοιποὶ, καὶ ποτὲ Μητροπολῖται, ἤτοι τῶν Μητροπόλεων Ἐπίσκοποι. ὅθεν ἐν ἔτει διακοσιοστῷ πεντηκοστῷ τετάρτῳ ὁ Καρθαγένης Κυπριανὸς ἐπιστέλλων τῷ Ῥώμης ἔγραφε, Κυπριανὸς Κορνηλίῳ τῷ ἀδελφῷ ὑγιαίνειν. ὁ αὐτὸς Κυπριανὸς καὶ τριακοντατρεῖς Ἐπίσκοποι τῷ ἀδελφῷ Κορνηλίῳ, καὶ προτάττονται Κυπριανὸς καὶ τριακοντατρεῖς Ἐπίσκοποι τοῦ Ῥώμης Κορνηλίου. καὶ ἐπιστολῇ πεντηκοστῇ ὀγδόῃ, Κυπριανὸς μετὰ τῶν ὀπαδῶν Λουκίῳ τῷ ἀδελφῷ. καὶ ἐπιστολῇ ἑβδομηκοστῇ δευτέρᾳ, Κυπριανὸς καὶ οἱ ὀπαδοὶ Στεφάνῳ τῷ ἀδελφῷ, καὶ πάντοτε ἔγραφε τῷ Ῥώμης ἀδελφὲ περιπόθητε. καὶ πρὸς Ἀντωνιανὸν περὶ Κορνηλίου τοῦ Πάπα γράφει, Μετὰ Κορνηλίου τοῦ Ἐπισκόπου ὑμῶν. καὶ ἐπιστολῇ πεντηκοστῇ δευτέρᾳ, ἤτοι βιβλίῳ τετάρτῳ ἐπιστολῇ δευτέρᾳ, Πρὸς Κορνήλιον τὸν ὀπαδὸν ἡμῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Μαρτυρία δευτέρα ἐκ τῆς ἐγκυκλίου ἐπιστολῆς τῆς ἐν Ἀντιοχείᾳ Συνόδου.

Ἡ ἐν Ἀντιοχείᾳ κατὰ Παύλου τοῦ Σαμοσατέως Σύνοδος ἐν ἔτει διακοσιοστῷ ἑξηκοστῷ τετάρτῳ, ἐν τῇ ἐγκυκλίῳ αὐτῆς ἐπιστολῇ, Διονυσίῳ (τῷ Ῥώμης) Μαξίμῳ (Ἀλεξανδρείας) καὶ τοῖς κατὰ τὴν Οἰκουμένην πᾶσι συλλειτουργοῖς ἡμῶν Ἐπισκόποις Πρεσβυτέροις καὶ Διακόνοις. Εὐσέβιος ἐκκλησιαστικῆς ἱστορίας βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ τριακοστῷ. ἰδοὺ ὁ Ῥώμης συναριθμεῖται μετὰ πάντων τῶν ἐν πάσῃ τῇ Ἐκκλησίᾳ Ἐπισκόπων Πρεσβυτέρων καὶ Διακόνων.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Μαρτυρία τρίτη ἐκ τῶν πρὸς τὸν Ῥώμης καὶ τὸν Συῤῥακούσης καὶ Καρθαγένης ἐπιστολῶν τοῦ μεγάλου Κωνσταντίνου.

Ὁ μέγας Κωνσαντῖνος ὐπ' ἔτα τελακοσοςῷ δεκάτῳ, Κωνσαντῖν῾ Μιλτιάδῃ Ἐπισκόπῳ Ῥ῾ωμαίων. Κωνσαντῖν῾ Χρήςῳ Συρ῾ακυσίων. Κωνσαντῖνος Καμιλιανῷ Ἐπισκόπῳ Καρθαγενης. Εὐσέβι῾ ἐκκλησιασικῆς ἱςορ῾ας βιβλίῳ δεκάτῳ κεφαλαίῳ πέμπῳ. ἰδὲ καὶ ὁ ἅγι῾ Βασιλ῾ὸς ἀνῳ῾γράκτως γεράφει τῇ Ῥ῾ώμης καὶ Συρ῾ακύσης καὶ Καρθαγενης Ἐπισκόπως.

5

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Μαρτυρία τεταρτη ἐκ τῆς πρὸς τὸν Ῥ῾ώμης ὑπατολῆς τῆς ἐν Λαμψάκῳ Σωόδου τῶν Μακεδονιανῶν, καὶ ἐκ τῆς πρὸς αὐτὴν ἀποκρίσεως τὲ Ῥ῾ώμης, διορισμῶς ἑαυτῆ Ἐπίσκοπον Ἰταλίας ἑαυτὸν λέγοντος.

10

Ἡ ἐν Λαμψάκῳ τῶν Μακεδονιανῶν Σωόδος ὑποκριθεῖσα ὀρθοδοξίαν, ἔπεμψεν εἰς Ῥ῾ώμην πρέσβεις ὡς αὐτέρω βιβλίῳ δευτέρῳ κεφαλαίῳ δεκάτῳ πέμπῳ Παραγεράφῳ τετάρτῳ, οἳ δόντες τῇ Ῥ῾ώμης λίβελλον εἶπον, Κυρίῳ ἀδελφῷ καὶ συλλειτουργῷ Λιβερίῳ Εὐσάθι῾ Θεόφιλ῾ καὶ Σιλβανὸς ἐν Κυρίῳ χαίρειν. ὑποκριθεὶς δὲ ὁ Ῥ῾ώμης πρὸς τὺς Μακεδονιανὺς ἔγραψε, Τοῖς ἀγαπητοῖς ἀδελφοῖς καὶ συλλειτουργοῖς ὑθίῳ καὶ τοῖς ἐξῆς τοῖς ἐν τῇ Ἀναπλῇ ὀρθοδόξοις Ἐπισκόποις Λιβέρι῾ Ἐπίσκοπ῾ Ἰταλίας καὶ οἱ κατὰ τὴν Δύσιν ἐπίσκοποι. Σωκράτης βιβλίῳ τετάρτῳ κεφαλαίῳ δωδεκάτῳ. ἰδὲ Ἐπίσκοπ῾, Ἐπίσκοποι, καὶ μάλισα διορισμῶς Ἐπισκοπ῾ Ἰταλίας.

15

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

20

Μαρτυρία πέμπη ἐκ τῆς περὶ τὲ Ἀρείε ὑπατολῆς Ἀλεξάνδρε Ἀλεξανδρείας, καὶ τῆς ἐν Σαρδικῇ πρὸς τὺς ἀπανταχὲ Ἐπισκόπως, καὶ τῆς δευτέρας Οἰκουμ῾ικῆς πρὸς Δάμασον καὶ Ἀμβρόσιον, καὶ τὲ Ἀμβροσίε πρὸς τὴν Ῥ῾ώμης, καὶ τὲ τὲ μεγάλε Βασιλείε πρὸς τὺς Γαλλίας καὶ Ἰταλίας Ἐπισκόπως, καὶ τῆς Δαμάσε πρὸς τὴν ἐν Ἰλλυρικῷ Σωόδον.

Ἀλέξανδρος Ἀλεξανδρείας ὑπατολῇ περὶ τὲ Ἀρείε. Τοῖς ἀγαπητοῖς καὶ τιμιωτάτοις συλλειτουργοῖς τῆς ἀπανταχὲ Ἐκκλησίας. ἡ ἐν Σαρδικῇ αὐτῇ συνοδικῇ ὑπατολῇ τοῖς ἀπανταχὲ Ἐπισκόποις λέγει περὶ τὲ Ῥ῾ώμης, Ἰυλίῳ τῷ συλλειτουργῷ ἡμῶν τῷ τῆς Ῥ῾ωμαίων Ἐπισκόπῳ. ἡ δευτέρα Οἰκουμ῾ικὴ Σωόδος γεράφει, Τοῖς τιμιωτάτοις καὶ θυλαβεσάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς Δαμάσῳ Ἀμβρεσίῳ καὶ τοῖς ἐξῆς. ὁ ἅγι῾ Ἀμβρόσι῾ καὶ οἱ περὶ αὐτὸν ὑπατολῇ πρὸς τὸν Πάπαν, Κυρίῳ ἀγαπητῷ ἀδελφῷ Σιρικίῳ Πάπᾳ Ἀμβρόσι῾ σωεπίσκοπ῾ Βασιανὸς καὶ οἱ λοιποί. καὶ αὐτῷ σώματι τῆς ὑπατολῆς, Κύριε ἀδελφὲ ἡμῶν περιπόθητε. καὶ αὐτῷ τέλα, Ὁ Θεὸς Διατηρήσαισε ἀδελφὲ περιπόθητε. βιβλίῳ πρώτῳ ἐπιστολῇ ἑβδόμῃ. ὁ μέγας Βασίλει῾ γεράφει, Τοῖς κατὰ τὴν Γαλλίαν καὶ Ἰταλίαν Ἐπισκόποις, αὐ οἷς καὶ ὁ Ῥ῾ώμης. γενομῆς Σωόδε αὐ τῷ Ἰλλυρικῷ, ἔγραψεν ὁ Πάπας Δάμασος ἐπιστολῇ αὐτῇ ὅτως, οἱ Ἐπίσκοποι οἱ ὑπὲ τῆς Ῥ῾ωμαίων εἰς τὸ ἱερὸν σωέδριον σωελθόντες τοῖς αὐ τῷ Ἰλλυρικῷ καθεσῶσιν Ἐπισκόποις Δάμασ῾ καὶ Οὐαλέρι῾ καὶ οἱ λοιποὶ τοῖς ἀγαπητοῖς ἀδελφοῖς. Ἑρμέας βιβλίῳ ἕκτῳ καὶ εἰκοςῷ τελτῳ. Θεοδώρετ῾ βιβλίῳ εἰκοςῷ δευτέρῳ.

25

30

35

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Μαρτυρία ἕκτη τὲ πάντας τὺς Ἀρχιερεῖς καὶ τὸν Ῥ῾ώμης Ἐπισκόπως μόνον λέγεθαι, ἐκ τῆς ἐν τῇ τελτῇ Οἰκουμ῾ικῇ Σωόδῳ ἐπιστολῆς τὲ Κυρίλλε πρὸς Κελεσῖνον, καὶ τὲ Ἀντιοχέας Ἰωάννε, ἐξ ὧν δείκνυται τὸν Ῥ῾ώμης ἐν ταῖς σωοδικαῖς καὶ ἰδικαῖς ὑπατολαῖς χράφεθαι μόνον Ἐπίσκοπον.

40

Ἐν τῇ τελτῇ Οἰκουμ῾ικῇ Σωόδῳ ὁ ἅγι῾ Κύριλλος γεράφει τῷ Ῥ῾ώμης, Τῷ ὁσιωτάτῳ καὶ Θεοφιλεσάτῳ πατρὶ Κελεσίνῳ. Καὶ, ἡ ἁγία Σωόδ῾ ἡ κατὰ Θεὲ χάειν σωαχθεῖσα αὐτῇ Ἐφεσίων Μητροπόλει Κελεσίνῳ Ἐπισκόπῳ. ὁ Ἀντιοχέας Ἰωάννης, Τοῖς ὁσιωτάτοις καὶ Θεοφιλεσάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς Ξύςῳ Κυρίλλῳ καὶ Μαξιμιανῷ, ἤτοι τῇ Ῥ῾ώμης Ἀλεξανδρείας καὶ Κωνσαντινοπόλεως. ἰδὲ λοιπὸν ἔν τε σωοδικῶς καὶ ἰδικῶς τῶν πατέρων ἐπιστολαῖς ὁ Πάπας, ὡς εἴρηται, Ἐπίσκοπος γεράφεται μόνον καὶ ἁπλῶς ἀδελφὸς, καὶ συναριθμεῖται πᾶσι τοῖς Ἐπισκόποις λίαν ἀδιορίςως, ὥςτε ἀπὸ τὲ κηρὲ τῶν Ἀποςόλων ἕως τῆς τετάρτης Σωόδε ὕτε πρωτόθρον῾, ὕτε κεφαλὴ τῆς Ἐκκλησίας, ὕτε ἄκρ῾ Ἀρχιερεὺς, ὕτε Οἰκουμ῾ικὸς ἐκλήθη, μάλισα ἡ αὐ Καρθαγένῃ ἁγία Σωόδος Κανόνι τεσσαρακοςῷ δευτέρῳ ἰχυρῶς ἀποφαίνεται ὥςτε μηδένα λέγεθαι Ἔξαρχον τῶν Ἱερέων ἢ Ἄκρον Ἱερέα, ἤτις καὶ Κανόνι πεντηκοςῷ πρώτῳ τὸν Ῥ῾ώμης Σιρίκιον καὶ τὸν Μεδιολάνων Σιμπλικιανὸν ἐξίσε καλεῖ ἀδελφὺς καὶ σωιερεῖς, καὶ πρὸς τέτοις ὑπατάτθαι τῷ Ῥ῾ώμης μένειν ἐν μόνοις τοῖς ἰδίοις Ὅροις, ὡς αὐτέρῳ βιβλίῳ τελτῳ. ὑπὲ δὲ τῆς τεταρτης Σωόδε, ὡς φαίνεται πράξεται τελτῃ, Ἀλεξανδρεῖς Ἰνὲς

45

Θεόδωρος

Θεόδωρος καὶ Ἰσχυρίων Διάκονοι, Ἀθανάσιος Πρεσβύτερος καὶ Σωφρόνιος χριστιανὸς δόντες τῇ Συνόδῳ κατὰ Διοσκόρου λιβέλλους εἶπον, Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Οἰκουμενικῷ Ἀρχιεπισκόπῳ καὶ Πατριάρχῃ Λέοντι, καὶ τῇ ἁγίᾳ καὶ Οἰκουμενικῇ Συνόδῳ. ὥστε ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ πρῶτον οὐχ ὑπὸ τῶν πατέρων τῆς Συνόδου, ἀλλ' ὑπὸ τινων οὐδαμινῶν καὶ ἠναγκασμένων ἐῤῥέθη ὁ Ῥώμης Οἰκουμενικὸς, ὡς εἴρηται.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἀπὸ τῶν Ἀποστόλων μέχρι τῆς τετάρτης Συνόδου οἱ πλείους τῶν Παπῶν ὑπὲρ τοῦ καθολικοῦ καὶ θείου δόγματος ἠγωνίσθησαν, καὶ πλεῖον τούτων ὁ Λέων, ὁ καὶ Οἰκουμενικὸς διὰ τὴν μέριμναν πασῶν τῶν Ἐκκλησιῶν κληθείς.

Εἰ γὰρ καὶ μὴ πάντες, οἱ πλείους ὅμως τῶν μακαριωτάτων Παπῶν, λέγω περὶ τῶν ἀπὸ τῶν Ἀποστόλων ἕως τῆς τετάρτης Συνόδου, πολλοὺς ἱδρῶτας πεποιήκασιν ἀγωνιζόμενοι ὑπὲρ τοῦ θείου καὶ καθολικοῦ δόγματος, ὡς εἴρηται ἐν τοῖς προλαβοῦσι βιβλίοις, ὁ Πάπας ὅμως Λέων ἔδοξέ τι μεῖζον πάντων τῶν πρὸ αὐτοῦ πεποιηκέναι, πρῶτον, ὅτι γενομένης τῆς ἐν Ἐφέσῳ Συνόδου, καὶ τοῦ Διοσκόρου λίαν κακούργως τὴν πίστιν ἀθετήσαντος καὶ ἀσεβῶς ἐνεργήσαντος, ὡς εἴρηται εἰς τὸν τόπον, ὁ μέγας Λέων ἔγραψε τῷ Βασιλεῖ Θεοδοσίῳ, καὶ μὴ εἰσακουσθεὶς, ἐδεήθη μετὰ δακρύων οὐαλεντιανοῦ τοῦ Αὐτοκράτορος Ῥώμης καὶ τῆς συζύγου καὶ τῆς μητρὸς αὐτοῦ, καὶ ἔγραψαν καὶ ἐκεῖνοι πρὸς τὸν Θεοδόσιον ἵνα γένηται Σύνοδος πληρεστέρα Οἰκουμενικὴ, καὶ διορθωθώσῃ τὰ κακῶς πεπραγμένα, καὶ μὴ εἰσακουσθεὶς, ὡς εἴρηται εἰς τὸν τόπον, οὐκ ἐσιώπα, ἀλλὰ διαφόρως καὶ ὁλοψύχως ἐσπούδαζε διὰ τὴν διόρθωσιν τοῦ θείου δόγματος. δεύτερον, ὅτι ὁ μὲν Ἀλεξανδρείας Διόσκορος ἦν Αἱρετικὸς, ὁ δὲ Ἀντιοχείας καὶ Ἱεροσολύμων δυναστευθέντες ὑπὸ τοῦ Διοσκόρου ὑπέγραψαν εἰς τὴν παρανομίαν ἐκείνου, διὸ μόνος ἐμονομάχει κατὰ πάντων τῶν ἐν τῇ Οἰκουμένῃ Αἱρετικῶν ὁ ἀοίδιμος, διακαῶς ἔχων πρὸς τὸν Κύριον καὶ τὴν Ἐκκλησίαν αὐτοῦ τρίτον, τοῦ Θεοδοσίου θανόντος, οὐκ ἔδωκεν ὕπνον τοῖς ὀφθαλμοῖς, ἕως οὗ παραινέσεσι, δεήσεσιν, ἄλλαις τε διδασκαλίαις ἔπεισε τὸν Αὐτοκράτορα Μαρκιανὸν καὶ συνεστήσατο τὴν ἐν Χαλκηδόνι ἁγίαν Σύνοδον, καὶ εἰ καὶ εἶχε συνεργὸν τὸν Κωνσταντινουπόλεως Ἀνατόλιον, ὡς εἴρηται εἰς τὸν τόπον, ἀλλ' αὐτὸς ἦν μετὰ Θεὸν ὀργανικῶς διενεργῶν τὸ πλεῖον, ἕως οὗ συνέστη ἡ Σύνοδος, εἰς ἣν καιροῦ δραξάμενοι οἱ ὀρθόδοξοι συνηγωνήσαντο, καὶ οὕτως αἱ ἀμφιβολίαι ἐλύθησαν, τὸ θεῖον δόγμα ἐδιδάχθη, ἡ Αἵρεσις ἐθριαμβεύθη, καὶ οἱ ἀσθενεῖς διωρθώθησαν. ἔχων οὖν ὁ Λέων διὰ ταῦτα καὶ τὴν αὐθεντίαν ἣν ἔδωκεν αὐτῷ ὁ Βασιλεὺς εἰς τὴν Σύνοδον, ἐνομίζετο μέγας τὶς ἐν τῇ Συνόδῳ, διὸ ἐῤῥέθη Οἰκουμενικὸς Ἀρχιεπίσκοπος καὶ Πατριάρχης οὐ κατὰ ἄλλον τινὰ τρόπον ἢ σκιπὸν, ἀλλ' ἢ μόνον διότι εἶχε τὴν μέριμναν πασῶν τῶν Ἐκκλησιῶν, καὶ ἴδε καλῶς αἰωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον δωδέκατον.

ΒΙΒΛΙΟΝ Ι'. ΜΕΡΟΣ Β'. ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ Ἰωάννου Κωνσταντινουπόλεως τοῦ Καππάδοκος, τοῦ ὑπὲρ πάντας τοὺς πρὸ αὐτοῦ θειοτάτους καὶ ἐξαιρέτους Πατριάρχας ἐν τῷ κοινῷ τῆς Ἐκκλησίας χρηματίσαντος, καὶ ὧν ἔπραξεν ἀγαθῶν ἐν πάσῃ τῇ Ἐκκλησίᾳ.

Ἀλλὰ δὴ καὶ ἐν Κωνσταντινουπόλει ἀπὸ τῆς κτίσεως αὐτῆς ἕως Ἰουστίνου τοῦ Θρακὸς εἰ καί τινες Αἱρετικοὶ ἐγένοντο Πατριάρχαι, οἱ πλείους ὅμως καὶ σχεδὸν οἱ πάντες ἐγένοντο θειότατοι καὶ ἐξαίρετοι ἄνδρες, ὡς λέγουσιν οἱ ἐκκλησιαστικοὶ ἱστορικοὶ, καὶ πολλοὶ τῶν πατέρων καὶ τῶν ἁγίων Συνόδων τὰ πρακτικὰ, Ἰωάννης ὅμως ὁ Καππάδοξ μέγας τῷόντι καὶ ὑπὲρ πάντας σχεδὸν τοὺς πρὸ αὐτοῦ πατριάρχας γέγονεν ἐν τῷ κοινῷ τῆς Ἐκκλησίας, καίτοι ἔτος ἓν καὶ Μῆνας δέκα ἐπισκοπεύσας, καὶ ὥσπερ ὁ Πάπας Λέων ἐπὶ Θεοδοσίου καὶ Μαρκιανοῦ, οὕτως ὁ Ἰωάννης ἐπὶ Ἰουστίνου τοῦ Θρακὸς, ὡς γὰρ ἐκεῖνος ὁ ἐκκλησιαστικὸς Τίγας πολεμουμένῃ τῇ Ἐκκλησίᾳ ἐβοήθησε, καὶ συστήσας ταῖς πρὸς τοὺς Βασιλεῖς παραινέσεσι καὶ δεήσεσι τὴν ἐν Χαλκηδόνι Σύνοδον, τὴν ὀρθοδοξίαν δι' αὐτῶν ἐβεβαίωσεν, οὕτως ὁ Καππάδοξ πολεμηθεῖσαν τὴν εὐσέβειαν ὑπὸ Ζήνωνος καὶ Βασιλίσκου καὶ Ἀναστασίου τῶν τριῶν Βασιλέων ἔτη τεσσαράκοντα τέσσαρα (ὁ γὰρ Ζήνων προῆλθεν εἰς τὴν ἀρχὴν ἐν ἔτει τετρακοσιοστῷ ἐννενηκοστῷ πρώτῳ, καὶ ἐβασίλευσεν ἔτη εἰκοσιεπτὰ, καὶ ἀπέθανεν ἐν ἔτει πεντακοσιοστῷ δεκάτῳ ὀγδόῳ) ἔν τε Κωνσταντινουπόλει καὶ Ἀλεξανδρείᾳ καὶ Ἀντιοχείᾳ, καὶ σχεδὸν κινδυνεύουσαν πεσεῖν, ἀνέστησε, καθότε τοὺς κατ' ἐκεῖνο καιροῦ Αἱρεσιάρχας συνοδικῶς ἐθριάμβευσε, τὰς Ἐκκλησίας Ῥώμης καὶ Κωνσταντινουπόλεως τοσαῦτα ἔτη κεχωρισμένας οὔσας εἰρήνευσέ τε καὶ ἥνωσε,

ψψψψψ.

ἤνωσε, καὶ τὰς τέσσαρας ἁγίας καὶ Οἰκουμενικὰς Συνόδους καὶ τὸν μακάριον Λέοντα πρῶτος τοῖς Διπτύχοις ἐνέταξε, καὶ δὴ καὶ ἐν Ἱεροσολύμοις εἰ καὶ ἡ ὀρθοδοξία ἐφυλάχθη πᾶσι τρόποις ἀσφαλὴς, οἱ Πατριάρχαι ὅμως ὑπὸ τοῦ Ἀναστασίου καὶ Σεβήρου κακῶς ὄπαθον, καὶ ἴδε περὶ τούτων πάντων ἀνωτέρω ἐν τῷ τετάρτῳ βιβλίῳ, ἔχων μέντοι ἐν πᾶσι τούτοις τὴν αὐθεντίαν καὶ τὴν ἄκραν βοήθειαν παρὰ τοῦ Βασιλέως Ἰουστίνου.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Διατὶ, καὶ παρὰ τίνων, καὶ πότε πρῶτον ὁ Κωνσταντινουπόλεως Ἰωάννης ὁ Καππάδοξ Πατριάρχης Οἰκουμενικὸς ἐρρέθη, εἶτα καὶ ὑπὸ τῆς Συνόδου, καὶ περὶ ὧν ἡ Σύνοδος τῷ Πατριάρχῃ εἶπεν, ὁ λαὸς τῷ Πατριάρχῃ, ὁ Πατριάρχης δὶς τοῖς πᾶσι καὶ αὖθις ὁ λαός.

Εἰ γὰρ καὶ εἴρηται ἐν τῇ ἀρχῇ τοῦ πέμπτου βιβλίου, ἀλλὰ καὶ ἤδη ῥητέον, ὅτι ὁ παρὼν Ἰωάννης Σύνοδον ἀθροίσας ἐν Κωνσταντινουπόλει, σπουδαιότατα ἐφρόντιζεν ἵνα καταβληθῇ μὲν ἡ Αἵρεσις, θριαμβεύσῃ δὲ ἡ ὀρθοδοξία. ταῦτα δὲ μαθόντες οἱ Κληρικοὶ Ἀντιοχείας καὶ οἱ ὀρθόδοξοι εἰς Βυζάντιον, τὸν Ἰωάννην ὡς ἐπιμελούμενον καὶ ὑπὲρ τοῦ θρόνου Ἀντιοχείας εἶπον πρῶτοι καὶ πρῶτον τοῦτον τὸν Κωνσταντινουπόλεως Οἰκουμενικὸν Πατριάρχην ἐν ἔτει ἀπὸ μὲν τοῦ Χριστοῦ πεντακοσιοστῷ δεκάτῳ ὀγδόῳ, ἀπὸ δὲ τῆς πρώτης Συνόδου ἑκατοστῷ ὀγδοηκοστῷ ὀγδόῳ, ἔγραψαν γὰρ εἰς λίβελλον, Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Ἀρχιεπισκόπῳ καὶ Οἰκουμενικῷ Πατριάρχῃ Ἰωάννῃ καὶ τῇ ἐνδημούσῃ ἁγίᾳ Συνόδῳ· εἶπον δὲ ταῦτα ῥητῶς, Δεόμεθα τῆς ὑμετέρας ἁγίας Συνόδου ὀψὲ καὶ μόλις στῆσαι τὰ συνέχοντα κακὰ τὴν ἡμετέραν Ἐκκλησίαν καὶ πᾶσαν σχεδὸν τὴν Ἀνατολικὴν Διοίκησιν, καὶ τοῦ παμπονήρου ἀνδρὸς (Σεβήρου) ἡμᾶς ἐλευθερῶσαι, καὶ κινηθῆναι ὑμᾶς δεόντως, καὶ μὴ περιϊδεῖν ἡμῶν τὰς αἰτήσεις, ἀναγαγεῖν δὲ ταῦτα πάντα ἐπὶ τοὺς εὐσεβεστάτους ἡμῶν Βασιλεῖς, καὶ πεῖσαι τὴν αὐτῶν γαληνότητα τῆς αὐτῶν καὶ ἡμᾶς προνοίας τυχεῖν. Ἡ ἐνδημοῦσα ἐν Κωσταντινουπόλει Σύνοδος τῷ Ἰωάννῃ. Τῷ δεσπότῃ ἡμῶν τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πατρὶ πατέρων Ἀρχιεπισκόπῳ καὶ Οἰκουμενικῷ Πατριάρχῃ Ἰωάννῃ. Ὅτι μιᾷ φωνῇ ἐκίνησε τὸν ἀναρίθμητον μυριάδων λαὸν, ὥστε ζήλῳ θείῳ τοῦτον ἐκκαυθέντα ἐπὶ πολὺ καὶ ἐπιμόνως αἰτῆσαι τὴν ὑμετέραν μακαριότητα ἐπὶ τοῦ Ἄμβωνος ἀνελθεῖν, καὶ προσφωνῆσαι ὑπὲρ τῆς ὀρθῆς πίστεως ὑπὲρ ἧς ἀεὶ ἠγωνίσασθε καὶ ἀγωνίζεσθε.

Ὁ λαός.

Πολλὰ τὰ ἔτη τοῦ Βασιλέως, τῆς Αὐγούστης, καὶ τοῦ Πατριάρχου. Ἀκοινώνητοι διατὶ μένομεν ἐπὶ τοσαῦτα ἔτη; διατὶ οὐ κοινωνοῦμεν; ἀπὸ τῶν χειρῶν σου κοινωνῆσαι θέλομεν. Ἐ Ἐ, ἄνελθε εἰς τὸν Ἄμβωνα, Ἐ Ἐ, πεῖσον τὸν λαόν σου, ὀρθόδοξος εἶ, τίνα φοβῇ ἄξιε τῆς Τριάδος, τὴν ἁγίαν Σύνοδον ἄρτι κήρυξον. Ἰουστῖνε Αὔγουστε τὴν Σύνοδον Χαλκηδόνος ἄρτι κήρυξον, Σεβῆρον τὸν νέον Ἰούδαν τὸν ἐπίβουλον τῆς Τριάδος ἔξω βάλλε. ἀδελφοὶ Χριστιανοὶ μία ψυχὴ, πίστις ἐστὶν, οὐκ ἔνι ἁπλῶς.

Ὁ Πατριάρχης.

Οἴδατε τοὺς ἐμοὺς ἀγῶνας ἀγαπητοὶ οὓς καὶ ἐν τῷ πρεσβυτερίῳ ὧν κατεβαλόμην, καὶ νῦν ἀντέσχον τῆς ὀρθοδοξίας, καὶ ἀντέχομαι ἕως θανάτου, οὐ χρεία τοίνυν ταραχῆς ἢ θορύβου, οὔτε γάρ τι παρεβιβάσθη τῆς ὀρθῆς πίστεως, οὔτε τὴν ἁγίαν Σύνοδον τολμᾷτις ἀναθεματίσαι, ἀλλὰ καὶ αὐτὴν καὶ τὰς τρεῖς λοιπὰς ἁγίας Συνόδους δεχόμεθα.

Ὁ αὐτὸς, ἤτοι ὁ Πατριάρχης εἶπε μετὰ τὰ πολλά. Σεβῆρον, ἑπόμενοι τοῖς θείοις Κανόσι καὶ τοῖς ἁγίοις πατράσι, ἀλλότριον ἡγούμεθα, καὶ ὑπὸ τῶν θείων Κανόνων ἤδη διὰ τὰς αὐτοῦ βλασφημίας κατακριθέντα, ἀναθεματίζομεν καὶ ἡμεῖς. Καὶ, λαβὼν τὰ Δίπτυχα ὁ Οἰκουμενικὸς Πατριάρχης, ἐκέλευσε ταχθῆναι τὰς ἁγίας τέσσαρας Συνόδους, καὶ τὰ ὀνόματα Εὐθυμίου καὶ Μακεδονίου καὶ Λέοντος.

Ὁ λαός.

Εὐλογητὸς ὁ Θεὸς, ὅτι ἐπεσκέψατο τὸν λαὸν αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς Ἰωάννου Ἱεροσολύμων εὐχαριστικῆς ἐπιστολῆς πρὸς τὸν Καππάδοκα ἕνεκεν τῆς κατακρίσεως καὶ ἀναθεματισμοῦ τοῦ Σεβήρου.

Ὁ Ἱεροσολύμων Ἰωάννης καὶ ἡ Σύνοδος αὐτοῦ ἐν τῇ ἀντιγράφῳ ἐπιστολῇ πρὸς τοῦτον τὸν Καππάδοκα καὶ τὴν αὐτοῦ Σύνοδον εὐχαριστοῦντες διὰ τὴν κατάκρισιν ἣν πεποιήκασι τῶν Αἱρετικῶν, καὶ τὴν ὑπεράσπισιν τῶν τεσσάρων Συνόδων καὶ τοῦ Λέοντος, εἶπον, Ἰδοὺ γὰρ ὁ Θεὸς φησὶ διὰ τοῦ Σαμουὴλ, ποιῶ τὰ ἔργα μου ἐν Ἱερουσαλὴμ, ὥστε παντὸς ἀκούοντος ἠχῆσαι ἀμφότερα τὰ ὦτα, ταῦτα καὶ ἐπὶ τῶν χρόνων τῶν ἡμετέρων ἔργῳ προῆλθε, τὸ γὰρ βδέλυγμα τῆς ἐρημώσεως Σεβῆρον ἀναθέματι ὑποβέβληκεν ὁ ὑμέτερος ἱερατικὸς σύλλογος.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς συγχαρητικῆς ἀποστολῆς τῶν τῆς δευτέρας συνόδου Ἐπισκόπων πρὸς τὸν Καππαδοκῶν ἔθνος τῆς ὑπ' αὐτῆς ὑπεραποδοχῆς τῶν δογμάτων.

Οἱ πολλὰ παθόντες ὑπὸ τῶν περὶ τὸν Σεβῆρον Αἱρετικῶν τοσοῦτα ἔτη τῆς δευτέρας συνόδου Ἐπίσκοποι πρὸς τὸν Ἰωάννην. Βασιλέως γὰρ πιστὰ χρηματίζοντος καὶ τὴν καρδίαν ἐπαμπομβεύσαντος θεομηθείᾳ τὰ κρείττονα, καὶ Ἀρχιερέως ὁσίου ψήφῳ τῆς θείας χάριτος ἀναφανέντος κατὰ τὴν βασιλίδα τῶν πόλεων, καὶ τῶν ἀποστολικῶν ὑπερμαχάντων δογμάτων, πῶς ἔνεστι μὴ λίαν δυφραίνεσθαι.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι εἰ καὶ ὁ Ῥώμης καὶ ὁ Ἱεροσολύμων ὑπὲρ τῆς ὀσεβείας σωπηγωνίσησαν τῇ Καππαδόκι, ἀλλ' ὁ τὰ αὐτῶν διενεργῶν πανταχοῦ καὶ τελεώτατος ὧδε ὁ Καππαδοξ, ὅθεν καὶ ὑπὸ Σωσθένους πάσης τῆς Ἀνατολικῆς Διοικήσεως ἡμόνον Οἰκουμενικὸς, ἀλλὰ καὶ Πατὴρ Πατέρων ἐρρέθη, ὡς τὴν μέριμναν πασῶν τῶν Ἐκκλησιῶν ἐχούσης.

Εἰ καὶ ὁ Ῥώμης Ὁρμίσδας καὶ ὁ Ἱεροσολύμων Ἰωάννης σωπηγωνίσησαν τῇ Καππαδόκι ὑπὲρ τῆς ὀσεβείας, ὡς μαρτυροῦσιν οἱ Κωνσταντινουπόλεως Ἐπίσκοποι Ἐπιφάνιος καὶ Μηνᾶς καὶ ὁ μέγας Ἰσιδώριος, ὁ Ἐπιφάνιος καὶ ὁ ὑπ' αὐτὸν ἐν Κωνσταντινουπόλει Σωσθένης κατὰ Σεβήρου καὶ Πέτρου περὶ τῶν τελῶν τούτων φασίν, ὥστε ἐγκλήματος εἶναι μεγίστου τὸ μὴ τούτοις ἑξακολουθεῖν τοῖς ἐμπύροις ἱδρώσι τὰς ἐκκλησίας ὑπὲρ τῆς κοινῆς τῶν ἁγιωτάτων Ἐκκλησιῶν εἰρήνης, καὶ ἐν τοῖς μεγάλοις καὶ Πατριαρχικοῖς Δικαστηρίοις θείοις. Ὁ δὲ Μηνᾶς ἐν τῇ ψήφῳ κατὰ Σεβήρου καὶ Πέτρου πράξεως πέμπτης, Καταφρόνησαν μὲν (Σεβῆρος καὶ Πέτρος) τῆς ἐν τῇ Ῥωμαίων ἁγιωτάτης Ἐκκλησίας τῶν Ἀποστόλων Δοξοδοχῆς τὴν κατ' αὐτῶν δόπφασιν ποιησαμένης, παρ' ἧς ἐδέν λογισάμενοι καὶ τὸν τῆσδε τῆς βασιλευούσης Πατριαρχικὸν θρόνον καὶ πᾶσαν τὴν ὑπ' αὐτὸν ἁγίαν Σωσθένους τοῦ τε αὐτοῦ τοῦ Δεσπότου καὶ Σωτῆρος τῶν ὅλων ἐν τοῖς ἁγίοις τόποις ἀποστολικῇ Δοξοδοχῇ, καὶ πρὸς πᾶσι ἑτέραις τὴν πάσης τῆς Ἀνατολικῆς Διοικήσεως καθ' αὐτῶν ἀ

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι καὶ μετὰ τὸν Καππάδοκα Ἐπιφάνιος Ἄνθιμος Μηνᾶς Εὐτύχιος καὶ Ἰωάννης Οἰκουμενικοὶ ἐκλήθησαν.

Μετὰ τὸν Καππάδοκα γέγονε Κωνσταντινουπόλεως Ἐπιφάνιος Πρεσβύτερος τῆς αὐτῆς Ἐκκλησίας ἐν ἔτει πεντακοσιοστῷ δεκάτῳ ἐνάτῳ, καὶ ἐπατριάρχευσεν ἔτη δεκαὲξ καὶ Μῆνας τρεῖς, ἐκλήθη δὲ καὶ οὗτος Οἰκουμενικὸς παρὰ τοῦ Ἰουστινιανοῦ Νεαραῖς τρίτῃ πέμπτῃ ἕκτῃ καὶ ἑβδόμῃ. μετὰ τὸν Ἐπιφάνιον ἐγένετο Κωνσταντινουπόλεως ὁ Τραπεζοῦντος Ἄνθιμος, καὶ ἐστάθη Μῆνας δέκα, ἐκλήθη δὲ καὶ οὗτος Οἰκουμενικὸς παρὰ τοῦ Ἰουστινιανοῦ Νεαρᾷ ἑκκαιδεκάτῃ. μετὰ τὸν Ἄνθιμον ἐγένετο ὁ Μηνᾶς, εἶτα ὁ Εὐτύχιος καὶ Ἰωάννης, ἐκλήθησαν δὲ καὶ οὗτοι Οἰκουμενικοὶ, ὡς εἴρηται ἀνωτέρω βιβλίῳ πέμπτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι πρῶτος Ἰωάννης ὁ Νηστευτὴς ἐν τῇ ἐπιγραφῇ αὐτοῦ ἔγραψεν ἑαυτὸν πρὸς τῷ λέγεσθαι παρ' ἄλλων Οἰκουμενικὸν Πατριάρχην, καὶ τὶ τὸ ἐπικρατῆσαν λέγεσθαι τούς τε Ῥώμης καὶ Κωνσταντινουπόλεως Πατριάρχας Οἰκουμενικούς.

Ὁ Νηστευτὴς Ἰωάννης οὐκ ἠρκέσθη ἵνα γράφωσιν αὐτὸν Οἰκουμενικὸν οἱ βουλόμενοι, ἀλλὰ πρῶτος ἐν τῇ ἐπιγραφῇ αὐτοῦ ἔγραψεν ἑαυτὸν Οἰκουμενικὸν Πατριάρχην. καὶ ὁ μὲν Ἐπιφάνιος ὅτι ἀκολουθήσας τῷ Καππάδοκι ἐσπούδασε κατ' ἐκεῖνον διὰ τὸ ὀρθόδοξον δόγμα, μάρτυς ἡ πρὸς αὐτὸν τοῦ Πάπα Ὁρμίσδου ἐπιστολὴ, κειμένη ἐν τῇ πέμπτῃ πράξει τῆς ἐπὶ Μηνᾶ Συνόδου, καὶ εἴποι τις ἄν, ὅτι οὐκ ἀπεικὸς ἦν τὸ κληθῆναι κἀκεῖνον Οἰκουμενικὸν, πῶς δὲ ὁ Ἄνθιμος Αἱρετικώτατος ὢν ἐκλήθη οὕτω; καὶ μεταταῦτα εἰ καὶ πολλοὶ Κωνσταντινουπόλεως Πατριάρχαι ἐφάνησαν ἐν πολλοῖς δόκιμοι καὶ ἰσχυροὶ κατὰ τῶν Αἱρετικῶν, ἀλλὰ καὶ πολλοὶ γεγόνασιν Αἱρετικοὶ, τινὲς δὲ καὶ ἀχρεῖοι, ὡς καὶ μετὰ τὸν Λέοντα καὶ Ἀγαπητὸν γεγόνασι πολλοὶ ἀξιώτατοι Πάπαι, πολλοὶ ὅμως ἐγένοντο καὶ ἐκ τούτων Αἱρετικοὶ καὶ βλάσφημοι, πολλοὶ δὲ καὶ ἀχρειέστατοι, διατὶ οὖν οἱ πάντες καὶ δόκιμοι καὶ ἀδόκιμοι καὶ Ῥώμης καὶ Κωνσταντινουπόλεως Πατριάρχαι ἐκλήθησαν Οἰκουμενικοί; πάντως οὐδὶ ἄλλό τι, ἀλλὰ διὰ μόνην τὴν συνήθειαν, ὡς συμβέβηκε καὶ ἐν ταῖς ἔξω Ἀρχαῖς εἰς τοὺς Βασιλεῖς τῶν Αἰγυπτίων καὶ Ῥωμαίων, ὧν οἱ μὲν Πτολεμαῖοι, οἱ δὲ Καίσαρες ἐκλήθησαν, καίτοι τῶν μεταγενεστέρων Βασιλέων Αἰγυπτίων καὶ Ῥωμαίων ἀνομοίων παντάπασι γεγονότων καὶ κατὰ ἀρετὴν καὶ κατὰ δύναμιν καὶ ἐνέργειαν τοῖς οὕτω πρώτως κληθεῖσι. διὰ τὴν συνήθειαν λοιπὸν ἐῤῥέθησαν καὶ οἱ μετὰ τὸν Ἰωάνην καὶ Ἀγαπητὸν Κωνσταντινουπόλεως καὶ Ῥώμης Πατριάρχαι Οἰκουμενικοὶ, βοηθήσαντος αὐτοῖς καὶ τοῦ πολλοῦ τῆς Οἰκουμένης μέρους τῶν οἰκείων Διοικήσεων, ὡς εἴρηται προσεχῶς ἀνωτέρω. περὶ δὲ τῆς Οἰκουμενικὸς προσηγορίας καθαρῶς ἡ ἐν τῇ ἁγίᾳ Σοφίᾳ Συνόδος λέγει, μὴ εἶναι Ἀντίχριστον τὸν καλούμενον Οἰκουμενικὸν, ὡς πλείστου μέρους τῆς Οἰκουμένης ἐπάρχοντα, ἀλλὰ τὸν ἁπλῶς ἁπάσης τῆς Οἰκουμένης κρατεῖν ἐθέλοντα, τοῦτο ἄρα διαπτύει καὶ σκυβαλίζει ὁ ἅγιος, ἤτοι Γρηγόριος ὁ Διάλογος πράξει τετάρτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι διὰ τὰς δύο ἀνωτέρω αἰτίας καὶ διὰ τὴν ἐπιμέλειαν τῆς ἑνώσεως τῶν δύο Πατριαρχῶν Ῥώμης καὶ Κωνσταντινουπόλεως λέγονται ἀμφότεροι Ῥώμης παλαιᾶς καὶ νέας Οἰκουμενικοί.

Πολλάκις καλοῦνται Οἰκουμενικοὶ τῶν εἰρημένων θρόνων οἱ Ἐπίσκοποι, οὐ μόνον δι' ἃς εἴπομεν αἰτίας ὅτι καλοῦνται οἱ ἀγαθοὶ καὶ οἱ φαῦλοι, ἤτοι Αἱρετικοὶ, ἀλλὰ καὶ δι' ἣν αἰτίαν ἐκλήθη οὕτως ὁ Καππάδοξ καὶ ὁ Μηνᾶς, ὡς ἐκλήθησαν ἐν μὲν τῇ ἕκτῃ Συνόδῳ καὶ ὁ Ῥώμης καὶ ὁ Κωνσταντινουπόλεως, καὶ γὰρ ἔμεινεν ἡ Αἵρεσις τῶν Μονοθελητῶν ἐν Κωνσταντινουπόλει ἀπὸ τοῦ εἰκοστοῦ ἔτους Ἡρακλείου, ὅπερ ἐστὶν ἔτος σωτήριον ἑξακοσιοστὸν τριακοστὸν, ἕως τῆς Πατριαρχείας τοῦ Γεωργίου, ἥτις ἐγένετο περὶ τὸ ἑξακοσιοστὸν ἑβδομηκοστὸν ἔνατον ἔτος, καὶ ἦσαν ἐν Κωνσταντινουπόλει Πατριάρχαι Αἱρετικοὶ Σέργιος Πύῤῥος Παῦλος καὶ Πέτρος, οἵτινες εἶχον κατὰ τῆς ῥωμαϊκῆς τότε ἁγίας Ἐκκλησίας ἀδίκως μεγάλην ἀπέχθειαν καὶ μάχην. τοῦ δὲ Γεωργίου ἀκολουθήσαντος εὐθὺς τῇ γνώμῃ Αὐγούστου τοῦ Πωγωνάτου ἵνα γένηται Συνόδος Οἰκουμενικὴ καὶ ἕνωσις τῶν δύο Ἐκκλησιῶν Ῥώμης καὶ Κωνσταντινουπόλεως, ὁ τότε Πάπας ἐδίσταζε μήπως καὶ γένηται ἐν τῇ Συνόδῳ νεωτερισμάτι κατὰ χάριν τῶν Κωνσταντινουπολιτῶν, ὅθεν ἐδέετο τοῦ Βασιλέως ἵνα φυλαχθῇ ἰσότης, διατοῦτο ὁ Βασιλεὺς ἔγραφεν ἰσχυρῶς ἐν τῇ πρὸς αὐτὸν Σάκρᾳ ὅτι πάντως φυλάξει τὴν ἰσότητα. διὰ δὲ τὴν ἐπιμέλειαν τῆς ἑνώσεως τῶν Πατριαρχῶν τῶν δύο θρόνων ἔγραφε καὶ τὸν Ῥώμης καὶ τὸν Κωνσταντινουπόλεως Οἰκουμενικοὺς, καὶ ἴδε βιβλίῳ ἕκτῳ τὸν τόπον. ἐν δὲ τῇ ἑβδόμῃ Συνόδῳ ἐπειδὴ ἡ ἐπιμέλεια καὶ ἡ φροντὶς ἵνα γένηται Συνόδος Οἰκουμενικὴ καὶ ἕνωσις τῶν Ἐκκλησιῶν ἦν ἀσυγκρίτως πλεῖον τῶν Βασιλέων ἢ τῶν Πατριαρχῶν τῆς Ῥώμης, ἢ εἰπεῖν οἰκειότερον ἦν

μόνου

μόνῳ τῷ Ταρασίῳ, ὡς ὀπτοπλᾶσον ὁ Ταράσιος ἐλέγετο ἐν ἐκείνῃ τῇ Σινόδῳ Οἰκουμενικὸς Πατριάρχης ψῆφ τῶν Βασιλέων καὶ ψῆφ τῶν Πατριαρχῶν καὶ ψῆφ πάντων καθάπαξ τῶν πατέρων τῆς ἁγίας ἐκείνης Συνόδου. εἰ δὲ καὶ εἰ παπισαὶ ψεῦς τοῦτο ἀληφέρονται κατὰ τὸ συμφέρον αὐτῶν, ἀλλ' ἄρηται ψεῦς αὐτοὺς τὰ εἰκότα καὶ περὶ τούτου αὐτοτέρω βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ πρώτῳ Παραγράφῳ δεκάτῳ ἑνάτῳ, ὑμῖν δὲ ἐντεῦθεν τὰ ἐλλείποντα τοῦ κατὰ συνέχειαν λόγου.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Β'. ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς Διαφορᾶς Γρηγορίου τοῦ Διαλόγου καὶ Ἰωάννου τοῦ Νηστευτοῦ τῶν ἁγίων, ἕνεκεν τοῦ Οἰκουμενικὸς ὀνόματος.

Μετὰ τὴν κοίμησιν τοῦ Εὐτυχίου ἐγένετο Κωνσταντινουπόλεως Ἰωάννης ὁ Νηστευτὴς ἐν ἔτει πεντακοσιοστῷ ὀγδοηκοστῷ δευτέρῳ κατὰ τὸν Καλβίσιον, κατὰ δὲ τὸν Βαρώνιον πεντακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ, καὶ ἐπατριάρχευσεν ἔτη δεκατρία καὶ μῆνας πέντε. καὶ τὸν μὴν Καππαδόκα καὶ Ἀγαπητὸν καὶ τοὺς μετ' αὐτοὺς Πατριάρχας Ῥώμης καὶ Κωνσταντινουπόλεως τινὲς, ὡς εἴρηται, ἔγραφον Οἰκουμενικούς, καὶ ἐπαύετο, ἀλλὰ ποτὲ, ὡς ἐστὶ πασίδηλον ἐκ τῶν αὐτοτέρω εἰρημένων, Οἰκουμενικὸν ὅμως τινὰ Πατριάρχην ἐπιγράφειν ἑαυτὸν ἕως τοῦ τότε κυρὸς οὐκ ἦν εἰθισμένον. ὁ Νηστευτὴς δὲ Ἰωάννης ἢ θείῳ βουλήματι, ὡς τινὲς λέγουσι, ἢ διὰ τὸν Ῥώμης δῆθεν μέλλειν ἀφυιάσειν, καὶ μείζονα τὸν Κωνσταντινουπόλεως πρῶτον τῇ τάξει, ἢ, ὅπερ καὶ ἀληθέστερον, θείᾳ ψῆφ χωρήσει, ἵνα ἀκολουθήσωσι σκάνδαλα καὶ χίσματα ἐν τῇ Ἐκκλησίᾳ, ἐπεγράφετο Οἰκουμενικὸς Πατριάρχης μόνος αὐτὸς, ὁ δὲ Ῥώμης Πελαγίου ὁ δεύτερος καὶ ὁ μετ' αὐτὸν Πάπας Γρηγόριος ὁ Διάλογος ἐμάχοντο ὅση δυνάμις τῷ Νηστευτῇ, ἵνα ἐάσῃ τὸν τοιοῦτον Τίτλον καὶ οὐκ ἐσπουδάκει. ἔγραφον ὁ Διάλογος ψεῦς τὸν Βασιλέα Μαυρίκιον καὶ τοὺς Πατριάρχας, καὶ εἶδον ἦνυε, γράφων δὲ ψεῦς τὸν Βασιλέα Μαυρίκιον, ἔλεγεν, Ὁ βλόμενος καλεῖσθαι Οἰκουμενικὸς, ἐστὶ ψεύδεσθε τοῦ Ἀντιχείστου. ψεῦς τὸν Νηστευτὴν δὲ γράφων, ἔλεγε, Μήτε ὁ Πέτρος μήτε ὁ Παῦλος ἐστὶ κεφαλὴ τῆς Ἐκκλησίας, ἀλλὰ μέρη τῆς καθόλου Ἐκκλησίας, καὶ κεφαλὴ μερικῶν Ἐκκλησιῶν. καὶ βιβλίῳ τεταρτῳ ἐπιστολῇ τετρακοσῇ ἕκτῃ, Μηδένα λέγει τῶν ψεῦ αὐτοῦ Ἐπισκόπων καθολικὸν κληθῆναι Ἐπίσκοπον. καὶ ἐν τῇ ψεῦς τὸν Ἀλεξανδρείας Εὐλόγιον ἐπιστολῇ, ἐπειδὴ ψεῦς αὐτὸν ψευγράψας ὁ Εὐλόγιος Οἰκουμενικὸν ἐκάλεσεν, αὐτιγράφων ἔλεγε, Μήμε καλέσῃς τοῦ λοιποῦ καθόλου Ἐπίσκοπον, τοῦτο γὰρ τὸ ὄνομα μυσάττομαι. μᾶλλον τοίνυν μετὰ πᾶσαν τοῦ Νηστευτοῦ ἐν τῇ γνώμῃ αὐτοῦ, ὁ Διάλογος μᾶλλον δυσχεραίνων, κατέκλινε τὸν Τίτλον ἐκεῖνον, ὀνομάζων αὐτὸν βέβηλον τολμηρὸν δεισιδαίμονα ὑπερήφανον ἰοβόλον μιαρὸν βλάσφημον διαβολικὸν αὐτιχειστιανικὸν, καὶ τέως ἐκήρυξεν ὅτι τῷ μιαρᾷ ταύτῃ λέξει ὁ δεχόμενος οὐκ ἔστιν ἄλλο, ἀλλ' ἢ ψευδότης τῆς πίστεως, ὅθεν ἔγραψε τῷ Ἀποκρισιαρίῳ αὐτοῦ Σαβινιανῷ ἵνα μὴ κοινωνῇ τῷ Νηστευτῇ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς μέσου Γρηγορίου Διαλόγου καὶ Ἰωάννου Νηστευτοῦ εἰσφρησάσης ὁμωνυμίας τοῦ Οἰκουμενικὸς ὀνόματος, καὶ δηλώσεως τῆς διπλῆς αὐτοῦ σημασίας καθ' ἣν ἑκάτερος ἀληθεύει, καὶ ὅτε οἱ Ἀπόστολοι Οἰκουμενικοὶ ἢ κεφαλαὶ λέγονται κατὰ τὸ πρῶτον σημαινόμενον αὐτοῦ, ἀλλὰ κατὰ τὸ δεύτερον, ἤτοι συνεκδοχικῶς, καὶ περὶ Συνεκδοχῆς καὶ τῶν συνεκδοχικῶς λεγομένων.

Ἰστέον ὅμως ὅτι ὁμωνυμία εἰσέρησεν εἰς τὸ μέσον τοῦ Διαλόγου καὶ Νηστευτοῦ, ἐπειδὴ τὸ ὄνομα ΟΙΚΟΥΜΕΝΙΚΟΣ διχῶς ἐννοεῖται, ἢ γὰρ ἐκλαμβάνεται ἁπλῶς ἐν τῇ καθόλου Ἐκκλησίᾳ, τουτέστιν εἶναί τινα Ἐπίσκοπον ἔχοντά τινα ἐξουσίαν ἐν τῇ καθόλου Ἐκκλησίᾳ ἰδικὴν, ὡς ἐρεῖμεν μεταξὺ πλατύτερον ἐν ἁρμοδιωτέρῳ τόπῳ, καὶ ἀληθεύει ὁ Διάλογος, εἰδεὶς γὰρ κατὰ τὸν τρόπον τοῦτον ἐστὶ καθόλου, ἤτοι οἰκουμενικὸς Πατριάρχης, ἢ διὰ τὴν ἀπὸ τοῦ Καππαδοκὸς ὑπερατήσασαν σωτηρίαν, καὶ καθ' ὅσον δηλοῖ πολὺ τῆς οἰκουμένης μέρος, ὡς εἴρηται ψευσεχῶς αὐτοτέρω, καὶ ἀληθεύει ὁ Νηστευτής. καὶ κατὰ μὴν τὸν πρῶτον τρόπον ὁ λεγόμενος ἢ Οἰκουμενικὸς, ἢ καθόλου Ἐπίσκοπος, ἢ κεφαλὴ τῆς Ἐκκλησίας, ἢ πρῶτος θρόνος, ἢ ἄκρος Ἀρχιερεὺς, ἢ πατὴρ πατέρων, ἢ Ἐπίσκοπος Ἐπισκόπων, ἢ πατὴρ Ἐπισκόπων ἐν τῇ καθόλου Ἐκκλησίᾳ μοναρχικῶς, ἢ Ἀρχιεπίσκοπος, ἢ Ἡγεμών, ἢ Ἄρχων, ἢ ἁπλῶς πως τῆς καθολικῆς Ἐκκλησίας, ὅτι ὡς ἀληθῶς ἐστὶ κατὰ τὸν Διάλογον καὶ κατὰ τὴν ἀλήθειαν ὁ ψεύδεσθε τοῦ Ἀντιχείστου, καὶ μήτε ὁ Πέτρος μήτε ὁ Παῦλος ἐστὶ κεφαλὴ τῆς Ἐκκλησίας κατὰ τὸν αὐτὸν τρόπον καὶ κατὰ ἀλήθειαν, κατὰ δὲ τὸν δεύτερον τρόπον συνεκδοχικῶς λέγονται καὶ ὁ Ῥώμης καὶ ὁ Κων-

Κωνσταντινουπόλεως Οἰκουμενικοί. Καὶ περὶ μὲν τῆς συνηθείας εἴπομεν ἐν τῷ ἀνωτέρῳ κεφαλαίῳ, νῦν δὲ λέγομεν περὶ τῆς Συνεκδοχῆς, ἤτοι περὶ τοῦ πολλοῦ μέρους, εἰ γὰρ καὶ εἴπομεν περὶ τούτου ἀνωτέρω, ὅμως ῥητέον καὶ πάλιν πλατύτερον, καὶ πρῶτον, ὅτι εἰς τὴν τρίτην καὶ τετάρτην τὰς Οἰκουμενικὰς, καὶ εἰς τινὰ πρακτικὰ, ὅπου οἱ Ἐπίσκοποι ἀπεκρίνοντο τῷ Αὐτοκράτορι Λέοντι διὰ τὸν Αἴλουρον, καὶ εἰς τὰς ἐπὶ τοῦ Καππάδοκος καὶ Μηνᾶ Συνόδους, καὶ εἰς ἄλλους πολλοὺς τόπους, ὡς εἴρηται ἀνωτέρω, ἐῤῥέθησαν οἱ Βασιλεῖς τῆς γῆς καὶ θαλάσσης καὶ τῆς Οἰκουμένης καὶ παντὸς ἔθνους καὶ γένους Δεσπόται, καὶ δὴ καὶ Εὐαγρίου βιβλίῳ τρίτῳ καὶ ἑπτακαιδεκάτῳ ἐῤῥέθη ὁ Ζήνων τῆς Οἰκουμένης Δεσπότης. ἐλέγοντο δὲ οἱ Βασιλεῖς τοιοῦτοι, διότι ἐβασίλευον πολλοῦ μέρους τῆς Οἰκουμένης, τοῦτο βοηθῆσαν τῇ μετὰ τὸν Καππάδοκα συνηθείᾳ, ἐποίησεν ἵνα λέγωνται οἱ δύο ἤτοι Ῥώμης καὶ Κωνσταντινουπόλεως Πατριάρχαι Οἰκουμενικοὶ, ἴδε καὶ ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον δωδέκατον. δεύτερον, ὅτι ἡ Σύνοδος ἡ ἐπὶ Συμμάχου καὶ ἡ ἐν Τολέτῳ τρίτη Τοπικαὶ οὖσαι, Οἰκουμενικαὶ καλοῦνται ὑπὸ τῶν Λατίνων διὰ τὸ πλῆθος τῶν ἀθροισθέντων ἐκεῖ ἀπὸ πολλῶν καὶ διαφόρων ἐθνῶν, καὶ ὁ Παῦλος εἶχε τὴν μέριμναν πασῶν τῶν Ἐκκλησιῶν, καὶ ὁ Κύριλλος εἰς τὴν τρίτην Σύνοδον καλεῖ τοὺς Ἀποστόλους τῆς Οἰκουμένης μυσταγωγοὺς, καὶ τοῦτον ἡ Σύνοδος ἐκείνη ἐκάλεσε τῆς Οἰκουμένης καθηγητὴν, καὶ τὸν ἅγιον Ἀθανάσιον ὁ Θεολόγος εἰς τὸ ἐγκώμιον αὐτοῦ καλεῖ τῆς Οἰκουμένης προστάτην, καὶ τὸν Κύριλλον οἱ Ἀλεξανδρινοὶ εἶπον τῆς Οἰκουμένης παιδευτὴν, καὶ ὁ Χρυσόστομος τοῦ Αὐρηλίου ἐπιστολῇ ἑκατοστῇ τεσσαρακοστῇ ἐνάτῃ τὸν ὑπὲρ ἁπάσης τῆς Ἐκκλησίας πόνον ἠγάσθη, καὶ ὁ Θεολόγος πρὸς Νεοκαισαρεῖς τὴν Καισάρειαν μητέρα τῶν Ἐκκλησιῶν καλεῖ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι τοῦ Διαλόγου πρόδρομον τοῦ Ἀντιχρίστου τὸν καλούμενον Οἰκουμενικὸν, ἤτοι τῆς καθόλου Ἐκκλησίας Ἐπίσκοπον λέγοντος, καὶ Στρατὸν τῆς ὑπερηφανίας τοὺς τὸν τοιοῦτον συνιστῶντας Ἱερεῖς καλοῦντος, δείκνυται εἶναι τοιούτους τοὺς οὕτω νῦν καλουμένους Πάπας.

Σημειωτέον ἐνταῦθα πρῶτον, ὅτι ὁ Διάλογος ἔλεγε πρόδρομον τοῦ Ἀντιχρίστου τὸν καλούμενον Οἰκουμενικὸν, ἤτοι τῆς καθόλου Ἐκκλησίας Ἐπίσκοπον, καὶ ἐπειδὴ οὕτω καλοῦνται οἱ νῦν Πάπαι, ἔνοχοί εἰσιν ἐκείνων τῶν ἀποφάσεων, καὶ γὰρ τοῦτο ὅπερ ὁρίζει ὁ Γρηγόριος οὐκ ἔστιν ἑνικὸν, δηλαδὴ πότερον τοῦτον ἢ ἐκεῖνον, τὸν Ἰωάννην ἢ τὸν Κυριακὸν οὐδεῖ καλεῖσθαι Οἰκουμενικὸν, ἀλλὰ κοινόν ἐστι καὶ γενικὸν, καὶ οὐδ' αὐτὸς ὁ Ῥώμης Ἀρχιερεὺς ἐξαιρεῖται, ὥστε λέγεσθαι αὐτὸν Οἰκουμενικόν. τοῦτο τὸ γενικὸν ζήτημα ἐκεῖνος ὁρίζει γενικῶς, ἀρνούμενος, καὶ οὐχ ἅπαξ, ἀλλὰ πολλάκις, γράφων γὰρ πρὸς τοὺς δύο Πατριάρχας Ἀντιοχείας καὶ Ἀλεξανδρείας, βιβλίῳ τετάρτῳ κεφαλαίῳ τρισκαιδεκάτῳ ἐπιστολῇ τριακοστῇ ἕκτῃ λέγει, ὅτι ἡ ἐν Χαλκηδόνι Σύνοδος ἔπεμψε πρὸς τὸν Ῥώμης τὰ πρακτικὰ αὐτῆς ἔχοντα τὸν ΟΙΚΟΥΜΕΝΙΚΟΣ Τίτλον, ὅμως οὐδεὶς τῶν πρὸ αὐτοῦ ἀπεδέχθη αὐτὸν ὥστε γράφεσθαι Οἰκουμενικὸν, καὶ λέγει καὶ τὸ αἴτιον, ὅτι ὁ λεγόμενος Πατριάρχης Οἰκουμενικὸς, ἀφαιρεῖ τὸ ὄνομα τῶν λοιπῶν Πατριαρχῶν, μὴ γένοιτο δὲ ἵνα ὁ εἷς ἀδελφὸς σμικρύνῃ τοῦ ἄλλου ἀδελφοῦ τὴν τιμὴν καὶ τὴν ἀξίαν. ὅθεν μεταταῦτα καλέσαντος δι' ἐπιστολῆς αὐτὸν τοῦ Ἀλεξανδρείας Εὐλογίου Οἰκουμενικὸν, λίαν ἐλυπήθη ὁ Γρηγόριος, καὶ θερμῶς παρεκάλεσεν αὐτὸν ἵνα τοῦ λοιποῦ μὴ γράψῃ αὐτὸν Οἰκουμενικόν. βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ δεκάτῳ ἐπιστολῇ τριακοστῇ. δεύτερον, εἴγε μήτε ὁ Πέτρος μήτε ὁ Παῦλος εἰσὶ κεφαλὴ τῆς καθόλου Ἐκκλησίας, πολλῷ μᾶλλον οὐκ ἔστιν ὁ Ῥώμης. τρίτον, ὡς εἴπομεν ἀνωτέρω βιβλίῳ τρίτῳ ἐν τῇ κατὰ Φωτίου Συνόδῳ, λεγομένου συνεχέστερον τοῦ Κωνσταντινουπόλεως Οἰκουμενικοῦ, ἐδυσχέραινον ἐντούτῳ ὁ Ἀναστάσιος καίτινες ἕτεροι Ῥωμαῖοι παρόντες, λέγει δὲ ὁ αὐτὸς Ἀναστάσιος (οὐκ οἴδαμεν εἰ ἀληθὲς λέγει) ὅτι εἶπον αὐτοῖς οἱ Κωνσταντινουπολῖται, Αὐτὸ τὸ ὄνομα ἰσχύει εἰς μόνον τὴν Ἐπαρχίαν τοῦ Κωνσταντινουπόλεως, καὶ ὅτι ἔχει τὴν δευτέραν τάξιν μετὰ τὸν Ῥώμης, οὐ μὴν εἶπον ὅτι ἐστὶν ὁ Ῥώμης ἐπὶ τῶν λοιπῶν Πατριαρχῶν κατά τινα ἐξουσίαν ἢ δύναμιν ἢ ἐνέργειαν, ὡς ψεύδονται οἱ Λατῖνοι τοιαῦτα ἱστοροῦντες, καὶ ὁ Ἀναστάσιος τερατεύεται εἰς τὸ προοίμιον τῆς ἑβδόμης Συνόδου, οὐχ ὅτι ἐτόλμησε κἀκεῖνος εἰπεῖν τὸν Πάπαν Οἰκουμενικὸν κατά τινα γενικὴν ἐξουσίαν, ἐπειδὴ τοῦτο οὐδὲ εἰς τὸν νοῦν ἦλθε τῶν παλαιῶν, ὡς εἴρηται πολλάκις, ἀλλ' ὅτι ἐπαινεῖ αὐτὸν ὑπερέχειν ὡς ἡ Ὅρασις τῶν λοιπῶν αἰσθήσεων, ὡς εἴρηται ἀνωτέρω. τέταρτον, αὐτοὶ οἱ Λατῖνοι οἱ λέγοντες τοῦ Ἀντιχρίστου πρόδρομον τὸν καλούμενον τῷ τοιούτῳ ὀνόματι, βιαζόμενοι ὑπὸ τῆς ἀποδοχῆς αὐτοῦ παρὰ τῶν Ἀνατολικῶν, ἐν τῇ ἐν Λατεράνῳ Συνόδῳ παρόντος Ἰννοκεντίου τοῦ τρίτου, ἐν ἔτει χιλιοστῷ διακοσιοστῷ δεκάτῳ, ὠνόμασαν τὸν Κωνσταντινουπόλεως Οἰκουμενικὸν, καὶ ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ ὁ Ἰωσὴφ ἐκλήθη Οἰκουμενικὸς κατὰ πρόσωπον τοῦ Εὐγενίου, οὐχ ὑπὸ ἁγιότητος τοῦ Ἰωσὴφ, ὡς λέγουσιν οἱ Λατῖνοι, ἀλλὰ διὰ τὴν ἀνάγκην τῶν προνομίων τοῦ θρόνου. πέμπτον, μεμφόμενος ὁ Διάλογος τὴν τότε Σύνοδον, ἣν εἴπομεν ἀνωτέρω βιβλίῳ ἕκτῳ κεφαλαίῳ δευτέρῳ συναχθῆναι περὶ τοῦ Γρηγορίου Ἀντιοχείας, μήπως καὶ ἠθροίσθη βεβαιῶσαι

τὸ

τὸ, ΟΙΚΟΥΜΕΝΙΚΟΣ, ἔγραφε τῷ Νηστευτῇ βιβλίῳ τεταρτῳ, ὁ Βασιλεὺς τῆς ὑπερηφανίας πλησίον ἐστὶ, καὶ ὃ εἰπεῖν ἔτι ἀθέμιτον, Ἱερέων αὐτῷ Στρατὸς ἑτοιμάζεται. λέγομεν οὖν κατὰ τὸν ἅγιον Διάλογον, Εἰ ὁ Στρατὸς τοῦ Βασιλέως τῆς ὑπερηφανίας εἰσὶν οἱ Ἱερεῖς οἱ συνιστῶντες λέγεσθαι ἐν τῇ καθόλου Ἐκκλησίᾳ τινὰ Ἐπίσκοπον καθόλου, ὁ πρῶτος δὲ τῶν τοιούτων Ἱερέων ἐστὶν ὁ τοιοῦτος Βασιλεὺς, ἀλλαμὴν οἱ Γιεζουβῖται καὶ οἱ λοιποὶ Ἱερεῖς τῶν Λατίνων τοιοῦτον λέγουσι καὶ πιστεύουσιν εἶναι τὸν Πάπαν, ἄρα οἱ τοιοῦτοι Στρατός εἰσι τοῦ Βασιλέως τῆς ὑπερηφανίας, ὁ Πάπας δέ ἐστιν ὁ τοιοῦτος Βασιλεύς.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι λέγοντες οἱ Λατῖνοι τὸν Πάπαν ἀποφαινόμενον περὶ τὴν πίστιν καὶ τὰ ἤθη καὶ τὴν σκανδαλοποιὸν πρότασιν καὶ τὸν κατὰ πάσης Ἐκκλησίας δεσμὸν μὴ σφάλλειν, δείκνυνται ἐνταῦθα ἐκ τῆς καταστραφείσης καὶ καταφρονηθείσης ἐν τούτοις κρίσεως τοῦ Διαλόγου προφανεῖς ψεῦσται.

Πρὸς τούτοις ῥητέον, ὅτι ἔδει βεβαίαν εἶναι ταύτην τὴν κρίσιν τοῦ Διαλόγου, πρῶτον, διότι οἱ παπισταὶ λέγουσιν, Ἀδύνατόν ἐστι τὸν Πάπαν ἁμαρτάνειν ὅτε δηλοποιεῖ τὶ συμφωνοῦν τῇ πίστει, ἢ τὶ μαχόμενον τῇ πίστει, ἐνταῦθα δὲ ῥητῶς λέγει ὁ Γρηγόριος ὅτι ἐστὶ προδότης τῆς πίστεως ὁ δεχόμενος τὴν μιαρὰν λέξιν ταύτην. δεύτερον λέγουσιν, ὅτι ἀδύνατόν ἐστιν ἵνα σφάλλῃ ὁ Πάπας ὅταν διορίζῃ περὶ πραγμάτων ἀνηκόντων τοῖς ἤθεσιν, ἐνταῦθα δὲ ὁ Γρηγόριος ὀνομάζει τὴν λέξιν ταύτην βέβηλον, ὑπερήφανον, μιαρὰν, διαβολικὴν καὶ ἀντιχριστιανικήν. λέγουσι τρίτον, Ἀδύνατόν ἐστιν ἵνα σφάλλῃ ὁ Πάπας ὅταν ἀποφαίνηται περί τινος προτάσεως ὅτι ἐστὶ σκανδαλοποιὸς, ἐνταῦθα δὲ ὁ Γρηγόριος οὐ μόνον ἅπαξ, ἀλλὰ πολλάκις λέγει ὅτι οὐκ ἔστι δυνατὸν ἄνευ σκανδάλου ὀνομασθῆναι τινὰ Ἐπίσκοπον οἰκουμενικὸν, βιβλίῳ τεταρτῳ κεφαλαίῳ δεκάτῳ τρίτῳ ἐπιστολῇ τριακοστῇ δευτέρᾳ, καὶ βιβλίῳ ἕκτῳ κεφαλαίῳ δεκάτῳ πέμπτῳ ἐπιστολῇ δεκάτῃ. λέγουσι τέταρτον, ὅτι ὁ Πάπας ἀδύνατόν ἐστι σφαλῆναι ὅταν ἐννοῇ δῆσαι πᾶσαν τὴν Ἐκκλησίαν, ἐνταῦθα δὲ ὁ Γρηγόριος ἔχει τοῦτον τὸν σκοπὸν, γράφων γὰρ πρὸς τοὺς Ἀνατολικοὺς λέγει, Εἴτις, ὅπερ οὐ πιστεύομεν, τῶν παρόντων γραμμάτων ἔντινι μέρει καταφρονήσει, γινωσκέτω ἑαυτὸν τῆς κοινωνίας τοῦ μακαρίου Πέτρου τοῦ κορυφαίου τῶν Ἀποστόλων κεχωρισμένον, βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ δευτέρῳ ἐπιστολῇ ἑβδομηκοστῇ πρώτῃ. τούτων οὕτως ἐχόντων, σημείωσαι ὀρθόδοξε ὅτι κατεστράφη ἡ κρίσις τοῦ Γρηγορίου καὶ διόλου κατεφρονήθη, πρῶτον μὲν, ὅτι οἱ διάδοχοι τοῦ Γρηγορίου θερμότατα ἥρπασαν τὸν Τίτλον, καὶ μάλιστα κατὰ τὸν ἀπηγορευμένον τρόπον. δεύτερον, ὁ Νηστευτὴς καὶ ὁ μετ' αὐτὸν Κυριακὸς περιεποιήθησαν τὸν Τίτλον, καίτοι δυσχεραίνοντος καὶ καταβοῶντος τοῦ Γρηγορίου, ὡς εἴρηται, καὶ οὐ μόνον αὐτοὶ, ἀλλὰ καὶ οἱ διάδοχοι αὐτῶν, καὶ πλὴν φωκᾶ τοῦ τυράννου ὑπό τε Βασιλέων καὶ πάσης τῆς Ἐκκλησίας καὶ πάντων τῶν Πατριαρχῶν καὶ πάντων τῶν Χριστιανῶν ἔν τε κοιναῖς συνελεύσεσι καὶ ἰδικοῖς γράμμασιν Οἰκουμενικοὶ ἐκλήθησαν καὶ καλοῦνται, καὶ δὴ καὶ ὑπὸ τῶν Λατίνων οὕτως ἐκλήθησαν, ὡς εἴρηται ἀνωτέρω πολλάκις.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ὁ Τίτλος ὑπὸ τοῦ Διαλόγου ἐν τῷ Νηστευτῇ οὐ κατ' ἄλλην ἔννοιαν κατεκρίθη, κατ' ἄλλην δὲ εἰς τοὺς μετ' αὐτὸν διεδόθη, ὡς διαιροῦσιν οἱ παπισταὶ τὸν Πάπαν εἰς μερικὸν Διδάσκαλον καθὸ πταίστην, καὶ εἰς κριτὴν καθὸ ἀναμάρτητον, ἀλλὰ καθ' ἣν ἐννοεῖται ὁ οἰκουμενικὸς Ἐπίσκοπος εἶναι μόνος Ἐπίσκοπος, οἱ δὲ λοιποὶ τῶν Ἐπισκόπων ἐκείνου ἐπίτροποι.

Ἀνθυποφέρουσιν οἱ Ῥωμαῖοι λέγοτες, ὅτι κατὰ ἄλλην ἔννοιαν ὁ Γρηγόριος κατέκρινε τὸν Τίτλον τοῦτον εἰς τὸν Ἰωάννην, καὶ κατ' ἄλλην διεδόθη τοῖς διαδόχοις αὐτοῦ, κατεκρίθη γὰρ παρὰ τοῦ Γρηγορίου ἐννοοῦντος τὸν Οἰκουμενικὸν Ἐπίσκοπον εἶναι μόνον Ἐπίσκοπον, τοὺς δὲ λοιποὺς πάντας Ἐπισκόπους εἶναι ἐπιτρόπους αὐτοῦ. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ὁ Νηστευτὴς καὶ οἱ διάδοχοι αὐτοῦ οὐκ ἐφρόνησαν ποτὲ ὥστε ἐννοεῖσθαι αὐτοὺς μόνους Ἐπισκόπους, τοὺς δὲ λοιποὺς εἶναι ἐπιτρόπους αὐτῶν, ὡς μεταταῦτα ῥηθήσεται πλατύτερον. δεύτερον, ὅτι ὁ Γρηγόριος ἄνευ τοῦ μνησθῆναι αὐτὸν ποτὲ τῆς ὁμωνυμίας τῆς λέξεως, καὶ χωρὶς τοῦ διαιρῆσαι τὰς διαφόρους ἐννοίας τῆς φωνῆς κατέκρινεν αὐτὴν, ὑποθέμενος γὰρ τὴν φωνὴν ἁπλῶς καὶ συνώνυμον, ἐνόμισε τὴν σημασίαν αὐτῆς κατὰ πάντα τρόπον εἶναι ἀπρεπῆ μιαρὰν καὶ βλάσφημον. τρίτον, ἐν τῇ ἐπιστολῇ ἣν γράφει πρὸς Μαυρίκιον τὸν Βασιλέα ὁ Γρηγόριος βιβλίῳ τεταρτῳ κεφαλαίῳ δεκάτῳ τρίτῳ ἐπιστολῇ τριακοστῇ δευτέρᾳ, λόγον ποιούμενος περὶ Νεστορίου καὶ Μακεδονίου Ἀρχιεπισκόπων Κωνσταντινουπόλεως καὶ Αἱρεσιαρχῶν λέγει, Ἐάν ποτε σφάλλῃ ὁ Οἰκουμενικὸς Ἐπίσκοπος, πᾶσα ἡ Ἐκκλησία ἀπολεῖται, καὶ διατοῦτο οὐ πρέπον ἐστὶν ἵνα τὶς λέγηται Οἰκουμενικὸς, πλὴν πῶς οὐκ ἐγίνωσκεν ὁ Γρηγόριος ἵνα ποιήσῃ διαίρεσιν καθὼς ποιοῦσιν οἱ νεώτεροι σοφοὶ τῶν παπιστῶν τῶν σφαλμά-

των δηλονότι ἐκείνων, ἅτινα ποιεῖ Ἐπίσκοπός τις ὡς μερικὸς Διδάσκαλος, καὶ τῶν σφαλμάτων ἐκείνων, ἅτινα ποιεῖ τὶς ὡς κριτὴς τῆς Ἐκκλησίας; καὶ ἐκ τούτων ἐστὶ δῆλον, ὅτι αἱ διαιρέσεις τῶν μετὰ τὸ σχίσμα θεολόγων τοῦ Πάπα περὶ μοναρχίας καὶ ἀναμαρτησίας αὐτοῦ προάγονται πάντως ἐκ τῆς καρδίας τοῦ Διαβόλου.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἐκ τοῦ τὸν Διάλογον μετὰ τὰ πολλὰ προβαλεῖν τελευταῖον κατὰ τοῦ Νηστευτοῦ τὴν συνοδικὴν κρίσιν, δείκνυται ἡ καταστροφὴ τῆς μοναρχίας τοῦ Πάπα.

Μικροῦ διέφυγεν ἡμᾶς τὸ μέγιστον ἐπιχείρημα κατὰ τῆς γενικῆς ἐξουσίας τοῦ Πάπα, ἀλλ' ηὐδόκησεν ὁ Θεὸς καὶ ἐμνήσθημεν αὐτοῦ. Ὁ Διάλογος γοῦν τοσαῦτα εἰπὼν καὶ πράξας κατὰ τοῦ Νηστευτοῦ, καὶ μὴ δυνηθεὶς καταπεῖσαι αὐτὸν πραιτήσασθαι τὴν ΟΙΚΟΥΜΕΝΙΚΟΣ προσηγορίαν, προσέφερε κατ' αὐτοῦ τὸ μέγιστον καὶ ἔσχατον ἐπιχείρημα, ἠπείλησε γὰρ ἵνα ἀναφέρῃ τὸ πρᾶγμα πρὸς τὴν κοινότητα τῆς Ἐκκλησίας, ἤτοι πρὸς τὴν Σύνοδον, λέγει γὰρ βιβλίῳ τετάρτῳ ἐπιστολῇ τριακοστῇ ὀγδόῃ, Καὶ ἡμεῖς μὲν καθ' ὧν τοσοῦτον δι' ἀνόμου τολμήματος ἁμάρτημα γίνεται, φυλάττομεν ὃ ἡ ἀλήθεια ἐνετείλατο λέγουσα, Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε καὶ ἔλεγξον αὐτὸν ἀναμεταξὺ σοῦ καὶ αὐτοῦ μόνου, καὶ ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου, ἐὰν δὲ οὐκ εἰσακούσῃ, λάβε μετὰ σεαυτοῦ προσέτι ἕνα, ἢ δύο, ἵνα ἐν στόματι δύο, ἢ τριῶν μαρτύρων σταθῇ πᾶν ῥῆμα, ἐὰν δὲ καὶ τούτων οὐκ εἰσακούσῃ, εἰπὲ τῇ Ἐκκλησίᾳ, ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ Ἐθνικὸς καὶ ὁ Τελώνης. ἐγὼ λοιπὸν διὰ τῶν ἐμῶν ἐπιστολῶν ἅπαξ καὶ δὶς ταπεινοῖς ῥήμασι τὸ ἐν πάσῃ τῇ Ἐκκλησίᾳ ἁμάρτημα διορθοῦν ἐσπούδασα, ὅ, τί μοι ἐχρῆν ταπεινῶς ποιῆσαι οὐκ ἠμέλησα. ἀλλ' εἰ ἐν τῇ ἐμῇ διορθώσει καταφρονοῦμαι, μένει ἵνα τῇ Ἐκκλησίᾳ εἰπεῖν ὀφείλω. ταῦτα ὁ Γρηγόριος. ἐν οἷς σημείωσαι πρῶτον τὴν ταπεινοφροσύνην τοῦ Διαλόγου, καὶ ἐπειδὴ οἱ νῦν Πάπαι ὑπερόγκως λαλοῦσιν, οὐκ εἰσὶν ἐκείνου διάδοχοι. δεύτερον, ὅτι ἀναντίρρητον ἐστὶν, ἐπειδὴ ὁ Γρηγόριος προβάλλει κατὰ τοῦ Νηστευτοῦ τὴν κρίσιν τῆς Ἐκκλησίας, ἤτοι τῆς Συνόδου, ἡ Σύνοδος ἐπὶ τοῦ Πάπα καὶ οὐχ ὁ Πάπας ἐπὶ τῆς Συνόδου, καὶ οὕτω καταστρέφονται καὶ ἐν τοῦθεν πάντα τὰ μηχανήματα τῶν Ῥωμαίων περὶ τῆς καινοτομηθείσης μοναρχίας καὶ ἀναμαρτησίας τοῦ Πάπα.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Β'. ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Διατὶ τῶν Πατριαρχῶν πάντων καὶ ἄλλων πολλῶν πατέρων Οἰκουμενικῶν κληθέντων, μόνοι ὁ Ῥώμης καὶ ὁ Κωνσταντινουπόλεως Οἰκουμενικοὶ φημίζονται.

Οἰκουμενικοὶ ἐκλήθησαν οἱ πέντε Πατριάρχαι, ὡς εἴρηται ἀνωτέρω ἐν πολλοῖς, ἀλλὰ καὶ ἰδίως οἱ μεγάλοι Ἀθανάσιος, Βασίλειος, Χρυσόστομος, Κύριλλος καὶ ἄλλοι Οἰκουμενικοὶ προστάται ἐκλήθησαν, ὡς εἴρηται καὶ ῥηθήσεται ἐν τῷ ἑξῆς κεφαλαίῳ. ἔστιν ὅμως ἡ διαφορὰ, ὅτι οἱ μὲν ἅγιοι πατέρες οἱ διαπρέψαντες τῷ λόγῳ τῆς διδασκαλίας ἐν τῷ κοινῷ τῆς Ἐκκλησίας ἐκλήθησαν καὶ καλοῦνται Οἰκουμενικοὶ προστάται καὶ Διδάσκαλοι κατὰ τὸν ἀνωτέρω ἕκτον τρόπον, οἱ δὲ Ἐπίσκοποι τῶν καθολικῶν θρόνων, ἤτοι οἱ Πατριάρχαι ἢ Πατριάρχαι καλοῦνται Οἰκουμενικοὶ κατὰ τὸν ἕβδομον τρόπον συνωνύμως καὶ διόλου ὁμοταγῶς καὶ ὁμοτίμως. Φημίζονται δὲ οἱ δύο ἐν τῇ Ἐκκλησίᾳ Οἰκουμενικοὶ διὰ τῆς τάξεως τὸ καλὸν καὶ τῆς συγχύσεως τὸ ἀποτρόπαιον, καθ' ὃν τρόπον ἐῤῥέθη καὶ ὁ Πέτρος ἐν τοῖς ὁμοτίμοις καὶ ἰσοδυνάμοις Ἀποστόλοις πρῶτος, ὡς μαρτυρεῖ ὁ Ἱερώνυμος βιβλίῳ δευτέρῳ κατὰ Ἰοβιανοῦ κεφαλαίῳ πρώτῳ λέγων, Ἐν καὶ ἐξίσου ἅπασι τοῖς Ἀποστόλοις ἡ τῆς Ἐκκλησίας ἐπεστηρίχθη δύναμις, ὅμως διατοῦτο εἷς μεταξὺ τῶν δώδεκα ἐκλέγεται, ὅπως κεφαλῆς καταστάθεσης ἡ αἰτία ἀφαιρεθῇ τοῦ σχίσματος, διττὴ γὰρ ἡ τάξις, ἡ μὲν, καθ' ἣν ἡ σύγχυσις ἀποβάλλεται, περὶ ἧς ὁ Ἀπόστολος Κορινθίοις πρώτῃ κεφαλαίῳ δεκάτῳ τετάρτῳ, Τὰ πάντα φησὶ κατὰ τάξιν γινέσθω. ἡ δὲ, τὸν βαθμὸν δηλοῦσα τῆς Ἱερωσύνης, καὶ κατὰ μὲν τὴν πρώτην, ὁ Ῥώμης πρῶτος τὸ πάλαι, νῦν δὲ ὁ Κωνσταντινουπόλεως, κατὰ δὲ τὴν δευτέραν, ἴσοι οἱ Πατριάρχαι. Διατὶ οὖν ἐῤῥέθησαν οἱ δύο οὗτοι Ἐπίσκοποι Οἰκουμενικοὶ, εἴρηται ἀνωτέρω. Διατὶ δὲ καὶ οἱ λοιποὶ Πατριάρχαι οὐ φημίζονται οὕτως, αὕτη καὶ μόνη ἐστὶν ἡ αἰτία, ὡς γὰρ οὐκ ἔστιν ὁ Θεὸς Θεὸς ἀκαταστασίας, ἀλλὰ Θεὸς εἰρήνης, οὕτως ἐδωρήσατο τῇ Ἐκκλησίᾳ αὐτοῦ φυλάττειν ἐν ἅπασι τὴν εὐταξίαν, μητέρα οὖσαν εἰρήνης καὶ σωφροσύνης, ἣν μὴ φυλάξας ὁ Ῥώμης, ἀλλὰ φρονήσας παρ' ὃ δεῖ φρονεῖν, αἴτιος ἐγένετο τοῦ πανολεθρίου σχίσματος, ὑφ' οὗ ἀπώλετο αὐτὸς καὶ οἱ ἀκόλουθοι αὐτοῦ.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

ὅτι οἱ τοῖς πέντε Πατριάρχαις τὰ πρεσβεῖα δεδωκότες Κανόνες τῶν Οἰκουμενικῶν Συνόδων ὡς μονὰς ἀκίνητοί εἰσι, καὶ μᾶλλον πάντων τῶν νομίμων τῶν ἑπομένων τῇ τάξει καὶ τῷ διορισμῷ τῶν Κανόνων ἰσχύουσι καὶ ἀτέμπαλιν, καὶ ὅτι τῇ τάξει μόνῃ τιμῶνται παρὰ πάντας οἱ Πατριάρχαι, δι' ἣν καὶ ὁ Κωνσταντινουπόλεως Οἰκουμενικὸς λέγεται, καὶ ὅτι ἡ δεκάτη Συνόδῳ δώκασί ποτε νομοθετῆσαι κατὰ τῶν πράξεων τῶν ἑπτὰ οἰκουμενικῶν Συνόδων.

Εἴρηται βιβλίῳ δευτέρῳ κεφαλαίῳ τρίτῳ, καὶ βιβλίῳ τεταρτῳ κεφαλαίῳ τρίτῳ, ὅτι οἱ τέσσαρες καθολικοὶ θρόνοι καὶ παρὰ τῆς πρώτης Συνόδου εἶχον ἐκ παραδόσεως καὶ σωτηρίας πρεσβεῖα ὑπεροχῆς καὶ τιμῆς ὑπέρτιμον ἐν τῇ Ἐκκλησίᾳ, καὶ διὰ ἄλλην αἰτίαν, ἀλλὰ μόνον διὰ τὸ ἀξιόλογον τῶν πόλεων. Ἀπὸ δὲ τῆς πρώτης Συνόδου ἔλαβον καὶ διὰ Κανόνων τὰ πρεσβεῖα καὶ τὴν τάξιν, πληρέστερον μὲν τοι καὶ πεπλατυσμένως, ὡς ἔλαβον αὐτὰ ὁ Κωνσταντινουπόλεως παρὰ τῆς δευτέρας. εἰσὶ δὲ Κανόνες οἵτε δόντες οἵτε βεβαιώσαντες αὐτοῖς τὰ πρεσβεῖα ὁ ἕκτος καὶ ἑβδομος τῆς πρώτης ἐν Νικαίᾳ Συνόδου, ὁ τρίτος τῆς δευτέρας, ὁ εἰκοστὸς ὄγδοος τῆς ἐν Χαλκηδόνι, καὶ ὁ τριακοστὸς ἕκτος τῆς ἐν Τρούλλῳ. Ἀπὸ Κανόνων δὲ αὐτοῖς τὰ πρεσβεῖα καὶ ὑπὸ τῶν Οἰκουμενικῶν Συνόδων δωρηθέντα καὶ βεβαιωθέντα, ὅθεν ἀναγράβατά εἰσιν, ἀμετάθετα καὶ ἀδιάσειστα ἔτως, ὥστε ἐὰν ὀνομαθῇ ὁ Ἀλεξανδρείας, ἢ ἑτερός τις τῶν μετ' αὐτὸν Πατριαρχῶν Πάπας, ἢ Οἰκουμενικὸς Πατριάρχης, ὁ δὲ Ῥώμης καὶ ὁ Κωνσταντινουπόλεως μόνον Ἐπίσκοποι, ἀ παρὰ τιμᾶται ὁ Ἀλεξανδρείας, ἢ ἑτερός τις Πατριάρχης τὰ Ῥώμης ἢ τὰ Κωνσταντινουπόλεως διὰ τὰς Τίτλους καὶ τὰ ἐγκώμια, ἢ δι' ἄλλο τινὰ ὁπωσοῦν αἰτίαν, καὶ γὰρ οἱ Κανόνες ἰσχύσι περὶ ἑκάστου, καὶ ἁπλῶς τὰ ἐγκώμια καὶ αἱ φῆμαι καὶ τὰ μεγάλα ὀνόματα, ἅτινα ἔπονται τῷ τόπῳ τούτῳ τῇ τάξει καὶ τῷ διορισμῷ τῶν Κανόνων, οὐκ ἕπεται δὲ ἡ τάξις τοῖς ὀνόμασι καὶ ταῖς φήμαις, ὡς τυχὸν εἰ καὶ ὁ Καππάδοξ ἐρρέθη Οἰκουμενικὸς Πατριάρχης, ὁ δὲ τότε Ῥώμης Ὁρμίσδας οὐκ ἐρρέθη, ἀλλ' οὐκ ἦν μείζων τοῦ Ὁρμίσδου ὁ Καππάδοξ, καθότι ἀπαραλόγιστοι οἱ Κανόνες, καὶ ὡς μονὰς ἕκαστοι διόλου ἀκίνητοι. Ἀπὸ τῶν Κανόνων λοιπὸν ἔχει ὁ Ῥώμης τὰ πρωτεῖα, καὶ ἀπὸ τῶν Κανόνων ἔχει ὁ Κωνσταντινουπόλεως τὸν δεύτερον τῶν Πατριαρχῶν τόπον, καὶ οὐκ ἀπὸ τοῦ ΟΙΚΟΥΜΕΝΙΚΟΣ καὶ ἑτέρων ὀνομάτων χθὲς καὶ πρώτερα ἐξουρηκότων ὄντων. μεγιστᾶται δὲ ὁ Ἀλεξανδρείας καὶ ὁ Ἀντιοχείας τοῦ Ἱεροσολύμων, καὶ ὁ Ἀντιοχείας τοῦ Ἱεροσολύμων καὶ Μοσχοβίας, καὶ ὁ Ἱεροσολύμων τοῦ Μοσχοβίας τάξει ἐκείνῃ τῇ κανονικῇ ἢ μετὰ τὸν Ῥώμης τοῦ Κωνσταντινουπόλεως καὶ ὁ Κωνσταντινουπόλεως τῶν λοιπῶν τεσσάρων, καὶ διὰ τὸ ΟΙΚΟΥΜΕΝΙΚΟΣ καὶ τὰ λοιπὰ μεγάλα ὀνόματα, ὅτι ἄλλη τινὶ κατ' οὐσίαν τρόπον αἰτία. Φανερὸν δὲ καὶ διόλου ἀναντίρρητον ὅτι πάντες οἱ μετὰ ταῦτα ἐπιγενόμενοι Πατριάρχαι τῶν ὑπαριθμηθέντων ἐξίσου καὶ τῇ αὐτῇ αἰτίᾳ μετὰ ταῦτα ἐπιγενόμενοι, καὶ οὐδενὶ ἰδικῷ ἢ γενικῷ ἀξιώματι, ἀλλὰ μόνῃ τῇ τάξει, δι' ἣν καὶ ὁ πρῶτος ταύτῃ καὶ ὁ μεθ' ἐκεῖνον μόνοι ψηφίζονται οἱ Οἰκουμενικοὶ, καὶ οἱ πάντες, ἵνα φυλάττηται αὕτη, ἤτοι ἡ τάξις, καὶ μὴ γίνωνται σχίσματα ἐν τῇ Ἐκκλησίᾳ. εἰ δὲ καὶ ὁ Ῥώμης ἀνεβλήθη, ἀλλ' ἀφέντα τὰς νεωτερισμὰς ὧν ἐγένετο ἐπιγνητὴς, οὐδὲ αὐτὸν κωλῦσαι δύναται μὴ οὐδὲ πρῶτον εἶναι, ἤρξαται γὰρ ὅτε οἱ Κανόνες ἀπαρέλκυσαι. οὐδύναται δὲ τῆς τῶν μετὰ τὸν Κωνσταντινουπόλεως Πατριαρχῶν Οἰκουμενικὸς καλεῖσθαι, ἐπειδὴ αὐτίκειται ταῖς πράξεσι καὶ ἐνεργείαις καὶ ἀποδοχαῖς τῶν Οἰκουμενικῶν Συνόδων, αἵτινες κατὰ τὸν Διάλογον καὶ τὸν μέγαν Ἰωσηφιανὸν καὶ τὸν Αὔγουστον Λέοντα τὸν σοφὸν, καὶ κατὰ τὴν δόξαν ἁπλῶς τῆς καθόλου Ἐκκλησίας τιμῶνται ὡς τὰ ἅγια Εὐαγγέλια. ὅτε δύναται Συνόδος τις Οἰκουμενικὴ παγκόσμιος κατά τινα ὁπωσδήποτε αἰτίαν νομοθετῆσαί τι κατὰ τῶν πράξεων καὶ ἀποφάσεων τῶν ἑπτὰ ἁγίων Οἰκουμενικῶν Συνόδων, ὅτε περὶ πίστεως, ὅτε περὶ ἠθῶν, ὅτε περὶ Μυστηρίων, ὅτε περὶ τάξεων καὶ πατριαρχῶν, ἀνήνομοθετῆσαι γὰρ τούτους, οὐκ ἔσεται ἁγία Συνόδος, ἀλλὰ βέβηλος, πονηρὰ, βιαία, ληστρικὴ, καὶ διόλου ἀνόμημος, ὡς γεγόνασι πολλαὶ τῶν παρισῶν, καὶ ἀποδεχόμεθα γενέσθαι ποτὲ τοιοῦτόν τι μιαρὸν ἄθροισμα καὶ ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, ἅπαντα γὰρ τὰ κατὰ τὴν διδασκαλίαν καὶ Δογμάτων καὶ κανόνων ἐκθέσεις τῶν ἁγίων πατέρων πραχθέντα ἢ πραχθησόμενα, ἀνάθεμα πᾶσα ἡ καθολικὴ Ἐκκλησία ἐκφωνεῖ καθ' ἕτος ἐν τῷ Συνοδικῷ τῆς ὀρθοδοξίας.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

ὅτι τὰ ἐν τῇ κατὰ τὰς ἐν Βιτεμπεργίδι Λειθήρας διατριβῇ τοῦ Κωνσταντινουπόλεως Ἱερεμίου ἐρωτηθέντα περὶ τῶν πρεσβείων τῆς Ῥώμης, τῇ τάξει μόνον πρώτην ἐνοεῖ κατὰ τὴν πίστιν τὸν Ῥώμης, καὶ περὶ ὧν λέγει Δια τὰς τῆς Ἀνατολικῆς Ἐκκλησίας Πατριάρχας Κωνσταντῖνος Ἱερεὺς ὁ Ἀγγελος ἐν τῇ τῆς πίστεως αὐτοῦ λιβέλλῳ.

Οὐδὲ λέγει ὁ Κωνσταντινουπόλεως Ἱερεμίας γράφων κατὰ τὰς ἐν Βιτεμπεργίδι Λειθήρας, ὅτι ἡ νέα Ῥώμη

954

Ῥώμη τὰ πρεσβεῖα τῆς ὀρθοδοξίας εἴληφε, καὶ αὐτὶ τῆς πρώτης εἰς κεφαλὴν τέτακται, οὐκ ἄλλως νοητέον, ἀλλ' ἢ μόνον ὡς ἦν ὁ Ῥώμης πρὸ τῆς πτώσεως αὐτοῦ, τάξει δηλονότι μόνῃ καὶ οὐδενὶ ἑτέρῳ ἰδικῷ ἀξιώματι, ὡς ἐστὶ δῆλον ἐκ τῶν εἰρημένων πολλάκις. ὅθεν καὶ Κωνσταντῖνος Γερεὺς ὁ Ἄγγελος ἐν τῷ λιβέλλῳ τῆς πίστεως αὐτοῦ ὅπερ ἐσχεδίασεν αὐτῷ Γεώργιος ὁ Σχολάριος, ὃ καὶ τεθείκαμεν ἐν τῷ Τόμῳ τῆς Ἀγάπης, τοιαῦτα φησὶν, Ὁπόσοι τοίνυν ἐν Χριστιανοῖς τὴν καθολικὴν τοῦ Χριστοῦ πίστιν βεβαίως τε καὶ γνησίως ἀσπάζεσθε, ὁπόσοι τῇ αὐτοῦ χάριτι φωτισθέντες τὰς καινοτομίας οὐ προσίεσθε ἑνωθέντες μετὰ τῆς ἁγίας μητρὸς ἡμῶν τῆς καθολικῆς Ἐκκλησίας, οὐ γὰρ ἀρκεῖ ἡμῖν ἡ τῆς ἀληθείας ἐπίγνωσις καὶ τὸ ἀπὸ τῶν σκανδαλιζόντων φυγεῖν, ἀλλὰ δεῖ πάντως καὶ τὴν καθολικὴν τῶν ὀρθοδόξων Ἐκκλησίαν ἐν τῷδε τῷ κόσμῳ ἐπιζητήσαντας εἰς ταύτην καταφυγεῖν, καὶ ταύτῃ περιπλακῆναι, καὶ ἐν τοῖς κόλποις αὐτῆς περιθάλπεσθαι, αὕτη δὲ ἐστὶν ἡ Ἀνατολικὴ Ἐκκλησία, τέτρασι στύλοις τοῖς πατριαρχικοῖς θρόνοις ἐρειδομένη, ὧν ὁ τῆς Κωνσταντινουπόλεως ὑπερκάθηται, οὐ τύφῳ, οὐ δεσποτείᾳ, οὐ δὲ ταῖς κοσμικαῖς φαντασίαις προέχων, ἀλλὰ τῆς ἐκκλησιαστικῆς εὐταξίας ἀρχαίῳ καὶ κεκανονισμένῳ ἀξιώματι, καὶ τῇ τοῦ ὀρθοῦ λόγου διδασκαλίᾳ. ταῦτα ὁ Κωνσταντῖνος. ἴδε περὶ κεφαλῆς ἀνωτέρω βιβλίου πέμπτου κεφάλαιον δέκατον ἔνατον, καὶ ἀλλαχοῦ ἐν πολλοῖς.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'

Ὅτι ἐν τῷ διαλόγῳ Μελετίου τοῦ Πηγᾶ μετὰ ἐρωτήσεως μαθητοῦ ἡ τῶν Ἀρχιερέων προκαθεδρία διὰ τὴν τάξιν καὶ ἡ αὐτὴ αὐτῶν ἐν ἅπασιν ἰσχὺς διὰ τὴν ἀξίαν παραδηλοῦνται.

Μελέτιος ὁ Πηγᾶς ἐν τῷ διαλογικῶς ἐκτεθέντι Ἐγχειριδίῳ αὐτοῦ φησὶ, Τάξις οὖν τις ἔσται ἐν Ἀρχιερεῦσιν, ὥστε προκαθέζεσθαι καὶ ἐν ταῖς διαλέξεσι ταῖς ὑπὲρ τοῦ κοινοῦ, ἰσχὺς δὲ ἡ αὐτὴ ἐν ἅπασιν, ἵνα πάντες ὦσι μιᾶς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, μίαν ἐχούσης καθολικὴν κεφαλὴν τὸν Χριστόν. ΜΑΘΗΤΗΣ. τὶ οὖν βούλεται τὸ λέγεσθαι τινὰ Οἰκουμενικὸν Πατριάρχην; ΔΙΔΑΣΚΑΛΟΣ. ὅτι ἔδει ἕνα τινὰ ὑπερέχειν τῶν λοιπῶν τῇ τάξει, ἔχοντα τουτὶ τὸ προνόμιον, ὥστε τάξιν εἶναι ἐν τῇ Ἐκκλησίᾳ ἐν ταῖς κοιναῖς συνελεύσεσι καὶ Συνόδοις, ἔστι δὲ ἀξίας ἀδελφικῆς ἡ ὑπεροχὴ αὕτη, οὐκ ἐξουσίας τυραννικῆς κατεξανισταμένης τῶν ἀδελφῶν, ἢ τῆς ὅλης κατεξουσιαζούσης Ἐκκλησίας καὶ ὁμοθέως διϊθυνούσης κατ' ἰδίαν βούλησιν τὸ παῖν, ταῦτα γὰρ ἴδια εἶναι Βασιλέων τῆς γῆς καὶ Ἀρχόντων ἐθνῶν, οὐ Χριστοῦ δὲ μαθητῶν αὐτὸς ἔφη ὁ Σωτήρ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ ἐν τίσι δεῖ τιμᾶσθαι, κατὰ τὸν Ἀγκύρας Μακάριον, τὸν Ῥώμης, πρωτεύοντα τῇ τάξει.

Τὰ αὐτά φησιν ὁ Ἀγκύρας Μακάριος κεφαλαίῳ ἐνάτῳ (οὗτος ἐστὶν, ὃς ἐν τῷ Τόμῳ τῆς Καταλαγῆς ὠνομάσθη ἀνώνυμος πρῶτος) λέγει γοῦν, Τιμᾶσθαι οὖν δέον τὸν τῆς πρεσβυτέρας Ῥώμης ὡς πρῶτον τῇ τάξει καὶ τῷ ἀριθμῷ τιμὴν πνευματικήν. Καὶ, τὶς δὲ ἡ τιμή; τὸ προΐστασθαι, τὸ προκαθῆσθαι, τὸ πρῶτον διαλέγεσθαι, τὸ πρῶτον γνωμοδοτεῖν, τὸ πρῶτον ὑπογράφειν ἐν ταῖς συνοδικαῖς συνελεύσεσι καὶ πράξεσι, καὶ πρός γε, τὸ ἐκφωνεῖσθαι τὸ ὄνομα αὐτοῦ ἐν τοῖς Διπτύχοις.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Β'. ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ ἐγκωμίων, ἐπιγραφῶν καὶ μεγάλων ὀνομάτων τῶν Ἐπισκόπων κατὰ τῶν λεγόντων διὰ ταῦτα μονάρχην καὶ ἀναμάρτητον τὸν Πάπαν, καὶ πρῶτον περὶ τῶν Ἀγάθωνος πρὸς Νύσσης Γρηγόριον, Κύριλλον, Ἱλάριον, Ἀναστάσιον, Ἰουστινιανὸν καὶ Αὐγουστῖνον.

Ἐπειδὴ οἱ Λατῖνοι οὐ μόνον τὸ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ὄνομα προβάλλουσιν ἁρμόζειν τῷ Πάπᾳ, ἀλλὰ καὶ ἕτερα ὀνόματα, ἤτοι τὰ παρὰ τῆς ἕκτης Συνόδου τὸ, ὁ Ῥώμης Ἀρχιερατικώτατος πρόεδρος, τὸ πρωτόθρονος, καὶ ἔτι ἄλλα ῥηθέντα αὐτῷ νόμῳ ἐγκωμιαστικῷ προσφέρουσιν, ὅπως καὶ διὰ τούτων ἀποδείξωσι τὸν Πάπαν μονάρχην ἀναμάρτητον ἐν τῇ καθόλου Ἐκκλησίᾳ. διατοῦτο ἡμεῖς εἰ καὶ ἀνωτέρω ἐν τοῖς ἰδίοις τόποις εἴπομεν περὶ ἑκάστου ὀνόματος τῶν τοιούτων τὰ εἰκότα, ὅμως καὶ ῥητῶς ἐτάξαμεν ἐνταῦθα τινὰ ἐξ ὧν εἶπον οἱ ἅγιοι πατέρες ἀλλήλοις ὀνόματα καὶ ἐγκώμια, ἵνα ἔχῃ ἕκαστος

Χριστιανὸς

Χριστιανὸς γινώσκειν, ὅτι καθὼς οἱ λοιποὶ θρόνοι ἰδικὸν προνόμιον οὐκ ἔλαβον ἀπὸ τῶν τοιούτων ἐγκωμίων καὶ ὀνομάτων, οὕτω μή τε ὁ τῆς Ῥώμης Πάπας τοιοῦτόν τι δύναται λαβεῖν ἐπὶ τῆς καθόλου Ἐκκλησίας. Ἀγάθων ὁ Πάπας ἐν τῇ ἀναφορᾷ λέγει, Γρηγόριος ὁ Νύσσης μέγας Ἐπίσκοπος, ὁ συστατικὸς τῆς ὀρθοδόξου πίστεως κῆρυξ Κύριλλος, ὁ τῆς ἀληθείας ἐξοχώτατος ἐκδικητὴς Ἱλάριος, ὁ ἐκδικητὴς τῆς ἀληθείας Λέων, ὁ τῆς ἀληθείας ἐκδικητὴς Κύριλλος, ὁ μέγας Ἀναστάσιος, ὁ ζηλωτὴς τῆς ἀληθείας καὶ ἀποστολικῆς πίστεως Ἰουστινιανὸς, ὁ σοφώτατος τῆς ἀληθείας κῆρυξ ὁ μακάριος Αὐγουστῖνος.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ἐγκωμίων Ἀναστασίου Σιναΐτου πρὸς Κύριλλον Ἀλεξανδρείας, καὶ τοῦ Λαοῦ Ἀλεξανδρείας πρὸς Παῦλον Ἐμέσης καὶ Κύριλλον κατὰ παπιζόντων.

Ἀναστάσιος ὁ Σιναΐτης ἐν τῇ Ὁδηγῷ κεφαλαίῳ ἑβδόμῳ περὶ τοῦ Ἀλεξανδρείας Κυρίλλου λέγει, τοῦ Κυρίλλου τῆς σφραγῖδος τῶν πατέρων. καὶ κεφαλαίῳ ὀγδόῳ, Παραστήσωμεν αὐτὸν τὸν φωστῆρα καὶ τοῦ χοροῦ τῶν πατέρων ἀπόδεσμον. καὶ κεφαλαίῳ δεκάτῳ, Κυρίλλου πάλιν λέγω αἰωνία ἡμνήμη, μὴ συγχωρῶν ἡμᾶς τῆς ἀληθείας πλανηθῆναι. Ὁ αὐτὸς ἐν τῇ αὐτῇ πραγματείᾳ, Καὶ γὰρ οὐδεὶς τῶν πατέρων τὸ πανάγιον καὶ ἀμείωτον καὶ αἰώνιον καὶ ἀνεξάλειπτον τῶν Χριστοῦ φύσεων εἴρηκεν ὡς ὁ Θεοφάντωρ Κύριλλος, οἱ μὲν γὰρ μακάριοι πατέρες τὸν ἀριθμὸν εἰρήκασιν, ὁ δὲ τρισμακάριστος Κύριλλος μετὰ τοῦ ἀριθμοῦ τὴν ἀνεξάλειπτον καὶ τηρουμένην ἀεὶ τῶν φύσεων διαμονὴν μετὰ τὴν ἕνωσιν. εὖσοι γένοιτο φωστὴρ καὶ πυρσὲ καὶ στύλε τῆς ἀληθείας. Παύλου τοῦ Ἐμέσης διδάσκοντος ἐν Ἀλεξανδρείᾳ, καὶ ἐπαινοῦντος τὸν Κύριλλον, ὁ λαὸς ἐβόα περὶ μὲν Κυρίλλου, Τὸν πατέρα τῶν Ἐπισκόπων Κύριε σῶσον, περὶ δὲ Παῦλου, Καλῶς ἦλθες ὀρθόδοξε τῆς Οἰκουμένης παιδευτά.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ ἐγκωμίων Ἀστερίου Ἀμασείας πρὸς τὸν ἅγιον Φωκᾶν καὶ εἰς τοὺς Μάρτυρας κατὰ παπιζόντων.

Ἀστέριος Ἀμασείας ἐγκωμίῳ εἰς τὸν ἅγιον Φωκᾶν λέγει αὐτὸν Στύλον καὶ ἑδραίωμα τῶν θείων τῆς Οἰκουμένης Ἐκκλησιῶν. καὶ ἐγκωμίῳ περὶ Μαρτύρων, ὧν κορυφαῖοι καὶ προστάται τυγχάνουσιν οἱ σήμερον δημαγωγήσαντες.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ ἐγκωμίων Βασιλείου τοῦ μεγάλου πρὸς Ἀμβρόσιον, Εὐσέβιον Νεοκαισαρείας, προεστῶτας τῆς Ἐκκλησίας, Ἀθανάσιον Ἀγκύρας, Ἀμφιλόχιον Ἀντιοχείας καὶ Ἑρμογένη κατὰ παπιζόντων, καὶ περὶ ὑπερηφανίας καὶ μέμψεως Παπῶν, ἐν Δύσει μόνον περιοριζομένων.

Βασίλειος ὁ μέγας περὶ Ἀμβροσίου ἐπιστολῇ πρὸς αὐτὸν λέγει, Ἐπειδὴ οὐ παρὰ ἀνθρώπων παρέλαβες, ἢ ἐδιδάχθης τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, ἀλλ' αὐτός σε ὁ Κύριος ἀπὸ τῶν κριτῶν τῆς γῆς ἐπὶ τὴν προεδρίαν τῶν Ἀποστόλων μετέθηκε. καὶ ἐπιστολῇ πρὸς Νεοκαισαρεῖς περὶ Εὐσεβείου Νεοκαισαρείας φησὶ, Στύλος καὶ ἑδραίωμα τῆς Ἐκκλησίας, στερέωμα τῆς εἰς Χριστὸν πίστεως. καὶ ἐν τῷ τρίτῳ κεφαλαίῳ Ἡσαΐου, Ἀλλ' ἡμεῖς εὐξόμεθα ἔχειν τὴν Ἐκκλησίαν τὴν ἐπιχορηγίαν τοῦ Πνεύματος, ὥστε ἀναδείκνυσθαι ἡμῖν τοὺς πνευματικοὺς Ἀρχιτέκτονας. καὶ ἐν τῷ δεκάτῳ πέμπτῳ κεφαλαίῳ φησὶν, Διότι ἀντὶ κεφαλῆς εἰσὶν οἱ προεστῶτες τοῦ σώματος τῶν Ἐκκλησιῶν. καὶ ἐπιστολῇ πρὸς τὴν Ἐκκλησίαν Ἀγκύρας περὶ Ἀθανασίου Ἀγκύρας λέγει, Πέπτωκεν ἀνὴρ στύλος τῷόντι καὶ ἑδραίωμα τῆς Ἐκκλησίας, ἔρεισμα ὀρθότητος. καὶ τὸν ἅγιον Ἀμφιλόχον λέγει τιμιωτάτην αὐτοῦ κεφαλήν. καὶ ἐπιστολῇ πρὸς τὸν μέγαν Ἀθανάσιον περὶ τῆς Ἀντιοχείας λέγει, Ὥσπερ κεφαλὴ ἐρρωμένη παντὶ τῷ σώματι ὑγίειαν ἐπιχορηγήσει. καὶ ἐπιστολῇ πρὸς Πατρόφιλον Ἐπίσκοπον φησὶν, Ἐκοιμήθη Ἑρμογένης, καὶ πάλιν μετέστησαν (οἱ Ἀρειανοὶ) πρὸς Εὐσέβιον, ἄνδρα κορυφαῖον τοῦ κατ' Ἄρειον Κύκλου. Ὁ αὐτὸς μάχεται φανερῶς τῷ Πάπᾳ, λέγει γὰρ αὐτὸν ὑπερήφανον καὶ δυτικὴν ὀφρῦν, καὶ ὅτι ὢν ὑπερήφανος καὶ θεραπευόμενος, μᾶλλον ὑπεροπτικώτερος γίνεται, καὶ ὅτι τὸ ἀληθὲς οὐκ οἶδε, καὶ οὔτε μαθεῖν ἀνέχεται. καὶ ἐπιστολῇ πρὸς τοὺς δυτικοὺς ἐν οἷς καὶ ὁ Πάπας μέμφεται αὐτοῖς, χειροτονήσασιν Ἀντιοχείας παρὰ Κανόνας τὸν Παυλῖνον, καὶ μάλιστα Αἱρετικὸν καὶ πεποιθότα ἐπὶ τὸ δόγμα τοῦ Μαρκέλλου. καὶ ἐπιστολῇ πρὸς Εὐσέβιον Σαμοσάτων φησὶν, Ἐβουλόμην ἐπιστεῖλαι αὐτῶν τῷ κορυφαίῳ, ὥστε μόνοις τοῖς δυτικοῖς κορυφαῖος ὁ Πάπας.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ ἐγκωμίων Γρηγορίου τοῦ Θεολόγου εἰς Εὐσέβιον Σαμοσάτων, Βασίλειον τὸν μέγαν, Ἐπίσκοπον Δοάρων, κατάπλουν Αἰγυπτίων, Ἐπισκόπους ἐν τοῖς αὐτοῦ ἔπεσι καὶ ἐν τῷ περὶ εὐταξίας, Νεοκαισαρεῖς καὶ Ἐκκλησίαν Καισαρείας ἐν ὁμιλίᾳ εἰκοστῇ κατὰ παπιζόντων, καὶ περὶ μέμψεως τῆς πρὸς Δάμασον, καὶ προεδρίας τυραννικῆς, καὶ τῆς πρὸς τοὺς Ἀποστόλους ἀναισχυντίας Ἰουλιανοῦ τοῦ παραβάτου, καὶ τί ἐστιν Ἱερεύς.

Γρηγόριος ὁ Θεολόγος ἐπιστολῇ πρὸς Εὐσέβιον Σαμοσάτων λέγει αὐτὸν Στύλον καὶ ἑδραίωμα τῆς ἀληθείας, φωστῆρα ἐν κόσμῳ, Κανόνα πίστεως. καὶ ἐγκωμίῳ εἰς τὸν μέγαν Βασίλειον, ὅτι τὰς Κλεῖς τῶν Οὐρανῶν πιστεύεται, Ἰσαὰκ ἀπηγγέλθη καὶ πρὶν γενέσεως, ὁ δὲ αὐτεπάγγελτος ἦν, καὶ τὴν Ῥεβέκκαν λέγω δὴ τὴν Ἐκκλησίαν οὐ πόρρωθεν ἀλλ' ἐγγὺς ἠγάγετο, οὐ διὰ πρεσβείας ἱκετικῶς, ἀλλ' ἐκ Θεοῦ δοθεῖσαν καὶ πιστευθεῖσαν. καὶ ἐγκωμίῳ εἰς τὸν μέγαν Ἀθανάσιον, ὅτι τὴν Οἰκουμένην διέρχεται, καὶ τὴν τοῦ λαοῦ προεδρίαν πιστεύεται, ταὐτὸν δὲ εἰπεῖν τῆς Οἰκουμένης ἁπάσης ἐπιστασίαν. καὶ ὁμιλίᾳ πρὸς Ἥρωνα περὶ τοῦ αὐτοῦ Ἀθανασίου, Ἐπειδὴ τὸν ἁγιώτατον τῆς Οἰκουμένης ὀφθαλμὸν καὶ τὴν μεγάλην φωνὴν, τὸ τῆς πίστεως ἔρεισμα, τὸν δεύτερον Χριστοῦ λύχνον καὶ πρόδρομον. καὶ λόγῳ, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους, φησὶν, Εἰ δὲ εἷς Χριστὸς, μία κεφαλὴ τῆς Ἐκκλησίας, καὶ μία σὰρξ, ἡ δευτέρα δὲ ἀποπτυέσθω. καὶ ἐν τῇ χειροτονίᾳ Ἐπισκόπου Δοάρων περὶ τοῦ Ἐπισκόπου, Τίμιον ἴσμεν, κεφαλὴν γινώσκομεν, ἅγιον καλοῦμεν, μόνον ἔστω φιλότεκνος καὶ πάσης προνοῶν Ἐκκλησίας. καὶ εἰς τὸν κατάπλουν τῶν Αἰγυπτίων, Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Θεοῦ εἰς πάντας ἀνθρώπους ὑγιῶς πιστευόμενός τε καὶ κηρυττόμενος. Καὶ, ὑμεῖς ἄριστοι καρποδόται, καὶ τρέφετε πνευματικῶς μικροῦ πᾶσαν τὴν Οἰκουμένην. καὶ εἰς τὰ ἔπη, ὅτι οἱ Ἐπίσκοποι θεμέλια.

Ὦ Θεὸν ἀνθρώποισι μέγ' ἔξοχον εἰς ἐν ἄγοντες,
Ὦ κόσμοιο θέμεθλα, βίου φάος ἑρμαλόγοιο.

καὶ ἐν τῷ περὶ εὐταξίας, καὶ πρὸς Νεοκαισαρεῖς, Πάσης μὲν οὖν Ἐκκλησίας φροντιστέον ὡς Χριστοῦ σώματος, μάλιστα δὲ τῆς ἡμετέρας, ἣ μήτηρ σχεδὸν ἁπασῶν τῶν Ἐκκλησιῶν ἦν τε ἀπ' ἀρχῆς καὶ νῦν ἐστι καὶ νομίζεται, καὶ πρὸς ἣν τὸ κοινὸν βλέπει ὡς κέντρῳ κύκλος περιγραφόμενος. καὶ ὁμιλίᾳ εἰκοστῇ τὴν Ἐκκλησίαν Καισαρείας ἄσειστον καὶ ἀνεπηρέαστον τῶν Ἐκκλησιῶν μητέρα καλεῖ. καὶ ἐπιστολῇ πρὸς Σιμπλικίαν, Τὸν μέγαν Βασίλειον, τὸ τῆς πίστεως ἔρεισμα, τὸν τῆς ἀληθείας Κανόνα καὶ χαρακτῆρα τῆς Ἐκκλησίας. καὶ πρὸς Κληδόνιον μέμφεται τὸν Πάπαν Δάμασον περὶ τοῦ Οὐϊταλίου ὡς ἡμαρτηκότα καὶ μεταμελούμενον. καὶ Ὁμιλίᾳ εἰς ἑαυτὸν ἐξ ἀγροῦ ἐπανήκοντα φησὶν, Ὡς ὄφελόν γε μὴ δὲ ἦν προεδρία μὴ δέ τις τόπου προτίμησις καὶ τυραννικὴ προνομία, ἵνα ἐξ ἀρετῆς μόνης γινωσκώμεθα, νῦν δὲ τὸ δεξιὸν καὶ ἀριστερὸν καὶ τὸ μέσον καὶ τὸ ὑψηλότερον καὶ τὸ χθαμαλώτερον πεποίηκε τὰ συντρίμματα ἡμῶν διακενῆς (τοῦτο δὲ οὐκ ἂν εἶπεν ὁ ἅγιος, εἰ ἦν τις ἐξουσία τῷ Ῥώμης παρὰ Χριστοῦ καὶ τοῦ Πέτρου) καὶ ἐν τῷ πρώτῳ στηλιτευτικῷ, Οὐκ ᾐδέσθης (Ἰουλιανὲ) τοὺς μεγάλους ἀνταγωνιστὰς, τὸν Ἰωάννην ἐκεῖνον, τὸν Πέτρον, τὸν Παῦλον, τὸν Ἰάκωβον, τὸν Στέφανον, τὸν Λουκᾶν, τὴν Μαρίαν, τὴν Θέκλαν. καὶ εἰς τὸν Ἀπολογητικὸν λέγει, ὅτι ὁ Ἱερεὺς ἐστὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Περὶ ἐγκωμίων Γρηγορίου Ἀλεξανδρείας, Θεοδοσίου τοῦ μικροῦ, Λέοντος τοῦ σοφοῦ καὶ Ἀνωνύμου εἰς Χρυσόστομον, καὶ Θεοδωρίτου εἰς τὸν αὐτὸν καὶ Βασίλειον τὸν μέγαν κατὰ παπιζόντων.

Γρηγόριος Ἀλεξανδρείας ἐν τῷ βίῳ τοῦ Χρυσοστόμου λέγει αὐτὸν τῆς Οἰκουμένης ἁπάσης Διδάσκαλον καὶ φωστῆρα, καὶ Τόμῳ ὀγδόῳ φύλλοις ἑκατὸν πεντηκονταοκτὼ καλεῖται ὁ αὐτὸς ἄλλος νέος Ἀπόστολος. καὶ ὁ μικρὸς Θεοδόσιος καλεῖ αὐτὸν Οἰκουμενικὸν Διδάσκαλον. Λέων ὁ σοφὸς ἐν τῷ πρὸς αὐτὸν ἐγκωμίῳ, ὁ κοινὸς τῆς Οἰκουμένης Ποιμήν. καὶ ὁ Ἀνώνυμος ἐν τῷ βίῳ αὐτοῦ λέγει αὐτὸν κοινὸν τῆς Οἰκουμένης προμηθέα καὶ προστάτην. καὶ ὁ Θεοδώριτος παρὰ Φωτίῳ ἀναγνώσει διακοσιοστῇ ἑβδομηκοστῇ τρίτῃ λέγει αὐτὸν, Τὸ τῆς Ἐκκλησίας στόμα, εὐσεβείας ἀνθρώπων ὀφθαλμόν. καὶ βιβλίῳ τεταρτῷ κεφαλαίῳ ἑβδόμῳ τῆς Ἐκκλησιαστικῆς ἱστορίας λέγει τὸν μέγαν Βασίλειον τῆς Οἰκουμένης φωστῆρα καὶ Διδάσκαλον

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ ἐγκωμίων Γρηγορίου Νύσσης εἰς Ἐφραὶμ τὸν Σύρον καὶ Μελέτιον Ἀντιοχείας κατὰ παπιζόντων.

Γρηγόριος ὁ Νύσσης ἐγκωμίῳ εἰς Ἐφραὶμ τὸν Σύρον λέγει αὐτὸν, Ὁ μέγας πατὴρ ἡμῶν καὶ τῆς Οἰκουμένης Διδάσκαλος Ἐφραίμ. ἐγκωμίῳ εἰς Μελέτιον Ἀντιοχείας λέγει, Ηὔξησεν ἡμῖν τὸν ἀριθμὸν

τῶν

τῶν Ἀποστόλων ὁ νέος Ἀπόστολος, ὁ συγκαταψηφισθεὶς μετὰ τῶν Ἀποστόλων. καὶ ἐν ἐπιταφίῳ Πλακιδίας τῆς Βασιλίσσης, Τῶν ἀγαθῶν ἡ ἁρμονία, ὁ τῆς πίστεως ζῆλος, ὁ τῆς Ἐκκλησίας στύλος, ὁ τῶν Θυσιαστηρίων κόσμος.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ ἐγκωμίων τῆς ἁγίας Ἐκκλησίας εἰς τοὺς ἁγίους πατέρας κατὰ παπιζόντων.

Ἡ ἁγία Ἐκκλησία ψάλλει Ἰουλίῳ ἐν τῷ Κοντακίῳ τῶν πατέρων, Τῶν Ἀποστόλων τὸ κήρυγμα καὶ τῶν πατέρων τὰ δόγματα τῇ Ἐκκλησίᾳ μίαν τὴν πίστιν ἐκράτυναν ἐκ τῆς ἄνωθεν Θεολογίας. καὶ Ὀκτωβρίῳ περὶ τῶν πατέρων, Τῆς μυστικῆς Σιὼν οἱ ἀκαθαίρετοι πύργοι, καὶ πολλὰ ἕτερα. καὶ Ἰαννουαρίου εἰκοστῇ πρώτῃ περὶ Μαξίμου, Ἐκκλησίας στύλος, ἔρεισμα τῆς πίστεως, ἀσάλευτος βάσις τῶν δογμάτων. καὶ Αὐγούστου δεκάτῃ τρίτῃ περὶ τοῦ αὐτοῦ, ὅτι ἐστὶ παμμέγιστος Ἱερέων, κρηπὶς, βάσις δογμάτων στήλη ὀρθοδοξίας οἱ λόγοι αὐτοῦ, πύργος ὀρθοδοξίας, καὶ ὅτι τὰ βάθη τῶν κριμάτων ἐξηρεύνησε. καὶ Ἰαννουαρίου εἰκοστῇ ἑβδόμῃ περὶ τοῦ Χρυσοστόμου, Ἐκκλησίας στήριγμα, πέτρα πίστεως ἄῤῥηκτος, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας. καὶ τριακοστῇ, Οἱ μετὰ τοὺς δώδεκα τρεῖς Ἀπόστολοι, εὐσεβείας πρόβολοι, ἐπίγειος τριάς. καὶ Αὐγούστου τρίτῃ, Ἔλυσας Ἀλέξανδρε Αἱρετικῶν τὰ ὀχυρώματα. καὶ Δεκεμβρίου ἕκτῃ, τὸν Νικόλον Στήριγμα τῶν πιστῶν, στύλον καὶ ἑδραίωμα τῆς Ἐκκλησίας, Καὶ, τὸν μέγαν Ἀρχιποίμενα. καὶ ἑβδόμῃ περὶ Ἀμβροσίου. Βάσις τῆς Ἐκκλησίας, ἔρεισμα Ἀρχιερέων, σοφὸς Ποιμενάρχης, Ὅρος ὀρθοδοξίας. καὶ Νοεμβρίου εἰκοστῇ τετάρτῃ περὶ Κλήμεντος Ῥώμης καὶ Πέτρου Ἀλεξανδρείας, Ἐκκλησίας ἄσειστοι πύργοι, εὐσεβείας στύλοι. Καὶ, Χαίροις Πέτρε ἡ πέτρα τῆς πίστεως. καὶ Ὀκτωβρίου πρώτῃ, Ἀρχιποίμην ὁ Ἀνανίας. καὶ Ἰαννουαρίου ὀκτωκαιδεκάτῃ, Ἀθανάσιος καὶ Κύριλλος Ποιμενάρχαι καὶ πρόεδροι τῆς Χριστοῦ Ἐκκλησίας. καὶ Ὀκτωβρίου εἰκοστῇ τρίτῃ, Ἀρχιποιμὴν καὶ Ποιμενάρχης, κοσμήτωρ τῆς ἀποστολικῆς χορείας, Θεάδελφος μαθητὴς, Ἀρχιερεὺς αὐτουργίᾳ τοῦ Λόγου χρισθεὶς πρωτόθρονος τῆς Ἐκκλησίας, φωστὴρ καὶ Ἱεράρχης πρώτιστος τῆς καινῆς Διαθήκης. καὶ Κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν, Ἰακώβῳ τῆς Ἐκκλησίας τὸν θρόνον παρέθου Χριστέ. καὶ Ὀκτωβρίου εἰκοστῇ τετάρτῃ Ποιμενάρχης λέγεται ὁ Ἀρέθας. καὶ Ἰουνίου δευτέρᾳ, ὁ ἅγιος Νικηφόρος πίστεως ἔρεισμα, Ἀποστόλων Διάδοχος, στερεὰ πέτρα, καὶ ἐπὶ πᾶσαν Ἄρχων τὴν οἰκουμένην, ᾠδῇ ἕκτῃ. καὶ Ἰουνίου τετάρτῃ ὁ Μητροφάνης Ἀποστόλων Διάδοχος, Ἐκκλησίας θεμέλιον, προεξάρχων τῆς Χριστοῦ Ἐκκλησίας, ἔρεισμα, στύλος, Κανὼν, τὸν Χριστοῦ θρόνον ἐκληρώσατο ἐπὶ γῆς, καὶ ὅτι ὡς ὁ Πέτρος ἐκήρυξε τὸν Υἱὸν τοῦ Θεοῦ ὁμοούσιον, καὶ ἡ Κωνσταντινούπολις ἀκροτάτη καθέδρα, καὶ πατὴρ πατέρων, καὶ ὡς Πέτρος Πέτρα ὁμολογίας, ἐν ᾗ ἔπηξεν ὁ Χριστὸς τὴν Ἐκκλησίαν αὐτοῦ. καὶ περὶ Εὐσεβίου Σαμοσάτων, ὅτι ἐστὶν Ἐκκλησίας ὀφθαλμὸς, Ποιμενάρχης, ὀρθοδοξίας στήλη, φωστὴρ τῆς Ἐκκλησίας. καὶ Φεβρουαρίου δωδεκάτῃ ὁ Ἀντιοχείας Μελέτιος τῶν Ἀποστόλων τὴν αὐθεντίαν καὶ τὸν θρόνον ἐκληρώσατο, προστάτης τῆς Συνόδου, ἤτοι τῆς δευτέρας.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ ἐγκωμίων τοῦ μεγάλου Ἰουστινιανοῦ εἰς Κύριλλον καὶ Προτέριον Ἀλεξανδρείας, Ἀθανάσιον τὸν μέγαν καὶ τὴν Βασιλείαν, καὶ τοῦ πλήθους τῶν Ἰουδαίων εἰς Πολύκαρπον, Ἰσιδώρου εἰς Χρυσόστομον καὶ Βασίλειον τὸν μέγαν, Σωφρονίου Ἱεροσολύμων εἰς Σέργιον Κωνσταντινουπόλεως, καὶ Ἱερωνύμου εἰς Ἐπιφάνιον κατὰ παπιζόντων.

Ἰουστινιανὸς ὁ μέγας ἐπιστολῇ πρὸς τὴν πέμπτην Σύνοδον τὸν Κύριλλον λέγει πανοσιώτατον, τὸν δὲ Ἀλεξανδρείας Προτέριον λέγει, ὁ μέγας Ἱερεὺς, τὸν δὲ ἅγιον Ἀθανάσιον, ὁ μέγας τῆς Ἐκκλησίας Διδάσκαλος. καὶ ἐν τῷ κατὰ Ὠριγένους λέγει τὸν Ἀλεξανδρείας ἀροτῆρα καὶ ἀμπελουργόν. καὶ Νεαρᾷ ἑκατοστῇ τριακοστῇ τρίτῃ, λέγει τὴν βασιλείαν κοινὴν πάντων ἀνθρώπων ἐπιστασίαν ἐκ Θεοῦ παραλαβοῦσαν συμφώνως Γρηγορίῳ τῷ δευτέρῳ, εἰπόντι ἐπιστολῇ πρὸς τὸν Ἴσαυρον, ὅτι ὁ Βασιλεὺς ἐστὶν κεφαλὴ τῶν Χριστιανῶν. Ἰουδαίων τε τὰ πλήθη καὶ τῶν ἐθνῶν ἐβόων περὶ Πολυκάρπου Σμύρνης, οὗτος ἐστὶ ὁ τῆς Ἀσίας Διδάσκαλος, ὁ πατὴρ τῶν Χριστιανῶν. ἐν ἐκείνῳ τῷ κεφαλαίῳ καλεῖται ὁ αὐτὸς ἀποστολικὸς καὶ προφητικὸς ἀνὴρ, Εὐσέβιος βιβλίῳ τετάρτῳ κεφαλαίῳ δεκάτῳ πέμπτῳ. καὶ βιβλίῳ τετάρτῳ κεφαλαίῳ δεκάτῳ τετάρτῳ λέγεται ὁ αὐτὸς χαρακτὴρ τῆς πίστεως καὶ τῆς ἀληθείας. Ἰσίδωρος τμήματι πρώτῳ ἐπιστολῇ ἑκατοστῇ πεντηκοστῇ ἕκτῃ περὶ Χρυσοστόμου, Ὁ γὰρ τῶν τοῦ Θεοῦ ἀπορρήτων σοφὸς ὑποφήτης Ἰωάννης, ὁ τῆς ἐν Βυζαντίῳ Ἐκκλησίας καὶ πάσης ὀφθαλμός. καὶ τμήματι πρώτῳ ἐπιστολῇ ἑξηκοστῇ πρώτῃ, Τοῦ θεοπεύστου πατρὸς ἡμῶν Βασιλείου. ὁ Ἱεροσολύμων Σωφρόνιος Σέργιον τὸν Κωνσταντινουπόλεως ἐν τῇ ἐπιστολῇ λέγει Δεσπότην πάντων. Ἱερώνυμος ἐν τῇ πρὸς Παμμάχιον ἐπιστολῇ λέγει τὸν Ἐπιφάνιον πατέρα τῶν Ἐπισκόπων, ὡς καὶ ὁ μέγας Ἀθανάσιος εἶπεν ὅσιον τὸν Κουδρούβης.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ ἐγκωμίων Μιχαὴλ Συγκέλλου εἰς τὸν Ἀρεοπαγίτην, Πολύκαρπον, Τῖτον καὶ Εὐστάθιον Ἀντιοχείας, καὶ Μαξίμου εἰς Σωφρόνιον καὶ Ἀρκάδιον κατὰ παπιζόντων.

Μιχαὴλ ὁ Σύγκελλος ἐγκωμίῳ εἰς τὸν Ἀρεοπαγίτην λέγει περὶ αὐτοῦ, ὅτι τῆς ἀποστολικῆς προεδρίας ὡς ἀληθῶς ἄξιος ἀνεδείχθη, καὶ Διδάσκαλος διδασκάλων, καὶ Ποιμὴν Ποιμένων, καὶ Παύλῳ παραπλήσιος, καὶ κορυφαῖός τις, καὶ ἄλλος Ἀπόστολος. καὶ περὶ Πολυκάρπου καὶ Τίτου λέγει, Τῶν τῆς ἁγιωτάτης Ἐκκλησίας θεμελίων. Ὁ αὐτὸς τὸν Εὐστάθιον Ἀντιοχείας κορυφαῖον τῶν ἐν Νικαίᾳ πατέρων εἶπε. Μάξιμος ὁ ὁμολογητὴς τί λέγει περὶ Σωφρονίου καὶ Ἀρκαδίου, ἴδε ἀνωτέρω βιβλίου ἑβδόμου κεφάλαιον ὄγδοον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ ἐγκωμίων Χρυσοστόμου εἰς Μάρτυρας, Πέτρον τὸν Ἀπόστολον, Ἀντιοχεῖς, Ἐπισκόπους καὶ Πρεσβυτέρους καὶ Παῦλον τὸν Ἀπόστολον, καὶ Κελεστίνου Πάπα εἰς Ἀττικὸν Κωνσταντινουπόλεως καὶ Ἀθανάσιον τὸν μέγαν, Φωτίου εἰς Ἡγήσιππον, Γελασίου εἰς τοὺς τῆς πρώτης Συνόδου πατέρας, καὶ Κυρίλλου εἰς Ἀθανάσιον τὸν μέγαν κατὰ παπιζόντων.

Χρυσόστομος Ὁμιλίᾳ, ὅτι ΘΕΟΣ Ὁ ΧΡΙΣΤΟΣ, τοὺς Μάρτυρας λέγει θησαυροὺς τῆς Ἐκκλησίας στύλους καὶ πύργους. καὶ Κολοσσαεῦσι κεφαλαίῳ δευτέρῳ, Χαίρω βλέπων ὑμῶν τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως. καὶ Ὁμιλίᾳ ἑβδομηκοστῇ ἑβδόμῃ εἰς τὸν Ματθαῖον, Πέτρε φιλεῖς με; ποίμαινε τὰ προβατάμου, καὶ τρίτον αὐτὸν ἐρωτήσας, τοῦτο ἔφησεν εἶναι φιλίας τεκμήριον. οὐ πρὸς Ἱερέας τοῦτο μόνον εἴρηται, ἀλλὰ καὶ πρὸς ἕκαστον ἡμῶν τῶν μικρὸν πεπιστευμένων ποίμνιον. καὶ Ὁμιλίᾳ εἰς Ματθαῖον ἑβδόμῃ ἔλεγε πρὸς Ἀντιοχεῖς, Ὑμεῖς ὅταν προεδρίας ᾖ λόγος, ἀξιοῦτε τῆς Οἰκουμένης προκαθῆσθαι πάσης, ἐπειδὴ πρώτη ἡ πόλις ἡμῶν τὸ τῶν Χριστιανῶν ἐδέξατο ὄνομα. καὶ ἐπιστολῇ πρὸς τοὺς ἐν Χαλκηδόνι ἐγκεκλεισμένους Ἐπισκόπους καὶ πρεσβυτέρους φησὶ, Παρακαλῶ κύριοί μου μεριμνᾶν ὑπὲρ τῶν κατὰ τὴν Οἰκουμένην Ἐκκλησιῶν. καὶ περὶ προσευχῆς λόγῳ πρώτῳ, ὅτι ὁ Παῦλος τῶν Ἀποστόλων Ἡγεμών. καὶ αὐτὸς δὲ πρόσθες, ὅτι Κελεστῖνος ὁ Πάπας ἐπιστολῇ πρὸς Κωνσταντινουπολίτας τὸν Κωνσταντινουπόλεως Ἀττικὸν λέγει Διδάσκαλον τῆς καθολικῆς πίστεως. καὶ ἐν τῇ πρὸς Κωνσταντινουπολίτας ἐπιστολῇ τὸν μέγαν Ἀθανάσιον ἀποστολικὸν καλεῖ. καὶ Φώτιος ἀναγνώσει διακοσιοστῇ πεντηκοστῇ δευτέρᾳ τὸν Ἡγήσιππον ἀποστολικὸν καλεῖ. καὶ ὁ Γελάσιος βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ πάντας τοὺς πατέρας τῆς πρώτης ἐν Νικαίᾳ Οἰκουμενικῆς Συνόδου ἀποστολικοὺς ἄνδρας καλεῖ. Κύριλλος ἐπιστολῇ πρὸς Ἰωάννην Ἀντιοχείας τὸν μέγαν Ἀθανάσιον λέγει, Τὸν ἀκριβῆ τῆς καθολικῆς Ἐκκλησίας καὶ πίστεως ἔκδικον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ ἐγκωμίων Παύλου Ἐμέσης εἰς τὸν μέγαν Ἀθανάσιον καὶ Θεόφιλον κατὰ παπιζόντων.

Παῦλος Ἐμέσης Ὁμιλίᾳ εἰς τὴν Ἀλεξάνδρειαν παρόντος Κυρίλλου, μέρει τρίτῳ Συνόδου τρίτης, τὸν ἅγιον Ἀθανάσιον καὶ τὸν Θεόφιλον καλεῖ στύλους τῆς ὀρθοδοξίας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'

Περὶ ἐγκωμίων εἰς Αὐτοκράτορας Ῥωμαίων, Αἰνίου εἰς Ποιητὰς, Στεφάνου Καρθαγένης εἰς Δάμασον, Συνόδου τῆς ἐν Χαλκηδόνι εἰς Λέοντα Ῥώμης, Κυρίλλου εἰς Κελεστῖνον, Χρυσοστόμου εἰς Ἰννοκέντιον, Κλήμεντος Ῥώμης εἰς τὸν Ἀδελφόθεον, Ἀθανασίου εἰς Ὅσιον, Συνόδου ἑβδόμης εἰς Νύσσης Γρηγόριον Ἐπιφαίνιον καὶ Χρυσόστομον, Θεοδώρου Στουδίτου εἰς τὸν Ἀλεξανδρείας καὶ Ἱεροσολύμων, Συνόδου τῆς ἐπὶ Καππάδοκος εἰς Καππάδοκα, καὶ ἄλλων εἰς τὸν αὐτὸν, καὶ τῆς ἐν Χαλκηδόνι Συνόδου εἰς τὸν Ῥώμης κατὰ παπιζόντων.

Ἁγιωτάτους ὠνόμαζον τοὺς Αὐτοκράτορας οἱ Ῥωμαῖοι διὰ τὸ ἀξίωμα τῆς Βασιλείας. καὶ ὁ Αἴνιος ἁγιωτάτους εἶπε τοὺς Ποιητὰς διὰ τὸ χάρισμα τῆς Ποιήσεως, ἦσαν ὅμως ἀληθῶς ἐναγεῖς διὰ τὴν ἀσέβειαν. Στέφανος ὅμως ὁ Καρθαγένης Ἐπίσκοπος ἐπιστολῇ πρὸς τὸν Ῥώμης Δάμασον, εἶπεν αὐτὸν πατέρα πατέρων. καὶ ἡ ἐν Χαλκηδόνι Σύνοδος ἐπιστολῇ εἰς τὸν Πάπαν Λέοντα, εἶπεν αὐτὸν πατέρα αὐτῆς. καὶ ὁ ἅγιος Κύριλλος ἐπιστολῇ πρὸς τὸν Ῥώμης Κελεστῖνον, εἶπεν αὐτὸν πατέρα. καὶ ὁ Χρυσόστομος ἐπιστολῇ πρὸς Ἰννοκέν-

Γνησκύτιον τὸν Πάπαν, εἶπεν αὐτὸν Δεσπότην αὐτῦ. ἀλλὰ καὶ ὁ Ῥώμης Κλήμης τὸν Ἀδελφόθεον γράφει Ἐπίσκοπον τῶν Ἐπισκόπων. καὶ ὁ μέγας Ἀθανάσιος ἐν τῇ δευτέρᾳ ὁμολογίᾳ Ὅσιον τὸν Ἐπίσκοπον Κυδρέβης εἶπε πατέρα τῶν Ἐπισκόπων. ἡ ἑβδόμη Σιωόδῳ πράξει ἕκτῃ Τόμῳ πέμπῳ, τὸν μὲν Νύσσης Γρηγόριον πατέρα πατέρων, τὸν δὲ Ἐπιφάνιον εἶπε πατέρα καὶ Διδάσκαλον τῆς καθόλου Ἐκκλησίας. καὶ πράξει τετάρτῃ ὁ Χρυσόστομος πατὴρ πατέρων καλεῖται, καὶ πράξει τρίτῃ οἰκουμενικὸς καὶ ἀποστολικὸς καλεῖται. Θεόδωρος ὁ Στουδίτης γράφων πρὸς τὸν Ἀλεξανδρείας, εἶπε, Τῷ παναγιωτάτῳ πατρὶ πατέρων καὶ φωτὶ τῶν φώτων, καὶ ἐπιστολῇ πρὸς τὸν Ἱεροσολύμων εἶπεν αὐτὸν πρῶτον Πατριάρχων. καὶ ἐν τῇ ἐπὶ τῆ Καππάδοκος Σιωόδῳ ἐρρέθη ὁ Κωνσταντινουπόλεως πατὴρ πατέρων καὶ οἰκουμενικὸς Πατριάρχης. καὶ ὁ Ῥώμης Ἀγαπητὸς ἐκλήθη ἐν Κωνσταντινουπόλει πατὴρ πατέρων καὶ Οἰκουμενικὸς Πατριάρχης. καὶ ὁ Ἀλεξανδρείας Κύριος τὸν Κωνσταντινουπόλεως Σέργιον εἶπε πατέρα πατέρων καὶ Οἰκουμενικὸν Πατριάρχην. ἐν Χαλκηδόνι Σιώοδος εἶπε τὸν Πάπαν Λέοντα Φύλακα τῆς ἀμπέλου, ἀλλὰ περὶ τούτου ἴδε αὐωτέρω βιβλίου τεταρτου κεφαλαίου πρώτου Παραγράφου εἰκοστὸν ὄγδοον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ πατριαρχικῆς κλήσεως τῶν οἰκουμενικῶν Σιωόδων καὶ Παπῶν εἰς τοὺς πάλαι ἁγίους, καὶ Πατριαρχῶν καὶ Παπῶν εἰς ἀλλήλους, καὶ ἐγκωμίων Σιωόδων εἰς Πατριάρχας καὶ τὴν Ἱερουσαλήμ.

Ἐν ταῖς οἰκουμενικαῖς Σιωόδοις μεμνημένοι οἱ πατέρες τῶν πάλαι ἁγίων, καὶ αὐτοὶ οἱ Πάπαι εἰς τὰς πρὸς τὰς Σιωόδους ἐπιστολὰς αὐτῶν λέγουσι, Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν. καὶ Κύριλλος ἐπιστολῇ πρὸς Μαξιμιανὸν τὸν Κωνσταντινουπόλεως τρίτῳ μέρει τῆς τρίτης Σιωόδου λέγει αὐτὸν πατέρα, ὡς εἶπε καὶ τὸν Κελεστῖνον. καὶ ἐπιστολῇ πρὸς Ἀκάκιον τὸν Βερροίας τὸν ἅγιον Ἀθανάσιον καὶ τὸν Θεόφιλον πατέρας αὐτοῦ καλεῖ. καὶ ὁ Ταράσιος ἐπιστολῇ πρὸς τοὺς Πατριάρχας τῆς Ἀνατολῆς πατέρας αὐτοῦ καλεῖ αὐτούς. καὶ ὁ Θεσσαλονίκης τοὺς ἑκατὸν πεντήκοντα, πατέρας αὐτοῦ καλεῖ. Χρυσόστομος πρὸς Τιμόθεον πρώτῃ κεφαλαίῳ δευτέρῳ φησὶν, Ὥσπερ κοινός τις ἐστὶ πατὴρ τῆς Οἰκουμένης ἁπάσης ὁ Ἱερεύς. καὶ ὁ Βασίλειος ὁμοίως ἐπιστολῇ τοῖς ἐν Δύσει ἀδελφοῖς λέγει, Ὁ τιμιώτατος πατὴρ ἡμῶν Ἀθανάσιος. καὶ ὁ Πάπας Ἀδριανὸς τῷ Ταρασίῳ γράφει, Ἡ σὴ σεπτὴ ὁσιότης καὶ σεπτοτάτη ἁγιωσύνη, βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ πρώτῳ Παραγράφῳ δεκάτῳ. καὶ αἱ ἐπὶ Φωτίου καὶ τῷ Φωτίου Σιωόδοι λέγουσι τοὺς Πατριάρχας Ἀρχιποίμνας, πατέρας πατέρων, Ἀρχιερεῖς μείζονες, κεφαλὰς τῆς Ἐκκλησίας, κριτὰς ὁμοτίμους, μεγάλους Ἀρχιποίμνας, τὴν Ἱερουσαλὴμ μητέρα πασῶν τῶν Ἐκκλησιῶν καὶ θρόνον τοῦ Χριστοῦ, καὶ ἴδε αὐωτέρω βιβλίου ἑβδόμου κεφάλαιον δέκατον τρίτον, καὶ τοῦ αὐτοῦ βιβλίου κεφαλαίου τετάρτου Παράγραφον πέμπτον, ἐν ᾧ λέγεται ἡ Ἱερουσαλὴμ, Τοῦ δεσπότου καὶ Σωτῆρος ἡ ἐν τοῖς ἁγίοις τόποις ἀποστολικὴ Ἀμφοχή. ἴδε καὶ τὴν ἐπὶ Μηνᾶ Σιώοδον αὐωτέρω βιβλίῳ πέμπτῳ, πῶς καλῶνται κοινῶς οἱ Πατριάρχαι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'

Περὶ κυριακῆς καὶ δεσποτικῆς κλήσεως Πατριαρχῶν εἰς Πατριάρχας Ἐπισκόπους καὶ Πρεσβυτέρους, καὶ Σιωόδων εἰς Πατριάρχας.

Κύριλλος γράφων τῷ Ἱερουσολύμων Ἰουβεναλίῳ καὶ τῷ Ἀντιοχείας Ἰωαννῆ καὶ τῷ Νικοπόλεως Δονάτῳ καὶ τῷ Βερροίας Ἀκακίῳ, Κυρίους αὐτοὺς καλεῖ, καὶ τῷ Κωνσταντινουπόλεως Μαξιμιανῷ γράφων, Δεσπότῃ ἐμῷ λέγει. ὁ Ἀντιοχείας Ἰωάννης τὸν Νεστόριον καὶ τὸν Κύριλλον Δεσπότας αὐτοῦ λέγει, μέρει πρώτῳ καὶ τείτῳ τῆς τείτης Σιωόδου. τῷ Ἱεροσολύμων Ἰωάννῃ γράφει ὁ Χρυσόστομος, Δέσποτά μου, καὶ ἐπιστολῇ ἑβδομηκοστῇ δευτέρᾳ φησὶν, Ὁ κύριός μου ὁ Πρεσβύτερος, καὶ ἐπιστολῇ Θεοδότῳ Ἐπισκόπῳ λέγει, Αὐτὸς ἦν κύριέ μου. ὁ Ἱεροσολύμων Ἀλέξανδρος τοῖς Ἀντιοχεῦσι γράφει, Κύριοί μου. καὶ ἐπιστολῇ πρὸς Ὠριγενῆ, τὸν Στρωματέα Κλήμεντα κύριον αὐτοῦ λέγει, ὡς Εὐσέβιος βιβλίῳ ἕκτῳ κεφαλαίῳ δεκάτῳ καὶ δεκάτῳ τετάρτῳ. ἡ πρώτη Σιώοδος ἐπιστολῇ πρὸς τοὺς Ἀλεξανδρεῖς τὸν Ἀλεξανδρείας Ἀλέξανδρον κύριον αὐτῆς καλεῖ. καὶ πράξει τείτῃ Σιώοδος ἑβδόμης οἱ Πατριάρχαι τῆς Ἀνατολῆς τὸν Ταράσιον Δεσπότην καὶ κύριον καλοῦσι.

ΠΑΡΑΓΡΑΦΟΝ Ις'.

Περὶ τῶν γραφόντων Παπῶν καὶ Πατριαρχῶν ἑαυτοὺς ἁπλῶς Ἐπισκόπους ἐν ταῖς πρὸς ἀλλήλους καὶ πρὸς τὰς Συνόδους ἐπιστολαῖς αὐτῶν.

960

Ἐν τῇ ὐν Χαλκηδόνι Συνόδῳ μέρει πρώτῳ, γράφει ὁ Πάπας Λέων τῷ Εὐτυχεῖ καὶ τῷ Κωνσταντινουπόλεως Φλαυϊανῷ, Λέων Ἐπίσκοπος. καὶ ἄλλοι Πάπαι ἄλλοις πολλοῖς ὕστερον γράφουσιν. ἀλλὰ καὶ ὁ Κωνσταντινουπόλεως Ἀτζικὸς γράφων τῇ ὐν Καρθαγένῃ ὑπὸ Αὐρηλίῳ Συνόδῳ, γράφει, Ἀτζικὸς Ἐπίσκοπος. καὶ μέρει πρώτῳ τῆς τείτης Συνόδου, Αὐτοκράτορες Θεοδόσιος καὶ Οὐαλεντιανὸς Κυρίλλῳ Ἐπισκόπῳ. καὶ τοῖς Κωνσταντινουπολίταις, Κυρίλλος Ἐπίσκοπος. Καὶ, τῷ συλλειτουργῷ Κυρίλλῳ Μαξιμιανὸς Ἐπίσκοπος. Καὶ, τῷ Κωνσταντινουπόλεως Μαξιμιανῷ Κυρίλλος Ἐπίσκοπος. καὶ ὐν τῇ τετάρτῃ Συνόδῳ Λέων (ὁ Ῥώμης) Φλαυϊανῷ Ἐπισκόπῳ. καὶ ὐν ταῖς Συνόδοις τείτῃ τεταρτῃ καὶ πέμπτῃ μυριάκις ὁ ἅγιος Κύριλλος μόνον Κύριλλος λέγεται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Ὅτι Πάπαι καὶ Πατριάρχαι τοὺς ἀλλήλους γράφοντες, μόνα τὰ αὐτῶν ὀνόματα τιθέασι, καὶ περὶ τῶν πώς ἔγραφον τοῖς Πάπαις καὶ Πατριάρχαις Σύνοδοι καὶ Βασιλεῖς καὶ ὁκάλων αὐτοὺς, καὶ πῶς ἀλλήλοις Πάπαι Πατριάρχαι καὶ Μητροπολῖται.

Οὐ καὶ μόνα τὰ ὀνόματα αὐτῶν ὑπογράφουσιν οἱ πατέρες πολλάκις, ὡς, τῷ Θεοφιλεσάτῳ πατρὶ Κελεστίνῳ Κυρίλλος. Καὶ, τῷ ἀγαπητῷ ἀδελφῷ Κυρίλλῳ Κελεστῖνος. Καὶ, τῷ συλλειτουργῷ κυρίῳ Κωνσταντίνῳ (ἤτοι τῷ Πάπᾳ) Ἰωάννης. Καὶ, τοῖς Ἀρμυρίοις Πρόκλος. τοὺς δὲ τοὺς Πάπας καὶ Πατριάρχας αὐτὲ Σύνοδοι καὶ Βασιλεῖς καὶ αὐτοὺς τοὺς ἀλλήλους Πάπαι Πατριάρχαι καὶ Μητροπολῖται γράφουσιν οὕτως, Ἡ ὐν Χαλκηδόνι Σύνοδος ἐπιστολὴ τοὺς τὸν Πάπαν γράφει, Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ. καὶ Ἰωάννης ὁ Κωνσταντινουπόλεως τὸν Ῥώμης Κωνσταντῖνον, καὶ ὁ Φώτιος Νικόλαον τὸν πρῶτον, καὶ ἕτεροι τὸν Ῥώμης γράφουσιν ἁγιώτατον καὶ μακαριώταται. ἀλλὰ καὶ ὁ Ἰουστινιανὸς καὶ Ἡράκλειος καὶ Λέων ὁ σοφὸς καὶ Κωνσταντῖνος ὁ Πωγωνάτος καὶ ἄλλοι πολλοὶ Αὐτοκράτορες καὶ ἡ ὑπὸ τὸ Καππάδοκος Σύνοδος τοὺς Κωνσταντινουπόλεως Πατριάρχας ἁγιωτάτους καὶ μακαριωτάτους γράφουσιν, ὁδὲ Ἰουστινιανὸς καὶ θειοτάτους. καὶ πράξει ἑβδόμῃ τῆς ἕκτης Συνόδου ὁ Κωνσταντινουπόλεως παναγιώτατος καὶ οἰκουμενικὸς Πατριάρχης καλεῖται, καὶ πράξει δεκάτῃ τείτῃ Θεοτίμητος Δεσπότης καὶ ἀγαθὸς Ἀρχιποίμην. καὶ εἰς τὸν πρεσφωνητικὸν αὐτῆς λέγει περὶ τοῦ Κωνσταντινουπόλεως, Γεωργίου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου Πατριάρχου. καὶ ὐν τῇ ὑπὸ Μηνᾶ Συνόδῳ ἐρρέθη, Πρεσβεύοντος τοῦ Δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου Ἀρχιεπισκόπου καὶ Πατριάρχου Μηνᾶ. καὶ ὐν τῇ ὐν Ἱεροσολύμοις Συνόδῳ ἐρρέθη, Πρεσβεύοντος τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου Ἀρχιεπισκόπου καὶ Πατριάρχου Πέτρου. ὁ Κύριλλος τὸν Κωνσταντινουπόλεως Μαξιμιανὸν ἁγιώτατον γράφει, καὶ ὁ Νεσόριος τὸν Κύριλλον. καὶ Βασιλεῖος ἐπιστολῇ ὡς τοὺς Δυτικοὺς τὸν Καισαρείας Ἑρμογένην μακαριώτατον λέγει. καὶ Ἐπιφάνιος Αἱρέσει ἑξηκοστῇ ὀκτάτῃ, Τῷ ἁγιωτάτῳ Πάπᾳ Ἀλεξάνδρῳ. καὶ ὐν ταῖς ὑπογραφαῖς τῆς ὑπὸ Μηνᾶ Συνόδου, Ἡράκλειος ἐλέῳ Θεοῦ Διάκονος καὶ Ἀποκρισιάριος τοῦ ἁγιοπολιτῶν καθέδρας καὶ τοῦ τὰ πάντα ἁγιωτάτου καὶ μακαριωτάτου Πατριάρχου Ἐφραίμ. Καὶ, Σαβῖνος ἐλέῳ Θεοῦ Διάκονος τῆς ἁγίας τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Ἀναστάσεως, πληρῶν τὰς ἀποκρίσεις Πέτρου τοῦ ἁγιωτάτου Πατριάρχου Ἱεροσολύμων. καὶ ὁ ἅγιος Σωφρόνιος τὸν Σέργιον, Δεσπότῃ πάντων ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀδελφῷ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Οὐχὶ πάντες; οὐδὲ ποτὲ τὸν Ῥώμης καὶ τοὺς ἄλλους Πατριάρχας ἁγιωτάτους ἢ μακαριωτάτους γράφουσιν, ἀλλὰ Ὁσιφόρους.

Οὐ πάντες, ἢ ποτὲ τὸν Ῥώμης, ἢ τοὺς ἄλλους Πατριάρχας ἁγιωτάτους, ἢ μακαριωτάτους γράφουσι. Κυρίλλος, Τῷ ὁσιωτάτῳ καὶ Θεοφιλεσάτῳ πατρὶ Κελεστίνῳ. Τῷ ἀγαπητῷ ἀδελφῷ Κυρίλλῳ Κελεστῖνος. Κυπριανὸς τῷ ἀδελφῷ Κορνηλίῳ χαίρειν. Καὶ, Κυπριανὸς καὶ οἱ ὀπαδοὶ Στεφάνῳ τῷ ἀδελφῷ ὐν Κυρίῳ χαίρειν. Καὶ, ἀγαπητῷ ἀδελφῷ Σιρικίῳ Πάπᾳ Ἀμβρόσιος Ἐπίσκοπος καὶ οἱ λοιποὶ χαίρειν. Χρυσόστομος, Τῷ ἀοιδιμωτάτῳ καὶ Θεοφιλεσάτῳ Ἰννοκεντίῳ. Καὶ, Κυρίῳ ἀδελφῷ καὶ συλλειτουργῷ Λιβερίῳ Εὐσέβιος Θεόδωρος καὶ Σιλβανός. ἡδυτέρα οἰκουμενικὴ Σύνοδος ὑπὸ τῷ ὐν Ῥώμῃ Συνόδου, Κυρίοις ὁλοθεσάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς Δαμάσῳ Ἀμβροσίῳ Βρύωνι καὶ τοῖς λοιποῖς ἁγίοις Ἐπισκόποις. Τοῖς Θεοφιλεσάτοις καὶ ὁσιωτάτοις καὶ τῷ Ἰταλίαν καὶ Γαλλίαν Ἐπισκόποις Βασίλειος καὶ Εὐσέβιος. καὶ ὐν τῇ τετάρτῃ Συνόδῳ, Τοῖς τὰ πάντα Θεοφιλεσάτοις ἁγίοις πατράσι Λέοντι Ἀνατολίῳ καὶ Μαξίμῳ. Κυρίῳ μου ἀγαπητῷ Δόμνῳ Κύριλλος. Τῷ ὁσιωτάτῳ Θεοφιλεσάτῳ καὶ συλλειτουργῷ Δόμνῳ Πρόκλος. ἴδε καὶ ἀνωτέρω κεφαλαίῳ τείτῳ Παραγράφου δύο.

ΠΑΡΑΓΡΑΦΟΝ ιθ'.

Περὶ τῦ ἁπόντος πρώτου τῆς Κωνσταντινυπόλεως Παναγιώτατου, ὁ ταὐτόν ἐστι τῷ Τὰ πάντα ἁγιωτάτῳ. καὶ ὅτι καὶ οἱ λοιποὶ τῶν Πατριαρχῶν Παναγιώτατοι ἐρρέθησαν.

Τὸ ΠΑΝΑΓΙΩΤΑΤΟΣ εὕρημα ἔπε πρῶτος ὁ Ἀντιοχείας Μακάριος ὁ Αἱρεσιάρχης ἐν τῇ αὐτῇ Συνόδῳ περὶ Σεργίου Κωνσταντινυπόλεως. ὅθεν ἐν τῇ αὐτῇ Συνόδῳ ἐρρέθη καὶ ὁ Κωνσταντινυπόλεως Γεώργιος Παναγιώτατος, δοκεῖ δὲ εἶναι ταὐτὸν τῷ τὰ πάντα ἁγιωτάτῳ, ὡς ἔγραφεν ὁ Ταράσιος. Τῷ τὰ πάντα ἁγιωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ Ἀδριανῷ Πάπᾳ Ῥώμης. καὶ ὁ Φώτιος, Τῷ τὰ πάντα ἁγιωτάτῳ ἱερωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ Νικολάῳ Πάπᾳ Ῥώμης, καὶ ἄλλοι πολλοὶ οὕτω πολλοῖς ἔγραψαν. ἀπαύτοτε δὲ λέγεται ὁ Κωνσταντινυπόλεως Παναγιώτατος, ὅθεν οἱ Ἀρχιερεῖς τῆς Ἀνατολῆς, Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ Κυρίῳ καὶ Δεσπότῃ Ταρασίῳ. Καὶ, Φωτίῳ τῷ ἁγιωτάτῳ Πατριάρχῃ Κωνσταντινυπόλεως, ἴδε καὶ ἐν τῷ Συνοδικῷ τῆς ὀρθοδοξίας. Καὶ, Προκαθημένῳ τῷ ἁγιωτάτῳ ἡμῶν Δεσπότῃ καὶ Οἰκουμενικῷ Πατριάρχῃ Μιχαήλ. Καὶ, Προκαθημένῳ τῷ ἁγιωτάτῳ ἡμῶν Δεσπότῃ καὶ Οἰκουμενικῷ Πατριάρχῃ Λεοντί. καὶ ἐν ταῖς κατὰ Βαφλαὰμ Συνόδοις ὁ Κωνσταντινυπόλεως ἁγιώτατος Πατριάρχης καλεῖται. Οὐ μόνον δὲ ὁ Κωνσταντινυπόλεως καλεῖται Παναγιώτατος, ἀλλὰ καὶ ὁ Ἀλεξανδρείας Παναγιώτατος καλεῖται ὑπὸ τῦ Στουδίτου, ὡς αὐτέρω βιβλίῳ ἑβδόμῳ. ἐν τῇ Συνόδῳ τῇ ἐν τῇ Παμμακαρίστῳ, τῇ ἐπακισχιλιοστῷ ἑκατοστῷ πρώτῳ ἔτει ἀθροισθείσῃ, ὁ Κωνσταντινυπόλεως Ἱερεμίας, ὁ Ἀντιοχείας Ἰωακείμ καὶ ὁ Ἱεροσολύμων Σωφρόνιος Παναγιώτατοι ἐρρέθησαν, καὶ ἴδε τὸν συνοδικὸν Τόμον αὐτῶν. Ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ δεκάτῳ ἕκτῳ, Παναγιώτατος καλεῖται ὁ Ἱεροσολύμων Θεοφάνης ἐν τῇ ἀποδημίᾳ αὐτῦ εἰς Μοχοβίαν. ἴδε αὐτέρω βιβλίῳ ἑβδόμῳ κεφάλαιον ὕστατον, ὅπου ὁ Ἱεροσολύμων Εὐθύμιος καὶ ὁ Ἀρσένιος Παναγιώτατοι καλοῦνται. Τῷ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ δευτέρῳ ἔτει ὁ Ἀλεξανδρείας Ἰωαννίκιος ὁ Ἱεροσολύμων Παΐσιον Παναγιώτατον γράφει.

ΠΑΡΑΓΡΑΦΟΝ κ'.

Οὐχ ἁπλῶς ὁ τῆς Ῥώμης θρόνος ἀποστολικὸς λέγεται, ἀλλὰ καὶ οἱ λοιποὶ τῶν Πατριαρχῶν θρόνοι, μαρτυρουσῶν τῆς ἕκτης καὶ ἑβδόμης τῶν συνόδων καὶ τῆς ἐν Φλωρεντείᾳ.

Ἡ Ῥώμη λέγεται ἀποστολικὸς θρόνος καὶ ἀποστολικὴ καθέδρα. Ἀλλὰ ῥητέον, ὡς οἱ λοιποὶ πατριαρχικοὶ θρόνοι ἀποστολικοὶ θρόνοι λέγονται Συνόδου ἕκτης πράξει δεκάτῃ ἕκτῃ, Θεόδωρος Διάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τῦ Θεῦ καθολικῆς καὶ ἀποστολικῆς μεγάλης Ἐκκλησίας. καὶ πράξει δεκάτῃ ἑβδόμῃ, Πέτρος Πρεσβύτερος καὶ Τοποτηρητὴς τῦ ἀποστολικῦ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. Γεώργιος Πρεσβύτερος ἐπέχων τὸν τόπον Θεοδώρου Πρεσβυτέρου καὶ Τοποτηρητῦ τῦ ἀποστολικῦ θρόνου τῆς ἁγίας τῦ Θεοῦ καὶ Θεῦ ἡμῶν Ἀναστάσεως πόλεως Ἱεροσολύμων. ἐν τῇ αὐτῇ πράξει, Ἐγένετο ἀπόφασις ἵνα πεμφθῶσι συνοδικὰ γράμματα τῷ ἀποστολικῷ θρόνῳ τῷ ἁγίᾳ κορυφαίᾳ τῶν Ἀποστόλων Πέτρου, καὶ τῷ θρόνῳ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς μεγάλης Ἐκκλησίας Κωνσταντινυπόλεως, καὶ τῷ ἀποστολικῷ θρόνῳ τῦ Εὐαγγελιστῦ Μάρκου. Καὶ Συνόδου ἑβδόμης πράξει πρώτῃ, Ἰωάννου καὶ Θωμᾶ τῶν διλαβεστάτων Πρεσβυτέρων καὶ Τοποτηρητῶν τῶν ἀποστολικῶν θρόνων τῆς Ἀνατολικῆς Διοικήσεως. Καὶ ἐν τῇ ὑπογραφῇ τῦ Ὄρους, Ἰωάννης Πρεσβύτερος καὶ Τοποτηρητὴς τῶν ἀποστολικῶν θρόνων τῆς Ἀνατολῆς. Καὶ, Ἰωάννης καὶ Θωμᾶς Πρεσβύτεροι καὶ Μοναχοὶ, καὶ τὸν τόπον ἐπέχοντες τῶν ἀποστολικῶν θρόνων τῆς Ἀνατολικῆς Διοικήσεως. Καὶ πράξει ὀγδοηκοστῇ τῆς αὐτῆς Συνόδου, Κωνσταντῖνος Ἀρχιδιάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τῦ Θεῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας. καὶ ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ συνελθούσῃ δεκάτῃ ἑβδόμῃ, Ἀντώνιος καὶ Γρηγόριος Τοποτηρηταὶ τῆς ἀποστολικῆς καθέδρας Ἀλεξανδρείας. Ὁ Ῥωσίας καὶ Ἐφέσου Τοποτηρηταὶ τῆς ἀποστολικῆς καθέδρας Ἀντιοχείας. Ὁ Μονεμβασίας Τοποτηρητὴς τῆς ἀποστολικῆς καθέδρας Ἱεροσολύμων. καὶ συνελθούσῃ δεκάτῃ ἑβδόμῃ, Οὐρβανὸς Καρδηνάλις ἀποστολικὰς καθέδρας φησὶ τὰς πατριαρχικὰς θρόνους. καὶ ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ μέρει τρίτῳ, ὁ θρόνος Ἀλεξανδρείας θρόνος εὐαγγελικὸς ἐρρέθη, καὶ ἐν τῷ ὅρῳ ὁμοίως. ὁμοίως οἱ πατριαρχικοὶ θρόνοι μεγάλοι λέγονται θρόνοι, ὡς ἴδε αὐτέρω βιβλίῳ πέμπτῃ κεφαλαίῳ εἰδεκάτῳ Παράγραφον δέκατον ἕνατον. καὶ καθολικοὶ θρόνοι, καὶ ἴδε βιβλίῳ ἕκτῳ κεφαλαίῳ δεκάτῳ ὀγδόῳ Παράγραφον δέκατον τρίτον, καὶ βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ πρώτῳ Παράγραφον δέκατον τρίτον. ἴδε καὶ κεφάλαιον ὄγδοον βιβλίῳ τῷ αὐτῷ περὶ ἐγκωμίων Ἀθηναίου, Ταρασίου, Νικηφόρου καὶ τῦ Στουδίτου, ὡς κεφαλαίῳ δεκάτῳ τρίτῳ Παράγραφον δέκατον.

Παρά

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Ὅτι οὐ μόνον ὁ τῆς Ῥώμης θρόνος προσκυνητὸς εἴρηται, ἀλλὰ καὶ οἱ λοιποὶ τῶν Πατριαρχῶν θρόνοι, καὶ αὐτὸς ὁ Καρθαγένης σὺν τῇ Συνόδῳ.

Περὶ τῆς ἕκτης Συνόδου γράφει ὁ Πάπας Λέων ὁ δεύτερος πρὸς τὸν Βασιλέα, Καὶ γὰρ ἐπέγνωμεν ὅτι ἡ ἁγία καὶ μεγάλη καὶ Οἰκουμενικὴ ἕκτη Σύνοδος, ἥτις κατὰ Θεοῦ χάριν τῷ βασιλικῷ προστάγματι εὔαγχος ἐν τῇ βασιλίδι συνηθροίσθη πόλει, καὶ διὰ τῆς ἡμετέρας τάξεως οὗτος ὁ προσκυνητὸς καὶ ἀποστολικὸς θρόνος ὁμογνωμόνως τε καὶ ὁμοψύχως τοῖς παραὐτοῖς ὁρισθεῖσι συναινεῖ, καὶ τῇ αὐθεντίᾳ τοῦ μακαρίτου Πέτρου βεβαιοῖ. ἀλλὰ δὴ καὶ Σύνοδος ἡ ἐν Καρθαγένῃ ἐν τοῖς προοιμίοις, Καὶ μὴ μόνον πρὸς τὸν Κωνσταντινουπόλεως Ἐπίσκοπον, ἀλλὰ καὶ τὸν Ἀλεξανδρείας καὶ Ἀντιοχείας τοὺς προσκυνητοὺς Ἱερεῖς. καὶ Κανόνι ὀγδοηκοστῷ ἕκτῳ, ὁ προσκυνητὸς Ἐπίσκοπος ὁ ἐν τῷ θρόνῳ τούτῳ προκαθήμενος. καὶ Κανόνι ἑκατοστῷ τρίτῳ, Ἐν ταῖς Εἰδοῖς γενομένην προσκυνητὴν Σύνοδον. καὶ Κανόνι ἑκατοστῷ τριακοστῷ ὀγδόῳ ἐν τῇ πρὸς Κελεστῖνον Ῥώμης ἐπιστολῇ αὐτῆς, Καὶ παρὰ τοῦ προσκυνητοῦ Ἀττικοῦ τοῦ ἐν Κωνσταντινουπόλει Ἐπισκόπου. ἴδε καὶ κατωτέρω μέρους τρίτου κεφάλαιον ἕβδομον περὶ τῶν Συνόδων τῆς χωρικῆς, καὶ τῆς Ἐπαρχίας κεφάλαιον ὄγδοον.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΒ'.

Ὅτι οὐδὲ αὐτὴ ἡ δοῦλος τῶν δούλων τοῦ Θεοῦ ἐπιγραφὴ τοῦ Ῥώμης ἐνέμεινεν ἰδίως αὐτῷ μόνῳ λέγεσθαι, ὅθεν οὐδὲν ὄνομα ἰδίως ἔχει ὡς ὢν ἰσάξιος τοῖς Ἐπισκόποις.

Ὁ Ῥώμης γράφεται Δοῦλος τῶν δούλων τοῦ Θεοῦ. ἀλλὰ καὶ Στυλιανὸς Ἐπίσκοπος γράφων τῷ Ῥώμης Στεφάνῳ, γράφεται Δοῦλος τῶν δούλων τοῦ Θεοῦ ἐν τῇ κατὰ Φωτίου Συνόδῳ ἐν τῷ τέλει. καὶ αὐτέρω βιβλίου ἕκτου κεφαλαίου ἑβδόμου Παραγράφῳ ὀγδόῳ, Μαῦρος ὁ Ῥαβέννης οὕτως ἐπιγράφεται. καὶ σημείωσαι ὅτι οὐδὲν ὄνομα ἔμεινεν ἰδίως λέγεσθαι ἢ μόνως τῷ Ῥώμης, ἀλλὰ ἐξίσου λέγονται πᾶσι τοῖς ἁγίοις πατράσιν, ἐπειδὴ ἡ αὐτὴ τιμὴ καὶ ἀξία ἐξίσου ἐστὶν ἐν πᾶσιν αὐτοῖς.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΓ'.

Περὶ ἀνθυποφορᾶς παπιστῶν, ὅτι ἡ Ῥώμη ἀπολελυμένως ἀποστολικὴ καθέδρα λέγεται, καὶ περὶ τῆς ἀνατροπῆς αὐτῆς ἀπὸ τῆς γραφῆς καὶ τῶν Κανόνων καὶ τῆς παραδόσεως καὶ πράξεως τῆς Ἐκκλησίας καὶ τῶν πατέρων καὶ τῶν Οἰκουμενικῶν Συνόδων καὶ Σακρῶν, καὶ περὶ ἕξ τινῶν ἐν τῇ ἀποστολικῇ θεωρουμένων καθέδρᾳ, ἐξ ὧν δείκνυται μηδὲν τοὺς παπιστὰς ὠφεληθῆναι τῷ ἐπιχειρήματι τῆς καθέδρας.

Ἀνθυποφέρουσιν οἱ ἑτερόδοξοι, ἤτοι οἱ παπισταὶ, ὅτι ἡ Ῥώμης λέγεται ἀπολελυμένως ἀποστολικὴ καθέδρα, ἐξ οὗ δῆλον γίνεται ὅτι πρώτη ἐστὶν οὐ μόνον κατὰ τάξιν ἀλλὰ καὶ κατ' ἐξουσίαν. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι περὶ τούτων καὶ τῶν τοιούτων Τίτλων οὐ βλέπομεν τὶ λέγουσιν ὁ δεῖνα, καὶ ὁ δεῖνα, ἀλλὰ τὶ λέγουσιν ἡ γραφὴ οἱ Κανόνες καὶ ἡ παράδοσις καὶ πρᾶξις τῆς καθολικῆς Ἐκκλησίας, καὶ κοινῶς οἱ ἔγκριτοι ἅγιοι πατέρες καὶ αἱ Οἰκουμενικαὶ Σύνοδοι, ὡς εἴρηται ἐν τούτῳ τῷ κεφαλαίῳ καὶ ῥηθήσεται ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ πέμπτου μέρους, ὅπου καὶ πάντα ὅ,τι λέγεται ὁ Ῥώμης λέγονται καὶ οἱ λοιποὶ πατέρες, οὐ μόνον οἱ Πατριάρχαι, ἀλλὰ καὶ Μητροπολῖται καὶ Ἐπίσκοποι. δεύτερον, οἱ ἅγιοι πατέρες ἀπὸ τῶν Ἀποστόλων ἕως τῆς τρίτης οἰκουμενικῆς οὐκ εἶπον τὸν Ῥώμης ἄλλως, ἀλλ' ἢ ὡς τοὺς λοιποὺς πατέρας, ὡς παρίστωσι τὰ πρακτικὰ τῶν Συνόδων καὶ τὰ συγγράμματα τῶν ἁγίων πατέρων καὶ αἱ Σάκραι τῶν Αὐτοκρατόρων καὶ τὰ ἤδη διαληφθέντα κεφάλαια. τρίτον, ἐν τῇ τρίτῃ Οἰκουμενικῇ Συνόδῳ πρῶτοι οἱ Λεγᾶτοι τοῦ Ῥώμης εἶπον Ἀποστολικὴν καθέδραν, κατὰ προσπάθειαν μέντοι. γράφων δὲ ὁ μέγας Ἰουστινιανὸς τῷ πληρώματι τῆς καθολικῆς Ἐκκλησίας, λέγει, Πλὴν κἀκεῖνο δεῖ προσέχειν τοὺς τὴν ἀλήθειαν ἐρευνῶντας, ὅτι πολλάκις τινὰ ἐν ταῖς Συνόδοις παρά τινων ἐν αὐταῖς εὑρισκομένων λέγεται ἢ καὶ προσπάθειαν, ἢ κατ' ἐναντίωσιν, ἢ καὶ ἄγνοιαν, οὐδεὶς δὲ προσέχει τοῖς κατὰ μέρος παρά τινων λεγομένοις, ἀλλὰ μόνοις τοῖς κατὰ κοινὴν συναίνεσιν παρὰ πάντων ὁριζομένοις, εἰ γὰρ κατ' ἐκείνους βουληθείη τὶς προσέχειν ταῖς τοιαύταις ἐναντιώσεσιν, ἑκάστη Σύνοδος εὑρίσκεται ἑαυτὴν ἀνατρέπουσα. τέταρτον, λεγομένης ἀποστολικῆς καθέδρας, ἕξ τινὰ θεωρητέον, πρῶτον, ὅτι ἀποστολικὴ καθέδρα καὶ ἀποστολικὸς θρόνος ταὐτόν ἐστι, καὶ ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίου ἑνδεκάτου Παράγραφον δέκατον. δεύτερον, ὅτι ἀποστολικὴν καθέδραν λέγουσιν ὡς ἐπιτοπλεῖστον οἱ Ῥωμαῖοι κατ' ἰδιότητα ἴσως τῆς ἰταλικῆς γλώττης, σπανίως δὲ τοῦτο λέγουσιν οἱ Ἀνατολικοὶ, ἐπειδὴ ἐν χρήσει ἔχουσι τὸ, ἀποστολικὸς θρόνος. τρίτον, οἱ

ἅγιοι

ἅγιοι πατέρες οὐδέποτε εἶπον ἀπολελυμένως ἀποστολικὸν θρόνον, ἢ ἀποστολικὴν καθέδραν, ἀλλὰ πάντοτε μετὰ προσθήκης, δηλοῦντες προφανῶς τὸν Πατριαρχικὸν θρόνον περὶ οὗ ὁ λόγος. τέταρτον, εἰ ἐλέγετο ἁπλῶς ἀπολελυμένως ἀποστολικὴ καθέδρα ἡ Ῥώμη, καὶ ἐδήλου τινὰ ἰδικὴν ἐξουσίαν, πάντως οὕτως ἂν ἔλεγον αὐτὴν καὶ οἱ Τοποτηταὶ τοῦ Ῥώμης, καὶ κοινῶς οἱ ἅγιοι πατέρες, καὶ οἱ Αὐτοκράτορες, καὶ ὅμως οὐ πάντοτε λέγουσιν αὐτὴν οὕτως, ἀλλ' ἀποστολικὴν καθέδραν, ἀποστολικὸν θρόνον, ῥωμαϊκὴν Ἐκκλησίαν, πρεσβυτέραν Ῥώμην, καὶ ἄλλως. οὕτω δὲ λέγονται καὶ οἱ λοιποὶ Πατριαρχικοὶ θρόνοι. πέμπτον, οἱ Ἀρχιερατικοὶ τῆς Ἀνατολῆς θρόνοι, καίτοι ἰσότιμοι ὄντες τῷ ῥωμαϊκῷ θρόνῳ, ἀλλ' οὐκ ἐκάλουν ἑαυτοὺς ἀεὶ θρόνους καὶ καθέδρας ἀποστολικοὺς, ἢ διὰ τὸ σύνοικον μέτριον ἀρχαῖον καὶ πάτριον φρόνημα, ἢ διότι πολλῶν ὄντων θρόνων, εἰ ἦν ὁ λόγος περὶ ἑνὸς, καὶ ἐλέγετο ἀπολελυμένως, οὐκ ἦν φανερὸν περὶ ποίου ἦν ὁ λόγος. εἰ δὲ ἦν περὶ τῶν τριῶν, εἰ μὴ ἐλέγετο καὶ ἡ προσθήκη τῆς Ἀνατολῆς, ἀναμφιβόλως ἐνοεῖτο ὁ λόγος καὶ περὶ τῶν πέντε Πατριαρχικῶν θρόνων, ὅθεν εἰ ἐν τῇ Δύσει ἦν καὶ ἕτερος θρόνος Πατριαρχικὸς, οὐκ ἂν ἐλέγετο ἡ Ῥώμη ῥᾳδίως ἀποστολικὴ καθέδρα. ἕκτον, ὅπου ἐῤῥέθη ἡ Ῥώμη ἀποστολικὸς θρόνος καὶ ἀποστολικὴ καθέδρα, οὐκ ἐῤῥέθη ἁπλῶς ἀπολελυμένως, ὡς συκοφαντοῦσι τοὺς εἰπόντας οἱ Λατῖνοι, ἀλλὰ μετὰ προσθήκης, ὥστε ἢ συνημμένως τῇ λέξει, ἢ πρὸ τῆς λέξεως, ἢ μετὰ τὴν λέξιν συνεξακούεσθαι τὸν θρόνον τῆς Ῥώμης, καὶ ἄθρει. Εἶπον, ὡς ἔφημεν, πρῶτον οἱ Λεγᾶτοι, ὁ ἅγιος Πάπας ἡμῶν, ὁ τῆς ἀποστολικῆς καθέδρας Ἐπίσκοπος, ὅπερ ταὐτόν ἐστι τῷ, ὁ Πάπας ὁ Ἐπίσκοπος τῆς καθ' ἡμᾶς ἀποστολικῆς καθέδρας. ὅθεν ὁ ἅγιος Κύριλλος ἐν τῷ αὐτῷ τόπῳ εἰπὼν τοῦ τῆς ἀποστολικῆς καθέδρας Ἐπισκόπου, ἐπήγαγε, τῆς Ῥωμαίων Κελεστίνου, ὅπερ ταὐτόν ἐστι τῷ, Κελεστίνου Ἐπισκόπου τοῦ ῥωμαϊκοῦ θρόνου, ὡσανεὶ ἔλεγεν, εἰσὶ καὶ ἄλλαι ἀποστολικαὶ καθέδραι, ὁ δὲ λόγος ἐστὶ περὶ τῆς ἐν Ῥώμῃ καθέδρας. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δῆλον, ὁ γὰρ Ἱεροσολύμων Ἰουβενάλιος καὶ ὁ εἷς Λεγᾶτος τοῦ Πάπα οὐκ εἶπον ἐν τῷ αὐτῷ τόπῳ ἀποστολικὴν καθέδραν, ἀλλὰ τοῦ ἁγιωτάτου Ἐπισκόπου τῆς Ῥωμαίων ἁγιωτάτης Ἐκκλησίας. καὶ ὁ Ἐφέσου Μέμνων ἐν τῇ τρίτῃ πράξει ἔφη, Τῆς ἀποστολικῆς καθέδρας τῆς μεγάλης Ῥώμης, ἴδε καὶ ἀνωτέρω ἐν τῷ τρίτῳ βιβλίῳ τὸν τόπον τῆς Συνόδου. ἔτι ἐν τῇ τετάρτῃ πράξει τῆς αὐτῆς Συνόδου ὁ Ἱεροσολύμων Ἰουβενάλιος θέλων εἰπεῖν περὶ τοῦ Ῥώμης καὶ τοῦ Ἱεροσολύμων, εἶπε καὶ τοὺς δύο θρόνους ἐξίσου ἀποστολικοὺς, καὶ ἴδε κατωτέρω μέρους τρίτου κεφαλαίου τρίτου τμήματος τετάρτου Παράγραφον ὄγδοον. ἀλλαμὴν καὶ ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ, ὅπου ἐῤῥέθη ἀποστολικὴ καθέδρα ἡ Ῥώμη παρά τινων, ἐῤῥέθη μετὰ προσθήκης ἢ τοῦ προέδρου, ἢ τοῦ Πάπα, ἢ τοῦ Ἀρχιεπισκόπου τῆς μεγάλης, ἢ τῆς πρεσβυτέρας Ῥώμης, ἢ συνημμένως, ἢ ἡγουμένως, ἢ ἑπομένως. ὁ δὲ θρόνος Ἀλεξανδρείας ἐῤῥέθη θρόνος εὐαγγελικὸς, μεῖζον δὲ τὸ Εὐαγγέλιον τῶν Ἀποστόλων, ὅθεν ἕπεται εἰπεῖν μείζω τὸν θρόνον Ἀλεξανδρείας τοῦ τῆς Ῥώμης θρόνου. ἐν δὲ τῇ ἐπὶ Μηνᾶ ἐῤῥέθη ἡ Ῥώμη ἀποστολικὴ καθέδρα, ἀλλ' ἦν προηγουμένως καὶ ἑπομένως ὁ Ῥώμης Ἀγαπητὸς καὶ ἡ συνοδία αὐτοῦ, καὶ ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφάλαιον ἑνδέκατον, ἐῤῥέθη ὅμως ἐκεῖ καὶ, Ἡράκλειος Ἀποκρισιάριος τοῦ ἀποστολικοῦ θρόνου Ἀντιοχείας, καὶ ἔτι ἐῤῥέθησαν ἐξίσου ἀποστολικαὶ διαδοχαὶ καὶ πατριαρχικοὶ θρόνοι ὁμοτίμως ἡ Ῥώμη καὶ Ἱερουσαλήμ. ἐν δὲ τῇ ἕκτῃ Συνόδῳ πολλάκις ἐῤῥέθησαν καὶ οἱ πέντε θρόνοι ἀποστολικοὶ θρόνοι, καὶ ἴδε τὸ ἀνωτέρω Παράγραφον. καὶ ἐν πάσαι ταῖς ἀρχαῖς τῶν πράξεων λέγεται, Τῷ Ἀρχιεπισκόπῳ τῆς πρεσβυτέρας Ῥώμης, καὶ μεγαλοπόλεως Ἀλεξανδρείας, καὶ Θεουπόλεως Ἀντιοχείας. ἐν δὲ τῇ ἑβδόμῃ Συνόδῳ ἐν ταῖς ἀρχαῖς τῶν πράξεων λέγεται περὶ τῶν Τοποτηρητῶν, Τὸν τόπον ἐπέχοντες τῆς ἀποστολικῆς καθέδρας τοῦ τῆς πρεσβυτέρας Ῥώμης. καὶ ἐν ταῖς διαλαλιαῖς, Τοῦ ἁγιωτάτου Πάπα ὁ Τοποτηρητής. Καὶ, Τῶν Τοποτηρητῶν τῶν ἀποστολικῶν θρόνων τῆς Ἀνατολικῆς Διοικήσεως, πρὸς ἀντιδιαστολὴν δηλονότι τοῦ θρόνου τῆς δυτικῆς Διοικήσεως. καὶ ἐν τῇ τρίτῃ ἕκτῃ καὶ ἑβδόμῃ, Ὁ θρόνος Κελεστίνου Ἀγάθωνος καὶ Ἀδριανοῦ, πρὸς ἀντιδιαστολὴν δηλονότι τῶν θρόνων τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς. ἐν δὲ τῇ κατὰ Φωτίου, πράξει ὑστάτῃ, λέγονται ἀδιαφόρως οἱ πέντε πατριαρχικοὶ θρόνοι. καὶ Ἰουνίου ἑβδόμῃ ἡ Ἐκκλησία τὴν Κωνσταντινούπολιν καλεῖ θρόνον τοῦ Χριστοῦ καὶ ἀκροτάτην καθέδραν. καὶ ὁ Ἐπιφάνιος Αἱρέσει ἑβδομηκοστῇ ὀγδόῃ λέγει τὴν Ἱερουσαλὴμ θρόνον τοῦ Κυρίου. ψεύδεται ἄρα ὁ Καρυόφυλλος λέγων ἐν τῇ ἀντιῤῥήσει τοῦ Νείλου κατὰ τῆς ἀρχῆς τοῦ Πάπα, ὅτι ἐν μόνῃ τῇ ἕκτῃ Συνόδῳ ἐῤῥέθησαν οἱ πατριαρχικοὶ θρόνοι ἀποστολικοί, ἐπειδὴ ἐν τῇ τρίτῃ ὅτε ἐῤῥέθη πρῶτον ἡ Ῥώμη ἀποστολικὸς θρόνος, ἐῤῥέθη καὶ ἡ Ἱερουσαλὴμ ὡσαύτως ἀποστολικὸς θρόνος. ἐν δὲ τῇ ἐν Χαλκηδόνι ἐῤῥέθη ὁ θρόνος τῆς Ἀλεξανδρείας Εὐαγγελικός. ἐν δὲ τῇ ἐπὶ Μηνᾶ ἐῤῥέθη ὁ θρόνος τῆς Ἀντιοχείας ἀποστολικὸς, καὶ καθεξῆς ἐῤῥέθησαν οὕτως, ὡς εἴρηται, καὶ μάλιστα ἡ Κωνσταντινούπολις καὶ ἡ Ἱερουσαλὴμ ἐῤῥέθησαν θρόνοι τοῦ Κυρίου καὶ τοῦ Χριστοῦ, ὡς εἴρηται. οὐδὲν ἄρα καὶ ἐκ τῆς καθέδρας ὠφελήθησαν οἱ παπολάτραι.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΔ'.

Κατὰ παπιστῶν, τὸν τῆς Ῥώμης θρόνον Οἰκουμενικὸν λεγόντων, καὶ ὅτι οὐδεὶς θρόνος ἐπὶ γῆς Οἰκουμενικὸς ἰδικῶς.

Προσέτι

Περσέτι οἱ αὐτοὶ λέγυσι τὸν Θρόνον Ρ῾ώμης Οἰκυμενικὸν Θρόνον. Ἀλλὰ ῥητέον ὅτι Οἰκυμενικὸς Πατριάρχης, καὶ Οἰκυμενικὸς Πάπας ἐκλήθησαν ὁ Ρ῾ώμης καὶ ὁ Κωνσαντινυπόλεως, πῶς δὲ, καὶ Διατὶ, ἐρρέθη αὐωτέρω κεφαλαίῳ τεταρτῳ. ὡς δὲ ὐδωάνται αἱ Συνοδοι αὐτῶν καλεῖσθαι Οἰκυμενικαὶ, ὕτως οἱ θρόνοι αὐτῶν ὐδωάνται καλεῖσθαι Οἰκυμενικοὶ: ἐπειδὴ Οἰκυμενικὸς Θρόνος ὐδείς ἐστιν ἐπὶ τῆς γῆς ἰδικῶς, ὅθεν ὔτε ἐν ταῖς Οἰκυμενικαῖς Συνόδοις, ὔτε ἐν ταῖς Σάκραις, ὔτε ὑπό τινος τῶν πατέρων, ἢ τῶν ἀρχαίων ἐκκλησιαστικῶν ἱερομνῶν, ὔτε ὑπὸ Ἀσκητῶν, ἢ ἄλλων χρισιανῶν τοιῦτόν τι εἴρηται, καὶ εἰ νὲς εἶπον τῦτο, ἀλλ᾽ εἶπον κατὰ φθασάθειαν, ἢ κατ᾽ ἐναντίωσιν, ἢ κατὰ ἄγνοιαν, καὶ μάλισα χθὲς καὶ ἀρέτερα ἐν μιᾷ τῇ πρεσβυτέρᾳ Ρ῾ώμῃ μετὰ τὸ χίσμα καὶ πρὸ ἀπασίαν ὑπὸ Πάπα, ἐν δὲ τῇ Κωνσαντινυπόλει ὑπὸ Κυρίλλυ τῦ Λυκάρεως πρώτυ, καὶ μεταταῦτα εἶπον τῦτο τινὲς κατὰ φθασάθειαν, ὡς εἴρηται, ἢ ἄγνοιαν, ἀλλὰ παίγνιως, τὰ τοιαῦτα ὅμως εἴρηται αὐωτέρω, ὅτι ἀνέτρεψεν ἄρδιν ὁ μέγας Ἰυσινιανός. εἰ δὲ εἶπεν ὁ ἱερὸς Θεοφάνης ἐν τῇ ἀρχῇ τῦ χρονικῦ αὐτῦ τὺς πέντε πατριαρχικὺς θρόνυς καθολικὺς καὶ οἰκυμενικὺς θρόνυς, ἀλλ᾽ εἶπε τῦτο κατὰ τὸν ἕβδομον τρόπον, ὃν εἰπομεν αὐωτέρω κεφαλαίῳ τριτῳ.

ΒΙΒΛΙΟΥ Ι΄. ΜΕΡΟΣ Γ΄. ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῆς ὑπογραφῆς τῆς ἁγίας καθολικῆς Ἐκκλησίας, καὶ πόσα τὰ μέρη αὐτῆς, καὶ Διατὶ λέγονται καθολικαὶ καὶ ἀποσολικαὶ αἱ μερικαὶ Ἐκκλησίαι, καὶ τινες αὐτῶν μητέρες καὶ κεφαλαὶ τῶν Ἐκκλησιῶν, καὶ Διατὶ ἡ Κωνσαντινυπόλεως Ἐκκλησία καὶ ἄλλαι ἐκλήθησαν μεγάλαι, καὶ τὶς ἡ ἀΐδιος τῆς Ἐκκλησίας κεφαλὴ, καὶ τὶς ἡ καθόλυ Ἐκκλησία.

Ἡ καθολικὴ Ἐκκλησία ἐσὶ συνάθροισμα τῶν πισῶν τῶν πισδυόντων εἰς τὴν ἁγίαν γραφὴν καὶ εἰς τὰς οἰκυμενικὰς Συνόδυς, Ἢ συνάθροισμα τῶν πισῶν τῶν παθομένων τῇ ὑπκαλυφθείσῃ θεόθεν ἀληθείᾳ ἢ Διὰ τῶν γραφῶν ἢ Διὰ τῶν Οἰκυμενικῶν Συνόδων, Ἢ ἐσὶ Συνάθροισις τῶν πισῶν ὑπὸ τῇ κτήσει τῆς θείας μακαριότητος, Ἢ ἐσὶ Συνάθροισις τῶν πισῶν, τῇ αὐτῇ πίσιν ἐπαγγελλομένων ἔντε τῇ Τελάδι καὶ τῇ ἐν σαρκὶ οἰκονομίᾳ καὶ τοῖς Μυσηρίοις, καὶ ἐν ὅσοις ἡ καθολικὴ Ἐκκλησία σωδικῶς καὶ Οἰκυμενικῶς διορίζει, Ἢ καθολικὴ Ἐκκλησία ἐσὶ Σύσημα μόνων τῶν ὀρθοδόξων καὶ περὶ τὸν χρισιανισμὸν κατὰ παῦτα ὑμνούντων, Ἢ κατὰ τὸν Εαρλαὰμ καθολικὴ Ἐκκλησία ἐσὶ Σύσημα τῶν ἁπανταχῦ τῆς Οἰκυμένης ὀρθοδόξων χρισιανῶν, τῶν ἀκίνητα καὶ ἀσάλευτα τὰ τῆς δυσεβείας δόγματα Διατηρύντων, καὶ κατὰ τὸν Χρυσόσομον, αἱ κατὰ πόλεις καὶ χώρας Ἐκκλησίαι πολλαὶ τὸν ἀριθμὸν ὖσαι, μία ἐσὶν Ἐκκλησία, ἐν γὰρ ταύταις ὁ Χρισὸς ἁπανταχῦ ὁ τέλειος καὶ ἀμέριστος, Ὁμιλίᾳ ἑκατοσῇ τεσσαρακοσῇ ἑνάτῃ Τόμῳ πέμπτῳ, Ἢ καθολικὴ Ἐκκλησία ἐσὶ κατὰ τὸν Ἀλεξανδρείας Μελέτιον Σύλλογος ἐς, εἴτυν σωναγωγὴ ἀνθρώπων, τῶν σὺν καταβολῆς κόσμυ σεσεγνωσμένων καὶ σεσωρισμένων καὶ ἐκλελεγμένων ἐν Χρισῷ, ἰδίοις καιροῖς πολυτρόπως κεκλημένων ὑπὸ σωτηρίᾳ εἰς ἔπαινον δόξης Θεῦ, καὶ εἰς ταύτην Διὰ πίσεως ἀληθῆς καὶ ζώσης εἰσαγομένων. Γνωρίσματα δὲ αὐτῆς τρία, Ἔσι γὰρ Μία, ὡς ἑνὶ ὅλον, ἔχει δὲ μέρη τὰς μερικὰς Ἐκκλησίας, αἵτινες αὐάγονται εἰς τὰς καθολικωτέρας, αἵτινές εἰσιν αἱ πέντε Πατριαρχικοὶ θρόνοι, ἐν γὰρ εἰσι καὶ ἕνες αὐτοκέφαλοι Ἀρχιεπίσκοποι, ἀλλ᾽ εἰς τὰς πατριαρχικὰς καὶ αὐτοὶ αὐαφέρονται καθέδρας. Μία, ὅτι εἷς Θεὸς, μία πίσις, ἓν βάπισμα. Καὶ ἁγία, Διὰ τὴν ἁγίαν αὐτῆς κεφαλὴν, ἥτις ἐσὶν ὁ Χρισὸς, καὶ Διὰ τὴν πλύσιν τῦ κυριακῦ αἵματος καὶ τὸ πανάγιον Πνεῦμα τὸ Διαπαντὸς ζωογονῦν καὶ ἁγιάζον αὐτήν. Καὶ καθολικὴ, ὅτι τὸ εὐαγγελικὸν κήρυγμα καλύπτει πᾶσαν τὴν Οἰκυμένην. λέγονται δὲ καθολικαὶ καὶ ἀποσολικαὶ αἱ μερικαὶ, ὡς εἴρηται αὐωτέρω βιβλίῳ πρώτῳ κεφαλαίῳ δεκάτῳ πέμπτῳ, ἐπειδὴ ἡ Διάταξις αὐτῶν ἐσὶν ὁμοία τῇ Διατάξει τῆς καθόλυ, ἀλλὰ καὶ μήτηρ τῶν Ἐκκλησιῶν λέγεται Καισάρεια καὶ Κωνσαντινύπολις ὑπὸ τῦ Ναζιανζηνῦ Διὰ τὴν τότε ἐναὐταῖς Διδασκαλίαν, καὶ κεφαλὴ τῆς Οἰκυμένης ἡ Ἀντιόχεια ὅτι ἐκεῖ ἐκλήθησαν πρῶτον οἱ πισοὶ χρισιανοὶ, καὶ μήτηρ τῶν Ἐκκλησιῶν ἡ Σιὼν ὑπὸ τῦ Ἰακώβυ ἐν τῇ Λειτυργίᾳ, καὶ τῦ Δαμασκηνῦ ἐν τῇ Ὀκτωήχῳ, καὶ τῆς δυτέρας Οἰκυμενικῆς Συνόδυ ἐν τῇ σεῖς τὰς δυνικὰς ὑπαρχῆ, καὶ ὑπὸ πάσης ἁπλῶς τῆς Ἐκκλησίας. λέγεται δὲ ἡ Κωνσαντινύπολις ὡς ἁγία Ἐκκλησία, μεγάλη Ἐκκλησία ἐν τῇ πέμπτῃ πρᾴξει τῆς ἐν Χαλκηδόνι Συνόδυ, καὶ ἐν τῇ δεκάτῃ ὀγδόῃ πράξει τῆς ἕκτης Συνόδυ, ἐκλήθη δὲ ὕτω Διὰ τὴν ἁγίαν Σοφίαν, λέγει γὰρ ὁ Σωκράτης βιβλίῳ πρώτῳ κεφαλαίῳ ἕκτῳ, Καὶ ἐν μιᾷ τῆς εἰρήνης ἐπωνύμῳ Ἐκκλησίᾳ καὶ μεγάλης καὶ Σοφίας ὀνομαζομένης κεκτηνται Παῦλος. Καὶ, βίος καὶ πολιτεία συμεὼν τῦ Διὰ χρισὸν σαλῦ, συγγραφεὶς ὑπὸ Νικηφόρυ Ἱερέως τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας τῆς ἐν τῇ Βασιλίδι τῶν πόλεων τῆς ἐπωνύμυ Σοφίας. καλεῖται δὲ ὕτως ἡ Κωνσαντινύπολις, ἀλλ᾽ ὐμένη, ἐπειδὴ ἐν πάσαις

ταῖς πράξεσι τῆς ἑβδόμης Συνόδου ἡ ἐν Νικαίᾳ ἁγία Σοφία, ἔνθα οἱ πατέρες τῆς Συνόδου συνήρχοντο, μεγάλη Ἐκκλησία καλεῖται, καὶ ἡ τρίτη Σύνοδος ἐν τῇ πρὸς τοὺς Βασιλεῖς ἀναφορᾷ περὶ καθαιρέσεως Νεστορίου φησὶ, Τῇ οὖν ἐπαύριον συναχθέντες ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ Ἐκκλησίᾳ τῇ καλουμένῃ Μαρίᾳ. ἀλλὰ δὴ καὶ ἡ Ἐκκλησία Ἀλεξανδρείας μεγάλη Ἐκκλησία καλεῖται ὑπὸ τῆς πρώτης Οἰκουμενικῆς Συνόδου ἐν τῇ πρὸς αὐτὴν ἐπιστολῇ, ὡς Θεοδώριτος βιβλίῳ πρώτῳ κεφαλαίῳ ὀγδόῳ. καὶ Νικηφόρος Κωνσταντινουπόλεως ἐν τῷ χρονικῷ φησὶ, Φακέλλιος, ἐφ' οὗ τὰ ἐγκαίνια τῆς μεγάλης Ἐκκλησίας. ὅμως ὡς ἀληθῶς μία τῆς Ἐκκλησίας ἀΐδιος καὶ συνδιαιωνίζουσα καὶ ἁγία κεφαλὴ ἐστὶν ὁ Χριστὸς, καὶ μία ἡ καθολικὴ ἁγία ἀποστολικὴ καὶ μεγάλη Ἐκκλησία κυρίως καὶ πρώτως καὶ καθ' αὑτὸ ὅλον τὸ συνάθροισμα τῶν ἁπανταχοῦ τῆς Οἰκουμένης πιστῶν τῶν τε ποιμαινόντων καὶ τῶν ποιμαινομένων, ἤτοι ἐξίσου νοουμένων Πατριαρχῶν, Παπῶν, Ἐπισκόπων καὶ λοιπῶν Κληρικῶν καὶ λαϊκῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'

Περὶ ἑρμηνείας εἰς τὸ Εἰς μίαν ἁγίαν καθολικὴν ῥητὸν τοῦ Συμβόλου, καὶ εἰς τὸ Εἰς τὴν μίαν Ἐκκλησίαν καὶ μίαν Ἐπισκοπὴν ῥητὸν τοῦ Κυπριανοῦ, καὶ περὶ τοῦ πῶς Γρηγόριος ὁ Διάλογος, Ἰγνάτιος ὁ Θεοφόρος, Ἰσίδωρος ὁ Πηλουσιώτης, Χρυσόστομος, Ναζιανζηνὸς καὶ ὁ Ἀπόστολος ταύτην καλοῦσι, καὶ τίνι τρόπῳ εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν πιστεύομεν.

Κύριλλος Ἱεροσολύμων κατηχήσει δεκάτῃ ὀγδόῃ ἑρμηνεύων τὴν λέξιν τοῦ Συμβόλου, ΕΙΣ ΜΙΑΝ ΑΓΙΑΝ ΚΑΘΟΛΙΚΗΝ, φησὶ, καθολικὴ καλεῖται, διότι κατὰ πᾶσαν τὴν Οἰκουμένην ἀπὸ τῶν ἄκρων τῆς γῆς ἕως τῶν ἄκρων αὐτῆς ἐξαπλοῦται, καὶ ἕνεκεν τούτου τίθησι τὸ καθολικὸν, τουτέστι τὸ ἁπανταχοῦ, τὸ ἄνευ ἐλλείψεως περὶ πάντων τῶν δογμάτων, ἅπερ δεῖ τοὺς ἀνθρώπους γινώσκειν περὶ πάντων ὁρατῶν τε καὶ ἀοράτων, οὐρανίων καὶ ἐπιγείων, καὶ ὅτι πᾶν γένος ἀνθρώπων εὐσεβῶς ὑπείκει ταύτῃ, Ἄρχοντες καὶ ἀρχόμενοι, σοφοὶ καὶ ἰδιῶται, καὶ ἔτι εἰς τὸ καθόλου ἰᾶται πᾶν γένος ἁμαρτημάτων, καὶ τὰ διὰ τῆς ψυχῆς καὶ τοῦ σώματος ἐργαζόμενα, καὶ ἔρχεται ἐν αὐτῇ πᾶν γένος ἀρετῆς ἐν ἔργοις καὶ λόγοις καὶ τοῖς παγγενέσι πνευματικοῖς χαρίσμασιν. ὁ Κυπριανὸς ἐπιστολῇ πεντηκοστῇ ἑβδόμῃ βιβλίῳ δευτέρῳ πρὸς Ἀντωνιανὸν φησὶ, Μία ἐστὶν ἡ Ἐκκλησία κατὰ πᾶσαν τὴν Οἰκουμένην ἐν πολλοῖς μέλεσι κεχωρισμένη, ὁμοίως καὶ μία Ἐπισκοπὴ πολλῶν Ἐπισκόπων συμφώνῳ ἀριθμότητι διακεχυμένη. ταύτην τὴν καθολικὴν Ἐκκλησίαν Γρηγόριος ὁ Διάλογος γενικὴν καλεῖ καὶ γενικωτάτην βιβλίῳ τετάρτῳ ἐπιστολῇ τριακοστῇ δευτέρᾳ, ἤτοι κεφαλαίῳ ἑβδομηκοστῷ ἕκτῳ. Ἰγνάτιος ὁ Θεοφόρος ἐν τῇ πρὸς Τραλλιανοὺς ἐπιστολῇ, καλεῖ Ἐκκλησίαν ἐκλεκτὴν, συνάθροισμα ἅγιον, συναγωγὴν ὁσίων. καὶ Ἰσίδωρος ὁ Πηλουσιώτης βιβλίῳ δευτέρῳ ἐπιστολῇ διακοσιοστῇ τεσσαρακοστῇ ἕκτῃ, καλεῖ Ἄθροισμα τῶν ἁγίων τὸ ἐξ ὀρθῆς πίστεως καὶ ἀρίστης πολιτείας συγκεκροτημένον. καὶ ὁ Χρυσόστομος Ὁμιλίᾳ ὀγδοηκοστῇ δευτέρᾳ Τόμῳ ἕκτῳ λέγει αὐτὴν Δικαστήριον, οὐκ εὐθύνας ἁμαρτημάτων ἀπαιτοῦν, ἀλλὰ συγχώρησιν παρέχον. καὶ Ὁμιλίᾳ τριακοστῇ δευτέρᾳ ἐν τῇ γενέσει φησὶ, Πανήγυρίς ἐστι πνευματικὴ ἡ Ἐκκλησία τοῦ Θεοῦ. καὶ Ὁμιλίᾳ τριακοστῇ ἕκτῃ ἐν τῇ πρώτῃ πρὸς Κορινθίους λέγει αὐτὴν τόπον Ἀγγέλων, τόπον Ἀρχαγγέλων, βασιλείαν Θεοῦ, αὐτὸν τὸν Οὐρανόν. καὶ Ὁμιλίᾳ δεκάτῃ ὀγδόῃ Τόμῳ πέμπτῳ, Νύμφην ἐστολισμένην, Βασιλίδα κεκαλλωπισμένην, Παράδεισον κωμῶντα, Λειμῶνα βρύοντα τὴν εὐκαρπίαν. καὶ ὁ Ναζιανζηνὸς λόγῳ δωδεκάτῳ, Ἄτμητον καὶ ἀμέριστον καὶ ὑφαντὸν διόλου Χιτῶνα. αὕτη γάρ ἐστιν ἡμήτηρ πάντων ἡμῶν ἡ τελεία, ἡ ἄμωμος Νύμφη, ἡ ἀναμάρτητος, καὶ περὶ αὐτῆς εἶπεν ὁ Κύριος, Ὁμὴ ἀκούων τῆς Ἐκκλησίας, ἐστὶν Ἐθνικὸς καὶ Τελώνης. καὶ ὁ Παῦλος ὑπογράφων αὐτὴν, λέγει ὅτι ἐστὶ στήλη καὶ ἑδραίωμα τῆς ἀληθείας. ὅθεν οὐδέποτε ἴσχυσαν, ἢ κατισχύσουσιν αὐτῆς αἱ πύλαι τοῦ Ἅδου, τὰ ἀπύλωτα τῶν Αἱρετικῶν καὶ Σχισματικῶν στόματα, ὡς διοικουμένης παρὰ τοῦ Σωτῆρος, καὶ διατοῦτο πιστεύομεν Εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν συνεκδοχικῶς δηλονότι, ἐπειδὴ ἡ πρὸς τὴν Ἐκκλησίαν πίστις ἀνάγεται εἰς τὸν διϊθύνοντα ταύτην Σωτῆρα Χριστὸν, καὶ μονώτατον κυρίως ὄντα αὐτῆς κεφαλὴν, καὶ εἰς τὸν μόνον κυρίως καὶ ἀληθῶς καὶ διαπαντὸς Διδάσκαλον αὐτῆς τὸν Παράκλητον τὸ Πνεῦμα τὸ ἅγιον.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'

Περὶ τῆς κυρίως καὶ πρώτως καὶ ἀληθῶς καὶ μόνως κεφαλῆς τῆς Ἐκκλησίας κατὰ Θεοφύλακτον, Βασίλειον τὸν μέγαν, Θεοδώριτον, Ναζιανζηνὸν, Ἱερώνυμον, Χρυσόστομον καὶ Ὠριγένη, καὶ κατὰ τί ἐστι κεφαλὴ τῆς Ἐκκλησίας ὁ Χριστὸς, καὶ ὅτι οὐκ ἄνθρωπος, οὐκ Ἄγγελος δύναται ζωοποιεῖν καὶ συντηρεῖν ἁρμοζόντως τὸ ζῶν τῆς Ἐκκλησίας σῶμα, ἀλλ' ἢ ὁ Χριστός.

Κεφαλὴ δὲ αὐτῆς ἐστὶν, ὡς εἴρηται, κυρίως καὶ πρώτως καὶ ἀληθῶς καὶ μόνως ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς;

Χριστὸς, αὐτὸν γὰρ ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ ὁ Θεὸς καὶ Πατὴρ, ἐν τῇ πρὸς Ἐφεσίους κεφαλαίῳ πρώτῳ, ὅθεν ὁ Θεοφύλακτος κεφαλαίῳ ἑνδεκάτῳ τῆς πρώτης πρὸς Κορινθίους φησὶν, Ἡμῶν κεφαλὴ ὁ Χριστὸς, καὶ ὡς σώματος ὄντων ἡμῶν. Ὁ αὐτὸς ἐν τῇ ἑρμηνείᾳ τῆς αὐτῆς ἐπιστολῆς κεφαλαίῳ δωδεκάτῳ φησὶ, Καθολικὴ Ἐκκλησία ἐστὶν ἡ ἁπανταχοῦ τῆς οἰκουμένης, ἧς τὸ σῶμα συνέστηκεν ἐκ τῶν ἁπανταχοῦ Ἐκκλησιῶν, ἔχον κεφαλὴν τὸν Χριστόν. καὶ κεφαλαίῳ ἑνδεκάτῳ τοῦ Ἰωάννου, Εἰς ἓν ὁ Χριστὸς ἡμᾶς συνήγαγεν, εἰς μίαν Ἐκκλησίαν καὶ ζυγὸν ἕνα συναγαγὼν, καὶ τοὺς ἐγγὺς καὶ τοὺς μακρὰν ἓν σῶμα ποιήσας, ἵνα ὁ ἐν τῇ Ῥώμῃ καθήμενος τὸν ἐν Ἰνδίᾳ ὄντα μέλος οἰκεῖον λογίζηται, καὶ πάντων ἡμῶν μίαν κεφαλὴν ὁμολογῇ τὸν Χριστόν. καὶ ὁ μέγας Βασίλειος ἐν τῷ προοιμίῳ τῶν ἠθικῶν περὶ κρίματος Θεοῦ, Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους, κρατούσης δηλονότι τῆς συναπτούσης ἕκαστον τῷ ἄλλῳ πρὸς ὁμόνοιαν τῆς μιᾶς καὶ μόνης κεφαλῆς, ἥτις ἐστὶν ὁ Χριστός. καὶ ὁ Θεοδώριτος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ κεφαλαίῳ ἑνδεκάτῳ, Παντὸς ἀνδρὸς κεφαλὴ ὁ Χριστός ἐστι, δηλονότι τῶν πιστευόντων, κεφαλὴ δὲ ἡμῶν ἐστὶν οὐ κατὰ τὴν Θεότητα, ἀλλὰ κατὰ τὴν ἀνθρωπότητα, σῶμα γὰρ αὐτοῦ προσαγορευόμεθα, τῷ δὲ σώματι ὁμόφυλον δεῖ εἶναι τὴν κεφαλὴν, κατὰ τὴν ἀνθρωπότητα τοίνυν ἡμῶν κεφαλή. Ὁ αὐτὸς, Κεφαλὴ τῆς Ἐκκλησίας ὁ Δεσπότης καλεῖται Χριστός. Ὁ αὐτὸς, Κεφαλῆς τάξιν ὁ Δεσπότης ἐπέχει Χριστὸς, οἱ δέ γε πιστεύοντες εἰς αὐτὸν, τὴν τοῦ σώματος, ἐν τῇ πρὸς Ἐφεσίους κεφαλαίῳ πρώτῳ. ὁ Ναζιανζηνὸς λόγῳ, ΟΥΤΕ ΕΤΕΛΕΣΕΝ Ὁ ΙΗΣΟΥΣ ΤΟΣ ΛΟΓΟΥΣ, φησὶν, εἰ δὲ εἷς ὁ Χριστὸς, μία κεφαλὴ τῆς Ἐκκλησίας, καὶ μία σάρξ, ἡ δευτέρα δὲ ἀποπτυέσθω. πρῶτον, ὅτι ἰδοὺ ἡ γραφὴ καὶ οἱ πατέρες μόνον τὸν Χριστὸν λέγουσι κεφαλὴν, καὶ λέγουσι καὶ τὸ διατὶ, ὅπερ οὐδενὶ ἑτέρῳ προσήκει. δεύτερον, ὅτι καθὼς οὐ δύναταί τις θεμέλιον ἄλλον θεῖναι παρὰ τὸν κείμενον, οὕτως οὔτε κεφαλὴν. τρίτον, ὅτι προφητικῶς φησὶν ὁ πατὴρ, Ἡ δευτέρα ἀποπτυέσθω, κἂν δηλαδὴ καὶ ἔωλον αἰτίαν προβάλλῃ τὶς ὅτι ἐστὶ κεφαλὴ τῆς καθόλου Ἐκκλησίας τὸ, ὅτι ἐστὶν ὁρατή. καθότι ἡ Ἐκκλησία, κατὰ τοὺς πατέρας καὶ τὸν Ἱερώνυμον ἐν τῇ ἑρμηνείᾳ τοῦ ἑκατοστοῦ τριακοστοῦ τρίτου ψαλμοῦ, οὐκ ἔστιν ἐν τοῖς τοίχοις, ἀλλ' ἐν τῇ ἀληθείᾳ ἐστὶ τῶν δογμάτων, αὕτη δὲ ἡ αὐτοχειροτόνητος δευτέρα κεφαλὴ τῆς Ἐκκλησίας ὁμῆνος ἐστὶν ἀσεβημάτων καὶ ἁμαρτημάτων. τέταρτον, ὅτι ἡ Ἐκκλησία, ἥτις ἐστὶν, ὡς εἴρηται, οἱ σωζόμενοι, οὐκ ἔστιν αἰσθητὴ, ἀλλὰ μόνῳ τῷ Θεῷ γνωστή. πέμπτον, ὅτι οὐ δύναται ἄνθρωπος παρέχειν τῇ Ἐκκλησίᾳ τὴν ἁρμόζουσαν καὶ ἱκανὴν διοίκησιν καὶ ζωὴν, ἀλλὰ μόνος ὁ πήξας αὐτὴν ἄνθρωπος Ἰησοῦς Χριστός. ὅθεν ὁ Χρυσόστομος ἐν τῇ πέμπτῃ ὁμιλίᾳ τῆς δευτέρας πρὸς Θεσσαλονικεῖς φησὶ, Καθάπερ κυβερνήτης ἅπαν τὸ σῶμα εὐθύνει, ἐν γὰρ τῇ κεφαλῇ καὶ οἱ τοῦ σώματος καὶ οἱ τῆς ψυχῆς ὀφθαλμοὶ, ἐκεῖθεν ἐπιῤῥεῖ τούτοις τὸ διορατικὸν, ἐκεῖθεν τὸ ἡγεμονικὸν, καὶ τὸ μὲν λοιπὸν τάττεται εἰς διακονίαν, αὐτὴ δὲ εἰς τὸ ἐπιτάττειν κεῖται, πᾶσαι αἱ αἰσθήσεις ἐκεῖθεν ἔχουσι τὴν ἀρχὴν καὶ τὴν πηγὴν, τὰ φωνητικὰ ὄργανα ἐκεῖθεν ἀναπέμπεται, τὸ διορατικὸν, τὸ ὀσφρητικὸν, ἡ ἁφὴ πᾶσα, ἡ γὰρ τῶν νεύρων ῥίζα καὶ τῶν ὀστῶν ἐκεῖθεν συνέστηκεν. Ὁ αὐτὸς ἐν ταῖς πράξεσι λόγῳ εἰκοστῷ τετάρτῳ φησὶ, Μία γὰρ γεγόναμεν Ἐκκλησία, μιᾶς κεφαλῆς συναρμολογούμενοι μέλη τελοῦμεν, ἓν γὰρ οἱ πάντες κατέστημεν σῶμα. καὶ ὁ Ὠριγένης βιβλίῳ ἕκτῳ κατὰ Κέλσου φησὶ, Λέγομεν ὅτι σῶμα Χριστοῦ φασὶν εἶναι οἱ θεῖοι λόγοι ὑπὸ τοῦ Υἱοῦ τοῦ Θεοῦ ψυχούμενον τὴν πᾶσαν τοῦ Θεοῦ Ἐκκλησίαν, μέλη δὲ τούτου τοῦ σώματος εἶναι ὡς ὅλου τούσδε τινας τοὺς πιστεύοντας, ἐπείπερ ὡς ψυχὴ ζωοποιεῖ καὶ κινεῖ τὸ σῶμα, οὐ πεφυκὸς ἀφ' ἑαυτοῦ κινεῖσθαι ζωτικῶς, οὕτως ὁ λόγος κινῶν ἐπὶ τὰ δέοντα καὶ ἐνεργῶν, τὸ ὅλον σῶμα τὴν Ἐκκλησίαν κινεῖ, καὶ ἕκαστον μέλος τῶν ἀπὸ τῆς Ἐκκλησίας οὐδὲν χωρὶς λόγου πράττον. καὶ ἔτι ὁ Χρυσόστομος Ὁμιλίᾳ δεκάτῃ ὀγδόῃ Τόμῳ πέμπτῳ φησὶ, Πολεμουμένη νικᾶ, ἐπιβουλευομένη περιγίνεται, ὑβριζομένη λαμπροτέρα καθίσταται, δέχεται τραύματα, καὶ οὐ καταπίπτει, ὑπὸ τῶν ἐθνῶν κλυδωνίζεται, ἀλλ' οὐ καταποντίζεται, χειμάζεται, ἀλλὰ ναυάγιον οὐχ ὑπομένει, παλαίει, ἀλλ' οὐχ ἡττᾶται, πυκτεύει, ἀλλ' οὐ νικᾶται. ταῦτα δὲ οὐ μόνον ἄνθρωπος, οὐδιότι ἐστὶ θνητὸς, ἡ δὲ Ἐκκλησία ἐστὶ σῶμα ζῶν, ἀλλ' οὔτε Ἄγγελος, οὔτε Ἀρχάγγελος δύναται ἐν τῇ καθόλου Ἐκκλησίᾳ, καὶ ὁ λέγων ὅτι δύναται, ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ, ὅθεν καὶ δικαίως ἀποπτυέσθω.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τοῦ τὶ τὸ ποιοῦν τὴν Ἐκκλησίαν καὶ τηροῦν ἀδιάῤῥηκτον αὐτὴν καὶ τὴν ἁγιωσύνην αὐτῆς, καὶ τὶ τὸ γεννᾶν τὸ σχίσμα, καὶ πῶς τοῦτο τρέφεται καὶ δυναμοῦται, καὶ ὅτι φόνου καὶ εἰδωλολατρείας δεινότερον τὸ σχίσμα, καὶ οἱ σχισματικοὶ Ἀντίχριστοι.

Τὴν Ἐκκλησίαν ποιεῖ ἡ ἁπλῆ καὶ ἀληθὴς ἔννοια καὶ ἡ ὁμοψυχία, τὸ δὲ σχίσμα γεννᾶται, διαῤῥηχθέντος τοῦ συνδέσμου, καὶ διασπασθεισῶν τῶν τῆς εἰρήνης αἰσθήσεων, φθόνῳ τρέφεται, φιλονεικίαις καὶ αὐτιτάξεσι δυναμοῦται, ὅθεν καταλιμπάνοντα τὴν μητέρα τὴν Ἐκκλησίαν τὰ ἀσεβῆ τέκνα, ἐξέρχονται αὐτῆς, καὶ διαχωρίζουσιν ἑαυτὰ ἀπὸ τῆς ῥίζης τῆς μητρός. ταῦτα Ὀπτᾶτος βιβλίῳ πρώτῳ κατὰ

Πάρ.

Παρμηνιανῦ περὶ τῦ σχίσματος τῶν Δοναλισῶν, καὶ κατωτέρω, Ἄκρα ἐστὶ πονηρία τὸ σχίσμα, τῦ φόνυ καὶ τῆς Εἰδωλολατρείας δεινότερον, ἔξεστι τοῦτο ἰδεῖν ἐπὶ τῶν Δαθαῖ καὶ Ἀβειρὼν καὶ Κορὲ, οἵτινες τῷ ἑαυτῶν ἐπόμβοι σχίσματι, καὶ ἑαυτοὺς καὶ τοὺς σὺν αὐτοῖς φονεύσαντες ἀπώλεσαν, οἰκεῖοι Σχισματικοὶ εἰσὶ. Ἀντίχεισοι. καὶ βιβλίῳ δευτέρῳ τῆς αὐτῆς πραγματείας φησὶ, Μία ἐστὶν ἡ Ἐκκλησία, ἧς ἡ ἀγνωσία ἐκ τῶν Μυστηρίων συμπεραίνεται, ἀλλ' ἐν τῇ τῶν προσώπων ὑποστάσει ζυγοστατεῖται, ταύτην μίαν καὶ ἐκλεκτὴν Περιστερὰν καὶ Νύμφην ἑαυτῦ ὁ Κύριος καλεῖ, αὕτη δὲ πᾶσι τοῖς Αἱρετικοῖς καὶ Σχισματικοῖς κρατεῖσθαι δύναται. καὶ μετ' ὀλίγα, Ἕνεκεν τούτου καθολικὴ, ὅτι καὶ λογικὴ λέγεται καὶ ἁπανταχῦ διεσπαρμένη, ἧστινος μέλη καὶ ἡμεῖς ἐσμέν. καὶ ὁ Κυπριανὸς βιβλίῳ περὶ ἑνώσεως Ἐκκλησίας φησὶν, Εἷς ἐστὶν ὁ Θεὸς, καὶ εἷς ἐστὶν ὁ Χριστὸς, καὶ μία ἡ αὐτῦ Ἐκκλησία, καὶ μία ἡ πίστις, ὅτε λαὸς εἰς σεραὶ σώσιν τῦ σώματος τῷ δεσμῷ τῆς συμφωνίας ἡνωμένος, Διαῤῥήγνυσθαι ἡ ἑνότης οὐ δύναται, οὐδὲ τὸ σῶμα διαιρεῖσθαι. καὶ ὁ Αὐγουστῖνος βιβλίῳ πρώτῳ περὶ Βαπτίσματος κατὰ Δοναλισῶν κεφαλαίῳ δεκάτῳ πέμπτῳ δεκάτῳ ἕκτῳ καὶ δεκάτῳ ἑβδόμῳ φησὶν, Αὕτη ἐξ ἀρχῆς ἦν ἡ Ἐκκλησία ἡ τὸν Ἄβελ τεκοῦσα, ἥτις καὶ μέχρι τῆς συντελείας Δαμάσει, αὕτη ἐν τῇ δόξῃ τῆς παρέσης ζωῆς ἔχει ἐν τοῖς ἄλλοις ἀνθρώποις τὸ μέρος τῆς ἀλογίας ὡσεὶ ἄχυρον, ὥσπερ ἐν τῷ Καΐν καὶ τῷ Χὰμ καὶ τῷ Ἡσαῦ, τῷ Κορὲ, τῷ Δαθαῖ, τοῖς ψευδαποστόλοις καὶ ψευδοχειστιανοῖς, τοῖς ἐν τῷ πάθει τοῖς ἀλογίας πεισμανικῶς πεισμωθεῖσιν, ἐν τοῖς ἄλλοις δὲ κέκτηται τὸ πνευματικὸν μέρος.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

ὅτι αἴτιον τῦ σχίσματος τὸ ἀδελφικὸν μῖσος· ὡς τοὐμπαλὶν τῆς σώσεως ἡ ἀδελφικὴ ἀγάπη, ἧς ὁ ἐχόμενος Σχισματικὸς ἢ Αἱρετικὸς εἶναι δύναται. καὶ περὶ τῶν τίσι παρεκάζονται οἱ Σχισματικοί.

Οὐδέτινες δὲ ἐποίουν αὖ σχίσμα, ἐμὴ ἀδελφικῷ μίσει κατεφλέγοντο, φησὶν Αὐγουστῖνος βιβλίῳ πρώτῳ περὶ τῦ βαπτίσματος κατὰ Δοναλισῶν, κεφαλαίῳ ἑβδεκάτῳ. Ὁ αὐτὸς ἐν τῇ ἕκτῃ καὶ ἑβδόμῃ πραξεῖ εἰς πλῆν ὑπόθολιν τῦ Ἰωάννυ φησὶ, Μὴ δύνασθαι τοὺς Αἱρετικοὺς ἔχειν Πνεῦμα Θεῦ, καὶ πᾶς Σχισματικὸς, ὅστι διαιρεῖ πλῆν Ἐκκλησίαν τῦ Θεῦ καὶ τῦ σχίσματος, καὶ Διαῤῥήγνυσι τὸ σῶμα τῦ Χριστῦ, ἐστὶν Ἀντίχεισος. καὶ βιβλίῳ τεταρτῳ κεφαλαίῳ δεκάτῳ ὀνάτῳ κατὰ Δοναλισῶν, Ταύτης τῆς ἀδελφικῆς ἀγάπης οἱ ἐχθροὶ φανερῶς ἔξω εἰσὶν, εἰ δὲ καὶ ἔσω εἶναι δοκοῦσι, ψευδοχειστιανοὶ εἰσὶ καὶ Ἀντίχεισοι. καὶ βιβλίῳ δευτέρῳ κατὰ Κρεσκωνίου, κεφαλαίῳ δεκάτῳ Τρίτῳ φησὶν, Οὐδεὶς ὅστις ἔχει πλῆν ἀγάπην δύναται εἶναι Σχισματικὸς, ἢ Αἱρετικός. καὶ βιβλίῳ δευτέρῳ περὶ Βαπτίσματος κατὰ Δοναλισῶν, κεφαλαίῳ ὀγδόῳ, Τί ὠφελεῖ ἀνθρώπῳ ὑγιὴς πίστις, ἢ τὸ ὑγιὲς μόνον τῆς πίστεως Μυστήριον, ὅπου θανατηφόρῳ πληγῇ τῦ σχίσματος ἀφῄρηται ἡ τῆς ἀγάπης ὑγίεια, δι' ἧς μόνης πλῆν ἀφίεσιν καὶ τὰ λοιπὰ σῶα σεσῴασται ἔλκονται. Ἐνόδιος, ὃς ἦν ἐν τῷ πεντακοσιοστῷ ἔτει, βιβλίῳ περὶ τῶν Σιωόδων Συμμάχυ τῦ Πάπα, Τόμῳ τρίτῳ τῶν Σιωόδων φησὶν, Οὐ Διαφέρει πόσας ὁδοὺς σεσῴκεν τὸν τὸν κόσμον Ἡγεμόνα τρέχειν, ὅστις ἐκτὸς τῆς ἁγίας οὐότητος Διαφωνεῖ, πίονα ὁλοκαυτώματα αὐίεσι τῷ Διαβόλῳ ὁ πλῆν Ἐκκλησίαν καταθλίβων. Ὁπάτος περὶ Δονάτυ κεφαλαίῳ τρίτῳ κατὰ Παρμηνιανῦ φησὶ, Τὸ μέρος ὑμῶν ὡσεὶ Ἐκκλησία ἐστὶν, ἀλλ' ὐκ ἔστι καθολικὴ, ὅθεν τὰς Δονατισὰς ταύτας χωριζομένας, καλεῖ βιβλίῳ δευτέρῳ ὑὰς ἀσεβεῖς, ἐλέχη ἐκτὸς δενδρυ ἀποκοπέντα, αὐλακας τῆς πηγῆς χωρισθείσας.

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Περὶ τῦ τί Σχίσμα, Αἵρεσις καὶ Παρασυναγαὶ, καὶ τῆς διαιρέσεως αὐτῶν εἰς ἁπλῶς Σχισματικὰς καὶ εἰς Σχισματοαιρετικὰς μετὰ τῶν σημαδεμάτων αὐτῶν.

Σχίσμα ἐστὶ νέας συναθροίσεως ἔκτινος Διαφορᾶς γνωμῶν χωρισμὸς, καὶ γὰρ Σχίσμα ἀδύναται γενέσθαι, ἐὰν μὴ Διαφορᾷ τινι ἀκολυθήσωσιν οἱ ποιῦντες αὐτὸ, ἡ δὲ Αἵρεσις πεπαλαιωμένον ἐστὶ Σχίσμα. ταῦτα Αὐγουστῖνος βιβλίῳ δευτέρῳ κατὰ Κρεσκωνίου, κεφαλαίῳ ἑβδόμῳ. ὁ δὲ μέγας Βασίλειος ὑποσολῇ πρώτῃ κανονικῇ σεσὸς Ἀμφιλόχιον, Κανόνι πρώτῳ φησὶ, Τὰς παλαιὰς τῶν πατέρων δεδωκόσι ἀκριβῶς πλῆν διαίρεσιν μεταξὺ Αἱρέσεων Σχισματικῶν καὶ Παρασυναγωγῶν. Καὶ Αἵρεσις μὲν ἐστιν, ὅταν οἱ ἄνθρωποι παντελῶς ἀποχωρίζωνται καὶ κατὰ πίσιν ἀλλοιῶνται. Σχίσμα δὲ, ὅταν περὶ αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα σφὸς ἀλλήλους διενεχθέντες ἀποχιάσωσι. Παρασυναγωγὰς δὲ εἶπον τὰς συναξείστας σεσῷ τῶν αὐποτάκτων Πρεσβυτέρων, ἢ Ἐπισκόπων, καὶ σεσῷ τῶν ἀπαιδεύτων λαῶν γνωμίδας, τυτέστιν, ἥτις ἁμαρτήσας φωραθῇ, καὶ τῆς πλῆν Μυστηρίων κωλυθῇ Διακονίας, αὐτὸς δὲ μὴ ὑπακύσας τοῖς Κανόσιν, ἀλλ' ἑαυτῷ σεσεδρίαν καὶ πλῆν Λειτυργίαν ἁπαιτήσει, πλῆτες δὲ ὅσοι μετ' αὐτὸ, ἢ ὀπίσω αὐτὸ

αὐτοῦ ἐπορεύθησαν καταλιπόντες τὴν καθολικὴν Ἐκκλησίαν, Σχισματικοί εἰσι. καὶ ἐπειδὴ ἡ Παρασυναγωγὴ ἐστὶν εἶδός τι σχίσματος ἄνευ Αἱρέσεως, πᾶν δὲ Σχίσμα ἔχει τὴν παρακοὴν, διαιρετέον τὸ Σχίσμα τῆς καθαρᾶς ἀποστασίας, ἢ φατρίας ἀπὸ τοῦ δογματικοῦ Σχίσματος, ὥστε Σχισματικοὺς τοὺς μὲν εἶναι ἁπλῶς, τοὺς δὲ Σχισματοαιρετικοὺς, ἢ καὶ αὐτὸ τὸ Σχίσμα τῆς ἀποστασίας κακῶς διῃρημένον, τέως εἰς Αἵρεσιν μεταγίνεται, καὶ Αἱρεσίν τινα ἑαυτῷ γεννᾷ, ἵνα ὀρθῶς ἀπὸ τῆς Ἐκκλησίας ἀφεστηκέναι δόξῃ. δίδωσι δὲ παράδειγμα τῶν Σχισματικῶν τοὺς Ναυατικοὺς περὶ μετανοίας διαφωνοῦντας ἀπὸ τῆς καθολικῆς Ἐκκλησίας, τῶν δὲ Αἱρετικῶν, τοὺς διαφερομένους περὶ τῆς ὀρθῆς πίστεως. καὶ μέντοι τὰς Παρασυναγωγὰς ἐκείνας, ἃς ὁ μέγας Βασίλειος καλεῖ τῶν Ἀνυποτάκτων, λοιμικῇ νόσῳ κατέχεσθαι διδάσκει ὁ Θεοφόρος Ἰγνάτιος ἐν τῇ πρὸς Τραλλιανοὺς ἐπιστολῇ. ἀλλὰ δὴ καὶ ἡ οἰκουμενικὴ δευτέρα ἁγία Σύνοδος Κανόνι ἕκτῳ φησὶν, ὅτι μετὰ τῶν Αἱρετικῶν τακτέον τοὺς ὑγιᾶ μὲν ἔχοντας πίστιν, κεχωρισμένους δὲ ὄντας, καὶ κατὰ τῶν κανονικῶν Ἐπισκόπων φατρίας καὶ συναθροίσεις ποιοῦντας. Αὐγουστῖνος περὶ τῶν Σχισματικῶν ἐν τῷ περὶ πόλεως Θεοῦ βιβλίῳ δεκάτῳ ὀγδόῳ κεφαλαίῳ πεντηκοστῷ πρώτῳ φησὶ, Περὶ δὲ τῶν Σχίσματα ποιούντων ἕτερόν ἐστι ζήτημα, ἠδύνατο γὰρ ἡ κυριακὴ ἅλως μέχρι τοῦ καιροῦ τῆς ἐσχάτης ἐκλικμήσεως ὥσπερ ἄχυρα ὑπομένειν, εἰ μὴ τὸ τῆς ὑπερηφανίας ἀνέμῳ καὶ τῇ πολλῇ κουφότητι ἀπεδήμησαν αὐτομάτως τοῦ σίτου. καὶ ἐν τοῖς εὐαγγελικοῖς ζητήμασιν εἰς τὸ κατὰ Ματθαῖον κεφαλαίῳ ἑνδεκάτῳ φησὶ, Τοὺς Σχισματικοὺς ποιεῖ οὐχ ἡ διάφορος πίστις, ἀλλ' ἡ διαῤῥηχθεῖσα τῆς κοινωνίας συντροφία, τὸ δὲ Σχίσμα κακῶς διαμένον, γίνεται Αἵρεσις, ἢ καταφέρεται εἰς Αἵρεσιν.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ διαφορᾶς ἁπλῶς Αἱρετικῶν καὶ Σχισματοαιρετικῶν παρὰ τῇ Ἐκκλησίᾳ, καὶ τοῦ κατ' αὐτῶν ἐλέγχου.

Παρὰ τῶν ἄλλων δὲ ἁπλῶς Αἱρετικῶν διΐστανται οἱ Σχισματοαιρετικοὶ, ὅτι οἱ ἄλλοι Αἱρετικοὶ, εἰ καὶ ὅλως μὴ θέλουσιν, ἀπορρίπτονται ὅμως καὶ ἀποβάλλονται τῆς κοινωνίας τῆς καθολικῆς Ἐκκλησίας διὰ τὸ μιαρὸν καὶ ἀφόρητον τοῦ δόγματος αὐτῶν σφάλμα, καὶ μᾶλλον εἰ οὕτω τοῦ ψεύδους τῆς ἑαυτῶν γνώμης ὑπερασπίζονται ἵνα πλανῶσι καὶ τὸ πλῆθος, ὡς ἑρμηνεύει ὁ Αὐγουστῖνος βιβλίῳ δευτέρῳ περὶ ἀληθοῦς δόξης κεφαλαίῳ πέμπτῳ, καὶ βιβλίῳ δευτέρῳ τῶν εὐαγγελικῶν ζητημάτων εἰς τὸν Ματθαῖον κεφαλαίῳ ἑνδεκάτῳ φησὶν, οἱ δὲ Σχισματοαιρετικοὶ, εἰ μὴ ἠυτομόλησαν τῆς Ἐκκλησίας, καὶ τὴν ἕνωσιν διεῤῥήγνυντο, καὶ εἰρηνικῶς ἐν τῇ Ἐκκλησίᾳ ζῆν ἤθελον, ὑπεφέροντο ἂν ἐν τῇ Ἐκκλησίᾳ ὡς ἀθενεῖς ἀδελφοὶ καὶ ἄχυρα ἐν ὀλίγῳ τὶ παραπταίοντες, σωζομένου ὅμως τοῦ δεσμοῦ τῆς ἀληθείας καὶ τῆς εἰρήνης, καὶ ἐλεγχομένης μόνης τῆς Αἱρέσεως τῶν τοιούτων ἐν τῷ νομίζειν διαῤῥήγνυσθαι τὴν συντροφίαν ὑπὲρ τῶν διδασκαλιῶν, ἢ καὶ πράξεων ἐξωτερικῶν, ὑπὲρ ὧν οὐκ ἔδει γίνεσθαι τοιοῦτον Σχίσμα, καὶ διατοῦτο τὴν τοῦ Θεοῦ δίκην μηνύει αὐτοῖς ὁ Εἰρηναῖος τούτοις τοῖς ῥήμασιν ἐν τῷ τετάρτῳ βιβλίῳ κατὰ Αἱρέσεων κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, Κρινεῖ δὲ καὶ τοὺς τὰ σχίσματα ἐργαζομένους, τοὺς αὐθάδεις, τοὺς μὴ ἔχοντας ἀγάπην Θεοῦ, τὸ ἑαυτῶν ὄφελος μόνον σκοποῦντας, οἳ τὴν τῆς Ἐκκλησίας ἑνότητα ὑπέρτινων καὶ οὐτιδανῶν αἰτιῶν τὸ μέγα καὶ ἔνδοξον σῶμα τοῦ Χριστοῦ διαιροῦσι καὶ διαῤῥηγνύουσι, καὶ ὅσον τὸ κατ' αὐτοὺς ἀποκτείνουσιν, εἰρήνην ὁμολογοῦντες, πόλεμον ἐργάζονται, ἀληθῶς τὸν Κώνωπα διϋλίζοντες, καὶ τὴν Κάμηλον καταπίνοντες, οὐδεὶς γὰρ τοσοῦτος κατ' αὐτῶν δύναται γίνεσθαι ἔλεγχος, ὅση τοῦ Σχίσματος ἐστὶν ἡ λύμη, διαλυθείσης τῆς ἑνότητος, προκόπτουσιν ἐπὶ τὸ χεῖρον, σωρεύοντες νέα σφάλματα, ἐγειρόμενοι μετὰ συκοφαντιῶν κατὰ τῶν ὀρθοδόξων, τῶν ἐν τῇ ἑνότητι μενόντων, οὓς καὶ ὑπερηφάνῳ βδελύγματι μισοῦσι, καὶ πολιορκοῦσι τὰ ὦτα καὶ τὰς ψυχὰς τῶν ἁπλουστέρων, ἵν' αὐτοὺς ἀπὸ τῆς ἑνότητος ἀποσπάσωσι, καὶ εἰς τὸ τοῦ ἑαυτῶν κακίστου χωρισμοῦ βάραθρον καταφέρωσιν, ὥσπερ δηλαδὴ περὶ τῶν παλαιῶν Σχισματικῶν Ναυατιανῶν ἔγραψαν Κυπριανὸς καὶ Ἐπιφάνιος, καὶ περὶ τῶν Δονατιστῶν ὁ Ὀπτᾶτος καὶ Αὐγουστῖνος.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι οὔτε ἐστὶ Σχίσμα οὐδὲν, εἰ μὴ πρότερον Αἵρεσίν τινα ἀναπλάσῃ, καὶ τί ἐστιν Αἱρετικὸς, καὶ ὅτι Αἱρετικοὶ οἱ Λατῖνοι.

Ὁ Αὐγουστῖνος ἐπιστολῇ ἑκατοστῇ πρώτῃ φησὶν, οὔτε ἐστὶν οὐδὲν σχίσμα, εἰ μὴ πρότερον Αἵρεσιν τινὰ ἀναπλάσῃ, ἵνα ὀρθῶς τῆς Ἐκκλησίας δόξῃ ἀφεστηκέναι. Γεώργιος ὁ Σχολάριος ἐν τῷ κατὰ σιμωνίας, Αἱρετικός ἐστιν ἅπας ὁ περί τι τῶν τῆς πίστεως ἄρθρων ἢ κατ' εὐθεῖαν, ἢ πλαγίως πλανώμενος. καὶ ὅπερ οἱ πολιτικοὶ Νόμοι φασὶν, Αἱρετικός ἐστι, καὶ τοῖς Αἱρετικῶν ὑπόκειται Νόμοις, ὁ μικρὸν γοῦντι τῆς ὀρθῆς πίστεως παρεγκλίνων. καὶ ἐν τῇ ἐν Φλωρεντείᾳ συνελεύσει εἰκοστῇ πέμπτῃ ὁ Ἐφέσου ἔφη, Ἡμεῖς δι' οὐδὲν ἄλλο ἀπεσχίσθημεν τῶν Λατίνων, ἀλλ' ἢ ὅτι εἰσὶν οὐμόνον Σχισματικοὶ, ἀλλὰ καὶ Αἱρετι-

Αἱρετικοὶ, διὸ οὐδὲ πρέπει ὅλως ἑνωθῆναι αὐτοῖς, εἰ μὴ ἐκβάλλωσι τὴν προσθήκην ἀπὸ τοῦ Συμβόλου. Ὁ αὐτὸς ὡς λέγει ὁ μέγας Ἐκκλησιάρχης τμήματι ἐνάτῳ κεφαλαίῳ πέμπτῳ, ἔλεγεν ἐν τῇ αὐτῇ Συνόδῳ, Ἡ τῶν Λατίνων διαφορὰ Αἵρεσις ἐστὶ, καὶ οὕτως εἶχον αὐτὴν καὶ οἱ πρὸ ἡμῶν, πλὴν οὐκ ἠθέλησαν θριαμβεῦσαι τοὺς Λατίνους ὡς Αἱρετικοὺς, τὴν ἐπιστροφὴν αὐτῶν ἐκδεχόμενοι, καὶ τὴν φιλίαν πραγματευόμενοι. καὶ ὁ Ταράσιος πράξει πρώτῃ τῆς ἑβδόμης Συνόδου ἔφη, Τὸ γὰρ ἐπὶ δόγμασιν εἴτε μικροῖς εἴτε μεγάλοις ἁμαρτάνειν, ταὐτόν ἐστιν, ἐξ ἀμφοτέρων γὰρ ὁ Νόμος τοῦ Θεοῦ ἀθετεῖται. καὶ ἐκεῖνο τὸ τοῦ Φωτίου, γράφοντος πρὸς Νικόλαον Ἐπίσκοπον Ῥώμης, ἐν τῇ δευτέρᾳ ἐπιστολῇ, Καὶ γάρ ἐστιν ὄντως κοινὰ πᾶσιν ἅπαντα φυλάττειν ἐπάναγκες, καὶ πρόγε τῶν ἄλλων τὰ περὶ πίστεως, ἔνθα καὶ τὸ παρεκκλῖναι μικρὸν, ἁμαρτεῖν ἐστιν ἁμαρτίαν τὴν πρὸς θάνατον.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ἔλεγχος κατὰ τῆς γλωσσαλγίας Λεοπόλδου Κολονίκης Καρδηνάλεως, γράψαντος τῷ Οὐγγροβλαχίας κατὰ τοῦ ὀρθοδόξου δόγματος τῶν Ἀνατολικῶν.

Λεοπόλδος Κολονίκης Καρδηνάλις ἀπὸ Βιέννης γράψας πρὸς τὸν Μητροπολίτην Οὐγγροβλαχίας ἐν ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ δευτέρῳ, λέγει πρὸς τοῖς ἄλλοις οἷς γράφει καθ' ἡμῶν, Τὸ ἀσεβέστατον σχίσμα τῶν Γραικῶν τῶν Ἀνατολικῶν. Ἀλλὰ ῥητέον, ὅτι οἱ Ἀνατολικοὶ Γραικοὶ ὀρθόδοξοί εἰσι, καὶ γὰρ φυλάττουσι πάντα τὰ ἀρχαῖα καὶ πάτρια καὶ ἀποστολικὰ, καὶ μάρτυρες ἡ γραφὴ, οἱ πατέρες, καὶ ἡ ἀλληλοδιάδοχος τῆς καθολικῆς Ἐκκλησίας παράδοσις, οἱ δὲ λατῖνοι καινοτομήσαντες καὶ εἰς τὴν πίστιν καὶ εἰς τὰ Μυστήρια καὶ εἰς πάντα τὰ ἐκκλησιαστικὰ, εἰσὶ προφανεῖς ἀσεβεῖς καὶ Σχισματικοὶ, ὡς ποιοῦντες τὴν μερικὴν καθολικὴν, καὶ ἀντὶ τοῦ ἔχειν τὸν Χριστὸν κεφαλὴν ἡγοῦνται κεφαλὴν τοὺς Πάπας, καὶ τὴν ῥωμαϊκὴν Ἐκκλησίαν μερικὴν οὖσαν, ποιοῦσι καθολικὴν, ὅθεν κατὰ τοὺς ἀνωτέρω προσεχῶς διαληφθέντας πατέρας καὶ Διδασκάλους εἰσὶ πλάνοι, ἄχυρα, ἀναιδεῖς, μὴ ἔχοντες ἀγάπην, πολέμιοι τῆς ἐκκλησιαστικῆς εἰρήνης, συκοφάνται τῶν ὀρθοδόξων, σωρὸς νέων σφαλμάτων, παρήκοοι, ἀποστάται, τῆς ἀληθείας ἐχθροὶ, φθονεροὶ, φιλόνεικοι, πεισματικοὶ, ὥσπερ ὑπὸ τῶν πατέρων ὁμολογοῦνται, ὅθεν καὶ ἀπόπτυστοι.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι τῶν Λατίνων λεγόντων μὴ εἶναι σφὰς αὐτοὺς Αἱρετικοὺς, ὡς τῷ Ἐφέσου δῆθεν ἔδοξε Μάρκῳ, καὶ τοῦ Χωματεινοῦ Δημητρίου τοὺς τύπους καὶ τὰ ἔθη αὐτῶν μὴ καταγνωσθῆναι, μήτε αὐτοὺς ἀποβλήτους ὡς Αἱρεσιώτας δημοσίᾳ γεγενῆσθαι λέγοντος, δείκνυται ἐνταῦθα καὶ ἰδίως καὶ συνοδικῶς πολλάκις αὐτοὺς ἀναθεματισθῆναι ὡς Αἱρετικοὺς διὰ τὸ προσθῆναι ἐν τῷ Συμβόλῳ, καὶ ἐκ τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα δογματίσαι, καὶ Ἄζυμα θύειν, καὶ τὸ ἐν τῇ τοῦ Κυρίου Μεταμορφώσει φῶς κτιστὸν λέγειν.

Πρὸς ταῦτα τοῦ Ἐφέσου λέγουσιν οἱ Λατῖνοι, ὅτι οὐκ εἰσὶν Αἱρετικοὶ ὡς ἐνόμισεν οὗτος καὶ ἄλλοι τινὲς τοιοῦτοι, ὅθεν Δημήτριος ὁ Χωματεινὸς ἀποκρίσει πρὸς Κωνσταντῖνον Καβάσιλαν Ἀρχιεπίσκοπον Δυῤῥαχίου περὶ τοῦ Βαλσαμῶνος ἐν ταῖς ἐρωταποκρίσεσι Μάρκου Ἀλεξανδρείας, Αἱρετικοὺς ἀποκαλοῦντος Λατίνους, λέγει, Τῇ τοιαύτῃ δὲ ἀποκρίσει τηνικαῦτα πολλοὶ τῶν ἐλλογίμων οὐκ ἔθεντο, πολὺ ἐχούσῃ τὸ ἀπηνές τε καὶ ἰταμὸν, καὶ μὴ προσῆκον μέμψει λατινικῶν τύπων τε καὶ ἐθῶν, ὅτι τε φασὶν οὐκατεγνώσθη ταῦτα συνοδικῶς, καὶ οὐδὲ ὡς Αἱρεσιῶται ἀπόβλητοι δημοσίᾳ γεγόνασιν. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, διατὶ τοὺς Λατίνους παραβάτας γενομένους ἐν πολλοῖς τοῦ ἐκκλησιαστικοῦ φρονήματος, οἱ Ἀνατολικοὶ οὕτως ἀναφανδὸν οὐκ ἀνεθεμάτισαν, λέγει τὸ αἴτιον ἀνωτέρω ὁ αὐτὸς Ἐφέσου, καὶ σὺν αὐτῷ ὁ μακαρίτης Ἱεροσολύμων Νεκτάριος τμήματι δευτέρῳ φύλλοις ἑβδομηκονταεννέα τοῦ Συνταγματίου αὐτοῦ. λέγομεν ὅμως καὶ ἡμεῖς, ὅτι ἐφ' ὅσον οἱ Λατῖνοι ἐψιθύριζον ὑπ' ὀδόντα τὰς καινοτομίας αὐτῶν, καὶ ἡ Ἐκκλησία οἰκονομοῦσα, καὶ τὴν διόρθωσιν αὐτῶν ἐλπίζουσα, συνεπτυγμένως κατέκρινεν αὐτοὺς, ἀφ' οὗ δὲ ἤρξαντο γυμνῇ τῇ κεφαλῇ βλασφημεῖν, ἀνεθεμάτισαν αὐτοὺς καὶ κοινῶς καὶ ἰδίως. ἀναθεματίζει ἡ τρίτη Οἰκουμενικὴ Σύνοδος ἐν τῷ ἑβδόμῳ αὐτῆς Κανόνι τοὺς προσθήκην τολμήσοντας ἐν τῷ τῆς πίστεως Συμβόλῳ, καὶ καθεξῆς αἱ μετ' αὐτὴν ἅγιαι τέσσαρες Οἰκουμενικαὶ Σύνοδοι οὕτως ὥρισαν ἐν τοῖς Ὅροις αὐτῶν, ἀλλαμὴν οἱ Λατῖνοι ἐτόλμησαν προσθήκην ἐν τῷ Συμβόλῳ, οἱ Λατῖνοι ἄρα ἀναθεματίζονται ὑπὸ τῶν Οἰκουμενικῶν Συνόδων, τουτέστιν ὑπὸ πάσης τῆς καθόλου Ἐκκλησίας. δεύτερον, εἴπομεν ἀνωτέρω βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἑβδόμῳ, καὶ ἔτι ὡς εἶπεν ἐν τοῖς περὶ προσθήκης ὁ Βελλαρμῖνος συμφώνως Πέτρῳ τῷ Λομπάρδῳ διαιρέσει ἑνδεκάτῃ, Ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ οὐκ ἐστέργετο ἡ προσθήκη, ἀντεχομένων δέ τινων, Λέων ὁ τρίτος τὸ Σύμβολον τῆς δευτέρας Συνόδου ἐχάραξεν εἰς τὰς ἀργυρᾶς ἀσπίδας, καὶ κατὰ τὸ

τὸ εἰκὸς ἐξεφώνησε τὸ ἀνάθεμα εἰς τοὺς παράβασιν τολμήσοντας. τρίτον, ἡ κατὰ Φωτίου καὶ ἡ ἐπὶ Φωτίου αἱ Σύνοδοι ὥρισαν μένειν τὸ Σύμβολον τῆς πίστεως ἀκαινοτόμητον, καὶ ἴδε τοὺς τόπους ἀνωτέρω, οὐκ ἄνευ ὅμως τῶν ὑπὸ τῶν πρὸ αὐτῶν Οἰκουμενικῶν Συνόδων ἐκφωνηθέντων ἐπιτιμίων, καὶ ἴδε ἀνωτέρω ὅλον τὸ δεύτερον κεφάλαιον τοῦ ὀγδόου βιβλίου. τέταρτον, ἐπὶ Βασιλείου Πορφυρογεννήτου καὶ Σεργίου Πατριάρχου Κωνσταντινουπόλεως ἐγένετο ἐν Κωνσταντινουπόλει Σύνοδος Τοπικὴ κατὰ τοῦ Πάπα τῆς Ῥώμης, καὶ ἐξέβαλεν αὐτὸν τῶν Διπτύχων. πέμπτον, ἐπὶ Κωνσταντίνου τοῦ Μονομάχου ἐγένετο τρίτη Σύνοδος ἐν Κωνσταντινουπόλει σχεδὸν Οἰκουμενικὴ, ἥτις καλέσασα αὐτὸν τὸν Πάπαν Λέοντα τὸν ἔνατον εἰς ἀπολογίαν, καὶ μὴ ἐλθόντα ἀπέκοψε τοῦ σώματος τῆς Ἐκκλησίας. ἕκτον, ἐπὶ τῶν Βασιλέων Ἀλεξίου Ἰωάννου καὶ Μανουὴλ τῶν Κομνηνῶν ἐγένοντο Σύνοδοι περὶ τούτου, ἰδίως δὲ ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ Σύνοδος γεγονυῖα ἐν Κωσταντινουπόλει, ἐν ᾗ παρῆν καὶ ἡ Σύγκλητος, τελείῳ χωρισμῷ ἀπέκοψε καὶ αὐτὴ τὸν Πάπαν καὶ τοὺς σὺν αὐτῷ τῆς ἐκκλησιαστικῆς κοινωνίας, καὶ ἴδε ἀνωτέρω βιβλίου ὀγδόου κεφάλαιον δέκατον. ἕβδομον, ἐν τῇ Νικαίᾳ οὔσης τῆς Βασιλείας, πολλάκις κατεκρίθησαν οἱ Λατῖνοι ἐν τῷ καλουμένῳ Νυμφαίῳ, ὅμως ἐπὶ Γερμανοῦ τοῦ νέου Σύνοδος ἀθροισθεῖσα Γραικολατίνων, καὶ τῶν Λατίνων μὴ ἀφισταμένων τῆς προσθήκης, ἡ Σύνοδος ἀνεθεμάτισεν αὐτοὺς, καὶ γὰρ ῥητῶς εἶπεν ἐν τῇ ἀποφάσει, ἤτοι ἐν τῷ Ὅρῳ αὐτῆς, Τοῖς μὴ ὁμολογοῦσι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς προσεχῶς ἐκπορεύεσθαι ὥσπερ καὶ τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς προσεχῶς γεννᾶσθαι, καθώσπερ αὐτὸς ὁ Θεὸς Λόγος τοῖς Ἀποστόλοις διέθετο εἰπὼν, ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. ἀλλὰ πάρ οὐδὲν θεμένοις τὴν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν παράδοσιν, τολμῶσι φάσκειν ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὐχὶ ἐκ τοῦ Πατρὸς προσεχῶς καὶ ἀμέσως, Ἀνάθεμα. Τοῖς ἐναντία τῷ Δεσπότῃ Χριστῷ δογματίζειν ἐπιχειροῦσι, καὶ λέγουσι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, καὶ ἐκ τοῦ Υἱοῦ μὲν ἀμέσως καὶ προσεχῶς, ἐκ τοῦ Πατρὸς δὲ οὐ προσεχῶς, ἀλλὰ πόῤῥω, ὡς τὸν μὲν Υἱὸν ἐκ τοῦ Πατρὸς ἀμέσως, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, καὶ τολμῶσι λέγειν τὸν μὲν Υἱὸν προσεχῶς τοῦ Πνεύματος αἴτιον, πόῤῥω δὲ τοῦ Πνεύματος αἴτιον τὸν Πατέρα, ὥστε εἶναι τὸ Πνεῦμα τὸ ἅγιον ἐνεργείᾳ μὲν τοῦ Υἱοῦ, δυνάμει δὲ τοῦ Πατρὸς, καὶ βαθμοὺς καὶ ὑποβάσεις αἰτίων καὶ αἰτιατῶν ἐπὶ τῆς ἁπλῆς καὶ ἀδιαιρέτου Τριάδος ἐπεισάγουσιν, Ἀνάθεμα. Τοῖς δοξάζουσιν ἐπὶ τῆς ἁγίας Τριάδος δοξῶν τε καὶ τάξεων καὶ ἀξιωμάτων διαφορὰς, καὶ τολμῶσι λέγειν τρίτον εἶναι τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Πατρὸς τῇ τε τάξει καὶ τῇ ἀξίᾳ, δεύτερον δὲ τὸν Υἱὸν, καὶ οὕτω τὴν μίαν καὶ ἁπλῆν καὶ ὁμότιμον καὶ ὁμόδοξον καὶ ὁμόθρονον κατατέμνειν Θεότητα, καὶ εἰς τὸ τῆς τριθείας ἐμπίπτουσι βάραθρον, Ἀνάθεμα. Τοῖς μὴ καταδεχομένοις ἀπαραποίητον καὶ ἀνόθευτον στέργειν τὸ καθ' ἑκάστην ἐν τῇ ἁγίᾳ Λειτουργίᾳ παρὰ τῶν ὀρθοδόξων ὁμολογούμενον ἅγιον Σύμβολον, τὸ παρὰ τῆς πρώτης τέφημι καὶ δευτέρας τῶν ἁγίων Συνόδων εὐαγγελικῶς ἐκτεθὲν, καὶ βεβαιωθὲν παρὰ τῶν λοιπῶν, ἀλλὰ μεταποιοῦσι τοῦτο, καὶ λέγουσι, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ κύριον καὶ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορευόμενον, καὶ οὐμόνον τὰς τῶν ἁγίων πατέρων συνοδικὰς παραδόσεις, καὶ τῶν ἁγίων καὶ θεοδιδάκτων Ἀποστόλων, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἀληθινοῦ ἡμῶν Θεοῦ καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ παραφθείρουσι τοὺς Ὅρους, Ἀνάθεμα. Τοῖς κακῶς ἐκλαμβάνουσι τὴν τοῦ παναγίου Πνεύματος ἐκπόρευσιν, καὶ λέγουσι, ταὐτόν ἐστιν ἐκπόρευσις καὶ πρόχυσις ἢ πρόεσις, καὶ ἐπεὶ κατὰ τοὺς θείους πατέρας, καὶ μάλιστα κατὰ τὸν θεῖον Κύριλλον προχεῖται καὶ πρόεισι καὶ ἐκ τοῦ Υἱοῦ καθώσπερ καὶ ἐκ τοῦ Πατρὸς, ἐκπορεύεται ἄρα καὶ ἐκ τοῦ Υἱοῦ, μὴ νοοῦντες οἱ ἄφρονες, ὅτι ἡ μὲν ἐκπόρευσις τὸν ἄναρχον τρόπον τῆς τοῦ παναγίου Πνεύματος κηρύττει ὑπάρξεως, διατοῦτο καὶ ἄνευ αἰτίας τινὸς ἐκ τοῦ Πατρὸς ταύτην ὁμολογοῦμεν, τὸ δὲ προχεῖσθαι καὶ προϊέναι, τὴν ἄφθονον τοῦ παναγίου Πνεύματος χορηγίαν καὶ τὴν τῶν αὐτοῦ χαρισμάτων διανομὴν, διὸ καὶ τὴν αἰτίαν δι' ἣν καὶ προχεῖται οἱ θεῖοι πατέρες φέρουσιν, ὅτι τισὶν ὑπὸ χρόνον, τοῖς οὖν μὴ ὁμολογοῦσι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορευτῶς ἔχειν τὴν ὕπαρξιν, ὥσπερ καὶ τὸν Υἱὸν γεννητῶς, καὶ τρόπον ὑπάρξεως τοῦ μὲν Υἱοῦ τὴν γέννησιν, τοῦ δὲ παναγίου Πνεύματος τὴν ἐκπόρευσιν, ἀλλὰ δολίως ἀθετοῦσι τὴν τοῦ παναγίου Πνεύματος ἰδιότητα, καὶ φάσκουσιν οὐ καθὸ ἐκπορευτὸν ἔχειν τὴν ὕπαρξιν ἐκ τοῦ Πατρὸς, καὶ ταῦτα τοῦ Θεολόγου Γρηγορίου εἰς τὸν περὶ τοῦ ἁγίου Πνεύματος λόγον, καὶ τοῦ Θεολογικωτάτου Δαμασκηνοῦ μέσον ἀγεννήτου καὶ γεννητοῦ βοώντων εἶναι τὸ ἐκπορευτὸν ἕτερον τρόπον ὑπάρξεως τῆς τε ἀγεννησίας τοῦ Πατρὸς καὶ τῆς γεννήσεως τοῦ Υἱοῦ τὴν τοῦ παναγίου Πνεύματος ἐκπόρευσιν, Ἀνάθεμα, καὶ τὰ ἑξῆς. Ὁμοίως ἐπίτε τῇ παραβάσει τῶν ἱερῶν Κανόνων, καὶ τῇ τῶν Ἀζύμων νεκρᾷ θυσίᾳ, καὶ τῇ περὶ τὸ βάπτισμα καινοτομίᾳ, καὶ τῇ τοῦ πουργατορίου φλυαρίᾳ, καὶ τοῖς κατὰ μικρὸν παρανόμως καινοτομηθεῖσιν ἀθέσμοις καὶ καταγελάστοις αὐτῶν ἔθεσιν, ἴδε ἀνωτέρω βιβλίου ὀγδόου κεφάλαιον δέκατον ὄγδοον. ὄγδοον, διάφοροι Σύνοδοι συνῆλθον ἐπὶ Ἀνδρονίκου τοῦ Παλαιολόγου, καὶ Ἄννης τῆς βασιλίσσης, καὶ Ἰωάννου τοῦ Καντακουζηνοῦ, ὡς εἴρηται ἐν τοῖς προλεγομένοις τῆς Ἀγάπης, καὶ ἀνωτέρω βιβλίῳ ἐνάτῳ κεφαλαίῳ τρίτῳ, ἀναθεματίσασαι Βαρλαὰμ καὶ Ἀκίνδυνον καὶ Ἰωάννην Καλέκαν Πατριάρχην Κωνσταντινουπόλεως, καὶ Πρόχωρον τὸν Κυδώνην, φρονοῦντας κτιστὸν τὸ φῶς τῆς Μεταμορφώσεως, καὶ ταὐτὸν οὐσίαν καὶ ἐνέργειαν ἐπὶ Θεοῦ, ἀλλαμὴν ταῦτα φρονοῦσι καὶ οἱ Λατῖνοι,

τῖνοι, ἄρα κοινόν ἐστι τὸ ἀνάθεμα τοῖς διαληφθεῖσι καὶ τοῖς Λατίνοις. ἔνατον, ἐπὶ Μανουὴλ τοῦ Παλαιολόγου ἤκμαζεν Ἰωσὴφ ὁ Βρυέννιος, καὶ φανερῶς κατεκρίθησαν καὶ τότε οἱ Λατῖνοι, καὶ ἴδε ἀνωτέρω βιβλίου ἐνάτου κεφαλαίου ἑνδεκάτου Παράγραφον τρίτον. δέκατον, τὴν ἐν Φλωρεντείᾳ Σύνοδον κατέκρινεν ἀπέβαλε καὶ ἀνεθεμάτισεν ἡ καθολικὴ Ἐκκλησία εἰς πολλοὺς καὶ διαφόρους τόπους, καὶ συνοδικῶς, καὶ ἴδε ἀνωτέρω ἐν τῷ πρώτῳ μέρει τοῦ παρόντος δεκάτου βιβλίου. ἑνδέκατον, ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ ἐννενηκοστῷ δευτέρῳ Σύνοδος γεγονυῖα οἰκουμενικὴ ἐν Κωνσταντινουπόλει, φανερῶς κατέκρινε τοὺς Λατίνους ὡς Αἱρετικοὺς, ὥστε καὶ ὀρθοδόξους γινομένους μετὰ ἀκολουθίας καὶ λιβέλλων καὶ κατακρίσει τῶν λατινικῶν καινοτομιῶν καὶ χρίσει τοῦ ἁγίου Μύρου ὥρισε γίνεσθαι, ἴδε καὶ ἐν τῷ Τόμῳ τῆς Ἀγάπης καταβατὸν πεντακοσιοστὸν ἑξηκοστὸν ὄγδοον. δωδέκατον, ἴδε τὴν κατὰ Βέκκου Σύνοδον ἀνωτέρω βιβλίου ἐνάτου κεφαλαίῳ τρίτῳ. καὶ ὁ Κωνσταντινουπόλεως Ἱερεμίας μεταταῦτα ἐν ἔτει . . . . . γράφων διὰ πολλῶν πρὸς τοὺς ἐν Βιτεμπεργίδι Λουτεραίους ἐγκυκλίους ἐπιστολὰς, κατέκρινε τὸ ἐκ τοῦ Υἱοῦ, καὶ ἄλλα καινοτομήματα λατινικὰ, καὶ τέως αἱ ἐπὶ Παρθενίου Κωνσταντινουπόλεως ἐν Κωνσταντινουπόλει καὶ ἐν Γιασίῳ Σύνοδοι ἀνεθεμάτισαν καὶ ἀφώρισαν δημοσίως τοὺς λέγοντας ἢ φρονοῦντας καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλαμὴν καὶ ἰδίως ὑπὸ πολλῶν πατέρων κατεκρίθησαν οἱ Λατῖνοι ὡς Αἱρετικοὶ, ἐξ ὧν πατέρων ἐστὶ καὶ ὁ Ἀντιοχείας Πέτρος γράφων πρὸς τὸν Κηρουλλάριον καὶ λέγων, Κακῶν κάκιστον ἡ προσθήκη, καὶ ὁ συγχωρῶν ταύτην, ἀσυγχώρητος. τοῦτο λέγει καὶ ὁ Θεοφύλακτος Βουλγαρίας, Ὁ συγχωρῶν τὴν προσθήκην, ἀσυγχώρητος. ἴδε περὶ τοιούτων ἐπιτιμίων καὶ ἀνωτέρω βιβλίου ὀγδόου τὸ πρῶτον καὶ δεύτερον τὰ κεφάλαια, καὶ ἐν τῇ Καταλλαγῇ Βασιλείου τοῦ Ἀγκύρας τὸ ἑκατοστὸν εἰκοστὸν κεφάλαιον, καὶ τὸν Βλάσταριν περὶ τῶν ἑπτὰ Οἰκουμενικῶν Συνόδων ἐν τῇ Καταλλαγῇ καταβατῷ τετρακοσιοστῷ τεσσαρακοστῷ τετάρτῳ, καὶ Μάρκου τοῦ Ἐφέσου τὰ δύο κεφάλαια ἐν τῷ Τόμῳ τῆς Ἀγάπης καταβατῷ πεντακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ, καὶ ἐν τῷ Συνοδικῷ τῷ κατὰ τὴν πρώτην Κυριακὴν τῶν νηστειῶν ἀναγινωσκομένῳ, Ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ ὑποτύπωσιν τῶν ἁγίων πατέρων καινοτομηθέντα καὶ πραχθέντα, ἢ μετὰ τοῦτο πραχθησόμενα, ἀνάθεμα, καὶ ἐν τῷ κατηχητικῷ τῶν προσερχομένων Ἀρμενίων ἐπὶ τὴν ἁγίαν καὶ καθολικὴν Ἐκκλησίαν, Εἴτις οὐ βάλλει εἰς τὴν προσφορὰν προζύμην καὶ ἅλας, ἀνάθεμα. καὶ εἴτις ἐσθίει κρέα κατὰ τὴν τυροφάγον ἑβδομάδα, ἀνάθεμα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ ἀνθυποφορᾶς Λατίνων, τὴν μέσον ἡμῶν καὶ αὐτῶν διαφορὰν κατὰ Βαρλαὰμ, Ἰωάννην Κύτρους, Θεοφύλακτον, Νικήταν Σεΐδος καὶ Ἀνδρόνικον Καματηρὸν λεγόντων εἶναι μόνον ἐν τῇ προσθήκῃ τοῖς Ἀζύμοις καὶ τῷ ἐκ τοῦ Υἱοῦ δόγματι, τὰ δ' ἄλλα μὴ κωλύειν τὴν ἕνωσιν.

Ἀνθυποφέρουσι πρὸς ταῦτα οἱ Λατῖνοι, ὅτι ὁ Μοναχὸς Βαρλαὰμ λέγει, Ἐπεὶ περὶ ἃ μάλιστα διαφερόμεθα, τό, τε προστεθὲν ἐν τῷ Συμβόλῳ, καὶ ἡδὶ Ἀζύμων τελετὴ, τὰ γὰρ ἄλλα διαφοραὶ μὲν τινές εἰσιν, οὐ μὴν τοιαῦται, ὥστε δι' αὐτὰς τηλικοῦτον σχίσμα γενέσθαι. Ἔτι Ἰωάννης ὁ Κύτρους πρὸς Κωνσταντῖνον Καβάσιλαν γράφων, λέγει, Δύο εἰσὶ προφανῆ καὶ μεγάλα ποιοῦντα διαφορὰν μέσον ἡμῶν καὶ τῶν Λατίνων, τὸ πρῶτον καὶ μεῖζον τὸ περὶ τοῦ ἁγίου Πνεύματος δόγμα, δεύτερον δὲ καὶ τοῦ ἴσου λόγου, Ἀζύμων ἡ προσφορά. Ἔτι ὁ Θεοφύλακτος λέγει μόνην τὴν ἐν τῷ Συμβόλῳ προσθήκην. Ἔτι Νικήτας ὁ Σεΐδος, Πολλὰ μὲν ἡμῖν ὦ ἄνδρες ῥωμαῖοι (ἤγουν Λατῖνοι) τὰ διϊστῶντα ἡμᾶς ἀφ' ὑμῶν, καὶ πάντα παράνομα, τρία δὲ τῶν ἄλλων παρανομώτερα, ὡς τῶν λοιπῶν μὴ τοιούτων τὴν ἕνωσιν κωλυόντων. καὶ τέως Ἀνδρόνικος ὁ Καματηρὸς φησὶν, Ἢ τούτοις πεισθεὶς τοῦ ἱεροῦ Συμβόλου τὴν οὐκ οἶδα πόθεν καὶ παρὰ τίνος παρεντεθεῖσαν προσθήκην ὑπέξελε, καὶ δεῦρο στὰς μεθ' ἡμῶν σύμψαλλε καθὼς ἀπὸ τῶν θείων πατέρων αὐτὸ παρελάβομεν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ ἀπαντήσεως πρὸς τὰ ὑπὸ τῶν Λατίνων ἀνθυπενεχθέντα ἀνωτέρω, καὶ ἀπολογίας εἰς ἃ προβάλλουσιν οἱ αὐτοὶ ἀπὸ τοῦ πατραλοίου Νικήτα, τοῦ λέγοντος, διατὶ μὴ καὶ μεταταῦτα εἰάθησαν ἀνεξέταστα τὰ τῶν Λατίνων σφάλματα, ὡς καὶ ἀπὸ τῆς ἕκτης Συνόδου μέχρι τοῦ Κηρουλλαρίου, οὔσης καὶ τῆς ἑνώσεως.

Ἀλλὰ ῥητέον πρῶτον, εἴρηται ἀνωτέρω βιβλίου ὀγδόου κεφαλαίου δεκάτου ὀγδόου Παραγράφῳ δεκάτῳ τρίτῳ, Τὰ κατὰ κοινὴν συνέλευσιν τῶν πατέρων βεβαιότερά εἰσι τῶν κατὰ μέρος γραφέντων, καὶ τὰ ἑξῆς. δεύτερον, ἰδοὺ καὶ ἀπὸ τῶν καταμόνας καὶ ἰδίως ὑπότινων γραφέντων οἱ Λατῖνοι ἐλέγχονται ὡς Αἱρετικοὶ, καὶ ἕως οὗ ἔχωσι τὰς καινοτομίας, ἀσυγχώρητοι εἰσὶ, τουτέστιν ὑπὸ ἀνάθεμα εἰσὶν,

εἰσὶν, ἐπειδὴ ὅπερ λέγουσιν οἱ ὀλίγοι οὓς προβάλλουσιν, ἀσυγχώρητον ἐστὶ, καὶ οἱ τοιαῦτα συγχωροῦντες, καὶ οἱ ἕνεκα τούτων ἀσυγχώρητοι θεμελιοῦνται ἐπὶ τῇ γραφῇ καὶ τῇ κοινῇ ἀποφάσει καὶ τούτων τῶν ὀλίγων, καὶ τῶν λοιπῶν πατέρων καὶ Διδασκάλων. τρίτον, οἱ γράψαντες ταῦτα τὰ ὀλίγα σφάλματα τῶν Λατίνων, ἔχουσιν αἴτιον τὴν χρηστότητα, καὶ γὰρ ὡς ἔδοξεν αὐτοῖς ἤλπιζον τὴν διόρθωσιν τῶν ἀδελφῶν ὡς εἴρηκεν ἀνωτέρω ὁ Ἐφέσου, ὅπερ ὅτι πάτριόν ἐστιν, δῆλον γίνεται ἐξ ἐκείνου, ὅπου ὁ ἅγιος Κύριλλος γράφων πρὸς τὸν Πάπαν Κελεστῖνον κατὰ Νεστορίου, ἔλεγεν, ὅτι μακροθυμεῖν δεῖ, ἴσως διορθωθῇ, καὶ ἴδε ἀνωτέρω τὸν τόπον τῆς τρίτης Συνόδου. ἀλλὰ δὴ καὶ οἱ Ἀρειανοὶ παντάπασιν ἄθεοι ὄντες, εἶχον τὴν κοινωνίαν τῆς καθολικῆς Ἐκκλησίας ἕως τῆς ἐν Σαρδικῇ Συνόδου, ὡς εἴρηται ἀνωτέρω βιβλίῳ δευτέρῳ κεφαλαίῳ ἕκτῳ, οὐδὲ ἄλλο τὶ, ἀλλὰ διὰ τὴν ἐλπίδα τῆς διορθώσεως, καὶ ἐπειδὴ ἔμειναν ἐν τῇ πεισμονῇ, ἀπερρίφθησαν τῆς Ἐκκλησίας, καὶ ἴδε ἀνωτέρω τὸν αὐτὸν τόπον, ἤτοι βιβλίου δευτέρου κεφάλαιον ἕκτον. τέως ὁ χριστιανικώτατος Γίγας, Μάρκος ὁ Ἐφέσου ἐν τῷ λόγῳ, οὗ ἡ ἀρχὴ, ΕΓΩ ΤΗ ΤΟΥ ΘΕΟΥ ΧΑΡΙΤΙ, καταλέγων πολλὰς τῶν Λατινικῶν Αἱρέσεων, καὶ εἰπὼν, ὅτι ἐν καὶ μόνον ἱκανόν ἐστιν ἡμᾶς ἐξ αὐτῶν διαστῆσαι, ἀκολουθήσω ὅμως τοῖς λέγουσιν τὸν Υἱὸν δεύτερον αἴτιον τοῦ ἁγίου Πνεύματος, καὶ τούτους, ἐὰν μὴ ἀποστῶσι, μὴ μόνον ἀκοινωνήτους ἔχειν, ἀλλὰ μήτε ἀδελφοὺς ὀνομάζειν, ἐπειδὴ ἅπαντες οἱ τῆς Ἐκκλησίας Διδάσκαλοι, πᾶσαι αἱ Συνόδοι, καὶ πᾶσαι αἱ θεῖαι γραφαὶ φεύγειν τοὺς ἑτερόφρονας παραινοῦσι, καὶ τῆς αὐτῶν κοινωνίας διΐστασθαι. οὐκ ἐλευθεροῦνται ἄρα οἱ Λατῖνοι τοῦ κοινοῦ καὶ δημοσίου ἀναθέματος, εἰ καὶ μὴ πάντες οἱ Διδάσκαλοι πάσας τὰς καινοτομίας αὐτῶν καταλέγουσιν, ἀρκεῖ καὶ γὰρ παρὰ τοῖς τελειοτέροις ἐν καὶ μόνον αὐτοὺς Αἱρετικοὺς ἀποφῆναι ἡ εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημία, καὶ ἕως οὗ ὁ Ἥλιος ἐφορᾷ τῆς ἐκκλησιαστικῆς κοινωνίας ἀποδιΐστασθαι. τέως, ἐπὶ τοῖς διαληφθεῖσι προβάλλουσι τὸν πατραλοίαν Νικήταν τὸν ἀπὸ Νικαίας βιλίῳ κατὰ Σχισματικῶν λέγοντα, Τὰ αἰτιάματα ἅπερ ἡ ἕκτη Συνόδος καταμέμφεται εἰάθησαν ἀνεξέταστα, ὅθεν ἀπὸ τῆς ἕκτης ἕως τῆς ἑβδόμης Συνόδου ἦσαν αἱ Ἐκκλησίαι ἡνωμέναι, ἀπὸ δὲ τῆς ἑβδόμης Συνόδου ἕως τοῦ Φωτίου οὐδὲν ἐκινήθη κατὰ Λατίνων σφάλμα, καὶ πάλιν τοῦ Φωτίου ταράξαντος καὶ συνελθόντος, ἦν ἡ ἕνωσις ἄχρι Σεργίου καὶ Κηρουλλαρίου, καὶ πάλιν ἡ μέμψις ἐπεισῆλθεν, ἥντινα ἐχρῆν ἢ ἀποστρέφεσθαι, ἢ διορθώσασθαι, εἰ δὲ τὴν δύναμιν ὑπερέβαινεν ἡ διόρθωσις, τέως διὰ λόγων ἀντιστῆναι, καὶ εἰ τοσοῦτον χρόνον τὰ αἰτιάματα εἰάθησαν ἀνεξέταστα, διατὶ οὐ καὶ μεταταῦτα οὕτως εἰάθησαν; ταῦτα οἱ Λατῖνοι. Ἀλλὰ ῥητέον, ὅτι ἡ ἕκτη Συνόδος ἠτιάσατό τινα τῶν Ῥωμαίων, ἀλλ' ἢ ἀπεδέχθησαν, ἢ τοὐλάχιστον ἐσιωπήθησαν παρὰ τῶν Λατίνων, ὡς μαρτυρεῖ τὰ ἐν τῇ ἑβδόμῃ Συνόδῳ ὑπὸ τοῦ Πάπα Ἀδριανοῦ γεγενημένα, καὶ γὰρ ἀπεδέχθη ὡς ἁγία καὶ θεοβούλητος ἐν πᾶσιν ἡ Συνόδος ἡ ἐν Τρούλλῳ, καὶ ἀναμεταξὺ ταύτης τῆς ἐν Τρούλλῳ καὶ τῆς ἑβδόμης Συνόδου ἀναφανέντων τῶν Εἰκονομάχων, οἱ Πατριάρχαι ὁ Ἀλεξανδρείας Κοσμᾶς, ὁ Ἀντιοχείας Θεόδωρος, καὶ ὁ Ἱεροσολύμων Θεόδωρος, ὁ Κωνσταντινουπόλεως Γερμανὸς καὶ οἱ Ῥώμης Γρηγόριος καὶ Γρηγόριος, Παῦλος καὶ Στέφανος καὶ ἄλλοι, ὡς εἴπομεν ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παραγράφῳ ἐνάτῳ καὶ δεκάτῳ τετάρτῳ, ἀλλήλοις ἔγραφον, καὶ ἰσχυρῶς ἠγωνίσαντο κατὰ τῶν Εἰκονομάχων, μετὰ δὲ τὴν ἑβδόμην Συνόδον ἦν εἰρήνη, ὅτι οὐδὲ μία καινοτομία ἐγένετο ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ. ἐπὶ δὲ Φωτίου ἐξεφωνήθη τινὰ καινοτομήματα, ἀλλ' ἐν τῇ Βουλγαρίᾳ καὶ μὴ ἐν τῇ Ῥώμῃ, ἅτινα ὁ Φώτιος κατήλεγξεν, ἡ δὲ ῥωμαϊκὴ Ἐκκλησία εἰ καὶ διεφέρετο μετὰ τῆς ἐν Κωνσταντινουπόλει διὰ τὴν καθαίρεσιν Ἰγνατίου καὶ τοῦ Πάπα Νικολάου ὑπὸ Φωτίου, ἀλλ' ἐπειδὴ οὐκ ἦν ἡ διαφορὰ περὶ ἐκκλησιαστικοῦ δόγματος, ἀλλὰ περὶ ἐθῶν τινῶν ἐκκλησιαστικῶν, πάλιν ἡ ἕνωσις καὶ εἰρήνη τῶν δύο θρόνων ἐγένετο ῥᾳδιώτατα, ὅθεν καὶ ἔμεινεν ἕως τοῦ Σεργίου. καὶ ἐπειδὴ τότε οἱ Ῥωμαῖοι καὶ ἐν τῷ Συμβόλῳ προσέθηκαν, καὶ ἄλλα λίαν πικρὰ καὶ βλαπτικὰ ἐκαινοτόμησαν, ἐγένετο ἡ ἀποβολὴ τοῦ Πάπα ἀπὸ τῶν Διπτύχων, καὶ καθεξῆς μὴ γενομένης διορθώσεως, ἠκολούθησεν ἡ τελεία ἀκοινωνησία, καὶ ἡ ἔνστασις διὰ λόγων συνοδικῶν, καὶ τὰ αἰτιάματα εἰ καὶ μὴ πάντα, ἀλλὰ τὰ δοκοῦντα κυριώτερα ἐγένετο διὰ τοῦ Κυρουλλαρίου, καὶ τοῦ Ἀντιοχείας Πέτρου, καὶ Νικήτα τοῦ Στηθάτου, καὶ τέως τὸ τοῦ Ἀντιοχείας, Ἡ προσθήκη κακῶν κάκιστον, καὶ τοῦ Βουλγαρίας τὸ, Ὁσυγχωρῶν ἀσυγχώρητος. καὶ οὗτος ἄρα ὁ γεννάδας Νικήτας Σχισματικὸς ὤν, σχισματοποιά τινα εἶπε καὶ πάντῃ ψευδῆ. ἴδε καὶ ἀνωτέρω βιβλίου ὀγδόου κεφαλαίου δεκάτου Παράγραφον ἕβδομον, καὶ ἔτι βιβλίου τοῦ αὐτοῦ κεφάλαιον δέκατον ὄγδοον.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Γ'. ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὅτι τὸ καθόλου κριτήριον τῆς Ἐκκλησίας εἰσὶ κοινῶς οἱ ἅγιοι πατέρες καὶ αἱ κανονικαὶ καὶ νόμιμοι Συνόδοι.

Ἐδύνατο ὁ Θεὸς διὰ τῆς ἀπολελυμένης αὐτοῦ δυνάμεως καὶ χωρὶς Συνόδων κυβερνᾶν καὶ διαφυλάττειν τὴν Ἐκκλησίαν, ὅμως καὶ τὴν κοινὴν αὐτοῦ πρόνοιαν τὰς Συνόδους εἶναι ἀναγκαιοτάτας εἰς πνευματικὴν

ματικὴν κυβέρνησιν τῆς Ἐκκλησίας ἠθέλησεν, ὅθεν εἰ ἔλιπον αἱ Σύνοδοι, οὐχ οἱ ἀπολελυμένοι, ἀλλὰ καὶ οἱ σωζόμενοι ὁσημέραι ἐχραίνοντο ἐλαττώμασι κακίαις καὶ βλασφημίαις. εἰ δὲ καὶ οἱ Ἀπόστολοι πάντες ἐδύναντο ἰδίᾳ ἕκαστος κρίνειν καὶ διορίζειν τὰς συμβαινούσας διαφορὰς, ὅμως ἵνα μὴ δόξωσι καταφρονεῖν τοῦ κοινοῦ μέσου τοῦ παρὰ Θεοῦ δοθέντος, καὶ μάλιστα ἵνα σαφῶς δείξωσιν ὅτι τὸ κοινότατον καὶ ἀναγκαιότατον μέσον εἰς τὴν κυβέρνησιν τῆς Ἐκκλησίας ἐστὶν ἡ Σύνοδος, οὐκ ἠθέλησαν διορίσαι περὶ τῶν νομικῶν ἐνταλμάτων κατὰ τὸν εὐαγγελικὸν σκοπὸν, ἀλλ' ἢ διὰ κοινῆς αὐτῶν συνελεύσεως, ὅθεν ἐν παντὶ καιρῷ ἐφυλάχθη ἡ τοιαύτη συνήθεια καὶ πρᾶξις εἰς τὴν Ἐκκλησίαν, ὥστε δι' αὐτῆς τὰ ἀμφίβολα ἐξηγεῖσθαι, καθότι μόνη ἡ Σύνοδος ἄπταιστος οὖσα καὶ ἀναμάρτητος, μόνη ἀναμαρτήτως ἐξηγεῖται τὴν ἁγίαν γραφὴν, καὶ διατοῦτο οὐδεὶς Πάπας ἢ Πατριάρχης ἢ ἄλλος Ἐπίσκοπος μόνος ἔκρινε νέαν Αἵρεσιν, ἢ μόνος ἐπίστευσε τῇ γνώσει αὐτοῦ, ἢ προσεδόκησεν ἀποκάλυψιν παρὰ Θεοῦ περὶ τῶν ἀμφισβητουμένων, ἀλλὰ πάντοτε κατέφυγον εἰς τὸ κοινὸν κριτήριον, ὅπερ ἐστὶν ἡ Σύνοδος, ἥτις ἐξήτασεν, ἔκρινε, διώρισεν, ἀπόφασιν ἐποίησεν. ὅθεν πολλοὶ τῶν Πατριαρχῶν καὶ λοιπῶν Ἐπισκόπων μόνοι διορίσαντες, ἥμαρτον εἰς τὰ μέγιστα, αἱ δὲ Σύνοδοι ἀεὶ ἄπταιστοι τοσοῦτον, ὥστε τὴν ἀπόφασιν τῶν Οἰκουμενικῶν Συνόδων εἶναι ἀλήθειαν τῆς καθολικῆς Ἐκκλησίας, ἥτινι ὁ ἀνθιστάμενος, Αἱρετικὸς νομίζεται.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἕκαστος τῶν Πατριαρχῶν ἐν οἷς καὶ ὁ Πάπας εἰσὶ μέρος καὶ ὄργανον τοῦ ὅλου, ἐν ᾧ ἡ ἄκρα ἐκκλησιαστικὴ ἐξουσία. καὶ περὶ τοῦ ὑποκειμένου καὶ τῆς οὐσιαστικῆς κεφαλῆς τοῦ τῆς Ἐκκλησίας σώματος. καὶ ὅτι ὁ Πέτρος διὰ τὴν Ἐκκλησίαν καὶ ἕνεκεν τῆς Ἐκκλησίας καὶ οὐ τὸ ἀνάπαλιν. καὶ περὶ παραδείγματος τῆς Ἱερωσύνης, καὶ τῶν μὴ συνοδικῶς βεβαιουμένων Κανόνων.

Ἀεὶ ἡ δύναμις τοῦ ἐνεργεῖν κυριωτέρως ἐστὶν ἐν τῷ ὅλῳ, ἢ ἐν τοῖς μέρεσιν, ἅ ἐστιν ὄργανα τοῦ ὅλου, κυριωτέρως γὰρ λέγεται ὁ ἄνθρωπος ὁρᾶν, ἢ ὁ ὀφθαλμὸς, ὅθεν ἐπειδὴ ἡ Ἐκκλησία, συναριθμουμένου ἑκάστου τῶν Πατριαρχῶν, ἐστὶ τὸ ὅλον, καὶ ἕκαστος τῶν Πατριαρχῶν (Πατριάρχης δὲ καὶ ὁ Πάπας τῆς Ῥώμης ὡς εἴρηται ἐν πολλοῖς ἀνωτέρω) ἐστί τι μέρος καὶ ὄργανον τοῦ ὅλου, ἀκολουθεῖ κυριωτέρως τὴν Ἐκκλησίαν κοινῶς ἔχειν τὴν ἄκραν ἐκκλησιαστικὴν ἐξουσίαν, ἢ τῶν Πατριαρχῶν ἕκαστον. Ἔτι εἰ ὄργανον τοῦ σώματος τῆς Ἐκκλησίας, κἀντοιγ' ἐλάχιστον αὐτοῦ τοῦ ὅλου, ἐστὶν ἕκαστος τῶν Πατριαρχῶν, καθὸ δηλαδὴ ἐν τῷ ὅλῳ αὐτὸν τὸν Χριστὸν ὡς ὑποκείμενον παραλαμβάνομεν, ὁ δὲ Χριστὸς ἐστὶ τὸ ὑποκείμενον καὶ ἡ οὐσιαστικὴ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας, οὐ δύναται διαζεύγνυσθαι τῆς Νύμφης αὐτοῦ, ὅθεν ὑπόσχεται Ματθαίου κεφαλαίῳ δεκάτῳ ὀγδόῳ, δυσὶν ἢ τρισὶ τὴν Ἐκκλησίαν συνιστῶσι, καὶ συνηγμένοις ἐπὶ τῷ ὀνόματι αὐτοῦ, παρὼν αὐτὸς ἔσεσθαι ἐν αὐτοῖς. εἰ δὲ ἐν τῷ ἀριθμῷ τῶν τριῶν ἀπολείπεταί τις τῶν Πατριαρχῶν, ἆρα φεύξεται ὁ Χριστὸς ἀπὸ τῶν λοιπῶν τῶν ἐν τῷ ὀνόματι αὐτοῦ συνηγμένων; Οὔ, καὶ γὰρ οὐκ ἀναιροῦνται τὰ εὐαγγελικὰ ῥήματα, ἆρα καὶ μετὰ ἑκάστου τῶν Πατριαρχῶν ὡς ὀργάνου, καὶ ἄνευ τοῦ Πάπα ἢ τινὸς τῶν Πατριαρχῶν ἡ Σύνοδος συνίσταται, ὡς ἡ δευτέρα καὶ ἡ πέμπτη ἄνευ τοῦ Πάπα, καὶ ἡ τρίτη ἄνευ τοῦ Ἀντιοχείας, καὶ ἡ τετάρτη ἄνευ τοῦ Ἀλεξανδρείας συνῆλθον, καὶ γὰρ ὅτι ἐξίσου πάντες οἱ Πατριάρχαι ἀναγκαῖοι εἰς τὴν ἄθροισιν τῆς Οἰκουμενικῆς Συνόδου, εἴρηται εἰς πλάτος ἀνωτέρω ἐν ὅλοις τοῖς βιβλίοις, καὶ ῥητῶς βιβλίου ἕκτου κεφαλαίου δεκάτου ἕκτου Παραγράφῳ τετάρτῳ, καὶ βιβλίου ἑβδόμου κεφαλαίῳ πρώτῳ, καὶ ῥηθήσεται κατωτέρω κεφαλαίου τρίτου μέρους τρίτου τοῦ παρόντος βιβλίου τμήματος ὀγδόου Παραγράφῳ δευτέρῳ, καὶ ἀλλαχοῦ, ἀπόντος ὅμως τοῦ Πάπα ἢ τινὸς τῶν Πατριαρχῶν, οὐκ ἔστιν ἀκέφαλος ἡ Ἐκκλησία, εἶτα τὸ ἀμεσώτερον καὶ οὐσιωδέστερον ἐν πάσῃ τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ ὅπερ ἐστὶν ὁ Ἱερατικὸς βαθμὸς, οὗ πρόσωπον ἐπιφέρει ἡ Σύνοδος, πρέπον ἵνα δι' αὐτοῦ διοικῇ τὴν Ἐκκλησίαν, οὐχὶ δὲ ἑνί τινι μερικῷ ἅπασαν τὴν κοινότητα. ἀληθῶς ἡ τελικὴ αἰτία τῆς Ἐκκλησίας, ἥτις ἐστὶν ἡ αἰώνιος ζωὴ διὰ τῆς ἀγαθῆς διοικήσεως, δείκνυσι φανερῶς τῶν Πατριαρχῶν ἕκαστον ὀρθοδοξοῦντα εἶναι διὰ τὴν Ἐκκλησίαν καὶ ἕνεκα τῆς Ἐκκλησίας, καὶ οὐχὶ τὴν Ἐκκλησίαν ἕνεκα τοῦ Πάπα, ἢ τοῦ τάδε Πατριάρχου, καὶ γὰρ ὁ Κηφᾶς καὶ Ἀπολλὼς καὶ Παῦλος διὰ τὴν Ἐκκλησίαν, καὶ οὐ τὸ ἀνάπαλιν. εἰς ὃ δὲ προσφέρουσιν οἱ παπισταὶ λέγοντες τὴν ἐξουσίαν τοῦ Πάπα ἀπὸ ἐξωτερικῆς αἰτίας, τουτέστιν ἀπὸ Θεοῦ καὶ μὴ ἀπὸ τῆς Ἐκκλησίας διατάττεσθαι, ἐρωτητέον, εἰ κατὰ πρώτην διαταγὴν ὁ Κύριος τὴν Ἐκκλησίαν ἐστερέωσεν ἕνεκεν τοῦ Πέτρου, ἢ τὸν Πέτρον ἕνεκεν τῆς Ἐκκλησίας, πάντως εἰ μὴ μαίνοιντο, ἐροῦσι τὸν Πέτρον καὶ τοὺς λοιποὺς Ἀποστόλους ἕνεκεν τῆς Ἐκκλησίας. χηρευούσης τῆς Ἐκκλησίας τοῦ Πέτρου, ἢ τοῦ Πάπα, ἢ τινὸς ἑτέρου Πατριάρχου, οὐκ ἀπόλλυται ἡ κοινὴ Ἱερωσύνη, ἀφ' ἧς ψηφίζεται ἕτερος Πάπας καὶ Πατριάρχης, καὶ γὰρ ἡ Ἱερωσύνη ἐστὶν ὡσεὶ μία ψυχὴ ἐν ἑνὶ σώματι τῶν πιστευόντων, ἥτις θείῳ καὶ φυσικῷ Νόμῳ κοινωνεῖ τοῖς μέλεσι τὴν ζωπυρίαν τὴν αἰσθητικὴν καὶ τὴν αὐξητικὴν, καὶ οὐδὲν ἁπλῶς ἐκ τοῦ τόπου ἢ τοῦ θρόνου καρποῦται, οὐ γὰρ μέλει τῷ Θεῷ κατὰ πρῶτον λόγον περὶ τόπων γῆς, ἀλλὰ περὶ τρόπων διοικήσεως, ὧν ἕνεκα καὶ οἱ Πατριαρχικοὶ θρόνοι παρὰ

τοῦ

τοῦ κοινοῦ τῆς Ἐκκλησίας γεγόνασιν, οὐκ ἀπολελυμένῃ ἐξουσίᾳ, ἀλλὰ διατεταγμένῳ καὶ διωρισμένῳ ἀξιώματι ὁρισθέντες, ὡς τὰ συγγράμματα τὰ ἀναμφίβολα τῶν ἐγκρίτων πατέρων καὶ οἱ Κανόνες τῶν Συνόδων ἀριδηλότατα διασαφοῦσι, λέγω δὲ συνοδικοὺς Κανόνας, ἐπειδὴ ἐν τῇ ἐκκλησιαστικῇ διοικήσει ἕπεται ἵνα καὶ τοὺς ἐκκλησιαστικοὺς Κανόνας μὴ δύνασθαι, εἰ μὴ διὰ τῆς Συνόδου κατατάττεσθαι, καὶ εἰ Πάπας ἢ Πατριάρχης ἢ ἄλλος τὶς Ἐπίσκοπος ἀποφάσεις μὴ κατὰ τοὺς Κανόνας τοὺς ἐκκλησιαστικοὺς ποιήσοι, οὐ δύνανται ἐκεῖναι αἱ ἀποφάσεις Κανόνες καλεῖσθαι ἢ διαταγαὶ ἐκκλησιαστικαὶ, οὔτε μὴν ἔχουσι τὸ στερρὸν αἱ ἑκάστου μερικῶς διαταγαὶ, εἰ μὴ καθὸ παρὰ τῶν Οἰκουμενικῶν Συνόδων βεβαιοῦνται, ἢ τοὐλάχιστον καθὸ τοῖς τῶν Οἰκουμενικῶν Συνόδων Κανόσι συμφωνοῦσιν, ἐν οἷς δὲ οὔτε βεβαιοῦνται οὔτε συμφωνοῦσιν, οὐδέν εἰσι.

ΒΙΒΛΙΟΥ Ι΄. ΜΕΡΟΥΣ Γ΄. ΚΕΦΑΛΑΙΟΥ Γ΄. ΤΜΗΜΑ Α΄.

Ἤτοι ἀπὸ τῆς Ἀναλήψεως τοῦ Κυρίου ἕως τῆς πρώτης Οἰκουμενικῆς Συνόδου.

Ὅτι οἱ Ἀπόστολοι, καὶ καθεξῆς ἡ Ἐκκλησία τὰς συμβαινούσας ἀμφιβολίας ἀεὶ διὰ Συνόδων ἔλυσαν.

Κοινῶς οἱ Ἀπόστολοι ἐδεήθησαν, ἵνα καταστάθῃ Ἀπόστολος εἰς τὸν τόπον τοῦ Ἰούδα, πράξεων κεφαλαίῳ πρώτῳ, Καὶ προσευξάμενοι εἶπον, σὺ Κύριε καρδιογνῶστα πάντων ἀνάδειξον ἐκ τούτων τῶν δύο εἷα, ὃν ἐξελέξω. καὶ ἔδωκαν κλήρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν. Κοινῶς ἔκρινον τὸν Πέτρον βαπτίσαντα τὸν Κορνήλιον, πράξεων κεφαλαίῳ ἑνδεκάτῳ, Ἤκουσαν οἱ Ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ, καὶ ὅτε ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς, ἀρξάμενος δὲ ὁ Πέτρος ἐξετίθετο αὐτοῖς, ἤτοι ἀπολογησάμενος, ἀπελύθη. Κινηθέντος λόγου περὶ τῆς περιτομῆς τῶν ἐθνῶν, κοινῶς γέγονεν ἡ λύσις τῆς ἀμφιβολίας, πράξεων κεφαλαίῳ δεκάτῳ πέμπτῳ, Ἐξανέστησαν δέ τινες λέγοντες, ὅτι δεῖ περιτέμνειν αὐτοὺς, παραγγέλλειν τε τηρεῖν τὸν Νόμον Μωσέως, συνήχθησαν δὲ οἱ Ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου. Καὶ, οἱ Ἀπόστολοι καὶ οἱ Πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς. ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον πέμπτον.

ΠΑΡΑΓΡΑΦΟΝ Β΄.

Ὅτι ἐν Ῥώμῃ ἐπὶ Βίκτορος καὶ ἐν τῇ Ἀνατολῇ τὸ περὶ τῆς ἡμέρας τοῦ Πάσχα ἀμφισβητηθὲν δόγμα, οὗ περὶ Βίκτορι ἀντεφέρετο Πολυκράτης καὶ Ἀνικήτῳ Πολύκαρπος, διὰ Συνόδων διετυπώθη.

Ἐπὶ Βίκτορος Ῥώμης γενομένης ἀμφισβητήσεως περὶ τοῦ Πάσχα, γράφει ὁ Εὐσέβιος βιβλίῳ πέμπτῳ κεφαλαίῳ εἰκοστῷ τρίτῳ, Συνόδοι δὴ καὶ συγκροτήσεις Ἐπισκόπων ἐπιταὐτὸν ἐγένοντο, πάντες τε μιᾷ γνώμῃ δι' ἐπιστολῶν ἐκκλησιαστικὸν δόγμα τοῖς πανταχόσε διετυποῦντο, ὡς ἂν μὴ δ' ἄλλῃ ποτὲ τῆς Κυριακῆς ἡμέρᾳ τὸ τῆς ἐκ νεκρῶν ἀναστάσεως ἀποτελοῖτο τοῦ Κυρίου Μυστήριον. ἐγένοντο δὲ Συνόδοι ἐν Παλαιστίνῃ, ἐν αἷς συνῆσαν Νάρκισσος, καὶ Θεόφιλος, καὶ ὁ Τύρου Κάσσιος, καὶ Κλᾶρος Πτολεμαΐδος, οἵ τε μετὰ τούτων συνελθόντες περὶ τῆς κατελθούσης εἰς αὐτοὺς ἐκ διαδοχῆς τῶν Ἀποστόλων περὶ τοῦ Πάσχα παραδόσεως, καὶ ἐν Ῥώμῃ ἧς ἡγεῖτο Βίκτωρ, καὶ ἐπὶ Πόντου, οὗ ἡγεῖτο Πάλμας, καὶ ἐν Γαλλίᾳ, ἧς ἡγεῖτο Εἰρηναῖος, ἔτι τε τῶν κατὰ τὴν Ὀσροηνὴν καὶ τὰς ἐκεῖσε πόλεις, καὶ ἰδίως Βακχύλλου τῆς Κορινθίων Ἐκκλησίας Ἐπισκόπου, Καὶ πλείστων ὅσων ἄλλων, οἳ μίαν καὶ τὴν αὐτὴν δόξαν τε καὶ κρίσιν ἐξενηνεγμένοι, τὴν αὐτὴν τέθεινται ψῆφον. λέγει δὲ ὁ αὐτὸς βιβλίῳ τῷ αὐτῷ κεφαλαίῳ εἰκοστῷ τετάρτῳ καὶ εἰκοστῷ πέμπτῳ, ὅτι ἀντιφερόμενος τῷ Βίκτορι ὁ Ἐφέσου Πολυκράτης διὰ τῶν προηγησαμένων ἐν τῇ Ἐκκλησίᾳ Ἀποστόλων καὶ Ἐπισκόπων, ἔσπευδε βεβαιοῦν τὴν γνώμην αὐτοῦ, ἐν οἷς λέγει, ὅτι ὁ Πολύκαρπος Σμύρνης ἀνελθὼν εἰς Ῥώμην ἐπὶ τοῦ Πάπα Ἀνικήτου, διηνέχθη αὐτῷ περὶ τοῦ Πάσχα, καὶ οὔτε ὁ Ἀνίκητος τὸν Πολύκαρπον πεῖσαι ἐδύνατο μὴ τηρεῖν (τὴν δεκάτην τετάρτην τῆς Σελήνης) ἅτε ἑπόμενον τῷ Ἐπιστηθίῳ καὶ τοῖς λοιποῖς Ἀποστόλοις οἷς συνδιέτριψεν, οὔτε μὴν ὁ Πολύκαρπος τὸν Ἀνίκητον ἔπεισε τηρεῖν, λέγοντα τὴν συνήθειαν τῶν πρὸ αὐτοῦ Πρεσβυτέρων ὀφείλειν κατέχειν, καὶ ἐν τῇ Ἐκκλησίᾳ παρεχώρησεν ὁ Ἀνίκητος τὴν Εὐχαριστίαν τῷ Πολυκάρπῳ κατ' ἐντροπὴν δηλονότι, καὶ μετ' εἰρήνης ἀλλήλων ἀπηλλάγησαν. ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον ἑνδέκατον.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ὁ Βόστρων Βήρυλλος ξένα τινὰ τῆς πίστεως πειρώμενος παρεισφέρειν, διὰ μερικῆς Συνόδου διορθώθη.

Βήρυλλος Βόστρων ξένα τινὰ τῆς πίστεως παρεισφέρειν ἐπειρᾶτο, ἐπὶ τούτῳ πλείστων Ἐπισκόπων ζητήσεις καὶ διαλόγους πρὸς τὸν ἄνδρα πεποιημένων. Καί, φέρονταί γε εἰσέτι νῦν ἔγγραφα τοῦτε Βηρύλλου καὶ τῆς δι' αὐτὸν γενομένης Συνόδου. Εὐσέβιος βιβλίῳ ἕκτῳ κεφαλαίῳ τριακοστῷ τρίτῳ. ἴδε καὶ ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον δέκατον τρίτον.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι τὸ ἐν Ἀραβίᾳ ἐπιφυὲν ἀλλότριον δόγμα διὰ μερικῆς Συνόδου καθῃρέθη.

Ἄλλοι ἐπὶ τῆς Ἀραβίας ἐπιφύονται δόγματος ἀλλοτρίου εἰσηγηταί, καὶ δὴ καὶ τότε συγκροτηθείσης οὐ μικρᾶς Συνόδου. Εὐσέβιος βιβλίῳ ἕκτῳ κεφαλαίῳ τριακοστῷ ἑβδόμῳ, ἴδε καὶ ἀνωτέρω βιβλίου πρώτου κεφαλαίου δεκάτου τρίτου Παράγραφον δεύτερον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ὁ Ναυᾶτος καὶ ἡ Αἵρεσις αὐτοῦ διὰ μερικῶν Συνόδων ἀνεθεματίσθησαν.

Φησὶν ὁ Εὐσέβιος βιβλίῳ ἕκτῳ κεφαλαίῳ τεσσαρακοστῷ τρίτῳ, ὅτι Ναυᾶτος Αἱρέσεως ἀρχηγὸς καθίσταται, ἐφ' ᾧ Συνόδου μεγίστης ἐπὶ Ῥώμης συγκροτηθείσης ἑξήκοντα μὲν Ἐπισκόπων, πλειόνων δ' ἔτι μᾶλλον Πρεσβυτέρων καὶ Διακόνων, ἰδίως τε κατὰ τὰς λοιπὰς Ἐπαρχίας τῶν κατὰ χώραν Ποιμένων περὶ τοῦ πρακτέου διασκεψαμένων. Καὶ, Κορνηλίου ἐπιστολαὶ πρὸς τὸν Ἀντιοχείας Φάβιον, δηλοῦσαι τὰ περὶ τῆς Ῥωμαίων Συνόδου καὶ τὰ δόξαντα πᾶσι τοῖς κατὰ τὴν Ἰταλίαν καὶ Ἀφρικὴν καὶ τὰς αὐτόθι χώρας. ἴδε καὶ ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον δέκατον πέμπτον.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι τὸ δόγμα περὶ τοῦ ἀναβαπτίζειν καὶ μὴ, ἐπὶ Κυπριανοῦ καὶ Στεφάνου Ῥώμης, διὰ Συνόδων διετυπώθη.

Τοῦ περὶ ἀναβαπτισμοῦ δόγματος κινηθέντος παρὰ Κυπριανοῦ, καὶ τοῦ Πάπα Στεφάνου διαγανακτοῦντος, καταριθμεῖ ὁ Εὐσέβιος βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ πέμπτῳ τοὺς ἐν Δύσει καὶ Ἀνατολῇ καὶ Ἀφρικῇ προεστῶτας τῶν Ἐπισκόπων, συνοδικῶς περὶ τοῦ δόγματος διασκεψαμένους καὶ ψήφους ἐξενεγκόντας. ἤθροισε δὲ ὁ Κυπριανὸς δύο Συνόδους, ὧν ἡ μὲν πρώτη εἶχεν Ἐπισκόπους ἑβδομηκοταένα, ἧς καὶ ἐπιστολή ἐστι πρὸς Στέφανον Ῥώμης, ἥτις ἐστὶν ἐπιστολὴ τοῦ Κυπριανοῦ ἑβδομηκοστὴ δευτέρα. ἡ δὲ δευτέρα εἶχεν Ἐπισκόπους ὀγδοηκονταπέντε, ἥτις συνέστη μετὰ τὸ λαβεῖν ἀποκριτικὰς ἐπιστολὰς τοῦ Στεφάνου τὸν Κυπριανὸν κατὰ τῆς Συνόδου αὐτοῦ. ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον δέκατον ἕκτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἡ Παύλου τοῦ Σαμοσατέως Αἵρεσις διὰ Συνόδων διαφόρων ἀνεθεματίσθη.

Παύλου τοῦ Σαμοσατέως Αἱρετικοῦ ἀναφανέντος, καταριθμεῖ ὁ Εὐσέβιος βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ εἰκοστῷ ὀγδόῳ εἰκοστῷ ἑνάτῳ καὶ τριακοστῷ τοὺς προεστῶτας τῶν Ἐπισκόπων ἀπὸ διαφόρων Ἐπαρχιῶν καὶ Διοικήσεων, Συνόδους διαφόρους ἀθροίσαντας ἐπὶ τῆς Ἀντιοχείας κατὰ τῆς Αἱρέσεως, καὶ ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον δέκατον ἕνατον. Σύνοδος θεία καὶ ἱερὰ, μερικὴ, συναθροισθεῖσα ἐν τῇ Μεσοποταμίᾳ ὑπὸ Ἀρχελάου Ἐπισκόπου Καρχάρων καὶ Διοδώρου ἱερέως κατὰ Μάνεντος τοῦ Ἐρεβώδους καὶ Διοδωριάδου Πρεσβυτέρου, καὶ πολυτρόπως τούτους ἐλέγξασα ἀπεκήρυξε.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἡ τῶν ἐν τῷ διωγμῷ παραπεσόντων διόρθωσις διὰ τῆς ἐν Ἀγκύρᾳ Τοπικῆς Συνόδου διετυπώθη.

Γρηγό-

976

Γρηγόριος ὁ θαυματουργὸς Κανόνι ἑβδόμῳ φησὶ, τοὺς αἰχμαλωτισθέντας καὶ τοῖς βαρβάροις συμμαχοῦντας, καὶ τῆς ἀκροάσεως ἀπεῖρξαι δεῖν, μέχρις ἂν κοινῇ περὶ αὐτῶν τι δόξῃ συνελθοῦσι τοῖς ἁγίοις, καὶ πρὸ αὐτῶν τῷ ἁγίῳ Πνεύματι. Σύνοδος θεία καὶ ἱερὰ Τοπικὴ συναθροισθεῖσα ἐν Ἀγκύρᾳ τῆς Γαλατίας ὑπὸ δεκαοκτὼ Ἐπισκόπων ἐν ἔτει τριακοσιοστῷ δεκάτῳ πέμπτῳ, ὧν ἐξῆρχε Μάρκελλος τῆς αὐτῆς Ἐπίσκοπος καὶ Ἀγρικόλαος Καισαρείας Καππαδοκίας, κανονικῶς τυπώσασα τὴν διόρθωσιν τῶν ἐν τῷ διωγμῷ παραπεσόντων, ἐξέθετο Κανόνας εἰκοσιπέντε. Σύνοδος θεία καὶ ἱερὰ Τοπικὴ εἴκοσι καὶ τριῶν Ἐπισκόπων, ὧν ἐξῆρχε Βιτάλιος, συναθροισθεῖσα ἐν Νεοκαισαρείᾳ τοῦ Πόντου ἐν ἔτει τριακοσιοστῷ δεκάτῳ πέμπτῳ περὶ τῶν ἐν τῷ διωγμῷ ἐπιθυσάντων ἢ ἐξομοσαμένων ἢ εἰδωλοθύτων γευσαμένων, ἢ καὶ πρὸς τὴν διαφορὰν τῆς παραβάσεως ἀνάλογον καὶ τὴν διόρθωσιν κανονικῶς διετύπωσεν, ἐξέθετο Κανόνας δεκαπέντε. Σύνοδος ἡ ἐν Γάγγρᾳ ἐν ἔτει τριακοσιοστῷ τεσσαρακοστῷ, καὶ ἐξέθετο Κανόνας εἴκοσιν, ἦσαν δὲ πατέρες δώδεκα.

ΤΟΥ Γ'. ΚΕΦΑΛΑΙΟΥ ΤΜΗΜΑ Β'.

Ἤτοι ἀπὸ τῆς πρώτης Οἰκουμενικῆς Συνόδου ἕως τῆς δευτέρας.

Ὅτι Σύνοδος μερικὴ ἐν Ἀλεξανδρείᾳ ὑπὸ τοῦ αὐτῆς Προέδρου Ἀλεξάνδρου κληθεῖσα, Ἄρειον σὺν τοῖς ὀπαδοῖς αὐτοῦ καὶ ἑτέρῳ Ἀρείῳ ἀνεθεμάτισε, καὶ τί ἐστι Σύνοδος μερικὴ.

Σύνοδος θεία καὶ ἱερὰ, μερικὴ δὲ, ὡς φέρε εἰπεῖν ἐστὶ τῶν προσφάτως εὑρισκομένων καὶ προχείρως Ἐπισκόπων συνέλευσις, ἥτις συγκληθεῖσα ἐν Ἀλεξανδρείᾳ ὑπὸ Ἀλεξάνδρου τοῦ μάκαρος, ἀπεκήρυξε καὶ ἀναθέματι καθυπέβαλε τοὺς ἐμμένοντας τῇ ἀπειθείᾳ. καὶ σηπεδόνα τῇ Ἐκκλησίᾳ προσάγοντας Ἄρειον, Εὐζώϊον, Ἀχιλλᾶν, ἀειθαλᾶν, Λούκιον, Σαρμάτιον, Ἰούλιον, Μηνᾶν, Ἄρειον ἕτερον καὶ Ἑλλάδιον, καὶ τὴν αὐτῶν καθαίρεσιν πανταχοῦ ἐξαπέστειλεν, εἰς ἣν ὑπογράφουσιν Ἐπίσκοποι Λιβύης καὶ Πενταπόλεως, Συρίας καὶ Λυκίας, Καππαδοκίας καὶ Ἀσίας, καὶ Ἀλέξανδρος ὁ Κωνσταντινουπόλεως. γράφει δὲ Ἄρειος τὰ συμβάντα πρὸς τὸν Νικομηδείας Εὐσέβιον καὶ τὸν ἐκείνου Παλαιστίνης ὁμόφρονα καὶ συνώνυμον, οἳ ὁμονοήσαντες τῇ ἀσεβείᾳ κατὰ Ἀλεξάνδρου καὶ τῆς Χριστοῦ Ἐκκλησίας, δυνάμει καὶ κακουργίᾳ πολλῇ παρατάττονται. ὅθεν ὁ φιλόχριστος Βασιλεὺς Κωνσταντῖνος συγκροτηθῆναι θεσπίζει τὴν Σύνοδον. ταῦτα τὸ Συνοδικὸν βιβλίον.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἐκ τῆς δευτέρας καθολικῆς ἐπιστολῆς τοῦ Ἀλεξανδρείας Ἀλεξάνδρου περὶ τῆς Συνόδου αὐτοῦ καὶ κατὰ Ἀρείου καὶ τῶν ὀπαδῶν αὐτοῦ, δείκνυται τῇ τῶν Ἐπισκόπων τῶν διαφόρων Ἐπαρχιῶν συμπνοίᾳ καὶ συμψηφίσει τὴν Σύνοδον αὐτοῦ βεβαιωθῆναι.

Ἀλέξανδρος Ἀλεξανδρείας καθολικῇ δευτέρᾳ ἐπιστολῇ περὶ Ἀρείου καὶ τῆς Συνόδου ἣν ἤθροισε κατ' αὐτοῦ καὶ τῶν ἀκολουθησάντων αὐτῷ φησὶν, Ἡ ἔναγχος ἐπαναστᾶσα τῇ ἐκκλησιαστικῇ εὐσεβείᾳ διδασκαλία, Εβίωνός ἐστι καὶ Ἀρτεμᾶ, καὶ ζήλου τοῦ κατὰ Ἀντιόχειαν Παύλου τοῦ Σαμοσατέως, Συνόδῳ καὶ κρίσει τῶν ἁπανταχοῦ Ἐπισκόπων ἀποκηρυχθέντος τῆς Ἐκκλησίας. Καὶ, οὐδὲν ἡ τῶν συλλειτουργῶν σύμφωνος περὶ Χριστοῦ εὐλάβεια τὴν κατ' αὐτοῦ θρασύτητα ἠμαύρωσεν (ἤτοι ἡ Σύνοδος ἣν ἤθροισεν αὐτὸς ὁ Ἀλέξανδρος κατὰ Ἀρείου καὶ τῶν ὀπαδῶν αὐτοῦ ἐν Ἀλεξανδρείᾳ) Καὶ, σύμψηφοι γίνεσθε καθ' ὁμοιότητα τῶν ἐπιστειλάντωνμοι κατ' αὐτῶν, καὶ τῷ Τόμῳ συγγραψάντων Αἰγύπτου, Θηβαΐδος, Λιβύης, Πενταπόλεως, Συρίας, Λυκίας, Παμφυλίας, Ἀσίας, Καππαδοκίας, καὶ τῶν ἄλλων περιχώρων. Θεοδώριτος βιβλίῳ πρώτῳ κεφαλαίῳ τετάρτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τῶν λεχθέντων τῷ μεγάλῳ Κωνσταντίνῳ πρὸς τοὺς πατέρας κατ' Εὐσέβιον, δείκνυται διὰ τῶν οἰκουμενικῶν Συνόδων πάντα σύνδεσμον ἀμφιβολίας ἐπιλύεσθαι.

Εὐσέβιος Βιβλίῳ τρίτῳ εἰς τὸν βίον Κωνσταντίνου φησὶν, ὅτι ὁ Βασιλεὺς ἔλεγε τοῖς πατράσι τῆς Συνόδου, Μὴ δὴ οὖν μέλλετε ὦ φίλοι, μὴ δὴ, λειτουργοὶ Θεοῦ, καὶ τοῦ κοινοῦ πάντων ἡμῶν Δεσπότου καὶ Σωτῆρος ἀγαθοὶ θεράποντες τὰ τῆς ἐν ὑμῖν διαστάσεως αἴτια ἐντεῦθεν ἤδη φέρειν εἰς μέσον, ἀρξάμενοι πάντα σύνδεσμον ἀμφιλογίας Νόμοις εἰρήνης ἐπιλύσασθε.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἐκ τῆς τοῦ μεγάλου κωνσταντίνου ἐπιστολῆς πρὸς τὰς Ἐκκλησίας καὶ τὴν Ἀλεξανδρέων Ἐκκλησίαν, δείκνυται μὴ ἄλλως διακρίνεσθαι τὴν προσήκουσαν τῇ ἁγιωτάτῃ ἡμῶν θρησκείᾳ τάξιν καὶ ἀκριβῆ βεβαίωσιν, ἀλλ' ἢ διὰ τῶν οἰκουμενικῶν Συνόδων.

Ὁ μέγας Κωνσταντῖνος ἐπιστολῇ ταῖς Ἐκκλησίαις, ἀλλ' ἐπειδὴ τοῦτο ἑτέρως οὐχ οἷόν τε ἦν τὴν ἀκριβῆ καὶ βεβαίαν τάξιν λαβεῖν, εἰ μὴ εἰς ταὐτὸ πάντων ὁμοῦ, ἢ τῶν γοῦν πλειόνων Ἐπισκόπων συνελθόντων, ἑκάστου τῶν προσηκόντων τῇ ἁγιωτάτῃ θρησκείᾳ διάκρισις γένοιτο. Καὶ, ἄχρις οὗ ἡ τῷ πάντων ἐφόρῳ Θεῷ ἀρέσκουσα γνώμη παρὰ τὴν τῆς ἑνότητος συμφωνίαν εἰς φῶς προήχθη. Καὶ, ἔστι δὲ τάξις εὐπρεπὴς ἣν αἱ τῶν Δυτικῶν τε καὶ Μεσημβρινῶν καὶ Ἀρκτῴων τῆς οἰκουμένης μερῶν παραφυλάττουσιν Ἐκκλησίαι. Καὶ, ἵν' ὃ δ' ἂν κατὰ τὴν Ῥωμαίων πόλιν τε καὶ Ἀφρικὴν, Ἰταλίαν ἅπασαν, Αἴγυπτον, Ἱσπανίας, Γαλλίας, Βρεττανίας, Λιβύας, ὅλην Ἑλλάδα, Ἀσιανήν τε Διοίκησιν καὶ Ποντικὴν καὶ Κιλικίαν μιᾷ συμφώνῳ φυλάττηται γνώμῃ, ἀσμένως τοῦτο καὶ ἡ ὑμετέρα δεξάτω σύνεσις, πᾶν γὰρ ὅ, τι ἂν ἐν τοῖς ἁγίοις τῶν Ἐπισκόπων συνεδρίοις πράττηται, τοῦτο καὶ πρὸς τὴν θείαν βούλησιν ἔχει τὴν ἀναφοράν. Ὁ αὐτὸς ἐπιστολῇ τῇ Ἐκκλησίᾳ Ἀλεξανδρείας. Ὃ γὰρ τοῖς τριακοσίοις ἤρεσεν Ἐπισκόποις, οὐδέν ἐστιν ἕτερον, ἢ τοῦ Θεοῦ γνώμη, μάλιστά γε ὅπου τὸ ἅγιον Πνεῦμα τοιούτων καὶ τηλικούτων ἀνδρῶν ταῖς διανοίαις ἐγκείμενον, τὴν θείαν βούλησιν ἐξεφώτισε.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι τὸν τῆς πίστεως Ὅρον καὶ τὸν τῆς τοῦ Πάσχα ἑορτῆς χρόνον ἐκ τῶν ἀποστολικῶν θρόνων παρειλήφαμεν, καὶ οἱ τῆς ἐν Νικαίᾳ πατέρες κατὰ Γελάσιον, ἄνδρες ἅγιοι καὶ ἀποστολικοί.

Ὁ Γελάσιος βιβλίῳ πρώτῳ φησὶν, ὅτι ἔλεγεν ὁ Ναυατιανῶν Ἐπίσκοπος Ἀκέσιος τῷ μεγάλῳ Κωνσταντίνῳ, Οὐδὲν καινὸν ὦ Βασιλεῦ ἡ Σύνοδος ὥρισεν, οὕτω γὰρ ἅπαντες ἐκ τῶν ἀποστολικῶν θρόνων παρειλήφαμεν καὶ τὸν Ὅρον τῆς πίστεως καὶ τὸν χρόνον τῆς τοῦ Πάσχα ἑορτῆς. Ὁ αὐτὸς βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ φησὶν, Οὗτοι οἱ ἅγιοι καὶ ἀποστολικοὶ ἄνδρες πάσαις ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις τὰ ἐν τῇ Νικαέων ἁγίᾳ μεγάλῃ καὶ οἰκουμενικῇ Συνόδῳ κεκριμένα διαπορθμεύοντες πανταχοῦ γῆς παρέδωκαν. σημείωσαι ὅτι ἐν τῷ αὐτῷ βιβλίῳ, ἤτοι τῷ δευτέρῳ, κεφαλαίῳ δεκάτῳ τρίτῳ, λέγει ὁ Γελάσιος τοὺς πατέρας ἀποστολικοὺς Ἱερεῖς.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Ὅτι ἐκ τῆς δευτέρας ἀπολογίας, καὶ τοῦ, πάντα παρεδόθημοι, λόγου, καὶ τῆς πρὸς Βασιλέα Ἰοβιανὸν ἀναφορᾶς τοῦ μεγάλου Ἀθανασίου κατὰ Θεοδώριτον, δείκνυται διὰ Συνόδων πᾶν ἐκκλησιαστικὸν ἔργον καὶ διδασκαλίαν καὶ αὐτὴν τὴν ὀρθόδοξον πίστιν ἔχειν τὸ κῦρος.

Ἀθανάσιος ὁ μέγας ἀπολογίᾳ δευτέρᾳ, Πέτρος Μελήτιον ἐν κοινῇ Συνόδῳ τῶν Ἐπισκόπων καθεῖλον, ἀλλὰ Μελήτιος οὐ πρὸς ἑτέραν Σύνοδον κατέφυγεν, οὐδὲ ἐσπούδασεν ἀπολογήσασθαι. Ὁ αὐτὸς λόγῳ, ΠΑΝΤΑ ΠΑΡΕΔΟΘΗΜΟΙ, φησὶν, Ἀληθινὴ διδασκαλία ἐστὶν, ἥτις τῶν πατέρων οὐδὲν διαφέρει. καὶ ἀναφορᾷ πρὸς Ἰοβιανὸν τὸν Αὐτοκράτορα, Γίνωσκε θεοφιλέστατε Αὔγουστε ὅτι αὕτη ἐστὶν ἡ ἐξ αἰῶνος κηρυττομένη πίστις, ταῦτα ὡμολόγησαν οἱ ἐν Νικαίᾳ πατέρες, καὶ σύμψηφοι τυγχάνουσι πᾶσαι αἱ κατὰ τόπον Ἐκκλησίαι, Γαλλίας, Ἰταλίας, Καμπανίας, Δαλματίας, Μυσίας, Μακεδονίας, Ἑλλάδος, Ἀφρικῆς, Σαρδηνίας, Κύπρου, Κρήτης, Παμφυλίας, Λυκίας, Ἰσαυρίας, Αἰγύπτου, Λιβύης, Πόντου, Καππαδοκίας, καὶ αἱ κατὰ ἀνατολὰς Ἐκκλησίαι. Θεοδώριτος βιβλίῳ τετάρτῳ κεφαλαίῳ τρίτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι τὴν κοινωνίαν Ἀθανασίῳ τῷ μεγάλῳ κατὰ Ἑρμείαν καὶ Σωκράτη, ὁ Ἱεροσολύμων Μάξιμος διὰ Συνόδου ἀπέδωκε.

Ἑρμείας βιβλίῳ τρίτῳ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, καὶ Σωκράτης βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ τετάρτῳ, Μάξιμος τινὰς διαπέμπεται ἀπὸ Συρίας καὶ Παλαιστίνης Ἐπισκόπους, καὶ καθίσας συνέδριον, ἀποδίδωσι καὶ αὐτὸς τὴν κοινωνίαν Ἀθανασίῳ, καὶ γράφει τοῖς ἐν Ἀλεξανδρείᾳ καὶ πᾶσι τοῖς ἐν Αἰγύπτῳ καὶ Λιβύῃ Ἐπισκόποις τὰ ἐγνωσμένα. ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον ἕβδομον.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἐκ τοῦ τὸν μέγαν Ἀθανάσιον διενεργῆσαι ἀπόντα γενέσθαι Σύνοδον ὑπὲρ ἑαυτοῦ ἐν Αἰγύπτῳ, δείκνυται τὸ ἀναγκαῖον τῶν Συνόδων.

Ἐνταῦθα προστίθησιν ὁ ἱερὸς Φώτιος, ὅτι ὁ μέγας Ἀθανάσιος μετὰ τὴν ἐν Σαρδικῇ καὶ Ἱεροσολύμοις ἀθῴωσιν εἰδὼς ὡς μέγα ἑκάστη ἐνορία ἰσχύει εἰς τὰ κατ' αὐτὴν ὡς εἰκὸς συμβαίνοντα, Σύνοδον τῶν κατ' Αἴγυπτον συγκροτήσας Ἐπισκόπων, Παρεσκεύασε καὶ αὐτοὺς ὁμοίως τοῖς ἐν Σαρδικῇ καὶ Παλαιστίνῃ περὶ αὐτοῦ ψηφίσασθαι καὶ χωρὶς ὄντας Πατριάρχου.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι ἐκ τοῦ τὸν μέγαν Βασίλειον καὶ τὸν Ἀλεξανδρείας Διονύσιον, τὸν μὲν τοὺς διαφανεῖς πατέρας μάρτυρας τῆς τοῦ ἁγίου Πνεύματος Θεότητος προσφέρειν, καὶ στύλους αὐτοὺς ὀνομαστὶ καλεῖν, καὶ πλὴν τῶν πατρικῶν ἕτερα δόγματα μὴ δέχεσθαι λέγειν, καὶ πλήρωμα Συνόδου εἶναι ζητεῖν τοὺς ἐκ Ῥώμης ἐπιδημοῦντας εἰς διόρθωσιν, τὸ δὲ Διονύσιον τῷ Ῥώμης Διονυσίῳ γράφοντα, λέγειν τὰ τῶν πατέρων, τύπον αὐτοῦ καὶ Κανόνα, δείκνυται τὰς παραδόσεις καὶ ἐκθέσεις τῶν ἁγίων πατέρων καὶ τὰς Συνόδου εἶναι θεμελίους τῆς Ἐκκλησίας καὶ τῆς πίστεως.

Ὁ μέγας Βασίλειος ὑπὲρ τῆς Θεότητος τοῦ ἁγίου Πνεύματος φέρει μάρτυρας τοὺς ἐν τῇ Ἐκκλησίᾳ διαφανεῖς ἐν τῷ εἰκοστῷ ἐνάτω τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων, Εἰρηναῖον, Κλήμεντα Ῥωμαῖον, Διονύσιον Ῥωμαῖον, Διονύσιον Ἀλεξανδρείας, ὃς γράφων τῷ Ῥώμης Διονυσίῳ ἔφη, Τούτοις πᾶσιν ἀκολούθως καὶ ἡμεῖς, καὶ δὴ καὶ παρὰ τῶν πρὸ ἡμῶν Πρεσβυτέρων τύπον καὶ Κανόνα παρειληφότες, ὁμοφώνως τε αὐτοῖς προσευχαριστοῦντες. καὶ ἔτι ὁ αὐτὸς Βασίλειος ἀπαριθμεῖ μάρτυρας Εὐσέβιον, Ὠριγένη, Ἀφρικανὸν, Γρηγόριον τὸν θαυματουργὸν, Φιρμιλιανὸν Καισαρείας καὶ Μελέτιον, καὶ τὴν Ἑώαν καὶ Δύσιν καὶ Ἰλλυρικὸν καὶ Καππαδοκίαν, λέγει δὲ τοὺς εἰρημένους, στύλους τῆς Ἐκκλησίας. καὶ κεφαλαίῳ τριακοστῷ φησὶ τὸν λόγον διακονεῖν τὸν ἐκ τῆς τῶν πατέρων παραδόσεως πρὸς ἡμᾶς ἀκολουθίᾳ μνήμης ἐλθόντα. καὶ ἐπιστολῇ τοῖς ἐν Δύσει ἀδελφοῖς φησὶν, Ὥστε καὶ Ποιμένας ἀναδεικνύναι τοῖς ἴχνεσι τῶν πατέρων ἀκολουθοῦντας. καὶ ἐπιστολῇ τοῖς Δυτικοῖς, Ὥστε πλήρωμα εἶναι Συνόδου τοὺς ἐπιδημοῦντας, ἵνα μὴ μόνον ἐκ τῆς τῶν ἀποστειλάντων σεμνότητος, ἀλλὰ καὶ ἐκ τοῦ οἰκείου ἀριθμοῦ τὸ ἀξιόπιστον ἔχωσιν πρὸς διόρθωσιν. Καὶ, καταπεφρόνηται τὰ τῶν πατέρων δόγματα, ἀποστολικαὶ παραδόσεις ἐξουδένωνται. καὶ ἐπιστολῇ τῇ Ἐκκλησίᾳ Ἀντιοχείας, Νέαν πίστιν οὐδεχόμεθα, ἀλλ' ὅπερ παρὰ τῶν πατέρων ἐδιδάχθημεν, ἐκεῖνα καὶ πιστεύομεν.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι Γρηγόριος ὁ Θεολόγος ἐν τῷ πρὸς τὸν Νύσσης ἐγκωμίῳ, καὶ ἐν τῇ δευτέρᾳ πρὸς Κληδόνιον ἐπιστολῇ, καὶ ἐν τῷ ἐξ ἀγροῦ ἐπανήκοντος λόγῳ, τὰς παραδόσεις τῶν ἐγγὺς Χριστοῦ ἁγίων πατέρων καὶ τὰ δόγματα, καὶ τὴν ἐν Νικαίᾳ πίστιν τῶν πατέρων παρακαταθήκην ἀποκαλῶν, πόῤῥω τῆς Ἐκκλησίας ἀποδιοπομπεῖται τὴν μοναρχικὴν ἐξουσίαν.

Γρηγόριος ὁ Θεολόγος ἐγκωμίῳ εἰς τὸν Νύσσης φησὶ, Καὶ ὁμολογοῦμεν μέχρις ἐσχάτης ἀναπνοῆς ἐν πολλῇ παῤῥησίᾳ τὴν καλὴν παρακαταθήκην τῶν ἁγίων πατέρων τῶν ἐγγύς τε Χριστοῦ καὶ τῆς πρώτης πίστεως. καὶ ἐν τῇ πρὸς Κληδόνιον ἐπιστολῇ δευτέρᾳ, Ἡμεῖς τῆς κατὰ Νίκαιαν πίστεως τῶν ἁγίων πατέρων τῶν ἐκεῖ συνελθόντων ἐπὶ καθαιρέσει τῆς ἀρειανῆς Αἱρέσεως οὐδὲν προετιμήσαμεν πώποτε, οὐδὲ προτιμᾶν δυνάμεθα, ἀλλ' ἐκείνης ἐσμὲν τῆς πίστεως καὶ ἐσόμεθα. Ὁ αὐτὸς ἀπαρνεῖται ὅτι ἐστὶ παρὰ Θεοῦ ἐν τῇ Ἐκκλησίᾳ μοναρχικήτις ἐξουσία, λόγῳ ἐξ ἀγροῦ ἐπανήκοντος, λέγων, Ὡς ὄφελόν γε μὴ δὲ ἦν προεδρία, μηδέτις τόπου προτίμησις καὶ τυραννικὴ προνομία, καὶ τὰ ἑξῆς. εἰς τοῦτο συντρέχει κἀκεῖνο ὅπερ λέγει περὶ τοῦ Δαμάσου ὅτι ἥμαρτε, καὶ ὅτι ἄλλως ἤθελεν ὁ Θεολόγος παρὸ ἤθελεν ὁ Πάπας Δάμασος περὶ Οὐϊταλίου.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι ἐκ τῶν λεγομένων παρὰ τοῦ Ἐπιφανίου ἐν ταῖς Αἱρέσεσι, δείκνυται τὰς Συνόδους ἐν πᾶσι τοῖς ἀμφιβόλοις ποιεῖν τὰς λύσεις καὶ τὴν ἀσφάλειαν, καὶ Ὅρους πίστεως, παραδόσεις τε Ἀποστόλων, καὶ γραφὰς ἁγίας, καὶ Διδασκάλων διαδοχὰς ἡμῖν τεθεικέναι, τὴν ἀληθινὴν πίστιν καὶ τὰς παραδόσεις κατεχούσας.

Ἐπιφά-

Ἐπιφανίος Αἱρέσει ἑβδομηκοστῇ ἑβδόμῃ, Τινὲς ὁμοούσιον τὸ σῶμα τοῦ Χριστοῦ τῇ Θεότητι λέγειν ἐτόλμησαν, δι' οὓς ἀνάγκη γέγονε Σύνοδον συγκροτηθῆναι καὶ ἀναθεματίσαι τοὺς τοιούτους, ἀλλὰ καὶ ὑπομνήματα γέγραπται, ὧν τὰ αὐτίγραφα τῷ μακαρίτῃ Πάπᾳ Ἀθανασίῳ ἀπεστάλη, δι' ἣν αἰτίαν ἠναγκάσθη κατ' αὐτῶν γράψαι πρὸς Ἐπίκτητον. καὶ Αἱρέσει ἑβδομηκοστῇ τετάρτῃ φησὶ, Πρὸς γὰρ τὸ ὑποπίπτον ἐν καιρῷ, αἱ Σύνοδοι τὴν ἀσφάλειαν ποιοῦνται. καὶ Αἱρέσει πεντηκοστῇ πέμπτῃ, Καὶ Ὅροι γὰρ ἐτέθησαν ἡμῖν καὶ θεμέλιοι, καὶ οἰκοδομὴ πίστεως, καὶ Ἀποστόλων παραδόσεις, καὶ γραφαὶ ἅγιαι, καὶ διαδοχαὶ Διδασκάλων, καὶ πανταχόθεν ἡ ἀλήθεια ἠσφάλισται. καὶ Αἱρέσει ἑβδομηκοστῇ πέμπτῃ, Ἡ Ἐκκλησία λαβοῦσα παρὰ τῶν αὐτῆς πατέρων, ἄχρι τῆς δεῦρο κατέχει τὴν ἀληθινὴν πίστιν καὶ τὰς παραδόσεις.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι ἐκ τοῦ τὴν ἐν Ἰλλυρικῷ Σύνοδον ἀποδεῖξαι τὸ τῆς Τριάδος ὁμοούσιον, δείκνυται εἶναι τὴν κοινότητα ἐξηγητὴν τῆς γραφῆς καὶ ἐν πᾶσι τοῖς δόγμασι Διδάσκαλον τῆς Ἐκκλησίας.

Θεοδώριτος βιβλίῳ τετάρτῳ κεφαλαίῳ ὀγδόῳ, Συνόδου δὲ τηλικαύτης συγκροτηθείσης ἐν τῷ Ἰλλυρικῷ, καὶ ζητήσεως πολλῆς γενομένης περὶ τοῦ θείου λόγου, ἀπέδειξαν οἱ τρισμακάριοι Ἐπίσκοποι τῆς Τριάδος τὸ ὁμοούσιον, ἔπεμψαν δὲ καὶ ἐπιστολὴν, ἧς ἡ ἐπιγραφὴ, Οἱ Ἐπίσκοποι τοῦ Ἰλλυρικοῦ ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ καὶ Ἐπισκόποις Διοικήσεως Ἀσιανῆς, Φρυγίας, Καροφρυγίας, Καπατιανῆς. ἴδε αἰωτέρω βιβλίου δευτέρου κεφάλαιον δέκατον ἕκτον.

ΤΟΥ Γ'. ΚΕΦΑΛΑΙΟΥ ΤΜΗΜΑ Γ'.

Ἤτοι ἀπὸ τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου ἕως τῆς τρίτης.

Ὅτι ἐκ τῆς πρὸς τὴν ἐν Ῥώμῃ μερικὴν Σύνοδον ἐπιστολῆς τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου, δείκνυται τὰς Συνόδους οἰκοδομεῖν τὰς Ἐκκλησίας ἐν τῇ πίστει.

Ἡ Ἐν Κωνσταντινουπόλει Σύνοδος ἐπὶ Θεοδοσίου τοῦ μεγάλου γράφουσα τῇ τότε ἐν Ῥώμῃ Συνόδῳ φησὶ, Καὶ τὴν ὑμετέραν συγχαίρειν παρακαλοῦμεν εὐλάβειαν μεστὴν πολλῆς ἀγάπης καὶ τοῦ κυριακοῦ φόβου, πᾶσαν μὲν καταστέλλοντος ἀνθρωπίνην προσπάθειαν, τὴν δὲ τῶν Ἐκκλησιῶν οἰκοδομὴν προτιμοτέραν ποιοῦντος. Ἡ αὐτὴ τοῖς αὐτοῖς ἐν τῇ αὐτῇ ἐπιστολῇ, Περὶ δὲ τῶν οἰκονομιῶν τῶν κατὰ μέρος ἐν ταῖς Ἐκκλησίαις παλαιὸς ἴστε θεσμὸς κεκράτηκε καὶ τῶν ἁγίων ἐν Νικαίᾳ πατέρων ὅρος, καθ' ἑκάστην Ἐπαρχίαν τοὺς τῆς Ἐπαρχίας, καὶ εἴπερ ἐκεῖνοι βούλοιντο σὺν αὐτοῖς τοὺς ὁμόρους, πρὸς τὸ συμφέρον ποιεῖσθαι τὰς χειροτονίας. ἴδε αἰωτέρω βιβλίου τρίτου κεφάλαιον τρίτον.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἐκ τῆς πρὸς τὸν Κωνσταντινουπόλεως Νεκτάριον ἀποκρίσεως τοῦ Ναυατιανοῦ Σισινίου, καὶ τῆς βεβαιώσεως τῆς ἐν Νικαίᾳ πίστεως παρὰ τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου, καὶ διανεμήσεως τῶν Ἐπαρχιῶν εἰς τοὺς παρ' αὐτῆς καταστάθεντας Πατριάρχας, καὶ ἑτέρων αὐτῆς θεσπισμάτων, δείκνυνται αἱ τῶν πάλαι ἁγίων πατέρων ἐκδόσεις καὶ μαρτυρίαι στήριγμα τῆς πίστεως, καὶ αἱ Οἰκουμενικαὶ Σύνοδοι ἔσχατον καὶ ἄκρον κριτήριον ἐν τῇ Ἐκκλησίᾳ.

Καλέσας ὁ μέγας Θεοδόσιος τοὺς προεστῶτας Ἐπισκόπους τῶν Αἱρετικῶν εἰς Βυζάντιον, ἠρώτησε τὸν Νεκτάριον τὶ ποιήσῃ, ἵν' ἴσως φέρῃ αὐτοὺς εἰς ὁμόνοιαν τῆς εὐσεβείας, τοῦ δὲ Νεκταρίου ἐρωτήσαντος Σισίνιον τὸν Ναυατιανὸν σοφώτατον ὄντα, συνεβούλευσεν αὐτῷ ἐκεῖνος εἰπεῖν τῷ Βασιλεῖ, Μάρτυρας δὲ καλέσεις τὰς Ἐκδόσεις τῶν παλαιῶν, καὶ πεῦσιν παρὰ τοῦ Βασιλέως τοῖς Αἱρεσιάρχαις προσάγεσθαι, πότερον λόγον ποιοῦνται τῶν πρὸ τῆς διαιρέσεως ἐν τῇ Ἐκκλησίᾳ προσαρμοσάντων Διδασκάλων. Καὶ, εἰ δὲ μὴ παρακρούονται τοὺς ἀρχαίους τῶν Διδασκάλων. ἡμέτερόν ἐστι τὸ παραχεῖν τὰς βίβλους τῶν παλαιῶν, δι' ὧν ἡ παρ' ἡμῶν δόξα μαρτυρηθήσεται. Σωκράτης βιβλίῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ. Ἐβεβαίωσάν τε αὖθις τὴν ἐν Νικαίᾳ πίστιν, καὶ Πατριάρχας κατέστησαν διανειμάμενοι τὰς Ἐπαρχίας, ὥστε τοὺς ὑπὲρ Διοίκησιν Ἐπισκόπους ταῖς ὑπερορίοις Ἐκκλησίαις μὴ ὑπερβαίνειν, τοῦτο γὰρ πρότερον διὰ τοὺς διωγμοὺς ἐγίνετο ἀδιαφόρως. Καὶ, ὥρισαν δὲ, ὡς εἰ χρεία καλέσοι, τὰ καθ' ἑκάστην Ἐπαρχίαν ἵνα ἡ τῆς Ἐπαρχίας Σύνοδος διοικῇ, τούτοις καὶ ὁ Βασιλεὺς ἐγένετο σύμψηφος. βιβλίῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τῶν ἐν τῇ δευτέρᾳ Οἰκουμενικῇ Συνόδῳ ψηφισθέντων περὶ τῆς τοῦ Νικηφόρου πίστεως καὶ ἀποβολῆς τῶν Αἱρέσεων καὶ τάξεως τῶν Ἐκκλησιῶν καὶ τῶν τοῦ αὐταῖς Ἐπισκόπων κατὰ Ἑρμείαν, δείκνυται εἶναι τὴν ἄκραν ἐξουσίαν ἐν τῇ Ἐκκλησίᾳ μόνων τῶν Οἰκουμενικῶν Συνόδων.

Μεταταῦτα δὲ συνελθόντες αὐτός τε ὁ Νεκτάριος καὶ οἱ ἄλλοι Ἱερεῖς, ἐψηφίσαντο τῆς τοῦ Νικηφόρου Συνόδου βεβαίαν μένειν τὴν πίστιν, ἀποκρουσάμενοι καὶ πᾶσαν Αἵρεσιν, Διακεῖσθαι δὲ τὰς πάντων Ἐκκλησίας κατὰ τὰς πάλαι Κανόνας, καὶ τοὺς Ἐπισκόπους ἐπὶ τῶν ἰδίων μένειν Ἐκκλησιῶν, καὶ μὴ ἐξὴν ταῖς ὑπερορίοις ἐπιβαίνειν, μὴ δὲ ἀκλήτους χειροτονίαις συνοδικαῖς σφᾶς ἐπιβάλλειν, καθὸ συνέτερον ὡς ἔτυχε, διαταράττης τῆς καθόλου Ἐκκλησίας, πολλάκις συνέβη, τὰ δὲ παρ' ἑκάστου συμβαίνοντα τῷ τοῦ ἔθνους Συνόδῳ, ὡς ἂν ἄριστα φαίνοιτο, διοικεῖν τε καὶ περᾶναι. ἑρμείας βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ὀγδόῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι κατὰ τὸν Ῥώμης Δάμασον ἡ ἀποστολικὴ πίστις ἐκτέθειται ἐγγράφως καὶ τῆς τοῦ Νικηφόρου Συνόδου.

Δάμασος ὁ Πάπας ἐπιστολὴ πρὸς Παυλῖνον φησί, Μεμνημένοι τῆς ἀποστολικῆς πίστεως, ταύτης μάλιστα, ἥτις ἐν Νικαίᾳ καὶ τῶν πατέρων ἐγγράφως ἐξετέθη. Θεοδώριτος βιβλίῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ. ἴδε περὶ τῶν ἐπὶ Δαμάσου Συνόδων αὐτοτέρω βιβλίου τρίτου κεφάλαιον πέμπτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ τοῦ τῶν Ῥώμης Ἰννοκεντίου τοῦ πρὸς τοὺς Κωνσταντινουπολίτας ἐπιστολῆς ἁπάσῃ μόνην τὴν Οἰκουμενικὴν Σύνοδον δύνασθαι τὰς τῶν τοιούτων καταγνώσεων κινήσεις καταπαῦσαι, δείκνυται εἶναι τὸ μεγαλεῖον τῶν Οἰκουμενικῶν Συνόδων ἐπὶ πάντων.

Ἰννοκέντιος ὁ Πάπας ἐπιστολῇ πρὸς Κωνσταντινουπολίτας περὶ τοῦ Χρυσοστόμου φησίν, Ἀναγκαία ἐστὶ διάγνωσις Συνοδική, ἣν καὶ πάλαι ἔθαμβω συναθροισέσαν, μόνη γάρ ἐστιν, ἥτις δύναται τὰς κινήσεις τῶν τοιούτων καταπαῦσαι καταγνώσεων. Καὶ, καὶ γὰρ ἡμεῖς πολλὰ σκεπτόμεθα ὃν τρόπον Συνόδου Οἰκουμενικὴ συναχθείη, ὅπως τῇ βουλήσει τοῦ Θεοῦ αἱ ταραχώδεις κινήσεις παύσωνται. Ἑρμείου βιβλίῳ ὀγδόῳ κεφαλαίῳ εἰκοστῷ ἕκτῳ. ἴδε αὐτοτέρω βιβλίου τρίτου κεφάλαιον δέκατον.

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Ὅτι ὁ ἅγιος Αὐγουστῖνος ἐν τῷ περὶ τῆς ἐν τῷ βαπτίσματι λογομαχίας τῶν Ἐπισκόπων διαλαμβάνει, καὶ ἀπορίας τινὰς συνεφέρει, νομίζει εἶναι τὴν πρώτην κρίσιν καὶ ἄκραν διδασκαλίαν, τό, τε κυρίως τὰς μερικὰς καὶ ὑποκυρίως τῶν Οἰκουμενικῶν Συνόδων.

Ὁ ἅγιος Αὐγουστῖνος ἀναγκαιοτάτην ἐνόμισε καὶ αὐτὸς καὶ πρώτην τὴν κρίσιν καὶ ἄκραν διδασκαλίαν τῆς κοινότητος, λέγει γὰρ ἐν ᾧ διηγεῖται περὶ τοῦ ζητήματος τῶν Αἱρετικῶν δεδομένου βαπτίσματος ταῦτα, Τοιούτου ζητήματος τὸ σκοτεινὸν ἐν τοῖς ἀρχαίοις χρόνοις ἡ Ἐκκλησίας ἐπὶ τοῦ σχίσματος τοῦ Δονάτου μεγάλως ἐθέρμανε καὶ ἐσταθέρωσε ἕως τοῦ πληρεστάτου τῆς Οἰκουμένης Συνόδῳ ὅπερ ὑγιῶς ἐδοξάζετο καὶ οὐκ ἀμφισβητήσεως διορισθῆ, βιβλίῳ πρώτῳ κατὰ Δονάτου κεφαλαίῳ ἑβδόμῳ. Ὁ αὐτὸς κεφαλαίῳ δεκάτῳ ὀγδόῳ περὶ βαπτίσματος λέγει, Εὐσεβῶς πιστεύομεν ὅπερ ἡ καθολικὴ Ἐκκλησία μακρὰν ἀπὸ τοῦ σχίσματος Φιλάπτει, ἐν ᾗ ὅμως εἰ ἄλλοι ἄλλο, καὶ ἄλλοι ἄλλο μέχρι καὶ νῦν περὶ τοῦ τοιούτου ζητήματος (σωζομένης εἰρήνης) ἐδόξαζον ἕως οὗ ἡ Οἰκουμενικὴ Σύνοδος ἐν ᾧ ἐστιν ὅλη κυρωθῇ, τῆς αὐθρωπίνης ἀσθενείας ἐποίησεν ἂν τὴν ἀπολογίαν τῆς ἀγάπης ἡ σῶσις. καὶ βιβλίῳ δευτέρῳ κεφαλαίῳ τετάρτῳ, οὔτε ἡμεῖς τοιούτου τι ἐτολμήσαμεν ὁμολογεῖν, εἰ μὴ τῆς Οἰκουμενικῆς Ἐκκλησίας συμφωνοτάτῳ ὅρῳ βεβαιωθέντες, ἥπερ καὶ αὐτὸς (ὁ Κυπριανὸς) ἀναμφιβόλως καὶ ἀναγκαίως ἐπέθετο, ὡς τῷ τότε καιρῷ τοιούτου ζητήματος ἡ ἀλήθεια δι' Οἰκουμενικῆς Συνόδου ἡ κεκυρωμένη. καὶ κατὰ Παρμενιανοῦ βιβλίῳ δευτέρῳ κεφαλαίῳ δεκάτῳ τρίτῳ, Ἀπορῶ, πότερον τὸ παρ' ἐθνικοῦ ἢ τινὸς ἄλλου δεδομένον βάπτισμα δύναμιν ἔχει; καὶ λίαν φάσκει ὅτι δύναται τοῦτο ἵνα διορισθῇ πρότερον, ἢ ἕως ἂν σωματικῇ μία τις Οἰκουμενικὴ Σύνοδος. ἐπιλέγει δὲ αὖθις ὅτι ἔτερον

ρον ζήτημα ἐστὶ καὶ παρ' ἐκείνων, οἵτινες οὐδέποτε ἦσαν Χριστιανοὶ, ὅτι δύνανται μεταδοῦναι τὸ βάπτισμα; καὶ ἀποφαίνεται, ὅτι οὐδὲν περὶ τούτου εὐλόγως ὁμολογεῖν δεῖ ἄνευ Συνόδου τοσαύτῃ ὑποθέσει ἐξαρκεῖν. καὶ πάλιν περὶ αὐτοῦ τοῦ ζητήματος λέγει περὶ βαπτίσματος κατὰ Δονάτου βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ πεντηκοστῷ τρίτῳ, Ἀλλ' ἡμῖν ἀσφαλές ἐστι μὴ προχωρεῖν εἰς τινὰ τολμηρὰν γνώμην, ἥπερ ἐν οὐδὲ μιᾷ Τοπικῇ Συνόδῳ ἤρξατο, καὶ ἐν οὐδὲ μιᾷ Οἰκουμενικῇ Συνόδῳ διωρίσθη. καὶ κατωτέρω ἐπαπορῶν, εἰ ἰσχύει τὸ κατὰ παίγνιον καὶ μιμικῶς διδόμενον βάπτισμα, Πότερον ὡς ἀληθῶς βάπτισμα ὁμολογεῖν ἔδει; ἀποκρινόμενος λέγει, θείαν τινὰ κρίσιν δι' ἀποκαλύψεως συμφώνῳ προσευχῇ καὶ ἐκτενεστάτῃ δεήσει καὶ στεναγμοῖς παρακαλεῖν δέον ἐστὶν ἡγοῦμαι.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἐκ τῆς πρὸς τὸν Ῥώμης Κελεστῖνον ἐπιστολῆς τῆς ἐν Καρθαγένῃ Συνόδου, δείκνυται τὰς Τοπικὰς Συνόδους ἕπεσθαι ταῖς Οἰκουμενικαῖς καὶ διορθοῦσθαι, καὶ οὐ τῷ Πάπᾳ.

Ἡ ἐν Καρθαγένῃ Σύνοδος κεφαλαίῳ ἑκατοστῷ τριακοστῷ ὀγδόῳ γράφουσα πρὸς τὸν Πάπαν Κελεστῖνον λέγει, Καὶ τὰ ψηφίσματα τῆς ἐν Νικαίᾳ Συνόδου, εἴτε Κληρικοὺς τοῦ κατωτέρου βαθμοῦ, εἴτε αὐτοὺς τοὺς Ἐπισκόπους τοῖς ἰδίοις Μητροπολίταις φανερώτατα κατέπεμψαν, συνετῶς γὰρ καὶ δικαίως συνεῖδεν, ἅτινα δήποτε πράγματα ἀναφύουσι, ταῦτα ἐν τοῖς ἰδίοις ὀφείλειν περατοῦσθαι τόποις. οὔτε γὰρ μιᾷ ἑκάστῃ προνοίᾳ ἐλογίσαντο ἐλλείπειν τὴν χάριν τοῦ ἁγίου Πνεύματος δι' ἧς ἡ δικαιοσύνη ἀπὸ τῶν τοῦ Χριστοῦ Ἱερέων καὶ ὁρᾶται φρονίμως καὶ κατέχεται σταθερῶς. μάλιστα, ὅτι καὶ ἐπὶ καὶ ἑκάστῳ συγκεχώρηται, ἐὰν περὶ τῆς δίκης τῶν διαγνωστῶν προΐσταται αὐτῷ πρὸς τὰς Συνόδους τῆς ἰδίας Ἐπαρχίας, ἢ ἔτι μὴν εἰς Οἰκουμενικὴν Σύνοδον ἐκκαλεῖσθαι, εἰ μὴ ἄρα τις ἐστὶν, ὅς τις πιστεύσει ἑνὶ ᾧτινι δήποτε δύνασθαι τὸν Θεὸν ἡμῶν ἐμπιστεῦσαι τὴν δικαιοσύνην, τοῖς δὲ ἀναριθμήτοις εἰς Σύνοδον συνηθροισμένοις Ἱερεῦσιν ἀρνεῖσθαι. καὶ περίπου τὸ τέλος, Ἐκβιβαστὰς τοίνυν Κληρικοὺς, ἡμῶν τινῶν αἰτούντων, μὴ θέλετε ἀποστέλλειν μήτε παραχωρεῖν ἵνα τὸν καπνώδη τύφον τοῦ κόσμου δόξωμεν εἰσάγειν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἥτις τὸ φῶς τῆς ἁπλότητος καὶ τῆς ταπεινοφροσύνης τὴν ἡμέραν τοῖς τὸν Θεὸν ἰδεῖν ἐπιθυμοῦσι προσφέρει.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἐκ τῶν τοῦ Ἐρανιστοῦ τριῶν διαλόγων, δείκνυται καὶ Θεοδώριτον τοὺς τῶν Ἀποστόλων διαδόχους καὶ τοὺς μετ' αὐτοὺς Ἐπισκόπους εἶναι κήρυκας καὶ Διδασκάλους τῆς πίστεως καὶ τῶν θείων δογμάτων κυρωτάς.

Θεοδώριτος ἐν τοῖς τρισὶ διαλόγοις τοῦ Ἐρανιστοῦ φέρει μάρτυρας Ἰγνάτιον, Ἱππόλυτον, Μεθόδιον, Εὐστάθιον Ἀντιοχείας, Ἀθανάσιον, Βασίλειον, Ναζιανζηνὸν, Νύσσης, Φλαυϊανὸν Ἀντιοχείας, Ἀμφιλόχιον, Χρυσόστομον, Εἰρηναῖον, Θεόφιλον Ἀλεξανδρείας, Κύριλλον Ἱεροσολύμων, Ἀντίοχον Πτολεμαΐδος, Ἱλάριον, Σεβηριανὸν, Ἀττικὸν, Κύριλλον, Δάμασον, Ἀμβρόσιον, καὶ Γελάσιον Καισαρείας, λέγει δὲ ἐν τῷ πρώτῳ διαλόγῳ, Διάδοχοι τῶν θείων Ἀποστόλων οἱ ἄνδρες γεγένηνται, τινὲς δὲ καὶ τῆς ἱερᾶς αὐτῶν φωνῆς καὶ τῆς ἀξιαγάστου θέας ἀπήλαυσαν, οἱ δέγε πλεῖστοι τοῖς μαρτυρίου στεφάνοις κατεκοσμήθησαν. Καὶ, οὐμόνον Προφῆται καὶ Ἀπόστολοι καὶ οἱ μετ' αὐτοὺς χειροτονηθέντες τῆς Οἰκουμένης Διδάσκαλοι. καὶ διαλόγῳ δευτέρῳ, ΟΡΘΟΔΟΞΟΣ. Μανικόν ἐστι καὶ σαθρὸν κατὰ τῶν γενναίων ἐκείνων καὶ τῆς πίστεως ἀριστέων (ἤτοι τῶν Διδασκάλων) τὴν γλῶσσαν κινεῖν. καὶ διαλόγῳ τρίτῳ, ΟΡΘΟΔΟΞΟΣ. ἰδοὺ σοι καὶ τοὺς τὰ Ἑῷα καὶ τοὺς τὰ Ἑσπέρια, καὶ μέντοι καὶ τοὺς τὰ Νότια καὶ Βόρεια τῆς Οἰκουμένης γεωργήσαντας τμήματα τῆς καινῆς ὑμῶν Αἱρέσεως κατηγοροῦντας ἐδείξαμεν, καὶ τῆς θείας φύσεως ἀναφανδὸν τὴν ἀπάθειαν κηρύττοντας, καὶ γλῶσσαν ἑκατέραν τὴν ἑλλάδα φημὶ καὶ τὴν ῥωμαίαν σύμφωνον περὶ τῶν θείων ὁμολογίαν κηρύξασαν. τὰ αὐτὰ, ἤτοι ταῖς μαρτυρίαις τῶν ἐνδόξων πατέρων βεβαιοῖ τὰ θεῖα δόγματα ἔντισι τῶν ἐπιστολῶν αὐτοῦ ὁ Θεοδώριτος.

ΤΟΥ Γ'. ΚΕΦΑΛΑΙΟΥ ΤΜΗΜΑ Δ'.

Ἤτοι ἀπὸ τῆς τρίτης οἰκουμενικῆς Συνόδου ἕως τῆς τετάρτης.

Ὅτι ἐκ τῶν πρὸς Ἰωάννην Ἀντιοχείας, Νεστόριον, Ἀσκητὰς, Κληρικοὺς Κωνσταντινουπόλεως καὶ τὰς Βασιλίδας ἐπιστολῶν Κυρίλλου Ἀλεξανδρείας, δείκνυται πᾶσαν περὶ τὴν πίστιν καὶ τὰ δόγματα ἀμφιβολίαν διὰ Συνόδων ἐπιλύεσθαι.

Κύριλλος ἐπιστολῇ πρὸς Ἰωάννην Ἀντιοχείας, Ἡ ἁγία Ῥωμαίων Σύνοδος φανερὰ τετύπωκε, καὶ δὴ καὶ γεγράφηκε πρὸς τὴν σὴν θεοσέβειαν, ἐν οἷς ἀνάγκη πείθεσθαι τοὺς αὐτεχομένους τῆς πρὸς ἅπασαν τὴν

τὴν Δύσιν κοινωνίας. Ὁ αὐτὸς μετὰ τῆς ἐν Αἰγύπτῳ Συνόδου Νεστορίῳ, ἰδοὺ τοίνυν ἅμα τῇ ἁγίᾳ Συνόδῳ τῇ κατὰ τὴν μεγάλην Ῥώμην συνειλεγμένῃ προεδρεύοντος τοῦ ὁσιωτάτου καὶ θεοσεβεστάτου ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Κελεστίνου τοῦ Ἐπισκόπου. Καὶ, αὕτη γὰρ τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας ἡ πίστις, ᾗ συναινοῦσιν ἅπαντες οἵτε κατὰ τὴν Ἑσπέραν καὶ τὴν Ἑῴαν ὀρθόδοξοι Ἐπίσκοποι καὶ Διδάσκαλοι καὶ λαῶν Ἡγούμενοι, συνέθετο δὲ καὶ ἡ κατὰ τὴν Ῥώμην ἁγία Σύνοδος ταῖς γραφείσαις ἐπιστολαῖς πρὸς τὴν σὴν θεοσέβειαν παρὰ τῆς Ἀλεξανδρέων Ἐκκλησίας. Καὶ, εἰ τοῖς τῶν ἁγίων πατέρων περιτυγχάνοντες λόγοις καὶ δοκιμάζοντες ἑαυτοὺς εἰ ἐσμὲν ἐν τῇ πίστει. καὶ ἐπιστολῇ τοῖς τὸν μονήρη βίον ἀσκοῦσι, Ταύτην ἡμῖν τὴν πίστιν παρέδωκαν οἱ θεσπέσιοι μαθηταὶ, καὶ εἰ μὴ τῆς λέξεως πεποίηνται μνήμην, οὕτω φρονεῖν δεδιδάγμεθα παρὰ τῶν ἁγίων πατέρων. καὶ ἐπιστολῇ πρὸς τοὺς ἐν Κωνσταντινουπόλει Κληρικοὺς, Ἡ τοῦ Σωτῆρος οἰκονομία διὰ μικρῶν καὶ εὐτελεστάτων πραγμάτων συνάγει Σύνοδον, ἵνα καθαρίσῃ τὴν ἑαυτοῦ Ἐκκλησίαν, ἄσπιλον καὶ ἀσύγχυτον ἔχουσαν τὴν εὐγενῆ πίστιν. καὶ ἐν τῷ πρὸς τὸν Βασιλέα προσφωνητικῷ, Ἀπρὶξ ἐχόμεθα τῶν ἱερῶν γραμμάτων, τὴν δὲ ἀπλανῆ τῶν ἁγίων δεδιδάγμεθα τρίβον. καὶ Ὁμιλίᾳ εἰς τὴν ἁγίαν Μαρίαν ἀποτεινόμενος πρὸς Νεστόριον, Μάρτυρα δέχου τὸν τίμιον καὶ ἅγιον Ἀρχιεπίσκοπον Κελεστῖνον γράφοντάσοι ἀποστῆναι τοῦ ἀσυστάτου δόγματος, ἔτι δὲ καὶ τὴν ἡμετέραν πτωχείαν διὰ βραχέων τὸν αὐτὸν τρόπον παρακαλοῦντας. Φέρει δὲ μάρτυρας ἐν τῇ πρὸς τὰς βασιλίσσας ἐπιστολῇ Ἀθανάσιον, Ἀττικὸν, Ἀντίοχον, Ἀμφιλόχιον, Ἄμμωνα, Χρυσόστομον, Σεβηριανὸν, Ἰουτάλιον καὶ Θεόφιλον. καὶ ἐπιστολῇ πρὸς τὸν Ἱεροσολύμων Ἰουβενάλιον, Ὅπως ἂν ἐκ μιᾶς ψυχῆς καὶ συντόνου προθυμίας τὴν εἰς Χριστὸν ἀγάπην ζωσώμεθα. Καὶ, δεῖ δὲ ἡμᾶς ἀναγκαίως καὶ τῷ φιλοχρίστῳ Βασιλεῖ καὶ ἅπασι τοῖς ἐν τέλει γράψαι καὶ συμβουλεῦσαι μὴ προτιμῆσαι τῆς εἰς Χριστὸν εὐσεβείας ἄνθρωπον, ἀλλὰ χαρίσασθαι τῇ Οἰκουμένῃ τὸ βέβαιον εἰς πίστιν ὀρθήν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς τοῦ Ἀντιοχείας Ἰωάννου, δείκνυται τὴν τῶν ἁγίων πατέρων κοινότητα ποιεῖν τὴν τῶν Ἐκκλησιῶν ἕνωσιν.

Ἰωάννης Ἀντιοχείας Νεστορίῳ, Ἡ γὰρ Δύσις καὶ Αἴγυπτος, τάχα δὲ καὶ Μακεδονία ἔκριναν ἀπορραγῆναι τῆς ἑνώσεως, ἣν ἱδρῶσι πολλοῖς καὶ πόνοις ἁγίων καὶ ἐπισήμων Ἐπισκόπων, καὶ μάλιστα τοῦ τὰ πάντα ἁγίου καὶ κοινοῦ ἡμῶν πατρὸς τοῦ μεγάλου Ἀκακίου ἡ τοῦ Θεοῦ χάρις τῷ κοινῷ τῆς Ἐκκλησίας κεχάρισται.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τῆς πρὸς τὸν Ῥώμης Κελεστῖνον ἐπιστολῆς τοῦ Ἀλεξανδρείας Κυρίλλου, δείκνυται βεβαιοῦσθαι τὴν ὀρθόδοξον πίστιν διὰ τῶν παραδόσεων, μαρτυριῶντε καὶ ἐκθέσεων τῶν ἁγίων πατέρων, καὶ πᾶσαν ἀμφιβολίαν ἐν τῇ Ἐκκλησίᾳ ἐπιλύεσθαι.

Κύριλλος Κελεστίνῳ Ῥώμης, Ἐπεὶ δὲ καὶ Θεὸς ἀπαιτεῖ παρ' ἡμῶν τὸ νηφάλιον ἐν τούτοις, καὶ τὰ μακρὰ τῶν Ἐκκλησιῶν ἔθη ἀνακοινοῦσθαι τῇ σῇ ὁσιότητι, γράφω πάλιν ἀναγκαίως. Καὶ, ἐγὼ δὲ ὁμολογῶ, καίτοι βουληθεὶς συνοδικῷ γράμματι φανερὸν αὐτῷ καταστῆσαι, ὅτι ταῦτα λέγοντι καὶ φρονοῦντι κοινωνεῖν οὐδυνάμεθα, τοῦτο μὲν οὐπεποίηκα, λογισάμενος δὲ ὅτι χρὴ τοῖς ὀλισθήσασι χεῖρα διδόναι, καὶ ὡς ἀδελφοὺς πεσόντας ἐγεῖραι. Καὶ, καίτοι πῶς οὐκ ἔδει πληροφορεῖσθαι μᾶλλον αὐτὸν, ὅτι πάντων τῶν κατὰ πᾶσαν τὴν Οἰκουμένην ὀρθοδόξων Ἐπισκόπων καὶ λαϊκῶν ὁμολογούντων ὅτι Θεός ἐστιν ὁ Χριστὸς, καὶ Θεοτόκος ἡ τεκοῦσα αὐτὸν Παρθένος. Ὁ αὐτὸς τῷ αὐτῷ, Ὑπὲρ δὲ τοῦ εἰδέναι σαφῶς τὴν σὴν ὁσιότητα τίνα ἐστὶν ἃ αὐτὸς μὲν λέγει καὶ φρονεῖ, τίνα δὲ οἱ μακάριοι καὶ μεγάλοι πατέρες ἡμῶν, ἀπέστειλάσοι Τόμους διὰ Ποσειδωνίου. Ὁ αὐτὸς πρός τινα, Τί οὖν ἐκώλυε καὶ ἡμᾶς ταῖς ἐκείνου φωναῖς γράψαι τὰ ἐναντία καὶ εἰπεῖν, Εἴτις οὐ λέγει Θεοτόκον εἶναι τὴν Μαρίαν, Ἀνάθεμα, ἀλλ' οὐ πεποίηκα τοῦτο, ἵνα μὴ λέγουσί τινες, ὅτι αἰεθεμάτισεν αὐτὸν ὁ Ἀλεξανδρείας Ἐπίσκοπος, ἤτοι ἡ Σύνοδος ἡ Αἰγυπτιακή.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἐκ τῆς πρὸς τὸν Ἀλεξανδρείας Κύριλλον ἀποκρίσεως τοῦ Ῥώμης Κελεστίνου, καὶ ἑτέρων αὐτοῦ πρὸς Κωνσταντινουπολίτας καὶ Νεστόριον καὶ τὴν τρίτην Σύνοδον ἐπιστολῶν, δείκνυται εἶναι τὸν Κύριλλον πάντων τῶν πρὸ αὐτοῦ ἐκδίκων τῆς πίστεως κρείττονα, καὶ τὴν ἀπόφασιν τῆς κοινότητος, καὶ τὴν τρίτην Σύνοδον ὁμοίαν ταῖς ἀποστολικαῖς Συνόδοις, καὶ πάντας τοὺς Ἐπισκόπους τῶν Ἀποστόλων διαδόχους.

Κελεστῖνος

Κελεστῖνος Κυρίλλῳ, Τὰ γράμματά σου διὰ Ποσειδωνίου λαβόντες, οὐσμικρὸν κατ' αὐτὴν τὴν ψυχὴν πεπληγμένοι πόνῳ διαφόροις σκέψεων κέντροις βασανιζόμεθα, ἐννοοῦντες ὅπως βοηθεῖν εἰς τὸ ἐμμένειν, τῇ πίστει, ὡς δὲ τὴν ἡμετέραν διάνοιαν εἰς τὰ παρὰ τῆς σῆς ἀδελφότητος γραφέντα μετεστήσαμεν, ὤφθη ἡμῖν εὐθὺς ἑτοιμοτάτη θεραπεία, δι' ἧς ἡλοιμώδης νόσος ὑγιεινῷ φαρμάκῳ ἀπελαθείη, φημὶ δὴ τῆς καθαρᾶς πηγῆς ἔκροιαν τὴν ἀπὸ τοῦ λόγου τῆς σῆς ἀγάπης ἐκρέουσαν, δι' οὗ πᾶσα καθαριεῖται ἡ ἰλὺς τοῦ κακῶς διαχεομένου ῥείθρου, καὶ πᾶσιν ἀνοίγεται ὁ τρόπος τῆς δεούσης περὶ τὴν ἡμετέραν πίστιν ἐννοίας. Καὶ, ὡς ἤδησε νενικηκέναι τὰ ὑποδείγματα τῶν πρὸ σοῦ προηγησαμένων, γενομένων καὶ αὐτῶν ἀεὶ ἐνδίκων τῆς ὀρθοδόξου πίστεως. Καὶ, ἑαυτὸν βεβαιώσει (ὁ Νεστόριος) ταύτην κατέχειν τὴν πίστιν περὶ τῆς γεννήσεως τοῦ Χριστοῦ, ἣν καὶ ἡ Ῥωμαίων, καὶ ἡ τῆς σῆς ἁγιότητος Ἐκκλησία, καὶ ἡ καθόλου καθοσίωσις κατέχει. Ὁ αὐτὸς Κωνσταντινουπολίταις, Ἐκίνησε ποτὲ ἱερόσυλον ζήτησιν ὁ Σαμοσατεὺς Παῦλος, ὅτε τῆς ἁγίας κατὰ τὴν Ἀντιόχειαν Ἐκκλησίας προΐστατο, ἀλλὰ τοῦτον ἀπὸ τοῦ θρόνου ἐν ᾧ μιαρῶς προὐκαθέζετο καθῄρηκεν ἐνωθεῖσα τῶν καθολικῶν Ἱερέων ἡ ἀπόφασις. Ὁ αὐτὸς Νεστορίῳ, Ἐὰν μὴ περὶ Χριστοῦ κηρύξῃς ἅπερ καὶ ἡ Ῥωμαίων καὶ ἡ Ἀλεξανδρέων καὶ πᾶσα ἡ καθολικὴ Ἐκκλησία κατέχει ὡς καὶ ἡ ἁγία ἡ κατὰ τὴν μεγάλην Κωνσταντινούπολιν Ἐκκλησία ἕως σοῦ κάλλιστα κατέσχε. Καὶ, ἐπειδὴ πάντες εἰδέναι ὀφείλουσι τὸ πραττόμενον, ὁ σάκις περὶ τοῦ κοινοῦ πράγματος ἡ σκέψις. Ὁ αὐτὸς τῇ Συνόδῳ, Εἰ δὲ οὐδὲ τοῦ οὕτω βραχέως ἀριθμοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἀπολείπεται, πόσῳ μᾶλλον αὐτῷ νῦν μεσιτεύειν πιστεύομεν ὅπου εἰς ἓν συνήχθη τοσοῦτον πλῆθος ἁγίων, καὶ γὰρ ἅγιόν ἐστι κατὰ τὸ οἰκεῖον σέβας συνέδριον, ἐν ᾧ καθάπερ ἐκείναις ταῖς μεγίσταις τῶν Ἀποστόλων Συνόδοις ἔστιν ὁρᾶν τὴν εὐλάβειαν. Καὶ, ἐνταῦθα τῇ φροντίδι σφιγγόμεθα οἱ ἁπανταχοῦ καὶ ἀνὰ πᾶσαν τὴν Οἰκουμένην, τῇ ἐκείνων διαδοχῇ τὸ ὄνομα Κυρίου κηρύττοντες.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ τῶν ἐν τῇ τρίτῃ Συνόδῳ λόγων Φιλίππου καὶ Ἀρκαδίου τῶν τοῦ Ῥώμης Λεγάτων καὶ τῶν λοιπῶν, δείκνυται οἱ πάντες ἀκόλουθοι τῆς Συνόδου.

Ὁ Λεγᾶτος τοῦ Ῥώμης Κελεστίνου Φίλιππος εἶπεν, Εὐχαριστοῦμεν τῇ ἁγίᾳ καὶ σεπτῇ Τριάδι, ὅτι ἡμᾶς τοὺς εὐτελεῖς τοῦ ἁγίου ὑμῶν συλλόγου ἠξίωσε. πράξει δευτέρᾳ. καὶ πράξει τρίτῃ ὁ Ἀρκάδιος, Λεγᾶτος καὶ αὐτὸς τοῦ αὐτοῦ, Ἀκολουθήσαντες τοῖς τύποις Κελεστίνου καὶ τῆς ἁγίας Συνόδου τοῖς δόγμασιν. οὕτως εἶπον καὶ οἱ λοιποί.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Ὅτι ἐκ τῆς πρὸς τὴν τρίτην Σύνοδον ἐπιστολῆς τοῦ Καρθαγένης Καπραιόλου, δείκνυται μηδένα τῶν πάντων Ἐπισκόπων βεβαιοῦν τὰ ὑπὲρ καθολικῆς καταστάσεως τῇ ἰδίᾳ αὐθεντίᾳ, ἀλλὰ τῇ τῶν ἀρχαιοτέρων ψήφῳ.

Καπραίολος Καρθαγένης ἐπιστολῇ πρὸς τὴν τρίτην Σύνοδον, Ἅπερ ἤδη ἐστὶ παρὰ τῶν πατέρων ὁρισθέντα, φυλακτέα ἐστὶν, ἐπειδὴ ὅστις βούλεται ἅπερ ὑπὲρ τῆς καθολικῆς καταστάσεως ἐθέσσισεν εἰς τὸ διηνεκὲς μένειν, οὐ τῇ ἰδίᾳ αὐθεντίᾳ, ἀλλὰ τῇ τῶν ἀρχαιοτέρων ψήφῳ ὀφείλει βεβαιῶσαι. πράξει πρώτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἐκ τῶν τοῦ ὁσίου Δαλματίου πρὸς τὸν λαὸν περὶ τοῦ Βασιλέως Θεοδοσίου καὶ τῆς Συνόδου λόγων, δείκνυται πάντες οἱ Ἐπίσκοποι σὺν τῷ Βασιλεῖ ἀκόλουθοι τῆς τρίτης Συνόδου.

Ὁ ὅσιος Δαλμάτιος πρὸς τὸν λαὸν Κωνσταντινουπόλεως εἶπε περὶ τοῦ Βασιλέως Θεοδοσίου καὶ τῆς τρίτης Οἰκουμενικῆς Συνόδου, Ὁ Δεσπότης γὰρ πάντα ἀκολούθως ἤκουσε τὰ γεγενημένα, καὶ συνεφώνησε τοῖς ῥήμασι τῆς ἁγίας Συνόδου. Καὶ, εἶπον αὐτῷ τῷ Βασιλεῖ ἔμπροσθεν πάντων, τίνος θέλεις ἀκοῦσαι, τῶν ἑξακισχιλίων ἀριθμῷ Ἐπισκόπων, ἢ ἑνὸς ἀνθρώπου δυσσεβοῦς; τῶν ἑξακισχιλίων εἶπεν, οἵτινες εἰσὶν ὑπὸ τὴν ἐξουσίαν τῶν Μητροπολιτῶν τῶν ἁγίων Ἐπισκόπων. Καὶ, εὔχεσθε ὑπὲρ ἐμοῦ, καὶ οἶδα ὅτι ὁ Βασιλεὺς ἐξακολουθήσει μᾶλλον τῷ Θεῷ καὶ τῇ ἁγίᾳ Συνόδῳ. ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν τέταρτον.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἐκ τῶν τοῦ Ἱεροσολύμων Ἰουβεναλίου ἐν τῇ Συνόδῳ λόγων, δείκνυται εἶναι τὴν Οἰκουμενικὴν Σύνοδον ἐν τῇ Ἐκκλησίᾳ ἄκρον καὶ ἔσχατον κριτήριον.

Ἰουβενάλιος Ἱεροσολύμων εἶπεν, Ἐχρῆν μὲν Ἰωάννην τὸν Ἀντιοχείας ἐνθυμούμενον τὴν ἁγίαν καὶ μεγάλην καὶ Οἰκουμενικὴν Σύνοδον ταύτην, καὶ τὸν ἀποστολικὸν θρόνον συνεδρεύοντα ἡμῖν τῆς μεγάλης Ῥώμης, εὐθέως εἰς ἀπολογίαν τῶν ἐπαγομένων αὐτῷ δραμεῖν, καὶ τῷ ἀποστολικῷ τῆς Ἱεροσολύμων ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας ὑπακοῦσαι καὶ τιμῆσαι, παρ' ᾧ μάλιστα ἔθος αὐτὸν τὸν Ἀντιοχέων θρόνον ἐξ ἀποστολικῆς ἀκολουθίας καὶ παραδόσεως ἰθύνεσθαι, καὶ παρ' αὐτῷ δικάζεσθαι. πράξει τετάρτῃ. ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν πρῶτον.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι ἐκ τῆς πρὸς Θεοδόσιον καὶ Οὐαλεντιανὸν τοὺς Βασιλεῖς δεήσεως τοῦ Βασιλείου καὶ Θαλασσίου, δείκνυται εἶναι τὴν καθολικὴν Ἐκκλησίαν καὶ τοὺς αὐτῆς Διδασκάλους πίστεως Κανόνα.

Βασιλείου καὶ Θαλασσίου δέησις πρὸς τοὺς Βασιλεῖς Θεοδόσιον καὶ Οὐαλεντιανὸν, ὅτι ὑπὸ Πέτρου, Ἰακώβου, καὶ Ἰωάννου τῶν Ἀποστόλων, Εἰρηναίου, Γρηγορίου Νεοκαισαρείας, τῆς ἁγίας Συνόδου τῶν ἑκατὸν ὀγδοήκοντα Ἐπισκόπων τῶν καθελόντων τὸν Σαμοσατέα, ὑπὸ τῆς ἐν Νικαίᾳ Συνόδου τῆς βεβαιωσάσης τὸν Ὅρον τὸν ἐν τῇ Ἀντιοχείᾳ, Βασιλείου καὶ Γρηγορίου τῶν ἀδελφῶν, Ἀθανασίου Ἀλεξανδρείας, Ἐφραὶμ τοῦ Σύρου, Γρηγορίου, Ἄμμωνος, Ἰουταλίου, Ἀμφιλοχίου, Παύλου, Ἀντιόχου, Εὐσταθίου, Μεθοδίου, Ὀπτίμου, Λεπορίου, Ἀμβροσίου, ὅλης τῆς ἐν Ἀφρικῇ Συνόδου, Ἰωάννου, Σεβηριανοῦ, Ἀττικοῦ, καὶ Κυρίλλου Ἀλεξανδρείας ἐξακολουθοῦμεν περὶ τῆς ἀληθοῦς γνώσεως. μέρει πρώτῳ Συνόδου τρίτης, καὶ ἀνωτέρω βιβλίου τρίτου κελαίου δεκάτου πέμπτου Παραγράφῳ δεκάτῳ ἐνάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι ἐκ τῶν ἐν τῇ τρίτῃ Συνόδῳ ῥητῶν τοῦ Ἱεροσολύμων Ἰουβεναλίου, καὶ τῆς πάντων τῶν Ἐπισκόπων εἰς ταῦτα συμφωνίας, δείκνυται ἡ Οἰκουμενικὴ Σύνοδος κριτὴς ἁπλῶς πάντων.

Ἐν τῇ πρώτῃ πράξει τῆς τρίτης Οἰκουμενικῆς Συνόδου εἶπεν Ἰουβενάλιος, Τὰ παρὰ τῆς ἁγίας Συνόδου καὶ τῆς ἐπιστολῆς τοῦ Κυρίλλου σύμφωνα εὕρηνται, καὶ τούτοις τοῖς δόγμασι συντίθεμαι καὶ συναινῶ, ὁμοίως καὶ πάντες οἱ Ἐπίσκοποι εἶπον, ὡς ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παραγράφῳ εἰκοστῷ ἐνάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι τοῦ Φιλίππων Φλαυϊανοῦ εἰπόντος περὶ μαρτυριῶν ἁγίων κατὰ Νεστορίου, οἱ πάλαι ἅγιοι πατέρες ἤχθησαν εἰς μαρτυρίαν.

Φλαυϊανὸς Φιλίππων εἶπεν, Ἀκόλουθόν ἐστιν εἰπεῖν ἣν εἶχον περὶ τῶν προκειμένων δόξαν (ἤτοι περὶ τῆς ὀρθοδόξου πίστεως κατὰ Νεστορίου) οἱ Μακάριοι πατέρες ἡμῶν. καὶ προσηνέχθησαν μάρτυρες Πέτρος Ἀλεξανδρείας ὁ μάρτυς, Ἀθανάσιος ὁ μέγας, Ἰούλιος καὶ Φίληξ Ῥώμης, Θεόφιλος Ἀλεξανδρείας, Κυπριανὸς, Ἀμβρόσιος, ὁ Ναζιαιζηνὸς, Βασίλειος ὁ μέγας, ὁ Νύσσης, Ἀττικὸς, Ἀμφιλόχιος ἐν τῷ αὐτῷ τόπῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι ἐκ τῶν πρὸς τοὺς Βασιλεῖς ἐπιστολῶν τῆς Συνόδου περὶ καθαιρέσεως Νεστορίου καὶ τῶν ἀποστατῶν, δείκνυται εἶναι τὴν Οἰκουμενικὴν Σύνοδον ἐν τῇ Ἐκκλησίᾳ τὸ ἔσχατον κριτήριον.

Ἡ αὐτὴ Σύνοδος πρὸς τοὺς Βασιλεῖς ἔγραψε, Τοῦ Νεστορίου καθαίρεσιν κανονικὴν ποιησάμενοι, καὶ ἐπαινέσαντες τὸν θεοφιλέστατον καὶ ἁγιώτατον Ἐπίσκοπον τῆς μεγάλης Ῥώμης Κελεστῖνον, πρὸ τῆς ἡμῶν ψήφου καταγνόντα τῶν αἱρετικῶν δογμάτων Νεστορίου, καὶ πρὸ ἡμῶν ἐξενεγκόντα τὴν κατ' αὐτοῦ ψῆφον. Ἡ αὐτὴ Σύνοδος τοῖς Βασιλεῦσι κατὰ τῶν ἀποστατῶν ἔγραψε μετὰ τὸν ἔλεγχον τὸ ἐπιτίμιον,

ταῦτα

ταῦτα, Δέξασθε παρὰ τῆς Συνόδου ἐχούσης πάντας τοὺς τῆς οἰκουμένης ἁγιωτάτους Ἐπισκόπους, ἐν καὶ τὸ αὐτὸ φρονήσαντας, διὰ τὸ καὶ τὸν τῆς μεγάλης Ῥώμης συμπαρεῖναι τῇ Συνόδῳ, καὶ τοὺς τῆς Ἀφρικῆς διὰ τοῦ θεοσεβεστάτου Ἀρχιεπισκόπου Κυρίλλου, ᾧ καὶ τὴν ἑαυτῶν γνώμην ἑνώσαντες, κεχωρισμένοι μόνῳ τῷ τόπῳ τῇ αὐτοῦ τε καὶ πάντων ἡμῶν ψήφῳ συνήνεσαν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ΄.

Ὅτι ἐκ τῆς πρὸς τὸν Ῥώμης Κελεστῖνον ἐπιστολῆς τῆς τρίτης Συνόδου, δείκνυται εἶναι τὰς οἰκουμενικὰς Συνόδους κριτὰς καὶ βεβαιωτὰς τῶν μερικῶν.

Ἡ αὐτὴ Σύνοδος Κελεστίνῳ Ἐπισκόπῳ. Τῆς μὲν σῆς ὁσιότητος ὁ περὶ τὴν εὐσέβειαν ζῆλος καὶ ἡ περὶ τῆς ὀρθῆς πίστεως τῷ πάντων ἡμῶν Σωτῆρι Θεῷ φίλη τε καὶ ἀρέσκουσα φροντὶς ἀξία παντὸς γέγονε θαύματος. Σημείωσαι ὅτι ἐνταῦθα γράφουσι περὶ τῆς προθεσμίας ἣν ἐποίησεν ὁ Βασιλεὺς, καὶ ὅτι ἀναγνωσθέντων τῶν πεπραγμένων ἐν Ῥώμῃ κατὰ Κελεστίου καὶ Πελαγίου καὶ τῶν ὀπαδῶν τῆς Αἱρέσεως αὐτῶν, φησὶν ἡ Σύνοδος γράφουσα πρὸς τὸν Κελεστῖνον, Ὅτι ἐδικαιώσαμεν καὶ ἡμεῖς ἰσχυρὰ καὶ βέβαια ἐμμένειν τὰ ἐπ' αὐτοῖς ὡρισμένα παρὰ τῆς σῆς θεοσεβείας, καὶ σύμψηφοι πάντες ἐσμὲν, καὶ καθηρημένους ἔχομεν αὐτούς. ἴδε καὶ ἀνωτέρω βιβλίου τρίτου κεφάλαιον δέκατον πέμπτον περὶ τούτων.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ΄.

Ὅτι ἐκ τῆς πρὸς Ἀρμενίους ἐπιστολῆς τοῦ Κωνσταντινουπόλεως Πρόκλου, αἱ τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων καὶ τῶν αὐτοῖς ὁμοφρόνων παραδόσεις καὶ ἐκθέσεις μαρτυροῦνται εἶναι δόγματα τῆς ὀρθοδόξου πίστεως.

Ὁ Κωνσταντινουπόλεως Πρόκλος ἐπιστολῇ πρὸς Ἀρμενίους. Ἀλλὰ φυλάττοντες τὰς παραδόσεις ἃς παρελάβετε τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ τὴν ὀρθόδοξον πίστιν ἐκθεμένων, καὶ τῶν περὶ τὸν ἅγιον καὶ μακάριον Βασίλειον καὶ Γρηγόριον, καὶ τῶν λοιπῶν τῶν αὐτοῖς ὁμοφρόνων, ὧν τὰ ὀνόματα ἐν βιβλίῳ ζωῆς. ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν ἕβδομον.

ΤΟΥ Γ΄. ΚΕΦΑΛΑΙΟΥ ΤΜΗΜΑ Ε΄.

Ἤτοι ἀπὸ τῆς τετάρτης οἰκουμενικῆς Συνόδου ἕως τῆς πέμπτης.

Ὅτι ἐκ τῆς κατὰ Εὐτυχοῦς ἐπιστολῆς τοῦ Κωνσταντινουπόλεως Φλαυϊανοῦ, δείκνυται τοὺς Πατριάρχας καὶ Πάπας ταῖς ἁγίαις γραφαῖς καὶ ταῖς τῶν ἁγίων πατέρων ἐκθέσεσιν ἑπομένους βεβαιοῦν τὰς περὶ πίστεως ἐκδόσεις.

Φλαυϊανὸς ὁ Κωνσταντινουπόλεως γράφων κατὰ Εὐτυχοῦς πρὸς τὸν Βασιλέα Θεοδόσιον τὸν νέον ἰδίᾳ χειρὶ, φησὶ, φρονοῦμεν ὀρθῶς καὶ ἀνεπιλείπτως πάντοτε ταῖς θείαις γραφαῖς ἑπόμενοι καὶ ταῖς Ἐκθέσεσι τῶν ἁγίων πατέρων. Σημείωσαι ὅτι ἐν τῇ δευτέρᾳ πράξει τῆς ἐν Κωνσταντινουπόλει Συνόδου κατὰ Εὐτυχοῦς ἐξέθετο ὁ Φλαυϊανὸς τὴν πίστιν αὐτοῦ, ᾗ ἠκολούθησεν ὁ Ῥώμης Λέων. ἔλεγε δὲ Εὐστάθιος ὁ Βηρυτοῦ, Ἠκολούθησεν ὁ Φλαυϊανὸς τοῖς δόγμασι τοῦ μακαριωτάτου Ἀλεξανδρέων Κυρίλλου. πράξει πρώτῃ τῆς τετάρτης Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ Ε΄.

Ὅτι ἐκ τῶν λεχθέντων τῇ Συγκλήτῳ πρὸς τοὺς τῆς ἐν Χαλκηδόνι Συνόδου πατέρας καὶ τοῖς αὐτῆς πατράσι, δείκνυται τὴν ὀρθόδοξον πίστιν ταῖς ἐκθέσεσι τῶν προτέρων οἰκουμενικῶν Συνόδων καὶ ταῖς μαρτυρίαις καὶ κανονικαῖς ἐπιστολαῖς τῶν ἁγίων πατέρων βεβαιοῦσθαι, καὶ τὰς περὶ πίστεως ἐπιστολὰς καὶ ἐκδόσεις Παπῶν τε καὶ Πατριαρχῶν δοκιμάζεσθαι.

Οἱ Ἄρχοντες καὶ ἡ Σύγκλητος εἶπον πρὸς τοὺς πατέρας τῆς ἐν Χαλκηδόνι Συνόδου, Ἕκαστος τῶν Ἐπισκόπων τῆς παρούσης ἁγίας Συνόδου ὅπως πιστεύει ἐγγράφως ἄνευ τινὸς δέους τὸν τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν τιθέμενος φόβον ἐκθέσθαι σπουδασάτω, γινώσκων ὡς ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν Δεσπότης κατὰ τὴν Ἔκθεσιν τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, καὶ κατὰ τὴν Ἔκθεσιν τῶν ἑκατὸν πεντήκοντα τῶν μεταταῦτα, καὶ τὰς κανονικὰς ἐπιστολὰς καὶ Ἐκθέσεις τῶν ἁγίων πατέρων Γρηγορίου, Βασιλείου, Ἀθανασίου, Ἱλαρίου, Ἀμβροσίου, καὶ τὰς Κυρίλλου δύο κανονικὰς ἐπιστολὰς τὰς ἐν τῇ κατ' Ἔφεσον πρώτῃ Συνόδῳ βεβαιωθείσας πιστεύει, κατ' οὐδένα τρόπον τῆς αὐτῶν πίστεως

ςεως ἀναχωρῶν. πράξει πρώτῃ. Οἱ αὐτοὶ ἐν τῇ δευτέρᾳ πράξει πρὸς τὴν Σύνοδον πάλιν εἶπον, Εἰδέναι γὰρ ὑμᾶς βουλόμεθα, ὡς ὁ θειότατος καὶ εὐσεβέστατος Δεσπότης τῆς Οἰκουμένης καὶ ἡμεῖς τὴν ὀρθόδοξον πίστιν τὴν παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, καὶ παρὰ τῶν ἑκατὸν πεντήκοντα, ἔτι μὴν καὶ παρὰ τῶν λοιπῶν ἁγίων καὶ ἐπιδόξων πατέρων παραδοθεῖσαν φυλάττομεν, καὶ κατὰ ταύτην πιστεύομεν. καὶ μετ' ὀλίγα, εἰπόντος Φλωρεντίου Ἐπισκόπου Σαρδέων, ἀμφιβάλλοντος, εἰ καλῶς θεολογεῖ ἡ ἐπιστολὴ Λέοντος, ἱκετεύομεν τὸ ὑμέτερον μέγεθος δοθῆναι ἡμῖν προθεσμίαν, ὥστε μετὰ σκέμματος πρέποντος προσελθεῖν τῇ ἀληθείᾳ τοῦ πράγματος, εἰ καὶ τὰ μάλιστα εἰς ἡμέτερον πρόσωπον τῶν ὑπογραψάντων τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου Λέοντος, οὐ δεόμεθα διορθώσεως. τοῦ δὲ Κεκροπίου Ἐπισκόπου Σεβαστουπόλεως εἰπόντος, Ἡ πίστις καλῶς εἴρηται ὑπὸ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων, καὶ ἐβεβαιώθη παρὰ τῶν ἁγίων πατέρων Ἀθανασίου, Κυρίλλου, Κελεστίνου, Ἱλαρίου, Βασιλείου, Γρηγορίου, καὶ νῦν πάλιν διὰ τοῦ ἁγιωτάτου Λέοντος, καὶ ἀξιοῦμεν καὶ τὰ τῶν ἁγίων πατέρων τῶν τριακοσίων δεκαοκτὼ, καὶ τὰ τοῦ Λέοντος ἀναγνωσθῆναι. εἶπον οἱ Ἄρχοντες καὶ ἀνεγνώσθησαν τὰ Σύμβολα τῆς πρώτης καὶ δευτέρας, καὶ αἱ δύο ἐπιστολαὶ Κυρίλλου, καὶ ἡ ἐπιστολὴ Λέοντος πρὸς Φλαυϊανὸν, ἐν ᾗ Λέων φέρει μαρτύρας καὶ βεβαιωτὰς τῆς πίστεως αὐτοῦ Ἱλάριον, Ναζιανζηνὸν, Ἀμβρόσιον, Χρυσόστομον, Αὐγουστῖνον καὶ Κύριλλον. ὅμως πάλιν συγκρίνεται ἡ ἐπιστολὴ Λέοντος μετὰ τῶν ἐπιστολῶν τοῦ Κυρίλλου, εἰ καλῶς ἔχει, αἰτήσει Ἀττικοῦ Νικοπόλεως ἐπὶ διωρίᾳ ἡμερῶν. πράξει δευτέρᾳ. ἐν δὲ τῇ τετάρτῃ πράξει οἱ Ἄρχοντες εἶπον, Ἐπειδὴ τὰ θεῖα Εὐαγγέλια παρὰ τῆς ὑμετέρας εὐλαβείας προτεθέντα ὁρῶμεν, διδαξάτω ἕκαστος, εἰ ἡ ἐπιστολὴ Λέοντος τῷ Συμβόλῳ τῶν δύο Συνόδων συμφωνεῖ. πάντες ἀπεκρίθησαν ὅτι συνάδει τῇ πρώτῃ καὶ τῇ δευτέρᾳ καὶ τῇ ἐν Ἐφέσῳ ἐπὶ Κυρίλλου.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τῶν ἐν τῇ τρίτῃ πράξει τῆς τετάρτης Συνόδου ῥητῶν τῶν τοῦ Ῥώμης Λεγάτων περὶ Διοσκόρου, δείκνυται τὰς Συνόδους τοῖς τῶν ἁγίων πατέρων Κανόσιν ἑπομένας κατακρίνειν τοὺς Αἱρετικούς.

Πράξει τρίτῃ οἱ Λεγᾶτοι τοῦ Ῥώμης εἶπον περὶ Διοσκόρου, Οὗτος γὰρ, ἵνα τὰ πολλὰ παραλείψωμεν, Εὐτυχῆ τὸν ὁμόδοξον αὐτῷ κανονικῶς καθαιρεθέντα παρὰ τοῦ ἰδίου Ἐπισκόπου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Φλαυϊανοῦ, αὐθεντίσας εἰς κοινωνίαν ἐδέξατο πρὶν συνεδρεῦσαι ἐν τῇ Ἐφεσίων μετὰ τῶν θεοφιλεστάτων Ἐπισκόπων, καὶ τὴν ἐπιστολὴν οὐκ ἀνέγνωσε, καίτοι παρακληθεὶς παρὰ τῶν ταύτην κεκομικότων, καὶ κανονικῶς κληθεὶς οὐχ ὑπήκουσεν ἐλθεῖν καὶ ἀπολογήσασθαι περὶ ὧν ἐνεκαλεῖτο, ἔστω καθῃρημένος, τοιγαροῦν καὶ ἡ ἁγία αὕτη καὶ μεγάλη Σύνοδος τὰ δόξαντα τοῖς Κανόσι ψηφίσεται. Ἀνατόλιος καὶ ἡ Σύνοδος τὰ αὐτά.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἐκ τῆς ἐν τῇ πέμπτῃ πράξει τῆς αὐτῆς Συνόδου διαλέξεως περὶ τῆς τοῦ Ῥώμης Λέοντος ἐπιστολῆς, δείκνυται εἶναι τὴν Σύνοδον κριτὴν τοῦ Ῥώμης καὶ βεβαιωτήν.

Πράξει πέμπτῃ. Ἐν αὐτῇ μεγάλης διαλέξεως γενομένης ἵνα τεθῇ ἡ ἐπιστολὴ Λέοντος ἐν τῷ Ὅρῳ, οἱ Ἐπίσκοποι οὐκ ἠθέλησαν. καὶ τῶν Λεγάτων τοῦ Πάπα εἰπόντων, ὅτι ἐπιστρέφουσι καὶ γίνεται Σύνοδος ἐν τῇ Δύσει, οὐδὲν ὠφέλησαν, ἀλλ' ὡς ἐγράφη ὁ Ὅρος, οὕτως ἀνεγνώσθη. ἴδε περὶ τούτων βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον δέκατον ἕβδομον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ τῆς ἐν τῷ πρὸς τὸν Βασιλέα προσφωνητικῷ ἀπολογίας τῆς αὐτῆς Συνόδου ὑπὲρ τοῦ Ῥώμης, δείκνυται εἶναι τὰς Οἰκουμενικὰς Συνόδους κριτὰς τῶν περὶ πίστεως ἐπιστολῶν τῶν Παπῶν, καὶ ἀκροτάτους Διδασκάλους τῆς πίστεως, καὶ ἐπὶ πάντων.

Ἐπειδὴ ἀντελέγετο ἡ ἐπιστολὴ Λέοντος, ἡ Σύνοδος ὑπὲρ αὐτοῦ ἀπολογεῖται ἐν προσφωνητικῷ αὐτῆς πρὸς τὸν Αὐτοκράτορα Μαρκιανὸν λέγουσα, ὅτι οὐ καινοτομοῦσά τι, ἀλλὰ τοῖς ἁγίοις πατράσιν ἀκολουθοῦσα, τοῖς καὶ μετὰ τὴν μεγάλην Σύνοδον τὴν ἐν Νικαίᾳ τὰς κατὰ καιρὸν ἀναφυείσας Αἱρέσεις ὁμοιοτρόπως ἐλέγξασι. Καὶ, ἀλλ' οὐκ ἔλαθε τὸν ἀκοίμητον ὁ τῆς φύσεως ἐχθρὸς ὀφθαλμὸν, ὡς φωστῆρας εὐθὺς τοῖς ἐν πλάνῃ ἀναδείξαντα τοὺς πατέρας, τῆς πίστεως ἅπασιν ἀναπτύσσοντας τὴν διάνοιαν.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἐκ τοῦ εἰπειν τὴν αὐτὴν Συνόδον ἐν τῇ ὑπὲρ τοῦ Κωνσταντινουπόλεως πρὸς τὸν Ῥώμης Λέοντα αὐτῆς ἐπιστολῇ τὸν Βασιλέα βεβαιωτὴν τῆς κρίσεως τοῦ Λέοντος, δείκνυται εἶναι τοὺς βασιλεῖς μείζονες τῶν Παπῶν.

Ἐν τῇ πρὸς τὸν Πάπαν ἐπιστολῇ ἡ Συνόδος ὑπὲρ τοῦ Κωνσταντινουπόλεως φησὶν, Οὕτω γὰρ καὶ Βασιλεῖς εὐσεβεῖς θεραπευθήσονται οἱ τὴν τῆς σῆς ὁσιότητος ὡς Νόμῳ βεβαιώσαντες κρίσιν. Καὶ, ἵνα δὲ γνῶτε ὡς οὐδὲν πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν πεποιήκαμεν, ἀλλ' ὡς θείῳ κυβερνώμενοι νεύματι, πᾶσαν ὑμῖν τῶν πεπραγμένων τὴν δύναμιν ἐγνωρίσαμεν εἰς σύστασιν ἡμετέραν καὶ τῶν πραγμάτων βεβαίωσίν τε καὶ συγκατάθεσιν.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἐκ τῆς πρὸς τοὺς ἐν Ἀλεξανδρείᾳ μονάζοντας ἐπιστολῆς τοῦ Βασιλέως Μαρκιανοῦ, δείκνυται τῇ τῶν πατέρων διδασκαλίᾳ ἕπεσθαι τὴν Συνόδον.

Ὁ Βασιλεὺς ἐπιστολῇ πρὸς τοὺς ἐν Ἀλεξανδρείᾳ μονάζοντας φησὶν, Ἡ ἐν Χαλκηδόνι περὶ τὴν ἀποστολικὴν πίστιν οὐδὲν ἐκαινοτόμησε, διὰ πάντων δὲ τῇ Ἀθανασίου καὶ Θεοφίλου καὶ Κυρίλλου ἠκολούθησε διδασκαλίᾳ. μέρει τρίτῳ τῆς τετάρτης Συνόδου. ἴδε περὶ τούτων εἰς πλάτος ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον τριακοστὸν πρῶτον.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἐκ τῆς ἐπὶ Γενναδίου κατὰ σιμωνιακῶν Συνόδου, καὶ τῶν ἐπὶ Λέοντος τοῦ ἰσαύρου συμβάντων ἕως Ἀναστασίου Βασιλέως, δείκνυται μὴ εἶναι μοναρχίαν τινὰ ἐν τῇ Ἐκκλησίᾳ, ἀλλὰ τὴν κοινότητα καὶ τὰς τῶν πατέρων μαρτυρίας διαλύειν πάσας τὰς ἐν τῇ Ἐκκλησίᾳ συμβαινούσας ἀμφιβολίας.

Ὁ μετὰ Ἀνατόλιον Κωνσταντινουπόλεως Γεννάδιος ἑβδομηκονταοκτὼ Ἐπισκόπων ἀθροίσας Συνόδον, ἔγραψεν ἐγκύκλιον ἐπιστολὴν τοῖς ἁπανταχοῦ Μητροπολίταις κατὰ τῶν ἐπὶ χρήμασι χειροτονούντων. ἴδε ἐν παντὶ τῷ τετάρτῳ βιβλίῳ περὶ τῶν συμβάντων τοιούτων ἐπὶ Λέοντος, Ζήνωνος, Βασιλίσκου καὶ Ἀναστασίου ἐν τοῖς πέντε καθολικοῖς θρόνοις, καὶ περὶ τῶν Συνόδων κατὰ Πέτρου τοῦ Κναφέως, καὶ τὰς ἐγκυκλίους ἐπιστολὰς ἃς ἔστειλαν οἱ ἁπανταχοῦ Πατριάρχαι, Μητροπολῖται καὶ Ἐπίσκοποι πρὸς τὸν Αὐτοκράτορα Λέοντα, ἐρωτήσαντα αὐτοὺς περὶ Τιμοθέου τοῦ Αἰλούρου.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι ὁ περὶ τὴν πίστιν ζῆλος Λέοντος Βασιλέως τοῦ μεγάλου μαρτυρεῖται ἐκ τῆς πρὸς Βασίλειον Ἀντιοχείας ἐπιστολῆς Συμεὼν τοῦ Στυλίτου, καὶ ἡ βεβαίωσις τῆς πίστεως παρὰ τῶν πατέρων τῆς ἐν Χαλκηδόνι Συνόδου,

Συμεὼν ὁ Στυλίτης ἐπιστολῇ πρὸς Βασίλειον Ἀντιοχείας φησὶν, Ἐθαύμασα τὸν ζῆλον καὶ τὴν εὐσέβειαν τοῦ θεοφιλεστάτου ἡμῶν Βασιλέως (ἤτοι Λέοντος τοῦ μεγάλου) τὴν πρὸς τοὺς ἁγίους πατέρας καὶ τὴν τούτων βεβαίαν πίστιν ἣν ἐπέδειξε καὶ ἐπιδείκνυται. Καὶ, ἐγὼ ὁ ταπεινὸς καὶ εὐτελὴς τὸ ἔκτρωμα τῶν Μοναχῶν ἐγνώρισα τῇ αὐτοῦ βασιλείᾳ τὴν ἐμὴν πρόθεσιν τὴν περὶ τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων ἑξακοσίων τριάκοντα, ἐμμένων καὶ ὑποστηριζόμενος ὑπ' αὐτῆς τῆς ὑπὸ τοῦ ἁγίου Πνεύματος φανερωθείσης, εἰ γὰρ μεταξὺ δύο ἢ τριῶν συνελθόντων διὰ τὸ ὄνομα αὐτοῦ πάρεστιν ὁ Σωτὴρ, πῶς μεταξὺ τοσούτων καὶ τηλικούτων ἁγίων πατέρων ἐνεχώρει, εἰμὴ ἦν ἀπ' ἀρχῆς μετ' αὐτῶν τὸ ἅγιον Πνεῦμα; Εὐάγριος βιβλίῳ δευτέρῳ κεφαλαίῳ δεκάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι ἐκ τῶν πρὸς τὸν Ἱεροσολύμων Ἰωάννην καὶ τὸν Ἐπιφάνιον Τύρου ἐπιστολῶν τοῦ Κωνσταντινουπόλεως Ἰωάννου τοῦ Καππάδοκος, καὶ τῆς τοῦ Ἱεροσολύμων ἀποκρίσεως, δείκνυται τῇ κοινῇ Ἱερωσύνῃ δεδόσθαι τὸ ἐν τῇ καθόλου Ἐκκλησίᾳ ἐκριζοῦντε καὶ φυτεύειν.

Ἰωάννης

988

Ἰωάννης ὁ Καππάδοξ ἐπιστολῇ πρὸς Ἰωάννην Ἱεροσολύμων γράφει, Ἐπεὶ τοίνυν θεία τὶς οὐρανόθεν γέγονε κίνησις τοῦ φιλοχρίστου λαοῦ τῆς βασιλίδος ταύτης πόλεως, καὶ πάντα τὰ ἐκβοηθέντα παρ' αὐτοῦ καὶ προεκφωνηθέντα παρ' ἐμοῦ δῆλα τῷ κόσμῳ γεγένηται, ἀναγκαῖον ἐλογισάμην σημᾶναι τῇ σῇ θεοφιλίᾳ, ἵνα τῇ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος ταῦτα γνοῦσα, ἐπισφραγίσῃ τῷ λόγῳ τῆς ἀληθείας, ἐπειδὴ μάλιστα ἡ ἐνδημοῦσα ἁγία Σύνοδος τῇ αἰτήσει παντὸς τοῦ μοναδικοῦ τάγματος ἐγγράφως τε ὥρισε καὶ ἀπεώρισε, τῇ σῇ ἁγιότητι διὰ τάχους ἐκπέμψαι ἐσπουδάσαμεν. τὰ αὐτὰ καὶ Ἐπιφανίῳ Τύρου. Ἐκ τοῦ ἀντιγράφου Ἰωάννου Ἱεροσολύμων πρὸς τὸν Καππάδοκα, Ὁ γὰρ παρεσχηκὼς Ἱερεμίᾳ τῷ προφήτῃ τὸ ἀνοικοδομεῖν καὶ κατασκάπτειν καὶ ἐκριζοῦν καὶ καταφυτεύειν, καὶ Πέτρῳ τῷ κορυφαίῳ τῶν Ἀποστόλων τὸ λύειν καὶ δεσμεῖν, καὶ τῇ κοινῇ τοῦτο ἐφιλοτιμήσατο Ἱερωσύνῃ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι ἐκ τῆς πρὸς Καππάδοκα ἐπιστολῆς τῶν τῆς δευτέρας Συρίας Ἐπισκόπων, ὁ Βασιλεὺς Ἰουστῖνος καὶ ὁ Καππάδοξ δείκνυνται ὑπέρμαχοι τῶν ἀποστολικῶν δογμάτων.

Οἱ τῆς δευτέρας Συρίας Ἐπίσκοποι πρὸς τὸν Καππάδοκα, Βασιλέως γὰρ πιστοῦ χρηματίζοντος, καὶ τὴν καρδίαν ἐλλαμπομένου προμηθείᾳ τοῦ κρείττονος, καὶ Ἀρχιερέως ὁσίου ψήφῳ θείας χάριτος ἀναφανέντος κατὰ τὴν βασιλίδα τῶν πόλεων, καὶ τῶν ἀποστολικῶν ὑπερμαχοῦντος δογμάτων, πῶς οὐκ ἔνεστι μὴ εὐφραίνεσθαι τῇ ταχείᾳ τῶν χειρόνων μεταβολῇ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι ἐκ τῆς πρὸς τοὺς τῆς δευτέρας Συρίας Ἐπισκόπους ἐπιστολῆς τῶν τῆς Ἀπαμείας Κληρικῶν, δείκνυνται οἱ αὐτοὶ τῷ τοῦ Βασιλέως καὶ τῶν Πατριαρχῶν σκοπῷ ἀκόλουθοι.

Οἱ τῆς Ἀπαμείας Κληρικοὶ τοῖς Ἐπισκόποις τῆς δευτέρας Συρίας, Ἀκολουθοῦντες τῷ εὐσεβεῖ σκοπῷ τοῦ γαληνοτάτου Βασιλέως καὶ τῶν ἁγιωτάτων ἐνθέσμων Πατριαρχῶν. Καὶ, σύμπαντα ταῦτα γνώρισμα καθιστῶντες καὶ τοῖς ἁγιωτάτοις ἐνθέσμοις Πατριάρχαις.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι ἐκ τῶν πρὸς τοὺς Ἀνατολικοὺς καὶ τὸν Κωνσταντινουπόλεως Ἐπιστολῶν τοῦ Ῥώμης Ὁρμίσδου, μαρτυρεῖται τὰ ἐν τῇ Ἐκκλησίᾳ δόγματα καὶ τὰς διατυπώσεις εἶναι κοινῶς τῶν πατέρων, καὶ ὡς τέλεια προσθήκης μὴ δεόμενα, τὴν δ' ἐν Χαλκηδόνι Σύνοδον ἰδίᾳ αὐθεντίᾳ βεβαιωτὴν τῶν δογμάτων τῶν πρὸ αὐτῆς Συνόδων.

Ὁ Πάπας Ὁρμίσδας ἐπιστολῇ πρὸς τοὺς Ἀνατολικοὺς γράφει, Ἐν ὀφθαλμοῖς, ἐν τῷ στόματι, ἐν αὐταῖς ταῖς χερσὶν εἰσὶ τῶν πατέρων τὰ δόγματα, ἃ φυλάττειν ἐντελλόμεθα καθ' ἑκάστην, πρὸς τὴν φυλακὴν ἑαυτῶν αἱ σεβάσμιαι Σύνοδοι περισφίγγουσι, διὰ γενικῆς σωτηριώδους ἐντολῆς ὑμῖν παραινῶ, παῖν ὁτιοῦν ἐξεναντίας τῶν πατρικῶν Κανόνων ἐξ οἵων δήποτε ὑπομνημάτων προσενεχθῇ ἀπώσασθε, μηδεὶς ὑμᾶς ἀπροσφόροις προστάγμασιν, ἢ νεωτέροις ὁρίσμασι καινισάτω. καὶ μεταξὺ Λευϊτῶν καὶ τοῦ οἰκείου λαοῦ διεῖλε τὴν λειτουργίαν. Ἄλλη ἐστὶν ἡ τῶν ἀνθρώπων ἐξουσία, ἄλλαι αἱ ὑπηρεσίαι τῶν Ἱερέων. Ὁ αὐτὸς Ἐπιφανίῳ Κωνσταντινουπόλεως, Ἐπλήσθην χαρᾶς, ὅτι περὶ τὴν εἰρήνην τῆς Ἐκκλησίας καὶ τοῦ ἁγιωτάτου Βασιλέως καὶ τῆς σῆς ἀγάπης τοιαύτη σπουδή, ἣν διὰ τῶν γραμμάτων ἐμήνυσας, καὶ διὰ τῆς τῶν ἐμῶν πρέσβεων συγκαταθέσεως ἔγνων, σαφὴς γὰρ ἐντεῦθεν ἡ τῆς οὐρανίου εὐσπλαγχνίας ἀπόδειξις πρόεισιν, ὅταν καὶ οἱ τοῦ κόσμου Βασιλεῖς τὰς ὑποθέσεις τὰς περὶ πίστεως μετὰ τῆς διοικήσεως τῆς πολιτείας ζευγνύωσι, καὶ οἱ τῶν Ἐκκλησιῶν Ἡγούμενοι τὰ συντείνοντα εἰς τὴν ἰδίαν οἰκονομίαν μεμνημένοι τοῦ καθήκοντος ἐκτελῶσι. Καὶ, οἵτινες εἰ τὰς τῶν ἁγίων πατέρων διατυπώσεις φυλάττουσιν, εἰ ἐκείνης τῆς πίστεως τοὺς θεμελίους σέβονται, καὶ ἀπὸ τούτων τῶν δι' αὐτῶν, τοῦ ἁγίου Πνεύματος κατανύσσοντος, ὁρισθέντων οὐκ ἀποχωρίσωσιν, εἰ γάρ εἰσι τέλεια ὥσπερ εἰσι, προσθήκης οὐ δέονται, ἢ καλῶς βέβαια, καὶ διατοῦτο οὐκ ἀμειπτέα, καὶ ἡ ἐν Χαλκηδόνι Σύνοδος ἥτις τῶν προλαβουσῶν ὁμοίως τὰ δόγματα ἢ τηλαυγέστερον ἐφανέρωσεν, ἢ ἐπαναληφθεῖσα τῇ αὐθεντίᾳ ἐβεβαίωσεν. ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφάλαιον ἑνδέκατον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ὅτι οὐδύναται οὐδεὶς Πατριάρχης ἀθῳῶσαι τὸν ἔντινι Συνόδῳ κατακριθέντα, ἀλλ' ἄλλης Συνόδου ἐξέτασις.

Ὁ

Ὁ Κωνσταντινουπόλεως Μηνᾶς ἐν τῇ ἀποφάσει κατὰ Πέτρου καὶ Ζωόρα φησὶ, Τὸν κατακεκριμένον ἔν τινι Συνόδῳ, μηδέ τινι τρόπῳ δύνασθαι λειτουργίας ἱερατικῆς ἀντιλαβέσθαι, μέχρις ἂν ἐξέτασις ἐπ' αὐτῷ γενομένη ὑφ' ἑτέρας Συνόδου ἀθῷον αὐτὸν ἀποδείξῃ. ἴδε τὰ ἐπὶ τῆς Μηνᾶ Συνόδου βιβλίου πέμπτου κεφαλαίῳ ἑνδεκάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ τῆς Λέοντος καὶ Κυρίλλου ἐπιστολῶν συμφωνίας, καὶ τίνος εὕρεσις ἡ, ἑκατέρας, λέξις, καὶ περὶ ὧν παράγει ὁ Λέων πατέρων εἰς μαρτυρίαν ἑαυτοῦ τε καὶ τῶν ἐπηρεαζομένων ῥητῶν τοῦ Κυρίλλου, ὧν ταῖς γνώμαις ἡ ἐν Χαλκηδόνι Σύνοδος ἐπεκύρωσε τὴν εὐσέβειαν.

Ἐφραὶμ Ἀντιοχίας βεβαιῶν τὴν ἐπιστολὴν Λέοντος ὅτι συμφωνεῖ ταῖς ἐπιστολαῖς τοῦ Κυρίλλου, παράγει μάρτυρας, τὸν Νύσσης, τὸν Ἰούλιον, τὸν Ἀθανάσιον. Καὶ, ὅτι ἡ, ἑκατέρας, λέξις, οὐκ ἔστιν εὕρεσις Λέοντος, ἀλλὰ πεντάκις ὑπὸ Κυρίλλου ἐῤῥέθη, καὶ πρὸ αὐτοῦ εἶπε ταύτην (τὴν λέξιν) ὁ μέγας Βασίλειος. ὅτι δὲ ὁ Λέων ὀρθόδοξος ἦν, φέρει μάρτυρας, Ναζιανζηνὸν, Πρόκλον, Ἀμφιλόχιον, Χρυσόστομον καὶ Ἰγνάτιον. Φωτίου ἀναγνώσει διακοσιοστῇ εἰκοστῇ ὀγδόῃ. Ὁ αὐτὸς περὶ τῶν ἐπηρεαζομένων ῥημάτων Κυρίλλου φέρει μάρτυρας, Εὐστάθιον Ἀντιοχείας, Ἀντίοχον Πτολεμαΐδος, Ἀμφιλόχιον, Ἀμβρόσιον, Ἀθανάσιον, Πρόκλον, Χρυσόστομον, Νύσσης, Ἰλάριον, Κυριακὸν Πάφου, Πέτρον Ἀλεξανδρείας τὸν μάρτυρα, Βασίλειον, Ναζιανζηνὸν, Μάξιμον, Ἰούλιον, Ἐπιφάνιον, Ἀττικὸν, Γρηγόριον θαυματουργὸν, καὶ Ἐφραὶμ, καὶ ἔτι Συμεῶνα, Βαραδάτην καὶ Ἰάκωβον Ἀσκητὰς, καί φησιν, ὅτι τούτων τὰς γνώμας ἡ ἐν Χαλκηδόνι ἐκμελετήσασα, τὴν εὐσέβειαν ἐπεκύρωσε, φησὶ δὲ προσέτι, ὅτι ἡ ἐν Χαλκηδόνι ὡς εἶπε περὶ τοῦ Συμβόλου, οὕτω καὶ ἔπραξε, δηλονότι ἐφύλαξεν ἀκαινοτόμητον. Φωτίου ἀναγνώσει διακοσιοστῇ εἰκοστῇ ἐνάτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Ιϛ'.

Ὅτι ἐκ τοῦ πρὸς τὸν Κωνσταντινουπόλεως Μηνᾶν λόγου τοῦ μεγάλου Ἰουστινιανοῦ, δείκνυται εἶναι τοὺς ἁγίους πατέρας τῆς καθολικῆς Ἐκκλησίας Διδασκάλους καὶ καθαιρέτας τῶν Αἱρέσεων.

Ὁ μέγας Ἰουστινιανὸς ἐν τῷ πρὸς τὸν Κωνσταντινουπόλεως Μηνᾶν αὐτοῦ λόγῳ φησὶν, Ἐπείπερ ἦλθεν εἰς ἡμᾶς, ὡς τινὲς καταλείψαντες τὰς θείας γραφὰς καὶ τοὺς ἁγίους πατέρας, οὓς ἡ καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία Διδασκάλους ἔχει, καὶ δι' ὧν πᾶσα μὲν πανταχοῦ Αἵρεσις ἀπελήλαται, ἡ δὲ ὀρθόδοξος πίστις σεσαφήνισται. Φέρει δὲ μάρτυρας βεβαιωτὰς κατὰ Ὠριγένους, Γρηγόριον, Χρυσόστομον, Πέτρον Ἀλεξανδρείας τὸν μάρτυρα, Ἀθανάσιον, Νύσσης, Θεόφιλον, Κύριλλον, Βασίλειον, Διονύσιον, Ἡρακλᾶν, Δημήτριον, Θεωνᾶν Ἐπισκόπους Ἀλεξανδρείας, Δάμασον Ῥώμης, Ἰωαννίκιον, Ἀναστάσιον Ῥώμης, καὶ Σύνοδον δυτικήν. Καὶ, οὐμόνον πρὸς τὴν σὴν ἁγιωσύνην, ἀλλὰ καὶ πρὸς τὸν ἁγιώτατον καὶ μακαριώτατον Πάπαν τῆς πρεσβυτέρας Ῥώμης καὶ Πατριάρχην Βιγίλιον, καὶ τοὺς λοιποὺς ἅπαντας ἁγιωτάτους Ἐπισκόπους καὶ Πατριάρχας, τουτέστιν Ἀλεξανδρείας, Θεουπόλεως, καὶ Ἱεροσολύμων, ὥστε καὶ αὐτοὺς πρόνοιαν θέσθαι τῷ ἔργῳ, καὶ πέρατι ταῦτα παραδοθῆναι.

ΤΟΥ Γ'. ΚΕΦΑΛΑΙΟΥ ΤΜΗΜΑ ϛ'.

Ἤτοι ἀπὸ τῆς πέμπτης Οἰκουμενικῆς Συνόδου ἕως τῆς ἕκτης.
Περὶ ὧν προσφέρει Μαρτύρων ὁ μέγας Ἰουστινιανὸς κατὰ Ὠριγένους.

Ἰουστινιανὸς ἅπαντι τῷ πληρώματι τῆς καθολικῆς Ἐκκλησίας κατὰ Ὠριγένους γράφει, ἐν ᾧ Γρηγόριον, Βασίλειον, Νύσσης, Κύριλλον, Δάμασον, Ἀθανάσιον, Ἀπολινάριον, Λέοντα, φέρει μάρτυρας.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἐν τῇ πρὸς τὸν Κωνσταντινουπόλεως Εὐτύχιον ἐπιστολῇ ὁ Ῥώμης Βιγίλιος μαρτυρῶν τοὺς ἁγίους πατέρας καὶ τὰς τέσσαρας Συνόδους κήρυκας καὶ σαφινηστὰς τῆς τοῖς Ἀποστόλοις παραδοθείσης ὑπὸ τοῦ Σωτῆρος πίστεως, καὶ ἑαυτὸν ἀκόλουθον αὐτοῖς ἐν πᾶσι λέγει.

Ὁ Πάπας Βιγίλιος ἐπιστολῇ πρὸς τὸν Εὐτύχιον Κωνσταντινουπόλεως, Ἀεὶ ἐφυλάξαμεν καὶ φυλάττομεν τὴν

τὴν πίστιν τὴν ἐξ ἀρχῆς παραδοθεῖσαν ὑπὸ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς ἁγίοις αὐτοῦ Ἀποστόλοις, καὶ παρ' ἐκείνων ἐν παντὶ τῷ κόσμῳ κηρυχθεῖσαν, καὶ ὑπὸ τῶν ἁγίων πατέρων σαφηνισθεῖσαν, καὶ μάλιστα ὑπὸ τῶν ἐν ταῖς ἄλλαις τέσσαρσι Συνόδοις συνελθόντων, οἷς διὰ πάντων καὶ ἐν ἅπασιν ἀκολουθοῦμεν. ταῦτα ἐν τῇ πέμπτῃ συνελεύσει τῆς ἐν Φλωρεντείᾳ Συνόδου. ἴδε τὰ περὶ Βιγιλίου ἀνωτέρω βιβλίῳ πέμπτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τῆς ἐν τῇ τρίτῃ πράξει μαρτυρίας τῆς πέμπτης Συνόδου, δείκνυται εἶναι τοὺς ἁγίους πατέρας εὐαποδέκτους συγγραφεῖς τῆς ὀρθῆς πίστεως κατὰ τῶν Αἱρέσεων.

Ἡ πέμπτη Σύνοδος. Ἀκολουθοῦμεν ἐν ἅπασι τοῖς ἁγίοις καὶ Διδασκάλοις τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, Ἀθανασίῳ, Ἱλαρίῳ, Βασιλείῳ, Γρηγορίῳ τῷ Θεολόγῳ, Γρηγορίῳ τῷ Νύσσης, Ἀμβροσίῳ, Αὐγουστίνῳ Θεοφίλῳ, Κυρίλλῳ, Ἰωάννῃ τῷ Κωνσταντινουπόλεως, Λέοντι, Πρόκλῳ, καὶ πάντα τὰ παρ' αὐτῶν συγγραφέντα περὶ τῆς ὀρθῆς πίστεως, καὶ πρὸς κατάκρισιν τῶν Αἱρετικῶν δεχόμεθα. πράξει τρίτῃ. ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τέταρτον.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι κατὰ τὸν Εὐάγριον αἱ Σύνοδοι καὶ ἡ καθολικὴ Ἐκκλησία κατακρίνει καὶ ἀναθεματίζει τοὺς Αἱρετικούς.

Εὐάγριος βιβλίῳ τετάρτῳ κεφαλαίῳ τριακοστῷ ὀγδόῳ ἐκ τοῦ Ὅρου τῆς πέμπτης Συνόδου, Κατακρίνομεν καὶ ἀναθεματίζομεν πρὸς τοῖς ἅπασιν Αἱρετικοῖς τοῖς κατακριθεῖσιν ὑπὸ τῶν εἰρημένων ἁγίων τεσσάρων Συνόδων, καὶ ἀπὸ τῆς ἁγίας καὶ καθολικῆς Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ὁ μετὰ Ἰουστινιανὸν Βασιλεὺς Ἰουστῖνος καὶ ἐξέθετο περὶ πίστεως, καὶ τὴν τῶν ὀρθῶν δογμάτων παράδοσιν ἔφη εἶναι τῶν ἁγίων πατέρων.

Ὁ μετὰ Ἰουστινιανὸν Βασιλεὺς Ἰουστῖνος ἐν τῷ προγράμματι τοῖς ἁπανταχοῦ φησὶ, Τῶν ὀρθῶν τοίνυν δογμάτων τῶν παρὰ τῶν ἁγίων πατέρων παραδεδομένων ἡμῖν κηρυττομένων, προτρέπομεν ὑμᾶς ἅπαντας εἰς μίαν καὶ τὴν αὐτὴν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν συντρέχειν, μᾶλλον δὲ παρακαλοῦμεν. ἴδε βιβλίου πέμπτου κεφαλαίου ἐσχάτου Παράγραφον πέμπτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Ὅτι Γρηγόριος ὁ Διάλογος ἴσας τοῖς Εὐαγγελίοις τὰς Οἰκουμενικὰς Συνόδους εἰπὼν, καὶ ἐπὶ πάντων εἶναι διαβεβαιοῖ.

Γρηγόριος ὁ Διάλογος τὰς τέσσαρας Συνόδους λέγει ὅτι δέχεται ὡς τὰ τέσσαρα Εὐαγγέλια, καὶ κατὰ τοῦ Νηστευτοῦ τὴν ἐσχάτην ἀπειλὴν ἔθηκε Σύνοδον, ἵνα διακρίνῃ τὰ περὶ τοῦ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ὀνόματος, καὶ ἴδε ἀνωτέρω μέρους δευτέρου κεφαλαίου πέμπτου Παράγραφον ἕκτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ὁ Εὐλόγιος Ἀλεξανδρείας τοὺς ἁγίους πατέρας καὶ Ἱεράρχας κριτὰς τῶν πράξεων, καὶ μάρτυρας καὶ τῶν Μονοφυσιτῶν ἐν τῇ πρὸς τὴν Ῥώμης αὐτοῦ ἐπιστολῇ καθίζει.

Εὐλόγιος Πατριάρχης Ἀλεξανδρείας φησὶ, ὁ τῆς οἰκονομίας λόγος οὐ τὰ τυχόντα τῶν προσώπων ἐπόπτας καὶ διαιτητὰς καθίζει τῶν πράξεων, ἀλλὰ τοὺς ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους τῶν τοῦ Θεοῦ Μυστηρίων, καὶ οἷς τῶν ἀρχιερατικῶν θρόνων οἱ Νόμοι κατεπιστεύθησαν. Φωτίου ἀναγνώσει διακοσιοστῇ εἰκοστῇ ἑβδόμῃ. Ὁ αὐτὸς ἐπιστολῇ πρὸς τὸν Ῥώμης κατὰ Μονοφυσιτῶν φέρει μάρτυρας, τὸν ἅγιον Ἰωάννην Ἀντιοχείας, Φλαυϊανὸν Κωνσταντινουπόλεως, Ἀμβρόσιον, Ἀθανάσιον, καὶ Γρηγόριον. Φωτίου ἀναγνώσει διακοσιοστῇ τριακοστῇ.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἐκ τοῦ τὸν Ἀντιοχείας Γρηγόριον συκοφαντηθέντα ἐπικαλέσασθαι Βασιλέα καὶ Σύνοδον, δείκνυται εἶναι τὸν Βασιλέα ἀθροιστὴν τῶν Συνόδων, τὰς δὲ Συνόδους κριτὰς ἐπὶ πάντων.

Ὁ Ἀντιοχείας Γρηγόριος (συκοφαντηθεὶς) Βασιλέα καὶ Σύνοδον ἐπεκαλέσατο. Καὶ, τῶν ἑκαστάχου Πατριαρχῶν, τῶν μὲν δι' ἑαυτῶν, τῶν δὲ δι' ἑτέρων τῇ ζητήσει παραγενομένων, καὶ προσέτι δὲ τῆς ἱερᾶς Γερουσίας καὶ πολλῶν ὁσιωτάτων Μητροπολιτῶν τῆς ὑποθέσεως δοκιμασθείσης μετὰ πολλοὺς τοὺς ἀγῶνας κρατεῖ. Εὐαγρίου βιβλίῳ πέμπτῳ κεφαλαίῳ ἑβδόμῳ. ἴδε καὶ ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίου δευτέρου Παράγραφον τρίτον.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι ἐκ τῆς πρὸς Μαρῖνον ἐπιστολῆς τοῦ ἁγίου Μαξίμου, μαρτυρεῖται ἐγκεκλῆσθαι τὰ συνοδικὰ τοῦ Ῥώμης τοῖς Κωνσταντινουπολίταις, καὶ τὸ ἐκ τοῦ Υἱοῦ δόγμα πρὸς τῆς ἕκτης Συνόδου ἐν τῇ Δύσει ἀπηγορευμένον ὑπάρξαι.

Ὁ ἅγιος Μάξιμος ἐπιστολῇ πρὸς Μαρῖνον, Τῶν τοῦ νῦν ἁγιωτάτου Πάπα συνοδικῶν οὐκ ἐν τοσούτοις ὅσοις γεγράφατε κεφαλαίοις οἱ τῆς βασιλίδος ἐπελάβοντο, δυσὶ δὲ μόνοις. Καὶ, καὶ τὸ μὲν πρῶτον συμφώνους παρήγαγον χρήσεις Ῥωμαίων πατέρων, ἔτι γε μὴν καὶ Κυρίλλου Ἀλεξανδρείας ἐκ τῆς πονηθείσης αὐτῷ ἱερᾶς πραγματείας εἰς τὸν Εὐαγγελιστὴν Ἰωάννην, ἐξ ὧν οὐκ αἰτίαν τὸν Υἱὸν ποιοῦντας τοῦ Πνεύματος σφᾶς αὐτοὺς ἀπέδειξαν, μίαν γὰρ ἴσασιν Υἱοῦ καὶ Πνεύματος τὸν Πατέρα αἰτίαν, τοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν, ἀλλ' ἵνα καὶ δι' αὐτοῦ προϊέναι δηλώσωσι, καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας ἀπαράλλακτον καταστήσωσι. Συνόδου Φλωρεντείας πράξει εἰκοστῇ τρίτῃ, καὶ ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίου ἑβδόμου Παραγράφῳ δεκάτῳ ἕκτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι ἡ ἐπὶ Μαρτίνου Πάπα Σύνοδος καὶ ἡ ἐπὶ Σωφρονίου Ἱεροσολύμων, κοινῶς διὰ τῶν μαρτυριῶν τῶν ἁγίων πατέρων ποιούμεναι περὶ τῶν δύο ἐπὶ Χριστοῦ φύσεων τὰς ἀποδείξεις, οὐκ ἐμνήσθησαν τοῦ Ῥώμης.

Ἡ ἐπὶ Μαρτίνου ἐν Ῥώμῃ Σύνοδος ἐν πάσαις αὐτῆς ταῖς πράξεσι, καὶ ἐν τοῖς εἴκοσιν αὐτῆς κεφαλαίοις κοινῶς παρὰ τῶν ἁγίων πατέρων ποιεῖται τὰς ἀποδείξεις περὶ τῶν δύο ἐπὶ Χριστοῦ θελήσεων, οὐδὲ μία δὲ μνεία μόνου τοῦ Πάπα. ἐν δὲ τῷ δεκάτῳ ἕκτῳ Κανόνι μόνου μέμνηται πρὸς ἐσχάτην ἀπόδειξιν τοῦ ἁγίου Κυρίλλου. Στέφανος δὲ Ἐπίσκοπος Δωρίδος καὶ Λεγᾶτος τοῦ θρόνου Ἱεροσολύμων ἐν τῷ λιβέλλῳ ὃ ἔδωκεν ἐκείνῃ τῇ Συνόδῳ μνήμην ποιεῖται Σωφρονίου Ἱεροσολύμων ὅτι σταθερῶς ἠγωνίσατο πρὸς ὑπερασπισμὸν τῆς ὀρθοδοξίας κατὰ Σεργίου καὶ τῶν λοιπῶν ἐν τῇ Ἀνατολῇ Αἱρετικῶν Μονοθελητῶν, λέγει γὰρ ὅτι ὁ Σωφρόνιος ἔτι ζῶν σφοδρῶς ἀντεῖπεν ἐν τῇ Ἀνατολῇ ἐπιπλήττων καὶ παροτρύνων ἐκείνους ἵνα παύσωνται τῆς ἰδίας Αἱρέσεως, καὶ πρὸς τὴν ὀρθὴν τῶν πατέρων πίστιν ἐπιστραφῶσι, δοὺς ἐν δυσὶ βιβλίοις ἑξακοσίας μαρτυρίας πατέρων πρὸς ἔλεγχον τῆς ἐκείνων δυσσεβείας, καὶ τῆς ἀληθείας ἀπόδειξιν. ἴδε ἀνωτέρω τὰς σημειώσεις τῆς ἐπὶ Μαρτίνου συνόδου βιβλίου ἕκτου κεφαλαίῳ ἑβδόμῳ.

ΤΟΥ Γ'. ΚΕΦΑΛΑΙΟΥ ΤΜΗΜΑ Ζ'.

Ἤτοι ἀπὸ τῆς ἕκτης οἰκουμενικῆς Συνόδου ἕως τῆς ἑβδόμης.

Ὅτι ὁ Ῥώμης Ἀγάθων κατὰ τὴν πρὸς τὸν Βασιλέα αὐτοῦ ἀναφορὰν, μαρτυρεῖ εἶναι τὴν ἔκθεσιν τῆς πίστεως αὐτοῦ ἀπὸ τῶν πέντε οἰκουμενικῶν Συνόδων, καὶ μαρτυριῶν τῶν ἁγίων πατέρων.

Ἀγάθων ὁ Πάπας ἐν τῇ πρὸς τὸν Βασιλέα ἀναφορᾷ λέγει, Παρὰ γὰρ ἀνθρώποις ἐν μέσῳ ἐθνῶν τυγχάνουσι καὶ ἀπὸ σωματικοῦ μόχθου τὴν τροφὴν μετὰ μεγάλου δισταγμοῦ πορίζομένοις, πῶς εἰς τὸ πλῆρες δυνήσεται εὑρεθῆναι ἡ τῶν γραφῶν εἴδησις, εἰ μὴ ὅτι κανονικῶς ἀπὸ τῶν ἁγίων πέντε Συνόδων, ἅπερ ὡρισμένα εἰσὶν ἐν ἁπλότητι καρδίας, καὶ ἀναμφιβόλως ἀπὸ τῆς παραδοθείσης παρὰ τῶν πατέρων πίστεως φυλάττομεν, ἓν καὶ ἐξαίρετον ἔχειν διαπαντὸς εὐχόμενοι καὶ σπεύδοντες, ἵνα μηδὲν παρὰ τὰ κανονικῶς ὁρισθέντα μειωθῇ, μηδὲν ἀλλαγῇ, ἢ προστεθῇ, ἀλλὰ ταὐτὰ καὶ ῥήμασι καὶ νοήμασιν ἀπαράτρωτα φυλαχθῶσιν, οἷστισι διακομισταῖς καὶ χρήσεις τινὰς τῶν ἁγίων πατέρων, οὓς ἐδέξατο αὕτη ἡ ἀποστολικὴ τοῦ Χριστοῦ Ἐκκλησία, μετὰ τῶν βιβλίων αὐτῶν παραδεδώκαμεν. φέρει δὲ

δὲ βεβαιωτὰς τῆς ἀναφορᾶς αὐτοῦ ὁ Ἀγάθων, Αὐγουστῖνον, Λέοντα, Ναζιανζηνὸν, τὴν πέμπτην Σύνοδον, τὸν Χρυσόστομον, τὸν Νύσσης μέγαν Ἐπίσκοπον, Ἀμβρόσιον, Διονύσιον, Κύριλλον, Ἰωάννην Σκυθοπόλεως, Εὐλόγιον Ἀλεξανδρείας, Ἐφραὶμ καὶ Ἀναστάσιον Ἀντιοχείας.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἐκ τῆς πρὸς τὸν Βασιλέα ἀναφορᾶς καὶ ὑπογραφῶν τῆς ἐπ' Ἀγάθωνος ἐν Ῥώμῃ Συνόδου, δείκνυται τὴν Σύνοδον καὶ οὐ μόνον τὸν Ῥώμης ὑπὲρ τῆς πίστεως συντάξασθαι, τὸν δὲ Ῥώμης μόνον Ῥώμης Ἐπίσκοπον.

Ἡ ἐν Ῥώμῃ Σύνοδος ἀναφορᾷ πρὸς τὸν Βασιλέα. Ἐὰν δὲ πρὸς εὐγλωττίαν βιωτικὴν, οὐχ ὑπολαμβάνομεν τινὰ ἐν τοῖς ἡμετέροις χρόνοις δύνασθαι εὑρεθῆναι τὸν περὶ ἄκρας εἰδήσεως καυχώμενον, ὁπότε ἐν τοῖς ἡμετέροις κλίμασι τῶν διαφόρων ἐθνῶν ἡ μανία βράζει, ποτὲ μὲν καταπονοῦντες, ποτὲ κατατρέχοντες καὶ ἁρπάζοντες, ὅθεν ὅλος ὁ βίος ἡμῶν μεριμνῶν ἐστὶ πεπληρωμένος, οὓς τινας περικυκλοῖ ἡ τῶν ἐθνῶν χεὶρ, καὶ ἐκ τοῦ σωματικοῦ καμάτου ἡ τροφή ἐστι, καθὸ ἡ παλαιὰ διακράτησις τῶν Ἐκκλησιῶν κατ' ὀλίγον ταῖς διαφόροις συμφοραῖς ἐκλείψασα ὑπέπεσε, καὶ μόνη ἐστὶν ἡμετέρα ὑπόστασις ἡ πίστις ἡμῶν, μεθ' ἧς τὸ ζῆν ἄκρα ἐστὶ δόξα, δι' ἣν τὸ ἀποθανεῖν κέρδος αἰώνιόν ἐστιν. Ἡ ὑπογραφή. Ἀγάθων Ἐπίσκοπος τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας πόλεως Ῥώμης. πάντες δὲ οἱ Ἐπίσκοποι ὑπογράφοντες, περὶ τῆς ἀναφορᾶς εἶπον, Ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαντο.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τῆς παραθέσεως τῶν τοῦ Ῥώμης Ἀγάθωνος ἀναφορῶν πρὸς τὰς τῶν ἐγκρίτων πατέρων χρήσεις καὶ τὰς πέντε Οἰκουμενικὰς Συνόδους, δείκνυται εἶναι τὰς Οἰκουμενικὰς Συνόδους τὸ ἔσχατον καὶ ἄκρον κριτήριον ἐν τῇ Ἐκκλησίᾳ, κρινούσας καὶ ἀνακρινούσας τὰς περὶ πίστεως Παπῶν καὶ Πατριαρχῶν ἐκθέσεις.

Ὁ Κωνσταντινουπόλεως καὶ Ἀντιοχείας αὐτοῦσι τὸν Βασιλέα ἵνα ἀντιβάλλωσι τὰς χρήσεις τῶν ἐγκρίτων πατέρων τὰς κειμένας ἐν ταῖς ἀναφοραῖς τοῦ Πάπα καὶ τῆς Συνόδου αὐτοῦ μετὰ τῶν βιβλίων τοῦ Πατριαρχείου Κωνσταντινουπόλεως. πράξει ἑβδόμῃ. Ὁ αὐτὸς εἶπε τῷ Βασιλεῖ, ὅτι εὗρε τὰς συγκειμένας χρήσεις τῶν ἐγκρίτων πατέρων τὰς ἐν ταῖς ἀναφοραῖς συναδούσας ταῖς ἀποκειμέναις ἐν τῷ Πατριαρχείῳ, καὶ οὕτω πάντες οἱ πατέρες καθεῖς ἐστοίχησαν αὐταῖς. πράξει ὀγδόῃ. Οὐκ ἠρκέσθη ἡ Σύνοδος εἰς τὰς ἀναφορὰς καὶ τοὺς λόγους τοῦ Πάπα καὶ τῆς Συνόδου αὐτοῦ, ὅθεν ἐν τῇ δεκάτῃ πράξει προσέφερε διὰ τοῦ Κωνσταντινουπόλεως καὶ ἑτέρας χρήσεις ἁγίων καὶ ἐγκρίτων πατέρων παριστώσας δύο θελήματα καὶ δύο ἐνεργείας ἐπὶ Χριστοῦ, ἤτοι Λέοντος, Ἀμβροσίου, Χρυσοστόμου, Ἀθανασίου, Νύσσης, Κυρίλλου, Ἐπιφανίου, Ναζιανζηνοῦ, Αὐγουστίνου, Ἰουστινιανοῦ, Ἐφραὶμ, Ἀναστασίου, καὶ Ἰωάννου Σκυθοπόλεως. ἀλλὰ δὴ καὶ ἐν τῇ δεκάτῃ τετάρτῃ πράξει Ἐπίσκοποι Κύπριοι ἔφερον χρήσεις ἐγκρίτων πατέρων δηλούσας τὰ δύο θελήματα. Ἡ Σύνοδος ἐν τῇ πρὸς τὸν Πάπαν ἐπιστολῇ αὐτῆς φησὶν, Εἶτα καὶ τοῦ Κωνσταντινουπόλεως ἁγιωτάτου προέδρου συνθεμένου πρώτου τῷ πρὸς τὸν εὐσεβέστατον ἡμῶν Βασιλέα παρ' ὑμῶν σταλέντι συντάγματι, ἅτε κατὰ πάντα τοῖς ἐγκρίτοις καὶ θεοφόροις πατράσι καὶ ταῖς ἁγίαις πέντε οἰκουμενικαῖς Συνόδοις ὁμοφωνήσαντι. Καὶ, καρδίᾳ γλώσσῃ τε καὶ χειρὶ συμφωνήσαντες, ἀπλανέστατόν τε καὶ ἀσφαλέστατον τῇ συνεργείᾳ τοῦ ζωοποιοῦ Πνεύματος ὅρον ἐξεφωνήσαμεν. πράξει δεκάτῃ ὀγδόῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ὁ Ἱεροσολύμων Σωφρόνιος ἐκ τῆς ἀναγνωσθείσης ἐν τῇ ἕκτῃ Συνόδῳ ἐπιστολῆς αὐτοῦ, δείκνυται ἀποδεχόμενος τάς τε πέντε οἰκουμενικὰς Συνόδους καὶ τὰς τῶν ἁγίων πατέρων περὶ πίστεως ἐπιστολάς τε καὶ συγγράμματα.

Ὁ Τοποτηρητὴς τοῦ Ἱεροσολύμων ἤτησεν ἀναγνωσθῆναι τὴν ἐπιστολὴν Σωφρονίου, ἥτις ἀνεγνώσθη πράξει δωδεκάτῃ, ἐν ᾗ λέγει ῥητῶς, ὅτι δέχεται τὰς πέντε Συνόδους, καὶ τοῦ Κυρίλλου τὰ θεόσοφα διδάγματα, καὶ τὴν τούτοις ἱερὰν καὶ ὁμότιμον Λέοντος ἐπιστολὴν, καὶ πάντα πάντων τῶν τῆς καθολικῆς Ἐκκλησίας ἐγκρίτων μυσταγωγῶν θεόσοφα διδάγματα, εἴτε ἐν λόγοις τε καὶ συγγράμμασιν, εἴτε ἐν ἐπιστολαῖς περιείληπται. ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφάλαιον ὄγδοον.

ΤΟΥ

ΤΟΥ Γ'. ΚΕΦΑΛΑΙΟΥ ΤΜΗΜΑ Η'.

Ἤτοι ἀπὸ τῆς ἑβδόμης Οἰκουμενικῆς Συνόδου ἕως τῆς κατὰ Φωτίου.

Ὅτι ἐν τῇ πρὸς Λέοντα Ἴσαυρον πρώτῃ καὶ δευτέρᾳ ἐπιστολῇ τοῦ Ῥώμης Γρηγορίου τοῦ δευτέρου, μαρτυρεῖται ἐπικατάρατος ὁ τὰ ὅρια τῶν πατέρων καὶ Διδασκάλων καὶ τὰς τῶν ἓξ Οἰκουμενικῶν Συνόδων παραδόσεις λύων, καὶ κατὰ τί εἰσιν οἱ Βασιλεῖς Ἱερεῖς, καὶ τὶ τὸ διϊστῶν αὐτοὺς τῶν Ἀρχιερέων.

Ὁ Πάπας Γρηγόριος ὁ δεύτερος ἐπιστολῇ πρώτῃ πρὸς Λέοντα τὸν Ἴσαυρον. Οὕτως ὡμολόγηκας τηρεῖν καὶ φυλάττειν ἀνελλειπῶς πάσας τὰς παραινέσεις τῶν ἁγίων πατέρων ἡμῶν καὶ Διδασκάλων. Καὶ, ὁ λύων καὶ καταλύων τὰ ὅρια τῶν πατέρων ἐπικατάρατος. Καὶ, σὺ ἀπώσω καὶ ἠρνήσω καὶ ἐξέβαλες ἔξω τοὺς ἁγίους πατέρας ἡμῶν καὶ Διδασκάλους, οἷς ἰδιοχείρως καὶ ἐγγράφως ὡμολόγησας πείθεσθαι καὶ ἀκολουθεῖν. ἡ γραφὴ ἡμῶν καὶ τὸ φῶς καὶ ἡ σωτηρία ἡμῶν οἱ ἅγιοι καὶ θεοφόροι πατέρες καὶ Διδάσκαλοι ἡμῶν τυγχάνουσι, καὶ αἱ ἐν Χριστῷ ἓξ Σύνοδοι παρέδωκαν ἡμῖν, καὶ οὐ παραδέχῃ αὐτῶν τὰς μαρτυρίας. ἀνάγκην ἔχομεν γράψαι σοι παχέα καὶ ἀπαίδευτα, ὥσπερ εἶ ἀπαίδευτος καὶ παχύς. Ὁ αὐτὸς ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ δευτέρᾳ. Οὐ μετέγνως, ἀλλὰ τοῖς αὐτοῖς κακοῖς ἐπιμένεις, μὴ φρονῶν τὰ τοῦ Χριστοῦ, καὶ μιμητὴν γενέσθαι σε τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν ἡμῶν πατέρων καὶ Διδασκάλων, μὴ προσφέρω ξένους Διδασκάλους, εἰ μὴ τοὺς τῆς πόλεώς σου καὶ τῆς χώρας σου. ἄρα φρονιμώτερος εἶ σὺ Γρηγορίου τοῦ θαυματουργοῦ, καὶ Γρηγορίου τοῦ Νυσσαέων, καὶ Γρηγορίου τοῦ Θεολόγου, καὶ Βασιλείου Καππαδοκίας, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. Καὶ, οὗτοι οἱ Βασιλεῖς θεοπρεπῶς ἐβασίλευσαν, μετὰ τῶν Ἀρχιερέων μιᾷ βουλῇ καὶ γνώμῃ τὰς Συνόδους συναθροίσαντες, καὶ τὴν ἀλήθειαν τῶν δογμάτων ἐκζητήσαντες, τὰς ἁγίας Ἐκκλησίας συνεστήσαντο καὶ κατεκόσμησαν, οὗτοι εἰσὶν Ἱερεῖς καὶ Βασιλεῖς. Καὶ, οὐκ εἰσὶ τὰ δόγματα τῶν Βασιλέων, ἀλλὰ τῶν Ἀρχιερέων, ὅτι ἡμεῖς νοῦν Χριστοῦ ἔχομεν. ἄλλη παίδευσις ἐπὶ τῶν ἐκκλησιαστικῶν δογμάτων, καὶ ἄλλος νοῦς τῶν κοσμικῶν εἰς τὰς διοικήσεις τοῦ κόσμου. ὥσπερ γὰρ οὐκ ἔχει ἐξουσίαν ὁ Ἀρχιερεὺς ἐγκύψαι εἰς τὸ Παλάτιον καὶ προβαλέσθαι ἀξίας βασιλικὰς, οὔτε ὁ Βασιλεὺς ἐγκύψαι εἰς τὰς Ἐκκλησίας καὶ ψήφους ποιήσασθαι εἰς τὸν Κλῆρον. Καὶ, ἀλλ' ἕκαστος ἡμῶν ἐν ᾗ κλήσει ἐκλήθη ὑπὸ Θεοῦ ἐν ταύτῃ καὶ μενέτω. Καὶ, ἡμεῖς ἄοπλοι καὶ γυμνοὶ, μὴ ἔχοντες Στρατόπεδα ἐπίγεια σαρκικά. γράψον εἰς πάσας τὰς χώρας οἵας ἐσκανδάλισας, ὅτι Γρηγόριος ὁ Πάπας Ῥώμης ἔσφαλε περὶ τῶν Εἰκόνων καὶ Γερμανὸς ὁ Πατριάρχης Κωνσταντινουπόλεως, καὶ ἡμεῖς ἀναδεχόμεθα τὸ σφάλμα τῆς ἁμαρτίας, ὡς λαβόντες παρὰ Κυρίου τὴν ἐξουσίαν καὶ αὐθεντίαν λύειν καὶ δεσμεῖν τὰ ἐπίγεια καὶ τὰ οὐράνια, καὶ σὲ ἀμέριμνον ποιήσομεν. Καὶ, ἀποκατάστησον πάλιν τοῖς ταπεινοῖς λαοῖς εἰς ἕνα Ποιμένα τὸν Χριστὸν, καὶ εἰς μίαν ποίμνην τῶν ὀρθοδόξων Ἐκκλησιῶν καὶ Ἱερέων.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἐκ τοῦ πρὸς τὴν Σύγκλητον ἀπολογητικοῦ τοῦ Ταρασίου, δείκνυται ὁ Βασιλεὺς ἀθροιστὴς τῶν Συνόδων.

Ὁ Ταράσιος ἐν τῷ ἀπολογητικῷ ἔλεγε πρὸς τὴν Σύγκλητον, Αἰτοῦμαι ἀδελφοὶ οἶμαι δὲ καὶ ὑμεῖς, ἐπειδὴ γινώσκω τὸν φόβον τοῦ Θεοῦ ἔχειν ὑμᾶς, παρὰ τῶν εὐσεβεστάτων καὶ ὀρθοδόξων Βασιλέων ἡμῶν Σύνοδον Οἰκουμενικὴν συναθροισθῆναι, ἵνα γινώμεθα οἱ τοῦ ἑνὸς Θεοῦ ἕν. καὶ ἐν τῇ πρὸ τῆς Συνόδου συγγραφῇ ἐν ἔτει ἑξακισχιλιοστῷ διακοσιοστῷ πεντηκοστῷ τρίτῳ λέγεται, Καὶ ἀναγνωσθέντων τινῶν συνοδικῶν τῶν διαγορευόντων, μὴ δεῖν γενέσθαί ποτε Σύνοδον Οἰκουμενικὴν παρεκτὸς συμφωνίας τῶν λοιπῶν ἁγιωτάτων Πατριαρχῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἡ ἐν Βλαχέρναις τῶν Εἰκονομάχων Σύνοδος μὴ ἔχουσα σύμφρονας τοὺς Πατριάρχας καὶ τοὺς σὺν αὐτοῖς Ἀρχιερεῖς, βλάσφημός ἐστι καὶ οὐκ Οἰκουμενική.

Ἔτι τῶν Εἰκονομάχων εἰπόντων τὴν ἐν Βλαχέρναις Σύνοδον αὐτῶν Οἰκουμενικὴν, ἡ ἁγία Σύνοδος ἐλέγχουσα τὸ βλάσφημον διὰ Ἰωάννου Διακόνου, εἶπε, Πῶς μεγάλη καὶ Οἰκουμενικὴ, ἣν οὔτε ἐδέξαντο οὔτε συνεφώνησαν οἱ τῶν λοιπῶν Ἐκκλησιῶν πρόεδροι, ἀλλ' ἀναθέματι ταύτην παρέπεμψαν, οὐκ ἔσχε Συνεργὸν τὸν τηνικαῦτα τῆς Ῥωμαίων Πάπαν, ἢ τοὺς περὶ αὐτὸν Ἱερεῖς, οὔτε διὰ Τοποτηρητῶν αὐτοῦ οὔτε δι' ἐγκυκλίου ἐπιστολῆς καθὼς Νόμος ἐστὶ ταῖς Συνόδοις, ἀλλ' οὔτε συμφρονοῦντας αὐτῇ τοὺς Πατριάρχας τῆς Ἕω, Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ τῆς ἁγίας πόλεως, ἢ τοὺς σὺν αὐτοῖς μύστας καὶ Ἀρχιερεῖς. πράξει ἕκτη.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἐκ τῶν ἐπὶ τῆς Βασιλέως καὶ Ταράσιου καὶ Ταρασίου ἐπὶ τῆς τῆς Ἑῴας Πατριάρχας καὶ τύτων ἐπὶ τῷ Σωόδου ὑπομνήμασι, δείκνυται ταὶς Σωόδοις ταῖς παραδόσεσι τῆς Ἐκκλησίας καὶ ταῖς πατρικαῖς διδασκαλίαις καὶ μαρτυρίαις διορθοῦν τὰ τῶν Ἐκκλησιῶν σχίσματα καὶ τὰ σιμωνιακά.

Ὁ Ταράσιος πράξει δευτέρᾳ μετὰ τὴν ἀνάγνωσιν τῆς ὑπομνήμης τοῦ Πάπα ἔφη, Ὁ Ῥώμης ἐπίσκοπος ἔγραψε τρανῶς καὶ ἀληθῶς τοῖς δυσεβέσιν ἡμῶν Βασιλεῦσι, καὶ ἐπὶ τῇ ἡμετέραν μετριότητα, βεβαιώμενος δῆγε καὶ καλῶς ἔχειν τὴν ἀρχαίαν παράδοσιν τῆς καθολικῆς Ἐκκλησίας, καὶ αὐτοὶ δὲ ἡμεῖς γραφικῶς καὶ ἐρευνητικῶς καὶ συλλογιστικῶς καὶ ἀποδεικτικῶς ἐξετάσαντες, καὶ ταῖς πατρικαῖς διδασκαλίαις μαθητεύθέντες, ἅτω καὶ ὁμολογήσαμεν καὶ ὁμολογοῦμεν καὶ ὁμολογήσομεν, καὶ σοιχοῦμεν, καὶ ἐμμένομεν, καὶ βεβαιούμεθα τῇ τῶν ἀναγνωσθέντων γραμμάτων ἐμφάσει, καὶ καθεξῆς οἱ πατέρες εἶπον ἃ φησὶ κατὰ τὰς ὑπομνήμας τοῦ Ῥώμης καὶ τὴν διδασκαλίαν τοῦ Ταρασίου. Ὁ αὐτὸς ὑπομνήμα πρὸς τὸς Πατριάρχας τὸ Ἀνατολῆς γράφει, Αἰτοῦμεν τὴν ὑμετέραν ἀξιότητα ἕως τῶν δύο Τοποτηρητῶν ἀποσταλῆναι μετὰ διηγόρου γραμματίου ὑμῶν, καὶ ἔτι ἐστὶν ἐν ὑμῖν παρὰ τοῦ θεοῦ, ἐνηχούμενον περὶ τῆς ὑποθέσεως ταύτης, φανερώσατε ἡμῖν, ὡς ὀφελόντων καὶ τῶν Τοποτηρητῶν ὑμῶν καὶ τῶν γραμμάτων ὑμῶν σωδικῶς ἐπὶ πᾶσι τοῖς μὴ λαλῆσαι, τοῦ δὲ ἀναγνωσθῆναι, ὅπως σώσῃ τὰ διεχισμένα· αὐτὸ γὰρ τοῦτο καὶ παρὰ τοῦ πρεσβυτέρας Ῥώμης ἠτησάμεθα. πράξει τρίτῃ. Ὁ αὐτὸς ὑπομνήμα πρὸς τὸν Πάπαν, Ὅτι ἐκ τῆς ἐπιστολῆς αὐτοῦ ἡ ἀληθὴς συμφωνία κρατύνετο, καὶ ἡ καθολικὴ Ἐκκλησία τῷ σώματι ἐπελάμβανε. Καὶ, ἀναγνωσθέντων τῶν Ἀναγλικῶν γραμμάτων τῆς πατρικῆς παραδόσεως ἡ ἀνάγνωσις ἐδείκνυετο καλῶς, καὶ τῆς ἀληθείας ἡ δύναμις ἐκρατύνετο. πράξει ὀγδόῃ. Ὁ αὐτὸς ἐπιστολῇ ἐγκυκλίῳ πρὸς Ἀθελαιὸν τὸν Πάπαν κατὰ σιμωνίας Φερειμάρτυρας, Βασίλειον, Χρυσόστομον, Γενναδίου καὶ τῷ τεταρτίῳ καὶ ὀπτῷ τοὺς Σωόδους.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ τῶν λεχθέντων τῷ Κύρῳ Κωνσταντίνῳ ἐν τῇ Σωόδῳ, δείκνυνται αἱ Σωόδοι δοκιμασταὶ τῆς πίστεως καὶ Πατριαρχῶν καὶ Παπῶν, καὶ ὁ Κωνσταντινοπόλεως ὁ Οἰκουμενικός.

Κωνσταντῖνος Κύρῳ εἶπον, Ἐπειδὴ ἐμφέρεται ἐν τῇ Σάκρᾳ ὡς γράμματα ἀπὸ τοῦ Ῥώμης πρεσβέως ἐπέμφθησαν πρὸς τὸ γαληνότατον κράτος, καὶ δύο τετράδια πρὸς τὸν ἁγιώτατον Πατριάρχην ἀπὸ τῶν Ἀνατολικῶν Ἀρχιερέων, καὶ τῶν μὴ γραμμάτων τοῦ Πάπα Ῥώμης ἠκούσαμεν, καὶ τὰ ἐν αὐτοῖς ἐμφερόμενα ἐγνώμεν, ἀξιοῦμεν ἵν τὴν ὑμετέραν ὄγκλειαν ὑπερφυέσατοι Πατρίκιοι ὅπως τὰ ἐκ τῆς Ἀνατολῆς πεμφθέντα ἀναγνωσθῶσι τῇ ἁγίᾳ ταύτῃ καὶ Οἰκουμενικῇ Σωόδῳ, ἵνα γνῶμεν, εἰ τὰ αὐτὰ φρονοῦσι καὶ τὰ αὐτὰ δοξάζουσιν ὅ, τε τῆς πρεσβυτέρας Ῥώμης Πάπας καὶ ὁ ἁγιώτατος καὶ Οἰκουμενικὸς Πατριάρχης Ταράσιος τοῖς τῆς Ἀνατολῆς Ἐπισκόποις. πράξει τρίτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Ὅτι ἐκ τῶν ἐπὶ Ταράσιου γραμμάτων τῆς Ἑῴας Πατριαρχῶν, καὶ τοῦ ἴσου Σωοδικῆς ἐπιστολῆς τοῦ Ἱεροσολύμων Σωφρονίου, καὶ τῶν λεχθέντων ὑπὸ τῶν τοῦ Ῥώμης Λεγάτων καὶ τῆς Σωόδου, ἡ τῶν Εἰκόνων προσκύνησις ᾠρίθη.

Οἱ Πατριάρχαι τῆς Ἀνατολῆς ἐπιστολῇ ἐπὶ Ταράσιον φασὶ, Πέμπομεν τοὺς θεοφιλεῖς ἀδελφοὺς ἡμῶν Ἰωάννην καὶ Θωμᾶν δύο ἁγίων καὶ μεγάλων Πατριαρχῶν ὁμοψύχους καὶ συγκέλλους γνησίους. Καὶ, ἐπὶ δὲ ἐχύρωσιν τῶν μετρίων ἡμῶν γραμμάτων καὶ πληροφορίαν τῆς ὑμετέρας θεοστικῆς μακαριότητος καὶ τῶν τεθραυσμένων ἡμῶν Βασιλέων σωσίδομεν καὶ τὸ ἴσον τῆς σωοδικῆς ἐπιστολῆς ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ Πατριάρχου Ἱεροσολύμων Θεοδώρου ὑποτάξαι τοῖς ὑφ' ἡμῶν γεγραφεῖσι. λέγει δὲ ὁ Θεόδωρος ἐν τῷ αὐτῷ σωοδικῷ, Οὐδὲν γὰρ ὑπολέλειπταί τι τῶν ἀποστολικῶν παραδόσεων ἢ πατρικῶν ἐνόμων ἐκδόσεων δεόμενον διορθώσεως. μετὰ δὲ τὴν ἀνάγνωσιν αἱ Τοποτηρηταὶ τοῦ Ῥώμης εἶπον, Πεισθόμεθα κατὰ τὴν ὀρθῶς ὁμολογηθεῖσαν πίστιν παρὰ Ταρασίου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου Πατριάρχου Κωνσταντινοπόλεως, καὶ ὁ καθ' ἡμᾶς Πάπας Ἀθελαιὸς δεξάμενος, καὶ πᾶσα ἡ κατ' αὐτὴν ἁγία Σωόδος ἐσοίχησε, καὶ σύλλογος ὁ θεὸς, ὅτι καὶ τῆς Ἀνατολῆς οἱ ἁγιώτατοι Ἀρχιερεῖς σύμφωνοι ἐν τῇ ὀρθοδόξῳ πίστει καὶ τῇ προσκυνήσει τῶν σεπτῶν Εἰκόνων τοῖς ἁγιωτάτοις Ἀθελαιῷ καὶ Ταρασίῳ ἀρέθησαν, καὶ καθεξῆς πάντες οἱ πατέρες εἶπον, Τὴν γνησιομίμνην ἀναφορὰν ἔστειλε τοῦ Πάπα Ἀθελαιοῦ πρὸς τοὺς Βασιλεῖς καὶ τὸν νῦν ἀναγνωσθέντα χάρτην ὅλον ὀρθοδοξίας τοῦ Ταρασίου ὄντα, καὶ τὰ ἀπὸ τῆς Ἀνατολῆς πεμφθέντα πρὸς τὴν αὐτοῦ μακαριότητα γράμματα ἀποδεχόμενοι σοιχοῦμεν. πράξει τρίτῃ.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἡ Σύνοδος διὰ μαρτυρίας τῆς γραφῆς καὶ τῶν ἁγίων ἐββαίωσε τὴν προσκύνησιν τῶν Εἰκόνων.

Καίτοι καὶ ἀνεγνώσθησαν τὰ γράμματα τοῦ Ῥώμης καὶ τῶν λοιπῶν Πατριαρχῶν, ὅμως οὐκ ἠρκέσθη ἡ Σύνοδος, ἀλλὰ πρὸς τελείαν πληροφορίαν τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων μαρτυρίας προσφέρει τῆς γραφῆς καὶ τῶν ἁγίων, Χρυσοστόμου, Νύσσης, Κυρίλλου, Ἀντιπάτρου Βόστρης, Ἀστερίου Ἀμασείας, ἐκ τοῦ μαρτυρίου Ἀναστασίου Πέρσου, Ἀθανασίου, Νείλου, Μαξίμου, ἑκτῆς Συνόδου, Ἠλία πρεσβυτέρου, Λεοντίου Νικοπόλεως, Ἀναστασίου Ἀντιοχείας, Σωφρονίου Ἱεροσολύμων, ἀπὸ τοῦ μαρτυρίου Κοσμᾶ καὶ Δαμιανοῦ, Βασιλείου, Θεοδωρίτου, Συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει, ἀπὸ τοῦ βίου Ἰωάννου τοῦ νηστευτοῦ καὶ Μαρίας τῆς Αἰγυπτίας, ἀπὸ τοῦ μαρτυρίου Προκοπίου, Θεοδώρου Συκεώτου, ἀπὸ τῆς ἐπιστολῆς Γρηγορίου Ῥώμης πρὸς Γερμανὸν Κωνσταντινουπόλεως, ἐν ᾗ μάρτυρες Βασίλειος, Χρυσόστομος. εἶτα ἀνέγνωσαν τὰς ἐπιστολὰς Γερμανοῦ πρὸς τὸν Πάπαν Γρηγόριον, πρὸς Ἰωάννην Συννάδων, πρὸς Κωνσταντῖνον Νακωλίας καὶ πρὸς Θωμᾶν Κλαυδιουπόλεως. ἔπειτα ἡ Σύνοδος ἐβόησεν, Ἡμεῖς τῇ ἀρχαίᾳ Θεσμοθεσίᾳ τῆς καθολικῆς Ἐκκλησίας ἐπακολουθοῦμεν, ἡμεῖς τοὺς θεσμοὺς τῶν πατέρων φυλάττομεν, ἡμεῖς τοὺς προστιθέντας τι ἢ ἀφαιροῦντας ἐκ τῆς καθολικῆς Ἐκκλησίας ἀναθεματίζομεν, τῶν θεοφθόγγων πατέρων ἡμῶν αἱ διδασκαλίαι διωρθώσαντο, ἐξ αὐτῶν ἀρυσάμενοι τὴν ἀλήθειαν ἐποτίσθημεν, αὐτοῖς κατακολουθήσαντες, τὸ ψεῦδος ἐδιώξαμεν. πράξει τετάρτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Τίνας μιμησάμενοι οἱ Εἰκονομάχοι, ἀπέβαλον τὰς Εἰκόνας.

Ὅτι οἱ κακότροποι Εἰκονομάχοι Σαρακηνοὺς, Ἑβραίους, Ἕλληνας, Σαμαρείτας, Μανιχαίους καὶ Θεοπασχίτας μιμησάμενοι, τὰς Εἰκόνας ἀπέβαλον, καὶ μάρτυρες Κύριλλος Ἱεροσολύμων, Συμεὼν ὁ στυλίτης, Ἰωάννης Θεσσαλονίκης, Ἀμφιλόχιος, Ἀντίπατρος, Θεόδωρος ἀναγνώστης, Ἰωάννης διακρινόμενος, βίος τοῦ ἁγίου Σάββα, Ἰωάννης Γαβάλων, Σύνοδος ἡ ἐπὶ Μηνᾶ, Κωνσταντῖνος Χαρτοφύλαξ Κωνσταντινουπόλεως, Εὐάγριος, Λειμωνάριον. πράξει πέμπτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι ἐκ τῶν ἐνταῦθα Συνόδων τὸ πῶς χρὴ δέχεσθαι τοὺς ἐξ Αἱρέσεων ἐπιστρέφοντας ἡ Σύνοδος ἔλαβεν.

Ἰωάννης Τοποτηρητὴς τοῦ Ἀντιοχείας. Παρακαλοῦμεν τὴν ἁγίαν Σύνοδον ὅπως ἔλθωσιν αἱ βίβλοι τῶν ἁγίων πατέρων, καὶ θεωρῶμεν, καὶ ἀνακρίνωμεν, κἀκεῖθεν λάβωμεν τὴν ἀκριβῆ ἀσφάλειαν ὅπως χρὴ δέχεσθαι αὐτοὺς (τοὺς ἐξ Αἱρέσεων ἐπιστρέφοντας) καὶ προσφέρονται μάρτυρες, Ἀπόστολοι, ἡ ἐν Νικαίᾳ πρώτη Σύνοδος, καὶ ἡ ἐν Ἐφέσῳ, εἶτα Βασίλειος, Κύριλλος Ἀλεξανδρείας, Ἀθανάσιος, Ῥουφῖνος, Σωκράτης. πράξει πρώτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι κατὰ τὸν τοῦ Ἀγκύρας Βασιλείου λίβελλον, ἰσοδύναμοι καὶ ἰσότιμοι οἱ πέντε πατριαρχικοὶ θρόνοι.

Βασίλειος Ἀγκύρας εἰκονομάχος ὤν, καὶ προαιρούμενος ἑνωθῆναι τῇ καθολικῇ Ἐκκλησίᾳ, ἐν τῷ δοθέντι παρ' αὐτοῦ λιβέλλῳ τῇ Συνόδῳ ἔφη, Ἀδριανῷ Ῥώμης, Ταρασίῳ Κωνσταντινουπόλεως, καὶ τοῖς ἁγιωτάτοις ἀποστολικοῖς θρόνοις Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ τῆς ἁγίας πόλεως, καὶ πᾶσι τοῖς ὀρθοδόξοις Ἀρχιερεῦσι καὶ Ἱερεῦσι ταύτην μου τὴν παροῦσαν ἔγγραφον ὁμολογίαν ποιοῦμαι, καὶ εἰσάγω ὑμῖν τοῖς ἐξ ἀποστολικῆς αὐθεντίας λαβοῦσι τὴν ἐξουσίαν. πράξει πρώτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι ἡ Σύνοδος ἐν τῷ Ὅρῳ ἕπεται τοῖς πατράσι καὶ τῇ καθόλου Ἐκκλησίᾳ.

Ἡ Σύνοδος ἐν τῷ Ὅρῳ. Τούτων οὕτως ἐχόντων, τὴν βασιλικὴν ὥσπερ ἐρχόμενοι τρίβον ἐπακολουθοῦντες τῇ θεηγόρῳ διδασκαλίᾳ τῶν ἁγίων πατέρων, καὶ τῇ παραδόσει τῆς καθολικῆς Ἐκκλησίας, τοῦ γὰρ ἐν αὐτῇ οἰκίσαντος ἁγίου Πνεύματος εἶναι ταύτην ὁρίζομεν.

Μαρτυ-

Μαρτυρίαι ἀπὸ τῆς κατὰ Φωτίου γενομένης Συνόδου.

Ὅτι πᾶν ὁτιοῦν ἐναντίον καὶ ἀφίβολον ἐν τῇ Ἐκκλησίᾳ συμβὰν, διὰ Συνόδων λύεται, καὶ τίς ὁ θεὶς ἐν τῷ κόσμῳ κεφαλὰς τοὺς Πατριάρχας, καὶ ὅτι ἀμετακίνητοι καὶ ἀναλλοίωτοι τῶν οἰκουμενικῶν Συνόδων αἱ ἀποφάσεις, ἐξ ὧν καταβάλλεται ἡ παπικὴ μοναρχία. Μαρτυρία Α'.

Νικόλαος ὁ Πάπας ἐπιστολῇ πρὸς Ἰγνάτιον Κωνσταντινουπόλεως, διὸ καὶ παρόντος τοῦ βασιλικοῦ Ἀποκρισιαρίου, συγκαλεσάμενοι πᾶσαν τὴν παρ' ἡμῶν Ἐκκλησίαν καὶ ἐκ πολλῶν Ἐπαρχιῶν τῶν δυτικῶν χωρῶν ἁγιωτάτους Ἐπισκόπου σφόδρα πολλοὺς, ψήφῳ κοινῇ τὸν Ζαχαρίαν καθαιρέσει ὑπεβάλλομεν. Καὶ, ταῦτα εἰσὶν ἀδελφὲ ἅπερ ἐν τῇ μιᾷ Συνόδῳ τῶν ἀδελφῶν καὶ συνιερέων ἡμῶν ἐκ διαφόρων Ἐπαρχιῶν τῶν δυτικῶν ἑπόμενοι τῶν προγενεστέρων ἡμῶν τῇ παραδόσει ἐπράξαμεν.

Μαρτυρία Β'.

Ὁ Πάπας Ἀδριανὸς ἐπιστολῇ πρὸς τὸν Βασιλέα Βασίλειον, Καθὼς ἡ ἀποστολικὴ καθέδρα μετὰ πάντων τῶν Ἑσπερίων προέδρων ἐθέσπισε.

Μαρτυρία Γ'.

Θωμᾶς Τύρου καὶ Ἠλίας Σύγκελλος ἐν τῷ παρ' αὐτῶν Ὅρῳ φασὶν, ὅτι ὁ Βασιλεὺς μετεκαλέσατο καὶ τὴν ἡτετέραν ταπείνωσιν ἐκ τῶν ἀνατολικῶν θρόνων καὶ Διοικήσεων, ἵνα μετὰ τῶν Τοποτηρητῶν Ῥώμης τὰς ἐκκλησιαστικὰς ἔριδας διαλύσωμεν. Ὁ αὐτὸς Σύγκελλος ἔφη, Γινώσκετε πάντες ὅτι διατοῦτο τὰς πατριαρχικὰς κεφαλὰς ἐν τῷ κόσμῳ ἔθετο τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα τὰ ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ ἀναφυόμενα σκάνδαλα δι' αὐτῶν ἀφανίζωνται. πράξει πρώτῃ.

Μαρτυρία Δ'.

Βαάνης Πρεπόσιτος εἶπεν, Ἀπροσωπόληπτος ἡ κρίσις, ὡς οὐκ ἐξ ἑνὸς μόνου θρόνου, ἀλλὰ ἀπὸ τῶν τεσσάρων Πατριαρχῶν γινομένη. πράξει πέμπτῃ.

Μαρτυρία Ε'.

Οἱ ἁγιώτατοι Τοποτηρηταὶ πάντες εἶπον, Ταῦτα πάντα διαλύομεν χάριτι Ἰησοῦ Χριστοῦ τοῦ δεδωκότος ἡμῖν ἐξουσίαν τοῦ δεσμεῖν τε καὶ λύειν.

Μαρτυρία ϛ'.

Ὁ Βασιλεὺς πρὸς τοὺς Ἐπισκόπους Φωτίου, ἴδε ἠκούσατε τὸ φρόνημα τῶν Πατριαρχῶν, τί ὑμῖν δοκεῖ. Καὶ, ἐματαιολογήσατε τολμήσαντες εἰπεῖν μάταια τὰ ἀναγνωσθέντα, ἐλαλήθη γὰρ ἐκ τοιούτων μεγάλων Πατριαρχῶν, ὑμεῖς ἀρχοντικῇ χειρὶ Συνόδους ἀτάκτους μόνοι χωρὶς Πατριαρχῶν πεποιηκότες, ἁγίας ταύτας καλεῖν ἐτολμήσατε, καὶ ταύτην ὑπὸ πάντων τῶν Πατριαρχικῶν θρόνων συγκροτηθεῖσαν τολμᾶτε διαβάλλειν, ἐοίκατε ἀπιστεῖν ὅτι τὰ λεγόμενα ἐκ τῶν Πατριαρχῶν ἐστιν. Ὁ αὐτός. Πρᾶξιν τεσσάρων Πατριαρχικῶν θρόνων τὶς λῦσαι δύναται, καὶ πρὸς τίνα καταφεύξεσθε τὴν λύσιν αἰτούμενοι τοῦ δεσμοῦ, ὑπὸ τῶν τεσσάρων τούτων θρόνων κατακρινόμενοι. πράξει ἕκτῃ.

Μαρτυρία Ζ'.

Ἀνεγνώσθη Κανὼν Μαρτίνου τοῦ Πάπα λέγων, Εἴτις κατὰ τοὺς ἐναγεῖς Αἱρετικοὺς καθ' οἷον δήποτε τρόπον ἢ λόγον ἢ καιρὸν ἐπιχειρήσει ἢ ὅρια μετακινῆσαι ἃ ἔθεντο οἱ ἅγιοι τῆς Ἐκκλησίας πατέρες, ἢ μᾶλλον αἱ ἅγιαι οἰκουμενικαὶ Σύνοδοι, ἢ καινοτομίας ἐπινοεῖν καὶ πίστεως ἑτέρας Ἐκθέσεις, ἢ λιβέλλους ἢ Συνόδους καὶ πράξεις, ἢ τοποτηρησίας, καὶ μέχρι τέλους ἀμετανόητα τὰ τοιαῦτα ἐνεργεῖ, ὁ τοιοῦτος εἰς τοὺς αἰῶνας εἴη κατακεκριμένος. πράξει ὀγδόῃ.

Μαρτυρία Η'.

Ὁ Ἀλεξανδρείας Μιχαὴλ ἐπιστολῇ πρὸς τὸν Βασιλέα φησὶ, Διὰ τεσσάρων μαρτύρων ἀψευδεστάτων παραστῆσαι αὐτῷ ἠυδόκησε τὴν ἀλήθειαν, τουτέστι Ῥώμης, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων.

Μαρτυρία Θ'.

Ἐν ταὐτῷ Ἠλίας ὁ Σύγκελλος εὐχαριστεῖν εἶπε τῷ Θεῷ, ὅτι κατηξίωσε τὰς πατριαρχικὰς κεφαλὰς ἑνωθῆναι ἀλλήλαις πρὸς δόξαν Θεοῦ. πράξει ἐνάτῃ.

Μαρτυρία Ι'.

Ὁ Κωνσταντινουπόλεως Ἰγνάτιος εἶπεν, Ἐπίστασθε πατέρες μου ἁγιώτατοι, ὅτι ἐν ταῖς προλαβούσαις πράξεσιν ἡ ἐκκλησιαστικὴ διοίκησις γέγονεν ὑφ' ὑμῶν καθ' εἱρμὸν καὶ τάξιν συνοδικὴν, νῦν δὲ Θεοῦ Συνεργοῦντος κατέλαβε καὶ τοῦ Πατριάρχου Ἀλεξανδρείας ὁ Τοποτηρητὴς, τὶ ὑμῖν δοκεῖ; οἱ τῆς Ῥώμης σὺν τοῖς Ἀνατολικοῖς εἶπον, Ἀναγνωσθήτω ἡ ἐπιστολή. πράξει ἐνάτῃ.

Μαρτυρία ΙΑ'.

Σημείωσαι δὲ ὅτι ἐν τῷ δευτέρῳ Κανόνι βεβαιοῖ τὰ ὑπὸ Νικολάου καὶ Ἀδριανοῦ ὑπὲρ Ἰγνατίου. Ὁ δὲ πρὸ πάντων σημειώσεως ἄξιον, ὅτι ἐν τῷ δεκάτῳ τρίτῳ αὐτῆς Κανόνι καταβάλλει λίαν ἰσχυρῶς τὴν παπικὴν ἐξουσίαν, λέγει γὰρ, Εἰ δὲ συγκροτηθείσης Συνόδου γενηταί τις καὶ περὶ τῆς Ἐκκλησίας τῶν Ῥωμαίων ἀμφιβολία, ἔξεστιν εὐλαβῶς καὶ μετὰ τῆς προσηκούσης αἰδοῦς διαπυνθάνεσθαι περὶ τοῦ προκειμένου ζητήματος, καὶ δέχεσθαι τὴν λύσιν, καὶ ἢ ὠφελεῖσθαι ἢ ὠφελεῖν. ἴδε τὰ περὶ τῆς Συνόδου ταύτης ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίῳ δεκάτῳ τρίτῳ. ἴδε καὶ τὰς σημειώσεις ἐν τῇ ἐπὶ Φωτίου Συνόδῳ ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίῳ δεκάτῳ τετάρτῳ, καὶ ἀνωτέρω πασῶν τῶν Συνόδων τοὺς τόπους, καὶ Γρηγόριον τὸν Νύσσης ἐν τῷ εἰς τὸν Γρηγόριον τὸν θαυματουργὸν λόγῳ, ὅπου τὴν ὀρθόδοξον πίστιν ἀπεκάλυψε τῷ θαυματουργῷ ἡ Θεοτόκος καὶ ὁ Εὐαγγελιστὴς Ἰωάννης.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Γ'. ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὅτι οἱ Βασιλεῖς ἤθροισαν τὰς μεγάλας καὶ οἰκουμενικὰς Συνόδους, καὶ περὶ ὧν ἤθροισεν ὁ μέγας Κωνσταντῖνος ἐν Δύσει.

Κωνσταντῖνος ὁ μέγας Μιλτιάδῃ Ἐπισκόπῳ Ῥωμαίων. Τὸν Καικιλιανὸν Καρθαγένης μετὰ εἴκοσιν Ἐπισκόπων ἐλθόντα συμπαρόντων Ἀρχόντων τριῶν, ἵνα θεωρηθῶσι τὰ κατ' αὐτοὺς καὶ ἀνενεχθῶσι τῷ Βασιλεῖ. Καὶ, Κωνσταντῖνος Χρήστῳ Συρακουσίων. Διετετυπώκειν ὥστε ἀποσταλέντων ἀπὸ Γαλλίας τινῶν Ἐπισκόπων, ἀλλαμὴν καὶ τῶν κληθέντων ἀπὸ τῆς Ἀφρικῆς, παρόντος τε καὶ τοῦ Ῥώμης Ἐπισκόπου, τοῦτο ὅπερ ἐδόκει κεκινῆσθαι, δυνηθῇ ὑπὸ τῆς παρουσίας αὐτῶν μετὰ πάσης ἐπιμελοῦς διακρίσεως κατορθώσεως τυχεῖν. Καὶ, ἐπειδὴ πλείστους καὶ ἀμυθήτων τόπων Ἐπισκόπους εἰς τὴν Ἀρεταλισίων πόλιν συνελθεῖν ἐκελεύσαμεν, καὶ σοὶ γράψαι ἐνομίσαμεν. Εὐσέβιος βιβλίῳ δεκάτῳ κεφαλαίῳ πέμπτῳ. καὶ τὸ Συνοδικὸν, Ταύτην τοίνυν (ἤτοι τὴν ἐπὶ Μιλτιάδου καὶ Μάρκου τῶν Παπῶν) καὶ τὴν ἐν Ἀρελάτῳ προστάξας συγκροτηθῆναι ὁ μέγας Βασιλεὺς Κωνσταντῖνος.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ὁ μέγας Κωνσταντῖνος τὴν ἐν Νικαίᾳ πρώτην Οἰκουμενικὴν Σύνοδον ἤθροισε.

Περὶ τῆς πρώτης Οἰκουμενικῆς Συνόδου Εὐσέβιος βιβλίῳ τρίτῳ φησὶν εἰς τὸν βίον Κωνσταντίνου, Ἐπιστατεύοντος αὐτῷ Θεοῦ, Σύνοδον ἤγειρε πανταχόθεν, τοὺς Ἐπισκόπους γράμμασι τιμητικοῖς προσκαλούμενος, παρέχων καὶ ὀχήματα καὶ τροφάς. Κωνσταντῖνος τῇ Ἐκκλησίᾳ Ἀλεξανδρέων γράφει, Συνεκάλεσα εἰς τὴν Νίκαιαν τοὺς πλείστους τῶν Ἐπισκόπων, μεθ' ὧνπερ καὶ αὐτὸς τὴν τῆς ἀληθείας ἐξέτασιν ἀνεδεξάμην. Καὶ, τριακοσίων γοῦν καὶ πλειόνων Ἐπισκόπων ἐπὶ σωφροσύνῃ τε καὶ ἀγχινοίᾳ θαυμαζομένων, μίαν καὶ τὴν αὐτὴν πίστιν, ἣ καὶ ταῖς ἀληθείαις καὶ ἀκριβείαις τοῦ θείου Νόμου πέφυκε πίστις εἶναι βεβαιοῦται. Σωκράτης βιβλίῳ πρώτῳ κεφαλαίῳ ἐνάτῳ. Ὁ αὐτὸς ἐν τῷ προοιμίῳ τοῦ πέμπτου βιβλίου φησὶν, Ἀφ' οὗ Χριστιανίζειν ἤρξαντο τὰ τῆς Ἐκκλησίας πράγματα, ἐξ αὐτῶν (Βασιλέων) ἤρτητο, καὶ αἱ μέγισται Σύνοδοι τῇ αὐτῶν γνώμῃ γεγόνασί τε καὶ γίνονται. Θεοδώριτος. Τὴν πολυθρύλλητον ἐκείνην ὁ Βασιλεὺς εἰς τὴν Νίκαιαν συνήγαγε Σύνοδον, δημοσίοις ὀχήμασι χρήσασθαι τοὺς Ἐπισκόπους παρεγγυήσας. βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἐνάτῳ. Ὁ αὐτὸς σημειοῖ τὴν ἐπιστολὴν ἣν ἔπεμψεν ἡ Σύνοδος τῇ Ἐκκλησίᾳ Ἀλεξανδρείας, ἐν ᾗ λέγεται, Ἐπειδὴ τῆς τοῦ Θεοῦ χάριτος, καὶ τοῦ θεοφιλεστάτου Βασιλέως Κωνσταντίνου συναγαγόντος ἡμᾶς ἐκ διαφόρων Ἐπαρχιῶν καὶ πόλεων, ἡ μεγάλη καὶ ἁγία Σύνοδος ἐν Νικαίᾳ συνεκροτήθη. βιβλίῳ πρώτῳ κεφαλαίῳ ὀγδόῳ. Γελάσιος. Ὁρῶν τοίνυν ὁ Βασιλεὺς τεταραγμένην τὴν Ἐκκλησίαν, Σύνοδον Οἰκουμενικὴν συγκροτεῖ, τοὺς ἁπανταχόθεν Ἐπισκόπους διὰ γραμμάτων εἰς Νίκαιαν ἀπαντῆσαι παρακαλῶν. βιβλίῳ δευτέρῳ κεφαλαίῳ πέμπτῳ. Ἐπιφάνιος. Τῷ γὰρ ὄντι δύο μέγιστα ἡμῖν κατώρθωσεν ὁ Θεὸς διὰ τοῦ ἁγίου Κωνσταντίνου, τὸ συνάξαι Οἰκουμενικὴν Σύνοδον καὶ ἐκθέσθαι τὴν ἐν Νικαίᾳ ἐκτεθεῖσαν πίστιν καὶ ὁμολογηθεῖσαν μεθ' ὑπογραφῆς τῶν συνελθόντων Ἐπισκόπων, καὶ τὸ περὶ τοῦ Πάσχα εἰς ἕνωσιν ἡμῶν ὑπ' αὐτῶν διορθωθῆναι. Αἱρέσει ἑβδομηκοστῇ, ἤτοι Αὐδιανῶν. Ὁ αὐτός. Ὁ Βασιλεὺς μέριμναν συνεισενεγκάμενος τῇ Ἐκκλησίᾳ, διὰ τὸ ἤδη πολλάκις πολλοὺς εἰς ἀλλήλους διαφέρεσθαι, καὶ σχίσματα πολλὰ εἶναι, συνεκρότησεν Οἰκουμενικὴν Σύνοδον τριακοσίων δέκα καὶ ὀκτὼ Ἐπισκόπων, ὧν τὰ ὀνόματα εἰσέτι δεῦρο σώζεται. ταῦτα περὶ Ἀρειομανιτῶν, ἤτοι Αἱρέσει ἑξηκοστῇ ἐνάτῃ. Ὁ Κωνσταντινουπόλεως Φώτιος πρὸς Μιχαὴλ Ἄρχοντα Βουλγάρων γράφων, ἤτοι ἐπιστολῇ πρώτῃ φησὶν, Ἐφ' οἷς ἅπασιν ὁ μέγας καὶ ἀξιάγαστος Κωνσταντῖνος τῆς ῥωμαϊκῆς ἀρχῆς ἰθύνων τὰ σκῆπτρα διέπρεπε, τήν τε Σύνοδον ἀθροίζων, καὶ λαμπροτέραν τῇ παρουσίᾳ ἀπεγαζόμενος.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι κατὰ Λιβέριον τὸν Ῥώμης κελεύσει τοῦ Βασιλέως γίγνεται Σύνοδος.

Ἐν τῷ διαλόγῳ Κωνσταντίου Αὐγούστου καὶ Λιβερίου Πάπα φέρεται ταῦτα. Ὁ ΒΑΣΙΛΕΥΣ. Ἡμεῖς διὰ τὸ εἶναί σε Χριστιανὸν καὶ Ἐπίσκοπον τῆς ἡμετέρας πόλεως, ἄξιον ἐκρίναμεν. ΛΙΒΕΡΙΟΣ. Εἴ σου δοκεῖ τῇ εὐσεβείᾳ, κριτήριον συσταθῆναι κέλευσον. Ὁ ΒΑΣΙΛΕΥΣ. Τὰ ἤδη τύπον ἐσχηκότα ἀναλύεσθαι οὐ δυνατόν ἐστι, τῶν γὰρ πλειόνων Ἐπισκόπων ἡ ψῆφος. Θεοδώριτος βιβλίῳ δευτέρῳ κεφαλαίῳ δεκάτῳ ἕκτῳ. ἴδε καὶ ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον ἔνατον.

ΠΑΡΑ

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἡ ἐν Σαρδικῇ Σύνοδος κελεύσει Κωνσταντίου καὶ Κώνσαντος συνῆλθεν.

Ἡ ἐν Σαρδικῇ Σύνοδος ἐπιστολῇ τοῖς ἁπανταχοῦ λέγει, Τοιγαροῦν τῆς χάριτος τοῦ Θεοῦ συνεργούσης, οἱ θεοφιλέστατοι Βασιλεῖς συνήγαγον ἡμᾶς ἐκ διαφόρων Ἐπαρχιῶν καὶ πόλεων, καὶ τὴν ἁγίαν ταύτην Σύνοδον ἐπὶ τὴν Σαρδικὴν πόλιν γενέσθαι δεδώκασιν, ἵνα πᾶσα διχόνοια περιαιρεθῇ. Καὶ, ἦλθον Ἐπίσκοποι ἀπὸ τῆς Ἑῴας, προτραπέντες καὶ αὐτοὶ παρὰ τῶν εὐσεβεστάτων Βασιλέων. Θεοδώριτος βιβλίῳ δευτέρῳ κεφαλαίῳ ὀγδόῳ. Ὁ Θεοφάνης γράφει, ὅτι τοῦ Κωνσταντινουπόλεως Παύλου μετὰ γραμμάτων Ἰουλίου ἐλθόντος εἰς Βυζάντιον, ὁ Κωνσταντίος Φιλίππῳ Ἐπάρχῳ προσέταξε καὶ ἐξώρισεν αὐτόν. Παύλου δὲ καὶ Ἀθανασίου φυγόντων εἰς Κώνσαντα, τοῦ δὲ Κώνσαντος γράψαντος εἰς τὸν ἀδελφὸν, γέγονεν ἡ ἐν Σαρδικῇ Σύνοδος. Καὶ Θεοδώριτος γράφει, ὅτι τῶν περὶ Εὐσέβιον μὴ ὑπακουσάντων Ἰουλίῳ εἰς Ῥώμην ἀπελθεῖν, ὅπου ὁ Ἀθανάσιος ἦν, ὁ Ἀθανάσιος πρὸς Κώνσαντα ἀφικόμενος, τὸν κατὰ τῆς ἀποστολικῆς πίστεως ὠλοφύρετο πόλεμον. Καί, ἀπέστειλε δὲ Κώνστας τῷ ἀδελφῷ παραινῶν, τῆς πατρῴας εὐσεβείας ἄσυλον διαφυλάξαι τὸν κλῆρον, καὶ τούτοις πεισθεὶς ὁ Κωνσταντίος, προσέταξεν εἰς Σαρδικὴν τοὺς τῆς Ἑῴας καὶ τῆς Ἑσπέρας συνδραμεῖν Ἐπισκόπους, πολλὰ γὰρ καὶ ἕτερα τῆς Ἐκκλησίας παθήματα τῆς συνοδικῆς θεραπείας ἐδεῖτο. βιβλίῳ δευτέρῳ κεφαλαίῳ τετάρτῳ. Καὶ Φώτιος γράφει, ὅτι Κώνστας τῷ ἀδελφῷ Κωνσταντίῳ γράφει, συμπαρορμῶντος αὐτὸν καὶ τοῦ Ἀρχιερέως Ἰουλίου, ὥστε τὰς ἐπισκοπὰς λαβεῖν τοὺς ἠδικημένους, ὡς δὲ οὐδὲν ἤνυεν, ἀξιοῦσιν αὐτὸν οἱ περὶ Ἀθανάσιον Οἰκουμενικῇ Συνόδῳ τὰ περὶ αὐτῶν τε καὶ τῆς συνεπηρεαζομένης πίστεως ἐπικριθῆναι, καὶ κηρύττεται γνώμῃ τῶν δύο Βασιλέων εἰς Σαρδικὴν Οἰκουμενικὴ Σύνοδος. ἀναγνώσει διακοσιοστῇ πεντηκοστῇ ὀγδόῃ. Θεοδώριτος βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, Χρόνου διελθόντος, ὑπὸ τῶν Εὐδοξίου κατηγόρων ὑπομνησθεὶς ὁ Κωνσταντίος, εἰς Σελεύκειαν τὴν Σύνοδον θέσθαι προσέταξε. Καὶ τὸ Συνοδικὸν, Διασπαρέντες οἱ ἑτερόδοξοι, τὸν Κωνσταντίον ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας ποιῆσαι παρασκευάζουσι Σύνοδον, ἤτοι ἐν ἔτει τριακοσιοστῷ πεντηκοστῷ πρώτῳ. ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον ὄγδοον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι αἱ ἐν Λαμψάκῳ, Ἰλλυρικῷ, καὶ Τυάνοις Σύνοδοι κελεύσει Οὐαλεντιανοῦ ἠθροίσθησαν.

Ὁ Θεοφάνης γράφει, ὅτι ἐπιτροπῇ τοῦ Βασιλέως Οὐαλεντιανοῦ εἰς Λάμψακον Σύνοδον ἤθροισαν οἱ ὀρθόδοξοι, τὰ ὑπὸ Εὐδοξίου καὶ Μακεδονίου ἀθετήσαντες, οὓς Ἐπισκόπους ὁ Οὐάλης ἐξώρισε, καὶ τοὺς θρόνους Εὐδοξίῳ παρέδωκεν, οἱ δὲ ὀρθόδοξοι οὔτε Ποιμένα οὔτε Ἐκκλησίαν εἶχον. ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον δέκατον πέμπτον. Μαθὼν δέ τινας ὁ Βασιλεὺς (Οὐαλεντιανὸς) ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῇ Φρυγίᾳ περὶ τῶν θείων ἀμφισβητοῦντας δογμάτων, ἐν μὲν τῷ Ἰλλυρικῷ Σύνοδον γενέσθαι προσέταξε, τὰ δὲ παρ' ἐκείνων ψηφισθέντα καὶ κυρωθέντα τοῖς ἀμφισβητοῦσιν ἐξέπεμψε. Θεοδώριτος βιβλίῳ τετάρτῳ κεφαλαίῳ ἑβδόμῳ, καὶ Σωκράτης βιβλίῳ τρίτῳ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ. ἴδε καὶ ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον δέκατον ἕκτον. Καὶ τὸ Συνοδικόν. Οὐαλεντιανὸς ὁ μέγας τοῖς ὀρθοδόξοις τῆς πίστεως προτερήμασι θεσπίζει ἐν τῷ Ἰλλυρικῷ θείαν γενέσθαι καὶ πανίερον Σύνοδον, ἤτοι ἐν ἔτει τριακοσιοστῷ ἑξηκοστῷ ὀγδόῳ. Τὸ αὐτό. Αὐτίκα γοῦν οἱ τῆς ἀληθείας παῤῥησιασταὶ πρὸς Οὐαλεντιανὸν ἐποιήσαντο δέησιν ἐν Τυάνοις ἀθροισθῆναι ἔνδοξον Σύνοδον, ὡς ἂν τὰ ἐν Νικαίᾳ ὁρισθέντα κυρώσειεν, ἤτοι ἐν ἔτει τριακοσιοστῷ ἑξηκοστῷ πέμπτῳ. Τὸ αὐτό. Οἱ πρεσβεύοντες ἐξ Ἑῴας τὸ Ὁμοούσιον Οὐαλεντιανῷ προσῆλθον, Σύνοδον ἐν Λαμψάκῳ αἰτούμενοι κυρῶσαι τὰ ἐν Νικαίᾳ, ἤτοι ἐν ἔτει τριακοσιοστῷ ἑξηκοστῷ ἕκτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος κελεύσει Θεοδοσίου τοῦ μεγάλου συνῆλθε.

Μηδὲν δὲ ὁ Βασιλεὺς (Θεοδόσιος ὁ μέγας) ὑπερθέμενος, Σύνοδον Ἐπισκόπων τῆς αὐτοῦ πίστεως συγκαλεῖ ἐπὶ τὸ κρατῦναι τὴν ἐν Νικαίᾳ πίστιν, καὶ χειροτονῆσαι Κωνσταντινουπόλεως Ἐπίσκοπον. Σωκράτης βιβλίῳ πέμπτῳ κεφαλαίῳ ὀγδόῳ. καὶ ὁ Ἑρμείας. Ἐν τάχει τε καὶ Σύνοδον Ἐπισκόπων ὁμοδόξων αὐτῷ συνεκάλεσε, βεβαιότητός τε ἕνεκα τῶν ἐν Νικαίᾳ δοξάντων. βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἑβδόμῳ. Θεοδώριτος βιβλίῳ πέμπτῳ κεφαλαίῳ ἕκτῳ, Εὐθὺς δὴ οὖν τὴν Βασιλείαν παραλαβὼν, τῆς τῶν Ἐκκλησιῶν πρὸ τῶν ἄλλων συμφωνίας ἐπεμελήθη, καὶ τοὺς τῆς οἰκείας Ἡγεμονίας Ἐπισκό-

που,

πους εἰς τὴν Κωνσταντινούπολιν δραμεῖν παρεγγύησεν. Ὁ αὐτός. Τούτου δὴ ἕνεκα μόνης τῆς οἰκείας βασιλείας τοὺς Ἐπισκόπους εἰς τὴν Κωνσταντινούπολιν συναθροισθῆναι προσέταξε. βιβλίῳ πέμπτῳ κεφαλαίῳ ἑβδόμῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι ἡ τρίτη οἰκουμενικὴ Σύνοδος κελεύσει Θεοδοσίου τοῦ μικροῦ καὶ Οὐαλεντιανοῦ συνῆλθεν.

Οἱ Βασιλεῖς Θεοδόσιος καὶ Οὐαλεντιανὸς ἐν τῇ πρὸς Κύριλλον Σάκρᾳ περὶ τῆς τρίτης Συνόδου. Ἡμεῖς μέντοιγε συνταράσσεσθαι τὰς πόλεις καὶ τὰς Ἐκκλησίας οὐκ ἀνεξόμεθα, οὔτε μὴν ἀνεξετάστους εἶναι τοὺς λόγους, ὧν κριτὰς προκαθίσαι δεῖ τοὺς τῆς ἁπανταχοῦ προεστῶτας Ἱερωσύνης, καὶ δι' ὧν ἡμεῖς ἐγκρατέστεροι τῆς ἀληθινῆς δόξης ἐσμέν τε καὶ ἐσόμεθα. Καὶ, γέγραπται γὰρ τὰ ἴσα παρὰ τῆς ἡμετέρας γαληνότητος τοῖς θεοφιλεστάτοις Ἐπισκόποις τῶν ἁπανταχοῦ Μητροπόλεων περὶ τῆς πρότερον λεχθείσης ἁγιωτάτης Συνόδου, ὥστε τούτου γενομένου, τὴν ἐκ τῶν ἀμφισβητουμένων συμβαίνουσαν ταραχὴν κατὰ τοὺς ἐκκλησιαστικοὺς Κανόνας διαλυθῆναι. μέρει πρώτῳ τῆς τρίτης Συνόδου Παραγράφῳ εἰκοστῷ ὀγδόῳ. Οἱ αὐτοὶ Βασιλεῖς γράφουσι τῇ τρίτῃ Συνόδῳ, Ἀνεξικάκως δὲ τῶν λεγομένων ἕκαστον ἀκροώμενον προστιθέναι τὸ δοκοῦν, ἢ ἀντιτιθέναι, καὶ οὕτω κατὰ πρότασίν τε καὶ λύσιν τὴν περὶ τοῦ ἀληθοῦς δόγματος ἔρευναν δίχα τινὸς ταραχῆς διαλυθῆναι, καὶ κοινῇ τῆς ὑμετέρας ὁσιότητος ψήφῳ τὸν πᾶσιν ἀρέσκοντα τύπον λαβεῖν.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἡ τρίτη οἰκουμενικὴ Σύνοδος φησὶ θεσπίσματι τῶν Βασιλέων συνεληλυθέναι.

Ἡ Σύνοδος ἐν ταῖς ἀρχαῖς πασῶν τῶν πράξεων λέγει, Ἐκ θεσπίσματος τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων Βασιλέων. καὶ ἐν τῇ ἀρχῇ τῆς πρώτης πράξεως, Καὶ συγκεκρότηται ἐκ βασιλικοῦ νεύματος Σύνοδος οἰκουμενική. Καὶ πράξει τρίτῃ ἐπιστολῇ τῆς Συνόδου πρὸς τοὺς Βασιλεῖς. Ἡ ἁγία Σύνοδος ἡ χάριτι Χριστοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῇ Ἐφεσίων Μητροπόλει. Τὴν περὶ τὴν εὐσέβειαν ὑμῶν φροντίδα τε καὶ σπουδὴν φιλόχριστοι Βασιλεῖς ἀποδεξάμενος ὁ τῶν ὅλων Θεὸς, καὶ τῶν ἁγίων Ἐπισκόπων τῶν κατὰ Δύσιν τῷ ζήλῳ τὰς ψυχὰς ἀνεπτέρωσεν εἰς ἐκδίκησιν τοῦ ὑβρισμένου Χριστοῦ, εἰ γὰρ καὶ τὸ πλεῖστον τῆς ὁδοῦ διάστημα φθάσαι πρὸς ἡμᾶς εἶρξε τὸ πλῆθος ἐκεῖνο τῶν ἁγιωτάτων Ἐπισκόπων, ἀλλ' αὐτόθι συναχθέντες παρόντος καὶ τοῦ τῆς μεγάλης Ῥώμης ὁσιωτάτου καὶ θεοφιλεστάτου Ἐπισκόπου Κελεστίνου, καὶ νῦν τὸ ἡμέτερον φρόνημα τῆς πίστεως μετὰ πολλῆς ἀνεκήρυξαν τῆς συμφωνίας, καὶ τοὺς ἔξω τούτου φρονήσαντας ἀλλοτρίους εἶναι παντελῶς ὥρισαν παντὸς ἱερατικοῦ Κλήρου καὶ Βαθμοῦ. πράξει τρίτῃ. Καὶ, ταῦτα μὲν δὴ καὶ πρότερον καὶ ὁ τῆς μεγάλης Ῥώμης ἁγιώτατος Ἐπίσκοπος Κελεστῖνος πρὶν συλλεγῆναι τὴν ἁγιωτάτην ταύτην Σύνοδον διὰ τῶν ἑαυτοῦ γραμμάτων ἐμήνυσε. Καὶ, νῦν δὲ αὖθις καὶ δι' ἑτέρων γραμμάτων ταῦτα δῆλα τῇ ἁγίᾳ Συνόδῳ κατέστησεν, ἣν συναχθῆναι τὸ ὑμέτερον κράτος προσέταξεν, ἃ καὶ ἀπέστειλε διὰ τῶν ἁγιωτάτων Ἐπισκόπων Ἀρκαδίου καὶ Προϊέκτου καὶ τοῦ Πρεσβυτέρου Φιλίππου. ἐπεὶ οὖν οἱ ἄνδρες παραγενόμενοι τὴν γνώμην πάσης τῆς κατὰ Δύσιν Συνόδου φανερὰν τῇ ἐνταῦθα γενομένῃ Συνόδῳ πεποιήκασι διὰ τῶν γραμμάτων, σύμφωνόν τε ἡμῖν τὸ φρόνημα καὶ τῆς εὐσεβείας καὶ τῆς πίστεως ἔδειξαν, καὶ ἡμῖν ὁμόψηφοι διά τε τῶν ἐπιστολῶν καὶ τῶν ἐντεταλμένων αὐτοῖς, ἃ καὶ ἐγγράφως κατέθεντο, γεγένηνται, ἀναγκαίως καὶ τῆς αὐτῶν πρὸς ἡμᾶς συμφωνίας πράξαντες τὰ εἰκότα, ἐπὶ τὸ ὑμέτερον ἀνηνέγκαμεν κράτος, ὡς εἰδέναι ἔχῃ ἡ ὑμῶν εὐσέβεια ὅτι μία καὶ κοινὴ ψῆφος ἁπάσης οἰκουμένης ἡ παρ' ἡμῶν ἔναγχος ἐξενεχθεῖσα κρίσις γεγένηται, ἣν ἀναδιδαχθῆναι καὶ φανερὰν γενέσθαι ὁ περὶ τὴν πίστιν καὶ τὴν εὐσέβειαν ὑμῶν ζῆλος παρεσκεύασεν. ἴδε βιβλίου τρίτου κεφάλαιον δέκατον πέμπτον.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Μαρτυρία τοῦ τῆς Κωνσταντινουπόλεως Κλήρου περὶ τῶν αὐτῶν.

Καὶ ἐπιστολῇ τοῦ Κλήρου Κωνσταντινουπόλεως πρὸς τὴν ἁγίαν Σύνοδον. Τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις πατράσιν ἡμῶν, τοῖς ἀθροισθεῖσι κατὰ πρόσταγμα τῶν εὐσεβεστάτων Βασιλέων ἐκ τῆς ὑφ' Ἥλιον.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Μαρτυρία Εὐαγρίου ὡσαύτως.

Εὐά-

1000

Εὐάγριος βιβλίῳ πρώτῳ κεφαλαίῳ τρίτῳ φησίν, Εἰκότως ἐδέησε νόμων τῇ νέᾳ Θεοδοσίᾳ τὰ σκῆπτρα τῆς Ἑῴας διέποντι, πλὴν ἐν Ἐφέσῳ πρώτῃ Σύνοδον ἁλισθῆναι, γραμμάτων βασιλικῶν γενομένων τε Κύριλλον καὶ τοὺς ἁπανταχοῦ τῶν ἁγίων Ἐκκλησιῶν προεστηκότας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Μαρτυρία τῆς Συνοδικῆς ὁμοίως.

Καὶ ἐν τῇ Συνοδικῷ λέγεται, Ὅπερ θεωρῶν ὁ Βασιλεὺς ὁ μικρὸς Θεοδόσιος, ἐν Ἐφέσῳ τῶν διακοσίων μακαρίων πατέρων τρίτην Σύνοδον συγκροτηθῆναι ἐκέλευσε.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Μαρτυρία ἐκ τῶν Λέοντος Ῥώμης ἐπιστολῶν, ὅτι κελεύσει τοῦ Βασιλέως ἡ τρίτη Σύνοδος συνῆλθε.

Λέων ὁ Πάπας ἔγραψε Θεοδοσίῳ τῷ Βασιλεῖ περὶ τῆς ἐν Ἐφέσῳ ἁγίᾳ Διοσκόρου Συνόδου ταῦτα, Ἐπείπερ ἡ ὑμετέρα εὐσέβεια ἡ εἰς τιμὴν τοῦ Θεοῦ πλέον ὀλαβεστάτην καθολικὴν ἀλήθειαν ἀγαπῶσα, τετύπωκε συνοδικὸν κριτήριον, ὥστε τῷ ἀπείρῳ γέροντι πλὴν ἀλήθειαν περὶ ἣν μάλιστα διέσφαλται Φανερωποιηθῆναι, τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους Ἰούλιον τὸν Ἐπίσκοπον καὶ Ῥοδανὸν τὸν Πρεσβύτερον καὶ τὸν Διάκονον Ἴλαρον πέμπομεν, τὰ αὐτὰ καὶ τῇ Πουλχερίᾳ μέρει πρώτῳ κεφαλαίῳ πρώτῳ τῆς τετάρτης Συνόδου. Ὁ αὐτὸς τῇ αὐτῇ Συνόδῳ, Καὶ ὁ εὐσεβὴς δὲ καὶ φιλόχριστος Βασιλεὺς εὐσεβῶς ἅμα καὶ εὐλαβῶς ἔχων, πλὴν τῶν Ἐπισκόπων ἀθροισθῆναι Συνόδον ἠβουλήθη, ὥστε κρίσει τελεστέρᾳ δωρηθῆναι πᾶσαν ἀπαλείφεσθαι πλάνην, τοὺς ἀδελφοὺς ἡμῶν Ἰούλιον, Ῥοδανὸν καὶ Ἴλαρον ἀπεστείλαμεν, οἵτινες εἰς τάξιν ἐμὴν τῆς ἁγίας τῶν ὑμῶν ἀδελφότητος Συνόδῳ παρέσονται, καὶ τὰ τῇ κοινῇ μετ' ὑμῶν γνώμῃ τὰ κατὰ Θεὸν ἀρέσκοντα ψηφιοῦνται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι ἡ Ἐφέσῳ δευτέρα Συνόδος κελεύσει τοῦ Βασιλέως Θεοδοσίου συνῆλθε.

Θεοδόσιος ὁ Βασιλεὺς Διοσκόρῳ περὶ τῆς ἐν Ἐφέσῳ δευτέρας Συνόδου γράφει, Δι' ὧν δῆλον ποιεῖται τῇ σῇ θεοσεβείᾳ καὶ πάσῃ τῇ ἁγίᾳ Συνόδῳ, ὅπερ ἡμεῖς ἐπόμενοι τοῖς Κανόσι τῶν ἁγίων πατέρων, οὐ μόνων ἕνεκα Θεοδωρίτου, ἀλλὰ καὶ τῶν ἄλλων πάντων τῶν ἀνηκόντων τῇ νῦν ἀθροιζομένῃ ἁγίᾳ Συνόδῳ πλὴν αὐθεντίαν καὶ τὰ πρωτεῖα τῇ σῇ θεοσεβείᾳ παρέχομεν. Ὁ αὐτὸς τῇ Συνόδῳ, Ἐννοήσαντες ὅτι περ οὐκ ἔστιν ἀσφαλὲς παρεκτὸς τῆς ἁγίας ὑμῶν Συνόδου ἁλισθῆναι, γραμμάτων βασιλικῶν γενομένων τε Κύριλλον καὶ τοὺς ἁπανταχοῦ τῶν ἁγίων Ἐκκλησιῶν προεστηκότας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ὅτι καὶ τοῦ Βασιλέως ἡ αὐθεντία τοῖς Ἐπισκόποις τῆς αὐτῆς Συνόδου ἐδόθη.

Οἱ Ἄρχοντες ἔφον, οἱ Ἐπίσκοποι οἷς ἡ αὐθεντία τότε τῶν πραττομένων καὶ τῆς βασιλικῆς ἐδέδοτο κορυφῆς λεγέτωσαν Διατί ἡ ἐπιστολὴ τοῦ Λέοντος οὐκ ἀνεγνώσθη; καὶ μάλιστα διαλαλιᾶς γενομένης, καὶ κελευομένης αὐτὴν ἀναγνωσθῆναι. Ταῦτα πάντα πράξει πρώτῃ τῆς τετάρτης Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Ὅτι ὁ Διόσκορος τῆς Συνόδου θεσμίσματι τοῦ Βασιλέως ἐξῆρχεν.

Εὐάγριος γράφει, ὅτι Ἔξαρχος καθεστήκει Διόσκορος Θεοδοσίου θεσμίσματι, τῶν πρὶν δικασθέντων τῷ Εὐτυχεῖ παρόντων μὴ καὶ ἡσυχαζόντων, τάξιν δὲ δικασῶν μὴ ἐπεχόντων, ἀλλὰ τῶν κοινῶν πάντων τῶν ἁγιωτάτων πατέρων ἐπιμελόντων. ψῆφον. βιβλίῳ πρώτῳ κεφαλαίῳ δεκάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ιϛ΄.

Ὅτι Λέων ὁ Ῥώμης δέεται Μαρκιανοῦ, καὶ ἐν δακρυς Οὐαλεντιανῷ προσπίπτει περὶ ἀθροίσεως Συνόδου.

Ὁ Θεοφάνης. Ὅτι Λέων ὁ Πάπας Ῥώμης ἔγραψε Μαρκιανῷ αἰτῶν τὰ τολμηθέντα παρὰ Διοσκόρου καὶ Εὐτυχοῦς ἐν Ἐφέσῳ εἰς τὸν ἅγιον Φλαυϊανὸν, ζητηθῆναι ἐπὶ Οἰκουμενικῇ Συνόδῳ, καὶ ἐκέλευσεν ὁ Βασιλεὺς συναχθῆναι πάντας τοὺς Ἐπισκόπους. Καὶ, ὁ Πάπας Λέων πρόσεισι τῷ Βασιλεῖ Οὐαλεντιανῷ καὶ ταῖς Αὐγούσταις (Πλακιδίᾳ καὶ Εὐδοξίᾳ) μετὰ δακρύων αἰτῶν ἀποστεῖλαι ἐπιστολὰς τῷ Αὐτοκράτορι Θεοδοσίῳ γράψαι διόρθωσιν γενέσθαι τῶν ἐν Ἐφέσῳ ἀθέσμως ἐπὶ Διοσκόρου πεπραγμένων.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ΄.

Ὅτι ἐκ τῆς πρὸς τὸν Βασιλέα Θεοδόσιον ἱκετικῆς καὶ μετὰ δακρύων ἐπιστολῆς Λέοντος τοῦ Πάπα καὶ τῆς ἐν Ῥώμῃ Συνόδου, δείκνυνται οἱ Βασιλεῖς ἀθροισταὶ τῶν Συνόδων καὶ παποπροσκύνητοι.

Θεοδοσίῳ Αὐγούστῳ Λέων ὁ Πάπας καὶ ἡ ἐν Ῥώμῃ Σύνοδος. Παρακαλοῦμεν πάντα ἐν τῇ αὐτῇ καταστάσει εἶναι κελεύσατε ἐν ᾗ γεγόνασι πρὸ πάσης κρίσεως, ἕως ἂν ἐκ παντὸς τοῦ κόσμου μείζων ἀριθμὸς συναχθείη τῶν Ἐπισκόπων. Καὶ, ᾧτινι Μυστηρίῳ (τῆς ἐνανθρωπήσεως) ἐπειδὴ νῦν ἀσεβῶς ἀπὸ ὀλίγων ἀφρόνων ἐναντιοῦται, πάντων τῶν μερῶν ἡμῶν αἱ Ἐκκλησίαι πᾶσαι τῆς ὑμετέρας φιλανθρωπίας καταδέονται, καὶ ἐπειδὴ καὶ οἱ ἡμέτεροι πιστῶς ἀντειρήκασι, καὶ αὐτὸς ἐκεῖνος Φλαυϊανὸς ὁ Ἐπίσκοπος λίβελλον Ἐκκλήτου ἐπιδέδωκε, γενικὴν Σύνοδον κελεύσατε ἐν Ἰταλίᾳ συνελθεῖν, ἥτις πάντα τὰ προσκόμματα ἀποκινήσει καὶ καταπραΰνει, συνερχομένων δηλαδὴ καὶ τῶν κατὰ τὴν Ἀνατολὴν Ἐπαρχιῶν Ἐπισκόπων. Καὶ, ἐκδικήσατε κατέναντι τῶν Αἱρετικῶν τὸν ἀσάλευτον τῆς Ἐκκλησίας θεσμὸν, ἵνα καὶ τῆς ὑμετέρας βασιλείας τῇ δεξιᾷ τοῦ Χριστοῦ ἐκδικηθείη τὸ κράτος. Ὁ αὐτὸς τῷ αὐτῷ. Πᾶσαι αἱ Ἐκκλησίαι τῶν ἡμετέρων μερῶν καὶ πάντες οἱ Ἱερεῖς τὴν ὑμετέραν ἡμερότητα μετὰ δακρύων ἱκετεύουσι κατὰ τὴν αἴτησιν Φλαυϊανοῦ τοῦ Ἐπισκόπου ἰδικὴν Σύνοδον ἐν τοῖς τῆς Ἰταλίας ἐπιτελεσθῆναι. Καὶ, καὶ ταῦτα ἀναγκαίως παραφυλάξαι ὅσα ὁ ἐν Νικάᾳ Κανὼν παρακελεύεται, ὅσα ὁ Ὅρος ὁ ἀπὸ πάσης τῆς Οἰκουμένης τῶν Ἐπισκόπων κατὰ τὸ ἔθος τῆς καθολικῆς Ἐκκλησίας καὶ τῶν ἡμετέρων πατέρων ἐλευθέραν τὴν πίστιν. Καὶ, ἐπεὶ οὖν τὸ συνέδριον τῶν Ἐπισκόπων ὅπερ γενέσθαι προσετάξατε ἐν τῇ Ἐφεσίων αὐτὴν καταβλάπτει τὴν πίστιν, δέομαι γαληνότατε καὶ προσκυνητὲ Βασιλεῦ μετὰ τῶν σὺν ἐμοὶ Ἐπισκόπων ἵνα πάντα μείνωσιν ἀπραγῆ καθὼς καὶ πρὸ τῆς δίκης ἐτύγχανε, περιμείνωσι δὲ τὸ μεῖζον τῆς Συνόδου κριτήριον, ἐν ᾗ ὁ πᾶς ἀριθμὸς τῶν Ἐπισκόπων ἐκ πάσης τῆς Οἰκουμένης συνάγεται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ΄.

Ὅτι ἡ αὐθεντία τοῖς Πάπαις ἐν ταῖς Συνόδοις παρὰ τῶν Βασιλέων δίδοται.

Οὐαλεντιανὸς ὁ Βασιλεὺς Ῥώμης Θεοδοσίῳ Αὐτοκράτορι. Ἵνα ὁ προλεχθεὶς Ἱερεὺς, συναχθέντων ἐκ πάσης τῆς Οἰκουμένης καὶ τῶν λοιπῶν Ἱερέων ἐντὸς Ἰταλίας, παντὸς προκρίματος ἀποκινηθέντος, ἐξυπαρχῆς τὴν γραφομένην αἰτίαν πεφροντισμένῃ δοκιμασίᾳ διαγνοὺς, ἐξοίσῃ τὴν ἀπόφασιν, ἥντινα πίστιν καὶ ὁ τῆς ἀληθείας λόγος ἀπαιτεῖ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ΄.

Ὀδυρμὸς Λέοντος Πάπα πρὸς τοὺς Βασιλεῖς περὶ ἀθροίσεως Συνόδου.

Πλακιδία ἡ μήτηρ Οὐαλεντιανοῦ καὶ ἀδελφὴ Θεοδοσίου τῷ Θεοδοσίῳ ἀπὸ Ῥώμης γράφει, Ἐν τῷ αὐτῷ προσκυνητῷ Θυσιαστηρίῳ τοῦ Ἀποστόλου Πέτρου ὁ εὐλαβέστατος Ἐπίσκοπος Λέων ὀλίγον ἐπισχὼν ἑαυτὸν ἀπὸ τῆς εὐχῆς, ἕνεκα τῆς καθολικῆς πίστεως πρὸς ἡμᾶς ἐπωδύρετο, περιεστοιχισμένος τε πλήθει Ἐπισκόπων, οὕστινας ἀπὸ ἀναριθμήτων πόλεων ἐν τῇ Ἰταλίᾳ συνήγαγεν ἀπὸ τῆς ἀρχῆς τοῦ ἰδίου τόπου, καὶ τοῖς ῥήμασι συνάπτων τὰ δάκρυα, εἰς κοινωνίαν τῶν ἰδίων θρήνων καὶ τὰς ἡμετέρας οἰμωγὰς ἐξεκαλεῖτο. Καὶ, διὰ τὸ λίβελλον στεῖλαι πρὸς τὸν ἀποστολικὸν θρόνον καὶ πρὸς πάντας τοὺς Ἐπισκόπους τῶν μερῶν τούτων. τὰ αὐτὰ καὶ ἡ Βασιλὶς Εὐδοξία.

Παρά-

ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΓΕΛΟΥ Ν. ΠΑΠΑΚΩΣΤΑ

ΠΑΡΑΓΡΑΦΟΝ Κ'.

Ἀπαραγόρευσις Θεοδοσίου Βασιλέως εἰς τὴν δέησιν τοῦ Λέοντος Πάπα περὶ Συνόδου.

Ὁ Θεοδόσιος ἀπαγορεύων τὴν αἴτησιν τοῦ Πάπα καὶ τῶν δυτικῶν Ἐπισκόπων, ἀποκρινόμενος τῷ Οὐαλεντιανῷ γράφει, Ἐπειδὴ τινὰς ἔγνωμεν τὰς ἁγιωτάτας Ἐκκλησίας ἐπιβλαβεῖ καινισμῷ θορυβεῖν, Σύνοδον ὡρίσαμεν ἐν Ἐφέσῳ γενέσθαι, δηλαδὴ παρουσίᾳ τῶν εὐλαβεστάτων Ἐπισκόπων μετὰ πολλῆς ἐλευθερίας καὶ ὁλοκλήρου ἀληθείας, καὶ οἱ ἀνάξιοι τῆς Ἱερωσύνης ἀπεκινήθησαν, καὶ οἱ κριθέντες ἄξιοι προσεδέχθησαν. Ὁ αὐτὸς τῇ Εὐδοξίᾳ. Καὶ οὐδὲν ἕτερον τοῦ λοιποῦ μετὰ ταῦτα δυνατὸν ὁρίσαι περὶ τῶν ἅπαξ ἤδη τετυπωμένων. ἴδε καὶ ἀνωτέρω βιβλίου τρίτου κεφαλαίῳ ἐσχάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Ἔνδοσις καὶ αὐθεντία πρὸς τὸν Ῥώμης παρὰ τοῦ Βασιλέως Μαρκιανοῦ περὶ ἀθροίσεως Συνόδου.

Ἀποθανόντος τοῦ Θεοδοσίου, συγχωρεῖ τὴν Σύνοδον ὁ Μαρκιανὸς, περὶ οὗ φησὶ Θεόδωρος ὁ Ἀναγνώστης, Μαρκιανὸς καὶ Πουλχερία ἔγραψαν Λέοντι τῷ Πάπᾳ Ῥώμης, πᾶσαν αὐθεντίαν παρέχοντες. ἔγραψε δὲ ὁ Βασιλεὺς καὶ τοῖς κατὰ τόπον Ἐπισκόποις.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΒ'.

Διατὶ Λέων καὶ Ἀνατόλιος Ἔξαρχοι τῆς τετάρτης Συνόδου.

Ὁ Ζωναρᾶς, Λέων ὁ Ῥώμης, καὶ Ἀνατόλιος ὁ Κωνσταντινουπόλεως ᾐτήσαντο Θεοδόσιον μὴ μεῖναι ἀνεξέταστα τὰ κατὰ τὸν Ἀλεξανδρείας Διόσκορον καὶ Εὐτυχῆ, καὶ ὅσα παρ' αὐτῶν ἐτολμήθησαν εἰς Φλαυϊανόν. ὅθεν ἐν τῇ τετάρτῃ πράξει τῆς Συνόδου λέγεται, ὅτι Λέων καὶ Ἀνατόλιος ἦσαν Ἔξαρχοι τῆς Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΓ'.

Ὅτι κελεύσει τῶν Βασιλέων ἡ ἄθροισις τῶν Ἐπισκόπων καὶ ὁ τόπος τῆς Συνόδου ὁρίζεται.

Οὐαλεντιανὸς καὶ Μαρκιανὸς ἐν τῇ πρὸς τὸν Πάπαν Λέοντα Σάκρᾳ. Ὥστε πάσης ἀσεβοῦς πλάνης ἀποκινηθείσης διὰ τῆς συγκροτηθείσης ταύτης Συνόδου, σοῦ αὐθεντοῦντος, μεγίστη εἰρήνη περὶ πάντας τοὺς Ἐπισκόπους τῆς καθολικῆς πίστεως ὑπαρχθείη. Μαρκιανὸς Λέοντι τῷ Πάπᾳ. Εἰ δὲ ἐπαχθὲς τοῦτο ἐστὶ, τὸ σὲ πρὸς ταῦτα παραγενέσθαι τὰ μέρη, τοῦτο αὐτὸ ἡμῖν ἰδίοις καταμηνύσει γράμμασιν ἡ σὴ ἁγιωσύνη, ὥστε πρὸς ἅπασαν τὴν Ἀνατολὴν καὶ τὴν Θρᾴκην καὶ τὸ Ἰλλυρικὸν θεῖαι ἡμέτεραι ἀποσταλήσονται προσφωνήσεις, ὥστε πρός τινα ὡρισμένον τόπον, ἔνθα ἂν ἡμῖν δόξῃ, πάντες οἱ ἁγιώτατοι Ἐπίσκοποι παραγένωνται. τὰ αὐτὰ καὶ ἡ Πουλχερία.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΔ'.

Ὅτι κατὰ Λέοντα Ῥώμης βουλῇ τῶν Βασιλέων αἱ Σύνοδοι ἀθροίζονται.

Λέων ὁ Πάπας τῇ Συνόδῳ. Δίκαιον καὶ πλῆρες εὐσεβείας ὑπάρχει τοῦ γαληνοτάτου Βασιλέως τὸ βούλημα, δι' οὗ τὴν ἁγίαν ὑμῶν ἀδελφότητα πρὸς ἀνατροπὴν μὲν τῶν ἐπιβουλῶν τοῦ Διαβόλου, τῆς δὲ ἐκκλησιαστικῆς εἰρήνης ἀνάκτησιν συνελθεῖν ἠβουλήθη.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΕ'.

Ὅτι τὸ μετάγειν ἀπὸ τόπου εἰς τόπον Σύνοδον, Βασιλέως, ὡς καὶ τὸ ἀθροίζειν, ἡ δὲ ἀπόφασις, ἢ καὶ ὁ Βασιλεὺς στέργει, τῆς Συνόδου.

Οἱ Βασιλεῖς τῇ Συνόδῳ ἐν Νικαίᾳ τὸ πρῶτον συναθροισθείσῃ γράφουσιν, Ἔγνωμεν ὑφορᾶσθαι τὴν ὑμετέραν ὁσιότητα, μὴ τυχὸν τινὲς τῶν τὰ Εὐτυχοῦς φρονούντων, ἢ ἕτερός τις στάσιν ἢ θόρυβόν τινα κατασκευάζειν ἐπιχειρήσουσι, τούτου ἕνεκα δηλοῦμεν ὑμῖν, ὥστε τὴν προειρημένην αἰτίαν μηδ' ὅλως εὐλαβουμένους

βαμβύκης εἰς τὴν Χαλκηδονέων συναγενέσθαι πόλιν. Ὁ Αὐτοκράτωρ Μαρκιανὸς ἀποκριθεὶς εἰς τὸν λίβελλον Καρόσου καὶ Δωροθέου εἶπον, Εἰ ἠθέλον ἐγὼ καθεζῶναι ἀναμέσον ὑμῶν καὶ τῶν ἄλλων μοναχῶν, καὶ διακόσαι μεταξὺ ἀμφοτέρων ὑμῶν, οὐκ ἂν τὴν ἁγίαν καὶ Οἰκουμενικὴν Συνόδον ἔσκυλα ἐνταῦθα, ἀλλὰ διὰ τὸν συναγομένων αὐτῶν καὶ δηλωσάντων ἡμῖν περὶ ὑμῶν, εἶπον συναγενέσθαι ὑμᾶς, καὶ ἅπερ μὴ οἴδατε γνῶναι, καὶ ἐρωτήσαντας ἃ οὐκ οἴδατε μαθεῖν παρ' αὐτῶν. δίκαιον ἦν ἐκείναμεν ἀπελθεῖν ὑμᾶς εἰς τὴν Συνόδον. ἵνα γὰρ τοῦτο εἴδητε, ὅτι ἐλή δ' ἂν τυπώσῃ ἡ ἁγία καὶ οἰκουμενικὴ Σύνοδος, τῷ ἐπιθῶμοι ἐγχάφως, τούτοις στοιχῶ, τούτοις στέργω, τούτοις πιστεύω. ταῦτα τοῦτο ἔχετε, καὶ ἄλλην ἀπόκρισιν παρ' ἐμοῦ οὐ λαμβάνετε. πράξει τεταρτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Κς'.

Ὅτι κατὰ τὸ ὅρον, καὶ τὸ συνοδικὸν τῆς τετάρτης Συνόδου, θεσπίσματι τῶν Βασιλέων αἱ Σύνοδοι ἀθροίζονται.

Ἡ Σύνοδος ἐν τῷ Ὄρῳ. Ἡ ἁγία καὶ μεγάλη καὶ Οἰκουμενικὴ Σύνοδος, ἡ κατὰ Θεοῦ χάριν καὶ θέσπισμα τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων ἡμῶν Βασιλέων Μαρκιανοῦ καὶ Οὐαλεντιανοῦ Αὐγούστων συναχθεῖσα, ᾤρισε τὰ ὑποτεταγμένα. Καὶ, ὁ Δεσπότης Χριστὸς συνοικοδομῶν τὸ ἀνθρώπινον γένος, τὸν δυσεβῆ τοῦτον καὶ πικρότατον τῆς ζιζανίου ἀνέσπασε Βασιλέα, καὶ τοὺς ἀπανταχοῦ τῆς Ἱερωσύνης εἰς ἑαυτὸν Ἀρχηγοὺς συνεκάλεσεν. Ἡ αὐτὴ ἐν τῷ τῶν Μαρκιανῶν συνοφωνητικῷ. Ἦν ὄντως καὶ τοῦτο τῆς ὑμετέρας Βασιλείας ἐπάξιον, τῆς τῶν ὑποκόων ἐκ τῶν τῷ Θεῷ συνοικούντων ἐπιμελείας κατάρχεσθαι, καὶ πρῶτον ἐξ εὐσεβείας κατὰ τοῦ Διαβόλου συγκροτῆσαι Στρατόπεδον.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΖ'.

Ὅτι κατὰ τὸν τῶν ἁπάντων Ἐπισκόπων καὶ πατέρας ἐγκύκλιος ἐπιστολὴ Λέοντος Βασιλέως, καὶ τὸ Συνοδικὸν, ἡ κατὰ τῶν Αἱρετικῶν ἀπόφασις ἐκ τῆς κοινότητος αὐτεῖται, καὶ ἀθροισαὶ Συνόδων οἱ Βασιλεῖς δείκνυνται.

Εὐάγελος βιβλίῳ δευτέρῳ κεφαλαίῳ δευτέρῳ περὶ Πρωτερίου καὶ Τιμοθέου Ἀλεξανδρείας. Ἐγκυκλίοις δὲ χρῆται γράμμασι (Λέων ὁ Βασιλεὺς) τῶν ἀνὰ τὴν ῥωμαϊκὴν πολιτείαν Ἐπισκόπων, πωθανόμενος, καὶ τῶν ἐν τῇ μοναδικῇ ἀσπρεπόντων βίῳ περὶ τῆς ἐν Χαλκηδόνι Συνόδου καὶ τῆς Τιμοθέου τῶν πίκλων Αἰλούρου χειροτονίας ἀποπεμψάμενος. Ἄρχεται δὲ τὰ ἐγκύκλια τούτοις τοῖς ῥήμασιν, Ἴσον θείου γράμματος τοῦ εὐσεβεστάτου Βασιλέως Λέοντος, πεμφθέντος Ἀναστασίῳ Ἐπισκόπῳ Κωνσταντινουπόλεως καὶ τοῖς κατὰ τὴν οἰκουμένην ἅπασαν Μητροπολίταις καὶ λοιποῖς Ἐπισκόποις. καὶ ἴδε αὐτέρω βιβλίου τεταρτου κεφάλαιον ἕβδομον. Καὶ τὸ Συνοδικὸν περὶ τῶν αὐτῶν καὶ τοῦ Διοσκόρου φησὶ, Θείαν καὶ ἱερὰν ἐν Θεσσαλονίκῃ Σύνοδον ἀθροισθῆναι ὑπὸ Εὐδοξίου τοῦ αὐτῆς Ἐπισκόπου ἐθέσπισεν, ἤτοι ὁ αὐτὸς Λέων, ἐν ἔτει τετρακοσιοστῷ πεντηκοστῷ τρίτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΗ'.

Ὅτι ἡ περὶ Στεφάνου Ἀντιοχείας Συνόδου κελεύσει τοῦ Βασιλέως Ζήνωνος συνῆλθε, καὶ ἡ ἐν Ῥώμῃ περὶ Συμμάχου καὶ Λαυρεντίου συναγωγὴ Θεοδωρίχου.

Φησὶν ὁ Θεοφάνης, ὅτι ὁ Ἀντιοχείας Στέφανος κοινῇ ψήφῳ ψηφισθεὶς εἰς Ἀντιόχειαν, κατηγορήθη ὡς Νεστοριανὸς ὑπὸ τῶν τοῦ Κναφέως φίλων, ἀλλὰ Συνόδου Ἀναπλικῶν εἰς Λαοδίκειαν συνελθοῦσα συναγωγὴ τοῦ Βασιλέως Ζήνωνος, αὐθέντου τῇ θρόνῳ ἀποκατέστησε. Καὶ τὸ Συνοδικὸν περὶ τῆς αὐτῆς αἰτίας φησὶ περὶ τοῦ αὐτοῦ Ζήνωνος, ὅτι ὁ Ἀντιοχείας Στέφανος Συνόδου ἁγίαν συναθροισθῆναι συνέταξον, ἤτοι τῷ ἔτει τετρακοσιοστῷ πεντηκοστῷ τρίτῳ. Ὁ αὐτὸς Θεοφάνης. Γενομένου Χίσματος Λαυρεντίου καὶ Συμμάχου, Θεοδώριχος ὁ Ἄρειος Ῥώμης κρατῶν, Σύνοδον κρατήσας, ἐβεβαίωσεν (Ἐπίσκοπον Ῥώμης) τὸν Σύμμαχον, τῷ δὲ Λαυρεντίῳ ἔδωκε Νωκέριαν, ὃν ὕστερον Συμμάχῳ σάσας ποιοῦντα ἐξώρισε.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΘ'.

Ὅτι ἡ ἐν Τύρῳ Σύνοδος κελεύσει Ἀναστασίου Βασιλέως συνῆλθεν.

Ὁ Βασιλεὺς Ἀναστάσιος ἐν Τύρῳ Σύνοδον ἤθροισεν, ἐν ᾗ καὶ Φλαυϊανὸς Ἀντιοχείας καὶ Ἡλίας Ἱεροσολύμων ἦσαν, καὶ ἴδε αὐτέρω βιβλίου τεταρτου κεφάλαιον δέκατον τρίτον.

ΠΑΡΑ-

ΠΑΡΑ΄ΓΡΑΦΟΝ Λ΄.

Ὅτι ἡ πέμπτη Σύνοδος κελεύσει Ἰουστινιανοῦ Βασιλέως συνῆλθε.

Βιγιλίου Ἡγουμένου Ῥώμης, Εὐτυχίου Κωνσταντινουπόλεως, Ἀλεξανδρείας Ἀπολιναρίου, Ἀντιοχείας Δομνίνου καὶ Εὐστοχίου Ἱεροσολύμων, τὴν πέμπτην μεταπέμπεται Σύνοδον ὁ Ἰουστινιανὸς ἐξ αἰτίας τοιᾶσδε. Εὐάγριος βιβλίῳ δευτέρῳ κεφαλαίῳ τριακοστῷ πρώτῳ.

ΠΑΡΑ΄ΓΡΑΦΟΝ ΛΑ΄.

Ὅτι ἐκ τῆς πρὸς τὴν Σύνοδον Σάκρας αὐτοῦ ὁ Ἰουστινιανὸς, δείκνυται ἀθροιστὴς αὐτῆς, ἡ δὲ ἀπόφασις μετὰ μαρτυριῶν τῆς Συνόδου.

Ἰουστινιανὸς ἐν τῇ πρὸς τὴν Σύνοδον Σάκρᾳ. Τοῖς μακαριωτάτοις Ἐπισκόποις καὶ Πατριάρχαις Εὐτυχίῳ Κωνσταντινουπόλεως, Ἀπολιναρίῳ Ἀλεξανδρείας, Δομνίνῳ Θεουπόλεως, Στεφάνῳ, Γεωργίῳ καὶ Δαμιανῷ Ἐπισκόποις, Εὐστοχίῳ τῷ μακαριωτάτῳ Ἀρχιεπισκόπῳ Ἱεροσολύμων καὶ Πατριάρχῃ, καὶ τῇ λοιπῇ ἁγίᾳ Συνόδῳ. πράξει πρώτῃ. Ὁ αὐτὸς τῇ αὐτῇ. Διὰ ταῦτα οὖν τὰ πονηρὰ καὶ ὀλέθρια δόγματα, μᾶλλον δὲ ληρήματα προτρέπομεν τοὺς ὁσιωτάτους ὑμᾶς εἰς ἐνσυνηγμένους ἐπιμελῶς ἐντυχεῖν τῇ ὑποτεταγμένῃ Ἐκθέσει, καὶ ἕκαστον τῶν αὐτῆς κεφαλαίων κατακρῖναι καὶ ἀναθεματίσαι. Ὁ αὐτός. Ἅπαντι τῷ πληρώματι τῆς καθολικῆς Ἐκκλησίας, ἐν ᾧ Γρηγόριον, Βασίλειον, Νύσσης, Κύριλλον, Δάμασον, Ἀθανάσιον, Βασίλειον, Ἀπολινάριον, Λέοντα φέρει μάρτυρας.

ΠΑΡΑ΄ΓΡΑΦΟΝ ΛΒ΄.

Ὅτι κατὰ τὸ Συνοδικὸν καὶ τὸν Εὐάγριον τὴν πέμπτην Σύνοδον ὁ Ἰουστινιανὸς ἤθροισε.

Καὶ τὸ Συνοδικὸν λέγει, Ἰουστινιανὸς ὁ Βασιλεὺς ὁ φιλόχριστος θεωρῶν τῶν κακοδόξων πολλὴν ἀναῤῥιπιζομένην σκοτόμαιναν, Σύνοδον ἁγίαν καὶ Οἰκουμενικὴν πέμπτην ἐν Κωνσταντινουπόλει κροτηθῆναι ἐκέλευσεν. Εὐάγριος βιβλίῳ τετάρτῳ κεφαλαίῳ τριακοστῷ ὀγδόῳ φησὶν, ὅτι τὴν πέμπτην μεταπέμπεται Σύνοδον ὁ Ἰουστινιανός.

ΠΑΡΑ΄ΓΡΑΦΟΝ ΛΓ΄.

Ὅτι κατὰ τὰς πρὸς τὸν Ῥώμης καὶ Κωνσταντινουπόλεως Σάκρας Κωνσταντίνου τοῦ Πωγωνάτου, τῇ αὐτοῦ κελεύσει καὶ δαπάναις καὶ Λεγᾶτοι ἦλθον τοῦ Ῥώμης καὶ ἡ Σύνοδος ἠθροίσθη.

Ὁ Βασιλεὺς Κωσταντῖνος ὁ Πωγωνᾶτος ἐν τῇ πρὸς τὸν Πάπαν Σάκρᾳ. Προτρέπομεν τὴν ὑμετέραν πατρικὴν μακαριότητα διὰ τῆς παρούσης ἡμῶν εὐσεβοῦς Σάκρας στεῖλαι ἄνδρας χρησίμους καὶ ἐπιεικεῖς. Καὶ, ὅτι ἐκέλευσε Θεοδώρῳ τῷ Ἐξάρχῳ δοῦναι δαπάνας καὶ πλοῖα τοῦ ἐλθεῖν. Ὁ αὐτὸς τῷ Κωνσταντινουπόλεως. Ἀναγκαῖον ἐκρίναμεν τῇ παρούσῃ ἡμῶν πρὸς τὴν ὑμετέραν πατρικὴν ἁγιωσύνην Σάκρᾳ, δι' ἧς προτρέπομεν αὐτὴν συναθροῖσαι τὴν πατρικὴν ὑμῶν μακαριότητα πάντας τοὺς ὑπὸ τὸν ἁγιώτατον αὐτῆς θρόνον τυγχάνοντας ἱερωτάτους Μητροπολίτας καὶ Ἐπισκόπους κατὰ ταύτην τὴν Βασιλίδα.

ΠΑΡΑ΄ΓΡΑΦΟΝ ΛΔ΄.

Ὅτι πρὸς τοῦ θρόνου Ῥώμης τοῦ βασιλικοῦ δούλου οἱ Λεγᾶτοι εἶπον πεμφθῆναι εἰς τὴν Σύνοδον.

Εἶπον οἱ Λεγᾶτοι τοῦ Πάπα πρὸς τὸν Βασιλέα, Πανάγαθε Δέσποτα κατὰ τὴν δοθεῖσαν Σάκραν ἐκ τοῦ θεοσόφου ὑμῶν κράτους πρὸς τὸν ἁγιώτατον ἡμῶν Πάπαν ἀπεστάλημεν παρ' αὐτοῦ πρὸς τὰ πανευσεβῆ ἴχνη τῆς θεοστηρίκτου ὑμῶν γαλήνης μετὰ καὶ ἀναφορᾶς αὐτοῦ. πράξει πρώτῃ. Καὶ, εἰ πολλάκις τοῦ δουλικοῦ ὑμῶν καθ' ἡμᾶς ἀποστολικοῦ θρόνου περὶ τούτου ὑποκρούσαντος, εἶτα δὲ καὶ παρακαλέσαντος, καὶ μὴ δυνηθέντος.

ΠΑΡΑ΄-

ΠΑΡΑΓΡΑΦΟΝ ΛΕ'.

Ὅτι κατὰ τὴν πρὸς τὸν Βασιλέα Πωγωνᾶτον ἀναφορὰν τοῦ Πάπα Ἀγάθωνος, δείκνυται τὸν Ἀγάθωνα τῇ πρεσβείᾳ τοῦ Βασιλέως πέμψαι εἰς τὴν Συνοδον λεγάτους, ὑποκαλοῦντα ἑαυτὸν καὶ τοὺς αὐτοῦ Ἐπισκόπους δούλους τοῦ Βασιλέως.

Ὁ Κωνσταντινουπόλεως. Αἰτοῦμαι τὴν ὑμετέραν θεόσοφον γαλήνην, ἵνα ἀναγνωσθῶσιν αἱ ἀναφοραὶ τοῦ Πάπα καὶ τῆς Συνόδου αὐτοῦ. Τοῖς εὐσεβεσάτοις Δεσπόταις Κωνσταντίνῳ μεγάλῳ Βασιλεῖ, Ἡρακλείῳ καὶ Τιβερίῳ Αὐγούστοις Ἀγάθων. Ἂς ἵνας χεραὶς ἡ χάρις τοῦ ἁγίου Πνεύματος τῇ καλάμῃ τῆς βασιλικῆς γλώττης ἐκ τοῦ καθαροῦ τῆς καρδίας θησαυροῦ ὑπηγόρδυσε. Καὶ, τὰ ἤδη διὰ τῆς Σάκρας ὑμῶν πρεσταχθέντα ἐνεργεῖ πρόθυμον ὑπουργίαν παρεσχεῖν, καὶ τινὰ πρόσωπα, εἴτε τὴν τοῦ κήρυκος τάξιν ἀτονίαν καὶ τῆς δυσικῆς ὑμῶν χώρας ποιότητα πεύσαντο δύρεσθῆναι ἕνεκεν πληροφορίας ὑπακοῆς ἐπεζήτουν, καὶ μετὰ βυλῆς τῶν σωδέλλων μου τῶν Ἐπισκόπων ἀπό τε τῆς πλησιαζούσης τάξεως τῷ ἀποστολικῷ θρόνῳ Συνόδου, εἶτα δὲ καὶ ἀπὸ τοῦ δυσικοῦ Κλήρου τοῦ φιλοῦντος τὸ ὑμέτερον χριστιανικώτατον κράτος, καὶ ἀκολούθως ἀπὸ τῶν θεοσεβεσάτων δούλων τοῦ θεοῦ ὑπὸ τῷ στόμα σαι σῷζε τὰ ἴχνη τῆς εὐσεβοῦς ὑμῶν γαληνότητος. Καὶ, καὶ διὰ τοῦτο χριστιανικώτατοι Δεσπόται καὶ τέκνα κατὰ τὴν εὐσεβεσάτην κέλευσιν τῆς θεοσκεπάστου ὑμῶν ἡμερότητος ἔνεκον ὑπακοῆς ἧς ὀφείλομεν, οὐκ ἕνεκον παῤῥησίας πέμπομεν τοὺς παρόντας σωδούλους ἡμῶν Ἀβδαΐλιον, Ἰωάννην καὶ Ἰωάννην. Καὶ, ὑπὲρ ὧν γονυπετοῦντες τῇ διανοίᾳ ἱκετικῶς τὴν ὑμετέραν φιλανθρωπίαν δυσωποῦμεν, ἵνα κατὰ τὴν σεβασμίαν τῆς βασιλικῆς Σάκρας ὑπόσχεσιν ὑποδοχῆς αὐτοὺς ἀξιώσῃ ἡ χρισομίμητος ὑμῶν γαλήνότης, καὶ εὐμενεῖς τὰς ἀκοὰς ὑμῶν τοῖς μετρίοις αὐτῶν ἀναφοραῖς χαρίσασθαι καταξιώσῃ.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΣ'.

Ὅτι κατὰ τὴν πρὸς τοὺς Βασιλεῖς ἀναφορὰν τῆς ἐν Ῥώμῃ Συνόδου, Δεσπόται οἱ Βασιλεῖς αὐτῆς καὶ τοῦ Ἀγάθωνος Ῥώμης.

Ἡ τότε ἐν Ῥώμῃ Σύνοδος. Τοῖς εὐσεβεσάτοις Δεσπόταις. Ἡμεῖς πάντες οἱ ἐλάχιστοι τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ πρέσβεις τοῦ χρισιανικωτάτου ὑμῶν κράτους. Ἡ ΥΠΟΓΡΑΦΗ. Ἀγάθων Ἐπίσκοπος τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας πόλεως Ῥώμης, πάντες οἱ Ἐπίσκοποι ἐν ταύτῃ τῇ ἀναφορᾷ ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΖ'.

Ὅτι κατὰ τὸν ὅρον τῆς ἁγίας Συνόδου, καὶ τὸν πρὸς τὸν Βασιλέα συνφωνητικὸν, μόνος ὁ Βασιλεὺς αἱρετὴς αὐτῆς δείκνυται, καὶ τῷ Θεῷ σύμψηφος, καὶ ταῖς ἀποστολικαῖς καὶ πατερικαῖς παραδόσεσιν ἡ Σύνοδος καὶ ὁ Πάπας ἀκόλουθοι.

Ἡ Οἰκουμενικὴ ἕκτη Συνόδος λέγει ἐν τῷ Ὅρῳ αὐτῆς, Ἡ ἁγία καὶ μεγάλη καὶ Οἰκουμενικὴ Σύνοδος, ἡ κατὰ Θεὸν χάριν καὶ παυδοσεβὲς θέσπισμα τοῦ δυσεβεσάτου καὶ πιστοτάτου Βασιλέως μεγάλης Κωνσταντίνου συναχθεῖσα. Ἐγκώμια τοῦ ἀθροίσαντος τὴν Συνόδον Βασιλέως, καὶ ὅτι ἐξηκολούθησε ταῖς πρώτοις Συνόδοις καὶ τοῖς ἐγκρίτοις πατράσιν. Εἶτα τὰ Σύμβολα, ἐν οἷς δέχεται τὰς ἀναφορὰς Ἀγάθωνος καὶ τῆς Συνόδου αὐτοῦ ὡς συμφωνούσας τῇ ἐν Χαλκηδόνι Συνόδῳ, καὶ τῷ τόμῳ Λέοντος, καὶ ταῖς ἀποστολικαῖς Κυρίλλου, καὶ ταῖς πρώτοις Οἰκουμενικαῖς Συνόδοις. Εἶτα φησὶν, Τούτων τοίνυν μετὰ πάσης παντὸς ἐπιμελείας ἀκριβείαστε καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων, ὁρίζομεν ἑτέραν πίστιν, καὶ τὰ ἑξῆς. Προσφωνητικὸς πρὸς τὸν Βασιλέα, ἐν ᾧ μεγάλῃ ἔπαινος αὐτοῦ. Καὶ, τοῖς θείαις ὑμῶν προσταξεσιν ἑξόντες, καὶ τούτων οὕτως ἐχόντων, ἀναγκαῖον ἐτύγχανε καὶ τὴν ὑμετέραν φιλόχριστον ἡμερότητα τὴν πανιέρου ταύτην καὶ πολυανθρώπου συναγείρειν ὁμήγυριν, ὡς ἔφερες γὰρ θεοτίμητε Δέσποτα τὴν ἔναγχος ὑφανθεῖσαν τῆς ψευδοδιδασκαλίας ὕπνουαν τὸν τῆς ὀρθοδοξίας χιτῶνα μέχρι ποδὸς καθορᾶν περιχίζασαν, ἀλλ' ὡς δι' ὀργάνων τοῦ λόγου τὸ Πνεύματος δι' ἡμῶν τὸ διερρῶγος ἐξανύφανας, καὶ τῇ ὁλοκληρίᾳ συνήρμοσας, καὶ δὴ καὶ τῇ συμπνοίᾳ τοῦ παναγίου συμπνεύσαντος Πνεύματος, ἀλλήλοις τε πάντες ὁμονοήσαντες καὶ ὁμοφωνήσαντες, καὶ τοῖς Ἁγίοις τοῦ μακαριωτάτου πατρὸς ἡμῶν καὶ κορυφαιοτάτου Πάπα δογματικοῖς πρὸς τὸ ὑμέτερον κράτος ὁμοφωνήσαντες γράμμασι, τῇ τῆς ἐν αὐτῷ ἁγίας Συνόδου τῶν ἑκατὸν πεντηκοσιπεντε ἀναφορᾷ συναινέσαντες, εἶτα τῆς ἁγίας Τριάδος, καὶ τὰ ἑξῆς. Ἔπειτα φησὶν, Καὶ μή τινες ἴσως ὑπεμεμφέθησαν τῆς τε τοῦ παναγ-

παναγίου Πάπα θείας παραζηλώσεως, τῆς τε παρούσης ἀγγελικῆς συνελεύσεως, ἡμεῖς τε γὰρ ταῖς ἐκείνου καὶ πρὸ ἡμῶν καὶ σὺν ἡμῖν ἐκεῖνος ἀποστολικαῖς τε καὶ πατρικαῖς ἀκολουθήσαντες παραδόσεσι, καὶ οὐδὲν ἀπᾷδόν τε καὶ ἀσύμφωνον τῆς αὐτῶν στοιχειώσεως ἐφηυράμεθα. Καὶ, χάρτης καὶ μέλαν ἐφαίνετο, καὶ δι' Ἀγάθωνος ὁ Πέτρος ἐφθέγγετο. Καὶ, τῷ συμβουλεύοντι Παντοκράτορι Βασιλεὺς Αὐτοκράτωρ συνεψηφίζου σὺ θεοψήφιστε.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΗ'.

Ὅτι κατὰ τὸ Ἤδικτον καὶ τὴν μετὰ Ἀγάθωνα πρὸς Λέοντα ἐπιστολὴν τοῦ Πωγωνάτου, δείκνυνται οἱ Βασιλεῖς ἀθροισταὶ τῶν Συνόδων, καὶ αἱ Σύνοδοι κριταὶ τῶν εἰς ἐξέτασιν προκειμένων καὶ τῶν παπικῶν γραμμάτων, καὶ οἱ Πατριάρχαι τῷ Ῥώμης σύνθρονοι.

Ὁ Βασιλεὺς ἐν τῷ Ἤδικτῳ. Ἀλλ' ἡμεῖς τοῖς ἄνωθεν εὐσεβῶς τε καὶ συνωνύμως προβεβασιλευκόσι παραμιλλώμενοι, τῷ τε περὶ τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως καιόμενοι ζήλῳ, τὴν πανίερον ταύτην καὶ οἰκουμενικὴν ἕκτην συγκαλέσαντες Σύνοδον, ὥστε ταῖς πρὸ αὐτῆς ἁγίαις πέντε οἰκουμενικαῖς Συνόδοις ἐφάμιλλον εἰς μέσον ἄγεσθαι τῶν ἐσφαλμένων δογμάτων, ταὐτὸν δὲ λέγειν καινουργημάτων τὰς προτάσεις διεταξάμεθα, ἥτις ἁγία Σύνοδος ἕκαστα δοκιμάσασά τε καὶ ἀνακρίνασα, τοὺς μὲν τὸ τῆς ὀρθῆς δόξης ἀνασείοντας κήρυγμα, καὶ τὸ τοῦ Χριστοῦ σκανδαλίζοντας ποίμνιον τῆς ἱερατικῆς αὐλῆς ἐξωστράκισε. Φέρει δὲ μάρτυρας Λέοντα, Κύριλλον, καὶ τὸν Ναζιανζηνὸν, οὗ καὶ τὰς λέξεις ὡς ἐπιτοπλεῖστον χρῆται θεολογῶν, καὶ τὸν Νύσσης, καὶ τὸν μέγαν Βασίλειον, καὶ τὴν τῶν ἑκατὸν πεντήκοντα κατὰ τῆς Μακεδονιανῆς Αἱρέσεως καὶ Μάγνου τοῦ Ἀπολιναριστοῦ συνηθροισμένων πατέρων, οἳ καὶ Συνεργίᾳ τοῦ παναγίου Πνεύματος τὸ λεχθὲν μέγα καὶ σεβάσμιον ἐφερμήνευσαν Σύμβολον, τὰ περὶ τοῦ ἁγίου Πνεύματος, ὅτι ΘΕΟΣ, βεβαιώσαντες δι' ὧν ἀνέπτυξαν ἐκτυπώτερον. Ὁ αὐτὸς Βασιλεὺς Λέοντι τῷ μετὰ Ἀγάθωνα γενομένῳ Πάπᾳ Ῥώμης. Πολλάκις γὰρ ἡ Ἐκκλησία ταῖς εἰσβολαῖς τῶν Αἱρέσεων ἐπικινδύνως ἐνόσησεν, ἀλλ' οὐχ ἑτέρως ἐδέξατο τῆς ὀρθοδοξίας τὴν ἴασιν, εἰμὴ ταῖς τῶν εὐσεβῶν καὶ φιλοχρίστων Βασιλέων προσκλήσεσι, ταῖς δὲ τῶν θεοφόρων Ἱερέων συνεύσεσί τε καὶ συνελεύσεσι. καὶ δὴ κατὰ τὴν ἡμετέραν πρόσκλησίν τε καὶ πρόσταξιν τῶν τε τοῦ μέρους τῆς ὑμετέρας μακαριότητος, τῶν τε συνθρόνων αὐτῇ μετ' αὐτὴν ἁγιωτάτων Πατριαρχῶν καὶ τῶν λοιπῶν ἁπάντων ὁσιωτάτων Ἐπισκόπων, τῇ ἡμετέρᾳ συνελθόντων τε καὶ συνεδρευσάντων φιλευσεβεῖ γαληνότητι, τὸν περὶ πίστεως διεγυμνάζομεν λόγον. Καὶ, ἣν ἐπιστολὴν τοῦ Πάπα εἰς ἐπήκοον πάντων ἀναγνωσθῆναι κελεύσαντες, τῆς ὑγιοῦς τε καὶ ἀνοθεύτου πίστεως ἐν αὐτῇ τὸν χαρακτῆρα κατωπτρισάμεθα, τάς τε γὰρ εὐαγγελικάς τε καὶ ἀποστολικὰς φωνὰς ἀνακρίναντες, τά τε παρὰ τῶν ἁγίων καὶ οἰκουμενικῶν Συνόδων συγκροτηθέντα καὶ ὁρισθέντα τούτοις συγκρούσαντες, καὶ ἅσπερ ἔφερε χρήσεις τοῖς πατρικοῖς παραβαλόντες συντάγμασι, καὶ μηδὲν εὑρηκότες ἀσύμφωνον, ἀπαραχάρακτον τῆς ἀληθοῦς ὁμολογίας ἐν αὐτῇ τὸν λόγον κατενοήσαμεν.

ΠΑΡΑΓΡΑΦΟΝ ΛΘ'.

Ὅτι ἐκ τῆς πρὸς τὸν Πωγωνᾶτον ἐπιστολῆς τοῦ Λέοντος Ῥώμης, δείκνυνται οἱ Βασιλεῖς τῶν Παπῶν Δεσπόται, ψηφισταὶ τῶν συνοδικῶν ἀποφάσεων, καὶ υἱοὶ καὶ ἐκδικηταὶ τῆς Ἐκκλησίας.

Λέων ὁ Πάπας. Τῷ εὐσεβεστάτῳ καὶ γαληνοτάτῳ Δεσπότῃ. Τοιγαροῦν συνοδικῇ ἀποφάσει καὶ ψήφῳ βασιλικοῦ διατάγματος καθάπερ τῇ τοῦ Πνεύματος διστόμῳ μαχαίρᾳ ἅμα ταῖς παλαιαῖς Αἱρέσεσι καὶ ἡ πλάνη τῆς αὐτῆς φαυλότητος ἐξεκεντήθη. Καὶ, ὦ ἁγία μήτηρ Ἐκκλησία, ἰδοὺ ὁ υἱός σου ὁ συστατικώτατος Βασιλέων, ὁ σὸς ἐκδικητὴς καὶ βοηθὸς, μὴ ταραχθῇς, περιεζώσατο γὰρ ῥομφαίαν τὸν λόγον τοῦ Θεοῦ, ἐν ᾧ διαιρεῖ τοὺς ἀπίστους ἀπὸ τῶν πιστῶν. ἰδοὺ ὁ σὸς πρόμαχος ὁ νέος Δαβίδ. Καὶ, συναθροίσθητε οὖν καὶ συνέλθετε ὦ θεοσεβέστατοι παντὸς τοῦ κόσμου λαοὶ ἅμα τοῖς Ἱερεῦσι τῶν τοῦ Θεοῦ Ἐκκλησιῶν, ᾄσατε μεγάλῃ τῇ φωνῇ λέγοντες, ἐνίκησεν ὁ νέος Δαβὶδ ὁ συστατικώτατος τῶν Αὐγούστων, καὶ τὰ ἑξῆς μεγάλα τε καὶ πολλά. περὶ τούτων ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφάλαιον ὄγδον καὶ δωδέκατον.

ΠΑΡΑΓΡΑΦΟΝ Μ'.

Ὅτι κατὰ τὸ χρονικὸν τοῦ ἐν ἁγίοις Νικηφόρου, οἱ Βασιλεῖς ἀθροισταὶ τῶν Συνόδων, καὶ αἱ Σύνοδοι κυρωταὶ τῶν πρὸ αὐτῶν Σύνοδων καὶ τῶν θείων δογμάτων.

Ὁ ἐν ἁγίοις Νικηφόρος ἐν τῷ χρονικῷ. Οὕτω τοιγαροῦν εἰρηνευούσης πάντοθεν τῆς Ῥωμαίων βασιλείας, ἡ τῶν

ἡ τῶν Μακεδονιανῶν δυσεβὴς Αἵρεσις ἐκρατύνετο ἤδη, τῶν ἀφ' Ἡρακλείας χεφόνων λαβοῦσα τὸν ἀρχιὸν, καὶ χίσμα ἦν περὶ τὴν καθολικὴν Ἐκκλησίαν. ταῦτα Μαγνὸς Κωνσταντῖνος, Σωσόδου Οἰκουμενικοῦ συγκροτεῖ, ἢ τὰς μὲν προλαβούσας πρότερα ἁγίας Οἰκουμενικὰς Συνόδους ἐκύρωσε, καὶ τὰ δύο δόγματα τοῦ Σωτῆρος Χριστοῦ θελήματα καὶ δύο φυσικὰς ἐνεργείας.

ΠΑΡΑΓΡΑΦΟΝ ΜΑ'.

Ὅτι κατὰ τὸ προοίμιον τῆς ἐν Τρούλλῳ Συνόδου, θέσπισμα βασιλικὸν συγκροτεῖ τὰς Συνόδους, τῶν δὲ Κανόνων συγγραφεῖς αἱ Σύνοδοι.

Ἡ Σύνοδος ἡ ἐν Τρούλλῳ γράφει ἐν τῷ προοιμίῳ. Τῷ εὐσεβεστάτῳ καὶ φιλοχρίστῳ Βασιλεῖ Ἰουστινιανῷ ἡ ἁγία καὶ Οἰκουμενικὴ Σύνοδος ἡ κατὰ θεῖον νεῦμα καὶ θέσπισμα τοῦ εὐσεβεστάτου ὑμῶν κράτους συναθροισθεῖσα κατὰ ταύτην τὴν θεοφύλακτον βασιλίδα πόλιν. Ἐν ταύτῃ. Ἐπὶ τοῦτο τοίνυν κατὰ κέλευσιν τῆς σῆς εὐσεβείας συνελθόντες καὶ ταύτην τὴν θεοφύλακτον βασιλίδα πόλιν, Καινοῦ ἱερεῖς ἀνεγράψαμεν. ἴδε αὐτέρω βιβλίῳ ἕκτῳ κεφάλαιον δέκατον ἕκτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΜΒ'.

Ὅτι κατὰ τὴν πρὸς τὴν ἑβδόμην Σύνοδον Σάκρα τῶν Βασιλέων, ἀθροισαὶ Συνόδων οἱ Βασιλεῖς, ἡ δὲ κρίσις κατὰ τὸν συνοδικὸν θεσμὸν τῶν πατέρων.

Σάκρα τῶν Βασιλέων πρὸς τὴν ἑβδόμην Σύνοδον. Κωνσταντῖνος καὶ Εἰρήνη πιστοὶ Βασιλεῖς Ῥωμαίων. Τοῖς εὐδοκίᾳ καὶ χάριτι θεοῦ καὶ κελεύσει τῆς ἡμετέρας εὐσεβοῦς Βασιλείας συναθροισθεῖσιν ἁγιωτάτοις Ἐπισκόποις ἐν τῇ κατὰ Νίκαιαν Συνόδῳ. Καὶ, τὴν τῶν ἱερέων σφῶν Δέσποιναν ἐμπορεύεσθαι προσαιρέμεθα, Ἀνατολῆς, Ἄρκτου, Δύσεώς τε καὶ Μεσημβρίας, καὶ παρεῖναι θεοῦ εὐδοκήσαντος Δι' τῶν αὐτῶν Τοποτηρητῶν μετὰ καὶ ἀντιγράφων τῶν Δεσποτικῶν γραμμάτων σωσόδικῶν τῷ ἁγιωτάτῳ Πατριάρχῃ, ὅπερ ἐστὶν ἀρχῆθεν Νόμος συνοδικὸς τῆς καθολικῆς Ἐκκλησίας. τοιγαροῦν συνηχήσαντες τῷ Μεγάλῳ Κωνσταντίνῳ, ἢ τὰς μὲν προλαβούσας πρότερα ἁγίας Οἰκουμενικὰς Συνόδους ἐκύρωσε, καὶ τὰ δύο θελήματα καὶ δύο φυσικὰς ἐνεργείας τοῦ Χριστοῦ Σωτῆρος ἡμῶν ἐκηρύξαμεν. Ἐπὶ τοῦτο τοίνυν κατὰ κέλευσιν τῆς σῆς εὐσεβείας συνελθόντες καὶ ταύτην τὴν θεοφύλακτον βασιλίδα πόλιν, Καινοῦ ἱερεῖς ἀνεγράψαμεν. ἴδε αὐτέρω βιβλίῳ ἕκτῳ κεφάλαιον δέκατον ἕκτον. Ἐν ταύτῃ

Ἡ ἁγία μεγάλη καὶ Οἰκουμενικὴ Σύνοδος, ἡ κατὰ Θεοῦ χάριν καὶ θέσπισμα τῶν φιλοχρίστων ἡμῶν Βασιλέων Κωνσταντίνου καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ ἀκολουθήσασα τῇ παραδόσει τῆς καθολικῆς Ἐκκλησίας, ὥρισε τὰ ὑποτεταγμένα. Ἡμᾶς τοὺς ἁπανταχοῦ τῆς Ἱερωσύνης ἀρχηγοὺς τῇ αὐτοῦ εὐδικίᾳ συνεκάλεσε θείῳ ζήλῳ καὶ ἐπινεύσει Κωνσταντίνου καὶ Εἰρήνης τῶν πιστοτάτων ἡμῶν Βασιλέων, ὅπως ἡ ἔνθεος παράδοσις τῆς καθολικῆς Ἐκκλησίας κοινῇ ψήφῳ ἀπολάβῃ τὸ κῦρος. πράξει ἑβδόμῃ.

ΠΑΡΑΓΡΑΦΟΝ ΜΕ'.

Ὅτι κελεύσει τῆς Βασιλίσσης ἔπεμψεν ὁ Ῥώμης εἰς τὴν Σύνοδον Λεγάτους.

Ὁ Θεοφάνης. Ἀποστείλασα δὲ ἡ Βασίλισσα πρὸς τὸν αὐτὸν Πάπαν, ᾐτήσατο πεμφθῆναι γράμματά τε αὐτοῦ, καὶ ἀνθρώπους, πρὸς τὸ εὑρεθῆναι ἐν τῇ Συνόδῳ, καὶ ἀπέστειλε.

ΠΑΡΑΓΡΑΦΟΝ ΜΣ'.

Ὅτι ἡ κατὰ Φωτίου καὶ ἐπὶ Φωτίου Σύνοδος καὶ οἱ Τοποτηρηταὶ κελεύσει τοῦ Μακεδόνος Βασιλέου συνῆλθον.

Ἴδε ἀνωτέρω ἐν τῷ ἑβδόμῳ βιβλίῳ τὰς σημειώσεις ἐν ταῖς κατὰ Φωτίου καὶ ἐπὶ Φωτίου Συνόδοις. ἐν δὲ τῇ κατὰ Φωτίου ἣν δέχονται οἱ Λατῖνοι, ἴδε Νικήταν τὸν Παφλαγόνα, λέγοντα ἐν τῷ βίῳ τοῦ Κωνσταντινουπόλεως Ἰγνατίου, ὅτι ὁ Ἰγνάτιος ἐκλιπαρεῖ τὸν Βασιλέα (Βασίλειον) Σύνοδον Οἰκουμενικὴν κροτηθῆναι, δι' ἧς ἔσεσθαι τῶν σκανδάλων ὑπελάμβανε τὴν ἴασιν, καὶ οὕτως ὁ Βασιλεὺς πέμψας ἔφερε Τοποτηρητὰς ἀπὸ τῶν τεσσάρων Πατριαρχικῶν θρόνων. ἴδε ἐκεῖ ἐν ὅλαις ταῖς πράξεσιν, ὅτι ὁ Βασιλεὺς Βασίλειος ἤγειρε τὴν Σύνοδον. βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ δεκάτῳ τρίτῳ. τὴν δὲ ἐπὶ Φωτίου, ἣν ὡς ἐκεῖ τρανῶς λέγεται, ὁ αὐτὸς συνεκρότησε Βασιλεύς. βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ δεκάτῳ τετάρτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΜΖ'.

Ὅτι κατὰ κέλευσιν ἱερὰν τῶν Βασιλέων ἡ ἐπὶ Μαρτίνου Σύνοδος ἠθροίσθη.

Ἐν τῇ ἐπὶ Μαρτίνου Συνόδῳ, πράξει πρώτῃ, κεῖται ἐπιστολὴ Γολόσου καὶ Πρόβου καὶ τῶν λοιπῶν Ἐπισκόπων τῆς ἐν Ἀφρικῇ Κονσουλαρίας πρὸς Παῦλον τὸν Κωνσταντινουπόλεως, ἐν ᾗ φασὶν, Αἱ περίδοξοι τῶν ἁγίων πατέρων Σύνοδοι κατὰ κέλευσιν ἱερὰν ἀθροισθεῖσαι τῶν εὐσεβῶν Βασιλέων, τὴν πολυσχιδῆ μὲν κακουργίαν καὶ πλάνην τῶν Αἱρετικῶν δι' ἀποφάσεως ὁμοφώνως κατέκριναν, τὴν ὀρθόδοξον δὲ ἐκύρωσαν πίστιν.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Γ'. ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὅτι τὸ βεβαιῶ ῥῆμα παρὰ ταῖς Συνόδοις τρία σημαίνει, ὧν τοῦ πρώτου σημαινομένου παράδειγμα πρῶτον.

Τὸ ΒΕΒΑΙΩ ῥῆμα, ὅσον ἀνήκει ταῖς ἁγίαις Συνόδοις, τρία τινὰ σημαίνει, πρῶτον τὸ συναινῶ, συντίθεμαι, ἀποδέχομαι, ἀκολουθῶ, κατατίθεμαι, δοξάζω, σύμφημι, τὰ αὐτὰ φρονῶ, ἐπακολουθῶ, κατέχω, ὁμολογῶ, συναρέσκομαι, ὁμοφρονῶ, παραμένω, συμψηφίζομαι, διαφυλάττω, διατηρῶ, συνᾴδω, συντάσσομαι, ἀπῳφαίνομαι, ὑπογράφω, ὑπεσημηνάμην, συγκατατίθεμαι, στοιχῶ, δέχομαι, ἐξακολουθῶ, συμφωνῶ, καὶ τὰ ὅμοια, ἅτινα ταυτοδύναμά ἐστιν, ἐν ᾧ οἱ Ἐπίσκοποι καὶ λοιποὶ ἐκκλησιαστικοὶ καὶ πάντες οἱ εὐσεβεῖς καὶ αὐταὶ αἱ Σύνοδοι ἀποδέχονται τὰ τῶν ἁγίων καὶ τὰ τῶν Συνόδων συγγράμματα καὶ ψηφίσματα. ΠΑΡΑΔΕΙΓΜΑ. Γράφει ἡ ἐν Κυζίκῳ Σύνοδος πρὸς Λέοντα τὸν Βασιλέα, ὅτι ὁ Ἀλεξανδρείας Προτέριος ἐβεβαίωσε τὴν ἐν Χαλκηδόνι Σύνοδον.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Τοῦ πρώτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα δεύτερον.

Ὁ μικρὸς Θεοδόσιος γράφει τῷ Ἀντιοχείας Ἰωάννῃ, Κύριλλος καὶ οἱ μετ' αὐτοῦ, καὶ Κελεστῖνος, καὶ πάντες οἱ ἁπανταχοῦ τῆς ὀρθοδόξου πίστεως Ἱερεῖς τῇ σῇ Θεοσεβείᾳ κοινωνήσουσι.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Τοῦ πρώτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα τρίτον.

Καὶ Ἰωάννης Ἀντιοχείας γράφει. Ξύστῳ Ῥώμης, Μαξιμιανῷ Κωνσταντινουπόλεως, καὶ Κυρίλλῳ Ἀλεξανδρείας. Ὑπὲρ τοῦ τὴν ῥώμην βραβευθῆναι ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ, καὶ ἡμᾶς αὐτοὺς συντίθεσθαι τῇ ψήφῳ τῆς ἁγίας Συνόδου. καὶ ἐπιστολῇ πρὸς Κύριλλον. Συναινοῦμεν τῇ χειροτονίᾳ τοῦ Κωνσταντινουπόλεως Μαξιμιανοῦ, καὶ κοινωνοῦμεν τοῖς κατὰ πᾶσαν τὴν Οἰκουμένην Ἐπισκόποις.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Τοῦ πρώτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα τέταρτον.

Καὶ ὁ Κύριλλος πρὸς Ἀκάκιον Ἐπίσκοπον Μελιτηνῆς λέγει περὶ τοῦ Ἐπισκόπου Ῥώμης Ξύστου. Σύμφωνα γὰρ τῇ ἁγίᾳ Συνόδῳ γέγραφε, καὶ πάντα ἐβεβαίωσε τὰ παρ' αὐτῆς πραχθέντα, καὶ ἔστιν ὁμόφρων ἡμῖν· μέρει τρίτῳ τῆς τρίτης Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Τοῦ πρώτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα πέμπτον,

Ἡ ἐν Καρθαγένῃ Συνόδος περὶ τῆς πρώτης ἐν Νικαίᾳ Συνόδου ἔφη. Καὶ εἴπερ ἡ ἐν ταῦθα ἀπὸ τῶν προηγησαμένων ἡμῶν τὴν αὐτὴν Σύνοδον βεβαιωσάντων. Ἡ αὐτὴ Σύνοδος. Πάντες οἱ Ἐπίσκοποι εἶπον, πᾶσιν ἡμῖν τοῦτο ἤρεσε, καὶ τῇ ἡμετέρᾳ ὑπογραφῇ βεβαιοῦμεν. Ἐν ταὐτῷ. Αὐρήλιος Ἐπίσκοπος συνήνεσα. Κανόνι πεντηκοστῷ ἑβδόμῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Τοῦ πρώτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα ἕκτον.

Ἐν τῷ βίῳ τοῦ ἁγίου Σάββα λέγεται. Τὰ ἐν τῇ πέμπτῃ Συνόδῳ πραχθέντα ἀποστείλαντος τοῦ Βασιλέως ἐν Ἱεροσολύμοις, καὶ πάντων τῶν κατὰ Παλαιστίνην Ἐπισκόπων χειρὶ καὶ στόματι βεβαιωσάντων, πλὴν Ἀλεξάνδρου τοῦ Ἀβίλης. πράξει πρώτῃ τῆς ἑβδόμης Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Τοῦ πρώτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα ἕβδομον.

Λέων ὁ Πάπας ἐπιστολῇ πρὸς τὸν Πωγωνᾶτον. Οὗτος ὁ προσκυνητὸς καὶ ἀποστολικὸς θρόνος ὁμογνωμόνως τε καὶ ὁμοψύχως τοῖς παρ' αὐτοῖς (τοῖς πατρά σι τῆς ἕκτης Συνόδου) συναινεῖ, καὶ τῇ αὐθεντίᾳ τοῦ Πέτρου βεβαιοῖ. Ἡ ἐν Σαρδικῇ γράφει. οἱ ἁπανταχοῦ πάντες Ἐπίσκοποι τὴν κοινωνίαν Ἀθανασίου ἐβεβαίωσαν. Ἀθανασίου ἀπολογίᾳ δευτέρᾳ.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Τοῦ πρώτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα ὄγδοον.

Ἡ τετάρτη Σύνοδος γράφει τῷ Πάπᾳ Λέοντι. Ἁπάντων τῶν πεπραγμένων τὴν δύναμιν ἐγνωρίσαμεν εἰς σύστασιν ἡμετέραν (διὰ τὴν συμφωνίαν δηλονότι) καὶ τῶν πεπραγμένων βεβαίωσίν τε καὶ συγκατάθεσιν. Ἔχεις φιλαναγνῶστα καὶ ἄλλα μυρία παραδείγματα ἐν τοῖς πρακτικοῖς τῶν Συνόδων, καὶ ἴδε ἀνωτέρω τοὺς τόπους. Μαρτῖνος ὁ Πάπας ἐπιστολῇ πρὸς τὸν Θεσσαλονίκης Παῦλον γράφει. Τὰ τῶν πατέρων καὶ πέντε Οἰκουμενικῶν Συνόδων ἐγγράφως κυρώσης. πράξει πέμπτῃ.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τοῦ δευτέρου σημαινομένου τοῦ βεβαιῶ, ὅ ἐστι τῶν Οἰκουμενικῶν Συνόδων.

Δεύτερον σημαίνει τὸ ἀποδιδόναι τινὶ τὸ κῦρος καὶ τὴν βεβαιότητα τοσοῦτον, ὥστε μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν, καθ' ὃν τρόπον ἐβεβαίωσαν αἱ Οἰκουμενικαὶ Σύνοδοι τὰς πρὸ αὐτῶν Οἰκουμενικὰς Συνόδους, καὶ τὸ ἅγιον τῆς πίστεως Σύμβολον, καὶ τὰς ἐπιστολὰς τῶν Πατριαρχῶν Λέοντος, Ἀγάθωνος, καὶ Ἀδριανοῦ Ῥώμης, τὰς τοῦ Ἀλεξανδρείας Κυρίλλου, τὰς Σωφρονίου, καὶ Θεοδώρου Ἱεροσολύμων, καὶ τὰς τῶν λοιπῶν, ὡς ἐν τοῖς πρακτικοῖς, καὶ μάλιστα ἐν τοῖς Ὅροις τῆς τετάρτης καὶ ἕκτης καὶ ἑβδόμης φαίνεται προδηλότατα, καὶ ἴδε ἀνωτέρω τοὺς τόπους. ἴδε καὶ Ἰουστινιανοῦ διάταξιν ἑβδόμην πρὸς Ἐπιφάνιον, ἐν ᾗ λέγει, Ἡ ἐν Χαλκηδόνι Σύνοδος τὴν Πρόκλου πρὸς Ἀρμενίους ἐβεβαίωσε. καὶ δὴ καὶ περὶ τοῦ τοιούτου εἴδους τῆς βεβαιώσεως γράφει ὁ ἅγιος Κύριλλος τῇ ἐν Καρθαγένῃ Συνόδῳ. Τὰ ἀληθέστατα ἴσα τῆς ἐν τῇ Νικαέων Μητροπόλει τῆς Βιθυνίας αὐθεντικῆς Συνόδου, τὰ παρὰ τῶν ἁγίων πατέρων ὁρισθέντα καὶ βεβαιωθέντα. Κανόνι ἑκατοστῷ τριακοστῷ ὀγδόῳ. ἀλλὰ καὶ ὁ Χρυσόστομος ἐξηγούμενος τὸ, Ἦλθον μετὰ τῆς Συνοδικῆς τῶν Ἀποστόλων ἐπιστολῆς οἱ περὶ Παῦλον εἰς Ἀντιόχειαν, λέγει, Οὐκ ἔτι στάσεις καὶ μάχαι, διὸ καὶ βεβαιώσαντες αὐτοὺς, ἀπῆλθον μετὰ εἰρήνης. ὁμιλίᾳ τριακοστῇ τρίτῃ εἰς τὰς πράξεις. τῆς αὐτῆς δὲ δυνάμεώς εἰσιν αἱ Οἰκουμενικαὶ Σύνοδοι τῇ ἀποστολικῇ Συνόδῳ, ὅθεν καὶ αἱ ἀποφάσεις αὐτῶν παντάπασιν ἀνεξέταστοι, ὡς ῥηθήσεται, διόπερ καὶ ἄκρᾳ ἐξουσίᾳ ἀποκόπτουσι τοῦ σώματος τῆς Ἐκκλησίας αἱ αὐθεντικαὶ Σύνοδοι τοὺς ἐναντίως φρονοῦντας ταῖς ἀποφάσεσιν αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τοῦ τρίτου σημαινομένου τοῦ βεβαιῶ, ὅ ἐστι τῶν Βασιλέων.

Τρίτον σημαίνει οὐ μόνον τὴν συναίνεσιν καὶ ἀποδοχὴν, καὶ τὸ οὐκ ἐνδέχεσθαι ἄλλως γενέσθαι, ἀλλὰ καὶ τὸ ἐμμένειν ἐν τοῖς ὁρισθεῖσι δι' ἀποφάσεως τῆς ἐν τῇ πολιτείᾳ τελειοτάτης ἐξουσίας, ἥτις ἐστὶν ἡ τῶν Βασιλέων. ὁ γὰρ Βασιλεὺς καθὸ μὲν ἐστὶ Χριστιανὸς, συναινεῖ καὶ ἕπεται ταῖς ἀποφάσεσι τῆς Ἐκκλησίας. ὡς ἔλεγεν ὁ Δαλμάτιος τῷ λαῷ περὶ τοῦ μικροῦ Θεοδοσίου, ὅτι ὁ Βασιλεὺς ἐξηκολούθησε τῷ Θεῷ καὶ τῇ ἁγίᾳ (τρίτῃ) Συνόδῳ. ὡς δὲ κεφαλὴ πάντων τῶν Χριστιανῶν, βεβαιοῖ ταύτας. γράφει γὰρ Νόμους περὶ τῆς ὀρθοδόξου πίστεως κατὰ Ἰουδαίων, Ἐθνῶν τε καὶ Αἱρετικῶν, καὶ βεβαιοῖ τὰς συνοδικὰς ἀποφάσεις οὕτως, ὥστε τοὺς παραβαίνοντας παιδεύειν δημεύσει καὶ ἐξορίᾳ, ἔσθ' ὅτε δὲ καὶ κεφαλικῇ τιμωρίᾳ, καὶ ἄθρει.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Τοῦ τρίτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα πρῶτον.

Ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος ἐν τῷ εἰς τὸν μέγαν Θεοδόσιον προσφωνητικῷ λέγει, Καὶ ὑπὲρ τῆς εὐταξίας τῶν Ἐκκλησιῶν ῥητοὺς Κανόνας ὡρίσαμεν, ἅπερ ἅπαντα τῷδε ἡμῶν τῷ γράμματι ὑπετάξαμεν. δεόμεθα τοίνυν τῆς σῆς ἡμερότητος γράμμασι τῆς σῆς εὐσεβείας ἐπικυρωθῆναι τῆς Συνόδου τὴν ψῆφον, ἵν' ὥσπερ τοῖς τῆς κλήσεως γράμμασι τὴν Ἐκκλησίαν τετίμηκας, οὕτω καὶ τῶν δοξάντων ἐπισφραγίσῃς τὸ τέλος. ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον τρίτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Τοῦ τρίτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα δεύτερον.

Ἡ τρίτη Σύνοδος τοῖς Βασιλεῦσιν Οὐαλεντιανῷ καὶ Θεοδοσίῳ κατὰ τῶν ἀποστατῶν. Τὰ γοῦν τυπωθέντα ἀναγκαίως ἐπὶ τὴν ὑμετέραν εὐσέβειαν ἀνηνέγκαμεν, δεόμενοι ὥστε μὴ Σύνοδον κρίνεσθαι τὴν συστροφὴν τῶν ὑπ' αἰτίαις γεγενημένων, διὰ τὸ καὶ πάλαι ἐπὶ τῆς ἁγίας καὶ μεγάλης Συνόδου τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐπὶ τῆς Νικαίας συνειλεγμένων τινὰς οὕτως ἀποστῆναι τῆς μεγάλης ἐκείνης Συνόδου δεδοικότας τὸ ἐξ αὐτῆς ἐπιτίμιον, καὶ μήτε κριθῆναι Σύνοδον τούτους ὑπὸ τοῦ μεγάλου καὶ ἐν ἁγίοις Βασιλέως Κωνσταντίνου, ἀλλὰ καὶ κελευσθῆναι δίκας ὑποσχεῖν ὑπὲρ ὧν ἀποσχίσαντες τὴν τῶν ἁγίων ἐκείνων Ἐπισκόπων συμφωνίαν ἠρνήσαντο, πονηρᾷ καθάπερ οὗτοι καὶ αὐτοὶ συνειδήσει κεχρημένοι. ἄτοπον γὰρ Συνόδῳ διακοσίων δέκα Ἐπισκόπων, οἷς καὶ πᾶν τὸ πλῆθος τῆς Δύσεως τῶν ἁγίων Ἐπισκόπων συνεψηφίσατο,

καὶ

καὶ δι' αὐτῶν ἅπαν τὸ πλῆθος τὸ λοιπὸν τῆς οἰκουμένης, καὶ τὰ ἑξῆς. Καὶ, κελεῦσαι τὰ ὑπὸ τῆς οἰκουμενικῆς ἁγίας Συνόδου τυπωθέντα εἰς συγκρότησιν εὐσεβείας κατὰ Νεστορίου καὶ τοῦ ἀσεβοῦς αὐτοῦ δόγματος τὴν ἰσχὺν ἔχειν, κρατυνθέντα τῇ ἐπινεύσει καὶ συγκαταθέσει τῆς ὑμετέρας εὐσεβείας. πράξει πέμπτῃ. Ἡ αὐτὴ Συνόδος γράφουσα πρὸς τοὺς Βασιλεῖς περὶ καθαιρέσεως Νεστορίου φησὶν, Εἰ δέ τις καταφρονήσει τῶν θεσπιζομένων, δεδιέναι τοῦ ὑμετέρου κράτους τὴν ἀγανάκτησιν, οὕτω γὰρ καὶ ἡ ἀποστολικὴ πίστις ἄτρωτος διαμενεῖ τῇ ὑμετέρᾳ εὐσεβείᾳ κρατυνομένη, πράξει πρώτῃ. Ἡ αὐτὴ πρὸς τοὺς αὐτοὺς Βασιλεῖς. Καταφεύγομεν ἅπαντες ἐπὶ τὸ κράτος τῆς ὑμετέρας εὐσεβείας, δεόμενοι τὰ μὲν κατὰ Νεστορίου πεπραγμένα καὶ τῶν τὰ Νεστορίου φρονούντων ἔχειν τὴν ἰσχὺν, τὰ δὲ περὶ τῶν ἐκδικούντων μένειν ἄπρακτα καὶ ἀργά. ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφάλαιον δέκατον πέμπτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Τοῦ τρίτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα τρίτον.

Ἡ τετάρτη ἐν τῷ πρὸς τὸν Μαρκιανὸν προσφωνητικῷ αὐτῆς. Ἀλλ' ὦ φιλόχριστοι πᾶσι τῆς εὐσεβοῦς ὁμολογίας τὰς συμφωνίας βραβεύοντες, καὶ καθάπερ σφραγῖδα τῶν εὐσεβῶν δογμάτων τῇ παρ' ὑμῶν ἀθροισθείσῃ Συνόδῳ τῆς Πέτρου καθέδρας βεβαιώσαντες τὸ κήρυγμα, θαρρεῖν γὰρ χρὴ τὴν ὑμετέραν εὐσέβειαν, ὡς οὐδὲν τῆς πάλαι παρὰ τῶν ἁγίων πατέρων καταγγελθείσης πίστεως ὁ θεοφιλὴς τῆς Ῥώμης παρακεκίνηκε πρόεδρος. καὶ σημείωσαι, ὅτι ἐπειδὴ ἐνδεχόμενον ἦν σφαλῆναι τὸν Ῥώμης, οἱ πατέρες κρίναντες τὴν ἐπιστολὴν αὐτοῦ, ἀπολογοῦνται πρὸς τὸν Βασιλέα ὅτι ὀρθῶς ἔγραψεν ὁ Πάπας καὶ οὐκ ἐφαλμένως ὥς τινες ἐνόμιζον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Τοῦ τρίτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα τέταρτον.

Μαρκιανὸς ἐν τῇ Σάκρᾳ. Ὡς μὴ δὲ μίαν τοῦ λοιποῦ τοῖς συκοφαντεῖν εἰωθόσι τὸ θεῖον ἀμφιβολίαν ὑπολιμπάνεσθαι, ἱερῷ τῆς ἡμετέρας ἡμερότητος διατάγματι τὴν ἁγίαν βεβαιώσαντες Σύνοδον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Τοῦ τρίτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα πέμπτον.

Ἡ Σύνοδος ἐν τῇ πρὸς τὸν Πάπαν ἐπιστολῇ. Οὕτω γὰρ καὶ Βασιλεῖς θεραπευθήσονται οἱ τὴν τῆς σῆς ὁσιότητος ὡς Νόμῳ βεβαιώσαντες κρίσιν. ἴδε καὶ ἀνωτέρω βιβλίου τετάρτου κεφάλαιον πρῶτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ιϛ'.

Τοῦ τρίτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα ἕκτον.

Ἰουστινιανὸς ἐν τῷ κατὰ τοῦ Σεβήρου Ἠδίκτῳ. Οὐμὴν οὐδὲ τὴν δικαίως ἐξενεχθεῖσαν κατὰ Σεβήρου ψῆφον τῶν συμπάντων ὡς εἰπεῖν τῶν ἀρχιερατικῶν τε καὶ πατριαρχικῶν μετὰ τῆς μοναχικῆς συνελεύσεως προελθοῦσαν θρόνων καὶ τὸν ἀναθεματισμὸν ἐπάγουσαν αὐτῷ βασιλικῆς ἔξω καταλιμπάνομεν ἐπικυρώσεως. Ὁ αὐτὸς διατάξει κατὰ Ἀνθίμου καὶ Σεβήρου. Ὁσάκις γὰρ ἡ τῶν ἱερέων ψῆφος τινὰς τῶν οὐκ ἀξίων τῆς ἱερωσύνης τῶν ἱερατικῶν κατεβίβασε θρόνων, ὁποῖον δὴ Νεστόριον, Εὐτυχῆ, Ἄρειον, Μακεδόνιον καὶ Εὐνόμιον, καὶ ἄλλους δέτινας εἰς κακίαν οὐκ ἐλάττους ἐκείνων, τοσαυτάκις ἡ βασίλεια ψῆφος γέγονε τῇ τῶν ἱερέων αὐθεντίᾳ, ὥστε τὰ θειότατά τε καὶ ἀνθρώπινα συνδραμόντα, μίαν συμφωνίαν ταῖς ὀρθαῖς ποιεῖσθαι ψήφοις. Καὶ, διὸ καὶ ἀπαγορεύομεν ἅπασι τῶν αὐτῶν τὶ κεκτῆσθαι βιβλίων, ὥσπερ οὐκ ἔξεστι παρὰ Νεστορίου γράφειν ἢ κεκτῆσθαι βιβλία, διὸ τοῖς πρὸ ἡμῶν Αὐτοκράτορσιν ἔδοξε τοῖς παρὰ Πορφυρίου κατὰ Χριστιανῶν εἰρημένοις ὅμοια καθεστάναι, οὕτω μήτε τὰ Σεβήρῳ ῥηθέντα τε καὶ γραφέντα μενέτω παρά τινι Χριστιανῷ, ἀλλ' ἔστω βέβηλα καὶ ἀλλότρια τῆς καθολικῆς Ἐκκλησίας, πυρί τε φλεγέσθω παρὰ τῶν κεκτημένων, εἰ μὴ βούλονται κινδυνεύειν οἱ ταῦτα ἔχοντες. καὶ κατὰ Πέτρου καὶ Ζωόρα. Καὶ, διὰ ταῦτα τοίνυν ἅπαντα τὴν γενομένην ἐπ' αὐτῷ τῆς καθαιρέσεως ψῆφον παρὰ τῆς ἁγίας Συνόδου κυρίαν τίθεται ἡ ἡμετέρα βασιλεία. Καὶ ἐπιστολῇ πρὸς τὴν ἁγίαν Σύνοδον. Σπουδὴ μὲν γέγονεν ἀεὶ τοῖς ὀρθοδόξοις καὶ εὐσεβῶς προβεβασιλευκόσι τοῖς ἡμετέροις πατράσι τὰς κατὰ καιρὸν ἀναφυομένας Αἱρέσεις

σεις διὰ Συνόδων ὁσιωτάτων Ἱερέων ἐκκόπτειν, καὶ τῆς ὀρθῆς πίστεως καθαρῶς κηρυττομένης ἐν εἰρήνῃ τὴν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν διαφυλάττειν. ἴδε ἀνωτέρω βιβλίον πέμπτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Τοῦ τρίτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα ἕβδομον.

Ἡ ἕκτη Σύνοδος ἐν τῷ πρὸς τὸν Πωγωνᾶτον αὐτῆς προσφωνητικῷ. Ὦ φιλάγαθε καὶ φιλοδίκαιε Δέσποτα τῷ τὸ κράτος χαρισαμένῳ σοι τήνδε τὴν εὔνοιαν ἀντιχάρισαι, καὶ τοῖς παρ' ἡμῶν ὁρισθεῖσι σφραγῖδα παράσχου τὴν ὑμῶν ἔγραφον βασιλικὴν ἐπικύρωσιν, καὶ διὰ θείων Ἠδίκτων καὶ τῶν ἐξ ἔθους εὐσεβῶν διατάξεων τὴν τούτων ἁπάντων βεβαίωσιν, ὥστε μηδένα τοῖς πραχθεῖσιν ἀντιφθέγγεσθαι ἢ καινότερον ζήτημα μηχανήσασθαι, ἴσθι γὰρ ὦ Βασιλεῦ γαληνότατε ὡς οὐδὲν τῶν ἐν ταῖς ὅλαις ταῖς Συνόδοις καὶ παρὰ τῶν ἐγκρίτων πατέρων τυπωθέντα παρεχαράξαμεν, μενοῦνγε μᾶλλον ἐβεβαιώσαμεν.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Τοῦ τρίτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα ὄγδοον.

Ὁ Βασιλεὺς ἐν τῷ Ἠδίκτῳ περὶ τῆς Συνόδου. Ὅρον δὲ θεοψήφιστον καὶ τὰς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας ἐνάγοντα εἰς ἕνωσιν ἐθεμάτισε, τοῖς μὲν εὐαγγελικοῖς καὶ ἀποστολικοῖς ἀκολουθοῦντα θεσπίσμασι, ταῖς δὲ εἰρημέναις πέντε Οἰκουμενικαῖς Συνόδοις συνᾴδοντα, διὸ καὶ ἡμεῖς τὰ παραὐτοῦ ὁροθετηθέντα κυρῶσαί τε καὶ βεβαιῶσαι βουλόμενοι, τὸ παρὸν εὐσεβὲς Ἤδικτον ἐκτιθέμεθα. Ὁ αὐτὸς Λέοντι Πάπᾳ Ῥώμης. Θεῖον δὲ καὶ σεβάσμιον Ὅρον ἡ ἁγία Σύνοδος ἐξεφώνησεν, ᾧ καὶ συνεπεγράψαμεν, καὶ δι' εὐσεβῶν ἡμῶν Ἠδίκτων τοῦτον ἐπεκυρώσαμεν. Ὁ αὐτὸς Βασιλεὺς ταῖς Συνόδοις τῆς Ῥώμης. Ὅρον δὲ σεπτὸν καὶ σεβάσμιον ἡ ἁγία Σύνοδος ἐθεμάτισε ταῖς ἁγίαις Συνόδοις καὶ ἐγκρίτοις πατράσι συμβαίνοντά τε καὶ συνεπόμενον, ᾧ καὶ τὸ ἡμέτερον κράτος συνυπέγραψε, καὶ δι' εὐσεβῶν ἡμῶν Ἠδίκτων τοῦτον ἐκύρωσεν. ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφάλαιον ὄγδοον. Ἡ ἐν Τρούλλῳ γράφει πρὸς Ἰουστινιανὸν τὸν Βασιλέα. Ἐπὶ τοῦτο τοίνυν κατὰ κέλευσιν τῆς σῆς εὐσεβείας συνελθόντες κατὰ ταύτην τὴν θεοφύλακτον βασιλίδα πόλιν, Κανόνας ἱεροὺς ἀνεγράψαμεν, διὸ τῆς σῆς εὐσεβείας δεόμεθα ἵν' ὥσπερ τοῖς τῆς κλήσεως γράμμασι τὴν Ἐκκλησίαν τετίμηκας, οὕτω καὶ τῶν δοξάντων δι' εὐσεβῶν κεραιῶν ἐπισφραγίσῃς τὸ τέλος. ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφάλαιον δέκατον ἕκτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'.

Τοῦ τρίτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα ἔνατον.

Ἡ ἑβδόμη Σύνοδος τοῖς Βασιλεῦσι Κωνσταντίνῳ καὶ Εἰρήνῃ προσφωνοῦσα λέγει, Πρὸς δὲ ἐπισφράγισιν καὶ ἐπικύρωσιν τῶν παρ' ἡμῶν ὁρισθέντων, καὶ μέντοι καὶ πληροφορίαν τοῦ ὑμετέρου πανευσεβοῦς κράτους ὑπετάξαμεν πατρικὰς χρήσεις ἐκ πολλῶν ὀλίγας συναγαγόντες τῇ λαμπρότητι τῆς ἀληθείας καταγγαζούσας τὸ βέβαιον. καὶ πράξει ὀγδόῃ τῷ αὐτῷ λέγει. Ἐν Κωνσταντινουπόλει ἐλθόντων τῶν πατέρων ἀπὸ Νικαίας, ἐν τοῖς Παλατίοις ἐν τῇ Μαγναύρᾳ προκαθεσθέντων τῶν Βασιλέων τῆς Συνόδου, ἀνεγνώσθη ὁ Ὅρος, καὶ ἐρωτηθείσης τῆς Συνόδου παρὰ τῶν Βασιλέων, Εἰ κατὰ συναίνεσιν πάντων ἐξεφωνήθη. οἱ δὲ ἐξεφώνησαν, Οὕτω πιστεύομεν πάντες, οὕτω φρονοῦμεν, πάντες συναινέσαντες ὑπεγράψαμεν. αὕτη ἡ πίστις τῶν Ἀποστόλων καὶ τῶν πατέρων τῶν ὀρθοδόξων. καὶ τούτων ἐκφωνηθέντων, προσφέρει ὁ Πατριάρχης τοῖς Βασιλεῦσι τὸν ἀναγνωσθέντα Τόμον τοῦ Ὅρου, καὶ ἐζήτει μετὰ πάσης τῆς Συνόδου ἐπισφραγῖσαι καὶ ἐπιβεβαιῶσαι δι' εὐσεβῶν αὐτῶν ὑπογραφῶν, καὶ ὑπέγραψαν.

ΠΑΡΑΓΡΑΦΟΝ Κ'.

Τοῦ τρίτου σημαινομένου τοῦ βεβαιῶ παράδειγμα δέκατον.

Ὁ Θεοφάνης. Ὁ χριστιανικώτατος Βασιλεὺς Σύνοδον Ἐπισκόπων ἀθροίσας διακοσίων ὀγδοηκονταενέα, τὰ προκεκυρωμένα ἐν ταῖς ἁγίαις Οἰκουμενικαῖς Συνόδοις ἐβεβαίωσε δόγματα. Ὁ αὐτός. Καὶ προκαθεσθέντων τῶν Βασιλέων σὺν τοῖς Ἐπισκόποις ἐν τῇ Μαγναύρᾳ, ὑπανεγνώσθη ὁ Τόμος, καὶ ὑπέγραψεν ὁ Βασιλεὺς καὶ ἡ μήτηρ αὐτοῦ, κυρώσαντες τὴν εὐσέβειαν καὶ τὰ τῶν ἁγίων πατέρων δόγματα. ἴδε

καὶ

καὶ ἀνωτέρω βιβλίου ἑβδόμου κεφάλαιον πρῶτον, καὶ τὰς σημειώσεις ἐν ταῖς κατὰ Φωτίου καὶ ὑπὲρ Φωτίου Συνόδοις βιβλίου ἑβδόμου κεφαλαίῳ δεκάτῳ τρίτῳ καὶ δεκάτῳ τεταρτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Περὶ τῶν προβαλλομένων ὑπὸ τῶν παπιστῶν ἀπὸ τῆς διαλέξεως Μαξίμου μετὰ Θεοδοσίου Βιθυνίας εἰς ἀναίρεσιν τῆς παρὰ τῶν Βασιλέων βεβαιώσεως τῶν Συνόδων, καὶ τῆς λύσεως αὐτῶν κατὰ τοὺς τρεῖς τρόπους τῆς σημασίας.

Πρὸς ἐκεῖνο δὲ ὅπερ προβάλλουσιν οἱ μηχανορράφοι παπισταὶ πρὸς ἀναίρεσιν τῆς βεβαιώσεως τῶν Συνόδων ὑπὸ τῶν Βασιλέων ἀπὸ τῆς διαλέξεως τοῦ ὁμολογητοῦ Μαξίμου μετὰ Θεοδοσίου Ἐπισκόπου Βιθυνίας (ἔνθα εἰπόντος τοῦ Θεοδοσίου ὅτι ὁ Βασιλεὺς, ἤτοι ὁ Κώνστας οὐκ ἐκύρωσε τὴν ἐν Ῥώμῃ ἐπὶ Μαρτίνου Σύνοδον, καὶ λοιπὸν οὐδεῖ πείθεσθαι αὐτῇ, ὁ Μάξιμος πρὸς ταῦτα ἀπεκρίθη, ὅτι οὐχ αἱ κελεύσεις τῶν Βασιλέων τὰς γενομένας Συνόδους κυροῦσιν, ἀλλ' ἡ εὐσεβὴς πίστις καὶ ἡ ὀρθότης τῶν δογμάτων ἐγκρίνουσι τὰς Συνόδους, οἷς καὶ ὁ Θεοδόσιος συνέθετο) ῥητέον, ὅτι τοῦτο οὐκ ἔστιν ἐναντίον τῷ παρόντι κεφαλαίῳ, ἐπειδὴ ὁσκοπὸς τοῦ κεφαλαίου ἐστὶν ἐνταῦθα, ὅτι ὁ Βασιλεὺς βεβαιοῖ τὰς Συνόδους κατὰ τὸν τρίτον τρόπον, ἐκείνας δηλαδὴ, αἵτινες νόμιμοι καὶ κανονικαί εἰσι, καὶ τὴν περὶ τὴν τῆς πίστεως ὀρθότητα τοῦ δόγματος αὐτῶν ἀπόφασιν αὗται μὲν βεβαιοῦσι κατὰ τὸν δεύτερον τρόπον, οἱ δὲ ἀπολειπόμενοι πατέρες βεβαιοῦσι καὶ ἀποδέχονται κατὰ τὸν πρῶτον τρόπον, οἱ δὲ Βασιλεῖς κατὰ τὸν τρίτον τρόπον. τοῦ οὖν Θεοδοσίου κατὰ τὸν δεύτερον τρόπον εἰπόντος ὅτι οὐκ ἐβεβαίωσεν ὁ Κώνστας τὴν Σύνοδον, ὁ Μάξιμος τοῦτο ὡς ἀλλόκοτον ἀπεσκοράκισεν. ἴδε καὶ κατωτέρω κεφαλαίου δεκάτου Παράγραφον δεύτερον.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Γ'. ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῆς προθεσμίας τῶν Συνόδων, ὅτι παρὰ τῶν βασιλέων ἐπιτάττεται. μαρτυρία Ἑρμείου ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου.

Ὁ Βασιλεὺς ὁ μέγας Κωνσταντῖνος συνεκάλεσε Σύνοδον εἰς Νίκαιαν τῆς Βιθυνίας, καὶ πανταχοῦ τοῖς προεστῶσι τῶν Ἐκκλησιῶν ἔγραψεν εἰς ῥητὴν ἡμέραν παρεῖναι. Ἐκοινώνουν δὲ τούτου τοῦ συλλόγου Μακάριος Ἱεροσολύμων, Εὐστάθιος Ἀντιοχείας, Ἀλέξανδρος Ἀλεξανδρείας, Βιτὼ καὶ Βικέντιος Ἰουλίου πρέσβεις. Ἑρμείας βιβλίῳ πρώτῳ κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς αὐτῆς προθεσμίας μαρτυρία Ἑρμείου ἐπὶ Κωνσταντίου καὶ Κώνσταντος.

Ἐπειδὴ Κώνστας ᾔτει τὸν ἀδελφὸν τοὺς ἀμφὶ Ἀθανάσιον τοὺς οἰκείους ἀπολαβεῖν θρόνους, καὶ γράφων οὐδὲν ἤνυεν, οἱ περὶ Ἀθανάσιον καὶ Παῦλον προσιόντες αὐτῷ, Σύνοδον ᾔτουν. ἔδοξε γνώμῃ τῶν Βασιλέων τοὺς ἀμφοτέρων Ἐπισκόπους εἰς ῥητὴν ἡμέραν καταλαβεῖν τὴν Σαρδὼ πόλιν. Ἑρμείας βιβλίῳ τρίτῳ κεφαλαίῳ ἑνδεκάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς αὐτῆς προθεσμίας μαρτυρία Εὐαγρίου ἐπὶ Θεοδοσίου τοῦ νέου.

Εὐάγριος βιβλίῳ πρώτῳ κεφαλαίῳ τρίτῳ. Ἐδέησε νεύματι τοῦ νέου Θεοδοσίου τὰ σκῆπτρα τῆς Ἑῴας διέποντος τὴν ἐν Ἐφέσῳ πρώτην Σύνοδον ἁλισθῆναι, γραμμάτων βασιλικῶν γενομένων πρός τε Κύριλλον καὶ τοὺς ἁπανταχοῦ τῶν ἁγίων Ἐκκλησιῶν προεστῶτας, ὃς κυρίαν τῆς συνελεύσεως ἀπέφηνε τὴν ἁγίαν Πεντηκοστὴν ἡμέραν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς αὐτῆς προθεσμίας μαρτυρία Σωκράτους ἐπὶ τοῦ αὐτοῦ.

Σωκράτης βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ τριακοστῷ τεταρτῷ. Οὐ πολὺς ἐν μέσῳ χρόνος, καὶ τοὺς πανταχόθεν Ἐπισκόπους πρόσταγμα Βασιλέως εἰς τὴν Ἐφεσίων συνιέναι ἐκέλευσεν εὐθὺς μετὰ τὴν τοῦ Πάσχα ἑορτήν.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς αὐτῆς προθεσμίας μαρτυρία ἐκ τῶν πρὸς Κύριλλον γραμμάτων Θεοδοσίου καὶ Οὐαλεντιανοῦ τῶν Βασιλέων.

Θεοδόσιος καὶ Οὐαλεντιανὸς οἱ Βασιλεῖς Κυρίλλῳ. Ὥστε καὶ ἥκειν δεῖσθαι τὴν εὐλάβειαν κατὰ τὸν χρόνον ὃν τὰ ἕτερα δηλοῖ γράμματα πρὸς ἅπαντας ἀπεσταλμένα τοῖς τῶν Μητροπόλεων Ἐπισκόποις. Καὶ, σπουδὴν τιθέμεθα πρὸ τῶν ἄλλων τῷ τὴν ἐκκλησιαστικὴν κατάστασιν Θεῷ πρέπουσαν καὶ τοῖς ἡμετέροις πρόσφορον διαμένειν καιροῖς. Καὶ, φροντίσει ἡ σὴ θεοσέβεια μετὰ τὸ ἐπιὸν ἅγιον Πάσχα εἰς τὴν Ἐφεσίων τῆς Ἀσίας παραγενέσθαι κατ' αὐτὴν τῆς ἁγίας Πεντηκοστῆς τὴν ἡμέραν. μέρει πρώτῳ τῆς τρίτης Συνόδου κεφαλαίῳ δεκάτῳ ἕκτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς αὐτῆς προθεσμίας μαρτυρία Μέμνονος Ἐφέσου καὶ τῆς Συνόδου ἐπὶ τῶν αὐτῶν Βασιλέων.

Μέμνων Ἐπίσκοπος Ἐφέσου εἶπεν. Ἀπὸ τῆς ὡρισμένης προθεσμίας ἐν τῷ εὐσεβεῖ καὶ θεοφιλεῖ γράμματι παρῆλθον ἡμέραι δεκαέξ. Κύριλλος Ἀλεξανδρείας εἶπε. Καὶ δεύτερον θέσπισμα τῶν φιλοχρίστων Βασιλέων ὑπανεγνώσθη τῇ Συνόδῳ τὸ προστάττον τὰ τῆς πίστεως ἐρευνᾶσθαι καὶ τυποῦσθαι δίχα πάσης ἀναβολῆς. πράξει πρώτῃ. Ἡ Σύνοδος ἐν τῇ πρὸς τοὺς Βασιλεῖς ἀναφορᾷ περὶ τῆς καθαιρέσεως Νεστορίου. Οὐ παρεῖδε τὸ ὑμέτερον κράτος ταραττομένας τὰς ἁγίας Ἐκκλησίας, καὶ νοθευόμενα τὰ τῆς πίστεως καὶ τὰ τῆς ἀληθοῦς εὐσεβείας δόγματα, ἀλλ' ἐκ πάσης Μητροπόλεως συναχθῆναι ἐκέλευσεν ἡ ὑμετέρα εὐσέβεια τοὺς θεοφιλεστάτους Μητροπολίτας, ἐπαγομένους καί τινας τῶν ἄλλων πόλεων Ἐπισκόπους, καιρὸν αὐτάρκη πρὸς τὴν συνδρομὴν τὴν ἄχρι τῆς Πεντηκοστῆς ὁρίσασα. πράξει πρώτῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς αὐτῆς προθεσμίας μαρτυρία ἐκ τῆς πρὸς Διόσκορον ἐπιστολῆς τῶν αὐτῶν Βασιλέων.

Θεοδόσιος καὶ Οὐαλεντιανὸς Διοσκόρῳ. Καὶ ἡ σὴ τοιγαροῦν ὁσιότης προσλαβοῦσα συν αὐτῇ δέκα μὲν εὐλαβεστάτους τῶν ὑπὸ τὴν αὐτὴν Διοίκησιν Μητροπολίτας, ἑτέρους δὲ δέκα ὁσιωτάτους Ἐπισκόπους, ταῖς πλησίον Καλάνδαις Αὐγούσταις τὴν Ἐφεσίων Μητρόπολιν τῆς Ἀσίας καταλαβεῖν ἀνυπερθέτως σπουδάσει. Καὶ, εἰ δέτις τὴν οὕτως ἀναγκαίαν καὶ Θεῷ φίλην παριδεῖν ἕλοιτο Σύνοδον, καὶ μὴ πάσῃ δυνάμει κατὰ τὸν προειρημένον καιρὸν τὸν ἀφορισθέντα καταλάβῃ τόπον, οὐδὲ μίαν ἕξει πρὸς τὸ κρεῖττον ἢ πρὸς τὴν ἡμετέραν εὐσέβειαν ἀπολογίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς αὐτῆς προθεσμίας μαρτυρία ἐκ τῆς πρὸς πάντας Ἐπισκόπους ἐπιστολῆς Οὐαλεντιανοῦ καὶ Μαρκιανοῦ.

Οὐαλεντιανὸς καὶ Μαρκιανὸς τοῖς ἁπανταχοῦ Ἐπισκόποις. Τοῦτο ἰδικῶς τῇ ἡμετέρᾳ ἤρεσεν ἡμερότητι, ἵνα ἁγία Σύνοδος ἐν τῇ τῶν Νικαίων πόλει τῆς Βιθυνῶν Ἐπαρχίας συγκροτηθῇ, ἐφ' ᾧτε συμβαινόντων τῶν λογισμῶν, καὶ πάσης τῆς ἀληθείας ἐρευνηθείσης, τὴν ἀληθῆ πίστιν ἡμῶν σαφέστερον ἐπιγνωσθῆναι, ὥστε τοῦ λοιποῦ μὴ δὲ μίαν δύνασθαι εἶναι ἀμφιβολίαν, ἤτοι διχόνοιαν. ὅθεν ἡ ἁγιότης ὑμῶν μεθ' ὧν ἂν ἀρέσοι θεοφιλεστάτων Ἐπισκόπων πρὸς τὴν εἰρημένην Νικαέων πόλιν ἐντὸς Καλανδῶν Σεπτεμβρίων σπουδασάτω. καὶ Ἀνατολίῳ Κωνσταντινουπόλεως τὰ αὐτά. περὶ δὲ τῆς συστάσεως ἣν προβάλλουσιν οἱ παπισταὶ, ὅτι ὁ Ῥώμης παρέχει τὴν προθεσμίαν, ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου τρίτου Παράγραφον ὄγδοον.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Γ'. ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὅτι ἡ Σύνοδος λέγεται τετραχῶς, καὶ πρῶτον περὶ χωρικῆς, καὶ ποσαχῶς ὀνομάζεται ἁπλῶς πᾶσα Ἐπισκοπὴ, καὶ ὅτι πᾶσα Σύνοδος Ἐπισκόπων, Μητροπολιτῶν, καὶ Πατριαρχῶν μετὰ μόνων τῶν ἰδίων Κληρι-

Κληρικῶν ἐν τῇ ἑκάστου ἐνορίᾳ γινομένη, ἡ αὐτή ἐστι, καὶ περὶ τοῦ τίνος τόπον ὁ Ἐπίσκοπος καὶ τίνος ὁ Πρεσβύτερος καὶ τίνος ὁ Ἱεροδιάκων ἐπέχει.

Χωρικὴ Συνόδος ἐστιν, ἥντινα συνίστησιν ὁ Ἐπίσκοπος μετὰ τῶν Κληρικῶν, ἤτοι τοῦ Πρεσβυτερίου αὐτοῦ, καὶ θεωρεῖ δι' αὐτῆς τὰς προσπιπτούσας ἐκκλησιαστικὰς ὑποθέσεις. ἔσθ' ὅτε δὲ χρείας κατεπειγούσης καλεῖ εἰς τὴν Σύνοδον κάντινας τῶν ὑπ' αὐτὸν Ἱερέων καὶ σοφῶν. φησὶ γὰρ ὁ ἔνατος Κανὼν τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, Ἕκαστον Ἐπίσκοπον ἐξουσίαν ἔχειν τῆς ἑαυτοῦ παροικίας, διοικεῖν τε καὶ τὴν ἑκάστῳ ἐπιβάλλουσαν εὐλάβειαν, καὶ πρόνοιαν ποιεῖσθαι πάσης τῆς χώρας τῆς ὑπὸ τὴν ἑαυτοῦ πόλιν, ὡς καὶ χειροτονεῖν Πρεσβυτέρους καὶ Διακόνους, καὶ μετὰ κρίσεως ἕκαστα διαλαμβάνειν. τὰ αὐτὰ λέγει καὶ ὁ τριακοστὸς τέταρτος Κανὼν τῶν Ἀποστόλων, καὶ ἄλλοι πολλοί. ἐξουσιαστὴς δέ ἐστιν ἕκαστος Ἐπίσκοπος ἐν τῇ ἐνορίᾳ αὐτοῦ, καὶ ἴδε ἀνωτέρω βιβλίου ἐνάτου κεφαλαίου δωδεκάτου Παράγραφον εἰκοστὸν ἕβδομον. Λέγεται δὲ πᾶσα Ἐπισκοπὴ θρόνος, καὶ αὐθεντικὴ καθέδρα. Καρθαγένης Κανόνι ἑβδομηκοστῷ δευτέρῳ. Καὶ ἐκκλησιαστικὴ ἀρχή. Λαοδικείας Κανόνι δωδεκάτῳ. Καὶ ποιμαντικὴ Ἡγεμονία. τῆς ἐν Τρούλλῳ Κανόνι ἑκατοστῷ τρίτῳ. Καὶ προσκυνητὸς Ἐπίσκοπος. Καρθαγένης Κανόνι ὀγδοηκοστῷ ἕκτῳ. Καὶ ἐπισκοπικὴ αὐθεντία. Καρθαγένης Κανόνι ἑξηκοστῷ ὀγδόῳ, καὶ Σαρδικῆς Κανόνι ἕκτῳ, καὶ Χαλκηδόνος Κανόνι δεκάτῳ ἕκτῳ. Καὶ καθολικὸς Ἐπίσκοπος, Καρθαγένης Κανόνι ἑκατοστῷ δευτέρῳ. Καὶ τῆς καθολικῆς Ἐκκλησίας Ἐπίσκοπος. τῆς Οἰκουμενικῆς πρώτης Κανόνι δεκάτῳ ἐνάτῳ. Καὶ ἁγιώτατος ἀδελφὸς. τῆς ἐν Καρθαγένῃ Κανόνι ἑκατοστῷ τριακοστῷ πέμπτῳ. ἐκεῖνα δὲ καὶ μόνα πράττειν ἔχει ἐξουσίαν ἕκαστος Ἐπίσκοπος, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει καὶ ταῖς ὑπ' αὐτὴν χώραις. τοῦ αὐτοῦ δὲ εἴδους ἐστὶ καὶ ἡ Σύνοδος ἣν συνίστησιν ὁ Μητροπολίτης ἄνευ Ἐπισκόπων, ἀλλὰ μετὰ μόνων τῶν ἰδίων Κληρικῶν, καὶ ἡ Διοίκησις καθ' ἣν διοικεῖ ὁ Μητροπολίτης τὴν ἰδιάζουσαν αὐτῷ Ἐπαρχίαν ἄνευ τῶν ὑποκειμένων αὐτῷ Ἐπισκόπων. ὅθεν ὁ ῥηθεὶς ἔνατος τῆς ἐν Ἀντιοχείᾳ μετὰ τοῦ τριακοστοῦ τετάρτου ἀποστολικοῦ καὶ πολλῶν ἄλλων συνοδικῶν Κανόνων φασὶ, Περαιτέρω δὲ μηδὲν πράττειν ἐπιχειρεῖν (τὸν Ἐπίσκοπον) δίχα τῆς τοῦ Μητροπόλεως Ἐπισκόπου, μηδὲ αὐτὸν (τὸν Μητροπολίτην) ἄνευ τῆς τῶν λοιπῶν γνώμης (ἤτοι ἐν τῇ κοινότητι τῆς Ἐπαρχίας, ἐν ᾗ δεῖ γίνεσθαι καὶ θεωρεῖσθαι τὰ παρατυχόντα διὰ τοῦ Μητροπολίτου καὶ τῶν Ἐπισκόπων) ἀλλὰ δὴ καὶ ἡ ποίμανσις καθ' ἣν οἱ Πατριάρχαι ὅταν ἄνευ Ἐπισκόπων, ἀλλὰ μετὰ μόνων τῶν ἰδίων Κληρικῶν ἐπισκέπτωνται τὸ ἐπιβάλλον τῇ ἰδίᾳ πόλει ποίμνιον, τοιοῦτόν ἐστιν, ὅθεν ὁ Ἀμβρόσιος τὴν πρὸς Τιμόθεον πρώτην ἑρμηνεύων, Ἡ Συναγωγὴ, ἔφη, καὶ ὕστερον τοὺς Πρεσβυτέρους εἶχεν ἡ Ἐκκλησία, ὧν ἄνευ βουλῆς οὐδὲν γίνεται. ὁ Ἀλεξανδρείας Ἀλέξανδρος τὸ πρῶτον μετὰ μόνου τοῦ Πρεσβυτερίου ἐκάθηρε τὸν Ἄρειον, εἶτα μετὰ τῶν Ἐπισκόπων. τὸ πρῶτον, ὡς τῆς πόλεως αὐτοῦ πρεσβύτερον, τὸ δεύτερον, ὡς Αἱρετικὸν, πολλοὺς εἰς διαφόρους τόπους σκανδαλίζοντα. ἀλλὰ καὶ μετὰ μόνου τοῦ Πρεσβυτερίου ἔγραψε τὰς ἐγκυκλίους ἐπιστολὰς, καὶ ἴδε τοῦ Γελασίου βιβλίου δευτέρου κεφάλαιον τρίτον. οὐ μὴν ἀλλὰ καὶ ὁ θεοφόρος Ἰγνάτιος ἐπιστολῇ πρὸς Μαγνησίους φησὶ, Προκαθημένου τοῦ Ἐπισκόπου εἰς τόπον Θεοῦ, καὶ τῶν Πρεσβυτέρων εἰς τόπον συνεδρίου τῶν Ἀποστόλων. τὰ αὐτὰ φησὶ καὶ ἐπιστολῇ πρὸς Τραλλιανοὺς ὡς ῥηθήσεται, καὶ ἀνωτέρω οὕτως εἴρηται παρὰ τῶν ἀποστολικῶν Διαταγῶν, καὶ ἴδε βιβλίου πρώτου κεφαλαίου ἑνδεκάτου Παράγραφον ἕκτον. Καὶ ὁ Γελάσιος λέγει, ὅτι ὁ Ἐπίσκοπος ἐπέχει τόπον τοῦ Κυρίου, ὡς κεφαλὴ ὢν μετ' αὐτὸν τῆς Ἐκκλησίας ἧς παρείληφε, τὸν δὲ Πρεσβύτερον, Σεραφικὸν ἐπέχειν θρόνον, τὸν δὲ Διάκονον, τὸν Χερουβικόν. ταῦτα δὲ ὥς φησιν ὁ Γελάσιος διετύπωσεν ἡ πρώτη Οἰκουμενικὴ Σύνοδος. εἰς τοῦτο τείνει ὅπερ λέγει καὶ ὁ Ἱερώνυμος ἐν τῇ πρὸς Εὐάγριον ἐπιστολῇ, Ὅπου ἂν ᾖ ὁ Ἐπίσκοπος, εἴτε ἐν Ῥώμῃ, εἴτε ἐν Εὐγουβίῳ, εἴτε ἐν Κωνσταντινουπόλει, εἴτε ἐν Ῥηγίῳ, εἴτε ἐν Ταρσῷ καὶ ἀλλαχοῦ, τῆς αὐτῆς ἐστὶν ἀξίας, καὶ τῆς αὐτῆς Ἱερωσύνης, ἡ γὰρ δύναμις τοῦ πλούτου καὶ τῆς πενίας ἡ ταπεινότης ἀνώτερον ἢ κατώτερον Ἐπίσκοπον οὐκ ἐργάζεται. καὶ οἱ Ἀνατολικοὶ ἔγραφον Ἰουλίῳ τῷ Ῥώμης, Ἴση ἐστὶν ἡ τιμὴ τῶν Ἐπισκόπων, καὶ ἀπὸ μεγαλείου πόλεως Ἐπίσκοπος οὐ προτιμᾶται Ἐπισκόπου κατ' ἐξουσίαν, οἷς οὐκ ἠναντιώθη ὁ Ἰούλιος, ἀλλὰ συνέθετο εἰπών, Εἰ οὖν ἀληθῶς ἴσην καὶ τὴν αὐτὴν ἡγεῖσθε τιμὴν τῶν Ἐπισκόπων, καὶ μὴ ἐκ τοῦ μεγέθους τῶν πόλεων κρίνετε τοὺς Ἐπισκόπους, ἔδει τὸν πεπιστευμένον μικρὰν μένειν ἐν τῇ ἐμπιστευθείσῃ, καὶ μὴ ἐξουθενεῖν μὲν τὴν πεπιστευμένην, μεταβαίνειν δὲ εἰς τὴν μὴ ἐγχειρισθεῖσαν, ἵνα τῆς μὲν παρὰ Θεοῦ δοθείσης καταφρονῇ, τὴν δὲ τῶν ἀνθρώπων κενοδοξίαν ἀγαπήσῃ. Ἀθανασίου ἀπολογία δευτέρᾳ. γίνεται δὲ καὶ τοῦτο κατάδηλον ἀπὸ τούτου, οἱ γὰρ Πάπαι (ἵνα ἐκ τῶν Πατριαρχῶν ἕνα εἴπωμεν) ὁσάκις περὶ κοινῶν πραγμάτων ἔγραψαν εἰς τὴν Ἀνατολὴν, ἢ ἐνήργησαν εἰς τὴν Ῥώμην, πάντοτε μετὰ Συνόδου Ἐπισκόπων ἐνήργησαν, καὶ οὐδέποτε μόνοι μετὰ τοῦ ἰδίου Πρεσβυτερίου, ἐπειδὴ μετὰ μόνων τῶν ἰδίων Κληρικῶν μόνον τὸ ἐπιβάλλον μόνοις αὐτοῖς μέρος διώκουν, καὶ διοικοῦσιν. εἰδὲ καὶ λέγεται ὑπότε Συνόδων καὶ πατέρων ἡ Κυρίλλου τρίτη ἐπιστολὴ πρὸς Νεστόριον συνοδικὴ οὖσα ὅτι ἐστὶ τοῦ Κυρίλλου ἄνευ τοῦ ὅτι ἐστὶ συνοδικὴ, καὶ ἡ Λέοντος ἐπιστολὴ ἐγκύκλιος οὖσα ἤτοι συνοδικὴ μονοτρόπως ὅτι ἐστὶ τοῦ Λέοντος, ὡς καὶ ἡ Πρόκλου πρὸς Ἀρμενίους, καὶ ἄλλαι Πατριαρχῶν οὕτως, ἀλλὰ ῥητέον, πολλάκις

εἴρηται

εἴρηται ἀνωτέρω, ὅτι τῶν Πατριαρχῶν πρόσωπον ἐπιφερόντων τῶν κατ' αὐτοὺς Συνόδων, λέγονται τὰ συνοδικῶς πεπραγμένα εἶναι αὐτῶν ἕνεκεν συντομίας, ὅθεν ὁ Κύριλλος ἔγραφε περὶ Νεστορίου, καὶ ἵνα μὴ εἴπωσιν ὅτι ὁ Κύριλλος, ἤγουν ἡ Αἰγυπτιακὴ Σύνοδος ἀνεθεμάτισε, καὶ ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον εἰκοστόν. ὅπερ οὐκ ἐπιφέρουσιν, ὅταν τῆς ἰδίας πόλεως ἕκαστος τὰ πράγματα οἰκονομῇ, ὃν τρόπον ὁ πᾶς Ἐπίσκοπος τὰ τῆς ἰδίας καὶ μόνης ἐνορίας καθ' ὅσον ἀνήκει αὐτῷ ἐπισκέπτεται καὶ οἰκονομεῖ.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Γ'. ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τοῦ τί ἐστι κυρίως Ἐπαρχία καὶ Σύνοδος τῆς Ἐπαρχίας, καὶ περὶ τίνων ἀθροίζεται, καὶ τίφασι περὶ αὐτῆς οἱ Κανόνες, καὶ ποσαχῶς λέγεται ὁ Μητροπολίτης καὶ ὁ θρόνος αὐτοῦ καὶ ἡ Σύνοδος αὐτοῦ. καὶ ὅτι Σύνοδος Ἐπαρχίας καὶ Ἐπαρχία Πατριάρχου, κατὰ τοῦτον τὸν τρόπον, καὶ ἡ Σύνοδος καὶ ἡ ἐνορία ἑκάστου Πατριάρχου καλεῖται.

Ἐπαρχία ἐστὶ κυρίως, ἡ ἑκάστης Μητροπόλεως ἐνορία. Σύνοδος δὲ τῆς Ἐπαρχίας ἐστὶν, ἡ συνέλευσις ἐκείνη, καθ' ἣν ὁ Μητροπολίτης καὶ οἱ ὑποκείμενοι αὐτῷ πάντες, ἢ γοῦν οἱ πλείονες Ἐπίσκοποι συνέρχονται εἰς ὃν ἂν τόπον δοκιμάσῃ αὐτὸς, καθὼς φησὶν ἡ ἐν Τρούλλῳ Κανόνι ὀγδόῳ. συνέρχονται δὲ ἐν αὐτῇ οἱ Ἐπίσκοποι, ἀνακρίνοντες τὰ δόγματα τῆς εὐσεβείας, καὶ τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς ἀντιλογίας διαλύοντες, κατὰ τὸν τριακοστὸν ἕβδομον ἀποστολικὸν Κανόνα. τὰ γὰρ ὑπὸ διοίκησιν τινὸς Ἐπισκόπου τῶν τοιούτων ὄντα, ἐν τῇ κοινότητι θεωρεῖται, εἴτε Ἐπίσκοπος ἁπλῶς εἴη ὁ τοιοῦτος, εἴτε ὁ Μητροπολίτης. ὅθεν φησὶν ὁ τριακοστὸς τέταρτος ἀποστολικὸς Κανὼν, μήτε τοὺς Ἐπισκόπους ποιεῖν τι ἄνευ τοῦ Μητροπολίτου, μήτε τὸν Μητροπολίτην ἄνευ τῶν Ἐπισκόπων ἐν τοῖς ὑπὲρ τὰς διοικήσεις αὐτῶν δηλονότι συμβαίνουσιν. οὐμὴν ἀλλὰ καὶ ἐν τῇ ἰδίᾳ διοικήσει τοῦ Μητροπολίτου ἢ Ἐπισκόπου συμβαίνουσι τινὰ, ἅτινα οὐ δυνατὸν θεωρηθῆναι καὶ διαλυθῆναι, ἀλλ' ἢ μόνον ὑπὸ τῆς κοινότητος, ἤτοι τῆς Συνόδου, ὥς φησιν ὁ ἀποστολικὸς Κανών. καὶ ὁ δέκατος ἔνατος τῆς ἐν Χαλκηδόνι φησὶ, καὶ διορθοῦν ἕκαστα τὰ ἀνακύπτοντα. καὶ ἡ ἐν Τρούλλῳ Κανόνι ὀγδόῳ φησὶ, διὰ τὰ ὡς εἰκὸς ἀνακύπτοντα ἐκκλησιαστικὰ κεφάλαια. ὡσεὶ ἔλεγεν, ἕκαστος Ἐπίσκοπος διοικεῖ τὰ ἴδια κατὰ τοὺς διωρισμένους Κανόνας, τὰ δὲ ἀνακύπτοντα, ἐν Συνόδῳ διακρίνεται κοινῶς. τὰ αὐτὰ φησὶ καὶ ὁ ἔνατος τῆς ἐν Ἀντιοχείᾳ, καὶ ἄλλοι ἄλλων Συνόδων Κανόνες. γίνεσθαι δὲ ταύτην τὴν Σύνοδον δὶς τοῦ ἔτους ἐπιτάττει ὁ τριακοστὸς ἕβδομος ἀποστολικὸς Κανὼν, καὶ τῆς ἐν Νικαίᾳ πρώτης ὁ πέμπτος, καὶ ἄλλοι. ὁ μέντοι ὄγδοος τῆς ἐν Τρούλλῳ καὶ ὁ ἕκτος τῆς ἑβδόμης ἅταξ γίνεσθαι τοῦ ἔτους κελεύουσιν, οὐκ ἐναντιούμενοι τοῖς πρὸ αὐτῶν Κανόσιν, ἀλλὰ διὰ τὰς τότε καταδρομὰς τῶν ἐθνῶν. ἐκεῖνο δὲ ὅφησιν ὁ τέταρτος Κανὼν τῆς πρώτης Συνόδου, Τὸ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην Ἐπαρχίαν τῷ Μητροπολίτῃ, λέγεται περὶ τῆς ἐκλογῆς τῶν Ἐπισκόπων, εἰ δὲ καὶ περὶ τῶν ἐν τῇ Συνόδῳ ζητημάτων ληφθείη, βούλεται ἄνευ τοῦ Μητροπολίτου μὴ γίνεσθαι Σύνοδον, καὶ τὴν ἀπόφασιν αὐτῆς βεβαιοῦν τὸν Μητροπολίτην, οὐμὴν ὅτι ὁ Μητροπολίτης μόνος ἐξ οἰκείας αὐθεντίας δύναται ἀπόφασιν ἐξενεγκεῖν, ὅθεν φησὶν ἡ αὐτὴ Σύνοδος Κανόνι πέμπτῳ, Μέχρις ἂν τῷ κοινῷ τῶν Ἐπισκόπων δόξῃ τὴν ψῆφον ἐκθέσθαι. ἔσθ' ὅτε δὲ ὁ Μητροπολίτης χρείας κατεπειγούσης μετακαλεῖται τινὰς Ἐπισκόπους ἀπὸ τῆς πλησιοχώρου Ἐπαρχίας τοῦ κρῖναι καὶ βεβαιῶσαι σὺν αὐτοῖς τὰ προσπίπτοντα, κατὰ τὸν δέκατον τέταρτον Κανόνα τῆς ἐν Ἀντιοχείᾳ Συνόδου. Ἔτι ἀπόντος ἑνὸς ἢ καὶ τινῶν Ἐπισκόπων, διὰ γραμμάτων αὐτῶν γίνεται ἡ ἐκλογὴ καὶ χειροτονία Ἐπισκόπου, ἀπόντος δὲ Μητροπολίτου, οὐ γίνεται. ἐν δὲ τῇ ἐκλογῇ καὶ χειροτονίᾳ τοῦ Μητροπολίτου, καὶ ἐν τοῖς θεωρουμένοις ἐν τῇ Συνόδῳ ζητήμασιν εἰ τινὲς ἀντιλέγουσι, κρατεῖ τῶν πλειόνων ἡ ψῆφος. ὅτ' ἂν μέντοι ὁ Μητροπολίτης ὑπ' αἰτίας γένοιτο, ἢ Αἱρετικὸς, οἱ Ἐπίσκοποι μόνοι ἔκρινον τὸ πάλαι, καὶ ἐκάθηρον αὐτὸν, καὶ αὐτ' ἐκείνου ἕτερον Μητροπολίτην ἐψηφίζοντο καὶ ἐχειροτόνουν, ὡς καὶ οἱ Κανόνες καὶ ῥητῶς οἱ πατέρες τῆς τρίτης Συνόδου τῆς Οἰκουμενικῆς φασί. νῦν δὲ τοὺς Μητροπολίτας ἀνακρίνουσι συνοδικῶς οἱ Πατριάρχαι, τοὺς δὲ Πατριάρχας ποτὲ μὲν Οἰκουμενικὴ Σύνοδος κατὰ τὴν ποιότητα τοῦ γενομένου πὰρ αὐτῶν ἐγκλήματος, ποτὲ δὲ οἱ ὑπ' αὐτοὺς τελοῦντες Ἀρχιερεῖς. Λέγεται δὲ ὁ Μητροπολίτης πάντα, ἅτινα λέγεται καὶ ὁ Ἐπίσκοπος. καὶ ἔτι Ἔξαρχος τῆς Ἐπαρχίας κατὰ τὸν ἕκτον Κανόνα τῆς ἐν Σαρδικῇ. καὶ Ἐπίσκοπος Ἐπαρχίας κατὰ τὸν πρῶτον Κανόνα τῆς τρίτης Συνόδου. καὶ ὁ θρόνος αὐτοῦ πρώτη καθέδρα τῆς Ἐπαρχίας κατὰ τὸν εἰκοστὸν τρίτον Κανόνα τῆς ἐν Καρθαγένῃ. καὶ ἡ Σύνοδος αὐτοῦ προσκυνητὴ, Καρθαγένης Κανόνι ἑκατοστῷ τρίτῳ. καὶ Σύνοδος Ἐπαρχίας, Ἀντιοχείας Κανόνι δεκάτῳ τετάρτῳ. καὶ Σύνοδος Τοπικὴ, ὥς φησιν ὁ ὄγδοος τῆς ἐν Τρούλλῳ, καὶ ὁ ἕκτος τῆς ἑβδόμης. καὶ πρωτόθρονος, καὶ πρόεδρος, ὥς φησιν ὁ Ἀντιοχείας Πέτρος ἐπιστολῇ πρὸς τὸν Ἐπίσκοπον Γρατέσσης. καὶ πρωτεύων Ἐπαρχίας, Καρθαγένης Κανόνι δεκάτῳ ἐνάτῳ. ἴδε Ἀντιοχείας Κανόνα τέταρτον καὶ δέκατον τρίτον, καὶ Καρθαγένος εἰκοστὸν ὄγδοον.

καὶ

καὶ Συνόδος τελεία, Ἀντιοχείας Κανόνι δεκάτῳ ἕκτῳ καὶ δεκάτῳ ἑβδόμῳ. τὰ αὐτά φησι καὶ ὁ Βαλσαμὼν καὶ Ζωναρᾶς ἐξηγούμενοι τοὺς Κανόνας, ὅτι Συνόδος τῆς Ἐπαρχίας ἐκείνη λέγεται τελεία, ἣ καὶ ὁ Μητροπολίτης συμπαρέστι. καὶ Κανόνι εἰκοστῷ ἡ αὐτὴ Συνόδος φησὶ, Μὴ ἐξεῖναι τινὰς καθ' ἑαυτοὺς Συνόδους ποιεῖσθαι ἄνευ τῶν πεπιστευμένων τὰς Μητροπόλεις. ὅθεν ἡ πρώτη Οἰκουμενικὴ Κανόνι πέμπτῳ περὶ τῶν ὑπὸ τῆς Συνόδου τῆς Ἐπαρχίας κριθέντων ἔφη, Τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας ὑφ' ἑτέρων μὴ προσίεσθαι. καὶ ἐπειδὴ ἐν ταῖς ἐπικρατείαις τῶν Αἱρετικῶν καὶ ὑπὲρ Διοίκησιν ἐνήργησαν διὰ τὴν ἀνάγκην τινὲς Ἐπίσκοποι, ἡ δευτέρα Οἰκουμενικὴ ἐν τῷ δευτέρῳ αὐτῆς Κανόνι ἐπιτάττει, Τὰ καθ' ἑκάστην Ἐπαρχίαν ἡ τῆς Ἐπαρχίας Συνόδος διοικήσει κατὰ τὰ ἐν Νικαίᾳ ὡρισμένα, ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφάλαιον τέταρτον. Οὐ μόνον δὲ οἱ Μητροπολῖται κέκτηνται χρέος Κανονικὸν, ἵνα Συνόδους ἀθροίζωσι κατ' ἔτος, ἀλλὰ καὶ οἱ Πατριάρχαι, ὅθεν ὁ μέγας Ἰουστινιανὸς Νεαραῖς ἑκατοστῇ εἰκοστῇ τρίτῃ καὶ ἑκατοστῇ τριακοστῇ ἑβδόμῃ θεσπίζει λέγων, Οἱ Πατριάρχαι καὶ οἱ Μητροπολῖται ἅπαξ τοῦ ἐνιαυτοῦ ἢ δὶς κοινὰς ποιείτωσαν Συνόδους, τὰς κατ' ἀλλήλων καὶ τῶν ὑπ' αὐτοὺς Ἐπισκόπων καὶ Κληρικῶν διακρίνοντες αἰτίας, καὶ τὰ ἀνακύπτοντα κατὰ Κανόνα διατιθέντες κεφάλαια. ὡρίσθη δὲ γίνεσθαι τὴν Συνόδον τῆς Ἐπαρχίας παρὰ τῶν Ἀποστόλων, ὡς εἴρηται, καὶ ἐφυλάττετο ἡ τάξις ὡς εἴρηται ἀνωτέρω βιβλίῳ πρώτῳ περὶ τῶν Συνόδων τῶν γενομένων περὶ τοῦ βαπτίσματος καὶ τοῦ Πάσχα, ἐπὶ δὲ τοῦ μεγάλου Κωνσταντίνου γενομένη Συνόδος Οἰκουμενικὴ ἐν Νικαίᾳ, ἀνεκαίνισε τὴν τάξιν, ὅθεν καθεξῆς καὶ ὑπὸ Συνόδων καὶ ὑπὸ Βασιλέων Συνόδος τῆς Ἐπαρχίας διωρίσθη ἀπαραιτήτως γίνεσθαι, κατὰ δὲ τὸν τρόπον τοῦτον, καὶ τὸν σκοπὸν τοῦ δευτέρου Κανόνος τῆς δευτέρας Οἰκουμενικῆς, ἡ τοῦ Πατριάρχου Συνόδος, Συνόδος Ἐπαρχίας καλεῖται. καὶ ἡ Διοίκησις καὶ ἐνορία ἑκάστου Πατριάρχου, Ἐπαρχία καλεῖται. ὅθεν Θεοδόσιος καὶ Οὐαλεντιανὸς ἐν τῇ πρὸς τὸν ἅγιον Κύριλλον Σάκρᾳ γράφουσιν ἵνα ἔλθῃ εἰς τὴν ἐν Ἐφέσῳ Σύνοδον, ἔχων ὀλίγους, οὓς δοκιμάσειεν ἐκ τῆς ὑπ' αὐτὸν τεταγμένης Ἐπαρχίας ἁγιωτάτους Ἐπισκόπους. ἴδε καὶ ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον τρίτον, καὶ βιβλίου τρίτου κεφάλαιον τέταρτον.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Γ'. ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τοῦ πόσα σημαίνει τὸ τῆς Διοικήσεως ὄνομα, καὶ ποσαχῶς λέγεται ἡ τῆς Διοικήσεως Συνόδος.

Τὸ ὄνομα τῆς Διοικήσεως, ὅσον ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασι, σημαίνει πρῶτον τὴν Ἐπαρχίαν ἑκάστου Ἐπισκόπου, ὡς οἱ Κανόνες τῆς ἐν Καρθαγένῃ Συνόδου πεντηκοστὸς ἕβδομος, ἑβδομηκοστὸς δεύτερος καὶ ἑκατοστὸς δεύτερος φασί. δεύτερον, τὴν Ἐπαρχίαν τοῦ Μητροπολίτου, ὡς ὁ ἑκατοστὸς πρῶτος Κανὼν τῆς ἐν Καρθαγένῃ, καὶ ὁ εἰκοστὸς ὄγδοος τῆς ἐν Χαλκηδόνι φασί. τρίτον, πολλῶν Μητροπολιτῶν Ἐπαρχίας ἐν μιᾷ Διοικήσει κειμένας, ὡς ὁ ἕκτος Κανὼν τῆς δευτέρας Οἰκουμενικῆς διαγορεύει. τέταρτον, τὴν ἑκάστου Πατριάρχου ἐνορίαν, ὡς λέγεται ἐν πολλοῖς τόποις τῶν πρακτικῶν τῶν Οἰκουμενικῶν Συνόδων, καὶ ἀρκεῖ εἰπεῖν, ὅτι ἐν τῇ ἐν Ἐφέσῳ πρώτῃ Συνόδῳ ἐρρέθη, Ἡ ἁγία Σύνοδος τῆς Ἀνατολικῆς Διοικήσεως, δηλονότι ἡ ὑπὸ τὸν θρόνον Ἀντιοχείας. Καὶ, συνελθοῦσα Σύνοδος ἐν Ἀλεξανδρείᾳ ἐκ τῆς Αἰγυπτιακῆς Διοικήσεως. πέμπτον, τὰς τινῶν Πατριαρχῶν ἐνορίας, ἅμα ἐννοουμένας, ὡς ἐν τῇ ἑβδόμῃ Οἰκουμενικῇ εἴρηται, Ἰωάννου καὶ Θωμᾶ τῶν εὐλαβεστάτων Πρεσβυτέρων καὶ Τοποτηρητῶν τῶν ἀποστολικῶν θρόνων τῆς Ἀνατολικῆς Διοικήσεως. Πενταχῶς οὖν λεγομένης τῆς Διοικήσεως, ἡ Σύνοδος τῆς Διοικήσεως λέγεται τριχῶς κατὰ τοὺς προσεχῶς δηλονότι εἰρημένους τρεῖς τρόπους. καὶ κατὰ μὲν τὸν τρίτον τρόπον εἴρηται ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίῳ τετάρτῳ καὶ πέμπτῳ, καὶ ἴδε τὸν τόπον. ἔπαυσε δὲ ἡ τοιαύτη συνέλευσις καὶ ἐνέργεια μετὰ τὴν ἐν Χαλκηδόνι Σύνοδον, ὅθεν οὔτε μέμνηται αὐτῆς ὁ Ἰουστινιανὸς ἐν οἷς διορίζεται περὶ τῶν διαφορῶν ὧν ἔχουσιν οἱ Ἐπίσκοποι μετὰ τῶν Μητροπολιτῶν αὐτῶν, οὔτε αὐτὸς οὔτε ἄλλος τίς. κατὰ δὲ τὸν πρῶτον τρόπον ἔχεις παραδείγματα τὴν ἐν Ἀντιοχείᾳ κατὰ Παύλου τοῦ Σαμοσατέως, καὶ τὴν ἐν αὐτῇ ἐκθεμένην τοὺς Κανόνας ἐπὶ Κωνσταντίου, καὶ τὴν ἐν Ἱεροσολύμοις ἐπὶ τοῦ Βασιλέως Θεοφίλου, καὶ τὴν ἐν Μοσχοβίᾳ ἐπὶ τοῦ Αὐτοκράτορος Ἀλεξίου, καὶ τὴν ἐν Βυζαντίῳ ἐπὶ Θεοδοσίου τοῦ μεγάλου περὶ Ἐπισκόπων Βόστρης, ἐν ᾗ παρῆσαν Θεόφιλος ὁ Ἀλεξανδρείας, Νεκτάριος Κωνσταντινουπόλεως καὶ ὁ Ἀντιοχείας, καθ' ἣν καὶ νῦν ἐπὶ τῆς ἐπικρατείας τῶν Ὀθωμανῶν γίνονται ἐν Κωνσταντινουπόλει Σύνοδοι, παρευρισκομένων πολλάκις ἢ ἑνὸς ἢ δύο ἢ καὶ τῶν τριῶν Πατριαρχῶν τῆς Ἀνατολῆς, καὶ θεωρεῖται παρὰ τοῦ Κωνσταντινουπόλεως καὶ παρ' αὐτῶν καὶ τῶν παρεπιδημούντων Ἀρχιερέων εἴτι συμβῇ κοινὸν ἀναγκαῖον ἐκκλησιαστικὸν ζήτημα, ἑρμηνείας ἢ βεβαιώσεως δεόμενον, οἷς μεταταῦτα συντίθενται καὶ οἱ μὴ παρόντες Πατριάρχαι, καὶ πάντες οἱ κοινωνοῦντες τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ Ἀρχιερεῖς, καὶ αὐτοὶ οἱ αὐτοκέφαλοι καλούμενοι Ἀρχιεπίσκοποι. κατὰ δὲ τὸν τέταρτον τρόπον ἐν πᾶσι τοῖς πατριαρχικοῖς θρόνοις γίνονται συχνάκις Σύνοδοι καὶ συνελεύσεις, ὥστε εἴτι ἐκκλησιαστικὸν δόγμα, ἢ ἔνταλμα, ἢ ἕτερόν τι

ζήτημα λύσεως ἢ βεβαιώσεως δεόμενον, ἕκαστος τῶν Πατριαρχῶν μετὰ τῶν παρευρισκομένων Ἀρχιερέων ἐν τῇ ἰδίᾳ Διοικήσει μόνον θεωρεῖ, μηδαμῶς ἄλλου Πατριάρχου ὁποίῳ δήποτε τρόπῳ συγχέοντος τὰ μὴ ἀνήκοντα τῇ ἰδίᾳ Διοικήσει, κατὰ τὸν δεύτερον Κανόνα τῆς δευτέρας Οἰκουμενικῆς, καὶ κατὰ πᾶσαν πρᾶξιν καὶ παράδοσιν καὶ κρίσιν καὶ ἀπόφασιν τῆς καθολικῆς Ἐκκλησίας. Σημείωσαι ὅτι αἱ πατριαρχικαὶ Σύνοδοι λέγονται ἅγιαι καὶ μεγάλαι, ἐν γὰρ τῇ πρώτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου κεῖνται αἱ ἐπὶ Φλαυϊανοῦ ἐν Κωνσταντινουπόλει κατὰ Εὐτυχοῦς συνελεύσεις, καὶ ἑκάστη λέγεται ἁγία καὶ μεγάλη. καὶ δεκάτῃ πράξει τῆς αὐτῆς ἐν Χαλκηδόνι Συνόδου Σύνοδός τις γενομένη ἐν Ἀντιοχείᾳ ἐπὶ Δόμνου, ἁγία καὶ μεγάλη καλεῖται. καὶ τὴν ἐν Ἀλεξανδρείᾳ κατὰ Ἀρείου ὁ Ἐπιφάνιος Αἱρέσει ἑξηκοστῇ ἐνάτῃ μεγάλην καλεῖ. ἀλλὰ δὴ καὶ αἱ Τοπικαὶ Σύνοδοι οὐ μόνον μεγάλαι, ἀλλὰ καὶ μέγισται καλοῦνται, καὶ ἴδε ἀνωτέρω τὸν Ἀλεξανδρείας Διονύσιον βιβλίου πρώτου κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Γ'. ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ Οἰκουμενικῶν Συνόδων, καὶ τί ἐστιν Οἰκουμενικὴ Σύνοδος, καὶ πόσα τὰ ἐν αὐτῇ θεωρούμενα, καὶ πόσα τὰ αἴτια δι' ἃ μόνοι οἱ ὀρθόδοξοι Βασιλεῖς τὰς Οἰκουμενικὰς ἀθροίζουσι Συνόδους.

Αἱ Οἰκουμενικαὶ Σύνοδοι γεγόνασιν, ὅτε ἐκ κελεύσεων βασιλικῶν οἱ κατὰ πᾶσαν τῶν Ῥωμαίων πολιτείαν Ἀρχιερεῖς μετεκλήθησαν, καὶ ὅτε ἐν ἑκάστῃ περὶ πίστεως ἡ ζήτησις γέγονε, καὶ ψῆφος, ἤτοι ὅρος ἐξεφωνήθη. ἀφ' οὗ γὰρ χριστιανίζειν ἤρξαντο τὰ τῆς Ἐκκλησίας πράγματα, ἐξ αὐτῶν Βασιλέων ἤρτητο, καὶ αἱ μέγισται Σύνοδοι τῇ αὐτῶν γνώμῃ γεγόνασί τε καὶ γίνονται. Σωκράτης βιβλίῳ πέμπτῳ ἐν τῷ προοιμίῳ. καὶ κατὰ Ματθαῖον τὸν Βλάσταριν Οἰκουμενικαὶ Σύνοδοι ὀνομάζονται, διότι ὁ τῶν Ῥωμαίων Βασιλεὺς τῆς Οἰκουμένης δεσπόζων, ἐκ προστάγματος πάντας τοὺς Ἐπισκόπους διαφόρων Ἐπαρχιῶν τῆς Οἰκουμένης εἰς ἕνα τόπον ἐλθεῖν κελεύει. ὥστε Οἰκουμενικὴ Σύνοδος ἐστὶ καὶ λέγεται ἐκείνη ἡ συνέλευσις, ἐν ᾗ τὰ τρία ταῦτα θεωροῦνται, πρῶτον, ὅτι ἐκ κελεύσεως βασιλικῆς ἠθροίσθησαν ἐκ τῆς ὑφ' ἥλιον ἔγκριτοι ἐκκλησιαστικοὶ, ἢ δι' ἑαυτῶν, ἢ διὰ Τοποτηρητῶν. δεύτερον, ὅτι ἐν αὐταῖς ζήτησις περὶ πίστεως γέγονε. τρίτον, ὅτι ἐν αὐταῖς ψῆφος, ἤτοι ὅρος δογματικὸς ἐξεφωνήθη, αἱ δὲ ἄλλαι αἱ ἢ πρὸς βεβαίωσιν τῶν ὁριθέντων, ἢ πρὸς καθαίρεσιν τῶν ἐναντιωθῆναι τολμησάντων, ἢ περὶ Κανόνων καὶ ζητημάτων εἰς ἐκκλησιαστικὴν ὁρώντων εὐταξίαν μόνον ἀθροισθεῖσαι, οὐκυρίως Οἰκουμενικαὶ ἐκλήθησαν. Ἔστι δὲ εἰπεῖν σαφέστερον, Οἰκουμενικὴ Σύνοδος ἐκείνη ἐστὶν, ἣν ὁ Αὐτοκράτωρ ἀθροίζει διὰ προστάγματος αὐτοῦ (οὐ διαφέρει εἰπεῖν πρόσκλησιν, παρακάλεσιν, προσταγὴν, κέλευσιν, ἀξίωσιν, θέσπισμα, ἰδίαν ἀρέσκειαν, θέλησιν, νεῦμα, τύπον, βουλὴν, προτροπὴν) καὶ συνέρχονται ἐν αὐτῇ οἱ πέντε Ἐπίσκοποι τῶν πέντε μεγάλων καὶ ἀποστολικῶν θρόνων, ἤτοι οἱ Πατριάρχαι (εἰ μή που τύχῃ εὔλογός τις αἰτία τοῦ μὴ πάντας παρεῖναι ὡς ῥηθήσεται, τοῦ οὖν γε λείποντος δι' αἰτίαν ἀναγκαίαν, παρεῖναι δεῖ τὸν Τοποτηρητὴν αὐτοῦ) καὶ πάντες, ἢ οἱ ἐγκριτώτεροι καὶ σοφώτεροι Μητροπολῖται καὶ Ἐπίσκοποι ἀπὸ τῶν πέντε θρόνων, καὶ ὁποίους ἄλλους ἐξαιρέτους ὁ Βασιλεὺς καλέσει, ἢ οἱ Πατριάρχαι πέμψουσιν, ἢ λαβόντες μεθ' ἑαυτῶν ἔχουσι. τὰ αἴτια δὲ δι' ἃ ὁ ὀρθόδοξος Βασιλεὺς μόνος αὐτὴν ἀθροίζει ἐστὶ πρῶτον, ὅτι τὸ συναχθῆναι ἀπὸ διαφόρων ἐθνῶν ἀνθρώπους εἰς τόπον ἐθνικοῦ Βασιλέως πρὸς σύστασιν Οἰκουμενικῆς Συνόδου, ἐστὶν ἐξίσου ἐπικίνδυνον ἅμα καὶ ἀδύνατον. δεύτερον, ὅτι ὁ Βασιλεὺς δύναται μετὰ πρεσβείας ἐννόμου ἀγαγεῖν τοὺς ἀπὸ ξένων ἐθνῶν Ἐπισκόπους εἰς τὸν τόπον τῆς βασιλείας αὐτοῦ, ὡς γέγονεν ἐπὶ τῆς ἕκτης καὶ ἑβδόμης τῶν Οἰκουμενικῶν, ἀλλὰ δὴ καὶ ἐπ' αὐτῆς τῆς ἐν Φλωρεντείᾳ ὁ Βασιλεὺς ἐγένετο αἰτία τοῦ ἐλθεῖν τὰ πρὸς τοὺς Τοποτηρητὰς τῶν Πατριαρχῶν τῆς Ἀνατολῆς γράμματα, καθὼς εἰς πλάτος ἱστορεῖ Σίλβεστρος ὁ μέγας Ἐκκλησιάρχης. τρίτον, ὅτι τοῖς Ἐπισκόποις τροφῆς, ὀχημάτων, καὶ ἑτέρων δαπανῶν ἔχουσι χρείαν οἱ Αὐτοκράτορες αὐτοῖς ταῦτα παρέχουσι, καὶ ἴδε τὸν Εὐσέβιον ἐν τῷ τρίτῳ βιβλίῳ τοῦ βίου Κωνσταντίνου, καὶ τὸν Σωκράτην καὶ Θεοδώριτον καὶ Σωζόμενον ἐν ταῖς ἀρχαῖς τῶν βιβλίων τῆς ἐκκλησιαστικῆς ἱστορίας αὐτῶν, καὶ τὸν Γελάσιον βιβλίῳ δευτέρῳ, καὶ ἄλλους πολλοὺς ἐκκλησιαστικοὺς ἱστορικοὺς, καὶ τὴν Σάκραν τοῦ Πωγωνάτου πρὸς Δόμνον τὸν Πάπαν. τέταρτον, ὅτι ἐκ τῶν Ἐπισκόπων στασιαζόντων τινῶν πρὸς ἀλλήλους, ὡς ἐγένετο ἐπὶ Κορνηλίου καὶ Κυπριανοῦ, Βίκτορος καὶ Πολυκράτους, καὶ ἐν πάσαις ταῖς Οἰκουμενικαῖς Συνόδοις πλὴν τῆς δευτέρας, οὐδὲν συμπεραίνεται ἀπούσης τῆς βασιλικῆς ἐπιστασίας. πέμπτον, οἱ Αἱρετικοὶ οὐχ ὑποτάσσονται τῇ συνοδικῇ ἀποφάσει, ὥσπερ ὁ Σαμοσατεὺς, ὃν εἰ οὐκ ἐδίωκε τοῦ ἐθνικοῦ Βασιλέως Αὐρηλιανοῦ ὁ ὁρισμὸς, οὐδὲν κατ' αὐτοῦ ἴσχυεν ἡ τῶν Ἐπισκόπων κρίσις, καὶ ἐν ταῖς Οἰκουμενικαῖς οἱ Αἱρετικοὶ παρὰ τῶν Βασιλέων διαφόρως ἐξωρίσθησαν καὶ ἐπαιδεύθησαν, καὶ τὰ βιβλία τῆς Αἱρέσεως αὐτῶν πυρίκαυστα γεγόνασιν, ἐξ ὧν οἱ ὀρθόδοξοι ἔλαβον μεγάλην ἰσχὺν καὶ ἐπίδοσιν, καὶ ἴδε τοὺς

τόπους

τόπους ἀνωτέρω. Διὰ ταῦτα καὶ ἄλλα παρόμοια τοίνυν μόνος ὁ Βασιλεὺς ἀθροίζει τὴν Οἰκουμενικὴν Σύνοδον, ὅθεν ἐν αὐτῇ πρῶτος εὐφημεῖται. καὶ φύλακες καὶ στήριγμα τῆς ὀρθοδοξίας, καὶ Ἀρχιερεῖς καὶ Ἱερεῖς, καὶ Διδάσκαλοι πίστεως, καὶ χριστοὶ Κυρίου οὐμόνον διὰ τὸ χρίεσθαι αὐτοὺς τῷ ἁγίῳ Μύρῳ ἐν τῇ στέψει, ἀλλὰ καὶ διὰ τὸ διορθοῦν τὰ ἐν τῇ Ἐκκλησίᾳ συμβαίνοντα δύσκολα, ὡς ἐξαιρέτως φιλόχριστοι, καὶ ἅγιοι διὰ τὴν ὑπὲρ τῆς ὀρθοδοξίας προστασίαν καὶ μέριμναν ἐκλήθησαν οἱ ἀθροίσαντες αὐτὰς Βασιλεῖς, καὶ ἴδε τοὺς τόπους ἀνωτέρω τῶν Συνόδων, καὶ Μακάριον τὸν Ἀγκύρας ἐν τῷ εἰκοστῷ ἐνάτῳ κεφαλαίῳ, καὶ τὸν Παχυμέρην ἐν τῷ ἑβδόμῳ βιβλίῳ. ἕκτον, ὅτι οὐδεὶς Πατριάρχης ἢ Πάπας ἔχει μήτε ἀπὸ τῆς γραφῆς, μήτε ἀπὸ Κανόνων, μήτε ἀπὸ συνηθείας τοιαύτην ἐξουσίαν, ἵνα ἀθροίζῃ τοὺς ἁπανταχοῦ Ἐπισκόπους εἰς ἕν, ἀλλ' ἢ μόνος ὁ Βασιλεὺς, ᾧτινι οἱ ὑπερόριοι διὰ τὴν πρόσκλησιν καὶ πρεσβείαν, οἱ ἐν τῇ βασιλείᾳ αὐτοῦ διὰ τὴν προσταγὴν, καὶ οἱ Αἱρετικοὶ διὰ τὸν φόβον πείθονται, καὶ ἑκάστου Ἐπισκόπου μένοντος ἐν τοῖς ὅροις αὐτοῦ, γίνεται τὸ οἰκουμενικὸν συνάθροισμα.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ τί τὸ ἔργον καὶ ἡ δύναμις τῶν Αὐτοκρατόρων ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις.

Ἔργον τοῦ Αὐτοκράτορος ἐστὶν ἐν τῇ Οἰκουμενικῇ Συνόδῳ, τὴν μὲν ἄθροισιν αὐτῆς καὶ προτρεπτικῶς καὶ προστακτικῶς καὶ ἀπειλητικῶς ποιεῖν, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ τετάρτῳ. ἤδη δὲ ἀθροισθείσῃ εἰ πάρεστιν ἐν αὐτῇ, οὐ προστακτικῶς ἀλλὰ προτρεπτικῶς καὶ συμβουλευτικῶς παρακαλεῖ τοὺς πατέρας εἰς ὁμόνοιαν καὶ ἐπιμελείαν πρὸς λύσιν τῶν ἀμφιβολιῶν καὶ εὕρεσιν τῆς ἀληθείας, ἀλλὰ δὴ καὶ πρὸς βεβαίωσιν τῶν πραττομένων ἐν τῇ Συνόδῳ. ὅθεν περὶ τοῦ μεγάλου Κωνσταντίνου παρόντος ἐν τῇ πρώτῃ Οἰκουμενικῇ λέγει ὁ Σωκράτης, Τότε οὖν τοὺς περὶ ὁμονοίας καὶ εἰρήνης λόγους εἰς πλάτος διεξελθὼν, αὖθις περὶ τῶν δογμάτων ἐπιμελέστερον ἐπισκέψασθαι τῇ αὐτῶν γνώμῃ ἐπέτρεψε. βιβλίῳ πρώτῳ κεφαλαίῳ ἑβδόμῳ. καὶ ὁ Εὐσέβιος ἐν τῷ τρίτῳ βιβλίῳ εἰς τὸν βίον τοῦ Κωνσταντίνου λέγει, Πλείστων δὴ τῶν ἐφ' ἑκατέρῳ τάγματι παρατεινομένων, πολλῆς τε ἀμφιλογίας τὰ πρῶτα συνισταμένης, ἀνεξικάκως ἐπηκροᾶτο ὁ Βασιλεὺς τῶν πάντων, σχολῇ τε εὐτόνῳ τὰς προτάσεις ὑπεδέχετο, ἐν μέρει τε ἀντιλαμβανόμενος τῶν παρ' ἑκατέρου τάγματος λεγομένων, ἠρέμα συνῆγε τοὺς φιλονείκως Συνισταμένους, πραέως τε ποιούμενος τὰς πρὸς ἕκαστον ὁμιλίας, ἑλληνίζων τε τῇ φωνῇ. ὅτι μὴ δὲ ταύτης ἀμαθῶς εἶχε, γλυκύτερός τις ἦν καὶ ἡδὺς, τοὺς μὲν συμπείθων, τοὺς δὲ καὶ δυσωπῶν τῷ λόγῳ, τοὺς δὲ εὖ λέγοντας ἐπαινῶν, πάντας δὲ εἰς ὁμόνοιαν ἑλκύων, ὁμογνώμονάς τε καὶ ὁμοδόξους αὐτοὺς ἐπὶ τοῖς ἀμφισβητουμένοις ἅπασιν ἐπιτοαυτὸ κατεστήσατο, ὡς ὁμοφρόνως μὲν καταστῆσαι τὴν πίστιν, τῆς δὲ σωτηρίου ἑορτῆς τὸν αὐτὸν παρὰ τοῖς πᾶσιν ὁμολογηθῆναι καιρὸν, ἐκυροῦτό τε ἤδη καὶ ἐγγράφως δι' ὑποσημειώσεως ἑκάστου τὰ κοινῇ δεδογμένα. καὶ ὁ Θεοδώριτος φησὶ, Βασιλεὺς ὁ πανεύφημος τοὺς περὶ τῆς ὁμονοίας τε καὶ συμφωνίας προσενήνοχε λόγους, τῆς τε τῶν τυράννων ἐκείνων ἀναμιμνήσκων ὠμότητος, καὶ τῆς ἐπ' αὐτοῦ θεόθεν παραχεθείσης ἐντιμοτάτης εἰρήνης, καὶ ὡς δεινὸν εἴη καὶ ἄγαν δεινὸν, τῶν πολεμίων καταλυθέντων, καὶ μηδενὸς ἀντιτείνειν τολμῶντος, ἀλλήλους βάλλειν, καὶ τοῖς δυσμενέσιν ἡδονὴν καὶ γέλωτα προξενεῖν, ἄλλως τε καὶ περὶ θείων διαλεγομένους πραγμάτων, καὶ τοῦ παναγίου Πνεύματος τὴν διδασκαλίαν ἀνάγραπτον ἔχοντας, εὐαγγελικαὶ γάρ, φησι, βίβλοι καὶ ἀποστολικαὶ, καὶ τῶν παλαιῶν Προφητῶν τὰ θεσπίσματα σαφῶς ἡμᾶς ἃ χρὴ περὶ τοῦ θείου φρονεῖν ἐκπαιδεύουσι. τὴν πολεμοποιὸν οὖν ἀπελάσαντες ἔριν, ἐκ τῶν θεοπνεύστων λόγων λάβωμεν τῶν ζητουμένων τὴν λύσιν. ταῦτα καὶ τὰ τούτοις παραπλήσια οἷα δὴ παῖς φιλοπάτωρ τοῖς Ἱερεῦσιν ὡς πατράσι προσέφερε, τῶν ἀποστολικῶν δογμάτων τὴν συμφωνίαν πραγματευόμενος. βιβλίῳ πρώτῳ κεφαλαίῳ ἑβδόμῳ. τὰ αὐτὰ λέγει καὶ ὁ Γελάσιος βιβλίῳ δευτέρῳ κεφαλαίῳ ἑβδόμῳ, προστίθησι δὲ λέγων, Ἐπὶ πολλὰς ἡμέρας, οὐ μὴν δὲ ἀλλὰ καὶ καιροὺς ἐφεξῆς συνερχόμενος τοῖς Ἐπισκόποις ὁ Βασιλεὺς, ἅμα αὐτοῖς τὰ περὶ τῆς πίστεως διελάμβανε, τάς τε διαφόρους αὐτῶν γνώμας ἀνελέγετο. βιβλίῳ δευτέρῳ κεφαλαίῳ ὀγδόῳ. Ἐν δὲ τῇ ἐν Χαλκηδόνι Συνόδῳ παρὼν καὶ προσφωνῶν αὐτῇ ὁ Μαρκιανὸς ἔλεγεν, Ἡμεῖς γὰρ βεβαιότητα τοῖς πραττομένοις προσθήσοντες, οὐ δυνάμεως ἐπίδειξιν ποιησόμενοι παρεῖναι τῇ Συνόδῳ ἐδοκιμάσαμεν, ὑπόδειγμα ποιησάμενοι τὸν τῆς μακαρίας λήξεως Κωνσταντῖνον. ὥστε τῆς ἀληθείας εὑρηθείσης, μὴ περαιτέρω τὰ πλήθη ὑποσυρόμενα φαύλαις τινῶν διδασκαλίαις διχονοεῖν. Καὶ, τῇ δὲ ἡμετέρᾳ γαληνότητι σπουδαῖον ἐστὶ τοὺς δήμους ἅπαντας μίαν καὶ τὴν αὐτὴν περὶ τὸ θεῖον ἔχοντας γνώμην, τὴν ἀληθῆ καὶ καθολικὴν θρησκείαν τε καὶ πίστιν σέβειν, ἣν αὐτοῖς κατὰ τὰ παραδοθέντα παρὰ τῶν ἁγίων πατέρων δόγματα ἐξηγήσεσθε. ἔργον τοίνυν γενέσθω τῆς ὑμετέρας εὐλαβείας, ἵνα ὁμογνώμονι ψυχῇ καθάπερ ἐν τῇ Νικαέων ὁσιωτάτῃ τῶν πατέρων Συνόδῳ φανερωθεῖσα ἡ πίστις, πλάνης μὲν ἠλευθέρωσε τοὺς ἀνθρώπους, εἰς φῶς δὲ προαχθεῖσα, πᾶσιν ἐγνώσθη παραπλησίως, καὶ νῦν δὲ τῆς ὑμετέρας συνόδου παῦ μὲν ἀμφίβολον ἐν τῷ ὀλίγῳ τούτῳ χρόνῳ τεχθὲν, καθὼς ἔφημεν φαυλότητι τινῶν καὶ ἀπληστίας περικοπῇ, εἰς ἀεὶ δὲ τὰ παρ' ἡμῶν δικαιούμενα φυλαχθείη, ἔσται δὲ τῆς θείας προνοίας

τοῦτο

τοῦτο, ὅπερ εὐσεβεῖ γενέσθαι προθέσει ἀπουδάζομεν εἰς τὸ διηνεκὲς ἐπὶ τῇ παρ' ἡμῶν ὠφελείᾳ φυλαχθῆναι βέβαιον. πράξει ἑβδόμῃ. ἴδε καὶ τὸν πρὸς αὐτὸν προσφωνητικὸν τῆς αὐτῆς Συνόδου. Τὰ δὲ περὶ Κωνσταντίνου τοῦ Πωγωνάτου οἷα, καὶ γὰρ διελέγετο, καὶ προέβαλε τὰς πεύσεις καὶ λύσεις ὡς εἷς τῶν πατέρων, καὶ ἔπραττεν ὡς πρῶτος τὶς Ἐπίσκοπος, καὶ ἔχων ἐν τῇ Συνόδῳ τὴν πνευματικὴν αὐθεντίαν. Καὶ ἐν τῇ ἐν Κωνσταντινουπόλει γενομένῃ Συνόδῳ περὶ τοῦ Νικάας Γεωργίου ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ ἐν ἔτει χιλιοστῷ ἑκατοστῷ ἑξηκοστῷ ἕκτῳ, ὁ Κωνσταντινουπόλεως Λουκᾶς ἔλεγεν, ὡς φέρεται ἐν τῷ τότε γενομένῳ συνοδικῷ σημειώματι, Ὅτι γοῦν καὶ σήμερον πάλιν διὰ τοῦ αὐτοῦ Βασιλικοῦ γραμματικοῦ ἀπηγγέλη τῇ ἡμῶν μετριότητι καὶ τῇ ἱερᾷ καὶ θείᾳ Συνόδῳ, ὡς οὐ προστακτικῶς, ἀλλ' ἐν εἴδει συμβουλῆς ὁ κράτιστος ἡμῶν καὶ ἅγιος Βασιλεὺς φιλανθρωπότερον διατεθεῖναι περὶ τοῦ Νικάας ἡμῖν ὑποτίθησι.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ πότε καὶ ποσάκις εἰσέρχεται εἰς τὴν Σύνοδον ὁ Βασιλεὺς, ἢ προσκαλεῖ αὐτὴν πρὸς αὐτὸν, καὶ ποῦ αὐτός τε καὶ οἱ Ἄρχοντες αὐτοῦ, οἵ τε Πατριάρχαι καὶ οἱ Ἀρχιερεῖς κάθηνται, καὶ περὶ λόγου καὶ φήμης τῆς Συνόδου καὶ τοῦ Βασιλέως, καὶ ὧν γράφει ἡ Σύνοδος πρὸς τοὺς μὴ ἐλθόντας εἰς αὐτὴν Πατριάρχας καὶ τὰς Ἐκκλησίας, καὶ τίσι διανέμει τὰ πρακτικὰ αὐτῆς.

Ὁ Αὐτοκράτωρ ἐρχόμενος πρὸς τὴν Σύνοδον, ἢ πρῶτον ἔρχεται καὶ μεταταῦτα πολλάκις, ἢ ὅταν μετὰ τὴν πολλὴν ἔρευναν τὰ τῆς ἀποφάσεως συμπερανθῶσιν, ἢ τὴν Σύνοδον προσκαλεῖ πρὸς ἑαυτόν. δεύτερον, ὁ Αὐτοκράτωρ ἐν τῇ Συνόδῳ κάθηται ἔμπροσθεν τῶν Καγκέλλων ἐν τῷ μέσῳ, ἔνθα ἐστὶν ἡ ὡραία πύλη, ἢ εἰς βασιλικὸν θρόνον ὡς Μαρκιανὸς καὶ ὁ Πωγωνᾶτος, ἢ εἰς χθαμαλὸν θρονίον ὡς ὁ μέγας Κωνσταντῖνος, κατὰ τὸ δοκοῦν ἑκάστῳ Βασιλεῖ δηλονότι. καὶ γὰρ ὁ μέγας Κωνσταντῖνος μέγαν οἶκον ἐν τοῖς βασιλείοις ἠυτρέπισε, καὶ βάθρα καὶ θρόνους ὅτι μάλιστα πλείστους ἐν τούτῳ τεθεῖναι κελεύσας τῷ τῶν Ἀρχιερέων ἀποχρῶντα συλλόγῳ, οὕτω τὸ πρέπον αὐτοῖς εὐπρεπήσας γέρας, εἰσελθεῖν τε ἐπέτρεψε, καὶ περὶ τῶν προκειμένων βουλεύσασθαι. Θεοδώριτος βιβλίῳ πρώτῳ κεφαλαίῳ ἑβδόμῳ. καὶ ὁ Σωκράτης βιβλίῳ πρώτῳ κεφαλαίῳ ὀγδόῳ φησὶ, Τῇ δὲ ἑξῆς ἅμα πάντες Ἐπίσκοποι εἰς ἕνα τόπον συνήρχοντο, παρείη δὲ καὶ ὁ Βασιλεὺς μετ' αὐτούς. καὶ πάλιν ὁ Θεοδώριτος ἐν τῷ αὐτῷ τόπῳ. Εἰσελήλυθε δὲ καὶ αὐτὸς ἔσχατος σὺν ὀλίγοις, ἀξιέπαινον μὲν ἔχων τὸ μέγεθος, ἀξιάγαστος δὲ τὴν ὥραν, θαυμασιωτάτην δὲ τὴν τοῖς μετόποις ἐπικαθημένην αἰδῶ. καὶ Γελάσιος βιβλίῳ δευτέρῳ κεφαλαίῳ ἕκτῳ, Τῇ δὲ ἑξῆς ἅμα πάντες Ἐπίσκοποι εἰς ἕνα τόπον συνήρχοντο, παρείη καὶ ὁ Βασιλεὺς μετ' αὐτούς. καὶ πάλιν ὁ αὐτὸς καὶ ὁ Σωκράτης γράφουσιν, Ἐπεὶ παρῆλθεν, εἰς μέσον ἔστη, Καὶ, βάθρων διατεθέντων ἐφ' ἑκατέραις ταῖς τοῦ οἴκου πλευραῖς, μικροῦ καθίσματος προτεθέντος, ἢ ὡς Θεοδώριτος γράφει, θρόνου δὲ μικροῦ τεθέντος ἐν μέσῳ, πάντων δὲ τῶν Ἐπισκόπων ἐξανασταντων, οὐ πρότερον ἢ τοὺς Ἐπισκόπους ἐπινεῦσαι ἐκάθισε. καὶ ὁ Σωζόμενος φησὶ, Καὶ οὐ πρότερον καθίζειν ἠρεῖτο, πρὶν ἂν οἱ Ἐπίσκοποι ἐπινεύσειεν, τοσαύτη τὶς εὐλάβεια καὶ αἰδὼς τὸν Βασιλέα κατεῖχε. καὶ ὁ Θεοδώριτος. Θρόνου δὲ μικροῦ τεθέντος ἐν μέσῳ κεκάθικεν, ἐπιτρέψαι τοῦτο τοῖς Ἐπισκόποις αἰτήσας, σὺν αὐτῷ δὲ ἅπας ἐκεῖνος ὁ θεῖος ἐκαθέσθη χορός. Ἐν δὲ τῇ ἕκτῃ Οἰκουμενικῇ προεκάθητο ὁ Αὐτοκράτωρ Κωνσταντῖνος, καὶ κελεύσει αὐτοῦ ἦλθον καὶ Ἄρχοντες καὶ ἐκάθισαν ἐκπλαγίων τοῦ Βασιλέως. ἀλλὰ καὶ ἐν τῇ ἑβδόμῃ οἱ Βασιλεῖς προεκάθηντο τῆς Συνόδου, καὶ ἴδε αἰωτέρω κεφάλαιον πέμπτον. καθημένου τοῦ Βασιλέως ἔμπροσθεν τῆς ὡραίας πύλης, καὶ ἐκπλαγίων αὐτοῦ τῶν Ἀρχόντων, εἰς τὰ δεξιὰ καὶ ἀριστερὰ μέρη κάθηνται οἱ Πατριάρχαι, ἢ οἱ Τοποτηρηταὶ αὐτῶν, καὶ καθεξῆς κατὰ τάξιν οἱ Μητροπολῖται καὶ οἱ Ἐπίσκοποι. τρίτον, γίνεται ἡ φήμη τῶν Βασιλέων, εἶτα ἡ φήμη τῆς Συνόδου ποτὲ μὲν πρὸ τῆς φήμης τῶν Ἀρχόντων, ποτὲ δὲ μετὰ τὴν τῶν Ἀρχόντων. τέταρτον, γίνεται λόγος ἐγκωμιαστικὸς εἰς τὸν Αὐτοκράτορα ἀφ' ἑνὸς τῶν μεγάλων Ἐπισκόπων, ἀνισταμένου καὶ ἐπαινοῦντος καὶ μακαρίζοντος αὐτὸν διὰ τὴν εὐσέβειαν καὶ ἐπιμέλειαν καὶ τὸν ζῆλον ὃν ἔχει διὰ τὴν ὀρθόδοξον πίστιν, καὶ συγκρίνοντος αὐτὸν μετὰ τῶν πάλαι Βασιλέων καὶ ἰσαποστόλων, ὡς ἐγένετο ἐν τῇ πρώτῃ Συνόδῳ ὑπὸ Εὐσεβίου τοῦ Παμφίλου καὶ τοῦ Ἀντιοχείας Εὐσταθίου, καὶ ἐν τῇ τετάρτῃ ὑπὸ πάσης τῆς Συνόδου. πέμπτον, ὁ Αὐτοκράτωρ λέγει ἔπαινον τῇ Συνόδῳ μέτριον, μακαρίζων τοὺς πατέρας διὰ τοὺς κόπους αὐτῶν, καὶ τὰ λοιπὰ ὡς εἴρηται αἰωτέρω. ἕκτον, γίνεται πάλιν φήμη τοῦ Βασιλέως καὶ τῆς Συνόδου ὡς φαίνεται ἐν τῇ ἑβδόμῃ πράξει τῆς ἐν Χαλκηδόνι. ἕβδομον, ἡ Σύνοδος γράφει διὰ Τοποτηρητῶν εἰς τοὺς μὴ ἐλθόντας εἰς αὐτὴν Πατριάρχας, καὶ εἰς τὰς λοιπὰς Ἐκκλησίας τὰ πρόσφορα, τὰ δὲ πρακτικὰ αὐτῆς γράφονται εἰς πέντε Τόμους, καὶ πέμπονται εἰς τὰς πέντε πατριαρχικὰς Ἐκκλησίας, ἅτινα πολλάκις πρὸς βεβαίωσιν ὑπογράφει ὁ Βασιλεὺς, ὡς ἐγένετο ἐν τῇ ἕκτῃ Συνόδῳ.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Δ΄.

Περὶ τῶν πεμπομένων Ἀρχόντων παρὰ τοῦ Βασιλέως εἰς τὴν Συνόδον, εἰ ἐστὶ μακρὰν αὐτοῦ, καὶ τί τὸ ἔργον αὐτῶν ἐν αὐτῇ.

Εἴπερ ἡ Σύνοδος ἀθροίζεται μακρὰν τοῦ τόπου οὗ ἐστιν ὁ Βασιλεὺς, πέμπονται Ἄρχοντες εἰς διακονίαν τῶν πατέρων τῆς Συνόδου, ὡς ὁ Θεοδόσιος ὁ μικρὸς ἔπεμψεν εἰς Ἔφεσον τὸν Κανδιδιανὸν, τὸ δὲ ἔργον αὐτοῦ παρίστησιν ἡ περὶ τούτου πρὸς τὴν Σύνοδον τοῦ Βασιλέως Σάκρα. Ἐντέταλται τοίνυν Κανδιδιανὸς ὁ μεγαλοπρεπέστατος Κόμης τῶν καθοσιωμένων Δομεστίχων ἄχρι τῆς ἁγίας ὑμῶν διαβῆναι Συνόδου, καὶ μηδὲν μὲν ταῖς περὶ τῶν δογμάτων γενομέναις ζητήσεσι κοινωνῆσαι, τοὺς κοσμικοὺς δὲ καὶ μονάζοντας, τούς τε ἤδη διὰ τοῦτο συνειλεγμένους, καὶ τοὺς συνάγεσθαι μέλλοντας τῆς αὐτῆς παντὶ τρόπῳ χωρίσαι πόλεως, ἐπειδήπερ οὐχρὴ τοὺς κατ' οὐδὲν ἀναγκαίους ὄντας τῇ μελλούσῃ τοῦ δόγματος διασκέψει κινεῖν θορύβους, καὶ διὰ τοῦτο ἐμποδίζειν τοῖς εἰρηνικῶς τυπωθῆναι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης ὀφείλουσι, καὶ φροντίσαι τοῦ μή τινα διχόνοιαν ἐξ ἀντιπαθείας ἐπιπλέον παραταθῆναι, ὡς ἂν μὴ ἐκ τούτου ἡ τῆς ἁγιωτάτης ὑμῶν Συνόδου παρεμποδίζοιτο διάσκεψις, καὶ ἡ ἀκριβὴς τῆς ἀληθείας ζήτησις ἐκ τῆς ἐγγινομένης τυχὸν ἀτάκτου περιηχήσεως διακρούηται, ἀνεξικάκως δὲ τῶν λεγομένων ἕκαστον ἀκροώμενον, προστιθέναι τὸ δοκοῦν ἢ ἀντιτιθέναι, καὶ οὕτω κατὰ πρότασίν τε καὶ λύσιν τὴν περὶ τοῦ ἀληθοῦς δόγματος ἔρευναν δίχα τινὸς ταραχῆς διαλυθῆναι, καὶ κοινῇ τῆς ὑμετέρας ὁσιότητος ψήφῳ ἀστασίαστόν τε καὶ τὸν πᾶσιν ἀρέσκοντα τύπον λαβεῖν. Ὁ αὐτὸς ἔπεμψεν ἐν τῇ ἐν Ἐφέσῳ ἐπὶ Διοσκόρου Συνόδῳ τὸν Κόμητα Ἐλπίδιον, καὶ τὸν Τριβοῦνον Εὐλόγιον, καὶ παρίστησι τὸ ἔργον αὐτῶν τὸ βασιλικὸν γράμμα, ὅπερ κεῖται ἐν τῇ πρώτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ ἔστι σχεδὸν ταὐτὸν τῷ περὶ τοῦ Κανδιδιανοῦ γραφέντι τούτῳ ἐν Ἐφέσῳ. ἀλλὰ δὴ καὶ ὁ Μαρκιανὸς ἐπέτρεψε τῷ Κονσουλαρίῳ τῆς Βιθυνίας, ὅτε ἡ τετάρτη Σύνοδος ἠθροίσθη τὸ πρῶτον ἐν Νικαίᾳ, εἰς διακονίαν αὐτῆς, τί δὲ τὸ ἔργον αὐτοῦ, γράφει ἡ Βασίλισσα Πουλχερία πρὸς αὐτὸν, λέγει γὰρ, Τινὲς δὲ, ὡς ἐπυθόμεθα τῶν ταράττειν εἰωθότων καὶ συγχεῖν τὴν Θεῷ φίλην εὐταξίαν ἐπεισφρήσαντες ἑαυτοὺς τὴν Νικαέων Κληρικοί τε καὶ μονάζοντες καὶ λαϊκοὶ, θορυβεῖν ἐπιχειροῦσι, διαφιλονεικοῦντες παρὰ τὰ ἡμῖν δεδοκιμασμένα, ἀναγκαίως τόδε τὸ Εὐσεβὲς πρὸς τὴν σὴν λαμπρότητα πέπομφα γράμμα, ὥστε σε μετὰ πάσης στερρότητος τοὺς δίχα ἡμετέρας κλήσεως, ἢ ἐπιτροπῆς τῶν οἰκείων Ἐπισκόπων αὐτόθι ἐνδημοῦντας Κληρικοὺς, εἴτε ἐντὸς τυγχάνειν βαθμοῦ, εἴτε καί τινες ἐξ αὐτῶν ὑπὸ τῶν οἰκείων Ἐπισκόπων ἀπώσθησαν, ἢ μονάζοντας ἢ λαϊκοὺς, οὓς οὐδεὶς λόγος ἐπὶ Σύνοδον καλεῖ, πάντῃ ἀπελάσαι τῆς πόλεώς τε καὶ τῶν αὐτόθι τόπων, ὥστε μετὰ πάσης εὐταξίας συνεδρευσάσης τῆς ἁγίας Συνόδου, δίχα σάλου τινὸς καὶ ἀμφισβητήσεως τὰ παρὰ τοῦ Δεσπότου Χριστοῦ κοινῇ παρὰ πάντων κρατυνθῆναι, ἴσθι γὰρ, ὡς εἰ φωραθείη τις τοῦ λοιποῦ τῶν θορυβοποιῶν ἐνδημῶν τοῖς αὐτόθι, ἢ πρὸ τῆς παρουσίας τῆς ἡμετέρας γαληνότητος, ἢ μετὰ τὴν παρουσίαν, οὐχ ὁ τυχών σε περιστήσεται κίνδυνος.

ΠΑΡΑΓΡΑΦΟΝ Ε΄.

Περὶ τῶν παρὰ τοῦ Βασιλέως πεμπομένων εἰς τὴν Σύνοδον Ἀρχόντων, πρόσωπον ἐπιφερόντων αὐτοῦ μὴ παραγενομένου εἰς αὐτὴν, καὶ ποῦ κάθηνται αὐτοί τε καὶ οἱ Πατριάρχαι καὶ οἱ Τοποτηρηταὶ Πατριαρχῶν καὶ Παπῶν, καὶ καθεξῆς οἱ λοιποί.

Εἰ δὲ καὶ ὁ Βασιλεὺς οὐκ ἔλθῃ εἰς τὴν Σύνοδον, καὶ φανῇ αὐτῷ εὔλογον ἀποστεῖλαι Ἄρχοντας, πέμπει ἀπὸ τῶν ἐνδοξοτάτων καὶ μεγαλοπρεπεστάτων Μεγιστάνων καὶ ἀπὸ τῶν τῆς ἱερᾶς καὶ ὑπερφανοῦς Συγκλήτου χάριν ὑποθέσεων οἵων δή τινων δογματικῶν ἢ κανονικῶν. κάθηνται δὲ οἱ Ἄρχοντες ἐν τοῖς Καγκέλλοις, ὅπου ἐκάθητο δηλονότι ὁ Βασιλεὺς, καὶ προκάθηνται καὶ τῶν Πατριαρχῶν καὶ τῆς Συνόδου, καὶ ἴδε τὰ πρακτικὰ τῶν Συνόδων τετάρτης, ἕκτης, καὶ ἑβδόμης. ἐκ δεξιῶν δὲ καὶ ἐξ εὐωνύμων αὐτῶν κάθηνται οἱ Πατριάρχαι καὶ οἱ Τοποτηρηταὶ αὐτῶν καὶ τοῦ Πάπα, καὶ καθεξῆς πάντες οἱ λοιποὶ πατέρες, ὡς φαίνεται ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ ῥητῶς καὶ καθαρῶς, ἀλλὰ δὴ καὶ ἐν τῇ ἕκτῃ καὶ ἑβδόμῃ ταῖς Οἰκουμενικαῖς. προκάθηνται δὲ τῆς Συνόδου πάσης καὶ πάντων τῶν Πατριαρχῶν καὶ τῶν Τοποτηρητῶν οἱ Ἄρχοντες, πρῶτον, ὅτι ἐπειδὴ ἕκαστος τῶν Τοποτηρητῶν ἔχει τὸν τόπον τοῦ οὗ ἐστι Τοποτηρητὴς, εἴτε Μητροπολίτου εἴτε Πατριάρχου, οἱ Ἄρχοντες ὡς ἐπιφέροντες τὸ πρόσωπον τοῦ Βασιλέως κάθηνται εἰς τὸν τόπον τοῦ Βασιλέως. δεύτερον, ᾠκονόμησεν οὕτως ὁ Θεὸς, ἵνα σβέσῃ τὸν τύφον καὶ τὸ φίλαρχον τῶν Οἰκουμενικῶν καλουμένων, ἵνα μὴ νομίζωσιν εἶναι τὴν ἐξουσίαν αὐτῶν κοσμικὴν, μετρουμένην μετὰ θρόνων ὑψηλῶν καὶ πρωτοκαθεδρίας, ὅπερ ὁ Θεολόγος Γρηγόριος ὡς παράνομον ἐμυκτήρισεν, ἀλλὰ πνευματικὴν τὴν τῶν Ἐπισκόπων μεγαλειότητα, ἥτις οὕτω φυλαττομένη, ὑπερέχει ἐν τοῖς ἐκκλησιαστικοῖς καὶ Βασιλέων, ὡς εἴρηται καὶ ῥηθήσεται, οὐμὴν ὅταν κομπάζῃ καὶ ποιῇ τὰ πνευματικὰ λαϊκά. τρίτον, εἰ παρῆν τῇ Συνόδῳ καὶ ὁ Ῥώμης, προεκάθηντο αὐτοῦ οὐ μόνον ὁ Βασιλεὺς εἰ παρῆν, ἀλλὰ καὶ οἱ βασιλικοὶ Ἄρχοντες, καὶ παρόντος τοῦ Βασιλέως καὶ ἀπόντος. καὶ εἰ οἱ Ἄρχοντες προκάθηνται

τοῦ

τοῦ Ῥώμης (καὶ γὰρ ὅπου ἐκάθηντο οἱ Λεγᾶτοι τοῦ Ῥώμης, ἐκεῖ ἐκάθητο καὶ ὁ Ῥώμης εἰ παρῆν. ὅθεν ἔγραφε Λέων ὁ Ῥώμης τῇ ἐν Ἐφέσῳ Συνόδῳ πέμπειν τοὺς Λεγάτους εἰς τὴν τάξιν αὐτῶν, καὶ ἴδε ἀνωτέρω κεφαλαίου τετάρτου Παράγραφον δωδέκατον) καὶ ὁ Βασιλεὺς ἀθροίζει καὶ ἐπισφραγίζει τὴν Σύνοδον, φανερὸν ὅτι ὅσα ἤδη βούλεται ἡ λεγομένη ἐξουσία τοῦ Πάπα ἐστὶ πλάσμα καὶ μωρολογία παραχωρήσει Θεοῦ κρίμασιν οἷς οἶδεν αὐτός. τέταρτον, ἔργον τῶν Ἀρχόντων ἐν τῇ Συνόδῳ ἐστὶν, ἵνα διευθετῶνται τὰ ζητήματα ἐνώπιον αὐτῶν, οἵτινες καὶ αὐτοὶ διδόασι γνώμην εἰς τὰ ἀρέσκοντα. εἶτα εἴτις λίβελλος διάτινα ὑπόθεσιν ἐγκληματικὴν ἢ δογματικὴν δοθῇ εἰς τὸν Βασιλέα, προβάλλουσιν αὐτὸν οἱ Ἄρχοντες εἰς τὴν Σύνοδον, καὶ ὅλως εἰσὶ μέρος τῆς Συνόδου ἐξαίρετον, κρίνοντες καὶ ἀνακρίνοντες τὰ πάντα κοινῇ γνώμῃ, καὶ ἀναφέροντες τὰ ἀναγκαῖα εἰς τὴν βασιλικὴν κορυφήν. ἴδε εἰς τὰ πρακτικὰ τῆς τετάρτης Οἰκουμενικῆς καὶ τῆς ἕκτης καὶ ἑβδόμης τὶ τῶν Ἀρχόντων τὸ ἔργον ἐν ταῖς Συνόδοις. καὶ ταῦτα περὶ τοῦ Βασιλέως καὶ τῶν Ἀρχόντων ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις. ἴδε περὶ τούτων τὰς σημειώσεις ἀνωτέρω ἐν τοῖς ἰδίοις τόποις.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι Βασιλέως παρόντος, παρ' οὐδενὸς τῶν πέντε Πατριαρχῶν δυνατόν ἐστι γενέσθαι Οἰκουμενικὴν Σύνοδον. ἀπόντος δὲ τοῦ ἑνὸς τῶν πέντε, δυνατόν.

Ὅτι μήτε ὁ Ῥώμης, μήτε ὁ Κωνσταντινουπόλεως, μήτε ἄλλος Πάπας ἢ Πατριάρχης Οἰκουμενικὴν Σύνοδον ἀθροῖσαι δύνανται, ὄντος Βασιλέως καὶ μὴ αὐτοῖς ἐπινεύοντος, καθὼς χρείας κατεπειγούσης δύναται συναθροισθῆναι λείποντος καὶ ἑνὸς Πατριάρχου, τυχὸν τοῦ Ῥώμης, ἢ ἄλλου τινός. καὶ γὰρ ἡ Οἰκουμενικὴ δευτέρα Σύνοδος ἄνευ παρουσίας ἢ Λεγάτων ἢ ἐπιστολῆς τοῦ Πάπα ἠθροίσθη, ἀλλ' ἐδέξατο αὐτὴν ἀσπασίως ὁ Πάπας Δάμασος καὶ πᾶσα ἡ Δυτικὴ Ἐκκλησία, ἐπειδὴ ἔλιπε τότε ἀπὸ τῆς Ἐκκλησίας τοῦ Θεοῦ ἡ ἐπάρατος φιλαρχία. εἰ δὲ καὶ λέγει ἡ ἕκτη τῶν Οἰκουμενικῶν ἐν τῷ πρὸς τὸν Βασιλέα προσφωνητικῷ, ὅτι Θεοδόσιος καὶ Δάμασος ἤθροισαν αὐτὴν, ἀλλ' ἴδε περὶ τούτου ἀνωτέρω βιβλίου τρίτου κεφάλαιον τρίτον, καὶ βιβλίου ἕκτου κεφάλαιον ὄγδοον. ἀλλὰ δὴ καὶ ἡ πέμπτη Οἰκουμενικὴ χωρὶς παρουσίας ἢ Τοποτηρητῶν ἢ ἐπιστολῆς τοῦ Ῥώμης ἡλίσθη. εἰ δὲ καὶ λέγει ἡ ἕκτη Σύνοδος ἐν τῷ αὐτῷ τόπῳ, Βιγίλιος Ἰουστινιανῷ συμπεφώνηκε καὶ τὸ τῆς πέμπτης συνέστη συνέδριον, ἀλλὰ τὴν μετὰ τὴν Σύνοδον τοῦ Βιγιλίου συναίνεσιν δηλοῖ, οὐ τὴν συναίνεσιν περὶ τῆς Συνόδου, καὶ ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφάλαιον δέκατον πέμπτον, καθὼς δηλονότι καὶ ἐν τῇ τετάρτῃ οὐκ ἦν Ἀλεξανδρείας, ἐπειδὴ ὁ Διόσκορος κεκαθήρηστο, ἀλλὰ συνήνεσεν αὐτῇ ὁ μεταταῦτα γενόμενος Ἀλεξανδρείας Προτέριος, ὡς γράφει ἡ ἐν Κυζίκῳ Σύνοδος πρὸς Λέοντα τὸν Βασιλέα, καὶ αἱ ἐπιστολαὶ τῶν Αἰγυπτίων Ἐπισκόπων πρὸς τὸν αὐτὸν Βασιλέα, καὶ πρὸς τὸν Κωνσταντινουπόλεως Ἀνατόλιον, καὶ ἡ ἐπιστολὴ τοῦ Ἀνατολίου πρὸς τὸν αὐτὸν Αὐτοκράτορα, καὶ ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφάλαιον δέκατον ἕκτον. καὶ ἐν τῇ τρίτῃ οὐκ ἦν ὁ Ἀντιοχείας Ἰωάννης, κακοτροπήσας, ἀλλὰ μεταταῦτα συνήνεσε, καὶ ἐβεβαίωσεν αὐτὴν ἀξιοπρεπῶς ὁ αὐτός. ἔτι ἐν τῇ αὐτῇ τρίτῃ οὐκ ἦν Πατριάρχης Κωνσταντινουπόλεως, ἀλλ' ἐβεβαίωσεν αὐτὴν ὁ Κωνσταντινουπόλεως Μάξιμος, ὡς παρίστησιν ἡ ἐπιστολὴ αὐτοῦ τοῦ Μαξίμου πρὸς τὸν Κύριλλον, ἧς ἡ ἀρχὴ, ΠΕΠΛΗΡΩΤΑΙ ΣΟΙ. καὶ ἡ ἀμοιβαία τοῦ Κυρίλλου πρὸς αὐτόν. ἔπειτα πασίδηλον ἐστὶν ἀπὸ τῶν πρακτικῶν τῶν ἁγίων Συνόδων, ὅτι μὴ ὄντων ἐν τῇ τρίτῃ τοῦ Κωνσταντινουπόλεως καὶ τοῦ Ἀντιοχείας, καὶ ἐν τῇ τετάρτῃ τοῦ Ἀλεξανδρείας, ἀλλ' ἦσαν οἱ συνελθόντες ἐν αὐταῖς Μητροπολῖται καὶ Ἐπίσκοποι ἀπὸ τῶν ὑποκειμένων τοῖς τρισὶ τούτοις θρόνοις. ἐν δὲ τῇ δευτέρᾳ καὶ πέμπτῃ οὐκ ἦσαν ἀπὸ τοῦ θρόνου Ῥώμης οὔτε Ἐπίσκοποι οὔτε καὶ ἐπιστολή. ἐν δὲ τῇ ἐν Χαλκηδόνι ἦσαν ὀρθόδοξοι ὁ Ῥώμης Λέων, ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος, ὁ Ἀντιοχείας Μάξιμος καὶ ὁ Ἱεροσολύμων Ἰουβενάλιος. οἱ οὖν λέγοντες Ἰταλοὶ, ὅτι ἡ τετάρτη, μὴ ὄντων ἐν αὐτῇ τῶν τεσσάρων Πατριαρχῶν, συνέστη ὑπὸ μόνου τοῦ Πάπα, ψεύδονται διττῶς, τὸ ἓν, ὅτι ἦσαν ὁ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων εὐθὺς ἐν τῇ ἀθροίσει τῆς Συνόδου σύμφωνοι ταύτῃ, καὶ κατήγοροι τῆς τόλμης τοῦ Διοσκόρου. καὶ δεύτερον, ὅτι πρὸ τῆς Συνόδου οὐκ εἶχε τὸ ἀνεπίληπτον μόνος ὁ Ῥώμης, ἀλλὰ καὶ ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος, ὁ καὶ ὀργανικῶς μετὰ τοῦ Ῥώμης ἀθροίσας τὴν Σύνοδον, ὡς εἴρηται εἰς τὸν τόπον. ἡ δὲ δευτέρα καὶ πέμπτη, ἀπόντων τῶν Παπῶν καὶ Τοποτηρητῶν καὶ ἐπιστολῶν αὐτῶν, συνέστη. ἐν δὲ τῇ πέμπτῃ, ὡς εἴρηται εἰς τὸν τόπον, μεγαλοφώνως ἀντιλέγων καὶ ἀντιπράττων ὁ Πάπας Βιγίλιος, οὐδὲν ἴσχυσε τὸ παράπαν.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τοῦ ἐν πείᾳ Συνόδῳ ἡ τῶν πέντε Πατριαρχῶν τάξις ὡρίσθη, καὶ ὅτι οὐδεὶς ἄλλος, εἰ μὴ μόνος ὁ Βασιλεὺς παρέχει τοῖς Πάπαις καὶ Πατριάρχαις τὴν αὐθεντίαν ἐν ταῖς Συνόδοις.

Οὐμὴν ἀλλὰ καὶ οὐ πάντοτε πρωτεύει ὁ Ῥώμης, ἢ ἄλλος τὶς Πατριάρχης διορίστικως καὶ κανονικῶς ἐν ταῖς Οἰκου-

Οἰκουμενικαῖς Συνόδοις, ἀλλ' εἶχον μὲν οἱ Πατριάρχαι τοὺς ἰδίους τόπους, καὶ ἐκάθηντο κατὰ τὴν τάξιν τὴν ἀπὸ ὁρισμοῦ τῶν Κανόνων, καὶ λέγομεν ἀπὸ ὁρισμοῦ τῶν Κανόνων, καθότι ἐν τῇ πρώτῃ καὶ ἐν τῇ ἐν Σαρδικῇ ἀλλαφόρως ὑπέγραφον, ἐν αὐταῖς γὰρ ὁ Ἱεροσολύμων ὑπέγραψε πρὸ τοῦ Ἀντιοχείας, ἀπὸ δὲ τῆς τετάρτης, ἐν ᾗ διωρίσθη τὰ τῶν θρόνων, ἔμεινεν ἡ νυνὶ τάξις, τὴν αὐθεντίαν δὲ ὅμως εἶχον ἐν μὲν τῇ πρώτῃ ὁ Ἀντιοχείας Εὐστάθιος, ὃς καὶ ἐνεκωμίασε τὸν Βασιλέα ἀπὸ μέρους τῆς Συνόδου κατὰ τὸν Θεοδώριτον, λέγοντα βιβλίου πρώτου κεφαλαίῳ ἑβδόμῳ, Ὁ μέγας Εὐστάθιος τοῖς ἄνθεσι τῶν ἐγκωμίων τὴν Βασιλέως ἐστεφάνωσε κεφαλήν. ἐν δὲ τῇ δευτέρᾳ ἠρίστευσεν ὁ Ἀντιοχείας Μελέτιος, λέγει γὰρ ὁ Θεοδώριτος βιβλίου πέμπτου κεφαλαίῳ ἕκτῳ, Ἐδόκει ὁ μέγας Θεοδόσιος καθ' ὕπνον ὁρᾶν τὸν θεῖον Μελέτιον, χλαμίδα τε αὐτῷ βασιλικὴν περιθέντα, καὶ παραπλησίως στεφάνῳ κοσμοῦντα τὴν κεφαλήν, ὅθεν ἐλθόντα ἐν τῇ Συνόδῳ περιεπτύσσετο καὶ κατεφίλει, καὶ ἴδε περὶ τούτου ἀνωτέρω βιβλίου τρίτου κεφάλαιον τρίτον. κατὰ δὲ τὴν τετάρτην Οἰκουμενικὴν ἐν τῷ τρίτῳ μέρει, καὶ τὴν ἕκτην ἐν τῷ Προσφωνητικῷ, ἦσαν καθηγεμόνες τῆς δευτέρας Συνόδου Δάμασος, Γρηγόριος, καὶ Νεκτάριος. ἐν δὲ τῇ τρίτῃ, Κελεστῖνος καὶ Κύριλλος. ἐν δὲ τῇ ἐν Ἐφέσῳ δευτέρᾳ, ὁ Διόσκορος καὶ ἄλλοι. ἐν δὲ τῇ ἐν Χαλκηδόνι, ὁ Ῥώμης Λέων καὶ ὁ Κωνσταντινουπόλεως Ἀνατόλιος, καὶ ἴδε τῆς αὐτῆς Συνόδου πρᾶξιν πέμπτην. κατὰ δὲ τὸν Φώτιον καὶ τὸν Κωνσταντινουπόλεως ἅγιον Γερμανὸν καὶ τὸ Συνοδικὸν βιβλίον καὶ ἄλλους τινὰς πατέρας ἦσαν πολλοὶ οἱ Πρόεδροι καὶ Ἔξαρχοι καὶ Πρωτεύοντες ἐν τῇ πρώτῃ Οἰκουμενικῇ καὶ ἐν ταῖς μετ' αὐτὴν Οἰκουμενικαῖς Συνόδοις οὐ μόνον Πατριάρχαι καὶ Μητροπολῖται, ἀλλὰ καὶ Ἐπίσκοποι ἁπλῶς, καὶ ἴδε ἀνωτέρω τῶν Συνόδων τοὺς τόπους. ἀλλὰ δὴ καὶ ἐν τῷ βίῳ τοῦ Χρυσοστόμου φέρεται, ὅτι ἔλεγεν ἡ Βασιλὶς Εὐδοξία τῷ Ἐπιφανίῳ Κύπρου, Σοὶ τῶν Ἐκκλησιῶν πασῶν τὴν ἐξουσίαν δίδωμι, καὶ ἀξιῶ Σύνοδον κατ' αὐτοῦ συναγεῖραι. καὶ ἐν τῇ δευτέρᾳ ἐξορίᾳ τοῦ αὐτοῦ ἐσχόλαζεν ὁ Ἀλεξανδρείας Θεόφιλος παρὼν ἐν Κωνσταντινουπόλει, καὶ ὁ λαβὼν τὴν ἐξουσίαν παρὰ τοῦ Βασιλέως Λεόντιος ὁ Ἀγκύρας, τῆς τότε Συνόδου ηὐθέντει. ἴδε ἀνωτέρω τοὺς τόπους τῶν Συνόδων, καὶ τοῦ παρόντος μέρους τὸ τέταρτον κεφάλαιον, ὅτι οὐδεὶς ἄλλος, εἰ μὴ μόνος ὁ Βασιλεὺς παρέχει τὴν αὐθεντίαν. ἴδε καὶ περὶ αὐτῆς ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον τέταρτον.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς τάξεως τῶν Οἰκουμενικῶν Συνόδων, καὶ τῶν καθισμάτων Πατριαρχῶν, Μητροπολιτῶν, καὶ τῶν ὑπογραφῶν πάντων.

Ἐν πάσαις ταῖς Οἰκουμενικαῖς Συνόδοις ἐνθρονίζεται τὸ ἱερὸν Εὐαγγέλιον ἐν τῷ μέσῳ τῆς Ἐκκλησίας, ἢ τοῦ οἴκου, ἐν ᾧ συνέρχονται οἱ πατέρες, μονονουχὶ λέγων ὁ Δεσπότης Χριστὸς αὐτοῖς, Τὴν δικαίαν κρίνατε κρίσιν. δεύτερον, οἱ Πατριάρχαι καὶ οἱ λοιποὶ Ἀρχιερεῖς οὐκάθηνται ἔμπροσθεν τῶν Καγκέλλων, ἀλλ' ἐν τοῖς δεξιοῖς καὶ ἀριστεροῖς τοῦ Ναοῦ, ἢ τοῦ οἴκου. τρίτον, οἱ θρόνοι τῶν Πατριαρχῶν εἰσὶν ἴσοι καὶ ὅμοιοι. τέταρτον, καθεξῆς τῶν Πατριαρχῶν κάθηνται οἱ Μητροπολῖται κατὰ τὴν τάξιν αὐτῶν, καὶ οἱ Ἐπίσκοποι κατὰ τὴν τάξιν τῶν Μητροπολιτῶν αὐτῶν. πέμπτον, ἐὰν λείπῃ τις Πατριάρχης ἢ Πάπας, ὁ Τοποτηρητὴς αὐτοῦ κάθηται ἐν τῷ τόπῳ αὐτοῦ. ὁμοίως ἐὰν οὐκ ἔλθωσι καὶ τινὲς Μητροπολῖται, πέμψουσι δὲ Τοποτηρητὰς, κάθηνται οἱ Τοποτηρηταὶ αὐτῶν ἐν τῷ τόπῳ τῶν ἀποστειλάντων αὐτούς. ἕκτον, ἐὰν ὦσι τινὲς Ἱερεῖς ἢ Διάκονοι Τοποτηρηταὶ τινῶν Ἀρχιερέων, κάθηνται ἐν τοῖς τόποις τῶν ἀποστειλάντων αὐτοὺς, καὶ δύνανται λέγειν καὶ ἐνεργεῖν καθὼς καὶ οἱ Ἐπίσκοποι. ἕβδομον, ἐὰν ὦσιν Ἱερεῖς καὶ Κληρικοὶ καὶ ἄλλοι σοφοὶ, δύνανται μετὰ ἐπιτροπῆς Συνόδου ἀναγινώσκειν καὶ διαλέγεσθαι τὰ τῆς γραφῆς καὶ τῶν ἁγίων πατέρων, εἶναι δὲ αὐτοὺς μέρος τῶν Ἐπισκόπων ἵνα συγκαθέζωνται μετ' αὐτῶν ὡς συνοδικοὶ, οὐγίνεται, εἰ μὴ μετὰ προτροπῆς τῶν Ἐπισκόπων, ἢ προσταγῆς βασιλικῆς, καθὼς ἦσαν ἔν τισι τῶν Οἰκουμενικῶν Συνόδων, καὶ μάλιστα ἐν τῇ ἑβδόμῃ Ἀρχιμανδρῖται καὶ Ἡγούμενοι καὶ ἄλλοι Πρεσβύτεροι καὶ Διάκονοι, κυρίως ὅμως ἡ ψῆφος τῶν Ἐπισκόπων ἐστίν. ὄγδοον, ὑπογράφουσιν οἱ Πατριάρχαι κατὰ τὴν τάξιν αὐτῶν, καὶ οἱ Τοποτηρηταὶ κατὰ τὴν τάξιν τῶν Πατριαρχῶν αὐτῶν, ἐπὶ δὲ τοῖς Μητροπολίταις καὶ Ἐπισκόποις οὐφαίνεται ὅσον εἰς τὰς ὑπογραφὰς ἁπλῶς τὸ κατὰ τάξιν ἐν τοῖς πρακτικοῖς τῶν Οἰκουμενικῶν Συνόδων, ἴσως διὰ τὸ ἄκρως φιλάδελφον, ὅπερ οἱ μακαριώτατοι Πάπαι καὶ Οἰκουμενικοὶ Ἐπίσκοποι καὶ τῆς Οἰκουμένης κριταὶ τὴν κοσμικὴν βασιλείαν, ἧς ὁ Χριστὸς ἔξαρνος ἐγένετο ἐνώπιον τοῦ Πιλάτου, θέλοντες συστῆσαι κατὰ τοῦ Χριστοῦ ἐν τῇ Ἐκκλησίᾳ, ἀποβάλλουσι.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Σόφισμα Λατίνων, ἐκ τῆς ἐναλλαγῆς τῶν χειρῶν τοῦ Ἰακὼβ ἐπὶ τὰς τῶν υἱωνῶν αὐτοῦ κεφαλὰς, καὶ ἐκ τοῦ εἰπεῖν τὸν Ἱεροσολύμων Σωφρόνιον ἐξ εὐωνύμων τὴν Θεοτόκον ἱστορουμένην, λεγόντων τὰ εὐώνυμα προτιμότερα

τῶν

τῶν δεξιῶν, διὰ τὸ ἔν τισι τῶν Συνόδων ἐξ εὐωνύμων τοὺς τοῦ Ῥώμης Λεγάτους καθίσαι. καὶ ἀνατροπὴ τοῦ σοφίσματος αὐτῶν.

Ἐν τῷ εὐωνύμῳ μέρει τῆς πρώτης Συνόδου ἐκάθισεν ὁ Ὅσιος Ἐπίσκοπος Κουδρούβης ὁ Τοποτηρητὴς τοῦ Σιλβέστρου καὶ Ἰουλίου, καὶ ὁ Ἀλεξανδρείας Ἀλέξανδρος, ἐν δὲ τῷ δεξιῷ ὁ Ἀντιοχείας Εὐστάθιος καὶ ὁ Ἱεροσολύμων Μακάριος. λέγομεν δὲ ταῦτα κατὰ τὰς εὑρισκομένας ὑπογραφὰς ἐν τοῖς πρακτικοῖς τῆς πρώτης Συνόδου, οὐ γινώσκομεν ὅμως βεβαίως ποῖοι ἦσαν ἐν ἐκείνῃ τῇ ἁγίᾳ Συνόδῳ οἱ πρώτιστοι, καὶ πῶς ἐκάθηντο ἐν αὐτῇ. Ἐν δὲ τῇ ἐν Χαλκηδόνι Συνόδῳ ἐν τῷ ἀριστερῷ μέρει ἐκάθισαν τοῦ Λέοντος οἱ Τοποτηρηταὶ, Ἀνατόλιος ὁ Κωνσταντινουπόλεως καὶ Μάξιμος ὁ Ἀντιοχείας, ἐν δὲ τῷ δεξιῷ ἐκάθισαν Διόσκορος Ἀλεξανδρείας καὶ Ἰουβενάλιος Ἱεροσολύμων. Ἐν δὲ τῇ ἕκτῃ ἐξ εὐωνύμων ἐκάθισαν οἱ Λεγᾶτοι τοῦ Ῥώμης καὶ τοῦ Ἱεροσολύμων, ἐκ δεξιῶν δὲ ὁ Κωνσταντινουπόλεως καὶ οἱ Λεγᾶτοι Ἀλεξανδρείας καὶ Ἀντιοχείας. Ἐπειδὴ δὲ ἐκάθισαν ἐν ἀμφοτέραις ταῖς Συνόδοις οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης ἐξ εὐωνύμων, λέγουσιν οἱ Ἰταλοὶ, Ἐν τῇ ἀριστερᾷ τοῦ Ἰακὼβ ἦν ὁ Ἐφραὶμ, ἐν δὲ τῇ δεξιᾷ αὐτοῦ ὁ Μανασσῆς, ἐπὶ δὲ τῆς κεφαλῆς τοῦ Ἐφραὶμ ἔθηκεν ὁ Ἰακὼβ τὴν δεξιὰν αὐτοῦ, προτιμότερος δὲ διατοῦτο ὁ Ἐφραὶμ τοῦ Μανασσῆ, ἄρα καὶ ὁ τόπος τοῦ Πάπα, ὅς ἐστι τὰ ἀριστερὰ ἐν ταῖς Συνόδοις, προτιμότερος τοῦ δεξιοῦ, ἄρα. προσφέρουσι δὲ εἰς βεβαίωσιν τούτου τὸν Ἱεροσολύμων Σωφρόνιον γράφοντα, ὅτι εἰς τὴν σταύρωσιν τοῦ Χριστοῦ ζωγραφοῦμεν ἐξ ἀριστερῶν τὴν Παναγίαν καὶ τὸν Πέτρον, ἐκ δεξιῶν δὲ Ἰωάννην τὸν βαπτιστὴν καὶ τὸν Παῦλον, ἄρα. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ δεύτερον, ὅτι ἐξ ἀριστερῶν τῆς σταυρώσεως ἡ Παναγία καὶ ὁ Πέτρος, καὶ ἐκ δεξιῶν ὁ βαπτιστὴς καὶ ὁ Παῦλος, ὅσον πρὸς ἡμᾶς, βλέποντας ἐν τῇ Ἐκκλησίᾳ, ἱσταμένους κατὰ ἀνατολὰς, ἀλλ' ὡς πρὸς τὴν ἁγίαν σταύρωσιν τοῦ Χριστοῦ, ἥτις βλέπει κατὰ Δύσιν, ἐστὶ τὸ ἀνάπαλιν. ἐκ δεξιῶν ἄρα ἡ Παναγία καὶ ὁ Πέτρος ζωγραφοῦνται, καὶ ἐξ ἀριστερῶν ὁ Ἰωάννης καὶ ὁ Παῦλος, ἄρα. πρὸς δὲ τὸ πρῶτον, ὅτι ἀντίκειται ἡ γραφὴ πρὸς τὸ σόφισμα, ἐπειδὴ ὁ Ἰωσὴφ ὄντων τιμιωτέρων τῶν δεξιῶν ἐμέμφθη τὸ ἔργον τοῦ Ἰακώβ. εἶτα ὁ Ἰακὼβ οὐ διατοῦτο ἔθηκεν ἐν τῇ κεφαλῇ τοῦ Ἐφραὶμ τὴν δεξιὰν, καὶ οὐχὶ τὴν ἀριστερὰν. ἔπειτα, εἰ προτιμότερα τὰ ἀριστερὰ τῶν δεξιῶν, ἐν δὲ τῇ ἕκτῃ ἐκάθισεν ὁ Τοτοτηρητὴς τοῦ Ἱεροσολύμων ἐξ εὐωνύμων, προτιμότερος ἄρα κατὰ τὴν τάξιν τῶν Τοποτηρητῶν τοῦ Ἀλεξανδρείας καὶ Ἀντιοχείας, καθισάντων ἐκ δεξιῶν, ὅπερ οὐκ ἔξεστι, καὶ οὕτω τῶν παπιστῶν ἡ κακοήθεια ἀνατρέπεται πασιδήλως. πρὸς τούτοις, δείκνυται ἀναμφιβόλως ὅτι προτιμότερα τὰ δεξιὰ τῶν ἀριστερῶν, ἐπειδὴ ὁ Χριστὸς ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης, καὶ ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων, ἢ καὶ κατὰ τὸν εὐαγγελικὸν σκοπὸν ἐν ταῖς Συνόδοις ἔχει ἕκαστος Ἐπίσκοπος τὴν προτίμησιν κατὰ τὴν κανονικὴν τάξιν αὐτοῦ, καθὸ δὲ μέρος τῆς Συνόδου οὐ προτιμᾶται οὔτε ὁ ἐκδεξιῶν οὔτε ὁ ἐξ εὐωνύμων, ἀλλ' ὁ δίκαιος καὶ ἅγιος, κἂν καὶ ᾖ Ἐπίσκοπος Τριμυθοῦντος ἀγράμματος, ἢ αἰγύπτιος Παφνούτιος μονόφθαλμος.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τοῦ τίνα ἐν ταῖς Συνόδοις προβάλλειν ἀπηγόρευται, καὶ ἀπὸ τίνων δεῖ τοὺς τῆς Συνόδου διαλέγεσθαι, καὶ ὅτι δυναστικῶς ἢ ἐξουσιαστικῶς καὶ μετὰ θυμοῦ οὐδεὶς λέγει τὶ τῇ Συνόδῳ, ἧς ἡ μὲν ἀπόφασις διὰ τοῦ ἁγίου Πνεύματος, οἱ δὲ ἐν αὐτοὶ πάντες ἐξίσου καὶ ὡσαύτως κριταὶ ἐν πᾶσι καὶ βεβαιωταὶ τῆς Ἐκθέσεως.

Ἐν ταῖς Συνόδοις κἂν παρῇ ὁ Βασιλεὺς καὶ οἱ Ἄρχοντες, κἂν μὴ οὐδὲν προβάλλει τὶς περὶ τῶν ζητουμένων ἀπὸ γνώμης φιλοσόφων, ἢ ἱστορικῶν ἐξωτερικῶν, ἢ ἀπὸ ἄλλης τινὸς ἀνθρωπίνης σοφίας, ἢ μετὰ ἐρεύνης καὶ σοφιστικῶν λογισμῶν, γινομένων ἀπὸ τῆς καταργουμένης καὶ δαιμονιώδους σοφίας καὶ κενῆς ἀπάτης, μήτε ὄνομα Ἀριστοτέλους, ἢ ἄλλου φιλοσόφου προσφέρει τὶς εἰς μαρτυρίαν, μήτε ἀπὸ Νόμου πολιτικοῦ μεταχειρίζεται δυνάμιν τινα λόγου, ἀλλὰ πόῤῥω ἀποβάλλοντες ἅπαντα τὰ τοιαῦτα, καὶ ἔτι πᾶσαν ὑψηλοφροσύνην καὶ ὄγκον καὶ σοφιστικὴν ἐρεσχελίαν, πάντες οἱ συνοδικοὶ ἐξίσου διαλέγονται, καὶ ὑποτάσσονται τοῖς Προφήταις, Εὐαγγελισταῖς καὶ Ἀποστόλοις καὶ τοῖς Ὅροις καὶ Κανόσι καὶ δόγμασι καὶ τάξεσι καὶ κρίσεσι τῶν προηγησαμένων Οἰκουμενικῶν Συνόδων, καὶ τῇ Θεολογίᾳ καὶ μυσταγωγίᾳ καὶ διατάξεσι καὶ διδασκαλίαις τῶν ἁγίων πατέρων. δεύτερον, οὔτε Βασιλεὺς οὔτε Ἄρχοντες οὔτε Πατριάρχαι οὔτε Πάπαι ἐξουσιαστικῶς, ἢ δυναστικῶς, ἢ φοβερῶς, ἢ μετὰ θυμοῦ τὶ λέγουσιν, ἢ προβάλλουσιν, ἢ ἐρευνῶσιν, ἢ διορίζουσιν, ἀλλὰ μόνον λαλοῦσιν οἱ πάντες ἐξίσου ἀπὸ τοῦ πρώτου ἕως τοῦ ἐσχάτου καὶ ἀνάπαλιν ἀδελφικῶς, ἀποκδεχόμενοι τὴν ἀπόφασιν τῆς Συνόδου διὰ τῆς ἁρμοδίου τῆς Συνόδου καταστάσεως ὑπὸ μόνου τοῦ Πνεύματος τοῦ ἁγίου. ὅταν γὰρ ὁ Βασιλεὺς θέλει λαλεῖν ἐξουσιαστικῶς, ἢ οἱ Πάπαι καὶ Πατριάρχαι, ἢ ἄλλοι τινὲς τῶν συνοδικῶν πατέρων θέλωσι λαλεῖν σοβαρῶς καὶ προστακτικῶς, ἢ εἰρωνικῶς, ἐστὶ παρανομώτατον. ὅσον γὰρ ὠφελεῖ ἡ εὐσέβεια καὶ σπουδὴ τῶν ὀρθοδόξων Βασιλέων ἐν ταῖς ἁγίαις Συνόδοις, τόσον μᾶλλον βλάπτει τῶν τυραίνων Βασιλέων, ἡβία ἐν τῷ βούλεσθαι ἐπιτάττειν τὰ

δοκοῦντα

δοκοῦντα ἐν τῇ Ἐκκλησίᾳ. τρίτον, ἕκαστος Ἐπίσκοπος καὶ αὐτὸς ὡς εἰπεῖν ὁ πάντων ἐλάχιστος ἔχει ἄδειαν λαλεῖν εἰς πλάτος ὅπερ αὐτῷ δόξει, ὅ,τε Βασιλεὺς οἵτε Ἄρχοντες οἵτε Πατριάρχαι καὶ οἱ λοιποὶ ἔχουσι χρέος ἀκούειν αὐτοῦ μετὰ πάσης ἀνοχῆς καὶ μακροθυμίας, ἵν' ἔλθωσι διὰ τῆς ὁμονοίας καὶ μακροθυμίας πρὸς τὸ συμπέρασμα. ὅθεν οἱ Ἄρχοντες καὶ ἡ Σύγκλητος ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ εἶπον, Νῦν δὲ τὸ ζητούμενον καὶ κρινόμενον καὶ σπουδαζόμενόν ἐστιν, ὥστε τὴν ἀληθῆ πίστιν συγκροτηθῆναι, δι' ἣν μάλιστα καὶ ἡ Σύνοδος γέγονεν. εἰδότες οὖν ὡς καὶ τῷ Θεῷ λόγον δώσετε ὑπὲρ τῆς οἰκείας ἕκαστος ὑμῶν ψυχῆς, καὶ ὑπὲρ ἡμῶν ἁπάντων, οἵτινες καὶ διδαχθῆναι τὰ τῆς θρησκείας ἐπιθυμοῦμεν, καὶ πᾶσαν ἀμφισβήτησιν ἀφαιρεθῆναι ἐκ τῆς πάντων τῶν ὁσίων πατέρων ὁμονοίας καὶ συναινέσεως καὶ συμφώνου ἐκθέσεως καὶ διδασκαλίας, σπουδάσατε ἄνευ φόβου ἢ χάριτος ἢ ἀπεχθείας τὴν πίστιν καθαρῶς ἐκθέσθαι. πράξει δευτέρᾳ. ἴδε καὶ ἀνωτέρω ὅλον τὸ τρίτον κεφάλαιον. εἰσὶ γὰρ πάντες οἱ τῆς Συνόδου Ἐπίσκοποι ἐξίσου καὶ ὡσαύτως κριταὶ, καὶ ἐξίσου τὴν συνοδικὴν ἀπόφασιν ἐκτίθενται. ὅθεν ἔγραφεν ὁ Πάπας Κελεστῖνος τῇ τρίτῃ Συνόδῳ, Μένομεν ὁμόψυχοι, ἓν καὶ τὸ αὐτὸ φρονοῦντες, ἐπειδὴ τοῦτο συμφέρει, μηδὲν διὰ φιλονεικίαν, μηδὲν πράττειν διὰ κενοδοξίαν εὐχόμενοι, μία ψυχὴ καὶ καρδία μία ἔστω τοῖς πᾶσιν. ὅτε ἡ πίστις, ἥτις μία ἐστὶ, παραχαράττεται, πονείτω, μᾶλλον δὲ θρηνείτω τοῦτο μεθ' ἡμῶν κοινῇ πᾶν τὸ συνέδριον. εἰς κριτήριον καλεῖται ὁ κρίνων πᾶσαν τὴν γῆν, εὐθύνεται ὁ σείων πᾶσαν τὴν γῆν. θωρηξάσθω τὴν πανοπλίαν ἡ ὑμετέρα ἀδελφότης, οὐ νῦν πρῶτον ὑμᾶς οἱ ἐκκλησιαστικοὶ περίβολοι Διδασκάλους ἐδέξαντο. Καὶ, τοιγαροῦν οἷς ἐστι γνώριμος ἡ διδασκαλία τῆς πίστεως, ἔστω γνωστὴ καὶ ἡ ὑμετέρα ἐκδίκησις. καὶ ὁ μέγας Κύριλλος γράφων τῷ Βασιλεῖ Θεοδοσίῳ λέγει, Ἔκειτο γὰρ ἐν τῷ ἁγίῳ θρόνῳ τὸ σεπτὸν Εὐαγγέλιον, μονονουχὶ ἐπιφωνοῦν τοῖς ἁγίοις Ἱερουργοῖς, Κρίμα δίκαιον κρίνατε, δικάσατε τοῖς ἁγίοις Εὐαγγελισταῖς καὶ ταῖς Νεστορίου φωναῖς. κοινῇ δὴ οὖν τῇ πρώτῃ ψήφῳ τὰ μὲν ἀναγκαίως κατεκρίνετο, τῆς δὲ εὐαγγελικῆς παραδόσεως τὸ ἀκραιφνὲς ἐδείκνυτο κάλλος. ἴδε ὅλον τὸ τρίτον κεφάλαιον ἀνωτέρω.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τοῦ τίνων ἁγίων συγγράμματα αἱ Σύνοδοι χρῶνται, καὶ ὅτι αἱ οἰκουμενικαὶ τοὺς τῶν πρὸ αὐτῶν Τοπικῶν Κανόνας καὶ δόγματα ψηλαφῶσι, καὶ ἢ κρατύνουσιν ἢ ἀποβάλλουσι, καὶ περὶ τοῦ ὅτι οὐ δεῖ οὐδενὶ πείθειν τινὰς δώροις ἢ φόβῳ ἢ ἄλλῃ τινὶ αἰτίᾳ στέργειν γενέσθαί τι ἐν τῇ Συνόδῳ, καὶ ὅτι μιᾷ συμπνοίᾳ πάντων δεῖ τὸν Ὅρον ὑπογράφεσθαι, καὶ πότε δεῖ, εἰ βούλεται, καὶ τὸν Βασιλέα ὑπογράφειν.

Οὐ παντὸς ἁγίου συγγράμματα χρῶνται αἱ Σύνοδοι, ἀλλ' ἐκεῖνα καὶ μόνα, ἅτινα κεχρηματίκασιν ἐν τῇ καθόλου Ἐκκλησίᾳ ἀναμφίβολα καὶ γνώριμα, καὶ συμφωνοῦντα τοῖς δόγμασι καὶ ἐκθέσεσι τῶν προγεγονυιῶν Οἰκουμενικῶν ἁγίων Συνόδων, ἐκείνων, λέγω, τῶν πατέρων, οὓς ἀπεδέξατο ἀεὶ τὸ κοινὸν τῆς Ἐκκλησίας καὶ αἱ Οἰκουμενικαὶ Σύνοδοι, οὐ τῶν Σχολαστικῶν, ἢ μᾶλλον ἐπεῖν σοφιστῶν, καὶ ἀπὸ τοῦ θολεροῦ ὕδατος τοῦ σχίσματος, ἢ τοῦ ἀκαθάρτου Ῥύακος τινῶν ἢ τινὸς Αἱρέσεων πινόντων, καὶ κατὰ τῶν ἀρχαίων ἁγίων πατέρων καὶ Συνόδων ἐριζόντων, καὶ τὰ μὲν σαφῆ καὶ πρόδηλα καὶ ἀναμφίβολα καὶ κοινὰ παρορώντων, τὰ δὲ ἀσαφῆ καὶ σκοτεινὰ μερικὰ καὶ ἀμφίβολα περιεπομένων. δεύτερον, εἴτις Τοπικὴ Σύνοδος ἔν τινι μέρει τῆς Ἐκκλησίας συνῆλθε πρότερον, οἱ Κανόνες καὶ τὰ δόγματα αὐτῆς ἐν Οἰκουμενικῇ ἀναψηλαφῶνται Συνόδῳ, ὑφ' ἧς τὰ δόξαντα αὐτῇ καλὰ κρατύνονται, ὡς αἱ περὶ τοῦ Πάσχα Σύνοδοι ὑπὸ τῆς πρώτης, καὶ αἱ τοῦ ἀναβαπτισμοῦ ὑπὸ τῆς δευτέρας, αἱ μὲν, ἐδέχθησαν, αἱ δὲ, ἀπεβλήθησαν, οὕτω καὶ καθεξῆς ὑπὸ τῶν λοιπῶν Οἰκουμενικῶν πολλαὶ τῶν μερικῶν, αἱ μὲν, ἐκυρώθησαν, αἱ δὲ, ἀπεκηρύχθησαν. τρίτον, οὐ χρὴ ἐν ταῖς Συνόδοις οὔτε τὸν Βασιλέα, οὔτε τοὺς Ἄρχοντας, οὔτε τοὺς Πατριάρχας καὶ Τοποτηρητὰς, ἢ ἄλλους ἐγκρίτους τῆς Συνόδου προσκαλεῖσθαί τινας τῶν Ἐπισκόπων καὶ συμβουλεύειν καὶ χρήματα, ἢ ἕτερά τινα δῶρα παρέχειν αὐτοῖς, ἢ περιποιεῖσθαι, ἢ δῶρα καὶ τιμὴν ὑπισχνεῖσθαι, ἢ προβάλλειν φόβητρα καὶ δεινὰ ἐλευσόμενα, ἢ τιμὴν καὶ ἀτιμίαν, ὥστε πείθειν αὐτοὺς διὰ τοῦτο στέργειν τὶ λαληθῆναι καὶ τὶ γενέσθαι ἐν τῇ Συνόδῳ. ἀλλὰ τούτων πάντων δεῖ καθαρεύειν τὴν Σύνοδον, ἵνα ᾖ ἄμαχος καὶ πνευματικὴ ἡμελέτη, καὶ ἵνα κοινῶς προβάλλωνται, κοινῶς ἀναψηλαφῶνται, φιλαδέλφως δοκιμάζωνται, καὶ κοινῶς τέμνωνται τὰ ζητούμενα, καὶ οὕτω κοινῶς καὶ ὁμοφώνως καὶ ὁμονοητικῶς καὶ ὁμογνωμόνως καὶ ἐλευθέρως καὶ αὐτεξουσίως γίνεσθαι τὴν ἀπόφασιν. τέταρτον, δεῖ πάντως συντίθεσθαι τὸν Ὅρον κοινῶς καὶ ὁμοφώνως καὶ μιᾷ συμπνοίᾳ καὶ αὐτεξουσίῳ καὶ ἐλευθέρᾳ γνώμῃ τῶν πατέρων, καὶ παῤῥησίᾳ, καὶ ὑπογράφεσθαι ἐν ἑνὶ τόπῳ, καὶ ἀβιάστως, καὶ ἄνευ τινὸς δόλου, καὶ ὑπὸ πάντων φανερώτατα, καὶ ὑπογράφεσθαι τῷ αὐτῷ τρόπῳ, ἤτοι ἐν τῷ αὐτῷ τόπῳ μετὰ τῆς αὐτῆς τιμῆς μιᾷ συμπνοίᾳ, ἐλευθέρᾳ προαιρέσει, καὶ αὐτεξουσίῳ γνώμῃ τῶν πατέρων. καὶ εἰ βούλεται καὶ ὁ Βασιλεὺς ὑπογράψαι ἐν τῷ Ὅρῳ, δεῖ ὑπογράφειν ἢ πρὸ πάντων ἁπλῶς τῶν πατέρων, ὡς ὁ Ἰουστινιανὸς ἐν τῇ ἐν Τρούλλῳ, ἢ μετὰ πάντας τοὺς πατέρας, ὡς Κωνσταντῖνος καὶ Εἰρήνη ἐν τῇ ἑβδόμῃ Οἰκουμενικῇ.

ΠΑΡΑ

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Ὅτι ἀναγκαῖον καὶ ἀπαραίτητον ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις ἀναγινώσκεσθαι κατὰ τὰς πρώτας συνελεύσεις τὰ τῶν προτέρων Συνόδων πρακτικὰ, δι' ὧν ἡ ἅπασα κατάστασις καὶ τάξις τῆς Συνόδου γινώσκεται κατὰ τὴν ἐνταῦθα ἀπαρίθμησιν.

Ἐν τῇ Συνόδῳ τῇ Οἰκουμενικῇ ἐν ταῖς πρώταις συνελεύσεσιν ἐστὶν ἀναγκαῖον καὶ ἀπαραίτητον πρῶτον, ἵνα ἀναγινώσκωνται τὰ πρακτικὰ τῶν προγεγονυιῶν Οἰκουμενικῶν Συνόδων κοινῶς καὶ φανερῶς καὶ μετὰ προσοχῆς εἰς ἐπήκοον πάντων, καὶ ἐκ τούτου γένηται γνώριμον πρὸς πάντας, πῶς, καὶ ποῦ κάθηνται οἱ Βασιλεῖς, καὶ οἱ Ἄρχοντες, καὶ οἱ Πατριάρχαι, οἱ Τοποτηρηταὶ, καὶ οἱ λοιποὶ πατέρες ἐν αὐτῇ, τὶ τὸ ἔργον τῶν Βασιλέων, καὶ ποῖον τὸ ἔργον τῶν Ἀρχόντων ἐν τῇ Συνόδῳ, καὶ ποῖον τὸ τῶν πατέρων, τίνος, καὶ πῶς γίνεται ἡ προσφώνησις ὑπὸ τῆς Συνόδου, τίνος ἡ πρώτη φήμη, καὶ τίνων ἡ δευτέρα, τὶς ὁ ἑκάστου Πατριάρχου καὶ Τοποτηρητοῦ τόπος καὶ ἡ τάξις καὶ τὰ πρεσβεῖα, ποία ἡ καθολικὴ πίστις, τίνες οἱ πατρικοὶ Ὅροι καὶ θεσμοὶ καὶ τύποι, τὶς ὁ τρόπος τῶν διαλέξεων, πῶς προτείνονται τὰ ἀμφίβολα, πῶς λύονται αἱ ἀμφιβολίαι, πῶς ἀναψηλαφῶνται αἱ τῶν Πατριαρχῶν ἐπιστολαὶ, πῶς ἐξετάζονται οἱ λίβελλοι, πῶς δοκιμάζονται τὰ τῶν Αἱρετικῶν, ἐκ ποίων βιβλίων καὶ πατέρων τέμνονται αἱ κρίσεις, πῶς παύονται αἱ φιλονεικίαι, πῶς καθαιροῦνται οἱ Αἱρετικοὶ, πῶς κρίνονται καὶ παιδεύονται οἱ ἀπειθεῖς, πῶς ἐκτίθενται οἱ Κανόνες, εἰ δόξει διατάξασθαι τινὰς κατὰ τοὺς καιροὺς, ποῖα τῶν ἠθῶν καὶ τῶν δογμάτων εἰσὶν ἀπαράβατα καὶ ἀναλλοίωτα πάντῃ καὶ πάντως, καὶ τίνα δέχονται οἰκονομίαν καὶ συγκατάβασιν, καὶ τέως εἰπεῖν, πῶς γίνεται ἡ κοινὴ καὶ καθόλου ἀπόφασις ἑκάστης ἀμφιβολίας καὶ ἀγωγῆς, πῶς καὶ εἰς ποίους πέμπονται συνοδικαὶ ἐπιστολαὶ, πῶς γίνεται ὁ ἔσχατος προσφωνητικὸς καὶ ἡ ἀναφορὰ εἰς τοὺς Βασιλεῖς περὶ τῶν πραχθέντων ἐν τῇ Συνόδῳ, ποίοις τρόποις συντίθεται ὁ Ὅρος, τίνες ὑπογράφονται, καὶ πῶς ὑπογράφονται, τὶς ὁ βεβαιῶν ἔσχατος πάντων, πῶς γράφει ἡ Σύνοδος τοῖς μὴ παροῦσι Πατριάρχαις διὰ τῶν Τοποτηρητῶν, ποίους Τίτλους παρέχει αὐτοῖς, τίνα ἐγκώμια λέγει αὐτοῖς. τῶν προγεγονυιῶν οὖν Οἰκουμενικῶν Συνόδων τῶν πρακτικῶν πάντων ἀναγνωσθέντων ἐσκεμμένως καὶ κατὰ τάξιν, ἐν ταῖς μετέπειτα συνελεύσεσι γίνεται ἀρχὴ θεωρεῖσθαι τὰς ὑποθέσεις περὶ ὧν ἡ Σύνοδος.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι αἱ Οἰκουμενικαὶ Σύνοδοι ἀναμάρτητοι, κατὰ τὰς ψήφους ἀμετάτρεπτοι, πρόσωπον τῆς καθόλου Ἐκκλησίας, ἐξηγηταὶ κυριώτατα καὶ μόνως τῆς θείας γραφῆς, κριταὶ τῶν βιβλίων τῶν ἁγίων, ἀρχὴ παντὸς ἐκκλησιαστικοῦ κριτηρίου, ἄκριτοι, καὶ ἰσοδύναμοί εἰσι τῇ θείᾳ γραφῇ, ὧν κεφαλὴ ὁ Χριστὸς καὶ τὸ ἅγιον Πνεῦμα Δικάσκαλος. καὶ ὅτι οἱ Κανόνες αὐτῶν μᾶλλον ἰσχύουσι τῶν Νόμων.

Ὅτι δὲ αἱ Οἰκουμενικαὶ Σύνοδοι εἰσὶν ἀναμάρτητοι, ῥητέον αὖθις. Εἴρηται τῷ Κυρίῳ περὶ τῆς καθόλου Ἐκκλησίας τὸ, Εἰπὲ τῇ Ἐκκλησίᾳ, ἧς ὁ παρακούων, ὡς ὁ Ἐθνικός ἐστι καὶ ὁ Τελώνης, Καὶ, πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. καὶ τῷ Παύλῳ, Ὅτι ἐστὶ στήλη καὶ ἑδραίωμα τῆς ἀληθείας. Ὅτι δὲ αἱ Οἰκουμενικαὶ Σύνοδοι πρόσωπόν εἰσιν ἀπαράλλακτον τῆς καθόλου Ἐκκλησίας, εἴρηκεν ἡ πρώτη Οἰκουμενικὴ ἐν τῷ Συμβόλῳ αὐτῆς, Τούτους ἀναθεματίζει ἡ καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία, ἤτοι ἡ Οἰκουμενικὴ Σύνοδος. ὅθεν ἡ τῆς Οἰκουμενικῆς Συνόδου ψῆφος ἀεὶ ἀμετάτρεπτός ἐστι, κρίνει γὰρ τοὺς πάντας, καὶ οὐδέποτε παρ' οὐδενὸς κρίνεται, μεθ' ὑμῶν γάρ εἰμι ἕως τῆς συντελείας τοῦ αἰῶνος εἶπεν ὁ Σωτὴρ, διὸ καὶ τὴν ἁγίαν γραφὴν κυριώτατα μόνη ἐξηγουμένη, νομοθετεῖ καὶ ἀποφαίνεται ὡς αὐτὴν τὴν γραφὴν τὴν περὶ Θεότητος καὶ ἐν σαρκοῦ οἰκονομίας, καὶ τῶν τῆς Ἐκκλησίας Μυστηρίων καὶ ἠθῶν καὶ παραδόσεων, καὶ τῶν ἁγίων τὰ βιβλία μόνη ἐξαιρέτως κρίνει, καὶ τὰς Ἐκκλησίας αὐτὴ μόνη Κανονίζει, καὶ ἐν πᾶσι πάντῃ καὶ πάντως καὶ κατὰ πάντα ἀναμάρτητος καὶ ὅλως ἄπταιστος οὖσα, ἀνεξέταστός ἐστιν, ἐπειδὴ πρὸς τούτοις παντὸς ἐκκλησιαστικοῦ κριτηρίου ἐστὶν ἀρχὴ, αἱ δὲ τοιαῦται ἀρχαὶ ἄκριτοί εἰσι, λέγει γὰρ ὁ μέγας Βασίλειος ἑρμηνεύων τὸν ἑκατοστὸν δέκατον πέμπτον ψαλμὸν, Ἀνάγκη ἑκάστης μαθήσεως ἀνεξετάστους εἶναι τὰς ἀρχὰς τοῖς μανθάνουσιν, ἐπειδὴ ἀμήχανον τοὺς περὶ τὰ πρῶτα ζυγομαχοῦντας δυνηθῆναι ὁδῷ καὶ τάξει προελθεῖν εἰς τὸ τέλος. εἰ δὲ τοῦτο ἔχουσι τὸ ἀξίωμα αἱ ἀνθρώπους ἁπλῶς ἔχουσαι Διδασκάλους ἐπιστῆμαι, πόσῳ μᾶλλον ἔχει αὐτὸ ἡ κυριώτατά τε καὶ πρώτως καὶ ἄκρως, καὶ μάλιστα ἔχουσα κεφαλὴν τὸν Χριστὸν, καὶ τῷ αὐτῷ τρόπῳ Διδάσκαλον τὸ Πνεῦμα τὸ ἅγιον Οἰκουμενικὴ Σύνοδος; ὅθεν καὶ ἀμετάπτωτός ἐστι καὶ εὐαπόδεκτος καὶ ἀληθεστάτη καὶ πρώτη καὶ ἄκρα ἀλήθεια ὥσπερ καὶ ἡ θεία γραφή. εἰ γὰρ καὶ ἡ θεία γραφὴ ἐξ ἑαυτῆς τὸ πιστὸν ἔχει, καὶ μὴ δι' ἑτέρων ἔχει τὴν πίστιν, καὶ κατὰ τὸν μέγαν Ἀθανάσιον γράφοντα κατὰ τῶν Ἐθνῶν, τῆς παρὰ τῶν ἀνθρώπων διδασκαλίας οὐδεῖται, ἀφ' ἑαυτῆς γὰρ ἔχει τὸ γνώριμον καὶ πιστὸν, ἐπειδὴ κατὰ τὸν Ἀπόστολον ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ δευτέρᾳ, καὶ

τὸν

τὸν Νύσσης ἐν τῷ περὶ ψυχῆς Θεόπνευστός ἐστι, καὶ πάλιν κατὰ τὸν Ἀπόστολον πάσης ἀποδοχῆς ἀξία, ἀλλὰ στρεβλουμένη κατὰ τὸν μακάριον Πέτρον, ἤτοι παρεξηγουμένη παρὰ τῶν Αἱρετικῶν, ὑπὸ μόνης τῆς Οἰκουμενικῆς Συνόδου ἑρμηνεύεται ἀναμαρτήτως, ἐξετάσει μὲν καὶ ἐρεύνῃ, ἀλλ' ἡ συμφωνία καὶ ἡ ἀπόφασις αὐτῆς ἀναμφιβόλως θείᾳ ἐμπνεύσει καὶ ἀποκαλύψει γίνεται, καὶ ἴδε ἀνωτέρω τῶν Συνόδων τοὺς τόπους, καὶ βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον τριακοστὸν πρῶτον, ὅθεν καὶ ἡ παρ' αὐτῆς ἑρμηνεία τοιαύτης ἐστὶ τάξεώς τε καὶ δυνάμεως, ὥστε, ὡς εἴρηται, παρ' οὐδενὸς κρίνεται, ἢ ἀνακρίται, ἀλλ' ἔστι κατὰ πάντα τῇ παρ' αὐτῆς ἑρμηνευομένῃ θείᾳ γραφῇ ἰσοδύναμος. διὸ ὁ μέγας Κωνσταντῖνος ἔλεγε, Πᾶν γὰρ, εἴτι δ' ἂν ἐν τοῖς ἁγίοις τῶν Ἐπισκόπων συνεδρίοις πράττηται, τοῦτο πρὸς τὴν θείαν βούλησιν ἔχει τὴν ἀναφοράν. βιβλίῳ τρίτῳ εἰς τὸν βίον Κωνσταντίνου. καὶ ὁ μέγας Ἰουστινιανὸς Νεαρᾷ ἑκατοστῇ τριακοστῇ πρώτῃ φησὶ, Θεσπίζομεν τοίνυν τάξιν Νόμων ἐπέχειν τοὺς ἁγίους ἐκκλησιαστικοὺς Κανόνας τοὺς ὑπὸ τῶν ἁγίων τεσσάρων Συνόδων ἐκτεθέντας, ἢ βεβαιωθέντας, τουτέστι τῆς ἐν Νικαίᾳ τῶν τριακοσίων δεκαοκτὼ, καὶ τῆς ἐν Κωνσταντινουπόλει τῶν ἁγίων ἑκατὸν πεντήκοντα πατέρων. καὶ τῆς ἐν Ἐφέσῳ πρώτης, ἐν ᾗ Νεστόριος κατεκρίθη, καὶ τῆς ἐν Χαλκηδόνι, καθ' ἣν Εὐτυχὴς μετὰ Νεστορίου ἀνεθεματίσθη. τῶν γὰρ προειρημένων ἁγίων Συνόδων τὰ δόγματα καθάπερ τὰς θείας γραφὰς δεχόμεθα, καὶ τοὺς Κανόνας ὡς Νόμους φυλάττομεν, καὶ οἱ ὑπὸ τῶν τεσσάρων Συνόδων τῶν ἐν Νικαίᾳ καὶ Κωνσταντινουπόλει, ἐν Ἐφέσῳ καὶ ἐν Χαλκηδόνι τεθέντες Ὅροι Νόμων τάξιν ἐχέτωσαν, καὶ τὰ δόγματα αὐτῶν ὡς αἱ Θεόπνευστοι τιμάσθωσαν γραφαί. ἀλλὰ δὴ καὶ ἡ τρίτη διάταξις τοῦ δευτέρου Τίτλου τῶν Νεαρῶν τοὺς τῶν ἑπτὰ Συνόδων Κανόνας θέλει κρατεῖν, καὶ τὰ δόγματα αὐτῶν ὡς τὰς θείας γραφὰς, καὶ τοὺς Κανόνας ὡς Νόμους φυλάττομεν, λέγεται βιβλίου πέμπτου τῶν Βασιλικῶν, Τίτλου τρίτου, κεφαλαίου πρώτου, θέματι πρώτῳ. ἐν δὲ τῇ τετάρτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου ἐγένετο λόγος, πότερον οἱ Κανόνες προτιμῶνται ἢ οἱ πραγματικοὶ τύποι, ἤγουν τὰ βασιλικὰ γράμματα καὶ θεσπίσματα, καὶ ἐγένετο κοινὴ ἀπόφασις λέγουσα, οἱ πραγματικοὶ τύποι ἀργείτωσαν, οἱ Κανόνες κρατείτωσαν. εἶπον γὰρ οἱ Ἄρχοντες ῥητῶς, Τῷ θειοτάτῳ Δεσπότῃ τῆς Οἰκουμένης ἤρεσε μὴ κατὰ τὰ θεῖα γράμματα, ἢ πραγματικοὺς τύπους τὰ τῶν ὁσιωτάτων Ἐπισκόπων προβαίνειν, ἀλλὰ κατὰ τοὺς Κανόνας τοὺς παρὰ τῶν ἁγίων πατέρων νομοθετηθέντας. Καὶ, κατὰ τῶν Κανόνων πραγματικὸν οὐδὲν ἰσχύσει, οἱ Κανόνες τῶν πατέρων κρατείτωσαν. Καὶ, εἰ ἔξεστι κατὰ θεῖον πραγματικὸν ἀλλοτρίας Ἐκκλησίας δίκαια ἑτέρους Ἐπισκόπους παραιρεῖσθαι, ἡ ἁγία Σύνοδος εἶπεν, οὐκ ἔξεστι, τοῦτο παρὰ τοὺς Κανόνας ἐστί. Καὶ, πάντες τὰ αὐτὰ λέγομεν, ὅλα τὰ πραγματικὰ ἀργήσει, οἱ Κανόνες κρατείτωσαν, κἂν τοῦτο παρ' ὑμῶν γένηται. καὶ ἔτι ἴδε τὸν παρόντα τόπον ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παραγράφῳ δεκάτῳ ἕκτῳ. ἑπόμενος δὲ τῇ ἀποφάσει τῆς Συνόδου ὁ Βαλσαμὼν, λέγει ἐν τῷ δευτέρῳ κεφαλαίῳ τοῦ πρώτου Τίτλου τοῦ Νομοκάνονος τοῦ Φωτίου, Ἐπισημείωσαι τὴν παροῦσαν ἑρμηνείαν, καὶ ἔχων αὐτὴν ἐπὶ μνήμης, λέγε τοὺς Κανόνας ἰσχύειν πλέον τῶν Νόμων. οἱ μὲν γὰρ, ἤγουν Κανόνες παρὰ Βασιλέων καὶ ἁγίων πατέρων ἐκτεθέντες καὶ στηριχθέντες, ὡς αἱ θεῖαι γραφαὶ δέχονται, οἱ δὲ Νόμοι παρὰ Βασιλέων μόνον ἐδέχθησαν, ἢ συνετέθησαν, καὶ διατοῦτο οὐ κατισχύσουσι τῶν θείων γραφῶν οὐδὲ τῶν Κανόνων.

ΒΙΒΛΙΟΥ Ι΄. ΜΕΡΟΣ Γ΄. ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Ἀντιθέσεις ἐννέα τῶν Αἱρετικῶν κατὰ τῶν Οἰκουμενικῶν Συνόδων. ὧν ἡ πρώτη ἀπὸ τῆς παλαιᾶς γραφῆς, καὶ λύσις αὐτῆς.

Ἀπὸ πολλῶν τόπων τῆς παλαιᾶς γραφῆς γίνεται φανερὸν, ὅτι πολλάκις οἱ Προφῆται καὶ οἱ Λευῖται μετὰ τοῦ πρώτου Ἀρχιερέως ἥμαρτον ἐν ταὐτῷ, ἐνδέχεται ἄρα καὶ τὴν Ἐκκλησίαν σφάλλεσθαι. Ἀλλὰ ῥητέον, μὴ περὶ τῆς παλαιᾶς διαθήκης, ἀλλὰ περὶ τῆς νέας εἶναι ἡμῖν τὸν λόγον, ἐν ᾗ διαφόρως τὸ Πνεῦμα τὸ ἅγιον ἐνεργεῖ, καὶ ῥητῶς ἐδωρήσατο αὐτῇ ὁ Κύριος τὸ ἀναμάρτητον, εἰ καὶ παρεξηγοῦνται οἱ Αἱρετικοὶ τὰ ῥητὰ τῆς τοιαύτης δωρεᾶς κατὰ τῆς σωτηρίας αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Β΄.

Λύσις τῆς δευτέρας ἀντιθέσεως τῶν αὐτῶν, ἣν προσφέρουσιν ἀπὸ τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου.

Ἡ ἐν Νεοκαισαρείᾳ Σύνοδος, ἣν δέχεται ἡ πρώτη Οἰκουμενικὴ, τὸν δεύτερον γάμον κατεδίκασε κατὰ τοῦ Ἀποστόλου ἐν τῇ πρὸς Κορινθίους πρώτῃ, κεφαλαίῳ ἑβδόμῳ. καὶ ἕτεραι Τοπικαὶ Σύνοδοι ἅγιαι νομιζόμεναι

ζόμεναι ἥμαρτον εἰς τινά. Ἀλλὰ ῥητέον, τὰς Τοπικὰς Συνόδους ἐνδέχεται σφάλλεσθαι, ὑποδέχεσθαι δὲ καὶ βεβαιοῦσθαι ὑπὸ τῶν Οἰκουμενικῶν κατὰ τὸ πλεῖστον καὶ συμφωνοῦν αὐταῖς μέρος. καὶ οὕτως ἐδέξατο τὴν ἐν Νεοκαισαρείᾳ ἡ ἐν Νικαίᾳ, καὶ κατὰ τὸν τρόπον τοῦτον ὑποδέχεται καὶ ἕκαστος τῶν ἁγίων πατέρων, καὶ ἴδε βιβλίου πέμπτου κεφάλαιον δέκατον ὄγδοον.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Λύσις τῆς τρίτης ἀντιθέσεως τῶν αὐτῶν, ἣν προσφέρουσιν ἀπὸ τῆς ἐν Σαρδικῇ Συνόδου.

Ἡ ἐν Σαρδικῇ Σύνοδος τὴν Ἀρειανικὴν Σύνοδον ἐκύρωσε κατὰ τὸν Αὐγουστῖνον βιβλίῳ τρίτῳ κατὰ Λαοδικένου. Ἀλλὰ ῥητέον, ὅτι τοῦτο οὐφαίνεται ἐν τοῖς ἀρχαίοις περὶ τῆς Συνόδου ἱστορικοῖς καὶ ἐν ταῖς ἐπιστολαῖς αὐτῆς, καὶ ποῦ τὸ τοιοῦτον εὗρεν ὁ Αὐγουστῖνος; δεύτερον, εἰ λέγει περὶ ἐκείνου, ὅτι οἱ ὀρθόδοξοι καὶ οἱ Ἀρειανοὶ Κοινωνικοὶ ὄντες, ἐν αὐτῇ ἐχωρίσθησαν ἀπ' ἀλλήλων, ὡς εἴρηται ἀνωτέρω εἰς τὸν τόπον, ἤτοι βιβλίου δευτέρου κεφαλαίῳ ἕκτῳ, ἀλλὰ ῥητέον, ὅτι τὸ ἔγκλημα οὐ τῆς Συνόδου, ἀλλὰ τῶν κακοτρόπων. εἶτα ἐν ἑκάστῃ Συνόδῳ ἐχωρίσθησαν οἱ ἀποστάται, ἀλλ' οὐδεὶς ψόγος ταῖς Συνόδοις. ἔπειτα Σύνοδος ἐν Σαρδικῇ μόνον ἐστὶ τὸ ἄθροισμα τῶν Δυτικῶν, τὸ δὲ Ἀνατολικὸν αἱρετικὸν ἦν, εἰ καὶ ὑπεκρίνετο ἐν τῇ ἀθροίσει εὐσέβειαν. πρὸς τούτοις ὡς εἴρηται εἰς τὸν τόπον, ὁ Πάπας Ἰούλιος ἐκήρυξεν αὐτὴν εἰς τὰ δυτικὰ καὶ βόρεια μέρη, καὶ ἡ δευτέρα Οἰκουμενικὴ δέχεται αὐτῆς τὸν Τόμον, καὶ ἡ ἐν Χαλκηδόνι ἐν τῷ προσφωνητικῷ δέχεται αὐτὴν, μᾶλλον δὲ πιστεύομεν Ἰουλίῳ καὶ ταῖς Οἰκουμενικαῖς Συνόδοις, ἢ τῷ Αὐγουστίνῳ, καὶ μάλιστα ἀγωνιστικῶς λαλήσαντι, τέως καὶ αὐτὴ Τοπικὴ ἦν. καὶ ὅσον μὲν περὶ πίστεως, ἐβεβαίωσεν, ἤτοι ἀνεζωπύρησε τὴν ἐν Νικαίᾳ, ὅσον δὲ Μάρκελλον τὸν Ἀγκύρας Αἱρετικὸν ὄντα, ἀπατηθεῖσα ἐδικαίωσε, καὶ τῷ Ῥώμης Ἔκκλητον δοῦναι ἠθέλησε, καὶ ἔν τισιν ἄλλοις ἥμαρτον, ὡς δηλονότι ἐν τῷ Ὅρῳ αὐτῆς τὴν μίαν ὑπόστασιν εἶπεν ἐπὶ τῆς ἁγίας Τριάδος, καὶ ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου δωδεκάτου Παράγραφον τρίτον, ὅμως ἐκ τούτων οὐδεὶς ψόγος ταῖς Συνόδοις, οὐ γὰρ ἦν Οἰκουμενικὴ περὶ ἧς ὁ λόγος ἐνταῦθα.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Λύσις τῆς τετάρτης ἀντιθέσεως τῶν αὐτῶν, ἣν προσφέρουσιν ἀπὸ τῆς πρὸς τὸν Προκόπιον ἐπιστολῆς τοῦ Θεολόγου.

Ὁ Θεολόγος ἐν τῇ εἰς τὸν Προκόπιον ἐπιστολῇ οὐ δὲ μιᾶς Συνόδου ἔφη περανθῆναι τὸ τέλος. Ἀλλὰ ῥητέον, ὅτι ὁ Θεολόγος μόνην τὴν πίστιν δέχεται τῆς πρώτης Συνόδου, καὶ περὶ ἐκείνης ἦν ὁ ἀγὼν αὐτῷ ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ, καὶ τοὺς πατέρας τῆς δευτέρας Συνόδου ἄκρως ἐγκωμιάζει, καὶ αὐτὸς ἦν ὁ συνθέμενος μάλιστα τὸ Σύμβολον αὐτῆς. ἐμέμφετο δὲ τὰς κατὰ τοῦ Ὁμοουσίου Συνόδους, μὴ δεχομένας τὰ ἐν Νικαίᾳ διωρισμένα, ὡς ἦσαν ἐκεῖναι περὶ ὧν εἴπομεν κατὰ μέρος ἐν τῷ δευτέρῳ βιβλίῳ. ἦσαν γὰρ τυφλοὶ καὶ ἰσχυρογνώμονες οἱ ἐν ἐκείναις συνερχόμενοι, ὥστε ἡττωμένους αὐτοὺς παθῶν καὶ τιμῆς κοσμικῆς ὡς ἐζήτει ταύτην καὶ ἡ ἐν Φλωρεντείᾳ Σύνοδος, μᾶλλον στοχάζεσθαι τῆς νίκης ἢ τῆς ἀληθείας, ὅθεν ἔλεγον οἱ Λατῖνοι τοῖς Γραικοῖς, Σωζομένης τῆς ἡμετέρας τιμῆς. ἔτιμα δὲ ὁ Θεολόγος τὰς ἁγίας, ἐν αἷς εἰ καί τινες ἐφιλονείκουν, ἀλλάγε οἱ πατέρες τὰς ἀμφισβητήσεις νομίμως καὶ ἀβιάστως καὶ ἀπανούργως καὶ παῤῥησίᾳ ἐξήταζον, καὶ οὕτω καταφανεῖς ποιοῦντες τὰς κακοδοξίας, κοινῇ καὶ ἀβιάστῳ καὶ ὁμογνώμονι ψήφῳ καὶ κοινῇ κρίσει καὶ ἀποφάσει ἀπεκήρυττον. καὶ ἴδε περὶ τῶν ἁγίων Συνόδων τὰς πρὸς Κληδόνιον ἐπιστολὰς αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Λύσις τῆς πέμπτης ἀντιθέσεως τῶν αὐτῶν, ἣν προσφέρουσιν ἀπὸ τοῦ τρίτου Κανόνος τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου.

Ἡ δευτέρα Οἰκουμενικὴ Κανόνι τρίτῳ τὸ πρωτεῖον ἀπονέμει τῷ Ῥώμης κατὰ τοῦ ἕκτου καὶ ἑβδόμου τῶν Κανόνων τῆς πρώτης, εἰποῦσα γὰρ τὸν Κωνσταντινουπόλεως δεύτερον, ἔδωκε τὸ πρωτεῖον τῷ Ῥώμης, ὅπερ οὐ μόνον τοῖς Κανόσιν ἀντίκειται, ἀλλὰ καὶ τῇ παραδόσει, οὐκ ἐξῆν δὲ εἰπεῖν ὅπερ οὐκ εἴρηται πρότερον. Ἀλλὰ ῥητέον πρῶτον, ἐν τῇ Ἐκκλησίᾳ εἰ καὶ ἦν ἰσοτιμία ἐν τοῖς Ἐπισκόποις τῶν Μητροπόλεων, ὡς παρίσταται παρὰ τῶν ἀποστολικῶν Κανόνων, καὶ τῶν εἰρημένων ἀνωτέρω ἐν πολλοῖς, καὶ Διατρανοῖ τὰ κατὰ Πολύκαρπον καὶ Ἀνίκητον, Στέφανον, καὶ Κυπριανὸν, καὶ Φιρμιλιανὸν, Βίκτορα καὶ Πολυκράτην, καὶ ἄλλαι ἱστορίαι πολλαὶ, οἱ θρόνοι ὅμως Ῥώμης, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων

λύμων εἶχον τινὰ πρεσβεῖα προτιμήσεως ἀπὸ συνηθείας, ἣν ἐβεβαίωσε καὶ διὰ Κανόνων ἡ πρώτη Σύνοδος, ὡς εἴρηται λευκότατα βιβλίου δευτέρου κεφαλαίῳ τρίτῳ, ῥητέον δεύτερον, εἴρηται ἀνωτέρω βιβλίου τρίτου κεφαλαίῳ τετάρτῳ, ὅτι διωκομένης τῆς Ἐκκλησίας ὑπὸ Κωνσταντίου, Ἰουλιανοῦ καὶ Οὐάλεντος, πολλὰ συνέβη ὑπὸ τῶν Αἱρετικῶν, ὑφ' ὧν ἐνεργουμένων τῶν παρ' ἐνορίαν, συνεχέοντο τὰ ἐκκλησιαστικά, ἡ δευτέρα ὅμως Σύνοδος προνοησαμένη τῶν ἐκκλησιαστικῶν δικαίων, ὥρισε κατὰ τοὺς πάλαι Κανόνας τοὺς Ἐπισκόπους μένειν ἐπὶ τῶν ἰδίων Ἐκκλησιῶν, καὶ μὴ εἰκῇ ταῖς ὑπερορίοις ἐπιβαίνειν, καὶ τὰ παρ' ἑκάστην συμβαίνοντα τὴν Σύνοδον τῆς Ἐπαρχίας διοικεῖν κατὰ τὰ ἐν Νικαίᾳ ὡρισμένα. ἐπειδὴ δὲ τῆς Κωνσταντινουπόλεως ἄρτι ἀποκατασταθείσης θρόνου αὐτοκρατορικοῦ, τὰ πράγματα ἀναγκαίως ἀπήτουν δι' ἄλλας καὶ δι' ἃς εἴπομεν αἰτίας βιβλίου τετάρτου κεφαλαίῳ τρίτῳ, τὸν Κωνσταντινουπόλεως Ἐπίσκοπον συντιμᾶσθαι τοῖς Ἐπισκόποις τῶν εἰρημένων θρόνων, ἡ αὐτὴ Σύνοδος ἐποίησεν ὅπερ ἐξῆν. ἕνεκεν δὲ πολλῶν ἀναγκαίων πραγμάτων διώρισε τάξιν ἐν τοῖς θρόνοις τούτοις, ὡς εἴρηται εἰς τὸν τόπον, καὶ ἀκολούθως συνοίδεν εἰπεῖν τινὰ τούτων τῶν πέντε πρῶτον. κατακολουθήσασα δὲ τῇ συμβάσῃ ἐν τῇ Ἐκκλησίᾳ συνηθείᾳ, εἶπε πρῶτον τὸν Ἐπίσκοπον τῆς πρώτης πόλεως κατὰ τὴν πολιτικὴν διοίκησιν, καὶ καθεξῆς δεύτερον εἶπε τὸν τῆς δευτέρας πόλεως καὶ τοὺς λοιποὺς θρόνους ὁμοίως τότε, καὶ μεταταῦτα ἔθηκεν ἐν τάξει μετὰ εὐλόγου αἰτίας. ἐποίησε δὲ πρῶτον τὸν Ῥώμης, οὐ πρῶτον κατά τι ἀξίωμα ἐξουσίαν ἔχοντα ἰδικὴν ἐν τῇ καθόλου Ἐκκλησίᾳ παρ' ἣν εἶχον οἱ λοιποὶ ὀρθόδοξοι Ἐπίσκοποι ἐν τῇ ἐκκλησιαστικῇ διοικήσει, οὔτε κατά τι ἰδικὸν πρεσβεῖον παρ' ὃ εἶχον οἱ τέσσαρες καθολικοὶ θρόνοι, οὔτε κατά τι ἐξωτερικὸν ἀξίωμα, ἐν γὰρ τῇ Ἐκκλησίᾳ οὐκ ἔστιν ἐσωτερικὸν καὶ ἐξωτερικὸν ὡς παραλογίζονται οἱ Σχολαστικοί, ἐκ γὰρ νόθων οὐ δύνασθαι πόλιν συστῆναι φησὶν ὁ σοφὸς, ἀλλὰ τὰ πάντα πνευματικά. ἔδωκεν οὖν αὐτῷ μόνον πρωτεῖον τάξεως, διὸ οὐδὲ εἶπε τοῖς Κανόσι τῆς πρώτης ἐναντία, οὕς τινας εὐκρινέστατα διεσάφησε καὶ ἐβεβαίωσεν ἐν τῷ δευτέρῳ αὐτῆς Κανόνι, λίαν ἰσχυρῶς διορίσασα ἕκαστον Ἐπίσκοπον ἐν τῇ ἰδίᾳ διοικήσει μένειν. ὅθεν πρωτεῖον τάξεως δέδωκεν αὐτῷ μόνον καὶ οὐδὲν ἕτερον. τὸ γὰρ κατά τινα ἰδικὴν ἐξουσίαν πρωτεῖον ἀντιχριστιανικόν ἐστιν. ἔγραψε γὰρ ὁ μέγας Γρηγόριος Ἰωάννῃ τῷ Νηστευτῇ, Ἐὰν ἀφ' ἑνὸς ἡ Ἐκκλησία κρέμαται, ὅλη καταπεσεῖται. οὐ πίπτει δὲ ἡ Ἐκκλησία, καθότι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, ἄρα. πρόταξις ἄρα ἐστὶν ἄνευ τινὸς λήψεως καὶ ἐξουσίας, ἄλλο δὲ τάξις καὶ ἄλλο ἀξία. ὅθεν οὔτε οἱ πρῶτοι ἐν τοῖς μετ' αὐτοὺς ἔχουσί τινα ἐξουσίαν, οὔτε οἱ μετὰ τοὺς πρώτους λαμβάνουσί τι παρὰ τῶν πρώτων, ὡς εἴρηται ἐν πολλοῖς ἀνωτέρω. ΑΠΟΡΙΑ. Ἀλλὰ πῶς ὁ Πάπας ἐστὶ τοῦ Πέτρου διάδοχος, καὶ εἶτα ὑπὸ τῶν πατέρων τὴν ἐξουσίαν κέκτηται καὶ τὸ πρωτεῖον ἔχει; Ῥητέον τὸν Πάπαν τριχῶς ἐννοεῖσθαι, ἢ ὡς ἔχοντα ἐξουσίαν κατὰ τὴν ἐν Ῥώμῃ διοίκησιν διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος καὶ τοῦ χειροτονεῖν καὶ τοῦ δεσμεῖν καὶ τοῦ λύειν, ἢ ὡς κρατοῦντα τῆς Ῥώμης καὶ τῶν ὑποκειμένων τῇ Ῥώμῃ πόλεων, καὶ προσόδους ἐρανιζόμενον καὶ συνάγοντα, ἢ ὡς ὄντα πρῶτον πάντων τῶν Ἱερέων. καὶ τὸ μὲν πρῶτον ἔχει οὐ μόνον παρὰ τοῦ Πέτρου, ἀλλὰ καὶ παρὰ τοῦ Παύλου. λέγει γὰρ ὁ Ἐπιφάνιος Αἱρέσει Καρποκρατιανῶν, Ἐν Ῥώμῃ γεγόνασι πρῶτος Πέτρος καὶ Παῦλος οἱ Ἀπόστολοι αὐτοὶ καὶ Ἐπίσκοποι, εἶτα Λῖνος, εἶτα κλῆτος, εἶτα Κλήμης, περιόντων γὰρ τούτων τῶν Ἀποστόλων, Ἐπισκόπους ἄλλους ἔδει καθίστασθαι. διὰ τὸ τοὺς Ἀποστόλους πολλάκις ἐπὶ τὰς ἄλλας παροικίας τὰς πορίας στέλλεσθαι, καὶ μὴ δύνασθαι τὴν Ῥωμαίων πόλιν ἄνευ Ἐπισκόπου εἶναι. κατὰ δὲ τὸ δεύτερον, ὑπὸ τῶν Συνόδων καὶ τῆς ἐν τῇ Ἐκκλησίᾳ μετὰ τοὺς Ἀποστόλους συμβάσης ἐν πάσαις ταῖς ὑπὸ τῶν Οὐρανὸν Ἐκκλησίαις περὶ τῶν Ἐπισκόπων διοικήσεως καὶ συνηθείας τοιοῦτος κατέστη. οἱ γὰρ Ἀπόστολοι μόνῃ τῇ πνευματικῇ ἐξουσίᾳ ἠγάλλοντο, καὶ προσόδους ἐκκλησιαστικὰς οὔτε συνῆγον οὔτε παρεῖχον. ἀλλὰ δὴ καὶ τὸ τρίτον ὑπὸ τῶν Συνόδων ἔχει πολλῷ ὕστερον τῶν Ἀποστόλων, ὡς ὁ παρὼν καὶ ὁ εἰκοστὸς ὄγδοος τῆς ἐν Χαλκηδόνι φασίν. οὐχ ἥμαρτεν ἄρα ἡ Σύνοδος, ἀλλὰ δίκαια καὶ ἀκόλουθα πεποίηκε.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Λύσις τῆς ἕκτης ἀντιθέσεως τῶν αὐτῶν ἀπὸ τῆς Πενθέκτης.

Ἡ πενθέκτη δέχεται τὸν ἀναβαπτισμὸν, ἣν ἡ ἑβδόμη βεβαιοῖ εἰς τὴν τρίτην, τετάρτην καὶ πέμπτην πρᾶξιν. ἀλλὰ περὶ τούτου εἴρηται ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ δεκάτῳ ἕκτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Λύσις τῆς ἑβδόμης ἀντιθέσεως τῶν αὐτῶν, ἣν προσφέρουσιν ἀπὸ τοῦ περὶ βαπτίσματος βιβλίου δευτέρου τοῦ Αὐγουστίνου.

Ἔφη ὁ Αὐγουστῖνος βιβλίῳ δευτέρῳ περὶ τοῦ βαπτίσματος, κεφαλαίῳ τρίτῳ, Τὰς προτέρας Οἰκουμενικὰς Συνόδους ὑπὸ τῶν ὑστέρων διορθοῦσθαι. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι κατὰ μὲν τὴν πίστιν οὐδέποτε, καὶ γὰρ οὐδεὶς δύναται τοῦτο δεῖξαι. ἐνίοτε δὲ κατὰ τὰ ἤθη καί τινας τῶν ἐπικτήτων Κανόνων, ἢ κυβερνήσεις τινὰς

1030

τινὰς κατὰ τὸν καιρὸν οἰκονομοῦσιν εἴς τινα, ὅπερ διόρθωσις καταχρηστικῶς λέγεται, ὥσπερ τυχὸν οἱ ἀρχαῖοι Κανόνες διὰ τὸ ἔτος εἶπον γίνεσθαι τὰς Συνόδους τῆς Ἐπαρχίας, ἢ δὲ ἐν Τρούλλῳ καὶ ἡ ἑβδόμη εἶπον ἅπαξ τοῦ ἔτους διὰ τὴν καταδρομὴν τῶν ἐθνῶν· ῥητέον ὅμως καὶ τοῦτο, ὅτι καὶ ἐν οἷς οἰκονομοῦσιν αἱ ὕστεραι Σύνοδοι, ἐδέποτε τὸ πρᾶγμα ἀθετοῦσιν, ἀλλὰ τὸν τρόπον, ἢ τὸν καιρὸν, ἢ τὸν τόπον. εἰ δὲ καὶ ἡ δευτέρα Οἰκουμενικὴ διώρθωσε τὸ Σύμβολον τῆς πρώτης, ἀλλὰ ἡ αὐάπτυξις διόρθωσις καταχρηστικῶς ἦκουσε, γνωμῇ συμμέναις λέξεσι, καὶ ἑνὶ λαμῶς καὶ πίστει, πολλοὶ καὶ τοῦτο κεκώλυται τῶν μεταταῦτα Συνόδων, αἵτινες διὰ τοῦτο περὶ ὧν διώρισαν, ὅρους ἰδίους ἐξέθεντο, κατ' ἐδοῦσα τρόπον διαφωνοῦντας κατὰ πίστιν, ἀλλὰ κατὰ μόνας λέξεις τινὰς, ἐπειδὴ ἑρμηνεῖα καὶ ἐξήγησις ἐκεῖνα εἰσίν. ἀκολουθοῦσι γὰρ καὶ πάντα αἱ ὕστεραι τοῖς ἐμπροσθεν, ὅθεν καὶ τὰ πρακτικὰ τῶν ἐμπροσθέντων ἐν αὐτοῖς ἀναγινώσκονται, ἵνα κατ' ἐκεῖνα γένηται καὶ τὸ συμπέρασμα, καὶ ῥητῶς γράφουσιν ἐν τοῖς ὅροις αὐτῶν τὰ Σύμβολα· καὶ διὰ ἡ δευτέρα Κανόνι πρώτῳ λέγει, Μὴ ἀθετεῖσθαι τὴν πίστιν τῶν πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, ἀλλὰ μένειν ἐκείνην κυρίαν. καὶ ἡ ἐν Χαλκηδόνι ἐν τῷ Ὅρῳ, Τὴν δὲ ἀπλανῆ τῶν πατέρων αὐανεωσάμενοι πίστιν, ἣν οἱ ἐν Κωνσταντινουπόλει καὶ αὐτοὶ τὴν αὐτὴν ὀρθοφρονοῦσαν πίστιν. Καὶ, ὁρίζομεν τοίνυν τὴν τάξιν, καὶ τὰς περὶ πίστεως ἅπαντας τύπους φυλάττοντες καὶ ἡμεῖς τῆς καθ' Ἔφεσον γενομένης ἁγίας Συνόδου, ἧς ἡγεμόνες Κελεστῖνος καὶ Κύριλλος, καὶ τὰ ἑξῆς. ὡσαύτως πεποιήκασι καὶ αἱ λοιπαὶ Οἰκουμενικαὶ ἅπασαι, καὶ ἴδε αἰωτέρω τὰς γράφας· τέλτον, Οἰκουμενικὰς οἱ Λατῖνοι εἶπον πολλὰς Τοπικὰς συνεκδοχικῶς, ὡς τὴν ἐν Σαρδικῇ, ἀλλὰ δὴ καὶ τὴν Τολεταινὴν ἐν τῇ δεκάτῳ ὀγδόῃ αὐτῆς κεφαλαίῳ Οἰκουμενικὴν εἶπον, καὶ αἱ διὰ Σύμμαχον Σύνοδοι ἐπὶ Ἀνασασίου ἐν τῇ Ἰταλίᾳ συνελθοῦσαι Οἰκουμενικαὶ ἦκουσαν, ἓν τρόπον καὶ ὁ Ῥώμης καὶ ὁ Κωνσταντινουπόλεως Οἰκουμενικοὶ Πατριάρχαι λέγονται. αἱ δὲ Τοπικαὶ Σύνοδοι ὑπὸ τῶν Οἰκουμενικῶν διορθοῦνται, ὡς καὶ Αὐγουστῖνος ὥσπερ ὑπεξηγούμενος ἑαυτὸν εἰς τὸ δεύτερον βιβλίον κατὰ Δοναλιστῶν, αἱ Τοπικαὶ Σύνοδοι εἶπον ὑπὸ τῶν Οἰκουμενικῶν διορθοῦνται.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Λύσις τῆς ὀγδόης ἀντιθέσεως τῶν αὐτῶν, ἣν ἀποφέρουσιν ἀπὸ τοῦ κατὰ Μαξίμου Ἀρειανοῦ βιβλίου τρίτου τοῦ Αὐγουστίνου.

Ὁ Αὐγουστῖνος βιβλίῳ κατὰ Μαξίμου τοῦ Ἀρειανοῦ τρίτῳ, κεφαλαίῳ δεκάτῳ τετάρτῳ φησὶ, Τοῦτο ἐστὶν ἐκεῖνο τὸ Ὁμοούσιον, ὅπερ ἐν τῇ ἐν Νικαίᾳ Συνόδῳ κατὰ τῶν Αἱρετικῶν Ἀρειανῶν ἀπὸ τῶν ὀρθοδόξων πατέρων τῆς ἀληθείας τῇ μαρτυρίᾳ, καὶ τῆς μαρτυρίας τῇ ἀληθείᾳ ἐσερεώθη, ὅπερ ἔπεται ἐν τῇ ἐν Ἀριμίνῳ Συνόδῳ, διὰ τὸ καὶ λέξεσι νέον, ἦλθον ἢ ὡς ἔδει ὑπονοηθὲν (ὅπερ ὅμως ἡ ἀρχαία πίστις ἔτεκε) τῆς πλανῆς τῶν ὀλίγων ἀπατησάσης τὰς πολλὰς, ἡ αἱρετικὴ ἀσέβεια ὑπὸ τοῦ Αἱρετικοῦ Βασιλέως Κωνσταντίου βεβηλῶσαι ἐπειρᾶτο, ἀλλ' ἐμετὰ πολὺν χρόνον ὑπερισχυούσης ἐν ἐλευθερίᾳ τῆς ὀρθοδόξου πίστεως, ἀφ' ἧς ἡ ἰσχὺς τῆς λέξεως ὡς ἔδει ἐνοήθη τὸ Ὁμοούσιον ἐκεῖνο τῇ ἐρωσίᾳ τῆς πίστεως παντοχῆ ἐπεκράτησε. τί γὰρ ἐστὶν Ὁμοούσιον, εἰ μὴ τῆς μιᾶς καὶ τῆς αὐτῆς οὐσίας. τί ἐστι, λέγω, τὸ Ὁμοούσιον, εἰ μὴ τὸ, Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν. νῦν δὲ ὅτε ἐγὼ σοὶ τὴν ἐν Νικαίᾳ, ὅτε σὺ τὴν ἐν Ἀριμίνῳ ὥσπερ καταγνὺς ὀφείλας ἀποφέρειν. ὅτε γὰρ ἐμὲ ταύτης τὸ κῦρος ἐπικρατεῖ, ὅτε σὲ ἐκείνης. τῶν γραφῶν ταῖς μαρτυρίαις οὐχὶ ταῖς ἑκάστῳ ἰδίαις, ἀλλὰ ταῖς ἑκατέρῳ κοιναῖς πρᾶγμα πράγματι, ὑπόθεσις ὑποθέσει, λόγος λόγῳ συναγωνίζεσθαι. ταῦτα ὁ Αὐγουστῖνος. οἱ δὲ Αἱρετικοὶ ἐκ τούτων ἐπιχειροῦσι λέγοντες, ὅτι ὁ Αὐγουστῖνος διὰ τούτων παρίστησι καὶ ὁμολογεῖ μὴ εἶναι κρεῖττον τὸ κῦρος τῆς μιᾶς ἢ τῆς ἄλλης. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι οὐτι ἐπομαι ἐν τῷ δεκάτῳ ὀγδόῳ κεφαλαίῳ τῆ πέμπτῃ βιβλίῳ περὶ τῆ βιβλίων τοῦ Αὐγουστίνου, λέγομαι καὶ ἐν τοῦθα, καὶ γὰρ ἐκ ἔστιν ὁ Αὐγουστῖνος Κανὼν τῆς Ἐκκλησίας, ἀλλ' ἡ Ἐκκλησία τοῦ Αὐγουστίνου, ὥστε ἐκεῖνα ἅπερ οἱ ἔγκριτοι πατέρες συμφώνως ἐκείνου καὶ ἀπεδέχθησαν, ἐδιώσατο μόνος ὁ Αὐγουστῖνος ἄλλως διακρῖναι. ἀλλαμοῦ πάντες οἱ πατέρες καὶ πᾶσα ἡ Ἐκκλησία τῷ μὲν ἐν Νικαίᾳ Συνόδου ἔχουσιν ἁγίαν καὶ ἀναμάρτητον, τῷ δὲ ἐν Ἀριμίνῳ ἐ Σύνοδον, ἀλλὰ βλάσφημον καὶ αἱρετικὸν συμάθροισμα, ὥστε ἐκρεῖττων ἡ ἐν Νικαίᾳ τῆς ἐν Ἀριμίνῳ κατὰ σύγκρισιν, ἀλλ' ἁπλῶς κρεῖττων καὶ κατ' ἐξοχὴν ὑπερβεβηκυῖα. δεύτερον, εἴρηται αὐωτέρω κεφαλαίῳ τέλτῳ, τιμήματος τρίτου, Παραγράφῳ ἕκτῳ, ὅτι ὁ Αὐγουστῖνος ἀναγκαιότατον κριτήριον καὶ βεβαιωτήριον ἐν τῇ Ἐκκλησίᾳ ἐνόμισε τὰς Οἰκουμενικὰς Συνόδους. τρίτον, ὁ Αὐγουστῖνος διαλέχθη τῷ Μαξίμῳ κατὰ τὸ εἰκὸς, ἐπειδὴ γὰρ ἐκεῖνος ἐκ ἐδέχετο τὸ Ὁμοούσιον, κτίσμα λέγων τὸν Υἱὸν καὶ ἀχὶ τῆς αὐτῆ οὐσίας τῷ Πατρὶ, καὶ ἀκολούθως μήτε τὴν ἐν Νικαίᾳ Σύνοδον ἀπεδέχετο, ἀλλ' ἐνόμιζεν αὐτὴν αἱρετικὴν, καὶ ἐκ τοῦ ἐναντίου, ὁ Αὐγουστῖνος τὴν Ἀρειανικὴν Αἵρεσιν ἀποβαλόμενος, ἀπέῤῥιπτε καὶ τὴν ἐν Ἀριμίνῳ Σύνοδον. μὴ δεχομένης τοίνυν ὑπὸ τοῦ Αὐγουστίνου τῆς ἐν Ἀριμίνῳ, καὶ ὑπὸ τοῦ Μαξίμου τῆς ἐν Νικαίᾳ, ὁ Αὐγουστῖνος συμβουλεύει διαλέγεσθαι ἐκ τῶν κοινῶς ὁμολογουμένων, ἅτινα ἐστὶν ἡ θεία γραφή. εἶχεν ὅμως ὁ Αὐγουστῖνος τὴν ἐν Νικαίᾳ ἁγίαν καὶ ἀπεριτρεπτον, ὡς εἶχεν ὁ Μάξιμος τὴν ἐν Ἀριμίνῳ. ὅθεν τὴν ἐν Νικαίᾳ προσβάλων καὶ ὑπερῆμων, εἶπεν ὅτι ἐκείνῃ ἐσερεώθη τὸ Ὁμοούσιον, ὅπερ παντοχῆ ἐπεκράτησε τῇ ἐρωσίᾳ τῆς πίστεως

πίστεως, ἐστερεώθη δὲ εἶπεν αὐτὶ τοῦ ἡρμηνεύθη, ἐφανερώθη, ἐβεβαιώθη. ψεῦδος ἄρα ὅτι ὁ Αὐγουστῖνος οὐκ εἶχε κρείττονα τὴν μίαν τῆς ἄλλης, ἐπειδὴ εἶχε τὴν μὲν ἐν Ἀριμίνῳ ἀποτρόπαιον, τὴν δὲ ἐν Νικαίᾳ ἁγίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Λύσις τῆς ἐνάτης ἀντιθέσεως τῶν αὐτῶν, ἣν προσφέρουσιν ἀπὸ τῶν ἐν Ἀντιοχείᾳ κατὰ τοῦ Σαμοσατέως συνηγμένων πατέρων, καὶ ἀπὸ τοῦ περὶ Συνόδων βιβλίου τοῦ Ἱλαρίου, ἐξ ὧν καὶ μάταιοι δείκνυνται ἐνταῦθα οἱ Αἱρετικοὶ ἐρεσχελοῦντες.

Περὶ τῶν Τοπικῶν Συνόδων, ὅτι οὐδιορθοῦνται ὑπὸ τῶν Οἰκουμενικῶν, προβάλλουσιν οἱ αὐτοὶ τοὺς ἐν Ἀντιοχείᾳ πατέρας, τοὺς κατὰ τοῦ Σαμοσατέως συνηγμένους, οἵτινες ἀπέρριπτόν, φασι, τὸ Ὁμοούσιον, οἱ δὲ ἐν Νικαίᾳ πατέρες κατὰ Ἀρείου ἐδέχθησαν αὐτὸ καὶ ἐβεβαίωσαν, λέγει γὰρ ὁ Ἱλάριος βιβλίῳ περὶ Συνόδων ἐν τῷ τέλει, Κακῶς ἐννοεῖται τὸ Ὁμοούσιον, τί πρὸς ἐμὲ ὀρθῶς ἐννοοῦντα; ἄρα μὴ Ἀρειανοὶ κρεῖττον ἠρνήσαντο; ἑκατὸν ὀγδοήκοντα Ἐπίσκοποι ποτὲ ἀπέβαλον, ἀλλὰ τριακόσιοι δεκαοκτὼ ἄρτι ἐδέξαντο. ἔμοι γε δὲ αὐτὸς ἐκεῖνος ὁ ἀριθμὸς ἅγιός ἐστιν, ἐν ᾧ Ἀβραὰμ νικητὴς τῶν ἀσεβῶν Βασιλέων. παρ' ἐκείνου ὅστις ἐστὶ τῆς ἀϊδίου Ἱερωσύνης εἰκὼν εὐλογεῖται. ἐκεῖνοι καθ' Αἱρετικοῦ ἀπεδοκίμασαν, ἄρα μὴ καὶ οὗτοι οὐ καθ' Αἱρετικοῦ ἐδοκίμασαν; δεινὴ τῶν παλαιῶν ἡ μαρτυρία. ἄρα μὴ καὶ τούτων ἡ ἁγιότης εὐκαταφρόνητος; καὶ τὰ ἐναντία ἀλλήλοις ἐδόξασαν; ὀφείλομεν ὡς κριταὶ τὰ κρείττονα δοκιμάζειν. ταῦτα ὁ Ἱλάριος. ἐν οἷς οἱ Αἱρετικοὶ λέγουσιν, Ἐπειδὴ ἡ μερικὴ συγκρίνεται μετὰ τῆς Οἰκουμενικῆς, ὁμότιμοί εἰσι. δεύτερον, Εἰ αἱ Οἰκουμενικαὶ ἐβεβαίουν τὰς μερικάς, πῶς τοῦτο ἐνταῦθα οὐκ εἶπεν ὁ Ἱλάριος; εἰ δέ τις εἴποι δυοῖν θάτερον, ἢ ὅτι οὐκ ἐγίνωσκεν, ἢ ὅτι οὐκ ἠθέλησε, ψεῦδος ἐστὶν, ἐπειδὴ ὁ Ἱλάριος ἦν καὶ ἅγιος καὶ σοφὸς καὶ τῆς ἀληθείας ἔκδικος. Ἀλλὰ πρὸς ταῦτα ῥητέον πρῶτον, ὅτι ἡμεῖς οὐ δεχόμεθα ὅτι ἐνόμιζον οἱ ἐν Ἀντιοχείᾳ ἑκατὸν πεντήκοντα πατέρες μὴ εἶναι Ὁμοούσιον τὸν Υἱὸν τῷ Πατρὶ, ἐπειδὴ τοῦ Παύλου ἡ Αἵρεσις ἦν, ὡς λέγει ὁ Εὐσέβιος βιβλίου ἑβδόμου κεφαλαίῳ τριακοστῷ, τὸ πεφρονηκέναι περὶ τοῦ Χριστοῦ χαμερπῆ, ἤτοι οὐκ ἐβούλετο εἰπεῖν τὸν Υἱὸν τοῦ Θεοῦ ἐξ Οὐρανοῦ κατεληλυθέναι, ἀλλ' ὡς κοινὸν κατὰ φύσιν γενόμενον ἄνθρωπον, ἤτοι ψιλὸν ἄνθρωπον, ὡς ἔλεγε δηλονότι ὁ Ἐβίων, καὶ μεταταῦτα ὁ Φωτεινὸς, καὶ ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον δέκατον ἔνατον. τὶ ὥρισαν δὲ ἐκεῖ οἱ πατέρες, λέγουσι Βασίλειος Διάκονος καὶ Θαλάσσιος Ἀναγνώστης ἐν τῷ λιβέλλῳ ὃ δεδώκασι κατὰ Νεστορίου τῷ μικρῷ Θεοδοσίῳ, ἐν ᾧ διαλαμβάνοντες πόθεν ἡ τῆς πίστεως ἀλήθεια συνάγεται, λέγουσι μετά τινα, Καὶ πάντων τῶν πιστευσάντων τῇ ὁμοουσίῳ Τριάδι, ἤτοι τῆς ἁγίας Συνόδου τῶν ἑκατὸν ὀγδοήκοντα Ἐπισκόπων ἐν Ἀντιοχείᾳ συναθροισθείσης κατὰ Παύλου τοῦ Σαμοσατέως, ἥτις καθεῖλεν αὐτὸν διὰ τὴν ἀσέβειαν αὐτοῦ, μὴ ὁμολογοῦντος τὸν Χριστὸν φύσει Θεὸν καὶ Υἱὸν Θεοῦ Πατρὸς, καὶ τῆς ἐν Νικαίᾳ μεγάλης καὶ ἁγίας Συνόδου τῆς βεβαιωσάσης τὸν Ὅρον τῆς ἐν Ἀντιοχείᾳ. Ῥητέον οὖν, εἰ ἡ ἐν Ἀντιοχείᾳ φύσει Υἱὸν Θεοῦ ὡμολόγησε τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ τὸν Ὅρον αὐτῆς ἐβεβαίωσεν ἡ ἐν Νικαίᾳ, εἰ οὐκ εἶπε ῥητῶς τὸ Ὁμοούσιον, ἀλλὰ φύσει Θεοῦ Υἱὸν εἰποῦσα, τὸ Ὁμοούσιον ὡμολόγει κατὰ τὴν ἔννοιαν. δεύτερον, ὁ Ἱλάριος ὁποίῳ δήποτε τρόπῳ δεχθεὶς ὅτι ἐκείνη οὐκ ἐδέχετο τὸ Ὁμοούσιον, τιμήσας ὅμως ἐκείνην διὰ τὴν ἀρχαιότητα, προετίμησε ταύτην διὰ τὴν ἁγιότητα, εἰ γὰρ κἀκείνη ἁγία, ἀλλὰ αὕτη κυρίως ἁγία. τρίτον, ἡ ἐν Νικαίᾳ οὐ διὰ τὸν ἀριθμὸν μόνον, ἀλλὰ διὰ τὸ εἶναι εἰκόνα τῆς ἀϊδίου Ἱερωσύνης, προτιμᾶται, ὅπερ καὶ πάσαις ταῖς τοιαύταις Συνόδοις ἴδιον. τέταρτον, ὀφείλομεν δὲ εἶπεν ὡς κριταὶ δοκιμάζειν τὰ κρείττονα, οὐχ ἵνα ποιήσῃ ἡμᾶς κριτὰς καὶ ἐξεταστὰς τῆς Οἰκουμενικῆς Συνόδου, ἢ καλῶς εἶπε δηλονότι ἢ κακῶς, ἀλλ' ἵνα διακρίνωμεν τὴν τελειοτέραν καὶ κρείττονα τῆς μερικῆς. ἔλεγε γὰρ ὁ Κύριλλος ἀνωτέρω κεφαλαίου δεκάτου Παραγράφῳ δεκάτῳ, ὅτι κρίνονται οἱ Εὐαγγελισταὶ καὶ ὁ Νεστόριος. ὁ Χριστὸς καὶ ὁ ἀλιτήριος. ἄρα μὴ ἔλεγεν ἵνα κρίνῃ ἡ Σύνοδος εἰ ἡ γραφὴ ἀληθῶς εἶπεν εἶναι τὸν Χριστὸν ἕνα καὶ μίαν ὑπόστασιν; οὐδαμῶς, ἀλλ' ἵνα τῆς γραφῆς τὸ ἀξίωμα καὶ αὐτόπιστον οἱ πατέρες δεχθῶσι, τοῦ δὲ Αἱρετικοῦ τὸν νεωτερισμὸν ἀποβάλλωσι. κατὰ τὸν Ἱλάριον λοιπὸν ἡμεῖς ἐσμὲν κριταὶ ἵνα δοκιμάζωμεν τὸ κρεῖττον, ἤτοι δύο Συνόδων προκειμένων, δοκιμάζωμεν ποία Οἰκουμενικὴ καὶ ποία μερικὴ, ἢ ποία κανονικὴ, νόμιμος καὶ ἀληθινὴ, καὶ ποία λῃστρικὴ καὶ δολία, καὶ οὕτως ἐκλέγομεν τὸ κρεῖττον, ἤτοι διὰ τῆς Οἰκουμενικῆς ἀνακρίνωμεν τὴν μερικὴν, καὶ διὰ τῆς κανονικῆς ἀποβάλλωμεν τὴν παράνομον, οὐ μὴν ἵνα κρίνωμεν καὶ δοκιμάζωμεν τὴν κανονικὴν καὶ νόμιμον εἰ καλῶς συνεπέρανε. πρὸς τούτοις ὁ ἅγιος Ἀθανάσιος λέγει ἐν τῷ περὶ Συνόδων βιβλίῳ, Ἐπειδὴ γὰρ ὁ Σαμοσατεὺς ἐφρόνει μὴ εἶναι πρὸ Μαρίας τὸν Υἱὸν, ἀλλ' ἀπ' αὐτῆς τὴν ἀρχὴν ἐσχηκέναι τοῦ εἶναι, τούτου ἕνεκεν οἱ τότε συνελθόντες καθεῖλον αὐτὸν, καὶ Αἱρετικὸν ἀπέφηναν, περὶ δὲ τῆς τοῦ Υἱοῦ Θεότητος ἁπλούστερον γράφοντες, οὐ κατεγένοντο περὶ τὴν τοῦ Ὁμοουσίου ἀκρίβειαν, ἀλλ' οὕτως ὡς ἐξειλήφασι περὶ τοῦ Ὁμοουσίου εἰρήκασι, τὴν

φροντίδα

φρονεῖδα γὰρ εἶχου πᾶσαν, ὅπερ ἐπονόησαν ὁ Σαμοσατεὺς ἀνελεῖν, καὶ δεῖξαι μὴ πάντων εἶναι τὸν υἱὸν, καὶ ὅτι οὐκ ἐξ ἀνθρώπων ἐγένετο Θεὸς, ἀλλὰ Θεὸς ὢν, ἐνεδύσατο δούλου μορφὴν, καὶ Λόγος ὢν, ἐγένετο σάρξ, ὡς εἶπεν ὁ Ἰωάννης. ἐν τούτοις σημείωσαι πρῶτον, ὅπως λέγει ὁ ἅγιος αὐτοῦ ἐν τῷ αὐτῷ τόπῳ, τοῦ Παύλου σοφίζεσθαι θέλοντος καὶ λέγοντος, Εἰ μὴ ἐξ ἀνθρώπου γέγονεν ὁ Χριστὸς Θεὸς, οὐκ ἔστιν ὁμοούσιος τῷ Πατρί, καὶ αὐάγκη τρεῖς οὐσίας εἶναι, μίαν κεκηρυγμένην, τὰς δὲ δύο ἐξ ἐκείνης. Διατοῦτο εἰκότως δύλαβηθέντες τὸ τοιοῦτον σόφισμα τοῦ Σαμοσατέως, εἰρήκασι μὴ εἶναι τὸν Χριστὸν ὁμοούσιον, οὐκ ἔστι γὰρ οὕτω κατὰ τὸν Πατέρα ὡς ἐκεῖνος οὐσία. ὡμολόγησαν ὅμως περὶ τοῦ υἱοῦ, ὡς εἴρηται ἀνωτέρω, ἥτις ὁμολογία καὶ τῷ ἐκκλησιαστικῷ σύνοιαν ταύτόν ἐστι τῷ ὁμοουσίῳ. δευτέρως, ἐπειδὴ ἐκεῖνοι οἱ πατέρες εἰκὼ τῇ διανοίᾳ ὡμολόγησαν τὸ ὁμοούσιον, τὸ ὄνομα ὅμως διὰ τὴν αὐάγκην τῶν σοφισμάτων τοῦ Αἱρετικοῦ παρητήσαντο, καὶ οὕρισκον ἐν τούτοις οἱ Ἀρειανοὶ λαβὴν, καὶ ἔλεγον πολλὰ κατὰ τῆς λέξεως τοῦ ὁμοουσίου. ἡ δὲ Νικαία οἰκουμενικὴ οὖσα, διὰ τὸ ἀξίωμα αὐτῆς ἀμόνον κατὰ τὴν διάνοιαν, ἀλλὰ καὶ κατὰ τὴν λέξιν ὥρισε τὸ ὁμοούσιον, ὅπερ ταύτόν ἐστι τῇ οἰκουμενικῇ διώρθωσε τὴν μερικήν. καὶ λοιπὸν ματαίως ἐρεχελοῦσιν οἱ νέοι Αἱρετικοὶ, σοφιζόμενοι κατὰ τῶν ἁγίων Σωόδων.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Γ'. ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῶν παρὰ Λατίνων παρεφερομένων παρασοφισμάτων καὶ δολίως ἀπὸ τοῦ μεγάλου Ἀθανασίου, Καδρέβης Ὁσίου, Γρηγορίου δευτέρου, Θεοδώρου Στουδίτου καὶ δυσὶ τόποις, Στεφάνου πάπα, Χρυσοστόμου, Βασιλείου Μακεδόνος, τοῦ εἰς Νικηφόρον Κωνσταντινοπόλεως, Ἀναστασίου καὶ Πέτρου Ἀντιοχείας, Εὐλογίου Ἀλεξανδρείας, ὑπομνηματογράφου τῶν τῆς Ἑῴου Πατριαρχῶν παρά τισιν, Εὐσεβίου, Σεβαστιανοῦ, Εὐχῆς τινος, Κανόνος τῆς κατὰ Φωτεινὴν Σωόδου δωδεκάτου, τῆς ἐν Χαλκηδόνι Σωόδου καὶ τοῦ κληθῆναι ἁγίους Βασιλεῖς Αἱρετικοὺς δεκασυνέα μαρτυρίων κατὰ τῆς ἐξουσίας καὶ παρεμπιμπτούσης καὶ ἐνεργείας ἐν ταῖς Οἰκουμενικαῖς Σωόδοις τῶν Βασιλέων.

Ἐπιλαμβάνονται οἱ παπικοὶ τῆς δόξης καὶ ἐξουσίας καὶ αὐτῆς τῆς ἐνεργείας, ἃς ἔχουσιν οἱ Βασιλεῖς ἐν ταῖς Οἰκουμενικαῖς Σωόδοις, καὶ δὴ λέγουσιν, ὅτι οἱ Βασιλεῖς αὐτὶκειντα τῇ ἀληθείᾳ καὶ τῇ ἐξουσίᾳ τῶν Σωόδων, καὶ ὅτι εἰ καὶ παρεκάθηντο τῶν Σωόδων, ἀλλ' ὅμως εἰσὶ μείζονες τῶν ἐν τῇ Σωόδῳ πατέρων, μάλισα δὲ οἱ Τοποτηρηταὶ τοῦ Πάπα παρεκάθηντο ἐν ταῖς Σωόδοις τοῦ Βασιλέως, καὶ ὅτι εἰ καὶ ἅγιοι λέγονται, ὅμως ἐκ συνηθείας λέγονται καὶ ὑπὸ ὑστερογενῶν τινῶν, καὶ ὅτι οἱ Ἐπίσκοποι μείζονες εἰσὶ τῶν Βασιλέων, καὶ ὅτι οἱ Βασιλεῖς καὶ οἱ Ἄρχοντες οὐδὲ μίαν ἐξουσίαν ἔχουσιν ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασι. ταῦτα καὶ τὰ τοιαῦτα λέγουσι, καὶ τὸ αἴτιον τῶν τοιούτων λήρων ἐστὶ, τὸ ὑποτιθέναι τὸν Πάπαν μείζονα τῶν Βασιλέων καὶ τῶν Σωόδων. φανερὸν δέ ἐστιν, ὅτι μείζονές εἰσιν οἱ Βασιλεῖς τῶν Σωόδων, αἱ δὲ Σωόδοι τοῦ Πάπα. ἀσυλλόγιστοι ὅμως διὰ σοφισμάτων αὐατρέψαι τὴν ἀλήθειαν, ἐκφανῶς καὶ αὐαιδῶς ἐξαγομένων καὶ ἱερουλῶντες τῆς βασιλείας καὶ τῆς πολιτικῆς χειροτονικῆς ἐξουσίας τὸ ἀξίωμα. ἐκφέρουσι τοίνυν μαρτυρίας, πρώτην, ὅτι ὁ μέγας Ἀθανάσιος ἀποστειλόμενος εἰς Κωνσταντίνον τὸν Βασιλέα ἔλεγε, Γινέσθω Σωόδος οἰκουμενικὴ μακρὰν τοῦ Παλατίου, ἐν ᾗ Βασιλεὺς ἀπάρεστος, ἐν Κόμῃ ἐξαγίνεται, ἐδικαστὴς ἀπαλεῖ, ἀλλὰ μόνος ὁ τοῦ Θεοῦ φόβος ἀρκεῖ, καὶ ἡ τῶν Ἀποστόλων Διάταξις, ἵνα οὕτω κεκηρυγμένως ἡ οἰκουμενικὴ πίστις σώζηται, καθὼς καὶ οἱ πατέρες ὥρισαν. δευτέραν, ἐκείνα τὰ ῥήματα ἅτινα Ὅσιος ὁ Καδρέβης Ἐπίσκοπος ἔλεγε τῷ αὐτῷ, ἤτοι Κωνσταντίῳ τῷ Βασιλεῖ, Σοὶ τὰ βασιλεῖα ὁ Θεὸς ἐνεχείρισεν, ἡμῖν τὰ τῆς Ἐκκλησίας ἐπίστευσεν. δοκεῖτε, γέγραπται, τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. ἔστε τοίνυν ἡμῖν ἄρχειν ἐπὶ τῆς γῆς ἔξεσιν, ἔστε σὺ ἐν θυμιατῷ ἐξουσίαν ἔχεις Βασιλεῦ. Ἀθανάσιος δευτέρα. τρίτῳ, τὰ ῥήματα τοῦ Γρηγορίου Πάπα τοῦ δευτέρου ἐν τῇ πρὸς τὸν λέοντα τὴν Ἴσαυρον ὑπατολὴ δευτέραν, Οἶδας Βασιλεῦ, ὅτι τὰ δόγματα τῆς ἁγίας Ἐκκλησίας οὐχὶ Βασιλέων εἰσὶν, ἀλλὰ τῶν Ἀρχιερέων, καὶ ἀσφαλῶς θέλουσι δογματίζεσθαι. Διατοῦτο οἱ Ἀρχιερεῖς παρετάχθησαν εἰς τὰς Ἐκκλησίας, ἀπέχοντες τῶν δημοσίων πραγμάτων, καὶ οἱ Βασιλεῖς ὁμοίως ἀπέχεσθαι τῶν ἐκκλησιαστικῶν, καὶ ἔχεσθαι τῶν ἐγκεχειρισμένων αὐτοῖς. Καὶ, ἄλλη παίδευσις ὑπὲρ τῶν ἐκκλησιαστικῶν διδαγμάτων, καὶ ἄλλος νεὺς τῶν κοσμικῶν εἰς τὰς διοικήσεις τοῦ κόσμου. ὥσπερ γὰρ οὐκ ἔχει ἐξουσίαν ὁ Ἀρχιερεὺς ἐγκύψαι εἰς τὸ Παλάτιον καὶ παρεμβαλέσθαι ἀξίας βασιλικὰς, ἕτως οὔτε ὁ Βασιλεὺς ἐγκύψαι εἰς τὰς Ἐκκλησίας καὶ ψήφους ποιήσασθαι εἰς τὸν Κλῆρον. Καὶ, ἀλλ' ἕκαστος ἡμῶν ἐν ᾗ κλήσει ἐκλήθη ὑπὸ Θεοῦ, ἐν ταύτῃ καὶ μενέτω. πρόξενος πρώτης τῆς ἑβδόμης Σωόδου. τεταρτίῳ, ἐκείνα ἅπερ εἶπε Θεόδωρος ὁ Στουδίτης πρὸς Λέοντα τὸν Ἀρμένιον, ὡς ἱστορεῖ Γεώργιος μοναχὸς ἐν τῇ ζωῇ τούτου τοῦ Λέοντος, Ἀπεκρίθη καὶ Θεόδωρος ὁ ζηλωτὴς καὶ θερμὸς τῆς ὀρθοδοξίας πρόμαχος καὶ τῶν τοῦ στουδίου Ἡγούμενος λέγων, Μὴ πρόσκαλοῦ Βασιλεῦ κατάσασιν ἐκκλησιαστικὴν, εἴρηκε γὰρ ὁ Ἀπόστολος, Καὶ οὓς μὲν ἔθετο ὁ Χριστὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον Ἀποστόλους, δευτέρους Προφήτας, τρίτον Ποιμένας

μένας καὶ Διδασκάλους, καὶ οὐκ εἶπε Βασιλεῖς. σοὶ μὲν γὰρ ἡ πολιτικὴ κατάστασις ἐπιστεύθη καὶ τὸ Στρατόπεδον, λοιπὸν τούτων φρόντιζε, καὶ τὴν Ἐκκλησίαν ἔασον Ποιμέσι καὶ Διδασκάλοις κατὰ τὸν θεῖον λόγον. καὶ ἐν τῷ βίῳ αὐτοῦ λέγεται εἰπεῖν τὸν αὐτὸν τῷ κακοτρόπῳ Βασιλεῖ, Τοῦτό σοι πρὸ τῶν ἄλλων ἀποκρινούμεθα, ὅτι τὰ τῶν Ἐκκλησιῶν τοῖς Ἱερεῦσιν ἀνήκει καὶ Διδασκάλοις, Βασιλεῖ δὲ ἡ τῶν ἔξω πραγμάτων ἀνεῖται διοίκησις, τοῦτο γὰρ καὶ ὁ Ἀπόστολος νομοθετῶν φησὶν, Ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ πρῶτον Ἀποστόλους, δεύτερον Προφήτας, τρίτον Διδασκάλους; καὶ οὐδαμῶς Βασιλέως μέμνηται. οὗτοι γὰρ καὶ τὰ περὶ τῶν δογμάτων καὶ πίστεως νομοθετεῖν ἐποφείλουσι, σὲ δὲ ἕπεσθαι τούτοις, καὶ μηδαμοῦ τὴν τάξιν λαμβάνειν. πέμπτην, Πάπαν Στέφανον τὸν ἕκτον ἐπιστολῇ πρὸς Βασίλειον τὸν Μακεδόνα λέγοντα, Κἂν γὰρ αὐτοῦ Χριστοῦ τὸ ἀρχικώτατον ἐπὶ γῆς ἐπιφέρῃς ὁμοίωμα, τῶν ἐπὶ γῆς κοσμικῶν μόνον ὀφείλεις φροντίζειν, ὃ καὶ εὐχόμεθα ἐπὶ μηκίστους χρόνους κρατεῖν. καθ' ὃν οὖν τρόπον ἐκ Θεοῦ τὸ ἄρχειν τῶν βιωτικῶν ὑμῖν δέδοται, οὕτω καὶ ἡμῖν διὰ τοῦ κορυφαίου Πέτρου τὸ ἄρχειν τῶν πνευματικῶν. δέξαι παρακαλῶ εὐμενῶς τὰ ἑξῆς. ἐδόθη σοι φροντίζειν, ἵνα τῶν τυραννούντων τὸ ἄθεον καὶ θηριῶδες τῷ ξίφει τῆς ἀρχῆς διατέμνῃς, ἵνα πράττῃς δίκαια τοῖς ὑπὸ χεῖρα, ἵνα Νόμους συγγράφῃς, ἵνα γῆτε καὶ θαλάσσῃ τὰ πολεμικὰ Στρατεύματα διευθετῆς, αὕτη ἐστὶ τῆς ὑμετέρας ἀρχῆς ἡ φροντὶς, τὸ δὲ καταπιστευθὲν ἡμῖν ποίμνιον τοσοῦτον ἐστὶν ὑψηλότερον, ὅσον διάφορον Οὐρανοῦ πρὸς τὰ ἐπὶ γῆς. ἕκτην, τὰ τοῦ Χρυσοστόμου Ὁμιλίᾳ πέμπτῃ εἰς τὸν Ἡσαΐαν, Ἀλλ' εἰ βούλει Ἱερέως πρὸς Βασιλέα τὸ διάφορον ἰδεῖν, τῆς ἑκάστῳ δεδομένης ἐξουσίας τὸ μέτρον ἐξέταζε, καὶ πολλῷ τοῦ Βασιλέως ὑψηλότερον ὄψει τὸν Ἱερέα καθήμενον. εἰ γὰρ καὶ σεμνὸς ἡμῖν ὁ θρόνος φαίνεται ὁ βασιλικὸς ἀπὸ τῶν προσπεπηγότων αὐτῷ λίθων, καὶ τοῦ περισφίγγοντος αὐτὸν χρυσίου, ἀλλ' ὅμως τὰ ἐπὶ τῆς γῆς ἔλαχεν οἰκονομεῖν, καὶ πλέον οὐδὲν ἔχει τῆς ἐξουσίας ταύτης, ὁ δὲ τῆς Ἱερωσύνης θρόνος ἐν τοῖς Οὐρανοῖς ἵδρυται, καὶ τὰ ἐκεῖ διέπειν ἐπιτέτραπται. τὶς ταῦτα φησίν; αὐτὸς ὁ τῶν Οὐρανῶν Βασιλεὺς, ὅσα γὰρ ἂν δήσητέ φησιν ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς Οὐρανοῖς, καὶ ὅσα ἂν λύσητέ φησιν ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς Οὐρανοῖς. τὶ ταύτης ἴσον γένοιτ' ἂν τῆς τιμῆς; ἀπὸ τῆς γῆς τὴν ἀρχὴν τῆς κρίσεως λαμβάνει ὁ Οὐρανὸς, ἐπειδὴ ὁ κριτὴς ἐν τῇ γῇ κάθηται, ὁ Δεσπότης ἕπεται τῷ δούλῳ, καὶ ἅπερ ἂν οὗτος κάτω κρίνῃ, ταῦτα ἐκεῖνος ἄνω κυροῖ. ἑβδόμην, τὰ Βασιλείου τοῦ Μακεδόνος ῥήματα ἐν τῇ κατὰ Φωτίου Συνόδῳ περὶ που τὸ τέλος τῆς δεκάτης πράξεως. Λαϊκῷ δὲ οἵῳ δήποτε κατ' οὐδένα τρόπον ἐξεῖναι λέγειν περὶ ἐκκλησιαστικῶν ὑποθέσεων, ἢ ἀνθίστασθαι ὁλοκλήρῳ Ἐκκλησίᾳ, ἢ Οἰκουμενικῇ Συνόδῳ, ταῦτα γὰρ ἀνιχνεύειν τε καὶ ζητεῖν, Πατριαρχῶν ἔργον ἐστὶ καὶ Ἱερῶν Διδασκάλων, οἷς τὸ λύειν τε καὶ δεσμεῖν δέδοται ἐκ Θεοῦ, ὁ γὰρ λαϊκὸς κἂν πάσης ἐστὶν εὐλαβείας καὶ σοφίας μεστὸς, ἀλλὰ λαϊκὸς καὶ πρόβατον, οὐ Ποιμήν. ὀγδόην, τὰ Θεοδώρου τοῦ Στουδίτου ἐν τῇ πρὸς Λέοντα τὸν Σακελλάριον ἐπιστολῇ. Ἀλλ' οὔτε ἡμεῖς οἱ παρόντες κατὰ πρόσωπον, οὔτε ὁ κλεινὸς ἡμῶν Ἀρχιερεὺς ἠνέσχετο ὡς ἔκθεσμον καὶ ὀθνεῖον, ὅπερ καὶ ἀληθὲς παμπόθητε ἡμῶν Δέσποτα, οὐδὲ γὰρ περὶ βιωτικῶν καὶ σαρκικῶν ὁ λόγος, ὧν Βασιλεὺς τὸ κράτος ἔχει τοῦ κρίνειν, καὶ τὸ βιωτικὸν κριτήριον, ἀλλὰ περὶ θείων καὶ οὐρανίων δογμάτων, ὃ ἄλλοις οὐκ ἐπιτέτραπται, ἢ ἐκείνοις οἷς φησιν ὁ αὐτὸς Θεὸς Λόγος, Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ Οὐρανῷ. τίνες οὗτοι οἱ ἐντεταλμένοι; Ἀπόστολοι καὶ οἱ τούτων διάδοχοι. τινὲς δ' οὖν οἱ διάδοχοι; ὁ τῆς Ῥώμης νυνὶ πρωτόθρονος, ὁ τῆς Κωνσταντινουπόλεως δευτερεύων, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων, τοῦτο τὸ πεντακόρυφον κράτος τῆς Ἐκκλησίας, παρὰ τούτοις τὸ τῶν θείων δογμάτων κριτήριον, Βασιλέων δὲ καὶ Ἡγεμόνων τὸ συνεπικυρεῖν καὶ συνεπισφραγίζειν τὰ δεδογμένα καὶ διαλλάττειν τὰ σαρκικῶς διαιρούμενα, οὐκ ἄλλο τὶ ἐν τοῖς θείοις δόγμασιν οὔτε δέδοται πρὸς Θεοῦ, οὔτε γενησόμενον στήσεται, διατοῦτο ἀπεδοκιμάσθη ἐπὶ τοῦ δόγματος τῶν θείων Εἰκόνων τὰ ἐπὶ τοῦ πάλαι Κωνσταντίνου καὶ Λέοντος Βασιλικῷ κράτει καὶ θράσει συνεδριασθέντα τε καὶ βατταρισθέντα, ἐφ' οἷς ἐτμήθη ἡ τῇδε Ἐκκλησία τῶν ἑτέρων τεττάρων, ἀναθεματισμοῖς ὑποβαλλομένη αἰωνίοις σφραγῖδι τοῦ ἁγίου Πνεύματος, εἶτα ἐλέῳ Θεοῦ ἠγέρθη κέρας ὀρθοδοξίας ἐπὶ Εἰρήνης τῆς πάνυ σὺν τῷ αὐτῆς ῥαδανῷ, ἐφ' οἷς συνήφθη τὰ διεστῶτα μέχρι Λέοντος τοῦ προσεχοῦς, ἐφ' ᾧ αὖθις διετμήθη ἡ τῇδε Ἐκκλησία ἀναθεματιζομένη ὑπὸ τῶν προτέρων ἰσορρόπως. ἀμήχανον οὖν ἐστὶν ὦ Δέσποτα βιωτικῷ κριτηρίῳ παραβαλέσθαι τὸ θεῖον κριτήριον, ἢ συναφθῆναι τήνδε τὴν Ἐκκλησίαν, μὴ οὐχὶ ὁμονοούντων τῶν πέντε Πατριαρχῶν. ἐνάτην, ἀπὸ τοῦ βίου Νικηφόρου Πατριάρχου Κωνσταντινουπόλεως, Προφήτας, Ἀποστόλους καὶ Διδασκάλους ἐπικοδομεῖν δεδιδάγμεθα, Βασιλεῖς δὲ, ὑπείκειν μὲν καὶ στέργειν τοῖς παρ' αὐτῶν κεκριμένοις ἐπέγνωμεν, νομοθετεῖν δὲ, καὶ Ὅρους τῇ Ἐκκλησίᾳ σεσιγημένους πηγνῦναι πάμπαν οὐκ ἔγνωμεν. δεκάτην, τὸν Ἀναστάσιον Πατριάρχην Ἀντιοχείας ἔντινι αὐτοῦ σημειώματι λέγοντα, Μέγα καὶ ἀγγελικὸν τὸ ἀρχιερατικὸν ἀξίωμα, καὶ ἀδύνατον ἀνακρίνεσθαι Ἱερέα ὑπὸ λαϊκοῦ, ἀλλ' ὑπὸ μείζονος Ἀρχιερέως. ἐνδεκάτην, ἀπὸ τῆς ἐπιστολῆς Πέτρου Πατριάρχου Ἀντιοχείας πρὸς Μιχαὴλ τὸν Κηρουλλάριον, Καὶ θαῦμα μέγα κατέσχεν ἡμᾶς, ἐπὶ τοῦτο συνιδεῖν μὴ δυναμένους, ὅθεν κινηθεὶς, ἢ τὶ βουλόμενος ὁ Ἰταλὸς τοσαύτην ἀνοδίαν ἐξέκλινεν Ἀργυρὸς, καὶ τοῖς ἱεροῖς ἐπεχείρει ἀνίερος ὤν. τὶ γάρ φησι κοινὸν κυνὶ καὶ βαλανείῳ, ἵν' ἐκεῖνος ἐν λαϊκοῖς τεταγμένος τὰ Ἱερέων πολυπραγμονῇ, καὶ συγγραφὰς τοιαύτας ὡς ἐδήλω-

ἐδήλωσας ψευδεῖς ἐπινοῇ καὶ διαπράττηται. Δωδεκάτην, τὸν Ἡγούμενον Εὐλόγιον, ὃς βιαζόμενος ὑπὸ Μοδέστου Ἐπάρχου τοῦ Βασιλέως Οὐάλεντος ἀρειανίσαι, καὶ εἰπόντος αὐτῷ τοῦ Ἐπάρχου, Κοινώνησον τῷ Βασιλεῖ, εἰρωνικῶς καὶ μάλα χαριέντως προσέφερε, Μὴ γὰρ ἔφη καὶ μετὰ τῆς βασιλείας τῆς Ἱερωσύνης μετέλαχεν; ὁ δὲ Ἔπαρχος τῆς εἰρωνείας αἰσθόμενος, ἐχαλέπηνε, καὶ λοιδορίας κατὰ τοῦ πρεσβυτέρου χρησάμενος, καὶ ταῦτα προστέθεικεν, Οὐ τοῦτο εἶπον ἐμβρόντητε, ἀλλ' οἷς κοινωνεῖ Βασιλεὺς τούτων κοινωνῆσαι ὑμῖν παρῄνεσα. Θεοδώριτος βιβλίῳ τετάρτῳ κεφαλαίῳ δεκάτῳ ὀγδόῳ. περὶ τούτου καὶ ὁ Νικηφόρος φησὶ, Καὶ ὁ Ἔπαρχος, Τοιγάρτοι Βασιλεῖ κοινωνῆσαι ἐλοῦ, ὁ δὲ ἀστείως μάλα καὶ χαρίεντι τῷ ἤθει προσμειδιάσας, προσφέρει γὰρ, ἔφη, Καὶ μετὰ τῆς Βασιλείας καὶ τὸ ἱεράσθαι κεκλήρωται; ὁ δὲ χαλεπῶς εἰρωνείας ἐπῃσθημένος, λοιδορησάμενος δὲ τῷ Πρεσβύτῃ, πρὸς τοῖς ἄλλοις καὶ ταῦτα ἐπήγαγεν, Οὐ τοῦτο εἶπον ἐμβρόντητε, ἀλλὰ κοινωνῆσαι οἷς ἐκεῖνος Ἐπισκόποις κελεύει. Δεκάτην τρίτην, ὅτι οἱ Ἀρχιερεῖς τῆς Ἀνατολῆς ἔγραφον πρὸς Ταράσιον τὸν Κωνσταντινουπόλεως ταῦτα, Ἤγειρε κέρας σωτηρίας ἡμῖν καὶ ἀνορθώσεως ἐν οἴκῳ καὶ θεοδόχῳ Ναῷ τοῦ Μονογενοῦς Υἱοῦ αὐτοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, οἵτινες ἐστὲ ὑμεῖς ἁγιώτατοι, καὶ οἱ τὰ δεύτερα κατὰ θεσμὸν καὶ τάξιν Ἐκκλησίας φέροντες ὑμῶν θεοστεφεῖς τροπαιοῦχοι καὶ θεοψήφιστοι Βασιλεῖς ἡμῶν καὶ Δεσπόται τῆς Οἰκουμένης, Ἱερωσύνη γὰρ βασιλείας ἁγιασμός ἐστι καὶ ἀναστοιχείωσις, καὶ βασιλεία Ἱερωσύνης ἰσχὺς καὶ κραταίωμα, περὶ ὧν σοφός τις Ἄναξ καὶ ἐν Βασιλεῦσιν ἁγίοις μακαριστότατος ἔφη, Μέγιστον δῶρον Θεὸς ἀνθρώποις παρέσχεν Ἱερωσύνην καὶ βασιλείαν, τὴν μὲν τὰ Οὐράνια κοσμοῦσαν καὶ διέπουσαν, τὴν δὲ οἰακίζουσαν θεσμοῖς δικαίοις τὰ ἐπίγεια. Συνόδου ἑβδόμης πράξει τρίτῃ. σημείωσαι δὲ ὅτι οὗτοι τὸν μέγαν Ἰουστινιανὸν λέγουσιν ἅγιον, ὃς Νεαρᾷ ἕκτῃ φησὶ, Μέγιστα τῶν ἐν ἀνθρώποις εἰσὶ δῶρα Θεοῦ παρὰ τῆς ἄνωθεν δεδομένα φιλανθρωπίας Ἱερωσύνη τε καὶ βασιλεία, ἡ μὲν γὰρ τοῖς θείοις ὑπηρετουμένη, ἡ δὲ τῶν ἀνθρωπίων ἐξάρχουσά τε καὶ ἐπιμελουμένη. Δεκάτην τετάρτην, τὸν Εὐσέβιον, λέγοντα περὶ τοῦ μεγάλου Κωνσταντίνου ἐν τῷ βίῳ αὐτοῦ βιβλίῳ τετάρτῳ κεφαλαίῳ τριακοστῷ ἑβδόμῳ, Οἷά τις κοινὸς Ἐπίσκοπος ἐκ Θεοῦ καθιστάμενος, Συνόδους τῶν τοῦ Θεοῦ λειτουργῶν συνεκρότει. καὶ βιβλίῳ τῷ αὐτῷ κεφαλαίῳ τριακοστῷ ἕκτῳ λέγει περὶ τοῦ αὐτοῦ, Αὐτὸς ἐν ἑστιάσει ποτὲ δεξιούμενος Ἐπισκόπους, λόγον ἀφεῖκεν, ὡς ἄρα εἴη καὶ αὐτὸς Ἐπίσκοπος, ᾧδέπη αὐτοῖς εἰπὼν ῥήμασιν ἐφ' ἡμετέραις ἀκοαῖς, Ἀλλ' ὑμεῖς μὲν τῶν εἴσω τῆς Ἐκκλησίας, ἐγὼ δὲ τῶν ἐκτὸς ὑπὸ Θεοῦ καθιστάμενος Ἐπίσκοπος ἂν εἴην, ἀκόλουθα δεῖν τῷ λόγῳ διανοούμενος, τοὺς ἀρχομένους ἅπαντας ἐπεσκόπει, πρεῦτρεπέ τε ὅσηπερ ἂν ἡ δύναμις τὸν εὐσεβῆ μεταδιώκειν βίον. Δεκάτην πέμπτην, προσφέρουσι τὸν Σοῦδαν, λέγοντα περὶ Εὐσεβίας τῆς γυναικὸς τοῦ Κωνσταντίου υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου, ὅτι Συνόδου ποτὲ γενομένης, καὶ προσκυνουμένης τῆς Εὐσεβίας ὑπὸ τῶν Ἐπισκόπων, εἷς τις Ἐπίσκοπος Λεόντιος τοὔνομα ἐμήνυσεν αὐτῇ, Εἰ δὲ θελήσειας ἀφικέσθαι πρὸς σὲ, ὡς τῆς τοῖς Ἐπισκόποις πρεπούσης φυλαχθησομένης αἰδοῦς, ἵν' εἰσέλθοιμι μὲν ἐγὼ, σὺ δὲ αὐτίκα τοῦ θρόνου τοῦ ὑψηλοῦ καταβᾶσα μετ' αἰδοῦς ὑπαντήσειας ἐμοὶ, καὶ τὴν κεφαλὴν ὑπέχειν ταῖς ἐμαῖς χερσὶ τῶν εὐλογιῶν ἀξιουμένη, κἄπειτα καθεσθείην μὲν ἂν ἐγὼ, σὺ δ' ἂν ἑστήκεις αἰδουμένη ἡνίκα δοίην τὸ σύνθημα, εἰ οὕτως αἱρήσῃ, ἀφικοίμην πρὸς σέ. Δεκάτην ἕκτην, Εὐχήντινα ἔν τινι Βιβλιοθήκῃ εὑρίσκεσθαι φασὶν ἐπὶ Βασιλίως γινομένην ὁσάκις εἰσέλθοι πρὸς αὐτὸν ὁ Πατριάρχης. Δεκάτην ἑβδόμην, τὴν κατὰ Φωτίου Σύνοδον Κανόνι δωδεκάτῳ λέγουσαν, Ἦλθεν εἰς τὰς ἡμῶν ἀκοὰς τὸ μὴ δύνασθαι ἄνευ ἀρχοντικῆς παρουσίας Σύνοδον γενέσθαι, οὐδαμοῦ δὲ οἱ θεῖοι Κανόνες συνέρχεσθαι κοσμικοὺς Ἄρχοντας ἐν ταῖς Συνόδοις νομοθετοῦσιν, ἀλλὰ μόνους τοὺς Ἐπισκόπους, ὅθεν οὐδὲ πλὴν τῶν Οἰκουμενικῶν Συνόδων τὴν παρουσίαν αὐτῶν γεγενημένην εὑρίσκομεν, οὐδὲ γὰρ θεμιτόν ἐστι γενέσθαι θεατὰς τοὺς κοσμικοὺς Ἄρχοντας τῶν τοῖς Ἱερεῦσι τοῦ Θεοῦ συμβαινόντων πραγμάτων. Δεκάτην ὀγδόην, ὅτι ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ οἱ εὐλαβέστατοι Ἐπίσκοποι ἐξεβόησαν, Δεόμεθα τοὺς περισσοὺς ἔξω βάλλε, ὁ Βασιλεὺς Ἐπισκόπους ἐκάλεσεν, ἡ Σύνοδος Ἐπισκόπων ἐστὶ, περισσοὶ διατὶ κράζουσι; Δεκάτην ἐνάτην, τὸ καλεῖσθαι μὲν ἁγίους ἐν ταῖς Συνόδοις τοὺς Βασιλεῖς, μὴ ἔχειν δὲ ἐκ τούτου προνόμιόν τι, ἐπειδὴ ἅγιος ἐκλήθη καὶ ὁ Ἀρειανὸς Θεοδωρᾶτος ἐν τῇ τρίτῃ ἐπὶ Συμμάχου Συνόδῳ, καὶ ἐν τῇ ἐπὶ Μαρτίνου ἐν Ῥώμῃ Συνόδῳ ὁ Κώνστας Αἱρετικὸς ὢν, ἅγιος ἐκλήθη, καὶ ὁ Ἀλεξανδρείας Διονύσιος τοὺς εἰδωλολάτρας Οὐαλεριανὸν καὶ Γαλῆνον θεοφιλεστάτους εἶπεν. Εὐσέβιος βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἑνδεκάτῳ. εἰ δὲ καὶ ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ ὁ Βασιλεὺς Θεοδόσιος ΕΝ ΑΓΙΟΙΣ ἐκλήθη πράξει ἑνδεκάτῃ, ὅμως σφάλμα ἐστὶν, ἐπειδὴ ἐν τῷ βίῳ τοῦ ἁγίου Νείλου ὁ αὐτὸς Ὁ ΕΝ ΑΓΓΕΛΟΙΣ λέγεται. καὶ ὁ ἅγιος Μάξιμος ἐν τῇ ἐν τῷ Σεκρέτῳ διαλέξει ἀποφάσκει ὅτι ὁ Βασιλεὺς ἐστὶ καὶ Ἀρχιερεύς. καὶ ἄλλα τοιαῦτα προσφέρουσι περικεκομμένα καὶ παρεξηγημένα εἰς ἀναίρεσιν τῆς ἐν τῇ Ἐκκλησίᾳ ἐξουσίας τῶν Βασιλέων.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ἀποδείξεως τῆς ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις ἐξουσίας καὶ ἐνεργείας τῶν Βασιλέων, καὶ λύσεως τῶν

σεσο-

σεσοφισμένων δεκαεννέα μαρτυριῶν τῶν Λατίνων. καὶ ὅτι τὸ ἀμέσως Ἐπίσκοπον θερθεν εἶναι τὸν Ῥώμης, ἢ κορυφὴν ἐξαίρετον, ἢ μόνον κριτὴν ἐν τῇ Ἐκκλησίᾳ, ἢ ἀθροιστὴν τῶν Οἰκουμενικῶν Συνόδων, ψευδέστατον. καὶ περὶ τῶν ἐσμῶν τῶν κλήσεων οἷς ὀνομάζονται ἐν τοῖς πρακτικοῖς τῶν Συνόδων οἱ ὀρθόδοξοι Βασιλεῖς.

Ἀλλὰ ῥητέον πρὸς ταῦτα, πρῶτον, ὅτι οἱ Βασιλεῖς καὶ οἱ Ἄρχοντες τίνα δύναμιν καὶ ἐξουσίαν καὶ ἐνέργειαν ἔχουσιν ἐν ταῖς Συνόδοις, εἴρηται ἐν πᾶσι τοῖς ἀνωτέρω βιβλίοις ἐν ταῖς σημειώσεσι, καὶ ἰδικώτερον ἐν τοῖς ἀνωτέρω κεφαλαίοις τοῦ μέρους τούτου, καὶ ἐν ταῖς ῥηταῖς μαρτυρίαις ὑπότε τῶν πατέρων καὶ ἱστορικῶν καὶ τῶν Οἰκουμενικῶν Συνόδων, ἅτινα κοινῶς καὶ ἰδίως κατὰ γενεὰν ἀπεδέχθη ἡ καθόλου Ἐκκλησία, ἡνίνα ἀποδοχὴν οὐ δύνανται βλάψαι τῶν παπιστῶν τὰ σοφίσματα. εἰ δὲ δοκεῖ, φέρωμεν μίαν καὶ δύο μαρτυρίας καὶ ἐνταῦθα ῥητῶς οὐκ ἀπὸ τῶν Ἑλλήνων, ἀλλ' ἀπὸ τῶν Λατίνων. Γράφει γοῦν ὁ Πάπας Γρηγόριος ὁ δεύτερος ἐπιστολῇ δευτέρᾳ πρὸς Λέοντα τὸν Ἴσαυρον, καὶ ἔγραψας ὅτι καὶ Βασιλεὺς καὶ Ἀρχιερεύς εἰμι, καὶ τοῦτο οἱ πρὸ σοῦ Βασιλεῖς ἔδειξαν ἔργῳ καὶ λόγῳ, οἱ κτισάμενοι καὶ φροντίσαντες τῶν Ἐκκλησιῶν, ἅμα τοῖς Ἀρχιερεῦσιν ἐκζητήσαντες πόθῳ καὶ ζήλῳ τῆς ὀρθοδοξίας τὴν ἀλήθειαν, Κωνσταντῖνος ὁ μέγας καὶ Θεοδόσιος ὁ μέγας καὶ Οὐαλεντιανὸς ὁ μέγας καὶ Κωνσταντῖνος ὁ Ἰουστινιανοῦ πατὴρ ὁ τῆς ἐκτῆς Συνόδου. οὗτοι οἱ Βασιλεῖς θεοπρεπῶς ἐβασίλευσαν, μετὰ τῶν Ἀρχιερέων μιᾷ βουλῇ καὶ γνώμῃ τὰς Συνόδους συναθροίσαντες, καὶ τὴν ἀλήθειαν τῶν δογμάτων ἐκζητήσαντες, τὰς ἁγίας Ἐκκλησίας συνεστήσαντο καὶ κατεκόσμησαν. οὗτοι εἰσὶν Ἱερεῖς καὶ Βασιλεῖς, οἵτινες καὶ τὸ ἔργον ἐπεδείξαντο. καὶ Ἰσίδωρος ὁ Μερκάντωρ λέγει, Οὐ δι' ἄλλην τινὰ αἰτίαν εἰς τὴν ἀρχὴν ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἦν τόσον συγκεχυμένη ὑπὸ τοσούτων Αἱρέσεων, ἀλλ' ἢ ὅτι διὰ τοὺς διωγμοὺς κατὰ τῶν Χριστιανῶν ἦν ἀδύνατον γενέσθαι Συνόδους Οἰκουμενικάς. Ὁ αὐτός. Οἱ Κανόνες τῶν Οἰκουμενικῶν Συνόδων ἀπὸ τοῦ κωνσταντίνου ἤρξαντο, πρότερον γὰρ λυμαινομένου τοῦ διωγμοῦ, οὐκ ἐδίδοτο ἄδεια τοῦ διδάσκειν τοὺς λαοὺς, ὅθεν οἱ Χριστιανοὶ εἰς διαφόρους Αἱρέσεις ἐσχίσθησαν, ὅτι οὐκ ἐξῆν τοῖς Ἐπισκόποις εἰς ἓν συνελθεῖν, εἰμὴ ἐν τοῖς χρόνοις τοῦ ἀνωτέρω εἰρημένου Βασιλέως. ταῦτα ὁ Ἰσίδωρος ἐν τοῖς προλεγομένοις τῆς συλλογῆς ἣν πεποίηκε τῶν Κανόνων. ἐν οἷς σημείωσαι, ὅτι εἰ οἱ Βασιλεῖς μετὰ τῶν Ἀρχιερέων συμφωνήσαντες, τὰ μέγιστα ὠφέλησαν τὴν Ἐκκλησίαν, καὶ οἱ ὀρθόδοξοι Βασιλεῖς μετὰ Θεὸν πρώτη αἰτία τῆς ἀθροίσεως τῶν Οἰκουμενικῶν Συνόδων, καὶ τῆς συμφωνίας τῶν ἁγίων Ἐκκλησιῶν, μάτην φίσσουσιν οἱ παπισταὶ λυμῆναι προθυμούμενοι τῶν Βασιλέων τὴν μεγίστην ἐν τῇ Ἐκκλησίᾳ ὠφέλειαν. ἀλλ' ἵνα μὴ φύγωμεν τὴν ὑπόσχεσιν τῆς ἐπιτομῆς, ἀποκριτέον πρὸς τὰς Ἀντιθέσεις πρὸς φανέρωσιν ὅτι οὐδὲ μία ὠφέλεια γίνεται καὶ ἐκ τούτων τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ πρὸς σύστασιν τοῦ εἶναι τὸν Πάπαν αὐτῶν ἢ μονάρχην ἢ ἀναμάρτητον, ἀλλὰ μάλιστα καταστροφὴ αὐτῆς. Καὶ δὴ ῥητέον πρὸς τὴν πρώτην.

τοῦ Βασιλέως Κωνσταντίου βιάζοντος τοὺς πατέρας συνθέσθαι τοῖς Ἀρειανοῖς, εἶπεν ὁ ἅγιος Ἀθανάσιος γενέσθαι Σύνοδον μακρὰν τοῦ Παλατίου, οὐμὴν εἶπεν, ἢ ἐδύνατο εἰπεῖν γενέσθαι Σύνοδον Οἰκουμενικὴν ἄνευ βασιλικῆς κελεύσεως, ὅπου οὔτε αἱ ἐπὶ Συμμάχου Σύνοδοι ἐδυνήθησαν συνελθεῖν ἄνευ τῆς ἐπιταγῆς τοῦ Ἀρχηγοῦ Ἰταλίας, Ἀρειανοῦ ὄντος, καὶ ἴδε ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου δεκάτου τετάρτου Παράγραφον τρίτον. δεύτερον, τῶν Ἀποστόλων τὴν διαταγὴν καὶ τῶν προηγησαμένων πατέρων εἶπεν ὅτι εἰσὶν ἀρχαὶ τῆς Συνόδου, ἵνα δηλονότι λύσωσι τὰς ἀμφιβολίας περὶ τοῦ προκειμένου ζητήματος, οὐμὴν ἰδίως ἢ ὅλως ἐμνήσθη τοῦ Πάπα ὡς κομπάζουσιν οἱ παπισταί. Πρὸς τὴν δευτέραν, ἡ αὐτὴ ἀπόκρισις πρὸς τὸν αὐτὸν Κωνσταντίον, ὅτι ἐβίαζε τοὺς πατέρας διορίζειν κατὰ τὴν γνώμην αὐτοῦ τὰ περὶ πίστεως, καὶ ἴδε ταῦτα ἀνωτέρω ἐν τῷ δευτέρῳ βιβλίῳ, καὶ τὸν διάλογον τοῦτον τοῦ Κωνσταντίου καὶ τοῦ Πάπα Λιβερίου ἐν τῷ αὐτῷ βιβλίῳ κεφαλαίῳ ἐνάτῳ. δεύτερον, ὅτι καθαρῶς ὁ Ὅσιος διὰ τῶν ῥημάτων τούτων παῖ μοναρχικὸν ἀξίωμα ἀπὸ τῆς Ἐκκλησίας καταβάλλει, καὶ τὸ κῦρος τῇ κοινότητι δίδωσι, λέγει γὰρ, Σοὶ τὴν βασιλείαν ὁ Θεὸς ἔδωκεν, ἡμῖν τὰ τῆς Ἐκκλησίας ἐπίστευσεν, ἤτοι πᾶσι Τοῖς Ἐπισκόποις ἀμέσως. καὶ ποῦ παπιστίδιον λοιπὸν ὅτι μόνῳ τῷ Πάπᾳ ὁ Χριστὸς τὰ τῆς Ἐκκλησίας ἐξαιρέτως ἐπίστευσε; τρίτον, ὅτι λέγει, Οὐκ ἔξεστιν ἄρχειν τοῖς Ἐπισκόποις ἐπὶ τῆς γῆς. καὶ λοιπὸν ποῦ ἐστιν ὦ Ἐπίσκοπε Ῥώμης ὅτι ἔξεστίσοι ἄρχειν ἐπὶ τῆς γῆς, ὥστε εἶναί σε καὶ Ποντίφικα καὶ Βασιλέα; Πρὸς τὴν τρίτην, τὰ αὐτὰ ῥητέον, ἐπειδὴ γὰρ ὁ Ἴσαυρος ἤθελεν ἐξουσιάζειν παρὰ τὸ προσῆκον ἐν τῇ Ἐκκλησίᾳ, τὰ αὐτὰ ἤκουσεν ἅπερ καὶ ὁ Κωνσταντίος, ἃ τὴν ἐξουσίαν καὶ ἐνέργειαν ἐν ταῖς Συνόδοις τῶν ὀρθοδόξων Βασιλέων οὐλυμαίνεται. δεύτερον, ὅτι καὶ ὁ Πάπας Γρηγόριος ἀναιρεῖ τὴν μοναρχίαν ἀπὸ τῆς Ἐκκλησίας, μὴ εἰδὼς ταύτην ὅλως ἐν τοῖς καιροῖς αὐτοῦ, ὅθεν τὴν ἄκραν ἐξουσίαν τῇ κοινότητι δίδωσι, τὰ δόγματα λέγων εἶναι τῶν Ἀρχιερέων, καὶ οὐ τοῦ Ἀρχιερέως δηλονότι. τρίτον, εἰπὼν ἀπέχειν τοὺς Ἀρχιερεῖς τῶν δημοσίων πραγμάτων, ἵνα μὴ εἴπωσιν οἱ κακοὶ διαιτηταὶ Σχολαστικοὶ, Ἀρχιερεῖς λέγειν τοὺς πολλοὺς οὐμὴν τὸν Πάπαν, Πνεύματι ἁγίῳ κινηθεὶς ὁ Γρηγόριος, ἔγραψεν ὅτι ὁ Ἀρχιερεὺς οὐκ ἔχει ἐξουσίαν ἐγκύψαι εἰς τὸ Παλάτιον καὶ προβαλέσθαι ἀξίας βασιλικάς. καὶ σημείωσαι ποίᾳ καταδίκῃ εἰσὶν ὑπεύθυνοι οἱ μετὰ τὸ σχίσμα Πάπαι, λέγοντες εἶναι ἑαυτοὺς καὶ Βασιλεῖς, καὶ ἐξουσιάζοντες ἄστεων καὶ χωρῶν ὡς κοσμικοὶ Ἄρχοντες, καὶ ἐνεργοῦντες ἐν τοῖς πολιτικοῖς ὡς καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς, πῶς οὖν οὐκ εἰσὶ παράνομοι καὶ ἀντίπαπαι τοῦ Γρηγορίου, Πρίγκιπας χειροτονοῦντες καὶ κομπά-

κομπάζοντες δύνασθαι καὶ Βασιλεῖς μεταβάλλειν, ὡς ἐφρόνησε πρῶτος ὁ ἀλιτήριος Γρηγόριος ὁ ἕβδομος. τέταρτον, ἐπειδὴ ὁ Πάπας λέγει εἶναι Ἀρχιερεὺς, οὐ μένει δὲ ἐν τῇ κλήσει τῆς Ἀρχιερωσύνης ἐν ᾗ ἐκλήθη ἀπὸ τοῦ Θεοῦ, ἀλλὰ νομίζει εἶναι καὶ Βασιλεὺς, ἀντίθεος ἐστὶν, ὅθεν οὐδὲ Ἀρχιερεύς ἐστιν. ἴδε ἀνωτέρω κεφαλαίου τρίτου τμήματος ογδόου Παραγράφῳ πρώτῳ, καὶ τμήματος πέμπτου Παραγράφῳ δεκάτῳ τρίτῳ τὸν Πάπαν Ὁρμίσδαν, καὶ βιβλίου ἕκτου κεφάλαιον δέκατον ἔνατον. Πρὸς δὲ τὴν τετάρτην ῥητέον, ὅτι διὰ τὴν αὐτὴν αἰτίαν δι' ἣν Ἀθανάσιος, Ὅσιος, καὶ Γρηγόριος ἀπέβαλον τοὺς δυσσεβεῖς Βασιλεῖς τῶν Συνόδων, ἀποβάλλει αὐτοὺς καὶ ὁ Στουδίτης, τὴν ἐξουσίαν δὲ ἐν τῇ Ἐκκλησίᾳ καὶ αὐτὸς τῇ κοινότητι δίδωσι. καὶ γὰρ Ἀποστόλων μέμνηται καὶ Προφητῶν καὶ Διδασκάλων, οἵτινες νομοθετοῦσι τὰ περὶ πίστεως δόγματα, οὐ μὴν καὶ τοῦ Πάπα μνημονεύει τὸ παράπαν. Πρὸς δὲ τὴν πέμπτην, ὅτι ὁ Πάπας Στέφανος δύο τινὰ λέγει, ἕν, ὅτι τοῖς Ἀρχιερεῦσιν ἐδόθη τὰ πνευματικὰ, εἰ δὲ καὶ λέγει δεδόσθαι διὰ τοῦ κορυφαίου Πέτρου, ἀλλὰ τοῦτο πῶς δεῖ νοεῖσθαι, εἴρηται καὶ ῥηθήσεται, καὶ συντόμως ἴδε βιβλίου ἕκτου κεφαλαίου τετάρτου Παράγραφον δεύτερον. ἕτερον, ὅτι τὸ ἀρχικώτατον ἐπὶ γῆς ὁμοίωμα τοῦ Θεοῦ ἐπιφέρει ὁ Βασιλεύς, καὶ γὰρ τοῦ ἀρχικωτάτου οὐδύναται ἕτερόν τι ἀρχικώτερον ἢ ἀρχικώτατον εἶναι. τρίτον, ἐκ τούτων τῶν ῥημάτων τοῦ Στεφάνου δείκνυται ὁ Στέφανος μὴ ἐσχηκέναι ἐνοιάν τινα οὔτε περὶ μοναρχίας οὔτε περὶ βασιλείας τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ὡς οἱ παπισταὶ ἀεροβατοῦσι. Πρὸς τὴν ἕκτην ῥητέον, ὅτι ἐπειδὴ ἡ Ἱερωσύνη ἐπιφέρει πρόσωπον τοῦ Θεοῦ ἐν τῷ κόσμῳ, καὶ ἐξαιρέτως πρὸς σωτηρίαν τῶν ἀνθρωπίνων ψυχῶν, ὑπερέχει κατὰ τοῦτο καὶ Βασιλέων καὶ πάσης κοσμικῆς ἐξουσίας, ὅπερ καὶ αὐτοὶ μόνοι οἱ Βασιλεῖς ῥητῶς ὁμολογοῦσι, καὶ ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον εἰκοστὸν πρῶτον. οὐ μὴν ὁ Χρυσόστομος διὰ τούτων φρονεῖ εἶναι τινὰ ἐν τῇ Ἐκκλησίᾳ μονάρχην, ἀλλὰ κοινῶς ἕκαστον τῶν Ἐπισκόπων λέγει ἔχειν τὴν αὐτὴν ἐξουσίαν ἐπὶ τῆς γῆς, τὴν πνευματικὴν δηλονότι, οὐ λέγει δὲ Ἐπίσκοπόν τινα ἔχειν μείζονα ἐξουσίαν τῶν ἄλλων, ἀλλὰ τὸν μέγιστον καὶ μοναρχικὸν θρόνον ἐκεῖνον τὸν τῆς κοινῆς Ἱερωσύνης λέγει (ὡς ἔγραφεν ὁ Ἱεροσολύμων Ἰωάννης πρὸς τὸν Κωνσταντινουπόλεως Ἰωάννην τὸν Καππάδοκα, ὦ συνεφώνει καὶ ὁ Κωνσταντινουπόλεως Μηνᾶς, καὶ ἴδε ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίου ἑνδεκάτου Παράγραφον ὄγδοον, δέκατον τέταρτον, καὶ δέκατον ἕκτον) καὶ οὐδένα ἕτερον, μὴ ὅτι γε μείζονα οὔτε μὴν λέγει, ὅσα ἂν λύσῃς καὶ δήσῃς, ὡς ἐπὶ ἑνὸς, ἀλλ' ὅσα ἂν δήσητε καὶ λύσητε, ὡς ἐπὶ πολλῶν, ἧς ἐξουσίας φησὶν οὐδὲ μία ἄλλη ἴση ἐστὶν, ὥστε οὔτε μείζων. Πρὸς τὴν ἑβδόμην ῥητέον, ὅτι ἡ κατὰ Φωτίου Σύνοδος ψευδεπίπλαστος οὖσα, ἐν πολλοῖς ἐφληνάφησεν, ὡς εἴρηται ἐν τῷ τόπῳ, ὅθεν καὶ ἐνταῦθα ὡς ἀπὸ προσώπου τοῦ εὐσεβοῦς Βασιλέως ταῦτα εἰποῦσα, ἐψεύσατο, πρῶτον, ὅτι καὶ ὀρθοδόξῳ λαϊκῷ πολλάκις σοφῷ καὶ εὐλαβεῖ καὶ τιμίῳ ὄντι ἔξεστι λέγειν περὶ ἐκκλησιαστικῶν δογμάτων. γράφει γὰρ καὶ ὁ Σωκράτης, ὅτι λαϊκὸς ὁμολογητὴς ἐπεστόμισε τοὺς κατ' Ἄρειον διαλεγομένους κατὰ τῆς Θεότητος τοῦ Μονογενοῦς. βιβλίῳ πρώτῳ κεφαλαίῳ ὀγδόῳ. καὶ ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίου ἑνδεκάτου Παραγράφῳ τρίτῳ εἴρηται ἐν τῇ ἐπὶ Μηνᾶ Συνόδῳ, ὅτι τοὺς μὲν Κανόνας ἐκδικοῦσιν οἱ Ἐπίσκοποι, τὰ δὲ τῆς πίστεως ἐκδικεῖ καὶ πᾶς τις Χριστιανὸς, τόσον δηλονότι Ἱερωμένος, ὅσον καὶ λαϊκὸς, ὅθεν καὶ οἱ Βασιλεῖς καὶ οἱ Ἄρχοντες ἐν ταῖς Συνόδοις πολυτρόπως καὶ λίαν ἐσκεμμένως ἠγωνίζοντο περὶ πίστεως, καὶ ἴδε Εὐσέβιον, Σωκράτη, Ἑρμείαν, Θεοδώριτον, Θεοφάνη, Ζωναρᾶν, Ῥουφῖνον, Κεδρηνὸν, Νικηφόρον, Πορφυρογέννητον, Χωνειάτην, Παχυμέρη, Γρηγορᾶν, καὶ τοὺς λοιποὺς Χριστιανοὺς ἱστορικοὺς, καὶ τὰ πρακτικὰ τῶν ἁγίων Συνόδων, καὶ αὐτοὺς τοὺς βασιλικοὺς Νόμους, ἐν οἷς ἰσχυρῶς συνεβούλευον καὶ προσέταττον οἱ Ἄρχοντες, λέγοντες, ὅτι οἱ Βασιλεῖς οὐκ ἄλλως, ἀλλ' ἢ ὡς αἱ προηγησάμεναι Σύνοδοι καὶ οἱ ἅγιοι πατέρες ἔκρινον περὶ πίστεως, οὕτω γενέσθαι καὶ τῆς παρούσης Συνόδου τὴν ἀπόφασιν βούλονται. δεύτερον, τοῦτο, τὸ μὴ ἐξεῖναι δηλαδὴ λαϊκῷ περὶ πίστεως λέγειν, ψεῦδός ἐστι καὶ λόγος ἀντίθεος, ὁ γὰρ μέγας Κωνσταντῖνος καὶ Θεοδόσιος καὶ Μαρκιανὸς καὶ Ἰουστινιανὸς καὶ Ἰουστῖνος ὁ μετὰ Ἰουστινιανὸν καὶ ὁ Πωγωνᾶτος καὶ ἄλλοι Βασιλεῖς ἔγραψαν ἰσχυρῶς, εἶπον καὶ ἔγραψαν περὶ πίστεως, βοηθήσαντες τὰ μέγιστα τῇ ἁγιωτάτῃ πίστει. τρίτον, ὅτι ὁλοκλήρῳ Ἐκκλησίᾳ καὶ Οἰκουμενικῇ Συνόδῳ ἀκολουθεῖν ἔξεστι καὶ λαϊκῷ καὶ παντὶ Ἐπισκόπῳ καὶ παντὶ ἄλλῳ Χριστιανῷ, οὐ μὴν ἔξεστι τούτων τινὶ ἢ καὶ αὐτοῖς Ἀρχιερεῦσιν ἢ Πατριάρχαις ἀνιχνεύειν καὶ ἀνερευνᾶν τὰ τῶν Συνόδων, ὡς εἴρηται ἐν τῷ ἐσχάτῳ Παραγράφῳ τοῦ ἀνωτέρω προσεχοῦς κεφαλαίου. καὶ ὁ Ταράσιος ἔλεγεν ἐν τῇ ἑβδόμῃ Συνόδῳ, Τὰ γὰρ ἐν τῇ Ἐκκλησίᾳ παραδοθέντα οὐκ εἰσὶ Ναὶ καὶ Οὐ, ἀλλὰ Ναὶ εἰσὶν ἐν ἀληθείᾳ, καὶ μένουσιν ἀῤῥαγῆ καὶ ἀκράδαντα εἰς τὸν αἰῶνος χρόνον, ἀψευδὴς γάρ ἐστιν ὁ ἐπαγγειλάμενος, Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. πράξει πρώτῃ. ἴδε καὶ ἐν τοῖς ἀνωτέρω κεφαλαίοις ἐν πολλοῖς. τέταρτον, οἱ λαϊκοὶ πρόβατον, οὐ μὴν ἐν τῇ ἱερουργίᾳ τῶν Μυστηρίων καὶ τῷ λύειν καὶ δεσμεῖν, ἅτινα μόνῃ τῇ Ἱερωσύνῃ ἀφωσίωται παρὰ Θεοῦ, παρατρεπομένων ὅμως τῶν Ποιμένων, καὶ ἢ φρονούντων, ἢ ἐνεργούντων ἐναντία τῇ ἁγίᾳ γραφῇ, ἢ ταῖς Οἰκουμενικαῖς Συνόδοις, ἢ τοῖς θεοφόροις πατράσι καὶ τῇ ἐκκλησιαστικῇ παραδόσει, ἔξεστι τοῖς σοφοῖς καὶ ὀρθοδόξοις λαϊκοῖς μετὰ τῶν μεινάντων ἀπαρατρέπτων ἐκκλησιαστικῶν ἀνεξετάζειν καὶ ἀνιχνεύειν τὰ κατ' αὐτοὺς, καὶ ἐλέγχειν αὐτοὺς καὶ διὰ συγγραμμάτων καὶ διὰ Συνόδων, καὶ σημεῖον ἀναντίῤῥητον, ὅτι ἡ ἀρχαία Ἐκκλησία κοινῶς καὶ ἡ Ἀνατολικὴ πάντοτε ἔχουσαι ἐν ταῖς κανονικαῖς Συνόδοις τοὺς Βασι-

λεῖς

λεῖς συνεργοὺς, οὐδέποτε ἥμαρτον. ἀλλὰ δὴ καὶ ἐν τῇ ἐπικρατείᾳ τῶν Ὀθωμανῶν ἔχει τοὺς λαϊκοὺς ἡ Ἀνατολικὴ κατατεταγμένους ἐν τῷ Κλήρῳ σοφοὺς ὄντας καὶ ζηλωτὰς, καὶ σὺν αὐτοῖς θεωρεῖ τὰ κοινὰ, καὶ διατοῦτο κατὰ τὸ ἀρχαῖον ἔθος οὐδέποτε τῶν τῆς πίστεως δογμάτων καὶ ὑποθέσεων παρεκκλίνει, ὡς ἡ ῥωμαϊκὴ Ἐκκλησία τοῦτο πάσχει, μὴ ἔχουσα τοὺς λαϊκοὺς (καὶ γὰρ ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ ἔλεγον οἱ Ἄρχοντες τοῖς πατράσι, Νῦν δὲ τὸ ζητούμενον καὶ κρινόμενον καὶ σπουδαζόμενόν ἐστιν, ὥστε τὴν ἀληθῆ πίστιν συγκροτηθῆναι, δι' ἣν μάλιστα καὶ ἡ Σύνοδος γέγονεν. εἰδότες οὖν ὡς καὶ τῷ Θεῷ λόγον δόσετε ὑπὲρ τῆς οἰκείας ἕκαστος ὑμῶν ψυχῆς, καὶ ὑπὲρ ἡμῶν ἁπάντων, οἵτινες καὶ διδαχθῆναι τὰ τῆς θρησκείας ἐπιθυμοῦμεν ὀρθῶς, καὶ πᾶσαν ἀμφισβήτησιν ἀφαιρεθῆναι ἐκ τῆς πάντων τῶν ὁσίων πατέρων ὁμονοίας καὶ συναινέσεως καὶ συμφώνου ἐκθέσεως καὶ διδασκαλίας, σπουδάσατε ἄνευ φόβου ἢ χάριτος ἢ ἀπεχθείας τὴν πίστιν καθαρῶς ἐκθέσθαι, ὥστε καὶ τοὺς δοκοῦντας μὴ ταῦτα πᾶσι πεφρονηκέναι τῇ τῆς ἀληθείας ἐπιγνώσει ἐπαχθῆναι εἰς τὴν ὁμόνοιαν. εἰδέναι γὰρ ὑμᾶς βουλόμεθα ὡς ὁ θειότατος καὶ εὐσεβέστατος Δεσπότης τῆς Οἰκουμένης καὶ ἡμεῖς τὴν ὀρθόδοξον πίστιν τὴν παρὰ τῶν τριακοσίων δεκαοκτὼ καὶ παρὰ τῶν ἑκατὸν πεντήκοντα, ἔτι μὴν καὶ παρὰ τῶν λοιπῶν ἁγίων καὶ ἐπιδόξων πατέρων παραδοθεῖσαν φυλάττομεν, καὶ κατὰ ταύτην πιστεύομεν. πράξει δευτέρᾳ) ἀλλὰ μόνον τοὺς ἐκκλησιαστικοὺς, οἵτινες διὰ τὰς τιμὰς καὶ τὸν φόβον τῶν ἀξιωμάτων, τοῦ Πάπα αὐτοὺς ὥσπερ μορμολυκείου τινὸς ἐκφοβοῦντος, διορίζουσιν ὅπερ δοκεῖ τῇ γνώμῃ αὐτοῦ, καὶ οὕτως ἀείποτε σφάλλουσι, καὶ παρατρέπονται τῆς πίστεως, καὶ καινὰ ἐπὶ καινοῖς ἐφευρίσκουσι, καὶ ἐπισωρεύουσιν εἰς ἀναίρεσιν τῆς ἀποστολικῆς πίστεως, βεβαίωσιν δὲ τῆς παπικῆς, ταὐτὸν εἰπεῖν τῆς καινοτόμου, ὅπερ ἐστὶν ἀπιστία πίστεως, οὐ πίστις, εἰ καὶ λέγει ὁ μέγας Ἀθανάσιος περὶ τῶν Εὐσεβιανῶν, Ἀλλ' αὐτοὶ θέλοντες ἀνῆλθον εἰς τὴν Ῥώμην, καὶ ἐν τῇ Ἐκκλησίᾳ, ἔνθα φόβος μὲν ἔξωθεν οὐκ ἦν, μόνος δὲ ὁ τοῦ Θεοῦ φόβος ἐστὶ, καὶ ἐλευθέραν ἕκαστος ἔχει τὴν προαίρεσιν, ἀλλὰ τοῦτο εἶπε, πρῶτον, ὅτι ἐκεῖ ἦν ὁ Βασιλεὺς Κώνστας ὀρθόδοξος, καὶ οὐκ ἐβίαζε τοὺς πατέρας. δεύτερον, ὅτι ὁ Πάπας Ἰούλιος ἦν ὀρθόδοξος καὶ οὐσχισματικός. τρίτον, ὅτι ὥριζεν ἡ Σύνοδος καὶ οὐχ ὡς μονάρχης ὁ Πάπας. Πρὸς δὲ τὴν ὀγδόην, ἡ αὐτὴ ἀπόκρισις πρὸς ἄνομον Βασιλέα, ὄντος γὰρ Λέοντος τοῦ Ἀρμενίου Μονοθελήτου, καὶ θέλοντος ἰσχύειν ἐν τοῖς περὶ πίστεως, ὁ Στουδίτης ἔγραψε περὶ αὐτοῦ ἅπερ εἶπον Ἀθανάσιος, Ὅσιος, καὶ Γρηγόριος πρὸς Κωνσταντίον καὶ Λέοντα τὸν Ἴσαυρον, ἅτινα τὴν τῶν ὀρθοδόξων Βασιλέων σπουδὴν καὶ ἐνέργειαν ἐν ταῖς κοιναῖς Συνόδοις οὐ κωλύουσι, τὸ γὰρ τοὺς ὀρθοδόξους Βασιλεῖς τῶν Συνόδων κωλύειν, τυφλώττειν τὴν Ἐκκλησίαν ἐστὶν, ἐπειδὴ τὸ φῶς τῆς Ἐκκλησίας τὸ πρώτιστον καὶ τῶν Συνόδων οἱ ὀρθόδοξοι εἰσὶν Ἡγεμόνες, ὡς παρίστησι τὰ ῥήματα τοῦ Στουδίτου ἐνταῦθα, ῥητῶς διορίζοντα τὰ τῶν Βασιλέων ἔργα ἐν ταῖς Συνόδοις καὶ τὴν ἀποποίησιν τῶν ἀνόμων Βασιλέων. δεύτερον, ὁ Στουδίτης ἐνταῦθα ἰσχυρῶς ἀντιπίπτει πάσῃ ἐν τῇ Ἐκκλησίᾳ μοναρχικῇ καὶ προσωπικῇ ἀναμαρτήτῳ ἐξουσίᾳ, λέγει γὰρ τέσσαρα τινὰ, πρῶτον, ὅτι οἱ πέντε Πατριάρχαι τῶν Ἀποστόλων εἰσὶ διάδοχοι, οὐκ ἐμμέσως δηλονότι ὡς ὀνειρεύονται οἱ παπισταὶ, ἐπειδὴ τὴν διαίρεσιν ταύτην οὐκ οἴδασιν οἱ ἅγιοι πατέρες, οὔτε ὁ Στουδίτης, ἀλλ' ἀμέσως καὶ ἐξίσου. δεύτερον, ὅτι οἱ πέντε Πατριάρχαι εἰσὶ πεντακόρυφον κράτος, τουτέστι μία κορυφὴ καὶ ἓν ταυτοδύναμον κριτήριον ἐν τῇ Ἐκκλησίᾳ. τρίτον, ὅτι οὐ γίνεται Σύνοδος Οἰκουμενικὴ ἄνευ τῶν πέντε Πατριαρχῶν. ψεῦδος ἄρα ἐστὶν, ὅτι ὁ Πάπας μόνος ἐστὶν ἀμέσως Ἐπίσκοπος παρὰ Θεοῦ. ψεῦδος, ὅτι ὁ Πάπας μόνος ἐστὶ κορυφὴ ἐξαίρετος ἐν τῇ Ἐκκλησίᾳ. ψεῦδος, ὅτι ὁ Πάπας μόνος ἐστὶ κριτὴς ἐν τῇ Ἐκκλησίᾳ. ψευδέστατον, ὅτι ὁ Πάπας μόνος δύναται συγκροτῆσαι Σύνοδον Οἰκουμενικήν. ἴδε καὶ ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παράγραφον πέμπτον. Πρὸς δὲ τὴν ἐνάτην, οὐδὲν διαφερόμεθα, καὶ γὰρ ἀντιφερόμενος πρὸς τὸν Ἀρμένιον καὶ ὁ Νικηφόρος, εἶπεν ἅπερ εἴρηκε καὶ ὁ Στουδίτης, ἐξ ὧν οὐδὲ μία βοήθεια τοῖς παπισταῖς, οὐδὲ βλάβη τὶς προξενεῖται τῆς ἐν τῇ Ἐκκλησίᾳ ἐξουσίας καὶ ἐνεργείας τῶν Βασιλέων. Πρὸς τὴν δεκάτην ῥητέον, ὅτι ὁ λαϊκὸς οὐκ ἀνακρίνει Ἱερέα, ἀλλὰ προστάττει τοῖς Ἱερεῦσι καὶ κρίνουσιν αὐτόν. οὕτως ὁ μέγας Κωνσταντῖνος Συνόδοις προσέταξε καὶ ἔκριναν τὸν Καρθαγένης Καικιλιανὸν, ὡς εἴρηται ἀνωτέρω, καὶ περὶ Ἀθανασίου, ὁμοίως ὁ Κωνσταντίος προσέταξε καὶ ἔκριναν οἱ πατέρες τὸν Ἀντιοχείας Στέφανον, ὥστε καὶ τῆς Ἐκκλησίας ἐξήλασαν. Θεοδώριτος λόγῳ δευτέρῳ κεφαλαίῳ ἐνάτῳ καὶ δεκάτῳ. καὶ τέως οἱ Βασιλεῖς ἤγειραν Συνόδους καὶ Οἰκουμενικὰς καὶ μερικὰς καὶ ἔκριναν τοὺς Αἱρετικοὺς, καὶ ἄλλους ἐπὶ ἁμαρτήμασι κατηγορουμένους Ἐπισκόπους, οὐ κρίνει δὲ τὸν ἡμαρτηκότα Ἐπίσκοπον μείζων Ἀρχιερεὺς ἁπλῶς, ἀλλ' ἢ ὁ μείζων τῆς προσηκούσης Συνόδου, ἢ ἡ προσήκουσα τῶν Ἐπισκόπων Σύνοδος, κἂν καὶ μερικὴ εἴη, τὸν μείζονα κατὰ τὸν βαθμὸν, καὶ γὰρ μείζων ἡ Σύνοδος τοῦ Μητροπολίτου καὶ τοῦ Πατριάρχου, ὅθεν καὶ δύο Ἐπίσκοποι ἐκάθηραν τὸν Σεβῆρον, καὶ ἴδε ἀνωτέρω βιβλίου τεταρτου κεφαλαίου δεκάτου τρίτου Παράγραφον τέταρτον. οὕτως ἐκρίθη καὶ ὁ πρῶτος θρόνος, καὶ ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον ἔσχατον. Πρὸς τὴν ἑνδεκάτην ῥητέον, ὅτι περὶ τοῦ Ἀργυροῦ τούτου εἴρηται ἀνωτέρω ἐν τῇ ἀρχῇ τοῦ ὀγδόου βιβλίου, καὶ ἤδη ῥητέον, ὅτι οὔτε Βασιλεὺς ἦν, οὔτε προτροπὴν εἶχε παρὰ Βασιλέως, πρὸς τούτοις ἦν καὶ Ἀζυμίτης, καὶ τὸ δὴ κύριον, ὅτι παρὰ τὸ ἴδιον τῶν φιλοχρίστων Ἀρχόντων ἐπιλαβόμενος τῶν ἐκκλησιαστικῶν πραγμάτων, συνέχεεν αὐτὰ, καὶ συγγραφὰς ἐπενόησεν οὐ μόνον ἐκείνας αἵτινες μόνοις τοῖς Ἐπισκόποις εἰσὶν ἴδιαι,

ἴδιαι, ἀλλὰ ψευδεπιπλάστους, ὅθεν καὶ ἰσχυρῶς κατηγορεῖται ὑπὸ τοῦ Ἀντιοχείας, οὐκ ἀποβάλλει δὲ ἡ κακία τοῦ Ἀργυροῦ τὴν ἐπιμέλειαν καὶ ὑπεράσπισιν καὶ τὸν ζῆλον περὶ τῆς ἁγιωτάτης πίστεως τῶν ὀρθοδόξων Ἡγεμόνων. Πρὸς τὴν δωδεκάτην ῥητέον, ὅτι τὰ ῥήματα ταῦτα δείκνυσι καὶ τοὺς ἀνόμους Βασιλεῖς μὴ κεκρικέναι ἐξ ἑαυτὸν τὶ ἐν τῇ Ἐκκλησίᾳ, οὔτε ἐκθέσθαι δόγμα ἐν αὐτῇ, ἀλλὰ τοῖς ὁμόφροσιν αὐτοῖς Ἐπισκόποις βεβοηθηκέναι, καὶ βίαν ἐπιτεθεικέναι τοῖς ὀρθοδόξοις τοῦ συνθέσθαι αὐτοῖς, ὅπερ ἀντίκειται τῇ ἐκκλησιαστικῇ συνηθείᾳ, ἥτις βούλεται διὰ τῆς γραφῆς καὶ τῶν πατέρων λύειν τοὺς Ἐπισκόπους τὰς ἀμφιβολίας, ἐκδικεῖν δὲ τοὺς Βασιλεῖς τὴν ἀλήθειαν, καὶ μὴ τῷ ψεύδει συνηγορεῖν, τοῦτο δὲ οὐκωλύει τοὺς ὀρθοδόξους Ἡγεμόνας συνεῖναι ταῖς ἁγίαις Συνόδοις. Πρὸς δὲ τὴν δεκάτην τρίτην ῥητέον, ὅτι οἱ Ἀρχιερεῖς τῆς Ἀνατολῆς σύμφωνα εἶπον τῷ Χρυσοστόμῳ, ὡς εἴρηται ἀνωτέρω, ἐν γὰρ τῇ πνευματικῇ ἐξουσίᾳ, ἥτις ἐστὶ τὸ δεσμεῖν τε καὶ λύειν τὰς περὶ πίστεως ἀμφιβολίας, τὰ δεύτερα τῶν πατέρων φέρουσιν οἱ Βασιλεῖς, παρέχουσιν ὅμως μεγάλην ἰσχὺν τοῖς πατράσιν, ἀγείροντες τὰς Συνόδους, καὶ ἄλλοις τρόποις ὑπερασπίζοντες τῆς ὀρθοδόξου πίστεως, ἐπειδὴ ἔχουσι παρὰ Θεοῦ ἐν τῇ πολιτείᾳ τὸ ἀρχικώτατον ἀξίωμα. ὅθεν συμφωνοῦντες οἱ πατέρες καὶ οἱ πολιτικοὶ Ἡγεμόνες, μεγάλα τινὰ καὶ μάλιστα μέγιστα προξενοῦσι τῇ Ἐκκλησίᾳ. ἐκ τῶν ῥημάτων οὖν τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς οὐκ ἐπιγίνεταί τις βοήθεια παπισταῖς, ἀλλ' αἰσχύνη καὶ ὄνειδος, παραβλέπουσι τὰ ἐν τῇ Ἐκκλησίᾳ προφανῶς γεγενημένα, καὶ μετὰ τὸ σχίσμα συκοφαντοῦσι τοὺς ὀρθοδόξους Ἡγεμόνας, καὶ τὸ αἴτιον, ἵνα ἀπέχωνται οἱ Βασιλεῖς ὧνπερ αὐτοῖς ἔξεστιν ἐν τῇ Ἐκκλησίᾳ ἐνεργεῖν, καὶ οὕτως ἀδιακρίτως δέχωνται τὰ παρ' αὐτῶν τῶν παπιστῶν δηλονότι καινοτομούμενα κατὰ τοῦ Θεοῦ καὶ κατὰ τῆς Ἐκκλησίας, εἰ γὰρ ἦσαν ἐν τῇ ἐν Τριδέντῳ Συνόδῳ Βασιλεῖς, οὐκ ἂν ἐδυνήθη ἀναθεματίσαι ἐκείνη ἡ θεοστυγὴς συνάθροισις τὴν καθολικὴν Ἐκκλησίαν, ὡς ῥηθήσεται κατωτέρω βιβλίου ἐνδεκάτου κεφαλαίῳ ἕκτῳ. καὶ ἐκ τοῦ ἐναντίου, ἐν τῇ ἐν Κωνσταντείᾳ Συνόδῳ παρόντος τοῦ Βασιλέως, οἱ πατέρες ἐλεύθεροι ὄντες φόβου καὶ ἀπειλῶν, διώρισαν ἐλευθέρᾳ καὶ μεγάλῃ τῇ φωνῇ ὅπερ ἐξῆν καὶ μέγιστον ἐν τῇ Ἐκκλησίᾳ καλὸν, ἤγουν τὴν Σύνοδον ἐπὶ τοῦ Πάπα καὶ ἐπὶ πάντων, καὶ οὐ τὸ ἀνάπαλιν. Πρὸς δὲ τὴν δεκάτην τετάρτην ῥητέον, ὅτι ὁ Εὐσέβιος σοφῶς ἑρμηνεύει τίνα τὰ ἴδια τῶν Βασιλέων ἐν τῇ Ἐκκλησίᾳ, καὶ τίνα τρόπον ἁρμόζει αὐτοῖς τὸ ΕΠΙΣΚΟΠΟΣ ὄνομα, ὅπερ καταισχύνει τοὺς ταῦτα προβάλλοντας παπιστὰς, συκοφαντοῦντας τοὺς ἁγίους Βασιλεῖς, ὡς δῆθεν θελήσαντας ἔχειν τὴν αὐτὴν ἐξουσίαν τοῖς Ἐπισκόποις ἐν τῇ πνευματικῇ ἐπιστήμῃ. Πρὸς τὴν δεκάτην πέμπτην ῥητέον, ὅτι Ἔαρ Χελιδὼν οὐ συνίστησι μία, ἡ γὰρ τοῦ Ἐπισκόπου Λεοντίου προπέτεια οὐγίνεται παράδειγμα ἐν τῇ Ἐκκλησίᾳ, καὶ γὰρ Νάθαν ὁ Προφήτης προσεκύνησε τῷ Δαβὶδ κατὰ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν, ὅθεν καὶ οἱ Πατριάρχαι καὶ Ἐπίσκοποι, εἰ καὶ κατὰ πολλὰς ἐκδόσεις ἀρχαίας εἰσερχόμενοι πρὸς τοὺς Βασιλεῖς ἠσπάζοντο αὐτοὺς καὶ ηὐλόγουν αὐτοὺς, πρόδηλον ὅμως, ὅτι πρῶτον προσεκύνουν τοὺς ἔχοντας τὸ ἀρχικώτατον τοῦ Θεοῦ ὁμοίωμα ἐπὶ τῆς γῆς κατὰ τὸν Πάπαν Στέφανον, καὶ κεφαλὴν ὄντας πάντων τῶν Χριστιανῶν κατὰ τὸν Πάπαν Γρηγόριον, καὶ οὕτως ηὐλόγουν καὶ ἠσπάζοντο αὐτοὺς, εἶτα τοῦτο καὶ τὸ τοιοῦτον κοσμικὸν μεγαλεῖον τῶν Πατριαρχῶν ἀνοίκειόν ἐστι καὶ ὑπὲρ τὴν συνήθειαν, τοῦ γὰρ μεγάλου Ἀθανασίου φυγόντος ἀπὸ τῆς ἐν Τύρῳ Συνόδου, καὶ ἐλθόντος εἰς Βυζάντιον, γράφει περὶ αὐτοῦ ὁμέγας Κωνσταντῖνος αὐτῇ τῇ ἐν Τύρῳ Συνόδῳ, Συνέβαινε δὲ τηνικαῦτα ἐφ' ἵππου με ὀχεῖσθαι, ἐξαίφνης Ἀθανάσιος ὁ Ἐπίσκοπος ἐν μέσῳ τῆς λεωφόρου μετὰ ἱερῶν τινῶν, οὓς περὶ αὐτὸν εἶχεν, ἀπροσδοκήτως οὕτω προσῆλθεν, ὡς καὶ παρασχεῖν ἐκπλήξεως ἀφορμήν. οὕτω κατ' ἐκεῖνον τὸν καιρὸν ἔλιπεν ἀπὸ τῆς Ἐκκλησίας τὸ νῦν μεγαλεῖον τῶν Ἐπισκόπων, καὶ ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου ὀγδόου Παράγραφον δέκατον ἕκτον, πῶς ἐδέετο τῶν Βασιλέων ἐν τῇ Ῥώμῃ Λέων ὁ Πάπας, ὅθεν ἐκείνου τοῦ Λεοντίου ἡ προπέτεια, ἵνα δηλονότι αὐτὸς καθίσῃ ἱσταμένης τῆς Βασιλίσσης, εἰκὼν ἦν ὑπὸ τοῦ διαβόλου προηγμένη τῆς νῦν ἐξουσίας τοῦ Πάπα. ἀλλὰ θεωρουμένου τοῦ πράγματος κατὰ Νόμους, οὐμόνον οἱ Βασιλεῖς, ἀλλὰ καὶ αἱ Βασίλισσαι προσκυνοῦνται ὑπὸ τῶν Ἐπισκόπων, ἔλεγε γὰρ ἡ Βασίλισσα Εὐδοξία τῷ ἁγίῳ Ἐπιφανίῳ, Σοὶ τὴν ἐξουσίαν δίδωμι, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ τρίτῳ, καὶ ἡ Πουλχερία ἔγραφε τῷ Πάπᾳ Λέοντι περὶ τῆς ἐν Χαλκηδόνι Συνόδου, ὡς εἴρηται ἐν τῷ τόπῳ, καὶ ἐν τῇ αὐτῇ Συνόδῳ ἐφημίζετο καὶ ἐκαλεῖτο νέα Ἑλένη, ἀλλὰ δὴ καὶ ἡ Αὐγοῦστα Ἰουστίνου τοῦ θρακὸς ἐφημίζετο ἐν τῇ ἐπὶ τοῦ Καππάδοκος Συνόδῳ, καὶ ἡ Εἰρήνη προὐκαθέζετο πάσης τῆς οἰκουμενικῆς ἑβδόμης Συνόδου, καὶ ἡ Θεοδώρα προκαθημένη καὶ σεβαζομένη ὑπὸ πάντων τῶν κατ' ἐκεῖνο καιροῦ ἐν Βυζαντίῳ ἐπιδημούντων θεοφόρων πατέρων, ἀνεστήλωσε τὰς ἁγίας Εἰκόνας, καὶ Ἄννα ἡ Βασίλισσα Ἀνδρονίκου τοῦ Παλαιολόγου συνεκρότησε τὴν Σύνοδον κατὰ Ἰωάννου τοῦ Καλέκα. ἴδε καὶ ἀνωτέρω τὰ τῆς Θεοδώρας καὶ τοῦ Βιγιλίου, καὶ ἄλλα τοιαῦτα μυρία, ἐξ ὧν δῆλον γίνεται, ὅτι οὐ δίδωσι τοῦ Λεοντίου ἡ γνώμη συνήθειαν τῷ Πάπᾳ τοῦ κατεπαίρεσθαι τῶν Βασιλέων, καὶ τοῖς Πατριάρχαις τοῦ μὴ τοὺς Βασιλεῖς προσκυνεῖν, ἀλλὰ μιμηθήτωσαν τοὺς μακαρίους Πάπας τοὺς ἀποδόντας τὰ Καίσαρος Καίσαρι, καὶ κατὰ τὸ εἰκὸς τοὺς Βασιλεῖς προσκυνήσαντας, καὶ ἴδε βιβλίου δεκάτου κεφάλαιον δέκατον τρίτον. Πρὸς τὴν δεκάτην ἕκτην ῥητέον, ὅτι αὕτη ἡ μαρτυρία ἀληθής ἐστιν, ἐπειδὴ καὶ νῦν ἐν τῇ μεγάλῃ Μοσχοβίᾳ οἱ ἁγιώτατοι Πατριάρχαι πρὸς τὸν Αὐτοκράτορα εἰσερχόμενοι, εὐχόμενοι πρῶτον, ἀσπάζονται αὐτὸν, πρὸ

πάντων

πάντων ὅμως τούτων προσκυνοῦσιν αὐτὸν, κλίσιν καὶ σχῆμα ὑποταγῆς ποιοῦντες αὐτῷ κατὰ τὸ εἰρημένον, Ὑποτάγητε πάσῃ ἀρχῇ καὶ ἐξουσίᾳ. ὅθεν ἔλεγεν ὁ μέγας Κύριλλος, ὡς εἴρηται πολλάκις ἀνωτέρω, Γένοιτο δὲ ἡμᾶς τρέμειν καὶ προσκυνεῖν τὴν ἑνότητα, καὶ Βασιλεῖ θεοφιλεστάτῳ ὑπηκόους γίνεσθαι, καὶ ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι. ἴδε ἀνωτέρω βιβλίου δεκάτου κεφαλαίου ἑνδεκάτου Παράγραφον τρίτον. Πρὸς δὲ τὴν δεκάτην ἑβδόμην ῥητέον πάλιν, ἕωλος οὖσα ἐκείνη ἡ Σύνοδος παραληρεῖ, ἐπειδὴ εἶναι μὲν πάντοτε Ἄρχοντας ἐν ταῖς Τοπικαῖς Συνόδοις, οὐκ ἀναγκαῖον ἐστὶν, εἰ χρεία ὅμως τοῦτο ἐπιζητεῖ, ἔξεστι παρεῖναι τοὺς Ἄρχοντας, καὶ ποιεῖν ἅπερ εἴρηται ἀνωτέρω. ἐν γὰρ ταῖς Τοπικαῖς Συνόδοις ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἦσαν Ἄρχοντες Ῥετέκιος καὶ Ματέρνος καὶ Μαρῖνος, παρόντος τοῦ Πάπα Μιλτιάδου. καὶ ἐν τῇ ἐν Τύρῳ Συνόδῳ ἦν Διονύσιος ὁ ἀπὸ Ὑπάτων. Σωκράτης βιβλίῳ πρώτῳ κεφαλαίῳ δεκάτῳ ὀγδόῳ, καὶ ὁ Ὑπατικὸς Ἀρχέλαος. βιβλίῳ τῷ αὐτῷ κεφαλαίῳ εἰκοστῷ ἑνάτῳ. καὶ ἐν τῇ ἐν Σελευκείᾳ παρῆν ὁ Λεωνᾶς, ὥστε ἐπ' αὐτοῦ γενέσθαι τὴν περὶ τοῦ δόγματος ψῆφον. Σωκράτης βιβλίῳ δευτέρῳ. καὶ ἐν ταῖς ἐπὶ Φλαυϊανοῦ Συνόδοις ἐν Βυζαντίῳ ὁ μικρὸς Θεοδόσιος ἔπεμψεν Ἄρχοντας τὸν Πατρίκιον Φλωρέντιον καὶ τὸν Ὕπατον Πρωτογένην. καὶ κατὰ τῆς ἐν Ἀραβίᾳ Αἱρέσεως, ὡς ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ δεκάτῳ τρίτῳ, συνέγραψε μὲν Ὠριγένης, συνεκρότησε δὲ τὴν Σύνοδον Ἀλκιβιάδης, ἐξ Ἀπαμείας τῆς Συρίας ὁρμώμενος, καὶ ἄλλας ἄλλοι. ὥστε τὸ, Οὐ δὲ γὰρ θεμιτόν ἐστι γίνεσθαι θεατὰς τοὺς κοσμικοὺς Ἄρχοντας τῶν τοῖς Ἱερεῦσι συμβαινόντων πραγμάτων, Αἱρετικόν ἐστιν, ἐπειδὴ ὁ λαϊκὸς μέγας Κωνσταντῖνος μᾶλλον ἐκάλυψε τῶν Ἐπισκόπων τὰ ἐλαττώματα, καὶ οἱ λαϊκοὶ Βασιλεῖς καὶ Ἄρχοντες ἐκάλυψαν τῶν Ἐπισκόπων τὰ ἐλαττώματα συμβιβάζοντες πρὸς εἰρήνην αὐτοὺς, καὶ οἱ λαϊκοὶ Βασιλεῖς ἔγραψαν Νόμους, ὥστε τὰ ἐλαττώματα τῶν Ἐπισκόπων θεωρεῖσθαι ἐν τοῖς ἐκκλησιαστικοῖς δικαστηρίοις καὶ μὴ ἐν τοῖς πολιτικοῖς, ὅθεν καὶ παρόντες καὶ ἀπόντες ἔχουσι διάκρισιν μείζονα πολλῶν Ἐπισκόπων εἰς τὰ συμβαίνοντα τοῖς Ἐπισκόποις. εἰ δὲ τὰ συμβαίνοντά ἐστι περὶ πίστεως, φανερῶς κρίνονται καὶ οὐλαθραίως, καὶ γὰρ καὶ οἱ Ἀπόστολοι καὶ οἱ πατέρες φανερῶς συνῆλθον καὶ ἔκρινον πάντοτε, ὧν τὴν τάξιν οὐδύναται ἀθετῆσαι ἢ ἀνατρέψαι οὐ δὲ μία Σύνοδος. ὅτι δὲ φανερῶς γίνονται αἱ Σύνοδοι οὐ μόνον εἰς τοὺς εὐσεβεῖς, ἀλλὰ καὶ εἰς τοὺς ἀσεβεῖς Ἄρχοντας, ἔλεγεν ὁ Ἡγεμὼν τῆς Αἰγύπτου Αἱμιλιανὸς ἐπὶ Οὐαλεριανοῦ πρὸς τὸν Ἀλεξανδρείας Διονύσιον, Οὐδαμῶς δὲ ἐξέσται οὔτε ὑμῖν οὔτε ἄλλοις τισὶν, ἢ Συνόδους ποιεῖσθαι, ἢ εἰς τὰ καλούμενα Κοιμητήρια εἰσιέναι, ἐὰν μὴ δηλονότι προσκυνήσητε τοῖς Εἰδώλοις. Εὐσέβιος βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἑνδεκάτῳ, εἰ δὲ τὰ τῶν Συνόδων εἴσασιν οἱ Ἕλληνες, πῶς ἐν αὐταῖς οὐκ ἔσονται θεαταὶ οἱ ὀρθόδοξοι Ἡγεμόνες;

Πρὸς τὴν δεκάτην ὀγδόην ῥητέον, ὅτι ἡ Σύνοδος Ἐπισκόπων ἐστὶ κυρίως, καὶ οἱ Ἐπίσκοποι κυρίως κρίνουσι καὶ ὑπογράφουσιν, ὡς ἔλεγε καὶ ὁ Ἀρχιμανδρίτης Μαρτῖνος τῷ Εὐτυχεῖ, καὶ ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου ὀγδόου Παράγραφον πέμπτον. ἔχει ὅμως ἐν πολλοῖς συνεργοὺς τοὺς Ἄρχοντας ἐπὶ καλῷ τῆς Ἐκκλησίας, ὡς εἴρηται ἀνωτέρω βιβλίῳ τρίτῳ. τοῦτο δὲ λαμβάνει, οὐκ ἀποβάλλει τοὺς Ἄρχοντας τῶν Συνόδων. δεύτερον, ἡ Σύνοδος ἔξω βάλλει βοῶντας τοὺς Αἱρετικοὺς, ὡς ἦσαν οἱ περὶ Βαρσουμᾶν τὸν Αἱρετικὸν ἐν τῇ αὐτῇ Συνόδῳ, καὶ τοὺς τοιούτους ἐδίωκον τῶν Συνόδων Θεοδόσιος ὁ μικρὸς καὶ Μαρκιανὸς καὶ Πουλχερία, καὶ ἴδε ἀνωτέρω τοὺς τόπους, οὐ μέντοι διώκει ἡ Σύνοδος τοὺς εὐλαβῶς παρισταμένους καὶ ἀκροωμένους, ὡς ἐποίησεν ἡ ἐν Φλωρεντείᾳ Σύνοδος, διώξασα τοὺς μεμφομένους τὰ λατινικὰ δόγματα Ἱεροπρεπεῖς καὶ τιμίους ἄνδρας, ὡς γράφει ὁ μέγας Ἐκκλησιάρχης τμήματι ἕκτῳ κεφαλαίου ἑνάτου. καὶ ἡ ἐν Τριδέντῳ ἀφεῖσα τὰς πόλεις, ἐν πολιχνίῳ συνῆλθεν, ἵνα μὴ ἔχῃ τοὺς μεμφομένους εἰς ὅσα ἐνομοθέτησε κατὰ τῆς καθολικῆς Ἐκκλησίας καὶ περὶ τῆς ἀρχῆς τοῦ Πάπα, ὡς ῥηθήσεται κατωτέρω βιβλίου ἑνδεκάτου κεφαλαίῳ ἕκτῳ. ὅτι δὲ ἐν ταῖς Συνόδοις παρῆσαν πολλοὶ εὐλαβεῖς, λέγεται ἐν τῇ ὀγδόῃ πράξει τῆς κατὰ Φωτίου Συνόδου, Βαάνης ὁ Πραιπόσιτος εἶπεν, Ὁ Βασιλεὺς, ἢ ὁ ἅγιος συμβουλεύων, λέγει πρὸς τοὺς καθημένους ἐν τῇ ἁγίᾳ Συνόδῳ καὶ τοὺς ἱσταμένους, καὶ τὸ κοινὸν ἅπαν τοῦ λαοῦ. τοῦτο φαίνεται καὶ ἐν τῇ ἀρχῇ τῆς ἑβδόμης Οἰκουμενικῆς. τρίτον, τοῦτο κατὰ τῆς κεφαλῆς τῶν παπιστῶν ἐστὶν, οἵτινες ἐν πάσαις ταῖς Συνόδοις ἃς αὐτοὶ μόνοι πεποιήκασι, καὶ ἐν ταῖς ἐν Ῥώμῃ συνελεύσεσι προτιμῶσι τοὺς Πρεσβυτέρους καὶ Διακόνους Καρδηνάλεις τῶν Ἐπισκόπων, ὅπερ ὅτι ἀσεβέστατόν ἐστιν, ἐροῦμεν κατωτέρω μέρει ἕκτῳ κεφαλαίου πρώτου. οὐδὲν οὖν κέρδος ἐγένετο κἀκτούτου τοῖς παπισταῖς κατὰ τῶν ὀρθοδόξων Βασιλέων. Πρὸς δὲ τὴν ἐσχάτην ῥητέον, ὅτι εἶπεν ὁ Ἀλεξανδρείας τοὺς εἰδωλολάτρας θεοφιλεστάτους, καὶ ὁ Αἱρετικὸς Κώνστας ὁ πατὴρ τοῦ Πωγωνάτου ἐκλήθη ὑπὸ πολλῶν ἅγιος. ἀλλ' ἐκλήθησαν οὕτω διὰ τὴν ἐπικράτειαν, ἐπειδὴ καὶ οἱ Εἰδωλολάτραι καὶ ὁ Κώνστας ἐξουσίαζον. ἀλλὰ δὴ καὶ διὰ τὴν συνήθειαν καὶ τὴν εὔφημον τῶν Χριστιανῶν ὁμιλίαν καλοῦνταί ποτε εὐφήμως καὶ οἱ κατάκριτοι, οὕτω γὰρ τὸν Πάπαν φανερῶς ἐλεγχθέντα ὡς παραβάτην ἐπὶ Σεργίου καὶ Μιχαὴλ τοῦ Κηρουλλαρίου συνοδικῶς, ναὶ μὴν καὶ ἐπὶ Ἀλεξίου καὶ Ἰωάννου τῶν Κομνηνῶν, ὡς εἴρηται ἀνωτέρω βιβλίῳ ἑβδόμῳ, Μανουὴλ ὁ Κομνηνὸς ἔν τινι διαλέξει μακαριώτατον εἶπε. καὶ Νεστόριος καὶ Διόσκορος, καίτοιγε Αἱρετικοὶ ὄντες, εὐλαβέστατοι ἐλέγοντο πρὸ τῆς καθαιρέσεως ἐν ταῖς κατ' αὐτῶν Συνόδοις, ὡς καὶ ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ καὶ διὰ τὴν ἐπικράτειαν καὶ διὰ τὴν εὐφημίαν ὁ Εὐγένιος ἐλέγετο μακαριώτατος. οὐδύναται δὲ ἐκ τούτου εἰπεῖν τις ὅτι καὶ Θεοδόσιος καὶ Ἰουστινιανὸς

νιανὸς καὶ Κωνσταντῖνος ἅγιοι κληθέντες, τούτῳ τῷ τρόπῳ ἐκλήθησαν καὶ οὐκ εἰσὶν ἅγιοι, ἐπειδὴ ἐν τῇ ἁγίᾳ γραφῇ ἐῤῥέθησαν τὰ Εἴδωλα Θεοὶ, ἀλλὰ λέγει ὁ Χρυσόστομος Ὁμιλίᾳ τριακοστῇ ἕκτῃ εἰς τὴν Γένεσιν, Θεοὺς καλοῦσιν οὐ κατὰ τιμὴν, οὔτε χαρίτι προσηγορίας, ἀλλὰ διὰ τὴν ἀπάτην τῶν πλανηθέντων, καὶ οὕτω καλεσάντων. Ῥητέον οὖν, ὡς οὐ λυμαίνεται ἡ κλῆσις αὕτη τὴν κλῆσιν τοῦ ἀληθινοῦ καὶ ἐπὶ πάντων Θεοῦ, οὕτως οὐδὲ μία ζημία προξενεῖται τοῖς ὀρθοδόξοις Ἐπισκόποις μακαριωτάτοις λεγομένοις, διὰ τὸ καὶ τὸν ἀποστάτην Ῥώμης οὕτως ἐστ' ὅτε, ὡς εἴρηται, ὑπὸ τῶν ὀρθοδόξων κληθῆναι. ὅτι δὲ ὁ μέγας Κωνσταντῖνος ἐστὶ καὶ λέγεται ἅγιος, δῆλον, καὶ ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον εἰκοστὸν, καὶ τὸ Μηνολόγιον Μαΐου εἰκοστῇ πρώτῃ. ὁ δὲ μικρὸς Θεοδόσιος ἐῤῥέθη, Ὁ ἘΝ ἈΓΙΟΙΣ δὶς ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ πράξει ἐνδεκάτῃ. καὶ ὁ μέγας Ἰουστινιανὸς ἐῤῥέθη, Ὁ ἘΝ ἈΓΙΟΙΣ, πράξει δεκάτῃ τῆς ἕκτης Οἰκουμενικῆς, οὕτως ἐῤῥέθη καὶ ὑπὸ τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς ἐν τῇ ἑβδόμῃ συνόδῳ, ὡς εἴρηται ἀνωτέρω. Πρὸς δὲ τὸ τοῦ Μαξίμου ῥητέον, ὅτι ὁ ἄνομος Βασιλεὺς Κώνστας οὐκ ἐλέγετο Ἀρχιερεὺς, ἐπεὶ ἦν Αἱρετικὸς, οἱ δὲ ὀρθόδοξοι Βασιλεῖς διαπρυσίῳ τῇ φωνῇ ἐῤῥέθησαν ὑπὸ τοῦ Πάπα Γρηγορίου, καὶ ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις Βασιλεῖς καὶ Ἀρχιερεῖς, καὶ ἔτι ἐκλήθησαν Φιλόχριστοι, Εὐσεβέστατοι, Θεοφιλέστατοι, Θειότατοι, Χριστιανικώτατοι, Ἐνδοξότατοι, Εὐλαβέστατοι, Πιστότατοι, Φιλάγαθοι, Θεόσοφοι, Πανάγαθοι, Φιλοδίκαιοι, Θεοφύλακτοι, Θεοτίμητοι, τῆς ὀρθοδοξίας ὑπέρμαχοι καὶ τῆς κακοδοξίας ἀντίμαχοι, Θεοδίδακτοι, Δεσπόται Θεοστήρικτοι, Καλλίνικοι, Θεοψήφιστοι, Γαληνότατοι, Θεόστεπτοι, Δεσπόται ἀγαθοὶ, φύλακες τῆς πίστεως, στήριγμα τῆς ὀρθοδοξίας, εἰρήνης τῇ Ἐκκλησίᾳ παραίτιοι, Δεσπόται πανάγαθοι, πιστοὶ Βασιλεῖς, Δεσπόται τῆς Οἰκουμένης, ὀρθοδοξίας ἔκδικοι, συστατικώτατοι Βασιλεῖς, πρόμαχοι, νέος Δαβὶδ, νέος Κωνσταντῖνος, νέα Ἑλένη, τοῖς ὑπὸ τῆς ἀχράντου Τριάδος ἐστεμμένοις, νέῳ Παύλῳ, εἰρήνη τῆς Οἰκουμένης, βεβαιωταὶ τῆς ὀρθοδοξίας ὡς οἱ Ἀπόστολοι, Φωστῆρες ὀρθοδοξίας, Φωστῆρες εἰρήνης, Φωστῆρες Οἰκουμένης, ἄξιοι πίστεως, ἄξιοι τοῦ Χριστοῦ, δόξα τῶν Ἐκκλησιῶν, διῶκται καὶ καθαιρέται καὶ λικμήτορες τῶν Αἱρετικῶν, ζωὴ τῶν ὀρθοδόξων, βοηθοὶ καὶ ὑπέρμαχοι τῆς Ἐκκλησίας, Ἰσαπόστολοι, Ἐπίσκοποι, Ἱερεῖς, τὴν πολιτείαν τῶν Χριστιανῶν ὑψώσαντες, ἐξοχώτατοι τῶν Αὐγούστων, καὶ ἄλλα παρόμοια μεγάλα τε καὶ πολλὰ, καὶ ἴδε τὰ πρακτικὰ τῶν ἁγίων Συνόδων.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι καὶ ἀπὸ τῶν ἐν τῇ παλαιᾷ γραφῇ Μωϋσέως, κριτῶν, καὶ Βασιλέων, δείκνυται ἀρχαῖον καὶ πάτριον τὸ λέγεσθαι τοὺς Βασιλεῖς Ἀρχιερεῖς.

Ὅτι τοῦτο ὅπερ λέγονται οἱ Βασιλεῖς καὶ Ἀρχιερεῖς, οὐκ ἔστι καινὸν καὶ πρόσφατον, ἀλλ' ἀρχαῖον καὶ πάτριον, ὁ γὰρ Μωϋσῆς οὐκ ἦν Ἀρχιερεὺς, ἀλλὰ Δημαγωγὸς καὶ πολιτικὸς Ἄρχων, ῥητέον δὲ ὅτι καὶ Βασιλεὺς, διὰ τὸ εἶναι ὅμως αὐτὸν ἐν τῇ ἁγιωτάτῃ πίστει συνεργὸν, καὶ σχεδὸν Νομοθέτην, ἐκλήθη καὶ Ἱερεὺς, διὸ λέγεται ἐν ψαλμοῖς, Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς Ἱερεῦσιν αὐτοῦ. τὸ δὲ Ἱερεὺς ἐνταῦθα αὐτὶ Ἀρχιερέως ἐννοεῖται, καὶ ὁ Ἀαρὼν Ἀρχιερεύς. τῆς αὐτῆς τάξεως ἦσαν καὶ οἱ μετὰ Μωϋσέα ἐν τῇ ἀρχαίᾳ Ἐκκλησίᾳ διακονήσαντες Κριταὶ καὶ Βασιλεῖς, οἷον Ἰησοῦς ὁ τοῦ Ναυῆ, Δαβὶδ, καὶ Σολομὼν, Ἐζεκίας, Ἰωσαφὰτ, καὶ Ἰωσίας, καὶ ἴδε τὰ ἀξιάγαστα καὶ μεγάλα αὐτῶν ἔργα ὑπὲρ τῆς ἁγίας θρησκείας ἐν τῇ ἁγίᾳ γραφῇ, καὶ γὰρ ἠρίστευσαν ὑπερβαλλόντως μᾶλλον τῶν Ἀρχιερέων. καὶ κατὰ τοῦτον τὸν τρόπον καὶ ἐν τῇ νέᾳ Διαθήκῃ ὑπηρέτησαν οἱ μεγάλοι Κωνσταντῖνος, Θεοδόσιος, Μαρκιανὸς, Ἰουστινιανὸς, καὶ Κωνσταντῖνος ὁ Πωγωνᾶτος καὶ οἱ λοιποὶ τοιοῦτοι, οἵτινες τῆς Ἐκκλησίας ἐφρόντισαν, τὰ μέγιστα καὶ ἄριστα καὶ κάλλιστα ἐνεργήσαντες ὑπὲρ τοῦ ὀρθοδόξου δόγματος, ἐν οἷς καὶ τὰς Οἰκουμενικὰς ἤγειραν Συνόδους, ὅθεν προσφυῶς ὑπέγραψαν οἱ τῆς Ἀνατολῆς Ἀρχιερεῖς ἀνωτέρω συμφώνως τῷ μεγάλῳ Ἰουστινιανῷ τὸ μέγιστον καλὸν ὃ γίνεται ἐν τῇ Ἐκκλησίᾳ, συμφωνουσῶν Ἱερωσύνης καὶ Βασιλείας, καὶ τέως τῆς Χριστιανικῆς Ἡγεμονίας γίνεται.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ ἀνθυποφορᾶς Λατίνων ἐκ τῆς πρὸς τοὺς Ἑλλησπονδίους ἀποκρίσεως τοῦ Βασιλέως Οὐαλεντιανοῦ, καὶ Ἰωάννου τοῦ Παλαιολόγου κατὰ τὸν Ἰωσὴφ Μεθώνης, ὅτι οὐκ ἴδιον τοῖς Βασιλεῦσι Συνόδους ἀθροίζειν.

Ἀλλ' ἀνθυποφέρουσιν οἱ αὐτοὶ, ἤτοι οἱ παπισταὶ τὸν Βασιλέα Οὐαλεντιανὸν εἰπόντα Ἑλλησποντίοις καίτισιν ἄλλοις Ἀνατολικοῖς Ἐπισκόποις, Ἐμοὶ μὲν μετὰ λαοῦ τεταγμένῳ οὐθέμις τοιαῦτα πολυπραγμονεῖν, οἱ δὲ Ἱερεῖς, οἷς τοῦτο μέλει, καθ' ἑαυτοὺς ὅπου βούλονται συνίτωσαν. Σωζόμενος βιβλίῳ ἕκτῳ κεφαλαίῳ ἑβδόμῳ. Ἔτι προσφέρουσιν Ἰωσὴφ τὸν Μεθώνης γράφοντα κατά τινος ἐπιστολῆς τοῦ Ἐφέσου, ὅτι ἔλεγεν Ἰωάννης ὁ Παλαιολόγος, Ἐγὼ Βασιλεὺς ὢν τῇ χάριτι τοῦ χρίσαντός με Θεοῦ, οὐκ ὀφείλω δοῦναι

τῷ

τῷ Θεῷ λόγον ὅσον ὑμεῖς, τὸ γὰρ χρέος τοῦ Βασιλέως ἐστὶν ὑπερασπίζειν τῆς ἀποφάσεως τῆς Συνόδου. ὑμεῖς ἐστε Ποιμένες τῆς Ἐκκλησίας, πρὸς ὑμᾶς οἱ Χριστιανοὶ πάντες ἀφορῶσιν, Ἡγήτορές ἐστε τῶν ψυχῶν αὐτῶν, ὑμεῖς ὀφείλετε ἀποδοῦναι λόγον τῷ Θεῷ ὑπὲρ τῶν ψυχῶν αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε΄.

Περὶ λύσεως τῆς ἀνθυπορᾶς τῶν Λατίνων ἐκ τῆς αὐτῆς, τῇ ἀληθείᾳ καὶ τοῖς Βασιλεύσει βοηθούσης, καὶ τὸν Πάπαν μὴ εἶναι Ἐπίσκοπον ἀποδεικνυούσης.

Ἀλλὰ ῥητέον, τοῦτο ὅπερ εἶπεν ὁ Οὐαλεντιανὸς τοῖς Ἐπισκόποις, θέλημα ἦν, ἵνα ποιήσωσι τὴν Σύνοδον, ὅθεν καὶ ἤθροισαν αὐτὴν εἰς Λάμψακον, καὶ ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον δέκατον πέμπτον. ὅτι δὲ οἱ λόγοι οὗτοι τοῦ Βασιλέως προτροπὴ ἦν εἰς ἄθροισιν τῆς Συνόδου καὶ οὐ παραίτησις, λέγει αὐτὸ ὁ Θεοφάνης, καὶ ἴδε ἀνωτέρω κεφαλαίου τρίτου τμήματος πρώτου Παράγραφον πέμπτον. ἀλλὰ δὴ καὶ τὰ τοῦ Βασιλέως Ἰωάννου ἡμῖν βοηθεῖ, πρῶτον, ὅτι ἀληθές ἐστιν ὑπερασπίζειν τοὺς Βασιλεῖς τῆς ἀποφάσεως τῶν Συνόδων, ἀλλ' ἐκείνων τῶν Συνόδων ἃς αὐτοὶ ἀθροίζουσι, καὶ ἐνεργοῦσιν ἐν αὐταῖς καὶ πρὸ τῆς ἀθροίσεως καὶ ἐν τῇ ἀθροίσει καὶ μετὰ τὴν ἄθροισιν τὰ προσήκοντα, ὡς εἴρηται ἀνωτέρω, ἵνα τὴν ἀπόφασιν οἱ πατέρες συγκροτήσωσι. δεύτερον, ὅτι ὁ Μεθώνης, καίτοι παπιστὴς ὤν, ἀλλ' ὁμολογεῖ καὶ ἄκων, ὅτι οἱ Χριστιανοὶ πρὸς τοὺς Ἐπισκόπους ἀφορῶσι καὶ οὐ πρὸς τὸν Ἐπίσκοπον, ἤτοι τὸν Πάπαν, καὶ οἱ Ἐπίσκοποι Ποιμένες καὶ Ἡγήτορές εἰσι τῶν ψυχῶν τῶν Χριστιανῶν ἐξίσου καὶ πάντες δηλονότι, ὁ δὲ Πάπας, ὃς χωριζόμενος τῶν Ἐπισκόπων, οὐκ ἔστιν Ἐπίσκοπος, καὶ γὰρ ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ ἑβδόμῳ, ὁ Ἐπίσκοπος ἄνευ τῆς Συνόδου τῶν σὺν αὐτῷ Ἐπισκόπων, ἢ τοὐλάχιστον τοῦ Πρεσβυτερίου, οὐδὲν οὐδαμῶς δύναται ἐν τῇ Ἐκκλησίᾳ. ἴδε περὶ τούτων καὶ ἀνωτέρω κεφάλαιον δέκατον.

ΒΙΒΛΙΟΥ Ι΄. ΜΕΡΟΣ Γ΄. ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Ἀντιθέσεις τῶν παπιστῶν ἐννέα, ὅτι ὁ Πάπας ἐξ ἰδίας αὐθεντίας ἀθροίζει τὰς Οἰκουμενικὰς Συνόδους.

Πρώτη, ὅτι εἶπον οἱ Λεγᾶτοι τοῦ Πάπα Λέοντος ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ πράξει πρώτῃ περὶ τοῦ Διοσκόρου, Καὶ Σύνοδον ἐτόλμησε ποιῆσαι ἐπιτροπῆς δίχα τοῦ ἀποστολικοῦ θρόνου, ὅπερ οὐδέποτε γέγονεν, οὐδὲ ἐξὸν γενέσθαι. ΔΕΥΤΕΡΑ, ὅτι λέγεται ἐν τῇ ἕκτῃ πράξει τῆς ἑβδόμης Συνόδου περὶ τῆς ἐπὶ Κωνσταντίνου τοῦ Κοπρωνύμου ἐν Βλαχέρναις ψευδοσυνόδου, Πῶς μεγάλη καὶ Οἰκουμενικὴ ἡ τῶν Εἰκονομάχων Σύνοδος; ἥτις οὐκ ἔσχε συνεργὸν τὸν τηνικαῦτα τῆς Ῥωμαίων Πάπαν, ἢ τοὺς περὶ αὐτὸν Ἱερεῖς, οὔτε διὰ Τοποτηρητῶν αὐτοῦ, οὔτε δι' ἐγκυκλίου ἐπιστολῆς καθὼς Νόμος ἐστὶ ταῖς Συνόδοις. ΤΡΙΤΗ, ὅτι λέγει Συμεὼν ὁ Μεταφραστὴς, Πῶς δὲ καὶ Οἰκουμενικὴ ἂν κληθείη, ἐφ' ᾗ οὐχ ὁ Ῥώμης εὐδόκησε πρόεδρος, οὗ χωρὶς ἀδύνατον πάντως τὰ ἐκκλησιαστικὰ κανονίζεσθαι. ΤΕΤΑΡΤΗ, ὅτι γράφει ὁ Πάπας Γρηγόριος ὁ δεύτερος πρὸς Λέοντα τὸν Ἴσαυρον, Ἔγραψας ἵνα Οἰκουμενικὴ Σύνοδος γένηται, καὶ ἡμῖν ἀπρόσφορον ἐφάνη, περὶ τούτου σύνθου, ὅτι ἐπηκούσαμεν σου, καὶ συνηθροίσθησαν ἀπὸ πάσης τῆς Οἰκουμένης οἱ Ἀρχιερεῖς, καὶ τὰ ἑξῆς. ΠΕΜΠΤΗ, ἀπὸ τῆς ἐπιστολῆς τῶν Ἀρχιερέων τῆς Ἀνατολῆς πρὸς τὸν Κωνσταντινουπόλεως Ταράσιον, ἐν ᾗ λέγεται καὶ ταῦτα, Τοῦτο δὲ ἐστὶν ἀκριβέστερον συνιδεῖν καὶ ἀπὸ τῆς ἁγίας καὶ Οἰκουμενικῆς ἕκτης Συνόδου, ἐν ᾗ οὐδεὶς τῶν κατὰ καιρὸν ἐκεῖνον ἐν τούτοις ἐπισκοπούντων τοῖς μέρεσι συναχθεὶς εὕρηται διὰ τὴν τῶν μιαρῶν ἐπικράτειαν, ἀλλ' οὐδὲν ἐκ τούτου τῇ ἁγίᾳ Συνόδῳ πρόκριμα συνεπλάκη, οὐδ' αὖ παρωμάρτησε κώλυσίς τις συστήσασθαι, καὶ κατάδηλα πᾶσι ποιῆσαι τὰ ὀρθὰ τῆς εὐσεβείας δόγματα, μάλιστα τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ Πάπα Ῥώμης συμφωνήσαντος αὐτῇ, καὶ συνευρεθέντος διὰ τῶν οἰκείων Ἀποκρισιαρίων, καὶ ἀρτίως ἁγιώτατοι τοῦτο γένοιτο σὺν Θεῷ. ΕΚΤΗ, ὅτι Νικόλαος ὁ Ὑδροῦντος λέγει, Αἱ δὲ Οἰκουμενικαὶ γεγόνασιν ἐκ θεσπίματος τοῦ μεγάλου Ἀρχιερέως Ῥώμης καὶ τῶν αὐτῆς Βασιλέων, ἔνθα Οἰκουμενικοὶ καὶ μεγάλοι παρῆσαν Ἀρχιερεῖς, καὶ διὰ τοῦτο Οἰκουμενικαὶ ἐκλήθησαν, ὅτι ἐκ παντὸς τοῦ κόσμου συνηθροισμέναι εἰσὶ, καὶ μάλιστα ὅτι ζήτησις περὶ πίστεως γέγονε, καὶ ψῆφος, ἤτοι ὅρος δογματικὸς ἐξενήνεκται. ΕΒΔΟΜΗ, ὅτι Γεννάδιος ὁ Κωνσταντινουπόλεως γράφων περὶ τῆς ἀρχῆς τοῦ Πάπα λέγει, Οὐκ οἴδατε, ὅτι τὴν κατ' Ἔφεσον γενομένην λῃστρικὴν Σύνοδον παρὰ Διοσκόρου Πατριάρχου Ἀλεξανδρείας καὶ Ἰουβεναλίου Ἱεροσολύμων καὶ τῶν περὶ αὐτοὺς Ἐπισκόπων κατὰ τῆς ὀρθῆς πίστεως τοῦ ἐν ἁγίοις Φλαυϊανοῦ Πατριάρχου Κωνσταντινουπόλεως ὁ ἁγιώτατος Πάπας Ῥώμης Λέων ὁ θεῖος ἐκεῖνος μόνος

ΒΙΒΛΙΟΘΗΚΗ Ιω. ΒΛΑΧΟΓΙΑΝΝΗ
ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μόνῳ αὐτῷ ἀνέτρεψε καὶ ἀναθέματι καθυπέβαλον. ΣΤΔΟΗ, ὅτι λέγει ὁ Βησσαρίων ἐπιστολὴ πρὸς τοὺς Ἕλληνας, Κελεύει μόνῳ τῷ ἐν Ἐφέσῳ πρώτῃ Συνόδου ἐδοκίμασέ τε καὶ ἐκήρυξε, καὶ Λέων ὁ μέγας αὐτὸς μόνῳ τῷ ἐν Ἐφέσῳ οἰκουμενικῇ Συνόδου ἀπεδοκίμασέ τε καὶ ἀπεκήρυξε, καίτοι χιλίων τῆς ὅλης Ἀνατολικῆς Ἐκκλησίας καὶ αὐτῶν τῶν Πατριαρχῶν εἰς ταὐτὸν συνελθόντων. ΕΝΑΤΗ, οἱ Βασιλεῖς Οὐαλεντιανὸς ὁ Μαρκιανὸς γράφοντες πρὸς τὸν Πάπαν Λέοντα ἐπιστολὴν, λέγουσι πρὸς τοῖς ἄλλοις καὶ ταῦτα τὰ ῥήματα, Τῷ σῷ ἁγιωσύνῃ ἐπισκοπήσαν καὶ ἄρχουσαν τῆς θείας πίστεως. καὶ κατωτέρω, Ὥστε πάσης ἀσεβοῦς πλάνης ἀποκινηθείσης διὰ τῆς συγκροτηθείσης ταύτης Συνόδου, σὺ αὐθεντοῦντος, μεγίστη εἰρήνη περὶ πάντας τοὺς Ἐπισκόπους τῆς καθολικῆς πίστεως ὑπαρχθείη, παντὸς μύσους καθαρᾶς καὶ ἁπάσης γενομένης. λέγουσιν οὖν οὐ τούτοις οἱ παπισταὶ, ὅτι ἐνταῦθα τὸ ἄρχειν ἀδεῶς ἑτέροις δηλοῖ, ἀλλ' ἢ ὅτι ὁ Πάπας Ἄρχων ἐστὶν ἐπὶ τῆς καθόλου Ἐκκλησίας. ταῦτα οἱ Λατῖνοι.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ἀπάντησις πρὸς τὰς ἐνέα αὐτιθέσεις τῶν παπισῶν, ἐξ ἧς μυθοπλάσαι, ψεῦσαι, καὶ δόλιοι δείκνυνται, καὶ αὐτίφασις πρὸς τὸν Πάπαν ἐκ τῶν πρὸς τοὺς ἁγίους πατέρας ἐγκωμιαστικῶς λεγομένων ἐνταῦθα κλήσεων.

Ἀλλὰ ῥητέον πρὸς ταῦτα, ὅτι τῷ ἱερῷ Νείλῳ γράφοντι κατὰ τῆς μοναρχίας τοῦ Πάπα, ὁ Καρυόφυλλος αὐτιλέγων αὐτῷ, προσφέρει μαρτυρίαν εἰς σύστασιν τοῦ παπισμοῦ (εἰ καὶ λίαν σοφιστικῶς, ἤτοι ψευδῶς) ἀπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου, ἔθεν δὲ αὐτὸν περὶ τοιούτου μεγάλου, καὶ μάλιστα μεγίστου πράγματος (ἐπειδὴ εἰς τὰ κύρια ἄρθρα τῆς πίστεως καταλέγουσιν αὐτὸ οἱ παπισταὶ) προσενεγκεῖν μαρτυρίας πρῶτον μὲν, ἀπὸ τῆς ἁγίας γραφῆς, ἧς τῆς σαφεστάτης μαρτυρίας χωρὶς ἀδύνατον τοιοῦτον σύστημα λαβεῖν ἐν τῇ Ἐκκλησίᾳ. δεύτερον δὲ, ἀπὸ τῶν Ἀποστολικῶν, καὶ καθεξῆς ἀπὸ τῶν Διαδόχων αὐτῶν ἁγίων πατέρων. ἡ δὲ τῆς μὲν ἁγίας γραφῆς μαρτυρία προσκομισθεῖσα οὐκ ἐδυνήθη, τοὺς δὲ ἁγίους πατέρας διὰ τὸν αὐτὸν αἰτίαν ἐθελουσίως παραιτησάμενος, μετὰ τετρακόσια δεκαοκτὼ ἔτη ἀπὸ τῆς Ἀναστάσεως τοῦ Χριστοῦ ἔφερε μαρτυρίαν ἐκεῖνο δηλονότι τὸ, Ὁ Πάπας ἐπὶ τῆς ἐν Χαλκηδόνι Συνόδου ἐρρέθη φύλαξ τῆς Ἀμπέλου. οὕτω καὶ ἐν ταῦτα οἱ αὐτοὶ, ἤτοι οἱ παπισταὶ τὸν ἐπιγραφὸν τῶν αὐτιθέσεων γράφουσιν ἰσχυράν, τὰς δὲ συστάσεις τῶν αὐτιθέσεων ὡς λίαν ἀσθενεῖς, πρῶτον, ὅτι ἡ ἑβδόμη Οἰκουμενικὴ συνῆλθε μετὰ ἑπτακόσια πεντηκοντατρία ἔτη ἀπὸ τῆς Ἀναστάσεως τοῦ Σωτῆρος, πῶς δὲ περὶ τῆς τοῦ Πάπα ἐπὶ τῆς αἱρέσεως τῶν Συνόδων ἐξουσίας οὐκ ἔφερον μαρτυρίαν οὔτε τῆς γραφῆς, οὔτε τῶν οὐ τοῖς ἑπτακοσίοις πεντήκοντα καὶ τελοῦν ἔτεσιν ἀκμασάντων ἁγίων πατέρων; τί τὸ αἴτιον; ὅτι οὐκ ἔχουσιν, ἐπειδὴ καὶ ἡ ἁγία γραφὴ, καὶ οἱ ἅγιοι πατέρες, καὶ οἱ τρεῖς τῶν οἰκουμενικῶν συνόδων τῶν γνωρίμων Οἰκουμενικῶν Συνόδων, καὶ τὰ πρακτικὰ αὐτῶν, καὶ οἱ κατὰ καιροὺς ἐκκλησιαστικοὶ ἱστορικοὶ τὰ ἐναντία τοῖς παπισταῖς φρονοῦσι καὶ κηρύττουσι. δεύτερον, ὅτι καὶ τὰς μαρτυρίας ταύτας ἃς προσφέρουσι λυμαίνονται καὶ κολοβοῦσι καὶ ἀποκόπτουσι. τρίτον, ὅτι καὶ αἱ χρήσεις αὗται ἁπλῶς περὶ τοῦ αἰρεῖσθαι τὸν Πάπαν ἰδίᾳ ἐξουσίᾳ τὰς Οἰκουμενικὰς Συνόδους λαμβάνουσιν, ἀλλὰ σοφιστικῶς καὶ ἀναιδῶς ταύτας οἱ παπισταὶ παρεξηγοῦνται, ἅτινα ἵνα καταδήλα γένηται, ῥητέον πρὸς σκόπιμον τῶν αὐτιθέσεων σωρὸν τὰ ἀναγκαῖα. Πρὸς τὸν πρώτην εἴρηται εἰς τὸν τόπον τὰ εἰκότα, ἤτοι εἰς βιβλίον τεταρτον κεφαλαίον πρῶτον Παραγράφου δέκατον, ἀλλὰ καὶ ἤδη ῥητέον. Ὁ μέγας Ἰουστινιανὸς γράφει εἰς τὸν ὦ τῷ πληρώματι τῆς καθολικῆς Ἐκκλησίας λόγον, Πλὴν καὶ ἐκεῖνο δεῖ προσέχειν τοὺς τὸν ἀληθειαν ἐρευνῶντας, ὅτι πολλάκις τινὰ ἐν ταῖς Συνόδοις παρά τινων ἐν αὐταῖς διερισκομένων λέγεται ἢ κατὰ προπέτειαν, ἢ κατ' ἀντίωσιν, ἢ κατ' ἄγνοιαν, ἃ δὲ προσέχει τοῖς κατὰ μέρος ποτέ τινων λεγομένοις, ἀλλὰ μόνοις τοῖς κατὰ κοινὸν συναίνεσιν ποτὲ πάντων διεξερευνωμένοις, εἰ γὰρ κατ' ἐκείνης ἐβλήθη τις προσέχειν ταῖς τοιαύταις ἀντιθέσεσιν, ἑκάστη Σύνοδος διέσκεται ἑαυτὸν ἀνατρέπουσα. κατὰ προπέτειαν ἓν εἴρηται ταῦτα τοῖς Τοποτηρηταῖς τοῦ Λέοντος, πλὴν διόλου ψευδῶς, ὡς εἴρηται εἰς τὸν ἀληθῆ τοῦτον τόπον. ὑπεμίνησε δ' αὐτοὺς ἡ Σύνοδος, ἥτις λαμπρῶς καὶ πεπλατυσμένως ἐν πάσαις ταῖς πράξεσιν αὐτῆς ἀνεβοᾶ, ὅτι σωθῆναι προσαγὴ τοῦ Αὐτοκράτορος. κρίνασα δὲ τὸν Πάπα τῷ ἐπισκόπῳ καὶ τὸν Εὐτυχῆ τὸν Αἱρεσιν, ἐδικαίωσε τὸν Πάπαν, ἵνα καὶ τὰ ὅρια τῆς ἐξουσίας ὁπόσα καὶ ὁποῖα ἐστὶν ἔδειξε, Κανόνα ἐκθεμένη εἰκοστὸν ὄγδοον, καὶ ἴδε ἐκεῖ τὰς σημειώσεις πρὸς ἀπάτην πασῶν τῶν ἀπὸ τοῦδε τόπου τούτου ἀναληφθεισῶν παπικῶν αὐτιθέσεων. Πρὸς δὲ τὴν δευτέραν ῥητέον πρῶτον, ὅτι καὶ αὕτη ἀποκεκομμένη προσῆκται. δεύτερον, ὅτι περὶ αὐτῆς εἴρηται αὐτοτέρω βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παραγράφῳ τρίτῳ, καὶ ἤδη ῥητέον, ὅτι τὰ ῥήματα τῆς ἑβδόμης Συνόδου περὶ τῆς Συνόδου τῶν Εἰκονομάχων ἴδε αὐτοτέρω κεφαλαίου τρίτου τμήματος ὀγδόου Παραγράφῳ τρίτῳ, καὶ γνῶθι τοὺς ἀφελεῖς τὰ πρῶτα καὶ ὕστερα παπισας, καὶ μόνα τὰ ἐνταῦθα κέρδη λαβόντας εἰς μαρτυρίαν, οὔτε τὸν Θεὸν φοβουμένους, οὔτε τοὺς ἀνθρώπους ἐντρεπομένους, ἐλέγχουσιν ὅμως αὐτοὺς αὐτοχωρητοὺς οἱ τοιοῦτοι ἑαυτῶν πατέρες

πῆς τῶν γραφικῶν καὶ πατρικῶν ῥημάτων μυκτηρίσαντες, καὶ ἴδε ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παράγραφον εἰκοστὸν δεύτερον. τρίτον, ὅτι τὰ ῥήματα τῆς ἑβδόμης Συνόδου ταῦτα, ἤτοι ὡς γέγραπται ἀνωτέρω, ἤτοι ἐν τοῖς εἰρημένοις τόποις καὶ ἐν τῷ παρόντι μέρει ἐν Παραγράφῳ τρίτῳ τοῦ ὀγδόου τμήματος τοῦ τρίτου κεφαλαίου ἡ περίοδος τελεία, οὐ διδόασι τῷ Πάπᾳ μοναρχίαν, ἀλλὰ τὸν μὲν Πάπαν ἴσασιν ἕνα Πατριάρχην ὡς καὶ τοὺς λοιποὺς, ὅθεν καὶ συνεργὸν μόνον λέγουσιν αὐτὸν, τὰς δὲ Συνόδους φασὶ συνίστασθαι ἐκ πάντων τῶν Πατριαρχῶν ἐξίσου καὶ τῶν λοιπῶν ἐγκρίτων Ἀρχιερέων τῶν ὑποκειμένων αὐτοῖς, τὴν δὲ ἄθροισιν τῶν Συνόδων πᾶσα ἡ ἑβδόμη Οἰκουμενικὴ ὑπὸ τῶν Βασιλέων γεγονέναι προφαιέστατα παρίστησι, καὶ ἴδε ἀνωτέρω τὸν τόπον. Πρὸς τὴν τρίτην δὲ, ὅτι ἀληθῶς ὁ Πάπας ὀρθοδοξῶν ἀναγκαῖος ἐστὶν ἐν ταῖς Συνόδοις, ἀλλ' οὐ μόνος, τῷ αὐτῷ γὰρ τρόπῳ ἀναγκαῖοι καὶ οἱ λοιποὶ Πατριάρχαι καὶ οἱ περὶ αὐτοὺς Ἱερεῖς, τὰ δὲ τοιαῦτα τῶν παπιστῶν προβλήματα καὶ ἐντεῦθεν καὶ ἀπὸ τοῦ Σωκράτους καὶ Ἑρμείου καὶ Θεοδωρίτου ἴδε ἀνωτέρω βιβλίῳ δευτέρῳ, ἴδε καὶ τὰ ἔναγχος πρὸς τὴν δευτέραν ἀντίθεσιν εἰρημένα. Πρὸς δὲ τὴν τετάρτην ῥητέον, ὅτι ὡς ἔγραψεν ὁ Ἴσαυρος τῷ Πάπᾳ περὶ Συνόδου, οὕτως ἔγραψε καὶ τοῖς λοιποῖς Πατριάρχαις, καὶ ἴδε ἀνωτέρω τοὺς τόπους τῆς τετάρτης καὶ ἑκτῆς καὶ ἑβδόμης τῶν Συνόδων, ὅπου τῷ αὐτῷ τρόπῳ ἐκλήθησαν οἱ Πατριάρχαι καὶ ὁ Πάπας παρὰ τῶν Βασιλέων ἐν αὐταῖς. δεύτερον, ὅτι οὐ λέγει περὶ ἑαυτοῦ μόνου ὁ Πάπας τῷ Ἰσαύρῳ τὸ, ἐπικούσαμέν σου, ἀλλὰ καὶ περὶ τῶν λοιπῶν Πατριαρχῶν, καὶ δῆλον ἐξ ὧν λέγει κατωτέρω ὅτι αὐτὸς καὶ ὁ Κωνσταντινουπόλεως Γερμανὸς ἔχουσι τὴν ἐξουσίαν τοῦ δεσμεῖντε καὶ λύειν τὰ οὐράνια καὶ τὰ ἐπίγεια. τρίτον, ὅτι ὥσπερ ἔφυγεν ὁ μέγας Ἀθανάσιος τὸν Κωνσταντίου, καὶ παρῃτεῖτο τὸν Οὐάλεντα, καίτοι ἐν Ἀλεξανδρείᾳ εὑρισκόμενος, καὶ ὁ Ἀντιοχείας Ἀναστάσιος αὐτέλεγε τῷ μέγα Ἰουστινιανῷ, εἰς ὃν Ἀναστάσιον καὶ πάντες οἱ κατ' ἐκεῖνον τὸν καιρὸν πατέρες ἀπέβλεπον, καὶ ὁ Ἀντιοχείας Φλαυϊανὸς καὶ ὁ Ἠλίας καὶ Ἰωάννης οἱ Πατριάρχαι Ἱεροσολύμων αὐτέλεγον τῷ Βασιλεῖ Ἀναστασίῳ, καὶ ὁ Δαμασκηνὸς τῷ Καββαλίνῳ, καὶ ὁ Σεβερῖνος καὶ Ἰωάννης καὶ Μαρτῖνος αὐτέλεγον τῷ Κώνστᾳ, καὶ ἄλλοι πατέρες ἄλλοις Βασιλεῦσιν, οὕτω παρῃτεῖτο καὶ ὁ Γρηγόριος τὸν Ἴσαυρον, ἐπειδὴ ἐγίνωσκεν αὐτὸν ἀμεταμέλητον καὶ ἀδιόρθωτον, καὶ γὰρ ἐζήτει Σύνοδον οὐ πρὸς αἵρεσιν τῆς ἀληθείας, ἀλλὰ πρὸς σύστασιν τῆς Εἰκονομαχίας. ἔγραφε δὲ πρὸς τὸν Βασιλέα ἀποτόμως, οὐχ ὡς μονάρχης καὶ μέγας καὶ ὑπὲρ τοὺς Βασιλεῖς, ἀλλ' ὡς ἐπερειδόμενος τῇ τῶν Φράγγων βοηθείᾳ, ὅθεν καὶ τὰ τέλη τῆς Ἰταλίας ἐκώλυσε τοῦ δίδοσθαι εἰς Κωνσταντινούπολιν, αἰτίαν εὑρὼν τὴν Εἰκονομαχίαν τοῦ Ἰσαύρου, ὡς εἴρηται ἀνωτέρω εἰς τὸν τόπον. Σημείωσαι ὅμως, εἴπερ Γρηγόριος ὁ Πάπας ἐγίνωσκε τὸν Ῥωμαίων Ἐπίσκοπον μονάρχην καὶ κεφαλὴν τῆς καθόλου Ἐκκλησίας, πῶς οὐκ ἔγραψεν ἑαυτὸν ἐν ταῖς ἐπιστολαῖς τοιοῦτον, ἀλλὰ μόνον εἶπεν αὐτῷ διατὶ οὐ πείθεται τοῖς πατράσι; καὶ διατὶ ὁ αὐτὸς εἶπε τὸν Ἴσαυρον κεφαλὴν πάντων τῶν Χριστιανῶν; καὶ διατὶ ὁ αὐτὸς τῇ συμφωνίᾳ τῶν Βασιλέων καὶ Ἀρχιερέων ἔδωκε τὸ μέγιστον κῦρος ἐν τῇ Ἐκκλησίᾳ; καὶ διατὶ συνηρίθμησαι τὴν ἐξουσίαν αὐτοῦ ἁπλῶς καὶ ἀδιαφόρως μετὰ τῆς ἐξουσίας τοῦ Κωνσταντινουπόλεων Γερμανοῦ; καὶ ἴδε ἀνωτέρω βιβλίου ἕκτου κεφάλαιον ἔσχατον. Πρὸς δὲ τὴν πέμπτην, ὅτι καὶ αὐτὴν ἀποκεκομμένην προσέφερον, καὶ ἴδε τὰ περὶ αὐτῆς ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παραγράφῳ δεκάτῳ τρίτῳ. Πρὸς δὲ τὴν ἕκτην ῥητέον, ὅτι τὸ, ἐθέσπισε, κοινολογεῖται καὶ ἐπὶ Βασιλέων καὶ ἐπὶ Ἀρχιερέων, καὶ οὐκ ἐπὶ μόνου τοῦ Πάπα, ἐννοεῖται δὲ πρὸς τοὺς Βασιλεῖς ἐν ταῖς Συνόδοις αὐτὶ προσταγῆς, ὡς εἴρηται ἐν πολλοῖς ἀνωτέρω, πρὸς δὲ τοὺς Ἀρχιερεῖς αὐτὶ δεήσεως, προτροπῆς καὶ συναινέσεως. αὐτὶ δεήσεως μὲν, ὅτι ἐδέετο ὁ Πάπας Λέων τοῦ μικροῦ Θεοδοσίου ὑπὲρ ἀθροίσεως Συνόδου, ὅπερ εἶδος τῆς δεήσεως ὀργανικὸν εἴρηται, Σίλβεστρος μὲν γὰρ καὶ Ἀλέξανδρος τὴν πρώτην ἤγειραν Σύνοδον, Δάμασος δὲ καὶ Νεκτάριος καὶ Γρηγόριος τὴν δευτέραν συνεκρότησαν, Κελεστῖνος καὶ Κύριλλος τὴν τρίτην συνέστησαν, Λέων καὶ Ἀνατόλιος τὴν τετάρτην συνήγαγον, καὶ δεήσεσι δηλονότι καὶ παραινέσεσι καὶ τέως συναινέσει, ἐπειδὴ προσκληθέντες παρὰ τῶν Βασιλέων, παρῆσαν ἐν αὐταῖς. αὐτὶ προσταγῆς δὲ, πρὸς τοὺς Βασιλεῖς, οἱ γὰρ Βασιλεῖς Κωνσταντῖνος, Θεοδόσιος, καὶ Μαρκιανὸς τὴν πρώτην καὶ δευτέραν καὶ τρίτην καὶ τετάρτην ἤγειραν προτροπῇ καὶ προσταγῇ. τὴν δὲ πέμπτην ὁ μὲν Ἰουστινιανὸς ἤγειρε προσταγῇ, οἱ δὲ Πατριάρχαι καὶ ὁ Βιγίλιος μόνῃ συναινέσει, οὐμὴν καὶ ὀργανικῶς, ἐπειδὴ ἐκλήθησαν ὑπὸ τοῦ Βασιλέως, μηδὲν τοπαράπαν ἐνεργήσαντες πρότερον περὶ αὐτῆς, καὶ μεταταῦτα οἱ μὲν Πατριάρχαι καὶ αὐτὸς ὁ Πάπας ἔρεγχον, ἐπειδὴ ἐν μόναις ταῖς ἰδίαις Ἐπαρχίαις ἔλεγον τινὰ κατὰ τῆς μονοθελήσεως, οὐμὴν καὶ ἐν τῷ κοινῷ τῆς Ἐκκλησίας ἀγαθόν τι κατὰ τῆς Αἱρέσεως ἐφρόντιζον γενέσθαι, ὁ δὲ Πωγωνᾶτος καὶ ὀργανικῶς, ἐπειδὴ ἐφρόντισε καθ' ὑπερβολὴν προτροπαῖς, συμβουλαῖς, παρακλήσεσι, κελεύσεσι καὶ προσταγαῖς συνήγαγε τοὺς πατέρας, ὑποθήκῃ ὅμως Γερμανοῦ τοῦ Κυζίκου, τοῦ χρηματίσαντος μεταταῦτα Πατριάρχου Κωνσταντινουπόλεως, καὶ Γεωργίου τοῦ τηνικαῦτα Κωνσταντινουπόλεως, ὡς γράφει Λέοντι τῷ Ἰσαύρῳ ἐπιστολῇ πρώτῃ Γρηγόριος ὁ δεύτερος, ὅστις Βασιλεὺς καὶ αὐτὸν τὸν Πάπαν τοῖς αὐτοῖς τρόποις ἐκάλεσεν, ὁ δὲ Πάπας καὶ οἱ λοιποὶ Πατριάρχαι συναινέσεσι μόνον ἤγειραν αὐτὴν, καὶ οὐδέν τι πλέον ἐποίησαν πρὸς τὴν συγκρότησιν αὐτῆς. τῆς δὲ ἑβδόμης ὄργανον μὲν ἦν ὁ Ταράσιος καὶ μόνος, οἱ Βασιλεῖς δὲ προσέταξαν καὶ παρεκάλεσαν, ὁ δὲ Πάπας καὶ οἱ Πατριάρχαι μόνην συναίνεσιν προσέφερον ἐν αὐτῇ καὶ οὐδέν τι πλέον. οὐ μόνος οὖν ὁ Πάπας θεσπίσματι

σματι, ἤτοι προτροπῇ, ἢ συναινέσει ἤθροισε τὰς Συνόδους, ἀλλ' ὡσαύτως καὶ οἱ λοιποὶ Πατριάρχαι. εἰ δὲ λέγει ὅτι τὸ θέσπισμα δηλοῖ προσταγὴν, ῥητέον ὅτι αἱ μὲν τῶν Βασιλέων προσταγαὶ φαίνονται, πῦ δέ ἐστι τῦ Πάπα ἡ προσταγή: ἀλλ' οὐκ ἔχουσι δεῖξαι, ὅθεν καὶ ψεῦσται ἀποδείκνυνται. τὴν δὲ τρίτην ἤθροισαν ὀργανικῶς καὶ Πρεσβύτεροι καὶ Διάκονοι. τὴν δὲ τετάρτην, καὶ γυνὴ ἡ Πουλχερία, καὶ ἴδε ἀνωτέρω τοὺς τόπους. δεύτερον, ὅτι καὶ ἀπὸ τῦ τόπου τούτου φαίνεται Οἰκουμενικὰς κληθῆναι οὐ διὰ τὸν Πάπαν, ἀλλὰ καὶ διὰ τοὺς ἄλλους Οἰκουμενικοὺς Πατριάρχας καὶ Διδασκάλους. ὅτι δὲ Οἰκουμενικοὶ ἐξίσου πάντες οἱ Πατριάρχαι κατὰ τὸ πρᾶγμα καλοῦνται, καὶ οἱ ἔγκριτοι Διδάσκαλοι ὁμοῦ, εἴρηται ἀνωτέρω μέρει δευτέρῳ. Πρὸς δὲ τὴν ἑβδόμην, εἴρηται εἶναι προφανῶς τὰ ῥήματα ταῦτα ψευδῆ, καὶ ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφάλαιον ἔσχατον, καὶ ἤδη ῥητέον, ὅτι εἰ ἀνέτρεψε τὴν λῃστρικὴν Σύνοδον ὁ Ῥώμης μόνος, πῶς ὁ αὐτὸς ἐδέετο τοῦ Βασιλέως Θεοδοσίου ἵνα ἀπραγῆ ποιήσῃ αὐτήν; καὶ ἴδε ἀνωτέρω βιβλίον καὶ κεφάλαιον τὸ αὐτὸ, καὶ ἐν τῷ μέρει τούτῳ κεφάλαιον τέταρτον. πρὸς τούτοις ὁ Γεννάδιος οὗτος ἐστὶ ψευδογεννάδιος, καὶ οἱ ἐπ' ὀνόματι αὐτοῦ γραφέντες λόγοι ὑπὸ τῶν Λατίνων ψευδεπίπλαστοί εἰσι, καὶ ἴδε ἀνωτέρω μέρους πρώτου κεφάλαιον ὄγδοον, ὥστε καὶ ἐκ τούτου δείκνυνται οἱ παπισταὶ οὐ μόνον ψεῦσται, ἀλλὰ καὶ προφανεῖς δόλιοι. Πρὸς δὲ τὴν ὀγδόην ῥητέον, πῦ γέγραπται μόνον τὸν Κελεστῖνον δοκιμάσαι καὶ κηρῦξαι τὴν τρίτην Οἰκουμενικήν; ἐν ποίοις πρακτικοῖς καὶ ἐν ποίοις ἱστορικοῖς καὶ πατράσι; καὶ πῶς οὐκ ἐδυνήθη ἀφορίσαι τοὺς ταύτῃ ἀντιλέγοντας, ἢ πεῖσαι τὸν Ἀντιοχείας Ἰωάννην, καὶ πολλοὺς Ἀρχιερεῖς τῆς Ἀνατολῆς δέξασθαι αὐτήν; ὅτι μὲν γὰρ ταρασσομένων τῶν πόλεων καὶ τῆς Οἰκουμένης ὑπὸ τῆς Αἱρέσεως τοῦ Νεστορίου καὶ τῶν κατ' αὐτῆς μεγάλων φωνῶν τοῦ ἁγίου Κυρίλλου συνεκρότησεν ὁ Βασιλεὺς τὴν Σύνοδον ἵνα κριθῶσιν ὑπ' αὐτῆς αἱ φωναὶ Νεστορίου καὶ Κυρίλλου, φανερόν ἐστιν ἀπὸ τῆς πρὸς τὴν Σύνοδον βασιλικῆς Σάκρας, καὶ ἀπὸ τῆς Συνόδου ἐν τῇ ἀρχῇ τῆς πρώτης πράξεως αὐτῆς. ἀπέθανε δὲ ὁ Κελεστῖνος ἐν τῷ αὐτῷ ἔτει, ὅθεν ὁ μετὰ Κελεστῖνον Ξύστος ἐβεβαίωσεν αὐτὴν, ἤτοι συνήνεσεν αὐτῇ, ὡς εἴρηται ἀνωτέρω βιβλίου τρίτου κεφαλαίῳ δεκάτῳ πέμπτῳ. ἐκήρυξε δ' αὐτὴν πᾶσα ἡ Οἰκουμένη δεξαμένη αὐτὴν, ἐν ᾗ καὶ ἡ Ἀφρικὴ, μᾶλλον δὲ πάντων ἐκήρυξεν αὐτὴν ὁ Κύριλλος διά τε ἐπιστολῶν καὶ ἄλλων συγγραμμάτων μέχρι τῆς κοιμήσεως αὐτοῦ. εἶτα ἡ Σύνοδος ἔγραψε πρὸς τὸν Κελεστῖνον τὴν κρίσιν αὐτῆς πρὸς ἀποδοχὴν, καὶ οὐχὶ πρὸς δοκιμὴν, καὶ ἴδε ἀνωτέρω τοὺς τόπους τῆς τρίτης καὶ τετάρτης τῶν Συνόδων περὶ τῶν ἐπιστολῶν αὐτῶν ὧν ἔπεμψαν τοῖς Ἀρχιερεῦσι τῆς Ῥώμης, ἀλλὰ δὴ καὶ τὰς ῥητὰς μαρτυρίας. τοῦτο λοιπὸν τὸ τὸν Κελεστῖνον δοκιμάσαι καὶ κηρῦξαι τὴν τρίτην Σύνοδον, μόνος ὁ μυθοπλάστης Βησσαρίων εἴρηκε πρῶτον, καὶ οὐδεὶς ἕτερος. τέως, τοῦ Βησσαρίωνος ἡ μαρτυρία περὶ τοῦ Πάπα τοιαύτην ἔχει στάσιν ἐν τῇ Ἐκκλησίᾳ, ἣν εἶχε Σεκούνδου τοῦ Πενταπόλεως ἡ μαρτυρία περὶ τοῦ Αἱρεσιάρχου Ἀρείου. γνώτωσαν καὶ ἐντεῦθεν ὅλοι οἱ Χριστιανοὶ ὅλης τῆς Οἰκουμένης τοὺς παπιστὰς, οἵτινες μὴ ἔχοντες προσαγαγεῖν περὶ τοῦ παπισμοῦ μάρτυρας ἁγίους καὶ ἀρχαίους, προσφέρουσι τὰ σεσωρευμένα ἁμαρτίαις ἀνθρωπάρια, τὰ χρηματίσαντα προδότας καὶ παλιμβόλους, ὅθεν καὶ ὁ παπισμὸς οὐδὲν κατὰ τὸ πρᾶγμα ἐστὶν, ἐπειδὴ παρ' οὐδενὸς κατὰ τὸ πρᾶγμα συνίσταται. Πρὸς δὲ τὴν ἐνάτην ῥητέον, ὅτι περὶ μὲν τοῦ ΑΥΘΕΝΤΟΥΝΤΟΣ, καὶ τῶν λοιπῶν ῥημάτων τῆς ἐπιστολῆς εἴρηται εἰς πλάτος ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παραγράφῳ τρίτῳ καὶ τετάρτῳ. περὶ δὲ τοῦ ΑΡΧΕΙΝ τῆς πίστεως, ῥητέον ἐνταῦθα, ὅτι τὸ ΑΡΧΕΙΝ ὅσον εἰς τὴν προκειμένην ὑπόθεσιν πενταχῶς ἐννοεῖται, ἢ ὡς ὁ Θεὸς λέγεται, καὶ ἔστι κυρίως καὶ ἀληθῶς καὶ ὡσαύτως ἔχων Ἄρχων πάντων Οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. δεύτερον, ὡς ὁ Χριστὸς λέγεται ἐν τῇ Ἀποκαλύψει Ἄρχων τῶν Βασιλέων τῆς γῆς. τρίτον, ὡς οἱ πολιτικοὶ Ἄρχοντες, οἱ μὲν βασιλεῖς ἐξαιρέτως, οἱ δὲ μὴ Βασιλεῖς, ὑφειμένως. τέταρτον, ἔνθα εἰσὶ πολλοὶ Ἄρχοντες τῆς αὐτῆς ἐξουσίας καὶ δυνάμεως, λέγεται ὁ εἷς ἐξ αὐτῶν Ἄρχων, ὡς Λουκᾶ κεφαλαίῳ ὀγδόῳ, Ἄρχων τῆς Συναγωγῆς, καὶ πράξεων κεφαλαίῳ τετάρτῳ, Ἄρχοντες τοῦ λαοῦ, καὶ Ἰωάννου κεφαλαίῳ τρίτῳ, Ἄρχων τῶν Ἰουδαίων ὁ Νικόδημος. ἢ Ἄρχων λέγεται ὁ ἀρχόμενος τί πρᾶγμα ποιεῖν, ὡς τῆς πρὸς Κορινθίους δευτέρας κεφαλαίῳ τρίτῳ, Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν, καὶ πράξεων κεφαλαίῳ δεκάτῳ ὀγδόῳ, Ἤρξατο παῤῥησιάζεσθαι, καὶ Λουκᾶ κεφαλαίῳ δωδεκάτῳ, Ἄρξεσθαι τύπτειν τοὺς παῖδας. ὁ Πάπας οὖν παρὰ τῶν Βασιλέων οὐ λέγεται Ἄρχων μήτε ὡς ὁ Θεὸς, μήτε ὡς ὁ Χριστὸς, εἰ μή που μαίνοιτο, ἔστι δὲ Ἐπίσκοπος Ῥώμης μόνον, ἐννοούμενος Ἄρχων ἀπὸ τῶν πολλῶν τῆς Ἐκκλησίας εἷς, καὶ γὰρ καὶ οἱ ἅγιοι πατέρες καλοῦνται Ἡγεμόνες, Ἔξαρχοι, Ἄρχοντες, Προεστῶτες, Πρόεδροι, Σύνεδροι, Φωστῆρες, Ἀπόδεσμοι, Πυρσοὶ, Στύλοι τῆς ἀληθείας, Πατέρες τῶν Ἐπισκόπων, Πατέρες πατέρων, Οἰκουμένης Παιδευταὶ, Ἑδραίωμα τῶν Ἐκκλησιῶν, Κορυφαῖοι, Δημαγωγοὶ, Στερέωμα, Ἀρχιτέκτονες, Ἔρεισμα, Κεφαλαὶ, Κανόνες πίστεως, τῆς Οἰκουμένης ἁπάσης Προστάται καὶ Διδάσκαλοι καὶ Ὀφθαλμοὶ, Καρποδόται, καὶ τρέφοντες τὴν Οἰκουμένην, Χαρακτῆρες τῆς Ἐκκλησίας, Μεγάλοι ἀνταγωνισταὶ, Μεγάλοι Ἐπίσκοποι, Νέοι Ἀπόστολοι, Ἰσαπόστολοι, κοινοὶ τῆς Οἰκουμένης Ποιμένες, Προμηθεῖς καὶ Προστάται καὶ Στόμα Ἐκκλησίας, Μεγάλοι πατέρες, Ζῆλος πίστεως, ἀκαθαίρετοι Πύργοι, Βάσις δογμάτων, Πέτρα πίστεως ἄῤῥηκτος, Πρόβολοι εὐσεβείας, Ἀρχιποιμένες, μεγάλοι Ἀρχιποιμένες, σοφοὶ Ποιμενάρχαι, Ὅρος ὀρθοδοξίας, Φύλακες καὶ Ἀροτῆρες τῆς Ἀμπέλου, ἄσειστοι Πύργοι, Κοσμήτορες ἀποστολικῆς χορείας,

Ἀρχιερεῖς

Ἀρχιερεῖς αὐτουργίᾳ τοῦ Λόγου, Ἀποστόλων Διάδοχοι, ἐπὶ πᾶσαν Ἄρχοντες τὴν Οἰκουμένην, Ἐκκλησίας Θεμέλιον καὶ Προεξάρχοντες καὶ Κανών, Κληρωταὶ τοῦ θρόνου τοῦ Χριστοῦ ἐπὶ τῆς γῆς, ὡς Πέτρος Πέτρα ὁμολογίας, ἐν ᾗ ἔπηξεν ὁ Χριστὸς τὴν Ἐκκλησίαν αὐτοῦ, Στήλη ὀρθοδοξίας, Πανοσιώτατοι, Μακαριώτατοι, Ἁγιώτατοι, Ἅγιοι, Φῶς, Ἅλας, μεγάλοι Ἱερεῖς, ἐκ Θεοῦ κοινῶς πάντων τὴν ἐπιστασίαν λαβόντες, μεγάλοι τῆς Ἐκκλησίας Διδάσκαλοι, ἀποστολικοὶ Ἄνδρες, ἀποστολικοὶ Ἱερεῖς, ἀποστολικὴ Χορεία, ἐξ ἀποστολικῆς αὐθεντίας Χορεία, Πατέρες τῶν χριστιανῶν, προφητικοὶ Ἄνδρες, τῶν ἀπορρήτων σοφοὶ ὑποφῆται, Θεοφόροι, Θεόπνευστοι, Θεόφθογγοι, Δεσπόται πάντων, τῆς ἀποστολικῆς αὐθεντίας Ἄξιοι, Διδάσκαλοι Διδασκάλων, Ποιμένες Ποιμένων, Παύλῳ παραπλήσιοι, Κορυφαῖοι ὡς ἄλλοι Ἀπόστολοι, Κορυφαῖοι τῶν πατέρων, Διδάσκαλοι τῆς καθολικῆς πίστεως, Ὄργανα τοῦ ἁγίου Πνεύματος, Θησαυροὶ τῆς Ἐκκλησίας, Κύριοι, Καθηγεμόνες, Πατέρες καὶ Διδάσκαλοι τῆς καθόλου Ἐκκλησίας, Φῶτα τῶν φώτων, κοινοὶ Πατέρες τῆς Οἰκουμένης, Θειότατοι, Θεοτίμητοι, Εὐλαβέστατοι, Θεοφιλέστατοι, τὰ πάντα ἁγιώτατοι, ἀγαθοὶ Ποιμένες, Ὁσιώτατοι, Αἰδεσιμώτατοι, Ἱερώτατοι, Κύριοι καὶ Δεσπόται, προσκυνητοὶ Ἐπίσκοποι, δοῦλοι τῶν δούλων τοῦ Θεοῦ, Ἐπίσκοποι τῆς καθόλου Ἐκκλησίας, λειτουργοὶ Θεοῦ, Ἀγαθοὶ θεράποντες, Ἔνδοξοι καὶ Ἐπίσημοι πατέρες, Γεωργοὶ, Μακάριοι, Μεγάλοι, κατασκάπτοντες, ἐκριζοῦντες καὶ καταφυτεύοντες, τῶν ἀποστολικῶν δογμάτων ὑπέρμαχοι, ψήφῳ τῆς θείας χάριτος ἀναφανέντες Ἡγούμενοι τῶν Ἐκκλησιῶν, Σωτηρία τῶν Χριστιανῶν, Θαυματουργοὶ, Θεσμοθέται, ἐξ ἀποστολικῆς αὐθεντίας λαβόντες τὴν ἐξουσίαν, Ἄρχοντες Ἱερωσύνης, ἐλάχιστοι τῶν Ἐκκλησιῶν Πρόεδροι, συμβασιλεύοντες τῷ Χριστῷ. ταῦτα καὶ ἄλλα τοιαῦτα ἴδε ἀνωτέρω μέρους δευτέρου κεφαλαίῳ ἐσχάτῳ, καὶ εἰς τὰ Μηνολόγια, καὶ εἰς τὰ συγγράμματα τῶν ἁγίων πατέρων, καὶ εἰς τὰ πρακτικὰ τῶν ἁγίων Συνόδων. ὡς οὖν λέγονται οἱ πατέρες πρὸς τοῖς ἄλλοις καὶ Ἄρχοντες τῆς καθολικῆς Ἐκκλησίας, ἤτοι ἀπὸ τῶν Ἀρχόντων τῆς καθολικῆς Ἐκκλησίας, καὶ Ἄρχοντες τῆς Ἐκκλησίας, ἤτοι τῆς κατ' αὐτοὺς μερικῆς Ἐκκλησίας, οὕτω λέγεται καὶ ὁ Λέων, καὶ πάντες οἱ Ῥώμης Ἐπίσκοποι, ὅθεν ὁ Κωνσταντῖνος ἔγραφε κοινῶς τοῖς πατράσι τῆς πρώτης Συνόδου, Τοῦ Θεοῦ ὑμᾶς προχειρισαμένου Ἱερεῖς τε καὶ Ἄρχοντας κρίνειν τε καὶ διακρίνειν τὰ πλήθη καὶ Θεοὺς εἶναι ἅτε δὴ ἀνθρώπων ὑπερέχοντας ὁρισαμένου κατὰ τὸ εἰρημένον, Ἐγὼ εἶπα Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. καὶ τὸ, Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ Θεῶν. Γελάσιος βιβλίου δευτέρου κεφαλαίῳ ὀγδόῳ. καὶ ὁ θεοφόρος Ἰγνάτιος ἐπιστολῇ πρὸς Τράλλεις, λέγει Ἄρχοντα τὸν Ἐπίσκοπον Πολύβιον. Εὐσέβιος βιβλίου τρίτου κεφαλαίῳ τριακοστῷ πέμπτῳ. καὶ ἀνωτέρω ἐν πολλοῖς ἀπὸ διαφόρων ἐκκλησιαστικῶν συγγραφέων εἴπομεν Ἄρχοντας τοὺς ἁγίους πατέρας. καὶ βιβλίου ἑβδόμου κεφαλαίῳ ὀγδόῳ ὁ Κύπρου Ἀρκάδιος ἐρρέθη Προκαθήμενος τῆς ὀρθῆς πίστεως, καὶ ἐν τῇ ἑβδόμῃ πράξει τῆς ἑβδόμης Οἰκουμενικῆς ἐν τῷ Ὅρῳ λέγονται οἱ πατέρες Ἀρχηγοὶ τῆς Ἱερωσύνης, ἐνταῦθα δὲ ὁ Λέων ἐρρέθη ὑπὸ τῶν Βασιλέων Ἄρχων κατὰ τὸν πέμπτον τρόπον, ὡς ἀρχόμενος δηλονότι τῆς εὐσεβείας, ἤτοι κινῶν τὰ τοῦ Εὐτυχοῦς καὶ τὰ τῆς λῃστρικῆς Συνόδου, καὶ ζητῶν παρὰ τῶν Βασιλέων Σύνοδον πρὸς ἀνάκρισιν καὶ διόρθωσιν, ἀλλὰ μήτε τοῦτο δίδωσι προνόμιόν τι τῷ Πάπᾳ ὑπεροχῆς, πρῶτον, ὅτι ἀνωτέρω εἴρηται καὶ ἄλλους ὄργανα γενέσθαι πρὸς ἄθροισιν τῆς Συνόδου. δεύτερον, ὅτι λέγει ὁ Ζωναρᾶς τὸν Λέοντα καὶ τὸν Ἀνατόλιον παρακαλέσαι τὸν Μαρκιανὸν περὶ τῆς Συνόδου, ὅθεν ἐν τῇ Συνόδῳ λέγεται πράξει πέμπτῃ, ὅτι Λέων καὶ Ἀνατόλιος τῆς Συνόδου ἐξῆρχον. εἶτα ἐν τῇ τρίτῃ Συνόδῳ ὁ Κύριλλος ἐκλήθη προτιμότερος τοῦ Λέοντος, ἐρρέθη γὰρ οὐχὶ Ἄρχων τῆς πίστεως, ἀλλὰ τῆς Οἰκουμένης Καθηγητὴς, καὶ ἔτι ὁ Ἐφέσου Μητροπολίτης Μέμνων καὶ ὁ Κύριλλος ἐκλήθησαν ὁμοῦ καὶ ὡσαύτως Κεφαλαὶ τῶν πατέρων τῆς Συνόδου, καὶ Πρόεδροι καὶ Ἔξαρχοι τῆς Συνόδου, ἐκλήθησαν δὲ οὕτως οὐχ ὑπὸ τῶν Βασιλέων, ἀλλὰ κοινῶς καὶ πολλάκις ὑπὸ πάσης τῆς Οἰκουμενικῆς Συνόδου. οὐδὲν οὖν καὶ ἐκ τούτου τοῦ τόπου ὠφελήθησαν οἱ σοφοὶ τῶν παπιστῶν εἰς βεβαίωσιν τινὰ τῆς ἧς πλάττουσιν ἐξουσίας τοῦ Πάπα.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Γ'. ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Ὅτι οἱ Λατῖνοι προβαλλόμενοι εἰς μαρτυρίαν τοῦ προκαθέζεσθαι τὸν Πάπαν ἐν ταῖς Συνόδοις καὶ τῶν Βασιλέων τὸ Συνοδικὸν, τὸν Κωνσταντινουπόλεως Μακεδόνιον καὶ τὴν Φωρετικὴν συναγωγὴν, ἐλέγχονται ἐνταῦθα ὑπὸ τῶν Οἰκουμενικῶν Συνόδων καὶ τῶν ἱστορικῶν ἀπατεῶνες. καὶ ὅτι τὸ καθέζεσθαι τοὺς Βασιλεῖς καὶ τοὺς Ἄρχοντας ἐν ταῖς Συνόδοις, εὐαπόδεκτον καὶ Πάπαις.

Βεβαιοῦσι δὲ τὸν λόγον τοῦτον, πρῶτον ἀπὸ τοῦ Συνοδικοῦ βιβλίου, λέγοντος περὶ τῆς πρώτης Συνόδου, ὅτι ἐξῆρχον αὐτῆς προκαθεζόμενοι οἱ Τοποτηρηταὶ τοῦ Πάπα, εἶτα οἱ Πατριάρχαι, καὶ τέλος πάντων Κωνσταντῖνος ὁ Βασιλεύς. δεύτερον, ἀπὸ Θεοδώρου τοῦ Ἀναγνώστου, λέγοντος βιβλίῳ δευτέρῳ, ὅτι

ὅτι ζητοῦντος Ἀναστασίου τοῦ Βασιλέως Σύνοδον ποιῆσαι κατὰ τῆς ἐν Χαλκηδόνι Συνόδου, ὁ Κωνσταντινουπόλεως Μακεδόνιος χωρὶς Οἰκουμενικῆς Συνόδου, ἐχούσης Πρόεδρον τὸν τῆς μεγάλης Ῥώμης Ἐπίσκοπον, οὐδὲν ποιεῖν ἔλεγε. καὶ τρίτον ἀπὸ τῆς ἐν Φλωρεντείᾳ Συνόδου, ὅπου ὁ Πάπας Εὐγένιος προεκάθισε πάντων ἐν αὐτῇ. ταῦτα οἱ Λατῖνοι. Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι περὶ τοῦ Συνοδικοῦ εἴρηται ἀνωτέρου βιβλίου δευτέρου κεφαλαίῳ τρίτῳ, καὶ καθεξῆς ἐν τοῖς τόποις τῶν Οἰκουμενικῶν Συνόδων, λέγοντος πολλοὺς Ἄρχοντας, Προέδρους, Ἡγουμένους, Ἐξάρχους, καὶ ἄλλως, καὶ μάλιστα ἰσοδυνάμους τῷ Ῥώμης. πρὸς δὲ τὸ δεύτερον, διατοῦτο ἡμεῖς ἐλέει Θεοῦ οὐ μόνον σημειώσεις ἐφιλοπονήσαμεν ἐν τοῖς ἀνωτέρω βιβλίοις, ἀλλὰ καὶ ῥητὰς μαρτυρίας ἐθήκαμεν ἀνωτέρω ἐν τῷ μέρει τούτῳ, ἵνα ἔχωσιν οἱ πιστοὶ εὐκόλως ἅπαντα εἰς τὰ σοφίσματα τῶν παπιστῶν, καὶ ῥᾳδίως καταῤῥάσσειν τὰ ὀχυρώματα αὐτῶν. ἐδείχθη λοιπὸν ὅτι ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ ἐκάθισαν οἱ Ἄρχοντες ἐν μέσῳ τῶν Καγκέλλων, πράξει πρώτῃ, ἤτοι πρὸ τῶν Καγκέλλων, πράξει δευτέρᾳ, τοῦ ἁγίου Θυσιαστηρίου, καὶ ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων αὐτῶν ἐκάθισαν οἱ Πατριάρχαι καὶ οἱ Λεγᾶτοι τῶν ἀπόντων Πατριαρχῶν, ἐν οἷς καὶ οἱ Τοποτηρηταὶ τοῦ Πάπα, καὶ καθεξῆς οἱ λοιποὶ Ἐπίσκοποι, ἐν δὲ τῇ ἕκτῃ πράξει ἦλθεν ὁ Μαρκιανὸς εἰς τὴν Σύνοδον μετὰ τοσούτων Ἀρχόντων, καὶ ἐπειδὴ ἐν ταῖς πέντε πράξεσιν οἱ Ἄρχοντες προεκάθηντο τῆς Συνόδου καὶ πρὸ τῶν Καγκέλλων, ὁ Βασιλεὺς ἐλθὼν, ἐκάθισε πρὸ τῆς ὡραίας πύλης, ἐν δὲ τῇ ἕκτῃ Συνόδῳ, ἐπειδὴ οὐκ ἐγένετο ἡ ἄθροισις ἐν τῇ Ἐκκλησίᾳ, ἀλλ' ἐν τῷ βασιλικῷ Παλατίῳ, προεκάθισεν ὁ Βασιλεὺς τῆς Συνόδου, δῆλον δὲ ὅτι καὶ οἱ Ἄρχοντες προεκάθηντο τῆς Συνόδου κατὰ τὸν τύπον τῆς ἐν Χαλκηδόνι Συνόδου. ἐν δὲ τῇ ἑβδόμῃ, ἐπειδὴ ἡ Σύνοδος ἡλίσθη ἐν τῇ Ἐκκλησίᾳ, καὶ ἐκάθητο ἡ Σύνοδος πρὸ τοῦ Ἄμβωνος, δῆλον ὅτι οἱ Ἄρχοντες προεκάθηντο τῆς Συνόδου κατὰ τὸν τύπον τῆς τετάρτης καὶ τῆς ἕκτης. ἡ δὲ πρώτη, ἐπειδὴ οὐ συνῆλθεν ἐν Ἐκκλησίᾳ, ἀλλ' ἐν οἴκῳ, καὶ οὐκ εἰς ἁπλοῦν οἶκον, ἀλλ' ὡς εἴρηται ἀνωτέρω, ῥητέον καὶ ἐνταῦθα κατὰ Θεοδώριτον λέγοντα, Συνεληλυθότων δὲ πάντων, οἶκον μέγιστον ἐν τοῖς βασιλείοις ἠυτρέπισεν ὁ Βασιλεὺς, βάθρα καὶ θρόνους ὅτι μάλιστα πλείστους ἐν τούτῳ τεθῆναι κελεύσας τῷ τῶν Ἀρχιερέων ἀποχρῶντα συλλόγῳ, οὕτω τὸ πρέπον αὐτοῖς εὐτρεπίσας γέρας, εἰσελθεῖν τε ἐπέτρεψε, καὶ περὶ τῶν προκειμένων βουλεύσασθαι. ὁ δὲ Εὐσέβιος λέγει ἐν τῷ τρίτῳ βιβλίῳ περὶ τοῦ βίου Κωνσταντίνου, καθίσαι τὴν Σύνοδον ἐν αὐτῷ δὴ τῷ μεσαιτάτῳ οἴκῳ τῶν Βασιλείων, ὃς δὴ καὶ ὑπερφέρειν ἐδόκει μεγέθει τοὺς πάντας, βάθρων τ' ἐν τάξει πλειόνων ἐφ' ἑκατέραις τοῦ οἴκου πλευραῖς διατεθέντων, εἴσω παρῆσαν οἱ κεκλημένοι, καὶ τὴν προσήκουσαν ἕδραν ἅπαντες ἀπελάμβανον. ἀλλ' ὅτε δὴ σὺν κόσμῳ τῷ πρέποντι ἡ πᾶσα καθῆστο Σύνοδος, σιγὴ μὲν τοὺς πάντας εἶχε προσδοκίᾳ τῆς Βασιλέως προόδου, εἰσήει δέ τις πρῶτος, κἄπειτα δεύτερος, καὶ τρίτος τῶν ἀμφὶ Βασιλέα, ἡγοῦντο δὲ καὶ ἄλλοι οὐ τῶν συνήθων ὁ πλιτῶν τε καὶ δορυφόρων, μόνον δὲ τῶν πιστῶν φίλων. πάντων δὲ ἐξαναστάντων ἐπὶ συνθήματι, ὃ τὴν Βασιλέως εἴσοδον ἐδήλου, αὐτὸς δὴ λοιπὸν διέβαινε μέσος οἷα Θεοῦ τὶς οὐράνιος Ἄγγελος, λαμπρὰν μὲν ὥσπερ φωτὸς μαρμαρυγαῖς ἐξαστράπτων περιβολὴν ἀλουργίδος πυρωτοῖς καταλαμπόμενος ἀκτῖσι, χρυσοῦτε καὶ λίθων πολυτελῶν διαυγέσι φέγγεσι κοσμούμενος. καὶ κατωτέρω. Ἐπεὶ δὲ παρελθὼν ἐπὶ τὴν πρώτην τῶν ταγμάτων ἀρχὴν, μέσος καὶ πρῶτος ἔστη. σμικροῦ δέ τινος αὐτῷ καθίσματος ὕλης χρυσοῦ πεποιημένου προτεθέντος, οὐ πρότερον ἢ τοὺς Ἐπισκόπους ἐπινεῦσαι ἐκάθισε, ταὐτὸν δ' ἔπραττον πάντες μετὰ Βασιλέα. ταῦτα καὶ Σωκράτης βιβλίου πρώτου κεφαλαίῳ ὀγδόῳ, καὶ Θεοδώριτος βιβλίου πρώτου κεφαλαίῳ ἑβδόμῳ, καὶ ὁ Γελάσιος βιβλίου δευτέρου κεφαλαίῳ ἑβδόμῳ. Ἐκάθισε δὲ ὁ Βασιλεὺς ἐν τῷ μέσῳ, οὐχ οὕτως μέντοι ὥστε ἔχειν τινὰς μὲν τῶν πατέρων ἔμπροσθεν, τινὰς δὲ ὄπισθεν, ἀλλὰ τῶν πατέρων καθεσθέντων ἐν ἀμφοτέραις ταῖς τοῦ οἴκου πλευραῖς ἐν αἷς ἡτοιμάσθησαν καὶ οἱ θρόνοι, ὁ Βασιλεὺς μόνος ἐκάθισεν ἐν τῷ μέσῳ, ἤτοι ἐν τῷ μέσῳ τοῦ τοίχου ὃς ἦν ἐπὶ τῆς κεφαλῆς, ἤτοι ἄνωθεν τῶν προκαθημένων τῆς Συνόδου πατέρων, ὅπερ ταὐτόν ἐστι τοῖς Καγκέλλοις τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ τοῦ τόπου ἔνθα προεκάθισε Κωνσταντῖνος ὁ Πωγωνᾶτος ἐν τῇ ἕκτῃ. ἦσαν δὲ μετὰ τοῦ Κωνσταντίνου καὶ πιστοὶ φίλοι, ἤτοι Ἄρχοντες, ὧν ἐπὶ τὴν πρώτην ἀρχὴν μέσος καὶ πρῶτος ἔστη, οἵτινες κατὰ τὸν αὐτὸν τρόπον ἐκάθισαν μετὰ τὸν Βασιλέα, ἤτοι ἐπινεύσει τῆς Συνόδου, ὡς ἐκάθισαν καὶ ἐν τῇ τετάρτῃ καὶ ἐν τῇ ἕκτῃ, τὸ γὰρ κάθισμα τοῦ Κωνσταντίνου τύπος ἦν τῶν Βασιλέων καὶ τῶν Ἀρχόντων ἐν ταῖς μεταταῦτα Συνόδοις. ὅτι δὲ τὸ καθέζεσθαι τοὺς Βασιλεῖς καὶ τοὺς Ἄρχοντας ἐν ταῖς Συνόδοις εὐαπόδεκτον ἦν καὶ τοῖς Πάπαις καὶ οὐκ ἐναντίον, γράφει τοῦτο ὁ Πάπας Γρηγόριος ὁ δεύτερος ἐπιστολῇ πρώτῃ πρὸς τὸν Ἴσαυρον. λέγει γὰρ, Σύνθου ὅτι ὑπηκούσαμέν σου καὶ συνηθροίσθησαν ἀπὸ πάσης τῆς οἰκουμένης οἱ Ἀρχιερεῖς, καὶ ἡ Σύγκλητος καὶ ἡ βουλὴ ἐκάθισε, ποῦ ὁ Βασιλεὺς ὁ φιλόχριστος καὶ εὐσεβὴς ὁ πρὸς συνήθειαν ὀφείλων καθίσαι εἰς τὴν βουλὴν, καὶ τοὺς καλῶς λέγοντας φιλοτιμήσασθαι, καὶ τοὺς ἔξω τῆς ἀληθείας ἀποδιώξαι, σοῦ τοῦ Βασιλέως ἀστατοῦντος καὶ βαρβαρίζοντος; ἴδε καὶ ἀνωτέρω κεφαλαίου δεκάτου Παράγραφον τρίτον.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἐν τῷ, οὐ πρότερον ἢ ἐπινεῦσαι τοὺς Ἐπισκόπους ἐκάθισεν (ὁ μέγας Κωνσταντῖνος) ἀνωτέρω ῥητῷ τοῦ Εὐσεβίου, τὸ ἐπινεῦσαι τὸ προσκυνῆσαι δηλοῖ, καὶ ὅτι ἀπὸ τῆς πρώτης Οἰκουμενικῆς Συνόδου, τῶν τε καθεξῆς ἀκολουθησασῶν αὐτῇ ἔν τε τοῖς καθίσμασι καὶ τῇ τάξει Συνόδων, καὶ τοῦ Πάπα Στεφάνου, δείκνυται τοὺς Βασιλεῖς καὶ τοὺς Ἄρχοντας προκαθῆσθαι τῶν ἐν Συνόδοις Πατριαρχῶν τε καὶ Τοποτηρητῶν.

Ἐκεῖνο δὲ τὸ, οὐκ ἐκάθισε, πρὶν ἢ τοὺς Ἐπισκόπους ἐπινεῦσαι, οὐ μαρτυρεῖ τοῦ Βασιλέως ἐλάττωσιν, ἀλλὰ μεγαλεῖον τὸ ἄκρον, σταθεὶς γὰρ διὰ τὴν πρὸς τοὺς πατέρας εὐλάβειαν, οὐ πρότερον καθίζειν ἠρεῖτο, ὡς λέγει ὁ Σωζόμενος, πρὶν ἂν οἱ Ἐπίσκοποι ἐπινεύσειαν. τοσαύτη τὶς εὐλαβεια καὶ αἰδὼς τῶν ἀνδρῶν τὸν Βασιλέα κατεῖχεν. οἱ δὲ πατέρες διὰ τιμὴν καὶ τὴν πρὸς αὐτὸν ὑποταγὴν ἐδεήθησαν τοῦ καθίσαι. δηλοῖ δὲ ἡ ἐπίνευσις ἐν ταῦθα πάντως προσκύνησιν. ἐκάθισε δὲ ὁ Βασιλεὺς ἱσταμένων τῶν πατέρων, οἵτινες οὐκ ἐκάθισαν, ἕως οὗ ἐκέλευσεν αὐτοὺς καθίσαι, ὅθεν λέγει ὁ Σωζόμενος, Ἐπεὶ δὲ ἡ κυρία παρῆν, καθ' ἣν ὥριστο τεμεῖν τὰ ἀμφίβολα, συνῆλθον εἰς τὰ Βασίλεια, καθότι καὶ τῷ κρατοῦντι ἐδέδοκτο κοινωνῆσαι αὐτοῖς τῆς βουλῆς. ἐπεὶ δὲ εἰς ταὐτὸν παρεγένετο τοῖς Ἱερεῦσι, διαβὰς πρὸς τὴν ἀρχὴν τοῦ συλλόγου, ἐπὶ θρόνου τινὸς ἐκάθισεν ὥσπερ αὐτῷ κατεσκεύαστο, καὶ ἡ Συνόδος καθῆσθαι ἐκελεύσθη. βιβλίου πρώτου κεφαλαίῳ ὀκτωκαιδεκάτῳ. ἦν δὲ ὁ θρόνος τοῦ Κωνσταντίνου μικρὸς, ὡς ἦσαν τυχὸν καὶ οἱ τοῦ Μαρκιανοῦ καὶ Πωγωνάτου, καὶ γὰρ ὡς εἴρηται τύπος ἦν τὰ τῆς πρώτης Συνόδου τοῖς μεταταῦτα. μικρὸς δὲ, πρὸς αὐτιδιαστολὴν τοῦ ἐν τοῖς βασιλείοις συνήθους μεγίστου θρόνου, οὐ μὴν ἁπλῶς μικρὸς, ἀλλ' ἐξ ὕλης χρυσοῦ πεποιημένος. Ἐπιλέγομεν δὲ, ὅτι ἐπειδὴ ἐν τῷ οἴκῳ τούτῳ οἱ πατέρες τῆς Συνόδου ἐκάθισαν ἐν ἑκατέραις αὐτοῦ ταῖς πλευραῖς, οὕτω καὶ ἐν τῇ ἐν Χαλκηδόνι ἐκάθισαν ἐφ' ἑκατέραις ταῖς πλευραῖς τῆς Ἐκκλησίας κάτωθεν τῶν Ἀρχόντων ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων αὐτῶν. οὕτως ἐκάθισαν, ὡς εἴρηται, καὶ ἐν τῇ ἕκτῃ καὶ ἑβδόμῃ. ἐξ ὧν γίνεται δῆλον, ὅτι πάντοτε οἱ Βασιλεῖς παρόντες καὶ οἱ Ἄρχοντες αὐτῶν ἐν ταῖς Οἰκουμενικῶς Συνόδοις προεκάθηντο τῆς Συνόδου πάσης, ἐν ᾗ καὶ οἱ Τοποτηρηταὶ τοῦ Πάπα, ὧν εἰς τὸν τόπον ἐκαθέζετο εἰ παρῆν καὶ ὁ Πάπας. τοῦτο, εἰ καὶ ἀπὸ ψευδοῦς ἱστορίας, ἄκων ὅμως ὁμολογεῖ καὶ Στέφανος ὁ Πάπας, γράφων πρὸς Βασίλειον τὸν Μακεδόνα, λέγει γὰρ, ὅτι ἐν τῇ ἐν Νικαίᾳ πρώτῃ Συνόδῳ τὶ ὁ μακάριος Σίλβεστρος ὁ Πάπας ἐξεφώνησε, προκαθημένου ἐκεῖσε καὶ τοῦ ἁγίου Κωνσταντίνου. μάτην ἄρα λέγουσιν οἱ παπισταὶ προκαθῆσθαι τῶν Βασιλέων ἐν ταῖς Συνόδοις τὸν Πάπαν, ἐπειδὴ προκάθηνται αὐτοῦ οὐ μόνον οἱ Βασιλεῖς, ἀλλὰ καὶ οἱ Ἄρχοντες.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι καὶ ἐν ταῖς ὁμιλίαις καὶ ἐνεργείαις τῶν ἐν ταῖς λοιπαῖς Συνόδοις Βασιλέων, οὓς καταλέγομεν ἐν ταῦθα, τύπος ἦν ἡ πρώτη Οἰκουμενικὴ Σύνοδος.

Οὐ μόνον τῷ καθίσματι καὶ τῇ τάξει ἦν ἡ πρώτη Σύνοδος τύπος ταῖς μεταταῦτα, ἀλλὰ καὶ ἐν ταῖς ἄλλαις ὁμιλίαις, ὡς γὰρ ὁ Κωνσταντῖνος λόγον προσφωνητικὸν εἶπε τῇ Συνόδῳ, ὃν καταγράφει ὁ Εὐσέβιος ἐν τῷ τρίτῳ βιβλίῳ τοῦ βίου αὐτοῦ τοῦ Κωνσταντίνου, καὶ ὁ Θεοδώριτος καὶ Γελάσιος καὶ Σωκράτης, καὶ ἄλλοι, οὕτω καὶ ὁ Μαρκιανὸς λόγον προσφωνητικὸν εἶπεν ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ, πράξει ἕκτῃ. καὶ ὡς ὁ Κωνσταντῖνος κατὰ τὸν Θεοδώριτον καὶ τὸν Γελάσιον ἐνήργει ἐν ταῖς Συνόδοις, λέγουσι γὰρ, Ὁ πάνσοφος Βασιλεὺς οἷα δὴ παῖς φιλοπάτωρ τοῖς Ἱερεῦσιν ὡς πατράσι προσέφερε τῶν ἀποστολικῶν δογμάτων τὴν συμφωνίαν πραγματευόμενος. καὶ ὁ Σωκράτης, Τότε οὖν τοὺς περὶ ὁμονοίας καὶ εἰρήνης λόγους εἰς πλάτος διεξελθὼν, αὖθις περὶ τῶν δογμάτων ἐπιμελέστερον ἐπισκέψασθαι τῇ αὐτῶν γνώμῃ ἐπέτρεψε. καὶ πάλιν Θεοδώριτος καὶ Γελάσιος, Ἐπὶ πολλὰς δὲ ἡμέρας, οὐμὴν δὲ ἀλλὰ καὶ καιροὺς ἐφεξῆς συνερχόμενος τοῖς Ἐπισκόποις ὁ Βασιλεὺς, ἅμα αὐτοῖς τὰ περὶ τῆς πίστεως διελάμβανε, τάς τε διαφόρους αὐτῶν γνώμας ἀνελέγετο. καὶ ὁ Γελάσιος, Πρό γε πάντων τὰς τοῦ πιστοτάτου Βασιλέως Κωνσταντίνου, τοῦ ἐν τῇ Συνόδῳ συνεδρεύσαντος, θείας καὶ ἀποστολικὰς ἐννοίας. ἴδε ἀνωτέρω κεφάλαιον δέκατον. οὕτω Θεοδόσιος ὁ μέγας ἐποίει μετὰ τὴν δευτέραν Σύνοδον, προσκαλεσάμενος τοὺς ἀρχηγοὺς τῶν Αἱρετικῶν πρὸς αὐτὸν, καὶ ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφάλαιον ἕκτον, καὶ ἐν τῷ μέρει τούτῳ κεφαλαίου τρίτου τμήματος τρίτου Παράγραφον δεύτερον. οὕτως ὁ Θεοδόσιος ὁ μικρὸς εἰς τὰς πρὸς τὰς Συνόδους Σάκρας αὐτοῦ ὑπετύπου τοῖς πατράσι τὸν τρόπον τῆς διαλέξεως. οὕτως ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ ἐποίουν οἱ Ἄρχοντες καὶ ὁ Βασιλεύς. οὕτως ὁ μέγας Ἰουστινιανὸς ἔγραψε λόγους περὶ πίστεως πρὸς τὸν Κωνσταντινουπόλεως Μηνᾶν, πρὸς τὸ πλήρωμα τῆς καθολικῆς Ἐκκλησίας, καὶ πρὸς τὴν πέμπτην Σύνοδον. οὕτως ὁ διάδοχος αὐτοῦ Ἰουστῖνος ἔγραψε πρόγραμμα εἰς πᾶσαν τὴν ὑφ' Ἥλιον περὶ τῆς ὀρθοδόξου πίστεως, καὶ παρῄνει πάντας ἀποδέχεσθαι τὸ Σύμβολον τῆς δευτέρας Συνόδου. οὕτως ἐποίει Κωνσταν-

Κωνσταντῖνος ὁ Πωγωνᾶτος ἐν τῇ ἕκτῃ, ὃς καὶ σύμψηφος τῷ Θεῷ ἐν τῇ Συνόδῳ κληθῆναι κατηξιώθη, καὶ καθεξῆς οἱ ὀρθόδοξοι Βασιλεῖς ἐν ταῖς κατ' αὐτοὺς ἁγίαις Συνόδοις. καὶ ὡς ὁ Κωνσταντῖνος προσεκάλει τοὺς πατέρας γράμμασι τιμητικοῖς, καὶ σιτηρεσίοις δαψιλέσι καὶ ὀχήμασι περιέθαλπε κατὰ τὸν Εὐσέβιον ἐν τῷ εἰρημένῳ τόπῳ, οὕτω καὶ Θεοδόσιος καὶ Μαρκιανὸς καὶ Πωγωνᾶτος καὶ Κωνσταντῖνος καὶ Εἰρήνη ἐποίουν οὐ μόνον τοῖς λοιποῖς Ἐπισκόποις, ἀλλὰ καὶ τοῖς ἀπὸ τῆς Ῥώμης, καὶ ἴδε τὴν Σάκραν τοῦ Πωγωνάτου πρὸς τὸν Ῥώμης ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίου ὀγδόου Παραγράφῳ τρίτῳ, καὶ ὅλον τὸ παρὸν μέρος, καὶ βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον τέταρτον.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Τί δηλοῖ τὸ προεδρεύω, ἤτοι προκάθημαι ἐν ταῖς Συνόδοις κατὰ τὰ ἐνταῦθα παραδείγματα, καὶ τίσιν ἴδιον.

Τὸ ΣΥΝΕΔΡΕΥΩ καὶ ΠΡΟΕΔΡΕΥΩ δηλοῖ τάξιν καὶ καὶ μόνην, οἷον τὸ τοῦ Ἐπισκόπου Ῥαβέννης πρὸς τὸν Εὐτυχῆ, Ὁ Πέτρος ἐν τῇ ἰδίᾳ καθέδρᾳ ζῇ καὶ προκάθηται. δηλοῖ ὡς εἴρηται ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου ὀγδόου παραγράφῳ δωδεκάτῳ, ὅτι ὁ Πάπας ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ προκάθηται, δηλονότι τῶν ὑπ' αὐτῷ Ἐπισκόπων, ὡς ἔγραφε καὶ ὁ ἅγιος Κύριλλος, ὅτι ἡ ἐν Ῥώμῃ Σύνοδος τετύπωκε κατὰ Νεστορίου, προεδρεύοντος Κελεστίνου, τῆς ἰδίας δηλονότι Συνόδου, ἐκείνων γὰρ καὶ μόνων τάξει καὶ ἀξιώματι προκάθηται, ἐπειδὴ ἐκείνῳ ἀκολουθεῖ ἡ Δυτικὴ Σύνοδος. ὅθεν ὁ μέγας Ἰουστινιανὸς πρὸς Μηναῦ γράφων, λέγει περὶ τοῦ Πάπα Ἀναστασίου, Ὧ καὶ πᾶσα τῶν μακαρίων κατὰ τὴν Δύσιν Ἐπισκόπων ἕπεται Σύνοδος. σημείωσαι ὅμως ὅτι τοῦτο καὶ παντὶ Πατριάρχῃ καὶ Μητροπολίτῃ ἴδιόν ἐστιν, ἐπειδὴ πάντες οἱ Πατριάρχαι, καὶ πάντες οἱ Μητροπολῖται τάξει καὶ ἀξιώματι προκάθηνται τῶν ἰδίων Συνόδων. ἀλλὰ καὶ ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις τάξιν δηλοῖ τὸ προεδρεύω, καὶ γὰρ ὁ Πάπας Λέων εἰπὼν ἐπιστολῇ πρὸς τὴν ἐν Χαλκηδόνι Σύνοδον, Διὰ τῶν Τοποτηρητῶν ἐμὲ προεδρεύειν, κατωτέρω λέγει, ὅτι ὁ Κύριλλος τῆς τρίτης Συνόδου προήδρευε. καὶ τὸ Συνοδικὸν καὶ ἄλλοι πατέρες τοὺς Πατριάρχας κοινῶς λέγουσι Προεδρεύοντας, Προκαθεζομένους, καὶ Ἐξάρχοντας ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις, καὶ ἴδε ἀνωτέρω τοὺς τόπους τῶν Οἰκουμενικῶν Συνόδων.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Τί αὖθις δηλοῖ τὸ προκάθημαι καὶ προεδρεύω ἐν ταῖς Συνόδοις κατὰ τὰ ἐνταῦθα παραδείγματα, καὶ ὅτι ἐν ταῖς Συνόδοις ἦσαν καὶ πολλοὶ ἱστάμενοι, καὶ λαϊκοί.

Ἐν ταῖς Συνόδοις τὸ ΠΡΟΚΑΘΗΜΑΙ ποτὲ μὲν δηλοῖ τάξιν καὶ ἀξίαν, οἷον λέγεται προκαθῆσθαι τῆς ἕκτης Συνόδου Κωνσταντῖνον τὸν Βασιλέα, καὶ τοὺς Ἄρχοντας προκαθῆσθαι ἐν ταῖς Συνόδοις διὰ τὴν αὐτὴν αἰτίαν, ὡς ἐπιφέροντας πρόσωπον τοῦ Βασιλέως, ἢ δηλοῖ προτίμησιν πολλῶν κατὰ τάξιν καὶ ἀξίαν, ἤτοι τοῦ Βασιλέως, τῶν Ἀρχόντων, καὶ τῆς Συνόδου προτίμησιν ἀπὸ πολλῶν ἄλλων, ὡς ἐν τῇ δεκάτῃ καὶ δωδεκάτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου λέγεται, Προκαθημένων τῶν αὐτῶν Ἀρχόντων καὶ τῆς αὐτῆς Συνόδου. καὶ ἐν τῇ ὀγδόῃ πράξει τῆς ἑβδόμης Συνόδου λέγεται, Προκαθισάσης τῆς Βασιλίσσης καὶ τοῦ συμβασιλεύοντος αὐτῇ υἱοῦ ἅμα πάσῃ τῇ Συνόδῳ. καὶ ὁ Ταράσιος ἐπιστολῇ πρὸς Ἀδριανὸν τὸν Πάπαν ἔλεγε, Προκαθεσθέντων ἁπάντων ἡμῶν, κεφαλὴν ἐποιησάμεθα τὸ Χριστόν. τοῦτο δὲ ἐλέγετο, ὡς οἶμαι, διὰ τὸ σωνὸν πλῆθος καὶ παριστάμενον ταῖς Συνόδοις, καὶ γὰρ ὁ Εὐσέβιος εἶπε προσεχῶς ἀνωτέρω, Ἐρχομένου τοῦ μεγάλου Κωνσταντίνου εἰς τὴν Σύνοδον, προῆλθον Τάγματα, πρῶτον, δεύτερον καὶ τρίτον, καὶ συνῆλθον αὐτῷ καὶ φίλοι, οἵτινες καὶ ἐκάθισαν μετ' αὐτόν. Ὁ αὐτὸς ἐν τῷ αὐτῷ τόπῳ λέγει περὶ τῶν Ἐπισκόπων τῆς πρώτης Συνόδου, Εἵποντο αὐτοῖς Πρεσβυτέρων καὶ Διακόνων, ἀκολούθων δὲ πλείστων, ὅσων δ' ἑτέρων, οὐκ ἦν ἀριθμὸς εἰς κατάληψιν. καὶ ἐν τῇ τετάρτῃ, ἐπειδὴ ἦσαν τοσοῦτοι Ἄρχοντες καὶ ἡ Σύγκλητος, ἆρα πόσοι ἦσαν ἀκόλουθοι καὶ ὑπηρέται, καὶ τῶν πατέρων ὀπαδοὶ καὶ ὑπουργοί; ἐν δὲ τῇ ἕκτῃ παρόντος τοῦ Βασιλέως καὶ τῶν Ἀρχόντων, πάντως ἦσαν καὶ Τάγματα καὶ ἀκόλουθοι, ὥσπερ καὶ ἐν τῇ πρώτῃ Συνόδῳ. ἐν δὲ τῇ ἑβδόμῃ Συνόδῳ συνελθούσης τῆς Συνόδου ἐν τῷ Παλατίῳ ἐν τῇ Μαγναύρᾳ, καὶ τῆς Βασιλίσσης καὶ τοῦ Βασιλέως, λέγεται ἐκεῖ ἐν τῷ τέλει τῆς αὐτῆς, ἤτοι τῆς ὀγδόης πράξεως, ὡς ἀναγνωσθεισῶν (ἤτοι χρήσεων πολλῶν ἐγκρίτων πατέρων περὶ τῶν ἁγίων Εἰκόνων) εἰς ἐπήκοον αὐτῶν τε καὶ τῶν ἐνδοξοτάτων Ἀρχόντων καὶ τοῦ φιλοχρίστου λαοῦ, ἅπαντες κατανυγέντες τὴν καρδίαν, ἐπείσθησαν τῇ ἀληθείᾳ. καὶ πάλιν, Τὰ εἰκότα οἱ θεοφιλεῖς Ἐπίσκοποι εὐφήμησαν σὺν τῷ πλήθει τοῦ λαοῦ, ἐπεπλήρωτο γὰρ ἡ προῤῥηθεῖσα βασιλικὴ δίαιτα ἀνδρῶν, πᾶσα γὰρ ἡ πόλις παρῆν μετὰ καὶ τῶν στρατιωστικῶν Ταγμάτων, καὶ τῆς καθέδρας ἐξανέστησαν, οἳ καὶ τὸν Θεὸν ἐδόξαζον, καὶ χαίροντες εὐχαρίστουν τῷ οὕτως εὐδοκήσαντι, ἀλλὰ δὴ καὶ

ἐν τῇ

ὸν τῇ ὀγδόῃ πρᾴξει τῆς κατὰ Φωτίου συνόδου λέγεται ὡς εἴρηται ἀνωτέρω, ὅτι Βασίνης ὁ πρεσβύτερος εἶπεν, Ὁ βασιλεὺς ἡμῶν ὁ ἅγιος συμβεβουλεύων, λέγει περὶ τῶν καθημένων ἐν τῇ ἁγίᾳ συνόδῳ καὶ τῶν ἑσαμένων καὶ τὸ κοινὸν ἅπαν τοῦ λαοῦ. περὶ τούτων καὶ ἐν τῇ κατὰ Βέκκου συνόδῳ παρῆσαν καὶ λαϊκοί ὡς λέγει ὁ Παχυμέρης ἐν τῷ ἑβδόμῳ αὐτοῦ βιβλίῳ. Ἡ δὲ ΠΡΟΚΑΘΗΜΑΙ ΚΑΙ ΠΡΟΕΔΡΕΥΩ δηλοῖ μόνῳ τῷ τάξει, ὡς ἔλεγον ἀνωτέρω ὁ Μακεδόνιος, ὅτι ἡ σύνοδος θέλει ἔχειν πρόεδρον τὸν Ῥώμης ἐπίσκοπον. καὶ οἱ πατριάρχαι Κωνσταντινουπόλεως Εὐτύχιος καὶ Ἀλεξανδρείας Ἀπολινάριος τοῦτο αὐτὸ ἔγραφον πρὸς τὸν Ῥώμης Βιγίλιον, ὡς εἴρηται ἀνωτέρω βιβλίῳ πέμπτῳ κεφαλαίῳ δεκάτῳ πέμπτῳ. καὶ ἐν τῇ ἑβδόμῃ συνόδῳ μετὰ τὴν ἀναθεμάτισιν τῆς εἰκονολατρείας τοῦ Πάπα Σικελοὶ ἐπίσκοποι εἶπον τοὺς τοποτηρητὰς τοῦ Πάπα πρωκαθεζομένους.

ΠΑΡΑΓΡΑΦΟΝ ε'.

Τί δηλοῖ τὸ συνεδρεύω, συγκαθέζομαι, προεδρεύω ἢ ἐξάρχω ἐν ταῖς συνόδοις ἢ τὰ αὐταῦτα ῥηθέντα.

Ἢ τὸ ΣΥΝΕΔΡΕΥΩ ΚΑΙ ΣΥΓΚΑΘΕΖΟΜΑΙ δηλοῖ ἐν ταῖς συνόδοις τὸ ὡσαύτως τοὺς συνελεγμένους περὶ τῆς αὐτῆς ὑποθέσεως καὶ τοῦ αὐτοῦ σκοποῦ συνελήλυθέναι, ὅθεν καὶ οἱ ἐπίσκοποι καὶ οἱ πατριάρχαι καὶ οἱ ἄρχοντες καὶ οἱ βασιλεῖς καὶ οἱ τοποτηρηταὶ τοῦ Πάπα καὶ τῶν λοιπῶν πατριαρχῶν ἐξίσου καὶ ὡσαύτως λέγονται συνεδρεύοντες. Γελασίου βιβλίου δευτέρου κεφαλαίῳ ἑβδόμῳ, Ἐπείπερ ὡς ἀρτίως εἰρήκαμεν καὶ αὐτὸς τῇ συνόδῳ συνήδρευεν, ἤτοι ὁ μέγας Κωνσταντῖνος. καὶ ἐν τῇ δευτέρᾳ πρᾴξει τῆς τρίτης συνόδου λέγεται, ὅτι συνήδρευσαν τῇ συνόδῳ οἱ λεγάτοι τοῦ Πάπα. καὶ πρᾴξει τρίτῃ καὶ τεταρτῃ τῆς αὐτῆς, ὅτι συνήδρευσεν ἡ σύνοδος. καὶ ἐπιστολῇ πρὸς τὸν Κελεστῖνον ἡ σύνοδος, συνήδρευσαν ἡμῖν καὶ οἱ ὑπὸ τῆς σῆς ὁσιότητος ἀπεσταλμένοι. καὶ ἀναφορᾷ πρὸς τὸν βασιλέα ἡ αὐτὴ σύνοδος περὶ ἑαυτῆς, Πᾶσαν μὲν τὴν Δύσιν καὶ τὴν Ῥώμην συνεδρεύουσαν ἔχουσα. καὶ ὁ Ἱεροσολύμων Ἰουβενάλιος ἐν τῇ τετάρτῃ πρᾴξει, Τὸν ἀποστολικὸν θρόνον συνεδρεύοντα ἔχοντας. καὶ ἐν τῇ ἑβδόμῃ συνόδῳ ὁ βασιλεὺς ἐν τῇ Σάκρᾳ περὶ τῶν λεγάτων τοῦ Πάπα, Τῶν καὶ συνεδρευόντων ἡμῖν. καὶ ἐν τῇ πρώτῃ συνόδῳ, Ὁ λεγᾶτος τοῦ Πάπα Ὅσιος σὺν Βίτωνι καὶ Βικεντίῳ ἐπέχων τὸν τόπον τοῦ Πάπα, τοῖς πολλοῖς ἅμα συνεδρεύων. Γελασίου βιβλίου δευτέρου κεφαλαίῳ πέμπτῳ. Ἢ δηλοῖ τὸ ΠΡΟΕΔΡΕΥΩ καὶ ΕΞΑΡΧΩ τὸν ζῆλον τῆς πίστεως, καθ' ὃν τρόπον ἐλέγοντο προέδροι τῆς τρίτης Οἰκουμενικῆς καὶ ἔξαρχοι Κυρίλλος καὶ Μέμνων. ἔγραφε γὰρ ἡ σύνοδος τοῖς βασιλεῦσι περὶ αὐτῶν, ὡς εἴρηται εἰς τὸν τόπον, ὅτι, Ἀλλὰ καὶ μεγάλης δόξης καὶ σεφαίων ἀξίους ἡγούμεθα μόνους καὶ πρώτους ὑπὲρ τοὺς ἄλλους ἅπαντας ζῆλῳ τῷ κατὰ Θεὸν κινηθέντας, καὶ παντοίως γοσομῆσαι τὸν τῆς ἀσεβείας κήρυκα τὸν ἀσεβέσαντα Νεστόριον, καὶ τὰς ἐκκλησίας τοῦ τοιούτου καθαρθῆναι μύσους. Ἴδε καὶ ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίου ἑβδόμου Παράγραφον ὀγδοον, καὶ βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον εἰκοστὸν πέμπτον, καὶ βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν ἕβδομον.

ΠΑΡΑΓΡΑΦΟΝ ζ'.

Τί δηλοῖ τελευταῖον τὸ συνέδρους κατὰ τὰ αὐταῦθα ῥηθέντα.

Τελευταῖον τὸ ΠΡΟΕΔΡΟΣ δηλοῖ, τὸ εἶναι πατριάρχῃ τινά, ἢ μητροπολίτῃ, ἢ καὶ ἐπίσκοπον σοφίᾳ καὶ ἀρετῇ ὑπερέχοντα, ὡς ὁκλήθη ὁ Νύσσης, καίτοι ἐπίσκοπος ὢν, πατριάρχης ὑπὸ τῶν πατέρων τῆς δευτέρας συνόδου, ἀλλὰ δὲ καὶ οἱ ἄλλως ἔγκριτοι τῶν ἐπισκόπων καὶ οἱ πατριάρχαι οὕτω καλοῦνται. ὅθεν ὁ Σωκράτης βιβλίου πρώτου κεφαλαίῳ ἕκτῳ λέγει περὶ τῶν ταραττομένων ὑπὸ τῆς Αἱρέσεως τοῦ Ἀρείου, Οὐ γὰρ μόνον ἐν ἰδίαις τοῖς τῶν ἐκκλησιῶν προέδροις ἀλαπλακτιζομένοις, ἀλλὰ καὶ τὰ πλήθη τεμνόμενα. καὶ ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ Θαλάσσιος ὁ Καισαρείας τοὺς τοποτηρητὰς τοῦ Πάπα καὶ Ἀνατόλιον τὸν Κωνσταντινουπόλεως καὶ τὸν Ἀντιοχείας Μάξιμον καὶ τὸν Ἱεροσολύμων Ἰουβενάλιον ἀνωτάτους προέδρους καλεῖ. ὅτως ὀνομάζει καὶ Εὐνόμιος ὁ Κυζίκου τῶν προέδρων τῆς Συνόδου καλοῦ τοὺς αὐτούς.

ΠΑΡΑΓΡΑΦΟΝ η'.

Ὅτι πρόεδρος εἴρηται ὁ Ῥώμης διὰ τὴν τάξιν, καὶ διατὶ ὁ Μακεδόνιος μόνον αὐτὸν πρόεδρον εἶπεν, ἐξ ἧς λύεται καὶ τὸ δεύτερον πρόβλημα τῶν παπιστῶν.

Πρόεδρος ἂν εἴρηται ὁ Ῥώμης τῆς Συνόδου διὰ τὴν τάξιν, καὶ ἐ διά τινα ἐξουσίαν, ἵνα ἐδυνάτου δεῖξαι.

δεῖξαι. εἶπε δὲ ὁ Μακεδόνιος μόνον τὸν Ῥώμης προέδρον, ἀποσιωπήσας τοὺς λοιποὺς Πατριάρχας, διότι ὁ Βασιλεὺς Ἀναστάσιος Σύνοδον ἀθροίσας ἐν Τύρῳ, μὴ συναινεσάντων τῶν Πατριαρχῶν τοῖς ὀπαδοῖς τοῦ δόγματος αὐτοῦ Ἐπισκόποις, ἐξώρισε τὸν Ἀντιοχείας Φλαυϊανὸν καὶ τὸν Ἱεροσολύμων Ἠλίαν, προβαλὼν εἰς μὲν τὴν Ἀντιόχειαν Πατριάρχην Αἱρεσιάρχην, εἰς δὲ τὰ Ἱεροσόλυμα τὸν Ἰωάννην, εἰ καὶ ὀλίγον ἔμεινεν ὁ Ἰωάννης ἐν τῇ πρατροπῇ. εἰς δὲ τὴν Ῥώμην οὐ μόνον ἦν ὀρθόδοξος ὁ Πάπας, ἀλλὰ καὶ Ἀρχηγὸς ἦν ὁ Ἀρειανὸς Θεοδώρικος καθ' ἑαυτὸν Ἄρχων, καὶ τῷ Αὐτοκράτορι οὐχ ὑποκείμενος, καὶ οὐκ ἠδύνατο τὸν Πάπαν κακοποιῆσαι ὁ Βασιλεὺς, ὅθεν πρὸς ἐμπόδιον ἀνόμου Συνόδου διὰ τὴν αἰτίαν ταύτην προέβαλε τὸν Πάπαν ὁ Μακεδόνιος, καὶ οὐ διάτινα ἐξουσιαστικὴν προεδρίαν, ὡς δηλονότι εἴρηται ἀνωτέρω ὅτι διὰ τὴν αὐτὴν αἰτίαν, ἤτοι ὄντων τῶν Βασιλέων ἐν Κωνσταντινουπόλει Αἱρετικῶν, ἐν δὲ Ἰταλίᾳ Βασιλέων ἄλλων, ἔγραφον Ἀθανάσιος, Βασίλειος, ὁ Στουδίτης, καὶ ἄλλοι πατέρες Ἀνατολικοὶ εἰς τὸν Πάπαν ὑπὲρ βοηθείας, συνοδικῆς ὅμως καὶ οὐ μοναρχικῆς καὶ ἀπολελυμένης.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι ἡ πρὸς τὸ τρίτον πρόβλημα λύσις, ἐστὶ τὸ τυραννικὸν τῆς Φλωρετινῆς Συνόδου.

Πρὸς δὲ τὸ τρίτον ῥητέον, ὅτι διὰ τοῦτο ἡ ἐν Φλωρεντείᾳ Σύνοδος παρεικάζεται ταῖς ἐπὶ Κωνσταντίου, καὶ τῇ ἐν Ἐφέσῳ λῃστρικῇ, καὶ τῇ ἐπὶ τοῦ Κοπρωνύμου ταῖς Συνόδοις, ἐπειδὴ βιαία ἦν καὶ τυραννικὴ καὶ ἀλλόκοτος, καὶ κατὰ πάντα ἀνόμοιος ταῖς πρὸ αὐτῆς ἁγίαις Συνόδοις.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι ὁ Ῥώμης πρὸς τῷ μὴ προκαθέζεσθαι τῶν Βασιλέων καὶ τῶν Ἀρχόντων ἐν ταῖς Συνόδοις, καὶ δοῦλος. τῶν Βασιλέων λέγεται.

Ὅτι δὲ ὁ Πάπας τῆς Ῥώμης οὐ μόνον οὐ προκάθηται τῶν Βασιλέων καὶ τῶν περὶ αὐτοὺς ἐνδοξοτάτων Ἀρχόντων καὶ τῆς ὑπερφυοῦς Συγκλήτου ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις, ἀλλὰ καὶ δοῦλος τῶν Βασιλέων λέγεται, καὶ ἴδε αἰωτέρω ἐν πολλοῖς τόποις, καὶ ἰδίως μέρους πρώτου κεφαλαίου δεκάτου τρίτου Παράγραφον ἕκτον, καὶ ἐν τῷ μέρει τούτῳ ὅλον τὸ τέταρτον κεφάλαιον, καὶ ἰδίως τὰ αὐτοῦ Παράγραφα.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Γ'. ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Μαρτυρίαι παπιστῶν καταγέλαστοι πέντε, ὅτι τοῦ Πάπα καθόλου καὶ ἀναμαρτήτου κριτοῦ ὄντος, καὶ δυναμένου κρίνειν τὰ περὶ πίστεως καὶ τὰς Αἱρέσεις μόνου, οὐκ ἔστιν ἀνάγκη γίνεσθαι Οἰκουμενικὰς Συνόδους.

Εἰς σύστασιν τούτου τοῦ κεφαλαίου φέρουσι μαρτυρίας, Πρώτην, ὅτι ἀπὸ τοῦ Κυρίου ἕως τοῦ μεγάλου Κωνσταντίνου οὐ γέγονεν ἄθροισις Οἰκουμενικῆς Συνόδου, καὶ ὅμως ὁ Πάπας ἔκρινε τὰ περὶ πίστεως, καὶ κατέκρινε πᾶσαν Αἵρεσιν τοῦ κατ' ἐκεῖνο καιροῦ, Δευτέραν, ὅτι τοῦτο τὸ ἀξίωμα τοῦ Ῥώμης μαρτυρεῖ ὁ ἅγιος Ἀθανάσιος ἐν τῇ πρὸς Φίληκα τὸν Πάπαν ἐπιστολῇ, καὶ Μαρκελῖνος ὁ Πάπας ἐν τῇ πρὸς τοὺς Ἐπισκόπους τῆς Ἐπαρχίας Ἀντιοχείας ἐπιστολῇ. Τρίτην, ὅτι ὁ ἅγιος Αὐγουστῖνος χλευάζει τοὺς Πελαγιανοὺς κατακεκριμένους ὄντας ὑπὸ τοῦ Ἰννοκεντίου, εἶτα ζητοῦντας Οἰκουμενικὴν Σύνοδον τοῦ κρῖναι αὐτούς. Τετάρτην, μαρτυροῦντος Τερτουλιανοῦ, ὁ Αἱρετικὸς Κέρδων εἰς Ῥώμην ἐλθὼν, καὶ ἐγκληθεὶς ὑπότινων εἰς τὸν Πάπαν Τελεσφόρον, ἀνεθεματίσθη ὑπ' αὐτοῦ. Πέμπτην, οἱ Πάπαι ὁ Ἀνίκητος τὸν Μαρκίωνα, ὁ Βίκτωρ τοὺς Τεσσαρεσκαιδεκατίτας, ὁ Στέφανος τοὺς Ἀναβαπτιστὰς ἀνεθεμάτισαν, καὶ ταῦτα πρὸ τῆς πρώτης Συνόδου, μετὰ δὲ αὐτὴν ὁ Ἰννοκέντιος ἀνεθεμάτισε τοὺς Πελαγιανοὺς, ὁ Βενέδικτος ὁ ἔνατος καὶ Νικόλαος ὁ δεύτερος ἄλλους, καὶ ἄλλοι Πάπαι ἄλλους Αἱρετικοὺς ἀνεθεμάτισαν, ἐξ ὧν γίνεται δῆλον, ὅτι οὐκ ἀνάγκη ἐστὶ γίνεσθαι Συνόδους Οἰκουμενικὰς, ἀρκετῆς οὔσης τῆς κρίσεως καὶ διακρίσεως τοῦ Πάπα μόνου ἐν τῇ καθόλου Ἐκκλησίᾳ. ταῦτα ἐν τῇ Ταργᾳ οἱ παπισταὶ, ἅτινα εἰ καὶ καταγέλαστα καὶ τὸ οὐδένεισι πρὸς σύστασιν τοιούτου πράγματος, καταλέγομεν ὅμως ἐνταῦθα εἰς αἰσχύνην τῶν ταῦτα προβαλλομένων. Ἔστι δὲ καταβαλεῖν αὐτὰ ἑτοίμως, εἰ ἀντιστρέψαντες εἴπομεν, ἀνάγκη ἐστὶ γίνεσθαι τὰς Οἰκουμενικὰς Συνόδους, ἐξ ὧν δείκνυται ὅτι ὁ Πάπας οὔτε καθόλου οὔτε ἀναμάρτητός

τητός ἐστι κριτὴς, καὶ οὐμόνον πάσας τὰς Αἱρέσεις, ἀλλ' οὐδὲ τινὰς ἐδυνήθη τελείως κατακρῖναι: πλὴν πρὸς ἀσφάλειαν τῶν ἁπλουστέρων ῥητέον καὶ ἐνταῦθα τινὰ, ἀναγκαῖα ὄντα πρὸς καθαίρεσιν ὀχυρωμάτων ἐπαιρωμένων κατὰ τῆς γνώσεως τοῦ Θεοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Β΄.

Ὅτι τὸ νομίσαι τοὺς ἀρχαίους πατέρας ἀναγκαίας τὰς Οἰκουμενικὰς Συνόδους πρὸς ἀνατροπὴν τῶν Αἱρέσεων, καὶ πολλὰς περιστάσεις καὶ θλίψεις εἰς τὸ συνελθεῖν ὑπομεῖναι, παρίστησι μηδὲν φρόνημα ὑπάρξαι ἐν αὐτοῖς περὶ καθόλου καὶ ἀναμαρτήτου ἐξουσίας τοῦ Ἐπισκόπου Ῥώμης, καὶ περὶ τῆς, ὁ Πάπας δοκιμάζει καὶ ἀποδοκιμάζει τὰς Συνόδους, θέσεως τῶν παπιστῶν, τῶν καὶ πάσαις ταῖς Συνόδοις καθ' ὑπόθεσιν τὸ σφάλλειν προσαπτόντων καὶ μὴ τῷ Πάπᾳ.

Φαμὲν οὖν Πρῶτον, ὅτι οὐδὲν ἄλλο παρίστησιν οὕτω τὸ μὴ ὑπάρξαι εἴδησίν τινα ἐν τοῖς ἀρχαίοις, ἤτου φρόνημα περὶ καθόλου καὶ ἀναμαρτήτου ἐξουσίας τοῦ Ἐπισκόπου Ῥώμης, ὡς τὸ νομίσαι αὐτοὺς ἐκείνους ἀναγκαίας εἶναι τὰς Οἰκουμενικὰς Συνόδους πρὸς ἀνατροπὴν τῶν Αἱρέσεων καὶ βεβαίωσιν τοῦ ἐκκλησιαστικοῦ φρονήματος, διότι καθὼς σημειοῦσι πολλοὶ καὶ ἀξιόλογοι Θεολόγοι, ἐὰν οὐσφάλλῃ ὁ Πάπας διαλεγόμενος καὶ διορίζων τὰ περὶ πίστεως, τίς ἡ χρεία ἵνα γίνωνται Συνόδοι Οἰκουμενικαὶ, καὶ καλῶνται πρὸς αὐτὰς ἔγκριτοι Ἐπίσκοποι καὶ Διδάσκαλοι καὶ Θεολόγοι, ὥστε ἐξαρκεῖν αὐτοὺς πρὸς κρίσιν καὶ ἀνάκρισιν τῶν προκειμένων ὑποθέσεων; καὶ παρεὶς τὰ λοιπὰ, ἴδε ἀνωτέρω τὰς ῥητὰς μαρτυρίας, δι' ὧν ἐκάλουν οἱ Βασιλεῖς τοὺς πατέρας εἰς τὰς Συνόδους ἀπὸ τοῦ τρίτου κεφαλαίου ἕως τοῦ ἕκτου. Δεύτερον, πάντως ἀνόητον ἔργον ἦν καὶ ἀφροσύνης ἴδιον, ἵνα σπουδάζωσι γίνεσθαι διὰ πολλῶν ὅπερ γίνεται δι' ἑνὸς, καὶ μάλιστα κάλλιστον, ἐπειδὴ καίτοι διὰ πολλῶν Συνόδων τὸ γινόμενον γίνεται, ἀλλ' ὅσοι καὶ ἂν εἶεν πλεῖστοι καὶ θεολογικώτατοι καὶ ὀρθοδοξότατοι οἱ συνερχόμενοι, ὁ Πάπας εἷς ὤν, ἔχει μᾶλλον πάντων αὐτῶν ἵνα δοκιμάζῃ καὶ ἀποδοκιμάζῃ τὴν κρίσιν αὐτῶν. εἰς τοῦτο βοηθεῖ καὶ ὁ σοφὰ πάντων σοφῶν ἀποδεχόμενος λόγος, λέγουσι γὰρ, Μάτην γίνεται διὰ πολλῶν, ὃ διὰ ὀλίγων, καὶ μάλιστα δι' ἑνὸς γίνεσθαι δύναται. ὅθεν εἰ ὁ Πάπας οὐχ ἡμάρτανε διορίζων τὰ περὶ πίστεως, ματαιότατον καὶ ἀθλιώτατον ἦν τὸ συνέρχεσθαι πολλοὺς πατέρας εἰς τὴν Σύνοδον ἵνα λύσωσι τὰς συμβαινούσας ἐν τῇ Ἐκκλησίᾳ ἀμφιβολίας. Τρίτον, εἰς τὸ γενέσθαι Συνόδους μεσολαβοῦσι κόποι, ὁδοιπορίαι, μακρὰ διαστήματα, κίνδυνοι θαλάσσης, δι' οὓς ὁ Πάπας Κελεστῖνος οὐκ ἦλθεν εἰς τὴν ἐν Ἐφέσῳ Σύνοδον, ὡς εἴρηται ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παραγράφῳ πέμπτῳ, λύπαι καὶ ἀναστεναγμοὶ, τῶν Ἐκκλησιῶν μόνωσις καὶ ὥσπερ ἀπορφανισμὸς διὰ τὴν ἀπόλειψιν τῶν Ποιμένων, σπουδαὶ, φροντίδες ἐν ταῖς διαλέξεσι, δυσκολίαι τοῦ συγκατανεῦσαι τοὺς Βασιλεῖς εἰς τὴν ἄθροισιν, ἐπιβουλαὶ καὶ ἀντιστάσεις τῶν Αἱρετικῶν, ἔριδες τῶν Ἐπισκόπων ἐν πολλοῖς, δαπάναι μεγάλαι καὶ πολλαὶ διὰ τὰ ὀχήματα καὶ σιτηρέσια, ἅτινα ὁπόσα ἂν καὶ δαψιλῆ εἶεν, οἱ Ἐπίσκοποι πάλιν ὑστεροῦνται πολλῶν πολλοὶ ὄντες καὶ πολλοὺς ἔχοντες ἀκολούθους καὶ ὑπουργοὺς, ὡς εἴρηται ἀνωτέρω, καὶ διὰ ταῦτα ἀπὸ Ἐφέσου ἔγραφεν ἡ τρίτη Σύνοδος τοῖς Βασιλεῦσι Θεοδοσίῳ καὶ Οὐαλεντιανῷ πρὸς τοῖς ἄλλοις καὶ ταῦτα, Δεόμεθα τῆς ὑμῶν εὐσεβείας ἀνεῖναι λοιπὸν ἡμᾶς τῆς φροντίδος καὶ τῆς ἐν τῇ ξένῃ διαγωγῆς, τοὺς μὲν πενίᾳ σφιγγομένους, τοὺς δὲ νόσῳ συνεχομένους, τοὺς δὲ τῷ γήρᾳ καμπτομένους καὶ τὴν ἐπὶ ξένης διατριβὴν ἐπιπλεῖον φέρειν οὐδυναμένους, ὡς κάτινας ἐξ ἡμῶν Ἐπισκόπους καὶ Κληρικοὺς ἀποθανεῖν. καὶ οὐμόνον ταῦτα, ἀλλὰ καὶ ἕτεραι δαπάναι μείζονες προξενοῦνται ὑπὸ τῆς ἀθροίσεως τῶν Οἰκουμενικῶν Συνόδων, γράφει γάρτις ἐθνικὸς ἀνὴρ Ἀμμανὸς Μαρκελῖνος, ὅτι τοῦ Κωνσταντίου πολλὰς Συνόδους ἀγείραντος, καὶ τὸ κοινὸν τῆς πολιτείας Ῥωμαίων, καὶ ἡ θρησκεία τῶν Χριστιανῶν ἠσθένησαν ἐν πολλοῖς. ὁ Πάπας Λιβέριος ἐν τῷ διαλόγῳ ἀπὸ τοῦ Κωνσταντίου Σύνοδον αὐτῶν Οἰκουμενικὴν εἰς Ἀλεξάνδρειαν πρὸς ἀνάκρισιν τοῦ ἁγίου Ἀθανασίου, παρόντος τινὸς Ἐπικτήτου Ἐπισκόπου, καὶ εἰπόντος, Ἀλλ' ὁ δρόμος τῶν δημοσίων οὐχ ὑποστήσεται τὴν χρείαν τῆς τῶν Ἐπισκόπων περιόδου, ἀπεκρίθη: Οὐ χρείαν ἔχει τὰ ἐκκλησιαστικὰ δημοσίου δρόμου, αἱ γὰρ Ἐκκλησίαι ἱκανάνεισιν ἕως θαλάσσης διαπέμψασθαι τοὺς ἑαυτῶν Ἐπισκόπους, οὐκ ἐδυνήθη ὅμως εἰπεῖν, ὅτι μετὰ τὴν ἕως θαλάσσης διαπομπὴν αὐτῶν οὐχρείαν ἔχουσι δαπανῶν λοιπῶν περὶ τῆς κυβερνήσεως αὐτῶν καὶ ἀνάγκης εἰ τύχοι, καὶ ταῦτα μὲν περιόντων καὶ τῶν ἀθροιζόντων τὰς Συνόδους Βασιλέων, τί δ' ἂν εἴποι τίς περὶ τῆς Συνόδου τῶν ἑκατὸν ὀγδοήκοντα Ἐπισκόπων τρὶς ἀθροισθέντων ἐν Ἀντιοχείᾳ κατὰ Παύλου τοῦ Σαμοσατέως, καὶ ἄλλων κατὰ γενεὰν μεγάλων Συνόδων συνελθουσῶν διὰ δαπανῶν ἰδίων, καὶ ἴσως μετὰ δανείων καὶ τόκων λαβουσῶν τὰ χρήματα τῆς δαπάνης. ἀλλὰ ταῦτα πάντα καὶ τὰ ὅμοια τούτοις οὐδέν εἰσιν ἀθροιζομένων τῶν τοιούτων Συνόδων, ὅσον ἐστὶν ἐκεῖνο τὸ δυσχερέστατον, τὸ ἀναφυόμενον ἀπὸ τῆς θέσεως τῶν παπιστῶν τῆς, ὁ Πάπας δοκιμάζει καὶ ἀποδοκιμάζει τὰς Συνόδους, ἐπειδὴ κατ' αὐτὴν τὴν θέσιν ἐνδέχεται τὰς Συνόδους ἐξολοκλήρου σφάλλειν, ὥστε εἰ ἡ πρώτη ἔκρινε κατὰ Ἄρειον, καὶ ἡ δευτέρα κατὰ Μακεδόνιον καὶ Ἀπολινάριον, καὶ ἡ τρίτη κατὰ Νεστόριον,

στόριον, καὶ ἡ τετάρτη κατὰ Εὐτυχῆ, ἢ ἡ ἕκτη κατὰ τοὺς Μονοθελήτας, ἢ ἡ ἑβδόμη κατὰ τὸν Ἴσαυρον καὶ τὸν Κοπρώνυμον, τίς ἄρα ζημία προὐξενεῖτο ἐν πάσῃ τῇ καθόλου Ἐκκλησίᾳ ὑπὲρ ἧς ὁ Κύριος τὸ αἷμα αὐτοῦ ἐξέχεεν, ἢ μὴν, ἄλλας Συνόδους ἄλλοις Αἱρετικοῖς συνέβαινε συμπράξαι ἢ συναινέσαι, καὶ ταῦτα οὐ βίᾳ, ἢ δόλῳ, ὡς συμβέβηκεν ἐν τῇ ἐν Ἐφέσῳ λῃστρικῇ, ἀλλὰ πλάνῃ καὶ σφάλματι διαστραφέντων ἢ πλανηθέντων τῶν Ἐπισκόπων ὑπὸ τῶν σοφισμάτων τῶν Αἱρετικῶν, ἢ ὑπὸ ἄλλης τινὸς αἰτίας, ὡς συγχωροῦσιν οἱ ἀθεώτατοι παπισταὶ, ἵνα δείξωσιν ὅτι πᾶσαν Σύνοδον ἐνδέχεται ἁμαρτῆσαι, τὸν δὲ Πάπαν οὐδέποτε.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἀνασκευὴ τῆς καθόλου ἐξουσίας τοῦ Ῥώμης ἐκπρασκευῆς τοῦ ἕκαστον τῶν ὀρθοδόξων ἀναβοᾶν πρὸς πάντας κατ' ὄνομα μέχρι καὶ αὐτῶν τῶν Ἀποστόλων, ὡς δῆθεν πρατραπέντας περὶ τὰς Συνόδων ἀθροίσεις, ἅτε μόνου τοῦ Ῥώμης ἀντὶ πάντων καὶ ὑπὲρ πάντων δυναμένου.

Εἰ οὖν ἀληθές ἐστι τὸ, οὐκ ἀνάγκη γίνεσθαι τὰς Οἰκουμενικὰς Συνόδους, ἐπειδὴ ὁ Πάπας ἀρκεῖ πρὸς διάκρισιν τῶν γινομένων ἀμφιβολιῶν, δέον ἐστὶν, ἵνα κατὰ τὸν Ἡσαΐαν ἕκαστος τῶν ὀρθοδόξων εἴπῃ πρὸς τὸν πλησίον αὐτοῦ, Ὕψωσον τὴν φωνήν σου καὶ ἀναβόησον ἐν ἰσχύϊ, Ὦ οὗτοι ἅγιοι καὶ ἐπίδοξοι πατέρες, Ἐπίσκοποι, καὶ Κληρικοὶ, καὶ Σοφοὶ, καὶ Διδάσκαλοι, καὶ ἔγκριτοι Θεολόγοι, καὶ Βασιλεῖς ὀρθόδοξοι, Ἄρχοντες εὐλαβεῖς, καὶ ἱεραὶ Σύγκλητοι, καὶ αὐτοὶ οἱ μονάζοντες, καὶ οἱ ἐπάνω τῶν στύλων ὥσπερ τινες αἰθέριοι Ἄγγελοι καθεζόμενοι, καὶ ὥσπερ πάλαι ὁ Ἰακὼβ ἐκεῖνος, ὁ μετὰ Θεοῦ καταξιωθεὶς παλαῖσαι, ὑπομένοντες τὸν καύσωνα τῆς ἡμέρας καὶ τὸν παγετὸν τῆς νυκτός. ὦ τοσοῦτοι Χριστιανοὶ τίμιοι, καὶ τοσαῦτα θεοφιλέστατα ἔθνη, κείμενα ἀπὸ περάτων ἕως περάτων τῆς Οἰκουμένης, διατὶ οὕτω καθάπαξ πάντες ὁμοῦ παρετράπητε καὶ γεγόνατε ὑποκείμενοι ἀνοίᾳ καὶ πλάνῃ; καὶ οὐ μόνον συνεχωρήσατε, ἀλλὰ καὶ ἐσπουδάσατε γίνεσθαι Συνόδους Οἰκουμενικὰς, ἐξῶν προξενῶνται λύπαι, ταλαιπωρίαι, δυσκολίαι καὶ ταραχαὶ, καὶ δαπάναι καὶ ὑστερήσεις, καὶ χρέη καὶ δάνεια, καὶ μετὰ ταῦτα πάντα ἐνδέχεται αὐτὰς ἁμαρτῆσαι. διατὶ ἱσταμένου τοῦ Πάπα τῆς Ῥώμης ὡς ποτὲ τοῦ ἐν Ῥόδῳ Κολοσσοῦ, καὶ δυναμένου μᾶλλον τῶν πολλῶν, καὶ μάλιστα καθάπαξ πάντων τῶν Πατέρων καὶ Θεολόγων καὶ Διδασκάλων εἰπεῖν καὶ διορίσαι περὶ τοῦ προκειμένου, ὑμεῖς σχεδὸν ἀνάστατον ἐποιήσατε πολλάκις τὴν Οἰκουμένην ἵνα ἀθροίσητε τὰς Συνόδους, καὶ ποιήσητε διὰ πολλῶν ὅπερ ὁ εἷς μᾶλλον πάντων ὑμῶν ἐκθεῖναι ἐδύνατο; ὦ καὶ ὑμεῖς ἅγιοι Ἀπόστολοι, οἱ ἔχοντες τὴν ἀπαρχὴν τοῦ ἁγίου Πνεύματος, πῶς δυναμένου τοῦ Πέτρου μόνου ὁρίσαι περὶ τῆς ἐκλογῆς τοῦ Ματθία καὶ περὶ τῆς περιτομῆς, Συνόδους ἐποιήσατε, κόπους παρέχοντες καὶ ὑμῖν καὶ τοῖς Πρεσβυτέροις καὶ πάσῃ τῇ ἐν Ἱερισολύμοις Ἐκκλησίᾳ;

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ὁ εἷς, ἤτοι ὁ Πάπας ἁμαρτάνει καὶ οὐχ οἱ πολλοὶ, ἤτοι αἱ Σύνοδοι, ὧν τὸ ἀναγκαῖον δέδεικται καὶ κατὰ τὰ ἐν τῇ πρὸς Ἴσαυρον δευτέρᾳ ἐπιστολῇ Γρηγορίου δευτέρου ῥήματα, καὶ δειχθήσεται κατωτέρω καὶ ἐξ αὐτῶν τῶν ἀρχαίων Παπῶν.

Λέοντος τοῦ Ἰσαύρου γράψαντος πρὸς τὸν Πάπαν Γρηγόριον τὸν δεύτερον κατὰ τῶν ἁγίων Εἰκόνων, ὁ Πάπας ἀντέγραψεν αὐτῷ δύο ἐπιστολὰς, ὧν ἐν τῇ δευτέρᾳ λέγει ταῦτα, Μὴ φρονῶν τὰ τοῦ Χριστοῦ, καὶ ἀκόλουθον μιμητὴν γενέσθαι σε τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν ἡμῶν πατέρων καὶ Διδασκάλων, καὶ ἁπλῶς μὴ προσφέρων ξένους Διδασκάλους, εἰ μὴ τοὺς τῆς πόλεώς σου. ἆρα φρονιμώτερος εἶ σὺ Γρηγορίου τοῦ θαυματουργοῦ, Γρηγορίου τοῦ Νυσσαέων καὶ Γρηγορίου τοῦ Θεολόγου καὶ Βασιλείου Καππαδοκίας καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, ἵνα μὴ γράψω τῶν μυρίων μυριάδων, τῶν ὁμοίων ἐκείνοις ἁγίων, καὶ ἐξηκολούθησας τῷ πείσματι καὶ τοῖς ἐνοίκοις σου πάθεσι. ταῦτα Γρηγόριος. κατὰ δὲ τοῦτον τὸν τρόπον εἴπωμεν καὶ ἡμεῖς διαπρυσίῳ τῇ φωνῇ, Ὦ Ἰταλοὶ, ὦ Λατῖνοι, ὦ παπισταὶ, ὅτι ὁ εἷς ἁμαρτάνει καὶ οὐχ οἱ πολλοὶ, καὶ ὅτι οὐδέποτε οἱ Πάπαι μόνοι ἔκρινον τελείως ἐν τῷ κοινῷ τῆς Ἐκκλησίας, ἀλλ' οἱ πολλοὶ, καὶ ὅτι ὁ Πάπας ὑμῶν οὐκ ἔστι μονάρχης καὶ ἀναμάρτητος, καὶ ὅτι αὐτοῦ πολλῷ τῷ μέτρῳ προτάσσονται αἱ Σύνοδοι, ὅθεν καὶ ἡ ἄθροισις αὐτῶν πᾶσι τρόποις ἀναγκαία ἐστὶ, καίτοι τοῦτο πολλαχῶς ἀπεδείξαμεν ἀνωτέρω διὰ τῶν πατέρων, διὰ τῶν Βασιλέων, καὶ διὰ τῶν Ἐπισκόπων τῆς Ῥώμης, οὐ μαρτυρίαις ἀποκεκομμέναις καὶ κολοβαῖς, ὥς εἰσιν ἐκεῖναι ἃς ὑμεῖς προσφέρετε, ἀλλὰ τέλειον ἐχούσαις τὸ ὕφος τοῦ λόγου καὶ τὴν περίοδον, καὶ οὐ διὰ τινων, ἀλλὰ διὰ πολλῶν, καὶ οὐ δι' ἀποκρύφων καὶ σεσοφισμένων, ἀλλὰ διὰ φανερῶν καὶ ἐναποδείκτων, καὶ πρὸς τούτοις τὰ ἡμέτερα συνίστησι τὰ ἐν τῷ μέρει τούτῳ κεφάλαια πάντων σαφέστερον τὸ τρίτον, τὸ τέταρτον, τὸ πέμπτον καὶ τὸ ἕκτον, μαρτυροῦντα ὅτι ἀφ' οὗ ἀνελήφθη ὁ Κύριος πάντοτε ἐν τῷ κοινῷ τῆς Ἐκκλησίας κοινῶς ἔκρινον οἱ Ἀπόστολοι, καὶ μετ' αὐτοὺς

αὐτοὺς κοινῶς ἔκρινον οἱ ἅγιοι πατέρες οὐ τὸν δεῖνα καὶ δεῖνα, ἀλλὰ καὶ αὐτοὺς τοὺς Πάπας τῆς Ῥώμης ἐν πολλοῖς καὶ μεγάλοις. κατὰ τὸ παρὸν ὅμως εἰς ἀπόδειξιν τοῦ προκειμένου κατὰ τὰ ἀνωτέρω ῥήματα τοῦ Γρηγορίου πρὸς τὸν Ἴσαυρον μόνους τοὺς τῆς πόλεως καὶ τῆς χώρας ὑμῶν πατέρας προσφέρομεν εἰς μαρτυρίαν, καὶ οὕτως ἢ διορθωθήσεσθε ἀναγκαζόμενοι ὑπὸ τῆς ἀληθείας, ἢ φανερῶς ἀποδειχθήσεσθε αἰσθήσεως δεόμενοι ἢ πληγῶν, ἢ μὴ νοοῦντες, ἢ ἐθελοκακουργοῦντες.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ἀπόδειξις περὶ τοῦ πᾶσι τρόποις ἀναγκαιοτάτου τῶν Οἰκουμενικῶν Συνόδων ἀπὸ τῶν ἀρχαίων Παπῶν, ἐξῶν δείκνυνται οἱ Βασιλεῖς μόνοι ἀθροισταὶ τῶν Συνόδων.

Εἰσφερέσθω πρῶτον ὁ ἱερὸς Αὐγουστῖνος, οὗτινος τὰ ῥητὰ ἴδε ἀνωτέρω κεφαλαίου τρίτου τμήματος τρίτου Παραγράφῳ ἕκτῳ. Δεύτερον ὁ Πάπας Σίλβεστρος, λέγει γὰρ ἡ ἕκτη Συνόδος ἐν τῷ προσφωνητικῷ, ὅτι Κωνσταντῖνος καὶ Σίλβεστρος τὴν πρώτην ἤγειραν Σύνοδον, καὶ σημείωσαι, ὅτι εἰ ἐξήρκει ὁ Πάπας πρὸς ἀνατροπὴν τῆς Αἱρέσεως τοῦ Ἀρείου καὶ φανέρωσιν τοῦ ὀρθοδόξου φρονήματος, πῶς ὁ Κωνσταντῖνος τὴν Σύνοδον ἤγειρε, καὶ ἐξ αὐτῆς ἐζήτει τὴν λύσιν τῆς ἀμφιβολίας καὶ γνῶσιν τῆς ἀληθείας; καὶ πῶς ὁ Πάπας συνευδόκησε γενέσθαι τὸ περιττόν; Τρίτον Θεοδόσιος καὶ Δάμασος, οὓς ἐν τῷ αὐτῷ προσφωνητικῷ λέγεται συγκροτῆσαι τὴν δευτέραν. ἀλλὰ καὶ ὁ Δάμασος οὗτος καὶ ἡ ἐν Ἀκυληΐᾳ Σύνοδος ἔγραψαν πρὸς τὸν αὐτὸν Θεοδόσιον ὑπὲρ ἀθροίσεως, ὅθεν ἐκεῖνος ἤγειρε τὴν δευτέραν, καὶ ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφάλαιον τρίτον. Τέταρτον ἔστω ὁ Πάπας Ἰννοκέντιος, ζητῶν Σύνοδον Οἰκουμενικὴν ἕνεκεν τοῦ Χρυσοστόμου, καὶ ἴδε ἀνωτέρω κεφαλαίου τρίτου τμήματος τρίτου Παράγραφον πέμπτον. Πέμπτον ὁ Πάπας Κελεστῖνος, καίτοι γὰρ τυπώσας, καὶ μάλιστα μετὰ Συνόδου αὐτοῦ, τύπον κατὰ Νεστορίου, ἀλλὰ γινώσκων μὴ δύνασθαι τὸν τύπον αὐτοῦ καταβαλεῖν τὸν Νεστόριον, ἀλλὰ δεῖσθαι Οἰκουμενικῆς Συνόδου, ἔγραψε τῷ ἁγίῳ Κυρίλλῳ ἵνα ἔχῃ τὸν τόπον αὐτοῦ πρὸς ἄθροισιν Οἰκουμενικῆς δηλονότι Συνόδου, ὅθεν καὶ ἀναγκαίως γινώσκων τὴν Οἰκουμενικὴν Σύνοδον μᾶλλον ἑαυτοῦ κριτὴν, καὶ μάλιστα ἀπερίτρεπτον, ἔγραφε τῇ Συνόδῳ, Εἰ οὐδὲ τοῦ οὕτω βραχέος ἀριθμοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἀπολείπεται, πόσῳ μᾶλλον αὐτῷ νῦν μεσιτεύειν πιστεύομεν, ὅπου εἰς ἓν συνήχθη τοσοῦτον πλῆθος ἁγίων; καὶ κατωτέρω, Εἰς κριτήριον καλεῖται ὁ κρίνων πᾶσαν τὴν Οἰκουμένην, εὐθύνεται ὁ σείων πᾶσαν τὴν γῆν. θωρηξάσθω τὴν πανοπλίαν τοῦ Θεοῦ ἡ ὑμετέρα ἀδελφότης. οὐ νῦν πρῶτον ὑμᾶς οἱ ἐκκλησιαστικοὶ περίβολοι Διδασκάλους ἐδέξαντο, δι' ὧν κριτὴν τέλειον τῆς Αἱρέσεως καὶ ἀνακρίνοντα κριτὴν ἑαυτοῦ δείκνυσι τὴν Σύνοδον. Ἕκτον ὁ Πάπας Ἰούλιος, ὃς κατὰ τῶν Ἀνατολικῶν καὶ ὑπὲρ τοῦ Ἀθανασίου Σύνοδον ἤγειρε, καὶ αὐτοὺς οὐ πρὸς ἑαυτὸν, ἀλλὰ πρὸς τὴν Σύνοδον ἐκάλει, καὶ ἀπολογούμενος πρὸς αὐτοὺς ἔλεγεν, ὅτι οὐκ ἐξ ἑαυτοῦ ἀλλ' ὡς ἀπὸ προσώπου τῆς Συνόδου ἔγραψε, καὶ ἀθετουμένης τῆς κρίσεως αὐτοῦ, ἤγειρε τὴν ἐν Σαρδικῇ Σύνοδον δι' Ἀθανασίου καὶ τῶν περὶ αὐτὸν πατέρων, δεηθέντων τοῦ Βασιλέως Κώνσταντος πρὸς κρίσιν καὶ βεβαίωσιν τῆς ἀποφάσεως αὐτοῦ ἣν ἐποίησε μετὰ τῆς ἐν Ῥώμῃ Συνόδου, καὶ ἴδε τὸν τόπον. Ἕβδομον ὁ Πάπας Λιβέριος Σύνοδον ᾔτει καὶ κριτήριον Οἰκουμενικὸν περὶ Ἀθανασίου καὶ τῶν Εὐσεβιανῶν, καὶ ἴδε τὸν διάλογον αὐτοῦ ἀνωτέρω βιβλίῳ δευτέρῳ. Ὄγδοον Λέων ὁ Πάπας πολλὰ ἀγωνισάμενος κατὰ Εὐτυχοῦς, καὶ μηδὲν δυνηθεὶς ἀνύσαι, Σύνοδον ἐζήτησε, καὶ γέγονεν ἡ ἐν Ἐφέσῳ δευτέρᾳ, ἵνα κριθῇ ὁ ὑπ' αὐτοῦ πρότερον διαφόρως κατακριθεὶς, καὶ ὑπὸ τοῦ Κωνσταντινουπόλεως Φλαυϊανοῦ διὰ πολλῶν Συνόδων καθαιρεθεὶς Εὐτυχὴς, ἧς τὸ ἀξίωμα μαρτυρῶν εἶναι ὑπὲρ τὸν θρόνον καὶ τὴν ἐξουσίαν αὐτοῦ, ἔγραφεν αὐτῷ, Καὶ ὁ εὐσεβὴς δὲ καὶ φιλόχριστος Βασιλεὺς εὐσεβῶς ἅμα καὶ εὐλαβῶς ἔχων, τὴν τῶν Ἐπισκόπων ἀθροισθῆναι Σύνοδον ἠβουλήθη, ὥστε κρίσει τελειοτέρᾳ δυνηθῆναι πᾶσαν ἀπαλείφεσθαι πλάνην. τῷ δὲ Βασιλεῖ Θεοδοσίῳ ἔγραφεν, Ἐπείπερ ἡ ὑμετέρα εὐσέβεια, ἡ εἰς τιμὴν τοῦ Θεοῦ τὴν εὐλαβεστάτην καθολικὴν ἀλήθειαν ἀγαπῶσα, ὥστε τῷ ἀπείρῳ γέροντι τὴν ἀλήθειαν περὶ ἣν μάλιστα διέσφαλται φανεροποιηθῆναι. καὶ ἴδε τὴν σημείωσιν ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου ὀγδόου Παραγράφῳ ἐνάτῳ καὶ ἑνδεκάτῳ. Ὁ αὐτός. λῃστρικῆς γενομένης τῆς ἐν Ἐφέσῳ ταύτης Συνόδου, πρὸς ἀνάκρισιν αὐτῆς ἔγραφε καὶ μόνος καὶ διὰ τῶν Βασιλέων τῆς Ῥώμης πρὸς τὸν Θεοδόσιον, ἵνα μείνωσιν ἀπραγῆ τὰ ἐν αὐτῇ διωρισμένα, καὶ γένηται Σύνοδος ἐν Ἰταλίᾳ πάντων τῶν τῆς Οἰκουμένης Ἐπισκόπων, καὶ ἴδε ἀνωτέρω τὴν σημείωσιν βιβλίου τρίτου κεφαλαίῳ ἐσχάτῳ, μὴ θελήσαντος δὲ τοῦ Θεοδοσίου ὑπακοῦσαι καὶ ἀθροῖσαι Σύνοδον, ἔπεμψεν Ἀποκρισιαρίους εἰς τὴν Ἀνατολὴν καὶ τὴν ἐγκύλιον ἐπιστολὴν αὐτοῦ, παρακαλῶν τοὺς κατ' Ἐπαρχίαν Ἐπισκόπους ὑπογράψαι ἐν αὐτῇ, καὶ πολλοὶ ὑπέγραψαν, ἀλλὰ καὶ πολλοὶ οὐχ ὑπέγραψαν. ὅθεν βασιλεύσαντος τοῦ Μαρκιανοῦ ἐδεήθη ὑπὲρ Συνόδου Οἰκουμενικῆς, καὶ γέγονεν ἡ ἐν Χαλκηδόνι, ἐν ᾗ γράψας ἐπιστολὴν, εἶπε καὶ ταῦτα, Δίκαιον καὶ πλῆρες εὐσεβείας ὑπάρχει τοῦ γαληνοτάτου Βασιλέως τὸ βούλημα, δι' οὗ τὴν ἁγίαν ὑμῶν ἀδεφότητα πρὸς ἀνατροπὴν μὲν τῶν ἐπιβουλῶν τοῦ Διαβόλου, τῆς δὲ ἐκκλησιαστικῆς

εἰρήνης

εἰρήνης ἀνάκτησιν συνελθεῖν ἠβουλήθη, καὶ ἴδε τὴν σημείωσιν ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίῳ πρώτῳ. Ἕνατον ὁ Πάπας Βιγίλιος γνοὺς τὸ κοινὸν κατ' αὐτοῦ μῖσος διὰ τὴν κρίσιν ἣν ἐποίησε κατὰ τῶν τριῶν κεφαλαίων, τρόπῳ ἐπιδεξίῳ ἔλαβε τὸ ὁμόλογον αὐτοῦ ἀπὸ τῶν Ἀνατολικῶν, ἀφεῖκε δὲ πᾶσαν τὴν ὑπόθεσιν εἰς τὴν κρίσιν τῆς πέμπτης Συνόδου, ἀφορίζων ἀπὸ τῆς καθόλου Ἐκκλησίας τὸν βουληθησόμενόν τι κατὰ τῶν τριῶν κεφαλαίων, πρὶν τῶν παρὰ τῆς Συνόδου διορισθησομένων, καὶ ἴδε τὴν σημείωσιν ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίῳ δεκάτῳ πέμπτῳ. Δέκατον ὁ μέγας Γρηγόριος μηδὲν δυνηθεὶς κατὰ Ἰωάννου τοῦ Κωνσταντινουπόλεως περὶ τῆς ΟΙΚΟΥΜΕΝΙΚΟΣ προσηγορίας, ἠπείλει Σύνοδον συγκροτῆσαι, καὶ ἴδε ἀνωτέρω μέρους δευτέρου κεφάλαιον πέμπτον. Ἑνδέκατον ὁ Πάπας Ἀγάθων, τῶν Παπῶν Σεβερίνου, Ἰωάννου, Θεοδώρου, Μαρτίνου καὶ Βιταλιανοῦ συνοδικῶς ἀγωνισαμένων κατὰ τῶν Μονοθελητῶν, γράφων ἀναφορὰν πρὸς τοὺς Βασιλεῖς, οὐδὲν εἶπε περὶ τῆς κρίσεως τῶν τοσούτων Παπῶν, ἀλλὰ τὰ πάντα ἀνέθηκε κριθῆναι ἐν τῇ ἕκτῃ Συνόδῳ, γράφει γὰρ τῷ Βασιλεῖ, Οὗτινος ἡ εὐχὴ ἐπειδὴ ἐκ τοῦ Θεοῦ ἐστὶν, ἐκ τοῦ Θεοῦ τελειοῦται, ἵνα ἡ ἀλήθεια τοῖς ἀπορουσιν ἔτι ἐπιλάμψῃ, καὶ τοῖς εἰλικρινῶς αὐτὴν δεχομένοις μᾶλλον στερεωθῇ, καὶ ἐκριζωθῇ ἐκ μέσου τῆς τοῦ Θεοῦ Ἐκκλησίας τῇ τοῦ Πνεύματος δρεπάνῃ τῶν ζιζανίων τὰ γεννήματα. Δωδέκατον ὁ Πάπας Ἀδριανὸς ὁ πρῶτος, καίτοι πολλῶν πρὸ αὐτοῦ Παπῶν ἀγωνισαμένων κατὰ τῶν Εἰκονομάχων, εἰς τὴν κρίσιν μᾶλλον ἀπέβλεπε τῆς ἑβδόμης Συνόδου, ἣν καὶ ἀπεδέξατο καὶ ἐκήρυξε. Τρισκαιδέκατον ὁ Πάπας Νικόλαος ὁ πρῶτος καὶ Ἀδριανὸς ὁ δεύτερος πολλὰ εἰπόντες καὶ πράξαντες κατὰ τοῦ ἱεροῦ Φωτίου, καὶ μηδὲν δυνηθέντες, Σύνοδον Οἰκουμενικὴν κατ' αὐτοῦ ἤτησαν γενέσθαι παρὰ Βασιλείου τοῦ Μακεδόνος εἰς κρίσιν αὐτῶν καὶ τοῦ Φωτίου. καὶ ταῦτα ἀπὸ τῶν ἀρχαίων Παπῶν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ἀπόδειξις περὶ τοῦ ἀναγκαιοτάτου τῶν Συνόδων ἀπὸ τῶν μετὰ τὸ σχίσμα Παπῶν.

Ἀπὸ δὲ τῶν μετὰ τὸ σχίσμα, πρῶτον προσφερέσθω ὁ Πάπας Εὐγένιος τρίτος, ὃς ἐπεσκόπευσε τῷ χιλιοστῷ ἑκατοστῷ τεσσαρακοστῷ πέμπτῳ ἔτει. Γιλβέρτου Πωῤῥετάνου Ἐπισκόπου Παταβίας ἐγκαλεσθέντος ὡς Αἱρετικοῦ ἐν Παρισίοις, καὶ ἐξετασθέντος ἐνώπιον αὐτοῦ ἐπὶ πολλὰς ἡμέρας περὶ τῆς αὐτοῦ πίστεως, καὶ ὄντων ἔτι τῶν κατ' αὐτὸν ἀμφιβαλλομένων, ὁ Πάπας ἀκούσας ὅτι ὁ Γιλβέρτος ἦν εὐλαβὴς καὶ τίμιος ἄνθρωπος, ἔκρινεν ἵνα γένηται διωρία ἕως ἀθροίσεως Οἰκουμενικῆς Συνόδου, ἥτις διαλύσει τὴν δυσκολίαν, ὅθεν ἐκηρύχθη γενέσθαι τὴν Σύνοδον ἐν Ῥήμοις Μητροπόλει τῆς Γαλλίας, καὶ ταῦτα διηγεῖται Ὄθων Φρισιγένσης Ἐπίσκοπος βιβλίῳ πρώτῳ περὶ τῶν γεγονότων παρὰ Φριδερίκου τοῦ Βασιλέως. δεύτερον, Ἀλέξανδρος τρίτος, ὃς ἐπατριάρχευσε τῷ χιλιοστῷ ἑκατοστῷ ἑξηκοστῷ ἔτει, γράφων πρὸς τοὺς Ἐπισκόπους τῆς Τουσκίας, λέγει περὶ τῆς ἀθροίσεως τῆς κατὰ Λατίνους ἐν Λατεράνῳ Συνόδου, Ἐπειδὴ ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ ὁρῶμεν πλεῖστα διορθώσεως δεόμενα, τόσον πρὸς τὸ ἐπανορθοῦν τὰ ἐπανορθώσεως ἄξια, ὅσον πρὸς τὸ ἀνακηρῦξαι τὰ φανέντα συντείνειν πρὸς σωτηρίαν τῶν πιστῶν, ὡρίσαμεν ἐκ διαφόρων μερῶν ἐκκλησιαστικοὺς ἄνδρας καλέσαι, ἵνα τῇ αὐτῶν παρουσίᾳ τε καὶ βουλῇ κατὰ τὴν παράδοσιν τῶν παλαιῶν πατέρων τὸ καλὸν παρὰ πολλῶν στερεωθῇ. καὶ σημείωσαι ὅτι εἰ ἐκ μερικῆς ἐγίνετο, οὐ ῥᾳδίως ἐδύνατο πλῆρες τὸ κῦρος εἶναι. τρίτον, Φίλιππος ὁ Βασιλεὺς τῶν Γάλλων ἐπεθύμει ἵνα λυθῇ ὁ γάμος αὐτοῦ ὑπὸ Ἰννοκεντίου τοῦ τρίτου, ὁ Ἰννοκέντιος ὅμως ἀποκρινόμενος αὐτῷ, λέγει ταῦτα. Εἰ περὶ τούτου ἄνευ Οἰκουμενικῆς Συνόδου ὁρίσαι τι ἐπειρώμην (πλὴν τῆς πρὸς Θεὸν ὕβρεως καὶ τῆς παρὰ τοῦ κόσμου δυσφημίας εἰς ἣν καὶ πάρ αὐτοῦ ἐδυνάμεθα ἐμπεσεῖν) ἴσως καὶ τῆς ἀξίας καὶ Ὀφφικίου ἡμῶν ἐφίστατο κίνδυνος, ἐπεὶ κατὰ τοῦ προτεθέντος τῆς ἀληθείας Ὅρου ἡ ἐξουσία ἡμῶν οὐδύναται συγχωρεῖν. βιβλίου τρίτου Κανόνος πέμπτου ἐπιστολῇ ἑκατοστῇ τετάρτῃ. τέταρτον, Γρηγόριος ὁ δέκατος, ὃς ἐπατριάρχευσε τῷ χιλιοστῷ διακοσιοστῷ ἑβδομηκοστῷ πρώτῳ ἔτει, ἐν ταῖς ἐπιστολαῖς μεθ' ὧν συνεκρότησε τὴν ἐν Λουγδούνῳ Σύνοδον λέγει, Πρὸς ὃ (δηλαδὴ πρὸς τὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων κατ' ἐκεῖνον τὸν καιρὸν οἰκονομίαν) εἰδότες ὅτι οὐδυνάμεθα ἐξαρκεῖν, αἴρομεν τοὺς ὀφθαλμοὺς ἡμῶν πρὸς τὸ ὄρος ὄντως τοῦ Θεοῦ, ὄρος πῖον, ὄρος τετυρωμένον, ὅθεν εὔκαιρον ἡμῖν προέρχεσθαι ἐπικουρίαν, καὶ ταπεινῶς ζητοῦμεν, καὶ μετ' εὐλαβείας ἐλπίζομεν, καὶ οὕτω κατὰ τὴν συνήθειαν καὶ παράδειγμα τῶν παλαιῶν πατέρων ἔκρινεν ἵνα συνάξῃ Σύνοδον, καὶ στερεωθῶσι καὶ βεβαιωθῶσι μετὰ κοινῆς βουλῆς τὰ προσήκοντα. πέμπτον, ἴδε ἀνωτέρω Ἰσίδωρον τὸν Μερκάντορα ἐν τῇ ἀρχῇ τοῦ δωδεκάτου κεφαλαίου Παραγράφῳ δευτέρῳ. ἕκτον, διὰ τὴν αὐτὴν αἰτίαν καὶ οἱ λοιποὶ Πάπαι ὑπὸ τῆς ἀληθείας ἀναγκαζόμενοι, καίτοι ἀρξάμενοι ἀπὸ Γρηγορίου τοῦ ἑβδόμου λέγειν εἶναι τὴν ψῆφον αὐτῶν ἄκριτον, ὑπὸ τῆς ἀληθείας ὅμως βιαζόμενοι, πάντοτε διὰ Συνόδων τὰ κατὰ καιροὺς ἀναγκαῖα ἔκριναν καὶ ἐβεβαίωσαν.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Βεβαίωσις ὡς ἀπό τε Παπῶν καὶ Συνόδων δυτικῶν, ὅτι αἱ ψῆφοι τῶν πάπα τρόπους ἀναγκαιοτάτων Οἰκουμενικῶν Συνόδων εἰσὶν ἀναμάρτητοι καὶ ἀνάκλητοι, ὑφ' ὧν καὶ αἱ τῶν Παπῶν ἀνακαίνονται κρίσεις.

Εἴρηται ἀνωτέρω κατὰ τὴν κοινὴν κρίσιν καὶ ἀπόφασιν τῆς καθόλου Ἐκκλησίας, ὅτι αἱ ψῆφοι τῶν καθολικῶν Οἰκουμενικῶν Συνόδων εἰσὶν ἀναμάρτητοι καὶ ἀνάκλητοι, τοῦτο ὅμως καὶ πολλοὶ τῶν Παπῶν βεβαιοῦσιν, οἷον ὁ Πάπας Γελάσιος ὑπομνηματικῶς πρὸς τοὺς Ἐπισκόπους Δαρδανίας γράφει, Ἡ καλὴ Συνόδου καὶ οὕτως χριστιανικὴ ἅπαξ γεγονυῖα, ἔτε δύναται, ἔτε ὀφείλει νέας ἄλλης Συνόδου ἀνακινίσει ἀνασκευάζεσθαι. Ὁ Πάπας Ἀδριανὸς ὁ ἕκτος, ὃς ἐπατριάρχευσε τῷ χιλιοστῷ πεντακοσιοστῷ εἰκοστῷ δευτέρῳ ἔτει, ὃν τῇ Διατάξει ἰδίῳ δέδωκε τῷ αὐτοῦ πρόσβει Χερεγάτῳ τριῶν τα λέγει περὶ Λυθήρου τοῦ Αἱρεσιάρχου, ὡς ἀπονυμφίου ὅτι κατεκρίθη χωρὶς τοῦ ἀκουσθῆναι ὑπὸ Λέοντος τοῦ δεκάτου, Ὁμολογοῦμεν τῷ Λυθήρῳ ὅτι οὐ δεῖ ἀρνεῖσθαι ὁμολογίαν οὐτέτοις ἅπερ εἰσὶ τέλεια (Διάδηλα γεγονότα) ἤτοι πότερον εἶπον, ἢ οὔ, πότερον ὀκήρυξον, ἢ ἔγραψον, ἢ οὔ, οἷς δὲ εἰσὶ (δηλαδὴ θείᾳ διαταγήματος ἢ Νόμου) ἀμέλει οὐ τῇ ὑποθέσει τῶν Μυστηρίων μόνον δεῖ τοὺς τῶν ἁγίων θεσμοὺς καὶ τῆς Ἐκκλησίας. ἀλλὰ τούτοις πάντα τὰ κεφάλαια, οἷς ὁ Λυθήρος τῶν ἄλλων Διαφωνεῖ, κατεκρίθη δεύτερον ὑπὸ Διαφόρων Συνόδων, οὐκ ὀφείλει δὲ ἀνακαλεῖσθαι εἰς ἐπείαν καὶ ἀμφισβήτησι ὁ ἁγίος Οἰκουμενικῶν Συνόδων καὶ τῆς καθολικῆς Ἐκκλησίας δῆλον ἐστὶν ὁμολογοῦσι πάντες ὡς σφαλερὸν κατέχουσιν, ὕβρει γὰρ ἐμποιεῖ τῇ τῆς Ἐκκλησίας Συνόδῳ ὁ τὰ ἅπαξ ὀρθῶς Διατεθέντα εἰς ἐπείαν καὶ ἀμφιβολίαν ἀνακαλέσαι περιόμενος. ἐνθάδε εἰσὶν οὗτοι ὅτι καὶ ἡ οὐ Πίσῃ καὶ οἱ Κωνσταντέα καὶ Βασιλέα ἁγία Λατίνοις Οἰκουμενικαὶ Σύνοδοι, καὶ οἱ οἱ αὐτοῖς Πάπαι ἰσχυρῶς ἐψηφίσαντο ὅλη ἀναγκαία ἐστὶν ἡ ἄθροισις τῶν Οἰκουμενικῶν Συνόδων, ὡς εἴρηται ἀνωτέρω, καὶ ἐπιθήσεται κατωτέρω. ταῦτα οἱ Πάπαι. ἐξ ὧν γίνεται δῆλον, πρῶτον, ὅτι οἱ Πάπαι κρίνουσι μερικῶς ὡς καὶ οἱ λοιποὶ Πατριάρχαι. δεύτερον, ὅτι αἱ ψῆφοι καὶ κρίσεις τῶν Οἰκουμενικῶν Συνόδων εἰσὶ τελειότεραι καὶ φανερώτεραι, ὅθεν καὶ αἱ κρίσεις τῶν Παπῶν καὶ αἱ ψῆφοι ἐπὶ αὐτοῖς ἀνακαίνονται. τρίτον, ὅτι καὶ οἱ Πάπαι ἐζήτουν τοὺς Οἰκουμενικοὺς γίνεσθαι Συνόδους. τέταρτον, ὅτι αἱ ψῆφοι τῶν Οἰκουμενικῶν Συνόδων οὐκ ἀνακαίνονται. πέμπτον, ὅτι αἱ Οἰκουμενικαὶ Σύνοδοι ἀναγκαιότατόν ἐστιν ἵνα συνέρχωνται.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ἀπάντησις πρὸς τοὺς ἐν τῇ ἀρχῇ τοῦ παρόντος κεφαλαίου πέντε ψευδομαρτυρίας τῶν παπισῶν, μὴ εἶναι ἀναγκαίως γίνεσθαι Οἰκουμενικοὺς Συνόδους λεγόντων, ἄτε μόνου τοῦ Πάπα αὐτὶ τούτων ἀρκοῦντος.

Πρὸς τὰς μαρτυρίας ῥητέον, Πρὸς μὲν τὴν πρώτην, ψεῦδος ἐστὶν ὅτι ὁ Πάπας ἔκρινε τοὺς Αἱρέσεις ἁπλῶς, ὡσπερ γὰρ αὐτὸς ἔκρινον ἐν τῇ Γώμῃ τοὺς ἐκεῖσε ἀναφυείσας, οὕτως ἔκρινον καὶ Πατριάρχαι καὶ Ἐπίσκοποι τοὺς εἰς τοὺς τόπους αὐτῶν, καὶ ἄλλας Αἱρέσεις, ὡς εἴρηται αἰωτέρω ἐν πολλοῖς, καὶ ἰδίως βιβλίου ἕκτου κεφαλαίῳ ἕκτῳ, καὶ βιβλίου τρίτου κεφαλαίῳ δεκάτῳ τρίτῳ. Πρὸς δὲ τὴν δευτέραν, ὅτι ἡ ὑποσολὴ τοῦ ἁγίου Ἀθανασίου πεπλασμένη ἐστὶ, καὶ ἴδε αὐωτέρω βιβλίου δευτέρου κεφαλαίου ὀγδόου Παραγράφου ἕκτου. Πρὸς δὲ τὴν τοῦ Μαρκελίνου, ἴδε αὐωτέρω βιβλίου πρώτου κεφάλαιον ἑνδέκατον περὶ τῶν ὑποσολῶν τῶν Παπῶν. Πρὸς δὲ τὴν τρίτην, ἴδε αὐωτέρω κεφαλαίου τρίτου τμήματος τρίτου Παραγράφου ἕκτου τὸν ἅγιον Αὐγουστῖνον γράφοντα τὸ ἀναγκαῖον τῶν Οἰκουμενικῶν Συνόδων. Πρὸς δὲ τὴν τετάρτην, ἀρκεῖ τὰ πρὸς τὴν πρώτην εἰρημένα. Πρὸς δὲ τὴν πέμπτην, ἴδε τὰ περὶ τούτων εἰς πλάτος αὐωτέρω βιβλίου πρώτου κεφαλαίου δεκάτου. Πρὸς δὲ τὸ τοῦ Ἰννοκεντίου, ῥητέον, ὅτι πρὸς τοὺς Ἰννοκεντίου ἄλλοι ἀνεθεμάτισαν τὴν Αἵρεσιν Πελαγίου καὶ Κελεστίου. εἶτα τοσούτων αὐτῶν Παπῶν κατακεκινάντων, ἐδοκίμασεν γέγονεν, ὅθεν ὁ Πάπας Κελεστῖνος ἀνέφερε τὰ κατ' αὐτὸν πρὸς τὴν ἐν Ἐφέσῳ ἁγίαν Σύνοδον, ἥτις ἐβεβαίωσε τὰ τῶν Παπῶν κατ' αὐτῆς τῆς Αἱρέσεως, καὶ ἴδε ἐν τῷ τέλει τῆς ὑποσολῆς τῆς Σινόδου πρὸς τὸν αὐτὸν Κελεστῖνον, καὶ τὰς πρὸς αὐτὸν σημειώσεις αὐωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου. περὶ δὲ καθόλου κρίσεως, ἴδε αὐωτέρω βιβλίου δευτέρου κεφάλαιον ἕκτον.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Δ'. ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὅτι ἀπὸ τῶν ἐνταῦθα καταστρωθέντων ῥητῶν τῶν ἁγίων Εὐαγγελίων καὶ τῆς Ἀποκαλύψεως, δείκνυται ἐδικώτερον μὴ εἶναι τὸν μακάριον Πέτρον μονάρχην ἐπὶ τῶν Ἀποστόλων, ἀλλὰ κατά τε ἐξουσίαν καὶ τιμὴν αὐτοῖς ἴσον.

Τὰ ἅγια Εὐαγγέλια ἐν πολλοῖς καὶ διαφόροις τόποις τὴν ἐξουσίαν καὶ τὴν τιμὴν τῶν δώδεκα Ἀποστόλων ἴσην ἀποφαίνονται. καὶ γραφέσθω ἐνταῦθα ἐκ τῶν πολλῶν ὀλίγα. Δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Ἐποίησε δώδεκα ἵνα ὦσι μετ' αὐτοῦ, οὓς καὶ Ἀποστόλους ὠνόμασε. Καὶ ἀφέντες, ἠκολούθησαν αὐτῷ. Ἰδοὺ δίδωμι τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε, δωρεὰν δότε. Ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ καθίσεσθε ἐπὶ δώδεκα θρόνους. Μακάριοι οἱ ὀφθαλμοὶ ὑμῶν, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούει. Δότε ὑμεῖς αὐτοῖς φαγεῖν. Λάβετε Πνεῦμα ἅγιον, ἄντινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄντινων κρατῆτε, κεκράτηνται. Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ. Καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Τεκνία, ὑμεῖς φίλοι μου ἐστέ. Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. Εἰρήνη ὑμῖν. Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. Ὑμεῖς δέ ἐστε μάρτυρες τούτων. Καὶ, ἰδοὺ, ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ' ὑμᾶς. Ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. τὰ αὐτὰ λέγεται καὶ ἐν τῷ πρώτῳ κεφαλαίῳ τῶν πράξεων, καὶ ἐν πολλοῖς ἄλλοις τόποις τῶν αὐτῶν. ἀλλὰ δὴ καὶ ἐν ταῖς ἐπιστολαῖς τοῦ μακαρίου Παύλου καὶ τοῦ ἁγίου Πέτρου πολλὰ καὶ καθαρὰ ῥητὰ εὑρήσεις παριστάνοντα τὴν ἰσοτιμίαν τῶν ἁγίων Ἀποστόλων. τοῦτο αὐτὸ δείκνυται καὶ ἐκ τῆς Ἀποκαλύψεως, λέγονται γὰρ ἐν αὐτῇ οἱ δώδεκα Ἀπόστολοι ἰσοτίμως δώδεκα θεμέλια καὶ δώδεκα λίθοι. πρὸς τούτοις καὶ οἱ ἅγιοι πατέρες τὰ ἐγκώμια ἅπερ εἶπον τῷ ἁγίῳ Πέτρῳ, τὰ αὐτὰ εἶπον καὶ τοῖς λοιποῖς Ἀποστόλοις, τινὰ μὲν κατὰ λέξιν, τινὰ δὲ κατὰ τὴν ἔννοιαν, ἐξ ὧν πάντων δείκνυται ἰσότης καὶ ἰσοτιμία τῆς ἱερᾶς δωδεκάδος. Ἀλλ' οἱ Ἀντιπετριανοὶ περὶ τοῦ προκειμένου τὰ μὲν φανερὰ τῆς γραφῆς ῥητὰ παρατρέχουσι, τινὰ δὲ ἑρμηνείας δεόμενα, μᾶλλον δὲ καλῶς ἑρμηνευθέντα ὑπὸ τῶν ἁγίων πατέρων στρεβλοῦντες, τάς τε χρήσεις τῶν ἁγίων ἀποκόπτοντες καὶ κολοβοῦντες προβάλλουσιν, ἵνα δείξωσι μονάρχην τῶν Ἀποστόλων τὸν Πέτρον. Ἡμεῖς δὲ εἰ καὶ ἀνωτέρω ἐδείξαμεν ἀριδήλως καὶ πεπλατυσμένως ὅτι οὔτε ἐν τοῖς Ἀποστόλοις οὔτε ἐν τοῖς Ἐπισκόποις ἦν, ἢ δύναται εἶναί τις μονάρχης, ὅμως ἰδιαίτερον ἐνταῦθα περὶ τούτου διαληψόμεθα, παρενθέντες τὰς χρήσεις τῶν ἁγίων πατέρων καὶ τὰς πρὸς αὐτὰς ἀντιθέσεις τῶν Λατίνων, ναὶ δὴ καὶ τὰς ἡμετέρας λύσεις, εἶτα δὲ καὶ τὰ ῥητὰ τῆς γραφῆς ἅπερ αὐτοὶ προβάλλουσι καταστρώσαντες, καὶ φανερώσαντες τὸν ἐν αὐτοῖς νοῦν, φανερώσομεν τὴν πρὸς αὐτὰ τῶν Λατίνων συκοφαντίαν, οὐ πάντα δὲ, ἀλλὰ τὰ μάλιστα δοκοῦντα τοῖς ἀντικειμένοις ἔχειν ἰσχύν τινα πρὸς ὃ βούλονται. δῆλον δὲ ὅτι τούτων αἰαπτυσσομένων, καὶ τῶν λοιπῶν, ὅσα ἂν προβάλλωσιν, ὁ ἀληθὴς νοῦς εὐκόλως κατανοηθήσεται οὐ μόνον ὑπὸ τῶν σοφῶν, ἀλλὰ σχεδὸν καὶ ὑπὸ παντὸς Χριστιανοῦ, καὶ οὕτω καταστραφήσεται ἡ ἀντιχριστιανικὴ μοναρχία. Ἰστέον δὲ, ὅτι οὐ μόνοις τοῖς ἁγίοις Ἀποστόλοις λέγεται ὅσα λέγεται καὶ τῷ Πέτρῳ, ἀλλὰ καὶ πολλοῖς ἐπιδόξοις τῶν ὀρθοδόξων πατέρων, ἐξ ὧν τινὰ κατεστρώσαμεν ἀνωτέρω μέρους δευτέρου κεφαλαίῳ ἐσχάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ἐγκωμίων τινῶν τῷ μακαρίῳ Πέτρῳ παρὰ τῶν ἁγίων πατέρων λεχθέντων.

Ἐγκώμια ἅτινα εἶπον οἱ ἅγιοι πατέρες τῷ μακαρίῳ Πέτρῳ. Διονύσιος Ἀρεοπαγίτης κεφαλαίῳ τρίτῳ περὶ θείων ὀνομάτων. Ἡ κορυφαία καὶ πρεσβυτάτη τῶν Θεολόγων ἀκρότης. Βασίλειος Σελευκείας λόγῳ δεκάτῳ ἑβδόμῳ. Πέτρος τῶν Ἀποστόλων ὁ κορυφαῖος, ὁ τῶν Χριστοῦ μαθητῶν προστάτης. Ἐπιφάνιος Αἱρέσει πεντηκοστῇ ἐνάτῃ κατὰ Καθαρῶν, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ. Γέγονεν ἡμῖν ἀληθῶς στερεὰ πέτρα θεμελιοῦσα τὴν πίστιν τοῦ Κυρίου, ἐφ' ᾗ ᾠκοδόμητο ἡ Ἐκκλησία. Ἐν ταὐτῷ, Ὁ κορυφαιότατος τῶν Ἀποστόλων. Ἱερώνυμος ἐν τῷ καταλόγῳ τῶν Ἐκκλησιαστικῶν συγγραφέων. Ὁ ἀρχηγὸς τῶν Ἀποστόλων. Ἡ ἐπὶ Μηνᾶ Σύνοδος πράξει τετάρτῃ. Τὸν πρῶτον τῶν Ἀποστόλων. Εὐσέβιος ἐκκλησιαστικῆς ἱστορίας βιβλίου δευτέρου κεφαλαίῳ δεκάτῳ τρίτῳ. Τὸν κρατερὸν καὶ μέγαν τῶν Ἀποστόλων, τὴν ἀρετῆς ἕνεκα τῶν λοιπῶν Ἀποστόλων προήγορον Πέτρον. Χρυσόστομος εἰς τὸ δέκατον ἕκτον κεφάλαιον τοῦ Ματθαίου. Τὸ στόμα τῶν Ἀποστόλων ὁ Πέτρος, ὁ πανταχοῦ θερμὸς, ὁ τοῦ χοροῦ τῶν Ἀποστόλων κορυφαῖος, πάντων ἐρωτηθέντων, αὐτὸς ἀποκρίνεται. καὶ πράξεων κεφαλαίῳ πρώτῳ Ὁμιλίᾳ δεκάτῃ ἕκτῃ. Καὶ ὡς θερμὸς, καὶ ὡς ἐμπιστευθεὶς παρὰ Χριστοῦ τὴν ποίμνην, καὶ ὡς τοῦ Χριστοῦ πρῶτος. Καὶ Τόμῳ πέμπτῳ

πέμπτῳ Ὁμιλίᾳ τριακοστῇ δευτέρᾳ ἐν τῇ παραβολῇ τῶν μυρίων ταλάντων, Πέτρος ὁ τοῦ χοροῦ τῶν Ἀποστόλων κορυφαῖος, τὸ στόμα τῶν μαθητῶν, ὁ στύλος τῆς Ἐκκλησίας, τὸ στερέωμα τῆς πίστεως, ὁ τῆς ὁμολογίας θεμέλιος, ὁ τῆς Οἰκουμένης Ἁλιεύς, ὁ τὸ γένος ἡμῶν ἀπὸ τοῦ βυθοῦ τῆς πλάνης εἰς τὸν Οὐρανὸν ἀναγαγὼν, ὁ πανταχοῦ θερμὸς καὶ παῤῥησίας γέμων, μᾶλλον δὲ ἀγάπης καὶ παῤῥησίας. Καὶ Ὁμιλίᾳ ἑβδομηκοστῇ ἑβδόμῃ εἰς τὸν Ἰωάννην, Ἔγκριτος ἦν τῶν Ἀποστόλων, καὶ στόμα τῶν μαθητῶν, καὶ κορυφὴ τοῦ χοροῦ. Καὶ, Ἐγχειρίζεται τὴν προστασίαν τῶν ἀδελφῶν. Καὶ, Εἰ φιλεῖς με Πέτρε, προΐστασο τῶν ἀδελφῶν. Καὶ, Ἐπεὶ οὖν αὐτῷ προεῖπε μεγάλα, τὴν Οἰκουμένην ἐνεχείρισε. Καὶ εἰς τὸν πεντηκοστὸν ψαλμὸν, Ἡ κεφαλὴ τοῦ χοροῦ τῶν Ἀποστόλων ὁ Πέτρος. Καὶ Ψαλμῷ ἑκατοστῷ εἰκοστῷ ἐνάτῳ, Πρῶτον τῶν Ἀποστόλων κατέστησε. Καὶ Ὁμιλίᾳ πεντηκοστῇ πέμπτῃ εἰς τὸν Ματθαῖον, Καὶ ἀνθρώπῳ θνητῷ πάντων τῶν Οὐρανῶν τὴν ἐξουσίαν ἐνεχείρισε, τὰς κλεῖς αὐτῷ δούς. Καὶ ὁ Θεολόγος Γρηγόριος δευτέρῳ λόγῳ περὶ Θεολογίας, Καίτοι γε θερμότερος τῶν ἄλλων εἰς ἐπίγνωσιν Χριστοῦ Πέτρος, καὶ διατοῦτο μακαριζόμενος, καὶ τὰ μέγιστα πιστευόμενος. Καὶ λόγῳ περὶ τῆς ἐν ταῖς διαλέξεσιν εὐταξίας, Ὁ μὲν Πέτρος καλεῖται, καὶ τοὺς θεμελίους τῆς Ἐκκλησίας πιστεύεται. Καὶ ἐν τῷ εἰς τὸν αὐτοῦ πατέρα ἀπολογητικῷ, Εὑρίσκω δὲ Μανωὲ τὸν παλαιὸν ἐκεῖνον ἐν τοῖς Κριταῖς, καὶ Πέτρον ὕστερον τὸ τῆς Ἐκκλησίας ἔρεισμα. Βασίλειος ὁ μέγας ἐν τῷ δευτέρῳ λόγῳ κατ' Εὐνομίου, Νοοῦμεν Πέτρον τὸν διὰ πίστεως ὑπεροχὴν ὑφ' ἑαυτὸν τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας δεξάμενον. Καὶ Ψαλμῷ τρίτῳ, καὶ εἰς τὸν Ἡσαΐαν κεφαλαίῳ τετάρτῳ, Στύλον, κεφαλὴν τοῦ χοροῦ, καὶ κρηπῖδα τῆς Ἐκκλησίας καλεῖ. Κωνσταντῖνος καὶ Εἰρήνη ἐν τῇ πρὸς τὴν Σύνοδον Σάκρᾳ, Καὶ καθὰ Πέτρος ὁ πρώταρχος τῆς ἀποστολικῆς ὁμηγύρεως. Συνόδῳ ἑβδόμῃ πράξει πρώτῃ. Μάξιμος ὁ Πλανούδης ἐν τῷ ἐγκωμίῳ Πέτρου καὶ Παύλου, Ταύτης τῆς ὁμολογίας ἀμοιβὴ, μακαρισμὸς, καὶ μαρτυρία παρὰ Θεοῦ τὴν ἀποκάλυψιν ἥκειν τῷ Πέτρῳ, καὶ ἐπὶ πέτραν αὐτὸν τῆς Ἐκκλησίας οἰκοδομία, καὶ κλεῖς τῆς τῶν Οὐρανῶν διδόμεναι βασιλείας, καὶ τοῖς λυθεῖσιν ἢ δεθεῖσιν ὑπὸ Πέτρου τὴν ἴσην κατάστασιν μένειν καὶ ἐν τοῖς Οὐρανοῖς. Κύριλλος Ἱεροσολύμων κατηχήσει ἑνδεκάτῃ, Πέτρος ὁ πρωτοστάτης τῶν Ἀποστόλων καὶ τῆς Ἐκκλησίας κορυφαῖος κῆρυξ. Καὶ Πρόκλος Κωνσταντινουπόλεως λόγῳ εἰς τὴν Μεταμόρφωσιν τοῦ Κυρίου, Ἀλλὼ τῶν μαθητῶν κορυφαῖε καὶ πρωτοστάτα τῶν Ἀποστόλων Πέτρε. Καὶ ὁ Θεοφύλακτος εἰς τὸν Ἰωάννην, Τῷ Πέτρῳ τὴν προστασίαν τῶν τῆς Οἰκουμένης προβάτων ἐνεχείρισεν, οὐκ ἄλλῳ δὲ, ἀλλὰ ταύτην τούτῳ δίδωσι. Καὶ ὁ Ζωναρᾶς Τόμῳ πρώτῳ τῆς ἱστορίας, Τὴν κορυφαίαν τῶν Ἀποστόλων ἀκρότητα. Καὶ τέως οἱ πατέρες καὶ ἡ Ἐκκλησία καλοῦσιν αὐτὸν Ἀπαρχὴν, Ἔξαρχον, Ἀρχηγὸν, Προστάτην, Ἄρχοντα, Τῆς Οἰκουμένης ἁπάσης φροντίζοντα, Κρηπῖδα τῆς Ἐκκλησίας, Πέτραν τῆς πίστεως, τῶν μαθητῶν Πρόκριτον, Ἀρχιποίμενα τῶν λογικῶν προβάτων, Κλειδοῦχον τῶν οὐρανίων πυλῶν, ἀνοίγοντα πᾶσι τοῖς μετὰ πίστεως προστρέχουσι.

ΠΑΡΑΓΡΑΦΟΝ Γ΄.

Περὶ μερικῶν ἐγκωμίων ἐκ τῶν πολλῶν πρὸς Πέτρον καὶ Παῦλον συνημμένως καὶ τοὺς λοιποὺς Ἀποστόλους παρὰ τῶν ἁγίων πατέρων λεχθέντων.

Ἐγκώμια ἐκ τῶν πολλῶν μερικὰ, ἅτινα εἶπον οἱ ἅγιοι πατέρες τοῖς ἁγίοις Ἀποστόλοις. Ἀγάθων ὁ Πάπας ἀναφορᾷ πρὸς Κωνσταντῖνον τὸν Πωγωνᾶτον, Ἵνα δι' αὐτοῦ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἡμῶν πίστεως τὸ τηλαυγέστατον λάμψῃ φῶς ἐν ταῖς πάντων καρδίαις, ὅπερ ἐκ τῆς πηγῆς τοῦ ἀληθινοῦ φωτὸς, ὡς δι' ἀκτίνων τῆς ζωοποιοῦ λαμπηδόνος τοῖς μακαρίοις λειτουργοῖς Πέτρῳ καὶ Παύλῳ τοῖς τῶν Ἀποστόλων κορυφαίοις, καὶ τοῖς τούτων μαθηταῖς καὶ διαδόχοις τοῖς ἀποστολικοῖς κατὰ βαθμὸν μέχρι τῆς ἡμετέρας οὐδενότητος τῇ τοῦ Θεοῦ βοηθείᾳ ἐφυλάχθη. Ἀδριανὸς Πάπας ὁ πρῶτος ἀναφορᾷ πρὸς Κωνσταντῖνον καὶ Εἰρήνην, Οὕτως ἀναδειχθήσεται καὶ τὸ ὑμέτερον εὐσεβέστατον καὶ Θεοδώρητον ὄνομα νέου Κωνσταντίνου καὶ νέας Ἑλένης ἐν πάσῃ τῇ Οἰκουμένῃ ἐπαινετῶς διαφημιζόμενον, δι' ὧν ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία ἀνακαινίζεται, καὶ μάλιστα ἐὰν τῇ παραδόσει τῆς ὀρθοδόξου πίστεως τῆς Ἐκκλησίας τοῦ ἁγίου Πέτρου καὶ Παύλου τῶν κορυφαίων Ἀποστόλων ἐξακολουθήσῃ, καὶ ἐναγκαλίσηται τὸν βικάριον αὐτῶν, καθὼς καὶ οἱ ἐξ ἀρχῆς προηγησάμενοι Βασιλεῖς καὶ ἐτίμησαν τὸν βικάριον αὐτῶν, τιμήσῃ δὲ τὸ ὑμέτερον θεοδώρητον κράτος τὴν ῥωμαϊκὴν ἁγιωτάτην Ἐκκλησίαν τῶν κορυφαίων Ἀποστόλων, οἷς ἐδόθη ἐξουσία παρ' αὐτοῦ τοῦ Θεοῦ Λόγου λύειν τε καὶ δεσμεῖν ἁμαρτίας ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ γῇ, καὶ γὰρ αὐτοὶ ὑπερασπισταὶ γενήσονται τοῦ ὑμετέρου κράτους, καὶ πάντα τὰ βάρβαρα ἔθνη τοῖς ἴχνεσιν ὑμῶν ὑποταγήσεται, καὶ ὅπου ἀνπορευθῆτε, νικητὰς ὑμᾶς ἀναδείξουσιν, αὐτοὶ γὰρ οἱ ἅγιοι καὶ κορυφαῖοι τῶν Ἀποστόλων, οἱ τὴν καθολικὴν καὶ ὀρθόδοξον πίστιν ἐναρξάμενοι, ἐγγράφως ἐθεσμοθέτησαν τὴν αὐτῶν πίστιν κρατεῖν πάντας τοὺς μετ' αὐτοὺς διαδόχους μέλλοντας γίνεσθαι τῶν θρόνων αὐτῶν, καὶ ἐν αὐτῇ διαμένειν ἕως τῆς συντελείας, καὶ οὕτω κρατεῖ ἡ ἡμετέρα Ἐκκλησία, καὶ τιμᾷ τοὺς ἁγίους χαρακτῆρας αὐτῶν. ἴδε περὶ τούτων ἀνωτέρω βιβλίου ἑβδόμου

ἑβδόμου κεφαλαίου πρώτου Παράγραφον ἔνατον. Ἀμβρόσιος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ κεφαλαίῳ τρίτῳ, Τοῦτο προσήκει τοῖς Ἀποστόλοις, οὓς δῆλον Χριστῷ συνεργάζεσθαι, εἰσὶ γὰρ Χριστοῦ ἐπίτροποι. Ὁ αὐτός. Λεγομένης τῆς γνώμης τῶν πολλῶν (ὦ Πέτρε) ἐσιώπας, καὶ ἀποκρινομένων τῶν ἄλλων, ὧν σὺ πρῶτος, ἔτι σιωπᾶς; ὃς καὶ ἐν ἑτέροις φησὶ, Μὴ ἐρωτώμενος, ἐνθυμούμενος δὲ τοῦ ἰδίου ἀξιώματος, ἀπεκρίθης, ἀξίας δηλαδὴ τῆς ἐν τῇ ὁμολογίᾳ, οὐχὶ τῆς ἐν τῇ τιμῇ, ἀξίας τῆς ἐν πίστει, οὐ τῆς ἐν δόξῃ. Καὶ ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ κεφαλαίῳ ἑνδεκάτῳ περὶ τοῦ Παύλου. Οὐκ ἔστιν ἥττων οὔτ' ἐν τῷ κηρύγματι, οὔτ' ἐν ταῖς θαυματοποιΐαις, οὔτε ἐν τῇ ἀξίᾳ, ἀλλὰ μόνον ἐν τῷ χρόνῳ, σημαίνει δὲ τὸ δεσμεῖν καὶ τὸ ἀφορίζειν Ματθαίου κεφαλαίῳ δεκάτῳ ὀγδόῳ, καὶ λόγῳ τριακοστῷ τρίτῳ, Ὃ τῷ Πέτρῳ λέγεται, καὶ τοῖς Ἀποστόλοις λέγεται. Καὶ Αὐγουστῖνος τόμῳ ἐνάτῳ φύλλοις τριακοσίοις ὀγδοηκονταέξ, Τὰς κλεῖς τοῦ δεσμεῖν καὶ λύειν ἡ Ἐκκλησία ἐν τῷ Πέτρῳ ἔλαβε. Καὶ ἐν τῷ περὶ χριστιανικῆς ἑνότητος κεφαλαίῳ τετάρτῳ, Ὅταν τῷ Πέτρῳ λέγηται, πᾶσι λέγεται, Φιλεῖς με, Ποίμαινε, καὶ τὰ ἑξῆς. Ἴδε αὐτοῦ καὶ ἄλλα πολλὰ κατωτέρω. Ἀνδρέας ὁ Κρήτης περὶ Τίτου, Ὁ πρῶτος τῆς Κρητῶν Ἐκκλησίας θεμέλιος.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι Ἰάκωβος, Πέτρος καὶ Ἰωάννης ἐγκωμιάζονται κορυφαῖοι, καὶ ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων ἡ Ἐκκλησία, οἷς καὶ οἱ μετ' αὐτοὺς Ποιμένες ἴσοι κατ' ἐξουσίαν.

Βίκτωρ ὁ Ἀντιοχεὺς κεφαλαίῳ ἐνάτῳ εἰς τὸν Μάρκον, Πέτρος Ἰάκωβος καὶ Ἰωάννης κορυφαῖοι τῶν Ἀποστόλων. Καὶ Σύνοδος ἡ ἐν Φλωρεντείᾳ, Πρωτοκορυφαῖοι Πέτρος καὶ Παῦλος. Καὶ Βασίλειος ὁ μέγας εἰς τὸν Ἡσαΐαν ὁμιλίᾳ δευτέρᾳ, Ὠκοδόμητο ἡ Ἐκκλησία ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ προφητῶν. Ἓν τῶν Ὀρέων ἦν καὶ ὁ μακάριος Πέτρος. Καὶ λόγῳ περὶ ὑπακοῆς, Πέτρον μεθ' ἑαυτὸν τῆς ἰδίας Ἐκκλησίας κατέστησε, Πέτρε γάρ φησι Φιλεῖς με πλεῖον τούτων; καὶ πᾶσι δὲ τοῖς ἐφεξῆς ποιμέσι τε καὶ διδασκάλοις τὴν ἴσην παρέδωκεν ἐξουσίαν, καὶ τούτου σημεῖον, τὸ δεσμεῖν καὶ λύειν ἅπαντας ὁμοίως.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ ἐγκωμίων εἰς Πέτρον Παῦλον καὶ Ἰάκωβον τὸν ἀδελφόθεον, ἐξ ὧν Ἐπισκόπων διαδοχαὶ, καὶ πότε τὴν ὁ Αἱρετικὸς Κέρδων, καὶ περὶ τῆς Παύλου προτιμήσεως παρὰ τοῦ Πέτρου.

Εὐσέβιος βιβλίου πρώτου κεφαλαίῳ ἕκτῳ, Θεμελιώσαντες οὖν καὶ οἰκοδομήσαντες οἱ μακάριοι Ἀπόστολοι (Πέτρος καὶ Παῦλος) τὴν Ἐκκλησίαν, Λίνῳ τὴν τῆς Ἐπισκοπῆς λειτουργίαν ἐνεχείρισαν, διαδέχεται δὲ αὐτὸν Ἀνάκλητος, μετὰ τοῦτον δὲ τρίτῳ τόπῳ ἀπὸ τῶν Ἀποστόλων τὴν Ἐπισκοπὴν κληροῦται Κλήμης, ὁ καὶ ἑωρακὼς τοὺς μακαρίους Ἀποστόλους καὶ συμβεβιωκὼς αὐτοῖς. Ἐπιφάνιος Αἱρέσει εἰκοστῇ ἑβδόμῃ, ἤτοι κατὰ Καρποκρατιανῶν, Ἐν Ῥώμῃ γὰρ γεγόνασι πρῶτοι Πέτρος καὶ Παῦλος οἱ Ἀπόστολοι αὐτοὶ καὶ Ἐπίσκοποι ἐν ταὐτῷ, καὶ μηδεὶς θαυμαζέτω ὅτι πρὸ αὐτοῦ Κλήμεντος ἄλλοι τὴν Ἐπισκοπὴν διεδέξαντο παρὰ τῶν Ἀποστόλων ὄντος τούτου συγχρόνου (τοῦ Κλήμεντος) Πέτρου καὶ Παύλου. καὶ Αἱρέσει ἑβδομηκοστῇ ὀγδόῃ περὶ τοῦ Ἀδελφοθέου, Καὶ πρῶτος οὗτος εἴληφε τὴν καθέδραν τῆς Ἐπισκοπῆς, ᾧ πεπίστευκεν ὁ Κύριος τὸν θρόνον αὐτοῦ ἐπὶ τῆς γῆς πρώτῳ, καὶ ἐκαλεῖτο ἀδελφὸς τοῦ Κυρίου. Ἴδε καὶ ἀνωτέρω μέρους δευτέρου κεφαλαίου ἐσχάτου Παράγραφον ὄγδοον, καὶ βιβλίου δευτέρου κεφάλαιον δέκατον ὄγδοον. Καὶ Αἱρέσει ἑβδομηκοστῇ ἐνάτῃ περὶ τοῦ αὐτοῦ, Ἐξ οὗπερ Ἐπισκόπου καὶ τῶν προειρημένων Ἀποστόλων κατεστάθησαν διαδοχαὶ Ἐπισκόπων καὶ Πρεσβυτέρων ἐν οἴκῳ Θεοῦ. Καὶ περὶ Κέρδωνος τοῦ Αἱρετικοῦ, ὅτι ἐν τοῖς χρόνοις γέγονεν ὑγείνου, ἔλαχεν κλῆρον ἄγοντος ἀπὸ τῆς περὶ Ἰάκωβον καὶ Πέτρον καὶ Παῦλον τοὺς Ἀποστόλους διαδοχῆς. Καὶ ἐν τῷ Ἀγκυρωτῷ, Παῦλος ὁ Ἀπόστολος, ᾧ δεξιὰν ἔδωκεν ὁ κορυφαιότατος τῶν Ἀποστόλων Πέτρος. Ἴδε καὶ ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον δέκατον ὄγδοον, καὶ ἄλλα τοῦ Ἐπιφανίου, καὶ βιβλίου πρώτου κεφάλαιον εἰκοστὸν τρίτον, καὶ ἄλλα τοῦ Εὐσεβίου.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ ἐγκωμίων εἰς Ἀνδρέαν καὶ Ἰάκωβον ἀδελφόθεον τοὺς Ἀποστόλους.

Ἡσύχιος πρεσβύτερος Ἱεροσολύμων παρὰ Φωτίῳ περὶ τοῦ Ἀποστόλου Ἀνδρέου, Σάλπιγξ ἱερατικὴ Ἀνδρέας, ὁ τοῦ χοροῦ τῶν Ἀποστόλων πρωτότοκος, ὁ πρωτοπαγὴς τῆς Ἐκκλησίας στύλος, ὁ περὶ Πέτρου Πέτρος, ὁ τοῦ θεμελίου θεμέλιος, ἡ τῆς ἀρχῆς ἀπαρχή. Ὁ αὐτὸς παρὰ Φωτίῳ περὶ τοῦ Ἀδελφοθέου. Ἐγκωμιάσω τὸν μέγαν τῆς Ἱερουσαλὴμ ἀρχιστράτηγον, τὴν τῶν Ἱερέων ἡγεμόνα, τῶν Ἀποστόλων τὸν ἔξαρχον, τὴν ἐν κεφαλαῖς κορυφὴν,

τ̃ ἐν λύχνοις ὑπερλάμποντα, τ̃ ἐν ἄστροις ὑπεμφαίνοντα. Πέτρος δημηγορεῖ, ἀλλ' Ἰάκωβος νομοθετεῖ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ΄.

Περὶ ἐγκωμίων ἰσοῤῥόπων κατά τε ἐνέργειαν καὶ χάριν εἰς Βαρθολομαῖον, Πέτρον καὶ Παῦλον τοὺς Ἀποστόλους.

Θεόδωρος ὁ Στουδίτης ἐγκωμίῳ εἰς Βαρθολομαῖον τὸν Ἀπόστολον λέγει, Ὅσα δρᾷ Πέτρος, τοσαῦτα ἐνεργεῖ Βαρθολομαῖος, ἐφ' ὅσα χωρεῖ Μυστήρια Πέτρος, ἐπὶ τοσαῦτα ἐμβατεύει Βαρθολομαῖος, ἐπίσης εἰς τὸ τῆς Θεολογίας ἄνεισιν ὄρος, ἐπίσης θεμελιοῖ τὴν Ἐκκλησίαν, ἀντίῤῥοπα ἔσχε τὰ λοιπὰ θεῖα χαρίσματα. Καὶ, χαίροις ὁ Θεοφανὴς καὶ πυροειδὴς στύλος τῆς ὀρθοδοξίας. Θεοφύλακτος, Τίνος δὲ ἕνεκεν ἀπὸ Σαύλου Παῦλος ἐκλήθη; ἵνα μὴ δὲ κατὰ τοῦτο ἐλαττωθῇ τοῦ κορυφαίου τῶν Ἀποστόλων. Συμφωνεῖ τούτῳ καὶ ὁ Οἰκουμένιος λέγων ἐν κεφαλαίῳ δεκάτῳ ἐνάτῳ τῶν πράξεων, ἵνα ὅπερ ἔσχεν ἐξαίρετον ὁ κορυφαῖος τῶν μαθητῶν, τοῦτο καὶ αὐτὸς κτήσηται, καὶ πλείονος οἰκειώσεως ὑπόθεσιν λάβῃ. Καὶ ἐν κεφαλαίῳ πρώτῳ τῆς πρὸς Ῥωμαίους, Διατοῦτο δὲ ἀπὸ Σαύλου εἰς Παῦλον μετετέθη, ἵνα μηδ' ἐν τούτῳ φανῇ ἔλαττον ἔχων τῶν Ἀποστόλων, μηδ' αὐτοῦ τοῦ κορυφαίου Πέτρου. Θεοδώριτος ἐπιστολῇ ἑκατοστῇ δεκάτῃ τρίτῃ πρὸς Λέοντα τὸν Πάπαν, Ὁ ἐκείνων (Πέτρου καὶ Παύλου) Θεὸς νῦν τὸν ἐκείνων ἐλάμπρυνε θρόνον, τὴν ὑμετέραν ἁγιωσύνην ἱδρύσας ἐν τούτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Η΄.

Περὶ ἐγκωμίων εἰς πάντας τοὺς Ἀποστόλους, ὅτι ἐπ' αὐτῶν ἡ τῆς Ἐκκλησίας δύναμις ἐξίσου τεθεμελίωται, καὶ ἐξίσου τὰς Κλεῖς ἔλαβον, καὶ τὶ τὸ αἴτιον τοῦ πρωτείου τοῦ Πέτρου, καὶ τοῦ τὸν Παῦλον ὑπερέχειν τῶν Ἀποστόλων ἐν οἷς καὶ ὁ Πέτρος.

Ἱερώνυμος βιλίῳ κατὰ Ἰοβιανοῦ κεφαλαίῳ πρώτῳ, Εἰ καὶ ἐξίσου ἅπασι τοῖς Ἀποστόλοις ἡ τῆς Ἐκκλησίας ἐπεστηρίχθη δύναμις, ὅμως διατοῦτο εἷς μεταξὺ τῶν δώδεκα ἐκλέγεται, ὅπως κεφαλῆς κατασταθείσης, ἡ αἰτία ἀφαιρεθῇ τοῦ σχίσματος. Καὶ, ἐπὶ τοῦ Πέτρου θεμελιοῦσθαι τὴν Ἐκκλησίαν, ἐπὶ πάντων δὲ ἐπίσης θεμελιοῦσθαι τὴν τῆς Ἐκκλησίας δύναμιν. Ἱλάριος εἰς τὸν ἑκατοστὸν τριακοστὸν ὄγδοον ψαλμὸν, Οἱ Ἀπόστολοι τῆς Ἐκκλησίας, τουτέστι τοῦ σώματος τοῦ Χριστοῦ ὀφθαλμοί εἰσιν, ὅθεν καὶ προστάττονται φωτεινοὶ εἶναι, ἵνα καὶ ὅλον τὸ σῶμα φωτεινὸν ᾖ. Ὁ αὐτὸς Κανόνι ἕκτῳ ζητήματι πρώτῳ, Οἱ Ἐπίσκοποι ὀφθαλμοὶ τῆς Ἐκκλησίας ὀνομάζονται. Ὁ αὐτὸς βιβλίῳ ἕκτῳ περὶ Τριάδος οὕτω δι' ἀντιστροφῆς φησὶν, Ὑμεῖς ὦ ἅγιοι καὶ μακάριοι ἄνδρες ἕνεκεν τοῦ μισθοῦ τῆς ὑμετέρας πίστεως τὰς κλεῖς τῆς βασιλείας τῶν Οὐρανῶν λαβόντες, τοῦτε δεσμεῖν καὶ λύειν ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς τὴν ἐξουσίαν λαχόντες. Ἰσίδωρος ὁ Πηλουσιώτης ἐπιστολῇ ἑκατοστῇ ἐνενηκοστῇ, Μὴ ἐκκόψας τελευτῇ τὸν Παῦλον διώκοντα, ἵνα μὴ ἀστοχήσωσι σωτηρίας τῆς Οἰκουμένης τὰ τέρματα. Καὶ ἐπιστολῇ ἑκατοστῇ ἑβδομηκοστῇ ἕκτῃ, Ἕκαστος μὲν τῶν Ἀποστόλων, ὡς ἔπος εἰπεῖν, μίαν ἀπολαβὼν χώραν, ταύτην ἐρύθμισεν, ὁ δὲ Παῦλος ὥσπερ ὑπόπτερος γεωργὸς πᾶσαν σχεδὸν ἐπέδραμε τὴν Οἰκουμένην, καὶ εἰς αὐτὰς ἐφοίτησε τῆς γῆς τὰς ἐσχατιάς. Ἰγνάτιος ὁ Θεοφόρος ἐπιστολῇ πρὸς Ῥωμαίους, Οὐχ ὡς Πέτρος καὶ Παῦλος διατάσσομαι ὑμῖν, ἐκεῖνοι Ἀπόστολοι Ἰησοῦ Χριστοῦ, ἐγὼ δὲ ἐλάχιστος. Καὶ ἐπιστολῇ πρὸς Ἀντιοχεῖς, Μνημονεύετε Εὐοδίου τοῦ ἀξιομακαρίστου Ποιμένος ὑμῶν, ὃς πρῶτος ἐνεχειρίσθη παρὰ τῶν Ἀποστόλων τὴν ὑμετέραν προστασίαν. Καὶ, Παύλου καὶ Πέτρου γεγόνατε μαθηταί. Καὶ ἐπιστολῇ πρὸς Μαγνησίους, Πέτρου καὶ Παύλου θεμελιούντων τὴν Ἐκκλησίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Θ΄.

Ὅτι τοῦτο ἦσαν Ἰωάννης καὶ οἱ ἄλλοι Ἀπόστολοι, ὅπερ ἦν Πέτρος, καὶ περὶ τοῦ αἰτίου τοῦ πρωτείου τοῦ Πέτρου, καὶ τῆς διαφορᾶς τοῦ πέτρα ὁ Χριστὸς καὶ πέτρα ὁ Πέτρος, καὶ τῶν εἰς Παῦλον καὶ Φίλιππον ἐγκωμίων, καὶ ὅτι ἐν τῇ ἀποστολικῇ ἀξίᾳ πᾶσα ἐκκλησιαστικὴ θεωρεῖται δύναμις.

Κυπριανὸς ὁμιλίᾳ τρίτῃ περὶ ἁπλότητος φησὶν, Ἰσοτίμους καὶ ἰσοδυνάμους εἶναι τῷ Πέτρῳ πάντας τοὺς Ἀποστόλους. Καὶ ἐν τῇ ἐξηγήσει τοῦ, Δώσωσοι τὰς κλεῖς, φησὶ περὶ ἑνότητος τῆς Ἐκκλησίας, Τοῦτο ἦσαν ἀληθῶς καὶ οἱ ἄλλοι Ἀπόστολοι, ὅπερ ἦν καὶ ὁ Πέτρος, ὁμοίᾳ συντυχίᾳ δεδεμένοι, τῇ ἴσῃ χάριτι καὶ δωρεᾷ τῆς τιμῆς καὶ τῆς ἀξίας, ἀλλ' ἡ ἀρχὴ ἐκ τῆς ἑνότητος ἀπάρχεται, καὶ τὸ πρωτεῖον τῷ Πέτρῳ δίδοται, ὅπως μία Ἐκκλησία δειχθῇ. Ὁ αὐτὸς βιβλίῳ περὶ ἑνώσεως ἐκκλησιαστικῆς φησὶ, Μία ποίμνη δείκνυται ἡ δοθεῖσα τοῖς Ἀποστόλοις, ἵνα συμφώνως πάντες ποιμαίνωσι. Κύριλλος Ἀλεξανδρείας πρὸς Θεοδόσιον τὸν Βασιλέα, τοὺς Ἀποστόλους καλεῖ τῆς Οἰκουμένης μυσταγωγούς. Καὶ ἐν τῇ πρὸς Νεστόριον συνοδικῇ ἐπιστολῇ φησὶ, Πέτρος καὶ Ἰωάννης ἰσότιμοι ἀλλήλοις καθὸ καὶ Ἀπόστολοι,

λοι, καὶ ἅγιοι μαθηταὶ, πλὴν οὐχ εἷς οἱ δύο. μέρει πρώτῳ τῆς τρίτης Συνόδου. καὶ τόμῳ πρώτῳ βιβλίῳ τρίτῳ, Ἔφη δήπου ὁ Χριστὸς καὶ διὰ φωνῆς τοῦ Δαβὶδ περὶ τῆς γῆς καὶ τῶν ἁγίων Ἀποστόλων, Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς. Καὶ βιβλίῳ δεκάτῳ, Ὅτι καὶ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας οἰκοδόμους ὥσπερ εἶναι καὶ τεχνίτας πνευματικοὺς τοὺς ἁγίους Ἀποστόλους. καὶ ἐν τῷ ἐγκωμίῳ τῆς Θεοτόκου, Παῦλος τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ τέττιξ ὁ ἐκκλησιαστικὸς, τὸ εὐαγγελικὸν καὶ ἐπουράνιον θυμίαμα, ἡ μυροτόκος πηγή. Καὶ, ὃς τὴν Οἰκουμένην ἐστήριξε πιστεύειν εἰς ὁμοούσιον Τριάδα. Καὶ εἰς τὸν Ἡσαΐαν βιβλίῳ τρίτῳ, Καὶ πέτραν ἡμῖν διὰ τούτων ὠνομάσθαι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐν ᾧ καθάπερ τι σπήλαιον, ἢ καὶ προβάτων σηκὸς ἡ Ἐκκλησία νοεῖται, ἀσφαλῆ καὶ ἀκράδαντον ἔχουσα τὴν εἰς τὸ ἐν εἶναι διαμονὴν, Σὺ γὰρ εἶ Πέτρος φησί. Καὶ βιβλίῳ τεταρτῷ Ὁμιλίᾳ δευτέρᾳ, Ἔστι μὲν γὰρ ἁπάντων θεμέλιος καὶ κατασείρη ὑποβάθρα Χριστὸς, ὁ συνέχων ἅπαντα, καὶ διακρατῶν εἰς τὸ ἐν εἶναι ἐρηρεισμένα. Καὶ, θεμέλιοι δὲ προσεχέστατοι, καὶ ἐγγὺς μᾶλλον ἢ καθ' ἡμᾶς ῥηθεῖεν ἂν Ἀπόστολοί τε καὶ Εὐαγγελισταὶ, γενόμενοι μὲν αὐτόπται καὶ ὑπηρέται τοῦ Λόγου, γενόμενοι δὲ καὶ εἰς ἑδραίωμα πίστεως, ταῖς γὰρ αὐτῶν παραδόσεσιν ἕπεσθαι δεῖ. Καὶ, Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ θεμελιώσω μου τὴν Ἐκκλησίαν, πέτραν, οἶμαι, λέγων τὸ ἀκράδαντον εἰς πίστιν τοῦ μαθητοῦ. Καὶ ἐν τῷ, Καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς, Ἐντεῦθεν συνάγεσθαι τοὺς Ἀποστόλους τῆς Οἰκουμένης Διδασκάλους, ἐν δὲ τῇ ἀποστολικῇ ἀξίᾳ θεωρεῖσθαι πᾶσαν ἐκκλησιαστικὴν δύναμιν. Κύριλλος Ἱεροσολύμων κατηχήσει ἕκτῃ περὶ τῆς Ἐκκλησίας Ῥωμαίων λέγει, Παραγενομένης δὲ τῆς πλάνης, ἀγαθῶν ξυνωρὶς διορθοῦται τὸ πταῖσμα, Πέτρος καὶ Παῦλος παραγενόμενοι, οἱ τῆς Ἐκκλησίας προστάται. Κάλλιστος Νικηφόρος βιβλίου τετάρτου κεφαλαίῳ τριακοστῷ ἐνάτῳ περὶ Φιλίππου καὶ Βαρθολομαίου, Τὸν ἀῤῥαγῆ τοιγαροῦν τῆς πίστεως θεμέλιον ἐπὶ τὰς ἐκείνων πάσας πόλεις καταπήξαντες, Ναούς τε ᾠκοδόμουν, καὶ Ἱερέας προὐβάλλοντο.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ ἐγκωμίων εἰς Πέτρον, Παῦλον, Ἀνδρέαν, Ἰάκωβον καὶ Ἰωάννην, Θωμᾶν, Φίλιππον καὶ Ἀδελφόθεον, ἐξ ὧν οὐκ ἔστιν ἕτερον ἑτέρου προτιμῆσαι, καὶ ὅτι ἡ δωδεκὰς τῶν Ἀποστόλων παντουργὸς, ἀδιαίρετος καὶ ἄτμητος.

Νικήτας ὁ Παφλαγὼν ἐγκωμίῳ εἰς Πέτρον καὶ Παῦλον, Χαίροις Πέτρε, ὃν ποιμένα ἐπὶ τῶν ἑαυτοῦ προβάτων κατεστήσατο. Χαίροις Παῦλε, ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος τῆς τοῦ Σωτῆρος ἀποδειχθεὶς οἰκίας, διὸ καὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καθιστάμενος. Καὶ εἰς Ἀνδρέαν, Καὶ τοίνυν οὐκ ἔστιν ἕτερον ἑτέρου προτιμῆσαι τῶν θεοπτῶν, οἷα μαργαριτῶν πολυτίμων μιᾷ χάριτι κατηρτισμένων, ἢ λίθων τιμίων ἰσοτίμων εἰς ἕνα στέφανον δόξης ὑπέρτιμον τῷ τῶν Οὐρανῶν διαπλεκόμενον Βασιλεῖ, οἷα Κριοὶ τέλειοι τῶν τοῦ Ἀρχιποίμενος προβάτων Ἡγούμενοι πάντες ὁμοίως. Χαίροις προβάθμιε τῶν Ἀποστόλων ἀρχηγὲ, τῶν Ἀποστόλων ἔρεισμα, τῶν ἁγίων στήριγμα, τῆς Ἐκκλησίας στερέωμα. Εἰς Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, Πρωτόθρονοι καὶ ἰσότιμοι (Ἰάκωβος καὶ Ἰωάννης) πάντων μικροῦ φάναι πρόκριτοι, ὡς τῆς ἴσης καὶ πρώτης καὶ τῆς κορυφαίας ἅμα τοῦ μεγάλου Πέτρου καὶ ἀκροτάτης καταξιωθέντες τιμῆς. Καὶ, ὁ μετὰ Πέτρου καὶ Ἰωάννου τὴν ἀνωτάτω τάξιν καὶ τὴν κορυφὴν τῆς ἀποστολικῆς καθέδρας διειληχώς. Εἰς Ἰωάννην τὸν Θεολόγον. Σὺ δὲ ὦ μάκαρ τὴν ἄκραν τῆς ἀποστολικῆς μεγαλοπρεπείας καταλαβὼν κορυφήν, Εἰς Θωμᾶν. Ὥσπερ ὁ Πέτρος πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως, οὕτω μετὰ τὴν ἀνάστασιν οὗτος τὸ ἐνοειδὲς καὶ διπλοῦν ἀνεκήρυξε τοῦ Χριστοῦ, οὗ τὸ τῆς ὁμολογίας ὁ Κύριος ἐπιλογιζόμενος ἀκριβὲς, ἐπ' αὐτῷ τὴν ἰδίαν Ἐκκλησίαν ἐστηρίξατο. Εἰς Φίλιππον, Ἀδιαίρετος μὲν οὖν καὶ ἄτμητος ἡ τῶν Ἀποστόλων παντουργὸς δωδεκὰς, πᾶσαν τοιγαροῦν ἐξουσίαν ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς λαβόντες Χριστοῦ, πᾶσαν δι' αὐτοῦ τὴν Οἰκουμένην οἱ ἱεροὶ Θεολόγοι τούτου κληρωσάμενοι, τῆς πρώτης παρὰ τῷ Βασιλεῖ καταξιούμενοι τιμῆς. Εἰς τὸν Ἀδελφόθεον, Καὶ τὸ παρὰ τοῦ Ἰακώβου ψηφισθὲν, εἰς τύπον τοῖς Ἀποστόλοις ἐγράφετο, καὶ τῇ Ἐκκλησίᾳ παρεδίδοτο.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ὅτι μείζων πασῶν τῶν πνευματικῶν ἀρχῶν καὶ ὑπόθεσις καὶ ῥίζα ἡ ἀποστολικὴ ἀξία κατὰ τὸν Χρυσόστομον, καὶ περὶ ὑπερφυῶν ἐγκωμίων ἐκ τῶν ὁμιλιῶν τοῦ αὐτοῦ εἰς τοὺς δώδεκα Ἀποστόλους διῃρημένως ἅμα καὶ συνημμένως λεγομένων εἰς αὐτοὺς, καὶ μάλιστα εἰς τὸν Παῦλον, ὃν καὶ Ἄρχοντα καὶ Ἡγεμόνα τῶν Ἀποστόλων ἀποκαλεῖ, ὁ δὲ Ὠριγένης, πήξαντα μετὰ Ἰησοῦν τὰς Ἐκκλησίας.

Χρυσόστομος τόμῳ ὀγδόῳ περὶ ὠφελείας τῆς ἀναγνώσεως τῶν γραφῶν, Οὐ ψιλὸν ἐστὶ τὸ ὄνομα τοῦτο, ἀλλ' ἀρχῆς ἐστὶ προσηγορία, ἀρχῆς μεγίστης, ἀρχῆς τῆς πνευματικωτάτης, ἀρχῆς τῆς ἄνω, καθάπερ

γὰρ

γὰρ ἐν τοῖς βιωτικοῖς πράγμασιν εἰσὶν ἀρχαὶ πολλαὶ, οὐ πᾶσαι δὲ τῆς αὐτῆς ἀξίας, ἀλλ' αἱ μὲν μείζους, αἱ δὲ ἐλάττους, οὕτω καὶ τῶν πνευματικῶν πολλαὶ μὲν ἀρχαὶ, οὐ πᾶσαι δὲ τῆς αὐτῆς ἀξίας, πασῶν δὲ μείζων ἡ τῆς ἀποστολῆς ἀξία. Καὶ, ὁ Προφήτης Ἄρχων ἐστὶ παρ' ἡμῖν, ὁ Δαίμονας ἐξελαύνων, Ἄρχων ἐστὶ παρ' ἡμῖν, ὁ Ποιμὴν καὶ Διδάσκαλος, Ἄρχων ἐστὶ πνευματικὸς, ἀλλὰ τούτων ἁπάντων μείζων ἐστὶν ἡ ἀρχὴ ἡ ἀποστολικὴ, καὶ αὐτοῦ τοῦ Παύλου ἀκούσωμεν ἀριθμοῦντος τὰς ἀρχὰς, καὶ ἐν τῷ ὑψηλοτέρῳ χωρίῳ τὴν ἀποστολικὴν καθίζοντος. τί οὖν οὗτος φησίν; Οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον Ἀποστόλους, δεύτερον Προφήτας, τρίτον Διδασκάλους καὶ Ποιμένας. εἶτα χαρίσματα ἰαμάτων. εἶδες κορυφὴν ἀρχῶν; εἶδες ὑψηλὸν καθήμενον τὸν Ἀπόστολον, καὶ οὐδένα πρὸ ἐκείνου ὄντα, οὔτε ἀνώτερον; Καὶ, οὐκ ἀρχὴ δὲ ἐστὶν ἡ ἀποστολὴ τῶν ἄλλων ἀρχῶν, ἀλλὰ καὶ ὑπόθεσις καὶ ῥίζα. Καὶ, Ἄρχοντες γάρ εἰσιν ὑπὸ Θεοῦ χειροτονηθέντες οἱ Ἀπόστολοι, Ἄρχοντες, οὐκ ἔθνη καὶ πόλεις διαφόρους λαμβάνοντες, ἀλλὰ πάντες κοινῇ τὴν Οἰκουμένην ἐνεπιστεύθησαν. Καὶ περὶ Παύλου ἐν τῇ αὐτῇ Ὁμιλίᾳ φησὶ, Τῆς Οἰκουμένης ἀντελαμβάνετο πάσης, καὶ διεκυβέρνα τὰς Ἐκκλησίας. Καὶ περὶ Ἰωάννου εἰς τὸν πρόλογον τοῦ κατὰ Ἰωάννην, Ὁ στύλος τῶν κατὰ τὴν Οἰκουμένην Ἐκκλησιῶν, ὁ τὰς κλεῖς ἔχων τῶν Οὐρανῶν. Καὶ εἰς τὸ ἐγκώμιον αὐτοῦ, Ἡ καλὴ τῆς ποίμνης ἀρχὴ, ἡ εὐθαλὴς ῥίζα, ἡ ἀνέκλειπτος πηγὴ, τὸ πρῶτον τῆς πίστεως ἀκροθήνιον. Καὶ Τόμῳ πέμπτῳ Ὁμιλίᾳ τριακοστῇ τρίτῃ περὶ Παύλου, Ὁ πάντων ἀνθρώπων ἀμείνων, ὁ τῆς Οἰκουμένης Διδάσκαλος, ὁ Νυμφαγωγὸς τοῦ Χριστοῦ, ὁ τῆς Ἐκκλησίας φυτουργὸς, ὁ σοφὸς Ἀρχιτέκτων, τῶν Ἀποστόλων μείζων. Καὶ Ὁμιλίᾳ εἰς Ἀκύλαν καὶ Πρίσκιλλαν. Ὁ τὴν Οἰκουμένην ἅπασαν ἐγκεχειρισμένος. Καὶ, Παύλου λαμπρότερον οὐδὲν ἦν. Καὶ, τὴν γλῶσσαν τῆς Οἰκουμένης. Καὶ, τὸ φῶς τῶν Ἐκκλησιῶν. Καὶ, τὸν θεμέλιον τῆς πίστεως. Καὶ, τὸν στύλον καὶ ἑδραίωμα τῆς ἀληθείας. Καὶ, τί γὰρ Πέτρου μεῖζον; τί δὲ Παύλου ἴσον. Καὶ, τῶν μὲν ἄνω τὰς κλεῖς εἰληφότες, τῶν δὲ κάτω λύειν καὶ δεσμεῖν τὰς ἁμαρτίας ἐξουσίαν ἔχοντες. Καὶ, οἱ στύλοι τῆς Ἐκκλησίας, οἱ μεγάλοι τῆς Ἐκκλησίας Φωστῆρες. Καὶ Ὁμιλίᾳ ἑκατοστῇ ἑξηκοστῇ ὀγδόῃ, Τῆς ὀρθοδοξίας ἀμετάθετοι στύλοι, τῆς Ἐκκλησίας πέτρα, τῆς βασιλείας σκῆπτρα, τοῦ ποιμνίου προστάται. Καὶ περὶ Παύλου, Ὅτι ἐξ ἐσχάτων πρῶτος. Καὶ εἰς τὸ, ΟΤΕ ΗΛΘΕ ΠΕΤΡΟΣ ΕΙΣ ΑΝΤΙΟΧΕΙΑΝ, λέγει. Δεικνύντος ἅμα καὶ τὴν ἰσότιμον ἀξίαν αὐτῶν, καὶ τὴν ἐκ σπουδῆς προθυμίαν περὶ τὴν ἀξίαν. Καὶ, μετὰ τοσαῦτα καὶ τοιαῦτα κατορθώματα, μηδὲν Πέτρου δεόμενος, μήτε τῆς ἐκείνου φωνῆς, ἀλλ' ἰσότιμος ὢν αὐτῷ, ὅμως ἀνέρχεται ὡς πρὸς μείζονα καὶ πρεσβύτερον, καὶ ἵνα μὴ εἴπῃ τὶς, ὅτι τὸ μεῖζον τοῦ Πέτρου κατά τινα ἀξίαν νοεῖται, λέγει κατωτέρω, Πάντας τοὺς κατὰ μέρος τῆς Οἰκουμένης ἐκείνους διορθωσάμενος, καὶ τῷ Χριστῷ προσαγαγὼν, πρῶτον μὲν εἰσέρχεται πρὸς Ἰάκωβον μετὰ πολλῆς τῆς ταπεινοφροσύνης ὡς πρὸς μείζονα καὶ τελειότερον. Καὶ Ὁμιλίᾳ τεσσαρακοστῇ πέμπτῃ εἰς τὸ ἑνδέκατον κεφάλαιον τοῦ κατὰ Ματθαῖον, Πόθεν οὖν εἶχον τὸ πλέον οὗτοι Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης; ἀπὸ τῆς κατὰ ψυχὴν ἀρετῆς. Καὶ εἰς τὸ εἰκοστὸν πρῶτον κεφάλαιον τοῦ Ἰωάννου, Ἐπειδὴ γὰρ ἔμελλον τῆς Οἰκουμένης τὴν ἐπιτροπὴν ἀναδέξασθαι, οὐκ ἔδει συμπεπλέχθαι λοιπὸν ἀλλήλοις, ἦ γὰρ ἂν, μεγάλη τοῦτο τῇ Οἰκουμένῃ γέγονε ζημία. Καὶ λόγῳ ἑκατοστῷ ἑξηκοστῷ ὀγδόῳ, Καθάπερ οἰκίαν μίαν τὴν Οἰκουμένην διανειμάμενοι οἱ Ἀπόστολοι, οὕτως ἅπαντα διοικοῦντο, καὶ τῶν ἁπανταχοῦ ἐπεμελοῦντο. Καὶ ἐγκωμίῳ εἰς τοὺς δώδεκα, Ὑμεῖς ἐστὲ τῆς ὀρθοδοξίας ἀμετάθετοι στύλοι, τῆς Ἐκκλησίας πέτρα, καὶ τοῦ ποιμνίου τούτου μάλιστα ἄγρυπνοι προστάται. Καὶ λόγῳ εἰς τὴν Πεντηκοστὴν, Οὐκ ἐπὶ τῷ Πέτρῳ τῷ ἀνθρώπῳ, ἀλλ' ἐπὶ τῇ ὁμολογίᾳ τοῦ Πέτρου ἐθεμελιώθη ἡ Ἐκκλησία. Καὶ κεφαλαίῳ ἐνάτῳ τῆς πρὸς Κορινθίους πρώτης, Ὁ Παῦλος τῆς Οἰκουμένης τὴν προστασίαν ἐδέξατο. Καὶ λόγῳ δευτέρῳ περὶ Ἱερωσύνης, Διατὶ τὸ αἷμα αὐτοῦ ἐξέχεεν; ἵνα τὰ πρόβατα κτήσηται ταῦτα, ἃ τῷ Πέτρῳ καὶ τοῖς μετ' ἐκεῖνον ἐνεχείρισε. Καὶ πράξεων λόγῳ τρίτῳ περὶ τοῦ Ματθία, Ὅρα δὲ αὐτὸν (τὸν Πέτρον) μετὰ κοινῆς ποιοῦντα γνώμης, οὐδὲν αὐθεντικῶς, οὐδὲν ἀρχικῶς. Καὶ μετ' ὀλίγα, Διὸ πάντων παρόντων τοῦτο ἀναφωνεῖ. ἰδοὺ Ἐκκλησίας ἀξίωμα, καὶ ἀγγελικὴ κατάστασις. Καὶ, ὅρα δὲ ἐπιείκειαν Ἰακώβου, αὐτὸς ἔλαβε τὴν Ἐπισκοπὴν τὴν ἐν Ἱεροσολύμοις, καὶ ὅμως τότε οὐ διαλέγεται. ὅρα δὲ καὶ τῶν ἄλλων μαθητῶν πολλὴν ταπεινοφροσύνην, πῶς αὐτῷ συγχωροῦσι τὸν θρόνον, καὶ οὐκ ἔτι ἀμφισβητοῦσι πρὸς ἀλλήλους. Καὶ Ὁμιλίᾳ, Ὅτι χρήσιμος ἡ τῶν γραφῶν ἀνάγνωσις, Τοὺς Ἀποστόλους ὥσπερ Ὑπατείαν μετὰ τὴν αὐτοκρατορικὴν βασιλείαν ἐξουσιάζουσαν καὶ συμβασιλεύουσαν λέγει. Καὶ Ὁμιλίᾳ εἰς τὴν νέαν Κυριακὴν, Ἐγὼ τὴν δευτέραν ὁμολογίαν τῆς Ἐκκλησίας ἡμῶν κρηπῖδα τυγχάνουσαν καὶ θεμέλιον κηρύττω. Καὶ εἰς τὴν πρὸς Ἑβραίους κεφαλαίῳ δωδεκάτῳ, Αὐτὸς ἐστὶν ὁ ἐντεθεικὼς ἡμῖν τὴν πίστιν, ὁ διαυγάσας Ἥλιος τὴν ἡμέραν τῆς Ἐκκλησίας διὰ δώδεκα ὡρῶν, τῶν ἐκλεχθέντων αὐτοῦ δώδεκα μαθητῶν. Καὶ ἀλλαχοῦ, Ἐννόησον Παῦλον, οὗ τὰ ἱμάτια ἐνήργει, Πέτρον, οὗ καὶ αἱ σκιαὶ ἴσχυον, Βασιλέως γὰρ ἔφερον εἰκόνα. Καὶ Ματθαίου κεφαλαίῳ ἑνδεκάτῳ περὶ τῆς Βηθσαϊδᾶ, Ἀφ' ἧς πέντε προῆλθον Ἀπόστολοι, ὅ, τε γὰρ Φίλιππος, καὶ αἱ δύο ξυνωρίδες τῶν κορυφαίων ἐντεῦθεν ἦσαν. Καὶ πρὸς Γαλάτας, Οὕτω καὶ οὗτος (ὁ Παῦλος) ἀπὸ τῆς πρώτης κλήσεως πρὸς τὴν ἄκραν ἀνέβη κορυφὴν τοῦ Οὐρανοῦ. Ἐνταυτῷ, κεφαλαίῳ δευτέρῳ, Παῦλος τῶν Ἀποστόλων Ἡγεμών. Καὶ Ὁμιλίᾳ πρώτῃ περὶ προσευχῆς, Ὅτι πρῶτος πάντων ἐγένε-

ἐγένετο. Καὶ Ὁμιλίᾳ δευτέρᾳ πρὸς Ῥωμαίους, Τῆς Ἐκκλησίας στύλος, σιδήρου καὶ πέτρας στερρότερος, πνευματικὸς Ἀδάμας, μυρίαις ἀρκῶν πόλεσι. Καὶ, τὸ δὲ οὐ δι' ἀνθρώπων, ἴδιον τῶν Ἀποστόλων, οὐ γὰρ δι' ἀνθρώπων ἐκάλεσεν αὐτοὺς, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ, οἱ γὰρ μεταγενέστεροι, καὶ διάδοχοι ἐκείνων, καίτοι οὐκ ἀπ' ἀνθρώπων ἔχουσι τὴν ῥίζαν τοῦ κηρύγματος, ἀλλὰ δι' ἀνθρώπων τῶν Ἀποστόλων. Καὶ ἀλλαχοῦ περὶ τοῦ Παύλου, Ἡρπάγη ἕως τρίτου Οὐρανοῦ, ἵνα μὴ δόξῃ ἔλαττον ἔχειν τῶν ἀμέσως συνωμιληκότων τῷ Χριστῷ Ἀποστόλων. Καὶ εἰς τὴν πρώτην πρὸς Κορινθίους κεφαλαίῳ δωδεκάτῳ, Διὸ καὶ τοὺς Ἀποστόλους προὔθηκεν, οἳ πάντα ἐν ἑαυτοῖς εἶχον τὰ χαρίσματα. Καὶ Ματθαίου κεφαλαίῳ δεκάτῳ, Μετὰ γὰρ τοὺς δύο κορυφαίους τότε τὸν Ἀνδρέαν ἀριθμεῖ. Καὶ εἰς τὸ, Ὁ ἐνεργήσας Πέτρῳ εἰς τὴν περιτομὴν, λέγει περὶ τοῦ Παύλου, Δείκνυσιν αὐτοῖς ὁμότιμον ὄντα λοιπὸν, καὶ οὐ τοῖς ἄλλοις ἑαυτὸν, ἀλλὰ τῷ κορυφαίῳ συγκρίνει, δεικνὺς ὅτι τῆς αὐτῆς ἕκαστος ἀπήλαυσεν ἀξίας. Καὶ κεφαλαίῳ ἐνάτῳ πρὸς Κορινθίους, Καὶ γὰρ Στρατιῶται καὶ Γεωργοὶ καὶ Ποιμένες καὶ Ἀπόστολοι ἦσαν. Καὶ ἐν τοῖς λόγοις εἰς τὴν Πεντηκοστὴν, Τῆς Οἰκουμένης παιδευταὶ οἱ Ἀπόστολοι, δώδεκα μαθηταὶ ἐξ ἑνὸς Διδασκάλου παιδευόμενοι, δώδεκα Στρατηγοὶ ὑφ' ἑνὶ Βασιλεῖ ταττόμενοι, δώδεκα Φωστῆρες ἐκ μιᾶς κορυφῆς, δώδεκα Ἀκτῖνες ἐξ ἑνὸς Ἡλίου, δώδεκα Λαμπάδες ἐξ ἑνὸς Σπινθῆρος, δώδεκα Κλήματα ἐξ ἀληθινῆς Ἀμπέλου, δώδεκα Κόφινοι ἐκ μιᾶς πληρούμενοι τραπέζης, δώδεκα Ποταμοὶ ἐκ μιᾶς Πηγῆς, δώδεκα Γλῶτται ἐκ μιᾶς χάριτος φθεγγόμεναι. Καὶ Ὁμιλίᾳ πρώτῃ καὶ εἰκοστῇ δευτέρᾳ πρὸς Φιλιππησίους, καὶ πράξεων κεφαλαίῳ ὀγδόῳ καὶ ἐνάτῳ, κορυφαίους καλεῖ τοὺς δώδεκα. Καὶ Ὁμιλίᾳ ὀγδοηκοστῇ ἑβδόμῃ εἰς τὸν Ἰωάννην περὶ Παύλου, Μηδὲν αὐτοῦ (τοῦ Πέτρου) δεόμενος, ἀλλ' ἰσότιμος ὤν, πλέον γὰρ οὐδὲν ἐρωτήσεως. Εἰς τὸ κατὰ Ματθαῖον Ὁμιλίᾳ πεντηκοστῇ τετάρτῃ, Καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ, τουτέστι τῇ πίστει τῆς ὁμολογίας. Πράξεων κεφαλαίῳ δεκάτῳ περὶ Παύλου, Σοφὸς Ἀρχιτέκτων, πιστὸς Οἰκονόμος, ἐργάτης ἀνεπαίσχυντος, εἶχε τὴν μέριμναν πασῶν τῶν Ἐκκλησιῶν. Ὁμιλίᾳ εἰς τοὺς δώδεκα Ἀποστόλους, Πέτρος ἐντεῦθεν μαθητεύει τὴν Ῥώμην, Παῦλος ἐκεῖθεν. εὐαγγελίζεται κόσμον, Ἀνδρέας τοὺς τῆς Ἑλλάδος σοφοὺς διορθοῦται, Σίμων διδάσκει τὸν Θεὸν τοὺς βαρβάρους, Θωμᾶς διὰ βαπτίσματος λευκαίνει τοὺς Αἰθίοπας, Ἰακώβου τὴν καθέδρον Ἰουδαία τιμᾷ, Μάρκου τὸν θρόνον Ἀλεξάνδρεια ἡ περὶ Νεῖλον ἀσπάζεται. Καὶ λόγῳ εἰς τοὺς δώδεκα Ἀποστόλους, Ἡγείσθω Πέτρος τοῦ λόγου, καὶ τοῦ Ἀμπελῶνος. Καὶ μόνος ὁ Παῦλος περὶ ἑαυτοῦ εἰς τὴν πρὸς Κορινθίους δευτέραν κεφαλαίῳ ἑνδεκάτῳ, Λογίζομαι μηδὲν ὑστερηκέναι τῶν ὑπερλίαν Ἀποστόλων, ἐφ' ᾧ ὁ Χρυσόστομος Ὁμιλίᾳ εἰκοστῇ δευτέρᾳ, ἐν τῇ αὐτῇ ἐπιστολῇ φησὶν, Οὐχ ἁπλῶς τῶν Ἀποστόλων εἰπὼν, ἀλλὰ τῶν ὑπερλίαν, Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην δηλῶν. συμφώνως τῷ Χρυσοστόμῳ λέγει καὶ ὁ Θεοφύλακτος. Καὶ πρὸς Ῥωμαίους Ὁμιλίᾳ πρώτῃ, Σαῦλον ὄντα, Παῦλον ἐκάλεσεν, ἵνα μὴ δὲ ταύτῃ τῶν Ἀποστόλων ἔλαττον ἔχῃ, ἀλλ' ὅπερ ἔσχεν ἐξαίρετον ὁ κορυφαῖος τῶν μαθητῶν, τοῦτο καὶ αὐτὸς κτήσηται. Ὡριγένης βιβλίῳ πρώτῳ καὶ Κέλσου περὶ τοῦ Παύλου λέγει, Τοῦ μετὰ τὸν Ἰησοῦν τὰς ἐν Χριστῷ πήξαντος Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ἄθροισις ἐκ τῶν ἀνωτέρω Παραγράφων τῶν πρὸς ἕκαστον ἰδίως καὶ πρὸς πάντας κοινῶς τοὺς Ἀποστόλους παρὰ τῶν ἁγίων εἰρημένων ἐγκωμίων, ἐξ ὧν δείκνυται ὁ Πέτρος κατάτε δύναμιν καὶ ἐνέργειαν καὶ ἐξουσίαν καὶ ἀξίαν πνευματικὴν καὶ τιμὴν καὶ δόξαν ἴσος τοῖς λοιποῖς Ἀποστόλοις.

Ἐντούτοις σημείωσαι ὅτι οὐχ ὁ Πέτρος μόνος, ἀλλὰ καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Παῦλος καὶ Ἀνδρέας καλοῦνται κορυφαῖοι τῶν Ἀποστόλων. Καὶ πάλιν Πέτρος καὶ Παῦλος κορυφαῖοι τῶν Ἀποστόλον. Καὶ τέως ὁ Πέτρος καὶ οἱ λοιποὶ πάντες Ἀπόστολοι κοινῶς καὶ διαφόρως καλοῦνται, οἷς ἐδόθη ἐξουσία παρὰ Χριστοῦ ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς λύειν ἁμαρτίας. Καὶ ὅτι ἀπ' αὐτῶν ἡ πίστις ἤρξατο καὶ ἐθεμελιώθη. Καὶ ὅτι τοῦ Χριστοῦ ἐπίτροποι. Καὶ ὅτι ὁ Πέτρος οὐκ ἔστι πρῶτος τῶν Ἀποστόλων κατὰ τιμὴν καὶ δόξαν, ἀλλὰ διὰ τὴν ὁμολογίαν καὶ τὴν πίστιν. Καὶ ὅτι εἴτι ἐῤῥέθη τῷ Πέτρῳ, δηλονότι Πέτρα, Δώσωσοι τὰς κλεῖς, Ποίμαινε, Φιλεῖς με, ταῦτα καὶ τοῖς ἄλλοις Ἀποστόλοις λέγεται. Καὶ ὅτι θεμέλια τῆς Ἐκκλησίας οἱ Ἀπόστολοι προσεχέστατα, καὶ ὄρη, καὶ ἐν τῶν ὀρέων ὁ Πέτρος, καὶ πᾶσι τοῖς Ποιμέσι καὶ Διδασκάλοις τὴν αὐτὴν ἐξουσίαν ἔδωκεν ὁ Κύριος ἣν ἔδωκε καὶ τῷ Πέτρῳ, καὶ ὡς ὁ Πέτρος, πάντες δεσμοῦσι καὶ λύουσι. Καὶ ὁ Ἰάκωβος ἔχει τὸν θρόνον τοῦ Χριστοῦ ἐπὶ τῆς γῆς. Καὶ ἡ διαδοχὴ τῆς Ἱερωσύνης ἐν τῇ Ἐκκλησίᾳ κοινῶς ἐστιν ἀπὸ Ἰακώβου καὶ Πέτρου ὥσπερ καὶ ἀπὸ τῶν λοιπῶν Ἀποστόλων. Καὶ ὁ Ἀνδρέας πρωτότοκος τῶν Ἀποστόλων, καὶ πρωτοπαγὴς στύλος, καὶ θεμέλιος θεμελίου, καὶ ἀρχὴ τῆς ἀπαρχῆς. Καὶ ὁ Ἰάκωβος Ἔξαρχος τῶν Ἀποστόλων καὶ κορυφὴ τῶν κεφαλῶν, ἤτοι τῶν Ἀποστόλων. Καὶ ὁ Βαρθολομαῖος τῆς αὐτῆς δυνάμεως καὶ ἐξουσίας καὶ ἐνεργείας ἦν ἧς καὶ ὁ Πέτρος. Καὶ ἐπὶ πάντων τῶν Ἀποστόλων ἐξίσου ἐπεστηρίχθη ἡ δύναμις τῆς Ἐκκλησίας. Καὶ ἐπὶ πάντων τεθεμελίωται τῆς Ἐκκλησίας ἡ δύναμις. Καὶ ἐξίσου πάντε οἱ Ἀπόστολοι Ὀφθαλμοὶ, καὶ Ἅλας, καὶ Φῶς,

καὶ

καὶ σεσάται τῆς Ἐκκλησίας. Καὶ πάντες τὰς κλεῖς τῆς Βασιλείας τῶν Οὐρανῶν ἔλαβον, καὶ τὴν ἐξουσίαν ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς. Καὶ ὅλη πάντες οἱ Ἀπόστολοι ἰσόψηφοι καὶ ἰσοδύναμοι τῷ Πέτρῳ. Καὶ εἴη ἦν ὁ Πέτρος, ἦσαν καὶ οἱ ἄλλοι Ἀπόστολοι κατὰ χάριν καὶ τιμὴν καὶ ἀξίαν. Καὶ πᾶσιν ἐδόθη ἵνα συμφώνως ποιμαίνωσι μίαν ποίμνην τὴν Ἐκκλησίαν. Καὶ τῆς Οἰκουμένης μυσαγωγοὶ, καὶ ἰσόψηφοι, καὶ σύλλοι, καὶ τεχνῖται, καὶ θεμέλιοι σεσεχέσατοι τῆς Ἐκκλησίας, καὶ ἑδραίωμα πίστεως. Καὶ θεμελιώσαντες τὴν Ἐκκλησίαν. Καὶ τῆς Οἰκουμένης Διδάσκαλοι. Καὶ ἐν τῇ ἀξίᾳ πάντων τῶν Ἀποστόλων θεωρεῖσθαι πᾶσαν ἐκκλησιαστικὴν δύναμιν. Καὶ μαργαρῖται πολύτιμοι, καὶ λίθοι ἰσόψηφοι, καὶ πάντες Ἡγεμόνες. Καὶ ἐκ ἔστιν ἕτερον Ἀπόστολον ἑτέρᾳ Ἀποστόλῃ σεσημῆναι. Καὶ τῆς Ἐκκλησίας στερέωμα, καὶ σεσβάθμιον, καὶ ἀρχηγὸς, καὶ ἔρεισμα τῶν Ἀποστόλων ὁ Ἀνδρέας. Καὶ Ἰάκωβος καὶ Ἰωάννης πρωτόθρονοι, καὶ μετὰ Πέτρον κατηξιώθησαν τῆς ὠνωτάτω ἡμῶν, καὶ τῆς αὐτῆς τάξεως, καὶ κορυφῆς. Καὶ ὁ Θωμᾶς ἐπ' αὐτῷ ὡς ὁ Πέτρος τὴν Ἐκκλησίαν ἐστηρίξαν. Καὶ οἱ Ἀπόστολοι κοινῶς τῆς πρώτης κατηξιώθησαν σεσὸ τὸ Κυρίου τιμῆς, καὶ τῆς αὖθις καὶ μεγίστης ἀρχῆς. Καὶ πάντων τῶν ἀρχῶν μείζων ἡ ἀποστολικὴ ἀξία, ἥτις καὶ κορυφὴ ἀρχῶν ἐστὶ, καὶ ὑδὲμία ἀρχὴ ταύτης ὑψηλοτέρα. Ἄρχοντες ἐξίσου οἱ Ἀπόστολοι. Καὶ κοινῶς τὴν Οἰκουμένην ἐπεσδύθησαν. Καὶ σύλλοι μεγάλοι, καὶ ἀμεταθέτοι, καὶ φωσῆρες, καὶ πέτρα τῆς Ἐκκλησίας, καὶ σκῆπτρα τῆς βασιλείας, καὶ τὸ ποιμνίον ἀγρυπνοι σεσάται. Καὶ τὴν ἐπτερυγίαν τῆς Ἐκκλησίας ἀνεδέξαντο. Καὶ ὥσπερ οἰκίαν μίαν τὴν Οἰκουμένην διωκείμαντο. Καὶ τὰ σεῖρατα τῷ Πέτρῳ καὶ τοῖς μετ' ἐκεῖνον ἐνεχείρισε. Καὶ ὅλη ἐν Ἱεροσολύμοις ὄντων τῶν Ἀποστόλων ὁ Ἰάκωβος ἦν πρῶτος. Καὶ οἱ Ἀπόστολοι μετὰ τὸν Ἀυτοκράτορα Θεὸν ὕπατοι ἦσαν, συμβασιλεύοντες, καὶ συνεξουσιάζοντες αὐτῷ. Μαθηταὶ, Στρατιῶται, Γεωργοὶ, Ποιμένες τῆς Οἰκουμένης, Παιδευταὶ, Στρατηγοὶ, ὑπὸ τῷ Βασιλεῖ ταπόμοι, Ἀκτῖνες, Λαμπάδες, Κλήματα, Κόφινοι, Ποταμοὶ, Γλῶσσαι, καὶ ἐπὶ πᾶσι Δαμονομοῦς ὁ αὐτὸς Κύριος. Καὶ ὅλη πάντες ἐν ἑαυτοῖς εἶχον τὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος. Καὶ ὅλη Ἰωάννης ὁ Θεολόγος ἐστὶν ἀρχὴ τῆς ποίμνης, καὶ ἀνέκλειπτος, καὶ τὸ πρῶτον τῆς πίστεως ἀκρόθίνιον, καὶ τὰ ἑξῆς.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ἀπόδειξις συνοπτικὴ ἐκ τῶν εἰρημένων σεσὸς τοὺς Ἀποστόλους ἐγκωμίων, ὅτι κατὰ πάντα καὶ ἐν πᾶσιν ὁμότιμος τοῖς Ἀποστόλοις ὁ μακάριος Πέτρος, φέρων πρωτεῖον μόνης τῆς τάξεως.

Εἰ ἦν οἱ Ἀπόστολοι τὰ αὐτὰ ὀνόματα, καὶ ἐγκώμια, καὶ δυνάμεις, καὶ ἐνεργείας, καὶ τιμὰς, καὶ ἀξίας, καὶ ἐξουσίας μαρτυροῦνται ἔχειν ὑπὸ τῶν ἁγίων πατέρων, καὶ τῶν ὑπὸ τῷ Βασιλεῖ Στρατηγῶν ὑδεὶς Στρατηγότερος, καὶ τῶν ὑπὸ τῷ Αὐτοκράτορι ὑπάτων, ὑδεὶς μείζων ὕπατος, καὶ τῆς ἀποστολικῆς ἀρχῆς καὶ ἐξουσίας ὑδὲμία μείζων, ἢ ὑψηλοτέρα, ἢ αὐτοτέρα, Φανερόν ἐστιν, ὅτι ὁ μακάριος Πέτρος κατὰ πάντα ὁμότιμος καὶ ἰσότιμος ἦν πᾶσι τοῖς Ἀποστόλοις, τὴν αὐτὴν ἔχων πᾶσιν αὐτοῖς τιμὴν, ἀξίαν, ἀρχὴν, κορυφὴν, ἡγεμονίαν, ἐξαρχίαν, δύναμιν καὶ ἐνέργειαν, ὥστε οὔτε Βασιλέα, οὔτε Αὐτοκράτορα, οὔτε μοναρχίαν, οὔτε κατάτινα ἄλλον τρόπον ἐξουσίας εἶναι πρῶτον τῶν Ἀποστόλων, ἀλλὰ κατὰ μόνην τὴν τάξιν, καὶ ὑδὲν πλέον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ἄθροισις τῶν εἰρημένων ἐγκωμίων σεσὸς τὸν Παῦλον σεσὸ τῶν ἁγίων πατέρων.

Ἀλλὰ καὶ περὶ τοῦ μακαρίου Παύλου λέγουσιν οἱ ἅγιοι πατέρες ὅτι ἐστὶ μετὰ Πέτρον κορυφαῖος, καὶ πρωτοκορυφαῖος, καὶ Ἡγεμών, καὶ πρῶτος τῶν Ἀποστόλων. Καὶ φέγγιμος Οἰκονόμος ἀναδειχθεὶς ἐπὶ τῆς Ἐκκλησίας, καὶ ἐπὶ πᾶσι τοῖς ὑπαρχοῦσι τοῦ Κυρίου ἀναδειχθεὶς. Τῆς Οἰκουμένης αὐτελαμβάνετο, καὶ σκυβέρνα ταῖς Ἐκκλησίας. Καὶ πάντων αὐθρώπων ἀμείνων, καὶ τῆς Οἰκουμένης Διδάσκαλος, Νυμφαγωγὸς τοῦ Χριστοῦ. Φυτουργὸς τῆς Ἐκκλησίας, σοφὸς Ἀρχιτέκτων. τῶν Ἀποστόλων μείζων. Τὴν Οἰκουμένην ἅπασαν ἐγκεχειρισμένος. Οὐδὲν αὐτοῦ λαμπρότερον. Γλῶσσα τῆς Οἰκουμένης. Φῶς Ἐκκλησιῶν. Θεμέλιον. Στήριγμα. Στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας. Ἰσόψηφος κατὰ τὴν τάξιν τῷ Πέτρῳ, μηδὲν Πέτρου δεόμενος, μηδὲ τῆς ἐκείνου φωνῆς, ἀλλ' ἰσότιμος ὢν αὐτῷ· μείζων αὐτοῦ ὁ Πέτρος ὡς πρεσβύτερος, ὡς ὁ Ἰάκωβος μείζων αὐτοῦ ὡς τελειότερος. Πάντας τοὺς κατὰ τὴν Οἰκουμένην διωρθώσατο, καὶ τῷ Χριστῷ σεσήμανε. Πέτρος καὶ Παῦλος τὸ Βασιλέως ἔφερον εἰκόνα. Καὶ ὁ Παῦλος σεσὸς τὴν ὠνωτάτω αὐέβη κορυφὴν τοῦ Οὐρανοῦ. Καὶ μηδὲν ἔλαττον ἔχει τῶν Ἀποστόλων. Καὶ ὁμότιμος τῶν Ἀποστόλων. Καὶ τῆς αὐτῆς ἀπήλαυσον ἀξίας Πέτρος καὶ Παῦλος. Καὶ ὁ Παῦλος ἐργάτης αὐεπαίσχυντος. Εἶχε τὴν μέριμναν πασῶν τῶν Ἐκκλησιῶν. Καὶ ἐκ ἀπ' αὐθρώπων ἐδὲ δι' αὐθρώπων ὠλήθη, ἀλλ' ἀπ' αὐτοῦ τοῦ

τοῦ Χριστοῦ, καὶ οὐδὲν ὑστερήθη ὧν εἶχον οἱ ὑπερλίαν Ἀπόστολοι Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης. Καὶ μετεκλήθη ἀπὸ τοῦ Σαύλου εἰς Παῦλον, ἵνα δειχθῇ οὐδὲν ἔχειν ἔλαττον τῶν Ἀποστόλων, μήτ' αὐτοῦ τοῦ Πέτρου τοῦ κορυφαίου, ὃς εἶχεν ἐξαίρετον τὴν μετάκλησιν τοῦ ὀνόματος. Καὶ ἐπὶ τούτοις, πᾶσαν τὴν οἰκουμένην ἐπέδραμε.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Ἀπόδειξις συνοπτικὴ ἐξ ὧν ἐῤῥέθησαν πρὸς τὸν Παῦλον ἐγκωμίων, ὅτι ἴσος τῷ Πέτρῳ κατὰ πάντα ὁ Παῦλος πλὴν τοῦ τῆς τάξεως πρωτείου.

Σημείωσαι, Εἰ ὁ Παῦλος ἐκλήθη ἀμέσως παρὰ Χριστοῦ ὡς καὶ πάντες οἱ Ἀπόστολοι, ἴσος ἦν αὐτοῖς κατὰ τὴν ἀξίαν καὶ δύναμιν καὶ τιμὴν καὶ ἐξουσίαν. Εἰ δὲ ἐκεῖνοι κατὰ ταῦτα ἴσοι ἦσαν τῷ Πέτρῳ, ἄρα καὶ ὁ Παῦλος. Εἰ ὁ Παῦλος Κορυφαῖος καὶ κορυφὴ καὶ πρωτοκορυφαῖος καὶ Ἡγεμὼν καὶ πρωτοστάτης τῶν Ἀποστόλων, καὶ μετωνομάσθη ὥσπερ καὶ ὁ Πέτρος, οὐκ ἔστι τοῦ Πέτρου ἐλάττων, ἀλλ' ἴσος. Εἰ ὁ Παῦλος οὐδὲν ἐδέετο τοῦ Πέτρου, οὐδὲ ἐκείνου ἦν ἐλάττων, μήτε τῆς ἐκείνου ἐδέετο φωνῆς, καὶ ἴσος ἦν αὐτῷ, καὶ ἦν ὡς καὶ ὁ Πέτρος εἰκὼν τοῦ Βασιλέως, καὶ τῆς αὐτῆς ἀπήλαυσεν ἀξίας τῷ Πέτρῳ, μόνην κατὰ τὴν τάξιν ἦν αὐτοῦ μείζων ὁ Πέτρος, καὶ τοῦτο διὰ τὴν πίστιν καὶ ὁμολογίαν, ὡς εἶπεν ἀνωτέρω ὁ Ἀμβρόσιος, κατὰ δὲ τὴν τιμὴν καὶ ἐξουσίαν καὶ ἀξίαν καὶ δύναμιν καὶ ἐνέργειαν ἴσος ἦν τῷ Πέτρῳ ὡσαύτως κατὰ πάντα τρόπον, ὥσπερ δηλονότι καὶ οἱ λοιποὶ Ἀπόστολοι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΣ'.

Ἀνθυποφορὰ παπιστῶν, ὅτι ὁ Πέτρος ἰδίως λέγεται κεφαλὴ καὶ Αὐτοκράτωρ τῶν Ἀποστόλων, κεφαλῶν καὶ αὐτῶν λεγομένων ὑπὸ ποιμένα τὸν Πέτρον. καὶ ἀπάντησις πρὸς ταύτην ἐκ τῶν ἀνωτέρω εἰρημένων πρὸς τοὺς Ἀποστόλους ἐγκωμίων παρὰ τῶν ἁγίων πατέρων, καὶ ἐξ ἄλλων πολλῶν, κεφαλῶν εἰρημένων, ῥητῶν τε εὐαγγελικῶν καὶ τῶν θύραθεν παραδειγμάτων, παπιστῶν τε αὐτῶν καὶ δυτικῶν πατέρων, καὶ ἐκ τοῦ κατὰ τί λέγεται ὁ Θεὸς κεφαλὴ τοῦ Χριστοῦ, ὁ Χριστὸς τῆς Ἐκκλησίας, καὶ ὁ πρῶτος ἀδελφὸς τῶν ὁμαιμόνων, τῆς τε τάξει μόνῃ, ἢ τάξει καὶ ἐξουσίᾳ κεφαλῆς, ἐξ ὧν πάντων συνάγεται, ὅτι ὅπερ ἔδωκεν ὁ Χριστὸς τῷ Πέτρῳ, ἔδωκε καὶ τοῖς λοιποῖς Ἀποστόλοις.

Ἀλλ' ἀνθυποφέρουσι πρὸς ταῦτα, ὅτι ὁ Πέτρος ἰδίως λέγεται ἀρχηγὸς καὶ πρῶτος τῶν Ἀποστόλων, καὶ πρῶτος τοῦ χοροῦ καὶ κεφαλὴ καὶ κορυφὴ καὶ ἄκρος, καὶ ἔξαρχος καὶ πρώταρχος τῶν Ἀποστόλων, ὅθεν καὶ ἰδίαν ἀξίαν ἔχει ἐπὶ τῶν Ἀποστόλων, ἥτις ἐστὶν ὅτι ὑπάρχει Αὐτοκράτωρ αὐτῶν. Ἀλλὰ ῥητέον ὅτι εἴρηται ἀνωτέρω ὁ Ἀνδρέας τοῦ χοροῦ τῶν Ἀποστόλων πρωτότοκος καὶ προβάθμιος καὶ ἀρχηγὸς τῶν Ἀποστόλων, καὶ ὁ Ἀδελφόθεος κεφαλὴ τῶν κεφαλῶν, ἤτοι τῶν Ἀποστόλων, καὶ μέγας τῆς Ἱερουσαλὴμ Ἀρχιστράτηγος, καὶ τῶν Ἀποστόλων Ἔξαρχος, καὶ Ἰάκωβος καὶ Ἰωάννης πρωτόθρονοι, καὶ ὁ Ἰάκωβος ἔχει τὸν θρόνον τοῦ Κυρίου ἐπὶ τῆς γῆς, καὶ ὁ Παῦλος τῶν Ἀποστόλων μείζων, καὶ ἐξ ἐσχάτων πρῶτος, καὶ ὃ τῷ Πέτρῳ εἴρηται, πᾶσι τοῖς Ἀποστόλοις λέγεται, καὶ πάντες οἱ Ἀπόστολοι τῆς αὐτῆς τιμῆς καὶ ἀξίας καὶ ἐξουσίας, καὶ ἐπίτροποι τοῦ Χριστοῦ, καὶ Ὕπατοι καὶ Στρατηγοὶ καὶ συμβασιλεύοντες. καὶ ὁ Χρυσόστομος ὁμιλίᾳ πρώτῃ περὶ προσευχῆς, τὸν Παῦλον λέγει τῶν Ἀποστόλων Ἡγεμόνα, ᾧ καὶ δεξιὰν ἔδωκεν (ἤτοι τὰ πρωτεῖα) ὁ κορυφαιότατος τῶν Ἀποστόλων Πέτρος. καὶ ὁ Θεολόγος ἐν τῷ περὶ εὐταξίας λέγει περὶ Πέτρου καὶ Ἰακώβου καὶ Ἰωάννου ὅτι πρὸ τῶν ἄλλων προτιμῶνται, καὶ εἰσί. καὶ Ἰαννουαρίου τριακοστῇ, ᾠδῇ τρίτῃ, ὁ Χρισόστομος στόμα Χριστοῦ λέγεται. καὶ Ἰουνίου εἰκοστῇ ἐνάτῃ, Πέτρος καὶ Παῦλος κορυφὴ τῶν μαθητῶν. καὶ ἀνωτέρω, Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης κορυφαῖοι τῶν Ἀποστόλων. καὶ ἐν τῇ ἐν φλωρεντείᾳ Συνόδῳ, καὶ ἐν τοῖς Μηνολογίοις λέγονται πρωτοκορυφαῖοι. καὶ πάλιν ἀνωτέρω, Ἰάκωβος καὶ Ἰωάννης τῆς ἴσης καὶ πρώτης καὶ κορυφαίας ἅμα τῷ μεγάλῳ Πέτρῳ καὶ ἀκροτάτης κατηξιώθησαν τιμῆς. καὶ Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου μετὰ Πέτρου καὶ Ἰωάννου τὴν ἀνωτάτω τάξιν καὶ τὴν κορυφὴν τῆς ἀποστολικῆς καθέδρας διειληχώς. καὶ Ἰωάννης ὁ Θεολόγος τὴν ἄκραν τῆς ἀποστολικῆς μεγαλοπρεπείας καταλαβὼν κορυφήν. καὶ ἀπὸ τῆς Βηθσαϊδᾶ δύο ξυνωρίδες τῶν κορυφαίων προῆλθον. καὶ περὶ τοῦ Παύλου ὅτι ἀπὸ τῆς πρώτης κλήσεως πρὸς ἄκραν ἀνέβη κορυφὴν τοῦ Οὐρανοῦ. καὶ Ἀπόστολοι ὑπερλίαν Ἰάκωβος καὶ Ἰωάννης. καὶ ἔτι ὁ Ἀδελφόθεος κοσμήτωρ τῆς ἀποστολικῆς χορείας, καὶ πρώτιστος τῆς καινῆς διαθήκης. καὶ ὁ Ἀνδρέας ἀρχὴ τῆς ἀπαρχῆς. καὶ ὁ Ναζιανζηνὸς λόγῳ πρώτῳ περὶ Παύλου, ὅτι πρῶτος ἀπὸ Χριστοῦ. καὶ ὁ Χρυσόστομος περὶ τοῦ αὐτοῦ, ὅτι ἰσότιμος ἦν τῷ Πέτρῳ. καὶ Αὐγούστου ἕκτῃ, οἱ τρεῖς Ἀπόστολοι πρόκριτοι, καὶ τῶν Ἀποστόλων ἀκρότης, καὶ κορυφαῖοι τῶν μαθητῶν. καὶ Ἰουνίου εἰκοστῇ ἐνάτῃ, Πέτρος καὶ Παῦλος τῶν Ἀποστόλων πρωτοστάται, προεξάρχοντες, πρωτόθρονοι, κορυφαῖοι, στύλοι, βάσεις, σάλπιγγες, προστάται, φωστῆρες, φίλοι Χριστοῦ, καὶ ἄλλα. ὁ δὲ Παῦλος μόνος στόμα Κυρίου καὶ πρωτόθρονος τῶν Ἀποστόλων. Ἔτι κεφαλὴ λέγεται Χριστοῦ ὁ Θεὸς, καὶ ὁ Χριστὸς

τῆς

τῆς Ἐκκλησίας, καὶ ὁ αὐτὸς τῆς γυναικὸς, καὶ ὁ πρῶτος ἀδελφὸς τῶν ὁμαιμόνων, ἀλλ' ὁ κῦ τὸν αὐτὸν τρόπον, ὁ μὲν γὰρ Θεὸς κεφαλὴ τοῦ Χριστοῦ ὡς αἴτιος, ὁ δὲ Χριστὸς τῆς Ἐκκλησίας ὡς Σωτὴρ καὶ μεσίτης, ἥτινος καὶ σῶμά ἐστιν ἡ Ἐκκλησία, καὶ ἔστι σῶμα τοῦ Πέτρου. ὡς δὲ ἀδελφὸς τῶν ἀδελφῶν κεφαλὴ κῦ τιμῶ τάξιν, ἔτω καὶ ὁ Πέτρος τῶν Ἀποστόλων. παθηκῶς δὲ μόνος ὁ Χριστός ἐστι κυρίως καὶ καθ' αὐτὸ καὶ ἀϊδίως καὶ αἰωνίως καὶ ἀναγκαία κεφαλὴ τῶν Ἀποστόλων, καὶ παντὸς τοῦ σώματος τῆς Ἐκκλησίας, ἧς ἄνευ οὐ ζῇ ἡ Ἐκκλησία, ὅθεν οὐδέποτε αὐτῆς ἀφίσταται, ἵνα μὴ νεκρωθῇ ἡ Ἐκκλησία, καὶ ἴδε αὐωτέρω μέρους τρίτου κεφαλαίου πρώτου Παράγραφον δεύτερον. ὁ Πέτρος δὲ καὶ ἄλλοι κῦ συμβεβηκὸς εἰσὶ κεφαλαί, μηδὲν σωτείνουσαι εἰς τὸ τοῦ ἐκκλησιαστικοῦ σώματος σύστασιν, καὶ γὰρ οὐκ ἔστιν ἀκέφαλος ἡ Ἐκκλησία μετὰ τὸν ἐκείνων θάνατον. ἔτι τὸ τῆς κεφαλῆς ὄνομα λέγεται ἢ μόνῃ τῇ τάξει, ἢ τῇ τάξει καὶ ἐξουσίᾳ. καὶ ἡ μὲν τάξις ὁρᾶται ἐν τῇ ἀριθμήσει τῶν ὁμοίων καὶ ἰσοδυναμούντων, ἔνθα γάρ ἐστι πλῆθος, ἐκεῖ τάξις καὶ ἀρίθμησις, ὅθεν περὶ τοῦ Ματθίου λέγεται, ὅτι συνεψηφίσθη μετὰ τῶν ἕνδεκα Ἀποστόλων. ἡ δὲ κεφαλὴ ἡ ἅμα κατ' ἐξουσίαν τοῖς ἀνομοίοις καὶ ὑφειμμένοις ἐνοπαίεται. ἐδείχθη δὲ ὅτι ἴσοι οἱ Ἀπόστολοι τῷ μακαρίῳ Πέτρῳ, ἄρα πρῶτος, κεφαλὴ, Ἔξαρχος, Πρωτάρχος καὶ ἔτι ἄλλο ἐξαίρετον λέγεται, κατὰ τὴν τάξιν μόνην λέγεται, καὶ ἕνδεκα πλέον. Ἔτι εἰ κεφαλὴ τῶν Ἀποστόλων ὁ Πέτρος κατά τινα ἐξουσίαν, εἶχον ἂν τὴν τάξιν καὶ τὰ ὀνόματα αὐτοῖς οἱ Ἀπόστολοι παραὐτοῦ, ἀλλ' ἐδείχθη, καὶ ἐμαρτυρήθη αὐωτέρω ὅτι εἶχον αὐτὰ πάντα ἀμέσως παρὰ Θεοῦ, ἄρα κεφαλὴ ἕνεκα τῆς τάξεως, ὡς καὶ ἡ Ἱερουσαλὴμ λέγεται κεφαλὴ τῶν Ἐκκλησιῶν, καὶ ἡ Κωνσταντινούπολις τῶν μεγάλων πόλεων. καὶ ὁ Κωνσταντινουπόλεως Ἅγιος Γρηγόριος ὁ Θεολόγος τὸν μέγαν Βασίλειον καὶ τὸν Ἀμφιλόχιον κεφαλὰς αὐτοῦ ὀνομάζει, καὶ τοῦτό θαυμαστόν, ὅτι καὶ ἁπλῶς Ἐπίσκοπον κεφαλὴν τῆς Ἐκκλησίας καλεῖ. καὶ ὁ μέγας Βασίλειος περὶ τοῦ μεγάλου Ἀθανασίου λέγει, ὥσπερ κεφαλὴ ἐρρύμωμένη παντὶ τῷ σώματι πᾶσαν ὑγίειαν χορηγήσει, ἤτοι πάσῃ τῇ Ἐκκλησία. καὶ Ἐπισκόπους ἑνὸς κεφαλὴν τῆς καθόλου Ἐκκλησίας καλεῖ, καὶ ἴδε αὐωτέρω βιβλίου δευτέρου κεφαλαίου δεκάτου ἑβδόμου Παράγραφον ἑκατοστὸν πρῶτον. ἴδε περὶ κεφαλῆς αὐωτέρω βιβλίου πρώτου κεφαλαίου ἑνδεκάτου Παράγραφον ἕκτον, καὶ κεφαλαίου δεκάτου ἑβδόμου Παράγραφον δεύτερον, καὶ βιβλίου τεταρτου κεφαλαίου πρώτου Παράγραφον δέκατον τρίτον, καὶ βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παράγραφον δέκατον καὶ δωδέκατον, καὶ βιβλίου πέμπτου κεφάλαιον δέκατον ὄγδοον, καὶ βιβλίου ἑβδόμου κεφαλαίου ὀγδόου Παράγραφον ὄγδοον, καὶ κεφαλαίου δεκάτου τεταρτου Παράγραφον πέμπτον, καὶ βιβλίου ὀγδόου κεφαλαίου δευτέρου Παράγραφον δεύτερον, καὶ τοῦ παρόντος βιβλίου μέρους τρίτου κεφαλαίου πρώτου Παράγραφον δεύτερον, καὶ μέρους δευτέρου κεφάλαιον ἕβδομον, καὶ ἐν βιβλίου πρώτου κεφάλαιον πέμπτον. καὶ ὁ Κωνσταντινουπόλεως Μητροφάνης εἴρηται ὅτι τοῦ Χριστοῦ τὸν θρόνον ἔλαβον ἐπὶ τῆς γῆς, ὡς καὶ τῷ Ἀδελφοθέῳ τὸν θρόνον αὐτοῦ πεπίστευκεν ὁ Κύριος ἐπὶ τῆς γῆς. Ἔτι τὸ πρωτος τῶν Ἀποστόλων διαφορέν ἐστι, καὶ γὰρ ἐλέγεται ποτὲ τῷ Πέτρῳ. ὅθεν ὁ Χρυσόστομος κεφαλαίῳ ἑωδεκάτῳ τῆς πρώτης πρὸς Ῥωμαίους φησὶν, Ὁμοῦ δὲ Μάρκος καὶ κατ' ἀξίαν αὐτὸς τίθησι, μετὰ γὰρ τοὺς δύο κορυφαίους, τότε τὸν Ἀνδρέαν ἀριθμεῖ, ἔστος δὲ οὐχ ἕτερος, ἀλλὰ διαφόρως, μᾶλλον δὲ καὶ θαυμαστῶς τὸν πολὺ καταδεέστερον ἑαυτοῦ προτίθησι. καὶ ἀλαχοῦ, Εἶπατε τοῖς μαθηταῖς καὶ τῷ Πέτρῳ. Καὶ, Ἰάκωβος καὶ Κηφᾶς, καὶ Ἰωάννης. καὶ Εὐσέβιος βιβλίου τρίτου κεφαλαίῳ δευτέρῳ προτάσσει τὸν Παῦλον τοῦ Πέτρου, λέγων περὶ Κλήμεντος, Τῶν μετὰ Παῦλόν τε καὶ Πέτρον ἐπισκοπευσάντων. Ἔτι ὁ Χριστὸς τὸ κατ' ἀξίαν εἶναι ἕνα πρῶτον ἀπέβαλον. ὅθεν ὁ Χρυσόστομος ἐξηγούμενος τὸ, ΕΑΝ ΜΗ ΕΠΙΣΤΡΑΦΗΤΕ, ΚΑΙ ΓΕΝΗΣΘΕ ΩΣ ΤΑ ΠΑΙΔΙΑ, λέγει, Ὑμᾶς μὲν γάρ, φησὶν, ἐξετάζετε τὶς μείζων, καὶ περὶ πρωτείων φιλονεικεῖτε, ἐγὼ δὲ τὸν μὴ πάντων ταπεινότερον λεγόμενον, καὶ δὲ τῆς εἰσόδου τῆς ἐμοῦ ἄξιον εἶναι φημὶ, καὶ καλῶς τὸ ὑπόδειγμα ἔσχηκε, καὶ οὐ σχήκε μόνον, ἀλλὰ καὶ τὸ παιδίον εἰς τὸ μέσον ἵστησι, καὶ ἀπὸ τῆς ὄψεως αὐτοὺς ἐντρέπων, καὶ πείθων εἶναι ταπεινοὺς ἔτω καὶ ἁπλοῦς, καὶ γὰρ φθόνος καθαρεῖ τὸ παιδίον καὶ κενοδοξίας καὶ τοῦ τῶν πρωτείων ἔρωτος. Ὁ αὐτὸς ἐν τῷ δευτέρῳ Τόμῳ τῆς σειρᾶς ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τοῦ Ματθαίου φησὶ, Διὰ τούτων δείκνυσιν ὅτι ἐθνικὸν ἐστὶ τὸ πρωτείων ἔρως, καὶ γὰρ τυραννικὸν τὸ πάθος, καὶ συνεχῶς ἐνοχλοῦν καὶ μεγάλοις ἀνδράσι, καὶ τοῖς ἐξῆς. ἴδε καὶ διαγγελικὰ ῥητὰ τοῦ Ματθαίου κεφαλαίῳ εἰκοστῷ τρίτῳ. ΥΜΕΙΣ ΔΕ ΜΗ ΚΛΗΘΗΤΕ ΡΑΒΒΙ. καὶ κεφαλαίῳ εἰκοστῷ τοῦ αὐτοῦ. ΟΣ ΕΑΝ ΥΜΩΝ ΘΕΛΗ ΠΡΩΤΟΣ ΕΙΝΑΙ, ΕΣΤΩ ΠΑΝΤΩΝ ΔΙΑΚΟΝΟΣ. καὶ λοιπὸν πασίδηλον ἐστὶν, ὅτι κατὰ μόνην τὴν τάξιν ἐρρέθη πρῶτος τῶν Ἀποστόλων ὁ μακάριος Πέτρος. ὅθεν ὅσοι συνεκώμασαν αὐτὸν, ἐκεῖνον αὐτὸν Ἀυτοκέφαλον τῶν Ἀποστόλων, ἀλλὰ πρῶτον καὶ κορυφαῖον, καθ' ὃν τρόπον ὁ Ἱερώνυμος κεφαλαίῳ δευτέρῳ πρὸς Γαλάτας, καὶ κατὰ Πελαγίου κεφαλαίῳ πρώτῳ, Πλάτωνα μὲν τῶν φιλοσόφων κορυφαῖον, Πέτρον δὲ τῶν Ἀποστόλων ὠνόμασε. καὶ ὁ Κικέρων, Οἱ Ἔξαρχοι τῶν Ῥητόρων, φησὶν, ἐν Ἀθήναις νομίζονται, αὐτῶν δὲ πρῶτος ὁ Δημοσθένης. καὶ ὁ Διάλογος τῷ πρώτῳ Σιώδου κεφαλαίῳ τῶν τεσσάρων ὠνόμασε, καὶ ὅμως τὴν αὐτὴν ἐξουσίας εἰσὶ πᾶσαι αἱ Οἰκουμενικαὶ Σύνοδοι. εἰς τοῦτο συντρέχει καὶ ὅπερ φησὶν ὁ Ζαρώνιος (εἰ καὶ ἄκων) ἐν τῷ τριακοστῷ δευτέρῳ ἔτει, Ἡ δοθεῖσα παρὰ τοῦ Χριστοῦ ἄνωθεν ἐξουσία, λέγεται ἐκκλησιαστικὴ καὶ ἀποστολικὴ. καὶ ὁ Βελλαρμῖνος κεφαλαίῳ πρώτῳ

πεντηκοστῷ τεταρτῷ περὶ τῆς ἀρχῆς τοῦ Πάπα φησὶ προηγουμένου Κυρίλλου, ὅτι ἐν τῇ ἀποστολικῇ ἐξουσίᾳ περιέχεται ἡ ἐκκλησιαστική. Ἐν ταὐτῷ, κεφαλαίῳ εἰκοστῷ τρίτῳ προηγουμένου κυρίλλου καὶ ἑτέρων Πατριαρχῶν, περὶ ὧν διείληπται ἀνωτέρω, λέγει, Πᾶσι τοῖς Ἀποστόλοις εἴρηκεν ὁ Κύριος, ΚΑΘῺΣ ἈΠΈΣΤΑΛΚΈ ΜΕ Ὁ ΠΑΤῊΡ, ΚᾺΓῺ ΠΈΜΠΩ ΥΜΑ̃Σ. Ὃ πρῶτον μὲν πᾶσιν ἐῤῥέθη, ὕστερον δὲ μόνῳ τῷ Πέτρῳ εἴρηται. καὶ ἀνωτέρω ἐῤῥέθη κατὰ τὸν ἱερὸν Αὐγουστῖνον, ὅπερ τῷ Πέτρῳ ἐῤῥέθη, πᾶσι τοῖς Ἀποστόλοις ἐῤῥέθη. Ἀλλ' ἀνθυποφέρουσιν οἱ αὐτοὶ λέγοντες, ὅτι οἱ μὲν Ἀπόστολοι ἦσαν κεφαλαὶ, ὁ δὲ Πέτρος Ποιμὴν αὐτῶν. Ἀλλὰ ῥητέον ὅτι τὰ ἐγκώμια καὶ ἐπίθετα εἰσὶ ταὐτὰ, ἄρα καὶ ἡ αὐτὴ ἐξουσία, ὅπερ δείκνυται καὶ ἄλλαις μαρτυρίαις ὁμοίως σαφεστάταις, προσέτι δὲ καὶ λόγοις ἀναντιῤῥήτοις, ὁ γὰρ Κύριος ἔδωκεν ἐξουσίαν τῷ Πέτρῳ ποιμαίνειν τὴν Ἐκκλησίαν, ἀλλ' οὐ τοὺς Ἀποστόλους, ὅθεν, ὡς εἴρηται ἀνωτέρω, ὁ Κυπριανὸς βιβλίῳ περὶ ἑνώσεως ἐκκλησιαστικῆς φησὶ, Μία ποίμνη δείκνυται ἡ δοθεῖσα τοῖς Ἀποστόλοις, ἵνα συμφώνως πάντες ποιμαίνωσι. καὶ Ἱλάριος βιβλίῳ ἕκτῳ περὶ Τριάδος οὕτω δι' ἀποστροφῆς φησὶν, Ὑμεῖς ὦ ἅγιοι καὶ μακάριοι ἄνδρες ἕνεκεν τοῦ μισθοῦ τῆς ὑμετέρας πίστεως τὰς Κλεῖς τῆς Βασιλείας τῶν Οὐρανῶν λαβόντες, τοῦ τε δεσμεῖν καὶ λύειν ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς τὴν ἐξουσίαν λαχόντες. ἐξ ὧν συνάγεται, ὡς καὶ ἐκ πάντων τῶν ἀνωτέρω Πατριαρχῶν, ὅτι ὅπερ ἔδωκεν ὁ Χριστὸς τῷ Πέτρῳ, ἔδωκε καὶ τοῖς λοιποῖς Ἀποστόλοις.

ΠΑΡΆΓΡΑΦΟΝ ΙΖ'.

Ἀνθυποφορὰ παπιστῶν δευτέρα ἀπὸ τῶν (τῷ Πέτρῳ τὴν προστασίαν τῶν τῆς Οἰκουμένης προβάτων ἐγχειρίζει, καὶ τῶν ἀδελφῶν. οὐκ ἄλλῳ δὲ, ἀλλὰ αὐτῷ ταύτην δίδωσι) ῥητῶν τοῦ Χρυσοστόμου καὶ τοῦ Θεοφυλάκτου. καὶ ἀπάντησις πρὸς ταύτην πάλιν ἐκ τῶν τοῦ Χρυσοστόμου ῥητῶν, καὶ τῶν πρὸς τοὺς Ἀποστόλους ἐγκωμίων τῶν ἁγίων πατέρων, καὶ ἐκ τοῦ μὴ λαβεῖν τοὺς Ἀποστόλους οὐδὲν παρὰ τοῦ Πέτρου, ἀλλ' ἀπὸ τοῦ Χριστοῦ ἐξίσου τῷ Πέτρου.

Ἀνθυποφέρουσι δεύτερον ἀπὸ τοῦ Χρυσοστόμου καὶ τοῦ Θεοφυλάκτου, λεγόντων Ἰωάννου κεφαλαίῳ εἰκοστῷ πρώτῳ, Ἐπειδὴ τέλος εἶχεν αὐτῷ τὰ τοῦ ἀρίστου, τῷ Πέτρῳ τὴν προστασίαν τῶν τῆς Οἰκουμένης προβάτων ἐγχειρίζει, καὶ τῶν ἀδελφῶν. οὐκ ἄλλῳ δὲ, ἀλλὰ αὐτῷ ταύτην δίδωσιν. Ἀλλὰ ῥητέον ὅτι οὐκ ἄλλῳ ἐγχειρίζει τὴν προστασίαν ὡς ἤδη ἔχοντι καὶ μὴ ἀποβεβληκότι, ὡς μὴ ἀρνησαμένῳ καὶ ἀθετίσαντι τὸν Διδάσκαλον, καὶ γὰρ οὐ νέαν τῷ Πέτρῳ προστασίαν ἔδωκεν, ἀλλὰ τὴν ἀποβληθεῖσαν διὰ τῆς ἀρνήσεως ἀνεκαίνισεν, ὅθεν οἱ αὐτοὶ Χρυσόστομος καὶ Θεοφύλακτος λέγουσι, πρῶτον μὲν, ὅτι πάντων ἔγκριτος, καὶ στόμα τοῦ χοροῦ παντὸς, ἔπειτα δεικνὺς αὐτῷ ὅτι χρὴ θαῤῥεῖν λοιπὸν, ὡς τῆς ἀρνήσεως ἐξεληλαμένης, ἐγχειρίζεται αὐτῷ τὴν προστασίαν τῶν ἀδελφῶν. ἐκεῖνο οὖν ὅπερ ἦν ἔγκριτος καὶ στόμα τῶν Ἀποστόλων καὶ τὴν ἐξουσίαν τοῦ δεσμεῖν τε καὶ λύειν ἀπολέσαντι, ἀπεληλαμένης τῆς ἀρνήσεως, ἔδωκεν αὐτῷ ὁ Κύριος, οὐ νέον τι καὶ ὑπέροχον. ἀλλ' εἴρεται ἀνωτέρω, ὅτι καὶ ὁ Βαρθολομαῖος εἶχεν ἀντίῤῥοπα τῷ Πέτρῳ τὰ αὐτὰ Μυστήρια, καὶ τὸ αὐτὸ τῆς Θεολογίας ὄρος, καὶ τὸ αὐτὸ θεμέλιον τῆς Ἐκκλησίας, καὶ ἀντίῤῥοπα τὰ λοιπὰ θεῖα χαρίσματα, καὶ πάντες οἱ Ἀπόστολοι Ἡγούμενοι ὁμοίως τῶν προβάτων τοῦ Ἀρχιποίμενος, καὶ ἕτερος ἑτέρου οὐ προτιμᾶται, καὶ πάντες προστάται ἄγρυπνοι τοῦ ποιμνίου, καὶ τῆς Οἰκουμένης τὴν προστασίαν ἐδέξαντο καὶ Παῦλος καὶ οἱ δώδεκα, καὶ ἴσοι οἱ Ἀπόστολοι πάντες τῇ τε ἀξίᾳ καὶ τιμῇ καὶ τῇ ἐξουσίᾳ, καὶ τοῦ κοινοῦ ἀποστολικοῦ ἀξιώματος οὐδὲ μία ἄλλη ἀξία μείζων, ἢ ἀνωτέρα, ἢ ὑψηλοτέρα, ἢ προτέρα, καὶ ὁ Παῦλος τῆς Οἰκουμένης ἀντελαμβάνετο πάσης, καὶ σοφὸς Ἀρχιτέκτων, καὶ τῆς Οἰκουμένης τὴν προστασίαν ἀνεδέξατο, καὶ οἱ δώδεκα ἐπίτροποι τοῦ Χριστοῦ, καὶ τῆς Οἰκουμένης Διδάσκαλοι, καὶ ὥσπερ οἰκίαν μίαν τὴν Οἰκουμένην ἐνείμαντο, καὶ ὁ Χρυσόστομος λόγῳ δευτέρῳ περὶ Ἱερωσύνης λέγει, Οὐπάντα τὰ πρόβατα διδάσκει καὶ ἐπέρχεται ὁ Πέτρος, ἀλλὰ τὸ μεῖζον μέρος δίδοται τῷ Παύλῳ, καὶ ὁ Ἰσίδωρος περὶ αὐτοῦ τοῦ Παύλου, ὅτι πᾶσαν σχεδὸν ἐπέδραμε τὴν Οἰκουμένην, ἴδε καὶ πράξεων κεφάλαιον εἰκοστὸν ὄγδοον. καὶ ὁ Χρυσόστομος περὶ αὐτοῦ τοῦ Παύλου ἐν τῇ δεκάτῃ ὀγδόῃ Ὁμιλίᾳ τῆς πρὸς Ῥωμαίους φησὶν, Ὦ τὸ κήρυγμα πᾶν καὶ τὰ πράγματα τῆς Οἰκουμένης ἐπίστευσε, καὶ τὰ Μυστήρια πάντα καὶ τὴν οἰκονομίαν ὅλην, καὶ ταῦτα, ἐπειδὴ τοῦ Πέτρου καὶ τῶν λοιπῶν Ἀποστόλων τὸ, ὅτι ἦσαν τῆς Οἰκουμένης Ἄρχοντες, προστάται, Διδάσκαλοι καὶ Ποιμένες, ἐννοεῖται ὅτι εἶχον μὲν ἐξουσίαν κοινὴν εἰς πᾶσαν τὴν γῆν διδάσκειν καὶ κηρύττειν τὸ Εὐαγγέλιον τῆς Βασιλείας, οὐ πᾶσαν ὅμως πάντες ἐπῆλθον τὴν Οἰκουμένην, ἀλλ' ἕκαστος ἔντινι μέρει, ὅθεν ὁ Χρυσόστομος ἀνωτέρω ἔφη, Πέτρος ἐντεῦθεν μαθητεύει τὴν Ῥώμην, Παῦλος ἐκεῖθεν εὐαγγελίζεται κόσμον, Ἀνδρέας τοὺς τῆς Ἑλλάδος σοφοὺς διορθοῦται, Σίμων διδάσκει τὸν Θεὸν τοὺς βαρβάρους, Θωμᾶς διὰ βαπτίσματος λευκαίνει τοὺς Αἰθίοπας, Ἰακώβου τὴν καθέδραν Ἰουδαία τιμᾷ, Μάρκου τὸν θρόνον Ἀλεξάνδρεια ἡ περὶ Νεῖλον ἀσπάζεται. Καὶ, ἡγείσθω Πέτρος τοῦ λόγου, καὶ τοῦ Ἀμπελῶνος, καὶ τὰ ἑξῆς. ἀλλὰ δὴ καὶ τὴν κλῆσιν καὶ τὴν τιμὴν καὶ τὴν ἀξίαν καὶ τὴν ἐξουσίαν καὶ τὸ προΐστασθαι τῆς Οἰκουμένης οὐκ ἔλαβον οἱ Ἀπόστολοι παρὰ τοῦ Πέτρου, ἀλλ' ἀμέσως παρὰ τοῦ Χριστοῦ, ὥσπερ καὶ ὁ Πέτρος

αὐτὸς,

αὐτὸς, ὅθεν καὶ συνοδικῶς οἱ Ἀπόστολοι ὡρίσαντο τὰ ἀναγκαῖα, ὡς εἴρηται ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ πέμπτῳ. ὁ Πέτρος δὲ μόνος βουληθεὶς οἰκονομῆσαί τι περὶ τῶν ἰουδαϊκῶν ἐθῶν, κατεγνώσθη ὑπὸ τῶν Ἀποστόλων, καὶ ἠλέγχθη ὑπὸ τοῦ Παύλου.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ΄.

Πρόβλημα παπιστῶν τρίτον ἐκ τῶν (τὴν τῶν Οὐρανῶν ἐξουσίαν αὐτῷ ἐνεχείρισεν ὁ Κύριος, τὰς Κλεῖς αὐτῷ δοὺς, ἀνθρώπῳ θνητῷ πάντων τῶν ἐν Οὐρανῷ τὴν ἐξουσίαν ἐγχειρίζει) ῥητῶν τοῦ Χρυσοστόμου, ὅτι εἶχεν ἄκραν ἐξουσίαν ὁ Πέτρος. καὶ λύσις τούτου ἐκ τῶν εὐαγγελικῶν ῥητῶν, καὶ τῶν πατέρων, καὶ ἄλλων πολλῶν, ὅτι ὅ, τε Πέτρος καὶ οἱ λοιποὶ τῶν Ἀποστόλων, καὶ οἱ ἐφεξῆς Ποιμένες τὴν αὐτὴν εἴληφον ἐξουσίαν.

Τρίτον προβάλλουσιν, ὅτι τὴν τῶν Οὐρανῶν ἐξουσίαν αὐτῷ ἐνεχείρισεν ὁ Κύριος, τὰς κλεῖς αὐτῷ δοὺς, ἀνθρώπῳ θνητῷ, πάντων τῶν ἐν Οὐρανῷ τὴν ἐξουσίαν ἐγχειρίζει, ἐξ οὗ δείκνυται τὸ αὐτὸ, ἤτοι ὅτι εἶχεν ἄκραν ἐξουσίαν ὁ Πέτρος. βεβαιοῦσι δὲ τοῦτο ἀπό τινων ἐπιστολιδίων παπικῶν, καὶ μάλιστα σκοτεινῶν καὶ ἀποκρύφων, καὶ ἀπό τινων χρήσεων πατρικῶν σκοτεινῶν, καὶ τέως ἀπὸ τῆς κοσμικῆς σοφίας. Ἀλλὰ ῥητέον ὅτι ἡ Κλεὶς ἀνοίγει καὶ κλείει, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ τοῦ Ἡσαΐου, καὶ τρίτῳ τῆς Ἀποκαλύψεως, περὶ ἧς ἐῤῥέθη Ματθαίου κεφαλαίῳ δεκάτῳ ἕκτῳ πρὸς τὸν Πέτρον. ἔλαβε δὲ μετὰ τῶν ἄλλων, Ματθαίου κεφαλαίῳ δεκάτῳ ὀγδόῳ, καὶ Ἰωάννου εἰκοστῷ. ἀπώλεσε δ' αὐτὴν, ἤτοι τὴν ἐξουσίαν ἐπὶ τῆς ἀρνήσεως, ἐκστὰς τῆς ἀποστολικῆς ἀξίας, καὶ ἐντὸς γενόμενος αὐτῆς ἐπὶ τῆς τριττῆς ἐρωτήσεως, ὡς εἴρηται ἀνωτέρω. ἐξηγεῖται δὲ ὁ Χρυσόστομος ταύτας τὰς ῥήσεις περὶ λύσεως καὶ δεσμοῦ τῶν ἁμαρτημάτων ἐν τῷ τρίτῳ περὶ Ἱερωσύνης, μὴ ἀπεοικέναι τῆς λέπρας τῆς θεραπευομένης παρὰ τῶν Ἰουδαϊκῶν Ἱερέων. ἔλαβον δὲ ταύτην τὴν ἐξουσίαν ὡς προείρηται οἱ Ἀπόστολοι παρὰ Χριστοῦ ἀμέσως, καὶ οὐ παρὰ τοῦ Πέτρου, ὅθεν κοινή ἐστι πᾶσι τοῖς Ἀποστόλοις, καὶ πᾶσι τοῖς Ἐπισκόποις, ὡς εἴρηται ἀνωτέρω, καὶ σαφέστατα Παραγράφῳ τετάρτῳ ἡγουμένου Βασιλείου, καὶ ἐν πολλοῖς μέρους δευτέρου κεφαλαίῳ ἐσχάτῳ, καὶ κατωτέρω ῥηθήσεται ἐν πολλοῖς, ὅτι ταύτην ἐν τῷ Πέτρῳ πᾶσα ἡ Ἐκλησία ἔλαβε καὶ οὐ μόνος ὁ Πέτρος. καὶ πρὸς τούτοις, ὅτι οὐ μόνον ἐν τῷ Πέτρῳ ἔλαβε ταύτην τὴν ἐξουσίαν ἡ Ἐκκλησία, ἀλλὰ καὶ ἀμέσως παρὰ τοῦ Κυρίου, καὶ ἴδε κατωτέρω κεφάλαιον τρίτον, καὶ μέρους πέμπτου κεφάλαιον πέμπτον. Ἔτι ἀφέντες τὰς ἀντιλογίας, εἴτουν ματαιολογίας καὶ ἐνταῦθα τῶν παπιστῶν, τρέχομεν πάλιν ἐπὶ τοὺς ἐπιδόξους καὶ ἁγίους πατέρας λέγοντες, ὅτι ὁ Πέτρος καὶ ἀπὸ τούτων τῶν ῥημάτων πρωτεῖον εἶχε τάξεως καὶ οὐδεμιᾶς ἐξουσίας, τὴν δὲ ἀποστολικὴν ἀξίαν πάντας ἐξίσου ἔχειν ὡς προαποδέδεικται διά τε τῶν γραφικῶν ῥητῶν καὶ τῶν χρήσεων τῶν ἁγίων πατέρων, καὶ πρὸς τούτοις, τὸ κληθῆναι, τὸ εἶναι Ἀποστόλους, τὸ ἀποστέλλεσθαι, τὸ θαυματουργεῖν, τὸ συντιθέναι γραφὰς ἀναμαρτήτους, τὸ διδάσκειν, τὸ ἱερουργεῖν, τὸ κηρύττειν, τὸ χειροτονεῖν, καὶ διαδόχους ποιεῖν, καὶ τέως τὸ λύειν καὶ τὸ δεσμεῖν. ἄρχεσθαι δὲ ἀπὸ τῆς μονάδος διὰ τὸ μὴ γίνεσθαι σχίσματα, ὅπερ ἐδόθη τῷ Πέτρῳ δι' ὑπερβάλλουσαν ἀρετὴν καὶ ἀγάπην ἣν εἶχε πρὸς τὸν Χριστὸν, ὅθεν εἴρηται ἀνωτέρω ὅτι ὁ Ἰωάννης τὰς Κλεῖς τῶν Οὐρανῶν ἔλαβε. καὶ Πέτρος καὶ Παῦλος τῶν μὲν ἄνω τὰς Κλεῖς εἰληφότες, τῶν δὲ κάτω λύειν καὶ δεσμεῖν τὴν ἐξουσίαν ἔχοντες. καὶ πάντες οἱ Ἀπόστολοι τὰς Κλεῖς ἔλαβον, καὶ πάντες τὰ αὐτὰ ἔλαβον. οἱ ἐφεξῆς Ποιμένες καὶ Διδάσκαλοι τὴν αὐτὴν ἐξουσίαν ἔλαβον, καὶ σημεῖον, ὅτι ὁμοίως λύουσι καὶ δεσμοῦσι. καὶ ὁ Βασίλειος τὰς Κλεῖς τῆς Βασιλείας τῶν Οὐρανῶν πιστεύεται, καὶ ὁ Πάπας Γρηγόριος ὁ δεύτερος μετὰ τοῦ Κωνσταντινουπόλεως Γερμανοῦ εἶχον τὴν ἐξουσίαν ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς λύειν καὶ δεσμεῖν. τοῦτο διδάσκουσι πρὸς τοῖς πατράσι καὶ τοῖς Κανόσι τὰ Εὐχολόγια, τὰ Μηνολόγια, τὰ Συναξάρια, οἱ βίοι τῶν ἁγίων πατέρων, τὰ πρακτικὰ τῶν ἁγίων Συνόδων, οἱ ἐξηγηταὶ τῶν Κανόνων καὶ ἡ κοινὴ καὶ Οἰκουμενικὴ, πατρικὴ καὶ προπατορικὴ καὶ ἀποστολικὴ πρᾶξις καὶ ἐνέργεια τῆς καθολικῆς Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ΄.

Πρόβλημα τῶν παπιστῶν τέταρτον, ὅτι ὁ Πέτρος λέγεται θεμέλιος, ὅθεν ἕπεται ἔχειν ἄκραν ἐξουσίαν. καὶ ὅτι ὁ μὲν Χριστὸς κατὰ Γρετζέρον θεμέλιον πρῶτον, ὁ δὲ Πέτρος ἅμα τοῖς αὐτοῦ διαδόχοις δεύτερον, οἱ δ' Ἀπόστολοι κατὰ Βελλαρμῖνον τριχῶς λέγονται θεμέλιον, ὑποτεταγμένοι ὅμως τῷ Πέτρῳ, ἐξ ὧν δείκνυνται ἐνταῦθα σοφισταὶ ἄτοπα λέγοντες, ὁ δὲ Πέτρος ἴσος τοῖς λοιποῖς Ἀποστόλοις γινώσκεται.

Τέταρτον προβάλλουσιν, ὅτι λέγεται θεμέλιος ὁμολογίας ὁ Πέτρος, καὶ πάλιν ἕπεται ἔχειν αὐτὸν ἄκραν ἐξουσίαν. Ἀλλὰ ῥητέον ὅτι ὁ Ἀνδρέας τοῦ θεμελίου θεμέλιος. ὁ Βαρθολομαῖος θεμελιοῖ τὴν Ἐκκλησίαν, οἱ δώδεκα Ἀπόστολοι θεμέλιοι προσεχέστατοι. ὁ Παῦλος θεμέλιον πίστεως, καὶ ὡς σοφὸς Ἀρχιτέκτων θεμέλια τέθεικεν. ὁ Θωμᾶς θεμέλιον τῆς Ἐκκλησίας. Πέτρος καὶ Παῦλος ἐθεμελίωσαν τὴν

τὴν Ἐκκλησίαν. Φίλιππος καὶ Βαρθολομαῖος ἀῤῥαγῆ τῆς πίστεως θεμέλια. καὶ οἱ δώδεκα Ἀπόστολοι ἐξίσου θεμέλια. ἐν δὲ τῶν ὀρέων ἦν καὶ ὁ Πέτρος. τὸ δὲ ἐν τῶν ὀρέων ἦν καὶ ὁ Πέτρος, οὐ τῇ μοναρχίᾳ προσαρμόζεται, οὐ γὰρ λέγεται εἷς τῶν Ἀρχόντων ὁ Βασιλεύς. καὶ ἐπὶ τοῦ Πέτρου θεμελιοῦται ἡ Ἐκκλησία, ἐπὶ πάντων δὲ θεμελιοῦσθαι τὴν τῆς Ἐκκλησίας δύναμιν. ἴδε καὶ ἀνωτέρω μέρους δευτέρου κεφαλαίῳ ἐσχάτῳ πολλοὺς τῶν ἐγκρίτων πατέρων λεγομένους θεμέλια πίστεως, ὁμολογίας, ὀρθοδοξίας καὶ τῆς Ἐκκλησίας. Ἀλλὰ φασὶν οἱ αὐτοὶ πρῶτον, καθὼς οὐδεὶς δύναται θεῖναί τι, οὕτως οὐδύναται σαλεῦσαι τὸ παρὰ Χριστοῦ θεμέλιον, ὅ ἐστιν ὁ Πέτρος. ὅθεν λέγει Γρετζέρος ὁ τοῦ Βελλαρμίνου ἐξηγητὴς, ὅτι ὁ Χριστὸς ἐστὶ θεμέλιον πρῶτον, ὁ δὲ Πέτρος καὶ οἱ Διάδοχοι αὐτοῦ θεμέλιον δεύτερον. ὁ δὲ Βελλαρμῖνος φησὶν, ὅτι οἱ Ἀπόστολοι ἦσαν θεμέλιοι, ἀλλὰ χωρὶς ζημίας τοῦ Πέτρου, καθὸ δηλονότι τοιοῦτοι πρῶτοι πανταχοῦ ἐθεμελίωσαν τὰς Ἐκκλησίας, καὶ γὰρ ὁ Πέτρος οὐ περιῆλθε τὴν οἰκουμένην, ἀλλ' ἕκαστος Ἀπόστολος ἄλλην, ὅθεν ὁ Παῦλος φησὶν, ὅτι ὁ εἷς φυτεύει, ἕτερος ποτίζει, ἄλλος δὲ ἐποικοδομεῖ, καὶ ὅλοι θεμέλια, ὡς ἐν ψαλμοῖς, καὶ Ἀποκαλύψει κεφαλαίῳ εἰκοστῷ πρώτῳ. δεύτερον, ὅτι λέγονται θεμέλια οἱ Ἀπόστολοι καὶ οἱ Προφῆται κατὰ λόγον τῆς διδασκαλίας τῆς ἀπὸ Θεοῦ δοθείσης, διότι ἡ πίστις τῆς Ἐκκλησίας εἴρηται ἀποκάλυψις, ἣν εἶχον οἱ Ἀπόστολοι καὶ οἱ Προφῆται, οὐ γὰρ πάντοτε ἀποκαλύπτονται νέα ἄρθρα πίστεως, ἀλλ' ἀρκεῖ ἡ ἐκείνων διδασκαλία, ἣν διὰ τοῦ κηρύγματος καὶ τῶν συγγραμμάτων παρέπεμψαν τῇ Ἐκκλησίᾳ, ὅθεν λέγεται ἐν τῇ πρὸς Ἐφεσίους δευτέρᾳ, ὅτι ᾠκοδομήθη ἡ Ἐκκλησία ἐν τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν. τρίτον, ὅτι λέγονται θεμέλια οἱ Ἀπόστολοι διοικήσεως λόγῳ, πάντες γὰρ ἦσαν κεφαλαὶ, διοικηταὶ, καὶ Ποιμένες ἁπάσης τῆς Ἐκκλησίας, ἀλλ' οὐχὶ τῷ αὐτῷ τρόπῳ, διότι οἱ λοιποὶ ἢ Ἀπόστολοι καὶ ἀπεσταλμένοι εἶχον ἅπασαν ἐξουσίαν, πλὴν ὑποτεταγμένοι τῷ Πέτρῳ. Ἀλλὰ πρὸς ταῦτα ῥητέον πρῶτον μὲν, ὅτι εἴρηται ὑπὸ τοσούτων πατέρων προσεχῶς ἀνωτέρω ἴσον εἶναι τὸν Πέτρον τοῖς λοιποῖς, ἐφ' οἷς λέγει ὁ Ἱερώνυμος, ἐπὶ πάντας ἐξίσου τὴν τῆς Ἐκκλησίας μερίζεσθαι δύναμιν. καὶ ὁ Χρυσόστομος τὸν Παῦλον ἴσον λέγει τῷ Πέτρῳ, καὶ οὐδὲν πλέον εἶναι αὐτοῦ τὸν Πέτρον. εἶτα ἐρωτητέον, οἱ Ἀπόστολοι πρῶτα ἦσαν θεμέλια ἢ δεύτερα; καὶ οὐ δύνανται εἰπεῖν τι λόγου ἄξιον, καὶ τὸ αἴτιον δῆλον, ἕπεται γὰρ δοῦναι καὶ τρίτον, ἵνα βάλλωμεν τοὺς Ἀποστόλους, ὅπερ ἐστὶ παρὰ τὰς γραφὰς καὶ τοὺς ἁγίους πατέρας; καὶ οὐ δύνανται φυγεῖν τὸ ἄτοπον οἱ σοφισταὶ οὗτοι, ἀνωτέρω γὰρ εἶπον, ὅτι τῷ Πέτρῳ ἐδόθη ἡ διοίκησις πάσης τῆς Ἐκκλησίας κατὰ πίστιν, καὶ μεταταῦτα λέγουσιν, ὅτι κατὰ τὸν λόγον τῆς διδασκαλίας μὴ εἶναι τὸν Πέτρον μείζονα.

ΠΑΡΑΓΡΑΦΟΝ Κ'.

Πρόβλημα τῶν παπιστῶν πέμπτον, ὅτι ὁ Πέτρος λέγεται στερέωμα, βάσις, ἑδραίωμα, ἄρα. καὶ ἀπάντησις.

Πέμπτον προβάλλουσιν, ὅτι καλεῖται στερέωμα, βάσις, στήριγμα καὶ ἑδραίωμα ὁ Πέτρος, ἄρα. Ἀλλὰ ῥητέον ὅτι στερέωμα πίστεως οἱ Ἀπόστολοι καὶ Εὐαγγελισταὶ, προσεχέστατοι γινόμενοι εἰς ἑδραίωμα πίστεως, ὁ Ἀνδρέας στερέωμα τῆς Ἐκκλησίας καὶ τῶν ἁγίων στήριγμα. οὕτω λέγονται καὶ πάντες οἱ Ἀπόστολοι στερέωμα, ἑδραίωμα, στήριγμα, ἔρεισμα καὶ βάσις. οὕτω λέγονται καὶ πολλοὶ τῶν ἐγκρίτων πατέρων τῆς πίστεως, τῶν κατὰ τὴν Οἰκουμένην Ἐκκλησιῶν, τῆς ἀληθείας, καὶ τῆς ὀρθότητος, καὶ τῆς ὀρθοδοξίας. τοῦτο κοινολογεῖται καὶ εἰς πάντα Χριστιανόν. Αἱ μὲν οὖν Ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει, καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν. πράξεων κεφαλαίῳ δεκάτῳ ἕκτῳ. Καὶ, χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν, καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως. τῆς πρὸς Κολοσσαεῖς κεφαλαίῳ δευτέρῳ. καὶ ὁ Γρηγόριος εἰς τὸν Ἐξισώτην, Τὸ ἔρεισμα. καὶ ἀλλαχοῦ τὰ αὐτὰ λέγεται, καὶ εἰς τὴν γραφὴν, καὶ εἰς τὰ ἐγκώμια τῶν πατέρων.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Πρόβλημα τῶν παπιστῶν ἕκτον, ὅτι ὁ Πέτρος ὀνομάζεται στύλος τῆς Ἐκκλησίας. καὶ ἀπάντησις σαφεστάτη.

Ἕκτον λέγουσιν, ὅτι ὀνομάζεται στύλος τῆς Ἐκκλησίας ὁ Πέτρος. Ἀλλὰ ῥητέον, ὅτι οἱ δώδεκα Ἀπόστολοι στύλοι. Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς. ὁ Ἰωάννης στύλος τῶν κατὰ τὴν Οἰκουμένην Ἐκκλησιῶν. ὁ Παῦλος στύλος τῆς ἀληθείας. οἱ δώδεκα τῆς ὀρθοδοξίας στύλοι ἀμετάθετοι, καὶ πύργοι. ὁ Ἀνδρέας πρωτοπαγὴς τῆς Ἐκκλησίας στύλος. ὁ Βαρθολομαῖος πυροειδὴς στύλος τῆς ὀρθοδοξίας. καὶ ὁμιλίᾳ, ὅτε ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, ὁ Χρυσόστομος φησὶ τὸν Πέτρον καὶ τὸν Παῦλον ἐξίσου στύλους, προβόλους, περιβόλους, καὶ ὀφθαλμοὺς τοῦ σώματος τῆς Ἐκκλησίας. Καὶ ἀνέχοντες τὴν ὀροφὴν τῆς πίστεως. οὕτω καὶ πολλοὶ τῶν ἐγκρίτων πατέρων καλοῦνται. καὶ ἴδε ἀνωτέρω μέρους δευτέρου κεφάλαιον ἔσχατον.

Παρά-

ΠΑΡΑΓΡΑΦΟΝ ΚΒ'.

Πρόβλημα τῶν παπιστῶν ἕβδομον, ὅτι ὁ Πέτρος κατ' Ἐπιφάνιον καὶ ἄλλους, γέγονε στερεὰ πέτρα, θεμελιοῦσα τὴν πίστιν τοῦ Κυρίου, καὶ ὑφ' ἑαυτὸν τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας ἐδέξατο. καὶ ἀπάντησις ἐκ τῶν ἀνωτέρω πρὸς τοὺς Ἀποστόλους εἰρημένων καὶ ἐκ τῶν ἁγίων πατέρων καὶ αὐτοῦ Πέτρου, ἐξ ὧν δείκνυται κοινὴ καὶ τοῖς λοιποῖς Ἀποστόλοις καὶ πατράσιν ἡ πέτρα καὶ τὸ θεμελιοῦν ἐπὶ τὴν ὁμολογίαν, ἣν μόνος ὁ Χριστὸς ἔθετο θεμέλιον τῆς Ἐκκλησίας αὐτοῦ.

Ἕβδομον λέγουσιν, ὅτι ὁ αὐτὸς, ἤτοι ὁ Πέτρος γέγονε κατὰ τὸν Ἐπιφάνιον στερεὰ πέτρα θεμελιοῦσα τὴν πίστιν τοῦ Κυρίου, καὶ κατ' ἄλλους πατέρας ὅτι ὑφ' ἑαυτὸν τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας ἐδέξατο. Ἀλλὰ ῥητέον, ὅτι εἴρηται ἀνωτέρω, Πέτρος καὶ Παῦλος ἐθεμελίωσαν τὴν Ἐκκλησίαν. Καὶ, οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Καὶ, ἐθεμελιώθη ἡ Ἐκκλησία ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν. Ἓν δὲ τῶν ὀρέων ἦν καὶ ὁ Πέτρος. Καὶ, τῆς ἐξ ἐθνῶν Ἐκκλησίας οἰκοδόμους καὶ τεχνίτας εἶναι τοὺς ἁγίους Ἀποστόλους. Καὶ, οὐκ ἐπὶ τῷ ἀνθρώπῳ τῷ Πέτρῳ, ἀλλ' ἐπὶ τὴν ὁμολογίαν τοῦ Πέτρου ἐθεμελιώθη ἡ Ἐκκλησία. Καὶ, οἱ Ἀποστόλοι Ἀρχιτέκτονες καὶ πέτρα κοινῶς. Καὶ, ὁ Παῦλος Φυτουργὸς καὶ πέτρα τῆς Ἐκκλησίας. Καὶ, ὁ Βαρθολομαῖος ἐπίσης θεμελιοῖ τὴν Ἐκκλησίαν τῷ Πέτρῳ. Καὶ, ὁ Μητροφάνης ὡς Πέτρος πέτρα, ἐν ᾗ ᾠκοδόμησεν ὁ Κύριος τὰς Ἐκκλησίας αὐτοῦ. Καὶ ὁ Ἀλεξανδρείας Πέτρος, Χαῖρε Πέτρε ἡ πέτρα τῆς πίστεως. Καὶ ὁ Πέτρος ἐν τῇ ἐπιστολῇ, Προσέρχεσθε τῷ ἀκλονήτῳ λίθῳ, καὶ ἐποικοδομεῖσθε ὡς λίθοι ζῶντες. Καὶ ὁ Ἐπιφάνιος ἐν τῷ περὶ πίστεως τῆς καθολικῆς Ἐκκλησίας, Ἐπ' αὐτὴν τὴν ἁγίαν Ἱερουσαλὴμ, καὶ τὴν παρθένον Χριστοῦ Νύμφην καὶ ἀσφαλῆ βάσιν, καὶ σεμνὴν μητέρα ἡμῶν. Καὶ Ἰουνίου εἰκοστῇ ἐνάτῃ, Ἐπὶ τὴν πέτραν τῆς σῆς θεολογίας ἐπήξατο τὴν Ἐκκλησίαν ὁ Δεσπότης Ἰησοῦς. Καὶ Βασίλειος ἐν τῷ περὶ ὑπακοῆς, Χαρίζεται γὰρ ὁ Ἰησοῦς τὰ ἑαυτοῦ ἀξιώματα, οὐκ ἀποκενούμενος, ἀλλ' ἔχων δίδωσι. Φῶς ἐστὶν, Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Ἱερεύς ἐστι, ποιεῖ Ἱερέας. Πρόβατόν ἐστιν, Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ Λύκων. Πέτρα ἐστὶ, πέτραν ποιεῖ, καὶ τὰ ἴδια χαρίζεται τοῖς δούλοις. ὡς οὖν τὰ ἄλλα τοῖς Ἀποστόλοις κοινὰ, οὕτω καὶ ἡ πέτρα. εἶτα ὁ Ἐπιφάνιος εἶπε τὸν Πέτρον στερεὰν πέτραν οὐμόνον διὰ τὸ ὡμολογηκέναι τὸν Κύριον, δι' ἣν αἰτίαν πέτρα καλοῦνται καὶ οἱ λοιποὶ Ἀπόστολοι καὶ οἱ ἅγιοι πατέρες ὡς θεμελιοῦντες τὴν πίστιν ἐφ' ᾗ ᾠκοδόμητο ἡ Ἐκκλησία; ἀλλὰ καὶ διὰ τὸ μετανενοηκέναι, ἀπὸ τῆς ἀρνήσεως ἐπιστραφέντα, ὅθεν λέγει ἐν τῷ αὐτῷ τόπῳ, Ἀλλὰ καὶ ἐνταῦθα (ὁ Πέτρος) στερεὰ πέτρα οἰκοδομῆς, καὶ θεμέλιος οἴκου Κυρίου γεγένηται, ἐν τῷ ἀρνησάμενον αὐτὸν καὶ πάλιν ὑποστρέψαντα, εὑρεθέντα τε ὑπὸ τοῦ Κυρίου καὶ καταξιωθέντα πάλιν ἀκοῦσαι, Ποίμαινε τὰ πρόβατά μου. Ἐπὶ πᾶσι τούτοις, ὁ μὲν Πέτρος καὶ οἱ Ἀπόστολοι καὶ οἱ πατέρες θεμελιοῦσιν ἐπὶ τὴν πίστιν καὶ ὁμολογίαν, τὴν δὲ ὁμολογίαν οὐχ οὗτοι πάντες, ἀλλ' ὁ Χριστὸς ἔθετο ἐπὶ θεμελίῳ, ὅθεν ὁ Χρυσόστομος Τόμῳ πρώτῳ τῆς σειρᾶς κεφαλαίῳ δεκάτῳ ἕκτῳ τοῦ Ματθαίου φησὶ, Τὴν ὁμολογίαν ὁ Χριστὸς θεμέλιον ἔθετο τῆς Ἐκκλησίας αὐτοῦ. καὶ Τόμῳ δευτέρῳ τῆς σειρᾶς κεφαλαίῳ τῷ αὐτῷ λέγει ὁ μέγας Κύριλλος, Ἑαυτοῦ εἶναι φησὶ τὴν Ἐκκλησίαν, ἣν καὶ θεμελιοῦν ἐπαγγέλλεται, τὸ ἀκατάσειστον αὐτῇ προσνέμων, καὶ ταύτης Ποιμένα τὸν Πέτρον ἐφίστησιν, εἶτα ἔφη, Καὶ δώσωσοι τὰς κλεῖς, ἵνα δὲ μή τις νομίσῃ ὅτι τότε μόνῳ τῷ Πέτρῳ ἔδωκε τὰς κλεῖς, καὶ τὴν ἐξουσίαν αὐτῶν, ἐπιφέρει ὁ ἅγιος, Πλὴν ὁ τοῦ δώρου καιρὸς ἦν ἡ τῆς ἀναστάσεως ὥρα, ὅτε εἶπε, Λάβετε Πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΓ'.

Πρόβλημα τῶν παπιστῶν ὄγδοον, ὅτι προήγορος ὁ Πέτρος τῶν Ἀποστόλων, καὶ πρεσβυτάτη τῶν θεολόγων ἀκρότης, καὶ Ποιμενάρχης. καὶ ἀπάντησις ἐκ τῶν πρὸς τοὺς Ἀποστόλους ἀνωτέρω εἰρημένων, καὶ πρὸς τοὺς ἁγίους πατέρας, καὶ ἐκ τοῦ πάντα τὰ ἀξιώματα παρὰ μόνου τοῦ Χριστοῦ λαβεῖν τοὺς Ἀποστόλους, ἐξ οὗ ὁ ἀφανισμὸς τῆς μοναρχίας.

Ὄγδοον προσφέρουσιν, ὅτι προήγορος ὁ Πέτρος τῶν Ἀποστόλων, καὶ πρεσβυτάτη τῶν Θεολόγων ἀκρότης, καὶ Ποιμενάρχης. Ἀλλὰ ῥητέον, εἴρηται ἀνωτέρω, ὅτι ἄνεισιν ἐπίσης ὁ Βαρθολομαῖος ἐπὶ τὸ τῆς θεολογίας ὅρος τῷ Πέτρῳ, καὶ ὁ Παῦλος Νυμφαγωγὸς, καὶ γλῶσσα τῆς Οἰκουμένης, καὶ Τέττιξ ἐκκλησιαστικὸς, καὶ οἱ δώδεκα, γλῶσσαι καὶ Κήρυκες, καὶ Διδάσκαλοι, καὶ Φῶς, καὶ Ποιμένες, καὶ Ἀρχιτέκτονες, καὶ τὸ παρὰ τοῦ Ἀδελφοθέου ψηφισθὲν, εἰς τύπον ἐγράφετο, καὶ τῇ Ἐκκλησίᾳ παρεδίδοτο, καὶ ἐν ἄστροις ὑπερλάμπων ὁ αὐτὸς, καὶ πᾶσι τοῖς μετὰ τὸν Πέτρον Ποιμέσι καὶ Διδασκάλοις τὴν αὐτὴν ἐξουσίαν, ἤτοι τὴν ἄκραν θεολογίαν καὶ δύναμιν ἔδωκεν ὁ Κύριος, καὶ Ἰουνίου εἰκοστῇ ἐνάτῃ, ὁ Παῦλος ῥητῶς τῆς Ἐκκλησίας σάλπιγξ. ἀλλὰ δὴ καὶ οἱ ἅγιοι πατέρες ὡς οἱ Ἀπόστολοι ἐγκωμιάζονται, καὶ πρὸς τούτοις λέγονται μεγάλοι Ποιμένες, καὶ μέγιστοι Ποιμενάρχαι, καὶ ἴδε ἀνωτέρω μέρους δευτέρου κεφάλαιον ἔσχατον,

1070

ἔσχατον, καὶ μέρους τρίτου κεφάλαιον δέκατον τρίτον. Καὶ Αὐγούστου ἕκτῃ λέγονται Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης τῶν Ἀποστόλων ἀκρότης. πρόσθες εἰς πρόχειρον ἀφανισμὸν τῆς μοναρχίας καὶ τοῦτο, εἰ ἦν μονάρχης ὁ Πέτρος, παρ' αὐτοῦ ἔλαβον ἂν οἱ Ἀπόστολοι τὰ ἀξιώματα, καὶ οὐ παρὰ Χριστοῦ. ἀλλαμὴν πάντες πάντα τὰ ἀξιώματα παρὰ μόνου τοῦ Χριστοῦ ἔλαβον ἀμέσως, ἄρα.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΔ'.

Συμπέρασμα ἐκ πάντων τῶν ἐν τῷ παρόντι κεφαλαίῳ καὶ τοῖς παραγράφοις αὐτοῦ εἰρημένων, ὅτι ἴσος ὁ Πέτρος κατὰ πάντα τοῖς λοιποῖς Ἀποστόλοις πλὴν τοῦ πρωτείου τῆς τάξεως.

Συμπεραίνομεν οὖν ἐκ πάντων τούτων, ὅτι ὅσοις ῥήμασί τε καὶ ὀνόμασι καὶ ἐγκωμίοις ἐπαινεῖται καὶ μακαρίζεται ὁ μακάριος Πέτρος, τοῖς αὐτοῖς λέγονται καὶ ἐγκωμιάζονται καὶ οἱ λοιποὶ ἅγιοι Ἀπόστολοι, καὶ πολλοὶ τῶν ἐπιδόξων καὶ ἐγκρίτων πατέρων, ἐξ ὧν, καὶ ἐκ πολλῶν ἄλλων φαιερῶν καὶ καθαρῶν καὶ διόλου ἀναμφιβόλων ῥητῶν τῶν αὐτῶν ἁγίων πατέρων δείκνυται ὅτι ὁ μακάριος Πέτρος τῆς αὐτῆς ἐστὶ τιμῆς, δόξης, ἀρχῆς, δυνάμεως, ἐξουσίας καὶ ἐνεργείας μετὰ τῶν λοιπῶν ἁγίων Ἀποστόλων, καὶ οὔτε μονάρχης, οὔτε Αὐτοκράτωρ αὐτῶν ἦν, ἀλλὰ μονώτατον πρωτεῖον καὶ τιμὴν τάξεως εἶχεν ἐπ' αὐτῶν, καὶ οὐδὲν πλέον. καὶ οὕτω διελύθησαν πᾶσαι αἱ ἀντιθέσεις τῶν Λατίνων καὶ τὰ σοφίσματα, καὶ αἱ ἀποκεκομμέναι καὶ διεστραμμέναι χρήσεις, καὶ δολιότητος γέμουσαι διαιρέσεις, καὶ τὰ λοιπὰ διανοήματα τῶν σοφῶν τοῦ παπισμοῦ ὑπὲρ τῆς μονότητος τοῦ ἀντιχριστιανικοῦ ἀξιώματος.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Δ'. ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τοῦ καιροῦ ἐν ᾧ ἐδόθη τῷ Πέτρῳ ἡ ἐξουσία τοῦ πρωτείου καὶ τῆς τιμῆς, ὃς καὶ προήγορος ἐῤῥέθη τῶν Ἀποστόλων διὰ τὴν ἀρετὴν αὐτοῦ καὶ τὸ τῆς τάξεως μόνον πρωτεῖον.

Ἐδόθη τὸ πρωτεῖον τῷ Πέτρῳ πρὸ τοῦ ἀκοῦσαι τὸ, ΣΥ ΕΙ ΠΕΤΡΟΣ Η ΠΕΤΡΑ. Ματθαίου κεφαλαίῳ δεκάτῳ ἕκτῳ. καὶ πρὸ τοῦ ἀκοῦσαι τὸ, ΠΟΙΜΑΙΝΕ ΤΑ ΠΡΟΒΑΤΑ ΜΟΥ. Ἰωάννου κεφαλαίῳ ἐσχάτῳ. ἐῤῥέθη γὰρ, ΠΡΩΤΟΣ, ΣΙΜΩΝ Ὁ ΛΕΓΟΜΕΝΟΣ ΠΕΤΟΣ. Ματθαίου κεφαλαίῳ δεκάτῳ. εἰ καὶ Μάρκου κεφαλαίῳ ἐσχάτῳ συναριθμεῖται τοῖς λοιποῖς, οὐχ ὅτι γε ἐῤῥέθη αὐτῷ, Ματθαίου κεφαλαίῳ δεκάτῳ ἕκτῳ, ΣΟΙ ΔΩΣΩ ΤΑΣ ΚΛΕΙΣ, ἐγένετο πρῶτος, ἀλλὰ διότι ἦν πρῶτος, ἐῤῥέθη. ἦν δὲ θερμότατος ἐν τῇ πρὸς τὸν Κύριον ἀγάπῃ. Ὑπὲρ πάντων ἀποκρίνεται. Ἰωάννου κεφαλαίῳ ἕκτῳ, ἐδαφίῳ ἑξηκοστῷ ἐνάτῳ, ΚΥΡΙΕ ΠΡΟΣ ΤΙΝΑ ΑΠΕΛΕΥΣΟΜΕΘΑ; ΡΗΜΑΤΑ ΖΩΗΣ ΑΙΩΝΙΟΥ ΕΧΕΙΣ. καὶ Ματθαίου κεφαλαίῳ δεκάτῳ ἕκτῳ, ΣΥ ΕΙ Ὁ ΧΡΙΣΤΟΣ, Ὁ ΥΙΟΣ ΤΟΥ ΘΕΟΥ ΤΟΥ ΖΩΝΤΟΣ. ἐν οἷς λέγει ὁ Ἀμβρόσιος, Λεγομένης τῆς γνώμης τῶν πολλῶν (ὦ Πέτρε) ἐσιώπας, καὶ ἀποκρινομένων τῶν ἄλλων, ὧν σὺ πρῶτος; ἔτι σιωπᾶς; ὅστις καὶ ἐν ἑτέροις, φησὶ, μὴ ἐρωτώμενος, ἐνθυμούμενος δὲ τοῦ ἰδίου ἀξιώματος ἀπεκρίθης, ἀξίας δηλαδὴ τῆς ἐν τῇ ὁμολογίᾳ, οὐχὶ τῆς ἐν τῇ τιμῇ, ἀξίας τῆς ἐν τῇ πίστει, οὐ τῆς ἐν δόξῃ. οὗτός ἐστιν ὁ Πέτρος ὁ πρὸ τῶν ἄλλων, ἢ καὶ ὑπὲρ τῶν ἄλλων ἀποκριθεὶς, ἕνεκεν τούτου λέγεται καὶ θεμέλιος, ἔγνω γὰρ οὐ μόνον φυλάττειν τὸ ἑαυτοῦ, ἀλλὰ καὶ τὸ κοινόν. ταῦτα ὁ Ἀμβρόσιος ἐν τῷ περὶ ἐνσάρκου οἰκονομίας βιβλίῳ, κεφαλαίῳ τετάρτῳ. Καὶ ὁ Εὐσέβιος βιβλίου δευτέρου κεφαλαίῳ τετάρτῳ φησὶν, Ἐλθόντος τοῦ Πέτρου κατὰ τοῦ Σίμωνος τοῦ μάγου εἰς Ῥώμην, ἐθαύμασαν πολλοὶ τὴν ἀρετὴν τοῦ ἀνδρὸς, μάλιστα εἰς τὰς διαλέξεις, ἐπειδὴ ἐκ μέρους πάντων ἐλάλει τῶν Ἀποστόλων, ὅθεν ἐπαινεῖ αὐτὸν λέγων, Τὸν καρτερὸν καὶ μέγαν τῶν Ἀποστόλων, τὸν ἀρετῆς ἕνεκα τῶν λοιπῶν ἁπάντων προήγορον Πέτρον. Καὶ χρυσόστομος ἐν τῷ δεκάτῳ ἕκτῳ κεφαλαίῳ τοῦ Ματθαίου, Τὸ στόμα τῶν Ἀποστόλων ὁ Πέτρος, ὁ πανταχοῦ θερμὸς, ὁ τοῦ χοροῦ τῶν Ἀποστόλων κορυφαῖος, πάντων ἐρωτηθέντων, αὐτὸς ἀποκρίνεται. Σημείωσαι ὅτι τὸ αὐτὸ εἶδος τῶν διαλέξεων τοῦ Πέτρου, ἤτοι ἀπὸ προσώπου τῶν Ἀποστόλων, φαίνεται καὶ ἐν διαφόροις τόποις τῶν ἀποστολικῶν πράξεων, διὰ τὴν ἀρετὴν ὅμως καὶ τὸ κατ' αὐτὴν τῆς τάξεως πρωτεῖον, καὶ οὐ διάτινα ἰδικὴν ἐξουσίαν, ὅθεν ὁ Χρυσόστομος ἀποβάλλει τὸ ἀρχικῶς καὶ αὐθεντικῶς πεποιηκέναι τὰς διαλέξεις τὸν Πέτρον, καὶ ἴδε αἰωτέρω βιβλίου πρώτου κεφάλαιον πέμπτον.

ΒΙΒΛΙ-

ΒΙΒΛΙΟΥ Ι. ΜΕΡΟΣ Δ'. ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν σημαινόντων τῆς τάξεως, καὶ τὸ ποσαχῶς δίδεται ἑνὶ ἡμῖν, ἐξ ὧν διδασκόμεθα ὁποῖόν ἐστι τὸ Πέτρῳ τὸ πρωτεῖον ἢ ἡμῖν καὶ τοῖς λοιποῖς Ἀποστόλοις. καὶ ὅτι ὁ Παῦλος ὑπερφέρει τὸν Πέτρον, καὶ ἄμφω Ἀπόστολοι καὶ Ἐπίσκοποι Ῥώμης, οὐ μὴν καὶ διάδοχοι προκάθηντο.

Ἡ τάξις, ἣ σημαίνει τὴν διάταξιν καθ' ἣν ἡ σύγχυσις τῶν πραγμάτων διορθοῦται, ἣν ἐπανεῖ ὁ Παῦλος πρώτῃ πρὸς Κορινθίους κεφαλαίῳ δεκάτῳ τετάρτῳ λέγων, Τὰ πάντα κατὰ τάξιν γινέσθω, καὶ περὶ ταύτης διηλέχθησαν αὐτοῖς ὁ Εἰρηναῖος καὶ ὁ Κυπριανὸς κεφαλαίῳ πρώτῳ Παραγεγράφω ἀνάτῳ καὶ ὑπάτῳ, καὶ ἡμεῖς ἐσημειωσάμεθα μέρει δευτέρᾳ κεφαλαίῳ τριακοστῷ, καὶ βιβλίῳ τετάρτῳ κεφαλαίῳ τρίτῳ. ἢ τὸν βαθμὸν καὶ τὸ ἐπάγγελμα τῆς ἱερωσύνης, ὡς ἐν τῇ πρὸς Ἑβραίους κεφαλαίῳ ἑβδόμῳ, Κατὰ τὴν τάξιν Μελχισεδὲκ καὶ Ἀαρών. καὶ κατὰ μὲν τὸ πρῶτον σημαινόμενον ἔχει ὁ Πέτρος τὸ πρῶτος τῇ τάξει, κατ' αὐτὴν γὰρ ἦν πρῶτος ἐν τοῖς ἴσοις· κατὰ δὲ τὸ δεύτερον πάντες οἱ Ἀπόστολοι ἦσαν ἐξίσου πρῶτοι, ὅθεν ἐν τῇ πρὸς Κορινθίους πρώτῃ κεφαλαίῳ δωδεκάτῳ λέγεται, Πρῶτον Ἀποστόλους. ἡ δὲ τιμὴ δίδοται τινὶ, ἢ ἀποβλέψει τοῦ βαθμοῦ καὶ τοῦ ἐπαγγέλματος, ἢ ἀποβλέψει τοῦ πρωτείου καὶ τῆς τάξεως μετὰ καὶ ἑτέρων ἐν τῷ αὐτῷ βαθμῷ καὶ ἐπαγγέλματι, ἢ ἔσχεν τῆς προσωπικῆς ἀρετῆς· τῷ μὲν Πέτρῳ κατὰ τὸν δευτέραν καὶ τρίτην ἐδόθη τὸ πρωτεῖον τῆς τιμῆς, τῷ τὸν πρώτην ὅμως εἶτι ἦν ὁ Πέτρος, ἦσαν καὶ οἱ λοιποὶ Ἀπόστολοι, ὡς εἶπε καὶ ὁ Κυπριανὸς αὐτοῦ κεφαλαίῳ πρώτῳ Παραγεγράφω ἀνάτῳ. Ἔξεστι δὲ ἰδεῖν σαφῶς ἐκ τούτων τῶν διακρίσεων τίνι σοφίᾳ ὁ Ἀμβρόσιος τὸ πρωτεῖον τοῦ Πέτρου ἐκάλεσε πρωτεῖον ὁμολογίας, οὐ τιμῆς, πρωτεῖον τῆς πίστεως, οὐχὶ δὲ καὶ τῆς ἀξίας. ἐκ τούτων δὲ δύο σωζόμενα, ὅτι ὁ Πέτρος πρῶτος ἦν τῶν Ἀποστόλων κατὰ τὴν τάξιν, καὶ διὰ τὴν τάξιν, ἢ ὅτι ἦν γηραιότερος· κατὰ τὸν Ἱερώνυμον ἐν τῷ πρῶτος, καὶ ἴδε αὐτοῦ βιβλίῳ τρίτῳ κεφάλαιον ἕβδομον. ἢ διότι πρῶτος ἐποίησε τὴν διάταξιν, ἢ δι' ἄλλην αἰτίαν, ἣν καθαρῶς οἶδε μόνος ὁ ἑταίζων καρδίας καὶ νεφρούς κατὰ τὸν ἱερὸν Ἐπιφάνιον, καὶ ἴδε αὐτοῦ βιβλίῳ δευτέρᾳ κεφάλαιον δέκατον ὄγδοον. ἢ διότι πρῶτος ὑπέσχετο, ὡς λέγει ἐντεῦθεν ὁ Ἀμβρόσιος, καὶ δευτέρου, ὅτι ἦν πρῶτος διὰ τὴν ὁμολογίαν, καὶ γὰρ ἐμόνον πρῶτος ὑπέσχετο, ἀλλὰ καὶ πρῶτος ὡμολόγησε τὸν Κύριον ὁμοούσιον τῷ Πατρί. Ἐκ τούτων δὲ καὶ τῶν δύο (παλιλλογητέον) ἀσφαλῶς γίνεται ὅτι ἦν ὁ Πέτρος ἡ μοναρχὴς, ὥστε ἔχειν αὐτὸν τινὰ τιμὴν ἢ δόξαν ἐξουσιαστικὴν ὑπὲρ τῶν Ἀποστόλων, ἢ μόνος καθ' αὑτὸν καὶ ἰδίως ἦν ὁμολογητὴς, ἀλλὰ πρῶτος ἐν τοῖς ἴσοις, καὶ ὑπὸ τοῖς ὁμοίοις. ὑπὸ τοῖς ἴσοις μὲν, ὅτι ὡς εἴρηται, ἴσαι αὐτῷ οἱ Ἀπόστολοι κατὰ πάντα, ἤτοι κατὰ τὴν ἀποστολικὴν ἀξίαν, ἐξουσίαν, δύναμιν καὶ ἐνέργειαν· ὑπὸ τοῖς ὁμοίοις δὲ, ὅτι ὁμοίως ἦσαν αὐτῷ οἱ ἅγιοι Ἀπόστολοι κατὰ τὴν ἀγάπην καὶ ὁμολογίαν· ὡς ἐμαρτύρησεν αὐτοτέρω τὸ πλῆθος τῶν ἁγίων πατέρων. ὁ δὲ Παῦλος καὶ ὑπερτερεῖ τῷ Πέτρῳ, καὶ γὰρ οὐκ ἔστι σωσωπολιψία ὥσπερ τῷ Θεῷ, εἰ γὰρ καὶ ὕστερον εἰσῆλθον εἰς τὸν ἀποστολικὸν χορὸν, καὶ κατὰ τὸν Χρυσόστομον ἦν μείζων αὐτῷ ὁ Πέτρος ὡς πρεσβύτερος δηλονότι κατὰ τὴν ὁμολογίαν, ἤτοι ὡς πρότερον πιστεύσας καὶ ὁμολογήσας, οὐ τρέπον ἦν καὶ ὁ Ἰάκωβος μείζων αὐτοῦ, ὡς εἴρηται αὐτοτέρω, ὑπερτερεῖ ὅμως αὐτῷ ὁ Παῦλος, ἐπειδὴ ὁ μὲν Πέτρος ἐκλήθη ἐκ τῆς ἄρχης, ὁ δὲ Παῦλος ἐκ τοῦ διωγμοῦ, ὁ Πέτρος ἐκ τῆς γῆς, ὁ Παῦλος ἐκ τοῦ Οὐρανοῦ, ὁ Πέτρος ὧδε ἔλαβε τὴν ἀποκάλυψιν, ὁ Παῦλος ἐν τῷ τρίτῳ Οὐρανῷ, ὅπου καὶ ἄρρητα ῥήματα ἤκουσεν, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. ὁ Πέτρος ἐπαινεῖ τὸν Παῦλον, ὁ Παῦλος ἤλεγξε τὸν Πέτρον, καὶ ἀδαμῶς ἐπαινεῖ αὐτὸν μεμιγμένως, μάλιστα ἐν τῇ πρὸς Γαλάτας γεγράφει, ὅτι οὐκ ἐδιδάχθη παρὰ Πέτρου, Ἰακώβου καὶ Ἰωάννου. διὸ καὶ ὁ Χρυσόστομος ἔλεγον αὐτοτέρω, ὅτι μηδὲν τοῦ Πέτρου ὁ Παῦλος ἐδέετο, μήτε τῆς ἐκείνου φωνῆς, ἀλλ' ἴσος ἦν αὐτῷ· ἐμοὶ μὲν ἀλλὰ καὶ εἰς τὸ κήρυγμα καὶ τοὺς ἀγῶνας καὶ τὴν θερμότητα καὶ ὁμολογίαν καὶ εἰς πάντα τὰ ἴδια τῆς ἀποστολικῆς ἀξίας ὑπερβάλλει πάντας τοὺς Ἀποστόλους, ἐν οἷς καὶ ὁ Πέτρος, καὶ γὰρ ἐμόνον ὡς ὁ Πέτρος ἐκλήθη ἡμέρᾳ, ἕξαρχος, πρῶτος, πρωτοκορυφαῖος καὶ πρωτόθρονος τῶν Ἀποστόλων, ἀλλ' ἰδίως ἐκλήθη καὶ μείζων τῶν Ἀποστόλων. καὶ ἔτι περὶ τῆς περιτομῆς πάντες οἱ Ἀπόστολοι καὶ οἱ Πρεσβύτεροι ἔκλεισον ἐν τῇ Συνόδῳ ἐν Ἱερουσαλὴμ, ἐξετάσαντες πρῶτον καὶ γνωμοδοτήσαντες, ἀλλ' ὁ Παῦλος καὶ πρὸ τῆς κοινῆς ἐρεύνης καὶ κρίσεως τῶν Ἀποστόλων καὶ Πρεσβυτέρων κατέγνω αὐτῆς, καὶ ἴδε τὸν τόπον, καὶ τὸν Χρυσόστομον ἑρμηνεύοντα τοῦτον πράξεων κεφαλαίῳ δεκάτῳ πέμπτῳ. πρὸς τούτοις ἃ δὲ τῷ Ῥώμῃ ἀφῆκε μόνῳ τῷ Πέτρῳ, ἀλλὰ πρὸς τοῦ Πέτρου ἐκεῖνος ἐκεῖ ἐδίδαξον, ὡς δείκνυται λαμπρῶς ἀπὸ τοῦ ἑξάτου κεφαλαίου τῶν πράξεων, καὶ τοῦ Πέτρου μετανοῦντα ἐκεῖσε ὑπεδημήσαντος, πάλιν ὁ Παῦλος κατὰ τὸ ἴδιωμα αὐτοῦ ἐκήρυττε τὸ Εὐαγγέλιον τῆς Βασιλείας, ὅθεν ἐν αὐτῇ καὶ οἱ δύο ἦσαν Ἀπόστολοι καὶ Ἐπίσκοποι, καὶ ὡσαύτως οἱ δύο προέβαλον διάδοχον ὡς ῥηθήσεται· Τοσαῦτα κατὰ τὴν ἐπαγγελίαν τῆς ὑποτομῆς περὶ τῆς τιμῆς καὶ τάξεως τοῦ μακαρίου Πέτρου, καὶ τῶν λοιπῶν ἁγίων Ἀποστόλων.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Δ'. ΚΕΦΑΛΑΙΟΝ Δ'.

Πλατύτερον, διατὶ ὁ Πέτρος ἐκ μέρους τῶν λοιπῶν Ἀποστόλων ἀπεκρίθη, καὶ διατὶ μόνῳ αὐτῷ ἐῤῥέθη, σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ, μακάριος εἶ Σίμων, καὶ τὰ λοιπά.

Τοῦ ζητήματος τούτου δύο λόγοι φέρονται ὑπὸ τῶν παλαιῶν, ὁ εἷς Ἠθικὸς, ὁ δὲ ἕτερος Μυστικός. ὁ Ἠθικὸς πρέπον ἦν φησὶ μὴ ἀποκριθῆναι πάντας διὰ τὴν σύγχυσιν, ἀλλ' ἕνα ἀντὶ πάντων, καὶ ὀνομαζόμενον προήγορον τῶν λοιπῶν. ὁ Μυστικὸς δηλοῖ τὴν ἐκκλησιαστικὴν ἑνότητα, διὸ ὁ Πέτρος ἔφερε τύπον τῆς Ἐκκλησίας, καὶ τὴν ὁμολογίαν τῶν πιστευόντων, ἀποκρινόμενος ἀντὶ τῶν ἄλλων. ὅθεν ὁ Κυπριανὸς κατὰ Παμμελίου βιβλίῳ δευτέρῳ κεφαλαίῳ ἑνδεκάτῳ, καὶ Αὐγουστῖνος εἰς τὸν Ἰωάννην Ὁμιλίᾳ ἑκατοστῇ δεκάτῃ ὀγδόῃ φασὶν, Εὐλόγως ὁ Χιτὼν, ᾧ σημειοῦται ἡ ἀγάπη, ἄνωθεν ἦν ὑφαντὸς, ἄῤῥαφος δηλαδὴ, καὶ τὴν ἑνότητα γύζοθεν ἔχων, πάντας γὰρ τοὺς πιστοὺς ἐν ἑαυτῷ συλλέγει, ὥσπερ καὶ ἐν τοῖς Ἀποστόλοις ὄντος τοῦ ἀριθμοῦ τῶν δώδεκα εἰς τρία τετραμεμερισμένου, καὶ ἐρωτηθέντων ἁπάντων, μόνος ὁ Πέτρος ἀπεκρίνετο, ΣΥ ΕΙ Ὁ ΧΡΙΣΤΟΣ, καὶ τὰ ἑξῆς. ἐῤῥέθη δ' αὐτῷ, ΣΟΙ ΔΩΣΩ ΤΑΣ ΚΛΕΙΣ, οἱονεὶ μόνῳ τὴν ἐξουσίαν τοῦ δεσμεῖν τε καὶ λύειν λαβόντι, ἀλλ' οὐκ ἦν μόνος ὁ Πέτρος, ἀλλ' ἐν τῷ Πέτρῳ ὡς ἐν τῷ Χιτῶνι καὶ οἱ λοιποὶ, καὶ ἅπασα ἡ τοῦ Χριστοῦ Ἐκκλησία, εἶχε γὰρ τὴν ἑνότητα, ὅθεν καὶ ἀντὶ πάντων εἷς. Καὶ Ὁμιλίᾳ ἑκατοστῇ εἰκοστῇ τετάρτῃ εἰς τὸν Ἰωάννην, Τὸ πρωτεῖον τῆς Ἐκκλησίας διὰ τὴν ἀρχὴν τὴν ἀποστολικὴν ἔχων ὁ Πέτρος, ἔφερεν ἐν ἑαυτῷ ἐσχηματισμένην τὴν κοινότητα, καὶ ὃ ἦν ὁ Πέτρος, πάντες ἦσαν, καθὸ γὰρ Πέτρος τῇ φύσει ἦν εἷς ἄνθρωπος, τῇ χάριτι εἷς Χριστιανὸς, εἷς καὶ ὁ αὐτὸς πρῶτος Ἀπόστολος, ἀλλὰ διὰ τὸ ῥηθῆναι αὐτῷ, ΣΟΙ ΔΩΣΩ ΤΑΣ ΚΛΕΙΣ, πᾶσαν ἐσημείου τὴν ἁγίαν Ἐκκλησίαν. Καὶ εἰς τὸν Ἰωάννην Ὁμιλίᾳ πεντηκοστῇ, Εἰ γὰρ οὐκ ἦν ἐν τῷ Πέτρῳ τὸ Μυστήριον τῆς Ἐκκλησίας, οὐκ ἂν εἶπεν αὐτῷ ὁ Κύριος, ΣΟΙ ΔΩΣΩ ΤΑΣ ΚΛΕΙΣ. εἰ γὰρ μόνῳ τῷ Πέτρῳ ἐῤῥέθη τοῦτο, οὐκ ἂν εἶχε ποιεῖν τοῦτο ἡ Ἐκκλησία. εἰ δὲ ἐπιτελεῖται ἐν τῇ Ἐκκλησίᾳ, τουτέστι τὰ ἐπὶ γῆς δεδεμένα καὶ λελυμένα, καὶ τὰ ἐν Οὐρανῷ δεδεμένα καὶ λελυμένα, τῇ Ἐκκλησίᾳ ἐῤῥέθη σὺν τῷ Πέτρῳ. ἀφορίζει ἡ Ἐκκλησία, ἐν Οὐρανῷ δέδεται ὁ ἀφωρισμένος, συγχωρεῖται ὑπὸ τῆς Ἐκκλησίας, καὶ ἐν Οὐρανῷ ὁμοίως λαμβάνει τὴν συγχώρησιν. γινομένου ἄρα τούτου ἐν τῇ Ἐκκλησίᾳ, ὅτε ὁ Πέτρος ἔλαβε τὰς Κλεῖς, τὴν ἁγίαν Ἐκκλησίαν αὐτ' αὐτοῦ λαβεῖν νόμιζε. Καὶ βιβλίῳ τρίτῳ περὶ τοῦ βαπτίσματος κατὰ Δονατιστῶν, κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ, Εἰς τύπον τῆς ἐκκλησιαστικῆς ἑνότητος ἔδωκεν ὁ Κύριος τῷ Πέτρῳ τὴν ἐξουσίαν τοῦ δεσμεῖν τε καὶ λύειν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι τὸ ἐνταῦθα ἐξωτερικὸν παράδειγμα τῶν Λατίνων οὐ συνίστησι τῷ Πάπᾳ μοναρχίαν, ὡς ἀνωτέρω καταστραφεῖσαν, καὶ παρ' ἡμῶν ἀποβαλομένην, ὡς χθὲς ἐξευρημένην καὶ τῇ πίστει ἀντικειμένην.

Ἐνόμισαν οἱ Λατῖνοι εἶναι τὸν Πέτρον μονάρχην τῆς Ἐκκλησίας, καὶ κατασταθῆναι ὑπὸ Χριστοῦ, καὶ τὴν μοναρχικὴν ἐξουσίαν τοῖς ἐν Ῥώμῃ διαδόχοις ἀσαλεύτως σταθήσεσθαι ἐπὶ πάσης τῆς Ἐκκλησίας, καὶ μὴ εἶναι ἄλλο θεμέλιον, καὶ λοιπὸν λέγουσιν. Ὅτι δίδοται τῷ Βασιλεῖ, μετὰ τῆς Βασιλείας δίδοται, καὶ μᾶλλον ὅτε τὸ διδόμενον εἰς κοινὴν ἐστὶν ὠφέλειαν, ἄρα καὶ τῷ Πέτρῳ ἐδόθη ἡ μοναρχία μετὰ τῶν ῥημάτων τοῦ Χριστοῦ, καὶ μάλιστα ἐπ' ὠφελείᾳ τῆς νῦν πολεμουμένης Ἐκκλησίας. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ἡ μωρολογία αὕτη μάλα καλῶς καὶ καθαρῶς ἀνωτέρω κατέστραπται, ἐδείχθη γὰρ ὅτι οὐ μονάρχης ὁ Πέτρος, ἀλλ' ἴσος τοῖς λοιποῖς Ἀποστόλοις κατά τε δύναμιν καὶ ἐξουσίαν καὶ χάριν καὶ ἐνέργειαν. καὶ δεύτερον, ὅτι αὐτὴν τὴν εἰκῇ καὶ ματαίως ἐπινοηθεῖσαν ἐξουσίαν, ὡς παρὰ κοσμικῶν παραδειγμάτων ληφθεῖσαν, κοσμικῷ νεωτερισμῷ καὶ ἡμεῖς συγκρίνοντες κατακρίνομεν. ἐπειδὴ οὔτε εὑρίσκεται, οὔτε συνάγεται ὑπὸ τῶν ἁγίων γραφῶν, οὔτε μὴν εἰς νοῦν ἦλθέ ποτε τῆς παλαιᾶς ὀρθοδοξίας, ἅτε δὴ χθὲς καὶ πρότριτα ἐξευρημένη, καὶ τυραννικῶς εἰλημμένη, ὅθεν καὶ ὡς ἀντικειμένην οὖσαν ταῖς ἁγίαις γραφαῖς, καὶ τῇ πατροπαραδότῳ ὀρθοδόξῳ πίστει αὐτὴν ἀποβάλλομεν.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Δ'. ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς πέτρας, ἐν ᾗ ὁ Χριστὸς ὑπέσχετο θεμελιῶσαι τὴν Ἐκκλησίαν, καὶ πρῶτον περί τινων περὶ τὴν πέτραν τριῶν, οἷς πλανώμενοι ὑπόκεινται οἱ Λατῖνοι.

Τρισὶ πλάναις ὑπόκεινται οἱ Λατῖνοι ὡς φαίνεται ἐν τῷ Βελλαρμίνῳ. ἡ πρώτη ἐστὶν ὅτι νομίζουσι πῶς πάντες οἱ πατέρες καὶ οἱ ἐκκλησιαστικοὶ ὀρθόδοξοι συγραφεῖς, καὶ πᾶσαι αἱ ἅγιαι Σύνοδοι ἀναντιῤῥήτως ἐδίδαξαν αὐτὴν τὴν πέτραν εἶναι τὸν Πέτρον. τινὲς δὲ τῶν ἀρχαίων Λατίνων λέγουσιν ἄλλην ἐξήγησιν, ὅτι δηλονότι οὐχ αὕτη ἐστὶν ἡ πέτρα ὡς θέλουσιν οἱ Λατῖνοι κατὰ Αὐγουστῖνον, τουτέστιν ὁ Πέτρος πέτρα καὶ θεμέλιον λέγεται ὡς εἷς Ἀπόστολος τῆς Ἐκκλησίας, οὐχὶ δὲ ὡς Ἐπίσκοπος Ῥώμης μετὰ τῶν διαδόχων αὐτοῦ. οὔτε μὴν Οἰκουμενικὸς Ποιμὴν, οὔτε Μοναρχης τῆς ἁπανταχοῦ Ἐκκλησίας, εἰς ὃν ὁ μὴ πιστεύων αἰωνίως κολασθήσεται. δευτέρα, ὅτι λέγουσι, πῶς οὗτοι οἱ λόγοι, ΕΠΙ ΤΑΥΤΗ ΤΗ ΠΕΤΡΑ, οὐκ ἔστι δυνατὸν ἀναφέρεσθαι εἰς Χριστὸν, οὔτε εἰς ἄλλον τινὰ, εἰ μὴ εἰς τὸν Ἀπόστολον Πέτρον, πρόδηλον δὲ, ὡς ἡ γνώμη αὕτη ἀντίκειται πολλοῖς τόποις τῆς γραφῆς ῥητῶς, καὶ πολλοῖς ἀξιολόγοις πατράσι. τρίτον λέγουσιν, ὅτι οἱ πατέρες ἐκεῖνοι οἱ ἑρμηνεύοντες καὶ λέγοντες τὴν πέτραν πίστιν, ὁμολογοῦσιν εἶναι τὴν πίστιν τοῦ Πέτρου ἀνέκλειπτον, καὶ οὐμόνον τὴν τοῦ Πέτρου, ἀλλὰ καὶ τὴν τῶν αὐτοῦ διαδόχων ἕως τῆς συντελείας, καὶ μὴ εἶναι τὴν πίστιν ἑτέρῳ τρόπῳ θεμέλιον τῆς Ἐκκλησίας, εἰ μὴ μετὰ τῆς ἀναφορᾶς πρὸς τὸν Πέτρον, καὶ πρὸς τοὺς κατὰ καιροὺς διαδόχους αὐτοῦ, ὃς κατὰ λόγον τῆς ἀνεκλείπτου πίστεως αὐτοῦ στερεωτάτη ὑπάρχει πέτρα, πᾶσαν τὴν Ἐκκλησίαν βαστάζουσα. ἀλλὰ καὶ τοῦτο καὶ τῇ γραφῇ καὶ τοῖς ἁγίοις πατράσιν ἀντικείμενον κατὰ διάμετρον ὂν, ψευδέστατον ἀποδείκνυται.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Δ'. ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Ἔλεγχος τῆς πρώτης πλάνης τῶν Λατίνων, τῆς λεγούσης, ὅτι ὁ Πέτρος ἐστὶν ἡ πέτρα. καὶ τίσι τρόποις λέγεται ὁ Πέτρος πέτρα. καὶ ὅτι καὶ ἄλλοι λέγονται κατὰ Πέτρον πέτρα.

Ἀπὸ τῶν εἰρημένων ἐν τοῖς ἀνωτέρω κεφαλαίοις ἁρμόδια εὑρίσκεις πολλὰ εἰς ἀπολογίαν, ἐπειδὴ οἱ πατέρες ἐκεῖ ἱκανῶς εἶπον τὸ ὄνομα τῆς πέτρας καὶ τοῦ θεμελίου εἰς πάντας τοὺς Ἀποστόλους ἐξίσου ἐφαρμόττεσθαι, μόνῳ δὲ τῷ Πέτρῳ οὐδὲν ἕτερον, εἰ μὴ τὸ πρωτεῖον ἐκεῖνο τῆς τάξεως καὶ τῆς τιμῆς ἀποδίδοσθαι, ὡς τῇ ἡλικίᾳ αὐτοῦ καὶ τῇ ἀρετῇ προσῆκον. δεύτερον, σημαίνειν δὲ τὴν πέτραν τὴν πίστιν ἢ τὴν ὁμολογίαν ἢ τὴν διδασκαλίαν περὶ τοῦ Χριστοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ ζῶντος λέγουσι κοινῶς οἱ ἔγκριτοι τῶν πατέρων σαφέστατα, ὥστε ἐκ τῶν παρ' αὐτῶν χρήσεων φαίνεσθαι ἀσύμφωνον τὴν γνώμην ταύτην ἣν λέγουσιν οἱ Λατῖνοι ἀληθινὴν, ἐπειδὴ τὸ ἐναντίον παρέδωκαν οἱ πατέρες, εἰ καὶ φαίνεται ὁ Αὐγουστῖνος ἐν ἑνὶ καὶ μόνῳ λόγῳ εἰρηκέναι ἐπὶ τῷ Πέτρῳ καὶ ἐπὶ τῇ πέτρᾳ θεμελιωθῆναι τὴν Ἐκκλησίαν. πλὴν βιβλίῳ πρώτῳ τῶν διορθώσεων, εἰ καὶ οὐ κατακρίνει τὴν γνώμην αὐτὴν, ὅμως ἀφίησιν αὐτὴν εἰς τὴν γνώμην τοῦ ἀναγνώστου, μάλιστα διὰ τοὺς στίχους τοῦ Ἀμβροσίου, οἵτινες ἐψάλλοντο ὑπὸ πολλῶν, ὅπου λέγει διὰ τὸν Ἀλέκτορα, διὰ τὴν πέτραν, καὶ διὰ τὴν ἄφεσιν τοῦ Πέτρου. καὶ εἰς ἄλλους τόπους ὁ αὐτὸς Αὐγουστῖνος ἀποφαίνεται μὴ λέγεσθαι πλέον ἐκείνην τὴν πρώτην αὐτοῦ γνώμην εἶναι αὐτοῦ, ἀλλὰ τὰς μετέπειτα, τουτέστι τὸ, ΣΥ ΕΙ ΠΕΤΡΟΣ νοητέον τὴν πέτραν εἶναι τῆς διδασκαλίας ἣν ὡμολόγησεν ὁ Πέτρος. τρίτον, ὅσοι τῶν ἁγίων πατέρων τὴν πέτραν, ἐφ' ᾗ τὸν Κύριον λέγεται θεμελιῶσαι τὴν Ἐκκλησίαν νοοῦσι τὸν Πέτρον, ἐννοοῦσιν αὐτὸν διττῶς. πρῶτον, ἐννοοῦσι τὸν Πέτρον πέτραν, δεύτερον, οὐμόνον, ἀλλὰ μετὰ τῶν ἄλλων ἐννοοῦσι τὸν Πέτρον ἢ πιστεύοντα, ἢ διδάσκοντα. ὁ πρῶτος λόγος θεωρεῖ τὸν Πέτρον ὡς πιστὸν Χριστιανὸν, ὃς καὶ ἐφαπλοῦται εἰς πάντας Χριστιανοὺς τοὺς πιστεύοντας καὶ ὁμολογοῦντας εἰς ὃν ὁ Πέτρος ἐπίστευσε καὶ ὡμολόγησεν. ὁ δεύτερος θεωρεῖ τὸν Πέτρον πέτραν ὡς σοφὸν Ἀρχιτέκτονα τοῦ οἴκου τοῦ Θεοῦ, καὶ ἐφαπλοῦται εἰς πάντας τοὺς σοφοὺς Ἀρχιτέκτονας τῆς Ἐκκλησίας, οὐδίδοται δὲ οὐδὲν μερικῶς πρωτεῖον τῷ Πέτρῳ, εἰ μὴ τὸ τῆς τάξεως καὶ τῆς τιμῆς καὶ τῆς ἀρετῆς. ἄρα ἐπειδὴ οἱ λογαριασμοὶ δι' ὧν λέγουσιν οἱ πατέρες τὸν Πέτρον πέτραν ἐφαπλοῦνται εἰς τοὺς λοιποὺς ἀναγκαίως, καὶ ἡ ΠΕΤΡΑ λέξις ἐκτείνεται καὶ εἰς τοὺς ἐκλεκτοὺς Χριστιανοὺς, καὶ εἰ ὁ Πέτρος διὰ τὴν πρὸς τὴν πέτραν τοῦ Χριστοῦ ὁμολογίαν ἐῤῥέθη μακάρος,

ριος, ἄρα καὶ ὅσοι τοιουτοτρόπως ὁμολογοῦσι, τοιοῦτοι εἰσὶ, καὶ ἄθρει τὰς περὶ τούτων μαρτυρίας. Ὠριγένης Ὁμιλίᾳ πρώτῃ εἰς τὸν Ματθαῖον, Πᾶς ὁ νοῶν τὴν ζωὴν τοῦ Χριστοῦ πέτρα ἐστὶν, ἐφ' ᾗ θεμελιοῦται ἡ Ἐκκλησία, ἐν γὰρ τοῖς τελείοις καθίσταται ἡ Ἐκκλησία, καθ' ἧς οὐκ ἰσχύουσιν αἱ πύλαι τοῦ Ἅδου. Καὶ ἐν τῷ δεκάτῳ ἕκτῳ κεφαλαίῳ τοῦ Ματθαίου, Φωτὸς ἡμῶν ἐν τῇ καρδίᾳ ἐλλάμψαντος ἀπὸ τοῦ ἐν Οὐρανοῖς Πατρὸς, γινόμεθα Πέτρος, καὶ ἡμῖν ἂν λέγοιτο ἀπὸ τοῦ Λόγου τὸ, ΣΥ ΕΙ ΠΕΤΡΟΣ, καὶ τὰ ἑξῆς. πέτρα γὰρ πᾶς ὁ Χριστοῦ μαθητὴς, ἀφ' οὗ ἔπινον οἱ ἐκ τῆς σωματικῆς ἀκολουθούσης πέτρας, καὶ ἐπὶ πᾶσαν τὴν τοιαύτην πέτραν οἰκοδομεῖται ὁ ἐκκλησιαστικὸς πᾶς λόγος καὶ ἡ κατ' αὐτὸν πολιτεία, καὶ ἐν ἑκάστῳ γὰρ τῶν τελείων ἐχόντων τὸ ἄθροισμα τῶν συμπληρούντων τὴν μακαριότητα λόγων, καὶ ἔργων καὶ νοημάτων, ἐστὶν ἡ ὑπὸ τοῦ Θεοῦ οἰκοδομουμένη Ἐκκλησία. εἰ δὲ ἐπὶ τὸν ἕνα ἐκεῖνον Πέτρον νομίζεις ὑπὸ τοῦ Θεοῦ οἰκοδομεῖσθαι τὴν πᾶσαν Ἐκκλησίαν μόνον, τί ἂν φήσαις περὶ Ἰωάννου τοῦ τῆς Βροντῆς υἱοῦ; ἢ ἑκάστου τῶν Ἀποστόλων; ἄλλως τε ἄρα τολμήσομεν λέγειν, ὅτι Πέτρου μὲν ἰδίως πύλαι Ἅδου οὐ κατισχύουσι, τῶν δὲ λοιπῶν Ἀποστόλων, καὶ τῶν τελείων κατισχύουσιν, οὐχὶ δὲ καὶ ἐπὶ πάντων, καὶ ἐφ' ἑκάστου αὐτῶν τῶν προειρημένων τὸ, ΠΥΛΑΙ ΑΔΟΥ ΟΥ ΚΑΤΙΣΧΥΣΟΥΣΙΝ ΑΥΤΗΣ γίνεται, καὶ τὸ, ΕΠΙ ΤΑΥΤΗ ΤΗ ΠΕΤΡΑ ΟΙΚΟΔΟΜΗΣΩΜΟΥ ΤΗΝ ΕΚΚΛΗΣΙΑΝ. Καὶ Ὁμιλίᾳ δεκάτῃ ἕκτῃ εἰς τὸν Ἱερεμίαν, Ἐὰν ἔλθω ἐπὶ τὸν χορὸν εἴτε τῶν Προφητῶν εἴτε τῶν Ἀποστόλων εἴτε καὶ ἐπαναβεβηκότων ἁγίων Ἀγγέλων, λέγω ὅτι πάντες οἱ Χριστοῦ μιμηταὶ, ὡς ἐκεῖνος πέτρα ἐστὶ, πέτρα γίνονται. ταῦτα ὁ Ὠριγένης. ἐξ ὧν δείκνυται ὅτι πέτραν καὶ πέτρας πάντας τοὺς Ἀποστόλους καὶ τοὺς τελείους καλεῖ. Καὶ ὁ Ἀμβρόσιος εἰς τὸν Λουκᾶν βιλίῳ ἕκτῳ, Πίστευε οὕτως ὡς καὶ ὁ Πέτρος, ἵνα καὶ σὺ μακάριος ᾖς, καὶ ἀξιωθῇς ἀκοῦσαι, ὅτι ΣΑΡΞ ΚΑΙ ΑΙΜΑ ΟΥΚ ΑΠΕΚΑΛΥΨΕΣΟΙ, ΑΛΛ' Ὁ ΠΑΤΗΡ ΜΟΥ Ὁ ΕΝ ΤΟΙΣ ΟΥΡΑΝΟΙΣ. διότι ἡ σὰρξ οὐ δύναται ἀποκαλύψαι, εἰ μὴ ἐπίγεια, ἀλλ' ὁ ἐν Πνεύματι ὁμολογῶν τὰ Μυστήρια, οὐκ ἀπὸ σαρκὸς καὶ αἵματος, ἀλλ' ἐκ θείας ἀποκαλύψεως ἔχει τὴν γνῶσιν, καὶ θεμέλιος τῆς Ἐκκλησίας καλεῖται. ὁ νικήσας τὴν σάρκα, θεμέλιος τῆς Ἐκκλησίας ἐστί. καὶ εἰ οὐ δύναται ἐξισοῦσθαι τῷ Πέτρῳ, δύναται μιμεῖσθαι, μεγάλα γὰρ ἐστὶ τοῦ Θεοῦ τὰ χαρίσματα, ὃς οὐ μόνον ὅσα ἡμέτερα ἦν ἀνεκάνισεν, ἀλλὰ καὶ ὅσα ἦν αὐτῷ ἐχαρίσατο. μεγάλη ἄρα ἐστὶν ἡ χάρις, δι' ἧς πάντα τὰ αὐτοῦ ὀνόματα τοῖς αὐτοῦ Ἀποστόλοις ἐδωρήσατο. ΕΓΩ ΕΙΜΙ ΤΟ ΦΩΣ ΤΟΥ ΚΟΣΜΟΥ. Ἰωάννου κεφαλαίῳ ὀγδόῳ. ΥΜΕΙΣ ΕΣΤΕ ΤΟ ΦΩΣ ΤΟΥ ΚΟΣΜΟΥ. Ματθαίου κεφαλαίῳ πέμπτῳ. ΕΓΩ ΕΙΜΙ Ὁ ΑΡΤΟΣ ΤΗΣ ΖΩΗΣ. Ἰωάννου κεφαλαίῳ ἕκτῳ. ὅτι ΕΙΣ ΑΡΤΟΣ ΟΙ ΠΟΛΛΟΙ ΕΣΜΕΝ. πρώτης πρὸς Κορινθίους κεφαλαίῳ δεκάτῳ. ΕΓΩ ΕΙΜΙ Η ΑΜΠΕΛΟΣ Η ΑΛΗΘΙΝΗ. Ἰωάννου κεφαλαίῳ δεκάτῳ πέμπτῳ. Ἐγώσε ἐφύτευσα ἄμπελον καρποφόρον ἀληθινήν. Ἱερεμίου κεφαλαίῳ δευτέρῳ. ΕΓΩ Η ΠΕΤΡΑ. πρώτης πρὸς Κορινθίους κεφαλαίῳ δεκάτῳ. Ἄρα καὶ ὑμεῖς, καὶ τὰ ἑξῆς. Ὁ αὐτὸς ἐν τῷ δευτέρῳ λόγῳ περὶ τῶν ἁγίων, Λέγεται ὁ Πέτρος πέτρα, ὅτι πρῶτος εἰς τὰ ἔθνη ἐθεμελίωσε τὴν πίστιν. εὐλαβείας ἕνεκα λέγεται πέτρα, καὶ ἀρετῆς ἕνεκα πρῶτος, ὡς μερικὰς Ἐκκλησίας θεμελιώσας, ἄρα. Τερτουλλιανὸς βιβλίῳ περὶ τῶν παραγραφῶν κεφαλαίῳ εἰκοστῷ δευτέρῳ. Οὐδὲν ἦν ὅπερ οὐκ εἶχεν ὁ Πέτρος ἐν τῷ θεμελιῶσαι τὴν Ἐκκλησίαν, καὶ γὰρ καὶ τὰς κλεῖς, καὶ τοῦ δεσμεῖν τε καὶ λύειν τὴν ἐξουσίαν, τοῦτο γὰρ τοῦ ἀποστολικοῦ ἐπαγγέλματος ἐστὶ δόξα, ὅπερ καὶ πᾶσι τοῖς λοιποῖς κοινὸν πίστευε. Βασίλειος ὁ μέγας κεφαλαίῳ δευτέρῳ τοῦ Ἡσαΐου, Πάντες οὖν οἱ χωροῦντες τὴν τῆς Θεότητος γνῶσιν διὰ τὸ μέγεθος τοῦ νοῦ καὶ ἀπὸ τοῦ νοῦ πράξεων τετελειωμένοι τῷ ὑγιεῖ βίῳ τὰ ἄκρα εἰσὶ τῶν ὀρέων, ἐφ' ὧν οἰκοδομεῖται ὁ τοῦ Θεοῦ οἶκος. Καὶ Ὁμιλίᾳ περὶ μετανοίας, Ἀλλὰ Πέτρος εἰπὼν καὶ εὐλογηθεὶς, εἰπὼν ὅτι υἱὸς εἶ τοῦ Θεοῦ τοῦ ὑψίστου, καὶ ἀκούσας ὅτι πέτρα εἶ, εἰεκωμιάσθη, εἰ γὰρ καὶ πέτρα, οὐχ ὡς Χριστὸς πέτρα, ὡς Πέτρος πέτρα, Χριστὸς δὲ ὄντως πέτρα ἀσάλευτος, Πέτρος δὲ διὰ τὴν πέτραν, χαρίζεται γὰρ ὁ Χριστὸς τὰ ἑαυτοῦ ἀξιώματα, οὐκ ἀποκενούμενος, ἀλλ' ἔχων αὐτὰ δίδωσι. Γρηγόριος ὁ Νύσσης λόγῳ κατὰ Ἰουδαίων φησὶ, Πέτρα λεγόμενος ὁ Χριστὸς, ὠφελήσει διὰ τοῦ ὀνόματος τούτου ἡμᾶς ἐν τῷ παγίῳ τε καὶ ἀμεταθέτῳ τῆς κατ' ἀρετὴν ζωῆς, καὶ ἐν τῷ στερρῶς ἔχειν πρὸς τὴν τῶν παθημάτων ὑπομονὴν, καὶ διὰ τοῦ πρὸς πᾶσαν προσβολὴν ἁμαρτίας ἀντίτυπον καὶ ἀνένδοτον τὴν ψυχὴν ἐπιδείκνυσθαι, διὰ τούτων γὰρ καὶ τῶν τοιούτων πέτρα καὶ ἡμεῖς ἐσόμεθα, μιμούμενοι καθὼς ἐστι δυνατὸν ἐν τῇ τρεπτῇ φύσει τὸ ἀτρεπτον τοῦ Δεσπότου καὶ ἀμετάθετον. Ὁ Νεῖλος λόγῳ δευτέρῳ κατὰ τῆς ἀρχῆς τοῦ Πάπα, Ὠκοδόμησε μὲν τὴν Ἐκκλησίαν ὁ Χριστὸς, ὠκοδόμησε δὲ αὐτὴν ἐπὶ τῇ ὁμολογίᾳ τοῦ Πέτρου, καὶ ἐπὶ πᾶσιν, οἳ τῆς τοιαύτης ὁμολογίας φύλακες ἔσονται. Καὶ ὁ Χρυσόστομος ἐγκωμίῳ εἰς τὸν ἅγιον Στέφανον, Τίς τοίνυν τῆς πέτρας ἐκείνης τῆς λογικῆς γένοιτ' ἂν δυνατώτερος; τί δ' ἂν ὀφθείη τοῦ στύλου τῆς Ἐκκλησίας στερρότερον; Βασίλειος ὁ μέγας ἐν τῷ δευτέρῳ κεφαλαίῳ τοῦ Ἡσαΐου, Πέτρα ὑψηλὴ ἡ ψυχὴ τοῦ μακαρίου Πέτρου ὠνόμασται, διὰ τὸ παγίως ἐνερρίζωσθαι τῇ πίστει, καὶ στερρῶς καὶ ἀνενδότως ἔχειν πρὸς τὰς ἐκπειρασμῶν ἐπαγομένας πληγάς. Καὶ ὁ Κύριλλος ἐν τῇ σειρᾷ εἰς τὸν Ἰωάννην, Καὶ Σίμωνα μὲν οὐκ ἔτι καλεῖσθαι συγχωρεῖ, κατεξουσιάζων ἤδη, φερωνύμως δὲ ἀπὸ τῆς πέτρας μετονομάζει Πέτρον, πολιτείαν δὲ αὐτῷ ἀρίστην ἐπιμαρτυρεῖ. ἴδε καὶ ἀνωτέρω κεφαλαίῳ πρώτῳ, καὶ μέρους δευτέρου κεφαλαίῳ ἐσχάτῳ τοὺς πατέρας πέτραν καὶ θεμέλιον καλουμένους.

ΒΙΒΛΙΟΥ Ι΄. ΜΕΡΟΣ Δ΄. ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Ἔλεγχος τῆς δευτέρας τῶν Λατίνων πλάνης, τῆς λεγούσης, ὅτι οὔτε εἰς Χριστὸν, οὔτε εἰς ἄλλον τινὰ, εἰ μὴ μόνον εἰς τὸν Πέτρον ἀναφέρεται ἡ πέτρα. καὶ βεβαίωσις διὰ πολλῶν ἐγκρίτων πατέρων, ὅτι μόνος ὁ Χριστός ἐστιν ἡ πέτρα.

Φασὶν οἱ Λατῖνοι τὰ λόγια, ἐπὶ τῇ πέτρᾳ ταύτῃ, ἀδύνατον ἀναφέρεσθαι εἰς Χριστόν. Ἀλλὰ ῥητέον, ὅτι ἡ γνώμη αὕτη ἀντίκειται τοῖς ἀξιολογωτέροις τῶν πατέρων, καὶ ἄθρει. Ἱλάριος βιβλίῳ δευτέρῳ περὶ Τριάδος, Εἷς ἄρα ἐστὶν ὁ ἀσάλευτος θεμέλιος, μία αὕτη ἐστὶν ἡ μακαρία τῆς πίστεως πέτρα, ἡ τῷ στόματι τοῦ Πέτρου ὁμολογηθεῖσα, σὺ εἶ Πέτρος. Καὶ Γρηγόριος Νύσσης κατὰ Ἰουδαίων κεφαλαίῳ ἐσχάτῳ, Ἐκεῖ ἐστὶν ἡ πέτρα τῆς πίστεως καὶ ὁ θεμέλιος τῆς πίστεως, ὥς φησιν ὁ Κύριος πρὸς τὸν πρῶτον τῶν Ἀποστόλων, σὺ εἶ Πέτρος ἡ πέτρα, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, ἐπὶ τῆς ὁμολογίας ταύτης δηλονότι τῆς, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ Ζῶντος. Ἱερώνυμος εἰς τὸ ἕβδομον κεφάλαιον τοῦ Ματθαίου, Ἐπὶ ταύτῃ τῇ πέτρᾳ ὁ Κύριος ἐθεμελίωσε τὴν Ἐκκλησίαν, ἐκ ταύτης τῆς πέτρας ὁ Ἀπόστολος τὸ πέτρος κεκληρονόμηκεν ὄνομα, καὶ δῆλον ὅτι τὸν αὐτὸν ἔχει σκοπὸν ὁ Ἱερώνυμος τῷ Νύσσης. Ἀμβρόσιος ἐν ταῖς διδαχαῖς περὶ διαφόρων ἔργων, λόγῳ ἕκτῳ Τόμῳ πέμπτῳ, Βαθμοί τινές εἰσι πίστεως, καὶ ὁ εὐλαβέστερον πιστεύων, εὐσεβέστερον καὶ ὁμολογεῖ. περὶ ταύτης τῆς εὐλαβείας λέγεται τῷ Πέτρῳ, ΜΑΚΑΡΙΟΣ εἶ Σίμων, καὶ σὺ εἶ ἡ πέτρα, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν. ὀνομαζόμενος ἄρα Σίμων, διὰ ταύτης τῆς εὐλαβείας καὶ Πέτρος ὀνομάζεσθαι κατηξιώθη, τὸ δὲ Πέτρος ἀπὸ τῆς πέτρας, ἥτις ἦν ὁ Χριστὸς, ὡς Παῦλος πρώτῃ πρὸς Κορινθίους κεφαλαίῳ δεκάτῳ. ὀρθῶς ἄρα διὰ τὸ εἶναι τὸν Χριστὸν πέτραν, καὶ ὁ Σίμων ὠνομάσθη Πέτρος, ἵνα ὁ ἔχων εἴωσιν τῷ Χριστῷ τῇ πίστει, ἔχῃ καὶ κατὰ τὸ ὄνομα καθ' ὅσον παρὰ Χριστοῦ λέγεται Χριστιανὸς, οὕτω καὶ ἀπὸ τῆς πέτρας τοῦ Χριστοῦ ὁ Ἀπόστολος πέτρα ὀνομασθῇ. Αὐγουστῖνος πράξει ἑκατοστῇ εἰκοστῇ τετάρτῃ εἰς τὸν Ἰωάννην, Ἡ Ἐκκλησία ἐν τούτῳ τῷ αἰῶνι διαφόροις πειρασμοῖς καθάπερ κλύδοσι καὶ καταστροφαῖς πολεμεῖται, ἀλλ' οὐ πίπτει, τίνος χάριν; ὅτι τεθεμελίωται ἐπὶ τὴν πέτραν, ἀφ' ἧς ἔλαβε καὶ ὁ Πέτρος τὸ ὄνομα, οὐ γὰρ ἀπὸ τοῦ Πέτρου πέτρα, ἀλλ' ἀπὸ τῆς πέτρας Πέτρος, ὡς οὐχ ὁ Χριστὸς ἀπὸ τοῦ Χριστιανοῦ, ἀλλὰ Χριστιανὸς ἀπὸ τοῦ Χριστοῦ ὀνομάζεται. ἕνεκεν τούτου λέγει ὁ Κύριος, ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, ἐπ' ἐμὲ τὴν πέτραν, ἣν καὶ σὺ ὡμολόγησας, καὶ σὺ ἐθεμελιώθης, ἐπ' ἐμὲ γὰρ πάντες θεμελιοῦνται, ἐγὼ γάρ εἰμι ὁ θεμέλιος, ἐφ' ὃν ἄλλος οὐδεὶς δύναται θεῖναι. καὶ λόγῳ δεκάτῳ τρίτῳ περὶ τῶν τοῦ Κυρίου λόγων φησὶ, Τὸ ὀνομάζεσθαι Πέτρος, παρὰ τοῦ Κυρίου λαβὼν ἔχει, καὶ γὰρ ἡ Ἐκκλησία σχηματίζεται ἐν τοῖς μεταξὺ λόγοις. ὁ Χριστὸς πέτρα, ὁ δὲ Πέτρος, ὁ Χριστιανικὸς λαός. διότι ἀρχικὸν ὄνομα ἡ πέτρα, καὶ ἐξ αὐτῆς ὁ Πέτρος, οὐχ ἡ πέτρα ἀπὸ τοῦ Πέτρου. σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, τουτέστιν ἐπ' ἐμὲ τὸν υἱὸν τοῦ Θεοῦ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, ἐπ' ἐμὲ οἰκοδομήσω καὶ σὲ, οὐκ ἐμὲ δὲ ἐπὶ σὲ, βουλόμενοι γὰρ οἱ ἄνθρωποι ἐπὶ ἀνθρώποις θεμελιοῦσθαι, ἔλεγον, Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ, καὶ αὐτός ἐστιν ὁ Πέτρος. ὅσοι δὲ οὐκ ἤθελον οἰκοδομεῖσθαι ἐπὶ τὸν Πέτρον, ἀλλ' ἐπὶ τὴν πέτραν, Ἐγὼ δέ εἰμι Χριστοῦ. ὁ Ἀπόστολος τοίνυν Παῦλος γνοὺς τοὺς ἀνθρώπους ἑαυτοὺς μὲν αἱρεῖσθαι, τὸν δὲ Χριστὸν καταφρονεῖν, Μεμέρισταί φησιν ὁ Χριστός; μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν, ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; ἃ πάντα καλῶς, τῷ αὐτῷ γὰρ τρόπῳ οὐκ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθησαν, οὐδὲ εἰς τὸ ὄνομα τοῦ Πέτρου, ἀλλ' εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, ἵνα καὶ ὁ Πέτρος θεμελιωθῇ ἐπὶ τὴν πέτραν, οὐχὶ δὲ καὶ ἡ πέτρα ἐπὶ τὸν Πέτρον. Θεοδώριτος πρώτῃ πρὸς Κορινθίους κεφαλαίῳ τρίτῳ ἐδαφίῳ ἑνδεκάτῳ ἑρμηνεύων τὸ, ΘΕΜΕΛΙΟΝ ἕτερον οὐδεὶς δύναται θεῖναι, φησὶν οἰκοδομεῖν καὶ μὴ καθελεῖν τὰ θεμέλια, οὐ δύναται γὰρ ἄλλον θεμέλιον θεῖναι ὁ βουλόμενος σοφῶς οἰκοδομεῖν. τοῦτο τὸ θεμέλιον ἔθετο ὁ μακάριος Πέτρος, ἢ μᾶλλον αὐτὸς ὁ Κύριος, ὅτε εἴρηκεν ὁ Πέτρος, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ὁ Κύριος πρὸς αὐτὸν, σὺ εἶ Πέτρος. μὴ ἄρα καὶ ὑμεῖς ἀπὸ τῶν ἀνθρώπων ὀνομάζεσθαι θέλετε, ἀλλ' ἀπὸ τοῦ Χριστοῦ, ὅς ἐστι τὸ θεμέλιον. Ὁ Διάλογος εἰς τὸν Ἰὼβ βιβλίῳ εἰκοστῷ ὀγδόῳ κεφαλαίῳ ἐνάτῳ, Ἐν τοῖς ἱεροῖς λογίοις οὐχὶ θεμέλια πληθυντικῶς, ἀλλ' ἑνικῶς θεμέλιον λέγεται, ἵνα σὺ διδαχθῇς, ὅτι ἄλλος οὐδείς ἐστι τοῦτο τὸ θεμέλιον, εἰ μὴ ὁ Κύριος. καὶ βιβλίῳ τριακοστῷ πρώτῳ κεφαλαίῳ τριακοστῷ τετάρτῳ, Ἐν τῷ ἱερῷ λόγῳ ἑνικῶς λεγομένης τῆς πέτρας, τὶς ἕτερος, εἰ μὴ ὁ Χριστὸς νοητέος. Μόδεστος Πατριάρχης Ἱεροσολύμων Ὁμιλίᾳ εἰς τὰς Μυροφόρους παρὰ τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου, Ἡ ἀπαρχὴ τῶν Ἀποστόλων Πέτρος ὠνομάσθη διὰ τὴν ἀσάλευτον πίστιν, ἣν εἶχεν ἐπὶ Χριστὸν τὴν πέτραν. Ὁ Ταράσιος, Ἐπὶ τὴν πέτραν τὸν Χριστὸν τὸν Θεὸν ἡμῶν ἐστὶν ἡ Ἐκκλησία τεθεμελιωμένη, πράξει πρώτῃ τῆς ἑβδόμης Συνόδου. Κωνσταντῖνος καὶ Εἰρήνη ἐν τῇ πρὸς τὴν Σύνοδον Σάκρᾳ, Καὶ βλέπω τὴν ἐπὶ

ἐπὶ τὴν πέτραν Χριστὸν τὸν Θεὸν ἡμῶν τεθεμελιωμένην Ἐκκλησίαν αὐτοῦ, ἐσχισμένην νῦν, καὶ διεῤῥηγμένην. πράξει πρώτῃ τῆς ἑβδόμης Συνόδου. Ὡριγένης ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ Ἰωάννου ἐν τῇ σειρᾷ, Πέτρον δὲ αὐτὸν κληθήσεσθαι εἶπε, παρονομασθέντα ἀπὸ τῆς πέτρας, ἥτις ἐστὶν ὁ Χριστός. ἵν' ὥσπερ ἐκ σοφίας σοφὸς, καὶ ἅγιος ἐξ ἁγιότητος, οὕτω καὶ ἐκ πέτρας Πέτρος. Καισάρειος ἐρωτήσει ἑξηκοστῇ ἕκτῃ, Οὐδὲ Παῦλος φάσκων, ΕἷΣ ΘΕΟΣ Ὁ ΠΑΤΗΡ, ἔξω αὐτὸν τῆς κυριότητος τίθησιν, ἢ πάλιν λέγων, ΕἷΣ ΚΥΡΙΟΣ ἸΗΣΟΥΣ ΧΡΙΣΤΟΣ, ἔξω αὐτὸν τῆς Θεότητος δείκνυσιν, οὐδ' οὗ πάλιν θεηγορῶν ὁ Υἱὸς, ΕΠΙ ΤΗ ΠΕΤΡΑ ΤΑΥΤΗ ΟἸΚΟΔΟΜΗΣΩ ΜΟΥ ΤΗΝ ΕΚΚΛΗΣΙΑΝ, ἄμοιρον τῆς Ἐκκλησίας ἐπιδείκνυσιν. Ὁ ἅγιος Ἀθανάσιος ἐρωτήσει ὀγδόῃ Τόμῳ δευτέρῳ, Ἄνθρωπός τις ᾠκοδόμησε τὴν οἰκείαν αὐτοῦ ἐπὶ τὴν πέτραν, τὶς ὁ ἄνθρωπος; ὁ ἅγιος Πέτρος, πέτρα, ὁ Χριστὸς, οἰκία, ἡ πίστις. Κύριλλος ὁ Ἀλεξανδρείας ἐν τῷ τριακοστῷ τρίτῳ κεφαλαίῳ τοῦ Ἡσαΐου, Εἰκὸς πέτραν ἡμῖν ὠνομάσθαι διὰ τούτων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐν ᾧ καθάπερ τι σπήλαιον, ἢ προβάτων σηκὸς ἡ Ἐκκλησία νοεῖται, ἀσφαλῆ καὶ ἀκράδαντον ἔχουσα τὴν εἰς τὸ εὖ εἶναι διαμονήν. Σὺ γὰρ εἶ Πέτρος, φησὶ, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. Ἰγνάτιος ἐπιστολῇ πρὸς Φιλαδελφεῖς περὶ τοῦ Χριστοῦ, Οὗτός ἐστιν ἡ πρὸς τὸν Πατέρα ἄγουσα ὁδὸς, ἡ πέτρα, ὁ φραγμός. Καὶ ἐπιστολῇ πρὸς Πολύκαρπον, Ἀποδεχόμενος τὴν ἐν Θεῷ σου γνώμην ἡδρασμένην ὡς ἐπὶ πέτραν ἀκίνητον. Καὶ ἐπιστολῇ πρὸς Ἐφεσίους, Ἰησοῦς Χριστὸς ὁ θεμελιώσας ἡμᾶς ἐπὶ τὴν πέτραν. Καὶ Χρυσόστομος Ὁμιλίᾳ ἕκτῃ κατὰ Ἀνομοίων ἐπὶ τῶν Ἰουδαίων, Οὐχ ἡ φύσις τῆς ὁρωμένης πέτρας, ἀλλ' ἡ δύναμις τῆς νοουμένης τοὺς ποταμοὺς ἠφίει τῶν ὑδάτων. Καὶ πρώτῃ πρὸς Κορινθίους κεφαλαίῳ δεκάτῳ, Πνευματικὴ πέτρα λέγεται ὁ Χριστὸς διὰ τὸ ἀμετακίνητον. Καὶ Κύριλλος Ἀλεξανδρείας βιβλίῳ τρίτῳ τῶν γλαφυρῶν εἰς τὴν Ἔξοδον, Πέτρᾳ παρεικάζεται διὰ τὸ ἄθραυστον καὶ ἀκλόνητον, ἐρήρεισται γὰρ ἐν ἰδίοις ἀγαθοῖς ἡ θεία τε καὶ ὑπερτάτη φύσις. Βασίλειος ὁ μέγας κεφαλαίῳ ὀγδόῳ περὶ τοῦ ἁγίου Πνεύματος, Πέτρα διὰ τὸ ἰσχυρὸν καὶ ἄσειστον, καὶ παντὸς ἐρύματος ἀῤῥαγέστερον εἶναι φυλακτήριον τῆς πίστεως. Γρηγόριος ὁ Θεολόγος λόγῳ περὶ εὐταξίας, Οὐδὲ ἔστι πέτρα τῆς πέτρας ἐκείνης ἄξιος, ἐφ' ἧς βεβήκαμεν, καὶ ᾗ λατρεύομεν, καὶ ταῦτα καλῶς, ἐπειδὴ ὁ Χριστός ἐστιν ὁ λίθος ὁ ἀκρογωνιαῖος, καὶ λίθος ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, ὃς ἐγένετο εἰς κεφαλὴν γωνίας. ταῦτα πρὸς τὴν δευτέραν.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Δ'. ΚΕΦΑΛΑΙΟΝ Η'.

Ἔλεγχος τῆς τρίτης πλάνης τῶν Λατίνων περὶ τῆς πίστεως τῆς πέτρας.

Ἡ τρίτη πλάνη τῶν Λατίνων ἐστὶν, ὅτι ἐκεῖνοι οἱ πατέρες οἵτινες νοοῦσι πέτραν τὴν πίστιν, ὁμολογοῦσι τὴν πίστιν τοῦ Πέτρου ἀνέκλειπτον, καὶ οὐ μόνον τοῦ Πέτρου, ἀλλὰ καὶ παντὸς Ἐπισκόπου τῆς Ῥώμης ἕως τῆς συντελείας τοῦ αἰῶνος. καὶ οὐδενὶ τρόπῳ δύνασθαι εἶναι τὴν πίστιν θεμέλιον τῆς Ἐκκλησίας, εἰ μὴ πρὸς ἀναφορὰν πρὸς τὸν Πέτρον, καὶ τοὺς καὶ καιροὺς διαδόχους αὐτοῦ εἰς Ῥώμην, ἢ κατὰ λόγον τῆς ἀνεκλείπτου πίστεως αὐτοῦ στερεωτάτη ἐστὶ, φέρουσα ἐν αὐτῇ ἅπασαν τὴν Ἐκκλησίαν. μακρὰν ὅμως ἀπέχει ταῦτα τῆς διανοίας τῶν ἁγίων πατέρων, καὶ δείκνυται.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ πῶς ἡ πίστις λέγεται ἡ ἐν τῷ πιστεύοντι ἀνθρώπῳ κατὰ Πέτρον Λομβάρδον, καὶ πῶς ἡ πίστις λέγεται ὃ πιστεύεται. καὶ περὶ ὧν φησιν ὁ Ἱλάριος πίστεων πρὸς Κωνσταντίον Βασιλέα.

Ἰστέον ὅτι Πέτρος ὁ Λομβάρδος διαιρέσει εἰκοστῇ τρίτῃ τῶν γνωμῶν λέγει, Ἡ πίστις λέγεται καθ' ἕνα μὲν τρόπον περὶ τῆς θεολογικῆς ἀρετῆς, ἥτις ἐστὶν ἐν τῷ πιστεύοντι ἀνθρώπῳ, ἀφ' ἧς καὶ πιστὸς ὀνομάζεται, ἧς διὰ τὴν ἐν τῇ καρδίᾳ ἐνέργειαν, καὶ τὸν ἐν τῷ στόματι καρπὸν, φησὶν ὁ Ἀπόστολος τῆς πρὸς Ῥωμαίους κεφαλαίῳ δεκάτῳ, Καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. Ἄλλοτε ἡ πίστις λέγεται ὃ πιστεύεται, ἥτις ἀντ' αὐτῆς τῆς σωτηριώδους προτίθεται πιστεύεσθαι, ἥτις καὶ πιστευθεῖσα φέρει σωτηρίαν, ὡς Παῦλος τῆς πρὸς Γαλάτας κεφαλαίῳ πρώτῳ, ἐδαφίῳ εἰκοστῷ τρίτῳ, εὐηγγελίζετο τὴν πίστιν, ἣν ποτὲ ἐπόρθει, ἣν ὁ μὴ ὁλοψύχως πιστεύων οὐ σώζεται. καὶ Ἱλάριος πρὸς Κωνσταντίον Αὔγουστον ἐν βιβλίῳ, ὅπερ καὶ ἔδωκεν ἐν χερσὶν αὐτοῦ, φησὶ, Δυστυχὲς πρᾶγμα ἐστὶ τοσαύτας πίστεις εἶναι, ὅσα καὶ ἀνθρώπων θελήματα, καὶ τοσαῦται διδασκαλίαι, ὅσα καὶ ἤθη. διὸ χρονικὰς καὶ καταμηνίους περὶ Θεοῦ πίστεις συντίθεμεν.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἡ πίστις ἡ πιστεύομεν καὶ ἡ πίστις ἣ πιστεύεται συμφωνοῦσιν ὡς ἕξις καὶ ἐνέργεια, καὶ τὸ ὑποκείμενον τούτων, καὶ τί τὸ ὑποκείμενον.

Ἡ δὲ πίστις ἣ πιστεύομεν, καὶ ἡ πίστις ἣ πιστεύεται συμφωνοῦσιν ὡς ἕξις ἢ ἐνέργεια, καὶ τὸ ὑποκείμενον ἢ ἐνεργείας, ἢ τῆς ἕξεως. τὸ δὲ ὑποκείμενον ἐστὶ τὸ πρᾶγμα τὸ διὰ τῆς διδασκαλίας διδόμενον, ἢ διδασκαλία περὶ τῶν πραγμάτων ἃ δεῖ πιστεύειν τοσοῦτον, ὥστε ἐν αὐτῷ τῷ διδασκαλίαν, ἢ τὸ πρᾶγμα περὶ οὗ ἡ διδασκαλία ὀνομάσεις ὑποκείμενον τῆς πίστεως, καὶ ἀπολύθως κατὰ μετωνυμίαν πίστιν, ὁ αὐτός ἐστι νοῦς.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἡ πίστις ἐν τῇ καρδίᾳ τῶν πιστῶν ἁπάντων μία ἐστὶν ἐν τῷ ἀριθμῷ ἀλλὰ τῷ γένει, καὶ πῶς ἕτερά ἐστιν ἃ πιστεύεται κατὰ Αὐγουστῖνον, καὶ ἕτερον ἡ πίστις ἣ πιστεύουσι.

Ἡ πίστις ἐν τῇ καρδίᾳ τῶν πιστῶν ἁπάντων μία ἐστὶν, οὐχὶ τῷ ἀριθμῷ, ἀλλὰ τῷ γένει, διὰ τὴν ὁμοιότητα ὅμως καὶ ἀδιαφορίαν μᾶλλον μίαν λέγομεν, ἢ πολλάς, ἀπὸ μιᾶς γὰρ διδασκαλίας ἐκτυποῦται ἡ πίστις ταῖς καρδίαις τῶν πιστευόντων, ὡς διδάσκει Αὐγουστῖνος βιβλίῳ δεκάτῳ τρίτῳ περὶ Τριάδος κεφαλαίῳ δευτέρῳ, ὅπου φησὶν, Ἕτερά ἐστιν ἃ πιστεύεται, καὶ ἕτερον ἡ πίστις ἣ πιστεύουσι. ἐκεῖνα γὰρ ἐν τοῖς ἕτερον πράγμασίν ἐστι, ἅτινα ἢ ἐστὶν, ἢ ἦσαν, ἢ μέλλουσιν εἶναι, ταῦτα δὲ ἐν τῇ καρδίᾳ τῶν πιστευόντων εἰσὶ, καὶ φανερὰ μόνῳ ᾧ ἐστιν. ἢ καὶ ἐν ἑτέροις ἐχ ἡ αὐτὴ, ἀλλ' ὁμοία ἐστὶν, ὥσπερ φησὶν, Ὦ υἱοὶ, μεγάλη σου ἡ πίστις. Ματθαίου κεφαλαίῳ δεκάτῳ πέμπτῳ. καὶ ἐν ἑτέρῳ, Ὀλιγόπιστε, εἰς τί ἐδίστασας; Ματθαίου κεφαλαίῳ δεκάτῳ τεταρτῳ, ἐν ᾧ σημαίνεται ἑκάστου ἡ πίστις. Ἀλλ' οὕτω λέγεται πάντων ἡ πίστις μία, καθ' ὃ τῶν θελόντων τὸ θέλημα ἕν. ὅπου καὶ ἐν τοῖς θέλουσι τὸ καὶ τὸ αὐτὸ τὸ ἑκάστου θέλημα, ἑκάστῳ φανερόν ἐστιν, ἀλλ' ἀπὸ τοῦ ἑτέρου, ἐπὶ καὶ θέλει ὁ καὶ ἕτερος θέλει. ταῦτα Αὐγουστῖνος, ὃς ἔτι λέγει ἐν τῷ αὐτῷ, Ἐν ταῖς ἁγίαις γραφαῖς ἀναγινώσκομεν, ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. Ἀμβακοὺμ κεφαλαίῳ δευτέρῳ. Καὶ, Ἡ πίστις σου σέσωκέ σε. Λουκᾶ κεφαλαίῳ ἑβδόμῳ. Καὶ, Κατὰ τὴν πίστιν σου γενηθήτω σοι. Ματθαίου κεφαλαίῳ ἐνάτῳ. Καὶ, Δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. Ἰακώβου ἐπιστολῇ, κεφαλαίῳ δευτέρῳ. Τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε ἐν αὐτῷ μόνῳ καυχήσεται, καὶ οὐκ ἐτέρῳ. τῆς πρὸς Γαλάτας κεφαλαίῳ ἕκτῳ. Ἕκαστος τὸ ἴδιον φορτίον βαστάσει. κεφαλαίῳ τῷ αὐτῷ. Εἰ δὲ καὶ ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. τῆς πρὸς Γαλάτας κεφαλαίῳ πρώτῳ. καὶ Τερτυλλιανοῦ βιβλίῳ τῶν ψευδογραφῶν κεφαλαίῳ ἑκτῷ τρίτῳ, Ἐκ τῆς πίστεως τοὺς ἀνθρώπους, οὐκ ὀκ τῶν ἀνθρώπων τὴν πίστιν γινώσκομεν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἀδύνατον σωθῆναι τὸν χριστιανὸν τῇ πίστει ᾗ ἄλλος πιστεύει, καὶ πότε ἰδίαν ποιεῖ ἕκαστος τὴν ἑτέρου πίστιν ἣ πιστεύεται, μίαν τῷ ἀριθμῷ κατὰ τὸ πρᾶγμα οὖσαν.

Καὶ λοιπὸν δέκνυται ὅτι ἀδύνατόν ἐστιν ἵνα σωθῇ ὁ χριστιανὸς τῇ πίστει, ᾗ ἄλλος πιστεύει, ἀλλὰ τῇ πίστει ᾗ αὐτὸς πιστεύει σώζεται, ἥτις δηλαδὴ ἐστὶν ὁμοία τῇ πίστει τῇ κοινῇ τῆς Ἐκκλησίας. τὴν δὲ πίστιν τοῦ ἑτέρου ἣ πιστεύεται, δηλαδὴ τὴν ὑπὲρ τῆς πίστεως διδασκαλίαν, τότε ἰδίαν ποιεῖται ἕκαστος, ὅτε τὴν αὐτὴν πιστεύει καὶ ὁμολογεῖ. Αὕτη ἐστὶν οὖν ἡ καινὴ πίστις, ἢ κατὰ τὸ πεπιστευμένον πρᾶγμα πάντων τῶν πιστῶν μία ἐστὶ τῷ ἀριθμῷ, δηλαδὴ Ἰησοῦν τὸν Χριστὸν εἶναι τὸν υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, δεδομένον ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. καὶ ἐγηγερμένον διὰ τὴν δικαίωσιν ἡμῶν. πᾶς ὁ μετὰ πίστεως τοῦτο ὁμολογῶν, σωθήσεται, εἰ καὶ μηδὲ μίαν ἔδησιν περὶ τοῦ πρωτέως τοῦ Πέτρου ἔλαβον, οὐ καὶ μηδέποτε περὶ τοῦ Πάπα τῆς Ῥώμης ἤκουσέ ποτε.

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Ὅτι ἐπὶ τῇ πίστει ἣ ἐπίστευσεν ὁ Πέτρος, μόνῳ αὐτῷ ᾠκοδόμησε, ὡς καὶ ἑτερός τις τῇ ἑαυτοῦ, μιᾷ τῷ γένει τῇ τοῦ Πέτρου οὔσῃ, καὶ ἐπὶ τῇ πίστει ἣν ἐπίστευσεν ὁ Πέτρος μίαν τῷ ἀριθμῷ οὖσαν, καὶ ἐν τῇ πίστει καὶ ὁμολογίᾳ τοῦ Πέτρου, καὶ πᾶς ὁ πιστεύων οἰκοδομεῖται.

1078

Ἐν τῇ πίστει τοῦ Πέτρου ᾗ ἐπίστευσε, μόνος ᾠκοδόμητο ὁ Πέτρος. καὶ ἐπὶ τῇ ἑαυτοῦ πίστει, τῇ ὁμοίᾳ πίστει τοῦ Πέτρου, μιᾷ οὔσῃ καὶ τῇ αὐτῇ τῷ γένει, οἰκοδομεῖται πᾶς τις ἕτερος Χριστιανός. ἀλλὰ μὴν ἐπὶ τῇ πίστει ἣν ἐπίστευσεν ὁ Πέτρος μίαν καὶ τὴν αὐτὴν τῷ ἀριθμῷ, τουτέστιν ἐπὶ τῷ Χριστῷ κατὰ τὴν διδασκαλίαν τοῦ Εὐαγγελίου κηρυχθέντι, οἰκοδομεῖται πιστεύων πᾶς Χριστιανὸς, τοσοῦτον, ὥστε πᾶσα ἡ στερέωσις ἁρμόζει τῷ πεπιστευμένῳ ὑποκειμένῳ, οὐμὴν δὲ τῇ πίστει, ἢ τῇ ὁμολογίᾳ τοῦ Πέτρου, ἢ οἵου δήτινός ποτε πιστεύοντος. μόνος ὁ Πέτρος μακάριος ἦν κατ' ἐκείνην τὴν πίστιν καθ' ἣν ἐπίστευσεν, ἀλλὰ μὴν κατ' ἐκείνην τὴν πίστιν καθ' ἣν ἐπίστευσε, μακάριός ἐστι πᾶς ὅστις ἂν πιστεύσοι ἐν αὐτῇ. Οἱ πατέρες, οἳ τὴν πέτρον πίστιν ἐνόησαν, νῦν μὲν ὁ μιλοῦσι περὶ πίστεως ᾗ ἐπίστευσεν ὁ Πέτρος, καὶ τὴν αὐτὴν, τουτέστι τὴν ὁμοίαν παρ' ἡμῶν αἰτοῦσιν, ἵνα ἐνωθῶμεν καλῶς τεθεμελιωμένοι. νῦν δὲ περὶ πίστεως ἣν ἐπίστευσε, καὶ ταύτην παραδιδόασιν ἡμῖν οἱ πατέρες ὡς κοινὸν τῆς Ἐκκλησίας θεμέλιον, καθὼς λέγεται πρώτης πρὸς Κορινθίους κεφαλαίῳ τρίτῳ, θεμέλιον ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστὸς, οὐκ ἔστι γὰρ ἕτερον ὄνομα ὑπὸ τὸν οὐρανὸν, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. πράξεων κεφαλαίῳ τετάρτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τοῦ πῶς ἐπὶ τὸν Πέτρον καὶ τοὺς λοιποὺς Ἀποστόλους, ἢ ἐπὶ τὴν ᾗ πιστεύεται καὶ ἣ πιστεύεται πίστιν, ἢ ἐπὶ τὸν Χριστὸν καθὸ διδασκαλίας ὕλην ἢ πράγματι θεμέλιον οἰκοδομεῖται ἡ Ἐκκλησία, καὶ ποσαχῶς λέγεται τὰ θεμέλια.

Λέγουσιν οἱ πατέρες ἢ ἐπὶ τὸν Πέτρον, ἢ ἐπὶ πάντας τοὺς Ἀποστόλους καθὸ κήρυκας καὶ Ἀρχιτέκτονας, ἢ ἐπὶ τὴν πίστιν ᾗ πιστεύεται, καθὸ ἀρετὴν καὶ ὄργανον ἐκ τοῦ ἡμετέρου μέρους, ᾧ συνταττόμεθα τῷ Χριστῷ, ἢ ἐπὶ τὴν πίστιν ἣ πιστεύεται, ἤγουν τὴν ὑγιᾶ περὶ Χριστοῦ διδασκαλίαν, καθὸ ὄργανον ἐκ μέρους τοῦ Θεοῦ καὶ τῶν ὑπηρετῶν τοῦ Εὐαγγελίου, ἀφοῦ ἐξ ἀκοῆς ἡ πίστις, ἢ ἐπὶ τὸν Χριστὸν ἐκείνῃ τῇ διδασκαλίᾳ κεκηρυγμένον καθὸ ὕλην τῆς διδασκαλίας, ἢ τέως ἐπὶ τὸν Χριστὸν καθὸ μόνῳ πράγματι τῆς οἰκοδομῆς θεμέλιον οἰκοδομεῖσθαι τὴν Ἐκκλησίαν καὶ ἕκαστον τῶν πιστῶν, καὶ γὰρ ἡ αὐτή ἐστιν ἔννοια τῶν ὀρθοδόξων πατέρων, τουτέστι τὸν Χριστὸν εἶναι θεμέλιον πραγματικὸν, τὸ Εὐαγγέλιον θεμέλιον διδασκαλικὸν, τὴν πίστιν θεμέλιον ὀργανικὸν, τὸν Πέτρον καὶ τοὺς λοιποὺς Ἀποστόλους πάντας ὑπηρετικὸν, τουτέστιν Ἀρχιτέκτονας, θεμελιοῦντας, ὧν τὴν διδασκαλίαν καὶ ἀκροάζεσθαι καὶ δέχεσθαι δεῖ, ἵνα τῷ διδασκαλικῷ θεμελίῳ ἐνωθῶμεν τῷ μόνῳ πραγματικῷ θεμελίῳ, ἤτοι τῷ Χριστῷ.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τοῦ διδασκαλικοῦ θεμελίου τῆς Ἐκκλησίας κατὰ Εἰρηναῖον.

Φησὶν ὁ Εἰρηναῖος βιβλίῳ τρίτῳ κατὰ Αἱρέσεων κεφαλαίῳ πρώτῳ. Οὐδὶ ἑτέρων τὴν τῆς ἡμετέρας σωτηρίας διάγνωσιν ἐγνώκαμεν, ἢ δι' ὧν τὸ Εὐαγγέλιον πρὸς ἡμᾶς ἦλθεν, ὃ τότε μὲν ἐκήρυξαν, ὕστερον δὲ διὰ θελήματος Θεοῦ καὶ ἐν γραφαῖς παρέδωκαν ἡμῖν, γενησόμενον θεμέλιον καὶ στύλον τῆς ἡμετέρας πίστεως.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τοῦ ὀργανικοῦ θεμελίου τῆς Ἐκκλησίας, ἣ κατ' Ἀμβρόσιον οὐκ ἐπὶ τῇ τοῦ Πέτρου σαρκὶ τεθεμελίωται.

Ἀμβρόσιος βιβλίῳ περὶ ἐνσάρκου οἰκονομίας κεφαλαίῳ πέμπτῳ φησὶν, Ἡ πίστις ἄρα ἐστὶ τὸ τῆς Ἐκκλησίας θεμέλιον, οὐ γὰρ ἐπὶ τῇ τοῦ Πέτρου σαρκὶ, ἀλλ' ἐπὶ τῇ πίστει εἴρηται ὅτι πύλαι Ἅδου οὐκατισχύσουσιν, ἡ γὰρ ὁμολογία νικᾷ τὸν ᾅδην. καὶ αὕτη ἡ ὁμολογία οὐκ ἀποβάλλει μίαν μόνην Αἵρεσιν, ἡ γὰρ Ἐκκλησία ὡς πλοῖον στερεὸν πολλοῖς καὶ διαφόροις κύμασι τῶν ὑπεναντίων καταπαλαίουσα, κατὰ πασῶν τῶν Αἱρέσεων ἰσχύει τῷ θεμελίῳ τῆς πίστεως. Ἐπιλείψειμε ἡ ἡμέρα διηγούμενον τὰ ὀνόματα τῶν Αἱρετικῶν καὶ τὸ πλῆθος τῶν Αἱρέσεων, ἀλλ' ἐναντίον πάντων ἐστὶν ἡ κοινὴ πίστις, ὅτι δηλαδὴ ὁ Χριστὸς ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, αἰώνιος ἀπὸ Πατρὸς, καὶ ἐν χρόνῳ ἀπὸ Παρθένου γενόμενος.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ τοῦ ὑπηρετικοῦ θεμελίου τῆς Ἐκκλησίας, ὅ ἐστι Προφῆται καὶ Ἀπόστολοι, καὶ τί δηλοῖ τὸ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν.

Ο'

Ὁ συλλέξας τὰ βιβλία τῆ Ἀμβροσίᾳ, κεφαλαίῳ τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς, εἰς τὸ, Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου λίθου Ἰησοῦ Χριστοῦ, λέγει, Τουτέστιν ἐπὶ τὴν νέαν καὶ παλαιὰν διαθήκην καταστάντες, ὁ γὰρ οἱ Ἀπόστολοι ἐδίδαξαν, οἱ Προφῆται μέλλον ἔσεσθαι προεῖπον, τῶν γὰρ Προφητῶν διαθρυλλούντων τὴν διδασκαλίαν, ἐπ' αὐτὴν ἔθηκαν τὸν θεμέλιον οἱ Ἀπόστολοι, ὅθεν λέγει ὁ Κύριος πρὸς τὸν Πέτρον, Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, τουτέστιν ἐπὶ ταύτῃ τῇ τῆς καθολικῆς πίστεως ὁμολογίᾳ καταστήσω τοὺς πιστοὺς εἰς τὴν ζωήν. καθὼς καὶ Δαβὶδ διέθετο μοι τὸν οἶκον τοῦ Θεοῦ, καὶ τὰ τοῦ οἴκου, καὶ τὸν τόπον, ὅπου Σολομὼν ἐθεμελίωσεν αὐτὸν, εἰς ὃν οἶκον σημαίνων ὅλη πᾶσα ἡ οἰκοδομὴ ἐνωθεῖσα, αὔξει εἰς Ναὸν ἅγιον Θεοῦ, ἵνα μάθωμεν καὶ ἡμεῖς ὅλῃ τῇ πίστει συνδεθέντες, συνοικοδομεῖσθαι εἰς κατοικητήριον Θεοῦ ἐν Πνεύματι. καὶ αὕτη ἐστὶν ἡ σύνοια τοῦ Κυρίου, λέγοντος, Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. δύο γὰρ λαοὺς ἀνέλαβεν ἑαυτῷ ὁ Σωτὴρ, καὶ ἐποίησεν αὐτὰ ἐν Κυρίῳ, ὡς καὶ ὁ ἀκρογωνιαῖος λίθος ἐν οὐρανῷ οἶκον συνεφθέντας τοὺς δύο κατέχειν τοίχους.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῆς πίστεως τῆς πέτρας κατὰ Ἰλάριον καὶ Νύσσης τοῦ συνεῖναι ὁ Χριστὸς, καὶ τοῦ ἑξῆς, ὅτι ἐστὶ τὸ πραγματικὸν θεμέλιον τῆς Ἐκκλησίας.

Ἰλάριος βιβλίῳ δευτέρῳ περὶ Τριάδος, Ἓν ἄρα, φησὶ, καὶ ἀσάλευτον θεμέλιον, μία ἡ μακαρία τῆς πίστεως πέτρα, ἡ τῷ στόματι τοῦ Πέτρου ὁμολογηθεῖσα, ΣΥ ΕΙ Ο ΧΡΙΣΤΟΣ Ο ΥΙΟΣ ΤΟΥ ΘΕΟΥ ΤΟΥ ΖΩΝΤΟΣ. καὶ βιβλίῳ ἕκτῳ περὶ Τριάδος, Ἐπὶ ταύτην τῆς ὁμολογίας τὴν πέτραν γέγονεν ἡ οἰκοδομὴ τῆς Ἐκκλησίας. ἀλλ' αἵματος σαρκὸς καὶ αἵματος ταύτης τῆς ὁμολογίας τὴν σύνοιαν οὐκ ἀποκαλύπτει, τουτέστι τὸ Μυστήριον τῆς θείας ἀποκαλύψεως Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, ὁμόνοιαν ὀνομάζων, ἀλλὰ καὶ πίστευον. αὕτη ἡ πίστις ἐστὶ τὸ θεμέλιον τῆς Ἐκκλησίας, διὰ ταύτης ἀντίπαλον τῆς Ἐκκλησίας ἀδυνατοῦσι καὶ πύλαι Ἅδου, αὕτη ἡ πίστις τὰς κλεῖς κατέχει τῆς Οὐρανῶν βασιλείας. Καὶ Γρηγόριος ὁ Νύσσης κατὰ Ἰουδαίων κεφαλαίῳ ὑστάτῳ, Ἐπὶ ταύτην τὴν πέτραν οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, τὴν ὁμολογίαν δηλαδὴ τοῦ Πέτρου ἣν εἶπε, Σὺ εἶ ὁ Χριστός.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ τῆς πίστεως τῆς πέτρας κατὰ Χρυσόστομον, ὅτι οὐκ ἐπὶ τῷ Πέτρῳ τῷ ἀνθρώπῳ, ἀλλ' ἐπὶ τῇ ἑαυτοῦ πίστει ὁ Κύριος, ἤτοι, Σὺ εἶ ὁ Χριστὸς, καὶ τοῦ ἑξῆς, ἐθεμελίωσε τὴν Ἐκκλησίαν.

Χρυσόστομος ὁμιλίᾳ πρώτῃ εἰς τὴν Πεντηκοστὴν Τόμῳ πέμπτῳ, Ἐπὶ ταύτῃ τῇ πέτρᾳ, οὐκ εἶπεν ἐπὶ τῷ Πέτρῳ, ἔστε γὰρ ἐπὶ τῷ ἀνθρώπῳ, ἀλλ' ἐπὶ τὴν πίστιν τὴν ἑαυτοῦ Ἐκκλησίαν ᾠκοδόμησε. τίς δέ ἐστιν ἡ πίστις; ΣΥ ΕΙ Ο ΧΡΙΣΤΟΣ Ο ΥΙΟΣ ΤΟΥ ΘΕΟΥ ΤΟΥ ΖΩΝΤΟΣ. Καὶ, Σὺ εἶ Πέτρος, οὐκ τῆς πέτρας ἦν ὡμολόγησας Πέτρος ἀλλ' αὐτὸς παρονομασθείς, ὡς οὐκ πίστεως πιστός. Καὶ Ὁμιλίᾳ εἰκοστῇ τεταρτῃ εἰς τὸν Ματθαῖον, Ἐπὶ τῆς πέτρας τεθεμελίωται ἡ Ἐκκλησία αὐτοῦ, πέτραν δὲ τὴν ἀσφάλειαν τῆς ἑαυτοῦ διδασκαλίας φησὶ, καὶ γὰρ πέτρας ἰσχυρότερα τὰ προστάγματα αὐτοῦ εἰσὶ, ποιοῦντα ὑψηλότερον πάντων τῶν ἀνθρωπίνων κυμάτων τοὺς πιστεύοντας. Καὶ Τόμῳ πρώτῳ ἐν τῇ σειρᾷ, Ὁμολογήσαντος γὰρ τοῦ Πέτρου Θεοῦ Υἱὸν εἶναι αὐτὸν, τὴν ὁμολογίαν ὁ Χριστὸς θεμέλιον ἔθετο τῆς Ἐκκλησίας αὐτοῦ. Καὶ Τόμῳ ἑβδόμῳ Ὁμιλίᾳ πεντηκοστῇ τρίτῃ, Ἐπὶ τῇ πέτρᾳ, ἐπὶ τῇ πεπιστευμένῃ σοι πίστει οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. Καὶ Ὁμιλίᾳ εἰκοστῇ πρώτῃ εἰς τὸν Ἰωάννην, Τὴν Ἐκκλησίαν ἔφησεν ὁ Χριστὸς ἐπὶ τὴν ὁμολογίαν οἰκοδομήσειν τοῦ Πέτρου. Καὶ ἐν τῇ σειρᾷ ἐν τῷ εἰκοστῷ πρώτῳ κεφαλαίῳ τοῦ Ἰωάννου, Τῷ μὲν γὰρ Πέτρῳ ἄλλον ἕτερον ἐπεσείθησεν ὁ Χριστὸς, ἀλλ' ὡς ἀπαρτισμένῃ αὐτῷ τῆς πίστεως τὴν Ἐκκλησίαν ἔφησεν ἐπὶ τὴν ὁμολογίαν οἰκοδομήσειν τὴν ἐκείνου.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Κατὰ τί, καὶ Διατί εἶπεν ὁ Ἐπιφάνιος τὸν Πέτρον στερεὰν πέτραν καὶ οἶκον Θεοῦ.

Ἐπιφάνιος Αἱρέσει πεντηκοστῇ αὐτῇ Παραγεφάλῳ ἑβδόμῳ, Ὃς γέγονεν (ὁ Πέτρος) ἡμῖν ἀληθῶς στερεὰ πέτρα θεμελιώσα τὴν πίστιν τοῦ Κυρίου, ἐφ' ᾗ ᾠκοδόμητο ἡ Ἐκκλησία κατὰ πάντα τόπον, πρῶτον μὲν, ὅτι ὡμολόγησε Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ἤκουσεν, Ἐπὶ τῇ πέτρᾳ ταύτῃ τῆς ἀσφαλοῦς πίστεως οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, ἐπειδὴ σαφῶς αὐτὸν ὡμολόγησε Θεὸν ἀληθινὸν, τῷ

τῷ γὰρ εἰπεῖν, Υἱὸν Θεοῦ ζῶντος, ἔδειξεν Υἱὸν γνήσιον εἶναι μετὰ τῆς προσθήκης τοῦ, Ζῶντος. καὶ Παραγράφῳ ὀγδόῳ, Ἀλλὰ καὶ ἐν ταῦθα στερεὰ πέτρα οἰκοδομῆς καὶ θεμέλιος οἴκου γεγένηται. λέγεται δὲ ὁ Πέτρος στερεὰ πέτρα οἰκοδομῆς καὶ θεμέλιος οἴκου Θεοῦ μετωνυμικῶς ὡς σοφὸς Ἀρχιτέκτων τιθέμενος τὸν θεμέλιον, ἤτοι θεμελιῶν τὴν πίστιν τοῦ Κυρίου, ὃ καὶ ἐν τοῖς λοιποῖς Ἀποστόλοις ὁρᾶται, ὡς Χρυσόστομος Ὁμιλίᾳ ἑκατοστῇ ἑξηκοστῇ ὀγδόῃ εἰς τὴν σύναξιν τῶν Ἀποστόλων, Ὑμεῖς ἐστὲ τῆς ὀρθοδοξίας ἀμετάθετοι στύλοι, Τῆς Ἐκκλησίας πέτρα.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ὅτι κατὰ τὸν Ἐπιφάνιον ἡ πίστις ἢ ἡ τῆς πίστεως διδασκαλία ἐστὶν ἡ πέτρα ἐν ᾗ ᾠκοδόμησεν ὁ Χριστὸς τὴν Ἐκκλησίαν, ὅθεν καὶ τοῖς λοιποῖς πατράσι τὸ ἐπὶ τὴν πίστιν, καὶ ἐπὶ τὴν τοῦ Χριστοῦ ὁμολογίαν, καὶ ἐπ' αὐτὸν τὸν Χριστὸν ταὐτόν ἐστι.

Δείκνυται τὴν πέτραν ἐν ᾗ ὁ Χριστὸς ἐθεμελίωσε τὴν Ἐκκλησίαν, εἶναι τὴν πίστιν, ἢ τὴν τῆς πίστεως διδασκαλίαν, ἥτις ἐστὶν ὁ Χριστός. τοῦτο ὁ πιστῶς ὁμολογῶν, σωθήσεται διὰ Χριστὸν ἐφ' ὃν οἰκοδομεῖται, εἰ καὶ μηδεμίαν οἶδε πρὸς τὸν Πέτρον ἀναφορὰν ἐν ταύτῃ τῇ ὑποθέσει μερικὴν, ὁμοίως καὶ πρὸς τὸν Πάπαν, ὡς οἱ Λατῖνοι βούλονται. Ἐπιφάνιος λόγῳ περὶ πίστεως τῆς καθολικῆς Ἐκκλησίας φησὶν, Ἐπαναπαύσεται ὁ Νυμφίος Χριστὸς ἡ πέτρα τῆς ζωῆς ἐπὶ τῇ πέτρᾳ τῆς πίστεως. Καὶ εἰς τὰ ῥητὰ τοῦ Ἄσματος τῶν Ἀσμάτων κεφαλαίῳ δευτέρῳ, Ἡ περιστεράμου ἐν σκέπῃ τῆς πέτρας, ἐν σκέπῃ ἐν φιλανθρωπίᾳ δηλαδὴ Χριστοῦ, καὶ ἐν ἐλέει Κυρίου, σκέπη πέτρας, σκέπη ἐλπίδος καὶ πίστεως καὶ ἀληθείας, ὅπου ὁ ἅγιος εἰς τὴν ἔκθεσιν τῆς πέτρας ἀδιαφόρως τὸν Χριστὸν καὶ τὴν πίστιν αὐτοῦ ὀνομάζει, γινώσκων τὴν πίστιν μὴ εἶναι ἡμῖν πέτραν, εἰ μὴ καθὸ ἐνοῖ ἡμᾶς τῷ Χριστῷ, ὅς ἐστι πέτρα τῆς ἡμετέρας σωτηρίας, μήτε οἰκοδομεῖσθαι ἡμᾶς ἐπὶ τὴν πέτραν τὸν Χριστὸν, οὔτε κατοικεῖν ἐπὶ τὴν σκέπην αὐτῆς, εἰ μὴ προηγουμένως τῆς πίστεως, ἥτις ἐστὶν ἐξ ἀκοῆς τῆς κεκηρυγμένης ἀληθείας. ὅθεν καὶ τοῖς λοιποῖς πατράσι τὸ, Ἐπὶ τὴν πίστιν, καὶ Ἐπὶ τὴν τοῦ Χριστοῦ ὁμολογίαν, καὶ Ἐπ' αὐτὸν τὸν Χριστὸν ταὐτόν ἐστι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Ὅτι ἐκ τοῦ Θεοδωρίτου, Φωτίου καὶ Βασιλείου Σελευκείας δίδοται τὸ αἴτιον διατὶ ὁ Χριστὸς μόνος λέγεται πέτρα καὶ θεμέλιον τῆς Ἐκκλησίας.

Θεοδώριτος ἐπιστολῇ ἑβδομηκοστῇ ἑβδόμῃ φησὶ, Χριστὸς τῶν Ἀποστόλων τὸν πρῶτον, οὗ τὴν ὁμολογίαν οἷόν τινα κρηπῖδα καὶ θεμέλιον τῆς Ἐκκλησίας κατέπηξε, συνεχώρησε σαλευθῆναι. Καὶ Φώτιος ἐπιστολῇ τριακοστῇ πέμπτῃ, Μισθὸν τῷ Πέτρῳ τῆς ὀρθῆς ὁμολογίας τάς τε Κλεῖς τῆς Βασιλείας ἐνεχείρισε, καὶ ἐπὶ τῇ αὐτοῦ ὁμολογίᾳ ἐστηρίχθαι τὴν Ἐκκλησίαν ἐκραταίωσε. Καὶ Βασίλειος Σελευκείας Ὁμιλίᾳ εἰκοστῇ πέμπτῃ εἰς τὸ, Σὺ εἶ Πέτρος ἡ πέτρα, Ταύτην τὴν ὁμολογίαν πέτραν καλέσας ὁ Χριστὸς, Πέτρον ὀνομάζει τὸν πρώτως ταύτην ὁμολογήσαντα, γνώρισμα τῆς ὁμολογίας τὴν προσηγορίαν δωρούμενος, αὕτη γὰρ ἀληθῶς τῆς εὐσεβείας ἡ πέτρα, αὕτη τῆς σωτηρίας ἡ κρηπὶς, τοῦτο τῆς πίστεως τὸ τεῖχος. οὗτος ὁ τῆς ἀληθείας θεμέλιος, Θεμέλιον γάρ φησιν, οὐδεὶς δύναται θεῖναι ἕτερον. εἰς ταῦτα τὰ λόγια δίδοται τὸ αἴτιον διατὶ ἡ ὁμολογία τοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ ζῶντος λέγεται πέτρα καὶ θεμέλιος, διατὶ δηλαδὴ ὁ Χριστὸς, ὃς ταύτῃ τῇ ὁμολογίᾳ κηρύττεται, μόνον ἐστὶν ἐκεῖνος θεμέλιον, παρ' ὃ οὐδεὶς δύναται θεῖναι ἕτερον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΣ'.

Ὅτι κατὰ Αὐγουστῖνον ὁ Χριστός ἐστι τὸ θεμέλιον, καὶ ἀκολούθως ἡ πίστις ἐστὶν ἡ πέτρα κατὰ τὸν Ἀπόστολον.

Αὐγουστῖνος βιβλίῳ περὶ πίστεως καὶ ἔργων φησὶν, Ἐν τῇ οἰκοδομῇ τοῦ σοφοῦ Ἀρχιτέκτονος ὁ Χριστός ἐστι τὸ θεμέλιον. τοῦτο ἑρμηνείας οὐδεῖται, διότι εἰ ὁ Χριστός ἐστι τὸ θεμέλιον, ἀναμφιβόλως ἡ πίστις τοῦ Χριστοῦ ἐστὶν ἡ πέτρα, διὰ τῆς πίστεως γὰρ ὁ Χριστὸς ἐνοικεῖ ταῖς καρδίαις ἡμῶν. τῆς πρὸς Κορινθίους πρώτης κεφαλαίῳ τρίτῳ. Καὶ ἐκείνη ἡ πίστις, ἣν λέγει ὁ Ἀπόστολος ὅτι ἐνεργεῖται διὰ τῆς ἀγάπης, Ἡ πίστις τοίνυν τῆς χριστιανικῆς χάρητος ἐνεργουμένη διὰ τῆς ἀγάπης, τῆς πρὸς Γαλάτας κεφαλαίῳ πέμπτῳ, τίθεται ἐν τῷ θεμελίῳ, καὶ οὐδένα ἀπολέσθαι συγχωρεῖ. Καὶ πράξεων κεφαλαίῳ δεκάτῳ ὁ αὐτὸς εἰς τὴν ἐπιστολὴν Ἰωάννου, Τί ἐστι τὸ, Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν; Ἐπὶ ταύτῃ τῇ πίστει, ἣν ὡμολόγησας, εἰπὼν, Σὺ εἶ ὁ Χριστός.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ΄.

Ὅτι ὁ Διάλογος παρεὶς τὸν Πέτρον, τὸ ἐπὶ ταύτῃ τῇ πέτρᾳ παραβάλλει τῷ στερρῷ τῆς πίστεως τοῦ ἐπὶ τῆς πέτρας σαύτος Μωϋσέως.

Ὁ Διάλογος ἠθικῶν βιβλίῳ τριακοστῷ πέμπτῳ κεφαλαίῳ ἑκτῷ φησὶ, Τίθεται Μωσῆς ἐν τῇ πέτρᾳ, ἵνα θεωρήσῃ τὴν ὄψιν τοῦ Θεοῦ, ὅτι εἰμήτις τὸ στερεὸν τῆς πίστεως κρατήσει, τὴν τοῦ Θεοῦ παρουσίαν οὐ γνώσεται, περὶ ἧς στερρότητος ὁ Κύριος εἶπεν, Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. εἰς τὰ ῥητὰ τοῦ Γρηγορίου ταῦτα τὸ στερεὸν τῆς πίστεως πέτρα καλεῖται, καὶ οὐδεμία μνεία Πέτρου, εἰ μὴ Μωϋσέως, ὡς ἐν αὐτῇ τῇ πέτρᾳ τῆς πίστεως τεθειμένου τὸ εἶδος τοῦ Θεοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ΄.

Ὅτι κατὰ Ἀδριανὸν τὸν Πάπαν θεμέλιον καὶ πέτρα πίστεως ὁ Χριστὸς, καὶ ὁ Πέτρος ἀντὶ τῆς κοινότητος ἀποκρινόμενος, καὶ διὰ τὸ στερρὸν τῆς πίστεως αὐτοῦ πέτρα λεγόμενος.

Ἀδριανὸς ὁ πρῶτος ἐπιστολῇ πρὸς τοὺς Ἐπισκόπους Γαλλίας καὶ Ἱσπανίας φησὶ, Τὶ εὐπρεπέστερον, τὶ καθαρώτερον καὶ πάσης εὐλαβείας εὐσεβέστερον, ἢ τὸ τοῦ μακαρίου Πέτρου τοῦ πρώτου ποιμένος τῆς Ἐκκλησίας τὴν μακαρίαν ὁμολογίαν τῆς πίστεως κρατεῖν τὸ θεμέλιον, θεμέλιον δὲ ὃ κηρύττει ὁ τῶν ἐθνῶν Διδάσκαλος. Τούτου γὰρ τοῦ θεμελίου ἀσάλευτος στερρότης ὁ μακάριος Πέτρος, οὐχὶ σαρκὸς καὶ αἵματος, ἀλλὰ τοῦ ἐν Οὐρανοῖς Πατρὸς ἀποκαλύπτοντος, ὁμολογήσας ἐξηγήσατο, ἀποβάλλων σὺν τούτοις καὶ τὰς γνώμας τινῶν, ἃς εἶχον περὶ τῶν Ἀποστόλων, δηλαδὴ ἐν ταῖς καρδίαις αὐτῶν ἡ πίστις τὶ ἂν ἐργάζηται, ἀνθ' ὧν πέτρα μόνος ὁ Πέτρος, καὶ ἀντὶ τῆς ἑνότητος εἰς τὴν μαρτυρίαν προσφέρει λέγων, Σὺ εἶ ὁ Χριστὸς, ὃς καὶ τὸν μισθὸν τῆς ὁμολογίας ἄνευ ἀναβολῆς ἐκτήσατο, καὶ τοῦ Οὐρανοῦ θησαυρὸς, καὶ τοῦ δεσμεῖν καὶ λύειν τὰς ψυχὰς κατὰ τὸ δοκοῦν κατέστη. ὅθεν καὶ ὁ Κύριος, Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτην τὴν πέτραν ἣν ὡμολόγησας, καὶ ἀφ' ἧς λέξεως εἴληφας τὴν ἀξίαν, ἐπ' αὐτὴν τὴν στερρότητα τῆς πίστεως οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ διὰ τοῦτο πύλαι Ἅδου οὐ κατισχύσουσιν αὐτῆς.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ΄.

Ὅτι κατὰ Θεοφύλακτον, Ἰωάννην Δαμασκηνὸν, Γεννάδιον, Οἰκουμένιον, Παῦλον Ἐμέσης καὶ Φίληκα Ῥώμης, ἡ ὁμολογία καὶ ἡ πίστις ἐν ᾗ ἐστερέωσε τὴν Ἐκκλησίαν ὁ Χριστὸς ἐστὶν ἡ πέτρα ὁ Χριστός.

Θεοφύλακτος Ματθαίου κεφαλαίῳ δεκάτῳ ἑκτῷ φησὶν, Ἀμείβεται τὸν Πέτρον ὁ Κύριος, μισθὸν αὐτῷ διδοὺς μέγαν τὸ ἐπ' αὐτῷ οἰκοδομηθῆναι τὴν Ἐκκλησίαν, ἐπεὶ γὰρ ὡμολόγησεν αὐτὸν Υἱὸν Θεοῦ ὁ Πέτρος, φησὶν, ὅτι αὕτη ἡ ὁμολογία ἣν ὡμολόγησας θεμέλιον μέλλει εἶναι τῶν πιστευόντων, ὥστε πάντα ἄνθρωπον μέλλοντα κτίζειν τὸν τῆς πίστεως οἶκον, ταύτην τὴν ὁμολογίαν ὑποτιθέναι θεμέλιον. κἂν γὰρ μυρίας ἀρετὰς κτίζωμεν, μὴ ἔχομεν δὲ θεμέλιον τὴν ὀρθὴν ὁμολογίαν, σαθρὰ κτίζομεν. Καὶ Ἰωάννης ὁ Δαμασκηνὸς βιβλίῳ πρώτῳ κεφαλαίῳ ἑνδεκάτῳ, Τὴν πέτραν ἐν ᾗ οἰκοδομῆσαι τὴν Ἐκκλησίαν ὁ Χριστὸς εἶπεν, ἡ ἀσάλευτος πίστις ὑπάρχει. Καὶ λόγῳ εἰς τὴν Μεταμόρφωσιν, ὡς προσφέρει ὁ Γεννάδιος ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ, λόγῳ πέμπτῳ, Αὕτη ἡ πίστις ἀκλινὴς καὶ ἀκλόνητος, ἐφ' ᾗ ὡς πέτρᾳ ἡ Ἐκκλησία ἐστήρικται. Καὶ ὁ Οἰκουμένιος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ κεφαλαίῳ τρίτῳ, Μὴ ἄρα προσέχετέ, φησιν, ἐκείνοις οἷς ὑμᾶς διαιροῦσιν, οὐκ ἔστι γὰρ ἄλλο τὸ θεμέλιον, εἰ μὴ ὁ Χριστὸς, ὃν εὐηγγελίσαμεν ὑμῖν. αὐτὸν κατέχετε, αὐτῷ ἐνώθητε τῷ ἀσφαλεῖ θεμελίῳ. Καὶ Παῦλος Ἐμέσης Ὁμιλίᾳ ἐν Ἀλεξανδρείᾳ ἐπὶ παρουσίᾳ τοῦ ἁγίου Κυρίλλου, Ἐπὶ ταύτῃ τῇ πίστει τεθεμελίωται ἡ Ἐκκλησία τοῦ Θεοῦ, ἐπὶ ταύτῃ τῇ προσδοκίᾳ, ἐπὶ ταύτης τῆς πέτρας ἔθετο τὰ θεμέλια τῆς Ἐκκλησίας ὁ Δεσπότης Θεός. Καὶ Φίληξ ὁ Ῥώμης ἐπιστολῇ πρὸς τὸν Αὐτοκράτορα Ζήνωνα, εἰπὼν γὰρ αὐτὸς πρὸς τὸν Κύριον, Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ἀκήκοε παρ' αὐτοῦ, Καὶ ἐπὶ ταύτῃ σου τῇ ὁμολογίᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Κ΄.

Ὅτι κατὰ τὸν Κωνσταντινουπόλεως Γερμανὸν, Ἀνώνυμόν τε καὶ Ἰσίδωρον Πηλουσιώτην, ἡ πίστις καὶ ὁμολογία τῆς πίστεως ἐστὶν ἡ πέτρα ὁ Χριστὸς, ἐν ᾧ ᾠκοδόμητο ἡ Ἐκκλησία.

ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΓΕΛΟΥ Ν. ΠΑΠΑΚΟΣΤΑ

Ὁ ἅγιος Γερμανὸς Κωνσταντινουπόλεως ἐπιστολῇ πρὸς Θωμᾶν Κλαυδιουπόλεως φησὶν, Αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. προστεθήτω δὴ καὶ παρ' ἡμῶν καὶ λεγέσθω, αὕτη ἐστὶν ἡ πέτρα ἐφ' ᾗ Χριστὸς τὴν ἑαυτοῦ ᾠκοδόμησεν Ἐκκλησίαν, πύλαις Ἅδου, ἤγουν προσβολαῖς τῶν ἐναντίων δυνάμεων ἀκατάσειστόν τε καὶ ἀπερίτρεπτον. Καὶ Ἀνώνυμος ἐν τῷ δευτέρῳ Τόμῳ τῆς σειρᾶς, πέτραν τῆς πίστεως τὴν ὁμολογίαν ὠνόμασεν, Ἐπὶ ταύτῃ δὲ ἐπαγγειλάμενος τὴν Ἐκκλησίαν οἰκοδομῆσαι, δείκνυσιν ἐντεῦθεν πολλοὺς μέλλοντας πιστεύειν ἤδη, καὶ ἀνίστησι τοῦ Πέτρου τὸ φρόνημα καὶ Ποιμένα ποιεῖ. Καὶ Ἰσίδωρος ὁ Πηλουσιώτης βιβλίῳ πρώτῳ ἐπιστολῇ διακοσιοστῇ τριακοστῇ πέμπτῃ, Οὐκ ἀγνοῶν τὴν τῶν ἀνθρώπων περὶ αὐτοῦ πολυώνυμον δόξαν ὁ τὰς καρδίας ἐμβατεύων Χριστὸς, ἤρετο τοὺς ἑαυτοῦ μαθητὰς τίνα μελέγουσιν οἱ ἄνθρωποι εἶναι; ἀλλὰ τὴν ἀσφαλῆ ὁμολογίαν διδάξαι πάντας βουλόμενος, ἣν ἐμπνευσθεὶς ὁ Πέτρος, αὐτοῦ ὡς κρηπῖδα καὶ βάθρον ἐπέθετο, ἐφ' ᾗ τὴν Ἐκκλησίαν αὐτοῦ ὁ Κύριος ᾠκοδόμησε.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Ὅτι κατὰ Κύριλλον Ἀλεξανδρείας, Ἀκάκιον Μελιτηνῆς, Ἀδελφόθεον, Γεννάδιον καὶ Θεοφάνη, τὸ ἀκράδαντον εἰς τὴν πίστιν τοῦ Πέτρου πέτραν εἶπεν ὁ Κύριος, ἐν ᾗ πίστει καὶ ὁμολογίᾳ τῇ Σὺ εἶ ὁ Χριστὸς ᾠκοδόμητο ἡ Ἐκκλησία.

Κύριλλος Ἀλεξανδρείας ἐν τῷ τεσσαρακοστῷ τετάρτῳ κεφαλαίῳ τοῦ Ἡσαΐου φησὶ, Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, πέτραν οἶμαι λέγων τὸ ἀκράδαντον εἰς τὴν πίστιν τοῦ μαθητοῦ. Καὶ διαλόγῳ τετάρτῳ περὶ τῆς ἁγίας Τριάδος, Πέτραν οἶμαι παρωνύμως οὐδὲν ἕτερον, ἢ τὴν ἀκατάσειστον καὶ ἑδραιοτάτην τοῦ μαθητοῦ πίστιν ἀποκαλεῖ, ἐφ' ᾗ καὶ ἀδιαπτώτως ἐρήρεισταί τε καὶ διαπέπηγεν ἡ Ἐκκλησία τοῦ Χριστοῦ, καὶ αὐταῖς ἀνάλωτος ταῖς Ἅδου πύλαις εἰς ἀεὶ διαμένουσα. Καὶ Ἀκάκιος ὁ Μελιτηνῆς ἐν τῇ Ὁμιλίᾳ ἣν εἶπεν ἐν τῇ Ἐφέσῳ ἐπὶ τῆς Οἰκουμενικῆς τρίτης Συνόδου, Αὕτη ἡμῶν ἡ πίστις, ἐπὶ τούτῳ τῷ θεμελίῳ ᾠκοδομήθη ἡ Ἐκκλησία, καὶ πύλαι Ἅδου οὐ κατισχύσουσιν αὐτῆς. Καὶ ὁ Ἀδελφόθεος ἐν τῇ ἰδίᾳ Λειτουργίᾳ, Εἰς στηριγμὸν τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, ἣν ἐθεμελίωσας ἐπὶ τὴν πέτραν τῆς πίστεως, ἵνα μὴ πύλαι Ἅδου κατισχύσωσιν αὐτῆς. Καὶ ὁ καλούμενος Γεννάδιος ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ λόγῳ πέμπτῳ, Ἐπὶ ταύτῃ τῇ ὁμολογίᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. Ὁ αὐτὸς ὡς ἀπὸ τῆς Ἐκκλησίας, Ὁ μονογενὴς Υἱὸς ἐν τῇ ὁμολογίᾳ τοῦ κορυφαίου τῶν Ἀποστόλων ἐθεμελίωσέ με. Καὶ ὁ Θεοφάνης Ὁμιλίᾳ πεντηκοστῇ πέμπτῃ, Σὺ, φησὶ, Πέτρος ὤν, πέτρα γενήσῃ τῆς κατὰ λόγον πίστεως, καὶ τῆς ἑδραζομένης Ἐκκλησίας θεμέλιος, καὶ πρώτη τῆς πνευματικῆς οἰκοδομῆς ἀφορμὴ, ἐπὶ τῇ ὁμολογίᾳ γὰρ ταύτῃ ᾗ ὡμολόγησας τὸν αὐτὸν εἶναί με Υἱὸν Θεοῦ, καὶ Υἱὸν ἀνθρώπου, ἐπὶ ταύτῃ τῆς Ἐκκλησίας ὁ θεμέλιος στήσεται.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΒ'.

Ὅτι ἐκ πάντων τῶν ἀνωτέρω λεχθέντων ἀπεδείχθη τρία τινὰ, ἐξ ὧν ῥᾷον καταβάλλεται ἡ βέβηλος μοναρχία.

Ἐδείχθη ἄρα ἐνταῦθα τρία τινὰ, πρῶτον, ὅτι καθ' ὃν τρόπον λέγεται ὁ Πέτρος πέτρα, λέγονται καὶ οἱ λοιποὶ Ἀπόστολοι, καὶ πολλοὶ τῶν ἐγκρίτων πατέρων, καὶ πᾶς τις ἐκλεκτὸς Χριστιανός. δεύτερον, ὅτι πέτρα παθητικῶς, ἤτοι κυρίως καὶ ἀληθῶς μόνος ἐστὶν ὁ Χριστός. καὶ τρίτον, ὅτι οὐδεὶς σώζεται τῇ ἑτέρου πίστει, ἀλλὰ τῇ πίστει ᾗ αὐτὸς πιστεύει, ἤτοι τῇ κοινῇ, καὶ οὔσῃ πάντων τῶν Χριστιανῶν μιᾷ τῷ ἀριθμῷ κατὰ τὸ πιστευόμενον πρᾶγμα, ὅπερ ἐστιν ΙΗΣΟΥΣ ὁ ΧΡΙΣΤΟΣ ὁ ΥΙΟΣ ΤΟΥ ΘΕΟΥ ΤΟΥ ΖΩΝΤΟΣ. τοιαύτη δὲ ἦν ἡ ὁμολογία τοῦ Πέτρου, ἐφ' ᾗ ᾠκοδόμησεν ὁ Χριστὸς τὴν Ἐκκλησίαν αὐτοῦ. Καὶ σημείωσαι ὅτι καὶ ἐκ τοῦ τόπου τούτου ῥᾳδίως καταστρέφεται ἡ βέβηλος μοναρχία, δι' ἧς ὁ μὲν μακάριος Πέτρος συκοφαντεῖται, ὁ δὲ Πάπας τῆς Ῥώμης ἀτάκτως σκιρτῶν, καταβάλλεται.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Δ'. ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ ὧν προβάλλονται οἱ Λατῖνοι πέντε ἐπιχειρημάτων εἰς τὰ ῥητὰ, Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου, καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου. Λουκᾶ Κεφαλαίῳ ΚΒ'. ἐδαφίῳ. ΛΒ'.

Πέντε προβάλλονται ἐπιχειρήματα ἐνταῦθα οἱ Λατῖνοι, πρῶτον, τίνος ἕνεκεν τῷ Πέτρῳ εἴρηκεν ὁ Κύριος τοὺς λόγους τούτους. δεύτερον, πότερον, ὁ Χριστὸς ὑπὲρ τοῦ Πέτρου μόνου ἐδεήθη, ἢ

καὶ

καὶ ὑπὲρ τῶν λοιπῶν Ἀποστόλων. τρίτον, τὶ δηλοῦσιν ἐκεῖνα τὰ ῥήματα, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. τέταρτον, πῶς ἐννοεῖται τὸ, Σὺ δέποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου. πέμπτον, τὶς ἡ ἐντολὴ τοῦ Κυρίου, ἐν οἷς προστάττει τῷ Πέτρῳ στηρίζειν τοὺς ἀδελφοὺς αὐτοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ἀπόκρισις εἰς τὸ πρῶτον ἐπιχείρημα τῶν Λατίνων, ὅ ἐστι, Διατὶ ὁ Κύριος τοὺς λόγους τούτους εἶπε τῷ Πέτρῳ.

Πρὸς τὸ πρῶτον ἀποκρίνεται Τίτος ὁ Βόστρων εἰς τὴν ἑρμηνείαν τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου, ἐν ᾧ λέγει, ἵνα παιδεύσῃ αὐτὸν μὴ ἑαυτῷ θαρρεῖν μόνον, ἀλλὰ τοῖς παρ' αὐτοῦ τοῦ Χριστοῦ χαρίσμασι σεμνύνεσθαι. Βασίλειος ὁ μέγας λόγῳ περὶ ταπεινοφροσύνης, Οὐκ εἶ τοῦ μακαρίου τιμιώτερος Ἀποστόλου Πέτρου, ὃς ὅτι μεγαλοφρονέστερον ἐφθέγξατο, λέγων, Εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοί, ἀλλ' ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι, παρεδόθη τῇ ἀνθρωπίνῃ δειλίᾳ, καὶ πέπτωκεν εἰς ἄρνησιν, σωφρονιζόμενος τῷ σφάλματι πρὸς Εὐλάβειαν, καὶ διδασκόμενος φείδεσθαι τῶν ἀσθενούντων, τῷ καὶ τὴν αὐτοῦ καταμαθεῖν ἀσθένειαν, καὶ γνῶναι σαφῶς ὅτι καθάπερ ἐν τῷ πελάγει καταποντιζόμενος ἐκουφίσθη τῇ τοῦ Χριστοῦ δεξιᾷ, οὕτως ἐν τῷ κλύδονι τοῦ σκανδαλισμοῦ κινδυνεύσας ἀπολέσθαι δι' ἀπιστίας. ἐφυλάχθη δυνάμει Χριστοῦ, ὃς καὶ προεῖπεν αὐτῷ τὸ συμβησόμενον λέγων, Σίμων, Σίμων, ἰδοὺ, ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς, τοῦ σινιᾶσαι ὡς τὸν σῖτον, κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου, καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου. καὶ Πέτρος μὲν οὕτως ἐλεγχθεὶς δικαίως ἐβοηθεῖτο πρὸς ἀπόθεσιν ἀλαζονείας, καὶ φειδὼ τῶν ἀσθενούντων ἐκπαιδευόμενος. Καὶ Θεοφύλακτος ἐν τῷ τόπῳ τούτῳ ἐν τῷ Εὐαγγελίῳ, Ὁ Σατανᾶς, φησὶν, ᾐτήσατο ὑμᾶς σινιᾶσαι, τουτέστι ταράξαι, βλάψαι, πειρᾶσαι, ἀλλ' ἐγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου, πρὸς δὲ τὸν Πέτρον ταῦτα ἀποτείνεται, διότι καὶ θρασύτερος τῶν ἄλλων ἦν, καὶ εἰκὸς αὐτὸν μεγαλοφρονῆσαι ἐφ' οἷς ἐπηγγέλατο ὁ Χριστὸς, διὸ καταστέλλων αὐτὸν φησὶν, Ὅτι τῷ μὲν Σατανᾷ πολλὴ σπουδὴ γέγονε καθ' ὑμῶν; ἐγὼ δὲ ᾐτησάμην περὶ σοῦ. Ἀμβρόσιος ἐν τῇ ἑρμηνείᾳ τοῦ ῥητοῦ τούτου, Ὁ δὲ Πέτρος εἰ καὶ πρόθυμος ἦν τῷ πνεύματι, ἀλλὰ τῇ ἀσθενείᾳ τῆς σαρκὸς μηνύεται τὸν Χριστὸν ἀρνησόμενος. Χρυσόστομος Ὁμιλίᾳ ὀγδοηκοστῇ δευτέρᾳ εἰς τὸν Ματθαῖον, Διατοῦτο τοίνυν ἀφίησιν αὐτὸν πεσεῖν, παιδεύων αὐτὸν ἐντεῦθεν πάντα πείθεσθαι τῷ Χριστῷ, καὶ τῆς οἰκείας συνειδήσεως πιστοτέραν ἡγεῖσθαι τὴν ἀπόφασιν τὴν αὐτοῦ. Καὶ μετ' ὀλίγα, Δέον γὰρ δεηθῆναι καὶ εἰπεῖν, βοήθησον ἡμῖν ὥστε μὴ ἀποσχισθῆναί σου, ὁ δὲ ἑαυτῷ θαρρεῖ. τοῦτο τοίνυν καταστεῖλαι βουλόμενος ὁ Χριστὸς, συνεχώρησε τὴν ἄρνησιν. Καὶ, ἐπειδὴ σφόδρα ἐγύμνωσεν αὐτὸν ὁ Θεὸς τῆς αὐτοῦ ῥοπῆς, ἐπειδὴ καὶ σφοδρὸν ἐν αὐτῷ τὸ πάθος ἦν τῆς αὐθαδείας καὶ τῆς ἀντιῤῥήσεως.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἀπόκρισις εἰς τὸ δεύτερον ἐπιχείρημα τῶν Λατίνων, ὅ ἐστιν, Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ.

Εἰς τὸ δεύτερον ζήτημα ῥητέον, ὅτι ὁ Χριστὸς ἐδεήθη ὑπὲρ πάντων, ὡς φαίνεται Ἰωάννου κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ, καὶ Λουκᾶ κεφαλαίῳ εἰκοστῷ τρίτῳ. Εἶπε τῷ Πέτρῳ, Ἐγὼ ἐδεήθην περὶ σοῦ. καὶ γὰρ κατὰ τὸν μέγαν Βασίλειον ἐν μεγίστῳ κλύδονι τοῦ σκανδαλισμοῦ ἔμελλε καταδῦναι (ὁ Πέτρος) ἐν ᾧ καὶ οἱ λοιποὶ κατέδυσαν, ἀλλ' οὐχ ὡς αὐτὸς, ὅτι τὸ πτῶμα αὐτοῦ ἦν τῶν ἄλλων χαλεπώτερον, καὶ πλείονος δεόμενον βοηθείας, ὅθεν ὁ Χρυσόστομος Ὁμιλίᾳ ὀγδοηκοστῇ δευτέρᾳ εἰς τὸν Ματθαῖον φησὶ, Καὶ οἱ λοιποὶ δὲ οὐμικρὸν ἐκαρπώσαντο ἀπὸ τῆς ἀρνήσεως αὐτοῦ, τὴν ἀνθρωπίνην ἀσθένειαν κατανοήσαντες καὶ τὴν τοῦ Θεοῦ ἀλήθειαν. Καὶ Ἰγνάτιος ὁ Θεοφόρος ἐπιστολῇ πρὸς Σμυρναίους, Ὁ Κύριος Ἰησοῦς Χριστὸς, ὁ δεηθεὶς μὴ ἐκλείπειν τὴν πίστιν τῶν Ἀποστόλων. Μακάριος ὁ Αἰγύπτιος Ὁμιλίᾳ πέμπτῃ, Τὰ λόγια τοῦ Κυρίου ἐννόησον περὶ τῆς δεήσεως, ἣν ὑπὲρ πάντων τῶν Ἀποστόλων εἴρηκεν, οὐχ ὅτι μόνον τὸν Πέτρον ἐξῃτήσατο ὁ Σατανᾶς, ἀλλὰ καὶ πάντας. μέλλοντος δὲ τοῦ Σατανᾶ τὸν Πέτρον πλεῖον ἢ τοὺς ἄλλους καταβαλεῖν, ὑπὲρ αὐτοῦ εἶπεν ὁ Κύριος, Ἐγὼ ἐδεήθην περὶ σοῦ. Κυπριανὸς ἐπιστολῇ ὀγδόῃ, Ἡ δέησις τοῦ Κυρίου εἰς πάντας τοὺς πιστοὺς ἐκτείνεται. Καὶ βιβλίῳ τεταρτῷ ἐπιστολῇ τεταρτῇ, Ὥσπερ γὰρ τοὺς Ἀποστόλους, οὕτω καὶ ἡμᾶς ἐξαιτεῖται ὁ πειράζων, τῇ δὲ τοῦ Χριστοῦ δεήσει ἀνίσχυρος δείκνυται. Θεοφύλακτος ἐν τῷ εἰκοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ Λουκᾶ, Ἀλλ' ἐγὼ οὐ πάντῃ σε ἐγκατέλιπον, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου εἰς τὸ παντελὲς, εἰ καὶ ἐδεήθην δὲ ἐγὼ αὐτὸς περὶ σοῦ, ὅμως σὺ μὴ ἀναπέσῃς, ἀλλ' ἐπιστρέψας, τουτέστι μετανοήσας, καὶ δακρύσας, καὶ ἀπὸ τῆς ἀρνήσεως φυγὼν, γενοῦ καὶ τοῖς ἄλλοις πιστοῖς τύπος τοῦ μετανοεῖν, καὶ μὴ ἀπογινώσκειν.

Παρά

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ἀπόκρισις εἰς τὸ τρίτον ἐπιχείρημα τῶν Λατίνων, ὅ ἐστιν, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου.

Εἰς τὸ τρίτον ζήτημα, ὅπερ ἐστὶν ὅτι ὁ Κύριος εἶπε τῷ Πέτρῳ, Λουκᾶ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου, ἀναγκαῖον ἐνταῦθα ἐννοεῖν πίστιν ἣν ὁ Πέτρος ἐπίστευε, καὶ πάντες οἱ Ἀπόστολοι, καὶ πάντες οἱ Χριστιανοί, ἐπειδὴ ταύτην ἣν ἐπίστευεν ὁ Πέτρος εἶπεν ὁ Κύριος εἶναι πέτραν τὴν ἀσάλευτον, ἧς πύλαι Ἅδου οὐκατισχύσουσι. Σημείωσαι δὲ ὅτι οὐδεὶς κίνδυνος ἦν ἐκλείψαι ποτὲ ταύτην τὴν πίστιν, ἐπειδὴ πύλαι Ἅδου οὐκατισχύσουσιν αὐτῆς. ἡ δὲ πίστις ἥτις ἵνα ἐκλείψῃ ἐστὶ κίνδυνος, ἐστὶν ἡ ἀντικειμένη τῇ ἀπιστίᾳ καὶ τῷ ἀπελπισμῷ, εἰς ἣν ὁ Σατανᾶς ἐσπούδαζεν ἑλκύσαι, οὗτινος τὴν ὁρμὴν ὁ Πέτρος οὐκ ἔφερε, συγχωροῦντος καὶ τοῦ Κυρίου ἵνα σαλευθῇ ἡ πίστις αὐτοῦ, καὶ οὐχ ἵνα ἐκλείψῃ, ἐπειδὴ ὁ Χριστὸς οὐκ ἐδεήθη ἵνα μὴ σαλευθῇ, τοῦτο γὰρ, ὡς εἴρηται, συνεχώρησεν, ἀλλ' ἵνα μὴ ἐκλείψῃ, τουτέστιν ἵνα μὴ ἀπελπισθῇ καὶ ἀπολεσθῇ διὰ τὴν ἀπιστίαν, ὡς εἶπεν ὁ Βασίλειος ἐν τῷ περὶ μετανοίας, ὥστε μὴ τέλεον ἀπολέσθαι. καὶ Χρυσόστομος Ὁμιλίᾳ ὀγδοηκοστῇ δευτέρᾳ εἰς τὸν Ματθαῖον φησὶν, Οὐκ εἶπεν ἵνα μὴ ἀρνήσῃ, ἀλλ' ὥστε μὴ ἐκλείπειν τὴν πίστιν, ὥστε μὴ τέλεον ἀπολέσθαι, τῆς γὰρ αὐτοῦ κηδεμονίας τοῦτο γέγονε. Καὶ Ὁμιλίᾳ ἑβδομηκοστῇ τρίτῃ εἰς τὸν Ἰωάννην φησὶ, Καὶ ἐγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου, τουτέστιν ἵνα μὴ εἰς τέλος ἀπώλῃ. Αὐγουστῖνος βιβλίῳ περὶ χάριτος κεφαλαίῳ ὀγδόῳ λέγει, ἵνα μὴ ἐκλείψῃ ἡ πίστις τοῦ Πέτρου, τουτέστιν ἵνα μὴ ἡττηθῇ ὁ νοῦς αὐτοῦ. Θεοφύλακτος, Ἐδεήθην οὖν, φησιν, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου, εἰ γὰρ καὶ πρὸς μικρὸν μέλλεις σαλευθήσεσθαι, ἀλλ' ἔχεις ἐναποκείμενα τὰ σπέρματα τῆς πίστεως, κἂν τὰ φύλλα ἔρριψε τὸ πνεῦμα τοῦ ἐπηρεάζοντος, ἀλλ' ἡ ῥίζα ζῇ, καὶ οὐκ ἐκλείψει ἡ πίστις σου. Σημείωσαι δὲ ὅτι αὕτη ἡ θεία χάρις οὐ δίδοται εἰς μόνους τοὺς Πάπας τῆς Ῥώμης, ἀλλ' εἰς πάντας τοὺς ὀρθοδόξους, κἂν καὶ ὁ Βελλαρμῖνος βιβλίῳ τετάρτῳ περὶ τοῦ Πάπα κεφαλαίῳ τρίτῳ τὸ ἐναντίον διδάσκῃ λίαν σοφιστικῶς, ἡ ἀλήθεια ὅμως ἐστὶν ὡς εἴρηται, ὅτι αὕτη ἡ ὑπόσχεσις τοῦ Χριστοῦ καθὸ ἀποβλέπει εἰς τὸν Πέτρον οὐκ ἀποβάλλει τὸ ἐξωτερικὸν πτῶμα ἀπὸ τῆς πίστεως, καὶ τὴν ἐξωτερικὴν ἄρνησιν τοῦ Χριστοῦ ἔμπροσθεν τῶν ἀνθρώπων, ἀλλ' εἰς μόνην τὴν ἐσωτερικὴν τῆς πίστεως ἐκρίζωσιν καὶ ἀμεταμέλειαν ἀποβλέπει, ἐξ οὗ καὶ οἱ λοιποὶ ἐφυλάχθησαν τοῦ Κυρίου δεηθέντος, ὅπερ ἐκτείνεται καὶ εἰς πάντας τοὺς Χριστιανοὺς, καὶ τέως εἰπεῖν εἰς πᾶσαν τὴν καθόλου Ἐκκλησίαν, οὐκ εἰς μόνους τοὺς Πάπας, οἵτινες ὅτι ἐσχάτως ἥμαρτον περὶ τὴν πίστιν, εἴρηται αἰωτέρω ἐν πολλοῖς, καὶ ἰδίως βιβλίῳ ἐνάτῳ ἐν τοῖς ἐσχάτοις κεφαλαίοις.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Συλλογισμὸς τῶν νεωτέρων, ὅτι τὸ, Ἐδεήθην περὶ σοῦ, μονάρχην δείκνυσι τὸν Πέτρον. καὶ ἀπόδειξις, ὅτι ψευδὴς ὁ συλλογισμός.

Ἀλλ' ἐνταῦθα λέγουσιν οἱ νεώτεροι, Ἐκεῖνος ἐστὶν, ἢ ἔσται μονάρχης τῆς Ἐκκλησίας, ὑπὲρ οὗ ἰδίως ὁ Κύριος ἐδεήθη ἵνα μηδέποτε ἐκλείψῃ ἡ πίστις αὐτοῦ, ἀλλαμὴν ὑπὲρ τοῦ Πέτρου ὁ Κύριος ἐδεήθη ἵνα μὴ ἐκλείψῃ ἡ πίστις αὐτοῦ, ἄρα ὁ Πέτρος ἐστὶν ἢ ἔσται ὁ τῆς Ἐκκλησίας μονάρχης. καὶ ταῦτα μὲν οὗτοι. Ἁμαρτάνουσιν ὅμως, πρῶτον, ὅτι τὸ μὴ ἐκλείπειν τὴν πίστιν ἄλλως ἐκλαμβάνουσιν ἐν τῇ μείζονι προτάσει, καὶ ἄλλως ἐν τῇ ἐλάττονι, καὶ ἔσονται τέσσαρες ὅροι τοῦ συλλογισμοῦ τούτου, καὶ ἡ ἐλάττω πάντῃ ψευδὴς, ἐὰν ἐν αὐτῇ ἐννοῆται τὸ διηνεκὲς ἀνέκλειπτον κατὰ τὴν ἐξωτερικὴν ὁμολογίαν, καθ' ἣν οὐκ ἔμεινεν ἀεὶ τὸ ἀνέκλειπτον, ἤρνηται γάρ. δεύτερον, ὅτι καὶ ἡμείζων ἐστὶ ψευδὴς, τὸ γὰρ δωρήσασθαι τὸν Κύριον τινὶ μὴ ἐκλεῖψαι τὴν πίστιν αὐτοῦ, τοῦτο οὐκ ἐπιφέρει μοναρχίαν ἐν τῇ Ἐκκλησίᾳ, καθότι τὸ τοιοῦτον δῶρον πᾶσι τοῖς Ἀποστόλοις δέδοται, καὶ μάλιστα διότι ἐδωρήθη αὐτοῖς τὸ μὴ ἐκλεῖψαι τὴν ἐξωτερικὴν ὁμολογίαν, ὡς καὶ τοῖς μάρτυσι, καὶ ὅμως οὐδενὶ τούτων ἐδόθη ἡ μοναρχία τῆς Ἐκκλησίας, κἀτοιγε καὶ τὴν ἐξωτερικὴν, ὡς εἴρηται, ὁμολογίαν ὡς τὴν ἐσωτερικὴν πίστιν ἐσχηκόσιν ἀνέκλειπτον. τρίτον, οὔτε γὰρ αὐτὸ τὸ ἰδίως δεηθῆναι τὸν Χριστὸν ὑπὲρ τοῦ Πέτρου, ἐπάγει τῷ Πέτρῳ δόσιν μοναρχίας, ἀλλ' ἀποβλέπει πρὸς τὸν ἴδιον κίνδυνον καὶ ὄλισθον αὐτοῦ τοῦ Πέτρου, ὅθεν Διονύσιος ἐκκλησιαστικῆς ἱεραρχίας κεφαλαίῳ πέμπτῳ φησὶν, Αὐτὸς ὁ τῶν μαθητῶν κορυφαῖος μετὰ τῆς ὁμοταγοῦς αὐτῷ καὶ Ἱεραρχικῆς δεκάδος.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ἀπόκρισις εἰς τὸ τέταρτον ἐπιχείρημα τῶν Λατίνων, ὅ ἐστι, καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου. καὶ κατὰ Βελλαρμίνου, ἄλλως ἑρμηνεύοντος τὸ ῥητὸν τοῦτο.

Εἰς

Εἰς τὸ τέταρτον ζήτημα, ὅπερ ἐστὶ Λουκᾶ κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, Καὶ σύποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου, ῥητέον, ὅτι ὁ Βελλαρμῖνος βιβλίῳ τετάρτῳ περὶ τοῦ Πάπα κεφαλαίῳ τρίτῳ παρερμηνεύει τὸ ῥητὸν, λέγων, Τὸ Σύποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου, οὐ δύναται ἐννοεῖσθαι πρὸς τὴν μετάνοιαν τοῦ Πέτρου, ἀλλὰ πρὸς τοὺς πειρασμοὺς τῶν λοιπῶν, ὥστε τὴν ἔννοιαν μὴ εἶναι, Σὺ Πέτρε ἀπὸ τῆς ἁμαρτίας εἰς τὴν μετάνοιαν ἐπιστραφεὶς, στήριξον τοὺς ἀδελφούς σου, ἀλλὰ σὺ, οὗ ἡ πίστις οὐ δύναται ἐκλείπειν, ὅταν ἴδῃς τινὰς πειραζομένους, καὶ ἤδη τῷ βυθῷ βαπτιζομένους, πρὸς αὐτοὺς ἐπιστραφεὶς, στήριξον αὐτούς. Ἀμβρόσιος εἰς τὸν τεσσαρακοστὸν τέταρτον ψαλμὸν, εἰς τὸ, Ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς, ταύτην τὴν ἐπιστροφὴν τοῦ Ἀποστόλου Πέτρου ἐκτίθησιν ἐπιστροφὴν πρὸς ἀγαθοὺς καρπούς. Θεοφύλακτος, Σὺ γὰρ ὦ Πέτρε ἐπιστρέψας, καλὸν ὑπόδειγμα γενήσῃ πᾶσιν εἰς μετάνοιαν, οὐδεὶς τῶν πιστευόντων εἰς ἐμὲ ἀπογνώσεται, ἀποβλέπων πρὸς σὲ, Ἀπόστολον μὲν ὄντα, ἀρνησάμενον δὲ, πάλιν τὰ πρωτεῖα πάντων καὶ τὴν τῆς Οἰκουμένης ἐπιστασίαν λαβόντα διὰ μετανοίας. Ἔφη δὲ καὶ ὁ Κυπριανὸς τοὺς Ἀποστόλους ἐπὶ τῇ ἀρνήσει τοῦ Πέτρου σκανδαλισθῆναι, ὅθεν ἔφη ὁ Κύριος, Καὶ σύποτε ἐπιστραφεὶς, στήριξον τοὺς ἀδελφούς σου τῇ καλῇ γνώμῃ, προσκανδαλισθέντας ἐπὶ τῇ ἀρνήσει. ἢ καὶ ἄλλως, θερμότερος ἐκείνων ὑπάρχων πρὸς μετάνοιαν, στήριξον ἐκείνους ἐν τῇ πίστει, οὐκ ἐξουσίᾳ, ἀλλὰ διδασκαλίᾳ καὶ καλῷ παραδείγματι.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ἀπόκρισις εἰς τὸ πέμπτον ἐπιχείρημα τῶν Λατίνων, ὅ ἐστι, στήριξον τοὺς ἀδελφούς σου.

Τὸ πέμπτον ζήτημα, ὅπερ ἐστὶ τὸ, Στήριξον τοὺς ἀδελφούς σου, εἰ καὶ ἐστὶ σχεδὸν ταὐτὸν τῷ τετάρτῳ, ὅμως πρὸς σαφεστέραν κατάληψιν ῥητέον τινά. Τίτος ὁ Βόστρων ἐν τῷ εἰς τὸ Εὐαγγέλιον τοῦ Λουκᾶ ὑπομνήματι, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ φησὶ, Γενοῦ στήριγμα καὶ Διδάσκαλος τῶν διὰ πίστεως προσιόντων ἐμοὶ, οὐ γὰρ ἀποστερηθήσῃ, φησὶν, ἀρνησάμενός με τοῦ ἀποστολικοῦ χαρίσματος. ἐν τῇ Βιβλιοθήκῃ τῶν πατέρων Τόμῳ δευτέρῳ. Ἀμβρόσιος εἰς τὸν τεσσαρακοστὸν τέταρτον ψαλμὸν, Σπουδάζει ὁ ἀντικείμενος πειράζειν, καὶ πρὸς τὴν ἑαυτοῦ ζημίαν καλεῖν τοὺς ἁγίους τοῦ Κυρίου, ἀλλ' οὐκ οἶδεν ὅτι ὃν πειράζει βέλτιον ἀποκαθίσταται, καὶ γὰρ μετὰ τὸν πειρασμὸν στηρίζει τοὺς ἄλλους. ὅθεν προβάλλεται καὶ ὁ Πέτρος τῇ Ἐκκλησίᾳ παρὰ Κυρίου, ἵνα μετὰ τὸν πειρασμὸν ὃν ὑπέστη παρὰ τοῦ Διαβόλου γένηται στηριγμὸς τῶν ἀδελφῶν αὐτοῦ, τουτέστι μετανοήσας ἐπιστρέψει ὁ Πέτρος πρὸς ἀγαθοὺς καρπούς. Καὶ, ἐλικμήθη ὡς σῖτος, ἵνα μετὰ τῶν λοιπῶν ἁγίων ᾖ ἄρτος ἐνώπιον Κυρίου, ὅστις τῷ αὐτοῦ παραδείγματι θρέψει ἡμᾶς, ὅταν γὰρ τοῦ Πέτρου τὰς πράξεις ἀναγινώσκωμεν, τοῦ Πέτρου τὰς ἐντολὰς γινώσκομεν, καὶ γίνονται ἡμῖν ζωῆς αἰωνίου καὶ σωτηρίας τροφή.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Συλλογισμὸς Γρετζέρου, ὅτι τὸ, στήριξον τοὺς Ἀδελφούς σου, μονάρχην δείκνυσι τὸν Πέτρον. καὶ λύσις αὐτοῦ.

Ἐν τῷ πέμπτῳ τούτῳ ζητήματι ὁ Γρετζέρος συλλογίζεται οὕτως, Ὁ μὴ ἁπλῶς, ἀλλ' ἰδίῳ τινὶ τρόπῳ προστατόμενος στηρίξαι πάντας ἁπλῶς τοὺς ἀδελφοὺς, μηδενὸς ἐξηρημένου, ποιμαίνων, κυβερνῶν, προκαθήμενος, διδάσκων, ἐκεῖνος ἐστὶ μονάρχης τῆς Ἐκκλησίας, ἀλλαμὴν ὁ Πέτρος ἐστὶ τοιοῦτος, ἄρα. Ῥητέον ὅμως, ὅτι τῷ ὀνόματι τῶν ἀδελφῶν, εἰ καὶ δυνατόν ἐστι νοεῖσθαι καὶ τοὺς Ἀποστόλους, καὶ τοὺς ἄλλους πιστοὺς, καὶ προστάττεται ὁ Πέτρος ἵνα στηρίξῃ τοὺς πάντας, ὅμως οὐχ ἕπεται ἐκ τούτου δοθῆναι τῷ Πέτρῳ τὴν ἐξουσίαν ταύτην ἐπὶ τοὺς ὁμοταγεῖς Ἀποστόλους, καὶ τοὺς ἄλλους Χριστιανοὺς, καὶ γὰρ ὁ Πέτρος πᾶσι γέγονε σκάνδαλον, δοὺς αἰτίαν πτώματος, εἰ μὴ τυχὸν μετενόησε. μετανοήσας δὲ, ἔδωκεν αἰτίαν μετανοίας τοῖς παραπίπτουσι, καὶ τοῦτο τὸ ἔργον τοῦ στηριγμοῦ ἦν ὀφειλέτης ὁ Πέτρος κρατεῖν καὶ λόγῳ καὶ πράγματι, πρὸς μὲν τοὺς Ἀποστόλους ὡς ἀδελφὸς καὶ συντροφος, πρὸς δὲ τοὺς Χριστιανοὺς ὡς ἀδελφὸς, καὶ ὡς Ποιμὴν πρὸς τὸ ποίμνιον. εἰ δὲ καὶ κοινὸν τοῦτο καὶ τοῖς λοιποῖς, ἀλλ' εἰς μόνον αὐτὸν τοῦτο εἶπεν ὁ Κύριος, ἐπειδὴ μόνος ἔμελλεν ἀρνήσεσθαι, καὶ δώσειν τὸ σκάνδαλον, καὶ λοιπὸν τοῦ συλλογισμοῦ ἡ ἐλάττων ἐστὶ ψευδὴς, ἐὰν γὰρ ἐννοῇ τὴν πνευματικὴν καὶ ποιμαντικὴν στήριξιν, ἐκείνη πᾶσι τοῖς κατολισθήσασι Χριστιανοῖς ἐστὶ κοινὴ, καὶ πᾶσι τοῖς Ἀποστόλοις ἐξίσου ἀνήκει, εἰ καὶ ὁ Πέτρος μᾶλλον ὤφειλεν ὡς ἐπίσημος Χριστιανὸς καὶ Ἀπόστολος, οἷον ἦσαν ἐκεῖνοι, οἳ ἐνομίζοντο στύλοι, καὶ ὡς πρῶτος τῶν Ἀποστόλων, καὶ ὡς ἔμελλε διδόναι μέγα σκάνδαλον διὰ τὸ μεγαλεῖον τοῦ προσώπου. Χρυσόστομος Ὁμιλίᾳ ὀγδοηκοστῇ δευτέρᾳ εἰς τὸν Ματθαῖον, Καὶ οἱ λοιποὶ δὲ οὐ μικρὸν ἐκαρπώσαντο ἀπὸ τῆς ἀρνήσεως τῆς αὐτοῦ, τὴν ἀνθρωπίνην ἀσθένειαν κατανοήσαντες, καὶ τὴν τοῦ Θεοῦ ἀλήθειαν. Αὐγουστῖνος Ὁμιλίᾳ ἑκατοστῇ εἰκοστῇ τετάρτῃ περὶ χρόνων, Ἡμέτερον παράδειγμα ἐστὶν ὁ Πέτρος, ἦν γὰρ αὐτὸς στύλος, ἀλλ' ἐσαλεύθη, ἦν ἄγκυρα, ἀλλὰ παρεσείρη, ἵνα καὶ ἡμεῖς παραῤῥυέντες ποτὲ, μάθωμεν

πρὸς

πρὸς τὴν μετάνοιαν ἐπιστρέφειν, ὥς φησι Παῦλος τῆς πρὸς Γαλάτας κεφαλαίῳ ἕκτῳ, Σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. Βασίλειος ὁ μέγας ἐν τῷ περὶ ταπεινοφροσύνης λόγῳ, ὅτι μεγαλοφωνότερον ἐφθέγξατο, παρεδόθη τῇ ἀνθρωπίνῃ δειλίᾳ, σωφρονιζόμενος τῷ σφάλματι πρὸς εὐλάβειαν. Ἔτι ὁ Αὐγουστῖνος ὁμιλίᾳ ἑκατοστῇ εἰκοστῇ τετάρτῃ φησὶ, Τί δύναται ὁ ἄνθρωπος ἄνευ τῆς τοῦ Θεοῦ χάριτος, ὁ φόβος τοῦ μακαρίου Πέτρου φανερῶς ἐδήλωσε, διὰ μόνου γὰρ τοῦ αὐτεξουσίου, ἔξω τῆς τοῦ Θεοῦ βοηθείας ὑπέσχετο ὑπὲρ τοῦ Κυρίου ἀποθανεῖν. ἀλλὰ τί ἐστιν ἄνθρωπος ἄνευ τῆς τοῦ Θεοῦ χάριτος, πλὴν εἰμὴ ὅπερ ἦν ὁ Πέτρος, ὅτε τὸν Χριστὸν ἠρνήσατο, καὶ οὐδὲν ἕτερον, εἰμὴ ὅ φησιν ὁ Προφήτης, Πᾶσα σὰρξ χόρτος, καὶ διατοῦτο ὁ Κύριος τὸν Ἀπόστολον Πέτρον μικρὸν ἐγκατέλιπεν, ἵνα ἐν αὐτῷ ἅπαν τὸ τῶν ἀνθρώπων γένος δυνήσηται γνῶναι ὡς οὐδὲν τὶς ἄνευ τῆς τοῦ Θεοῦ χάριτος ἰσχύει. Βίκτωρ ὁ Ἀντιοχεὺς εἰς τὸ Εὐαγγέλιον τοῦ Μάρκου κεφαλαίῳ δεκάτῳ τετάρτῳ, ἐδαφίῳ εἰκοστῷ ἐνάτῳ, Ὅτι ὁ Πέτρος μετὰ τῶν λοιπῶν δεηθῆναι ἦν ἀνάγκη, καὶ εἰπεῖν, βοήθησον ἡμῖν Κύριε, ἵνα μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ἀλλ' οὐκ εἶπεν. ἕκαστος τῇ ἑαυτοῦ δυνάμει θαρρήσας, ὑπέσχετο ὃ οὐκ ἐπλήρωσεν, ὅθεν ταύτην τὴν αὐθάδειαν καὶ τὸ παρ' ἡμῶν θάρρος βουλόμενος τρόπῳ τινὶ καταπαῦσαι, συνεχώρησε τὸν Πέτρον τρὶς ἀρνηθῆναι, τοὺς δὲ λοιποὺς ἔπεισε φυγεῖν. Χρυσόστομος ἔτι γε Ὁμιλίᾳ ὀγδοηκοστῇ δευτέρᾳ εἰς τὸν Ματθαῖον. Δέον γὰρ δεηθῆναι καὶ εἰπεῖν, βοήθησον ἡμῖν ὡς μὴ ἀποσχισθῆναί σου, ὁ δὲ ἑαυτῷ θαρρεῖ, καὶ φησὶν, Εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἀλλ' ἐγὼ οὐδέποτε, κἂν πάντες τοῦτο πάθωσι φησὶν, ἐγὼ οὐ πείσομαι, ὅπερ εἰς αὐθάδειαν αὐτὸν ἦγε κατὰ μικρόν. τοῦτο τοίνυν βουλόμενος καταστεῖλαι ὁ Χριστὸς, συνεχώρησε τὴν ἄρνησιν. Καὶ, ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου, τοῦτο γὰρ σφόδρα αὐτοῦ καθαπτόμενος ἔλεγε, καὶ δηλῶν ὅτι τὸ πτῶμα αὐτοῦ τῶν ἄλλων χαλεπώτερον, καὶ πλείονος δεόμενον βοηθείας, καὶ γὰρ δύο ἐγκλήμασιν ἔνοχος ἦν, καὶ ὅτι αὐτεῖπε, καὶ ὅτι τῶν ἄλλων ἑαυτὸν προὔθηκε, μᾶλλον δὲ καὶ τρίτον, ὅτι τὸ πᾶν ἑαυτῷ ἀνέθηκε, ταῦτα οὖν ἰώμενος ὁ Χριστὸς, εἴασε γενέσθαι τὸ πτῶμα, καὶ διατοῦτο καὶ τοὺς ἄλλους ἀφεὶς, πρὸς αὐτὸν ἀποτείνεται, Σίμων γάρ φησι Σίμων, ἰδοὺ, ὁ Σατανᾶς ᾐτήσατο ὑμᾶς σινιᾶσαι ὡς τὸν σῖτον, τουτέστι θορυβῆσαι, ταράξαι, πειρᾶσαι. Καὶ, εἰ πάντας ὁ Σατανᾶς ᾐτήσατο, διατὶ οὐ περὶ πάντων εἶπεν ὅτι ἐδεήθη, ὅτι καθαπτόμενος αὐτοῦ, καὶ δεικνὺς ὅτι χαλεπώτερον τῶν ἄλλων αὐτοῦ τὸ πτῶμα, πρὸς αὐτὸν τρέπει τὸν λόγον. Καὶ, ἄμετρος δὲ ἐγένετο φόβος, ἐπειδὴ σφόδρα αὐτὸν ἐγύμνωσεν ὁ Θεὸς τῆς ἑαυτοῦ ῥοπῆς, ἐγύμνωσε δὲ σφόδρα, ἐπειδὴ καὶ σφοδρὸν ἐν αὐτῷ τὸ πάθος ἦν τῆς αὐθαδείας καὶ τῆς ἀντιρρήσεως. ἵνα οὖν προῤῥίζον αἰέλῃ τοῦτο, διατοῦτο εἴασεν οὕτω κατασχεῖν αὐτὸν τὴν ἀγωνίαν. Θεοφύλακτος, Σὺ ἄρα Πέτρε ἐπιστραφεὶς, ἀγαθὸν παράδειγμα μετανοίας ἔσῃ πᾶσιν, ὅπως μηδεὶς τῶν πιστευόντων σὲ βλέπων ἀπελπισθῇ ποτὲ. καὶ γὰρ Ἀπόστολος σὺ ὤν, καὶ ἠρνήθης, καὶ μετεκλήθης, καὶ ἔλαβες τὸ πρωτεῖον, καὶ τὴν διοίκησιν παντὸς τοῦ κόσμου διὰ τὴν μετάνοιαν. ἐκ τούτων οὖν, καὶ ἐκ τῶν λοιπῶν πατέρων δείκνυται ὅτι οὐ διὰ μοναρχίαν ἐῤῥέθη τῷ Πέτρῳ ὑπὸ τοῦ Κυρίου τὸ, Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἀλλὰ διὰ τὸ μὴ ἀπελπισθῆναι ὑπὸ τοῦ μεγέθους τῶν ἁμαρτημάτων ὧν πεποίηκε, καὶ ἕνεκεν παραδείγματος μετανοίας.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Δ'. ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τοῦ, Βόσκε τὰ ἀρνίαμου καὶ τὰ προβατάμου, Ἰωάννου κεφαλαίῳ ΙΕ'· ἅπερ ὁ Βελλαρμῖνος μόνῳ τῷ Πέτρῳ λέγων ἁρμόζειν, ψεύδεται προφανῶς.

Τῶν σοφιστῶν ὁ Ἔξαρχος βιβλίῳ πρώτῳ περὶ τοῦ Πάπα φησὶ, Μόνῳ τῷ Πέτρῳ ἁρμόζειν ταῦτα τὰ λόγια τοῦ Κυρίου. ψεύδεται ὅμως, ἐπειδὴ διὰ τὴν ἄρνησιν τοῦ Πέτρου εἶπεν αὐτῷ ταῦτα ὁ Κύριος, καὶ ἔτι εἰς βεβαίωσιν τοῦ ἀποστολικοῦ ἀξιώματος, ὅπερ ἐστὶν ἐκκλησιαστικὴ ἐν Χριστῷ ἐξουσίᾳ πρὸς πάντα τὰ ἔθνη, καὶ πρὸς πᾶσαν τὴν κτίσιν, ὥς φησι τὸ Εὐαγγέλιον ἐν πολλοῖς. Ποιμένες εἰσὶ πάντες, ἀλλ' ἓν ποίμνιον δείκνυται, ὅπερ ὑπὸ πάντων τῶν Ἀποστόλων ποιμαίνεται ἐν τῇ ὁμοψύχῳ ὁμοφροσύνῃ, ὡς ὁ Κυπριανὸς λέγει ἐν τῷ περὶ ἑνότητος Ἐκκλησίας. πᾶσα ἡ ἐξουσία τῆς Ἐκκλησίας ἐν τούτοις τοῖς ῥήμασι περιέχεται, καὶ ἴδε αἰωτέρω κεφαλαίου πρώτου Παράγραφον ἔνατον. καὶ γὰρ ὃ ἦν ὁ Πέτρος, τοῦτο καὶ οἱ λοιποὶ, ὡς δηλοῖ καὶ τὸ, Καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς, καὶ ὡς οἱ λοιποὶ πατέρες φασίν. Ἡ ἐξουσία ἡ δοθεῖσα τοῖς λόγοις τούτοις, καὶ τὸ, Σὺ εἶ Πέτρος ἡ πέτρα, καὶ τοῖς ἑξῆς, ἐδόθη καὶ τοῖς λοιποῖς.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Διαιρέσεις Βελλαρμίνου δύο, πάντας σὺν τῷ Πέτρῳ τοὺς Ἀποστόλους τὴν ἄκραν ἐξουσίαν λαβεῖν παρὰ Χριστοῦ ἀμέσως λέγοντος, τὸν γε μὴν Πέτρον εἶναι κεφαλὴν αὐτῶν, ἐξ αὐτοῦ ἠρτημένων, καὶ ὅτι μόνῳ τῷ Πέτρῳ δέδοται ἡ ἐξουσία, ἣ καὶ εἰς μόνους τοὺς διαδόχους αὐτοῦ ἔμεινε. καὶ ἀναίρεσις ἀμφοτέρων ἀπὸ τῶν ἁγίων πατέρων, τῶν ἑρμηνευόντων τὸ, ποίμαινε τὰ πρόβατά μου, καὶ τὸ τριττὸν τῆς ἐρωτήσεως, ἐξ οὗ καὶ ἔθος τὸ τρὶς ἀπαιτεῖν τοῖς βαπτισθησομένοις τὴν ὁμολογίαν.

Ἀλλὰ προβάλλει ὁ αὐτὸς, ἤτοι ὁ Βελλαρμῖνος διαιρέσεις δύο, βιβλίῳ πρώτῳ κεφαλαίῳ ἑνδεκάτῳ καὶ δωδεκάτῳ. ἡ πρώτη ἐστὶν, ὅτι οἱ Ἀπόστολοι πάντες ἀμέσως ἔλαβον παρὰ τοῦ Χριστοῦ ἄκραν ἐκκλησιαστικὴν ἐξουσίαν, καὶ τοῦτο ἦσαν καὶ οἱ λοιποὶ Ἀπόστολοι πάντες, ὅπερ ἦν καὶ ὁ Πέτρος, τὴν αὐτὴν ἔχοντες τιμὴν καὶ ἐξουσίαν ἐξίσου, ὡς εἶναι μέντοι αὐτῶν κεφαλὴν τὸν Πέτρον, καὶ ἐξ ἐκείνου ἠρτῆσθαι, οὐμὴν τὸ ἐναντίον, τοῦτο ὅμως ἀνεσκευάσθη ἀνωτέρω. ἡ δευτέρα ἐστὶν, ὅτι τῷ Πέτρῳ μόνῳ ἐδόθη ἡ ἐξουσία, καὶ διατοῦτο ἔμεινε καὶ εἰς τοὺς διαδόχους αὐτοῦ, οἵτινες περὶ ταύτης μόνης εἰσὶ διάδοχοι, ὡς ἐροῦμεν. Νῦν ὅμως ἐρωτητέον αὐτοὺς, Τῇ ῥήσει ταύτῃ, ΠΟΙΜΑΙΝΕ, ἔδωκεν ὁ Χριστὸς τῷ Πέτρῳ νέαν τινὰ ἐξουσίαν ἣν οὔπω πρότερον εἴληφε Πέτρος; καὶ ἀποκριτέον, μὴ δεδόσθαι τῷ Πέτρῳ νέαν ἐξουσίαν, κατὰ γὰρ ταύτην τὴν ἐξουσίαν τὴν ἐνταῦθα νοουμένην ἦσαν πάντες καὶ οἱ λοιποὶ Ἀπόστολοι τοῦτο, ὅπερ ἦν καὶ ὁ Πέτρος, καὶ δέδωκεν αὐτὴν πρότερον ὁ Κύριος πᾶσι τοῖς Ἀποστόλοις, ἐν οἷς ἦν καὶ ὁ Πέτρος, Ἰωάννου κεφαλαίῳ εἰκοστῷ, ὡς ἐδίδαξεν ἀνωτέρω ὁ Κυπριανὸς ἐν τῷ περὶ ἑνότητος Ἐκκλησίας κεφαλαίῳ πρώτῳ Παραγράφῳ ἐνάτῳ. ἀλλ' ἐνταῦθα δέδωκεν αὐτοῖς τὸ ἐν πράξει ποιήσασθαι τὸ ποιμαίνειν τὸ ποίμνιον, ἵνα κατορθώσηται τὴν ἀγάπην ἣν ὑπέσχετο, ἣν τῇ τριπλῇ ὁμολογίᾳ ὡμολόγησεν ὁ Πέτρος, καὶ τῇ τριπλῇ προσταγῇ ἐπληροφόρησεν αὐτὸν ὁ Χριστὸς, ἀποβλέπων πρὸς τὴν τριπλῆν ἄρνησιν, ἀφ' ἧς ἐπιστραφεὶς ὁ Πέτρος, ἐστήριξε τοὺς ἀδελφοὺς αὐτοῦ, ἐπιμελῶς τὸ ποιμαντικὸν ἔργον ἐργαζόμενος ἐν τῷ ποιμνίῳ τοῦ Χριστοῦ, εἰ καὶ ἡ φροντὶς παντὸς τοῦ ποιμνίου ἐπέκειτο καὶ τοῖς ἄλλοις Ἀποστόλοις ἴσῃ τιμῇ καὶ ἐξουσίᾳ τῇ τοῦ Πέτρου, μαρτυρεῖ γὰρ Κύριλλος Ἀλεξανδρείας, ἐξηγούμενος τὸν τόπον τοῦτον τοῦ Ἰωάννου καὶ λέγων, Ἀνεκαινίσθη τὸ ἀξίωμα τῆς ἀποστολῆς ἐν τῷ Πέτρῳ, ἵνα μὴ διὰ τὴν ἄρνησιν, εἰς ἣν διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν πέπτωκεν, ἐξασθενήσασα νομισθῇ. βιβλίῳ δωδεκάτῳ κεφαλαίῳ ἑξηκοστῷ τετάρτῳ. τοῦτο δὲ ὄφησιν ὁ Κύριλλος ἐννοητέον περὶ τοῦ ἰδίου στηριγμοῦ τοῦ Πέτρου ἐν ἐκείνῳ τῷ δώρῳ ὅπερ ἔλαβε πρότερον μετὰ τῶν λοιπῶν Ἀποστόλων, ὁ γὰρ Πέτρος διὰ τὸν σαφέστατον ὄλισθον χρείαν εἶχε καὶ ἰδίας παραμυθίας, ὅτι καὶ χαλεπώτερον αὐτοῦ τὸ πτῶμα, ὡς καὶ ὁ Χρυσόστομος λέγει Ὁμιλίᾳ ὀγδοηκοστῇ δευτέρᾳ εἰς τὸν Ματθαῖον. παρὰ ταῦτα οὐ λέγει ὁ Κύριλλος δοθῆναι τῷ Πέτρῳ νέαν ἐξουσίαν ἣν πρότερον οὐκ εἰλήφει. Ἀμβρόσιος βιβλίῳ πέμπτῳ περὶ πίστεως, Ὁ Πέτρος ποιμαίνων καλῶς τοῖς τῆς πίστεως βρώμασι τὴν τοῦ Χριστοῦ ποίμνην, καταπεσὼν, ἀπώλεσεν ἣν εἶχεν ἐπιστασίαν, τρὶς ἀρνησάμενος, ὅθεν καὶ τρίτον ἐρωτᾶται, καὶ τρὶς νουθετεῖται ποιμαίνειν, ἵνα ὃν πρὶν τοῦ Σταυροῦ τρίτον ἠρνήσατο, τρίτον ὁμολογήσῃ. Καὶ βιβλίῳ δευτέρῳ περὶ Μυστηρίων κεφαλαίῳ ἑβδόμῳ, Ὁ Ἀπόστολος Πέτρος μετὰ τὴν ἔκπτωσιν ἐν τῷ πάθει τοῦ Κυρίου διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν τρὶς ἐρωτᾶται, ὅτι καὶ τρὶς ἠρνήσατο, τὸ γὰρ πρῶτον ΦΙΛΕΙΣΜΕ, τὴν ἀγάπην τὴν πρὸ τοῦ Σταυροῦ δηλοῖ. τὸ δεύτερον δὲ, τὴν πρὸς τὴν ποίμνην ἀγάπην. τὸ δὲ τρίτον, ἵνα συγχωρήσῃ αὐτῷ τὸ ἁμάρτημα. Ἱερώνυμος ἐπιστολῇ πρὸς Μαρκέλλαν, ἧς ἡ ἀρχὴ, Βραχύτατον ῥημάτιον, φησὶ, Πέτρος ὁ Ἀπόστολος τὴν τριττὴν ἄρνησιν τριττῇ ὁμολογίᾳ ἐξήλειψεν. Αὐγουστῖνος πράξει ἑκατοστῇ εἰκοστῇ τρίτῃ εἰς τὸν Ἰωάννην, Ἀποδίδοται τῇ τριττῇ ἀρνήσει ἡ τριττὴ ὁμολογία, ἵνα μὴ ἐλάχιστον δουλεύσῃ ἡ γλῶσσα τῇ ἀγάπῃ, ἢ τῷ φόβῳ, καὶ πλεῖον διὰ τῆς φωνῆς ἰσχῦσαι τὸν παρόντα θάνατον, ἢ διὰ τῆς ἀγάπης ὑπερισχῦσαι τὴν παροῦσαν ζωὴν, εἰ γὰρ ἦν σημεῖον φόβου ἀρνήσασθαι τὸν Ποιμένα, ἔσται σημεῖον ἀγάπης τὸ ποιμαίνειν τὴν κυριακὴν ποίμνην. Καὶ πράξει πέμπτῃ εἰς τὴν ἐπιστολὴν Ἰωάννου, Τρὶς ἠρνήσατο ὁ φόβος, τρὶς ὡμολόγησεν ἡ ἀγάπη, εἰ δὲ καὶ ζητεῖς τὶ δηλοῖ τὸ τοῦ Κυρίου πρόσταγμα, ΠΟΙΜΑΙΝΕ ΤΑ ΠΡΟΒΑΤΑ ΜΟΥ, μάθε ὅτι τὸ ποιμαίνειν ἐστὶ τὸ διδάσκειν, τὸ τρέφειν πνευματικαῖς τροφαῖς. Χρυσόστομος Ὁμιλίᾳ ἐσχάτῃ εἰς τὸν Ματθαῖον, Τρίτον δὲ αὐτὸν ἐρωτᾷ, καὶ τρίτον ἐπιτάττει, τὰ αὐτὰ δεικνὺς, ὅπου τιμᾶται τὴν προστασίαν τῶν οἰκείων προβάτων, καὶ ὅτι τοῦτο μάλιστα τῆς εἰς αὐτὸν ἀγάπης σημεῖον. Καὶ, ἅμα δὲ καὶ ἐδείκνυεν, ὅτι χρὴ θαρρεῖν λοιπὸν, ὡς τῆς ἀρνήσεως ἐξεληλαμένης ἐγχειρίζεται τὴν προστασίαν τῶν ἀδελφῶν. Καὶ Ὁμιλίᾳ εἰς τὸν Δανιὴλ καὶ τοὺς τρεῖς παίδας, Ἀρνήσεως οὐδὲν μεῖζον ἐστὶ κακὸν, ἀλλὰ πάλιν πρὸς τὴν προτέραν ἤγαγε τιμήν. Γρηγόριος ὁ Θεολόγος Ὁμιλίᾳ τριακοστῇ ἐνάτῃ εἰς τὰ ἅγια Φῶτα, Καὶ τῷ τρισσῷ τῆς ἐρωτήσεως καὶ τῆς ὁμολογίας τὸ τρισσὸν τῆς ἀρνήσεως ἐθεράπευσεν. Ἐπιφάνιος Αἱρέσει πεντηκοστῇ ἐνάτῃ, Καὶ Πέτρον ἀνακαλεῖται ὁ Κύριος μετὰ τὸ ἀρνήσασθαι, καὶ ἀντὶ τῶν τριῶν ἀρνήσεων τρὶς αὐτὸν προσκαλεῖται εἰς ὁμολογίαν, ΑΓΑΠΑΣΜΕ ΠΕΤΡΕ; ΚΑΙ ΦΗΣΙ, ΠΟΙΜΑΙΝΕ ΤΑ ΠΡΟΒΑΤΑ ΜΟΥ. Ἰσίδωρος ὁ Πηλουσιώτης βιβλίῳ πρώτῳ, ἐπιστολῇ ἑκατοστῇ

σκαρσῇ τείτῃ, Ἡ τειπλῆ τὲ Κυρίε σωθς τὸν Πέτρον ἐρώτησις ὐκ ἔστιν ἀγνοίας τὲ Δεσπότε ὑπόνοια, μὴ ἔτω τινὲς σοφολογιζέσθωσαν, ἀλλὰ τὸ τειπλᾶν τῆς ἀρνήσεως τῷ τειπλῷ τῆς καταθέσεως ὁ ἀγαθὸς ἰατρὸς ἐξωτερίκισε. Καὶ ὑποκολῇ σκαπτῇ πεντηκοστῇ σκῇ, Ἣν τειπλῇ πάλιν μεταγνώσει ἰάσατο, ἀνάλογον ηϖὶ τῷ τρώματι πορισάμενος ϗ τὸ φάρμακον. Βασιλεὺς ὁ μέγας ἐν τὰς ἀσκητικὰς Διαταξεις κεφαλαίῳ ἑκοστῷ δευτέρῳ, Ἱερεργῶν τῷ Θεῷ πῶ τῶν παθημάτων αὐτῷ σωτηρίαν, ηϖὶ τὲτο παρ' αὐτὲ τὲ Χριστὲ παιδευόμεθα, Πέτρον Ποιμάνα μεθ' ἑαυτὸν τῆς Ἐκκλησίας ἑαυτῆ καθιστῶντος, Πέτρε ἀγαπᾷς με πλέον τετων; ποίμαινε τὰ πρόβατα. ηϖὶ πάπ δὲ τοῖς ἐφεξῆς Ποιμέσι ηϖὶ Διδασκάλοις πῶ ἴσῳ παρέχοντος ἐξεσίαν, ηϖὶ τέτε σημεῖον, τὸ δεσμεῖν ἅπαντας ηϖὶ λύειν ὥσπερ ἐκεῖνος. Καὶ ἐν τῷ λόγῳ περὶ ὑπακοῆς, Πέτρον Ποιμάνα τῆς Ἐκκλησίας ἑαυτῆ καθίστησι, Πέτρε γὰρ φησὶ φιλεῖς με πλέον τέτων; ηϖὶ πᾶσι δὲ τοῖς ἐφεξῆς πῶ ἴσῳ παρέδωκεν ἐξεσίαν, ηϖὶ τέτε σημεῖον τὸ δεσμεῖν ηϖὶ λύειν ἅπαντας ὁμοίως. Θεοφύλακτος, Ἐρωτᾷ δὲ αὐτὸν ἐν τείτε, ἅμα μὲν δεικνὺς ἑαυτὸν ποιεῖται φερωτίδα τῶν πισεύοντων, ηϖὶ ὅτι πσεῖρον ἀγαπᾷ τὰ πρόβατα, ὥστε ηϖὶ τῆς εἰς αὐτὸν ἀγάπης τέτο ποιεῖται τεκμήριον, τὸ τῶν προβάτων προΐσασθαι, ἅμα δὲ ηϖὶ τῷ τρισσῷ τῆς ἐρωτήσεως ηϖὶ ὁμολογίας τὸ τρισσὸν τῆς ἀρνήσεως θεραπεύει. Κύριλλος Ἀλεξανδρείας, Ἀκράτῳ γὰρ δάματι καταληφθεὶς ὁ θεσπέσιος Πέτρος, ἠρνήσατο τρὶς τὸν Κύριον, θεραπεύει τὸ πεπονθὸς ὁ Κύριος, ηϖὶ αὐταπαιτεῖ ποικίλως πῶ εἰς τρίτον ὁμολογίαν, αὐτίσαθμον ὥσπερ ἐκείνῳ τέτο τιθεὶς, ηϖὶ αὐτίρροπον τοῖς πταίσμασιν ἐξαρτύων πῶ ἐπανόρθωσιν. Καὶ, ὐκοῦν Δι' ὧν τῆς εἰς τρίτον ὁμολογίας τὲ μακαρίε Πέτρε τὸ ἐν τειπλῷ γεγονὸς κατηργήθη πλημμέλημα, Δι' ὃ δὲ τὸ Φαῦσι τὸν Κύριον, Βόσκε τὰ ἀρνία με, αὐανέωσις ὥσπερ τις τῆς ἤδη δοθείσης ἀποστολῆς αὐτῷ γενέσθαι νοεῖται, τὸν μεταξὺ λύσασα τῶν πταισμάτων ὀνειδισμὸν, ηϖὶ πῶ ἐκ τῆς ἀνθρωπίνης ἀθενείας μικροψυχίαν ἐξαφανίζουσα. Ἀμμώνιος, Ἀναζωπυρῆσαι αὐτὸν βελόμενος ἐκ τῆς κατὰ πῶ ἄρνησιν ῥαθυμίας, ἐρωτᾷ αὐτὸν, ηϖὶ Δι' ὧν τελῶν ἐρωτήσεων ηϖὶ καταθέσεων ἐξαλείφεται τὰς τρεῖς Φωνὰς τῆς ἀρνήσεως, ηϖὶ Δι' λόγων ἐπανορθοῖ τὰ ἐν λόγοις γενόμενα πταίσματα, ἔθος δὲ γέγονε ἐκ τέτε τρεῖς ὁμολογίας ἀπαιτεῖσθαι τὸς μέλλοντας βαπτίζεσθαι. Ἀπολινάριος, Τοίνυν περὶ αὐτῶν ἐρώτησιν ποιεῖται, ἅμα μὲν ἀπέμνησεν αὐτῷ ποιῶν τὸ ωϑέγγελμα, ἅμα δὲ ηϖὶ τῆς τείτης γενομένης ἀρνήσεως ἀναμιμνήσκων, ηϖὶ τειπλῆν ὁμολογίαν τῆς ἀγάπης αὐτὶ τῆς τειπλῆς ἀρνήσεως αὐτεισάγων, ηϖὶ πῶ ωϑυμίαν τῆς ὑπηρεσίας ἀνταπαιτῶν, ἵν' ἔργοις ὁμολογήσειε Χριστὸν, ὃν λόγοις ἠρνήσατο, σωτηρίας ἀνθρώπων ὑπομελόμενος. σημείωσαι δὲ ὅτι, Ἀμμωνίῳ ηϖὶ Ἀπολιναρίῳ κεῖνται ἐν τῇ σειρᾷ ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ. Ὁ Ὀξυρυγχίτης ἐν τῇ ἐξηγήσει τῶν πράξεων, Ἰούδας μὲν πάντων, φησὶν, ἑαυτὸν ἔξωσε τῆς χορῆς τῶν Ἀποστόλων, ὁ δὲ Πέτρος ηϖὶ σιωπῶν, ηϖὶ πρὸς τὸ Διδασκάλε Δι' τὸ τελοσὸ τῆς ἐρωτήσεως ἀνακέκληται. Ἰωάννης ὁ Δαμασκηνὸς, Τῷ τριπλῷ τῆς ἐρωτήσεως τὸ τρίτον τῆς ἀρνήσεως ὁ χριστὸς διορθώσατο. ταῦτα ἅγιοι Πατέρες μαρτυροῦσι πσοτοι, ηϖὶ Φρόνημά ἐστι τῆς καθόλε Ἐκκλησίας, οἷς ὁ αὐτιλέγων, Αἱρετικός ἐστι.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Δ'. ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἀντίθεσις παπισῶν, ὅτι ἡ ἀπὸ Σίμωνος εἰς Πέτρον μετωνυμία ἐστὶ σημεῖον ἐξεσίας. ηϖὶ λύσις αὐτῆς.

Ἀλλὰ ῥητέον, ηϖήτοι περὶ τέτε εἴρηται αὐωτέρω, ὅτι τοῦτο τὸ σόφισμα πόῤῥω τῆς ἀληθείας ἐστὶν, ἐπειδήπερ τῶν ἁγίων ηϖὶ τῶν Προφητῶν τὰ ὀνόματα, τὰ μὲν ἔτως ἐξ ἀρχῆς ὡς εἶχον ἀφέθη, τὰ δὲ μετηλλάχθη, ὡς ἐν τῇ παλαιᾷ ἡ Σάρα μετωνομάθη Σάῤῥα, ὁ Ἄβεραμ Ἀβραὰμ, ὁ Ἰακὼβ Ἰσραὴλ. ἐν δὲ τῇ νέᾳ ὁ Σίμων, Πέτρος, ὁ Ἰωάννης ηϖὶ ὁ Ἰάκωβος, Βοανεργὲς μετεκλήθησαν. ὅθεν ὁ Χρυσόστομος Ἰωάννε κεφαλαίῳ πρώτῳ φησὶ, Τοῦτον μὲν ἔτως ὠνόμασεν, ἤτοι τὸν Σίμωνα, Πέτρον, τὸς δὲ περὶ Ἰάκωβον, υἱὸς βροντῆς. τίνος ἕνεκεν τοῦτο ποιεῖ; δεικνὺς ὅτι αὐτὸς ἐστὶν ὁ ηϖὶ πῶ παλαιὰν δεδωκὼς, αὐτὸς ηϖὶ ὁ τὰ ὀνόματα μεταῤῥυθμίζων, ποικίλως δὲ ηϖὶ ἐκ γενετῆς τὰ ὀνόματα ἔθηκε, ὡς τῷ Ἰσαὰκ, ηϖὶ τῷ Σαμψὼν, ηϖὶ ἴδε ηϖὶ τὰ λοιπὰ ἐν τῷ τόπῳ ἐκεῖ. Ὁ αὐτὸς ὁμιλίᾳ πρώτῃ εἰς πῶ πρὸς Ῥωμαίους ἐπιστολῶ, Σαῦλον ὄντα, Παῦλον ἐκάλεσεν, ἵνα μὴ δὲ ταύτῃ τῶν Ἀποστόλων ἔλαττον ἔχῃ, ἀλλ' ὅπερ ἔχει ἐξαίρετον ὁ κορυφαῖος τῶν μαθητῶν, τὲτο ηϖὶ αὐτὸς κτήσηται. Καὶ ὁ Θεοφύλακτος ἐν τῷ τόπῳ τέτῳ, Τίνος δὲ ἕνεκεν ἀπὸ Σαύλε Παῦλος ἐκλήθη; ἵνα μὴ δὲ κατὰ τὲτο ἐλαττωθῇ τὸ κορυφαίε τῶν Ἀποστόλων. Καὶ ὁ Οἰκουμένιος ἐν τῷ δεκάτῳ ὀγδόῳ κεφαλαίῳ τῶν πράξεων, ἵνα ὅπερ ἔχει ἐξαίρετον ὁ κορυφαῖος τῶν μαθητῶν, τὲτο ηϖὶ αὐτὸς κτήσηται, ηϖὶ πλείονος εἰκειώσεως ὑποθέσιν λάβῃ. Ὁ αὐτὸς ἐν τῷ πρώτῳ κεφαλαίῳ τῆς πρὸς Ῥωμαίους, Διατέτο δὲ ἀπὸ Σαύλε εἰς Παῦλον μετετέθη, ἵνα μήθ' ἐν τέτῳ φαιῇ ἔλαττον ἔχων τῶν Ἀποστόλων, μήθ' αὐτὸ τὸ κορυφαίε Πέτρε. Ἔπεται γὰρ ἐκ τέτων μὴ μένειν τὸν μακάριον

Πέτρον

Πέτρον μετονομασθῆναι, ἀλλὰ καὶ ἄλλους ὅτε τῇ παλαιᾷ ἢ ἐν τῇ νέᾳ. ᾗ ὅλη τοῦτο οὐκ ἀναγκαῖον ἄρθρον ἐστὶν ἐμφανίσασθαι πρωτεῖον καὶ ἐξουσίαν ἐπ' ἄλλοις, ἢ ὁ μὴ μετονομαζόμενος οὐκ ἔχει λαβεῖν χάρισμα καὶ ὑπερβολὴν ἀσεβοῦς ζωῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ἀντίθεσις παπισμοῦ δευτέρα, ὅτι ὁ Κύριος μετὰ μόνου τοῦ Πέτρου τὰ Δίδραχμα δοῦναι, εἶχον αὐτὸν κατ' ἐξουσίαν μείζονα τῶν Ἀποστόλων. καὶ λύσις αὐτῆς.

Ἀλλὰ ῥητέον, ὅτι εἰ μὴ ἦν ὁ Πέτρος πρωτότυπος, οὐκ ἂν εἶπεν αὐτῷ ὁ Κύριος, Δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. ἀλλὰ Διατοῦτο σωπῆσαι αὐτὸν ἐκώλυε, ὡς φησιν ὁ Χρυσόστομος ἐν τῷ δεκάτῳ ὀγδόῳ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον, Ἀντὶ ἐμοῦ δὲ καὶ σοῦ εἶπεν, ἐπειδὴ καὶ αὐτὸς πρωτόγονος ἦν, ἦγεν ὁ Πέτρος. δεύτερον, ὅτι οἱ μαθηταὶ ἐν τούτῳ ἐθορυβήθησαν δύο ἀνθρώπινα. Καὶ προσελθόντες τῷ Κυρίῳ εἶπον, τίς μείζων ἐστὶν ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν; ὁ δὲ προσκαλεσάμενος παιδίον, εἶπεν, ἐὰν μὴ ὑποστρέψητε, καὶ γένησθε ὡς τὸ παιδίον τοῦτο, οὐ μὴ εἰσέλθητε εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. ἐν ᾧ ἑρμηνεύων ὁ Χρυσόστομος, λέγει, Ὑμεῖς μὲν γὰρ φησιν ἐξετάζετε τίς μείζων, καὶ περὶ πρωτείων φιλονεικεῖτε, ἐγὼ δὲ τὸν μὴ πάντων ταπεινότερον οὐ νομίζω, οὐδὲ τῆς εἰσόδου τῆς ἐκεῖ ἄξιον εἶναί φημι. ὁ αὐτὸς ἐν τῷ τόπῳ τούτῳ ἐν τῇ σειρᾷ, Οἱμαι ἄλλοι αὖθρωποι δι' ὧν ἄρχουσι λαμπρύνονται, καὶ ἀρχῆς τῶν πρωτείων, οἱ δὲ ἐμοὶ μαθηταὶ δι' ὧν ταπεινοῦνται, ἡμῶνται, τοῦτο δέ εἶπε, θέλων αὐτῶν κατασκέλλειν τὸ φρόνημα. Ὁ αὐτὸς ἐν τῇ σειρᾷ, Τόμῳ δευτέρῳ, Διὰ τούτων δείκνυσιν ὅτι ἐθνικόν ἐστι τὸ πρωτεῖον ἐραν, καὶ γὰρ τυραννικὸν τὸ πάθος, καὶ σωφρόνων ἐνοχλεῖν καὶ μεγάλοις αὐδράσι, Διατοῦτο καὶ ὀφθερωτέρας δεῖται πληγῆς. κεφαλαίῳ δεκάτῳ ὀγδόῳ. Ὁ αὐτὸς Τόμῳ πρώτῳ τῆς σειρᾶς, Καὶ ἡμᾶς διδάσκων, ὅτι οὐ δεῖ σκανδαλίζειν οὕθ' ὑβριζόμεθα, καὶ διατοῦτο φησὶ τῷ Πέτρῳ, δὸς τέλος. ἵνα δὲ δείξῃ ὅτι Θεός ἐστιν ἀπαύτων, καὶ τῆς θαλάσσης κρατεῖ, ἐξαπέστειλε τὸν Πέτρον ὥστε κομίσαι τὸν Στατῆρα ἐκ τοῦ ἰχθύος. Ἐν τῷ αὐτῷ Τόμῳ, Εἰ δὲ ἐπὶ τῶν ὑδάτων βαδίζων, τὸν ἄνεμον ἐφοβήθη, ᾗ τοῦτο ἐποίησεν αὐτὸν μὴ ὑψηλοφρονεῖν. ἴδε ἐν τῷ αὐτῷ Τόμῳ καὶ ἄλλα πολλὰ τοιαῦτα, ἀναιρετικὰ ὄντα τῆς θρυλλουμένης τοῦ Πέτρου μοναρχίας. τέως, τοῦτο δηλοῖ ὑπόταξιν πρὸς τὸν ἐγκόσμιον Βασιλέα. ἴδε εἰς τὸν Θεοφύλακτον ἐν τῷ τόπῳ τούτῳ.

Ἀντίθεσις παπισμοῦ τρίτη, ὅτι πρωτος ἐξελέγη ὁ Πέτρος τοῦ ποιμαίνειν τὰ ἔθνη, διὸ καὶ μοναρχης. καὶ λύσις αὐτῆς.

Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ὥσπερ ἐδόθη τῷ Πέτρῳ ἡ περιτομὴ, οὕτως ἐδόθη τῷ Παύλῳ ἡ ἀκροβυστία ὡς αὐτὸς ὁ Παῦλος γράφει πρὸς Γαλάτας, ἐν ᾧ φησὶν ὁ Χρυσόστομος, Ὥσπερ ἐν ἀκροβυστίᾳ τὰ ἔθνη καλεῖ, οὕτω καὶ περιτομὴν Ἰουδαίους, καὶ δείκνυσιν αὐτοῖς ὁμόλογον ὄντα λοιπὸν, καὶ μὲ τοῖς ἄλλοις ἑαυτὸν, ἀλλὰ τῷ κορυφαίῳ συγκρίνει, δεικνὺς ὅτι τῆς αὐτῆς ἔκρισε ἀπήλαυσεν ἀξίας. δεύτερον, περὶ τούτου εἴρηται ἀνωτέρω κεφαλαίῳ πρώτῳ, ὅτι κοινῶς οἱ Ἀπόστολοι τῆς Οἰκουμένης Ποιμένες τῇ αὐτῇ ἐξουσίᾳ καὶ δυνάμει καὶ ἐνεργείᾳ, καὶ καθάπερ οἰκίαν μίαν τῷ Οἰκουμένῳ διενείμαντο, καὶ πάντες Χριστοῦ μάρτυρες ὤν τε Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς, οὐ ἑνί ὅμως μέρει τῆς Οἰκουμένης σταυρὸς ἐπῆλθεν. ὅθεν ὁ Πάπας Ἰνιοκέντιος ὑποτολῇ πρὸς Δεκέντιον φησὶ, Τὸν Πέτρον οἰκοδομῆσαι Ἐκκλησίαν ἐν ὅλῃ τῇ Ἰταλίᾳ, ἐκ τῆς Ἑλλάδι. τρίτον, ὅτι καὶ ὁ Πέτρος ἐδίδαξεν ἐν τῇ ἀκροβυστίᾳ, καὶ ὁ Παῦλος ἐν τῇ περιτομῇ, καὶ ὁ Παῦλος καὶ Ἰωάννης ἐν τῇ Ἀσίᾳ, καὶ ὁ Παῦλος καὶ Ἀνδρέας ἐν Πελοποννήσῳ, καὶ ὁ Παῦλος καὶ Πέτρος ἐν τῇ Ῥώμῃ. ὅθεν Ἰσίδωρος ὁ Πηλουσιώτης φησὶν ὑποτολῇ σπατοσῇ ἑβδομηκοσῇ ἕκτῃ τμήματι τρίτῳ, Ἕκαστος τῶν Ἀποστόλων, ὡς ἔπος εἰπεῖν μίαν ὑποδεξάμενος χώραν, ταύτην ἐρρύθμισε.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ἀντίθεσις παπισμοῦ τετάρτη ἀπὸ τῶν τοῦ Χρυσοστόμου ῥητῶν, λέγοντος περὶ Πέτρου ἐν τῇ εἰς τὰς πράξεις εἰκοστῇ πρώτῃ Ὁμιλίᾳ, Καθάπερ τις Στρατηγὸς περιὼν ὑποσκοπῶν, καὶ τὰ ἐξῆς, ἐξ ὧν σωφρονεῖν ἔχειν τὸν Πέτρον τῷ ἄκραν ἐξουσίαν. καὶ λύσις αὐτῆς ἀπὸ τῶν τοῦ αὐτοῦ Χρυσοστόμου ῥητῶν, ἐξ ὧν καταῤῥάστεται Διαμπὰξ τὸ θεμέλιον τοῦ παπισμοῦ.

Ἀλλὰ ῥητέον πρῶτον, ὅτι κατέσρωνται ἀνωτέρω κεφαλαίῳ πρώτῳ χρήσεις τοῦ Χρυσοστόμου, φανερῶς παρι-

παριστῶσαι τὴν ἄκραν ἰσότητα τῶν Ἀποστόλων καὶ τὴν ἄκραν ταὐτότητα τῆς ἀποστολικῆς ἀξίας. δεύτερον, ἐν τῇ παρούσῃ χρήσει ἀναιρεῖ τὴν ἐξουσίαν, καὶ γὰρ ὑπογράφων τὴν τότε φροντίδα καὶ ἐπιμέλειαν τοῦ Πέτρου, φησὶ, Ταῦτα ποιῶν, οὐκ ἀπῄτει μείζονα τιμήν. ἐν οἷς σημείωσαι, εἰ εἶχε, πῶς οὐκ ἀπῄτει; οὐκ εἶχε δὲ, ἄρα οὐ δὲ ἀπῄτει. καὶ οὐ λέγει ἐξουσίαν, ἐπειδὴ τὸ εἶναί τινα ἐξουσίαν ἰδικὴν μείζονα τῶν ἄλλων, ὁ Διάβολος μόνος πρωτοεγέννησεν. ἀλλὰ τιμὴν, τουτέστιν εὐχαριστίαν, ἢ ἔπαινον παρὰ τῶν Ἀποστόλων. τρίτον, ὅτι τότε μὲν ὁ Πέρος, μεταῦτα δὲ κληθεὶς ὁ Παῦλος, μᾶλλον τοῦ Πέτρου ἐκοπίασεν, ὡς δέδεικται ἐν τῷ πρώτῳ κεφαλαίῳ, καὶ αὐτὸς ὁ Παῦλος περὶ ἑαυτοῦ ἀποδείκνυσιν ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ. τέταρτον, ὅτι καταστρωτέον κἀνταῦθα καὶ ἑτέρας χρήσεις τοῦ Χρυσοστόμου, τὴν ἰσότητα τῆς ἀποστολικῆς ἀξίας παριστώσας, καὶ τὸν Παῦλον ὥσπερ καὶ τὸν Πέτρον ἰσότιμον καὶ ἰσοδύναμον ἀποφαινομένας. Ὁμιλίᾳ δεκάτῃ ὀγδόῃ εἰς τὰς πράξεις, Ὁ Φίλιππος τῶν Διακόνων ὤν, οὐκ ἐδίδου τὸ Πνεῦμα, ἐπειδὴ οὐκ εἶχε ταύτην τὴν ἐξουσίαν, τοῦτο γὰρ τὸ δῶρον μόνων τῶν δώδεκα ἦν, καὶ τοῦτο ἦν τὸ τῶν Ἀποστόλων ἐξαίρετον, τὸ μὴ μόνον ποιεῖν τὰ σημεῖα, ἀλλὰ καὶ ἑτέροις μεταδιδόναι. ὅθεν καὶ τοὺς κορυφαίους, οὐκ ἄλλους τινὰς ἐστὶν ἰδεῖν τοῦτο ποιοῦντας. Καὶ, καθάπερ ἐν τοῖς πολέμοις οἱ Στρατηγοὶ ποιοῦσι, καὶ τὸ πονοῦν τοῦ πολέμου μέρος καταλαμβάνουσι, τὸ αὐτὸ καὶ οὗτοι Πέτρος καὶ Ἰωάννης ἐργάζονται. Καὶ ἐν τῷ ἑνδεκάτῳ κεφαλαίῳ λέγει ὁ αὐτὸς περὶ Βαρνάβα, Πολύχρηστος ἦν ὁ ἀνὴρ καὶ ἀφελὴς, καὶ τοῦ Παύλου συνήθης, διὸ καὶ ἦλθεν ἐπὶ τὸν Στρατηγὸν (ἤτοι τὸν Παῦλον) ἐπὶ τὸν μονομάχον, ἐπὶ τὸν λέοντα, ἐπὶ τὸ στόμα τὸ τῇ Οἰκουμένῃ ἀρκοῦν, ὄντως διὰ τοῦτο ἐν Ἀντιοχείᾳ ἐχρηματίσθησαν καλεῖσθαι Χριστιανοί. ὅτι πρῶτος ἐν ταύτῃ διέτριψε χρόνον. Καὶ, τοῦτο Παύλου κατόρθωμα, τὸ κληθῆναι Χριστιανοὺς, δηλαδὴ τοὺς πιστούς. Καὶ, σὺ δέ μοι παρατήρει, πῶς οὐδεὶς τῶν περιφανῶν αὐτοῖς γίνεται Διδάσκαλος. Κυπρίους γὰρ ἔσχον Διδασκάλους καὶ Κυρηναίους καὶ Παῦλον, εἰ καὶ οὗτος ὑπερέβαινεν αὐτοὺς, ἀλλ' οὐδὲν παρὰ τοῦτο ἠλάττωται, ἔσχε δὲ ὅμως καὶ τὸν Χριστόν. Καὶ, ὅρα τοὺς ἐν Ἱεροσολύμοις πάντων ὁμοῦ ὁμείως φροντίζοντας, ὡς μίαν οἰκίαν τὴν Οἰκουμένην ἔχοντας. Ἤκουσαν ὅτι ἡ Σαμάρεια δέδεκται τὸν λόγον, καὶ ἔπεμψαν Πέτρον καὶ Ἰωάννην. ἤκουσαν τὰ εἰς Ἀντιόχειαν, πέμπουσι Βαρνάβαν, πολὺ γὰρ τὸ διάστημα ἦν, καὶ οὐκ ἔδει τέως τοὺς Ἀποστόλους χωρισθῆναι ἐκεῖθεν, ἵνα μὴ νομισθῶσιν εἶναι φυγάδες, καὶ τοὺς αὐτῶν πεφευγέναι, τότε δὲ ἀναγκαίως χωρίζονται, ὅτε λοιπὸν ἐδόκει ἀνίατα ἔχειν τὰ κατ' αὐτοὺς, τότε λοιπὸν ὁ πόλεμος ἐπέστη, καὶ ἀπολέσθαι ἔδει, ὅτε ἡ ἀπόφασις ἐξηνέχθη, ἐπεὶ ἕως Παῦλος εἰς Ῥώμην μὴ ἀνέβαινεν, ἐκεῖ ἦσαν. ἐξέρχονται δὲ οὐχὶ τὸν πόλεμον δεδοικότες, πῶς γὰρ, οἵγε πρὸς τοὺς πολεμεῖν μέλλοντας ἀπήεσαν. Καὶ, ὁ πόλεμος γίνεται λοιπὸν τελευτησάντων τῶν Ἀποστόλων. ταῦτα λόγῳ εἰκοστῷ πέμπτῳ κεφαλαίῳ ἑνδεκάτῳ. Καὶ Ὁμιλίᾳ τριακοστῇ δευτέρᾳ, Ὅρα τὸν Πέτρον ἄνωθεν κεχωρισμένον τοῦ πράγματος, ἤτοι τῆς περιτομῆς, καὶ μέχρι τῆς νῦν ἰουδαΐζοντα. Ὑμεῖς ἐπίστασθε, φησὶ, παρῆσαν ἴσως καὶ οἱ ἐγκαλέσαντες αὐτῷ ἐπὶ Κορνηλίου πάλαι, καὶ εἰσελθόντες μετ' αὐτοῦ, διατοῦτο αὐτοὺς παράγει μάρτυρας, Ἀφ' ἡμερῶν ἀρχαίων ἐν ἡμῖν ὁ Θεὸς ἐξελέξατο, τί ἐστὶ ἐν ἡμῖν, ἢ τί ἐν Παλαιστίνῃ φησί; Καὶ λόγῳ τριακοστῷ τρίτῳ, Σφοδρότερον μὲν ὁ Πέτρος διελέγετο, οὗτος δὲ (ὁ Ἀδελφόθεος) ἡμερώτερον, οὕτως ἀεὶ χρὴ τὸν ἐν μεγάλῃ δυναστείᾳ ποιεῖν, τὰ μὲν φορτικὰ ἑτέροις παραχωρεῖν, αὐτὸν δὲ ἀπὸ τῶν ἡμερωτέρων διαλέγεσθαι (ἐν οἷς σημείωσαι ὅτι ἀναμφιβόλως μείζων ὁ Ἰάκωβος τοῦ Πέτρου) καὶ ἀνωτέρω, Ὅρα μετὰ Πέτρον Παῦλος φθέγγεται, καὶ οὐδεὶς ἐπιστομίζει, Ἰάκωβος ἀνέχεται, καὶ οὐκ ἀποπηδᾷ, ἐκεῖνος γὰρ ἦν τὴν ἀρχὴν ἐγκεχειρισμένος. Καὶ, περὶ τῆς ὑποθέσεως, ὥστε δεῖξαι ὅτι οὐ τυραννικῶς, ὅτι πᾶσι τὰ αὐτὰ δοκεῖ, ὅτι μετὰ σκέψεως ταῦτα γράφουσι. Καὶ λόγῳ τριακοστῷ, κεφαλαίῳ δεκάτῳ τρίτῳ, Εἰ γὰρ Πέτρος ἀπηλογεῖτο, πολλῷ μᾶλλον οὗτοι ἀπολογίας ἐδέοντο. Καὶ λόγῳ ἐκοστῷ ἕκτῳ, Ὁρᾶς ὅτι τὸ κεφάλαιον ἐν τούτοις ἦν τοῖς τρισὶ, Πέτρῳ, Ἰωάννῃ, καὶ Ἰακώβῳ. τί δήποτε οὐδένα τῶν κορυφαίων Ἀποστόλων οὔτε ἐκάλεσεν, οὔτε ἀπέστειλε πρὸς τὴν τοῦ Παύλου κατήχησιν; ὅτι οὐκ ἐχρῆν δι' ἀνθρώπων ἐνάγεσθαι, ἀλλὰ δι' αὐτοῦ τοῦ Χριστοῦ. Καὶ κεφάλαιον εἰκοστὸν ὄγδοον, Ὁμιλίᾳ πεντηκοστῇ πέμπτῃ, Ὁ τῶν Οὐρανῶν ὑψηλότερος πάντων, ὁ τὰ πρῶτα κατέχων Παῦλος. Καὶ, καθάπερ γὰρ Βασιλεὺς ναυμαχήσας, καὶ νικήσας, ἐπέβη τῆς βασιλικωτάτης ἐκείνης πόλεως, ἤτοι τῆς Ῥώμης. Καὶ, ὅταν Ἀπόστολον εἴπωσι, πάντες αὐτὸν ἐννοοῦσιν, ὥσπερ ὅταν βαπτιστὴν, τὸν Ἰωάννην. Ἐν τούτοις πᾶσι σημειωτέον, ὅτι εἰ ὁ Παῦλος ἰσότιμος καὶ ἰσοδύναμος ἐστὶ τῷ Πέτρῳ, ὥσπερ καὶ οἱ λοιποὶ Ἀπόστολοι κατά τε δύναμιν καὶ ἐξουσίαν καὶ κλῆσιν καὶ ἐνέργειαν, καὶ ὁ Πέτρος καθ' οἱονδήτινα τρόπον οὐκ ἦν μονάρχης ἐπὶ τῶν Ἀποστόλων, καὶ κατερράγη διαμπὰξ τὸ θεμέλιον τοῦ παπισμοῦ, καὶ πᾶσαι αἱ ἀντιθέσεις ἃς προβάλλουσιν ἕνεκεν τούτου οἱ παπισταὶ ἀπάτῃ καὶ σοφιστείᾳ, διαστροφὴν τῶν γραφικῶν καὶ πατρικῶν χρήσεων συμπλέκοντες. ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον, πέμπτον καὶ εἰκοστὸν τρίτον περὶ ἰσότητος τῶν Ἀποστόλων καὶ τοῦ Πέτρου. ἴδε καὶ τὸν Κεραμέα Νικόλαον ἐν τῷ Τόμῳ τῆς Χαρᾶς, ὅντινα ὡς ἀποκρινόμενον ἰδιαιτέρως εἰς πάσας τὰς ἀντιθέσεις τῶν Λατίνων περὶ τῆς ἀρχῆς τοῦ Πάπα ἐτυπώσαμεν Θεοῦ ἐλεοῦντος.

ΒΙΒΛΙΟΥ

ΒΙΒΛΙΟΥ Ι΄. ΜΕΡΟΣ Δ΄. ΚΕΦΑΛΑΙΟΝ Α΄.

Εἰ ὁ Πέτρος εἶχέ τινα Διαδοχὴν ἁρμόζουσαν ἰδίως τοῖς Ἐπισκόποις Ῥώμης, καὶ ὅτι πασῶν τῶν πνευματικῶν ἐξουσιῶν μεγίστη τῆς ἀποστολικῆς οὔσης, οὐκ εἶχε.

Ὅτι μὲν οὖν ὅπερ ἦν ὁ Πέτρος, ἦσαν καὶ οἱ λοιποὶ τῶν Ἀποστόλων πλὴν τοῦ πρωτείου τῆς τάξεως, εἴρηται ἱκανῶς, λείπεται δὲ εἰπεῖν ἐνταῦθα, εἴγε ὁ Πέτρος εἶχε τινὰ Διαδοχὴν ἁρμόζουσαν ἰδίως τοῖς Ἐπισκόποις τῆς Πρεσβυτέρας Ῥώμης. ΤΗΣ ἀποστολικῆς ἐξουσίας οὔσης πασῶν τῶν παρὰ Θεοῦ δοθεισῶν τοῖς ἀνθρώποις πνευματικῶν ἐξουσιῶν μεγίστης, ὡς εἴρηται ἀνωτέρω μέρους τεταρτου κεφαλαίῳ πρώτῳ, ἀναμφιβόλως ἐκείνη ἡ καθόλου ποιμαντικὴ καὶ ἄκρα ἐξουσία οὐκ ἦν ἐν τῷ Πέτρῳ. ἀλλὰ τίς; εἰ μὴ ἡ ἀποστολική, ἥτις καὶ ὑπεράνω πασῶν τῶν ἄλλων ἐξουσιῶν καθέστηκε, καὶ ταύτῃ οὐδὲμία ἄλλη ἴση, καὶ ταύτην καὶ πάντες οἱ Ἀπόστολοι καὶ ἕκαστος αὐτῶν ἴσην εἶχον. τῆς δὲ ὑπὸ τῶν Λατίνων πεπλασμένης ταύτης Διαδοχῆς τοῦ Πέτρου ἐν τῇ Ῥώμῃ εἰς παράστασιν εὑρεθῆναί τινα λόγον ἱκανὸν, ἢ θείαν μαρτυρίαν, πάντῃ ἀδύνατον.

ΠΑΡΑΓΡΑΦΟΝ Β΄.

Ἀπόδειξις πρώτη περὶ ἐξίσου Διαδοχῆς πάντων τῶν Ἀποστόλων ἐπὶ πάντας τοὺς Ἐπισκόπους. Ματθαίου κεφαλαίῳ εἰκοστῷ ὀγδόῳ, καὶ Ἱερωνύμου ἐπιστολῇ πρὸς Εὐάγριον.

Εἰσὶ τῷ ἀποστολικῷ χαρίσματι συντεταγμένοι καὶ πάντες οἱ κατώτεροι ἱεροὶ βαθμοὶ, εἰ καὶ μερικῶς, καὶ πρὸς καιρὸν διατεταγμένοι, ὡς οἱ Προφῆται καὶ Εὐαγγελισταὶ, τὰ χαρίσματα τῶν ἰαμάτων, καὶ τὰ ἑξῆς, οἵτινες καὶ μερικοὶ ἦσαν ὡς Ποιμένες, καὶ Διδάσκαλοι, ὅπερ ἐν τῇ τῶν Ἀποστόλων διακονίᾳ οὐκ ἦν μερικὸν, καὶ πρὸς καιρὸν, καὶ παρ' ἑτέροις οὐ μερικοῖς καὶ πρὸς καιρὸν διακόνοις ἔμεινε, καὶ σὺν αὐτοῖς ἀπώλετο, ὃ δ' ἦν μερικὸν, καὶ εἰς τὸν ἅπαντα αἰῶνα διαμένειν ἔμελλε κοινὸν πᾶσι τοῖς μερικοῖς τῆς εἰς τὸν ἅπαντα αἰῶνα διαμενούσης Ἐκκλησίας διακόνοις. καὶ ὥσπερ πᾶσι τοῖς Ἀποστόλοις ἐξίσου ἐδόθη ἡ ἀποστολικὴ ἐξουσία, οὕτω καὶ τὴν μερικὴν ἐξουσίαν ἐν τῇ Ἐκκλησίᾳ διαμένειν πρὸς τοὺς ἑαυτῶν διαδόχους τῇ ἴσῃ ἐξουσίᾳ ἔδωκαν οἱ Ἀπόστολοι τοσοῦτον, ὅτι ἡ ἐξουσία εἰς τὴν Ἐκκλησίαν οὐκ ἔστι μικροτέρα τοῦ διαδεξαμένου τὸν Ἰωάννην, ἢ τὸν Παῦλον, ἢ τοῦ διαδεξαμένου αὐτὸν τὸν μακάριον Πέτρον, πᾶσι γὰρ ἐξίσου ἐδόθη ἡ ὑπόσχεσις τῆς αἰωνίου παρουσίας τοῦ Κυρίου. Ματθαίου κεφαλαίῳ εἰκοστῷ ὀγδόῳ. ἀλλ' οὔτε διαφορά τις τόπων, ἢ προσώπων ἀπερχομένων, ἢ καὶ ἐπανερχομένων τὴν ἐξουσίαν ταύτην ποιεῖ διάφορον, ἀλλ' ὡς γράφει Ἱερώνυμος ἐπιστολῇ πρὸς Εὐάγριον, ἧς ἡ ἀρχὴ, Ἀνέγνωμεν εἰς τὸν Ἡσαΐαν. Ὅπου ἂν εἴη ὁ Ἐπίσκοπος, ἢ ἐν Ῥώμῃ, ἢ ἐν Εὐγουβίῳ, ἢ ἐν Κωνσταντινουπόλει, ἢ ἐν Ῥηγίῳ, ἢ ἐν Ἀλεξανδρείᾳ, ἢ ἐν Ταίοις τῆς αὐτῆς ἐστὶν ἀξίας καὶ Ἱερωσύνης. ἡ δύναμις τοῦ πλούτου καὶ τῆς πενίας ἡ ταπείνωσις, ἢ ἀνώτερον, ἢ κατώτερον, ἢ ἐνδοξότερον, ἢ χαμερπέστερον οὐ ποιεῖ ποτὲ τὸν Ἐπίσκοπον, ἀλλ' ἐξίσου πάντες οἱ Ἐπίσκοποι τῶν Ἀποστόλων εἰσὶ Διάδοχοι.

ΠΑΡΑΓΡΑΦΟΝ Γ΄.

Ἀπόδειξις δευτέρα ἐκ τῶν τοῦ Κυπριανοῦ ἐπιστολῶν περὶ τῶν αὐτῶν. καὶ ὅτι ἃ γράφει ὁ αὐτὸς εἰς τὴν ἔκδοσιν τὴν Παμμελιανὴν περὶ τῆς καθέδρας τοῦ Πέτρου. δείκνυνται ὑποβολιμαῖα.

Κυπριανὸς ἐπιστολῇ πεντηκοστῇ δευτέρᾳ, ἤτοι βιβλίῳ τεταρτῷ ἐπιστολῇ δευτέρᾳ πρὸς Ἀντωνιανὸν φησὶν, Ὥσπερ μία ἐστὶ παρὰ Χριστοῦ εἰς τὸν κόσμον ἅπαντα ἐν πολλοῖς μέρεσι μεμερισμένη ἡ Ἐκκλησία, οὕτω καὶ ἡ Ἐπισκοπὴ μία ἐστὶ πολλῶν Ἐπισκόπων ἀριθμότητι διεσπαρμένη. Ὁ αὐτὸς ἐπιστολῇ ἑξηκοστῇ ἑβδόμῃ, ἤτοι βιβλίῳ τρίτῳ ἐπιστολῇ δεκάτῃ τρίτῃ πρὸς Στέφανον Ῥώμης φησὶν ὡσαύτως, Καίπερ πολλοί ἐσμεν Ποιμένες, μίαν ποίμνην ὅμως βόσκομεν, καὶ ἅπαντα τὰ πρόβατα, ἃ ὁ Χριστὸς ἐν τῷ αἵματι καὶ τῷ πάθει αὐτοῦ ἐζήτησεν, ἀγαγεῖν καὶ διατηρεῖν χρεωστοῦμεν. Ὁ αὐτὸς, Πάντες εἰσὶ Ποιμένες, ἀλλὰ μία δείκνυται ποίμνη, ἣ παρὰ πάντων τῶν Ἀποστόλων ὁμοψύχῳ διαταγῇ βόσκεται, ἣν ἑνότητα στερρῶς κατέχειν καὶ δεφενδεύειν χρεωστοῦμεν, ἵνα καὶ τὴν Ἐπισκοπὴν μίαν καὶ τὴν αὐτὴν ἀδιαίρετον ἀποδείξωμεν. μηδεὶς τὴν ἀδελφότητα τῷ ψεύδει πλανάτω, μηδεὶς τὴν τῆς πίστεως ἀλήθειαν ἀνόμῳ παραλλαγῇ διαφθειρέτω. μία ἐστὶν ἡ Ἐπισκοπὴ, ἧς παρ' ἑκάστων τὸ μέρος στερρῶς κατέχεται. καὶ ἡ Ἐκκλησία προσέτι μία ἐστὶν, ἥτις εἰς πλῆθος αὐξανομένη ἐκτείνεται. ταῦτα

τα ὁ Κυπριανὸς ἐν τοῖς περὶ ἑνότητος τῆς Ἐκκλησίας. ἃ δὲ ὁ αὐτὸς γράφει εἰς τὴν ἔκδοσιν τὴν Παμμελιανὴν περὶ τῆς καθέδρας τοῦ Πέτρου, ταῦτα ἢ πρὸς τὴν τοῦ Ναυατιανοῦ διαίρεσιν δεῖ ἀναφέρειν, ὅστις σχίσμα ποιῶν κατὰ Κορνηλίου Ῥώμης, ἑαυτὸν Ἐπίσκοπον Ῥώμης χειροτονηθῆναι κατεσκεύασεν, ἢ πρὸς σημείωσιν μυστικὴν τῆς ἑνότητος τῆς Ἐκκλησίας, καὶ ἴδε τὴν ἑβδομηκοστὴν αὐτοῦ ἐπιστολὴν, ἢ τέως ἐν ἀληθείᾳ ὑποβολιμαῖα εἰσὶν, ὡς ἐσημείωσε καὶ Ποσεβῖνος ὁ Ἰησουΐτης ἐν τῇ ἱερᾷ ἑτοιμασίᾳ, καὶ μάρτυς Ἀντώνιος Ντετομινὶς Ἀρχιεπίσκοπος Σπαλάθου βιβλίῳ πρώτῳ περὶ Γερουσίας ἐκκλησιαστικῆς, κεφαλαίῳ ἑβδόμῳ, ἀριθμῷ δεκάτῳ ὀγδόῳ, καὶ ἀνδρέας ὁ Ῥιβέτος εἰς τὸ ἱερὸν κριτικὸν βιβλίῳ τετάρτῳ κεφαλαίῳ δεκάτῳ τετάρτῳ, οἳ πάντες λέγουσιν εἶναι ὑποβολιμαῖα τὰ ἄνωθεν, καὶ ἐν ἀληθείᾳ καθὼς παρὰ τῶν παπιστῶν λαμβάνονται, οὐσυμφωνοῦσιν ἐν τοῖς ἐκεῖ ἀκολουθοῦσι ῥήμασι τοῦ Κυπριανοῦ, οὔτε συμφωνοῦσι τῇ διδασκαλίᾳ καὶ πράξει τοῦ Κυπριανοῦ, ὥς ἐστιν ἰδεῖν ἀπὸ τῆς ὑπ' ἐκείνου ἀθροισθείσης ἐν Καρθαγένῃ Συνόδου τῶν ὀγδηκονταπέντε Ἐπισκόπων, καὶ τῆς ἑβδομηκοστῆς τετάρτης αὐτοῦ ἐπιστολῆς πρὸς Πομπήϊον, καὶ τῆς ἐπιστολῆς Φιρμιλιανοῦ πρὸς Κυπριανὸν, ἥτις ἐστὶν ἐπιστολὴ ἑβδομηκοστὴ πέμπτη τῶν τοῦ Κυπριανοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ἀπόδειξις τρίτη ἐξ ὧν ἔφη ὁ Κυπριανὸς ἐν τῇ τῶν ὀγδοηκονταπέντε Ἐπισκόπων Συνόδῳ καὶ ἐξ ἑτέρων αὐτοῦ ἐπιστολῶν, ὅτι οὐδεὶς Ἐπίσκοπος ἑαυτὸν Ἐπίσκοπον τῶν Ἐπισκόπων εἶναι ἐνόμισε, καὶ τὰ ἑξῆς, ἐξ ὧν δείκνυται πλάσμα τῶν παπιστῶν ἡ ἄνισος Διαδοχὴ τοῦ Πάπα καὶ ἄγνωστος.

Ἐν ἐκείνῃ τῇ Συνόδῳ φησὶν ὁ Κυπριανὸς, Οὐδένα ἐκρίναμεν, ἢ τῆς κοινωνίας ἀπεβάλομεν, ἀλλὰ νομίζομεν δοξάζειν τὴν ἀλήθειαν, ἥτις ἐστὶν, ὅτι οὐδεὶς Ἐπίσκοπος ἑαυτὸν Ἐπίσκοπον τῶν Ἐπισκόπων εἶναι ἐνόμισε, καὶ φόβῳ τυραννικῷ εἰς τὴν ἀνάγκην τῆς ὑπακοῆς τοὺς ἀδελφοὺς καὶ ὀπαδοὺς αὐτοῦ ἠνάγκασέ ποτε. ἔχει γὰρ ἔχει πᾶς Ἐπίσκοπος ὡς ἔξεστι τῇ ἐλευθερίᾳ καὶ ἐξουσίᾳ αὐτοῦ αὐτεξούσιον, ὥστε κρίνεσθαι ὑφ' ἑτέρου μὴ δύνασθαι, οὔτε αὐτὸν ἕτερον ὁμοταγῆ μὴ κρίνειν, ἀλλ' ἐπιμείνομεν πάντες τὴν κρίσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅστις εἷς καὶ μόνος ἔχει τὴν ἐξουσίαν καὶ προβάλλειν ἡμᾶς ἐν τῇ διοικήσει τῆς αὐτοῦ Ἐκκλησίας, καὶ περὶ τῶν ἡμετέρων ἔργων λόγον λαβεῖν. ταῦτα ὁ Κυπριανὸς ἐν τῇ Συνόδῳ τῶν ὀγδοηκονταπέντε Ἐπισκόπων. ἀλλὰ καὶ ἐν τῇ συνοδικῇ αὐτοῦ ἐπιστολῇ πρὸς Στέφανον Ῥώμης, ἥτις λέγεται ἐπιστολὴ ἑβδομηκοστὴ δευτέρα τοῦ Κυπριανοῦ, ταῦτα φησὶ, Τῇ συνειδήσεισου ἀδελφὲ περιπόθητε καὶ ὑπὲρ τῆς κοινῆς τιμῆς, καὶ ὑπὲρ τῆς ἁπλῆς ἀγάπης ἀναφέρομεν, πιστεύοντες ὅτι ὑπὲρ τῆς ἀληθείας τῆς σῆς εὐλαβείας καὶ τῆς πίστεως, ἃ ἔδοξεν ἡμῖν, καὶ σοὶ ἀρεστὰ εἶναι, τὰ εὐσεβῆ δηλαδὴ καὶ ἀληθῆ, εἰ καὶ καλῶς οἴδαμεν τινὰς, οἵτινες τὸ ἅπαξ ῥηθὲν οὐβούλονται ἀποβάλλειν, οὔτε τὴν ἑαυτῶν πρόθεσιν μεταβάλλειν, ἀλλὰ φυλαττομένου μεταξὺ τῶν ὁμοταγῶν τοῦ συνδέσμου τῆς εἰρήνης καὶ τῆς ὁμονοίας, μερικά τινα, ἃ παρ' αὐτῆς ἅπαξ ἡρπάγη μέχρι τέλους κατέχειν, ἐν ᾧ πράγματι οὔτε ἡμεῖς βίαν τινὶ ἐποιήσαμεν, ἢ Νόμον ἐδώκαμεν ἔχοντος ἑκάστου προϊσταμένου ἐν τῇ τῆς αὐτοῦ Ἐκκλησίας διοικήσει ἐλεύθερον τῆς αὐτοῦ θελήσεως τὸ αὐτεξούσιον τοῦ ἀποδοῦναι αὐτὸν περὶ ἑαυτοῦ τὸν λόγον τῷ Κυρίῳ. ἔστι δὲ αὕτη ἡ ἐπιστολὴ τῆς προτέρας συνόδου τῶν Ἀφρικανῶν Ἐπισκόπων, οἵτινες ἦσαν ἑβδομήκοντα καὶ εἷς, περὶ τοῦ ἀναβαπτίζειν τοὺς Αἱρετικοὺς ἀθροισθέντες. καὶ μετὰ τὸ λαβεῖν παρὰ τοῦ Στεφάνου ἀποκριτικὰς ἐπιστολὰς, ἐν αἷς ἔλεγεν ὁ Στέφανος, μὴ δεῖν ἀναβαπτίζειν, ἐγένετο ἡ Συνόδος τῶν ὀγδοηκονταπέντε Ἐπισκόπων, ἐξ ἧς εἰσὶν ἃ εἴπομεν ἀνωτέρω τοῦ Κυπριανοῦ. ἀπεβλήθη εἰς τὴν Συνόδον ἐκείνην καὶ ἡ γνώμη τοῦ Στεφάνου, καὶ γέγονεν ἀπόφασις ἵνα ἀναβαπτίζωνται οἱ Αἱρετικοί. οὐκ ἀρνοῦνται δὲ τὰς Συνόδους ταύτας οὔτε ὁ Βαρώνιος ἐν τῷ Διακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ ἔτει, οὔτε ὁ Βίνιος Τόμῳ πρώτῳ τῶν Συνόδων, καὶ Παμμέλιος ἐν τῷ προλόγῳ τῆς ἐν Καρθαγένῃ τῶν ὀγδοηκονταπέντε Ἐπισκόπων Συνόδου. Εἰς τὰς πράξεις τοῦ Κυπριανοῦ, ὃν τρόπον καὶ εἰς τὰς ἐπιστολὰς τοῦ αὐτοῦ πρὸς Πομπήϊον, καὶ τοῦ Φιρμιλιανοῦ πρὸς Κυπριανὸν, ἡ τοῦ Στεφάνου γνώμη ἰσχυρῶς ἀποβάλλεται καὶ καταπολεμεῖται. καὶ ἔστι δῆλον καὶ ἐκ τούτων τὸ πλάσμα τῶν παπιστῶν περὶ τῆς ἀνίσου Διαδοχῆς, καὶ ὅτι τὸ τοιοῦτον ἦν παντελῶς ἄγνωστον τῷ Κυπριανῷ καὶ τοῖς αὐτοῦ ὀπαδοῖς, καὶ τῷ Φιρμιλιανῷ, καὶ τοῖς Ἐπισκόποις τῆς Ἀσίας, καὶ ἴδε περὶ τούτων ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον δέκατον ἕκτον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ἀπόδειξις τετάρτη ἐκ τοῦ Ἐπιφανίου, Ἰουλίου Ῥώμης, Ἱερωνύμου καὶ Αὐγουστίνου, ὅτι οὐδεὶς Ἐπίσκοπος διεδέξατο τὸν Πέτρον εἰς ἰδικήν τινα ἐξουσίαν, ὥστε πάντες οἱ Ἐπίσκοποι τῇ ἀξίᾳ καὶ ἐξουσίᾳ ἴσοι κατὰ Κυπριανόν.

Ἐκεῖνα τὰ λόγια τοῦ Κυπριανοῦ τὰ πρὸς Στέφανον Ῥώμης γεγραμμένα, καὶ ὁ Ἱερώνυμος ἀναφέρει πρὸς

τὸν

τὸν διάλογον κατὰ Λουκιφεριανῶν ὀλίγον πρὸς τοῦ τέλους, ὃν Ἱερώνυμον μὴ ἐγνωκέναι ταύτην τὴν τῆς παπικῆς διαδοχῆς ἀνισότητα φανερῶς παριστῶσιν ὅσα εἴρηται ἐν πολλοῖς ἀνωτέρω. καὶ δὴ καὶ Αὐγουστῖνος τὰ τοῦ Κυπριανοῦ ἐν τῇ Συνόδῳ τῶν ὀγδοηκονταπέντε Ἐπισκόπων, βιβλίῳ τρίτῳ κεφαλαίῳ τετάρτῳ περὶ βαπτίσματος κατὰ Δονατιστῶν, λέξιν πρὸς λέξιν ἀναγινώσκει, καὶ λέγει περὶ αὐτῶν, ὅτι ἐκ στόματος τῆς ἀληθείας προῆλθον. Ἐπιφάνιος γράφων περὶ τοῦ Ἀδελφοθέου, Αἱρέσει ἑβδομηκοστῇ ἐνάτῃ Παραγράφῳ τρίτῳ φησὶν, Ἐξ οὗπερ Ἐπισκόπου, καὶ τῶν προειρημένων Ἀποστόλων κατεστάθησαν διαδοχαὶ Ἐπισκόπων καὶ Πρεσβυτέρων ἐν οἴκῳ Θεοῦ, καὶ οὕτω γίνεται πασίδηλον, ὅτι πάντες οἱ Ἐπίσκοποι τῇ ἀξίᾳ καὶ τῇ ἐξουσίᾳ ἴσοι, ὡς διδάσκει ὁ Κυπριανὸς καὶ οἱ ὀπαδοί. Ἰούλιος Ῥώμης Πάπας ἐπιστολῇ πρὸς Εὐσεβιανοὺς, ὡς φαίνεται εἰς τὴν δευτέραν ἀπολογίαν τοῦ ἁγίου Ἀθανασίου, γινώσκει καὶ μαρτυρεῖ ταύτην τὴν ἰσότητα, ὡς εἴπομεν ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίῳ πέμπτῳ, οἷς ἀκολουθήσαντες Ἱερώνυμος καὶ Αὐγουστῖνος, φασὶν ἐν πολοῖς, Ἐν τῇ πολιτείᾳ τῆς Ἐκκλησίας τὴν Ἐπισκοπὴν εἶναι ἄκρον βαθμὸν, ἣν ὁμοφρόνῳ πίστει ἡ καθολικὴ παλαιότης ἐπαγγέλλεται κρατεῖν. καὶ ἐντεῦθεν συμπεραίνεται κατὰ πᾶσαν ἀνάγκην, μηδένα Ἐπίσκοπον Ῥώμης, ἢ Κωνσταντινουπόλεως, οὔτε ἄλλον τινὰ διαδεχθῆναι τὸν Πέτρον εἰς ἰδικήν τινὰ ἐξουσίαν, ἢ Ἡγεμονίαν, ὥστε διατοῦτο προτερεύειν τῆς Ἐπισκοπῆς, ἣν πάντες καὶ ἕκαστοι οἱ Ἐπίσκοποι κατέχουσιν ἴσῃ τιμῇ καὶ ἐξουσίᾳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Ἀπόδειξις πέμπτη ἐκ τοῦ Ἰγνατίου τοῦ Θεοφόρου, ὅτι πάσης ἀρχῆς καὶ ἐξουσίας ἐπέκεινα ὁ Ἐπίσκοπος, πάντων κρατῶν, καὶ τὶ Πρεσβυτέριον καὶ Διάκονοι.

Ἰγνάτιος ὁ Θεοφόρος ἐπιστολῇ πρὸς Τραλλιανοὺς τάδε φησὶ, Τί γὰρ ἐστὶν Ἐπίσκοπος; ἀλλ' ἢ πάσης ἀρχῆς καὶ ἐξουσίας ἐπέκεινα, πάντων κρατῶν, ὡς οἷόν τε ἄνθρωπον κρατεῖν, μιμητὴν γινόμενον κατὰ δύναμιν Χριστοῦ τοῦ Θεοῦ. τὶ δὲ Πρεσβυτέριον; ἀλλ' ἢ σύστημα Ἱερὸν, σύμβουλοι καὶ συνεδρευταὶ τοῦ Ἐπισκόπου. τὶ Διάκονοι; ἀλλ' ἢ μιμηταὶ τῶν ἀγγελικῶν Δυνάμεων, λειτουργοῦντες αὐτῷ λειτουργίαν καθαρὰν καὶ ἄμωμον, ὡς Στέφανος ὁ ἅγιος Ἰακώβῳ τῷ μακαρίῳ, καὶ Τιμόθεος καὶ Λῖνος Παύλῳ, καὶ Ἀνάκλητος καὶ Κλήμης Πέτρῳ. σημείωσαι τὸν Θεοφόρον λέγοντα τὴν Ἐπισκοπικὴν μηδένα ἔχειν ἕτερον βαθμὸν ἀνώτερον, ἀλλὰ τὴν αὐτὴν εἶναι ἴσην ἐν πᾶσι τοῖς Ἐπισκόποις.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ἀπόδειξις ἕκτη ἐκ τοῦ Διονυσίου Ἀρεοπαγίτου, ὅτι ἡ τῶν Ἱεραρχῶν τάξις πρώτη καὶ ἀκροτάτη καὶ ἐσχάτη ἡ αὐτὴ, ὧν μόνος προηστὼς ὁ Χριστός.

Συνῳδὰ τούτῳ φάσκει καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης βιβλίῳ περὶ ἐκκλησιαστικῆς Ἱεραρχίας κεφαλαίῳ πέμπτῳ, Ἡθεία τῶν Ἱεραρχῶν τάξις πρώτη μὲν ἐπὶ τῶν θεοπτικῶν τάξεων, ἀκροτάτη δὲ καὶ ἐσχάτη ἡ αὐτὴ, καὶ γὰρ εἰς αὐτὴν ἀποτελεῖται καὶ ἀποπληροῦται πᾶσα ἡ τῆς καθ' ἡμᾶς Ἱεραρχίας διακόσμησις, ὡς γὰρ ἅπασαν Ἱεραρχίαν ὁρῶμεν εἰς τὸν Ἰησοῦν ἀποπεραιουμένην, οὕτως ἑκάστην εἰς τὸν οἰκεῖον ἔνθεον Ἱεράρχην. Ἰδοὺ λοιπὸν καὶ ὁ Διονύσιος οὐδένα ἔγνω ἐν τῇ Ἐκκλησίᾳ προεστῶτα Ἐπίσκοπον ὁποιασδήποτε πόλεως, ἕνα καὶ μόνον διδάσκων προεστῶτα τῶν Ἐπισκόπων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὃν ἐν τῷ αὐτῷ κεφαλαίῳ καλεῖ, Τὸν Θεαρχικὸν ἡμῶν καὶ πρῶτον Ἱεροτελεστήν.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ἀπεδείχθη ἄρα, ὅτι πάντες οἱ Ἐπίσκοποι πάντων τῶν Ἀποστόλων εἰσὶ διάδοχοι καὶ κατὰ πάντα ἴσοι.

Ἔτι σαφέστατα ἀπεδείχθη ἡ ἰσότης τῶν Ἐπισκόπων καὶ τῆς ἐξουσίας αὐτῶν, καὶ ὅτι οἱ Ἐπίσκοποι κατὰ τὸν αὐτὸν τρόπον εἰσὶ πάντες πάντων τῶν Ἀποστόλων διάδοχοι ἐν πολοῖς ἀνωτέρω, καὶ ἰδιαίτερον βιβλίου πρώτου κεφαλαίῳ ἑνδεκάτῳ καὶ εἰκοστῷ δευτέρῳ, καὶ βιβλίου δευτέρου κεφαλαίῳ πέμπτῳ, καὶ μέρους δευτέρου κεφαλαίῳ πρώτῳ καὶ ἐσχάτῳ, καὶ μέρους τρίτου κεφαλαίῳ ἑβδόμῳ, καὶ ἔτι λαμπρῶς ἀπὸ τῆς πρὸς τὴν τρίτην Σύνοδον ἐπιστολῆς τοῦ Πάπα κελεστίνου, καὶ ἴδε ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν, καὶ μέρους τρίτου κεφαλαίου τρίτου τμήματος τετάρτου Παράγραφον τέταρτον.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι οὐδύναταί τις τῶν Ἐπισκόπων, κἂν Πατριάρχης ᾖ, ἔχειν ἐν τῇ Ἐπαρχίᾳ αὐτοῦ αὐτοκρατορικὴν ἐξουσίαν, ὅθεν ἡ νῦν ἐν Ῥώμῃ Διαδοχὴ τοῦ Πάπα πλάσμα καὶ παιζόμενον σφαιρεῖον καὶ Διαβολικῆς σκηνῆς μυθάριον.

Εἰ δὲ καὶ προβάλλουσιν οἱ παπισταὶ ἐγκώμιά τινα καὶ ὀνόματα ὑπέρογκα ῥηθέντα τῷ Ἐπισκόπῳ Ῥώμης, ἀλλ' οὐδὲ τοῦτο βοηθεῖ αὐτοῖς εἰς σύστασιν τῆς ἀνίσου Διαδοχῆς, καὶ ἴδε ἀνωτέρω τοῦ δευτέρου μέρους τὸ ἔσχατον κεφάλαιον. Ἀλλὰ καὶ ὁ Ἐπίσκοπος, εἰ καὶ ἔχει τὸν ἄκρον βαθμὸν εἰς τὴν Ἐκκλησίαν, οὐδύναται ὅμως ἔχειν αὐτοκρατορικὴν ἐξουσίαν ἐν τῇ Ἐπαρχίᾳ αὐτοῦ, ἀλλὰ τὰ πάντα πράττει μετὰ τῆς βουλῆς καὶ ἐπικρίσεως τοῦ πρεσβυτερίου, ἤτοι τῶν Κληρικῶν, ὡς εἴρηται ἀνωτέρω μέρους τρίτου κεφαλαίῳ ἑβδόμῳ. εἰ δὲ καὶ εἰσὶν ἐν τῇ Ἐκκλησίᾳ Πατριάρχαι, ἀλλ' οὐκ εἰσὶ παρὰ τῶν Ἀποστόλων, ἀλλὰ παρὰ τῆς Ἐκκλησίας καὶ τῶν Οἰκουμενικῶν Συνόδων, οὐχ οὕτως ὅμως ὥστε ἔχειν αὐτοὺς ἕτερόν τινα βαθμὸν Ἐπισκοπικῆς παρὰ τὸν κοινὸν, ὡς ἐροῦμεν, εἰ δὲ καὶ ἔχουσιν ἀξίωμα μείζονος τάξεως καὶ Διοικήσεως, οὐμέντοι γε μετὰ γενικῆς τινὸς ἐξουσίας εἰς τὴν καθόλου Ἐκκλησίαν, ἀλλ' εἴς τινας τόπους διωρισμένους παρὰ τῶν Κανόνων, καὶ οὐδὲ ἐν τούτοις ἐνεργοῦσιν ἀπολελυμένως, ἢ αὐτοκρατορικῶς, ἀλλὰ κατὰ τὴν γραφὴν, κατὰ τοὺς Κανόνας, κατὰ τὴν κοινὴν τῆς καθολικῆς Ἐκκλησίας παράδοσιν καὶ συνοδικῶς. Φανερὸν οὖν ὅτι ἡ τοῦ Πάπα φημιζομένη Διαδοχὴ ἐν τῇ Ῥώμῃ παρὰ τοῦ Πέτρου, ἐστὶ πλάσμα, καὶ παρὰ ἀθλίοις ἀνθρώποις καὶ δεισιδαίμοσι παιζόμενον σφαιρεῖον, καὶ ἐν σκηνῇ Διαβολικῇ Διαβοώμενον μυθάριον.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Ε'. ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἐπειδὴ ἐνταῦθα ὁ λόγος ἐστὶ περὶ ἐκκλησιαστικῆς Διαδοχῆς, ἧς ἡ ἐνέργεια αἱ Κλεῖδες τῆς βασιλείας τῶν Οὐρανῶν, διοριστέον ἐν ὀλίγοις περὶ αὐτῶν, ὧν τῆς ἐξουσίας τρεῖς τάξεις τίθενται οἱ Σχολαστικοὶ, Διαφόρως ἀποκαλοῦντες καὶ διαιροῦντες.

Τρεῖς τάξεις ἐξουσίας τίθενται οἱ Σχολαστικοὶ εἰς τὸν Πάπαν καὶ τοὺς λοιποὺς Ἐπισκόπους, πρώτην τὴν τοῦ βαθμοῦ, δευτέραν διοικήσεως ἐσωτερικῆς, τρίτην διοικήσεως ἐξωτερικῆς, ὧν ἡ μὲν πρώτη ἀναφέρεται εἰς τὸ ἐπιτελεῖν τὰ Μυστήρια, ἡ δὲ δευτέρα ἀναφέρεται πρὸς τὸν λαὸν τοῦ Θεοῦ, εἰς τὸ κυβερνᾶν δηλαδὴ τὴν ἐσωτερικὴν τῶν πιστῶν συνείδησιν, καὶ ἡ τρίτη εἰς αὐτὸν τὸν λαὸν, εἰς τὰ ἔξω μέντοι ἤθη. εἰς ταύτην δὲ τὴν τρίτην βούλονται εἶναι ἀνισότητα τῆς Διαδοχῆς, καθ' ἧς ἐροῦμεν μεταταῦτα. Ἔτι ῥητέον σαφέστερον, ἐσωτερικὴν διοίκησιν καλοῦσιν ἐκείνην, δι' ἧς ὁ Ἱερεὺς δύναται συγχωρῆσαι τῷ ἐξομολογουμένῳ πρὸς αὐτὸν ἁμαρτωλῷ, μιγνύων καὶ τὴν Ἱκανοποίησιν. ἐξωτερικὴν δὲ διοίκησιν λέγουσιν ἐκείνην, δι' ἧς οἱ Ἱερεῖς τοὺς φανερῶς ἁμαρτάνοντας τῷ ἀφορισμῷ δεσμοῦσι, παρέχοντες αὐτοῖς κανόνας καὶ ἄλλας ἐξωτερικὰς παιδείας, ἀφ' ὧν καὶ συγχωροῦσιν αὐτοῖς ὅτ' ἂν βούλωνται. καὶ ἐκείνην μὲν τὴν ἐσωτερικὴν διοίκησιν καλοῦσι διοίκησιν Ἱερατικὴν, ταύτην δὲ τὴν ἐξωτερικὴν διοίκησιν λέγουσι διοίκησιν Ἐπισκοπικήν. Ἕτεροι δὲ τὴν μὲν ἐσωτερικὴν διοίκησιν καλοῦσιν ἐξουσίαν τῶν Κλειδῶν τῆς τάξεως ἐν τῷ φόρῳ τῆς συνειδήσεως, ἤτοι τῆς μετανοίας, ταύτην δὲ τὴν ἐξωτερικὴν καλοῦσιν ἐξουσίαν τῶν Κλειδῶν τῆς διοικήσεως ἐν τῷ κριτηρίῳ τῷ ἐλεγκτικῷ εἰς τὸ δεσμεῖν διὰ τοῦ ἀφορισμοῦ καὶ λύειν ἀπὸ τοῦ ἀφορισμοῦ. Ἄλλοι δὲ καλοῦσιν ἐκείνην μὲν, δηλονότι τὴν ἐσωτερικὴν Κλεῖδα τάξεως, ταύτην δὲ τὴν ἐξωτερικὴν Κλεῖδα δικαιολογίας, ὅπου γε τοὔνομα τῆς δικαιολογίας ἐγγίζει τῇ κριτικῇ ἐξωτερικῇ ἐξουσίᾳ. Ἐν δὲ ἄλλῃ διαιρέσει διαιροῦνται αἱ Κλεῖδες εἰς τὴν Κλεῖδα τῆς γνώσεως καὶ τῆς Διακρίσεως, καὶ εἰς τὴν Κλεῖδα τῆς γνώσεως ἢ τῆς ἰσχύος. Οἱ αὐτοὶ τὸ τῆς δυνάμεως ὄνομα, ὅπερ ἄλλως ἐστὶ κοινὸν, συνάπτουσι τῇ δυνάμει τοῦ κρίνειν, ἢ τοῦ ἀποφαίνεσθαι, οὕτως αὐτὴν τὴν Κλεῖδα διαιροῦντες ἀπὸ τῆς δυνάμεως τοῦ γινώσκειν καὶ διακρίνειν πρὶν τῆς ἀποφάσεως, ἀμφοτέραν δὲ ταύτην τὴν Κλεῖδα λέγουσιν εἶναι ἀναγκαίαν ἀμφοτέρῳ τῷ βήματι τῷ τε τῆς συνειδήσεως, ὅπου τάττουσι τὸ ὄνομα τῶν Κλειδῶν τῆς τάξεως, καὶ τῷ βήματι τῆς αἰτίας, ὅπου λέγονται Κλεῖς δικαιολογίας, διότι εἰς παῦ ὀρθὸν κριτήριον ζητεῖται ἡ γνῶσις τοῦ πράγματος καὶ ἡ ἀπόφασις.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι μιᾶς οὔσης ἐν τῷ ἐσωτερικῷ καὶ ἐξωτερικῷ βήματι τῆς Κλειδὸς καὶ ἰδιαιτάτης τῷ Ἐπισκόπῳ, βλάσφημον δείκνυται τὸ καλεῖσθαι παρὰ τῶν Λατίνων τὴν μὲν δευτέραν τάξιν Ἱερατικὴν, τὴν δὲ τρίτην ἐπισκοπικήν. καὶ περὶ τῶν πενταχῶς ἐνεργούντων ἐν τῷ ἐξωτερικῷ βήματι.

Ἄγνω-

Ἄγνωστα ἦσαν τοῖς πάλαι ἁγίοις πατράσι ταῦτα τὰ καινοφανῆ ὀνόματα, καὶ αὗται αἱ ἀσαφεῖς καὶ σοφιστικαὶ διαιρέσεις, πλὴν ὀρθῶς ἐνοουμένας ταύτας εἰ δεξόμεθα, οὐδὲν ἡμῖν ἐμποδών ἐστιν. Οὐκ ἔστι δὲ ὀρθὸν τὸ, Ὁ Ἱερεὺς δύναται συγχωρῆσαι τῷ ἐξομολογουμένῳ πρὸς αὐτὸν ἁμαρτωλῷ, ἔδει γὰρ αὐτοὺς εἰπεῖν, Ὁ Ἐπίσκοπος, ἢ ὁ παρὰ τοῦ Ἐπισκόπου λαβὼν ἐξουσίαν Ἱερεὺς, ὅπερ καὶ ἡ ἐν Τριδεντῷ Σύνοδος, καίτοι πάντολμος οὖσα, οὐκ ἐδυνήθη φυγεῖν, ἀλλ' ἐνέδωκεν εἰποῦσα, Ὁ Ἱερεὺς κατ' ἐπιτροπὴν τοῦ Ἐπισκόπου ἔχει τὸ δικαστήριον. πράξει τετάρτῃ. Οὐκ ὀρθόν ἐστιν ἔτι καὶ τὸ, Ἡ μὲν ἐσωτερικὴ διοίκησις ἐστὶν Ἱερατικὴ, ἡ δὲ ἐξωτερικὴ διοίκησις ἐστὶν Ἐπισκοπικὴ, καὶ γὰρ βλάσφημον οὕτω πως χωρὶς διορισμοῦ ἀπονέμειν τὴν μὲν τῷ Ἱερεῖ, τὴν δὲ τῷ Ἐπισκόπῳ, μία γάρ ἐστιν ἡ Κλεὶς καὶ ἐν τῷ ἐσωτερικῷ καὶ ἐν τῷ ἐξωτερικῷ βήματι ἰδιαιτάτη τῷ Ἐπισκόπῳ, ὁ μὲν γὰρ Ἐπίσκοπος ἔχει ἀκοινώνητα ἴδια, τὸ χειροτονεῖν Ἐπισκόπους, Πρεσβυτέρους, Διακόνους. καὶ τοὺς λοιποὺς ἐκκλησιαστικοὺς βαθμοὺς διδόναι οἷς δέον ἐστὶ δίδοσθαι, καὶ τὸ ἅγιον Μῦρον ἐπιτελεῖν, ὁ δὲ Ἱερεὺς λαβὼν ἐκ τοῦ Ἐπισκόπου τὸν βαθμὸν, ἱερουργεῖ τὰ διορισθέντα αὐτῷ παρὰ τῆς γραφῆς καὶ τῆς Ἐκκλησίας, ἀλλὰ μετὰ ἐπιτροπῆς τοῦ Ἀρχιερέως, οὐχ οὕτως ὅμως ὥστε ἀφοσιοῦσθαι τῷ Ἱερεῖ τὸ ἔνδον βῆμα, τῷ Ἐπισκόπῳ δὲ τὸ ἔξω, ἀλλὰ τὸν μὲν Ἐπίσκοπον ἐπιτελεῖν πάντα τὰ Μυστήρια ὡς ἔχοντα ἐν αὐτῷ τὸ πλήρωμα τῆς Ἱερωσύνης, καὶ ὄντα Ἄρχοντα ἐν τῇ Ἐκκλησίᾳ, καὶ Νυμφίον τῆς Ἐκκλησίας, τὸν δὲ Ἱερέα ἐνεργεῖν τὰ ἀνήκοντα αὐτῷ οὐ μόνον ἐν τῷ ἔνδον καὶ μετανοητικῷ βήματι, ἀλλὰ καὶ ἐν τῷ ἐξωτερικῷ καὶ κριτικῷ τῇ διαταγῇ καὶ δοθείσῃ αὐτῷ ἐξουσίᾳ παρὰ τοῦ Ἀρχιερέως, εἰ δὲ καὶ Διάκονοι καὶ ἄλλοι Ὀφφικιάλιοι ἀφορίζουσι καὶ συγχωροῦσιν, ἀλλ' οὐκ ἐν τῷ ἐσωτερικῷ βήματι, ἐν ᾧ αἰένδεκτόν ἐστι δύνασθαι τὸν μὴ ὄντα Ἱερέα ἐνεργῆσαί τι κατ' οὐδένα τρόπον, ἀλλ' ἐν μόνῳ τῷ ἐξωτερικῷ βήματι, καὶ τοῦτο πενταχῶς, ἢ ἐξ ἰδικῆς ἐπιταγῆς, ὥσπερ οἱ Τοποτηρηταὶ καὶ Λεγάτοι ἐνήργησαν ἐν ταῖς Οἰκουμενικαῖς καὶ ἄλλαις Συνόδοις ἐκεῖνα ἅπερ ἔδει ἐνεργῆσαι τοὺς πέμψαντας αὐτοὺς Ἐπισκόπους, ἢ ἐκ διαθέσεως εἰς ἕτερον, ὡς ἐν ταῖς μερικαῖς Ἐκκλησίαις ἐνεργοῦσιν ἐκεῖνα, ἅπερ αὐτοῖς προσετάγησαν, ὡς εἴρηται, παρὰ τοῦ Ἐπισκόπου, ἢ ἐκ διαθέσεως τοῦ κοινοῦ Νόμου, δίδοται γὰρ ἐξουσία τοῖς προεδρεύουσι τῆς Ἐκκλησίας παρὰ τῆς γραφῆς, ὅσα γὰρ ἄν φησι λύσητε καὶ δήσητε, ὅπερ καὶ αὐτὸ ἐκ τοῦ Ἐπισκόπου κρέμαται, καὶ γὰρ προεδρεύοντες οὐκ εἰσί τινες γέροντες ἁπλῶς καὶ λαϊκοὶ, ἀλλ' οἱ τῶν Ἐκκλησιῶν Πρεσβύτεροι. ἢ ἀπὸ συνηθείας, ὥσπερ οἱ ἐνορῖται Ἱερεῖς ἐν ταῖς κλοπαῖς καὶ ἐν ταῖς ἁρπαγαῖς καὶ ἐν ἄλλαις φανεραῖς τοιαύταις ἁμαρτίαις ἀφορίζουσι καὶ συγχωροῦσιν. ἢ ἐκ τοῦ ἰδίου δικαίου, ὡς ἕκαστος τῶν Χριστιανῶν ἔχει διαίωμα ἐν Θεοῦ συγχωρεῖν τῷ εἰς αὐτὸν ἁμαρτήσαντι, ὅπερ ἐστὶν ἔξωθεν τοῦ μετανοητικοῦ καὶ κριτικοῦ βήματος.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Δόγμα Παπῶν καὶ παπιστῶν, ὅτι οἱ ὑποψήφιοι εἰς Ἐπισκοπὴν πρὶν ἢ χειροτονηθῆναι Ἐπισκόπους. ἢ καὶ Ἱερεῖς, δύνανται πάντα τὰ τοῦ Ἐπισκόπου ποιεῖν. καὶ, ὁ Πάπας οὐκ ἔστιν ὄνομα βαθμοῦ, ἀλλὰ δικαιολογίας καὶ ἐπαγγέλματος. καὶ, ᾗ Πάπας οὐκ ἔχει ἐξουσίαν ἐπιτελεῖν τὸ ἀληθὲς σῶμα τοῦ Κυρίου, μὴ ὢν Ἱερεὺς, εἰ καὶ δύναται διοικεῖν αὐτὸ καὶ μὴ ὢν Ἱερεὺς.

Μεγάλους ἀγῶνας ἔδωκε τοῖς Σχολαστικοῖς ἐκείνη ἡ συνήθεια ἣν ἔβλεπον ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ, ἄγνωστον μὲν οὖσαν ἐν τῇ παλαιότητι τῶν ὀρθοδόξων, ἐν δὲ τοῖς μεταγενεστέροις καιροῖς εἰσπηδήσασαν. θεωροῦντες οὖν τοὺς Πάπας βεβαιοῦντας ταύτην, κατακρῖναι φανερῶς οὐκ ἐτόλμων, ἀλλ' οὔτε τρόπον τινὰ συμβιβάσαι μετὰ τῆς διδασκαλίας τῶν Κλειδῶν εὕρισκον. ἔστι δὲ αὕτη ἡ συνήθεια ἐκείνη ἥτις καὶ σήμερον ὑπὸ τῶν Παπῶν καὶ παπιστῶν ἐνεργεῖται, πολλοὶ γὰρ μήτε καὶ Ἱερεῖς ὄντες κεχειροτονημένοι, ἀλλ' ὑποψήφιοι λαβόντες τὴν ἐκλογὴν, καὶ τὰς ψήφους πρὸς τὴν Ἐπισκοπὴν, πρὸ τοῦ χειροτονηθῆναι αὐτοὺς οὐ μόνον Ἐπισκόπους, ἀλλ' οὐδὲ καὶ Ἱερεῖς, ἀφορίζουσι, καὶ ὅλως κρίνουσι, καὶ ἐξουσιάζουσι τῷ κριτικῷ βήματι κατὰ τὴν ἐξουσίαν ἐκείνην τὴν Ἐκκλησιαστικὴν, τὴν μόναις ἀνήκουσαν ταῖς Κλεισίν. ὅθεν καὶ φασὶ, δύνασθαί τινα μὴ ὄντα μὲν Ἱερέα, ἐκλεγέντα δὲ εἶναι Πάπαν, ἐνεργεῖν καὶ πρὸ τῆς χειροτονίας τὰ πάντα, ὡς ἂν εἴη κεχειροτονημένος Ἐπίσκοπος Ῥώμης. ἕπεται δὲ ἐκ τούτου τὸν Πάπαν ᾗ Πάπαν δύνασθαι μὴ εἶναι Ἐπίσκοπον, καὶ λοιπὸν οὐδὲ καθολικὸν Ἐπίσκοπον. τὸ δὲ δύνασθαι τὸν Πάπαν εἶναι Πάπαν ἄνευ τοῦ βαθμοῦ τῆς Ἱερωσύνης, καὶ τῆς χειροτονίας τοῦ Ἐπισκόπου, ἐσημείωσε σοφὸς ἀνὴρ, ὅτι πρὸ τριακοσίων σχεδὸν ἐτῶν ἐδίδαξεν Αὐγουστῖνος Τρίομφος ὁ Ἀγκωνιτανὸς, ὡς μαρτυρεῖ Ἐνρῖκος Καλτέϊζεν ὁ Δομινικανὸς Διδάσκαλος θεολόγος ἐν τῇ Ἀκαδημίᾳ τῆς Κολωνίας, ὅστις καὶ τὴν διδασκαλίαν τοῦ αὐτοῦ Αὐγουστίνου ἐβεβαίου ἐν τῷ λόγῳ αὐτοῦ, ὃν εἶπεν ἐν τῇ Συνόδῳ τῆς Βασιλείας κατὰ τὸ τρίτον ἄρθρον τῶν Ποέμων, ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ τρίτῳ, ὅπου ὑπὲρ τῆς ἐξουσίας τοῦ Πάπα λογοποιούμενος φησὶν, ὁ Πάπας οὐκ ἔστιν ὄνομα βαθμοῦ, ἀλλὰ μόνον δικαιολογίας καὶ ἐπαγγέλματος, δηλονότι ὁ Πάπας δύναται ἀπέχειν τοῦ παπάτου, τοσοῦτον ὥστε μὴ εἶναι πλέον Πάπαν, ὅμως οὐδύναται ἀπέχειν τοῦ ἱεροῦ βαθμοῦ, ὥστε μετὰ τὴν χειροτονίαν μὴ ἔχειν πάντοτε τὸν χαρακτῆρα τῆς Ἱερωσύνης. καὶ τοῦτο μὲν ἀνεκτὸν,

τὸ

τὸ δὲ μεταταῦτα, βλάσφημον, ἐπιλέγει γὰρ, ὅτι ὁ Πάπας ἢ Πάπας οὐκ ἔχει ἐξουσίαν ἐπιτελεῖν τὸ ἀληθὲς τοῦ Κυρίου σῶμα, ἐὰν μὴ χειροτονηθῇ Πρεσβύτερος, εἰ καὶ δύναται διοικεῖν τὸ μυστικὸν σῶμα τοῦ Χριστοῦ, κἂν μὴ ἔχῃ τὸν βαθμὸν τῆς Ἱερωσύνης, ὡς συμπεραίνει ὁ ἀπὸ Ἀγκῶνος Αὐγουστῖνος ἐν τῷ βιβλίῳ περὶ ἐκκλησιαστικῆς ἐξουσίας, ζητήματι τεταρτῷ, ἄρθρῳ δευτέρῳ. ταῦτα ὁ Καλτεΐζεν Τόμῳ ὀγδόῳ τῶν Συνόδων, τύπῳ τοῦ Παρισίου, ἀριθμῷ τριακοστῷ τεσσαρακοστῷ πρώτῳ, ἐν τῇ Κολωνίᾳ, ἐν τῇ πράξει τῆς πρώτης ἡμέρας, καὶ γὰρ ἐν τρισὶν ἡμέραις μόλις κατεπαύσατο τοῦ λόγου,

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι πρὸς τῷ ἀντικεῖσθαι τῇ γραφῇ τὸ ἀνωτέρω παπικὸν δόγμα, ἀναιρεῖται ὑπὸ Νικολάου Κουζάνου Καρδηνάλεως, καὶ Στοτάτου Ἀβουλίας Ἐπισκόπου, ὡς τῆς Κλειδὸς καὶ οὐ τῆς δικαιολογίας ἐν βαθμῷ διδομένης.

Καὶ τοῦτο τὸ δόγμα τῶν παπιστῶν ἀντίκειται τῇ γραφῇ καὶ τοῖς Κανόσι καὶ τῇ πράξει καὶ παραδόσει τῆς καθολικῆς Ἐκκλησίας, ἀρκεῖ ὅμως εἰς ἀναίρεσιν αὐτοῦ Νικόλαος Κουζᾶνος ὁ Καρδηνάλις, ἐν τῷ περὶ συμφωνίας κεφαλαίῳ δεκάτῳ λέγων, Δύναται ψηφισθῆναί τις Πάπας μὴ ὢν Ἱερεὺς, καθὼς ψηφίζεται καὶ Ἐπίσκοπος, καὶ ἀρκεῖ εἰς παράδειγμα ὁ Κωνσταντινουπόλεως Νεκτάριος, ὅμως οὐ δύναται ὀνομασθῆναι Πατριάρχης τῆς Ῥώμης, εἰ οὐ λάβῃ τοὺς βαθμοὺς τῆς Ἱερωσύνης καὶ Ἀρχιερωσύνης. καὶ εἰ καὶ ὑπὸ τῶν ψήφων ἔχει τὸ δικαιολόγημα, ἀλλὰ πρὸ τῆς χειροτονίας ἀνεπίδεκτός ἐστιν ἐξουσίας. συνᾴδει τῷ Νικολάῳ καὶ Τοστᾶτος Ἀβουλίας Ἐπίσκοπος, φησὶ γὰρ, Ἡ Κλεὶς, ἥτις ἐστὶν ἡ ἐξουσία ἡ πνευματικὴ, ἐν βαθμῷ δίδοται. δικαιολογία δὲ οὐ δίδοται ἐν βαθμῷ, ἀλλὰ τότε, ὅτε μετὰ τὸν βαθμὸν δίδοται αὐτῷ ἡ ὕλη, τουτέστιν ὁ ὑποκείμενος λαός. πρὸ τοῦ λαβεῖν ἄρα τὴν ὑποκειμένην ὕλην, εἰ λάβῃ τὸν βαθμὸν, ἔχει μὲν τὰς Κλεῖς, ἀλλ' οὐκ ἔχει πῶς ἐνεργῆσαι αὐτὰς, ὡς οὐκ ἔχει καὶ ὅταν ἀφαιρεθῇ παρ' αὐτοῦ ἡ ὕλη, ὡς δηλονότι συμβέβηκεν Εὐσταθίῳ τῷ Παμφυλίας, καὶ Στεφάνῳ καὶ Βασιανῷ τοῖς Μητροπολίταις Ἐφέσου, ὧν τῷ μὲν Εὐσταθίῳ ἡ τρίτη Σύνοδος, τοῖς δὲ, ἡ ἐν Χαλκηδόνι ἀφῆκαν μὲν τὸν βαθμὸν ὅσον τοῦ ἱερατεύειν περὶ ἑαυτῶν μόνων, μὴ δύνασθαι δὲ ἐνεργεῖν τοῦτον ἐν ἄλλῳ τινὶ ἄνευ ἐπιτροπῆς Ἐπισκόπου τινὸς, καὶ τοῦτο, ἐν διωρισμένῃ αἰτίᾳ τοῦ παρέχοντος τὴν ἐπιτροπὴν Ἐπισκόπου δηλονότι.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τοῦ πῶς ἑρμηνεύει τὰς Κλεῖς ὁ Ἀλεξανδρείας Μελέτιος, καὶ πῶς οἱ Λατῖνοι μετὰ τῆς προσθήκης τοῦ Πέτρου.

Τὰς Κλεῖς φησὶν ὁ Ἀλεξανδρείας Μελέτιος, δύο δὲ ταύτας φαμὲν, εἴτουν διπλᾶς, τὸ κήρυγμα τοῦ Εὐαγγελίου, δηλοῦν, δι' οὗ τοῖς πιστεύουσι σωτηρία προσγίνεται. τοῦτο ἐστὶν ἡ ἄνοιξις τῶν Κλειδῶν αἱ θάτεραι. οἱ δὲ ἀπειθοῦντες κατακρίνονται, καὶ κατ' αὐτῶν ἡ Βασιλεία τοῦ Θεοῦ κέκλεισται, αἵδε αἱ θάτεραι. εὐσεβὴς ἡ ἐκδοχὴ, καὶ γὰρ τῷόντι ὁ λόγος τοῦ Σταυροῦ τοῖς μὲν ἀπολλυμένοις ἐστὶ μωρία, διὸ καὶ ἀπειθοῦσι, καὶ ἀπόλλυνται, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστιν. ὅθεν ἔλεγεν ὁ Ἀπόστολος, Χριστοῦ εὐωδία ἐσμὲν ἐν τοῖς ἀπολλυμένοις καὶ ἐν τοῖς σωζομένοις, οἷς μὲν ὀσμὴ ζωῆς εἰς ζωὴν, οἷς δὲ ὀσμὴ θανάτου εἰς θάνατον. ὁ δὲ Σωτὴρ φησὶ, Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει. ὁ πιστεύσας, καὶ βαπτισθεὶς, σωθήσεται, Ἡ ΚΛΕΙΣ ἡ ΜΙΑ, ὁ δὲ ἀπιστήσας, κατακριθήσεται, Ἡ ΚΛΕΙΣ Ἡ ΔΕΥΤΕΡΑ, Κλεῖδες εἰσὶ κατὰ τοὺς Λατίνους, ἡ μὲν, τῆς γνώσεως, ἡ δὲ, τῆς ἐξουσίας, ἃς καὶ φασὶ τὴν Ἐκκλησίαν εἰληφέναι, ὥστε δύνασθαι ἐπιγινώσκειν μὲν τὰ ἁμαρτήματα τῶν μετανοούντων, δύνασθαι δὲ πρὸς τὰ ἐγνωσμένα καὶ τὴν ψῆφον ἐξενεγκεῖν, λύουσαν τὰ λύσεως καὶ δεσμοῦσαν τὰ δεσμοῦ ἄξια. οὐκ ἀπεικότως δὲ ταῦτα ἐφρόνουν, εἰ μὴ προσετίθουν, Διὰ Πέτρου μόνου ταῦτα εἰληφέναι τὴν Ἐκκλησίαν. ταῦτα ἐπιστολῇ πρὸς τὸν Κωνσταντινουπόλεως Ἱερεμίαν ὑπὲρ τοῦ, Τί ἐστιν ἡ ἀληθὴς Ἐκκλησία.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Περὶ ἐξηγήσεως τῶν Κλειδῶν διαφόρως παρὰ τοῖς θείοις πατράσι, καὶ τοῦ διορισμοῦ αὐτῶν τοῦ δεσμεῖν τε καὶ λύειν, καὶ τῆς τριττῆς δόσεως αὐτῶν εἰς τοὺς Ἀποστόλους.

Ἰστέον λοιπὸν πρῶτον, ὅτι αἱ Κλεῖδες αἱ καθυποσχεθεῖσαι τῷ μακαρίῳ Πέτρῳ καὶ τοῖς Ἀποστόλοις καὶ παντὶ εὐσεβεῖ, διαφόρως ἐξηγοῦνται παρὰ τοῖς θείοις πατράσι, συναρμολογουμένοις ὅλοις εἰς τὴν μίαν ἁρμονίαν τῆς ἐξουσιοποιοῦ καὶ κλειδοποιοῦ χάριτος τοῦ τελεταρχικοῦ Πνεύματος, καὶ γὰρ οἱ μὲν αὐτῶν σημαίνειν αὐτάς φασι τὴν πίστιν τοῦ μακαρίου Πέτρου, ὡς ἔχει ἡ ἐν Χαλκηδόνι Σύνοδος. οἱ δὲ, τοῦ λόγου τὴν

δύναμιν,

δωάμιν, ὡς ὁ Στυδίτης Θεόδωρος. οἱ δὲ τὴν ἄφεσιν καὶ τὴν δέσιν τῶν ἁμαρτημάτων, ὡς ὁ ἱερὸς Ἀμβρόσιος εἰς τὴν ἐξήγησιν τῶ τριακοστῶ ἑνάτου ψαλμοῦ. οἱ δὲ τὸ βάπτισμα, ὡς ὁ Θεολόγος Γρηγόριος λόγῳ εἰς τὰ φῶτα λέγων, Φωτισμὸς Κλεὶς Οὐρανῶν, ἢ πάντες ἔχουσιν ἐξουσίαν εἰσελθεῖν εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν, καὶ γὰρ καινῶς διδάσκει ἡ Αὐτοκλεὶς καὶ ὁ Αὐτοφωτισμὸς πάντας τοὺς προσιόντας αὐτῷ, λέγων, ποτὲ μὲν, ὁ πιστεύσας, καὶ βαπτισθεὶς σωθήσεται, ποτὲ δὲ, οὐδεὶς δύναται εἰσελθεῖν εἰς τὴν Βασιλείαν τοῦ Θεοῦ, ὅτι μὴ γεννηθεὶς ἄνωθεν, ποτὲ δὲ, Ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν, ποτὲ δὲ, Πάντα δυνατὰ τῷ πιστεύοντι. Ἐντεῦθεν δὲ ἡ Κλεὶς, εἴτ' ἂν Κλεῖδες, τελεσῶς, τὸ μὲν πρῶτον, ἦγεν πρὸς τοῦ πάσχειν τὸν Χριστὸν ἀμυδρῶς, ἡνίκα ἔδωκε τοῖς Ἀποστόλοις ὁ Κύριος ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, καὶ τοῦ θεραπεύειν τὰ ἀῤῥωστήματα, καὶ ἐκβάλλειν τὰ δαιμόνια, ὅτι τοσοῦτον ἠδυνήθησαν τότε κατὰ τὸν Χρυσορρήμονα καὶ τὴν Βυλγαρίας οἱ αὐτόπται τοῦ Λόγου. τὸ δὲ δεύτερον, τελεώτερον, ἀμέλει λύειν καὶ δεσμεῖν ἁμαρτίας, ὅπερ ἐστὶ τὸ ἐπάγγελμα καὶ ἡ ὑπόσχεσις ἡ πρὸς Πέτρον μὲν σωματοποιηθεῖσα, ἐπὶ πάντας δὲ τοὺς Ἀποστόλους πεπληρωμένη κατὰ τὸν τοῦ Χρυσοστόμου ἐξήγησιν, καὶ τὴν τῆς ἐπαγγελίας σύμβασιν Λάβετε Πνεῦμα ἅγιον, ἄντινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίονται αὐτοῖς, ἄντινων κρατῆτε, κεκράτηνται· τὸ δὲ τρίτον, καὶ τὰ πάντα ἐνεργήσαντος, ὑπαρχόντος τοῖς Ἀποστόλοις διὰ τῆς αὐτοῦ δυνάμεως καὶ ἐνεργείας τοῦ παναγίου Πνεύματος, τοῦ τὰ πάντα ἰσχύοντος καὶ ἐνδυναμοῦντος, ὥστε τότε μὲν λαβεῖν αὐτοὺς τὸ καθαίρειν καὶ θεραπεύειν τόσους, ἐπὶ δὲ τούτοις τὸ ἀφιέναι καὶ δεσμεύειν τῇ τοῦ Κυρίου ἐμφυσήσει ἁμαρτίας, νυνὶ δὲ πληρέστατα καὶ τελειότατα τὸ σημειοῦσθαι καὶ θαυματουργεῖν, καὶ ἔχειν τὴν Κλεῖδα τῆς ζωῆς καὶ τοῦ θανάτου, ὥστε καὶ νεκροὺς ἐγείρειν καὶ ζῶντας καταδικάζειν, ὡς φαίνεται ἐν ταῖς Ἀποστολικαῖς πράξεσι τῇ ἐπιτιμήσει κατὰ τοῦ ψευσαμένου τὸ πανάγιον Πνεῦμα, καθὰ Πέτρος καὶ Ἰωάννης καὶ πάντες οἱ Ἀπόστολοι ἐπράξαντο μετὰ τὴν ἐπ' αὐτοὺς κάθοδον τοῦ παναγίου Πνεύματος, ὡς αἱ πράξεις καὶ τὰ θεῖα, καὶ τὰ ἐκκλησιαστικὰ ὑπομνήματα ἐξισορροπῶσι. ταῦτα Νικόλαος ὁ Κερασοῦς ἐν τῷ κατὰ τῆς ἀρχῆς τοῦ Πάπα αὐτοῦ βιβλίῳ. τὰ αὐτὰ φρονεῖ καὶ Γαβριὴλ ὁ Φιλαδελφείας ἐν τῇ δευτέρᾳ Διαφορᾷ. Κεῖθεν ὅτι Κλεὶς κατὰ τὸν Χρυσόστομον ἡ ἐπισκοπή ἐστι τῶν χαφῶν, κατὰ δὲ Τερτυλλιανὸν ἡ τοῦ Νόμου ἐξήγησις, κατὰ δὲ Εὐσέβιον τὸ ῥῆμα τοῦ Θεοῦ. ἐνταῦθα δὲ ὁ λόγος ἐστὶ περὶ τῶν Κλειδῶν καθὸ δεσμοῦσι καὶ λύουσιν οἱ προεστῶτες τῆς Ἐκκλησίας πάντα τὰ δεσμοῦ καὶ λύσεως ἄξια ἐν τῇ Ἐκκλησίᾳ διακονικῶς καὶ αὐτουργικῶς, καὶ ἑξῆς πάντες, ὡς ῥηθήσεται. ἴδε αὐτόθεν μέρος τέταρτον κεφαλαίου πρώτου Παραγράφου δέκατον ὄγδοον.

ΒΙΒΛΙΟΥ Γ. ΜΕΡΟΣ Ε. ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ διαιρέσεως τῆς τῶν Κλειδῶν ἐξουσίας εἰς τὴν τῶν Σχολαστικῶν εἰς τρία, καὶ ὧν ἐν τούτοις ματαιολογοῦσι, καὶ περὶ τῆς Κλειδὸς τῆς Διακονίας κατὰ τὸν Θεῖον Ἀμβρόσιον, καὶ αὐτὸν τὸν Κύριον ἡμῶν, καὶ τὸν Ἀπόστολον, ὅτι καὶ ὁ Ἐπίσκοπος ἔχει τὸν ἄνωθεν βαθμὸν ἐν τῇ Ἐκκλησίᾳ, ἀλλ' ἡ δοθεῖσα αὐτῇ ἐξουσία οὐκ ἔστιν αὐτοκρατορική, ἀλλὰ Διακονική. καὶ ὁ Πέτρος κατὰ Κλήμεντα παρ' Εὐσεβίῳ ἴσος κατὰ πάντα τοῖς Ἀποστόλοις. καὶ κατηδάφισαι καὶ ἐνταῦθα τὸ σοφισμάτιον τῆς μοναρχίας τοῦ ἀνυπάρκτου τῷ Κυρίῳ Πάπα.

Τὴν ἐξουσίαν τῶν Κλειδῶν, ἢ τὴν Κλεῖδα διαιροῦσιν οἱ Σχολαστικοὶ εἰς Κλεῖδα ἐξουσίας, εἰς Κλεῖδα ὑπεροχῆς, καὶ εἰς Κλεῖδα Διακονίας. ἡ πρώτη μόνῳ τῷ Θεῷ τῷ ἀδιαιρέτῳ Τριάδι ἐστὶν οἰκεία. ἡ δευτέρα μόνῳ τῷ μεσίτῃ Ἰησοῦ Χριστῷ πρέπει. ἡ τρίτη τῇ Ἐκκλησίᾳ δέδοται. Διὰ τῆς πρώτης λέγουσιν ἀφιέσθαι τὴν ἁμαρτίαν, ἐξαλειφομένης τῆς ἐνοχῆς τῆς αἰωνίου τιμωρίας καὶ τοῦ μώμου τῆς ἁμαρτίας. Διὰ δὲ τῆς δευτέρας λέγουσιν ἀφίεσθαι τὴν ἁμαρτίαν τῇ πληρωμῇ τῆς ποινῆς. Διὰ δὲ τὸ μόνον τὸν Θεὸν δύνασθαι ἀφιέναι τὴν ἁμαρτίαν, καὶ μόνον τὸν Χριστὸν τῇ πληρωμῇ τῆς δικαίας ποινῆς συγχωρεῖν τὴν ἁμαρτίαν, Διατοῦτο μόνος ὁ Θεὸς λέγεται ἔχειν τὴν κλεῖδα τῆς ἐξουσίας, καὶ ὁ Χριστὸς τὴν κλεῖδα τῆς ὑπεροχῆς. περὶ δὲ τῆς Κλειδὸς τῆς διακονίας φησὶν ὁ Ἀμβρόσιος, Οἱ ἄνθρωποι ἐν τῇ ἀρέσει τῶν ἁμαρτιῶν προσφέρουσι τὴν Διακονίαν αὐτῶν, ἀλλ' οὐκ ἐνεργοῦσι δίκαιον τινὸς ἑτέρας ἐξουσίας, καὶ οὐκ ἐν τῷ αὐτῷ, ἀλλ' ἐν τῷ τοῦ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος ὀνόματι ἀφίουσι τὰ ἁμαρτήματα. ἕτοιμοι αἰτοῦσιν, ὁ δὲ Θεὸς χαρίζεται. καὶ γὰρ οὐκ ἔστιν αἰθρωπίνη ἡ ὑπηρεσία, ἀλλὰ τῆς ἄνωθεν ἐξουσίας ἡ διεργεσία, βιβλίῳ τρίτῳ περὶ τοῦ ἁγίου Πνεύματος, κεφαλαίῳ δεκάτῳ ὀγδόῳ. τοῦτο βεβαιοῖ καὶ ὁ Κύριος λέγων, Οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν, κατακυριεύουσιν αὐτῶν, ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ' ὁ θέλων εἶναι πρῶτος, ἔσω πάντων Διάκονος. διὸ ὧν ῥημάτων ὁ Κύριος οὐκυρίους καθίστησι τοὺς ὑπηρέτας τῆς Ἐκκλησίας, ἀλλὰ Διακόνους ὀφείλοντας, οὐχ ὡς ἀνελίττας τινὰς τυραννους, ὡς ὑπηρετοῦντας Δεσπότῃ, οὐχ ἁπλῶς, ἀλλ' ὡς προστεταγμένους. Μακάριος γάρ φησιν ὁ Κύριος, ὁδοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ Κύριος εὑρήσει γρηγορεῖντα οὕτως, οὕτω φησὶ, καὶ οὐκ ἄλλως. ἀπέστειλε δὲ αὐτοὺς εἰς Διακονίαν

κονίαν ὡς ὁ Ἀπόστολος λέγει πρὸς Κορινθίους, οὕτω λογιζέσθω ἡμᾶς ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους Μυστηρίων Θεοῦ. οὐχ ὥστε νομοθετεῖν ἀφ' ἑαυτῶν, ὡς ἐφαντάσθη ἡ ἐν Τριδέντῳ Σύνοδος κεφαλαίῳ πρώτῳ περὶ τῆς Εὐχαριστίας τὸν λόγον ποιουμένη, ἵνα δηλαδὴ οἱ λαϊκοὶ κοινωνῶσι μόνου τοῦ ἑνὸς εἴδους, τοῦτο γὰρ ἐστὶν ἀντινομοθετεῖν τῷ Θεῷ, ἀλλ' ὥστε νομοθετουμένους ὑπὸ Θεοῦ, ὑποφητικῶς ὑπαγορεύειν, διὸ φησὶ, Πορευθέντες κηρύξατε ὅσα ἐνετειλάμην ὑμῖν. εἰ δὲ καὶ ἡ Ἐκκλησία ἑρμηνεύουσα τὴν γραφὴν, ἐν πολλοῖς νομοθετεῖ, ἀλλὰ διὰ τῆς κοινότητος, ὡς ἐπηγγείλατο ὁ Κύριος, ᾗ ὀφείλουσιν οἱ πάντες ἀκολουθεῖν. κρίνει γὰρ ἡ Ἐκκλησία ἀπταίστῳ Κλειδὶ, καὶ ἀεὶ ὀρθῶς κρίνει κατὰ τὸν θεῖον Νόμον. ὁ δὲ εἷς ἁμαρτῆσαι ἐνδέχεται, ὡς πεπόνθασι καὶ πολλοὶ Ἐπίσκοποι Ῥώμης. Ἕπεσθαι λοιπὸν δεῖ καὶ τοὺς Πάπας ταῖς τῆς κοινότητος ἀποφάσεσιν, ἵν' ὦσι καὶ αὐτοὶ διάκονοι Θεοῦ, καὶ οὐχὶ λέγειν αὐτοὺς ῥωμαϊκὴν τὴν καθολικὴν, καὶ οὕτως ἀναιρεῖν καὶ τὴν καθολικήν. ὅθεν καὶ οὐ διάδοχοι τοῦ Πέτρου οἱ ταῦτα λέγοντες Πάπαι, ἀλλ' ἀντίθρονοι, παρέχουσι γὰρ ἑαυτοῖς οὐχ ὑπηρεσίαν καὶ διακονίαν, ἀλλ' ἐξουσίαν αὐτοκρατορικὴν κυρίαν, ἰσχύουσαν καὶ τοῦ Εὐαγγελίου, καὶ αὐτῆς τῆς αὐθεντίας τοῦ Χριστοῦ ὑπερανέχουσαν, καὶ ποῦ τὸ ἔστω διάκονος; Καὶ, ἔδοξε τῷ Πνεύματι τῷ ἁγίῳ, καὶ ἡμῖν; ὁ Πέτρος ἐλέγχεται, στέλλεται, κρίνεται, ἀπολογεῖται, καὶ πῶς τούτου διάδοχος ὁ ἀνέλεγκτος; μαθητὴς ὑπερέχει μαθητοῦ, καὶ Ἐπίσκοπος Ἐπισκόπου, ἀλλ' ὡς ὁ Ἄρχων τάξει, καὶ οὐκ ἀξίᾳ. ἄλλο τάξις, καὶ ἄλλο ἀξία. τίνα γὰρ τῶν Ἀποστόλων ὁ Πέτρος ἐδίδαξεν, ἢ ἐκάλεσεν, ἢ ἔπεμψεν, ἢ ἔκρινεν, ἢ προσέταξεν, ἢ ἐποίμανε; Σύνοδος γέγονεν ἐν Ἱερουσαλὴμ, ὁ Πέτρος ἐδημηγόρησεν, ὁ Ἰάκωβος ἔκρινεν, ἀλλ' ἡ κοινότης διώρισε, καὶ ἔγραψεν, οὐκ αὐθεντικῶς, οὐδὲ ἀρχικῶς, ἀλλὰ διακονικῶς, καὶ ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον πέμπτον. ὥστε ὁ Πάπας ἀπολύτῳ ἐξουσίᾳ κρίνων, ἀντίθετός ἐστι τοῖς πατράσι, τοῖς Ἀποστόλοις, καὶ πρὸ πάντων τῷ ἁγίῳ Πνεύματι, καὶ γὰρ καὶ ἐν τῷ τόπῳ τούτῳ ἀντιπίπτει αὐτῷ. πρόσθες, εἰ ὅλως συγχωρήσομεν, ὅτι Ἀπόστολος ἐδίδαξεν Ἀπόστολον. Ῥητέον ὅτι ὁ Κλήμης ἐν τῷ ἑβδόμῳ τῶν ὑποτυπώσεων λέγει, Ἰακώβῳ τῷ δικαίῳ, καὶ Ἰωάννῃ, καὶ Πέτρῳ μετὰ τὴν Ἀνάστασιν παρέδωκε τὴν γνῶσιν ὁ Κύριος, οὗτοι δὲ τοῖς λοιποῖς παρέδωκαν, οὐδεὶς δὲ πώποτε ἀρχαῖος καὶ ἔγκριτος εἶπεν ὅτι μόνῳ τῷ Πέτρῳ ὁ Κύριος ἔδωκέ τι. εἰ δὲ εἴποι τὶς πάλιν τὸ, ΣΟΙ ΔΩΣΩ ΤΑΣ ΚΛΕΥΣ, ΚΑΙ ΤΟ, ΠΟΜΑΙΝΕ, ῥητέον σὺν τοῖς ἄλλοις οἷς εἴπομεν ἀνωτέρω, τὸ, ὁ Πέτρῳ λέγεται, καὶ τοῖς Ἀποστόλοις λέγεται. ἔτι ὡς αὐτὸς φησὶν ἐν τῷ εἴτῳ τῆς αὐτῆς ὑποθέσεως παρ' Εὐσεβίῳ, βιβλίῳ δευτέρῳ κεφαλαίῳ πρώτῳ, Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην μετὰ τὴν Ἀνάληψιν τοῦ Σωτῆρος ὡς ἂν καὶ ὑπὸ Κυρίου τετιμημένους, μὴ ἐπιδικάζεσθαι δόξης, ἀλλ' Ἰάκωβον τὸν δίκαιον Ἐπίσκοπον Ἱεροσολύμων ἑλέσθαι. οὐδεὶς δὲ πώποτε εἶπεν ὅτι μόνον τὸν Πέτρον προετίμησεν ὁ Κύριος πάντων τῶν Ἀποστόλων, ὥστε εἶναι αὐτὸν μονάρχην ἐπ' αὐτῶν, ἢ ἀπόλυτόν τινα ἐξουσίαν ἔχειν αὐτὸν παρὰ τοὺς λοιποὺς Ἀποστόλους. Κατηδάφισται ἄρα καὶ ἐνταῦθα τὸ τῆς ἀπολύτου ἐξουσίας ἐλεεινὸν σοφισμάτιον, ῥητῶς γὰρ λέγουσι Κλήμης καὶ Εὐσέβιος, ὅτι ἐξίσου ἦσαν οἱ τρεῖς προτετιμημένοι ὑπὸ Κυρίου, καὶ ὅτι καὶ οἱ τρεῖς δόξης κατεφρόνουν, ἐξ ὧν ἕπεται τὸν ζητοῦντα δόξαν προτιμήσεως καὶ ἀπολύτου ἐξουσίας ἐν τῇ Ἐκκλησίᾳ, ἀντίθετον εἶναι καὶ τοῖς Ἀποστόλοις καὶ τῷ Κυρίῳ, ὡς εἴρηται.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Ε'. ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὅτι αἱ Κλεῖδες ἐξίσου ἐδόθησαν τοῖς Ἀποστόλοις καὶ ἀμέσως, καὶ οὕτω δίδονται καὶ τοῖς Ἐπισκόποις, ὡς Χρυσόστομος, Ἀμβρόσιος, Κυπριανὸς καὶ Αὐγουστῖνος τὸ, σοὶ δώσω τὰς Κλεῖς, καὶ τὸ, ὅσα ἂν δήσῃς καὶ λύσῃς, οὐ τῷ Πέτρῳ μόνῳ εἰρῆσθαι λέγουσιν, ἀλλὰ τῇ Ἐκκλησίᾳ, ἣν ὁ Πέτρος μυστικῶς ἐσήμαινε.

Ταύτης τῆς προτάσεως ἡ ἀλήθεια ὅσον πρὸς τοὺς Ἀποστόλους ἐδείχθη ἀνωτέρω ἐν τῷ προσεχεῖ μέρει, ὅσον δὲ καὶ πρὸς πάντας τοὺς Ἐπισκόπους τοὺς διαδόχους τῶν Ἀποστόλων ἀρκετῶς φανεροῦται ἐξ ὧν ἐδείξαμεν εἰς τὸ πρῶτον κεφάλαιον τοῦ παρόντος μέρους, πλείω ὅμως προσθήσομεν ἐνταῦθα διὰ τὴν φιλόνεικον τῶν ἀντικειμένων γνώμην, δεικνύντες τὴν ἰσότητα οὐ κατὰ τὴν τάξιν μόνην, ἀλλὰ καὶ κατὰ τὴν δικαιολογίαν. Ἐκ τούτου τοῦ τόπου τοῦ Ματθαίου κεφαλαίῳ δεκάτῳ ἕκτῳ, ἡ ἐξουσία τοῦ ἀφορίζειν καὶ τοῦ τὸν ἀφορισμὸν λύειν ἐδόθη πᾶσι τοῖς Ἱερεῦσι, δηλονότι τοῖς Ἐπισκόποις, ὅπερ δείκνυσιν ὁ Χρυσόστομος βιβλίῳ τρίτῳ περὶ Ἱερωσύνης κεφαλαίῳ πέμπτῳ, καὶ ὁ Ἱερώνυμος εἰς τὸ δέκατον ἕκτον τοῦ Ματθαίου, καὶ ὁ Ἀμβρόσιος εἰς τὸν τριακοστὸν ὄγδοον ψαλμὸν, στίχῳ ὑστάτῳ φησὶν, Ὃ δὲ τῷ Πέτρῳ λέγεται, τοῖς Ἀποστόλοις λέγεται, καὶ διατοῦτο τὴν ἐξουσίαν ἐκείνην διὰ ἐπιτάγματος τοῦ Χριστοῦ ἐνεργοῦσιν οἱ Ἐπίσκοποι. Ὁ αὐτὸς βιβλίῳ περὶ τῆς ἱερατικῆς ἀξίας κεφαλαίῳ πρώτῳ φησὶ, Τὰς Κλεῖς ἐκείνας τῆς τῶν Οὐρανῶν Βασιλείας ἐν τῷ μακαρίῳ Πέτρῳ πάντες ἐλάβομεν οἱ Ἱερεῖς, δηλονότι οἱ Ἐπίσκοποι. Κυπριανὸς κεφαλαίῳ δεκάτῳ ἕκτῳ τοῦ Ματθαίου, Ἡ οἰκοδομὴ τὴν ἐξουσίαν

πάντων

πάντων τῶν Ἀποστόλων Νόμῳ θείῳ τεθεμελιωμένην, ἐπιστολῇ εἰκοστῇ ἑβδόμῃ, ἤτοι βιβλίῳ πέμπτῳ ἐπιστολῇ ἕκτῃ πρὸς τοὺς πρατραπέντας. Αὐγουστῖνος πραγματείᾳ πεντηκοστῇ εἰς τὸν Ἰωάννην. Ὃ ἐλέχθη τῷ Πέτρῳ, Σοὶ δώσω τὰς κλεῖς, καὶ ὅσα ἂν δήσῃς καὶ λύσῃς, οὐ τῷ Πέτρῳ μόνῳ εἴρηται, ἀλλὰ τῇ Ἐκκλησίᾳ, ἣν ὁ Πέτρος μυστικῶς ἐσήμαινε. Καὶ πραγματείᾳ ὑστάτῃ εἰς τὴν ἐπιστολὴν τοῦ Ἰωάννου ὁμιλῶν περὶ τῆς εἰς τὴν Οἰκουμένην διεσπαρμένης Ἐκκλησίας λέγει, ὅτι ταῦτ' εἴρηται, ὅσα ἂν δήσῃς καὶ λύσῃς, καὶ τὰ ἑξῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι τοῦ Βελλαρμίνου ἱστορικῶς μόνον λέγοντος τὸν Πέτρον σημαῖναι τὴν Ἐκκλησίαν καὶ οὐ παραβολικῶς, δείκνυται ὅτι καὶ ἱστορικῶς ἔλαβε τὰς κλεῖς ὡς οἱ λοιποὶ Ἀπόστολοι καὶ οἱ Ἐπίσκοποι, καὶ παραβολικῶς μόνος κατὰ τὸν Αὐγουστῖνον ὡς τύπος τῆς Ἐκκλησίας.

Ἐξαιρεῖ ὁ Βελλαρμῖνος, ὅτι ὁ Πέτρος ἐσήμαινε τὴν Ἐκκλησίαν ἱστορικῶς, καὶ οὐχὶ παραβολικῶς, βιβλίῳ πρώτῳ περὶ τοῦ Πάπα, κεφαλαίῳ δωδεκάτῳ. Ἀλλὰ ῥητέον πρῶτον, ὅτι οὐ προσέχομεν τοῖς Σχολαστικοῖς, ἀλλὰ τοῖς ἁγίοις χρώμεθα ἑρμηνευταῖς τῆς γραφῆς, ὡς ἐποίησεν ἀεὶ ἡ Ἐκκλησία. δεύτερον, ὅτι οὐδεὶς ἀρνεῖται ἱστορικῶς τὸν Πέτρον εἰληφέναι τὰς Κλεῖς, ἃς ἔτι ἱστορικῶς ἔλαβον πάντες οἱ Ἀπόστολοι, καὶ πάντες ἔλαβον καὶ λαμβάνουσιν οἱ Ἐπίσκοποι. ὁ Πέτρος δὲ οὐ μόνον ἱστορικῶς ἔλαβε τὰς Κλεῖς μετὰ τῶν ἄλλων, ἀλλὰ καὶ παραβολικῶς, ὡς τύπος τῆς Ἐκκλησίας, διὸ καὶ ἐῤῥέθη αὐτῷ ἑνὶ, ΣΟΙ ΔΩΣΩ ΤΑΣ ΚΛΕΙΣ, ἑνὶ δὲ λέγω οὐχ ἱστορικῶς, ἀλλὰ παραβολικῶς νενομισμένῳ, εἰ γὰρ ἐν τῷ Πέτρῳ οὐκ ἦν τὸ Μυστήριον τῆς Ἐκκλησίας, οὐκ ἂν εἶπεν αὐτῷ ὁ Κύριος, ΣΟΙ ΔΩΣΩ ΤΑΣ ΚΛΕΙΣ, ὡς λέγει ὁ Αὐγουστῖνος πράξει πεντηκοστῇ εἰς τὸν Ἰωάννην, τουτέστιν οὐκ ἂν ἰδίως εἴρηκεν, ἀλλὰ μετὰ τῶν λοιπῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ἔνστασις Βελλαρμίνου σοφιστικὴ ἀπὸ λόγου τοῦ Αὐγουστίνου, ὅτι ὁ Πέτρος ἐσχημάτισε τὴν Ἐκκλησίαν ὡς αὐτῆς Ἡγεμών. καὶ ἀπάντησις ἀπὸ τοῦ αὐτοῦ λόγου, ὅτι οὐχ ὡς Ἡγεμὼν, ἀλλ' ὡς τύπος αὐτῆς κατὰ τὸ, Σοὶ δώσω τὰς Κλεῖς, οὗ τὸ πρωτεῖον ἱστορικὸν ἦν, οἷόν ἐστι καὶ τῶν Ἐπισκόπων κατὰ Κυπριανὸν, καὶ τακτικὸν ἀλλάδοχον, τὸ δ' ἐν τῇ Ἐκκλησίᾳ πρωτεῖον, ἴδιον τῶν Οἰκουμενικῶν Συνόδων.

Ἀνθίσταται ὁ αὐτὸς, καὶ φησὶ, ὅτι ὁ Πέτρος ἐσχημάτισε τὴν Ἐκκλησίαν ὡς Ἡγεμὼν τῆς Ἐκκλησίας, ὥσπερ ὁ Βασιλεὺς φέρει τὸ πρόσωπον τῆς Βασιλείας. προβάλλει δὲ εἰς βεβαίωσιν αὐτοῦ τοὺς λόγους τοῦ Αὐγουστίνου γράφοντος, ὅτι ὁ Πέτρος διὰ τὸ πρωτεῖον τῆς ἀποστολῆς αὐτοῦ ἐβάστασεν ἐσχηματισμένῃ γενικότητι τὸ πρόσωπον τῆς Ἐκκλησίας, πράξει ὑστάτῃ εἰς τὸν Ἰωάννην. τὰ ὅμοια ἔτιγε φέρει ἐκ τοῦ Αὐγουστίνου εἰς τὸν ἑκατοστὸν ὄγδοον ψαλμὸν, καὶ ὁμιλίᾳ δεκάτῃ τρίτῃ. Ῥητέον ὅμως, ὅτι τὴν σοφιστικὴν ταύτην ἑρμηνείαν τῶν παπιστῶν φανερῶς ἀποβάλλει ὁ λόγος τοῦ Αὐγουστίνου, καὶ γὰρ ἡ Ἡγεμονία καὶ τὸ πρωτεῖον τοῦ Πέτρου οὐκ ἦν σχηματικὸν, ἀλλ' ἱστορικὸν, εἰ καὶ ἕνεκεν τούτου τοῦ ἱστορικοῦ πρωτείου ἠθέλησεν ὁ Κύριος ἐν ἐκείνῳ συντάξαι τὸ σχῆμα τῆς Ἐκκλησίας αὐτοῦ, ἧς τινος τὸ πρόσωπον ἐβάστασεν οὐχ ὡς μονάρχης αὐτῆς. ἀλλ' ὡς αὐτῆς μυστικὸν σχῆμα, οὗ Μυστηρίου εἰ ἦν χωρὶς, οὐκ ἂν εἶπεν αὐτῷ περὶ Ἡγεμονίας τινὸς τὸ, ΣΟΙ ΔΩΣΩ ΤΑΣ ΚΛΕΙΣ. οὔτε ἦν ἐκεῖνο τὸ πρωτεῖον τοῦ Πέτρου μοναρχικὴ ἐξουσία εἰς τὴν Ἐκκλησίαν, ἀλλὰ πρωτεῖον τῆς τάξεως μεταξὺ τῶν Συναποστόλων, ἴσης τιμῆς καὶ ἐξουσίας ἠξιωμένον, πρωτεῖον δέ φημι μόνῳ τῷ Πέτρῳ πρέπον, ἀλλ' οὐ καὶ κατὰ διαδοχὴν μεταβαῖνον, καθάπερ ὁ Ἰούδας διὰ τὴν ἀσεβεστάτην αὐτοῦ κακίαν λέγεται βαστάσαι τὸ πρόσωπον πάντων τῶν κακῶν, οὐχ ὡς αὐτῶν Ἡγεμὼν, ἢ Βασιλεὺς, ἀλλ' ὡς εἷς καὶ μερικὸς, καὶ εἰς τὰ κακὰ ἀρκετὸς, ὥστε βαστάσαι τὸν τύπον πάντων τῶν πονηρῶν. καὶ κατ' αὐτὸν τὸν Αὐγουστῖνον ὁ Ἰούδας ὁ πονηρὸς τὸ σῶμα τῶν πονηρῶν σημαίνει, ὥσπερ ὁ Πέτρος τὸ σῶμα τῶν ἀγαθῶν, καὶ μάλιστα τὸ σῶμα τῆς Ἐκκλησίας, ἀλλ' ἐν τοῖς ἀγαθοῖς, εἰ γὰρ οὐκ ἦν ἐν τῷ Πέτρῳ τὸ Μυστήριον τῆς Ἐκκλησίας, οὐκ ἂν εἶπεν αὐτῷ ὁ Κύριος, ΣΟΙ ΔΩΣΩ ΤΑΣ ΚΛΕΙΣ. Καὶ πράξει πεντηκοστῇ εἰς τὸν Ἰωάννην ὁ αὐτὸς, Ἧς Ἐκκλησίας ὁ Ἀπόστολος Πέτρος διὰ τὸ πρωτεῖον τῆς αὐτοῦ ἀποστολῆς ἐσχηματισμένῃ καθολικότητι ἐβάστασε τὸ πρόσωπον, ὃ γὰρ ἰδίως ἦν αὐτοῦ, τῇ φύσει εἷς ἦν ἄνθρωπος, τῇ χάριτι εἷς Χριστιανὸς, τῷ περισσεύματι τῆς χάριτος εἷς καὶ ὁ αὐτὸς πρῶτος Ἀπόστολος, ἀλλ' ὅτε ἐῤῥέθη αὐτῷ, ΣΟΙ ΔΩΣΩ ΤΑΣ ΚΛΕΙΣ, ἅπασαν ἐσήμαινε τὴν Ἐκκλησίαν. ταῦτα πράξει ἑκατοστῇ εἰκοστῇ τετάρτῃ εἰς τὸν Ἰωάννην. Ἔστι γὰρ κατὰ ἀλήθειαν οὐμικρὰ αἰσχύνη τοῦτο τὸ μοναρχικὸν ἐνύπνιον προστρίβειν τῷ Αὐγουστίνῳ, θερμοτάτῳ ὄντι τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἀνταγωνιστῇ ἐν τῇ αἰτίᾳ τοῦ Ἀπιαρίου, ἐν τῇ ἐν Καρθαγένῃ ἐπὶ Αὐρηλίου Συνόδῳ, καὶ ἄκρῳ ἐπαινέτῃ τῶν λόγων τοῦ Κυπριανοῦ, εἷς λόγοις ὁ Κυπριανὸς ἐν

1100

ὁ τῇ ἐξουσίᾳ τῆς ἐξωτερικῆς διοικήσεως, ἤτοι ὁ τῇ ἐξουσίᾳ τὸ κρίνειν ὁ τῷ ἐξωτερικῷ βήματι ἀφορίζειν, διϊσχυρίζεται πάντας τοὺς Ἐπισκόπους ἴσους εἶναι θείῳ Κανόνι, ὡς ἔκεινον ἐκεῖνο εἰς τὴν ὁ Καρθαγοῦς τῶν ὀγδοήκοντα πέντε Ἐπισκόπων Σύνοδον, καὶ μαρτυρεῖ Αὐγουστῖνος βιβλίῳ τρίτῳ περὶ βαπτίσματος κατὰ Δονατιστῶν, κεφαλαίῳ τρίτῳ. καὶ ἴδε αὐτοῦ ὁ ποιεῖ, ἤτοι τὸ πρωτεῖον ὁ τῇ Ἐκκλησίᾳ καὶ ὑπὸ τοῦ Πάπα καὶ ὑπὸ πάντων, ἐστὶν ἴδιον τῶν Οἰκουμενικῶν Συνόδων, καὶ ἴδε μέρος τρίτον κεφαλαίου τρίτου τμήματος τρίτου Παραγράφου αὐτοῦ. ὁ αὐτὸς ὑποσημειώσει ἑξήκοντα δευτέρᾳ φησίν, Ἐὰν κακῶς κρίνωσιν οἱ Ῥωμαῖοι Ἐπίσκοποι, δεῖ τῇ κρίσει Οἰκουμενικῆς Συνόδου. καὶ ὁ τῷ αὐτοῦ τόπῳ, ἤτοι βιβλίῳ τρίτῳ περὶ βαπτίσματος, Διαφερομένων τοῦ Πάπα Στεφάνου καὶ τοῦ Κυπριανοῦ, ἔφη, Δοκεῖ αὐτοὺς Διαφωνεῖν σωζομένης τῆς ἀγάπης μέχρι διασυμοῦ Οἰκουμενικῆς Συνόδου. καὶ ἴδε αὐτοῦ βιβλίου πρώτου κεφάλαιον δέκατον ὄγδοον. ταῦτα δὲ πάντα ἀπαραλόγιστα εἰσὶ ξίφη κατακερματίζοντα τὴν ἀδολεσχίαν τοῦ σοφιστοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι τὸ, Ὅσα ἂν δήσητε καὶ λύσητε δύο δηλοῖ· ὧν τὸ ἕτερον τὸν Ἐπισκόπον καὶ τοὺς πρεσβυτέρους δηλοῖ. ὧν ὁ Θεοφάνης, ἐστὶ τῷ Ἐπισκόπῳ ὡς ὁ ἐθνικὸς καὶ τελώνης κατὰ Χρυσόστομον καὶ τοὺς ὁμοταῦθα λοιποὺς πατέρας, ὥστε εἰ οἱ Ἐπίσκοποι ἔχουσι τὸ πλήρωμα τῶν κλειδῶν κρίνοντες μόνοι ἀλλὰ μετὰ τῶν Ἐπισκόπων, εἶχον τοῦτο καὶ οἱ Ἀπόστολοι καὶ μόνος ὁ Πέτρος, ὡς μόνος δὲ μόνος ὁ Ῥώμης.

Τὰ κυριακὰ λόγια, Ματθαίου κεφαλαίῳ δεκάτῳ ὀγδόῳ, Ὅσα ἂν δήσητε καὶ λύσητε, ποτὲ μὲν δηλοῦσιν ὅπασον χρισιανὸν δεσμοῦντα καὶ λύοντα τὸν αὐτικείμενον αὐτῷ, ὅμως τοῦτο οὐκ αὐξάνεται εἰς τὸ ἐξωτερικὸν βῆμα, ἐπειδὴ ὁ ἁπλῶς χρισιανὸς οὐδαμῶς ἐμβαίνειν, ἢ εἰσάγειν τινὰ εἰς τὴν Ἐκκλησίαν. ποτὲ δὲ δηλοῦσι τὸν Ἐπίσκοπον καὶ τοὺς πρεσβυτέρους, ὡς φησιν ὁ Χρυσόστομος εἰς τὸν αὐτὸν τόπον, ὧν ὁ Θεοφάνης, ἐστὶ τῷ Ἐπισκόπῳ ὡς ὁ ἐθνικὸς καὶ τελώνης, τουτέστι κρίνεται ὁ τῷ ἐξωτερικῷ βήματι, καὶ ἐμβαίνεται τῆς Ἐκκλησίας. ἰδοὺ λοιπὸν κατὰ τὸν Χρυσόστομον πολλοὶ μετὰ τοῦ Ἐπισκόπου κρίνουσι, καὶ οὐ μόνος, ἀλλὰ συνοδικῶς κρίνει, ὡς εἴρηται ὁ τοῖς αὐτέρω. εἰ δὲ πᾶς Ἐπίσκοπος ἔχει τὸ πλήρωμα τῶν κλειδῶν, ἄρα καὶ πάντες οἱ Ἀπόστολοι εἶχον αὐτὸ, καὶ οὐ μόνος ὁ Πέτρος, ὥστε οὐδὲ μόνος ὁ Ῥώμης, ὅθεν οὐδεμίαν ἀπόφασιν δεχθεῖσαν ὑπὸ τῆς κοινότητος αὐθεντικῆς σκάπτει ἐκκλησιαστικὴ δευτέρα φησίν, Ἐὰν κακῶς κρίνωσιν οἱ Ῥωμαῖοι Ἐπίσκοποι, δεῖ τῇ κρίσει Οἰκουμενικῆς Συνόδου. καὶ ὁ τῷ αὐτέρῳ τόπῳ, ἤτοι βιβλίῳ τρίτῳ περὶ βαπτίσματος, Διαφερομένων τοῦ Πάπα Στεφάνου καὶ τοῦ Κυπριανοῦ, ἔφη, Δοκεῖ αὐτοὺς Διαφωνεῖν σωζομένης τῆς ἀγάπης μέχρι διασυμοῦ Οἰκουμενικῆς Συνόδου. καὶ ἴδε αὐτοῦ βιβλίου πρώτου κεφάλαιον δέκατον ὄγδοον. ταῦτα δὲ πάντα ἀπαραλόγιστα εἰσὶ ξίφη κατακερματίζοντα τὴν ἀδολεσχίαν τοῦ σοφιστοῦ.

ὅπασον χρισιανὸν δεσμοῦντα καὶ λύοντα τὸν αὐτικείμενον αὐτῷ, ὅμως τοῦτο οὐκ αὐξάνεται εἰς τὸ ἐξωτερικὸν βῆμα, ἐπειδὴ ὁ ἁπλῶς χρισιανὸς οὐδαμῶς ἐμβαίνειν, ἢ εἰσάγειν τινὰ εἰς τὴν Ἐκκλησίαν. ποτὲ δὲ δηλοῦσι τὸν Ἐπίσκοπον καὶ τοὺς πρεσβυτέρους, ὡς φησιν ὁ Χρυσόστομος εἰς τὸν αὐτὸν τόπον, ὧν ὁ Θεοφάνης, ἐστὶ τῷ Ἐπισκόπῳ ὡς ὁ ἐθνικὸς καὶ τελώνης, τουτέστι κρίνεται ὁ τῷ ἐξωτερικῷ βήματι, καὶ ἐμβαίνεται τῆς Ἐκκλησίας. ἰδοὺ λοιπὸν κατὰ τὸν Χρυσόστομον πολλοὶ μετὰ τοῦ Ἐπισκόπου κρίνουσι, καὶ οὐ μόνος, ἀλλὰ συνοδικῶς κρίνει, ὡς εἴρηται ὁ τοῖς αὐτέρω. εἰ δὲ πᾶς Ἐπίσκοπος ἔχει τὸ πλήρωμα τῶν κλειδῶν, ἄρα καὶ πάντες οἱ Ἀπόστολοι εἶχον αὐτὸ, καὶ οὐ μόνος ὁ Πέτρος, ὥστε οὐδὲ μόνος ὁ Ῥώμης, ὅθεν οὐδεμίαν ἀπόφασιν δεχθεῖσαν ὑπὸ τῆς κοινότητος αὐθεντικῆς σκάπτει ἐκκλησιαστικὴ δευτέρα φησίν, Ἐὰν κακῶς κρίνωσιν οἱ Ῥωμαῖοι Ἐπίσκοποι, δεῖ τῇ κρίσει Οἰκουμενικῆς Συνόδου ἐποίησέ ποτε. διὸ ὁ Ἱερώνυμος πλῆθος καλῶς εἰς τὸν τόπον τοῦτον τοὺς κρίνοντας, ὡς ἑρμηνεύει εἶναι τοὺς Ἀποστόλους. Καὶ Ἰλάριος ὁ τῷδε τῷ τόπῳ λέγει, Ἀσάλευτον τῆς ὑποστολικῆς σοβαρότητος κρῖμα προσπέσειεν, ἵνα ὦσιν ὁ τῇ γῇ οἱ δεσμοῦντες. Καὶ δὴ καὶ οἱ Σχολαστικοὶ ἀπὸ τούτου τοῦ τόπου τὴν ἐξουσίαν τῶν Κλειδῶν ὁ τῷ δημοσίῳ βήματι τῇ Ἐκκλησίᾳ δεδόσθαι δεικνύουσιν, ὁ οἷς ἰδίως φησὶν ὁ Δυράνδος ζητήματι δευτέρῳ ἀριθμῷ πέμπτῳ, Τὴν ἀπόφασιν τοῦ ἀφορισμοῦ ἔχειν τὴν ἀρχὴν ἐξ ἐκείνων τῶν λόγων, Εἰ δὲ καὶ τῆς Ἐκκλησίας παραχώσει, ἔσωσοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης. σημείωσαι ὅτι ὁ Χρυσόμος ὁ τῷ πρώτῳ Τόμῳ τῆς σειρᾶς ὁ τούτῳ τῷ τόπῳ λέγει, προϊσαμένης τῆς Ἐκκλησίας εἶναι τοὺς Ἐπισκόπους, φησὶ γὰρ, Δημοσίως αὐτοὺς ἐπὶ τῶν τῆς Ἐκκλησίας προϊσαμένων. ἐὰν δὲ καὶ αὐτῶν, τῶν Ἀρχιερέων δηλαδὴ, προσκόσωσιν, ἔσωσάν σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ὁ τῷ, Λάβετε Πνεῦμα ἅγιον, ὧντινων ἀφῆτε τὰς ἁμαρτίας, καὶ τὰ ἑξῆς τοῦ κατὰ Ἰωάννην, λέγοντος τοῦ Βελλαρμίνου μὴ δεδόσθαι πᾶσαν τὴν ὁ τῷ κατὰ Ματθαῖον ὑποχεθεῖσαν ἐξουσίαν, ἀλλὰ μόνον ἐξουσίαν τάξεως, δείκνυται ὁμοταῦθα τὸ ὁ τῷ κατὰ Ματθαῖον ὑποχεθὲν τῆς ἐξουσίας πλήρωμα τῶν κλειδῶν δεδόσθαι ὁ τῷ κατὰ Ἰωάννην τοῖς Ἀποστόλοις καὶ τοῖς Διαδόχοις αὐτῶν ἐξίσου, ὡς μετὰ τοῦ Ἀμβροσίου ὁ Χρυσόστομος συμπεραίνεται.

Περὶ τῶν λόγων τοῦ Κυρίου, Ἰωάννου κεφαλαίῳ εἰκοστῷ, Λάβετε Πνεῦμα ἅγιον, ἀνίνων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίονται, καὶ ἀντινων κρατῆτε, κεκράτηνται, ὁ σοφιστὴς φησὶ, βιβλίῳ πρώτῳ περὶ τοῦ Πάπα κεφαλαίῳ πρώτῳ, Βέβαιον εἶναι μὴ δίδοσθαι ἐκείνοις τοῖς ῥήμασι πᾶσαν τὴν Κλειδῶν τὴν ἐξουσίαν, ὧν ὑπέκειτο ὁ τῷ δεκάτῳ ὄγδοῳ κεφαλαίῳ τοῦ Ματθαίου, ἀλλὰ μόνον ἐξουσίαν τάξεως περὶ τὸ ἀφιέναι τὰς ἁμαρτίας ἀπὸ τῶν Μυστηρίων τοῦ βαπτίσματος καὶ τῆς μετανοίας, καὶ πέμπει τὴν ἀναγνῶσιν εἰς τὸν Χρυσόστομον καὶ Κύριλλον ὁ τῷ αὐτῷ τόπῳ. Ἡμεῖς δὲ ἐὰν καὶ ἔπωμεν συνιέναι τὸν λόγον καὶ περὶ τῶν βαπτιζομένων καὶ μετανοούντων, οὐδὲν ἀποπίπτει, μᾶλλον δὲ καὶ ἀναγκαῖον, ἐπειδὴ καὶ ἐκεῖ ἀφίονται ἁμαρτίαι, ἀλλ' ὁ λόγος ἡμᾶς περὶ τὸ Μυστήριον τὴν μετανοίας μόνον, ὁ ᾧ ἡμᾶς ἔχει χώραν ὁ ἀβάπτιστος ἵνα κριθῇ ἀνάξιος βαπτίσματος, τὸ γὰρ τοιοῦτον Μυστήριον τοὺς μετὰ τὸ βάπτισμα ἁμαρτάνοντας μόνους οἶδεν, ἀλλὰ περὶ τοῦ βαπτίσματος καὶ τῶν ἁμαρτημάτων, ἅτινα ἀπὸ τῆς διδασκαλίας τῶν Ἀποστόλων

στόλων καὶ Ἐπισκόπων κρινόμενα, ἢ δεσμοῦσιν ἢ λύουσι τοὺς ἐνόχους. ὅθεν οἱ λόγοι εἰσὶ καθόλου, ὅτι καὶ περὶ παντὸς ἐν τῇ Ἐκκλησίᾳ πράγματος δεόμενον δεσμοῦ ἢ λύσεως ἐννοοῦνται, ταυτόν ἐστιν εἰπεῖν, ὅτι ἐν τούτῳ τῷ τόπῳ δέδοται τοῖς Ἀποστόλοις καὶ τοῖς αὐτῶν διαδόχοις ἐκεῖνο τὸ πλήρωμα τῆς ἐξουσίας τῶν Κλειδῶν, ὅπερ ὑπέσχετο Ματθαίου κεφαλαίῳ δεκάτῳ ἑκτῷ, καὶ διατοῦτο καὶ ἡ ἐξουσία τοῦ δεσμεῖν διὰ τοῦ δημοσίου ἀφορισμοῦ, καὶ τοῦ λύειν ἀπὸ τῶν αὐτοῦ, τουτέστι περὶ τοῦ Μυστηρίου τοῦ βαπτίσματος, καὶ περὶ τοῦ Μυστηρίου τῆς μετανοίας, καὶ περὶ τῆς δημοσίου ἐξουσίας τῶν Κλειδῶν τοῦ ἀφορίζειν, καὶ ἀπὸ τοῦ δεσμοῦ λύειν. ἐκτείνονται δὲ οἱ λόγοι, καὶ ἡ δι' αὐτῶν διδομένη ἐξουσία ἐξίσου κοινῶς εἰς πάντας τοὺς Ἀποστόλους, ὡς γὰρ Βασιλεὺς ἔστειλεν ὁ Χριστὸς τοὺς Ἀποστόλους πάντας Ἄρχοντας, ἵνα βάλλωσιν εἰς φυλακὴν καὶ ἐκβάλλωσιν, ὥς φησιν ὁ Χρυσόστομος εἰς τὸν τόπον, ὅπου συμπεραίνει ἐν τῷ ἠθικῷ καὶ τοὺς Ἱερεῖς, τουτέστι τοὺς Ἐπισκόπους ἔχειν τὴν αὐτὴν ἐξουσίαν, ἣν ἔδωκεν ὁ Κύριος τοῖς Ἀποστόλοις. συγκαταλέγει δὲ ὁ Χρυσόστομος εἰς τὴν ἔννοιαν τῶν Κλειδῶν φανερώτατα, ὡς εἴπομεν εἰς τὸν αὐτὸν τόπον, καὶ τὸ εἶδος τῆς διδασκαλίας, ὡς καὶ ὁ Ἀμβρόσιος βιβλίῳ περὶ ἱερατικῆς ἀξίας κεφαλαίῳ πρώτῳ φησὶν, Οὐαὶ ἤδη μοι ἐστὶν, εἰ οὐ διδάξω, τάς τε θύρας τῆς ἀνθρωπίνης ἀμαθίας δι' ἐκείνων τῶν Κλειδῶν τῆς τῶν Οὐρανῶν Βασιλίας, ἃς τῷ μακαρίῳ Πέτρῳ τῷ Ἀποστόλῳ οἱ Ἱερεῖς πάντες ἐλάβομεν, οὐκ ἀνοίξω.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ΄.

Ὅτι τὰς Κλεῖς τῆς βασιλείας οὐ μόνος ὁ Πέτρος, ἀλλὰ καὶ πάντες οἱ Ἀπόστολοι ἔλαβον ἐν τῷ, Ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας, καὶ οἱ Ἀρχιερεῖς κατὰ Χρυσόστομον.

Ὁ Χρυσόστομος ἐν τῷ πρώτῳ Τόμῳ τῆς σειρᾶς, Ὥσπερ γὰρ ὁ Πατήρ μου, φησὶ, δέδωκέ σοι τὴν γνῶσιν τοῦ Μυστηρίου, οὕτω κἀγὼ δώσω σοι τὰς Κλεῖς τῆς Βασιλείας, τουτέστι τὸ δεσμεῖν τε καὶ λύειν τὰ τῶν ἀνθρώπων σφάλματα, ἔχουσι γὰρ ἐξουσίαν τοῦ συγχωρεῖν καὶ δεσμεῖν καὶ οἱ κατὰ Πέτρον τοῦ Ἀρχιερατικοῦ ἀξιωθέντες χαρίσματος. οὐ μόνῳ δὲ τῷ Πέτρῳ τοῦτο δεδώρηται, ἀλλὰ καὶ τοῖς λοιποῖς μαθηταῖς, ὅτε εἶπεν αὐτοῖς, Ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἂν τινων κρατῆτε, κεκράτηνται. Ὁ αὐτὸς, ἐν τῷ δεκάτῳ ὀγδόῳ κεφαλαίῳ τοῦ αὐτοῦ Τόμου, προηγουμένου τοῦ, ὅσα ἂν δήσητε καὶ λύσητε ἐπὶ τῆς γῆς, φησὶν, Ὁ Θεὸς τὸ θεοπρεπὲς ἀξίωμα δίδωσι τοῖς μαθηταῖς, καὶ φησὶ, τὰ ὑφ' ὑμῶν δεδεμένα τε καὶ λελυμένα, τοιαῦτα καὶ ἐν τοῖς Οὐρανοῖς ἔσται.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ΄.

Ὅτι ὁ τοῦ Δώσω σοι τὰς Κλεῖς καιρὸς κατὰ τὸν Ἀλεξανδρείας Κύριλλον ἦν ἡ τῆς ἀναστάσεως ὥρα, ὅτε εἶπεν ὁ Κύριος τοῖς Ἀποστόλοις, Λάβετε Πνεῦμα ἅγιον, ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας καὶ τὰ ἑξῆς. καὶ κατὰ πόσους τρόπους ἀφίενται αἱ ἁμαρτίαι. ὅθεν τὰ ἐν διαφόροις τόποις ὑπὸ τοῦ Κυρίου εἰρημένα διὰ πᾶσαν κρίσιν ὑποκειμένην τῇ διδασκαλίᾳ τῶν Ἀποστόλων καὶ Ἐπισκόπων ἐννοοῦνται.

Κύριλλος Ἀλεξανδρείας ἐν τῷ αὐτῷ τόπῳ, Τόμῳ ὅμως δευτέρῳ τῆς σειρᾶς, Ἄθρει πῶς Κύριον ἑαυτὸν συλλήβδην ἀποφαίνει Οὐρανοῦ τε καὶ γῆς, ὑπισχνεῖται γὰρ τὰ ὑπὲρ φύσιν, ὅσα μόνῳ Θεῷ πρέπει, χαρίζεσθαι. πρῶτον μὲν γάρ φησιν ἑαυτοῦ εἶναι τὴν Ἐκκλησίαν, ἣν καὶ θεμελιοῦν ἐπαγγέλλεται, τὸ ἀκατάσειστον αὐτῇ προσνέμων, ἢ ὡς αὐτὸς ὑπάρχων ὁ τῶν δυνάμεων Κύριος, καὶ ταύτης Ποιμένα τὸν Πέτρον ἐφίστησιν, εἶτα ἔφη, Καὶ δώσω σοι τὰς Κλεῖς τῆς Βασιλείας τῶν Οὐρανῶν. ταύτην δὲ τὴν φωνὴν οὐκ Ἄγγελος, οὐκ ἄλλη τὶς λογικὴ Δύναμις φθέγξασθαι δύναται, πρέπει γὰρ μᾶλλον τῶν πάντων κρατοῦντι Θεῷ, καὶ ἐξουσίαν ἔχοντι γῆς καὶ Οὐρανοῦ, πλὴν ὁ τοῦ δώρου καιρὸς ἦν ἡ τῆς Ἀναστάσεως ὥρα, ὅτε εἶπε, ΛΑΒΕΤΕ ΠΝΕΥΜΑ ἅΓΙΟΝ, ἂΝ ΤΙΝΩΝ ἈΦΗΤΕ ΤΑΣ ἈΜΑΡΤΊΑΣ, ἈΦΊΕΝΤΑΙ ἈΥΤΟΪΣ, ἂΝ ΤΙΝΩΝ ΚΡΑΤΗΤΕ, ΚΕΚΡΆΤΗΝΤΑΙ. Ὁ αὐτὸς Ἰωάννου κεφαλαίῳ εἰκοστῷ ταῦτα φησὶ, Δοθέντος γοῦν τοῦ ἁγίου Πνεύματος τοῖς μαθηταῖς, Ἂν τινων ἀφῆτε, φησὶ, τὰς ἁμαρτίας, ἀφίενται. καὶ ἀληθῶς μόνου τοῦ ἀληθινοῦ Θεοῦ ἐστὶν ἵνα δύνηται ἀφιέναι τὰς ἁμαρτίας τῶν ἀνθρώπων, τίνι γὰρ ἑτέρῳ τοὺς παραβάτας τοῦ Νόμου ἔξεστιν ἀπὸ τῆς ἁμαρτίας αὐτῶν ἐλευθερῶσαι, εἰ μὴ τῷ ποιητῇ τοῦ αὐτοῦ Νόμου, οὕτω γὰρ καὶ ἐν τοῖς ἀνθρωπίνοις πράγμασι γίνεσθαι ὁρῶμεν, διότι οὐδεὶς τοὺς Νόμους τῶν Βασιλέων ἄνευ ποινῆς ἀποδοκιμάζει, εἰ μὴ αὐτοὶ οἱ Βασιλεῖς, ἐν οἷς τῆς παραβάσεως τὸ ἔγκλημα τόπον οὐκ ἔχει, σαφῶς γὰρ εἴρηται ἀσεβῆ εἶναι τὸν λέγοντα τῷ Βασιλεῖ κακῶς ποιεῖς. τίνι οὖν λόγῳ τὴν ἀξίαν τῆς θείας φύσεως καὶ τὴν ἐξουσίαν τοῖς μαθηταῖς ὁ Σωτὴρ ἐδωρήσατο, ὅτι ἀληθῶς οὐκ ἄτοπόν ἐστι δύνασθαι ἀφιέναι τὰς ἁμαρτίας ἐκείνους, οἵτινες ἐν ἑαυτοῖς εἶχον τὸ Πνεῦμα τὸ ἅγιον, ὅτε γὰρ αὐτοὶ ἀφίουσιν, ἢ κρατοῦσι, τὸ ἐν αὐτοῖς κατοικοῦν Πνεῦμα δι' αὐτῶν κρατεῖ, καὶ ἀφίησιν. ἕπεται δὲ τοῦτο δι' αὐτῶν δυσὶν οἶμαι τρόποις, πρῶτον τῷ βαπτίσματι, ἔπειτα τῇ μετανοίᾳ, καὶ γὰρ ἢ τοὺς πιστοὺς καὶ

τῇ

τῇ τῆς ζωῆς ἀκωσωίᾳ μαρτυρεμψυσε αὖθρας πρὸς τὸ βάπτισμα ἔλκυσι, καὶ τὲς ἐκεῖθεν αἰναξίως ἐμμελῶς ἐκδιώκυσιν, ἢ τὲς ἐξ τῆς ἐκκλησίας ἁμαρτωλὲς μὴ ἐλέγχυσι, μετανοῦσι δὲ συγχωρῦσιν, ὡς περ ὁ Παῦλος ποτὲ τὸν ἐν κορινθίοις εἰς φθορὰν τῆς σαρκὸς παραδέδωκεν, ἵνα τὸ πνεῦμα σωθῇ, καὶ πάλιν μετακαλεῖ, ἵνα μὴ μείζονι πόνῳ καταποθῇ. ἰδὲ λοιπὸν καὶ ὁ χρυσόστομος καὶ ὁ ἅγιος κύριλλος οὐχ ἑρμηνεύσι τὰ λόγια τὲ κυρίυ ἐρημδία ἐν διαφόροις τόποις ὅτι ἐννοῦνται διὰ μόνην ἐξυσίαν τάξεως παρὰ τὸ ἀφιέναι τὰς ἁμαρτίας διὰ τὲ βαπτισμὲ καὶ τῆς μετανοίας, ἀλλὰ διὰ πᾶσαν κρίσιν ὑποκειμένην τῇ διδασκαλίᾳ τῶν Ἀποστόλων καὶ Ἐπισκόπων, εἴτε ἐν τῷ μεταυοητικῷ, εἴτε ἐν τῷ ἐξωτερικῷ δήματι εἴη, καὶ ἀπαιτᾶσαν δεσμὸν ἢ λύσιν.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι κατὰ τὸν μέγαν Ἀθανάσιον, Εὐτυχιανὸν Ῥώμης, Ἀμβρόσιον καὶ Ἀνώνυμόν τινα, τὴν ἐξυσίαν τὲ λύειν καὶ δεσμεῖν ἐν τῷ ποίμανσιν παρὰ τὲ Σωτῆρος οἱ Ἀρχιερεῖς ἔλαβον, ἐν κατὰ πόσας τρόπας ἀφιᾶσι τὰς ἁμαρτίας.

Ἀθανάσιος ὁ μέγας ὁμιλία εἰς τὸν Λάζαρον, Εἰ γὰρ ἀδέπω ἐλύθησαν σε οἱ δεσμοὶ, δὸς σαυτὸν τοῖς μαθηταῖς τὲ Ἰησυ, πάρεισι γὰρ οἱ λύοντες ἡμεῖς, τὴν ἐξυσίαν ταύτην λαβόντες παρὰ τὲ Σωτῆρος, ὅσα γὰρ ἂν φησι δήσητε καὶ λύσητε ἐν τῇ γῇ, ἔσαι δεδεμδία καὶ λελυμδία ἐν τοῖς Οὐρανοῖς. Εὐτυχιανὸς ὁ Πάπας παρὰ Σικελὲς Ἐπισκόπυς ἐπιστολῇ δευτέρᾳ φησὶν, Ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ τοῖς Ἀποστόλοις καὶ τοῖς αὐτῶν διαδόχοις διαγγελιζόμδος φησὶν, Ὧν ἂν ἀφῆτε τὰς ἁμαρτίας, καὶ τὰ ἑξῆς. Ἀμβρόσιος εἰς τὸ, ποίμανε τὰ πρόβατά μυ φησὶν, Ἦν ποίμνιον ἐμόνον τότε ὁ μακάριος ἔλαβε Πέτρος, ἀλλὰ καὶ πάντες ἡμεῖς ἐν αὐτῷ ἐλάβομδν, ὅθεν τοῖς ἱερεῦσι τὲ ποιμαίνειν αὐτὰ παραδέδονται, βιβλίῳ περὶ ἱερατικῆς ἀξίας, κεφαλαίῳ δευτέρῳ. Ἀνώνυμος δέτις κείμενος παρὰ τῇ σειρᾷ ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ φησὶ, Δὺς δὲ τὸ Πνεῦμα ἁγιὸς, αὖτινων φησὶν ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται, αὖτινων κρατῆτε, κεκράτηται, τὲτο μόνα Θεὸς ποιεῖν ἰσχύοντος, τίς γὰρ δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός. ἔδρα δὲ τὲτο καὶ σφόδρα καλῶς, ὥστε γὰρ δεῖν τὲς ἔχοντας ἐν αὐτοῖς ἤδη τὸ θεῖον καὶ δεσποτικὸν Πνεῦμα. καὶ τὲ Δαφεῖναι ταύτινων ἁμαρτίας εἶναι κυρίως. Ἀφιᾶσί γε μὴν ἁμαρτίας, ἤτοι κατέχυσιν οἱ πνευματοφόροι κατὰ δύο τρόπυς, ἢ γὰρ καλῶσιν ἐπὶ τὸ βάπτισμα τὲς σεμνότητι βίυ καὶ πίστα δεδοκιμασμένυς, ἢ διακωλύσί τινας καὶ τῆς θείας χάριτος ἐξαίρυσιν ἔπω τέως γεγονότας ἀξίυς, ἢ καθ' ἕτερον τρόπον ἐπιτιμῶντες τοῖς ἁμαρταίυσι τοῖς τῆς Ἐκκλησίας τέκνοις, καὶ μετανοοῦσι συγχωρῶσκοντες, καθάπερ Παῦλος τὸν ἐν Κορίνθῳ πορνδύσαντα παρεδίδυ μὴ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ, σπεύδει δὲ, ἵνα μὴ τῇ πλείονι λύπῃ καταποθῇ.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι κατὰ Φώτιον, Θεοφύλακτον, Βασίλειον τὸν μέγαν καὶ Αὐγυστῖνον τὸ, δώσω σοι τὰς Κλεῖς ἐν πρωσώπῳ τὲ Πέτρυ καὶ τοῖς λοιποῖς τῶν Μαθητῶν δέδοται ἐν τῷ, Ἄνλινων ἀφῆτε τὰς ἁμαρτίας καὶ τὰ ἑξῆς, καὶ πᾶσι τοῖς Ἐπισκόποις, πρόσωπον ἐπέχυσι τὲ Σωτῆρος τὲ τὸ ποιμαίνειν αὐτοῖς ἐξυσίαν παρέχοντος.

Εὐλογίυ τὲ Ἀλεξανδρείας Πατριάρχυ, καὶ τῇ Βιβλιοθήκῃ τὲ Φωτίυ, ἀναγνώσει διακοσιοστῇ ὀγδοηκοστῇ, ἐπόντος, ὅτι διατὲτο ἔτε πρὸς Ἰωάννην, ἔτε πρὸς ἕτερόν τινα τῶν μαθητῶν ἔφη ὁ Σωτὴρ τὸ, Δώτω σοι τὰς Κλεῖς τῆς Βασιλείας τῶν Οὐρανῶν, καὶ τὰ ἑξῆς, ἀλλ' ἢ πρὸς τὸν Πέτρον, ὃς ἔμελλε τῷ τῆς ἀρνήσεως περιπίπτειν ὀλιθήματι, καὶ διὰ δακρύων καὶ μετανοίας ἀπονίπτειν τὸ ἁμάρτημα, ἵνα τῷ καθ' ἑαυτὸν ὑποδείγματι πρὸς τὰς ἁμαρτάνοντας φιλανθρωπότερον διατίθηται, οἱ γὰρ ἄλλοι ἀπείρασοι μεμωπκότες, τάχα ἂν ἀποτομώτερον αὐτοῖς διανέκρινε. πρὸς ταῦτα τὲ Εὐλογίυ ἀπαρεσκόμδος ὁ Φώτιος, ἐσημείωσε εἰς τὸν αὐτὸν τόπον, καὶ εἶπε, τὲτο μὴ φησὶν ὁ Εὐλόγιος πιθανώτερον μᾶλλον ἢ ἀληθέστερον λέγων, εἰ γὰρ καὶ πρὸς Πέτρον εἴρητο, ἀλλ' ἐν ᾧ πρωσώπῳ τὲ κορυφαίυ καὶ τῆς λοιπῆς τῶν μαθητῶν ἑνότητος ἐδέδοτο, ὅπερ γε καὶ τοῖς ἀπ' ἐκείνων τὸ ἀρχιερατικὸν κατὰ διαδοχὴν περιβεβλημδίοις ἀξίωμα πρὸς αὐτοῖς πρωσεῖναι τὲ δεσμεῖν καὶ λύειν ἐξυσίαν πιστεύομεν. Ὁ Θεοφύλακτος ἐν τῷ δεκάτῳ πέμπτῳ κεφαλαίῳ τὲ Ματθαίυ φησὶ, Κλεῖδας νοήσεις τὰς δεσμώσας καὶ λυώσας τὰς τῶν σφαλμάτων ἢ συγχωρήσεις ἢ ἀπολημψεις, ἔχυσι γὰρ ἐξυσίαν ἀφιέναι καὶ δεσμεῖν οἱ μετὰ Πέτρυ τῆς ἐπισκοπικῆς ἀξιωθέντες χαρίτος, εἰ γὰρ καὶ πρὸς Πέτρυ εἴρηται τὸ, ΔΩΣΩ ΣΟΙ, ἀλλὰ καὶ πᾶσι τοῖς Ἀποστόλοις δέδοται, πότε; ὅτε εἶπεν, Ἄνλινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίονται. Ὁ αὐτὸς ἐν τῇ ἐκκλησιαστικῇ Ἱεραρχίας Διονυσίυ τὲ Ἀρεοπαγίτυ κεφαλαίῳ ἑβδόμῳ ἀριθμῷ ἑβδόμῳ, Τῷ τὰς θείας ἀποκαλύψεις τὲ παναγεστάτυ Πατρὸς ἐλλαμπομένῳ τὰ λόγια φησὶν, Ὃ ἐὰν λύσης ἐπὶ τῆς γῆς, ἔσαι λελυμένον ἐν τοῖς Οὐρανοῖς, ὡς ἐκείνυ τῆς παντὸς τὲ κατ' αὐτὸν Ἱεραρχίυ κατὰ τὰς ἐν αὐτῷ γυνομένας

μένας τῶν πατρικῶν δικαιωμάτων ἀποκαλύψεις ἐκφαντορικῶς καὶ διαπορθμευτικῶς τούς τε θεοφιλεῖς προσιεμένου καὶ τοὺς ἀθέους ἀποκληροῦντος. Βασίλειος ὁ μέγας ἐν ταῖς διαταγαῖς τῶν Μοναχῶν κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, Ὁ Καθηγούμενος οὐδὲν ἕτερόν ἐστιν, ἢ ὁ τοῦ Σωτῆρος ἐπέχων πρόσωπον, καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων γενόμενος, καὶ Ἱερουργῶν τῷ Θεῷ τὴν τῶν πειθομένων αὐτῷ σωτηρίαν, καὶ τοῦτο παρ' αὐτοῦ τοῦ Χριστοῦ παιδευόμεθα, Πέτρον Ποιμένα μεθ' ἑαυτὸν τῆς Ἐκκλησίας αὐτοῦ καθιστῶντος, Πέτρε γάρ φησι, φιλεῖς με πλεῖον τούτων; ποίμαινε τὰ πρόβατά μου, καὶ πᾶσι δὲ τοῖς ἐφεξῆς Ποιμέσι καὶ Διδασκάλοις τὴν ἴσην παρέχοντος ἐξουσίαν, καὶ τούτου σημεῖον, τὸ δεσμεῖν ἅπαντας ὁμοίως καὶ λύειν ὥσπερ ἐκεῖνος. τὰ αὐτὰ καὶ λόγῳ περὶ ὑπακοῆς, καὶ ἴδε ἀνωτέρω μέρους τετάρτου κεφαλαίου πρώτου Παράγραφον τέταρτον. τούτῳ συμφωνεῖ ὁ Αὐγουστῖνος ἐξηγήσει εἰκοστῇ δευτέρᾳ καὶ τεσσαρακοστῇ τρίτῃ εἰς τὸν Ἰωάννην λέγων, Ἡ ἐξουσία εἰσὶν αἱ Κλεῖδες, δι' ὧν οἱ Ἀπόστολοι καὶ οἱ ἐκείνων διάδοχοι δεσμεύουσι τοὺς ἁμαρτωλοὺς, ἢ λύουσιν. Ἐν τούτοις σημείωσαι ὅτι καὶ ἄλλοι πατέρες, καὶ μάλιστα τῶν ἐγκρίτων καὶ ἐπιδόξων συμφώνως τοῖς τὰ πάντα ἁγίοις Χρυσοστόμῳ καὶ Κυρίλλῳ ἑρμηνεύουσι τὰ κυριακὰ λόγια, ὡς εἴρηται ἀνωτέρω. καὶ ἀναμφιβόλως οἱ φίλοι Λατῖνοι παρερμηνευταὶ δεικνύονται λαμπροὶ τούτων τῶν κυριακῶν λογίων, ὥσπερ καὶ ἄλλων πολλῶν.

ΒΙΒΛΙΟΥ Ι΄. ΜΕΡΟΣ Ε΄. ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Ὅτι πᾶσα ἐξουσία ἐπισκοπικὴ καὶ ἱερατικὴ ἀμέσως δίδοται παρὰ Θεοῦ, καὶ πάντες οἱ Ἐπίσκοποι ἴσοι τῇ ἐξουσίᾳ.

Οὐ διὰ τοῦτο ἠξίωταί τις μείζονος ἐξουσίας τῆς ἑτέρῳ δοθείσης, οὔτε διὰ τοῦτο δοτήρ ἐστι τῆς ἑτέρῳ δοθείσης, ὅτι γε αὐτὸς ἐπιτίθησι τὰ ὀργανικὰ μέσα ὧν ἄνευ ἡ ἐξουσία ἐκείνη οὐ δίδοται, εἰ μὴ διὰ τῶν τοιούτων, ὡς βούλονται οἱ παπισταὶ, ἵνα δείξωσι τὸν μὲν Πάπαν χειροτονούμενον παρὰ Θεοῦ, τοὺς δὲ Ἐπισκόπους ἐμμέσως δι' αὐτοῦ. Ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, ἀμφοτέρα ἡ ἐξουσία ἥ τε τῆς τάξεως ἥ τε τῆς ἐξωτερικῆς ἐκκλησιαστικῆς δικαιολογίας παρὰ Θεοῦ δίδοται ἀμέσως, καὶ γὰρ ὁ χειροτονῶν Ἐπίσκοπος τὸν Ἱερέα οὐκ ἔστι ποιητὴς τῆς ἐξουσίας τοῦ βαθμοῦ, ἐπειδὴ ἡ τοιαύτη ἐξουσία δίδοται παρὰ Θεοῦ ἀμέσως, καθὼς καὶ πᾶσα ἐξουσία, ἢ διὰ τῆς χειροτονίας τῶν Ἐπισκόπων θεόθεν διαταχθεῖσα δίδοται, ὥστε καὶ ὁ χειροτονηθεὶς παρὰ τοῦ Ἀρχιεπισκόπου, ἢ τοῦ Πάπα, ἢ τινὸς τῶν λοιπῶν Πατριαρχῶν Ἐπίσκοπος, ἔχει τὴν ἐξουσίαν τῆς Ἐπισκοπικῆς τάξεως ἰσορρόπως μετὰ τοῦ χειροτονήσαντος, καὶ ἴσως, καὶ ἀμέσως παρὰ τοῦ Θεοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Β΄.

Ὅτι ὁ Θεὸς κατὰ τὸν Ἀμβρόσιον δίδωσι μόνος διὰ τοῦ χειροτονοῦντος τῷ χειροτονουμένῳ τὴν τάξιν, τὴν τιμὴν καὶ ἀξίαν.

Ὁ Ἀμβρόσιος περὶ ἱερατικῆς ἀξίας κεφαλαίῳ πέμπτῳ, Τὶς δίδωσί φησι τὴν Ἐπισκοπικὴν χάριν, ὁ Θεὸς, ἢ ἄνθρωπος; καὶ ἀποκρίνεται ὅτι ἀναμφιβόλως ὁ Θεός. ὁ Θεὸς διὰ τοῦ ἀνθρώπου δίδωσιν, ὁ ἄνθρωπος ἐπιτίθησι τὰς χεῖρας, ὁ Θεὸς δωρεῖται τὴν χάριν, ὁ Ἱερεὺς ἐπιτίθησι τὴν δεομένην δεξιὰν, καὶ ὁ Θεὸς εὐλογεῖ τῇ κραταιᾷ δεξιᾷ, ὁ Ἐπίσκοπος ἑορτάζει τὴν τάξιν, καὶ ὁ Θεὸς δίδωσι τὴν ἀξίαν. ταῦτα ὁ Ἀμβρόσιος, δεικνύων ὅτι μόνος ὁ Θεὸς δίδωσι διὰ τοῦ χειροτονοῦντος Ἐπισκόπου τὴν τάξιν, τὴν τιμὴν καὶ τὴν ἀξίαν: ἥτις ἐπιφέρει τὴν ἐξουσίαν τῶν Κλειδῶν κατὰ τὸ πλήρωμα καὶ κατὰ τὴν ἐνέργειαν τοῦ δεσμεῖν καὶ λύειν ἐν τῷ ἐξωτερικῷ κριτικῷ βήματι.

ΠΑΡΑΓΡΑΦΟΝ Γ΄.

Ὅτι κατὰ Δέδρον ἡ ἱερατικὴ καὶ Ἀρχιερατικὴ ἐξουσία τοῦ ἁγίου Πνεύματος ἔργα.

Ἡ ἱερατικὴ ἐξουσία καὶ ἡ Ἀρχιερατικὴ φησὶν ὁ Δρέδος, οὔτε ἐστὶν ἐξ ἀνθρωπίνης ἐπινοίας γεγενημένη, οὔτε διὰ μόνης τῆς κοινῆς τῶν ἀνθρώπων συμφωνίας, ἀλλὰ διὰ Χριστοῦ καὶ Πνεύματος ἁγίου διαταχθεῖσα καὶ τῇ Ἐκκλησίᾳ ἐν τοῖς Ἀποστόλοις δοθεῖσα, ἐπεὶ ὁμοίας ἐξουσίας τὰ τέλη εἰσὶν ἔργα τοῦ ἁγίου Πνεύματος, καὶ ὑπὲρ τὴν δύναμιν τῆς ἀνθρωπίνης φύσεως.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι καὶ κατὰ Βελλαρμῖνον παρὰ Θεοῦ δίδοται ἡ δικαιολογία τῷ Ἀρχιερεῖ.

Βοηθεῖ ἡμῖν καὶ ὁ Ῥωμανικὸς Γολιὰθ Βελλαρμῖνος, παρέχων καὶ ἄκων τὴν ῥομφαίαν αὐτοῦ πρὸς σφαγὴν αὐτοῦ, λέγει γὰρ βιβλίῳ δευτέρῳ περὶ τοῦ Πάπα κεφαλαίῳ τριακοστῷ, ὅτι ἡ δικαιολογία δίδοται μὲν τῷ Ἀρχιερεῖ παρὰ Θεοῦ, ἀλλὰ τῇ συνδρομῇ τῶν ἀνθρώπων, καὶ δῆλον, καθότι ἀπὸ τῶν ἀνθρώπων ἔχει οὗτος ὁ ἄνθρωπος, ὃς πρώην οὐκ ἦν Πάπας, τὸ ἄρχεσθαι εἶναι Πάπας. Εἰ δὲ ὁ Πάπας ὡς δι' ὀργάνων τῶν Ἐπισκόπων λαμβάνει τὸ εἶναι Πάπας, καὶ οὐκ ἐμμέσως παρ' αὐτῶν, ἀλλ' ἀμέσως παρὰ Θεοῦ, δῆλον ὅτι καὶ οἱ Ἐπίσκοποι ὡς δι' ὀργάνων τῶν χειροτονούντων γίνονται, καὶ οὐκ ἐμμέσως, ἀλλ' ἀμέσως παρὰ Θεοῦ. καὶ ἄνω φυεῖσα καὶ ἡ παροῦσα παπικὴ τρίβολος, ἀνατείλαντος τοῦ Ἡλίου τῆς ἀληθείας, κατεφλογίσθη.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι κατὰ Χρυσόστομον, Αὐγουστῖνον καὶ Ζωναρᾶν ὁ Θεὸς ἐν ταῖς χειροτονίαις τὸ πᾶν ἐργάζεται, κατὰ τὸ, Ἡ θεία χάρις προχειρίζεται καὶ τὰ ἑξῆς, καὶ πάντας τοὺς Ἀποστόλους Ἐπισκόπους κατέστησε.

Ὁ Χρυσόστομος λόγῳ τετάρτῳ εἰς τὰς πράξεις περὶ Παύλου καὶ Βαρνάβα φησὶν, Ὅρα δὲ πῶς οὐκ ἔστι περιττὸς ὁ συγγραφεὺς, οὐ γὰρ λέγει πῶς, ἀλλ' ἁπλῶς ὅτι ἐχειρονήθησαν διὰ προσευχῆς, τοῦτο γὰρ ἡ χειροτονία ἐστίν. ἡ χεὶρ ἐπίκειται τοῦ ἀνδρὸς, τὸ δὲ πᾶν ὁ Θεὸς ἐργάζεται, καὶ ἡ αὐτοῦ χείρ ἐστιν ἡ ἀπτομένη τῆς κεφαλῆς τοῦ χειροτονουμένου, ἐὰν ὡς δεῖ χειροτονῆται. Καὶ λόγῳ εἰκοστῷ ἑβδόμῳ κεφαλαίῳ δωδεκάτῳ, Τὸ μὲν οὐκ ἀπ' ἀνθρώπων εἶπεν, ἵνα δηλώσῃ ὅτι οὐκ ἄνθρωπος αὐτὸν ἐκάλεσεν, οὐ δὲ προσηγάγετο. τὸ δὲ οὐ δὲ δι' ἀνθρώπου, ὅτι οὐχ ὑπὸ τοῦδε ἐπέμφθη, ἀλλ' ὑπὸ τοῦ Πνεύματος. Καὶ πρώτῃ πρὸς Τιμόθεον κεφαλαίῳ πρώτῳ, λόγῳ πέμπτῳ, Διανιστὰς τοίνυν αὐτὸν, καὶ νήφειν παρασκευάζων καὶ ἐγρηγορέναι, ἀναμιμνήσκει τοῦ ἑλομένου καὶ χειροτονήσαντος, ὡσεὶ ἔλεγεν, ὁ Θεός σε ἐξελέξατο, αὐτός σοι ἐνεπίστευσεν, οὐκ ἀνθρωπίνῃ γέγονας ψήφῳ. Καὶ δευτέρᾳ πρὸς Τιμόθεον, λόγῳ δευτέρῳ, Οὐκ αὐτοῦ τοῦ Ἱερέως καταφρονεῖς, ἀλλὰ τοῦ χειροτονήσαντος αὐτὸν Θεοῦ. Καὶ ὁ Αὐγουστῖνος ζητήματι ἐννενηκοστῷ ἑβδόμῳ περὶ τῶν ὀνομάτων τῆς διαθήκης, Πάντας τοὺς Ἀποστόλους ὁ Χριστὸς Ἐπισκόπους κατέστησε φησί. Καὶ ὁ Ζωναρᾶς ἐν τῇ ἑρμηνείᾳ τοῦ πρώτου ἀποστολικοῦ Κανόνος φησὶ, Νῦν μὲν χειροτονία καλεῖται ἡ τῆς καθιερώσεως τοῦ ἱερᾶσθαι λαχόντος τελεσιουργία τῶν Εὐχῶν, καὶ τοῦ ἁγίου Πνεύματος ἐπίκλησις ἀπὸ τοῦ τὸν Ἀρχιερέα τείνειν τὴν χεῖρα εὐλογοῦντα τὸν χειροτονούμενον, Ἡ θεία χάρις προχειρίζεται.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι καὶ ἀπὸ τῆς ἐπιουλήσεως καὶ τῶν εὐχῶν συνάγεται ἀμέσως παρὰ Θεοῦ τὰς χειροτονίας γίνεσθαι, καὶ ψεῦδος προφανέστατον τὸ ἐμμέσως παρὰ τοῦ Πάπα.

Ἐν τῇ χειροτονίᾳ. Ἡ θεία χάρις ἡ τὰ ἀσθενῆ θεραπεύουσα, καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα προχειρίζεται. ἀλλὰ δὴ καὶ ἀπὸ τῶν Εὐχῶν τῶν ἐν ταῖς χειροτονίαις Διακόνων, Πρεσβυτέρων καὶ Ἐπισκόπων τοῦτο συνάγεται ἀριδήλως. σημείωσαι ἄρα ὅτι προφανέστατόν ἐστι ψεῦδος τὸ τὸν μὲν Πάπαν χειροτονεῖσθαι ἀμέσως ἐκ Θεοῦ, τοὺς δὲ λοιποὺς Ἐπισκόπους ἐμμέσως δι' αὐτοῦ, καὶ πασίδηλον ὅτι καὶ Ἐπίσκοποι καὶ Πρεσβύτεροι, εἰ καὶ διὰ Ἐπισκόπων ὡς ὀργάνων χειροτονοῦνται, ἀμέσως ὅμως οἱ πάντες ἐκ Θεοῦ λαμβάνουσι τὸ χάρισμα τῆς Ἱερωσύνης. καὶ κατεστράφη καὶ ἡ παροῦσα θέσις τῶν παπιστῶν.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Ε'. ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Ὅτι τὸ μεγαλεῖον τῆς ἐξουσίας, ἢ τάξεως δηλονότι, ἢ δικαιολογίας, ἢ νοεῖται ἐξηπλωμένως, καὶ πρὸς τὰς ἐνεργείας ἐκείνης τῆς ἐξουσίας, ἢ καθὸ πρὸς τὴν ὑποκειμένην ὕλην, εἰς ἣν ἐπιτελοῦνται ἐκείνης αἱ ἐνέργειαι.

Τὸ πρῶτον μεγαλεῖον ἐστὶν ἐσωτερικὸν καὶ ἐξουσιαστικὸν, τὸ δεύτερον ἐξωτερικὸν, καὶ κατὰ συμβεβηκός. κατὰ τὸ πρῶτον σημαινόμενον πάντες ἴσοι εἰσὶ τῇ ἐξουσίᾳ ὅσοι ἔχουσι τὴν αὐτὴν τῷ εἴδει ἐξουσίαν τῷ ἴσῳ συμπληρώματι καθὸ πρὸς τὰς ὁμοίας ἐνεργείας, καὶ οὕτως ἐν πᾶσι τοῖς ἐνορίταις

Πρεσβυ-

Πρεσβυτέροις ἴση ἐστὶν ἡ ἐξουσία, ποτὲ τὸν ᾧ ἐδόθησαν Δαρικόσιαι ψυχαὶ, ὅσον ᾧ ἐδόθησαν μυρίαι. πάσας γὰρ τὰς ἐνεργείας τῆς Ἱερατικῆς ἀξίας δύναται ἐκτελεῖν ἐν ταῖς Δαρικοσίαις αὐτοῦ, φέρε εἰπεῖν, ὁ Πέτρος, ἃς ἐκτελεῖ ὁ Παῦλος ἐν ταῖς μυρίαις, καὶ τῶν αὐτῶν ἁπασῶν ἐνεργειῶν χρεία τῷ Πέτρῳ εἰς διοίκησιν τῶν Δαρικοσίων, ὅσαις χρῆται καὶ ὁ Παῦλος εἰς διοίκησιν τῶν μυρίων, ὅθεν καὶ εἰ ἀθενείᾳ τινὶ κατὰ συμβεβηκὸς ὑπεισελθούσῃ, καὶ κατὰ τύχην, ἢ ἄλλῃ τινὶ δυσυχίᾳ συχεθείτω τοῦ ποιμνίου τοῦ Πέτρου, ἀποθανόντων ἐκ τοῦ ποιμνίου αὐτοῦ οἱ ἑκατονπεντήκοντα, καὶ μένωσι μόνοι πεντήκοντα, ὁ δὲ Παῦλος ἔχει σῴους τοὺς μυρίους, ἢ καὶ πλείονας ὑπερτήσηται, οὐδὲν μειοῦται κατὰ τὴν ἐσωτερικὴν τῆς ἁπασικῆς μεγαλειότητα τῆς ἑαυτοῦ ἐξουσίας ὁ Πέτρος τοῦ Παύλου. οὕτω πάντες οἱ Βασιλεῖς τῆς αὐτῆς εἰσὶν ἐξουσίας καὶ ἴσοι κατὰ τὰς ἐνεργείας τῆς Βασιλείας, εἰ καὶ μὴ πάντες ἔχουσιν ὑποκειμένους ἴσους τῷ ἀριθμῷ, ὅθεν καὶ Μανουὴλ ὁ Κομνηνὸς ἐπεχωρεμβίῳ ἔχων τὴν ὑποκειμένην ὕλην, καὶ σχεδὸν μήτε πατηκοστὸν μέρος ἧς κρατεῖ ὁ μέγας Κωνσταντῖνος, Δάβδοχος τοῦ μεγάλου Κωνσταντίνου χάφεται εἰς τὸν Σάκραν, ὡς ἔγραψε βεβαιοῦν τὸν περὶ Ε, ὁ Πατήρ μου μείζονα ἐστὶ Σωϊδον, καὶ ἴδε αὐτέχω βιβλίῳ ὀγδόῳ κεφάλαιον εἷναι. Καὶ αὐτὸς ὁ ἔσχατος τῶν Ῥωμαίων Βασιλέων Κωνσταντῖνος ἐπεχωρέμβα ἔχων τῆς βασιλείας τὰ ὅρια τοῖς τείχεσι τοῦ Βυζαντίου, Αὐτοκράτωρ Ῥωμαίων ὑπὸ τοῦ Πάπα Μαρτίνου ἐγράφετο. κατὰ τοῦτ' ἔν ἴσοι οἱ Πατριάρχαι ἀλλήλοις, Πατριάρχαι γάρ φημι καὶ τὸν Πάπαν ὀρθοξοῦντα, ἐπειδὴ ταὐτὰς χρῶνται ἁπασικὰς ἐνεργείας, εἰ καὶ τὸ ὑποκείμενον τινῶν πλατύνεται, καὶ ἄδεις τοῦ ἑτέρου μείζων εἶναι τὸν ὦμβρον, εἰ μὴ ἐν τῇ τῆς πρωτοκαθεδρείας τάξει, ὡς οἱ τῶν Συνόδων διώρισαν Κανόνες, καὶ εἴρηται αὐτέρω πολλάκις. ἴσοι δὲ καὶ οἱ Ἐπίσκοποι πάντες κατὰ τὴν ἁπασικὴν ἐξουσίαν, ὥστε ἴσος ἐστὶν ὁ Πάπας καὶ σὰς τῶν λοιπῶν Πατριαρχῶν, καὶ ὁ ἐν Εὐγουβίῳ Ἐπίσκοπος, ὡς εἴρηται εἰς τὸ πρῶτον κεφάλαιον.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Ε'. ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Οὐμὼν, ἀλλὰ καὶ τὸ πλήρωμα τῆς ἐξουσίας τῶν Κλειδῶν, καὶ τὴν δικαιολογίαν αὐτῷ ἐξωτερικῷ βήματι καθ' ὅσον ἐστὶς πάσας τὰς ἐνεργείας ὁμοίως ἔχουσι πάντες οἱ Ἐπίσκοποι κατὰ Κυπριανόν.

Τοῦτο τὸ πλήρωμα τῆς ἐπισκοπικῆς δικαιολογίας καλεῖ ὁ Κυπριανὸς ἰσχὺν πληρεστάτην, ἣ δεῖ τὸν Ἐπίσκοπον ἐνεργεῖν τῆς Ἐπισκοπῆς τὴν ἰσχύν, καὶ διοικεῖν τὸ ὕψος τῆς Ἐκκλησίας καὶ τὴν θείαν ἐξουσίαν, ἣ ὁ Ἐπίσκοπος ἐν τῇ Ἐκκλησίᾳ κριτὴς νοεῖται [ὑπερτερικῶς τοῦ χρεστοῦ, ὑπὸ σχολὴν πατηκοστὴν πρώτην, ἤτοι βιβλίῳ πρώτῳ ὑπὸ σχολὴν τρίτην ἐπὶ Κορνήλιον, ὁμοίως τὴν ἐξουσίαν τῆς καθέδρας, τὴν ἰσχὺν τῆς Ἐπισκοπῆς, καὶ τὴν δύναμιν τῆς ἐπισκοπικῆς τιμῆς, ὑπὸ σχολὴν ἑξηκοστὴν πέμπτην, ἤτοι βιβλίῳ τρίτῳ, ὑπὸ σχολὴν ὀγδόην, ὅθεν καὶ ἐν τῷ τόπῳ τούτῳ καὶ ἀλλαχοῦ τὸν Ἐπίσκοπον καλεῖ τῆς Ἐκκλησίας θεϊσάμενον, τοὺς Ἐπισκόπους λέγων ἐν τῇ Ἐκκλησίᾳ θεΐσασθαι, βιβλίῳ περὶ ἑνότητος τῆς Ἐκκλησίας. ἔτι δὲ τὸ θεΐσασθαι καὶ θεσπεδρεύειν ἴδιον ἐστὶ πάσι τοῖς Ἐπισκόποις, εἴρηται καὶ αὐτέρω μέρους τρίτου κεφαλαίῳ δεκάτῳ τεταρτῳ, καὶ μέρους δευτέρου κεφαλαίῳ ἑκάτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι πᾶς Ἐπίσκοπος κατὰ Αὐγουστῖνον, Γρατιανὸν καὶ Ἰσίδωρον Πηλουσιώτην ἔχει τὴν ἐξουσίαν τοῦ κρίνειν τοὺς αὐτῷ ὑποκειμένους καὶ κατακρίνειν καὶ ἀφορίζειν ὡς καὶ οἱ Ἀπόστολοι, πλὴν τῆς καθολικότητος τῆς ὕλης, ἣ ἔδοσι σὺν ἀνθρώπῳ μετὰ τοὺς Ἀποστόλους πρέπει.

Ἐπὶ τούτοις καὶ Αὐγουστῖνος φησὶ Γρατιανῷ, Διορθώθωσαν φησὶν οἱ ὑποκείμενοι ὑπὸ τῶν θεϊσαμένων αὐτῶν διορθώσεσι θεσπερχομένοις ἐξ ἀγάπης καὶ τὴν διαφορὰν τῶν ἐγκλημάτων διαφόροις, ἢ μείζοσιν, ἢ ἐλάττοσι, διότι καὶ αὐτὴ ἥτις καλεῖται κατάκρισις ἢ κρίσις τοῦ Ἐπισκόπου ποιεῖ, ἧς ποινῆς ἔδε μία μείζων ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ (θεοῦ δόξαν τοῦτο) ἢ διορθώσει σωτηριώδη μεταβληθῆναι καὶ θεσκέψαι δύνανται, αἰτίᾳ εἰκοστῇ τετάρτῃ, ζητήματι τρίτῳ, κανόνι ΔΙΟΡΘΩΤΕΟΝ ΕΣΤΩΣΑΝ, ὅπου ὁ Γρατιανὸς συμπεραίνει τὸν ἀφορισμὸν ἴδιον εἶναι τοῦ Ἐπισκόπου, θεσπεσθέντος καὶ ἑτέρου ὑπομνήματος, ὅτι δηλαδὴ ὁ ἀφορισμὸς λέγεται ῥομφαία τοῦ Ἐπισκόπου, ἡ δὲ καθολικότης μετὰ τοὺς Ἀποστόλους οὐκ ἔστιν, εἰ μὴ ἴσον τὸ ἀξίωμα, ἀλλ' οὐκ ἔστιν ἡ ἐνέργεια. καὶ ὁ Πηλουσιώτης Ἰσίδωρος βιβλίῳ τρίτῳ ὑπὸ σχολὴν δεκάτην ὀγδόην, λειτουργίαν ὑπόθυνον, οὐκ ἀρχὴν ἀνεξέταστον λέγει τὴν Ἐπισκοπήν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι τὸ τινὰς ὁμολογητὰς καλέσαι τὸν Ῥώμης Κορνήλιον καθολικῆς Ἐκκλησίας Ἐπίσκοπον, οὐκ ὠφελεῖ τὴν ἣν διδόασιν οἱ παπισταὶ τῷ Πάπᾳ μοναρχίαν, οὔτε ἀποβάλλει τὸ τῶν Ἐπισκόπων πλῆθος τῆς καθολικῆς Ἐκκλησίας, ἀλλὰ τῆς μερικῆς, φράσις γὰρ παλαιὰ ἦν καὶ τοῦ καιροῦ ἐκείνου λέγεσθαι ἑκάστην Ἐκκλησίαν ὀρθόδοξον καθολικὴν, ὡς ἐνταῦθα δείκνυται.

Ἐκεῖνο δὲ ὅπερ τινες τῶν Ῥωμαίων ἀπὸ τῆς Αἱρέσεως τοῦ Νοβατιανοῦ ἐπιστρέφοντες ἔγραψαν πρὸς Κορνήλιον, καλέσαντες αὐτὸν τῆς καθολικῆς Ἐκκλησίας Ἐπίσκοπον (διηγεῖται δὲ τοῦτο δι' ἐπιστολῆς ὁ Κορνήλιος πρὸς Κυπριανὸν, ἥτις ἐστὶ τούτου τοῦ Κυπριανοῦ ἐπιστολὴ τεσσαρακοστὴ ἐνάτη, ἤτοι βιβλίου τρίτου ἐπιστολὴ ἑνδεκάτη) οὐκ ὠφελεῖ τὴν μοναρχίαν ἣν διδόασιν οἱ παπισταὶ τῷ Πάπᾳ, καὶ δὴ καὶ βίνιος καὶ Παμμέλιος ματαίως καὶ ἀδίκως κοπιῶσι δεῖξαι ἐκ τούτου ὃ βούλονται. Ἔτι περὶ τούτου προσφέρουσι τὴν ἐπιστολὴν Κορνηλίου πρὸς Φάβιον τὸν Ἐπίσκοπον Ἀντιοχείας Τόμῳ πρώτῳ τῶν Συνόδων, ὅμως οὐδὲν ἕτερον ἔλεγον ἐκεῖνοι οἱ ὁμολογηταὶ, εἰ μὴ τοῦτον εἶναι Νόμον τῆς καθολικῆς Ἐκκλησίας ἵνα ἐν μιᾷ πόλει εἷς μόνος Ἐπίσκοπος προκαθέζηται. εἶτα παλαιὰ φράσις ἦν καὶ τοῦ καιροῦ ἐκείνου ἑκάστην Ἐκκλησίαν ὀρθόδοξον καλεῖν καθολικὴν Ἐκκλησίαν, τόν τε Ἐπίσκοπον αὐτῆς Ἐπίσκοπον τῆς καθολικῆς Ἐκκλησίας ὀνομάζειν. ὅθεν ὁ Εὐσέβιος ἱστορίας ἐκκλησιαστικῆς βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ, εἰκοστῷ ὀγδόῳ, εἰκοστῷ ἐνάτῳ καὶ τριακοστῷ, διηγούμενος τὴν ἐν Ἀντιοχείᾳ κατὰ Παύλου τοῦ Σαμοσατέως Σύνοδον, λέγει, Οἱ λοιποὶ τῆς Ἐκκλησίας Ποιμένες ἄλλος ἄλλοθεν ὡς ἐπὶ λυμεῶνα τῆς τοῦ Χριστοῦ ποίμνης συνίεσαν ἐπὶ τὴν Ἀντιόχειαν, σπεύδοντες ἕτερον ἀντ' αὐτοῦ τῇ καθολικῇ Ἐκκλησίᾳ καταστῆσαι Ἐπίσκοπον. καὶ δὴ καὶ ἡ ἐν Νικαίᾳ πρώτη Σύνοδος Κανόνι ὀγδόῳ λέγει, Τοῦ τῆς καθολικῆς Ἐκκλησίας Ἐπισκόπου. Καὶ ἐν τῇ ἐπιστολῇ τῆς ἐπὶ Μαρτίνου Συνόδου γίνεται μνήμη τῶν πρὸς πάντας τοὺς πιστοὺς τοῦ Χριστοῦ ἁγίων τοῦ Θεοῦ καθολικῶν Ἐκκλησιῶν. μία δέ ἐστι τῶν οὕτω λεγομένων καθολικῶν Ἐκκλησιῶν καὶ ἡ Ἐκκλησία Ῥώμης. ὅθεν ἐν τῇ κατ' αὐτὸν Συνόδῳ ὁ Πάπας Μαρτῖνος γράφεται, Μαρτῖνος Ἐπίσκοπος τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας πόλεως Ῥώμης, καὶ ὁ Πάπας Ἀγάθων ἐν τῇ πρὸς Κωνσταντῖνον Βασιλέα τὸν Πωγωνᾶτον ἀναφορᾷ τῆς κατ' αὐτὸν Συνόδου γράφει, Ἀγάθων Ἐπίσκοπος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας πόλεως Ῥώμης, ταύτῃ τῇ ἀναφορᾷ ἅμα τῷ κοινῷ ὅλης τῆς Συνόδου τοῦ ἀποστολικοῦ θρόνου. καὶ ἐπὶ Λέοντος αὐγούστου τοῦ μεγάλου οἱ Ἐπίσκοποι Ἀλεξανδρείας ἔγραφον τῷ Κωνσταντινουπόλεως Ἀνατολίῳ, Καὶ τῆς καθολικῆς Ἐκκλησίας Ἀρχιεπισκόπῳ. οὐκ ἐβούλοντο οὖν οἱ ὁμολογηταὶ, λέγοντες τὸν Κορνήλιον Ἐπίσκοπον τῆς καθολικῆς Ἐκκλησίας, ἀποβάλλειν τὸ πλῆθος τῶν Ἐπισκόπων ἀπὸ τῆς καθολικῆς Ἐκκλησίας, ἀλλ' ἀπὸ τῆς μερικῆς Ἐκκλησίας ἑκάστης Διοικήσεως, γινώσκοντες δηλαδὴ καὶ νοοῦντες (ὡς ἐξηγεῖται ὁ Κυπριανὸς κατ' ἐκείνου τοῦ Σχίσματος) μὴ δύνασθαι εἶναι ἐν ἑνὶ τόπῳ ἢ πολλοὺς Ποιμένας, ἢ πολλὰ ποίμνια, βιβλίῳ περὶ ἑνότητος τῆς Ἐκκλησίας. Καὶ ἅπαξ γενομένου τοῦ Ἐπισκόπου καὶ τῇ μαρτυρίᾳ τοῦ λαοῦ, τῇ τε κρίσει τῶν ὀπαδῶν βεβαιωθέντος, ζῶντος ἐκείνου, κατ' οὐδένα τρόπον ἕτερος δύναται εἰς τὸν τόπον αὐτοῦ εἰσελθεῖν, ἐπιστολῇ τεσσαρακοστῇ πρώτῃ, ὅπου ἔτι γράφει, τινὲς ἀπεσταλμένοι εἰς Καρχηδόνα παρὰ τοῦ Νοβατιανοῦ, ἐδοκίμασαν κἀκεῖ τὸ σῶμα τῆς καθολικῆς Ἐκκλησίας σχίσαι καὶ διαῤῥῆξαι.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι ἐκ τῶν πρὸς Ἀντωνιανὸν καὶ Φλωρέντιον ἐπιστολῶν τοῦ Κυπριανοῦ, δείκνυται εἶναι ἐν ἑκάστῃ κατὰ τὴν Οἰκουμένην μερικῇ Ἐκκλησίᾳ ἀνὰ ἕνα μερικὸν Ἐπίσκοπον προϊστάμενον αὐτῆς ὡς τὸν Κορνήλιον τῆς Ῥώμης δηλονότι.

Καὶ περὶ αὐτοῦ τοῦ Νοβατιανοῦ γράφων πρὸς Ἀντωνιανὸν λέγει, Ἃ δέ ἐστιν ἰδεῖν περὶ τοῦ Ἐπισκόπου τοῦ Νοβατιανοῦ ἀδελφὲ περιπόθητε, οὔτε ἀδελφικὴν ἀγάπην, οὔτε ἐκκλησιαστικὴν ἑνότητα ἐκράτησεν, ὅθεν καὶ ὃ ἦν πρώην ἀπώλεσεν, εἰ μὴ δόξεισοι Ἐπίσκοπος ὁ μοιχὸς, ὅστις Ἐπίσκοπον ἐν τῇ Ἐκκλησίᾳ παρὰ δεκαὲξ Ἐπισκόπων χειροτονηθέντα ἐκβάλλειν σπουδάζει, καὶ οὔσης μιᾶς παρὰ τοῦ Χριστοῦ κατὰ πᾶσαν τὴν Οἰκουμένην ἐν πολλοῖς μέρεσι διαιρουμένης τῆς Ἐκκλησίας, ὁμοίως καὶ τῆς Ἐπισκοπῆς πολλῶν Ἐπισκόπων συμφώνῳ ἀριθμότητι διακεχωρισμένης, ἐκεῖνος μετὰ τὴν παράδοσιν τοῦ Θεοῦ, καὶ μετὰ τὴν πανταχοῦ γενομένην τῆς καθολικῆς Ἐκκλησίας ἑνότητα, ἀνθρωπίνην Ἐκκλησίαν ποιῆσαι σπουδάζει, ἀποστέλλων νέους δι' αὐτοῦ ἀποστόλους εἰς διαφόρους πόλεις, ἵνα τοὺς νεωτερισμοὺς αὐτοῦ θεμελιώσωσι, καὶ πρὸ πολλοῦ κατὰ πάσας τὰς Ἐπαρχίας καὶ ἐν πάσαις ταῖς πόλεσιν ὄντων κεχειροτονημένων Ἐπισκόπων τῇ ἡλικίᾳ γηραλαίων, τῇ πίστει σῴων, τοῖς διωγμοῖς δοκίμων, καὶ τοῖς ἄλλοις πᾶσι χαρίσμασιν εὐδοκιμούντων, ἐκεῖνος ἐπ' αὐτοὺς ἄλλους ψευδεπισκόπους χειροτονῆσαι

σαι ἀποτολμᾷ, ἐπιστολῇ εἰκοστῇ πέμπτῃ πρὸς Ἀντωνιανόν. καὶ ἐπιστολῇ ἑξηκοστῇ ἐνάτῃ πρὸς Φλωρέντιον Πυπιανὸν γράφει, Ἔνθεν γὰρ τὰ σχίσματα καὶ αἱ Αἱρέσεις ἤρξαντο, καὶ ἄρχονται, ἐπειδὴ ὁ Ἐπίσκοπος ὅστις εἷς ἐστι, καὶ τῆς Ἐκκλησίας πρεῖσταται, ὑπερηφάνῳ τινῶν δοκιφροσύνῃ καταφρονεῖται.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐκ τῆς πρὸς Φάβιον ἐπιστολῆς τοῦ Κορνηλίου Ῥώμης δείκνυται λέγεσθαι καθολικὴν Ἐκκλησίαν τὴν μερικὴν τῆς Ῥώμης.

Ὁ Κορνήλιος πρὸς Φάβιον Ἀντιοχείας, ὥσφησιν Εὐσέβιος βιβλίῳ ἕκτῳ κεφαλαίῳ τεσσαρακοστῷ τρίτῳ περὶ τῆς ἐπανόδου αὐτῶν τῶν ὁμολογητῶν ἐν τῇ Ἐκκλησίᾳ ἀπὸ Ναυάτου, καὶ τοῦ Νοβατιανοῦ τὴν τόλμαν κατ' αὐτοῦ τοῦ Κορνηλίου, διὰ τὸ τὸν Νοβατιανὸν αὐτὸν νομίσαι ἑαυτὸν Ἐπίσκοπον, καὶ χειροτονεῖν καὶ ἄλλους, φησὶν, Ἕνα Ἐπίσκοπον δεῖν εἶναι ἐν καθολικῇ Ἐκκλησίᾳ, ἐν ᾗ οὐκ ἠγνόει, πῶς γὰρ, εἶναι Πρεσβυτέρους τεσσαρακονταὲξ, Διακόνους ἑπτὰ, Ὑποδιακόνους ἑπτὰ, Ἀκολούθους τεσσαρακονταδύο, Ἐξορκιστὰς καὶ Ἀναγνώστας μετὰ τῶν Ὀσιαρίων πεντηκονταδύο, χήρας μετὰ ἄλλων τινῶν πενήτων πλείους ἢ ἑκατὸν πεντήκοντα.

ΠΑΡΑΓΡΑΦΟΝ Ϛ'.

Ὅτι καὶ ἡ ἐν Νικαίᾳ πρώτη Σύνοδος Κανόνι ὀγδόῳ περὶ τῶν Ναυατιανῶν Ἐπισκόπων νομοθετοῦσα, τὴν μερικὴν Ἐκκλησίαν καθολικὴν εἶπε κατὰ τοὺς ἀνωτέρω ὁμολογητάς.

Κατὰ τὴν ἔκθεσιν ἐκείνων τῶν ῥημάτων ὧν ἐχρήσαντο οἱ ὁμολογηταὶ πρὸς Κορνήλιον λέγοντες, Μὴ ἀγνοεῖν ἕνα δεῖν εἶναι Ἐπίσκοπον ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ, τουτέστιν ἐν ἐκείνῃ τῇ καθολικῇ Ἐκκλησίᾳ, ἥτις ἦν ἡ Ῥώμη. καὶ οὕτω περὶ τῶν καθολικῶν Ἐκκλησιῶν τῶν λοιπῶν πόλεων. τούτοις τοῖς λόγοις παρακινηθέντες καὶ οἱ ἐν Νικαίᾳ ἅγιοι πατέρες περὶ τῶν Ἐπισκόπων τῶν Ναυατιανῶν, εἰς τὴν καθολικὴν Ἐκκλησίαν ἐπανερχομένων, ἀπεφήναντο, ὅτι πανταχοῦ ὅπου γε ἂν εὑρεθῶσιν αὐτοὶ μόνοι, ἐν τῷ αὐτῷ σχήματι καὶ ἐν τῇ αὐτῇ τάξει μένωσιν. ὅπου δὲ ὑπῆρχε καὶ καθολικῆς Ἐκκλησίας Ἐπίσκοπος, ἡ τιμὴ τοῦ Ἐπισκόπου μένει παρὰ τῷ Ἐπισκόπῳ τῆς καθολικῆς Ἐκκλησίας, εἰ μὴ ἄρα τὸ ὄνομα τῆς τιμῆς ἑτέρῳ κοινωνῆσαι αὐτὸς βούλοιτο. εἰ δὲ τοῦτο αὐτῷ μὴ ἀρέσκοι, ἐπινοήσει τόπον, ἵνα μὴ ἐν μιᾷ πόλει δύο Ἐπίσκοποι ὦσι, Κανόνι ὀγδόῳ. τούτῳ τῷ ἐπιχειρήματι ἐχρήσατο καὶ Ἰωάννης ὁ Χρυσόστομος κατὰ Σισινίου τοῦ Νοβατιανῶν Ἐπισκόπου, ὡς Σωκράτης βιβλίου ἕκτου κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, ὅτι οὐκ ἔχει μία πόλις δύο Ἐπισκόπους. ἴδε τὰ περὶ τούτων πλατύτερον ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ δεκάτῳ πέμπτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι δίδοσθαι παρὰ Χριστοῦ ἀμέσως τοῖς Ἐπισκόποις καὶ οὐ παρὰ τοῦ Πάπα πᾶσαν ἐξουσίαν ἐν τῇ Ἐκκλησίᾳ ὡς καὶ τοῖς Ἀποστόλοις, πλὴν τῆς καθολικότητος τῆς ὕλης, ἀπεδείχθη.

Ἐδείχθη οὖν ἱκανῶς τὸ πλήρωμα τῆς Ἐπισκοπικῆς δικαιολογίας, ὅσον πρὸς πάσας τὰς ἐν τῷ ἐξωτερικῷ βήματι ἐνεργείας, καὶ ὅσον πρὸς τὴν ἐνέργειαν τοῦ ἀφορισμοῦ δίδοσθαι πᾶσι τοῖς Ἐπισκόποις παρὰ Χριστοῦ, οὐχὶ δὲ παρὰ τοῦ Πάπα τῆς Ῥώμης. τὸ δὲ πλήρωμα τῆς Ἐπισκοπικῆς δικαιολογίας, ὅσον πρὸς τὴν καθολικότητα τῆς ὕλης, τουτέστι πρὸς πάντας τοὺς Χριστιανοὺς, οὐδενί ποτε ἀνθρώπων μετὰ τοὺς χρόνους τῶν Ἀποστόλων θείᾳ ψήφῳ ἢ δέδοται, ἢ κεκράτηται, καὶ διατοῦτο τὰ παπιστίδια ταύτην τὴν ἐξουσίαν παρὰ Χριστοῦ τῷ Πάπᾳ δοθῆναι οἰόμενα, ἀθλίως Πλανῶνται.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Ε'. ΚΕΦΑΛΑΙΟΝ Η'.

Ἐνῷ ἔτι πλατύτερον δείκνυται, ὅτι οἱ ζητοῦντες τὴν ἄνισον διαδοχὴν, ματαίαν ἐρευνῶσι καταφυγὴν τὴν διαίρεσιν τῆς τάξεως καὶ τῆς δικαιολογίας, ἣν τὸν Πάπαν ἀμέσως παρὰ Χριστοῦ λαμβάνειν τοὺς δ' Ἐπισκόπους ἐμμέσως φασὶ Λαϊνέζιος Γενεράλης Γιεζουβιτῶν καὶ Βελλαρμῖνος.

Ὁμολογοῦσιν οἱ Λατῖνοι, ὅτι ὅλοι οἱ Ἐπίσκοποι εἰσὶν ἴσοι τῷ λόγῳ τῆς τάξεως, λέγουσιν ὅμως μὴ εἶναι

εἶναι ἴσους τῷ λόγῳ τῆς δικαιολογίας, καὶ συγχωροῦσι τὸν Πάπαν τῆς Ῥώμης μὴ ἔχειν ἀξίαν, ἢ χειροτονίαν ἐπισκοπικὴν μείζονα, θέλουσιν ὅμως ἔχειν αὐτὸν τὴν ἐπισκοπικὴν δικαιολογίαν, ἐκείνην δηλονότι τὴν ἐξωτερικὴν, τὴν ἐν τῷ βήματι τῆς αἰτίας, καὶ ταύτην οὐκ ἐκείνην εἶναι ἣν ἔχουσι καὶ οἱ ἰσότιμοι αὐτῷ λοιποὶ Πατριάρχαι, καὶ ὅσην διορίζουσιν οἱ Κανόνες, ὡς εἴρηται ἀνωτέρω ἐν πολλοῖς, ἀλλ' εὐρυχωροτάτην τοσοῦτον, ὥστε αὐτὸν προΐστασθαι πάντων καὶ οὐδενὶ ὑποκείμενον εἶναι, καὶ μόνον ἀμέσως παρὰ Χριστοῦ λαμβάνειν τὴν ἐπισκοπικὴν δικαιολογίαν, τοὺς δὲ λοιποὺς Ἐπισκόπους μὴ λαμβάνειν αὐτὴν ἀπὸ Χριστοῦ ἄλλως, εἰ μὴ ἐμμέσως, παρὰ δὲ τοῦ Πάπα ἀμέσως, ὡς ἀπὸ καθολικοῦ μοναρχοῦ πάσης τῆς Ἐκκλησίας θείᾳ ψήφῳ χειροτονηθέντος. οὕτω Λαϊνέζιος Γενεράλης τῶν Γιεζουβιτῶν εἰς τὴν Διατριβὴν αὐτοῦ ἣν εἶχε περὶ τούτου τοῦ ἐπιχειρήματος ἐνώπιον τῆς ἐν Τριδέντῳ συναγωγῆς ἠδολέσχησεν ἐν ἔτει χιλιοστῷ πεντακοσιοστῷ ἑξηκοστῷ δευτέρῳ, ὀκτωβρίου εἰκοστῇ. μέμνηται δὲ τῶν ῥημάτων τούτων ὁ συγγραφεὺς τῶν πρακτικῶν τῆς Συνόδου εἰς βιβλίον ἕβδομον, ὅπου γε προσέτι γράφει τὰς συμβουλὰς καὶ φροντίδας καὶ ἄλλων Θεολόγων τῆς συμμορίας ταύτης, ἵνα συστήσωσι τὴν διδασκαλίαν ταύτην, ἣν καὶ ὁ Βελλαρμῖνος ἐπαναλαμβάνει, καὶ ἀκολουθεῖ, καὶ διανθεντεύειν βιάζεται ἐν τοῖς περὶ τοῦ Πάπα βιβλίοις.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι κατὰ Φρατζίσκον Βιτόριαν καὶ Ἀλφόνσον Ἀκάστρο τοὺς περιφήμου Θεολόγους, καὶ τοὺς ἐν τῇ Ἱστορίᾳ τῆς ἐν Τριδέντῳ Συνόδου Θεολόγους καὶ Ἐπισκόπους, οἱ Ἐπίσκοποι ὡς καὶ οἱ Ἀπόστολοι ἀμέσως παρὰ Χριστοῦ λαμβάνουσι τὴν δικαιολογίαν, τὴν ἐξωτερικὴν δηλονότι, καὶ οὐ παρὰ τοῦ Πάπα, καὶ ἡ Σύνοδος ἐστὶν ὑπεράνω τοῦ Πάπα.

Τῆς τοιαύτης διηγήσεως τοῦ Βελλαρμίνου, βιβλίῳ τετάρτῳ, κεφαλαίῳ εἰκοστῷ δευτέρῳ, τὴν ἐναντίαν γνώμην κρατοῦσι δύο περίφημοι Θεολόγοι παπισταὶ Φραντζίσκος ὁ Βιτόριας ἐν τῇ δευτέρᾳ ἐπαναγνώσει περὶ τῆς ἐκκλησιαστικῆς ἐξουσίας ζητήματι δευτέρῳ, καὶ Ἀλφόνσος Ἀκάστρο βιβλίῳ δευτέρῳ κεφαλαίῳ εἰκοστῷ τετάρτῳ περὶ τῆς δικαίας τῶν Αἱρετικῶν παιδείας, ὅπου διδάσκουσι τούς τε Ἀποστόλους καὶ τοὺς λοιποὺς Ἐπισκόπους ἀμέσως παρὰ Θεοῦ λαβεῖν καὶ λαμβάνειν τὴν δικαιολογίαν (τουτέστι ταύτην τὴν ἐξωτερικὴν περὶ ἧς ὁ λόγος) οἷς πρόσθες ἐκ τῆς ἱστορίας τῆς ἐν Τριδέντῳ βιβλίῳ ἑβδόμῳ Ἀντώνιον Ντεμόντε Ἀλκίνο Θεολόγον Φραντζεσκάνον, Μιχαῆλον Ὀρουρούσιον Θεολόγον Πομπηϊοπολιτᾶνον, Ἰωάννην Φουσέκα Θεολόγον Γραβετένσον, Ἰωάννην Γροσέτον Θεολόγον Δομινικᾶνον, Πέτρον Ζῶτον τῆς αὐτῆς τάξεως Θεολόγον, καὶ τῆς Ἱσπανίας, καὶ ἑτέρων ἐθνῶν ἐν ἐκείνῃ τῇ Συνόδῳ πεντηκονταεννέα Ἐπισκόπους πρὸ τῆς ἐπανόδου τῶν Γάλλων Ἐπισκόπων, οἵτινες τὸν ἀριθμὸν ἤυξησαν, πάντας κρατοῦντας τὴν αὐτὴν γνώμην τῷ παλαιῷ καὶ συνήθει παρὰ Γάλλοις ἀξιώματι, ἤτοι Διαβεβαιοῦντας τὴν Σύνοδον εἶναι ὑπεράνω τοῦ Πάπα, ἐχόντων δηλαδὴ τῶν Ἐπισκόπων τὴν δικαιολογητικὴν ἐξουσίαν ἀμέσως παρὰ Χριστοῦ, οὐχὶ δὲ παρὰ τοῦ Πάπα. τούτῳ τῷ ἐπιχειρήματι ἐν Τριδέντῳ ἐχρήσατο Γεώργιος Σιγκούτζιος ὁ Μινορίτης Ἐπίσκοπος Σενιένσης, Ἡ Σύνοδος ἔχει τὴν δικαιολογητικὴν ἐξουσίαν ἀμέσως παρὰ Θεοῦ, διατοῦτο χρὴ ἕκαστον τῶν Ἐπισκόπων ἀφ' ὧν συνίσταται ἡ Σύνοδος ἔχειν τὴν δικαιολογητικὴν ἐξουσίας ἀμέσως παρὰ Θεοῦ, ἀλλοτρόπως γὰρ οὐ δύναται λέγεσθαι τὴν Σύνοδον ἔχειν ταύτην ἀμέσως παρὰ Θεοῦ, ἀλλὰ μόνον ἀμέσως παρὰ ἀνθρώπων, ὅπερ οὐκ ἔῤῥωται. διηγεῖται δὲ ταῦτα Παῦλος ὁ συγγραφεὺς τῆς Συνόδου βιβλίῳ ἑβδόμῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι τῆς ἀνωτέρω ἐννοίας εἰσὶ καὶ πάντες οἱ ὀρθόδοξοι πατέρες, Βασιλεῖς, Σύνοδοι, Πάπαι, Πατριάρχαι, Μητροπολῖται, καὶ οἱ πάσης τάξεως ἄνθρωποι, ὅτι δηλαδὴ ἡ Σύνοδος ἐστὶν ὑπεράνω τοῦ Ῥώμης καὶ τῶν λοιπῶν Πατριαρχῶν, καὶ ἀμέσως ἔχει παρὰ Θεοῦ τὴν δικαιολογίαν, καὶ κρίνει πάντας καὶ τὸν Πάπαν.

Τῆς αὐτῆς ἐννοίας εἰσὶ πάντες οἱ ὀρθόδοξοι πατέρες, ὅτι δηλονότι ἡ Σύνοδος ἐστὶν ὑπεράνω καὶ τοῦ Ῥώμης, καὶ τῶν λοιπῶν Πατριαρχῶν, καὶ παρὰ Θεοῦ ἀμέσως ἔχει τὴν ἐξουσίαν τοῦ παραβαίνειν δικαιολογητικῶς, κἂν καὶ ἀντιλέγῃ καὶ οὐ θέλῃ ὁ Ῥώμης, ἥτις καὶ αὐτὸν τὸν Πάπαν κρίνει. ἐν ᾗ γνώμῃ ἦσαν πάντες οἱ ἅγιοι πατέρες, Πατριάρχαι, Μητροπολῖται, Ἐπίσκοποι, Ἀρχιμανδρῖται, Ἡγούμενοι καὶ ἄλλως Κληρικοὶ, καὶ αὐτοὶ οἱ Ἀσκηταὶ καὶ Στυλῖται ἐν ἰδίοις συγγράμμασι καὶ ἐπιστολαῖς καὶ συγκαταθέσεσι, καὶ ἐν ταῖς συνοδικαῖς Οἰκουμενικαῖς καὶ μερικαῖς συνελεύσεσι, καὶ οἱ ὀρθόδοξοι Αὐτοκράτορες καὶ αἱ Σύγκλητοι καὶ οἱ Ἄρχοντες καὶ πάντες οἱ ὀρθόδοξοι λαοὶ, ὡς ἀποδέδεικται ἀφηγηματικῶς καὶ ἑρμηνευτικῶς ἐν πάσῃ τῇ παρούσῃ συγγραφῇ, καὶ ῥητῶς ἐν τῷ τρίτῳ μέρει, ἀλλὰ δὴ καὶ οἱ ἔγκριτοι Πάπαι τῆς Ῥώμης τῆς αὐτῆς γνώμης ἦσαν, ὡς ἐσημειώσαμεν ἐν τῷ ἐσχάτῳ κεφαλαίῳ τοῦ τρίτου μέρους, καὶ πρὸς τούτοις, καὶ διὰ Κανόνων καὶ ἐκθέσεων ἰσχυρῶν καὶ ἐν παντὶ τῷ κόσμῳ πασιδήλων

οἱ

οἱ ἑξακόσιοι τριάκοντα πατέρες τῆς Οἰκουμενικῆς ἐν Χαλκηδόνι Συνόδου, οἵτινες τὸν Κωνσταντινουπόλεως προέταξαν τοῦ Ἀλεξανδρείας καὶ μὴ θέλοντος τοῦ Λέοντος Ῥώμης, καὶ οἱ ἑκατὸν καὶ ἑξήκοντα καὶ πέντε πατέρες τῆς πέμπτης Οἰκουμενικῆς, οἵτινες παρόντα τὸν Πάπαν Βιγίλιον καὶ ἐναντιούμενον αὐτοῖς ἐξώρισαν, καὶ τέλος πάντων ὑπέταξαν εἰς τὴν ἀπόφασιν αὐτῶν, καὶ οἱ διακόσιοι δεκαεπτὰ ἐν τῇ Ἀφρικῇ, οἵτινες ἰσχυρῶς ἀντέστησαν τοῖς Πάπαις διὰ τὴν αἰτίαν τοῦ Ἀπιαρίου, καὶ Κανόνα ἐξέθεντο κατὰ τῆς Ἐκκλήτου τοῦ Ῥώμης, ἐν οἷς καὶ ὁ μακαρίως Αὐγουστῖνος, καὶ ἔτι οἱ πατέρες τῆς καὶ Φωτίου Συνόδου, οὓς δέχονται ἐξολοκλήρου καὶ οἱ Λατῖνοι, ἀποφαίνονται ἐν Κανόνι αὐτῶν δεκάτῳ τρίτῳ κρίνεσθαι καὶ τὸν Πάπαν ἐπὶ Οἰκουμενικῆς Συνόδου. κρίνει δὲ κατὰ τὴν ἐπιστολὴν τοῦ Πάπα Νικολάου ὁ μείζων τὸν ἐλάττονα, καὶ ἴδε αὐωτέρω βιβλίου ἐνάτου κεφάλαιον ἕκτον. λαμπρῶς δὲ ἀπεφήνατο καὶ ὁ Πάπας Ἀδριανὸς ὁ ἕκτος ἐν τῷ περὶ τοῦ χρίσματος ζητήματι τὴν ἀσφάλειαν τῆς κρίσεως περὶ τῶν δογμάτων μὴ εἶναι ἐν τῷ Πάπᾳ, ἀλλ' ἐν τῇ Ἐκκλησίᾳ, καὶ τῇ Οἰκουμενικῇ Συνόδῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὡσαύτως τῆς αὐτῆς γνώμης ἦσαν, ὅτι δηλονότι ἡ Σύνοδος ἐπὶ πάντων καὶ τοῦ Πάπα, καὶ οἱ καθήραντες Γρηγόριον τὸν δωδέκατον ἐν τῇ ἐν Πίσῃ Συνόδῳ.

Ἐν τῇ αὐτῇ γνώμῃ ἦσαν ἐκεῖνοι οἱ Καρδηνάλεις, καὶ οἱ καλούμενοι παρὰ Λατίνοις Πατριάρχαι, Ἀρχιεπίσκοποι, καὶ Ἀββάδες μετὰ ἀπείρου πλήθους τῆς θεολογίας, καὶ ἀμφοτέρων τῶν Νόμων, οἵτινες πάντες ἐν τῇ παρὰ Λατίνοις Οἰκουμενικῇ Συνόδῳ, ἀθροισθείσῃ εἰς Πίσαν, ὡς ἐδηλώθη αὐωτέρω βιβλίῳ ἐνάτῳ κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ, ἐκάθηραν Γρηγόριον δωδέκατον τὸν Πάπαν (ὃν οἱ Ῥωμαῖοι τάττουσιν ἐν τοῖς νομίμοις) ἄκοντα καὶ μὴ βουλόμενον, πράξει τῆς Συνόδου τεσσαρεσκαιδεκάτῃ, κατὰ τὸ χιλιοστὸν τετρακοσιοστὸν ἔνατον ἔτος. λέγουσι δὲ εὑρεθῆναι ἐν τῇ παρούσῃ Συνόδῳ Καρδηνάλεις εἰκοσιτρεῖς, Πατριάρχας τοὺς παρὰ Λατίνοις τρεῖς, Ἀρχιεπισκόπους καὶ Ἐπισκόπους τριάκοντα, Μοναστηρίων Ἡγουμένους διακοσίους ὀγδοήκοντα, Θεολόγους καὶ Πρέσβεις τῶν Ἡγεμόνων τῆς εὐρώπης ὅτι πλείονας, ὡς διηγεῖται ἐν ταῖς σημειώσεσιν αὐτοῦ παρὰ Ἀξωρίου ὁ Βίννος, πλὴν τοῦ ἀριθμοῦ τῶν νομικῶν Διδασκάλων, οἵτινες πάντες συμφώνως ἐξέθεντο τὴν καθαίρεσιν τοῦ Πάπα Γρηγορίου, ὡς καὶ αἱ πράξεις ταύτης τῆς Συνόδου μαρτυροῦσι.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὁμοίως τὴν αὐτὴν γνώμην εἶχεν ἡ τὸν εἰκοστὸν τρίτον Ἰωάννην καταδικάσασα ἐν Κωνσταντείᾳ Σύνοδος, καὶ τὸν Μαρτῖνον τὸν πέμπτον ψηφισαμένη Πάπαν, ὅτι πᾶσα Οἰκουμενικὴ νόμιμος Σύνοδος ἐπιφέρει τόπον τῆς καθολικῆς Ἐκκλησίας, κρίνουσα καὶ κατακρίνουσα παρακούοντα καὶ τὸν Πάπαν.

Τὴν αὐτὴν γνώμην εἶχε καὶ ἡ ἐν Κωνσταντείᾳ Σύνοδος, ἁλισθεῖσα ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ τεσσαρεσκαιδεκάτῳ περὶ Βενεδίκτου τοῦ ἀντιπάπα, ὡς ἐξεθέμεθα αὐωτέρω βιβλίου ἐνάτου κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ. ἦσαν δὲ εἰς τὴν ἐν Κωνσταντείᾳ ταύτην Σύνοδον πολὺ πλῆθος τῆς Οἰκουμένης, ὡς μαρτυρεῖ ὁ Ὀνοφρούριος εἰς τὸν βίον Ἰωάννου εἰκοστοῦ τετάρτου παρὰ Πλάτινα. ὁ δὲ Βελλαρμῖνος φησὶν ἐν ταύτῃ τῇ Συνόδῳ εὑρεθῆναι σχεδὸν χιλίους πατέρας, ἐξ ὧν τριακόσιοι ἦσαν Ἐπίσκοποι, βιβλίῳ πρώτῳ περὶ τῶν Συνόδων, κεφαλαίῳ ἑβδόμῳ. αὕτη ἡ Σύνοδος τὴν ἀπόφασιν τῆς ἐν Πίσῃ βεβαιοῦσα, καὶ κηρύττουσα, διωρίσατο, ὅτι πᾶσα Οἰκουμενικὴ νόμιμος καὶ ἁγία Σύνοδος ἐπιφέρει τόπον τῆς καθολικῆς Ἐκκλησίας, καὶ ἔχει τὴν ἐξουσίαν ἀμέσως παρὰ Χριστοῦ, καὶ ὅτι ὁ Πάπας ἵνα πείθηται καὶ ὑπακούῃ τῇ Συνόδῳ ἐν τοῖς περὶ πίστεως εἰς ἐκρίζωσιν τοῦ σχίσματος, καὶ διόρθωσιν τῆς Ἐκκλησίας, καὶ ὅτι ὁ Πάπας πᾶσι τοῖς διωρισμένοις προστάγμασι καὶ ταῖς ἐπαγγελίαις ὁποιασοῦν Οἰκουμενικῆς Συνόδου κανονικῆς γενομένης, ἢ γενησομένης ἵνα πείθηται, εἰ δὲ καὶ οὐχ ὑπακούσῃ, ἢ οὐ μεταμεληθῇ, ἵνα κατακρίνηται καὶ παιδεύηται κατ' ἀξίαν. ὅλους δὲ τοὺς ἀφορισμοὺς καὶ τὰς κατάρας, ἃς ἡ Σύνοδος μὲν οὐ θέλει, οὔτε νομίζει εἶναι εὐλόγους, ὁ δὲ Πάπας θέλει αὐτὰς ἐνεργεῖν, πάσας εἶναι ἀκύρους, κενὰς καὶ ματαίας καὶ εἰς οὐδὲν λογιζομένας, πράξει τετάρτῃ, πέμπτῃ, καὶ τεσσαρακοστῇ πέμπτῃ. τὸν δὲ εἰκοστὸν τρίτον Ἰωάννην καὶ ἄκοντα πάσης παπικῆς πράξεως ἤργησε, καὶ διώρισεν ἐξεταστῆναι καὶ τὰ ἐγκλήματα αὐτοῦ πάντα. ἵνα ὑστερηθῇ καὶ τοῦ ἀξιώματος τῆς Ἀρχιερωσύνης, πράξει δεκάτῃ, ἔτει χιλιοστῷ τετρακοσιοστῷ πεντεκαιδεκάτῳ. παρὰ τῆς Συνόδου ταύτης ἐψηφίσθη Πάπας Μαρτῖνος ὁ πέμπτος, ὃς ἐνώπιον πάντων πάντα καὶ ἕκαστα τὰ διορισθέντα καὶ κριθέντα καὶ συμπερανθέντα διὰ τῆς παρούσης ἐν Κωνσταντείᾳ Συνόδου ὡμολόγησε φυλάττειν ἀναμφιβόλως, καὶ ὅτι ἀβιάστως πᾶσι τούτοις συγκατέθετο, καὶ ἵνα μηδέποτε κατ' οὐδένα τρόπον ἀντείπῃ, πράξει τεσσαρακοστῇ πέμπτῃ, ἤτοι ὑστάτῃ, ἔτει χιλιοστῷ τετρακοσιοστῷ ἑπτακαιδεκάτῳ. ὅθεν δῆλον, ὅτι καὶ ὁ Πάπας Μαρτῖνος

τῖνος συνεφώνει τῇ ἀποφάσει τῆς Συνόδου περὶ τῆς ἐξουσίας αὐτοῦ, ἣν καὶ ἐνώπιον πάντων ὡμολόγει κρατεῖν, καὶ μάλιστα ἐγγράφως εἰς τὴν βοῦλλαν τῆς κατακρίσεως τῶν ἐγκλημάτων Ἰωάννου τοῦ Βίγελφ, καὶ Ἰωάννου τοῦ Χοῦς ἐν τοῖς ἐρωτήμασιν, ἅτινα ὑποτίθενται τῷ ἀριθμῷ τῶν ἄρθρων. εὑρίσκεται δὲ ἡ βοῦλλα αὕτη περὶ τὸ τέλος τῶν πράξεων τῆς Συνόδου. ἔστι δὲ αὕτη ἡ διδασκαλία περὶ πίστεως, συνεχομένη τῷ περὶ Ἐκκλησίας ἄρθρῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὁμοίως καὶ ἡ τὸν τέταρτον Εὐγένιον καθαιρέσει ὑποβαλοῦσα ἐν Βασιλείᾳ Σύνοδος τὴν αὐτὴν διδασκαλίαν ἀποφαντικῶς διδάσκει, ὅτι ἡ ἐξουσία τῆς Οἰκουμενικῆς Συνόδου ἐστὶν ὑπεράνω καὶ Πάπα καὶ παντὸς ἑτέρου προσώπου.

Τὴν αὐτὴν διδασκαλίαν περὶ τῆς ἐξουσίας τῆς Συνόδου ἰσχύειν διδάσκει καὶ ἀποφαίνεται καὶ ἡ ἐν Βασιλείᾳ Σύνοδος πράξει δευτέρᾳ, τρίτῃ καὶ ὀγδόῃ, κατὰ τὸ χιλιοστὸν τετρακοσιοστὸν τριακοστὸν δεύτερον ἔτος, καὶ πράξει πεντεκαιδεκάτῃ, κατὰ τὸ χιλιοστὸν τετρακοσιοστὸν τριακοστὸν τρίτον ἔτος, ὡς διείληπται ἀνωτέρω βιβλίου ἐνάτου κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ. καὶ μεταταῦτα δὲ περὶ τῆς ἀργίας Εὐγενίου Πάπα τοῦ τεταρτου, πράξει τριακοστῇ πρώτῃ, ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ ἐνάτῳ, καὶ ἐν τῇ ἀποφάσει τῆς καθαιρέσεως τοῦ αὐτοῦ ἐκφωνηθείσης πράξει τριακοστῇ τεταρτῇ τῷ αὐτῷ ἔτει, καὶ ταύτην διδάσκουσιν εἶναι τὴν ἀλήθειαν τῆς καθολικῆς πίστεως, ᾗ ὁ πεισματικῶς ἀνθιστάμενος, καὶ ἀντιταττόμενος, Αἱρετικὸς νομίζεται, πράξει τριακοστῇ τρίτῃ, ὅπου ἐπαναληφθεισῶν τῶν ἀποφάσεων ἐκείνων τῆς Συνόδου περὶ τῆς ἐξουσίας φασὶν οἱ πατέρες τῆς Συνόδου, ὅτι τοῦτο, ἤτοι ἡ ἀπόφασις τῶν Συνόδων ἐστὶν ἀλήθεια τῆς καθολικῆς πίστεως. βεβαιοῦται καὶ ἐκ πολλῶν δημηγοριῶν τόσον τῆς ἐν Κωνσταντείᾳ Συνόδου, ὅσον καὶ ἀπὸ ταύτης τῆς ἐν Βασιλείᾳ, πρὸς μείζονα ὅμως στερέωσιν καὶ βεβαίωσιν πάντων τῶν ὀρθοδόξων, τῇ ὁμοψύχῳ ὁμολογίᾳ αὐτῶν τῶν ἀληθειῶν, ταῦτα ἡ ἁγία Σύνοδος ὁρίζει, καὶ ἀποφαίνει ὥσπερ ἕπεται, Ἡ ἀλήθεια περὶ τῆς ἐξουσίας τῆς Οἰκουμενικῆς Συνόδου, τῆς τὴν καθολικὴν Ἐκκλησίαν ἐπιφερούσης, ὑπεράνω τοῦ Πάπα, καὶ παντὸς ἑτέρου προσώπου ἀποφανθεῖσα διὰ τῆς ἐν Κωνσταντείᾳ, καὶ ταύτης τῆς ἐν Βασιλείᾳ τῶν Οἰκουμενικῶν Συνόδων, ἐστὶν ἀλήθεια τῆς καθολικῆς πίστεως. Αὕτη ἡ ἀλήθεια, τὸ τὸν Πάπαν τὴν Οἰκουμενικὴν Σύνοδον ἐπιφέρουσαν τὴν καθολικὴν Ἐκκλησίαν, πράγματι Κανονικῷ ἀθροισθεῖσαν, οὐδὲν τῶν ἀνωτέρω ἀποφανθέντων ἐν τῇ προλεχθείσει ἀληθείᾳ ἄνευ τῆς γνώμης ἐκείνης τῆς Συνόδου ὁρίσασαν, οὐδὲ ποσῶς ἐξουσιαστικῶς διαλῦσαι, ἢ εἰς ἕτερον καιρὸν παρεκτεῖναι, ἢ ἀπὸ τόπου εἰς τόπον μεταφέρειν, ἐστὶν ἀλήθεια τῆς καθολικῆς πίστεως. ταύταις ταῖς δυσὶν ἀληθείαις ὁ πεισματικῶς ἀνθιστάμενος, καὶ ἀντιταττόμενος, Αἱρετικὸς νομίζεται. Ἐδόθη ἐν δημοσίᾳ ἡμετέρᾳ πράξει, ἐν τῇ μείζονι Ἐκκλησίᾳ τῆς Βασιλείας δημοσίως ἑορτασθεῖσα Μηνὶ Ἰουλίῳ, ἔτει χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ ἐνάτῳ. ταύτην τὴν ἀπόφασιν αὐτῶν οἱ πατέρες πάλιν ἀποφαίνονται εἶναι βεβαίαν, καὶ τὰ ἀντικείμενα σφάλματα ἀποβάλλουσι τῷ αὐτῷ ἔτει ἐν τῇ ἀποφάσει τῶν πρώτην συμπερασμάτων, ἥτις ἀναγινώσκεται μετὰ τὰς πράξεις τῆς ἐσχάτης συνελεύσεως τῆς Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Ὅτι καὶ τάγματα Καρδηνάλεων, Ἐπισκόπων, Θεολόγων, Κανονιστῶν, καὶ Ἀκαδημιῶν Λατινικῶν μετὰ τῶν ἑρμηνευτῶν, καὶ ἄλλων πολλῶν οὓς καταλέγει Βελλαρμῖνος, κρατοῦσι τὴν διδασκαλίαν ταύτην, ὅτι δηλαδὴ ἡ Σύνοδος ἐστὶν ὑπὲρ τοῦ Πάπα.

Ἐνταῦθα συναχθήτω τὸ τάγμα τῶν Καρδηνάλεων καὶ Ἐπισκόπων, καὶ Θεολόγων, καὶ Κανονιστῶν, καὶ πολλῶν περιφήμων Ἀκαδημιῶν λατινικῶν, καὶ ταύτην τὴν διδασκαλίαν ὁμοψύχως κρατούντων, καὶ οἱ ἑρμηνευταὶ ἐν τῇ τεσσαρακοστῇ διαιρέσει, ἧς ἡ ἀρχὴ, ΕΙ Ὁ ΠΑΠΑΣ, καὶ αἰτία πρώτῃ ζητήματι πρώτῳ, Κανόνι, οὗ ἡ ἀρχὴ, ὅτι ΤΙΣ, καὶ περὶ τῆς ἀποβολῆς ἐν τῷ Σεκτῷ κεφαλαίῳ πρώτῳ, καὶ ἐν τῇ περιγραφῇ τοῦ συμβάντος τμήματος, σημείῳ, ΕΠΙΠΛΕΙΟΝ, ὅτι ἡ Σύνοδος ἐστὶν ὑπεράνω τοῦ Πάπα. τοῦτο διδάσκουσι (φησὶν ὁ Βελλαρμῖνος βιβλίῳ δευτέρῳ περὶ τῶν Συνόδων κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ) Καρδηνάλεις ὁ Καμερατένσης, Ἰωάννης ὁ Τέρσων, Ἰάκωβος Ἀλμαῖνος; καὶ ἄλλοι πολλοὶ ἐν ταῖς πραγματείαις αὐτῶν περὶ τῶν Ἐκκλησιῶν. ὁμοίως Νικόλαος ὁ Κουζᾶνος πραγματείᾳ περὶ συμφωνίας κανονικῆς, βιβλίῳ δευτέρῳ κεφαλαίῳ ὑστάτῳ. ὁ Πανορμιτανὸς ἐν κεφαλαίῳ, ΕΣΗΜΕΙΩΣΑΣ ΕΞΩ ΨΗΦΩΝ, καὶ αὐτόθι ὁ Διδάσκαλος αὐτοῦ Καρδηνάλις ὁ Φλωρεντῖνος. ὁμοίως ὁ Ἀβουλένσης εἰς τὸ δέκατον ὄγδοον κεφάλαιον τοῦ Ματθαίου ζητήματι ἑκατοστῷ ὀγδόῳ, καί τινες ἄλλοι. ταῦτα ἐκεῖνος.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι καὶ ἐκ τῶν ὑπὸ τῶν τριῶν τούτων Συνόδων χειροτονηθέντων Παπῶν, καὶ βεβαιωσάντων τὰς αὐτῶν πράξεις, καὶ τῶν καθαιρεθέντων, δείκνυται ἡ ἐξουσία τῆς Συνόδου ὑπεράνω τοῦ Πάπα, τῆς Συνόδου δηλονότι χωρὶς τοῦ Πάπα.

Ἔπρεπεν ὅμως τὸν αὐτὸν εἰπεῖν καὶ παμπόλλους ἄλλους, ἐν οἷς καὶ Ἀλέξανδρον τὸν πέμπτον ἀπὸ τῆς ἐν Πίσῃ Συνόδου, καὶ Μαρτῖνον τὸν πέμπτον ἀπὸ τῆς ἐν Κωνσταντείᾳ Συνόδου ψηφισθέντας καὶ χειροτονηθέντας, καὶ ἀναδεχθέντας, καὶ βεβαιώσαντας τὰς πράξεις τῶν Συνόδων. καὶ ἔτι εἰπεῖν ταύτην εἶναι τὴν κοινὴν ἀπόφασιν τοῦ χριστιανικοῦ πληρώματος περὶ Εὐγενίου Πάπα τοῦ τετάρτου, οὗτινος κατὰ τῶν σφαλμάτων καὶ τῆς φανερᾶς (ὡς ἐκεῖνοι καλοῦσιν) ἀποστασίας οἱ ἐν Βασιλείᾳ πατέρες ὥρισαν, καὶ διώρισαν ταύτην τὴν ἀλήθειαν περὶ τῆς ἐξουσίας τῆς Οἰκουμενικῆς Συνόδου ὑπεράνω τοῦ Πάπα (τῆς Συνόδου δηλονότι χωρὶς τοῦ Πάπα) εἶναι ἀλήθειαν τῆς καθολικῆς πίστεως, ἣ ἀληθείᾳ προσετέθη καὶ φίληξ ὁ πέμπτος, ψηφισθεὶς καὶ χειροτονηθεὶς παρ' αὐτῆς τῆς Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΗ Θ'.

Ὅτι ἐκ τῶν τῆς ἀνατολικῆς καὶ Λατινικῆς Ἐκκλησίας ἀρχαίων πατέρων καὶ συγγραμμάτων συμπεραίνεται ὑπερανέχειν τὰς Συνόδους τοῦ Πάπα, καὶ πάντας τοὺς Ἐπισκόπους ἀμέσως παρὰ Χριστοῦ λαμβάνειν τὴν ἐξουσίαν τῆς Ἐπισκοπικῆς δικαιολογίας καὶ τῆς τάξεως, καὶ ἴσους εἶναι τῷ Πάπᾳ ὀρθοδοξοῦντι.

Οὐ μόνοι ἄρα οἱ τῆς καθολικῆς Ἐκκλησίας ἀρχαῖοι πατέρες, καὶ τὸ ἀρχαῖον πλήρωμα αὐτῆς, ἀλλὰ καὶ τὰ τῶν παρὰ Λατίνοις ἐγκρίτων σοφῶν, καὶ πολυπληθῶν Ποιμένων καὶ Διδασκάλων συγγράμματα, αὐτοί τε οἱ τῆς Ῥώμης Ἀρχιερεῖς μετὰ τῶν Οἰκουμενικῶν παρὰ Λατίνοις Συνόδων ταύτης ὑπερασπίζονται τῆς γνώμης τῆς, ὅτι αἱ Σύνοδοι ὑπερανέχουσι τοῦ Πάπα ὡς καὶ τῶν λοιπῶν Πατριαρχῶν, καὶ ἀκολούθως ὅτι οἱ Ἐπίσκοποι οὐκ ἀπὸ τοῦ Πάπα τῆς Ῥώμης, ἀλλ' ἀπὸ τοῦ Χριστοῦ ἀμέσως λαμβάνουσι τὴν ἐξουσίαν τῆς Ἐπισκοπικῆς δικαιολογίας. ὅθεν συμπεραίνεται πάντας τοὺς Ἐπισκόπους εἶναι ἴσους τῇ ἐξουσίᾳ ταύτῃ, ὥσπερ καὶ ἴσοι εἰσὶ τῇ ἐξουσίᾳ τῆς τάξεως, τόν τε Ἐπίσκοπον τῆς Ῥώμης, ὅτε ὀρθοδοξεῖ θείᾳ ψήφῳ ἴσον εἶναι ὡς καὶ ἕκαστον ἕτερον ἀληθῆ Ἐπίσκοπον καθ' ὅσον πρὸς ἀμφοτέρας τὰς ἐξουσίας, καὶ ἀκολούθως πρὸς πᾶσαν τὴν Ἐπισκοπικὴν ἐξουσίαν, ἥτις γνώμη βεβαιοῦται καὶ διὰ λόγων ἀναντιῤῥήτων.



ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Ε'. ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅτι καὶ διὰ λόγων ἀναντιῤῥήτων δείκνυται ἕκαστον ἄλλον ἀληθῆ Ἐπίσκοπον ἴσον εἶναι τῷ Ῥώμης τῷ λόγῳ τῆς ἐπισκοπικῆς δικαιολογίας, ἥτις ἐνεργεῖται ἐν τῷ ἐξωτερικῷ βήματι. Λόγος Α'.

Τὴν οὐσιαστικὴν ἐξουσίαν τῆς Ἐπισκοπικῆς ἔχουσιν ἐξίσου καὶ ἀμέσως παρὰ Χριστοῦ πάντες οἱ Ἐπίσκοποι. ἀλλαμὴν ἡ ἐξουσία τῆς Ἐπισκοπικῆς δικαιολογίας ἐν τῷ ἐξωτερικῷ βήματι ἐστὶν ἐξουσία τῆς Ἐπισκοπῆς οὐσιαστικὴ, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ ἕκτῳ καὶ ἑβδόμῳ, ἄρα.

Λόγος Β'. καὶ τὶ τὸ μένον καὶ τὸ μεταβαλλόμενον ἐν τῇ τῶν Ἀρχιερέων μεταθέσει.

Ἡ ἐξουσία ἡ διδομένη διὰ τῆς ἱερολογίας, εἴτε ἐν τῇ χειροτονίᾳ, εἴτε μετὰ τὴν χειροτονίαν θείᾳ ψήφῳ, αὕτη πᾶσι τοῖς τῇ αὐτῇ χειροτονίᾳ χειροτονηθεῖσιν ἐξίσου καὶ ἀμέσως δίδοται παρὰ Θεοῦ. ἀλλαμὴν ἡ ἐξουσία τῆς ἐπισκοπικῆς δικαιολογίας δίδοται διὰ τῆς ἱερολογίας, ἄρα. ἡ μείζων δείκνυται πράξεων κεφαλαίῳ εἰκοστῷ, Ἐν ᾧ ἔθετο ὑμᾶς Ἐπισκόπους τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ πρώτης πρὸς Κορινθίους κεφαλαίῳ δωδεκάτῳ, Οὓς ἔθετο ἐν τῇ Ἐκκλησίᾳ. Καὶ τῆς πρὸς Ἑβραίους κεφαλαίῳ πέμπτῳ, Ὁ καλούμενος ὑπὸ Θεοῦ. Καὶ περὶ τοῦ Ἀντιοχείας λέγει Λέων ὁ Πάπας, ὅτι ἐστὶ πρόεδρος ὑπὸ Θεοῦ γενόμενος. Καὶ τῆς πρὸς Ἐφεσίους κεφαλαίῳ τετάρτῳ, Αὐτὸς ἔδωκε, τοὺς μὲν, Ἀποστόλους. τοὺς δὲ, Εὐαγγελιστὰς, καὶ ἀνωτέρω εἴρηται περὶ τούτου κεφαλαίῳ πέμπτῳ, ἀλλὰ μὴν καὶ ἐκ τῶν ἀντικειμένων δείκνυται, οἱ γὰρ Λατῖνοι δέχονται καὶ τὸν Αἱρετικὸν Ἐπίσκοπον, ὃς οὐκ ἔστιν ὑπὸ τοῦ Πάπα οὔτε ἀμέσως οὔτε ἐμμέσως κεχειροτονημένος δηλονότι, ἔχειν ἐξουσίαν τοῦ δεσμεῖν τε καὶ λύειν παπιστὴν γενόμενον, ἥν φασιν εἰληφέναι ἀπὸ τοῦ καιροῦ τῆς χειροτονίας, ὡς λέγει ὁ Γρατιανὸς αἰτίᾳ πρώτῃ, ζητήματι πρώτῳ, κανόνι, ΟΤΙ ΤΙΣ. ἔτι ὁ Βελλαρμῖνος ὁμολογεῖ τὸν Πάπαν μὴ ἔχειν ἀξίαν, ἢ χειροτονίαν τῆς Ἐπισκοπικῆς μείζονα, βιβλίῳ περὶ τοῦ Πάπα κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ, καὶ καλῶς φησὶν, ἐπειδὴ ὁ Πάπας οὐλαμβάνει τὸ ἀξίωμα τῆς Ἐπισκοπικῆς δικαιολογίας παρ' ὧν χειροτονεῖται, ἀλλ' ἀμέσως

ἀμέσως παρὰ Θεοῦ, ὡς λαμβάνουσιν αὐτὸ καὶ οἱ λοιποὶ ἐπίσκοποι χειροτονούμενοι. ἐπειδὴ ἄρα ἡ ἐξουσία τῆς ἐπισκοπικῆς δικαιολογίας δίδοται τῷ Πάπᾳ διὰ τῆς ἐπισκοπικῆς χειροτονίας, ἥτις ἐστὶ κοινὴ πᾶσι τοῖς Ἐπισκόποις, δῆλον ἐστὶ τὴν αὐτὴν ἐξουσίαν δίδοσθαι πᾶσι τοῖς Ἐπισκόποις διὰ τῆς ἐπισκοπικῆς χειροτονίας. Εἰ δὲ καὶ γίνεται μετάθεσις ἐξ ἑνὸς εἰς ἕτερον θρόνον, οὐ δίδοται νέα ἐξουσία, ἀλλὰ μόνον γίνεται μεταβολὴ ὅσον πρὸς τὴν ὕλην, μένει δὲ ἡ αὐτὴ ἐξουσία ἅπαξ ληφθεῖσα διὰ τῆς χειροτονίας.

Λόγος Γ'. καὶ ἀπόκρισις Βελλαρμίνου εἰς τοῦτον τὸν λόγον. καὶ ἀναίρεσις αὐτῆς.

Ὁ Διονύσιος βιβλίῳ περὶ ἐκκλησιαστικῆς Ἱεραρχίας, κεφαλαίῳ πέμπτῳ, λέγει τὴν τῶν Ἐπισκόπων Ἱεραρχίαν ἀμέσως τελειοῦσθαι εἰς τὸν Ἰησοῦν, ἄρα πάντες οἱ Ἐπίσκοποι πᾶσαν τὴν ἐπισκοπικὴν αὐτῶν ἐξουσίαν ἀμέσως λαμβάνουσι παρὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὁ δὲ Βελλαρμῖνος ἀποκρίνεται βιβλίῳ τετάρτῳ περὶ τοῦ Πάπα, κεφαλαίῳ ὑστάτῳ πρὸς τὸν λόγον τοῦτον, ὅτι ὁ Διονύσιος ὁμιλεῖ περὶ τῆς τάξεως τῶν Ἐπισκόπων, καὶ οὐχὶ περὶ τῆς δικαιολογίας. Ἀλλ' ἡ ἀπόκρισις αὕτη ἀναίσχυντός ἐστιν, ἐπειδὴ μᾶλλον ἐστὶν ἀπορία ἢ λύσις ἐκείνου περὶ οὗ ζητεῖται, ὁ γὰρ Διονύσιος ἁπλῶς ὁμιλεῖ, καὶ χωρὶς τινὸς διαιρέσεως, καὶ καθὼς ὑπέσχετο ἀπ' ἀρχῆς εἰπεῖν περὶ τῶν ἱερατικῶν τάξεων, καὶ περὶ τῶν ἀποπληρώσεων, καὶ δυνάμεων αὐτῶν, καὶ τελειώσεων, οὕτω δὴ καὶ λαλεῖ. εἶτα αὐτὸς ὁ Βελλαρμῖνος ἵνα δείξῃ ἀλλαχοῦ κατὰ τῶν νέων Αἱρετικῶν μείζονας τοὺς Ἐπισκόπους τῶν Πρεσβυτέρων, καλῶς καὶ θεολογικῶς ποιῶν, χρᾶται τοῖς ῥήμασι τούτοις τοῦ Διονυσίου, βιβλίῳ περὶ τῶν Κληρικῶν, κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ. τὸν αὐτὸν εἶχε σκοπὸν καὶ Ἰγνάτιος ἐπιστολῇ πρὸς Τραλλιανοὺς, καὶ ἴδε ἀνωτέρω κεφάλαιον πρῶτον. διατοῦτο καὶ ἐν ἑτέραις αὐτοῦ ἐπιστολαῖς ὁ Ἰγνάτιος ἐπιτίθησι πρῶτον τὸν Ἐπίσκοπον ἐν πάσῃ ἐκκλησιαστικῇ ἐξουσίᾳ καὶ δικαιολογητικῇ, καὶ ἐν πάσῃ διοικήσει, νουθετεῖ δὲ καὶ τοὺς Μαγνησίους, ἵνα σπουδάζωσι τὰ πάντα ποιεῖν ἐν ὁμονοίᾳ Θεοῦ, λέγει γὰρ, Προκαθημένου τοῦ Ἐπισκόπου εἰς τόπον Θεοῦ, καὶ τῶν πρεσβυτέρων εἰς τόπον τοῦ συνεδρίου τῶν Ἀποστόλων. ἀλλὰ δὴ καὶ τοὺς ἐν Φιλαδελφείᾳ νουθετεῖ, ἵνα αἴσω Ἐπισκόπου μηδὲν ποιῶσι, μηδὲν δηλαδὴ τῶν ἀνηκόντων εἰς τὴν Ἐκκλησίαν, ὥσφησιν ἐπιστολῇ ἑκτῇ πρὸς Σμυρναίους. τοῦ αὐτοῦ σκοποῦ ἦν καὶ ὁ Κυπριανὸς, ὅπου τὸν ἑκάστης Ἐκκλησίας Ἐπίσκοπον καλεῖ κριτὴν εἰς τόπον Χριστοῦ, καὶ εἰς ἐκεῖνον τὸν ἴδιον ἀριθμὸν τίθησιν ἑαυτὸν καὶ τὸν Πάπαν τῆς Ῥώμης Κορνήλιον, ἐπιστολῇ τεσσαρακοστῇ πέμπτῃ, ἤτοι βιβλίῳ πρώτῳ, ἐπιστολῇ τριακοστῇ ὀγδόῃ, οὔσῃ τρίτῃ πρὸς τὸν αὐτὸν Κορνήλιον, καὶ μεταταῦτα ἐν τῇ αὐτῇ ἐπιστολῇ φανερῶς χορηγεῖ ἑκάστοις Ἐπισκόποις ἄκραν ὑπὸ Χριστοῦ ἐξουσίαν, καὶ δύναμιν δικαιολογητικὴν τοῦ διοικεῖν, καὶ ποιμαίνειν καὶ κυβερνᾶν τὸ μέρος τοῦ δοθέντος αὐτοῖς ποιμνίου. οὕτω καὶ ἐπιστολῇ ἑξηκοστῇ ἑβδόμῃ, ἤτοι βιβλίῳ τρίτῳ, ἐπιστολῇ τρισκαιδεκάτῃ, καὶ βιβλίῳ περὶ ἑνότητος Ἐκκλησίας, καὶ ἀλλαχοῦ, ὧν τὴν διδασκαλίαν ἀνδρείως ἐκράτησαν οἱ ὀρθόδοξοι πατέρες, ὡς ἀνωτέρω κεφαλαίῳ πρώτῳ. ἐν ταύτῃ τῇ διδασκαλίᾳ συντρέχει καὶ ἐκεῖνο τῶν ἀποστολικῶν Διαταγῶν, ὅπου τὸν Ἐπίσκοπον καλοῦσι τύπον Θεοῦ ἐν ἀνθρώποις, Ἄρχοντα Ἱερέων, Βασιλέων, Ἀρχόντων, Πατέρα, Ἄρχοντα, Ἡγούμενον, Βασιλέα, καὶ Δυνάστην τῶν Χριστιανῶν, καὶ Θεὸν ἐπὶ τῆς γῆς, καὶ ἔχοντα ἐξουσίαν τοῦ κρίνειν τοὺς ἡμαρτηκότας, καὶ ἴδε ἀνωτέρω βιβλίου πρώτου κεφαλαίου ἑνδεκάτου Παράγραφον ἕκτον.

Λόγος Δ'.

Οἱ τῇ ἐξουσίᾳ τῶν Κλειδῶν τῆς Οὐρανῶν Βασιλείας, τῷ Πέτρῳ ὑποσχεθεισῶν Ματθαίου κεφαλαίῳ ἑκκαιδεκάτῳ, ἴσοι ὄντες, οἱ αὐτοὶ τῇ ἐξουσίᾳ τῆς ἐπισκοπικῆς δικαιολογίας ἴσοι εἰσίν. ἀλλαμὴν πάντες οἱ Ἐπίσκοποι τῇ ἐξουσίᾳ τούτων τῶν Κλειδῶν ἴσοι, ἄρα. τὴν μείζονα βεβαιοῦσιν οἱ πατέρες, πάντες γὰρ διδάσκουσι πᾶσαν τὴν ἐκκλησιαστικὴν ἐξουσίαν, ἔτι καὶ τὴν ἄκραν δικαιολογητικὴν συνέχεσθαι τῇ ἐξουσίᾳ τούτων τῶν Κλειδῶν (ὅπερ ἐστὶν ἡ ἐλάττων) διδάσκει ὁ Κυπριανὸς βιβλίῳ περὶ ἑνότητος τῆς Ἐκκλησίας, καὶ ἐν τῷ προοιμίῳ τῆς ἐν Καρθαγένῃ Συνόδου, καὶ ἐπιστολῇ ἑξηκοστῇ ἑβδόμῃ, καὶ εἰς ἄλλους τόπους ἀνωτέρω σημειωθέντας, καὶ ἡ ἐν Νικαίᾳ πρώτη Κανόνι πέμπτῳ, οὗτινος Κανόνος τῇ ἐξουσίᾳ ὑποκεῖσθαι καὶ τὸν Πάπαν διδάσκει ἡ ἐν Ἀφρικῇ Σύνοδος (ἐν ᾗ ἦν καὶ Αὐγουστῖνος) ἐπιστολῇ πρὸς Κελεστῖνον τὸν Ῥώμης, ἐπ' αἰτίᾳ τοῦ Ἀπιαρίου γραφείσῃ. τὴν αὐτὴν ἐλάττονα βεβαιοῦσι καὶ ὁ δεύτερος τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου, καὶ τὰ ἀνωτέρω εἰρημένα.

Λόγος Ε'.

Οἱ ἀπόστολοι ἔλαβον ἀμέσως παρὰ Χριστοῦ τὴν ἐξουσίαν αὐτῶν, ἄρα καὶ οἱ Ἐπίσκοποι λαμβάνουσι καὶ αὐτοὶ ἀμέσως παρὰ Χριστοῦ τὴν δικαιολογίαν αὐτῶν, οὐχὶ δὲ ἀπὸ τοῦ Πάπα, ἀλλ' ἀμέσως παρὰ Χριστοῦ, καθ' ὃν τρόπον λαμβάνει καὶ ἔλαβε τὴν δικαιολογίαν αὐτοῦ ὁ Ῥώμης. ὁ λόγος τῆς ἀκολουθίας οὗτος ἐστὶν, ὁ διάδοχος ἀπ' ἐκείνου ἔχει τὴν δικαιολογίαν, ἀφ' οὗ ἔσχεν αὐτὴν καὶ ὁ προκάτοχος αὐτοῦ, ἄλλως γὰρ ἂν, οὐκ ἀληθής ἐστι διάδοχος, οὐκ ἀληθῶς διαδέχεται, ἀλλ' ἐν ἑτέρᾳ τάξει διατάττεται. οἱ δὲ Ἐπίσκοποι διάδοχοί εἰσι τῶν Ἀποστόλων, ὥσπερ ὁ Ῥώμης τοῦ Πέτρου. ὅθεν ὁ Αὐγουστῖνος ἐν τεσσαρακοστῷ τετάρτῳ ψαλμῷ ἐκτιθέμενος τὸ, Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου, πατέρες ἀπεσταλμένοι φησὶν, εἰσὶν οἱ Ἀπόστολοι. ἀντὶ τῶν πατέρων υἱοὶ ἐγεννήθησαν, τουτέστιν Ἐπίσκοποι διετάχθησαν. ἔνθεν καὶ ἡ φλωρεντινὴ Σύνοδος ἐν τῇ νουθετήσει τῶν Ἀρμενίων, καὶ ἡ ἐν Τριδέντῳ πράξει τρίτῃ, κεφαλαίῳ τετάρτῳ.

ἀκου-

ἄκεσαι καὶ βιαζόμενοι ὑπὸ τῆς φανερᾶς ἀληθείας τὸς Ἐπισκόπους διδάσκουσι Διαδόχους εἶναι τῶν Ἀποστόλων, καὶ κρατεῖν τὸν τόπον αὐτῶν.

Ἀπόκρισις Βελλαρμίνου εἰς τὸ ἀνωτέρω συμπέρασμα.

Ἀλλ' ὁ Βελλαρμῖνος μαχόμενος ἀναιδῶς τῇ ἀληθείᾳ, ἀποκρίνεται πρὸς τοῦτο τὸ συμπέρασμα βιβλίῳ τεταρτῳ περὶ τοῦ Πάπα, κεφαλαίῳ εἰκοστῷ πέμπτῳ, Τὸν Πάπαν Διάδοχον μὲν εἶναι τοῦ Πέτρου ἰδίως, ἀλλ' οὐχ ὡς Ἀποστόλου, ἀλλ' ὡς κοινοῦ Ποιμένος, καὶ Διὰ τοῦτο ἀπ' ἐκείνου ἔχειν τὸν Πάπαν τὴν δικαιολογίαν, ἀφ' οὗ ἔσχεν αὐτὴν ὁ Πέτρος, τοὺς δὲ Ἐπισκόπους μὴ Διαδέχεσθαι τοὺς Ἀποστόλους οὐ τρόπον εἰς Ἐπίσκοπος Διαδέχεται ἕτερον, καὶ εἰς Βασιλεὺς Διαδέχεται ἕτερον, οἱ γὰρ Ἀπόστολοι οὐκ ἦσαν Ὀρδινάριοι, ἀλλ' Ἐξτραορδινάριοι, καὶ σχεδὸν ἀπεσταλμένοι Ποιμένες ὡς λέγατοι, ὧν Διαδοχὴ οὐκ ἔστιν, εἰ γάρ τις αὐτοὺς Διαδέχεται.

Ἀπάντησις πρώτη τετραχῶς εἰς τὸ χθιζὸν τοῦτο μυθάριον τοῦ Βελλαρμίνου.

Ἀλλὰ ῥητέον, ὅτι τὸ χθιζὸν τοῦτο μυθάριον ἀρκετῶς ἀπεβλήθη αὐτοῦ, ἀπεδείξαμεν γὰρ τὴν ἀποστολικὴν ἐξουσίαν εἶναι ἄκραν, ἧς ὑπὸ χεῖρα οὐδὲ μίαν μείζονα εἶναι ἐν τῇ Ἐκκλησίᾳ. δεύτερον, ὅτι ἐν τῇ ἀποστολικῇ συμπεριλαμβάνεται πᾶσα τάξις τῶν κατωτέρω, καὶ αὐτὴ ἡ τῶν Ὀρδιναρίων ἐξουσία. τρίτον, ταύτην τὴν ἀρχικωτάτην ἐξουσίαν τὴν ἀποστολικὴν, κοινὴν εἶναι πᾶσι τοῖς Ἀποστόλοις, τῆς αὐτῆς τιμῆς καὶ ἐξουσίας ἦσι. τέταρτον, ὃ ἐν τῷ ἀποστολικῷ χαρίσματι ἦν Ὀρδινάριον, τοῦτ' αὐτὸ εἰς τοὺς Διαδόχους αὐτῶν κυριακῇ Διαταγῇ Διὰ νομίμου χειροτονίας μετενεχθῆναι, καὶ ἴσως καὶ ἰδίως τοὺς ἄλλους Ἐπισκόπους Διαδεχθῆναι τοὺς Ἀποστόλους καὶ τὸν Πέτρον, ὥσπερ καὶ ὁ Ῥώμης τὸν Πέτρον καὶ τοὺς λοιποὺς Ἀποστόλους.

Ἀπάντησις δευτέρα ἐκ τοῦ Εἰρηναίου καὶ τοῦ Τερτυλλιανοῦ εἰς τὸ αὐτὸ μυθάριον τοῦ Βελλαρμίνου.

Ἔχομεν λέγοντα ὁ Εἰρηναῖος ἀριθμεῖν ἐκείνους, οἵτινες τοὺς Ἐπισκόπους ὑπὸ ἑτέρων Ἐπισκόπων μεταδιδέχονται. ὁ δὲ Τερτυλλιανὸς, Ἐκθέτωσαν ἄρα, φησὶ, τὰς ἀρχὰς τῶν αὐτῶν Ἐκκλησιῶν, θεολογείτωσαν τὴν τάξιν τῶν ἑαυτῶν Ἐπισκόπων οὕτω κατὰ Διαδοχὰς ὕστερον αὐτῶν Διατρέχουσαν. ὥστε ὁ πρῶτος ἐκεῖνος Ἐπίσκοπος ἔχει ἀρχηγὸν αὐτῷ καὶ συνάπτοντα τινὰ τῶν ἀποστολικῶν ἀνδρῶν, ὅστις μέχρι τέλους μετὰ τῶν Ἀποστόλων διέμενε· βιβλίῳ τῶν παραγραφῶν, κεφαλαίῳ τριακοστῷ δευτέρῳ. καὶ ἰδοὺ, οἱ συνάπτοντες Ἀπόστολοι, οἱ δὲ Διάδοχοι, Ἐπίσκοποι.

Ἀπάντησις τρίτη ἐκ τοῦ Κυπριανοῦ καὶ Ἰακώβου τοῦ Παμμελίου εἰς τὸ αὐτὸ μυθάριον τοῦ Βελλαρμίνου.

Μνημονεύσαι δὲ χρὴ τῶν Διακόνων φησὶν ὁ Κυπριανὸς, ὅτι τοὺς Ἀποστόλους, τουτέστι τοὺς Ἐπισκόπους, καὶ συνῄσαμεν ὁ Κύριος ἐξελέξατο, τοὺς δὲ Διακόνους μετὰ τὴν τοῦ Κυρίου εἰς Οὐρανοὺς Ἀνάληψιν οἱ Ἀπόστολοι κατέστησαν τῆς Ἐκκλησίας καὶ τῆς Ἐπισκοπῆς αὐτῶν Διακόνους, ἐπεὶ γὰρ ἡμεῖς ἢ κατὰ θεὸν δυνάμεθα λοιμολμαῖν, ὅστις ποιεῖ τοὺς Ἐπισκόπους, δύναται καὶ καθ' ἡμῶν λοιμολμαῖν οἱ Διάκονοι. ἐπισολῇ ἑξηκοστῇ πέμπτῃ, ἤτοι βιβλίῳ τρίτῳ ἐπισολῇ ἑβδόμῃ, πρὸς Ῥογατιανὸν τὸν Ἐπίσκοπον περὶ τοῦ ὑπερηφάνου Διακόνου. ὅπου ὁρᾷς καὶ τῷ Κυπριανῷ αὐτοὺς τοὺς Ἀποστόλους πρώτους εἶναι Ἐπισκόπους, καὶ ἐκ ἐλάττον ἰδίως τοὺς ἄλλους Ἐπισκόπους δεδέχθαι τοὺς Ἀποστόλους ὅσον τοὺς καταδεεστέρους Διακόνους τοὺς πρώτους Διακόνους. Ἰάκωβος Παμμέλιος σημειώσει τρίτῃ ἐν ταύτῃ τῇ τοῦ Κυπριανοῦ ἑξηκοστῇ πέμπτῃ ἐπισολῇ φησὶν, Ὀρθῶς τοὺς Ἐπισκόπους τῶν Ἀποστόλων Διαδόχους ἀποκαλεῖ ὧδε καὶ ἀλαχοῦ ὁ Κυπριανός. καὶ σημειώσει ὀγδόῃ εἰς τὴν πεντηκοστὴν πέμπτην ἐπισολὴν τοῦ αὐτοῦ, Θεία φησὶ τῶν Ἀποστόλων καὶ τῶν Διαδόχων αὐτῶν Ἐπισκόπων ἐξουσία Διατάττεται.

Ἀπάντησις τετάρτη ἐκ τοῦ Γρηγορίου τοῦ Διαλόγου καὶ Ἰωάννου τοῦ Δεκέδου εἰς τὸ αὐτὸ μυθάριον τοῦ αὐτοῦ.

Γρηγόριος ὁ Διάλογος Ὁμιλίᾳ εἰκοστῇ ἕκτῃ εἰς τὰ Εὐαγγέλια, Ἰδοὺ, φησὶ, κεῖται τῶν ψυχῶν γίνονται οἱ Ἀπόστολοι, τούτων ἀληθῶς νῦν ἐν τῇ Ἐκκλησίᾳ τοὺς τόπους κρατοῦσιν οἱ Ἐπίσκοποι, τοῦ δεσμεῖν καὶ λύειν τὴν ἐξουσίαν λαμβάνουσιν οἱ λαχόντες τὴν τάξιν τῆς Διοικήσεως. ζήτει καὶ τὰ ἑρμήνια τῷ Πάπᾳ Εὐτυχιανῷ αὐτέρῳ κεφαλαίῳ τετάρτῳ, καὶ τὰ ἑρμήνια τῷ Πάπᾳ Κελεστίνῳ μέρος τρίτον τμήματος τετάρτου Παραγράφῳ τετάρτῳ. καὶ Ἰωάννης ὁ Δεκέδος φησὶ, Κατέστησαν οἱ Ἀπόστολοι Διακόνους, Πρεσβυτέρους καὶ Ἐπισκόπους κατὰ τόπους καὶ πόλεις, καὶ διετάξαντο Ἱεραρχικὴν ἐξουσίαν, ἣ καὶ χειροτονικὴ παρ' ἣν μόνος ὁ Χριστὸς διετάξατο, δωρούμενος αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, χαριζόμενός τε αὐτοῖς τὴν Ἐκκλησίαν τῷ Πέτρῳ καὶ τοῖς λοιποῖς Ἀποστόλοις ἕως τῆς συντελείας τοῦ αἰῶνος, τὴν αὐτὴν χορηγῶν αὐτοῖς, οἵτινες ἐχειροτονήθησαν ὑπὸ τῶν Ἀποστόλων, ἢ ὑπὸ τῶν Διαδόχων αὐτῶν. Ὁ αὐτὸς, Ἐκεῖ ἡ Ἐπισκοπὴ ὑπὸ τῆς σφότητος κατάγεται, ὅπου οἱ Ἐπίσκοποι κανονικῇ χειροτονίᾳ ἀλλήλοις εἰσὶ Διάδοχοι ὑπὸ χεῖρα Διὰ τῶν Ἀποστόλων, καὶ ὑπὸ τῶν Ἀποστόλων ὑπὸ τὸν Διάδοχον ἄχρις ἡμῶν. ταῦτα Ἰωάννης ὁ Δεκέδος βιβλίῳ τετάρτῳ περὶ εὐαγγελικῶν δογμάτων, κεφαλαίῳ τρίτῳ, μέρει πρώτῳ. ἔτι ἰδίως ἐν τῇ ποιμα-

ποιμαντικῇ Ἀρχιερατικῇ ἐξουσίᾳ μέχρι τῆς συντελείας τοῦ αἰῶνος οἱ Ἐπίσκοποι διαδέχονται τοὺς Ἀποστόλους.

Λόγος ϛ'.

Οἱ ὄντες ἀλλήλοις ἴσοι ἐν τῇ διαδοχῇ παρὰ τῶν Ἀποστόλων, οἱ αὐτοὶ ἴσοι εἰσὶν ἀλλήλοις τῇ ἐξουσίᾳ τῆς ποιμαντικῆς δικαιολογίας. ἀλλαμὴν οἱ Ἐπίσκοποι ἢ ἐν Ῥώμῃ, ἢ ἐν Εὐγουβίῳ ἀλλήλοις εἰσὶν ἴσοι ἐν τῇ διαδοχῇ παρὰ τῶν Ἀποστόλων, ἡ πρότασις δήλη ἐκ τῶν ἀνωτέρω ἐν πολλοῖς εἰρημένων.

Λόγος Ζ'. καὶ ἀπόκρισις εἰς τοῦτον Βελλαρμίνου, καὶ ἀποβολὴ αὐτῆς.

Ἐπὶ τῷ ἐνεργεῖν τὰ τῆς τάξεως τῆς Ἐπισκοπῆς, ἀναγκαία ἐστὶν ἡ δικαιολογία, ἄρα ὁ Θεὸς συνεισφέρων τὴν τάξιν, συνεισφέρει καὶ τὴν δικαιολογίαν. Πρὸς τοῦτο τὸ ἐπιχείρημα ἀποκρίνεται ὁ Βελλαρμῖνος βιβλίῳ τετάρτῳ περὶ τοῦ Πάπα, κεφαλαίῳ ὑστάτῳ λέγων, Παρὰ Θεοῦ ἀμφότερα δίδονται, ἀλλὰ τὸ ἓν ἐμμέσως, τὸ δὲ ἕτερον ἀμέσως, διὸ τὸ ἓν, τουτέστιν ἡ ἐξουσία τῆς τάξεως ἐπιζητεῖ τὸν χαρακτῆρα καὶ τὴν χάριν, ἣν μόνος ὁ Θεὸς ἐπιτελέσαι δύναται, τὸ δὲ ἕτερον, τουτέστιν ἡ δικαιολογία ἐπιζητεῖ μόνον τὸ θέλημα τοῦ προεστῶτος. ταῦτα ἐκεῖνος. Ἡμεῖς ὅμως ταύτην τὴν ἀπόκρισιν ἀνωτέρω ἀπεβάλομεν κεφαλαίῳ τρίτῳ, καὶ ἤδη ῥητέον, ὅτι τὸ πνευματικὸν χάρισμα, καὶ αὐτὴ ἡ πνευματικὴ ἀμφοτέρα ἐξουσία μετὰ δίδοται παρὰ μόνου τοῦ Θεοῦ ἀμέσως, ὥσπερ εἴρηται πλατύτερον ἐν πολλοῖς ἀνωτέρω.

Λόγος Η'. καὶ ἀπόκρισις εἰς αὐτὸν Βελλαρμίνου, ὅτι καὶ ἐμμέσως ὁ Πάπας δύναται χειροτονεῖν Ἐπισκόπους δι' ὧν ὁ Πέτρος κατ' ἀρχὰς κατέστησεν Ἀντιοχείας καὶ Ἀλεξανδρείας Πατριαρχῶν, καὶ ἀπάντησις πρὸς ταύτην ἀπὸ πολλῶν ἁγίων πατέρων καὶ τοῦ Ῥώμης Δαμάσου, ὅτι πάντες οἱ Ἐπίσκοποι ἐξίσου εἰσὶ πάντων τῶν Ἀποστόλων διάδοχοι.

Εἰ δὲ πάντες οἱ Ἐπίσκοποι λαμβάνουσι τὴν δικαιολογίαν παρὰ τοῦ Πάπα, πολλοὶ Ἐπίσκοποι οὐκ ἦσαν ἀληθεῖς Ἐπίσκοποι, καὶ γὰρ οὐ πάντας τοὺς Ἐπισκόπους, καὶ μάλιστα τοὺς τῆς Ἀσίας καὶ Ἀφρικῆς ἐψηφίσατο, ἢ ἐχειροτόνησεν ὁ Πάπας. Τοῦτο τὸ ἐπιχείρημα τοσούτοις ῥήμασιν ἀναιρῆσαι σπουδάζει ὁ Βελλαρμῖνος βιβλίῳ τετάρτῳ περὶ τοῦ Πάπα, κεφαλαίῳ ὑστάτῳ, ὅπου ταύτην προτίθησιν τὴν ἀπόκρισιν, λέγει γὰρ, ὅτι οὐκ ἔστιν ἀναγκαῖον ἵνα ψηφίζηται ὁ Πάπας ἀμέσως τοὺς Ἐπισκόπους, ἀλλ' ἀρκεῖ καὶ ἐμμέσως διὰ τῶν Πατριαρχῶν καὶ Ἀρχιεπισκόπων τοῦτο ποιεῖν, διὰ τοῦτο κατ' ἀρχὰς ὁ Πέτρος κατέστησε Πατριάρχην Ἀντιοχείας, καὶ Ἀλεξανδρείας, οἵτινες λαβόντες τὴν ἐξουσίαν παρὰ τοῦ Πέτρου, σχεδὸν πάσης τῆς Ἀσίας καὶ Ἀφρικῆς προΐσταντο, καὶ ἐδύναντο χειροτονεῖν Ἀρχιεπισκόπους, οἵτινες μεταταῦτα χειροτονοῦσιν Ἐπισκόπους. Ὅμως ἀποκρίνεσθαι οὐκ ἀδύνατον εἰς ταῦτα, Τιμόθεος γὰρ καὶ Ὀνήσιμος καὶ οἱ διάδοχοι αὐτῶν Ἐπίσκοποι Ἐφέσου, περὶ ὧν ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ πράξει ἑνδεκάτῃ, Λεόντιος Μαγνησίας εἶπεν, Ἀπὸ τοῦ ἁγίου Τιμοθέου μέχρι νῦν εἰκοσιεπτὰ Ἐπίσκοποι ἐγένοντο, καὶ πάντες ἐν Ἐφέσῳ ἐχειροτονήθησαν. Ὅτι δὲ ὁ Ὀνήσιμος διεδέξατο τὴν Ἐπισκοπὴν τῆς Ἐφέσου μετὰ τὸν θάνατον τοῦ Τιμοθέου, φανεροῦται ἐκ τῆς ἐπιστολῆς Ἰγνατίου πρὸς Ἐφεσίους, ὁμοίως καὶ περὶ τοῦ Σμύρνης Πολυκάρπου καὶ τῶν αὐτοῦ διαδόχων, λέγει γὰρ ὁ Εὐσέβιος περὶ αὐτοῦ, Ἀλλὰ καὶ ὑπὸ τῶν Ἀποστόλων κατασταθεὶς εἰς τὴν Ἀσίαν ἐν τῇ ἐν Σμύρνῃ Ἐκκλησίᾳ Ἐπίσκοπος, καὶ ταῦτα διδάξας ἀεὶ ἃ καὶ παρὰ τῶν Ἀποστόλων ἔμαθε, καὶ οἱ μέχρι νῦν διαδεδεγμένοι τὸν Πολυκάρπου θρόνον, βιβλίῳ τετάρτῳ, κεφαλαίῳ πεντεκαιδεκάτῳ. Ὁ αὐτὸς, Τηνικαῦτα ἐπὶ τῆς Ἀντιοχέων Ἐκκλησίας Θεόφιλος εἶτος ἀπὸ τῶν Ἀποστόλων ἐγνωρίζετο, βιβλίῳ τετάρτῳ, κεφαλαίῳ εἰκοστῷ. Ὁ αὐτὸς, Κοδράτος, καὶ ἄλλοι ἐπὶ τούτοις πλείονες ἐγνωρίζοντο κατὰ τήνδε τὴν πρώτην τάξιν τῆς τῶν Ἀποστόλων ἐπέχοντες διαδοχῆς, βιβλίῳ τρίτῳ, κεφαλαίῳ τριακοστῷ ἑβδόμῳ. Ὁ αὐτὸς καταλέγων τοὺς ἀπὸ ἐθνῶν Ἐπισκόπους Ἱεροσολύμων φησὶ, Καὶ ἐπὶ πᾶσι τὸν Ναρκισσον τριακοστὸν ἀπὸ τῶν Ἀποστόλων κατὰ τὴν τῶν ἑξῆς διαδοχὴν γεγενημένον, βιβλίῳ πέμπτῳ, κεφαλαίῳ δωδεκάτῳ. Καὶ ὁ Ἐπιφάνιος φησὶν, Ὁ Κέρδων ἐν χρόνοις γέγονεν Ὑγίνου Ἐπισκόπου τὸν ἔνατον κλήρον ἄγοντος ἀπὸ τῆς τῶν περὶ τὸν Ἰάκωβον καὶ Πέτρον καὶ Παῦλον Ἀποστόλων διαδοχῆς, Αἱρέσει τεσσαρακοστῇ πρώτῃ. Ὁ αὐτὸς, Ὧν τοὺς χρόνους καθεξῆς καὶ καθ' εἱρμὸν ἀπὸ τοῦ Ἰακώβου τοῦ Ἐπισκόπου, τοὺς κατὰ διαδοχὴν Ἐπισκόπους ἐν Ἱεροσολύμοις, Αἱρέσει ἑξηκοστῇ πέμπτῃ. καὶ ὁ Αὐγουστῖνος ἑρμηνεύων τὸν τεσσαρακοστὸν τέταρτον ψαλμὸ, φησὶ γενέσθαι ὑπὸ τῶν Ἀποστόλων Ἐπισκόπους. Καὶ ὁ Ἱερώνυμος ἐν τῷ αὐτῷ τόπῳ, Ἀπόντων, ἔφη, τῶν πατέρων, ἤγουν τῶν Ἀποστόλων, ἀντ' ἐκείνων νῦν εἰσὶν οἱ Ἐπίσκοποι. καὶ Διονύσιος ἐν τῇ πρὸς Δημόφιλον ἐπιστολῇ λέγων περὶ Ἐπισκόπων καὶ τῶν διαδόχων τῶν Ἀποστόλων, ὑποτίθησι πολλοὺς διαδόχους τῶν Ἀποστόλων, ὅπερ ἑρμηνεύων ὁ θεῖος Μάξιμος, οὐδ' ὅλως μνημονεύει τοῦ Πάπα, ἀλλὰ φησὶ, Διαδόχους δὲ τῶν Ἀποστόλων οἶμαι λέγειν τοὺς νυνὶ Πατριάρχας. καὶ Δάμασος ἐπιστολῇ τετάρτῃ πρὸς τοὺς Ἐπισκόπους, Τοῖς Ἐπισκόποις, ἔφη, τὴν καθόλου Ἐκκλησίαν γενικῶς ἐπιτετράφθαι. καὶ ὁ Τερτουλλιανὸς φησὶ, Τοὺς Ἀποστόλους τὴν Ἐκκλησίαν καταστήσασθαι, καὶ τὰς ὑστέρας Ἐκκλησίας ἀποστολικὰς προσαγορεύεσθαι τῆς πρώτης Ἐκκλησίας πραχθείσας. Καὶ, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων λαβὼν τὸ χάρισμα τῆς ἀποστολικῆς ἀξίας Παῦλος. Καὶ, μὴ δεόμενος Πέτρου, μήτε τῆς ἐκείνου φωνῆς, ἀλλ' ἴσος ὢν αὐτῷ, ἔπεμψεν εἰς Κρήτην τὸν Τίτον, καὶ ἐπι-

τάττει

τάσθαι αὐτῷ καταστῆσαι κατὰ πόλιν πρεσβυτέρους, ἤτοι Ἐπισκόπους. καὶ οἱ Ἀπόστολοι ἀμέσως ὑπὸ χεῖρα λαβόντες τὴν ἀποστολικὴν ἐξουσίαν καὶ δύναμιν καὶ ἐνέργειαν, ἑκάστῳ ἐχειροτόνει ὅπου ἐκήρυττον Ἐπισκόπους ἐξ οἰκείας δυνάμεως, εἰ καὶ ὀργανικῶς ὡς εἴρηται ὑποκεῖσθαι αὐτέρῳ κατὰ τὰς ἁγίας πατέρας. Ἐπιλείψει ἡμᾶς διηγεῖσθαι ὁ χρόνος ἵνα κατ' εἶδος γράφωμεν μίαν ὡς μίαν τὰς μαρτυρίας τῶν ἁγίων πατέρων, καὶ τῶν ἐκκλησιαστικῶν ἱστορικῶν περὶ τοῦ ὅτι ἐδὲ μίαν ἐξουσίαν ἔλαβον οἱ Ἀπόστολοι ὑπὸ τοῦ Πέτρου, καὶ ὅτι ἕκαστος τῶν Ἀποστόλων ἐχειροτόνει ὅπου ἐδίδαξεν Ἐπισκόπους ἰδίᾳ αὐθεντίᾳ, καὶ ὅτι πάντες οἱ Ἐπίσκοποι ἐξίσου εἰσὶ πάντων τῶν Ἀποστόλων Διάδοχοι. ἴδε καὶ αὐτέρῳ βιβλίῳ πρώτου κεφάλαιον εἰκοστὸν τέταρτον, καὶ κεφαλαίου δεκάτου ἑνὸς τοῦ αὐτοῦ βιβλίου Παραγράφου πέμπτου.

Ἀπάντησις ἑτέρα εἰς τὸν ἀναίσχυντον ὑπόφεσιν τοῦ Βελλαρμίνου, λέγοντος τοὺς Πατριάρχας Ἀλεξανδρείας καὶ Ἀντιοχείας λαβεῖν τὴν ἐξουσίαν ὑπὸ τοῦ Πάπα.

Παλιλλογητέον ὅμως, καὶ ῥητέον ὅτι καταγέλαστον ἐστὶν καὶ διόλου ἀναίσχυντον, ὅτι οἱ Πατριάρχαι Ἀλεξανδρείας καὶ Ἀντιοχείας ἔλαβον τὴν ἐξουσίαν ὑπὸ τοῦ Πάπα, φανερῶς γὰρ μάχεται τῇ καθολικῇ ἀρχαιότητι περὶ ἰσότητος πάντων τῶν Ἐπισκόπων, ὡς δέδεικται, καὶ ταῖς ἀποφάσεσι τῆς πρώτης καὶ δευτέρας καὶ τετάρτης τῶν Οἰκουμενικῶν Συνόδων περὶ τῶν συνομίων τῶν αὖθις εἰρημένων θρόνων, καὶ τῇ γνώμῃ τῆς πέμπτης Οἰκουμενικῆς, ἐν ᾗ οἱ Πατριάρχαι τῆς Ἀνατολῆς μετὰ τῶν ὑπ' αὐτὸν Ἐπισκόπων τὰς συνοδικὰς πράξας ἐπράξαντο, καὶ ἀπεφήναντο, καὶ ὥρισαν, ματαίως ὑποβαλόντες τὸ βιβλίον, καθάπερ ματαίως ἠγωνίζετο Λέων ὁ Πάπας περὶ τῆς ὑποφάσεως τῆς ἐν Χαλκηδόνι Συνόδου περὶ τῶν πρεσβείων τοῦ θρόνου Κωνσταντινουπόλεως, ἐπειδὴ ὁ λόγος τῆς Συνόδου ἴσχυσεν ἐν πᾶσι, καὶ δὴ καὶ αἱ μεταγενέστεραι Σύνοδοι ἔδειξαν καθ' ἕξης κατὰ πλάτος καὶ καθαρῶς τὴν ἰσότητα ἣν ἔχουσιν ἀλλήλοις πάντες οἱ Ἐπίσκοποι, καὶ ἀκολούθως ὅτι ἑκάστη Ἐπισκοπὴ ἴση ἐστὶ μετὰ τῆς Ἐπισκοπῆς τοῦ Ῥώμης ἐν τῇ ἀποστολικῇ Διαδοχῇ καὶ ἐπισκοπικῇ ἐξουσίᾳ τῆς τε τάξεως καὶ τῆς διηγορολογίας. ὅθεν κενὸν καὶ γέλωτος ἄξιον ὡς εἴρηται τὸ πλάσμα τῆς αἰσίου Διαδοχῆς, ᾧ ὁ τῆς Ῥώμης οἰκοδεσπότης καὶ ὑπὲρ τοὺς ἄλλους ὕψωται, ἀλλ' ὁ Βάτραχος φησὶν ἡ παροιμία ὅσον αὐ φυσηθῇ, ἐδέποτε γενήσεται Ταῦρος. ἵνα πληρεστέραν ὅμως ἀποβολὴν τῆς πεπλασμένης ταύτης καὶ βεβήλου τῆς Ῥώμης Διαδοχῆς ῥητέον, ὅτι ἡ ἐν Ῥώμῃ Διαδοχὴ οὐκ ἦν μόνου τοῦ Πέτρου, ἀλλ' ὡσαύτως καὶ τοῦ Παύλου, καὶ ἡ ἐν Ἀντιοχείᾳ τῶν αὐτῶν, καὶ τῶν λοιπῶν Ἀποστόλων. ἀλλὰ καὶ περὶ τῆς ἐν Ἀλεξανδρείᾳ Διαδοχῆς ἐρεῖμεν τὰ ἀκόλουθα, καὶ δὴ καὶ κατ' ἄλλας φανερὰς καὶ ἀναντιῤῥήτους τρόπους ὑποδείξομεν, ὅτι οἱ μετὰ τὴν φυσίωσιν τοῦ παμπόνηρου ἀξιώματος Πάπαι ὅλως εἰσὶν οὔτε τοῦ Πέτρου, οὔτε τῶν λοιπῶν Ἀποστόλων Διάδοχοι. ἴδε καὶ αὐτέρῳ βιβλίῳ πρώτου κεφάλαιον ἑνδέκατον, ὅτι ἴσοι οἱ Ἐπίσκοποι.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Ε'. ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ὅτι τὸ ἀποσκοπῆσαι τὸν Πέτρον εἰς Ῥώμην ἔτη εἰκοσιπέντε, καὶ εἰς ταύτην ἀποδημῆσαι τῷ δευτέρῳ ἔτει τοῦ Κλαυδίου, ψευδῶς δείκνυται ἐκ τῶν πράξεων καὶ τῶν Παύλου ἐπιστολῶν καὶ τῆς περιόδου τῆς ζωῆς Πέτρου, καὶ πάσης τῆς ἀποστολικῆς Ἱστορίας καὶ τῶν παλαιῶν μαρτυριῶν.

Ὅτι μὲν οὖν ὁ Πέτρος εἰς Ῥώμην ἀπῆλθε, μάρτυς ὁ Εὐσέβιος βιβλίῳ δευτέρῳ, κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ, καὶ ἑκκαιδεκάτῳ, καὶ εἰκοστῷ πέμπτῳ, καὶ Ὠριγένης παρ' Εὐσεβίῳ, βιβλίῳ τρίτῳ, κεφαλαίῳ πρώτῳ. ὅτι δὲ εἰκοσιπέντε ἔτη ἐπεσκόπευσεν εἰς Ῥώμην, ψευδῶς, αὐτίκεινται γὰρ τοῖς λέγουσι τὸν Λατίνοις αἱ ἀποστολικαὶ πράξεις, αἱ Παύλου ἐπιστολαί, καὶ ἡ περιόδος τῆς ζωῆς τοῦ ἁγίου Πέτρου, καὶ αἱ τῶν παλαιῶν μαρτυρίαι, ἐξ ὧν ἔστι καὶ ἡ τοῦ Ὠριγένους παρ' Εὐσεβίῳ, βιβλίῳ τρίτῳ, κεφαλαίῳ πρώτῳ, καὶ ἡ τοῦ Λακτατζίου παλαιοῦ καὶ περιφήμου ἐκκλησιαστικοῦ ἀνδρὸς, λεγόντων, Πέτρος μὲν τὸ τέλος τῆς ζωῆς αὐτοῦ ἐλθὼν εἰς Ῥώμην, τῷ ἰδίῳ αἵματι ἐτίμησεν αὐτήν. καὶ Πέτρος Ἀλεξανδρείας καὶ μάρτυς ὁ τῇ καινοτικῇ αὐτοῦ ὑποκρίσει, κεφαλαίῳ φησὶν, ὁ αὐτὸς τῶν Ἀποστόλων Πέτρος πολλάκις συλληφθεὶς, καὶ φυλακισθεὶς, καὶ ἀτιμασθεὶς, ὕστερον εἰς Ῥώμην ἐσταυρώθη, ταῦτα φησὶ καὶ τὸ Μηνολόγιον Ἰουλίου εἰκοστῇ ἑβδόμῃ. οἱ Λατῖνοι δὲ, ἤτοι οἱ σοφισταὶ διαστρέφουσι καὶ μεταπλάττουσι τὰς χρονολογίας κατὰ τὸ ἔθος αὐτῶν, ὅθεν καὶ μαρτυρίας κιβδήλους προσφέρουσι πρὸς ἀπόδειξιν ὅτι ἐν τῷ δευτέρῳ ἔτει Κλαυδίου, ὅπερ ἐστὶν ἔτος σωτήριον τεσσαρακοστὸν δεύτερον, ἀπῆλθεν ὁ Πέτρος εἰς Ῥώμην, ἀμφότερα δὲ ψευδῆ, ἐπειδὴ ἀπὸ ἀκριβεστάτων σοφισμῶν ἀξιολόγων ἀρχαίων συγγραφέων δείκνυται ὅτι ὁ Ἡρῴδης ἐλθὼν ὑπὸ Κλαυδίου ἀπὸ Ῥώμης εἰς Παλαιστίνην, τῷ τρίτῳ ἔτει Κλαυδίου ἀπέκτεινε τὸν Ἰάκωβον, καὶ τὸν Πέτρον καθεῖρξεν εἰς φυλακὴν, ἵνα ἀποκτείνῃ περὶ τὸ Πάσχα, Πέτρος δὲ λυθεὶς

θεὶς τῶν δεσμῶν, ἐπορεύθη, ὥς φησιν ἡ γραφὴ, εἰς ἄλλον τόπον, ὅπερ ἐξηγούμενος ὁ Χρυσόστομος, οὐκ εἶπε τὸν τόπον, ἀλλὰ τόσον μόνον, ὅτι ἐπορεύθη εἰς ἄλλον τόπον, ὅτι μὴ ἐμβάλλειν ἑαυτοὺς εἰς πειρασμὸν ἐδιδάχθησαν παρὰ τοῦ Κυρίου οἱ Ἀπόστολοι. ἄλλος τόπος τὶς δ' ἂν εἴη περὶ τὴν Παλαιστίνην, ἢ ἡ Ἀντιόχεια. οἱ δὲ παπισταὶ λέγουσιν ὅτι ἐπορεύθη εἰς Ῥώμην, ὅπερ εἰ καὶ ψεῦδος ἐστὶν, ἀλλ' οὐ ποιεῖ πάλιν τὰ εἰκοσιπέντε ἔτη, ἅτινα ὑποτιθέασιν οἱ αὐτοὶ, ἀπὸ γὰρ τοῦ τρίτου ἔτους τοῦ Κλαυδίου, ἐφ' οὗ ὀνειρεύονται οἱ παπισταὶ ἐλθεῖν τὸν Πέτρον εἰς Ῥώμην, ἕως τοῦ ἑνδεκάτου ἔτους τοῦ Νέρωνος, ὅπερ ἐστὶν ἔτος ἀπὸ Χριστοῦ ἑξηκοστὸν πέμπτον, ἐφ' οὗ ἐσταυρώθη ὁ Πέτρος κατὰ τὴν κοινὴν καὶ ἀναμφίβολον μαρτυρίαν τῶν συγγραφέων, παρερρύη ἔτη εἴκοσι καὶ ἕν. ἀλλ' ὁ Βαρώνιος φησὶν ὅτι οὐ πάντα τὰ τοῦ Πέτρου ἱστόρησεν ὁ Λουκᾶς. ῥητέον ὅμως πρὸς αὐτὸν ὅτι ἀναιδής ἐστιν, εἰ γὰρ ὁ Λουκᾶς τὰς ἐν Σαμαρείᾳ καὶ Λύδδῃ καὶ Ἰόππῃ ἀποδημίας τοῦ Πέτρου ἱστόρησε, πῶς τὸν ἐπὶ Ῥώμην ἐπελάθετο μεγίστης οὔσης; εἶτα ἐν ἔτει ἀπὸ Χριστοῦ τεσσαρακοστῷ ἑβδόμῳ, καὶ τῆς ἐπιστροφῆς τοῦ Παύλου πρὸς Χριστὸν ἔτει τεσσαρεσκαιδεκάτῳ ἐλθὼν ὁ Παῦλος εἰς Ἱερουσαλὴμ, εὗρεν ἐκεῖ τὸν Πέτρον, ὡς γράφει πρὸς Γαλάτας κεφαλαίῳ δευτέρῳ, καὶ συνῆν ἐν τῇ ἀποστολικῇ Συνόδῳ περὶ τοῦ, Εἰ δεῖ φυλάττειν τὰ ἔθη τοῦ μωσαϊκοῦ Νόμου, καὶ μετὰ τὴν Σύνοδον ἀπῆλθεν ὁ Πέτρος εἰς Ἀντιόχειαν, ὅτε μετά τινα χρόνον ἀντέστη αὐτῷ ὁ Παῦλος, ὡς γράφει πάλιν πρὸς Γαλάτας ὁ αὐτός. ἀλλ' ὁ Βαρώνιος συγχέει τὰς ἱστορίας, καὶ λέγει, τοῦ Κλαυδίου διώξαντος τοὺς ἐν Ῥώμῃ Ἰουδαίους, ὁ Πέτρος ἀναχωρίσας τῆς Ῥώμης, ἦλθεν εἰς Ἱερουσαλὴμ, καὶ εὑρέθη εἰς τὴν Σύνοδον. ὁ Ὀρόσιος ὅμως Λατίνοις καταθύμιος, καὶ ἀρχαῖος, γράφει ἀπὸ μαρτυρίας Ἰωσήπου, ὅτι ὁ Κλαύδιος τὸν διωγμὸν ἐποίησε τῷ ἐνάτῳ ἔτει τῆς Βασιλείας αὐτοῦ, ὅπερ ἐστὶν ἔτος τεσσαρακοστὸν ἔνατον, τρίτῳ δὲ μετὰ τὴν ἀποστολικὴν Σύνοδον. δεύτερον, τῷ πεντηκοστῷ τετάρτῳ ἔτει ἔγραψεν ὁ Παῦλος τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν, ἐν ᾗ οὐδεμία μνήμη τοῦ Πέτρου. τρίτον, ὅτι τῷ πεντηκοστῷ ἑβδόμῳ ἔτει ὁ Παῦλος δέσμιος εἰς Ῥώμην ἀπάγεται, καὶ ἀπαντῶσιν αὐτῷ οἱ ἀδελφοὶ, καὶ ποιεῖ μετὰ τῶν ἐν Ῥώμῃ Ἰουδαίων τὸν διάλογον, ὃν περιγράφει ὁ Λουκᾶς κεφαλαίῳ ἐσχάτῳ, καὶ πάλιν οὐδεμία μνήμη τοῦ Πέτρου. διαμενούσης δὲ τῆς ἀπαγωγῆς ἐπὶ ἔτη δύο, ἔγραψεν ἐκεῖθεν ὁ Παῦλος τὰς πρὸς Κολοσσαεῖς καὶ Ἐφεσίους καὶ Φιλιππησίους καὶ Φιλήμονα ἐπιστολὰς, ἐν αἷς οὐδὲν σημεῖον, οὐδὲν γνώρισμα (εἰ μήτις μαντεύεσθαι βούλοιτο) τὸν Πέτρον ἢ τότε εἶναι ἐν Ῥώμῃ, ἢ γενέσθαι πώποτε, μάλιστα δὲ πᾶν τοὐναντίον φαίνεται, ἐν γὰρ τῇ πρὸς Κολοσσαεῖς ἐπιστολῇ, κεφαλαίῳ τετάρτῳ, τοὺς μετ' αὐτοῦ ὄντας ἐν Ῥώμῃ ὁ Παῦλος ἀπαριθμῶν, ἐκ τῆς περιτομῆς μόνους τίθεται Ἀρίσταρχον, Μάρκον καὶ Ἰοῦστον. Οὗτοι μόνοι, φησὶν, ἦσάν μοι συνεργοὶ εἰς τὴν Βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία. τὸ δὲ ἢ τὸν Πέτρον τὴν συνέργειαν ἀπανήνασθαι, ἢ τὸν Παῦλον τοῦτο σιγῇ παρελθεῖν, οὐδεὶς ἐχέφρων πιστεύσειε. κἂν τῇ πρὸς Τιμόθεον δευτέρᾳ, ἣν δοκεῖ τηνικαῦτα τὸν Παῦλον γεγραφέναι. φησὶν, Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον. ἐξ ὧν δύναται πᾶς τις εἰκάσαι μή πω παραγενέσθαι τὸν Πέτρον εἰς Ῥώμην. λυθεὶς δὲ τὸν ἐν Ῥώμῃ φυλακῆς, καὶ ἔτι διατρίβων ἐν Ἰταλίᾳ, ἔγραψε τὴν πρὸς Ἑβραίους ἐπιστολὴν, ἐν δὲ τῷ ταύτης τέλει μέμνηται Τιμοθέου, ὅπως τε τῶν δεσμῶν ἐλύθη, καὶ ὅτι ἐλεύσεται σὺν αὐτῷ πρὸς ἐκείνους, οὐκ ἂν δὲ εἴασεν ἐν τοιαύτῃ τοῦ λόγου ἀποφάσει τοὺς πόνου, τὰς μερίμνας, καὶ τοὺς κινδύνους τοῦ Πέτρου, οὕστινας ὑπήνεγκεν ὁ Πέτρος ἐν Ῥώμῃ, ἢ ἐν Δύσει ὑπάρχων. ἐκ πάσης οὖν τῆς ἀποστολικῆς ἱστορίας φαίνεται μήπω τὸν Πέτρον εἰς Ῥώμην ἐλθεῖν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι οὔτε τὰ ἐν τῇ ἀπολογίᾳ τῆς φυγῆς τοῦ Ἀθανασίου, οὔτε ὁ ἐν τῇ τοῦ Πέτρου καὶ Παύλου κοιμήσει λόγος τοῦ Λέοντος Ῥώμης, ἢ τὰ Εὐσεβίου καὶ Ἱερωνύμου καὶ ὁ τῶν Ἀρχιερέων τῆς Ῥώμης κατάλογος βοηθοῦσι Λατίνοις, ἐπὶ Κλαυδίου λέγουσιν ἀνελθεῖν τὸν Πέτρον εἰς Ῥώμην καὶ ἐπισκοπεῦσαι ἔτη εἰκοσιπέντε, ἅτε ἐπὶ Νέρωνος ἀνελθόντα, καὶ ἅπαξ, οὔτε συγχωρεῖ τὸ ἀποστολικὸν ἀξίωμα εἶναι μερικὸν Ἐπίσκοπον τὸν Πέτρον, καὶ ὅτι οὐ μόνον ὁ Πέτρος, ἀλλὰ καὶ ὁ Παῦλος ᾠκοδόμησε τὴν Ῥώμης Ἐκκλησίαν.

Οὐ μόνον τὰ ἀπὸ τῶν ἱστορικῶν προβαλλόμενα ὑπὸ τῶν βουλομένων τὸν Πέτρον τῷ δευτέρῳ ἔτει τοῦ Κλαυδίου εἰς Ῥώμην παραγενέσθαι βοηθεῖ αὐτοῖς οὐδὲν, ἀλλὰ καὶ τὰ ἀπὸ τῶν ἀρχαίων πατέρων προτεινόμενα, καὶ γὰρ παραπέμπουσιν ἡμᾶς εἰς τοὺς μεγάλους Ἀθανάσιον καὶ Λέοντα, τὸν μὲν Ἀθανάσιον λέγοντα ἐν τῇ ἀπολογίᾳ τῆς ἰδίας φυγῆς, Πέτρος δὲ ὁ διὰ τὸν φόβον τῶν Ἰουδαίων κρυπτόμενος, καὶ Παῦλος ὁ ἐν σαργάνῃ χαλασθεὶς καὶ φεύγων, ἀκούσαντες, δεῖ ὑμᾶς εἰς Ῥώμην μαρτυρῆσαι, οὐκ ἀνεβάλλοντο τὴν ἀποδημίαν, χαίροντες δὲ μᾶλλον ἀπῆλθον. καὶ ὁ μὲν, ὡς πρὸς τοὺς ἰδίους σπεύδων, ἐγάννυτο σφαζόμενος. ὁ δὲ, καὶ παρόντα τὸν καιρὸν οὐκ ἀτέπτυξεν, ἀλλὰ καὶ ἐκαυχᾶτο λέγων, Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε. τὸν δὲ Λέοντα, εἰπόντα λόγῳ εἰς τὴν κοίμησιν Πέτρου καὶ Παύλου, Πέτρος ὁ μακάριος καὶ κορυφαῖος τοῦ ἀποστολικοῦ τάγματος τὴν ἀκρόπολιν τῆς ῥωμαϊκῆς Βασιλείας κληροῦται. οὔτε φοβῇ τὴν δέσποιναν τοῦ κόσμου Ῥώμην σὺ ὁ ἐν

τῇ

τῇ οἰκίᾳ τοῦ Καϊάφα φοβηθεὶς τὴν τοῦ Ἱερέως παιδίσκην; μή τι ἄρα ἢ ἐν τῇ κρίσει τοῦ Πιλάτου, ἢ ἐν τῇ ἀπηνείᾳ τῶν Ἰουδαίων ὑπῆρχεν ἐλάττων ἢ ἡ ἐν Κλαυδίῳ ἐξουσία, ἢ ἡ ἐν Νέρωνι ὠμότης; Ἀλλὰ ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι τὸ, Ὡς πρὸς τοὺς ἰδίους σπεύδων, ὅπερ ἔμφασιν παρέχει ὅτι ὁ Πέτρος φυγὼν ἀπὸ Ῥώμης πάλιν ἐπανῆλθεν εἰς αὐτὴν, ἐν ἄλλοις πολλοῖς καὶ ἀναμφιβόλοις αὐτιγράφοις λέγεται, Ὁ πρότερον τοὺς Ἰουδαίους φεύγων, ἐξ οὗ παρίσταται περὶ μιᾶς καὶ τῆς αὐτῆς φυγῆς τοῦ Πέτρου λέγειν τὸν ἅγιον Ἀθανάσιον, καὶ προσέτι ὅτι οὐδέποτε δύνανται ἐκ τούτων τῶν λόγων συναγαγεῖν τὶ οἱ ἀντικείμενοι εἰς τὴν ὑπόθεσιν αὐτῶν. πρὸς δὲ τὸ δεύτερον, ἐκ τῶν Ῥωμαίων Αὐτοκρατόρων ἐπὶ τῶν Ἀποστόλων τούτων μόνοι ἐφρυάξαντο κατὰ τῆς Ἐκκλησίας Κλαύδιος καὶ Νέρων, ὧν τὴν ἐξουσίαν καὶ ὠμότητα εἰς οὐδὲν λογίζεσθαι ὁ Πέτρος ἠδύνατο, εἰ καὶ μήπω εἰς Ῥώμην ἦλθεν ἐπὶ Κλαυδίου. εἶτα ὁ Λέων ἐσπούδασε τὸν Πέτρον μεγαλῦναι ὡς ῥήτωρ, τὸ δὲ τοιοῦτον τῆς συγγραφῆς εἶδος οὐδύναται ἀεὶ τόπον ἔχειν ἱστορικοῦ καθαροῦ τε καὶ ἀναμφιβόλου. πρὸς τούτοις οἱ σοφισταὶ φέρουσι τὸν Εὐσέβιον τάχα γράφοντα ἐν τῷ τεσσαρακοστῷ τρίτῳ ἔτει ἀπὸ Χριστοῦ, Πέτρος ὁ Ἀπόστολος μετὰ τὸ θεμελιῶσαι τὴν ἐν Ἀντιοχείᾳ Ἐκκλησίαν ἀνέρχεται εἰς Ῥώμην, ἔνθα ἐπὶ εἰκοσιπέντε ἔτη κηρύττων τὸ Εὐαγγέλιον, τῆς αὐτῆς πόλεως Ἐπίσκοπος διαμένει. Ἀλλὰ ῥητέον, ὅτι παρ' Εὐσεβίῳ οὐχ εὑρίσκεται ταῦτα τὰ ῥήματα, εἰ δὲ καὶ ὁ μεταφράσας αὐτὸν εἰς τὴν λατινικὴν γλῶτταν Ἱερώνυμος, ἢ ἄλλός τις εἶπε τοῦτο, μακρὰν τῆς ἀληθείας ἐστὶν, ὁ γὰρ Εὐσέβιος ἐν οὐδενὶ αὐτοῦ συγγράμματι, οὔτε ἐν τῇ ἐκκλησιαστικῇ αὐτοῦ ἱστορίᾳ περὶ Ἐπισκοπῆς μνείαν τινὰ ποιεῖται τοῦ Πέτρου, οὐδὲ Ἐπίσκοπόν ποτε καλεῖ τὸν Πέτρον, τόσον δὲ μόνον εἶπεν, ὅτι ὁ Πέτρος ἐπὶ Κλαυδίου κατὰ τοῦ Σίμωνος ἀνῆλθεν εἰς Ῥώμην, οὐ λέγει δὲ τὸν χρόνον. ὅτι δὲ ὁ Εὐσέβιος ἐν τούτῳ ἠπατήθη, δῆλον, οὐδυνάμεθα ὅμως γνῶναι πόθεν αὐτῷ περιεγένετο ἡ ἀπάτη. ὁ δὲ Ἱερώνυμος ἐν ἄλλοις, καὶ ἐν τῷ καταλόγῳ τῶν ἱερῶν συγγραφέων λέγει διὰ πολλῶν, ὅτι ὁ Πέτρος τῷ δευτέρῳ ἔτει Κλαυδίου ἀπῆλθεν εἰς Ῥώμην, καὶ κατέβαλε Σίμωνα τὸν μάγον, κἀκεῖ ἐν ἔτεσιν εἰκοσιπέντε τὴν ἱερατικὴν κατέσχε καθέδραν. Ἀλλὰ ῥητέον, πόθεν ὁ Ἱερώνυμος λαβὼν εἶπεν; ἐκ τῆς κοινῆς παραδόσεως; ἀλλ' οὐκ ἦν ἐν τῇ Ἐκκλησίᾳ τοιαύτη παράδοσις, εἰ γὰρ ἦν, ἔγραψαν ἂν καὶ ἄλλοι περὶ αὐτῆς, ἢ τάχα ἐκ τοῦ Λακτατζίου παρέλαβεν, εἰπόντος τοὺς Ἀποστόλους κηρῦξαι τὸ Εὐαγγέλιον κατὰ πάσας τὰς χώρας δι' ἐτῶν εἰκοσιπέντε ἕως ἀρχῆς τῆς Βασιλείας τοῦ Νέρωνος. ὅτι ὅμως ὁ Ἱερώνυμός ἐστιν ὁ ἀρχηγὸς ταύτης τῆς δόξης, τῆς, ὁ Πέτρος δηλαδὴ κατέσχε τὴν ἱερατικὴν Ἐπισκοπὴν ἐν τῇ Ῥώμῃ ἔτη εἰκοσιπέντε, δοκεῖ ἀναμφίβολον. τέως οἱ σοφισταὶ προβάλλουσι τὸν κατάλογον τῶν Ἀρχιερέων τῆς Ῥώμης, ἀλλὰ καὶ τοῦτο μάταιον, δείκνυται γὰρ διὰ πολλῶν, ὅτι οἱ τοιοῦτοι κατάλογοι ἐπίπλαστοί εἰσι, καὶ πρὸς χάριν γεγραμμένοι, καὶ ὑπὸ τῶν Ῥωμαίων πολυειδῶς σεσοφισμένοι, τουτέστι διεστραμμένοι, καὶ ἐν τῷ μεταξὺ αὐτῶν ἀσύμφωνοι, ὅθεν καὶ ἀμφίβολοι, καὶ ἀδύνατοι τοπαράπαν πρὸς σύστασιν ἀληθείας. Πρὸς τούτοις ὁ Νικηφόρος βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ πέμπτῳ φησὶ περὶ Πέτρου, Ἐν ταῖς ἀρχαῖς Νέρωνος τῇ Ῥωμαίων ἐπιδημήσας. καὶ τὸ Μηνολόγιον Ἰουνίου τριακοστῇ φησὶ, Μετὰ τὸ κήρυγμα τὸ ἐν τῇ διασπορᾷ κατέβη ὁ Πέτρος εἰς τὴν Ῥώμην, καὶ ἐσταυρώθη ὑπὸ Νέρωνος; καὶ οὐ λέγει ὅτι ἐκεῖ δὶς ἀπῆλθεν, ἢ ἐπὶ Κλαυδίου, ἀλλ' ἐπὶ Νέρωνος, καὶ οὐκ ἀπὸ Ἱεροσολύμων, ἀλλὰ μετὰ τὸ κηρῦξαι ἐν Πόντῳ, καὶ Γαλατίᾳ, καὶ Καππαδοκίᾳ, καὶ Ἀσίᾳ, καὶ Βιθυνίᾳ. ἐπιλαμβάνονται οἱ διαληφθέντες τῶν ἀνωτέρω ῥημάτων τοῦ Λακτατζίου, καὶ λέγουσιν, ὅτι οὐκ ἀρνεῖται διὰ τούτων τὸν Πέτρον ἀνελθεῖν εἰς τὴν Ῥώμην ἐπὶ Κλαυδίου, καὶ διδάξαι ἐπὶ ἔτεσιν εἰκοσιπέντε. Ἀλλὰ ῥητέον, ὅτι ὁ Λακτάτζιος περὶ τοῦ θανάτου τῶν διωκτῶν κεφαλαίῳ δευτέρῳ ῥητῶς ταῦτα φησὶ, Διεσπάρησαν οἱ Ἀπόστολοι εἰς πᾶσαν τὴν γῆν εἰς τὸ κηρῦξαι τὸ Εὐαγγέλιον καθὼς αὐτοῖς ὁ Διδάσκαλος Κύριος ἐνετείλατο, καὶ δι' ἐτῶν εἰκοσιπέντε μέχρι τῆς ἀρχῆς τῆς Νέρωνος Βασιλείας κατὰ πάσας τὰς Ἐπαρχίας καὶ πόλεις τὴν Ἐκκλησίαν ἐθεμελίωσαν, βασιλεύοντος δὲ Νέρωνος, Πέτρος εἰς Ῥώμην ἐπιδημεῖ, καὶ θαύματα τινὰ ἐπιδειξάμενος, ἅπερ ἐποίει διὰ τῆς δωρηθείσης αὐτῷ παρὰ τοῦ Θεοῦ δυνάμεως καὶ ἐξουσίας, ἐπέστρεψε πολλοὺς πρὸς τὴν δικαιοσύνην, οὗ δὴ πράγματος αἰνενεχθέντος πρὸς Νέρωνα, πρῶτος πάντων καταδιώξας τοὺς δούλους τοῦ Θεοῦ, προσήλωσε τὸν Πέτρον σταυρῷ, καὶ τὸν Παῦλον ἀπέκτεινεν, ἐξ ὧν δῆλον, μὴ εἶναι ἄλλην ἔννοιαν τῶν τοιούτων λόγων, εἰμὴ ταύτην, ὅτι δηλαδὴ μετὰ τὴν εἰς Οὐρανοὺς Ἀνάληψιν τοῦ Χριστοῦ οἱ δώδεκα Ἀπόστολοι ἀνὰ πάσας τὰς Ἐπαρχίας καὶ πόλεις ἐκήρυξαν τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ ἐπὶ ἔτη εἰκοσιπέντε, βασιλεύοντος δὲ Νέρωνος, ἦλθε καὶ Πέτρος εἰς Ῥώμην, καὶ θεμελιώσας τὴν Ἐκκλησίαν ἐκεῖ, σταυρῷ τελευτᾷ. ὃ δὲ προβάλλονται οἱ ἀντικείμενοι, ψεῦδος ἐστὶ σαφῶς, καὶ ἀσύμφωνον πᾶσι τοῖς Λακτατζίου λόγοις. ἐκ τῶν εἰρημένων δὲ γίνεται σαφὲς, ὅτι ὁ Πέτρος οὔτε γέγονεν, οὔτε ἐῤῥέθη μερικὸς καὶ ἰδικῶς Ἐπίσκοπος Ῥώμης, πρῶτον, ὅτι ὁ λόγος τοῦ ἀποστολικοῦ ἀξιώματος οὐ συγχωρεῖ τὸν Πέτρον εἶναι Ἐπίσκοπον Ῥώμης μερικόν. δεύτερον, ὅτι οὐδεὶς τῶν ἀρχαίων τοῦτο ἐσημείωσεν, ὁ γὰρ Εἰρηναῖος παρ' Εὐσεβίῳ βιβλίου πέμπτου κεφαλαίῳ ἕκτῳ πρῶτος τὴν διαδοχὴν τῶν ἐν Ῥώμῃ Ἀρχιερέων παραδιδοὺς, οὕτω λέγει, Θεμελιώσαντες οὖν, καὶ οἰκοδομήσαντες οἱ μακάριοι Ἀπόστολοι τὴν Ἐκκλησίαν, Λίνῳ τὴν τῆς Ἐπικοπῆς λειτουργίαν ἐνεχείρισαν. συνᾴδει τῷ Εἰρηναίῳ καὶ ὁ Εὐσέβιος λέγων βιβλίου τρίτου κεφαλαίῳ δευτέρῳ, Μετὰ τὸ μαρτύριον Παύλου καὶ Πέτρου,

πρῶτοι

πρῶτος τῆς Ῥωμαίων Ἐκκλησίας κληροῦται τὴν Ἐπισκοπὴν Λῖνος. μάλιστα πολλοὶ τῶν ἀρχαίων, καὶ Βασιλεῖς καὶ πατέρες Πέτρῳ τὴν Ἐπισκοπὴν Ῥώμης χαριζόμενοι, συνεργὸν καὶ συνεπίσκοπον καὶ τὸν Παῦλον ὁμολογοῦσι, κοινὴν δηλονότι τὴν λειτουργίαν αὐτῶν, ἀμφοτέρους τῆς αὐτῆς ἀξίας καὶ φροντίδος οὐ μόνον εἰς τὸ θεμελιῶσαι, ἀλλὰ καὶ εἰς τὸ διοικῆσαι τὴν ἐν Ῥώμῃ Ἐκκλησίαν. ὅθεν ὁ Ἐπιφάνιος Αἱρέσει κατὰ Καρποκρατιανῶν φησὶν, Ἐν Ῥώμῃ γὰρ γεγόνασι πρῶτοι Πέτρος καὶ Παῦλος οἱ Ἀπόστολοι αὐτοὶ καὶ Ἐπίσκοποι, εἶτα Λῖνος. καὶ πάλιν, Ἡ τῶν ἐν Ῥώμῃ Ἐπισκόπων διαδοχὴ ταύτην ἔχει τὴν ἀκολουθίαν, Πέτρος, Παῦλος, Λῖνος, καὶ τὰ ἑξῆς. καὶ ὁ Πάπας Ἀγάθων ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα Κωνσταντῖνον ἀναφορᾷ φησὶν, Ἵνα δι' αὐτοῦ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἡμῶν πίστεως τὸ τηλαυγέστατον λάμψῃ φῶς ἐν ταῖς πάντων καρδίαις, ὅπερ ἐκ τῆς πηγῆς τοῦ ἀληθινοῦ φωτὸς ὡς δι' ἀκτίνων τῆς ζωοποιοῦ λαμπηδόνος τοῖς μακαρίοις λειτουργοῖς Πέτρῳ καὶ Παύλῳ τοῖς τῶν Ἀποστόλων κορυφαίοις, καὶ τοῖς τούτων μαθηταῖς καὶ διαδόχοις τοῖς ἀποστολικοῖς κατὰ βαθμὸν μέχρι τῆς ἡμετέρας οὐδενότητος τῇ τοῦ Θεοῦ βοηθείᾳ ἐφυλάχθη. καὶ ὁ Πάπας Ἀδριανὸς ἐν τῇ πρὸς Κωνσταντῖνον καὶ Εἰρήνην ἀναφορᾷ, ἥτι κεῖται ἐν τῇ δευτέρᾳ πράξει τῆς ἑβδόμης Οἰκουμενικῆς, φησὶ περὶ τοῦ Ταρασίου, Καὶ μάλιστα ἐὰν τῇ παραδόσει τῆς ὀρθοδόξου πίστεως τῆς Ἐκκλησίας τοῦ ἁγίου Πέτρου καὶ Παύλου τῶν κορυφαίων Ἀποστόλων ἐξακολουθήσῃ. ταῦτα καὶ ἄλλοι πολλοὶ λέγουσιν οὕτω ῥητῶς, ἅτινα παραλείπομεν διὰ τὴν ὑπόσχεσιν τῆς ἐπιτομῆς.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι πρὸ Πέτρου καὶ Παύλου ἐν Ῥώμῃ καὶ ἐν Ἀντιοχείᾳ ἐκήρυξαν τὸ Εὐαγγέλιον ἄλλοι, καὶ πότε Παῦλος καὶ Πέτρος ἐπεδήμησαν εἰς Ῥώμην, τίνος τε αἰτίᾳ οἱ Ἀντιοχεῖς ἐκλήθησαν Χριστιανοὶ, καὶ ἐπὶ τίνος Βασιλέως ἀνεχώρησαν οἱ Ἀπόστολοι τῶν Ἱεροσολύμων. καὶ περὶ τῶν Πέτρου καὶ Παύλου διαδόχων ἐν Ῥώμῃ καὶ Ἀντιοχείᾳ, καὶ διατὶ ἐν αὐταῖς πολλάκις μόνου τοῦ Πέτρου ἡ διαδοχὴ λέγεται.

Ὥσπερ ἐν τῇ Ῥώμῃ πρὸ τῆς ἐκεῖσε ἀποδημίας τοῦ Πέτρου καὶ Παύλου, ἐκήρυξαν τὸ Εὐαγγέλιον τινὲς, μαρτυροῦντος τοῦ Λουκᾶ κεφαλαίῳ ἐσχάτῳ τῶν πράξεων, ὅτι ἀπαγομένου τοῦ Παύλου εἰς Ῥώμην, ἐξῆλθον οἱ ἀδελφοὶ εἰς ὑπάντησιν αὐτοῦ, εἶτα ὁ Παῦλος μείνας ἐκεῖ ἔτη δύο, ἐκήρυξε περισσότερον τὴν Βασιλείαν τοῦ Θεοῦ, ἐπὶ δὲ Νέρωνος ἀπελθὼν ἐκεῖ καὶ ὁ Πέτρος, ἐποίησε τὰ ἑαυτοῦ, λέγει γὰρ ὁ Νικηφόρος βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ πέμπτῳ, Ἐν ταῖς ἀρχαῖς τοῦ Νέρωνος τῇ Ῥωμαίων ἐπιδημήσας ὁ Πέτρος, ἐθεμελίωσαν τὴν Ἐκκλησίαν ὁ Πέτρος καὶ ὁ Παῦλος, ὅπερ ἐστὶν ὅτι τελειότερον τὸν εὐαγγελικὸν σκοπὸν ἐποίησαν, ἤγουν ἐκήρυξαν, ᾠκονόμησαν καὶ Ἐπισκόπους κατέστησαν, Λῖνον, Ἀνάκλητον, καὶ Κλήμεντα. ὡς οὖν ταῦτα ἐν Ῥώμῃ ἐγένετο, οὕτω καὶ ἐν τῇ Ἀντιοχείᾳ, ὡς ἱστορεῖ πάλιν ὁ Λουκᾶς πράξεων κεφαλαίῳ ἑνδεκάτῳ, πρῶτοι ἐκήρυξαν ἄνδρες Κύπριοι, καὶ Κυρηναῖοι, πολύς τε ἀριθμὸς ἐπίστευσαν εἰς τὸν Κύριον Ἰησοῦν. εἶτα οἱ Ἀπόστολοι ἀπὸ Ἱεροσολύμων ἀκούσαντες ταῦτα, ἔπεμψαν τὸν Βαρνάβαν καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ. μεταταῦτα δὲ ὁ Βαρνάβας ἀναγαγὼν τὸν Παῦλον ἀπὸ Ταρσοῦ εἰς Ἀντιόχειαν, ἔμεινε σὺν αὐτῷ ἐνιαυτὸν ἕνα, ὅτε καὶ οἱ πιστοὶ Χριστιανοὶ ὠνομάσθησαν ἀπὸ αἰτίας τοῦ Παύλου, Λέγοντος τοῦ Χρυσοστόμου ἐν τούτῳ τῷ τόπῳ οὕτω, Διατοῦτο ἐν Ἀντιοχείᾳ ἐχρηματίσθησαν καλεῖσθαι Χριστιανοὶ, ὅτι ὁ Παῦλος ἐν ταύτῃ τοσοῦτον διέτριψε χρόνον. ἦν δὲ ὁ καιρὸς οὗτος ἐπὶ Κλαυδίου τοῦ Καίσαρος, ὡς λέγεται ἐν τῷ αὐτῷ κεφαλαίῳ περὶ τοῦ γεγονότος τότε λιμοῦ, ὅτε καὶ ὁ Πέτρος οὔπω ἐξῆλθε τῆς Παλαιστίνης, μετὰ γὰρ τὸ τὸν Ἡρώδην ἀποκτεῖναι Ἰάκωβον, ὁ Πέτρος λυτρωθεὶς τῆς φυλακῆς, ἀνεχώρησε τῆς Ἱερουσαλὴμ, καὶ ἐπορεύθη εἰς ἄλλον τόπον, ἤτοι τῷ τρίτῳ ἔτει Κλαυδίου, ὅπερ ὡς εἴρηται ἦν ἔτος ἀπὸ Χριστοῦ τεσσαρακοστὸν δεύτερον. ἐν δὲ τῷ τεσσαρακοστῷ ἑβδόμῳ ἐγένετο ἐν Ἱεροσολύμοις ἡ ἀποστολικὴ Σύνοδος περὶ τῆς Περιτομῆς, καὶ τῶν μωσαϊκῶν ἐθῶν. μετὰ δὲ τὴν Σύνοδον ταύτην, ἐν τῷ διωγμῷ τῶν Ἰουδαίων ὑπὸ Κλαυδίου, ὃς ἐγένετο τῷ ἐνάτῳ ἔτει τῆς Βασιλείας αὐτοῦ, ὅπερ ἦν τρίτον μετὰ τὴν ἀποστολικὴν Σύνοδον, ἀνεχώρησαν οἱ Ἀπόστολοι τῶν Ἱεροσολύμων, ὅτε καὶ ὁ Πέτρος ἦλθεν εἰς Ἀντιόχειαν, καὶ διέτριψεν ἐν αὐτῇ χρόνον ἱκανὸν, ὅτε καὶ ὁ Παῦλος ἀντέστη αὐτῷ φυλάττοντι (εἰ καὶ εἰκονομικῶς) τὰ ἔθη Μωσέως, κἀκεῖθεν ἐπορεύθη εἰς τὴν διασποράν, καὶ ἐπὶ Νέρωνος ἀνῆλθεν εἰς Ῥώμην. σημείωσαι δὲ ὅτι ὁ Παῦλος ἀπῆλθε δέσμιος εἰς Ῥώμην τῷ πεντηκοστῷ ἑβδόμῳ ἔτει, καὶ λέγει ὁ Χρυσόστομος λόγῳ εἰκοστῷ πέμπτῳ εἰς τὰς πράξεις, ὅτι οἱ Ἀπόστολοι ἦσαν ἐν Ἱεροσολύμοις, καὶ ἕως Παῦλος εἰς Ῥώμην μὴ ἀνέβαινεν, ἐκεῖ ἦσαν. εἰ οὖν οἱ Κύπριοι, καὶ Κυρηναῖοι, καὶ Βαρνάβας, καὶ Παῦλος ἐκήρυξαν ἐν Ἀντιοχείᾳ, καὶ μεταταῦτα καὶ ὁ Πέτρος, μᾶλλον δὲ πάντων ὁ Παῦλος, δι' οὗ ἐκλήθησαν οἱ πιστοὶ Χριστιανοὶ, ἀλλ' ἐπειδὴ τοῦ Βαρνάβα πρὸ καιροῦ ἀναχωρήσαντος τῆς Ἀντιοχείας, ὁ δὲ Πέτρος καὶ Παῦλος μέλλοντες εἰς ἄλλους τόπους ἀποδημεῖν, ἐθεμελίωσαν τὴν Ἐκκλησίαν, τουτέστιν οὐμόνον ἐκήρυξαν καὶ ᾠκονόμησαν περισσότερον, ἀλλὰ καὶ Ἐπίσκοπον ἐχειροτόνησαν τὸν Εὔοδον, καὶ οὕτως ἐκεῖθεν ἀπῆραν. Λέγεται δὲ ἡ ἐν Ἀντιοχείᾳ διαδοχὴ ποτὲ μὲν τοῦ Πέτρου, ὡς λέγουσιν ὁ Νικηφόρος

βιβλίῳ.

βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ πέμπτῳ, καὶ ὁ Εὐσέβιος βιβλίῳ τρίτῳ, κεφαλαίῳ τριακοστῷ πέμπτῳ, ὅτι ὁ Ἰγνάτιος τῆς κατὰ Ἀντιόχειαν Πέτρου διαδοχῆς δεύτερος τῷ Ἐπισκοπείῳ κεκλήρωται. καὶ Σωκράτης βιβλίῳ ἕκτῳ κεφαλαίῳ ὀγδόῳ, Ἰγνάτιος Ἀντιοχείας τῆς Συρίας τρίτος ἀπὸ τοῦ Ἀποστόλου Πέτρου Ἐπίσκοπος. καὶ Μακάριος ὁ Ἀγκύρας φησὶ, Θεόγνος πρῶτος τοῦ Πέτρου ὁ τῆς Ἀντιοχέων, τοῦτον Διάδοχος Εὐοδίου, καὶ τοῦτον Ἰγνάτιος. ποτὲ δὲ τῶν Ἀποστόλων, καὶ ποτὲ Πέτρου καὶ Παύλου, ὅτι δὲ τοῦ Πέτρου, καὶ τοῦ Παύλου, καὶ κοινῶς τῶν Ἀποστόλων ἐστὶν ἡ Διαδοχὴ, δῆλον, ὁ γὰρ Ἰγνάτιος ὑπισχνεῖται τοῖς Ἀντιοχεῦσι φησὶ, Μνημονεύσατε Εὐόδου τοῦ ἀξιομακαρίστου ποιμένος ὑμῶν, ὃς πρῶτος ἐπεχειρίθη τοῦ λόγου τῶν Ἀποστόλων τὴν ὑμετέραν θεοσέβειαν. Ἐν τῷ αὐτῷ, Παύλου καὶ Πέτρου γεγόνατε μαθηταί. Καὶ ἐν τῷ τεσσαρακοστῷ ὀγδόῳ κεφαλαίῳ τοῦ ἑβδόμου βιβλίου τῶν Διατυπώσεων λέγεται, Εὐοδίου μὲν ὑπ' ἐμοῦ Πέτρου Ἀντιοχείας, Ἰγνάτιος δὲ ὑπὸ Παύλου. καὶ ἐπισολὴ τοῦ Μαγνησίους ὁ Ἰγνάτιος λέγει, Πέτρου καὶ Παύλου θεμελιώντων τὴν Ἐκκλησίαν Ἀντιοχέων. τοῦτο φησὶ καὶ ὁ Οἰκουμένιος δευτέρας τοῦ Κορινθίους κεφαλαίῳ ἑβδόμῳ, Παῦλος καὶ Πέτρος ἐθεμελίωσαν τὴν Ἐκκλησίαν Ἀντιοχέων. καὶ Δεκεμβρίῳ εἰκοστῇ τὸ Μηνολόγιον λέγει, ὅτι ὁ Ἰγνάτιος ἦν τῶν Ἀποστόλων Διάδοχος. τοῦτο αὐτὸ λέγει καὶ Νικηφόρος Κάλλιστος βιβλίῳ πρώτῳ κεφαλαίῳ τρίτῳ, καθὼς ἔν τε τῇ Ῥωμαίων ἡ Διαδοχὴ ἦν τοῦ Πέτρου καὶ τοῦ Παύλου, φησὶ γὰρ ὁ Εὐσέβιος βιβλίῳ τρίτῳ κεφαλαίῳ δευτέρῳ, Τῆς Ῥωμαίων Ἐκκλησίας μετὰ Πέτρου καὶ Παύλου τὴν μαρτυρίαν, πρώτῳ κληροῦται τὴν Ἐπισκοπὴν Λίνος. καὶ κεφαλαίῳ ἑπτακαιδεκάτῳ, Ὁ Κλήμης τρίτος τῶν μετὰ Παῦλον καὶ Πέτρον ἐπισκοπησάντων. καὶ βιβλίῳ τεταρτῳ, κεφαλαίῳ πέμπτῳ περὶ Ἀλεξάνδρου ὅτι εἶχε πέμπτην Διαδοχὴν ἀπὸ Πέτρου καὶ Παύλου, καὶ βιβλίῳ τεταρτῳ κεφαλαίῳ πρώτῳ, Ἕβδομος ἀπὸ τῶν Ἀποστόλων Διαδέχεται Τελεσφόρος. καὶ βιβλίῳ πέμπτῳ κεφαλαίῳ πρώτῳ, Τοῦτον δωδέκατος ἀπὸ τῶν Ἀποστόλων Ἐλεύθερος Διαδέχεται. Καὶ Ἐπιφάνιος Αἱρέσει εἰκοστῇ ἑβδόμῃ, Καὶ μηδεὶς θαυμαζέτω ὅτι τοσοὶ αὐτοῦ Κλήμητος ἄλλοι τὴν Ἐπισκοπὴν διεδέξαντο ἀπὸ τῶν Ἀποστόλων, ὄντος τούτου συγχρόνου Πέτρου καὶ Παύλου. καὶ Αἱρέσει τεσσαρακοστῇ πρώτῃ κατὰ Κέρδωνος, Οὗτος μὲν ἦν ὁ Κέρδων ὁ χρόνοις μὲν γέγονεν ὑγίνου Ἐπισκόπου τοῦ ὄγδοον κλῆρον ἀγόντος ἀπὸ τῆς τῶν περὶ τὸν Πέτρον καὶ Παῦλον Ἀποστόλων διαδοχῆς. Καὶ Θεοδωρίτος ἐπισολῇ ἑκατοστῇ τεσσαρακαιδεκάτῃ τοῦ τὸν Πάπαν Λέοντα περὶ Πέτρου καὶ Παύλου φησὶν, Ὁ ἐκείνων Θεὸς καὶ νῦν τὸν ἐκείνων ἐλάμπρυνε θρόνον, τὴν ὑμετέραν ἁγιωσύνην ἱδρύσας ἐν τούτῳ. Λέγεται δὲ πολλάκις ὑπὸ πολλῶν ἡ Διαδοχὴ μόνου τοῦ Πέτρου κοινὴ οὖσα, χάριν ὑπομονῆς ποιούντων τοῦτο τῶν συγγραφέων. ἔθ' ὅτε δὲ καὶ Διὰ τὴν τάξιν, καὶ ὁ Πέτρος πρῶτος τῶν Ἀποστόλων κατὰ τὴν τάξιν, ὡς εἴρηται ἀνωτέρω πολλάκις, καὶ μάλιστα ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ παρόντος μέρους.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι οὐδεὶς λόγος κωλύσει μὴ καὶ τὴν Ἀλεξανδρείας καὶ Ἀντιοχείας Διαδοχὴν εἶναι τοῦ Πέτρου ὡς τὸν Κλήμητα Ῥώμης, καὶ πάντων ἔχειν τὰ πρωτεῖα. καὶ τί δηλοῖ τὸ ἐθεμελίωσαν οἱ Ἀπόστολοι, ἢ ὁ Ἀπόστολος τὴν Ἐκκλησίαν, ἢ τὰς Ἐκκλησίας, καὶ ὅτι πολὺ ὕστερον τῶν Ἀποστόλων καὶ ἐξ ἔθους τὸ πατριαρχικὸν ἀξίωμα, καὶ ὅτι Πέτρος καὶ Παῦλος καὶ οἱ λοιποὶ τῶν Ἀποστόλων μόνον Ἐπισκόπους ἁπλῶς ἐν αἷς ἐκήρυξαν πόλεσι κατέστησαν· καὶ οὐχ ὅτι καὶ τοῦτο τὸ πομπικὸν ἀξίωμα τοῦ Πάπα.

Ἐν Ἀλεξανδρείᾳ καὶ τοῖς περὶ αὐτὴν μέρεσιν ἐκήρυξε πρῶτος τὸ Εὐαγγέλιον ὁ Εὐαγγελιστὴς Μάρκος, ὅθεν ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ ἡ Ἀλεξάνδρεια ἐρρέθη Εὐαγγελικὸς θρόνος, ἔπεμψε δὲ αὐτὸν ἐκεῖ ὁ μακάριος Πέτρος, ὅθεν καὶ Διάδοχος τοῦ Πέτρου ὁ Ἀλεξανδρείας ἐκλήθη, λέγει γὰρ ὁ Βαρλαὰμ βιβλίῳ τρίτῳ περὶ τῆς ἀρχῆς τοῦ Πάπα, Τίς δὲ λόγος κωλύσει μὴ καὶ τὸν Ἀλεξανδρείας Διάδοχον εἶναι τοῦ Πέτρου, καὶ πάντων ἔχειν τὰ πρωτεῖα, ὥσπερ γὰρ Κλήμης Ῥώμης, οὕτως ὁ Εὐαγγελιστὴς Μάρκος Ἀλεξανδρείας Ἐπίσκοπος ὑπὸ τοῦ θείου Πέτρου ἐγένετο. τοῦτο λέγει καὶ Νεῖλος ὁ δόξα πατρὶς, γεάφων πρὸς Ῥογέριον Ῥῆγα Σικελίας, καὶ Νικηφόρος βιβλίῳ δευτέρῳ, κεφαλαίῳ εἰκοστῷ πέμπτῳ. καὶ δὴ καὶ ὁ Διάλογος γεάφει πρὸς τὸν Ἀλεξανδρείας Εὐλόγιον βιβλίῳ ἕκτῳ, ὑπατολῇ τριακοστῇ ἑβδόμῃ, τὸν αὐτὸν τοῦ Πέτρου θρόνον εἶναι ὃν ταῖς τρισὶ καθέδραις, ἤγουν Ῥώμης, Ἀλεξανδρείας καὶ Ἀντιοχείας, ἃ μόνον δὲ ἔστι, ἀλλὰ καὶ ἄλλοι παλαιοί τε καὶ νέοι τοῦτο λέγουσι. Σημείωσαι ὅμως πρῶτον, ὅτι τὸ ἐθεμελίωσαν, καὶ ᾠκοδόμησαν οἱ Ἀπόστολοι, ἢ ὁ Ἀπόστολος τὴν Ἐκκλησίαν, ἢ τὰς Ἐκκλησίας, οὐκ ἔστιν ἕτερον, εἰμὴ τὸ κηρῦξαι τὸ Εὐαγγέλιον, τουτέστι τὸ διδάξαι τὴν ἁγίαν πίστιν, τὸ καθδῦναι τὰ Μυστήρια αὐτῆς, καὶ τὸ χειροτονῆσαι Ἐπίσκοπον, ἢ Ἐπισκόπους. τοῦτο δὲ οὐ μόνον ὁ Πέτρος ἐποίει, ἀλλὰ καὶ πάντες οἱ λοιποὶ Ἀπόστολοι παντοχοῦ πορευόμενοι καὶ κηρύσσοντες, Ἐπισκόπους καθίσων ἐν ἑκάστῃ πόλει εἰς ἃς περιέρχοντο. ὅθεν Νικηφόρος ὁ Κάλλιστος φησὶ περὶ Βαρθολομαίου καὶ Φιλίππου, Τὸν ἀρχαγὸν τοιχαρῆ τῆς πίστεως θεμέλιον ὑπὸ τὰς ἐκείνων πάσας πόλεις καταπήξαντες, Ναούς τε ᾠκοδόμουν, καὶ Ἱερέας προεβάλοντο, βιβλίῳ δεκάτῳ πέμπτῳ, κεφαλαίῳ τριακοστῷ ὀγδόῳ. καὶ ὁ μακά-

μακάριος Παῦλος γράφει Τίτῳ, τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ ἐλλείποντα ἐπιδιορθώσῃς, καὶ καταστήσῃς κατὰ πόλεις Πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην. ἐν ᾧ φησὶν ὁ Χρυσόστομος λόγῳ δευτέρῳ, Καθάπερ οἰκίαν μίαν τὴν οἰκουμένην διανειμάμενοι (οἱ Ἀπόστολοι) οὕτως ἅπαντα διηκονοῦντο, καὶ τῶν ἁπανταχοῦ ἐπεμέλοντο, ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο λαβὼν τὸ μέρος. καὶ ταῦτα ἐπιτρέπεται τῷ μαθητῇ, τῶν Ἐπισκόπων, λέγω, τὰς χειροτονίας, καὶ τὰ ἄλλα πάντα ὅσα ἐδεῖτο τινὸς διορθώσεως, οἷον ἂν εἴπῃ τὶς πλείονος καταρτισμοῦ, ὅπερ ταὐτόν ἐστι τῷ, ὡς ὁ Πέτρος καὶ Παῦλος ἐθεμελίωσαν τὰς Ἐκκλησίας Ῥώμης καὶ Ἀντιοχείας, ἤτοι ἐν αὐταῖς πλείονα καταρτισμὸν ἐποίησαν, οὕτως ἐθεμελίωσε καὶ τὴν ἐν Κρήτῃ Ἐκκλησίαν ὁ Τίτος, ὥστε ἀπὸ τοῦ ἐθεμελίωσαν, ᾠκοδόμησαν, καὶ τῶν ὁμοίων οὐδὲν ἰδικὸν ἀξίωμα συνάγεται. δεύτερον, ὅτι οὔτε ἐν Ῥώμῃ οὔτε ἐν Ἀντιοχείᾳ, οὔτε ἐν Ἀλεξανδρείᾳ εἶχε σκοπὸν ὁ μακάριος Πέτρος, ἢ ὁ Παῦλος ἵνα ὦσι θρόνοι Πατριαρχικοὶ καὶ ὑπερκείμενοι τῶν πέριξ πόλεων καὶ ἐθνῶν, ἀλλὰ μόνους Ἐπισκόπους κατέστησαν ἐκείνων τῶν πόλεων, ὡς καὶ ἐν ἄλλαις. μετὰ δὲ τοὺς Ἀποστόλους ἡ γεγονυῖα συνήθεια ἐκ τῶν κοινῶν ἐνεργειῶν ὧν ἐποίουν οἱ ἐν αὐταῖς Ἐπίσκοποι διὰ τὸ ἀξίωμα καὶ τὴν δύναμιν τῶν πόλεων, παρέδωκε μείζονα προτίμησιν καὶ ἐξουσίαν. ὅθεν ἡ πρώτη Σύνοδος εἶπεν ἐν τῷ ἕκτῳ καὶ ἐν τῷ ἑβδόμῳ τοῖς Κανόσιν αὐτῆς, Τὰ ἀρχαῖα ἔθη καρτείτω. Καὶ, ἐπειδὴ συνήθεια κεκράτηκε καὶ ἀρχαία παράδοσις, καὶ ἴδε τὴν ἑρμηνείαν τῶν Κανόνων ἀνωτέρω βιβλίῳ δευτέρῳ, καὶ σημείωσαι, ὅτι ὡς τῷ Ἱεροσολύμων, Ἀντιοχείας, καὶ Ἀλεξανδρείας, ναὶ δὴ καὶ τῷ Κωνσταντινουπόλεως ἐδόθη ἀπὸ τῆς συνηθείας ἡ προτίμησις καὶ ἡ ἐξουσία τῶν τάδε Ἐπαρχιῶν, οὕτως ἐδόθη καὶ τῷ Ῥώμης ἀπὸ συνηθείας τὰ Ἑσπέρια. εἰ δὲ καὶ οἱ ἐκκλησιαστικοὶ συγγραφεῖς, καὶ πολλοὶ τῶν ἐγκρίτων πατέρων λέγουσι τοὺς μετὰ πολὺν χρόνον τῆς ζωῆς τῶν Ἀποστόλων Ἐπισκόπους Ῥώμης, Ἀλεξανδρείας, καὶ Ἀντιοχείας Πατριάρχας, ἀλλὰ τοῦτο λέγουσι κατὰ ἀντιχρονισμὸν, ἐκ γὰρ τῶν μελλόντων, ἤτοι τῶν μεταταῦτα γεγενημένων ἐκάλεσαν τὰς ἀρχὰς τῶν θρόνων ἐκείνων, καὶ οὐχ ὅτι γε τότε χειροτονηθέντες παρὰ τῶν Ἀποστόλων εἶχον προτίμησιν, ἢ πατριαρχικὸν ἀξίωμα, καὶ γὰρ τοῦτο οὐδεὶς δύναται δεῖξαι, εἰμήπου διά τινων ὁμωνυμιῶν καὶ σοφισμάτων, ὅπερ ἔργον ταὐτόν ἐστι τῷ ψεύδει, τῷ παραλογισμῷ, καὶ τῇ συκοφαντίᾳ. συνάγεται οὖν ἐκ τούτων, ὅτι ὡς ἐν τῇ Ῥώμῃ καὶ Ἀντιοχείᾳ κοινῶς ὁ Πέτρος καὶ Παῦλος, οὕτως ἐν τῇ Ἀλεξανδρείᾳ ὁ Μάρκος πεμφθεὶς ὑπὸ τοῦ Πέτρου, ἐθεμελίωσε τὴν Ἐκκλησίαν, ὡς ὁ Τιμόθεος ἐν Ἐφέσῳ, καὶ ὁ Τίτος ἐν Κρήτῃ ὑπὸ τοῦ Παύλου, καὶ ὁ Πολύκαρπος ἐν Σμύρνῃ ὑπὸ τῶν Ἀποστόλων, καὶ ἄλλοι πολλοὶ καὶ ὑπὸ τούτων καὶ ὑπὸ τῶν λοιπῶν Ἀποστόλων, κατὰ γὰρ τὸν Πηλουσιώτην Ἰσίδωρον ἐπιστολῇ ἑκατοστῇ ἑβδομηκοστῇ ἕκτῃ, τμήματι τρίτῳ, ἕκαστος τῶν Ἀποστόλων, ὡς ἔπος εἰπεῖν, μίαν ἀπολαβὼν χώραν, ταύτην ἐρρύθμισεν, ἢ ἀμέσως, ἢ ἐμμέσως δηλονότι, ὥστε οὐδὲν ὠφελήθησαν οὐδὲ ἐντεῦθεν οἱ παπισταὶ περὶ τοῦ πομπηϊκοῦ ἀξιώματος.

ΒΙΒΛΙΟΥ Ι΄. ΜΕΡΟΣ Ε΄. ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Περὶ τῆς δικαιολογίας ἣν ἔχουσιν οἱ ἁγιώτατοι Πατριάρχαι ἐν τῇ καθόλου Ἐκκλησίᾳ, καὶ τῆς ἀντιθέσεως τῶν Λατίνων, δι' ἧς συνάγουσιν ἔχειν τὸν Πάπαν κατὰ πάντων ἰδικὴν ἐξουσίαν, καὶ περὶ τῆς προπαρασκευῆς εἰς τὴν ἀπάντησιν ταύτης πρῶτον ἀπὸ τῆς πενταχῶς κοινωνίας τῶν Πατριαρχῶν μετὰ τῶν Μητροπολιτῶν καὶ Ἐπισκόπων.

Ἀνθυποφέρουσι πρὸς τὰ ἀνωτέρω οἱ Λατῖνοι, καὶ λέγουσιν, Εἰ ἴσοι εἰσὶ πάντες οἱ Ἐπίσκοποι ἐν οἷς καὶ ὁ Ῥώμης τῇ ἀποστολικῇ διαδοχῇ, καὶ ἐπισκοπικῇ ἐξουσίᾳ τῆς τε τάξεως καὶ τῆς δικαιολογίας, πῶς οἱ Πατριάρχαι τῆς Ἀνατολῆς ὑποτίθενται παρὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας μείζονα ἐξουσίαν ἔχειν τῶν Μητροπολιτῶν καὶ τῶν Ἐπισκόπων; εἰ δὲ τοῦτο οὕτως ὁμολογεῖται, ἄρα οὐκ ἀντικείμενόν ἐστι τῷ ἐκκλησιαστικῷ Κανόνι τὸν Πάπαν ἰδικὴν ἐξουσίαν ἔχειν κατὰ πάντων. ταῦτα οἱ παπισταί. Ἀλλὰ ῥητέον, ἡμεῖς οὐκ ἀρνούμεθα, ἀλλὰ μᾶλλον γενναίως ὁμολογοῦμεν ἔχειν τοὺς Πατριάρχας ἐν τῇ καθόλου Ἐκκλησίᾳ μείζονα ἐξουσίαν, ἢ ὡς φιλοῦσι λέγειν οἱ Λατῖνοι, μείζονα δικαιολογίαν, ποία ὅμως ἐστὶ, καὶ πόση, καὶ ποίοις τρόποις ἔχουσιν αὐτὴν, εἴρηται ἀνωτέρω ἐν πολλοῖς, καὶ μάλιστα ἰδίως ἐν τῷ ἐσχάτῳ Παραγράφῳ τοῦ πρώτου κεφαλαίου τοῦ παρόντος μέρους. πρὸς σαφεστέραν ὅμως λύσιν τῆς ἀντιθέσεως ῥητέον καὶ ἐνταῦθα τινὰ, καὶ πρῶτον τὶς ἡ κοινωνία ἡ καὶ διαφορὰ τῶν Πατριαρχῶν, Μητροπολιτῶν, καὶ Ἐπισκόπων. εἰ δὲ καὶ περὶ τούτου ἱκανῶς εἴρηται ἀνωτέρω μέρους τρίτου κεφαλαίῳ ἑβδόμῳ, ὀγδόῳ, καὶ ἐνάτῳ, καὶ μάλιστα ἐν ὅλῳ τῷ δευτέρῳ μέρει, καὶ ἐν ὅλῳ σχεδὸν τῷ δευτέρῳ βιβλίῳ, καὶ μάλιστα τούτου τοῦ δευτέρου βιβλίου κεφαλαίῳ τρίτῳ, ὅμως ὡς εἴπομεν, ῥητέον καὶ ἐνταῦθα διὰ τὴν αὐτὴν αἰτίαν. οὐ περὶ πάντων δὲ τῶν ἐν οἷς κοινωνοῦσι καὶ διαφέρουσιν ἐροῦμεν, ἀλλὰ περὶ μόνων τῶν συντεινόντων ἐν ταύτῃ τῇ ὑπο-

θέσει

θέσει. Κοινωνοῦσιν οὖν οἱ Ἐπίσκοποι, Μητροπολῖται καὶ Πατριάρχαι πρῶτον, ὅτι οἷον λόγον ἐνεργοῦσιν οἱ Ἐπίσκοποι ἐν ταῖς παροικίαις αὐτῶν τὰ τῆς ἐπισκοπικῆς ἀξίας, εἴτε Μυστήρια, εἴτε ἄλλο τι δηλαδὴ, κατὰ τὸν αὐτὸν λόγον ἐνεργοῦσιν αὐτὰ καὶ οἱ Μητροπολῖται καὶ οἱ Πατριάρχαι ἐν ταῖς ἰδίαις ἐνορίαις, καὶ γὰρ οὐποιεῖ διαφορὰν Ἐπισκόπου, Μητροπολίτου καὶ Πατριάρχου ἡ πενία καὶ ὁ πλοῦτος κατὰ τὸν Ἱερώνυμον, καὶ ἡ μείζων καὶ ἡ ἐλάττων παροικία, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ εἴτῳ. δεύτερον, ὅταν τύχῃ ζήτημα ἐκκλησιαστικὸν, ὅπερ οὐκ ἀπαιτεῖ ἕνα Ἐπίσκοπον, ἀλλὰ πλείονας, ὥσπερ ὁ Ἐπίσκοπος θεωρεῖ αὐτὸ ἐν τῇ Συνόδῳ τῆς Ἐπαρχίας, οὕτως αὐτὸ θεωρεῖ καὶ ὁ Μητροπολίτης ἐν τῇ Συνόδῳ τῆς Ἐπαρχίας, εἰ δὲ τὸ ζήτημα δόξει δύσληπτον, ὥσπερ θεωρεῖ αὐτὸ ὁ Μητροπολίτης καὶ ὁ Ἐπίσκοπος ἐν τῇ Συνόδῳ τοῦ Πατριάρχου, τῷ αὐτῷ τρόπῳ θεωρεῖ αὐτὸ καὶ ὁ Πατριάρχης ἐν τῇ αὐτῇ Συνόδῳ, ἤτοι τῆς κατ' αὐτὸν Διοικήσεως, καὶ γὰρ οὐδύναται ἐνεργῆσαι εἷς, ὅπερ ἔξεστι τοῖς πολλοῖς. τρίτον, ὁ Ἐπίσκοπος ἐν τῇ ἰδίᾳ παροικίᾳ εἴτι ἐνεργεῖ, ἐνεργεῖ τοῦτο ἐξηγούμενος τὴν ἁγίαν γραφὴν, ἑπόμενος τοῖς προηγησαμένοις ἁγίοις πατράσι τε καὶ Συνόδοις, καὶ ἀποβλέπων εἰς τὴν ἐκκλησιαστικὴν παράδοσιν, καὶ κατὰ τὸν τρόπον τοῦτον ἐνεργοῦσιν ἐν ταῖς ἰδίαις παροικίαις καὶ ὁ Μητροπολίτης καὶ ὁ Πατριάρχης, ὅθεν λέγεται ἐν τῷ Τόμῳ τῆς ἑνώσεως, καὶ ἐν τῷ Συνοδικῷ τῆς ὀρθοδοξίας κατὰ τὴν ἀπόφασιν τῆς Οἰκουμενικῆς ἑβδόμης Συνόδου, Ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ διδασκαλίαν καὶ ὑποτύπωσιν τῶν ἁγίων πατέρων πραχθέντα, ἢ πραχθησόμενα, ἀνάθεμα. τέταρτον, ὡς τὰ ὅρια τῆς παροικίας τοῦ Ἐπισκόπου διωρισμένα εἰσὶν, οὕτω καὶ τὰ ὅρια τῶν ἐνοριῶν τῶν Μητροπολιτῶν καὶ Πατριαρχῶν διωρισμένα εἰσί. πέμπτον, ὡς ὁ Ἐπίσκοπος ἐνεργεῖ ἐν τῇ ἰδίᾳ Ἐπαρχίᾳ συνοδικῶς, οὕτως ἐνεργοῦσι καὶ ὁ Μητροπολίτης καὶ ὁ Πατριάρχης συνοδικῶς, καὶ γὰρ ὡς εἴρηται οὐδύναται εἷς ἐνεργῆσαι, ὅπερ τοῖς πολλοῖς προσήκει, εἰ γὰρ ἀφ' ἑνὸς ἡ Ἐκκλησία κρέμαται, ὅλη καταπεσεῖται, καὶ ἴδε ἀνωτέρω μέρους τρίτου κεφαλαίου ἑνδεκάτου Παράγραφον πέμπτον. καὶ ταῦτα περὶ τῆς κοινωνίας.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς προπαρασκευῆς δεύτερον εἰς τὴν ἀπάντησιν τῆς ἀντιθέσεως τῶν Λατίνων ἀπὸ τῶν τριῶν διαφορῶν τῶν μεταξὺ Πατριαρχῶν, Μητροπολιτῶν καὶ Ἐπισκόπων.

Ἡ διαφορὰ δέ ἐστιν, ὅτι ὁ Μητροπολίτης ἄνευ πάντων τῶν Ἐπισκόπων, ἀλλὰ μετὰ τῶν παρευρεθέντων δύναται θεωρῆσαι τὰ ἀνήκοντα τῇ Συνόδῳ τῆς Ἐπαρχίας, οἱ δὲ Ἐπίσκοποι πάντες οὐδύνανται θεωρῆσαι ταῦτα ἄνευ τοῦ Μητροπολίτου. καὶ τὰ ἀνήκοντα τῇ Συνόδῳ τῆς Διοικήσεως δύναται θεωρῆσαι ὁ Πατριάρχης μετὰ τῆς Συνόδου τῶν παρεπιδημούντων Ἀρχιερέων, οἱ δὲ Μητροπολῖται καὶ Ἐπίσκοποι καθάπαξ πάντες τῆς αὐτῆς Διοικήσεως οὐδύνανται ἄνευ Πατριάρχου θεωρῆσαι τὰ ἀνήκοντα τῇ Συνόδῳ τῆς Διοικήσεως. καὶ εἰ ὁ Πατριάρχης ἀποθάνει, ἢ Αἱρετικὸς εἴη, καθαιροῦσιν αὐτὸν, καὶ χειροτονοῦσιν ἕτερον Πατριάρχην, καὶ οὕτω μετ' αὐτοῦ θεωροῦσι τὰ ἐκκλησιαστικὰ, ὡς πεποιήκασιν οἱ τῆς Αἰγυπτιακῆς Διοικήσεως ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ παρευρεθέντες Ἐπίσκοποι, καὶ ἴδε ἀνωτέρω τὸν τόπον βιβλίου τετάρτου κεφαλαίου πρώτου Παραγράφῳ τεσσαρεσκαιδεκάτῳ. δεύτερον, τοῦ Ἐπισκόπου ἡ Σύνοδος συνίσταται διὰ μόνων Πρεσβυτέρων καὶ Διακόνων, ἡ δὲ τοῦ Μητροπολίτου καὶ διὰ τούτων, καὶ διὰ Ἐπισκόπων, ἡ δὲ τοῦ Πατριάρχου καὶ διὰ τούτων πάντων, καὶ διὰ Μητροπολιτῶν. τρίτον, ἡ Σύνοδος τοῦ Ἐπισκόπου ἐνδέχεται σφαλῆναι εἰς λύσιν προσπεσούσης ἀμφιβολίας, ἡ δὲ τοῦ Μητροπολίτου ἧττον σφαλῆναι ἐνδέχεται, ὡς ἔχουσα Κληρικοὺς πλείονας, καὶ σοφωτέρους, καὶ μάλιστα τοὺς Ἐπισκόπους. μᾶλλον δὲ ἧττον ἐνδέχεται σφαλῆναι ἡ τοῦ Πατριάρχου διὰ τὸ ἀναγκαίως ἔχειν αὐτὴν σοφωτέρους καὶ πλείονας Κληρικοὺς εἰδότας καλῶς τοὺς Νόμους καὶ τὰ ἐκκλησιαστικὰ δίκαια, καὶ μάλιστα διὰ τὸ ἔχειν αὐτὴν τοσούτους Ἐπισκόπους καὶ Μητροπολίτας, ἐξ ὧν κατὰ τὸ εἰκὸς πολλοὶ εἰσὶ σοφοὶ καὶ εἰδήμονες τῶν ἐκκλησιαστικῶν δικαιωμάτων, ἔχοντες καὶ ἑρμηνεῖς τῆς ἁγίας γραφῆς, καὶ βιβλία τῶν ἁγίων πατέρων, καὶ ἐξηγητὰς τῶν ἱερῶν Κανόνων, καὶ τῆς ἐκκλησιαστικῆς παραδόσεως ἀκριβεστέραν γνῶσιν. ὅθεν τὴν μὲν Σύνοδον τοῦ Ἐπισκόπου ἀνακρίνει ἡ Σύνοδος τῆς Ἐπαρχίας, εἰ δὲ ἀδυνατείσει λῦσαι τὴν προσπεσοῦσαν ἀμφιβολίαν ἡ Σύνοδος τῆς Ἐπαρχίας, ἢ διορίσει παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν, κρίνει καὶ ἀνακρίνει αὐτὴν ἡ πατριαρχικὴ Σύνοδος, καθὼς τὴν πατριαρχικὴν εἰ ἁμάρτοι, κρίνει καὶ ἀνακρίνει καὶ διορθοῖ ἡ Οἰκουμενικὴ, ἥτις καὶ ἀναμάρτητός ἐστιν, ὡς εἴρηται ἀνωτέρω ἐν πολλοῖς, καὶ ἰδίως μέρους τρίτου κεφαλαίου δεκάτου Παραγράφῳ τρισκαιδεκάτῳ, ἢ τοὐλάχιστον ἡ κοινότης τῶν Πατριαρχῶν. ὅθεν Βονιφάτιος τοῦ Μαγεντινοῦ Ἐπίσκοπος ἐν τετάρτῃ διαιρέσει φησὶν, Εἰ τοίνυν κριτὴν ἔχει, ἀναμφισβητήτως εἶναι τὸν δικαστὴν χρὴ, ἵνα μὴ ἐπ' ἄπειρον ἡ τῆς ἁμαρτίας γένηται πρόοδος, τοιοῦτος δ' οὐδύναται εἶναι, εἰ μὴ Οἰκουμενικὴ Σύνοδος, ἢ τοὐλάχιστον οἱ τῶν Ἀποστόλων διάδοχοι. ἴδε καὶ ἀνωτέρω μέρους τρίτου κεφαλαίου τρίτου τμήματος ἕκτου Παράγραφον ἕβδομον. τούτων οὕτω διωρισμένων, θεωρητέον τίνα διαφορὰν ἰδικὴν ἔχουσιν οἱ Πατριάρχαι τῶν Μητροπολιτῶν καὶ Ἐπισκόπων, ἥν τινα διαφορὰν χάριν τῶν παπιστῶν, ὡς εἴπομεν ἀνωτέρω, ἐροῦμεν καὶ ἐνταῦθα διαφορὰν δικαιολογίας.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Τίνος σῶμα ἡ καθολικὴ Ἐκκλησία, καὶ τὶς καὶ ποίας φύσεως ἡ κεφαλὴ αὐτῆς, καὶ τὶς ὁ διάκονος αὐτῆς καὶ αἱ τούτου μερικαὶ κεφαλαὶ, καὶ τίνα διαφορὰν ἰδικὴν ἔχουσιν οἱ Πατριάρχαι τῶν Μητροπολιτῶν καὶ Ἐπισκόπων, ἐξ ὧν καὶ ἡ τῆς ἀντιθέσεως τῶν παπιστῶν λύσις.

Ἐπειδὴ ἡ καθολικὴ Ἐκκλησία σῶμα ἐστὶ τοῦ Χριστοῦ, καὶ ἔχει κεφαλὴν τὸν Χριστὸν, ὡς εἴρηται ἀνωτέρω ἐν πολλοῖς, καὶ ἰδίως μέρους τρίτου κεφαλαίῳ πρώτῳ, ἔχει δὲ κεφαλὴν τὸν Χριστὸν τῆς αὐτῆς φύσεως, συνεχῶς γὰρ ἔχει, καὶ λέγεται κεφαλὴ κατὰ συνάφειαν ἡνωμένη ἡμῖν ἅπασι, καθότι ὡς λέγει ὁ Ἀπόστολος κεφαλαίῳ δευτέρῳ πρὸς Ἑβραίους, Κεκοινώνηκεν ἡμῖν σαρκὸς καὶ αἵματος, καὶ ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, πλὴν τῆς ἁμαρτίας δηλονότι, ὅθεν ὁ Αὐγουστῖνος ἐν τῷ βιβλίῳ περὶ διορθώσεως τῶν Δονατιστῶν πρὸς Βονιφάτιον φησὶν, Εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν, μόνη ἡ καθολικὴ Ἐκκλησία σῶμα ἐστὶ τοῦ Χριστοῦ, ἧς ἐκεῖνος κεφαλή ἐστι, Σωτὴρ τοῦ ἰδίου σώματος. Ἐν τούτῳ τῷ σώματι ἔθηκεν ὁ Κύριος διάκονον αὐτοῦ τὴν κοινὴν Ἱερωσύνην, ἧς μερικὰς κεφαλὰς ἔθηκε τοὺς πρώτους Ἐπισκόπους ἑκάστου ἔθνους, ὡς διορίζει ὁ τριακοστὸς τέταρτος Ἀποστολικὸς Κανὼν, οὓς ἡ συνήθεια κατὰ τὸ ἀκόλουθον Μητροπολίτας ὠνόμασεν. Ἐπὶ πᾶσι δὲ τούτοις ἔθηκε κεφαλὰς κατὰ προεδρίαν τοὺς Ἐπισκόπους τῶν πέντε καθολικῶν θρόνων, οὓς ἡ συνήθεια πάλιν κατὰ τὸ ἀκόλουθον Πατριάρχας ὠνόμασε. τούτους οὖν ὡσπέρτινας πέντε αἰσθήσεις ἐνέθηκεν ὁ Θεὸς, ὡς εἴρηκε καὶ ὁ Ἀναστάσιος ἀνωτέρω μέρους δευτέρου κεφαλαίου δευτέρου Παραγράφῳ ὀγδόῳ. καὶ Πεντακόρυφον κράτος, καὶ τῶν θείων δογμάτων κριτήριον, ὡς εἴρηκε Θεόδωρος ὁ Στουδίτης, καὶ ἴδε ἀνωτέρω μέρους τρίτου κεφαλαίου δωδεκάτου Παράγραφον πρῶτον. καὶ Κάρας, ὡς ἄλλοι εἰρήκασιν. ὑπὸ δὲ τῶν ἐκκλησιαστικῶν συγγραφέων λέγονται εἶναι ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις πρόεδροι, Ἡγούμενοι, Προηγούμενοι, Ἄρχοντες, Ἐξάρχοντες, Ἡγεμόνες, Προκαθήμενοι, Κεφαλαὶ, Ἀρχιερεῖς μέγιστοι, Προστάται, Ταξιάρχαι, καὶ ἄλλοις ὀνόμασι, καὶ ἴδε ἀνωτέρω τοὺς τόπους. καὶ τοῦτο, διότι τὰς Οἰκουμενικὰς Συνόδους προτρέποντες τοὺς Βασιλεῖς ἤγειραν, συνέστησαν, καὶ δι' αὐτῶν διώρισαν καὶ ἐβεβαίωσαν τὴν ὀρθόδοξον πίστιν, ὡς ἀνωτέρω εἴρηται καθαρῶς ἐν πολλοῖς. Οὗτοι οὖν ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις ἔχουσι τὴν αὐθεντίαν, ἢ τινὲς, ἢ ἐκ πάντων τινὲς, καὶ ἴδε ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον εἰκοστὸν ὄγδοον. καὶ τέως εἰπεῖν, ἕκαστος τῶν Πατριαρχῶν ὡρισμένης ἐστὶν ἀρχῆς μονοκράτωρ, καὶ κοινῶς κριταίεισι καὶ οἱ πέντε ἐν ταῖς Συνόδοις, ὧν ἡ συμφωνία διορίζει τὴν ἐκκλησιαστικὴν σύστασιν, ὡς εἴρηται ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίῳ δεκάτῳ ἐνάτῳ καὶ βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παραγράφῳ τρίτῳ. Τούτων αἱ ἐπιστολαὶ ὑπεροχικαὶ νομίζονται, καὶ οὕτω γράφονται, ὡς ἀνωτέρω βιβλίου ἕκτου κεφαλαίου δεκάτου πέμπτου Παραγράφῳ ὀγδόῳ. Οὗτοι καὶ ἐν ἀλλοτρίαις Ἐπαρχίαις, καὶ ἐν αὐταῖς δὲ ταῖς πατριαρχικαῖς ἐν καιρῷ ἀνάγκης ἐνεργοῦσιν, εἰ γὰρ καὶ πᾶς Ἐπίσκοπος ἐν καιρῷ ἀνάγκης ἐνεργεῖ ὅπου καὶ ὅπως δυνηθῇ, ὡς εἴρηται ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίῳ ἑνδεκάτῳ, ἀλλὰ μάλιστα πάντων καὶ ἀσυγκρίτως οἱ Πατριάρχαι ἐνεργοῦσιν, ὡς εἴρηται ἐν τῷ αὐτῷ κεφαλαίῳ, ἐκδικοῦσι καὶ ἐν ταῖς ἰδίαις καὶ ἐν ταῖς ἀλλοτρίαις παροικίαις τῶν πραγμάτων ἀπαιτούτων τοὺς ἐκκλησιαστικοὺς Κανόνας καὶ τὰ ἐκκλησιαστικὰ δίκαια, ὅθεν καὶ ἐν ταῖς ἀλλοτρίαις διοικήσεσι τιμῶνται ὡς καὶ ἐν ταῖς ἰδίαις, καὶ ἴδε τὸν Βαλσαμῶνα ἐν τῇ περὶ τῶν Πατριαρχῶν μελέτῃ, καὶ ἱεροῖς ἰδικοῖς ἀμφίοις κατακοσμοῦνται, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς διαφόρως μεγαλύνονται πράγμασιν, ὅθεν καὶ Οἰκουμενικοὶ Πατριάρχαι ὀνομάζονται, καὶ οἱ θρόνοι αὐτῶν καθολικοὶ θρόνοι καλοῦνται, καὶ τὴν δικαιολογίαν αὐτῶν ὁ ἱερὸς Μάξιμος ἀποστολικὴν διαδοχὴν ἰδιαιτέρῳ τρόπῳ ὠνόμασε, καὶ ἴδε ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου τρίτου Παράγραφον τεσσαρεσκαιδέκατον, καὶ βιβλίου ἑβδόμου κεφάλαιον ὄγδοον. πρὸς τὸ τέλος περὶ τούτων ὁ ἱερὸς Αὐγουστῖνος παρὰ Γραττανῷ, Διορθούσθωσαν, φησὶν, οἱ ὑποκείμενοι ὑπὸ τῶν προϊσταμένων αὐτῶν, καὶ ἴδε ἀνωτέρω κεφαλαίου ἑβδόμου Παράγραφον δεύτερον. τούτους Ἰωάννης ὁ Νομοφύλαξ ἐν τῇ ἀντιῤῥήσει τοῦ φλωρεντινοῦ Ὅρου φησὶν ἰσοτίμους καὶ ἰσοδυνάμους τῇ πνευματικῇ ἐξουσίᾳ, καὶ ἴδε περὶ τῆς προεδρίας καὶ ἰσοτιμίας καὶ ἰσοδυναμίας αὐτῶν τοῦ τετάρτου βιβλίβου τὸ πρῶτον κεφάλαιον ἕως τοῦ πέμπτου κεφαλαίου, καὶ τὸ δέκατον ἔνατον κεφάλαιον καὶ εἰκοστὸν τοῦ πέμπτου βιβλίου, ἐξίσου γὰρ τοῖς πέντε τὰ τῆς Οἰκουμένης κλίματα διήρηται, ὡς παρίστησι Θεόδωρος Πατριάρχης Ἀντιοχείας ὁ Βαλσαμών.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι αὕτη ἡ τῶν Πατριαρχῶν προεδρία καὶ ἐξουσία ἢ δικαιολογία τρισὶν ἁλύσεσι περιορίζεται, οὐκ οὖσα αὐτοδέσποτος καὶ ἀπολελυμένη, ἀλλὰ διακονικὴ καὶ ἀδελφικὴ, ὅθεν ἀσύνετος καὶ ἀνωφελὴς ὁ παπισμός.

Πλὴν ἡ προεδρία καὶ δύναμις καὶ ἐνέργεια καὶ τὸ ΠΕΝΤΑΚΟΡΥΦΟΝ ΚΡΑΤΟΣ καὶ τὸ τῶν θείων δογμάτων

μάτων ΚΡΙΤΗΡΙΟΝ, ἢ ὡς φίλον Λατίνοις εἰπεῖν, Ἡ ΔΙΚΑΙΟΛΟΓΙΑ, οὐκ ἔστιν αὐτεξούσιος καὶ αὐτοδέσποτος καὶ αὐτουργικὴ, ἢ ἀπολελυμένη ἐξουσία καὶ γενικὴ καὶ καθόλου, ἀλλ' ὑπουργικὴ καὶ διακονικὴ, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ τρίτῳ, καὶ περιωρισμένη ἁλύσεσι τρισὶ, Τῆς γραφῆς, Τῶν προηγησαμένων πατέρων, Καὶ τῆς ἐκκλησιαστικῆς εἴτε συνηθείας εἴτε παραδόσεως κοινῆς τε καὶ ἀρχαίας, καὶ γὰρ διὰ τούτων λαλεῖ καὶ ἐνεργεῖ τὸ Πνεῦμα τὸ ἅγιον ἐν τῇ καθόλου Ἐκκλησίᾳ, ἀλλὰ τούτοις τοῖς τρόποις. ὅτε δὲ παρὰ τοὺς τρόπους τούτους λαλοῦσιν, ἢ ἐνεργοῦσιν οἱ Πάπαι καὶ Πατριάρχαι, ἢ ὡς παραβάται τῶν ἱερῶν Κανόνων, ἢ ὡς καταφρονηταὶ τῆς ἐκκλησιαστικῆς παραδόσεως, ἢ ὡς παραχαράκται τῆς ἁγίας γραφῆς νομίζονται, ὅθεν κρίνονται, καθαιροῦνται, καὶ ἀποβάλλονται ὑπὸ τοῦ ὑγιαίνοντος μέρους τῆς Ἐκκλησίας, καὶ ἴδε ἀνωτέρω τοὺς τόπους τῶν Συνόδων, καὶ βιβλίου πρώτου κεφάλαιον ἔχατον. ἀλλὰ καὶ ἐν τῇ αὐθεντίᾳ τῶν Συνόδων εἰ παρὰ τὸ προσῆκον ἐνεργήσουσι παρορῶνται, καὶ ἴδε ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον εἰκοστὸν ὄγδοον. συμπεραίνομεν οὖν, ὅτι ἡ καθολικὴ Ἐκκλησία τὴν προεδρίαν καὶ τὸ πρωτεῖον καὶ τὴν ὑπεροχικὴν δύναμιν καὶ ἐξουσίαν καὶ κοινὴν ἐνέργειαν τῶν Πατριαρχῶν γινώσκει, καὶ ἔχει, οὐχ οὕτως ὅμως ἀπολελυμένην ὡς ἐρραψῴδησαν μετὰ τοῦ Βεελζεβοὺλ τὰ γιεζουβιτάκια ἀνωτέρω ἐν τῇ ἀρχῇ τοῦ ὀγδόου κεφαλαίου περὶ τοῦ Ῥώμης, ἀλλ' ὡς εἴρηται διακονικὴν, καὶ ἀδελφικὴν, καὶ ὑπὸ τῶν Κανόνων διωρισμένην, ὥστε οὐδ' ἀπὸ τῆς περιέργου καὶ σεσοφισμένης ταύτης διανερέσεως ὠφελήθη ὁ ἀσύνετος παπισμός. ἴδε καὶ ἀνωτέρω βιβλίου δευτέρου κεφάλαιον τρίτον καὶ τέταρτον, καὶ βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παράγραφον τρίτον, καὶ βιβλίου τρίτου κεφάλαιον τέταρτον.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Ε'. ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ διαδοχῆς ἀληθῶς ἐκκλησιαστικῆς καθ' ἣν οἱ ἀληθεῖς τῶν Ἀποστόλων διάδοχοι γινώσκονται διὰ τριῶν τινῶν, καὶ ποῖα εἰσὶ ταῦτα.

Τρία εἰσὶν ἐκεῖνα δι' ὧν ἡ διαδοχὴ τῶν ἐκκλησιαστικῶν Ποιμένων ἀπὸ τοὺς Ἀποστόλους δίδοται, πρῶτον ὁ τόπος, δεύτερον τὸ ἐπάγγελμα, τρίτον ἡ διδασκαλία. Διαδοχὴν εἰς τὸν Τόπον λέγομεν ἐκείνην, δι' ἧς εἰς τὴν Ἐπισκοπὴν τῆς αὐτῆς πόλεως πρὸς διοίκησιν τῆς μερικῆς αὐτῆς Ἐκκλησίας γίνεται ἡ διαδοχὴ, ὃν τρόπον λέγονται οἱ Ἐπίσκοποι Ἱεροσολύμων διάδοχοι εἰς τὸν θρόνον τοῦ Ἀδελφοθέου, καὶ οἱ Ἀλεξανδρείας Ἐπίσκοποι διάδοχοι εἰς τὸν θρόνον τοῦ Μάρκου. Διαδοχὴ εἰς τὸ ἐπάγγελμα ἐστὶν ἐκείνη, ἥτις γίνεται διὰ νομίμου χειροτονίας. ἢ διὰ τῆς ὁδοῦ τῆς ἐκκλησιαστικῆς χειροτονίας πᾶς Ποιμὴν ἐκκλησιαστικὸς διά τινος τόπου ἐστὶ διάδοχος τῶν Ἀποστόλων εἰς τὴν διακονίαν τὴν ποιμαντικήν. Διαδοχὴ εἰς τὴν διδασκαλίαν, τουτέστιν εἰς τὴν ἀλήθειαν τῆς πίστεως ἐστὶν ἐκείνη. δι' ἧς ὁ ἐκκλησιαστικὸς Ποιμὴν ἐστὶ κῆρυξ καὶ πιστὸς ὑφηγητὴς τῆς αὐτῆς ἀληθοῦς διδασκαλίας, τῆς κηρυχθείσης ὑπὸ τῶν Ἀποστόλων, καὶ ἀσαλεύτως ἐν ταῖς ἁγίαις γραφαῖς παραδοθείσης τοῖς μεταγενεστέροις πρὸς τὸ κηρύττειν, ὅθεν ὁ Εἰρηναῖος φησὶν, οὐδὲ ἑτέρων τὴν διάθεσιν τῆς ἡμετέρας σωτηρίας ἔγνωμεν, εἰμὴ δι' ὧν τὸ Εὐαγγέλιον πρὸς ἡμᾶς ἦλθεν, ὃ τότε μὲν ἐκήρυξαν, μεταταῦτα δὲ διὰ θελήματος Θεοῦ ἐν ταῖς γραφαῖς παρέδωκαν ἡμῖν οἱ Ἀπόστολοι, ἐσόμενον θεμέλιον καὶ στύλον τῆς ἡμετέρας πίστεως. βιβλίῳ τρίτῳ κεφαλαίῳ πρώτῳ κατὰ Αἱρέσεων.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἡ κατὰ τόπον διαδοχὴ καὶ διδασκαλία κατὰ δύο τρόπους ἐστὶν ὠφέλιμος καὶ ἀναγκαία, καὶ κατὰ τὸν Εἰρηναῖον οἱ ἐν ταῖς Ἐκκλησίαις Ἐπίσκοποι τῶν Ἀποστόλων διάδοχοι, οἱ καὶ τὰ ἀπόκρυφα Μυστήρια παρ' ἐκείνων διδαχθέντες.

Ὠφέλιμος ἐστὶ, καὶ μάλιστα ἀναγκαία ἡ διαδοχὴ κατὰ τῶν Αἱρετικῶν, τῶν τὰς θείας γραφὰς καὶ τὴν θείαν διδασκαλίαν διαφθειρόντων. πρῶτον, ὅτε αὐτὰ τῶν γραφῶν τῶν ἀποστολικῶν τὰ αὐτόγραφα ἐν ταῖς κατὰ μέρος Ἐκκλησίαις ἐφυλάττοντο. καὶ ἔτι κατὰ τῶν ποιητῶν τῶν νέων δογμάτων, καθ' ὅσον κοινῇ ἐν ἐκείναις ταῖς Ἐκκλησίαις ἄδολος ἔμεινεν ἡ ὁμολογία τῆς παρὰ τῶν Ἀποστόλων ληφθείσης διδασκαλίας. δεύτερον, διὰ τὴν ἀδιάψευστον καὶ ἀληθεστάτην διαδοχὴν ἀλληλοδιαδόχως τῶν Ἐπισκόπων, τὰ αὐτὰ διδασκόντων τοῖς Ἀποστόλοις καὶ τοῖς ἁγίοις πατράσιν, ὅθεν ὁ Εἰρηναῖος φησὶν, Ἔχομεν ἀπαριθμῆσαι ἐκείνους, οἳ παρὰ τῶν Ἀποστόλων Ἐπίσκοποι ἐν ταῖς Ἐκκλησίαις ἀποκατεστάθησαν, καὶ τοὺς διαδόχους αὐτῶν μέχρις ἡμῶν, οἵτινες οὐδὲν ἀνόμοιον ἐδίδαξαν, οὔτε ἔγνωσαν ὁποῖον παρὰ τῶν νῦν νοθεύεται, εἰ γὰρ εἶδον οἱ Ἀπόστολοι τὰ ἀπόκρυφα Μυστήρια, ἃ κατὰ μέρος καὶ κρυφίως τῶν ἄλλων

ἄλλων τοὺς τελείους ἐδίδασκον, ταῦτα ἐκείνοις ἂν παρέδωκαν οἷς καὶ αὐτὰς τὰς Ἐκκλησίας, οὐμὴν δὲ τοῖς ἀδοκίμοις. ταῦτα βιβλίῳ τρίτῳ κατὰ Αἱρέσεων, κεφαλαίῳ τρίτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ὁ Τερτουλλιανὸς τὰς μερικὰς Ἐκκλησίας καθέδρας τῶν Ἀποστόλων, καὶ ἐν τοῖς τόποις αὐτῶν προΐστασθαι λέγων, ἀριθμεῖ καὶ ὀνομαστί.

Ὁμοίως ὁ Τερτουλλιανὸς φησὶ, Δίελθε τὰς ἀποστολικὰς Ἐκκλησίας, παρ' αἷς ἔτι τὴν σήμερον αὗται αἱ καθέδραι τῶν Ἀποστόλων ἐν τοῖς τόποις αὐτῶν προΐστανται, καὶ ἐν αὐταῖς εὑρίσκεις τὰ αὐτόγραφα αὐτῶν ἀναγινωσκόμενα, καὶ φωνοῦντα τὴν φωνὴν, καὶ παριστάνοντα τὰ πρόσωπα ἑκάστου ἀφ' οὗ ἐρρέθη. ἐγγὺς ἐστί σοι ἡ Ἀχαΐα, ἔχεις τὴν Κόρινθον. εἰ μὴ μακρὰν εἶ ἀπὸ Μακεδονίας, ἔχεις Φιλίππους καὶ τοὺς Θεσσαλονικεῖς. εἰ δύνασαι εἰς Ἀσίαν πορευθῆναι, ἔχεις τὴν Ἔφεσον, εἰ δὲ καὶ ἐν Ἰταλίᾳ, ἔχεις τὴν Ῥώμην. ἴδες εὐτυχῆ κατάστασιν Ἐκκλησίας, ἐν ᾗ πόσον τὴν τοῦ Χριστοῦ διδασκαλίαν τῷ αἵματι αὐτῶν ἔσπειραν οἱ Ἀπόστολοι, ὅπου Πέτρος ἐμιμήθη τοῦ Κυρίου τὸ πάθος, ὅπου Παῦλος τῇ ἐκβάσει τοῦ Βαπτιστοῦ στεφανοῦται, ὅπου Ἰωάννης ὁ Ἀπόστολος μετὰ τὸν βυθὸν τοῦ ξυλίνου ἐλαίου οὐδὲν παθὼν, ἐξωρίσθη εἰς τὴν Νῆσον. ἴδωμεν τί εἶπε, τί ἐδίδαξε, τί μετὰ τῶν Ἀφρικανῶν προσέτι Ἐκκλησιῶν διηλέχθη. ἕνα Θεὸν εἶπε ποιητὴν τοῦ παντὸς, καὶ Χριστὸν Ἰησοῦν ἐκ τῆς Παρθένου Μαρίας Υἱὸν Θεοῦ τοῦ ποιητοῦ. Καὶ, Νόμον καὶ Προφήτας μετὰ εὐαγγελικῶν καὶ ἀποστολικῶν γραμμάτων μίγνυσιν ἔνθεν, καὶ ἐπήνει ἐκείνην τὴν πίστιν ἀφ' ἧς ἐσημειώθη καὶ αὐτὸς, ἢ τῷ Πνεύματι τῷ ἁγίῳ ἐνδύει τοὺς πιστοὺς, τῇ Εὐχαριστίᾳ τρέφει, τῷ μαρτυρίῳ πρὸς τὰ ὅμοια παροτρύνει, καὶ οὕτως οὐδένα παραλαμβάνει τὸν ἀνθιστάμενον ταύτῃ τῇ θείᾳ καὶ παναληθεστάτῃ διαταγῇ. βιβλίῳ περὶ παραγραφῶν κεφαλαίῳ τριακοστῷ ἑκτῷ, καὶ τὰ ὅμοια βιβλίῳ τετάρτῳ κατὰ Μαρκίωνος, κεφαλαίῳ πέμπτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι κατὰ Κυπριανὸν καὶ Πακιανὸν τὸν Βερκιλονίας ἡ ἐν τόπῳ διαδοχὴ τῶν ὀρθοδόξων Ἐπισκόπων ἀναγκαία κατὰ τῶν Σχισματικῶν, ὡς καὶ ἡ τοῦ Ῥώμης κατὰ Ναυάτου καὶ κατ' ἄλλων ἄλλη.

Ἔστιν ἰδεῖν τὴν διαδοχὴν τῶν Ἐπισκόπων τῶν ὀρθοδόξων ἐν τῷ τόπῳ κατὰ τῶν σχισματικῶν, οἵτινες τὴν χάριν τῶν ἑτέρων ἁρπάζοντες, ἐγείρουσι Θυσιαστήριον κατὰ Θυσιαστηρίου, ὁποῖοι ἦσαν ποτὲ ἐν Ῥώμῃ Νοβατιανὸς ὁ πρῶτος τῆς τῶν Καθαρῶν Αἱρέσεως Ἐπίσκοπος, καὶ οἱ διάδοχοι αὐτοῦ, καὶ Βίκτωρ ὁ Γερβιένσης τῆς τῶν Δονατιστῶν Αἱρέσεως πρῶτος, καὶ αὐτὸς τῆς αὐτῆς πόλεως Ἐπίσκοπος, καὶ οὕτω παρὰ τῶν ὑπερασπιστῶν τῶν εἰρημένων Αἱρέσεων ἐγένοντο καὶ ἐν ἑτέραις τισὶ πόλεσιν, ὅθεν ὁ Κυπριανὸς περὶ τοῦ Νοβατιανοῦ καὶ τῶν διαδόχων αὐτοῦ φησὶν, Οὗτοι εἰσὶν, οἵτινες παρὰ αὐθάδεσί τισιν ἄνευ τινὸς θείας διαθέσεως προκαθίστανται, οἵτινες ἑαυτοὺς προϊσταμένους ἄνευ τινὸς χειροτονίας Νόμου ὁμολογοῦσιν, οἵτινες μηδενὸς διδόντος τὴν Ἐπισκοπὴν τὸ τοῦ Ἐπισκόπου ὄνομα ἑαυτοῖς ἐπισωρεύουσι. παρήκοος δοῦλος, υἱὸς ἀσεβὴς, ἀδελφὸς ἐχθρὸς, καταφρονήσας Ἐπισκόπων, καταλιπὼν Θεοῦ Γερεῖς, ἀποτολμᾷ ἕτερον Θυσιαστήριον ἀνιστᾶν. ταῦτα βιβλίῳ περὶ ἑνότητος ἐκκλησιαστικῆς. καὶ ἐπιστολῇ πεντηκοστῇ δευτέρᾳ, ἢ βιβλίῳ τετάρτῳ ἐπιστολῇ δευτέρᾳ πρὸς Ἀντωνιανὸν φησὶ, Καὶ πῶς μὴ δόξῃς σὺ Ἐπίσκοπος μοιχὸς καὶ ξένος, ὃς τὸν ἀληθῆ Ἐπίσκοπον ἐν τῇ Ἐκκλησίᾳ παρὰ δεκαὲξ Ἐπισκόπων χειροτονηθέντα ἀποβαλὼν, ἑτέρους ψευδοεπισκόπους ἐν τῷ τόπῳ αὐτοῦ χειροτονεῖν ἀπαυθαδιάζῃ; πρὸ πολλοῦ γὰρ κατὰ πάσας τὰς Ἐπαρχίας, καὶ τὰς τῶν Χριστιανῶν πόλεις κεχειροτόνηνται Ἐπίσκοποι τῇ ἡλικίᾳ προβεβηκότες, τῇ πίστει ἀκέραιοι, ταῖς θλίψεσι δόκιμοι, τοῖς διωγμοῖς καρτερικοί. τὶς ἐπάνω τούτων ἄλλος; τὶς ἑτέρους θήσεται; περὶ τούτου τοῦ Νοβατιανοῦ γράφει ὁ Πακιανὸς Ἐπίσκοπος Βερκιλονίας ἐπιστολῇ τρίτῃ πρὸς Σιμπρονιανὸν, Τόμῳ τρίτῳ Βιβλιοθήκης τῶν πατέρων, Καθημένου τοῦ Ἐπισκόπου ἐν Ῥώμῃ, κατὰ τοῦ δικαίου τῆς Γερωσύνης αὐτὸς ἑτέρου Ἐπισκόπου ὄνομα ἑαυτῷ προσείληφε.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι κατὰ Ὀπτᾶτον Μιλεβιτᾶνον, Εὐσέβιον, Θεοδώριτον, Νικηφόρον Κωνσταντινουπόλεως, Νικηφόρον Κάλλιστον, καὶ τὸν ἅγιον Ἐπιφάνιον, ἀναγκαιοτάτη καὶ ἐπωφελεστάτη ἡ ἐν τόπῳ διαδοχή.

Ὀπτᾶτος

Ὀπτᾶτος ὁ Μιλεβιτᾶνος κατὰ Δονατιστῶν, μετὰ τὸ ἀπαριθμῆσαι τοὺς Ἐπισκόπους Ῥώμης ἀπὸ Πέτρου τοῦ Ἀποστόλου ἕως Δαμάσου, λέγει περὶ τοῦ Δαμάσου, Ἡμέτερός ἐστιν ὀπαδὸς, μεθ' οὗ ἡ σύμπασα ἐν μιᾷ ὁμοφρόνῳ ὁμολογίᾳ ὁμοφρονεῖ. αἱ δὲ ἡμέτεραι καθέδραι τὴν ἁγίαν πληροῦσιν Ἐκκλησίαν, αὗται αἱ ὁρώμεναι ἐν Ῥώμῃ παρ' ἡμῖν, καὶ ἀλλαχοῦ ἐν διαφόροις τόποις. τὰς δὲ ὑμετέρας καθέδρας ποῦ θήσωμεν; ποῖον ἕξετε μέρος οἱ ἐχθροὶ ἐν Ῥώμῃ, ἢ καὶ ἀλλαχοῦ; στέλεχος ἐστὶ τῆς ὑμετέρας βλασφημίας, ὃ προῆλθεν οὐκ ἀπὸ τῆς ῥίζης τῆς ἀληθείας, ἀλλ' ἀπὸ τῆς τοῦ ψεύδους. τέως εἰ Μακρόβιος ἐρωτηθῇ, ποῦ κάθηται; δύναται τάχα εἰπεῖν ἐν τῇ καθέδρᾳ τοῦ Πέτρου; τὸν Μακρόβιον εἶπον, καὶ γὰρ Βίκτωρ ὁ Γερσιέσης παρὰ τῶν ὑμετέρων πρὸς ὀλίγους τινὰς ἐν Ἀφρικῇ πεπλανημένους ἐπέφθη, καὶ ἦν ἐκεῖ ὁ υἱὸς αὔτου πατρὸς, ὁ Στρατιώτης αὔτου Ἡγεμόνος, ὁ μαθητὴς αὔτου Διδασκάλου, τὸ ἀκόλουθον χωρὶς τῆς μείζονος προτάσεως, ὁ ἐργάτης αὔτου οἴκου, ὁ ξένος αὔτου ξενοδοχείου, ὁ Ποιμὴν χωρὶς ποίμνης, ὁ Ἐπίσκοπος χωρὶς λαοῦ, καὶ γὰρ οὐκ εὔλογόν ἐστι ποίμνην καὶ λαὸν ὀνομάσαι ἐκείνους τοὺς ὀλίγους, οἵτινες μεταξὺ, καὶ ἐπέκεινα ὑμῶν οὐκ εἶχον τόπον ὅπου συνεισέλθωσιν, ὅθεν καὶ σπήλαιόν τι ἔξω τῆς πόλεως ὑπόβαθες καὶ σκοτεινὸν μόλις ἐκτήσαντο πρόσκαιρον τοῦ ἑαυτῶν συνεδρίου ἁρμόδιον, ὅθεν καὶ Σπηλαιῶται ὠνομάσθησαν. ἆρα ἐπειδὴ Κλαυδιανὸς τῷ Λουκιανῷ, Λουκιανὸς τῷ Μακροβίῳ, Μακρόβιος τῷ Ἐγκολπίῳ, Ἐγκόλπιος τῷ Βονιφατίῳ, Βονιφάτιος τῷ Βίκτορι δοκεῖ λέγειν Διάδοχός σου εἰμί. ἐρωτήσωμεν δὴ τῷ Βίκτορι ποῦ ἐκάθισε, καὶ δειξάτω τὸν πρὸ αὐτοῦ. οὐ δύναται καθέδραν ἀποστολικὴν ἐπιδεῖξαι, εἰ μὴ ἄρα τὴν τῶν λοιμῶν. βιβλίῳ δευτέρῳ κατὰ Παρμενιανοῦ. οὕτως Εὐσέβιος, Σωκράτης, Σωζόμενος, Θεοδώριτος, Νικηφόρος ὁ Κωνσταντινουπόλως, Νικηφόρος Κάλλιστος, καὶ ὁ ἅγιος Ἐπιφάνιος τὰς κατὰ τὸν τόπον διαδοχὰς τῶν πατριαρχικῶν θρόνων, καί τινων ἑτέρων ἐπιμελῶς ἐκτίθενται, ἀλλὰ δὴ καὶ ἕτεροι πατέρες, καὶ βίοι τῶν Ἀποστόλων καὶ τῶν ἀρχαίων πατέρων περὶ ταύτης τῆς κατὰ τόπον διαδοχῆς διαλαμβάνουσιν, ἐξ ὧν δῆλον ἀναγκαιοτάτην εἶναι καὶ ἐπωφελεστάτην τὴν ἐν τῷ τόπῳ διαδοχήν.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι ἡ εἰς τόπον ἀναγκαία διαδοχὴ οὐ περὶ πασῶν τῶν Ἐκκλησιῶν, ἀλλὰ περὶ τῶν καθολικῶν καὶ πρώτων Πατριαρχικῶν λέγεται, ὡς μηδέποτε ἐπιτοαυτὸ πασῶν ἁμαρτησασῶν ὡς δείκνυται, καίτοι ἐνδέχεταί τις τούτων ἐκκλῖναι τῆς εὐσεβείας, ὡς ἡ Ῥώμης Ἐκκλησία, ἥτις οὐδὲν ὠφελεῖται ἐκ τοῦ τόπου καὶ τῶν οἰκοδομιῶν καὶ τῶν ἄλλων κατὰ Ἱλάριον, καὶ κατὰ τὸν Χρυσόστομον καὶ Ἱερώνυμον οὐ τείχεσι καὶ λίθοις, ἀλλ' ἀληθείᾳ δογμάτων συνίσταται ἡ Ἐκκλησία.

Λέγω δὲ ἀναγκαίαν τὴν διαδοχὴν ἐν τόπῳ οὐ περὶ πασῶν τῶν Ἐκκλησιῶν, καθότι βλέπομεν ἐν πολλοῖς τόποις ἔνθα ποτὲ ἡ ὀρθοδοξία ἤνθει, νῦν ἐξέλιπε διόλου, ἀλλὰ περὶ τῶν καθολικῶν καὶ πρώτων θρόνων τῶν καὶ πατριαρχικῶν λεγομένων, οἵτινες πάντες ἐπιτοαυτὸ οὐχ ἥμαρτόν ποτε, οὔτε δυνατὸν ἁμαρτῆσαι, ὄντων γὰρ ἐν Κωνσταντινουπόλει, Ἀλεξανδρείᾳ, καὶ Ἀντιοχείᾳ Ἀρειανῶν Πατριαρχῶν, ἦσαν ὀρθόδοξοι ὁ Ῥώμης καὶ ὁ Ἱεροσολύμων. Ἀρειανίσαντος τοῦ Ῥώμης λιβερίου, ἦν ὁ Ἱεροσολύμων ὀρθόδοξος. Καὶ οἱ ἐν Ἀλεξανδρείᾳ Ἀρειανοὶ τότε Πατριάρχαι παρὰ Κανόνας χειροτονηθέντες, οὐκ ἦσαν διάδοχοι, ἔζη γὰρ ὁ μέγας Ἀθανάσιος ὁ γνήσιος διάδοχος. Ἐν τῇ ἐν Ἐφέσῳ λῃστρικῇ παρετράπησαν τινὲς Πατριάρχαι, ὁ Ῥώμης ὅμως ἦν ὀρθόδοξος. Ἐν τῇ πέμπτῃ Συνόδῳ παρετράπη μόνος ὁ Ῥώμης Βιγίλιος. Ἀναφυείσης τῆς Αἱρέσεως τῶν Μονοθελητῶν, ὁ Ῥώμης Ὀνώριος, ὁ Κωνσταντινουπόλεως Σέργιος, καὶ ὁ Ἀλεξανδρείας Κῦρος ἦσαν Αἱρετικοὶ, ἀλλ' ὁ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων ἦσαν ὀρθόδοξοι. Ἐν τῇ ἀρχῇ τῆς ἕκτης Συνόδου μόνος ὁ Ἀντιοχείας ἦν Αἱρετικὸς, οἱ δὲ λοιποὶ πάντες ὀρθόδοξοι. Ἐπὶ τῆς εἰκονομαχίας Ἀναστάσιος, Κωνσταντῖνος, Νικήτας, Ἀντώνιος, Θεόδοτος, καὶ Ἰωάννης Κωνσταντινουπόλεως Πατριάρχαι ἦσαν Αἱρετικοὶ, τῶν δὲ λοιπῶν θρόνων οἱ Πατριάρχαι ἦσαν ὀρθόδοξοι. ἀναγκαία οὖν τοῦ τόπου ἡ διαδοχὴ κατὰ τοῦτον τὸν τρόπον, οὐ μὴν οὐκ ἐνδέχεται τούτων τῶν θρόνων ἐκκλῖναί τινα τῆς εὐσεβείας, ὡς πέπονθεν ὁ τῆς παλαιᾶς Ῥώμης, παραπεσὼν εἰς μυρίας Αἱρέσεις, ὅθεν περὶ τούτου ἐν τῷ προσώπῳ τῆς ἐν Ἐφέσῳ Ἐκκλησίας λέγεται ἐν τῇ Ἀποκαλύψει, κεφαλαίῳ δευτέρῳ, Ἔρχομαί σοι ταχὺ, καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ τόπου αὐτῆς, ἐὰν μὴ μετανοήσῃς. καὶ ἐπειδὴ πολλάκις ἐνουθετήθη ἡ Ῥώμη, ὡς εἴρηται ἀνωτέρω ἐν πολλοῖς, καὶ ἰδίως ἐν τῷ ὀγδόῳ βιβλίῳ, καὶ οὐμετενόησεν, ἀφείθη τοῦ στηριγμοῦ. εἰ δὲ καὶ ἡ ἀπειλὴ κοινή ἐστιν, ἐπιφέρει γὰρ, Ὁ ἔχων οὖς, ἀκουσάτω τὶ τὸ Πνεῦμα λέγει ταῖς Ἐκκλησίαις. ἀλλὰ νοητέον τὸν λόγον ὃν τρόπον εἴπομεν, καθότι οἱ λοιποὶ πατριαρχικοὶ θρόνοι ἀπαραλλάκτως φυλάττουσι τὴν ἐκκλησιαστικὴν παράδοσιν, ἡ δὲ Ἐκκλησία Ῥωμαίων καθάπαξ καὶ τὴν πίστιν καὶ τὰ ἤθη ἐν τοῖς καιρίοις παρέτρεψεν ὡς εἴρηται καὶ ῥηθήσεται, ὅθεν ἐσβέσθη ἡ λυχνία αὐτῆς, καὶ εἰ ὁ Γρετζέρος λέγει, ὅτι τοῦτο μέλλει γενήσεσθαι ἐν τῷ καιρῷ τοῦ Ἀντιχρίστου εἰς τὴν Ῥώμην, ὅμως ὡς ἀληθῶς μετὰ τὸ σχίσμα ἐξέλιπεν ἡ ὀρθοδοξία ἀπὸ τῆς Ῥώμης, καὶ πολιτεύεται ἐν αὐτῇ ὁ ἀντιχριανισμὸς ὡς ἐδείξαμεν, καὶ δείξομεν. εἰ δὲ καὶ προβάλλωσιν οἱ παπισταὶ ἀνομοῦν-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἀνομοῦντες, καὶ μὴ μετανοοῦντες τὸν τόπον, ἤτοι τὰς οἰκοδομὰς τοῦ Ναοῦ τοῦ ἁγίου Πέτρου, καὶ τὰς αὐλὰς αὐτοῦ τὰς μεγάλας, καὶ τῆς Ῥώμης τὸ μέγεθος, καὶ τὰ τείχη, καὶ τὴν τρίπυργον τοῦ Ῥώμης Μίτραν, καὶ Κληρικοὺς κοκκινοφόρους, βουλόμενοι ἀπὸ τοῦ τοιούτου τόπου δεῖξαι τὴν ἀλήθειαν τῆς πίστεως ὡς ἀπὸ αἰτίου ἀναγκαίου, ματαιοπονοῦσιν. ὅτι γὰρ ἀπὸ τῆς προφάσεως ταύτης οὐδὲν ὠφελοῦνται, ἀποκρινέσθω ὁ Ἱλάριος βιβλίῳ κατὰ Αὐξεντίου τοῦ Ἀρειανοῦ, κατακρατοῦντος τῆς Ἐκκλησίας Μεδιολάνων, φησὶ γὰρ, Προσέχετε ἀπὸ τοῦ Ἀντιχρίστου, κακῶς γὰρ ἡ ἀγάπη τῶν τοίχων κυριεύει ὑμῶν, κακῶς τὴν τοῦ Θεοῦ Ἐκκλησίαν ἐν ταῖς σκέπαις καὶ ταῖς οἰκοδομαῖς προσκυνεῖτε, κακῶς ὑπ' αὐτῶν τῶν οἰκοδομῶν τὸ τῆς εἰρήνης ὄνομα διαβοᾶτε, ἴσως ἀμφίβολόν ἐστιν ὅτι ἐν αὐτῷ μέλλει καθίσειν ὁ Ἀντίχριστος. τὰ ὄρη, πιστεύσατέ μοι, αἱ ἔρημοι, αἱ λίμναι, αἱ φυλακαὶ, αἱ ὀπαὶ τῆς γῆς ἀσφαλέστεραί εἰσι διὰ τὴν τοῦ Θεοῦ προσκύνησιν, ἐν τούτοις γὰρ οἱ Προφῆται ἢ διαμένοντες, ἢ καταβυθισθέντες τῷ θείῳ Πνεύματι προεφήτευον. φύγετε ἀπὸ τοῦ Αὐξεντίου τοῦ ἀγγέλου τοῦ Σατανᾶ, τοῦ ἐχθροῦ τοῦ Χριστοῦ. καὶ Χρυσόστομος Ὁμιλίᾳ τριακοστῇ εἰς τὸν Ἰωάννην, κεφαλαίῳ τετάρτῳ φησὶ, Τόπου μὲν ἕνεκεν οὐδὲν δεῖ λοιπὸν φιλονεικεῖν. Καὶ, τίνες εἰσὶν οἱ ἀληθινοὶ προσκυνηταὶ, οἳ μήτε τόπῳ περικλείοντες τὴν λατρείαν, καὶ Θεὸν ἐν Πνεύματι θεραπεύοντες; οὐ γὰρ τείχεσι καὶ λίθοις συνίσταται ἡ Ἐκκλησία, ἀλλ' ἀληθείᾳ δογμάτων. τὸ αὐτὸ διδάσκει ὁ Ἱερώνυμος ἐν τῇ ἑρμηνείᾳ τοῦ ἑκατοστοῦ τριακοστοῦ τρίτου ψαλμοῦ, ὅπου φησὶν, Ἡ Ἐκκλησία οὐκ ἐν τοῖς τοίχοις, ἀλλ' ἐν τῇ ἀληθείᾳ ἐστὶ τῶν δογμάτων. τὸ αὐτὸ διδάσκουσι καὶ πολλοὶ τῶν λοιπῶν ἐγκρίτων πατέρων.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς εἰς τὸ ἐπάγγελμα διαδοχῆς. ἣν οὐδεὶς ἑαυτῷ λαμβάνει, ἀλλ' ὁ καλούμενος θεόθεν.

Τοῦ ποιμαντικοῦ ἐπαγγέλματος, ἤτοι τῆς νομίμου χειροτονίας τῶν ὀρθοδόξων Ἐπισκόπων τὴν ἀνάγκην πάντες γινώσκομεν, οὔτε δυνατάντις ἀρνηθῆναι τὴν ἀνάγκην τῆς νομίμου κλήσεως εἰς τὸ ποιμαντικὸν ἐπάγγελμα, οὐδεὶς ὅμως ἑαυτῷ λαμβάνει ταύτην τὴν τιμὴν, ἀλλ' ὁ καλούμενος ὑπὸ Θεοῦ, ὡς Μωϋσῆς καὶ Ἀαρών. Ποιμὴν δέ ἐστιν ὁ εἰσερχόμενος διὰ τῆς θύρας, ὁ δὲ ἀλλαχόθεν, ἤτοι παρὰ Κανόνας εἰσερχόμενος, καὶ προσάπτων ἑαυτῷ ἅπερ οὐκ ἔξεστι, κλέπτης ἐστὶ καὶ λῃστής.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι διττὴ ἡ κλῆσις, ἡ μὲν ἀδιάδοχος, οἷα ἦν ἡ τῶν Προφητῶν καὶ τῶν Ἀποστόλων, ἡ δὲ διαδοχῆς, ὁποία ἦν καὶ ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ ἡ τῶν ἀποστολικῶν ἀνδρῶν καὶ τῶν καθεξῆς Ἐπισκόπων, ἣν παραχαράξασα ἡ ῥωμαϊκὴ Ἐκκλησία, ὡς σχισματικὴ ἀποβέβληται.

Ἡ δὲ κλῆσις, ἡ μὲν ἐστιν ἀδιάδοχος, οἷα ἡ τῶν Προφητῶν καὶ Ἀποστόλων, ἡ δέ ἐστι διαδοχῆς, ὁποία ἦν καὶ ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ ἐκείνων, οἳ διὰ νομίμου διαδοχῆς μετὰ τοὺς Ἀποστόλους ἀρχιεράτευσαν, τουτέστιν οἱ ἀποστολικοὶ ἄνδρες, καὶ καθεξῆς οἱ τῆς καθολικῆς Ἐκκλησίας Ἐπίσκοποι, οἵτινες πάντες διεδέχθησαν τοὺς Ἀποστόλους ἐν τῷ ποιμαντικῷ ἐπαγγέλματι ἐξίσου ἄχρι τῆς σήμερον, οὐκ ἀδιορίστως μέντοι ὡς οἱ Ἀπόστολοι, ἀλλ' ἐν τόποις διωρισμένοις. ταύτην λέγομεν ὅτι ἐστὶν ἀναγκαία ἕνεκεν τῆς συστάσεως καὶ τῆς φυλακῆς τῆς Ἐκκλησίας, χωρὶς γὰρ τοῦ Μυστηρίου τῆς Ἐπισκοπῆς οὔτε Ἐκκλησία ἐστὶν, οὔτε Ἐκκλησία φυλάττεται. διατίθεται δ' αὐτὴν διὰ τῶν νομίμως χειροτονούντων Ἐπισκόπων ὁ Χριστὸς, ὃς ἐστὶ δοτὴρ τῆς τάξεως καὶ τῆς εἰρήνης, οὐ τῆς συγχύσεως καὶ ἀκαταστασίας, ὅθεν καὶ ἐν τῷ οἴκῳ αὐτοῦ πάντα πρεπόντως καὶ κατὰ τάξιν γίνεσθαι ἐπηγγείλατο. κερδαίνουσι δὲ οὐδὲν ἐντεῦθεν οἱ παπισταὶ ἀπὸ τῆς μάχης ἣν κινοῦσι περὶ τῆς κλήσεως ἐκείνων, ὧν τῇ διακονίᾳ τῷ παρελθόντι χρόνῳ ἦν ἡ ἀληθὴς διαδοχὴ καὶ ὀρθοδοξία εἰς τὴν Ῥώμην, καὶ γὰρ ἐντεῦθεν ἐπιφύεται κατάλυσις ἰσχυρὰ τοῦ ἐπαγγέλματος καὶ τῆς ἁρπαγῆς τῶν Παπῶν τῆς Ῥώμης. διδάσκουσι γὰρ, ὡς εἴρηται, παρὰ τὴν γραφὴν καὶ τὴν κοινὴν διδασκαλίαν τῶν ἁγίων πατέρων, περὶ δὲ τῶν τοιούτων λέγει πρὸς Γαλάτας ὁ Παῦλος, Ἐὰν καὶ Ἄγγελος ἐξ Οὐρανοῦ εὐαγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα. καὶ Ἰωάννου ἐπιστολῇ δευτέρᾳ, ἐδαφίῳ ἑβδόμῳ, Πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν κόσμον. καὶ ἐν τῷ ἁγίῳ Εὐαγγελίῳ, τῶν προβάτων τοῦ Χριστοῦ ἴδιόν ἐστι τῆς φωνῆς τοῦ Χριστοῦ ἀκούειν, καὶ αὐτῷ ἀκολουθεῖν, ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ. ὅθεν καὶ διὰ γραμμάτων τῶν προεστώτων, καὶ διὰ Συνόδων ἡ καθολικὴ Ἐκκλησία σχισματικὴν καὶ ἀπόβλητον ἔκρινε τὴν ῥωμαϊκὴν, ὡς εἴρηται ἀνωτέρω βιβλίῳ ὀγδόῳ καὶ ἐνάτῳ, καὶ ἐν τῷ πρώτῳ μέρει τούτου τοῦ βιβλίου, καὶ ἐν ἄλλοις, καὶ ἐν οἷς εἴπομεν πρὸς τὴν ἐπιστολὴν τοῦ Πάπα Νικολάου, καὶ προσέτι ἐν τῇ ἀρχῇ τοῦ τρίτου μέρους.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Θ΄.

Τερτυλλιανοῦ κατὰ τῶν ἐν τισιν Αἱρετικοῖς Ἐπισκόποις οἰκοδομουμένων, καὶ περὶ τοῦ τίνι τρόπῳ αἱ ἀποστολικαὶ Ἐκκλησίαι τὴν διαδοχὴν αὐτῶν καταλιμπάνουσιν, ἣν μετὰ τὸ σχίσμα ἡ ῥωμαϊκὴ Ἐκκλησία οὐκ ἔχει.

Τερτυλλιανὸς βιβλίῳ περὶ παραγραφῶν κεφαλαίῳ τρίτῳ λέγει, Φιλοῦσιν οὗτοι οἱ πρᾳότεροι καὶ ἐν τισι προσώποις ἐν Αἱρέσει ληφθεῖσιν οἰκοδομεῖσθαι πρὸς ὄλεθρον. τί ἄρα ἢ Ἐπίσκοπος, ἢ Διάκονος, ἢ χήρα, ἢ Παρθένος, ἢ Διδάσκαλος, ἢ Μάρτυς ἀποπέσοι ἐκ τοῦ Κανόνος, τούτου ἕνεκα δόξωσιν αἱ Αἱρέσεις ἀληθεῖς εἶναι; ἐκ τῶν προσώπων βεβαιοῦμεν τὴν πίστιν, ἢ ἐκ τῆς πίστεως τὰ πρόσωπα; αὐτὸς ὁ προδότης τοῦ Χριστοῦ ἐκ τῶν Ἀποστόλων ἦν. ταῦτα ἐκεῖ. ὅτι μὲν γὰρ τὸ ἀρχαῖον τῆς Ῥώμης ἦν ἀποστολικὴ διαδοχὴ, πασίδηλον, καὶ μαρτυρεῖ ὁ αὐτὸς ἐν τῷ τριακοστῷ δευτέρῳ κεφαλαίῳ τοῦ αὐτοῦ βιβλίου, Τοῦ λοιποῦ, φησὶν, εἰ καί τινες Αἱρέσεις τολμῶσι συζεύγνυσθαι τῇ ἀποστολικῇ ἡλικίᾳ, ἵνα δόξωσι παρὰ τῶν Ἀποστόλων παρειληφέναι, ὅτι ἐν τῷ καιρῷ τῶν Ἀποστόλων ἦσαν, σφαλερὰ ἡ ἐπίνοια. ἐκθέτωσαν τὰς ἀρχὰς τῶν αὐτῶν Ἐκκλησιῶν, ἐρευνείτωσαν τὴν τάξιν τῶν σφῶν Ἐπισκόπων οὕτω κατὰ διαδοχὰς ἐξαρχῆς τὴν τρέχουσαν; ὡς ὁ πρῶτος ἐκεῖνος Ἐπίσκοπος τίνα ἐκ τῶν Ἀποστόλων, ἢ τῶν ἀποστολικῶν ἀνδρῶν ἔχει ἀρχηγὸν, καὶ πρὸ αὐτοῦ ὅστις ἐν τῇ ἀποστολικῇ διδασκαλίᾳ ἐτελείωσε, τούτῳ γὰρ τῷ τρόπῳ αἱ ἀποστολικαὶ Ἐκκλησίαι τὴν διαδοχὴν αὐτῶν καταλιμπάνουσι, δηλονότι ἡ τῶν Σμυρναίων Ἐκκλησία ἔχουσα προϊστάμενον τὸν Πολύκαρπον παρὰ Ἰωάννου ἐκεῖ τεθειμένον δείκνυσιν, ὡς καὶ ἡ τῶν Ῥωμαίων Κλήμεντα παρὰ Πέτρου κεχειροτονημένον, οὕτω καὶ αἱ ἑξῆς τοὺς αὐτῶν Ἐπισκόπους παρὰ τῶν Ἀποστόλων εἰς τὴν Ἐπισκοπὴν κατασταθέντας, καὶ ἐχέτωσαν τοῦ ἀποστολικοῦ σπόρου τὸ εἶδος. εἶχεν οὖν ἡ ἐν Ῥώμῃ Ἐκκλησία πρὸ τοῦ σμήνους τῶν ὧν ἔχει Αἱρέσεων τοῦ ἀποστολικοῦ σπόρου τὸ εἶδος, μετὰ δὲ τὸ σχίσμα οὐκ ἔχει. ὅθεν ὁ αὐτὸς ἐν τῷ αὐτῷ τόπῳ περὶ τῶν τοιούτων φησὶ, Προσποιείτωσαν τοιοῦτόν τι οἱ Αἱρετικοὶ, τί γὰρ αὐτοῖς μετὰ τὴν βλασφημίαν οὐκ ἔξεστι; καὶ γὰρ εἰ καὶ προσποιηθῶσιν, οὐδὲν ὠφελοῦνται, αὐτὴ γὰρ ἡ αὐτῶν διδασκαλία μετὰ τῆς ἀποστολικῆς συγκραθεῖσα ἀπὸ τῆς διαφορᾶς καὶ τῆς ἀντιστάσεως πρόεισιν οὔτε Ἀποστόλου τινὸς, οὔτε ἀποστολικοῦ εἶναι τὴν διδασκαλίαν. ὥσπερ γὰρ οἱ Ἀπόστολοι οὐκ ἂν ἐδίδαξαν μεταξὺ αὐτῶν διάφορα, οὕτω καὶ οἱ ἀποστολικοὶ οὐκ ἂν ἐναντία τοῖς Ἀποστόλοις ἐξέθεντο, εἰ μὴ τῶν Ἀποστόλων ἑαυτοὺς σχίσαντες, καὶ ἑτέρους διδάξαντες.

ΠΑΡΑΓΡΑΦΟΝ Ι΄.

Ὅτι τὸ διὰ μακρῶν χρόνων ἐπισκοπῆσαι Αἱρετικοὺς Πατριάρχας διακοπὴν πεποίηκε κατὰ τὴν ἐθελούσιον κακουργίαν Βελλαρμίνου τῆς ἐν ταῖς πατριαρχικαῖς Ἐκκλησίαις τῶν πάλαι Ποιμένων διαδοχῆς, δείκνυται καὶ παράθεσιν τῶν ἐν Ῥώμῃ χρηματισάντων Αἱρετικῶν, καὶ ἐξάρχων τῆς εὐσεβείας Παπῶν μὴ διακοπῆναι, καίτοι ἡ τῆς παλαιᾶς Ῥώμης λυχνία καθάπαξ ἐσβέσθη κατά τε τὴν διαδοχὴν τῆς ἐπαγγελίας καὶ τῆς διδασκαλίας ὡς δείκνυται.

Ὁ Βελλαρμῖνος βιβλίῳ περὶ σημειώσεων ἐκκλησιαστικῶν, κεφαλαίῳ ὀγδόῳ φησὶν, Αἱ πατριαρχικαὶ Ἐκκλησίαι εἶχον διὰ μακρῶν χρόνων Ἐπισκόπους Αἱρετικοὺς, διὸ καὶ διεκόπη τῶν παλαιῶν Ποιμένων ἡ διαδοχή. Ἀλλὰ ῥητέον, ἐθελοντὶ κακουργεῖ ὁ σοφιστὴς, μετὰ γὰρ Μακεδόνιον, Εὐσέβιον, καὶ Εὐδόξιον τοὺς Κωνσταντινουπόλεως Ἀρειανοὺς Ἐπισκόπους, ἐγένοντο διάδοχοι τῶν Ἀποστόλων Γρηγόριος καὶ Νεκτάριος, καὶ μετὰ Νεστόριον Μαξιμιανὸς, ὡς καὶ μετὰ τοὺς Εἰκονομάχους ὁ θεῖος Ταράσιος. οὕτω καὶ εἰς τὴν Ἀλεξάνδρειαν μετὰ Διόσκορον ὁ Προτέριος. καὶ εἰς τὴν Ῥώμην μετὰ Λιβέριον καὶ Φίληκα τοὺς Ἀρειανοὺς ὁ Δάμασος, ὡς καὶ μετὰ Μάρκελλον τὸν εἰδωλολατρήσαντα ὁ Εὐσέβιος, καὶ μετὰ Ὀνώριον τὸν μονοθελήτην ὁ Σεβερῖνος. ὡς οὖν εἰς Ῥώμην οὐκ ἐνεκόπη ἡ ἀποστολικὴ διαδοχὴ, οὕτως οὐδὲ εἰς τὰ ἄλλα Πατριαρχεῖα, μάλιστα εἰς Ῥώμην, εἰ καὶ μένει ἡ διαδοχὴ τῆς τάξεως καὶ τοῦ τόπου, ἀλλ' ὅμως τῆς κατὰ διδασκαλίαν διόλου φθαρείσης διαδοχῆς, ἐκλέλοιπε καὶ ἡ πατρικὴ καὶ ἀποστολικὴ διαδοχή. λέγει γὰρ ὁ θεῖος Ἀμβρόσιος βιβλίῳ πρώτῳ περὶ μετανοίας, κεφαλαίῳ ἕκτῳ, Οὐκ ἔχουσι τοῦ Πέτρου τὴν κληρονομίαν οἱ τὴν πίστιν μὴ ἔχοντες. καὶ Ἱερώνυμος ἐν τῇ πρὸς Ἡλιόδωρον ἐπιστολῇ, Οὐκ εἰσὶν, ἔφη, υἱοὶ τῶν ἁγίων οἱ ἔχοντες τοὺς τόπους τῶν ἁγίων, ἀλλ' οἱ ἀσκοῦντες τὰ ἔργα τῶν ἁγίων. καὶ Γρηγόριος ὁ θεολόγος λόγῳ εἰς τὸν μέγαν Ἀθανάσιον λέγει περὶ αὐτοῦ, ὅτι ἐγένετο οὐχ ἧττον τῆς εὐσεβείας, ἢ τῆς προεδρίας διάδοχος, ἣν δὴ καὶ κυρίως ὑπολήπτεον διαδοχήν. τὸ γὰρ ὁμόγνωμον, καὶ ὁμόθρονον, τὸ δὲ ἀντίδοξον, καὶ ἀντίθρονον. καὶ ἡ μὲν, προσηγορίαν, ἡ δὲ, ἀλήθειαν ἔχει διαδοχῆς. οὐδὲ ὁ ταναντία δοξάζων, ἀλλ' ὁ τῆς αὐτῆς πίστεως. ἕπεται οὖν ἀναγκαίως τῇ διαδοχῇ τοῦ ἐπαγγέλματος καὶ ἡ διαδοχὴ τῆς διδασκαλίας, τῇ δὲ διαδοχῇ τῆς διδασκαλίας ἀναγκαίως ἕπεται ἡ διαδοχὴ τῶν προσώπων. ἡ διαδοχὴ οὖν τοῦ ἐπαγγέλματος χωρὶς τῆς διαδοχῆς τῆς διδασκαλίας οὐ μόνον ἀνωφελὴς, ἀλλ' ἤδη καὶ παράνομος, θεομισής τε καὶ ἀποτρόπαιος. λέγω δὲ διαδοχὴν διδασκαλίας, οὐχὶ ἐκεῖνο,

ὅτι

ὅτι κατὰ πᾶσαν ἀνάγκην δεῖν εἶναι τὸν Ἐπίσκοπον ἐπιστήμονα καὶ Διδάσκαλον διὰ σοφίας καὶ μαθήσεως τεχνικῆς (ἐπειδὴ πολλοὶ πολλάκις ἐχρημάτισαν Ἐπίσκοποι ὀλίγων γραμμάτων ὄντες εἰδήμονες, καὶ οὔτε ὁ πάνυ δυνατὸς, κατὰ τὸν μέγαν Ἐπιφάνιον ἐν λόγῳ τῶν ἐν ταῖς Ἐκκλησίαις προεστώτων, ἕτερα τούτων ἐρεῖ, οὐδεὶς γὰρ ὑπὲρ τὸν Διδάσκαλον, οὔτε ὁ ἀσθενὴς ἐν λόγῳ ἐλαττώσει τὴν παράδοσιν, μιᾶς γὰρ καὶ τῆς αὐτῆς πίστεως οὔσης, οὔτε ὁ πολὺ περὶ αὐτῆς δυνάμενος εἰπεῖν, ἐπλεόνασεν, οὔτε ὁ τὸ ὀλίγον, ἠλάττωσεν. ἴδε καὶ ἀνωτέρω μέρους τρίτου κεφαλαίου τρίτου τμήματος ἑβδόμου Παραγράφῳ δευτέρῳ τὶ ἔγραφεν ὁ Ἀγάθων καὶ ἡ Σύνοδος αὐτοῦ πρὸς τοὺς Βασιλεῖς τῶν Ῥωμαίων περὶ τῆς σοφίας τῶν τότε ἐν τῇ Δύσει Ἐπισκόπων, καὶ βιβλίου δευτέρου κεφαλαίου δεκάτου Παραγράφῳ πρώτῳ τὶ εἶπεν ὁ Πλάτινας περὶ τῶν ἐν τῇ ἐν Ἀριμίνῳ Συνόδῳ δυτικῶν πατέρων, ὅτι ἦσαν ἁπλοῖ καὶ ἀγράμματοι, ἦσαν ὅμως εὐσεβέστεροι τῶν σοφωτάτων Ἀρειανῶν) ἀλλ' ὅτι ἡ διαδοχὴ τοῦ ἐπαγγέλματος πρέπει ἵνα ἔχῃ τὴν διαδοχὴν τῆς διδασκαλίας, ὅπου ὁ Ἐπίσκοπος ἵνα φρονῇ καὶ ἵνα διδάσκῃ ὀρθόδοξα. ἔστι δὲ ὀρθόδοξα, τὰ συμβαίνοντα τῇ πατροπαραδότῳ πίστει, τουτέστι τῇ πίστει ἣν παρέδωκαν οἱ ἅγιοι Ἀπόστολοι, καὶ ἡρμήνευσαν οἱ ἅγιοι καὶ αἱ κανονικαὶ Σύνοδοι. ὅθεν ὁ Ἐπιφάνιος πάλιν φησὶ, Καὶ Ὅροι γὰρ ἐτέθησαν ἡμῖν, καὶ θεμέλιοι, καὶ οἰκοδομὴ πίστεως, καὶ Ἀποστόλων παραδόσεις, καὶ γραφαὶ ἅγιαι, καὶ διδαχαὶ διδασκαλίας, καὶ πανταχόθεν ἡ ἀλήθεια ἠσφάλισται, καὶ μηδεὶς ἀπατάσθω κενοῖς μύθοις. ταῦτα Αἱρέσει πεντηκοστῇ πέμπτῃ. ἐπειδὴ οὖν ὁ Πάπας τῆς Ῥώμης προσέθηκε, καὶ ἀφῄρηκε πολλὰ, καὶ ὁσημέραι προστίθησιν ἐν τῇ τῆς Ἐκκλησίας διδασκαλίᾳ, οὐκ ὠφελεῖ αὐτὸν ἡ Ῥώμη, καὶ ἡ ἐπαγγελία, μάλιστα οὔτε τὴν διαδοχὴν τῆς ἐπαγγελίας ἔχει, ἐπειδὴ οὐκ ἐκλέγουσιν αὐτὸν οἱ Ἐπίσκοποι κατὰ τὸ ἀρχαῖον πάτριον καὶ κανονικὸν ἔθος, ἀλλ' οἱ Καρδηνάλεις, καίτοι πολλοὶ τούτων οὐδὲ Πρεσβύτεροι, ἀλλὰ Διάκονοι καὶ Ἀναγνῶσται ὄντες, καὶ τὸ δὴ χείριστον, ὅτι καὶ ῥᾳδιούργως καὶ σιμωνιακῶς ἐκλέγουσιν αὐτὸν ὡς ῥηθήσεται. εἶτα εἰ κατὰ καιροὺς, ὃν τρόπον εἴρηται ἀνωτέρω, ἐν τοῖς λοιποῖς Πατριαρχικοῖς θρόνοις γεγόνασι Πατριάρχαι Αἱρετικοὶ, ἀλλ' οὐ πάντες, καὶ οἱ πλείους τῶν ὑποκειμένων αὐτοῖς Μητροπολιτῶν καὶ λοιπῶν Ἐπισκόπων ἦσαν ὀρθόδοξοι, οἱ δὲ τῇ Ῥώμῃ ὑποκείμενοι καθάπαξ σχισματοαιρετικοὶ γεγόνασιν, ὅθεν καὶ καθάπαξ ἐσβέσθη ἡ λυχνία τῆς ἐν τῇ παλαιᾷ Ῥώμῃ καθέδρας.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Ε'. ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Λόγῳ καθολικωτέρῳ περὶ τῆς Ἱεραρχίας καὶ μοναρχίας τοῦ Πάπα, οὗ τὰ προνόμια εἰς ὀκτώ τινα ἐνταῦθα συντέμνονται.

Πολλὰ ἀριθμοῦσι τοῦ Πάπα τῆς Ῥώμης προνόμια οἱ Κανονισταὶ, συντέμνονται ὅμως εἰς ὀκτὼ, πρῶτον, ὅτι εἰς τὴν καθόλου Ἐκκλησίαν ἐστὶ μοναρχία, ἡ μόνος ὁ Πάπας ἐστὶ παντὸς τοῦ κόσμου κοινὸς Ἐπίσκοπος, καὶ πάντας κρίνει, καὶ ἐκ τῆς Διοικήσεως ἑτέρων Ἐπισκόπων οὓς βούλεται ἐξαιρεῖ, καὶ ᾧ πάντας πείθεσθαι ἀνάγκη, ὅθεν ἐγεννήθησαν ἐκεῖνα τὰ ῥητὰ παρ' αὐτοῖς, Μεταφέρει, Καθαιρεῖ, Μερίζει, Ἑνοῖ, Ἐξαιρεῖ, Μεταβάλλει, Ὁρίζει, Κρίνει, Προσάπτει, δηλονότι καθὸ κοινὸς τῆς Οἰκουμένης Ἐπίσκοπος, ᾧ καὶ μόνῳ πάντας ἀνάγκη ὑποκεῖσθαι, ἄνευ γὰρ τούτου οὐκ ἔστι σωτηρίας τυχεῖν. δεύτερον ἐστὶν ἡ ἐξουσία τοῦ ἀθροίζειν τὰς Οἰκουμενικὰς Συνόδους. τρίτον ἐστὶν ἡ ἐξουσία τοῦ διορίζειν ἀποφασιστικῶς περὶ τῶν πραγμάτων τῆς πίστεως, καὶ βεβαιοῦν, καὶ ἀνακαλεῖν τὰς ἀποφάσεις τῶν Συνόδων. τέταρτον ἐστὶν ἡ ἐξουσία τοῦ μεταλαμβάνειν τὰς Ἐκκλήτους, ὅτι πρὸς αὐτὸν ἀπὸ παντὸς ἑτέρου κριτοῦ τοὐλαχίστου ἐκκλησιαστικοῦ, καὶ περὶ ἐκκλησιαστικῶν πραγμάτων, περὶ ὧν νῦν διαφερόμεθα, δίκαιον ἐγκαλεῖν. πέμπτον ἐστὶν, ὅτι μετὰ τὴν αὐτοῦ ἀπόφασιν οὐδεμία χώρα πλέον Ἐκκλήτου τινὸς, ἀλλ' ἴδε περὶ τούτων ἀνωτέρω περὶ τῆς ἐν Σαρδικῇ Συνόδου, καὶ βιβλίου τεταρτου κεφάλαιον πέμπτον, καὶ μέρους τρίτου κεφάλαιον ἔσχατον, καὶ μάλιστα ὅλον τὸ παρὸν βιβλίον. ἕκτον ἐστὶν ἡ ἐξουσία τοῦ συντάττειν Νόμους περὶ τῶν μέσων, ἢ ὡς αὐτοί φασι διαφόρων πραγμάτων, οἵτινες Νόμοι ἰσχύουσι δεσμεῖν τὴν συνείδησιν, καὶ ἔξω καταφρονήσεως καὶ σκανδάλου ποιεῖν, τουτέστι τὸ προστατόμενον παρὰ τοῦ Πάπα ποιητέον εἰ καὶ σκληρὸν καὶ κατὰ τῆς συνειδήσεώς ἐστιν, ἀλλὰ τοῦτο ἀποβέβληται ἀνωτέρω μέρους τρίτου κεφαλαίῳ δευτέρῳ. ἕβδομόν ἐστιν ἡ ἐξουσία τοῦ συγχωρεῖν μετὰ ἐλευθερίας Νόμους, ἀφορισμοὺς, ἀναθεματισμοὺς, ἁμαρτήματα, ἀλλὰ τοῦτο καταβέβληται ἀνωτέρω, τοῦτο μὲν, ὅτι ἡ ἀρχιερατικὴ ἐξουσία διακονική ἐστι, τοῦτο δὲ, ὅτι ἡ Σύνοδος ἐπὶ τοῦ Πάπα, ὡς καὶ παντὸς Ἐπισκόπου. ὀγδοόν ἐστιν, ὅτι ὁ Πάπας ὑπ' οὐδενὸς ἀνθρώπου, ἢ Συνόδου ἐπὶ γῆς κριθῆναι δύναται. ταῦτα μὲν τὰ προνόμια ἰσχυρῶς ἀνήρηται ἀνωτέρω, ῥητέον ὅμως ἐνταῦθα διεξοδικώτερον περὶ μόνου τοῦ πρώτου, οὗτινος καταστραφέντος, ἤτοι τῆς πεπλασμένης μοναρχίας καὶ Οἰκουμενικῆς Ἐπισκοπῆς, καὶ πάντα τὰ λοιπὰ προνόμια καὶ ἀπὸ τοῦ τόπου τούτου καθαρώτατα ματαιωθήσονται.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ἑνὸς ἀνθρώπου καθολικὸς Ἐπίσκοπος παντὸς τοῦ κόσμου, δείκνυται.

Εἰ καὶ παντὶ τῷ δικαίως κρίνοντι αὐτὴ ἡ μυθώδης Μοναρχία φανερῶς ἐκπομπεύεται ἐξ ὧν εἴρηται ἀνωτέρω, ὅμως ὀλίγα ἄττα ἐπεῖν καὶ ἐνταῦθα, οὐκ ἔστιν ἀνωφελὲς, ἀλλὰ μάλιστα ἀναγκαῖον, κηρύττεται γὰρ ἡ ἀλήθεια τηλαυγέστερον. ὅτι μὴ ἔνι ὁ Πάπας τῆς Ῥώμης ἐκ ἔστι μοναρχικὸς Ποιμὴν καὶ καθολικὸς Ἐπίσκοπος παντὸς τοῦ κόσμου, συμπεραίνεται ἐκ τούτου τοῦ ἀκολουθοῦντος ἐπιχειρήματος, ἤτοι τοῦ, εἷς τῶν ἀνθρώπων ἐστὶ καθολικὸς Ἐπίσκοπος παντὸς τοῦ κόσμου.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι ἐκ τοῦ ἐνταῦθα συλλογισμοῦ συμπεραίνεται μὴ πρέπειν τῷ Πάπᾳ Ῥώμης μοναρχικὸν εἶναι Ποιμένα καὶ καθολικὸν Ἐπίσκοπον παντὸς τοῦ κόσμου.

Τὸ εἶναι τῶν ἀνθρώπων μετὰ τοὺς ἀποστολικοὺς χρόνους πρέπον, ἔστε τῷ Πάπᾳ τῆς Ῥώμης πρέπει, ἢ ἄλλως τῇ αὐτῇ ἐννοίᾳ. Τὸ πρέπον τῷ Πάπᾳ τῆς Ῥώμης, τοῦτο καὶ ἑτέρῳ τινὶ τῶν ἀνθρώπων πρέπει μετὰ τοὺς ἀποστολικοὺς χρόνους. ἀλλὰ μὴν τὸ εἶναι μοναρχικὸν Ποιμένα καὶ καθολικὸν Ἐπίσκοπον παντὸς τοῦ κόσμου τῶν ἀνθρώπων μετὰ τοὺς ἀποστολικοὺς χρόνους πρέπει, ἄρα τὸ εἶναι μοναρχικὸν Ποιμένα καὶ καθολικὸν Ἐπίσκοπον παντὸς τοῦ κόσμου τῷ Πάπᾳ τῆς Ῥώμης οὐ πρέπει. λέγομεν δὲ μετὰ τοὺς ἀποστολικοὺς χρόνους, διότι εἰ καὶ ἑνὸς ποτε τοῦ Σωτῆρος μοναρχὴς εἶναι, ἢ καὶ καθολικὸς καὶ μοναρχικὸς Ποιμὴν παντὸς τοῦ κόσμου, ἢ καὶ τῆς αὐτὰ πᾶσαν τὴν οἰκουμένην καθολικῆς Ἐκκλησίας ἀποστόλων Ποιμένας καθολικοὺς εἶναι τῆς Ἐκκλησίας, οἷς εἴρηται, Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε, καὶ μαθητεύσατε πάντα τὰ ἔθνη, εἰ καὶ ἑνός τῶν ἐχόντων ταύτην τὴν ἐξουσίαν ἐρρέθη αὐτονομικῶς καθολικὸς Ἐπίσκοπος, ὡς διδάσκει ὁ Διάλογος βιβλίῳ τεταρτῳ τῶν Ἐπιστολῶν αὐτοῦ, κεφαλαίῳ ὀγδοηκοστῷ δευτέρῳ, ἤτοι ἀποστολῇ τριακοστῇ ὀγδόῃ. ἢ μείζων σφόδρα ἀρνηθῆναι ἐδύνατο καὶ τῶν ὁμολογουμένων τὸν Πάπαν εἶναι ἄνθρωπον θνητόν. τὴν ἐλάττονα δὲ προφάσκουσιν οἱ παπισαὶ μετὰ συγκαταθέσεως ἐν ἐκείνῳ μόνῳ περὶ οὗ ζητεῖται, τοῦτέστιν ἐν τῷ Ἀρχιερεῖ τῆς Ῥώμης, ὃν φασὶν εἶναι μοναρχικὸν Ποιμένα, καὶ καθολικὸν Ἐπίσκοπον παντὸς τοῦ κόσμου. ὅμως βεβαιωθείσης τῆς ἡμετέρας μείζονος προτάσεως τῇ ἐλάττονι, ἰσχύει καὶ ἡ σύγκρισις αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Δεῖξις τῆς ἐλάττονος τοῦ ἀνωτέρω συλλογισμοῦ, ὅτι τοῦ βαθμοῦ τῆς ὑποσκοπῆς, ἣν οἱ παπισαὶ προφάσκουσιν.

Ἡ Ἐπισκοπὴ ἐστὶν ἄκρος βαθμὸς τιμῆς ἐκκλησιαστικῆς, καὶ τῇ ἐπισκοπικῇ ἐξουσίᾳ κατατέτακται τάξιν καὶ διοίκησιν πάντες οἱ Ἐπίσκοποι ἀλλήλοις ἴσοι εἰσὶν, ἆρα εἷς τῶν λοιπῶν τούτῃ τῇ ὑπεροχῇ ὑπερτερός ἐστιν, ὥστε εἶναι αὐτὸν μοναρχικὸν ἁπάσης τῆς Ἐκκλησίας, καὶ παντὸς τοῦ κόσμου καθολικὸν Ἐπίσκοπον. ἡ δὲ τῆς μείζονος ἀλήθεια κατὰ πλάτος ἐδείχθη κεφαλαίῳ ἑβδόμῳ τοῦ παρόντος μέρους.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Δευτέρα δεῖξις τῆς αὐτῆς ἐλάττονος διὰ τῶν τοῦ Κυπριανοῦ ἐπιστολῶν πρὸς Ἀντωνιανὸν καὶ τὸν Πάπαν Κορνήλιον καὶ Στέφανον, ὅτι εἷς Ἐπίσκοπος μοναρχὴς τῆς Ἐκκλησίας, ἀλλὰ Ποιμένες μιᾶς ποίμνης.

Οὔσης τῆς Ἐκκλησίας μιᾶς καὶ κατὰ πάντα τὸν κόσμον ὑπὸ πολλοῖς μέρεσι διηρημένης, ὁμοίως καὶ τῆς Ἐπισκοπῆς μιᾶς πολλῶν Ἐπισκόπων ὁμοφρόνῳ ἀριθμότητι μεμερισμένων, ὡς φησιν ὁ Κυπριανὸς ἐπιστολῇ πεντηκοστῇ δευτέρᾳ πρὸς Ἀντωνιανὸν, Οὐδεὶς ἓς Ἐπίσκοπος ἐστὶ μοναρχὴς ἁπάσης τῆς Ἐκκλησίας. Ἡ Ἐπισκοπὴ μία ἐστὶν, ἧς τὸ μέρος παρὰ πάσι κρατεῖται Φησὶν ὁ αὐτὸς Κυπριανὸς βιβλίῳ περὶ ἑνότητος Ἐκκλησίας, τοῦτέστιν ἑκάστῳ Ποιμένι μέρος τι τῆς ποίμνης προσετέθη τοῦ προσέχειν αὐτῷ, ὡς δώσοντα λόγον περὶ τούτου τῷ Κυρίῳ τῆς ἐργασίας αὐτοῦ, ὡς ἐκτίθησιν αὐτὸς ὁ Κυπριανὸς ἐπιστολῇ πεντηκοστῇ πέμπτῃ, ἤτοι βιβλίῳ πρώτῳ ἐπιστολῇ τρίτῃ πρὸς Κορνήλιον. καὶ μάλιστα ἑαυτὸς νουθετῶν τὸν Στέφανον Ῥώμης ἐπὶ τῷ γράψαι τοῖς ἐν Γαλλίᾳ Ἐπισκόποις, ἵνα ἐξώσωσιν ἐκ τῆς τάξεως τὸν Ἐπίσκοπον Βασιλιανὸν τὸν Ἀρελατησίου, τὸν ἀκόλουθον τοῦ Νοβατιανοῦ, ὃν οὐ μόνον ἐποίησαν μιμήσασθαι τῆς μοναρχικῆς ἐξουσίας τοῦ τῆς Ῥώμης Ἐπισκόπου, ἀλλὰ καὶ αὐτῷ ἐχθρωσάντων, ἔστε ἐκ τοῦ ἀδελφικοῦ ἐπαγγέλματος τῶν Ἐπισκόπων

1130

σκόπων πᾶσαν τὴν δυσμενῆ τῆς αὐτῶν κακοθεσίας ἀπεγράψατο αὐ, λέγων, Διὰ τοῦτο γὰρ ἀδελφοὶ πεπόθητε πολυπληθές ἐστι τὸ σῶμα τῶν Ἱερωμένων, δεσμῷ τῆς ὁμώσεως καὶ τῆς ὁμοφροσύνης συνδεδεμένον, ὥστε εἴτις ἐκ τῆς ἡμετέρας συνοδίας Αἵρεσιν ποιήσαι καὶ τὴν τοῦ Χριστοῦ πίμνην διασπαράξαι τολμήσει, βοηθήσωσαν οἱ λοιποὶ, καὶ ὡς ἐπωφελεῖς Ποιμένες καὶ ἐλεήμονες τὰ πρόβατα τοῦ Θεοῦ εἰς τὴν ποίμνην συναγαγέτωσαν, καὶ γὰρ εἰ πολλοί ἐσμεν Ποιμένες, μίαν ὅμως ποίμνην ποιμαίνομεν, καὶ πάντα τὰ πρόβατα ἃ ὁ τῇ αἵματι αὐτοῦ ὁ Κύριος ἐζητήσατο, καὶ θάλπειν, καὶ ἄγειν ὀφείλομεν, ὥστε ἐπιφέρειν τὰς δεομένας, καὶ πολεμουμένας ἀδελφὰς ἡμῶν σκληρῶς καταφρονεῖσθαι, καὶ ὑπερηφάνῳ τινῶν ὑπερόψια καταπατεῖσθαι, Κυπελανὸς ὑπατολῇ ἑξηκοστῇ ἑβδόμῃ, ἤτοι βιβλίῳ τρίτῳ ὑπατολῇ δεκάτῃ τρίτῃ πρὸς Στέφανον Ῥώμης, ὅπου τοὺς ἀδελφοὺς ὡς πρὸ τοῦ Μαρτινιανοῦ σκληρῶς καταφρονεῖσθαι βοᾷ, τοὺς μεταποιοῦντας δηλονότι, ὡς αὐτὸς ἐκεῖ ὀνείδησι. σημείωσαι δὲ κἀκεῖνα τὰ ῥήματα, ἤγουν εἴτις ἐκ τῆς ἡμετέρας συνοδίας Αἵρεσιν ποιήσαι, καὶ τὰ ἑξῆς, εἰς φαίνεται μηδενὰ Ἐπίσκοπον, μήτε αὐτὸν τὸν Ῥώμης ἐξαιρεῖν ἀπὸ τούτου τοῦ ἐλέγχου, ἀπ' αἰτίας Αἱρέσεως καὶ Σχίσματος· οὐταῦθα καὶ ἑτέρα τις γοναῖται ἀπόδειξις.

ΠΑΡΑΓΡΑΦΟΝ ς'

Ἀπόδειξις ἑτέρα συλλογιστικὴ κατὰ τῆς μοναρχίας τοῦ Πάπα ἐκ τοῦ πεῖσαθαί τινων καὶ ὑποκεῖσθαι τὸν αὐτὸν λύσι.

Οὐ ὧν τισὶν ὑποκείμενος, οὐκ ἔστι μοναρχικῶς πᾶσι πειθαρχῶν. ἀλλαμὼν πᾶς Ἐπίσκοπος, καὶ αὐτὸς ὁ Ῥώμης ἔστι τισὶν ὑποκείμενος, ἄρα οὐδεὶς Ἐπίσκοπος, οὔτε ὁ Ῥώμης, οὔτε ἄλλος τις ἐστὶ μοναρχικῶς πειθαρχῶν τῶν ἄλλων. τῷ μείζονα καὶ τῷ ἐλάττονα βεβαιοῖ ὁ Βελλαρμῖνος φάσκων, Ἀντίκεινται τὸν αὐτὸν εἶναι καὶ πειθαρχούμενον πάντων, καὶ ὑποκεῖσθαι τισὶ, βιβλίῳ δευτέρῳ περὶ τοῦ Πάπα, κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ. ἢ ἐλάττων ἐστὶ τοῦ Κυπελανοῦ ἐν τοῖς προλεχθεῖσι. μάλιστα τοῦτο φανερῶς διδάσκει ἡ θεία γραφὴ, Τὸ Πνεῦμα τῶν Προφητῶν Προφήταις ὑποτάσσεται φάσκουσα πρώτῃ πρὸς Κορινθίους κεφαλαίῳ δωδεκάτῳ, διὸ ὀρθῶς Ἰσίδωρος ὁ Πηλουσιώτης βιβλίῳ τρίτῳ, ὑπατολῇ δισκοστῇ ἑκκαιδεκάτῃ φησὶ τῷ Ἐπισκόπῳ εἶναι μὴ αὐθύνων ἐξουσίαν, ἀλλ' ὑπεύθυνον λειτουργίαν. πλείω ταύτῃ τῇ ἐλάττονα βεβαιωμένην εὑρήσεις ἐν τοῖς ὀλοθεῖσιν ἐλέγχοις καὶ ἀποφάσεσι κατὰ τῶν Ἀρχιερέων τῆς Ῥώμης, ὡς Βιγιλίου, Οὐιγιλίου, καὶ τῶν λοιπῶν, καὶ ἐν ὀνείρῳ, Ὅτι αἱ Συνόδοι αἱ Οἰκουμενικαὶ ὑπεράνω εἰσὶ πάντων, καὶ αὐταῖς ὑπόκειται ὁ Πάπας, ὡς καὶ πᾶς Ἐπίσκοπος. ἴδε καὶ αἰωτέρω κεφάλαιον ὄγδοον.

ΠΑΡΑΓΡΑΦΟΝ ζ'.

Ἀπόδειξις ἑτέρα συλλογιστικὴ κατὰ τῆς μοναρχίας τοῦ Πάπα ἐκ τῶν τοῦ Κυπελανοῦ ῥημάτων, ὅτι οὐδείς ἐστι Ἐπίσκοπος Ἐπισκόπων.

Ὁ μοναρχικὸς Ποιμὴν, καὶ καθολικὸς Ἐπίσκοπος παντὸς τοῦ κόσμου, ἐστὶν Ἐπίσκοπος τῶν Ἐπισκόπων. ἀλλ' οὐδείς ἐστιν Ἐπισκόπων Ἐπίσκοπος, ἄρα. τῷ μείζονα καταφάσκουσι καὶ οἱ ὀνειροπόλοι, βλέπομεν πάντας τοὺς Χριστιανοὺς, καὶ αὐτοὺς τοὺς Ἐπισκόπους ὡσεὶ ποίμνια ὑποκεῖσθαι τῷ καθολικῷ Ἐπισκόπῳ, ὁ Βελλαρμῖνος καὶ ὁ Γρετζέρος βιβλίῳ δευτέρῳ περὶ τοῦ Πάπα κεφαλαίῳ ὀκτωκαιδεκάτῳ, ὁ δὲ Βελλαρμῖνος περὶ τοῦ Πάπα βιβλίῳ δευτέρῳ κεφαλαίῳ τριακοστῷ πρώτῳ, βλέπει τοῦτον τὸν Τίτλον ἴδιον εἶναι μόνῳ τῷ Πάπᾳ, ὥστε λέγεσθαι Ἐπίσκοπον τῶν Ἐπισκόπων. ἡ ἐλάττων ποίησις δηλονότι ἐκ τῶν τοῦ Κυπελανοῦ λόγων ἐν τῇ Συνόδῳ τῶν ἐνδοξοτάτων Ἐπισκόπων, καὶ γὰρ φησὶν, Οὐδεὶς ἡμῶν Ἐπίσκοπος Ἐπισκόπων ἑαυτὸν συνίστησιν, ἢ τυραννικῷ φόβῳ πρὸς τὸν ἀνάγκην τῆς ὑπακοῆς τοὺς ὑπηκόους αὐτοῦ καταναγκάζει. ἔχει γὰρ ἕκαστος Ἐπίσκοπος ὡς ἔξεστι τῇ ἐλευθερίᾳ καὶ τῇ αὐτοῦ ἐξουσίᾳ ἴδιον αὐτεξούσιον, ὥστε μὴ δύνασθαι ὑπ' ἄλλου κρίνεσθαι. ἀλλὰ μένομεν τῇ καθολικῇ κρίσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅστις μόνος ἔχει τὴν ἐξουσίαν προτεθεῖναι ἡμᾶς ἐν τῇ αὐτοῦ Ἐκκλησίᾳ διοικητὰς, καὶ κρῖναι ἕνα κατὰ τὴν ἐργασίαν αὐτοῦ. ταῦτα ὁ Κυπελανὸς, συμφωνούντων αὐτῷ καὶ τῶν λοιπῶν τῶν ἐν τῇ Συνόδῳ. οἱ δὲ παπισαὶ πολλὰς διαιρέσεις ποιοῦνται, ἵνα συγχύσωσι τοῦ Κυπελανοῦ τὰ ῥήματα, ἀλλὰ νικᾷ ἡ ἀλήθεια, καθότι ὁ Βίνιος καὶ ἄλλων σημειοῖ ἐν τούτοις, ὅτι ἐπαίχθη ὁ Στέφανος Ῥώμης, καὶ τὰ ῥήματα τοῦ Κυπελανοῦ τῶν Τίτλων καὶ τῆς καθολικῆς ἐξουσίας τοῦ Ἐπισκόπου τῶν Ἐπισκόπων καθαπτόμενα, προσαπέβαλον αὐτὰ, ἤτοι καὶ τοὺς Τίτλους καὶ τὴν τοιαύτην ἐξουσίαν. τὰ αὐτὰ ῥήματα τοῦ Κυπελανοῦ καὶ Αὐγουστίνος βιβλίῳ τρίτῳ περὶ βαπτισμοῦ κατὰ Δονατιστῶν, κεφαλαίῳ τρίτῳ ἀναγινώσκει, καὶ καλεῖ πραότατον, καὶ ἀληθέστατον λόγον τῆς ἀληθείας.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Η΄.

Ὅτι τοῦ, ἔχει πᾶς Ἐπίσκοπος αὐτεξούσιον ἴδιον ὥστε μὴ κρίνεσθαι ὑφ' ἑτέρου μήτε αὐτὸν ἕτερον κρίνειν, ῥητοῦ τοῦ Κυπριανοῦ, δηλοῖ τὴν ἔννοιαν ὁ Αὐγουστῖνος, ἐπαινῶν αὐτόν.

Ἐν οἷς δὲ λέγει ὁ Κυπριανὸς, ὅτι ἔχει πᾶς Ἐπίσκοπος αὐτεξούσιον ἴδιον, ὥστε μὴ κρίνεσθαι ὑπὸ ἑτέρου μήτε αὐτὸν ἕτερον κρίνειν, πρὸς ταῦτα τοῦ Κυπριανοῦ λέγει ὁ Αὐγουστῖνος, Νομίζω πάντως ἐν τούτοις τοῖς ζητήμασιν, ἅτινα ὡς δεῖ οὐ διευκρινήθησαν, οἶδε γὰρ ὁ Κυπριανὸς πόσον τοῦ Μυστηρίου τὸ βάθος, ὥστε τὸ αὐτεξούσιον τοῦ ζητεῖν ἑκάστῳ παντελεύθερον ἀφίησιν, ἵνα διενεργηθείσης τῆς ὑποθέσεως ἡ ἀλήθεια φανερωθῇ. ταῦτα ἐκεῖ ὁ Αὐγουστῖνος, ὅπου τῇ ἐξετάσει τῶν ζητημάτων τὶ βούλεται δηλῶσαι, ἐξ ἑτέρων αὐτοῦ λόγων, ἤτοι βιβλίῳ δευτέρῳ κεφαλαίῳ τετάρτῳ περὶ τοῦ ζητήματος τοῦ βαπτισμοῦ, φανερόν ἐστι, καὶ αὐτὸν τὸν Κυπριανὸν ἐπαινῶν, συμφάσκει τῇ δόξῃ αὐτοῦ, λέγων, Οὔτε ἡμεῖς αὐτοὶ τοιοῦτόν τι ἀπετολμήσαμεν ἂν ὁμολογῆσαι, εἰ μὴ τῆς καθολικῆς Ἐκκλησίας τῇ ὁμοφρονεστάτῃ ἐξουσίᾳ ἐθεμελιούμεθα, ᾗ καὶ αὐτὸς (ὁ Κυπριανὸς) παρεῖχεν ἂν τὴν νίκην ἀναμφιβόλως, εἰ ἐν ἐκείνῳ τῷ καιρῷ τούτου τοῦ ζητήματος ἡ ἀλήθεια διὰ πληρεστάτης Συνόδου διωρίσθη. ἴδε ἀνωτέρω μέρους τρίτου κεφαλαίου τρίτου τμήματος τρίτου Παραγράφῳ ἕκτῳ τὰ τοῦ Αὐγουστίνου, καὶ ἔτι βιβλίου τρίτου τοῦ Αὐγουστίνου κεφάλαιον τέταρτον, ὅπου φησὶν, Ἠσπασάμην ἂν κἀγὼ ταύτην τὴν γνώμην, εἰ μὴ πρὸς ἐπιμελεστέραν καὶ κοινὴν σκέψιν ἡ συνείδησις κατηνάγκαζέ με. οὔτε ποτὲ εἰς ἐλάττωμα τοῦ Κυπριανοῦ ἐλογίσθη, ὅτι ἐν ἀμφιβόλῳ ζητήματι Στεφάνου τοῦ Πάπα Ῥώμης τὴν κρίσιν καὶ τὴν ἐξουσίαν αὐτοῦ τοῦ Πάπα ὑποδεεστέραν τῆς κοινῆς τῶν ὀπαδῶν κρίσεως ἐγίνωσκε.

ΠΑΡΑΓΡΑΦΟΝ Θ΄.

Ἀπόδειξις ἑτέρα κατὰ τῆς μοναρχίας τοῦ Πάπα ἐκ τοῦ ἐπαίνου τῶν Κυπριανοῦ ῥημάτων παρὰ τοῦ Αὐγουστίνου, τὸ δὲ ἐκλαμβάνειν τινὰς τὸ Ἀρχιερεὺς ὁ μέγιστος κατὰ Τερτουλλιανὸν ὁ Ἐπίσκοπος τῶν Ἐπισκόπων, καὶ ἐντεῦθεν συνάγειν ὅτι εἶχε τότε ὁ Πάπας ταύτην τὴν κλῆσιν, ἀχρεῖον καὶ λίαν ἀσθενές ἐστι, καὶ ἀπαίσιον τοῖς ἐνταῦτα πατράσι καὶ Πάπαις.

Ἑτέραν προσέτι δικαιολογίαν εὑρίσκομεν ἐνεῖνον τὸν παρὰ τοῦ Αὐγουστίνου ἔπαινον τῶν τοῦ Κυπριανοῦ ῥημάτων, ὅθεν οὕτως ἐπιχειροῦμεν, Ἣν ἐξουσίαν εἷς καὶ μόνος ἔχει ὁ Χριστὸς, οὐδεὶς ἄλλος τῶν ἀνθρώπων αὐτὴν ἔχει, ἄρα οὔτε ὁ Πάπας. ἀλλαμὴν τὴν ἐξουσίαν τοῦ μοναρχικοῦ Ποιμένος, ἤτοι τοῦ Ἐπισκόπου τῶν Ἐπισκόπων προτιθέναι πάντων τῶν λοιπῶν Ἐπισκόπων ἐν τῇ διοικήσει τῆς Ἐκκλησίας, καὶ λόγον ἀπαιτεῖν περὶ τῶν ἔργων αὐτῶν, εἷς καὶ μόνος ἔχει ὁ Χριστὸς, ἄρα. ἡ ἐλάττων ἐστὶ τοῦ Κυπριανοῦ καὶ τοῦ Αὐγουστίνου ἐν τοῖς προῤῥηθεῖσιν. Ἀλλ' ὁ Βελλαρμῖνος ἐν τῇ ἐπιγνώσει τοῦ δευτέρου βιβλίου περὶ τοῦ Πάπα κεφαλαίῳ τριακοστῷ πρώτῳ, καὶ Βαρώνιος ἔτει διακοσιοστῷ δεκάτῳ ἕκτῳ, καὶ Βίνιος ἐν ταῖς σημειώσεσι τῆς ὑπὸ τοῦ Κυπριανοῦ συγκροτηθείσης ἐν Καρθαγένῃ Συνόδου, καὶ Παμμέλιος ἐν ταῖς αὐτοῦ σημειώσεσιν εἰς τὸ τοῦ Τερτουλλιανοῦ περὶ σωφροσύνης, κεφαλαίῳ πρώτῳ, ἀριθμῷ πέμπτῳ, ἐκλαμβάνουσι τοὺς λόγους τοὺς ἐντούτῳ τῷ τόπῳ τοῦ Τερτουλλιανοῦ, Ἀρχιερεὺς δηλαδὴ ὁ μέγιστος, ὁ Ἐπίσκοπος τῶν Ἐπισκόπων, καὶ ἐντεῦθεν συνάγουσιν, ὅτι εἶχεν ὁ Πάπας τότε ταύτην τὴν κλῆσιν. Ἀχρεία ὅμως ἐστὶν αὕτη ἡ ἀπόδειξις, καὶ λίαν ἀσθενὴς, ἵνα ἑνὸς ἀνθρώπου Αἱρετικοῦ καὶ ἐπιμανέντος τῷ κατὰ τῆς Ἐκκλησίας μίσει ὁ λόγος δυνηθῇ συστῆσαι δόγμα εἰς τὴν Ἐκκλησίαν, καὶ ὁ ἀποβεβλημένος τῆς Ἐκκλησίας ἵνα ἔχῃ δόξαν ὀρθόδοξον καὶ ἁγίου ἀνδρὸς, καὶ μάλιστα ὅπου ὁ λόγος οὗτος παρὰ τοῖς παλαιοῖς ὀρθοδόξοις ἐν τοῖς γνησίοις αὐτῶν ὑπομνήμασιν οὐχ εὑρίσκεται. εἶτα ἀπεδείχθη ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ δεκάτῳ πέμπτῳ, ὅτι αὕτη ἡ λέξις, ΜΕΓΙΣΤΟΣ ΑΡΧΙΕΡΕΥΣ ἐξ ἀσεβείας ἤρξατο, καὶ εἰδωλολάτρου καὶ διώκτου τῶν Χριστιανῶν ἐφεύρεμά ἐστιν. ἔπειτα παρὰ τοῦ Κυπριανοῦ καὶ τῶν πατέρων τῶν κατ' αὐτὸν Συνόδων καὶ τῶν λοιπῶν ὀπαδῶν αὐτοῦ, καὶ παρὰ Αὐγουστίνου, καὶ ἔτι παρὰ πελαγίου, καὶ Γρηγορίου τοῦ Διαλόγου φανερῶς κατακρίνεται, ὅπου τὸν Τίτλον τοῦ Ἐπισκόπου τῶν Ἐπισκόπων ἀρνοῦνται ἐνίποτε τῶν ἀνθρώπων ἐφαρμόττειν, καὶ δὴ καὶ τὸ ἰσοδύναμον ὄνομα τοῦ καθολικοῦ Ἐπισκόπου, καὶ ἀφ' ἑαυτῶν καὶ ἀπὸ παντὸς ἄλλου Ἐπισκόπου πόῤῥω ἐκβάλλουσι Πελάγιος ὁ πρῶτος καὶ Γρηγόριος ὁ Διάλογος, καὶ ἐννενηκοστῇ ἐνάτῃ διαιρέσει τῶν Κανόνων, ἧς ἡ ἀρχὴ, ΟΥΔΕΙΣ, καὶ Κανόνι, ΙΔΟΥ, ἐμποδίζουσι ταῦτα. ἐντεῦθεν δὲ ἑτέρα τις ἐπιφύεται ἀπόδειξις τῆς ἡμετέρας ἐλάττονος προτάσεως.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ἀπόδειξις ἑτέρα συλλογιστικὴ Γρηγορίου τοῦ Διαλόγου κατὰ τῆς μοναρχίας τοῦ Πάπα, ὅτι λῆψις διαβολικὴ ἡ καθόλου προσηγορία.

Συλλογίζεται ὁ Διάλογος φερόμενος κατὰ τοῦ Νηστευτοῦ διὰ τὴν προσηγορίαν τοῦ καθολικοῦ οὕτω, Τὸ νέον ὄνομα, ἤτοι τὸ καθολικὸς Ἐπίσκοπος ἐστὶν ἐθνικὸν, αὔθαδες, δεισιδαῖμον, ἄφρον, πομπηϊκὸν, ὑπερήφανον, ἀλιτήριον, ληρῶδες, βδελυκτὸν, βλασφημιῶν πλῆρες, τὸ δὲ οἰκειοποιεῖσθαι τοῦτο, λῆψις ἐστὶ διαβολική. ἀλλαμὴν τὸ οἰκειοποιεῖσθαι νέον ὄνομα, καὶ τὰ ἑξῆς, ἄρα τὸ οἰκειοποιεῖσθαι τὸ ὄνομα τοῦ καθολικοῦ Ἐπισκόπου, διαβολική ἐστι λῆψις, δηλαδὴ ὥσπερ ὁ Θεὸν ἑαυτὸν καλῶν ἄνθρωπος ὢν ψιλὸς, οἰκειοποιεῖται ὄνομα ἐθνικὸν, αὔθαδες, δεισιδαῖμον, ἄφρον, πομπηϊκὸν, ὑπερήφανον, ἀλιτήριον, λοιμῶδες, βδελυκτὸν, βλασφημιῶν πλῆρες, ὅπερ ἐστὶ διαβολικὴ λῆψις, οὕτω πᾶς τις τῶν Ἐπισκόπων ἑαυτῷ ταύτην τὴν παρέκδοτον τιμὴν οἰκειοποιεῖται, ἵνα καθολικὸς καλῆται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Ἐν πόσοις τόποις τῶν συγγραμμάτων αὐτοῦ Γρηγόριος ὁ Διάλογος καὶ πρὸς τίνας καλεῖ τὸ ὄνομα τοῦ καθολικοῦ Ἐπισκόπου νέον, ἐθνικὸν, ἄθεον καὶ τὰ ἑξῆς, λέγων καὶ αὐτοὺς τοὺς πρώτους τῶν Ἀποστόλων κεφαλὰς μὲν μερικῶν ὄχλων, μέλη δὲ πάντας τῆς καθολικῆς Ἐκκλησίας ὑπὸ μιᾷ κεφαλῇ τῷ Χριστῷ.

Ὁ συλλογισμὸς οὗτος ἐστὶ Γρηγορίου τοῦ Διαλόγου, ὅστις τὴν οἰκειοποίησιν τούτου τοῦ ὀνόματος καλεῖ οἰκειοποίησιν διαβολικὴν βιβλίῳ τετάρτῳ τῶν ἐπιστολῶν κεφαλαίῳ ὀγδοηκοστῷ, ἤτοι ἐπιστολῇ τριακοστῇ ἕκτῃ πρὸς Εὐλόγιον τὸν Πατριάρχην Ἀλεξανδρείας, ὅστις αὐτὸ τὸ ὄνομα τοῦ καθολικοῦ Ἐπισκόπου λέγει ὅτι ἐστὶ νέον, ἐθνικὸν, καὶ τὰ ἑξῆς, βιβλίῳ τετάρτῳ τῶν ἐπιστολῶν κεφαλαίοις ἑβδομηκοστῷ ἕκτῳ, ἑβδομηκοστῷ ὀγδόῳ, ὀγδοηκοστῷ, ὀγδοηκοστῷ δευτέρῳ, καὶ βιβλίῳ ἕκτῳ κεφαλαίοις ἑκατοστῷ ἑξηκοστῷ ἐνάτῳ, ἑκατοστῷ ἐννενηκοστῷ δευτέρῳ, ἑκατοστῷ ἐννενηκοστῷ τετάρτῳ, ἑκατοστῷ ἐννενηκοστῷ πέμπτῳ, καὶ βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ ἑξηκοστῷ ἐνάτῳ. καὶ πρὸς Ἀνιανὸν Διάκονον Κωνσταντινουπόλεως γράφων λέγει, Ταύτην τὴν ἄθεον λέξιν στέργειν, οὐδὲν ἕτερόν ἐστιν, εἰμὴ τὴν πίστιν ἀπολέσαι, βιβλίῳ τετάρτῳ, ἐπιστολῇ τριακοστῇ ἐνάτῃ, ἤτοι κεφαλαίῳ ὀγδοηκοστῷ τρίτῳ. καὶ ἵνα μή τις νομίσῃ ὅτι ἐξαιρεῖ τὸν Πάπαν τῆς Ῥώμης, τουτέστι τοῖς λοιποῖς μόνοις μὴ ἁρμόττειν τὴν λέξιν, τῷ δὲ Πάπᾳ καὶ δίκαιον καὶ εὔλογόν ἐστι τὸ οἰκειοῦσθαι τοὔνομα τοῦτο, ὁ Διάλογος αὐτὸς ἀπαιτεῖ, καὶ μεγαλοφώνως βοᾷ, Οὐδείς ποτε τῶν προκατόχων μου ταύτῃ τῇ ἀθέῳ λέξει χρῆσθαι ἠθέλησεν, ἡ ὑμετέρα ἁγιωσύνη ἐν ταῖς ἐπιστολαῖς αὐτῆς οὐδένα ποτὲ καθολικὸν ὀνομασάτω, βιβλίῳ τετάρτῳ κεφαλαίῳ ὀγδοηκοστῷ, ἤτοι ἐπιστολῇ τριακοστῇ ἕκτῃ πρὸς Εὐλόγιον τὸν Ἀλεξανδρείας. καὶ ἑτέρωθι λέγει ὁ αὐτὸς, Ἐγὼ δὲ θαρρῶν λέγω, ὅτι πᾶς ὁ ἑαυτὸν καθολικὸν Ἐπίσκοπον καλῶν, ἢ καὶ καλεῖσθαι ἐπιποθῶν ἐν τῇ ἐπάρσει αὐτοῦ, πρόδρομός ἐστι τοῦ Ἀντιχρίστου, ὑπερηφανευόμενος γὰρ, ἑαυτὸν τῶν λοιπῶν προτίθησιν, ὥστε οὐκ ἀνίσῳ ὑπερηφανίᾳ τῷ τοῦ Ἀντιχρίστου ὁλκῷ φέρεται, βιβλίῳ ἕκτῳ κεφαλαίῳ ἑκατοστῷ ἐννενηκοστῷ πέμπτῳ, ἤτοι ἐπιστολῇ τριακοστῇ πρὸς Ναυρίκιον τὸν Αὐτοκράτορα. προσέτι ἐν τῇ διαλέξει ἐκείνῃ καὶ αὐτοὺς τοὺς Ἀποστόλους, καὶ πάντας τοὺς ἁγίους ἐξαιρεῖ ἀπὸ τοῦ τοιούτου Τίτλου, ταῦτα λέγων, Ἀληθῶς Πέτρος ὁ Ἀπόστολος τὸ πρῶτον μέλος ἐστὶ τῆς ἁγίας καθολικῆς Ἐκκλησίας, Παῦλος, Ἀνδρέας, Ἰωάννης, τί ἕτερον, εἰμὴ τῶν μερικῶν ὄχλων κεφαλαί εἰσι, καὶ ὅμως ὑπὸ μιᾷ κεφαλῇ ἅπαντες μέλη εἰσὶ τῆς καθολικῆς Ἐκκλησίας, καὶ ἵνα τὰ πάντα βραχυτάτῃ τοῦ λόγου περιόδῳ σφίγξω, ἅγιοι πρὸ τοῦ Νόμου, ἅγιοι ὑπὸ τὸν Νόμον, ἅγιοι ὑπὸ τὴν Χάριν, πάντες οὗτοι τελειοῦντες τὸ σῶμα τοῦ Κυρίου ἐν μέλεσι τῆς Ἐκκλησίας καθίστανται, καὶ οὐδείς ποτε καθολικὸν ἑαυτὸν ὀνομάσαι ἠθέλησεν, ἡ δὲ σὴ ἁγιωσύνη γνώτω πόσῳ μᾶλλον τυφοῦται ὁ τούτῳ τῷ ὀνόματι καλεῖσθαι ζητῶν, ᾧ οὐδείς ποτε καλεῖσθαι ἐνόμισεν, ὅστις ἀληθῶς ἅγιος ἦν. ταῦτα Γρηγόριος βιβλίῳ τετάρτῳ τῶν ἐπιστολῶν κεφαλαίῳ ὀγδοηκοστῷ δευτέρῳ, ἤτοι ἐπιστολῇ τριακοστῇ ὀγδόῃ πρὸς Ἰωάννην τὸν Νηστευτὴν, ὃς ἑαυτὸν ὡς εἴρηται καθολικὸν ὠνόμασε.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Πρόβλημα τῶν παπιστῶν, ὅτι τὸ ὄνομα τοῦ καθόλου Ἐπισκόπου διχῶς διαιρεῖται, ἢ εἰς ἕνα μόνον πασῶν τῶν πόλεων Ἐπίσκοπον, ὃ καὶ ὁ Διάλογος ἀπεστρέφετο, ἢ εἰς τὸν ἔχοντα τὴν μέριμναν πασῶν τῶν Ἐκκλησιῶν, ὃ καὶ τὴν ἔννοιαν φασὶ τοῦ Διαλόγου μόνῳ τῷ Ῥώμης ἁρμόζειν. ὃ καὶ σπεύδει ὁ Βελλαρμῖνος τρισὶν ἀποδείξεσι βεβαιῶσαι.

Προβά-

Προβάλλουσιν οἱ ἀντικείμενοι εἰς διαυθέντευσιν αὐτῶν τὴν διαίρεσιν ἣν προφέρει ὁ Βελλαρμῖνος βιβλίῳ τετάρτῳ περὶ τοῦ Πάπα, κεφαλαίῳ ὑστάτῳ, ἤτοι τὸ ὄνομα τοῦ καθολικοῦ Ἐπισκόπου διχῶς δύνασθαι διαιρεῖσθαι, καθ' ἕνα μὲν τρόπον ὁ λεγόμενος Οἰκουμενικὸς νοεῖται εἶναι μόνος Ἐπίσκοπος πασῶν τῶν Χριστιανικῶν πόλεων οὕτως, ὥστε τοὺς λοιποὺς μὴ εἶναι Ἐπισκόπους, ἀλλὰ βικαρίους μόνον ἐκείνου τοῦ λεγομένου καθολικοῦ Ἐπισκόπου, καὶ κατὰ τοῦτον τὸν τρόπον ἐστὶ τοῦτο τὸ ὄνομα ἀληθῶς βέβηλον, ἱερόσυλον καὶ ἀντιχριστιανικὸν, καὶ περὶ ταύτης τῆς σημασίας ὁμιλεῖ ὁ Διάλογος, ὅπερ φανερόν ἐστιν ἀπὸ τοῦ λόγου ὃν ἀποδίδωσιν ὁ Γρηγόριος, λέγων βιβλίῳ τετάρτῳ, ἐπιστολῇ τριακοστῇ τετάρτῃ πρὸς Κωνσταντίαν, Λυπηρόν ἐστι λίαν ὡς μεθ' ὑπομονῆς φέρειν αὐτὸ, καθότι καταφρονήσας τῶν πάντων ὁ προῤῥηθεὶς ἀδελφὸς, καὶ συνεπίσκοπός μου, μόνος βιάζεται καλεῖσθαι Ἐπίσκοπος. καὶ βιβλίῳ τετάρτῳ ἐπιστολῇ τριακοστῇ ἑκτῇ πρὸς Εὐλόγιον λέγει, Εἰ εἷς Πατριάρχης καθολικὸς λέγεται, τὸ ὄνομα τῶν Πατριαρχῶν ἀφαιρεῖται τῶν λοιπῶν. καὶ βιβλίῳ ἑβδόμῳ, ἐπιστολῇ ἑξηκοστῇ ἐνάτῃ πρὸς Εὐσέβιον, Εἰ εἷς καθολικός ἐστι, μαρτυρεῖ ὑμᾶς μὴ εἶναι Ἐπισκόπους. κατὰ δὲ δεύτερον τρόπον δύναται λέγεσθαι Οἰκουμενικὸς Ἐπίσκοπος, ὃς ἔχει τὴν φροντίδα ἁπάσης τῆς Ἐκκλησίας, ἀλλὰ γενικὴν οὕτως, ὥστε μὴ ἀποβάλλειν τοὺς μερικοὺς Ἐπισκόπους, καὶ κατὰ τοῦτον τὸν τρόπον τὸ ὄνομα τοῦτο δύναται δοθῆναι τῷ Πάπᾳ ἐκ τοῦ νοὸς τοῦ Γρηγορίου. Βιάζεται δὲ ὁ Βελλαρμῖνος δεῖξαι σαθηρὸν τὸ πρόβλημα τοῦτο τρισὶν ἀποδείξεσι, πρῶτον, ὡς δῆθεν ὁμολογεῖ ὁ Γρηγόριος βιβλίῳ τετάρτῳ, ἐπιστολῇ τριακοστῇ δευτέρᾳ τὸ ὄνομα τοῦ Οἰκουμενικοῦ Ἐπισκόπου δοθῆναι παρὰ τῆς ἐν Χαλκηδόνι Συνόδου τῷ Πάπᾳ, ἣν ἁγίαν καὶ καθολικὴν οἶδεν ὁ Γρηγόριος, φαίνεται ἄρα ὅτι ὁ Γρηγόριος βούλεται τὸ ὄνομα τοῦτο ἁρμόττειν τῷ Πάπᾳ. δεύτερον, ὁ αὐτὸς Γρηγόριος βιβλίῳ τετάρτῳ, ἐπιστολῇ τριακοστῇ δευτέρᾳ φάσκει τὴν φροντίδα πάσης τῆς Ἐκκλησίας δοθῆναι τῷ Πέτρῳ παρὰ τοῦ Κυρίου, καὶ τοῦτο ταὐτόν ἐστιν, ὡσεὶ εἶπεν, ὁ Πέτρος Οἰκουμενικὸς Ἐπίσκοπος κατέστη παρὰ τοῦ Κυρίου. τρίτον, εἰ καὶ οἱ τῆς Ῥώμης Ἀρχιερεῖς, ὡς ὀρθῶς φησὶν ὁ Γρηγόριος οὐκ ἐκάλεσαν ἑαυτοὺς Οἰκουμενικοὺς Ἐπισκόπους, ὅμως πολλάκις ἐκάλεσαν ἑαυτοὺς Ἐπισκόπους τῆς καθολικῆς Ἐκκλησίας, Σίκστος ὁ πρῶτος ἐπιστολῇ δευτέρᾳ, Βίκτωρ ὁ πρῶτος ἐπιστολῇ πρώτῃ, Πονταινὸς ἐπιστολῇ δευτέρᾳ, Στέφανος ὁ πρῶτος ἐπιστολῇ δευτέρᾳ, Λέων ὁ πρῶτος ἐπιστολῇ πεντηκοστῇ τετάρτῃ, καὶ ἑξηκοστῇ δευτέρᾳ, καὶ ἑξηκοστῇ πέμπτῃ. λέγουσι λοιπὸν, ὅτι ταύτας τὰς μαρτυρίας ἀνέγνω ὁ Γρηγόριος, καὶ ἔγνω καλῶς μὴ διαφέρειν ἐάν τις εἴπῃ Ἐπίσκοπον τῆς καθολικῆς Ἐκκλησίας, καὶ Ἐπίσκοπον καθολικόν. λεγόντων δὲ ἡμῶν τὸν Γρηγόριον ἀπολελυμένως λέγειν τοὔνομα τοῦτο βδελυκτὸν, ἄνομον καὶ ἀντιχριστιανικὸν, καὶ ἀπολελυμένως ἀποβάλλειν τὴν χρῆσιν αὐτοῦ, ὁ Βελλαρμῖνος ἀποκρινόμενος λέγει τὸν Γρηγόριον ποιῆσαι τοῦτο δύο ἕνεκεν αὐτῶν, ὧν ἡ πρώτη ἦν χάριν προσοχῆς, καθότι καὶ τοὔνομα Χριστοτόκος ἀγαθὴν ἔχει τὴν ἔννοιαν, ἀλλ' ὅμως οἱ πατέρες ἀπεδοκίμασαν τὴν κλῆσιν ἐκείνου τοῦ ὀνόματος, ἵνα μὴ ὑπ' αὐτὸ ἡ τοῦ Νεστορίου κρύπτηται Αἵρεσις, ὃς τὴν ἁγίαν Μαρίαν Χριστοῦ μητέρα, καὶ οὐ Θεοῦ ὠνόμαζε. δευτέρα, ὅτι τὸ ζήτημα ἦν τότε πότερον δυνατόν ἐστι συγχωρῆσαι τὸ ὄνομα τοῦτο τῷ Κωνσταντινουπόλεως Ἰωάννῃ, οὐ μὴν δὲ, εἰ δυνατόν ἐστι συγχωρῆσαι τοῦτο τῷ Ῥώμης; ἐπεὶ ἄρα τῷ Ἰωάννῃ ἐκείνῳ ἐν οὐδὲ μιᾷ ἐννοίᾳ ἥρμοζε τὸ ὄνομα τοῦ καθολικοῦ, τούτου χάριν κατέκρινεν αὐτὸ ὁ Γρηγόριος, καὶ ὅμως αὐτὸ ἰδιοποιεῖτο ἑαυτῷ, ὅθεν ἁπλῶς καὶ ἀπολελυμένως ὁ Γρηγόριος ἔλεγε τὸ ὄνομα τοῦτο βέβηλον καὶ ἱερόσυλον, τουτέστι καθὸ ἐδίδοτο τῷ Κωνσταντινουπόλεως, εἰ δὲ καὶ ἑαυτῷ ἔντινι ἐννοίᾳ ἥρμοζε τὸ ὄνομα, ὅμως ἵνα καταβάλλῃ ῥᾷον τὴν ὑπερηφανίαν τοῦ Κωνσταντινουπόλεως, ἀπεποιεῖτο αὐτὸ τελείως. ταῦτά εἰσιν ἐκεῖνα ὁποῖα δὴ τὰ καταφύγια, οἷς ἀναγκάζονται οἱ παπισταὶ ἐκκλίνειν τὴν βίαν τὴν προερχομένην αὐτοῖς ἀπὸ τῶν τοῦ Διαλόγου λόγων, ἀλλὰ πάνυ ἀσθενὲς καὶ δυστυχὲς τέλος ἀποβήσεται τούτοις ἐκ τῶν τοιούτων γραϊδικῶν μύθων. σὺν τῷ Βελλαρμίνῳ δὲ ταῦτα φησὶ καὶ Βαρώνιος ἐν ἔτει πεντακοσιοστῷ ἐννενηκοστῷ πέμπτῳ, ἐλέγχονται ὅμως ἄμφω ὡς σοφισταὶ κατακράτος ταῖς παρούσαις ἀντιθέσεσι.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ἀντίθεσις πρώτη, ὅτι οὔποτέ τις τῶν Κωνσταντινουπόλεως Πατριαρχῶν ἠθέλησε καλεῖσθαι Οἰκουμενικὸς κατὰ τὴν πρώτην διαίρεσιν τοῦ Βελλαρμίνου, ἤτοι μόνος Ἐπίσκοπος πασῶν τῶν χριστιανικῶν πόλεων.

Ὁ Κωνσταντινουπόλεως Ἐπίσκοπος ἠθέλησε λέγεσθαι Οἰκουμενικὸς, ἤτοι καθολικὸς, οὐχὶ μέντοι καθ' ὃν τρόπον λέγει ὁ Βελλαρμῖνος τὸ ὄνομα τοῦ καθολικοῦ Ἐπισκόπου βέβηλον καὶ ἀντιχριστιανικὸν, καὶ γὰρ ὁ Νηστευτὴς Ἰωάννης καὶ ὁ διάδοχος αὐτοῦ Κυριακὸς οὐκ ἔλεγον ἑαυτοὺς εἶναι μόνους Ἐπισκόπους ἁπασῶν τῶν χριστιανικῶν πόλεων οὕτως, ὥστε μὴ κρατεῖν τοὺς λοιποὺς Ἐπισκόπους κυρίᾳ καὶ ἀληθεῖ διαδοχῇ, καὶ κυρίως εἶναι ἕκαστον κεφαλὴν τῆς παροικίας αὐτοῦ, ἀλλ' εἶναι ἀντὶ βικαρίων ἐκείνου, ὃς ἐλέγετο Οἰκουμενικὸς Ἐπίσκοπος, οὔτε τοιαύτην τινὰ ἔννοιαν ἔλαβέ ποτε περὶ ἑαυτοῦ Ἐπίσκοπός τις Κωνσταντινουπόλεως, ὃς ἑαυτὸν Οἰκουμενικὸν εἶπε, καὶ μάλιστα τὸ ὄνομα τοῦτο ἕως τῆς σήμερον

ἐκ

εἰς τοὺς Κωνσταντινουπόλεως Ἐπισκόπους σταθηρῶς ἐπικρατεῖ, καὶ παρὰ τῶν λοιπῶν τῆς Ἀνατολῆς Ἐπισκόπων δίδοται αὐτῷ, οὓς ἀληθῶς ἐκεῖνος ὁμοτίμους συνεπισκόπους γινώσκει, καθὰ καὶ πρὸ τοῦ Νηστευτοῦ καὶ τοῦ Κυριακοῦ ἐπὶ τῶν συναθροισθεισῶν Συνόδων ἐπὶ Ἰωάννου τοῦ Καππάδοκος καὶ Μηνᾶ οἱ Ἐπίσκοποι Κωνσταντινουπόλεως Οἰκουμενικοὶ ἐκαλοῦντο, ὡς φαίνεται πράξεσι δευτέρᾳ καὶ τετάρτῃ καὶ πέμπτῃ τῆς ἐπὶ Μηνᾶ Συνόδου, καὶ εἴρηται ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίῳ ἑνδεκάτῳ. ἀλλὰ δὴ καὶ ὁ μέγας Ἰουστινιανὸς Μηνᾶν, Ἐπιφάνιον καὶ Ἄνθιμον τοὺς Κωνσταντινουπόλεως Ἐπισκόπους Οἰκουμενικοὺς καλεῖ, ὡς φαίνεται εἰς τὰς Νεαρὰς αὐτοῦ, δηλαδὴ τρίτην καὶ πέμπτην καὶ ἑβδόμην καὶ ἑκκαιδεκάτην καὶ τεσσαρακοστὴν δευτέραν καὶ ἑβδομηκοστὴν ἐνάτην καὶ ὀγδοηκοστὴν τρίτην, καὶ τοῦ Κῴδικος Κανόνι ἑβδόμῳ περὶ τῆς ἁγίας Τριάδος, καὶ Κανόνι τριακοστῷ τετάρτῳ περὶ τοῦ εὔχεσθαι τοὺς Ἐπισκόπους. καὶ δὴ καὶ ὁ Μαυρίκιος Οἰκουμενικὸν ἐκάλει τὸν Νηστευτὴν, καὶ ὁ Ἡράκλειος τὸν Σέργιον, ὡς καὶ Λέων ὁ σοφὸς ἐν ταῖς διαταγαῖς τὸν Στέφανον. καὶ ἐν ταῖς πράξεσι τῆς ἑβδόμης Συνόδου μεγαλοφώνως παρὰ πάντων τῶν πατέρων ὁ Ταράσιος Οἰκουμενικὸς ἐκαλεῖτο, ἀλλ' οὐδέποτε ἐφρόνησαν οἱ Ἐπίσκοποι Κωνσταντινουπόλεως, οὔτε ἐπὶ τοῦ Νηστευτοῦ καὶ τοῦ Κυριακοῦ, οὔτε πρὸ αὐτῶν, οὔτε μετ' αὐτοὺς περὶ αὐτῶν οὐδὲ γρῦ, ὡς ὁ Βελλαρμῖνος φησὶ κατηγορῶν τοῦ Νηστευτοῦ, καὶ ὡς ὁ Πάπας τῆς Ῥώμης καταχρώμενος τῷ ὀνόματι εἰς περικάλυμμα τῆς ἄκρας ὑπερηφανίας αὐτοῦ, ἀναιδῶς ὅτι λίαν μυθεύεται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Ἀντίθεσις δευτέρα, ὅτι ἃ προσφέρει ῥητὰ τοῦ Διαλόγου ὁ Βελλαρμῖνος εἰς πρώτην διαίρεσιν τοῦ Οἰκουμενικὸς ὀνόματος, δείκνυνται ἐκ τῶν αὐτῶν ῥητῶν τοῦ αὐτοῦ, καὶ ἐπιστολῶν οὐκ ἀπολελυμένως ἀλλὰ συγκριτικῶς εἰρῆσθαι.

Τοῦ Διαλόγου τὰ ῥήματα, ἅτινα ὁ Βελλαρμῖνος λαμβάνει ἀπὸ τοῦ τετάρτου βιβλίου ἐπιστολῇ τριακοστῇ τετάρτῃ καὶ τριακοστῇ ἕκτῃ, καὶ ἐκ τοῦ ἑβδόμου βιβλίου ἐπιστολῇ ἑξηκοστῇ ἐνάτῃ, οὐκ εἰσφέρουσι τοῦτο ὅπερ λέγει ὁ Βελλαρμῖνος, καὶ γὰρ οὐκ ἀπολελυμένως, ἀλλὰ συγκριτικῶς ληπτέον τὰ ῥήματα, ὃ γίνεται δῆλον ἐκ τῶν αὐτοῦ τοῦ Γρηγορίου διαλέξεων, καὶ ἐξ ἑτέρων αὐτοῦ ἐπιστολῶν, ὅπου δείκνυσι ταύτῃ τῆς ὑπερηφανίας τῇ λέξει τὸν Ἐπίσκοπον Κωνσταντινουπόλεως μιμεῖσθαι τὸν Διάβολον, ὅστις καταφρονήσας τῶν Λεγεώνων τῶν Ἀγγέλων τῶν συνόντων ἐν τῇ ὁμοφρόνῳ χαρᾷ, ἠναγκάσθη πρὸς τὸ ὕψος τῆς μονότητος ἐπιβῆναι. οὕτως οὖν ὁμολογεῖ ὁ Γρηγόριος. καὶ βιβλίῳ τετάρτῳ ἐπιστολῇ τριακοστῇ τετάρτῃ, ἤτοι κεφαλαίῳ ἑξηκοστῷ ὀγδόῳ πρὸς Κωνσταντίαν καὶ Εὐλογίῳ Ἀλεξανδρείας γράφων φησὶ, Διὰ τοῦτο ἡ ὑμετέρα ἁγιωσύνη ἐν ταῖς αὐτῆς ἐπιστολαῖς μηδένα ποτὲ καθολικὸν ὀνομασάτω, ἵνα μὴ τὸ πρέπον σοι ἐλαττωθῇ, ἑτέρῳ τὴν μὴ πρέπουσαν τιμὴν προσφέρων. Καὶ, μεγαλαυχίαν ἔλαβεν Ἰωάννης ὁ Κωνσταντινουπόλεως τοσοῦτον, ὅτι πάντα δοκιμάζει ἑαυτῷ περιγράφειν, καὶ πάντα, ἃ μιᾷ μόνῃ κεφαλῇ συγγίνονται δηλαδὴ τῷ Χριστῷ, διὰ τῆς ἐπάρσεως τοῦ πομπηϊκοῦ λόγου, τοῦ Χριστοῦ τὰ μέλη ὑποχείρια ποιῆσαι σπουδάζει, βιβλίῳ τετάρτῳ ἐπιστολῇ τριακοστῇ ἕκτῃ, ἤτοι κεφαλαίῳ ὀγδοηκοστῷ πρὸς Εὐλόγιον. Ὁ αὐτὸς φησὶν, Οὐδείς ποτε τῶν Ἀρχιερέων τῆς Ῥώμης ἔλαβε ταύτην τὴν λέξιν τῆς μονότητος, οὔτε χρῆσθαι ἑαυτῷ συνεχώρησεν, ἵνα μὴ ἑνὶ μερικόν τι διδόμενον τῆς πρεπούσης τιμῆς οἱ Ἱερεῖς (ἤτοι οἱ λοιποὶ Ἐπίσκοποι) ὑστερηθῶσι, βιβλίῳ τετάρτῳ ἐπιστολῇ τριακοστῇ δευτέρᾳ, ἤτοι κεφαλαίῳ ἑβδομηκοστῷ ἕκτῳ πρὸς Μαυρίκιον Αὔγουστον. καὶ πρὸς αὐτὸν γράφων τὸν Νηστευτὴν φησὶ, Πρὸς τοῦτο πολλάκις προέβης, ὅτι καταφρονήσας τῶν ἀδελφῶν, μόνος καλεῖσθαι Ἐπίσκοπος ἐπιποθεῖς. λάβε κατὰ νοῦν παρακαλῶ, ὅτι ἐν ταύτῃ τῇ αὐθάδει οἰήσει ἁπάσης τῆς Ἐκκλησίας ἡ εἰρήνη θορυβεῖται, καὶ ἀντιλέγεται τῇ χάριτι τῇ κοινῶς πάσαις ταῖς Ἐκκλησίαις διαδοθείσῃ. ἀληθῶς Παῦλος ὁ Ἀπόστολος ἀκούων τινῶν λεγόντων, Ἐγώ εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ, ταύτην τὴν διαῤῥαγὴν τοῦ κυριακοῦ σώματος δι' ἧς τὰ μέλη αὐτοῦ τρόπον τινὰ ἑτέραις τισὶ κεφαλαῖς συνεγίνοντο, σφοδρῶς φρίττων ἐβόησε, Μὴ Παῦλος ὑπὲρ ὑμῶν ἐσταυρώθη; ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; εἰ ἄρα ἐκεῖνος τὰ μέλη τοῦ κυριακοῦ σώματος μερικαῖς τισιν ἔξω Χριστοῦ κεφαλαῖς, καὶ μέντοι ἀποστολικαῖς ὑποτάσσεσθαι μερικῶς ἀπηγορεύσατο, σὺ τὶ τῷ Χριστῷ τῆς καθολικῆς Ἐκκλησίας τῇ κεφαλῇ ἐν τῇ ἐσχάτῃ τῆς κρίσεως ἐξετάσει εἴποις; ὃς πάντα τὰ μέλη σοὶ μόνῳ τῇ κλήσει τοῦ Οἰκουμενικοῦ ἀναγκάζῃ. τὶς παρακαλῶ ἐν τούτῳ τῷ τοσούτῳ διεστραμμένῳ ὀνόματι πρὸς τὸ μιμεῖσθαι προβάλλεται, εἰ μὴ ἐκεῖνος ὁ καταφρονήσας τῶν Λεγεώνων τῶν Ἀγγέλων τῶν συνοδικῶς αὐτῷ διατεταγμένων, μόνος πρὸς τὸ ὕψος τῆς μονότητος ἐπιβῆναι ἠναγκάσθη, ἵνα μηδενὶ ὑπείκειν, καὶ μόνος πᾶσι προΐστασθαι δόξῃ, ὅστις καὶ εἶπεν, Ἀναβήσομαι εἰς τὸν Οὐρανὸν, ἐπὶ τοὺς Ἀστέρας τοῦ Οὐρανοῦ ὑψώσω τὸν θρόνον μου, καθήσομαι ἐν τῷ ὄρει τῆς διαθήκης ἐν τοῖς μέρεσι τοῦ Βορρᾶ, ἀναβήσομαι ἐπὶ τὸ ὕψος τῶν Νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ. τὶ γὰρ πάντες εἰσὶν οἱ ἀδελφοὶ τῆς καθολικῆς Ἐκκλησίας Ἐπίσκοποι, εἰ μὴ Ἄστρα τοῦ Οὐρανοῦ εἰσὶν, ὧν ἡ ζωὴ ὁμοίως καὶ ἡ γλῶσσα μεταξὺ τῶν ἁμαρτιῶν καὶ τῶν σφαλμάτων τῶν ἀνθρώπων, ὡσεὶ μεταξὺ τοῦ σκότους τῆς νυκτὸς ἐκλάμπουσιν, ὧν ἐπιποθῶν σεαυτὸν τῷ ῥήματι τῆς

ἐπάρσεως

ἐπάρσεως προτιθέναι, τό,τε αὐτῶν ὄνομα τῇ σεαυτοῦ συγκρίσει καταπατῆσαι, τὶ ἕτερον φῄς, εἰ μὴ ἀναβήσομαι εἰς τὸν Οὐρανὸν, ἐπὶ τὰ Ἄστρα τοῦ Οὐρανοῦ ὑψώσω τὸν θρόνον μου. ἆρα οὐκ εἰσὶ πάντες οἱ Ἐπίσκοποι Νέφη, οἳ τοῖς λόγοις τοῦ κηρύγματος βρέχουσι καὶ τῷ τῶν ἀγαθῶν ἔργων φωτὶ, οὓς καταφρονοῦσα ἡ σὴ ἀδελφότης, ὑπὸ σεαυτῷ καταβαλλεῖν σπεύδεις, τὶ ἕτερον φῄς, εἰ μὴ τὸ τοῦ παλαιοῦ ἐχθροῦ λεγόμενον, Ἀναβήσομαι ἐπὶ τὸ ὕψος τῶν Νεφελῶν. γνώτω δὲ ἡ σὴ ἁγιωσύνη πόσον παρ' αὐτῷ τυφοῦται εἴτις ἐκείνῳ τῷ ὀνόματι καλεῖσθαι ποθεῖ, ᾧ οὐδεὶς ὀνομασθῆναι ᾠήθη, ὃς ἀληθῶς ἅγιος ἦν. ἆρα οὐ γινώσκει καὶ ἄλλός τις ὡς ἡ σὴ ἁγιωσύνη, ὅτι διὰ τῆς προσκυνητῆς ἁγίας ἐν Χαλκηδόνι Συνόδου τούτου τοῦ θρόνου οἱ Ἀρχιερεῖς, ᾧ θρόνῳ κἀγὼ Θεοῦ εὐδοκοῦντος ὑπηρετῶ, καθολικοὶ πρεπόντως ὠνομάσθησαν, ἀλλ' ὅμως οὐδείς ποτε ταύτῃ τῇ λέξει καλεῖσθαι ἠθέλησεν, οὐδεὶς ἑαυτῷ τὸ ἀναίσχυντον ὄνομα ἔλαβεν, ἵνα μὴ ἐν τῷ βαθμῷ τῆς Ἀρχιερωσύνης τὴν τάξιν τῆς μονότητος ἰδιοποιούμενος ταύτην πάντων τῶν λοιπῶν ἀδελφῶν ἀπαγορεῦσαι δόξῃ. τὶ δὲ ὁ Κύριος φησί; Πατέρα ἐπὶ τῆς γῆς μὴ θέλετε καλέσαι, εἷς γὰρ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς Οὐρανοῖς. τὶ ἆρα ἀδελφὲ περιπόθητε ἐν ἐκείνῃ τῇ φοβερᾷ ἐτάσει ἐρχομένῳ τῷ Κριτῇ ἀποκριθήσῃ; ὅστις οὐ μόνον πατὴρ, ἀλλὰ καὶ γενικῶς πατὴρ ἐν τῷ κόσμῳ ὀνομάζεσθαι ποθεῖς. ταῦτα Γρηγόριος ὁ Διάλογος βιβλίῳ τετάρτῳ, κεφαλαίῳ ὀγδοηκοστῷ ὀγδόῳ, ἤτοι ἐπιστολῇ τριακοστῇ ὀγδόῃ πρὸς Ἰωάννην τὸν Κωνσταντινουπόλεως.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ΄.

Ἀντίθεσις τρίτη εἰς τὴν αὐτὴν, ὅτι τὸ ὄνομα τοῦ καθολικοῦ Ἐπισκόπου ἐκλαμβανόμενον καθ' ὃν τρόπον οἱ Σχολαστικοὶ διδόασι τῷ Ῥώμης, ἐστὶ κατὰ τὸν νοῦν τοῦ Διαλόγου βέβηλον καὶ διαβολικὴ λῆψις, ὡς ὕψος μονότητος δηλοῦν.

Τὸ ὄνομα τοῦ καθολικοῦ Ἐπισκόπου λαμβανόμενον κατ' ἐκεῖνον τὸν τρόπον, ὃν οἱ Σχολαστικοὶ ἐκεῖνον δεικνύουσι, καὶ διδόασι τῷ Ῥώμης, ἐστὶ κατὰ τὸν νοῦν τοῦ Γρηγορίου βέβηλον, ἱερόσυλον, αὐτοχριστιανικὸν καὶ διαβολικὴ λῆψις, ἐπεὶ τοῦτο τὸ ὄνομα, ὡς αὐτὸ σήμερον ἑαυτῷ ἰδιοποιεῖται ὁ Ῥώμης, δηλοῖ τὸ ὕψος τῆς μονότητος, καὶ πάντα ἃ μόνῃ μιᾷ κεφαλῇ συγγίνονται δηλαδὴ τῷ Χριστῷ, κατὰ ἔπαρσιν τοῦ πομπηϊκοῦ λόγου, αὐτοῦ τοῦ Χριστοῦ τὰ μέλη ὑποτάσσει τῷ Πάπᾳ τῆς Ῥώμης, καὶ τὸν Πάπαν προτίθησι πάντων τῶν λοιπῶν, καὶ μερικόν τι δίδωσιν ἑνὶ, δι' οὗ τῆς προσηκούσης τιμῆς ὑστεροῦνται οἱ λοιποὶ Πατριάρχαι καὶ πάντες οἱ Ἐπίσκοποι, καὶ ἀντιλέγεται τῇ χάριτι τῇ κοινῶς πᾶσι διαχυθείσῃ, καὶ βεβαίως ἔξω τοῦ Χριστοῦ ὡσανεὶ τῇ κεφαλῇ τὰ μέλη τοῦ κυριακοῦ σώματος μερικῶς ὑποτάσσονται, καὶ πάντα τὰ μέλη τοῦ Χριστοῦ τῇ κλήσει τοῦ καθολικοῦ τῷ Πάπᾳ ὑποτίθενται, καὶ ὁ Πάπας καταφρονήσας τῶν ὁμοταγῶν τῆς χαρᾶς, εἰς ὕψος τῆς μονότητος ἐπιβαίνει, καὶ ἑαυτῷ ταύτην τὴν δόξαν τῆς μονότητος ἰδιοποιεῖται, ἵνα μηδενὶ ὑπείκῃ, καὶ μόνος πάντων προΐστασθαι δόξῃ, καὶ πάντων τῶν ἄλλων Ἐπισκόπων τὸ ὄνομα συγκρίσει τῇ ἑαυτοῦ καταπατήσῃ, καὶ ἑαυτὸν τῇ τῆς λέξεως ἐπάρσει ἐκείνων ὑπερτίθησι, καὶ οὕτως ἑαυτὸν μιμητὴν τοῦ Διαβόλου καθίστησιν, ὃς εἶπεν, Ἐπὶ τοὺς Ἀστέρας τοῦ Οὐρανοῦ ὑψώσω τὸν θρόνον μου, καὶ ἀναβήσομαι ἐπὶ τὸ ὕψος τῶν Νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ, ὅθεν καὶ γενικῶς πατὴρ ἐν τῷ κόσμῳ καλεῖσθαι ὑπερποθεῖ.

ΠΑΡΑΓΡΑΦΟΝ Ιϛ΄.

Ἀντίθεσις τετάρτη εἰς τὴν αὐτὴν, ὅτι ὁ Διάλογος κατὰ τὴν πρὸς Ἀνιανὸν ἐπιστολὴν αὐτοῦ τὸ τοῦ καθολικοῦ ὄνομα ἁπλῶς ἀφ' ἑκάστου Ἐπισκόπου ἀποκηρύττει.

Οὐ μόνον ἕνεκεν προσοχῆς, οὔτε μετὰ διαφορᾶς τῶν προσώπων, ἀλλ' ἁπλῶς παρ' ἑκάστου Ἐπισκόπου, εἴτε Ῥωμαίων, εἴτε ἄλλου, τὸ ὄνομα τοῦ καθολικοῦ ἀποκηρύττει ὁ Γρηγόριος ὡς ἄθεον, αὐτοχριστιανικὸν, διαβολικὸν, ὡς αἴωθεν, καὶ αἱρετικὸν, καὶ γὰρ πρὸς Ἀνιανὸν γράφων φησὶν, Ἐν τούτῳ τῷ ἀθέῳ ὀνόματι συγκλίνειν, οὐδὲν ἕτερόν ἐστιν, εἰ μὴ τὴν πίστιν ἀπολέσαι, βιβλίῳ τετάρτῳ ἐπιστολῇ τριακοστῇ ἐνάτῃ, ἤτοι κεφαλαίῳ ὀγδοηκοστῷ τρίτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ΄.

Ἀντίθεσις πέμπτη εἰς τὴν αὐτὴν, ὅτι καθ' ἣν ἔννοιαν ὁ Βελλαρμῖνος λέγει τὸ ὄνομα τοῦ καθολικοῦ βέβηλον, κατ' αὐτὴν οἱ Γιεζουβῖται καὶ ἄλλοι τῷ Πάπᾳ διδόασιν, ἐμμέσως παρ' αὐτοῦ ὡς μονάρχου ἁπάσης τῆς Ἐκκλησίας τοὺς Πατριάρχας καὶ πάντα Ἐπίσκοπον λαμβάνειν τὴν ἐπισκοπικὴν δικαιολογίαν λέγοντες, ὡς δείκνυται τοῦτο καὶ ἐκ τῆς πρὸ τῶν Γιεζουβιτῶν διαταγῆς τοῦ τρίτου Ἰννοκεντίου ἐν τῇ ἐν Λατεράνῳ Συνόδῳ.

Τὸ

Τὸ ὄνομα τοῦ καθολικοῦ τῷ Πάπᾳ διδόασιν οἱ Γιεζουβῖται, καὶ τινες ἄλλοι ὡς ἀληθῶς τῇ αὐτῇ ἐννοίᾳ, καθ' ἣν τοῦτο τὸ ὄνομα λέγει ὁ Βελλαρμῖνος ὅτι ἐστὶ βέβηλον, καὶ τὰ ἑξῆς, βουλόμενοι τὴν πᾶσαν ἐπισκοπικὴν δικαιολογίαν ἀμέσως παρὰ Χριστοῦ δίδοσθαι μόνῳ τῷ Ῥώμης ὡς Ἡγεμόνι καὶ μονάρχῃ ἁπάσης τῆς Ἐκκλησίας, τὴν δὲ ἐπισκοπικὴν δικαιολογίαν πᾶσαν τόσον εἰς τοὺς Πατριάρχας τῶν καθολικῶν θρόνων, ἤτοι τῶν Πατριαρχικῶν, ὅσον καὶ εἰς τοὺς λοιποὺς ἁπαξάπαντας Ἐπισκόπους ἐμμέσως καταβαίνειν ἀπὸ τοῦ Πάπα τῆς Ῥώμης, καὶ μὴ λαμβάνειν ταύτην ἐκείνους ἀμέσως παρὰ Χριστοῦ, ἀλλ' ἀπὸ τοῦ Πάπα, ὡς μετὰ Καϊτάνου καὶ ἄλλων τινῶν Σχολαστικῶν διδάσκει ὁ Βελλαρμῖνος βιβλίῳ τετάρτῳ περὶ τοῦ Πάπα, κεφαλαίοις εἰκοστῷ δευτέρῳ, εἰκοστῷ τετάρτῳ, καὶ εἰκοστῷ πέμπτῳ, οὗπερ δόγματος καὶ Λαϊνέσιος ὁ Ἡγούμενος τῆς συντροφίας τῶν Γιεζουβιτῶν ἐν τῇ ἐν Τριδέντῳ συναγωγῇ ἐσπούδασεν ὑπερασπίσασθαι οὐκ ἄνευ προσκόμματος καὶ σκανδάλου πολλῶν Ἐπισκόπων σοφῶν καὶ τιμίων, ὡς διηγεῖται Παῦλος ὁ Σοάβε εἰς τὴν ἱστορίαν τῆς αὐτῆς Συνόδου βιβλίῳ ἑβδόμῳ, καὶ ἴδε ἀνωτέρω κεφάλαιον ὄγδοον. ἡμεῖς ὅμως τὸ πασιδήλως ἄτοπον τοῦτο δόγμα ἀπεβάλομεν ἐν τοῖς ἀνωτέρω κεφαλαίοις πέμπτῳ καὶ ὀγδόῳ τοῦ παρόντος μέρους. ὅτι δὲ τὸ δόγμα τοῦτο ἐλέγετο εἰς τὴν Ῥώμην καὶ πρὸ τοῦ γενέσθαι τὸ τάγμα τῶν Γιεζουβιτῶν, φανερόν ἐστι σημεῖον ἐκ τῆς συνοδικῆς διαταγῆς Ἰννοκεντίου τοῦ τρίτου ἐν τῇ κατ' αὐτὸν ἐν Λατεράνῳ Συνόδῳ, κεφαλαίῳ πέμπτῳ, ὅπου ταῦτα ἐκεῖνος εἶπε ῥητῶς, Τὰ παλαιὰ τῶν πατριαρχικῶν θρόνων προνόμια ἀνανεοῦντες τῇ τῆς ἱερᾶς Οἰκουμενικῆς Συνόδου βεβαιώσει, ἀποφαινόμεθα, ὅτι μετὰ τὴν ῥωμαϊκὴν Ἐκκλησίαν, ἥτις Θεοῦ εὐδοκοῦντος ἐπὶ πάσας τὰς λοιπὰς τὴν τῆς κοινῆς ἐξουσίας κατέχει Ἡγεμονίαν, οἷα Μήτηρ ἁπαξαπάντων τῶν πιστῶν καὶ Διδάσκαλος, ἡ ἐν Κωνσταντινουπόλει πρώτη, δευτέρα ἡ Ἀλεξανδρινὴ, τρίτη ἡ Ἀντιοχέων, καὶ τετάρτη ἡ ἐν Ἱεροσολύμοις τὸν τόπον κατέχουσα, φυλαττομένης ἑκάστου τῆς ἰδίας ἀξίας οὕτως, ὥστε μετὰ τὸ λαβεῖν αὐτοὺς τοὺς Πατριάρχας τὸ Παλίον ἀπὸ τοῦ Πάπα τῆς Ῥώμης, ὅπερ ἐστὶ τοῦ πληρώματος τοῦ Ἀρχιερατικοῦ ἐπαγγέλματος ἡ σφραγὶς, δοθέντος αὐτῷ παρ' αὐτῶν τοῦ ὅρκου τῆς πίστεως καὶ τῆς ὑπακοῆς, ἵνα εἰς τὸ ἑξῆς ἑξῇ καὶ αὐτοῖς τοῖς ὑπ' αὐτοὺς δωρεῖσθαι τὸ Παλίον, λαμβάνουσιν ὑπὲρ αὐτῶν τὸ κανονικὸν ἐπάγγελμα, καὶ ὑπὲρ τῆς ῥωμαϊκῆς Ἐκκλησίας τὴν ὑπόσχεσιν τῆς ὑπακοῆς, τοῦ δὲ κυριακοῦ Σταυροῦ τὴν σημαίαν (παντιέραν) πανταχοῦ αὐτῶν προπορεύεσθαι ἐκτὸς καὶ μόνης τῆς Ῥώμης, καὶ ὅπου ἂν ὁ ἄκρος Ἀρχιερεὺς παρῇ, ἢ καὶ ὁ παρ' αὐτοῦ ἀπεσταλμένος, καὶ τῆς ἀποστολικῆς ἐξουσίας χρώμενος τοῖς σημείοις. ἔτι ἐν πάσαις ταῖς Ἐπαρχίαις ταῖς τῇ αὐτῶν δικαιολογίᾳ ὑποκειμέναις, οὔσης χρείας πρὸς αὐτοὺς, προσκαλείσθωσαν Ἔκκλητον, πλὴν τῶν Ἐκκλήτων τῶν ἀνηκουσῶν τῷ ἀποστολικῷ θρόνῳ, καὶ γὰρ μετὰ ταπεινότητος αὐτῷ μόνῳ τῷ θρόνῳ τὰ ἑαυτῶν ἀναφέρειν ὀφείλουσιν ἅπαντες οἱ Χριστιανοί. ταῦτα Ἰννοκέντιος ὁ τρίτος, συναινούσης τῆς Συνόδου, ἐν ἔτει χιλιοστῷ διακοσιοστῷ πεντεκαιδεκάτῳ, καὶ ἴδε ἀνωτέρω βιβλίου ὀγδόου κεφάλαιον δέκατον ἕβδομον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Ὅτι τὸ βέβηλον τοῦ καθολικοῦ ὄνομα κατὰ Βελλαρμῖνον, καὶ Βενάρδος Ζάνας ὁ Σπαλάθου καὶ Θωμᾶς Ντεβίο καὶ Χριστόφορος Μάρκελλος, ἐν ἄλλῃ ἐν Λατεράνῳ Συνόδῳ, Ἰουλίῳ τῷ δευτέρῳ παρόντι δεδώκασι, μέλη αὐτοῦ τοὺς Χριστιανοὺς, καὶ μόνον ἐπὶ γῆς Βασιλέα αὐτὸν διμάχαιρον, καὶ κυλιομένην εἰς τοὺς πόδας αὐτοῦ ὡς Θεοῦ γῆς τὴν Ἐκκλησίαν εἰπόντες.

Βενάρδος Ζάνας (Γηνόος) Ἀρχιεπίσκοπος Σπαλάθου, ἐν τῷ λόγῳ, ὃν εἴρηκεν ἐν τῷ πρώτῳ τμήματι τῆς ἐν Λατεράνῳ ἄλλης μετέπειτα Συνόδου, ἐν ἔτει χιλιοστῷ πεντακοσιοστῷ δωδεκάτῳ, παρόντος Ἰουλίου τοῦ δευτέρου, ταῦτα εἶπε ῥητῶς, Σταθηρῶς κρατεῖ ἡ σὴ ἁγιωσύνη πάτερ μακαριώτατε καθὸ κεφαλὴ καὶ κύριος. καὶ μετ' ὀλίγα, Ὥσπερ τὸ ἀνθρώπινον σῶμα ἀπὸ κεφαλῆς καὶ πολλῶν μελῶν συνίσταται, ἵνα ἀποτελῇ τὰς διαφόρους ἐνεργείας τῆς φύσεως, οὕτω καὶ ἡ πολεμουμένη Ἐκκλησία παρὰ σοῦ τοῦ ἁγιωτάτου Ἀρχιερέως ὡς ἀπὸ κεφαλῆς, καὶ ἀπὸ τῶν λοιπῶν Χριστιανῶν ὡς ἀπὸ μελῶν συνίσταται. τούτου δὲ τοῦ σώματος καὶ Ἐκκλησίας ὑπὸ τῷ σημείῳ τοῦ Χριστοῦ πολεμουμένης ἡ ἐξουσία ἐλευθέρα καὶ ἄκρα, ἥ τε δικαιολογία καὶ αἱ ἡνίαι τῇ σῇ ἁγιωσύνῃ ἱερώτατε Ἀρχιερεῦ παρεδόθησαν. ποίμαινε τὰ πρόβατά μου, ποίμαινε τὰ ἀρνία μου. ἀλλὰ τὶς ἡ δευτέρα βοσκή; παρὰ τῆς σῆς ἁγιωσύνης ἱερώτατε Ἀρχιερεῦ, ἧς τὰ μέλη καὶ εἰς τοὺς σοὺς ὑποκειμένους προελθεῖν δύναται, ὡς ἡ ἑνότης ἐν τῷ πιστεύειν, καὶ τὰ ἑξῆς. ταῦτα ἐκεῖνος. καὶ ἐν τῇ αὐτῇ Συνόδῳ πράξει δευτέρᾳ, παρόντος τοῦ αὐτοῦ Ἰουλίου, λόγον εἴρηκε Θωμᾶς Ντεβίο ὁ Καϊτᾶνος τῆς τάξεως τῶν Περδικατόρων ὁ Ἡγούμενος, καὶ μεταταῦτα Καρδηνάλις, ἐν ᾧ λέγει, Κατὰ τὸ παράδειγμα τῆς ἐν Οὐρανῷ Ἱεραρχίας ταύτης τῆς ἐν τῇ γῇ μακαριώτατε τὴν Ἡγεμονίαν διετάξατο ὁ Θεὸς, κατ' ἐκεῖνο γὰρ, οὐχὶ παρὰ πᾶσιν, ἢ παρὰ πολλοῖς, ἀλλὰ παρ' ἑνὶ τῷ Βικαρίῳ τοῦ Χριστοῦ, καὶ τῆς κυριακῆς ποίμνης τῷ Ποιμένι συνίσταται, διότι καθάπερ ἐν τῇ Ἱερουσαλὴμ ἐκείνῃ τῇ ἐν Οὐρανοῖς, ἥτις καὶ μήτηρ ἡμῶν ἐστιν, εἷς μόνος ἐστὶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, οὕτως ἐν ταύτῃ τῇ Ἱερουσαλὴμ

τῇ

τῇ θυγατρὶ ἐκείνης, τῇ τῷ αἵματι τοῦ Χριστοῦ ἀρδευομένῃ καὶ ταῖς τῆς μητρὸς λάμψεσι καταυγαζομένῃ εἷς μόνος Ἡγεμών ἐστι καὶ κύριος τοῦ Χριστοῦ Βικάριος, καὶ ἄκρος Ἀρχιερεὺς, ᾧ πάντες οἱ τῆς ἀπ' Οὐρανοῦ καταβαινούσης Ἱερουσαλὴμ πολῖται καὶ κάτοικοι, οὐ μόνον διῃρημένως ἕκαστοι, ἀλλ' ἔτι ὡς ὁμοῦ καὶ καθόλου πάντες ὑποτάσσεσθαι ὀφείλουσι, καθ' ὃν τρόπον οἱ ἐν τῇ ἄνω Ἱερουσαλὴμ ἅγιοι καὶ εἷς καθεῖς καὶ ὁμοῦ πάντες ἑνὶ μόνῳ τῷ πλήρει ὑπόκεινται, ὑποτάσσονται, ὑπακούουσι. καὶ μεταταῦτα ἐν τῷ αὐτῷ λόγῳ πρὸς τὸν αὐτὸν Ἰούλιον ὁ αὐτὸς τοῖσδε τοῖς ῥήμασι προσφωνεῖ, Καὶ ἵνα ἐκ πρώτης ἀφετηρίας τὴν δύναμιν μιμηθῇς, περίζωσαι πάτερ ἅγιε τὴν ῥομφαίαν σου, περίζωσαί φημι, διττὰς γὰρ ἔχεις, μίαν σοὶ, καὶ τοῖς λοιποῖς Ἡγεμόσι κοινὴν, δευτέραν δὲ σοὶ ἰδίαν, καὶ οὕτω σὴν, ὥστε αὐτὴν οὐδεὶς ἄλλος εἰμὴ ἀπὸ σοῦ αὐτὴν ἔχειν δύναται. ταύτην τοίνυν τὴν σὴν ῥομφαίαν, ἣ τῆς Ἐκκλησιαστικῆς ἐξουσίας ἐστὶ, περίζωσαι δυνατὲ ἐπὶ τὸν μηρόν σου, τουτέστιν ἐπὶ πάσας τὰς τοῦ ἀνθρωπίνου γένους ἐξουσίας. ταῦτα ὁ Καϊτανος. καὶ πράξει τετάρτῃ τῆς αὐτῆς Συνόδου Χριστόφορος Μάρκελλος δημηγορῶν, εἶπε πρὸς Ἰούλιον, Σοὶ τῷ καλλίστῳ καὶ μεγίστῳ Ἡγεμόνι φαιδρᾷ δουλεῦσαι τῇ ψυχῇ ἐπὶ τὴν σὴν Βασιλείαν παμπληθεὶ προστρέχει, καὶ δὴ εἰς τοὺς ἁγίους σου πόδας κυλιομένη ἡ Ἐκκλησία κατὰ τοῦτον τὸν τρόπον βοήθειαν ἐξαιτεῖ, καὶ εὐδοκεῖ πρὸς σὲ ὦ Ἰούλιε μακαριώτατε ποιμὴν, ἱκετεύουσα ὡς πρὸς ἀληθινὸν Ἡγεμόνα, διαυθεντευτὴν καὶ πατέρα καὶ νυμφίον προστρέχει. ἐπιμελήθητι μακαριώτατε πάτερ, ἵνα τῆς σῆς Νύμφης τὸ εἶδος καὶ ἡ στολὴ ἐπανέλθῃ, σὺ γὰρ Ποιμὴν, σὺ ἰατρὸς, σὺ κυβερνήτης, σὺ ἐργάτης, σὺ ἄλλος Θεὸς τέως ἐπὶ τῆς γῆς. ταῦτα ὁ Χριστόφορος.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'.

Ὅτι καὶ Παμμέλιος καὶ Βίνιος τὸ ἐν καθολικῇ Ἐκκλησίᾳ δεῖ ἕνα Ἐπίσκοπον εἶναι ῥητὸν τῶν ὁμολογητῶν, εἰς τὴν παγκόσμιον ἐπισκοπὴν τοῦ Ῥώμης μετασύρουσιν, ἣν καὶ Βονιφάτιος ὁ ὄγδοος καὶ Λέων ὁ δέκατος ἐν οἷς σημειοῦνται ἐνταῦθα τόποις ἀντιχριστιανικῶς ἀποφαίνονται καὶ κατὰ τῆς Ἐκκλησίας.

Παμμέλιος δὲ προσέτι ἐν ταῖς σημειώσεσιν αὐτοῦ εἰς τὴν ἐπιστολὴν Κορνηλίου τοῦ Πάπα πρὸς Κυπριανὸν, ἥτις ἐν ταῖς ἐπιστολαῖς Κυπριανοῦ ἀριθμεῖται ἐπιστολὴ τεσσαρακοστὴ ἕκτη, καὶ ὁ Βίνιος εἰς τὰς σημειώσεις τῆς τούτου τοῦ Κορνηλίου ἐπιστολῆς πρὸς Φάβιον Ἐπίσκοπον Ἀντιοχείας, κειμένης εἰς τὸν πρῶτον Τόμον τῶν Συνόδων, τοὺς λόγους ἐκείνους τῶν ὁμολογητῶν, τοὺς, ἀνάγκη ἐστὶν ἕνα εἶναι καὶ μόνον Ἐπίσκοπον ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ, λέγοντας, τουτέστιν ἐν μιᾷ πόλει ἕνα μερικὸν Ἐπίσκοπον καὶ οὐδύο δεῖ εἶναι, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ ἑβδόμῳ, καὶ βιβλίου πρώτου κεφαλαίῳ δεκάτῳ πέμπτῳ, τοὺς λόγους ἐκείνους φημὶ μετὰ μεγάλης καταστροφῆς καὶ αἰσχύνης αὐτῶν, καὶ βίᾳ τῶν συγγραμμάτων, μετασύρουσιν εἰς ἀντιστήριγμα τῆς παγκοσμίου Ἐπισκοπῆς τοῦ Πάπα. Ὁρᾷς φησὶν ὁ Παμμέλιος ἕνα Ἐπίσκοπον ἐνταῦθα ἁπλῶς ἀντὶ τοῦ Ῥώμης λαμβανόμενον. ὁ δὲ Βίνιος φησὶν, Ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ ἕνα Ἐπίσκοπον καὶ ἄκρον Ἀρχιερέα, ὅστις τὰ πρόβατα ὁμοῦ καὶ τὰ ἀρνία τοὺς Κληρικοὺς ἅμα καὶ τοὺς λαϊκοὺς πάντας διοικήσει. ὅστις ἄρα οὐχ ὑποτάξει ἑαυτὸν τῇ προσηκούσῃ ὑπακοῇ τῷ ἑνὶ τούτῳ Ποιμένι ἐν τοῖς ἤθεσι καὶ ἐν τῇ πίστει, Σχισματικός ἐστι. ταῦτα ὁ Βίνιος καὶ Παμμέλιος. τὸ βέβηλον τοῦτο τῆς ἐπάρσεως φύσημα φανερῶς ὁρᾶται καὶ ἐν τοῖς λόγοις τοῦ Πάπα Βονιφατίου τοῦ ὀγδόου, λέγει γὰρ, ὅτι δεῖ πείθεσθαι τῷ Πάπᾳ τῆς Ῥώμης πᾶσαν τὴν ἀνθρωπίνην κτίσιν. ἔστι δὲ πάντῃ καὶ πάντως ἐξ ἀνάγκης τῆς ἀνθρωπίνης σωτηρίας ἵνα ἐπιγράφηται ὁ Πάπας, Ἐκθέμεθα, Ὁρίζομεν, Λέγομεν, Προστάττομεν, ταῦτα δέφησιν ἐν τοῖς κοινοῖς Τίτλοις αὐτοῦ κεφαλαίῳ πρώτῳ. Φύεται ἄνω αὕτη ἡ πονηρὰ ῥίζα καὶ ἐν ἐκείνῃ τῇ πράξει τῆς ἀναβολῆς τῆς ἐν Λατερανῷ Συνόδου Ἰουλίου τοῦ δευτέρου, ἥτις ἄρχεται, Ὁ ΑΚΑΤΑΛΗΠΤΟΣ. Τὸ ὕψος τῆς θείας προνοίας ἐπὶ τούτου ἡμᾶς μάλιστα δεδωκυίας τῆς προνοίας τὸ πλήρωμα τῆς ἄνω ἐξουσίας ἐπὶ πᾶσαν τὴν κυριακὴν ποίμνην προϊσταμένους ἔθετο, καὶ τὰ ἑξῆς. ὁμοίως καὶ Λέων ὁ δέκατος ἐν τῇ πράξει κατὰ Λουθήρου, ἧς ἡ ἀρχὴ, ΑΝΑΣΤΑ ΚΥΡΙΕ. ὡς σφαλεραὶ κατακρίνει τὴν γνώμην τὴν λέγουσαν, μὴ εἶναι τὸν Ῥώμης μόνον διάδοχον τοῦ Πέτρου, μήτε βικάριον τοῦ Χριστοῦ ἐν πάσαις ταῖς τοῦ κόσμου Ἐκκλησίαις παρὰ τοῦ Χριστοῦ ἐν τῷ μακαρίῳ Πέτρῳ καθισταμέναις. Ἀλλ' ὅτι ἡ γνώμη αὕτη ἐστὶν ἀληθὴς, μαρτυρεῖ ἡ γραφὴ, οἱ πατέρες καὶ ἡ ἀρχαία δόξα καὶ πρᾶξις τῆς καθολικῆς Ἐκκλησίας, ὡς ἀνωτέρω εἴρηται ἡμῖν κατὰ πλάτος, ἡ δὲ αὐτῆς κατάκρισις παρὰ τοῦ Λέοντος τύφον δείκνυσιν ἀντιχριστιανικὸν, βέβηλον, καὶ αἱρετικὸν ἐν τῷ Πάπᾳ διὰ τὴν ἔπαρσιν τοῦ ἀναισχύντου λόγου κατὰ τὸν Γρηγόριον, τοὺς ὅρους τοῦ μέτρου καὶ τῆς ἀνθρωπίνης εὐλαβείας ὑπερβαίνοντος.

ΠΑΡΑΓΡΑΦΟΝ Κ'.

Ἀντίθεσις ἕκτη εἰς τὴν δευτέραν διαίρεσιν τοῦ Βελλαρμίνου, ὅτι ἡδοθεῖσα φροντὶς ἁπάσης τῆς Ἐκκλησίας τῷ Πέτρῳ

ψψψψψψ

Πέτρῳ οὐ ταὐτὸν τῷ καθολικὸς Ἐπίσκοπος, οὐ γὰρ λέγεται, οὐδὲ ἔστι μονάρχης τῶν Ἀποστόλων ὁ Πέτρος, ἅτε καὶ πᾶσι τοῖς Ἀποστόλοις τῆς αὐτῆς φροντίδος δοθείσης.

Λέγει ὁ Γρηγόριος βιβλίῳ τετάρτῳ ἐπιστολῇ τριακοστῇ δευτέρᾳ, ὅτι ἡ φροντὶς ἁπάσης τῆς Ἐκκλησίας παρὰ Κυρίου ἐδόθη τῷ Πέτρῳ, ἀλλὰ τοῦτο οὐκ ἔστι τὸ αὐτὸ τῷ ὁ Πέτρος ἐστὶ καθολικὸς Ἐπίσκοπος πάσης τῆς Ἐκκλησίας, ὡς λέγουσιν οἱ παπισταὶ περὶ τοῦ Πέτρου καὶ τοῦ Πάπα. ἡ φροντὶς λέγει ὁ Διάλογος καὶ ἡ Ἡγεμονία ἁπάσης τῆς Ἐκκλησίας ἐδόθη τῷ Πέτρῳ, καὶ ὅμως καθολικὸς Ἐπίσκοπος οὐ καλεῖται. ταῦτα ὁ Γρηγόριος ἐν τῷ σημειωθέντι τόπῳ, τουτέστιν ἡ φροντὶς ἁπάσης τῆς Ἐκκλησίας ἐδόθη τῷ Πέτρῳ ὡς Ἀποστόλῳ, καὶ πᾶσι, καὶ ἑκάστῳ τῶν Ἀποστόλων ἡ αὐτὴ φροντὶς παρεδόθη ἴσῃ συζυγία τιμῆς καὶ ἐξουσίας. ἔτι τὴν φροντίδα ἁπάσης τῆς Ἐκκλησίας οὐ μόνον ἑαυτῷ ὁ Πέτρος ἐνικῶς ᾠκειοποιήσατο, εἰ καὶ τὴν Ἡγεμονίαν ἔλαβεν ἵνα ᾖ πρῶτον μέλος τῆς ἁγίας καθολικῆς Ἐκκλησίας, ὡς ἐκτίθησιν ὁ Γρηγόριος βιβλίῳ τετάρτῳ ἐπιστολῇ τριακοστῇ ὀγδόῃ. οὐκ εἶπε δὲ ὁ Γρηγόριος ὅτι ἐστὶν ὁ Πέτρος καθολικὸς Ἐπίσκοπος, ἢ μονάρχης τῶν Ἀποστόλων ἐξουσιαστής.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Ἀντίθεσις ἑβδόμη εἰς τὴν αὐτὴν, ὅτι ἄλλο Ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας καὶ ἄλλο καθολικὸς Ἐπίσκοπος καὶ οὐ ταὐτὸν κατὰ τὸν Διάλογον.

Ὁ Γρηγόριος καλῶς οἶδεν, ὅτι ἄλλο ἐστὶν Ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας, καὶ ἄλλο καθολικὸς Ἐπίσκοπος, οὐκ ἔγνω δὲ ποτὲ ὅτι τοῦτο ἐστὶ ταὐτὸν, ὅθεν ἅπαντας τοὺς Ἐπισκόπους καλεῖ τῆς καθολικῆς Ἐκκλησίας Ἐπισκόπους, καὶ οὐδένα θέλει καλεῖσθαι Ἐπίσκοπον καθολικὸν, ὥστε εἶναι ἐπαίνω πάντων τῶν ἁπανταχοῦ Ἐπισκόπων. βιβλίῳ τετάρτῳ ἐπιστολῇ τριακοστῇ ὀγδόῃ, ἤτοι κεφαλαίῳ ὀγδοηκοστῷ δευτέρῳ πρὸς Ἰωάννην τὸν Κωνσταντινουπόλεως.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΒ'.

Ἀντίθεσις ὀγδόη εἰς τὴν αὐτὴν, ὅτι ἐκ τοῦ μὴ ἀντειπεῖν τὴν ἐν Χαλκηδόνι Συνόδον τοῖς εἰποῦσιν Οἰκουμενικὸν τὸν Λέοντα Ῥώμης διὰ λιβέλλων, οὐ δίδοται τῷ Ῥώμης μοναρχικὸν ἀξίωμα ἐν τῇ καθόλου Ἐκκλησίᾳ, τὰ ἴσα πρεσβεῖα ἔχοντι μετὰ τοῦ Κωνσταντινουπόλεως κατὰ τὸν εἰκοστὸν ὄγδοον Κανόνα τῆς αὐτῆς Συνόδου.

Θεόδωρος καὶ Ἰσχυρίων Διάκονοι τῆς Ἐκκλησίας Ἀλεξανδρείας, καὶ Ἀθανάσιος Πρεσβύτερος τῆς αὐτῆς Ἐκκλησίας, καὶ Σωφρόνιος λαϊκὸς ἔδωκαν λιβέλλους κατὰ Διοσκόρου εἰς τὴν τετάρτην Οἰκουμενικὴν Συνόδον, ἤτοι τὴν ἐν Χαλκηδόνι, ὡς φαίνεται εἰς τὴν τρίτην πρᾶξιν αὐτῆς. ἔγραψαν δὲ εἰς τὴν ἐπιγραφὴν τῶν λιβέλλων, Τῷ Οἰκουμενικῷ Ἀρχιεπισκόπῳ καὶ Πατριάρχῃ τῆς μεγάλης Ῥώμης Λέοντι. λέγει δὲ ὁ Βελλαρμῖνος βιβλίῳ δευτέρῳ περὶ τοῦ Πάπα, κεφαλαίῳ ὑστάτῳ, ὅτι τὸ ὄνομα τοῦτο ΟΙΚΟΥΜΕΝΙΚΟΣ, ἐδόθη τῷ Πάπᾳ ἀπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου, καθότι ἡ Σύνοδος οὐκ ἀντεῖπεν, οὐδὲ ἀπέβαλεν αὐτό. Ῥητέον ὅμως πρῶτον, μαρτυρούντων Λατίνων, ὅτι ἐπὶ τῆς ἐν χαλκηδόνι Συνόδου ἐρρέθη τὸ πρῶτον ὁ Πάπας Οἰκουμενικὸς, καὶ οὐχὶ πρότερον. δεύτερον, ὅτι οὐδὲν περὶ τοῦ ὀνόματος τούτου ἡ Σύνοδος εἶπε, μαρτυρεῖ καὶ ὁ Βελλαρμῖνος βιβλίῳ δευτέρῳ περὶ τοῦ Πάπα, κεφαλαίῳ ὑστάτῳ. ἐκεῖνο δὲ, ὅπερ ἐν τῷ τόπῳ τούτῳ προτίθησιν ὁ Βελλαρμῖνος, τουτέστι τὸ ὄνομα τοῦτο διδόμενον τῷ Πάπᾳ, μὴ ἀπαρέσκον φανῆναι τῇ Συνόδῳ, καὶ εἶναι σημεῖον ὅτι οὐδεὶς τῶν ἐν τῇ Συνόδῳ ταύτην ἤλεγξε τὴν ὀνομασίαν, λέλυται, καὶ λίαν ἀσθενές ἐστι, καὶ γὰρ οὐτολμᾷ εἰπεῖν ὅτι ἤρεσε τῇ Συνόδῳ, εἰ γὰρ τοῦτο εἶπε, κατεβάλετο ἂν ὡς ψεύστης ἐκ τοῦ εἰκοστοῦ ὀγδόου Κανόνος τῆς αὐτῆς Συνόδου περὶ τῶν ἴσων πρεσβείων τοῦ Κωνσταντινουπόλεως μετὰ τοῦ Ῥώμης διαλαμβάνοντος. καὶ ἔνθεν δῆλον τὴν ὀνομασίαν τοῦ Οἰκουμενικοῦ τούτῳ τῷ τρόπῳ τῷ μοναρχικῷ, ᾧ τὴν σήμερον οἰκειοποιεῖται αὐτὴν ὁ Πάπας εἶναι ἐναντίαν τῇ ἁγίᾳ Συνόδῳ, καὶ ἴδε ἐκεῖ τὸν τόπον, ἤτοι ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου πρώτου Παράγραφον δωδέκατον.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΓ'.

Ὅτι τὸ τοῦ Κωνσταντινουπόλεως προνόμιον παρά τε Συνόδων καὶ Πατριαρχῶν καὶ τοῦ μεγάλου Ἰουστινιανοῦ βεβαιοῦται, ὅθεν ἡ ἐν τῷ πρώτῳ βιβλίῳ κεφαλαίῳ πρώτῳ τοῦ Κῴδικος τοῦ Ἰουστινιανοῦ πρὸς τὸν Ῥώμης Ἰωάννην ἐπιστολὴ ἐστὶ πλάσμα ὡς μαρτυροῦσι πολλοί.

Πόσον

Πόσον βεβαιοῦται καὶ ἐντεῦθεν τὸ προνόμιον τοῦ Κωνσταντινουπόλεως, ἐπειδὴ καὶ ἐν ταῖς Συνόδοις, καὶ παρὰ τῶν Πατριαρχῶν καὶ τῶν λοιπῶν Ἐπισκόπων, καὶ παρὰ τῆς ἐπὶ τοῦ Νηστευτοῦ Συνόδου καλεῖται Οἰκουμενικὸς Πατριάρχης, καὶ ἴδε ἀνωτέρω ἐν πολλοῖς. ἡ ἐπιστολὴ δὲ, ἣ κεῖται βιβλίῳ πρώτῳ κεφαλαίῳ πρώτῳ τοῦ κῴδικος τοῦ Ἰουστινιανοῦ πρὸς τὸν Ῥώμης Ἰωάννην, ἐστὶ πλάσμα, ὡς μαρτυροῦσι πολλοὶ Θεολόγοι, καὶ Ἰάκωβος ὁ Ἐλέκτζιος ἐν πολλοῖς, μάλιστα αὐτὸς ὁ Ἰουστινιανὸς λέγει τὴν Κωνσταντινουπόλεως Ἐκκλησίαν πασῶν τῶν Ἐκκλησιῶν κεφαλὴν εἶναι ἐν τῷ περὶ Ἐπισκόπων καὶ Κληρικῶν κεφαλαίῳ ἐν τῷ κῴδικι, εἰ καὶ δευτέραν αὐτὴν τίθησι Νεαρᾷ ἑκατοστῇ τριακοστῇ πρώτῃ, ὡς ἡ δευτέρα Οἰκουμενικὴ Σύνοδος διωρίσατο Κανόνι τρίτῳ. Ὁ αὐτὸς ἐν πολλοῖς τοὺς Πατριάρχας Κωνσταντινουπόλεως Οἰκουμενικοὺς καλεῖ, ὡς εἴρηται ἐν πολλοῖς.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΔ'.

Ὅτι ὁ Βίνιος μὴ εὑρίσκεσθαι λέγων ἐν τῇ ἐπὶ τοῦ Νηστευτοῦ Συνόδῳ τὸν Οἰκουμενικὸς Τίτλον τοῦ Κωνσταντινουπόλεως, οὐκ ἔχει δεῖξαι αὐτειποῦσαν τῷ Τίτλῳ τὴν Σύνοδον, ἥτις μάλιστα καὶ οἱ Πατριάρχαι ὑπερασπισθέντες αὐτοῦ, κατεφρόνησαν τῶν νουθεσιῶν Πελαγίου καὶ Γρηγορίου τῶν Παπῶν.

Συλλογίζεται ὁ Βίνιος λέγων, εἰ ὁ Κωνσταντινουπόλεως εἶχε τὸν Τίτλον τοῦ Οἰκουμενικοῦ Πατριάρχου ἀνώτερον τῶν ὀρθοδόξων Ἐπισκόπων ἐν τῇ κανονικῇ αὐτῶν συνελεύσει ἐπὶ Ἰωάννου τοῦ Νηστευτοῦ, καὶ εἰ ἐτιμήθη οὕτως ἀπὸ τῆς ἐξουσίας ἐκείνης τῆς Συνόδου τῆς κατὰ Πελαγίου καὶ Γρηγορίου τῶν Παπῶν, τῶν τῷ προσρήματι τούτῳ καὶ τοῖς αὐτῷ χρωμένοις Ἰωάννῃ τῷ νηστευτῇ καὶ τῷ Διαδόχῳ αὐτοῦ Κυριακῷ ἀντιλεγόντων, πῶς ἐκείνη ἡ ἀπόφασις τῆς Συνόδου οὐχ εὑρίσκεται; Ἀλλὰ ῥητέον πρῶτον, ὅτι οὐ δύναται ὁ Βίνιος δεῖξαι τὴν Σύνοδον ἐπιτιμήσασαν, ἢ ὅλως αὐτειποῦσαν περὶ τούτων τῷ Κωνσταντινουπόλεως. δεύτερον, ὅτι ἡ Σύνοδος ὑπερήσπισε τῆς λέξεως, καὶ φανερά ἐστιν ἡ ἀπόφασις αὐτῆς, καθότι κατεφρόνησε τῶν νουθετήσεων Πελαγίου καὶ Γρηγορίου τῶν Παπῶν, ὡς αὐτὰ τὰ πράγματα παρίστησι, καὶ ὁ Γρηγόριος μαρτυρεῖ βιβλίῳ ἑβδόμῳ, ἐπιστολῇ ἑξηκοστῇ ἐνάτῃ. τρίτον, ὁ Ἀλεξανδρείας, καὶ οἱ λοιποὶ Πατριάρχαι εἰς οὐδὲν ἐλογίσαντο τοὺς ἀγῶνας τῶν Παπῶν, οὓς μιμησάμενοι οἱ αὐτῶν Διάδοχοι διδόασι μέχρι τῆς σήμερον τῷ Κωνσταντινουπόλεως τὴν ὀνομασίαν τοῦ Οἰκουμενικοῦ Πατριάρχου. ἔτι δὲ, ὅτι ὁ Γρηγόριος οὐκ ἔγνω τοῦτο τὸ βέβηλον ἀξίωμα, πρὸς τοῖς παροῦσιν ἴδε καὶ ἀνωτέρω μέρους δευτέρου κεφάλαιον πέμπτον.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΕ'.

Ἐπανάληψις τοῦ ἀνωτέρου ἐπιχειρήματος, ὅ ἐστιν, ὃ πρέπει τῷ Πάπᾳ αὐτῷ, καὶ ἑτέρῳ τινὶ πρέπει, καὶ τὰ ἑξῆς τοῦ συλλογισμοῦ μετὰ τοῦ συμπεράσματος, καὶ προσθήκης ἑτέρου ἐπιχειρήματος, ἐξ ὧν δείκνυται μηδένα πατέρα πατέρων καλεῖσθαι τῇ μοναρχικῇ ἐννοίᾳ ἐν τῷ κόσμῳ, καὶ καταντῶσιν εἰς τὸ μηδὲν καὶ τὰ ὀκτὼ ἴδια τοῦ Ῥώμης.

Ἐπαναλαμβάνομεν τὸ ἐπιχείρημα ὅπερ ἐξ ἀρχῆς ἐθέμεθα, ἤτοι ὃ πρέπει τῷ Πάπᾳ αὐτῷ, καὶ ἑτέρῳ τινὶ πρέπει, ἀλλαμὴν ἡ καθολικὴ Ἐπισκοπὴ ἐκείνῃ τῇ ἐννοίᾳ, ᾗ νῦν δίδοται τῷ Πάπᾳ, οὐδενὶ τῶν ἀνθρώπων πρέπει, ἄρα οὔτε τῷ Πάπᾳ πρέπει. ἡ ἐλάττων πολλοῖς δικαιολογήμασιν ἐβεβαιώθη, οἷς καὶ ταύτην τὴν παροῦσαν βεβαίωσιν προστίθημι, Ὁ καθολικὸς Ἐπίσκοπος παντὸς τοῦ κόσμου κατὰ τὴν ῥηθεῖσαν ἔννοιαν ἐστὶ πατὴρ πατέρων, καὶ μέντοι εἷς καὶ μόνος πρῶτος μεταξὺ πάντων τῶν ἐκκλησιαστικῶν Ποιμένων, ἀλλαμὴν οὐδεὶς τῶν ἀνθρώπων κατὰ τοῦτον τὸν τρόπον ἐστὶ πατὴρ πατέρων, ἄρα οὐδεὶς τῶν ἀνθρώπων ἐστὶ καθολικὸς Ἐπίσκοπος παντὸς τοῦ κόσμου κατὰ τὴν ῥηθεῖσαν ἔννοιαν. τὴν μείζονα καταφάσκουσιν οἱ ὑπεναντίοι, καὶ ἀποφάσκουσι τὴν ἐλάττονα, καὶ γὰρ λέγουσιν, ὁ Πάπας ἐστὶ πατὴρ πατέρων, καὶ μέντοι ἑνὶ καὶ μόνῳ, καὶ οὐδενὶ ἑτέρῳ ποτὲ τοῦτο τὸ ὄνομα κοινωνηθὲν ἀναγινώσκομεν, Βελλαρμῖνος βιβλίῳ δευτέρῳ περὶ τοῦ Πάπα, κεφαλαίῳ τριακοστῷ πρώτῳ. λέγει δὲ τὸν Βελλαρμῖνον συλλόγιστον ὁ Γρετζέρος ἐν τῇ ὑπερασπίσει τοῦ αὐτοῦ κεφαλαίου, εἰ καὶ ἴσῃ ἀγνωσίᾳ καὶ ἀναισχυντίᾳ ὅ, τε Γρετζέρος καὶ Βελλαρμῖνος ὑπερασπίσαι βούλονται τούτου τοῦ κεφαλαίου, ἐθελοντὶ ἄμφω κακουργοῦντες, ἢ καὶ ἀγνοοῦντες, εἰ γὰρ ἔγνωσαν τὰ πρακτικὰ τῶν Συνόδων, καὶ τὰ συγγράμματα τῶν ἁγίων πατέρων, καὶ τὴν τῆς καθολικῆς Ἐκκλησίας παράδοσιν καὶ πρᾶξιν, οὐκ ἂν τὰ τοιαῦτα εἶπον. Ἐρχόμενοι οὖν ἐπὶ τὸ προκείμενον λέγομεν, Τῇ μοναρχικῇ ἐννοίᾳ, καθ' ἣν ὁ Πάπας τὴν σήμερον θέλει καλεῖσθαι πατὴρ πατέρων, οὐδενὶ τῶν ἀνθρώπων πρέπει καλεῖσθαι ταύτῃ τῇ προσηγορίᾳ, καὶ γὰρ κατὰ ταύτην τὴν ἔννοιαν ταὐτόν ἐστι πατὴρ πατέρων τῷ καθολικὸς πατὴρ ἐν τῷ κόσμῳ, ὅπερ ὄνομα ὁ Διάλογος διδάσκει μηδενὶ τῶν ἀνθρώπων πρέπειν συγχωρεῖσθαι, βιβλίῳ τετάρτῳ, ἐπιστολῇ τριακοστῇ ὀγδόῃ, ἤτοι κεφαλαίῳ ὀγδοηκοστῷ δευτέρῳ. ὅμως Λέων ὁ δέκατος ἐν τῇ ἐν Λατεραίῳ Συνόδῳ τμήματι ἐνάτῳ, καὶ ὁ Πάπας Εὐγένιος ἐν τῷ Φλωρεντινῷ Ὅρῳ, τὸν Πάπαν φασὶν εἶναι καθολικὸν πάντων τῶν Χριστιανῶν πατέρα. στερεωθέντος οὖν καὶ τούτου τοῦ ἐπιχειρήματος κατὰ τῆς μοναρχίας, ἤτοι τῆς καθολικῆς

λικῆς Ἐπισκοπῆς τοῦ Πάπα, ταύτην δηλαδὴ τὴν ἀξίαν οὐδενὶ τῶν ἀνθρώπων πρέπειν, καὶ διὰ τοῦτο οὐδὲ τῷ Πάπᾳ πρέπειν, ἐκ φανεροῦ καὶ ἀναγκαίου ἐπιχειρήματος, καὶ τὰ λοιπὰ ἀνωτέρω εἰρημένα ὀκτὼ ἴδια, ἅπερ οἱ Ῥωμᾶνοι τῷ Ἐπισκόπῳ αὐτῶν διδόασι καθάπαξ ἐλεγχόμενα καὶ ἐνταῦθα, τῆς δοκούσης ὑποστάσεως αὐτῶν ἀποβάλλονται, καὶ εἰς τὸ μηδὲν καταντῶσι. περὶ δὲ τοῦ Οἰκουμενικὸς ἴδε καὶ ἀνωτέρω τὸ δεύτερον μέρος.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ Ϛ'. ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς αὐλῆς τοῦ Πάπα, ἤτοι τῶν Καρδηνάλεων, καὶ τὶ δηλοῖ Καρδηνάλις, καὶ περὶ τῆς παρὰ Κανόνας τιμῆς τῶν Καρδηνάλεων, θεσπισθείσης παρὰ τῶν Παπῶν ἐν τέσσαρσι καινοτομίαις.

Ἰστέον ὅτι τὸ Καρδηνάλις ὄνομα, ὃ δηλοῖ στύλον, ἐστὶν ἀρχαῖον, ὅμως ἦν ἐν τῇ Ἐκκλησίᾳ ἄγνωστον καὶ ἄχρηστον, μετὰ δὲ τὸ σχίσμα ἔφερον εἰς αὐτὴν αὐτὸ οἱ Πάπαι, καὶ ὠνόμασαν τοὺς Κληρικοὺς Καρδηνάλεις, οἱονεὶ Στύλους. ἐπεὶ οὖν παράδοσίς ἐστιν ἀρχαία καὶ Νόμοι καὶ Κανόνες ἵνα ὦσιν οἱ μὲν Ἐπίσκοποι πρῶτοι πάντων, καὶ αὐτοὶ ἀθροίζωσι Σύνοδον, καὶ κρίνωσι καὶ ἀνακρίνωσι, καὶ λύωσι καὶ δεσμῶσιν, οἱ δὲ Κληρικοὶ μόνοι ὑπουργοὶ τῶν Ἐπισκόπων εἰς ὀρθὴν διεξαγωγὴν τῶν κατ' αὐτοὺς Ἐκκλησιῶν, οἱ Πάπαι συνέχεον καὶ ἐνταῦθα τὰ ἐκκλησιαστικὰ, καὶ ἐτίμησαν αὐτοὺς Καρδηνάλεις παρὰ Κανόνας, ἐνδύσαντες αὐτοὺς Σκιάδεια καὶ ἱμάτια κόκκινα, ὡς εἴρηται ἐν τῷ δεκάτῳ ἐνάτῳ κεφαλαίῳ τοῦ ὀγδόου βιβλίου. εἶτα ἐθέσπισαν πρῶτον, ἐκλέγεσθαι καὶ προβάλλεσθαι τοὺς Πάπας παρὰ τῶν Καρδηνάλεων, καὶ οὐχὶ παρὰ τῶν Ἐπισκόπων. δεύτερον, πάντας τοὺς ἐν τῇ Ῥώμῃ Καρδηνάλεις εἶναι μείζονας τῶν Ἐπισκόπων ὡς ψηφιζομένους τὸν Πάπαν. τρίτον, γίνεσθαι καὶ Ἐπισκόπους Καρδηνάλεις. τέταρτον, ὁ Καρδηνάλις ἐὰν ἀπέλθῃ εἰς Ἐπισκόπου Ἐπαρχίαν, καὶ οὐκ ἔστιν Ἱερωμένος, προτιμᾶσθαι αὐτοῦ τὸν Ἐπίσκοπον, εἰ δὲ ἐστὶ τῶν Ἱερωμένων κἂν ᾖ καὶ Διάκονος, προτιμᾶσθαι τοῦ Ἐπισκόπου. ἀλλ' εἰς τοσαύτην κακίαν ἡδονῆς καὶ κοσμικὴν ὑπερηφανίαν καὶ ματαιότητα ἦλθεν αὐτὸ τὸ τάγμα, ὥστε τὴν ἐν Τριδέντῳ τάλαιναν Σύνοδον ἐν τῇ εἰκοστῇ τετάρτῃ αὐτῆς συνελεύσει ἀναστενάζουσαν θεσπίσαι, πανταχόθεν δεῖν τὸν Πάπαν συνάγειν σοφοὺς καὶ ἐναρέτους, καὶ ποιεῖν αὐτοὺς Καρδηνάλεις ἵνα ἐνασχολῶνται εἰς μόνα τὰ Ἐκκλησιαστικὰ, ἀλλ' οὐδὲν ὠφέλησεν ἡ Σύνοδος, ὅθεν ἐπειδὴ ἐλάμβανον χρήματα οἱ Καρδηνάλεις ἀπὸ τῶν ἐν Ῥώμῃ εὑρισκομένων Πρέσβεων τῶν Βασιλέων, ἵνα ψηφίζωνται Πάπαν ἀπὸ τοῦ μέρους αὐτῶν, Πῖος ὁ τέταρτος ἐν ἔτει χιλιοστῷ πεντακοσιοστῷ ἑξηκοστῷ, καὶ Γρηγόριος ὁ δέκατος πέμπτος ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ἐθέσπισαν μετὰ ἀναθέματος, ἵνα ὅταν οἱ Καρδηνάλεις ἐκλέγωσι Πάπαν, μὴ δέχωνται τινὸς Πρέσβεως γράμματα, μήτε τὶς γράφῃ αὐτοῖς, μήτε συνομιλῇ μετ' αὐτῶν, καὶ ἐκεῖνοι ὁμοῦ οἱ ὄντες μεσῖται εἰς τὰ γράμματα ἢ εἰς τὰ λόγια ἵνα ὦσιν ἐν τῷ ἐπιτιμίῳ. ἀλλὰ ματαίως ἐκόπιασαν, ἐπειδὴ οἱ Καρδηνάλεις ἢ διὰ χρήματα, ἢ διὰ χάριν ψηφίζονται τοὺς Πάπας σιμωνιακῶς τε καὶ παρανόμως, καὶ προτιμῶσι τῶν ἀφορισμῶν τῆς Ἐκκλησίας τὸ ἀργύριον, καὶ διὰ τοῦτο τινὲς συνέγραψαν πολύστιχα βιβλία, ἐρωτῶντες καὶ ἀποκρινόμενοι, πόσον Κανόνα δεῖ ποιῆσαι ἐκείνους τοὺς Καρδηνάλεις, οἳ λαμβάνοντες χρήματα, γίνονται ἐπίβουλοι διὰ τῆς σιμωνίας ὅλης τῆς ῥωμαϊκῆς Ἐκκλησίας. τοιοῦτον οὖν τέλος ἔσχε καὶ ἡ εἰς τοὺς Κληρικοὺς καινοτομία τοῦ Ῥώμης.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι ὁ ἱματισμὸς καὶ ἡ φατρία τῶν Καρδηνάλεων καὶ τὸ προτιμᾶσθαι τῶν Ἐπισκόπων, πρόσφατόν ἐστι καὶ ἄθεσμον ἔργον, τὸ γὰρ Καρδηναλᾶτον Μοναχοῖς Ἀββάσι καὶ Δικανοῖς ἦν Ὀφφίκιον.

Ὅτι δὲ οὐ μόνον ὁ ἱματισμὸς τῶν Καρδηνάλεων πρόσφατός ἐστιν, ἀλλὰ καὶ ἡ φατρία αὐτῶν ὑστερογενής ἐστι, δείκνυται διὰ πολλῶν, τοῦ γὰρ Διακόνου Πέτρου τοῦ μετὰ τοῦ ἁγίου Γρηγορίου τοὺς διαλόγους ποιήσαντος γράψαντος ὅτι οἱ Καρδηνάλεις τοῦ κατ' ἐκεῖνο καιροῦ δηλονότι προεκρίνοντο τῶν Ἐπισκόπων, ὁ Βελλαρμῖνος λέγει, τοῦτο ὅτι ὁ Γρηγόριος προετίμα τοὺς Καρδηνάλεις τῶν Ἐπισκόπων ψεῦδος ἐστὶν, ὡς μαρτυρεῖ Ἰωάννης ὁ Διάκονος, εἰ γὰρ καὶ τὸ ἀξίωμα τῶν Καρδηνάλεων ὑψηλότερόν ἐστι τοῦ ἀξιώματος τῶν Ἐπισκόπων, ὡς δείκνυται παρὰ Λατίνοις πολοῖς, ἀλλὰ παρὰ τοῖς ἀρχαίοις οὐκ ἦν οὕτως ἕως Βονιφατίου τοῦ ὀγδόου, ἕως γὰρ τότε τοῦ ῥωμαϊκοῦ οὐδεὶς ἠράσθη πορφυροκαλλωπισμοῦ, ἐνόμιζον γὰρ οἱ τότε ἄνθρωποι σοφοὶ καὶ εὐλαβεῖς ὄντες, ἄθεσμον εἶναι τὸ προτιμᾶσθαι τοὺς Κληρικοὺς, ἤτοι τοὺς Καρδηνάλεις τῶν Ἐπισκόπων, καὶ Καρδηνάλεις ἐγίνοντο ὅσοι ἐβάπτιζον τοὺς κατηχουμένους, καὶ ἀπεκόμιζον τοὺς νεκροὺς εἰς τὸν τάφον. ταῦτα ἱστοροῦσι πολλοὶ, καὶ Ἱππόλυτος ὁ Μαρσίλιος, ὃς προστίθησιν

ὅτι

ὅτι μέχρι Κλήμαντος τρίτου, ἐν ἔτει χιλιοστῷ ἑκατοστῷ ὀγδοηκοστῷ ὀγδόῳ, τὸ Καρδηναλᾶτον ἐδίδετο μόνοις Μοναχοῖς καὶ Ἀββάσι καὶ Δικανοῖς καὶ Ἡγουμένοις, ψεῦδος ἄρα ὅτι ἐπὶ τοῦ Διαλόγου οἱ Καρδηνάλεις προετιμῶντο τῶν Ἐπισκόπων. ταῦτα οἱ Λατῖνοι. ὅτι δὲ ὁ Ἱππόλυτος ἀλήθειαν εἶπε, φανερὸν ἐστὶ καὶ ἀπὸ τῆς ἐπὶ Φωτίου Συνόδου, καὶ ἴδε ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου δεκάτου τεταρτοῦ Παράγραφον δέκατον ἕβδομον, ὅπου λέγεται ὅτι ἐν τῇ Δύσει Κληρικοὶ ἐγίνοντο μόνοι Μοναχοί.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι τὸ προτιμᾶσθαι τοὺς Καρδηνάλεις τῶν Ἐπισκόπων δείκνυται ἐνταῦθα ἀντικείμενον τῇ γραφῇ, τοῖς πατράσι, καὶ τοῖς Κανόσι, καὶ ἡ δοῦσα τοῦτο Σύνοδος μετὰ τοῦ βεβαιώσαντος Πάπα ἀθέμιτος καὶ ὑπ' ἀνάθεμα.

Ὅτι δὲ οὗτος ὁ τῆς ὑπερηφανίας σωρὸς ἀντίκειται τῇ ἁγίᾳ γραφῇ καὶ τοῖς ἁγίοις πατράσι καὶ τοῖς ἱεροῖς Κανόσι, δῆλον, προτίθεται γὰρ ἀεὶ ὁ μακάριος Παῦλος τοὺς Ἐπισκόπους τῶν Πρεσβυτέρων, καὶ τούτους τῶν Διακόνων, καὶ τοῦτο μόνοι οἱ νέοι Αἱρετικοὶ οὐ δέχονται, ταὐτὸν λέγοντες εἶναι Ἐπίσκοπον καὶ Πρεσβύτερον, οἱ δὲ ἅγιοι πατέρες καὶ ἐκθετικῶς καὶ ἐξηγηματικῶς, ἤτοι τὴν θείαν γραφὴν ἑρμηνεύοντες, τὴν διαφορὰν ἀποδιδόασιν ὡς παρέλαβε καὶ παρέδωκεν ἡ καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία, τὸ γὰρ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Ὁ θεοφόρος Ἰγνάτιος λέγει, Τί γάρ ἐστιν Ἐπίσκοπος, ἀλλ' ἢ πάσης ἀρχῆς καὶ ἐξουσίας ἐπέκεινα, οἱ Ἱερεῖς σύμβουλοι, καὶ συνεδρεύοντες τῷ Ἐπισκόπῳ, Διάκονοι λειτουργοῦντες τῷ Ἐπισκόπῳ. καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης φησιν, Ἡ θεία τῶν Ἱεραρχῶν τάξις πρώτη μὲν ἐστι τῶν θεοπτικῶν τάξεων, καὶ ἴδε ἀνωτέρω μέρους πέμπτου κεφάλαιον πρῶτον, καὶ βιβλίου πρώτου κεφαλαίου ἑνδεκάτου Παράγραφον τρίτον. Ἡ ἐν Λαοδικείᾳ Σύνοδος Κανόνι εἰκοστῷ φησὶν, Οὐ δεῖ Διάκονον ἔμπροσθεν πρεσβυτέρου καθέζεσθαι, ἀλλὰ μετὰ κελεύσεως τοῦ Πρεσβυτέρου. Ἡ ἐν Νικαίᾳ Οἰκουμενικὴ πρώτη Κανόνι δεκάτῳ ὀγδόῳ φησὶν, Οἱ Διάκονοι ὑπηρέται εἰσὶ τοῦ Ἐπισκόπου, τοῦ δὲ Πρεσβυτέρου ἐλάττονες, καὶ μὴ ἐξέστω αὐτοῖς ἐν μέσῳ τῶν Πρεσβυτέρων καθέζεσθαι, παρὰ Κανόνας γὰρ καὶ παρὰ τάξιν ἐστὶ τὸ γινόμενον. Σύνοδος ἡ ἐν Τρούλλῳ Κανόνι ἑβδόμῳ φησὶ περὶ τῶν Ὀφφίκια ἐκκλησιαστικὰ ἐχόντων Διακόνων, καὶ ἐξ αὐθαδείας τῶν Πρεσβυτέρων προκαθεζομένων, Ὁρίζομεν ὥστε τὸν Διάκονον, κἂν ἐν ἀξιώματι, τουτέστιν ἐν Ὀφφικίῳ οἱῳδήποτε ἐκκλησιαστικῷ τυγχάνοι, τὸν τοιοῦτον μὴ πρὸ τοῦ Πρεσβυτέρου καθέζεσθαι, ἐκτὸς εἰ μὴ τὸ πρόσωπον ἐπέχων τοῦ οἰκείου Πατριάρχου, ἢ Μητροπολίτου, ἐν ἑτέρᾳ πόλει παραγείνηται ἐπίτινι κεφαλαίῳ, τότε γὰρ, ὡς τὸν ἐκείνου τόπον ἀναπληρῶν, τιμηθήσεται. καὶ ἐν τῷ τέλει, Τὸ δὲ αὐτὸ φυλαχθήσεται καὶ ἐπὶ τῶν λοιπῶν ἱερῶν ταγμάτων, ἐπειδὴ τῶν κατὰ κόσμον ἀξιωμάτων κρείττονα τὰ πνευματικὰ ἐπιστάμεθα. καὶ βιβλίῳ τῶν Διαταγῶν ὀγδόῳ, κεφαλαίῳ τρισκαιδεκάτῳ, Μεταλαμβανέτω ὁ Ἐπίσκοπος, ἔπειτα οἱ Πρεσβύτεροι καὶ Διάκονοι. καὶ ὁ Γελάσιος βιβλίῳ δευτέρῳ, κεφαλαίῳ τριακοστῷ φησὶν, Ὥρισαν οἱ τριακόσοι δεκαοκτὼ πατέρες, τὸν μὲν Ἐπίσκοπον ἐπέχειν τὸν τόπον τοῦ Κυρίου, τὸν δὲ Πρεσβύτερον τὸν Σεραφικὸν ἐπέχειν τόπον, τὸν δὲ Διάκονον τὸν Χερουβικόν. καὶ ὁ Ἱερώνυμος γράφει πρὸς Εὐάγριον, ὅτι ἐν τῇ Ἐκκλησίᾳ Ῥωμαίων οἱ Διάκονοι ἵστανται, οἱ δὲ Ἱερεῖς κάθηνται, εἰ καὶ αὐξανομένης τῆς κακίας, κάθηνται οἱ Διάκονοι ἐν μέσῳ τῶν Πρεσβυτέρων. ταῦτα οἱ Κανόνες καὶ οἱ πατέρες. καὶ ἐπειδὴ οἱ Καρδηνάλεις παρὰ τοὺς Κανόνας καὶ παρὰ τὴν τάξιν προτάττονται τῶν Ἐπισκόπων, παράνομον καὶ ἄτακτον ἔργον ποιοῦσι, καὶ ἡ δοῦσα ταῦτα αὐτοῖς Σύνοδος, ἀθέμιτος, καὶ ὁ βεβαιῶν τὰ τοιαῦτα Πάπας, ἕλκει πρὸς ἑαυτὸν τὸ, Πάντα τὰ παρὰ τὴν διδασκαλίαν καὶ ὑποτύπωσιν τῶν ἁγίων πατέρων πραχθέντα, ἢ πραχθησόμενα, ἀνάθεμα ἔστω.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ἀνθυποφορὰ παπιστῶν, ὅτι ἐλάσσονες τῶν Ἐπισκόπων τῷ βαθμῷ οἱ Καρδηνάλεις, μείζονες δὲ τῷ ἀξιώματι, ἐν οἷς καὶ πέντε τινὰ προτείνουσιν εἰς βεβαίωσιν.

Ἀνθυποφέρουσιν οἱ παπισταὶ πρῶτον, ὅτι οἱ Πρεσβύτεροι καὶ Διάκονοι καὶ Ἀναγνῶσται Καρδηνάλεις, εἰ καὶ ἐλάττονες τῷ βαθμῷ τῶν Ἐπισκόπων εἰσὶν, ὅμως εἰσὶ τῷ ἀξιώματι μείζονες, ὅπερ ὅτι οὐκ ἄτοπον, δῆλον, ἐν γὰρ ταῖς Οἰκουμενικαῖς Συνόδοις οἱ Τοποτηρηταὶ τῶν Πατριαρχῶν οὐ μόνον Ἐπίσκοποι, ἀλλὰ καὶ Πρεσβύτεροι ἦσαν, καὶ ὅμως εἶχον τοὺς τόπους τῶν ἀποστειλάντων αὐτούς. δεύτερον, ὅτι ὁ Ἐπίσκοπος Ἱεροσολύμων, καίτοι ἐλάττων κατὰ τὴν ἐξουσίαν τοῦ Καισαρείας ὤν, ἐκεῖνος γάρ ἐστιν ἁπλῶς Ἐπίσκοπος, οὗτος δὲ Μητροπολίτης, ὅμως κατὰ τὸν ἕβδομον Κανόνα τῆς ἐν Νικαίᾳ μειζόνων ἐπελάβετο Πρεσβείων παρὰ τοὺς λοιποὺς Ἐπισκόπους. τρίτον, ὅτι οἱ Καίσαρες ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασι τοῖς Ἱερεῦσιν εἰσὶν ὑποκείμενοι. τέταρτον, Ἀλέξιος ὁ Κομνηνὸς τὸν Χαρτοφύλακα προκαθῆσθαι τῶν

Ἀρχιε

Ἀρχιερέων διὰ διπλωμάτων προσέταξε. πέμπτον, ὡς ἱστορεῖ ὁ Σγουρόπουλος ἐν τῇ ἐν Φλωρεντείᾳ Συνόδῳ οἱ Ἐξωκατάκοιλοι Κληρικοὶ προεκάθηντο τῶν Ἐπισκόπων. ταῦτα, καὶ ἄλλα ἀπὸ συλλογισμῶν καὶ πολιτικῶν ἐπιχειρημάτων ἀσυδάζουσι πρὸς σύστασιν τῆς καρδηναλικῆς ἀλαζονείας.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ἀπάντησις εἰς τὰ πέντε ἐπιχειρήματα τῶν παπιστῶν, ἐξ ἧς δείκνυται ψεῦδος τὸ τὸν ἐλάττονα βαθμοῦ ὄντα δύνασθαι ἔχειν μεῖζον ἀξίωμα, καὶ τὸ τάγμα τῶν Καρδηνάλεων ἀθέμιτον, καὶ ψεῦδος τὸ ἰσοτίμους εἶναι αὐτοὺς τῶν Βασιλέων.

Ῥητέον πρὸς μὲν τὸ πρῶτον, ὅτι ἐν ταῖς Οἰκουμενικαῖς Συνόδοις τῶν Πατριαρχῶν καὶ ἄλλων Ἀρχιερέων οἱ Τοποτηρηταὶ Ἐπίσκοποι καὶ Πρεσβύτεροι εἶχον τοὺς τόπους τῶν ἀποστειλάντων αὐτοὺς, ἀλλ' ἐν καιρῷ καὶ πράγματι διωρισμένῳ, ὡς λέγει ὁ ἀνωτέρω Κανὼν τῆς ἕκτης Συνόδου. οἱ δὲ Καρδηνάλεις οὐκ ἐπὶ Συνόδόν τινα τὸ τοῦ Ῥώμης πρόσωπον ἐπιφέροντες προηγοῦνται τῶν Ἐπισκόπων, ἀλλ' ἁπλῶς οἱ πάντες, καὶ πανταχοῦ, ὅπερ οὐκ ἔρρωται. δεύτερον, ὅτι οὐμόνον οἱ Πρεσβύτεροι Καρδηνάλεις προηγοῦνται τῶν Ἐπισκόπων, ἀλλὰ καὶ Διάκονοι καὶ Ἀναγνῶσται. ὁ δὲ Κανὼν φησὶ, Τὸ αὐτὸ φυλαχθήσεται καὶ ἐπὶ τῶν λοιπῶν ἱερῶν ταγμάτων, ἐπειδὴ τῶν κατὰ κόσμον ταγμάτων κρείττονα τὰ πνευματικὰ ἐπιστάμεθα. ὅτι δὲ κοσμικὰ τάγματά εἰσι τὰ Ὀφφίκια, εἴτ' οὖν Ἀρχοντίκια, πρόδηλον. πρὸς δὲ τὸ δεύτερον, εἴρηται ἀνωτέρω ἐν τῷ δευτέρῳ βιβλίῳ, ἐν τῇ ἑρμηνείᾳ τοῦ ἑβδόμου Κανόνος τῆς πρώτης Οἰκουμενικῆς, ὅτι ὁ Ἱεροσολύμων οὐδέποτε ἦν τοῦ Καισαρείας Ἐπίσκοπος, εἰ δὲ καὶ διὰ τὸ μὴ ματαιολογεῖν δώσομεν τοῦτο, ἀλλ' ὁ σκοπὸς τοῦ Κανόνος οὐκ ἦν τοιοῦτος, ὥστε τὸν Ἱεροσολύμων ὑποκείμενον εἶναι τῷ Καισαρείας, ἀλλὰ τιμωμένου τοῦ Ἱεροσολύμων, τὸν Καισαρείας μὴ γενέσθαι Ἐπίσκοπον ἀπὸ Μητροπολίτου, ἀλλ' εἶναι μὲν Μητροπολίτην, ὑποκείμενον ὅμως τῷ Ἱεροσολύμων, ὥσπερ τοῦ Βυζαντίου Πατριαρχείου γενομένου, ὁ Ἡρακλείας ἔμεινε Μητροπολίτης ὑποκείμενος τῷ Κωνσταντινουπόλεως. ὥστε ὥσπερ ὁ Κωνσταντινουπόλεως ὑπερέχει τοῦ Ἡρακλείας τάξει καὶ ἀξιώματι, οὕτως ὑπερέχει ὁ Ἱεροσολύμων τοῦ Καισαρείας. πρὸς τούτοις ἡ ἐν Χαλκηδόνι Συνόδος πράξει τετάρτῃ διορίζεται, οὐχ οἷόν τε τὸν ἐλάττονος βαθμοῦ ὄντα μείζονος ἀξιώματος καθεστάναι διάδοχον, ὅπερ ταὐτόν ἐστι τῷ ὁ ἐλάττονος βαθμοῦ ὢν, οὐ δύναται ἔχειν μείζονα ἀξίαν τοῦ ἔχοντος τὸν μείζονα βαθμόν. πρὸς δὲ τὸ τρίτον, ὅτι ἡμῖν βοηθεῖ ὁ λόγος, εἰ γὰρ οἱ Καίσαρες κοσμικοὶ ὄντες Ἄρχοντες ὑπόκεινται τοῖς Ἱερεῦσι. πῶς οἱ ἔχοντες Ὀφφίκια καὶ Ἀρχοντίκια κοσμικὰ προτιμηθήσονται τῶν Ἐπισκόπων; ἴδε καὶ ἀνωτέρω βιβλίου πρώτου κεφάλαιον εἰκοστὸν πρῶτον, καὶ μέρους τρίτου ὅλον τὸ δωδέκατον κεφάλαιον. πρὸς δὲ τὸ τέταρτον, ὅτι οἱ τῆς ἐν Χαλκηδόνι Συνόδου πατέρες πράξει τετάρτῃ ὁμοῦ μετὰ τῶν Ἀρχόντων ἐψηφίσαντο τοὺς πραγματικοὺς τύπους ἀργεῖν, τοὺς δὲ Κανόνας κρατεῖν, φασὶ γὰρ, οἱ πραγματικοὶ τύποι ἀργείτωσαν, οἱ Κανόνες κρατείτωσαν. ὥστε μείζονα ἀσυγκρίτως δύναμιν ἔχουσιν οἱ συνοδικοὶ Κανόνες τῶν βασιλικῶν διπλωμάτων, διὸ καὶ τὸ πρόσταγμα τοῦ Βασιλέως Ἀλεξίου κατὰ τῶν Κανόνων προαχθὲν, εἰς οὐδὲν λογισθήσεται. ἴδε καὶ ἀνωτέρω βιβλίου πρώτου κεφαλαίῳ εἰκοστῷ πρώτῳ τὸ περὶ τοῦ Χαρτοφύλακος. πρὸς δὲ τὸ πέμπτον, ὅτι συκοφαντοῦσι τὸν Σγουρόπουλον οἱ λατινόφρονες, ἐπειδὴ ἐκεῖνος λέγει τοὺς πέντε Ἐξωκατακοίλους καθῆσθαι ἐγγὺς τοῦ Πατριάρχου ἐν ἰσοπεδίοις, ἤτοι εἰς καθίσματα, ἰσόπεδα, ἤγουν ἀπὸ ὁμαλῶν σανίδων συγκείμενα ἐχουσῶν στηρίγματα; ἵνα ἔχῃ ὁ Πατριάρχης ἐρωταῦ αὐτοὺς σοφοὺς ὄντας, εἴπου τύχοι τι ἀναγκαῖον, ἐκεῖνο δὲ τὸ κάθισμα ἦν ὄπισθεν τοῦ Πατριάρχου, οὐκ εἰς τὴν κατ' εὐθεῖαν σειρὰν ἐν ᾗ ἐκάθηντο οἱ Ἀρχιερεῖς μετὰ τοῦ Πατριάρχου, καὶ οἱ μὲν Κληρικοὶ, ἤτοι μόνοι οἱ Ἐξωκατάκοιλοι ἐκάθηντο ἐπὶ τοιούτων καθισμάτων, καὶ ὄπισθεν, οἱ δὲ Ἀρχιερεῖς ἐπὶ θρόνων, καὶ κατὰ σειράν. εἶτα τοῦτο ἐγίνετο ἐν ταῖς μεγίσταις συνελεύσεσιν, οὐ μὴν καὶ πάντοτε, καθότι ἐν ταῖς οἰκειακαῖς Συνόδοις οἱ Κληρικοὶ οὐκ ἐκάθηντο, ἀλλ' ἵσταντο, ὅθεν ἐν τοῖς συνοδικοῖς τῶν Πατριαρχῶν λέγεται, Προκαθημένου τοῦ ἁγιωτάτου Πατριάρχου, συνεδριαζόντων αὐτῷ καὶ τῶν δείνων Ἀρχιερέων, καὶ ἐκκλησιαστικῶν Ἀρχόντων παρισταμένων. ψεῦδος ἄρα τὸ ὁ ἐλάττονος βαθμοῦ δύναται ἔχειν μεῖζον ἀξίωμα ἐν τῇ Ἐκκλησίᾳ. ὅτι δὲ καὶ ἡ χειροτονία τοῦ Πάπα μὴ γινομένη ὑπὸ τῶν Ἐπισκόπων τῆς δυτικῆς Συνόδου, ἀλλ' ὑπὸ τῶν Κληρικῶν, οὐκ ἔστι νόμιμος, δῆλον. Σημείωσαι ὅμως ἔτι τρία τινὰ, πρῶτον, ἐπειδὴ τὸ τάγμα τῶν Καρδηνάλεων ἐστὶν οὐμόνον παρὰ τὴν ἐκκλησιαστικὴν τάξιν καὶ παρὰ Κανόνας, ἀλλὰ καὶ ὑστερογενὲς, ἀθέμιτόν ἐστι, καὶ προφανὲς κατὰ τῆς ἐκκλησιαστικῆς πατροπαραδότου εὐταξίας ῥᾳδιούργημα. δεύτερον, ὅτι οἱ Τοποτηρηταὶ τοῦ Πάπα Ἀγάθωνος ἔλεγον ἐπ' ὄψει τῆς Οἰκουμενικῆς ἕκτης Συνόδου πρὸς τὸν Βασιλέα, Ἀπεστάλημεν παρὰ Ἀγάθωνος εἰς τὰ ἴχνη τῆς θεοστηρίκτου ὑμῶν γαλήνης. καὶ λοιπὸν ψεῦδος παπικόν ἐστι τὸ, οἱ Καρδηνάλεις εἰσὶν ἰσότιμοι τῶν Βασιλέων. τρίτον, ἐν τῇ ἑβδόμῃ Οἰκουμενικῇ, ἐν τῇ δευτέρᾳ πράξει, ὁ Κωνσταντινουπόλεως Ταράσιος ἐξετάζει, εἰ οἱ Τοποτηρηταὶ τοῦ Πάπα ἀληθεῖς εἰσι, καὶ ἐμαρτύρησαν τρεῖς Ἐπίσκοποι Σικελοὶ, ὅτι ἀληθεῖς εἰσι. καὶ ὁ Πάπας Ἀνδριανὸς ἔγραφε τῷ Ταρασίῳ, ἵνα συστήσῃ αὐτοὺς εἰς τὸν Βασιλέα. ἐξ ὧν συνάγεται ὅτι ἦλθον εἰς Κωνσταντινούπολιν οἱ Τοποτηρηταὶ σεμνῶς, καὶ ἀποστολικῶς,

λικῶς, τουτέστι ταπεινῶς καὶ κανονικῶς, ταὐτὸν εἰπεῖν αὖθίς τινος φαντασίας καὶ κόμπου. ὥστε, ὡς εἴρηται, ἡμῶν δόξα καὶ ἐπαγγελία τῶν Καρδηνάλεων ἐστὶν ὑποτατῶν ἀσλάγχνων τῆς ὑπερηφανείας ἐστί.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ ς'. ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς ἀσεβείας Βησαρίωνος καὶ Νικηφόρου τοῦ Καρδηνάλεως.

Μανουὴλ ὁ Ῥήτωρ ἰσορεῖ τῷ μιαρῷ ζηλωτῇ Βησαρίωνος καὶ Γεμιστῷ, ἡμεῖς ὅμως ἀφέντες τὸν Γεμιστὸν, χαίρομεν ὀλίγα ἅττα ἐξ ὧν εἶπον ἐκεῖνος περὶ τοῦ Βησαρίωνος. φησὶ γοῦν ὅτι ἦν θεομάχος, καὶ πολυειδῶς διεφθαρμένος, κόθορνος, καὶ θεοκάπηλος, καὶ οὐχ Αἰρετικὸς μόνον ὑπάλως, ὅθεν καὶ τοῖς ἐναντίοις νῶτα δέδωκε, καὶ τοὺς ἀσεβοῦντας αὐτῷ ἀσεβέστερος ἔφθειρε, καὶ τῷ ἀληθείαν ἀσεβεῖν τιμῶν καὶ δωρεῶν ἐπαγγελίαις, ἀλλὰ καὶ ἀσεβὴς αὖθις ἦν, τῷ πάλαι τῶν Ἑλλήνων περὶ Θεῶν, ἢ Δαιμόνων εἰπεῖν οἰκειότερον βδελυγμίαν ὃν τῇ αὐτὸς περιφέρων ψυχῇ, καθὼς τὰ αὐτῷ ἀθεώτατα τῶνδε συγγεγράμματα ἀφασαφοῦσι. γεγραφε γοῦν ὁ Βησαρίων ὁ Καρδηνάλις τῆς ῥωμαϊκῆς Ἐκκλησίας πρὸς Γεμιστὸν, λύσει δεῖσθαι ζητῶν ἐπ' ἀπορίας τῶν κατ' αὐτὸν αὐτοσχεδιαγώγων, ἢ Θεῶν, ταῦτα, Κριτὴς ὢν, φησὶ, πᾶσιν ἐπεσαρωδῆς οὐσίας, καὶ ταύτης ἀληθεστάτης, μηδοὶ μηδαμῇ αὐαίτιον εἶναι, ἀκόλουθος δὲ τῶν Πλάτωνος ἑτέρων, ὡς πρόκλου, Ἑρμείαντε καὶ Δαμάσκιον, τήντε ψυχὴν, τάς τε πρὸ αὐτῆς πάντας, εἴτε νοητὰς τε καὶ νοερὰς, εἴτε νοερὰς θεὰς αὐθυποστάτους εἶναι τιθεμένους δυσχερῶς. εἴποι δ' ἄν τις, μὴ δ' ἂν μηδὲ Πορφυρίῳ, Ἰαμβλίχῳ καὶ Συριανῷ περί γε τοιαύτας καὶ τοσαύτας πραγμάτος ἄλλως δοκεῖν, τάχιστε πρὸς ὀρθὴν σωτηρίαν τοὺς τούτων αὐαλεγομένους ὀπαδοὺς, καὶ ταῖς αὐτῶν ἐπομένους ὡς τὰ πολλὰ δόξαις. ὥσπερ τοίνυν ὁπόσης δόξης πέρι τῶν πρὸ ἡμῶν ἀνδρῶν αὐθυπόστατα εἶναι τὰ τοιαῦτα τῶν ὄντων ἀπεφαίνετο, καὶ ἅτε αὐθυπόστατα ὡς αὐτὰ ἑαυτὰ ὑφισῶντα, καὶ ἑαυτῶν αἴτια ὄντα, καὶ ὅλα ἅμα αἰτιατά τε καὶ αἴτια. Ὁ αὐτὸς ἀποθανόντος τοῦ Γεμιστοῦ γεγράφει παραμυθούμενος τοὺς υἱοὺς αὐτοῦ, καὶ φησὶ, Πέπεισμαι τὸν κοινὸν πατέρα καὶ καθηγεμόνα τὸ γενέσθαι πᾶν ἀποθέμενον, εἰς οὐρανοὺς καὶ τὸν ἀκραιφνῆ μετασῆναι χῶρον, τὸν μυσικὸν τοῖς ὀλυμπίοις θεοῖς συγχορεύοντα Ἴακχον. καὶ κατωτέρω, Ὡς εἴτις τὸν περὶ τῆς ἀπείρου τῶν ψυχῶν αὐόδου τε καὶ καθόδου Πυθαγόρου τε καὶ Πλάτωνος ἀποδέχεται λόγον, πάνυ εὔλογον ὄντα, ἐκ οὗ ὥκισε καὶ τὸν κοσμεῖσθαι, ὡς ἄρα Πλάτωνι τῷ ψυχὴν τοῖς τῆς ἀθεότητος ἀῤῥήκτοις δεσμοῖς δεῖσαν δεδουλῶσαι, καὶ τὴν αὐαγκαίαν ἀποδοῦναι περίοδον, ἐπὶ τῆς γῆς καθεῖσαν τὸ Γεμιστοῦ σκῆνος, καὶ τὸν σὺν ἐκείνῳ βίον ἔχεσθαι. ταῦτα τὰ συγγεγράμματα τοῦ ἀθέου. ἐν οἷς φησὶν ὁ Μανουὴλ, Φῶς, μετ' αἰθρίαν νέφος ζοφῶδες, μετ' ἀληθείαν ψεῦδος, μετὰ Ἥλιον σκότος, μετὰ τρισυπόστατον οὐσίαν τῇ ὑσίᾳ Θεὸν ἀληθῆ, καὶ τῶν ὄντων ἁπάντων δι' ὑπερβολὴν ἀγαθότητος δημιουργὸν, Θεοὶ πολλοὶ, κατάτε φύσιν καὶ χρέων καὶ σάπιν Δημίουροι, καὶ αὐτοπρόαγωγοι καὶ αὐτοτέλειοι. καὶ αὖθις, Πῇ μὲν αὐτοπροάγομοι κατ' ἄλλας τῶν κατ' αὐτοὺς θεολόγων, πῇ δὲ προάγοντες, καὶ ἀσυσάτως ἅτω μεριζόμενοι, ἁδ' ὅλως Θεοὶ προσαγορεύεσθαι ἄξιοι, τὸ γὰρ θεῖον ἀμέριστον, ὧν οἷς γε καὶ ὁ αἰχίσος Ἴακχος, καὶ ταῦτ' ἐν ψυχῇ καὶ χείλεσιν ἐμφερόμενοι, καὶ δόγμασι τοῦ τῆς πρεσβυτέρας Ῥώμης χρηματίσαντος Καρδηνάλεως Βησαρίωνος. ἀκουέτωσαν σωφρόνως οἱ ἐν τῇ Ἰταλίᾳ καινῶς ἅπαντες Χριστιανοὶ, ἀναύσοντες καὶ ἀναυσόμφοι, ἰδιῶται καὶ Ἄρχοντες. ἀκουέτωσαν οἷον ἀθεώτατον ἄνδρα δώροις ὅτι πολλοῖς καὶ ἀξιώμασι λαθόντες λαμπρῶς ἐτίμων, σοφῶς ἔργοις τε καὶ λόγοις χριστὸν τὸν Θεὸν ἡμῶν ἀθετήσαντα, καὶ τῇ μιαρᾷ αὐτοῦ ψυχῇ περιφέροντα θεοὺς πολλοὺς αὐτοπαραγωγοὺς, ἤτοι πλῆθος ἀκαθάρτων Δαιμόνων, ἢ γὰρ ἐν αὐτοῖς, καὶ τοῖς Ἀριστοφανείοις βατράχοις ἀχημονέστατον Ἴακχον, καὶ τὰ ἑξῆς.

ΒΙΒΛΙΟΥ Ι'. ΜΕΡΟΣ ς'. ΚΕΦΑΛΑΙΟΝ Γ'.

Πόσους ἡμεῖς γινώσκομεν Ἕλληνας συγγεγράφοντας κατὰ τῶν καινοτομιῶν τῶν Λατίνων.

Ἀδριανὸς Βυλγαρίας. Ἀνδρόνικος ὁ Καματηρός. Ἀνδρόνικος Δούκας ὁ Σγουρός. Ἄγγελος Γρηγόριος. Ἀκοιτὸς πολλάκις κατὰ διαφόρους καιρούς. Ἀλέξιος ὁ Κομνηνός. Ἄγγελος Νταυϊτζέλ ὁ Ἀθηναῖος. Ἀρσένιος Ἱερομόναχος. Ἀλέξιος Ἀριστινός. Βασίλειος ὁ Κερκύρας. Βαρλαὰμ ὁ Ἰταλός. Βαρλαὰμ Μοναχός. Βασίλειος Θεσσαλονίκης ὁ Ἀχειδινός. Βαρλαὰμ Μοναχὸς ἕτερος. Βασίλειος

Βασίλειος Στυδίτης ὁ Στηθᾶτος. Βησσαρίων Μακρὴς ὁ ἐξ Ἰωαννίνων. Γεώργιος ὁ Γεμιστός. Γεώργιος μέγας Λογοθέτης ὁ Ἀκροπολίτης. Γεώργιος Κωνσταντινουπόλεως ὁ ἐπὶ Νικαίας. Γρηγόριος Κωνσταντινουπόλεως Πατριάρχης ὁ Κύπριος. Γρηγόριος ὁ Παλαμᾶς. Γεώργιος Τορνίκης. Γεώργιος Γαβριηλόπουλος. Γεώργιος Κύπριος. Γεώργιος ὁ Σχολάριος. Γαβριὴλ ὁ Φιλαδελφείας. Γεώργιος ὁ Κορέσσιος. Γεννάδιος Βουλγαρίας. Γεώργιος ὁ Παχυμέρης. Διαλέξεις ἐπὶ Ἀλεξίου τοῦ Κομνηνοῦ. Δημήτριος Χρυσολωρᾶς. Εὐθύμιος ὁ Ζυγαβηνός. Εὐστράτιος ὁ Νικαίας. Εὐθύμιος Πατριάρχης Κωνσταντινουπόλεως. Ἐπιφάνιος Μοναχός. Θεοφύλακτος Βουλγαρίας. Θεόδωρος Σμυρναῖος ὁ Κουροπαλάτης. Θεόδωρος Ἀγαλλιανός. Θεοφάνης ὁ Νικαίας. ὁ Βασιλεὺς Θεόδωρος. Δούκας Λάσκαρις. Θεοφάνης Πατριάρχης Ἱεροσολύμων. Θεόδωρος Ἀντιοχείας ὁ Βαλσαμών. Ἱερώνυμος Μοναχός. Ἰωάννης πρεσβύτερος ὁ Φουρνής. Ἰωάννης ὁ Ζωναρᾶς. Ἰωάννης Πατριάρχης Ἱεροσολύμων. Ἰωάννης Πατριάρχης Ἀντιοχείας. Ἰωάννης Κλαυδιουπόλεως. Ἰωάννης ὁ Μόσχος. Ἰωσὴφ ὁ Βρυέννιος. Ἰωάννης ὁ Νομοφύλαξ. Ἰωάννης Ναυπάκτου. Ἰωάννης Βασιλεὺς ὁ Καντακουζηνός. Ἱερωμνήμων. Ἰωσὴφ Φιλάνδρης, ἢ Φιλάγριος. Ἰωάννης Κουβουκλήσιος. Ἰωάννης Σαΐτος Κρὴς ὁ Κυδωνειάτης. Ἰωάννης καὶ Σωφρόνιος οἱ Κεφαληναῖοι Ἱερομόναχοι καὶ αὐτάδελφοι. Κύριλλος Μοναχὸς ὁ Πετρινός. Κάλλιστος Μελινίκιος. Κύριλλος Κωνσταντινουπόλεως ὁ Λούκαρις. Κωνσταντῖνος Ἱερεὺς ὁ Ἄγγελος. Λέων Βουλγαρίας. Λέων Πρεσλάβας ἤτοι Μαρκιανουπόλεως. Λέων Ἀχριδινός. Μιχαὴλ ὁ Κηρουλλάριος. Μιχαὴλ ὁ Ψελλός. Μιχαὴλ Βαλσαμών. Ματθαῖος Κοιαίστωρ Ἄγγελος. Μιχαὴλ ὁ Ἀγχιάλου. Μανουὴλ ὁ Κομνηνός. Μελέτιος Νοναχός Μεθόδιος Πατριάρχης Κωνσταντινουπόλεως ὁ ἐπὶ Νικαίας. Μάξιμος ὁ Πλανούδης. Ματθαῖος ὁ Βλάσταρις. Μανουὴλ Κρὴς. Μεθόδιος Μοναχός. Μανουὴλ ὁ Ῥήτωρ. Ματθαῖος Μονότροπος. Ματθαῖος ὁ Καμαριώτης. Μακάριος Ἱερομόναχος ὁ Μακρής. Μάρκος ὁ Ἐφέσου. Μάρκος ὁ Ἀγκύρας. Μάξιμος ὁ Μαργούνιος. Μελέτιος Ἀλεξανδρείας ὁ Πηγᾶς. Μάξιμος ὁ Πελοποννήσιος. Μητροφάνης Σμύρνης σύγχρονος Φωτίου. Μιχαὴλ ὁ Γλυκᾶς. Μιχαὴλ Ἀποστόλη τοῦ Βυζαντίου. Μοσχάμπαρ. Ματθαῖος Βουλγαρίας. Ματθαῖος Μυρέων. Μάρκος Ἀλεξανδρείας. Νικήτας Δαβὶδ ὁ Παφλαγών. Νικήτας ὁ Στηθᾶτος. Νικήτας Πατρίκιος Κωνσταντινουπολίτης. Νικήτας Σεΐδος ὁ ἐξ Ἰκονίου. Νικήτας ὁ Χωνειάτης. Νικόλαος Μεθώνης. Νικηφόρος ὁ Βλεμμίδης. Νικόλαος Μουζάλων. Νικηφόρος ὁ Γρηγορᾶς. Νεῖλος ὁ Θεσσαλονίκης. Νικόλαος ὁ Καβάσιλας. Νεῖλος Δαμύλας. Νεῖλος Ῥόδου. Νεῖλος Ἱερομόναχος ὁ Τραχανιώτης. Νικήτας Σερρῶν. Νικηφόρος ὁ Κάλλιστος. Νεῖλος Κωνσταντινουπόλεως. Ναθαναὴλ ὁ Χύκας. Νεκτάριος Ἱεροσολύμων. Νικόλαος ὁ Ἐπίσκοπος Ὑδροῦντος. Νικόλαος Κεραμεὺς ὁ ἐξ Ἰωαννίνων. Νεκτάριος Ἡγούμενος. Νικήτας Μιρσινιώτης. Νικόλαος Σελευκείας. Οἰκουμένιος. Πέτρος ὁ Ἀντιοχείας. Πανάρετος Πατριάρχης Συρίας πρὸς Ἰωάννην τὸν Παλαιολόγον. Συμεὼν Πατριάρχης Ἱεροσολύμων. Συμεὼν ὁ Θεσσαλονίκης. Σύνοδος ἡ ἐπὶ Κωνσταντίνου τοῦ Μονομάχου. Σύνοδος ἡ ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ. Σύνοδος ἡ ἐπὶ Γερμανοῦ ἐν Νικαίᾳ. Σύνοδος ἡ κατὰ Βεκκου. Σύνοδος ἡ ἐν τῇ ἁγίᾳ Σοφίᾳ ἐπὶ Ἰωάννου τοῦ Παλαιολόγου. Σύνοδος ἡ ἐν τῇ ἁγίᾳ Σοφίᾳ ἐπὶ Κωνσταντίνου τοῦ Παλαιολόγου. συνοδικὴ διάγνωσις τῶν τριῶν Πατριαρχῶν τῆς Ἀνατολῆς. Σύνοδος ἐν Κωνσταντινουπόλει ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ ἐννενηκοστῷ δευτέρῳ. Σίλβεστρος ὁ μέγας Ἐκκλησιάρχης. Συμεὼν ὁ νέος θεολόγος. Σεβαστὸς Τραπεζούντιος ὁ Κυμινίτης. Φώτιος ὁ Κωνσταντινουπόλεως. Φιλόθεος Κωνσταντινουπόλεως.

ΒΙΒΛΙΟΥ Ι΄. ΜΕΡΟΣ ϛ΄. ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Ὅτι οἱ Λατῖνοι διαστρέφουσι τὴν γραφὴν, καὶ φθείρουσι τὰ βιβλία τῶν ἁγίων καὶ τοὺς Κανόνας.

Ὁ Μέγας Κύριλλος ἐπιστολῇ πρὸς Ἰωάννην τὸν Ἀντιοχείας, ἧς ἡ ἀρχὴ, ΕΥΦΡΑΙΝΕΣΘΩΣΑΝ ΟΙ ΟΥΡΑΝΟΙ. καὶ γὰρ, φησὶν, Εἴτις τῶν νομοθετῶν διαστρέφει τὰ ὀρθὰ καὶ τὰς ἐμὰς φωνὰς, καὶ κατὰ ἀρέσκειαν μετατίθησι, μὴ θαυμαζέτω ἡ σὴ ἁγιότης, εἰδυῖα ὅτι καὶ πάντες οἱ Αἱρετικοὶ ἐκ τῆς θεοπνεύστου γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμὰς, τὰ διὰ τοῦ ἁγίου Πνεύματος ὀρθῶς εἰρημένα ταῖς ἑαυτῶν κακονοίαις παραφθείροντες. τίθησι δὲ παράδειγμα, ὅτι ἡ ἐπιστολὴ τοῦ ἁγίου Ἀθανασίου πρὸς Ἐπίκτητον ἐφθάρη. καὶ ἐν τῇ πρὸς Ἀκάκιον ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, ΑΜΟΙΒΑΙΑ ΠΑΡΗΓΟΡΙΑ. ἐν τῷ τέλει φησὶν, Εἰ δὲ ὡς παρ' ἐμοῦ γραφέντα παρά τινων προσθέντες ὅτι μετημελήθην περὶ τούτων ἃ ἐν τῇ Ἐφεσίων ἐπράξαμεν, γελασθήτω καὶ τοῦτο, ἐσμὲν γὰρ διὰ τῆς τοῦ Χριστοῦ χάριτος καλοῦ νοὸς, ἀλλ' οὐδ' ἔξω τοῦ ὀρθοῦ λόγου ἀγόμεθα. ταῦτα ὁ Κύριλλος. οἱ Λατῖνοι οὖν ἐξομοιούμενοι τοῖς ἐπὶ Κυρίλλου Αἱρετικοῖς, οὐμόνον διαστρέφουσι τὰς γραφὰς, τὸν νοῦν αὐτῶν παρασαλεύοντες, ἀλλὰ καί τινας τῶν ἁγίων πατέρων καὶ πολλοὺς Κανόνας διαφθείρουσιν, ὅθεν Νικήτας Μιρσινιώτης ἐν τῷ περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος κατὰ Λατίνων φησὶν, Ἔστι δὲ ἐν αἷς τῶν βίβλων καὶ περὶ τὴν γραφὴν κακουργοῦσι,

κακουργοῦσι, τὸ δοκοῦν αὐτοῖς οἴκοθεν τοῖς τῶν ἁγίων συγγράμμασι παρενείροντες ἐν οἷς θεολογοῦσι περὶ τῆς τοῦ Πνεύματος ἐκπορεύσεως, ἔστι δ' οὗ καὶ τὰ μέρη τοῦ λόγου κατὰ τὴν οἰκείαν. λαμβανόμενα σημασίαν ἡμῶν, καὶ τῇ ἀληθείᾳ συμβαίνοντα, πρὸς τὸ δοκοῦν αὐτοῖς σφίσι βιάζονται, τὰς ῥήσεις παρεξηγούμενοι. Καὶ, τί γὰρ εἰ οἱ κατὰ τῆς ἀληθείας μεμηνότες ὕστερον τὰς τοιάσδε ῥήσεις διέφθειραν; τί δὲ εἰ καὶ διάτινα ἴσως οἰκονομίαν μικρόν τι τῆς ἀκριβείας ἐστὶν οὗ παρηνέχθησαν ἔνιοι, ἵνα οὕτωγε ἢ κατὰ τῶν τοῦ Υἱοῦ φρυαξαμένων τὴν μανίαν ἐπίσχωσιν, ἢ τοὺς λυττῶντας κατὰ τοῦ Πνεύματος ἐπισπάσωνται. καὶ Νικόλαος Σελευκείας ἐν τῇ ἀπολογίᾳ πρὸς Ἡσαΐαν χρακολατῖνον τὸν Κύπριον λέγει, Ἐν ῥητοῖς φῂς πολλοῖς τοῖς ἐκείνων εὑρίσκω, ὡς σὺ νοεῖς ἄνθρωπε, οὐχ οὕτως ἡ ἀλήθεια ἔχει ὁ προσφέρεις, πολλὰ νενοθευμένα εἰσὶ παρὰ τῶν ὁμοίωνσοι, καὶ ὑπὸ τῶν ἀπατωμένων τῇ ὑπερηφανίᾳ. ἐνόθευσαν οὖν οἱ Λατῖνοι Κανόνας τῆς ἐν Σαρδικῇ, εἰπόντες αὐτοὺς ἐν Καρθαγένῃ εἶναι τῆς πρώτης Οἰκουμενικῆς, καὶ ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου πέμπτου Παράγραφον δέκατον ἕβδομον, καὶ βιβλίου τρίτου κεφαλαίου δεκάτου τρίτου Παράγραφον ἕκτον καὶ ὄγδοον. καὶ ἐν Κωνσταντινουπόλει περὶ Ἀκακίου, καὶ ἴδε ἀνωτέρω βιβλίου τετάρτου κεφαλαίου δεκάτου Παράγραφον τρίτον. καὶ ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ, καὶ ἴδε βιβλίου τετάρτου κεφαλαίου τρίτου Παράγραφον δέκατον τρίτον. Πατέρας δὲ, τὸν μέγαν Ἀθανάσιον ἐν τῷ καλουμένῳ αὐτοῦ Συμβόλῳ, ὡς εἴπομεν ἀνωτέρω βιβλίου τρίτου κεφαλαίου πέμπτου Παραγράφῳ ἕκτῳ, καὶ βιβλίου ὀγδόου κεφαλαίου δευτέρου Παραγράφῳ τετάρτῳ. πρὸς τούτοις Νικόλαος ὁ Ὑδροῦντος φησὶν, ὅτι καὶ αὐτοὶ οἱ Λατῖνοι ἀγνοοῦσι τὶς ὁ προσθεὶς ἐν τῇ πίστει τοῦ ἁγίου Ἀθανασίου τῇ καθολικῇ λεγομένῃ, ὡς ἐν τῷ ἑλληνικῷ, οὐχὶ τοῦτο, ὅπερ ἐστὶ καὶ ἐκ τοῦ Υἱοῦ, περιέχεται, οὔτε ἐν τῷ Συμβόλῳ. εἶτα πῶς οἱ δυτικοὶ προσέφερον ἐπὶ Μαξίμου ῥήσεις Ῥωμαίων πατέρων, τοῦ δὲ Συμβόλου τοῦ Ἀθανασίου οὐκ ἐμνήσθησαν; ὅπερ εἰ οὕτως εἶχεν, ὡς οἱ Λατῖνοι βούλονται, ἤρκει αὐτοῖς αὐτὶ πάντων. καὶ πῶς ὁ Δαμασκηνὸς ἐναντία τοῦ Ἀθανασίου θεολογήσας, εἰπὼν, Ἐκ τοῦ Υἱοῦ οὐ λέγομεν, οὐκ ἐμέμφθη παρὰ τῶν τότε καὶ μεταταῦτα πατέρων καὶ Συνόδων; καὶ πῶς ὁ Ἀθανάσιος ἐν τίσιν ἀποκρίσεσιν αὐτοῦ εἶπεν, Ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι, καὶ μόνον αἴτιον τὸν Πατέρα; ἀλλὰ καὶ τὸν μέγαν Βασίλειον παρεχάραξαν ἐν τῷ τρίτῳ κατ' Εὐνομίου, ὡς φαίνεται ἐν τοῖς ἀρχαίοις ἐν ὅλῃ τῇ Ἀνατολῇ χειρογράφοις, καὶ ἐν τοῖς τυπωθεῖσιν ἐν ὅλῃ τῇ Δύσει βιβλίοις, ἔνθα ἐκεῖνος τίθησι, Τῷ ἀξιώματι μὲν γὰρ δευτερεύειν τοῦ Υἱοῦ, παραδίδωσιν ἴσως ὁ τῆς εὐσεβείας λόγος. οἱ Λατῖνοι δὲ προσέθεντο εἰπόντες, Ἀξιώματι μὲν γὰρ δευτερεύειν τοῦ Υἱοῦ, παρ' αὐτοῦ τὸ εἶναι ἔχον, καὶ παρ' αὐτοῦ λαμβάνον, καὶ ὅλως τῆς αἰτίας ἐκείνης. ἐξημμένον ἔχον τὸ εἶναι παραδίδωσιν ὁ τῆς εὐσεβείας λόγος. ἅτινα ὅτι φθορά ἐστιν, ἀναντίρρητόν ἐστιν. εἰ δὲ Ἰωσὴφ ὁ Μεθώνης ἐν τῇ ἀπολογίᾳ πρὸς Μάρκον τὸν Ἐφέσου λέγει, Τὸ ῥητὸν τοῦτο τοῦ ἁγίου Βασιλείου νοθευθῆναι παρά τινος Ἕλληνος, ἀλλὰ τοῦτο φλυαρία ἐστὶ φανερά. ἐνόθευσαν καὶ τὸν Νύσσης ἐν τῇ εἰς τὸ, Πάτερ ἡμῶν, Ὁμιλίᾳ. εἰ δὲ καὶ ὁ Βέκκος ἐν ἰδίῳ πεπλασμένῳ συνοδικῷ διαμαρτύρεται. ὅτι ἐπ' αὐτοῦ Κληρικός τις ξέσας μετήμειψε τὸ ῥητὸν, ἐν ᾧ γὰρ λέγει, φησὶν, ὁ Νύσσης, Τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ Πατρὸς εἶναι, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται, ἐκεῖνος ξέσας τὴν, ἐκ, πρόθεσιν, ἀφῆκε λέγεσθαι, καὶ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται. Ἀλλὰ ῥητέον, τοῦτο εἰ οὕτως εἶχε, πῶς οὐ προέβαλον αὐτὸ κατὰ τῶν Ἀνατολικῶν οἱ πρὸ τοῦ Βέκκου Λατῖνοι; καὶ πῶς ἐναντία τοῦ Νύσσης θεολογήσαντες ὅστε Θεοδώριτος καὶ ὁ Δαμασκηνὸς, οὐκ ἐξηλέγχθησαν πόπωτε παρὰ τῶν πατέρων; καὶ πῶς ὁ Κύριλλος οὐ προέβαλε τοῦτο κατὰ Θεοδωρίτου; Εἰ δὲ καὶ ὁ Βησσαρίων ἐπιστολῇ πρὸς Ἀλέξιον Λάσκαριν λέγει, Τοῦ Βέκκου χθὲς καὶ πρότριτα γεγονότος, αἱ βίβλοι πολλῷ τούτου παλαιότεραι ἦσαν, καὶ πῶς λέγειν τολμῶσιν, ὡς Λατῖνοι καὶ Βέκκος τὰς βίβλους ἐνόθευσαν; Ἀλλὰ ῥητέον, ὅτι ὁ Βέκκος πάνυ διωρισμένως μαρτυρεῖ ἐν τῷ εἰρημένῳ τόπῳ, ὅτι ἐπ' αὐτοῦ ἐγένετο ἡ φθορὰ εἰς τὸν Νύσσης, εἰ καὶ ὅπερ ἐκεῖνος ἐποίησεν, εἶπεν ἄλλον τοῦτο πεποιηκέναι. ὅτι δὲ ὁ Βέκκος φθορεύς ἐστι τῶν πατρικῶν βιβλίων, ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου πέμπτου Παράγραφον δέκατον ἕκτον ἐν τῷ τέλει. ἐνόθευσαν καὶ τὸν Μάξιμον, καὶ τὸν Δαμασκηνὸν, καὶ τὴν ἑβδόμην Συνόδον. ὅθεν ἔλεγε Γεώργιος ὁ Γεμιστὸς, Εἰώθασιν οἱ Λατῖνοι διαφθείρειν τὰς βίβλους, ἴσμεν γὰρ πάλαι πεμφθέντα τὸν ἱερὸν Μάξιμον ὑπὸ τῶν τῆς βασιλίδος εἰς Ῥώμην περὶ τῶν τοῦ Πάπα Μαρτίνου συνοδικῶν ἰχνηλατήσοντα ἐν οἷς ὁ Πάπας διωρίζετο τὸ Πνεῦμα κἀκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, ἐκεῖνοι δὲ παρήγαγον χρήσεις Ῥωμαίων πατέρων, ἔτι δὲ καὶ Κυρίλλου Ἀλεξανδρείας. πῶς οὖν ἠγνόουν καὶ οἱ τῆς βασιλίδος Ἀθανάσιον καὶ Βασίλειον καὶ ἄλλους νενοθευμένους, καὶ μετ' ἐκείνων οἵτε Ῥωμαῖοι καὶ ὁ Μάξιμος; καὶ πῶς ἠγνόησαν οἱ μεταταῦτα Λατῖνοι τὰς τοιαύτας μαρτυρίας; καὶ πῶς ἠγνόησεν αὐτὰς καὶ ὁ Θεοδώριτος; καὶ διατὶ ἠρνήσατο ὁ Δαμασκηνὸς εἰπὼν, Τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ οὐ λέγομεν; καὶ ἐκ τοῦ Υἱοῦ οὐκ ἔχει τὴν ὕπαρξιν; καὶ πῶς οὐ τάδε ἐν τοῖς βίβλοις ἐγράφη; συμφώνως τῷ Γεμιστῷ λέγει καὶ ὁ Ἀμηρούτζης, Ἀθεεὶ τολμῶσι τοὺς ἁγίους παραχαράττειν, ὡς καὶ τὸ τοῦ Ἀθανασίου Σύμβολον, καὶ τὸν Νύσσης ἐν τῇ εἰς τὸ, Πάτερ ἡμῶν, Ὁμιλίᾳ, καὶ τὸν Δαμασκηνὸν ἐν τῷ εἰς τὸν Βαρλαὰμ λόγῳ, τὴν γὰρ οἰκείαν δόξαν, καὶ οὐ τὴν ἀλήθειαν ἐπιβλέπουσιν. ἀλλὰ δὴ καὶ Ἀντώνιος ὁ Ἡρακλείας ἔλεγεν ἐν τῇ Συνόδῳ τῇ ἐν τῇ ἁγίᾳ Σοφίᾳ, Οἱ Λατῖνοι μὴ ἔχοντες τὸν προσθετικὸν δεῖξαι, ἐνόθευσαν τὴν

τὴν ἑβδόμην Συνόδον, καὶ νοθεύσαντες, κατηγχυνθῆσαν, διϊσχυρίζοντο γὰρ τὴν ἑβδόμην Συνόδον τὸ ἐκ τοῦ Υἱοῦ τῷ Συμβόλῳ τῆς δευτέρας προσθέσθαι. ἐνόθευσαν καὶ τὸν θεῖον Μάξιμον, καὶ συμφώνους παρήγαγον χρήσεις Ῥωμαίων, ἐξ ὧν οὐκ αἰτίαν ποιοῦντας τὸν Υἱὸν τοῦ Πνεύματος ἀπέδειξαν, μίαν γὰρ ἴσασι τὸν Πατέρα αἰτίαν τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. εἶτα ἀδίκως ἐγκαλεῖτε τοὺς δυτικοὺς μίαν εἰδότας τὸν Πατέρα καὶ τὸν Υἱὸν αἰτίαν τοῦ Πνεύματος μετοχετεύσαντες. ἴδε περὶ τῆς ἑβδόμης Συνόδου καὶ ἀνωτέρω βιβλίου ἑβδόμου κεφαλαίου πρώτου Παράγραφον εἰκοστὸν δεύτερον, καὶ ἔτι περὶ φθορᾶς βιβλίων βιβλίου ἕκτου κεφαλαίου ἐνάτου Παράγραφον τέταρτον. δέδεικται οὖν ἐν συντόμῳ, ὅτι οἱ Λατῖνοι φθορεῖς εἰσι τῶν ἁγίων βιβλίων. ἴδε καὶ ἀνωτέρω μέρους πρώτου κεφάλαιον πέμπτον, ἔτι ἴδε ἀνωτέρω βιβλίου δευτέρου κεφαλαίου ὀγδόου Παράγραφον ἕκτον, καὶ βιβλίου τρίτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον τριακοστὸν ὄγδοον ἐν τῷ τέλει, καὶ βιβλίου ἐνάτου κεφαλαίου πρώτου Παράγραφον δέκατον τέταρτον, καὶ βιβλίου τοῦ ἐν χερσὶ μέρους πρώτου κεφάλαιον πέμπτον, καὶ βιβλίου πρώτου κεφαλαίου δεκάτου πέμπτου Παράγραφον δεύτερον, καὶ βιβλίου τρίτου κεφαλαίου δεκάτου τρίτου Παράγραφον ἕκτον.

Ἐνταῦθα λῆξε καὶ δέκατον βιβλίον.

ΔΟΣΙΘΕΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

ΠΑΝΕΠΙΣΤ. ΒΙΒΛΙΟΘΗΚΗ

ΒΙΒΛΙΟΝ ΙΑ΄. ΚΕΦΑΛΑΙΟΝ Α΄.

Λατίνων πρόβλημα, ὅτι διὰ τὴν πρὸς τὸν Πάπαν τῶν Ῥωμαίων ἀπείθειαν παρέδωκεν ὁ Θεὸς τὴν Κωνσταντινούπολιν τοῖς Ὀθωμανοῖς, καὶ ἀπόκρισις πρὸς αὐτούς.

Περὶ τῆς ἁλώσεως Κωνσταντινουπόλεως σημειῶσαι ἐνταῦθα οὐδὲ μία χρεία ἡμᾶς καλεῖ, πολλῶν τῶν κατ' ἐκεῖνο καιροῦ, καὶ τῶν μετέπειτα ἱστορικῶν πότε, καὶ παρὰ τίνος ἑάλω ἱστορησάντων εἰς πλάτος. Διὰ δὲ τὸ λέγειν τοὺς Λατίνους ἕνεκεν τῆς πρὸς τὸν Πάπαν Ῥώμης ἀπειθείας τῶν Ῥωμαίων παραδεδωκέναι τὸν Θεὸν τοῖς Ὀθωμανοῖς τὴν Κωνσταντινούπολιν, προήχθημεν ὑπὸ τῆς ἀληθείας εἰπεῖν τὰ τῆς ἀληθείας, ἐλέγξαι τε καὶ ἀνατρέψαι αὐτῶν τὸ ψεῦδος, οἵτινες κατεξανιστάμενοι ἡμῶν σιωπώντων λέγουσιν, ὅτι τῆς πρὸς τὸν Πάπαν ἀπειθείας ἕνεκεν οἱ Ῥωμαῖοι ἐδουλώθησαν. Ἀλλὰ ῥητέον, ὅτι περὶ τῆς πρὸς τὸν Πάπαν ἀπειθείας εἴρηται ἀνωτέρω βιβλίου δεκάτου μέρους πρώτου κεφαλαίῳ τρισκαιδεκάτῳ, καὶ ἔτι ἀρκετῶς ἀπεκρίθη εἰς ταῦτα Ἰωσὴφ ὁ Βρυέννιος, ὅστις καὶ ἐννέα συλλογισμοὺς ἐποίησεν ἀποκρινόμενος εἰς τὰ τοιαῦτα ἔντινι τῶν λόγων αὐτοῦ, καὶ ἴδε ἀνωτέρω βιβλίου ἐνάτου κεφάλαιον ἑνδέκατον. καὶ δὴ καὶ ὁ Ἱεροσολύμων Νεκτάριος εἰς τὸ Συνταγμάτιον αὐτοῦ, καὶ Μελέτιος ὁ Πηγᾶς, καὶ ἄλλοι σοφοὶ καὶ ἅγιοι ἄνδρες ἱκανῶς εἰς τὰ τοιαῦτα τὴν ἀπολογίαν ἐποιήσαντο, καὶ ἡμεῖς ἀρκετῶς εἴπομεν περὶ τῆς ὕλης ταύτης ἐν τῷ δεκάτῳ βιβλίῳ, μάλιστα δὲ πᾶσα γραφὴ παλαιά τε καὶ νέα, καὶ πᾶς ἁγίου βίος ἀπόκρισίς ἐστιν εἰς τοῦτο τὸ λατινικὸν πρόβλημα, ῥητέον ὅμως καὶ ἤδη, ὅτι ἐξ ἁμαρτιῶν γέγονεν ἡ ἅλωσις ὁμολογοῦμεν, οὐ μὴν καὶ τῆς πρὸς τὸν Πάπαν ἀπειθείας ἕνεκεν. πολλοὶ τῷ Πάπᾳ ἀπειθοῦσιν ὀρθόδοξοί τε καὶ Αἱρετικοὶ, καὶ ὅμως ἔχουσι καὶ τὴν Βασιλείαν καὶ τὴν ἐλευθερίαν αὐτῶν, ὡς Ἐγκλέζοι, Φιαμέγκοι, Δάνοι, Σφέτζοι, Βαίδαλοι, Γότθοι, Μόσχοβοι, Ῥῶσοι, Ἴβηρες τῆς Ἀνατολῆς, καὶ ἄλλοι. δεύτερον, ὅτε ἔλαβον τὴν Αἴγυπτον, Παλαιστίνην, Ἀφρικὴν, Συρίαν, Φοινίκην, Ἀραβίαν, καὶ ἄλλας Ἐπαρχίας τῶν Ῥωμαίων οἱ Σαρακηνοὶ, ἦν πρὸ τῆς ἕκτης Οἰκουμενικῆς Συνόδου, ὅτε ἡ Ἐκκλησία Ἀνατολῆς καὶ Δύσεως ἐτύγχανεν οὖσα ἡνωμένη, καὶ τότε τίνος κατάρα, ἢ τίνος Αἱρέσεως αἰτία ἦν τῆς ἐπιφορᾶς τῶν Σαρακινῶν εἰς τὴν Ἐκκλησίαν; τρίτον, παντάπασι τὴν Λιβύην καὶ Κιλικίαν καὶ Μεσοποταμίαν καὶ πολλὰς Νήσους κατέδραμον οἱ Σαρακηνοὶ πρὸ τῆς ἑβδόμης Συνόδου καὶ πρὸ Φωτίου καὶ Κηρουλλαρίου, ὅτε ἦν ἡ Ἐκκλησία Ἀνατολῆς καὶ Δύσεως μία, καὶ τίνος τότε ἔφθασεν ἀρά; τέταρτον, ὅτε ἠχμαλωτίσθη καὶ ἑάλω ἡ Ῥώμη καὶ Ἰταλία ὑπὸ τῶν Γότθων Ἀλαρίκου καὶ Τωτίλα, καὶ ὑπὸ τοῦ Οὔνου Ἀττήλα, καὶ ἐν τῷ τετρακοσιοστῷ πεντηκοστῷ ἐνάτῳ ἔτει ὑπὸ τοῦ Βανδάλου Γιζερίχου, ὁμοίως καὶ ἡ Ἀφρικὴ, καὶ καθεξῆς ὑπὸ Γότθων καὶ Βανδάλων, οὓς ἐξήλασε Βελισάριος καὶ Ναρσῆς οἱ Στρατηγοὶ τοῦ Ἰουστινιανοῦ, ὡς Εὐάγριος, Προκόπιος, καὶ ἄλλοι ἱστοροῦσι; καὶ περὶ τὰ πεντακόσια πεντήκοντα καὶ ὀκτὼ ἔτη ἐκράτησαν οἱ Λογγιβάρδοι, καὶ ἐβασάνιζον διαφόρως Ῥώμην καὶ Ἰταλίαν, καὶ κατεφρόνουν τοῦ τε Πάπα καὶ

καὶ τῆς ἐξουσίας αὐτοῦ. περὶ δὲ τὸ ὀκτακοσιοστὸν τεσσαρακοστὸν ἔτος καὶ αὐτοὶ οἱ Σαρακηνοὶ κατέδραμον τὴν Ἰταλίαν καὶ τὴν Ἱσπανίαν ἕως εἰς ὀκτακοσίους χρόνους. καὶ ὅτε ἔλαβον οἱ Λατῖνοι τὴν Ἱερουσαλὴμ καὶ Συρίαν καὶ Φοινίκην, ἀρξάμενοι ἀπὸ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἀπὸ τοῦ χιλιοστοῦ ἐννενηκοστοῦ ἐνάτου δηλονότι ἔτους καθ' ὃ γέγονεν ἡ ἅλωσις τῆς Ἱερουσαλὴμ ὑπὸ τῶν Λατίνων, ἕως οὗ ἀνεχώρησαν εἰς τὴν Ῥόδον κατὰ τὸ χιλιοστὸν τριακοσιοστὸν ὄγδοον ἔτος, ποσάκις αὐτοὺς κατέκοψαν οἱ Σαρακηνοὶ, καὶ τέλος πάντων αὐτοὺς ἐδίωξαν ἐκεῖθεν, καὶ ἔδωκαν τὰ προσκυνήματα τοῖς Ῥωμαίοις. καὶ τοσαῦται Βασιλεῖαι Λατινικαὶ γεγόνασι Λούτεροι, Καλβῖνοι, Εὐαγγελισταὶ, Ἀνταδαμῖται, καὶ ἐδίωξαν καὶ κατέκοψαν τοὺς παπιστὰς ἕως καὶ σήμερον, ὁμοίως καὶ οἱ Καζάκοι. καὶ ὅτε ἔλαβον οἱ Ὀθωμανοὶ παρὰ τῶν Λατίνων Κύπρον, Κρήτην, Οὐγγρίαν, καὶ ἄλλα μέρη, ἐν τούτοις πᾶσι τίνος Πάπα κατάρα ἔφθασεν αἰχμαλωτισθῆναι πρῶτον τοὺς ἡνωμένους τῇ Ῥώμῃ, καὶ ὕστερον τοὺς ἀντικειμένους; ὁρᾷς, ὅτι τὰ τῶν παπιστῶν εἰσὶ κόμποι καὶ συκοφαντίαι καὶ κατηγορίαι ψευδεῖς καὶ ἀνυπόστατοι. πρὸς τούτοις, εἰ ἐπεγένετο τοῖς Ῥωμαίοις ἀγανάκτησις θεία, διὰ τὴν πίστιν πάντως ἐγένετο, ἐπειδὴ ἐδέξαντο τὴν προσθήκην, καὶ ἐμνημόνευσαν καὶ τοῦ σχισματικοῦ Πάπα. ὅθεν ἐπὶ Μιχαὴλ τοῦ Παλαιολόγου τοῦ πρώτου ἐν τοῖς Βασιλεῦσι Ῥωμαίων δεχθέντος τὸν παπισμὸν, ἐφαίνετο ὁ Ὀτμᾶν. καὶ εἰ ὁ Υἱὸς αὐτοῦ Ἀνδρόνικος ἐστήριξε τὴν ὀρθοδοξίαν, ἀλλ' οὐκ ἔπαυσεν ἡ θεία ὀργὴ, καθὼς μήτε διὰ τὴν ἄκραν περὶ τὸν Νόμον δικαιοσύνην τοῦ Ἰωσίου ἔπαυσεν ἡ θεϊκὴ ἀπόφασις ἀπὸ τοῦ Ἰσραὴλ διὰ τὰς ἁμαρτίας τοῦ Μανασσῆ Βασιλέως Ἰούδα, ὡς ἔλεγεν ὁ Θεὸς διὰ τῆς προφήτιδος Ὄλδας, καὶ ἴδε Βασιλειῶν τετάρτης κεφάλαιον εἰκοστὸν δεύτερον. ἐπειδὴ λοιπὸν οἱ Βασιλεῖς οὐκ ἐσωφρονίσθησαν, ἀλλ' ἀπέβλεπον εἰς παπισμὸν διὰ βοήθειαν δῆθεν ἐγκόσμιον, καὶ ὁ Ἰωάννης γέγονε κάτοχος τῆς βλασφημίας, ὥστε καὶ Συνόδον ἤθρισεν ἐν τῇ Φλωρεντείᾳ ὑπὲρ αὐτῆς, καὶ ὁ μετ' αὐτὸν Κωνσταντῖνος ἐμνημόνευε τοῦ Ῥώμης ἐν τῇ ἁγίᾳ Σοφίᾳ, καὶ ἠκολούθει πάντως ἐκκλῖναι εἰς παπισμὸν τοὺς Ἕλληνας, καὶ οὕτω τὴν Ἐκκλησίαν ὑποστήσεσθαι ἔλλειψιν κατὰ τὴν ὀρθοδοξίαν, ὁ εἰπὼν πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, ἐξαπέστειλε τὸν Μωαμίτην καὶ κατέῤῥηξε τὴν Βασιλείαν, ἵνα διασώσῃ ἀδιάσειστον τὴν Ἐκκλησίαν, ὅπερ καὶ γέγονε, καθότι καὶ ἐξ ἐκείνου μένει ἡ Ἐκκλησία ἄσπιλος καὶ ἀκαινοτόμητος, καὶ μενεῖ ἕως τῆς ἡμέρας τοῦ Κυρίου σὺν αὐτῷ τῷ Θεῷ, καθὼς ὅτε ὁ Ναβουχοδονόσορ κατέστρεψε τὴν Ἱερουσαλὴμ, συγκατέστρεψε καὶ τὴν εἰδωλολατρείαν, καὶ ἔλειψεν ἀπὸ τοῦ Ἰσραὴλ ἕως τοῦ Χριστοῦ. ὅτι δὲ ὁ παπισμὸς ἦν τὸ προσεχέστατον αἴτιον τῆς ἁλώσεως, μαρτυρεῖ Φραντζὴς ὁ Λογοθέτης εἰπὼν, ὅτι διὰ τὸ γενέσθαι τὴν Φλωρεντινὴν Συνόδον, νομίσαντες οἱ Ὀθωμανοὶ γεγενῆσθαι ἕνωσιν τῶν Χριστιανῶν κατ' αὐτῶν, κατεπολέμησαν τὴν Κωνσταντινούπολιν ἄνευ ὑπερθέσεως καιροῦ, καὶ οὕτως ἡ βοήθεια, ἣν ὑπέσχετο ὁ Ῥώμης τοῖς λατινόφροσι Βασιλεῦσιν, ἦν ἀντίστροφος, ἐπειδὴ ταῖς πράξεσιν αὐτοῦ ἐγένετο συνεργὸς τοῖς Ὀθωμανοῖς εἰς καταστροφὴν τῆς πόλεως.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Πρόβλημα Λατίνων δεύτερον, ὅτι Λέων ὁ πρῶτος, Γρηγόριος ὁ Διάλογος, Νικόλαος ὁ πρῶτος καὶ ὁ πέμπτος προεφήτευσαν τὴν ἐσομένην παντελῆ ἀπώλειαν τῆς Κωνσταντινουπόλεως διὰ τὴν ἔπαρσιν καὶ παράβασιν καὶ ἀποστασίαν αὐτῆς εἰς τὴν Φωρεντινὴν συναγωγὴν καὶ τὸν Πάπαν, καὶ ἀπόκρισις πρὸς αὐτοὺς καιριωτάτη.

Λέγουσι δεύτερον, ὅτι Λέων ὁ πρῶτος καὶ Γρηγόριος ὁ Διάλογος καὶ Νικόλαος ὁ πρῶτος καὶ ὁ πέμπτος προεφήτευσαν, ὡς ἡ Κωνσταντινούπολις ἔμελλε πίπτειν διὰ τὴν ἔπαρσιν εἰς παντελῆ ἀπώλειαν, ἰδίως δὲ ὁ Νικόλαος εἶπε, Καὶ διασπαρήσονται εἰς τὰ ἔθνη οἱ Ῥωμαῖοι, ἀλλὰ δὴ καὶ Νικόλαος ὁ πέμπτος γράφων εἰς Κωνσταντῖνον τὸν Βασιλέα, προεφήτευσεν, ὅτι διὰ τὸ παραβῆναι τοὺς Ῥωμαίους τὰς συνθήκας τοῦ ἐν Φλωρεντείᾳ συνεδρίου, καὶ ἀποστατῆσαι τοῦ Πάπα, ὀργίσθη αὐτοῖς ὁ Θεὸς, ἵνα ἀφανισθῇ τὸ Βασίλειον αὐτῶν μετὰ τρεῖς χρόνους. Ἀλλὰ ῥητέον, περὶ μὲν Λέοντος (καὶ εἴη ἡμῖν ἵλεως αὐτός τε καὶ ὁ Διάλογος, περὶ γὰρ τῶν λοιπῶν δύο οὐδεὶς ἡμῖν λόγος) ὅτι ἠναντιώθη τῇ ἀποφάσει τῆς δευτέρας καὶ τετάρτης τῶν Οἰκουμενικῶν Συνόδων περὶ τοῦ Κωνσταντινουπόλεως, ὡς εἴρηται εἰς τοὺς τόπους, οἱ δὲ τοιοῦτοι οὐ προφητεύουσιν, ἀλλ' ἀξιοῦνται συγγνώμης, ἐπειδὴ ἁμαρτάνουσιν, εἰ καὶ ἅγιοι. περὶ δὲ Γρηγορίου διώρισται εἰς τὸ δέκατον βιβλίον κατὰ ποῖον τρόπον τὸ Οἰκουμενικὸς πρόσρημα ἐστὶ βλασφημία, καὶ κατὰ ποῖον οὐκ ἔστιν. ὁ δὲ Κωνσταντινουπόλεως καὶ πρὸ τοῦ Διαλόγου ἔτη ἑκατὸν ὀγδοήκοντα, ἀπὸ Θεοδοσίου δηλονότι τοῦ μικροῦ, ἕως Μαυρικίου ἐλέγετο Οἰκουμενικὸς κατὰ τὸν αἰεύθυνον τρόπον, καθ' ὃν καὶ ὁ Πάπας ἐῤῥέσθη Οἰκουμενικὸς ἐν τῇ ἐν Χαλκηδόνι Συνόδῳ. ὁ οὖν Γρηγόριος ἐναντία εἰπὼν τῇ Ἐκκλησίᾳ, οὐ προεφήτευσεν, ἀλλ' ἥμαρτε καὶ αὐτὸς ὑπὸ φιλαρχίας ὡς ἄνθρωπος, ὁ δὲ ἁμαρτάνων περὶ τὴν ἀλήθειαν, οὐ δύναται λέγειν κατὰ τῆς ἀληθείας, καὶ εἴτι εἴπῃ, κακῶς αὐτὸ λέγει. περὶ δὲ Νικολάου, ἔστω πρῶτον ὅτι ἦν σκανδαλοποιὸς, καὶ ἀρχικὴ αἰτία τοῦ σχίσματος, καθότι παρὰ Κανόνας ἐκινήθη κατὰ Φωτίου, καὶ εἰς τὸν καιρὸν αὐτοῦ ἐδίδασκον οἱ Λατῖνοι εἰς τὴν Βουλγαρίαν τὰ παράνομα δόγματα, καὶ ὑπεψιθυρίζετο

ζετο ἡ προσθήκη. δεύτερον, ἦν φίλαρχος, διότι ἐζήτει ὑποτάξαι Λοδοβῖκον τὸν Βασιλέα, εἰ καὶ μὴ ἐδυνήθη. τρίτον, ἔλεγε κατὰ τοῦ Εὐγγελίου, ὅτι τὸ βάπτισμα ἐὰν γένηται καὶ εἰς μόνον τὸ ὄνομα τοῦ Χριστοῦ, ἐστὶν ἀρκετόν. τέταρτον, ὅτι προφανῶς ἐψεύσθη, ἐπειδὴ οἱ Ῥωμαῖοι εἰς τὰ ἔθνη οὐ διεσπάρησαν, ἀλλὰ εἰς τὰ ἴδια μένοντες, πυκτεύουσι, καὶ νικῶσι. καὶ εἰ τινὲς πωλοῦνται ὑπὸ τῶν ἐθνικῶν, ἀλλὰ τὰ δεινότερα πάσχουσι καθ' ὥραν καὶ οἱ παπισταὶ, Λέχοι, Οὔγγροι, Νέμτζοι, Ἰταλοὶ, Φραντζέζοι, καὶ Ἱσπανοὶ, ἐπειδὴ πωλοῦνται καὶ ὠνοῦνται εἴς τε Ἀνατολὴν καὶ Δύσιν, Αἴγυπτον καὶ Λιβύην ὑπὸ τῶν ἐθνικῶν, ὥστε ἁπλῶς ψευδοπροφήτης ὁ πρῶτος Νικόλαος. περὶ δὲ Νικολάου τοῦ πέμπτου ῥητέον, ὅτι ἦν σχισματικὸς, καὶ συνήγορος τοῦ φλωρεντινοῦ συλλόγου, τοῦ ἀποδειχθέντος συνεδρίου κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ, ἐποίησε τὴν πρόνομον Ἰοβηλαῖον, ἐν ᾧ ἀπεπνίγησαν πλῆθος ἀνθρώπων φθαρείσης τῆς γεφύρας εἰς τὴν ποταμὸν Τίβεριν, καὶ ἐφθάρησαν περῶντες τριακόσιοι ἄνθρωποι, οἱ δὲ τοιοῦτοι Πάπαι οὐκ εἰσὶ Προφῆται, ἀλλ' ἔνοχοι αἰωνίου κρίσεως. ἔτι εἰ ἦν Προφήτης, καὶ ἐγίνωσκε πάντως τὴν καταστροφὴν τῆς Κωνσταντινουπόλεως μετὰ τρία ἔτη ἐσομένην, ἔδει μὴ θελῆσαι βοηθεῖν τοῖς Ῥωμαίοις, ἀλλ' ἐπεμελήθη βοηθῆσαι, καὶ οὐκ ἐδυνήθη, ὅθεν διὰ παρηγορίαν τῆς αὐτοῦ ἀδυναμίας ἔρριψε τὴν ἀφορμὴν εἰς τὴν πίστιν καὶ κατὰ τὸν Πλάτινα. ἀλλὰ δὴ καὶ Κάλλιστος ὁ Πάπας καλὸς κἀγαθὸς ἀνὴρ πολλὰ συνεβούλευε τοῖς δυτικοῖς Ἡγεμόσι κατὰ τῶν ἐθνῶν, ἀλλ' εἰς οὐδὲν ἐτίθεντο τοὺς λόγους αὐτοῦ, ὅθεν ἔκραξεν ὁ Κάλλιστος, Φθειρομένης τῆς τοῦ γείτονος οἰκίας, φθείρεται καὶ ἡ ἡμετέρα. οὐμὴν ἀλλὰ καὶ τοὺς Βασιλεῖς τῶν Ἀρμενίων καὶ Περσῶν λίαν ἐσπούδασε κινηθῆναι κατὰ τῶν ἐθνικῶν, οὐδὲν ὅμως ἠδυνήθη. τί δαὶ; ὁ μετὰ Κάλλιστον Πῖος πολλῶν ἐπαίνων ἄξιος διὰ τὴν ἐνάρετον αὐτοῦ καὶ ὁσίαν ζωὴν, καθότι ἤσθιεν ἀσκητικώτατα, καὶ ὡς ἁπλοῦς Μοναχὸς ἀνεγίνωσκε τὴν ἀκολουθίαν αὐτοῦ. οὗτος ἤθροισεν εἰς τὸν Ἀγκῶνα τοὺς Αὐθέντας κατὰ τῶν ἐθνικῶν, ὅπου φοράδην καὶ αὐτὸς ἀπῆλθε, καὶ θνήσκων, παρήγγειλε τοῖς Καρδηνάλεσι μετὰ δακρύων, μὴ ἀφεῖναι τὸν κατὰ τῶν ἐθνικῶν πόλεμον. ἀλλὰ θανόντος αὐτοῦ, πᾶσα ἡ ἐλπὶς αὐτοῦ ἔμεινε νεκρά. ὅθεν Ἀδριανὸς ὁ ἕκτος, ὀλιγοδίαιτος καὶ αὐτὸς καὶ σοφὸς ἀνὴρ, παρωμοίαζεν ἑαυτὸν ὀψαρίῳ εὐώνῳ, ὅπερ οὐκ ἔχει τιμὴν, εἰμὴ παρὰ τοῖς πτωχοῖς, ἔλεγε δὲ ταῦτα, μεμφόμενος τοὺς κακοὺς Πάπας, καὶ τοὺς δυτικοὺς αὐθέντας, μὴ φροντίζοντας περὶ τῆς ἐλευθερίας τῶν Ἀνατολικῶν. ἀλλ' ὅτι λοιπὸν ἦν τὸ αἴτιον τῆς ἁλώσεως Βυζαντίου ἡ παρατροπὴ τῆς πίστεως τῶν Ῥωμαίων, καὶ ἡ πρὸς παπισμὸν κλίσις, οὐμὴν ἡ ἀπὸ τοῦ παπισμοῦ διάστασις, ἥτις ἀναντιρρήτως ἐστὶ κοινωνία τῆς πίστεως τῶν Ἀποστόλων καὶ τῶν ἁγίων πατέρων, δῆλόν ἐστι. παραλόγως τοίνυν οἱ μακαριώτατοι τὰ τοιαῦτα εἶπον, εἴγε εἶπον, καὶ μὴ εἰσὶ Λατίνων πλάσματα, ὥστε αὐτοῖς ἁρμόζειν τὴν ἐν τῷ Δευτερονομίῳ τῶν ψευδοπροφητῶν ῥῆσιν τὴν, Ἐν ἀσεβείᾳ ἐλάλησαν, καὶ οὐκ ἀπὸ Κυρίου. εἶτα εἰ τὸ βασίλειον ἐφθάρη, ἀλλ' ἡ ὀρθόδοξος πίστις μένει, καὶ λάμπει ὡς ἔλαμπε, καὶ λάμψει ἕως τῆς ἡμέρας τοῦ Κυρίου. καὶ καθὼς ἀπὸ τοῦ Χριστοῦ ἕως τοῦ μεγάλου Κωνσταντίνου οὐκ εἶχον οἱ Χριστιανοὶ Βασίλειον, ἦσαν δὲ ἁγιώτατοι καὶ ὀρθοδοξότατοι καὶ κεκοσμημένοι ἀπείροις πλήθεσι Μαρτύρων, οὕτω καὶ νῦν ὁ αὐτὸς καιρὸς ἐστὶν ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, καὶ ἐκείνη ἡ πολιτεία καὶ τὸ ἄπλετον πλῆθος τῶν Μαρτύρων ἀκμάζει ἐν αὐτῇ, οὐμὴν ἀλλὰ καὶ χαρακτηριστικὸν οὐκ ἔστι τῆς Ἐκκλησίας ἡ κοσμικὴ Βασιλεία, ἣν ὁ Χριστὸς ἠρνήσατο ἐπὶ τοῦ Πιλάτου, ὅθεν θλίψεις, ταλαιπωρίας, ἁρπαγὰς καὶ θανάτους ἐπηγγείλατο, οὐμὴν καὶ κοσμικὴν Βασιλείαν. Ἔτι ἀπὸ Ἀβραὰμ ἕως τοῦ Χριστοῦ εἰσὶ γενεαὶ τεσσαρακονταδύο, ὧν αἱ μὲν εἰκοσιοκτὼ ἐκυβερνήθησαν Κριταῖς, ἐν δὲ μόναις ταῖς τεσσαρεσκάδεκα ἦσαν Βασιλεῖς ἀπὸ Σαοὺλ ἕως τῆς μετοικεσίας Βαβυλῶνος, δηλονότι κατὰ τὴν Ἱερουσαλὴμ καὶ τὴν Σαμάρειαν, καὶ σημείωσαι πρῶτον, ὅτι οἱ Κριταὶ ἦσαν πάντες ὀρθόδοξοι. δεύτερον, εἰς μὲν τὴν Ἱερουσαλὴμ Βασιλεῖς ἦσαν ὀρθόδοξοι μόνοι ἑπτὰ, οἱ δὲ λοιποὶ Εἰδωλολάτραι, εἰς δὲ τὴν Σαμάρειαν σχεδὸν ἁπαξάπαντες Εἰδωλολάτραι καὶ πρόνομοι. τρίτον, ὅτι ἡ Βασιλεία ἐγένετο ἀκουσίως τοῦ Θεοῦ, ὡς περιέχει ἡ πρώτη τῶν Βασιλειῶν, καὶ δὴ καὶ εἰς τὴν νέαν διαθήκην πολλοὶ Αἱρετικοὶ ἐφάνησαν ἕως τοῦ μεγάλου Κωνσταντίνου, ἀλλὰ ῥᾷον διελύθησαν ὑπὸ τῶν Ἐπισκόπων καὶ Διδασκάλων, μετὰ δὲ Κωνσταντῖνον, ἐπειδὴ Κωνσταντιος καὶ Οὐάλης ἐβοήθησαν τῷ Ἀρειανισμῷ, Ζήνων καὶ Ἀναστάσιος τοῖς Μονοφυσίταις, Ἡράκλειος καὶ Κώνστας καὶ Ἀρτέμιος τοῖς Μονοθελήταις, Λέων Κοπρώνυμος, Λέων Ἁρμένιος, Μιχαὴλ ὁ Τραυλὸς καὶ Θεόφιλος τοῖς Εἰκονομάχοις, ἔλαβε οἱ Αἱρετικοὶ αὔξησιν καὶ πληθυσμὸν, καθὼς φαίνονται ἕως τῆς σήμερον. τέλος πάντων ῥητέον εἰς παντελῆ αἰσχύνην τῶν κατηγόρων ὑμῶν παπιστῶν, Εἰ ἡ Βασιλεία τῆς Κωνσταντινουπόλεως ἐφθάρη, ἀφῆκεν ὁ Θεὸς τοὺς Ἴβηρας ἐλευθέρους, εἰς δὲ τὴν Ῥωσίαν ἀνέστησε τὴν χριστιανικωτάτην καὶ πανευσεβεστάτην ἀνακτορίαν, οὐ παπόστεπτον Βασιλείαν, ἀλλὰ Θεόστεπτον Αὐτοκρατορίαν, καὶ λοιπὸν οἴχονται πάντες οἱ συλλογισμοὶ τῶν Λατίνων καὶ ἐν τούτῳ τῷ προβλήματι. Σὺ δὲ σημείωσαι κἀνταῦθα ὡς ἐν ἐπιτομῇ τῶν πολλάκις εἰρημένων, ὅτι οὐ μόνον τῆς δυτικῆς Ἐκκλησίας εἰς διαφόρους Αἱρέσεις διανομὴ γέγονεν ἡ ἐξουσία τοῦ Πάπα αἰτία, ἀλλὰ καὶ τῆς Βασιλείας τῶν Ῥωμαίων καταστροφὴ, οὐ μόνον διὰ τὸν Παπισμὸν, ἀλλὰ καὶ διὰ τὰ κοσμικὰ πάθη, καθότι ὁ Γρηγόριος τῇ περὶ τοῦ Ἰσαύρου Λέοντος ἀφορμῇ ἀπεῖρξε τοὺς φόρους τῆς Δύσεως τοῦ δίδοσθαι τῇ Βασιλείᾳ τῆς Κωνσταντινουπόλεως, καὶ ἀδυνατῆσαι ἐποίησε τὴν Βασιλείαν. δεύτερον, ὅτι ὁ Λέων ἄνευ

φόβου

φόβου Θεοῦ περιποιούμενος τὸν Κάρολον Βασιλέα τῆς Δύσεως, διεῖλε τὴν Βασιλείαν ἀποστατήσας. τρίτον, ὅτι οἱ Πάπαι ποτὲ μὲν τοῖς Ἰταλοῖς Αὐθένταις, ποτὲ δὲ τοῖς Ῥηξὶ τῆς Ἀλαμανίας, καὶ ποτὲ τοῖς Σικελοῖς καὶ Βενετίκοις καὶ Κελτοῖς καὶ ἄλλοις Αὐθένταις τῆς Δύσεως μαχόμενοι, διήγειρον αὐτοὺς κατ' ἀλλήλων, καὶ προεξένουν τοῖς Χριστιανοῖς πολέμους καὶ μάχας, καὶ ἐγίνοντο ἐμπόδιον βοηθῆσαι τοῖς Ῥωμαίοις κατὰ τῶν ἐθνῶν. τέταρτον, ὅτι ὁ αὐτὸς Λέων, τῇ αὐτοῦ ἀποστασίᾳ καὶ τοῖς νεωτερισμοῖς σχίσμα προξενήσας εἰς τὴν καθολικὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, ἔβαλε σκάνδαλον μεταξὺ τῶν Χριστιανῶν καὶ ἔχθραν, ὥστε οὐ μόνον τοὺς τῆς Δύσεως Ἡγεμόνας μὴ βοηθεῖν τοῖς Ῥωμαίοις, ἀλλὰ καὶ ἐπιβουλεύειν αὐτοῖς, καὶ πολεμεῖν, ὡς δηλοῦσι τὰ ἀπὸ Καρόλου καὶ καθεξῆς ἕως τῆς ἁλώσεως. πέμπτον, ὅτι οἱ Λατῖνοι ἀφορμῇ τῆς λυτρώσεως τῆς Ἱερουσαλὴμ, ἐπεβούλευσαν τῇ Βασιλείᾳ τῶν Ῥωμαίων διαφόρως, ὥστε καὶ τὴν Κωνσταντινούπολιν ἔλαβον, καὶ διήρησαν περισσότερον τὴν Βασιλείαν εἰς τὴν Ἀνατολὴν καὶ Τραπεζοῦντα καὶ Ἤπειρον, καὶ καθεξῆς αὐτοὶ ἀπὸ Ἰταλίας καὶ Σικελίας αἰχμαλωτεύοντες τοὺς Ῥωμαίους καὶ κατακαίοντες καὶ οἰκειοποιούμενοι, ἐποίησαν ἐνδυναμωθῆναι τοὺς ἐθνικοὺς, φθείροντες καὶ ἀφανίζοντες τὰ Ῥωμαίων, ὅτε καὶ αὐτὸς ὁ Πάπας ἐχειροτόνει γλυκέως καὶ λιγυρῶς, γαννύμενος εἰς φθορὰν τῆς Βασιλείας, Βασιλεῖς καὶ Πατριάρχας παρανόμως καὶ ἀθέως ἐν τοῖς Ἀνατολικοῖς θρόνοις, συγχέων καὶ συνταράττων τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ πολεμῶν αὐτῇ ψυχικῶς καὶ σωματικῶς. ἕκτον, εἰ ἤθελον καὶ οἱ Χριστιανοὶ Αὐθένται βοηθῆσαι κατά τι τοῖς Ῥωμαίοις, αὐτὸς τοῖς ἰδίοις αὐτοῦ πολέμοις ἐκώλυεν αὐτοὺς, καὶ ἴδε τὸν Λαόνικον καὶ ἄλλους ἱστορικούς. ἕβδομον, οἱ Λατῖνοι οὐκ ἐδουλώθησαν μὲν τοῖς ἐθνικοῖς, ἀλλ' ὑπέπεσον εἰς μυρίας Αἱρέσεις καὶ σχίσματα. εἶτα οὐκρίνεται ἡ εὐσέβεια ἐκ τῆς κοσμικῆς δουλείας ἢ ἐλευθερίας, ἀλλ' ἐκ τῶν δογμάτων καὶ τῶν ἠθῶν, καθότι πολαὶ μὲν Βασιλεῖαι εἰσὶν ἐν τῷ κόσμῳ ἔχουσαι πλοῦτον καὶ δόξαν ἄφατον, εἰσὶν ὅμως ἐξ αὐτῶν αἱ μὲν εἰδωλολάτραι, αἱ δὲ Αἱρετικαὶ, καὶ ἄλλαι κατ' ἄλλους τρόπους ἀσεβέσταται. Σὺ δὲ πρόσθες τὸν Αὐγουστῖνον ἐπιστολῇ τεσσαρακοστῇ ὀγδόῃ πρὸς Βικέντιον λέγοντα, Ἡ Ἐκκλησία ἡ καθολικὴ ποτὲ μὲν φαίνεται ἥσυχος καὶ ἐλευθέρα ἐν τῇ γαλήνῃ τοῦ καιροῦ, ποτὲ δὲ καλύπτεται τοῖς κύμασι τῶν θλίψεων καὶ τῶν πειρασμῶν, καὶ κλυδωνίζεται. τοιοῦτος ἦν ὁ καιρὸς περὶ οὗ γράφει ὁ Ἱλάριος, Καὶ τότε μὲν οἱ σταθηρότατοι ἐδυνήθησαν ἐννοῆσαι τὰ πονηρὰ βουλεύματα τῶν Αἱρετικῶν, ὀλίγοι μὲν ἦσαν ὅσον εἰς τὴν σύγκρισιν τῶν λοιπῶν, ἀλλὰ τινὲς μὲν αὐτῶν γενναίως ἠγωνίσθησαν ὑπὲρ τῆς πίστεως, τινὲς δὲ παντὶ τῷ κόσμῳ ἐλάνθανον, ἀλλ' οὕτως ἡ Ἐκκλησία, ἥτις διὰ πάντων τῶν ἐθνῶν αὐξάνει ἐν ταῖς κυριακαῖς ἀρούραις, καὶ ἕως τέλους φυλαχθήσεται, ἕως ἂν κτήσῃ πάντα τὰ ἔθνη, καὶ αὐτὰ τὰ βάρβαρα. ταῦτα ὁ Αὐγουστῖνος. λέγομεν οὖν καὶ ἡμεῖς ἅπερ ἔγραφεν ὁ Πάπας Ἀγάθων καὶ ἡ κατ' αὐτὸν ἐν Ῥώμῃ Συνόδος πρὸς τὸν Βασιλέα Κωνσταντῖνον, ὅτι μόνη ἐστὶν ὑπόστασις ἡ πίστις ἡμῶν, κἂν οἱ ἐθνικοὶ κρατῶσιν ἡμῶν, οὐδὲ μία ζημία τῆς πίστεως, καὶ ἴδε ἀνωτέρω βιβλίου δεκάτου μέρους τρίτου κεφαλαίου τρίτου τμῆμα ἕβδομον.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Πρόβλημα Λατίνων τρίτον, ὅτι Βριγίτῃ τινὶ γυναικὶ σχισματικῇ καὶ ἐγγραστριμύθῳ ἀπεκαλύφθη ὁ ἀφανισμὸς τῆς βασιλείας τῶν Ῥωμαίων, ἕως οὗ ὑποκλίνωσι τὴν εὐλάβειαν τῇ Ἐκκλησίᾳ Ῥωμαίων, καὶ ἀπόκρισις πρὸς αὐτοὺς ἐκ τῶν ἁγίων γραφῶν καὶ πατέρων καὶ τῆς περὶ τῆς Τραϊανοῦ ψυχῆς διαφωνίας Βριγίτης καὶ Μεκτίλδης καὶ αὐτῶν παπιστῶν, ὅτι ἡ ἀποκάλυψις αὕτη τῆς Βριγίτης ψευδής ἐστι καὶ πλάσμα παπιστῶν.

Λέγουσι τρίτον, ὅτι γυναικί τινι Μαρίᾳ καὶ Βριγίτῃ καλουμένῃ εἰς Ἱερουσαλὴμ ἀπερχομένῃ κατὰ τὴν Κύπρον ἀπεκαλύφθη ὁ μέλλων ἔσεσθαι ἀφανισμὸς τῶν Βασιλειῶν καὶ Δεσποτειῶν τῶν Ῥωμαίων διὰ τὴν πρὸς τὸν Πάπαν αὐτῶν ἀπείθειαν, ἕως ἂν ὑποκλίνωσι τὴν εὐλάβειαν αὐτῶν τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης. Ἀλλὰ περὶ τοῦ τοιούτου εἴδους τῆς προφητείας εἴπομεν ἐν τῷ ἕκτῳ κεφαλαίῳ τοῦ ἑνάτου βιβλίου Παραγράφῳ δευτέρῳ, εἰ δὲ δεῖ καί τινα εἰπεῖ, ῥητέον πρῶτον, ὅτι τοῦτο ἐστὶ μεγάλη αἰσχύνη τῶν Λατίνων, ἐπειδὴ διὰ τὸ εἶναι αὐτοὺς καθάπαξ ἀνόμους διὰ τὴν προσθήκην καὶ ἄλλας αὐτῶν βλασφημίας, καὶ τὸν ἀνειμένον βίον, οὐκ ἔμεινεν ἐν αὐτοῖς ἅγιος ἄνθρωπος, ἀλλὰ προφητεύει γυνή. δεύτερον, ὅτι ψεύδεται, ἐπειδὴ οὐδέποτε οἱ Ῥωμαῖοι ὑπετάγησαν τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης, ἀλλ' ὃν τρόπον ἦν ἡ Ῥώμη ἡνωμένη αὐτοῖς, ἦσαν καὶ αὐτοὶ ἐκείνῃ ἡνωμένοι, ἀλλ' οὐδὲ ὑποταγήσονταί ποτε, οὐ γὰρ παραχωρήσει ὁ Θεὸς ἐκκλῖναι αὐτοὺς τῆς εὐσεβείας. κἂν γένηται αὐτῶν ἐλευθερία, γίνεται ἀπὸ τοῦ ἐλέους τοῦ Θεοῦ, καὶ οὐχὶ ἀπὸ τῆς τοῦ Ῥώμης εὐχῆς ἥντινα αὐτοὶ γινώσκουσι βλασφημίαν, οὐχ ὡραῖος γάρ φησιν ὁ Σειράχ αἶνος ἐν στόματι ἁμαρτωλοῦ. τρίτον, ὅτι τῆς Ἀνατολικῆς Ἐκκλησίας τὰ δόγματα εἰσὶ βεβαιωμένα ἀπὸ τῆς γραφῆς, ἀπὸ τῆς παραδόσεως, ἀπὸ τῶν Συνόδων καὶ ἀπὸ τῶν ἐγκρίτων πατέρων, καὶ εἴτις ἄλλως εὐαγγελίσηται αὐτῇ, κἂν Ἄγγελος ᾖ ἐξ Οὐρανοῦ, γινώσκει αὐτὸν ἀντίθεον καὶ ὑπ' ἀνάθεμα, κατὰ τὴν νομοθεσίαν τοῦ μακαρίου Παύλου, ἐπειδὴ μᾶλλον πιστεύει ἡ Ἀνατολικὴ Ἐκκλησία τῇ γραφῇ καὶ ταῖς Συνόδοις, ἢ ἀποκαλύψεσι καὶ θαύμασι, μὴ ὅτι γε γυναικὶ, καὶ

ταύτῃ

ταύτῃ σχισματικῇ, καὶ κατὰ τῆς ἀληθείας λαλούσῃ. τέταρτον, ἡ Ἐκκλησία καταφρονεῖ τῶν τοιούτων ἀποκαλύψεων, καὶ ἐξ αὐτῶν οὐδὲν συνάγει, καὶ ἴδε τὸ δεύτερον Παράγραφον τοῦ ἕκτου κεφαλαίου τοῦ ἐνάτου βιβλίου. πέμπτον, Αἱρετικῶν ἐστιν ἴδιον τῶν περὶ Σαβέλλιον καὶ Μάρκελλον τὸν Γαλάτην προφέρειν ἀποκαλύψεις εἰς καταστροφὴν τῆς διδασκαλίας τῶν ἁγίων, καὶ ἴδε τὸν μέγαν Βασίλειον εἰς τὴν ἐπιστολὴν, ἧς ἡ ἀρχή. Ἡ ΜΕΝ ΣΥΜΦΩΝΙΑ. καὶ εἰς τὴν πρὸς Νεοκαισαρεῖς, ἧς ἡ ἀρχὴ, ὅλως ΜΕΝ, ὅπου τὸ τοιοῦτοι εἶδος ἐλέγχει ὁ Βασίλειος λέγων, Τὶ χρὴ πρὸς ὀνείρους καταφεύγειν, καὶ ἀνάγνωθι τὴν ἐπιστολὴν ὅλην. ἕκτον, ἡ γραφὴ καταργεῖ τὰ τοιαῦτα, ὡς Ζαχαρίας φησὶ κεφαλαίῳ δεκάτῳ, Οἱ ἀποφθεγγόμενοι ἐλάλησαν κόπους, καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν. καὶ Ἡσαΐας κεφαλαίῳ πεντηκοστῷ ἕκτῳ, Ἐνυπνιαζόμενοι κοίτην, φιλοῦντες νυστάξαι. ἴδε καὶ τὸ δέκατον τρίτον κεφάλαιον τοῦ Δευτερονομίου, καὶ τοῦ Ἱερεμίου τὸ εἰκοστὸν τρίτον καὶ εἰκοστὸν ἕβδομον καὶ εἰκοστὸν ἔνατον τὰ κεφάλαια, ἵν' ἴδῃς ὅτι αἱ τοιαῦται προφητεῖαι εἰσὶ πλάνη σατανικὴ ἐκθείας παραχωρήσεως προηγμένη, καθότι πολλάκις ἐνεργείᾳ πλάνης παραχωροῦνται ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, καθὼς καὶ τὸ πονηρὸν πνεῦμα ἐπέμφθη εἰς ἀπάτην τοῦ Ἀχαὰβ, εἰ δὲ βούλει, ἴδε τὰ τοιαῦτα πλατύτερον εἰς τὸ Νεκταρίου Συνταγμάτιον. ἕβδομον, ἐψεύσθη ἡ Βριγίτη, καὶ ἐστὶ φανερὰ Ἐγγαστρίμυθος, εἴγε εἶπε τὰ τοιαῦτα, καὶ μὴ εἰσὶ πλάσματα τῶν Λατίνων, ἐπειδὴ ἡ μοναρχία τοῦ Πάπα ἐστὶ καινοτομία, καὶ ἀντικειμένη κατὰ διάμετρον τῇ τε γραφῇ καὶ τῇ Ἐκκλησίᾳ, καὶ ἴδε τοὺς τόπους τῶν Συνόδων εἰς τὴν παροῦσαν ἱστορίαν. ὑπὲρ δὲ τῶν καταργουμένων καὶ βλασφήμων ὁ προφητεύων συστατικὰ, βλάσφημος, οὐ Προφήτης. καὶ οἴχεται τῶν Λατίνων καὶ τοῦτο τὸ ἐπιχείρημα, Αἱρετικῶν ἀναφανὲν ἴδιον, καὶ κατὰ τῆς ἀληθείας προφανῶς ἀποφαινόμενον, μάλιστα οἱ Λατῖνοι ἔνθα ἔδει λυπηθῆναι ἐπὶ τοῖς Ἀνατολικοῖς χαίρουσιν, ὅπερ ὡς ἔργον ἀσεβέστατον μέμφεται ὁ Θεὸς τοῦ Ἀμὼς κεφαλαίῳ ἕκτῳ, Οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ Ἰωσὴφ, καὶ τοῦ Μιχαία πρώτῳ περὶ τῶν τὴν Σαμαρὰ οἰκούντων, Οὐκ ἐξῆλθον κόψασθαι οἶκον ἐχόμενον αὐτῶν. ὅθεν ὁ Θεὸς παρεχώρησεν αὐτοῖς τὰ ἀνωτέρω, εἰ καὶ οὐκ αἰσθάνονται ὄντες πεπωρωμένοι. ὄγδοον, τέως τῶν παπιστῶν τινὲς μὲν προβάλλουσι τὴν Βριγίτην ὡς θεηγόρον Προφῆτιν, οἵτινες καὶ ἐνταῦθα προσφέρουσιν εἰς μαρτυρίαν καθ' ἡμῶν τὴν ἀποκάλυψιν αὐτῆς. οἱ δὲ ἐγκριτώτεροι αὐτῶν τὴν ἀποκάλυψιν αὐτῆς ταύτην ὡς ἀντικειμένην τῇ Ἐκκλησίᾳ νομίζουσι, καὶ ἀποσκορακίζουσι, λέγουσι γὰρ, ὅτι ἡ περὶ τῆς ἀποκαλύψεως τῆς Βριγίτης καὶ Μεκτίλδης ἱστορία ἡ λέγουσα τὸν Τραϊανὸν λυτρωθῆναι τῆς κολάσεως, ψευδής ἐστι, λέγεται γὰρ ἐν ἐκείνῃ, ὅτι ὁ Τραϊανὸς ἀγαθὸς καὶ ἐνάρετος ἦν, καὶ μόνον ἡ εὐσεβὴς ἐλίπετο πίστις αὐτῷ, ἀλλ' οὐ συμφωνοῦσιν, ἡ γὰρ Βριγίτη ἀπολελυμένως ἀποφαίνεται τὴν τοῦ Τραϊανοῦ ἀπολύτρωσιν, ἡ δὲ Μεκτίλδη φησὶν οὐδύνασθαι εἰδέναι τί περὶ ἐκείνης, ἐν γὰρ τῇ ἐκστάσει οὕτω φησὶ πρὸς αὐτὴν ὁ Νυμφίος, Ὅπερ ἐγὼ ἐκ τῆς ἐμῆς ἐλευθεριότητος ἀποφήναιμι περὶ τῆς Τραϊανοῦ ψυχῆς, οὐ βούλομαι ἵνα παρὰ ἀνθρώπων γινώσκοιτο, ἵνα μᾶλλον αὔξοιτο ἡ καθολικὴ πίστις, ἐκεῖνος γὰρ καίτοι πολλαῖς ὢν ἀρεταῖς κατηγλαϊσμένος, ἄπιστος ἦν, καὶ οὔπω τὸ βάπτισμα ἔλαβε. ταῦτα ἡ Μεκτίλδη, ἐν οἷς φασὶν οἱ διαληφθέντες, Εἰ ἡ τῆς Μεκτίλδης διήγησις ἀληθὴς, τῆς Βριγίτης πάντως ψευδὴς, καὶ τοὔμπαλιν, ἐν οἷς σημείωσαι, ὅτι καὶ αἱ δύο Προφήτιδες ψευδεῖς εἰσι καὶ κατὰ Λατίνους. ὅτε δὲ οἱ Προφῆται ἐν ἑνὶ, καὶ μάλιστα μεγίστῳ ψεῦσται εἰσὶ, δῆλον ὅτι καὶ ἐν τοῖς λοιποῖς ψεῦσταί εἰσιν, ὥστε καὶ ἡ ἀποκάλυψις τῆς Βριγίτης περὶ τῆς δουλείας τῶν Ῥωμαίων, καὶ κατὰ Λατίνους αὐτοὺς ψευδής ἐστι.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Τὶ δηλοῖ ἡ Νγιαοὺρ λέξις, καὶ πόθεν συντέθειται, καὶ διατὶ οἱ ἐθνικοὶ οἴονται εἶναι ἁμαρτίαν τὸ χρῆσθαι ἐν ταῖς συνάξεσιν αὐτῶν τὴν ἡμετέραν διάλεκτον, καὶ ὅτι καὶ οἱ Λατῖνοι ὁμοίως ὑποκρινόμενοι μὴ εἶναι ἡγεμονίαν καὶ Βασιλείαν τινὰ τῆς ἀνατολικῆς Ἐκκλησίας, λέγουσι διὰ τὸ μὴ δέξασθαι τὸν παπισμὸν ἐστερήθημεν τῆς βασιλείας.

Ἰστέον δὲ, ὅτι ὁ Ἀρχηγὸς τῶν Σαρακηνῶν καὶ Ὀθωμανῶν ἐν τῇ ἐκθέσει αὐτοῦ ὡς ἐπιτοπλεῖστον βλασφήμους τοὺς Χριστιανοὺς λέγει. τινὲς δὲ μεταγενέστεροι τῆς θρησκείας αὐτοῦ λέγουσιν αὐτοὺς ἀσεβεῖς, ὅπερ δηλοῖ ἡ Νγιαοὺρ λέξις, ἥπερ δηλοῖ ἄγνωστον καὶ ἀνόητον καὶ παρόμοιον βοΐ, ἀπὸ τοῦ Νγιάου τοῦ περσιστὶ δηλοῦντος βοῦν, καὶ τοῦ Βὲρ τοῦ δηλοῦντος τὸ ἄγει συντεθεῖσα εἰς μίαν λέξιν Νγιαοὺρ, ἤτοι ὁ ἄγων τὸν βοῦν, ἤτοι προσκυνῶν, ἢ ὡς βοῦς ἄφρων ὢν, καὶ οὐγινώσκων τὸ συμφέρον, ὅπερ ἐστὶν ἡ εἰς Θεὸν πίστις. λέγουσι δὲ τὴν Νγιαοὺρ λέξιν ταύτην μάλιστα κατὰ τῶν Ῥωμαίων ἰδίως, καθότι νομίζουσι τοὺς Ῥωμαίους καὶ Κωνσταντῖνον τὸν μέγαν ἰσχυρὸν ὄντα Βασιλέα ἀθροῖσαι ἐν τῇ Νικαίᾳ παγκόσμιον Σύνοδον καὶ ἐκβαλεῖν ἀπὸ τοῦ Εὐαγγελίου (ἵλεως ἔστω Θεὸς) τὸ ὄνομα τοῦ Ἀρχηγοῦ τῆς θρησκείας αὐτῶν, ὅθεν καὶ ἐν τῷ βασιλικῷ Παλατίῳ, καὶ ἐν πάσῃ αὐτῶν συνάξει εὔτιμον, λαλοῦσιν οἱ γινώσκοντες λατινικὴν ῥωσικὴν ἰβηρικὴν καὶ πᾶσαν ἄλλην διάλεκτον, τὸ δὲ ῥωμαϊκῇ διαλέκτῳ χρῆσθαι, αἰσχύνην ἔχουσι καὶ ἁμαρτίαν, ὡς μόνων Ῥωμαίων ὄντων ἄκρως αὐτοῖς ἀντικειμένων. οὕτω καὶ οἱ Λατῖνοι ὑποκρίνονται μὴ εἰδέναι ὅτι εἰσὶν

ἐν

ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ καὶ Βασιλείαν καὶ Δεσποτείαν καὶ Τοπαρχείαν ἐλεύθεραι, καὶ μόνας τὰς Ῥωμαίας ἔχουσιν ἐν τῷ σοφίσματι αὐτῶν ἀσφάλειαν, καὶ βάλλονται συμπεραίνειν, ὅτι Διὰ τὸ μὴ δέχεσθαι τὸν παπισμὸν ἀπώλεσαν οἱ Ῥωμαῖοι τὴν Βασιλείαν, ἐπειδὴ οἱ Ῥωμαῖοι ἐλέγχουσιν αὐτὰς, ἐκ καινοτομίας καὶ παλαιπωρίας, καὶ καταχώσουσιν αὐτὰς, δόσεσι καινούσιας ὀχυρωτάτας καὶ κρημνοτόμους, καὶ ὡσὰν τέτοιες, εἰσὶ Διδάσκαλοι πάντων τῶν ὀρθοδόξων ἐθνῶν, διδάσκοντες αὐτὰς μετὰ ἀσφαλείας τῆς τῶν παπισῶν διδασκαλίας ὡς δόσεις ἰσχυρὰς ἔχειν τῆς τῶν παπισῶν διδασκαλίας ὡς δόσεις ἰσχυρὰς καὶ σκορπίων, καθὰ ὁ παπισμὸς ἐστὶν αὐτὸς χειροτονισμός.

ΒΙΒΛΙΟΝ ΙΑ΄. ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τινων ἁγίων λειψάνων καὶ μερῶν ἀπὸ τοῦ τιμίου ξύλου καὶ τῆς λόγχης καὶ ἄλλων τῶν ἐν τῷ πάθει τοῦ Κυρίου, καὶ τῶν ἐνδυμάτων αὐτοῦ καὶ τῆς Θεοτόκου, διεισκομισθέντων ἀπὸ τῆς ἁλώσεως εἰς Κωνσταντινούπολιν.

Μιχαὴλ ὁ Δούξ ἐν τῇ μονῳδίᾳ θρηνῶν τὴν Κωνσταντινούπολιν ὑπὸ τῶν Ὀθωμανῶν ἁλωθεῖσαν, φησὶ ἀπὸ τῶν ἄλλων, Πᾶ τὰ τῶν Ἀποστόλων τοῦ Κυρίου σώματα, τὰ ἀπὸ πολλοῦ φυτευθέντα ἐν τῷ ἁγιοθαλεῖ Παραδείσῳ, τὸ πορφυροῦν ἱμάτιον, ἡ Λόγχη, ὁ Σπόγγος; ἦσαν γὰρ ἐν Βλαχέρναις τὰ Σπάργανα τοῦ Χριστοῦ; ὁ ἀκάνθινος στέφανος, ἡ Σινδὼν τοῦ Χριστοῦ καὶ τὸ Λέντιον, καὶ τὸ πορφυροῦν ἱμάτιον; καὶ ὁ Σπόγγος τοῦ Ζωοδότου, τὸ Ὠμοφόριον καὶ ἡ Ζώνη τῆ Θεοτόκου. ἐν δὲ τοῖς Χαλκοπρατείοις ἡ Ἐσθὴς τῆς Θεοτόκου, καὶ τὰ Προσόψια τείχεος. ἦν ἐν Κωνσταντινουπόλει καὶ τὸ μέρος τοῦ ἁγίου Ξύλου τὸ κομισθὲν ἀπὸ Ἱερουσαλὴμ ὑπὸ τῆς ἁγίας Ἑλένης. λέγει δὲ Γεώργιος ὁ Κῳδινὸς (ὃς ἤκμαζε τῷ πεντακισχιλιοστῷ ἑκατοστῷ ἑβδόμῳ ἔτει) ὅτι ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἦχθη καὶ ἡ Ῥάβδος τοῦ Μωϋσέως εἰς Βυζάντιον, καὶ προϋπήντησεν αὐτῷ ὁ Βασιλεὺς πεζὸς, καὶ οἰκοδομήσας Ναὸν τῆς Θεοτόκου, ἔβαλον αὐτὴν ἐκεῖ, εἶτα μετήνεγκον αὐτὴν εἰς τὸ Παλάτιον. καὶ ὅτι τὸν Ναὸν τοῦ Σωτῆρος εἰς τὴν Χαλκὴν ἔκλισε Ῥωμαῖος ὁ Λεκαπηνὸς, ὁ δὲ Ἰωάννης Τζημισκὴς ἐμεγάλυνεν αὐτὸν, ἤγαγε δὲ ἐκ Βηρυτοῦ τὴν Εἰκόνα καὶ τὰ Σανδάλια τοῦ Χριστοῦ καὶ ἔβαλον αὐτὰ ἐκεῖ. καὶ ὅτι εἰς τὴν Μονὴν τὴν λεγομένην Μυριοκέφαλον ἐκρέματο τὸ κέρας τοῦ Σαμουὴλ. καὶ ὅτι ἐπὶ Μιχαὴλ τοῦ Παφλαγόνος λέγει ὁ Θεοφάνης καὶ ὁ Κῳδινὸς πάλιν γενομένην λιτανείαν, ἐν ᾗ ἐβάσαζον οἱ τοῦ Βασιλέως ἀδελφοὶ, ὁμοῦ, τὴν τε Ἄυγαρον τοῦ Σωτῆρος ἐπιστολὴν, ὁ δὲ, τὰ Σπάργανα τοῦ Σωτῆρος. οἱ δύο σανιδες τῶν λησῶν ἦσαν βεβλημένοι κάτωθεν τοῦ πορφυροῦ Κίονος τοῦ ἐν τῷ φόρῳ, καὶ Βίκτωρ Μύρα ᾧ ἠλείψατο ὁ Χριστός. καὶ εἰς τὸν Κίονα τοῦ Κωνσταντίνου ἦσαν οἱ Ἧλοι τοῦ Σταυροῦ. καὶ ὅτι τὸ σῶμον τοῦ Φρέατος ἐν ᾧ ἐκάθισεν ὁ Χριστὸς, καὶ τὰς Σάλπιγγας, δι' ὧν ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ κατέπεσον τὰ τείχη Ἱεριχὼ, ἤγαγεν ὁ Ἰουστινιανὸς καὶ ἔθηκεν εἰς τὴν ἁγίαν Σοφίαν. καὶ ὅτι εἰς δύο ἀψίδας εἰς τὸ ἔδασμα τοῦ σύλου τοῦ πορφυροῦ Κίονος τοῦ καμπὸς ἐν τῷ Πλακωτῷ τοῦ Φόρου ἔθηκεν ὁ μέγας Κωνσταντῖνος ἰδίαις χερσὶ τὰς δώδεκα κοφίνους καὶ τὰς ἑπτὰ Σπυρίδας ἐν αἷς ἐβλήθησαν τὰ περισσεύματα εἰς τὴν ἀρτοπλασίαν τοῦ Κυρίου, καὶ ἔτι τὴν ἀξίνην τοῦ Νῶε δι' ἧς κατεσκεύασε τὴν Κιβωτόν. καὶ ὅτι τὸν ἐν τοῖς Χαλκοπρατείοις Ναὸν τῆς Θεοτόκου Ἰησοῦς καὶ Σοφία ἀνήγειραν, ἐν δὲ τῇ ἐν αὐτῷ γενομένῃ ἀσχυρνία ἐποίησαν τὰς ἀναγνώσεις μεγάλοι ἄνδρωποι, ὡς καὶ Μιχαὴλ ὁ Ῥαγγαβὲ ὢν τοῦ βασιλεύσαντος Κωνσταντίνου Κεραπαλάτης ὢν, καὶ Βάρδας ὁ Καῖσαρ μετέπειτα, καὶ πολλοὶ τῶν Μεγιστάνων ἐπανονάρχων, καὶ ἄλλας ἰδικὰς Δωρεὰς ἐποίησε, ἐπειδὴ ἐκεῖ ἐναπέκειτο ἡ τιμία Ζώνη καὶ Ἐσθὴς τῆς Θεοτόκου, τὸ δὲ Ὠμοφόριον ἐν Βλαχέρναις. περὶ δὲ τῆς Ἐσθῆτος λέγει Νικηφόρος ὅτι ἦν ἐξ ἐρίων ἀφθάρτων ἐξυφασμένη, καὶ σημόνων ὁμοειδῶν καὶ ὁμοχρόων, καὶ ἀδιάφθαρτός ἐστι καὶ ἀδιάλυτος μέχρι τοῦ νῦν, τῆς Ἀειπαρθένου τὸ θαῦμα ἀνακηρύττουσα. καὶ δὴ καὶ Μιχαὴλ ὁ Τραυλὸς κατὰ τοῦ τυράννου Θωμᾶ ἐξήνεγκε τὰ τίμια Ξύλα καὶ τὴν Ἐσθῆτα τῆς Θεοτόκου. ὁ δὲ Ἰωὴλ λέγει εἰς τὸ χρονικὸν αὐτοῦ, ὅτι Νικηφόρος ὁ Φωκᾶς μέρος τι ἱματίου τοῦ Βαπτιστοῦ, ὅπερ δῶρον ἐν Βερροίᾳ τῆς Συρίας, ἔφερον εἰς Βυζάντιον, καὶ κέραμον ἔχοντα τὸ ἀχειροποίητον ἐκτύπωμα τοῦ Σωτῆρος, ὅπερ δῶρον ἐν Ἱεραπόλει, καὶ τῶν τειχῶν τοῦ Βαπτιστοῦ βόστρυχον πεπιλημένον αἵματι, καὶ ὡσὰν τέτοιες ὀλκὸν τοῦ τιμίου σώματος καὶ αἵματος αὐτοῦ. καὶ ὅτι ἐπὶ Ῥωμανοῦ καὶ Ζωῆς Γεωργίου ὁ Μαριάκης τὴν Ἔδεσσαν ἑλὼν, καὶ δῶρον ἐν αὐτῇ τὴν ἐπιστολὴν τοῦ Κυρίου ὡσὰν Ἄυγαρον, ἔπεμψεν αὐτὴν τῷ Βασιλεῖ εἰς Βυζάντιον. εἰς δέ τινα λόγον ἐπιγραφόμενον Γερμανοῦ Πατριάρχου, ἢ κατ' ἄλλους Εὐτυχίου Μοναχοῦ λέγεται, Εἰς τὰ ἐγκαίνια τοῦ Ναοῦ τῶν Χαλκοπρατείων, καὶ τὴν κατάθεσιν τῆς τιμίας Ζώνης, καὶ τῶν σεβασμίων Σπαργάνων τοῦ Σωτῆρος ἡμῶν. ἔτι ὁ Κῳδινὸς φησὶν, ὅτι ὁ ῥηθεὶς Ἰουστινιανὸς ἀνήγειρε τὸν Ναὸν τοῦ ἁγίου Ἰακώβου, ἐν ᾧ ἦσαν τὰ λείψανα τῶν ἁγίων Νηπίων, Συμεὼν τοῦ Θεοδόχου, τοῦ Προφήτου Ζαχαρίου, καὶ Ἰακώβου τοῦ Ἀδελφοθέου, ἐν δὲ τῷ δεξιῷ μέρει τῆς ἁγίας σοροῦ κεῖνται τῶν ἁγίων Μυροφόρων τὰ σώματα. καὶ ὅτι Λέων ὁ σοφὸς

ἔφερε

ἔφερε Λαζάρου καὶ τῆς ἀδεφῆς αὐτοῦ Μαρίας τὰ λείψανα εἰς Κωνσταντινούπολιν, καθὼς ὁ Ἀρτέμιος ἔφερε τὰ λείψανα τῶν ἁγίων Ἀποστόλων, καὶ ἐτέθησαν ὑπὸ τὴν ἁγίαν τράπεζαν τοῦ Ναοῦ αὐτῶν. Σημειοῖ καὶ Εὐθύμιος ὁ Ζυγαβηνὸς εἰς τὸν εἰκοστὸν ἕκτον Τίτλον τῆς Πανοπλίας αὐτοῦ, γράφων κατὰ τῶν ἐθνικῶν, ὅτι δὲ οὐχὶ ἡ σκιὰ τοῦ Χριστοῦ, ἀλλ' αὐτὸς ὁ Χριστὸς ἐσταυρώθη κατὰ σάρκα, δηλοῖ τὸ καταῤῥεῦσαν αἷμα τοῦ παναγίου σώματος αὐτοῦ παρὰ Χριστιανοῖς φυλαττόμενον, καὶ βρύον ἰάσεις, καὶ πολλοῖς θαύμασι μαρτυρούμενον εἶναι τοῦ Χριστοῦ. Ἱστορεῖ Γεώργιος ὁ Λογοθέτης, ὅτι στρατεύσας Ἰσαάκιος ὁ Ἄγγελος κατὰ Ἀσάνη τοῦ Βουλγάρου, καὶ δελεασθεὶς ἔφοδον εἶναι Σκυθῶν, νικᾶται, καὶ ἁλίσκεται παρὰ τῶν Βουλγάρων ὁ βασιλικὸς Σταυρὸς, ἐν ᾧ ἦν γάλα τῆς Παναγίας, καὶ τῆς ἁγίας Ζώνης αὐτῆς μέρος, καὶ μέρος τοῦ τιμίου Ξύλου, ἦσαν οὖν ταῦτα εἰς Κωνσταντινούπολιν. Σὺ δὲ φιλαναγνῶστα ἔχων αἰτίαν, εὑρὲ καὶ τὰ τῶν ἁγίων λείψανα, ἅπερ ἦν ἐκεῖ, τίνων ἦν καὶ πόσα. Φοβερὸν ὅμως πρᾶγμα ἡμῶν τοῖς ὠσὶν ἐνηχήθη, φασὶ γὰρ ἐν τῷ κατὰ τὴν Βενετίαν Σκευοφυλακίῳ τοῦ ἁγίου Μάρκου εὑρεθῆναι κιβώριον μικρὸν ἐξ ὧν ἔλαβον οἱ Λατῖνοι ἀπὸ Κωνσταντινουπόλεως, στίχον ἔχον ἔξωθεν λέγοντα,

Ἔχεις με Χριστὸν, αἷμα σαρκός μου φέρον.

ποιεῖ δὲ ἄπειρα θαύματα. θέλουσι δέ τινες εἶναι ἀπὸ τοῦ αἵματος τοῦ ῥεύσαντος ἀπὸ τοῦ Λυτρωτοῦ σταυρουμένου. ἄλλοι δέ φασιν εἶναι ἀπὸ τοῦ αἵματος τοῦ βλύσαντος ἀπὸ τῆς Εἰκόνος τῆς τρωθείσης παρὰ τοῦ Ἑβραίου ἐν Κωνσταντινουπόλει. ἄλλοι δ' αὖθις φασὶν εἶναι ἀπὸ τοῦ αἵματος τῆς Εἰκόνος τῆς τρωθείσης ὑπὸ τοῦ Ἑβραίου ἐν τῇ Βυρητῷ, ἧς Εἰκόνος μέμνηται καὶ ἡ ἐν Ἱεροσολύμοις Σύνοδος, γράφουσα πρὸς Θεόφιλον τὸν Βασιλέα. Ἱστορεῖ δέ τις Ῥομπέρτος, ὅτι ὅτε ἐστράτευσαν τεσσαράκοντα χιλιάδες Σαρακηνοὶ κατὰ τῆς Ἀσκάλωνος, καὶ ἐξῆλθον κατ' αὐτῶν ἔσωθεν τρεῖς χιλιάδες Χριστιανοὶ, ὁ Ἀββᾶς Πόντιος ἐβάσταζε τὴν ἁγίαν Λόγχην, ᾗ ὁ Στρατιώτης ἐκέντησε τὸν Κύριον τῆς δόξης, ὁ δὲ τῆς Βηθλεὲμ Ἐπίσκοπος ἐβάσταζεν ἱερὰν πυξίδα, ἐν ᾗ ἦν μέρος τοῦ καθαροῦ γάλακτος τῆς Θεοτόκου. Ὁ ἀναγνώστης Θεόδωρος λέγει, ὅτι ἡ Εὐδοκία ἔπεμψεν εἰς Κωνσταντινούπολιν ἐξ Ἱεροσολύμων τὴν Εἰκόνα τῆς Θεοτόκου τὴν ἱστορηθεῖσαν ὑπὸ τοῦ θείου Λουκᾶ. ἴδε καὶ ἀνωτέρω βιβλίου ὀγδόου κεφαλαίου δωδεκάτου Παράγραφον ἕβδομον. Ἐν δὲ τῷ Ἀλεξανδρινῷ ἱστορικῷ λέγεται ὅτι συνυψώθη ὁ Σπόγγος τῷ Σταυρῷ τεθεὶς ἐπ' αὐτῷ, πεμφθεὶς παρὰ Νικήτα Πατρικίου, καὶ Ὀκτωβρίου εἰκοσιοκτὼ ἡμέρᾳ ἑβδόμῃ ἠνεώχθη ἡ ἁγία Λόγχη, ἣν τῶν ἐγγιζόντων εἷς τις τῷ Σαρβαρᾷ λαβὼν, δέδωκε τῷ Νικήτᾳ, καὶ τῇ Κυριακῇ ἐκηρύχθη, καὶ προσεκυνήθη ὑπ' ἀνδρῶν τε καὶ γυναικῶν. Ἰωσὴφ ὁ Βρυέννιος ἐν τῷ λόγῳ περὶ τοῦ, Εἰ ἔξεστι δέξασθαι εἰς κοινωνίαν τοὺς Κυπρίους, φησὶν, ὅτι καὶ ἡ Ἐσθὴς καὶ ἡ Ζώνη τῆς τῶν Ἀγγέλων Κυρίας, καὶ αὐτοῦ τοῦ Δεσπότου Χριστοῦ ὁ Χιτὼν ὁ ἄνωθεν ὑφαντὸς, καὶ τὰ ἱμάτια αὐτοῦ, τὸ ἐκ τῆς πλευρᾶς αὐτοῦ ῥεῦσαν Αἷμα, ἡ Λόγχη, οἱ Ἥλοι, ὁ Σπόγγος, ὁ Κάλαμος ἦσαν ἐν Κωνσταντινουπόλει. ἴδε καὶ ἀνωτέρω βιβλίου ὀγδόου κεφαλαίου δωδεκάτου Παράγραφον ἕβδομον.

ΒΙΒΛΙΟΝ ΙΑ'. ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως ὑποβιβασμοῦ τῶν Ἀρχιεπισκόπων Ἀχρίδος, Πεκίου, καὶ Τορνόβου εἰς Μητροπολίτας, καὶ ἀθετήσεως πλὴν τοῦ Τορνόβου.

Ἱέραξ ὁμέγας Λογοθέτης, ὅστις ἤκμαζε περὶ τὸ ἑπτακισχιλιοστὸν ὀγδοηκοστὸν ἔτος, ἐσημείωσεν, ὅτι μετὰ τὴν ὑπὸ τῶν Ὀθωμανῶν ἅλωσιν τῆς Κωνσταντινουπόλεως ἠθροίσθη Σύνοδος ἐν Κωνσταντινουπόλει, ἐν ᾗ λόγος ἐγένετο περὶ τοῦ ὅτι κακῶς ᾔτησαν οἱ Βασιλεῖς γενέσθαι τινὰς Ἐπαρχίας Ἀρχιεπισκοπὰς αὐτοκεφάλους. ὅθεν ἐπειδὴ τῆς Ἐκκλησίας τότε μὴ δυνηθείσης τοῖς Βασιλεῦσιν ἀντιτεῖναι, νῦν καιρὸς ἐστὶν ὑποταχθῆναι τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ τήν τε Ἀχρίδα, καὶ τὴν Τόρνοβον καὶ τὸ Πέκιον, καὶ οὕτως ἐχειροτόνησαν εἰς ταύτας τὰς Ἀρχιεπισκοπὰς Μητροπολίτας, ἀλλ' ἡ μὲν Τόρνοβος ἐνέμεινε τῇ ὑποταγῇ, αἱ δὲ λοιπαὶ δύο ὑποσχεθεῖσαι τῷ Σουλτάνῳ φόρους κατ' ἰδίαν, ἴσχυσαν τῇ ἐξωτερικῇ βίᾳ μεῖναι ἐν τῷ ἀρχαίῳ σχήματι.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ Πάπα Ῥώμης Σίκστου τοῦ τετάρτου, καὶ τῶν ἁρπαγῶν καὶ πολέμων αὐτοῦ, καὶ τῆς καινοτομίας τοῦ γίνεσθαι τὸν Ἰοβηλαῖον εἰς εἰκοσιπέντε ἔτη.

Ἐπὶ τούτου τοῦ Σουλτάνου περὶ τὸ χιλιοστὸν τετρακοσιοστὸν ἑβδομηκοστὸν ἔτος ἐγένετο Πάπας Ῥώμης Σίκστος ὁ τέταρτος, ὃς διὰ τὸ σφόδρα φιλεῖν τοὺς συγγενεῖς αὐτοῦ, ἐδούλωσεν ἐκείνοις τὸ αὐτεξούσιον αὐτοῦ, ὅθεν ἐχρημάτισε καὶ πατὴρ φιλαργυρίας, ὅστις μετὰ τὸ ἁρπάσαι τὰ τῆς Ἐκκλησίας, καὶ τῶν αὐτῷ ὑποκειμένων Ἀρχόντων καὶ πτωχῶν τὰ ὑπάρχοντα, ἐκινήθη καὶ εἰς πολέμους

τοῦ λαβεῖν καὶ ὅπλοις τὰ ἀλλότρια. ὅθεν καὶ τὴν Γερουσίαν τῶν Βενετίκων ἀντιτείνασαν αὐτοῦ τοῖς παραλογισμοῖς ἀνεθεμάτισε, καὶ ὑστέρησε καὶ τῆς ἀξίας, ἣν αὐτὸς αὐτῇ οὐκ ἔδωκεν, ἀλλ' ὁ Θεὸς, καὶ ἡ τῆς Συγκλήτου ἐπιμέλεια, καὶ τὰ ὅπλα. ἐπενόησε δὲ διὰ τὴν αὐτὴν αἰτίαν καινοτομῆσαι καὶ τὸν Ἰοβηλαῖον. καὶ ὁ μὲν βονιφάτιος ὁ πρῶτος ἐφευρετὴς τοῦ Ἰοβηλαίου διώρισε γίνεσθαι αὐτὸν ἐν ἑκάστῃ ἐτῶν ἑκατοντάδι ἅπαξ, ὁ δὲ Οὐρβανὸς συνέταμε τὰ ἑκατὸν ἔτη εἰς πεντήκοντα, οὗτος δὲ ἡ τῆς πλεονεξίας λύσσα ἐθέσπισεν εἶναι μόνα εἰκοσιπέντε. οὕτως οὖν οἱ Πάπαι οὐμόνον τοὺς μακρὰν, ἀλλὰ καὶ ἀλλήλους καταβάλλουσι, τὸ γὰρ κακὸν οὐμόνον τῷ καλῷ, ἀλλὰ καὶ αὐτὸ ἑαυτῷ ἐναντίον ἐστὶ κατὰ τὸν Ἀριστοτέλην καὶ τὸν μέγαν Βασίλειον, καθότι τὰ παράνομα ἀλλοιωτάτε καὶ ἄστατα. Ἰστέον δὲ, ὅτι μετὰ τὸν Ἰοβηλαῖον ἐκινήθησαν οἱ Ἰταλοὶ, καὶ Ἱσπανοὶ, καὶ Κελτοὶ κατὰ τῶν Ὀθωμανῶν, ὅμως κατὰ τὸ μέρος τῆς Μιτυλήνης ἐδυστύχησαν, οἱ δὲ Βενέτικοι φοβηθέντες, εὐθὺς ἐφιλιώθησαν τοῖς Ὀθωμανοῖς.

ΒΙΒΛΙΟΝ ΙΑ'. ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν γενομένων εὐποιΐων ἐν τῷ Μοναστηρίῳ Σουμελᾶ, καὶ ἐν τῷ Πατριαρχείῳ τῆς Ἱερουσαλὴμ, καὶ ἐν ἄλλοις Χριστιανοῖς παρὰ τοῦ τὴν Αἴγυπτον λαβόντος Σουλτὰν Σελήμ.

Ἐν τῷ χιλιοστῷ πεντακοσιοστῷ δωδεκάτῳ ἔτει ἐβασίλευσεν ὁ Σουλτὰν Σελὴμ, ὁ παραλαβὼν τὴν Αἴγυπτον, οὗ ἐν τοῖς καιροῖς σημείωσαι πρῶτον, ὅτι ὁ Κωνσταντινουπόλεως Παχώμιος ἀπῆλθεν εἰς Βλαχομπογδανίαν χάριν ἐλέους, ἐπειδὴ τότε οὔπω ἦσαν αἱ Ζητίαι, καὶ Βοήθειαι, καὶ τὰ Ἐμβατοίκια ἐν τῷ τῆς Κωσταντινουπόλεως θρόνῳ, ὅθεν ἐλέει μόνῳ ἔζων οἱ Πατριάρχαι. δεύτερον, ὅτι αὐτὸς ὁ Σουλτὰν Σελὴμ πρότερον ἐν τοῖς τοῦ πατρὸς αὐτοῦ καιροῖς ἦν διαιτώμενος εἰς τὴν Τραπεζοῦντα, καὶ ποτὲ κυνηγετῶν εἰς τὸ ὄρος τοῦ Σουμελᾶ, εἶδεν ἐν τῷ ὄρει φῶτα, καὶ μαθὼν εἶναι ἐκεῖ τὴν Μονὴν τῆς Θεοτόκου, ἠβουλήθη κατασκάψαι αὐτὴν, μὴ δυνηθεὶς δὲ ἐξαναστῆναι οὗ ἐκάθητο τόπου, εἶπεν, Ὦ μῆτερ Μαρία, ἐὰν βασιλεύσω, ποιήσω ἐν τῷ Μοναστηρίῳ σου ὅσας εὐεργεσίας ἐποίησαν οἱ Βασιλεῖς τῶν Ῥωμαίων, καὶ δὴ βασιλεύσας, δέδωκε Χρυσόβουλλον κατὰ τὰ Χρυσόβουλλα ἃ εἶχον οἱ πατέρες τῶν Κομνηνῶν Βασιλέων, θεσπίσας ἐν αὐτῷ ἐλεύθερον εἶναι πάσης εἰσφορᾶς καὶ δόσεως τὸ Μοναστήριον, ἔχειν τε αὐτοῦ τὰς κτήσεις πάσας καὶ τοὺς παροίκους. ἔπεμψε δὲ καὶ πέντε λαμπάδας, καὶ ἀπηώρηνται εἰς τὸν τῆς Ἐκκλησίας τοῦρλλον, αἳ καὶ μέχρι τῆς σήμερον ἐκεῖ κρέμανται. τρίτον, ὅτι ἠγάπα τοὺς Χριστιανοὺς, ὅθεν εὐκόλως παρεῖχεν αὐτοῖς ἄδειαν καὶ ᾠκοδόμουν Ἐκκλησίας. τέταρτον, ἀπερχόμενος εἰς τὸ λαβεῖν τὴν Αἴγυπτον, ἀπῆλθε καὶ εἰς τὰ Ἱεροσόλυμα, καὶ φιλοτιμησάμενος τὸν Πατριάρχην καὶ τοὺς πατέρας, δέδωκε καὶ Ἀχτιναμὲ (διαθήκην χάριτος) θεσπίσας ἐν αὐτῷ εἶναι τὰ προσκυνήματα, καὶ τὰ Μοναστήρια, καὶ αἱ Ἐκκλησίαι εἰς χεῖρας τοῦ Πατριάρχου, εἶναί τε τὸν Πατριάρχην ἐν πάσαις ταῖς φυλαῖς πρῶτον, καὶ αὐτοῦ τῷ θελήματι τοῦ Πατριάρχου προσκυνεῖν τοὺς λοιποὺς εἰς τὰ προσκυνήματα, ἐλευθέρους τε εἶναι Κομμερκίων, καὶ φόρων, ἤτοι χαρατζίων, καὶ ἄλλων εἰσφορῶν καὶ ἀπαιτήσεων τοὺς πατέρας, τοὺς δὲ λαϊκοὺς Χριστιανοὺς τῆς Ἱερουσαλὴμ μὴ δὲ μίαν εἰσφορὰν διδόναι πλὴν τοῦ τέλους, ἤτοι τοῦ χαρατζίου. πέμπτον, ὅτι τότε ἦσαν Στρατιῶται πολλοὶ Χριστιανοὶ, ὡς ἦν καὶ ὁ Τζερνωτᾶς Πελοποννήσιος Μπέης, ὁ ὠφελήσας τῇ πρὸς τὸν Σουλτὰν Σελὴμ μεσιτείᾳ τοὺς Σιναΐτας, καὶ λίαν αὐτοὺς εὐεργετήσας, καὶ ἐλευθερώσας τοῦ ἀφανισμοῦ τὸ εἰς τὸ Κάερ μετόχιον αὐτῶν ἐν τῷ τῆς καταδρομῆς καιρῷ.

ΒΙΒΛΙΟΝ ΙΑ'. ΚΕΦΑΛΑΙΟΝ Ε'.

Αἵρεσις Λουτέρου καὶ Καλβίνου, καὶ τὶς ἡ αἰτία αὐτῆς, καὶ πόθεν ἤρξατο ἡ ἔρις, καὶ τὶς ὑπερήσπισε τοῦ Λουτέρου, καὶ πῶς ἡ τῆς Αἱρέσεως φλὸξ ἀνῆψε.

Κατὰ τὸ χιλιοστὸν πεντακοσιοστὸν ἑπτακαιδέκατον ἔτος ὁ τότε Πάπας Λέων ὁ δέκατος ἐξέδωκε συγχωροχάρτια, ὅσον μὲν κατὰ τὸν ἀληθῆ σκοπὸν, ἵνα συνάξῃ χρήματα, ὅσον δὲ κατὰ τὸ φαινόμενον, περὶ τῶν μελλόντων παραγενέσθαι κατὰ τῶν Σαρακηνῶν ὑπὲρ τῆς Χριστοῦ δῆθεν Ἐκκλησίας εἰς τὸν καιρὸν τῆς Κρουτζιάτας. κατέστησε γοῦν ὁ Πάπας τὸν Ἀλμπέρτον Ἀρχιεπίσκοπον τῆς Μουγουντίας ἐπιστάτην τοῦ φροντίσαι καὶ εὑρεῖν ἄνδρα χρήσιμον, ἵνα εἰς ὅλην τὴν Γερμανίαν προβάλλῃ τοῦ διανεῖμαι τὰ τοιαῦτα συγχωροχάρτια. ὁ δὲ Ἀρχιεπίσκοπος ἐν καθαρῷ συνειδότι ἐξελέξατό τινα Δομινικανὸν Ἰωάννην Τερτζέλιον καλούμενον, καὶ διωρίσατο αὐτὸν διανεῖμαι μίαν ποσότητα τῶν συγχωρητικῶν τούτων καὶ

εἰς

εἰς τὴν Γερμανίαν, ᾧπερ δυσαρεστήσας Μαρτῖνος Λούτερος Λατῖνος Ἱερομόναχος ὁ ἀπὸ τοῦ σχήματος τῶν Αὐγουστινιάνων, ὁ καὶ τὴν διδασκαλίαν ἐκεῖ ποιούμενος, ὁμοίως καὶ ὁ Γενεράλης τῶν Αὐγουστινιάνων τοὐπίκλην Σταυπίτζης, ἤρξαντο ψέγειν τὰ τοιαῦτα συγχωροχάρτια, καὶ μάλιστα ὁ Λούτερος ἐπ' Ἄμβωνος ἐβρόντα καὶ ἤστραπτε κατὰ τῶν Ἰνδουλγεντζιῶν, λέγων μὴ δίδοσθαι τοιουτοτρόπως ἄφεσιν καὶ συγχώρησιν. ὤφθη δὲ ὑπερασπίζων τοῦ Λουτέρου ὁ Δοὺξ τῆς Σαξονίας Φεδερῖκος, νέος καὶ ἡδονικὸς ὥστις πῶλος ἀδάμαστος ὤν, ὅστις ἐποίησεν ἐπιβληθῆναι θέσεις περὶ τὰ συγχωροχάρτια. τοῦ οὖν Τερτζελίου ὑπερασπιζομένου τῶν συγχωροχαρτίων, τοῦ δὲ Λουτέρου σφοδρῶς κατ' αὐτῶν φερομένου, ἤρξατο ἀνάπτειν ἡ φλὸξ τῆς Αἱρέσεως, ἥτις καὶ μέχρι τῆς σήμερον ἀνάπτει εἰς Γερμανίαν, Οὐγγρίαν, Ἐρδελίαν, Φράντζαν, Ἐγκλιτέραν, Ὀλαύταν, Σφετζίαν, Γοτθίαν, Δανίαν, Λεχίαν, καὶ εἰς αὐτὴν τὴν Ἀμερικήν.

ΠΑΡΑΓΡΑΦΟΝ Β΄.

Σύγγραμμα Ἐνρίκου Βασιλέως Ἀγγλίας κατὰ Λουτέρου, καὶ ἐμπρήσεως τῶν βιβλίων αὐτοῦ, καὶ συγγραφῆς ἑτέρων.

Ὁ Βασιλεὺς τῆς Ἀγγλίας ὁ Ἐνρῖκος ἔγραψεν ἐναντίον τοῦ Λουτέρου ἓν βιβλίον σοφώτατον καὶ πολυμαθέστατον, ὅθεν ἐφημίσθη ὑπ' αὐτοῦ τοῦ Πάπα Λέοντος τῆς πίστεως ὑπερασπιστὴς καὶ ὑπέρμαχος, ὡς διηγεῖται τοῦτο ὁ Λίλιος εἰς τὸ χρονικὸν αὐτοῦ. ἐγένετο γοῦν ἀπόφασις τόσον ἀπὸ τοῦ δεκάτου τούτου Λέοντος, ὅσον καὶ ἀπὸ τοῦ Καρόλου τοῦ πέμπτου ἀφανισθῆναι καὶ ἐμπρησθῆναι ὅλα τὰ βιβλία τοῦ Λουτέρου ὡς βλάσφημα, πλήνγε αὐτὸς ἐξόριστος ὤν, συνέγραψε καὶ ἄλλα· παρακινῶν ἅμα καὶ νουθετῶν καὶ τοὺς Αὐγουστιάνους τοὺς συνθιασώτας αὐτοῦ καταλιπεῖν τὴν Λειτουργίαν εἰς τὴν Βιτεμπεργίδα, εἰ μὴ αὐτοὺς ὅμως ἔτυπτεν ἡ συνείδησις αὐτῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Γ΄.

Ὅτι ἡ κατὰ τῆς Μυσταγωγίας κακία τοῦ Λουτέρου ἦν, ἵνα τὸ, Ὑπὲρ ἀφέσεως καὶ συγχωρήσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ σὺν τῷ μνημοσύνῳ τῶν Μοναχῶν ἐξαλείψῃ διὰ τὸ πρὸς τὸν Πάπαν πεῖσμα.

Ἔσπευδον, λέγει τὶς Θεολόγος καὶ εὐλαβὴς ἀνὴρ, μετ' ἐπιμελείας μαθεῖν, τὶς ἡ τοσαύτη κακία κατὰ τῆς Μυσταγωγίας, καὶ ἔγνων ὅτι τὸ παῦ ἦν διὰ τὸ λέγειν ἡμᾶς ἀεὶ, Ὑπὲρ ἀφέσεως καὶ συγχωρήσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ. καὶ λοιπὸν ὅλον τοῦτο ἐπονηρεύσατο ὁ δολιώτατος Λούτερος ἐξαλεῖψαι ἀπὸ τοῦ προσώπου τῆς γῆς, καὶ ἑπομένως καὶ τὸ μνημόσυνον τῶν Μοναχῶν, διότι ἐν ὅσῳ ἦσαν μερίδες, μνημόσυνα, τεσσαρακονθήμεροι Λειτουργίαι ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἡ πίστις τῶν Χριστιανῶν ἐφυλάττετο, διεστηρίζετο, καὶ ἀπαράθραυστος ἔμενε σχεδὸν ἐν ὅλῳ τῷ κόσμῳ. ὁ φιλομαθὴς ἰδέτω τὴν διάλεξιν τὴν γενομένην ἐν τῇ αὐλῇ τοῦ Δουκὸς τῆς Σαξονίας Γεωργίου, ἐν ᾗ ὤφθη ὁ Λούτερος λίαν θρασὺς καὶ ὑπὲρ τὸ μέτρον θυμώδης, ὅθεν λέξαντος αὐτῷ ἑνός τινος ἄλλου παρομοίου αὐτῷ κατὰ τὴν θρασύτητα καὶ ὑπερηφανίαν ὑπέρογκα, ὡς δηλαδὴ οὐχ ἁρμόζει αὐτῷ τοσοῦτον ταράσσεσθαι, ἀπεκρίθη αὐτῷ κατὰ τὸ αὐτὸ θράσος καὶ θάρρος εἰπὼν, Μήτε διὰ τὸν Θεὸν ἤρξατο ἡ ὑπόθεσις αὕτη, μήτε αὖθις διὰ τὸν Θεὸν μέλλει τελειοῦσθαι (ὡσανεὶ ἔλεγε διὰ τὸ πρὸς τὸν Πάπαν πεῖσμα καὶ τὴν φιλαργυρίαν αὐτοῦ ἠθέλησε γενέσθαι Ἀρχηγὸς Αἱρέσεως, ἣν καίτοι γινώσκων ἀπώλειαν ψυχῶν, ἔχεται ὅμως τῆς γνώμης αὐτοῦ) καὶ ὅμως ἐκ Θεοῦ δεῖν Ἄρχεσθαι, καὶ εἰς Θεὸν ἀναπαύεσθαι μεμαθήκαμεν οὐ μόνον ἀπὸ τοῦ Σικελιώτου, ἀλλὰ μάλιστα ἀπὸ τοῦ Ναζιανζηνοῦ ἐν τῷ Ἀπολογητικῷ.

ΠΑΡΑΓΡΑΦΟΝ Δ΄.

Περὶ τοῦ συζευχθέντος Μοναστρίᾳ Λουτέρου, καὶ τοῦ Λουτερίσαντος Βασιλέως Ἀγγλίας τοῦ ὀγδόου.

Ἀλλ' ὦ τῆς παρανομίας τοῦ Λουτέρου. οὐχ εὑρῆκεν ἄλλην λαβεῖν εἰς γυναῖκα αὐτοῦ, ἀλλ' ἢ τὴν Μονάστριαν Αἱκατερίναν ὁ δοῦλος τοῦ Διαβόλου ὡς κακομόναχος, ὡς τοῦτο διηγεῖται ὁ Σούριος. ἀλλὰ καὶ ὁ καλὸς Ἐνρῖκος ὁ τῆς Ἀγγλίας Βασιλεὺς ὁ ὄγδοος ἀπεστάτησε διὰ τὸ θηλυμανὲς αὐτοῦ, καὶ διὰ πρόσχημα τῆς κακοδοξίας αὐτοῦ ἀπολύσας τὴν νόμιμον αὐτοῦ γυναῖκα Αἱκατερίναν, καὶ λαβὼν τὴν ἐρωμένην αὐτοῦ Ἄνναν, τοῦ δὲ Πάπα μὴ συγχωρήσαντος αὐτῷ ἀπὸ Ῥώμης τὸ διαζύγιον, ἐγένετο Λούτερος, καὶ ἐκλήθη κεφαλὴ τῆς Ἀγγλικανῆς Ἐκκλησίας. τὶς λοιπὸν μὴ καγχάσῃ τοῦτο ἀκούων; ναὶ, ἀπὸ σχισματικοῦ ἐγένετο κεφαλὴ καὶ ὕδρα ἑπτακάρηνος τῆς πολυπλόκου Αἱρέσεως.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς αἰφνιδίου τελευτῆς Μαρτίνου τοῦ Λουτέρου, καὶ ὧν ἔζησεν ἐτῶν, καὶ περὶ Ἰωάννου τοῦ Καλβίνου, καὶ τῶν ἐννέα αὐτοῦ παθῶν, καὶ τῆς βεβήλου ζωῆς, καὶ πότε ἀπερράγη τοῦ βίου.

Ἀπέθανε δὲ οὗτος ὁ Αἱρεσιάρχης Λούτερος αἰφνιδίῳ θανάτῳ, ἑξήκοντα καὶ τρία ἔτη ζήσας, ὡς ἱστορεῖ τοῦτο ὁ ἱστορικὸς ὅσιος. ἤκμαζε δὲ τότε καὶ Ἰωάννης ὁ Καλβῖνος, ὁ λεγόμενος σταθῆναι νόθος (ἦν γὰρ φραγγοϊερέως τινὸς παῖς) κανονικὸς εἰς τὸ Νοβοδιούνιον, ὥς φησιν ὁ Βέσπελος. ἦν δὲ λίαν φιλάσθενος, ἔφερε γὰρ ἐν ἑαυτῷ ἐννέα ἀσθενείας, ἀρθρίτιν, κώληκα, δυσουρίαν, φθίσιν, αἱμορροΐδας, ἆσθμα, ἡμικρανίαν, διηνεκῆ καταῤῥοὴν, καὶ αἱματώδη ἐμετόν. κατὰ ἀλήθεια οὔτε ὁ σκωληκόβρωτος ἐκεῖνος Ἡρώδης δύναται συγκρίνεσθαι τῷ Καλβίνῳ κατὰ τὰ πάθη καὶ τὰς νόσους, ὡς βεβαιοῖ τοῦτο Βέζας ὁ μαθητὴς αὐτοῦ. ἀπέθανε δὲ ὁ Καλβῖνος κατὰ τὸ χιλιοστὸν πεντακοσιοστὸν ἑξηκοστὸν τέταρτον ἔτος, δυσχεροῦ βίου ἄνθρωπος, ὡς εἴρηται, καὶ ὑπὲρ τὸν Σαρδανάπαλον καὶ Ἐπίκουρον βέβηλος.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς τοῦ Καλβίνου καὶ Λουτέρου Αἱρέσεως, καὶ τῶν μιαρῶν αὐτῆς δογμάτων, καὶ ἐκ ποίων Αἱρέσεων σύγκειται, καὶ τίνα τὰ συμπεράσματα ἐκ τῶν βλασφημιῶν αὐτῶν.

Ἡ Αἵρεσις τοῦ Καλβίνου καὶ Λουτέρου οὐδὲν ἄλλο ἐστὶν, ἀλλ' ἢ μία συνάθροισις πολλῶν Αἱρέσεων, πάσας γὰρ τὰς βλασφημίας τῶν ἀρχαίων καὶ νεωτέρων Αἱρετικῶν σχεδὸν συναγαγόντες, συνέστησαν τὴν ἰδίαν αὐτῶν ἀσέβειαν. Καὶ δὴ λέγουσι μὴ εἶναι τὰ ἔργα ἀναγκαῖα πρὸς σωτηρίαν, ὡς ἀρκούσης μόνης τῆς καθαρᾶς πίστεως, ἀλλὰ τοῦτο ἦν Αἵρεσις Σίμωνος τοῦ μάγου, καὶ μάρτυς ὁ Εἰρηναῖος βιβλίου δευτέρου κεφαλαίῳ εἰκοστῷ, ἦν ἔτιγε τοῦτο Αἵρεσις τῶν Ἀνομοίων, οὓς ἡ Ἐκκλησία ἀνεθεμάτισεν ἐν ἔτει τριακοσιοστῷ ἑξηκοστῷ, καὶ μάρτυς ὁ Αὐγουστῖνος Αἱρέσει πεντηκοστῇ ἐνάτῃ. Λέγουσιν ἀρκετὴν εἶναι μόνην ἐν τῇ Ἐκκλησίᾳ τὴν γραφὴν, τῶν δὲ πατέρων τὰς ἑρμηνείας εἶναι ἀνωφελεῖς, ὡς ἔλεγεν ὁ Εὐτυχὴς ἐν τῇ τρίτῃ συνελεύσει τῆς ἐπὶ Φλαυϊανοῦ Συνόδου, ἥτις κεῖται ἐν τῇ πρώτῃ πράξει τῆς ἐν Χαλκηδόνι Συνόδου. ἔλεγε γοῦν ὁ Εὐτυχὴς, Εἰδέπου τύχοι τι παρ' αὐτῶν (τῶν πατέρων) ἔν τισι λέξεσιν ἢ διασφαλθὲν, ἢ διαπλανηθὲν, τοῦτο μηδὲ διαβάλλειν, μήτε καταδέχεσθαι, μόνας δὲ τὰς γραφὰς ἐρευνᾶν ὡς βεβαιοτέρας οὔσας τῆς τῶν πατέρων Ἐκθέσεως, καὶ αὕτη ἡ Αἵρεσις ἀνεθεματίσθη εἰς τὸν Ἄρειον, Νεστόριον, Διόσκορον, καὶ μάρτυς ὁ Αὐγουστῖνος βιβλίου πρώτου κατὰ Μαξίμου κεφαλαίῳ δευτέρῳ. ταύτην τὴν Αἵρεσιν ἀνεθεμάτισε καὶ ἡ ἑβδόμη Οἰκουμενικὴ Σύνοδος. καὶ ἐν τῷ Συνοδικῷ τῆς ὀρθοδοξίας ἀναγινώσκεται, Εἴτις τὴν γραφὴν δέχεται ἄλλως παρὸ ἡρμήνευσαν αὐτὴν οἱ ἅγιοι πατέρες, ἔστω ἀνάθεμα. καὶ ἐν τῇ πρώτῃ πράξει ἡ αὐτὴ ἑβδόμη Σύνοδος λέγει, Εἴτις ἐλαμβάνει τὰς φωνὰς Ἀρείου, Νεστορίου, Εὐτυχοῦς καὶ Διοσκόρου, ὡς εἰ μὴ ἐκ τῆς παλαιᾶς καὶ νέας διαθήκης ἀσφαλῶς διδαχθῶμεν, οὐχ ἑπόμεθα ταῖς διδασκαλίαις τῶν ἁγίων πατέρων, ἀνάθεμα. Λέγουσι τὸν Λούτερον καὶ Καλβῖνον καθαρίσαι τὴν Ἐκκλησίαν ἀπὸ πολλῶν σφαλμάτων ὧν ἐδέξατο ἡ Ἐκκλησία, ἀλλὰ τοῦτο ἦν Αἵρεσις τῶν ἀσεβῶν Ἀνομοίων, λέγει γὰρ ὁ Φώτιος ἀναγνώσει τεσσαρακοστῇ, ὅτι ἔλεγον οἱ Ἀνόμοιοι Ἀέτιον καὶ Εὐνόμιον μόνους ἀνακαθᾶραι τὰ τῆς εὐσεβείας δόγματα τῷ χρόνῳ συγκεχωσμένα τερατευόμενοι. ἴδε καὶ Εὐσεβίου βιβλίου πέμπτου κεφάλαιον ἔσχατον, ὅπου οἱ τὰ Ἀρτέμωνος φρονοῦντες ἔλεγον, τοὺς μὲν προτέρους ἅπαντας καὶ αὐτοὺς τοὺς Ἀποστόλους παρειληφέναι τε καὶ δεδιδαχέναι ταῦτα, ἃ νῦν οὗτοι λέγουσι, καὶ τετηρῆσθαι τὴν ἀλήθειαν τοῦ κηρύγματος μέχρι τῶν Βίκτορος χρόνων, ἀπὸ δὲ τοῦ διαδόχου αὐτοῦ Ζεφυρίνου παρακεχαράχθαι τὴν ἀλήθειαν. Ἀρνοῦνται τὸ Μυστήριον τῆς μετανοίας, καὶ τοῦτο ἦν Αἵρεσις τοῦ Ναυάτου, ἣν ἀναθεματίζει ἡ Ἐκκλησία ἐξ ἐκείνου ἕως τῆς σήμερον. Λέγουσι τὴν πρότερον οὖσαν θεωρητικὴν Ἐκκλησίαν ἐκλεῖψαι, εὑρίσκεσθαι δὲ μόνον αὐτὴν νῦν ἐν τῇ συνάξει αὐτῆς, ὅπερ ἦν Αἵρεσις τῶν Δονατιστῶν κατὰ τῆς ἀρχαίας Ἐκκλησίας, καὶ ἴδε τὸν Αὐγουστῖνον ἐν τῷ περὶ ἑνώσεως τῆς Ἐκκλησίας κεφαλαίῳ πεντηκοστῷ δευτέρῳ. Ψέγουσι τῶν ἁγίων τὰ λείψανα, τὴν τῶν ἁγίων Εἰκόνων προσκύνησιν λέγουσιν Εἰδωλολατρείαν, ὅπερ ἦν Αἵρεσις τοῦ Βιγιλαντίου, ὡς μαρτυρεῖ ὁ Ἱερώνυμος, καὶ τῶν Εἰκονομάχων, τῶν ἀναθεματισθέντων ὑπὸ τῆς Ἐκκλησίας κοινῶς ἐν τῇ ἑβδόμῃ Οἰκουμενικῇ Συνόδῳ, καὶ ἰδίως ἐν ὅλοις τοῖς Πατριαρχείοις, καὶ ἐν τῇ ὑπὲρ Ἰγνατίου καὶ ἐν τῇ ὑπὲρ Φωτίου ταῖς Συνόδοις, καὶ ἐπὶ Νικηφόρου καὶ Μεθοδίου τῶν Πατριαρχῶν, ἀλλὰ καὶ κατ' ἔτος τῇ Κυριακῇ τῆς ὀρθοδοξίας ἀναθεματίζεται ἐν πάσαις ταῖς Ἐκκλησίαις τῆς καθόλου Ἐκκλησίας. Ἀποβάλλουσι τὰς προσευχὰς ὑπὲρ τῶν τεθνεώτων, καὶ τὴν μεγάλην τεσσαρακοστὴν, καὶ Τετράδα καὶ Παρασκευὴν, καὶ προσέτι πᾶσαν παράδοσιν ἐκκλησιαστικὴν, καὶ τοῦτο ἦν Αἵρεσις τῶν εἰρημένων Ἀνομοίων, ἤτοι Ἀετιανῶν, ὡς μαρτυρεῖ ὁ Αὐγουστῖνος κατὰ Αἱρέσεων γράφων, καὶ ὁ Ἐπιφανίος Κύπρου Αἱρέσει ἑβδομηκοστῇ ἐνάτῃ, καὶ Αἱρέσει ἑβδομηκοστῇ πέμπτῃ τῶν Ἀερίων

Αἐρίων. ὅθεν λέγει ὁ αὐτὸς Αἱρέσει ἑξηκοστῇ, Δεῖ δὲ καὶ παραδόσει κεχρῆσθαι, οὐ γὰρ πάντα ἀπὸ τῆς θείας γραφῆς δύναται λαμβάνεσθαι, διὸ τὰ μὲν ἐν γραφῇ, τὰ δὲ ἐν παραδόσει παρέδωκαν οἱ ἅγιοι Ἀπόστολοι, ὥσφησιν ὁ ἅγιος Ἀπόστολος, Ὡς παρέδωκα ὑμῖν. καὶ ἄλλοτε, Οὕτω διδάσκω. Καὶ, οὕτω παρέδωκα ἐν ταῖς Ἐκκλησίαις. Καὶ, ὃ κατέχετε, ἐκτὸς εἰμὴ εἰκῇ ἐπιστεύσατε. Ὁ αὐτὸς Αἱρέσει πεντηκοστῇ πέμπτῃ, Ἀποστόλων παραδόσεις, καὶ γραφαὶ ἅγιαι καὶ διαδοχαὶ διδασκαλίας, καὶ ἐκ τούτων ἡ ἀλήθεια τοῦ Θεοῦ ἠσφάλισται. οὕτω καὶ Βασίλειος ἐν τοῖς πρὸς Ἀμφιλόχιον κεφαλαίῳ εἰκοστῷ ἑβδόμῳ, καὶ πάντες οἱ πατέρες. Λέγουσιν ὅτι τὰ ἔργα τῶν πατέρων ἐστὶν ἁμαρτία, ὡς ὁ Καλβῖνος ἐν τῷ πρώτῳ βιβλίῳ περὶ αὐτεξουσίου λέγει ῥητῶς, Ἁμαρτάνουσιν οἱ δίκαιοι ἔτι καὶ εἰς τὰ καλὰ ἔργα, καὶ ἅπερ λέγομεν καλὰ ἔργα, εἰσὶν ἀφ' ἑαυτῶν θανάσιμαι ἁμαρτίαι, καὶ ἐν τῇ ἀναιρέσει τοῦ Λατόμου λέγει, Πᾶσα δικαιοσύνη ἀκάθαρτος, πᾶν ἔργον καλὸν ἁμαρτία. καὶ ὁ Λούτερος ἐν τῷ περὶ εὑρέσεως τοῦ Σταυροῦ λέγει, Τὰ ἔργα οὐσώζει, τὸ μαρτύριον ἔργον, ἄρα οὐσώζει. συμπεραίνουσι λοιπὸν ἐκ τῶν βλασφημιῶν αὐτῶν πρῶτον, ὅτι οἱ ἄνθρωποι οὔτε μιᾷ δυνάμει ἔργων καλῶν ἢ κακῶν προορίζονται εἰς ζωὴν αἰώνιον, ἢ ἀποβάλλονται εἰς κόλασιν αἰώνιον. δεύτερον, ὅτι ὁ Χριστὸς οὐκ ἀπέθανεν ὑπὲρ πάντων, ἀλλ' ὑπὲρ μόνων τῶν ἐκλεκτῶν, ἐναντία τοῦ Ἀποστόλου ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ. τρίτον, ὅτι ὁ Θεὸς οὐ δίδωσι πᾶσι τὴν χάριν, ἀλλὰ μόνοις τοῖς προωρισμένοις. τέταρτον, ὅτι ἐπειδὴ ὁ ἄνθρωπος ἐκπέπτωκεν, ἀπώλεσε τὴν προτέραν φύσιν, καὶ ἐπομένως καὶ τὸ αὐτεξούσιον, ὥστε ἀναγκάζεται ἁμαρτάνειν. πέμπτον, ὅτι ὁ Θεὸς προσέταξε τοῖς ἀνθρώποις ἀδύνατα, διατοῦτο οὐδύνανται πάντα ὅσα προσέταξεν αὐτοῖς φυλάττειν. ἕκτον, ἀρνοῦνται ἐν τῷ Μυστηρίῳ τῆς Εὐχαριστίας γίνεσθαι μεταβολὴν τοῦ ἄρτου καὶ τοῦ οἴνου, ἀλλὰ μόνον σημεῖα ἁπλᾶ ταῦτα λέγουσιν, εἰ καὶ ὁ Λούτερος κατὰ τοῦτο διαφέρει, λέγει γὰρ εἶναι τὸν Χριστὸν ἐν τῷ ἄρτῳ καὶ τῷ οἴνῳ πραγματικῶς, ἀλλὰ χωρὶς μεταβολῆς τοῦ ἄρτου καὶ τοῦ οἴνου, ὡσαύτως καὶ τὰ λοιπὰ πέντε Μυστήρια Ἱερωσύνην, Χρίσμα, Μετάνοιαν, Εὐχέλαιον, Γάμον, ἀλλὰ καὶ εἰς τὸ Μυστήριον τοῦ Βαπτίσματος λίαν βλασφημοῦσιν. Ἔτι λέγουσι μὴ διαφέρειν τὸν Ἐπίσκοπον τοῦ Πρεσβυτέρου, ἀλλὰ ταὐτὸν εἶναι Ἐπίσκοπον καὶ Πρεσβύτερον, ὅπερ ἦν Αἵρεσις τοῦ Ἀερίου, ὡς λέγει ὁ ἅγιος Ἐπιφάνιος Αἱρέσει ἑβδομηκοστῇ πέμπτῃ, καὶ ἴδε τοῦ κορεσσίου τὸ περὶ Μυστηρίων καὶ προορισμοῦ, καὶ τοῦ Συρίγου τὸ κατὰ τῶν κεφαλαίων Κυρίλλου τοῦ Λουκάρεως, ἐν δὲ τῷ παρόντι ἴδε τὸ τοῦ Ἱερεμίου τοῦ Κωνσταντινουπόλεως, τοῦ κατὰ τὸ χιλιοστὸν πεντακοσιοστὸν ὀγδοηκοστὸν ἔτος πρὸς τοὺς ἐν Βιτεμπεργίδι τῆς Γερμανίας Λουτέρους γράψαντος ἀπολογίας τρεῖς, καὶ διαλύσαντος πᾶσαν αὐτῶν κακοδοξίαν, καὶ διδάξαντος πᾶσαν ἀλήθειαν τῆς καθολικῆς Ἐκκλησίας, εἰλημμένην ἀπὸ τῆς γραφῆς καὶ τῶν πατέρων καὶ τῆς ἀλληλοδιαδόχου παραδόσεως ἄχρις ἡμῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῶν τὰ Λουθήρου ἄλλως ἄλλων τινῶν ἱστορούντων ἐπ' αἰτίᾳ τῶν τοῦ Πάπα Ἰνδουλγεντζιῶν, τῶν κατὰ τὴν τῶν ἀργυρίων ποσότητα τὸν τῆς συγχωρήσεως χρόνον ἐκτεινουσῶν καὶ συστελλουσῶν τῷ ἀγοράζοντι, ἐξ ὧν τινῶν ἑτέρῳ τάγματι παρὰ τὸ ἑαυτοῦ ὑπὸ τῆς τοῦ Πάπα ἀδελφῆς πωληθεισῶν ὁ Λούτερος χαλεπήνας, ἐκινήθη κατὰ τοῦ Πάπα. καὶ περὶ τῆς ἐν Τριδέντῳ Συνόδου κατὰ τοῦ Λουτέρου, καὶ ὧν ἱστοροῦσι Λατῖνοι πολέμων Καρόλου Βασιλέως Ἀλαμανίας κατὰ Λουτέρων, ἐν ᾧ καὶ στάσις Ἡλίου Μυθολογεῖται.

Τινὲς δὲ ἱστοροῦσι τὰ τοῦ Λουθήρου οὕτως, ὅτι ὁ Πάπας μελετῶν ἡμέρας καὶ νυκτὸς ὅπως εὕρῃ τρόπους λαμβάνειν ἀργύρια καὶ ἑαυτῷ θησαυρίζειν, ἐξέδωκεν εἰς τὸ παρὸν τὰς λεγομένας Ἰνδουλγέντζιας, ἐν αἷς ἔλεγε ταῦτα, ὡς διάδοχος Πέτρου καὶ ἐπίτροπος Χριστοῦ εἶχεν ἐξουσίαν συγχωρεῖν ζῶντας καὶ τεθνεῶτας, καὶ μάλιστα τοὺς ἐν τῷ καθαρτηρίῳ πυρὶ διαμένοντας, καὶ τοῦτο, διὰ τὸ εἶναι ἐν τῇ ἐξουσίᾳ αὐτοῦ τὸ ἄπειρον πλῆθος τοῦ μισθοῦ τῶν παθημάτων τοῦ Κυρίου ἡμῶν μετὰ καὶ πάντων τῶν ἁγίων, ὡς εἴπομεν ἀνωτέρω βιβλίου ἐνάτου κεφαλαίῳ δωδεκάτῳ. ἡ πρόφασις δὲ τῶν τοιούτων ἦν τοῦ συναχθῆναι ἀργύρια ἐπὶ μισθοδοσίᾳ δῆθεν τῶν Στρατευμάτων, οἵτινες ἐν τῇ Ἀνατολῇ κατὰ τῶν Ἀγαρηνῶν ἐπολέμουν, ὅθεν ἐν τοῖς συγχωροχαρτίοις ἐβεβαίου, ὅστις ἂν δοίη τίμημα ἑνὸς ὁλοκλήρου ἔτους περὶ ἑνὸς Στρατιώτου, ἔχειν συγχώρησιν ἐν ὅσοις ἂν ἁρμαρτήσοι δι' ἐτῶν πέντε, ὅστις δὲ πλείω δοίη, κατὰ τὸ δόμα αὐτοῦ ἤυξανε καὶ τὰ τῆς ἀφέσεως ἔτη. ταῦτα τὰ συγχωροχάρτια ἀπέστειλεν ἵνα πανταχοῦ τῆς Φραγγίας κηρύξωσιν, ἦν δὲ συνήθεια τοὺς ἀπὸ τοῦ τάγματος τῶν λεγομένων Ἱεροκηρύκων Φράρους ἐπ' Ἄμβωνος αὐτὰ κηρύττειν, τοῦ δὲ τότε Πάπα Λέοντος δωρησαμένου μιᾷ αὐτοῦ ἀδελφῇ διακοσίων χιλιάδων γροσίων Ἰνδουλγέντζιας τοῦ πέμψαι καὶ διανεῖμαι ταύτας εἰς ὃν ἂν αὐτῇ ἀρέσκοι τόπον, ἡ δὲ πέμψασα αὐτὰς εἰς Γερμανίαν, καὶ οὖσα ἡ θεοκατάρατος γυνὴ λίαν φιλάργυρος, οὐκ ἔδωκεν αὐτὰς τῷ τῶν Ἱεροκηρύκων τάγματι κατὰ τὴν συνήθειαν, ἀλλ' ἵνα συναθροίσῃ πλείονα ἀργύρια, ἐπώλησεν αὐτὰς τοῖς τῶν Φραντζεσκάνων Φράροις, οἳ καὶ πλείονος αὐτὰς ἠγόρασαν τιμή-

ματος, ἐλπίσαντες ἐκ τῆς ἀναπράσεως κέρδός τι αὐτοῖς παλιγκαπηλεύουσι προσγενήσεσθαι. ἀλλ' ἡ ὑπόθεσις προὐξένησε μεγάλον σκάνδαλον καὶ κακὸν ἀνίατον, ὁ γὰρ Μαρτῖνος ὁ Λούτερος μέγας Θεολόγος ὢν ἀπὸ τοῦ τάγματος τῶν Ἱεροκηρύκων, μὴ ὑπομείνας ἁρπάζειν τῶν χειρῶν αὐτῶν τὸ ἐπιτήδευμα αὐτῶν καὶ τὸ κέρδος τοὺς Φραντζεσκάνους, ἐπεχείρησε γράφειν κατὰ τῶν συγχωρητικῶν, οὐδὲν ταῦτα λέγων ὠφελεῖν τοὺς ἀνθρώπους, οὔτε τὸν Πάπαν τοιαύτην ἐξουσίαν ἔχειν, ἀλλ' εἶναι ταῦτα τῆς φιλαργυρίας αὐτοῦ καὶ τυραννίας προφάσεις. αὕτη ἡ διδασκαλία τοῦ Λουτέρου ἤρεσε τοῖς πλείοσι, μάλιστα τοῖς ἀπογυμνωθεῖσιν ὑπὸ τῆς ἀπληστίας τοῦ Πάπα, ἣν καὶ ἐδέξαντο μετὰ χαρᾶς. ταῦτα μαθὼν ὁ Λέων, ἔκραξε τὸν Λούτερον εἰς Ῥώμην τοῦ ἀποκτεῖναι αὐτὸν, οὗ ἀπελθεῖν μὴ ὑπακούσαντος, ἔβαλον ὁ Πάπας τινὰς ποιῆσαι διαφόρους αὐτιῤῥήσεις τῆς διδασκαλίας τοῦ Μαρτίνου, πρότερον καθαιρέσει ὑποβαλὼν καὶ ἀναθέματι τὸν ἄνθρωπον. ἀλλ' αὐτὸς ἐκ τούτων παροξυνθεὶς, ἠκόνησεν ἰσχυρῶς αὐτοῦ τὴν γλῶσσαν, καὶ ἐπεχείρησε διαφόροις κεφαλαίοις ἐλέγχειν οὐ μόνον τὴν ἀκολασίαν καὶ φιλαργυρίαν τῶν Ἀρχιερέων τῆς Ῥώμης, ἀλλά γε καὶ ἐπικαλεῖσθαι Σύνοδον τοῦ θεωρηθῆναι ἐν αὐτῇ τὴν ὑπόθεσιν αὐτοῦ; λέγων εἶναι τὴν Σύνοδον ἐπὶ πάντων, καὶ ἀκολούθως ἐπὶ τοῦ Πάπα. ἐπεκαλεῖτο δὲ Σύνοδον, ἐλπίδι τοῦ αὐτόν τε ἀθῳωθῆναι, καὶ τὴν μεγάλην τοῦ Πάπα ἐξουσίαν συσταλῆναι. πάντες δὲ μετὰ χαρᾶς ἐδέξαντο τὴν περὶ τῆς Συνόδου γνώμην, καὶ μάλιστα οἱ Ἀρχιερεῖς, οἵτινες ἦσαν ὡς ἀνδράποδα δεδυναστευμένοι οἱ ταλαίπωροι, ὅπερ γὰρ ἰδίοις κόποις ἐκέκτηντο, τοῦτο ἦν τοῦ Πάπα, αὐτοὶ δὲ μόνον ἦσαν ἄνεμον ἐν ταῖς χερσὶ φέροντες, τουτέστιν οὐδὲν ὧν κεκοπιάκασιν ἔχοντες. ὁ δὲ Πάπας λίαν ἔσπευσεν εἶρξαι καὶ ἀποφυγεῖν τὴν Σύνοδον, ὅθεν εἰ καὶ διὰ τὸ τοὺς πάντας βοᾶν κοινῶς καὶ ζητεῖν Σύνοδον, ἐπέτρεψεν αὐτὴν γενέσθαι, ὅμως τεχνηέντως συνεπέραινε τὸν καιρὸν, μετάγων αὐτὴν ἀπὸ τόπου εἰς τόπον, καὶ πολλάκις ἀρχὴν ποιούμενος αὐτῆς, ἐφεύρισκεν ἀφορμὰς καὶ μετετίθου αὐτὴν εἰς ἄλλον καιρὸν, ὥστε παρελθεῖν ἐν τῷ μεταξὺ ἔτη εἰκοσιδύο. τοῦτο δὲ ἐποίει, ἕως ἂν βαρυνθῶσιν οἱ ζητοῦντες Σύνοδον, καὶ ἐάσωσιν αἰτεῖν περὶ ἀθροίσεως Συνόδου, ἢ καὶ ἐὰν θελήσωσιν αὐτὴν τελειῶσαι, γενέσθαι τὸ παῖν αὐτῆς τῇ ἐξουσίᾳ τῶν αὐτῷ οἰκείων, τῶν δι' ὅρκων δηλονότι αὐτῷ οἰκειωθέντων. κατέπεισε δὲ καὶ τοὺς τῆς Συνόδου ἐξάρχους ποτὲ μὲν ἀπειλαῖς, ποτὲ δὲ δωρεαῖς καὶ ὑποσχέσεσι μεγάλων ἀξιωμάτων, ἀνθ' ὅτου δὴ οὔτε ὁ Λούτερος, οὔτε οἱ οἰκεῖοι αὐτοῦ ἠθέλησαν ἀπελθεῖν εἰς τὴν Σύνοδον, ἀλλ' ἐπεχείρησαν ὅπλοις καὶ βιβλίοις πολεμεῖν τοῖς Ῥωμαίοις. ἐγένετο δὲ ἡ Σύνοδος ἐν Τριδέντῳ πολιχνίῳ, καίτοιγε οἱ Λατῖνοι ἱστοροῦσιν, ὅτι κινηθείσης τῆς Αἱρέσεως τοῦ Λουτέρου, ἑκατὸν καὶ πεντήκοντα χιλιάδας Λουτεράνους ἀπέκτεινεν ἐν τῇ Γερμανίᾳ ὁ Βασιλεὺς τῆς Ἀλαμανίας Κάρολος ὁ πέμπτος, ὃς καὶ ἄλλα πολλὰ κακὰ ἐποίησεν ἂν αὐτοῖς, εἰ μὴ ἐκώλυσεν αὐτὸν ὁ Ῥὴξ τῆς Φράντζας Φραντζέσκος, πόλεμον κινήσας κατ' αὐτοῦ, καὶ ἐγένετο αἰτία ὁ χριστιανικώτατος Ῥὴξ καταπατηθῆναι τὴν Ῥώμην, καὶ φυγεῖν καὶ τὸν Πάπαν Κλήμεντα τὸν ἕβδομον εἰς τὸ Κάστελλον τοῦ Ἀρχαγγέλου. ἀλλὰ δὴ (λέγουσιν οἱ αὐτοὶ) καὶ Παῦλος ὁ τρίτος φροντίδα ποιούμενος τοῦ παῦσαι τὴν Αἵρεσιν τοῦ Λουτέρου, διωρίσατο Σύνοδον γενέσθαι πρῶτον μὲν εἰς Πάντοβαν, εἶτα εἰς Βικεντείαν, καὶ τελευταῖον εἰς τὸ Τριδέντον, διὰ τὸ εἶναι πλησίον τὴν Γερμανίαν, καὶ μένειν ἀπροφασίστους τοὺς Λουτέρους καὶ Εὐαγγελικοὺς καὶ Πρωτεστάντους. καὶ εἰ καὶ προέγραψεν ὁ Πάπας δίπλωμα πρὸς τὸν Κάρολον ἵνα συγκατανεύσῃ γενέσθαι τὴν Σύνοδον, καὶ ὁ Κάρολος στραφεὶς νικητὴς ἀπὸ τῆς Ἀφρικῆς ἦν πρόθυμος περὶ τῆς ἀθροίσεως τῆς Συνόδου, ἀλλὰ πάλιν ὁ Ῥὴξ τῆς Φράντζας ἐκώλυσεν αὐτὸν τοῖς πολέμοις αὐτοῦ; ὅθεν ὁ Χριστὸς Κάρολος ἠναγκάσθη ποιῆσαι εἰρήνην διὰ τὸ καλὸν τῆς Συνόδου. ἀλλ' οἱ Αἱρετικοὶ καταφρονοῦντες τοῦ Καρόλου ἀπαναίνονται τὴν Σύνοδον. κινηθέντος δὲ πάλιν τοῦ Καρόλου κατ' αὐτῶν ὅπλοις, ἐν ἐκείνῳ τῷ πολέμῳ ἔστη ὁ Ἥλιος ὡς ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ, ἵνα κατακοπῶσιν ὑπὸ τοῦ Καρόλου αὐτοῦ οἱ νέοι ἐφευρεταὶ τῆς παντόλμου Αἱρέσεως, καὶ ταῦτα μὲν οἱ ἀπὸ τῆς Ῥώμης ἱστοροῦσι περὶ τοῦ Λουτέρου. τοῦτο γεμὴν τὸ στῆναι τὸν Ἥλιον ὅμοιόν ἐστι ψεῦδος τῷ αἰωτέρῳ εἰρημένῳ βιβλίου ὀγδόου κεφαλαίῳ ἑκτῷ, ὅτι ἔστη ὁ Ἥλιος καὶ ὅτε ἔλαβον τὴν Ἱερουσαλὴμ οἱ Λατῖνοι ἀπὸ τῶν Ἀράβων, καὶ ἴδε τὸν τόπον.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ὅτι ἡ ἐν Τριδέντῳ Σύνοδος οὐκ ἦν κατὰ πρῶτον λόγον διὰ τὸν Θεὸν, ἀλλὰ διὰ τὸ ὕψος τῆς μονότητος τοῦ Πάπα καθ' οὗ ἐφέρετο ὁ Λούτερος, καὶ περὶ τῶν τρισκαίδεκα βλασφήμων αὐτῆς δογμάτων, ἐν οἷς ἀναθεματίζει τὴν καθολικὴν Ἐκκλησίαν, τοὺς ἁγίους πατέρας, τοὺς Ἀποστόλους, καὶ αὐτὸν τὸν Χριστόν.

Ἡ παροῦσα Σύνοδος ὅτι εἶπε τινὰ καλῶς κατὰ τῶν νέων Αἱρετικῶν περὶ Μυστηρίων, περὶ προορισμοῦ καὶ δικαιώσεως, περὶ τῆς προπατορικῆς ἁμαρτίας, καὶ περὶ ἄλλων τινῶν ἐκκλησιαστικῶν ὑποθέσεων, ἀποδεκτέα ἐστὶν, ὅτι δὲ ἐν τοῖς καλοῖς ἐγκατέμιξε πολλὰ τινὰ βλάσφημα, παράνομος καὶ ἀποτρόπαιός ἐστι. διαληπτέον οὖν, εἰ καὶ μὴ περὶ πασῶν, ἀλλὰ περίτινων ἢ ὧν ἐξέθετο, ἢ ἐβεβαίωσε βλασφημιῶν, καὶ πρῶτον, ὅτι οἱ Πάπαι ἐπέσχον τὴν ἄθροισιν αὐτῆς σχεδὸν ἔτη εἰκοσιδύο, τὸ δὲ αἴτιον, οὐχ ἵνα εὕρωσι τρόπον καταβαλεῖν τοὺς Αἱρετικοὺς, οἱ γὰρ ἔλεγχοι κατὰ τῶν Αἱρετικῶν εὐκόλως λαμβάνονται ἀπὸ τῆς γραφῆς,

καὶ

καὶ τῶν πατέρων, ἀλλ' ἵνα δυνηθῶσι κατασκευάσαι μηχανὴν περὶ τοῦ μὴ μειωθῆναι τὴν ἀπόλυτον ἐξουσίαν τοῦ Πάπα, καὶ γὰρ ταύτῃ ἐμάχοντο πρὸ παντὸς λόγου Λούτερος καὶ Καλβῖνος, ὅθεν ἡ Σύνοδος οὐκ ἦν κατὰ πρῶτον λόγον διὰ τὸν Θεὸν καὶ τὴν Ἐκκλησίαν, ἀλλὰ διὰ τὸν Πάπαν καὶ τὸ ὕψος τῆς μονότητος αὐτοῦ. δεύτερον, ὁ Πάπας Παῦλος ἔγραφεν ἐν τῇ βούλλῃ αὐτοῦ διὰ τὴν ἄθροισιν αὐτῆς τὰ ῥήματα τῶν πρὸ αὐτοῦ Βονιφατίων, μᾶλλον δὲ ἐπολυπλασίασεν αὐτὰ εἰπὼν, Προλέγομεν, Καταγγέλλομεν, Συγκαλοῦμεν, Συνίσταμεν, Ψηφιζόμεθα, Ὁρίζομεν, καὶ Προστάττομεν. Ἀλλὰ ῥητέον, ὅτι τὰ ῥήματα ταῦτα οὐ γέγραπται ἐν ταῖς ἐπιστολαῖς Κελεστίνου, Λέοντος, Ἀγάθωνος, καὶ Ἀδριανοῦ τῶν Ἀρχιερέων τῆς Ῥώμης ἐν τῇ τρίτῃ καὶ τετάρτῃ καὶ ἕκτῃ καὶ ἑβδόμῃ ταῖς Οἰκουμενικαῖς Συνόδοις, μάλιστα ἐκεῖνοι δεητικῶς καὶ προτρεπτικῶς καὶ παρακλητικῶς ἔγραφον, καὶ ἴδε ἀνωτέρω τοὺς τόπους. ὥστε ὁ Πάπας Παῦλος ἀντίπαπας ἐστὶν ἐκείνοις, καὶ οὐ διάδοχος, ἀλλὰ Λύκος τὴν Ἐκκλησίαν διασχίζων καὶ καταπατῶν καὶ τέως ἀφανίζων. τρίτον, τὸ Σύμβολον τῆς πρώτης καὶ δευτέρας τῶν Οἰκουμενικῶν Συνόδων εἴρηται ἀνωτέρω βιβλίου ὀγδόου κεφαλαίῳ δευτέρῳ ὅτι ἀνεγινώσκετο ἐν πάσαις ταῖς Ἀνατολικαῖς καὶ Δυτικαῖς Ἐκκλησίαις ἀκαινοτόμητον, ἀλλὰ δὴ καὶ Αὐγουστῖνος βεβαιοῖ, λέγων περὶ τῆς δευτέρας Συνόδου, ὅτι ἔδωκε τῷ Συμβόλῳ τύπον, ὃν ὅλη τῶν Γραικῶν καὶ τῶν Λατίνων ἡ ὁμολογία κηρύττει, τοῦτο δὲ καὶ παρὰ τῶν ἁγίων καὶ Οἰκουμενικῶν Συνόδων οὕτως ἐφυλάχθη, ἡ παροῦσα ὅμως Σύνοδος βεβαιοῖ αὐτὸ, ἀλλὰ μετὰ τῆς προσθήκης, ὥστε ἀντικειμένη ἐστὶ τῇ πράξει τῆς καθόλου Ἐκκλησίας, καὶ ταῖς πρὸ αὐτῆς ἁγίαις Οἰκουμενικαῖς Συνόδοις, καὶ λοιπὸν οὐχ ἁγία μήτε κανονικὴ, ἀλλ' ἀριδήλως παράνομός ἐστι. τέταρτον, ἡ πρᾶξις τῆς καθολικῆς Ἐκκλησίας ἐν τοῖς ἀρνουμένοις τὴν ὀρθοδοξίαν καὶ προστιθεμένοις τῇ ἀσεβείᾳ, καὶ ἔντισιν Αἱρετικοῖς, οὓς καταριθμεῖ ὁ ἕβδομος Κανὼν τῆς δευτέρας Οἰκουμενικῆς Συνόδου, χρᾶται τὸ ἅγιον Μῦρον εἰς κοινωνίαν αὐτοὺς δεχομένη, ἡ δὲ παροῦσα Σύνοδος ἀναθεματίζει ἐν τῷ ἐνάτῳ κεφαλαίῳ τὴν πρᾶξιν ταύτην, τουτέστιν ἀναθεματίζει τὴν Ἀνατολικὴν Ἐκκλησίαν φυλάττουσαν τὸ κανονικὸν ἔθος. πέμπτον, ἡ καθολικὴ Ἐκκλησία ἀπὸ τῶν Ἀποστόλων παραλαβοῦσα, βαπτίζει εἰς τρεῖς καταδύσεις καὶ ἀναδύσεις διὰ τὸ τρισυπόστατον τῆς Θεότητος καὶ τὴν τριήμερον Ἀνάστασιν, καὶ μάρτυρες Κανόνες ἀποστολικοὶ καὶ οἱ ἅγιοι πατέρες, ἡ δὲ παροῦσα Σύνοδος ἐν τῷ τρίτῳ Κανόνι πράξει ἕκτῃ ἀναθεματίζει τοὺς λέγοντας, Οὐ καλῶς ἐποίησεν ἡ ῥωμαϊκὴ Ἐκκλησία καινοτομήσασα εἰς τὸ Βάπτισμα, καὶ οὕτως ἀναθεματίζει τὴν καθολικὴν Ἐκκλησίαν, τοὺς ἁγίους πατέρας, καὶ τοὺς ἁγίους Ἀποστόλους αὐτούς. ἕκτον, τὸ ἅγιον Μῦρον κατασκευάζει μὲν μόνος ὁ Ἐπίσκοπος, χρίουσι δὲ τοὺς βαπτιζομένους καὶ ὁ Ἐπίσκοπος καὶ οἱ Πρεσβύτεροι, καὶ αὕτη δόξα καὶ πρᾶξις ἀρχαία ἐστὶ τῆς καθολικῆς Ἐκκλησίας. ἡ δὲ παροῦσα Σύνοδος λέγει ἐν τῇ ἑβδόμῃ αὐτῆς πράξει, Ἐάν τις εἴπῃ τὸν τῆς βεβαιώσεως ὑπηρέτην μὴ μόνον τὸν Ἐπίσκοπον εἶναι, ἀλλὰ καὶ τὸν Ἱερέα, ἀνάθεμα, καὶ οὕτως ἀναθεματίζει πάλιν τὴν καθολικὴν Ἐκκλησίαν. ἕβδομον, ὁ Κύριος μόνος ὥρισε, Λάβετε, φάγετε, καὶ πίετε ἐξ αὐτοῦ πάντες, καὶ οἱ ἅγιοι πατέρες οὕτως ἐδέξαντο τοὺς λόγους τοῦ Κυρίου, ἵνα πάντες οἱ Χριστιανοὶ δηλονότι τρώγωσι τὸ σῶμα καὶ πίνωσι τὸ αἷμα, ὁ δὲ Πάπας ἐκαινοτόμησε κατὰ τῶν ἁγίων καὶ αὐτοῦ τοῦ Χριστοῦ, καὶ ἔκρινε τοὺς λαϊκοὺς μόνου τοῦ ἑνὸς εἴδους, ἤτοι τοῦ ἄρτου κοινωνεῖν, τοῦτο δὲ ἐβεβαίωσαν πρότερον καὶ ἐν Κωνσταντείᾳ καὶ Βασιλείᾳ λατινικαὶ Σύνοδοι, ἀπεδέχθη δὲ τοῦτο καὶ ἡ παροῦσα μετὰ μεγάλης βλασφημίας, καὶ γὰρ ἀναθεματίζει τοὺς λέγοντας μὴ εὐλόγως ποιῆσαι τοῦτο τὴν ῥωμαϊκὴν Ἐκκλησίαν. ὄγδοον, ὁ Κύριος εἶπε, Λάβετε, φάγετε, καὶ πίετε ἐξ αὐτοῦ πάντες, καὶ ἡ καθολικὴ Ἐκκλησία ἀπ' ἀρχῆς παρεῖχε τὴν κοινωνίαν τοῦ Μυστηρίου καὶ τοῖς παιδίοις, ἡ δὲ ῥωμαϊκὴ, ἤτοι ἡ παπικὴ Ἐκκλησία διώρισε μόνον τοὺς μεγάλους μεταλαμβαίειν, οὐμὴν καὶ τὰ παιδία, τοὺς δὲ λέγοντας μὴ εὐλόγως ταῦτα πεποιηκέναι τὴν παπικὴν Ἐκκλησίαν καὶ διορίσαι, ἀναθεματίζει, καὶ οὕτω πάλιν ἀναθεματίζει τὴν καθολικὴν Ἐκκλησίαν, καὶ τοὺς ἁγίους πατέρας, καὶ αὐτὸν τὸν Χριστόν. ἔνατον, ἐν τῷ ἑβδόμῳ αὐτῆς Κανόνι ἀναθεματίζει τοὺς διὰ μοιχείαν ποιοῦντας διαζύγιον, καὶ οὕτως ἀναθεματίζει τὸν εἰπόντα, Ὅστις ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, καὶ τὴν καθολικὴν Ἐκκλησίαν, καὶ τοὺς ἁγίους πατέρας. δέκατον, ὑποτίθησι τὸ καθαρτήριον πῦρ, καὶ βεβαιοῖ τὰ συγχωρητικὰ τοῦ Πάπα. ἑνδέκατον, ζητοῦσιν οἱ ἐν αὐτῇ πατέρες τῶν πεπραγμένων τὴν ἐπικύρωσιν παρὰ τοῦ Πάπα, καὶ εἰ συγκατάθεσιν καὶ συμφωνίαν ἐζήτουν, οὐκ ἀπεικὸς ἦν, ὡς εἴρηται ἀνωτέρω, καὶ ἴδε τοὺς τόπους τῶν ἐπιστολῶν τῶν Οἰκουμενικῶν Συνόδων πρὸς τοὺς Πάπας, καὶ μέρους τρίτου κεφάλαιον πέμπτον. εἰ δὲ ἐζήτουν ἐπικύρωσιν ὡς οἱ παπισταὶ βούλονται, σημεῖον ἐστὶν ἀνομοίως ταῖς πρὸ αὐτῆς Συνόδοις ἐνηργηκέναι καὶ ἐν τούτῳ. εἶτα τὸ ἐπικυροῦν καὶ τῷ λαῷ τῶν Χριστιανῶν δέδοται, καὶ οὐ τῷ Πάπᾳ, ἢ ἑτέρῳ τινὶ μόνῳ, καὶ ἴδε τὴν ἐπιστολὴν τῆς δευτέρας Οἰκουμενικῆς πρὸς τοὺς δυτικοὺς Ἐπισκόπους, ὅπου φησὶ τὸν λαὸν ἐπικεκυρωκέναι τὴν τοῦ Κωνσταντινουπόλεως χειροτονίαν. δωδέκατον, ἐν ταῖς φήμαις πρῶτον εὐφημεῖ τὸν Πάπαν, εἶτα τὸν Αὐτοκράτορα καὶ τοὺς Βασιλεῖς, ὅπερ ὅτι παράνομον ἐστὶν, ἴδε ἀνωτέρω τοὺς τόπους τῶν Οἰκουμενικῶν Συνόδων, ὅπου πάντοτε οἱ Αὐτοκράτορες προτιμῶνται καὶ ἐν ταῖς φήμαις πάντων τῶν Πατριαρχῶν. δέκατον τρίτον, ἐν ταῖς ὑπογραφαῖς ἔγραψαν πρῶτον οἱ Λεγᾶτοι τοῦ Πάπα, δεύτερον οἱ μὴ Λεγᾶτοι

Καρδη-

Καρθηναίας. τέλος, οἱ καλούμενοι Πατριάρχαι Ἱεροσολύμων, Βενετίας, καὶ Ἀμφιλεγίας, ὅπερ καὶ αὐτὸ καινοτομία ἐστὶ φανερὰ τὸ φρονεῖσθαι τὰς κληρικὰς τῶν Πατριαρχῶν, καὶ ἴδε αὐτέρω βιβλίῳ δεκάτῃ μέρει ἕκτῃ κεφάλαιον πρῶτον.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι ἡ παροῦσα ἐν Τριδεντῳ Συνόδῳ καὶ παπικὴ καὶ ἀθέμιτός ἐστι, σωζόμενα ὅμως ἐκ τῶν ὑπ' αὐτῆς διοριζομένων, διακρίνεται ἡ τὴν ἐκκλησίαν τὸ κῦρος καὶ τὴν αὐθεντίαν, καὶ καταφέρεται κἀντεῦθεν ἡ τοῦ Πάπα μοναρχία.

Ἡ παροῦσα ἐν Τριδεντῳ Συνόδῳ εἰ καὶ παπιστικὴ, νεωτερικὴ καὶ ἀθέμιτός ἐστι Συνόδῳ, ἐν ταῖς ἀποδείξεσιν ὅμως τῶν παρ' αὐτῆς διωρισμένων ἐκ ἠδυνήθη μὴ εἰπεῖν καὶ ἄκουσά τινα, ἀποβλέποντα εἰς καταφορὰν τῆς μοναρχίας τοῦ Πάπα, καὶ πάσης ἀπολύτου ἐν τῇ Ἐκκλησίᾳ ἐξουσίας, λέγει γὰρ περὶ ἑαυτῆς ἐννοοῦσά τε πάντα τὰ ὑπ' αὐτῆς διαταχθησόμενα τοσούτῳ μείζονος ὑπολήψεως καὶ τιμῆς ἀξιωθήσεσθαι, ὅσῳ ἂν μείζονι καὶ πλαρεσέρῳ πατέρων ἀθροίσματι καὶ παρουσίᾳ κεκυρωμένα καὶ κατασφαλισμένα ὦσι, πέμπτῃ τέτῃ. δευτέρου, λόγον ποιησάμενη, τίνα ἐστὶ τὰ βιβλία τῆς ἁγίας γραφῆς, τοὺς ἁγίους πατέρας εὐσεβέλεγκτους κρίνας αὐτῶν, καὶ τῷ ὑποδόσιν τῆς κοινότητος ἐν τῇ Ἐκκλησίᾳ, φησὶ γάρ, Τοῖς τῶν ὀρθοδόξων πατέρων ὑποδείγμασι κατακολουθήσασα, καθὼς καὶ ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ (τὰ βιβλία) ἐώθασιν ἀναγινώσκεσθαι, ἐν οἷς καὶ τῷ Ἐκδόσιν τῶν ἑβδομήκοντα ἐστίθησι πασῶν τῶν Ἐκδόσεων ἐν ταῖς διαλέξεσι καὶ ἐν τῇ ἑρμηνείᾳ τῆς πίστεως. καὶ ὅτι μὴ χρῆσθαι τῷ Εὐαγγελίῳ ἁπλῶς, ἐμὴ ὡς ἐνόησε καὶ νοεῖ ἡ καθολικὴ Ἐκκλησία, ἧς ἐστὶ τὸ κρίνειν, τίς ὁ τῶν γραφῶν γνήσιος νοῦς, πέμπτῃ τεταρτῃ. τέλος, περὶ τῆς προγονικῆς ἁμαρτίας λαμβάνουσα λέγει, Ταῖς τῶν θείων γραφῶν, ἔτι δὲ ἁγίων πατέρων, καὶ μάλιστα οἰκουμενικῶν συνόδων (ἤτοι καινονικῶν καὶ ὀρθῶν) μαρτυρίαις, καὶ τῇ τῆς Ἐκκλησίας αὐτῆς γνώμῃ τε καὶ συμφωνήσει κατακολουθήσασα περὶ τῆς προπατορικῆς ἁμαρτίας ὁμολογεῖ καὶ ἀποφαίνεται, πέμπτῃ. τέταρτον, αὐτῇ ἕκτῃ πέμπτῃ φησὶν, Ἀληθὴς ἐστὶ διδασκαλία, ἣν ὁ Κύριος ἐδίδαξεν, οἱ Ἀπόστολοι παρέδωκαν, καὶ ἡ καθολικὴ Ἐκκλησία ὑπαγορεύσασα τῷ ἁγίῳ Πνεύματι διηνεκῶς συνέστησε. πέμπτον, περὶ δικαιώσεως λέγουσα ἐξ ἔργων, καὶ οὐκ ἐκ πίστεως μόνης δικαιοῦσθαι τὸν ἄνθρωπον, ἐν ταυτῷ καὶ περὶ τῶν μυστηρίων λαμβάνουσα, λέγει εἰς βεβαίωσιν, τῇ διδασκαλίᾳ τῶν γραφῶν, καὶ τῶν ἀποστολικῶν παραδόσεων, καὶ τῶν Συνόδων, καὶ πατέρων ὁμολογίας. ἕκτου, ἐν τῇ δεκάτῃ τέτῃ πράξει περὶ τοῦ Μυστηρίου τῆς Εὐχαριστίας λαμβάνουσα, λέγει, Ὅτι οἱ πατέρες εἰσὶν ἑρμηνευταὶ τῶν κυριακῶν λογίων περὶ τοῦ Μυστηρίου τούτου, καὶ ὅτι ἡ Μετασοιχείωσις, Μετουσίωσις, ἐκλήθη ὑπὸ τῆς καθολικῆς Ἐκκλησίας. ἕβδομον, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ πράξει φέρεται ἡ ἄκρα καθαίρεσις τοῦ παπικοῦ μοναρχίας, λέγει γάρ, Μέλλων ὁ Χριστὸς ἀναλαμβάνεσθαι, τὸν αὐτοῦ τόπον ἐπέχοντας τοὺς Ἱερεῖς, οἷα τινὰς ἐπιτρόπους καὶ κληρικὰς κατέλιπον, οἵτινες ἔχουσι καὶ τὴν ἐξουσίαν καὶ τὸ ψῆφον τῶν κλαδῶν. ὄγδοον, ἐν τῇ εἰκοστῇ δευτέρᾳ πράξει φησὶν, Ἐν τῷ Εὐαγγελίῳ, καὶ ταῖς τῶν Ἀποστόλων παραδόσεσι, καὶ τῇ τῶν ἁγίων πατέρων διδασκαλίᾳ τεθεμελίωται ἡ πίστις. εἰκοστὸν, ἐν τῇ εἰκοστῇ τρίτῃ πράξει φησὶν, Ἐκ τῆς τῶν γραφῶν μαρτυρίας, καὶ τῆς τῶν Ἀποστόλων παραδόσεως, καὶ τῆς πατέρων ὁμογνώμονος συμφωνήσεως δείκνυται δηλονότι αὐτέρους εἶναι τοὺς Ἐπισκόπους τῶν Πρεσβυτέρων. δέκατον, ἐν τῇ εἰκοστῇ πέμπτῃ πράξει κεῖται ἡ βεβαίωσις ἣν ἐποίησεν ὁ Πάπας, ἐν ᾗ λέγει, Αὕτη ἡ Πέτρου καὶ Παύλου πίστις, καὶ τῇ ἀποστολικῇ ἡμῶν αὐθεντίᾳ, καὶ τῇ τῶν ἀδελφῶν καρδιαλέων βουλῇ καὶ γνώμῃ τὰ τῆς Συνόδου ὑπεκυρώθη. Ἀλλ' ἐρωτέον, ὅλη τοῦτο καὶ παντὶ Ἐπισκόπῳ ἴδιόν ἐστι, χαρὶν λόγου, ὁ παλαιῶν Πατρῶν ἀναγινώσκων τὰ τῆς σήτης Οἰκουμενικῆς Συνόδου, δύναται εἰπεῖν, Αὕτη τοῦ Ἀνδρέου ἡ πίστις, καὶ τῇ ἀποστολικῇ ἡμῶν τῆς Ἐπισκοπῆς αὐθεντίᾳ, καὶ τῇ βουλῇ τῶν ἀδελφῶν (τῶν κατ' ἐμὲ Ἐπισκόπων) καὶ τοῦ Πρεσβυτερίου τὰ τῆς Συνόδου ὑπεκυρώθη. ἢ ὁ ἐν Εὐγουβίῳ, ἢ ἐν Ῥηγίῳ Ἐπίσκοπος ἀναγνοὺς τὰ τῆς αὐτῆς Συνόδου, δύναται εἰπεῖν, Αὕτη ἐστὶν ἡ πίστις τῶν Ἀποστόλων, καὶ τῇ ἀποστολικῇ ἡμῶν τῆς Ἐπισκοπῆς αὐθεντίᾳ καὶ τῇ βουλῇ τοῦ ἡμετέρου Πρεσβυτερίου τὰ τῆς Συνόδου ὑπεκυρώθη.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Συμπέρασμα ἐκ τῶν αὐτέρω δεκαχῶς ἀποδεχθέντων, ὅτι τὸ κῦρος ἐν τῇ Ἐκκλησίᾳ ἐστὶ τῆς καινότητος, ἡ δὲ τοῦ Πάπα μοναρχία ἕτερός τις τερατέλαφος.

Εἰ ἓν ὁ μείζων ἀριθμὸς τῶν ἐν τῇ Συνόδῳ πατέρων μείζονος ὑπολήψεως καὶ τιμῆς ποιεῖ τὰ κεφάλαια τῶν Συνόδων (ὡς εἴρηκε καὶ ὁ μέγας Βασίλειος), καὶ ἴδε αὐτέρω βιβλίῳ δευτέρῳ κεφάλαιον δέκατον

δέκατον ἕβδομον) καὶ τοῖς ὑποδείγμασι τῶν πατέρων καὶ τῇ ἁγίᾳ γραφῇ καὶ τοῖς πατράσι καὶ ταῖς εὐδοκίμοις τῶν Συνόδων δεῖ ἀκολουθεῖν. καὶ διὰ τούτων ἡ πίστις τεθεμελίωται, καὶ ὁ Χριστὸς προέδρους καὶ κριτὰς καὶ ἐξουσιαστὰς τῶν Κλειδῶν, καὶ ἑρμηνευτὰς τῆς ἁγίας γραφῆς κατέλιπε τοὺς πατέρας, καὶ ἡ παράδοσις τῆς Ἐκκλησίας καὶ ἡ συμφωνία τῶν πατέρων βεβαιοῖ τὰ Μυστήρια καὶ τὰ δόγματα τῆς Ἐκκλησίας, καὶ ἡ καθολικὴ Ἐκκλησία ἐστὶ κριτὴς, τίνα τὰ γνήσια βιβλία τῆς ἁγίας γραφῆς, καὶ ἡ βουλὴ τῶν Ἐπισκόπων καὶ Κληρικῶν τῆς ῥωμαϊκῆς Ἐκκλησίας συνεργεῖ πρὸς βεβαίωσιν τῶν Συνόδων, καὶ ἐν οὐδενὶ τούτων παίτων ὁ Πάπας ἰδικῶς μνημονεύεται, ἢ μόνος πρὸς μαρτυρίαν παραλαμβάνεται ὡς ἀπὸ θρόνου μοναρχικοῦ, φανερὸν ἐστὶ τὸ κῦρος ἐν τῇ Ἐκκλησίᾳ εἶναι τῆς κοινότητος. τὴν δὲ θρυλλουμένην τοῦ Πάπα μοναρχίαν καὶ ἀναμαρτησίαν καὶ ἀπόλυτον ἐξουσίαν εἶναι πάντως ἕτερόν τινα τραγέλαφον, καὶ ψοφίδιόν τι πρὶν ἢ ἠχῆσαι διαλυόμενον, κἂν δὲ καὶ ψιμμυθίῳ, ἤτοι τοῖς σοφίσμασι τῶν φραριδίων ἐπιχρώννυται τὸ τέρας τοῦτο, ἀλλὰ τῇ ἀληθείᾳ τριβὲν, εὐθὺς ἀφανίζεται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τῆς παρὰ τῶν ἐν Βιτεμπεργίδι Λουτεροκαλβίνων σταλείσης ὁμολογίας τῆς πίστεως αὐτῶν πρὸς τὸν Κωνσταντινουπόλεως Ἱερεμίαν, καὶ τῶν ἑκατέρωθεν ἀποκρίσεων, καὶ περὶ τῶν ὀρθοδόξων σοφῶν τοῦ τότε καιροῦ, καὶ ὧν συνέγραψαν.

Μετὰ τὴν ἐν Τριδέντῳ ταύτην Σύνοδον γεγόνασι τῶν καινοτομιῶν Λουτέρου καὶ Καλβίνου διάδοχοι μᾶλλον βλάσφημοι τῶν Διδασκάλων αὐτῶν. οἱ δὲ Λούτεροι αὐτούμενοι παρά τινων Ἡγεμόνων παπιστῶν εἰπεῖν τὴν πίστιν αὐτῶν ὁποία τίς ἐστιν εἰς ἣν πιστεύουσι, συνέγραψαν ὁμολογίαν, ἣν καὶ Αὐγουστιανὴν ὠνόμασαν, καὶ ταύτην οἱ ἐν Βιτεμπεργίδι πόλει τῆς Γερμανίας Λούτεροι ἐξαπέστειλαν εἰς Βυζάντιον πρὸς τὸν τότε ἁγιώτατον Πατριάρχην Κωνσταντινουπόλεως Ἱερεμίαν, δικαιολογούμενοι ὅτι καλῶς ἐποίησαν τὸν Πάπαν τῆς Ῥώμης ἀποβαλόντες. ὁ δὲ Πατριάρχης συνοδικῶς ἀπεκρίθη αὐτοῖς, ὅτι καλῶς ἐποίησαν ἀπωσάμενοι τὸν Πάπαν, ἀλλὰ κακῶς ἐποίησαν τῆς καθολικῆς Ἐκκλησίας διόλου ἀποστατήσαντες. αὐτέγραψαν ὅμως αὐτῷ πολάκις, νομίζοντες δίκαια τινὰ λέγειν, ἀλλὰ καὶ ὁ Πατριάρχης αὐτέγραψεν αὐτοῖς, ἐλέγχων αὐτῶν τὴν αὐθάδειαν, τέλος πάντων γνοὺς αὐτοὺς διεστραμμένους, παρῃτήσατο αὐτοὺς κατὰ τὴν ἐντολὴν τοῦ ἁγίου Παύλου πρὸς Τίτον κεφαλαίῳ τρίτῳ. τότε ἤκμαζε καὶ μάξιμος ὁ Μαργούνιος σοφώτατος τῷόντι ἀνὴρ, ὃς εἰ καὶ ἔδειξε φιλίαν πρός τινας σοφοὺς τῶν Λουτέρων δι' ὧν ἐτύπωσε τὴν Μυριόβιβλον τοῦ Φωτίου, καὶ ἄλλα τινὰ ἐκκλησιαστικὰ βιβλία, ὅμως ὀρθοδοξότατος ὤν, ἔγραψε καὶ κατὰ τοῦ παπισμοῦ, καὶ κατὰ τῶν Αἱρέσεων τούτων, ὅτε καὶ Γαβριὴλ ὁ Φιλαδελφείας Μητροπολίτης ἔγραψε τὸ περὶ Μυστηρίων βιβλιάριον, καὶ μετ' αὐτοὺς πάλιν κατὰ τούτων ἔγραψε Γεώργιος ὁ Κορέσσιος, Μελέτιος ὁ Συρίγου, καὶ ἄλλοι, καὶ ἡμεῖς αὐτοὶ, ὡς ἐροῦμεν ἐν τοῖς ἰδίοις τόποις.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ τῆς ὁμολογίας ἢ ἀπολογίας τῆς πίστεως τῶν ἐν Ἀγγλίᾳ Λουτέρων ἢ Ζουϊγλίων, καὶ πόσαι Αἱρέσεις, καὶ ποῦ γεγόνασιν ἐν τῷ ἑκκαιδεκάτῳ αἰῶνι ἀπὸ Χριστοῦ.

Ἔγραψαν καὶ οἱ ἐν Ἀγγλίᾳ Λούτεροι, ἢ Ζουϊγλιοι ὁμολογίαν, ἣν καὶ ἀπολογίαν ὠνόμασαν τῆς Ἀγγλικανῆς Ἐκκλησίας, ἀλλ' ἐν αὐτῇ πάνυ ἀναιδῶς αὐτιφέρονται καὶ βλασφημοῦσι τὰ ἐκκλησιαστικὰ Μυστήρια, οὐδὲν γὰρ σχεδὸν ἀφῆκαν ἐκκλησιαστικὸν δόγμα, ἢ ἦθος, ἢ παράδοσιν ἀβλασφήμητον. δικαιολογοῦνται δὲ καὶ οὗτοι, ὅτι τοῦ παπικοῦ ζυγοῦ ἠλευθέρωσαν ἑαυτούς. Ἀλλὰ ῥητέον, ὅτι οὐκ ἐξαιρεῖ τοῦτο αὐτοὺς μὴ εἶναι Αἱρετικοὺς καὶ ἀναιδεῖς συκοφάντας τῆς καθολικῆς Ἐκκλησίας, ναὶ δὴ καὶ ὑποκριτὰς, ἐπειδὴ εἰ παρῃτήσαντο τὸν παπισμὸν, ἔδει αὐτοὺς παραιτήσασθαι καὶ μὴ ἔχειν καὶ τὰς καινοτομίας ἃς εἰσήνεγκεν ὁ Πάπας ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ, ὧν ἕνεκεν ἀπερράγη αὐτῆς, ἀλλ' ἐπανελθεῖν ἐπὶ τὸ ἀρχαῖον κάλλος τῆς προπατορικῆς κοινῆς Ἐκκλησίας, καὶ μὴ προφάσει ἀποφυγῆς τοῦ παπισμοῦ καθάπαξ ἀθετῆσαι τὰς ἀποστολικὰς παραδόσεις, καὶ τὸ παγκόσμιον καὶ ἀρχαιότατον κράτος τῆς καθολικῆς Ἐκκλησία, οὕτω δὲ ποιοῦντες, καὶ ὀθνείως ὑποδυόμενοι τὸ τίμιον ὄνομα τῆς Ἐκκλησίας, οὐδὲν ὠφελοῦνται μὴ εἶναι νεωτερισταὶ ἐν πᾶσι σχεδὸν οἷς νομίζουσιν ἑαυτοὺς Χριστιανοὺς εἶναι, μάλιστα δὲ καὶ αἴτιοι ἐγένοντο μυρίων ἑτέρων Αἱρέσεων, περὶ ὧν παραιτούμεθα λέγειν. Σημειώσεως ὅμως ἄξιον, ὅτι ἐν τῷ ἑκκαιδεκάτῳ αἰῶνι ἀπὸ Χριστοῦ γεγόνασιν Αἱρέσεις, ἐν μὲν τῇ Δύσει Λούτερος καὶ Καλβῖνος, Φίλιππος ὁ Μελάχθων, καὶ ἄλλοι πολλοὶ, ἐν δὲ τῇ Ἀνατολῇ ἐγένετο ἡ Αἵρεσις τῶν Ἀράβων καὶ Περσῶν, διὰ τὸ καὶ ἐν αὐτοῖς γεγονέναι καινοτομίαν ἰσχυρὰν τῆς θρησκείας αὐτῶν.

ΠΑΡΑ-

1162

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Ὅτι οἱ Λατῖνοι λέγοντες Ζαχαρίαν τὸν Γεργανὸν γενηθῆναι ἀπὸ τῆς Ἀνατολικῆς Ἐκκλησίας ὄφιν, τουτέστι σχισματικὸν, καὶ ἀπελθόντα εἰς Λουτεροκαλβίνους γενέσθαι Βασιλίσκον δείκνυνται ἐνταῦθα αὐτοὶ μᾶλλον ὄφεις, Βασιλίσκοι δὲ καὶ ἀσπιδοφυάδες καὶ τέκνα τοῦ Πάπα κατὰ τὴν ἐκ αὐτῶν ἐπιφοράν δεκατέλιν κοινωνίαν οἱ Λουτεροκαλβῖνοι, ἡ δὲ ἀνατολικὴ Ἐκκλησία ἦν τε καὶ ἔστι καὶ ἔσται ἕως τῆς ἡμέρας τοῦ Κυρίου ἀμήν.

Οἱ Λατῖνοι γράφοντες ἀπὸ τῆς ψευδοεικονίας κατὰ Ζαχαρίου τοῦ Γεργανοῦ, λέγουσιν ὁ τῷ προοιμίῳ, ὅτι ὁ Ζαχαρίας γενηθεὶς ἀπὸ τῆς Ἀνατολικῆς Ἐκκλησίας ὄφις, τουτέστι Σχισματικὸς, ἀπῆλθεν εἰς Λουτεροκαλβίνους καὶ ἐγένετο Βασιλίσκος. Ἀλλὰ ῥητέον πρὸς ταῦτα, ὅτι ὄφεις μᾶλλον εἰσὶν οἱ Λατῖνοι, ὡς ἀληθῶς καινοτόμοι καὶ Σχισματικοὶ, γεννήματα δὲ τούτων τῶν Ἐχιδνῶν καὶ Βασιλίσκοι, καὶ μάλιστα τοῦ Πάπα οἱ Καλβῖνοι καὶ Λούτεροι. ὅτι δὲ τέκνα τοῦ Πάπα οἱ ἀνθρωποι οὗτοι, φανερὸν, καὶ ἄνθεν ἔνα ἐνταῦθα, πρῶτον, ὁ Πάπας λέγει τὸν καὶ ἐν Γαλλίᾳ σκότισμὸν τοῦ ἁγίου Πνεύματος, καὶ τὰ Ἄζυμα, καὶ τὸν ῥαντισμὸν εἰς τὸ Βάπτισμα, καὶ ἄλλα πολλὰ ἄτοπα, καὶ ἕτω θέλουσιν αὐτὰ Λούτεροι καὶ Καλβῖνοι. δεύτερον, ὁ Πάπας λέγει, ὅτι ἡ περιτομὴ λύει τὸν προπατορικὸν ἁμαρτίαν, συμπεραίνει δὲ ἐκ τούτου ὁ Καλβῖνος, ὅτι οὐκ ἔστιν ἀνάγκη τὸ Βάπτισμα τελεῖσθαι εἰς τὰ βρέφη. τρίτον, οἱ παπισαὶ λέγουσιν ἀπολαύειν τοὺς ἁγίους καὶ ἁμαρτωλοὺς τὸ τελεῖν, ἡ δὲ δυὰς τούτων τῶν τοῦ Πάπα τέκνων ἐκ τούτου ἀφορμὴν λαβόντα, ἀθετεῖ τὴν πρεσβείαν τῶν ἁγίων, τὰ μνημόσυνα, τὰς Λειτουργίας, καὶ τὰς λοιπὰς ὑπὲρ τῶν κεκοιμημένων δυποιίας, τὸ μὲν γὰρ πυργατόριον ἐστὶ μῦθος, τὰ δὲ τέκνα τοῦτα τοῦ Πάπα μὴ δυνηθέντα γνῶναι τὴν ἀλήθειαν περὶ τούτων δόξαν τῆς καθολικῆς καὶ ἀρχαίας Ἐκκλησίας, ὑπὸ δὲ τὴν παπικὴν περὶ τῶν κεκοιμημένων δόξαν ἐπερείσαντα, ἠρνήσαντο τὰς περὶ τῶν κεκοιμημένων δυποιίας· τέταρτον, ὁ Πάπας Κελεστῖνος ὁ τρίτος Κωνσταντείαν τὴν θυγατέρα τοῦ Ῥήγος Ῥογερίου, ὡς ἱστορεῖ ὁ Πλάτινας, Μοναχὴν ἔσαν ἀποδύσας τοῦ ἁγίου σχήματος, ἔδωκε τὴν νύμφην τοῦ Χριστοῦ εἰς γυναῖκα Ἑνρίκῳ τῷ υἱῷ Φριδερίκου κατὰ τῶν λεγόντων Κανόνων, καὶ μάλιστα τοῦ ἑβδόμου τῆς ἐν Χαλκηδόνι Συνόδου λέγοντος, Τὰς τὸ ἱερὸν σχῆμα ἀποδυσαμένους Μοναχὰς, καὶ λαϊκὰς γαμομένους, ἀναθεματίζεσθαι. καὶ ἐντεῦθεν τὰ τέκνα αὐτοῦ τὰς ἀφορμὰς λαβόντα, ἀπεβάλοντο τελείως τὸ τῶν Μοναχῶν σχῆμα. πέμπτον, ὁ Πάπας ἀναγράφει τὸν ἑξηκοστὸν ὄγδοον Κανόνα τῶν ἁγίων Ἀποστόλων, νομοθετοῦντα τὴν ὑπεξαίρεσιν τῆς Τεσσαρακοστῆς, καὶ Τετράδος καὶ Παρασκευῆς, ὅθεν τὴν μὲν ὑπεξαίρεσιν τῆς Τετράδος ἠθέτησε, τὴν δὲ τῆς Τεσσαρακοστῆς ῥᾴδιον συγχωρεῖ καταλύειν. ὅθεν καὶ τὰ τέκνα αὐτοῦ διδαχθέντα ὑπ' αὐτοῦ ἀναγράφειν τὸν Ἀποστολικὸν Κανόνα, ἠθέτησαν πᾶσαν ὑπεξαίρεσιν καθάπαξ. ἕκτον, οἱ Κανόνες τῶν Συνόδων καὶ αἱ ἀναθέσεις κοινῶς ἔχουσι τὸ κράτος ὑπὸ πάσης τῆς καθόλου Ἐκκλησίας, ὁ δὲ Πάπας ὡς ἂν βούληται ὅρους τῶν Συνόδων καὶ ἀναθέσεις ἀθετεῖ, καὶ καινοτομεῖ αὐτὸς ὡς αὐτῷ δόξει. καὶ τὰ τέκνα αὐτοῦ ἐθισθέντα ὑπ' αὐτοῦ ἀθετεῖν τοὺς Κανόνας, ἀπεβάλοντο τὰ τοιαῦτα. ἕβδομον, ὁ Πάπας λέγει εἶναι ἐπαίρω τῶν Συνόδων, εἶτα ἐστὶν αὐτὸς μυρίων ἁμαρτιῶν καὶ Αἱρέσεων σμήν, ἠθέτησαν καὶ τὰ τέκνα αὐτοῦ τὰς ἁγίας Συνόδους, ἀναφαντζόμενα ὅτι εἰ ἐστὶν ὁ ὑπὸ τῶν Συνόδων τοιοῦτος, τοιαῦται καὶ αἱ Σύνοδοι, ὅθεν ἐτόλμησαν εἰπεῖν τὰ πονηρὰ γενήματα τοῦ κακοῦ καὶ μιαροῦ πατρὸς ὅτι ἡ Ἐκκλησία ἀπατᾷ καὶ ἀπατᾶται, ἐπειδὴ καὶ ἡ κεφαλὴ αὐτῆς ὁ Πάπας ἀπατᾷ καὶ ἀπατᾶται. ὄγδοον, ὁ Πάπας διδάσκει προσκυνεῖσθαι τὴν Εἰκόνα τοῦ Χριστοῦ λατρευτικῶς, τὰ δὲ ἀγάλματα προσάσει προσκυνεῖσθαι ὡς Εἰκόνας ἐναντίων τῶν ἁγίων Συνόδων. καὶ οἱ Αἱρετικοὶ μὴ διαμείναντες περὶ Εἰκόνων καλῶς πρὸς ἀποφυγὴν τῶν τοιούτων, ἀλλ' ἔχοντες τὴν πατρικὴν ἀθάδειαν κατὰ τῆς Ἐκκλησίας, ἠθέτησαν τὴν τιμὴν τῶν ἁγίων Εἰκόνων καθάπαξ. ἔναγον, ὁ Λαυρέντιος Κέλσος γοητοῦλος Δὲξ Βονετίας, καὶ μέλλων κατὰ τὴν σωτηθεῖσαν προσκυνεῖσθαι καὶ ὑπὸ τοῦ πατρὸς αὐτοῦ, ἔβαλε Σταυρὸν εἰς τὴν Τιάραν αὐτοῦ, ἵνα ἀναφέρηται ἡ προσκύνησις εἰς τὸν Σταυρὸν, καὶ οὐχὶ εἰς αὐτὸν, ὅτω καὶ ὁ μέγας Κωνσταντῖνος εἰς τῆς σημαίας αὐτοῦ τὴν κορυφὴν ἔβαλε τὸν Σταυρὸν, ὡς καὶ οἱ μετ' αὐτὸν Αὐτοκράτορες ἐποίουν, ἀλλὰ δὴ καὶ Βασιλεῖς καὶ Πατριάρχαι εἰς τὰς Μίτρας καὶ ἄμφια αὐτῶν βάλλουσιν σύλλογίας χάριν τὸν Σταυρὸν, ὅστις καὶ ὑπὸ Κωνσταντίνου ὑψώθη ἐν Οὐρανῷ λάμπων ὑπὲρ τὸν Ἥλιον, τί δεῖ πολυλογεῖν, ὁ Δεσπότης Χριστὸς ἐβάσασεν αὐτὸν ὑπὸ τὸν ὦμον αὐτοῦ. ὁ δὲ κακὸς Πάπας βάλλει αὐτὸν εἰς τὴν κοντέραν αὐτοῦ, ὅθεν ὁ μαθητὴς αὐτοῦ Καλβῖνος παρ' αὐτοῦ ἔμαθε μὴ τιμᾶν τὸν Σταυρὸν, καὶ ἵνα μὴ γένηται δῆθεν κῆ τὸν Διδάσκαλον αὐτοῦ Πάπαν σωρεπατητὴς, ἐγένετο σωρεγλοθρευτής. δέκατον, ὁ Πάπας σῦδον ἐν τῇ Ἐκκλησίᾳ ἐθέσπισε λαλεῖν ὄργανα, καὶ ἀφίησι σωπεσέρχεσθαι τοῖς παπισαῖς ἐν τῇ Ἐκκλησίᾳ τὰς αὐτῶν κύνας. ἐντεῦθεν δὲ ἔμαθον οἱ Αἱρετικοὶ λέγειν, ὅτι οἱ τῶν Χριστιανῶν Ναοὶ οὐκ εἰσὶν ἅγιοι, ἀλλὰ μόνον εἰς χρῆσιν Μυστηρίων καὶ διδαχῶν. ἑνδέκατον, ὁ Πάπας καθήμενος μεταλαμβάνει τοῦ κυριακοῦ αἵματος, καὶ οἱ Αἱρετικοὶ ἠρνήσαντο τὴν πραγματικὴν καὶ οὐσιώδη παρουσίαν τοῦ Κυρίου ἐν τοῖς Μυστηρίοις. δωδέκατον, ὁ Πάπας δίδωσι συγχωρητικὰ, καὶ συγχωρεῖ ποτὲ μὲν τὸ ἥμισυ, ποτὲ δὲ τὸ ὅλον τοῦ Κανόνος τῶν μετανοούντων, πλάττων καὶ τερατολογῶν

τολογῶν ἃ ἡ γραφὴ οὐκ ἐδίδαξεν, ἡ Ἐκκλησία οὐ γινώσκει, αἱ Σύνοδοι οὐ διώρισαν, οἱ ἅγιοι πατέρες οὐκ ἔγραψαν. καὶ τὰ τέκνα αὐτοῦ ἵνα ἐκκλίνωσι τῶν τοιούτων, ἠθέτησαν τὸ Μυστήριον τῆς Μετανοίας. δέκατον τρίτον, οἱ Κανονικοὶ τὴν πορνείαν τῶν ἀγάμων λέγουσι μὴ εἶναι πορνείαν, ἀλλὰ δὴ καὶ ὁ Καρδηνάλις Καμπήγιος, καὶ ὁ Ἀλβέρτος Πήγιος, καὶ ἄλλοι τῶν παπιστῶν Διδάσκαλοι λέγουσιν, ὡς δὴ οἱ Ἱερεῖς οἱ ταῖς παλλακαῖς συζῶντες, ὁσιώτερον καὶ ἁγνότερον διάγουσι τῶν ἐννόμως γαμούντων Ἱερέων. καὶ ὁ Πάπας λαμβάνων κατ' ἔτος τοσούτων χιλιάδων φλωρίων ποσότητα παρὰ τῶν πορνῶν, συγχωρεῖ αὐτὰς εἰς αὐτὴν αὐτοῦ τὴν καθέδραν ἀθεμιτουργεῖν, ὅθεν καὶ οἱ παρ' αὐτοῦ φυῶτες Βασιλίσκοι ἀρνοῦνται τὸν γάμον εἶναι Μυστήριον. δέκατον τέταρτον, τὸ Μῦρον λέγει ὁ Πάπας μὴ εἶναι ἀναγκαῖον τοῖς βρέφεσι, καὶ ἐπειδὴ τὸ Μῦρον οὐκ ἔστι τοῖς πᾶσιν ἀναγκαῖον, ἠθέτησαν τοῦτο οἱ Αἱρετικοί. δέκατον πέμπτον, τὰς τῶν ἁγίων ἑορτὰς ὁ Πάπας ἀθετεῖ, ὥστε καὶ τινὰς παραγράφει, κἂν ὦσι καὶ ἀρχαῖαι, τινὰς δὲ εἰσάγει δολίως, ἠθέτησαν καὶ τὰ τέκνα αὐτοῦ τὰς ἑορτὰς τῶν ἁγίων. δέκατον ἕκτον, ὁ Πάπας κομπάζει ἑαυτὸν εἶναι μόνον λέγων ἐξηγητὴν τῆς γραφῆς, ὅθεν τὰς ἑρμηνείας τῶν ἁγίων πατέρων ποτὲ μὲν παραγράφει, ποτὲ δὲ παρεξηγεῖται, καὶ τινὰς αὐτῶν ἀθετεῖ, ἀθετοῦσι καὶ οὗτοι αὐτοῦ οἱ μαθηταὶ καὶ πᾶσα αὐτῶν ἡ συμμορία τὰς ἑρμηνείας τῶν ἁγίων πατέρων εἰς τὴν ἁγίαν γραφήν. δέκατον ἕβδομον, ὁ Πάπας διορίζει ἐτάσεις καὶ τιμωρίας, καὶ Μοναχοὺς ἔχει ἐπιστάτας τῶν τιμωριῶν κατὰ τοῦ Ἀποστόλου λεγοντος, Αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ, φονεύει, δημεύει, κλείει εἰς δεσμωτήρια, διώκει τοὺς αὐτῷ ἀντικειμένους, καὶ οἱ Καλβῖνοι ὅπου δύνανται διώκουσι τοὺς Λατίνους. κοινωνοὶ λοιπὸν οἱ Λατῖνοι τῶν τοιούτων Αἱρετικῶν, καὶ παραφυάδες οὗτοι οἱ Αἱρετικοὶ τῶν Λατίνων, καὶ ἄλλα πολλὰ εἰσὶν ἅπερ ἔχουσιν οἱ Λουτεροκαλβῖνοι μεγάλα κακὰ καὶ ὀλέθρια, ὧν τὰς αἰτίας ἔλαβον ἀπὸ τινων καινοτομιῶν, ἃς παρήνεγκεν ἐν τῇ Ἐκκλησίᾳ ἡ τοῦ Πάπα μετὰ τὸ σχίσμα ἐξουσία. λέγει δὲ ὁ ἅγιος Ἐπιφάνιος Αἱρέσει εἰκοστῇ δευτέρα, Ἀσπίδας κατέκλεισέ τις ἐν χύτρᾳ τινὶ, ἃς ἡμία ἐξ αὐτῶν κατέφαγε, μείνασα δὲ μόνη, καὶ τροφῆς ἀποροῦσα, αὐτὴ ἑαυτὴν ἀπὸ τῆς κέρκου ἀρξαμένη ἕως μέρους τινὸς τοῦ σώματος καταβέβρωκεν, οὕτω καὶ ὁ μακαριώτατος Πάπας ταῖς αὐτοῦ καινοτομίαις κατέφαγε τινὰς παπιστικὰς φυλὰς, ἀλλὰ καὶ τὰς λοιπὰς τὰς ἔτι μετ' αὐτοῦ μενούσας κατ' ὀλίγον ἐσθίει καινοτομῶν, καὶ ἔτι ἐν πολλοῖς καινοτομεῖ, ἵνα μὴ φύγωσιν οἱ περὶ αὐτὸν εἰς τοὺς Καλβίνους. καὶ ὅτε μὲν ἐζήτει ὁ Λούτερος συγχωρῆσαι τὸν Πάπαν τὸν γάμον τοῖς Ἱερεῦσι, καὶ ἄλλα τινὰ ἔθιμα γινόμενα ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, οὐκ ἤθελε, νῦν δὲ ἵνα μὴ οἱ παπισταὶ ἐκκλίνωσιν ἀπ' αὐτοῦ, καὶ προσέλθωσι τῇ ἀνομίᾳ τῶν τέκνων αὐτοῦ, συγχωρεῖ αὐτοῖς τὰ διόλου κεκωλυμένα, ἀλλὰ ματαίως ποιεῖ ταῦτα ὡς ἐν ἄλλοις ῥηθήσεται. κατὰ τὸ παρὸν ὅμως ἀρκετῶς ἀπεδείχθη ὅτι αὐτὸς μὲν ἐστὶν ὁ Ὄφις, τὰ δὲ τέκνα αὐτοῦ εἰσὶν οἱ Βασιλίσκοι. ἡ δὲ Ἀνατολικὴ Ἐκκλησία ὡς ἦν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἁγία: οὕτω καὶ ἐστὶ, καὶ ἔσται ἕως τῆς ἡμέρας τοῦ Κυρίου.

ΒΙΒΛΙΟΝ ΙΑ'. ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Διωγμὸς Ἀράβων ἐξ Ἱσπανίας καὶ Ἑβραίων, οὓς γυμνοὺς ὧν εἶχον ὁ Ῥὴξ τῆς Ἱσπανίας διώξας, ἠξιώθη λέγεσθαι τῇ καὶ περὶ τοὺς Τίτλους καινοτομίᾳ τοῦ Πάπα Καθολικὸς, ὡς καὶ ὁ τῆς Φράντζας Χριστιανικώτατος, καὶ περὶ τοῦ ἀκολουθήσαντος ἀθέου κατορθώματος ἐκ τοῦ ἔργου τούτου.

Τῷ καιρῷ Φερδινάντου Ῥηγὸς τῆς Ἱσπανίας κατὰ τὸ χιλιοστὸν τετρακοσιοστὸν ὀγδοηκοστὸν ἕβδομον ἔτος ἐδιώχθησαν οἱ Μῶροι καὶ οἱ Σαρακηνοὶ ἀπὸ τῆς Γρανάτας, ἧς ἐκράτουν ἔτη ὀκτακόσια. διεφημίσθη δὲ καὶ ἠξιώθη ὁ Φερδινάντος λέγεσθαι καθολικὸς ἀδείᾳ τοῦ Πάπα Ἰννοκεντίου τοῦ ὀγδόου διὰ τὸ ἐκδιῶξαι τῆς αὐτοῦ Βασιλείας πάντας τοὺς ἐθνικοὺς, σχεδὸν δὲ καὶ Ἑβραίους εἴκοσι πρὸς ταῖς Ἑκατὸν χιλιάδας τῆς Ἱσπανίας ἐξέβαλεν ὁρισμῷ τοῦ μήτινα ἐξ αὐτῶν μεθ' ἑαυτοῦ λαμβάνειν ἐκ χρυσοῦ ἢ ἀργύρου εἶδός τι, μήτε τι ἕτερον πολύτιμον πρᾶγμα, ὡς σημειοῖ τοῦτο καὶ ὁ Σπονδανὸς. Σὺ δὲ σημείωσαι πρῶτον, ὅτι οἱ τῶν Χριστιανῶν Βασιλεῖς ὀνομάζονται Χριστιανικώτατοι, Ὀρθοδοξότατοι, Εὐσεβέστατοι, Φιλόχριστοι, Θεοφιλέστατοι, Πρᾷοι, Εἰρηνοποιοὶ, Γαληνότατοι, καὶ ἄλλως, καὶ ἴδε ἀνωτέρω βιβλίου δεκάτου μέρους τρίτου κεφάλαιον δωδέκατον. ὁ δὲ Ῥώμης καινοτομήσας εἰς τὴν γραφὴν καὶ εἰς τοὺς ἁγίους, ἐχώρησε καινοτομῆσαι καὶ εἰς τοὺς βασιλικοὺς Τίτλους, καὶ ὠνόμασε τὸν μὲν Ῥῆγα τῆς Φράντζας, Χριστιανικώτατον, τὸν δὲ τῆς Ἱσπανίας ἐφήμισε Καθολικόν. Ἀλλ' ὦ ἄνθρωπε, καὶ πᾶς Χριστιανὸς ὀρθόδοξος Χριστιανικώτατος λέγεται καὶ Καθολικὸς, πόσῳ μᾶλλον οἱ Βασιλεῖς ἔκδικοι ὄντες τῆς πίστεως καὶ ὀρθόδοξοι; διατοῦτο λῆρος καὶ μῦθοι τὰ τοιαῦτα, καὶ παιδαρίοις θαυμαστὰ, οὐκ ἀνδράσιν εὖ φρονοῦσι. σημείωσαι δεύτερον, ὅτι καὶ οἱ πάλαι τῶν Χριστιανῶν Αὐτοκράτορες ἐγίνωσκον τοὺς Ἰουδαίους ἀσεβεστάτους, ἀλλὰ κατὰ τὸν σκοπὸν τοῦ Εὐαγγελίου καὶ περὶ αὐτῶν φιλάνθρωπα εἶπον εἰς τοὺς πολιτικοὺς

κοὺς νόμους, οἷς καὶ οἱ πάλαι πατέρες καὶ αὐτοὶ οἱ Σχολαστικοὶ συμφωνοῦσιν, ὅθεν ἔδει τὸν Ἱσσανὸν προστάξαι αὐτοῖς ἐξελθεῖν μετὰ τῶν ὑπαρχόντων αὐτῶν, ἀλλὰ μὴ μετὰ βίας καὶ γυμνότητος, τὴν δὲ τοιαύτην ἀδικίαν ὁ Ῥώμης οὐ μόνον συνεχώρει, ἀλλὰ καὶ Τίτλους ἐχαρίζετο, εἰ δὲ ἦν δίκαιον τὸ τοιοῦτον, πῶς οὐκ ἐκδιώκει αὐτὸς τῆς Ῥώμης τοὺς Ἰουδαίους; εἶτα ἐκ τοῦ ἔργου τούτου ἠκολούθησε κατόρθωμα πάντολμόν τε καὶ σχεδὸν ἄθεον, πολλοὶ γὰρ τῶν Ἰουδαίων μὴ βουλόμενοι φυγεῖν γεγυμνωμένοι ὧν εἶχον, ἔμειναν ἐν τῇ Ἱσσανίᾳ, τὸν μὲν Ἰουδαϊσμὸν κρυφίως ἔχοντες, εἰς δὲ τὸ φανερὸν βαπτιζόμενοι, γίνονται Ἱερεῖς τῶν Χριστιανῶν καὶ πνευματικοὶ (τῆς καθολικῆς Ἐκκλησίας μήτε εἰς Ναὸν Χριστιανῶν εἰσέρχεσθαι τοὺς ἀπίστους θελούσης) καὶ πολλοὶ ἐξ αὐτῶν καταλιμπάνοντες καὶ συγγενεῖς καὶ ὑπάρχοντα, φεύγουσιν εἰς Λιγουρίαν καὶ εἰς τοὺς ἄλλους τόπους τῶν παπιστῶν, καὶ ἀπὸ Ἱερέων τῶν Χριστιανῶν γίνονται Ἰουδαῖοι φανεροὶ χριστοκτόνοι, καὶ οὐδεὶς τῶν Ἀρχόντων τῶν ἐκκλησιαστικῶν ἢ τῶν πολιτικῶν αὐτοὺς τιμωρεῖται. ὁ οὖν Ῥώμης ὁ τὰ τοιαῦτα συγχωρῶν, διὰ ποίαν αὔξησιν τῆς πίστεως καὶ ἐπίδοσιν, καὶ διὰ ποίαν ἀνάγκην οἰκονομεῖ ταῦτα καὶ συγχωρεῖ; καὶ ἐκ ποίου μέρους τῆς ἁγίας γραφῆς, ἢ Κανόνος, ἢ Ὅρου συνοδικοῦ, ἢ παραδόσεως ἔχει τὰς ἀφορμάς; ἀλλ' ἢ ἐκ μόνης τῆς καλουμένης παρ' αὐτοῦ ἄκρας καὶ ἀπολύτου, ὡς εἴρηται ἀνωτέρω βιβλίου δεκάτου μέρει πέμπτῳ, ἐξουσίας, ἡ δὲ τοιαύτη ἐξουσία δῆλον ἐστὶν ὅτι προήχθη ἐκ τοῦ Ἅδου καὶ τοῦ Σατανᾶ, οὐ μὴν ἐκ τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, οὐ γὰρ προσίεται ὅλως τὰ τοιαῦτα ἡ τοῦ Σωτῆρος διδασκαλία.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Τὶς ἡ αἰτία τῆς διώξεως τῶν Ἑβραίων ἐκ τῆς Ἱσσανίας, ὅτι τὸ Ταλμοὺθ λεγόμενον ἑβραϊκὸν βιβλίον, καὶ περὶ τῆς ἑρμηνείας τούτου, καὶ ὧν περιέχει τεσσαρεσκαίδεκα βλασφημιῶν πάνυ ἀσεβεστάτων.

Ἡ αἰτία τῆς διώξεως τῶν Ἑβραίων ἀπὸ τῆς Ἱσσανίας ὑπὸ τοῦ Ἱσσανοῦ ἦν αὕτη. Ἐν τῷ Ταλμοὺθ βιβλίῳ τῶν Ἑβραίων φέρονται βλασφημίαι πάνυ ἀσεβέσταται, ἑρμηνεύεται δὲ τὸ Ταλμοὺθ Ὁδηγία, καὶ περιέχει οὐκ ὀλίγας φλυαρίας καὶ ἀτοπίας, ἐξ ὧν ἴδε ἐνταῦθα ὀλίγας, καὶ γνῶθι καὶ τὰς ἄλλας. Λέγουσι τοίνυν, ὅτι οἱ ἀμφιβάλλοντες περὶ τῆς βίβλου, διορίζονται ἀρνηταὶ τοῦ Θεοῦ, ὅθεν ἁρμόζει λιθοβολεῖσθαι ἀσυγγνώστως, τοῦτο δὲ εὑρήσεις εἰς τὸ τέταρτον Παράγραφον τῆς βίβλου ἐν τῷ προλόγῳ. Ἔτι ἐν τῷ δεκάτῳ κεφαλαίῳ τοῦ Σακεδρὶ λέγουσιν οὕτως αὐτολεξεὶ, Τοὺς τοῖς δόγμασι τῶν Γραμματέων καὶ Ῥαββίνων ἀντιλέγοντας, κολάζεσθαι βαρύτερον τῶν ἀντιλεγόντων τῷ τοῦ Μωϋσέως Νόμῳ, οἱ γὰρ ἀντιλέγοντες τῷ νόμου τοῦ Μωϋσέως, συγγνωστοὶ, τοὺς δὲ τοῖς Ῥαββίνοις ἀντιλέγοτας, χωρὶς ἐξετάσεως θανατοῦσθαι. Εἰς δὲ τὸ δεύτερον μέρος τῆς αὐτῆς βίβλου πράξει τρίτῃ κεφαλαίῳ ἑβδόμῳ λέγουσιν, ὅτι ὁ Θεὸς ἐποίησε τὸ στοιχεῖον τοῦ πυρὸς τῇ ἡμέρᾳ τοῦ Σαββάτου. Εἰς δὲ τὸ τέταρτον μέρος πράξει δευτέρᾳ κεφαλαίῳ ἑβδόμῳ τῆς αὐτῆς βίβλου λέγουσιν, ὅτι οἱ Ῥαββῖνοι θυμωθέντες κατὰ Θεοῦ διὰ τὸ δικαιῶσαι τὸν Βασιλέα Ἐλιέζερ, ἀφώρισαν αὐτὸν καὶ ἀνεθεμάτισαν. Εἰς δὲ τὸ δεύτερον μέρος πράξει πέμπτῃ κεφαλαίῳ ὀγδόῳ λέγουσι, Τὸν Ἀρχάγγελον Γαβριὴλ περὶ ἑνὸς ὃ ἐποίησε σφάλματος βαρυτάτου, βασανισθῆναι ὑπὸ Θεοῦ ῥαβδείαις πυρίναις, ἦν δὲ αὐτοῦ τὸ σφάλμα, ὅτι εὐαγγελιζόμενος τὴν Μαρίαν, εἶπε, Μέλλει ὁ Υἱὸς αὐτῆς Υἱὸς κληθήσεσθαι Ὑψίστου, ὅπερ αὐτῷ ὁ Θεὸς οὐ παρήγγειλεν. Εἰς τὸ αὐτὸ μέρος πράξει πρώτῃ κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ λέγουσιν, Ὅτι ὁ Θεὸς τὰς πρώτας τρεῖς ὥρας ἑκάστης ἡμέρας ἀναλίσκει εἰς τὴν τοῦ Ἰουδαϊκοῦ Νόμου ἀνάγνωσιν. Εἰς τὸ αὐτὸ μέρος πράξει ὀγδόῃ κεφαλαίῳ πέμπτῳ λέγουσιν, Ὅτι ὁ Θεὸς στολὴν λευκὴν ἐνδεδυμένος, καὶ τὴν κεφαλὴν αὐτοῦ ἔχων δεδεμένην, γεγονατωμένος ὤν, καὶ σταυροειδῶς τὰς χεῖρας ἔχων, προσεύχεται καθ' ἑκάστην. Εἰς δὲ τὸ πρῶτον μέρος πράξει πρώτῃ κεφαλαίῳ πρώτῳ λέγουσιν, Ὅτι ὁ Θεὸς ἔχει ἕνα τόπον ἀπόκρυφον, εἰς ὃν συχνάκις ἑαυτὸν ἕλκων, δάκρυσι πολλοῖς ὀδύρεται τὴν καταστροφὴν τοῦ Ναοῦ τῆς Ἱερουσαλὴμ καὶ τὴν ἅλωσιν μετὰ τῆς διασπορᾶς τοῦ Ἰσραηλιτικοῦ λαοῦ. Εἰς δὲ τὸ πρῶτον μέρος πράξει ἑβδόμῃ, καὶ εἰς ἄλλους διαφόρους τόπους τῆς αὐτῆς βίβλου λέγουσιν, Ὅτι ἐν τῇ κοινῇ ἀναστάσει οἱ ἀγράμματοι ἄνθρωποι οὐ λήψονται κατ' οὐδένα τρόπον τὰ σώματα αὐτῶν, ἀλλὰ γυμνοὶ ἐξορισθήσονται εἰς σκοτεινὸν καὶ ἄγνωστον τόπον. Εἰς δὲ τὸ τρίτον μέρος πράξει δευτέρᾳ λέγουσιν, Ὁ προσευχόμενος κατὰ Βορρᾶν, λαμβάνει ἐκ Θεοῦ πλοῦτον καὶ σοφίαν, ὁ δὲ κατὰ Μεσημβρίαν προσευχόμενος, τοὐναντίον, κατάραν δηλαδὴ καὶ ὀργήν. Εἰς δὲ τὸ δεύτερον μέρος πράξει πρώτῃ λέγουσιν, Ὁ λαμβάνων εἰς γυναῖκα τὴν θυγατέρα αὐτοῦ, ἢ τὴν ἀδελφὴν αὐτοῦ πρὸς μίμησιν τῶν υἱῶν τοῦ Ἀδὰμ, ποιεῖ μεγάλην χάριν τῷ Θεῷ. Εἰς δὲ τὸ πέμπτον μέρος πράξει πρώτῃ κεφαλαίῳ δευτέρῳ λέγουσιν, Ὅστις τῶν Ῥαββίνων οὐμισεῖ τὸν ἐχθρὸν αὐτοῦ μέχρι θανάτου, καὶ οὐ ζητεῖ ἐκδίκησιν, οὐκ ἔστιν ἄξιος τῆς κλήσεως τῶν Ῥαββίνων, νοοῦσι δὲ ἐχθρὸν τὸν Χριστὸν καὶ τοὺς Χριστιανούς. Εἰς δὲ τὸ πρῶτον μέρος πράξει πρώτῃ κεφαλαίῳ τεταρτῷ, καὶ εἰς τὸ τέταρτον μέρος κεφαλαίῳ ὀγδόῳ λέγουσιν, Ὅτι ὅλοι οἱ Ἰουδαῖοι εἰσὶ χρεῶσται τρὶς τῆς ἡμέρας ἀναθεματίζειν τοὺς Χριστιανούς, καὶ δέεσθαι τοῦ Θεοῦ τοῦ ἐξολοθρεῦσαι αὐτούς τε καὶ τοὺς Βασιλεῖς καὶ Ἡγεμόνας

μόνας αὐτῶν. Ἔτι δὲ φασὶ, καθ' ὅλης τὰς τρέπας μὴ ἔχειν αὐτὰς ἁμαρτίαν ἁρπάζειν τὰ τῶν Χριστιανῶν ἢ δωρεᾶσθαι, ἢ μετὰ δόλου, ἢ διὰ τόκου, ἢ κρυφίως, ἢ φανερῶς, νομίζοντας πάντας τοὺς Χριστιανοὺς ὡς ζῶα ἀκάθαρτα, καὶ ὡς ἔχουσι δωρεμένως ἀποδίδειν ἐξοχεῖν αὐτοῖς θανάτου. Ἐκ τούτου παρεκινήθη ἡ Βασιλεία τῆς Ἱσπανίας καὶ ἐδίωξεν αὐτοὺς ἀπὸ τοῦ τόπου αὐτῆς ἀμεταπλήτως. Ἴδε κατωτέρω βιβλίῳ δωδεκάτῳ κεφάλαιον δέκατον.

ΒΙΒΛΙΟΝ ΙΑ'. ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περί τινων συμβάντων ἐν Ἱερουσαλὴμ καὶ ἐν Κωνσταντινουπόλει ἐπὶ τοῦ Σελτὰν Σελεϊμᾶν, ὅντος Δωροθέου Ἱεροσολύμων, καὶ ἐπὶ τοῦ Σελτὰν Σελὴμ, καὶ τί τὸ αἴτιον τοῦ καθίσαι τὸν Σελτὰν Σελεϊμᾶν ἐντὸς τοῦ ἁγίου τάφου θύρα φύλακας εἰς τὸ λαμβάνειν παρά τινας φυλῆς τῶν εἰσκομιζομένων διωρισμένα χρήματα, πλὴν τῶν Ἰβήρων καὶ Χαμπεσίωνος.

Κατὰ τὸ χιλιοστὸν πεντακοσιοστὸν καὶ ἐνενηκοστὸν ἔτος ἐβασίλευσεν ὁ Σελτὰν Σελεϊμᾶν, ὃς καὶ αὐτὸς ἔδωκε Χρυσόστομον τῷ Πατριάρχῃ Ἱεροσολύμων ὅμοιον τούτῳ τῷ τοῦ πατρὸς αὐτοῦ. Ἦν δὲ Πατριάρχης Ἱεροσολύμων, ὅτε αὐτὸς ἐβασίλευσεν, ὁ Δωρόθεος. δεύτερον, ἔσπασε τῆς πόλεως τῆς Ἱερουσαλὴμ ἐκ τῶν συνεχῶν πολέμων ὧν ἐποίησαν ἐν αὐτῇ οἱ Λατῖνοι μετὰ τῶν Ἀράβων κατηφανισμένης, καὶ οἷόν τις Κώμη, αὐτὸς ὁ Σελτὰν Σελεϊμᾶν περιετείχισεν αὐτὴν ὡς ἦτο καὶ ἔχει. τρίτον, τὸ Ἱερὸν ὅπερ ἦν μικρὸν πρότερον, αὐτὸς ἔκτισεν αὐτὸ μέγα ὡς καὶ ὁρᾶται, καὶ τότε ἔλαβε τὰ μάρμαρα ἅπερ ἦσαν ἐρειπωμένα ἐν τῷ ἐδάφει τῆς Ἐκκλησίας τῆς ἁγίας Βηθλεέμ, ὁμοίως καὶ τὰ ὀρθὰ μάρμαρα. καὶ ἐποίησεν ἐξ αὐτῶν τὸ κατάστρωμα τοῦ Ἱεροῦ καὶ τὴν ἔξωθεν ὀρθομαρμάρωσιν. καὶ ὁμοῦ Ἀρχηγὸς Ἀβιμέλεχ θέλων οἰκοδομῆσαι τὸν Ναὸν τοῦ Μαχὼ, καὶ βιαλόμενος λαβεῖν τὰ μάρμαρα ἀπὸ τοῦ Ναοῦ τῆς Γεθσημανῆ, ἀφῆκε καὶ οὐκ ἔλαβεν αὐτὰ δεήσει Ἰωσηπαίου τοῦ ῥητορικοῦ ὡς λέγει ὁ Θεοφάνης. τοῦτον δὲ τίς ἠδυνάτο ἐμποδίσαι; τέταρτον, χαλᾷ τὸν τοῖχον τῆς αὐλῆς τοῦ Μοναστηρίου τοῦ Προδρόμου τοῦ ὄντος ἐν τῇ Ἱερουσαλὴμ ὄντος, καὶ λαμβάνει τὰς πέτρας εἰς οἰκοδομὴν τῆς πόλεως. πέμπτον, Παλαικῆς τινὸς τύχης τοῦ Βασιλέως κλισάσης ἐν Ἱερουσαλὴμ Ἰμαρὲτ (τεφτεῖον παρά τινων καὶ σοφῶν) ἔταξεν αὐτὰς φύλακας εἰς τὴν θύραν τῆς μεγάλης Ἐκκλησίας τοῦ ἁγίου τάφου ἔχειν αὐτὴν κεκλεισμένην καὶ ἐσφραγισμένην, χρείας δὲ γενομένης, αὐτοὺς αὐτὴν αἰτίαν καὶ αὖθις κλείειν, λαμβάνειν τε ἀφ' ἑκάστης χριστιανῆς ἐρχομένης εἰς προσκύνησιν ἐπίχρυσα τῆς εἰσόδου, ἀφ' ἑκάστης μὲν Λατίνης γέρπα δεκατέσσαρα, ἀπὸ δὲ ἑκάστης τῶν Ἑλλαδικῶν καὶ Μακεδόνων καὶ τῶν λοιπῶν ἀπὸ Ἰκονίου ἕως ὅλης τῆς Δύσεως Ῥωμαίων γέρσια ἑπτά, ἀφ' ἑκάστης τῶν Καραμανίων πούτε, ἀφ' ἑκάστης τῶν Ἀράβων καὶ Αἰγυπτίων τρία, ἀπὸ δὲ τῶν Χαμπεσίων καὶ Ἰβήρων ἓν δούκατον, μόνους γὰρ τοὺς Ἴβηρας καὶ Χαμπεσίους προσέταξε μηδὲν διδόναι. καὶ αὕτη ἡ τάξις ἕως τῆς σήμερον φυλάττεται. ἔκτον, ἐξ αἰτίας τοῦ Ἀχελὰδ ζητοῦντος λαβεῖν ἀπ' αὐτὴν πρὸς Βερόϊαν, ἐγένετο προθήκη εἰς τὸ περιβόλιον, ἤτοι δῶρον τὸ Βασιλικὸν ἀπὸ τῆς μεγάλης Ἐκκλησίας Κωνσταντινουπόλεως φλωρία ἑκατὸν, ἐζήτει γὰρ παρανόμως ὁ Ἀχελὰδ πρὸς Βερόϊαν, ἐπειδὴ ἡ Βερόϊα ἦν Ἐπισκοπὴ τοῦ Θεσσαλονίκης τῆς πρὸς Κωνσταντινουπόλεως ὑποκειμένης. ἕβδομον, ἀποθανόντος τοῦ τότε Κωνσταντινουπόλεως Ἱερεμίου, καὶ γενομένου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Νικομηδείας Διονυσίου, παρόντος καὶ τοῦ Ἱεροσολύμων Γερμανοῦ εἰς Κωνσταντινούπολιν, ζήτησις ἐγένετο περὶ τῆς Ἐπισκοπῆς τοῦ ὄρους Σινᾶ ὑπὸ ποῖον Πατριαρχεῖον κεῖται, καὶ ἐβεβαιώθη εἶναι ἐν τῷ Κλίματι τοῦ Ἱεροσολύμων, ὡς μαρτυρεῖ ὁ μετέπειτα Κωνσταντινουπόλεως Ἱερεμίας, ὡς ῥηθήσεται εἰς τὸν τόπον πλατύτερον. ὄγδοον, οἱ Ὀθωμανοὶ τὸν Σταυρὸν τὸν ἐπὶ τοῦ τότε καιροῦ ὄντα ἐπὶ τοῦ Ναοῦ τῆς Παμμακαρίστου κατεβίβασαν, καθὼς ὁ Ὄμαρος κτίζων ἐν τῇ Ἱερουσαλὴμ τὸ Ἱερὸν κατεβίβασε τὸν Σταυρὸν τὸν ἐν τῷ ὄρει ὄντα τῶν ἐλαιῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς ἐπισκέψεως καὶ προσκυνήσεως τῶν Βασιλέων Ῥωμαίων καὶ ἄλλων τινῶν εἰς τοὺς ἁγίους τόπους τῆς Ἱερουσαλὴμ ἀπὸ τοῦ καιροῦ τῶν μεταξὺ Ἀράβων καὶ Λατίνων πολέμων ἕως τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως, καὶ τοῦ αἰτίου τῆς πτωχείας τῶν Πατριαρχῶν τῆς Ἱερουσαλὴμ, καὶ τοῦ καιροῦ τῆς Πατριαρχείας ἐν αὐτῇ Γερμανοῦ τοῦ Πελοποννησίου.

Σημείωσαι ὅτι, ἐπὶ καὶ ἐκυρίευσαν τῆς Παλαιστίνης οἱ Ἄραβες, ἀλλ' οἱ Βασιλεῖς τῶν Ῥωμαίων ἐπεσκέπτοντο τοὺς ἁγίους τόπους. καὶ οἱ Λατῖνοι ἐμάχοντο τοῖς Ἄραψι περὶ τῆς Παλαιστίνης, ἀλλ' εἰς τὴν ἧτταν αὐτῶν ἐσφάνουν οἱ Βασιλεῖς τῶν Ῥωμαίων πάλιν, καὶ ἐκυρίευον τοὺς ἁγίους τόπους πρέσβεσι, δώροις, βοηθείαις, καθὼς ἐποίησαν

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

1165

σεν ὁ Ἰσαάκιος ὅτε ἔλαβεν ὁ Σαλαδῖνος τὰ Ἱεροσόλυμα ἀπὸ τῶν Λατίνων, καὶ οἱ λοιποὶ Βασιλεῖς, οἵτινες ἐπεσκέπτοντο τὴν Ἱεροσολύμων Ἐκκλησίαν ἕως τῆς ἁλώσεως Κωνσταντινουπόλεως, καὶ δὴ καὶ οἱ τῆς Τραπεζοῦντος Βασιλεῖς τὸν ἐνόντα ἐπεσκέπτοντο αὐτὴν, καὶ αἱ Δέσποιναι αὐτῶν ἀπήρχοντο εἰς προσκύνησιν, ἔχουσαι καταγώγιον τὸ Μοναστήριον τοῦ ἁγίου Εὐθυμίου τὸ ἔνδον εἰς τὴν Ἱερουσαλὴμ, καὶ οἱ Σέρβοι Ζουμπάνοι τὰ ὅμοια ἐποίουν, ἔχοντες ἐν τῇ Ἱερουσαλὴμ τὸ Μοναστήριον τοῦ Ἀρχαγγέλου. ἀφ' οὗ ὅμως οἱ Ὀθωμανοὶ τῆς Κωνσταντινουπόλεως ἐξουσίασαν, κατεφρονήθησαν οἱ Ῥωμαῖοι ἐν τῇ Ἱερουσαλὴμ, καὶ μόνην εἶχον παρηγορίαν τοὺς Ἴβηρας, ἐπειδὴ οἱ Σουλτᾶνοι τῶν Αἰγυπτίων ἦσαν Κερκέται, Ἀβασγοὶ, καὶ Ἴβηρες, καὶ ἐδυνήθησαν οἱ Ἴβηρες εἶναι ὑπερασπισταὶ τῶν τε προσκυνημάτων καὶ Μοναστηρίων, ὅθεν ἔχουσιν ἐν τῇ Ἱερουσαλὴμ ἤδη ἓξ Μοναστήρια, τὴν δὲ ἁγίαν Θέκλαν καὶ τὸ Μοναστήριον τοῦ Προδρόμου οἱ Πατριάρχαι πολὺ ὕστερον ἔλαβον παρὰ τῶν Ἰβήρων δωρεὰν, καὶ τὸ τοῦ Θεολόγου Μοναστήριον, ὅπερ ἔχουσι νῦν οἱ Φράγγοι, τῶν Ἰβήρων ἦν, ὁμοίως καὶ ὁ ἅγιος Ἰάκωβος, ὃν ἔχουσιν οἱ Ἀρμένιοι. λέγω δὲ ταῦτα κατὰ μέρος, ὅτι καὶ ἐκεῖνοι ἐφθόνουν αὐτοῖς καὶ διηνώχλουν, τὸ γὰρ βάρβαρον κατ' Εὐριπίδην οὔποτε Ἕλλησι γένοιτο φίλον, οὔτ' ἂν δύναιτο, οὐμὴν ἀλλὰ καὶ διὰ τὸ εἶναι τὴν Παλαιστίνην ὑπὸ τὸν Σουλτᾶνον τῆς Αἰγύπτου, καὶ τοὺς Ῥωμαίους ὡς ἐπιτοπλεῖον ὑπὸ τοὺς Ὀθωμανοὺς, οὐκ ἀπέρχοντο εὐκόλως οἱ Χριστιανοὶ εἰς προσκύνησιν, ὅθεν καὶ οἱ Πατριάρχαι ἦσαν πτωχότατοι, σημεῖον δὲ πρῶτον, ὅτι τὰ Μοναστήρια καὶ ἡ Ἐκκλησία τοῦ ἁγίου τάφου καὶ ἡ τῆς Βηθλεὲμ οὐδὲ μίαν ἀνακαίνισιν εἶχον εἰς τὰ ἀπειλειφότα καὶ ἐπαπειλοῦντα πτῶσιν μέρη. δεύτερον, ὅτι μήτε καὶ ἱερὰ σκεύη, ἢ ἄμφια εἶχον, ὅθεν Πανίοις ἱεροῖς ἐλειτούργουν, καὶ Τρικήριον εἶχον σιδηροῦν. τρίτον, ὅτι οἱ Πατριάρχαι ἔζων ἐργαζόμενοι ταῖς ἰδίαις χερσὶ κατὰ τὸν Ἀπόστολον, μὴ ἔχοντες οὔτε ἔλεος, οὔτε πρόσοδον, καὶ διατοῦτο ἠκολούθησε καὶ τῇ κοινότητι τῶν Χριστιανῶν ἔνδεια, ἀφ' ἧς ὅσα τίκτονται, οἴδασιν οἱ παίτες. ἐν δὲ τῷ χιλιοστῷ πεντακοσιοστῷ τριακοστῷ τετάρτῳ ἔτει ἐγένετο ὁ ῥηθὴς Γερμανὸς Πατριάρχης Ἱεροσολύμων, ὁρμώμενος ἀπὸ τῆς Πελοποννήσου, ἀπὸ χώρας ἥτις λέγεται Ἀράχωβα, οὐ τῆς ἐμῆς τῆς ὑπὸ τὴν Ἐπαρχίαν τῆς Μητροπόλεως Κορίνθου κειμένης, ἀλλ' ἀπ' ἐκείνης τῆς κειμένης ἐν τοῖς μέρεσι τῆς Τροπολιτζᾶς.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς χρησιμότητος τοῦ Ἱεροσολύμων Γερμανοῦ, καὶ ἧς ἐποίησεν ἀνακαινίσεως, καὶ ποῦ ἀπεδήμησε χάριν ἐλέους, καὶ ποῦ ὡς ἐπιτοπλεῖστον ᾤκει, καὶ περὶ τοῦ ἐπιχειρήματος τῶν Φραντζεσκάνων ἐν τῇ Ἀποκαθηλώσει, καὶ τῶν κρημνισθέντων διὰ σεισμοῦ ἐν τῷ ἁγίῳ τάφῳ καὶ ἐν τῇ Βηθλεὲμ, καὶ περὶ Σωφρονίου τοῦ Πελοποννησίου.

Ἐπειδὴ λοιπὸν ὁ Γερμανὸς ἦν Ῥωμαῖος, καὶ ἡ Ἱερουσαλὴμ ἦν τότε ὑπὸ τὴν Κωνσταντινούπολιν, δι' ὃ καὶ οἱ Ῥωμαῖοι ἤρξαντο εἰς προσκύνησιν τῶν ἁγίων τόπων ἔρχεσθαι, ἦλθεν εἰς Κωνσταντινούπολιν, καὶ ἀπῆλθε καὶ εἰς ἄλλους τόπους χάριν ἐλέους, χρήσιμος φανεὶς ἐν πολλοῖς τῷ ἀποστολικῷ θρόνῳ. Σημείωσαι δὲ ὅτι οἱ Ἄραβες ὅτε ἔλαβον τὴν Ἱερουσαλὴμ παρὰ τῶν Λατίνων πρὸς τοῖς πολλοῖς κακοῖς καὶ ἀφανισμοῖς οἷς ἐποίησαν τοῖς Μοναστηρίοις τῆς ἁγίας γῆς, συνέτριψαν καὶ τὸ τούρλλαιον τὸ μικρὸν ὃ ἦν ἐπάνω τοῦ Κυβουκλίου τοῦ ἁγίου τάφου. ἀλλ' ὁ Πατριάρχης οὗτος Γερμανὸς ἀνεκαίνισεν αὐτὸ ὡς ὁρᾶται νῦν στύλοις μαρμαρέοις καὶ μολύβδῳ. ἐκάθητο δὲ ὡς ἐπιτοπλεῖστον πέραν τοῦ Ἰορδάνου, ὅτι ἦσαν ἐκεῖ Χριστιανοὶ πολλοὶ καὶ πλούσιοι, οἵτινες ἐπὶ τοῦ προλαβόντος Σουλτᾶν Μωαμὲτ ἠφανίσθησαν. Σημείωσαι δὲ ὅτι ἀποδημοῦντος τοῦ Γερμανοῦ πέραν τοῦ Ἰορδάνου, οἱ Φράγγοι Φραντζεσκάνοι κατεσκεύασαν ἐν κιβώτιον σιδηροῦν ἀντεστραμμένον, ἤγουν κάτωθεν διάκενον, καὶ ἔθηκαν αὐτὸ ἐπάνω τῆς Ἀποκαθηλώσεως καὶ ἐλειτούργουν, μαθὼν δὲ τὸ γεγονὸς ὁ Πατριάρχης Γερμανὸς, ἦλθε καὶ ἔρριψεν αὐτὸ ἐκεῖθεν. ἐν τοῖς καιροῖς δὲ τούτου τοῦ Γερμανοῦ σεισμοῦ γενομένου, ἔπεσεν ὁ τοῦρλλος τοῦ πύργου τοῦ χαλκοῦ καμπάνου, ἤτοι τὸ καμπαναρεῖον τοῦ ἁγίου τάφου ἐπὶ τοῦ ἐγγὺς αὐτοῦ Ναοῦ τῆς Ἀναστάσεως, καὶ συνεκρήμνισε τὸν τοῦρλλον τοῦ Ναοῦ τῆς Ἀναστάσεως, καὶ μένει οὕτως ἕως τῆς σήμερον. ἐν τῷ αὐτῷ σεισμῷ ἐκρημνίσθη καὶ τὸ καμπαναρεῖον τῆς ἁγίας Βηθλεὲμ ὡς νῦν ὁρᾶται, μόνα γὰρ ταῦτα τὰ δύο εἴασαν οἱ Ἄραβες ἀκρήμνιστα, καὶ τότε ἔπεσαν ὑπὸ τοῦ σεισμοῦ ὡς γράφει ὁ Γερμανὸς πρός τινα κατὰ τὴν Κρήτην αὐτοῦ φίλον. εὑρισκόμενος δὲ εἰς Κωνσταντινούπολιν ὁ Πατριάρχης Γερμανὸς, ἱερέα τινὰ κοσμικὸν Πελοποννήσιον ἐν τῇ Ἐκκλησίᾳ τοῦ ἁγίου Νικολάου τῇ ἐγγὺς τοῦ τείχους τῆς Κωνσταντινουπόλεως κατὰ τὸ λεγόμενον τουρκογραικιστὶ Ἁγιάκαπι ἔξωθεν οὔσῃ ὄντα εὑρὼν, ἔλαβε μεθ' ἑαυτοῦ εἰς Ἱερουσαλὴμ ἐπανερχόμενος, καὶ ἐνέδυσεν αὐτὸν τὸ τῶν Μοναχῶν σχῆμα, καὶ μέλλων ἀποθνήσκειν, ἐποίησεν αὐτὸν αὐτοῦ διάδοχον, οὗ τὴν παραίτησιν εὑρήκαμεν εἰς Ἱερουσαλὴμ, καὶ τὴν προβίβασιν τοῦ Σωφρονίου (οὕτω γὰρ ἐκαλεῖτο ὁ διάδοχος αὐτοῦ) ὑπογεγραμμένην ὑπὸ τῆς τότε Συνόδου, ἣν ἀραβιστὶ οὖσαν, μετεφράσαμεν ἑλληνιστὶ, ἔστι δὲ αὕτη.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ΄.

Περὶ τοῦ γράμματος τῆς παραιτήσεως τοῦ Ἱεροσολύμων Γερμανοῦ, καὶ προβιβασμοῦ εἰς τὸν θρόνον τοῦ Σωφρονίου.

Ἔτους ὄντος ἑπτακισχιλιοστοῦ ὀγδοηκοστοῦ ἑβδόμου ἐν ἡμέρᾳ τρίτῃ ἤθροισεν ὁ Πατριάρχης κύριος Γερμανὸς Σύνοδον ἐν τῷ κελλίῳ αὐτοῦ Ἄρχοντας τῆς Ἱερουσαλὴμ καὶ τοὺς Κληρικοὺς μικρούς τε καὶ μεγάλους, καὶ εἶπεν αὐτοῖς, Τέκνα μου ὁ Θεὸς εὐλογήσαι ὑμᾶς, ὅτι οὐδύναμαι καθίσαι ἐν τῷ Πατριαρχείῳ, γέρων ἄνθρωπος ὤν, καὶ μὴ ἔχων δύναμιν ὑπομένειν ἐν αὐτῷ, ἐκλέξασθε ὅμως ἕνα ἀντ' ἐμοῦ, καὶ βάλλετε αὐτὸν εἰς τὸν ἐμὸν τόπον. καὶ πάντες ἐδέξαντο τοῦτον τὸν λόγον, καὶ μετεπέμψαντο τὸν Ἀλεξανδρείας Πατριάρχην Σίλβεστρον εἰς τὸ κελλίον ἔνθα ἦσαν ὁ Μητροπολίτης Δωρόθεος, καὶ ὁ Μητροπολίτης Νεκτάριος, καὶ ὁ Ἐπίσκοπος τοῦ Σινᾶ Εὐγένιος, καὶ Συμεὼν ὁ Ἐπίσκοπος τῆς ἁγίας Ἄννης ἐκ τῆς Δαμασκοῦ, καὶ συνεφώνησαν ὅλοι ὅτε Πατριάρχης τῆς Ἀλεξανδρείας, καὶ οἱ Μητροπολῖται, καὶ οἱ ἐπίλοιποι Ἀρχιερεῖς προχειρίσασθαι Πατριάρχην εἰς τὸν τόπον τοῦ Πατριάρχου κυρίου Γερμανοῦ τῷ αὐτοῦ θελήματι, καὶ ἔδωκαν κλήρους κατὰ τὴν τάξιν τοῦ ἡγιασμένου Νόμου, καὶ ἔγραψαν εἰς τρία φύλλα ὀνόματα τρία, εἶτα ὁ Πατριάρχης τῆς Ἀλεξανδρείας καὶ οἱ λοιποὶ Ἀρχιερεῖς τῇ δευτέρᾳ ἡμέρᾳ ἔφερον τὰ τρία φύλλα, καὶ ἔθηκαν αὐτὰ ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ ἐλειτούργησαν κατ' ἐκείνην τὴν ἡμέραν, καὶ πάντες ἐδεήθησαν τοῦ Θεοῦ, μετὰ δὲ τὴν ἀπόλυσιν τῆς Λειτουργίας, εἰσήγαγον βρέφος, ἤγουν παιδίον εἰς τὸ ἅγιον βῆμα, καὶ ἔφερεν ἔξω ἐν τῶν τριῶν φύλλων, καὶ ἔτυχεν εἶναι τὸ εἰς τὸ ὄνομα τοῦ Παπᾶ Σωφρονίου γεγραμμένον, καὶ πάντες, ἤγουν ὁ Πατριάρχης τῆς Ἀλεξανδρείας, καὶ ὁ λαὸς τῆς Ἱερουσαλὴμ μικροί τε καὶ μεγάλοι ἠθέλησαν αὐτὸν τῷ ἰδίῳ αὐτῶν θελήματι καὶ τῷ θελήματι τοῦ Πατριάρχου Γερμανοῦ. ἐζήτησε δὲ ὁ Πατριάρχης Γερμανὸς ἀπὸ τοῦ Πατριάρχου Σωφρονίου λαβεῖν ἐνορίαν τὴν Λύδδαν καὶ τὸ Ῥέμπλι, καὶ ἔχειν αὐτὴν διὰ βίου παντὸς, ὁμοίως καὶ τὴν ἐξουσίαν αὐτῆς μόνος αὐτὸς, τὸν δὲ Σωφρόνιον μὴ ἔχειν ἐν αὐτῇ ἐξουσίαν. καὶ ὅλοι οἱ Χριστιανοὶ εἶπον τῷ Πατριάρχῃ Γερμανῷ, ἤγουν οἱ Χριστιανοὶ τῆς Ἱερουσαλὴμ, Ὦ ἡμέτερε πάτερ μὴ ἄπελθε ἀφ' ἡμῶν, ἐγγὺς ὢν ἡμῶν ἐν τῇ Ἱερουσαλήμ. εἶπε δὲ αὐτοῖς, Τεκνία μου, Ἔστε εὐλογημένοι ἀπὸ Θεοῦ, ἐὰν δυνηθῶ καθίσαι ἐν τῇ Ἱερουσαλὴμ, κάθημαι, εἰ δυνηθήσομαι ἀναπαυθῆναι, ἐὰν δὲ μὴ ἀναπαυθῶ, πορεύομαι εἰς Λύδδαν καὶ εἰς τὸ Ῥέμπλι. ἀποκριθέντες δὲ πάντες οἱ τῆς Ἱερουσαλὴμ Χριστιανοὶ εἶπον αὐτῷ, Ὅπερ ἂν ἔλθοι εἰς τὴν ὄρεξίν σου, τοῦτο ποίησον. Ὅτι οἱ Χριστιανοὶ ὅλοι τῆς Ἱερουσαλὴμ παρόντος τοῦ Πατριάρχου τῆς Ἀλεξανδρείας, καὶ τοῦ Μητροπολίτου Νεκταρίου, καὶ τοῦ Ἐπισκόπου τοῦ Σινᾶ Εὐγενίου ἔστερξαν εἰς αὐτό. Καὶ, ὅτι οἱ Χριστιανοὶ τῆς Ἱερουσαλὴμ μεγάλοι καὶ μικροὶ οὐκ ἔχουσιν εἰς τὸν Πατριάρχην δίκαιόν τι, οὔτε συμφωνίαν, οὔτε ζήτημα, οὔτε πρᾶγμα ἀπὸ τοῦ ἁγίου τάφου, οὔτε ἀπὸ πράγματος ἀφιερωμένου, οὔτε ἀπὸ χρυσίου, οὔτε ἀπὸ ἀργυρίου, οὔτε ἀπὸ πράγματος τοῦ ἁγίου τάφου, οὔτε ἀπὸ ἄλλου τινός. Καὶ, ὅτι ἐδέξαντο ὅλοι ἀφορισμὸν ἀπὸ Θεοῦ, καὶ τῆς Συνόδου τῶν ἡγιασμένων, καὶ τῶν εὑρεθέντων πατέρων, ἵνα ὦσιν ἀφωρισμένοι ἀπὸ Θεοῦ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, καὶ ἀπὸ τῶν τριακοσίων δεκαοκτὼ πατέρων, καὶ τῶν παρευρεθέντων Ἀρχιερέων (τοῦτον δὲ τὸν ἀφορισμὸν ἐδέξαντο οἱ τῆς Ἱερουσαλὴμ Χριστιανοὶ ἀφ' ἑαυτῶν) εἴγε ἐμποδίσουσιν αὐτὸν, ἢ ἐγκαλέσουσιν, ἢ λυπήσουσιν ἰδίῳ αὐτῶν θελήματι, καὶ εἰσὶν ὁ Παπᾶς Νασράλας τοῦ Κανδηλάπτου ὁ υἱὸς, καὶ ὁ ἀδελφὸς αὐτοῦ ὁ Χαλίλης, καὶ ὁ Ἰακούπης ὁ υἱὸς τοῦ Ζαροῦρ, καὶ ὁ Μιχαῆλος τοῦ Σαμπαῖ ὁ υἱὸς, καὶ ὁ ἀδελφὸς τοῦ Ῥισκάλα, καὶ Ἴσας τοῦ Σουλεϊμαῖ ὁ υἱὸς ὁ Ἀβραμίτης, ὁ Ἰωάννης τοῦ Λουτάηφ υἱὸς, καὶ οἱ λοιποὶ, οἵτινες ἐὰν ἐμποδίσωσιν αὐτὸν, ἢ ἐγκαλέσωσιν, ἢ λυπήσωσιν, ἔχωσι διδόναι τῷ Ἱερῷ Φλωρία βενέτικα πεντήκοντα κατὰ τὸν ὁρισμὸν τῆς κρίσεως. Καὶ, ὅτι ὁ Πατριάρχης ὁ Γερμανὸς κατέβη ἀπὸ τοῦ θρόνου ἰδίῳ αὐτοῦ θελήματι. Καὶ, ἵνα ὁ Πατριάρχης Σωφρόνιος διακυβερνᾷ τὸν Γερμανὸν Πατριάρχην, καὶ ἔχῃ αὐτὸν ὡς πατέρα, Καὶ, ἡ εὐλογία ἔστω πρὸς τοὺς ἀκούοντας διὰ πρεσβειῶν τῆς Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου, καὶ πάντων τῶν ἁγίων. ἡμέρα τρίτη, ἔτος ἀπὸ Ἀδὰμ ἑπτακισχιλιοστὸν ὀγδοηκοστὸν ἕβδομον.

ΠΑΡΑΓΡΑΦΟΝ Ε΄.

Περὶ τῆς ἱλαρότητος τοῦ Ἱεροσολύμων Σωφρονίου καὶ εὐλαβείας, καὶ ὧν ἐποίησεν ἀνακαινίσεων ἐπὶ τοῦ Σουλτᾶν Ἀχμὲτ, καὶ τῆς ἀποδημίας αὐτοῦ εἰς Βυζάντιον, Μολδαβίαν, καὶ Βλαχίαν, ἐν ᾗ ἔλαβε τὸ Μοναστήριον τοῦ Γκρουΐα.

Ὁ τοίνυν Σωφρόνιος ἦν ἄνθρωπος ἱλαρὸς, καὶ περὶ τὰ θεῖα ὅτι μάλιστα εὐλαβής. οὗτος ἀνεκαίνισε καὶ τὸν Ναὸν τοῦ ἁγίου Κωνσταντίνου τὸν ὄντα ἔνδον εἰς τὸ Πατριαρχεῖον, ὡς φαίνεται σημείωμα εἰς τὸν Ναὸν τοῦτον τόδε,

Ἀνεκαινίσθη ὁ θεῖος οὗτος καὶ πάνσεπτος Ναὸς, καὶ ἐνεκαινίσθη εἰς τὸ ὄνομα τῶν ἁγίων ἐνδόξων μεγάλων Βασιλέων καὶ Ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης,

Ἑλένης, διὰ συνδρομῆς καὶ δαπάνης τοῦ παναγιωτάτου Πατριάρχου Ἱεροσολύμων κυρίου Σωφρονίου εἰς μνημόσυνον αἰώνιον αὐτοῦ τε καὶ τῶν γονέων αὐτοῦ. ἐν ἔτει ἑπτακισχιλιοστῷ ἑκατοστῷ δεκάτῳ ἕκτῳ. ἐπὶ τῆς βασιλείας Σουλτᾶν Ἀχμέτ.

ἀλλὰ καὶ πολλὰς ἄλλας ἀνακαινίσεις πεποίηκεν. οὗτος ἐξελθὼν, ἦλθεν ἕως Κωνσταντινουπόλεως, καὶ ἕως Γιασίου τῆς Μολδοβλαχίας ἐπὶ Πέτρου βοεβόδα. ἠθέλησε δὲ ἀπελθεῖν ἕως Μοσχοβίας; ἀλλ' οὐκ ἀπῆλθεν, ἐπεὶ ἦν ἐκεῖ ὁ Κωνσταντινουπόλεως Ἱερεμίας, ὅτε καὶ ἡ Μητρόπολις Μοσχοβίας εἰς Πατριαρχεῖον ἐτιμήθη. ἀπῆλθεν ὅμως εἰς τὴν Βλαχίαν, ὅτε ἔλαβε καὶ τοῦ Γκρούϊα τὸ Μοναστήριον, καὶ διὰ τῆς Βύζαντος ἐπανῆλθεν εἰς Ἱεροσόλυμα. τὸ δὲ τέμπλον τοῦ Ναοῦ τοῦ ἁγίου τάφου ἤρξατο κατασκευάζειν ὁ Σωφρόνιος, ἐτελειώθη δὲ ἐπὶ Θεοφάνους, ὡς φαίνεται σεσημειωμένον ἐπάνω τοῦ τέμπλου ὄπισθεν τόδε,

Ἀνεκαινίσθη τὸ τέμπλον τοῦ ἁγίου καὶ ζωοδόχου τάφου κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν δεύτερον ἔτος, Μηνὶ Ἀπριλλίῳ, ἐκ τῆς Νήσου Κρήτης ὑπ' ἐμοῦ Μακαρίου Ἱερομονάχου, καὶ ὁ Σταυρὸς κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ὄγδοον, Μηνὶ Μαρτίῳ. ἐτελειώθησαν ὅλα τὰ πανία τὰ κόκκινα καὶ τὰ ἠεράνεα μετὰ τῶν Ἄστρων διὰ χειρὸς καὶ δαπάνης ἐμοῦ τοῦ ἄνωθεν ἁμαρτωλοῦ Μακαρίου, πατριαρχοῦντος τοῦ μακαριωτάτου κυρίου Θεοφάνους. ὅτε δὲ ἐφέρομεν τὸ τέμπλον, ἦν ὁ μακαριώτατος κύριος Σωφρόνιος, ὅστις τὸν αὐτὸν χρόνον ἐτελειώθη. καὶ τὸ χρύσωμα τοῦ τέμπλου διὰ χειρὸς Μαξίμου Ἱερομονάχου τοῦ Κρητός. τὸν αὐτὸν χρόνον κατεσκευάσθη καὶ ὁ Τοῦρλος τῆς ἁγίας τραπέζης διὰ συνδρομῆς ἡμετέρας. ἅπαντα ἀνεκαινίσθησαν ἐκ τῆς Νήσου Κρήτης. Ἐγράφη αὕτη ἡ ἐνθύμησις διὰ χειρὸς ἐμοῦ Μακαρίου καὶ ἁμαρτωλοῦ Ἱερομονάχου τοῦ ἐκ τῆς Νήσου Χίου, ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ἐνάτῳ, Μαρτίου εἰκοστῇ.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τοῦ ποίῳ τρόπῳ ἔλαβον οἱ Φράροι τὸ ἅγιον Σπήλαιον καὶ τὸν Γολγοθὰν, καὶ αὖθις ὁ Σωφρόνιος τὸν Γολγοθὰν οὐχ ὅλον, καὶ πότε ὁ Σωφρόνιος ἐχειροτόνησεν ἀντ' αὐτοῦ τὸν Θεοφάνη, καὶ ἔκτισε τὰς τέσσαρας ἀψίδας τοῦ ἁγίου Σπηλαίου, καὶ πόσα ἐπατριάρχευσεν ἔτη, καὶ περὶ τῆς εἰς Μοσχοβίαν ἀποδημίας τοῦ Θεοφάνους.

Χρὴ εἰδέναι, ὅτι ἦσαν ἐν τῇ Βηθλεὲμ ὀρθόδοξοι τεταγμένοι ὑπὸ τοῦ Πατριάρχου ἔχειν τὴν μεγάλην Ἐκκλησίαν καὶ τὸ ἅγιον Σπήλαιον εἰς τὴν ἐξουσίαν αὐτῶν, καὶ ἐπειδὴ ἐπορεύθησαν οἱ πατέρες (ἀγνοοῦμεν δὲ τὸ ἔτος) εἰς τὴν Ἱερουσαλὴμ τῷ μεγάλῳ Σαββάτῳ, καὶ ἔμεινε μόνος ὁ Κανδηλάπτης, ἠθέλησε πορευθῆναι καὶ αὐτὸς, ὡς δὲ ἁπλοῦς ἄνθρωπος ἐνεπιστεύθη καὶ ἀφεῖκε τὰς κλεῖς τοῦ ἁγίου Σπηλαίου ταῖς χερσὶ Φράρου τινὸς, παραγγείλας αὐτῷ ἀνάψαι τὸ ἑσπέρας τὰς Κανδήλας τοῦ ἁγίου Σπηλαίου, καὶ ποιῆσαι παννύχιον καίεσθαι, καὶ οὕτως ἐπορεύθη εἰς Ἱερουσαλὴμ χάριν προσκυνήσεως (αὕτη ἐστὶν ἡ ἀλήθεια, καὶ οὐχ ὅπερ φησὶν ὁ Πατριάρχης Νεκτάριος εἰς τὸ Συνταγμάτιον αὐτοῦ) ἐλθὼν δὲ τὸ πρωΐ, ἐζήτησε τὰς κλεῖς παρὰ τοῦ Φράρου, ἐκεῖνος δὲ ὕβρισεν αὐτὸν, οἱ δὲ Φράροι ἀπελθόντες εἰς τοὺς κριτὰς, καὶ χρημάτων πλῆθος αὐτοῖς δόντες, ἐγένοντο κύριοι τοῦ ἁγίου Σπηλαίου ἕως τῶν καιρῶν τοῦ κυρίου Θεοφάνους Πατριάρχου τῶν Ἱεροσολύμων. Ἐν δὲ τοῖς καιροῖς τοῦ παρόντος κυρίου Σωφρονίου ἦλθεν εἷς πρεσβευτὴς Φραντζέζος ἀπὸ τῆς Κωνσταντινουπόλεως χάριν προσκυνήσεως τῶν ἁγίων τόπων, καὶ δοὺς ἓξ χιλιάδας φλωρία χρυσᾶ τοῖς κριταῖς, ἔλαβεν ἀπὸ τῶν ὀρθοδόξων καὶ τὸν ἅγιον Γολγοθάν. ὁ δὲ κύριος Σωφρόνιος ἐδαπάνησε δώδεκα χιλιάδας, καὶ ἔλαβεν αὐτὸν ὀπίσω, οὐ μέντοι ὅλον, ἀλλὰ τὸ ἑτερόμηκες τετράγωνον, ὅπερ ἐστὶν ἐν τῷ μέρει τῆς μεγάλης Ἐκκλησίας, ἐν ᾧ ἐστὶ καὶ τὸ ἴδιον Κρανίον, τὸ δὲ ἄλλο τετράγωνον, ὅπερ ἐστὶ κατὰ τὸ νότιον μέρος, ἐκράτησαν οἱ Φράγγοι ἕως τῶν καιρῶν τοῦ κυρίου Θεοφάνους. καὶ ἐπειδὴ ὁ κύριος Σωφρόνιος τὰς δώδεκα χιλιάδας δανειακῶς ἔλαβε, καὶ ἦν γέρων ἄνθρωπος, ἐχειροτόνησεν ἀντ' αὐτοῦ Πατριάρχην τὸν κύριον Θεοφάνην, νέον ὄντα, καὶ ἀπέστειλεν αὐτὸν ἔξω χάριν ἐλεημοσύνης, πατριαρχεύσας αὐτὸς χρόνους εἰκοσιεννέα. Οὗτος ὁ Σωφρόνιος ἔκτισεν ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ τῆς Βηθλεὲμ τὰς τέσσαρας καμάρας τὰς ἐν τοῖς δυσὶ μέρεσι τοῦ ἁγίου Σπηλαίου, ἔμελλε γὰρ καταπίπτειν ἡ μεγάλη Ἐκκλησία, ὁ δὲ κτίσας αὐτὰς τὰς καμάρας, ἐβοήθησε τῇ Ἐκκλησίᾳ, νῦν ὅμως αἱ καμάραι αὗται ἀπὸ τοῦ μέρους τῆς Δύσεως οὐ γινώσκονται, ἐπειδὴ ὅτε ἡμεῖς σὺν Θεῷ ἀνῳκοδομήσαμεν τὸν Ναὸν τοῦτον, ἀπεκλείσαμεν αὐτὰς, καὶ ἐβάλομεν θύρας, ὁρῶνται ὅμως ἐκ τοῦ Ἀνατολικοῦ μέρους, καὶ διαγινώσκονται καθαρῶς, ἐπειδὴ αὗται εἰσὶν αἱ θύραι αἱ κατὰ τὸ πλευρὸν αὐτῶν χωρίζουσαι τὰ βήματα τῆς Ἐκκλησίας τῆς μεγάλης τοῦ ἔξωθεν καὶ Δυτικοῦ μέρους αὐτῆς. Τοῦτον τὸν σωφρόνιον ἔτι ζῶντα ἔφθασεν ὁ μακαρίτης Πατριάρχης Παΐσιος, χρηματίσας αὐτοῦ καὶ ὑπηρέτης, καὶ πολλάκις νέῳ μοι ὄντι καὶ διακόνῳ αὐτοῦ ἔλεγεν, ὅτι τῶν βρωμάτων τῶν ἀπολειφθέντων ἀπὸ τῶν ἀγγείων πολλάκις ἀμνημόνησεν ἐν τῷ ἑρμαρίῳ, καὶ οὔτε ἐδυσῴδησαν ἐντοσούτων ἡμερῶν διαστήματι ἐκεῖ μείναντα, οὔτε σεσήπασιν. Οὗτος ὁ Σωφρόνιος διὰ τὸ κλείειν τὰς θύρας τοῦ ἁγίου τάφου τοὺς βασιλικοὺς ἀνθρώπους κατὰ τὴν συνήθειαν καὶ τὸ βασιλικὸν διάταγμα, καὶ καιμᾶσθαι ἔνδον ἄνδρας τε καὶ γυναῖκας, καὶ ἑπομένως εὐωχίας καὶ ὀχλαγωγίας γίνεσθαι, ἠθέλησεν ἐμποδίσαι τοῦτο, καὶ ὁρᾷ καθ' ὕπνον τὸν Χριστὸν λέγοντα αὐτῷ, Ἐπίσκοπε, ἐγὼ ὑποφέρω ταῦτα, σὺ δὲ διατὶ βούλει ἐμποδίσαι τὸν λαόν μου μὴ εἰσέρχεσθαι ἔσω;

ἀρκεῖ

ἀρκεῖ ἡ εὐσέβεια τούτων, καὶ περὶ τῶν λοιπῶν οἰκονομητέον. Οὗ δὴ κύριος Θεοφάνης προβιβασθεὶς κοινῇ ψήφῳ τοῦτε γέροντος κυρίου Σωφρονίου καὶ ἁπάσης τῆς Συνόδου Πατριάρχης Ἱεροσολύμων ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ὀγδόῳ, ἔμεινεν ἐν Ἱερουσαλὴμ μερικὰ ἔτη, εἶτα ἦλθεν εἰς Κωνσταντινούπολιν μετὰ τοῦ τιμιωτάτου καὶ εὐγενεστάτου Ἄρχοντος Σκαρλάτου, κἀκεῖθεν εἰς Μοσχοβίαν.

ΒΙΒΛΙΟΝ ΙΑ'. ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς εἰς τὸ ἅγιον Πάσχα καινοτομίας Γρηγορίου τοῦ τρισκαιδεκάτου, ἣν ὡς παράβασιν ἡ ἐν Κωνσταντινουπόλει Σύνοδος ἀπεβάλετο.

Ὅτι μέγιστον σκάνδαλον προὐξένησεν ἡ Ῥώμη καὶ ὁ Πάπας Γρηγόριος ὁ τρισκαιδέκατος παντὶ τῷ κόσμῳ, καὶ πᾶσι τοῖς χριστιανικοῖς ἔθνεσι διὰ τὸ καινοτομῆσαι εἰς τὸ ἅγιον Πάσχα, τοῦτο, ἡ καινοτομία δηλονότι περὶ τὸ ἅγιον Πάσχα ἀποδείξεως οὐ δεῖται, ἐπειδὴ ἡ κατ' ἔτος πρᾶξις μάρτυς ἀπαρέγγραπτος. ἐκτὸς ὅμως τούτου, ὅτι οὐγέγονεν ἀσφαλὴς καὶ ἡ τοιαύτη λεγομένη διόρθωσις, ἄλλο τε μὲν γὰρ οἱ Λατῖνοι τὸ Πάσχα τῶν Ἑβραίων προεορτάζουσιν, ἄλλο τε δὲ τοῦτο τοῖς Ἑβραίοις συνεορτάζουσι, καὶ κατὰ ταύτην τὴν διόρθωσιν, δείκνυται φανερὸν τὸ ἁμάρτημα τῶν παραβαινόντων τοὺς τῆς καθολικῆς Ἐκκλησίας Κανόνας Λατίνων. ὅτι δὲ ἡ Ἀνατολικὴ Ἐκκλησία φυλάττουσα τὸ ἀρχαῖον καὶ πάτριον ἔθος, οὐδέποτε ὑποπίπτει τῷ ἁμαρτήματι τούτῳ, ἀλλὰ μένει κἀν τούτῳ καθαρά τε καὶ ἁγνὴ ὡς καὶ ἐν τοῖς λοιποῖς πᾶσι, φανερὸν ἐστὶ πᾶσι τοῖς εἰδόσι τοὺς τέσσαρας διορισμοὺς καὶ Κανόνας τῆς Ἐκκλησίας, καθ' οὓς δεῖ φυλάττεσθαι τὴν τελεσιουργίαν τοῦ ἁγίου Πάσχα. περὶ δὲ τῆς ὑποθέσεως ταύτης τοῦ ἁγίου Πάσχα πλατύτερον ἐνταῦθα εἰπεῖν, περιττὸν ἂν εἴη, ἐπειδὴ ἡ ἐν Κωνσταντινουπόλει συναθροισθεῖσα ἁγία Σύνοδος ἐπὶ παρουσίᾳ τῶν Πατριαρχῶν, Κωνσταντινουπόλεως Ἱερεμίου, Ἀλεξανδρείας Μελετίου, καὶ Ἱεροσολύμων Σωφρονίου, ἀπεβάλετο ταύτην τὴν παράβασιν μᾶλλον ἢ διόρθωσιν τοῦ ἁγίου Πάσχα ὡς ἐπισφαλῆ, ὡς μὴ ἀναγκαίαν, ὡς ἀντικειμένην τοῖς ἱεροῖς Κανόσι, καὶ ὡς πρόξενον πολλῶν σκανδάλων εἰς πάντα τὰ Χριστιανικὰ ἔθνη ὡς εἴρηται.

ΒΙΒΛΙΟΝ ΙΑ'. ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν οὐ πολὺ πρότερον ἡμῶν καὶ ἐπὶ τῶν ἡμερῶν ἡμῶν Πατριαρχῶν τῆς Κωνσταντινουπόλεως, καὶ πρῶτον ἀπὸ Ἱερεμίου ἕως Νεοφύτου, καὶ τοῦ Τόμου τῆς καθαιρέσεως τῶν μὴ διδόντων Μητροπολιτῶν τὰς ὡρισμένας ὑπὸ τῶν Πατριαρχῶν δόσεις, καὶ τῆς καθαιρέσεως ἐπ' αἰτίᾳ ἐγκλημάτων τοῦ Κύπρου Ἀθανασίου.

Περὶ τῶν πρὸ Τιμοθέου Πατριαρχῶν τῆς Κωνσταντινουπόλεως οὐδὲν ἔχομεν σαφὲς εἰπεῖν, ἀλλ' οὔτε εὑρίσκεται κῴδιξ ἐν τῷ Πατριαρχείῳ, ὡς ἂν δυνηθῶμεν μαθεῖν τι πλεῖον, ἀπὸ δὲ τινῶν εὑρισκομένων κῳδίκων, καὶ αὐτῶν συγκεχυσμένων καὶ χθιζῶν ὡς εἰπεῖν, οὐδὲν εὑρίσκομεν ἴδιον ἔργον Πατριάρχου τινὸς, πλὴν ὅτι ἐν ἔτει ἑπτακισχιλιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ (πρὸ γὰρ τούτου τοῦ ἔτους οὐχ εὑρίσκεται κῴδιξ) ὁ Ἱερεμίας τὰς εἰς τὴν χώραν τοῦ Βρίγκα οἰκοδομηθείσας αὐτῷ οἰκίας, ἀμπελῶνας, καὶ κήπους ἀφιεροῖ τῇ Μονῇ τῆς Παμμακαρίστου, καὶ ὅτι εἰς τὸ χωρίον ἐκεῖνο ἦν ἁγίασμα τῆς ἁγίας Παρασκευῆς, καὶ ὅτι ἦν Πατριάρχης Ἰωάσαφ ἐν ἔτει ἑπτακισχιλιοστῷ ἑβδομηκοστῷ δευτέρῳ, καὶ Μητροφάνης ἐν ἑπτακισχιλιοστῷ ἑβδομηκοστῷ ἑβδόμῳ, καὶ Θεόληπτος ἐν ἑπτακισχιλιοστῷ ἐννενηκοστῷ τρίτῳ, καὶ Ματθαῖος ἐν ἑπτακισχιλιοστῷ ἑκατοστῷ ἐνάτῳ, πρὸ δὲ τούτου ἐπετρόπευε τὸ Κωνσταντινουπόλεως Πατριαρχεῖον ὁ Ἀλεξανδρείας Μελέτιος. καὶ ὁ Ῥαφαὴλ ἐν ἑπτακισχιλιοστῷ ἑκατοστῷ δεκάτῳ πρώτῳ, καὶ ὁ Νεόφυτος ἐν ἑπτακισχιλιοστῷ ἑκατοστῷ δεκάτῳ καὶ ἐν ἑπτακισχιλιοστῷ ἑκατοστῷ δεκάτῳ τρίτῳ, καὶ πάλιν Ῥαφαὴλ ἐν ἑπτακισχιλιοστῷ ἑκατοστῷ δεκάτῳ τετάρτῳ, καὶ ὁ Νεόφυτος αὖθις ἐν ἑπτακισχιλιοστῷ ἑκατοστῷ δεκάτῳ ἕκτῳ. ἐπὶ δὲ Ῥαφαὴλ ἐγένετο Τόμος βεβαιῶν τὰ πρότερα κακῶς τυπωθέντα, ἵνα δηλαδὴ ὁ μὴ διδοὺς Ἀρχιερεὺς τὰς διωρισμένας ὑπὸ τῶν Πατριαρχῶν δόσεις καθαιρῆται. καὶ ἐπὶ Νεοφύτου ἐν ἑπτακισχιλιοστῷ ἑκατοστῷ ἐνδεκάτῳ ἐγένετο Συνοδικὸν, ὥστε Πολυφέγγους Ἐπίσκοπον μὴ χειροτονεῖσθαι τοῦ λοιποῦ, ἀλλ' εἶναι τὴν Ἐπισκοπὴν ὑποκειμένην τῷ Κορίνθου χωρὶς Ἐπισκόπου. καὶ ὁ Ῥηθεὶς Ματθαῖος γράφει τοῖς ἐν τῇ Κύπρῳ Ἐπισκόποις καὶ Κληρικοῖς, ὅτι ἐπειδὴ ὁ Ἀλεξανδρείας Μελέτιος ἔγραψε πρὸς τὸν Ἀρχιεπίσκοπον αὐτῶν Ἀθανάσιον νουθετῶν αὐτὸν καὶ ἐπιτιμῶν, πρῶτον,

πρῶτον, ὅτι Ἀντιμίνσια παλαιὰ διέῤῥηξε καὶ ἔκαυσεν, ἵνα πωλήσῃ αὐτὸς καινὰ, αὐτῷ ποιηθέντα. δεύτερον, ὅτι διέταμε πελέκει τὸν θρόνον τοῦ μακαρίτου Γερμανοῦ Πατριάρχου Ἱεροσολύμων, καὶ ἔλαβεν ἅγιον λείψανον ὃ ἦν ἐν αὐτῷ. καὶ τρίτον, ὅτι ἀθεμιτογαμίας ἐποίησεν, καὶ ἐπὶ πᾶσι τούτοις οὐκ ἤκουσε τοῦ Μελετίου νουθετοῦντος αὐτὸν, ἐκάθηρεν αὐτὸν συνοδικῶς ὡς προεκάθηρεν αὐτὸν καὶ ὁ Μελέτιος, ἤτοι ὁ Ἀλεξανδρείας.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Δεύτερον, περὶ τῶν Κωνσταντινουπόλεως Πατριαρχῶν ἀπὸ Τιμοθέου ἕως Παρθενίου τοῦ νέου, καὶ τῶν μεταξὺ συμβάντων ἐναλλάξεων, ἐξορισῶν, καὶ διὰ πνιγμοῦ θανάτων.

Ἐπὶ τοῦ Ἱεροσολύμων Θεοφάνους ἦν ἐν Κωνσταντινουπόλει Πατριάρχης ὁ Τιμόθεος, φαίνεται δὲ καὶ ἐκ τοῦ γραφέντος ὑπ' αὐτοῦ Συνοδικοῦ πρὸς τοὺς ἐν τῷ Σιναίῳ ὄρει, κειμένου ἐν τῷ κατὰ Ἀνανίου βιβλίῳ πρώτῳ, καὶ γραφέντος ἐν ἔτει ἑπτακισχιλιοστῷ ἑκατοστῷ δεκάτῳ πέμπτῳ, καθ' ὃ καὶ ἐπατριάρχευσεν, ὥρμητο δὲ ἀπὸ τῆς κατὰ Κύζικον Πανόρμου, ὢν πρότερον Μητροπολίτης παλαιῶν Πατρῶν. ψεύδεται δὲ Λέων ὁ Ἀλάτιος γράφων τὸν Λούκαριν φαρμακεῦσαι τὸν Τιμόθεον, ὅτι μὲν γὰρ ὁ Τιμόθεος φαρμάκῳ ἀπέθανε δηλητηρίῳ κατὰ τὴν μεγάλην ἑβδομάδα τοῦ Πάσχα, ἀληθὲς, ποῖος δὲ αὐτὸν ἐφαρμάκευσεν, ἄδηλόν ἐστι. θανόντος οὖν τοῦ Τιμοθέου, Κύριλλος ὁ Λούκαρις Πάπας ὢν Ἀλεξανδρείας, καὶ διατρίβων εἰς Οὐγγροβλαχίαν, προσεκλήθη ὑπὸ τῆς παρευρεθείσεις Συνόδου ἐν Κωνσταντινουπόλει καὶ τοῦ Κλήρου, καὶ μετετέθη εἰς τὸν θρόνον Κωνσταντινουπόλεως, ὃν Γρηγόριος ὁ Ἀμασείας ἐκβαλὼν τοῦ θρόνου, καὶ πατριαρχεύσας Μῆνας τρεῖς, ἐξωθεῖται τοῦ θρόνου συνεργείᾳ τῶν Ἀρχιερέων, καὶ ἐξορίζεται εἰς Ῥόδον, καὶ προβάλλεται εἰς Πατριάρχην ὁ Ἀδριανουπόλεως Ἄνθιμος, ἐφ' οὗ ἀφωρίσθη καὶ ἀνεθεματίσθη ὁ Γρηγόριος, ἔτους ὄντος ἑπτακισχιλιοστοῦ ἑκατοστοῦ τριακοστοῦ πρώτου. σταθέντος δὲ δύο Μῆνας ἐν τῷ θρόνῳ τοῦ Ἀνθίμου, καὶ παραιτησαμένου, καὶ μονάσαντος ἐν τῇ τοῦ Ἄθωνος Λαύρᾳ, προσκαλεῖται ὁ Λούκαρις. ἐπιτηδεύσας δὲ ὁ Χαλκηδόνος Ἰσαὰκ πατριαρχεῦσαι, ἐκωλύθη ἐνδυθῆναι Καββάδιον ἐν τῇ διωρισμένῃ ἡμέρᾳ, διὰ τὸ ἐμπρησθῆναι τὸ ἐν τῷ Διπλοκιονίῳ βασιλικὸν Παλάτιον, ὅθεν γίνεται κατασκευὴ, καὶ ἐξορίζεται εἰς Οὐγγρίαν, καὶ ἔμεινεν αὖθις τὸ τρίτον ὁ Κύριλλος. βουληθέντων δὲ μετ' οὐ πολὺν καιρὸν τῶν Ἀρχιερέων ἐκβαλεῖν τοῦ θρόνου τὸν Κύριλλον, αὐτὸς χρησάμενος κατασκευῇ ἐνδύεται Καββάδιον, καὶ ἔρχεται ἀκόντων αὐτῶν εἰς τὸ Πατριαρχεῖον τὸ τέταρτον. εἶτα φατριάσας ὁ Βεῤῥοίας Κύριλλος ἅμα τῷ Ἀμασείας Ζαχαρίᾳ, ἐπατριάρχευσεν αὐτὸς ὁ ἐκ Βεῤῥοίας. κρυβεὶς δὲ ὁ Κύριλλος παρὰ τῷ πρέσβει Φιαμέγκῳ, μετὰ ὀκτὼ ἡμέρας ἐξορίζει καὶ τοὺς δύο, καὶ πατριαρχεύει τὸ πέμπτον. ἀποθανόντος δὲ ἐν τῇ ἐξορίᾳ τοῦ Ἀμασείας, ὁ ἐκ Βεῤῥοίας ἀνακληθεὶς, ἐπανέλαβε τὴν Βέῤῥοιαν. μετὰ δὲ καιρὸν ὁ Θεσσαλονίκης Ἀθανάσιος Κρὴς ὁ Πατελάρος ἐξορίσας τὸν Κύριλλον εἰς τὴν Τένεδον, ἔλαβε τὸ Πατριαχεῖον, οὗτινος μετὰ τεσσράκοντα ἡμέρας ἐκβληθέντος, ἀποκατέστη ὁ Κύριλλος τὸ ἕκτον τῇ μεγάλῃ Τετράδι, τῷ δὲ Πατελάρῳ ἐδόθη πάλιν ἡ Θεσσαλονίκη, ὅστις ἐκεῖθεν εἰς Ἀγκῶνα ἀποδημήσας, καὶ διανοούμενος ἀπιέναι καὶ εἰς Ῥώμην, ἔπεμψε τὸν Ἐπίσκοπον Δρηνουπόλεως πρεσβευτὴν πρὸς τὸν Πάπαν Κάλλιστον, γράφων αὐτῷ ὅτι ἔχει σκοπὸν ἵνα ἀπέλθῃ εἰς Ῥώμην, ἐὰν ὅμως ἔχῃ τὸν θρόνον καὶ τὸν τόπον Κωνσταντινουπόλεως. ὁ δὲ Πάπας ἀπεκρίθη αὐτῷ, ὅτι ἐὰν θελήσῃ ὑπογράψαι εἰς τὴν ῥωμαϊκὴν πίστιν, δώσῃ αὐτῷ θρόνον καρδηναλικόν. καὶ λοιπὸν δυσαρεστήσας ὁ Πατελάρος, καὶ ἐπανελθὼν, ἀπῆλθεν εἰς Μπογδανίαν, κἀκεῖθεν εἰς Μοσχοβίαν, καὶ ταῦτα μὲν οὕτω. τὸν οὖν Λούκαριν μετὰ ἔτος ἓν ἀπὸ τῆς ἕκτης αὐτοῦ Πατριαρχείας ἐξώρισεν ὁ ἐκ Βεῤῥοίας Κύριλλος εἰς τὴν Ῥόδον, πατριαρχεύσας αὐτὸς ἑκκαίδεκα Μῆνας. πλεονέκτης δὲ ὢν, ἀποβάλλεται, καὶ προβιβάζεται εἰς Πατριάρχην ὁ Ἡρακλείας Νεόφυτος, ἄνθρωπος ὅσιος. ἐπανελθόντα δὲ τὸν Κύριλλον ὁ Νεόφυτος ᾐδέσθη ὡς οἰκειακὸς αὐτοῦ, καὶ παρῃτήσατο, καὶ ἀπελθὼν εἰς τὴν ἐν τῇ Χίῳ ἁγίαν Μονὴν ἡσύχασε, καὶ πάλιν τὸ ἕβδομον ἀνάγεται εἰς τὸν θρόνον ὁ Λούκαρις, ὃν αὖθις ὁ ἐκ Βεῤῥοίας ἐκβαλὼν, καὶ περιορίσας εἰς Λαιμοκοπίην τὸ δυτικὸν Νεόκαστρον κατὰ τὸν Εὔξεινον Πόντον, ἀπέπνιξε, δοὺς πουγγεῖα εἴκοσι τῷ τότε ἐν Κωνσταντινουπόλει Ἀνθυπάτῳ, τοῦ γὰρ Ἀνθυπάτου ἀναφορὰν ποιησαμένου πρὸς τὸν Σουλταῦ Μουρὰτ κατὰ τοῦ Κυρίλλου, καὶ μαρτυρήσαντος αὐτῷ πολλὰ κακὰ, ἰδιοχείρως ὁ Βασιλεὺς ἐβεβαίωσεν ἵνα ὁ γέρων Πατριάρχης ἀποπνιγῇ, καὶ οὕτως ὁ πολύφημος καὶ πολύσοφος τὸν βίον κατέστρεψε, καὶ ῥίπτεται αὐτοῦ τὸ σῶμα ἐν τῇ θαλάσσῃ, ὅπερ εὑρόντες τινὲς εἰς τὸ Ῥήγιον παρέδωκαν τῇ ταφῇ ἐκεῖ πενιχρῶς, ὡς καὶ Μιχαήλ ποτε τὸν Παλαιολόγον, μεταταῦτα δὲ ὁ Πατριάρχης Παρθένιος ὁ πρῶτος ἔφερε τὰ λείψανα αὐτοῦ εἰς τὸ Πατριαρχεῖον συνεργείᾳ τῶν φίλων αὐτοῦ, καὶ ἔψαλεν αὐτὰ, εἶτα ἔπεμψεν αὐτὰ εἰς τὴν Νῆσον τῆς Χάλκης, καὶ ἐτάφησαν ἐν τῷ Μοναστηρίῳ τῆς Παναγίας. μετὰ τὸν θάνατον οὖν τοῦ Κυρίλλου Λουκάρεως ὁ ἐκ Βεῤῥοίας ἀποβληθεὶς τοῦ Πατριαρχείου, ἐξορίζεται εἰς Καρθαγένην, ὅπου συνεργείᾳ τῶν τοῦ Λουκάρεως φίλων πνιγμῷ ἀποθνήσκει ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τριακοστῷ ἐνάτῳ. ἐγένετο δὲ μετὰ τὴν ἐξορίαν αὐτοῦ Πατριάρχης Παρθένιος ὁ πρῶτος,

πρῶτος, ὁ καὶ γέρων λεγόμενος τῷ αὐτῷ χιλιοστῷ ἑξακοσιοστῷ τριακοστῷ ἐνάτῳ ἔτει, ὥρμητο δὲ ἀπὸ τῆς Ἠπείρου, μὴ ἀγαπῶν τι δὲ τὰς μακρὰς ἀκολουθίας καὶ ἀγρυπνίας, προὐξενήθη αὐτῷ ἔγκλημα καθαιρέσεως ἡ τῆς ἐπιτεταμένης καὶ Ἀσματικῆς λεγομένης παρὰ τοῦ Συμεὼν Θεσσαλονίκης ἀκολουθίας ἀμέλεια. ἐγένετο δὲ ταῦτα ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ τετάρτῳ, ὅτε τούτου τοῦ Παρθενίου ἐκβληθέντος, ἐγένετο ὁ καλούμενος Παρθένιος νέος, οὗ ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ ἕκτῳ ἐκβληθέντος, ἐγένετο Πατριάρχης ὁ Ἰωαννίκιος, ὃν ἐκβαλὼν πάλιν ὁ Παρθένιος ὁ νέος, ἐπατριάρχευσεν, ἀπέκτεινε δὲ αὐτὸν ἡ βασιλέα πνιγμῷ, ὡς ἐροῦμεν κατωτέρω.

ΒΙΒΛΙΟΝ ΙΑ'. ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τοῦ βιβλιδίου τοῦ Κωνσταντινουπόλεως Κυρίλλου Λουκάρεως, τοῦ ἀναθεματισθέντος σὺν αὐτῷ ὑπὸ τοῦ ἐκ Βερροίας Κυρίλλου, καὶ τῶν συμβάντων τοῖς ἐν Λιτφανίᾳ, Ὀκραΐνᾳ, Ποδολίᾳ καὶ Λεχίᾳ Ῥώσοις, καὶ τῆς ὁμολογίας Πέτρου τοῦ Κιέβου, καὶ τῆς ἐν Γιασίῳ ἐπὶ Βασιλείου Ἡγεμόνος καὶ Παρθενίου Κωνσταντινουπόλεως τοῦ γέροντος δι' αὐτὸ Συνόδου.

Πρῶτον Κύριλλος ὁ Λούκαρις πατριαρχεύσας, ἦν ὀρθόδοξος ὡς καὶ πρότερον, καὶ ἀπέθανεν ἐν τῇ κοινωνίᾳ τῆς Ἐκκλησίας, ἤτοι ὀρθόδοξος, ὡς ἐσημειώσαμεν ἐν τῷ ἡμετέρῳ ἐγχειριδίῳ, καὶ ἐν τῇ ἐπιστολῇ ἣν συνεγράψαμεν πρὸς βεβαίωσιν τῆς ἐν Βουκουρεστίῳ τυπωθείσης Ὀρθοδόξου Ὁμολογίας ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ἐννενηκοστῷ ἐνάτῳ. ὅτι ὅμως ἦν κρύφιος Αἱρετικὸς, ἔστι φανερὸν ἐκ πολλῶν συστατικῶν, εἰ καὶ λαθραίων καὶ ἐν παραβύστῳ γεγενημένων. ἔστι δὲ καὶ τοῦτο, ὅτι ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τριακοστῷ δευτέρῳ ἐφάνη εἰς Κωσταντινούπολιν βιβλίδιόν τι συντεθειμένον ἐπ' ὀνόματι τοῦ Κυρίλλου, καὶ τετυπωμένον, περιεῖχε δὲ κεφάλαια δεκαοκτὼ καὶ ἐρωτήσεις τέσσαρας, ἐν οἷς ὑπεγράφετο ἡ Αἵρεσις τοῦ Καλβίνου, εἶχε δὲ καὶ ἐπιστολὴν συντετυπωμένην Καλβινικὴν, ἥτις καὶ αὐτὴ ἔλεγε σύγγραμμα εἶναι τοῦ Κυρίλλου τὸ βιβλίδιον. ὁ δὲ Κύριλλος ἐπιζήσας μετὰ τὸ φανῆναι τὸ βλιβίδιον χρόνους ἕξ, οὐδὲν ἐναντίον ἔγραψεν, οὔτε ὀνομαστὶ τὸ βιβλίδιον ἔψεξεν, ἀλλ' ἔλεγε μόνον τόσον, ὅτι οὐκ ἔχουσι τὰ κεφάλαια σύστασιν, ὅτι οὐκ ἔστι σύγγραμμα αὐτοῦ, ὡς ἐδικαιολογεῖτο ποτὲ περὶ τῆς Αἱρέσεως αὐτοῦ Μάρκελλος ὁ Γαλάτης. ὅθεν ὁ ἀντίδικος αὐτοῦ ὁ ἐκ Βερροίας Κύριλλος Συνόδου ἀθροίσας κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν τριακοστὸν ὄγδοον ἔτος, ἐν Μηνὶ Σεπτεμβρίῳ, παρόντων καὶ τοῦ Ἀλεξανδρείας κυρίου Μητροφάνους καὶ τοῦ Ἱεροσολύμων κυρίου Θεοφάνους, ἀνεθεμάτισε καὶ τὸν Κύριλλον Λούκαριν καὶ τὰ κεφάλαια αὐτοῦ. ἀλλὰ τὸ κακὸν οὐκ ἔπαυσεν, ἐπειδὴ οἱ Γιεζουβῖται τοὺς ἐν Λιτφανίᾳ, Ὀκραΐνᾳ, καὶ Ποδολίᾳ, καὶ ἐν αὐτῇ τῇ Λεχίᾳ ὀρθοδόξους Ῥώσους τυραννικῶς ἐκάκουν, ἵνα μεταβάλλωσιν αὐτοὺς εἰς τὸν παπισμὸν, προβαλλόμενοι αἰτίαν δῆθεν εὔλογον τὸν καλβινισμὸν τοῦ Πατριάρχου αὐτῶν, δεικνύοντες τὸ εἰρημένον βιβλίδιον. ὅθεν ὁ τότε Μητροπολίτης Κιέβου Πέτρος τῷόντι ὢν Ἀρχιερεὺς συντέθεικε τὴν λεγομένην ὁμολογίαν τῆς Ἀνατολικῆς Ἐκκλησίας, δι' ἧς ἐδείκνυε τοὺς Ῥώσους εὐσεβοῦντας εἰς ἄκρον. καὶ δὴ καὶ ὁ τότε τῆς Μολδοβλαχίας Ἡγεμονεύων ἀξιοτίμητος ἀνὴρ Βασίλειος βοεβόδας, Ἀλβανίτης ὤν, καὶ ἀπὸ μὲν τῆς Ἠπείρου ἐκ προγόνων, ἀπὸ δὲ πατρὸς, τοῦ παρὰ τῇ Μαρκιανουπόλει Ἀλβανιτοχωρίου; μέγα τότε δυνάμενος καὶ παρὰ τῇ τῶν Ὀθωμανῶν Βασιλείᾳ, καὶ παρὰ τῷ Κράλῃ τῆς Λεχίας, ἐπρέσβευσεν εἰς τὴν ἐν Κωνσταντινουπόλει Συνόδον ἐπὶ τῆς Πατριαρχείας Παρθενίου τοῦ γέροντος, καὶ ἔπεμψεν ὁ Παρθένιος τινὰς Ἀρχιερεῖς εἰς τὸ Γιάσιον, καὶ τὸν Διδάσκαλον Μελέτιον τὸν Συρίγου, ἐμεσίτευσε δὲ καὶ εἰς τὸν Κράλην τῆς Λεχίας καὶ ἦλθεν ὁ Πέτρος Κιέβου καὶ ἄλλοι τινὲς πάλιν εἰς τὸ Γιάσιον, ἔνθα συγκροτηθείσης Συνόδου ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ, κρίνονται πάλιν αἱρετικὰ τὰ κεφάλαια, καὶ ἀναθεματίζονται ἐμοῦ καὶ ὁ συγγραφεὺς αὐτῶν. οὐκ ἀνεθεμάτισαν δὲ οἱ τῆς Συνόδου πατέρες ὀνομαστὶ τὸν Κύριλλον, ἐπειδὴ οὐδέποτε ἤκουσαν αὐτοῦ εἰπόντος τι, ἢ συγγραψαμένου κατὰ τῆς ὀρθοδόξου πίστεως. ἀλλὰ καὶ ἡ διαληφθεῖσα ὁμολογία δοκιμασθεῖσα καὶ διορθωθεῖσα ὑπὸ τῆς Συνόδου ταύτης, ἐβεβαιώθη.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ Θεοδοσίου τοῦ Κορυδαλέως καὶ τῆς ἀσεβείας αὐτοῦ, καὶ Μελετίου τοῦ Συρίγου καὶ τῆς εὐσεβείας αὐτοῦ, καὶ τῶν συμβάντων μεταξὺ τῶν ἐπ' Ἄμβωνος διδαχῶν ἀμφοτέρων, καὶ περὶ τινος Μωαμὲτ Ἐφέντη ἀθέου, καὶ τοῦ κακοῦ τέλους αὐτοῦ τε καὶ Κορυδαλέως καὶ Λουκάρεως.

Δεύτερον, πάντοτε ὅτε ἦν ἐλθεῖν τι μέγα κακὸν εἰς τὸν κόσμον, εὐθὺς ὁ Θεὸς προενόει καὶ τὸ ἀντίδοτον αὐτοῦ, ὡς εἴπομεν ἀνωτέρω βιβλίου ἐνάτου, κεφαλαίῳ τετάρτῳ. Θεόφιλος οὖν Ἀθηναῖος ὁ Κορυδαλεὺς

δαλεὺς ἔμαθε γράμματα τὸ πρῶτον ἐν τῇ Ῥώμῃ, καὶ μεταταῦτα ἐν Παταβίῳ, μαθητὴς γενόμενος τοῦ ἀσεβεστάτου Κρεμονίνου. οὗτος χειροτονηθεὶς Πρεσβύτερος, ἦλθεν εἰς Κωνσταντινούπολιν πρὸς τὸν Κύριλλον Λούκαριν, καὶ ἡνώθη ὁ ὕπουλος τῷ ὑποκριτῇ, ὁ ἄθεος τῷ Αἱρετικῷ, εἰ καὶ εἶχον ἐν παραβύστῳ τὰς βλασφημίας αὐτῶν, ὡς πάλαι ὁ ἀσεβὴς Εὐνόμιος ἐν Κυζίκῳ τὸ κατὰ τοῦ μεγάλου Βασιλείου ἐγχειρίδιον. ἐπεὶ δὲ μεταταῦτα ἔμελλον φανήσεσθαι κάκιστοι, τί προενόησεν ὁ Θεός; ἔπλευσε Κρήτηθεν ὁ Διαληφθεὶς Μελέτιος ὁ Συρίγου εἰς τὴν Βενετίαν, ἔνθα εὑρὼν τὸν Κορυδαλέα Διδάσκαλον, δέδωκεν αὐτῷ ἑκατὸν φλωρία χάριν τοῦ διδαχθῆναι ὑπ' αὐτοῦ τὴν λογικὴν τέχνην, ἐν ᾗ διδασκόμενος, κατενόησε χωλεύοντα τὸν Κορυδαλέα ἐν τοῖς περὶ πίστεως. ἀκούσας δὲ καὶ τινῶν Ἐπιστημῶν ἐν Παταβίῳ, ἐπανέλυσεν εἰς τὴν Κρήτην, φερόμενος κατὰ τῶν παπιστῶν ἰσχυρῶς. ἐγκαλεσάντων δὲ αὐτὸν τῶν Φράρων τῷ ἡγεμονεύοντι τῆς Κρήτης, ἐζήτει ὁ Ἡγεμὼν θανατῶσαι αὐτὸν, ὅθεν νεύσει Θεοῦ φυγὼν, ἀπῆλθεν εἰς τὴν Ἀλεξάνδρειαν, μαθὼν δὲ ὁ ἐκ Βερροίας Κύριλλος ὄντα αὐτὸν ἐκεῖ, ἔγραψεν αὐτῷ καὶ ἦλθεν εἰς Κωνσταντινούπολιν, ἵνα ᾖ ἀντίδοτος καὶ τοῦ Κυρίλλου Λουκάρεως καὶ τοῦ Κορυδαλέως. ἐξορισθέντος οὖν τοῦ ἐκ Βερροίας, χειροτονεῖται Παρθένιος, οὗ ἐν τῇ ἡμέρᾳ τῆς χειροτονίας ἐπιτραπεὶς ὁ Κορυδαλεὺς διδάξαι, καὶ θέλων εἰπεῖν τινὰ περὶ τῶν προτέρων Πατριαρχῶν καὶ τοῦ Κυρίλλου Λουκάρεως, εἶπε πρὸς τοῖς ἄλλοις καὶ ταῦτα, ὅτι τὰ κεφάλαια τοῦ Κυρίλλου ἐστὶν ἡ ἀληθὴς πίστις τῶν Χριστιανῶν. ἐγνώσθη οὖν ὅτι ἐχώλευεν ἐν τοῖς περὶ πίστεως, πλὴν ἵνα μὴ γένηται σύγχυσις ἐν τῇ Ἐκκλησίᾳ, ἐσιώπησαν πάντες. μετὰ δὲ τὴν ἀπόλυσιν ἐμήνυσεν ὁ Πατριάρχης τῷ Συρίγου εἰπεῖν ἐπ' Ἐκκλησίας τὰ τοῦ ὀρθοδόξου φρονήματος δίκαια, καὶ ἀναιρῆσαι καὶ τὰς τοῦ Κορυδαλέως βλασφημίας, καὶ μάλιστα τὰς περὶ τοῦ Μυστηρίου τῆς ἱερᾶς Εὐχαριστίας. καὶ λοιπὸν τῇ Κυριακῇ τῶν ἁγίων πατέρων μετὰ τὴν ἑνδεκάτην τοῦ Ὀκτωβρίου ὁ Συρίγου ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ ἐπὶ τοῦ Ἄμβωνος ὕψωσε τὴν φωνὴν αὐτοῦ, καὶ ἀνεβόα ἐν ἰσχύϊ, ἤστραπτε καὶ ἐβρόντα κατὰ τοῦ Κορυδαλέως, κατηρίθμησε γὰρ πρῶτον τοὺς φιλοσόφους μὲν ὄντας, Αἱρετικοὺς δὲ, οἷοι ἦσαν Ὠριγένης, Πορφύριος, Ἀέτιος, Εὐνόμιος, Φιλόπονος, καὶ τέως οἱ πάλαι Αἱρετικοὶ, ἐν οἷς καταριθμήσας καὶ τὸν Κορυδαλέα, ἐστηλίτευσεν αὐτὸν, ὃς παρὼν ἐν τῇ Ἐκκλησίᾳ, καὶ ζητούμενος διασπαραχθῆναι ὑπὸ τοῦ λαοῦ, ἔφυγεν εἰς τὸν οἶκον τοῦ Ἄρχοντος Δημητρίου τοῦ Ἰουλιανοῦ, ἐν ᾧ καθεζόμενος καὶ διδάσκων τὴν φιλοσοφίαν, λάθρα ἔσπευδε σπείρειν ἐν μὲν τῇ φιλοσοφίᾳ τὸν ἀθεϊσμὸν, ἐν δὲ τῇ θεολογίᾳ τὸν καλβινισμὸν, οὐδὲν ὅμως ἀπώνατο, τινὲς γὰρ δελεασθέντες, ταχέως ἐξέλιπον, ἀποθανόντος γὰρ Κυρίλλου τοῦ Λουκάρεως καὶ Κορυδαλέως, συναπέθανε καὶ ἡ ἀσέβεια αὐτῶν, μείνασα μόνοις τοῖς Καλβίνοις. ἐν ἐκείνῃ δὲ τῇ Ὁμιλίᾳ εἰπὼν περὶ τῆς θείας μετουσιώσεως ὁ Συρίγου τὰ πρέποντα, ἠρώτησεν, Εἰ καὶ τῇ Ἐκκλησίᾳ οὕτω δοκεῖ. καὶ ἐξελθόντες τῶν καθεδρῶν ὅ,τε Πατριάρχης καὶ οἱ Ἀρχιερεῖς καὶ οἱ Κληρικοὶ καὶ οἱ Ἄρχοντες, ἐβόησαν μετὰ παντὸς τοῦ λαοῦ μιᾷ φωνῇ ταῦτα, Αὕτη ἡ πίστις ἡ ἀποστολικὴ, αὕτη ἡ πίστις ἡ πατροπαράδοτος, αὕτη ἡ πίστις τῶν ὀρθοδόξων, αὕτη ἡ πίστις ἣν παρέλαβε καὶ φυλάττει ἡ καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία, καὶ ἀνάθεμα μυριάκις τοῖς μὴ οὕτω πιστεύουσι καὶ ἄλλως ὁμολογοῦσιν. οὐμόνον δὲ ἐν τῇ Ἰταλίᾳ οἱ περὶ Κρεμονῖνον, καὶ ἐν τῇ Ἀνατολῇ ὁ Κορυδαλεὺς, ἀλλὰ καὶ ἐν τοῖς Ὀθωμανοῖς ἦν τις Μωαμὲτ ἐφέντης, ὃς περιπατῶν εἰς τὰς ἐν Βυζαντίῳ οἰκίας τῶν Ῥωμαίων, ἐδίδασκε τὸν παντελῆ ἀθεϊσμὸν, ὅθεν οἱ τοῦ Κορυδαλέως συμμύσται ἴσα τῇ αὐτῶν ψυχῇ ἠγάπων αὐτόν. ἀλλ' ὅρα τῆς θείας προνοίας τὸ μισοπόνηρον, ὁ Κύριλλος κακῶς ἀπεπνίγη, ὁ Κορυδαλεὺς χειροτονηθεὶς Μητροπολίτης Ναυπάκτου καὶ Ἄρτης, καὶ ἀποβληθεὶς, καθὼς Διονύσιος ὁ τύραννος Συρακουσίων, ἔπαιζεν ἐν τοῖς τῆς Κορίνθου καπηλείοις ὑπὸ τῆς πενίας, οὕτως ὁ Κορυδαλεὺς ἐν πενίᾳ ἐσχάτῃ εὑρισκόμενος, περιεπάτει ἔνθεν κἀκεῖθεν, τὴν ἰατρικὴν πραγματευόμενος, ἀποθνήσκων δὲ ἐν Ἀθήναις, κέχηνε μᾶλλον Θεοφίλου Βασιλέως τοῦ φίλου αὐτοῦ, ὥστε καὶ ἐφαίνοντο τὰ σπλάγχνα αὐτοῦ. τὸν δὲ Μωαμὲτ ἐφέντην Ἁρμένιός τις ὑβρίσαντα αὐτὸν ἤγαγεν εἰς τὸ κριτήριον ἐν Κωνσταντινουπόλει, ἔνθα βεβαιωθείσης ὑφ' Ἁρμενίου τῆς ὕβρεως, ἥτις ἦν κατὰ Χριστοῦ, ἀπετμήθη ὁ Μωαμὲτ ἐφέντης τὴν κεφαλὴν, καὶ γὰρ περιέχεται ἐν τῷ Κορρᾶν ἀποκτείνεσθαι τὸν βλασφημήσαντα Προφήτην ἀπαραιτήτως.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Σημείωσαι πρῶτον, ὅτι Ἀλάτιος συνοδικῶς λέγων καλβινίσαι τὸν Λούκαριν, καὶ ὕστερον καθαιρεθέντα, καὶ θαυμάζων πῶς γραικικὴ Σύνοδος Σύνοδον γραικικὴν καθεῖλε, ψεύδεται ὁ χῖος ὡς δείκνυται.

Σημείωσαι πρῶτον τὸν κατὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας φερόμενον Ἀλάτιον, λέγοντα περὶ τῶν κατὰ τοῦ Κυρίλλου Λουκάρεως ἐπὶ τοῦ ἐκ Βερροίας καὶ Παρθενίου Συνόδων, ὅτι ὁ Κύριλλος ἐκαλβίνισε συνοδικῶς, καὶ ὕστερον ὑπὸ μέμψιν ἐγένετο συνοδικῶς, καὶ ἐστὶ θαῦμα, πῶς γραικικὴ Σύνοδος γραικικὴν Σύνοδον καθεῖλεν; Ἀλλὰ ῥητέον πρῶτον, ὅτι ὁ Κύριλλος οὐ συνοδικῶς, ἀλλὰ πάνυ λαθραίως ἐφληνάφησε καὶ μυστικῶς. ὅθεν αἱ τὸν Κύριλλον καθελοῦσαι Σύνοδοι, οὐκ ἠθέτησαν Σύνοδον, καὶ ψεύδεται προφανῶς ὡς καὶ ἐν ἄλλοις ὁ Χῖος. δεύτερον, εἰ τυχὸν καὶ μετά τινων ἐκεῖνος ἠρεσχέλει, τὶ θαυμαστὸν εἰ πληρεστάτη Σύνοδος

τῶν

τῶν ἐλαττόνων καὶ αἰόμων τὸ κακότροπον ἀπέβαλεν; ὅπου πολλάκις οἱ συγκροτήσαντες παπαράνομον Σύνοδον μέρος ἦσαν κύριον ἐννόμων Συνόδων πρὸς ἀποβολὴν τῶν πρότερον κακῶς εἰρημένων, ὡς εἰς τὴν ἐν Χαλκηδόνι Σύνοδον μέρος ἦσαν τὸ κύριον οἱ παροιτήσαντες εἰς τὴν ἐν Ἐφέσῳ ἐπὶ Διοσκόρου κατὰ τοῦ ἐν ἁγίοις Φλαυϊανοῦ καὶ τῆς πίστεως, καὶ εἰς τὴν ἐκτὴν καὶ ἑβδόμην πολλοὶ Μονοθελῆται καὶ Εἰκονομάχοι Ἐπίσκοποι μέρος γεγόνασι τῶν Συνόδων, ἴδε καὶ τὰ περὶ Βιγιλίου Ῥώμης εἰς τὸ πέμπτον βιβλίον, ὥστε κἀνταῦθα οἱ Λατῖνοι φαίνονται κατὰ πεισμονὴν λαλοῦντες, δῆλον δὲ, ὅτι ἡ πεισμονὴ οὐκ ἔστιν ἐκ τοῦ καλοῦντος.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Τρίτον, ὅτι εἰς ἁπλῆν γλῶσσαν μεταφρασθείσης τῆς νέας γραφῆς καὶ τυπωθείσης εἰς ἱκανῶν χιλιάδων βιβλίων ἀριθμὸν παρὰ Καλβίνοις, τοῦ δὲ Κωνσταντινουπόλεως Παρθενίου τοῦ νέου πεισθέντος διανεῖμαι ταῦτα ταῖς Ἐκκλησίαις, ὁ Συρίγου ἐπ' Ἄμβωνος ἐξουθενεῖ, καὶ ἐξορίζεται ἐπ' ἄλλαις αἰτίαις, τὰ δὲ βιβλία μὴ διανεμηθέντα ἠφανίσθησαν.

Τρίτον, ὅτι Μάξιμός τις Καλλιπολίτης μαθητὴς τοῦ Κυρίλλου τοῦ Λουκάρεως μετέγραψεν ὅλην τὴν νέαν γραφὴν εἰς ἁπλῆν φράσιν, ὅπερ ἔργον ἀποτρόπαιον ἔχει ἡ καθολικὴ Ἐκκλησία. ἐτύπωσαν δὲ τὴν μετάφρασιν ταύτην οἱ Καλβῖνοι εἰς ἱκανὰς χιλιάδας βιβλία, καὶ ἔφερον αὐτὰ εἰς Βυζαίτιον, καὶ πείθεται οὗτος ὁ βίαιος Πατριάρχης, ἤτοι ὁ Παρθένιος ὁ δεύτερος καὶ νέος καλούμενος, διανεῖμαι αὐτὰ ταῖς Ἐκκλησίαις. ἀλλ' ὁ Συρίγου τὸ πρᾶγμα μαθὼν, ἐπιτήδευσιν ποιεῖται καὶ λαμβάνει δύο βιβλία ἐξ αὐτῶν. ὧν τὸ ἓν τὰ προσκυνητὰ Εὐαγγέλια εἶχε, καὶ τὸ ἕτερον τὰς ἐπιστολὰς καὶ πράξεις τῶν Ἀποστόλων καὶ τὴν Ἀποκάλυψιν, καὶ ἐν μιᾷ Κυριακῇ διδάσκων ἐν τῇ Ἐκκλησίᾳ τοῦ Πατριαρχείου, καὶ θεραπεύσας τὸ φιλότιμον τοῦ Πατριάρχου, λαβὼν ἐκ τοῦ ὑπηρέτου ὄπισθεν αὐτοῦ ἱσταμένου τὰ βιβλία, ἔδειξεν αὐτὰ τῷ λαῷ, εἶτα ἀπέδειξεν ἰσχυρῶς, ὅτι καὶ ὁ μεταφράσας, καὶ οἱ τυπώσαντες, καὶ οἱ ἀναγινώσκοντες, καὶ οἱ συνεργοῦντες λαβεῖν, ἢ ἀναγινώσκειν αὐτὰ τοὺς ὀρθοδόξους, πάντες εἰσὶ πόρρω τοῦ χριστιανισμοῦ, καὶ ἀναθέματι ὑποβεβλημένοι. τούτου οὕτω γενομένου πάρ' ἐλπίδας, τὸν μὲν Διδάσκαλον τὸν Συρίγου ἐξώρισεν ὁ Πατριάρχης εἰς τὴν Κίον ἐπ' ἄλλαις αἰτίαις, τὸ ἔργον ὅμως ἔμεινε, συστῆσαι γὰρ τὰ βιβλία τοῦ λοιποῦ ὁ Πατριάρχης οὐκ ἐτόλμησεν, ὅθεν οὐδιενεμήθησαν, καὶ οὕτως ἠφανίσθησαν.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Τέταρτον, ὅτι Ἀθανάσιός τις Κύπριος κρύφιος παπιστὴς ἠγόρασεν ὀλίγου τιμήματος ἀπὸ τῶν εἰς τὴν Διοίκησιν τοῦ Κωνσταντινουπόλεως Μοναστηρίων, βιβλία ἁγίων πατέρων, ὃ καὶ οἱ Φράροι δολίως ἐποίησαν ἐν τῇ ἁλώσει τῆς Κρήτης.

Τέταρτον, ὅτι Ἀθανάσιός τις Κύπριος, παπιστὴς ὅμως, καθ' Ἕλληνας ἠμφιεσμένος, καὶ ὑποκρινόμενος τὸν ὀρθόδοξον, ἀπῆλθεν εἰς τὸ ὄρος τοῦ Ἄθωνος, καὶ εἰς ἄλλα Μοναστήρια Θρᾴκης, Θετταλίας, καὶ Μακεδονίας, καὶ ἐκλεξάμενος πολλὰ βιβλία τῶν ἁγίων πατέρων καὶ τῆς ἔξω σοφίας, ἠγόρασεν αὐτὰ ὀλίγου τιμήματος, τοὺς δὲ ἐν τῇ Μονῇ τῶν λεγομένων Μετεώρων πατέρας τοσοῦτον ἠπάτησεν, ὥστε καὶ τρυτάνῃ ὅπερ λέγεται κοινῶς στατέριον ἠγόραζε τὰ τῆς μονῆς αὐτῶν βιβλία, ἐν ἑκάστῃ τριλίτρῳ, ἤτοι ὀκάδι δοὺς αὐτοῖς τὴν συμπεφωνηθεῖσαν ποσότητα τῶν ἀργυρίων. οὕτως ἐποίησαν καὶ οἱ Φράροι ἐν τῇ Κρήτῃ ἁλούσῃ παρὰ τῶν Ὀθωμανῶν, ὥστε ἐν τῇ ζάλῃ τῆς αἰχμαλωσίας εἰληφέναι αὐτοὺς ἀπάταις πολλαῖς τὰ βιβλία ἅπερ ἦσαν ἐκεῖ τῶν ἁγίων πατέρων, ἀναγκαῖά τε ἄλλα συγγράμματα διαφόρων συγγραφέων ἐκεῖ εὑρισκόμενα οὕτω τὸ γένος τῶν Ἑλλήνων ἐπολεμεῖτο ἔσωθέν τε καὶ ἔξωθεν ὑπὸ τῶν παπιστῶν ἔντε τῇ Ἀνατολῇ καὶ τῇ Δύσει.

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Πέμπτον, ὅτι ὁ Λούκαρις ἀποσπάσας τῆς Κορίνθου κακῶς τὴν Κεφαληνίαν καὶ Ζάκυνθον, ἐποίησεν Ἀρχιεπισκοπὴν, καὶ περὶ τοῦ Ῥιζαίου, καὶ τῆς ἐν Πελοποννήσῳ Μονῆς τοῦ Φιλοσόφου, καὶ πότε τῷ ἁγίῳ τάφῳ ἀφιέρωται ἡ ἐν Γιασίῳ Μονὴ τοῦ Μπουρνόσκη.

Πέμπτον, ὅτι ὁ Κύριλλος Λούκαρις ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ εἰκοστῷ πρώτῳ τὸν Νικόδημον Μεταξᾶν προεχειρίσατο Ἀρχιεπίσκοπον Κεφαληνίας καὶ Ζακύνθου, ἀποσπάσας ταύτην κακῶς καὶ παραλόγως ἀπὸ τῆς Κορίνθου, ἀπὸ γὰρ τοῦ καιροῦ τῶν ἁγίων Ἀποστόλων ὑποκειμένην Ἐπισκοπὴν ἀπέσπασε παρανόμως. εἰ δὲ καὶ προβάλλουσί τινες ὅτι οἱ Βασιλεῖς ἔχουσιν ἐξουσίαν καὶ οἱ Πατριάρχαι ποιεῖν τοιαῦτα, ἀλλὰ ῥητέον ὅτι ψεῦδος τοῦτο ἐστὶν, ὁ γὰρ Νικόλαος Κωνσταντινουπόλεως ἔλεγεν Ἀλεξίῳ τῷ Κομνηνῷ,

νῷ, Ἐῤῥῶσθαι Βασιλέως ἀντιγραφὴν, ἐφ' οἷς οὐ βλάπτεται ἕτερος, οὐ μὴν καὶ ἀεί. Καὶ, οὐ χρὴ Βασιλέα κοινὰς εὐεργεσίας εἰς βλάβην ἄλλων αἰτουμένοις χαρίζεσθαι. Καὶ, οὐκ ὀφείλουσιν ἑτέροις εἶναι ἐπιζήμιοι αἱ ἑτέρων τιμαί. ὅθεν οἱ Κανόνες βεβαιοῦντες τοῦ Κύπρου τὰ προνόμια λέγουσιν, μὴ συγχέεσθαι τὰ δίκαια τῶν Ἐκκλησιῶν. τὸ γὰρ μὴ μετὰ λογισμοῦ εἰσενεχθὲν, ἀλλὰ κατὰ πλάνην καὶ συνήθειαν κρατῆσαν, οὐ δεῖ κρατεῖν ἐν τοῖς ὁμοίοις. ὅθεν τὸ Ῥίζαιον, ἐπὶ Γερμανοῦ τοῦ ὁμολογητοῦ, ἐγένετο Ἀρχιεπισκοπὴ, ἀλλὰ μετὰ διακόσια ἔτη ἐπὶ Θεοφυλάκτου καὶ Ῥωμανοῦ ἐδόθη Νικηφόρῳ τῷ Νεοκαισαρείας. σημείωσαι δὲ ὅτι τὴν Μονὴν τῆς Θεοτόκου, τὴν ἐπιλεγομένην τοῦ Φιλοσόφου, κειμένην εἰς Πελοπόννησον, ἀνήγειρεν Ἰωάννης ὁ Λαμπαρδόπυλος φιλόσοφος καὶ Πρωτασηκρῆτις, καὶ ἐποίησεν αὐτὴν Σταυροπήγιον ὁ Κωνσταντινουπόλεως Πολύευκτος ἐν ἔτει ἑξακισχιλιοστῷ τετρακοσιοστῷ δεκάτῳ πέμπτῳ, οὗ τὸ Σιγιλλιῶδες γράμμα ὁ Κύριλλος ἀνενέωσεν. ἐπὶ τούτου ἀφιέρωται καὶ ἡ Μονὴ τοῦ Μπουρνόσκη ἡ κατὰ τὸ Γιάσιον κειμένη τῷ ἁγίῳ τάφῳ ἐν ἔτει ἑπτακισχιλιοστῷ ἑκατοστῷ τριακοστῷ ἕκτῳ. ἠγάπα δὲ ὁ Κύριλλος σφόδρα τὸν ἅγιον τάφον, ὅθεν καὶ εἰς τοὺς πολέμους τοῦ Θεοφάνους μετὰ τῶν Λατίνων ὤφθη αὐτῷ μέγας ἀρωγὸς τρόποις διαφόροις.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τοῦ πότε καὶ τίνες ἔφερον Τυπογραφίαν εἰς Κωνσταντινούπολιν, ἣν οἱ κρατοῦντες διὰ τὸ παρὰ τῶν Λατίνων λαβεῖν δῶρα ἔῤῥιψαν ἐν τῇ θαλάσσῃ.

Ἐπὶ τοῦ Κυρίλλου τούτου τοῦ Κουκάρεως ὁ εἰρημένος Νικόδημος ὁ Μεταξᾶς καί τινες ἄλλοι ἔφερον εἰς τὴν Κωνσταντινούπολιν Τυπογραφίαν ἑλληνικὴν, καὶ ἐτύπωσαν τοῦ Παλαμᾶ τὸ Σύνταγμα καὶ τοῦ Σχολαρίου, καὶ τὸν Διάλογον τοῦ Μαργουνίου περὶ τῆς ἐκπορεύσεως, καί τινας ἐπιστολὰς τοῦ Ἀλεξανδρείας Μελετίου, καὶ Βαρλαὰμ Μοναχοῦ κατὰ τοῦ καθαρτηρίου πυρὸς, καὶ τὸ τοῦ Φιλαδελφείας Γαβριὴλ περὶ τὸν πέντε διαφορῶν, ἀλλ' οἱ Λατῖνοι ἐπετήδευσαν διὰ δόσεως πλήθους χρημάτων πρὸς τοὺς ἐθνικοὺς, καὶ ἔῤῥιψαν ἐν τῇ θαλάσσῃ τὴν Τυπογραφίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῶν ἐπὶ τοῦ Λουκάρεως ζητησάντων Ἰνδῶν σοφοὺς ἄνδρας κατὰ τῶν ἐπηρεαζόντων αὐτοὺς Λατίνων ἐπὶ τὸ παπίσαι.

Ἐπὶ τούτου τοῦ Κυρίλλου Ἀρμένιός τις πραγματευτὴς ἐλθὼν ἀπὸ τῶν Ἀνατολικῶν Ἰνδιῶν, εἶπε τῷ Πατριάρχῃ, ὅτι ἐν τῇ Ἰνδίᾳ εἰσὶ λαῶν πλήθη ἄπειρα ὁμοφωνοῦντα τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, καὶ πειράζονται ὑπὸ τῶν παπιστῶν, ὅθεν δέονται αὐτοῦ ἀποστεῖλαι σοφόν τινα ἄνδρα εἰς βοήθειαν αὐτῶν, ἵνα μὴ ὑπὸ τῶν παπιστῶν ἀπατῶνται, ἀλλ' οὐκ ἐμέλησεν οὔτε τῷ Πατριάρχῃ, οὔτε τοῖς περὶ αὐτὸν, τὸ γὰρ Οἰκουμενικὸς ἐν μόναις καταδυναστείαις καὶ ἁρπαγαῖς ἐφίετο ἔχειν, οὐκ ἐν οἷς αὐτὸ ἡ καθολικὴ Ἐκκλησία ἐδέξατο, καὶ παρέδωκε.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῶν πυρποληθέντων ἐν Βυζαντίῳ Ναῶν ἐν οἷς καὶ τὸ μετόχιον τοῦ ἁγίου τάφου ἐπὶ τοῦ Σουλταῦ Ἰμπραὴμ, οὗ ἀναιρεθέντος, ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Σουλταῦ Μωαμέτ.

Ἐν τῷ ἔτει ἐν ᾧ ἐβασίλευσεν ὁ Σουλταῦ Ἰμπραὴμ, ἤτοι τῷ χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ, Μηνὶ Αὐγούστῳ, γέγονε πυρκαϊὰ ἐν τῷ Μπαλατᾷ καὶ Φαναρίῳ, καὶ ἐνεπυρίσθη τὸ Μετόχιον τοῦ ἁγίου τάφου, καὶ ἕτεραι ἐννέα Ἐκκλησίαι, καὶ ἔμειναν ἠφανισμέναι, καὶ τῷ χιλιοστῷ ἑξακοσιοστῷ τριακοστῷ ἑβδόμῳ ἐποίησεν ὁ Μπαϊρὰμ πασσὰς Τζαμὴ τὴν ἐν Κωνσταντινουπόλει Ἐκκλησίαν τοῦ Προδρόμου τὴν ἔσωθεν τῆς πύλης Ἀδριανοῦ λεγομένης, ἥτις ἦν Μονὴ τῶν μοναζουσῶν γυναικῶν. καὶ τῷ χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ ὀγδόῳ ἔτει, Μηνὶ Ἰουλίῳ ἀπεκτάνθη ὁ Σουλταῦ Ἰμπραὴμ, καὶ ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Σουλταῦ Μωαμέτ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι ὁ Κωνσταντινουπόλεως Παρθένιος ὁ γέρων μιαραῖς αἰτίαις ἔλαβε χρήματα παρὰ τοῦ Νικηφόρου Ἀλεξανδρείας, καὶ περὶ τοῦ Ἱεροσολύμων Παϊσίου, καὶ πῶς κεχειροτόνηται, καὶ ποσάκις καὶ εἰς ποίους τόπους ἀπεδήμησε, καὶ τὶ τὸ αἴτιον τοῦ τὸν Κωνσταντινουπόλεως Παρθένιον τὸν νέον ἐπιβουλεῦσαι αὐτῷ, καὶ εἶτα Βασιλείῳ Μολδαβίας καὶ Ματαίῃ Βλαχίας τοῖς Ἡγεμόσιν, ὧν τῇ συνεργείᾳ πρὸς τῆς Βασιλείας ἀπεπνίγη.

Χειροτο-

Χειροτονηθεὶς κανονικῶς τῆς κυρίᾳ Νικηφόρῳ Πάπα Ἀλεξανδρείας, καὶ ἐλθόντος εἰς Βυζάντιον ἵνα ἀποδημήσῃ εἰς Ἰβηρίαν χρέως ὄντος τοῦ κατ' αὐτὸν ἀποστολικοῦ θρόνου, Παρθένιος ὁ γέρων πατελαρχεύων, ἔπλασεν αἰτίας μιαρὰς, δι' ἃς καὶ ἔλαβε παρ' αὐτοῦ δύο χιλιάδας γρόσια. χειροτονηθέντος δὲ καὶ τοῦ Ἱεροσολύμων κυρίᾳ Παϊσίῳ ἐν Γιασίῳ ὄντι Παρθενίῳ τῷ νέῳ, καὶ ἐλθόντος εἰς Βυζάντιον ἵνα ἀποδημήσῃ εἰς Ἱερουσαλὴμ, ἐζήτησε παρ' αὐτοῦ ὁ Παρθένιος χρήματα, ὡς καὶ ὁ ὑπ' αὐτὸν ὢν τῆς Ἀλεξανδρείας, ἀλλ' ὁ Παϊσιος τὸ σιμωνιακὸν Αἵρεσιν ἀψευδῆ γνώσιων, οὐκ ἔδωκεν αὐτῷ ἄτε ὀβολόν. μεταταῦτα δὲ τῷ κυρίᾳ Παϊσίῳ ἐπανελθόντος ἀπὸ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, καὶ ἀποδημήσαντος εἰς Μοχοβίαν χάριν ἐλέους, ἔπλασεν ὁ Παρθένιος αἰτίας, καὶ ἔγραψε κατ' αὐτοῦ ὑπὸ τὸν ἀοίδιμον Αὐτοκράτορα Ἀλέξιον Μιχαηλοβίτζην, ἀλλ' ὑδὲν ἴσχυσεν ἡ τοῦ Παρθενίου ποινηλία. ἐπανελθόντα δὲ τὸν κύριον Παΐσιον ἀπὸ Μοχοβίας τῆς ἀπιούσας εἰς Ἱερουσαλὴμ, καὶ ἐλθόντα εἰς Βυζάντιον, διέβαλεν αὐτὸν ὡς δῆθεν ἐπιβουλεύοντα τῆς Βασιλείας ὁ Παρθένιος εἰς τὸν Τζελεπῆ Καπιτζήμπασι τὸν τότε Βεζύρην τοῦ Σελτὰν Ἰμπραήμ. ὁ δὲ Βεζύρης τὸν κύριον Παΐσιον ὑποσκαλεσάμενος, καὶ αὐτὸν ἐμφοβοῦντα αὐτοῦ ἐλθόντα ἐρωτήσας, καὶ γνοὺς αὐτὸν εἶναι ἄνθρωπον δίκαιον, ἀφῆκεν αὐτὸν μετ' εἰρήνης, ἔλαβεν ὅμως παρ' αὐτοῦ δῶρα χάριν φιλοτιμίας χιλιάδας τέσσαρας. τοῦ δὲ κυρίου Παϊσίου αὖθις ἀπὸ τῆς ἁγίας πόλεως ἐπανελθόντος, καὶ εἰς Βλαχομπογδανίαν ἀπελθόντος, ὁ Πατελάρχης Παρθένιος πάλιν κατέτρεχεν αὐτοῦ, καὶ ὑποσέθηκεν ἐπιβουλὴν ὑπὸ τὴν βασιλικὴν πόρταν Βασιλείῳ τῷ Μπογδανίας Ἡγεμόνι καὶ Ματαίῃ τῇ Βλαχίας Ἡγεμόνι. τί δὲ τὸ μεταταῦτα; ὑπήγαγον οἱ Ἡγεμόνες εἰς τὴν πόρταν μὲ φίλων καὶ χρημάτων, καὶ ἔπνιξαν τὸν Παρθένιον, καὶ ἔπαυσαν τὰ κακὰ τὰ ὑποσεθέντα ὑπὸ τῇ ἁγίᾳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, καὶ τὰ τυραννικὰ καὶ βίαια ἔθη.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Τίνος ἦν οἶκος ὑστερον τὸ ἐν Κωνσταντινουπόλει Μετόχιον τοῦ ἁγίου τάφου, καὶ τίς Πατελάρχης τῶν Ἱεροσολύμων ἠγόρασεν αὐτὸν, καὶ τίνων σωθρομῇ μετὰ τὸ ἐμπρησθῆναι ἀνῳκοδομήθη.

Τὸ ἐν Κωνσταντινουπόλει Μετόχιον τοῦ ἁγίου τάφου ἦν οἶκος τῶν Καντακουζηνῶν, περιέχων ἐν αὐτῷ καὶ συμπεφωνημένην Ἐκκλησίαν ὅσον μόνον περιέχεσθαι τὸν Ἱερέα ἐν αὐτῇ τὴν θείαν Ἱερουργίαν ἀποτελοῦντα. τοῦ δὲ κυρίου Θεοφάνους ἀγοράσαντος τοῦτον τὸν οἶκον, καὶ ποιήσαντος Μετόχιον τοῦ ἁγίου τάφου, ἐμπρησθέντος δὲ τούτου τοῦ μετοχίου ὅτε καὶ τὸ Φαναρίου ἀνεπρήσθη, ἀπῆλθον εἰς τὸν τότε Βεζύρην οἱ Ἄρχοντες τῶν γυναικάδων, καὶ ἐδεήθησαν αὐτοῦ δοῦναι θέλημα τοῦ ἀνοικοδομηθῆναι τὴν Ἐκκλησίαν τοῦ Μετοχίου ὡς καὶ πρότερον ἦν. τοῦ δὲ Βεζύρη αὐτοῖς μὴ μὴ δὲ μίαν ὑπόκρισιν δόντος, ἐλθὼν δὲ ὁ Θεοφάνους εἰς Βυζάντιον ἐμίλησε τῷ Βεζύρῃ καὶ ἔδωκε τὸν Σέμπασιν καὶ τὸν Χασάσμπασιν ποτισάξαντος, ὑπόμισαν οἱ γυναικάδες εἶναι τοῦ Βεζύρη τὴν γνώμην ἐμβαλεῖν αὐτὸς εἰς τὸ κάτεργον, ἐπειδὴ ἔτοι οἱ δύο εἰσὶν ἀρχηγοὶ πάσης φυλακῆς καὶ στραβλώσεως καὶ τιμωρίας καὶ θανάτου, οἷς ἐλθοῦσιν εἶπεν ὁ Βεζύρης ἀπελθεῖν εἰς τὸν Καζασκέρην τῆς Ρούμελις, καὶ λαβεῖν αὐτὸν, καὶ ἀγαγεῖν εἰς τὸ ποιῆσαι καταγραφὴν τῆς Ἐκκλησίας ὑπὸ τὸ οἰκοδομηθῆναι, καὶ ὅτως οἱ γυναικάδες δόντες χρήματα ἱκανὰ, ἐποίησαν τὴν καταγραφὴν τῆς περιοχῆς, ᾗ ἀκολούθως καὶ τῆς Ἐκκλησίας ὡς νῦν ὁρᾶται.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Ὅτι αἰτία τοῦ χρεολυτῆσαι τὸ Πατελαρχεῖον λαβὼν χρήματα ὀνείδους Παρθενίου ὑπὸ τοῦ τῆς Μολδαβίας Ἡγεμόνος Βασιλείου, ἀπέστειλε τὸ τῆς ὁσίας Παρασκευῆς λείψανον εἰς Γιάσιον τεμπῶ κρυφίῳ, καὶ Δατί.

Ὁ Παρθένιος ὀνείδους καλύμμος λαβὼν χρήματα ὑπὸ τοῦ Ἡγεμόνος Μπογδανίας Βασιλείου αἰτίᾳ τοῦ χρεολυτῆσαι τὸ Πατελαρχεῖον, κατεβίβασε νυκτὸς ὑπὸ τοῦ τείχους τοῦ ὄρεος τοῦ Φαναρίου τὸ λείψανον τῆς ἁγίας Παρασκευῆς, ὅπερ ἔκειτο ἐν τῷ Πατελαρχείῳ, καὶ ἀπέστειλεν αὐτὸ εἰς Γιάσιον, ὅπερ νῦν εὑρίσκεται σὺν ἐν τῇ Μονῇ τῶν τελῶν Ἱερεμιχῶν. ἦν δὲ τὸ λείψανον τοῦτο εἰς Βελεχράδιον τῆς Σερβίας, λαβόντες δὲ οἱ Ὀθωμανοὶ Νόμῳ πολέμου τὸ Βελεχράδιον, ἀπέστειλαν τὸ λείψανον εἰς Βυζάντιον, ὕστερον δὲ τοιαύτης αἰτίας τοῦ λειψάνου, φοβέμμος ὁ Παρθένιος μετὰ τῶν περὶ αὐτὸν φανερῶς αὐτὸ ὑποστῆλαι εἰς Γιάσιον, ἀπέστειλε κρυφίως. ἔστι δὲ αὐτὴ ἡ ἁγία Παρασκευὴ ἡ ἀρχαία ἡ ἀπὸ Ἰταλίας, ἀλλ' ὡς ὑπὸ Ἱπποβατῶν Κώμης κατὰ Σηλυμβρίαν κειμένης.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ τῆς Πατελαρχείας Ἀθανασίου Πατελάρχου, καὶ ὅσων, καὶ τοῦ συγγράψαντος κατ' αὐτοῦ Ἀθανασίου κυπρίου.

Εὑρισκό-

1176

Εὑρισκόμενος εἰς Γιάσιον Ἀθανάσιος ὁ Πατελάρος, ἦλθεν ἐξαίφνης εἰς Κωνσταντινούπολιν, καὶ ἐπατριάρχευσεν ἡμέρας δεκατέσσαρας, ὅτε τῇ τῶν ἁγίων Ἀποστόλων ἑορτῇ ἐποίησεν Ὁμιλίαν ἐπ' Ἐκκλησίας κατὰ τῆς ἀρχῆς τοῦ Πάπα, καὶ ὁ ἀνωτέρω ῥηθεὶς Ἀθανάσιος ὁ Κύπριος ἐπελάβετο αὐτοῦ, καὶ ἐτύπωσε βιβλίον κατὰ ταύτης αὐτοῦ τῆς διδαχῆς, περὶ οὗ κατωτέρω ἐροῦμεν.

ΒΙΒΛΙΟΝ ΙΑ'. ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν Κωνσταντινουπόλεως Πατριαρχῶν ἀπὸ Παρθενίου τοῦ νέου ἕως Παρθενίου τοῦ Μογιλάλου, καὶ τῶν συμβάντων αὐτοῖς, ἐξ ὧν δύο ἐμαρτύρησαν Παρθενάκης καὶ Γαβριὴλ, καὶ τρίτος ὁ Σερβίας Γαβριήλ.

Εἴρηται ὅτι Παρθένιος ὁ γέρων ἐπατριάρχευσεν ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τριακοστῷ ἐνάτῳ, καὶ τῷ χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ τετάρτῳ ἐξέβαλεν αὐτὸν ὁ Ἀδριανουπόλεως Παρθένιος ὁ νέος, ὃν τῷ χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ ἕκτῳ ἔτει ὁ Ἡρακλείας Ἰωαννίκιος ἐκβαλὼν, ἐξώρισεν εἰς Κύπρον, ὁ δὲ Παρθένιος φυγὼν καθ' ὁδὸν, ἦλθεν εἰς Γιάσιον, καὶ συνεργείᾳ τοῦ Βασιλείου βοεβόδα ἔλαβε τὸ Πατριαρχεῖον δεύτερον, ὅτε καὶ ἀπεκτάνθη τῷ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ἔτει, Μηνὶ Μαΐῳ. τῷ αὐτῷ ἔτει καὶ Μηνὶ ἐγένετο Πατριάρχης δεύτερον ὁ Ἰωαννίκιος, πατριαρχεύσας ἔτος ἓν καὶ ἡμέρας τρισκαίδεκα, εἶτα Κύριλλος ὁ ποτὲ Κορίνθου ἡμέρας ὀκτωκαίδεκα, καὶ πρὸ τοῦ μετατεθῆναι ἐξεβλήθη, εἶτα ὁ Πατελάρος Ἀθανάσιος τὸ δεύτερον, πατριαρχεύσας ἡμέρας τεσσαρεσκαίδεκα ὡς εἴρηται, εἶτα Παΐσιος ὁ Λαρίσσης τῷ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ πρώτῳ ἔτει, Ἰουλίου πρώτῃ, ἐκβληθεὶς δὲ, καὶ ἀπελθὼν εἰς Λέσβον τὴν ἰδίαν πατρίδα, ἡσύχασεν ἔτη τριακονταεπτὰ, καὶ ἀπέθανε. μετὰ τοῦτον ἐγένετο τρίτον ὁ Ἰωαννίκιος, οὗ ἐκβληθέντος ἐν τῷ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ἕκτῳ ἔτει, ἐπατριάρχευσεν ὁ Χίου Παρθένιος ὁ καὶ παρθενάκης καλούμενος, ἀγαθὸς καὶ θεῖος ἀνὴρ, ἐφ' οὗ ὁ ὑπὸ τοῦ Ταταρχάνη πρὸς τὸν Καζακίας Χάτμανον πεμφθεὶς πρεσβευτὴς ἰδὼν ἐκεῖ παρακαθήμενόν τινα Μητροπολίτην πρώην Νικαίας, καὶ ἐπανελθὼν, εἶπε πολλὰ τῷ Χάνῃ, τοῦ δὲ Χάνη γράψαντος τῷ Βεζύρῃ κατὰ τοῦ Πατριάρχου, ἔκραξεν ὁ Βεζύρης τὸν Πατριάρχην, καὶ ἠρώτησεν αὐτὸν, Εἰ ἔπεμψεν ἄνθρωπον εἰς τὸν Χάτμανον. καὶ εἰ καὶ ἀθῷον εὗρεν αὐτὸν, διὰ μέντοι τὸν λόγον τοῦ Χάνη ἐκρέμασεν αὐτὸν τῷ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ἑβδόμῳ ἔτει, τῷ Σαββάτῳ τοῦ Λαζάρου, ὃς καὶ ἵστατο κρεμάμενος ἡμέρας τρεῖς, εἶτα ῥιφθεὶς ἐν τῇ θαλάσσῃ, εὑρίσκεται ὕστερον, καὶ θάπτεται εἰς τὰ Νησία, καὶ γίνεται θλίψις εἰς τὴν πόλιν. ζητεῖται δὲ ὁ Ἱεροσολύμων Παΐσιος ὑπὸ τοῦ Βεζύρη ὡς γνωστὸς αὐτῷ πατριαρχεῦσαι, καὶ κρύπτεται. καί τις Μητροπολίτης ἀγράμματος Γάνου καὶ Χώρας τοὔνομα Γαβριὴλ πορευθεὶς εἰς τὸν Βεζύρην γίνεται Πατριάρχης, καὶ μετατίθεται ὑπό τινων ἀθλίων Ἀρχιερέων, καὶ μετὰ δύο Μῆνας στεφανώσαντα γάμον ἀρχοντικὸν, μετὰ τὸ εἰπεῖν κακῶς τὰς εὐχὰς, ἐκβάλλουσιν αὐτὸν οἱ Ἀρχιερεῖς, καὶ ἀντεισάγουσι τὸν Προύσης Παρθένιον τέταρτον μετὰ τοιούτου ὀνόματος Πατριάρχην Κωνσταντινουπόλεως, τὸν καὶ Μογιλάλον καλούμενον, ἐλάλει γὰρ τὰ πλεῖστα διὰ τῆς ῥινός. τὸν δὲ Γαβριὴλ ἡσυχάζοντα ἐν τοῖς ἰδίοις, καὶ μετὰ δύο χρόνους ὄντος τοῦ Σουλτάνου ἐν τῇ Προύσῃ βαπτίσαντα τινὰ Ἑβραῖον, ἐσυκοφάντησαν οἱ Ἑβραῖοι βαπτίσαι οὐχ Ἑβραῖον, ἀλλὰ Τοῦρκον, ὅθεν κρεμᾷ καὶ αὐτὸν ὁ Βεζύρης, εἰς τὴν Προῦσαν τότε διατρίβων μετὰ τοῦ Σουλτάνου. τότε καὶ τοῦ Σερβίας Ἀρχιεπισκόπου Γαβριὴλ εἰς Μοσχοβίαν ἀπελθόντος, εἰσπηδᾷ εἰς τὸν Σερβίας θρόνον λῃστρικῶς Μάξιμός τις. ἐπανελθὼν δὲ ὁ Γαβριὴλ, καὶ ζητῶν αὐτοῦ τὸν θρόνον, συκοφαντεῖται παρὰ τοῦ Μαξίμου ὡς ἐπίβουλος τῆς Βασιλείας, καὶ κρεμᾷ καὶ αὐτὸν ἀδίκως ὁ Βεζύρης ἐν τῇ Προύσῃ. πολλὰ δὲ τοῖς τρισὶ τούτοις οἱ ἐθνικοὶ ἐποίησαν τοῦ ἐξομόσαι, ἀλλ' ἐλέει Θεοῦ οὐ γέγονε τοιαύτη παραχώρησις ἐν τῇ Ἐκκλησίᾳ, ὅθεν ἐστάθησαν καὶ οἱ τρεῖς Μάρτυρες, καὶ Ἀρχιερεῖς τῷόντι χριστομίμητοι.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ Νικολάου τοῦ Κεραμέως ἐπὶ τῆς Πατριαρχείας τοῦ Παρθενάκη, καὶ τῶν διαφόρων αὐτοῦ συγγραμμάτων.

Τοῦ Παρθενίου, ἤτοι τοῦ τρίτου τοῦ καὶ Παρθενάκη πατριαρχοῦντος, εὑρίσκετο ἐν Κωνσταντινουπόλει Νικόλαός τις, ὁρμώμενος ἐξ Ἰωαννίνων, τοὐπίκλην Κεραμεὺς, τὸ ἐπάγγελμα Ἰατροφιλόσοφος, ὃς προτροπῇ τοῦ Πατριάρχου τούτου Παρθενάκη καὶ τῆς Συνόδου συνέγραψε κατὰ τοῦ εἰρημένου ἀνωτέρω Ἀθανασίου Κυπρίου, καὶ συνέταξε βιβλίον κατὰ τῆς ἀρχῆς τοῦ Πάπα ἀγωνιστικῶς καὶ ἀποδεικτικῶς μετὰ Γεώργιον τὸν Κορέσσιον δεύτερος, ἔγραψε δὲ καὶ ἄλλα περὶ ἰατρικῆς, καὶ περὶ τῆς ἀκολουθίας τοῦ

ἁγίου

ἁγίᾳ Μύρᾳ, καὶ περὶ ἀρχῶν θεολογικῶν, καὶ περὶ φιλίας καὶ ἔρωτος, καὶ κατὰ τῶν συκοφαντούντων μέρη τινὰ τῆς ἁγίας γραφῆς μὴ εἶναι γνήσια αὐτῆς. ἐτελεύτησε δὲ εἰς Γιάσιον τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ ἔτει.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἐλθούσης Ταΐγας εἰς τὴν Ἀνατολικὴν Ἐκκλησίαν ἐπὶ Παρθενίου τοῦ τετάρτου, καὶ τῆς κατακαύσεως αὐτῆς ἐπ' ἀρχῇ τῶν παπισῶν κατὰ πᾶσαν πόλιν καὶ χώραν. καὶ περὶ τῆς Πατριαρχείας Διονυσίου τοῦ Λαρίσσης, ἀνδρὸς εὐαρέστου, καὶ πῶς ἐκοιμήθη.

Ἐν ἔτει δὲ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ ἦλθον εἰς τὴν Κωνσταντινούπολιν καὶ ἁπλῶς εἰς τὴν Ἀνατολικὴν Ἐκκλησίαν ἀπὸ τῆς Φραγγίας ἡ λεγομένη Ταΐγα. καὶ λαβὼν θέλημα ἀπὸ τῆς Βασιλείας ὁ Πατριάρχης Παρθενίου ὁ τέταρτος, ἔγραψεν εἰς τὴν Πόλιν καὶ εἰς τὸν Γαλατᾶ, ἀλλὰ δὴ καὶ εἰς Σμύρνην καὶ εἰς πᾶσαν πόλιν καὶ χώραν ὀρθοδόξων κατ' αὐτῆς. καὶ ἀγοράσαντες οἱ ὀρθόδοξοι τὴν Ταΐγαν, κατέκαυσαν πάμπολλα βιβλία αὐτῆς ἐν τοῖς φόροις, καὶ ἐγένετο τοῖς παπισαῖς ἀρχὴ μεγάλη. ἐκβάλλεται δὲ μετὰ τρία ἔτη τῆς Πατριαρχείας καὶ ὁ Παρθενίου, καὶ κοινῇ ἐκλογῇ χειροτονεῖται Πατριάρχης ὁ Λαρίσσης Διονύσιος, ὁρμώμενος ἀπὸ τῆς Νήσου Ἄνδρου, μετὰ Τιμόθεον ὃν ἔχων τὸν συγκελλόμενον αὐτῷ Πατριάρχῃ Κωνσταντινουπόλεως ἕως τῆς ὥρας ταύτης ἐπὶ φρονήσει καὶ ζωῇ εὐαρέστῳ, γέγονε δὲ Πατριάρχης ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ, ἐπουχάσας δὲ ἐν τῇ Λαύρᾳ τοῦ Ἄθωνος, ἐκοιμήθη τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ ἕκτῳ, Μαΐῳ Αὐγούστῳ, ᾧ ἡμεῖς ἀφιερώσαμεν τὴν Κατάβασιν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῶν ἐν Κωνσταντινουπόλει, Χίῳ, καὶ Ἄρτῃ Σχολείων τοῦ Κασομουλοῦ Μανολάκη, καὶ τῶν εἰς τὴν μεγάλην Ἐκκλησίαν τῆς Βηθλεὲμ ἐλεημοσυνῶν αὐτοῦ, καὶ περὶ τῆς γνώμης τῶν τεσσάρων Πατριαρχῶν ἀθείας τοῦ χειροτονεῖσθαι τὸν Μοσχοβίας ὑπὸ τῆς ἰδίας Συνόδου, παρόντος καὶ τοῦ πρέσβεως τῆς Μοσχοβίας ἐν Κωνσταντινουπόλει, καὶ τῆς ἐξώσεως τοῦ ἁγίου Διονυσίου ἀπὸ τοῦ θρόνου ὑπὸ τοῦ Μουλάλη Παρθενίου, καὶ τῶν ἕως Γαβριὴλ Χαλκηδόνος Πατριαρχῶν, καὶ τῶν κακῶν καὶ ζημιῶν ἐν τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ, ἢ ὑπερβολῶν καὶ ἀναφορῶν κατὰ τῶν Ἀρχιερέων καὶ τῶν Ἀρχόντων τῆς πόλεως τότε τοῦ Μουλάλη Παρθενίου, ἔχοντος συνεργὸν καὶ τὸν Ἰωακεὶμ Ἀλεξανδρείας, καὶ τοῦ Διονυσίου Μισελὴμ, συνεχῶς ἐπεκτεινόντων εἰς τὸν θρόνον μετὰ μεγάλων δαπανῶν καὶ σκανδάλων καὶ ἀγωγῶν, καὶ μέχρι τίνος Πατριάρχου ἐφόρεσαν κόκκινα Σκιάδεια οἱ Πατριάρχαι.

Ἐν δὲ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ πρώτῳ ἔτει ἐλθὼν εἰς Κωνσταντινούπολιν ὁ Ἱεροσολύμων κύριος Νεκτάριος, γέγονε σοφὸν τοῦ ποιῆσαι σχολεῖον τὸν Θεοφιλῆ ἄνθρωπον τὸν Μανολάκην τὸν Κασομουλῆνον πρῶτον ἐν τῇ Κωνσταντινουπόλει, καὶ δεύτερον ἐν τῇ Χίῳ, καὶ τρίτον ἐν τῇ Ἄρτῃ. ἔστος ὁ Μανολάκης ἔδωκε καὶ διὰ τὴν οἰκοδομὴν τῆς ἐν Βηθλεὲμ μεγάλης Ἐκκλησίας φλωρία χιλιάδας εἴκοσι, καὶ Σταυρὸν πολύτιμον. κατ' ἐκεῖνον τὸν χρόνον ἦλθον ὁ πρεσβευτὴς ἀπὸ Μοσχοβίας, ὅτε ἔδωκαν θέλημα οἱ τέσσαρες Πατριάρχαι χειροτονεῖσθαι τὸν Πατριάρχην Μοσχοβίας ὥστε τῆς Συνόδου αὐτοῦ χωρὶς τοῦ ἐρωτῆσαι τὸν Κωνσταντινουπόλεως, καὶ γὰρ πρότερον ἠρώτων. τὸν μὴτοι ἁγιώτατον Διονύσιον ἐξέβαλον ὁ μουλάλης ἐρημίᾳ Παρθενίου ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ πέμπτῳ, ὅτε ὁ αὐτὸς Παρθενίου καὶ Ἀλεξανδρείας Πατριάρχην ἐξέβαλε τὸν Ἰωακεὶμ ὡς εἴρηται, καὶ ἄλλα κακὰ καὶ ἄθεσμα ἐποίησον. ὅμως Μητροπολίτης τὶς Ἰκονίου ἀγελαίθρωπος ἐξέβαλον αὐτὸν καὶ ἐξώρισεν εἰς Τένεδον, ἀλλ' ὑπὸ τῆς Συνόδου ἐκβάλλεται καὶ ὁ Κλήμης, πρὶν ἢ μετατεθῆναι, καὶ χειροτονεῖται Πατριάρχης μετὰ μεγάλων δαπανῶν ὁ Ἡρακλείας Μεθόδιος, ὃς ἐφίλησε χεῖρα ἐν Ἀδριανουπόλει, καὶ ὑπέστρεψεν ἀπὸ τοῦ Παλατίου εἰς τὴν Μητρόπολιν φορῶν ἐπὶ τῆς κεφαλῆς Σκιάδειον κόκκινον μεταξωτὸν, ἦγεν κατηφόριον μετὰ λαδικοχρύσων σταυρῶν, ὅπερ ἐξ ἐκείνου καὶ ὕστερον ἔλαβον ἀπὸ τῶν μεταγενεστέρων Πατριαρχῶν. ἐκβληθεὶς δὲ καὶ οὗτος, ἀπῆλθεν εἰς Βουκουρέστιον, καὶ ἀποθανόντος τοῦ Φιλαδελφείας, ἐκυβέρνησε πρεσβευτικῶς τὸν ἐκεῖ θρόνον. καὶ εἰ καὶ ὁ τῆς Ῥώμης Πάπας σφόδρα μανιώδης, ἔγραφε τῇ τῶν Ἑνετῶν Γερουσίᾳ κατὰ τοῦ Μεθοδίου, καὶ ὡς τοῦ δύνασθαι εἶναι ἐν μιᾷ Ἐπαρχίᾳ δύο Πατριάρχας, Πατριάρχην κακῶς καὶ παρανόμως λέγων τὸν Βουκουρεστίου Ἐπίσκοπον, ὅμως οὐκ ἐσκανδάλισε. καὶ ἀπέθανε πρεσβεύων ἐκεῖ ὁ Μεθόδιος. ἐπὶ δὲ τῆς Πατριαρχείας ταύτης τοῦ Μεθοδίου ὁ μέγας Ἑρμηνευτὴς τῆς καταιᾶς τῶν Ὀθωμανῶν Βασιλείας Παναγιωτάκης ἀπέργησε καὶ ἐτυπώθη ἐν τῇ Ὀλαύτᾳ τὸ βιβλίον τὸ καλούμενον Ὀρθόδοξος Ὁμολογία, ὅστις ἐν τῇ Κρήτῃ, ὧν μετὰ τοῦ Βεζύρη, ἔλαβε τὰ τῆς Ὀρθοδόξου Ὁμολογίας βιβλία, καὶ ἔπεμψεν

πεμψεν αὐτὰ τῷ Πατριάρχῃ, ὁ δὲ Πατριάρχης διένειμεν αὐτὰ τῷ ὀρθοδόξῳ λαῷ δημοσίως. ἐπατριάρχευσε δὲ ὁ Μεθόδιος ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ἑβδόμῳ, καὶ ἐξεβλήθη ἐν τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ πρώτῳ ἔτει, ἐξέβαλε δὲ αὐτὸν ὁ Μογιλάλος, ὅτε ἦλθεν εἰς τὴν Ἀδριανούπολιν ὁ Βεζύρης μετὰ τὴν ἅλωσιν τοῦ Χάνδακος, ὅτε καὶ εἴκοσι χιλιάδες φλωρία σχεδὸν ἐδαπανήθησαν, ἦμεν δὲ ἡμεῖς οἰκοδομοῦντες τότε τὸν περίκλυτον Ναὸν τῆς ἁγίας Βηθλεέμ. μεμφόμενος δὲ ὁ Παρθένιος ὑπὸ τῶν Ἀρχιερέων καὶ Ἀρχόντων διὰ τὴν ἐπίβασιν, ἡνώθη τῷ κακῶς χρηματίσαντι Ἀλεξανδρείας Ἰωακείμ, καὶ δὴ εὑρίσκουσι γραμματικόν τινα Ἄραβα ἀπὸ Βερροίας τῆς ἐν Συρίᾳ, καὶ συγγράφη ἀναφορὰν πρὸς τὸν Σουλτᾶνον κατ' αὐτῶν, ἐν ᾗ ἔλεγον εἶναι τούσδε τοὺς Ἀρχιερεῖς καὶ τούσδε τοὺς Ἄρχοντας τῆς Κωνσταντινουπόλεως ἐπιβούλους τῆς Βασιλείας (ὅσοι δηλαδὴ αὐτέλεγον ταῖς παρανομίαις αὐτῶν) ἠυδόκησε δὲ ὁ Θεὸς ἐμβαλεῖν αὐτοὺς ἐν τῇ ἀναφορᾷ καὶ τὸν μέγαν Ἑρμηνέα τῆς Βασιλείας Παναγιωτάκην, ὃν ἠγάπα ὁ Βεζύρης. ἔδωκαν οὖν τὸν λίβελλον τῷ Σουλτάνῳ διατρίβοντι εἰς τὸ ὄρος τὸ λεγόμενον τοῦ Δεσπότου, κείμενον ἀναμέσον Φιλιππουπόλεως καὶ Νευροκόπου (Νικοπόλεως τῆς Μακεδονίας) ὃς ἔστειλεν αὐτὸν τῷ Βεζύρῃ. ὁ δὲ Βεζύρης γνοὺς αὐτῶν τὴν ψευδολογίαν, τὸν μὲν γραφέα τοῦ λιβέλλου ἔβαλεν εἰς τὸ κάτεργον, ἔνθα καὶ ἐτελεύτησε, τὸν δὲ Μογιλάλον ἀπέβαλε, καὶ προεβλήθη Πατριάρχης ὁ Λαρίσσης Διονύσιος ὁ Μουσελήμης, ὃν ἐξέβαλεν ὁ Τορνόβου Γεράσιμος, τοῦτον αὖθις ἐξέβαλεν ὁ Μογιλάλος τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ πέμπτῳ ἔτει ἐν Ἀδριανουπόλει, τοῦτον δὲ ὁ Διονύσιος ὁ Μουσελήμης, πατριαρχεύσας δεύτερον, τοῦτον δὲ ἐξέβαλεν ὁ Ἐπίσκοπος Ῥαιδεστοῦ, ἀλλ' ἀχρεῖος ὤν, οὐ μετετέθη, ἀλλ' ἐξωρίσθη, καὶ προεχειρίσθη συνοδικῶς ὁ Λαρίσσης Ἰάκωβος ὁ Χῖος, οὗ μετὰ τρεῖς χρόνους παραιτησαμένου, γέγονε τὸ τρίτον ὁ Διονύσιος, τοῦτον ἐξέβαλεν ὁ ῥηθεὶς Μογιλάλος, πατριαρχεύσας πέμπτον, τοῦτον δὲ ὁ Χῖος Ἰάκωβος, προσκληθεὶς ὑπὸ τῆς Συνόδου, ἀλλ' ἐν Ἀδριανουπόλει τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ἕκτῳ ἔτει ἐξέβαλεν αὐτὸν παρανόμως ὁ διαληφθεὶς Διονύσιος.

ὁ δὲ Ἰάκωβος ἐν τῇ ἀπαρρείᾳ τοῦ Στρατοῦ κατὰ τοῦ Σουλτᾶν Μωαμὲτ ἀπῆλθεν εἰς Φιλιππούπολιν, καὶ εἴς τι χωρίον ταύτης Ὀζουντζὲ ὀβᾶ τουρκιστὶ λεγόμενον ἐνέδυσεν αὐτὸν Καββάδιον ὁ Βεζύρης χωρὶς Συνόδου καὶ προσκλήσεως, οὗ μετὰ τέσσαρας Μῆνας παραιτησαμένου, ἐπατριάρχευσε κοινῇ ἐκλογῇ, καὶ ψήφῳ ἡμετέρᾳ ὁ Προύσης Καλλίνικος ὁ Ἀκαρνὰν, ὃν μετὰ ὀκτὼ Μῆνας ἐξέβαλεν ὁ Ἀδριανουπόλεως Νεόφυτος, μετατεθεὶς κατὰ τὴν Ἀδριανούπολιν παρὰ τὴν συνήθειαν, οὗ μετὰ τρεῖς Μῆνας ἐκβληθέντος, πάλιν ἐπατριάρχευσεν ὁ Καλλίνικος, ὃς ὅτε τὸ πρῶτον ἐπατριάρχευσεν, ἦν ἔτος χιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν ἔνατον, Μαρτίου πρώτῃ, κατὰ τὴν Ἀδριανούπολιν, ἐν δὲ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἐννενηκοστῷ τρίτῳ ἔτει ἀπερχομένου τοῦ Βεζύρη κατὰ τῶν Γερμανῶν, καὶ διοδεύσαντος διὰ τῆς Οὐγγροβλαχίας εἰς ἣν Διονύσιος ὁ Μουσελήμης διέτριβεν, ὁ Αὐθέντης Βλαχίας Κωνσταντῖνος ὁ Μπασαράμπας, καίτοι θεοφιλὴς ὤν, ἠπατήθη ὑπὸ τοῦ Διονυσίου, καὶ ἐμεσίτευσεν εἰς τὸν Βεζύρην καὶ ἔφερον τῷ Διονυσίῳ Καββάδιον, καὶ ἔλαβε τὸ Πατριαρχεῖον, καὶ ἦλθεν εἰς Ἀδριανούπολιν, κἀκεῖθεν ἀπῆλθεν εἰς Κωνσταντινούπολιν, ἐπανελθόντος δὲ τοῦ Βεζύρη ἀπὸ τῆς πρὸς τοὺς Γερμανοὺς μάχης εἰς Ἀδριανούπολιν, καὶ κακῶς ποιοῦντος τοῦ Διονυσίου τῇ Ἐκκλησίᾳ τὴν κυβέρνησιν, ἐμήνυσαν τινὲς τῷ Καλλινίκῳ καὶ ἦλθεν εἰς Ἀδριανούπολιν, ὅπερ μαθὼν ὁ Διονύσιος, ἀπῆλθε καὶ αὐτὸς ἐκεῖσε, καὶ πολλῶν σκανδάλων γενομένων καὶ ἀγωγῶν διαφόρων εἰς τὸ βασιλικὸν βῆμα, τέλος πάντων ἐδόθη τὸ Πατριαρχεῖον τῷ Καλλινίκῳ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἐννενηκοστῷ τετάρτῳ ἔτει, ἐν Μηνὶ Ἀπριλλίῳ, ὁ δὲ Διονύσιος φυγὼν εἰς Βυζάντιον, κἀκεῖθεν εἰς Βλαχίαν, ἀπέθανεν ἐν τῇ πόλει Τεργοβύστῳ, ἀπέθανε δὲ καὶ ὁ Καλλίνικος ἐν ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ δευτέρῳ, ἐν Μηνὶ Αὐγούστῳ, καὶ ἐκλογῇ κοινῇ προεβιβάσθη εἰς τὸν θρόνον Κωνσταντινουπόλεως ὁ Χαλκηδόνος Γαβριὴλ, τῷ αὐτῷ Μηνὶ ἐνδυσάμενος Καββάδιον ἐν Ἀδριανουπόλει, ἔνθα γέγονε καὶ ἡμετάθεσις αὐτοῦ, οὕτω κρινάσης τῆς περὶ αὐτὸν Συνόδου.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ Γεωργίου Χίου τοῦ Κορεσσίου, καὶ τῶν μαθητῶν αὐτοῦ, καὶ τῶν συγγραμμάτων αὐτοῦ, καὶ τῆς ἐπ' αὐτῷ συκοφαντίας τῶν παπιστῶν ὡς δῆθεν μαρτυρήσαντι δι' ἐπιστολῆς σφαλῆναι διὰ τὸ κατὰ Λατίνων γράψαι.

Γεώργιος Χῖος ὁ Κορέσσιος ἔμαθε μὲν τὴν κυκλοπαιδείαν καὶ τὴν ἔξω σοφίαν ἐν Ἰταλίᾳ, ἐχρημάτισε δὲ Διδάσκαλος καὶ ἐν τῇ Βενετίᾳ πολλῶν, καὶ ἐν τῇ Φλωρεντείᾳ, ὅπου καὶ ἐκινδύνευσεν ὑπὸ τῶν παπιστῶν. γέγονε δὲ Διδάσκαλος Φιλοσοφίας καὶ Θεολογίας ἐν Χίῳ, μαθηταὶ δὲ αὐτοῦ, Γρηγόριος Ἱερομόναχος Πρωτοσύγκελλος τῆς Κωνσταντινουπόλεως μεγάλης Ἐκκλησίας, ὁ συναγαγὼν τὸ περὶ Μυστηρίων βιβλιάριον, καὶ ἕτεροι Ἱερομόναχοι Κλήμης καὶ Λαυρέντιος, καὶ Νικόλαος Ἱερεὺς, καὶ ἄλλοι πολλοί. συνέγραψε δὲ πολλὰ περί τε τῆς ἔξω παιδεύσεως καὶ περὶ τῆς Θεολογίας, ὡς μαρτυρεῖ τὰ συγγράμματα αὐτοῦ, ἀπέθανε δὲ ὑπέργηρος καὶ παρθένος, ἦν δὲ ἀντικείμενος εἰς ἄκρον τοῖς λατινόφροσι, καθ' ὧν καὶ συνέγραψε πολλά. οἱ Γιεζουβῖται ὅμως μετὰ τὸν θάνατον αὐτοῦ μὴ δυνάμενοι

τοῖς

τοῖς συγγράμμασιν αὐτοῦ ἀντειπεῖν, ἔπλασαν ἐπιστολήν τινα, ὡς τάχα ἐσχεδιασμένην καὶ γεγραμμένην ὑπ' αὐτοῦ τοῦ Κορεσσίου, μαρτυροῦντος σφαλῆναι διὰ τὸ κατὰ Λατίνων γράψαι, οὔσης δῆθεν τῆς παπιστικῆς Ἐκκλησίας ἀληθοῦς Ἐκκλησίας, καταψευδόμενοι τοῦ ἀνδρὸς φανερῶς, καὶ γὰρ ἕως τῶν ὅρων τῆς κοιμήσεως αὐτοῦ οὐκ εἶπε τοιοῦτόν τι ἢ συγγενεῖ αὐτοῦ, ἢ μαθητῇ, ἢ ἄλλῳ τινὶ ὀρθοδόξῳ, ἀλλὰ σχεδὸν καὶ ψυχορραγῶν, κατέκρινε τὸν παπισμόν. οὕτως οὖν οἱ παπισταὶ συκοφάνται ὄντες τῶν ἁγίων, οὐκ αἰσχύνονται ψευδόμενοι καὶ κατὰ τῶν μακαρίων. ἦν δὲ ὁ Κορέσσιος οὐ μόνον τοῖς παπισταῖς ἀντικείμενος, ἀλλὰ καὶ τοῖς Λουτεροκαλβίνοις ἐχθρὸς ἀδυσώπητος, ἄκρος γὰρ ὢν τῆς ἀληθείας φίλος, ἄκρως ἐμίσει καὶ τὸ ψεῦδος.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ποίῳ τρόπῳ οἱ Πατριάρχαι τοὺς ἐπιδημοῦντας εἰς Κωνσταντινούπολιν Πατριάρχας ἐδέχοντο, καὶ τὶς τῶν Πατριαρχῶν τοῦτο ἀνήρηκε.

Ποίῳ τρόπῳ οἱ Πατριάρχαι τοὺς ἐπιδημοῦντας Πατριάρχας εἰς Κωνσταντινούπολιν ἐδέχοντο, ὑπαινιξάμεθα ἱκανῶς ἀνωτέρω βιβλίου πέμπτου κεφαλαίῳ τετάρτῳ, ῥητέον ὅμως κἀνταῦθα τινά. ὁ Πάπας Ἀγαπητὸς ἐπιδημήσας εἰς Κωνσταντινούπολιν, προϋπηντήθη ὃν τρόπον εἴρηται ἀνωτέρω ἐν τῷ αὐτῷ βιβλίῳ καὶ κεφαλαίῳ. ὁ δὲ Χρυσόστομος καὶ τὸν Ἐπιφάνιον Κύπρου ἐτίμησε. λέγει γὰρ ὁ Σωζόμενος, ὅτι τῷ Ἐπιφανίῳ τόπον ἠυτρέπισεν ὁ Χρυσόστομος ἐν τῇ Ἐκκλησίᾳ, ἐτίμησε δὲ καὶ τοῦ Κλήρου παντὸς ὑπαντῇ, βιβλίῳ ὀγδόῳ κεφαλαίῳ δεκάτῳ τετάρτῳ. τοῖς Πατριάρχαις δὲ ἡτοιμάζετο ὑπὸ τῶν Βασιλέων τόπος, ἤρχοντο ὅμως πρῶτον εἰς τὸ Πατριαρχεῖον μετὰ τῆς συνήθους ὑπαντῆς, καὶ ἐνούμενοι πρῶτον τῷ Κωνσταντινουπόλεως Πατριάρχῃ, ἀπήρχοντος εἰς τὸν ἡτοιμασμένον αὐτοῖς τόπον. φησὶ γὰρ ὁ Ἑρμείας, Καὶ Θεοφίλῳ ἐλθόντι ἀπὸ Χαλκηδόνος εἰς Κωνσταντινούπολιν, οὐδεὶς τῶν Κληρικῶν ὑπήντησε, δῆλος γὰρ ἦν τῷ Ἐπισκόπῳ (τῷ Χρυσοστόμῳ) δυσμενής, οἱ δὲ ἐπιδημοῦντες ἐν Βυζαντίῳ Αἰγύπτιοι προέπεμψαν, καὶ παραδραμὼν τὴν Ἐκκλησίαν, εἰς βασιλικὴν οἰκίαν ἦλθεν, ἐν ᾗ καταμένειν αὐτῷ ἠυτρέπιστο, βιβλίου ὀγδόου κεφαλαίῳ δεκάτῳ ἑβδόμῳ. πῶς δὲ ἐξεδέχοντο οἱ Πατριάρχαι Κωνσταντινουπόλεως τοὺς τῆς Ἀνατολῆς Πατριάρχας ἀπερχομένους μετὰ τῆς ὑπαντῆς εἰς τὸ Πατριαρχεῖον, ἡ προλαβοῦσα συνήθεια μαρτυρεῖ. Ἀπερχομένους λοιπὸν τοὺς Πατριάρχας εἰς τὸ Πατριαρχεῖον, οἱ Κληρικοὶ ἠμφιεσμένοι τὰς ἱερατικὰς στολάς, μετὰ τῶν ἱερῶν Εὐαγγελίων καὶ κηρῶν καὶ θυμιατῶν καὶ ψαλτῶν ἐξεδέχοντο ἕως τῆς πύλης τῶν προαυλίων, εἰσερχόμενος δὲ ὁ Πατριάρχης εἴσω τοῦ Ναοῦ, καὶ προσκυνῶν τὰς ἁγίας Εἰκόνας, καὶ εὐλογῶν, καὶ μνημονευόμενος, ἐξήρχετο τοῦ Ναοῦ, ὁ δὲ Κωνσταντινουπόλεως ἱστάμενος τὴν Μανδύαν ἐνδεδυμένος, καὶ τὴν βακτηρίαν τῇ δεξιᾷ φέρων ἐγγὺς τῆς πύλης τοῦ Ναοῦ ἔξωθεν μετὰ τῶν Ἀρχιερέων τῶν παρατυχόντων ἐν τῇ πόλει, ἢ τῶν πλειόνων, προσεδέχετο αὐτὸν ἐκεῖ, καὶ ἐναγκαλιζόμενοι ἀλλήλους ἠσπάζοντο ἐν Κυρίῳ, εἶτα ἐπιλαβόμενοι ἀλλήλων τῶν χειρῶν, ἤρχοντο εἰς τὸ κελλίον τοῦ Κωνσταντινουπόλεως, καὶ μετὰ τὸ συνομιλῆσαι τὰ πρέποντα, ἀπήρχετο ὁ ἐπιδημήσας Πατριάρχης εἰς τὸ οἴκημα αὐτοῦ, συμπαραπεμπόμενος ὑπὸ ἱκανῶν Ἀρχιερέων καὶ Κληρικῶν. τοῦτο ἐγίνετο ἐν Κωνσταντινουπόλει ἕως τῆς Πατριαρχείας Κυρίλλου τοῦ γέροντος, καὶ Παρθενίου τοῦ γέροντος. ὁ δὲ ἐν ἀρχῇ τοῦ παρόντος κεφαλαίου διαληφθεὶς Παρθένιος ὁ νέος, ὁ καὶ Γολιὰθ ἐπικληθεὶς, ὑπὸ ἄκρας συνεχόμενος ὑπερηφανίας, ἀνήρηκε τὴν συνήθειαν, ᾧ καὶ ἡ συνεχὴς ἀνωμαλία καὶ μεταβολὴ τῶν ἐφεξῆς αὐτοῦ Πατριαρχῶν ἀκολουθήσασα, ἔλυσε τὸ καλῶς ἁρμοσθέν. Σημείωσαι δὲ, ὅτι νῦν ἐρχομένων τῶν Πατριαρχῶν εἰς Κωνσταντινούπολιν, οὐ γίνεται πρὸς αὐτοὺς ἡ ὑπαντὴ τοῦ Κλήρου διὰ τὴν ἐπικράτειαν τῶν Ὀθωμανῶν, ἀλλ' ἐρχόμενοι μετὰ τῶν ἰδίων εἰς ὃν προετοιμάζουσιν οἶκον, ἐκεῖθεν ἀπέρχονται εἰς τὸ Πατριαρχεῖον, καὶ προϋπαντῶνται ὡς εἴρηται ἀνωτέρω. ἐμοῦ ὅμως ἐλθόντος ἀπὸ Ἱεροσολύμων εἰς Δαμασκὸν, ὁ Ἀντιοχείας κύριος Μακάριος ὁ γέρων ἕως πέντε ὡρῶν διαστήματος ἔπεμψε τινὰς τῶν Ἀρχιερέων καὶ Κληρικῶν εἰς ὑπαντὴν, εἶτα ἐξῆλθε καὶ αὐτὸς μετὰ τοῦ λαοῦ καὶ τοῦ Ἱερατείου ἕως ὥρας διαστήματος, αὐτὸς μὲν ἔφιππος, τὸ δὲ πλῆθος πεζὸν, καὶ εἰσήλθομεν εἰς τὸ Πατριαρχεῖον κοινῶς πάντες ὁμοῦ.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῶν παρ' Ἕλλησι σοφῶν ἀπὸ τοῦ δεκάτου ἕκτου αἰῶνος μέχρι τοῦ παρόντος, ἤγουν ἀπὸ τοῦ Κωνσταντινουπόλεως Ἱερεμίου τοῦ γράψαντος πρὸς τοὺς ἐν Βιτεμπεργίδι σοφοὺς τῶν Λουτεράνων τὰς ἀποκρίσεις, ἕως Μελετίου Μητροπολίτου Ἀθηνῶν.

Μετὰ τὴν Αἵρεσιν τοῦ Καλβίνου, ἤτοι ἀπὸ τοῦ Χιλιοστοῦ πεντακοσιοστοῦ ὀγδοηκοστοῦ ἔτους καὶ ἑξῆς ἐχρημάτισαν ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ σοφοὶ, ὅσοι δηλονότι ἦλθον εἰς ἡμετέραν εἴδησιν, πρῶτος, ὁ Κωνσταντινου-

1180

ςαντινουπόλεως Ἱερεμίας, πρὸς ὃν ἔγραψαν οἱ ἀπὸ Βιτεμπεργίδος σοφοὶ τῶν Λουτεράνων, καὶ ἀπεκρίθη αὐτοῖς. δεύτερος, Θεοδόσιος ὁ Ζυγομαλᾶς, ὁ συγγραψάμενος τὴν Τουρκογραίτζιαν. τρίτος, Γαβριὴλ Σεβῆρος ὁ Φιλαδελφείας, ὁ τὸ περὶ Μυςηρίων Συνταγμάτιον συγγράψας, καὶ περὶ τῶν πέντε Διαφορῶν καὶ ἄλλα τινά. τέταρτος, Μελέτιος ὁ Πηγᾶς Πάπας Ἀλεξανδρείας, ὁ συγγράψας Διαλογικῶς ἑρμηνείαν τοῦ Συμβόλου, καὶ τοῦ, Πάτερ ἡμῶν, καὶ κατὰ Καθαρτηρίου, καὶ τέως εἰπεῖν, ὁ συγγράψας πολλὰ κατά τε Καλβίνων καὶ παπιςῶν, καὶ φιλόσοφα τινά. πέμπτος, Μάξιμος Πελοποννήσιος μαθητὴς τοῦ Μελετίου, ὁ συγγράψας τὸ Ἐγχειρίδιον κατὰ τῶν πέντε Διαφορῶν (ὅπερ ἡμεῖς παρεδώκαμεν τύπῳ) καὶ Ὁμιλίας εἰς πάσας τὰς Κυριακὰς τοῦ ἐνιαυτοῦ, καὶ ἑρμηνεύσας εἰς ἁπλῆν φράσιν τὸν περὶ παρθενίας λόγον τοῦ μεγάλου Βασιλείου, καὶ πρὸς τούτοις φιλοπονήσας ἀπὸ τῆς παλαιᾶς γραφῆς χρήσεις πολλὰς μαρτυρούσας τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ. ἕκτος, Μάξιμος ὁ Μαργούνιος, οὗ φέρεται πολλὰ καὶ Διάφορα συγγράμματα, ἅπερ ἡμεῖς πάντα μὴ γινώσκοντες, οὐ καταλέγομεν ἐνταῦθα. ἕβδομος, Γεώργιος Χῖος ὁ Κορέσσιος, περὶ οὗ εἴπομεν ἀνωτέρω. ὄγδοος, Θεοφάνης Πατριάρχης Ἱεροσολύμων, ὁ συγγράψας Διαφόρους ἐπιςολὰς εἰς Ῥωσίαν, καὶ Συνταγμάτιον ἐκθέμενος κατὰ Λατίνων περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. ἔνατος, Κύριλλος Λούκαρις, περὶ οὗ διειλήφαμεν ἀνωτέρω. δέκατος, Γεράσιμος Πατριάρχης Ἀλεξανδρείας, οὗ φέρεται ἐπιςολὴ κατά τινων καλβινοφρόνων, τὴν νέαν ἁγίαν γραφὴν εἰς ἁπλῆν φράσιν μεταφρασάντων ὡς εἴπομεν ἀνωτέρω. ἑνδέκατος, Φίλιππος Κωνςαντινουπόλεως, οὗτινος εὑρίσκεται σχέδιον τύπῳ δοθὲν περὶ τῶν Κληρικῶν τῆς Διαληφθείσης ἀποςολικῆς καθέδρας. δωδέκατος, Νικόλαος Πελοποννήσιος καὶ μέγας Ἐκκλησιάρχης, οὗτινος τὰ συγγράμματα κατεκάη ἐν τῇ ἐν τῷ Φαναρίῳ γενομένῃ πυρκαϊᾷ. τρισκαιδέκατος, Θεόφιλος Ἀθηναῖος ὁ Κορυδαλεὺς, ὁ συγγράψας εἰς Διαφόρους πραγματείας τοῦ Ἀριςοτέλους, περὶ οὗ ἐσημειώσαμεν ἀνωτέρω. τεσσαρεσκαιδέκατος, Γρηγόριος Χῖος ὁ Πρωτοσύγκελλος, ὁ συγγράψας τὸ περὶ Μυςηρίων βιβλιάριον, καὶ Κλήμης καὶ Λαυρέντιος Ἱερομόναχοι, καὶ Νικόλαος Ἱερεὺ, μαθηταὶ Γεωργίου τοῦ Κορεσσίου. πεντεκαιδέκατος, Μελέτιος Πρωτοσύγκελλος ὁ Συρίγου, οὗτινος τὴν ζωὴν ἐσημειώσαμεν ἐν ἀρχῇ τοῦ κατὰ Καλβίνων αὐτοῦ βιβλίου, καὶ ἐμνήσθημεν αὐτοῦ καὶ ἀνωτέρω. ἑκκαιδέκατος, Ναθαναὴλ Μητροπολίτης Νικαίας, καὶ Ἀθανάσιος Πατριάρχης Κωνςαντινουπόλεως ὁ Πατελάρος, φίλοι καὶ συμπατριῶται Νεκταρίου Πατριάρχου Ἱεροσολύμων, καὶ πρὸς τούτοις Νικηφόρος Πατριάρχης Ἀλεξανδρείας τῆς αὐτῆς πατρίδος καὶ τῆς αὐτῆς φιλίας. ἑπτακαιδέκατος, Μελέτιος Ἱερομόναχος, ὁ ἐπικαλούμενος Μαρῆς, ὁ ἄριςα διδάξας ἐν τῇ Κρήτῃ, ἐν τῷ Χάνδακι, μαθητὴς χρηματίσας Ἰωαννικίου Ἱερομονάχου τοῦ ἐν Βενετίᾳ μέγα ὄνομα κτησαμένου ὑπὸ τῆς περιβλέπτου Γερουσίας ἔν τε σοφίᾳ καὶ ἀρίςῃ πολιτείᾳ. ὀκτωκαιδέκατος, Ἰωαννίκιος Πάπας Ἀλεξανδρείας, οὐ μόνον σοφὸς, ἀλλὰ καὶ πολιτικώτατος καὶ ἀξιάγαςος ἀνὴρ, καὶ παρ' αὐτοῖς τοῖς ἐθνικοῖς ἐπαινετός. ἐννεακαιδέκατος, Γεράσιμος Βλάχος Μητροπολίτης Φιλαδελφείας, ἀλλὰ δὴ καὶ ἕτεροι Μητροπολῖται Φιλαδελφείας, ὧν τὰ συγγράμματα Διάφορα ὄντα, ἀλλὰ μὴ ἐλθόντα πρὸς ἡμᾶς, οὐ καταλέγομεν. εἰκοςὸς, Πέτρος Μογίλας καὶ Μητροπολίτης Κιέβου, ὁ Συγγραψάμενος τὴν Ὀρθόδοξον Ὁμολογίαν, ἣν διωρθώσατο Μελέτιος ὁ Συρίγου. εἰκοςὸς πρῶτος, Νικόλαος Ἰατροφιλόσοφος ὁ Κεραμεὺς, περὶ οὗ εἴπομεν ἀνωτέρω. εἰκοςὸς δεύτερος, Γερμανὸς Αἰτωλὸς μαθητὴς τοῦ Κορυδαλέως, πλὴν ὀρθόδοξος, ὁ καὶ Μητροπολίτης Νύσσης χρηματίσας. εἰκοςὸς τρίτος, Διονύσιος Μητροπολίτης Ναυπλίου φιλόσοφος ἄριςος, καὶ αὐτὸς μαθητὴς τοῦ Κορυδαλέως. εἰκοςὸς τέταρτος, Ἰωάννης Καρυοφύλλης ὁ μέγας Λογοθέτης. εἰκοςὸς πέμπτος, Βησσαρίων Ἱερομόναχος ὁ ἐξ Ἰωαννίνων, ὁ συγγράψας τὴν διεξοδικωτέραν Ὀρθόδοξον Ὁμολογίαν, ἣν ἡμεῖς συνετυπώσαμεν τῇ Ὀρθοδόξῳ Ὁμολογίᾳ. εἰκοςὸς ἕκτος, Παναγιώτης ὁ Ἑρμηνεὺς τοῦ Ἀνατολικοῦ καὶ Δυτικοῦ Κράτους. εἰκοςὸς ἕβδομος, Σεβαςὸς Κυμινήτης ὁ Τραπεζούντιος. εἰκοςὸς ὄγδοος, Παΐσιος Λειγαρίδης ὁ Χῖος λατινόφρων, ὃς συνέγραψεν ἑρμηνείαν τῆς θείας Λειτουργίας, ἀλλὰ πρὸς βοήθειαν τῶν νεωτερισμῶν τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ἔτι συνέγραψε καὶ ἱςορικὸν περὶ τῶν ἐν Ἱεροσολύμοις Πατριαρχευσάντων εἰς χαρτίον κόλλας ὀγδοήκοντα καὶ τρεῖς, ἐξ οὗ καὶ ἡμεῖς λίαν ἐβοηθήθημεν ἐν τῷ παρόντι συγγράμματι, ἔγραψε δὲ ἐν αὐτῷ περὶ τῶν Πατριαρχῶν ἕως Ἡρακλείου, μετὰ δὲ τὸν Ἡράκλειον οὐδὲν εἶπε περὶ αὐτῶν ὑγιὲς, τὸ τρίτον δὲ τοῦ συγγράμματος μέρος ἦν περὶ τῶν Ἀσκητῶν, καὶ περὶ τῶν Πατριαρχῶν, τὰ δὲ δύο μέρη ἦσαν κατὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας, καὶ ἰδίως κατὰ τοῦ ἱεροῦ Φωτίου, καὶ μάλιςα ὑπὲρ τῆς ἀρχῆς τοῦ Πάπα, ὅπερ ἱςορικὸν ἀναγνόντες ὅ, τε Κωνςαντινουπόλεως κύριος Μεθόδιος, καὶ ὁ Ἱεροσολύμων κύριος Νεκτάριος, καὶ γνόντες τὴν ἐν αὐτῷ ἄκραν βλασφημίαν, ἀνεθεμάτισαν, καὶ αὐτὸν τὸν Λειγαρίδην ὡς Αἱρετικὸν ἀφώρισαν, μέμνηται δὲ αὐτοῦ ἡ Τάργα, καὶ δὴ καὶ ὁ Ἀρκούδιος ἐν τῇ ἀντιῤῥήσει τοῦ Βαρλαὰμ κατὰ Καθαρτηρίου, ἀπέθανε δὲ εἰς Κίεβον καὶ ἐτάφη ἐκεῖ, τούτου ἐμνήσθημεν καὶ ἐν τοῖς προλεγομένοις τοῦ Τόμου τῆς Ἀγάπης, οὗτος ἐςὶν ὁλεγόμενος ἐν τῇ Τάργᾳ Παντολέων Λειγαρίδης. εἰκοςὸς ἕνατος, Παλάσης ὁ μέγας Σκευοφύλαξ, πατρόθεν Πελοποννήσιος, μαθητὴς τοῦ Κορυδαλέως, ῥήτωρ εἴπέρ τις ἄλλος, καὶ συγγραφεὺς τῶν Πατριαρχικῶν γραμμάτων ἐν τῇ αὐλῇ τοῦ Πατριαρχείου Κωνςαντινουπόλεως. τριακοςὸς, Ἱλαρίων ὁ Τζιγάλας, ὁ χρηματίσας Ἀρχιεπίσκοπος Κύπρου, ὃς Ἱερομόναχος ἔτι ὤν, καὶ εὑρισκόμενος ἐν Ἱερουσαλὴμ, ἐχρημάτισε συγγράφοντι τῷ κυρίῳ Νεκταρίῳ

ρίῳ κατὰ τῆς ἀρχῆς τοῦ Πάπα ἑρμηνεὺς πολλῶν χρήσεων δυτικῶν πατέρων, ἐν τζιγώλαν συγγράφοντα ὑπὲρ τῆς τοῦ Πάσχα ἀπλανοῦς ἑορτῆς, ἐκώλυσεν ὁ θάνατος ἐν Κωνσταντινουπόλει. τριακοστὸς πρῶτος, Γαβριὴλ Ναυπάκτου καὶ Ἄρτης Μητροπολίτης, Θεολόγος καὶ ἄκρως ὀρθόδοξος, ὁ συγγραψάμενος Ὁμιλίας εἰς τὰς Κυριακὰς τοῦ ἐνιαυτοῦ. τριακοστὸς δεύτερος, Ματθαῖος Μητροπολίτης Μυρέων, ὁ συγγραψάμενος πολλὰ διὰ στίχων, καὶ Κανόνας κατὰ Λατίνων. τριακοστὸς τρίτος, Παρθένιος ὁ καὶ Παρθενάκης, Πατριάρχης Κωνσταντινουπόλεως ὁ Ἱερομάρτυς, περὶ οὗ εἴπομεν ἀνωτέρω. τριακοστὸς τέταρτος, Μελέτιος Μητροπολίτης Ἀθηνῶν, ὁ συγγραψάμενος ἐκκλησιαστικὴν ἱστορίαν.

ΧΡΥΣΑΝΘΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ.

Περὶ τῆς ἀπὸ τῆς λατινόφρονος γνώμης μεταβολῆς τοῦ Λειγαρίδους εἰς τὴν ὀρθόδοξον.

Οὗτος ὁ Λειγαρίδης Παΐσιος ἀληθῶς Λατινόφρων ἦν τὸ πρῶτον, ἀπελθὼν ὅμως εἰς τὴν Βασιλεύουσαν Μοσχοβίαν, ἐγένετο ἄκρος ὑπερασπιστὴς τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἔνθα καὶ συνέγραψε κατὰ Λουτεροκαλβίνων λατινιστὶ πολλὰ, ἀλλὰ καὶ ζηλωτὴς κατὰ τοῦ Νίκωνος ἐχρημάτισεν, ἐλθὼν δὲ εἰς Κίεβον, ἐδίδαξε πολλὰ ὀρθὰ καὶ ὠφέλιμα, καὶ κοινῶς, καὶ κατ' ἰδίαν, καὶ δὴ ἔγραψε λατινιστὶ ἐν πολλοῖς κεφαλαίοις, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεται, καὶ κατὰ τῆς ἀρχῆς τοῦ Πάπα, ἅπερ συγγράμματα ἡμεῖς εἴδομεν ἐν Κιέβῳ παρὰ τῷ θεοφιλεῖ Μητροπολίτῃ ταύτης τῆς πόλεως κυρίῳ Βαρλαὰμ Γιασίνσκην, ἐκοιμήθη δὲ ἐν μετανοίᾳ καὶ ἐξομολογήσει, ὃν καὶ ἔχουσιν οἱ ἐν Κιεβίᾳ ὀρθόδοξοι Ῥῶσοι εἰς ἀγαθὴν φήμην καὶ εὐλάβειαν. ὁ δὲ ἀοίδιμος ἡμέτερος Δεσπότης τὰ πρότερα μόνον τοῦ ἀνδρὸς τούτου εἰδὼς, καὶ οὐ τὴν μεταταῦτα μεταμέλειαν καὶ διόρθωσιν, σημειοῖ καὶ ἐνταῦθα, καὶ ἐν τοῖς προλεγομένοις τοῦ Τόμου τῆς Ἀγάπης ὅσα τοῖς τῆς ὀρθοδοξίας ζηλωταῖς ἁρμόζει καὶ τῶν τοιούτων γράφειν.

Καὶ ἑνδέκατον ᾧ δ' ἔληξε βιβλίον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΔΟΣΙΘΕΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

ΠΑΝΕΠΙΣΤ. ΒΙΒΛΙΟΘΗΚΗ

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὅτι τὸ τῶν Μοναχῶν Σχῆμα καὶ ἡ τάξις ἀπ' ἀρχῆς ἦσαν ἕν. καὶ πότε οἱ νεωτερισταὶ Πάπαι ἐπενόησαν διάφορα Μοναχῶν σχήματα, ἀλλήλοις μὲν μαχόμενα, ἓν δὲ κοινὸν ἔχοντα τὸν παπισμόν. καὶ πότε ὁ ἐν Βουλγαρίᾳ ψιθυρισμὸς κατὰ τοῦ ἁγίου Πνεύματος ἐν Κωνσταντινουπόλει ἠκούσθη. καὶ πότε τὸ σχῆμα τῶν Κλουνιακένων, Καμελτουλενσίων καὶ Φραντζεσκάνων ἐκαινοτομήθη. καὶ πότε καὶ ὑπὸ τίνος Πάπα ἐψάλθη μετὰ τῆς προσθήκης τὸ Σύμβολον, καὶ περὶ τῆς ἐν Ἱεροσολύμοις κακουργίας πρῶτον τῶν Φραντζεσκάνων.

Τὸ τῶν Μοναχῶν ἅγιον σχῆμα ἦν μὲν ἀπ' ἀρχῆς ἐν πάσῃ τῇ Ἐκκλησίᾳ, ἐπὶ δὲ Ἰουστίνου τοῦ Θρακὸς ὁ ἅγιος Βενέδικτος συνέγραψε μερικὰς διαταγὰς εἰς Μοναχοὺς, καθὼς πρότερον ἐποίησεν ὁ ἅγιος Παχώμιος, ἦν ὅμως ἡ τάξις μία καὶ ἓν τὸ σχῆμα. ὀφ' οὗ δὲ ἤρξαντο καινοτομεῖν οἱ Λατῖνοι ἐν τῇ Ἐκκλησίᾳ, καὶ ψιθυρίζειν τὴν κατὰ τοῦ ἁγίου Πνεύματος βλασφημίαν, ἤρξαντο ὁδεύειν καρκινικῶς εἰς τὰ ὀπίσω, εἰσάγοντες κατ' ὀλίγον νεωτερίσματα εἰς τὴν ὀρθοδοξίαν, ὥστε ἀποκαταστῆσαι τὴν δυτικὴν Ἐκκλησίαν ὡς ἐπιτοπλεῖστον οὐδὲν ἕτερον εἶναι, ἀλλ' ἢ ἄθροισιν καὶ σωρὸν νεωτερισμάτων ἐξ ἀλλοτρίων καὶ ἐκφύλων μερῶν συγκειμένην. ἐπὶ δὲ τοῖς νεωτερίσμασιν ἐπενόησαν καὶ διάφορα σχήματα Μοναχῶν, ἄλληλα ἐχθρικῶς ὑποβλέποντα, καὶ ἀλλήλοις μαχόμενα λόγοις τε καὶ συγγράμμασιν, ἐπειδὴ ἥ τε δίαιτα καὶ ἡ τάξις καὶ ἡ ἀκολουθία καὶ τὰ ἤθη αὐτῶν διαφέρουσι, καὶ ὡς εἰπεῖν, οὐδὲν ἕτερον ἔχουσι κοινὸν, εἰμὴ τὸν παπισμὸν μόνον. ὁ δὲ ψιθυρισμὸς κατὰ τοῦ ἁγίου Πνεύματος ἠκούσθη πρῶτον ἐν Κωνσταντινουπόλει ὅτι ἐγένετο εἰς τὴν Βουλγαρίαν περί που τὸ ὀκτακοσιοστὸν ἑξηκοστὸν ἔτος ἀπὸ Χριστοῦ. κατὰ δὲ τὸ ἐννακοσιοστὸν δέκατον ἔτος ἐκαινοτομήθη τὸ σχῆμα τῶν Κλουνιακένων. εἰς δὲ τὸ χιλιοστὸν ἔνατον ἔτος ἐπὶ Βασιλείου τοῦ Πορφυρογεννήτου ὁ Πάπας Σέργιος πρῶτος ἔψαλε τὸ Σύμβολον μετὰ τῆς προσθήκης, καὶ ἐν ἐκείνῳ τῷ ἔτει ἐνεωτερίσθη καὶ τὸ σχῆμα τῶν Καμελτουλενσίων, ὅτε καὶ ἀναφανδὸν παρατραπέντες Λατῖνοι τῆς πατροπαραδότου καὶ ἀποστολικῆς πίστεως ἀπεσχίσθησαν, καὶ ἐκρίθησαν ἀλλότριοι τῆς κοινωνίας τῆς καθολικῆς Ἐκκλησίας μετὰ τὸ ἑξακισχιλιοστὸν πεντακοσιοστὸν πεντηκοστὸν δεύτερον ἔτος, ὡς εἴρηται ἡμῖν ἐν τῇ ἀρχῇ τοῦ ὀγδόου βιβλίου, ἐπλήθυναν καὶ τὰ σχήματα, καὶ οἱ βουλόμενοι ἰδέτωσαν τὸν Αἱμίλιον ἐν τῷ πέμπτῳ βιβλίῳ, καὶ τὸν Καλβήσιον βιβλίῳ πέμπτῳ, καὶ τὸν Σαβέλικον βιβλίῳ ἕκτῳ τῆς ἐνάτης αὐτοῦ Ἐννεάδος, καὶ τὸν Πολύδωρον Βιργίλιον περὶ τῶν ἐφευρετῶν τῶν πραγμάτων βιβλίῳ ἑβδόμῳ κεφαλαίῳ τεταρτῷ, καὶ τὸν Σπονδανὸν, καὶ γὰρ οὐκ ἀνακόλουθον ἦν, ἐπειδὴ ὁ Πάπας τῆς Ῥώμης ἀπεστάτησε τῆς κοινῆς ὁμονοίας τῶν ἀδελφῶν, καὶ ἠθέλησεν εἶναι καὶ λέγεσθαι ὡς Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, ταὐτὸν εἰπεῖν αὐτίθεος, ἢ καθὼς λέγεται ἐν τῷ ἐνάτῳ κεφαλαίῳ τῆς Ἀποκαλύψεως ἑβραϊστὶ μὲν ΑΒΑΔΔΩΝ, ἑλληνιστὶ δὲ ΑΠΟΛΛΥΩΝ, τουτέστιν ὁ καταλύτης καὶ φθορεὺς τοῦ γένους τῶν Χριστιανῶν, καὶ Βασιλεὺς μὲν, ἀλλὰ τῶν τοιούτων ἀκρίδων τῶν μιαρῶν σχημάτων τε

καὶ

καὶ ταγμάτων μεθ' ὧν στρατεύεται. περὶ ὧν ἔλεγε καὶ ὁ Διάλογος, Ὁ Βασιλεὺς τῆς ὑπερηφανίας πλησίον ἐστὶ, καὶ οὐκ εἰπεῖν ἀθέμιτον, Ἱερέων αὐτῷ στρατὸς ἑτοιμάζεται εἰς κατάλυσιν ψυχικῶν καὶ σωματικῶν τῶν ὀρθοδόξων γένους, ψυχικῶν μὲν, καθότι μεταστρέφει πολλοὺς εἰς τὴν ἀπώλειαν, σωματικῶν δὲ, ὅτι πάλιν ἀπὸ τῶν ψευδοσχημάτων τούτων σκάνδαλα, πολέμους, καὶ ταραχὰς διεγείρει μεταξὺ τῶν Χριστιανῶν, οὐκ ἐν ἑνὶ καιρῷ ὡς αἱ Ἀκρίδες αἱ ἐν Αἰγύπτῳ, ἀλλὰ ἐν παντὶ καιρῷ καὶ πανταχοῦ γίνεται αἰτία ἐκχέεσθαι κρυπτὸν, μᾶλλον δὲ ποταμηδὸν τὰ Χριστιανῶν αἵματα ὅτε Ἀνατολῇ καὶ Δύσει, Ἄρκτῳ καὶ Μεσημβρίᾳ, καὶ αὐτὸς ἥδεται θεωρῶν τὰ τοιαῦτα ὡς ἄλλως Ζεύς, ἐκ μὲν τῆς Ἴδης, ἀλλ' ἐκ τοῦ Παν-

θεὸς καθήμενος. περὶ οὗ ἐν τῷ χιλιοστὸν ἑκατοστὸν ἑβδομηκοστὸν ἔτος αὐξήσει ῥίζα ἄνω φύσα τὸ σκῆμα τῶν Φραντζεσκάνων, ὡς Σαβέλλιος καὶ Βιργίλιος λέγουσιν ἐν τοῖς εἰρημένοις τόποις. καὶ ἐπὶ τῆς Βασιλείας Ἰωάννου τοῦ Καντακουζηνοῦ ἦλθον τινὲς Φράροι Φραντζεσκανοὶ εἰς τὴν Ἱερουσαλὴμ, καὶ δελεάσαντες τὸν τότε Πατριάρχην τῇ σωτηρίᾳ αὐτῶν ὑποκρίσει, ἔλαβον παρ' αὐτοῦ τὸ Μοναστήριον τῆς ἁγίας Σιὼν, ἀλλ' ἔλαβον αὐτὸ παρ' αὐτῶν οἱ Σαρακηνοὶ, καὶ ἐποίησαν αὐτὸ Διδασκαλεῖον. δέδωκαν δὲ τοῖς Φράτορσι τούτοις οἱ Ἴβηρες δι' οἰκοδομὴν τὸ Μοναστήριον τοῦ Θεολόγου Ἰωάννου τὸ ὄντα ἐν τῇ Ἱερουσαλὴμ, ὅπερ καὶ ἰδιοποιήσαντο.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι οὐδὲν μεῖζον κακὸν τῶν ταγμάτων τῶν Μοναχῶν τοῦ Πάπα καὶ μάλιστα τῶν Φράρων, καὶ περὶ ὧν ποιοῦσιν ἐπιβουλῶν καὶ κακουργιῶν τῷ ἁγίῳ τάφῳ, καὶ παρανομιῶν καὶ δολιοτήτων Ἱερεῦσι καὶ λαϊκοῖς, ἐξ ὧν ὑπόχρεως ἐγένετο ὁ τῆς Ἱερουσαλὴμ Θρόνος καὶ οἱ Πατριάρχαι αὐτῆς καὶ κόσμον πλανῆται μᾶλλον, ἀλλὰ τὴν ὀρθοδόξων σπιλωμός.

Οὐκ ἠρκέσθη ἡ ἐναντία τύχη τῇ ἐπικρατείᾳ τῶν Σαρακηνῶν, ἀλλ' ἔφερε τοὺς Λατίνους εἰς τὴν Ἀνατολὴν, καὶ πρόξενησε τὰ τόσα κακὰ, ἃ εἰπομεν ἐν τῷ ὀγδόῳ βιβλίῳ. καὶ ἐπειδὴ ἐδιώχθησαν ἐκεῖθεν οἱ Λατῖνοι, ἦν ἡσυχος ὁ οἶκος ὁ ἅγιος. ἀλλὰ πάλιν παρεχώρησεν ὁ Θεὸς ἐλθεῖν τοὺς παρόντας Φράρας εἰς τὴν Ἱερουσαλὴμ, ἴσως, καλῶς ἔλεγεν ὁ σοφὸς Ὀνομάδημος, ἐν καιρῷ τάσεως συμβαλλόντων τοῖς ὑπερέχουσιν ἐν χίῳ ὑπολείπεσθαί τινας τῶν ἀντικειμένων, μὴ ποὺς τὰς φίλας ἀρξώμεθα διαφέρεσθαι, τῶν ἐχθρῶν παντάπασιν ἀπαλλαγέντες, ἔδωκεν αὐτοὺς ὁ Θεὸς ἵνα ὦσιν αὐτοὶ πολέμιοι τῆς Ἐκκλησίας, καὶ μὴ μάχεσθαι ἀλλήλοις τοὺς Ἱεροσολυμίτας, ὡς συμβέβηκε τοῖς λοιποῖς Θρόνοις, ἢ διότι ἁπλῶς δέον τῷ ἀγαθῷ ἐναντίον ἔχειν, ὡς ἐδόκει καὶ Πλάτωνι, εἰπόντι ἐν τῷ Κρατύλῳ, Ἀλλ' ἴσως ἀπολέσθαι τὰ κακὰ δυνατὸν ὥσπερ ἐστὶν ἐναντίον γάρ τι τῷ ἀγαθῷ εἶναι ἀνάγκη) ἔτ' ἐν Θεοῖς τοῦθ' ἱδρύεσθαι, τῷ δὲ θνητῷ φύσιν περιπολεῖ ἐξ ἀνάγκης. ἐδοκεῖ δὲ μεῖζον κακὸν τῶν μοναχικῶν τούτων ταγμάτων τὸ Πάπα, καὶ μάλιστα τῶν Φράρων, ὅτε καὶ τῶν Ἡγεμόνων αὐτῶν ἕνας τῇ ὑποκρίσει εἰς τὴν αἱμοβόρον αὐτῶν γνώμην ἑλκύσασι, πρῶτον, ὅτι ἦσαν ἐν τῇ Ἱερουσαλὴμ Σαρακηνοὶ, καὶ ἄλλα φῦλα τῶν Αἱρετικῶν, ἀλλὰ σαφῶς ἀπεδήμευν οἱ Πατριάρχαι εἰς Κωνσταντινούπολιν, καὶ τότε, περιηγήσεως χάριν μόνον καὶ ὁμιλίας πνευματικῆς, ἀφ' οὗ δὲ οἱ Φράρες ἐκεῖσε παρεγένοντο, ἕως μὲν ἦν ἡσυχία ἦγον, ἡσύχαζον καὶ οἱ Πατριάρχαι, ἐπεὶ δὲ ἤρξαντο ἐπὶ Γερμανοῦ κακουργεῖν, ἤρξαντο καὶ οἱ Πατριάρχαι περιέρχεσθαι ὥσπερ πλανῆται, νυκτὸς καὶ ἡμέρας γῆν καὶ θάλασσαν περιάγοντες, καὶ ἀεὶ καταπιεζόμενοι ὑπὸ τοῦ καύσωνος τῆς ἡμέρας καὶ τοῦ παγετοῦ τῆς νυκτὸς, ἁμοῦ ἀλλὰ καὶ θηλομα-

χοῦντες μετὰ τῶν ἐν Κωνσταντινουπόλει δυτικῶν πρέσβεων τῶν Ῥηγῶν, ἔλκονται εἰς κριτήρια, παρέσαντα Βασιλεῦσι καὶ Ἡγεμονίαις ὑπὲρ τῆς πόλεως (ὡς ἔλεγε καὶ ὁ Ἰακὼβ) καὶ τοῦ οἴκου τοῦ Θεοῦ ἡμῶν. οἱ δὲ Φράροι ἐπὶ μὲν τοῦ Ἀράβων ἐκ ἰσχυον, ἐπικρατήσαντος δὲ τοῦ Σελτὰν Σελὴμ περὶ πὸ χιλιοστὸν πεντακοσιοστὸν ἑπτακαιδέκατον ἔτος, ἤρξαντο οἱ Φράροι ἐν πολλοῖς κακουργεῖν, χρώμενοι τὰ ἀργύρια. δεύτερον, ὅτι τὴν ἀκρίβειαν τῶν ὀρθοδόξων ἠθῶν οὐτισιν ἐμέωσαν, καθότι ἐν πορνεύσαντα ἱερέα, ἢ φονεύσαντα, ἢ ἄλλην ἁμαρτίαν θανάσιμον ποιήσαντα, καὶ ἐπιτιμηθέντα ὑπὸ τῆς Ἐκκλησίας, ἕτοιμοι οἱ παρ' ἀορίαν ἀεὶ ἀεργοῦντες Φράροι δέχεσθαι αὐτὸν, καὶ συγχωρεῖν εἶναι πρῶτον τῶν Ἱερέων κατὰ τὴν γνώμην τῶν λατινικῶν ψευδοσυνόδων, καὶ μάλιστα τοῦ ἐν Τριδέντῳ πεπονηρευμένου καὶ πλήρους ἀθεμίτων κοινοτομιῶν Συνεδρίου, Δόκιμοι τοῦτο ἀεὶ καὶ καθηγεμόνες καὶ αἱ ἱεροὶ εἰσι κατὰ τὰς ὁρᾶς τῶν ἁγίων πατέρων. τὰ αὐτὰ πράττουσι καὶ τοῖς λαϊκοῖς Χριστιανοῖς, συγχωροῦντες αὐτοῖς γαμικῶν καταλύσεις, ἀθεμιτογαμίας, πορνείας, μοιχείας, φόνους, ἐπιβουλὰς, μάχας, καὶ τὰ ὅμοια. τρίτον, ἐκ τῶν ἐπιβουλῶν αὐτῶν ὄντος ὑποκειμένου τῷ Πατριαρχείῳ παντοτε χρέαι δυσβασάκτοις, ἠδύνατο ὁ Πατριάρχης φρονῆσαι ὡς δεῖ τῶν ὑποκειμένων αὐτῷ ὀρθοδόξων, ὅθεν πολλοὶ γεγόνασιν ἀρνηταὶ, εἰ καὶ ἡ θεία θεῖα αὐτιφωνία παμφόρτη τῇ ἀνομίᾳ τῶν Φραγκόρων, αὐτὶ τῶν ἐπιβεβλημένων καὶ ἀπατημένων ὑπὸ Παλαιστίνη ὑπὸ τούτων, μυριόμορφα πλήθη ἐθνῶν καὶ πόλεων στρέφει εἰς τὴν ἀσέβειαν τῇ περιηγήσει τῶν Πατριαρχῶν τῆς Ἱερουσαλὴμ, ὅπου γὰρ ἂν περιπατήσωσι, τὸ πρῶτον αὐτῶν ἔργον ἐστὶ τὸ διαγγελικὸν κήρυγμα τοῦτο ἀφιλαργύρως, ἡ διόρθωσις τῶν Χριστιανῶν θεὸς χρησὰ ἦθη, ὁ σπιλωμὸς εἰς τὴν δυσεβῆ θρησκείαν, ἡ αὐτιφώνησις θεὸς τοὺς Αἱρετικοὺς, καὶ

καὶ ὅλως κοινὸν ἀγαθὸν χρηματίζουσι τῇ καθολικῇ Ἐκκλησίᾳ, ὡς καί τινα ἐκ τῶν πολλῶν σὺν Θεῷ ῥηθήσεται.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῶν συμβάντων παρὰ τῶν Φρατόρων ἐν τῷ ἁγίῳ Σπηλαίῳ λιτανεύοντι ὡς ἔθος τῷ Πατριάρχῃ Θεοφάνει κατὰ τὰ ἑσπέρια τῆς Χριστοῦ γεννήσεως, δι' ἃ ἔλαβεν ὁ Πατριάρχης τῇ τοῦ κριτοῦ τῆς Ἱερουσαλὴμ ἀποφάσει τὸ ἅγιον Σπήλαιον καὶ τὸν Γολγοθὰν, εἶτα καὶ ἐπὶ τοῦ βασιλικοῦ βήματος διὰ Χρυσοβούλλου Ἀποκαθήλωσιν, ἅγιον Σπήλαιον, καὶ Γολγοθὰν, φυγὼν πάσας τὰς ἐπιβουλὰς τῶν Φρατόρων ἔν τε Ἱερουσαλὴμ καὶ καθ' ὁδὸν, αἳ καταλέγονται ἐνταῦθα.

Εἴρηται οὖν τι ἐπετήδευσαν ἐπὶ Σωφρονίου οἱ Φράγγοι, κυριεύσαντες τοῦ ἐν Βηθλεὲμ ἁγίου Σπηλαίου. Συνήθεια ἐπεκράτητε κατὰ τὰ ἑσπέρια τῆς παραμονῆς τῆς Χριστοῦ γεννήσεως γίνεσθαι ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ λιτανείαν μετὰ τοῦ Πατριάρχου καὶ τῶν Ἀρχιερέων καὶ Ἱερέων καὶ ἁπάσης τῆς Ἐκκλησίας, καὶ ἐρχομένης τῆς Λιτῆς ἑκατέρωθεν τοῦ μέρους, τοῦ βορείου φημὶ καὶ τοῦ δυτικοῦ εἰς τὴν θύραν τοῦ ἁγίου Σπηλαίου, τὴν ἐν τῷ βορείῳ μέρει οὖσαν, διὰ μέσου τῆς μεγάλης Ἐκκλησίας, εἰσήρχετο τὸ Ἱερατεῖον διὰ τῆς βορείου πύλης εἴσω τοῦ ἁγίου Σπηλαίου, καὶ ἔψαλε τὸ, ΗΓΕΝΝΗΣΙΣ ΣΟΥ ΧΡΙΣΤΕ Ὁ ΘΕΟΣ, εἶτα ἐξήρχετο τοῦ Σπηλαίου διὰ τῆς νοτίου πύλης. τότε ἐν τῷ χιλιοστῷ ἑξακοσιοστῷ εἰκοστῷ ἐνάτῳ, ἤτοι τῷ χιλιοστῷ τεσσαρακοστῷ ἔτει τῶν Ὀθωμανῶν, ἐλθόντος τοῦ Πατριάρχου εἰς τὴν Βηθλεὲμ, καὶ βουληθέντος ποιῆσαι τὴν ἐξ ἔθους Λιτὴν, καὶ οὔσης χρείας εἰσελθεῖν εἰς τὸ ἅγιον Σπήλαιον διὰ τῆς βορείου πύλης, καὶ ἐξελθεῖν διὰ τῆς νοτίου, οἱ Λατῖνοι Φράροι τῇ ὥρᾳ τῆς Λιτῆς εἶπον, ὅτι ὁ Κανδηλάπτης ἐσθίει ἄρτον. θρόνου δὲ τεθέντος, καὶ καθίσαντος τοῦ Πατριάρχου, εἶπον πάλιν μετὰ πολὺ, ὅτι ὁ Κανδηλάπτης ἀπῆλθεν εἰς Ἱερουσαλήμ. ὁ οὖν Πατριάρχης Θεοφάνης οὐκ ἐτελείωσε τὸν ἑσπερινὸν ὕμνον, ἀλλ' εὐθὺς ἦλθεν εἰς Ἱεροσόλυμα καὶ ἡσύχασεν. οἱ δὲ Φράροι ἠρεμήσαντα τὸν Πατριάρχην ἰδόντες, ἐπειδὴ εἶχον τὸ ἥμισυ τοῦ Γολγοθᾶ, ἐτρύπησαν τὸν πατριαρχικὸν θρόνον τὸν μεταξὺ τῶν ἀψίδων, ὡς δῆθεν σφῶν αὐτῶν ἐστι τὸ ἥμισυ τοῦ Γολγοθᾶ, ἐτρύπησαν ἔτι καὶ τὴν αὐτικρὺ τοῦ θρόνου ἀψίδα, καὶ ἔβαλον ἓν σίδηρον ὄγκον φέρον αὐτίπερα. τότε παροξυνθεὶς τῷ πνεύματι ὁ Πατριάρχης, ἀπῆλθεν εἰς τὸν κριτὴν τοῦ τόπου, καὶ ἔδειξεν αὐτῷ τὰ παλαιὰ τῶν Σουλτάνων Χρυσόβουλλα, καὶ ἔλαβε τῇ ἀποφάσει τοῦ κριτοῦ καὶ τὸ ἅγιον Σπήλαιον καὶ τὸν ἅγιον Γολγοθάν. ἦν δὲ τότε Πασσᾶς, ἤτοι Ἔπαρχος τοῦ τόπου ἐντόπιός τις Ἀμπουφούλης λεγόμενος, ὅστις ὑποσχεθέντων αὐτῷ τῶν Φράρων πολλὰ φλωρία, ἔβαλε τὸν Πατριάρχην εἰς τὸν κουλὰν, ἤγουν εἰς τὸν πύργον τῆς ἀκροπόλεως εἰς φύλαξιν, καὶ τὸ ἑσπέρας παρεγένετο εἰς τὸν κατὴν, ἤτοι τὸν κριτὴν τοῦ τόπου τοῦ ὁμοφωνῆσαι αὐτῷ καὶ ἀποκτεῖναι τὸν Πατριάρχην. ὁ δὲ κριτὴς ἐξουθένησεν αὐτὸν, καὶ πέμψας ἐξέβαλε τῆς φυλακῆς τὸν Πατριάρχην, καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸ κελλίον αὐτοῦ. ἐκρύβη ὅμως ὁ Πατριάρχης, καὶ τῷ Ἰουλίῳ Μηνὶ, καθ' ὃν γίνεται πανήγυρις ἐν τῇ Μονῇ τοῦ ἁγίου Ἡλιοῦ, τῇ κειμένῃ μεταξὺ τῆς Ἱερουσαλὴμ καὶ τῆς Βηθλεὲμ, ἐξῆλθε τῆς Ἱερουσαλὴμ μετὰ τῶν γυναικῶν γυναικεῖα ἱμάτια ἐνδεδυμένος, ἀπὸ δὲ τῆς Μονῆς τοῦ ἁγίου Ἡλιοῦ ἔφυγε νυκτὸς ἵνα ἀπέλθῃ εἰς τὸ Ἄκρη. μαθὼν δὲ τοῦτο ὁ Πασσᾶς, τῆς Ἱερουσαλὴμ, ἔγραψεν εἰς τὸν Μπέην, ἤτοι εἰς τὸν Ἡγεμόνα τοῦ Τζηνίου συλλαβεῖν τὸν Πατριάρχην, καὶ λαβεῖν ἐκ μέρους τῶν Φράρων τῇ χειρὶ αὐτοῦ τοσαύτας χιλιάδας φλωρία. ὅθεν ἔπεμψεν ὁ Μπέης τὸν εὐνοῦχον αὐτοῦ εὑρεῖν τὸν Πατριάρχην, καὶ ἦυρεν αὐτὸν ἐγγὺς τοῦ Καρμηλίου ὄρους παράτινι κρήνῃ ἀναπαυόμενον, Αἰθίοψ δ' ὢν ὁ εὐνοῦχος καὶ Χριστιανὸς τὸ πρότερον, εὐλαβηθεὶς τὸν κύριον Θεοφάνη, ἀφεῖκεν αὐτὸν εἰς ὁδὸν εἰρήνης, καὶ φιλοδώρημα λαβὼν χρυσᾶ ἑκατὸν, ἐπανῆλθεν εἰς τὸν Μπέην, εἰπὼν ὅτι οὐχ εὗρεν αὐτόν. ὁ δὲ Θεοφάνης φθάσας εἰς τὸ Ἄκρη, καὶ ἐπὶ Νηὸς ἐπιβὰς, ἀφίκετο εἰς Κωνσταντινούπολιν, εἰς ἣν ἦλθον καὶ οἱ Φράροι καὶ ἐκίνησαν ἀγωγὴν, καὶ κρίνονται μετὰ τοῦ Πατριάρχου εἰς τὸ Ντιβάνι, ἤτοι εἰς τὸν βασιλικὸν βῆμα, καὶ λαμβάνει ὁ Πατριάρχης διὰ Χρυσοβούλλου τὰ προσκυνήματα, καὶ δὴ τότε ἔλαβεν ἀπὸ τῶν Φράγγων Ἀποκαθήλωσιν, Γολγοθὰν, καὶ ἅγιον Σπήλαιον, πλὴν κανδήλας καὶ ποδέας ὅσας εἶχον οὐκ ἐξέβαλεν ἀφείς. ταῦτα γέγονε κατὰ τὸ χιλιοστὸν τεσσαρακοστὸν τρίτον ἔτος τῶν Ὀθωμανῶν. ἔλαβεν οὖν ὁ Θεοφάνης καὶ Χοτζέτι, ἤτοι ἀποφαντικὸν καὶ βεβαιωτικὸν γράμμα παρὰ τῶν Καζασκέριδων, καὶ κατὰ τὸ Χοτζέτι, ἔλαβε Χάτι Σερίφ, ἤτοι Χρυσόβουλλον, καὶ πέμψας Ἀγᾶν, ἤτοι Ἄρχοντα βασιλικὸν, ἔλαβεν ἀπὸ τῶν Λατίνων τὸ ἅγιον Σπήλαιον τῆς Βηθλεὲμ, καὶ τὴν Ἀποκαθήλωσιν, καὶ ὅλον τὸν ἅγιον Γολγοθὰν, καὶ ἔτι τὸν ἐν τῇ Βηθλεὲμ κῆπον τὸν πλησίον τοῦ βήματος τῆς μεγάλης Ἐκκλησίας, καὶ τὴν νότιον αὐλὴν, ἐν ᾗ ἦσαν καὶ μνήματα Χριστιανῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι τῶν Ἀρμενίων διὰ δόσεως πλήθους χρημάτων πρὸς τοὺς κρατοῦντας αἰτησάντων ποιῆσαι τὴν τάξιν τοῦ ἁγίου φωτὸς περὶ τῶν Ῥωμαίων ἐν τῷ ἁγίῳ τάφῳ, οἱ ζηλωταὶ τῆς πίστεως Κωνσταντινουπολῖται ἀπελθόντες εἰς τὰ τῆς Ἀδρια-

Ἀδριανουπόλεως πεδία, ὅπου ὁ Σουλτᾶν Μουρὰτ ὑπὸ σκηνὰς ἠπλήκευεν, ἔλαβον τὰ νιηητήρια, μετὰ δὲ τὸ τὸν Βασιλέα εἰς Κωνσταντινούπολιν ἐπιστρέψαι, ἀθροισθέντων τῶν Ἀρμενίων εἰς τὸ βασιλικὸν βῆμα, βοηθεῖ τοῖς Ῥωμαίοις ὁ Μποσταντζήπασις τρόπῳ τοιούτῳ, νεύει τινὶ Ἱερομονάχῳ τοῦ πίκλην Ἀμυγδάλῳ, ἐπίτηδες τυχόντι, ὅπου αὐτὸς καὶ ὁ Βασιλεὺς ἱματισμῷ ἀλλοίῳ πρὸς τὰ βασίλεια ὥδευον, προσποιηθῆναι ἄγνοιαν, καὶ λαλῆσαι αὐτῷ ἐρωτήσοντι ἐλευθέρως.

Ἐν δὲ τῷ αὐτῷ ἔτει, ἤτοι τῷ χιλιοστῷ τεσσαρακοστῷ τρίτῳ τῶν Ὀθωμανῶν, οἱ Ἀρμένιοι ἐπειδὴ ἔχουσι συνήθειαν ἐν ἑκάστῳ ἐννενηκοστῷ ἐνιαυτῷ ποιεῖν τὸ Πάσχα αὐτῶν μετὰ ἑβδομάδα μίαν τῶν ἀπὸ τῆς καθολικῆς Ἐκκλησίας, καὶ ἦν τότε ἐκεῖνος ὁ ἐνιαυτὸς ἐν τῷ χιλιοστῷ τεσσαρακοστῷ τετάρτῳ ἔτει, δηλονότι τῶν Ὀθωμανῶν, παρεσκευάζοντο ποιῆσαι αὐτοὶ τὴν τάξιν τοῦ ἁγίου φωτὸς πρῶτοι, καὶ εἶτα δράξωνται συνηθείας ἔχειν καὶ πρωτεῖα. καὶ δὴ ἐπειδὴ τοῦτο οὐκατωρθοῦτο θελήματι τοῦ Κατῆ, ἤτοι τοῦ Κριτοῦ, ἢ τοῦ Πασσᾶ, ἤτοι τοῦ Ἐπάρχου, ἀλλ' ἐδεῖτο βασιλικοῦ προστάγματος, ἐφρόντισαν εἰς Κωνσταντινούπολιν τὸ ποιητέον. ἦν δὲ τότε ὁ Σουλτᾶν Μουρὰτ ἐν τῇ Ἀδριανουπόλει μαινόμενος κατὰ τῶν Οὔγγρων, εἰ καὶ εἰρήνευσε. καὶ ἠγέρθησαν ἀπὸ τῆς Κωνσταντινουπόλεως πολλοὶ τῶν θεοφιλῶν ἀνδρῶν, καὶ ὥδευσαν εἰς τὴν φέρουσαν εἰς Ἀδριανούπολιν, καὶ ἦυρον τὸν Βασιλέα ἔξω τῆς Ἀδριανουπόλεως ἐν τοῖς πεδίοις ὑπὸ σκηνὰς, ἤτοι τένδας οἰκοῦντα. (ἱστοροῦσι δὲ ὅτι δι' εὐλάβειαν πολλοὶ ἀνυπόδητοι ἀπὸ Κωνσταντινουπόλεως ἀπῆλθον εἰς Ἀδριανούπολιν τοῦ καταβοᾶν τῶν Ἀρμενίων. καὶ γὰρ προνόμιον δέδοται ὑπὸ τῆς θείας χάριτος τῷ ὀρθοδόξῳ λαῷ τῆς Κωνσταντινουπόλεως βοηθεῖν τῇ Ἐκκλησίᾳ ὡς τὰ ἐπὶ Βασιλίσκου, καὶ Ἰουστίνου τοῦ Θρᾳκὸς, καὶ τὰ περὶ τῆς τρίτης Συνόδου μετὰ Δαλματίου ἐπὶ Θεοδοσίου τοῦ μικροῦ μαρτυρεῖ. ἦσαν δὲ πιστοὶ οἱ ἀπελθόντες εἰς Ἀδριανούπολιν εἴς τινας χιλιάδας συναριθμούμενοι. ἦν δὲ Βεζύρης ὁ Ἰμπραὴμ Πασσᾶς ὁ ἐξ Ἀρμενίων, ὅλως διόλου ἡνωμένος τοῖς Ἀρμενίοις. εἶχε δὲ καὶ ὁ Βασιλεὺς Μουσαήπην τινὰ, ἤτοι συνόμιλον λίαν αὐτῷ ἀγαπητὸν, τοὔνομα Ἀμπαζᾶ Πασσᾶ, ὅστις καὶ αὐτὸς ἦν φίλος καὶ βοηθὸς τῶν Ἀρμενίων. τέλος πάντων ἐκέλευσεν ὁ Βεζύρης κριθῆναι τοὺς Ῥωμαίους καὶ Ἀρμενίους εἰς τὸν Καζασκέριν τῆς Δύσεως, ἤτοι τὸν μείζονα καὶ ἀρχηγὸν πάντων τῶν κριτῶν τοῦ δυτικοῦ μέρους. εἶχον δὲ οἱ Ἀρμένιοι ἀναφορὰν ἀπὸ τῶν Γραμματέων Ἱεροσολυμιτῶν Σαρακηνῶν, καὶ ἀναφορὰν τοῦ Κριτοῦ, ὅτι σφῶν αὐτῶν ἐστι τὸ δίκαιον. ἀλλ' ὁ Καζασκέρις ἕνα ἐξ αὐτῶν καὶ μόνον ἐρωτήσας, ἀπὸ τίνων δηλονότι ἔλαβεν ὁ Ὦμερ τὴν Ἱερουσαλὴμ, καὶ ἀκούσας παρ' αὐτοῦ, ὅτι ἀπὸ τῶν Ῥωμαίων, εἶπε, Καὶ τὶ κοινὸν λοιπὸν Ἀρμενίοις καὶ τῇ Ἱερουσαλήμ; καὶ λοιδορήσας πρῶτον τὸν Κατὴν, ἤτοι τὸν Κριτὴν διὰ τὴν ἀναφορὰν, καὶ τοὺς Γραμματεῖς δι' αὐτὸ τοῦτο, διωρίσατο εἶναι τὰ πρωτεῖα τῶν Ῥωμαίων, καὶ Θεοῦ χάριτι πάλιν ἐνίκησαν οἱ Ῥωμαῖοι, καὶ ἔλαβον Χοτζέτι, ἤτοι βεβαιωτικὸν γράμμα, καὶ κατὰ τὸ Χοτζέτι ἔλαβον Χρυσόβουλλον. ὅτε δὲ ὁ Βασιλεὺς ἦλθεν εἰς τὴν Κωνσταντινούπολιν, καὶ οἱ Ἀρμένιοι ἐντόπιοι καὶ ξένοι, καὶ οἱ Πέρσαι πλούσιοι ὄντες περιεπάτησαν εἰς τὰς θύρας τῶν Μεγιστάνων, καὶ ὑπεσχέθησαν αὐτοῖς σχεδὸν τετρακοσίας χιλιάδας γρόσια, ἅπερ ἱστῶσι φλωρία χιλιάδας ἑκατὸν καὶ ἑξήκοντα, οἱ δὲ Ῥωμαῖοι εἶχον μὲν τὸ ὄμμα εἰς Θεὸν, ἐσπούδαζον δὲ καὶ τὸ κατὰ δύναμιν, καὶ ἐπειδὴ ἑώρων πάντας ὄντας βοηθοὺς τῶν Ἀρμενίων, παρεγένοντο εἰς τὸν Μποσταντζήμπασιν, ἤτοι τὸν κηπουράρχην, δηλονότι τὸν ἀρχιφύλακα πάντων τῶν βασιλικῶν Παλατίων, ὃς ἦν υἱὸς Ῥωμαίου, καὶ μητρὸς Χριστιανῆς ἔτι ζώσης (ἣν ὁ Θεοφάνης μετεπέμψατο ἀπὸ τῆς Ἑλλάδος, καὶ λίαν ἐβοήθησεν αὐτῷ διὰ τῆς μεσιτείας αὐτῆς πρὸς τὸν υἱὸν αὐτῆς) ὁ δὲ μποσταντζήμπασις ἐδίδαξεν αὐτοὺς τοῦτον τὸν τρόπον, ἡμέρα μὲν ἦν Ντιβανίου, ἤτοι κρίσεως τοῦ βασιλικοῦ βήματος, τὸ δὲ ἄπειρον πλῆθος τῶν Ἀρμενίων συνεχύθη εἰς τὸ Ντιβάνη, καὶ ἐγεμίσθη Ἀρμενίων ἡ αὐλὴ καὶ τὰ προαύλια καὶ τὰ κύκλω τῆς ἁγίας Σοφίας. καὶ φέρει ὁ Θεὸς τὸν Βασιλέα Τεπτὶλ, ἤτοι ἀλλοίοις ἱματίοις ἠμφιεσμένον, καὶ σὺν αὐτῷ τὸν Μποσταντζήμπασιν. εἷς δὲ Ἱερομόναχος Ἁγιοταφίτης, ὁ λεγόμενος Ἀμύγδαλος, ὃς καὶ ἐχρημάτισε Μητροπολίτης Χίου, προσεγγίσας συνεπορεύετο αὐτοῖς, ᾧ ἔνευσεν ὁ Μποσταντζήμπασις πρῶτον προσποιηθῆναι μὴ εἰδέναι αὐτόν τε καὶ τὸν Βασιλέα, εἶτα λαλῆσαι ὡς πρὸς τινὰ φίλον ἐλευθέρως.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ἐρώτησις τοῦ Μποσταντζήπασι πρὸς τὸν Ἀμύδαλον, τὴν τῶν Ἀρμενίων σύναξιν Ῥωμαίων εἰπόντος, καὶ ἀπόκρισις Ἀμυγδάλου, ἐξ ἧς λαμβάνει τὸν λόγον ὁ Βασιλεὺς, καὶ διαλέγεται ἱκανῶς τῷ Ἀμυγδάλῳ, ὅθεν ἀποκεφαλίζει Ἀμπαζᾶ Πασσᾶ, τοξεύει ταῖς βασιλικαῖς χερσὶ πολλοὺς τῶν Ἀρμενίων, καὶ ἄλλα τοιαῦτα ἐργάζεται τοὺς προεστῶτας αὐτῶν, τῷ δὲ Θεοφάνει δίδωσι Χρυσόβουλλον.

Ἔπειτα ὁ Μποσταντζήμπασις αὐτὸς, ὡς δῆθεν μὴ εἰδὼς τὸν Ἀμύγδαλον, λέγει αὐτῷ, ΜΠΡΕ καλόγηρε, ἤτοι ὦ σὺ Μοναχὲ, ἢ ὦ κατάπτυστε Μοναχὲ, τί ἐστιν αὕτη ἡ σύναξις τῶν Ῥωμαίων; ὁ δὲ ἀποκριθεὶς εἶπεν, Οὐκ ἔστιν αὕτη ἡ σύναξις αὐθέντα τῶν Ῥωμαίων, ἀλλὰ τῶν Ἀρμενίων. λέγει αὐτῷ ὁ Βασιλεὺς, Καὶ τί θέλουσιν οἱ Ἀρμένιοι; ὁ δὲ Ἀμύγδαλος ἀπεκρίθη τῷ Βασιλεῖ διηγηματικῶς μετὰ τῶν αἰτιῶν τὴν ὑπόθεσιν, λέγων,

λέγων, Οὗτοι, ἤτοι οἱ Ἀρμῆνοι εἰσὶ ξένοι καὶ Πέρσαι, καὶ ὁ τόπος καὶ ἡ Βασιλεία ἦν τῶν Ῥωμαίων, καὶ εἰ Ῥωμαῖοι εἰσὶν οὐτόπιοι, Δηλαδὴ οἱ Μουσουλμανοὶ τόσον ὁ Ὦμερ καὶ οἱ μετ' αὐτὸν τῶν Ἀράβων Φύλαρχοι, καὶ Ἀμπεράδες καὶ Σελταῖοι, ὅσον καὶ εἰ Αὐτοκράτορες Ὀθωμανοὶ ἔδωκαν ἔχειν τὲς Ῥωμαίους τὴν Ἱερουσαλὴμ ὡς ἴδιον αὐτῶν κτῆμα, καὶ μάλιστα γεφύρα ὁ Ὦμερ ὀν τῇ σωτηρίᾳ, ἣν ἐποίησε μετὰ τὸ Πατριάρχου Σωφρονίου ὅτε αὐτῷ τὴν Ἱερουσαλὴμ δέδωκαν, ἵνα πάντες οἱ Χριστιανοὶ, εἰ ἀπὸ παντὸς τοῦ κόσμου ἐρχόμενοι εἰς Ἱεροσόλυμα χάριν προσκυνήσεως, ὦσιν ὑποκείμενοι τῷ Πατριάρχῃ τῶν Ῥωμαίων, ἢ τῷ ἰδίῳ αὐτοῦ θελήματι ὀν Ἱεροσολύμοις προσκυνῶσι, καὶ παρέχῃ αὐτῷ ἕκαστος αὐτῶν ἄργυρον οὐ ἢ ἥμισυ δράμιον δίδον, νῦν δὲ οἱ Ἀρμῆνοι καυχώμενοι ὀν τῷ πλήθει αὐτῶν, ἀσυδόκητα λαβεῖν ἀπὸ τῶν Ῥωμαίων ἢ τὰ προσκυνήματα καὶ τὰ πρωτεῖα, μάλιστα δὲ αὐχήσαντοι ὄντες, θαῤῥοῦσιν ἐπὶ τῇ σωλάξει αὐτῶν ταύτῃ ἐμποιῆσαι καὶ τῷ Βασιλεῖ Φόβον. λέγει οὖν ὁ Βασιλεύς, Καὶ ἄρα ἔχει ὁ Βασιλεὺς ἀδησίν τινα τῶν τοιούτων; τάχα μὴ τύχῃ καὶ ἔστι βοηθὸς τῶν Ἀρμῆνων; Ἀποκριθεὶς δὲ ὁ Ἀμύγδαλος τῷ Βασιλεῖ εἶπε, Μὴ γένοιτο Ἀγαθέ μου, ἤτοι Ἄρχοντά μου ἔχειν τὸν Βασιλέα ἄδησίν τινα τῶν τοιούτων, καὶ μάλιστα ὃν διαπαντὸς Σελταῖ Μουσουλμανοὶ ἀναχέσθαι ποτὲ ἀδικηθῆναι τὸ καθολικὸν αὐτοῦ ὑπήκοον, καὶ περιποιηθῆναι τὲς Ἀρμῆνους, μόνον φοβόμεθα τὸν Ἀμπαζᾶ Πασσᾶ τὸν συνόμιλον τοῦ Βασιλέως, ὄντα ἡνωμένον τοῖς Ἀρμῆνοις, καὶ τῇ αὐτῆς γνώμῃ αὐτοῖς, ἐπειδὴ ἔλαβε παρ' αὐτῶν ἐξήκοντα πουγγίων ἀργύρια, ἤτοι γέφυρα χιλιάδας τριάκοντα, καὶ μήπως ἀναφέρει δολίως τὰ πράγματα τῷ Βασιλεῖ, καὶ γένηται ἡμῖν ἀδικία. λέγει αὐτῷ ὁ Βασιλεύς; Καὶ οἶδας βεβαίως, ὅτι ὁ Ἀμπαζᾶ Πασσᾶς ἔλαβε πουγγία ἀπὸ τῶν Ἀρμῆνων; λέγει τῷ Βασιλεῖ ὁ Ἀμύγδαλος, Ναὶ, οἶδα τοῦτο, καὶ νομίζω σωστέτι εἶναι ἐσφραγισμένα ταῖς τῶν Ἀρμῆνων σφραγῖσι τὰ πουγγία ἔσω τοῦ ταμείου αὐτοῦ. τότε ὁ Βασιλεὺς εὐθὺς ἐκάθισε ἀπέστειλεν αὐθρώπους καὶ κατεπάτησαν τὸ ταμεῖον τοῦ Ἀμπαζᾶ Πασσᾶ, καὶ εὗρον τὰ πουγγία ταῖς τῶν Ἀρμῆνων σφραγῖσιν ἐσφραγισμένα ἔτι ὄντα, καὶ εὐθὺς ἔφερε τὸν Ἀμπαζᾶ Πασσᾶ, καὶ ἔκοψεν αὐτοῦ τὴν κεφαλὴν, εἶτα εἰσελθὼν εἰς τὰ σφαύλια τῆς ἁγίας Σοφίας, καὶ σὰς κατὰ τὰ μέρος τοῦ βήματος, ἐτόξευσε βέλεσι, καὶ ἀπέκτεινε πολλὰς τῶν Ἀρμενίων χαρὶ τῆ βασιλικῆ. ἑνὸς δὲ Παπᾶ Ἀρμῆνος λίαν παῦ βοῶντος, σφοέτοξε τῷ δημίῳ καὶ ἔκοψε τὴν κεφαλὴν αἰφνιδίως ὅπως ἔσατο, καὶ ἐπεπήδησεν ἡ κεφαλὴ αὐτοῦ εἰς τὰ αὐτοῦ. βελτιοῦτο δὲ ἡ Βασιλέως Δηλὸ σφοσαγῆς αὐτοῦ ἀποκτεῖναι πάντας ἐκείνους τὲς Ἀρμῆνος, ὁ Καπιτζιλὰρ Κεχαγιὰς, τυχὼν ἐξ Ἀρμῆνων, εἶπον, ὅτι ἀπαίτει ὁ λαὸς, ἀλλ' οἱ σφοεσῶτες αὐτοῦ, καὶ ὅτως ἀπέστειλαν ὁ Βασιλεὺς ἀπόφασιν εἰς τὸν Βεζύρην, ὄντα ἔτι ὀν τῷ βασιλικῷ βήματι, συλλαβεῖν τὲς σφοεσῶτας τῶν Ἀρμῆνων, καὶ ἀποσταλῆναι σφὸς αὐτὸν, ὃς συλλαβὼν ὁ Βεζύρης, ἀπέστειλαν τῷ Βασιλεῖ ὀγδοήκοντα τὸν ἀριθμὸν ὄντας. θέλοντος δὲ τοῦ Βασιλέως ἅπαντας τούτους ἀποκτεῖναι, μετὰ τὸ καρατομηθῆναι τρεῖς ἐξ αὐτῶν ὑπὸ τοῦ δημίου, εἶπε τῷ Βασιλεῖ ὁ ῥηθεὶς ἐξ Ἀρμῆνων Ὀθωμανὸς, Οὐ βουλοιώτερόν ἐστι μὴ ἀποκτεῖναι αὐτοὺς, ἀλλὰ καθεῖρξαι ὀν φυλακῇ, καὶ λαβεῖν παρ' αὐτῶν ἀργύρια πλείονα ὄντων. καὶ ὅτως ὤφελε βληθῆναι αὐτοὺς εἰς φυλακὴν, καὶ ἔλαβε παρ' αὐτῶν ὅσα σφότερον αὐτῷ ὑπέχοντο δοῦναι. ἀπεστάλη δὲ τὸ Χρυσόβουλλον εἰς Ἱερουσαλὴμ, καὶ ἐγένετο τὸ Πάσχα κατὰ τὸν γνώμην τῆς καθολικῆς Ἐκκλησίας, καὶ κατηχώθησαν οἱ Ἀρμῆνοι. ὑμὶν ἀλλὰ καὶ τις ἐξ Ἀρμῆνων Ἱερομόναχος Ἀθανάσιος λαβὼν τὸ ἴσον τοῦ Χρυσοβούλλου, περιῆλθον ὅλης τῆς Ἀνατολῆς τὰ κειμήλια, καὶ ἐποίησεν αὐτὰ γενέσθαι ὑπὸ τῶν κειμένων ὀν τοῖς κώδιξι τῶν κειμηλίων παύτων, ἵνα ὥσπερ πανταχοῦ πρῶτοι οἱ Ῥωμαῖοι τῶν Ἀρμῆνων. καὶ ὅτως ἔπαυσαν οἱ Ἀρμένιοι τῶν σκανδάλων ἕως τοῦ χιλιοστοῦ ἑξακοσιοστοῦ πουτηκοστοῦ ἔτους ὡς ῥηθήσεται.

ΠΑΡΑΓΡΑΦΟΝ ε'.

Ὅτι οἱ Φράγοι ἀπερχόμενοι εἰς τὸν κατὰ τοῦ Μπαγιαζίτ πόλεμον τὸν Βεζύρην ἀπατήσαντες δι' ἀργυρίων, ἔλαβον αὖθις τὰ σφοσκυνήματα τοῦ ἁγίου τάφου, ἅπερ αὖθις τῇ εἰσηγήσει τοῦ Καϊμακὰμ Μουσταφᾶ Πασσᾶ ἔλαβον οἱ Ρωμαῖοι Δηλ. Χρυσοβούλλου, καὶ ἰδιογράφου ὀν αὐτῷ σφοσαγῆς τοῦ Βασιλέως, ἀπειλήσης θάνατον τοῖς ἄλλως ποιήσασι κρίσεις.

Κατὰ τὸν χιλιοστὸν τεσσαρακοστὸν πέμπτον ἔτος τῶν Ὀθωμανῶν ἐκίνησε πόλεμον ὁ Σελταῖ Μουσουλμὰν καὶ τοῦ Μπαγιαζίτ, καὶ πέμπει τὸν Βεζύρην αὐτοῦ τὸν Ἰμπραήμ Πασσᾶ εἰς τὸν πόλεμον μετὰ παντὸς τοῦ Στρατοῦ μακρὸς, ὁ δὲ Ἰμπραήμ Πασσᾶς Δηλ. δώρων ἀπατηθεὶς ὑπὸ τῶν Φράγων, ἠπάτησε τὸν Σελταῖ Μουσουλμὰν, ἐπὼν αὐτῷ, ὅτι ἀπὸ Νεαρᾶς τοῦ Σελταῖ Σελεϊμανοῦ φαίνεται εἶναι τὰ σφοσκυνήματα τῆς Ἱερουσαλὴμ δεδομένα τοῖς Φράγοις, ἀπὸ δὲ τοῦ κώδικος τοῦ Σελταῖ Σελεϊμανοῦ ἀπεξέσας τὸ Ῥωμαίων ὄνομα, ἔβαλε τὸ Φράγγων, εἶτα δέδωκεν ὁρισμὸν τοῖς Φράγοις ἔχειν πάλιν αὐτοὺς τὰ σφοσκυνήματα, αἰθ' ὧν οἱ Φράγοι δέδωκαν τῷ Βασιλεῖ Φλωρία χιλιάδας ἑκκαίδεκα, καὶ τῷ Βεζύρῃ γέφυρα χιλιάδας ἑκατὸν πέντε, καὶ ἀπελθόντες εἰς Ἱερουσαλὴμ, ἔλαβον πάλιν τὰ σφοσκυνήματα σφὸς τῶν Ῥωμαίων, καὶ ἤλπιζον τῷ πλήθει τῶν ὧν δέδωκαν χρημάτων Βασιλεῖ, Βεζύρῃ, Μουφτῇ, καὶ ἄλλοις πολλοῖς ἔξειν ἀώνητα τὰ σφοσκυνήματα

ματα. ἦν δὲ τότε ὁ Θεοφάνης ἐν τῇ Βλαχίᾳ. ᾠκονόμησεν ὅμως ὁ Θεὸς, καὶ ὡς εἴπομεν ὁ Βεζύρης ἐστράτευσεν εἰς τὸν κατὰ τῶν Περσῶν καὶ Μπαγτατίου πόλεμον, ἔμεινε δὲ ἐν τῷ τόπῳ αὐτοῦ ἐπίτροπος παρὰ τῷ Βασιλεῖ, ὃν οἱ Ὀθωμανοὶ λέγουσι Καϊμακὰμ, εἴποι δ' ἄν τις αὐτὸν Ἀνθύπατον, ὁ Καρᾶ Μουσταφᾶ Πασσᾶς, τὸ γένος Ἀλβανίτης. ὡς δὲ ἀπῆλθεν ὁ Βεζύρης εἰς τὸν πόλεμον τῷ χιλιοστῷ τεσσαρακοστῷ πέμπτῳ ἔτει τῶν Ὀθωμανῶν, ὁ Μουσταφᾶ Πασσᾶς εἰσηγεῖται τοῖς Ῥωμαίοις τὸ ποιητέον. καὶ παρόντος τότε τοῦ Θεοφάνους ἐν τῇ Κωνσταντινουπόλει, καὶ τοῦ Βασιλέως ἔξω τῆς πόλεως εἰς προάστειόν τι Διατρίβοντος Νταοὺτ Πασσᾶ λεγόμενον, ἀπέρχονται εἰς τὸν Βασιλέα ὁ μέγας Οἰκονόμος τῶν Ἱεροσολύμων Ἰωάννης Ἱερεὺς, καὶ ὁ ῥηθεὶς Ἀμύγδαλος, καὶ ἀναφέρουσιν αὐτῷ διὰ λιβέλλου τὴν πονηρίαν τοῦ Ἰμπραὴμ Πασσᾶ, ὥστε τὸν Βασιλέα ἰδίῳ στόματι λαλῆσαι μετὰ τοῦ Οἰκονόμου ἀραβιστί. εἶτα ἐρωτᾷ τὸν Μουσταφᾶ Πασσᾶ ὁ Βασιλεὺς περὶ τούτων, κἀκεῖνος βεβαιοῖ τὸν λόγον τῶν τὴν ἀναφορὰν ποιησαμένων Ἰωάννου καὶ Ἀμυγδάλου, ὅθεν πέμπεται παρὰ τοῦ Βασιλέως εἷς Ἀγᾶς, καὶ σφραγίζει τὸ ἅγιον Σπήλαιον τῆς Βηθλεὲμ, καὶ λαμβάνει τὰς κλεῖς τοῦ ἁγίου Σπηλαίου, καὶ μερικοὺς Φράρους, καὶ ἔρχεται εἰς τὴν Κωνσταντινούπολιν. καὶ τῷ χιλιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ ἔτει τῶν Ὀθωμανῶν δικάζονται πάλιν ὁ Πατριάρχης καὶ οἱ Λατῖνοι ἐνώπιον τοῦ Μουφτῆ πρῶτον, εἶτα ἐν τῷ βασιλικῷ βήματι, καὶ πάλιν ἐλέει Θεοῦ δίδονται τὰ προσκυνήματα τοῖς Ῥωμαίοις, τὰς δὲ κλεῖς τοῦ ἁγίου Σπηλαίου ἔδωκεν ὁ Βασιλεὺς διὰ τοῦ Ἀνθυπάτου ταῖς χερσὶ τοῦ Πατριάρχου Θεοφάνους, ἔπειτα ἐνέδυσεν αὐτὸν καὶ Καββάδιον καὶ τοὺς ἐπιτρόπους τοῦ ἁγίου τάφου ὁμοῦ, καὶ προέπεμψαν οἱ βασιλικοὶ Τζαούσιοι τὸν Πατριάρχην μετὰ τῶν περὶ αὐτὸν ἀπὸ τοῦ βασιλικοῦ βήματος ἕως τοῦ Μετοχίου τοῦ ἁγίου τάφου, ὅτι κειμένου εἴσω τοῦ Φαναρίου, ὑποκάτωθεν τῆς Παναγίας, ἥτις λέγεται Μαγουλιώτισσα. μετέπειτα ὁ Πατριάρχης ἔλαβε Χοτζέτι, ἤτοι ἀποφαντικὸν καὶ βεβαιωτικὸν γράμμα παρὰ τοῦ Ντιβανίου, ἤτοι τοῦ βασιλικοῦ βήματος, καὶ Χρυσόβουλλον περὶ παύτων τῶν προσκυνημάτων. ἐν τούτοις δὲ ἐστὶν ἰδεῖν τινὰ τὸ ἔλεος τοῦ Θεοῦ καὶ θαυμάσαι, πῶς ἐνέθηκε τῇ καρδίᾳ τοῦ Βασιλέως ἐκείνου ὁ Θεὸς τὴν πρὸς τοὺς ὀρθοδόξους ἀγάπην μεγίστην, γράφει γὰρ μόνος τῇ ἰδίᾳ αὐτοῦ χειρὶ ἐπὶ τοῦ ὁρισμοῦ κατὰ τὸ πλάγιον μέρος τοῦ μονογράμματος λαλῶν τῷ Κατῇ, ἤτοι τῷ κριτῇ, καὶ τῷ Πασσᾷ, ἤτοι τῷ Ἐπάρχῳ ταῦτα, Κατὰ τὴν θείαν μου ἐντολὴν ποιήσατε γενέσθαι τὴν ἐνέργειαν, εἰ δὲ ποιήσετε δολιότητα, κόπτω ὑμῶν τὰς κεφαλὰς, οὕτω γινώσκτε. ἔπειτα μετὰ τοῦ Χρυσοβούλλου τούτου ἀπέστειλεν ὁ Θεοφάνης Ἀγᾶν εἰς Ἱεροσόλυμα, καὶ οὕτως ὁ Ἀγᾶς ὁμοῦ μετὰ τῶν κριτῶν ἔδωκαν τοῖς Ῥωμαίοις ὅλα τὰ προσκυνήματα, καὶ ἤνοιξαν καὶ τὸ ἅγιον Σπήλαιον, ὃ ἦν πρὸ ἐννέα Μηνῶν ἐσφραγισμένον. καὶ ἐξ ἐκείνου παρῃτήσαντο οἱ Φράροι τὰ Ντιβάνια, ἤτοι τὰ βασιλικὰ κριτήρια ἕως τῆς ἡμετέρας Πατριαρχείας κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἑβδομηκοστὸν πέμπτον ἔτος τὸ σωτήριον ἐπὶ τοῦ Σουλτὰν Μωαμὲτ Βασιλέως, καὶ Ἀχμὲτ Πασσᾶ Βεζύρη ἐν Ἀδριανουπόλει, ὡς λέξομεν σὺν Θεῷ περὶ τούτου ἐν τοῖς ἰδίοις τόποις. Σημείωσαι δὲ, ὅτι ὅτε ἔλαβεν ὁ Θεοφάνης τὰ προσκυνήματα, εἴασε μένειν μερικὰς κανδήλας τῶν Λατίνων, καὶ Ἀρμενίων ἔν τε τῷ Γολγοθᾷ καὶ ἐν τῷ ἁγίῳ Σπηλαίῳ. ὅτε δὲ οἱ Φράγγοι τὰ προσκυνήματα ἔλαβον, ἔρριψαν ἔξω τὰς τῶν Ῥωμαίων κανδήλας. ὅθεν ὅτε ἀνεκτήσαντο ταῦτα οἱ Ῥωμαῖοι, ἔρριψαν ἔξω καὶ αὐτοὶ τὰς κανδήλας τῶν Λατίνων. οἱ δ' Ἀρμένιοι ἐκβάλλοντες μόνοι τὰς αὐτῶν κανδήλαι, λεγόντων τῶν μοναχῶν, Ὦ οὗτοι ἐάσατε ἔνδον τὰς ὑμῶν κανδήλας ὑμεῖς, ἀπεκρίθησαν τοῖς Μοναχοῖς, Ἄυριον αὖθις οἱ Φράγγοι λαμβάνουσι τὰ προσκυνήματα, καὶ κρεμῶμεν καὶ ἡμεῖς ἡμῶν τὰς κανδήλας ἐν αὐτοῖς, καὶ οὕτως ἔμειναν ἀποβεβλημέναι καὶ τῶν Ἀρμενίων αἱ κανδῆλαι. διελάμβανε δὲ τὸ Χρυσόβουλλον λαβεῖν τοὺς Ῥωμαίους καὶ τὸ Μοναστήριον τῶν Λατίνων τὸ ἐν τῇ Βηθλεὲμ, ἀλλ' ὁ Βηθλεὲμ Μητροπολίτης Ἀθανάσιος ἐπιτροπεύων τότε τὸν θρόνον, οὐκ ἠθέλησε κρίμασιν οἷς οἶδε Θεὸς λαβεῖν αὐτό. Σημείωσαι δὲ, ὅτι ἐποίησε τότε ὁ Θεοφάνης συνθήκην, ἵνα παρέχῃ ὁ θρόνος τῆς Ἱερουσαλὴμ τοῖς ἐν τῷ Τζαμῇ τοῦ Σουλτὰν Ἀχμὲτ τοῦ πατρὸς τοῦ Σουλτὰν Μουρὰτ κατ' ἔτος φλωρία βενέτικα τετρακόσια καὶ εἴκοσιν, ὡς μηκέτι παρὰ τοῖς κρατοῦσιν οἱ Φράροι εὕρωσι χώραν καὶ θάρρος, καὶ ἀποτιννύομεν αὐτὰ ἕως τοῦ νῦν τοῖς ἐν τῷ εἰρημένῳ Τζαμῇ.

ΠΑΡΑ ΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς βοηθείας τοῦ Κωνσταντινουπόλεως Κυρίλλου Λουκάρεως πρὸς κουφισμὸν τοῦ ἐκ τῶν σκανδάλων τῶν Αἱρετικῶν ἐπεισελθόντος χρέους τῷ τῆς Ἱερουσαλὴμ θρόνῳ, καὶ τῆς δι' αὐτὸ περιοδείας τοῦ Θεοφάνους εἰς Μακεδονίαν καὶ Θετταλίαν.

Ἐπεισῆλθε δὲ βαρύτατον χρέος εἰς τὸν πατριαρχικὸν τῆς Ἱερουσαλὴμ θρόνον αἰτίᾳ τῶν σκανδάλων τῶν Αἱρετικῶν, καὶ μάλιστα τῶν Λατίνων. καὶ οὐκ ἦν ἐλπὶς ἀπαλλαγῆναι τοῦ χρέους δι' ἀνθρωπίνης δυνάμεως. ἐβοήθησε δὲ τῷ θρόνῳ τῆς Ἱερουσαλὴμ περὶ τοῦ χρέους ὁ Κωνσταντινουπόλεως Κύριλλος κατὰ δύο τρόπους, ἕνα μὲν, ὅτι διδάξας ἔν τε τῇ Κωνσταντινουπόλει καὶ ἐν τῷ Γαλατᾷ, παρεκίνησε τοὺς Χριστιανοὺς σφόδρα, καὶ ἐβοήθησαν οἱ φιλόχριστοι ἱκανῶς. δεύτερον δὲ, ὅτι προσκαλεσάμενος εἰς τὸ Πατριαρχεῖον Ἄρχοντας καὶ ἀρχομένους καὶ τοὺς ξένους Ναυάρχους, καὶ ποιήσας κατάστιχον, ἤθροισε,

πολυτὴ

πολύτι χρῆμα ἐλέους. μετέπειτα δὲ ὁ Θεοφάνης ἀπήει εἰς Μακεδονίαν καὶ Θετταλίαν χάριν ἐλεημοσύνης.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῆς εἰς Ἰβηρίαν ἀποδημίας τοῦ Θεοφάνους, καὶ οὗ ἐχαρίσατο αὐτῷ ποτηρίου πολυτίου ὁ Τεημωράζης Μέπες, ὃ ἐκλάπη ἐν Κωσταντινουπόλει, καὶ περὶ τοῦ γνωστοῦ τῷ Βασιλεῖ Ἄρχοντος Σκαρλάτου.

Ἀπήει δὲ καὶ εἰς Ἰβηρίαν ὁ Θεοφάνης, ὅτε καὶ τῷ Ἐπισκόπῳ Κουτατέλου ἔδωκεν ἐξουσίαν ὀνομάζεσθαι αὐτὸν Μητροπολίτην, καὶ φορεῖν Σάκκον, ἐφιλοδωρήσατο δὲ τῷ Θεοφάνει μάλιστα ὁ Τεημοράζης Μέπες, ἤτοι ὁ Βασιλεὺς τοῦ Καχετίου (Ἀλβανίας) δοὺς αὐτῷ καὶ ἅγιον ποτήριον ἓν πετραδίοις ἐγκεκοσμημένον, οὗ ἡ τιμὴ οὐκ ὀλίγη, ἦν γὰρ δώδεκα χιλιάδες γροσίων, ὅπερ ὕστερον ὁ Θεοφάνης ἐκ παρακινήσεως τοῦ Ἄρχοντος Σκαρλάτου ἐκόμισεν εἰς τὴν Κωνσταντινούπολιν δοῦναι αὐτὶ τοῦ χρέους, ἔνθα δὲ συνήχθησαν οἱ τιμησόμενοι αὐτὸ λιθογνώμονες Ἑβραῖοι, διὰ χειρῶν ἐλθὸν ἀφ' ἑτέρου εἰς ἕτερον, ἐκλάπη, καὶ ἐκλέλοιπεν ἐκ μέσου. Σημείωσαι ὅτι ὁ ῥηθεὶς οὗτος Σκαρλᾶτος ἦν γνωστὸς τῷ Σουλτάνῳ, καὶ ἀπελθὼν εἰς Ἱερουσαλὴμ χάριν προσκυνήσεως, εἶχε Χατσερὶφ, ἤτοι χρυσόβουλλον, ὃ καὶ ἱερὸς τύπος λέγεται, εἰσελθεῖν εἰς τὸ Ἱερὸν, ᾧ καὶ οἱ κριταὶ ἔδωκαν θέλημα εἰσελθεῖν. εἰσιόντι δὲ εἰς τὴν θύραν τῆς αὐλῆς, σταθείς τις Ἄραψ ζηλωτὴς, εἶπεν αὐτῷ, Ὦ Χριστιανὲ ἔχεις ὁρισμὸν εἰσελθεῖν, ἀλλ' ἔχεις καὶ ἐξελθεῖν; καὶ οὕτως οὐκ εἰσῆλθεν, οὗ τῇ μεσιτείᾳ ὕψωσαν οἱ τῆς Ἱερουσαλὴμ πατέρες ἐν τῷ Πατριαρχείῳ μερικὸν τοῖχον, τὸν ἔμπροσθεν τῆς Ἐκκλησίας τοῦ ἁγίου Κωνσταντίνου ὄντα.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ποσάκις ἠρημώθη ἡ ἐν Ἱερουσαλὴμ Μονὴ τοῦ ἁγίου Σάββα. καὶ περὶ τῆς ἀνταρσίας τῶν Ἁγιοσαββιτῶν καὶ Ἀρχαγγελιτῶν κατὰ τοῦ Ἱεροσολύμων Θεοφάνους, καὶ τῆς παρανόμου κρίσεως τῶν τῆς ἕω Πατριαρχῶν, ἀποστερησάντων τὸν Ἱεροσολύμων τῆς ἐπὶ τῶν ἐν τῷ θρόνῳ αὐτοῦ Μοναστηρίων τούτων Ἐκκλήτου. καὶ περὶ τοῦ συμβάντος χρέους τοῖς Μοναστηρίοις τούτοις, καὶ φυγῆς τῶν ἐν αὐτοῖς Μοναχῶν, καὶ δόσεως τοῦ χρέους τούτου παρὰ τοῦ Ἱεροσολύμων ὡς ἂν μὴ κυριεύσωσιν τῶν Μοναστηρίων παπισταὶ καὶ Ἀρμένιοι. καὶ ἀποδημίας τοῦ Ἱεροσολύμων Θεοφάνους εἰς Μολδαβίαν πρὸς τὸν Ἡγεμόνα Βασίλειον, παρ' οὗ καὶ δέδοται ὅλον τὸ χρέος τοῦ ἁγίου τάφου φλωρία χιλιάδες πεντηκονταέξ. καὶ περὶ τοῦ εἰς τὸν ἅγιον τάφον ἐλέους τοῦ Αἰγυπτίου Σεϊδηλὰχ φλωρίων χιλιάδων δέκα.

Εὑρίσκεται βιβλίον τὶ πατερικὸν ἐν τῇ Λαύρᾳ τοῦ ἁγίου Σάββα ἔχον τὸ σημείωμα τοῦτο, Ἐκτίσθη ὁ ὑπερθαύμαστος Ναὸς τῆς Λαύρας τοῦ ἁγίου Σάββα ἐν ἔτει ἀπὸ κτίσεως κόσμου ἑξακισχιλιοστῷ ἑβδομηκοστῷ, καὶ ἐπὶ Ἡρακλείου ἠρημώθη ὑπὸ τῶν Περσῶν, καὶ ἐν τῷ ἑξακισχιλιοστῷ ἑξακοσιοστῷ δεκάτῳ πέμπτῳ ἔτει ἠρημώθη ὑπὸ τῶν Ἀγαρηνῶν διὰ τὴν ἐπικράτειαν τῶν Λατίνων, καὶ πάλιν ἐν τῷ ἑπτακισχιλιοστῷ ἑκατοστῷ τετάρτῳ ἔτει ἠρημώθη ὀλίγον, καὶ ἐν τῷ ἑπτακισχιλιοστῷ ἑκατοστῷ δωδεκάτῳ ἔτει πάλιν ἠνεώχθη, καὶ Κύριος στερεώσει αὐτὸν ἕως τῆς συντελείας τοῦ αἰῶνος διὰ πολλῶν σωτηρίαν, ἀμήν. καὶ ἀπὸ τούτου μανθάνεις συντόμως τὴν κατάστασιν αὐτοῦ. ὅμως οὐ γινώσκομεν ἀπὸ τίνος αἰτίας καὶ ἐν τίνι καιρῷ οἱ Σέρβοι Μοναχοὶ οἱ ὑποκείμενοι τῷ Ἀρχιεπισκόπῳ Πεκίου κατῴκησαν εἰς τὴν Μονὴν τὴν ἐν τῇ Ἱερουσαλὴμ τοῦ Ἀρχαγγέλου, καὶ ἐξουσίασαν αὐτῆς, οἵτινες ὡς ἔοικε παρακινούμενοι ὑπὸ τῶν δασμοφοριῶν, ἃς τοῖς φορολόγοις ἀπεδίδουν, γεγόνασι κοινόβιοι τοῖς τὴν Λαύραν τοῦ ἁγίου Σάββα οἰκοῦσιν, ἐγένοντο ὅμως αἰτία δύο κακῶν, πρῶτον, ὅτι ὥσπερ καὶ οἱ Ἴβηρες, οὕτω καὶ αὐτοὶ οὐ κατεδέχοντο εἶναι σύμφωνοι τῷ Πατριάρχῃ, ἀλλ' ἐποίησαν ἀνταρσίαν, καὶ ἐδίδουν χωρὶς τοὺς φόρους αὐτῶν, καὶ ἐζήτουν ἔχειν ἐν τοῖς προσκυνήμασι τόπον διωρισμένον, καὶ ἤρχετο ὁ Ἡγούμενος αὐτῶν εἰς τὸν Πατριάρχην μετὰ τῆς βακτηρίας, καὶ τελευταῖον ἀπῆλθον εἰς Κωνσταντινούπολιν καὶ εἰς τοὺς λοιποὺς Πατριάρχας προσκλαιόμενοι ὡς δῆθεν ἀδικοῦνται ὑπὸ τοῦ Πατριάρχου τῶν Ἱεροσολύμων, καὶ λαμβάνουσι γράμματα, καὶ προσκαλοῦται καὶ τὸν Ἀλεξανδρείας καὶ Ἀντιοχείας εἰς Ἱερουσαλὴμ καὶ κρίνονται, καὶ βεβαιοῦσιν οἱ Πατριάρχαι εἶναι αὐτοὺς ἐλευθέρους καὶ μὴ ὑποκειμένους τῷ Ἱεροσολύμων, καὶ ἀφήρησαν οἱ ἐπίψογοι ἐκεῖνοι Πατριάρχαι, ἢ ἀργύριον λαβόντες, ἢ ὑπ' ἀγνωσίας, τὴν Ἔκκλητον τοῦ Πατριάρχου Ἱεροσολύμων ἐν τοῖς Μοναστηρίοις, οὖσιν οὐχ ἁπλῶς ἐν τῇ Ἐπαρχίᾳ αὐτοῦ, ἀλλ' ἐν τῇ πόλει τοῦ θρόνου αὐτοῦ, ἐνεργήσαντες κατὰ τῶν Κανόνων καὶ τῆς πίστεως, καὶ οὔτε καν τὸν βίον τοῦ ἁγίου Σάββα ἀνέγνωσαν, καὶ οὕτως ἐπῆραν ὀφρῦν οἱ Μοναχοὶ Σέρβοι καὶ οἱ Ἁγιοσαββῖται. δεύτερον, ὅτι ἐρχομένοις τοῖς προσκυνηταῖς προϋπήντουν οἱ Ἀρχαγγελοαγιοσαββῖται, καὶ ἐλάμβανον αὐτοὺς εἰς τὸ Μοναστήριον αὐτῶν, καὶ ὁ Πατριάρχης ἦν ὑστερημένος. συνέβη ὅμως ταλαιπωρεῖσθαι λίαν τοὺς Ἁγιοσαββίτας ὑπὸ τῶν Ἀράβων, ὅθεν ἔκτισαν ἕνα πύργον ἀντικρὺ τοῦ Μοναστηρίου αὐτῶν κατὰ τὸ μέρος τὸ δυτικὸν, ἐγένετο δὲ ἡ δαπάνη τῆς οἰκοδομῆς τοῦ πύργου γρόσια χιλιάδες δώ-

δώδεκα, ἐξ ἧς δῆτα δαπάνης καὶ ἐκ τῶν ἀφροσυνῶν αὐτῶν ὑπόχρεῳ ἐγένοντο ὑπερβολικῶς, καὶ ἐπώλησαν πᾶν εἴτι καὶ ἂν εἶχον ἐν τοῖς Μοναστηρίοις αὐτῶν, ἀλλὰ πάλιν ὑπόχρεῳ ὄντες, ἠναγκάσθησαν φυγεῖν πάντες χωρὶς τοῦ μεῖναι τινὰ ἐξ αὐτῶν ἐν ταῖς Μοναῖς αὐτῶν. ὅθεν ἠγέρθησαν οἱ μὲν Φράγγοι λαβεῖν τὴν Μονὴν τοῦ Ἀρχαγγέλου ὡς ἐγγίζουσαν αὐτοῖς, οἱ δὲ Ἀρμένιοι τὴν Μονὴν τοῦ ἁγίου Σάββα. καὶ πάλιν κοπιᾷ ὁ Θεοφάνης, καὶ δίδωσι πεντήκοντα καὶ τέσσαρας χιλιάδας γρόσια τὸ χρέος τῶν Μοναστηρίων τοῖς χρεωφειλέταις, καὶ λαμβάνει καὶ τὰ δύο Μοναστήρια. ἀλλ' οἱ ἐξουσιασταὶ ἀπῄτουν τὸν Πατριάρχην καὶ τοὺς φόρους οὓς ἐδίδουν ἐκεῖνα τὰ Μοναστήρια πρότερον ἐκ συνηθείας, ἥντινα συνήθειαν διὰ πολλῶν ὁρισμῶν βασιλικῶν καὶ δαπανῶν ἀνῄρηκεν ὁ Θεοφάνης καὶ ὁ μετ' αὐτὸν Παΐσιος. ὡς οὖν ἐκ τῶν σκανδάλων τῶν Ἀρμενίων καὶ τῶν Φράρων ἐπλεόνασεν ἐπιπλεῖον τὸ χρέος τῶν Μοναστηρίων τοῦ ἁγίου Σάββα καὶ τοῦ Ἀρχαγγέλου, καὶ ἐσβέσθη πᾶσα ἀνθρωπίνη ἐλπὶς, ἀπέρχεται εἰς τὸ Γιάσιον πρὸς τὸν Βασίλειον βοεβόδα ὁ Θεοφάνης, αἴφνης εὑρεθεὶς μιᾶς ἡμέρας πρωΐ ἐν τῷ Ἀρχείῳ τοῦ Ἡγεμόνος, ὅπερ μαθὼν ὁ Βασίλειος, ἐξῆλθεν ἀνυπόδητος, ἀσπαζόμενος τὸν Δεσπότην, ὁ δὲ ἐπέδωκεν αὐτῷ ἓν σχοινίον, εἰπὼν, Τέκνονμου πνίξονμε, ἵνα μήμε πνίξωσιν οἱ Ὀθωμανοὶ χρεωφειλέται. καὶ οὕτως ὁ Αὐθέντης εὐθὺς ἔγραψε τοῖς ἐν Κωνσταντινουπόλει Ἄρχουσιν αὐτοῦ καὶ ἀπέδωκαν τοῖς χρεωφειλέταις τὸ χρέος τοῦ ἁγίου τάφου φλωρία χιλιάδας ἓξ Βενέτικα. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ἦλθεν εἰς Γιάσιον εἰς Ἀγᾶς, μετὰ ὁρισμοῦ βασιλικοῦ λαβεῖν τὸν Πατριάρχην ἕνεκεν ἄλλων ἓξ χιλιάδων ὧν ἐχρεώστει φλωρίων, καὶ ἀπέδωκε καὶ ταῦτα ὁ Αὐθέντης. εἶτα ἰδὼν ὁ μακάριος ἐκεῖνος Ἡγεμὼν τὸν ἅγιον τάφον κατάχρεων, ἀπέστειλεν εἰς Ἱερουσαλὴμ δύο Ἄρχοντας αὐτοῦ μετὰ τεσσαράκοντα χιλιάδων φλωρίων οὐγγαρικῶν, καὶ ἀπέδωκαν ὅλον τὸ χρέος τοῖς χρεωφειλέταις τοῦ ἁγίου τάφου, ἔμειναν δὲ τέσσαρες χιλιάδες γρόσια, καὶ ἀπῆλθον οἱ χρεωφειλέται Ὀθωμανοὶ εἰς τὴν Μπογδανίαν, καὶ ἀπέδωκεν αὐτοῖς κἀκεῖνα ὁ φιλόχριστος ἐκεῖνος ἄνθρωπος, ἔργον βασιλικὸν ποιήσας καὶ ὀρθόδοξον, μάλιστα δὲ καὶ ὑπὲρ τὸ βασιλικὸν, ὅτι μετὰ τὴν τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Ὀθωμανῶν ἅλωσιν, οὐδεὶς Βασιλεὺς, ἢ Ἡγεμὼν ἐποίησε τῷ Πατριαρχικῷ θρόνῳ τῆς Ἱερουσαλὴμ τοιοῦτον καλόν. Εὕρηται μία ἐπιστολὴ τοῦ μακαρίτου Γερασίμου Πάπα Ἀλεξανδρείας, γεγραμμένη ἐν Αἰγύπτῳ τῷ χιλιοστῷ ἑξακοσιοστῷ εἰκοστῷ τετάρτῳ ἔτει, Νοεμβρίου εἰκοστῇ πέμπτῃ πρὸς Θεοφάνη τὸν Πατριάρχην Ἱεροσολύμων, ἐν ᾗ λέγει, Ὅτι διὰ τὸ ἔχειν τὸν ἅγιον τάφον χρέος πολὺ, καὶ προστεθῆναι καὶ ἕτερον χρέος ἕνεκεν τῆς διορθώσεως τοῦ Μοναστηρίου τοῦ ἁγίου Σάββα, δέδωκεν ὁ Θεοφάνης τὰ ἱερὰ σκεύη τοῦ ἁγίου τάφου καὶ τὴν Κορῶναν αὐτοῦ τῷ Παπᾷ Φιλοθέῳ καὶ τῷ γέροντι Βαρθολομαίῳ τοῦ ἀποκομίσαι εἰς Αἴγυπτον καὶ ἀπεμπολῆσαι, ἅπερ ἰδών τις Ἄρχων ἐν τῇ Αἰγύπτῳ ὀνόματι Σεϊδηλάχ ἐν ταῖς χερσὶ τῶν Ἑβραίων ἐλυπήθη, καὶ ἀπέστειλεν ἐσφραγισμένα τῇ τούτου τοῦ Ἀλεξανδρείας Γερασίμου σφραγῖδι μετὰ τοῦ εἰρημένου Παπᾶ Φιλοθέου εἰς Ἱερουσαλὴμ τῷ Θεοφάνει φλωρία χιλιάδας ὀκτὼ, καὶ μετ' οὐ πολὺ ἀπέστειλε μετὰ τοῦ γέροντος Βαρθολομαίου τῷ αὐτῷ τῇ σφραγῖδι τοῦ αὐτοῦ Πατριάρχου ἐσφραγισμένα φλωρία χιλιάδας δύο, καὶ ὑπέστρεψαν οὗτοι οἱ εἰρημένοι πατέρες τὰ ἱερὰ σκεύη τοῦ ἁγίου τάφου καὶ τὴν Κορῶναν ἀπὸ τῆς Αἰγύπτου εἰς τὴν Ἱερουσαλήμ. καὶ γράφει ἔτι τῷ Θεοφάνει ὁ Ἀλεξανδρείας ἰοῦναι εὐθὺς τὰ χρήματα τοῖς χρεωφειλέταις, μυστικῶς ὅμως, καὶ ἐπαινεῖ αὐτὸν προσέτι διὰ τὸ πεποιηκέναι κοινόβιον μετὰ τῶν Ἁγιοσαββιτῶν, γράφων δὲ τῷ Θεοφάνει, πάντοτε παναγιώτατον Πατριάρχην καλεῖ. Αἰωνία δὲ ἡμνήμη καὶ τοῦ ἀξιοτιμήτου καὶ ὄντως Πατριάρχου Γερασίμου, καὶ τοῦ μακαρίτου Σεϊδηλάχ.

ΠΑΡΑΓΡΑΦΟΝ Ι.

Ὅτι τὸ ἀντικρὺ Γιασίου κείμενον Μοναστήριον, Γαλατᾶ λεγόμενον, καὶ τὸ τοῦ ἁγίου Γεωργίου ἐν Βουκουρεστίῳ ὁ Ἱεροσολύμων Θεοφάνης ἔλαβε, καὶ τὸ ἐν Κωνσταντινουπόλει Μετόχιον ὁ αὐτὸς ἠγόρασε σὺν τῷ ἄνωθεν κήπῳ, ὁ δὲ Παΐσιος τὸν δυτικὸν κῆπον, τὰ δὲ πέτρινα οἰκήματα τοῦ Καστοριανοῦ Μανολάκη δόσις ἐστὶ, τὰ δὲ ἐξαμφοτέρων μερῶν οἰκήματα ὁ τῆς Βίβλου συγγραμφεὺς ὠνήσατο. καὶ περὶ τῆς τελευτῆς τοῦ Θεοφάνους, καὶ τῶν ἐτῶν τῆς Πατριαρχείας αὐτοῦ, καὶ τῆς ἐκλογῆς καὶ χειροτονίας Παϊσίου ἐν Γιασίῳ, καὶ τῶν ἰδιωμάτων αὐτοῦ καὶ τῆ περιγραφῆς αὐτοῦ.

Ὁ Θεοφάνης οὗτος ἔλαβε παρὰ τοῦ Ῥάδουλ βοεβόδα τὸ Μοναστήριον τοῦ Γαλατᾶ, τὸ ἀντικρὺ τοῦ Γιασίου κείμενον, ὅπερ ᾠκοδόμησε καὶ ἀφιέρωσε τῷ Κιέβῳ ὁ Πέτρος βοεβόδας, διὰ δὲ τὸ διαφθεῖραι τοὺς Ῥώσους τὰ πράγματα τοῦ Μοναστηρίου, ὁ Ῥάδουλ βοεβόδας, ἐπανελθούσης τῆς Μαρίας γυναικὸς μὲν τοῦ Ζώτου, θυγατρὸς δὲ τοῦ Πέτρου Βοεβόδα ἀπὸ Βενετίας εἰς Γιάσιον, ἔδωκε τὸ Μοναστήριον τῷ ἁγίῳ τάφῳ, ἔλαβε δὲ αὐτὸ ὁ Μητροπολίτης Βηθλεὲμ Ἀθανάσιος, ἐξάδελφος τοῦ Πατριάρχου (ἦσαν γὰρ ἀμφότεροι Πελοποννήσιοι ἀπὸ χωρίου Δημητζάνας) θαυμαστὸς καὶ ἅγιος ἄνθρωπος. ὁ αὐτὸς Θεοφάνης ἔλαβε καὶ τὸ Μοναστήριον τοῦ ἁγίου Γεωργίου, τὸ ἐν Βουκουρεστίῳ τῷ τῆς βλαχίας θρόνῳ κείμενον. Ἐν τῷ καιρῷ τοῦ Θεοφάνους ἔλαβον οἱ Ἄραβες τὴν Ὠκέλαν, ἥτις ἦν ἐγγὺς τοῦ Πατριαρχείου, ἀναμέσον τοῦ Πατριαρχείου καὶ τοῦ λουτροῦ. Αὐτὸς, δηλαδὴ ὁ Θεοφάνης ἠγόρασε καὶ τὸ Μετόχιον τὸ ἐν τῇ Κωνσταντινουπόλει ὡς ἔχει ἡ Ἐκκλησία

μετὰ

μετὰ τοῦ ἄνωθεν κήπου, τὸν δὲ δυτικὸν κῆπον ἠγόρασεν ὁ Παΐσιος, τὰ πέτρινα οἰκήματα δέδωκε τῷ ἁγίῳ τάφῳ ὁ Κὺρ Μανολάκης ἐπὶ Νεκταρίου, τὰ δὲ ἐξ ἀμφοτέρων τῶν μερῶν τοῦ Μετοχίου οἰκήματα ἠγοράσθησαν παρ' ἡμῶν. Πατριαρχεύσας δὲ ὁ Θεοφάνης ἔτη τριακονταεπτὰ, ἐκοιμήθη ἐν Κωνσταντινουπόλει τῷ χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ πέμπτῳ ἔτει, καὶ ἐψάλθη μὲν ἐν τῷ Πατριαρχείῳ, ἐτάφη δὲ ἐν τῇ Μονῇ τῆς Θεοτόκου τῇ ἐν τῇ Νήσῳ τῆς Χάλκης, ὅπου ἦν τεθαμμένος ὁ Κωνσταντινουπόλεως Τιμόθεος, καὶ ἄλλοι τοιοῦτοι. Τότε ὁ Κωνσταντινουπόλεως Παρθένιος ὁ ἐξ Ἰωαννίνων φρονῶν ὑπὲρ τὸ δέον, ἐβούλετο Πατριάρχην ποιῆσαι Ἱεροσολύμων τὸν Ἰωαννίκιον Μητροπολίτην Βερροίας. οἱ Ἱεροσολυμῖται δὲ γινώσκοντες ὅτι τὸ Πατριαρχεῖον τῶν Ἱεροσολύμων δεῖται Πατριάρχου εἰρηνικοῦ καὶ ταπεινοῦ ἀνθρώπου, Ἡγουμένου καὶ οὐ δυνάστου, προσέπεσον ἱκετικῶς τῷ εἰρημένῳ βοεβόδᾳ τῆς Μολδοβλαχίας Βασιλείῳ, πλούτῳ κομῶντι καὶ δυνάμει ἰσχύοντι παρὰ τοῖς Βασιλείοις, καὶ δὴ ἴσχυσαν δι' αὐτοῦ; καὶ προβάλλονται Πατριάρχην αὐτῶν τὸν Ἡγούμενον τοῦ Γαλατᾶ Παΐσιον (ἦσαν γὰρ τότε τοῦ ἁγίου τάφου Μοναστήρια ἐν Γιασίῳ τέσσαρα, τὸ τοῦ Γαλατᾶ, τὸ τοῦ Μπουρνόσκη, τὸ τοῦ ἁγίου Σάββα, καὶ τὸ τοῦ Νικορίτζα) καὶ γράφει ὁ Ἡγεμὼν τῷ Πατριάρχῃ Κωνσταντινουπόλεως καὶ τῇ Συνόδῳ τὴν ψῆφον τῶν Ἁγιοταφιτῶν πατέρων. ὁ οὖν Παρθένιος φοβούμενος τὸν Βασίλειον Βοεβόδα, οὐκ ἀντεῖπε τῇ ψήφῳ καὶ ἐκλογῇ τῶν πατέρων, ἀλλ' ἀπέστειλεν ἐκεῖσε τὸν Λαρίσσης Μητροπολίτην Γρηγόριον Ἔξαρχον, καὶ ἄλλους, καὶ ἐχειροτόνησαν ἐν Γιασίῳ τὸν Παΐσιον Πατριάρχην Ἱεροσολύμων. ἦν δὲ οὗτος ἔνθεος ἀνὴρ, ἀπὸ τῆς Δημητζάνας καὶ αὐτὸς, καὶ συγγενὴς τοῦ Θεοφάνους, ἦλθε δὲ εἰς Ἱεροσόλυμα νέος λίαν, καὶ ἐχρημάτισε ὑπηρέτης τοῦ Σωφρονίου πολλοὺς χρόνους, εἶτα ἀναστὰς ἐπορεύθη εἰς τὰ τοῦ Ἰορδάνου κύκλω, καὶ ἠσκήτευσεν ἐκεῖ ἱκανὸν καιρὸν, κἀκεῖθεν μεταπέμπεται αὐτὸν ὁ Θεοφάνης, καὶ προχειρίζεται Ἡγούμενον τῆς ἐν Γιασίῳ Μονῆς Θεοτόκου τοῦ Μπουρνόσκη, κἄπειτα τῆς Μονῆς τοῦ ἀντικρὺ Γιασίου Γαλατᾶ. καὶ ἔφερεν ὁ Παΐσιος οὗτος τότε εἰς τὰ Ἱεροσόλυμα χρήματα καὶ βοήθειαν ὡς ἄλλος οὐδεὶς, καὶ δὴ καὶ ἄλευρον καὶ βούτυρον ἀπὸ Μολδοβλαχίας ἐν καιρῷ λιμοῦ, καὶ πᾶν ὃ φέρει τὸ Γιάσιον ἀγαθὸν διὰ φορτηγῶν πλοίων. ἦν δὲ ἀκτήμων, ὅθεν οὐδέποτε ἐκέκτητο κιβωτὸν, ἢ ἄλλο τίποτε, καὶ ζηλωτὴς τῶν θείων, μάλιστα καὶ ἀνδρεῖος, ἐρχόμενος γὰρ ἀπότινος χωρίου τῆς Παναγίας ἐγγὺς ὄντος τοῦ Χοτινίου, Τοπορούτζη λεγομένου, δώδεκα λῃστὰς μόνος κατέβαλε, καὶ τοὺς ἵππους αὐτῶν ἔλαβε, μικρὸς τῇ ἡλικίᾳ, καθειμένος τὸν πώγωνα, μελάγχρους, ἐκκλησιαστικὸς, ἀνδρεῖος, φιλαλήθης, καὶ μεγαλοπρεπέστατος.

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὅτι παραγενόμενος εἰς τὴν Ἱερουσαλὴμ Πατριάρχης ὁ Παΐσιος, καὶ ἀποδεχθεὶς παρὰ τῆς Συνόδου καὶ τῶν πατέρων, τοὺς Κληρικοὺς ἐναντίους αὐτῷ στάντας παιδεύει τρόπῳ ἐπιτηδείῳ, καὶ περὶ τῆς εἰς διαφόρους τόπους ἀποδημίας αὐτοῦ, καὶ τῆς κατ' αὐτοῦ ἐπιβουλῆς τοῦ Κωνσταντινουπόλεως Παρθενίου τοῦ δευτέρου, τοῦ κλείσαντος τὸ Μετόχιον, καὶ ἐπιβουλεύσαντος τοῖς Μολδοβίας καὶ Βλαχίας Ἡγεμόσιν, ὧν τῇ συνεργείᾳ καταδικάζεται ἀγχόνῃ παρὰ τῆς βασιλείας.

Πατριαρχεύσας ὁ Παΐσιος, ἀπήει διὰ τῆς Κωνσταντινουπόλεως μετὰ ἀνθρώπου βασιλικοῦ διὰ ξηρᾶς εἰς Ἱεροσόλυμα, καὶ ἀπεδέξαντο αὐτὸν ἡ Σύνοδος καὶ οἱ πατέρες ὡς οἰκεῖον καὶ νόμιμον Πατριάρχην, οἱ Κληρικοὶ ὅμως ὤφθησαν ἐναντίοι δι' αἰτίαν τοιαύτην, Ἐπειδὴ ὡς προείπομεν διὰ τὸ ἔχειν ἐξουσίαν ἐν Ἱερουσαλὴμ τοὺς τῆς Αἰγύπτου Αὐθέντας, οὐκ ἦσαν Ῥωμαῖοι, ἀλλὰ Ἄραβες Πατριάρχαι; ἐπεκράτησε δὲ ἐξ ἐκείνου τοῦ καιροῦ ἰσχύειν τοὺς ἐντοπίους ἐν τοῖς ἐκκλησιαστικοῖς, ἐπειδὴ μάλιστα οἱ Ἄραβες εἰσὶ μικροπρεπεῖς, καὶ τοῖς ἰδίοις ὑπὲρ τὸ μέτρον ἀεὶ χαριζόμενοι, καὶ διατοῦτο οἱ Ἄραβες Πατριάρχαι διῳκοῦντο μετὰ τῶν συγγενῶν αὐτῶν καὶ ἐντοπίων ἀδιαφόρως, καὶ οἱ Ῥωμαῖοι Πατριάρχαι ὕστερον ἔχοντες σκάνδαλα μετὰ τῶν ἐθνῶν, εἴων τοὺς Ἄραβας ἐν ᾧ εἶχε δεδομένον ἡ συνήθεια, ὥστε πάντων τῶν τοῦ θρόνου εἰσοδημάτων τοὺς ἐντοπίους Ἄραβας ὡς ἐπιτοπλεῖστον τὴν ἐξουσίαν ἐσχηκέναι, καὶ προστάτας αὐτοὺς τῶν ἀναγκαίων χρειῶν εἶναι, ἀφορῶντας ὅμως μόνον εἰς τὸ ἴδιον συμφέρον, καὶ ἐπειδὴ ὁ Θεοφάνης ὑστέρησεν αὐτοὺς ὀλίγον τι τῆς τόλμης τῆς παλαιᾶς, καὶ ὁ Παΐσιος ἦλθε Πατριάρχης νέος, οἱ ἐντόπιοι ὁμοφωνήσαντες, ἐξῆλθον ἔξω τῆς ἁγίας πόλεως καὶ ἐποίησαν σωρὸν λίθον, καὶ ταῦτα πάντα ἐγίνοντο, ἵνα ὦσιν ἐναντίοι τῷ Πατριάρχῃ. ὁ Παΐσιος δὲ ὡς εἴρηται ἀνδρείας ὢν ψυχῆς, συνελάλησε τοῖς κριταῖς κρυφίως, καὶ δέδωκεν αὐτοῖς καὶ μέρος τι χρημάτων ἐπὶ ῥητοῖς, ὅτι ἐάν τις τῶν ἐντοπίων θελήσῃ ἀρνήσασθαι αὐτοῦ τὸ σέβας, μὴ γίνεσθαι δεκτὸν, εἶτα ἐποίησεν ἀγωγὴν κατ' αὐτῶν, καὶ τοσοῦτον ἐπαίδευσεν αὐτοὺς, ὥστε καὶ ἐσωφρονήσθησαν ὡς ὁρῶνται τὴν σήμερον εὔτακτοι καὶ εἰρηνικοὶ, μέτρον τέλειον εὐλαβείας καὶ φόβον Θεοῦ ἔχοντες. ἐν λοιπὸν τοῦτο πρῶτον καλὸν ἐν Ἱεροσολύμοις τοῦ Παΐσιου. μείνας δὲ ἐν Ἱεροσολύμοις μερικὸν καιρὸν, ἀπεδήμησεν ἐκεῖθεν καὶ ἦλθεν εἰς Κωνσταντινούπολιν διὰ θαλάσσης,

λάσσης, ἀπὸ δὲ Κωνσταντινουπόλεως εἰς Μολδοβλαχίαν, κἀκεῖθεν εἰς Μοσχοβίαν. ὁ δὲ ῥηθεὶς Παρθένιος Κωνσταντινουπόλεως ὁ δεύτερος ἔγραψε κατ' αὐτοῦ πολλὰ κακὰ εἰς Μοσχοβίαν, πλὴν ματαίως ὡς εἴρηται. Φιλοδωρησάμενος γὰρ αὐτὸν ὁ εὐσεβέστατος Αὐτοκράτωρ Ἀλέξιος Μιχαηλοβίτζης, τοῖς προσήκουσι δώροις βασιλοπρεπῶς ἐτίμησεν. ἐπανελθὼν δὲ εἰς Γιάσιον, ἀπῆλθεν ἐκεῖθεν εἰς Κωνσταντινούπολιν, ἔνθα διεβλήθη ὑπὸ τοῦ Παρθενίου εἰς τὴν Βασιλείαν, ὡς ἦν ἐν τῇ Μοσχοβίᾳ ἐν τόπῳ ἀλλοτρίῳ, ὅθεν ἔλαβε παρ' αὐτοῦ ὁ Βεζύρης τοῦ Σουλταῦ Ἰμπραὴμ πεσχέσιον, ἤτοι δῶρον φλωρία χιλιάδας τέσσαρας. εἶτα ἐκεῖθεν ἀπελθὼν εἰς Ἱερουσαλὴμ, ὑπέστρεψεν αὖθις εἰς Βλαχομπογδανίαν. Ἐπειδὴ δὲ ἡ Ἐκκλησία τοῦ ἐν Κωνσταντινουπόλει Μετοχίου σμικροτάτη οὖσα, καὶ πυρποληθεῖσα, ἀνεκαινίσθη μεγάλη ὡς νῦν ὁρᾶται συνεργείᾳ τῶν Γουναράδων, καὶ ἔφερον ἐκεῖσε οἱ Ἁγιοταφῖται μίαν θαυματουργὸν Εἰκόνα τῆς Θεοτόκου, μαχόμενος δὲ ὁ Παρθένιος τῷ Πατριάρχῃ Παϊσίῳ διὰ τὸ μὴ δοῦναι αὐτῷ χειροτονικὰ, καὶ εὑρὼν ἀφορμὴν τὴν συγκρότησιν τοῦ πλήθους τοῦ λαοῦ εἰς τὸ Μετόχιον χάριν τῆς Εἰκόνος, κλείει τὴν Ἐκκλησίαν, ἀτιμίαν εἶναι τοῦ Πατριαρχείου τὴν ἐκεῖσε συνάθροισιν τοῦ λαοῦ προφασιζόμενος. οὐ μὴν ἀλλὰ καὶ τοῖς Ἡγεμόσιν ἐπεβούλευε τῆς Βλαχομπογδανίας τοῦ κακῶσαι αὐτοὺς καὶ ταπεινῶσαι, ὃν τρόπον ἐβούλετο ὁ Πάπας Νικόλαος ὁ πρῶτος ταπεινῶσαι Λοδοβῖκον τὸν Βασιλέα τῆς Δύσεως, ἀλλ' οὔτε ἐκεῖνος ἴσχυσεν ἀγαγεῖν εἰς ἔργον τὰ τῆς διανοίας αὐτοῦ, οὔτε οὗτος, καθότι οἱ Ἡγεμόνες εὑρόντες ἀφορμὴν τὴν πρὸς τὸν ἅγιον τάφον ὕβριν, συνήργησαν, καὶ ἔπνιξεν αὐτὸν ἡ Βασιλεία ἀναμέσον Ὀξίας καὶ Πλάτης. ἐπωνομάσθη δὲ διὰ τὴν ὑψηλοφροσύνην αὐτοῦ Γολιάθ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ γεγονότος θαύματος ἐν Βελεγραδίῳ κατὰ τῆς προσθήκης τῶν δέκα ἡμερῶν παρὰ τῶν Λατίνων, παρόντος τοῦ Ἱεροσολύμων Παϊσίου.

Ὁ οὖν Παΐσιος ἀπὸ Γιασίου ἦλθεν εἰς Κωνσταντινούπολιν, εἶτα εἰς Ἀδριανούπολιν, Φιλιππούπολιν, Σοφίαν, καὶ Βελεγράδιον, ἐν ᾧ ὄντος αὐτοῦ τοῦ Πατριάχου Παϊσίου, συνέβη γενέσθαι τοιοῦτόν τι. Γυνήτις ὀρθόδοξος Λατινίδι γυναικὶ ζυμῶσαι θελούσῃ κατὰ τὴν εἰκοστὴν τοῦ Ἰουλίου, ἐν ᾗ ἡ τοῦ Ἠλιοῦ τοῦ Προφήτου ἑορτάζεται μνήμη, εἶπε, Σήμερον ἐστὶν ἡ ἑορτὴ Ἠλιοῦ τοῦ Προφήτου, καὶ μὴ ἅπτου ἔργων. ἡ δὲ Λατινὶς ὑπολαβοῦσα ἔφη, ὅτι δέκα παρῆλθον ἡμέραι ἀπὸ τῆς ἑορτῆς Ἠλιοῦ τοῦ Προφήτου, καὶ οὕτως ἀμφότεραι ἀλλήλαις ἐφιλονείκουν, εἰ ἄρα αἱ δέκα ἡμέραι καλῶς προσετέθησαν παρὰ τῶν παπιστῶν, καὶ ἤρξατο ἡ Λατινὶς ζυμοῦν. καὶ ὦ τοῦ θαύματος, μετεβέβλητο ἐν ταῖς χερσὶν αὐτῆς τὸ φύραμα εἰς πέτραν, οἷόν ἐστι τὸ κισήριον, τὸ κοινῶς λεγόμενον πορὶ, καὶ ἠκούσθη εἰς τὴν Σερβίαν τὸ πρᾶγμα, καὶ διένειμαν ἑαυτοῖς τὴν πέτραν οἱ ἄνθρωποι εἰς μαρτύριον, καὶ ἔλαβε καὶ ὁ Παΐσιος μέρος ἐκ τῆς πέτρας, ὅπερ ἕως τοῦ νῦν κεῖται κρεμάμενον εἰς τὴν Εἰκόνα τοῦ Προφήτου ἐν τῷ κατὰ τὴν Ἱερουσαλὴμ Μοναστηρίῳ αὐτοῦ. εἶτα ὁ Παΐσιος ἀπῆλθεν εἰς Σέρρας, Θεσσαλονίκην καὶ Βέρροιαν, καὶ αὖθις εἰς Κωνσταντινούπολιν, κἀκεῖθεν εἰς Ἱεροσόλυμα. συνέβη δὲ τοιοῦτόν τι πολέμων μεγάλων καὶ κόπων καὶ μυρίων δαπανῶν αἴτιον.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Ὅτι τοῦ φονικοῦ γένους τῶν Ἀρμενίων φαρμάκῳ ἀποκτείναντος τοὺς Χαμπεσίους, καὶ κυριεύσαντος τῶν ἐν Ἱερουσαλὴμ προσκυνημάτων αὐτῶν, καὶ πάντων ὧν εἶχον, ἔλαβεν αὐτὰ δι' ὁρισμοῦ βασιλικοῦ ὁ Παΐσιος. τῇ δὲ δυνάμει τοῦ Γάζης Ἐπάρχου ἔλαβον αὐτὰ αὖθις οἱ Ἀρμένιοι, ὅθεν καὶ ἀγωγαὶ ἀμφοτέρων ἐν τῇ βασιλείᾳ ἕως ἐναλλαγῆς τριῶν Βεζυράδων, καὶ περὶ τῆς ἀναιρέσεως τῶν Μεγιστάνων ὑπὸ τοῦ Στρατοῦ, καὶ Βεζυράτου τοῦ Κιοπρουλῆ, καὶ τοῦ γένους αὐτοῦ, καὶ διατὶ λέγεται Κιοπρουλής.

Οἱ Χαμπέσιοι, διὰ τὸ εἶναι αὐτοὺς γείτονας τοῖς Σουλτάνοις τῆς Αἰγύπτου, καὶ ὁμοπίστους τοῖς ἐν Αἰγύπτῳ Κόπταις, ἔλαβον παρὰ τῶν Σουλτάνων τῆς Αἰγύπτου μέρος τῆς ἁγίας πόρτας τοῦ ἁγίου τάφου ἐν τῷ Ἀνατολικῷ μέρει, ὅπου λέγεται τοῦ Ἀβραὰμ, οἵτινες εἶχον καὶ ἄλλας οἰκίας ἐν τῇ Ἱερουσαλὴμ, ἐν δὲ τῇ Ἐκκλησίᾳ τῇ μεγάλῃ τοῦ ἁγίου τάφου εἶχον τόπον τὰς καμάρας τὰς κατὰ τὸ νότιον μέρος τοῦ ἁγίου Κουβουκλίου, καὶ ἄλλα τινὰ, εἶχον δὲ καὶ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ πολλὰ, καὶ δὴ καὶ χρυσοῦφαντα, ἀλλ' ἐπειδὴ τοῖς Θεοπασχίταις Ἀρμενίοις θεοπασχῖται ὄντες κοινωνοῦσιν, οἱ Ἀρμένιοι ὡς κακότροπον γένος καὶ φονικὸν, ἐδελέασαν μὲν τοὺς Ἰακωβῖτας καὶ ἔλαβον τὰς ἐν τῇ Βηθλεὲμ αὐτῶν οἰκίας, καὶ ἔκτισαν αὐτὰς μείζονας, καὶ ἐκυρίευσαν αὐτῶν, ἐδελέασαν δὲ καὶ τοὺς Κόπτας καὶ λειτουργοῦσιν ἐν τῇ κατὰ τὴν Βηθλεὲμ τραπέζῃ αὐτῶν, ἐδελέασαν καὶ τοὺς Πατριάρχας καὶ ἔλαβον τὸν ἅγιον Ἰάκωβον δι' ἐνοικίου πεντήκοντα φλωρίων κατ' ἔτος, καὶ κατ' ὀλίγον τοῦ ἐνοικίου ἀποφράξαντες τὴν δόσιν, ἐκυρίευσαν τοῦ ἁγίου

Ἰακώβου

Ἰακώβου ὡς ἰδίου κτήματος, καὶ λέγοντες ἔχειν αὐτὸν ἀπὸ τοῦ καιροῦ τοῦ μεγάλου Κωνσταντίνου, προφανῶς φλυαροῦσιν. ἐφιλιώθησαν οὖν κατὰ τοῦτον τὸν τρόπον καὶ μετὰ τῶν Χαμπεσίων, καὶ κατ' ὀλίγον λαμβάνοντες ὀλίγης τινὸς τιμῆς τὰ κειμήλια αὐτῶν ἐνέχυρα, καὶ συγκοινωνήσαντες καὶ ταῖς τραπέζαις αὐτῶν καὶ ταῖς οἰκίαις, ἕνα πρὸς ἕνα ἐφαρμάκευσαν αὐτοὺς, ὡς δὲ πάντες ἐξηλείφθησαν οἱ Χαμπέσιοι, ἐκυρίευσαν οἱ Ἁρμένιοι τῶν Μοναστηρίων καὶ τῶν λοιπῶν αὐτῶν οἰκιῶν. μαθὼν δὲ τὸ συμβὰν ὁ Βασιλεὺς τῶν Χαμπεσίων, οὐκ ἀπέστειλεν ἄλλους εἰς Ἱεροσόλυμα, καὶ ἔμειναν λοιπὸν οἱ Ἁρμένιοι κύριοι πάντων τῶν πραγμάτων τῶν Χαμπεσίων, ὧν ἦν καὶ εἷς ἀλογόμυλος ἀντικρὺ τῆς θύρας τοῦ Πατριαρχείου, ὃν οἱ Ἁρμένιοι ἐποίησαν ἱπποκομεῖον, καὶ συναγόμενοι ἐκεῖ ἠσχημόνουν. εἶπεν οὖν ὁ Πατριάρχης καὶ οἱ πατέρες πολλάκις τοῖς Ἁρμενίοις, δότε καὶ ἡμῖν ἐκ τῶν χαμπεσιακῶν κτημάτων καὶ αὐτὸν τὸν μύλον, ἵνα μὴ ἀσχημονῶσι τὰ πασδία ὑμῶν ἐνώπιον ἡμῶν, οἱ δὲ ἐλοιδόρησαν αὐτούς. ὁ οὖν Παΐσιος ἐν τῇ Κωνσταντινουπόλει ἐκβάλλει ὁρισμὸν περὶ τῶν Πασσάδων, ἤτοι τῶν Ἐπάρχων τῶν ἀδικούντων τοὺς προσκυνητὰς ἐν τῷ καιρῷ τῆς εἰς τὸν Ἰορδάνην αὐτῶν ἀφίξεως, καὶ περὶ τῶν ἐφθαρμένων καὶ κιβδήλων ὧν ἐπετίθουν τοῖς Μοναστηρίοις χρημάτων βιαίως, καὶ ἀπήτουν καλὰ, καὶ περὶ ἄλλων αἰτιῶν, ἀλλὰ καὶ περὶ τῶν Χαμπεσίων ὅτι εἰσὶν ὑποκείμενοι τοῖς Ῥωμαίοις αὐτοί τε καὶ τὰ ὑπάρχοντα αὐτῶν, καὶ δὴ διὰ μεσιτείας αὐτοῦ πρὸς τὸν Μποσταντζήπασι, ποιεῖ τὸν ὁρισμὸν Χὰτ Σερὶφ, ἤτοι βεβαιωμένον χειρὶ βασιλικῇ, γράφει γὰρ ἐν τῷ δεξιῷ μέρει τοῦ μονογράμματος ὁ Βασιλεὺς, κατὰ τὸν θεῖόν μου τύπον ἐνεργείσθω, λέγεται δὲ κατὰ κυριολεξίαν ἱερὸς τύπος. καὶ ἀπελθὼν εἰς Ἱεροσόλυμα ὁ Παΐσιος, λαμβάνει ὅλα τὰ χαμπεσιακὰ τὰ ἐν τῇ Ἱερουσαλὴμ καὶ Βηθλεὲμ, καὶ τὸ Μοναστήριον αὐτῶν, καὶ ὅσα εἶχον ἔνδον ἐν τῇ Ἐκκλησίᾳ τοῦ ἁγίου τάφου, καὶ τὰς κανδήλας αὐτῶν τὰς ἐν τῷ ἁγίῳ Κουβουκλίῳ, καὶ τὰς ἐν τῇ ἁγίᾳ Ἀποκαθηλώσει. εἶτα οἱ Ἁρμένιοι λαβόντι τῷ Χουσεὴν Πασσᾷ τὴν Ἡγεμονίαν Γάζης καὶ Ἱερουσαλὴμ, ἰσχυρῷ ὄντι καὶ δυνάστῃ, διδόασιν αὐτῷ πλῆθος χρυσίου, καὶ λαμβάνει δυναστικῶς ὀπίσω τὰ χαμπεσιακὰ πάντα, καὶ δίδωσιν αὐτὰ τοῖς Ἁρμενίοις, ἔτι καὶ τὴν μίαν πόρταν τοῦ ἁγίου Σπηλαίου ἐν τῇ Βηθλεὲμ δίδωσιν αὐτοῖς, καὶ βάλλει ἔνδον καὶ κανδήλας. ἔπειτα ζητοῦντες οἱ Ἁρμένιοι βεβαιῶσαι τὸ τόλμημα αὐτῶν καὶ ὁρισμῷ βασιλικῷ, περιπατοῦσιν εἰς τὴν Κωνσταντινούπολιν εἴς τε τοὺς ἔσω τοῦ βασιλικοῦ Παλατίου Ἀγάδες λευκοὺς καὶ μέλανας, καὶ εἰς τοὺς ἔξω Συγκλητικοὺς, καὶ ὅτε ἔμελλε γίνεσθαι περὶ αὐτῶν ἡ κατ' αὐτοὺς βουλὴ, ἐπανίσταται τὸ Στράτευμα τοῖς Μεγιστᾶσιν ἐν Κωνσταντινουπόλει, καὶ ἀποκτείνουσι πάντας, καὶ ἐκδήραντες αὐτοὺς, ἐκρέμασαν αὐτῶν τὰ σώματα ἀπὸ τῶν ἐν τῷ ἱπποδρομίῳ Πλατάνων, καὶ διεσκεδάσθη ἡ πονηρὰ βουλὴ τῶν Ἁρμενίων. Πρὸς τούτοις γίνεται Βεζύρης ὁ Σουλεϊμᾶν ὁ ἐξ Ἁρμενίων, καὶ πάλιν τὸ αὐτὸ ἐγχείρημα, δῶρα, πουγγεῖα, καὶ χρημάτων πλῆθος. ἦν δὲ Κωνσταντινουπόλεως Πατριάρχης τότε ὁ ἀπὸ Ἡρακλείας Ἰωαννίκιος, ὃν μεταπέμπεται ὁ Βεζύρης, διεγείρεται τὸ κοινὸν τῶν ὀρθοδόξων, τρέχουσι εἰς τὴν βασιλικὴν αὐλὴν καὶ εἰς τὸ Παλάτιον τοῦ Βεζύρη, ποιοῦσι βοὴν, θρῆνον, βοῶντες τὸ, Μὴ ἀδικηθῶμεν. αἰτεῖ ὁ Βεζύρης τὸν Ἰωαννίκιον δοῦναι γνώμην, ὁ δὲ ἀπεκρίθη εἶναι τὴν ἀπόκρισιν ἔργον οὐκ αὐτοῦ, ἀλλὰ τοῦ Ἱεροσολύμων. καὶ ἐν τούτοις, ἀποβάλλεται ὁ Σουλεϊμᾶν, καὶ γίνεται Βεζύρης ἄλλος, καὶ πάλιν ἡ αὐτὴ ἐπιμέλεια τῶν Ἁρμενίων, καὶ τὸ αὐτὸ φρόνημα τῶν ὀρθοδόξων, καὶ γίνεται σύγχυσις ἐν τῇ Κωνσταντινουπόλει. ὁ δὲ Βεζύρης γράφει ὁρισμὸν ὡς ἤθελον οἱ Ἁρμένιοι, καὶ ἐνθεὶς αὐτοῦ τῷ κόλπῳ ἀπέρχεται εἰς τὸν Βασιλέα (ἦν δὲ τότε ὁ Σουλτᾶν Μωαμὲτ ὁ πρὸ μικροῦ προβληθεὶς) τοῦ ποιῆσαι αὐτὸν Χὰτ Σερὶφ, ἤτοι βεβαιῶσαι διὰ τῆς βασιλικῆς χειρός. ἀπελθόντος δὲ αὐτοῦ εἰς τὰ Βασίλεια, ὦ τῶν θαυμασίων σου Χριστὲ Βασιλεῦ, λαμβάνει ὁ Βασιλεὺς παρ' αὐτοῦ τὴν βασιλικὴν βοῦλλαν, καὶ γίνεται Βεζύρης ὁ Κιοπρουλὴς, ὃς ἦν τὸ γένος Ἀλβανίτης, καὶ υἱὸς Ἱερέως, οὗ καὶ ἡ μήτηρ ἀπέθανεν ἐν τῷ μοναχικῷ σχήματι. ἦν δὲ ἐτῶν εἴκοσιν ὅτε τῇ θρησκείᾳ τῶν Ὀθωμανῶν προσῆλθε, καὶ κατὰ βαθμὸν τοῖς βασιλικοῖς ἀξιώμασι δουλεύσας, ἀνῆλθεν εἰς τὴν Ὕπατον ταύτην ἀρχὴν, διὰ δὲ τὸ ὁμιλῆσαι γάμῳ ἔν τινι χώρᾳ, κειμένῃ ὑπὲρ τὴν Σινώπην, ΚΙΟΠΡΗ λεγομένῃ, ὠνομάσθη Κιοπρουλής.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Τίνι τρόπῳ ἦλθεν εἰς Κωνσταντινούπολιν ὁ Παΐσιος, καὶ περὶ τῆς ἐπὶ τοῦ Κιοπρουλῆ κρίσεως αὐτοῦ μετὰ τῶν Ἁρμενίων, καὶ λήψεως αὖθις τῶν Χαμπεσιακῶν, καὶ διώξεως τῶν Ἁρμενίων ἀπὸ τῆς Βηθλεὲμ ὁρισμῷ βασιλικῷ, καὶ περὶ ὧν ἀφεῖκε τοῖς Ἁρμενίοις τόπων ἐκ τῆς πρὸς τὸν Παΐσιον πεισμονῆς ὁ τοῦ ἁγίου τάφου ἐπίτροπος Ἄνθιμος.

Ὁ δὲ Παΐσιος ἐν Ἱερουσαλὴμ ὑπὸ τοῦ τῆς Γάζης Πασσᾶ ἐπιβουλευόμενος, ἔγραψε τοῖς ἐν Κωνσταντινουπόλει αὐτοῦ ἐπιτρόποις, καὶ ἐν τῷ πρώτῳ Ντιβάνι τοῦ Κιοπρουλῆ ἐνεφανίσθησαν, καὶ ἀνέφερον τῷ Κιοπρουλῇ πάντα τὰ προγεγονότα, καὶ δὴ ἀποστέλλει ὁ Κιοπρουλὴς ὁρισμὸν καὶ Ἀγᾶν, καὶ ἀπέρχεται εἰς Ἱερουσαλὴμ, καὶ ἄγει τὸν Πατριάρχην εἰς Κωνσταντινούπολιν. ἐλθὼν οὖν εἰς Κωνσταντινούπολιν ὁ Παΐσιος τῷ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ἕκτῳ ἔτει, Ἰαννουαρίου ἑπτακαιδεκάτῃ, ἡμέρᾳ Κυριακῇ, εἰσῆλθεν εἰς τὸ βασιλικὸν Ντιβάνι, ὄντος Βεζύρη τοῦ εἰρημένου Κιοπρουλῆ Μεχμὲτ Πασσᾶ, καὶ ἐκρίθη μετὰ τῶν Ἁρμενίων

διὰ

διὰ τὴν ἁγίαν Βηθλεὲμ καὶ τὰ ἀφιερώματα τῶν Χαμπεσίων. καὶ νικηθέντων τῶν Ἁρμενίων, ἐποίησεν εὐθὺς Ταλχὶς, ἤτοι ἀναφορὰν ὁ Βεζύρης τοῦ καθόλου κριτηρίου εἰς τὸν Βασιλέα, καὶ γέγονε κατὰ τὴν ἀναφορὰν ἀπόφασις τοῦ Βασιλέως, ὅπερ λέγεται Χὰτ Σερὶφ, καὶ κατὰ τὴν ἀπόφασιν ἐγράφη ὁρισμὸς καὶ ἐπεδόθη ταῖς χερσὶ τοῦ Πατριάρχου καὶ τῶν Ῥωμαίων. ἦν δὲ ἐν τῷ βασιλικῷ βήματι ἑρμηνεὺς τοῦ Πατριάρχου ὅ,τε Κουτζὸκ Κυρίτζης Μιχαὴλ ὁ μέγας Δικαιοφύλαξ ἀπὸ τοῦ ἀντικρὺ τοῦ Κυνηγοῦ χωρίου τῆς ἁγίας Παρασκευῆς, ὁ ἐπιτροπεύσας τὸν ἅγιον τάφον χρόνους τεσσαράκοντα καὶ πέντε, ἄνθρωπος τὴν μὲν ἡλικίαν μικρὸς, τὴν δὲ γλῶτταν καὶ φωνὴν καὶ γνῶσιν μέγας, καὶ τὸν ζῆλον τὸν περὶ τὴν εὐσέβειαν ἄριστος, καὶ ὁ Κωνσταντᾶς, ὁ ἀπὸ τῶν Πλαταίων τῆς Τραπεζοῦντος, καὶ ὁ ἐξ Ἰουδαίων Ἱερομόναχος Γαβριὴλ, ὁ ἀπὸ τῆς παλαιᾶς Πάτρας, ὁμοῦ καὶ οἱ Καπικεχαγιάδες, ἤτοι οἱ ἀποκρισιάριοι τῆς Πογδανίας καὶ Βλαχίας. ὡς οὖν δὲ ἔδωκαν οὗτοι τὰ Χρυσόβουλλα τῶν Σουλτάνων τῶν παλαιῶν καὶ νέων ταῖς χερσὶ τοῦ Βεζύρη ἐν τῷ βασιλικῷ βήματι, ἐκεῖνος ὅλος πνέων χάριτος ὑπὲρ τῶν Ῥωμαίων, προσέταξεν ἀναγνωσθῆναι τὰ Χρυσόβουλλα εἰς ἐπίκοον τοῦ βασιλικοῦ βήματος, καὶ μετὰ τὴν ἀνάγνωσιν εἶπε τοῖς Ἁρμενίοις, Ἀκούετε; τοῖς χρήμασιν οὐκατορθοῦτε ἔργον, τὸ γὰρ δίκαιον ἐστὶ τῶν Ῥωμαίων, καὶ εὐθὺς ἐδίωξεν αὐτοὺς, καὶ ἔγραψε τὴν ἀναφορὰν πρὸς τὸν Βασιλέα, ὃν τρόπον εἴρηται ἀνωτέρω. λέγει δὲ ὁ Βεζύρης τῷ Πατριάρχῃ, Δὸς τῷ Βασιλεῖ δικαιώσαντίσε ἑκατὸν πουγγείων ἀργύρια. ὁ δὲ Πατριάρχης εἶπεν, Ἡμεῖς ἐσμὲν πτωχοὶ ἄνθρωποι, καὶ δίδομεν καὶ τοῖς ἐν τῷ Τζαμῇ τοῦ Σουλτᾶν Ἀχμὲτ κατ' ἔτος χίλια τετρακόσια φλωρία Βενέτικα. λέγει αὐτῷ ὁ Βεζύρης, Ἐπειδὴ καὶ δίδοτε τοῖς ἐν τῷ Τζαμῇ τούτῳ ταῦτα τὰ χρήματα κατ' ἔτος, δότε τριάκοντα πουγγεῖα ἤδη, καὶ ἀπέλθετε. γραφομένου οὖν τοῦ ὁρισμοῦ, ὁ μέγας Ἑρμηνεὺς Παναγιωτάκης συνήργησε καὶ ἐγράφησαν ἐν τῷ ὁρισμῷ ῥητῶς τὰ Χὰτ Σερίφια, ἤτοι οἱ ἱεροὶ τύποι Ὧμερ, καὶ Σουλτᾶν Σουλεϊμᾶν, καὶ Σουλτᾶν Σελὴμ, καὶ Σουλτᾶν Μουρὰτ, καὶ Σουλτᾶν Ἰμπραὴμ τῶν Βασιλέων. τελειωθέντος δὲ τοῦ ὁρισμοῦ, ἔπεμψεν αὐτὸν ὁ Παΐσιος εἰς Ἱερουσαλὴμ μετὰ τοῦ Χουσεῆν Τζαουσίου, δοὺς αὐτῷ ὁδοιπόριον γρόσια ἑξακόσια, ὅστις φθάσας εἰς Ἱερουσαλὴμ, ἐπορεύθη εὐθὺς εἰς τὸν Κατὴν, ἤτοι τὸν κριτὴν, ἔνθα ἦλθε καὶ ὁ Πασσᾶς, ἤτοι ὁ Ἔπαρχος, καὶ παρέδωκε τὰ ἀφιερώματα τῶν Χαμπεσίων ταῖς χερσὶ τῶν Ῥωμαίων, ὡς καταγράφονται ἐν τῷ Χοτζετίῳ, ἤτοι ἐν τῷ βεβαιωτικῷ γράμματι. καὶ τῇ ἐπαύριον ἐπορεύθησαν ὅ,τε κριτὴς καὶ ὁ Τζαούσιος εἰς τὴν Βηθλεὲμ, καὶ ἐνδιώξαντες τοῦ ἁγίου Σπηλαίου τοὺς Ἁρμενίους, δέδωκαν αὐτὸ τοῖς Ῥωμαίοις κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν πεντηκοστὸν ἕβδομον ἔτος, Μαΐου πέμπτῃ. ὁ δὲ μιαρὸς Ἄνθιμος ὁ Σικοῦρτος, ὁ ἔχων τὸ πεῖσμα καὶ τὴν μῆνιν τοῦ Ἀχιλλέως, φθόνῳ τηκόμενος τῷ κατὰ τοῦ Πατριάρχου, ἐπορεύθη καὶ διέλυσε τὰς σφραγίδας τοῦ ἁγίου Ἰωάννου τοῦ ἔξω τῆς ἁγίας πόρτας ὄντος, καὶ ἔδωκεν αὐτὸν τοῖς Ἁρμενίοις, ὡσαύτως καὶ τὰς τέσσαρας καμάρας τὰς ἐπὶ τῆς ἁγίας πόρτας οὔσας, ἀλλὰ καὶ τὸν ἅγιον Ἰάκωβον ἐκώλυσε τοῦ λαβεῖν αὐτὸν τοὺς Ῥωμαίους, ὅθεν ἔμεινε παρὰ τοῖς Ἁρμενίοις. πλὴν ὁ Πατριάρχης ὅτι ἔλαβε τὰ προσκυνήματα καὶ τὰ λοιπὰ τὰ Χαμπεσιακὰ, ἔδωκε δόξαν τῷ Θεῷ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε΄.

Περὶ ὧν εἶπε κατὰ τοῦ Γάζης Χουσεῆν Πασσᾶ ὁ Κιοπρουλὴς ὅτε ὑπέστρεφεν ἀπὸ Χεβρὼν διὰ τῆς Γάζης εἰς Κωνσταντινούπολιν, καὶ περὶ τῶν δωρηθέντων παρὰ τοῦ Παΐσιου τῇ βασιλείᾳ ἀργυρίων ἃ ἀδίκως ἔλαβεν ἀπὸ τῆς Ἱερουσαλὴμ ὁ Χουσεῆν Πασσᾶς, καὶ ὅτι ἔλαβεν αὖθις ὁ Παΐσιος τὸν ἅγιον Ἰάκωβον οἱ ὁρισμοῦ ἀπὸ τῶν Ἁρμενίων ἐπὶ Ταγιαρόγλι Ἐπάρχου τῆς Ἱερουσαλήμ.

Ὁρηθεὶς Βεζύρης ἐν τῷ καιρῷ καθ' ὃν ἦν ὁ Παΐσιος ἐν τῇ Σερβίᾳ, ἦν Δοὺξ τῆς Δαμασκοῦ, ὡς δὲ ὄντων τῶν τῆς Ἱερουσαλὴμ καὶ Νεαπόλεως καὶ Γάζης καὶ Γαλαὰδ, ἤτοι Γγέμπλε ἀγγιλοῦν Ἡγεμόνων ἐν τῇ ὑποταγῇ αὐτοῦ, ἠθέλησε περιοδείαν ποιῆσαι χάριν ψυχαγωγίας, καὶ ἀφορμῇ τοῦ προσκυνήσειν ἐν Ἱερουσαλὴμ, ἀπῆλθεν ἐκεῖσε, κἀκεῖθεν μετέβη εἰς τὴν φιλοξενίαν τοῦ Ἀβραὰμ εἰς Χεβρὼν, καὶ ἦλθον εἰς αὐτὸν ἀγγελίαι ὅτι ἐγένετο ἄλλος Δοὺξ ἐν τῇ Δαμασκῷ, κἀκεῖθεν διὰ τὸ εἶναι πετρώδη τὴν διὰ τῆς Ἱερουσαλὴμ ὁδὸν, κατέβη εἰς Γάζαν, ἵνα ἐκεῖθεν ἀπέλθῃ εἰς τὴν Κωνσταντινούπολιν. ὅτε δὲ ὥδευε διὰ τῆς Γάζης, ἐξῆλθεν εἰς ὑπαντὴν αὐτοῦ ὁ Χουσεὴν Πασσᾶς μετὰ τεσσάρων χιλιάδων Στρατοῦ Ἀράβων. ὀξύνους δὲ ὢν ὁ Κιοπρουλὴς καὶ βαρύθυμος, ἔγνω τὸ μὲν, ὅτι διὰ ὑπεροπλίαν καὶ ἐξουθένησιν πρὸς αὐτὸν οὐκ ἦλθε μετὰ ὀλίγων εἰς προσκύνησιν αὐτοῦ, ἀλλὰ μετὰ πολλῶν, τὸ δὲ, ὅτι διατὶ ἄνθρωπον μικρᾶς ἐπιστασίας, οἷα ἦν ἡ Γάζα, ἔχειν τοσαύτην μεγαλειότητα. ἠθύμησεν οὖν, ὅμως ἐσιώπησεν, ἴσως ποιῶν καθ' Ὅμηρον ἔργον τῷ καιρῷ πρόσφορον. ὡς οὖν ὁ Κιοπρουλὴς ἐχρημάτισε Βεζύρης, καὶ ἤθελεν ἵνα ταπεινώσῃ τοὺς ὑπερηφάνους, ὁ Χουσεὴν Πασσᾶς αὐτὸς ἐπὶ τὴν ψάμμον θεμελιῶν, συνεφώνησε μετὰ τοῦ Ταγιαρόγλι τοῦ Δουκὸς τῆς Δαμασκοῦ, καὶ μετάτινων ἄλλων, ἵνα ποιήσωσιν ἀνταρσίαν κατὰ τοῦ Κιοπρουλῆ, καὶ λοιπὸν ἵνα μὴ δόξῃ λίαν φοβεῖσθαι τὸν Κιοπρουλῆ, οὐκ ἔδωκε τοῖς Ῥωμαίοις τὸν ἅγιον Ἰάκωβον, ἀλλ' οὔτε τὸν Τζαούσιον Χουσεῆν εἴα ἐλθεῖν εἰς

εἰς τὴν Κωνσταντινούπολιν. Ἐκρέμασαν δὲ ἐν Κωνσταντινουπόλει τὸν Πατριάρχην Παρθένιον, καὶ οἱ Αἱρετικοὶ ἐν Ἱεροσολύμοις εἶπον τῷ Χουσεὴν Πασσᾶ ὅτι ἐν τῇ Κωνσταντινουπόλει ἐκρέμασαν τὸν Ἱεροσολύμων Παΐσιον, κἀκεῖνος νικώμενος παρὰ τριῶν πραγμάτων, ἑνὸς μὲν, ὅτι ἐμάχετο τῷ Πατριάρχῃ δελεάσαντι αὐτὸν καὶ ἐλθόντι εἰς τὴν Κωνσταντινούπολιν, δευτέρου δὲ, ὅτι ὡς Ὀθωμανὸς ἠδύνατο κατὰ Χριστιανῶν φέρεσθαι, καὶ τρίτου, ὅτι ἦν κρυφίως βεβαπτισμένος ὑπὸ τῶν Φράγγων, ἐπειδὴ καὶ ἐματαιοῦτο, ὅτι ἐὰν συμβῇ αὐτῷ ἀνάγκη, φυγεῖν εἰς Φραγγίαν καὶ ζῆσαι ἐκεῖ, Φράγγοι δὲ καὶ Ἀρμένιοι ἐν Ἱεροσολύμοις πάντοτε φίλοι, καὶ ὡσαύτως ἐχθροὶ τῶν Ῥωμαίων, τὶς διηγήσεται τὰ κακὰ ἅπερ ἐποίησεν ἐκεῖ, καὶ ὅσα ἔλαβεν ἀργύρια; ὁ δὲ Πατριάρχης εἰς τὴν Κωνσταντινούπολιν ἔμενεν ἐλθεῖν τὸν Τζαούσιον, καὶ ἦλθε τὸν Σεπτέμβριον, ὅτι καὶ ὁ Χουσεὴν Πασσᾶς ἐγένετο μανζίλης, ἤτοι παρελύθη τῆς ἀρχῆς τῶν Ἱεροσολύμων, καὶ ἐδόθησαν τὰ Ἱεροσόλυμα τῷ Ταγιάρογλι Δουκὶ τῆς Δαμασκοῦ, καὶ ὁ Χουσεὴν Πασσᾶς ἀπῆλθεν εἰς Γάζαν εἰς τὰ ἴδια. εὑρισκομένου δὲ τοῦ Βεζύρη εἰς τὴν ἀνακαίνισιν τῶν νέων Φρουρίων ἔξωθεν Σηστοῦ καὶ Ἀβύδου, ἀπῆλθεν ἐκεῖ ὁ Παΐσιος μετὰ τοῦ Τζαουσίου τοῦ ἐλθόντος ἀπὸ Ἱερουσαλήμ. εἶπε δὲ ὁ Τζαούσιος τῷ Βεζύρῃ, ὅτι οἱ Ῥωμαῖοι εἰσὶν ἠδικημένοι, καὶ ὁ Χουσεὴν Πασσᾶς οὔτε τὸν Βασιλέα φοβεῖται οὔτε τὴν σὴν δεσποτείαν, καὶ ἐβούλετόμε ἀποκτεῖναι, καὶ ἔφυγον κρυφίως, καὶ ἔλαβε καὶ παρὰ τῶν Ῥωμαίων τόσα ἀργύρια. εἶπε δὲ ὁ Βεζύρης τῷ Πατριάρχῃ, Πόσα ἀργύρια παρ' ὑμῶν ἔλαβεν ὁ Πασσᾶς; λέγει αὐτῷ ὁ Πατριάρχης, ἑκατὸν χιλιάδας γρόσια, ἅπερ ἡμεῖς δωρούμεθα τῷ δημοσίῳ τῆς Βασιλείας. καὶ εὐθὺς ἔστειλε τεσσαράκοντα Μπακὶ Κουλὰρ, ἤτοι δούλους τῶν ἐναπολειφθέντων, καὶ ἀπῆλθον εἰς Γάζαν, καὶ ἔλαβον ταῦτα παρὰ τοῦ Χουσεὴν. πέμψας δὲ τούτους εἰς τὸν Χουσεὴν Πασσᾶ διὰ ταῦτα τὰ ἀργύρα ὁ Βεζύρης, ἀπέστειλε καὶ ἕνα Ἀγᾶν ὀνόματι Ἰσμαὴλ μετὰ τεσσαράκοντα ἄνδρας καὶ ὁρισμὸν καὶ ἐπιστολὰς πρὸς τὸν Ταγιάρογλι δοῦναι τὸν ἅγιον Ἰάκωβον τοῖς Ῥωμαίοις. ὁ δὲ λαβὼν παρὰ τῶν Ἀρμενίων πεντήκοντα πουγγείων γρόσια, ὑποστρέψαι ἐποίησεν ἄπρακτον τὸν Ἀγᾶν, καὶ ἔμεινε πάλιν ὁ ἅγιος Ἰάκωβος παρὰ τοῖς Ἀρμενίοις, μάλιστα ἵνα φοβηθῶσιν οἱ Ῥωμαῖοι, ἔδησεν ὁ Ταγιάρογλις οὗτος ἀπὸ Ἱεροσολύμων τὸν Παρθένιον ἀπὸ Ἀμυκλείου, καὶ τὸν γέροντα Ἀθανάσιον τὸν Ἄραβα, καὶ ἀπήγαγεν αὐτοὺς πεζοὺς ἕως Δαμασκοῦ, καὶ ἄλλα πολλὰ κακὰ τοὺς πατέρας εἰργάσατο. ὁ δὲ Παΐσιος ἀπέστειλεν εἰς Ἀδριανούπολιν πρὸς τὸν Βεζύρην τὸν Παπᾶν Διονύσιον Δημητζανιώτην καὶ εἰσῆλθεν εἰς τὸ Βασιλικὸν βῆμα, καὶ ἐγνώρισε τῷ Βεζύρῃ τὰ γενόμενα, καὶ εὐθὺς ὁ Βεζύρης ἀπέστειλε καὶ τρίτον ὁρισμὸν, καὶ ἕνα Τζαούσιον Ἀλβανίτην μετὰ τεσσάρων ἀνδρῶν, καὶ ἀπῆλθεν εἰς Ἱεροσόλυμα, καὶ ἐπιτίθησι τῷ Κατῇ, ἤτοι τῷ κριτῇ ἀνάγκην, καὶ οὕτως ἐδόθη τῇ ἡμέρᾳ ἐκείνῃ ὁ ἅγιος Ἰάκωβος τοῖς Ῥωμαίοις, καὶ ἔπαυσεν ἡ κατὰ τῶν Ἀρμενίων ἀγωγή.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Ὅτι διαβληθὴς ὁ Πατριάρχης Παΐσιος παρά τινων τῷ Ἀνθυπάτῳ, ὡς κατεσκεύασε τῷ Κράλῃ Μοσχοβίας Κορῶναν δῶρον, κλείεται ἐν τῷ τῶν φονέων λάκκῳ, καὶ πέμπεται ἡ Κορῶνα μετὰ ἀναφορᾶς τοῦ Ἀνθυπάτου εἰς Ἀδριανούπολιν πρὸς τὸν Κιοπρουλῆ, πέμπονται δὲ παρὰ τοῦ Πατριάρχου πρὸ τῆς ἀναφορᾶς ἄνθρωποι καὶ γνωρίζουσι τῷ Βεζύρῃ τὴν ὑπόθεσιν.

Ὁ προειρημένος ἐξ Ἰουδαίων Γαβριὴλ ἦν ἄριστος λιθογνώμων, καὶ ἰδὼν ὅτι εἶχεν ὁ Παΐσιος μίαν Κορῶναν μοσχικὴν μετὰ λίθων πολυτίμων, καὶ βουλόμενος κλέψαι μερικὰς ἐξ αὐτῶν, συνεβούλευσε τῷ Πατριάρχῃ μετασκευάσαι αὐτὴν εἰς τέχνην βυζαντιακὴν, καὶ σχῆμα κάλλιον, καὶ δὴ πείθει τὸν Πατριάρχην ἐν τούτῳ. ἀλλὰ κατασκευασθείσης τῆς Μίτρας, διέβαλον τινὲς τῷ ἐν Βυζαντίῳ Ἀνθυπάτῳ τὸν Πατριάρχην Ἱεροσολύμων, εἰπόντες, ὅτι κατεσκεύασε μίαν Κορῶναν, ἧς ἡτιμὴ γροσίων χιλιάδων ἑκατὸν, καὶ βούλεται ἀποστεῖλαι αὐτὴν τῷ τῆς Μοσχοβίας Βασιλεῖ. ὁ δὲ Ἀνθύπατος ἔλαβεν αἰτήσας τὴν Κορῶναν παρὰ τοῦ Πατριάρχου. ἠθέλησε δὲ ἀπελθεῖν εἰς Ἀδριανούπολιν ὁ Πατριάρχης, λέγων καὶ παροιμίαν ταύτην, κάλλιον πτηνὸν ἐν κλωναρίῳ, ἢ πτηνὸν ἐν κυρτίδι, ἤτοι κλωβίῳ, καὶ ἐποίησεν ἂν καλῶς, ἀλλὰ τινὲς τῶν ἐπιτρόπων ἐμποδὼν αὐτῷ ἐγένοντο ἀπελθεῖν εἰς Ἀδριανούπολιν. μετὰ δὲ τρεῖς ἡμέρας μεταπέμπεται αὐτὸν ὁ Ἀνθύπατος, καὶ συναπῆλθον αὐτῷ ὁ ἐξ Ἰουδαίων καὶ ἄλλοι, καὶ λέγει αὐτῷ ὁ Ἀνθύπατος, Σὺ τίνος ἕνεκεν εἶ τῆς Βασιλείας ἐπίβουλος; ὁ δὲ Πατριάρχης ἀποκριθεὶς ἔφη, Σὺ λέγεις ὅτι εἰμὶ τῆς Βασιλείας ἐπίβουλος, ἢ ἄλλοι τοῦτο μαρτυροῦσιν; ἀλλ' ὁ Ἀνθύπατος ἔθετο αὐτὸν ἀνεξετάστως ἐν τῷ κανλῇ κουῇ, ἤτοι ἐν τῷ λάκκῳ τῶν φονέων. φυγόντων οὖν τῶν ἄλλων, ὁ ἐξ Ἰουδαίων Ἀδύνατος ὤν, φυγεῖν οὐκ ἴσχυσεν, ὅθεν ἐβλήθη μετὰ τοῦ Πατριάρχου ἐν τῷ λάκκῳ τῶν φονέων, μείνας ἐκεῖ τρεῖς ἢ τέσσαρας ὥρας, ἐκβληθεὶς δὲ ἐκεῖθεν ὁ Πατριάρχης νεύσει τοῦ Ἀνθυπάτου, ἐβλήθη ἐν τῇ φυλακῇ τῶν χρεωφειλετῶν. ἤλπιζε γὰρ ὁ Ἀνθύπατος λήψεσθαι παρὰ τοῦ Πατριάρχου χρήματα, καὶ ἐᾶσαι μὲν αὐτὸν, ἔπειτα δὲ συλλαβεῖν τοὺς τῆς Κωνσταντινουπόλεως Ἄρχοντας ὡς δῆθεν συνεπιβούλους, καὶ λαβεῖν καὶ παρ' αὐτῶν χρήματα. ἀλλ' ὁ καλὸς Ἀρχιερεὺς τῆς τῶν Ἀρχόντων ζημίας τὸν θάνατον προκρίνας, ὑπέφερε βασανι-

βασανιζόμενος. ἰδὼν δὲ ὁ Ἀνθύπατος ὅτι οὐδὲν ὧν ἐβούλετο κατορθοῖ, καὶ φοβούμενος ἵνα μὴ οἱ Χριστιανοὶ προσκλαύσωνται τῷ Βασιλεῖ, διανοεῖται καὶ ἑτοιμάζει ἕνα αὐτοῦ Ἀγαῦ, καὶ πέμπει αὐτὸν καὶ τὴν Κορῶναν μετὰ καὶ ἀναφορᾶς εἰς Ἀδριανούπολιν πρὸς τὸν ἐπίτροπον τῆς Βασιλείας, γράψας τοιουτοτρόπως, Ἐπειδὴ γνωστὸν ἡμῖν ἐγένετο, ὅτι ὁ Ἱεροσολύμων Παΐσιος κατεσκεύασε Κορῶναν τιμῆς γροσίων χιλιάδων πολλῶν τοῦ πέμψαι αὐτὴν τῷ Κράλῃ Μοσχοβίας, τοῦτον μὲν κατέχομεν ἐν φυλακῇ, τὴν δὲ Κορῶναν πέμπομεν τῇ ὑμετέρᾳ ἐξουσίᾳ, καὶ προσμένομεν ἀπόκρισιν τὶ ποιητέον περὶ τούτου. οἱ δὲ πατέρες τοῦ ἁγίου τάφου ὄντες κεκρυμμένοι, καὶ μαθόντες τὰ γινόμενα, ἑτοιμάζονται ἐξ αὐτῶν τέσσαρες, ὁ ἄνωθεν διαληφθεὶς Παπᾶς Διονύσιος Δημητζανιώτης, ὁ Παπᾶς Θεοδώρητος, ὁ Χρηματίσας μετέπειτα Μητροπολίτης Λακεδαιμονίας, καὶ αὐτὸς Δημητζανιώτης, ὁ Ἀρχιμανδρίτης Παπᾶς Ἰωσὴφ ὁ Ἀνδρίος, καὶ ὁ Παπᾶς Μελέτιος ὁ Θεσσαλονικεύς, καὶ ἀπῆλθον καὶ αὐτοὶ εἰς Ἀδριανούπολιν πρὸ τοῦ Ἀγᾶ, καὶ ἐνεφανίσθησαν εὐθὺς τῷ Κιοπρουλῇ. καὶ αὐτὸς εἶπεν αὐτοῖς ἔχειν ὑπομονὴν ἕως ἂν ἔλθῃ καὶ ὁ Ἀγᾶς.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῶν διαφόρων αἰκιῶν καὶ μαρτυρικῶν ἄθλων κατ' εἶδος, ἃ ὑπέστη δι' ὅλης νυκτὸς ὁ ἀθλητικώτατος Πατριάρχης Παΐσιος τῇ τοῦ Ἀνθυπάτου κελεύσει πρὸ τοῦ γενέσθαι τὴν τοῦ Βεζύρη ἀπόφασιν.

Ἐν τούτοις, ὁ Ἀνθύπατος πέμπει καὶ ἐκβάλλουσι τῆς φυλακῆς τὸν Πατριάρχην καὶ τὸν ἐξ Ἰουδαίων νυκτὸς, καὶ τὸν μὲν ἐξ Ἰουδαίων ἔσυρον πεζὸν, τὸν δὲ Πατριάρχην ἀνεβίβασαν ἐφ' ἵππου ἐπισάγματι ἐστρωμένου φορτηγοῦ, ἤτοι χαμαλικοῦ, μὴ δόντες ταῖς χερσὶν αὐτοῦ τὸ καπίστριον κρατεῖν, ἀλλὰ ταῖς τῶν δημίων, οἳ καὶ εἷλκον αὐτόν. ἀλλ' οὔτε ἀναβολέας τὸ ἐπίσαγμα εἶχεν, ἵνα ἐπιστηρίζῃ αὐτοῖς τοὺς πόδας ὁ Πατριάρχης. τοῦ δὲ ἵππου καταστίκτου ταῖς πληγαῖς ὄντος καὶ ἀσθενοῦς καὶ ἀνεπιμελήτου, καὶ περιπατεῖν εἰς τὸ λιθόστρωτον βιαζομένου, καὶ ποτὲ μὲν ἐφ' ἑνὶ μέρει πεσεῖν κλίνοντος, ποτὲ δὲ ἐφ' ἑτέρῳ μέρει πεσεῖν μετακλίνοντος, καὶ κατὰ συμβεβηκὸς ἐν ἐκείνῃ τῇ νυκτὶ τῶν ποδῶν τοῦ ἀθλητοῦ Πατριάρχου τούτου παθῶν ῥευματικῶν ἔλγεσι πιεζομένων, διεφθάρησαν αὐτοῦ οἱ μηροὶ τῷ ἐπισάγματι κατατριβόμενοι, καὶ ἀπεδερματώθησαν οἱ δίδυμοι αὐτοῦ. ἐν δὲ τῷ ἀναβαίνειν αὐτοὺς ἀπὸ τῆς φυλακῆς εἰς τὸ Ὀζούντζαρσι, ἤτοι εἰς τὸ μηκοπρατήριον, ἦλθεν εἷς φέρων ἐπ' ὤμων κάμακα ξύλινον, καὶ ἄλλοι τινὲς σὺν αὐτῷ μετὰ φανῶν, καὶ εἶπον τῷ Σούμπασι, ἤτοι τῷ Ἀρχιανδράγχῳ, ὥρισεν ὁ Ἀνθύπατος ἵνα ἀνασκολοπίσῃς αὐτὸν, ἤγουν τὸν Πατριάρχην. τότε ὁ μὲν ἐξ Ἰουδαίων ἔκλαιε, τὸν δὲ Παΐσιον ᾤετό τις εἶναι ἐν τῇ κλίνῃ αὐτοῦ ἀναπαυόμενον. λέγουσι δὲ αὐτῷ ὁ Σούμπασις καὶ ὁ Χασάσμπασις, ἤτοι οἱ Ἀρχιανδράγχοι καὶ πράκτορες, Ἄθρωπε φεῖσαι τῆς ζωῆς σου, ἰδοὺ δὴ ἀποθνήσκεις, εἰπὲ τὶ ὑπόσχῃ τῷ Ἀνθυπάτῳ, ἵνα φύγῃς τὸν θάνατον. λέγει αὐτοῖς ὁ Πατριάρχης, οὐδὲν ὑπόσχομαι, οὐδὲν δίδωμι, ποιήσατε εἴτι βούλεσθε. καὶ εὐθὺς ἄλλος ἐκεῖθεν μετὰ φανοῦ ἀπὸ τοῦ Ἀνθυπάτου ἐλθὼν, λέγει τῷ Σούμπασι, Ἀγᾶ, ὁ Ἀνθύπατος ὥρισεν ἵνα κρεμάσητε καὶ τοὺς δύο, ἤγουν τὸν Πατριάρχην καὶ τὸν ἐξ Ἰουδαίων ἐν τῷ Παρμάκκαπι, ἤτοι ἐν τῇ καγκελωτῇ πόρτῃ. ὅτε δὲ ἐγγὺς τοῦ Παρμάκκαπι ἐγένοντο, ἐξέλιπον αἱ ἀμφιβολίαι καὶ αἱ σαρηγορίαι τῆς διανοίας αὐτῶν, περιέθηκαν γὰρ τῷ λαιμῷ τοῦ Πατριάρχου τὸ ὀχοινίον, καὶ ἔστησαν αὐτὸν κατὰ τὸ μέσον τῆς πόρτας φέροντες, καὶ ὁ μὲν ἑλκύσων τὸ σχοινίον ἄνθρωπος ἀνέβη ἐπὶ τῆς πόρτας, ὁ δὲ Πατριάρχης ἵστατο βλέπων εἰς τὸν Οὐρανὸν, δεόμενος ὑπὲρ τῆς σωτηρίας αὐτοῦ. καὶ λέγοντος τοῦ Σούμπασι, Τὶ δίδως τῷ Πασσᾷ, αὐτὸς ἐσιώπα, προσμένων τὸν θάνατον. ὁ δὲ ἐξ Ἰουδαίων οἷα δὴ εἰς ἀπελπισμὸν τῆς ζωῆς αὐτοῦ ἐλθὼν, κατωδύρετο. ἀλλ' ἔφθασε πάλιν ἄλλος μετὰ φανοῦ λέγων, Ἀγᾶ, μὴ κρεμάσῃς αὐτὸν, ἤγουν τὸν Πατριάρχην, ἀλλ' εἰς τὸ Ἄκ Σαράγιον βάλε αὐτὸν ἐγκάρσιον εἰς τὸ τζεγγέλη, ἤτοι εἰς τὴν ἁρπάγην ἤγαγον οὖν αὐτοὺς εἰς τὴν οἰκίαν τοῦ Σούμπασι ἀναμέσον τοῦ Βλάγκα καὶ τοῦ Κοντοσκαλίου, καὶ περιθέντες κλοιοὺς τοῖς ποσὶ τοῦ Πατριάρχου οἰδαλέοις τότε οὖσιν, ὥστε εἰσελθόντας εἰς τὸ οἴδημα μὴ φαίνεσθαι, καὶ περάσαντες μίαν Ῥᾷβδον διὰ τῶν δύο αὐτοῦ ποδῶν οὓς συνεῖχεν ἡ τῶν κλοιῶν ἅλυσις, ἔσυρον αὐτὸν κύκλω τῆς οἰκίας, λέγοντες αὐτῷ, Τὶ ὑπόσχῃ τῷ Πασσᾷ. αὐτὸς δὲ ἀλγήσας, ἐβόα, καὶ κατεβόα τῶν τιμωρουμένων αὐτόν. ὡς δὲ εἶδον τὴν στερρότητα αὐτοῦ, ἔπαυσαν τοῦ κολάζειν αὐτόν. πρωΐας δὲ γενομένης, ἦλθεν εἷς τις Ἀχμὲτ τζελεπὴς ἐκ Χίων Λατίνων Ὀθωμανὸς, τεχνηέντως ἀπεσταλμένος παρὰ τοῦ Πασσᾶ, ἐφοβεῖτο γὰρ ἐκ μέρους τῆς Ἀδριανουπόλεως ὁ Πασσᾶς. καὶ ἐνέτυχε τῷ Πατριάρχῃ ἐν τῇ οἰκίᾳ τοῦ Σούμπασι, ἤτοι τοῦ Πράκτορος, καὶ προσποιησάμενος τὸ εἶναι φίλος αὐτοῦ, ἐγένετο ἐγγυητὴς καὶ ἀφεῖκεν ὁ Σούμπασις τὸν ἐξ Ἰουδαίων, ὃς καὶ ἀπῆλθεν εἰς τὸ Μετόχιον, τοῦ δὲ Πατριάρχου ἐξέβαλε τῶν ποδῶν τοὺς κλοιοὺς τοὺς σιδηροῦς. οἱ δὲ ἐν τῷ Κοντοσκαλίῳ πατριῶται τοῦ Πατριάρχου ἤρχοντο πρὸς αὐτὸν καὶ ὑπηρέτουν αὐτῷ, καὶ παρεῖχον αὐτῷ καὶ τὰ πρὸς τὴν χρείαν. κἀγὼ νέος ὢν τότε περί που τὰ ὀκτωκαίδεκα ἔτη, καὶ ἀνυπόδητος, χωρὶς σανδαλίων ἀπηρχόμην πρὸς αὐτὸν ἀπὸ τοῦ Μετοχίου, καὶ ἡμέρας μὲν, ὑπηρέτουν αὐτῷ, ἑσπέρας δὲ, ὑπέστρεφον καὶ ἐκάθευδον ἐν τῷ Μετοχίῳ. λέγω δὲ ὅτι ἤμην ἀνυπόδητος, ἐπεὶ οὕτω τῷ καιρῷ ἐκείνῳ ἐπαιδαγώγουν ἡμᾶς οἱ προεστῶτες, καὶ οὕτως ἐφέρομεν τὴν

παιδαγωγίαν

παιδαγωγίαν γνώμῃ εὐπειθεῖ, καὶ αἰδοῖ πρὸς τοὺς προεστῶτας ἡμῶν.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Ἀπόφασις ἐν τῷ βασιλικῷ βήματι τοῦ Βεζύρη, καὶ τοῦ Μουφτῆ, ὅτι ἡ Κορῶνα ἔνδυμα τοῦ Πατριάρχου, ἣν ὁ Βεζύρης τῷ Βασιλεῖ ἔδειξεν, ὃς ἐπιθεὶς αὐτὴν ἐπὶ κεφαλὴν εὐνούχου τινὸς, καὶ ὡραίαν εἰπὼν, ἐχαρίσατο τῷ Πατριάρχῃ φορεῖν. ὅθεν ἐλευθερωθεὶς ὁ Πατριάρχης τῆς φυλακῆς, ἐποίησε μικρὰν περιοδείαν χάριν ἐλέους.

Ὡς οὖν ἔφθασε καὶ ὁ ἄνθρωπος, φέρων τὴν Κορῶναν καὶ τὰ γράμματα τοῦ Καϊμακὰμ, ἤτοι τοῦ Ἀνθυπάτου εἰς τὴν Ἀδριανούπολιν, συνεισῆλθον αὐτῷ καὶ οἱ πατέρες εἰς τὸ κριτήριον τοῦ Βεζύρη, καὶ ἀπελογοῦντο, ὅτι ταύτην τὴν Κορῶναν ἔθος ἐστὶ φορεῖν τὸν Πατριάρχην, ἥτις περὶ αὐτοῦ κατεσκευάσθη, καὶ μαρτυρία σαφὴς ἐκ τῶν κατὰ κορυφὴν αὐτῆς περὶ τὸν Σταυρὸν γραμμάτων, διαλαμβανόντων εἶναι αὐτὴν τοῦ Πατριάρχου, καὶ οὐ τοῦ Κράλη τῆς Μοσχοβίας. δεύτερον, οὔσης τῆς τιμῆς αὐτῆς ἕως πέντε χιλιάδων γροσίων, καὶ οὐχ ὡς λέγει αὐτὸς ἑκατὸν, ὁ Κράλης τῆς Μοσχοβίας τοσαύτης ὀλίγης τιμῆς Κορῶναν οὐ φορεῖ. τρίτον, ὅτι τὸ ἐπάνω αὐτῆς τάσῃ, ἤτοι πέταλον ἐστὶν ἀργυροῦν. καὶ τέταρτον, ὅτι δύο λίθοι αὐτῆς εἰσὶν ὑάλιναι, καὶ ταῦτα πάντα συνίστησιν αὐτὴν εἶναι κτῆμα πτωχοῦ ἀνθρώπου, καὶ οὐ Κράλη Μοσχοβίας ἁρμόζουσαν. ὁ δὲ ἐπίτροπος βουλόμενος βεβαίαν τὴν ὑπόθεσιν τοῦ Πατριάρχου ποιῆσαι, πέμπει τοὺς πατέρας καὶ τὸν Ἄρχοντα τοῦ Ἀνθυπάτου κριθῆναι ὑπὸ τοῦ Μουφτῆ, ἤτοι τοῦ κυρωτοῦ τῶν ἐντολῶν τοῦ Νόμου, ὧν κριθέντων, γέγονεν ἀπόφασις εἶναι τὴν Κορῶναν τῶν πατέρων, ἐπειδὴ τὸ φορεῖν τοιαῦτα τοὺς Πατριάρχας τῶν Ῥωμαίων, ἐστὶ χάρις βασιλική. ἰδὼν δὲ ὁ ἐπίτροπος ὅτι ὁ περὶ τὴν Κορῶναν λόγος διεδόθη εἰς τὸ κοινὸν, καὶ μή πως ἀκουσθῇ καὶ εἰς τὸν Σουλτάνον, ὁ δὲ ἄλλως ὑπολάβοι τὸν λόγον, καὶ οὐχ ὡς ἔχει, ἀναστὰς καὶ λαβὼν τὴν Κορῶναν, ἐπορεύθη πρὸς τὸν Βασιλέα, καὶ δείξας ταύτην αὐτῷ, εἶπεν αὐτῷ εἰς πλάτος καὶ πᾶσαν τὴν ὑπόθεσιν, προσθεὶς μάλιστα, ὅτι ὅτε ἀπὸ Δαμασκοῦ ἀπῆλθεν εἰς Ἱεροσόλυμα προσκυνῆσαι, εἶδεν ἐκεῖ ἄλλας ἕξ, καὶ ὅτι τοῦτο ἐστὶ δῶρον τῶν γονέων αὐτοῦ τῆς Βασιλείας πρὸς τοὺς Πατριάρχας, ἔπειτα μετεπέμψατο καὶ λιθογνώμονα ἰδεῖν αὐτὴν πόσου τιμᾶται, καὶ ὁ Ἰουδαῖος λιθογνώμων εἶπεν εἶναι αὐτὴν ἕως τεσσάρων χιλιάδων γροσίων τιμῆς καὶ οὐ πλειόνων. ὁρῶν δὲ ὁ Σουλτάνος τὴν καλλονὴν τῆς Κορώνης, τοὺς πέριξ δώδεκα πυργίσκου, τὸ σχῆμα τὸ εὐγενέστατον, ἐθαύμασε, θεὶς δὲ αὐτὴν ἐφ' ἑνὸς εὐνούχου χαμπεσίου κεφαλὴν, εἶπε, Θαυμάσιον ἔνδυμα, ὅπερ ἐπειδὴ οἱ γονεῖς μου ἐχαρίσαντο τοῖς Πατριάρχαις, χαρίζομαι κἀγὼ αὐτοῖς, καὶ ὥρισα δοθῆναι τῷ Πατριάρχῃ, καὶ εἶναι κἀκεῖνον ἀζήμιον. καὶ λαβὼν ὁ ἐπίτροπος τὴν Κορῶναν, ὑπέστρεψεν εἰς τὸ Παλάτιον αὐτοῦ. καὶ μεταπεμψάμενος τοὺς πατέρας, καὶ δοὺς αὐτὴν αὐτοῖς, δέδωκε καὶ ὁρισμὸν καὶ ἄνθρωπον μετὰ τοῦ ὁρισμοῦ, ὅστις ἀπελθὼν εἰς Κωνσταντινούπολιν, ἐφοίτησεν εὐθὺ τοῦ Καϊμακὰμ, ἤτοι τοῦ Ἀνθυπάτου, καὶ δέδωκεν αὐτῷ τὸν ὁρισμὸν, καὶ πέμπεται Τζαούσιος καὶ λαμβάνει τὸν Πατριάρχην ἀπὸ τῆς οἰκίας τοῦ Σούμπασι, ᾧ συνῆσαν ἀκολουθοῦντες Πέτρος ὁ Κακούμης γούναρις, ὁ ἀπὸ τῆς Τζερνίτζας τῆς Πελοποννήσου, καὶ ἄλλοι πατριῶται, κἀγώ. ὡς δὲ ἔφθασεν εἰς τὸ Παλάτιον τοῦ Ἀνθυπάτου, ἀφείθη τῆς φυλακῆς, καὶ ἐπορεύθη εἰς τὸ Μετόχιον, καὶ οἱ Ἄρχοντες, οἳ εἶχον ἑαυτοὺς καταμόνας πεφυλαγμένους, ἐξῆλθον καὶ ἐκάθισαν εἰς τοὺς οἴκους αὐτῶν, καὶ ἐγένετο εἰρήνη. τὸν δὲ Καϊμακὰμ μετ' οὐ πολλὰς ἡμέρας ὁ Βεζύρης ἐκβαλὼν τῆς Ἀνθυπατείας, ἀπέστειλεν εἰς τὸν πόλεμον τῆς Κρήτης, κἀκεῖ αὐτὸν ἀπέκτεινε. λυθεὶς δὲ ὁ Πατριάρχης τῶν δεσμῶν, καὶ μαθὼν ὅτι καὶ τὸν ἅγιον Ἰάκωβον ἔλαβον ἀπὸ τῶν Ἀρμενίων οἱ εὐσεβεῖς, ἐπλήσθη χαρᾶς. καὶ κατὰ τὸ παρὸν ἀπῆλθε τῷ Ἰαννουαρίῳ Μηνὶ εἰς Πάνορμον, εἶτα εἰς Πέργαμον, εἶτα εἰς Ἀρτάκη καὶ Μιχανιῶνα, εἶτα εἰς Καλόλιμνον, καὶ ἐποίησεν αὐτοῦ τὸ Πάσχα, κἀκεῖθεν ἀπῆλθεν εἰς Συκῆν καὶ Μουντανία, εἶτα εἰς Κατηρλὴ, καὶ ἑξῆς εἰς Κωνσταντινούπολιν.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Περὶ τῆς ἀποδημίας εἰς Ἰβηρίαν τοῦ Πατριάρχου Παϊσίου, καὶ τῆς θαυματουργίας αὐτοῦ ἐν Σινώπῃ, καὶ τοῦ ἐν Τζαρκασίᾳ ἀσύλου τόπου καὶ τῆς στήλης καὶ τῶν περὶ αὐτὴν ἐνεργουμένων θαυμασίων, καὶ περὶ ἱστορίας τῶν Ζήκχων, ἤτοι Τζερκέζων.

Εἴρηται ἀνωτέρω, ὅτι ἔλαβεν ἡ βασιλεία παρὰ τοῦ Πατριάρχου χρήματα πουγγείων τριάκοντα, ἀλλὰ κατὰ τὸ ἔθος τῆς βασιλικῆς πόρτας ἔλαβον καὶ ἄλλοι πολλοὶ, καὶ ἐγένετο διπλῆ ἡ δαπάνη, ἣν πᾶσαν δανειακῶς ἔλαβεν ὁ Πατριάρχης, διατοῦτο χρεία ἦν ἀποδημῆσαί πῃ αὐτὸν χάριν βοηθείας. καὶ δὴ εἰς μὲν τὸ Γιάσιον ἀπέστειλεν ἄνθρωπον, ἀλλ' ὠφέλησεν οὐδὲν διὰ τὸν ἀντάρτην Στέφανον τὸν διώκτην τοῦ Βασιλείου Βοεβόδα, ὅθεν βουληθεὶς μόνος αὐτὸς ἀπελθεῖν, καὶ μὴ δυνηθεὶς διὰ τὸ χρηματίσαι τῷ χιχιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ ἔτει Μίχναν τινὰ Αὐθέντην τῆς Βλαχίας, περὶ οὗ ῥηθήσεται, εὗρεν εὔλογον

ἀπιέναι

ἀπιέναι εἰς Ἰβηρίαν. καὶ δὴ τῷ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ ἔτει, Μηνὶ Μαΐῳ ἔπλευσεν εἰς Σινώπην μετὰ τῆς συνοδίας αὐτοῦ, ᾗ συγκατελεγόμην κἀγώ. γενομένης δὲ ἐν Σινώπῃ τῇ εἰκοστῇ πρώτῃ Μαΐου μεγάλης πυρκαϊᾶς, ἥτις ἤρξατο ἀπὸ τοῦ βορείου μέρους, καὶ ἐνέμετο ὡς χόρτα τὰς οἰκίας κατὰ τὸ κάστρον, ὁ Πατριάρχης βαλὼν ὀλίγον ὕδωρ εἰς τρυβλίον, ἀπέστειλε τινὰ διάκονον αὐτοῦ καὶ ἐῤῥάντισε κατὰ πρόσωπον τῆς πυρκαϊᾶς, καὶ ὦ τοῦ θαύματος, ἐστάθη ἐκεῖ ἡ πυρκαϊὰ ἕως οὗ ἐσβέσθη. τῇ δὲ τετάρτῃ ἰουλίου ἐπιβάντες πλοίῳ, ἐπλεύσαμεν εὐθὺ μεγγρελίας, καὶ οὔρῳ ἀνέμῳ εὐθυδρομήσαντες, μετὰ πέντε ἡμέρας ἤλθομεν εἰς τὴν τζαρκασίαν, τοὺς δ' ἐν αὐτῇ ὁ μὲν Στράβων Κερκέτας ὀνομάζει, οἱ δ' Ὀθωμανοὶ Τζερκέζους, εἰσὶ δ' ἀληθέστερον οἱ Ζήκχοι, οὓς ἐξ ἀμαθείας οἱ Ναῦται καλοῦσι Κερκέτας. οἱ γὰρ Κερκέται οἰκοῦσι τὸ βόρειον μέρος τοῦ Καυκάσου ἐν τοῖς ἐκεῖσε πεδίοις, ὅπου δὲ ἡμεῖς τὴν ἄγκυραν ἐχαλάσαμεν, ἦν σκάλα τῶν Ζήκχων, καὶ ὠνομάζετο Κόντοσι, ἔνθα ἀναμέσον δύο ποταμιδίων ὁ τόπος ἐστὶν ἄσυλος παραὐτοῖς. κεῖται δὲ ἐκεῖ Στήλη μία πέτρα ὄρθιος τετράγωνος ἑτερομήκης, καὶ ἐπάνω αὐτῆς ἓν Σκιάδειον πέτριον, οὐ κοῖλον ὑποκάτωθεν, ἀλλ' ὁμαλόν. εὕρομεν δὲ καὶ ἔμπροσθεν τῆς Στήλης Εἰκόνα χαλκίνην τοῦ ἁγίου Γεωργίου, κύκλῳ δὲ τῆς Στήλης ἦσαν κεφαλαὶ Χοίρων καὶ Ἐλάφων, καὶ βέλη τηλέβολα, δόρατα καὶ σπάθαι, καὶ ἐπὶ τῶν δένδρων ἄγκυραι νηῶν κρεμάμεναι. ἔστι δὲ ἡ ἀσυλία, ὅτι ἐὰν εὕρωσι πέραν τῶν ποταμιδίων τινὰ, γυμνοῦσιν αὐτὸν, τὸν δὲ ξένον καὶ δουλοῦσιν. ἐὰν ναυαγήσῃ πλοῖον καὶ ἐποκείλῃ τῇ ξηρᾷ, αἰχμαλωτίζουσι τοὺς Ναύτας, καὶ ἐὰν χαλάσῃ τὴν ἄγκυραν, χωρὶς τοῦ λαβεῖν τοὺς ἐν τῷ πλοίῳ ἔνδον ἐντόπιον ἄνθρωπον, ἄλλον ἔξω οὐκ ἐκβάλλουσιν. ἀλλ' εἰς τὸ Κόντοσι Ῥωμαῖοι καὶ Ὀθωμανοὶ καὶ ἄλλοι, ὅστις ἂν τύχοι, χαλοῦσι τὴν ἄγκυραν ὡς ἐν ἰδίῳ λιμένι, καὶ ἀποβαίνουσι τῆς Νηὸς, καὶ καταλύουσιν ὥσπερ εἰς τὰς οἰκίας αὐτῶν, καὶ οὐκ ἔστιν ἐκεῖ οὔτε γύμνωσις οὔτε δουλεία οὔτε ἄλλό τι, μάλιστα τοὺς ξένους ὡς φίλους οἱ ἐντόπιοι περιποιοῦνται καὶ φιλοξενοῦσιν. εἶτα ἐάντις ἐκεῖ καταλείψῃ τὶ, ἢ ἐπιλήσηται, οὐδεὶς αὐτὸ λαμβάνει ἐξ αὐτῶν. ἐδίδασκον δὲ καὶ ἡμᾶς μὴ κατὰ τύχην καὶ κλέψωμέν τι, ὅτι πεισόμεθα κακὸν ἀνίατον, ὃ καὶ παραδείγμασιν ἐβεβαίουν ἡμῖν, λέγοντες, ὁρᾶτε ἐκείνην τὴν Τριήρη τὴν μικρὸν ἔξω τοῦ λιμένος κειμένην (ἦν γὰρ μία Τριήρης ἐκεῖ ἡμιβρύχιος) ἐξελθόντος γὰρ ἀπὸ τοῦ Καφᾶ τοῦ τῶν Ὀθωμανῶν Στόλου, καὶ περιπεσόντος ἐναντίοις ἀνέμοις, καὶ ἐλθόντος ἐνταῦθα, πάντες οἱ Ναῦται καὶ Στρατιῶται ἐφύλαξαν τῆς Στήλης καὶ Εἰκόνος ταύτης τὸ σεβάσμιον, Εἷς δὲ Στρατιώτης ἐκ ταύτης τῆς Τριήρους καταφρονήσας αὐτῶν, ἔλαβεν ἓν πύρινον Καταπέλτην, ἤτοι Τουφέκιον, καὶ πᾶσαι μὲν αἱ Τριήρεις, ἤτοι τὰ Κάτεργα ἀπῆλθον, αὕτη δὲ μόνον ἀπεπνίγη. ὁρᾶτε οὖν καὶ ὑμεῖς, ἵνα μὴ πάθητε τὰ ὅμοια. μετὰ τὰ πολλὰ δὲ, ἦλθεν ἓν γεροντίδιον καὶ ἔλεγεν, ὅτι πρὸς τὸν Χάνην τῶν Τατάρων ἀφίκετο πρεσβευτὴς παρὰ τῶν ἐκεῖ Ζήκχων, καὶ ὅτι τὴν πίστιν αὐτοῦ οὐκ ἤλλαξεν. ἡμεῖς καὶ ἠρωτῶμεν αὐτὸν, ποία ἐστὶν ἡ πίστις αὐτοῦ; ὁ δὲ φανερῶς εἰπεῖν οὐκ ἐδύνατο, ἔπειτα ἐξέβαλεν ἓν βιβλίον ἐκ πουγγείου τινὸς, ὅπερ εἶχεν ἀπηωρημένον τῆς δεξιᾶς αὐτοῦ ἀμάλης, καὶ ἠρώτα ἡμᾶς, εἰ ἔχομεν καὶ ἄλλα τοιαῦτα δοῦναι αὐτῷ, καὶ ἡμεῖς ἀνοίξαντες τὸ βιβλίδιον, εἴδομεν ὅτι ἦν Ἡμιωρολόγιον ἑλληνικὸν, ἐν Βενετίᾳ τετυπωμένον, καὶ εἴπομεν αὐτῷ, ὅτι ἐν τῷ πλοίῳ ἐστὶν ὁ Πατριάρχης τῆς Ἱερουσαλὴμ, καὶ ἡμεῖς ἐσμὲν ἄνθρωποι αὐτοῦ, καὶ αὐτὸς ἀκούσας τὸν λόγον, ἔδειξε σημεῖον χαρᾶς, ὁμοίως καὶ οἱ περὶ αὐτὸν, καὶ ἔγνωμεν ὅτι εἰσὶ Χριστιανοὶ, ἐν τοσούτῳ μόνον, ἐπειδὴ νηστεύουσι Τετράδα καὶ Παρασκευὴν, καὶ τινες αὐτῶν καὶ μεγάλην Τεσσαρακοστήν. φαίνεται δὲ ὅτι ἐκεῖ ἦσαν τὸ πρῶτον Χριστιανοὶ, καὶ ἥμεροι, ὡς γὰρ λέγει ὁ Πατριάρχης Φώτιος ἐπιστολῇ ἐννενηκοστῇ ἕκτῃ, φέρων μάρτυρα τὸν Στράβωνα ἐν τῷ ἑβδόμῳ βιβλίῳ, Ἄξεινος ἦν ὁ Πόντος διὰ τὸ ἀνθρωποθυτεῖν μάλιστα τοὺς Σκύθας, ἀλλὰ Μιλήσιοι καὶ Ἴωνες κτίσαντες ἐκεῖ πόλεις, ἡμέρωσαν τὰ ἐκεῖ ἔθνη, ὅμως κατὰ τὴν ἐπικράτειαν τῶν Ὀθωμανῶν ἦλθον τὰ ἔθνη ἐκεῖνα σχεδὸν εἰς τὴν πρώτην τῆς ἀγνωσίας κατάστασιν.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Περὶ ἱστορίας τῶν Ἰβήρων καὶ τῶν περὶ τὴν Ἰβηρίαν ἐθνῶν Πατζινακῶν, Χαζάρων, Ζήκχων, Σαγιδῶν, Ἀβασγῶν, Ἀπχάζων, Σουάνων, καὶ ἄλλων πολλῶν, καὶ τῆς θρησκείας αὐτῶν, καὶ ἠθῶν, καὶ τῶν κατὰ καιροὺς αὐτοῖς συμβάντων.

Τὸ παλαιὸν ἀπὸ Παννονίας ἕως Σάρκελ τοῦ ἄστεος, ὄντος διαστήματος ἑξήκοντα ἡμερῶν, ᾤκουν Πατζινάκαι. ἔστι δὲ τὸ Σάρκελ ἐν τῷ ἀνατολικωτάτῳ μέρει τοῦ Ταναΐδος, ἀπὸ γὰρ Σάρκελ καὶ Καράκουλ καταῤῥέει ὁ ποταμὸς οὗτος. ἔκτισε δὲ τὸ Σάρκελ ὁ Αὐτοκράτωρ Θεόφιλος αἰτήσει τῶν Χαζάρων διὰ Πέτρου Σπαθαροκονδιδάτου τοῦ Καματηροῦ, ὅτε καὶ τῆς χερσῶνος ἔτι δημοκρατουμένης, καὶ κρινομένης ὑπ' Ἄρχοντος χειροτονουμένου, καὶ ὀνομαζομένου Πρωτεύοντος, καὶ ἀρίστων τινῶν, καλουμένων πατέρων τῆς πόλεως, ὁ Θεόφιλος καταλύσας τὴν Δημοκρατείαν, ἔταξε Στρατηγὸν τῇ πόλει τὸν Πέτρον αὐτόν. ἐν δὲ τῷ Βοσσόρῳ ἐστὶ Φρούριον τὸ Παντικάπαιον, ἀφ' οὗ ὡς ἀπὸ μιλίων ὀκτωκαίδεκα εἰσὶ τὰ Μάτραχα, ἀφ' ὧν ἕως δέκα μιλίων ἐστὶ ποταμὸς ὁ Οὐκρούχ, ἐξ οὗ ἄρχεται ἡ Ζηκχία, καὶ παρατείνει ἕως τοῦ ποταμοῦ Νικόψεως, ἔστι δὲ αὐτῆς ἡ παραλία μίλια τριακόσια. ἄνωθεν δὲ Ζηκχίας ἐστὶν ἡ Παπαγία. καὶ

ἄνωθεν

ἄνωθεν ταύτης ἡ Κασαλία, καὶ ἄνωθεν ταύτης τὰ Καυκάσια ὄρη, ὧν κατὰ τὸ βόρειον μέρος ἐστὶν ἡ Ἀλανία, παρατείνουσα ἀπὸ Καυκάσου ἕως Κασσίας, ὡς Προκόπιος τετάρτῳ τῶν Γοτθικῶν. ἔχουσι δὲ παραλίους Νήσους οἱ Ζῆκχοι, ἐν αἷς εἶχον πόλεις τὸ Τουρχανὴρχ, καὶ τὸ Τζερβεγένι, καὶ ἑτέρας, εἰς ἃς κατέφευγον ἀπὸ τῶν καταδρομῶν τῶν Ἀλανῶν. ἀπὸ τοῦ ποταμοῦ Νικόψεως ἐστὶν ἡ Ἀβασγία μέχρι τοῦ ἄστεος Σωτηριουπόλεως μίλια τριακόσια, παρατείνει δὲ ὁ Καύκασος ἀπὸ Ζηκχίας ἕως Κεραυνίων ὀρῶν καὶ Κασσίας ὡς εἴρηται, εἰσὶ δὲ ἐν αὐτῷ σχεδὸν ἑβδομήκοντα ἔθνη ὡς λέγει ὁ Στράβων. ἦσαν δὲ ἐκεῖ Χριστιανοὶ Ἀλανοὶ, Ζῆκχοι, Ἀπχάζοι, Σουάνοι, Κολχοὶ, Ἴβηρες. καὶ περὶ μὲν Ἰβήρων Κολχῶν καὶ Ἀλβανῶν εἴρηται ἐν τῷ πέμπτῳ βιβλίῳ ὅτι οἱ Ἀλανοὶ ἴσχυον ποτὲ, καθότι ὡς ἱστορεῖ ὁ Μένανδρος, ὅτε πρῶτον ἦλθον εἰς τὰ ἐνταῦθα οἱ Ἄβαρες, ἐδεήθησαν τοῦ Ἡγεμόνος Ἀλανῶν Σαρωσίου καὶ ἔπεμψε περὶ αὐτῶν πρεσβευτὴν τὸν Κανδίχ πρὸς τὸν μέγαν Ἰουστινιανὸν, ὃς δέδωκεν αὐτοῖς κατοικίαν τὴν Παννονίαν, οἵτινες εἰσὶν οἱ Οὔγγροι. καὶ ἐπὶ Ἰουστίνου πρεσβευτὴς Ὀθωμανῶν ἦλθεν ὁ Μανιάχ, μεθ' οὗ ἀπῆλθε πρεσβευτὴς πρὸς Ὀθωμανοὺς Γεώργιός τις, καὶ ὑπέστρεψεν ἀπὸ Ἀλανῶν, ὄντος ἐκεῖ Ἡγουμένου τοῦ Παροδίου. ἐπὶ δὲ Ἰουστινιανοῦ συνεμαχέσαντο τοῖς Πέρσαις, ὡς Προκόπιος τετάρτῳ τῶν Γοτθικῶν. Ἰουστιανὸς δὲ ὁ ῥινότμητος μαχόμενος Ἀβασγοῖς, ἀπέστειλε κατὰ τὸν Ζωαραῦ Λέοντα τὸν Ἴσαυρον, Ἄρχοντα τότε ὄντα, εἰς Ἀλανοὺς, καὶ κατεπολέμησαν τοὺς Ἀβασγοὺς χάριν τοῦ Βασιλέως. ἦσαν δὲ καὶ Ἀλανοὶ καὶ Ζῆκχοι εὐσεβέστατοι, ἀλλ' ἐλθόντων τῶν Τατάρων, δηλονότι φιλιασάντων αὐτοῖς, καὶ πολλῶν πόλεων Ῥωμαίων τῇ αὐτῶν φιλίᾳ κυριευσάντων, ἔκλιναν εἰς τὴν τῶν ἐθνικῶν θρησκείαν, ἀλούσης δὲ καὶ τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Ὀθωμανῶν, τοῦτο μὲν, ὑπὸ τῶν Τατάρων ἐπιβουλευόμενοι, τοῦτο δὲ, καὶ Ἐπισκόπου, μὴ ἀφικνουμένου πρὸς αὐτοὺς ἀπὸ Βυζαντίου, ὑστερούμενοι, ἐξέκλιναν τῆς εὐθείας ὁδοῦ. ὅτι δὲ Χριστιανοὶ ἦσαν, φανερὸν ἐκ τῶν ἀνωτέρω καὶ ἐκ τῆς ἐπιστολῆς τοῦ Κωνσταντινουπόλεως Γερμανοῦ τοῦ ἐν Νικαίᾳ πρὸς τὸν Ῥώμης, εἶτα ἐπὶ τούτου τοῦ Γερμανοῦ ἦν Ἐπίσκοπος Ἀλανίας Θεόδωρος, καὶ ἐπὶ τῆς ἐπὶ Λουκᾶ Συνόδου ἦσαν Γοτθίας καὶ Ματράχων καὶ Σουγδουφούλου Ἀρχιεπίσκοποι. ἐν δὲ τῇ τάξει τῶν ἀρχιερατικῶν θρόνων ἦν ὁ υἱὸς τοῦ Μιχαὴλ Ἀνδρόνικος ἐποίησε, καὶ ἐν τῇ Συνόδῳ ἣν ἤθροισεν ὁ αὐτὸς κατὰ τοῦ Βέκκου, εὑρίσκονται Μητροπολῖται Ἀλανίας, καὶ Σωτηριουπόλεως, καὶ Ζηκχίας, καὶ δὴ καὶ Καυκάσου Βασίλειος. ἐπὶ δὲ τῆς Συνόδου τῆς ἀθροισθείσης εἰς Βυζάντιον μετὰ τὴν ἅλωσιν ἐν ἔτει ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ ἐννενηκοστῷ δευτέρῳ κατὰ τοῦ Φλωρεντινοῦ συλλόγου ἦν ὁ Σουγδαΐας Θεοφάνης. τὸ δὲ ἐν τῷ τοῦ Σουμελᾶ Μοναστηρίῳ χρυσόβουλλον τοῦ Τραπεζοῦντος Βασιλέως, ὑπογράφεται, Ἀλέξιος ἐν Χριστῷ τῷ Θεῷ Βασιλεὺς καὶ Αὐτοκράτωρ πάσης Ἀνατολῆς, Ἰβήρων, καὶ Περατείας, ὁ μέγας Κομνηνὸς, Περατείαν δὲ λέγει ἀπχάζους καὶ Ζήκχους, ὅθεν ἤκμαζον ἐπ' ἐκείνου, μετὰ δὲ τὴν κατάλυσιν τῆς ὀρθοδόξου Βασιλείας ἐφθάρησαν κἀκεῖνοι ὡς εἴρηται. καὶ ὅσον μὲν οἱ Ἀλανοὶ ἐμίγησαν τοῖς Τατάροις, οἱ ἐγγίζοντες αὐτοῖς καὶ τουρκίζουσι τινὲς, οἱ δὲ λοιποὶ αὐτῶν εἰσὶ Χριστιανοὶ, ἀβάπτιστοι ὅμως, διαφέρουσι δὲ τῶν ἐκεῖ τουρκιζόντων ἐκ τινων ἠθῶν χριστιανικῶν ἅπερ φυλάττουσι, καὶ ἐκ τινων νηστειῶν, καὶ τρίτον, ὅτι οἱ μὲν Χριστιανοὶ ἐσθίουσι χοίρειον κρέας, οἱ δ' οὔ. οὕτω καὶ οἱ Ζῆκχοι ὅσοι ἐγγίζουσι τοῖς Τατάροις, εἰσὶ μιξότουρκοι, οἱ δὲ μακρὰν αὐτῶν οἰκοῦντες, εἰσὶν ὡς καὶ οἱ Ἀλανοί. περιποιοῦνται δὲ καὶ τῶν Ἑλλήνων τὰ βιβλία, καὶ τοὺς Ἑλλήνων Ἱερεῖς ὅταν εὕρωσιν εὐλαβοῦνται. Σημείωσαι κατὰ τὸν Προκόπιον ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ τετάρτου τῶν Γοτθικῶν, ὅτι τοῖς Ζήκχοις εἰσὶν ἀναμεμιγμένοι οἱ Σαγῖδαι, εἰσὶ δὲ οὗτοι δυσικώτεροι τῶν Ζήκχων οἱ Σαγῖδαι, ἐν οἷς ἐστι καὶ ἡ Σεβαστούπολις καὶ ἡ Πιτυοῦς, ἃς ἐπὶ Ἰουστινιανοῦ ἐλθόντες ἀπὸ τῆς Λαζικῆς οἱ Πέρσαι ἠχμαλώτευσαν, νῦν δὲ οὐδ' ἴχνος οὐδ' ὄνομα ἔχουσι παρ' ἡμῖν αἱ πόλεις αὗται. Σημείωσαι ὅτι ἐν Ἀβασγίᾳ ἦν Ἀρχιεπισκοπὴ ἡ Σεβαστούπολις, παρὰ τοῦ Κωνσταντινουπόλεως διοικουμένη, ὡς φησὶ Γεώργιος ὁ Κύπριος ὁ ἀπὸ Λαπάθου ἐν ᾧ ἔγραψε τακτικῷ ἐπὶ Λέοντος Βασιλέως καὶ Φωτίου Πατριάρχου ἐν ἔτει ἑξακισχιλιοστῷ τριακοσιοστῷ ἐννενηκοστῷ δευτέρῳ, ὅτι οἱ Σουάνοι ἐχριστιάνισαν ὅτε καὶ οἱ Κολχοὶ, κατὰ γὰρ τὸν Προκόπιον ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν Γοτθικῶν τὰ ἔθνη τὰ δυσικὰ φάσιδος παλαιόθεν ἦσαν Χριστιανοὶ, ἦσαν δὲ τὸ πάλαι ὀνομαστοὶ, ὅθεν Πρίσκος ὁ ῥήτωρ ἱστορεῖ, ὅτι ἐπὶ Λέοντος τοῦ Μακέλλου εἶχον διαφορὰν Ῥωμαῖοι καὶ Λαζοὶ διὰ τοὺς Σουάνους, καὶ οἱ Πέρσαι ἐπολέμουν Ῥωμαίοις διὰ τὰ φρούρια τῶν Σουάνων. Μένανδρος δὲ ὁ Προτίκτωρ λέγει, ὅτι ἦλθε πρεσβευτὴς παρὰ Περσῶν ὁ Ἰζὴλ διὰ τοὺς Σουάνους ἐπὶ Ἰουστίνου, καὶ εἰς τὰς συνθήκας Ῥωμαίων καὶ Περσῶν ἐπὶ τοῦ αὐτοῦ Ἰουστίνου πολὺς λόγος ἐγένετο περὶ τῶν Σουάνων. καὶ ἐν τῇ Περσίᾳ ὁ πρεσβευτὴς Ῥωμαίων Πέτρος διελέγετο Χοσρόῃ, ὅτι ὁ Ἡγεμὼν Σουανίας ὑπετάσσετο τῷ Ἡγεμόνι Λαζῶν, καὶ ἐδίδου φόρον μέλι καὶ δέρματα, καὶ ὅτε ἀπέθνηκεν ὁ Ἄρχων Σουάνων, ὁ τῶν Κολχῶν Ἡγεμὼν ἐποίει ἀναφορὰν τῷ Βασιλεῖ Κωνσταντινουπόλεως, ὁ δὲ ἔπεμπε τῷ νέῳ Ἡγεμόνι Σουάνων τὰ ἀρχοντικὰ σύμβολα. εἶχε δὲ ἔργον ὁ Σουάνων Ἡγεμὼν, φυλάττειν τοῦ μὴ ἔρχεσθαι τοὺς Σκύθας εἰς Κολχίδα, ἢ εἰς τὴν Ῥωμανίαν κατὰ τὸν Προκόπιον, ὁ δὲ Χοσρόης ἀποκρινόμενος τῷ Πέτρῳ, ἔλεγε τοὺς Σουάνους φῶρας καὶ λαφυραγωγοὺς, καὶ ὅτι ἤθελεν αὐτοὺς ἔχειν μόνος καὶ διὰ τοῦτο, ἵνα μὴ δηλαδὴ οἱ Σκῦθαι περῶσιν ἐκεῖθεν εἰς τὴν Ἀσίαν, καθότι ὁ τόπος τῶν Σουάνων ἐστὶ πάροδος τῶν λάθρα ἐπιτιθεμένων Σκυθῶν. συνεμαχέσαντο δὲ οἱ Σουάνοι καὶ Καβάδῃ τῷ Περσάρχῃ κατὰ Ῥωμαίων, ἀλλ' ἕως ὑγίαινον κατὰ τὰ πολιτικὰ οἱ Ἴβηρες, ἤκμαζον καὶ αὐτοὶ, μετὰ δὲ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Ὀθωμανῶν,

ἀσθενη-

1200

ἀσθενησάντων τῶν Ἰβήρων, μᾶλλον αὐτῶν ἠσθένησαν οἱ Σουάνοι, ἦσαν ὅμως ἀεὶ ὀρθόδοξοι, ὅθεν ἤρχοντο εἰς Ἱερουσαλὴμ χάριν προσκυνήσεως μετὰ τῶν Ἰβήρων, ἐπειδὴ ἰβηριστὶ καὶ αὐτοὶ ἀναγινώσκουσιν. ἀλλ' ἀφ' οὗ ἐπὶ Μωαμὲτ, μετὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν πεντηκοστὸν ἔτος δηλονότι, οἱ Ἴβηρες ἐταπεινώθησαν ὡς οὐδέποτε, καὶ ὁ Ἡγεμὼν Μεγγρελίας ᾧ ὑπετάττοντο, ἠσθένησεν ἄκρως ἐκ τῶν ἐπιβουλῶν Ἰβήρων καὶ Ἀπχάζων, ἐξέκλιναν κατὰ μέρος καὶ οἱ Σουάνοι ἀπὸ τῆς εὐλαβείας; οὐμὴν ἀπὸ τῆς εὐσεβείας. Ὅτι οἱ Ἀβασγοὶ ἐχριστιάνισαν ὡς εἴρηται ἐπὶ Ἰουστινιανοῦ, ἀπέστελον γὰρ εἰς τὴν ῥωμανίαν εὐνούχους, ὁ δὲ Ἰουστινιανὸς προνοηθεὶς, ἐμήνυσεν αὐτοῖς παῦσαι ἀπὸ τοῦ τοιούτου ἔργου, καθότι οὐκ ἔτι αὐτοὺς ὠνεῖταί τις, καὶ οὕτως ἔπαυσαν, καὶ ἐχριστιάνισαν, καὶ ἔκτισεν αὐτοῖς ὁ Βασιλεὺς Ἐκκλησίαν τῆς Θεοτόκου, καὶ ἄλλα ἱερὰ τεμένη. ἐσέβοντο δὲ πρότερον ὕλας κατὰ τὸν Προκόπιον ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν Γοτθικῶν, καὶ εἶχον δύο Βασιλεῖς, ἀλλὰ μετὰ τὸ χριστιανίσαι καθελόντες αὐτοὺς, ἔζων ἐλευθέρως, ὅθεν ἐζήτησαν καὶ ἔλαβον Ἄρχοντα Ῥωμαῖον, καὶ εἶχον αὐτὸν καὶ τοὺς μετ' αὐτὸν Ἄρχοντας ἕως τοῦ Πωγωνάτου. Διὰ γὰρ τὸ εἶναι τοὺς Ἄρχοντας ἀδίκους, λέγει ὁ Ζωναρᾶς, οἱ Ἀβασγοὶ ἐποίησαν λοιπὸν ἴδιον Ἄρχοντα, ἕως οὗ ἀπέστειλεν ὁ Ῥινότμητος τὸν Ἰσαυρον, καὶ διὰ τῶν Ἀλανῶν κατεπολέμησεν αὐτοὺς, καὶ ὑπετάγησαν τῷ Βασιλεῖ. καὶ ἐπὶ Μιχαὴλ καὶ Θεοδώρας ἐπέμπετο Στρατηγὸς Ἀβασγῶν ἀπὸ Κωνσταντινουπόλεως. καὶ Κωνσταντῖνος ὁ Πορφυρογέννητος Παγκράτιον τὸν Ἀβασγίας ἐτίμησε Κουροπαλάτην. καὶ ἐπὶ Βασιλείου τοῦ Πορφυρογεννήτου Γεώργιος ὁ Ἄρχων Ἀπχαζίας ἦρχε καὶ Ἰβηρίας περί που τὸ ἐννακοσιοστὸν ὀγδοηκοστὸν ἔτος. καὶ ἐν τῷ χιλιοστῷ εἰκοστῷ ἐνάτῳ ἔτει Ῥωμανὸς ὁ Ἀργυρόπουλος Παγκράτιον τὸν Ἀπχαζίας ἐτίμησε Κουροπαλάτην. καὶ ἡ γυνὴ τοῦ Βασιλέως Ἀβασγῶν ἐλθοῦσα εἰς τοῦτον τὸν Ῥωμανὸν, ἔδωκεν αὐτῷ τὸ ἄστυ τὴν Ἀκαλύφην, ἰσχυρότατον ὄν, καὶ ἐτίμησεν ὁ Ῥωμανὸς τὸν υἱὸν αὐτῆς Δημήτριον Μάγιστρον ὥσφησι Κεδρηνός. ἤρκεσε δὲ ἐκείνη ἡ ἀρχὴ ἕως τῶν ἐπὶ Τραπεζοῦντος Κομνηνῶν, εἴδομεν γὰρ ἐν τινι Μοναστηρίῳ τῆς Μεγγρελίας, κειμένῳ ἐγγὺς τῆς Ἀπχαζίας, καλουμένῳ δὲ Μόκφι, γράμματα ἑλληνικὰ γεγραμμένα ἐν τῇ ζωγραφίᾳ αὐτοῦ, λέγοντα ῥητῶς, Ἐζωγραφήθη ἐπὶ Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ Δαυὶδ μεγάλου Βασιλέως Ἀπχαζίας.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΑ'.

Περὶ τοῦ καταλόγου καὶ τοῦ γένους τῶν Ἀπχαζίας Βασιλέων, καὶ τῶν Βασιλέων τῶν Ἰβήρων, καὶ τοῦ ἐν τῷ κατὰ τὴν Μεγγρελίαν Ναῷ τοῦ ἁγίου Γεωργίου γενομένου κατ' ἔτος θαύματος, καὶ τοῦ ἐν Ζετζαντέλι ἀσκήσαντος Ἰωάννου, καὶ ἧς ἔχουσιν οἱ Ἴβηρες χρείας πρὸς τοὺς Ἀπχάζους διὰ τὴν τοῦ Μύρου ἕψησιν, καὶ περὶ τοῦ χωρισμοῦ τῶν Μεγγρέλων ἀπὸ τοῦ Βασιλέως τοῦ Ἰμερετίου τῇ τοῦ Σουλτᾶν Σουλεϊμᾶν βοηθείᾳ, καὶ πῶς ἑρμηνεύεται Γγουρία, καὶ τὶ τὸ ἀξίωμα τῶν Βασιλέων τῶν Ἰβήρων ἦν παρὰ τοῖς Αὐτοκράτορσι τῶν Ῥωμαίων.

Εὑρέθησαν τὰ παρόντα γράμματα ἐν ἀρχαίῳ βιβλίῳ ἰβηρικῷ κατὰ τὸ τέλος, ἅτινα ἐσημείωσε Παγκράτιος ὁ Βασιλεὺς Ἀπχαζίας. φαίνεται δὲ, ὅτι ἦσαν οὗτοι οἱ Βασιλεῖς μετὰ τὴν κατάλυσιν τῶν Ῥωμαϊκῶν Ἀρχόντων. λέγει τοίνυν, ὅτι ἦν πρῶτος Βασιλεὺς Ἄνος, εἶτα ὁ τούτου υἱὸς Γόζαρ, εἶτα ὁ τούτου υἱὸς Ἰουστινιανὸς, εἶτα ὁ τούτου υἱὸς Φιλικτὸς, εἶτα ὁ τούτου υἱὸς Καπαρουκὴ, εἶτα ὁ τούτου υἱὸς Δημήτριος, εἶτα ὁ τούτου υἱὸς Θεοδόσιος, εἶτα ὁ τούτου υἱὸς Κωνσταντὴς, εἶτα ὁ τούτου υἱὸς Θεόδωρος, εἶτα ὁ τούτου υἱὸς Κωνσταντὴς, εἶτα ὁ τούτου ἀδελφὸς Λέων ἔτη τεσσαράκοντα καὶ πέντε, εἶτα ὁ τούτου υἱὸς Θεοδόσιος ἔτη εἰκοσιεπτὰ, εἶτα ὁ τούτου ἀδελφὸς Δημήτριος ἔτη τριακονταὲξ, εἶτα ὁ τούτου ἀδελφὸς Γεώργιος, εἶτα ὁ τοῦ Δημητρίου υἱὸς Παγκράτιος ἔτη δώδεκα, καὶ ὁ τούτου υἱὸς Κωνσταντὴς ἔτη τριακονταεννέα, καὶ ὁ τούτου υἱὸς Γεώργιος ἔτη τεσσαρακονταπέντε, καὶ ὁ τούτου υἱὸς Λέων ἔτη δέκα, οὗ ὁ ἀδελφὸς Δημήτριος ἔτη ὀκτὼ, καὶ ὁ τούτου ἀδελφὸς Θεοδόσιος ὁ τυφλὸς ἔτη τρία, καὶ ὁ ἀνεψιὸς αὐτοῦ Ἀνταρνας Δαυὶδ, εἶτα ἐβασίλευσεν ὁ σημειωτὴς τῶν παρόντων Παγκράτιος, ἀνεψιὸς μὲν Γεωργίου τοῦ προῤῥηθέντος Βασιλέως Ἀπχαζίας, υἱὸς δὲ Παγκουριάνου Βασιλέως Ἰβήρων ἔτη τριακονταέξ. ἐπειδὴ δὲ οἱ Ἴβηρες νομίζουσι τὸν Παγκράτιον, τὸν τούτῳ τῷ ὀνόματι βασιλεύσαντα πρῶτον τῶν Ἰβήρων, κατάγεσθαι ἀπὸ τοῦ γένους τοῦ Προφήτου καὶ Βασιλέως Δαυὶδ, καὶ λέγεσθαι τοὺς Βασιλεῖς αὐτῶν καὶ Παγκρατουάνους κατ' ἐξοχὴν, διατοῦτο καὶ ἕως τῆς σήμερον ἐν Ἰμερέτι, Κάρτελι, καὶ Καχέτι οἱ Αὐθένται Παγκρατουάνοι εἰσὶν (οἱ γὰρ Μεγγρελίας καὶ Γγουρίας Αὐθένται εἰσὶν ἐξ ἑτέρου καὶ κατωτέρου γένους) ἦρξε δὲ ὁ Παγκράτιος οὗτος ἐν Ἀπχαζίᾳ κατὰ τὸ ἑξακισχιλιοστὸν πεντακοσιοστὸν ἔτος, καὶ μετὰ τοῦτον ἦρξεν ὁ υἱὸς αὐτοῦ Δαυὶδ ἔτη δώδεκα. Ὅτι Ἡνῖνος ἀπήει ἀπὸ Ἱεροσολύμων εἰς Κάρτελι ἐν ἔτει πεντακισχιλιοστῷ ὀκτακοσιοστῷ τριακοστῷ πέμπτῳ, καὶ ἔζησεν ἐκεῖ ἔτη δώδεκα. Καὶ ὅτι ἀπὸ Μυράνη Βασιλέως Ἰβήρων ἕως τοῦ τετάρτου υἱοῦ τοῦ Βαχτάνη παρεῤῥύη ἔτη διακόσια, καὶ γεγόνασιν Αὐθένται δώδεκα. Καὶ τῷ ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ πεντηκοστῷ δευτέρῳ ἔτει ἀπῆλθον εἰς Ἰβηρίαν ἀπὸ τοῦ ἁγίου ὄρους Γεώργιος, Ἐφραὶμ, καὶ Θεόφιλος, καὶ μετέφρασαν πολλὰ βιβλία ἑλληνικὰ εἰς ἰβηρικὴν γλῶσσαν. ἦν δὲ τότε Βασιλεὺς Ἰβήρων Δαυὶδ ὁ τρίτος ἀπὸ Δαυὶδ τοῦ Προφήτου. Ὅτι τῷ ἑξακισχιλιοστῷ ἑκατοστῷ ἑξηκοστῷ ἔτει ἦλθεν ἀπὸ Μεσοποταμίας Ἰωάννης τὶς καὶ ἠσκήτευσεν ἄριστα εἰς Ζετζαντέλι. Ὅτι ἐν τῇ Μεγγρελίᾳ τῇ τρίτῃ τοῦ Νοεμβρίου συναθροίζονται Ἴβηρες,

Μεγγρέ-

Μεγγρέλοι καὶ Ἀβασγοὶ, καὶ τὴν ἐκεῖ Ἐκκλησίαν τοῦ ἁγίου Γεωργίου κλείουσι, καὶ σφραγίζουσιν ἀφ' ἑσπέρας, εἶτα πρὸ τῆς Λειτουργίας ἀνοίγουσιν αὐτὴν, καὶ εὑρίσκουσι βοῦν ἔνδον ἐξαίρετον, ὃν ἀποσφάττοντες, διαμερίζονται ἑαυτοῖς, καὶ πέμπουσι μέρη καὶ τοῖς Βασιλεῦσιν αὐτῶν. γίνεται δὲ τοῦτο ἄχρι καὶ τῆς σήμερον. Σημειωτέον δὲ πρῶτον, ὅτι πεπόνθασι καὶ οἱ Ἀβασγοὶ τὰ αὐτὰ τοῖς Ἀλανοῖς καὶ Ζήκχοις διὰ τὴν αὐτὴν αἰτίαν. δεύτερον, διὰ τὸ γεγονέναι τὴν Μοναρχίαν τῆς κάτω Ἰβηρίας ἐν τῇ Ἀπχαζίᾳ, ἐπεκράτησεν εἶναι ἐκεῖ ἐπὶ πολὺν καιρὸν τὴν καθολικὴν Ἐκκλησίαν, ὅθεν καὶ νῦν ὅτε θέλουσιν ἑψῆσαι ἅγιον Μῦρον οἱ Ἴβηρες, οὐκ ἐν ἄλλῳ τόπῳ τὴν αὐτοῦ ἕψησιν ποιοῦσιν, ἀλλ' ἢ ἐκεῖ, ὅθεν καὶ εἰρηνεύουσι μετὰ τῶν Ἀπχάζων, καὶ λαμβάνουσιν ὅμηρα παρὰ τῶν Ἀπχάζων, εἶτα ἀπέρχονται ἐκεῖσε, καὶ ποιοῦσι τὴν ἕψησιν τοῦ ἁγίου Μύρου. τρίτον, ὁ Λέων Δαδιᾶνος ὁ αὐθεντήσας πολλοὺς χρόνους, μετὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἔτος, ἔδωκε τοῖς Ἀπχάζοις τεσσαράκοντα χιλιάδας πανία περσικὰ, καὶ ἐβάπτισε τεσσαράκοντα χιλιάδας Ἀπχάζους, δοὺς αὐτοῖς καὶ Ἐπίσκοπον. τέταρτον, ὅτι οἱ Μεγγρέλοι ἐπὶ τοῦ Σουλταῦ Σουλεϊμαῦ μετὰ τὸ χιλιοστὸν πεντακοσιοστὸν εἰκοστὸν ἔτος αὐτῆραν τῷ Μέπες Ἰμερετίου, καὶ ἦλθον εἰς Βυζάντιον, καὶ ὑπεσχέθησαν τῷ Σουλτάνῳ φόρους, καὶ τῇ βοηθείᾳ αὐτοῦ ἐχώρισαν τὴν Μεγγρελίαν ἀπὸ τοῦ Ἰμερετίου. λέγεται δὲ ὁ Ἀρχηγὸς τῶν Μεγγρέλων Δαδιᾶνος, τουτέστι τρέχων, καθότι ἡ Μεγγρελία ὡς ἐπιτοπλεῖστον ἐστὶ πεδιάς. πέμπτον, ὅτι ὁ Γουρίας λέγεται οὕτως, ὡσανεὶ ὁ Ἰουδαίων, Οὐρίας γὰρ ὁ Ἑβραῖος ἰβηριστὶ, κατῴκουν γὰρ πρότερον ἐκεῖ πλῆθος Ἑβραίων. οἱ δὲ τρεῖς, Ἰμερετίου, Καρτελίου, καὶ Καχετίου λέγονται Μέπες, ἤτοι Βασιλεῖς, ἀλλὰ παρὰ τοῖς Αὐτοκράτορσιν ἔχουσιν ἀξίωμα Κουροπαλάτου, ὅθεν καὶ οἱ Ἄρχοντες τῶν Αὐτοκρατόρων οἱ μείζονες τοῦ Κουροπαλάτου προκάθηνται τῶν τοιούτων Βασιλέων. ὁ Ἰουστινιανὸς τὸν Γελίμεριν Βασιλέα τῶν ἐν Ἀφρικῇ Βανδάλων ἐν τῇ Λιβύῃ, ὃν ἔφερεν ὁ Βελισάριος αἰχμάλωτον, ἠβουλήθη τιμῆσαι ἀρχοντικῷ ἀξιώματι; ἀλλὰ διὰ τὸ εἶναι Ἀρειανὸν οὐκ ἐτίμησεν αὐτὸν ἀξίᾳ τινὶ, ἀλλ' ἢ μόνῃ ζωοτροφίᾳ. τὸ δὲ λέγεσθαι τὸν Κουτατισίου Μέπες Βασιλέα τῶν Βασιλέων τῆς Ἰβηρίας, ἔστιν ἡ αἰτία ὅτι τὸν Τζάθον Βασιλέα τῶν Κολχῶν, ὅπερ ἐστὶ τὸ Ἰμερέτι, καὶ ἡ Γουρία, καὶ ἡ Μεγγρελία, ἐνέδυσεν ὁ Ἰουστινιανὸς κατὰ τὸν Θεοφάνη στέφανον καὶ Χλαμύδα λευκόχρυσον μετὰ πίνακος χρυσοῦ, ἔχοντος τὴν εἰκόνα τοῦ Ἰουστινιανοῦ, καὶ στιχάριον λευκὸν χρυσόκεστον, ἔχον καὶ εἰκόνα τὴν αὐτοῦ, καὶ τζαγγία (σανδάλια) ὠχροβαφῆ, ἤτοι κύτρινα περσικῷ σχήματι, καὶ ζώνην χρυσῆν μαργαρέην. πρὸς τοῦτον καὶ ὁ Σουλτᾶνος τῶν Ὀθωμανῶν γράφων, ὀνομάζει αὐτὸν Μελίκην, ἤτοι Βασιλίσκον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΒ'.

Περὶ τοῦ ἀπὸ τοῦ Κόντοσι λιμένος τῆς Τζαρκασίας εἰς τὸν Κοὺρσ λιμένα τῆς Μεγγρελίας κατάπλου τοῦ Πατριάρχου Παϊσίου, καὶ διὰ ξηρᾶς εἰς τὴν Ἐπισκοπὴν τοῦ Μοκφέλου τὸ Μοναστήριον, κἀκεῖθεν εἰς τὸ Παλάτιον τοῦ Αὐθέντου Βάμεχ, εἶτα εἰς τὸ Μετόχιον τοῦ Σταυροῦ Κοσχέρη.

Ἐπλεύσαμεν ἀπὸ τοῦ Κόντοσι λιμένος τῇ ὀγδόῃ Ἰουλίου, καὶ ἤλθομεν εἰς Μεγγρελίαν, χαλάσαντες τὴν ἄγκυραν εἰς τὸν Κοὺρσ λεγόμενον λιμένα, ἔνθα ἦν ἡ ποτὲ Διοσκουριὰς, καὶ ἀποβάντες τοῦ πλοίου ἐπὶ τὴν χέρσον, εὕρομεν ἐκεῖ εἰς τὸ ἐπίνειον παρὰ τὸν αἰγιαλὸν οἰκίας καλαμίνας καὶ μίαν Αἴθουσαν ξυλίνην, ἤτοι κιόσκη, ἐν ᾗ κατῴκησεν ὁ Δεσπότης, καὶ μετὰ δύο ἡμέρας ἦλθεν ὁ Ἐπίσκοπος τῆς Ἐπαρχίας Μοκφέλος (ὃς λέγεται μοκφέλος ἀπὸ τοῦ Μόκφη, οὕτω γὰρ τὰ κτητικὰ λέγονται ἰβηρικῶς, ἀπὸ τοῦ Γγενλάτη γγενατέλος, ἀπὸ τοῦ Κουτατίση Κουτατέλος, καὶ ἀπὸ τοῦ Μόκφη Μοκφέλος) καὶ λαβὼν ἡμᾶς ἐκεῖθεν, ἤγαγεν εἰς τὸ Μοναστήριον αὐτοῦ, ὅπου καὶ ἡ Ἐπισκοπὴ αὐτοῦ. κεῖται δὲ τὸ Μοναστήριον τοῦτο ἀναμέσον δύο ποταμῶν ἐν τῇ ὑπωρείᾳ τοῦ Μοναστηρίου ἐνουμένων, ἦν δὲ ὑπὸ Ἑλλήνων ζωγράφων τὸ Μοναστήριον ἐζωγραφημένον, ἐν ᾧ ἦν καὶ ταῦτα σεσημειωμένα, Ἱστορήθη ἐπὶ Ἀλεξίου Βασιλέως τοῦ Κομνηνοῦ, καὶ Δαυὶδ μεγάλου Βασιλέως Ἀπχαζίας. Νικόλαος δέ τις Ἴβηρ ἐξ εὐγενῶν γονέων ἐλθὼν εἰς Ἱεροσόλυμα, ἐμόνασεν εἰς τὸ καθολικὸν Μοναστήριον τῶν Ἰβήρων, λεγόμενον Σταυρὸν, κἀκεῖθεν, ἀγχίνους καὶ ἀστεῖος ὤν, ἀπῄει εἰς Βενετίαν καὶ Ῥώμην καὶ Γαλλίαν καὶ Ἱσπανίαν καὶ Ἀγκλίαν, καὶ εἰς ἄλλας Βασιλείας καὶ Τοπαρχίας ἱστορίας χάριν, καὶ πάλιν ὑπέστρεψεν εἰς Ἱερουσαλὴμ, καὶ πολιτικὸς ὤν, τὰ πολλὰ συνῆν τῷ Πατριάρχῃ Θεοφάνει, ὥστε ἐν τῷ ἀποθνήσκειν τὸν Θεοφάνη παραγγεῖλαι ἵνα ποιήσωσιν αὐτὸν διάδοχον αὐτοῦ, εἰ καὶ ἀπέτυχε τῆς διαδοχῆς. οὗτος οὖν ὁ Νικόλαος ἦν τότε ἐν τῇ Ἰβηρίᾳ, ὅστις, καὶ ὁ Μοκφέλος λαβόντες τὸν Δεσπότην, μετάγουσιν αὐτὸν εἰς τὸ καθολικὸν Παλάτιον τοῦ Δαδιάνου, οἱ γὰρ Μεγγρέλοι Αὐθένται χώραν κατοικίδιον οὐκ ἔχουσιν, ἀλλὰ Παλάτια ἐν πολλοῖς τόποις, καὶ τὸ καθολικὸν Παλάτιον αὐτῶν λέγεται ΖΟΥΓΔΗΤΙΟΝ. ἐκεῖ οὖν ἐνέτυχεν ὁ Δεσπότης τῷ Δαδιάνῳ Βάμεχ, καὶ Ἑλένῃ τῇ γυναικὶ αὐτοῦ, καὶ ἔπειτα δέδοται κατάλυμα τῷ Δεσπότῃ τὸ Κοσχέρη Μετόχιον τοῦ Σταυροῦ, καὶ τῶν ἐν Ἱεροσολύμοις Ἰβήρων. ὑπὸ δὲ τῆς κακοπαθείας ἠῤῥωστήσαμεν, καὶ πεπόνθαμεν πολλὰ δεινά.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ ΙΓ'.

Περὶ τῆς ἀπὸ τῦ Κοσχέρη εἰς τὸ Κετατίσιον τὴν πόλιν μεταβάσεως τῦ Παϊσίε πρὸς τὸν Μέπεε Ἀλέξανδρον, καὶ ὧν εὑρίσκονται ἐν τῷ Μοναστηρίῳ Κελάτῃ θείων κειμηλίων κατ' εἶδος, καὶ περὶ τῦ ἐν τῷ Μοναστηρίῳ Χώπη λειψάνε τῦ ἁγίε Κηρύκε, καὶ τῦ ὑποκαμίσε τῆς Θεοτόκε, καὶ τῦ ἐν αὐτῷ θαύματος.

Ἐκεῖθεν δὲ ἀπήλθομεν εἰς τὸ Κετατίσιον, πόλιν πρώτην Ἰμερετίε, ἧς μέμνηται καὶ Πρωκόπιος βιβλίῳ τετάρτῳ τῶν Γοτθικῶν, ἦν δὲ Μέπες ὁ Ἀλέξανδρος, ὅστις, ὄντων ἡμῶν ἐκεῖ, ἔφθειρον, ὀλίγες ἄγων Ἰβήρες, μυριάδας ἐθνικὰς καὶ Γυαρελέλας. παρεχείμασε δὲ ὁ Πατριάρχης ἐν τῷ Μοναστηρίῳ Κελάτῃ, κειμένῳ ἐπάνω τῦ Κετατισίε ὡσεὶ ὥρας τρεῖς. ἐστὶ δὲ τὸ Μοναστήριον τῦ Κετατισίε Κελάτη ᾠκοδομημένον ὑπὸ τῶν Βασιλέων τῶν Ἰβήρων σὺν ἐκ τοφίε αὐτῶν, καὶ ἱσορημένον ὑπὸ Ἑλλήνων καὶ Ἰβήρων ζωγράφων θαυμασίως, καὶ ἔνδον ἐν τῇ ἁγίᾳ τραπέζῃ κατὰ Ἀνατολὰς ἐστὶν εἷς λίθος ἀπὸ τῶν τῦ Κυρίε, ὃν ὁ μέγας Κωνσταντῖνος τοῖς Ἰβηρσιν, ἐν τῷ καιρῷ αὐτῦ χειροτονήσασιν, ἀπέστειλεν αὐτὶ πολυτίμε δώρε, καὶ ἐστὶν ἐσφραγισμένος τῇ σφραγῖδι τῦ Βασιλέως. καὶ ἔξωθεν τῦ Τέμπλε ἐξ ἀριστερῶν τῦ δεσποτικῦ ἐστὶν Εἰκὼν τῆς Θεοτόκε ὀρθή, ἔχουσα τὸν Χριστὸν ἐν ἀγκάλαις, καὶ εἰς Βασιλέως γεγονατωμένος ἐμπροσθεν αὐτῆς, ἐχούσης ἐν τῇ κεφαλῇ αὐτῆς σὺν Ἀνθρακα χρυσὸν ὡσεὶ ὠὸν Πέρδικος ἀτίμητον, ἐνῳ δὲ τῷ δεξιῷ μέρει τῆς Εἰκόνος ἐστὶν εἷς Σταυρὸς χρυσῦς, ὅλος κατάπασος λίθων πολυτίμων, ὧν οἱ πλέονες εἰσὶ Σμάραγδοι καὶ Σάπφειροι, καὶ πάντες μεγάλοι, κατὰ δὲ τὸ μέσον ἔχει σμικροτάτην χρυσῆν πλάκα, καὶ λέγεται εἶναι τὸν χρυσὸν, ὃν προσεκόμισαν οἱ Μάγοι δῶρον τῷ καθ' ἡμᾶς καὶ δι' ἡμᾶς ἀνθρωπήσαντι Θεῷ Λόγῳ εἰς τὴν Βηθλεέμ. ἐν δὲ τῇ ἄκρᾳ τῦ Τέμπλε ὑψοῦ ἐπὶ τῦ δεξιύμε μέρους ἐστὶ μία Εἰκὼν τῆς Θεοτόκε μετὰ θυρίδων, ἔσωθεν καὶ ἔξωθεν κεχρυσωμένη, ἔσωθεν ὅμως ἐστὶν ὅλη κατάπασος πολυτελῶν λίθων μεγάλων, ὁ δὲ σέφανος αὐτῆς ἐστὶν ἐκ λίθων στρογγύλων Σαρδίων, ἃς τυρκιστὶ φασὶ λέγεσθαι λαλ, μεγάλων σχεδὸν ὡσεὶ ὠῶν, παντῶν πολυτίμων, ἔλεγον δὲ ὅτι ἐστὶν ἱστορία τῦ λαοῦ ἡ Εἰκών. ἐμείναμεν ἓν ἐκεῖ ἱκανὸν ἡμερῶν, ἐν δὲ τῶν Θεοφανείων προσεκαλέσατο ὁ Μέπες τὸν Δεσπότην ἑορτάσαι ὁμοῦ τὴν ἑορτὴν ἐν χωρίῳ Γυάρελαν καλυμμένῳ, κατὰ τὸ Καρτελι κειμένῳ ἀπὸ Κετατισίε, καὶ χειροτονῆσαι καὶ Κινατέλον, ἤτοι Ἐπίσκοπον τῦ Κελάτη Μοναστηρίε, ἔνθα ἦμεν δηλαδή. εἰς δὲ τὸ Καρτελι ἀπήλθομεν, ἦν γὰρ ὁ ἐκεῖ Μέπες Ὀθμανὸς, καὶ ἐφοβήθη ὁ Δεσπότης, ἵνα μὴ οἱ Ἀρμένιοι (μεθ' ὧν εἶχε τότε τὸν πόλεμον ὁ Μέπες Ἀλέξανδρος) κατασκοπεύσωσι τέχνασμα, καὶ λάβῃ αὐτὸν εἰς τὸ Ἰσπαχάν ὁ Περσάρχης, ἀλλὰ τῷ καιρῷ τῦ χειμῶνος ἦλθομεν εἰς τὴν Μεγγρελίαν, εἰς τὸ Μοναστήριον Χώπη, καὶ ἐμείναμεν ἐκεῖ ἱκανὰς ἡμέρας. ἐστὶ δὲ τὸ Μοναστήριον ἐκεῖνο πρὸς δύσιν τῦ Ζαγδατίε, κατὰ τὴν Γυαρίαν δηλονότι, καὶ ὠνομάσθη Χώπη ἀπὸ τῦ ποταμῦ τῦ παρακειμένε αὐτῷ ποταμῦ, Χώπη λεγομένε, τὸ δὲ Χώπη ἐξελληνιζόμενον κώπη λέγεται, οἱ γὰρ Ἴβηρες τὴν κώπην τρέπῃ τὸ Κ. εἰς Χ. χώπην λέγουσιν. ἐστὶ δὲ ἐν αὐτῷ τῷ Μοναστηρίῳ διάφορα λείψανα ἁγίων, ὧν ἐμέμνημαι, πλὴν δύο λιθῶν, ἐνὸς μὲν, τῦ λειψάνε τῦ ἁγίε Κηρύκε, ὃ τὸ πλεῖσον μέρος εὑρίσκεται ἐν αὐτῷ τῷ Μοναστηρίῳ. δευτέρε δὲ, ἑνὸς ὑποκαμίσε παντὸς πύκνωσιν βαθεῖαν ἔχοντος, καὶ οἷα τὰ σήμερον ἐν Ἱεροσολύμοις ὑφανόμενα παντία, καὶ μικρὸν τρίχηλον, καὶ ἐν τῷ κάτω μέρει κατατετριμμένε ὄντος, καὶ ἐνὶ λεπτῷ κιβωτίῳ εὐδοκίμε ἐσφραγισμένῳ τῇ αὐθεντικῇ σφραγῖδι κειμένε, ὅπερ ἐδόκει τοῖς ὁρῶσιν αὐτὸ εἶναι καινὸν, βούλεται δὲ ἡ παράδοσις εἶναι τοῦτο ὑποκάμισον τῆς Παναγίας Θεοτόκε. οἱ δ' ἐκεῖ γέροντες ἔλεγον, ἐνθυμεῖσθαι μέζονα μὲν ὑπάρξαι ἢ ὡς νῦν ἔχει τὸν τρίχηλον τὸ ὑποκάμισον, σμικρυσμένον δὲ καθ' ὀλίγον ἑκάστε, τὸ δ' αἴτιον μόνος οἶδεν ὁ Κύριος.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΔ'.

Περὶ τῦ ἀπὸ τῦ ποταμῦ Κώπη εἰς τὴν Θάλασσαν καὶ εἰς τὸν Φάσιν ποταμὸν κατάπλε τῦ Πατριάρχε Παϊσίε ἕως τῦ Κυπελέτη ἐκ τῆς σκάλας Γυαρέας, ἐν ᾧ ὁ τῆς Γυαρέας Αὐθέντης Καηχόσρος καὶ ἡ μήτηρ αὐτῦ καὶ αἱ ἐν τῷ μετὰ Ἀλεξάνδρε πολέμῳ φονευθέντων γυναῖκες ἐμέμψαντο τὸν Ἀλέξανδρον πρὸς τὸν Πατριάρχην, καὶ περὶ τῦ Φάσιδος ποταμῦ, καὶ τῶν Φρυγίων Πέτρας καὶ Ἀψύρτε, καὶ Δατὶ λέγεται Ἄψυρτος.

Ἐκεῖ λοιπὸν ἐν τῷ Μοναστηρίῳ Χώπη κατὰ τὴν μεγάλην Τεσσαρακοστὴν γενομένης τῆς ἑτοιμασίας τῦ πλῦ, ἐπέβημεν ἀκατίῳ ἰβηρικῷ, καὶ διὰ τῦ Χώπη ποταμῦ (ὅς ἐστι μέγας, οἷον ὁ ἐν Μολδοβλαχίᾳ ποταμὸς ὁ ΣΕΙΡΕΤΙ λεγόμενος, ἢ ὁ τὴν Μοψυεστίαν διαῤῥέων Πύραμος) κατέβημεν εἰς τὴν θάλασσαν, δι' ἧς εἰσήλθομεν εἰς τὸν ποταμὸν Φάσιν, ὃν οἱ Ἴβηρες κοινῶς Ῥιόνι καλοῦσι, Νῆσος πολλὰς καὶ διαφόρα σώματα ἔχοντα, καὶ μέγαν σχεδὸν ὄντα ὥσπερ τὸ τῦ Δουνάβεως σῶμα, τὸ ἐμβάλλον εἰς Κιλίαν. περὶ δὲ τῦ ποταμῦ τούτε πολλὰ λέγεται τῷ Γεωγράφῳ Στράβωνι καὶ Καισαρεῖ Προκοπίῳ. ἔστι δὲ μεθόριον ὁ Φάσις τῆς Μεγγρελίας καὶ Γυαρέας. ἀληθεύει δὲ ὁ Στράβων, λέγων ἐξέρχεσθαι τὸν Φάσιν ἀπὸ τῆς Μοσχικῆς. καὶ ὅλη ἀπὸ Φάσιδος ἕως διαπλῦ ἡμερῶν τεσσάρων ἐστὶν ὁ Κύρος ποταμὸς

μὸς πλωτὸς, ἐπειδὴ ὁ Φάσις κατέρχεται ἀπὸ τῶν Καυκασίων ὀρῶν διὰ τοῦ Ἰμερετίου, καὶ ὁ Κύρος κατωτέρω τοῦ Τιφλιζίου οὐκ ἔστι πλωτὸς, διὰ τὸ ἑνοῦσθαι αὐτὸν τῷ Ἀράγῳ ποταμῷ κατὰ τὴν Σχέταν, καὶ προσλαμβάνειν καὶ ἄλλους ποταμοὺς, καὶ κάτωθεν τῆς πόλεως Γγεκίας ἑνοῦσθαι τῷ Ἀράξῃ, ὅμως ἀνωτέρω τῆς Σχέτης τῷ τοῦ θέρους καιρῷ διαβαίνουσιν οἱ ἄνθρωποι τὸν Ἄραγον ποταμὸν ἱππόται, καὶ δὴ καὶ τὸν Κύρον ποταμὸν ἡμεῖς ἱππόται διέβημεν τῷ Αὐγούστῳ Μηνὶ ἀνωτέρω τοῦ κάστρου Κόρη λεγομένου, κειμένου ἕως διαστήματος ἡμέρας ἄνω τοῦ Τιφλιζίου. ἀπὸ οὖν τοῦ Φάσιδος αὖθις ἤλθομεν εἰς τὴν Σκάλαν τῆς Γγουρίας Κουπουλέτη λεγομένην, καὶ διὰ τοῦ ἐκεῖ ποταμοῦ πορευθέντες ἕως διαστήματος ὡρῶν δύο, κατελύσαμεν εἰς Ἐκκλησίαν καὶ οἰκίας αὐθεντικὰς, ἐκεῖ οὔσας, τῇ εἰκοστῇ δευτέρᾳ Μαρτίου, ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ἐνάτῳ. ἦλθε δὲ ἐκεῖσε καὶ ὁ Αὐθέντης Γγουρίας Καηχόστρος, καὶ ἐνέτυχε τῷ Δεσπότῃ δεινοπαθῶν καὶ μεμφόμενος τὸν Ἀλέξανδρον, τὸν νικήσαντα αὐτὸν ἐν τῷ πολέμῳ. ἦλθε δὲ καὶ ἡ μήτηρ αὐτοῦ, καὶ ἄλλαι γυναῖκες Ἀρχόντων, τῶν ἀναιρεθέντων ἐν τῷ πολέμῳ, φοροῦσαι κιλίκια καὶ δέρματα. ἔστι δὲ ἐκεῖ ἐν τῷ Κουμπουλέτῃ κατὰ Ἀνατολὰς ὡσεὶ ὥρα μία ἢ καὶ πλεῖον τὸ κάστρον ἡ Πέτρα; περὶ ἧς ἐγένοντο οἱ πολυθρύλλητοι πόλεμοι Ἰουστινιανοῦ καὶ τοῦ Περσάρχου, καὶ κατηναλώθησαν πολυαρίθμα Στρατεύματα καὶ Στρατηγῶν πλῆθος, καὶ τὰ κύκλῳ ἐκεῖ ἔθνη καὶ φυλαὶ γεγόνασιν ἄνω καὶ κάτω. εἶχε δὲ ἡ Πέτρα λιμένα τὸν ἤδη λεγόμενον Μπατώνη, κατὰ Ἀνατολὰς κείμενον αὐτῆς, εἰ καὶ μὴ ἐγγύς. ἔστι δὲ ἡ Πέτρα νῦν καταπεπτωκυῖα. διέχει δὲ αὐτῆς ἡ Ἄψυρτος πόλις ἡμέρας ὁδὸν κατὰ τὸν Προκόπιον. ἀπὸ δὲ Ἀψύρτου ἕως τῆς Ἀθήνης ἐστὶν ὁδὸς τριῶν ἡμερῶν. λέγεται δὲ Ἄψυρτος, καθότι ἐκεῖ ἐξ ἐπιβουλῆς Μηδείας καὶ Ἰάσονος ὁ Ἄψυρτος ἠφανίσθη.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΕ'.

Περὶ τοῦ ἀπὸ Γγουρίας εἰς Τραπεζοῦντα κατάπλου τοῦ Πατριάρχου Παϊσίου, κἀκεῖθεν εἰς Τρίπολιν, Ἴνεος, Σινώπην, Ταφόνησον, Κελλὴ, καὶ αὖθις εἰς Σινώπην ἀκουσίως, κἀκεῖθεν δι' Ἰωνοπόλεως, Ἀμάστριδος, Ποντοηρακλείας, καὶ Χηλῆς εἰς Νεοχώριον, καὶ περὶ τῶν μεταξὺ τοῦ κατάπλου συμβάντων.

Ἤλθομεν εἰς Τραπεζοῦντα Μηνὶ Μαΐῳ, ἔτει χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ἐνάτῳ, καὶ ἐδεξιώθημεν ἱκανῶς, καὶ ἡ Γερουσία ἐβοήθησε τῷ Δεσπότῃ ἔργῳ καὶ λόγῳ, καὶ τὸ κοινὸν τῶν Χριστιανῶν ἠλέησεν αὐτὸν κατὰ δύναμιν, ἐν πάσαις τῶν γειτονιῶν Ἐκκλησίαις προσκληθέντα καὶ ἱερουργήσαντα, καὶ ἐν τῷ Μοναστηρίῳ τῆς Θεοτόκου ὁμοίως, τῷ ΘΕΟΣΚΕΠΑΣΤΟΣ λεγομένῳ. τοῦ δὲ Πασσᾶ, ἤτοι Ἐπάρχου βουληθέντος ἐπηρεάσαι τὸν Δεσπότην, ὁ τότε Τραπεζοῦντος Κατὴς, ἤτοι κριτὴς, ἐπειδὴ ἦν ποτε Ναήπης, ἤτοι ἐπίτροπος Κριτοῦ τινὸς τῆς Ἱερουσαλὴμ, καὶ τῷ Δεσπότῃ γνωστὸς, θείᾳ νεύσει ἠλευθέρωσεν αὐτὸν τῆς καταδυναστείας τοῦ Ἐπάρχου. ἐκεῖθεν οὖν περί που τὰς τελευταίας ἡμέρας τοῦ Μηνὸς Ἰουνίου ἀνήλθομεν εἰς τὰ ὄρη, καὶ διὰ δύο ἡμερῶν ἐφθάσαμεν εἰς τὸ Μοναστήριον τοῦ Σουμελᾶ, κείμενον ἐπὶ κρημνῶν καὶ δυσβάτων τόπων, εἰς ὃ οἱ ἐπιδημοῦντες διακλίμακος εἰσέρχονται. ἐκεῖθεν δὲ μετέβημεν εἰς τὸ Κάνιν, εἶτα ὑπεστρέψαμεν εἰς Τραπεζοῦντα τῇ ἡμέρᾳ τοῦ ἁγίου Ἠλιοῦ, καὶ ἐλειτουργήσαμεν ἐν τῇ ἐπ' ὀνόματι τοῦ ἁγίου Φιλίππου λεγομένῃ Ἐκκλησίᾳ τῆς Μητροπόλεως, γενομένης συναγωγῆς παντὸς τοῦ λαοῦ. κἀκεῖθεν ἐπλεύσαμεν εἰς Τρίπολιν, κἀκεῖθεν εἰς τὸ Ἴνεος, κἀκεῖθεν εἰς Σινώπην, ἔπειτα ἐπιβάντες πλοίῳ ἀπελθεῖν εἰς Δούναβιν, ἐβούλετο γὰρ ὁ Δεσπότης ἀπιέναι εἰς Βλαχομπογδανίαν, καὶ Μηνὶ Σεπτεμβρίῳ τῆς Σινώπης ἐξελθόντες, ἤλθομεν εἰς τὴν Ταφόνησον τὸν Μπαλουκλαβὰν, οὗ ὁ λιμὴν πανεύμορφος. ἦσαν δὲ ἐκεῖ καὶ Χριστιανοὶ εὐλαβεῖς, καὶ Μοναστήριον ἐν τοῖς νοτικοῖς μέρεσι τοῦ λιμένος κείμενον, κατὰ τὴν ἀκρώρειαν σχεδὸν τοῦ ὄρους, τοῦ ἁγίου Γεωργίου, αὕτη ἐστὶν ἡ Ἁγία ἡ ἀντικρὺ τῆς Καράμπιος. ἐμείναμεν δὲ ἐκεῖ ἱκανὰς ἡμέρας, ὅμως σχεδὸν κεκρυμμένοι, ἐφοβούμεθα γὰρ, ἵνα μὴ ἡ ἐκεῖσε ἡμῶν ἐπιδημία φανερὰ γένηται τῷ Χαίνῃ. καὶ πάθομεν οἷα πέπονθεν ὁ κὺρ Θεοφάνης ἀποπλεύσαντες οὖν ἐκεῖθεν διὰ τοῦ ἰδίου πλοίου, ἤλθομεν εἰς τὸ Κελλή. ἦν δὲ Ἡγεμῶν Βλαχίας ὁ Μίχνας, ὅστις ἐπειδὴ ἀπεστάτησε τῆς ὑποταγῆς τῶν Ὀθωμανῶν, καὶ ἦσαν πόλεμοι, ὁ Δεσπότης ἐπέβη πλοίῳ, ἵνα ἀπέλθῃ εἰς Βάρναν, ἐξελθόντες δὲ τοῦ λεγομένου Σελήνα στομίου τοῦ Δουνάβεως ἡμέρᾳ Τρίτῃ, Ὀκτωβρίου ὀγδόῃ, καθ' ἣν ἡ τῆς ἁγίας Πελαγίας μνήμη, τρικυμίας γενομένης, διεκινδυνεύσαμεν τὰ μέγιστα, ἀπολέσαντες καὶ τὴν Λέμβον τοῦ πλοίου κατὰ τὸ μέρος τῆς Ποντοηρακλείας, καὶ πάλιν ἀπήλθομεν καὶ ἄκοντες εἰς τὴν Σινώπην, κἀκεῖθεν ἐπιβάντες πλοίῳ, δι' Ἰωνοπόλεως καὶ Ἀμάστριδος καὶ Ποντοηρακλείας καὶ Χηλῆς ἤλθομεν εἰς τὸ Νεοχώριον Νοεμβρίου ἑβδόμῃ.

ΠΑΡΑΓΡΑΦΟΝ Ιϛ'.

Περὶ τῶν ἀδικιῶν καὶ φόνων τοῦ Βελλῆ Πασσᾶ εἰς τοὺς ἐν Ἱερουσαλὴμ Ὀθωμανοὺς, Χριστιανοὺς, καὶ τὸν ἅγιον τάφον, καὶ πάντα τὰ Μοναστήρια, ὄντος τοῦ Παϊσίου ἐν Ἰβηρίᾳ.

Ἰστέον

ΠΕΡΙ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ

1204

Ἰστέον ὅτι ὅτε ἦν εἰς Ἰβηρίαν ὁ Δεσπότης Παΐσιος, ἦν Ντευτερνταρής, ἤτοι πρωτοβεστηάριος τῆς Βασιλείας τῶν Ὀθωμανῶν ὁ Ἰμπραὴμ Πασσᾶς (ὅστις ὕστερον ἐχρημάτισε καὶ Αὐγουστάλιος Αἰγύπτου) οὗ ὁ νεώτερος ἀδελφὸς ὀνόματι Βελλὴς ἦν Φλαμουριάριος ἐν Ἱεροσολύμοις (ὃν ὕστερον γεγονότα Σεβαστείας Πασσᾶ, καὶ ἀδικοῦντα πολλοὺς, ἀπέκτεινεν ὁ Κιοπρουλής) βάρβαρος ὅμως τοῖς τρόποις καὶ μωρὸς, καὶ τοσοῦτον ἠδίκησεν Ὀθωμανοὺς καὶ Χριστιανοὺς, ὥστε οὔτε πρῶτον οὔτε ὕστερον ἕως τοῦ νῦν ἐξ ὅτου οἱ Ὀθωμανοὶ τῆς Ἱερουσαλὴμ ἐκυρίευσαν ἐλυληθέναι εἰς τὴν ἁγίαν πόλιν ὅμοιον αὐτῷ ἀδικητήν. ἐκρύβη ὅμως ὁ ἐπίτροπος τοῦ ἁγίου τάφου, ἦν δὲ οὗτος ὁ προῤῥηθεὶς Ἄνθιμος, ὁ δὲ Βελλὴς ζητῶν χρήματα παρὰ τῶν Μοναχῶν, ἐκρέμασεν ἐξ αὐτῶν τινὰς ἔνδον ἐν τῷ συνοδικῷ τοῦ Πατριαρχείου. μεθυσκόμενος δὲ οἴνῳ, εἰσήρχετο ἔσω τῆς Ἐκκλησίας τοῦ ἁγίου Κωνσταντίνου, καὶ λαμβάνων τὸ θυμιατήριον ἐθυμία. ἔπινε δὲ τὸν οἶνον ἀδεῶς καὶ φανερῶς, τὸ παράπαν μὴ αἰσχυνόμενος. οἱ δὲ πλείονες τῶν πατέρων ἔφυγον κάτω εἰς τὸ Ῥέμπλι καὶ τὴν Ἰόππην, παθόντες καὶ ἄλλα τοιαῦτα κακὰ πολλὰ, οἵτινες τότε διὰ τῆς θυρίδος τοῦ Πατριαρχείου ἐχάλασαν μερικὰ κιβώτια, ἔχοντα ἔνδον ἱερὰ σκεύη, ἔσω τοῦ ἁγίου τάφου χάριν φυλάξεως, διασπασθέντος δὲ τοῦ σχοινίου, συνεθλάσθησαν καταπεσόντα τὰ κιβώτια, καὶ συνετρίβησαν σχεδὸν διακόσια ἱερὰ σκεύη ἐκλεκτὰ, Κιβώτια ἀργυρᾶ καὶ Θυμιατήρια καὶ Σταυροὶ πανεύμορφοι, καὶ ἄλλα ἀξιόλογα σκεύη. ὁ δὲ τύραννος Βελλὴς συλλαβὼν Ἑβραῖον τινὰ, καὶ φονεύσας αὐτὸν ἀδίκως, ἔλαβε καὶ πάντα τὰ πράγματα αὐτοῦ, ἐν οἷς ἦσαν καὶ μερικὰ Κιβώτια μετὰ πολυτίμων πραγμάτων τοῦ ἁγίου τάφου, ἅπερ ὁ Ἑβραῖος δεδωκὼς δανειακῶς χρήματα τῷ ἁγίῳ τάφῳ, εἶχεν ἐνέχυρα. ἔλαβεν οὖν κἀκεῖνα ὁ Βελλὴς, καὶ ἠφάνισεν αὐτὰ, ὧν καὶ ἕως τῆς σήμερον ὑστερεῖται ὁ ἅγιος τάφος. ἀλλὰ καὶ ἀνθρώπους τινὰς ὁ Βελλὴς οὗτος ἀποκτείνας, ἔῤῥιψε τὰ σώματα αὐτῶν παρὰ τὰς θύρας τῶν Μοναστηρίων, καὶ ἔλαβεν ἀδίκως παρὰ τῶν Μοναστηρίων χιλιάδας γροσίων ποσότητα, ὅσα δὲ χρήματα ζημιώσας ἡμᾶς ἔλαβε (χωρὶς τῶν συνθλασθέντων ἱερῶν σκευῶν, καὶ ὧν ἔφερον ἔνδον τὰ τῷ Ἑβραίῳ ἐνεχυρασθέντα κιβώτια πολυτίμων πραγμάτων ἅπερ ὁ Βελλὴς αὐτὸς ἔλαβεν) εἰσὶν ὀκτωκαίδεκα χιλιάδας γρόσια, ὧν τῆς ποσότητος ὁ τόκος ὕστερον πενταπλασίως ἐπλεόνασε, σὺν τόκῳ γὰρ λαβόντες οἱ πατέρες τοῦ ἁγίου τάφου ταῦτα τὰ χρήματα, τῷ Βελλῇ τυραίνῳ δεδώκασι τυραννούμενοι, οἵτινες, καὶ ἄλλοι πολλοὶ ἀπῆλθον εἰς τὴν Προῦσαν ὄντος τότε ἐκεῖ τοῦ Σουλαίου ὁμοῦ καὶ τοῦ Βεζύρη, καὶ ἀνέφερον μετὰ κλαυθμοῦ τῷ Βεζύρῃ τοῦ Βελλῇ τὴν τυραννίαν, ὃν παραλύσας τῆς ἀρχῆς ὁ Βεζύρης, κατέστησεν ἄλλον εἰς Ἱεροσόλυμα Ἡγέτην.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΖ'.

Ὅτι ὑπὸ τοῦ Κεχαγιάμπεϊ καὶ τοῦ Ῥεΐζ Ἐφέντη, τῶν λαβόντων ἀργύρια παρὰ τῶν Ἀρμενίων, καὶ μάλιστα ὑπὸ τοῦ Ἑρμηνέως Παναγιωτάκη τοῦ σκανδαλισθέντος μετὰ τοῦ Παϊσίου ἀπατηθεὶς ὁ Κιοπρουλὴς, ἔδωκε δι' ὁρισμοῦ τοῖς Ἀρμενίοις τὸν ἅγιον Ἰάκωβον.

Οἱ Ἀρμένιοι μετὰ τὸ λαβεῖν τοὺς Ῥωμαίους τὸν ἅγιον Ἰάκωβον, ἔσπευδον πολυτρόπως πάλιν αὐτὸν λαβεῖν, οὐκ ἦν δὲ δυνατόν. τέλος πάντων ὑπεσχέθησαν πλῆθος χρημάτων τῷ Κεχαγιάμπεϊ Σουλεϊμᾶν Ἀγᾶ, ἤτοι τῷ ἐγκρίτῳ ἐπὶ πασῶν τῶν ὑποθέσεων τοῦ πεζικοῦ Στρατοῦ δούλῳ τοῦ Βασιλέως, καὶ τῷ Ῥεΐζ Ἐφέντη, ἤτοι τῷ μέγα Λογοθέτῃ τῆς Βασιλείας (οὓς ἄμφω ἡ δίκη μετέπειτα κακῶς ἀπέκτεινεν) ἦν δὲ καὶ ὁ Παναγιωτάκης ὁ μέγας Ἑρμηνεὺς τῆς Βασιλείας ὀλίγον ἐσκανδαλισμένος ἐπὶ τῷ Δεσπότῃ, συνεφώνησαν οὖν οὗτοι οἱ τρεῖς, καὶ ὁ μὲν Κεχαγιάμπεϊς καὶ ὁ Ῥεΐζ Ἐφέντης πορευθέντες πρὸς τὸν Κιοπρουλῆ, εἶπον αὐτῷ, ὅτι αὐτὸ τὸ Μοναστήριον (τοῦ ἁγίου Ἰακώβου) εἶχον οἱ Ἀρμένιοι πρὸ τριακοσίων ἐτῶν, καὶ ἔλαβον αὐτὸ οἱ Ῥωμαῖοι ἀδίκως, μάλιστα οὐκ ἔλαβον αὐτὸ δι' ὁρισμοῦ, ἀλλὰ τῇ δυνάμει τοῦ ἀποστάτου Ταγιάρογλι (ἦν δὲ οὗτος Πασσᾶς τῆς Δαμασκοῦ, ὁ συναποστατήσας τῷ Ἀμπαζᾷ Χασᾶν Πασσᾷ, οὓς ἀπέκτεινεν ὕστερον ὁ Κιοπρουλὴς) ἐπειδὴ καὶ δολίως τὴν περὶ τούτου ὑπόθεσιν ἀνέφερον τῇ σῇ ἐνδοξότητι. ὁ δὲ Βεζύρης ἵνα μὴ ἀπατηθῇ, ἐκάλεσε μυστικῶς τὸν Παναγιωτάκην, καὶ ἠρώτησεν αὐτὸν ὡς δῆθεν Ἑρμηνέα καὶ Ῥωμαῖον μαθεῖν παρ' αὐτοῦ τὴν ἀλήθειαν, μὴ εἰδὼς τὴν μετὰ τῶν ἀνωτέρω δύο συμφωνίαν αὐτοῦ καὶ ὁμόνοιαν. ὁ δὲ Παναγιωτάκης ἀποκριθεὶς εἶπεν αὐτῷ, ὡς εἶπον τῇ σῇ ἐνδοξότητι ὁ Κεχαγιάμπεϊς καὶ ὁ Ῥεΐζ Ἐφέντης, οὕτως ἔχει ἡ ἀλήθεια. ἔδοξεν οὖν τῷ Βεζύρῃ πεποιηκέναι ἀδικίαν τοῖς Ἀρμενίοις, ὅθεν δέδωκεν ὁρισμὸν λαβεῖν ὀπίσω τοὺς Ἀρμενίους τὸν ἅγιον Ἰάκωβον, καὶ ἐπειδὴ οὗτος ὁ ὁρισμὸς ἀκυρῶσαι τὸ Χὰτ Σερίφ, ἤτοι τὸ τῇ χειρὶ τοῦ Βασιλέως βεβαιωθὲν πρόσταγμα οὐκ ἐδύνατο, ὅπερ ἔλαβε κριθεὶς ἐν τῷ βασιλικῷ βήματι ὁ Παΐσιος, ἔγραψεν ὁ Παναγιωτάκης γράμματα πρὸς τὸν Ἄνθιμον εἰς Ἱεροσόλυμα δοῦναι τοῖς Ἀρμενίοις τὸν ἅγιον Ἰάκωβον κατὰ τὸν ὁρισμὸν, ἵνα μὴ ἐμβληθῇ εἰς τὸ κάτεργον. ἐπέμφθη οὖν ὁ ὁρισμὸς εἰς Ἱεροσόλυμα, ὁ δὲ Κριτὴς οὐκ ἐδέξατο αὐτὸν, οὔτε ἐκύρωσεν, ᾔτησε δὲ μόνον τὸν Ἄνθιμον τριακόσια γρόσια, καὶ εἶναι πάλιν τὸ Μοναστήριον τοῦ ἁγίου Ἰακώβου ἐν τῇ ἐξουσίᾳ τῶν Ῥωμαίων. ὁ κατηραμένος ὅμως Ἄνθιμος ἔχθραν παλαιὰν τῷ Πατριάρχῃ φυλάττων, ἐπορεύθη πρὸν τὸν Κριτὴν καὶ εἶπεν αὐτῷ, ὅτι τὸ Μοναστήριον ἐστὶ τῶν Ἀρμενίων, καὶ λαβέτω-

σαν

σαν αὐτὸ, καὶ ἕτω πάλιν οἱ Ἀρμῶνιοι ἔλαβον τὸν ἅγιον Ἰάκωβον, καὶ ἐν τῇ Βηθλεὲμ πόρταν καὶ κῆπον καὶ δύο οἴκους τῶν Χαμπεσίων, καὶ Ἀρμενάτσι ταῦτα ἕως τῆς σήμερον.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΗ'.

Περὶ τῆς ποινικρᾶς γονῆς καὶ πατρίδος καὶ ἀνατροφῆς καὶ αὐθεντίας εἰς Βλαχίαν τὸ Μίχνα, καὶ ὧν ἐργάσαο φόνων τὸς Ἄρχοντας Βλαχίας, καὶ τῆς ἀποδράσεως αὐτοῦ καὶ φυγῆς εἰς Οὐγγρίαν καὶ Φαρμακεύσεως.

Ὁ ῥηθεὶς Μίχνας ἐκαυχᾶτο εἶναι γὸς τοῦ ἐπὶ τοῦ Σελταὶν Ὀσμαὶν Βλαχίας καὶ Μπογδανίας Ἡγεμονεύσαντος Ῥάδυλ Βοεβόδα, ὡς δ' ὁ ἀληθὴς ἔχει λόγος, ἦν ποινικρᾶς Ἰωαννίτης ἀνδρὸς γὸς, ὃν ἀποποιησάμενον εἶναι αὐθεντόπαιδα περιεποιήσατό τις Σελταΐα, ἤτοι βασιλὶς, γυνὴ τοῦ Καλαὶν Παοᾶ, ἔχουσα τὸ Παλάτιον αὐτῆς πλησίον τοῦ Ἐσκὶ Σαραγίου, ἤτοι τοῦ παλαιοῦ Παλατίου τοῦ βασιλικοῦ· καὶ δὴ ἀποθανόντος τοῦ Ματαὶν Βοεβόδα τοῦ Αὐθεντεύσαντος τῆς Οὐγγροβλαχίας, καὶ ἀνδρὸς θελήματος τῆς βασιλείας, ἀλλὰ τῇ τοῦ Κράλη τῆς Οὐγγρίας Γεωργίου ῥακοβέτζα βοηθείᾳ γενομένου αὐθεντεύσαντος τοῦ Κωνσαντίνου, τοῦ υἱοῦ ποτὲ Σερμπανοῦ Βοεβόδα, καὶ μνυθεύτος ἐλθεῖν τοῦ Κιοπρυλῆ ἀπελθεῖν εἰς Κωνσαντινούπολιν, καὶ ἀσπάσασθαι τὴν βασιλικὴν χεῖρα, ἤτοι λαβεῖν τὴν ἀποκύρωσιν καὶ τὰ σύμβολα τῆς Αὐθεντίας, καὶ μὴ θελήσαντος ἀπελθεῖν, ἐποίησεν ἀποφασιν ὁ Κιοπρυλὴς ἐκβαλεῖν αὐτὸν τῆς αὐθεντίας, ἀλλὰ πάλιν Αὐθεντεῦσαι Βλάχον ποιῆσαι, διὰ τὸ συχνάκις γίνεσθαι τοὺς τοιούτους ἀποστάτας, ἐκ ἤθελον, ὅθεν σωβρεμὴ τινῶν φίλων ἐποίησεν Αὐθεντεῦσαι τῆς Βλαχίας τὸν ἐρημίτην Μίχναν, ὅστις ἀπελθὼν εἰς τὴν Βλαχίαν, ἅτε δὴ ὢν, οἷος ἦν αὐτεθραμμένος καὶ ἀνεκκλησίαστος, ἔχων φυσικὴν κακότητα καὶ τύφον, πρῶτον μὲν ἐσέφθη ἐκεῖ ὡς Βασιλεὺς, ἔπειτα ὑπὸ συμβουλῆς τῶν παρ' αὐτῷ μιαρῶν, καὶ ἀφοβίας Θεοῦ, κτείνει ὅλους τοὺς μεγάλους Ἄρχοντας μιᾷ νυκτὶ ἐν Τεργοβύσῳ (πλὴν Κωνσαντίνου τοῦ Καντακουζηνοῦ, ὅστις χάριν ᾧ ἔχει φυγὼν) ζητοῦντος δὲ τοῦ Κιοπρυλῆ παρ' αὐτοῦ τὸν βίον τῶν Ἀρχόντων, καὶ μεμφομένου αὐτῷ ἀποκτείναντι αὐθαιρέτως τῆς Βασιλείας τοιούτους καὶ τηλικούτους Ἄρχοντας, αὐτὸς ὑφορώμενος, ὅτι ἕως τέλους ἐ δοκήσεται αὐτῷ τὰ πράγματα εἰς ἡδονὴν, μελετᾷ ἀποστασίαν· καὶ δὴ ἀποκτείνει πάντας τοὺς ἐν τῇ Βλαχίᾳ εὑρεθέντας Ὀθωμανοὺς, καὶ σωμάτων Στρατιώτας Οὐγγρικα, Βλάχικα, καὶ Βουλγάρικα, νομίζων νικῆσαι τοὺς Ὀθωμανοὺς, καὶ ἀφανίσαι τὴν Βασιλείαν αὐτῶν ὁ Ἄφρων, καὶ γενέσθαι Βασιλεὺς, ἀλλὰ πέμψαντος τοῦ Κιοπρυλῆ Ὀθωμανοὺς καὶ Ταταρους εἰς Βλαχίαν, ἔφυγον ὁ δειλὸς Μίχνας εἰς Οὐγγρίαν, κἀκεῖ ἐφαρμακεύθη. οἱ δὲ Τάταροι λεηλατήσαντες σχεδὸν τὸ πλεῖστον τῆς Βλαχίας μέρος, ἔβαλον τὴν Γυίκαν Οὐγγροβλαχίας Αὐθεντεύσαντα. ἕτως ἓν τοῖς τοῦ Μίχνα ἔλαβον τὸ τέλος.

ΠΑΡΑΓΡΑΦΟΝ ΙΘ'.

Ὅτι ὁ Ἱεροσολύμων Παΐσιος ἐντυχὼν τῷ Βεζύρῃ περὶ τοῦ ἁγίου Ἰακώβου, καὶ ἀποτυχὼν, ἠθύμησεν, ὅθεν ἐκπλεύσας εἰς Λέσβον, Χῖον, Κῶ, καὶ Ῥόδον, ἐκοιμήθη αὐτικρὺ τοῦ Κασελορρίζου ἐν ἐρήμῳ τόπῳ, καὶ περὶ ὧν ἔλεγε ῥημάτων ἐν τῷ τέλει τῆς ζωῆς αὐτοῦ.

Ὅτε Παΐσιος ἀπελθὼν εἰς Ἀδριανούπολιν, καὶ ἐντυχὼν τῷ Βεζύρῃ ἐν τῷ οἰκήματι αὐτοῦ, καὶ δοὺς αὐτῷ καὶ μίαν σαμβεγγιανὰν ἄσπρην, ἔκλαυσε διὰ τὸν ἅγιον Ἰάκωβον. ὁ Βεζύρης δὲ ἐξελθὼν ἔξω εἰς τὸ οἴκημα τοῦ κειτπεῖ, καὶ ἐλθόντος κατὰ τύχην ἐν καζασκέρι τῆς Ῥούμελις, ἤτοι τοῦ μείζονος παντῶν τῶν κειτῶν τῆς Δύσεως κειτοῦ (ἦμην γὰρ κἀγὼ ἐκεῖ παρὼν θεατὴς) ἐκάλεσε τὸν Ῥεῒς Ἐφένδην, ἤτοι τὸν μέγαν Λογοθέτην τῆς βασιλείας (οὗ ὕστερον ὁ υἱὸς αὐτοῦ ἐν τῷ κατὰ τῶν Γερμανῶν πολέμῳ ἀπέκτανε) καὶ ἀπατηθεὶς παρ' αὐτοῦ, ἀπέβαλε τὸν Πατριάρχην, ὃς ἐλθὼν εἰς Κωνσαντινούπολιν τῇ Κυριακῇ τοῦ Ἀσώτου τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ἕτει, ἐφοίτα συχνάκις εἰς τὸν Βαρταπέτην τῶν Ἀρμενίων Ἐλεάζαρ, μεθ' ἧς τὰς πολλὰς καὶ μακρὰς ἐκείνας πολέμους ἐποίησε. καὶ σωομιλῶν αὐτῷ κατὰ τὴν Βλάγκαν ἐκείνην τὴν ἡμέραν, καθ' ἣν ὡς εἴρηται ἐπυρπολήθησαν αἱ Ἐκκλησίαι τοῦ Κουτσκαλίου καὶ Βλάγκα ἐπὶ τὸν ἀριθμὸν, κατέληφον αὐτὸν ὡσπερ παλμούς τις τῆς καρδίας. τῷ δὲ Σεπτεμβρίῳ Μηνὶ ἀπεδήμησον εἰς Κίον, καὶ Πρῦσαν, καὶ Μιχαλίτζι, καὶ Πέργαμον, καὶ Καλλίπολιν ἐλπίδι τοῦ σωάξαι τινὰ ἐλεημοσύνην, ἀπογινὰς δὲ ὅλη ἐκείνην βοήθειαν τοῦ χρέους σωάξαι ἐδύνατο, ἠθύμησε βαρέως ὑπὸ αἰμορροΐδων, καὶ ὑπὸ τελσὶν ἡμέραις ἄφωνος ἦν Ἀδριανοῦ, ἀναῤῥωθεὶς δὲ, ἀπεδήμησον εἰς Λέσβον, κἀκεῖθεν εἰς Χῖον, καὶ χρησάμενος ἰατρῷ, ἐδοκεῖ ὠφελήθη. ἐκ ἴσχυσε γὰρ ἀντιπαλαῖσαι τῇ διπλῇ λύπῃ, ὅτι ἐδηλαδὴ ἔλαβον οἱ Ἀρμένιοι τὸν ἅγιον Ἰάκωβον, καὶ ὅτι τοῦ χρέους ἀπαλλαγὴν ἐκ εἶχε συνορᾶν, διατοῦτο ἔφθασεν εἰς τὰς πύλας τοῦ θανάτου. αὐτάντων δὲ ἡμῶν αὐτὸν ποιῆσαι Διαθήκην, συγκατάθεσιν, ἀλλ' αὖθις ἠμέλησεν. ἀπάρας δὲ ἐκ Χίου, ἀπῆλθεν εἰς Κῶ, κἀκεῖθεν βουλόμενος πλεῦσαι εἰς

εἰς Ῥόδον, μὴ δυπορεῦντος τοῦ πλοίου ἕνεκα ἀνέμου, ἔμεινον ἀντικρὺ τῆς Καῦνου τῷ Μπεδρέμ, ὅ ἐστιν ἡ Ἁλικαρνασσός. κἀκεῖθεν ἐλθὼν εἰς Ῥόδον, ἤρξατο ἐθίζειν ἑαυτὸν, καὶ ὑποπτα λαλεῖν καὶ ἔξω τοῦ δέοντος. ὁ μεθ' ἡμῶν δὲ Λύδδης καὶ ὁ Πρόχωρος, οὓς ἡ Θεοχάρησις τοῦ Θεοῦ ὑστερον Ναζαρὲτ κεχειροτόνηκεν Ἐπίσκοπον, καὶ μετέπειτα Ἀλεξανδρείας Πατριάρχην, καὶ τέλος πάντων συγκατέχωσε τῷ ὂν τῇ Σμύρνῃ σεισμῷ κζ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν ἕναρον ἔτος, μισθωσάμενοι συμαϊκὸν πλοῖον ἵνα εἰς Ἀτάλειαν ἀπέλθωσιν, ἔβαλον ἐν αὐτῷ τὸν Πατριάρχην. Θεοδαλάξαντες δὲ τὸ Καστελόριζον, ἐχαλάσαμεν τὴν ἄγκυραν κατὰ τὸ μέρος τῆς Ἀνατολῆς αὐτίπερα καὶ μακρὰν τοῦ Καστελίου ὡσεὶ μίλια δέκα. ἐκεῖ ὁ Παΐσιος δύο τινὰ συνεχῶς λέγων, καὶ ὑπερβολικῶς δακρύων, ἀπώλεσε καὶ τὸ φῶς τῶν ὀφθαλμῶν αὐτοῦ. ἔλεγε δὲ πρῶτον, πᾶσι τοῖς Χριστιανοῖς τοῖς πεπλεύσασί μοι ἀφίημι τελείαν τὴν συγχώρησιν, καὶ ὅσοι τῶν πιστῶν ὁπωσδήποτε ἥμαρτον, δέομαι τοῦ Θεοῦ συγχωρῆσαι αὐτοῖς τὰ ἁμαρτήματα, ὅσις ὅμως ὑπεβλήθη χρησάμενος, γέγονεν αὐτῷ δοθῆναι τοῖς Ἀρμενίοις τὸ Μοναστήριον τοῦ ἁγίου Ἰακώβου, ὡς κοινωνοῦσιν Αἱρετικοῖς, εἰπὼν τῷ ἀναθέματι τῷ αἰωνίῳ Θεοδώρῳ. καὶ δεύτερον ἔλεγε, Νικόλαε Νικόλαε, ἴσως ἐσφαλοῦμαι πάλιν μετ' αὐτὸν εἰς τὸν πατριαρχικὸν θρόνον ἀναῤῥήσιν τοῦ Νεκταρίου. ἐξέλιπε δὲ ὑπὸ τῶν ἐμῶν γονάτων, παρέσης καὶ τῆς Σινωπίτιδος Δόξης τῆς τοὺς ἁγίους τόπους ἐσκυνηκυίας, ὧν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ, ἑξηκοστῷ, μηνὸς Δεκεμβρίου δευτέρᾳ, πατριαρχεύσας ἔτη ἑπτὰ καὶ δέκα.

ΠΑΡΑΓΡΑΦΟΝ Κ'.

Περὶ τῆς ἐνταφιασμοῦ τοῦ Ἱεροσολύμων Παϊσίου ἐν τῇ Χαλκηδόνι τῇ θαλάσσῃ σκοπιᾷ, ὃν ὁμοῦ Λύδδης καὶ Πρόχωρος ἐβλασφήμων, οἱ δὲ ὑπολοιποὶ ἐθρήνουν, καὶ ἔπλεκον ἐπ' αὐτῷ ἐγκώμια σὺν ταῖς σεμναῖς γυναιξὶν, ἅπερ δὴ καὶ αὐτὸς ἀθρόως διεξέλθοι.

Ἦσαν δὲ συνοδία τοῦ μακαρίτου Παϊσίου Λύδδης καὶ Πρόχωρος οἱ ἄνωθεν, εἵτινες φιλοσκώμμονες καὶ ὑβρισταὶ ὄντες, ἐβλασφήμων τὸν μακαρίτην ἑκάτερον ἥρωα, ὀνειδίζοντες αὐτῷ τοὺς τε ζωὴν καὶ τὸν θάνατον. ἐγὼ δὲ, καίτινες ἄλλοι σεσκωπται τοῦ ἁγίου τάφου ἐλέγομεν ἀπαγαγεῖν τὸ λείψανον τοῦ μακαρίτου εἰς τὰ Μέρη τῆς Λυκίας, καὶ ἐνταφιάσαι αὐτὸ ἐκεῖ ἕνεκεν τιμῆς τοῦ θανάτου αὐτοῦ, καὶ χάριν ἀσφαλείας ἡμῶν, οὐδεχόμενον γὰρ ἦν διαπορεύεσθαι ἡμᾶς σωματίνων τῶν ἐγγὺς ἡμῶν ὄντων Ὀθωμανῶν, ἐξ ὧν οὐ τοῖς μύροις ἐδέετο ἡ ὑποψία. οἱ δ' ἀπονοίᾳ νικώμενοι, οὐκ ἠθέλησαν, καὶ λοιπὸν ἐνδύσαντες αὐτοῦ τὸ λείψανον ἐτὰ σωθὲν νεκρικὰ ἱμάτια ὡς ἀπῆτει ἡ χρεία, ἐμὲν καὶ ὁ τόπος καὶ ὁ καιρὸς, ἀλλ' Ἐπιτροχήλιον καὶ Ὠμόφορον, ἅπερ οἱ τῶν σεβαστῶν ποιμένες αὐτοῦ ἐμοὶ ἐς ἅπαξ ἐδόκουν ἐπιτήδειοι εἶναι, ἀκριβέσατα ἐώρων, καὶ σκάψαντες εἰς ἓν σκοπιᾶς κορυφὴν, σχεδὸν τὴν θάλασσαν καιομένην, ἐν ᾗ τὴν ἄγκυραν ἐχαλάσαμεν, ἔθαψαν ἐκεῖ τοῦ μακαρίτου ἐκεῖνα αὐτοῦ τὸ λείψανον, ὅστις ὁσίως καὶ θεαρέστως τῷ βλογημένῳ τοῦ Θεοῦ οἴκῳ ἐδούλευσε, καταφρονήσας πολλάκις καὶ αὐτοῦ τοῦ θανάτου. ἔπειτα ἐκεῖ ὠνειδίζετο ὁ μακαρίτης ὑπὸ τῶν οἰκείων, ὅμως ἐμοὶ δοκεῖ συγκεχωρῆσθαι τοῦτο σχεδὸν τοῦ Θεοῦ ἕνεκεν δύο τινῶν, οὗς, ἢ διὰ τὴν σχεδὸν ἀφανισθοῦ αὐτῷ ἁμάρτημα εἶχεν αὐτὸ ὁ Θεὸς ὀνειδισθῆναι εἰς ἄφεσιν τοῦ ἁμαρτήματος ἐκείνου, καὶ δευτέρου, ἢ σκοπὸν ὄντα τοὺς ἐρημίτας καταρτισμοῦ εἰς ἀπώλειαν (ὡς δέδεικται αὐτοῦ βίῳ αὐτῶν καὶ τοῦ θανάτου) παρεχώρησεν ὁ Θεὸς βλασφημεῖν αὐτοὺς αὐθεσὶ δίκαιον ἔνεκεν πλείονος αὐτῶν κατακρίσεως ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου. ἀλλ' εἰ καὶ ἡτοίμασεν ὁ Διάβολος εἰς καταφρόνησιν τοῦ Δαυὶδ τὸν Σεμεεὶ, ἀλλ' ὑπεσήμανεν ὁ Θεὸς πολλαπλάσιον διεργέτην τὸν Βερζελὶ εἰς ἀναψυχὴν τοῦ δικαίου. καὶ ἐπεσοήθη τῷ Σατανᾷ ὁ Ἀχιτόφελ εἰς αἱρέσιν τοῦ Βασιλέως, ἀλλ' ἔσωσεν ὁ Θεὸς τὸν δοῦλον αὐτοῦ, περιπαίξας τὸν τοῦ ἐχθροῦ Δαὶ τῆς βλακῆς τοῦ Χουσί. ἕτω καὶ ὁ τῇ μακαρίᾳ κοιμήσει τοῦ Παϊσίου, εἰ καὶ συνεργείᾳ τοῦ Σατανᾶ ὕβριζον οἱ Δαλληθισταὶ αὐτὸν, ἀλλ' ὁ Θεὸς εἶχεν ἀπὸ μιᾶς τῆς Σινώπης τὴν σεσκωπτὴν τοῦ ἁγίου τάφου ἀοίδιμον Δόξαν, ἀπὸ δὲ τῆς Μυτιλήνης τὴν Χρυσανθην, καὶ ἀπὸ Σησοῦ καὶ Ἀβύδου ἄλλας τινὰς αὐθεσίας μετὰ τῶν Θεοφιλῶν γυναικῶν αὐτῶν, αἵτινες ἀπήρχοντο εἰς σεσκύπτην τοῦ ἁγίου τάφου, καὶ σὺν ἡμῖν πάντες κατήγαγον κατὰ τὸν σκοπὸν τῆς γεαφῆς ὑπενεργῶ δάκρυα, κατὰ τὸ δυνατὸν ὑφαίνοντες ἐγκώμια τῷ ἀοιδίμῳ, καὶ τὴν κηδείαν καθοσιοῦντες. ἐξῆρχε δὲ τῆς ἐσιότητος ταύτης ἡ κυρία Δόξα ἡ Σινωπίτις τοιαῦτά τινα μετὰ δακρύων ὑπὲρ τοῦ σεβασμίου σώματος λέγουσα, Ἀκουστὸν ἦν ἐν τῇ Σινώπῃ τὸ πολυύμνητον τῆς Πατριαρχικῆς μεγαλειότητος ὄνομα, καὶ ἐπεθυμεῖτο θεωρηθῆναι καὶ σεσκωνηθῆναι ὡς δίκαιον ἐστὶν, ἀγαθὸν τοῦ τῆς Ἀρχιερωσύνης ἀξίωμα ὅλον τὸν χρυσὸν φέρειν ὑπὲρ τῆς γῆς ἐν αὐτῷ, δῆλον ὅτι ἡ Πατριαρχικὴ ὑπεροχὴ ἔχει καὶ ὅλον τὸν χρυσὸν, καὶ τὰ χρυσᾶ καθ' ὑπέρτερον λόγον τοῖς πιστοῖς Δαμέμει, τὴν ἀπαρχὴν γὰρ τοῦ Πνεύματος ἦν ἔχειν τοὺς Ἀποστόλους ὁ θεσπέσιος ἔλεγε Παῦλος, ἔχειν χεδὸν ὁμοίως κατὰ πάντα τοῖς Ἀποστόλοις οἱ Πατριάρχαι, ὅθεν καὶ ὁ μέγας Μάξιμος ἐξαιρέτως τῶν Ἀποστόλων Δαδόχους αὐτοὺς καλεῖ, ἐξηγούμενος τὸν μέγαν Διονύσιον, Δατοῦτο ἐπεθύμουν οἱ Σινωπεῖς ἔπος Πατριαρχικοῦ σεσώπου θέαν εἶδος ἐν Σινώπῃ, ἵνα κἂν τῶν ἱματίων αὐτοῦ ἅψωνται. ἐν ὑστέροις δὲ καιροῖς καὶ χρόνοις ὁ ἔχων ἐν ὀφθαλμοῖς αὐτοῦ τὰ χίλια ἔτη Θεὸς ὡς μίαν ἡμέραν, ἐπλησφόρησεν

ρησεν ἡμᾶς, καὶ ἔπεμψέ σε τὸν χρυσαυγῆ οἶκον τῆς χάριτος, καὶ εἴδομέν σε καθάπερ ἠκούσαμεν πλήρη χάριτος καὶ Πνεύματος ἁγίου καὶ εὐωδίας Χριστοῦ, ἐπιφανέντα ὡς Ἥλιον ἐπὶ παστοῦσου τῶν κινδύνων καὶ ταλαιπωριῶν, ἅτινα ὑπὲρ Χριστοῦ ἔπαθες ἐν τῇ πόλει, ἔνθα ἔκειτο ἐν τόπῳ ἁγίῳ τὸ τῆς ἐρημώσεως βδέλυγμα. καὶ οὐμόνον ἡμεῖς, ἀλλὰ καὶ σύμπασα ἡ Ἐκκλησία ἔγνω τοὺς πόνους σου, τὰς ὁδοιπορίας, τὸν ζῆλον, τὰς ἀρετὰς, καὶ τὴν κατὰ Χριστὸν ζωήνσου, καὶ προσέμενεν ὁσίαν καὶ τὴν κηδείαν σου, ἵνα ὥσπερ περὶ τῆς Ἐκκλησίας κεκοπίακας, οὕτως ὑπὸ τῆς Ἐκκλησίας δόξης τύχῃς τῆς ἐν τῇ κοιμήσει. φασὶ γὰρ τὴν περὶ τὴν κηδείαν δόξαν ἀῤῥαβῶνα εἶναι τῆς ἐν Οὐρανοῖς κληρουχίας, νῦν δὲ βλέπομέν σε μονώτατον ἐν ἐρήμῳ τόπῳ τεθνηκότα, ἔρημον, μὴ ἔχοντα τὸν δακρύοντα ἐκ τῶν οἰκείων, ἀλλὰ καὶ τοὺς οἰκείους οὓς ἔθρεψας καὶ ἐτίμησας, διὰ τὸ ἐσπουδακέναι σε συστεῖλαι αὐτῶν τὸ ἐπὶ κακίαν πρόχειρον, ἔχεις λοιδοροῦντας καὶ βλασφημοῦντας καὶ τὴν ζωήνσου καὶ τὸν θάνατόν σου. μήποτε δὲ οὐκ ἀναγκαῖον ἐστὶν ἀεὶ, τὸ τὴν ἔνδοξον κηδείαν ἀῤῥαβῶνα εἶναι τῆς αἰωνίου ζωῆς; εἰ δὲ καὶ γέγονε τοῦτο ἐν τοῖς πάλαι Πατριάρχαις, ἀλλὰ Μυστήριόν τι ἐδήλου ἡ πρὸς ἐκείνους τιμὴ ἐν τῇ κηδείᾳ. πῶς γὰρ οἱ ἐκδεχόμενοι τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, καὶ ὧδε ἐν σκηναῖς κατοικοῦντες, περὶ ταφῆς ἐφρόντιζον καὶ κηδείας ἐνδόξου; καὶ πῶς οἱ ὁμολυγήσαντες ξένοι εἶναι καὶ πάροικοι καὶ παρεπίδημοι ἐπὶ τῆς γῆς, θρήνων ἀνθρωπίνων ἐδέοντο; φανερὸν οὖν ὅτι Μυστήριον ἐδήλου ἡ ἐκείνων ἐνδοξοτάτη κηδεία. ὅπου δὲ οὐκ ἦν Μυστήριον δηλούμενον ἐν τῇ ἐνδοξοτάτῃ κηδείᾳ τῶν ὁσίων, καὶ δόξα πᾶσα ὡς ἐπιτοπλεῖστον ἀπελήλατο. διατοῦτο καὶ ἄδοξος θνήσκει Μωσῆς, καὶ ἡ κηδεία αὐτοῦ ὑπὸ τοῦ ὁλοθρευτοῦ ἐπεβουλεύετο, καὶ οἱ Προφῆται ἀτίμως ἀπέθανον ὅσον κατὰ τὴν παρ' ἀνθρώποις τιμὴν, καὶ οἱ Ἀπόστολοι σταυροῦνται καὶ τέμνονται καὶ κρημνίζονται καὶ πυρὸς γίνονται παρανάλωμα, ὧν καὶ σὺ κοινωνὸς τυγχάνων καὶ βίῳ καὶ λόγῳ, μαρτυρικὴν σχεδὸν ἐκτήσω τὴν κοίμησιν καὶ κηδείαν. καὶ ὥσπερ ἀεὶ πᾶσαν ἡδυπάθειαν ἀπεποιήσω, οὕτω καὶ ἐν τῷ θανάτῳ πᾶσαν ἀνθρωπίνην τιμὴν ἀπεβάλου, ἵνα διὰ τελείων παθημάτων τέλεια λάβῃς τοῦ Χριστοῦ τὰ στίγματα, καὶ εἰσέλθῃς ἐν τῇ δόξῃ αὐτοῦ ἐνδόξως, καὶ τοῦτό ἐστιν ὡς ἔοικε τὸ αἴτιον τῆς ὑβριζούσης σε μιαρᾶς τῶν ῥηθέντων γλώσσης. ἡμεῖς δὲ οἱ ἐπιδημοῦντες ἀδελφοὶ οὗτοι, ὅτι σε εἴδομεν ζῶντα, καὶ ἠξιώθημεν τῆς εὐλογίας σου, χαίρομεν, ὅτι εὑρέθημεν κοινωνοὶ τῶν παθημάτων σου, ἐλπίζομεν συνδοξασθήσεσθαι μετὰ σοῦ, εἰ μὴ ἰσοτίμως, ἀλλὼς ἡ θεία εὐδοκήσει θέλησις. ὅτι δὲ ἐπὶ σοὶ ἐδακρύσαμεν καὶ δακρύομεν, ταῖς περὶ Μάρθαν καὶ Μαρίαν ἑαυτοὺς συναριθμοῦμεν. ὅτι δὲ καὶ Νικόλαον τινὰ ἐκάλεις ἐκδημῶν, προφητικοῦ χαρίσματος ἠξιωμένον σε γινώσκομεν, πάντως γὰρ ὁσὲ διαδεξόμενος Νικόλαος ἔσται. καὶ δεόμεθα τοῦ Κυρίου δι' εὐχῶν σου εἰρηνεῦσαι τὸν κόσμον, καὶ ἡμῖν δωρήσασθαι πλούσια τὰ ἐλέη αὐτοῦ. ταῦτα ἐγώ τε καὶ οἱ διαληφθέντες θρηνοῦντες ἐλέγομεν.

ΠΑΡΑΓΡΑΦΟΝ ΚΑ'.

Περὶ τῶν ἔργων καὶ οἰκοδομιῶν ὧν ἐποίησεν ὁ Ἱεροσολύμων Παΐσιος ἐν Ἱερουσαλὴμ καὶ ἀλλαχοῦ.

Σημείωσαι πρῶτον, ὡς ὁ Παΐσιος ἰδὼν ὅτι οἱ προσκυνηταὶ ἐρχόμενοι διὰ θαλάσσης εἰς Ἰόππην, καὶ μὴ ἔχοντες κατάλυμα, ᾤκουν ἐπὶ τῆς ψάμμου, συγκαιόμενοι ὑπὸ τοῦ Ἡλίου, καὶ ψυχραινόμενοι ὑπὸ τοῦ κρύους τῆς νυκτὸς, καὶ δὴ καὶ οἱ Ἄραβες ἔκλεπτον τὰ πράγματα αὐτῶν, συνεφώνησε μετὰ τοῦ Χουσεὴν Πασσᾶ, ἤτοι τοῦ Ἐπάρχου τῆς Γάζης, καὶ ᾠκοδόμησεν οἴκους ἐν Ἰόππῃ ὡς νῦν ὁρῶνται, καὶ ἐκ ταύτης τῆς αἰτίας ᾠκοδόμησαν ἐκεῖ οἴκους οἵτε Λατῖνοι καὶ Ἀρμένοι. δεύτερον, ὅτι τοῦ ἐν Λύδδῃ παγκάλου Ναοῦ τοῦ μεγαλομάρτυρος Γεωργίου (ἐν ᾧ ἐστὶ καὶ ὁ τοῦ ἁγίου τάφος, ὅστις εἰ καὶ διεφθαρμένος ἐστὶ κατὰ τὴν στέγην, ἀλλ' ἦν ὅλος ἐν ταῖς χερσὶ τῶν ὀρθοδόξων) λαβόντες τὸ ἥμισυ οἱ Σαρακηνοὶ, ἐποίησαν αὐτὸ Μετζίτη, ἤτοι Παρακλήσιον, καὶ Μετρεσὲ, ἤγουν διδασκαλεῖον, ὕστερον δὲ ἔλαβον καὶ οἱ Ὀθωμανοὶ τὸ ἕτερον ἥμισυ, οἱ δὲ Χριστιανοὶ οὐκ ὂν δυνατὸν καινὸν Ναὸν ἀνοικοδομῆσαι, ἦσαν ἐν ἀνάγκῃ. ὁ δὲ συνετώτατος Πατριάρχης πάντα κάλων κινήσας, καὶ χρήματα δαπανήσας, ἔλαβε σὺν Θεῷ τὸ ἥμισυ τοῦ Ναοῦ, ἤτοι τὸ ἀπὸ τῆς μέσης ἕως εἰς τὸ λῆγον τοῦ Ναοῦ πέρας, καὶ ἔμεινε πάλιν ὡς καὶ πρότερον Ναὸς τῶν ὀρθοδόξων, τὸ δ' ἀπὸ τῆς μέσης καὶ ὄπισθεν μέρος, ὃ εἶχον καὶ πρότερον οἱ Ὀθωμανοὶ, ἐκράτησαν, καὶ ἔχουσιν αὐτὸ Μετζίτη, ἤτοι Παρακλήσιον. τρίτον, ἀναμέσον τῆς Ἱερουσαλὴμ καὶ τῆς Βηθλεὲμ κεῖται Ναὸς περίφημος μετὰ καλῆς περιοχῆς, ὥστε εἶναι Μοναστήριον ἐπ' ὀνόματι τιμώμενον τοῦ Προφήτου Ἡλιοῦ, ἀπὸ δὲ τῆς πολυκαιρίας τῆς περιοχῆς διαφθαρείσης, ἦν ἡ Ἐκκλησία ἡ αὐτὴ καὶ κατοικία. διατοῦτο οὗτος δυνάμει πληρεστάτης δαπάνης χρημάτων πεποίηκε μερικὴν περιοχὴν πρὸς δυσμὰς, ἣν νῦν ἔχει ὁ τοῦ Προφήτου Ναὸς, εἰ καὶ ὕστερον ὁ Κιοπρουλοὺς Δοὺξ ὢν τῆς Δαμασκοῦ, διερχόμενος ἐκεῖθεν χάριν τοῦ ἀπελθεῖν εἰς προσκύνησιν τῆς ἐν Χεβρὼν φιλοξενίας τοῦ Ἀβραὰμ, καὶ ἰδὼν τῆς περιοχῆς τὴν οἰκοδομὴν, ἐμάνη κατὰ τοῦ Πατριάρχου, ὅμως σὺν Θεῷ εἰρήνευσεν ἱκανῇ δαπάνῃ χρημάτων, καὶ ἔμεινε τὸ Μοναστήριον ἀλώβητον. τέταρτον, ὅτε ὁ Σαλαδῖνος ἔλαβε τὴν Ἱερουσαλὴμ παρὰ τῶν Λατίνων, ἔκτισε τὰ παράθυρα τοῦ Ναοῦ τοῦ ἁγίου τάφου, καὶ ἐποίησε τὴν Ἐκκλησίαν ὡς φυλακὴν, καὶ ἐλειτούργουν οἱ Ἱερεῖς ὑπὸ ζόφον. ὅμως τῷ καιρῷ τοῦ

Παϊσίου

Παϊσίου ὁ ἐπίτροπος αὐτοῦ Ἄνθιμος μετὰ καλῆς διοικήσεως ἤνοιξε τὰ πρόθυρα τοῦ ἁγίου βήματος, καὶ ἄλλα πολλὰ, καὶ γέγονε φωτεινὸς ὁ θεῖος οὗτος Ναὸς, καὶ ἐγένετο καὶ τάξις γίνεσθαι τὴν Λειτουργίαν ὅταν ἡμεῖς θέλωμεν, καὶ οὐχ ὡς πρότερον ἀορίστως.

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ ὧν πεπόνθαμεν κακώσεων ὑπὸ τῶν Ἀγάδων τοῦ Καστελορρίζου, αἰτούντων ἡμῖν τὸν πλοῦτον τοῦ Παϊσίου, καὶ περὶ τῆς εἰς Κωνσταντινούπολιν ἐπανόδου ἡμῶν, ἔνθα σκέψεως γενομένης περὶ Ἱεροσολύμων Πατριάρχου, πέμπονται γράμματα συνοδικὰ, ψηφίζοντα Ἱεροσολύμων Νεκτάριον τὸν Σιναΐτην, καὶ ὁ Φιλιππουπόλεως Γαβριὴλ τελεστὴς τῆς χειροτονίας αὐτοῦ.

Μετὰ τὴν κηδείαν τοῦ Παϊσίου ἦλθον οἱ ἀπὸ τοῦ Καστελορρίζου Ἀγάδες, καὶ συνέλαβον ἡμᾶς, καὶ κακῶς τοῦ Λύδδης καὶ Προχώρου οἰκονομησάντων τὰ πράγματα, συνέβη παθεῖν ἡμᾶς πολλὰς κακώσεις, οἱ γὰρ ἀγάδες τοῦ Καστελορρίζου ἀπῄτουν ἡμᾶς τὸν πλοῦτον τοῦ Πατριάρχου. ἐλέει δὲ Θεοῦ ἐλευθερωθέντες τῆς καταδυναστείας αὐτῶν, ἐφυλάξαμεν τρόπῳ δυσκαταλήπτῳ καὶ τὰ παρ' ἡμῖν Χὰτ Σερίφια, ἤτοι τοὺς καλουμένους ἱεροὺς τύπους τῶν Βασιλέων, σῶα καὶ Ἀβλαβῆ, εἶτα διὰ τῆς Ἀτταλείας ἐπανήλθομεν εἰς Κωνσταντινούπολιν. βεβαιωθέντος δὲ τοῦ θανάτου τοῦ ἀοιδίμου γέροντος, ὁ Βασίλειος Βοεβόδας παρὼν ἐν Βυζαντίῳ (ἦν γὰρ ὁ υἱὸς αὐτοῦ Στέφανος τότε Ἡγεμὼν Μπογδανίας) ἐσκέπτετο μετὰ τοῦ Πατριάρχου Παρθενίου, καὶ τοῦ Ἑρμηνέως Παναγιωτάκη, καὶ τῆς Συνόδου, καὶ τῶν Ἀρχόντων, καὶ γερόντων τῆς Κωνσταντινουπόλεως, καὶ τῶν παρευρεθέντων Ἀρχιερέων, καὶ λοιπῶν ἐγκρίτων πατέρων τοῦ ἁγίου τάφου, περὶ τοῦ εἶναι τὸν γενησόμενον Ἱεροσολύμων Πατριάρχην σπουδαῖον, καὶ πρακτικὸν ἐν τοῖς πολιτικοῖς, καθότι οἱ τοιοῦτοι Πατριάρχαι περιπατοῦσιν εἰς πολλοὺς τόπους, καὶ ἀμείβουσι πόλεις καὶ ἔθνη, Βασιλείας τε καὶ Τοπαρχίας, καὶ ἐρωτῶνται ὑπὸ πολλῶν περὶ διαφόρων πραγμάτων τῆς πίστεως, καὶ δεῖ αὐτοὺς εἶναι ἐμπείρους τῆς γραφῆς, καὶ ἀποκρίνεσθαι πρὸς τοὺς ἐρωτῶντας, καὶ ἄλλως εἶναι καὶ κήρυκας τοῦ θείου λόγου. δεύτερον δὲ, ὃ καὶ πάντως ἀναγκαιότατον, εἶναι αὐτοὺς ἀπὸ τοῦ κλίματος τῶν Ἱεροσολύμων, καθότι ἐκεῖ διετηρήθη μέχρι τοῦ νῦν πᾶν κανονικὸν καὶ Ἐκκλησιαστικὸν δίκαιον, καὶ ἵδρυται ἡ ἀρχαία τάξις καὶ συνήθεια τῆς καθολικῆς Ἐκκλησίας ὥσπερ εἰκών τις ἀπεράγραπτος. ἐν τούτοις δὲ ὁ Φιλιππουπόλεως Γαβριὴλ εἶπεν, ὅτι ὁ Σιναΐτης Νεκτάριος ἐστὶ καὶ σοφὸς, καὶ τοῦ κλίματος τῶν Ἱεροσολύμων, καθότι τὸ Σινὰ ἐστὶν Ἐπισκοπὴ τοῦ Ἱεροσολύμων. ἀκούσαντες δὲ οἱ πάντες ἐβόησαν, Νεκτάριος μόνος ἄξιος τοῦ τοιούτου ἔργου. καὶ εὐθὺς ἐκεῖ ἔγραψαν τὰς ψήφους καὶ τὰ πρὸς τὸν Νεκτάριον συνοδικὰ γράμματα, ἅπερ ἔπεμψαν εἰς τὸ Σίναιον ὄρος μετὰ τινων Ἱεροσολυμιτῶν ἀδελφῶν, ἔπεμψαν δὲ ἐκ μέρους αὐτῶν καὶ αὐτὸν τὸν Φιλιππουπόλεως ἀπιέναι καὶ τελειῶσαι τὸ ἔργον, ἵνα μὴ γένηταί τι πταῖσμα καὶ ἐμποδισθῇ ὁ Νεκτάριος.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τῆς χειροτονίας Νεκταρίου Πατριάρχου Ἱεροσολύμων ἐν τῷ ἁγίῳ τάφῳ, καὶ ὧν ἐποίησεν οἰκοδομιῶν, καὶ ὧν ἠγόρασεν οἰκιῶν ἐν Ἱερουσαλὴμ καὶ ἀλλαχοῦ.

Ὁ μὲν οὖν Φιλιππουπόλεως λαβὼν τὰ κοινὰ γράμματα, καὶ λόγον ἐγκωμιαστικὸν σοφώτατον, ποίημα τοῦ Νικολάου Κεραμέως, καὶ μισθωσάμενος συμαϊκὸν πλοῖον, Μηνὶ Φεβρουαρίῳ ἔπλευσε σὺν ἐμοὶ ἀπὸ Κωνσταντινουπόλεως. φθάσαντες δὲ εἰς Ἰόππην, ἠκούσαμεν τὴν εἰς Γάζαν τοῦ Νεκταρίου ἔλευσιν, θανόντος γὰρ τοῦ Ἐπισκόπου τοῦ Σιναίου ὄρους Ἰωάσαφ, προχειρισθεὶς Ἐπίσκοπος ὁ Νεκτάριος, ἤρχετο εἰς Ἱεροσόλυμα χειροτονηθῆναι. καθ' ὁδὸν δὲ φθάσαντες αὐτὸν οἱ ἀπὸ Κωνσταντινουπόλεως ἀποσταλέντες πατέρες πρὸς αὐτὸν μετὰ γραμμάτων, ἦλθον μετ' αὐτοῦ εἰς τὸ Ῥέμπλι, ἐν ᾧ ἡνώθησαν μετὰ τοῦ Φιλιππουπόλεως, καὶ ἦλθον εἰς Ἱερουσαλὴμ, κἀκεῖ ἔσω τοῦ ἁγίου τάφου, τῇ Κυριακῇ τῶν Βαΐων, τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ πρώτῳ ἔτει, Ἀπριλλίου ἐνάτῃ, ἐχειροτονήθη Ἱεροσολύμων Πατριάρχης, συμψήφων γενομένων καὶ τῶν ἐν Ἱερουσαλὴμ Ἁγιοταφιτῶν ἁπάντων πατέρων. ἔμεινε δὲ ὁ γέρων Νεκτάριος ἐν Ἱεροσολύμοις ἵνα καὶ τὸν θρόνον ἴδῃ, καὶ γνῷ καὶ τοὺς ἀνθρώπους, καὶ ἔπειτα ἐξέλθῃ εἰς τὰ ἔξω. ἐπεὶ δὲ ἔμεινε, πρῶτον μὲν σκεπάζει μερικὰ κελλία ὄντα διεφθαρμένα, ἔπειτα ἠγόρασε τοὺς πλησίον τοῦ Ναοῦ τοῦ Προδρόμου οἴκους γροσίων χιλίων ἑπτακοσίων, εἶτα κατέβη εἰς Γάζαν, καὶ ἐνέτυχε τῷ Χουσεὴν Πασσᾷ (ὃν ὡς εἴπομεν ἀνωτέρω συνεργείᾳ τοῦ πρὸ αὐτοῦ Παϊσίου οὐπολὺ μετὰ Παΐσιον ἀλλὰ τῷ αὐτῷ ἔτει ἡ Βασιλεία μεταπεμψαμένη εἰς Κωνσταντινούπολιν, ξίφει ἀπέκτεινε) εἶτα ᾠκοδόμησεν εἰς τὸ Ῥέμπλι κατοικίας καὶ οἰκίας, μὴ πρότερον οὔσας, ἀλλ' ἐμένομεν ἔνθεν κἀκεῖσε καταλύοντες. κατὰ δὲ τὸ ἔτος ἐκεῖνο ἐγένετο λιμὸς μέγας ἐφ' ὅλην τὴν Παλαιστίνην

ἐξ

ἐξ αἰτίας τῶν Ἀκρίδων, ἦν δὲ καὶ τὸ χρέος τοῦ θρόνου πολύ, ἦλθον ὅμως προσκυνηταὶ πολλοὶ, καὶ ὁ μακαρίτης Μακάριος Ἱερομόναχος ὁ Κρὴς ὁ Ἀσπρᾶς ἀπὸ τῆς Ἑλλάδος μετὰ ἱκανῆς ποσότητος ἐλέους, καὶ γέγονε κουφισμὸς τοῦ χρέους, καὶ πᾶσα ἄλλη κυβέρνησις.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἀποδημίας τοῦ Ἱεροσολύμων Νεκταρίου εἰς Κωνσταντινούπολιν, καὶ πῶς τοὺς πειρατὰς δὶς διέφυγεν.

Ἔφθασε δὲ τὸ ἅγιον Πάσχα τοῦ ἐπιόντος ἔτους, ἤτοι τοῦ χιλιοστοῦ ἑξακοσιοστοῦ ἑξηκοστοῦ δευτέρου, καὶ ἡτοιμάζετο ὁ Πατριάρχης Νεκτάριος ἀπιέναι εἰς Κωνσταντινούπολιν, καὶ ἐποίησεν ἐπίτροπον αὐτοῦ τὸν Βηθλεὲμ Μητροπολίτην Νεόφυτον. εἶτα καταβὰς εἰς Ἰόππην, ἔπλευσε διὰ Νηὸς συμαϊκῆς εἰς Ἀττάλειαν. ἔξω δὲ τῆς Πτολεμαΐδος πλέοντες, ἐδίωξαν ἡμᾶς δύο λίβυρνοι, ἤτοι γαλούνια καὶ μία φρυγὰς, καὶ ἔρριψαν καθ' ἡμῶν δύο βώλια, ἀλλὰ παρῆλθον ἄνωθεν ἡμῶν χωρὶς τοῦ βλάψαι τινὰ ἐξ ἡμῶν. πλησίον δὲ ἡμῶν γενομένου τοῦ ἑνὸς γαλουνίου ὅσον πήχεος μιᾶς διάστημα, εὗρου πνεύσαντος ἀνέμου, σὺν Θεῷ ἐφύγομεν ἐξ αὐτῶν, διασωθέντες εἰς Τύρον. κἀκεῖθεν εἰς Λάρνακα τῆς Κύπρου πλέοντες, φράγγων πειρατῶν κινδύνῳ περιεπέσαμεν, τοῦ δὲ Θεοῦ νέφος τὶ μικρὸν ἔμπροσθεν τῆς Σελήνης τάξαντος, τῶν πειρατῶν κατιδεῖν ἡμᾶς ἐν ζόφῳ μὴ δυνηθέντων, διεσώθημεν εἰς Λάρνακα. ἐκεῖ ὅμως ἐξήλθομεν ἐκ τοῦ πλοίου, καὶ ἀπήλθομεν διὰ ξηρᾶς εἰς Λεμεσὸν, κἀκεῖθεν εἰς Πάφον. ἦλθε δὲ ἐκεῖσε τὸ συμαϊκὸν πλοῖον, καὶ ἐπλεύσαμεν εἰς Ἀλογίαν, ἣν Στράβων Κορακίσιον καλεῖ. κἀκεῖθεν εἰς Ἀττάλειαν παρὰ τῷ χοτζᾷ Βασιλείῳ, ἐμείναμεν δὲ ἐκεῖ ὀλίγον. τοῦ δὲ Δεσπότου ἀρρωστήσαντος ὑπὸ πυρετοῦ συνεχοῦς θανασίμως, ἐμείναμεν ἕως τοῦ Αὐγούστου, εἶτα ἀπήλθομεν εἰς Προῦσαν, κἀκεῖθεν εἰς Κωνσταντινούπολιν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Ὅτι αἴτιος τῆς ἐν Βυζαντίῳ Σχολῆς ὁ Ἱεροσολύμων Νεκτάριος, καὶ περὶ ἀποδημιῶν αὐτοῦ εἰς πολλοὺς τόπους τῆς Εὐρώπης, καὶ ὅπως ἰάθη τὸ πάθος αὐτοῦ παρὰ τῆς ζωοδόχου πηγῆς, καὶ περὶ ὧν ἐποίησε κρυσταλίνων θηκῶν τῶν ἐν τῷ ἁγίῳ τάφῳ ἁγίων λειψάνων, τοῦ ἀνδρομήκους χρυσαργύρου Σταυροῦ, καὶ τοῦ τιμίου ξύλου, ἃ καὶ ἐκόσμησε ἀργυροδέσμῳ καὶ λίθοις πολυτίμοις, καὶ περὶ ἑτέρων πολλῶν ἀνακαινίσεων καὶ οἰκοδομιῶν αὐτοῦ ἐν Ἱερουσαλὴμ καὶ Ῥέμπλι.

Ἐν δὲ τῇ Κωνσταντινουπόλει ὢν ὁ Πατριάρχης Νεκτάριος, ἐμεσολάβησε, καὶ ἐγένετο ἡ Σχολὴ διὰ δαπάνης τοῦ Ἄρχοντος Μανολάκη Καστοριανοῦ. καὶ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ τρίτῳ ἔτει ἀπεδήμησεν εἰς Γιάσιον Μηνὶ Σεπτεμβρίῳ. καὶ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ τετάρτῳ, Μηνὶ Ἀπριλλίῳ μετέβη εἰς Βλαχίαν, εἶτα εἰς Ῥούσικον, Ῥάσγρατα, Προβάτου, Βάρναν, καὶ Τόρνοβον, ἔνθα καὶ ἠσθένησεν ὑπὸ κολικοῦ πάθους, καὶ ἦλθεν εἰς Ἀδριανούπολιν, ὅπου καὶ ὁ Σουλτᾶνος. κἀκεῖθεν αὐτὸς μὲν εἰς Βυζάντιον ἀπῄει, ἐγὼ δὲ ἀποσταλεὶς εἰς Γιάσιον καὶ Βλαχίαν, αὖθις ἦλθεν εἰς Κωνσταντινούπολιν, ἔνθα ἀπεγνωσμένος ὢν τῆς ζωῆς ὁ γέρων Πατριάρχης Νεκτάριος, ἀπῆλθεν εἰς τὸ ἁγίασμα τῆς Ζωοδόχου Πηγῆς, καὶ εὐθὺς ἐπιτελέσας ἁγιασμὸν, ἔπιεν ἐξ αὐτοῦ, καὶ ἐν ἀκαρεῖ ἀφῆκεν αὐτὸν ὁ κόλιξ, καὶ ἕως θανάτου αὐτοῦ. ἀπὸ δὲ Κωνσταντινουπόλεως ὑπέστρεψε διὰ Καλλιουπόλεως, Σμύρνης, Λέσβου, Χίου, καὶ Ῥόδου εἰς Ἱερουσαλὴμ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ πέμπτῳ ἔτει, Μηνὶ Σεπτεμβρίῳ. ἐπεὶ δὲ τὸ πρῶτον ὅτε ἐγένετο Πατριάρχης εἶδε τὰ ἅγια λείψανα παρεωραμένα, καὶ τὸ ἅγιον βῆμα μὴ κατὰ τὴν πρέπουσαν αὐτῷ τιμὴν λειτουργούμενον, καὶ ἔμαθεν ὅτι πρὸς Αὐθέντας καὶ ἄλλους πέμπουσι χάριν εὐλογίας τὰ ἅγια λείψανα οἱ πατέρες, ἔπεμψεν εἰς Λεχίαν ὅτε ἦν ἐν Γιασίῳ ἄνθρωπον, καὶ ἐποίησε κατασκευασθῆναι διαφόρους θήκας κρυσταλίνας καὶ ἁπλῶς ὑαλίνας, καὶ κομισάμενος αὐτὰς εἰς Ἱεροσόλυμα, ἔβαλεν ἔσω ὅσα ὀνομαστὰ καὶ μεμαρτυρημένα εὑρίσκονται ἐκεῖ ἅγια λείψανα, δήσας αὐτὰ ἔξωθεν ἀργυρῷ καταδέσμῳ, καὶ ἐν ἑκάστῳ βαλὼν ἔξωθεν χάρτην δηλοῦντα τίνος ἁγίου ἐστὶ λείψανον. εἶτα κατεσκεύασε δύο αὐτίπηγας, ἤτοι Ντολάπια, ἔσωθεν κεχωρισμένας κατὰ τὸ μῆκος τῶν ὑαλίνων θηκῶν, καὶ ἔβαλεν ἔσω αὐτῶν τὰς θήκας, ἐν δὲ τῆς μιᾶς αὐτίπηγος τῷ μέσῳ ἐποίησε θήκην Σταυροῦ, καὶ ἐνέθηκεν ἐκεῖ τὸν Σταυρὸν ὃν ἐν Γιασίῳ κατεσκεύασεν ἀνδρομήκη, οὗ τὸ ἓν μέρος ἐστὶ πεποιημένον ἐκ πλακῶν χρυσῶν, τὸ δ' ἕτερον ἀργυρῶν. ἔπειτα μέρος τοῦ τιμίου Ξύλου λυτὸν ἦν ἐν Ἱεροσολύμοις, ἀφ' οὗ ἔκοπτον πολλοὶ καὶ ἐλάμβανον, ὅπερ καὶ αὐτὸ ἔδησεν ὁ Νεκτάριος μετὰ χρυσίου καὶ λίθων πολυτίμων ὅσον κατὰ τὰς γωνίας, κατὰ δὲ τὸ πλάτος ἔβαλε κρύσταλλα, καὶ ἐν ἑνὶ μέρει ἐποίησε θυρίδιον μετὰ κλειδὸς, ἵνα κλείηται καὶ πάλιν αἰοίγηται χάριν προσκυνήσεως, καὶ ταῦτα λοιπὸν καὶ ἄλλα ἱερὰ σκεύη ἔβαλεν ἔσω τοῦ Σταυροῦ τούτου, καὶ προσέταξεν ἐν τῇ τῶν ἁγίων εἰσόδῳ τοὺς μὲν Ἱερεῖς βαστάζειν τὰ ἅγια λείψανα ἐν ταῖς χερσὶν αὐτῶν, ἕνα δὲ βαστάζοντα τὸν μέγαν τοῦτον Σταυρὸν, προπορεύεσθαι τῶν ἁγίων, ἥτις διάταξις

διάταξις γίνεται καὶ ἕως τῆς σήμερον. τὸ δὲ συνθρόνον τῆς ἁγίας τοῦ Χριστοῦ Ἀναστάσεως, ὅπερ ἦν ἓν μάρμαρον μικρὸν καὶ συντετριμμένον, ταὐτὸν δὲ εἰπεῖν τὸ οὐδὲν, κατεσκεύασε πανεύμορφον. ἐπὶ δὲ τοῦ ἄνω μέρους αὐτοῦ θήκην ποιήσας, ἔβαλε τὸ ἅγιον Ἀρτοφόριον μετὰ τοῦ δεσποτικοῦ Ἄρτου, ἀπαιωρήσας ἔμπροσθεν αὐτοῦ ἑπτακάνδηλον. ᾠκοδόμησε δὲ καὶ ἐν τῷ Ῥέμπλι τὰς οἰκίας τὰς μέχρι τοῦ νῦν σωζομένας, ἐγγὺς οὔσας τῆς Ἐκκλησίας τοῦ ἁγίου Γεωργίου καὶ τὸ νότιον μέρος, διά τινος γέροντος Ἀββακοὺμ, ὃν αὐτὸς κατέστησεν ἐπιστάτην τῆς οἰκοδομῆς αὐτῶν, ὧν τὴν δαπάνην δέδωκεν ὁ τοῦ ἁγίου τάφου προσκυνητὴς Γρηγόριος ὁ Προυσαεύς. ὄντων δὲ καὶ τῆς Λαύρας τοῦ ἁγίου Σάββα τῶν κελλίων καὶ τῶν τοίχων σεσαθρωμένων, καὶ τοῦ ἐξωτερικοῦ αὐτῆς τοίχου ὡς ἔδει μὴ ὄντος, ἔπεμψεν ἀνθρώπους τοῦ κριτοῦ καὶ τοῦ Ἡγεμόνος καὶ ἐποίησαν καταγραφὴν, καὶ ἔδωκαν θέλημα ἀνακαινίσεως, καὶ ᾠκοδόμησε τὸ τειχίον τὸ ἔξω, ἤγουν τὸ ἀπὸ τοῦ πύργου μέχρι τῆς κάτω κειμένης πύλης, καὶ ἀνεκαίνισε καί τινας τοίχους τοῦ Μοναστηρίου, καὶ ἔκτισε καὶ κελλίον μεγάλον ἕνεκεν τῶν ξένων, καὶ ἐν τῷ τοῦ Ἀρχαγγέλου Μοναστηρίῳ πολλὰ ἀνῳκοδόμησε καὶ ἀνεκαίνισε, καὶ ἀλλαχοῦ πολλὰ κατὰ μέρος ἐκαλλώπισε τῇ τοῦ Χριστοῦ χάριτι. ἐγένετο δὲ ἡ οἰκοδομὴ καὶ ἀνακαίνισις τοῦ ἁγίου Σάββα ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ἑβδόμῳ τῷ σωτηρίῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἡμετέρας προβλήσεως εἰς τὸν τῆς Καισαρείας τῆς Παλαιστίνης θρόνον, καὶ τῶν δόλων τῶν Φράρων τοῦ λαβεῖν τὰ πρωτεῖα ἐν τῷ Κυβουκλίῳ τοῦ ἁγίου τάφου καὶ ἐν ταῖς λιτανείαις, καὶ ἧς ἐποίησαν ἐπιβουλῆς ἐν τῷ ἁγίῳ λίθῳ καὶ σκανδάλων ἔν τε Ἱερουσαλὴμ καὶ Κωνσταντινουπόλει, καὶ περὶ τῆς ἀποδημίας αὖθις τοῦ Νεκταρίου εἰς Κωνσταντινούπολιν.

Προεβλήθην δὲ καὶ αὐτὸς τότε Μητροπολίτης Καισαρείας τῆς Παλαιστίνης, ὄντος ἔτους χιλιοστοῦ ἑξακοσιοστοῦ ἑξηκοστοῦ ἕκτου, καὶ εἰκοστῆς τρίτης Ὀκτωβρίου, συνέβη δὲ τότε κατὰ τὸ Πάσχα τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ἑβδόμῳ ἔτει τοιοῦτόν τι. Ἀπὸ τοῦ Πατριάρχου Γερμανοῦ τοῦ κατασκευάσαντος τὸ Κυβούκλιον τοῦ ἁγίου τάφου, ἦν πάντοτε ὡς καὶ πρότερον τὸ Κυβούκλιον ἐν τῇ ἐξουσίᾳ τοῦ Πατριάρχου, ἀποθανόντος δὲ τοῦ Παϊσίου, τὸν ἐπίτροπον αὐτοῦ ἐν τῇ Ἱερουσαλὴμ ὀνόματι Λαυρέντιον, Μοναχὸν τῷ σχήματι καὶ κοῦφον τῇ γνώμῃ ἠπάτησαν οἱ Φράγγοι, καὶ δέδωκεν αὐτοῖς δύο τινὰ, ὧν τὸ πρῶτον φέρει τὴν ἀπάτην ᾠδὶ, Τοῦ καστρομύλου τοῦ δώματος τοῦ ἁγίου λίθου σαθρωθέντος, εἶπον τῷ Λαυρεντίῳ οἱ Φράροι σκεπάσαι αὐτὸν χάριν εὐλαβείας, ἴσως ἐχαρίσαντο αὐτῷ καὶ μέρος τι χρημάτων. ἀφῆκεν οὖν αὐτοὺς καὶ ἐσκέπασαν αὐτὸ, ἀλλ' αὐτοὶ οὐχ ἡσύχασαν μέχρι τούτου, ἰδιοποιησάμενοι γὰρ αὐτὸν, τοῦ λοιποῦ ἐν ταῖς ἑορταῖς ἐτίθουν ἐκεῖ μανουάλια μετὰ κηρίων. τὸ δὲ δεύτερον, ὅτι τῇ τῶν Βαΐων ἑορτῇ ἐλειτούγουν οἱ ὀρθόδοξοι, ποιοῦντες λιτανείαν κατὰ τὴν ἀρχαίαν τῆς Ἐκκλησίας συνήθειαν, αἱ δὲ φυλαὶ ἐποίουν τὰς τάξεις αὐτῶν ἐν τοῖς εὐκτηρίοις αὐτῶν, καὶ μετὰ τὴν ἀπὸ τῆς καθόλου Ἐκκλησίας λιτανείας τῶν ὀρθοδόξων, ἐλιτάνευον πρῶτο οἱ Φράροι, δεύτερον οἱ Ἀρμένιοι, τρίτον οἱ Κόπται, εἶτα Σύροι, καὶ καθεξῆς οἱ λοιποί. οἱ δὲ Φράροι ὑπεκρίθησαν δεινοπαθεῖν διὰ τὸ μετὰ τῶν Αἱρετικῶν αὐτοὺς λιτανεύειν, καὶ ᾔτησαν ποιεῖν τὴν λιτανείαν αὐτῶν ὄρθρου βαθέος μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου τῶν ὀρθοδόξων. δελεασθεὶς δὲ ὁ ἄνους Λαυρέντιος, εἴασεν αὐτοὺς ποιῆσαι ὡς ᾔτησαν, ἀλλ' οὐχ ἡσύχασαν, καταστήσαντες γὰρ μάρτυρας τῆς πρὸ τῶν Ῥωμαίων λιτανείας αὐτῶν, ἐπορεύθησαν εἰς τὸν κριτὴν κρυφίως, καὶ ἐποίησαν Χοτζέτι, ἤτοι βεβαιωτικὸν γράμμα. εἶτα τῷ δευτέρῳ ἔτει ἐποίησαν τὴν λιτανείαν αὐτῶν βραδύτερον, τῷ δὲ τρίτῳ ἐποίησαν αὐτὴν τὸ πρωΐ, ἀλλὰ μετὰ σκανδάλου τῶν Ῥωμαίων ὀλίγου, ἔλεγον γὰρ αὐτοῖς οἱ Ῥωμαῖοι, ὅτι ἐὰν παρέλθῃ ὁ ὄρθρος, οὐκ ἐῶσιν αὐτοὺς λιτανεῦσαι. οἱ Φράροι ὅμως μετὰ τὸ παρελθεῖν ἕξ, ἢ ἑπτὰ ἔτη, ἠθέτησαν τοὺς πρὸς τὸν Λαυρέντιον ὅρκους, καὶ ἐλιτάνευσαν ἀνατείλαντος τοῦ Ἡλίου. μετὰ δὲ τὸ τελειῶσαι ἀργῶς καὶ φιλοδόξως τὴν λιτανείαν αὐτῶν, ἐξαίφνης ἔστησαν καθέδρας, καὶ ἐλειτούργουν ἔμπροσθεν τῆς πύλης τοῦ Κυβουκλίου. ἦν δὲ ὁ μὲν Πατριάρχης ἀσθενὴς ὑπὸ τῆς ποδαλγίας, λειτουργὸς δὲ ἔνδον ὁ Βηθλεὲμ, Χυδαῖος ἄνθρωπος, ὅθεν καὶ ἐσιώπα. εἰσελθὼν δὲ αὐτὸς ἐντὸς, εἶδον, ἔκραξα, τέλος παίτων ἐπορεύθημεν εἰς τὸν κατὴν, ἤτοι τὸν κριτὴν τοῦ τόπου, ἦλθον ἐκεῖσε καὶ οἱ Φράροι, ἀπεδείχθησαν μάταιοι, ἐλάβομεν ἡμεῖς Χοτζέτιον, ἤτοι βεβαιωτικὸν γράμμα ὅτι ἐσμὲν πρῶτοι καὶ τοῦ τόπου Κύριοι. μετὰ δὲ τὸ Πάσχα ἐπέμφθην ἐγὼ εἰς Ἀδριανούπολιν μετὰ τοῦ Χοτζετίου. ἀπερχόμενος δὲ, περιέπεσον λῃσταῖς θαλαττίοις, ἐλυτρώθην ὅμως. φθάσας δὲ εἰς Ἀδριανούπολιν, οὐκ ἐδυνήθην ποιῆσαί τι, οὐ γὰρ εἶχον χρήματα, οὔτε ἤκουέ μου τίς, μάλιστα οἱ Φράροι ἐν Ἱερουσαλὴμ ἔδωκαν ἀργύρια τῷ κριτῇ, καὶ ἔλαβον ἄλλο Χοτζέτιον, διαλαμβάνον ὅτι ἐστὶ τὸ δίκαιον αὐτῶν, ὅπερ ὁ Ῥεσιδέντες τῆς Ἀλαμανίας κομίσας εἰς τὴν πόρταν, ἤτοι εἰς τὸν βασιλικὸν βῆμα, ἔλαβε κατ' ἐκεῖνο καὶ ὁρισμόν. Σημείωσαι δὲ τρία τινὰ, πρῶτον, ὅτι ὅτε ἐποίουν οἱ Φράροι λιτανείαν τῆς λεγομένης ἁγίας δωρεᾶς, ἐστρώννυον αὐτοῖς χάριν τιμῆς οἱ Ῥωμαῖοι κύκλῳ πάσης τῆς Ἀποκαθηλώσεως ἱκανῶς τάπητας, ἃ κοινῶς λέγονται πεύκια. ἐλθὼν δὲ τότε ἀπὸ Κωνσταντινουπόλεως ὁ θεῖος Νεκτάριος εἰς Ἱερουσαλὴμ, καὶ εἰσελθὼν χάριν προσκυνήσεως εἰς τὸν

ἅγιον

ἅγιον τάφον, τῶν Φράρων μὴ ἀναψάντων αὐτῷ τὰς κανδήλας αὐτῶν, ἐπῆρε καὶ αὐτὸς κύκλωθεν τῆς Ἀποκαθηλώσεως τοὺς τάπητας, οὓς φθὰς ἔστρωσεν ὁ Σκευοφύλαξ, καὶ ὑστερήθησαν ταύτης τῆς τιμῆς. δεύτερον, ὅτε ἦν ὁ Νεκτάριος ἐν Κωσταντινουπόλει, ἐπορεύθησαν μετὰ ἀξιωνῶν καὶ ἄλλων ἐργαλείων οἱ Φράροι τοῦ κόψαι ἔνδοθεν τοῦ Κουβουκλίου τὸν ἅγιον λίθον, ἢ ὅλον, ἢ ὅσον ἂν δυνηθεῖεν, ἵνα ἀποκομίσωσιν αὐτὸν ἴσως εἰς Φραγγίαν. ἀλλ' ἤσθοντο αὐτοὺς τοῦτο ποιήσοντας οἱ Ῥωμαῖοι πατέρες, καὶ ἀπήγαγον αὐτοὺς εἰς τὸν κριτήν, καὶ ἐξ ἐκείνου οἱ πατέρες σφόδρα τὰ τοιαῦτα διὰ φυλακῆς ἔχουσι. τρίτον, τοῦ τοίχου τοῦ μεγάλου τουρλαίου διαρραγέντος, Ῥωμαῖοι, Φράγγοι, καὶ Ἁρμένιοι κοινὴν ἔθεντο δαπάνην, καὶ κατεσκεύασαν τοὺς προβλῆτας, ὃ κοινῶς ποδαρικὰ τοῦ τοίχου λέγονται, ὡς νῦν ὁρῶνται. ἀπέστειλαν δὲ τὸ χοτζέτιον, ἤτοι τὸ βεβαιωτικὸν γράμμα τοῦ κριτοῦ εἰς Ἀδριανούπολιν, καὶ ἐποίησε κατ' αὐτὸ μεσιτεύσας ὁ Ῥεσιδέντες τῆς Νεμτζίας ὁρισμὸν, ἐν ᾧ ἔγραψε πρῶτον Φράγγους, καὶ δεύτερον τοὺς Ῥωμαίους. γέγονε δὲ καὶ ἄλλη προπαρασκευὴ μάχης μεταξὺ Ῥωμαίων καὶ Φράρων. ὁ οὖν Πατριάρχης μὴ δυνηθεὶς ὑποφέρειν τὰ τόσα χρέη, ἀνῆλθεν εἰς Κωνσταντινούπολιν, πατριαρχοῦντος τοῦ Μεθοδίου, τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ὀγδόῳ ἔτει.

ΠΡΑΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς ἐπὶ τὸ παραιτήσασθαι τὸν θρόνον ἀποφάσεως τοῦ Νεκταρίου διὰ τὸ ταλαιπωρεῖσθαι ὑπὸ διαφόρων ἀσθενειῶν, ἣν καὶ ἀπεκάλυψεν ἡμῖν, καὶ περὶ τῆς ἡμετέρας πρὸς αὐτὸν συμβουλῆς μετ' αἰτιῶν εὐλόγων καὶ θεαρέστων.

Ὁρῶν δὲ ἑαυτὸν ὁ Νεκτάριος ἀσθενῆ, καὶ ὡς εἰπεῖν ἕκαστον τῶν μελῶν αὐτοῦ κρατούμενον ὑφ' ἑκάστης ἀσθενείας, καὶ διὰ μνήμης ἄγων τῶν Μοναχῶν τὸ μεμψίμοιρον καὶ φίλαυτον, ἐποίησεν ἀπόφασιν παραιτήσασθαι τὸν θρόνον. ἀπεκάλυψεν οὖν ἐμοὶ πρῶτον τότε ἐν Κωνσταντινουπόλει τὸ μυστήριον, συμβουλευόμενος τὸ ποιητέον. εἶπον οὖν ἐγὼ αὐτῷ βουλὴν τοιαύτην, Ἡμακαριότης σου βλέπεις τὸν οἶκον τοῦτον τὸν εὐλογημένον ὄντα ὑπὸ πολλῶν ἐχθρῶν ἐπιβουλευόμενον πάντοτε ποικίλως καὶ πολυειδῶς, πολυσχιδὴς γὰρ ἡ κακία. δεύτερον, ὄντα ὑπὸ χρέος βαρύτατον, καὶ αὐτὸ μὲν πλεονάζει, ὁ δὲ τρόπος τοῦ κουφισθῆναι τοῦ χρέους ἔτι ἐστὶν ἄγνωστος. τρίτον, διὰ τὸ εἶναι πάντοτε σκάνδαλα καὶ χρέη καὶ πειρασμοὺς ἐν τούτῳ τῷ ἁγίῳ οἴκῳ, καὶ διατοῦτο τὸ πλεῖον τοῦ καιροῦ περιπατεῖν ἔξω τοὺς Πατριάρχας, οἱ ἐν τῷ Πατριαρχείῳ Μοναχοὶ ὄντες ἀπαίδευτοι καὶ αὐθάδεις, ταῖς κακαῖς αὐτῶν κυβερνήσεσι καὶ ἀκαταστασίαις προξενοῦσιν αὐτῷ τῷ ἁγίῳ οἴκῳ πολλὰς ἀτοπίας καὶ ζημίας. εἶτα τὸ τήμερον ἤδη εἰσὶ καὶ τὰ Μοναστήρια τῶν Ἰβήρων ἐν κινδύνῳ, μήπως κυριεύσωσιν αὐτῶν οἱ Αἱρετικοὶ ὑπόχρεων ὄντων, καὶ τῇ Ἐκκλησίᾳ τῆς Βηθλεὲμ ἐπαπειλεῖ φθορά τις παντέλειος, καὶ δέονται καὶ ταῦτα τοῦ καλῶς προστησομένου, πλὴν ἐπειδὴ ἐσμὲν ὑπὸ τυραννοῦσαν χεῖρα, καὶ γενέσθαι τὸ καλὸν τέλειον ἐστὶν ἀδύνατον, χρεία ἐστὶ θέλειν ἡμᾶς γίνεσθαι αὐτὸ καὶ ὡς δυνάμεθα, ὅτε γὰρ (φασὶν οἱ πολιτικοὶ Νόμοι) οὐκ ἐνδέχεται γενέσθαί τι χωρὶς ζημίας, τὸ ἧττον ἄδικον ἐπιλεγόμεθα. ὥστε ταῦτα πάντα τὸν ἐνόντα διακυβερνῶνται γινομένου Πατριάρχου Ἱεροσολύμων Ἱεροσολυμίτου, ἤτοι Ἁγιοταφίτου, εἰ δὲ καὶ ἡ σὴ μακαριότης ἦν τῶν ἐκ τοῦ Σινᾶ ὄρους, ἀλλὰ καὶ τὸ Σινὰ ὄρος Ἐπισκοπή ἐστι τοῦ Ἱεροσολύμων, καὶ τοιοῦτον ἄτομον οἷον αὐτὸς εἶ, ποῦ ποτε εὑρεθήσεται, ὥστε εἴ γε καὶ ξένος εἴη, φυλάξαι τοιαύτην οἰκονομίαν καὶ κυβέρνησιν; τὸ γὰρ ἀγαθὸν σπάνιον μὲν ἦν ποτε, νῦν δὲ σπανιώτατον, ἐπειδὴ τὸ τοῦ Διογένους σχεδὸν ἤδη πληροῦται, κηρὸν ἀνάψαντος ἡμέρας, καὶ ἄνθρωπον εὑρεῖν ζητοῦντος. εἰ δὲ καὶ γένοιτο Πατριάρχης Ἱεροσολύμων ἔξωθεν ἄνθρωπος, καὶ ἀπὸ ἄλλου κλίματος, μὴ δυνάμενος κυβερνῆσαι τοὺς ἀδελφοὺς, καὶ θέλων αὐτῶν κατεξουσιάζειν, πρὸς τῷ μὴ ὠφελῆσαι βλάψει μᾶλλον αὐτοὺς καὶ τὸν θρόνον, μάλιστα τινὲς τούτων εἰώθασι χειροτονεῖν ἐπὶ χρήμασι, καὶ λαμβάνειν παρὰ τῶν Ἱερέων ἐμβατοίκια καὶ φλωρία, καὶ αἰτεῖν παρὰ τῶν Χριστιανῶν δυναστικῶς ἀργύρια, καὶ παραβαίνειν τὰ ἐκκλησιαστικὰ δίκαια, ἅπερ ἕως τοῦ νῦν ἐν τῷ τῆς Ἱερουσαλὴμ θρόνῳ τῇ τοῦ Χριστοῦ χάριτι οὐκ ἐγένοντο, καὶ γενέσθαι δίκαιον οὐκ ἔστι πολλῶν ἕνεκα, καὶ ἐπὶ τούτοις ἐὰν γένηται ἐνταῦθα ἡ παραίτησίς σου, παρὰ τοῦ γενησομένου Ἱεροσολύμων ζητήσει πάντως ἀργύρια ὁ Κωνσταντινουπόλεως, καὶ ἐὰν μὲν δώσῃ, γενήσεται κακὴ συνήθεια, ἐὰν δὲ μὴ δώσῃ, ἀκολουθήσει σκάνδαλον ὥσπερ τὸ τοῦ Παϊσίου καὶ τοῦ Ἰολιάθ, καὶ τὸ δὴ μέγιστον καὶ πάντων χεῖρον, ἐὰν μόνος σὺ ἐνεργήσῃς τὸ πρᾶγμα τοῦτο, φανήσεται τοῖς ἐν Ἱεροσολύμοις πατράσι βαρὺ καὶ δυσάρεστον, καὶ ὅρα μὴ ἀκολουθήσῃ σκάνδαλόν τι μετὰ διχονοίας, καὶ φθαρῶσιν ὁμοῦ πάντα τὰ πράγματα τοῦ ἁγίου τάφου. ὅθεν μία ἀσφάλεια τῶν εἰρημένων δοκεῖ εἶναι, ἵνα γράψῃς τοῖς γέρουσι καὶ πρωτεύουσιν ἀδελφοῖς τοῖς τε ἐν ζητίαις καὶ ἐν ἡγουμενείοις οὖσιν ἐλθεῖν ἀποφαντικῶς εἰς Ἱεροσόλυμα, καὶ τὴν σὴν μακαριότητα ἐκεῖσε ἀπιέναι, κἀκεῖ προκειμένων τῶν ἁγίων Εὐαγγελίων προβαλέσθαι τὴν ὑπόθεσιν, καὶ ὁρκίσαι πάντας μὴ ἀπιδεῖν εἰς πάθη καὶ φιλίας, ἀλλ' εἰς τὸ δίκαιον, καὶ ὅς τις ἂν ἐκλεχθείη, ἐκεῖνος γινέσθω, καὶ ἐστὶ τοῦτο καὶ ἀσφαλὲς καὶ ἐπαινετὸν, καὶ δοκεῖ εἶναι καὶ κατὰ θεῖον σκοπὸν, καὶ τοῦ γενησομένου ὑπερασπιεῖ τὸ θεῖον. ταῦτα ἐγώ.

ΒΙΒΛΙ-

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς ἡμετέρας Πατριαρχείας, καὶ πῦ ἐχειροτονήθημεν, καὶ πόσον χρεῶς εὕρομεν τῦ ἁγίυ τάφυ, καὶ πῇ γῆς πρῶτον ἀπεδημήσαμεν κατὰ περιόδευσιν ἕως Βλαχίας.

Ἴσχυσαν ὀυδὲν τὰ πολλάμυ λόγια πρὸς τὸν γέροντα Νεκτάριον, ὃς συμβυλῇ χρησάμενος τινῶν γερόντων καὶ προεστώτων ἀδελφῶν, πέμπει εἰς Λάρισσαν, ὅπυ ἦν ὁ Συλταῖος καὶ ὁ Ἀνθύπατος, ὁ γὰρ Βεζύρης ἦν ἐν τῷ πολέμῳ τῆς Κρήτης, ἐμὲ, ἵνα λάβω ὁρισμὸν περὶ τῦ ποιῆσαι ἐν Κωνσταντινυπόλει Πατριάρχην Ἱεροσολύμων ὃν βύλεται. συνέβη δὲ τότε γενέσθαι Μπογδανίας Ἡγεμόνα τὸν Δύκαν τὸν Θησαυροφύλακα τῦ Ἡγεμόνος Βασιλείυ, ὅστις ἐμεσίτευσε καὶ ἐδόθη ἰσχυρὸς ὁρισμὸς κατὰ τὴν αἴτησιν, ἤτοι ἵνα ὁ Νεκτάριος προχειρίσηται Πατριάρχην Ἱεροσολύμων ὃν βύλεται. καὶ δὴ δοθέντος τῦ ὁρισμῦ, γράφει καὶ ὁ βασιλικὸς ἐπίτροπος τῷ Κωνσταντινυπόλεως Μεθοδίῳ, ὅτι ὁ Ἱεροσολύμων Πατριάρχης γέρων ὤν, βύλεται παραιτήσασθαι τὸν θρόνον ἐπίτινα τῶν ἰδίων, καὶ ἐπειδὴ ὀυκ ἔχει αὐτῷ παρόντας τὺς Ἀρχιερεῖς αὐτῦ, καὶ χρεία ἐστὶ ζητῆσαι παρὰ σῦ Ἀρχιερεῖς, ἵνα γένηται τὸ σύνηθες κατὰ τὴν τάξιν τῆς πίστεως ὑμῶν, καὶ τελειωθῇ ὁ ἐκλεχθεὶς Πατριάρχης, πεφύλαξο ἀπὸ τῦ αἰτῆσαι λαβεῖντι παρ' αὐτῦ, ποιῶν ἐναντία τῷ βασιλικῷ ὁρισμῷ, ὅτι ἅμα τῷ ἀκυσθῆναι τῦτο θανατῦσαι. ὅθεν Συνόδυ γενομένης Πατριαρχῶν, Μητροπολιτῶν, Κληρικῶν, Ἀρχόντων καὶ τῶν ἐπιτρόπων καὶ παρευρεθέντων ἀδελφῶν τῦ ἁγίυ τάφυ ἐντὸς τῦ Μετοχίυ, ἔπεσεν ὁ κλῆρος ἐπ' ἐμὲ, καὶ μετετέθην τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ἐνάτῳ ἔτει, Ἰαννυαρίυ εἰκοστῇ τρίτῃ, ἡμέρᾳ Σαββάτῳ. ὅσα δὲ ἐδαπανήθησαν μετέπειτα εἰς τὺς βασιλικὺς ὁρισμὺς, δέδωκεν αὐτὰ αὐτὸς ὁ Μολδοβίας Ἡγεμὼν Δύκας, ἄκρος ὢν ἐμοὶ φίλος. ἦν δὲ τὸ χρέος τῦ ἁγίυ τάφυ ἐν μὲν τῇ Κωνσταντινυπόλει γρόσια χιλιάδες ἕξ, καὶ πρός τινα Βαρταπέτην τῶν Ἁρμενίων ἕτερον χρέος γρόσια χιλιάδες δέκα, ἐν δὲ τῇ Ἱερυσαλὴμ χρέος κεφάλαιον γρόσια χιλιάδες ἑξήκοντα καὶ πέντε, καὶ σχεδὸν τριῶν χρόνων τόκοι μὴ ἀποδεδομένοι. τὸ δὲ χρέος ἦν ἀπὸ Παϊσίυ, καὶ ἐγένετο πρῶτον ἀπὸ τῦ σκανδάλυ τῶν Ἁρμενίων, δεύτερον, ἀπὸ τῆς ἐπαναστάσεως τῦ Δυκὸς τῆς Δαμασκῦ κατὰ τῦ Βασιλέως. τρίτον, ἀπὸ τῶν τότε ἐν τῇ ἐπαναστάσει ἐξυσιαστῶν τῆς Ἱερυσαλήμ. ὁ δὲ Νεκτάριος γέρων καὶ ἀσθενὴς ὤν, ὀυδένα κυφισμὸν τῦ χρέυς ἐδυνήθη ποιῆσαι, ὅστις τῷ Μηνὶ Ἰυνίῳ ἀπῆλθεν εἰς Ἱεροσόλυμα ἐπιτροπικῶς, διὰ ξηρᾶς δὲ ἐπέμψαμεν Γεράσιμόν τινα μετὰ γροσίων χιλιάδων δέκα, τότε καὶ Διονύσιος ὁ πρώην Κωνσταντινυπόλεως Πατριάρχης ὁ Ἀνδρίος ἐλθὼν ἀπὸ Θεσσαλονίκης εἰς Κωνσταντινύπολιν, κατέλυσεν εἰς τὸ Μετόχιον, εἶτα διὰ τῆς Ἀτταλείας ἀπῆλθεν εἰς Ἱεροσόλυμα. ἀπήλθομεν καὶ ἡμεῖς Μηνὶ Ἰυνίῳ εἰς Ἀδριανύπολιν, κἀκεῖθεν Μηνὶ Αὐγύστῳ εἰς Φιλιππύπολιν, ἔνθα καὶ ἐδέξαντο ἡμᾶς οἱ Φιλιππυπολῖται ἀσπασίως, καὶ ἐμείναμεν ἐκεῖ μέχρι τῶν τελευταίων ἡμερῶν τῦ Ὀκτωβρίυ, καὶ ἠλέησαν ἡμᾶς πλυσιοπαρόχως. ἦν δὲ ἐκεῖ καὶ ὁ Φιλιππυπόλεως Γαβριὴλ, καὶ ἐνήργησε περὶ τῦ πρὸς ἡμᾶς ἐλέυς συνδραμών. ἀπήλθομεν δὲ καὶ εἰς Στενίμαχον, καὶ Πάζαρτζίκη, ὅτε καὶ ἀγγελίαι ἦλθον τῆς ἁλώσεως τῦ Χάνδακος ὑπὸ τῶν Ὀθωμανῶν, ὄντων ἡμῶν ἐν τῷ οἴκῳ Ἀθανασίυ τῦ Λογοθέτυ, ὅπυ καὶ ὁ Θεοφανὴς καὶ ὁ Παΐσιος ἐξενίθησαν. καὶ τῷ Νοεμβρίῳ Μηνὶ ἀπήλθομεν εἰς τὸν Ἐσκῆ Ζαγαρᾶν, κἀκεῖθεν εἰς Ὑάμπολιν, ἀφ' ἧς ἀπεστείλαμεν τὸν Παπᾶν Καλλίνικον, καὶ γέροντα Παρθένιον εἰς Ἱεροσόλυμα μετὰ δώδεκα χιλιάδων γροσίων, εἶτα ἀπήλθομεν εἰς Σηλύμνον, κἀκεῖθεν εἰς Ἀλβανιτοχώριον, καὶ Τόρνοβον, καὶ εἰς τὸ τζερβένβοδα τῇ ἑορτῇ τῶν Θεοφανείων κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἑβδομηκοστὸν ἔτος, εἶτα εἰς Δρύστραν, καὶ ἐκεῖθεν εἰς Φλότζη τῇ πέμπτῃ τῦ Φεβρυαρίυ, ὅτι ἐκινδυνεύσαμεν ὑπὸ τῦ χειμῶνος, εἶτα εἰς Μπυκυρέστιον τῆς Βλαχίας τῇ μεγάλῃ Τεσσαρακοστῇ κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἑβδομηκοστὸν ἔτος.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ ἑψήσεως ἁγίυ Μύρυ ἐν Ἱερυσαλὴμ παρὰ τῦ πρώην Ἱεροσολύμων Νεκταρίυ, καὶ ἐν Βλαχίᾳ παρ' ἡμῶν.

Ἐπειδὴ ἀφ' ὗ καιρῦ ἐπὶ τῆς πρώτης Πατριαρχείας Παρθενίυ τῦ τεταρτυ διὰ δαπάνης καὶ ἐπιμελείας Παναγιωτάκη τῦ Ἑρμηνέως ἕψησαν ἐν τῇ Κωνσταντινυπόλει ἅγιον Μῦρον, καὶ ἐξ ἐκείνυ ἄλλοι Πατριάρχαι ὀυχ ἕψησαν, καὶ ἦν σπάνις ἁγίυ Μύρυ, ὁ Νεκτάριος εὑρισκομένυ τότε ἐν Ἱεροσολύμοις καὶ τῦ πρώην Κωνσταντινυπόλεως Διονυσίυ ἕψησεν ἅγιον Μῦρον πολὺ καὶ θαυμαστόν. παρεκινήθησαν δὲ καὶ οἱ ἐν Οὐγγροβλαχίᾳ ἐκ θείας ἐπιπνοίας εἰς θείυ Μύρυ κατασκευήν. καὶ δὴ τῇ τῦ κοινῦ δαπάνῃ ἑψήσαμεν αὐτὸ ἡμεῖς, φέρον σχεδὸν ὁλκὴν λιτρῶν δέκα πρὸς τῶν διακοσίαις, θαυμασιώτατον, καθυπηρετύντων τῇ ἑψήσει τῦ Ἡγεμόνος, τῶν Ἀρχιερέων, τῶν Ἀρχόντων, καὶ πληθύος Ἱερέων, καὶ διενεμήθη καὶ τοῖς ἐν Οὐγγρίᾳ καὶ Μολδαβίᾳ καὶ τοῖς περὶ τὸν Δύναβιν ποταμὸν οἰκῦσι Χριστιανοῖς.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἀπὸ Βλαχίας εἰς Μολδαβίαν μεταβάσεως ἡμῶν, καὶ ὧν ἐλάβομεν ἐκεῖ Μοναστηρίων, καὶ ἐπανελεύσεως ἡμῶν εἰς Κωνσταντινούπολιν, καὶ εἰς Ἀδριανούπολιν μετὰ μεγίστου τοῦ καθ' ὁδὸν κινδύνου, καὶ εἶτα εἰς Ἱερουσαλὴμ ἀπερχόμενοι ἐκινδυνεύσαμεν ἐν τῇ θαλάσσῃ, ἔχοντες καὶ ἀφιερώματα ἱκανὰ, ἃ δέδωκεν ἡμῖν ὁ Ἀτταλεὺς Βασίλειος, καὶ περὶ τῶν ἐν Ἱερουσαλὴμ ἡμῶν ἔργων, καὶ τῆς οἰκοδομίας τῆς ἁγίας Βηθλεέμ.

Ἐντεῦθεν οὖν, ἤτοι ἀπὸ Βλαχίας Μηνὶ Μαΐῳ μετέβημεν εἰς Γιάσιον τῆς Μολδαβίας, ὅτε τὸ Μοναστήριον τὴν Τζετατζούϊαν, ὃ δηλοῖ μικρὸν κάστρον, τὸ ἐκ βάθρων οἰκοδομηθὲν ὑπὸ τοῦ Δούκα Βοεβόδα, ἐλάβομεν, καὶ ἐγκαινίοις καθιερώσαμεν ἐν τῇ τῆς κοιμήσεως τῆς Θεοτόκου ἡμέρᾳ. ὡσαύτως ἐλάβομεν παρὰ τῶν Ἠπειρωτῶν καὶ τὸ Μοναστήριον Χλίντζα. ταῖς δὲ τελευταίαις τοῦ Αὐγούστου ἡμέραις ἀπήλθομεν διὰ τοῦ Γαλατζίου εἰς Ἀδριανούπολιν, καὶ μετ' οὐ πολὺ εἰς Κωνσταντινούπολιν, κἀκεῖ μικρὸν ἐνδιατρίψαντες, ὑπεστρέψαμεν ὥρᾳ χειμῶνος εἰς Ἀδριανούπολιν μετὰ μεγάλης ἀνάγκης, καὶ καθ' ὁδὸν μικροῦ ἐδέησε δὶς ἀποπνιγῆναι ἡμᾶς, ἦν δὲ αἴτιος τῆς εἰς Ἀδριανούπολιν ἡμῶν ἀποδημίας ὁ τοῦ Φράντζα πρεσβευτὴς ὡς ἐν ἄλλοις σημειώσομεν. ἀπὸ οὖν Ἀδριανουπόλεως ἐπορεύθημεν εἰς Ἱερουσαλὴμ διὰ τῆς Ἀτταλείας. ἐν δὲ τῇ θαλάσσῃ δὶς ἐκινδυνεύσαμεν τὰ ἔσχατα, ἔχοντες μεθ' ἡμῶν ἀργυρᾶς κανδήλας τεσσαράκοντα, καὶ χρυσῆν μίαν, καὶ χρυσοῦν θυμιατήριον, ἅπερ ἡμῖν δέδωκεν ὁ ἀπὸ Ἀτταλείας Βασίλειος ἀποκομίσαι εἰς Ἱερουσαλὴμ, εἰς ἣν ἐφθάσαμεν Μηνὶ Μαρτίῳ. ἔνθα μετὰ τὸ Πάσχα εὐδοκίᾳ Θεοῦ διωρθώθη ἱκανῶς τὸ χρέος, καὶ ἠλευθερώθησαν ἐκ τῶν χειρῶν τῶν χρεωφειλετῶν τὰ ὑπὲρ τοῦ χρέους δοθέντα αὐτοῖς ἐνέχυρα σκεύη τοῦ ἁγίου τάφου. ἔτι δὲ ἐκρημνίσαμεν, εἰ καὶ οὐ χωρὶς κινδύνων, κτιριάτινα Αἱρετικῶν ἔνδον ἐν τῷ μεγάλῳ Ναῷ, κατὰ τὸ νότιον μέρος τοῦ ἁγίου Κουβουκλίου ὄντα, ὅπου γε καὶ ἄλλα ἀξιόλογα γεγόνασιν. ἐν τούτοις δὲ, ἦλθε καὶ ὁ Φιλόθεος ἀπὸ Ἀδριανουπόλεως μετὰ ὁρισμοῦ καὶ τεκτόνων, καὶ ἀπηρτίσθη ἡ οἰκοδομὴ τῆς ἁγίας Βηθλεὲμ ἀπὸ Σεπτεμβρίου ἕως Ἰουλίου, τὸ δὲ Τέμπλον οἱ παρὰ τῶν τῆς Χίου Ἀρχόντων πεμφθέντες τέκτονες κατεσκεύασαν, οἷς τὸν μισθὸν ἀπέδωκεν ἡ Χῖος, τὰ δὲ ξύλα τοῦ Τέμπλου καὶ τὸ χρύσωμα εἰσὶν ἄλλων πτωχῶν ἔλεος καὶ βοήθεια. εἰ δοκεῖ δὲ, ῥητέον πλεῖόν τι περὶ τῆς αὐτῆς οἰκοδομῆς.

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῆς οἰκοδομῆς τοῦ κατὰ τὴν Βηθλεὲμ μεγάλου Ναοῦ τοῦ ἐπὶ τοῦ ἁγίου Σπηλαίου, καὶ τὶς πρῶτον αὐτὸν ἔκτισε, καὶ τίνες ὕστερον ἀνεκάνισαν ἕως τῆς παρ' ἡμῶν αὐτοῦ ἀνακαινίσεως, οὗ τὴν ὕλην ἀπέστειλεν ὁ Ἄρχων Μανολάκης ὁ Καστοριανός.

Τὸν Ναὸν τῆς ἁγίας Βηθλεὲμ ἔκτισε μὲν μικρὸν ὁ μέγας Κωνσταντῖνος, ἤρξατο δὲ κτίζειν μείζονα ὁ Ἱεροσολύμων Ἠλίας, οὗ μὴ δυνηθέντος αὐτὸν κτίσαι, ἔκτισεν ὁ μέγας Ἰουστινιανὸς, καὶ διόλου διαφθαρέντα ἀνεκαινίσαμεν ἡμεῖς ὡς σήμερον ὁρᾶται. σημείωσαι δὲ, ὅτι τὰ ἐκτισμένα ὀρθὰ μάρμαρα ἐν τοῖς τοίχοις ἔλαβεν ὁ Σουλτᾶν Σουλεϊμᾶν, ὅτε τὸ Ἱερὸν ἔκτιζε, τὰ δὲ ἔσω καὶ ἄνω τοῦ ἁγίου Σπηλαίου ἔμειναν, καθότι ἐξῆλθε πῦρ πυρπολῆσαι τοὺς ἐπιχειρήσαντας ἐκβαλεῖν αὐτὰ τεχνίτας, καὶ οὕτως αὐτὰ ἀφεῖκαν. ἀπὸ δὲ Ἰουστινιανοῦ μέχρις ἡμῶν οὐκ ἔχω εἰπεῖν πότε ἐφθάρη, καὶ πότε ἀνεκαινίσθη ὁ Ναὸς οὗτος τοῦ ἁγίου Σπηλαίου. ὅτι ὅμως ἐφθάρη, καὶ ἀνεκαινίσθη ὑπὸ Μανουὴλ τοῦ Κομνηνοῦ, καὶ δὴ καὶ ἐζωγραφήθη, εἴρηται ἀνωτέρω βιβλίου ὀγδόου κεφαλαίου δεκάτου Παραγράφῳ πέμπτῳ, καὶ εὑρίσκονται ἐν τῷ Ναῷ τούτῳ τῆς ἁγίας Βηθλεὲμ ἕως τῆς σήμερον τὰ γράμματα ταῦτα, Ἐτελειώθη τὸ παρὸν ἔργον διὰ χειρὸς Ἐφραὶμ Μοναχοῦ Μουσιάτορος καὶ ἱστοριογράφου, ἐπὶ τῆς βασιλείας Μανουὴλ Κομνηνοῦ τοῦ Πορφυρογεννήτου, καὶ τοῦ ἁγιωτάτου Ἐπισκόπου τῆς ἁγίας Βηθλεὲμ Ῥαγουὴλ, ἐν τῇ ἡμέραις Ἀμορῆ Ῥηγὸς Ἱεροσολύμων, ἔτους ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ ἑβδομηκοστοῦ ἑβδόμου ὄντος. ἐφθάρη δὲ, λέγω ἡ στέγη, ἐπειδὴ οἱ τοῖχοι εἰσὶ κατεσκευασμένοι τεχνικώτατα, ὥστε ἀδύνατόν ἐστι ῥᾳδίως διαφθαρῆναι, ἐποίησε δὲ τὴν στέγην ἐκ ξύλων, ἐπειδὴ ἐν τοσούτῳ πλάτει καὶ λεπτότητι τοίχων θόλον γενέσθαι ἐστὶν ἀδύνατον. πλὴν ὑπ' ἀμελείας μὴ κατὰ καιροὺς ἀνακαινιζομένου τοῦ μολύβδου, ἐβράχη ἡ στέγη, καὶ ἐσάπη, καὶ κατ' ὀλίγον διεφθάρησαν τὰ ξύλα, καὶ ἔπεσεν ὁ πλείων μόλυβδος καὶ τὰ ξύλα. ἠβουλήθη δὲ ὁ Παΐσιος ἀνοικοδομῆσαι τὴν στέγην ταύτην, δόντος αὐτῷ περὶ ταύτης τοῦ Ἡγεμόνος Οὐγγροβλαχίας Ματαίη τοῦ Μπασαράμπα ἑπτὰ χιλιάδας γρόσια, ἀλλ' οὐδὲν ἴσχυσεν. ὁ δὲ Νεκτάριος ἀπὸ Δακίας καὶ Μυσίας ἐλθὼν εἰς Κωνσταντινούπολιν, καὶ Ἄρχοντά τινα Μανολάκην Καστοριανὸν, ἄνθρωπον μυρία ἀγαθὰ ποιοῦντα τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ καὶ σχολεῖα, ὡς εἴπομεν, ἐν Βυζαντίῳ, Χίῳ, καὶ Ἄρτῃ καταστήσαντα, ἐπιτήδειον ἐν τοῖς τοιούτοις εὑρὼν, παρεκίνησεν αὐτὸν ἀνακαινίσαι

νίσαι τοῦ Ναοῦ τὴν στέγην τούτου τῆς ἁγίας Βηθλεὲμ, ᾧ ὑποσχεθέντι ἐπιχειρῆσαι τῷ τοιούτῳ ἔργῳ, ἔλεγεν αὐτὸς ὁ Νεκτάριος, ὡς ἐνόμιζεν, ὅτι μετὰ ὀλίγης δαπάνης ἀπαρτίζεται ἡ οἰκοδομή· καὶ δὴ ὁ Ἄρχων κατὰ τὴν ὑπόσχεσιν αὐτοῦ ἡτοίμασεν ὕλην τῆς οἰκοδομίας, ξύλα τεσσαράκοντα μὲν δεκαπενταπηχυαῖα, ὀγδοήκοντα δὲ ὀκτωπηχυαῖα, καὶ διακόσια καὶ πεντήκοντα ἑπταπηχυαῖα, καὶ ἄλλα τοιαῦτα, ἤτοι σανίδας, σίδηρον ἱκανὸν, καὶ ἥλους, ἅπερ συνεργείᾳ τοῦ εἰρημένου Μοναχοῦ Φιλοθέου τοῦ ἐκ τῆς Νήσου Κώου ἐπέμφθησαν εἰς Ἰόππην.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ τρόπου καὶ τοῦ μέσου καθ' ὃν καὶ δι' οὗ δέδωκεν ὁ Βεζύρης ὁρισμὸν ἀνακαινίσεως τοῦ ἐν τῇ Βηθλεὲμ Ναοῦ.

Καὶ δὴ τὸ δεύτερον ἐλθὼν εἰς τὴν Κωνσταντινούπολιν ὁ Νεκτάριος, ἔφερε καὶ ἀναφορὰν τοῦ κριτοῦ τῆς Ἱερουσαλὴμ, τὴν τῆς στέγης σαθρότητα μαρτυροῦσαν, εἰ καὶ γέγονεν αἰτία μυρίων κακῶν ἡ ἀναφορὰ, ἐπειδὴ οὐκ ἔλεγε στέγην τῆς Ἐκκλησίας, ἀλλὰ στέγην τῆς τοῦ Χριστοῦ γεννήσεως, ὡς δῆθεν ἐκ τούτου ἐπινεῦσαι τὴν Βασιλείαν, καὶ δοῦναι θέλημα αὐτῷ περὶ τῆς ἀνακαινίσεως. ἔφερεν ὅμως τὴν ἀναφορὰν ὁ Νεκτάριος, καὶ πολλῆς δεήσεως περὶ τῆς ἀνακαινίσεως γενομένης, ὁ τοῦ Κιοπρουλῆ υἱὸς Βεζύρης ὢν τότε, οὔτε ἀκοῇ δέξασθαι τὴν ἀνακαίνισιν ἠθέλησεν, οὗ ἀπελθόντος εἰς Κρήτην, ὅτε καὶ τὸν Χάνδακα ἔλαβεν, ὁ ἀντ' ἐκείνου ὑπατεύων τῆς αὐτῆς ἐκείνῳ εἴχετο γνώμης. εἶχεν ὅμως ὁ Βεζύρης συμπατριώτην τινὰ Ὀθωμανὸν γηραιὸν, Σουλεϊμᾶν Ἐφέντην λεγόμενον, καὶ οὗτος εἶχε γύναριν τινὰ Γεώργιον Πελοποννήσιον τοὐπίκλην Χάψαν, ὅθεν ἐλθόντα ἀπὸ τῆς Κρήτης εἰς τὴν Ἀδριανούπολιν τὸν Βεζύρην, ὁ Σουλεϊμᾶν Ἐφέντης διὰ τῆς πρὸς αὐτὸν δεήσεως τοῦ Χάψα, καὶ τοῦ εἰρημένου Φιλοθέου, τοῦ προαποσταλέντος μὲν εἰς Ἀδριανούπολιν περὶ ἄλλων ὑπηρεσιῶν, προστεταγμένου δὲ καὶ περὶ τῆς ὑποθέσεως ταύτης καιρὸν ἐπιχειρήσεως ἐπιτηρεῖν, κατέπεισε δοῦναι ὁρισμὸν, ὃν δοθέντα διὰ δαπάνης γροσίων ἑπτὰ χιλιάδων, λαβὼν ὁ Φιλόθεος, καὶ προσέτι δέκα τέκτονας Μυτιληναίους, τῆς τεκτονικῆς ἐμπείρους, ἔπλευσε μετ' αὐτῶν εἰς Ἰόππην Μηνὶ Ἰουλίῳ. συνέβη δὲ εἶναι τὸν μὲν Κατὴν, ἤτοι κριτὴν τῆς Ἱερουσαλὴμ εὐγνωμονέστατον ἄνθρωπον, τὸν δὲ Πασσᾶν, ἤτοι Ἔπαρχον διατρίβειν εἰς Μέκκαν, καὶ τὴν Παλαιστίνην τῇ τοῦ Θεοῦ εὐδοκίᾳ ἔχειν μεγάλην εἰρήνην.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τοῦ τρόπου καὶ τοῦ πολλοῦ πόνου καὶ μόχθου καθ' ὃν ἡ ὕλη τῆς οἰκοδομῆς τοῦ τῆς ἁγίας Βηθλεὲμ Ναοῦ ἀνεκομίσθη ἀπὸ τῆς Ἰόππης εἰς τὴν Βηθλεὲμ, καὶ τῆς τελείας οἰκοδομῆς αὐτοῦ.

Τὴν μὲν οὖν ἐλαφρὰν ὕλην τῆς οἰκοδομίας ἀνεβίβασαν ἀπὸ Ἰόππης εἰς Ἱερουσαλὴμ αἱ Κάμηλοι, περὶ δὲ τῶν μεγάλων ξύλων μὴ ἐχόντων ἡμῶν τι ποιῆσαι, ἔτυχεν ἐκεῖ πτωχός τις Καππαδόκης γηραιὸς, τοὔνομα Νικόλαος, καὶ κατασκευάζει ἁμάξας διτρόχους, καὶ ἀγοράζομεν καὶ ἡμεῖς τεσσαράκοντα βόας, καὶ ὑποζευγνύντες ταῖς ἁμάξαις, φέρομεν εἰς Ῥέμπλι τὰ ξύλα, ἐμοῦ προηγουμένου ἕνεκεν πολλῶν αἰτιῶν. ἐκεῖθεν δὲ περὶ τῶν ἁμαξῶν ὁδὸν εὕρομεν τὴν ὅσον πρὸς τὰς ἄλλας καλλίονα, τὴν ἀπὸ τοῦ Βαντισαλὰμ, ἤτοι τοῦ Χειμάῤῥου τοῦ Σαλὰμ τοῦ βορείου ὄντος τῆς Ἐμμαοῦς, φέρουσαν εἰς Ἱερουσαλὴμ, ἀλλὰ δυσβάτου ὄντος τοῦ τόπου. οὐκ ἦν δυνατὸν κἀκεῖθεν διοδεῦσαι τὰς ἁμάξας, ὅθεν δύναμιν ἀναλωμάτων μὴ ἔχοντες τοσαύτην, ὥστε τὴν ὁδὸν διομαλίσαι, ἐπετρέψαμεν ἐξελθεῖν τοὺς πτωχοὺς ὁμαλίσαι τὴν ὁδὸν, καὶ ἐξῆλθον οἱ πτωχοὶ ὀρθόδοξοι ἀπὸ Ῥέμπλι, Λύδδης, Ῥαμάλας, καὶ οἱ πλείους ἀπὸ Ἱερουσαλὴμ, καὶ ἦλθον μετὰ τῶν ἐργαλείων αὐτῶν, καὶ ἐδούλευσαν ἡμῖν ἀμισθὶ καὶ ἐξ ἰδίων τρεφόμενοι ἐπὶ ἱκανὰς ἡμέρας, καὶ ἔκοψαν τοὺς βουνοὺς, καὶ ἐγέμισαν τὰ ὀρύγματα, καὶ ἐποίησαν τὴν τρίβον εὐθεῖαν, καὶ ἀνεβιβάσαμεν τὰ ξύλα ἀπὸ Αὐγούστου ἕως Δεκεμβρίου εἰς Ἱεροσόλυμα, κἀκεῖθεν ὁμαλίσαντες τὴν τρίβον, ἀπεκομίσαμεν αὐτὰ εἰς τὴν Βηθλεὲμ, ἥτις καὶ ᾠκοδομήθη ὡς τὴν σήμερον ὁρᾶται. καὶ οὐ μόνον ἡ στέγη αὐτῆς, ἀλλὰ καὶ οἱ τοῖχοι ἀνεκαινίσθησαν, καὶ αἱ θυρίδες αὐτῆς κεκλεισμέναι οὖσαι μετὰ ξηρολίθων ἠνεώχθησαν, καὶ κατεσκευάσθησαν μετὰ σιδήρων καὶ ὑαλίων, καὶ τὰ ἑκατέρωθεν τοῦ ἁγίου Σπηλαίου δύο βήματα ἐστρώθησαν μετὰ ἐντοπίων μαρμάρων, καὶ οἱ τοῖχοι ἠλείφησαν ἀσβέστῳ καὶ ὀπτηλίθοις τετριμμένοις, καὶ οἱ τοῖχοι οἳ ἐχώριζον τὸ ἅγιον Σπήλαιον ἀπὸ τῶν δύο ἡμικυκλίων ἐκρημνίσθησαν, καὶ ἐν ταῖς δυσὶ καμάραις ταῖς κατὰ τὸ δυτικὸν μέρος τῶν ἡμικυκλίων οὔσαις κατεσκευάσθησαν τρεῖς θύραι, αἵτινες ἕνεκεν φυλάξεως τοῦ ἁγίου Σπηλαίου καὶ τοῦ ἁγίου βήματος κλείονται. τοῦ δὲ μολύβδου δι' ἀναχωνεύσεως ἀνακαινισθέντος, καὶ πλείστην ὕφεσιν παθόντος, ἠγοράσαμεν πολὺν εἰς ἀναπλήρωσιν τοῦ ἐλλείποντος.

ΠΑΡΑ-

ΠΑΡΑ'ΓΡΑΦΟΝ Δ'.

Ὅτι ῥίψαντες ἔξω τῆς αὐλῆς τῆς ἁγίας Βηθλεὲμ τὴν γῆν, ἣν ἔξωθεν ἔφερον οἱ Φράροι ἐπὶ τὸ θάπτειν τοῦ νεκροὺς αὐτῶν, κατεσκευάσαμεν τό τε Τέμπλον καὶ ἄλλα ἀξιόλογα σκεύη ἐν τῷ Ναῷ.

Ὅτε ἔλαβον οἱ Φράροι τὸ ἅγιον Σπήλαιον, ἐκυρίευσαν καὶ τῆς κατὰ τὸ νότιον μέρος οὔσης αὐλῆς, καὶ ἔθαψαν ἐκεῖ ἀνθρώπους, καὶ μέχρις ἑπτὰ σαρῶν μνῆμα ἐπὶ μνήματος τεθείκασι, φέροντες ἔξωθεν γῆν, διὰ τὸ εἶναι τὸν τόπον ὅλον πετρώδη, ἥντινα αὐλὴν ἔλαβε παρ' αὐτῶν ὁ Θεοφαίης κατὰ τὸ χιλιοστὸν τεσσαρακοστὸν ἕβδομον ἔτος τῶν Ὀθωμανῶν. ἠνοίξαμεν οὖν ἡμεῖς τὴν ἐν τῇ κολυμβρήθρᾳ θύραν, ἀπὸ τῆς μεγάλης Ἐκκλησίας τὴν ἔξοδον εἰς τὴν αὐλὴν ἔχουσαν (ἐπειδὴ τὸ πρῶτον ἔσωθεν τοῦ βήματος ἀνέβαινον καὶ κατέβαινον οἱ πατέρες εἰς τὸ Μοναστήριον) ἠνοίξαμεν ἔτι καὶ ἑτέραν θύραν ἐν τῷ ἔξω τοίχῳ κατὰ τὸ χωρίον, καὶ τὴν γῆν καὶ τὰ σώματα, ἅπερ ἔθαπτον ἐκεῖ οἱ Φράροι ἐν ἔτεσι δεκαπέντε, ἐξεκομίσαμεν τῆς αὐλῆς καὶ ἀπεκινήσαμεν ἐκεῖθεν μετὰ πολλῶν δαπανῶν καὶ σκανδάλων, οἱ γὰρ Φράροι παρεκίνησαν τοὺς τῆς Βηθλεὲμ χωρίτας, καὶ ἠνώχλουν ἡμᾶς, ὥστε καὶ δὶς ἐκινδυνεύσαμεν ἀποσφαγῆναι ὑπ' αὐτῶν. μετεπεμψάμεθα δὲ καὶ τεχνίτας ἀπὸ τῆς Νήσου Χίου, καὶ κατεσκεύασαν τὸ Τέμπλον ὡς εἴρηται, ἐγένετο δὲ καὶ σκευῶν ἀξιολόγων προμήθεια, ἅπερ οὐκ ἦσαν πρότερον, καὶ ἄλλων ἀναγκαίων.

ΠΑΡΑ'ΓΡΑΦΟΝ Ε'.

Περὶ γενικοῦ ὁρισμοῦ περὶ τῆς οἰκοδομῆς τῆς Βηθλεὲμ καὶ τῶν ἐν αὐτῇ δαπανῶν, ὁ γὰρ ἐπὶ τοῦ Νεκταρίου ὁρισμὸς ἦν ἰδικός.

Διὰ τὸ γεγράφθαι ἐν τῷ ὁρισμῷ οἰκοδομηθῆναι τὴν στέγην τῆς Χριστοῦ γεννήσεως, ἐλθόντος τοῦ ὁρισμοῦ, εἶπεν ὁ Μουφτὴς τῆς Ἱερουσαλὴμ, ἤτοι ὁ κυρωτὴς τῶν ἐντολῶν τοῦ Νόμου, ὅτι ἡ γέννησις τοῦ Χριστοῦ ἐστὶ τὸ Σπήλαιον, καὶ χρεία ἐστὶν οἰκοδομηθῆναι μόνην τὴν στέγην τοῦ Σπηλαίου, οὐμὴν δὲ καὶ τὴν τῆς Ἐκκλησίας. καὶ εἰ καὶ νενίκηται ὁ Μουφτὴς διὰ πολλῶν δαπανῶν, ὅμως ἵνα τὰς κεκλεισμένας θυρίδας ἀνοίξωμεν, καὶ ἀλείψωμεν τὸν τοῖχον, καὶ στρώσωμεν τὴν Ἐκκλησίαν, ἀπεστείλαμεν εἰς Ἀδριανούπολιν ἄνθρωπον, καὶ ἐδόθη ἡμῖν παρὰ τῆς Βασιλείας δεύτερος ὁρισμὸς, περὶ οὗ ἐδαπανήθησαν φλωρία ὀκτακόσια, ὁμοίως καὶ ὁ τῆς Δαμασκοῦ Πασσᾶς, ἤτοι Ἔπαρχος ἀπέστειλεν ἐξεταστὴν μετὰ διακοσίων καὶ ὀγδοήκοντα ἀνθρώπων περὶ τῆς οἰκοδομίας, καὶ ἐκυβερνήθη κἀκεῖνος.

ΠΑΡΑ'ΓΡΑΦΟΝ ϛ'.

Περὶ τῆς ἀπὸ Ἱερουσαλὴμ εἰς Κωνσταντινούπολιν ἐπανελεύσεως ἡμῶν, καὶ ὧν ὁ τῆς Πύλης τοῦ ἁγίου τάφου Μουτεβελὴς καὶ οἱ ἐξουσιασταὶ ἔστειλαν ἀναφορῶν εἰς τὴν βασιλείαν κατὰ τοῦ ἀνακαινισθέντος ἐν Βηθεὲμ Ναοῦ τοῦ ἁγίου Σπηλαίου τῇ τῶν Φράρων εἰσηγήσει, καὶ τῆς παρ' ἡμῶν διορθώσεως διὰ πολλῶν δαπανῶν, καὶ ὧν περιήλθομεν τόπων, καὶ ὧν ἐλάβομεν Μοναστηρίων ἐν Μολδαβίᾳ, Οὐγκρέη καὶ Καλοῦη, ἐν ᾧ μέρος τῆς τιμίας κεφαλῆς εὑρόντες τοῦ Προδρόμου, ἐπέμψαμεν εἰς τὸν ἅγιον τάφον.

Μετὰ τὴν οἰκοδομὴν τῆς ἐν Βηθλεὲμ Ἐκκλησίας ἀνήλθομεν διὰ Συρίας, Κιλικίας, Λυκαονίας, καὶ Βιθυνίας εἰς Κωνσταντινούπολιν τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ δευτέρῳ ἔτει, Μηνὶ Ἰουλίῳ. ἀλλ' ἐπειδὴ ἡ ῥηθεῖσα Ἐκκλησία ἦν σταθμὸς πάγκοινος τῶν Σαρακηνῶν, καὶ κατημελημένη, οὔτε γὰρ τὸ ἐπάνωθεν τοῦ ἁγίου Σπηλαίου ἔδαφος εἶχε περίφραγμα, οὔτε αὐτὸ τὸ ἅγιον βῆμα, ὅθεν κατέλυον ἐκεῖσε καθεζόμενοι οἱ ἐθνικοὶ, καὶ οὐμόνον εἰς τὴν Ἐκκλησίαν, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ἅγιον βῆμα. μετὰ δὲ τὸ ἀνακαινισθῆναι αὐτὴν, καὶ περιφράγμασι περιφραχθῆναι, ὁ Μουτεβελὴς (ὁ οἰκονόμος) τῆς Πύλης τοῦ ἁγίου τάφου ἐξουσιάζων καὶ τοῦ χωρίου Βηθλεὲμ, ἀπελθὼν ἐκεῖσε, κατέλυσεν εἰς τὴν Ἐκκλησίαν, ἐγγὺς τῶν ἤδη στηλωθεισῶν ἁγίων Εἰκόνων παρὰ τὸ βῆμα. μὴ συγκατανεύσας δὲ ἀναστῆναι ἐκεῖθεν μετὰ τὰς δεήσεις τῶν πατέρων, ἐγκαλεῖται πρὸς τὸν κριτὴν, καὶ ἄγεται εἰς ἀπολογίαν, καὶ λοιπὸν ἐπιτιμᾶται, ἀλλὰ διδαχθεὶς ὑπὸ τῶν Φράρων τὸν τρόπον τῆς ἐκδικήσεως, πέμπει ἀναφορὰν πρὸς τὴν Βασιλείαν, γράψας ἐν αὐτῇ, ὅτι ἐν τῇ οἰκοδομηθείσῃ Ἐκκλησίᾳ περιειλήφθησαν μνήματα Μουσουλμάνων, ἧς ἀναφορᾶς ἀποκομισθείσης εἰς Καμενίτζαν, διὰ τὸ εἶναι τότε ἐκεῖ τὴν ἐξουσίαν, πέμπει ὁ Βεζύρης ἐξεταστὴν ἕνα βασιλικὸν Καπουτζήμπασιν, ἤτοι μέγαν πορτάρην εἰς τὴν Ἱερουσαλὴμ, καὶ ἀπελθόντες αὐτός τε καὶ ὁ κριτὴς καὶ ὁ Πασσᾶς, ἤτοι ὁ Ἔπαρχος, καὶ οἱ Γραμματεῖς εἰς Βηθλεὲμ, ἔγραψαν μυρίων ψευμάτων γέμουσαν ἀναφορὰν πρὸς τὸν Βεζύρην, εἶτα ἐπαπειλησάμενοι τοῖς πατράσι τὴν κατακρήμνησιν τῆς Ἐκκλησίας, ἔλαβον παρ' αὐτῶν ἀργύρια πουγγείων ἑξήκοντα, ἅπερ οἱ πατέρες πάντα ἔλαβον δανειακῶς σὺν τόκῳ. ἐπανελθὼν δὲ ὁ Καπουτζήμπασις εἰς Κωνσταντινούπολιν, καὶ βουληθεὶς λαβεῖν καὶ ἕτερα ἀργύρια

γύεια· παρ' ἡμῶν, ἐμήνυσεν ἡμῖν τὸ θρᾶμα μηδὲν ἐνδόσιν, ὅθεν καὶ ἐξεπλάγημεν. ἀπατήσαντες δὲ αὐτὸν, παρήλθομεν εἰς Ἀδριανούπολιν μηνὶ Νοεμβρίῳ, καὶ διωρθώσαμεν τὰ πράγματα Διὰ τὸ μεγάλε Ἑρμηνέως τὸ μακαρίτε Παναγιωτάκη. ὅθεν ἡ αἰμετ' ἐκείνε τῶν Ἱεροσολυμιτῶν ἀναφορὰ, καθ' ἡμῶν οὖσα, ἔμεινεν ἀνίσχυρος. καὶ δὴ ὁ Βεζύρης γνὺς τὸ μυστεβελῆ, ἤτοι οἰκονόμε τῶν ψευδαναφορῶν, μετέστησεν αὐτὸν ἐκεῖθεν, καὶ ἐποίησεν αὐτ' αὐτὸ ἄλλον, ἡμῖν δὲ ἔδωκεν ὁρισμὸν, τῆς Βηθλεὲμ τῷ Ἐκκλησίαν τὸ λοιπὸν ἀνασόχλητον εἶναι λαμβάνοντα, ἐπὶ δαπάνῃ πουγγία ἀργυρίων ὀκτὼ, ἅπερ οἱ Καστελλανοὶ καὶ οἱ Πελοποννήσιοι γυναῖκες δεδώκασιν. ὅθεν ἐπειρησάντες τῶν καθ' ἡμῶν Φερεμβίων τῇ τὸ Θεὸ βοηθείᾳ, ἀπεδημήσαμεν ἀπὸ Κωνσταντινουπόλεως εἰς Βλαχομπογδανίαν, ἔνθα καὶ τὰ Μοναστήρια, Καλύβη καὶ Οὐγκρέϊ λεγόμενα ἐλάβομεν, ὧν δὲ τῇ Καλύβῃ Μοναστηρίῳ ἦν μέρος τῆς τιμίας κάρας τὸ Προδρόμε, ὅπερ τὸ ἀμφίβολον τὸ τόπε καταυσήσαντες, ἀνηνέγκαμεν εἰς Ἱερουσαλήμ, ἀπὸ δὲ Βλαχομπογδανίας ἐπανήλθομεν εἰς Βυζάντιον, κἀκεῖθεν ἀπεδημήσαμεν εἰς Σοφίαν καὶ Βελεγραδίου τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ τρίτῳ ἔτει, μηνὶ Δεκεμβρίῳ. ἀλλ' ἐλθέτω ὁ λόγος εἰς τὸν ἀρχὴν τῶν συμβαύτων πολέμων μεταξὺ ἡμῶν καὶ τῶν δυτικῶν.

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τῶν γενομένων σκανδάλων ἀναμέσον Ῥωμαίων καὶ Φράγκων ἐν Ἱερουσαλὴμ ἕνεκεν τῶν σφετερισμάτων, καὶ μάλιστα τοῦ ἁγίου Κουβουκλίου.

Σημειωτέον περὶ τοῦ Κουβουκλίου τοῦ ἁγίου τάφου, ὃν μὲν τῷ εἴδει οἰκίσκος, ὅς ἐστιν αὐτὸ τὸ πυργοειδὲς μνῆμα, οἱ ἀρχαῖοι ἐκ ἐλειτούργουν, ἐν μέσῳ τοι τῷ ἔξω (εἴρηται γὰρ ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ δευτέρου βιβλίου, ὅτι διπλοῦν ἐστι τὸ τοῦ ἁγίου τάφου Ἄντρον) ἔνθα καὶ ὁ λίθος κεῖται, ὃς ἦν ἐπὶ τοῦ σώματος τοῦ μνήματος, ἐλειτούργουν, ἐπειδὴ ὁρᾶται μάρμαρον ὀπίσω τῆς θύρας κάμπυρον, καὶ βλέπων κατὰ Ἀνατολὰς, ὅπερ ἦν ἡ ἁγία τράπεζα, ἐν ᾗ ἐτελεῖτο ἡ Λειτουργία, ἐκ οἶδα ὅμως ἐκ τίνος καιροῦ παρητήσαντο λειτουργεῖν ἐκεῖ οἱ Ῥωμαῖοι. ἐλειτούργουν δὲ ἐπάνω τοῦ ἁγίου τάφου ἐφ' ὅτε καὶ Ἀρμένιοι καὶ Παπισαὶ καὶ Χαμπέσιοι, εἰ δὲ Ῥωμαῖοι ἐλειτούργουν αὐτικρὺ τοῦ Κουβουκλίου ἐν τῇ τραπέζῃ τῇ ὕσῃ ἐν τῇ μεγάλῃ καμάρᾳ καθ' ἕκαστον Σάββατον, ἀλλὰ καὶ ἐκείνην τὴν Λειτουργίαν παρητήσαντο ἐφ' ποσῷ. ὁ δὲ Νεκτάριος ἐκκαρδίας βουλόμενος ἀγωνισθῆναι κατὰ τῶν Φράγκων, καὶ μὴ δυνάμενος ὡς ἤθελεν, ὅμως τὴν Λειτουργίαν ἐνεκαίνισε γενέσθαι ἐν τῇ ἐρημικῇ καμάρᾳ καθ' ἕκαστον Σάββατον. τῆς δὲ ἐν τῷ ἁγίῳ τάφῳ Λειτουργίας θαῦμα ἐστὶ πῶς ἠμέλησαν οἱ Ῥωμαῖοι, καὶ μάλιστα τὸ Θεοφάνους κατὰ τῶν Ἀρμενίων μαχεσαμένου περὶ τῶν ἐν τῷ ἁγίῳ τάφῳ πρωτείων, καὶ νικήσαντος, ἔχουσι οἱ Ῥωμαῖοι πολλὴν ἐξουσίαν, καὶ σωσέτι τὸ χρυσόβουλον, ὅπερ ἔλαβε κατὰ τῶν Φράγγων τῷ χιλιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ ἔτει τῶν Ὀθωμανῶν, ἐποίει αὐτὸν καθόλου κύριον τοῦ ἁγίου τάφου, ἀλλ' ὅμως ἐκ ἐλειτούργουν. οἱ δὲ Φράγκοι θανόντος τοῦ Παΐσίου, ἀφορμῆς δεξάμενοι ἐκ τοῦ σκεπάσαι αὐτοὺς τὸ δῶμα τοῦ ἁγίου λίθου, καὶ τοῦ ποιεῖν τὴν λιτανείαν αὐτῶν τὸ πρωΐ, διενοήθησαν ἰδιοποιήσασθαι τὸ ἅγιον Κουβούκλιον, καὶ ἐπεὶ ἐνίκησαν καὶ τὸν Νεκτάριον, καὶ εὐώθασι λειτουργεῖν τῇ τῶν Βαΐων ἡμέρᾳ ἔμπροσθεν τοῦ ἁγίου Κουβουκλίου, καὶ ποιεῖν καὶ πρῶτον λιτανείαν, νομίσαν εἶναι κύριοι παντέλειοι. καὶ δὴ πρῶτον ἔφερον χρυσοΰφαντα βαρύτιμα, καὶ ἐσκέπασαν ὅλον τὸ ἔμπροσθεν τοῦ ἁγίου Κουβουκλίου ἔδαφος, ἀπαωρῶντες ταῦτα δῆθεν Διὰ τὸν βεζχλὺ, καὶ ἐκρέμασαν παιδείας παρμοίας κύκλῳ τοῦ Κουβουκλίου, καὶ ἔθηκαν ἐπάνω τοῦ ἁγίου τάφου κηροπήγια ἀργυρᾶ, τὰ κοινῶς λεγόμενα καινδηλέρια, ἐποίουν καὶ συχνὰς ἀτοπίας ὡς ἐρεθήσεται. ὡς ἓν ὅμως ἡμεῖς τὸ πρῶτον ἀπήλθομεν εἰς Ἱερουσαλὴμ μηνὶ Μαρτίῳ, καὶ τὸ Πάσχα ἦν μηνὶ Ἀπριλλίῳ, διενοήθησαν, ὅτι ἐπειδὴ τὸ χρέος τοῦ ἁγίου τάφου ἐστὶ πολὺ, καὶ ὁ Πατριάρχης νέος, ἴσως ἐστὶ λοιπὸν καιρὸς ἀποβαλεῖν τοὺς Ῥωμαίους ἀπὸ τοῦ ἁγίου τάφου τελείως. καὶ σὺν ἑκάστῳ Σαββάτῳ λειτουργούντων τῶν ὀρθοδόξων σὺν τῇ μεγάλῃ καμάρᾳ, ὡς ἐρέθη ὅτι ἐστὶν αὐτικρὺ τοῦ Κουβουκλίου, ἥτις καὶ ἀνάληψις λέγεται Διὰ τὸ ἔχειν σὺν τῇ κορυφῇ τοῦ κυρτώματος τῆς ὀψίδος αὐτῆς ζωγραφημένην τὴν Ἀνάληψιν, ἐτίθεσαν ὁ Διάκων τὸ Δισκέλιον μεταξὺ τοῦ Κουβουκλίου καὶ τῆς ἁγίας τραπέζης, ἵνα ἀναγινώσκῃ τὸ Εὐαγγέλιον, οἱ Φράγκοι ἀπονοίᾳ χρησάμενοι τότε, ἀφεῖλον αὐτὸ βίᾳ ἐνθένδε, ὅτε ἐπ' αὐτῷ ἀνεγίνωσκεν ὁ Διάκων τὸ Εὐαγγέλιον, καὶ ἐγένετο τότε σύγχυσις καὶ ταραχὴ μεταξὺ τῶν πατέρων καὶ τῶν Φράγκων, ὥστε ἐλθεῖν καὶ εἰς ῥαπίσματα. ἦσαν δὲ οἱ μὲν Φράγκοι εἰκοσιπέντε ἑτοιμασμένοι εἰς ἀγῶνας, οἱ δὲ πατέρες μόνοι πέντε. ἐπορεύθημεν δὲ ἀναγκασθέντες εἰς τὸν Κριτὴν, καὶ ἠγάγομεν ἐκεῖ τοὺς Φράγκους, καὶ παρεστήσαμεν αὐτοὺς παῖστας, καὶ ἐβεβαιώσαμεν τὸν ἅγιον τάφον τοῖς Ῥωμαίοις. δεήθησαν δὲ οἱ Φράγκοι μὴ λειτουργῆσαι εἴδομεν τοὺς ὀρθοδόξους, καὶ Διὰ τὴν οἰκοδομὴν τῆς ἁγίας Βηθλεὲμ συγκατενεύσαμεν, πλὴν ἐλάβομεν τρία ἵνα, πρῶτον, ἐνθένδε ἀεὶ τοὺς ἡμετέρους πατέρας τὸ Δισκέλιον ἐκεῖ, ὅτε λειτουργοῦσι. δεύτερον, τιθέναι καὶ δύο λαμπάδας ἑκατέρωθεν τῆς πύλης τοῦ Κουβουκλίου, καὶ τέλος, ἀπέχειν τοὺς Φράγκους ἀπὸ τοῦ δώματος τοῦ ἁγίου λίθου.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ πολλῆς Δατειβῆς λόγων τὸ πεῖον ποιεῖται, τὸν Βαρδιαίον τῶν Φεράρων, ἢ τὸν Πατειάρχιν Ἱεροσολύμων, καὶ ἔσπειρε λόγκ ποὸς Νεκτάριον Ἱεροσολύμων Πέτρος ὁ Ἰωάννου περὶ τοῦ Πάπα, καθ' ὃ τὸ κατὰ τῆς ἀρχῆς τοῦ Πάπα σπαταγμάτιον τοῦ Νεκταρίου.

Ἦν δὲ καὶ ζήτημα τῶν Φεράρων, ἀπέρχεσθαι τὸν Πατειάρχιν πρῶτον εἰς ἐπίσκεψιν τοῦ Βαρδιαίου, εἶτα τὸν Βαρδιαίον ἔρχεσθαι ποὸς τὸν Πατειάρχιν, περὶ οὗ ἐγένετο καὶ λόγων Δατειβὴ ὀλίγη. ἀλλὰ καὶ Πέτρος ὁ Ἰωάννου ἔγραψε περὶ τῆς ἀρχῆς τοῦ Πάπα τῷ Νεκταρίῳ, ἦν δὲ ἐκεῖ καὶ ὁ Ἰλαρίων Τζιγάλας, Κύπριος, εὐδήμων σοφίας λατινίδος καὶ ἰταλικῆς φωνῆς, ὃς ἑρμηνεύσαντος τὰ τοῦ Ἰωάννου ἐπιχειρήματα εἰς τὴν ἑλλάδα φωνὴν, ἀπεκρίθη ὁ Νεκτάριος ποὸς ταῦτα, ᾧ καὶ ὁ Τζιγάλας τὰ μέγιστα κατὰ τῆς ἀρχῆς τοῦ Πάπα συναγωνίσατο. ἡ βίβλος δὲ λέγεται Νεκταρίου Σπάταγμα κατὰ τῆς ἀρχῆς τοῦ Πάπα. ἐγράφη δὲ ταῦτα κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἑβδομηκοστὸν πρῶτον ἔτος.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς μάχης τῶν Φεράρων μετὰ τῶν Πατέρων περὶ τὸ Κυβούκλιον, καὶ τοῦ συμβαίνοντος φόνου ἐκ μέρους τῶν Φεράρων, καὶ ὧν ἐποίησε καθ' ὁδὸν καὶ ἐν Ἱερουσαλὴμ ἀταξιῶν καὶ ἀνομιῶν ὁ τῶν Ἰακώβων πρεσβύτης.

Οἱ Φραντζέζοι ἀεὶ καὶ πανταχοῦ αἴτιοι τοῖς Ῥωμαίοις, μηδὲν ἀδικηθέντες παρ' αὐτῶν, ἀλλ' ὑπὲρ πάντων νῦν κρατούντων ἐχρηματίσαν ἀρχηγοὶ πάντων κακῶν τῇ ἐν Ἱεροσολύμοις ἁγιωτάτῃ Ἐκκλησίᾳ, ὡς εἴρηται ἐν τῷ περὶ Σωφρονίου καὶ Θεοφάνους, καὶ ἐνθάδε ἐπιζητεῖται καὶ εἰς τὰ ἔπειτα. κατὰ δὲ τοὺς παρόντας καιροὺς ὑπὲρ ἔτους χιλιοστοῦ ἑξακοσιοστοῦ ἑβδομηκοστοῦ τρίτου πρεσβύτης αὐτῶν τὸ γένος Ντενσίντελ ἐλθὼν εἰς τὴν Βασιλέουσαν τῶν Ὀθωμανῶν, εἰς Ἀδριανούπολιν μετέβησαν, ἐζήτησε τὰ ἅγια προσκυνήματα, πολλὰ διαιολογήματα λέγων, καὶ ὅτι ἔχει καὶ χάρτας βεβαιοῦντας εἶναι αὐτῶν ἴδια τὰ προσκυνήματα. οἱ δὲ Ὀθωμανοὶ ἐν τῇ συνθήκῃ τῇ ποὸς τοὺς Φραντζέζους ἔγραψαν, ἅπερ εἶχον οἱ Φραντζέζοι ἐν Ἱερουσαλήμ, πάλιν ἔχειν αὐτὰ, καὶ ὁδὸν ἑτέραν, καὶ προσκυνεῖν μόνον, πλεῖόν τι γεμὶν ἐν τοῖς προσκυνήμασι μὴ ἐνεργεῖν. τῷ δὲ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ τετάρτῳ ἔτει ὁ ἀρχιμῶφος πρεσβυτὴς λαμβάνει διὰ ἀπάτης ὁρισμὸν παρὰ τοῦ τῆς Κωνσταντινουπόλεως Ἀνθυπάτου ἀπελθεῖν εἰς Ἱερουσαλὴμ χάριν προσκυνήσεως. ἀπερχόμενος δὲ, ὅσας καθ' ὁδὸν ἀφροσύνας ἐποίησεν, ἀπίθανον φαίνεται εἶναι δοκεῖ τοῖς παρὰ τῶν διηγουμένων ταύτας ἀκούειν. ὡς δὲ ἔφθασεν εἰς Ἰόππην τῇ ἑβδομάδι τῆς Τυρινῆς, ἐφυσιώθησαν εἰς Ἱερουσαλὴμ Φεράροι, θέλοντες γὰρ σωλίσαι τὸ Κυβούκλιον τοῦ ἁγίου τάφου εἰς ὑποδοχὴν τοῦ πρέσβεως, ὑπομάπτοντες τὸ ἔσωθεν τοῦ Κυβουκλίου, ἠθέλησαν ὑποσκάψαι μετὰ σκοινίων καὶ τὰς τρύπας, δι' ὧν ὁ τῶν καυδηλῶν καπνὸς ἐξέρχεται. καὶ λοιπὸν ἔσχισαν ἔσωθεν τοῦ κυβουκλίου εἰς Φεράρους, οἱ δὲ ἄλλοι ἀνῆλθον ἐπὶ τοῦ δώματος τοῦ βασιλικοῦ τὸ σκοινίον ἑκατέρωθεν τῶν μερῶν, ἵνα καθαιρεθῶσιν αἱ τρύπαι. τῶν δὲ πατέρων λεγόντων, ὅτι ἡμεῖς ἀπὸ τοῦ δώματος βασάζομεν τὸν ἀνωθεν ἄνεμον τοῦ σκοινίου, καὶ ὅταν ὑμεῖς ἀναβῆτε, εἰκειοποιεῖσθε τὸ Κυβούκλιον, καὶ κωλυόντων αὐτοὺς τῆς ἀνόδου, οἱ Φεράροι μαχόμενοι τοῦ ἀνελθεῖν, τύπτουσι δύο πατέρας, σὺν Μακαρίου, γέροντα, πνευματικὸν, Μακεδόνα, καὶ δεύτερον Ζαχαῖον τὸν Σκευοφύλακα, καὶ κατέλιπον αὐτοὺς ἡμιθανεῖς, τύπτει δὲ καὶ εἷς Ἰωάννης Φεράρος Πρεσβύτερος λίθῳ γυναῖκαν πλησίον καλημμοτάτινα μοναχὸν ἀπὸ Ῥωσίας τῆς Μυσίας ὁρμώμενον, καὶ ἀπέκτεινε τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ τετάρτῳ ἔτει, Μαρτίᾳ τρίτῃ, ἡμέρᾳ τρίτῃ. συγχύσεως δὲ γενομένης, ἀπέκρυψαν ὁ κρεμμυδιὴς τινὰς καταγραφὴν ποιῆσαι τῶν γενομένων. οἱ δὲ Φεράροι δωρολιπήσαντες αὐτὸν, ἔγραψαν ὅτι μαχομένων αὐτῶν, ἐγένετο φόνος, καὶ ποῖοι ὅμως μέρος ἐγένετο, ἀγνοεῖται. ὁ δὲ Κελτὸς μαθὼν εἰς ῥέμπλι τὸ γενόμενον, εἶπον ὅτι, ἀλλ' ἦλθον εἰς Ἱερουσαλὴμ ὡς ὁ πάλαι Ἡρώδης μανόμενος. μὴ ἐξελθόντων δὲ εἰς Ἰωάννην αὐτὸν τῶν πατέρων, ἐμάνητο περισσότερον, καὶ δὴ ἐν Ἱερουσαλὴμ διεισκόμενος, καὶ ὁδῶν διὰ τῆς θύρας τοῦ Πατειαρχείου τοῦ ἀπελθεῖν εἰς προσκύνησιν τῆς ἁγίας πόρτας, προσέταξε τοῖς οἰκείοις διερρήγνυσαν τὰ καλυμαύκια τῶν παρθενισκομένων πατέρων, καὶ ἄλλα ἐποίησεν ὠμὰ καὶ ἀθέμιτα. εἶτα τῷ Νεκταρίῳ ἐκεῖ διεισκεμένῳ πέμπει ὑπόκρισιν ἀναίσχυντον, καὶ ἀπειλεῖ, διότι ἀκατίμησε μετὰ Ἰωάννην τοιοῦτον λαμπρότατον βασιλικὸν πρεσβευτήν. ὅθεν Ἰωάννης ἐπιστρέψαντος αὐτὸν, δηλονότι τὸν πρέσβεως εἰς Κωνσταντινούπολιν, ὁ Νεκτάριος ὑποπτεύθεις, ὅτι δωρήσεται ὁ Κελτὸς εἰς ἔργον ἀναγεῖν τὰ κατ' αὐτοῦ μεμελετημένα, φεύγει εἰς Αἴγυπτον, εἶτα εἰς τὸ Σίναιον. ἰδὼν δὲ ἐκεῖ δέματα, καὶ δίς ἐκκατικὸς γενόμενος (ἦσαν δὲ τὰ δέματα, διόπερ κατάλιπε τυχὸν τῷ σιῶν καὶ ἀπῆλθον ἐκεῖσε) ἀνῆλθον εἰς Ἱερουσαλὴμ, καὶ ἔδοσαν αὐτοῖς ὅμμασι τὸν διωγμὸν τῶν Λατίνων ἐκ τοῦ ἁγίου Κυβουκλίου.

ΠΑΡΑ,

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τῆς πανουργίας τοῦ πρέσβεως τῶν Γάλλων, ἐν Βηθλεὲμ, καὶ λῃστρικῆς ἐπιχειρήσεως ἐν τῷ ἁγίῳ τάφῳ, καὶ τῆς ἀμφοτέρων ἀποτυχίας αὐτοῦ, καὶ μετ' αἰσχύνης ἐπανόδου εἰς Κωνσταντινούπολιν.

Ἀλλὰ καὶ εἰς τὴν Βηθλεὲμ ἀπῆλθεν ὁ Κελτὸς χάριν προσκυνήσεως, χρᾶται δὲ καὶ πανουργίᾳ, ἡ δὲ ἦν, ἵνα ζητήσῃ τὴν ἐν τῷ ἁγίῳ Σπηλαίῳ προσκύνησιν αὐτοῦ γενέσθαι νυκτὸς, εἶτα τάξαι ἐξαίφνης τινὰ τῶν Φράρων ἔνδον λειτουργῆσαι. καὶ ἑτοιμάσας τὴν ἐπίνοιαν, ἐζήτησε τὸν Ἡγούμενον Παπᾶν Κύριλλον, Κύπριον ἄνδρα ἀξιοτίμητον, ἀνοῖξαι αὐτῷ τὴν θύραν περὶ μέσας νύκτας. μηνύει δὲ τὸ δρᾶμα παιδίον Ῥωμαῖον ὑπηρέτης τοῦ πρέσβεως τῷ Ἡγουμένῳ, ὃς ὑποκριθεὶς ἔχειν ὀλίγην ὑπηρεσίαν, ἐμήνυσε τοῖς ἐν τῷ χωρίῳ τῆς Βηθλεὲμ Χριστιανοῖς, καὶ ἦλθον ὡς δῆθεν ἰδεῖν τὸν πρεσβευτήν. ἀνοιγείσης δὲ τῆς πύλης τοῦ ἁγίου Σπηλαίου, εἰσῆλθον πρῶτον οἱ Χριστιανοὶ, καὶ ὕστερον ὁ Κελτὸς, μηδὲν δυνηθεὶς καινοτομῆσαι, ὡς καταστρατηγηθεὶς ὑπὸ τῆς προνοίας. τῇ δὲ μεγάλῃ ἑβδομάδι ἐζήτησεν εἰσελθεῖν εἰς τὴν μεγάλην Ἐκκλησίαν τοῦ ἁγίου τάφου, καὶ δὴ εἰσελθὼν τῇ μεγάλῃ Δευτέρᾳ, καθ' ἣν ἦν οἱ προσκυνηταὶ ἐν τῷ Ἰορδάνῃ, εἶχε μεθ' ἑαυτοῦ μερικὰς ἀξίνας, καὶ κατὰ τὸ μεσονύκτιον σκάπτει εἰς τὴν οὖσαν ὄπισθεν τοῦ ἁγίου βήματος κατὰ τὸν Γολγοθὰν καμάραν, ἔνθα ἐστὶν ὑπὸ τὴν ἁγίαν τράπεζαν μέρος πέτρας, ἐν ᾗ δεθεὶς ὁ Κύριος ἐμαστιγώθη, ἵνα κλέψῃ τὴν πέτραν ἐκείνην, ἀλλ' οἱ πατέρες γνόντες τὰ γενόμενα, ἐμήνυσαν τῷ ἐπιτρόπῳ, καὶ ὃς τρέχει εἰς τὸν κριτὴν, καὶ συγχέει τὴν πόλιν, καὶ ἔρχονται ἄνθρωποι τῶν ἐξουσιαστῶν, καὶ ἀνοίγουσι τὴν ἁγίαν πόρταν ἐξαίφνης, οἱ δὲ Κελτοὶ ἀφέντες τὰς ἀξίνας, ἔφυγον. εἶπε δὲ ὁ ἐπίτροπος μυρίους ἐλεγμοὺς τῷ Κελτῷ, καὶ δὴ καὶ ἐξέβαλεν αὐτὸν ἔξω τῆς μεγάλης Ἐκκλησίας τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ τετάρτῳ ἔτει, Ἀπριλλίου δεκάτῃ πέμπτῃ. ἐπειδὴ δὲ ἡ ἀγρυπνοῦσα κατὰ τῶν ἐπηρεαζόντων τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν θεία δίκη νυστάζει, ἀλλ' ἐν καιρῷ ποιεῖ τὰ ἑαυτῆς, παραχωρεῖ, καὶ γράφει ὁ Κελτὸς τῷ Βασιλικῷ ἐπιτρόπῳ μαχομένῳ Ἀπολλωνίοις, καὶ διατρίβοντι εἴς τινα χώραν τῆς κάτω Μυσίας Μπαμπὰν καλουμένην, καὶ κειμένην παρὰ τὴν Τόμιν, πολλὰ κατὰ τῶν πατέρων. ὁ δὲ Ἀνθύπατος εἰ καὶ παρ' ἄλλων, ἀλλ' ὅμως καὶ παρὰ τοῦ πρὸς αὐτὸν γράμματος τοῦ Κελτοῦ ἔγνω τὰ γενόμενα, εἰ καὶ αὐτεστραμμένως ἔγραφεν ὁ βαρβάρος, καὶ δὴ γράφει αὐτῷ ἐλθεῖν ἀπαραιτήτως εἰς Κωνσταντινούπολιν. θέλοντα δὲ τὸν Κελτὸν ἀπιέναι εἰς Αἴγυπτον, φθάνουσιν εἰς Γάζαν τὰ γράμματα τοῦ Ἀνθυπάτου, καὶ ὑποστρέφει μετ' αἰσχύνης εἰς Κωνσταντινούπολιν.

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Πότε ἐχριστιάνισαν οἱ Ἀρμένιοι, καὶ περὶ τῶν καταλυσάντων τὴν Περσῶν ἀρχὴν Ἀρσακιδῶν, καὶ τῶν ἀπογόνων αὐτῶν, καὶ τοῦ χριστιανισμοῦ Τηριδάτου Βασιλέως καὶ Ἀρμενίων ὑπὸ Γρηγορίου Ἀρμενίας, καὶ ὧν ψευδῶς ἱστοροῦσιν Ἀρμένιος Μωσῆς καὶ παπισταὶ Ἀρμενιακῶν, καὶ περὶ τοῦ ἀριθμοῦ τῶν Βαπτισθέντων ἐν Ἀρμενίᾳ ἐθνῶν, καὶ τοῦ καταλόγου τῶν Ἐπισκόπων αὐτῶν, καὶ τίνι ὑπέκειντο Ἐπισκόπῳ, καὶ μέχρι πόσων Συνόδων ἦσαν ἡνωμένοι οἱ Ἀρμένιοι τῇ καθολικῇ Ἐκκλησίᾳ.

Πῶς καὶ πότε οἱ Ἀρμένιοι ἐχριστιάνισαν, διηγοῦνται τοῦτο οἱ ἐκκλησιαστικοὶ ἱστορικοί. ἐν δὲ τῷ βίῳ τοῦ ἁγίου Γρηγορίου λέγεται οὕτως, Ἦσαν ἀδελφοὶ Ἀρσακῖδαι τέσσαρες, οἱ ποτὲ τὴν τῶν Περσῶν ἀρχὴν καταλύσαντες, οἳ καὶ ἐξουσιάσαντες αὐτῶν, ἐμερίσαντο ἑαυτοῖς Ἀρμενίαν, Ἰνδίαν, καὶ Μασσαγέτας, ἦσαν δὲ ἀπόγονοι τούτων ἀδελφοὶ τρεῖς, Ἀρταβάνης, Κουσάρος, καὶ Ἀνάκ. ἦν δὲ ὁ μὲν Γρηγόριος υἱὸς τοῦ Ἀνάκ, ὁ δὲ Κουσάρος ἐβασίλευσεν Ἀρμενίων μετὰ Ἀρταβάνην, τοῦ δὲ Κουσάρου υἱὸς ἦν ὁ Τηριδάτης, ὃς ἐχριστιάνισε διὰ τοῦ Γρηγορίου, εἶτα ἀπέστειλεν αὐτὸν τὸν Γρηγόριον μετὰ γραμμάτων πρὸς τὸν τότε Μητροπολίτην Καισαρείας τῆς μεγάλης Λεόντιον, χειροτονῆσαι αὐτὸν τὸν Γρηγόριον Ἐπίσκοπον τῆς μεγάλης Ἀρμενίας, ὃν χειροτονηθέντα καὶ ἐπανελθόντα ἐδέξατο ἐντίμως. ἐβάπτισε δὲ ὁ Γρηγόριος τότε ἐν τῷ Εὐφράτῃ ποταμῷ τόν τε Τηριδάτην αὐτὸν, καὶ πολλοὺς Ἀρμενίους, Ἀσσυρίους, Μήδους, καὶ Πέρσας ὑπὲρ τὰς τετρακοσίας μυριάδας. μετὰ καιρὸν δὲ ὁ Γρηγόριος ἀναχωρήσας ἡσυχίας χάριν εἰς ἔρημον τόπον, Ἀλβιανὸν αὐτ' αὐτοῦ ἐχειροτόνησε, καὶ Ἐπισκόπους Εὐθάλιον, Βάσσον, καὶ ἑτέρους δέκα προκρίτους, ἐπὶ δὲ τὰς λοιπὰς χώρας καὶ τὰ ἔθνη τετρακοσίους κατέστησεν Ἐπισκόπους. εἶχε δὲ ὁ Γρηγόριος δύο σαρκικὰ τέκνα, Ὀρθάνην καὶ Ἀριστάνην. ὁ δὲ Τηριδάτης συσχεθεὶς λύπῃ ἕνεκεν τῆς ἀναχωρήσεως τοῦ Γρηγορίου, κατήγαγεν αὐτὸν ἀπὸ τοῦ ὄρους. μὴ θελήσαντος δὲ τοῦ Γρηγορίου εἶναι ἐν τῇ Ἐπισκοπῇ, προεβίβασεν αὐτ' ἐκείνου τὸν υἱὸν αὐτοῦ τοῦ Γρηγορίου Ἀριστάνην. πρὸ δὲ τῆς ἀναχωρήσεως αὐτοῦ ὁ Γρηγόριος, ὁμοῦ καὶ ὁ Τηριδάτης ἀπῆλθον εἰς Κωνσταντινούπολιν πρὸς τὸν μέγαν Κωνσταντῖνον, καὶ ἐφιλοτιμήθησαν ἱκανῶς. γενομένης δὲ τῆς πρώτης Συνόδου, ἐπέμφθη πρὸς αὐτὴν ὑπὸ τοῦ Τηριδάτου ὁ Ἀριστάνης, μεθ' ἧς ἀγωνισάμενος κατὰ τοῦ Ἀρείου, ἐπανῆλθεν

νῆλθεν εἰς Ἁρμενίαν μετὰ τῆς ἀποφάσεως αὐτῆς. εἶχον δὲ οἱ Ἁρμένιοι τὴν χειροτονίαν εἰς τὸ καθεξῆς ἀπὸ τοῦ Καισαρείας, ὅθεν ὁ Καισαρείας Λεόντιος ἐν τῇ πρώτῃ Συνόδῳ ὑπεγράφη οὕτω, Λεόντιος Καισαρείας Καππαδοκίας, Γαλατίας, καὶ Ἁρμενίας μικρᾶς καὶ μεγάλης ὑπέγραψα. ἐχειροτονοῦντο δὲ οἱ Ἁρμενίας Ἐπίσκοποι ὑπὸ τοῦ Καισαρείας ἕως καιροῦ τινὸς, εἶτα ἐχειροτονοῦντο ὑπὸ τῆς ἰδίας Συνόδου. ὠνομάσθησαν δὲ καθολικοὶ, διὰ τὸ μὴ τελεῖν ὑπὸ θρόνον Πατριαρχικόν. ἀφ' οὗ δὲ ἀπεχωρίσθησαν τῆς καθόλου Ἐκκλησίας, οὐδὲν σαφὲς περὶ αὐτῶν εἰπεῖν ἔχομεν. ὁ μὲν γὰρ Μωσῆς ὁ Ἁρμένιος ὁ μετὰ τὸ πεντακοσιοστὸν ἀπὸ Χριστοῦ ἔτος ἀκμάσας, καὶ συνταξάμενος Ἁρμενιακὴν ἱστορίαν, τὰ πολλὰ ψεύδεται. οἱ δὲ Λατῖνοι Ἁρμενιακὰς δῆθεν ἱστορίας μεταφράσαντες εἰς τὴν γλῶσσαν αὐτῶν, καὶ τυπώσαντες αὐτὰς, τοσοῦτον ψεύδονται, ὥστε καὶ αὐτοὺς τοὺς Ἁρμενίους θαυμάζειν λίαν ἐν τοῖς πλάσμασιν αὐτῶν, καὶ λέγειν, μὴ ἔχειν ὅλως εἴδησιν τῶν τοιούτων ὧν οἱ Λατῖνοι ἱστοροῦσι περὶ αὐτῶν. Γεώργιος ὅμως Κύπριος ὁ ἀπὸ Λαπάθου ἐν ᾧ συνέταξε περὶ τῶν Ἐπισκόπων τῶν πέντε Πατριαρχικῶν θρόνων ἐπὶ τοῦ πατριάρχου Φωτίου καὶ Λέοντος τοῦ σοφοῦ, ἐν ἔτει ἑξακισχιλιοστῷ τριακοσιοστῷ ἐννενηκοστῷ δευτέρῳ, τοιάδε φησὶν, ὅτι ἡ Ἀρχιεπισκοπὴ τῶν Ἁρμενίων αὐτοκέφαλός ἐστι, μὴ τελοῦσα ὑπὸ Πατριαρχικὸν θρόνον, ἔχει δὲ ὑπ' αὐτὴν χώρας καὶ πόλεις διακοσίας. εὑρήκαμεν ὅμως σημείωμα τινὸς Ἀνωνύμου, διαλαμβάνον τὴν ἐν Νικαίᾳ πρώτην Σύνοδον γενέσθαι τῷ τριακοστῷ τετάρτῳ ἔτει τοῦ Τηριδάτου, καὶ τῷ εἰκοστῷ ἔτει τοῦ Γρηγορίου μετὰ τὴν ἀπὸ τοῦ Λάκκου ἐξέλευσιν αὐτοῦ. πρῶτος οὖν Ἀρχιεπίσκοπος ὁ ἅγιος Γρηγόριος τῶν Ἁρμενίων, ὃς ἐπεσκόπευσεν αὐτῶν ἔτη τριάκοντα, εἶτα Ῥωστακὲς, ἢ Ἀριστάνης ὁ υἱὸς αὐτοῦ ἔτη δύο, εἶτα Βερτανὲς ἔτη τρία, Γρηγόριος ἔτη ἕνδεκα, Ἰουσὴκ ἔτη ἕξ, Φαρνεσὲκ ὁ ἀπὸ τῆς Ἀπράκων χώρας ἔτη τέσσαρα, εἶτα ὁ ἅγιος Νορσέσης ἔτη τριάκοντα καὶ τέσσαρα, ὃς ἀπεκτάνθη ἐξ ἐπιβουλῆς τοῦ Φόρμη, καὶ ἐχρημάτισαν τρεῖς καθολικοὶ Ἰουσὴκ ἔτη τρία, Ζαγένης ἔτη τέσσαρα, καὶ Ἐπουρακέσης ἔτη ἑπτά. ἐκώλυσεν ὅμως αὐτοὺς ὁ Μητροπολίτης Καισαρείας χειροτονεῖν Ἐπισκόπους ἐν τῇ Ἁρμενίᾳ ἕνεκεν τοῦ θανάτου τοῦ βιαίου τοῦ ἁγίου Ὀρσέση. εἶτα ἐχειροτονήθη καθολικὸς ὁ ἅγιος Ἰσαὰκ, ᾧ δέδωκεν ὁ Καισαρείας ἐξουσίαν χειροτονεῖν αὖθις κατὰ τὴν συνήθειαν Ἐπισκόπους, ὃς ἐπεσκόπευσεν ἔτη τεσσαράκοντα, ἀλλὰ μετά τινα ἔτη τῆς χειροτονίας αὐτοῦ διέβαλον αὐτόν τε καὶ τὸν Βασιλέα Ἁρμενίας Ἀρτασὴρ τῷ Περσάρχῃ Βραμσαπὼ, ὃς καταγαγὼν τοῦ θρόνου τὸν ἅγιον, ἀντεισήγαγε τὸν Σορμὰν τὸν ἀπὸ τοῦ Ἀρτζεκὲ, τῇ δὲ τῶν Ἁρμενίων αἰτήσει πρὸς τὸν Περσάρχην ἐξεβλήθη ὁ Σορμὰν, καὶ ἐδόθη αὐτοῖς ὁ περσικὸς Σύρος, ὃν μισησάντων μετὰ τρία ἔτη τῶν Ἁρμενίων, ἐδόθη αὐτοῖς Μουσούλιος, καὶ αὐτὸς Σύρος, ὃς μετὰ δύο ἔτη ἐτελεύτησεν, οἱ δὲ Ἁρμένιοι ἐδέοντο τοῦ Ἰσαὰκ μὴ μνησικακεῖν αὐτοῖς, ἀλλ' ἐπιστρέψαι εἰς τὸν θρόνον αὐτοῦ, ὁ δὲ διηγήσατο αὐτοῖς ὀπτασίαν τινὰ ἣν εἶδεν, ἡ δὲ ἦν πτῶσις αὐτῶν εἰς μέλλουσαν Αἵρεσιν, δέδωκεν ὅμως αὐτοῖς αὐτ' αὐτοῦ τὸν Μακάριον Μαστίντζη. κοιμηθέντων δὲ Ἰσαὰκ καὶ Μαστίντζη, ἐποίησαν καθολικὸν τὸν Κιτὸν, ὁρμώμενον ἀπὸ κώμης Ἀτμησοῦ, ἐπισκοπεύσαντα αὐτῶν ἔτη δεκαεπτά. ἐπὶ δὲ τούτου αἰτήσει τῶν Ἁρμενίων ἐγένετο πρόσταγμα παρὰ τοῦ Περσάρχου, τοὺς τῶν Ἁρμενίων Ἐπισκόπους χειροτονεῖν τὸν καθολικὸν αὐτῶν Ἀρχιεπίσκοπον, καὶ ἐξ ἐκείνου ἔπαυσε γίνεσθαι ἡ χειροτονία τῶν Ἀρχιεπισκόπων αὐτῶν ὑπὸ τοῦ Καισαρείας. μετὰ δὲ Κίτον, Ἰωάννης Μερτακουνὴς ἔτη ἕξ, Ἀπουϊπένης ἔτη πέντε, Σαμουὴλ ἔτη δώδεκα, Μουσέλης ἔτη πεντήκοντα, Ἰσαὰκ ἑπτὰ, Χριστοφόρος ἕξ, Λεόντιος τρία, Νορσέσης ὁ ἀπὸ τοῦ Ἀπαράξ ἔτη ἐννέα. παρῆσαν δὲ οἱ Ἁρμένιοι ἔν τε τῇ δευτέρᾳ καὶ τρίτῃ καὶ τετάρτῃ ταῖς Οἰκουμενικαῖς Συνόδοις, καὶ συνηγωνίσθησαν ἐκείναις κατὰ τῶν τοῦ τότε καιροῦ Αἱρετικῶν. ἐν δὲ τῷ τετρακοσιοστῷ τριακοστῷ πέμπτῳ ἔτει ἤθροισαν Σύνοδον ἰδίαν, καὶ κατέκριναι τὰ συγγράμματα Θεοδώρου Μοψουεστίας, καὶ Διοδώρου Ταρσοῦ. ἔπεμψε δὲ ἡ Σύνοδος αὐτῶν ἐπιστολὴν τῷ Κωνσταντινουπόλεως Πρόκλῳ, καὶ ὁ Πρόκλος ἀντέγραψεν αὐτοῖς τὴν πολυθρύλλητον ἐκείνην πρὸς Ἁρμενίους ἐπιστολὴν, ἐν ᾗ πρὸς τοῖς ἄλλοις φησὶ, Χρῆναι λέγειν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἕνα τῆς ἁγίας Τριάδος, ἣν καὶ ἡ ἐν Χαλκηδόνι Σύνοδος ἐδέξατο, καὶ ὁμέγας Ἰουστινιανὸς ἐν τῷ περὶ τῆς ὀρθοδόξου πίστεως Ἐδίκτῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἐν Τβὶν Συνόδου τῶν Ἁρμενίων, τῆς ἀναθεματισάσης τὴν ἐν Χαλκηδόνι, καὶ ἧς ὑπέπεσον Αἱρέσεως καὶ ἐκφύλων δογμάτων οἱ αὐτοὶ, καὶ περὶ τοῦ καταλόγου μετὰ Νορσέση τῶν Ἐπισκόπων αὐτῶν ἕως Ἰσαὰκ τοῦ ἁγίου.

Κατὰ τὴν πρόῤῥησιν τοῦ Ἰσαὰκ ἔμελλον οἱ Ἁρμένιοι Αἱρέσεσιν ὑποπεσεῖν. καὶ δὴ πρῶτον μὲν παρέβησαν τὰς παραδόσεις τοῦ ἁγίου Γρηγορίου, εἶτα ἠθέτησαν τὴν χειροτονίαν ὑπὸ τοῦ Καισαρείας, ὑφ' οὗ ἐδιδάσκοντο τὴν ὀρθοδοξίαν. ἐπειδὴ δὲ ἐχρημάτισαν καὶ Σύροι Καθολικοὶ, παροῖς εὐδοκίμει ἡ Εὐτυχοῦς καὶ Διοσκόρου Αἵρεσις, καὶ πρὸς τούτοις ἔμειναν οἱ Σύροι χωρὶς ἱκανῶν Ἐπισκόπων, καὶ ἐζήτουν χειροτονεῖσθαι ὑπὸ τῶν Ἁρμενίων, αἰτιώμενοι τοῖς Ῥωμαίοις, ὡς δῆθεν τῇ τοῦ Νεστορίου Αἱρέσει ὑποπεσοῦσι, πείθουσι διὰ Νερσαπὼ Ἐπισκόπου Ταρῶν τὸν Καθολικὸν Νορσέσην, καὶ ἀθροίζει Σύνοδον ἐν πόλει Τβὶν, κειμένην παρὰ τὴν Θεοδοσιούπολιν, τῷ εἰκοστῷ τετάρτῳ ἔτει τῆς καθολικῆς αὐτοῦ, καὶ δωδεκάτῳ ἔτει

ἔτει Ἰουστίνου Καίσαρος, καὶ εἰκοστῷ τεταρτῷ ἔτει Χοσρόου Περσάρχου, ἐν ᾗ ἀναγνόντες Τιμοθέου Αἰλούρου καὶ τῶν Σύρων τὰ κατὰ τῆς ἐν Χαλκηδόνι Συνόδου, ἀναθεματίζουσιν αὐτὴν, καὶ δέχονται τὴν Μονόφυσιν, καὶ τὸ, ὁ σταυρωθεὶς δι' ἡμᾶς, καὶ ἐθέσπισαν γίνεσθαι τὴν ἑορτὴν τῆς Χριστοῦ γεννήσεως καὶ τῶν Θεοφανείων τῇ ἕκτῃ τοῦ Ἰαννουαρίου, καὶ δὴ καὶ τὰ Ἄζυμα, καὶ ἁπλῶς διώρισαν μετὰ ἀναθέματος ἀποστῆναι τῆς κοινωνίας Ἱερουσαλὴμ καὶ τῶν Ῥωμαίων ὡς Νεστοριανῶν μετὰ ἑκατὸν τρία ἔτη ἀπὸ τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ ἔχειν αἰώνιον κοινωνίαν μετὰ τῶν Σύρων. μετὰ Νορσέσην ἐγένοντο Καθολικοὶ Εὐανέσης ἔτη δεκαεπτὰ, Μωσῆς τριάκοντα, Ἀβραὰμ εἰκοσιτρία, Ἰωάννης εἰκοσιὲξ, Κωμήτας ὀκτὼ, Χριστοφόρος τρία, Ἔσδρας δέκα, Νορσέσης εἴκοσιν, Ἀναστάσιος ἕξ, Ἰὴλ δέκα, Ἰσαάκ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς ἐπὶ τοῦ μεγάλου Ἰουστινιανοῦ, Μαυρικίου, Ἡρακλείου καὶ Ἰουστίνου υἱοῦ Πωγωνάτου ἑνώσεως τῶν Ἁρμενίων μετὰ τῆς καθολικῆς Ἐκκλησίας, καὶ αὖθις μετὰ ἑκάστην ἕνωσιν ἀποστάσεως αὐτῶν, καὶ ὧν συνέβησαν ἐν ταῖς ἑνώσεσιν αὐτῶν καὶ ἀποστάσεσιν.

Ἄρχων τὶς Ἁρμένιος τοὔνομα Βερτὰς ἀποστατήσας, κτείνει Σουριένην τὸν Νέρσην, καὶ ἐλθὼν φυγὰς εἰς Βυζάντιον, καὶ παρακινηθεὶς παρὰ τοῦ μεγάλου Ἰουστινιανοῦ, συγκαλεῖ Ἁρμενίους Ἐπισκόπους εἰς τὴν πέμπτην Οἰκουμενικὴν Σύνοδον, καὶ ἑνοῦνται οἱ Ἁρμένιοι τῇ καθολικῇ Ἐκκλησίᾳ, ὅθεν χάριν σημείου ὠνομάσθη ἡ μία πύλη τῆς ἁγίας Σοφίας πύλη τῶν Ἁρμενίων. ἀλλ' Εὐανέσης ὁ Καθολικὸς καὶ οἱ ἐκεῖ λοιποὶ οὐ κατεδέξαντο τὴν ἕνωσιν, οἵτινες ἔγραψαν καὶ πρὸς Ἁπᾶς τὸν Καθολικὸν Ἀλβανίας, καὶ πρὸς τοὺς Ἴβηρας κοινωνῆσαι τῇ Αἱρέσει αὐτῶν, οἱ δὲ σφοδρῶς ἀντειπόντες αὐτοῖς, οὐ κατεδέξαντο, μάλιστα ὁ Ἁπᾶς εἶπεν, ὅτι ὡς Πέτρος καὶ Γρηγόριος οἱ πρὸ ἐμοῦ, οὕτω κἀγὼ φρονῶ. ἐγίνοντο δὲ συζητήσεις περὶ τῆς πίστεως Ῥωμαίων καὶ Ἁρμενίων ἐπὶ τοῦ Εὐανέσου τούτου καὶ τοῦ μετ' αὐτὸν Μωϋσέως. Ἐπειδὴ δὲ ὁ Μαυρίκιος ἀποκατέστησε τὸν Χοσρόην εἰς τὸν θρόνον Περσίας, καὶ ὁ Χοσρόης ἔδωκε τὴν Ἁρμενίαν Μαυρικίῳ, καὶ ἦλθε Μουσίκλης Βασιλεὺς Ἁρμενίων εἰς Βυζάντιον, καὶ εἰς τὴν ἑορτὴν τοῦ τιμίου Σταυροῦ οὐκ ἦλθεν ὁ Μουσίκλης καὶ οἱ περὶ αὐτὸν εἰς κοινωνίαν, ἐρωτηθεὶς ὁ Μουσίκλης παρὰ τοῦ Μαυρικίου, διατὶ τοῦ πρὸ σοῦ Βρετανὴ δεξαμένου τὴν κοινωνίαν, αὐτὸς ἀθετεῖς; καὶ ἀποκριθεὶς εἶπεν, ὅτι διὰ φόβον ἐδέξατο, πλὴν γενέσθω Σύνοδος, καὶ οἱ Ἁρμένιοι ἔχουσιν εἰπεῖν δίκαια. ὅθεν προσέταξεν ὁ Μαυρίκιος ἐλθεῖν εἰς Βυζάντιον τὸν Καθολικὸν Μωϋσέα καὶ τοὺς περὶ αὐτὸν Ἐπισκόπους, ἀλλ' ὁ Μωϋσῆς καὶ οἱ ὑπὸ τὴν Περσίαν Ἐπίσκοποι οὐκ ἦλθον, ἦλθον ὅμως οἱ Ἐπίσκοποι Ταρῶν καὶ οἱ λοιποὶ τῶν Ἁρμενίων οἱ εὑρισκόμενοι ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν, καὶ ἐγγράφως ἀνεθεμάτισαν τὴν Αἵρεσιν τῶν Ἁρμενίων. ἀλλὰ μὴ δεχθέντες ὑπὸ τοῦ Μωϋσέως, ἦσαν ἐν ἀντιλογίᾳ, καὶ ἐχειροτόνησαν ἑαυτοῖς Καθολικὸν Ἰωάννην. ἐπὶ δὲ Φωκᾶ, τοῦ Χοσρόου λαβόντος τὴν Ἁρμενίαν, ὁ γενόμενος Καθολικὸς Ἀβραὰμ ἐβίασε πάντας, καὶ ἀνεθεμάτισαν τὴν ἐν Χαλκηδόνι Σύνοδον. Ἰωάννης δὲ καὶ οἱ Ταρῶν Ἐπίσκοποι μὴ συνθέμενοι τῷ ἀναθεματισμῷ, ἀνεχώρισαν ὁ μὲν εἰς Τάεις, ὁ δὲ εἰς Ῥωμανίαν. τῷ δὲ καιρῷ τοῦ περσικοῦ πολέμου Κομητὰς ὁ Καθολικὸς μᾶλλον ηὔξησε τὸ σχίσμα, καὶ τὰς ὕβρεις κατὰ τῶν ὀρθοδόξων, καὶ βιβλίον συνέταξεν Αἱρέσεων ἐπ' ὀνόματι τοῦ ἁγίου Ἰσαὰκ, καὶ ὠνόμασεν αὐτὸ Ἁμαρτανάκ. νικήσας δὲ ὁ Ἡράκλειος τὸν Χοσρόην (εἰ καὶ οἱ Ἁρμένιοι λέγουσι τῷ ἑξακοσιοστῷ εἰκοστῷ δευτέρῳ ἔτει ἀθροῖσαι τὸν Ἡράκλειον Σύνοδον Ἁρμενίων, ἀλλὰ τὸ σημείωμα τοῦ Ἕλληνος λέγει τῷ εἰκοστῷ τρίτῳ ἔτει τοῦ Ἡρακλείου, καὶ τῷ τεταρτῷ τῆς τελευτῆς τοῦ Χοσρόου, ὅπερ ἐστὶν ἔτος ἑξακοσιοστὸν τριακοστὸν δεύτερον ἀπὸ Χριστοῦ) ἤθροισε Σύνοδον μεγάλην καὶ Ἐπισκόπων καὶ Διδασκάλων Ἁρμενίων εἰς Χαρνέσαν (Θεοδοσιούπολιν) καὶ ἐρευνήσαντες Μῆνα ἡμερῶν, ἠθέτησαν τὰ ἐν Τβὶν, ἐδέξαντο τὴν μίξιν τοῦ ὕδατος μετὰ τοῦ οἴνου ἐν τῷ Μυστηρίῳ, ἐβεβαίωσαν τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ πᾶσαν διαφωνίαν ἣν εἶχον μετὰ τῆς καθόλου Ἐκκλησίας ἀποστραφέντες, ὤμοσαν ἐγγράφως, καὶ ὑπέγραψαν ἰδίαις χερσὶ μηκέτι νεωτερίσειν. ἡγεῖτο δὲ τῆς Συνόδου ὁ Καθολικὸς Ἁρμενίας Ἱεσέρος, ἤτοι Ἔσδρας. ὑποστρεψάντων δὲ εἰς τὰ ἴδια, καὶ κατηγοροῦντος Ἰωάννου τινὸς τοῦ Καθολικοῦ καὶ τῶν Ἁρμενίων ὡς κακῶς ποιησάντων, ὁ Ἔσδρας ἔλεγεν, ἡμεῖς ἃ ἠκούσαμεν παρὰ τῶν Ῥωμαίων περὶ τῶν δύο φύσεων τοῦ Σωτῆρος, ἀληθῆ ἐνομίσαμεν, καὶ ἐβεβαιώσαμεν; ἑπόμενοι τῇ ἁγίᾳ γραφῇ καὶ τοῖς ἁγίοις πατράσιν, οὓς ἐκεῖ ἀνέγνωμεν, καὶ ἤδη αἰαγινώσκομεν. εἰπόντι δὲ τῷ Ἰωάννῃ, ὅτι οἱ Ῥωμαῖοι ἐνόθευσαν τὰς ἁγίας γραφὰς, οὐδεὶς προσεῖχεν, ἀλλὰ μάλιστα εἰκόνα ἀλώπεκος ἐπιγράψαντες αὐτοῦ τῷ προσώπῳ, ἐξώρισαν αὐτόν. οἱ μαθηταὶ ὅμως τοῦ Ἰωάννου, θανόντος τοῦ Ἔσδρα, συνέχεον τοὺς Ἁρμενίους, καὶ πάλιν ἡ Αἵρεσις ἐκράτησεν ἐπὶ τοῖς Ἁρμενίοις, ἕως οὗ ὁ τοῦ Πωγωνάτου υἱὸς Ἰουστινιανὸς τῷ πέμπτῳ ἔτει τῆς βασιλείας αὐτοῦ καλέσας τὸν Καθολικὸν Ἰσαὰκ, καὶ πολλοὺς Ἁρμενίους Ἐπισκόπους εἰς Βυζάντιον, ἥνωσεν αὐτοὺς τῇ καθολικῇ Ἐκκλησίᾳ, καὶ ὤμοσαν πάλιν ἐγγράφως. ἀλλ' ὑποστραφέντας Ἰσαὰκ καὶ τοὺς Ἐπισκόπους εἰς τὰ ἴδια, ἀνεθεμάτιζον οἱ Ἁρμένιοι. καὶ δὴ τοῖς Ἀράβοις ἐπικρατήσασιν ἐγένοντο βοηθοὶ οἱ Ἁρμένιοι, καὶ προδόται κατὰ τῶν Ῥωμαίων, ὡς ἐγένοντο καὶ οἱ Κόπται ἐν τῇ Αἰγύπτῳ. ὅθεν δὴ προτροπῇ

τροπῇ τοῦ Χαλιφὲ Ὥμερ ἤθροισαν Σύνοδον εἰς Χαρνέσαν, ἐν ᾗ βεβαιοῦνται τὰ ἐν Γβὶν, ἀναθεματίζεται ἡ ἕκτη Οἰκουμενικὴ Σύνοδος, καὶ δέχονται πρὸς τῇ μονοφύσει καὶ τὴν μονοθέλησιν. καὶ εἰ καὶ ἡ ἐν Χαλκηδόνι Σύνοδος, καὶ ὕστερον ὁ Κωνσταντινουπόλεως Γεννάδιος, καὶ φίληξ, καὶ Ἀναστάσιος, καὶ Σύμμαχος, καὶ Ὁρμίσδας οἱ Ῥωμαίων Ἐπίσκοποι, καὶ Ἰωάννης ὁ Καππάδοξ, καὶ Μηνᾶς οἱ Κωνσταντινουπόλεως Πατριάρχαι, καὶ Ἀγαπητὸς ὁ Ῥώμης, καὶ Ἠλίας καὶ Ἰωάννης οἱ Ἱεροσολύμων Πατριάρχαι, καὶ Φλαυϊανὸς καὶ Θεόδοτος οἱ Πατριάρχαι Ἀντιοχείας ἀνεθεμάτισαν τοὺς ἀρχηγοὺς τῶν Αἱρέσεων τῆς μονοφύσεως, καὶ εἰσὶ καὶ οἱ Ἀρμένιοι τῷ ἀναθέματι ὑποβεβλημένοι ὑπ' ἐκείνων πάντων ὡς ἀκολουθήσαντες ἐκείνοις, νῦν ὅμως ἐξεβλήθησαν τῆς καθολικῆς Ἐκκλησίας.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Κατὰ Ἀρμενίων, ὅτι ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου τῇ εἰκοστῇ πέμπτῃ Μαρτίου, καὶ ἡ τοῦ Χριστοῦ γέννησις τῇ εἰκοστῇ πέμπτῃ Δεκεμβρίου ἐγένετο ὡς δείκνυται ἐνταῦθα.

Ὁ Ἀρχιεπίσκοπος Νικάας Ἰωάννης γράφων πρὸς τινὰ Καθολικὸν Ἀρμενίας λέγει, ὅτι ὁ Ἀδελφόθεος Ἰάκωβος ἀπελθὼν εἰς Βηθλεὲμ, οὐκ ἐμέμψατο τοῦτο, ὅτι ἐγίνετο δηλαδὴ ἡ ἑορτὴ τῆς Χριστοῦ γεννήσεως τῇ εἰκοστῇ πέμπτῃ Δεκεμβρίου. καὶ ὅτι τινῶν ἐπιτελούντων ἐν μιᾷ ἡμέρᾳ τὰς δύο ἑορτὰς, Γέννησιν καὶ Βάπτισιν, ὁ Ἱεροσολύμων Κύριλλος ἔγραψε πρὸς Ἰούλιον Ῥώμης περὶ τούτου, καὶ ὃς ἐρευνήσας τὰ βασιλικὰ ὑπομνήματα, εὗρε τὸν Ἰώσηπον λέγοντα, τῷ ἑβδόμῳ Μηνὶ, ἐν τῇ ἑορτῇ τῆς Σκηνοπηγίας, τῇ ἡμέρᾳ τοῦ ἱλασμοῦ, ἥτις ἦν ἡ εἰκοστὴ τρίτη Σεπτεμβρίου, εἶδεν ὁ Ζαχαρίας τὸν Ἄγγελον καὶ ἐκωφώθη, μετὰ δὲ ἓξ Μῆνας εὐηγγελίσθη ἡ Θεοτόκος τὸν Κύριον, ἤτοι Μαρτίου εἰκοστῇ πέμπτῃ, καὶ ἑπομένως ἐγέννησεν αὐτὸν τῇ εἰκοστῇ πέμπτῃ Δεκεμβρίου, ὅθεν καὶ ἐμήνυσε τοῖς ἐν τῇ Ἀνατολῇ τὸ πρᾶγμα, καὶ διατοῦτο Βασίλειος ὁ μέγας ἐγκωμιαστικὸν λόγον συνέταξε τῆς Χριστοῦ γεννήσεως τῇ εἰκοστῇ πέμπτῃ Δεκεμβρίου, καὶ ὁ Θεολόγος Γρηγόριος τοιοῦτον λόγον ἐξεφώνησεν ἐν τῇ ἐν Κωνσταντινουπόλει δευτέρᾳ Συνόδῳ, καὶ Ὀνώριος Βασιλεὺς Ῥώμης ἐξηγήσατο τῷ ἀδελφῷ Ἀρκαδίῳ ἐν Βυζαντίῳ, ὅτι ἐν τῇ Ῥώμῃ πολυτελῶς ἑορτάζουσιν οἱ Ῥωμαῖοι τὴν Χριστοῦ γέννησιν τῇ εἰκοστῇ πέμπτῃ Δεκεμβρίου, καὶ ἐπὶ Ἀναστασίου Ῥώμης σὺν τῷ Χρυσοστόμῳ Θεόφιλος Ἀλεξανδρείας, Φλαυϊανὸς Ἀντιοχείας, καὶ Ἰωάννης Ἱεροσολύμων οὕτως ἑωρτάζον. σὺ δὲ σημείωσαι ὅτι ὁ Χρυσόστομος ἔτι Ἱερεὺς ὢν, ἐποίησε τὸν πανηγυρικὸν εἰς τὴν Χριστοῦ γέννησιν, καὶ ὅτι ἐν τῇ ἐν Κιλικίᾳ ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ Συνόδῳ ἔλεγον οἱ Ἀρμένιοι τῷ Θεοδωριανῷ, τὸν τοιοῦτον λόγον τοῦ Χρυσοστόμου οὔτε ἠκούσαμεν, οὔτε ἑωράκαμεν, ἠκούσαμεν ὅμως τὸν Κύπρου Ἐπιφάνιον ἐξ Ἑβραίων ὄντα, ἐκ τῆς τῶν Ἑβραίων γραφῆς καὶ τῆς Ἰωσήπου χρονολογίας εὑρεῖν, ὅτι ἐγεννήθη ὁ Χριστὸς Δεκεμβρίου εἰκοστῇ πέμπτῃ, ᾧ Ἐπιφανίῳ καὶ τοῖς ὑπομνήμασιν, ἅπερ ὁ Τίτος ἐξ Ἱεροσολύμων εἰς Ῥώμην ἐκόμισε, φασὶ συμφωνεῖν, καὶ τῷ Εὐσεβίῳ τῷ Παμφίλου, ἱστοροῦντι πεποιηκέναι τὸν Θεὸν τὸν Οὐρανὸν καὶ τὴν γῆν τῇ εἰκοστῇ πέμπτῃ Μαρτίου, καὶ τῇ αὐτῇ ἡμέρᾳ εἰπεῖν τὸν Ἄγγελον τῇ Θεοτόκῳ τὸ Χαῖρε. λέγει δὲ ἔτι ὁ Νικάας γράψαι τὸν Χρυσόστομον πρὸς τὸν ἅγιον Ἰσαὰκ τὸν Καθολικὸν Ἀρμενίας περὶ τῆς ἡμέρας τῆς Χριστοῦ γεννήσεως, ἀλλὰ ἀποδημοῦντος τοῦ Ἰσαὰκ εἰς τὸν Περσάρχην, Σορμὰκ τὶς λαβὼν τὴν καθολικὴν τυραννικῶς, καὶ πιάσας τὴν ἐπιστολὴν τοῦ Χρυσοστόμου, ἤνεγκεν αὐτὴν τῷ Περσάρχῃ εἰπὼν, ὅτι ὁ Καθολικὸς Ἰσαὰκ καὶ ὁ Βασιλεὺς Ἀρμενίων Ἀρτασὴρ εἰσὶν ᾠκειωμένοι τῷ Βασιλεῖ τῶν Ῥωμαίων. ὅθεν ἐξορισθεὶς ὁ Ἰσαὰκ ὑπὸ τοῦ Περσάρχου, οὐκ ἀπεκρίθη τῷ Χρυσοστόμῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Περὶ τῆς ἐπὶ τῆς Τοπαρχίας τῶν Ἀρμενίων Συνόδου συνεργείᾳ Μανουὴλ Κομνηνοῦ, ἐν ᾗ ἀπορίψαντες διόλου τὰς Αἱρέσεις οἱ Ἀρμένιοι, καὶ ἑνωθέντες τῇ καθολικῇ Ἐκκλησίᾳ, αὖθι ἀπεσκίρτησαν, εἶτα διὰ Συνόδων Λατίνοις ἡνώθησαν, καὶ τέλος εἰς τὴν ἰδίαν αὐτῶν Αἵρεσιν ὑπέστρεψαν, καὶ πότε ἦλθον εἰς Ἱερουσαλὴμ, καὶ περὶ τῶν κακουργιῶν αὐτῶν εἰς τὴν ἰδιοποίησιν τοῦ ἁγίου Ἰακώβου, καὶ εἰς ἄλλα πολλά.

Ἐν τῇ κατὰ τὴν Ἀνατολὴν ἐπικρατείᾳ τῶν Ὀθωμανῶν, ἐδυνήθησαν οἱ Ἀρμένιοι ἐπὶ τῶν Κομνηνῶν, καὶ ἔστησαν ἑαυτοῖς Τοπαρχείαν ἐν τῇ Σὴς χώρᾳ, κειμένῃ ἐν τῇ ὑπωρείᾳ τοῦ Ταύρου κατὰ Ἀνατολὰς τοῦ ποταμοῦ Σάῤῥου, καὶ ἄνωθεν τῆς Ἀναζαρβέων πόλεως, καὶ ἐξουσίαζον Κιλικίας καὶ μερῶν τινῶν τῆς δευτέρας Ἀρμενίας καὶ Συρίας, καὶ ἐποίησαν καὶ τὸν Ἐπίσκοπον τῆς Σὴς Καθολικόν. ὁ δὲ Αὐτοκράτωρ Μανουὴλ ὁ Κομνηνὸς συνεργεῖ καὶ ἀθροίζεται σύνοδος Ἀρμενίων τῷ ἑξακισχιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ ὀγδόῳ ἔτει ἐν Ταρσῷ τῆς Κιλικίας, ἡγουμένου Λέοντος Ῥηγὸς τῶν Ἀρμενίων, ἐν ᾗ κατακρίνεται Εὐτυχὴς καὶ Σεβῆρος οἱ Αἱρετικοὶ, ἀποβάλλεται τὸ, ὁ σταυρωθεὶς δι' ἡμᾶς ἀπὸ τοῦ Τρισαγίου, δέχεται τὰς δύο φύσεις καὶ δύο θελήσεις, καὶ τὰς Οἰκουμενικὰς Συνόδους, τετάρτην, πέμπτην, ἕκτην, καὶ ἑβδόμην,

τὴν

τῇ ἑορτῇ τῆς Χριστοῦ γενεθλίου καὶ τῶν Θεοφανείων βεβαιοῖ ὡς ἡ καθολικὴ Ἐκκλησία ποιεῖ, ὑπισχνεῖται τῇ μίξει τοῦ ὕδατος τῷ οἴνῳ ἐν τῷ Μυστηρίῳ. ἦν δὲ Καθολικὸς τῶν Ἀρμενίων τότε Νοσέρ, ὁ δὲ τῶν μερῶν τῶν Ῥωμαίων Θεοδωριανός. ἠθροίσθη δὲ ἐν ἔτει χιλιοστῷ ἑκατοστῷ τεσσαρακοστῷ πέμπτῳ. συνεφώνησαν δὲ ὡς ἔοικε τοῖς γνωμοῦσι περὶ Ἰσσίνης, Ἰασιανοῦ, Ἡρακλείας, Ῥινοτμήτου, καὶ Μαυρήλ, καὶ συνῆλθον τῇ καθολικῇ Ἐκκλησίᾳ χάριν πολιτικοῦ συμφέροντος, καὶ πάλιν ἠθέτησαν τὰ συμφωνηθέντα. ἐπεὶ δὲ ἠθύμει τὰ τῶν Ῥωμαίων, καὶ οἱ Λατῖνοι ἐξουσίαζον τῆς Συρίας, οἱ Ἀρμένιοι ἵνα ἔχωσιν αὐτοὺς βοηθοὺς, ἠθροισαν Ἀφορὰς Συνόδους, καὶ ἠνώθησαν αὐτοῖς, ὧν ἡ πρώτη ἐν τῇ Σὶς τῷ χιλιοστῷ τριακοσιοστῷ ἑβδόμῳ ἔτει, ἡ δευτέρα ἦν ἐν τοῖς Ἀθανίοις τῷ χιλιοστῷ τριακοσιοστῷ τεσσαρεσκαιδεκάτῳ ἔτει, καὶ ἡ τρίτη ἐν Χαρπένῃ τῷ χιλιοστῷ τριακοσιοστῷ τριακοστῷ ἔτει. Σημείωσαι δὲ, ὅτι οἱ Ἀρμένιοι ἐν ἐκείναις ταῖς μετὰ Λατίνων ἑνώσεσιν ἔλαβον Φορεῖν πίννας καὶ φαινόλας ὡς καὶ οἱ Λατῖνοι, καὶ ἄλλα τοιαῦτα, τὰ δὲ τῆς καθόλου Ἐκκλησίας ἡμῶν αὖθις ἀποσφάντες καθάπαξ, περιεποιήθησαν τὰ τῆς Αἱρέσεως αὐτῶν, εἰς δὲ τὴν Ἱερουσαλὴμ ἦλθον μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Ὀθωμανῶν, καὶ ὑπηλότητι χρησάμενοι, ἔλαβον τὸ Μοναστήριον τοῦ ἁγίου Ἰακώβου τοῦ Ζεβεδαίου παρὰ τότε Πατριάρχου, ὑποχεθέντες διδόναι οἰκοσιον καθ' ἕκαστον ἔτος φλωρία πεντήκοντα, οἷς δέδωκεν ὁ Πατριάρχης καὶ εἰσῆλθον ἐν τῇ Ἐκκλησίᾳ τοῦ ἁγίου τάφου ἐν τοῖς κατηχουμένοις τόπον, κατόλιγον δὲ αὐξηθέντες, ἔπαυσαν ἔχειν τὸν ἅγιον Ἰάκωβον παρὰ τοῦ μεγάλου Κωνσταντίνου δῶρον, καὶ ἠθέτησαν τὴν δόσιν τοῦ οἰκοσίου. ἠπάτησαν δὲ καὶ τοὺς Σύρους, ὡς εἴρηται αὐτοτέρω, καὶ ἔλαβον τοὺς ἐν Βηθλεὲμ τόπους αὐτῶν, ποιήσαντες αὐτοὺς ἴδιον Μοναστήριον. ἀλλὰ καὶ τοὺς Κόπτας δελεάσαντες, λειτουργοῦσιν ἐν τῇ ἐν Βηθλεὲμ τραπέζῃ αὐτῶν, τοῦ δὲ ἔνδον ἐν τῷ ἁγίῳ τάφῳ Παρακλησίου τοῦ μεγάλου Κωνσταντίνου, ἐκ οἶδ' ὅπως ἐκυρίευσαν. ἐποίησαν ἔτι μαχόμενοι τῷ Θεοφάνει καὶ τῷ Παϊσίῳ ὅσα εἴπομεν αὐτοτέρω.

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ ἧς ἠπάτησεν ἀπάτης Ἐλεάζαρ ὁ Βαρταπέτης τὸν καθολικὸν Σὶς, καὶ τῶν σκανδάλων αὐτοῦ μετὰ τοῦ καθολικοῦ τῆς μεγάλης Ἀρμενίας, καὶ ὃ ἔλαβε δι' ἀπάτης ὁρισμοῦ τοῦ λειτουργεῖν τοὺς Ἀρμενίους ἐν τῷ Κυβουκλίῳ τοῦ ἁγίου τάφου, οἳ καὶ ἀπεβλήθησαν, ἐκ δὲ τούτου, τῶν Φερέων ὕπνον ἀναφορὰν ποιησάντων πρὸς τὴν Βασιλέαν, γέγονεν ἡ ἀρχὴ τῶν μέσον Ῥωμαίων καὶ Λατίνων σκανδάλων.

Οὗτος οὖν Βαρταπέτης Ἐλεάζαρ, ὃς ἐμάχετο τῷ Παϊσίῳ, δελεάσας τὸν Καθολικὸν Σὶς, ἐπεχείρησε καὶ ἐν τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ πέμπτῳ ἔτει, εἶτα ἀφεὶς τοὺς Ῥωμαίους ὡς μὴ δυνάμενος κατ' αὐτῶν, ἐποίησε μεγάλα σκάνδαλα μετὰ τοῦ καθολικοῦ τῆς μεγάλης Ἀρμενίας Ἰακώβου, τοῦ γὰρ Καθολικοῦ τῆς μεγάλης Ἀρμενίας τὴν ἔψησιν τοῦ Μύρου μόνου ποιοῦντος, καὶ πέμποντος αὐτὸ πρὸς πάντας τοὺς ἁπανταχοῦ γῆς Ἀρμενίους, καὶ συναγόντος ἐντεῦθεν ἱκανὴν ποσότητα χρημάτων, ὁ Ἐλεάζαρ ὑποχεθεὶς διδόναι τῷ βασιλικῷ ταμείῳ καθ' ἕκαστον ἔτος ἀργύρια, ἤτοι ἄσπρα δεκαπέντε χιλιάδας, λαμβάνει ὁρισμὸν ποιεῖν τὴν ἔψησιν τοῦ Μύρου ἐν τῇ Ἱερουσαλὴμ, καὶ δὴ καὶ ἔψησεν. ἀλλ' ὁ Ἰάκωβος ἐλθὼν ἀπὸ Περσίας εἰς Ἀδριανούπολιν τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ἑβδόμῳ ἔτει, δέδωκε τῇ Βασιλέᾳ εἴκοσι χιλιάδας φλωρία, καὶ ἀναιρεῖ τὰ τοῦ Ἐλεαζαρίου διὰ βασιλικοῦ χρυσοβούλλου, καὶ ἔμεινε πάλιν γίνεσθαι τὸ Μῦρον ἐν μόνῳ τῷ Ῥεβὰ κατὰ τὸ ἀρχαῖον αὐτῶν ἔθος. ὁ δὲ Ἐλεάζαρ αἰσχυνθεὶς, ἔδωκε κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἑβδομηκοστὸν πρῶτον ἔτος τῇ Βασιλέᾳ, ἐν Ἀδριανουπόλει ὄντι, γρόσια πυργαίων τεσσαράκοντα καὶ πέντε, καὶ γεγόνασι Πατριάρχης τῶν Ἀρμενίων ἐν τῇ Ἱερουσαλὴμ, ὅπερ γέγονε κατὰ θείαν οἰκονομίαν, ἵνα γένηται τὸ Πατριαρχικὸν ὄνομα ζηλωτὸν, καὶ οὐ καταπίπτωσι συνεχῶς οἱ τοιοῦτοι, καὶ κινδυνεύῃ εἰς ἀφανισμὸν καταντᾶν τὰ κατὰ τοὺς Ἀρμενίους ἐν τῇ Ἱερουσαλήμ. λέγουσι δὲ οἱ παπισαὶ τὸν τοιοῦτον ψευδεπίσκοπον ἡδέως πολλάκις Πατριάρχην, εἰς αἰσχύνην τυχὸν ἡμῶν, ὡς λέγουσι καὶ τὸν Ἐπίσκοπον τῆς παλαιᾶς Ῥώμης βικάριον τοῦ Χριστοῦ, τὰ γὰρ πλεῖστα τῶν Λατίνων ἐπιχειρήματα ἐσὶ σκηνῆς καὶ κωμῳδίας παίγνια, καὶ οὐκ ἀληθείας ἔργα. ὅπως οὖν ὁ Ἐλεάζαρ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ τρίτῳ ἔτει ἀπατᾷ τοὺς περὶ τὴν Βασιλέαν, καὶ λαμβάνει βασιλικὸν ὁρισμὸν, καὶ ἀπέρχεται εἰς τὸν κριτὴν τῆς Ἱερουσαλὴμ, καὶ λαμβάνει παρ' αὐτοῦ θέλημα λειτουργεῖν τοὺς Ἀρμενίους ἔνδον ἐν τῷ ἁγίῳ τάφῳ Κυβουκλίῳ. οἱ δὲ Φερέοι μὴ ἔχοντες τὸ δι' οὗ αὐλισθῆναι τοῖς Ἀρμενίοις, καταφεύγουσιν εἰς τὸν πατριαρχικὸν ὑπόστεγον, καὶ δῶρα λαβὼν τὰ βασιλικὰ χρυσόβουλλα, καταβαίνει εἰς τὸν κριτὴν, καὶ ὑποδείκνυσιν οἰκουρίας τοῦ ἁγίου τάφου τοὺς Ῥωμαίους, καὶ ὑποβάλλεται τοὺς Ἀρμενίους. ἐρωτήσαντι δὲ τὸν κριτὴν αὐτὸν, Διατὶ λειτουργοῦσιν ἐκεῖ ἔνδον οἱ Φερέοι; ἀπεκρίθη, ὅτι αὐτοῖς δέδωκε θέλημα ὁ Πατριάρχης. οἱ δὲ Φερέοι θέλοντες λαβεῖν ὧδε τὸ κριτὸ ἀναφορὰν ποιοῦσι τῇ Βασιλέᾳ περὶ τῶν μελλόντων, ἵνα ἔγραψαν ὡς εἰκὸς ἦν ἐν τῇ ἀναφορᾷ, ὅτι δηλαδὴ ἐν τῷ Κυβουκλίῳ λειτουργοῦσιν οἱ Ῥωμαῖοι,

Ῥωμαῖοι, καὶ τῷ θελήματι τούτων οἱ Φράγγοι, καὶ οὐχ οἱ Ἁρμένιοι, ἀλλ' ὅτι ἐκεῖ τάξις ἐστὶ τοὺς Φράγγους λειτουργεῖν, Ἁρμενίους δὲ, ἢ τινὰ ἄλλην φυλὴν οὐδαμῶς. ἀχθεῖσαν δὲ τὴν ἀναφορὰν εἰς τὴν Κωνσταντινούπολιν, πέμπουσιν αὐτὴν οἱ ἐκεῖ Φράροι εἰς τὴν Μυσίαν διάτινος γραικολατίνου Τομάζου Τάρσια πρὸς τὸν ἐπίτροπον τῆς Βασιλείας, ἣν ἰδὼν ὁ ἐπίτροπος εἶπε, Φλυαρεῖ ὁ κριτὴς, ἐπειδὴ ὑπούλως ἀποβάλλει τοὺς Ῥωμαίους, οἵτινες ἐκεῖ εἰσὶν ἀνέκαθεν ἴδιοι οἰκοκύριοι.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ὅτι τῆς ὑπούλου ἀναφορᾶς πεμφθείσης παρὰ τῶν Φράρων τῷ Βεζύρῃ, ἐν Μυσίᾳ ὄντι, ἦλθεν ἡ ἀγγελία αὐτῆς πρὸς ἡμᾶς, ἐν Βελεγραδίῳ ὄντας. περιελθόντες δὲ πόλεις τινὰς, καὶ φήμην φυγῆς τῶν ἐν Ἱερουσαλὴμ πατέρων ἀκούσαντες, ἐπανήθομεν εἰς Κωνσταντινούπολιν, καὶ Ἀδριανούπολιν, ὅπου ὁ Βεζύρης ἀπὸ Μυσίας ἦλθεν.

Ἦλθον οὖν αἱ ἀγγελίαι πρὸς ἡμᾶς εὑρισκομένους εἰς Βελεγράδιον, καὶ ἐγράψαμεν πρὸς τὸν ἐν Μυσίᾳ Οἰκονόμον τοῦ Βεζύρη τὰ πρόσφορα, πέμψαντες αὐτῷ καὶ πεντακόσια φλωρία τῆς Οὐγγρίας, συνήργει δὲ ἐκεῖ ὁ Ἑρμηνεὺς τῶν Γερμανῶν Ἰωαννάκης. εἶτα ποιήσαντες τὸ Πάσχα ἐν Βελεγραδίῳ, ἐπανήλθομεν Μαΐῳ Μηνὶ εἰς Φιλιππούπολιν, κἀκεῖθεν Μηνὶ Ἰουνίῳ εἰς Μελένικον, εἶτα εἰς Σέρρας, ἀφ' ὧν ἐπορεύθημεν εἰς Κοῦρσ' ὀβασὶ, ἵνα ἀπέλθωμεν εἰς τὸν Ἄθωνα. ἀλλ' ἐπειδὴ ὁ Νεκτάριος φοβηθεὶς τὰς ἀπειλὰς τοῦ πρέσβεως Φραντζέζου, ἀπέδρα εἰς Αἴγυπτον, ἦλθε φήμη ψευδὴς, ὅτι ἔφυγον ἀπὸ Ἱεροσολύμων ὁ Νεκτάριος καὶ οἱ πατέρες. καὶ διὰ τὸ ἄδηλον τῆς φήμης ἐκλέξαντες τὸ συμφερώτερον, ἐπανήλθομεν εἰς Σέρρας, κἀκεῖθεν διὰ Μελενίκου καὶ Φιλιππουπόλεως καὶ Ἀδριανουπόλεως ἀνήλθομεν εἰς Κωνσταντινούπολιν. ἐλθόντος δὲ τοῦ βασιλικοῦ ἐπιτρόπου ἀπὸ Μυσίας εἰς Ἀδριανούπολιν καὶ τοῦ Σουλτάνου, ἀπεδημήσαμεν καὶ ἡμεῖς εἰς Ἀδριανούπολιν τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ τεταρτῷ ἔτει, Μηνὶ Νοεμβρίῳ.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Λίβελλος ἡμῶν πρὸς τὸν Βεζύρην, καὶ ὁρισμὸς πρὸς ἡμᾶς, ἀλλὰ δόλιος τῇ τοῦ Κεχαγιᾶ τοῦ Βεζύρη δολιότητι, ἣν ὁ Θεὸς ἐχρήσατο εἰς ὠφέλειαν τῶν ὀρθοδόξων, παρέστημεν γὰρ τῷ Βεζύρῃ παρόντων καὶ τῶν Καζασκέριδων τοῦ κριθῆναι μετὰ τῶν Φράρων.

Ἐγράψαμεν οὖν Ἀρζουχὰλ (λίβελλον) καὶ ὀφθέντες τῷ ἐπιτρόπῳ, εἴπομεν διὰ τοῦ λιβέλλου τὰ ἐν Ἱερουσαλὴμ γενόμενα, ζητοῦντες ὁρισμὸν, ἵνα ἔχωμεν τὴν ἐξουσίαν ἐν τῷ ἁγίῳ τάφῳ. καὶ δὴ ὁ ἐπίτροπος ἦν καλὸς, ἀλλ' ὁ Οἰκονόμος αὐτοῦ ἦν δόλιος, καὶ ἀπατᾷ ἡμᾶς μετὰ τὰ πολλὰ, καὶ λαμβάνει παρ' ἡμῶν πουγγεῖα τριακονταὲν, καὶ δίδωσιν ὁρισμὸν θεωρηθῆναι τὴν κρίσιν ἐν τῷ τῆς Ἱερουσαλὴμ κριτῇ διαλαμβάνοντα, τὸ δὲ Ἀρζουχὰλ, ἤτοι ὁ λίβελλος ἡμῶν διελάμβανεν εἶναι ἐν τῇ Ἱερουσαλὴμ Φράρους μόνον τριακονταὲξ, καὶ ἐν ἑκάστῃ τριετίᾳ ἀλλάττεσθαι, ὡς διελάμβανεν ἐν Χοτζέτιον, ἤτοι βεβαιωτικὸν γράμμα κριτοῦ παλαιὸν, εὑρεθὲν παρά τινι Σαρακηνῷ Ἱεροσολυμίτῃ. ὡς δὲ ὤφθη ὁ ὁρισμὸς δόλιος, ἤλθομεν εἰς ἔκστασιν τοῦ τὶ δεῖ ποιῆσαι, ἦν γὰρ ἀδύνατον ζητηθῆναι ἄλλον ὁρισμὸν, ἐπειδὴ ὁ ἐπίτροπος ἀμεταβλήτως εἶχε περὶ τῶν ὑπ' αὐτοῦ κεκυρωμένων. ὁ δὲ Βασιλεὺς, ἦν καὶ αὐτὸς αὐτῷ πειθήνιος, καὶ μήτε αὐτῷ ὀφθῆναι ἡμᾶς ἦν δυνατόν. ἀλλ' ἐν τούτοις οἰκονομεῖ ὁ τοῦ δικαίου ἔνδικος Θεὸς, καὶ τὴν δολιότητα τοῦ Οἰκονόμου χρᾶται εἰς ὠφέλειαν τῶν ὀρθοδόξων. βουλὴν οὖν ἔθετο ὁ Οἰκονόμος τοῦ ἐπιτρόπου λαβεῖν καὶ ἄλλα ἀργύρια, καὶ μεταπεμψάμενος τὸν Τομάζον, μηχανᾶται, καὶ λέγει αὐτῷ, τὸ ἔργον τῶν Φράρων γίνεται, μόνον μήνυσον αὐτοῖς λαβεῖν τὰ γράμματα αὐτῶν, καὶ ἐλθεῖν εἰς τὸ Ντιβάνι, ἤτοι τὸ βασιλικὸν κριτήριον κριθῆναι. ἡμεῖς δὲ μαθόντες ταῦτα, καὶ φοβηθέντες, ἐμηνύσαμεν πολλὰ τῷ Ῥεσιδέντε τῆς Ἀλαμανίας περὶ τοῦ ἡσυχάσαι τοὺς Φράρους, καὶ εἶναι αὐτοὺς ὡς ἦσαν, ἀλλ' οὐδὲν ὠφέλησεν. ἦλθον οὖν οἱ Φράροι εἰς Ἀδριανούπολιν, καὶ τῇ πέμπτῃ τοῦ Φεβρουαρίου προεστοχάσθημεν, καὶ ἀπήλθομεν εἰς τὴν οἰκίαν τοῦ ἐπιτρόπου, ὅπου ἦσαν καὶ οἱ Καζασκέριδες, ἤτοι οἱ μείζονες πάντων τῶν κριτῶν τῆς βασιλείας κριταὶ, καὶ δὴ μετὰ τὴν ἀπόλυσιν τοῦ Ντιβανίου, ἤτοι τοῦ βασιλικοῦ κριτηρίου, ἐπορεύθημεν ἡμεῖς καὶ οἱ Φράροι, καὶ εἰσήλθομεν εἰς τὴν οἰκίαν, ὅπου ὁ ἐπίτροπος καὶ οἱ κριταί. ἦσαν δὲ μετ' ἐμοῦ οἱ εἰρημένοι Φιλόθεος καὶ Κωνσταντής τις ὡς εἴρηται ἀνωτέρω Τραπεζούντιος, ὃς καὶ τῷ καιρῷ τοῦ Παϊσίου ὤφθη χρήσιμος λίαν εἰς τὰς ὑπηρεσίας τοῦ ἁγίου τάφου, καὶ μάλιστα κατὰ τῶν Ἁρμενίων ὡς εἴρηται. μετὰ δὲ δύο Φράρων ἦν ὁ εἰρημένος Τομάζος, καὶ τινα παιδία Ἀρχόντων Ἀλαμάνων. προέλαβον οἱ Φράροι τὸ ἀριστερὸν μέρος, οἱ Ῥωμαῖοι δὲ ἐστάθημεν εἰς τὸ δεξιόν.

ΠΑΡΑ-

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Περὶ τοῦ προλόγου ἡμῶν ἐνώπιον τοῦ Βεζύρη, καὶ τεσσάρων αἰτημάτων ἡμῶν, καὶ ὧν εἶπεν ὁ Βεζύρης, ἀναγνωσθέντων καὶ τῶν Ἀχτιναμέδων ἡμῶν, καὶ ματαιωθέντων τῶν γραμμάτων τῶν Φράγγων.

Ἠρξάμεθα οὖν ἡμεῖς προλογίζειν ἐπὶ ἔτους χιλιοστοῦ ἑξακοσιοστοῦ ἑβδομηκοστοῦ πέμπτου, Φεβρουαρίου πέμπτῃ, καὶ λέγειν οὕτω, Δίκαιός ἐστιν ὁ Θεὸς, ὃς ἀδικουμένους ἡμᾶς ἠξίωσε κριθῆναι σήμερον ἔμπροσθέν σου σεβάσμιε μέγα Βεζύρη, ὅτι ἐλπίζομεν, τοιούτῳ σοφῷ καὶ δικαίῳ κριτῇ παριστάμενοι, τεύξεσθαι τοῦ δικαίου. ἐστὶ λοιπὸν κατὰ τὸ μέσον τῆς Ἱερουσαλὴμ ὁ Ναὸς τῆς Ἀναστάσεως, ὁ γνώριμος τῷ κόσμῳ παντὶ, καὶ ἐν τῷ μέσῳ αὐτοῦ ἐστὶ τὸ Κουβούκλιον, ὅπερ λέγεται τριχῶς ἐν τοῖς ἐν ταῖς χερσὶν ἡμῶν βασιλικοῖς γράμμασι, τάφος, μνῆμα, καὶ προσκύνημα τοῦ φωτὸς, ὅπερ, ἐπειδὴ ὁ Οὔμαρος ἔλαβε τὴν Ἱερουσαλὴμ ὑπὸ τοῦ Ἱεροσολύμων Σωφρονίου μετὰ συμφωνίας, εἴασε μετὰ τῶν ἄλλων τοῖς Ῥωμαίοις, διορισάμενος πάντας τοὺς ἀπὸ τῆς Οἰκουμένης Χριστιανοὺς, ἐρχομένους εἰς Ἱερουσαλὴμ χάριν προσκυνήσεως, διδόναι τῷ Πατριάρχῃ ἀνὰ ἓν καὶ ἥμισυ δράμιον ἄργυρον, ὑποτασσόμενοι αὐτῷ. ὅτε δὲ ἔλαβον οἱ Λατῖνοι τὴν Ἱερουσαλὴμ, καὶ ἐδίωξεν αὐτοὺς ὕστερον ὁ Βασιλεὺς Σαλαδῖνος, δέδωκε τοῖς Ῥωμαίοις ὁρισμὸν, καθ' ὃν ἔδωκεν ὁ Οὔμαρος. εἶτα ὅτε ἔλαβεν ὁ Σουλτὰν Σελὴμ τὴν Ἱερουσαλὴμ παρὰ τῶν Αἰγυπτίων, ἔδωκε τῷ ἐν Ἱερουσαλὴμ Πατριάρχῃ τὴν ὁμοίαν συνθήκην, καὶ ἦμεν εἰρηνικοί. ἀλλ' ἐπειδὴ ἦμεν πτωχοὶ καὶ κατάχρεῳ, καὶ περιεπατοῦμεν εἰς τὰ ἔξω χάριν ἐλέους, ὁ Φραντζέζος πρεσβευτὴς μετὰ τῶν Φράρων θέλοντες ὑπὸ ἀπονοίας ἐξουσιάσαι τοῦ μνήματος, ἐναντιουμένων αὐτοῖς τῶν πατέρων, ἐκολόβωσαν δύο ἐξ αὐτῶν, καὶ ἀπέκτειναν ἕνα, εἶτα ἐσκέπασαν τὸ μνῆμα σκεπάσματι, ὡς ὑμεῖς τὸ τοῦ Κιαμπὲ, ὅπερ ἡμῖν οὐκ ἔξεστι. καὶ ἐκυρίευσαν τῆς πατρικῆς καὶ προπατορικῆς κληρονομίας ἡμῶν δυναστικῶς. δεόμεθα οὖν τῆς σῆς ὑπεροχῆς ὑπὲρ τεσσάρων τινῶν, πρῶτον, ἵνα ἐξουσιάζωμεν τούτου ἡμεῖς. δεύτερον, ἵνα ἐνεργοῦμεν ἐν αὐτῷ τὰς προσευχὰς ἡμῶν. τρίτον, ἵνα τῷ θελήματι ἡμῶν αἱ ἄλλαι φυλαὶ προσκυνῶσι. καὶ τέταρτον, ἵνα τὰ καινοτομηθέντα ἐν αὐτῷ παρὰ τῶν Λατίνων περιαιρεθῶσι. πρὸς ταῦτα δὲ εἶπεν ὁ Βεζύρης, Ὦ οὗτοι, λέγω ὑμῖν πρῶτον, ὅτι ὑμεῖς ἔχετε καὶ τὰ δύο μέρη γράμματα τῶν πάλαι Σουλτάνων καὶ ἀρχηγῶν τῶν Ἀράβων, καὶ ἔχετε καὶ χοτζέτια (βεβαιωτικὰ) τῶν κριτῶν τῆς Ἱερουσαλὴμ, ὅμως οὐμέλει ἡμῖν περὶ τῶν δωρηθέντων ὑμῖν παρὰ τῶν ἀρχαίων Ἡγεμόνων, οὔτε περὶ τῶν Χοτζετίων, ἐπειδὴ ἐν ταῖς βασιλικαῖς δωρεαῖς οἱ κριταὶ ἄγουσιν ἀργίαν, μόνον τῶν Ὀθωμανῶν ὅσας ἀποδείξεις ἔχετε ἐκείνας προβάλλετε. ἐγὼ εἶπον, Ναὶ, τὸ δίκαιον τοῦτο ἐστὶ, καὶ ὅρισαι τὸν Ἀχτιναμὲ τοῦ Σουλτὰν Σουλεϊμὰν, ἐπειδὴ ὁ τοῦ πατρὸς αὐτοῦ Σουλτὰν Σελὴμ ἐστὶ κατὰ τὸ παρὸν ἐν τῇ Ἱερουσαλήμ. προσέταξε δὲ ὁ Βεζύρης τῷ παριστάμενῳ ὑπογραφεῖ καὶ ἀνέγνω αὐτὸν, εἶτα ἔλαβεν αὐτὸν εἰς χεῖρας αὐτοῦ. ἐγὼ δὲ δέδωκα αὐτῷ καὶ ἕτερον τοιοῦτον, ὃς ἦν τοῦ ὑστάτου Σουλτὰν Μουράτ. ἐπειδὴ δὲ τὴν τότε ἐν Ἀδριανουπόλει παρὰ τοῦ Βεζύρη δοθεῖσαν τοιαύτην ἀναφορὰν κατὰ τῶν Ἀρμενίων, οὖσαν κεκολλημένην ἄνωθεν τοῦ ὁρισμοῦ, ἀνέγνω ὁ ὑπογραφεὺς, εἶπε μοι ὁ Βεζύρης, Ἄνθρωπε ἀκούεις, ὅτι ἡ ἀναφορὰ περὶ τῶν Ἀρμενίων διαλαμβάνει, καὶ οὐ περὶ τῶν Φράγγων. ἐγὼ δὲ ἀπεκρίθην αὐτῷ, Ὅτι τῶν ἀναφερομένων παρὰ τοῦ Βεζύρη ἐκείνου ἡμῖν οὐμέλει, καὶ ὅρισαι ἴδε τί προσέταξεν ὁ Βασιλεύς. καὶ δὴ ἡ τοῦ ὁρισμοῦ ἀπόφασις ἀναγινωσκομένη ἔλεγεν, Ὁρίζω τῶν Φράγγων, καὶ Ἀρμενίων, Ἰβήρων, Χαμπεσίων, Κοπτῶν, Σύρων, καὶ πάντων τῶν φυλῶν τὸν Πατριάρχην καὶ τοὺς Ῥωμαίους προτιμᾶσθαι ἔν τε τῷ μνήματι καὶ ἐν ἑκάστῃ Ἐκκλησίᾳ καὶ Μοναστηρίῳ, καὶ ἐν πάσῃ τάξει καὶ ἐνεργείᾳ εἶναι πρώτους, καὶ τῷ θελήματι αὐτῶν προσκυνεῖν τὰς ἄλλας φυλάς. εἰπόντος δὲ τοῦ Βεζύρη, Ἀρκεῖ, προέβαλον εἰς μέσον καὶ οἱ Φράγγοι τὰ γράμματα αὐτῶν, καὶ ἐπειδὴ ἐματαιώθησαν τὰ ἅπερ εἶχον γράμματα τῶν Ἀράβων, καὶ Κατήδων, ἤτοι κριτῶν, προὔτειναν ἐκεῖνον τὸν ὁρισμὸν τὸν δοθέντα αὐτοῖς παρὰ τοῦ Μπαϊράμ Πασσᾶ, ὡς εἴρηται ἀνωτέρω κεφαλαίῳ πρώτῳ. ἀναγινωσκομένου δὲ τοῦ ὁρισμοῦ, ἠρώτα ἐν ἑκάστῳ τῶν ἀναγινωσκομένων ὁ Βεζύρης ἐμὲ, Τοῦτο τὶς ἔχει; καὶ ὅτε ἔλεγον αὐτῷ, Οἱ Ῥωμαῖοι, ἐμειδία. ὅτε δὲ ἔλεγον αὐτῷ, Οἱ Φράροι, ἐσκυθρώπαζεν. εἶπον δὲ αὐτῷ χθαμαλῇ φωνῇ, Αὐθέντα οὗτος ὁ ὁρισμὸς τίνι ὁδῷ γέγονεν, ἐστὶ φανερόν. ἐπειδὴ δὲ συμπίπτει ἡ λέξεις ὁδὸς καὶ ἔτος (Ταρὴχ καὶ Ταρὴκ) ἐνόμισεν ὁ Βεζύρης εἰπεῖν με αὐτῷ περὶ τοῦ ἔτους, καὶ λέγει τῷ ἀναγινώσκοντι, Ἐν τίνι ἔτει ἐγένετο; ὁ δὲ εἶπε, Τῷ χιλιοστῷ τεσσαρακοστῷ πέμπτῳ. εἶπον δὲ αὐτῷ ἐγὼ λέξεσιν ὀθωμανικαῖς, ἀφεὶς τὰς ἀραβικὰς, Οὐκ εἶπον ἔτος, ἀλλ' ὁδὸν, ἤγουν τέχνην καὶ πανουργίαν. λέγει μοι ὁ Βεζύρης, Οἶδα καλῶς, ἀλλὰ σιώπα.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Ὅτι ἐρωτήσαντι ἡμᾶς τῷ Βεζύρῃ, εἰ ἔχομεν ὕστερον τοῦ ὁρισμοῦ τῶν Φράγγων ὁρισμὸν, δεδώκαμεν τὸν τοῦ Σουλτὰν Μουράτ ὁρισμὸν, καὶ περὶ προφάσεων τῶν Φράγγων, τὸν περὶ κρίσεως Ἀχτιναμὲ αὐτῶν εἰς δικαιολογίαν προβαλλομένων, ὅθεν ἐλεγχθέντες ψεῦσται, ἀκούουσι Τζήκ.

Ὡς

Ὡς οὖν ἀνεγνώσθη ὁ ὁρισμὸς, λέγειμοι ὁ Βεζύρης, Ἔχετε ἄλλον ὁρισμὸν ὑμεῖς μετὰ ὑστερωτέρου ἔτους ἀναιροῦντα τὰ παρόντα; καὶ εἶπον, Ναὶ, καὶ δέδωκα αὐτῷ τὸν ὁρισμὸν τοῦ Σουλταῦ Μουρὰτ, δι' οὗ ἔλαβεν ὁ Θεοφάνης τὰ προσκυνήματα, οὗ ἀναγνωσθέντος, λέγει τοῖς Λατίνοις ὁ Βεζύρης, Ἔχετε ὑμεῖς ἄλλον ὁρισμὸν ἀναιροῦντα τοῦτον; καὶ ἀποκριθέντες εἶπον, Οὐκ ἔχομεν, ἔχομεν ὅμως ἐν τῷ Ἀχτιναμὲ, ἵν' ἔχωσιν ἰσχὺν καὶ βεβαίωσιν τὰ γράμματα ἡμῶν. λέγει ὁ Βεζύρης, Ἡμεῖς γινώσκομεν τὴν γλῶσσαν ἡμῶν πολὺ κάλλιον, ἢ ὑμεῖς αὐτὴν γινώσκετε. Διαλαμβάνει λοιπὸν ὁ Ἀχτιναμὲς, εἴπερ ἔχετε κρίσιν μετά τινος εὑρισκομένου ἐν τῇ βασιλείᾳ Ὀθωμανοῦ, ἢ ἄλλης φυλῆς ἀνθρώπου, μὴ προτιμᾶσθαι τοῦτον ἐν τῇ κρίσει, ἀλλ' εἶναι ὅμοιον ὑμῶν, καὶ θεωρεῖσθαι τὸ δίκαιον. οὐμὴν δὲ Διαλαμβάνει κρατεῖν καὶ ἔχειν τὸ κῦρος πάντα ὁρισμὸν, ἐξ ὧν ἴσως ἔχετε πολλοὺς μετὰ δολιότητος ληφθέντας. ἐν τούτοις δὲ εἶπεν ὁ Τομάζος, Τοῦ γράμματος τοῦ Σουλταῦ Μουρὰτ, ὃ δέδωκεν ἤδη ὁ Πατριάρχης τῇ ἀναγνώσει ἡ ἀπόφασις οὐκ ἐγένετο ἐν τῷ βασιλικῷ κριτηρίῳ. λέγει αὐτῷ ὁ Καζασκέρις, ἤτοι ὁ μείζων πάντων τῶν κριτῶν τῆς βασιλείας κριτὴς, Ψεῦστα, ἐγένετο ἡ κρίσις πρῶτον ἐν τῷ τότε Μουφτῇ, ἤτοι τῷ κυρωτῇ τῶν ἐντολῶν τοῦ Νόμου, καὶ ὕστερον ἐν τῷ βασιλικῷ κριτηρίῳ. λέγει δεύτερον ὁ αὐτὸς Τομάζος, Οὐ Διαλαμβάνει ὁ ὁρισμὸς τὸ μνῆμα, ἀλλὰ μόνον Γολγοθὰν καὶ Ἀποκαθήλωσιν καὶ Βηθλεέμ. λέγει αὐτῷ ὁ Βεζύρης, Ἡμῖν οὐμέλει τὶ Διαλαμβάνουσιν οἱ ὁρισμοὶ ὡς ἀπὸ μέρους ἑκάστου, μόνον τὶ ἐν αὐτοῖς λέγει ἡ βασιλικὴ προσταγή. ἀληθῶς οἱ τότε Ῥωμαῖοι ἐζήτησαν Σπήλαιον ἐν τῇ Βηθλεὲμ, καὶ ἐν τῇ Ἀναστάσει Γολγοθὰν καὶ Ἀποκαθήλωσιν, ἀλλ' ὁ Βασιλεὺς δέδωκεν αὐτοῖς τὸν μέγαν Ναὸν τῆς Ἀναστάσεως, καὶ τὸν Ναὸν τῆς Βηθλεὲμ μετὰ πάντων τῶν περιεχομένων καὶ τῶν περιεχόντων. ὑμεῖς δὲ ποῦ ἦτε ἕως τοῦ νῦν, καὶ εἰ εἴχετε δίκαιον οὐκ ἐζητεῖτε αὐτό; λέγει ὁ Τομάζος, Ὁ πόλεμος τῆς Κρήτης ἐμποδὼν ἡμῖν γέγονε. λέγει ὁ Βεζύρης, Ἀφ' οὗ εἰρήνη ἐγένετο εἰσὶ τοσοῦτοι χρόνοι, ποῦ ἦτε; λέγει ὁ Τομάζος, Οἱ Ἴβηρες εἰσὶν ἐν τῇ Ἱερουσαλὴμ ἀρχαῖοι, καὶ οὐχ οἱ Ῥωμαῖοι. ἐγὼ εἶπον, Ναὶ, εἰσὶν οἱ Ἴβηρες πρῶτοι καὶ ἀρχαῖοι συγκρινόμενοι τοῖς Φράγγοις καθὼς οἱ Ἀχτιναμέδες φανεροῦσι, καὶ ἐκεῖνοι μόνοι τοῦτο μαρτυροῦσιν, οὐ μὴν δὲ καὶ τῶν Ῥωμαίων πρῶτοι, μάλιστα δοκεῖ ἄτοπον, τοὺς Ῥωμαίους τοσαύτας χιλιάδας εὑρισκομένους ἐν Παλαιστίνῃ εἶναι ὑστέρους, καὶ τοὺς ἀπὸ Ἱσπανίας ἐρχομένους Φράρους μετὰ ὅπλων ἀνταρτικῶν εἶναι πρώτους καὶ ἀρχαίους. ἔπειτα εἶπεν ὁ Βεζύρης τῷ Τομάζῳ, Ἄκουε, ἐὰν ἔχητε ὁρισμὸν περιέχοντα ὅτι ἐκρίθητε καὶ διωρίσθη τὸ δίκαιον ὑμῖν, καὶ ἔχοντα καὶ ἔτος ὕστερον τοῦ Χατίου, ἤτοι τοῦ ἱεροῦ τύπου τοῦ Σουλταῦ Μουρὰτ, φέρετε αὐτὸν, καὶ γίνεται ἡ θέλησις ὑμῶν, εἰ δὲ μὴ, ΤΖΙΚ, ἤτοι ἔξελθε. ἔστι δὲ ἔθος, ὅταν εἴπῃ ὁ Βεζύρης τὸ ΤΖΙΚ, τοὺς περιεστῶτας μὴ ἐᾶν τὸν ἄνθρωπον ἐκεῖνον μήτε ἵστασθαι, μήτε λαλῆσαι. καὶ οὕτως ἐξῆλθον οἱ Φράγγοι.

ΠΑΡΑΓΡΑΦΟΝ ϛ'.

Γράμμα τοῦ Κελτοῦ. ἀγωνία τοῦ τῆς Ἀλαμανίας Ῥεσιδέντε, καὶ μεσιτεία τοῦ τῆς Ἀγλίας πρέσβεως πρὸς τὸν Βεζύρην καθ' ἡμῶν, δι' ἣν καὶ ὁρισμὸν ἐλάβομεν, καὶ ἀπελθόντες εἰς Ἱερουσαλὴμ, ἐδιώξαμεν τοὺς Φράρους ἀπὸ τοῦ ἁγίου τάφου, καὶ περὶ ὧν ἐδαπανήσαμεν χρημάτων διὰ ταῦτα, καὶ τῆς ἐπιβουλῆς τῶν Βηθλεεμιτῶν διὰ τῶν Φράρων κατὰ τῆς ζωῆς ἡμῶν, τοῦ τε φθόνου καὶ τεχνασμάτων τῶν Ἀρμενίων.

Ἐξήλθομεν καὶ ἡμεῖς κατόπιν, καὶ ἐμηνύσαμεν τοῖς Φράροις περὶ εἰρήνης, καὶ αὐτοὶ ἐμεγαλορρημόνουν. εἶτα ἐπιστέλλει ὁ Κελτὸς ἀπὸ Κωνσταντινουπόλεως τῷ Βεζύρῃ γράμμα, καὶ ὁ Ῥεσιδέντες τῆς Ἀλαμανίας παρὼν ἐν τῇ Ἀδριανουπόλει πολλὰ εἶπεν, ἀλλ' ἦν ὁ λόγος τοῦ Βεζύρη ὁ αὐτός. καὶ οὕτως ἐμείναμεν ἕως τοῦ Αὐγούστου, περιμένοντες τοὺς Φράρους προσενεγκεῖν γράμματα ὑστερογενῆ. ἦν δὲ λοιμὸς μέγας, ἤτοι πανοῦκλα, καὶ ἡμεῖς καθ' ἡμέραν καὶ νύκτα ἀπερχόμεθα εἰς τὸν Οἰκονόμον τοῦ ἐπιτρόπου (μὴ ἔχοντες ἄλλους βοηθοὺς, ἀλλ' ἢ μόνον τοὺς πτωχοὺς Ῥωμαίους τοὺς ἐκεῖ εὑρισκομένους καὶ συμπονοῦντας ἡμῖν) ἕως τοῦ Αὐγούστου, καθ' ὃν ἦλθε πρεσβευτὴς Ἀγκλικός. διὰ δὲ τὸ μεσιτεῦσαι καὶ τοῦτον περὶ τῶν Λατίνων, δέδωκεν ἡμῖν ὁρισμὸν ὁ Βεζύρης τῇ ἡμέρᾳ τῆς κοιμήσεως τῆς Θεοτόκου, καὶ μόλις ἐγράφει ἕως τοῦ ἁγίου Δημητρίου, ἕως τοῦ δοθῆναι δηλονότι τὰ ἀργύρια, τὰ πάντα πουγγεῖα ἑβδομήκοντα. καὶ κατὰ τὸν Νοέμβριον ἐλάβομεν Ἀγαῦ, ἤτοι Ἄρχοντα βασιλικὸν, καὶ ἀπήλθομεν μόνοι εἰς Ἱεροσόλυμα δι' ἡμερῶν τριακονταεπτὰ, καὶ κατὰ τὸν Ἰαννουάριον ἤγειρα τὸν Κατὴν, ἤτοι τὸν κριτὴν τοῦ τόπου καὶ πᾶσαν τὴν χώραν, καὶ παρεγένοντο εἰς τὸν ἅγιον τάφον, ὃν οἱ Φράροι εἶχον ἐστολισμένον. καὶ ἀναγνωσθέντος τοῦ ὁρισμοῦ, ἐξέβαλεν ἐκεῖθεν ὁ κριτὴς τὰς ποδέας καὶ ὅσα καινὰ, καὶ παρέδωκεν ἡμῖν τὸν ἅγιον τάφον τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ ἕκτῳ ἔτει, Μηνὶ Ἰαννουαρίῳ. καὶ τὸ πρωῒ ἐλειτούργησαν ἔνδον οἱ Ῥωμαῖοι. ἐξέβαλον δὲ καὶ τὰς τρεῖς κανδήλας τῶν Φράρων τὰς ἐν τῇ καμάρᾳ, τὰς δὲ ἔνδον τοῦ ἁγίου τάφου εἴασα μένειν, νομίσας ποιῆσαι μετ' αὐτῶν ἀγάπην. δέδωκα δὲ τοῖς Φράροις θέλημα λειτουργεῖν κατόπιν εἰς τὸ Κουβούκλιον, ἀλλ' ἐκεῖνοι ἐζήτησαν λειτουργεῖν καὶ ἔμπροσθεν τῆς πόρτας, ὅθεν ἀπέτυχον ἀμφοτέρων. ἐδαπανήθησαν δὲ ἔν τε Ἀδριανουπόλει καὶ ἐν Ἱερουσαλὴμ γρόσια χιλιάδες τεσσαράκοντα, ἅπερ ἔλεγον οἱ Φράροι δοῦναι

ναι ἡμῖν, καὶ εἶναι αὐτὲς πάλιν ὡς τὸ πρῶτον, καὶ ἔβαλον κ᾽ ἴνας Βηθλεεμίτας, Διὰ τὸ λαβεῖν ἡμᾶς δῆθεν τὰ μνήματα αὐτῶν, ἀποκτεῖναι ἡμᾶς ἐν Βηθλεέμ, ἀλλ᾽ ἀδὲν ἴσχυσαν, ἐφύγομεν χαρίπποται, καὶ ἐσώθημεν. ἐφθόνησαν δὲ καὶ οἱ Ἀρμένιοι, καὶ πολλὰ ἐτεχνάσαντο, ἀλλὰ παύτα ταῦτα ὁ Θεὸς ἀπέδειξε μάταια. ἐκρέμασα δὲ ἔνδον ἐν τῷ ἁγίῳ Κυβουκλίῳ καὶ ἄλλας δέκα καντήλας. σωπέβη δὲ τότε καὶ τεῖχος.

ΠΑΡΑΓΡΑΦΟΝ Ζ'.

Περὶ τῆς ὑφ᾽ ἡμῶν οἰκοδομῆς τῆς καμάρας ἀπὸ τῦ Πατριαρχάου ἕως τῆς ἁγίας Θέκλης, καὶ ἐπανελθύσεως ἡμῶν εἰς Κωνσαντινύπολιν, καὶ τῶν καθ᾽ ἡμῶν ἀγωγῶν τῦ Κελτῦ πρέσβεως. Ρεσιδεύτε Ἀλαμανίας, καὶ Γενόβας, καὶ τῆς χορηγηθέσης ὑπὸ Θεῦ ἡμῖν κ᾽ δαπανῆς, καὶ νίκης, καὶ περὶ τῆς τελευτῆς τῦ Βεζύρη, καὶ τῦ Βεζυράτε τῦ Μουσαφᾶ Πασσᾶ, καὶ τῆς κοιμήσεως τῦ ὁσιωτάτου ἡμῶν Νεκταρίου.

Ἡ ἁγία Θέκλα τὸ Μοναστήριον ἦν τῶν Ἰβήρων, καὶ ἀπὸ Θεοφανῦς δέδωκαν αὐτὸ οἱ Ἴβηρες τῷ Πατριάρχῃ, τὸ δὲ ἄλλο ἥμισυ καὶ νότιον τῦ Μοναστηρίου ἦν τῶν Κοπτῶν, καὶ ἀπὸ Παϊσίου ἠγόρασαν αὐτὸ οἱ Ῥωμαῖοι, ἦν δὲ σεσαθρωμένον, καὶ κατοικία τοπλέον ὄφεων καὶ σκορπίων. ἐπειδὴ δὲ ἡ Ἐκκλησία τῦ Μοναστηρίου τότε διερράγη, καὶ ἔμελλε καταπίπτειν, ἦν δὲ δύσκολον τότε διὰ ὁρισμῦ ἀνακαινισθῆναι Ἐκκλησίαν, ἐπιτρέπει ὁ Θεὸς ταῖς τῶν κρατούντων καρδίαις, καὶ ἐλάβομεν ὁρισμὸν, καὶ τότε μετὰ τὴν ὑποψίαν τῦ ἁγίου τάφου ᾠκοδομήσαμεν τὴν καμάραν τὴν ἀπὸ τῦ Πατριαρχάου μέχρι τῆς ἁγίας Θέκλης, ἐν ᾗ οἰκοδομίᾳ ἀνηλώθησαν δαπάναι πολλαὶ καὶ μεγάλαι, καὶ ἐγένετο ὡς νῦν ὁρᾶται μετὰ αὐλῆς καὶ οἰκημάτων καὶ κήπου. αἱ δὲ ἄνωθεν οἰκίαι, ὅπου ἐστὶν ὁ κῆπος, ἦσαν τῦ Πατριάρχου Ἀθανάλα, ἃς εἶχον οἱ ἀπόγονοι αὐτῦ, παρ᾽ ὧν ἔλαβε Διὰ δαπανῶν ἱκανῶν ὁ Νεκτάριος, οἰώσας αὐτὰς τότε τῷ Μοναστηρίῳ. μετὰ δὲ τὴν οἰκοδομὴν καὶ τὸ ἅγιον Πάσχα ἤλθομεν Διὰ τῆς Φοινίκης ἱππόται εἰς Ἰσκιὸν, κἀκεῖθεν εἰς Κωνσαντινύπολιν, ὅπου ἐκεῖ τῦ Σελτάνου καὶ τῦ Βεζύρη. γεγόνασι δὲ πολλαὶ πάλιν εἰς τὸν Βεζύρην τῦ Κελτῦ πρέσβεως καὶ τῦ Ρεσιδέντε τῆς Ἀλεμανίας καὶ τῦ Ρεσιδέντε τῆς Γενόβας ἀγωγαὶ, καὶ δαπολογίαι ἡμῶν Διάφοροι, δαπάναι τε καὶ ἀγῶνες, ἀλλ᾽ ἀμεταμέλητα φησὶν ὁ Θεῖος Ἀπόστολος τὰ χαρίσματα, ὅς καὶ τὴν νίκην ἡμῖν δέδωκε, καὶ τὴν δαπάνην Φθὰς ἐχορήγησεν. ἀπέθανε δὲ καὶ ὁ Βεζύρης τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ ἕκτῳ ἔτει, Ὀκτωβρίῳ εἰκοστῇ τετάρτῃ ἔν τινι σεισείῳ τῆς Τυρκλώης, ἀπερχόμενος εἰς Ἀδριανύπολιν, καὶ ἐγένετο Βεζύρης ὁ δυσυχήσας ἐν τῇ Βιέννῃ Μουσαφᾶ Πασσᾶς. ἀπέθανε καὶ ὁ Νεκτάριος τῷ αὐτῷ ἔτει, Ἰουλίῳ τῇ τεσσαρεσκαιδεκάτῃ, καὶ ἐτάφη ὑπὸ τὸ Καμπαναρεῖον τῦ Θεολόγου ἡμέρᾳ ἕκτῃ, ζήσας ἔτη ἑβδομήκοντα καὶ τέσσαρα. ὅτε δὲ ἐβγλήθημεν ἐλθεῖν εἰς Κωνσαντινύπολιν ἀπὸ Ἱερουσαλήμ, ἔταξαν οἱ Φεράριοι αὐθρώπους ἀποκτεῖναι ἡμᾶς καθ᾽ ὁδὸν, ὅθεν ἐξήλθομεν ἐξαίφνης, καὶ σωθέντες τινῶν πισῶν ἤλθομεν εἰς Φοινίκιον, ἔνθα ἀπὸ Βηρυτῦ εἰς Τρίπολιν ἀπερχόμενοι, πάλιν οἱ Φεράριοι παρήγγειλαν τῷ Μαρωνίτῃ Ἀμπουβέλ ἀποκτεῖναι ἡμᾶς, ἀλλ᾽ αἴφνης κινήσαντες ἀπὸ Βερυτίου τουρκισὶ ἡμφιεσμένοι, ἐφύγομεν τὸν κίνδυνον.

ΠΑΡΑΓΡΑΦΟΝ Η'.

Περὶ τῶν εἰς Διαφόρους τόπους ἀποδημιῶν ἡμῶν, καὶ τῶν καθ᾽ ἡμῶν καὶ κατὰ τῶν Ῥωμαίων ἀγωγῶν τῦ πρέσβεως τῶν Λέχων ὑπὲρ εἰρήνης μετὰ τῶν Ὀθωμανῶν, καὶ ὧν ὁ Βεζύρης αὐτῷ εἶπε ῥημάτων κατὰ τῶν Λέχων καὶ ὑπὲρ τῶν προσκυνημάτων τῆς Ἱερουσαλήμ, καὶ ἐλάβομεν ὁρισμὸν κατὰ τῆς Λιτανείας τῶν Φεράγγων ἐν Ἱερουσαλήμ, εἰς ἣν ἐπανελθόντες, ἀνεκαινίσαμεν τὸν Μοιρὸν τῦ Προφήτου Ἠλιοῦ.

Ἀπήλθομεν ἔν εἰς Ἀδριανύπολιν, εἶτα εἰς Βλαχίαν τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ ἑβδόμῳ ἔτει, Δεκεμβρίῳ εἰκοστῇ ἑνάτῃ, κἀκεῖθεν εἰς Γιάσιον τῷ αὐτῷ ἔτει, Μηνὶ Ἀπριλίῳ, καὶ αὖθις εἰς Βλαχίαν, εἶτα εἰς Κωνσαντινύπολιν, ὅτι τότε ἦλθε πρεσβευτὴς Λέχος, καὶ ἐγένετο ἡ ἀγάπη μέσον Ὀθωμανῶν καὶ Λέχων. ἐμαίνετο δὲ ὁ πρεσβευτὴς καθ᾽ ἡμῶν καὶ τῶν Ῥωμαίων, καὶ πολλαὶ ἀγωγαὶ αὐτῦ καὶ ὑπομέλειαι ἐκινήθησαν, ἀλλ᾽ ἀδὲν ὠφέλησαν, ὅτι ὁ Βεζύρης τὸ τελευταῖον τῇ Τετράδι τῆς Διακαινισίμου, ἥσης τῆς παρεμβολῆς ἔξω τῆς Κωνσαντινυπόλεως, ἐν τῷ Νταὰτ Πασσᾷ, εἶπεν αὐτῷ, Ἰδοὺ αἱ Σκηναὶ ἡμῶν ἀνοικταί εἰσι, καὶ ὁρῶσι κατὰ τὸν Λεχίαν, οἱ ἵπποι ἡμῶν σελλάριοι, ὅθεν εἶκοσι χρόνους ποσέτι συνηθροῦνται πόλεμος μετὰ τῶν Λέχων, Ἱερουσαλὴμ ὅμως ὑμεῖς ἀλαμβάνεται, τὰ προσκυνήματα λέγων Ἱερουσαλήμ. ἐλάβομεν δὲ ἡμεῖς καὶ τότε ὁρισμὸν, περὶ οὗ ἐδαπανήθησαν πουγγία τριάκοντα, δι᾽ οὗ ὁρισμῦ ἐκωλύσαμεν τῆς Λιτανείας τὰς Φεράγγας, ἢν μόνοι ἐποίουν καθ᾽ ἑκάστῳ ἑσπέραν, καὶ ἠρξάμεθα ποιεῖν αὐτὴν ἡμεῖς πρῶτον, καὶ ὕστερον οἱ Φεράροι. εἶτα ἀπὸ Κωνσαντινυπόλεως ἀπήλθομεν εἰς Νικομήδειαν τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ ὀγδόῳ ἔτει, Μηνὶ Μαΐῳ, καὶ εἰς Προῦσαν Μηνὶ Ἰουνίῳ, ἔπειτα τῷ αὐτῷ ἔτει, Μηνὶ Σεπτεμβρίῳ ἀπὸ Κωνσαντινυπόλως Διὰ τῆς Δαμασκῦ εἰς Ἱερουσαλήμ, ὅτε καὶ ἀνεκαινίσαμεν τὸ Μοιρσήλιον

ριον τοῦ ἁγίου Ἡλιοῦ ἔσωθεν καὶ ἔξωθεν, καὶ ᾠκοδομήσαμεν καὶ τὰ ἀντιστηρίγματα, τὰ κοινῶς λεγόμενα ποδαρικὰ, ἠλείψαμεν τὴν Ἐκκλησίαν. ἠνοίξαμεν τὴν μεγάλην θύραν, καὶ ἐποιήσαμεν τὸ ἱπποστάσιον Νάρθηκα. ἠνοίξαμεν θυρίδας, καὶ ἄλλα πολλὰ ἐκαλλωπίσαμεν.

ΠΑΡΑΓΡΑΦΟΝ Θ'.

Ὅτι ἐξ ὧν εἶπεν ὁ Φραγγοεπίσκοπος τοῦ Γαλατᾶ λόγων μετὰ τὸ μεσιτεῦσαι περὶ εἰρήνης, καὶ μετὰ τὸ ἀπελθεῖν ἡμᾶς εἰς Ἱερουσαλὴμ, καὶ εἰς Κωνσταντινούπολιν ἐπανελθεῖν μὴ τελειωθείσης, δείκνυται ἄκρως σκανδαλοποιὸν τὸ τάγμα τῶν Φράρων.

Ἐπειδὴ δὲ ἐν τῇ Κωνσταντινουπόλει ὁ ἐν τῷ Γαλατᾷ Φραγγοεπίσκοπος ἐδεήθη περὶ εἰρήνης, ὄντος μεσίτου τοῦ ἰατροῦ Τιμόνη, ἐστέρξαμεν, καὶ ἐγένετο συμφωνία ἐν πολλοῖς, καὶ ἔγραψεν ὁ Φραγγοεπίσκοπος εἰς τὴν Ῥώμην, καὶ ἔλαβεν ἀπόκρισιν, ὅτι ἀπῆλθεν εἰς Ἱερουσαλὴμ Βαρδιαῦος ἄλλος, ᾧ καὶ οἱ τῆς Ῥώμης παρήγγειλαν στέρξαι τοῖς συμπεφωνημένοις. ἀλλ' εἰς τὴν Ἱερουσαλὴμ ὁ Βαρδιαῦος ἐλθὼν, ἀφεὶς τὰς συμφωνίας, ἐζήτει ὑπέρογκα, ὅθεν καὶ οὐδὲν ἴσχυσε τελειῶσαι. ἀναχθεῖσι δὲ ἡμῖν διὰ τῆς Ἰόππης εἰς Ἰσσικὸν μετὰ νηϊδίου, κἀκεῖθεν διὰ ξηρᾶς εἰς Κωνσταντινούπολιν, ἔλεγεν ὁ Φραγγοεπίσκοπος αὐτὸς, ὅτι οἱ Φράροι τότε ποιοῦσι μεθ' ὑμῶν ἀγάπην, ὅτε δώσετε αὐτοῖς πάντα τὰ προσκυνήματα, καὶ Ἐκκλησίας, καὶ γενήσεσθε καὶ ὑμεῖς παπισταὶ, καὶ ὁμολογήσετε ὅτι οὐκ ἐστὲ Ῥωμαῖοι, ἀλλ' Ἰασανοὶ, ἀλλὰ καὶ τὸν ἅγιον τάφον, εἰ τόγε νῦν ἤδη αὐτοῖς δώσετε, αὐτοὶ εἰρήνη τί ἐστιν οὐγινώσκουσιν. ἦν δὲ εἰς τὴν Κωνσταντινούπολιν ἡ ταχεῖα ἄφιξις ἡμῶν δι' αἰτίαν τοιαύτην.

ΠΑΡΑΓΡΑΦΟΝ Ι'.

Ὅτι ὁ τῶν Ἁρμενίων Βαρταπέτης Ἐλεάζαρ ἑνωθεὶς μεθ' ὅρκου τοῖς Φράτορσι, καὶ ἀπελθὼν ὁ Ἰασανὸς Φράρος εἰς Κωνσταντινούπολιν, καὶ δοὺς ὁ Ἐλεάζαρ ἀναφορὰν τῷ Βεζύρῃ μεθ' ὑποσχέσεως πλήθους χρημάτων, περὶ τῆς Λιτανείας τῶν Ἁρμενίων καὶ τῶν Χαμπεσιακῶν οἰκημάτων, ἀπέτυχον ἀμφότεροι τῶν αἰτήσεων, καὶ περὶ τῆς εἰς Βλαχίαν καὶ Μολδαβίαν ἡμῶν ἀποδημίας, καὶ τῆς εἰς Κωνσταντινούπολιν ἐπανόδου, καὶ ὧν ἀπεστείλαμεν χρημάτων εἰς Ἱερουσαλὴμ, καὶ τῆς ἀρχῆς τῆς εἰς Ἰβηρίαν ἡμῶν ἀποδημίας.

Οἱ Ἁρμένιοι ἔτρεφον καθ' ἑαυτοὺς πάθος περὶ τῶν οἰκημάτων τῶν Χαμπεσίων, ὧν ἔλαβον οἱ Πατριάρχαι τῆς Ἱερουσαλὴμ, καὶ ἐποίουν καὶ αὐτοὶ πολέμους καθ' ἡμῶν, ἀλλ' ὁ Θεὸς ἔδωκε διχόνοιαν μεταξὺ αὐτῶν πολλὴν, καὶ ἦσαν μόνοις τοῖς οἰκείοις ἐνασχολούμενοι. ἐν δὲ ταύτῃ τῇ διχονοίᾳ ὁ Ἐλεάζαρ ὑπεκρίθη ἄκραν φιλίαν μετὰ τοῦ Νεκταρίου καὶ μεθ' ἡμῶν, ἀλλ' ἀπολαύσας ὀλίγης ἀνέσεως, ἐποίησε τὸ προῤῥηθὲν, ἵνα λειτουργήσῃ δηλαδὴ ἐν τῷ ἁγίῳ τάφῳ. ἐπειδὴ δὲ ἐφιλοτιμήθημεν, καὶ ἐπενοήσαμεν κατὰ τὰς παῤῥησίας τῶν ἑορτῶν τῶν γεγονεῖων τῷ ἔτει ἐκείνῳ ἔνδον ἐν τῷ ἁγίῳ τάφῳ τῆς τε Ὀρθοδοξίας καὶ τῆς Σταυροπροσκυνήσεως, καὶ μάλιστα τῶν Βαΐων ἐν τῇ Λιτανείᾳ τρόπον ἐξαίσιον, καὶ ἐποιήσαμεν μετὰ τὴν Λειτουργίαν τὴν Λιτανείαν μόνοι, αἱ γὰρ ἄλλαι φυλαὶ λιτανεύουσιν ὕστερον πᾶσαι ὁμοῦ. ὁ Ἁρμένιος φθονήσας, ἐνοῦται κατὰ τὴν μεγάλην ἑβδομάδα, καθ' ἣν ἡμεῖς ἦμεν ἐν τῷ Ἰορδάνῃ, τοῖς Φράτορσι, καὶ συνάγονται ὅλοι εἰς τὸν ἅγιον Ἰάκωβον, καὶ ποιοῦσιν ὅρκους, ἵνα ὦσιν ἕν, καὶ ἵνα ὁ μὲν Ἰασανὸς Φράρος, ὁ γενόμενος ἕνεκεν τοῦ κτῆσαι ὄνομα κενοδοξίας αἴτιος τῶν κακῶν πάντων, ἀπέλθῃ εἰς Κωνσταντινούπολιν, ὁ δὲ Ἁρμένιος προσκαλεσάμενος τὸν Μουτεβελὴν, ἤτοι Οἰκονόμον (τοῦ ἁγίου τάφου) ἔβαλεν αὐτὸν καὶ ἔγραψεν εἰς τὴν Βασιλείαν, ὅτι δίδωσιν ὁ Βαρταπέτης τῇ Βασιλείᾳ δέκα χιλιάδας γρόσια, ἵνα ἐλεήσῃ αὐτὸν ἡ βασιλεία δι' ὁρισμοῦ λιτανεύειν οὐ πρῶτον, ἀλλὰ κατόπιν, ὅμως ἵν' ὦσιν ὅλοι ὁμοῦ ἐν ἑνὶ καιρῷ μετὰ τοῦ Πατριάρχου καὶ τῶν Ῥωμαίων, τῶν γὰρ Ῥωμαίων μόνων πρότερον λιτανευόντων, μετὰ τὸ τελειῶσαι αὐτοὺς τὴν λιτανείαν, διασκεδάζεται ὁ κόσμος, καὶ μένουσιν αὐτοὶ ὕστερον μόνοι μετὰ μόνων τῶν ἄλλων φυλῶν τῶν Αἱρετικῶν. καὶ ἵνα δώσῃ προσέτι ἡ βασιλεία τοῖς Ἁρμενίοις τὰ τῶν Χαμπεσίων οἰκήματα, ἀνθ' ὧν καὶ προσκυνοῦσιν αὐτὴν μετὰ πεντήκοντα χιλιάδων γροσίων. ἔλαβεν οὖν ὁ Προκουρατόρος Φράρος Ὀθωμανὸν μετὰ τῶν γραμμάτων, καὶ ἀπῆλθεν εἰς τὸ Χαλέπη, κἀκεῖθεν εἰς Κωνσταντινούπολιν ὥδευσεν, ὃν ἡμεῖς εἰς τὸ Πασγιάσιον φθάσαντες, ἀπήλθομεν ὁμοῦ εἰς Κωνσταντινούπολιν. ὁ δὲ Φράρος εὐθὺς ἐπορεύθη εἰς τὸν Βεζύρην. ὑπέσχετο. ἐποίησε δὲ τὸ οὐδέν. ἀλλὰ καὶ τὸ περὶ τῶν Ἁρμενίων ἀναγνοὺς ὁ Βεζύρης, καὶ διδαχθεὶς, ὅτι τὰ τῶν Χαμπεσίων οἰκήματα δέδωκε τῷ Πατριάρχῃ τῶν Ἱεροσολύμων ἡ βασιλεία μετὰ Χατίου, ἤτοι ἱεροῦ τύπου, καὶ ὅτι ἐδούλευσε τότε ὁ Ἱεροσολύμων Παΐσιος τῇ βασιλείᾳ μετὰ δώδεκα φορτίων ἀργυρίων, καὶ ἡμεῖς μετὰ φορτίων δεκαπέντε ἀργυρίων, ἀπεβάλετο ἐκεῖνα τὰ τῶν Ἁρμενίων, καὶ ἔμειναν οἱ Αἱρετικοὶ κατηχυμένοι. ἤλθομεν δὲ εἰς Κωνσταντινούπολιν τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ ἐνάτῳ ἔτει, Ἰουνίου τετάρτῃ, καὶ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ἔτει, Μηνὶ Δεκεμβρίῳ

1228

βελῳ ἀπεδημήσαμεν εἰς Βλαχίαν, ἡγεμονεύοντος Σερμπάνε Βοεβόδα τε Καντακυζηνε, καὶ Μαΐε πεντεκαιδεκάτῃ μετέβημεν εἰς Γιάσιον, καὶ Μαΐῳ Νοεμβρίῳ Δε τῆς Βλαχίας ἐπανήλθομεν εἰς Καισαντινόπολιν, ὅτε καὶ καιρὸς θερίζεσθαι, ἀπεσείλαμεν εἰς Ἱερουσαλὴμ μετὰ τεσσάρων ἀδελφῶν Δε ξηρὰς χρύσια χιλιάδας δύο πλὴς τοῖς τριάκοντα, καὶ ἐγένετο ἐλαφρότης τε χρέους, αὐτοὶ δὲ Μηνὶ Φεβρουαρίῳ ὠδύσαμεν τὴν φέρουσαν εἰς τὴν Ἰβηρίαν.

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τε χρέους τῶν ἐν Ἱερουσαλὴμ Ἰβηρικῶν Μοναστηρίων ἐξ αἰτίας τῶν ἐν αὐτοῖς χρηματισάντων Ἡγεμόνων, καὶ περὶ τῶν ἐξ Ἰβηρίας ἀποσταλέντων χρημάτων εἰς ἀπαλλαγὴν τε χρέους αὐτῶν, καὶ ἀπολεσθέντων καθ' ὁδὸν, καὶ ἑτέρων πολλῶν συμβεβηκότων ζημιῶν, καὶ ὧν δεδώκαμεν ἡμεῖς χρημάτων εἰς ἀπαλλαγὴν τε χρέους τούτων τῶν Μοναστηρίων, καὶ περὶ τῆς εἰς Ἰβηρίαν ἡμῶν ἀποδημίας.

Τῶν Ἰβήρων τὴν ἐν Ἱερουσαλὴμ ἀρχαιολογίαν ἐποιμῶ αἰωτέρω ἐν ὀλίγοις, καὶ δὲ λέγομεν ὅτι ὑπὸ Παϊσίε ἐγένετο Ἡγεμόνος ἐν τοῖς ἐν Ἱερουσολύμοις μοναστηρίοις τῶν Ἰβήρων Νικόλαός τις, ὁρμώμενος ἀπὸ τῆς ἐν Μηδίᾳ Ἀλβανίας, ὃς καὶ εἰς τὴν Δύσιν περιεπάτησε, καὶ ἐξάρξει εἰδέναι τι, ἀπῆλθεν ὅμως εἰς Ἰβηρίαν καὶ ἐτιμήθη, ἐν δὲ τῷ Μοναστηρίῳ τε Σταυρε, ὅπερ ἔχουσιν ἐν Ἱερουσαλὴμ οἱ Ἴβηρες, ἀφῆκεν ἡγούμενον Γαβριὴλ ἕνα, ὃς Δε εἶδε φανλότητα ἔβαλεν εἰς τὸ Μοναστήριον χρέος πολὺ, ὅπερ ὀκειθεν ἔπεμψεν ὁ Νικόλαος μετάνοιαν Μαΐκε. ὁ δὲ Γαβριὴλ καταβὰς εἰς Ἰόππην δι' ὑποσκεψιν τε Μαΐκε τῷ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ ἔτει, κατασκευάζει καὶ ὠθεῖ τις Νεσορεανὸς ἀπὸ τε πλοίε εἰς τὴν θάλασσαν τὸν Μάρκον καὶ πνίγεται, καὶ λαμβάνει αὐτὸς τὰ φλωρία, ἐξ ὧν μέρος δέδωκε τοῖς δανεισταῖς, καὶ ἤλλαξε τὰς ὁμολογίας αὐτε τε λαμβεῖν τὰς παλαιὰς, ἅπερ οὐκ ἐν τῷ Ἰέμπλι ἔπεμψαν οἱ δανεισταὶ τὰς παλαιὰς ὁμολογίας, τε δὲ τὴν ὁδὸν τάξαντες τινὰς ὡς δῆθεν κλέπτας, ἐκδύσει δι' αὐτῶν τὸν ταύτας κομίζοντα ἄνθρωπον, καὶ λαμβάνουσι καὶ τὰς ὁμολογίας. καὶ ὁμὴ Γαβριὴλ ἐνόμιζεν ἀφανισθῆναι τὰς ὁμολογίας, οἱ δὲ Ὀθωμανοὶ δανεισταὶ εἶχον αὐτάς. ἀπέθανε δὲ καὶ ὁ Νικόλαος, καὶ λαβόντες οἱ Ἴβηρες ὅσα εἶχε συνηγμένα, καὶ πεθανόντες τούτοις καὶ ἄλλα χρεὸν ἑκατὸν χιλιάδας γρόσια, πέμπουσι τὸν Τιφλιζίε Ἐπίσκοπον Ἰεσσαὶ τῷ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ ἔτει, καὶ ἵνας Ἄρχοντας μετὰ τῶν χρημάτων εἰς Ἱερουσαλὴμ τε ἀποδῶναι τοῖς δανεισταῖς τὸ χρέος τε Μοναστηρίε, κατὰ δὲ τὴν Ἀναπολὴν καταμαθόντες ἵνες τῶν Ὀθωμανῶν τὸν πλοῦτον ὃν εἶχον οἱ Ἴβηρες, ἐπαρπάσουσιν αὐτοῖς τοῖς Ἴβηρσι περὶ πε τὴν Μελιτηνὴν, καὶ ἐκδύσουσιν αὐτὲς (ἦν δὲ ὁ καιρὸς καθ' ὃν ὁ Παΐσιος ἐπανῆλθεν ἀπὸ Ἰβηρείας) οἱ δὲ Ἴβηρες ἀπῆλθον εἰς Ἀδριανόπολιν πρὸς τὸν Βεζύρην, ἀλλ' οὐδὲν ὠφελήθησαν. ὑποστρέψεν δὲ ὁ Ἐπίσκοπος εἰς Ἰβηρείαν, καὶ τὸ Μοναστήριον ἔμεινεν ὑπόχρεων. ἐν δὲ τῷ καιρῷ τε Νεκταρίε, τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ πρώτῳ ἔτει, ἦλθον εἰς Ἱερουσαλὴμ Ἴβηρ τὶς ἐξ Ἰσθαίων, τὄνομα Ἰλαρίων, Καλιγηχέλος (ἦν γὰρ Ἡγούμενος τε ἐν Κολχίδι Μοναστηρίε Καλιγηλα) καὶ σκανδαλισθεὶς ἀπ' αὐτε μικροψυχίας μετὰ τε Πατριάρχε, φεύγει εἰς Ἰβηρίαν, λαβὼν μεθ' ἑαυτε καὶ παῖδ' ὅσα εἶχον. εἶτα ἔρχεται εἰς Ἱερομόναχος, ὀνόματι Ἰωσὴφ, Μαθήτα Σιβύλης, ἀπὸ τε Καρτελίε ἀπεσταλμένος, τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ τρίτῳ ἔτει, Δε δὲ γε εἶναι αὐτὸν ἄπειρον, ἔλαβον οἱ δανεισταὶ Ὀθωμανοὶ παρ' αὐτε τὰ ἀργύρια, δείξαντες αὐτῷ πάσας τὰς ὁμολογίας, αἷς καὶ αὐτὸς ὁμολογήσαμεν, προσέθηκαν τῷ κεφαλαίῳ γε τοσάτων χρόνων τόκον, καὶ ἔλαβον παρ' αὐτε ὁμολογίας πάλιν μετὰ τόκε, ὃς μετὰ τὸ δῶναι τὰς τοιαύτας ὁμολογίας τοῖς δανεισταῖς, ὑποστρέψεν εἰς Ἰβηρίαν. μετὰ δὲ ταῦτα τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ἕκτῳ ἔτει ἔρχεται ἀποσταλεὶς Μελέτιός τις Χαλεπλὴς μετὰ δέκα χιλιάδων γροσίων, ὧν δὲ καιρὸν ἦν μὴ ἐρωτᾶν γε Πατριάρχην ὡς καὶ οἱ πρὸ αὐτε, ἔδωκε τοῖς δανεισταῖς τὰ ἀργύρια, ἤλλαξε καὶ τὰς ὁμολογίας, θεὶς ἐν αὐταῖς τὸν τόκον κεφάλαιον, καὶ γέγονε τὸ χρέος τε Σταυρε γροσία χιλιάδες ἐνενήκοντα καὶ τέσσαρες. φεύγει ἓν καὶ αὐτός. εἶτα ὁ προρρηθεὶς Ἰωσὴφ σωναγαγὼν τεσσαράκοντα χιλιάδας γροσία, καὶ πεντήκοντα χρυσᾶς ἁλύσεις, καὶ ἄλλα πολλὰ σκεύη, ἔχων μεθ' ἑαυτε καὶ μίαν πολύτιμον Εἰκόνα, καὶ ἐλθὼν Δε θαλάσσης χάριν δῆθεν ἀσφαλείας, εἰσῆλθε κατὰ τὴν Τραπεζοῦντα εἰς πλοῖόν τι λαζικὸν, κατὰ δὲ τὸ Κύταρον ἐρχόμενοι, ἔσχον μὴ τὸν αὔεμον κατὰ πρύμναν, ἦν γὰρ Ἀπηλιώτης, ἀλλὰ σφοδρὸν, καὶ θέλοντες εἰσελθεῖν εἰς τινὰ λιμένα μικρὸν, καὶ λαβόντες τὰ ἄρμενα ἐπ' αὐτῶν, ἀπεπνίγησαν μετὰ τε πλοίε σύμψυχοι. τέλος πάντων ὁ Καθολικὸς τε Καρτελίε Δομέτιος, ἀδελφὸς ὢν τε Μέπες Τιφλιζίε, ὑπεμελεῖτο καὶ συνάγει ἀφ' ὅλης τῆς Ἰβηρείας χρυσᾶ χιλιάδας ὀκτὼ, καὶ μελετᾷ ἀπελθεῖν μόνος αὐτὸς εἰς Ἱερουσαλὴμ. συνέβη δὲ τότε τὸν υἱὸν τε Μέπες Ἀρτζίλιον ζητῆσαι τὴν Ἡγεμονίαν τε Ἰμερετίε, ὁδὲ Περσάρχης τὸ πρᾶγμα ὑπερβολὴν νομίσας κατ' αὐτε, καθότι τὸ Ἰμερέτιον ἀκόμη τῆς Κωνσταντινουπόλεως, τὸ δὲ

ζήτησις Ματθαίου Ἀγιοπολίτου — Λιβίου —

δὲ Καρτελι τῆς Περσίας, ἐμήνυσε τῷ Μέπες ἀπελθεῖν εἰς τὸ Ἰσπαχάνι, οὗ ἐν τῷ ἀπέρχεσθαι τεθνηκότος, ὁ Καθολικὸς ἔν τινι χωρίῳ Διατρίβων, ἀκούσας, καὶ λυπηθεὶς, ἐτελεύτησεν, καὶ ὅσαπερ εἶχεν, ἡρπάγησαν καὶ ἠφανίσθησαν. τὰ δὲ Μοναστήρια τῶν Ἰβήρων ἄλλα μὲν εἶχον ἐνέχυρα οἱ Σαρακηνοὶ, τὸ δὲ τοῦ Σταυροῦ ἐσφράγιζον, καὶ ἠνώχλουν. εἶτα αἱ δύο πτέρυγες τοῦ Σατανᾶ Φράγγοι καὶ Ἀρμένιοι βουλεύονται δοῦναι τοῖς δανεισταῖς τὸ χρέος, καὶ λαβεῖν οἱ μὲν Φράγγοι τὸν ἅγιον Νικόλαον, οἱ δὲ Ἀρμένιοι τἄλλα. ἀπὸ δὲ τῆς Ἰβηρίας οὐδὲ μία ἦν τοκαθόλου ἐλπίς. Διατοῦτο ἡμεῖς Θεοῦ εὐδοκοῦντος ἠβουλήθημεν ἐλευθερῶσαι τοῦ χρέους τὰ Μοναστήρια τῶν Ἰβήρων, ὅθεν ἐγράψαμεν εἰς Ἰβηρίαν πολλάκις, καὶ δὴ εὑρισκομένων ἡμῶν ἐν Ἱερουσαλὴμ ἐν τῇ ἀνακαινίσει τοῦ Μοναστηρίου τοῦ ἁγίου Ἡλιοῦ, ἦλθον ἀπὸ Ἰβηρίας πρὸς ἡμᾶς γράμματα, ἅπερ ἐδήλουν, ἵνα πέμψωμεν ἡμεῖς πρὸς τὰ ἐκεῖσε ἀνθρώπους, κἀκεῖθεν ἀποστείλωσι πρὸς ἡμᾶς τεσσαράκοντα χιλιάδας γρόσια τοῦ ἀπαλλάξαι τοῦ χρέους τὰ ἐν Ἱερουσαλὴμ Μοναστήρια τῶν Ἰβήρων. καὶ ἀπεστείλαμεν ἀπὸ Ἱερουσαλὴμ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ ὀγδόῳ ἔτει τινὰς τοῦ λαβεῖν τὰ χρήματα, ἡμεῖς δὲ ἀπεδημήσαμεν εἰς Βυζάντιον, κἄπειτα εἰς Βλαχομπογδανίαν. εὐδοκεῖ οὖν ὁ Θεὸς καὶ ἐβοήθησαν οἱ ἐν τῷ Καρτελι Χριστιανοὶ πολλὰ, ἀλλ' οὐκ οἴδαμεν διὰ ποίαν ἁμαρτίαν παρεχώρησεν ὁ Θεὸς, καὶ οὐ δεδώκασι τὰ χρήματα τοῖς παρ' ἡμῶν ἐκεῖσε πεμφθεῖσιν ἀνθρώποις. ὅθεν ἐπανελθόντες ἀπὸ Βλαχίας εἰς Βυζάντιον, καὶ γνόντες τὰ γινόμενα, ἐπέμψαμεν εἰς Ἱερουσαλὴμ τριάκοντα καὶ δύο χιλιάδας γρόσια τοῦ δοθῆναι τὸ χρέος τῶν ἰβηρικῶν Μοναστηρίων τοῖς δανεισταῖς, ὡς εἴρηται, καὶ ἡμεῖς ἀπεδημήσαμεν εἰς Ἰβηρίαν.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ μνήμης τινῶν τόπων. χωρῶν. πόλεων. Ἐκκλησιῶν καὶ Μοναστηρίων, ἣν ἀπερχόμενοι εἰς Ἰβηρίαν ποιούμεθα ἀπὸ τοῦ Ἀνατολικοῦ Φαναρίου ἕως Τιφλιζίου.

Τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ ἔτει Φεβρουαρίου ἑνδεκάτῃ ἐξήλθομεν τοῦ Βυζαντίου μετὰ νηϊδίου λαζικοῦ. καὶ σημείωσαι, ὅτι τὸ Φανάριον τὸ Ἀνατολικὸν μὴ ὂν πρότερον, ἔκτισεν ὁ Κιοπρουλόγλης Βεζύρης τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ πέμπτῳ ἔτει. Ὅτι ἐν τῇ Χηλῇ ἐστὶ τὸ λείψανον Εὐθυμίου Σαρδεων τοῦ ὁμολογητοῦ ὅλον σῷον. Ὅτι ἐν τῇ Κώμῃ Σταυριᾷ, ἀπεχούσῃ τοῦ Ἱεροῦ μίλια ἑβδομηκονταδύο, ἐστὶ παρακείμενον νησίδιον, ἐφ' ᾧ ἦν Μοναστήριον τῆς Θεοτόκου, διὰ δὲ τὸ φιλοξενηθῆναι ἐκεῖ Ῥώσους λῃστὰς, μετὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἔτος ὁ Πιαλὴ Πασσᾶς ἀπελθὼν μετὰ ὀθωμανικοῦ Στόλου, κατέστρεψε τὸ Μοναστήριον, καὶ τοὺς πατέρας διεσκόρπισε. τὰ αὐτὰ καὶ διὰ τὴν αὐτὴν αἰτίαν τότε ἔπαθε τὸ Μοναστήριον τοῦ ἁγίου Γεωργίου, ὃ ἦν ἐν τῇ Θυνίᾳ Νήσῳ, ἀλλὰ καὶ τὸ τοῦ Προδρόμου, ὅπερ ἦν ἐν τῇ Σωζοπόλει, ἀπελθόντων γὰρ τῶν Ὀθωμανῶν συλλαβεῖν τοὺς ἐκεῖσε καταφυγόντας Ῥώσους, οἱ Ῥῶσοι ἐστάθησαν ἔνδον ἐν τῷ Μοναστηρίῳ καὶ ἐπολέμησαν αὐτοῖς, ὅθεν οἱ Ὀθωμανοὶ ἔπεμψαν ὕστερον καὶ κατηδάφισαν αὐτό. Ὅτι τὴν ἐν τῇ Πονταρακλείᾳ Ἐκκλησίαν τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ἔτει ἐνέπρησεν ὁ Ἱερεὺς λανθανόντως, ὅθεν καὶ διεσκορπίσθησαν ἐκεῖθεν οἱ Χριστιανοί. Ὅτι ἐν τῇ Ἀμάστριδι εἰσὶ πολλαὶ Ἐκκλησίαι καὶ Καμπαναρεῖα, ἀλλ' οὐδείς ἐστι Χριστιανός. Ὅτι Τίειον, Κρέμνα, καὶ Κύτωρον ἔρημα. Ὅτι ἐν τῇ Οἰωνοπόλει (οὐκ Ἰωνοπόλει) ἣν καὶ Ἀβώνου τεῖχος λέγει ὁ Λουκιανὸς, εἰσὶ πέντε χωρία ὀρθόδοξοι, ἕως εἰς ὀγδοήκοντα οἰκίας ποσούμενοι, καὶ ἐκεῖ εὗρον Πεντηκοστάριον, ἔχον ἐν ταῖς τῆς ἑβδομάδος ἡμέραις Τριῴδια ἀναστάσιμα, ἐν δὲ τῷ Τριῳδίῳ τῆς Πεντηκοστῆς θεολογεῖται λαμπρῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς μόνου. Ὅτι ἡ Στεφάνη ὑπὸ Ῥώσων ἠρημώθη. Ἀπήλθομεν δὲ Μαρτίου ἑνδεκάτῃ εἰς Σινώπην, καὶ τῇ εἰκοστῇ δευτέρᾳ ἐξήλθομεν. Ὅτι ὁ Ἅλυς θολὸς ῥέει. ἐμνήσθημεν δὲ Κροίσου τοῦ τυράννου, τῶν ἐν τοῖς Ἅλυος ἐθνῶν, καὶ τῆς ἀπάτης ἣν ἔπαθεν ὑπὸ τῆς σκολιότητος τοῦ χρησμοῦ, Ἅλυν (ποταμὸν) διαβὰς, μεγάλην ἀρχὴν καταλύσεις, ἐνόμισε γὰρ τὸν Ἀπόλλωνα εἰπεῖν αὐτῷ καταλῦσαι τὴν Κύρου ἀρχὴν, ἀλλὰ κατελύθη ἡ ἑαυτοῦ. Ὅτι ἡ Ἀμινσὸς Μιλησίων κτίσμα πρῶτον, καὶ ὕστερον Ἀθηναίων, οὐκ ἔχει δὲ Χριστιανὸν οὔτε ἕνα, ἀλλὰ χωρίον ἐστὶ πλησίον αὐτῆς ἓν καὶ μόνον χριστιανικόν. Ὅτι ὁ ποταμὸς Ἶρις, τζαρσσαμπᾶς, Χριστιανὸν οὐκ ἔχει, οὔτε ἡ Νεοκαισαρεία, ἀλλ' ἐν μόνῃ τῇ Ἀμασείᾳ εἰσὶν ὀλιγοστοί. Ὅτι μεταξὺ τοῦ Ἴρεως καὶ τοῦ Θερμώδοντος τῶν ποταμῶν ἐστὶν ἡ πολυθρύλλητος Γαδηλωνίτης, ἐν ᾗ μυθεύονται αἱ πάλαι Ἀμαζόνες. Ὅτι τὸ Ἴνεος ἐστὶ τὸ Πολεμώνιον, κἂν ἀγνοούμενον ὑπὸ τῶν νυνὶ, γράφηται καὶ λέγηται διαφόρως, καὶ μάχεται ὁ Νεοκαισαρείας μετὰ τοῦ Ἀμασείας περὶ αὐτοῦ, ὅτι δὲ τοῦ Νεοκαισαρείας ἐστὶν, ἀναντίῤῥητόν ἐστιν. Ὅτι ἄκρα τὶς ἀντικρὺ τοῦ Ἰνέου λεγομένη Ἰασώνη μαρτυρεῖ τὴν ἱστορίαν τῆς Ἀργοῦς, καὶ τὸ πλεύσιμον τοῦ Ἰάσονος ἀληθινά. Ὅτι ἐν τῇ Κερασοῦντι εὑρίσκονται μερικοὶ Χριστιανοὶ, ὁμοίως καὶ ἐν τῇ Τριπόλει. Ὅτι ἐν τῷ τῆς Τριπόλεως κάστρῳ οὐκ ἔστι Χριστιανός τις, ἀλλὰ μόνος Ναὸς τῆς Θεοτόκου ἀξιόλογος, ὃν βουληθέντες σαρακηνίσαι οἱ Ὀθωμανοὶ, ἐκωλύθησαν δείμασι πασιδήλοις, ὅθεν ἐν ἑκάστῃ Κυριακῇ οἱ Χριστιανοὶ εἰσερχόμενοι λειτουργοῦσιν ἐκεῖ λαμπρῶς ἕως καὶ τῆς σήμερον. Εἰσήλθομεν δὲ εἰς Τραπεζοῦντα Ἀπριλλίου ἕκτῃ. ἔκτισε δὲ τὴν Τραπεζοῦντα ὡς νῦν ὁρᾶται ὁ μέγας Ἰουστινιανὸς, καὶ τὴν Ἐκκλησίαν τοῦ ἁγίου Βασιλείου, ὡς μαρτυροῦσιν αἱ ἄνωθεν τῶν θυρῶν αὐτῶν σημειώσεις. Ὅτι Μητρόπολις τῆς Τραπεζοῦντος

πεζοῦντος μετὰ τὴν ὑπὸ τῶν Ὀθωμανῶν ἅλωσιν ἦν ἡ Ἐκκλησία τοῦ ἁγίου Φιλίππου, ἔξωθεν τῆς πόλεως κειμένη, τῷ δὲ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ τετάρτῳ ἔτει ἐσαρακήνισαν αὐτὴν οἱ Ὀθωμανοί. Ὅτι ἀπὸ Σουρμένων ἕως Γηρείας καὶ τοῦ ποταμοῦ Τζορόχι πρὸ ἑβδομήκοντα ἐτῶν ἤρξαντο οἱ Λαζοὶ σαρακηνίζειν, καὶ οὐκ ἔμεινεν ἤδη οὐδὲ μία Ἐκκλησία, ἢ Ἱερεὺς ἐν ὅλῃ ἐκείνῃ τῇ Ἐπαρχίᾳ, ἀλλὰ μόναι γυναῖκες τινές. Ἐξήλθομεν δὲ Μαΐου πέμπτῃ τῆς Τραπεζοῦντος, καὶ διὰ Σουμελᾶ καὶ Κάνιν ἀπήλθομεν εἰς Θεοδοσιούπολιν Μαΐου εἰκοστῇ πρώτῃ. Ὅτι εἰς τὸ τοῦ Σουμελᾶ Μοναστήριον ἐστὶν Εἰκὼν τῆς Θεοτόκου ὡσεὶ πηχυαία, καὶ λέγεται εἶναι αὐτὴν ἱστορίαν τοῦ Εὐαγγελιστοῦ Λουκᾶ, καθὼς καὶ οἱ Ἰμερέλοι θέλουσι τὴν οὖσαν ἐν τῷ Κελάτῃ εἶναι τοῦ Λουκᾶ. Ὅτι ἐν τῷ μεταξὺ τῶν δύο βουνῶν, ὅπου ἐστὶν ὁ ποταμὸς ὁ ἀπὸ τοῦ Σουμελᾶ καταβαίνων, τῇ τῆς Θεοτόκου βοηθείᾳ, ὅσα χωρία εὑρίσκονται, εἰσὶ χριστιανικὰ, ὁμοίως καὶ τὰ ἀπὸ τοῦ ὄρους Σουμελᾶ χωρία ἕως Κάνιν χριστιανικά εἰσιν. Ὅτι ἔξω τῆς Θεοδοσιουπόλεως ἔν τινι ὄρει ἦν Παρακλήσιον διεφθαρμένον, ἐπεὶ δὲ ἡμεῖς ἐφιλοξενήθημεν κατὰ τὴν ἄκραν τῆς χώρας ἐν Ἀσῆτι καινῷ καὶ μεγάλῳ, ἐβάλομεν ἡμέτερον Ἱερομόναχον καὶ ἐλειτούργησεν ἐν αὐτῷ, ὀνομάσαντες αὐτὸ Ἐκκλησίαν, εἶτα καὶ μετὰ ὁρισμῶν βασιλικῶν ἐβεβαιώσαμεν τὸ ἔργον ἕως καὶ τῆς σήμερον, εἰσὶ δὲ ὀρθόδοξοι ἱκανοὶ ἔν τε τῇ πόλει καὶ ἐν πολλοῖς χωρίοις. Ὅτι ἐν αὐτῇ τῇ πόλει ἐπαπίστισαν οἱ παπισταὶ τινὰς Ἀρμενίους, οἷς καὶ συγχωροῦσι λειτουργεῖν καὶ Ἀρμενιστὶ καὶ λατινιστὶ, τὸ δὲ δι' οὗ ἐπιστρέφουσιν αὐτοὺς, ἐστὶν ὅτι συγχωροῦσιν αὐτοῖς τὴν κατάλυσιν τῶν νηστειῶν καὶ ἄλλα παράλογα. Ἐξήλθομεν δὲ τῆς Θεοδοσιουπόλεως Ἰουνίου πρώτῃ, καὶ ἀπήλθομεν εἰς Καρίσαν πόλιν Περσαρμενίας, ἀνατολικωτάτην οὖσαν τῆς ἀρχῆς τῶν Ὀθωμανῶν, ἐν ᾗ ἐζημιώθημεν ὑπὸ τοῦ Πασσᾶ συνεργείᾳ τινὸς Ἀρμενίου γρόσια διακόσια καὶ πεντήκοντα. Ὅτι ἐπὶ Λέοντος τοῦ σοφοῦ ἦσαν δύο τῶν Ἀρμενίων Ἡγεμόνες, ὧν ὁ εἷς ἦν ἐν τῷ Βασσαρκαὶ (ἔστι δὲ τὸ Βασσαρκὰν Ἐπαρχία, ὅπου τὸ κάστρον Βάνι) ὀνόματι Κρικορίκιος, ἐλέγετο δὲ Ἄρχων τῶν Ταρῶν. ὁ δὲ ἕτερος ἦν ἐν τῇ παρούσῃ Καρίσῃ, ὃς καὶ ἐλέγετο Ἄρχων τῶν Ἀρχόντων, ὁ δὲ τότε Ἄρχων ὠνομάζετο Συμβάτιος, ἦσαν δὲ ἀμφότεροι ὑποκεκλιμένοι τῷ Λέοντι, καίτοιγε διπρόσωποι, ἐπειδὴ λάθρα προσεῖχον τῷ φυλάρχῳ τῶν Ἀράβων Ὧμερ Μουμνῆ. ἦλθε δὲ ὁ Κρικορίκιος εἰς Κωνσταντινούπολιν, ἔχων μεθ' ἑαυτοῦ καὶ δύο ἀνεψιοὺς τοῦ Συμβατίου αἰχμαλώτους, οὓς προτροπῇ τοῦ Λέοντος ἠλευθέρωσεν. ἀφηνιάσας ὅμως ὁ Ἄρχων τῶν Ἀρχόντων, κατεπολεμήθη ὑπὸ τοῦ Μαγίστρου Ἀπακισίου, ὅθεν δέδωκε πάκτα τῷ Βασιλεῖ Ῥωμαίων τὰ κάστρα Περκρίσι, Χαλιὰτ, Τιβὴ, Χὲρτ, καὶ Σαλεμᾶς. ἦν δὲ ἐπὶ Λέοντος Ἰβηρίας Αὐθέντης, ἔχων καὶ ἀξίωμα Κουροπαλάτου, ὁ Ἀδρανασσήρ. Ἐφθάσαμεν δὲ εἰς Τιφλίζιον Ἰουνίου ἑπτακαιδεκάτῃ, ἐν ᾗ ἐγένετο ὑπαντὴ, καθότι ἐξῆλθον πεζοὶ οἵτε Αὐθεντόπαιδες καὶ Ἄρχοντες καὶ ὁ Καθολικὸς καὶ οἱ Ἀρχιερεῖς καὶ ὁ λαὸς τῶν ὀρθοδόξων καὶ Ἀρμενίων μετὰ Σταυρῶν καὶ Εἰκόνων ἁγίων ἔξω τῆς πόλεως. Ὅτι ἐκινδυνεύσαμεν τρὶς ἐν τῇ μαύρῃ θαλάσσῃ. Ὅτι ἀπὸ Θεοδοσιουπόλεως ἕως τῶν ὁρίων τῆς Ἰβηρίας ἀπήλθομεν μετὰ βασιλικοῦ ὁρισμοῦ, ὃν εἴχομεν, καὶ μετὰ βασιλικῶν ἀνθρώπων. διωρθώσαμεν δὲ ἐν Τιφλιζίῳ τὰ περὶ τοῦ χρέους τῶν ἐν Ἱεροσολύμοις Μοναστηρίων αὐτῶν, ὡς κεῖται ἐν τοῖς καταστίχοις τοῦ ἁγίου τάφου.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ μνήμης τοῦ Τιφλιτζίου καὶ τῆς αὐτοῦ ἐπαρχίας, καὶ Κύρου καὶ Ἀράγου τῶν ποταμῶν, καὶ ποῦ ἐνοῦνται, καὶ τίσι μεθόριον ὁ Ἄραγος, καὶ ποῦ εἰσιν οἱ δύο ἥλοι τοῦ Σταυροῦ, καὶ τίνα τὰ τῶν Ἰβήρων ἤθη, καὶ τίσιν ὑπόκεινται τῷ Περσάρχῃ, καὶ περὶ τοῦ πολέμου τοῦ τῆς Ἀλβανίας αὐθέντου Τεημοράζη μετὰ τοῦ Περσάρχου αἰτίᾳ κόρης τινὸς, καὶ πῇ ἀπῆλθε, καὶ ποῦ ἐτελεύτησεν ὁ αὐτὸς, καὶ τῆς περὶ τούτου ψευδολογίας τῶν παπιστῶν, καὶ τοῦ θεσπίσματος τοῦ Περσάρχου τοῦ εἶναι ἐν Τιφλιζίῳ αὐθέντην Ὀθωμανὸν, καὶ τὶ τὸ αἴτιον τῆς ἐν Ἰβηρίᾳ οἰκήσεως τῶν Γιεζουβιτῶν, καὶ τὶς ἀφ' Ἱσπανίας τοὺς Ἴβηρας μετῴκισε.

Ὅτι τὸ Τιφλίζιον (ῥητέον αὐτὸ οὐδετέρως) καὶ ἡ αὐτοῦ Ἐπαρχία ἐστὶν ἡ κυρίως Ἰβηρία. Ὅτι ὁ Ἄραγος καὶ Κύρος οἱ ποταμοὶ ἐνοῦνται ἄνωθεν τοῦ Τιφλιζίου ὡσεὶ ὥρας ἕξ, ὅπου καὶ ἡ καθολικὴ Ἐκκλησία τῶν Ἰβήρων. Ὅτι καὶ Σχέτα λέγεται, ἔστι δὲ ἡ Σχέτα ἐν τῇ Γωνίᾳ, τῇ γενομένῃ ἐκ τῆς ἑνώσεως τῶν δύο ποταμῶν, ὧν ἑκατέρωθεν εἰσὶ δύο ἔρημα Φρούρια, περὶ ὧν πολλὰ μυθεύονται οἱ Ἴβηρες, ἡμεῖς δὲ μᾶλλον πιστεύομεν τῷ Στράβωνι λέγοντι, τὸ μὲν ἐπὶ τῷ Κύρῳ Φρούριον, Ἁρμοζικὴν, τὸ δὲ ἐπὶ τῷ Ἀράγῳ, Σεύμαρα. διέχουσι δ' ἀλλήλων ὡσεὶ στάδια ἑκκαίδεκα, ἀφ' ὧν Πομπήϊος ἀπὸ Ἀρμενίας ὁρμώμενος, εἰσῆλθεν εἰς Ἰβηρίαν, καὶ ὕστερον ὁ Κανόδιος. Ὅτι μεθόριον Ἀλβανίας καὶ Ἰβηρίας ἐστὶν ὁ Ἄραγος, καὶ μετὰ τὴν μετὰ Κύρου ἕνωσιν αὐτοῦ ἐστὶν ὁ Κύρος. Ὅτι ἐν τῇ ἐν τῷ Τιφλιζίῳ Ἐκκλησίᾳ τοῦ καθολικοῦ ἐστὶν ἔνδον ἐν διαχρύσῳ καὶ λιθοκολλήτῳ καὶ διαμαργάρῳ θήκῃ Ἧλος τοῦ τιμίου Σταυροῦ, ἔστι δὲ καὶ ἕτερος ἐν ὁμοίᾳ θήκῃ ἐν τῷ τοῦ Κελάτη Μοναστηρίῳ, ἀγνοοῦσι δὲ τὶς αὐτοὺς ἐκεῖσε ἐκόμισε. ἐπειδὴ ὅμως ὁ ἅγιος Ἀμβρόσιος ἱστορεῖ, ὅτι ἡ ἁγία Ἑλένη δι' ἀνάγκην τρικυμίας ἔρριψε τὸν ἕνα Ἧλον ἐν τῷ Ἀδριατικῷ κόλπῳ, ἔβαλε δὲ καὶ ὁ μέγας Κωνσταντῖνος ἕνα ἐν τῷ τοῦ ἵππου αὐτοῦ χαλινῷ δι' εὐλάβειαν, ἰδοὺ λοιπὸν

οἱ

οἱ ἕτεροι δύο εἰσὶν ἐν τῇ Ἰβηρίᾳ. Ὅτι οἱ Ἴβηρες πωλοῦσι τοὺς παροίκους αὐτῶν, εἰ καὶ μὴ πάντες, οἱ δ' Ἀλβανοὶ, οὐδαμῶς. Ὅτι τὸ Τιφλίζιον λέγεται τροπῇ τοῦ π'. εἰς τ'. καθότι Πιτλίζιον λέγεται διὰ τὰ ἐν αὐτῷ ἀξιολογώτατα θερμὰ ὕδατα. Ὅτι καὶ αἱ δύο Ἐπαρχίαι Ἰβηρία καὶ Ἀλβανία (Κάρτελι καὶ Καχέτη) ἐξουσιάζοντο ὑπὸ τοῦ Περσάρχου ἐν δυσὶ καὶ μόνοις, πρῶτον, ὅτι γενόμενος ὁ Αὐθέντης οὐκ ἐξ ἄλλου γένους ἀλλ' ἐκ τῶν Παγκρατιάνων, ἐβεβαιοῦτο ὑπὸ τοῦ Περσάρχου. δεύτερον, καὶ ὅτι ἔπεμπον αὐτῷ δῶρον παῖδας καὶ παρθένους τινὰς κατ' ἔτος. Ὅτι τοὺς ἀπὸ Κωνσταντινουπόλεως Ὀθωμανοὺς, λαβόντας ποτὲ τὸ Τιφλίζιον, ὁ Περσάρχης διώξας, δέδωκε πάλιν τοῖς Ἴβηρσι τὸ Τιφλίζιον. ἦν δὲ ἐν τῇ Ἀλβανίᾳ Αὐθέντης ὁ Τεημοράζης περίπου τὸ χιλιοστὸν ἑξακοσιοστὸν τριακοστὸν ἔτος ἀπὸ Χριστοῦ, περὶ οὗ πολλὰ ἱστοροῦσιν οἱ Λατῖνοι, ὅτι ἦν παπιστὴς λέγοντες, καὶ βίβλον τυπώσαντες τῷ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ἔτει, ἐν ᾗ δεικνύουσι καὶ ἐπιστολὰς τοῦ Ῥώμης Οὐρβανοῦ τοῦ ὀγδόου πρὸς αὐτὸν τὸν Τεημοράζην, καὶ τοῦ Τεημοράζη πρὸς τὸν Πάπαν, εἰς καὶ λαμπρῶς ψεύδονται (καὶ γὰρ οἱ παπισταὶ, μεμαρτυρημένοι ψευδοπλάσται) καθότι ὁ Τεημοράζης ἦν ὀρθοδοξότατος. ἐπὶ τούτου οὖν τοῦ Τεημοράζη ἦν τις κόρη εὐγενεστάτη ἐν τῇ Ἀλβανίᾳ, ἣν ἀρραβωνισάμενος ὁ Περσάρχης διὰ γυναῖκα αὐτοῦ, ἔπεμψεν αὐτῇ καὶ προγαμιαίαν δωρεὰν πολύτιμα δῶρα, ἀλλ' ὁ Τεημοράζης ἀποβουκολη θεὶς ὑπό τινος Μοναχοῦ, ἔλαβε τὴν κόρην αὐτὸς ἑαυτῷ εἰς γυναῖκα, ὅθεν ἦλθε μόνος ὁ Σάχης, καὶ κατεπολέμησε τὴν Ἀλβανίαν, καὶ ᾐχμαλώτισεν αὐτὴν, καὶ τὸν Τεημοράζην ἐδίωξεν, ὅστι ἦλθεν εἰς Βυζάντιον πρὸς τὸν Σουλτᾶν Μουρὰτ διὰ βοήθειαν τῷ χιλιοστῷ ἑξακοσιοστῷ τριακοστῷ ἑνάτῳ ἔτει, ἀλλ' οὐκ ἐβοήθησεν αὐτῷ, δέδωκε δὲ μόνον αὐτῷ ἐν τῇ Ἀνατολῇ ἐν Μπεϊλίκι, ἤτοι Ἡγεμονίαν διὰ ζωοτροφίαν αὐτοῦ. ἐκεῖνος ὅμως πάλιν ἀπελθὼν, καὶ πολεμήσας μετὰ τοῦ Σάχη, καὶ νικηθεὶς, ἀφεῖκε τὴν γυναῖκα αὐτοῦ εἰς τὸ Ἰμερέτιον εἰς τὸν γαμβρὸν αὐτοῦ τὸν Μέπες Ἀλέξανδρον, καὶ ἀπῆλθεν εἰς Μοσχοβίαν μετὰ τοῦ ἐγγονοῦ αὐτοῦ Νικολάου τοῦ καὶ Ἡρακλείου, εἶτα ἀφεὶς τὸν ἐγγονὸν αὐτοῦ ἐκεῖ, ἀπῆλθεν εἰς Ἑκατόμπυλον (Ἰσπαχάνι) πρὸς τὸν Περσάρχην, Πατριαρχοῦντος ἐν Ἱερουσαλὴμ Νεκταρίου, ἔνθα καὶ ἀπέθανεν ὀρθοδόξως. ὕστερον δὲ καὶ ὁ Νικόλαος ἀπὸ Μοσχοβίας ἀπελθὼν ἐκεῖσε, ἐτούρκισεν. ὁ οὖν Σάχης νικήσας τὸν Τεημοράζην, ἀφεῖκε τὸ μὲν Καχέτη χωρὶς Αὐθέντου, εἰς δὲ τὸ Τιφλίζιον ἔβαλεν Αὐθέντην τινὰ Ῥοστόμην, καταγόμενον ἀπὸ τοῦ γένους τῶν Παγκρατιάνων, ἀλλ' Ὀθωμανὸν, ἀπὸ πατρὸς γεννηθέντος εἰς Ἑκατόμπυλον, καὶ ἐθέσπισε μηκέτι γίνεσθαι Χριστιανὸν Αὐθέντην. ὁ δὲ Ῥοστόμης καὶ τοιγε περσίζων, ὅμως ἐβοήθει τῇ ἐκεῖ Ἐκκλησίᾳ πολλά. ἔλαβε δὲ καὶ θετὸν υἱόν τινα, ὀνομάσας αὐτὸν Σχναβάζ. Ὅτι ἐπὶ τούτου τοῦ Σαχναβὰζ ἀπῆλθέ τις Χῖος ἰατρὸς Ἀνδρέας εἰς Ἰβηρίαν, καὶ ἔπεισεν αὐτὸν, καὶ δέδωκε θέλημα ἐλθεῖν ἐκεῖσε τοὺς Γιεζουβίτας, καὶ δὴ καὶ ἔλαβε τῶν Ἀρμενίων δύο Ἐκκλησίας, μίαν τὴν ἐν τῷ κάστρῳ Κόρῃ, καὶ ἄλλην τὴν ἐν τῷ Τιφλιζίῳ, καὶ ἔδωκεν αὐτὰς τοῖς Γιεζουβίταις, οἵτινες ἕως τοῦ νῦν μετέβαλον τινὰς τῶν ἐκεῖ Ἀρμενίων εἰς παπισμὸν, ταὐτὸν εἰπεῖν ἀπὸ ὁμίχλης εἰς σκότος, μέσῳ τὴν ἡδονὴν καὶ τὴν γαστριμαργίαν χρώμενοι. τῷ δὲ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ὀγδόῳ ἔτει ἤνοιξα γράμματα τῶν Γιεζουβιτῶν ἐκείνων, ἐν αὐτοῖς γραφόντων πρὸς τὸν Ῥώμης, καὶ λεγόντων, ὅτι τὸν Αὐθέντην Τιφλιζίου καὶ τινας Ἀρχιερεῖς ἐποίησαν παπιστὰς, εἰ καὶ ἔτι κρυφίως. ὅμως ψεύματα εἶπον παντάπασι. Σημείωσαι δὲ, ὅτι ὁ Μεγασθένης εἰς τὸ . . . . . βιβλίον ἱστορεῖ πῶς ὁ Ναυουχοδονόσορ μετοίκισε τοὺς Ἴβηρας αὐτοὺς ἀπὸ τῆς Ἱσπανίας. ἔχουσι δὲ καὶ ὄνομα ἔντιμον τὸ Ἡρακλείου καὶ Ἰάσονος, καθότι ἀπεδήμησαν ἐκεῖνοι ἐκεῖσε. καὶ λέγουσι τὸν γέροντα Πατρῶνα, καὶ τὴν σφραγῖδα Πετζέταν, καὶ δεικνύουσιν ἐσχηκέναι ποτὲ μετὰ τῶν Λατίνων συγγένειαν.

ΠΑΡΑΓΡΑΦΟΝ Δ'.

Λίβελλος πρὸς τὴν Βασιλείαν παπιστῶν διά τινος Χαλεπλῆ περὶ τῶν προσκυνημάτων τῆς Ἱερουσαλὴμ, καὶ συνοδικὸν γράμμα πρὸς ἡμᾶς τοῦ Κωνσταντινουπόλεως τοῦ ἐλθεῖν εἰς ἀπολογίαν, καὶ περὶ τῆς μέχρι Κουτατησίου ἐπανόδου ἡμῶν.

Κατ' ἐκεῖνον τὸν Μάρτιον, τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ ἔτει, οἱ ἐν Βυζαντίῳ Φράροι ἔταξαν ἕνα τινὰ χαλεπλὴν παπιστὴν, καὶ ἔδωκε λίβελλον τῷ Σουλτάνῳ, ἵνα δώσῃ αὐτοῖς τὸν ἅγιον τάφον, καὶ Γολγοθὰν, καὶ Ἀποκαθήλωσιν, καὶ τὸ ἅγιον τῆς γεννήσεως ἐν Βηθλεὲμ Σπήλαιον, καὶ δώσωσιν αὐτῷ τόσας χιλιάδας Φλωρία, καὶ τὰ χίλια καὶ πεντήκοντα γρόσια, τὰ διδόμενα παρὰ τῶν Ῥωμαίων τοῖς ἐν τῷ Ναῷ τοῦ Σουλτᾶν Ἀχμὲτ δώσωσιν αὐτοί. ὁ μὲν οὖν Σουλτᾶνος ἔπεμψε τὸν λίβελλον τῷ Βεζύρῃ, ὁ δὲ Βεζύρης ἀπεβάλετο αὐτοὺς τελείως. ἀλλ' ὁ Σατανᾶς, οὗ τὸ κρίμα ἔνδικον ἐνώπιον τοῦ Θεοῦ, ἐνήργησεν ὑποστρέψαι ἡμᾶς ὀπίσω εἰς Βυζάντιον, ὅθεν ὁ τότε Κωνσταντινουπόλεως Πατριάρχης Ἰάκωβος πεισθεὶς τινῶν συμβουλαῖς, ἔγραψεν ἡμῖν συνοδικῶς (ἐν ᾧ γράμματι οὐμόνον οἱ Ἀρχιερεῖς, ἀλλὰ καὶ οἱ Ἄρχοντες ἦσαν ὑπογεγραμμένοι) ἐπανελθεῖν εἰς Βυζάντιον, καθότι ἡ βασιλεία ἡμᾶς ζητεῖ εἰς ἀπολογίαν. εὗρον δὲ ἡμᾶς τὰ γράμματα ἐλθόντα εἰς Θεοδοσιούπολιν, ὑπεκρίθημεν ὅμως μὴ εἰληφέναι αὐτὰ, ἀλλ' ἵνα μὴ δόξῃ γεγονέναι ἡμᾶς ἀπειθεῖς τῇ βασιλείᾳ, ἀπήλθομεν εἰς Τιφλίζιον διὰ τὴν ἀνάγκην τοῦ χρέους τῶν Ἰβήρων,

ἰβήρων, ἐβιαζόμεθα ὅμως ὑποστρέψαι πρὸ τοῦ ἐλθεῖν τὸν χειμῶνα. ἐμείναμεν ἐν Τιφλιζίῳ τεσσαράκοντα καὶ δύο ἡμέρας, εἶτα ὡδεύσαμεν διὰ Κολχίδος τὴν φέρουσαν εἰς Κωνσταντινούπολιν. κατελύσαμεν δὲ εἰς τὴν οἰκίαν τοῦ Τζίτζη, διαβάντες μηνὶ Αὐγούστῳ τὸν Κύρον ποταμὸν ἱππόται, ὕδωρ ἔχοντα ὀλίγον, ὅθεν ἔσφαλεν ὁ Στράβων πλωτὸν αὐτὸν εἶναι εἰπών. ἀπήλθομεν δὲ εἰς Κουτατήσιον Αὐγούστου εἰκοστῇ, τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ ἔτει.

ΠΑΡΑΓΡΑΦΟΝ Ε'.

Παρανομία τοῦ Μέπες Κουτατησίου Παγκρατίου τοῦ τυφλοῦ εἰς τὸν τῆς Μεγγρελίας Αὐθέντην Δαδιανὸν, καὶ τέχνασμα τοῦ Μέπες Τιφλιζίου Ἀρτζίλη τοῦ γενέσθαι Μέπες Ἰμερετίου, καὶ φυγὴ τοῦ τυφλοῦ εἰς Μεσχικὴν, δι' οὗ καταδρομὴ τῶν Ὀθωμανῶν ἀπὸ ὁρίων Μεσχικῆς καὶ Καρτελίου ἕως Ἰμερετίου, καὶ ἐπιδρομὴ Ἀβασγῶν ἀπὸ Διοσκοριάδος ἕως Ἱπποποτάμου καὶ Φάσιδος. καὶ περὶ τῆς ἀπὸ Κουτατησίου ἐπανόδου ἡμῶν εἰς Κωνσταντινούπολιν, καὶ ὧν ἐλάβομεν ὁρισμῶν κατὰ τῶν Φράγγων, καὶ τῶν τελῶν, καὶ περὶ τῆς ἐλεύσεως τοῦ πρέσβεως τῶν Μόχων εἰς Βυζάντιον, καὶ τῆς ἐν Κοντοσκαλίῳ οἰκοδομῆς τῆς Ἐλπίδος.

Ἀλεξάνδρου τοῦ Μέπες Κουτατησίου, τοῦ ῥηθέντος ἐπὶ τοῦ Παϊσίου, ἔχοντος υἱὸν ἐκ τῆς πρώτης αὐτοῦ γυναικὸς ὀνόματι Παγκράτιον, ἡ δευτέρα γυνὴ αὐτοῦ, καὶ θυγάτηρ τοῦ Τεημοράζη Μέπες Ἀλβανίας ἐτύφλωσεν αὐτὸν δόλῳ. θανόντος δὲ τοῦ Ἀλεξάνδρου, ἀπέκτειναν τινὲς καὶ τὴν γυναῖκα αὐτοῦ ταύτην, καὶ ἐγένετο Μέπες ὁ τυφλὸς Παγκράτιος. γέννημα δὲ ὢν ἐχίδνης, ἐπάτησε Δαδιανὸν τὸν Αὐθέντην Μεγγρελίας, καὶ ἔλαβε τὴν γυναῖκα αὐτοῦ ἑαυτῷ εἰς γυναῖκα. εἶτα Ἀρτζίλης υἱὸς τοῦ Σαχναβὰζ Μέπες Τιφλιζίου ἀπελθὼν εἰς τὸν Σάχην, καὶ σαρακηνίσας, ἐγένετο Αὐθέντης τῆς Ἀλβανίας, ὃν ἐλθόντα ἀπὸ Ἑκατομπύλου εἰς τὴν Αὐθεντίαν αὐτοῦ, ᾔτει ὁ Σάχης ἀποστεῖλαι αὐτῷ τὴν γυναῖκα αὐτοῦ. ὁ δὲ, οἷα δὴ ὄντες τυφλοῦ τοῦ Παγκρατίου, τεχνάζεται γενέσθαι Μέπες εἰς τὸ Ἰμερέτιον, καὶ δὴ ἡτοιμάσθη καὶ ἀπῆλθεν εἰς τὸ Κουτατήσιον. ἔφυγε δὲ ὁ τυφλὸς εἰς τὴν Μεσχικὴν πρὸς τὸν Πασσαῦ, καὶ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑβδομηκοστῷ ὀγδόῳ ἔτει γράφει ὁ Σουλταῦος τῷ Πασσᾷ Θεοδοσιουπόλεως καὶ ἀθροίζει ἀπὸ Λαζικῆς καὶ Χαλύβων καὶ τῶν πέριξ Στρατεύματα, καὶ κατατρέχει τοῦ Ἰμερετίου. λεηλατεῖ. αἰχμαλωτίζει. κατακαίει τὰς Ἐκκλησίας. Μοναστήρια. χώρας ἀπὸ τῶν ὁρίων Μεσχικῆς καὶ Καρτελίου ἕως Ἰμερετίου. καὶ δὴ φυγαδεύει τὸν Ἀρτζίλην, καὶ ἀποκαθίστησι τὸν τυφλόν. ἐν δὲ τῷ ἄστει τοῦ Κουτατησίου βάλλει Ὀθωμανοὺς, καὶ εἰσὶ καὶ ἕως τῆς ὥρας ταύτης. ὁ δὲ Δαδιανὸς ταπεινωθεὶς ὑπὸ τοῦ τυφλοῦ, ἀσθενεῖ, καὶ κατατρέχουσιν οἱ Ἀβασγοὶ, καὶ φθείρουσιν Ἐκκλησίας, καὶ Μοναστήρια τὸ Μόκφη. τὸ Χώπη. τὸ Κιαήση. Σουγδίτη, καὶ τὰ λοιπὰ ἀπὸ Διοσκοριάδος ἕως Ἱπποποτάμου καὶ Φάσιδος, πλὴν Λουμπαρδίας. ὁ δὲ Δαδιανὸς εἰς τὴν συμβεβηκυῖαν ἀνάγκην τοῦ Τυφλοῦ, ἐδυνήθη λαβεῖν τὴν γυναῖκα αὐτοῦ, οὐμὴν δὲ καταβαλεῖν καὶ τοὺς Ἀβασγούς. ἐν δὲ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ ἔτει, ὢν κεκλεισμένος ὁ Δαδιανὸς εἰς τὸ κάστρον Ῥούχη, ἀπέθανεν. ἡ δὲ γυνὴ αὐτοῦ πάλιν ἀπῆλθεν εἰς τὸ Κουτατήσιον πρὸς τὸν τυφλὸν, ὄντων καὶ ἡμῶν ἐκεῖ. εἶχε δὲ μεθ' ἑαυτῆς καὶ τὴν Ἐσθῆτα τῆς Θεοτόκου, περὶ ἧς εἴπομεν ἀνωτέρω, ὅτι ἦν ἐν τῷ Χώπῃ. ἔμεινε δὲ καὶ τὸ Μοναστήριον τοῦ Κελάτη ἀνεπηρέαστον ἀπὸ τῆς καταδρομῆς τῶν Ὀθωμανῶν. περὶ δὲ τοῦ λειψάνου τοῦ ἁγίου Κηρύκου οὐκ ἐδυνήθημεν μαθεῖν τι ἐγένετο. τῇ δὲ εἰκοστῇ τετάρτῃ Αὐγούστου ἐξήλθομεν τοῦ Κουτατησίου, καὶ διὰ δύο ἡμερῶν εἰς τὴν τοῦ Φάσιδος ἤλθομεν περαίωσιν, εἰς τόπον λεγόμενον . . . . . ἔστι δὲ ἐκεῖ πλωτὸς ὁ Φάσις, ὅθεν καὶ διέβημεν αὐτὸν μετὰ μονοξύλων. εἶτα εἰς Ὀζουργέτη τὸ καθολικὸν Παλάτιον τοῦ Γγουριέλου, εἶτα εἰς Κουμπουλέτη ἐμπόριον Γγουρίας, οὗ κατὰ Ἀνατολὰς ὡσεὶ ὥρας ἓξ ἐστὶν ἡ Πέτρα ἡ Χώρα, περὶ ἧς ἐπολέμησαν Ἰουστινιανὸς καὶ Χοσρόρης. ἔνθα ἦλθον Ἄρχοντες Ἰμερέλοι καὶ Γγουριέλοι καὶ ὁ Καθολικὸς καὶ οἱ Ἀρχιερεῖς καὶ ὁ Γγουριέλος ἐντυχεῖν ἡμῖν. ἐκεῖθεν δὲ ἀνεχωρήσαμεν τῇ ἑπτακαιδεκάτῃ Σεπτεμβρίου, καὶ διὰ Λαζικῆς καὶ Τραπεζοῦντος. Σινώπης. Οἰωνοπόλεως. Ποντοηρακλείας ἤλθομεν εἰς Κωνσταντινούπολιν τῇ εἰκοστῇ Νοεμβρίου, καὶ ἐνετύχομεν τῷ Βεζύρῃ, καὶ ἐδώκαμεν αὐτῷ πουγγεῖα δέκα, καὶ δύο τῷ Κεχαγιᾷ αὐτοῦ, καὶ ἓν τῷ Ῥεΐζῃ, καὶ ἓν τῷ Μπεϊλικτζῇ, καὶ ἐλάβομεν ὁρισμὸν κατὰ τῶν Φράγγων, καὶ ὁρισμὸν περὶ τῶν τελεσμάτων. τότε, ὄντος χιλιοστοῦ ἑξακοσιοστοῦ ὀγδοηκοστοῦ δευτέρου ἔτους, ἦλθε καὶ ὁ πρεσβευτὴς Μοσχοβίας ὁ Προκόπος, ὡς προείρηται, καὶ ᾠκοδομήθη ἡ Ἐκκλησία τῆς Ἐλπίδος ἐν τῷ Κοντοσκαλίῳ.

ΠΑΡΑΓΡΑΦΟΝ ς'.

Περὶ τῆς συμβάσης τῷ ἁγίῳ τάφῳ ζημίας διάτινα ἀνακαίνισιν χωρικῆς Ἐκκλησίας, καὶ τῆς παρά τινος θηριογνώμονος Ἐπάρχου τῆς Ἱερουσαλὴμ εἰς τὸν ἅγιον τάφον ἀδικίας, καὶ τοῦ κατ' αὐτοῦ σταλέντος παρ' ἡμῶν Ἀγᾶ μετὰ ὁρισμοῦ, δι' οὗ πολλὰ κακὰ τῶν κριτῶν ἀνεστάλησαν, καὶ περὶ τῶν ἰσχυρῶν ἡμῶν ἀγωγῶν μετὰ τῶν Φράρων ἐπὶ τοῦ βασιλικοῦ βήματος περὶ τῶν προσκυνημάτων, καὶ τῆς νίκης ἡμῶν κατ' αὐτῶν, καὶ κατὰ Βαρταπέτου Ἐλεαζάρου, καὶ ὧν πέπονθε τῇ συνεργείᾳ ἡμῶν, καὶ πῇ ἔφυγε, καὶ ποῦ ἐτελεύτησε.

Συμ-

Συμβαίνει δὲ εἰς Ἱερουσαλὴμ τότε πρᾶγμα πικρὸν, ὅτι εἰς τὸ ὑπὸ τὴν Βηθλεὲμ κείμενον χωρίον τῶν Ποιμένων, κεῖται σεσαθρωμένον Μοναστήριον, διεφθαρμένον ἔχον Ἐκκλησίαν, καὶ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ πρώτῳ ἔτει, ὁ ἡμέτερος ἐκεῖ ἐπίτροπος ἄπλαστος ὤν, ἀνακαινίζει τὴν Ἐκκλησίαν ἄνευ θελήματος τοῦ Κριτοῦ, καὶ ἐγκαλοῦσιν οἱ Φράροι τὸ πρᾶγμα, καὶ ἐνιππεύουσιν ὅλη ἡ Χώρα καὶ οἱ Κριταὶ πρὸς ἐξέτασιν, καὶ ζημιοῦσι τὸ Μοναστήριον γρόσια χιλιάδας πέντε. ὅθεν ὡς παρὰ τὸν βασιλικὸν ὁρισμὸν καὶ τὸ δίκαιον ποιήσαντα τὸν Κριτὴν τὴν ζημίαν, ἐξέβαλεν αὐτὸν καὶ ἔβαλεν αὐτ' αὐτοῦ ἄλλον ὁ Μουφτὴς, ἤτοι ὁ κυρωτὴς τῶν ἐντολῶν τοῦ Νόμου, ἡ ζημία ὅμως ἔμεινεν. εἶτα τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ δευτέρῳ ἔτει, καθ' ὃ ἀπῆλθεν ὁ Σουλτᾶνος εἰς Ἀδριανούπολιν, ἐγένετο Πασσᾶς τις τῆς Ἱερουσαλὴμ θηρίον τῇ γνώμῃ, ζημιώσας ἡμᾶς ἐπὶ ἑπτὰ ἔτεσι γρόσια χιλιάδας ἑβδομήκοντα. ὅθεν ἀπήλθομεν εἰς Ἀδριανούπολιν, καὶ ἐπέμψαμεν εἰς Ἱερουσαλὴμ Ἄρχοντα βασιλικὸν μετὰ ὁρισμοῦ περὶ τοῦ ῥηθέντος, καὶ ὅσα μὲν ἔλαβεν ἀδικήσας, ἀφῆκαν αὐτῷ ταῦτα οἱ πατέρες, ὑποσχεθέντι μηκέτι λαβεῖν ἕτερα. ἀνέστειλε δὲ ἐκεῖος ὁ ὁρισμὸς πολλὰς καινοτομίας γεγονυίας ἐν τῷ Μοναστηρίῳ, καὶ ἄλλα πολλὰ τῶν Κριτῶν ἔθη, καὶ ὠφέλησεν ἐκεῖ πάντα ἄνθρωπον. Ἀλλ' οἱ Ἀρμένιοι ἀσθενεῖς ὄντες πρὸ χρόνων πολλῶν, εὐηργετοῦντο παρ' ἡμῶν, ὕπουλοι δὲ καὶ ἀχάριστοι ὄντες, τῷ τότε καιρῷ συμφωνοῦσι τοῖς Φράτορσι. καὶ δὴ ὄντων ἡμῶν ἐν Ἀδριανουπόλει, καὶ εἰδότων μηδὲν, συνέβη ἐλθεῖν εἰς χεῖρας τοῦ Παπᾶ Ἰουστίνου Φράγγικα γράμματα, ἀφ' ὧν ἔγνωμεν ὅτι ἦσαν ἐν Ἀδριανουπόλει οἱ Φράροι καὶ ὁ Βαρταπέτης Ἀρμένιος. καὶ δὴ συγχύσεως γενομένης κατὰ τὴν μεγάλην Τεσσαρακοστὴν, τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ ἔτει, καὶ τοῦ Σουλτάνου ὄντος ἔξω τῆς πόλεως ἵνα στρατεύσῃ κατὰ τῆς Βιέννης, ἀπήλθομεν κατ' αὐτῶν ἐμφανησθῆναι τῷ βασιλικῷ ἐπιτρόπῳ. τῶν δ' Ἀρμενίων ὑπαντησάντων ἡμῖν, καὶ συγχώρησιν αἰτησάντων, συνεπλάκημεν τῇ κατὰ τῶν Φράρων μάχῃ. καὶ γίνεται ἀγὼν ἰσχυρὸς παρὰ τῷ Κεχαγιᾷ, ἤτοι τῷ Οἰκονόμῳ τοῦ ἐπιτρόπου, καὶ ἀναφέρεται ἡ ὑπόθεσις τῷ ἐπιτρόπῳ, καὶ γίνονται φροῦδα τὰ διανοήματα τῶν Φρατόρων, ὧν τὸ ἐπιχείρημα ἦν, ὅτι ὅτε ἐπὶ Νεκταρίου ἐλειτουργήσαμεν τῇ ἡμέρᾳ τῶν Βαΐων, γενομένης παραστάσεως εἰς τὸ κριτήριον, οἱ Φράροι ἔλαβον κρυφίως παρὰ τοῦ Κριτοῦ ἀναφορὰν τοῦ εἶναι αὐτοὺς πρώτους, καὶ ὄντος τοῦ Βεζύρη ἐν τῇ Κρήτῃ, ἔλαβον παρὰ τοῦ ἐν Ἀδριανουπόλει Ἀνθυπάτου ὁρισμὸν ὡς ἤθελον, ὃν εὑρόντες ἐν τῷ βασιλικῷ κῴδικι, ἐβούλοντο ἀνακαινίσαι, καὶ δὴ καὶ ὁ Βεζύρης συνέθετο, ὑποσχεθέντων αὐτῷ τῶν Φράρων χρήματα, νομίζων εἶναι ὀλίγον τὶ τὸ ζητούμενον, διδαχθεὶς ὅμως, ὅτι μετὰ τοιούτων δολίως γεγονότων ὁρισμῶν ἐγένοντο τὰ καθ' ἡμῶν κακὰ τῶν Φράρων, καὶ ὅτι ἡ κρίσις ἐν τῷ βασιλικῷ κριτηρίῳ διευκρίνησε καθαρῶς τὸ δίκαιον τῶν Ῥωμαίων, ἀπεβάλετο πάντα τὰ δολίως γενόμενα, καὶ αὐτοὺς τοὺς Φράρους, φυγόντας νυκτὸς εἰς τὴν Κωνσταντινούπολιν. καὶ δὴ καὶ ὁ Βαρταπέτης ἀπερχόμενος εἰς Ἱερουσαλὴμ, ἐτελεύτησεν ἐν Πηλουσίῳ, οὐμὴν ἀλλὰ καὶ τοῖς ἐν Ἱεροσολύμοις οἰκείοις ἔγραψεν ὁ ἄφρων Βαρταπέτης ὑπερηφάνως ἀντιστῆναι τοῖς ἡμετέροις, καὶ δὴ τῇ ἡμέρᾳ τῆς Ἀναστάσεως ζητοῦσιν οἱ Ἀρμένιοι καινοτομῆσαι ἐν τῷ ἁγίῳ τάφῳ, καὶ ἀπιβληθέντες παρὰ τῶν ἡμετέρων, τρέχουσιν εἰς τὸ κριτήριον, καὶ ἀπιβάλλονται ὑπὸ τοῦ Κριτοῦ, τοῦ Πασσᾶ τοῖς ἡμετέροις βοηθοῦ ὄντος. γέγονεν ὅμως τὸ σκάνδαλον αἰτία καὶ ἐζημιώθη τὸ Μοναστήριον χρήματα πουγγείων ἑπτὰ ὑπ' ἀχρειότητος τῶν ἡμετέρων, διχονούντων καὶ φθονούντων καὶ μαχομένων ἀλλήλοις. Σημείωσαι ὅτι ὁ πολλάκις ῥηθεὶς Ἀρμένιος Ἐλεάζαρ συνεφώνησεν ἔτι τοῖς Φράροις, καὶ ἐξῆλθε τῆς Ἰόππης μετὰ Νηὸς φορτίδος, καὶ ἦλθεν εἰς τὸ Βυζάντιον ὑπέροφρυς, καὶ περινοστῶν εἰς τοὺς προὔχοντας, ὑπισχνεῖτο αὐτοῖς πολλὰ πουγγεῖα περὶ τῶν χαμπεσιακῶν οἰκημάτων. ἀλλ' ἡμεῖς σὺν Θεῷ ἐβοηθήσαμεν τῷ ἀντιδίκῳ αὐτοῦ Μαρτυρίῳ, καὶ ἔλαβε τὴν ἐν Ἱερουσαλὴμ Ἐπισκοπὴν αὐτοῦ. ὁ δὲ Ἐλεάζαρ ὑπ' αἰσχύνης φυγὼν, ἀπῆλθεν εἰς τὴν Περσίαν, ἔνθα καὶ ἐγένετο Καθολικὸς τῆς μεγάλης Ἀρμενίας, κατοδυρόμενος ἀεὶ τὴν καταφρόνησιν ἣν ὑπὸ τῶν ἐν Ἱεροσολύμοις Ῥωμαίων ἔπαθε, καὶ τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἐννενηκοστῷ δευτέρῳ ἔτει ἐτελεύτησε.

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τοῦ προσποιηθέντος τὸν μεσσίαν Κωνσταντινουπολίτου Ἑβραίου, καὶ ποῦ κατῴκησε, καὶ ποίους περιῆλθε τόπους, καὶ περὶ τῆς παντόθεν πρὸς αὐτὸν συνάξεως τῶν Ἑβραίων, καὶ τῶν ψευδοθαυματουργιῶν αὐτοῦ, καὶ ὧν ἔφθειρε παρθένων ἑβραΐδων, καὶ τῶν ψευδοενθουσιασμῶν τῶν Ἑβραίων γυναικῶν, καὶ ἄλλων πολλῶν γελοίων, καὶ περὶ τοῦ περιορισμοῦ αὐτοῦ, καὶ αὖθις ἀπαγωγῆς εἰς τὸν Βασιλέα, καὶ σαρακηνίσεως αὐτοῦ, καὶ ἐξορίας, καὶ τελευτῆς.

Ἦν τις Ἑβραῖος τοὔνομα Σαμπεθάη Σεβὴ, σοφὸς τὰ ἴδια, ὅς τις καταγόμενον εἶχε τὸ γένος ἀπὸ τῶν ἐν Κωνσταντινουπόλει εὐγενῶν. ἀλλὰ διὰ τὸ ἐμπρησθῆναι μέρος τῆς Κωνσταντινουπόλεως, καὶ τὰς κατοικίας τῶν Ἰουδαίων, τὰς οὔσας μάλιστα ὑπὸ τὸ Πανδοκεῖον (τὸ Χάνη) τῆς Βαλεττὲς (ἤτοι τῆς μη-

τρὸς

τρὸς τοῦ Βασιλέως) καὶ τὰς ἀπὸ τῆς φυλακῆς ἕως τοῦ τείχους τοῦ Παλατίου τοῦ καὶ Βυζαντίου ἰδίως λεγομένου, ἐδίωξεν ἡ βασιλεία ἐκεῖθεν τοὺς Ἑβραίους. ὅθεν καὶ αὐτὸς ἀπῆλθεν εἰς Σμύρναν καὶ ᾤκησεν ἐκεῖ, κἀκεῖθεν διανοηθεὶς ἔργον παραχωρήσεως Θεοῦ εἰς ἐμπαιγμὸν τῶν χριστοκτόνων, ὡς ἐγένετο παλαίποτε ἐν Κρήτῃ, ἀπῆλθεν εἰς Γάζαν, καὶ ἤρξατο εὐφημεῖν ἑαυτὸν Μεσσίαν. εἶτα εὑρὼν σπήλαιόν τι ἐν τῇ Παλαιστίνῃ, ἔμεινεν ἐκεῖ μερικὸν καιρὸν μετάτινων ἠπατημένων ὑπ' αὐτοῦ. ὅθεν ἐμήνυσε καὶ τοῖς ἐν Ἱεροσολύμοις Ἰουδαίοις περὶ αὐτοῦ, ἀλλ' οὐκ ἐπίστευσαν αὐτῷ. ἦλθε λοιπὸν καὶ εἰς Ἱερουσαλὴμ, ἀλλὰ κἀκεῖ ἀπέβαλον αὐτὸν οἱ Ἱεροσολυμῖται Ἰουδαῖοι, ἔχοντες συνεργὸν Ἰάκωβόν τινα Ἰατρὸν, ἀπὸ Ἱσπανίας φυγόντα. ὕστερον κατάγεται εἰς Σμύρναν, καὶ ἰσχύει ἐν τῇ ἀπάτῃ. γράφει εἰς τοὺς ἐν Κωνσταντινουπόλει Ἑβραίους, καὶ δέχονται αὐτόν. εἶτα γράφει τοῖς ἁπανταχοῦ Ἰουδαίοις, καὶ γίνεται κίνησις Ἰουδαϊκὴ ἀπότε Λεχίας. Δύσεως. Ἀφρικῆς, καὶ τοῦ μέρους τῆς Δύσεως τοῦ ὑπὸ τὴν δεσποτείαν τῶν Ὀθωμανῶν. ἀπέρχονται Κωνσταντινουπολῖται Ἑβραῖοι εἰς Σμύρναν πολλοί. διαδίδου φήμη ὅτι θαυματοποιεῖ. ῥητέον δὲ ἐκ τῶν πολλῶν ἕν. ἐφύσα τινὰς, καὶ ὑπεκρίνοντο ὅτι ἀπέθνησκον, καὶ ἐρρίπιζεν αὐτοὺς τῇ μυοσόβῃ καὶ ἀνίσταντο. ἦλθε δὲ ἀπὸ Σμύρνης εἰς Καλλιούπολιν, καὶ τρέχουσιν ἄπειρα πλήθη Ἑβραίων εἰς ὑπαντὴν αὐτοῦ. ἀκούεται ὅμως ὁ περὶ αὐτοῦ λόγος εἰς τὸν Βεζύρην, καὶ πέμψας ἄγει αὐτὸν ἀπὸ Καλλιουπόλεως εἰς Βυζάντιον τῷ χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ ἕκτῳ ἔτει. οἱ δὲ Ἑβραῖοι ἔλεγον ὅτι λήψεται αὐτὸν ὁ Βασιλεὺς μετὰ παρατάξεως, καὶ ὅταν αὐτὸν πρὸς αὐτὸν ἀγάγῃ, καὶ δεχθῇ αὐτὸν εἰς συνομιλίαν, καθίσει αὐτὸν ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἔσεσθαι λοιπὸν τὴν Βασιλείαν τοῦ Μεσσία. ὅμως ἔλαβον αὐτὸν ἐκ τοῦ πλοίου δέροντες οἱ δήμιοι, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸν Βεζύρην, καὶ ἠρώτησεν αὐτὸν ὁ Βεζύρης, Εἰ ἀληθῆ εἰσι τὰ περὶ αὐτοῦ ἀκουόμενα, κἀκεῖνος τοσοῦτον μόνον εἶπεν, ὅτι ἐστὶ σοφὸς, καὶ λέγει τὰ τοῦ Θεοῦ. ἔθετο αὐτὸν ὅμως ὁ Βεζύρης ἐν τῇ φυλακῇ, εἰς ἣν ἔτρεχον τῶν Ἰουδαίων καὶ σοφοὶ καὶ ἰδιῶται, προσκυνοῦντες αὐτόν. ὅθεν ἔγραφε νέας νομοθεσίας, καὶ μάλιστα τὰς πενθίμους ἑορτὰς ἔγραψε μεταβαλεῖν εἰς χαρὰν, καὶ στολισθῆναι, καὶ οὕτως ἐποίησαν. ἰδὼν δὲ ὁ Βεζύρης τοὺς Ἑβραίους μὴ ἡσυχάζοντας, ἔπεμψεν αὐτὸν εἰς τὸ τῆς Ἀβύδου φρούριον, περιορισάμενος αὐτόν. ἀλλὰ κἀκεῖσε ἔτρεχον οἱ Ἰουδαῖοι πανταχόθεν εἰς προσκύνησιν αὐτοῦ, καὶ μάλιστα ἀπὸ Κωνσταντινουπόλεως. ἔγραφον δὲ αὐτῷ οἱ σοφοὶ τῶν Ἑβραίων γράμμασι χρυσοῖς ἐπιστολὰς, καὶ ἐκάλουν αὐτὸν καὶ υἱὸν Θεοῦ, ἀντιφερόμενοι τῷ Κυρίῳ καὶ Θεῷ ἡμῶν Ἰησοῦ Χριστῷ. ἐν ᾧ δὲ ταῦτα ἐγένοντο, οἱ ἐν Βελεγραδίῳ. Ἀδριανουπόλει. Λεχίᾳ. Ἀφρικῇ. Ἑλλάδι, καὶ ἀλλαχοῦ ὄντες Ἑβραῖοι, θεωροῦντες νυκτὸς τὰ νέφη, ἔλεγον, Ἰδοὺ ἰδοὺ Ἑβραίους τὰ νέφη ἀπαίρει εἰς Ἱερουσαλὴμ, ναὶ μὴν καὶ ἡμᾶς ταχέως ἀρεῖ, καὶ ἡτοιμάζοντο, ποιοῦντες τὰ ὑπάρχοντα αὐτῶν χρυσίον, ἵνα βασιλεύωσι πλούσιοι κατὰ τὸ ἴδιον τῶν Ἰουδαίων, ὄντων πρὸς τῇ κενοδοξίᾳ καὶ γαστριμαργίᾳ καὶ φιλαργύρων. ὅθεν καὶ ἠκολούθησε πτωχεύειν ἐξ ἐκείνου ἐν τῇ Τουρκίᾳ μάλιστα τοὺς Ἑβραίους, οἵτινες αὐτ' ἀληθείας τὴν ἀπάτην ἀναντίρρητον ἔχοντες, καὶ νομίζοντες εἶναι τὸν καιρὸν τῆς προφητείας τοῦ Ἰωὴλ, τῆς λεχθείσης παρὰ τοῦ μακαρίου Πέτρου ἐν τῇ Πεντηκοστῇ, ὅτι δηλονότι αἱ θυγατέρες ὑμῶν ὁράσεις ὄψονται, τινὲς ἐξ αὐτῶν δι' ἰδίαν δόξαν ἔμαθον τὰς γυναῖκας αὐτῶν τινὰ τῆς Χαλδαϊκῆς γλώσσης, ὧν οἱ λόγοι καὶ τὰ στοιχεῖα ἐβεβαίουν τὸν ἀληθινὸν Μεσσίαν. ἔπιπτον οὖν αἱ τοιαῦται γυναῖκες εἰς τὰς στρωμνὰς αὐτῶν, ὑποκρινόμεναι ἐνθουσιασμὸν, καὶ ἔλεγον ἅπερ εἶχον μεμελετημένα, ὡς δῆθεν προεφήτευον. ταχυγράφων δέτινων ταῦτα μεταγραφόντων, οἱ Χαχαμὶμ ἐβεβαίουν εἶναι προφητείας, πρῶτον, ὅτι ἐλέγοντο ταῦτα Χαλδαϊκῇ γλώττῃ, ἧς αἱ γυναῖκες ἐκεῖναι ἦσαν πάντῃ ἀμαθεῖς. δεύτερον, ὅτι τὰ στοιχεῖα ἅπερ ἔλεγον ἁρμόζειν τῷ Μεσσίᾳ, αὐτοὶ εὕρισκον καὶ ἥρμοττον αὐτῷ τῷ πλάνῳ. ἠκούσθη δὲ ὁ λόγος οὗτος εἰς Ἀδριανούπολιν. καὶ γυνὴ τινὸς Ἄρχοντος Ἑβραίου εἶπε τῷ ἀνδρὶ αὐτῆς, Ἐμηνύθη μοι παρὰ Ἀγγέλου προφητεῦσαι, καὶ ποίησόν μοι λοιπὸν τὸν τάδε ἱματισμὸν, εἶτα ἐλθέτωσαν αἱ γυναῖκες τῶν Ἀρχόντων εἰς ἐπίσκεψίν μου, καὶ γέγονεν οὕτως. ἡ δὲ εἶπεν, ὅτι τὸ ἑσπέρας προφητεύσω. ὅθεν ὁ ἀνὴρ αὐτῆς ἐκάλεσε τοὺς σοφοὺς καὶ τοὺς πρώτους τῶν Ἰουδαίων, καὶ ἡτοίμασε διάφορα πολύτιμα βρώματα, καὶ παίγνια εἰς χαρὰν αὐτῶν καὶ τρυφήν. καὶ γενομένων τούτων, ἐκείνη καθημένη κατοφρυομένη, ἐξαίφνης ἔπεσεν εἰς τὴν στρωμὴν αὐτῆς, καὶ ἤρξατο λαλῆν Ἱσπανικῇ γλώττῃ, καὶ ἐρραψῴδησε πολλὰ περὶ τοῦ Μεσσίᾳ, ὧνπερ προφαιῶν πλασμάτων ὄντων, αἰσχυνθέντες οἱ Ἰουδαῖοι ἀνεχώρησαν. τοῦ δὲ Σουλτάνου ἐν Ἀδριανουπόλει εὑρισκομένου, καὶ τοῦ Βεζύρη ἀπελθόντως εἰς τὴν Κρήτην, ὁ Ἀνθύπατος, μὴ ἡσυχαζόντων τῶν Ἰουδαίων, μεταπέμπεται δέσμιον τὸν ψευδομεσσίαν ἀπὸ τῆς Ἀβύδου, καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Σουλτάνον. ἦν δὲ Ἑρμηνεὺς ὁ Ἀρχιατρὸς τοῦ Βασιλέως ἐξ Ἰουδαίων Ὀθωμανός. ὁ δὲ Σουλτάνος ἠρώτησε τὸν ψευδομεσσίαν, Εἰ ἀληθῆ εἰσι τὰ περὶ αὐτοῦ. ἀρνησάμενον δὲ, ἠρώτησεν αὐτὸν, Εἰ ἐστὶν ὁ Μωάμετ Προφήτης. ὁ δ' Ἀρχιατρὸς εἶπε τῷ ψευδομεσσίᾳ Ἱσπανικῇ γλώσσῃ, ὅτι ἐὰν μὴ γένηται Ὀθωμανὸς, αὐθωρὸν αὐτὸν ὁ Σουλτάνος ἀποκτείνει. ὅθεν φοβηθεὶς εἶπε, Βεβαίως ὁ Μωάμετ ἐστὶν ὁ ἔσχατος καὶ προειρημένος ὑπὸ τῆς γραφῆς Προφήτης, καὶ οὕτως ἐτούρκισεν. ἀλλ' αὖθις ἀπήρχετο εἰς τὰς τῶν Ἰουδαίων Συναγωγὰς, τοῖς μὲν Ὀθωμανοῖς λέγων, ὅτι ὑπάγει ἵνα διδάξῃ τὴν εὐσέβειαν τοὺς Ἰουδαίους, τοῖς δὲ Ἰουδαίοις ἐκρύπτετο καὶ ἐπιστεύετο ὡς Μεσσίας, προφασιζόμενος ὅτι οὐκ ἦλθεν ἡ διωρισμένη ὥρα. οἱ δὲ Ἄρχοντες τῶν Ἰουδαίων ἵνα λάβωσι σπέρμα ἅγιον ἐξ αὐτοῦ, ἐδίδουν αὐτῷ τὰς θυγατέρας αὐτῶν, καὶ διέφθειρεν αὐτάς. τὰ αὐτὰ ἐποίει καὶ ἐν Κωνσταντινουπόλει, ἕως οὗ διὰ τὰ τοιαῦτα ἐξώρισεν αὐτὸν ἡ βασιλεία εἰς τὴν Κορώνην, κἀκεῖ ἐτελεύτησε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ ἐν Θεσσαλονίκῃ προσποιηθέντος τὸν Μεσσίαν Ἑβραίου, καὶ πιστευθέντος παρὰ τῶν Ἑβραίων, καὶ ἀπαχθέντος εἰς Βελεγράδιον πρὸς τὸν Βασιλέα ἐκεῖ ὄντα, καὶ σαρακηνίσαντος, καὶ δεχθέντος ὡς Μεσσίου αὖθις παρὰ τῶν Ἑβραίων, καὶ ὧν ἔλεγεν αὐτοῖς ποιεῖν, ἐφ' ὧν ἐξεφωνήθη εἰς χλεύην τὸ, Γγελτίμι;

Κατὰ δὲ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν τρίτον ἔτος, νέος τις Ἑβραῖος ἐν Θεσσαλονίκῃ εὐφήμησεν ἑαυτὸν εἶναι τὸν Μεσσίαν, ᾧ καὶ ἐπίστευσαν οἱ Ἑβραῖοι. ἀλλ' ὁ Σουλτᾶνος μεταπέμπεται αὐτὸν εἰς τὸ Βελεγράδιον. σαρακηνίσαντα δὲ καὐτὸν, καὶ ἐπανελθόντα εἰς Θεσσαλονίκην, εἶχον πάλιν αὐτὸν οἱ Ἑβραῖοι ὡς Μεσσίαν. ἔλεγε δὲ αὐτοῖς, ὅτι διὰ τὸ μὴ πεποιηκέναι αὐτοὺς τοὺς Ἑβραίους πάντα τὰ κακὰ πλήρη, ὁ Μεσσίας οὐ φανεροῦται, καὶ δέον ἐστὶ νῦν ταῦτα ποιεῖν, ὅθεν ἐν Θεσσαλονίκῃ καὶ Σέρραις ὀγδοηκονταετεῖς Χαχαμὶμ ἐσαρακήνισαν. χλευάζοντες δὲ οἱ Χριστιανοὶ τοὺς Ἑβραίους περιμένοντας τοὺς ἀπατεῶνας ἀντὶ τοῦ Μεσσία, ἔλεγον αὐτοῖς, ΓΓΕΛΤΤΙΜΙ; ἤγουν ἦλθε; καὶ ἔμεινεν ἡ Παροιμία κατὰ τῶν Ἰουδαίων ἄχρι τῆς σήμερον. ἀλλὰ δὴ καὶ ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ὀγδόῳ ἔλεγον οἱ Ἰουδαῖοι, ὅτι εὕρηται ἔξωθεν βιβλίου τινὸς γεγραμμένον, ὡς μέλλει ἐν Κωνσταντινουπόλει ὀφθήσεσθαι ὁ Μεσσίας, συγχύσεως οὔσης μεταξὺ τῶν Ὀθωμανῶν καὶ Χριστιανῶν Ἡγεμόνων. γενομένης ὅμως ἀγάπης Ὀθωμανῶν. Γερμανῶν καὶ Μοσχόβων, ἔμεινε ματαία καὶ ἡ παροῦσα αὐτῶν ἐλπίς.

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὅτι ἀναιρεθέντος τοῦ Βεζύρη Καρᾶ Μουσταφὰ Πασσᾶ, ἠδίκησεν ὁ Πασσᾶς τῆς Ἱερουσαλὴμ λίαν τὸν ἅγιον τάφον, καὶ περὶ τῆς δαπάνης ἣν ὀδυνηρῶς ἐδαπανήσαμεν αἰτίᾳ τοῦ ἀνακαινισθέντος τοίχου τοῦ ἐν Κωνσταντινουπόλει Μετοχίου, καὶ περὶ τῆς εἰς Ἱερουσαλὴμ ἐπανελεύσεως ἡμῶν.

Ἤλθομεν ἡμεῖς εἰς Κωνσταντινούπολιν, καὶ ὁ Σουλτᾶνος ἀποδημεῖ εἰς Βελεγράδιον, ὁ δὲ ἐπίτροπος αὐτοῦ εἰς Βιέννην, ὅτε καὶ ἡττηθεὶς πολλάκις, ἀποκτείνεται εἰς Βελεγράδιον, ὅπερ μαθὼν ὁ τῆς Ἱερουσαλὴμ Πασσᾶς, ἔλαβεν ἄπειρα χρήματα ἀπὸ τοῦ Μοναστηρίου. ἔφθασε δὲ καὶ τὸ πλοῖον εἰς Ἱεροσόλυμα μετὰ τῆς ὕλης ἕνεκεν τῆς οἰκοδομίας τοῦ Τουρλλαίου, ὡς ῥηθήσεται. ἐπειδὴ δὲ τοῦ ἐν Κωνσταντινουπόλει Μετοχίου πίπτει εἷς τοῖχος, καὶ τοῦ Ἡγουμένου αὐτὸν ἀναγκαινίζοντος, ὁ τότε Ἀντέπαρχος ἐκρήμνισε τὸν τοῖχον, καὶ ἔθετο ἐν φυλακῇ τινὰς τῶν πατέρων, ὧν τῇ γνώμῃ θηριωδέστατος, ἀπήλθομεν εἰς Ἀδριανούπολιν, καὶ ἐδαπανήσαμεν τριάκοντα καὶ δύο πουγγεῖα μετὰ κακῆς ἄγαν καὶ ὀδυνηρᾶς καρδίας. ἐγένετο δὲ τότε τὸ πέμπτον καὶ ὁ Παρθένιος Πατριάρχης, μεθ' οὗ Μηνὶ Ἰουλίῳ ἤλθομεν εἰς Κωνσταντινούπολιν, ὅτε καὶ ἑτοιμάσαντες βασιλικὰ γράμματα ἰσχυρὰ, ἐκινήσαμεν Σεπτεμβρίου ὀγδόῃ εἰς τὴν φέρουσαν πρὸς τὴν Ἱερουσαλήμ. ἐποπεσόντες δὲ στομαχικῷ πάθει κατὰ τὸ Ἰκόνιον, ἐκινδυνεύσαμεν τὰ ἔσχατα, μόλις ὅμως μετὰ τοῦ ταχτιρεβανίου, ἤτοι ὀχήματος φθάσαντες εἰς τὴν κατὰ τὸν Ἰσσικὸν Ἀλεξάνδρειαν, καὶ εὑρόντες φορτίδα ἀγκλικὴν, εἰσήλθομεν ἐν αὐτῇ, καὶ ἀπήλθομεν εἰς Χαΐφαν, τυχόντες δὲ καὶ Ἰατροῦ ἐν αὐτῇ, ἰάθημεν ἐν Χριστῷ, καὶ ἀπήλθομεν εἰς Ἱερουσαλὴμ, ἡσυχάσαντες ἕως τοῦ Ἀπριλλίου, ὄντος χιλιοστοῦ ἑξακοσιοστοῦ ὀγδοηκοστοῦ πέμπτου ἔτους.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Περὶ τοῦ τρόπου καθ' ὃν ἀπεδώκαμεν τοῖς δανεισταῖς ὅλον τὸ χρέος τῶν Ἰβηρικῶν Μοναστηρίων, καὶ περὶ τῶν κατ' εἶδος ἀνακαινίσεων καὶ οἰκοδομιῶν ἡμῶν ἐν τῇ τοῦ ἁγίου Σάββα Λαύρᾳ.

Ἦν οὖν ὅλος ἡμῶν ὁ σκοπὸς περὶ τῆς ἐλευθερίας τῶν ἰβηρικῶν Μοναστηρίων ἀπὸ τοῦ χρέους, οὐκ ἐξῆν δὲ ἄνευ τοῦ Πασσᾶ τοῦτο ποιῆσαι, ὅτι εἶχον λαβεῖν χρέος ὅλα τὰ Τάγματα τῶν κρατούντων, καὶ ἐζήτουν σῷα καὶ ἀνελλιπῆ ὅσα ἦσαν γεγραμμένα ἐν ταῖς ὁμολογίαις αὐτῶν. ἐδώκαμεν οὖν τῇ Τρίτῃ τῆς Διακαινισίμου τῷ θηριογνώμονι Πασσᾷ τρεῖς χιλιάδας φλωρία, καὶ ἀρχόμεθα τοῦ ἔργου αὐθημερόν. συνέβη δὲ εἶναι καὶ τὸν Κριτὴν ἀχρεῖον, ὃς λαβὼν τὸ τέλος αὐτοῦ, ἡσύχασε καὶ ἄκων. ἐλθόντος οὖν τοῦ γραφέως τοῦ Κριτοῦ εἰς τὸ Πατριαρχεῖον, καὶ τινων προεστώτων τῶν Σαρακηνῶν, βοηθούντων ἡμῖν, ἐν μιᾷ ἑβδομάδι ἐποιήσαμεν τὴν ἀπάλλαξιν τῶν ἐννενηκοντατεσσάρων χιλιάδων γροσίων τοῦ χρέους τῶν Ἰβήρων, δόντες τοῖς δανεισταῖς ἐλάττονας τῶν πεντήκοντα χιλιάδων γροσίων, ἐπειδὴ τινὲς δυνάσται ἔλαβον σῶαν τὴν ὀφειλὴν, τινὲς πλείονα τῆς ἡμίσεως, τινὲς δὲ τὴν ἡμίσειαν, καὶ τινὲς καὶ ἥττονα. ἀλλαχθέντος δὲ τοῦ

1236

δὲ τοῦ Κριτοῦ, ἦλθεν ἄλλος, ἀλλ' εἰς οὐδὲν ἴσχυσε, καὶ ἐγένετο τὸ ἔργον καλὸν καὶ τέλειον. ἀλλ' ὁ ἄδικος Πασσᾶς ἐποίησε τεχνάσματα πολλὰ τοῦ λαβεῖν καὶ ἄλλα χρήματα, καὶ δὴ καὶ γράμμα ὀθωμανικὸν ἔδειξεν ἡμῖν, ἐν ᾧ συνεβούλευον αὐτῷ δῆθεν οἱ πέμψαντες, ἀποκτεῖναι ἡμᾶς. καὶ λαμβάνει παρ' ἡμῶν ἄλλας τρεῖς χιλιάδας φλωρία. ἔδωκεν ὅμως ἡμῖν γράμματα βεβαιωτικὰ τῶν γεγονότων, καὶ ἄδειαν τοῦ ἀνακαινίσαι τὴν Λαῦραν τοῦ ἁγίου Σάββα, τὴν ἐκ τοῦ νοτίου μέρους ἀφανισθεῖσαν ἐν πᾶσι, καὶ ἔμεινε μόνη ἡ Ἐκκλησία ἐξώτοιχον, καὶ ἦσαν ἐκεῖ τὰ πρόβατα καὶ οἱ τράγοι τῶν Ἀράβων, οἵτινες ἔβαλον ἔσω τῆς Ἐκκλησίας τοὺς καρποὺς καὶ τοὺς βόας αὐτῶν, καὶ εἰσήρχοντο αἱ γυναῖκες αὐτῶν εἰς τὸ Μοναστήριον, καὶ κατεπάτουν αὐτό. ἀπήλθομεν οὖν εἰς τὴν Λαῦραν τοῦ ἁγίου Σάββα μετὰ ἀνθρώπου τοῦ Κριτοῦ, καὶ τοῦ Πασσᾶ, καὶ τινων τῆς Γερουσίας, καὶ ἐποίησε καταγραφὴν ὁ τοῦ Κριτοῦ ἄνθρωπος. καὶ πρῶτον, ἀπὸ τοῦ βήματος τῆς Ἐκκλησίας ἕως τοῦ ἀσκητηρίου τοῦ ἁγίου Σάββα ἐγένετο ὁ μέγας τοῖχος. δεύτερον, τὸ ἀσκητήριον τοῦ ἁγίου Σάββα. τρίτον, τὸ Κουβούκλιον. τέταρτον, ἡ περὶ τὸν Ναὸν αὐλὴ ἐστρώθη μετὰ πλακῶν, ἐν ᾗ ἐκαμῶντο τὸ πρῶτον τὰ ὀνάρια τῶν Ἀράβων. πέμπτον, ᾠκοδομήθη τοῖχος ἀπὸ τῆς ἔξω θύρας ἕως τῆς ῥαχίας καὶ τοῦ ἔξω πύργου καινός. ἕκτον, δύο Ἐκκλησίαι ἀνεκαινίσθησαν ὑποκάτωθεν τῆς μεγάλης, καὶ οἰκίαι κατὰ νότον ἑπτά. ἕβδομον, ἔσωθεν τῆς θύρας κλίμαξ πετρίνη, καὶ οἰκία καινὴ διὰ τοὺς ξένους ἔκτισται. ὄγδοον, ἀνεκαινίσθη ὁ πύργος τοῦ Δαμασκηνοῦ. ἔνατον, ὁ μέγας τοῖχος ἀπὸ τοῦ ἐπάνω πύργου ἕως τοῦ Χρυσοστόμου ὑψώθη τρεῖς πήχεις. δέκατον, ἡ Ἐκκλησία ἡ μεγάλη, διὰ τὸ εἶναι τὴν ὀροφὴν αὐτῆς σεσαθρωμένην, καὶ ἐν τῷ ὕειν τὰς ψεκάδας διαφθεῖραι τὰς ἱστορίας, ἐσκεπάσθη καὶ ἀνεκαινίσθη καὶ ἠλείφθη. ἑνδέκατον, τοῖχοι οἱ λοιποὶ, καὶ δεξαμεναὶ, πλὴν τῶν κελλίων, ἀνεκαινίσθησαν, καὶ ταῦτα πάντα ἐγένοντο κατὰ τὴν καταγραφὴν τοῦ Κριτοῦ, ἀρξαμένης τῆς οἰκοδομίας ἀπὸ Μηνὸς Ἰουλίου, καὶ τελειωθείσης ἐν Μηνὶ Νοεμβρίῳ, κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν ἕκτον ἔτος, καὶ ἐγένετο ὡς ὁρᾶται σὺν Θεῷ ἡ ἐσχάτη δόξα ὑπὲρ τὴν πρώτην, περὶ ἧς οὐ τοῦ παρόντος λέγειν, ἵνα μὴ λέγοντες τὰ τοῦ Θεοῦ, δόξωμεν λέγειν ἡμετερόν τι, ὅπερ παράνομον, Θεοῦ γάρ ἐσμεν συνεργοὶ, οὐκ αὐτοὶ ἐνεργοί. ἐγένετο δὲ ἡ πᾶσα τῆς οἰκοδομίας δαπάνη πλείονα τῶν δώδεκα χιλιάδων γρόσια.

ΠΑΡΑΓΡΑΦΟΝ Γ'.

Περὶ τῆς εἰς Κωνσταντινούπολιν ἐπανελεύσεως ἡμῶν ἀπὸ τῆς Ἱερουσαλὴμ, ἐν ᾗ ἐκ παραγγελίας ἡμῶν ἀνεκαινίσθησαν πάντα τὰ Μοναστήρια τῶν Ἰβήρων, καὶ περὶ τῆς χρονίας ἡμῶν ἀσθενείας.

Αὐτοὶ οὖν τῷ Αὐγούστῳ Μηνὶ ὡδεύσαμεν τὴν φέρουσαν εἰς Κωνσταντινούπολιν, ἐάσαντες μάθημα τοῖς πατράσιν, ἵνα, εἴπερ ὁ Κριτὴς ἐλάσσονι δαπάνῃ συγκατανεύει, ἀνακαινίσωσι καὶ τὰ τῶν Ἰβήρων Μοναστήρια, ἦσαν γὰρ πάντα σεσαθρωμένα καὶ ἑτοίμως ἔχοντα τοῦ καταπεσεῖν, καὶ μάλιστα τὰ τρία, τὸ τοῦ Σταυροῦ, τὸ τοῦ ἁγίου Νικολάου, καὶ τὸ τοῦ ἁγίου Βασιλείου. καὶ δὴ εὑρόντες καιρὸν οἱ πατέρες, καὶ λαβόντες Χοτζέτιον, ἤτοι βεβαιωτικὸν γράμμα παρὰ τοῦ Κριτοῦ, ἀνεκαίνισαν ἐν ἑνὶ ἐνιαυτῷ τὰ Μοναστήρια τῶν Ἰβήρων ταῦτα, τὸ τοῦ Σταυροῦ, τὸ τοῦ ἁγίου Νικολάου, τὸ τοῦ ἁγίου Βασιλείου, τὸ τῶν ἁγίων Θεοδώρων, τὸ τῆς ἁγίας Ἄννης, καὶ τὸ τοῦ ἁγίου Γεωργίου ἐν τῇ ἑβραΐδι. τίνα δὲ συνέβησαν ἐν τῷ μεταξὺ τὰ ἐναντία, οὐ τοῦ παρόντος λέγειν. ἐδαπανήθησαν ὅμως ἐν πάσαις ταῖς ἀνακαινίσεσι τῶν Μοναστηρίων τούτων γρόσια χιλιάδες εἴκοσιν. ἡμῶν δὲ ἐλθόντων εἰς Κωνσταντινούπολιν διὰ ξηρᾶς μετὰ πολλῶν ἀσθενειῶν, καὶ ἀπ' Ἀδριανουπόλεως εἰς Βλαχίαν μελετώντων ἀποδημῆσαι, ἐξεβλήθη ὁ Βεζύρης, καὶ ἐγένετο ὁ Συλεϊμᾶν Πασσᾶς Βεζύρης, τὸ γένος Σέρβος, τὴν γνώμην πολύτροπος, ᾧ γνωρίμῳ ἡμῖν ὄντι, καὶ τοιούτῳ, εἰσήλθομεν εἰς Ἀδριανούπολιν ἐν τυχεῖν αὐτῷ. ἀπερχόμενοι δὲ νυκτὸς πρὸς αὐτὸν, προσεκρούσαμεν τοῖς λίθοις τὸν πόδα, ὅθεν καὶ τὸ ποδαλγικὸν ἡμῖν συνέβη πάθος. καὶ ὁ μὲν Βεζύρης ἐδέξατο ἡμᾶς ἱκανῶς, ἡμεῖς δὲ ἠσθενήσαμεν καὶ ὑπὸ πυρετοῦ τὰ ἔσχατα, καὶ ὡς οὐδέποτε, κρίμασιν οἷς οἶδε Θεός. καὶ ἐκοιτάσθημεν ἀπὸ Δεκεμβρίου ἕως Μαρτίου.

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ἐπανάληψις τοῦ ἀποκομισθέντος ἐν Βυζαντίῳ τύπου, καὶ ἐν θαλάσσῃ ῥιφέντος, καὶ περὶ τοῦ ἐν Γιασίῳ συστάντος ἑλληνικοῦ τύπου, καὶ τῶν τυπωθέντων βιβλίων, καὶ ὧν ἐπεχείρησαν οἱ τοῦ Κελτοῦ πρέσβεις καὶ οἱ παπισταὶ ἐπιχειρημάτων τοῦ λαβεῖν τὸν ἅγιον τάφον καὶ διὰ γράμματος πρὸς τὸν Βεζύρην τοῦ Κελτοῦ.

Ἐπαναλαμβάνοντες τὸν προῤῥηθέντα λόγον, ὅτι δηλονότι πατριαρχοῦντος Κυρίλλου τοῦ Λουκάρεως, ἐκόμισεν (οὐκ οἶδα τίς) τύπον ἑλληνικὸν εἰς Κωνσταντινούπολιν, ὅτε καὶ ἐτυπώθησαν τὸ Σύνταγμα τοῦ

τῆ Σχολαρίε, καὶ τῆ Παλαμᾶ τὸ ἀνηρρήτικὸν κ τῆ Πάπα, κ ὁ τῆ Μαργενίε Διάλογ, καὶ ἄλλα τινὰ, οὓς, τῶν παπισῶν πληθ χρημάτων τοῖς κρατοῦσι δόντων, ἐρρίψαν ὀν τῆ θαλάσση οἱ κρατοῦντες. ὀν ἔτει δὲ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ὄντες εἰς Γιάσιον, καὶ ἰδόντες τὸς μὲν Μολδαβίας τύπον ἔχοντας, τὸς δ' Ἕλληνας ἅ, ἐκρινόμεθα πῶ καρδίαν. ὁ δὲ Θεὸς ὁ τῶν καλῶν ἀρχηγὸς καὶ τελειωτὴς, φέρει ἡμῖν Βλάχον τινὰ Ἱερομόναχον τ' ὄνομα Μητροφάνη, καὶ δίδομεν αὐτῷ ἑξακόσια γρόσια, καὶ κατασκευάζει τύπον ἡμῶν. καὶ δὴ δίδομεν αὐτῷ ἀναλώματα, κ χαρτία, καὶ τὸ βιβλίον τῆ Νεκταρίε κατὰ τῆς ἀρχῆς τῆ Πάπα πέμπομεν, καὶ παρ' ἐλπίδα τυπῶται, ὃ κ διεσείσαμεν τοῖς πᾶσιν ἀθρασδοκήτως. ὤφθη δὲ ἡμῖν γλυκὺ τὸ πρᾶγμα, καὶ ὁ Ἀθανασπέλε διερισκόμενοι, τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ ἔτει, ἀτεσείλαμεν χαρτία εἰς Γιάσιον, καὶ ἐδώκαμεν τῷ τύπῳ καὶ τὸ τῆ Συμεὼν Θεσσαλονίκης Βιβλίον, γράψαντες ἐπιστολὰς καὶ τῷ Δέκᾳ Βοεβόδα. ὄντων δὲ ἡμῶν ὁ Ἱεροσολύμεις, ἀπῆλθον εἰς Ἀδριανούπολιν πρεσβύτής τις τῶν Γάλλων, καὶ μετ' αὐτῆ οἱ Φράγγοι, καὶ ἐπιχειρήσαμεν πολλῶν τῆ λαβεῖν τὰ σεβασμίσματα, καὶ δὴ καὶ τὰ βιβλία πρέβαλοντο, ἕνα μὲν τὸ σωτάπεν καὶ ὀντυπῶν τοιαῦτα βιβλία τὸν Πατριάρχιν Ἱεροσολύμων, παρεκινήθη ὁ Κράλης τῆς Λεχίας εἰς πόλεμον. πολλὰ δ' ἦν ἠγωνίσαντο, ἀλλ' ὁ Βεζύρης φρόνιμ ὢν, ὀν τοῖς πᾶσιν ἀπέβαλον αὐτούς. ἀποθανόντ δ' ἐκείνε τῆ πρέσβεως, ἦλθον ἄλλ εἰς Ἀδριανούπολιν, ὄντων ἡμῶν ἐκεῖ ἀθενῶν, καὶ ἐπιχειρεῖ τοῖς αὐτοῖς πάλιν καθ' ἡμῶν, καὶ τῶν σεβασμίων σεσκιωμάτων, κομισάμθ καὶ γράμμα τῆ Ῥήγος τῆς Φράντζας περὶ ταύτης τῆς ὑποθέσεως. ἔλεγε δὲ καὶ τότε, ὅτι ὁ Σικελίας Ῥὴξ εἶχε τὸν Ἱερουσαλὴμ, ὅτι ἡμεῖς συγγενεῖς, κ δικαίως ἔπρεπε τὴν κληρονομίαν ἡμῶν εἶναι. οἱ μὲν ὄν Ὀθωμανοὶ διεπέροντο τὴν καρδίαν περὶ τῶν τοιούτων, ἀλλ' ὁ πόλεμ τῶν Γερμανῶν ἐποίει αὐτὸς σωπᾶν. ἀπεκρίθησαν ὅμως γράμμασιν ἐναντίοις τῆ Κελτῆ.

ΠΑΡΑΓΡΑΦΟΝ Β'.

Ἀπόκρισις τεχνικὴ τῆ Βεζύρη πρὸς τὸν Κελτὸν, αἰτήσαντα καθίσαι Κόνσυλον Ἴδιον ὀν τῆ Σεβαΐζ, ὡσαύτως καὶ περὶ τῆ ἁγίε τάφε, εἰς οὓς μέλλοντος ἀπέρχεσθαι ἐξετασῆ, εἰσελθόντες εἰς τὸν Βεζύρην, σπουδαλήσαμεν πολλὰ, καὶ περὶ τῆς εἰς Βλαχίαν ἀποδημίας ἡμῶν.

Ἐζήτησε δὲ ὁ Φραντζέζ καὶ ἑτερόν τι, ἵνα δηλαδὴ ὀν τῆ Σεβαΐζ (ὅπερ πάλαι ἐλέγετο Ἡρώων πόλις, κειμένη ὀν τῆ δυσικωτάτῳ μυχῷ τῆς Ἐρυθρᾶς θαλάσσης) ἔχῃ Κόνσυλον, καὶ ἀπέρχωνται ἐκεῖσε αἱ Νῆες αὐτῆ μετὰ πραγματείας τῆς Ἰνδίας, καὶ Εὐδαίμον Ἀραβίας, ὥστε ὅσα πράγματα ἔρχονται ἀπὸ τῆς Ἰνδίας εἰς τὴν Δύσιν μετὰ πορτογαλλικῶν Νηῶν, καὶ ἔτι εἰς τὸ Μπεντέρι τῆς Περσίας, καὶ εἰς τὴν Μπάσσραν, καὶ εἰς τὴν Μέκκαν, καὶ σεσείῃ ὅσα φέρουσιν οἱ Ἄραβες ἀπὸ Γεμσὶ, καὶ Σεβαΐζ, ταῦτα πάντα ἀποκομίζειν τὸς Φραντζέζους εἰς ὅλα ἐκεῖνα τὰ ἐμπόρια, καὶ δὴ καὶ εἰς τὸ Σεβαΐζ. οἱ δὲ Ὀθωμανοὶ ὑποπτεύοντες, μήπως οἱ Κελτοὶ ἐθισθέντες εἰς τὴν Ἐρυθρὰν Θάλασσαν, γένωνται πειραταὶ τῶν ἐρχομένων ἀπὸ Ἰνδίας, καὶ Εὐδαίμονος Ἀραβίας εἰς Μέκκαν, καὶ Αἰγύπτου, καὶ μήπως κτίσωσιν ὀν τινι Νήσῳ Φρούριον, καὶ παρέχωσιν αὐτοῖς πράγματα, τὸ μὲν ζήτημα ἀπέβαλον, ἐμοὶ κατ' ἀθέαν, ἀλλ' οἰκονομία, ὅτι ἐφοβοῦντο, ἵνα μὴ ὁμονοήσωσι καὶ αὐτοὶ τοῖς Βοεβοδικοῖς, καὶ Γερμανοῖς. καὶ δὴ ἀποκρίνονται τῷ Κελτῷ, ὅτι περὶ τούτου πέμψουσιν ἐρωτῆσαι τὸν Σερίφιν (ἔστι δὲ οὗτος ἀρχηγὸς τῆς Μέκκας, Ἐμήρης τῆς Φυλῆς, τῆς δ' ἀρχῆς ὢν ἐκ τῆ Βασιλέως λαμβάνων) καὶ τῷ ὀν Αἰγύπτῳ Σύγκλητον, ὅτιγε χωρὶς τῆς ἐκείνων γνώμης τοιοῦτόν τι οὐκ ἐνεργοῦσιν. εἶτα εἶπον καὶ περὶ τῆς Ἱερουσαλὴμ, ὅτι δίκημα δοκεῖτε λέγειν ὑμεῖς τε καὶ οἱ Ἕλληνες. ἡμεῖς ὅμως πέμψομεν εἰς Ἱερουσαλὴμ Ἀγᾶν, ἤτοι Ἄρχοντα βασιλικὸν ἐξετασὴν μετὰ ὁρισμῆ τῆ ἰδεῖν ὅτι ἐστὶ τὸ δίκαιον. ἀθωνὴς δὲ ὢν ἐγὼ, καὶ μικρὸν αἰαρέσας, ἀπῆλθον εἰς τὸν Βεζύρην μετὰ τῆ μεγάλε Ἑρμηνέως κ Ἐξαπερήτων τῆς βασιλείας κυρῆ Ἀλεξάνδρε Μαυροκορδάτε, καὶ τῆ Ἄρχοντ Μαιολάκη Κασοριανῆ. ὁ δὲ Βεζύρης κ πλησίον αὐτῆ ἐκάθισέ με, καὶ ἠρώτα τὰ κατ' ἐμέ.

Χρύσανθ Ἱεροσολύμων.

Ἀλλ' ὦ σεβασμιώτατε δέσποτα, πῶς ἐπλήσμων ἐγένε, καὶ ὀκ ἐσημείωσας ἐνταῦθα τὴν σαμαρείταναν, ἣν ἔδωκας αὐτῷ χαεῖν, ἣν ἐγὼ ἐβάσαζον ὀν ταῖς χερσὶ, καὶ σεσείῃ τὰ πεντακόσια Βενετίκα χρυσᾶ; καὶ γὰρ κ' ἐγὼ συμπαρήμην ἀπ' ἀρχῆς ἄχρι τέλους. ἔγωγε δὲ ἀκρυσι περιῤῥανόμ ἐλεγον· Ὦ αἰθρωπε, δύο ἵνων κακῶν αἰτία καθίσασαι δι' αὐτῆ τὴν πέμπειν εἰς Ἱερουσαλὴμ ἐξετασὴν, ἑνὸς μὲν, ὅτι οἱ Κελταὶ ἐκφοβοῦσι τὸς πατέρας, ἵνα λάβωσιν ἀργύρια. δευτέρε δὲ, ὅτι οἱ Φράγγοι ὀκ ἔχουσιν ὀν χερσὶν ὁρισμόν ἵνα ὑμέτερον ἄξιον, καὶ παντοτε ζητοῦσι τὴν Ἱερουσαλὴμ, τὸ δὲ Ἁγᾶ ἐκεῖσε ἀπελθόντος, ὅλοι οἱ ἐκεῖ λαμβάνοντες Φλωρία παρ' αὐτῶν τῶν Φράγγων, μαρτυροῦσιν ἐκείνων ἕνεκα, καὶ ἔχουσιν (οἱ Φράγγοι) αἰτίαν ὑμᾶς ἐνοχλεῖν. μὴ λοιπὸν γένεσθω αὕτη ἡ ἐξέτασις, καὶ μάλισα ἐπὶ σῆ δικαίᾳ καὶ ἀγαθῆ ὄντ. ἐδὲ δ' ἐφθέγξατο ἄνθρωπε ἔφη, καὶ μὴ λέγε τοιαῦτα, ἔοικα ὅμως ἀγνοεῖν σε βλάπτειν τὴν ἐμὴν, ἣν εἶχον καὶ ἔχω εἰς τὸ γένος τὸ σὸν, καὶ εἰς σὲ αὐτὸν, ἐπειδὴ ἀμφιβάλλων εἰς γνώμην τὴν ἐμὴν, ἐκφάσεις ἐπονοεῖς ματαίας. λοιπὸν ἴσθι οἱ ἔθνικοι καὶ αἱρέσχωτοι Φράγγοι ζητοῦσιν ὑπερο-

1238

ὑπέρογκα καὶ ἀδιάβατα, ὧν οἷς παρεσέθηκαν καὶ τὸ πολεμῆσαι τοῖς ἐχθροῖς τοῦ Βασιλέως. ἡμᾶς δὲ ἀποβαλεῖν αὐτὸς περὶ τῶν δύο τούτων ζητημάτων, διορίσαι παρεφάσεις. δοῦναι δὲ αὐτοῖς ταῦτα, καὶ πῶς; Διατοῦτο ἐμακρυάλωμεν τὸν καιρὸν, ἵνα δῆθεν ἀποστείλωμεν ἐρωτῆσαι. ὁ δὲ τῷ μεταξὺ παρῆρρεῖ χεῖρα. καὶ εἴπομεν ἴδωμεν αὐτὸς, ὅτι κινηθήσονται κατὰ τῶν ἐχθρῶν τοῦ Βασιλέως, τότε ἐστὶν ἄλλο λόγος, εἰ δὲ μὴ, παντὶ μεταίως ἐπιχειρῆσαι. σὺ δὲ γράψαι τοῖς Μοναχοῖς μὴ φοβηθῆναι, μήτε δοῦναί τι, καὶ ἡσύχασαν. ἀπηλθομεν ἔν εἰς Βλαχίαν ἡμᾶς μηνὶ Ἀπριλίῳ, κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν ἕκτον ἔτος, καὶ ὁ Ἀγᾶς ἀπῆλθε μετὰ ἑνὸς Φράγγου Ἑρμηνέως εἰς Ἱερουσαλὴμ καὶ μετὰ φραγκόρων. 5

ΠΑΡΑΓΡΑΦΟΝ Γ'. 10

Ὅτι περὶ ἐξέτασιν τῶν προσκυνημάτων τῆς Ἱερουσαλὴμ, καὶ τοὺς ἐν τῷ κειτηρίῳ γενομένους ἀναφορὰς ὑπὲρ τῶν Φράγγων διὰ τὰ προσκυνήματα, ὁ Βεζύρης ἀπέβαλε σὺν τῷ περὶ τούτων γράμματι τοῦ Φραντζᾶ, καὶ περὶ τῆς ἀταρσίας τοῦ Στρατοῦ, καὶ ἀλλαγῆς τοῦ Σελταὶν Μωαμὲτ, καὶ αἱρέσεως τοῦ Βεζύρη, καὶ τῆς προς ἡμᾶς βοηθείας τοῦ Σερμπάν Βοεβόδα τοῦ Καντακυζηνοῦ, καὶ τῆς μεταβάσεως ἡμῶν ἀπὸ Βλαχίας εἰς Γιάσιον, καὶ φυγῆς αὖθις εἰς Βλαχίαν διὰ τὴν σὰν καταδρομὴν τοῦ Κράλη Λεχίας, καὶ εἰς Βυζάντιον ἐπανελθύσεως, καὶ περὶ ἐλάβομεν Χρυσοβούλλου κατὰ τῶν ἐν τῷ ἁγίῳ τάφῳ ἀδικιῶν. 15

Ἀπῆλθον δὲ ὁ βασιλικὸς Ἄρχων καὶ οἱ σὺν αὐτῷ διὰ θαλάσσης, καὶ φθάσαντες εἰς Ἱερουσαλὴμ, ἐγείρουσι τὸν Κριτὴν, καὶ ἄνθρωπον τοῦ Πασσᾶ, ἢ τὴν Γερουσίαν τῶν Σαρακηνῶν, καὶ ποιοῦσιν ἐξέτασιν τῶν ὕδων ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ τοῦ ἁγίου τάφου, καὶ ἐν τῇ Βηθλεὲμ, καὶ γράφουσιν ὅτι εἰσὶ τῶν Φράγγων ὁ Γολγοθᾶς, ἡ δὲ καθήλωσις, καὶ τὸ προσκυνητὸν Κουβούκλιον, καὶ ἡ ἔμπροσθεν αὐτοῦ καμάρα τῆς Ἀναλήψεως, καὶ ἐν τῇ Βηθλεὲμ τὸ ἅγιον Σπήλαιον. ἡ μεγάλη Ἐκκλησία. ἡ νάρθηξ αὐλή. οἱ κῆποι. τὰς δὲ πατέρας λέγοντας κατὰ τὸ Ἁγιᾶ, ὅτι καλῶς ποιεῖ, δέρει αὐτὸς ὁ Ἁγᾶς, καὶ διώκει μετὰ ῥομφαίας ἐσπασμένης ἐν τῇ χειρὶ αὐτοῦ. βάλονται οἱ φράγοι ἀπαιωρῆσαι τὰς μεγάλας καμάρας τὰς τρεῖς καυδήλας. ἐναντιοῦνται οἱ πατέρες, καὶ ἐμποδίζουσιν αὐτούς. εἶτα γίνεται συνέδριον μέγιστον εἰς τὸ κειτήριον, καὶ φαίνονται ὅλοι βοηθοὶ τοῖς Λατίνοις. γράφουσιν ἀναφορὰς καὶ σφραγίζουσιν, ὅτι ἦσαν τὰ γραφόντα ἐν Βηθλεὲμ, ἢ ἡ Ἀποκαθήλωσις, ἢ ὁ Γολγοθᾶς τῶν Φράγγων· καὶ ὡσὶ πεντήκοντα ἐτῶν ἔλαβον αὐτὰ ὁ Πατριάρχης Θεοφάνης. καὶ τὸ Κουβούκλιον τῶν Φράγγων οὐ, ὡσὶ ὀκτὼ χρόνων ἔλαβον αὐτὸ ὁ Πατριάρχης Δοσίθεος. ἔπειτα μηχανῶνται, καὶ γράφουσιν ἀναφορὰν περιέχουσαν πόσα Μοναστήρια καὶ Ἐκκλησίας ἔχουσιν οἱ Φράγγοι ἐν Ἱερουσαλὴμ, καὶ πόσα οἱ Ῥωμαῖοι, ἵνα δείξωσιν ἐν τούτῳ ὅτι ἔχουσι πολλὰ οἱ Ῥωμαῖοι, καὶ οἱ Φράγγοι εἰσὶν ἠδικημένοι. ὁ δὲν Ἁγᾶς ἐπανελθὼν μετὰ τοῦ Ἑρμηνέως εἰς τὸν Βεζύρην ἐν τῷ Σιρμίῳ ὄντα, ἔδωκεν. ἔγραψε δὲ καὶ τὸν Βεζύρην ὁ Ῥῆξ τῆς Φραντζίας, ὁ λεγόμενος Χειρισανικώτατος, μεμφόμενος αὐτὸν, ἀλλ' ἔδωκεν. μετὰ δὲ τὸ δεύτερον ἔτος, καθ' ὃ ἐλήφθη ἡ Πέστη ὑπὸ τῶν Γερμανῶν, γενομένης ὑπὸ τοῦ Στρατοῦ ἀταρσίας ἐν τῷ Σιρμίῳ κατὰ τὴν Μέρσαν, καὶ τὸ Βαραντίνι, καὶ ἐλθόντες τοῦ Στρατοῦ εἰς Κωνσταντινούπολιν, ὅτε καὶ ὁ Βασιλεὺς ἠλάχθη τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ ἔτει, Ὀκτωβρίου εἰκοστῇ ἐνάτῃ, ἡμέρᾳ Σαββάτῳ, καὶ ὁ Βεζύρης ἀπεκταύθη, ἔπαυσαν καὶ τὰ τοῦ πρέσβεως ἕως ἐκεῖ. διεσκορπίσθησαν δὲ ἡμῶν ἐν Βλαχίᾳ, πολλὰ διὰ γραμμάτων ζητοῦντος τοῦ Βεζύρου ἐβοήθησε τῷ ἁγίῳ τάφῳ ὁ Αὐθέντης τῆς Οὐγγροβλαχίας Σερμπάν ὁ Καντακυζηνὸς, ᾧ ὁ Κύριος ἀποδοίη τὸς μισθὸς ἐν τῇ αἰῶνι Ἱερουσαλήμ. ἡμεῖς δὲ ἀπὸ Βλαχίας ἀπήλθομεν εἰς Γιάσιον τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ἕκτῳ ἔτει, Ἰουλίου ὀκτωκαιδεκάτῃ. καὶ ἐλθόντες τοῦ Κράλη τῆς Λεχίας εἰς Μολδοβλαχίαν, ἐφύγομεν, ἐξελθόντες τοῦ Γιασίου τῇ εἰκοστῇ τρίτῃ Ἰουλίου, καὶ ἤλθομεν εἰς Βλαχίαν. ὅσα δὲ κακὰ ὁ Κράλης καὶ οἱ Λέχοι εἰργάσαντο τὰ Μοναστήρια καὶ τὰς Ἐκκλησίας καὶ τὸ κοινὸν τῶν Χριστιανῶν ἐν Μολδοβλαχίᾳ, πᾶσης εἰσὶ τραγῳδίας ἐπέκεινα. ὑπέστρεψαν ὅμως ἄπρακτοι. καὶ ἡμεῖς τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ἑβδόμῳ ἔτει, Μηνὶ Ἀπριλίῳ ἤλθομεν εἰς Κωνσταντινούπολιν, ὅτε καὶ Χρυσόβουλλον ἐλάβομεν παρὰ τῆς Βασιλείας περὶ τῶν ἀδικιῶν, καὶ ἐπέμψαμεν αὐτὸ εἰς Ἱερουσαλήμ. καὶ ἦσαν καλῶς ἔχοντα τὰ ἡμέτερα, εἰ μὴ ἐνεργεῖτο ἡ ἀλλαγὴ τοῦ Σελταὶν, καὶ ὁ θάνατος τοῦ Βεζύρη. ἡ δὲ τοῦ Σελταὶν ἀλλαγὴ ἐγένετο ἔτω. 20 25 30 35 40 45

ΠΑΡΑΓΡΑΦΟΝ Δ'. 50

Περὶ τοῦ τρόπου τῆς ἀλλαγῆς τοῦ Σελταὶν Μωαμὲτ, καὶ τῆς αἱρέσεως τοῦ Σελταὶν Σελεϊμὰν, καὶ τῶν καλῶν τῶν ἀποσταλέντων ἐν Βυζαντίῳ, καὶ τῆς ῥᾳδίας αἱρέσεως αὐτῶν. αἰτήσεως τοῦ ἁγίου τάφου παρὰ τὸν Βεζύρην διὰ τῆς πρέσβεως τοῦ Φραντζᾶ, καὶ ἀποβολῆς αὐτοῦ. ἁλώσεως ὑπὸ Γερμανῶν τοῦ Βελεγραδίου, καὶ ἀβολῆς τοῦ τότε Βεζύρη. αἰχμαλωτισμοῦ Σερβίας καὶ Δαρδανίας, καὶ ἀπραξίας τοῦ Μαχικοῦ Στρατοῦ.

δόσεως

δόσεως πρὸς ἡμᾶς Χὰτ Σεριφίου. νίκης Γερμανῶν, καὶ αἰχμαλωτισμοῦ αὖθις Σερβίας καὶ Δαρδανίας, καὶ περὶ τοῦ Βεζυράτου Μουσταφαπασσᾶ υἱοῦ Κιοπρουλῆ.

Συνήχθησαν ἐν τῇ ἁγίᾳ Σοφίᾳ ὁ Ἀνθύπατος (ὁ γὰρ Βεζύρης οὔπω φθὰς ἦλθε μετὰ τοῦ Στρατοῦ ἐκ τοῦ πολέμου) καὶ ὁ Μουφτὴς, ἤτοι ὁ κυρωτὴς τῶν ἐντολῶν τοῦ Νόμου, καὶ οἱ λοιποὶ Κριταὶ καὶ Σχολάριοι, καὶ ἐμήνυσαν τῷ Ἀρχιευνούχῳ, καὶ ἐξέβαλε τῆς ἐν ᾗ ἦν οἰκίας τὸν ἀδελφὸν τοῦ Σουλταῦ Μωαμὲτ τὸν Σουλταῦ Σουλεϊμαῦ, καὶ ἔπεμψεν αὐτὸν ἔξω, καὶ ἐψηφίσαντο αὐτὸν Βασιλέα. εἶτα ὁ Σουλταῦ Σουλεϊμαῦ ἔγραψε πρόσταγμα τῷ ἀδελφῷ αὐτοῦ Σουλταῦ μωαμὲτ ἀπελθεῖν εἰς τὸν περιορισμόν. καὶ οὕτως ἀπῆλθον οἱ τὸ πρόσταγμα φέροντες ὅπου ἦν κοιμώμενος, καὶ δεδώκασιν αὐτῷ τὸ γράμμα, ὁ δὲ εἶπεν, Ὁ ὁρισμὸς τοῦ Θεοῦ. καὶ ἀπῆλθεν ὁ σχεδὸν τεσσαράκοντα ἔτη βασιλεύσας εἰς τὸν περιορισμόν. καὶ τοσοῦτον ῥᾳδία ἡ μεταβολὴ ἐγένετο, ὥστε τὴν πόλιν διὰ τοῦ Κήρυκος αὐτὴν μαθεῖν. ἦλθον δὲ τὰ Στρατεύματα μετὰ ὀφρύος, καὶ εἰργάσαντο τὴν πόλιν πολλὰ κακὰ, καὶ δὴ καὶ ἀλλήλους κατέκοπτον. εἷς δέ τις Ὀθωμανὸς πτωχὸς ἀδικηθεὶς, καὶ θεὶς τὸ μανδίλιον αὐτοῦ ἐφ' ἑνὶ ξύλῳ, ἐξεβόησε, Δράμετε εἰς τὴν σημαίαν τοῦ Προφήτου. καὶ οὕτω πόλις καὶ Γαλατᾶς νομίσαντες ἐκβαλεῖν τὸν Σουλταῦον τὸ τοιοῦτον σημεῖον, ἔδραμον εἰς τὸ Παλάτιον χάριν προσκυνήσεως αὐτοῦ ὡς ἔθος. πλήθους δὲ πολλοῦ συνελθόντος, ἐξήγαγεν ὁ Σουλταῦος ἔξω τὴν σημαίαν, καὶ ἐπειδὴ ὁ μὴ βουλόμενος ὑπ' αὐτὴν ἐλθεῖν, ἐστὶν ἀσεβὴς, ἦλθον καὶ οἱ ἀποστάται, οὓς καθάπαξ οἱ συνελθόντες ἀπέκτειναν. καὶ ἔνθα οὐκ ἐπίστευέ τις παύσασθαί ποτε τὴν ἀποστασίαν, διεφθάρει ἐν ἀκαρεῖ. ἐγένετο δὲ Βεζύρης τὶς Ἰσμαὴλ Πασσᾶς, εἰς ὃν πάλιν ἦλθεν ὁ τοῦ Φράντζα πρεσβευτὴς ζητῶν τὴν Ἱερουσαλήμ. ἀλλ' ὁ Βεζύρης ἀπεκρίθη αὐτῷ, ὅτι τοῦτο οὐ γίνεται, καὶ οὕτως αὐτὸν ἀπέβαλεν. ἀλλὰ μετὰ τρεῖς Μῆνας τοῦ Βεζύρη ἐκβληθέντος, ἐγένετο ἀντ' αὐτοῦ ἄλλος, ὃς ἀπῆλθε μετὰ τοῦ Σουλτάνου εἰς Ἀδριανούπολιν. ἔλαβον δὲ καὶ οἱ Γερμανοὶ τὸ Βελεγράδιον, καὶ ἦλθον ἕως εἰς τὸ Νήσῃ καὶ Σκόπια. οἱ δὲ Ὀθωμανοὶ καὶ ὁ Χάνης τῶν Τατάρων ἀντιμαχόμενοι, ἠχμαλώτισαν τὸ πλεῖστον μέρος τῆς Σερβίας καὶ Δαρδανίας. κατῆλθε δὲ καὶ ὁ τῶν Μοσχόβων Στρατὸς μυριάριθμος εἰς τὴν Ταυρόνησον, ἀλλ' ὑπέστρεψεν ἄπρακτος. ἀπήλθομεν δὲ καὶ ἡμεῖς εἰς Ἀδριανούπολιν, καὶ ἐλάβομεν παρὰ τῆς βασιλείας ἀναγκαῖον Χὰτ Σερὶφ περὶ τῶν ἁγίων προσκυνημάτων, ἐπειδὴ οἱ Φραντζέζοι πάλιν ἠνώχλουν καὶ τὴν βασιλικὴν πόρταν, καὶ τὴν Ἱερουσαλήμ. κατὰ δὲ τὸ ἐπελθὸν χιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν ἔνατον ἔτος, ἐστράτευσεν ὁ Βεζύρης κατὰ τῶν Γερμανῶν εἰς Σοφίαν, ἀλλὰ κατὰ πάντα τρόπον ἐνικήθησαν οἱ Ὀθωμανοὶ ὑπὸ τῶν Γερμανῶν. ἐγένετο δὲ πάλιν αἰχμαλωσία ἔν τε Σερβίᾳ καὶ Δαρδανίᾳ παρὰ τῶν Ὀθωμανῶν καὶ Τατάρων. ὅθεν ὁ Σουλταῦος ἤλλαξε τὸν Βεζύρην, καὶ ἐποίησε Βεζύρην τὸν Μουσταφαπασσᾶν, υἱὸν τοῦ Κιοπρουλῆ, ὃς ἐδόκει εἶναι σοφὸς καὶ δίκαιος καὶ ἐν πᾶσι πρακτικός.

ΒΙΒΛΙΟΝ ΙΒ'. ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῶν συμβάντων δεινῶν ἐν Ἱερουσαλὴμ παρὰ τῶν μετὰ βασιλικοῦ Ἄρχοντος ἐλθόντων Φράρων, καὶ εἰς ὅλον τὸ τοῖς ἔθνεσι ὑποκείμενον γένος τῶν ὀρθοδόξων. καὶ ὅτι λέγοντες οἱ Φράροι ἔχειν τὰ προσκυνήματα, ψεύδονται. καὶ τίνι τρόπῳ ἥρπασαν ἑαυτοῖς τινὰ ἐξουσίαν. καὶ ὅτι πλείω πάντων τῶν Αἱρετικῶν οἱ ὀρθόδοξοι προσκυνήματα ἐν Ἱερουσαλὴμ ἔχουσι.

Λέγει ὁ Σωζόμενος ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ ἕκτου βιβλίου τοῦ χρονικοῦ αὐτοῦ, ὅτι ἐπὶ Κωνσταντίου τοῦ Αὐγούστου ἐν ὀνείρῳ εἶδεν ὁ μέγας Ἀντώνιος ἡμιόνους τινὰς λακτίζοντας τὸ Θυσιαστήριον, καὶ κρημνίσαντας τὴν ἁγίαν τράπεζαν. ὅθεν εἶπεν εὐθὺς, ὅτι ταραχὴ νόθων καὶ ἐπιμίκτων δογμάτων καταλήψεται τὴν Ἐκκλησίαν, καὶ ἑτεροδόξων ἐπανάστασις γενήσεται. ὅθεν ἠκολούθησαν ὅσα ὑπὸ τῶν Ἀρειανῶν καὶ Ἀνομοίων καὶ Μακεδονιανῶν ἐγένοντο ἐπ' αὐτοῦ Κωνσταντίου καὶ Ἰουλιανοῦ καὶ Οὐάλεντος, καὶ τὰ ἐπὶ τούτων κακά. ὁ δὲ Γρηγορᾶς ἱστορεῖ ἐν τῷ ὀγδόῳ βιβλίῳ τῆς ἱστορίας αὐτοῦ, ὅτι ἐν ἔτει ἑξακισχιοστῷ ὀκτακοσιοστῷ τριακοστῷ ἕκτῳ, Σεπτεμβρίου πρώτῃ, ὡς ἔθος τῶν Εἰκόνων καὶ τοῦ Βασιλέως καὶ τοῦ Πατριάρχου συνελθόντων εἰς τὸν πορφυροῦν Κίονα, ὅπου ὁ θεῖος ἵδρυται Σταυρὸς, χοῖρος ἐπεισπηδήσας ἐν μέσῳ τῶν ψαλμῶν, πολλῷ τῷ τέλματι βεβρεγμένος, καὶ πολλὰς ἀτάκτους περιφορὰς ποιησάμενος, ὑπεξῆλθεν. ὅθεν ἠκολούθησαν ἡ τοῦ Βαρλαὰμ Αἵρεσις, καὶ τὰ τῶν Ὀθωμανῶν ἀδυσώπητα κακὰ εἰς τοὺς Ῥωμαίους. οὕτως ἐν τοῖς ἡμετέροις καιροῖς, τῷ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ὀγδόῳ ἔτει, εἰς τὴν Ἐκκλησίαν τοῦ ἁγίου Γεωργίου τοῦ ἐν Κωνσταντινουπόλει Μετοχίου τοῦ ἁγίου τάφου, ἐν ἡμέρᾳ ἑορτῆς, λαοῦ ἱκανοῦ συνηγμένου, καὶ ἱερουργοῦντος τοῦ Ἱερέως, Κύων μέγας καὶ ἄγριος ἐπεισπηδήσας ἐν μέσῳ τῆς Ἐκκλησίας ἐξαίφνης, καὶ ἐλθὼν ἕως τοῦ ἀρχιερατικοῦ θρόνου, καὶ πολλὰς περιφορὰς καὶ ὑλακὰς ἀγρίας ὥσπερ Λύκος ποιησάμενος, ὑπεξῆλθεν. ὅθεν ἠκολούθησαν αἱ ταραχαὶ τῶν Φραντζέζων. ἡ καταδρομὴ τῶν ἁγίων προσκυνημάτων. τὸ δυσβάστακτον

τέλος

τέλος, ἤτοι τὸ χαράτζιον εἰς τοὺς Χριστιανοὺς, καὶ εἰς αὐτοὺς τοὺς Μοναχούς, ἅπερ δὴ ταῦτα, καὶ μάλιστα ὁποῖα καὶ ὁπόσα κακὰ προεξένησαν οἱ Φράροι εἰς τὴν Ἱερουσαλὴμ, ὅτε ἀπῆλθον μετὰ τοῦ ὁρισμοῦ καὶ τοῦ βασιλικοῦ ἀνθρώπου, καὶ ἥρπασαν μετὰ δολιότητος καὶ δυναστείας τὸ ἔχειν μόνον τὰ πρωτεῖα ἔν τισι σεβασμίοις προσκυνήμασιν, ἰδίᾳ ἄλλης δέονται πραγματείας. δύο ὅμως τινὰ μόνον συντόμως λέγομεν ἐν ταῦθα, πρῶτον, ὅτι ἵνα δείξωσιν ἑαυτοὺς οἱ Λατῖνοι ἀρχαίους καὶ ἀδυσωπήτους ἐχθροὺς τῶν ὀρθοδόξων, συνέτριψαν τὸ Τέμπλεον τοῦ ἐν Βηθλεὲμ Ναοῦ, ὅπερ ἡμεῖς ἐπὶ τέσσαρα ἔτη κατεσκευάσαμεν διὰ τεχνιτῶν Χίων. ἐχλεύαζον καὶ κατεπάτουν τὸν τίμιον Σταυρὸν καὶ τὰς ἁγίας Εἰκόνας ὡς ζωγραφίας δῆθεν Ῥωμαίων, τὴν δὲ ἐν τῇ ἔμπροσθεν τοῦ ἁγίου τάφου καμάρᾳ ἁγίαν τράπεζαν, ἔνθα οἱ Πατριάρχαι διένειμαν τὸ ἅγιον φῶς, κατέσκαψαν, καὶ εὑρόντες ἐν τοῖς θεμελίοις αὐτῆς θήβην τινὰ μετὰ ἁγίων λειψάνων, ἔλαβον αὐτὴν, εἶτα ψευδῶς διεκωδώνισαν ὅτι ἐκρέμασεν ἡ βασιλεία τὸν Πατριάρχην, καὶ ἦσαν οἱ ὀρθόδοξοι εἰς λύπην καὶ ταραχὴν μεγάλην. ἔφθασεν ὅμως ἐκεῖ τὸ γράμμα ἡμῶν, καὶ ἐποίησαν οἱ Χριστιανοὶ κατὰ τὴν νύκτα ἐκείνην λυχναψίαν ἐν ταῖς οἰκίαις αὐτῶν ὑπὸ χαρᾶς. οἱ δὲ Φράροι διαβάλλουσι τὸν ἐπίτροπον ἡμῶν τοῖς ἐξουσιασταῖς ὅτι ὕβρισε τὸν βασιλικὸν Ἄρχοντα, καὶ ἄλλα τινὰ ἐτεχνάσαντο ἵνα κακοποιήσωσι τοὺς πατέρας, ὅθεν ἔφυγον εἰς τὴν Δαμασκὸν, ἕως οὗ ἀπεστείλαμεν ὁρισμὸν ἀσφαλείας ἀπὸ Ἀδριανουπόλεως, καὶ οὕτως ἐπανῆλθον πάλιν εἰς Ἱερουσαλὴμ. δεύτερον, μάτην καὶ ψευδῶς εὐαγγελίζονται τοῖς πανταχοῦ ὅτι ἔλαβον τὰ ἅγια προσκυνήματα, εἰ γὰρ καὶ ἔλαβον ἔν τισι τούτων κυριότητα πρωτείων, ἀλλ' οὐ καὶ καθόλου δεσποτείαν, ἐπειδὴ ἐνεργοῦμεν καὶ ἡμεῖς ἐν αὐτοῖς πάσας τὰς ἐκκλησιαστικὰς ἀκολουθίας λαμπρῶς καὶ ἐνδόξως, καὶ ἀσυγκρίτως παῤῥησιαστικώτερον αὐτῶν ὡς καὶ πρότερον χωρὶς τοῦ ἔχειν αὐτοὺς ἐξουσίαν ποιῆσαί τι ἐμπόδιον. ἀλλὰ καὶ αὐτὸ ὅπερ λέγουσιν, ὅτι δηλαδὴ ἔχουσι τὸν ἅγιον τάφον αὐτοὶ καὶ τὸ ἅγιον Σπήλαιον, οὐδὲν ἄλλο δηλοῦν φαίνεται, ἀλλ' ὅτι λειτουργοῦσιν ἐκεῖ αὐτοὶ μόνοι, ἐπεὶ εἴ γε καὶ αὐτοὶ ἡμεῖς ἐβουλόμεθα, ἐλειτουργοῦμεν ἂν ἀνεμποδίστως, οὐ ποιοῦμεν ὅμως τοῦτο πολλῶν καὶ διαφόρων αἰτιῶν ἕνεκεν, καὶ τὸ δὴ κύριον, ἵνα μὴ νομίζωσιν οἱ πολλοὶ μὴ διαφέρειν ἡμᾶς αὐτῶν. καὶ πρὸς τούτοις ὅσα σεβάσμια προσκυνήματα καὶ Μοναστήρια καὶ Ἐκκλησίας ἔχομεν ἡμεῖς καὶ ἔσω τῆς καθολικῆς Ἐκκλησίας τοῦ ἁγίου τάφου, καὶ αὐτῆς τῆς ἁγίας πόλεως, καὶ ἔξω πλησίον ταύτης καὶ πόῤῥω, οὐκ ἔχουσιν αὐτοὶ καὶ ἡ λοιπὴ πᾶσα συμμορία τῶν Αἱρετικῶν οὔτε καὶ τὸ ἥμισυ τούτων, ἅπερ θείῳ ἐλέει κρατοῦμεν, καὶ ἐξουσιάζομεν κατὰ δεσποτείαν καὶ χρῆσιν. ἐγένετο δὲ ἡ τοιαύτη ἁρπαγὴ παρὰ τῶν Φρατόρων ἐν ἔτει ἀπὸ Χριστοῦ χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ ἐνάτῳ, Μηνὶ Ἀπριλλίῳ.

ΒΙΒΛΙΟΘΗΚΗ ΤΟΥ ΕΘΝΙΚΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ

Εἴληφε τέρμα ἡ δυὰς πρὸς τοῖς δέκα
Τῶν βιβλίων, φέρουσα καὶ τὸ τῆς βίβλου
Τέλος, Θεῷ δὲ δόξα τῷ Τρισηλίῳ.

ΒΙΒΛΙΟΘΗΚΗ Ο. ΒΛΑΧΟΓΙΑΝΝΗ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΚΑΤΑΛΟΓΟΣ

ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΑΤΡΙΑΡΧΕΥΣΑΝΤΩΝ.

Πρῶτος	Ἰάκωβος ὁ Ἀδελφόθεος καὶ πρῶτος ἱεράρχης τῶν Ἱεροσολύμων.
Δεύτερος	Συμεὼν πρῶτος, ὁ τοῦ Κλωπᾶ, ἢ Κλεώπα.
Τρίτος	Ἰοῦστος πρῶτος.
Τέταρτος	Ζακχαῖος πρῶτος, οὐχ ὁ Ἀρχιτελώνης, ἀλλ' ἕτερος φερώνυμος Ἰουδαῖος τὸ γένος.
Πέμπτος	Τωβίας πρῶτος, ὁ καὶ Τωβίτ.
Ἕκτος	Βενιαμὶν πρῶτος.
Ἕβδομος	Ἰωάννης πρῶτος.
Ὄγδοος	Ματθίας πρῶτος, ὁ καὶ Ματθαῖος καλούμενος.
Ἔνατος	Βενιαμὶν δεύτερος κατὰ Βαρώνιον, κατὰ δὲ Νικηφόρον Φίλιππος.
Δέκατος	Σενέκας πρῶτος, ὁ καὶ Σπιθίας.
Ἑνδέκατος	Ἰοῦστος δεύτερος, ὁ καὶ Ἰούστης.
Δωδέκατος	Λευΐ πρῶτος, ὁ καὶ Λευΐς.
Τρισκαιδέκατος	Ἐφρὴς πρῶτος, ὁ καὶ Ἐφραίμ.
Τεσσαρεσκαιδέκατος	Ἰωσὴφ πρῶτος, ὁ καὶ Ἰεσσαὶ καὶ Ἰωσῆς.
Πεντεκαιδέκατος	Ἰούδας πρῶτος.
	Ἰστέον, ὅτι μέχρι τούτου τοῦ Ἰούδα πάντες οἱ τῶν Ἱεροσολύμων Πατριάρχαι ἦσαν ἐξ Ἰουδαίων.
Ἑκκαιδέκατος	Μάρκος πρῶτος, ὃς πρῶτος ἦν τῶν ἀπεριτμήτων Πατριαρχῶν τῶν Ἱεροσολύμων.
Ἑπτακαιδέκατος	Κασσιανὸς πρῶτος.
Ὀκτωκαιδέκατος	Πούπλιος πρῶτος.
Ἐννεακαιδέκατος	Μάξιμος πρῶτος.
Εἰκοστὸς	Ἰουλιανὸς πρῶτος κατ' Εὐσέβιον, κατ' ἄλλους δὲ Ἰούλιος.
Εἰκοστὸς πρῶτος	Γάϊος πρῶτος, ὁ καὶ Γαϊανός.
Εἰκοστὸς δεύτερος	Σύμμαχος πρῶτος.
Εἰκοστὸς τρίτος	Κάϊος πρῶτος, ὁ καὶ Γάϊος δεύτερος ὀνομαζόμενος.
Εἰκοστὸς τέταρτος	Ἰουλιανὸς δεύτερος, ὁ καὶ Οὐάλης.
Εἰκοστὸς πέμπτος	Καπίτων πρῶτος, ὁ καὶ Καπιτὼν λεγόμενος.
Εἰκοστὸς ἕκτος	Ἡλίας πρῶτος.
Εἰκοστὸς ἕβδομος	Μάξιμος δεύτερος.
Εἰκοστὸς ὄγδοος	Ἀντώνιος πρῶτος.
Εἰκοστὸς ἔνατος	Οὐάλης πρῶτος, ὁ καὶ Βάλης.
Τριακοστὸς	Δολιτιανὸς πρῶτος, ὁ καὶ Δολιχιανός.
Τριακοστὸς πρῶτος	Νάρκισσος πρῶτος.
Τριακοστὸς δεύτερος	Δίων πρῶτος, ἢ Αἴλιος.
Τριακοστὸς τρίτος	Γερμανίων πρῶτος.
Τριακοστὸς τέταρτος	Γόρδιος πρῶτος.
Τριακοστὸς πέμπτος	Ἀλέξανδρος πρῶτος.
Τριακοστὸς ἕκτος	Μαρζαβάνης πρῶτος, ὁ καὶ Μαζαβάνης καὶ Ἀμαρζιπαῖ.
Τριακοστὸς ἕβδομος	Ὑμέναιος πρῶτος.
Τριακοστὸς ὄγδοος	Ζάμβας πρῶτος, ἢ Ζάμβδας.
Τριακοστὸς ἔνατος	Ἕρμων πρῶτος.
	Ἰστέον, ὅτι μέχρι τούτου ἦσαν οἱ ἐξ Ἑλλήνων Βασιλεῖς, καὶ οἱ διωγμοὶ αὐτῶν κατὰ τῆς Χριστοῦ Ἐκκλησίας, μετὰ δὲ τὸ χριστιανίσαι τοὺς Βασιλεῖς,
Τεσσαρακοστὸς	Μακάριος πρῶτος, ὁ ἐν τῇ κατὰ Νίκαιαν πρώτῃ Οἰκουμενικῇ Συνόδῳ.
Τεσσαρακοστὸς πρῶτος	Μάξιμος τρίτος, ὁ καὶ Μαξιμωνᾶς.
Τεσσαρακοστὸς δεύτερος	Κύριλλος πρῶτος πρῶτον, καὶ δεύτερον μετὰ τοὺς κατωτέρω τρεῖς, ὁ ἐν τῇ δευτέρᾳ Οἰκουμενικῇ εὑρεθεὶς εἰς Ευζάντιον, ὁ ὑπὸ τῶν Ἀρειανῶν ἐξωσθεὶς τοῦ θρόνου.
Τεσσαρακοστὸς τρίτος	Ἐρέννιος πρῶτος, ὁ καὶ Εἰρηναῖος.
Τεσσαρακοστὸς τέταρτος	Ἡράκλειος πρῶτος, ὁ καὶ Εὐτύχιος.

Τεσσα-

Τεσσαρακοστὸς πέμπτος	Ἱλάριος πρῶτος, ὁ καὶ Ἱλαρίων.
	Ἰστέον δὲ, ὅτι τοὺς ἀνωτέρω τρεῖς Ἀρέννιον, Ἡράκλειον καὶ Ἱλάριον οὐ τάττουσιν οἱ ἱστορικοὶ, καὶ κοινῶς ἡ Ἐκκλησία ἐν τῷ τῶν τῆς Ἱερουσαλὴμ Πατριαρχῶν καταλόγῳ ὡς παραβάτας, οὔτε τὸν τυραννήσαντα ἐπὶ Ἰουβεναλίου Θεοδόσιον.
Τεσσαρακοστὸς ἕκτος	Ἰωάννης δεύτερος.
Τεσσαρακοστὸς ἕβδομος	Παῦλος πρῶτος.
Τεσσαρακοστὸς ὄγδοος	Ἰουβενάλιος πρῶτος, ὁ ἐν ταῖς ἐν Ἐφέσῳ καὶ Χαλκηδόνι Συνόδοις.
Τεσσαρακοστὸς ἔνατος	Θεοδόσιος πρῶτος, ὁ Μονοφυσίτης, ὁ τὸν Ἰουβενάλιον ἐκβαλών.
Πεντηκοστὸς	Ἀναστάσιος πρῶτος.
Πεντηκοστὸς πρῶτος	Γερόντιος πρῶτος, ὁ Μονοφυσίτης, ὁ τὸν Ἀναστάσιον ἐκβαλών.
	Σημείωσαι, ὅτι καὶ οὗτος ἔξω τοῦ καταλόγου ἐστὶ τῶν τῆς Ἱερουσαλὴμ Πατριαρχῶν.
Πεντηκοστὸς δεύτερος	Μαρτύριος πρῶτος.
Πεντηκοστὸς τρίτος	Σαλούστιος πρῶτος, ἀφ' οὗ ἀπέσχισεν ὁ Ῥώμης Ἐπίσκοπος διὰ τὸ Ἑνωτικὸν τοῦ Ζήνωνος.
Πεντηκοστὸς τέταρτος	Ἠλίας δεύτερος ὁ Ἄραψ, ὁ ἐκβληθεὶς ὑπ' Ἀναστασίου Βασιλέως.
Πεντηκοστὸς πέμπτος	Ἰωάννης τρίτος.
Πεντηκοστὸς ἕκτος	Πέτρος πρῶτος ἐπὶ Ἰουστινιανοῦ Βασιλέως.
Πεντηκοστὸς ἕβδομος	Μακάριος δεύτερος, ὁ ἐκβληθεὶς.
Πεντηκοστὸς ὄγδοος	Εὐστόχιος πρῶτος.
	Σημείωσαι δὲ, ὅτι μετὰ τὸν Εὐστόχιον πάλιν εἰσῆλθεν ὁ ἐκβληθεὶς Μακάριος.
Πεντηκοστὸς ἔνατος	Ἰωάννης τέταρτος.
Ἑξηκοστὸς	Ἀμὼς πρῶτος.
Ἑξηκοστὸς πρῶτος	Ἰσαάκιος πρῶτος, ὁ καὶ Ἡσύχιος.
Ἑξηκοστὸς δεύτερος	Ζαχαρίας πρῶτος, ἐφ' οὗ ἠχμαλωτίσθη ἡ Ἱερουσαλὴμ, καὶ ἀπήχθη καὶ αὐτὸς εἰς Περσίαν αἰχμάλωτος.
Ἑξηκοστὸς τρίτος	Μόδεστος πρῶτος.
Ἑξηκοστὸς τέταρτος	Σωφρόνιος πρῶτος.
	Ἰστέον, ὅτι μετὰ τὴν κοίμησιν τοῦ Σωφρονίου ἔμεινεν ὁ θρόνος τῶν Ἱεροσολύμων ἄνευ Πατριάρχου ἔτη εἰκοσιεννέα.
Ἑξηκοστὸς πέμπτος	Γεώργιος πρῶτος κατὰ Εὐτύχιον.
Ἑξηκοστὸς ἕκτος	Θεόδωρος πρῶτος, ὁ ἐπὶ τῆς Οἰκουμενικῆς ἕκτης Συνόδου.
Ἑξηκοστὸς ἕβδομος	Ἀναστάσιος δεύτερος, ὁ ἐπὶ τῆς ἐν Τρούλλῳ Οἰκουμενικῆς Συνόδου.
Ἑξηκοστὸς ὄγδοος	Ἰωάννης πέμπτος.
Ἑξηκοστὸς ἔνατος	Γεώργιος δεύτερος κατὰ Εὐτύχιον.
Ἑβδομηκοστὸς	Θεόδωρος δεύτερος, ὁ μεταξὺ τῆς ἕκτης καὶ ἑβδόμης τῶν Οἰκουμενικῶν Συνόδων πατριαρχεύσας.
Ἑβδομηκοστὸς πρῶτος	Ἠλίας τρίτος, ὁ ἐπὶ τῆς ἑβδόμης Συνόδου.
Ἑβδομηκοστὸς δεύτερος	Θωμᾶς πρῶτος.
Ἑβδομηκοστὸς τρίτος	Βασίλειος πρῶτος, ὁ τοῦ Θωμᾶ μαθητής.
Ἑβδομηκοστὸς τέταρτος	Ἰωάννης ἕκτος.
Ἑβδομηκοστὸς πέμπτος	Σέργιος πρῶτος, υἱὸς Μανσούρ.
Ἑβδομηκοστὸς ἕκτος	Σολομὼν πρῶτος, ὁ καὶ Σαλαμωνᾶς.
Ἑβδομηκοστὸς ἕβδομος	Θεόδωρος τρίτος, ὁ καὶ Θεοδόσιος.
Ἑβδομηκοστὸς ὄγδοος	Ἠλίας τέταρτος, ὁ τοῦ ἀνωτέρω Σεργίου ἀδελφὸς, ἐπὶ Βασιλείου τοῦ Μακεδόνος.
Ἑβδομηκοστὸς ἔνατος	Σέργιος δεύτερος, υἱὸς Ταγγιαῦ.
Ὀγδοηκοστὸς	Λέων πρῶτος.
Ὀγδοηκοστὸς πρῶτος	Ἀθανάσιος πρῶτος.
Ὀγδοηκοστὸς δεύτερος	Νικόλαος πρῶτος.
Ὀγδοηκοστὸς τρίτος	Χριστόδουλος πρῶτος, ἀπὸ Ἀσκάλωνος.
Ὀγδοηκοστὸς τέταρτος	Ἰωάννης ἕβδομος, ὁ τῷ Ναῷ τοῦ ἁγίου τάφου συγκατακαείς.
Ὀγδοηκοστὸς πέμπτος	Ἀγάθων πρῶτος, μετὰ τὴν πυρπόλησιν τοῦ Ναοῦ.
Ὀγδοηκοστὸς ἕκτος	Χριστόδουλος δεύτερος, ὁ καὶ Ἀγάπιος.
Ὀγδοηκοστὸς ἕβδομος	Θωμᾶς δεύτερος.
Ὀγδοηκοστὸς ὄγδοος	Ἰωσὴφ δεύτερος, ὁ ἰατροφιλόσοφος.
Ὀγδοηκοστὸς ἔνατος	Θεόφιλος πρῶτος.

Ἰστέον

ὑστέον, ὅτι μετὰ τοῦτον ἔμεινεν ὁ τῶν ἱεροσολύμων θρόνος ἄνευ Πατριάρχου ἔτη ἕνδεκα.

Ἐννενηκοστὸς	Νικηφόρος πρῶτος.
Ἐννενηκοστὸς πρῶτος	Ὀρέστης πρῶτος ἐπὶ Ῥωμανοῦ Βασιλέως, ἐφ' οὗ ἀνεκτίσθη ὁ Ναός.
Ἐννενηκοστὸς δεύτερος	Μηνᾶς πρῶτος.
Ἐννενηκοστὸς τρίτος	Σωφρόνιος δεύτερος.
Ἐννενηκοστὸς τέταρτος	Μάρκος δεύτερος.
Ἐννενηκοστὸς πέμπτος	Συμεὼν δεύτερος, ὁ κατὰ Ἀζύμων γράψας.
Ἐννενηκοστὸς ἕκτος	Εὐθύμιος πρῶτος ἐπὶ Ἀλεξίου τοῦ Κομνηνοῦ.
Ἐννενηκοστὸς ἕβδομος	Ἀγάπιος πρῶτος.
Ἐννενηκοστὸς ὄγδοος	Σάββας πρῶτος ἐπὶ Ἀλεξίου τοῦ Κομνηνοῦ.
Ἐννενηκοστὸς ἔνατος	Εὐχέριος πρῶτος.
Ἑκατοστὸς	Ἰάκωβος δεύτερος.
Ἑκατοστὸς πρῶτος	Ἀρσένιος πρῶτος.
Ἑκατοστὸς δεύτερος	Ἰωάννης ὄγδοος ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ.
Ἑκατοστὸς τρίτος	Νικηφόρος δεύτερος ἐπὶ τοῦ αὐτοῦ Βασιλέως.
Ἑκατοστὸς τέταρτος	Δοσίθεος πρῶτος, ὁ μετατεθεὶς εἰς τὸν Κωνσταντινουπόλεως θρόνον ἐπὶ Ἰσαακίου τοῦ Ἀγγέλου.
Ἑκατοστὸς πέμπτος	Ἀθανάσιος δεύτερος.
Ἑκατοστὸς ἕκτος	Λεόντιος πρῶτος.
Ἑκατοστὸς ἕβδομος	Γρηγόριος πρῶτος ἐπὶ Μιχαὴλ τοῦ Παλαιολόγου.
Ἑκατοστὸς ὄγδοος	Λάζαρος πρῶτος ἐπὶ Ἀνδρονίκου, ὁ ἐκβληθεὶς ὑπὸ τοῦ Γερασίμου, καὶ ἐπὶ Ἰωάννου τοῦ Καντακουζηνοῦ εἰσαχθείς.
Ἑκατοστὸς ἔνατος	Γεράσιμος πρῶτος ὁ παράνομος, ὁ τὸν Λάζαρον ἐκβαλὼν ὡς ἀνωτέρω εἴρηται.
Ἑκατοστὸς δέκατος	Σωφρόνιος τρίτος.
Ἑκατοστὸς ἑνδέκατος	Δωρόθεος πρῶτος.
Ἑκατοστὸς δωδέκατος	Θεόφιλος δεύτερος, ὁ τοῦ Δωροθέου υἱὸς ἐπὶ Μανουὴλ τοῦ Παλαιολόγου τοῦ γέροντος, καὶ τοῦ υἱοῦ αὐτοῦ Ἰωάννου.
Ἑκατοστὸς τρισκαιδέκατος	Θεοφάνης πρῶτος.
Ἑκατοστὸς τεσσαρεσκαιδέκατος	Ἰωακεὶμ πρῶτος, ὁ ἐπὶ τῆς ἐν Φλωρεντείᾳ Συνόδου.
Ἑκατοστὸς πεντεκαιδέκατος	Γρηγόριος δεύτερος.
Ἑκατοστὸς ἑκκαιδέκατος	Δωρόθεος δεύτερος.
Ἑκατοστὸς ἑπτακαιδέκατος	Γερμανὸς πρῶτος.
Ἑκατοστὸς ὀκτωκαιδέκατος	Σωφρόνιος τέταρτος.
Ἑκατοστὸς ἐννεακαιδέκατος	Θεοφάνης δεύτερος.
Ἑκατοστὸς εἰκοστὸς	Παΐσιος πρῶτος.
Ἑκατοστὸς εἰκοστὸς πρῶτος	Νεκτάριος πρῶτος.
Ἑκατοστὸς εἰκοστὸς δεύτερος	Δοσίθεος δεύτερος, ὁ πανεύφημος τῆς παρούσης βίβλου συγγραφεύς.
Ἑκατοστὸς εἰκοστὸς τρίτος	Χρύσανθος πρῶτος, ὁ τοῦ ἀνωτέρω Δοσιθέου ἀδελφιδοῦς, ὁ καὶ τὴν παροῦσαν βίβλον ἐκδοὺς τῷ τύπῳ, ὁ σοφὸς τάτε θεῖα καὶ θύραθεν.

ΒΙΒΛΙΟΘΗΚΗ
Ιω. ΒΛΑΧΟΓΙΑΝΝΗ

Ἐπιδιόρθωσις τῶν ἐν τῇ βίβλῳ σφαλμάτων.

Ἡ δὲ θέσις ἑκάστης λέξεως ἐν ταῦθα ἥδε τίθεται, πρῶτον δηλονότι ἡ ἐσφαλμένη, εἶτα ἡ ὀρθῶς ἔχουσα. ὁ δὲ ἀριθμὸς τῆς εὑρέσεως τούτων τριττὴν φέρει θέσιν, πρώτην, τῆς σελίδος, δευτέραν, τοῦ στύλου, καὶ τρίτην, τῆς σειρᾶς, ἔσθ' ὅτε δὲ διττὴν, ἤγουν τῆς σελίδος καὶ τῆς σειρᾶς, ὅτε τὸ σφάλμα ἐστὶν ἐν ταῖς ἐπιγραφαῖς.

τοῦ πρώτου βιβλίου.

συγράματα.	συγγράμματα	σελὶς	2	στύλος	1	σειρὰ	9
ἰδὲ.	ἴδε	σελὶς	3	στύλος	1	σειρὰ	24

Τοῦτο τὸ ἰδὲ, ἀπὸ τῆς τρίτης σελίδος τοῦ πρώτου βιβλίου ἕως τῆς τετρακοσιοστῆς ἐννενηκοστῆς τετάρτης τοῦ πέμπτου βιβλίου ἐν ὁποίᾳ ἂν εὕροις σελίδι, ἴδε ἀναγίνωσκε.

οὐ.	οὐ	σελὶς	4	στύλος	2	σειρὰ	4
ἡπατήθη.	ἠπατήθη	σελὶς	7	στύλος	1	σειρὰ	7
Ἀρχιεεὺς.	Ἀρχιερεὺς	σελὶς	7	στύλος	1	σειρὰ	24
Ἰδούα.	Ἰούδα	σελὶς	10	στύλος	1	σειρὰ	8
γεγονεῖα.	γεγονυῖα	σελὶς	15	στύλος	1	σειρὰ	27
ἐγένεντο.	ἐγένετο	σελὶς	15	στύλος	1	σειρὰ	52
Ἐγησίπου.	Ἡγησίπου	σελὶς	19			σειρὰ	42
Χριστιανοὺς.	Χριστιανῶν	σελὶς	20			σειρὰ	26
Ἀντωνίου.	Ἀντωνίνου	σελὶς	24			σειρὰ	15
Ἀντώνιος.	Ἀντωνῖνος	σελὶς	24	στύλος	1	σειρὰ	22
Ἀντωνίῳ.	Ἀντωνίνῳ	σελὶς	24	στύλος	2	σειρὰ	34
ἥμυσυν.	ἥμισυ	σελὶς	24	στύλος	2	σειρὰ	46
Ἀντωνίῳ.	Ἀντωνίνῳ	σελὶς	25	στύλος	2	σειρὰ	9
ἀνεσσᾶτο.	ἀνεσσᾶτο	σελὶς	25	στύλος	2	σειρὰ	49
ἑαυτοῦς.	ἑαυτοὺς	σελὶς	30	στύλος	1	σειρὰ	8
ἵνα.	ἵνα	σελὶς	30	στύλος	1	σειρὰ	15
Εὐσέβιως.	Εὐσέβιος	σελὶς	31	στύλος	1	σειρὰ	28
ἀκοινονήτους.	ἀκοινωνήτους	σελὶς	31	στύλος	2	σειρὰ	37
Ἐπίσκποι.	Ἐπίσκοποι	σελὶς	33	στύλος	2	σειρὰ	23
ἔβδομον.	ἕβδομον	σελὶς	40	στύλος	2	σειρὰ	4
κραιπαλόντων.	κραιπαλώντων	σελὶς	50	στύλος	2	σειρὰ	36
ἑπτὰ.	ἑπτὰ	σελὶς	50	στύλος	2	σειρὰ	42
ὑποδιακόνους.	ὑποδιακόνους	σελὶς	50	στύλος	2	σειρὰ	42
βάτισμα.	βάπτισμα	σελὶς	56	στύλος	2	σειρὰ	41
Πρίσκου.	Πρισκίλλης	σελὶς	57	στύλος	1	σειρὰ	39
Χριστοὺ.	Χριστοῦ	σελὶς	57	στύλος	1	σειρὰ	45
οὔ.	οὐ	σελὶς	58	στύλος	2	σειρὰ	7
πανχόσε.	πανταχόσε	σελὶς	59	στύλος	1	σειρὰ	16
μετανίας.	μετανοίας	σελὶς	59	στύλος	1	σειρὰ	1
καίτος.	καίτοι	σελὶς	59	στύλος	2	σειρὰ	40
Αἰρετικῶν.	Αἱρετικῶν	σελὶς	60	στύλος	1	σειρὰ	54
ἐξωμολογησάμενοι.	ἐξομολογησάμενοι	σελὶς	60	στύλος	2	σειρὰ	23
οἰκεῖα.	οἰκεῖα	σελὶς	60	στύλος	2	σειρὰ	24
αἰτήσαντα.	αἰτήσαντα	σελὶς	62			σειρὰ	37
Ἰοβιανὸν.	Ἰοβαϊανὸν	σελὶς	64	στύλος	2	σειρὰ	12
Εὐαγγελικῆς.	Εὐαγγελικῆς	σελὶς	64	στύλος	2	σειρὰ	52
Πρίσκης.	Πρισκίλλης	σελὶς	68	στύλος	1	σειρὰ	29
ἡγούμενος.	ἡγούμενος	σελὶς	70	στύλος	1	σειρὰ	40
Συνάδοις.	Συνάδοις	σελὶς	70	στύλος	2	σειρὰ	8
Σαρδῶ.	Σαρδὼ	σελὶς	73	στύλος	1	σειρὰ	4
ἁγίαν.	ἁγίαν.	σελὶς	75	στύλος	2	σειρὰ	4
ἕβδομον.	πέμπτον	σελὶς	78	στύλος	2	σειρὰ	48

Παρμε-

Παρμενσανȣ̃ .	Παρμενιανȣ̃	σελὶς	81	ϛύλος	1	σειρὰ	27
Παραραλόγως	παραλόγως	σελὶς	90	ϛύλος	2	σειρὰ	22
Κανὼν . Κανὼν		σελὶς	93	ϛύλος	2	σειρὰ	49
δέκατον ὄγδοον .	ὄγδοον	σελὶς	94	ϛύλος	1	σειρὰ	36
ἐνδέκατον .	ἑνδέκατον	σελὶς	94	ϛύλος	1	σειρὰ	49
κεφάλαιον δέκατον τέταρτον . κεφαλαίȣ δεκάτȣ τετάρτȣ παράγραφον τρίτον		σελὶς	95	ϛύλος	2	σειρὰ	16

τȣ̃ δευτέρȣ

Ἱρȣσαλὴμ .	Ἱερȣσαλὴμ	σελὶς	97			σειρὰ	14
βασικὰ .	βασιλικὰ	σελὶς	102	ϛύλος	1	σειρὰ	49
κιβωτείδιον .	κιβωτίδιον	σελὶς	102	ϛύλος	2	σειρὰ	54
κιβωτείδιον .	κιβωτίδιον	σελὶς	103	ϛύλος	1	σειρὰ	1
πολυτιμίτȣ .	πολυτιμήτȣ	σελὶς	103	ϛύλος	1	σειρὰ	3
εἰ . εἰς		σελὶς	103	ϛύλος	1	σειρὰ	3
παραλογίζαισθαι .	παραλογίζεσθαι	σελὶς	105	ϛύλος	1	σειρὰ	43
Θεοδώριτον .	Θεοδώριτον	σελὶς	109	ϛύλος	1	σειρὰ	46
ὅτε .	ȣ̃τε	σελὶς	112	ϛύλος	2	σειρὰ	41
Ῥινοκȣρȣ́νων .	Ῥινοκȣννȣ́ρων	σελὶς	115	ϛύλος	2	σειρὰ	35
Αἰβίη .	Λιβύη	σελὶς	117	ϛύλος	2	σειρὰ	38
Αἰβέριος .	Λιβέριος	σελὶς	118	ϛύλος	1	σειρὰ	17
Αἰβύη .	Λιβύη	σελὶς	118	ϛύλος	1	σειρὰ	55
Παριάρχαι .	Πατριάρχαι	σελὶς	121	ϛύλος	1	σειρὰ	51
διφορὰ .	διαφορὰ	σελὶς	122	ϛύλος	1	σειρὰ	12
Πατριάχας .	Πατριάρχας	σελὶς	122	ϛύλος	1	σειρὰ	34
τρισκαιδεκάτῳ .	τρισκαιδεκάτῳ	σελὶς	124	ϛύλος	2	σειρὰ	37
σὺν .	σὺν	σελὶς	128	ϛύλος	2	σειρὰ	10
προσρηματείδιον .	προσρηματίδιον	σελὶς	129	ϛύλος	2	σειρὰ	44
Ἑρμείας ,	Ἑρμείας	σελὶς	134	ϛύλος	2	σειρὰ	37
Φλυαρειδίȣ .	Φλυαριδίȣ	σελὶς	136			σειρὰ	31
Ἀντωνίȣ .	Ἀντωνίνȣ	σελὶς	137	ϛύλος	1	σειρὰ	20
Οὐϊτελίȣ .	Οὐϊταλίȣ	σελὶς	137	ϛύλος	2	σειρὰ	37
Φλυαρείδιον .	Φλυαρίδιον	σελὶς	139	ϛύλος	2	σειρὰ	45
Βέκȣ .	Βέκκȣ	σελὶς	146	ϛύλος	2	σειρὰ	20
Πωτογένης .	Πρωτογένης	σελὶς	148	ϛύλος	2	σειρὰ	1
Βέκον .	Βέκκον	σελὶς	155	ϛύλος	1	σειρὰ	42
τὸ .	τὸν	σελὶς	160	ϛύλος	1	σειρὰ	39
κατεψησάντο .	κατεψηφίσαντο	σελὶς	169	ϛύλος	1	σειρὰ	27
Οὐρσάκοις .	Οὐρσάκιος	σελὶς	171	ϛύλος	1	σειρὰ	51
ϛασίασας .	ϛασιάσας	σελὶς	175	ϛύλος	1	σειρὰ	17
ἕως .	ἕως	σελὶς	175	ϛύλος	2	σειρὰ	25
ἡμιττίȣ .	ὑμηττίȣ	σελὶς	176	ϛύλος	1	σειρὰ	46
Φαιδυνθῆναι .	Φαιδρυνθῆναι	σελὶς	177	ϛύλος	1	σειρὰ	23
ἐλεημονιτικώτατος .	ἐλεημονητικώτατος	σελὶς	177	ϛύλος	2	σειρὰ	4
αἱρετικκὸς .	αἱρετικὸς	σελὶς	180	ϛύλος	1	σειρὰ	2
δεκάτȣ ἕκτȣ .	δεκάτȣ τετάρτȣ	σελὶς	182	ϛύλος	1	σειρὰ	11
ὄγδοον .	ἕκτον	σελὶς	182	ϛύλος	1	σειρὰ	12
παϛάσεως .	καταϛάσεως	σελὶς	191	ϛύλος	1	σειρὰ	22
ἕβδομον .	τρίτον	σελὶς	200	ϛύλος	2	σειρὰ	50
ἀρέσει ,	αἱρέσει	σελὶς	205	ϛύλος	2	σειρὰ	44
ὧν .	ὧν	σελὶς	209	ϛύλος	1	σειρὰ	7
πράτειν .	πράττειν	σελὶς	210	ϛύλος	1	σειρὰ	12
Ἐπισκόπος .	Ἐπισκόποις	σελὶς	210	ϛύλος	2	σειρὰ	20

Δαμάσȣ

Δαμάσου τὸν Ἀπολινάριον ἀπεκήρυξαν. Δαμάσου αἱ ἐν τῇ Ἀνατολῇ Σύνοδοι τὸν Ἀπολινάριον ἀπεκήρυξαν

		σελὶς	211			σειρὰ	20
ὄγδον.	ὄγδοον	σελὶς	215	στύλος	2	σειρὰ	8
Πάπαν.	Πάπαν	σελὶς	215	στύλος	1	σειρὰ	45

τοῦ τρίτου.

προχειροτονιθέντι.	προχειροτονηθέντι	σελὶς	220	στύλος	2	σειρὰ	3
ἑκτῷ.	ἑκτῷ	σελὶς	234	στύλος	2	σειρὰ	28
Λέων.	Λέων	σελὶς	236	στύλος	2	σειρὰ	51
Λατῖνοι.	Λατῖνοι	σελὶς	238	στύλος	2	σειρὰ	49
εἰκοστῷ, ἑκτῷ.	εἰκοστῷ ἑκτῷ	σελὶς	253	στύλος	1	σειρὰ	12
χρίατων.	χαρίτων	σελὶς	254	στύλος	1	σειρὰ	22
ἰσχὺν.	ἰσχὺν	σελὶς	260	στύλος	1	σειρὰ	5
τοὺς κομίζοντας.	παρὰ τῶν κομιζόντων	σελὶς	262	στύλος	2	σειρὰ	53
κεφλαίῳ.	κεφαλαίῳ	σελὶς	263	στύλος	1	σειρὰ	9
οὗ.	οὐ	σελὶς	265	στύλος	1	σειρὰ	31
πρὸς.	πρὸ	σελὶς	266	στύλος	1	σειρὰ	50
οὗτον.	οὗτος	σελὶς	267	στύλος	2	σειρὰ	16
κρίτου.	κριτοῦ	σελὶς	272	στύλος	1	σειρὰ	36
οὑγίους.	ἁγίους	σελὶς	274	στύλος	2	σειρὰ	13
Θεοτόκος.	Θεοτόκος	σελὶς	277	στύλος	1	σειρὰ	36
Ἰννοεντίου.	Ἰννοκεντίου	σελὶς	277			σειρὰ	50
οἱ.	οἱ	σελὶς	280	στύλος	1	σειρὰ	4
ἠρεμῶν δὲ.	ἠρεμοῦντος, δὲ αὐτοῦ	σελὶς	280	στύλος	2	σειρὰ	36
ργων.	ἔργων	σελὶς	282	στύλος	1	σειρὰ	13
τεσσαρασκαιδεκατιτῶν.	τεσσαρεσκαιδεκατιτῶν	σελὶς	285	στύλος	1	σειρὰ	31
Ἀκάκιον.	Ἀκακίου	σελὶς	286	στύλος	2	σειρὰ	42
Κυρίλλου.	Κυρίλλῳ	σελὶς	286	στύλος	2	σειρὰ	43
ἐξ ὧν.	ἐξ ὧν	σελὶς	296	στύλος	1	σειρὰ	2
ἀοράτος.	ἀοράτως	σελὶς	307	στύλος	2	σειρὰ	14
ἥτης.	ἥτις	σελὶς	308	στύλος	1	σειρὰ	30
εὑρίσκεσθαι.	εὑρίσκεσθαι	σελὶς	309	στύλος	1	σειρὰ	21
Γριγορίου.	Γρηγορίου	σελὶς	309	στύλος	2	σειρὰ	12
ἁρπαγέντον.	ἁρπαγέντος	σελὶς	312			σειρὰ	5
ἐμπλέκονται.	ἐμπλέκωνται	σελὶς	313	στύλος	1	σειρὰ	41
Εὐτυχῆς.	Εὐτυχὴς	σελὶς	317	στύλος	2	σειρὰ	2
ἐξ ὧν.	ἐξ ὧν	σελὶς	319			σειρὰ	7
Λέων.	Λέων	σελὶς	321	στύλος	1	σειρὰ	46
Λέων.	Λέων	σελὶς	322	στύλος	2	σειρὰ	52

τοῦ τετάρτου.

Εὐτυχοῦς.	Εὐτυχοῦς	σελὶς	332	στύλος	1	σειρὰ	3
Ἀτιοχείας.	Ἀντιοχείας	σελὶς	333	στύλος	1	σειρὰ	3
δείκνυται.	δείκνυνται	σελὶς	357	στύλος	2	σειρὰ	54
Κωνσταντινουπόμεως.	Κωνσταντινουπόλεως	σελὶς	362	στύλος	2	σειρὰ	29

τοῦ πέμπτου

Διακόνου.	Διακόνους	σελὶς	433	στύλος	2	σειρὰ	18
τῆ.	τῆς	σελὶς	481	στύλος	1	σειρὰ	55
ὑμνήσωμεν.	ὑμνήσαμεν	σελὶς	488	στύλος	2	σειρὰ	46

Κηδώνη

Κηδώνη.	Κυδώνη	σελὶς	496	στύλος	1	σειρὰ	19

τοῦ ἕκτου.

Αἵεσιν.	Αἵρεσιν	σελὶς	630	στύλος	1	σειρὰ	2

τοῦ ἑβδόμου

ἐθαυματούργησε.	ἐθαυματούργησε	σελὶς	658	στύλος	1	σειρὰ	7
παρῆλθον.	παρῆλθον	σελὶς	673	στύλος	2	σειρὰ	55

τοῦ δεκάτου.

ἔπεψε.	ἔπεμψε	σελὶς	913	στύλος	1	σειρὰ	30
πάντε.	πάντε	σελὶς	934			σειρὰ	21

Ἀρχαῖα ἡ ἀποχὴ τοῦ κρέατος - ἀπὸ τῶν μοναχῶν - 629
Εἰκὼν - 655
ῥῶσοι - 738
μόνασις - 745

πάπεσα - 700
ἀρτὰ παρασκευῆ - 1175

Βάλσαμος - 106
πρώθη ῥώσος - 108
ἐκμόνου τοῦ πατρὸς - 1453

Ἀβιῶς λεγεὼν - ἐξ χιλιάδες ἑξακοσίους ἑξήκοντα ἐξ ἀνδρείους στρατιώτας, ὁ Μαξιμιανὸς, καὶ ὅλοι μάρτυρες - φ. 78 - β. α

Ὁ πάπας Μαρκελῖνος θυσιάζου τοῖς ἐδόλοις - +

Ὁ Μέγας κωνσταντῖνος νικᾶ τὸν Μαξέντιον - 79

Πρὶν τοῦ βαπτίσματος ὁ Κωνσταντῖνος θανάτωσε τὸν γρόντου - φ. 80

Ὁ πάπας Ἰωάννης ἐγονάτιζεν ἐμπροάτον Ἰουστῖνου τοῦ Θρακός - 83

Ἀπὸ τῆς ἔτιτης ἕως τῆς εὐδόμης συνόδου ἦσαν αἱ αἱ κυλήσεαι ἀνωμέναι - - 972

Ὡς δεὶς ἔκρινεν αἵρεσιν - 973

Γεώργιος ὁ Κορέατος - 1178

ΕΙΒΛΙΟΘΗΚΗ ΙΩ. ΒΛΑΧΟΠΑΝΝΗ